OPERVM HIPPOCRATIS COI ET GALENI PERGAMENI MEDICORVM OMNIVM PRINCIPVM

TOMVS VII

Τὰ παθολογικά, & quædam κατὰ μέρη θεραπευτικά.

RENATVS CHARTERIVS VINDOCINENSIS, Doctor Medicus Parisiensis, REGIS Christianissimi Cons. Medicus, ac Professor Ordin. nec non SERENISSIMÆ MAGNÆ BRITANNIÆ REGINÆ Ἀρχίατρος *plurima interpretatus, vniuersa emendauit, instaurauit, notauit, auxit, digessit coniunctim Græcè & Latinè primus edidit.*





M. Van Lochom fecit

LVTETIÆ PARISIORVM.

M. DC. XLIX.

TOMO VII

Τὰ παθολογικά, Morbi, morborum cauſæ, & ſymptomata continentur.

Τὰ παθολογικὰ κατὰ μέρη, καὶ θεραπευτικά.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΝΟΣΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ.

GALENI DE MORBORVM DIFFERENTIIS LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Αἱ καθ' ὅλου τῶν νοσημάτων διαφοραί, καὶ μάλιστα τῶν ὁμοιομερῶν τε καὶ ὀργανικῶν, ἐμφανίζονται.

ARGVMENTVM LIBRI.

Vniuersales morborum differentiæ, maximè verò similarium, ac organicorum, explicantur.

A

CAPVT PRIMVM.

Propositum libri.

PRIMVM dicendum est, quid morbum vocemus, vt quâ de re liber agit, innotescat. Secundum deindè, quot sint vniuersi, simplices, primíque morbi, ac veluti cæterorum elementa. Tertium deinceps, quot ex his compositi prodeant.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὑπόθεσις βιβλίου.

ΠΡΩΤΟΝ μὲν εἰπεῖν χρή, τί ποτε νόσημα καλοῦμεν, ἵν' ᾖ δῆλον ὑπὲρ οὗ σπουδάζει τὸ γράμμα· δεύτερον δ' ἐπὶ τούτῳ, πόσα τὰ σύμπαντά ἐστιν ἁπλᾶ τε, καὶ πρῶτα νοσήματα, καὶ οἱονεὶ στοιχεῖα τῶν ἄλλων· ἐφεξῆς τε τρίτον, ὁπόσα τὰ ἐκ τούτων συντιθέμενα γίνεται.

B

CAPVT II.

Quid sanitas, quid morbus, & quod genus sanitati & morbo commune sit.

SVMENDVM profectò etiam hîc concessum principium, vniuersos homines tum se sanitate frui sibi persuadere, quum partium corporis functiones vitæ actionibus inseruiẽtes illæsas sortiuntur; læsâ verò ex ipsis aliquâ, se illius functionis ministrâ parte ægrotare augurari. Quod si hæc ita sese habeant, his in duobus sanitas quærenda est, aut in functionibus secundum naturã *prodeuntibus*, aut in organorum, quibus functiones edimus, structurâ; proindéque morbus, vel functionis, vel structuræ læsio est. Verùm quum dormientes, aut aliàs in tenebris, vel otio degentes, aut plerúnque discumbentes, neq; partem aliquam mouemus, neque quid externum omninò sentimus; nihilominùs tamẽ sani sumus. Atque hinc patet, non in actione, sed in *agendi*

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τί ἡ ὑγεία, καὶ τί νόσημα, καὶ ποῖον γένος τῇ ὑγείᾳ τε καὶ τῷ νοσήματι κοινόν.

ΛΗπτέον δὴ κἀνταῦθα ὁμολογουμένην ἀρχήν, ὡς ἅπαντες ἄνθρωποι, τὰς μὲν ἐνεργείας τῶν τοῦ σώματος μορίων ἐπειδὰν εἰς μὲν τὰς κατὰ τὸν βίον πράξεις ὑπηρετούσας ἀμέμπτως ἔχωσιν, ὑγιαίνειν εἰσὶ πεπεισμένοι· βλαβέντες δ' ἡντιναοῦν ἐξ αὐτῶν, νοσεῖν ἐκεῖνο τὸ μέρος νομίζουσιν. Εἰ δὲ ταῦθ' οὕτως ἔχει, τὴν ὑγείαν ἐν δυοῖν τούτοιν ζητητέον, ἢ ἐν ταῖς κατὰ φύσιν ἐνεργείαις, ἢ ἐν ταῖς κατασκευαῖς τῶν ὀργάνων, ὑφ' ὧν ἐνεργοῦμεν· ὥστε καὶ ἡ νόσος, ἢ ἐνεργείας ἐστίν, ἢ κατασκευῆς βλάβη. ἀλλ' ἐπεὶ καὶ κοιμώμενοι, καὶ ἄλλως ἐν σκότῳ, καὶ ἡσυχίᾳ διάγοντες, ἢ κατακείμενοι πολλάκις, οὔτε τι μέρος κινοῦμεν, οὔθ' ὅλως αἰσθανόμεθα τῶν ἔξωθεν οὐδενός, οὐδὲν μὴν ἧττον ὑγιαίνομεν· κἀν τούτῳ δῆλον, ὡς οὐ τὸ ἐνεργεῖν ἐστι τὸ ὑγιαίνειν, ἀλλὰ τὸ

C

δυνάμεθα. δυνάμεθα δὲ ἐνεργεῖν ἐκ τῆς κατὰ φύσιν κατασκευῆς, ἐν ταύτῃ ἄρα τὸ ὑγιαίνειν ἐστίν. ἕξει δὴ λόγον αἰτίας ἡ κατασκευὴ πρὸς τὴν ἐνέργειαν. ὥστ' εἴτε τὴν κατὰ φύσιν ἁπάντων τῶν μορίων κατασκευὴν, ὑγίειαν ὀνομάζειν ἐθέλοις, εἴτε τὴν τῶν ἐνεργειῶν αἰτίαν, εἰς ταὐτὸν ἄμφω τὼ λόγω συμβαίνουσιν. ἀλλ' εἴπερ ἡ ὑγίεια τοῦτ', δῆλον ὡς ἡ νόσος τὸ ἐναντίον, ἤτοι κατασκευή τις παρὰ φύσιν, ἢ βλάβης ἐνεργείας αἰτία. δῆλον δὲ ὡς εἰ καὶ διάθεσιν εἴποις παρὰ φύσιν, ὀνόματί τε χρήσῃ παλαιῷ, καὶ δηλώσεις ταὐτό. κατὰ πόσους δὴ τρόπους ἐξιστάμενα τὰ σώματα τοῦ κατὰ φύσιν, ἐμποδίζεται περὶ τὰς ἐνεργείας, εἴπερ εὕροιμεν, οὕτως ἂν ἤδη τὸν ἀριθμὸν ἁπάντων τῶν ἁπλῶν νοσημάτων εὑρηκότες εἴημεν. ἀρχὴ δὲ κἀνταῦθα ὁμολογουμένη, σύμμετρον μὲν εἶναι τὸ κατὰ φύσιν οὐκ ἐν ζώῳ μόνον, ἀλλὰ καὶ ἐν φυτῷ, καὶ σπέρματι, καὶ ὀργάνῳ παντί· τὸ δὲ αὖ παρὰ φύσιν, ἄμετρον. εἴη ἂν οὖν ἡ μὲν ὑγίεια συμμετρία τις, ἡ δὲ νόσος ἀμετρία. τίνων οὖν ἡ νόσος ἀμετρία, σκεπτέον ἐφεξῆς. ἢ δηλονότι ὧνπερ ὑγίεια συμμετρία, τούτων ἡ δὲ νόσος ἀμετρία; εἰ μὲν οὖν ἐν πόρων συμμετρίᾳ τὸ ὑγιαίνειν ἐστὶν, ἐν πόρων ἀμετρίᾳ γενήσεται καὶ τὸ νοσεῖν· εἰ δ' ἐν εὐκρασίᾳ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ τὸ ὑγιαίνειν ἐστὶν, ἐν τῇ τούτων δυσκρασίᾳ καὶ τὸ νοσεῖν ἐξ ἀνάγκης συμβήσεται. κατὰ ταῦτα δὲ, κἂν ἐν ἄλλῳ τινὶ γένει συμμέτρῳ τὸ ὑγιαίνειν ὑπάρχῃ, δῆλον ὡς καὶ τὸ νοσεῖν ἐν τῷ κατ' ἐκεῖνο τὸ γένος ἀμέτρῳ συστήσεται. πάλιν γὰρ δὴ τὸ αὐτὸ τοῦτ' ἐπισκεψώμεθα λογικώτερον. ἁπλοῦν εἴ τι σῶμα, καὶ ἀκριβῶς ἐστιν ἕν, οὐκ ἄν ποτε δέξαιτο τὸ μᾶλλόν τε καὶ ἧττον, οὐδ' ἂν εἴη τι κατ' ἐκεῖνο τὸ γένος ἕτερον ἑτέρου βέλτιόν τε, καὶ χεῖρον· εἰ δ' ἐκ πλειόνων συγκέοιτο, πολλοὶ μὲν ἂν οὕτω γε τρόποι τῆς συνθέσεως ἐν αὐτῷ γίνοιντο βελτίους τε καὶ χείρους. εἴη δ' ἂν οὕτω καὶ αὐτὰ τὰ συντιθέμενα, κρείττω τε καὶ φαυλότερα· τὸ δ' ἄριστα συγκείμενον ἁπάντων, ἄριστον ἂν εἴη τῶν ὁμογενῶν. ἆρ' οὖν ἐν τοῖς τῶν ζώων σώμασι τὸ μᾶλλόν τε καὶ ἧττόν ἐστιν, ὡς τὸ μὲν ἄκρως εὐεκτικὸν εἰπεῖν, τὸ δ' ἁπλῶς εὐεκτικὸν, οὐ μὴν ἄκρως· καὶ τουτὶ μὲν ὑγιεινὸν, οὐ μὴν εὐεκτοῦν, ἕτερον δέ τι δυσαρεστούμενον, ἄλλο δὲ ἤδη νοσοῦν, καὶ τούτου τὸ μὲν ἐπιεικῶς, τὸ δὲ ὀλεθρίως, καὶ τὸ μὲν μετρίως, τὸ δὲ σφοδρῶς; ἢ πάντες ὁμοίως διακείμεθα νοσοῦντές τε καὶ ὑγιαίνοντες; οὐκ ἔστιν εἰπεῖν. οὔκουν ἕν ἐστι τὸ τῶν ζώων σῶμα, καθάπερ ἡ ἄτομος ἡ Ἐπικούρου, ἢ τῶν ἀνάρμων τι τῶν Ἀσκληπιάδου. σύνθετον ἄρα πάντως· ἀλλ' εἰ μὲν ἐξ ἀτόμων, ἢ ἀνάρμων, ἢ ὅλως ἐξ ἀπαθῶν τινων σύγκειται, τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τῷ ποιῷ τῆς συνθέσεως ἕξει, δίκην οἰκίας ἐξ ἀπαθῶν μὲν λίθων συγκειμένης, οὐ μὴν ἐν τῇ [3] συνθέσει γε πάντῃ κατορθουμένης. εἰ δὲ εἶεν οἷοί τε πάσχειν τι καὶ οἱ λίθοι, πολυειδέστερον ἂν οὕτω γε τὸ μᾶλλόν τε καὶ ἧττον ὑπάρχοι κατὰ τὴν οἰκίαν. εἰ δὲ καὶ αὐτὰ τὰ στοιχεῖα τῶν ἡμετέρων σωμάτων ἀλλοιοῦσθαί τε καὶ πάσχειν πέφυκεν, οὐ μόνον ἂν ἐν τῇ συνθέσει τε καὶ τῇ διαπλάσει τῶν μορίων, ἀλλὰ καὶ δι' ὅλων ἑαυτῶν τὸ μᾶλλόν τε καὶ ἧττον ἐπιδέχοιτ' ἄν. καὶ δὴ καὶ νοσήσει δηλονότι δι' ὅλων ἑαυτῶν, εἴδη τοσαῦτα νοσημάτων ἁπλᾶ τε, καὶ πρω-

potestate sanitatē constitui. At functiones ex eā quę secundū naturā est, structurā, obire possumus; in eā itaq; sanitas cōsistit; proindéq; ad functionē edendā structura causæ rationē obtinebit. Quare siue naturalem omnium partium structurā, sanitatem nominare volueris, siue functionū causam, in idem vtraque incidit oratio. Quod si hoc sit sanitas, constat eius contrarium esse morbum, aut structuram aliquā præter naturam, aut læsæ functionis causam. At manifestū est, quòd si quoque affectū pręter naturam dixeris, & prisco vsus fueris nomine, & idem significaueris. Quot verò modis corpora ab eo quod secundum naturam est in functionibus *obeundis* decedentia interturbantur, si inuenerimus; eâdem viâ iam numerus omniū simplicium morborum nobis compertus erit. Hîc autem principium cōcedatur, cōmoderatum id esse, quod secundum naturam est, non in animali solùm, verùm etiam in plantâ, & semine, omníque organo; quod verò rursus præter naturam est, incōmoderatum. Sit igitur sanitas cōmoderatio quædam; morbus verò incōmoderatio. Quorum ergo incommoderatio morbus sit, deinceps speculandum. An videlicet quorū sanitas cōmoderatio est, eorundem morbus incōmoderatio existat. Si itaque in meatuum commoderatione sanitas sit, in meatuum incommoderatione morbus erit; si verò in calidi, frigidi, sicci, & humidi temperie sanitas cōstituatur; in eorundē intemperie morbum esse necessariò cōsequetur. Hâc verò ratione, si in alterius cuiusdam generis commoderatione sanitas fuerit, constat quoque morbum in eiusdem generis incommoderatione constituendum esse. Enimuerò hoc ipsum rursus subtiliùs cōtemplemur. Siquod corpus simplex ac exactè vnum sit, id nunquā intensionem & remissionem admitteret, neq; eo in genere alterum altero melius aut deterius daretur. At si ex pluribus compositum sit, multi sanè hoc pacto compositionis modi in ipso erunt tum meliores, tum deteriores. Erunt etiam eâdem ratione ipsa cōposita & meliora, & deteriora. Quod autem omniū optimè constitutū est, id eorū quæ eiusdem sunt generis, erit optimum. Num igitur in animalium corporibus & magis, & minus existit, adeò vt illud optimi sit habitûs, hoc simpliciter boni habitûs, non autem optimi; & hoc quidem sanum, non tamē boni sit habitûs; aliud pręterea quod vix morbo reluctetur, aliud denique quod iam ægrotet; atque huius *generis* alterum leuiter, alterum periculosè; illud mediocriter, hoc vehementer *ægrotet*? An omnes peræquè affecti sumus tum ægri, tū sani? Hoc proferre nefas. Itaque non vnum est animalium corpus, veluti Epicuri atomus, aut incompactum aliquod Asclepiadis corpusculum. Quamobrem planè compositum *erit*. Quod si ex atomis, aut incompactis, aut omninò ex impatibilibus quibusdā *corpusculis* construeretur, in compositionis duntaxat qualitate magis minúsq; susciperet, domûs instar ex impatibilibus lapidibus constructæ, nō tamen in structurâ etiam omni ex parte erectæ. Quod siquâ in re pati posse ipsos lapides contingeret, vt varios *patiendi* modos, ita magis minúsq; domus ipsa *susciperet*. At si ipsa nostrorum corporū elementa & alterari & pati suâ naturâ cōsueuerint, non solùm in compositione, vt & partiū conformatione, verùm etiā per se ipsa tota magis minúsque suscipient. Proindéque ipsa per se tota, tot nimirū morborum generibus, iisque

iisque simplicibus ac primis & veluti cæterorum elementis ægrotabunt, quot fuerint ea, quæ compositionem efficiunt. Hæc autem *verba* (per se tota) impatibilibus elementis nequaquam accidunt. Non enim concessum est, quicquam pati indiuiduam ipsam atomum, sed in compositione & conformatione affectionem *comperiri*.

CAP. III.

Triplicem esse in animalium corporibus compositionem.

AT compositio, & conformatio in animalium corporibus est triplex. Prima partium, quas vocant, similarium, arteriarum, venarum, neruorum, ossium, cartilaginum, ligamentorum, membranarum, & carnium. Secunda verò organicarum, cerebri, cordis, pulmonis, hepatis, ventriculi, lienis, oculorum, & renum. Tertia denique totius corporis. Etenim vnaquæque harum partium organicarum ex alijs quibusdam simplicibus quoad sensum est constituta; illarum verò quæque ex primis constat elementis. Carnis igitur ipsius, quatenus caro est, in sola primorum elementorum compositione differentia cõsistit; at quatenus pars organi, in cõformatione, & magnitudine. Itaque ipsorum quoque organorum his in ipsis differentiæ sunt. Productis igitur, quot & qui sint ex primâ suppositione, omnibus similarium corporum morbis, ad secundam deinceps emigrabimus, ad eam nimirum quæ substantiam totam per se totam alterari, transmutaríque supponit.

CAP. IV.

Tria esse prima morborum genera, similare, organicum, & commune.

SVnt autem duo primi morbi; alter quædam meatuum dilatatio; alter astrictio. Impatibilibus namque suppositis primis elementis; in compositione sola erunt morbi. Compositionis autem omnis differentiæ priùs enarratæ sunt. Quare necesse est vnamquamque partium similarium rectè valere, quum commoderatio meatuum ipsius conseruatur, quâ labefactatâ de naturali statu ipsa decedit. Sed quoniam cuiuscunque commoderationis differentia est duplex, altera exuperantia, altera penuria, liquet primos simplicium corporum morbos fore duplices, alterum quandam meatuum dilatationem; alterum astrictionem. Os itaque, caro, & aliorum corporum (pro sensus iudicio) simplicium vnumquodque, si astrictius, aut laxius sit cõmoderato, id male affectum esse proferemus. At si in vtriusque exuperãtiæ medio sit, ita vt ipsius functionibus maxime conferat, tunc summè sanũ esse pronunciabimus. Breues autem à medio ad vtrũque exquisitæ commoderationis extremum decessiones, nequaquam morbos esse dicemus, quoad manifestam functionis alicuius læsionem effecerint; sed in his multum & magis & minus existere adeout quàm magnum sit interuallum ab incommoderatione morbosa ad exquisitè sanam commoderationem, in hac totâ latitudine sanorum differentiæ consistant. At in altero ipsum subsequenti interuallo quod sensibilis est incõmoderationis, morbos collocamus, donec ad illam de-

A ταῦτα, καὶ οἱ στοιχεῖα τῶν ἄλλων, ὅσαπερ ἂν ᾖ τὰ συντιθέντα. τοῦτο δὲ τὸ δι' ὅλων, οὐκ ἐν τοῖς ἀπαθέσιν ἐστὶ στοιχείοις. οὐ γὰρ ἐνδέχεται παθεῖν τι τὴν ἄτομον αὐτήν, ἀλλ' ἐν τῇ συνθέσει τε καὶ διαπλάσει τὸ πάθημα.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τριττὴν ἐν τοῖς ζώων σώμασιν ὑπάρχειν σύνθεσιν.

B ΣΥνθεσις δέ, καὶ διάπλασις ἐν τοῖς τῶν ζώων σώμασιν ὑπάρχει τριττή· πρώτη μὲν ἡ τῶν ὁμοιομερῶν ὀνομαζομένων, ἀρτηριῶν, καὶ φλεβῶν, καὶ νεύρων, καὶ ὀστῶν, καὶ χόνδρων, καὶ συνδέσμων, ὑμένων τε, καὶ σαρκῶν· δευτέρα δέ, ἡ τῶν ὀργανικῶν, ἐγκεφάλου τε, καὶ καρδίας, καὶ πνεύμονος, καὶ ἥπατος, καὶ κοιλίας, καὶ σπληνός, καὶ ὀφθαλμῶν, καὶ νεφρῶν. τρίτη δέ, ἡ τοῦ σύμπαντος σώματος. ἕκαστον γὰρ τῶν ὀργανικῶν τούτων μορίων ἔκ τινων ἑτέρων ἁπλῶν ὡς πρὸς τὴν αἴσθησιν σύγκειται, κἀκείνων ἕκαστον ἐκ τῶν πρώτων στοιχείων·
C σαρκὸς οὖν αὐτῆς, ᾗ σάρξ, ἐν τῇ συνθέσει μόνῃ τῶν πρώτων στοιχείων ἡ διαφορά, ᾗ μέντοι μόριον ὀργάνου, παρά τε τὴν διάπλασιν, καὶ τὸ μέγεθος. καὶ γὰρ οὖν, καὶ αὐτῶν τῶν ὀργάνων ἐν τούτοις αἱ διαφοραί. πόσα τοίνυν ἐστί, καὶ τίνα κατὰ τὴν πρώτην ὑπόθεσιν τὰ σύμπαντα νοσήματα τῶν ὁμοιομερῶν σωμάτων διελθόντες, ἑξῆς ἐπὶ τὴν ἑτέραν μεταβησόμεθα, τὴν ἀλλοιοῦσθαί τε καὶ τρέπεσθαι τὴν οὐσίαν ὅλην δι' ὅλης ἑαυτῆς, ὑποτιθεμένην.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

D Τρία εἶναι τὰ πρῶτα τῶν νοσημάτων γένη, τὸ μὲν ὁμοιομερές, τὸ δὲ ὀργανικόν, καὶ τὸ τῶν ἁπάντων κοινόν.

ΕΣτι δὲ δύο τὰ πρῶτα πάθη, τὸ μὲν εὐρύτης τις πόρων, τὸ δὲ στέγνωσις. ἀπαθῶν γὰρ ὑποκειμένων τῶν πρώτων στοιχείων, ἐν τῇ συνθέσει μόνῃ τὰ παθήματα. συνθέσεως δὲ πάσης αἱ προειρημέναι διαφοραί. ὥστ' ἀναγκαῖον ἐρρῶσθαι μὲν ἕκαστον τῶν ὁμοιομερῶν, ὁπότ' ἂν ἡ συμμετρία τῶν πόρων αὐτοῦ φυλάττηται· διαφθειρομένης δὲ
E ταύτης ἐξίστασθαι τοῦ κατὰ φύσιν. ἀλλ' ἐπειδὴ συμμετρίας ἁπάσης ἡ διαφορὰ διττή· τὸ μὲν γὰρ ὑπερβολή, τὸ δὲ ἔλλειψις, δῆλον, ὡς καὶ τὰ πρῶτα νοσήματα τῶν ἁπλῶν σωμάτων ἔσται διττά. τὸ μὲν εὐρύτης τις πόρων, τὸ δὲ στέγνωσις· καὶ ὀστοῦν δή, καὶ σάρξ, καὶ τῶν ἄλλων ἕκαστον τῶν ἁπλῶν σωμάτων πρὸς τὴν αἴσθησιν, εἰ μὲν στεγνότερον ἢ μανώτερον εἴη τοῦ συμμέτρου, κακῶς διακεῖσθαι φήσομεν· εἰ δ' ἐν τῷ μέσῳ τῆς ὑπερβολῆς ἑκατέρας, ὡς ἂν μάλιστα συμφέρῃ ταῖς χρείαις αὐτῶν, ἄκρως ὑγιαίνειν ἐροῦμεν τηνικαῦτα. τὰς δὲ ἐφ' ἑκάτερα τῆς ἀκριβοῦς συμ-
F μετρίας βραχείας ἐκτροπάς, οὐδέπω μὲν εἶναι νόσους, ἕως ἂν μηδέπω βλάβην αἰσθητὴν ἐνεργείας τινὸς ἀπεργάζωνται· πολὺ δ' ἐν ταύταις ὑπάρχειν τὸ μᾶλλόν τε, καὶ ἧττον, ὡς ἂν ἱκανὸν ἐχούσης διάστημα τῆς νοσώδους ἀμετρίας, παρὰ τὴν ἀκριβῶς ὑγιεινὴν συμμετρίαν. ἐν τούτῳ δὴ παντὶ τῷ πλάτει, τὰς τῶν ὑγιαινόντων συνίστασθαι διαφοράς. ἐν δὲ τῷ μετὰ τοῦτο, τῷ τῆς αἰσθητῆς ἀμετρίας, τὰς νόσους, ἄχρις ἂν ἐπ' ἐκείνην ἀφίκωνται τὴν ἀμε-

τείαν, ἥτις ἤδη φθορὰν ἐργάζεται τοῦ μορίου. οὐ γὰρ δὴ μέχρι γε παντὸς στεγνοῦσθαί τε, καὶ μανοῦσθαι τὰ τῶν ζώων σώματα πέφυκεν. ἀλλ' ἔστι τις κἀν τούτῳ ὅρος, οὗ περαιτέρω προελθεῖν αὐτοῖς ἄνευ διαλύσεώς τε καὶ φθορᾶς ἀδύνατον. ἡ μὲν δὴ τῶν ἀπαθῶν στοιχείων ὑπόθεσις ὧδε ἔχει.

7 Τῶν δὲ παθεῖν ὑποτιθεμένων αὐτά, καὶ μέντοι καὶ δρᾶν εἰς ἄλληλα, καὶ κεράννυσθαι δι' ὅλων, ὅσαπερ ἂν ὑποθῶνταί τινες εἶναι τὰ πρῶτα στοιχεῖα, τοσαῦτα ἐξ ἀνάγκης ἔσται καὶ τὰ πρῶτα νοσήματα. φέρε γὰρ εἶναι τὰ πρῶτα στοιχεῖα τέτταρα, τὸ θερμόν, καὶ τὸ ψυχρόν, καὶ τὸ ξηρόν, καὶ τὸ ὑγρόν, ἐκ τούτων δὲ κεραννυμένων ἀλλήλοις συμμέτρως μέν, ὑγιαίνειν τὸ ζῷον, ἀμέτρως δέ, νοσεῖν. ἔσται δὴ καὶ τὰ πρῶτα νοσήματα τέτταρα, τὸ μὲν παρὰ τὴν κατὰ φύσιν συμμετρίαν πρῶτον θερμόν, καὶ δεύτερον τὸ ψυχρόν, καὶ τρίτον τὸ ὑγρόν, καὶ τέταρτον τὸ ξηρόν. αὗται μὲν καὶ αἱ κατὰ τὴν δευτέραν ὑπόθεσιν νόσοι τῶν ὁμοιομερῶν ὀνομαζομένων σωμάτων, ἃ δὴ καὶ τελέως ἁπλᾶ φαίνεται.

Τὰ δὲ τῶν συνθέτων ἐν ἡμῖν ὀργάνων νοσήματα, κοινὰ τῶν ὑποθέσεων ἑκατέρων ἐστίν. ἐπέλθωμεν οὖν καὶ ταῦτα διὰ βραχέων, αὐτὸ τοῦτο πρῶτον ἐπιδεικνύντες, ὅπως ἐστὶ κοινά. δεομένου δὴ παντὸς τοῦ πρὸς αἴσθησιν συνθέτου σώματος, ὃ δὴ καὶ ἀνομοιομερὲς ὀνομάζουσιν, εἰ μέλλοι καλῶς ἐνεργήσειν, οὔτ' ἐξ οἵων ἔτυχε συγκεῖσθαι μορίων τῶν ἁπλῶν, οὔτ' ἐξ ἀριθμοῦ τινος, ἢ μεγέθους οὐ προσήκοντος, οὔθ' ὃν ἔτυχε τρόπον συνθέσεως ὑπάρχειν, ἐν τέτταρσι τούτοις γένεσι, τὰ τῶν ὀργάνων ἁπάντων ἔσται νοσήματα. διαφοραὶ δὲ καθ' ἕκαστον γένος, αἵδε, κατὰ μὲν τὸ πρῶτον ῥηθέν, ὅταν ἡ προσήκουσα μορφὴ τοῦ μορίου διαφθείρηται, ἢ σχῆμα μὴ δέον, ἢ κοιλότητα λαβόντος, ἢ πόρον, ἤ τι τούτων ἀπολέσαντος, ὧν εἶναι δέον. ἐκ τούτου τοῦ γένους ἐστὶ καὶ ἡ τραχύτης αὐτοῦ, καὶ ἡ λειότης οὐ προσηκόντως ὑπαλλαττόμεναι. ἐν δὲ τῷ δευτέρῳ γένει, τῷ κατὰ τὸν ἀριθμὸν τῶν ἁπλῶν, καὶ πρώτων μορίων διττὴ νοσημάτων ἔσται διαφορά, ἢ ἐλλείποντός τινος, ὧν εἶναι δέον, ἢ πλεονάζοντος, ὧν οὐκ εἶναι δέον. καὶ μὲν δὴ κἀν τῷ τρίτῳ γένει, τῷ κατὰ τὸ μέγεθος ὁμοίως διττὴ νοσημάτων ἔσται διαφορά. μεῖζον γὰρ εἴ τι γένοιτο, δέον ἔλαττον ὑπάρχειν, ἢ αὖθις ἔλαττον ἀποτελεσθείη, μεῖζον εἶναι δεόμενον, οὐκ ὀρθῶς ἂν ἔχοι τὸ σύμπαν ὄργανον. ἐν δὲ δὴ τῷ λοιπῷ γένει τῶν νοσημάτων τῶν κατὰ τὴν σύνθεσιν, ἤτοι κατὰ φύσιν ἐξαλλαττομένης θέσεως, ἢ τῆς πρὸς ἄλληλα τῶν μορίων κοινωνίας, αἱ διαφοραὶ συνίστανται. ὥσπερ δ' ἐκ τῶν ἁπλῶν σωμάτων, ἕκαστον τῶν πρώτων ὀργάνων, ἢ κατορθοῦται συντιθέμενον ἢ διαμαρτάνεται, καὶ ἐκ τούτων αὐτῶν τό θ' ὑγιαίνειν ὑπάρχει, καὶ τὸ νοσεῖν, οὕτω πάλιν ἐξ αὐτῶν τούτων τῶν ὀργάνων τῶν πρώτων τὰ δεύτερα συνίσταται. μῦς μὲν γάρ, καὶ φλέψ, καὶ ἀρτηρία τῶν πρώτων ὀργάνων, δάκτυλος δὲ τῶν δευτέρων, καὶ τούτου μᾶλλον ἔτι, πούς, καὶ ποδὸς τὸ σκέλος. καθόλου γὰρ ὅσα μὲν ἐκ τῶν ὁμοιομερῶν συνελθόντων ἐγένετο μιᾶς ἐνεργείας ἕνεκεν ἐν τοῖς πρώτοις ὀργάνοις ἀριθμηθήσεται. τὰ δ' ἐκ τούτων πάλιν συντιθέμενα, κἂν ὅτι μάλιστα μίαν ἐργάζηται τοῦ παντὸς ὀργάνου τὴν ἐνέργειαν, ἐν τοῖς δευτέροις τετάξεται. τὰ δὲ αὐτὰ ταῦτα, καὶ τούτων τῶν ὀργάνων ἔσται νοσήματα, τοῖς ἐπὶ τῶν πρώτων εἰρημένοις.

A uenerunt incommoderationem quæ iam partis corruptionem molitur. Neque enim animalium corpora quocumque modo astringi dilataríque suâpte naturâ possunt; sed est quidam hîc terminus, vltra quem ipsa citra dissolutionem, corruptionémque progredi nequeant. Atque hæc profectò impatibilium elementorum suppositio ita se habet.

Qui verò ipsa pati elementa, nihilóque minùs in se inuicem agere, & per se tota commisceri, ac temperari supponunt, quot eorum aliqui prima esse elementa supposuerit, totidem primos quo- B que morbos necessariò constituet. Nam cõcede prima elementa esse quatuor, calidũ, frigidum, siccum, & humidum; ex hisque inter se temperatis, commoderate quidem, sanitate frui animal; incommoderatè verò, ægrotare. Erunt quoque primi morbi quatuor; primus calidum præter naturalem commoderationem; secundus frigidum; tertius humidum; quartus demum siccum. Hi sunt ex secundâ suppositione morbi partium quæ similares appellantur, atque simplices omnino conspiciuntur.

Compositorum verò in nobis organorũ mor- C bi, vtrique suppositioni communes existunt. Hos igitur paucis percurramus, & hoc ipsum in primis, quomodo sint communes, demonstremus. Quum sanè oporteat corpus omne ad sensũ compositum, quódque dissimilare appellitant, si probè suas functiones obiturum sit, non ex qualibuscunque, vt sors tulerit, partibus simplicibus, neque ex aliquo numero, aut magnitudine non congruenti constitui, neque fortuitũ hunc esse compositionis modũ, in quatuor his generibus organorum omnium erunt morbi. At singulorum ge- D nerum hæ sunt differentiæ; primi quidem generis enarrati, quum decens partis conformatio labefactata fuerit, aut figuram non idoneam, aut cauitatem, aut meatum acceperit, aut horum aliquid perdiderit, quæ adesse oportebat. Ex hoc genere quoque sunt asperitas ipsius, & læuitas indecenter immutatæ. Secundi verò generis, quod in simplicium primarũque partium numero continetur, duplex erit morborum differentia, aut alicujus rei, quam inesse congruebat, penuria, aut rei minimè necessariæ exuperantia. Tertij E quóque generis, quod ad magnitudinem spectat, similiter duplex differẽtia. Si quid enim maius increuerit, quod minus esse oporteat, aut contrà maius euaserit, quod grandius esse decebat, nequaquam rectè se habuerit vniuersum organum. Reliqui demum generis morborũ structuræ, aut in situ à naturali sede immutato, aut interturbatâ partium inter se societate, differẽtiæ constituentur. Quemadmodum autem ex simplicibus corporibus vnumquodque primorum organorum, vel integram vel vitiatam structuram sortitur, atque ex his ipsis sanitas aut morbus existit: sic rur- F sus ex ipsis primis organis secunda constituuntur. Musculus etenim, vena & arteria primorum sunt organorum; digitus, secundorum; & hoc magis etiam pes; atque pede magis crus. Nam in vniuersum quæcunque ex similaribus partibus cõgruentibus vnius functionis gratiâ procreata sunt, inter prima organa numerabuntur. Quæ verò rursum ex his componuntur, etiamsi vnam quam maximè organi functionem obeant, inter secunda ordine collocabuntur. Iidem verò & horum organorum erunt morbi, qui primorum esse enarrati sunt.

Sed

Sed de organorũ differentiis alio in libro disseruimus, quæ nimirum absolute prima sint; & post hæc, secunda, & tertia, & quarta collocari conueniat. Nonnulla siquidem vtrinque habent notas, vt tum prima, tum secunda esse videantur. At præsens oratio eiusmodi accurata tractatione non indiget. Ad id tamen vnum spectare velim, an simplex, quoad sensum, an composita sit pars. Simplicis etenim partis primi dicti morbi naturaliũ elementorum differentiâ difiniti sunt. Ad compositam autem partem secundi spectant, qui vtrique suppositioni sunt communes. Nullum verò morbi genus est, neque in simplicibus corporibus, neque in compositis, quod sit vtrisque proprium. Diuisionis siquidem methodus id fieri non posse demonstrat. At vnus est præterea morbus omnibus corporibus tum simplicibus, tum compositis communis, siue ea prima sint organa, siue secunda, siue tertia, iam nunc explicandus. At huiusce inuentionis morbi via est quod omnibus dictis partibus cõmuniter datur. Si quid enim ipsis secundum naturam se habentibus insit commune, quod animanti functionem, aut vsum aliquem præstet, id profectò si prorsus vitietur, communis quidam in ipsis morbus constituetur. Sed quid hoc, quod omnibus commune tribuitur? Propriarum partium vnitas, qua vnumquodque præditum, vnum esse, & vnam functionem, vsumve perficere dicitur. Hæc si qua occasione soluatur, id partis morbus est. Quale verò nomen singulis in partibus hic morbus sortiatur, paulò post dicemus, vbi dictorum generum differentias in species particulares diuiserimus.

A ἀλλὰ περὶ μὲν τῆς ὀργάνων τῆς διαφορᾶς ἐν ἑτέρῳ διήρηται λόγῳ, τίνα μὲν ἀκριβῶς ἐστὶ τὰ πρῶτα, τίνα δ' ἐπ' αὐτοῖς, δεύτερά τε, καὶ τρίτα, καὶ τέταρτα τίθεσθαι προσήκει. ἔνια γὰρ ἐπαμφοτερίζει τοῖς γνωρίσμασιν, ὡς καὶ πρῶτα δοκεῖν εἶναι, καὶ δεύτερα. δεῖται δὲ οὐδὲ ὁ νῦν παρὼν λόγος τῆς τοιαύτης ἀκριβολογίας. εἰς ἓν δὲ τοῦτ' ἀποβλέπειν ἀξιῶ, εἴθ' ἁπλοῦν ἐστὶν ὡς πρὸς τὴν αἴσθησιν, εἴτε σύνθετον τὸ μόριον. τοῦ μὲν γὰρ ἁπλοῦ τὰ πρῶτα ῥηθέντα νοσήματα τῇ διαφορᾷ τῶν φυσικῶν στοιχείων εἰσὶ διωρισμένα. τοῦ συνθέτου δὲ, τὰ δεύτερα, κοινὰ τῶν

B ὑποθέσεων ὑπάρχοντα. γένος δὲ οὐδέν ἐστι νοσήματος, οὔτε ἐν τοῖς ἁπλοῖς σώμασιν, οὔτ' ἐν τοῖς συνθέτοις ἴδιον ἑκατέρων. ἡ γὰρ τῆς διαιρέσεως μέθοδος ἐνδείκνυται τὸ ἀδύνατον. ἀλλ' ἕν ἔτι ἐστὶ κοινὸν ἁπάντων τῶν σωμάτων καὶ τῶν συνθέτων, εἴτ' οὖν τῶν πρώτων ὀργάνων, εἴτε καὶ τῶν δευτέρων, εἴτε καὶ τῶν τρίτων ὑπάρχει, τὸ νῦν λεχθησόμενον. μέθοδος δὲ καὶ τούτου τῆς εὑρέσεως τὸ κοινῇ πᾶσι τοῖς εἰρημένοις ὑπάρχον μορίοις. εἰ γὰρ ὑπάρχει τι κοινὸν αὐτοῖς, ἐν τῷ κατὰ φύσιν ἔχειν, ὡς ἐνέργειαν ἢ χρείαν τινὰ τῷ ζώῳ παρεχόμενον, πάντως δήπου καὶ διαφθειρομένου τούτου, κοινὸν αὐ-

C τοῖς τι καὶ νόσημα συστήσεται. τί δὲ τοῦτ' ἐστι τὸ πᾶσιν ὑπάρχον κοινόν; ἕνωσις τῶν ἰδίων μορίων, ἧς ἕκαστον μεταλαβὸν, ἓν εἶναι λέγεται, καὶ μίαν ἐνέργειαν ἢ χρείαν ἀποτελεῖν. εἰ δὲ καὶ ἥδε λύοιτο κατά τι, νόσος καὶ τοῦτ' ἔστι τοῦ μέρους. οἷον γέ τι καθ' ἕκαστον τῶν μορίων, ἡ νόσος ἥδε κέκτηται τοὔνομα, μικρὸν ὕστερον ἐροῦμεν. ὅταν καὶ τὰς τῶν εἰρημένων γενῶν διαφορὰς εἰς τὰ κατὰ μέρος εἴδη διελώμεθα.

CAPVT V.

De partium similarium morbis, intemperie simplici, & cum materia.

ATque profectò id iam rursus à priori suppositione ducto exordio moliamur. Duo itaque ex hac *suppositione*, Similarium partium morbi positi sunt, qui in meatuum incommoderatione consistunt. Vnus, quædam ipsorum *meatuum* dilatatio est, alter astrictio. Vtriusque verò eorũ differentia duplex. Astrictionis quidem corporis vndique in seipsum considentis angustia, atque ipsorũ meatuum obstructio. Dilatationis verò corporis ducta in omnem partem extensio; ipsorum meatuum veluti quædam laxitas, ex procidentiâ elementorum, quæ corpora propriè appellari asseuerant, quum simplicia ac prima sint. Nam quæ ex his componuntur, concreta vocant. Porro ex secunda suppositione, duæ sunt morborum differentiæ; *Prior*, quum similares partes solis qualitatibus alterantur; *posterior* quum ad ipsas *partes* aliqua substantia dictis prædita qualitatibus fluit. Atque hic secũdus modus quem tumorẽ in partibus procreare nemo medicus ignorat. Etenim erysipelata, phlegmonæ, œdemata, phymata, phygethla, strumæ, elephantiasis, scabies, lepra, vitiligines, & scirrhi, huius sunt generis, qui *morbi* neminem latere possunt. Verùm qui morbi in sola qualitatum ipsarum intemperie consistunt, difficiliùs deprehenduntur; nisi magna partis in statum videlicet præter naturam euersio facta fuerit. Tunc enim iam ab omnibus facilè cognoscitur quæ in toto corpore febris appellatur, quum calor exuperet; in partibus

ΚΕΦΑΛΑΙΟΝ Ε'.

D Περὶ τῶν ὁμοιομερῶν νοσημάτων, τῆς δυσκρασίας ἁπλῆς τε καὶ τῆς σὺν ὕλῃ.

ΚΑὶ δὴ ποιώμεθα ἤδη τοῦτο πάλιν ἀπὸ τῆς προτέρας ὑποθέσεως ἀρξάμενοι. δύο οὖν ἐν ταύτῃ τῶν ὁμοιομερῶν σωμάτων ὑπῆρχε νοσήματα ἐν πόρων ἀμετρίᾳ συνιστάμενα. τὸ μὲν, εὐρύτης τις αὐτῶν οὖσα, τὸ δὲ, στέγνωσις. ἑκατέρου δὲ τούτων ἡ διαφορὰ διττή. στεγνώσεως μὲν οὖν, σύνιζησίς τε τοῦ σώματος εἰς ἑαυτὸ πανταχόθεν, καὶ

E αὐτῶν τῶν πόρων ἔμφραξις. εὐρύτητος δὲ, τοῦ μὲν σώματος εἰς πᾶν μέρος ἔκτασις, αὐτῶν δὲ τῶν πόρων οἷον ἀναπέτεια τις οὖσα ἐκπτώσει τῶν στοιχείων ἃ δὴ καὶ κυρίως σώματα προσαγορεύεσθαι φασὶν ἁπλᾶ τε καὶ πρῶτα ὑπάρχοντα· τὰ γὰρ ἐκ τούτων συντιθέμενα, συγκρίματα καλοῦσιν. ἐπὶ δὲ τῆς δευτέρας ὑποθέσεως ἡ διαφορὰ τῶν νοσημάτων διττὴ τυγχάνει. ποτὲ μὲν δὴ ταῖς ποιότησι μόναις ἀλλοιουμένων τῶν ὁμοιομερῶν σωμάτων, ἔστιν ὅτε δὲ ῥυείσης εἰς αὐτὰ τινος οὐσίας, τὰς εἰρημένας ἐχούσης ποιότητας. ὁ μὲν δὴ δεύτερος τρόπος, ὄγκον περὶ τοῖς σώμασιν ἐργαζόμενος, ὑπ' οὐδενὸς ἀγνο-

F εῖται τῶν ἰατρῶν. ἐρυσιπέλατα γὰρ, καὶ φλεγμοναὶ, καὶ οἰδήματα, καὶ φύματα, καὶ φύγεθλα, καὶ χοιράδες, ἐλεφαντιάσεις τε, καὶ ψῶραι, καὶ λέπραι, καὶ ἀλφοὶ, καὶ σκίρροι τούτου τοῦ γένους εἰσὶν, οὐδένα λαθεῖν δυνάμενα. τὰ δ' ἐν τῇ τῶν ποιοτήτων αὐτῶν μόνῃ δυσκρασίᾳ, συνιστάμενα νοσήματα δυσφωρατώτερα, πλὴν εἰ μὴ μεγάλη ποθ' ἡ τοῦ μέρους εἰς τὸ παρὰ φύσιν ἐκτροπὴ γένοιτο. τηνικαῦτα γὰρ ἅπασιν ἤδη γνωρίζεται ῥᾳδίως ἐπὶ μὲν ὅλου τοῦ σώματος, ὀνομαζομένη πυρετὸς,

ἐπειδὰν ὁ θερμὸν κρατῇ, καὶ κατὰ τὰ μόρια δ' ἐναργῶς ἐνίοτε φαινόμενον. καὶ γὰρ καὶ σκέλη τοῖς πλείω περιπατήσασιν ἀήθως, καὶ χεῖρες εἴ τις ταύταις πονήσειεν ἐπιπλέον, ἢ ἐρέττων, ἢ σκάπτων, ἢ τι τοιοῦτον διαπραττόμενος, ἐναργῶς φαίνονται θερμότεραι, καὶ αὐτοῖς τοῖς κάμνουσι, καὶ τοῖς ἔξωθεν ἁπτομένοις αὐτῶν. ἐὰν μέντοι τις ὄγκος μέγας προσγένηται τοῖς μορίοις, ἐπιρρυείσης τινὸς οὐσίας αὐτοῖς θερμῆς, ἐκ τῆς δευτέρας ἔσται διαφορᾶς τῶν νοσημάτων. ἐκ δὲ τῆς προτέρας, ταῦτά τε πάντα τὰ νῦν εἰρημένα, καὶ ἡ καθ' ἓν ὁτιοῦν μέρος, ἢ τὸ σῶμα τοῦ ζῴου σύμπαν, ἢ ἐξ ἐγκαύσεως ἡλίου, ἢ παρὰ πυρὶ θάλψεως ὑπολειπομένη συνίσταται διάθεσις. οἷαι καὶ αἱ τυφώδεις καὶ πυρετώδεις ὀνομαζόμεναι. τοῦ δ' ἐναντίου τῷ θερμῷ νοσήματος τοῦ ψυχροῦ, περὶ μὲν τοῖς ἄκροις ἐναργῶς ἡ διάθεσις συνίσταται πολλάκις οὕτως, ὥστε καὶ ἀποπεσεῖν αὐτὰ νεκρωθέντα. περὶ δὲ τῷ σύμπαντι σώματι, οἷα τοῖς ὁδοιπορήσασιν ἐν κρύει καρτερῷ γίνεται. πολλοὶ γὰρ τούτων, οἱ μὲν ἐν αὐταῖς ταῖς ὁδοῖς ἀπέθανον, οἱ δ' εἰς πανδοχεῖον, πρὶν ἢ οἴκαδε παραγενέσθαι φθάσαντες, ἡμιθνῆτές τε, καὶ κατεψυγμένοι φαίνονται. γίνεται δὲ καὶ τοῖς ἀποπληκτικοῖς, καὶ τοῖς ἐπιληπτικοῖς, καὶ τοῖς τρομώδεσι, καὶ τοῖς σπασμώδεσιν, ἡ τοιαύτη πολλάκις διάθεσις. καὶ τῶν ὑπὸ κρύους ἐν ὁδοῖς ἀποθανόντων, οἱ μὲν ἐμπροσθοτόνοις, οἱ δὲ ὀπισθοτόνοις, οἱ δὲ τετάνοις, οἱ δὲ ταῖς καλουμέναις πήξεσιν ἑάλωσαν, οἱ δὲ ἀποπληξίᾳ τι παραπλήσιον ἔπαθον. ἐν δὴ τοῖς τοιούτοις ἅπασιν, ἐν οἷς ἐπιγίνεταί τι σύμπτωμα, παρέλκει τὴν διάνοιαν τῶν πολλῶν ἐφ' αὑτό· ὡς τὸ μὲν σύμπτωμα νόσημα νομίζεσθαι, τὸ νόσημα δ' αὐτὸ, τὴν αἰτίαν τοῦ συμπτώματος. ὅσοις μέντοι τῶν ἐνεργειῶν αἱ βλάβαι νοσήματα νομίζονται κατὰ λόγον οὗτοι, καὶ τοὺς σπασμοὺς, καὶ τὰς ἀναισθησίας, καὶ τὰς νάρκας, καὶ τὰ ἄλλα τὰ τοιαῦτα νοσήματα καλοῦσιν. ἀλλ' ἡμῖν ἐν ἀρχῇ διήρηται περὶ τῶν ὀνομάτων, ὥστε γνωρίζειν ἐπὶ τῶν τοιούτων ἁπάντων, οὐκ ἐν τοῖς πράγμασιν αὐτοῖς εἶναι τὴν διαφωνίαν, ἀλλὰ ἐν τοῖς ὀνόμασιν. ἐκείνοις μέντοι μέμψαιτ' ἄν τις μόνοις, ὅσοι μὴ διαφυλάττουσιν ἐν ἅπασι τὴν σφετέραν ὑπόθεσιν, ἀλλ' οἴονται σοφόν τι πράττειν, καί τοι γε πλημμελοῦντες. ἔστι γὰρ αὐτῶν ἀκοῦσαι διοριζομένων ἐνίοτε καὶ φασκόντων, εἰ μὲν ἐπὶ φλεγμονῇ γίγνοιτο σπασμὸς, ἐπιγέννημά τε, καὶ σύμπτωμα εἶναι τῆς φλεγμονῆς αὐτόν· εἰ δ' ἐπὶ δυσκρασίᾳ μόνῃ, νόσημα. ταὐτὸ δὴ τοῦτο, καὶ περὶ πυρετοῦ ποιοῦσιν, ἐπειδὰν μὲν ἐπιγίνηται τινὸς μέρους αἰσθητῇ διαθέσει σύμπτωμα νομίζοντες· εἰ δ' ἄλλως, νόσημά τε καὶ πάθος προσαγορεύοντες. τούτοις μὲν οὖν μεμπτέον, οὐκ ἀναμένοντας τὸν ἔξωθεν ἔλεγχον, ἀλλ' αὐτοὺς ἑαυτοῖς περιπίπτοντας. ὅσοι δ' ἤτοι τὰς βλάβας τῶν ἐνεργειῶν ὑποθέμενοι προσαγορεύειν νοσήματα, διὰ παντὸς οὕτω ποιοῦσιν, ἢ καί τι τοιοῦτον ἄλλο παρορῶσιν, ἐν ὀνόμασιν ἐσφάλθαι χρὴ νομίζειν αὐτοὺς, οὐδὲν δ' εἰς τὰ πράγματα πλημμελεῖν. εἴρηται δ' ἐπὶ πλέον ὑπὲρ ἁπάντων τῶν ἰατρικῶν ὀνομάτων ἑτέρωθι· καὶ ὅστις ὀρθῶς αὐτοῖς βούλεται χρῆσθαι, τὴν πραγματείαν ἐκείνην ἀναλεγέσθω. νῦν δὲ, περὶ γὰρ αὐτῶν τῶν πραγμάτων πρόκειται σκοπεῖσθαι, τῇ προειρημένῃ συνθήκῃ τῶν ὀνομάτων ἑπόμενοι, τῶν ἐφεξῆς ἐχώμεθα. [10] περὶ μὲν δὴ τῶν χωρὶς ὕλης ἐπιρρύτου θερμῶν, καὶ ψυχρῶν διαθέσεων, εἴρηται. κατὰ δὲ τὸν αὐτὸν τρόπον τά θ' ὑγρὰ, καὶ ξηρὰ νοσήματα γίνεσθαι, τῆς ὅλης φύσεως ἀλλοιουμένης τῶν σωμάτων, οὐκ ἔξωθεν οὐσίαν τινὰ εἰς ἑαυτὰ δεχομένων· αἱ μὲν οὖν μικραὶ καὶ παραλλαγαὶ δυσφώρατοι. τὰς μεγάλας δ' ἔστιν ἐναργῶς ἰδεῖν, ἐπὶ τῶν νεκρουμένων

A verò interdũ etiam manifestè se prodit. Etenim & crura iis qui liberaliùs præter consuetudinem ambulauerint, & manus, si quis eas plurimũ exercuerit, aut remigando, aut fodiendo, aut aliquid huiusmodi faciendo, manifestè calidiores apparent, tum ipsis laborantibus, tum externis qui eos tetigerint. Si quis enim magnus tumor partibus adnascatur exteriùs ipsis affluente substantiâ quâdam calidâ, is ex secundâ morborum erit differentiâ. Ex primâ verò omnes nunc commemorati scaturiunt; quique vel in vna quacunque parte, vel in vniuerso animalis corpore, aut ab æ- B stu solis, aut ignis calore remanens constituitur affectus; quales sunt & qui typhodes & febriles nominãtur. Morbi verò frigidi calido oppositi affectus extremas partes manifestè adeo plerũque obsidet, vt ipsæ emortuæ decidant. At huiusmodi affectus in vniuerso copore iis oboritur qui sub vehementi frigore iter fecerint. Eorum enim plerique in ipso itinere mortem obierunt; plerique etiam priusquam domum appulissent, diuersoriũ assequuti, semi-mortui & congelidi sub conspectũ veniunt. Talis affectus apoplecticis, epilepticis, tremulis, & conuulsis multoties accidit. Porro eorum qui per iter frigore mortem occubue- C runt, alii emprosthotono, alii opisthotono, alii tetano, alii congelatione vocata correpti obriguerunt, alii quid apoplexiæ simile perpessi sunt. His in omnibus sanè quibus aliquod symptoma superuenit, id multorum sententiam huc vsque distrahit, vt symptoma morbum, morbum ipsum symptomatis causam esse existiment. Quibus nanque functionum læsiones morbi esse videntur, hi rationis examine, & conuulsiones, & stupores, & torpores, & huiusmodi cætera, morbos vocitant. Verùm nos initio de nominibus ita D disseruimus, vt his omnibus innotescat, non de rebus ipsis, sed de nominibus esse dissidium. Illos siquidem solos aliquis arguet, qui suum in omnibus propositum seruant; sed quanquam aberrant, sapienter tamen aliquid facere videntur. Eos enim audire licet quum interdum distinguunt, & asserunt; si phlegmonæ conuulsio superueniat, ipsam conuulsionem phlegmones & consectariam propaginem esse & symptoma; si verò soli intemperiei succedat, morbum. Idem quoque de febre statuunt, eam siquidem sympto- E ma esse ducunt, quum alicuius partis sensibilis affectus superuenit; si verò aliter, & morbum, & affectionem appellant. Hi sanè improbandi sunt, qui quum ab externis reprehensionem non expectent, ipsi tamen in seipsos pugnantes decidunt. Qui verò vel functionum læsiones, morbos vocari supponẽtes perpetuò ita statuũt, vel quid aliud eiusmodi negligunt, eos in nominibus errare, non autem in rebus ipsis peccare, existimandum est. At omnia nomina ad medicam artem spectantia alibi fusiùs explicata sunt: & quicunque rectè his vti velit, tractatũ illum perlegat. Nunc verò quia F res ipsas speculari propositum est, prædictum nominum institutum sequentes, ea deinceps aggrediamur. Equidem de calidis, & frigidis citra materiam affluentem affectibus à nobis dictum est. Eodémque modo tum humidi, tum sicci orientur morbi, quum tota corporum haud aliquam materiam extrinsecus in sese recipientium natura alteratur. Exiguæ itaque alterationes difficillimè deprehenduntur; magnas verò conspicuè licet cognoscere, præsertim in iis quæ emoriuntur

partibus. Etenim earum nonnullæ veluti sale conditæ, & admodum arefactæ conspiciuntur, idque rariùs obtingit; quædam verò adeo molles, atque humidæ tum conspicientibus, tum tangentibus quamprimum innotescunt, vt si earum partes manu tractare volueris, subitò ipsæ defluant, & more *fluentis* aquæ è digitis excidant. Sic & ossium putridorum quædam velut arena conspiciuntur, lignis vetustate corruptis similia; quædam tanquam muscosa, quorum intemperiei incommoderatio ob humiditatem, vel siccitatem orta, totum os emortuum reddidit. Cæteræ verò omnes partium intemperies exiles, multos latent, quæ ab ipsis imbecillitates nominantur. Quum enim phlegmone, vel vlcus, aut eiusmodi alter affectus ventriculo insidet, nullam aliam exquirunt læsæ coctionis causam. Si verò talium *morborum* nullus fuerit, ventriculi imbecillitatem esse dicunt, tanquam quid aliud protulerint ab eo quod manifestũ est, puta cibos nõ probè concoqui. Quid enim aliud imbecillitatẽ eos dicere coniiciendum, præterquam in actione roboris penuriam? At id non est quod quæritur, sed quæ sit huiusce imbecillitatis causa. Cur enim ventriculus in sua functione imbecilliùs agat, quum neque phlegmone, neque scirrho, neque vlcere, neque quouis alio eiusmodi morbo afficiatur? Non enim illi profectò citra causam aliquã probè coquendi facultas erepta est. Itaque aut meatuum incommoderatio, aut intemperies causa planè dicenda est. Quò etiam manifestè patet, nullum primorum morborum, qui partibus similaribus propriè insident, ratione curari posse, nisi primorum elementorum speculatio accesserit. Verùm aduersus eos aliis in *commentariis*, quæ decebant, prodita sunt. Id verò nunc scire oportet, ventriculi imbecillitatem, venæ, arteriæ, musculi, & cuiuscunque simplicis organi tum vitalis, tum animalis, aut propter meatuum incommoderationẽ, aut propter intemperiem omnium consensu necessario oboriri. Quo pacto verò tales eorum affectus dignoscendi sint, non est præsentis orationis. Nõ enim *morborum* dignotiones sed ipsos morbos enumerare mihi propositum est. Atque mihi videtur, vniuersos partium similarium morbos explicâsse.

CAPVT VI.

De morbis organicis.

QVI verò sint partium organicarum *morbi*, consectarium est dicere. In his igitur *organis* vnam quandam omnino esse *partem* actionis causam, huicque ceteras omnes ad vsum aliquem præstandum creatas fuisse, alio in opere demonstratum est. Lædetur autem totius organi functio, tũ maximè ac primùm, quum ipsa pars actionis causa ægrotauerit; iam verò etiam ceterarum partium maiores affectus actionem interturbãt. Quicũque igitur *affectus* non per se, sed lædendo primum functionis organum, actionem interturbant, hi morborum causæ, non ipsi morbi sunt. Si verò non lædendo aliquam primùm functionis partem, *functionem* interturbare queant, morbi iam eiusmodi affectus vocandi sunt. Oborientur autem, vt diximus, vel quum ea quæ secundum naturam est conformatio permutata est; vel quum saluus non extat decens partium numerus,

μάλιστα μορίων. ἔνια μὲν γὰρ αὐτῶν, οἷον τεταριχευμένα φαίνεται, καὶ πάνυ ξηρὰ, καὶ ταῦτα μὲν σπανιώτερα. ἔνια δὲ οὕτω βρυώδη τε καὶ πλαδαρὰ, καὶ θεωμένοις φαίνεται, καὶ ἁπτομένοις, ὥστ' εἰ καὶ μόρια αὐτῶν ἐθέλοις μεταχειρίσασθαι, διαῤῥεῖ παραχρῆμα, καὶ τῶν δακτύλων ἐκπίπτει καθάπερ ὕδωρ. Οὕτω καὶ τῶν ὀστῶν τῶν σαπρῶν, τὰ μὲν, οἷον ψάμμος φαίνεται, τοῖς ὑπὸ χρόνου διεφθαρμένοις ξύλοις ἐοικότα. τὰ δὲ, οἷον βρυώδη, ὧν ἡ τῆς δυσκρασίας ἀμετρία δι' ὑγρότητά γε ἢ ξηρότητα γινομένη, τὸ σύμπαν ὅσον ἐνέκρωσεν. αἱ δ' ἄλλαι πᾶσαι δυσκρασίαι τῶν μορίων αἱ βραχεῖαι, λανθάνουσαι τοὺς πολλοὺς, ἀτονίαι πρὸς αὐτῶν ὀνομάζονται. φλεγμονῆς μὲν γὰρ, ἢ ἕλκους, ἢ τινος ἄλλου τοιούτου, κατὰ τὴν κοιλίαν ὑπάρχοντος, οὐδεμίαν ἑτέραν ἐπιζητοῦσι τοῦ μὴ πέττειν αἰτίαν. εἰ δὲ μηδὲν εἴη τῶν τοιούτων, ἀτονίαν εἶναί φασι τῆς κοιλίας, ὥσπερ ἕτερόν τι λέγοντες αὐτοῦ τοῦ φανερῶς γιγνομένου, τοῦ μὴ πέττεσθαι καλῶς τὰ σιτία. τί γὰρ ἄλλο τὴν ἀτονίαν αὐτοὺς λέγειν ἄν τις ὑπολάβοι, πλὴν τῆς κατὰ τὴν ἐνέργειαν ἀῤῥωστίας; ἀλλ' οὐ τοῦτ' ἔστι τὸ ζητούμενον, ἀλλὰ τίς ἡ ταύτης τῆς ἀτονίας αἰτία. διὰ τί γὰρ ἀῤῥωστεῖ περὶ τὸ ἴδιον ἔργον ἡ γαστὴρ, μήτε φλεγμαίνουσα, μήτε σκιῤῥουμένη, μήθ' ἡλκωμένη, μήτ' ἄλλο μηδὲν ἔχουσα τοιοῦτον; οὐ γὰρ δή γε χωρὶς αἰτίας τινὸς ἐστέρηται τοῦ πέττειν καλῶς. πάντως οὖν ἢ πόρων ἀμετρίαν, ἢ δυσκρασίαν αἰτιατέον. ὥστε καὶ δῆλον, ὡς οὐδὲν τῶν πρώτων νοσημάτων ὅσα τῶν ὁμοιομερῶν ἐστιν αὐτῶν ἴδια, λογικῶς θεραπεῦσαι δυνήσονται, χωρὶς τοῦ περὶ τῶν πρώτων τι ἐπεσκέφθαι στοιχείων. ἀλλὰ περὶ μὲν τούτων, ἐν ἑτέροις εἴρηται τὰ εἰκότα. τὸ δέ γε νῦν εἶναι, χρὴ γινώσκειν, ὡς καὶ γαστρὸς ἀτονίαν, καὶ φλεβὸς, καὶ ἀρτηρίας, καὶ μυὸς, καὶ παντὸς ἁπλῶς ὀργάνου ζωτικοῦ τε, καὶ ψυχικοῦ, ἢ διά τινα πόρων ἀμετρίαν, ἢ δυσκρασίαν, ἀναγκαῖον ὁμολογεῖν γίγνεσθαι. πῶς δὲ χρὴ τὰς τοιαύτας αὐτῶν διαθέσεις γνωρίζειν, οὐ τοῦ νῦν ἐνεστῶτός ἐστι λόγου. πρόκειται γὰρ, οὐ διαγνώσεις εἰπεῖν, ἀλλ' αὐτὰ τὰ πρῶτα καταριθμήσασθαι νοσήματα. καί μοι δοκεῖ τὰ μὲν τῶν ὁμοιομερῶν εἰρῆσθαι πάντα.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῶν ὀργανικῶν νοσημάτων.

ΛΕγειν δ' ἑπόμενον ἂν εἴη τὰ τῶν ὀργανικῶν. ἐν τούτοις οὖν, ὅτι μὲν ἕν τι πάντως ἐστὶ μόριον αἴτιον τῆς ἐνεργείας, τὰ δ' ἄλλα πάντα χρείαν τινὰ τούτῳ παρέξοντα γέγονεν, ἑτέρωθι δέδεικται. βλαβήσεται δὲ ἡ ἐνέργεια τοῦ παντὸς ὀργάνου, μάλιστα μὲν καὶ πρώτως, αὐτοῦ τοῦ τῆς ἐνεργείας αἰτίου σώματος νοσήσαντος, ἤδη δὲ καὶ τῶν ἄλλων ἁπάντων αἱ μείζους διαθέσεις ἐμποδίζουσι τὴν ἐνέργειαν. ὅσαι μὲν οὖν οὐ καθ' ἑαυτὰς, ἀλλὰ τῷ βλάπτειν δή τι τὸ πρῶτον αὐτῆς ὄργανον ἐμποδίζουσιν, αἰτίαι νοσημάτων εἰσὶν, οὐκ αὐταὶ νοσήματα εἰσίν. χωρὶς δὲ τοῦ βλάπτειν τι τὸ πρῶτον τῆς ἐνεργείας μόριον, εἰ τὴν ἐνέργειαν ἐμποδίζειν δύναιντο, νοσήματα ἤδη τὰς τοιαύτας διαθέσεις κλητέον. ἔσονται δὲ, ὡς ἐλέγομεν, ἤτοι τῆς κατὰ φύσιν ὑπαλλαγμένης διαπλάσεως, ἢ μὴ σωζομένου τοῦ δέοντος ἀριθμοῦ τῶν μορίων,

ἢ τὸ μὴ προσῆκον ἑκάστου φυλάττοντος μέγεθος, ἢ ὡς οὐ χρὴ συγκειμένων αὐτῶν. ἐπεὶ γὰρ ἀπεδείχθη μηδὲν τούτων εἰκῇ γεγονέναι πρὸς τῆς φύσεως, ἀλλὰ πάντα ἕνεκα τοῦ βέλτιον ἢ ἀσφαλέστερον ἐνεργεῖν τὸ σύμπαν ὄργανον, ἀνάγκη πᾶσα καὶ τὰς βλάβας αὐτῶν, ὅσαι μὲν ἤτοι κωλύουσιν ὅλως ἐνεργεῖν ἢ ἐμποδίζουσιν αὐτά, νοσήματα νομίζεσθαι· τὰς δ᾽ εἰς τὴν βλάβην τοῦ πρώτου τῆς ἐνεργείας μορίου διαφερούσας, αἰτίας νοσημάτων, ὡς ἀρτίως εἴρηται, προσαγορεύεσθαι.

A vel non idonea cuiusque partis magnitudo seruatur, vel non quo oporteat situ ipsæ *partes* simul positæ sint. Quandoquidem demonstratum est earum partium nullam à natura temerè procreatam fuisse; sed omnes, vt meliùs, vel tutiùs quodcunque functionem obiret organum; necesse omnino est, & earum læsiones quæ vel penitus actionem edi prohibent, vel ipsas *partes* interturbant, morbos existimari; quæ verò ad primæ functionis partis læsionem conferunt, eas morborum causas, vt nuper dictum est, appel- B lari.

ΚΕΦΑΛΑΙΟΝ Ζ´.

Γένος τοῦ νοσήματος βεβλαμμένης τῆς διαπλάσεως εἰς ἴδια τὰ εἴδη διορίζεται.

Διὰ τοῦτ᾽ οὖν οἵ τε βλαισοὶ καὶ ῥαιβοί, καὶ οἱ λείας ἔχοντες τὰς βάσεις, χεῖρον ἐνεργοῦσι τοῖς σκέλεσιν, ἀμετρίᾳ τοῦ προσήκοντος σχήματος. οὕτω δὲ καὶ ὅσοι κάταγμα σχόντες, οὐκ ὀρθῶς διεπλάσθησαν, οὐδ᾽ αὐτοὶ καλῶς ἐνεργοῦσι τῷ C κώλῳ. κακῶς δὲ καὶ ὅσοι διὰ μέγεθος ἀρθρίτιδος ἐξεχάρησαν, ἢ τῶν ὀφρύων περιθραυσθεισῶν τῶν κατὰ τὰς διαρθρώσεις, ἑτοίμως ὑπερβαῖνον καὶ ἐκπίπτον ἔχουσι τὸ ἄρθρον, ἢ πώρου καὶ αὐτοῦ πλείονος ἐπιτραφέντος, ἐν ταῖς τοιαύταις διαθέσεσι, δυσκίνητον ὑπὸ στενοχωρίας μὲν ὅλην ἔχουσι διάρθρωσιν. αὗται μὲν οὖν ἐπίκτητοι κακίαι σχημάτων. σύμφυτοι δὲ κυουμένων ἔτι, κατὰ τὴν πρώτην διάπλασιν ἐμποδισθεῖσαι, ἐν ἅπαντι μορίῳ τοῦ σώματος γίγνονται, νοσῶδες ἐκείνῳ τῷ μορίῳ τὸ ζῷον ἐργαζόμεναι. χρὴ γὰρ καὶ τὸ τῆς D καρδίας σχῆμα, καὶ τὸ τοῦ πνεύμονος, καὶ τὸ τῆς γαστρὸς ἐγκεφάλου τε, καὶ γλώσσης, καὶ σπληνός, καὶ νεφρῶν, καὶ τῶν ἄλλων ἁπάντων, φυλάττεσθαι. γιγνομένης γάρ τινος βλάβης ἀμφ᾽ αὐτὰς χεῖρον ἀνάγκη, καὶ τὸ οἰκεῖον ἔργον ἀποτελεῖσθαι τοῦ σύμπαντος ὀργάνου. καὶ μὴν καὶ τὸ τῶν κοιλοτήτων ἁπασῶν, τῶν κατὰ τὰ μόρια μέγεθός τε, καὶ πλῆθος, εἰ μὴ φυλάττοιτο, βλάπτοιτο ἂν ἐξ ἀνάγκης καὶ διὰ ταῦτα ἡ ἐνέργεια. πολλὰ δὲ τὰ τοιαῦτα νοσήματα, τὰ μὲν συμφύσει τινί, τὰ δὲ ἐμφράξει γλίσχρων ὑγρῶν, καὶ παχέων συνιστάμενα, τὰ δ᾽ αὖ ξηραινομένων τῶν σωμάτων, ἢ στενοχωρουμένων ὑπό τινος τῶν παρακειμένων, ἐμ- E πίπτοντος αὐτοῖς, καὶ θλίβοντος. ἐνίοτε δὲ καὶ αὐτῶν τῶν τοὺς τοιούτους πόρους ἐχόντων σωμάτων ἡ οὐσία σκιρρουμένη τε καὶ φλεγμαίνουσα, καὶ σφακελίζουσα, καὶ διαπυϊσκομένη, καὶ οἰδισκομένη, καὶ ἄλλως ὁπωσοῦν ἐπίκτητον μέγεθος προσλαμβάνουσα, κἄπειτα τὸν ὄγκον εἰς τὰς ἐντὸς ἀποχέουσα κοιλότητας, ἐμφράττει τοὺς πόρους, ἑτέρους ὄντας τούτους ἐκείνων τῶν πόρων, ὧν οἱ τῆς προτέρας αἱρέσεως ἡγεμόνες ὑπετίθεντο, κατὰ τὴν τῶν πρώτων καὶ ἀπαθῶν στοιχείων σύνοδον γίνεσθαι. τοὺς γὰρ τῶν ἐντέρων, καὶ φλεβῶν, καὶ ἀρτηριῶν, καὶ πάντων τῶν τοιούτων F ὀργάνων πόρους, τούτους δήπου μεγάλους τε καὶ σαφεῖς, ἅπαντες ἐναργῶς ὁρῶμεν. εἰ δὲ καὶ διαλανθάνοι ποτὲ τὴν αἴσθησιν ὑπὸ σμικρότητος, ὁ τοιοῦτος πόρος, οὐδ᾽ ἔστιν ἐκ τούτου τοῦ γένους ἐκείνοις τοῖς πόροις, οὓς ἡ προτέρα τῶν αἱρέσεων ὑπετίθετο. κατὰ δὴ τὰς τοιαύτας ἁπάσας διαθέσεις, ἐν αἷς τῶν σωμάτων αὐτῶν εἰς ὄγκον τινὰ ἀρθέντων, ἀποκλείεσθαί τε, καὶ στενοχωρεῖσθαι τοὺς πόρους συμβαίνει, ποτὲ μὲν ἕν ἐστι νόσημα μόνον, ἡ ἔμφραξις ἡ τὴν ἐνέργειαν βλάπτουσα, ποτὲ δὲ καὶ τοῦτο μὲν ἀλλὰ καὶ ἡ τῶν σωμάτων διάθεσις, ἡ τὴν ἔμφραξιν ἐργασαμένη.

CAPVT VII.

Genus morbi læsæ conformationis suas in species distinguitur.

Qvamobrem & varii, & vari, & qui planci planas pedum habent plantas, deteriorem crurum actionem moliuntur, ob decentis figuræ ametriam. Ita verò quibus fractura læsis conformatio C restituta non est, non rectè ipsi affecto membro actiones edunt. Malè quoque actionibus funguntur quibus ob arthritidis vehementiam luxatio oborta est, aut perfracto iuxta dearticulationem supercilio, promptè articulus ad superiorem partem exilit ac excidit; aut quum callus in articulo supra modum excreuit, in eiusmodi affectibus tota dearticulatio ob spatii angustiam ad motum inepta est. hæc itaque ascititia sunt figurarum vitia. Congenita verò incurrũt in vtero fætus, quæ prima conformatione interturbata, in omni corporis parte nascuntur, ægrotum illa parte animal efficiunt. Oportet enim & D cordis, & pulmonis, & ventriculi, & cerebri, & linguæ, & lienis, & renum, cæterarúmque omnium partium figuram seruari. Si nanque earum alicui læsio oboriatur, propriam quoque totius organi functionẽ deteriorem perfici necesse est. Et verò nisi etiam cauitatum quę partibus insunt omnium tum magnitudo, tum numerus seruetur, eas ob res necessariò læderetur actio. Multi autem huiusmodi morbi sunt, *quorum* nonnulli coalitu quodam, nonnulli lentorum ac crassorum humorũ obstructione consistunt; alii etiam exarescen- E tibus corporibus, aut aliqua vicinarum partium ipsis incidente aut comprimente coarctatis oboriuntur. Interdũ verò & ipsorum corporum eiusmodi meatus continentium substantia, aut scirrhum, aut phlegmonem, aut sphacelum, aut suppuratum, aut œdema, aut alio quocunque modo extraneam magnitudinem adepta, ac deinceps tumorem ad interiores cauitates refũdens, meatus obstruit, qui ab illis meatibus plurimum differunt, quos prioris sectæ principes, ex primorum atque impatibilium elementorum concursu F fieri supposuerunt. Nam intestinorum, arteriarum, atque omnium huiusmodi organorum meatus, hos inquam, magnos ac perspicuos, omnes manifestè cernimus. Quod si eiusmodi meatus ob paruitatem sensum effugiat, non is ex eodem genere cum illis meatibus existit, quos sectarum prior supposuit. In eiusmodi omnibus affectibus, in quibus corporum ipsorũ in aliquem tumorem sublatorũ meatus tum obstrui, tum coarctari contingit, nonnunquam vnus duntaxat est morbus, obstructio actionem lædens, nonnunquam & hic, & alius corporũ affectus obstructionem efficiens.

Quum itaque corpus tumore vexatum, nullam propriam functionem sortiatur, vnus quidem erit morbus in obstructione, eius verò causa non etiãnum morbus est, corporis tumorem habentis affectus. Si enim tunica (si sors tulerit) venæ in iecoris cõcauis positę quocunq; eiusmodi morbo affecta, meatum coarctauerit, quo conuexarum hepatis partium vasa sanguinem assumunt, ita erunt morbi; alter ipsius venæ quæ afficitur, alter meatûs obstructio. Interturbat autem affectus venæ probi sanguinis generationem; obstructio verò distributionem. Vtraque horum functio animali necessaria est. Patet enim eos affectus qui functiones primò lædunt, morbos esse dicẽdos. Ipsâ quidem venâ nullo morbo affectâ, si ob lentos quosdam & crassos humores meatibus impactos distributio impediatur, hic vnicus visceris morbus erit obstructio. Sic etiam in intestino, si obstructio sola fuerit, vnus erit morbus. At si ipsum phlegmone laboret, ob idque, interius spatium occludat ac deorsum ire excrementa prohibeat, duo erunt quoque morbi. Multoties enim ab vno morbo morbus oritur, quemadmodum in prædictis *se res* habet. Quandoquidem inflammationibus, erysipelatis, herpetibus, carbunculis, vel quibusdam eiusmodi morbis febris suboritur. Nonnunquam verò quod efficitur, functionis est læsio, ipsúmque oportet tum pathema, tum symptoma nominare; ipsius autẽ causam videlicet, morbum; qualis obstructio causa est ne ampliùs alimentum distribuatur; & refrigeratio obtusioris sensus causa est, quæ symptomatis morbus est. Quum autem ipse affectus functionem primò lædat; & ipsius causa primò nõ lædat, affectũ quidem, morbum; quod verò ipsum efficit, causam morbi nominare oportet; quemadmodum in lentis humoribus & obstructione se res habet. Ipsa nãque obstructio, morbus est; humores verò morbi causæ. Quicunque igitur morbi cauitatibus obueniunt, quum *hæ* interdum obstruuntur, interdum incommoderatè dilatantur, ad conformationis partium genus reducentur. In his siquidẽ omnibus naturalis aliquomodo conformatio impeditur. At certè læuitas & asperitas non ipsæ à naturâ partes conformante frustra conditæ sunt. Hîc itaque in omnibus partibus morbi consistent, quum pars naturâ læuis asperatur, & aspera læuigatur. Eorum euidentissima sunt medicis, quæ & asperatis & læuigatis ossibus accidunt; & quæ faucium asperitates tusses excitant. Hîc præterea agnoscendum est interdum figuram partis oblæsam simul per se aliquem meatum oblædere. Quod exempli gratiâ naso oboriri conspicitur, qui quum ab ictu violento nonnunquam simus factus sit, tantopere meatum coarctauit, vt vel nullomodo, vel ægrè per ipsum respiret. Constat igitur in huiusmodi affectibus meatus angustiam morbum esse. Primùm enim ipsa respirandi actionem interturbat. Præcedens verò ipsius causa nasi simitas, quæ naturalis ipsius figuræ læsio est. In genere igitur conformationis quod à naturali *structura* decessit, vt iam actionem lædat, prædictæ morborum differentiæ suborientur.

μηδεμίαν οὖν ἔχοντος ἰδίαν ἐνέργειαν τοῦ τὸν ὄγκον κεκτημένου σώματος, ἓν μὲν τὸ νόσημα ἔσται τὸ κατὰ τὴν ἔμφραξιν, αἰτία δ' αὐτοῦ, καὶ οὐκέτι νόσημά ἐστιν ἡ τοῦ τὸν ὄγκον ἔχοντος σώματος διάθεσις. εἰ μὲν γὰρ ὁ χιτὼν τῆς ἐν τοῖς σιμοῖς τοῦ ἥπατος, εἰ τύχοι, φλεβός, ὁποιῳοῦν τοιούτῳ παθὼν ἐστενώθη τὸν πόρον, δι' οὗ μεταλαμβάνει τὸ αἷμα τὰ ἐν τοῖς κυρτοῖς τοῦ ἥπατος ἀγγεῖα, δύο μὲν οὕτως εἴη νοσήματα· τό τε τῆς φλεβὸς αὐτῆς, ὃ πέπονθε, καὶ ἡ κατὰ τὸν πόρον ἔμφραξις. ἐμποδίζει γοῦν ἡ μὲν τῆς φλεβὸς διάθεσις αἵματος χρηστοῦ γένεσιν, ἡ δ' ἔμφραξις ἀνάδοσιν· ἐνέργεια δ' ἑκατέρα τούτων ἀναγκαία τῷ ζώῳ. δῆλον γὰρ ὡς αἱ διαθέσεις αἱ βλάπτουσαι τὰς ἐνεργείας πρώτως αὗται λέγοιντ' ἂν εἶναι νοσήματα. τῆς μέντοι φλεβὸς [23] αὐτῆς μηδὲν πεπονθυίας, εἰ διὰ γλίσχρους τινὰς ἢ παχεῖς χυμοὺς σφηνωθέντας ἐν τοῖς πόροις ἡ ἀνάδοσις βλάπτοιτο, μόνον ἂν τοῦτ' εἴη νόσημα κατὰ τὸ σπλάγχνον ἡ ἔμφραξις. οὕτω δὲ καὶ κατὰ τὸ ἔντερον, εἰ μὲν ἔμφραξις εἴη μόνον, ἓν ἔσται καὶ τὸ νόσημα. φλεγμαίνοντος δ' αὐτοῦ καὶ διὰ τοῦτο ἀποκλείοντος τὴν ἐντὸς εὐρυχωρίαν καὶ κωλύοντος ἰέναι κάτω τὰ περιττώματα, δύο ἂν εἴη καὶ τὰ νοσήματα. πολλάκις μὲν γὰρ ἀπὸ νοσήματος γίγνεται νόσημα, καθάπερ ἐπί τε τῶν προειρημένων ἔχει, κἀπειδὰν ἐπὶ φλεγμοναῖς, ἢ ἐρυσιπέλασιν, ἢ ἕρπησιν, ἢ ἄνθραξιν, ἤ τινι τοιούτῳ ἐπιγένηται πυρετός. ἐνίοτε δὲ τὸ μὲν ἀποτελούμενον ἐνεργείας ἐστὶ βλάβη, καὶ χρὴ καλεῖν αὐτὸ πάθημά τε καὶ σύμπτωμα. τὸ δ' αἴτιον αὐτοῦ δηλονότι νόσημα, καθάπερ ἡ μὲν ἔμφραξις τοῦ μηκέτι ἀναδίδοσθαι τὴν τροφήν, ἡ κατάψυξις δὲ τῆς δυσαισθησίας αἴτιον ὑπάρχει, νόσημα οὖσα συμπτώματος. ὅταν δ' αὐτὴ μὲν ἡ διάθεσις ἐνέργειαν βλάπτῃ πρώτως, τὸ δ' αἴτιον αὐτῆς μὴ βλάπτῃ [24] πρώτως, τὴν μὲν διάθεσιν νόσημα, τὸ δ' ἐργαζόμενον αὐτὴν αἰτίαν ὀνομάζειν χρὴ νοσήματος, ὥσπερ ἐπί τε τῶν γλίσχρων ἔχει χυμῶν καὶ τῆς ἐμφράξεως. αὐτὴ μὲν γὰρ ἡ ἔμφραξις τὸ νόσημά ἐστιν, οἱ χυμοὶ δὲ αἴτιοι τοῦ νοσήματος. ἅπαντα οὖν ὅσα περὶ τὰς κοιλότητας γίνεται νοσήματα ποτὲ μὲν ἐμφραττομένων, ποτὲ δὲ ἀμέτρως εὐρυνομένων, ὑπὸ τὸ τῆς διαπλάσεως τοῦ μέρους ἀναχθήσεται γένος. ἐμποδίζεται γάρ πως ἐν τούτοις ἅπασιν ἡ φυσικὴ διάπλασις. [25] ἀλλὰ μὲν δὴ καὶ λειότης καὶ τραχύτης, οὐδ' αὗται ματαίως ὑπὸ τῆς φύσεως ἐγένοντο διαπλαττούσης τὰ μόρια. συστήσεται γοῦν κἀνταῦθα νοσήματα κατὰ πάντα τὰ μόρια, τοῦ μὲν φύσει λείου τραχυνθέντος, τοῦ δ' αὖ τραχέος, λείου γενομένου. φανερώτατα δ' αὐτῶν τοῖς ἰατροῖς ἐστι τά τ' ἐν τοῖς ὀστοῖς γινόμενα τραχυνομένοις τε καὶ λεαινομένοις, αἵ τε τῆς φάρυγγος τραχύτητες ἐργαζόμεναι βῆχας. χρὴ δὲ κἀνταῦθα γινώσκειν ὡς ἐνίοτε τὸ σχῆμα τοῦ μορίου βλαβὲν ἐκάκωσεν ἅμα ἑαυτῷ τινα πόρον. οἷόν τι κἀπὶ τῆς ῥινὸς φαίνεται γινόμενον, ἐπειδὰν ὑπὸ πληγῆς βιαίου ποτὲ σιμωθεῖσα στενωθῇ τὸν ἐντὸς πόρον εἰς τοσοῦτον, ὡς ἤτοι μηδ' ὅλως ἢ μόγις ἀναπνεῖν δι' αὐτοῦ. δῆλον οὖν ὡς ἐν ταῖς τοιαύταις διαθέσεσιν ἡ μὲν στενοχωρία τοῦ πόρου τὸ νόσημά ἐστι. πρώτως γὰρ αὕτη τὴν τῆς ἀναπνοῆς ἐνέργειαν ἐμποδίζει. προηγουμένη δ' αὐτῆς αἰτία τῆς ῥινὸς ἡ σιμότης, βλάβη τοῦ κατὰ φύσιν ἐν αὐτῇ σχήματος ὑπάρχουσα. κατὰ μὲν δὴ τὸ τῆς διαπλάσεως γένος, ὃ ἐξιστάμενον τοῦ κατὰ φύσιν εἰς τοσοῦτον, ὡς ἐνέργειαν ἤδη βλάπτειν, αἱ προειρημέναι διαφοραὶ τῶν νοσημάτων γενήσονται.

A

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῶν κατ' ἀριθμὸν νοσημάτων, καὶ τῆς τούτων διαφορᾶς.

Κατὰ δὲ τὸν ἀριθμὸν τῶν ἁπλῶν μορίων, ἐξ ὧν ἕκαστον τῶν ὀργανικῶν συνίσταται, διτταὶ μὲν αἱ πρῶται διαφοραὶ τῶν νοσημάτων[16] γίνονται, ἢ ἐλλείποντός τινος μέρους, ἢ πλεονάζοντος· ἐν ἑκατέρᾳ δ' αὐτῶν ἕτεραι. τῶν μὲν γὰρ πλεοναζόντων, τὰ μὲν ἐκ τοῦ γένους ἐστὶ τῶν κατὰ φύσιν, ὡς εἰ καί τῳ γένοιτο ἕκτος δάκτυλος, ἢ ἐν ὀφθαλμῷ πτερύγιον, ἢ ἐν ῥινὶ βλάστημα σαρκὸς, ἢ κατ' ἄλλον τινὰ πόρον ὁποιονοῦν τοιοῦτον ἕτερον. ἔσται δὴ καὶ τούτων αὐτῶν τὰ μὲν νοσήματα, καθάπερ τὸ πτερύγιον. ἐμποδίζει γὰρ, ὅταν ἱκανῶς αὐξηθῇ τὴν ὄψιν, ἐπισκοτοῦν τῇ κόρῃ. τὰ δ' αἴτια τῶν νοσημάτων, ὡς τὰ βλαστήματα τοὺς πόρους ἐμφράττοντα, πρώτως γὰρ νόσημα ἡ ἔμφραξίς ἐστιν, ὅτι καὶ πρώτως βλάπτει τὴν ἐνέργειαν. ἔνια δ' ὅλῳ τῷ γένει παρὰ φύσιν ἐστὶν, ὡς ἕλμινθές τε καὶ ἀσκαρίδες καὶ ὁ ἐν τῇ κύστει λίθος καὶ τὸ χαλάζιον ἐν ὀφθαλμῷ, καὶ τὸ ὑπόχυμα καὶ τὸ πύον ἀκροχορδόνες τε καὶ μελικηρίδες καὶ ἀθερώματα καὶ στεατώματα, καὶ ἄλφοι, καὶ λέπραι, καὶ λεῦκαι, καὶ πῶροι, καὶ τὰ ἐν τοῖς ἀποστήμασιν εὑρισκόμενα ἅπαντα. ὅτι δὲ καὶ τούτων, ὅσα μὲν ἐνέργειαν ἐμποδίζει πρώτως, νοσήματα ἐροῦμεν, ὥσπερ τὸ ὑπόχυμα. τὰ δὲ μὴ τοιαῦτα, νοσημάτων αἴτια, πρόδηλον παντί. τῶν δ' ἐλλειπόντων μορίων τὰ μὲν ὅλα τελέως ἀπόλωλε, τὰ δὲ οἷον ἐξ ἡμίσεως ἀποκέκοπταί τε καὶ κεκολόβωται. κατὰ μὲν δὴ τὴν πρώτην γένεσιν ὡς πάμπολλα γίνεται τοιαῦτα, πρόδηλον παντί. μετὰ δὲ τὴν ἀποκύησιν ἐξαιρεῖται μὲν ὅλα πολλάκις ὀστᾶ, κατά τε τοὺς δακτύλους καὶ τὰ κῶλα καὶ τὴν κεφαλὴν καὶ τὰς πλευράς· ἀφαιρεῖται δὲ καὶ δάκτυλος ἐνίοτε καὶ πούς καὶ ἄκρα χεὶρ καὶ κνήμη καὶ πῆχυς· ἐξαιροῦνται δὲ καὶ φλέβες κιρσώδεις καὶ ἀδένες σκιρρωθέντες καὶ ὀδόντες[17] βρωθέντες. καὶ μὴν δὴ καὶ γαργαρεὼν ἀφαιρεῖται καὶ ἐπίπλοον καὶ πόσθη καὶ αὐτοῦ τι τοῦ αἰδοίου, καὶ πολλάκις γε καὶ σύμπαν αἰδοῖον, ὥσπερ γε καὶ οἱ ὄρχεις. ἐνδακὼν δέ τις ἔναγχος ἐπὶ σπασμῷ μεγάλῳ τοῦ παντὸς σώματος ἀπέξαγε τῆς γλώττης τὸ πρόσθεν, εἶτ' ἐσώθη μὲν ἐκ τοῦ σπασμοῦ, διαλέγεσθαι δὲ ὁμοίως οὐκ ἠδύνατο. τούτου τοῦ γένους ἐστὶ καὶ τὰ κολοβώματα καλούμενα χειλῶν καὶ ῥινῶν καὶ ὤτων. καὶ ὅσα[18] ἑτέρων σαρκωδῶν μορίων ἢ ἀποσπασθέντα σφοδρῶς, ἢ διασαπέντα τελέως ἐξετμήθη. καὶ κατὰ πάσας γὰρ τὰς τοιαύτας περιστάσεις καὶ ὁ κατὰ φύσιν ἀριθμὸς οὐ συμπεπλήρωται τῶν μορίων, ἢ ἑνὸς ἢ δυοῖν ἢ καὶ πολλῶν λειπόντων καὶ ἤτοι τελέως ἀπολωλότων ἢ ἐκ μέρους ἀφῃρημένων. ὅσα μὲν δὴ τῶν τοιούτων ἐνεργείας ἐμποδίζει[19] κατὰ τὸν ἑαυτῶν λόγον, ἐν τῷ τῶν νοσημάτων γένει τάξεις. τὰ δ' ἤτοι καταψύχοντά τι μόριον ἑτέρου ἐνεργείας ἀπεργαστικὸν, ἢ τροφὴν ἐλλιπῶς ἐπιδιδόντα, νοσημάτων αἴτια· τινὰ δὲ ἄμφω συλλαβόντα ἔχει καὶ τὴν ὡς αἰτίου χώραν καὶ τὴν ὡς νοσήματος, οἷον καὶ γαργαρεὼν ὁπόταν ἐκ βάσεως ἐκτμηθεὶς καὶ τὴν φωνὴν παραβλάπτει καὶ ψύχει τὰ κατὰ τὸν πνεύμονά τε καὶ τὸν θώρακα. ἐπεὶ γὰρ ἔμαθες ἐν τοῖς τῶν ἐνεργειῶν τε καὶ χρειῶν λογισμοῖς, ὡς ἁπάντων τῶν τοῦ ζώου μορίων τὰ μὲν εἰς ἐνέργειάν τινα συντελεῖ τῷ παντὶ ζώῳ χρησίμην, τὰ δ' αὐτὰ μὲν οὐδὲν ἐνεργεῖ, χρείαν δέ τινα τοῖς ἐνεργοῦσι παρέχεται, δῆλον ὡς καὶ τὰς βλάβας αὐτῶν, τὰς μὲν εἰς ἐνέργειαν ἄντικρυς διαφερούσας, νοσήματα ἐρεῖς πρώτως εἶναι τῶν τοῦ ζώου μορίων, τὰς δὲ εἰς χρείαν τινὰ νοσημάτων αἰτίας.

B C D E F

CAPVT VIII.

De morbis numeri, eorumque differentijs.

IN numero partiũ simplicium ex quibus vnumquodque construitur organum, duplices erunt primæ morborum differentiæ, aut quum aliqua pars deficit, aut exuperat. In earum vtrâque aliæ *deprehenduntur* differentiæ. Ex his quæ exuperant, quædam ex genere eorũ sunt quæ secundum naturam dicuntur, vt si cui sextus nascatur digitus; aut in oculo, pterygium; aut in nare, carnis surculus; aut in alio quodpiam meatu quoduis aliud tale genus. Et verò eorum ipsorum nonnulla quidem erunt morbi, veluti pterygium; quum enim vehementer auctum est, pupillam obtenebrando, visum interturbat. Nonnulla verò, morborum causæ; vt carnis surculi qui meatus obstruunt; primùm enim morbus obstructio est, quia primò actionem lædit. Quædam toto genere præter naturam sunt, vt lumbrici, ascarides, in vesicâ calculus, in oculo grando, suffusio, pus, verrucæ, melicerides, atheromata, steatomata, vitiligines, lepræ, leucæ, calli, & quæ in abscessibus reperiuntur omnia. Quod autem & ex his quæcunque functionem primò interturbãt, morbos dicamus, vt suffusionem, quæ verò non sunt eiusmodi, morborum causas, omnibus manifestum est. Eorum verò quæ deficiũt partium quædam omnino deperditę sunt, quędam veluti è dimidio amputatæ ac mutilatæ. Et quidem in primâ generatione eiusmodi plurima fieri latet neminem. A partu verò ossa sæpe integra eximuntur è digitis, artubus, capite & lateribus; aufertur etiam nonnunquam digitus, pes, extrema manus, tibia & cubitus. Extrahuntur præterea venæ varicosæ & glandulæ scirrho induratæ & dentes exesi. Extrahitur quoque gurgulio, omentum, præputium, ipsius pudendi portio, ac multoties penis integer, quemadmodum etiam testes. Nuper verò quidam vehementi vniuersi corporis conuulsione correptus, anteriorem linguæ partem mordicùs amputauit; deinde à conuulsione sospes factus peræquè ac antè loqui non potuit. Huius generis sunt & quæ mutilationes vocantur labiorum, narium, aurium; & quæcunque aliæ carnosæ partes aut vehementer auulsæ, aut putrefactæ penitus exectæ sunt. Etenim per huiusmodi miserias, qui secundum naturam est partium numerus imperfectus est, siue vna pars, siue duæ, siue plures desint; hæque vel omnino deperditæ, vel ex parte sublatæ. Quæcunque sanè talium functionẽ interturbant, sui ipsorum ratione in morborum genere constituentur; quæ verò aut aliquam partem aliam functionis opificem refrigerant, aut parciùs alimentum distribuunt, morborum causæ; quædam verò vtrumque genus assequuntur & vt causæ & vt morbi vicem; vt gurgulio qui quum radicitus exectus est, & vocem lædit, & pulmones thoracémque refrigerat. Quum enim ex functionum ac vsuum meditatione didiceris omnium animantis partium alias ad actionem aliquam toti animali vtilem conferre; alias per se quidem nihil agere, sed vsum quendam actionem obeuntibus præbere, liquet quòd eorum læsiones quæ in actionem planè dimicant, primùm statues partium animalis esse morbos; quæ verò in aliquem vsum, morborum causas.

Quare

Quare quæ partes duplicem actionem, aut duplicem vsum præstant, interdũ in vnâ læsione duplicem aut morbi aut causæ obtinebunt rationem. At si qua pars vtrũque simul moliatur, tum vsum, tum actionẽ, quemadmodùm quibusdam esse videtur & gurgulio; huius partis iactura alterâ quidem ratione erit morbus, alterâ verò morbi causa. Atqui manifestum est reliquæ permanentis ac seruatæ partis morbũ esse, non eius quæ ampliùs nõ sit: oris enim capacitatis in illa parte cui morbus nunc insidet, particulam esse profiteberis, id quod vuam & gurgulionem appellamus. Quum itaq; hæc deperdita est, deest aliquid capacitati; atque ita *id* totũ vnus morbus est, manente quod ab initio concessum est, omnẽ scilicet actionem à morbo lædi. Quamobrem aut non vnam aliquam esse animantis actionem, & vocem, & inspirationem & expirationem, demonstrandum est; aut si ita se res habet, constat vuulæ iacturam in palato morbum efficere. Simili ratione iactura dentis, oris est morbus, si *dens* ex iis fuerit qui manducationi inseruiunt, isque in illâ parte vbi manducatio læsa est; si verò ex incisoribus nominatis, & esum, & loquutionem interturbat. Sic etiam si linguæ dimidium abscissum est, residuæ parti præter naturam mutilatio *morbus* est. Eodem modo & omento, & pudendo, & omnibus ita affectis partibus. Quòd si quis id non morbum, sed affectum, vel affectionem vocare velit, de nomine, non de re contendet. Liquet autem in linguâ, omento, pudendo, denique omnibus eiusmodi mutilatis organis, aliquam esse magnitudinis diminutionem ab omnibus enumeratis morbis *factam*; ipsi verò animali diminutionem haud necesse est fore manifestam, vt mutilatum appareat; sed aliquis partium numerus erit ablatus, tametsi & arteriæ, & venæ, & nerui, & cutis interdum, & adeps, & membranæ, & caro, in talibus affectibus auferuntur. In gurgulione autem & varicosis vasis exectis, ipsis etiam organis aliquis partium numerus aufertur. Atque hæc omnia ad partium quæ immutantur numerum mox referentur. Vbi verò quorumcunque organorum *aliqua portio* tollitur, non autẽ eximuntur partes, hæc ad vtrumq; genus quodãmodò referentur. Etenim deest animanti tum partium simplicium numerus, tum organi compositi magnitudo. Totum siquidem mutilatũ est. Et sanè quod vtriusque generis, tum numeri, tum magnitudinis, superius alterum prædicamentum, idque quantitatis, statuere liceat, cuique manifestũ est. Quandoquidem quantitas vna discreta est, quæ etiam quantitas propriè appellatur; altera continua, quæ magnitudo nominatur. Verùm in præsentiâ dilucidius mihi visum est hæc ita distinguere, qui alteram quantitatis differentiam sub numero, alteram sub magnitudine constituerim.

A ὥστε ὅσα μόρια διττὰς ἐνεργείας, ἢ διττὰς χρείας ἀποτελεῖ, κατὰ μίαν ἐνίοτε βλάβην διττὸν ἕξει λόγον, ἢ νοσήματος, ἢ αἰτίας. εἰ δέ τι μόριον ἅμα ἄμφω ποιεῖ, χρείαν καὶ ἐνέργειαν, ὥσπερ ἐνίοις εἶναι δοκεῖ καὶ ὁ γαργαρεὼν, ἡ τούτου τοῦ μέρους ἀπώλεια, καθ' ἕτερον μὲν λόγον ἔσται νόσημα, καθ' ἕτερον δὲ νοσήματος αἰτία. δῆλον δὲ, ὡς τῷ λοιπῷ τῷ μένοντι καὶ σωζομένῳ τὸ νόσημά ἐστιν, οὐκ αὐτῷ τῷ μηκέτι ὄντι. τῆς γὰρ τοῦ στόματος εὐρυχωρίας, καθ' ἐκεῖνο τὸ μέρος οὗ νῦν ἐστι τὸ πάθος, μόριον εἶναι φήσεις τὸν κίονά τε καὶ γαργαρεῶνα προσαγορευόμενον· ὅταν οὖν οὗτος ἀπόληται, λείπει τι τῇ χώρᾳ, B καὶ οὕτω τὸ ὅλον ἓν νόσημά τι γίνεται, μένοντος τοῦ κατ' ἀρχὰς ὁμολογηθέντος, τοῦ, πᾶσαν ἐνέργειαν ὑπὸ νοσήματος βλάπτεσθαι. ἢ τοίνυν ὡς οὐκ ἔστι μία τις ἐνέργεια τοῦ ζώου, καὶ ἡ φωνὴ, καὶ ἡ εἰσπνοὴ, καὶ ἡ ἐκπνοὴ, δεικτέον ἐστὶν, ἢ εἴπερ τοῦθ' οὕτως ἔχει, δῆλον ὡς ἡ τοῦ κίονος ἀπώλεια, νόσον ἀπεργάζεται τῷ οὐρανίσκῳ. κατὰ δὲ τὰ αὐτὰ ταῦτα, καὶ ἡ τοῦ ὀδόντος ἀπώλεια νόσημά ἐστιν τοῦ στόματος, εἰ μὲν τῶν πρὸς τὴν μάσησιν ἐπιτηδείων εἴη τὸ κατ' ἐκεῖνο τὸ μέρος τῆς C μασήσεως βλαβέντος· εἰ δὲ τῶν τομέων ὀνομαζομένων, εἴς τε τὰς ἐδωδὰς καὶ τὰς διαλέξεις ἐμποδίζοντος. οὕτω δὲ καὶ εἰ τῆς γλώττης ἀποτμηθείη τὸ ἥμισυ, τῷ λειπομένῳ μέρει παρὰ φύσιν ἐστὶ τὸ κεκολοβῶσθαι. κατὰ ταὐτὰ δὲ καὶ τῷ ἐπιπλόῳ, καὶ τῷ αἰδοίῳ, καὶ πᾶσι τοῖς οὕτω παθοῦσι. καὶ εἰ μὴ νόσημά τις αὐτὸ καλεῖν, ἀλλὰ πάθος ἢ πάθημα βούλοιτο, περὶ ὀνόματος, οὐ περὶ πράγματος ἀμφισβητήσει. δῆλοι δὲ ὡς καὶ τῇ μὲν γλώττῃ, καὶ τῷ ἐπιπλόῳ, καὶ τῷ αἰδοίῳ, καὶ ὅλως ἅπασι τοῖς τοιούτοις κεκολοβωμένοις ὀργάνοις, ἐστί τις μείωσις τοῦ μεγέθους ἐν ἅπασι τοῖς εἰρημένοις νοσήμασιν· αὐτῷ δὲ D τῷ ζώῳ μείωσις μὲν οὐκ ἐξ ἀνάγκης ἔσται σαφὴς, ὡς φαίνεσθαι κολοβὸν, ἀριθμὸς δέ τις ἀφαιρεθήσεται μορίων, εἴγε δὴ καὶ ἀρτηρίαι, καὶ φλέβες, καὶ νεῦρα, καὶ δέρμα ἐνίοτε, καὶ πιμελὴ, καὶ ὑμένες, καὶ σὰρξ ἀφαιρεῖται κατὰ τὰς τοιαύτας διαθέσεις. ἐπὶ μέν τοι τοῦ γαργαρεῶνος, καὶ τῶν κιρσωδῶν ἀγγείων ἐκτμηθέντων, καὶ αὐτῶν τῶν ὀργάνων ἀφαιρεῖταί τις ἀριθμὸς μορίων. καὶ δὴ καὶ τετάξεται τὰ μὲν τοιαῦτα πάντα ὑπὸ τὸν ἀριθμὸν τῶν μορίων ὑπαλλαττομένων· ὅσων δὲ ὀργάνων ἀφαιρεῖται μέν τι, οὐκ ἐξαιρεῖται δὲ τὰ μέρη, ταῦτα ἐν ἀμφοτέροις δὴ τετάξεται τοῖς γένεσι. καὶ γὰρ ἀριθμὸς ἐνδεῖ E τῷ ζώῳ μορίων ἁπλῶν, καὶ μέγεθος ὀργάνου συνθέτου· κεκολόβωται γὰρ τὸ ὅλον. καὶ μὲν δὴ καὶ ὡς ἀμφοῖν τοῖν γενοῖν, τοῦτε κατ' ἀριθμὸν καὶ τοῦ κατὰ μέγεθος, ἀνωτέρω τούτοιν ἑτέραν ἐγχωρεῖ κατηγορίαν τὴν τοῦ ποσοῦ, παντί που δῆλον· εἴγε δὴ τοῦ ποσοῦ τὸ μὲν διωρισμένον ἐστὶν, ὃ δὴ καὶ ποσὸν ἰδίως ὀνομάζεται, τὸ δὲ συνεχὲς, ὃ δὴ καὶ πηλίκον προσαγορεύεται. ἀλλ' ἐν τῷ παρόντι σαφέστερον ἔδοξέ μοι διαιρεῖν αὐτὰ οὕτω, κατὰ μὲν τὸν ἀριθμὸν τάξαντι τὴν ἑτέραν διαφορὰν τοῦ ποσοῦ, κατὰ δὲ τὸ μέγεθος, τὴν ἑτέραν. F

CAPVT IX.

De morbis magnitudinis, eorúmque differentiâ.

EXPLICATIS autem huiusce generis morbis, de iis qui ad magnitudinem, aut ad partium quantitatem reducuntur, aut quomodocunque eos nominare placuerit, disseramus. Id autem *genus* non idem ac prædictum est. Nam si manente secundum naturam partis figurâ,

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν κατὰ μέγεθος νοσημάτων, καὶ τῆς αὐτῶν διαφορᾶς.

ΑΛΛ' ἐπεὶ καὶ τὰ κατὰ τοῦτο τὸ γένος εἴρηται νοσήματα, περὶ τῶν κατὰ τὸ μέγεθος, ἢ τὸ πηλίκον τῶν μορίων, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, διέλθωμεν. ἔστι δὲ οὐ ταὐτὸν τοῦτο τῷ προειρημένῳ. μένοντος γὰρ τοῦ κατὰ φύσιν σχήματος τῷ μορίῳ, διαφθ-

ἐσομένου δὲ τοῦ μεγέθους, ὥστε ἐνέργειά τις βλάπτεται, διὰ τοῦτο νόσημα ἔσται τοῦ μορίου τὸ συμβεβηκός. εἰ γὰρ ἡ τηλικαύτη γένοιτο ἡ γλῶττα κατὰ τὴν πρώτην εὐθὺς διάπλασιν, ὡς ἤτοι μηδεμίαν ἔχειν ἀναστροφὴν ἐν τῷ στόματι διὰ τὸ μέγεθος, ἢ διὰ σμικρότητα μὴ ψαύειν ἁπάντων αὐτοῦ τῶν μερῶν. ἐπὶ δὲ τῶν ἤδη τετελειωμένων αἱ μὲν παρὰ φύσιν ἐπαυξήσεις τῶν μορίων οὐ πάνυ τι φαίνονται συνεχῶς γιγνόμεναι, μειοῦνται μέντοι πολλάκις, καὶ καλεῖται τὸ νόσημα, πρὸς μὲν ἐνίων ἀτροφία, πρὸς ἄλλων δὲ φθίσις τοῦ μέρους. αἱ δὲ ἐπαυξήσεις τῶν μορίων, ἔν τε τοῖς ὑπερσαρκοῦσιν ἕλκεσι γίγνονται, κἀν τῷ καλουμένῳ πριαπισμῷ. Νικομάχῳ δὲ τῷ Σμυρναίῳ πολὺ ἀμέτρως ηὐξήθη τὸ σῶμα, καὶ οὐδὲ κινεῖν ἔτι δυνατὸς ἦν ἑαυτόν· ἀλλὰ τοῦτον μὲν ὁ [22] Ἀσκληπιὸς ἰάσατο. γλῶσσαν δέ τινος ἐπιπλεῖστον αὐξηθεῖσαν ἐθεασάμεθα χωρὶς ἁπάσης ὀδύνης, ὥστε μήτ' οἴδημα δοκεῖν εἶναι, μήτε σκίρρον, μήτε φλεγμονήν· οὔτε γὰρ ἐκοιλαίνετο ὑπὸ πιεζόντων, οὔτ' ἀναίσθητος ἦν, οὔτ' ὠδύνα, ἀλλ' αὐτὸ τοῦτο μόνον αὔξησίς τις ἄμετρος ὑπῆρχεν, οὐδὲν τῆς οὐσίας αὐτῆς τοῦ μορίου βεβλαμμένης. οὕτω δὲ καὶ ὄρχεις καὶ μαστοὶ, τοῖς μὲν ἀμφότεροι, τοῖς δὲ ἀμέτρως ὁ ἕτερος ηὐξήθη. καὶ ἡ καλουμένη δὲ χοιρὰς τούτου τοῦ γένους ἐστὶ, δυσχερείας οὐ μικρᾶς ἐν ταῖς ἐνεργείαις ὅταν ἀμέτρως αὐξηθῇ παρεχομένη. καὶ μὲν δὴ καὶ αἱ τῶν κανθῶν ἀμετρίαι τούτου τοῦ γένους εἰσίν· ὀνομάζεται δὲ καὶ ἡ μὲν ἐπὶ πλέον αὔξησις ἐγκανθίς· ἡ μείωσις δὲ [23] ῥοιάς. τοιαῦται μὲν δή τινες καὶ τούτου τοῦ γένους τῶν νοσημάτων αἱ διαφοραί.

magnitudo vitietur, quum functio quædam læditur, eâ de causâ partis accidet morbus; veluti si in primâ statim conformatione lingua talis sit, vt vel ob magnitudinem in ore nullam habeat conuersionem, vel ob paruitatem omnes ipsius *oris* partes non attingat. Verùm in iam perfectis præter naturam partium incrementa non admodùm crebrò fieri conspiciuntur; minuuntur tamẽ sæpiùs, vocatúrque hic morbus á quibusdam aliis macies; ab aliis partis tabes. Partium incremẽta in vlceribus supercrescente carne fiunt, atque in priapismo, quem vocitant. Nicomacho Smyrnæo adeò totum corpus supra modum incrementum cepit, vt ne deinceps mouere seipsum posset; sed ipsum sanitati restituit Æsculapius. Linguam cuiusdam quamplurimùm auctam vidimus, omnis doloris expertem, vt neque œdema, neque scirrhus, neque phlegmone esse videretur. Neque enim prementibus cauata cedebat, neque sensus erat expers, neque dolebat; sed id ipsum duntaxat incrementum quoddam incommoderatum erat, illæsâ prorsus ipsius partis substantiâ. Sic & testes & mammæ aliis vterque, aliis alter supra modum increuit. Quæ etiam struma vocatur, huius generis est, quæ quum immoderatiùs increuit, non paruam functionibus læsionem adfert. Similiter etiam angulorum in oculis sunt ametriæ huius generis, quorum immoderatius incrementum encanthis, diminutio rhyas nominatur. Atque huiusmodi sunt, huius generis morborum differentiæ.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῶν κατὰ τὴν σύνθεσίν τε καὶ θέσιν νοσημάτων.

Τῆς δὲ συνθέσεως τῆς κατὰ φύσιν ὑπαλλαττομένης, γίνεται νοσήματα. παρὰ μὲν τὴν θέσιν, ἐν ταῖς ἐξαρθρήσεσί τε καὶ παραρθρήσεσι κἀν ταῖς ἐντεροκήλαις τε καὶ ἐπιπλοκήλαις ὀνομαζομέναις. παρὰ δὲ τὴν πρὸς τὰ παρακείμενα μόρια μὴ κατὰ φύσιν ὁμιλίαν, συνδεσμός που χαλασθεὶς, ἢ συνταθεὶς, ἢ ἀπορραγεὶς ἐμποδίζει τὴν ἐν ἐκείνῳ τῷ μορίῳ κίνησιν τῆς διαρθρώσεως. ἐν τούτῳ τῷ γένει καὶ οἱ τῆς γλώττης εἰσὶν ἄμετροι δεσμοὶ, καὶ οἱ τῶν αἰδοίων, ἐφ' οἷς ἡ μὲν εἰς τὸ διαλέγεσθαί τε, καὶ μασᾶσθαι ἱκανῶς ἐμποδίζεται, τὸ δὲ αἰδοῖον ἐν τῷ κατασπείρειν εἰς τὸ θῆλυ πόρρω καὶ κατὰ εὐθὺ προπέμπειν ἀδυνατεῖ τὸ σπέρμα, διεστραμμένου τοῦ πόρου. καὶ μὲν δὴ καὶ αἱ συμφύσεις αἱ παρὰ φύσιν, ἢ χειλῶν ἑλκωθέντων, ἢ βλεφάρων, ἢ δακτύλων, ἢ ἕδρας, ἢ τινος ἑτέρου τοιούτου, ταύτης εἰσὶ τῆς διαφορᾶς. τοιαῦται μὲν δὴ καὶ αἱ τῶν παρὰ τὴν σύνθεσιν τῶν μορίων γένους ἰδέαι τῶν νοσημάτων.

CAPVT X.

De morbis structuræ & situs.

QVVM verò quæ secundum naturam est structura immutatur, oriuntur morbi. A situ quidem, in articulorum tum luxationibus, tum distortionibus, atque in intestini prolapsu, & omenti procidentiâ nuncupatis. Ab ea verò, quæ non secundum naturam est partium adiacentium coniunctione, ligamentum laxatum, aut contensum, aut abruptum, in illa parte dearticulationis motum oblædit; hoc in genere sunt & linguæ & pudendorum incommoderata vincula, quibus illa tum in loquendo, tum manducando plurimùm interturbatur; pudenda verò in eiaculando semen, quæ ob inuersum meatum, in mulieris vterum eminùs & directè semen emittere nequeunt. Atque etiam coalitus præter naturam aut labiorum vlceratorum, aut palpebrarum, aut digitorum, aut sedis, aut cuiusdam eiusmodi alterius partis, ad hancce differentiam spectât. Istæ sanè huius generis sunt morborũ species, quę à structurâ proficiscuntur.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς συνεχείας λύσεως, καὶ τῶν παρ' αὐτὴν νοσημάτων.

Λοιπὸν δὲ ἐστὶ καὶ πέμπτον γένος νοσήματος ἡ τῆς ἑνώσεως λύσις, εἴτ' οὖν ἐν ἑνί τινι τῶν ἁπλῶν γένοιτο μορίων τῶν ὁμοιομερῶν ὀνομαζομένων, εἴτε κἀν τοῖς συνθέτοις, ὅθεν καὶ μικρῷ πρόσθεν ἐν τοῖς κοινοῖς ἑκατέρων τῶν μορίων νοσήμασιν ἐμνημονεύσαμεν αὐτῆς. ὅπου γὰρ

CAPVT XI.

De continui solutione, & morbis ad eam spectantibus.

SVPEREST & quintum morbi genus, vnitatis solutio, siue hæc vni cuidam partium simplicium, quas similares nominant, siue etiam compositis accidat, vnde paulò antè inter communes vtrarumque partium morbos ipsam commemorauimus. Quum enim ligamentum,

mentum, vel arteria diuellitur, communis est & totius organi & diuulsæ partis morbus. Nam vtriusque soluta est continuitas; totius quidem *organi*, quum ipsius partes non ampliùs sibi cohærent, neque vniuntur; ipsius verò diuulsæ partis, quòd non ampliùs vna maneat, sed duæ factæ sint. Quòd si non planè diuulsa sit, sed parte aliquâ *tantùm*, non ampliùs id totius organi morbus est, nisi ex accidenti, quòd pars ipsius affecta sit, sed ipsius duntaxat partis affectæ proprius ac primarius. Porro continui solutio, in osse quidem fractura nominatur, in omnibus verò carnosis partibus communiter vlcus. Ruptura & euulsio, eiusdem sunt generis. Illa quidem in carnosâ; hæc verò in neruosâ parte consistit, diuulsis quæ in ipsis sunt fibris, ab aliquâ violentâ contusione, aut repentinâ & effusâ tensione. Sed quæ auulsiones vocantur, partium organicarum propriæ sunt affectiones. Atque hæ sunt vniuersæ simplicium morborum differentiæ.

A διασπᾶται σύνδεσμος ἢ ἀρτηρία, κοινὸν τὸ πάθημά ἐστι καὶ τοῦ παντὸς ὀργάνου καὶ αὐτοῦ τοῦ διασπασθέντος μορίου. λέλυται γὰρ ἑκάτερον τῆς συνεχείας, τὸ μὲν ὅλον, μηκέτι συναπτομένων αὐτοῦ, μηδ' ἑνουμένων τῶν μορίων, αὐτὸ δὲ τὸ διασπασθὲν, οὐκ ἔτι μένον ἓν, ἀλλὰ δύο γενόμενα. εἰ μέν τοι μὴ διασπασθείη τελέως, ἀλλ' ἐκ μέρους τινὸς, οὐκ ἔτι τοῦτο τοῦ παντὸς ὀργάνου τὸ νόσημά ἐστι, πλὴν εἰ μὴ κατὰ συμβεβηκὸς, ὅτι μόριον αὐτοῦ πέπονθεν, ἀλλ' αὐτοῦ μόνου πεπονθότος ἴδιον ἐξαίρετον. ὀνομάζεται δὲ B κατὰ μὲν ὀστοῦν ἡ τῆς συνεχείας λύσις, κάταγμα· κατὰ δὲ τὰ σαρκώδη πάντα, κοινῶς ἕλκος· τὸ ῥῆγμα καὶ τὸ σπάσμα, τοῦ μὲν αὐτοῦ γένους ἐστί· συνίσταται γὰρ τὸ μὲν ἐν σαρκώδει, τὸ δὲ ἐν νευρώδει μορίῳ, τῶν ἐν αὐτοῖς ἰνῶν διασπασθεισῶν ὑπὸ βιαίας τινὸς θλάσεως, ἢ ἐξαιφνιδίου τε καὶ ἀθρόας τάσεως. τὰ δὲ ἀποσπάσματα καλούμενα, μόνων τῶν ὀργανικῶν ἐστι μορίων ἴδια παθήματα. αὗται μὲν αἱ σύμπασαι διαφοραὶ τῶν ἁπλῶν νοσημάτων.

CAPVT XII.

De compositis partium similarium morbis.

AD compositorum verò morborum differentias iam transire tempestiuum est, à similaribus corporibus ducto rursum exordio. Erit quidem secundum primam suppositionem ex dilatatione & coarctatione meatuum morbus quidam compositus. Non quòd particulatim singuli meatus vtrumque patiatur, sed quòd vicissim corporum alia coarctentur, alia dilatentur; ita vt nihilo magis dilatationem meatuum, quàm coarctationem arguere possis in toto similari corpore; neque aliquam esse sensibilem ipsius partem deprehenderis, cui alterutra duntaxat insideat; sed quæcunque pars corripitur, eam ab vtroque *morbo* semper affici. Ex secundâ verò suppositione qualitatibus solis à naturali statu decedentibus, in vnoquoque similari corpore compositi morbi erunt quatuor, calidus simul & siccus, calidus simul & humidus, frigidus simul & siccus, frigidus simul & humidus. Affluente verò ipsis aliquâ substantiâ, peræquè alii quatuor erunt morbi, qui ipsas quatuor qualitatum coniugationes continent. Quoniam verò & continuitatis diuisio non compositis tantùm organis, verùm etiam simplicibus quoque corporibus inest; implicabitur interdum & hæc nunc enarratis ex vtrâque suppositione compositis morbis, & conscriptis quoque statim ab initio totius operis simplicibus. Nam fieri potest vlceratam esse simul & eo quod secundùm naturam est temperamento sicciorem, vel humidiorem, vel frigidiorem, vel calidiorem esse partem; neque vlceratam simul & humidiorem existere, nequaquam etiam calidiorem esse. Vlceratæ igitur, simulque etiam inflammatæ partes tripliciter à naturali statu decedunt; ob vlcerationem quidē propriarum partium vnitatem destruunt, quòd verò inflāmationem excitent ipsas naturali tēperie & calidiores & humidiores efficiunt: præterea ob tumorem ipsarum, qui quum ad tantam magnitudinem attollitur vt ob id ipsum functionem oblædat, iam morbus existimandus est; aliàs & symptoma & af-

C

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῶν συνθέτων νοσημάτων τῶν ὁμοιομερῶν.

ΕΠΙ δὲ τὰς συνθέτους ἤδη μετιέναι καιρὸς ἀπὸ τῶν ὁμοιομερῶν αὖθις ἀρξαμένους σωμάτων. ἔσται δὴ κατὰ μὲν τὴν προτέραν ὑπόθεσιν ἐξ εὐρύτητός τε καὶ στενώσεως πόρων νόσημά τι σύνθετον οὐχ ἑκάστου τῶν κατὰ μέρος πόρων ἀμφότερα πασχόντων, ἀλλὰ ἐναλλὰξ τῶν μὲν στενουμένων, τῶν δ' εὐρυνομένων σωμάτων. ὡς μηδὲν μᾶλλον εὐρύτητα πόρων, ἢ στένωσιν D ἔχειν αἰτιᾶσθαι κατὰ τὸ σύμπαν ὁμοιομερὲς σῶμα, μηδ' εἶναί τι λαβεῖν αἰσθητὸν αὐτοῦ μέρος, ᾧ θάτερον ὑπάρχει μόνον, ἀλλ' αἰεὶ τὸ λαμβανόμενον ἅπαν ἀπ' ἀμφοτέρων συνέχεσθαι. κατὰ δὲ τὴν δευτέραν ὑπόθεσιν ἐπὶ μὲν ταῖς ποιότησι μόναις ἐξισταμέναις τοῦ κατὰ φύσιν ἐν ἑκάστῳ τῶν ὁμοιομερῶν σωμάτων ἔσται σύνθετα νοσήματα τέτταρα, θερμὸν ἅμα καὶ ξηρὸν, καὶ θερμὸν ἅμα καὶ ὑγρὸν, καὶ ψυχρὸν ἅμα καὶ ξηρὸν, καὶ ψυχρὸν ἅμα καὶ ὑγρόν. οὐσίας δέ τινος ἐπιῤῥυείσης αὐταῖς, ὁμοίως ἕτερα τέτταρα, τὰς αὐτὰς τῶν ποιοτήτων E ἔχοντα συζυγίας. ἐπεὶ δὲ καὶ ἡ τῆς συνεχείας διαίρεσις οὐκ ἐν τοῖς συνθέτοις μόνον ὀργάνοις, ἀλλὰ καὶ ἐν τοῖς ἁπλοῖς ἐγίνετο σώμασιν, ἐπιπλακήσεταί ποτε καὶ ἥδε τοῖς τε νῦν εἰρημένοις συνθέτοις νοσήμασι κατ' ἀμφοτέρας τὰς ὑποθέσεις, καὶ τοῖς εὐθὺς ἐν ἀρχῇ τοῦ παντὸς λόγου γεγραμμένοις τοῖς ἁπλοῖς. οὐ γὰρ ἀδύνατον ἡλκῶσθαί τε ἅμα καὶ ξηρότερον εἶναι τοῦ κατὰ φύσιν, ἢ ὑγρότερον, ἢ ψυχρότερον, ἢ θερμότερον τὸ F μόριον, οὐδ' ἡλκῶσθαι μὲν ἅμα, καὶ ὑγρότερον ὑπάρχειν, οὐχὶ δὲ καὶ θερμότερον εἶναι. τά γ' οὖν ἡλκωμένα τε ἅμα καὶ φλεγμαίνοντα μόρια τριχῇ τοῦ κατὰ φύσιν ἐξίσταται, διὰ μὲν τὴν ἕλκωσιν ἀπολλύντα τὴν ἕνωσιν τῶν οἰκείων μορίων· ὅτι δὲ φλεγμαίνει, θερμότερά τε καὶ ὑγρότερα τοῦ κατὰ φύσιν ἀποτελούμενα. τὸν γὰρ δὴ ὄγκον τὸν ἐν αὐτοῖς, ὅταν μὲν ἐπὶ τοσοῦτον αἴρηται μέγεθος, ὡς βλάπτειν τι δι' αὐτὸ τοῦτο τὴν ἐνέργειαν, ἤδη νόσημα νομιστέον. ἄλλως δὲ σύμπτωμά τε καὶ

πάθημα μόνον, ὥσπερ καὶ τὴν ὀδύνην. ἅπαντα οὖν τὰ φλεγμαίνοντά τε ἅμα καὶ ἡλκωμένα σώματα τριχῆ μὲν ἐξ ἀνάγκης, τετραχῆ δ' ἔστιν ὅτε νοσεῖ. φλεγμονὴν ὀνομαζόντων ἡμῶν δηλονότι νῦν οὐ τὴν οἷον φλόγωσιν τῶν μορίων, ὥσπερ ἦν ἔθος τοῖς παλαιοῖς, ἀλλὰ τὸν ἐρυθρόν τε καὶ ἀντίτυπον καὶ ὀδυνηρὸν ὄγκον. οὕτω δὲ καὶ τοῖς ἐρυσιπέλασι συμπίπτει ποθ' ἕλκη· τοῖς μὲν γὰρ ἄνθραξιν ἀδύνατον ἄλλως συστῆναι. μέσα δὲ τούτων ἐστὶ τὴν φύσιν ἕρπητές τε καὶ καρκῖνοι, τὰ πολλὰ μὲν ἅμα τοῖς ἕλκεσιν, ἔστιν ὅτε δὲ καὶ χωρὶς ἐκείνων συνιστάμενα. σύνθετα γοῦν ἐστὶ τὰ τοιαῦτα πάντα νοσήματα, κἂν χωρὶς ἕλκους γίγνηται· καθ' ἕνα μὲν τρόπον, ὅτι πάντα περιττῆς ὑγρότητος, ἤτοι θερμῆς, ἢ ψυχρᾶς ἐστιν ἔκγονα, χολῆς μὲν ξανθῆς ἐρυσίπελας, μελαίνης δὲ καρκῖνος, αἵματος δὲ φλεγμονὴ, καὶ φλέγματος οἴδημα. καθ' ἕτερον δὲ, ὅτι τῶν εἰρημένων χυμῶν, εἰ καὶ κατὰ τὴν ἰδέαν ὑγροὶ σύμπαντες εἰσὶν, ἀλλὰ τήν γε δύναμιν οὐχ ὑγροί. ὁ μὲν γὰρ τῆς μελαίνης χολῆς ξηρὸς καὶ ψυχρός· ὁ δὲ τῆς ξανθῆς ξηρὸς καὶ θερμός· ὁ δὲ τοῦ φλέγματος ὑγρὸς καὶ ψυχρός· ὑγρὸν δὲ καὶ θερμὸν τὸ αἷμα. κατὰ δὲ αὖ τρίτον τρόπον, ὅτι πάντα ἀλλήλοις ἐπιπλέκεται, καὶ σπάνιον αὐτῶν ἐστιν εὑρεῖν ἕκαστον αὐτῶν εἰλικρινές. ἀναμέμικται γὰρ ὡς τὰ πολλὰ τῶν μὲν φλεγμοναῖς ἢ ἐρυσιπελατῶδες, ἢ οἰδηματῶδες, ἢ σκιρρῶδές τι. τοῖς δ' ἐρυσιπέλασιν, ἢ φλεγμονῶδες, ἢ οἰδηματῶδες, ἢ σκιρρῶδες, καὶ τῶν ἄλλων ὁμοίως ἑκάστῳ. σύνθετα τοίνυν γίγνεται πολυειδῶς ἅπαντα τὰ τοιαῦτα νοσήματα· καὶ ῥηθήσεται περὶ αὐτῶν ἐπὶ πλέον ἔν τε τῷ περὶ τῶν νοσερῶν αἰτίων γράμματι, καὶ ἐν τῷ μετ' αὐτὸ, τῷ τῶν νοσωδῶν συμπτωμάτων, καὶ πρὸς τούτοις ἔτι διὰ τῆς θεραπευτικῆς πραγματείας, ἧσπερ ἕνεκα σύμπαντα ταῦτα [24] γράφεται.

A fectio duntaxat, quemadmodum etiam dolor. Quæcunque igitur & inflammata simul & vlcerata sunt corpora, tribus necessariò, interdum etiam quatuor morbis ægrotare contingit. Nos autem quum inflammationem nominamus, profectò non veluti partium flagrantiam, vt fuit veteribus *loquendi* consuetudo, sed rubentem, & renitentem, & dolentem tumorem. Ita & erysipelatis vlcera nonnunquam accidunt. Carbunculis enim non datur aliter consistere. Inter hos morbos mediam naturam sortiūtur & herpetes, & cancri, qui multoties cum vlceribus, B aliquando etiam sine his consistunt. Omnes igitur huiusmodi morbi, etiā si citra vlcus eueniāt, compositi sunt. Vnâ quidem ratione quòd omnes à superuacaneo humore, vel calido, vel frigido procreentur; à flauâ bile erysipelas; ab atrâ, cancer; à sanguine, phlegmone; à pituitâ, œdema. Alterâ verò, quoniam dicti humores, etsi specie omnes sunt humidi, facultate tamen non humidi. Nam qui atræ bilis est, siccus & frigidus; qui flauæ, siccus & calidus; qui pituitæ, humidus & frigidus; qui sanguinis, calidus & hu- C midus. Tertiâ demum ratione, quòd omnes sibi inuicem implicentur, raróque eorum aliquis sincerus inueniatur. Nam vt plerunque inflammationibus, aut quid erysipelatôdes, aut œdematôdes, aut scirrhôdes commiscetur; erysipelatis verò vel phlegmonôdes, vel œdematôdes, vel scirrhôdes, atque cæterorum similiter cuique. Ergo multis formis compositi fiunt omnes eiusmodi morbi. Atque de ipsis fusiùs in libro de morborum causis disseretur, & in eo qui post ipsum de morborum symptomatis *inscribitur*, prætereáque in methodi medendi opere, D cuius gratiâ hæc omnia conscribuntur.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Περὶ συνθέτων ἐν τοῖς ὀργάνοις νοσημάτων.

Νυνὶ δ' ἐπειδὴ τὸν τρόπον αὐτῶν τῆς ἐπιπλοκῆς εἴπομεν, ἐπὶ τὰ τῶν ὀργάνων ἤδη μετέλθωμεν νοσήματα, δεικνύντες ὅπως καὶ ταῦτα γίγνεται σύνθετα. πρῶτον δ' ἀναμνῆσαι χρὴ τοῦ κατ' ἀρχὰς ῥηθέντος, ὡς ἔστιν ἕτερα μὲν τὰ τῶν πρώτων σωμάτων τῶν ὁμοιομερῶν, ἕτερα δὲ τῶν ὀργανικῶν τε καὶ συνθέτων τὰ νοσήματα. φλεγμονὴ μὲν τῶν πρώτων, ἐξάρθρημα δὲ τῶν ὀργανικῶν. ὅταν οὖν ἐξαρθρήσῃ τε ἅμα καὶ φλεγμήνῃ τι κῶλον, αὐτοῦ μὲν πρώτως ἐστὶ τοῦ σύμπαντος ὀργάνου νόσος ἡ ἐξάρθρησις. ἡ φλεγμονὴ δ' οὐ πρώτως, οὐδ' ἰδίως, ἀλλὰ κατὰ συμβεβηκός. ἐπεὶ γὰρ ἑνὸς ἑκάστου τῶν μορίων αὐτοῦ νόσημά ἐστιν ἡ φλεγμονὴ, κατὰ συμβεβηκὸς ἂν εἴη καὶ τοῦ σύμπαντος ὀργάνου τὸ νόσημα. καὶ μὲν δὴ καὶ ὀφθαλμία φλεγμονὴ μέν ἐστι τοῦ ἐπιπεφυκότος ὑμένος τῷ κερατοειδεῖ, κατὰ συμβεβηκὸς δὲ τοῦ ὀφθαλμοῦ νόσημα. συμβαίνει δέ ποτε τοῦ κερατοειδοῦς χιτῶνος ἕλκος ἔχοντος βαθὺ, κἄπειτα διαβρωθέντος ὅλου, προπεσεῖν μέν τι τοῦ μετ' αὐτὸν τοῦ ῥαγοειδοῦς ὀνομαζομένου, διασπασθῆναι δὲ καὶ τὴν κόρην, καὶ τούτων ἕκαστον τῶν τριῶν, ὀφθαλμοῦ πάθημα νομίζεται. καί τοι τὸ μὲν ἑλκωθῆναί τε καὶ διαβρωθῆναι τοῦ κερατοειδοῦς ἦν μόνου, τὸ δὲ προπεσεῖν, τοῦ ῥαγοειδοῦς, τὸ δὲ διασπασθῆναι, τῆς κόρης. ἀλλ', ὡς εἴρηται, τὰ τῶν ὁμοιομερῶν σωμάτων νοσήματα τοῦ σύμπαντος ὀργάνου κατὰ συμβεβηκός ἐστι. καὶ τοίνυν ἐπειδὰν μὲν ἕν ὁτιοῦν ἐξ αὐτῶν

περὶ ὀφθαλμίας

CAPVT XIII.

De compositis organorum morbis.

Qvandoquidem implicationis ipsorum *simplicium* morborum rationem explicauimus, iam nunc ad organorum morbos transeamus, & quomodo hi fiant compositi, demonstremus. Imprimis rei per initia pronunciatæ meminisse E oportet, alios esse primorum corporum similarium, alios & organicorum & compositorum morbos. Phlegmone quidem primorum est corporum; luxatio verò organicorum. Quum itaque membrū aliquod simul & luxatur, & phlegmone obsidetur, luxatio quidem huius totius organi primò morbus est; phlegmone verò non primò, neque propriè, sed per accidens. Nam quoniam phlegmone vniuscuiusque partium ipsius morbus est, per accidens quoque erit totius organi morbus. Ideóque lippitudo inflammatio est membranæ quæ corneæ adnata est; F per accidens, oculi morbus. Accidit autem nonnunquam vt cornea tunica vlcus altum habeat eâque mox exesâ totâ, aliquid ipsam subsequentis vueæ nominatæ procidere, pupillámque diuelli. Horum trium *affectuum* quisque oculi morbus æstimatur; quanuis vlcus & erosio solius corneæ; procidentia, vueæ; & diuulsio pupillæ sit. Quare, vt dictum est, similarium corporum morbi, totius sunt organi secundum accidens. Itaque quum vnum quodcunque ex iis composito

sito morbo laborauerit, totius organi quoque hic erit ex accidenti morbus *compositus*. Quum autem plures partes *sint affectæ*, sed vnaquæque vno detineatur morbo, sic totius organi morbus erit compositus. Sit (si fors tulerit) in oculo (non enim impossibilis est suppositio) simul pterygiũ, simúlque lippitudo, & erosio corneæ, & vueæ procidentia, etiam aliquod generationis suffusionis initium. Quod non vnus, neque simplex sit morbus, omnibus patet. Quidam etiam compositum oculi morbum vocabit. Alter non vnum compositum, sed multos oculo dicet inesse morbos in diuersis ipsius partibus consistentes. Nihil verò interest ad indicationis remediorum varietatem, cuius gratiâ hæc omnia indagamus, siue vnus fuerit compositus, siue plures pugnantibus remediis indigentes. De his profectò vberiùs in methodi medendi libris disseretur. Ad præsentem nunc sermonem hoc tanti momenti indicasse atque declarasse satis est, probabilem vtrosque fouere sententiam, tum qui multos in oculo esse morbos autumant, tum qui quemadmodum vnum ægrotat organum, sic & vnum esse morbum censent. Compositum verò, quum, vt dictum est, plures partes affectæ sint seorsim. Vt igitur simplicium morborum alius quidem primò totius organi morbus erat, veluti suffusio; alius verò ex accidenti, veluti corneæ vlceratio. Ita compositorum quoque morborum proprii quidem erunt totius organi, qui multas simul partes molestè afficiunt ex accidenti verò morbi compositi qui in vnâ ipsius organi parte consistunt, veluti lippitudo, quæ adnatæ membranæ est inflammatio. Demonstratumsi quidem est, inflammationem cõpositum esse morbum. Si verò vlcus hanc ipsam membranam obsideat, multo etiam magis cõposito morbo pars obsidebitur; sed nihilominus totus ipse oculus cõposito morbo affici prædicabitur. Tales equidem ex accidenti totius organi sunt morbi cõpositi. At quum eodem tempore multæ partes afficiuntur, organorum primò sunt compositi morbi, atque magis si particulatim vnaquæque simplicium non ex accidenti, sed primò totius organi fuerit morbus, vt in oculo pterygium, suffusio, & roias. Nam eorum quique proprius est oculi morbus; & quum simul omnes accidunt, compositum oculi morbum proprium efficiunt. Si quis tali methodo ratiocinetur, omnes omnium organorum compositos morbos inueniet. Mihi verò omnes & persequi & componere superuacaneum videtur. Si quis enim simplices morbos omnes, eorúmque modos compositionis didicerit, dignus erit qui in reliquis particularibus seipsum exerceat. Quare semel tantùm, quæcunque hoc in libro scripta sunt, legere, nullius est vtilitatis, nisi quis plurimum in ipsis sese exercitaturus sit.

νοσῇ σύνθετον νόσημα, τοῦ σύμπαντος ὀργάνου καὶ τοῦτο ἔσται νόσημα κατὰ συμβεβηκός. ἐπειδὰν δὲ πλείω μὲν, ἀλλ' ἕκαστον ἑνὶ κατέχηται νοσήματι, σύνθετον ἂν εἴη οὕτως τὸ νόσημα τοῦ σύμπαντος ὀργάνου. ἔστω γὰρ, εἰ τύχοι, κατὰ τὸν ὀφθαλμὸν, οὐ γὰρ ἀδύνατος ἡ ὑπόθεσις, ἅμα μὲν πτερύγιον, ἅμα δὲ ὀφθαλμία, καὶ διάβρωσις τοῦ κερατοειδοῦς, καὶ πρόπτωσις τοῦ ῥαγοειδοῦς, καί τις ἀρχὴ γενέσεως ὑποχύματος. ὅτι μὲν οὐχ ἓν οὐδ' ἁπλοῦν ἐστι τὸ νόσημα, πρόδηλον παντί. καλέσει δὲ μέν τις αὐτὸ σύνθετον ὀφθαλμοῦ νόσον. ὁ δέ τις οὐδεμίαν σύνθετον, ἀλλὰ πολλὰ νοσήματα ἐρεῖ κατὰ τὸν ὀφθαλμὸν ὑπάρχειν ἐν διαφόροις αὐτοῦ μέρεσι συνεστῶτα. διαφέρει δ' οὐδὲν ὡς πρὸς τὴν τῆς θεραπευτικῆς ἐνδείξεως ποικιλίαν, ἧσπερ ἕνεκα τὰ τοιαῦτα σύμπαντα ζητοῦμεν, εἴτε ἓν εἴη σύνθετον, εἴτε πολλὰ μαχομένης ἰάσεως δεόμενα. ῥηθήσεται δὲ δηλονότι περὶ αὐτῶν ἐπὶ πλέον ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. εἰς δὲ τὸν νῦν ἐνεστῶτα λόγον ἀπόχρη τό γε τοσοῦτον ἐνδείξασθαι καὶ δηλῶσαι τὸ, πιθανῶς ἂν ἑκατέρους δοξάζειν τούς τε πολλὰ νοσήματα κατὰ τὸν ὀφθαλμὸν ὑπάρχειν ὑπολαμβάνοντας, τούς τε καθάπερ ἓν τὸ πάσχον ὄργανον, οὕτω καὶ τὸ νόσημα ἓν εἶναι νομίζοντας. σύνθετον δὲ, ὅταν ὡς εἴρηται πλείονα μόρια πεπόνθῃ κατ' αὐτόν. ὥσπερ οὖν τῶν ἁπλῶν νοσημάτων τὸ μὲν, αὐτοῦ πρώτως ἦν νόσημα τοῦ σύμπαντος ὀργάνου, καθάπερ τὸ ὑπόχυμα, τὸ δὲ κατὰ συμβεβηκὸς, ὡς ἡ τοῦ κερατοειδοῦς ἕλκωσις. οὕτω καὶ τῶν συνθέτων νοσημάτων, ἴδια μὲν ἔσται τοῦ σύμπαντος ὀργάνου τὰ πολλοῖς αὐτοῦ μορίοις ἅμα διοχλοῦντα· κατὰ συμβεβηκὸς δὲ, τὰ καθ' ἕν τι μόριον ἐν αὐτῷ συνιστάμενα νοσήματα σύνθετα, καθάπερ ἡ ὀφθαλμία φλεγμονὴ τοῦ ἐπιπεφυκότος ὑμένος ὑπάρχουσα. σύνθετον γὰρ ἐδείκνυτο πάθος ἡ φλεγμονή. προσγινομένης δὲ ἑλκώσεως κατὰ τὸν αὐτὸν τοῦτον ὑμένα, πολὺ μὲν ἂν οὕτω γε μᾶλλον ἐν συνθέτῳ νοσήματι τὸ μόριον εἴη. λέγοιτο δ' ἂν οὐδὲν ἧττον καὶ αὐτὸς ὁ σύμπας ὀφθαλμὸς ὑπὸ συνθέτου νοσήματος ἔχεσθαι. τὰ μὲν δὴ τοιαῦτα κατὰ συμβεβηκὸς ὅλων τῶν ὀργάνων ἐστὶ νοσήματα σύνθετα. τὰ δὲ ἐκ τοῦ πολλὰ μόρια πεπονθέναι καθ' ἕνα χρόνον αὐτῶν τῶν ὀργάνων ἐστὶ πρώτως νοσήματα σύνθετα, καὶ μᾶλλον εἰ καὶ τῶν κατὰ μέρος ἕκαστον τῶν ἁπλῶν μὴ κατά τι συμβεβηκὸς, ἀλλὰ πρώτως εἴη τοῦ σύμπαντος ὀργάνου νόσημα, καθάπερ ἐν ὀφθαλμῷ πτερύγιον, ὑπόχυμα, ῥοιάς. ἕκαστόν τε γὰρ τούτων ἴδιόν ἐστιν ὀφθαλμοῦ νόσημα, καὶ πάντα ἅμα γιγνόμενα, σύνθετον ὀφθαλμοῦ νόσον ἰδίαν ἐργάζεται. τοιαύτῃ τις ἂν χρώμενος μεθόδῳ, πάντα ἐξευρίσκοι τὰ σύνθετα νοσήματα τῶν ὅλων ὀργάνων. ἐμοὶ δὲ ἐπεξέρχεσθαί τε καὶ συντιθέναι πάντα περιττὸν ἐδόκει. μεμαθηκὼς τις γὰρ τά θ' ἁπλᾶ νοσήματα πάντα, καὶ τὸν τρόπον αὐτῶν τῆς συνθέσεως ἱκανὸς ἂν εἴη γυμνάζειν ἑαυτὸν ἐν τοῖς κατὰ μέρος. ὡς τό γ' ἀναγνῶναι μόνον εἰσάπαξ ὅσα γέγραπται κατὰ τόδε τὸ βιβλίον, οὐδὲν ὄφελος, εἰ μὴ μέλλοι τις ἐν αὐτοῖς ἐπὶ πλεῖστον γυμνάζεσθαι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΝΟΣΗΜΑΣΙΝ ΑΙΤΙΩΝ ΒΙΒΛΙΟΝ.

GALENI DE MORBORVM CAVSIS LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰς νοσημάτων τῶν ὁμοιομερῶν τε καὶ ὀργανικῶν μορίων, καὶ τῶν ἑκατέροις αὐτῶν κοινῶν, ἁπλῶν τε καὶ συνθέτων αἰτίας δηλοῖ.

ARGVMENTVM LIBRI.

Morborum tum partibus similaribus, & organicis insidentium, & vtrisque communium; tum simplicium, & compositorum causas explicat.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὁ τοῦ βιβλίου σκοπὸς, καὶ ὧν νοσημάτων τὰς αἰτίας διαζητεῖν χρή.

ΟΣΑ μὲν ἐστι, καὶ τίνα τὰ σύμπαντα νοσήματα κατ' εἴδη τε καὶ γένη διῃρημένοις, ἁπλᾶ τε καὶ σύνθετα, δι' ἑτέρου δεδήλωται γράμματος. ἑξῆς δ' ἂν εἴη τὰς αἰτίας αὐτῶν ἑκάστου διελθεῖν, ἀπὸ τῶν ἁπλῶν τε καὶ ὁμοιομερῶν ὀνομαζομένων τοῦ ζώου μορίων ἀρξαμένοις. εἶτ' αὖθις ἐπὶ τὰ σύνθετά τε καὶ ὀργανικὰ μεταβάντας. ἐπεὶ τοίνυν ἐδείχθη, κατὰ μὲν τοὺς ἑνοῦσθαί τε καὶ ἠλλοιοῦσθαι τὴν ὑποβεβλημένην οὐσίαν γενέσει καὶ φθορᾷ δοξάζοντας, ἅπασα νόσος ὁμοιομεροῦς τε καὶ ἁπλοῦ πρὸς αἴσθησιν σώματος, ἤτοι δυσκρασία τις ὑπάρχουσα, ἢ τῆς συνεχείας αὐτοῦ τῶν μερῶν διαίρεσις. κατὰ δὲ τοὺς μήθ' ἑνοῦσθαι καὶ κενόν τι παραπεπλέχθαι πάσῃ σώματος συγκρίσει νομίζοντας, ἀμετρία τε πόρων οὖσα, καὶ λύσις τῆς αἰσθητῆς ἑνώσεως. ἀρξώμεθα καὶ νῦν ἐπισκοπεῖσθαι τὰς αἰτίας ἑκάστου τῶν νοσημάτων τῆς πρώτης ὑποθέσεως, ἣν δὴ καὶ ἀληθῆ πεπείσμεθα ὑπάρχειν. ἦν δ', οἶμαι, τέτταρα μὲν ἁπλᾶ, τέτταρα δὲ σύνθετα. ποτὲ μὲν τοῦ θερμοῦ μόνου τὴν αὔξησιν ἄμετρον, ἢ τοῦ ψυχροῦ λαβόντος, ἢ τινος τῶν τῆς ἑτέρας ἀντιθέσεως, τῆς κατὰ τὸ ξηρὸν καὶ ὑγρόν. ἔστιν ὅτε δὲ καὶ κατὰ συζυγίαν τινὰ αὐξηθέντων αὐτῶν, ὡς εἶναι θερμὸν ἅμα καὶ ξηρὸν, ἢ ψυχρὸν καὶ δὲ ξηρὸν, ἢ θερμὸν καὶ ὑγρὸν, ἢ ψυχρὸν καὶ ὑγρὸν τὸ νόσημα.

CAPVT I.

Libri scopus, & quorum morborũ causæ perquirendæ sint.

QVOT, & qui sint omnes morbi, in genera & species diuisi, tum simplices, tum compositi, altero libro declaratum est. Licuerit verò deinceps eorum singulorum causas percurrere à simplicibus & similaribus, quas appellant, animalis partibus ducto exordio, ad compositas, & organicas emigrabimus. Posteaquam igitur demonstratum est (ex eorum sententiâ qui substantiam ortui & interitui obnoxiam in vnum coire alterarique arbitrantur) omnem similaris simplicisque adsensum corporis morbũ, vel intemperiem quandam esse, vel continuitatis ipsius partium diuisionem; ex eorum verò placitis (qui partes non in vnum coalescere, sed vacuum quoddam in omni corporis concretione intextum putant) meatuum incommoderatio, & sensilis vnitatis solutio. Atque nunc exordiamur perpendere causas singulorum morborum prioris sententiæ, quam sanè veram existere credidimus. Erant autem, arbitror, quatuor morbi simplices, & quatuor compositi; interdum calido solo, vel frigido incrementi ametriam consequuto; aut aliorum alterius oppositionis aliquo, & humido & sicco. Accidit quoque nonnunquam ex quâdam ipsorum *immoderatius* auctorum coniugatione, calidum simul & siccum, aut frigidum & siccum, aut calidum & humidum morbum esse.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν τοῦ θερμοῦ νοσήματος, ἢ τῆς θέρμης δυσκρασίας αἰτίων.

ΤΙνες οὖν ἑκάστου εἰρημένων νοσημάτων αἰτίαι τῆς γενέσεως, ἤδη σκοπώμεθα, ἀρχὴν ἀπὸ τοῦ κατὰ θερμασίαν ἄμετρον δυσκράτου νοσήματος ποιησάμενοι. φαίνεται δὴ κἀπὶ τῶν ἄλλων ἁπάντων σωμάτων ὁπόσα θερμότερα γίγνεται σφῶν αὐτῶν, ἢ ἐκ κινήσεώς τινος αὐξανομένου τοῦ θερμοῦ, ἢ ἐκ σηπεδόνος, ἢ ἐξ ὁμιλίας ἑτέρου θερμοτέρου σώματος, ἢ ἐκ στεγνώσεως, ἢ ἐξ ἐπιτηδείου τροφῆς. ἐκ μὲν κινήσεως ἐπί τε τῶν γυμναζομένων ὁπωσοῦν, καὶ τῶν παρατριβομένων ἀλλήλοις λίθων, ἢ ξύλων, καὶ τῆς ῥιπιζομένης φλογός. ἐκ σήψεως δὲ τῶν τε ἄλλων ἁπάντων, καὶ μάλιστα σπερμάτων, ἢ κόπρου. ἐγὼ γοῦν οἶδα καὶ ἀναφθέντα ποτὲ περιστερῶν ἀποπατήματα διασαπέντα, καὶ μὴν δὴ καὶ ὡς ἐκ τῆς τῶν θερμοτέρων ὁμιλίας θερμαίνεται τὰ πλησιάζοντα,

CAPVT II.

De calidi morbi, seu intemperiei calidæ causis.

ITaque, quænam sint procreationis cuiusque prædictorum morborum causæ, iam speculemur, exordio ducto ab intemperie caloris incommoderati morbo. Apparet autem & in aliis omnibus corporibus quæ seipsis calidiora fiunt, aut ex motu quodam aucto calore; aut ex putredine; aut ex alterius calidioris corporis viciniâ; aut ex constipatione aut ex idoneo alimento. Ex motu quidem tum in iis quæ quomodocunque exercitantur, tum in lapidibus aut lignis quum mutuo attritu colliduntur, & flammâ quum ventilatur. Ex putredine verò & aliorum corporũ præsertimque seminum, vel stercorum. Ego siquidem nonnunquam vidi columbarũ fimum putrentem accensum. Cæterùm quòd quoque ex calidiorum corporum viciniâ,

proxima concalescant, cuique patet, qui & balneas, & solem æstiuum, & quancunque flammam in memoriam reuocauerit. Ita quoque si hyeme in amplâ domo ignem accenderis, atque ipsius spiramenta obturaueris, calorem intus accumulaueris. Si verò aperta vndecunque patere deserueris, nihil amplius habueris. Quamobrem & balneæ, & fornaces hâc ipsâ ratione suum intus calorem accumulant. vnde constat quomodo & constipatio nonnunquam caloris vberioris causa sit. Id quoque patet è materiâ; quòd stipulæ quidem aridæ facilè in altum flammam tollant. Ligna autem viridia, & præsertim si plura super ipsam congesseris diu quidem flammam grauant, penéque suffocant, sed demum adaugent. Quo pacto igitur in animalis corpore ea singula perficiuntur? Quum quis immoderatiùs exercitatus in lassitudinem inciderit. Id autem est immoderatum calorem subire tum in articulis, tum musculis, naturali *temperie* vehementiorem. Hæ nanque sunt partes quæ primò mouent. Quod si hîc immoretur calor, isque soluatur, priusquam vniuersum animantis corpus inuaserit, affectus ita procreatus lassitudo duntaxat fuerit. Si verò in vniuersum extensus sit corpus, febris morbus nominatur; quæ vniuersi animalis calor quidam immoderatus est. Sic & ira quæ feruor quidam est caloris cor obsidentis ob motum immoderatum, qui per totum corpus nonnunquam diffusus febrem accendit. Iam & quæ putrescunt in animantis corpore, calorem quendam immoderatum his in partibus, in quibus putrent, efficiunt, quemadmodum erysipelata, herpetes, carbunculi, inflammationes & phygethla: hæc autem vbi simul vniuersum corpus calefecerint, febrem excitant. Quamobrem tertia caloris immoderati causa iam ex his innotescit, quonam modo animalibus oboriatur, & ex iis quæ exustiones appellantur. Nam in bubonibus, & inflammationibus, & erysipelatis, atque omnibus adeo calidis morbis, semper contingens pars atque continua, ipsa quidem primùm calorem excipit, deinceps verò & vicinæ parti impertitur, & hæc rursus sibi proximæ, atque ita ad insiti caloris principium vbi peruenerit intemperies, totum celeriter corpus principii percipit affectum. Diuturnæ quoque moræ in apricis locis, nudorum quidem totam aliquando cutem immoderatè calefaciunt; indutorum verò vestibus solum caput, atque hæc exustio appellatur; sed si per totum corpus diffundatur, ita febris accendetur. Quartum verò causæ genus insitum calorem immoderatè succendentis, in astrictionibus, & frigoribus fieri conspicitur. Nam si quis immoderatiùs riguerit, aut in aquâ aluminosâ, aut cuiusdam huiusmodi alterius facultatis participe natauerit, huic constipabitur densabiturque cutis, & spiramenta intus coercebuntur, hæc autem, si sors tulerit fuliginosa aceruata, febrem procreabũt. Quinta verò species accensi supra modum caloris sunt esculentorum acres & calidæ qualitates, alliorum, porrorum, cæparum, & id genus cæterorum omnium. Etenim & horum vsus immoderatior febrem aliquando concitauit. Enimuero homines calidis potionibus veluti vini veteris & acris imbecillo corpori liberaliùs propinati, & medicamentis acribus, amuletis, & venenis in febres

A πρόδηλον παντὶ βαλανείων ἀναμνησθέντι, καὶ ἡλίου καὶ θερινοῦ καὶ φλογὸς ἁπάσης. οὕτω δὲ καὶ εἰ πῦρ ἀνάψαις χειμῶνος ἐν οἴκῳ μεγάλῳ, στεγνώσας μὲν αὐτοῦ τὰς διαπνοὰς, ἀθροίσαις ἂν ἔνδον τὸ θερμὸν, ἐάσας δὲ ἀνεῷχθαι πανταχόθεν, οὐδὲν ἕξεις πλέον. ἀτὰρ οὖν καὶ τὰ βαλανεῖα, καὶ αἱ κάμινοι τὸν αὐτὸν τοῦτον τρόπον ἀθροίζουσι τὸ θερμὸν ἑαυτῶν ἔνδον. ᾧ δῆλον ὡς καὶ στέγνωσις ποτὲ θερμασίας πλείονος αἰτία. δῆλον δὲ καὶ τὸ ἀπὸ τῆς ὕλης, ὡς κάλαμοι μὲν οἱ ξηροὶ ῥᾳδίως ἐξαίρουσιν ἐπὶ μέγιστον τὴν φλόγα, ξύλα δέ γε χλωρὰ, B καὶ μάλιστα ἢν πλείω σωρεύσῃς ἐπ᾽ αὐτὴν, ἄχρι μὲν πολλοῦ βαρύνει τε καὶ οἷον καταπνίγει τὴν φλόγα, τελευτῶντα δὲ αὐξάνει. πῶς οὖν ἐν τῷ τοῦ ζώου σώματι τούτων ἕκαστον ἀποτελεῖται; γυμνασθεὶς μέν τις ἀμετρότερον ἐκοπώθη. τοῦτο δ᾽ ἐστὶ θερμασίαν ἔχειν ἄμετρον ἐν τοῖς ἄρθροις τε καὶ τοῖς μυσὶ πλείονα τοῦ κατὰ φύσιν. ταῦτα γὰρ ἦν καὶ τὰ πρώτως κινούμενα. καὶ εἰ μὲν ἐνταῦθα καταμείνειεν ἡ θέρμη καὶ φθάσειεν λυθῆναι, πρὶν ἐπινείμασθαι σύμπαν τοῦ ζώου τὸ σῶμα, κόπος ἂν οὕτω γε μόνον εἴη τὸ γεγονός. εἰ δὲ εἰς ἅπαν ἐκταθείη τὸ σῶμα, πυρετὸς ὀνομάζεται τὸ C νόσημα, τοῦ παντὸς ζώου θερμότης τις ἄμετρος οὖσα. οὕτω δὲ καὶ ὁ θυμὸς, ζέσις τις ὢν τοῦ περὶ τὴν καρδίαν θερμοῦ, διὰ κίνησιν ἄμετρον, ὅλον ἐπινειμάμενος ἐνίοτε τὸ σῶμα πυρετὸν ἀνῆψε. καὶ μὲν δὴ καὶ ὅσα σήπεται κατὰ τοῦ ζώου σῶμα, τινὰ μὲν ἐν αὐτοῖς τοῖς μέρεσιν, ἐν οἷς σήπεται, θερμασίαν ἄμετρον ἐργάζεται, καθάπερ ἐρυσιπέλατά τε καὶ ἕρπητες, καὶ ἄνθρακες, καὶ φλεγμοναὶ, καὶ φύγεθλα. τὰ δ᾽ ὅλον τὸ σῶμα συνεκθερμήναντα, πυρετὸν ἤγειρε. καὶ γὰρ οὖν καὶ τὸ τρίτον αἴτιον ἀμέτρου θερμότητος ἔκ τε τούτων ἤδη πρόδηλον, ὅπως ἐπιγίγνεται D τοῖς ζώοις, κἀκ τῶν καλουμένων ἐγκαύσεων. ἐπί τε γὰρ τοῖς βουβῶσι καὶ ταῖς φλεγμοναῖς, καὶ τοῖς ἐρυσιπέλασι, καὶ πᾶσι τοῖς οὕτω θερμοῖς νοσήμασιν ἀεὶ τὸ ψαῦόν τε καὶ συνεχὲς μόριον, αὐτὸ μὲν πρῶτον ἀπολαύει τῆς θερμασίας, ἔπειτα δὲ καὶ τῷ πλησιάζοντι μεταδίδωσι, κἀκεῖνο αὖθις τῷ μεθ᾽ ἑαυτὸ, καὶ οὕτως ἐπὶ τὴν ἀρχὴν τῆς ἐμφύτου θερμασίας ἀφικομένης τῆς δυσκρασίας, ὅλον ἐν τάχει τὸ σῶμα μεταλαμβάνει τοῦ τῆς ἀρχῆς παθήματος. αἱ δ᾽ ἐν τοῖς ἡλιουμένοις χωρίοις δια- E τριβαὶ πολυχρόνιοι, τῶν μὲν γυμνῶν ὅλον ἐκθερμαίνουσιν ἀμέτρως ἐνίοτε τὸ δέρμα, τῶν δ᾽ ἠμφιεσμένων, μόνην τὴν κεφαλήν. καὶ τοῦτ᾽ ἔστιν ἡ ἔγκαυσις. εἰ δ᾽ ἅπαν ἐπινεμηθείη τῷ σῶμα, πυρετὸς ἂν οὕτω γένοιτο. τὸ δὲ τέταρτον γένος τῆς αἰτίας τῆς ἀναπτούσης ἀμέτρως τὴν ἔμφυτον θερμασίαν ἐπί τε ταῖς ψύξεσι καὶ στύψεσιν ὁρᾶται γιγνόμενον. ῥιγώσας γάρ τις ἀμέτρως καὶ νηξάμενος ἐν ὕδατι στυπτηριώδει, ἤ τινος τοιαύτης ἑτέρας μετέχοντι δυνάμεως, ἐστέγνωσέ τε καὶ ἐπύκνωσε τὸ δέρμα, καὶ τὰς διαπνοὰς ἔνδον καθεῖρξεν. αἱ δ᾽ εἰ τύχοιεν οὖσαι καπνώδεις ἀθροισθεῖσαι, F πυρετὸν ἐγέννησαν. τὸ δὲ δὴ πέμπτον εἶδος τῆς ἀναπτομένης ἀμέτρως θερμότητος ἐδεσμάτων εἰσὶ ποιότητες δριμεῖαι καὶ θερμαὶ σκορόδων τε καὶ πράσων καὶ κρομμύων, καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ γὰρ οὖν καὶ ἡ τούτων χρῆσις ἀμετροτέρα γιγνομένη πυρετὸν ἤγειρεν ἐνίοτε. καὶ μὲν δὴ καὶ πομάτων θερμῶν, οἷον οἴνου τε παλαιοῦ καὶ δριμέος προσενεχθέντος πλείονος ἀσθενεῖ σώματι, καὶ φαρμάκων δριμέων ἀλεξιτηρίων τε καὶ δηλητηρίων, ἐπύρεξαν

ἀνθρώπῳ. τί οὖν δή, φασιν, οὐ διὰ πάντως ἐφ' ἑκά-
στῃ τῶν εἰρημένων αἰτιῶν ἀνάπτεται πυρετός; ὅτι καὶ
τὸ ποσὸν τῆς δρώσης αἰτίας ἄνισόν ἐστι, καὶ ἡ συστᾶσα διά-
θεσις ἀπ' αὐτῆς ἐν τῷ σώματι, παμπόλλην ἐν τῷ
μᾶλλόν τε καὶ ἧττον ἔχει τὴν διαφοράν· αὐτό τε τὸ σύμ-
παν τοῦ ζώου σῶμα πάμπολυ διενήνοχεν ἕτερον ἑτέ-
ρου πρὸς τὸ ῥᾳδίως, ἢ μόγις ἐξίστασθαι τοῦ κατὰ φύ-
σιν. ὡς οὖν οὐκ ἀπορεῖς διὰ τί πᾶσα κίνησις οὐκ ἐρ-
γάζεται κόπον, ἀλλ' ἐναργές ἐστί σοι τό γε τοσοῦτον, ὡς
εἰ μὴ πλείων εἴη καὶ ἰσχυροτέρα τῆς τῶν ἄρθρων τε καὶ
μυῶν φύσεως, οὐκ ἄν ποτε κοπώσειεν αὐτά· κατὰ τὸν αὐ-
τὸν ἐχρῆν σε τρόπον ἐννοεῖν, ὡς οὐδ' ἡ κοπώδης αὕτη διά-
θεσις εἰ μὴ μέγεθός τε καὶ χρόνον ἀξιόλογον σχοίη, οὐκ
ἂν τὸ πᾶν ἑαυτῇ σῶμα συγκακῶσαι δυνήσεται. ἢ κίνησις
μὲν ὀλίγη κόπον οὐχ οἵα τέ ἐστιν ἐργάζεσθαι, μικρὸς δὲ
κόπος ἀνάψει πάντως πυρετόν; ἢ κίνησις μὲν ἐν τῷ
πρός τι τὸ δρᾶν ἕξει, κόπος δ' οὐχ ἕξει; καὶ μὲν ὅτι γε
τὰ μὲν τῶν ἀθλητῶν σώματα πολυχρονίους τε ἅμα καὶ
σφοδροτάτας ἀνέχεται κινήσεις ἄνευ τοῦ κοπωθῆναι, τὰ
δ' ἡμῶν τῶν ἰδιωτῶν εἰ πλείω βραχὺ παρὰ τὰ καθεστῶ-
τα πονήσαιμεν εὐθὺς ἀγανακτεῖ, πάντες ἤδη τοῦτό γε
καὶ οἱ σκαιότατοι γινώσκουσιν. οὐκοῦν θαυμαστὸν οὐδέν, εἰ
κοπωθείς τις οὐδ' ὅλως ἐπύρεξεν. ἢ γὰρ μικρὸς ὁ κόπος,
ἢ ὀλιγοχρόνιος, ἢ τῆς τοῦ σώματος ἰσχύος ἥττων ἐγένετο.
ἢ τὸ μὲν γυμνάσιον εἰ βραχυχρόνιον εἴη, καὶ μὴ σφο-
δρόν, καὶ τῆς τοῦ γυμναζομένου φύσεως ἀσθενέστερον, οὐκ
ἄν ποτε κόπον ἐργάσηται. κόπος δ' ἀνάψει πυρετόν, κἂν
βραχύς, κἂν ὀλιγοχρόνιος ᾖ, κἂν τῆς τοῦ πάσχοντος σώ-
ματος ἰσχύος ἀσθενέστερος. ἀλλὰ τοῦτό γε κἀπὶ τοῦ πάν-
των δραστικωτάτου πυρὸς ἰδεῖν ἐστιν, ὡς οὔτε τοὺς κατε-
ψυγμένους ἐκθερμαίνει χωρὶς χρόνου καὶ ῥώμης. ἥκοντες
γὰρ ἐκ κρύους ἐνίοτε διὰ μεγίστης φλογὸς τὰς χεῖρας
διαφέρομεν ἀλύπως. οὔτε μὴν πᾶσαν ὕλην ἑτοίμως
ἐξάπτει. κάλαμοι μὲν γὰρ οἱ ξηροὶ κατὰ τὴν πρώτην εὐ-
θὺς ὁμιλίαν ἀνάπτονται. ξύλα δ' ὑγρὰ καὶ χλωρὰ χρό-
νου τε δεῖται μακροῦ, καὶ φλογὸς ἰσχυρᾶς, ἵν' ἐξαφθῇ.
πῶς οὖν ἐπὶ τοῦ πυρὸς οὐδὲν τούτων θαυμάζων ἐπὶ τοῦ κό-
που θαυμάζεις, εἰ καὶ μεγέθους δεῖται καὶ χρόνου, καὶ τοῦ σώ-
ματος ἐπιτηδείως ἔχοντος ἐξάπτεσθαι; ἄμεινον δὲ ἦν
σε μὴ τοῦτο θαυμάζειν, ἀλλ' ἐπισκέψασθαι ποῖον ζώου
σῶμα ῥᾳδίως ἐκθερμαίνεσθαι πέφυκε, καὶ ποῖον δυσχε-
ρῶς. ἀλλὰ τοῦτο μὲν ἐφεξῆς ἀκούσῃ. ἐν δέ γε τῷ πα-
ρόντι μηδὲν εἶναί σοι φαινέσθω θαυμαστόν, εἰ καὶ χρόνου δεῖ-
ται καὶ μεγέθους τὸ μέλλον ποιήσειν ὁποσοῦν, καὶ προσέτι
τοῦ πλησιάζοντος ἐπιτηδείου παθεῖν. οὐδὲ γὰρ τὸ πῦρ οἷόν τε
ἐστὶ χωρὶς τούτων καίειν, οὐδὲ τὸ ξίφος τέμνειν, οὐδ'
ἄλλο τι τῶν δραστικωτάτων οὐδέν, οὔτ' εἰς ἰσχυρότερον
ἑαυτοῦ δρᾶν πέφυκεν, οὐδ' ἄνευ χρόνου τινὸς ἀξιολόγου.
τῆς μὲν οὖν λυχναίας φλογὸς, οὐκ ἂν ἀθρόως οὐδὲ
τοὔλαιον καταχέῃς. μή τοί γε δὴ τὸ ὕδωρ, καὶ τῷ ξίφει τέ-
μνειν, οὐκ ἂν οὐδὲ τοὺς λίθους ἐπιχειρήσαις, μὴ ὅτι γε
ἀδάμαντα. κόπον δὲ, καὶ θάλψιν, καὶ ψῦξιν, καὶ τὰ ἄλλα τὰ
τοιαῦτα πυρετὸν ἀξιώσεις ἀνάπτειν ἀεί, κἂν μικρόν, κἂν
ὀλιγοχρόνιον, κἂν ἀνεπιτήδειον ἔχῃ τὸ σύμπαν σῶμα
πρὸς τὸ θερμαίνεσθαι, ἢ οὔ; τὸ μὲν γὰρ ἤδη θερμὸν
ἑτοιμότερον καταθερμαίνεσθαι, καθάπερ οὖν τὸ ψυχρὸν

A inciderunt. Cur igitur, inquiunt, non semper ob quancunque dictarum causarum febris succenditur. Tum quòd causæ efficientis impar sit quantitas; tum quod affectus, quem ipsa intulit corpori, magnam in maioris minorisque ratione suscipiat differentiam; præterea animantium corpora plurimùm alterum ab altero differunt, vt facilè, aut ægrè ab eo qui secundum naturam est affectu decedant. Quemadmodum igitur minimè ambigis, cur non omnis motus lassitudinem efficiat, sed planè tibi dilucidum est, nisi iis B tum articulorum, tum musculorum natura maior ac potentior fuerit, nunquam ipsos in lassitudinem procidere. Eâdem ratione tibi animaduertendum est, affectum qui inducit lassitudinem, nisi effatu dignam tum magnitudinem, tum moram habuerit, vniuersum corpus vitiare non posse. An exiguus motus lassitudinem moliri non potest; exigua verò lassitudo omnino febrem accendet? aut motus efficiendi facultatem in relatione ad aliquid habebit, lassitudo non habebit? Quod quidem athletarum corpora diuturnos simulque vehementissimos mo-C tus citra lassitudinem ferant, nos verò priuatos, si paulò vehementiùs præter consuetudinem laborauerimus, quamprimùm conqueri, omnes id etiam maximè imperiti ac rudes agnoscunt. Proinde nihil mirum, si quis lassitudine correptus haudquaquam febricitauerit. Aut enim leuis fuit labor, aut angustioris temporis, aut corporis viribus inferior; aut si exercitatio breuis fuerit, & remissa, atque imbecillior quàm pro exercitati naturâ, non vtique lassitudinem efficiet. [a] *Lassitudo verò febrem accendet, etiamsi breuis, & exigui temporis, & affecti corporis robore le-*D *uior sit.* Id verò etiam in igne omnium efficacissimo videre est, quòd refrigeratos citra tempus & robur non calefaciat: redeuntes enim è frigore nonnunquam per maximam flammam manus citra molestiam ducimus; neque quancunque materiam ilico accendit. Nam aridæ stipulæ primo statim occursu accenduntur, ligna autem humida viridiáque vt accendantur, longo tempore, vehementique flamma indigent. Quomodo igitur nihil horum in igne admiratus, in lassitudine admiraris, etsi magnitudine indiget, & tempore, & corpore quod facilè queat ac-E cendi? Verùm satius fuerit te non id mirari, sed intueri quod animalis corpus naturâ facilè, quódque difficilè calefieri possit. Sed id postea audieris; in præsentiâ autem nihil mirabile tibi videatur, si quod effecturum est quodlibet, id & tempus, & magnitudinem postulet, præteréaque vt sit ei proximum, quod ad patiendum est. Neque enim ignis, si hæc desint, accendere, neque gladius secare, neque aliud quicquam efficacissimum aliquid agere potest in id quod ipso validius sit, nisi suppetat tempus notatu dignum. Neque enim lucernæ F flammam confertim perfundes oleo, nedum aquâ, & gladio lapides incidere nequaquam tentaueris, nedum adamantem. Laborem autem, calorem, frigus, & id genus cætera semper febrem accendere putabis, quanuis exigua fuerint, quanuis pauco immorentur tempore, quanuis etiam vniuersum corpus ad calorem suscipiendum sit, aut minimè sit idoneum? Quod enim iam calidũ est, id vt immoderatius incalescat, paratius est, quemadmodũ & quod frigidum, quo

quo plus satis refrigeretur. Quod verò è contrario se habet, ineptum est. Itaque ita stupida & rudis est talia scrutantium controuersia. Qui verò nihil dubitant, sed promptè, proteruéque enunciant nihil prædictorum febrem excitare, eorum aut stupiditatis misereri oportet, aut contentionem odisse. Ergo solutæ sunt eorum captiones altero volumine quod de euidentibus causis seorsum scriptum est. Neque nunc errores refellere tempus est, sed vera docere propositum. Rursus igitur ad propositum redeamus. Erat autem, arbitror, propositum singulorum simplicium morborum antecedentes causas adusque euidentes explicare. Non enim absurdum est eos qui dilucidioris doctrinæ gratiâ hæc vocabula distinxerint, imitari. Eas igitur quæ in animali ipso consistunt, siue affectus sint, siue motiones præter naturam, causas nominant morborum antecedentes; quæ verò extrinsecus accidunt, si vehementer alterent, immutentque corpus, eas euidentes & externas appellitant.

A ὑπερψυχθῆναι. τὸ δ' ἐναντίως ἔχον, ἀνεπιτήδειον. οὕτω μὲν οὖν ἀναίσθητός τε καὶ ἀμαθὴς ἡ τῶν τοιαῦτα ζητούντων ἀπορία. τοὺς δὲ μηδὲν ἀπορήσαντας, ἀλλ' ἀποφαινομένους ἑτοίμως τε, καὶ προπετῶς ὑπὸ μηδενὸς τῶν εἰρημένων μηδέποτε γίγνεσθαι πυρετὸν, ἢ τῆς ἀναισθησίας ἐλεεῖσθαι προσῆκεν, ἢ τῆς φιλονεικίας μισεῖσθαι. λέλυται μὲν οὖν καὶ τὰ τούτων σοφίσματα δι' ἑτέρου γράμματος ὑπὲρ τῶν προκαταρκτικῶν αἰτίων ἰδίᾳ γεγραμμένου. καὶ νῦν οὐκ ἀντιλέγειν τοῖς ἡμαρτημένοις καιρὸς, ἀλλὰ τἀληθῆ διδάσκειν πρόκειται. πάλιν οὖν ἐπανελθόντες ἐχώμεθα τῶν προκειμένων. ἦν δ', οἶμαι, προκείμενον ἑκάστου τῶν ἁπλῶν νοσημάτων εἰπεῖν τὰς προηγουμένας αἰτίας, ἄχρι καὶ τῶν προκαταρκτικῶν. οὐδὲν γὰρ χεῖρον τοῖς οὕτω διαστειλαμένοις τὰς προσηγορίας, τῆς σαφηνείας ἕνεκα ἀκολουθῆσαι. τὰς μὲν δὴ κατ' αὐτὸ τὸ ζῶον, εἴτ' οὖν διαθέσεις εἴτε καὶ κινήσεις παρὰ φύσιν, αἰτίας ὀνομάζουσι προηγουμένας νοσημάτων, τὰ δὲ ἔξωθεν προσπίπτοντα καὶ ἀλλοιοῦντα καὶ μεταβάλλοντα μεγάλως τὸ σῶμα, προκατάρχοντά τε καὶ προκαταρκτικὰ καλοῦσιν αἴτια.

CAPVT III.

De frigidi morbi, vel intemperiei frigidæ causis.

Causas equidem calidi morbi in vniuersum diximus; iam ad frigidum transeamus. Sunt autem & huius plures numero causæ, veluti refrigerantium vicinia; esculentorum, & poculentorum tum quantitas, tum qualitas; constipatio, & raritas; præterea & otium; & motus immodicus. Enimuero hæ causæ ipsum quoque ignem extingunt. Nam si exiguæ prunæ copiosam niuem, aut glaciem admoueris, aut frigidam aquam infuderis, ilico extingues. Ita si ambiens aër summè frigidus fuerit, qualis potissimum apud Istrum hyeme, non solùm lucernam sub dio positam, sed & omnem alium exiguum ignem videbis extingui. Sic ignis à rerum præfrigidarum viciniâ superatur. Quibus autem ipsum alendi facultas data est, eorum exuperantiâ, aut penuriâ, aut alienâ qualitate vtique iacturam subit. Si nanque ligna confertim & multa supra exiguam flammam congesseris, ipsam immoderatæ quantitatis exuperantiâ suffocabis; At si nulla prorsus aut pauca admodum suppeditaueris ob alimenti penuriam, aut paucitatem marcescere conspicies. Sic lucernæ flammam & comminui, & in extinctionis periculo versari cernimus proprii nutrimenti incõmoderatione. Siue enim oleũ minimè copiosum adhibeas, siue affatim plurimum infundas, vtroque modo lædes. At si vberem ipsi materiam adhibueris, sed vel quæ suâ naturâ accendi prorsus non possit, vel magno cum labore, ipsam etiam flammam minorẽ actutum efficies; quemadmodum si oleum aquæ commixtum in ignem effundas. Quin etiam si aërem, qui flammam ambit, coercueris, ac immoderatè rarefeceris, flammam eâdem ratione quamprimum minorem fieri, ac extinctionem periclitari conspicies. Coercetur quidem si medicam cucurbitulã, aut vaporarium, aut quid eiusmodi aliud obduxeris; ita quoque si fornacum foramina obturaueris. Quòd si in aprico loco, sole sub ardenti & æstiuo flammam posueris, aut alteri maiori apposueris, tunc quoq; imbecilliorem flammam tabescere

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν τοῦ ψυχροῦ νοσήματος, ἢ τῆς δυσκρασίας ψυχρᾶς αἰτίας.

Τοῦ μὲν δὴ θερμοῦ νοσήματος ἐν τῷ καθόλου τὰς αἰτίας εἴπομεν, ἐπὶ δὲ τὸ ψυχρὸν ἤδη μεταβαίνομεν. εἰσὶ δὲ καὶ αἱ τοῦδε πλείους τὸν ἀριθμὸν αἰτίαι, οἷον ὁμιλία τῶν ψυχόντων, καὶ τῶν ἐσθιομένων καὶ πινομένων, τό τε ποσὸν, καὶ τὸ ποιὸν, καὶ στέγνωσίς τε καὶ μάνωσις, καὶ πρὸς τούτοις ἀργία τε καὶ κίνησις ἄμετρος. αὗται γὰρ οὖν δὴ καὶ αὐτὸ τὸ πῦρ σβεννύουσιν αἱ προφάσεις. ἄνθρακι μὲν γὰρ σμικρῷ χιόνα πολλὴν, ἢ κρύσταλλον ἐπιθεὶς, ἢ ὕδωρ ψυχρὸν ἐπιχέας, σβέσεις παραχρῆμα. κἂν εἰ τὸ περιέχον εἴη ἄκρως ψυχρὸν, οἷον μάλιστα περὶ τὸν Ἴστρον χειμῶνος, οὐ μόνον λύχνον ὑπαίθριον ὄψει σβεννύμενον εὐθὺς, ἀλλὰ καὶ πᾶν ἄλλο ὀλίγον πῦρ. οὕτω μὲν ὑπὸ τῆς ἄγαν ψυχρῶν ὁμιλίας νικᾶται τὸ πῦρ. ὑπὸ δὲ τῆς τῶν τρέφειν αὐτὸ φύσιν ἐχόντων ὑπερβολῆς, ἢ ἐνδείας, εἰ μὴ προσηκούσης ποιότητος ὡσαύτως βλάπτεται. ξύλα μὲν ἀθρόα καὶ πολλὰ σωρεύσας ἐπὶ σμικρᾶς φλογὸς ἀποπνίξεις αὐτὴν ὑπερβολῇ ποσότητος ἀμέτρου. μὴ παρέχων δὲ ὅλως ἢ πάντα πᾶσιν ὀλίγα, μαραινομένην ὄψει δι' ἔνδειαν, ἢ ὀλιγότητα τροφῆς. οὕτω δέ που καὶ τὴν λυχνιαίαν φλόγα θεώμεθα μειουμένην τε καὶ κινδυνεύουσαν σβεσθῆναι ταῖς ἀμετρίαις τῆς οἰκείας τροφῆς. εἴτε γὰρ μὴ παρέχῃς αὐτῇ τοὔλαιον δαψιλὲς, εἴτε ἀθρόως καταχέοις, πάμπολυ λυπήσεις ἑκατέρως. εἰ δὲ καὶ παρέχοις μὲν ἄφθονον αὐτῇ τὴν ὕλην, ἀλλ' ἤτοι μηδ' ὅλως καίεσθαι πεφυκυῖαν, ἢ σὺν πολλῷ καμάτῳ, καὶ ταύτην εὐθέως ἐλάττονα ποιήσεις τὴν φλόγα, καθάπερ εἰ καὶ τοὔλαιον ἀναμίξας ὕδατι καταχέεις τοῦ πυρός. καὶ μὲν δὴ καὶ στεγνώσας τὸ περιέχον τὴν φλόγα, καὶ μανώσας ἀμέτρως, ὄψει καὶ οὕτως ἐλάττονά τε γιγνομένην ἐν τάχει καὶ κινδυνεύουσαν σβεσθῆναι. στεγνοῦται μὲν οὖν εἰ σικύαν ἰατρικὴν, ἢ πνιγέα περιθείης, ἢ τι τοιοῦτον ἕτερον. οὕτω δὲ καὶ τῶν καμίνων εἰ τὰς ὀπὰς ἐμφράξειας. εἰ δὲ ἐν ἡλίῳ πολλῷ καὶ θερμῷ καὶ προσηλίῳ χωρίῳ καταθείης, ἢ μείζονα παραθείης ἑτέραν φλόγα, θεάσῃ καὶ τότε τὴν ἐλάττω

μαραινομένην ἐκ τοῦ μανοῦσθαί τε καὶ διαφορεῖσθαι σφοδρῶς ὑπὸ τῆς ἔξωθεν φλογὸς ἰσχυροτέρας ὑπαρχούσης. ὅτι δὲ καὶ ῥιπίζων αὐτὴν, ὅπερ ἐστὶ κινῶν, αὐξήσεις μὲν, εἰ μεμετρημένως αὐτὸ ποιήσεις, ἀμέτρως δὲ ῥιπίσας διαλύσεις τε καὶ σκεδάσεις, οὐδὲ τοῦτο ἄδηλον. οὕτω γοῦν καὶ οἱ ἄνεμοι κατὰ τὸ μέγεθος ἀεὶ τῆς φλογὸς ἐθέλουσιν ὑπάρχειν, εἴ γε μέλλοιεν ὀνήσειν αὐτήν. οἱ δὲ μείζους ἢ κατ᾽ ἐκείνην, σκεδαννύουσιν οὐ ῥιπίζουσιν. κἀν τῷδε δῆλον ὡς δεῖται μὲν τῆς ἐπικτήτου κινήσεως ἡ φλὸξ πρὸς αὔξησιν, οὐ μὴν ἀμέτρου γε ταύτης. ἀρρωστεῖ μὲν γὰρ οὐδ᾽ ὅλως ῥιπιζομένη, σκεδάννυται δὲ καὶ διαφθείρεται πρὸς τῆς ἔξωθεν κινήσεως ἀμέτρως ἐπιπιπτούσης. κατὰ μὲν δὴ τὸ πρῶτον εἶδος τῆς αἰτίας, ὑπὸ παντὸς τοῦ προσπίπτοντος ἔξωθεν ψυχροῦ, τοῦ μὲν κατὰ τὴν θίξιν μόνον, τοῦ δὲ κατὰ τὴν δύναμιν ἔσται τι νόσημα ψυχρόν. οὕτως ἐν ὕδατι ψυχρῷ νηξάμενός τις ἐβλάβη, καὶ κακῶς λουσάμενος, καὶ διὰ κρύους ὁδοιπορήσας. ἐνίους δὲ καὶ ἀποθανόντας οἶδα πρὶν οἴκαδε παραγενέσθαι. κατὰ δὲ τὸ δεύτερον, ἢ ἀπόπληκτος, ἢ ἐπίληπτος, ἢ κίνησιν, ἢ αἴσθησιν βεβλαμμένος, ἤ πως ἄλλως κατεψυγμένος ἐξ οἰνοφλυγίας τις ἐγένετο. καί τοί γε αὔξει τὴν ἔμφυτον θερμασίαν ὁ σύμμετρος οἶνος, ὡς ἂν οἰκειοτάτη τροφή. καὶ μὲν δὴ καὶ ἡ τῶν χρηστοτάτων τε καὶ τροφιμωτάτων τῷ ζώῳ σιτίων ἄμετρος προσφορὰ, νοσημάτων ψυχρῶν αἰτία γίγνεται. ὅσα δὲ ψυχρότερα φύσει τῶν ἐσθιομένων ἢ πινομένων, καὶ ταῦτα ψυχρῶν νοσημάτων αἴτια. τῶν τοιούτων δέ ἐστι καὶ μήκων καὶ μανδραγόρα καὶ ὑοσκύαμος καὶ κώνειον, ἃ δὴ καὶ κτείνει τῷ σφοδρῷ τῆς ψύξεως. ἡ δέ γε στέγνωσις ἡ ἐσχάτη, τρίτον γὰρ δὴ τοῦτο νοσημάτων ψυχρῶν αἴτιον ἐτιθέμεθα, κάρους τε καὶ κώματα καὶ ἀποπληξίας ἐργάζεται, καὶ τοῦτ᾽ ἔστι τὸ πρὸς Ἱπποκράτους λεγόμενον, ὡς τῷ ἐξαίφνης ἄφωνον γίγνεσθαι, φλεβῶν ἀπολήψιες τὸ σῶμα λυπέουσιν. ὀνομάζει μὲν γὰρ ὁμοίως τοῖς ἄλλοις παλαιοῖς τὰ δύο γένη τῶν ἐναίμων ἀγγείων, φλέβας, οὐχ ὥσπερ οἱ νεώτεροι τὸ ἕτερον μόνον, τὸ μὴ σφύζον. ἐπειδὰν δὲ ἀποληφθῶσιν αἱ κατὰ τὸ ζῶον ἀρτηρίαι, τουτέστιν οὕτω πληρωθῶσιν αἵματος, ὡς μηδεμίαν ἔτι κενὴν ἀπολείπεσθαι χώραν ἐν αὐταῖς, εἰς ἣν ἐν τῷ διαστέλλεσθαι τὸν ἔξωθεν ἀέρα ἐπισπᾶν δυνήσονται, καταπνίγεται μὲν ἐν τῷδε καὶ σβέννυται τὸ ἔμφυτον θερμόν· ἀκίνητοι δὲ καὶ ἀναίσθητοι διὰ ταχέων οἱ οὕτω παθόντες ὅλῳ τῷ σώματι γίγνονται. δέδεικται γὰρ οὖν καὶ τοῦθ᾽ ἡμῖν ἐν μὲν τῷ περὶ χρείας σφυγμῶν, ὡς ὑπὲρ τοῦ φυλάττεσθαι σύμμετρον ἐν ἅπασι τοῖς μέρεσι τοῦ ζώου τὸ κατὰ φύσιν θερμὸν, αἱ ἀρτηρίαι σφύζουσιν· ἐν δὲ τῷ περὶ χρείας ἀναπνοῆς, ὅτι καὶ ἥδε τὴν ἐν τῇ καρδίᾳ θερμότητα φυλάττει σύμμετρον. ὥσπερ οὖν εἰ τὰς ἐκτὸς ταύτας φλόγας ἀποστερήσαις τῆς πρὸς τὸ περιέχον κοινωνίας, ἢ πνιγέα περιθεὶς αὐταῖς, ἢ σικύαν, ἤ τι τοιοῦτον ἄλλο, διαφθερεῖς παραχρῆμα· κατὰ τὸν αὐτὸν τρόπον, εἰ καὶ τὴν ἐν τοῖς ζώοις θερμότητα καθείρξαις τε καὶ κατακλείσαις, ὡς μηδαμῆ κοινωνεῖν τῷ πέριξ ἀέρι, διαφθερεῖς ἐν τάχει. ἡ μὲν οὖν ἐν τῇ καρδίᾳ θερμασία διὰ τοῦ τῆς φάρυγγος πόρου κοινωνεῖ τῷ περιέχοντι, καὶ εἰ τοῦτον στεγνώσαις, καταπνίξεις τε αὐτὴν αὐτίκα, καὶ διαφθερεῖς τὸ ζῶον. ἡ δ᾽ ἐν ταῖς καθ᾽ ὅλον τὸν ὄγκον τοῦ σώματος ἀρτηρίαις θερμασία διά τε τῆς καρδίας

A intueberis, quòd hæc ab exteriore flammâ potentiore extenuetur vehementérq; discutiatur. Neque verò id abditum quum flămam ventilaueris, hoc est, cõmoueris, te ipsam aucturũ quidem, si cõmoderatè id effeceris; si verò incommoderatè vẽtilaueris, dissoluturũ ac dissipaturũ. Itaque hâc ratione ventos magnitudini flammæ semper respondere oportet, siquod emolumentum ipsi allaturi sint; maiores autem quàm illa postulet, dispergunt, non ventilant. Hinc patet flammam ad sui incrementum motu egere aduentitio, non tamen immoderato. Nam B quæ prorsus non ventilatur, languescit; quæ verò ab externo motu immoderatiùs irruente *agitatur*, dissipatur ac discutitur. Secundum igitur primam causæ speciem à quocunque frigido extrinsecus irruente, partim contactu tantùm, partim potentiâ frigidus morbus oborietur. Ita quidam in frigidâ natantes aquâ, tum malè loti, tum per gelida loca obambulantes læsionem subierunt. Nonnullos etiam vidi, priusquam domum redirent, peremptos fuisse. Ob secundam verò causam nonnulli apoplectici, aut epileptici facti, aut in motu sensuue læsi, aut alio C quodam pacto, refrigerati sunt ob ebrietatem; quanquam vinum moderatum, vt quod maximè familiare sit alimentum, natiuum calorem adaugeat. Eodem quoque modo & optimorum & eorum qui copiosum animanti nutrimentum præbent ciborum immoderatus vsus, morborum frigidorum causa est. Præterea quęcunque eduntur ac bibuntur naturâ frigidiora, ea quoque morborum frigidorum causæ sunt. Cuiusmodi sunt papauer, mandragora, hyoscyamus, cicuta quæ sanè vehementi frigore etiam eneD cant. Extrema denique constipatio (hanc enim tertiam morborum frigidorum causam statuimus) & sopores, & veternos, & apoplexias efficit. Atque id est quod ab Hippocrate enunciatur; Quod quis de repente obmutuerit, *venarum interceptiones corpori vim inferunt.* Nam *is* cum cæteris antiquis duo, quibus continetur sanguis, vasorum genera venas nominat, non quemadmodum iuniores, alterum duntaxat quod non pulsat. Quum autem interceptæ fuerint animalis arteriæ, hoc est, ita oppletæ sanguiE ne, vt nullus ampliùs in ipsis vacuus relinquatur locus, in quem dum per diastolen attolluntur, aërem externum attrahere possint, tunc suffocatur, atque extinguitur calor innatus; & qui ita affecti sunt, citò sensum motúmque totius corporis amittunt. Demonstratum etenim à nobis est in libro de pulsuum vsu, ob eum finem arterias pulsare, vt calor secundum naturam in omnibus animalis partibus commoderatus seruetur. In libro autem de respirationis vsu ipsum quoque commoderatum cordis calorem tueri. Quemadmodum igitur si externas flammas ab F ambientis aëris consortio defraudes obductione furnuli, vel curcurbitulæ, vel cuiusdam alius rei similis, statim extinxeris. Eodem modo si etiam animalibus calorem cohibueris, atque ita intercluseris, vt nullam cum aëre circumfuso habeat communicationem, statim ipsum perimes. Calor igitur cordis per fauciũ meatum aëri ambienti cõmunicat; quod si hunc interceperis, quamprimum præfocabis ipsum, atque animal enecabis. At calor qui per totam corporis molem in arteriis continetur, tum per cor ipsum, quatenus

quatenus faucibus communicat, tum per vniuersam cutem, in ambientem *nos aërem* respirat; ventilatur quidem in diastolis, in systolis verò quod fuliginosum est refundit; quibus vtrisque naturalis sui ipsius symmetria cõseruatur. Enimuero constipatis arteriis, aut (vt paulò antè diximus) à sanguinis plenitudine, aut à quibusdam obstructionibus in earum osculis obortis, vt nequaquam transpirent, calorem extingui necesse est, atque ita corpus affectum emori. Quòd si modica fuerit constipatio, non etiãnum necessariò eiusmodi affectus calorem innatum obsidebit. At si in animalis corpore veluti fuliginosa quædam ac fumida excrementa tunc constiterint, alius erit natiui caloris affectus; alius verò, si solùm vapor quidam suauis atque optimus exhalarit. Atque horum vtrunque bifariàm hoc modo discrepat. Quum enim sanguis planè optimus in corpore fuerit, nullo prauo excremento turbatus, vapor ex eo incalescente optimus exurgit, qui nihil aut igneum, aut acre secum inuehat. Tale quidem corpus quum modicè constipatum est, breui aut plethoricum, aut præter naturam calidius reddetur. Plethoricum quidẽ in iis qui lautè citra laborem viuunt, quum intus ea permaneant quæ per exercitationem excerni oportebat; calidius verò in iis qui laboribus exercitantur, vt pote aucto ad motum natiuo calore, qui ob corporis constipationem non transpirat. In constipato verò corpore quod fumosum alit excrementum, aut febris accendetur, ob interclusum interiùs fuliginosum vaporem; aut præfocabitur extinguetúrque natiuus calor. Horum vtrunque tum excrementorum multitudinem, tum constipationis magnitudinem consequetur. Nam si fumosum excrementum, quod euacuationem postulabat, plurimum extiterit, atque constipatio vehemens, præfocatum ab excremento calorem insitum extingui periculum est. Si verò paucum fuerit excrementum, & constipatio parua, febris accendetur. Patet itaque quòd & naturales, & aduentitias corporis affectiones cognoscere oportet, in quibus aut fuliginosum, aut fumosum, aut vapidum est id quod transpirat. Sed hæc in opere de medendi methodo explicabuntur. Nunc ad propositum redeamus. Quemadmodum enim constipatio refrigerationis plerunque causa est, eo quo dictum est modo: sic & laxatio quùm plusquam deceat discutit, dissipátque natiuum calorem, frigidius efficit corpus. Hæc autem non tantùm in vniuerso animali, verùm etiam in singulis partibus similiter eueniunt, quùm vel constipantur, vel laxantur. Si enim quam vniuersum corpus habuit affectionem, tum ab obstructionibus, tum plenitudinibus arteriarum, hanc ipsam habeat pars ab iis solis quæ in ipsa sunt affectis arteriis; necesse est eam partem peræquè ac ipsum *totum corpus* ægrotare. Equidem quæ extrinsecus occurrunt medicamenta, aut aquæ medicabiles & frigidæ, & ipse circunfusus aër, vel constipationem, vel laxationem inmodicam in parte efficere poterunt. Præterea violenta vincula quædam interdum ipsi parti, interdum superiacentibus circumposita ipsam interiment atque refrigerabunt, quòd eam priuent communicatione partis in animali principis, à quâ ipsi & natiuus affluebat calor, & motrix arteriarum facultas suppeditabatur.

αὐτῆς, καθὸ κοινωνεῖ τῇ φάρυγγι, διὰ παντὸς τοῦ δέρματος ἐς τὸ περιέχον ἀναπνεῖ, ῥιπιζομένη μὲν ἐν ταῖς διαστολαῖς, ἀποχέουσα δὲ τὸ αἰθαλῶδες ἐν ταῖς συστολαῖς, ὑφ' ὧν ἀμφοτέρων ἡ κατὰ φύσιν αὐτῆς συμμετρία διασώζεται. καὶ δὴ καὶ στεγνωθεισῶν τῶν ἀρτηριῶν ἤτοι καθάπερ ὀλίγον ἔμπροσθεν ἔφαμεν ὑπὸ πλήθους αἵματος, ἢ τινῶν ἐμφραγμάτων ἐν τοῖς στόμασιν αὐτῶν γινομένων, ὡς μηδαμῇ διαπνεῖσθαι, σβεσθῆναι μὲν ἀνάγκη τὸ θερμόν, νεκρωθῆναι δὲ τὸ διατεθὲν οὕτω σῶμα. μετρίας μέν τινος τῆς στεγνώσεως γινομένης, οὐκ ἔτι δὲ ἐξ ἀνάγκης συνίσταται πάθημα τοιοῦτον περὶ τὴν ἔμφυτον θερμασίαν. ἀλλ' εἰ μὲν οἷον αἰθαλῶδές τι καὶ καπνῶδες εἴη, τηνικαῦτα τὸ κατὰ τὸ τοῦ ζώου σῶμα περίττωμα γινόμενον, ἕτερον ἔσται πάθημα τῆς ἐμφύτου θερμασίας. εἰ δ' ἀτμίζον ἡ μόνον ἡδὺ καὶ χρηστόν, ἕτερον. ἑκάτερον δ' αὐτῶν διττόν, ὧδέ πως διαφέρον. ὅταν γὰρ αἷμα χρηστὸν ἀκριβῶς ᾖ κατὰ τὸ σῶμα, μηδενὶ περιττώματι μοχθηρῷ τεθολωμένον, ἀτμὸς δὲ ἐξ αὐτοῦ θερμαινομένου χρηστὸς ἐγείρεται, μηδὲν ἐπιφερόμενος ἅμ' ἑαυτῷ πυρῶδες ἢ δριμύ. τὸ μὲν δὴ τοιοῦτον σῶμα μετρίως στεγνωθέν, ἢ πληθωρικὸν ἐν τάχει γένοιτ' ἄν, ἢ θερμότερον τοῦ κατὰ φύσιν. ἀταλαιπώρως μὲν διαιτωμένοις πληθωρικόν, ἔνδον μενόντων, ὧν ἐχρῆν ποιουμένων ἐκκενοῦσθαι. διαπονοῦσι δὲ θερμότερον, ὡς ἂν ἐκ μὲν τῆς κινήσεως αὐξανομένης τῆς ἐμφύτου θερμασίας, μὴ διαπνεομένης δὲ τῷ πεπυκνῶσθαι τὸ σῶμα. κατὰ δὲ τὸ καπνῶδες ὑποτρέφον περίττωμα σῶμα στεγνωθέν, ἤτοι πυρετὸς ἐξαφθήσεται, κατακλεισθείσης ἔνδον τῆς λιγνυώδους ἀναθυμιάσεως, ἢ καταπνιγήσεται, καὶ σβεσθήσεται τὸ ἔμφυτον θερμόν. ἑκάτερον δ' αὐτῶν ἀκολουθήσει τῷ τε πλήθει τοῦ περιττώματος, καὶ τῷ ποσῷ τῆς στεγνώσεως. εἰ μὲν γὰρ τὸ καπνῶδες περίττωμα τὸ δεόμενον τῆς κενώσεως εἴη πάμπολυ, καὶ στέγνωσις ἡ σφοδρά, κίνδυνος ἀποσβεσθῆναι καταπνιγεῖσαν ὑπὸ τοῦ περιττώματος τὴν ἔμφυτον θερμασίαν. εἰ δ' ὀλίγον τε εἴη τὸ περίττωμα, καὶ ἡ στέγνωσις βραχεῖα, πυρετὸς ἀναφθήσεται. δῆλον οὖν ὡς καὶ τὰς φυσικὰς ἐπίστασθαι χρή, καὶ τὰς ἐπικτήτους διαθέσεις τοῦ σώματος, ἐν αἷς ἤτοι λιγνυῶδες, ἢ καπνῶδες, ἢ ἀτμῶδές ἐστι τὸ διαπνεόμενον. ἀλλὰ τοῦτο μὲν ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου λεχθήσεται πραγματείᾳ, νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐπανίωμεν. ὥσπερ γὰρ ἡ στέγνωσις ψύξεως αἰτία πολλάκις γίγνεται, καθ' ὃν εἴρηται τρόπον, οὕτω καὶ ἡ μάνωσις, ὅταν ἐπιπλέον ἢ προσῆκε διαφορήσῃ τε καὶ σκεδάσῃ τὸ ἔμφυτον θερμόν, ψυχρότερον ἀπεργάζεται τὸ σῶμα. γίγνεται δὲ ταῦτα καὶ καθ' ὅλον μὲν τὸ ζῶον, οὐ μὴν ἀλλὰ καὶ καθ' ἕκαστον μόριον ὡσαύτως, ἤτοι στεγνούμενον, ἢ μανούμενον. εἰ γὰρ, ἥνπερ ὅλον ἔσχε τὸ σῶμα διάθεσιν ἐπὶ ταῖς ἐμφράξεσί τε καὶ πληρώσεσι τῶν ἀρτηριῶν, ταύτην σχοίη τὸ μόριον ὑπὸ τῶν ἐν αὐτῷ μόνων πεπονθυιῶν ἀρτηριῶν, ἀνάγκη δήπου καὶ νοσῆσαι παραπλησίως αὐτῷ. καὶ μὲν δὴ καὶ τὰ προσπίπτοντα ἔξωθεν αὐτῷ φάρμακά τε καὶ ὕδατα φαρμακώδη καὶ ψυχρά, καὶ αὐτὸ τὸ περιέχον ἤτοι στέγνωσιν, ἢ μάνωσιν ἄμετρον ἐναπεργάζεσθαι δυνήσεται τῷ μορίῳ. καί τινες βίαιοι δεσμοί ποτε μὲν αὐτοῖς τοῖς μέρεσι, ποτὲ δὲ τοῖς ὑπερκειμένοις περιτιθέμενοι νεκροῦσί τε καὶ καταψύχουσιν αὐτό, τῆς πρὸς τὴν ἀρχὴν τοῦ ζώου κοινωνίας στερήσαντες, ἐξ ἧς αὐτῷ καὶ ἡ σύμφυτος ἐπέρρει θερμασία, καὶ ἡ κινοῦσα τὰς ἀρτηρίας δύναμις ἐχορηγεῖτο.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν τοῦ ξηροῦ νοσήματος, ἢ τῆς ξηρᾶς δυσκρασίας αἰτίων.

Περὶ μὲν δὴ τῶν θερμῶν τε καὶ ψυχρῶν νοσημάτων αὐτάρκως εἴρηται. περὶ δὲ τῶν ξηρῶν ἐφεξῆς λεγέσθω. εἰ δέ τις διαπονοίη μὲν πλείω, καὶ διαπνέοιτο, τρέφοιτο δὲ ἐλάττω, καὶ ταῦτα ξηρότερα τὴν δύναμιν, ξηρότερος ὢν τὴν κρᾶσιν, εἰς ξηρὸν ῥᾳδίως ὑπαχθήσεται νόσημα. καὶ μάλιστα εἰ φροντίσειεν, ἢ ἀγρυπνήσειε πλείω. καὶ μὴν καὶ αἱ τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσεις αἱ ξηραὶ ξηραίνουσι δηλονότι καὶ αὐτὰ τὰ τῶν ζώων σώματα, καὶ νήξεις ἐν ὕδασι νιτρώδεσί τε καὶ θειώδεσι καὶ στυπτηριώδεσι καὶ ἀσφαλτώδεσι, καὶ τινος ἑτέρου τοιαύτης ποιότητος μετέχουσι. καὶ μέν γε καὶ ὅσα τῶν φαρμάκων ξηρὰ τὴν δύναμίν ἐστιν, εἴτ' ἔσωθεν, εἴτ' ἔξωθεν προσφέροιτο, ξηραίνει καὶ ταῦτα. εἴρηται δὲ ὑπὲρ αὐτῶν ἐπὶ πλέον ἐν τοῖς περὶ φαρμάκων.

CAPVT IV.

De morbi sicci, vel intemperiei siccæ causis.

De morbis itaque tum calidis, tum frigidis satis dictum est; de siccis deinceps disseratur. Si quis liberaliùs sese exerceat, ac transpiret, & parciùs nutriatur, alimentis facultate exiccantibus, & siccioris sit temperamenti, in siccum morbum facilè perducetur; ac præsertim si curis implicitus fuerit, aut immoderatiùs vigilauerit. Siccæ quoque ambientis nos aëris constitutiones ipsa animalium corpora exiccant; natationes præterea in aquâ nitrosâ, sulphureâ, aluminosâ, bitumineâ, aut cuiusdam alterius eiusmodi qualitatis participe; denique quæcunque medicamenta facultate sicca sunt, ea quoque siue intro assumantur, siue foris admoueantur, exiccant. De his autem fusiùs in libris de medicamentis *simplicibus* dictum est.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν τοῦ ὑγροῦ νοσήματος, ἢ τῆς ὑγρᾶς δυσκρασίας αἰτίων.

Αὗται μὲν δὴ αἱ τῶν ξηρῶν νοσημάτων αἰτίαι. τῶν δ' ὑγρῶν αἱ ἐναντίαι σύμπασαι, ἐδεσμάτων μὲν ὑγροτέρων τὴν δύναμιν ἀφθονία, καὶ πλείω τὰ πόματα, καὶ σύμπασα ἡ ἁβροτέρα δίαιτα, καὶ ἡ θυμηδία, καὶ λουτρὰ γλυκέων ὑδάτων πολλά, καὶ μᾶλλον μετὰ τροφήν. οὕτω δὲ καὶ ἀργὸς ὁ σύμπας βίος, καὶ ἄπονος, ὄμβροι τε πολλοί, καὶ ἡ πᾶσα κατάστασις ὑγρά, καὶ φάρμακα ταὐτὸ τοῦτο δρᾶν δυνάμενα.

CAPVT V.

De humidi morbi siue intemperiei humidæ causis.

Hæ quidem siccorum morborum causæ *sunt*. Humidorum autem his contrariæ *causæ sunt* omnes; eduliorum facultate humidiorum copia; vberiores potus; mollis omnis victus; animi delectatio; crebra dulcium aquarum balnea, præsertimque post cibum: sic & tota vita otiosa, & laboris expers, imbres plurimi, omnis constitutio temporum humida, & quæ medicamenta hanc ipsam humectandi facultatem habent.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Αἴτια τῶν συνθέτων νοσημάτων τῶν ὁμοιομερῶν αἴτια, ἢ τὰ τῆς συνθέτου δυσκρασίας.

Πρόδηλον δ' ὅτι καὶ τὰ τῶν συνθέτων νοσημάτων αἴτια, σύνθετα πάντως ἐστίν. εἰ γὰρ ἅμα θερμὴ καὶ ξηρὰ συνέλθοι ποτὲ αἰτία, θερμὸν καὶ ξηρὸν ἀνάγκη γενέσθαι τὸ νόσημα. καὶ εἰ θερμὴ καὶ ὑγρά, θερμὸν καὶ ὑγρόν. οὕτω δὲ κἀπὶ τῶν λοιπῶν δυοῖν συζυγιῶν ὑγρᾶς καὶ ψυχρᾶς, καὶ ξηρᾶς καὶ ψυχρᾶς. ὅπερ δ' ἀναγκαῖόν ἐστιν ἐν τῷ λόγῳ προσθεῖναί τε καὶ διορίσασθαι, τοῦτο ἤδη λεγέσθω, τὸ πολλάκις μὲν ὑπὸ πάντων τῶν αἰτίων ὁμοειδῶν ἀλλήλοις ὄντων ἀλλοιοῦσθαι τὸ σῶμα, πολλάκις δὲ ἐναντίων ταῖς δυνάμεσιν ὑπαρχόντων, ποτὲ μὲν τὰ πλείω κρατεῖν ἐξ αὐτῶν, ἢ τὰ πολυχρονιώτερα, ποτὲ δὲ τὰ ἰσχυρότερα, ποτὲ δὲ τὴν ἀπ' ἀμφοτέρων βλάβην ὁμοίως ἀναδέχεσθαι τὸ σῶμα. καί τι δόξειεν ἂν εἶναι τοῦτό γε ἀδύνατον, ἅμα θερμότερόν τε καὶ ψυχρότερον ἀποτελεῖσθαι τοῦ κατὰ φύσιν ἓν καὶ ταὐτὸν σῶμα, καὶ ὑγρότερον αὖ καὶ ξηρότερον, ἀλλὰ καὶ γίνεται τοῦτο, καὶ δεόντως ἀνώμαλος ὀνομάζεται δυσκρασία, καὶ ἡμῖν ἰδίᾳ περὶ αὐτῆς ἐν ἑτέρῳ γράμματι λέλεκται τὰ εἰκότα. καὶ οὐ χρὴ νῦν ἔτι μηκύνειν ὑπὲρ αὐτῶν. ἀλλ' ἐπὶ τὰ λοιπὰ γένη τῶν νοσημάτων ἰτέον ἤδη τὰς αἰτίας αὐτῶν σκεψομένοις. ἀναμνησθῆναι δὲ πάλιν κἀνταῦθα προσήκει τῶν εἰρημένων ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς, ὡς ἐνίοτε μὲν αὐταῖς μόναις ταῖς τέτταρσι

CAPVT VI.

Quæ sint causæ morborum compositorum similarium partium, aut intemperiei compositæ.

Constat autem morborum compositorum compositas quoque omnino esse causas. Si nanque causa calida simul & sicca in vnum aliquandò coierint, calidum atque siccum morbum procreari necesse est; si calida & humida, calidum & humidum: ita quoque in reliquis duabus coniugationibus, humidâ & frigidâ; ac siccâ & frigidâ. Quod autem hoc in sermone tum addere, tum distinguere necessarium est, id iam explicetur; sæpe quidem ab omnibus causis specie inter se similibus corpus alterari; sæpe verò his facultate contrariis existentibus; interdum ex ipsis eas euincere quæ numero plures; interdum quæ tempore diuturniores, interdum quæ robore potentiores, interdum denique ab vtrisque corpus peræque læsionem accipere. Etiamsi fieri non posse videatur, vt vnum idémque corpus & calidius simul & frigidius naturali temperamento, & rursus humidius ac siccius efficiatur, attamen id oboritur; meritóque inæqualis nominatur intemperies, de qua etiam seorsum quæ deceant, altero in libro prodita sunt. Neque nunc rursus in his diutius immorandum, sed ad reliqua morborum genera iam nobis accedendum est, qui ipsorum causas speculamur. Verùm hæc etiamnum in mentem reuocanda sunt, quæ in libro de morborum differentiis edicta sunt, quòd nonnunquam solis quatuor qualita-

qualitatibus ab eo qui secundùm naturam est affectu corpora decedunt, nullâ exteriùs ipsis affluente aliâ substantiâ; nonnunquam verò fluxionibus implentur, ideâ quidem omnino humidis, facultate autem non humidis. Sed de horum humorum facultate dictum est ab antiquis & medicis, & philosophis, & à nobis etiam cùm in aliis quibusdam commentariis, tum in iis quos de medicamentis conscripsimus. Quæ verò ex his ad rem præsentem conferunt, etiam nunc dicentur, *nimirum* quòd flaua bilis facultate calida est & sicca; atra bilis, frigida ac sicca; sanguis, calidus & humidus; pituita, frigida & humida; Et quòd humores singuli influunt aliquando sinceri, aliquando aliis commixti; Et partium œdemate, vel scirrho, vel phlegmone laborantium affectus, illic plurimùm variantur. Nam & carbunculi, & cancri, & herpetes, & erysipelata, & phygethla, & gãgrenæ, & phagedænæ, & satyriases ex hoc genere sunt; præterea vitiligines, & atherômata, & achôres, & faui, & gãglia, & steatômata morbi sunt fluxionum fæturæ. Differunt autem inter se tum hi, tum alii omnes prædicti; quòd alii ex pituitâ solâ ortum ducant; alii, ex sanguine; alii, ex flauâ bile; alii, ex atrâ; alii, ex alio quodam qui nondum omnino sit præter naturam. Verùm hic *humor* quisquis fuerit, omnino erit ex quodam prædictorum generum. Non enim contingit ipsum haudquaquam esse calidum & siccum, aut calidum & humidum, aut frigidum & siccum, aut frigidum & humidum; Sed quatenus ad crassitiei & frigoris plurimum peruenit, à naturalis pituitæ formâ excidit, atque alius humor esse videtur toto genere præter naturam. Non tamen ita se res habet. Nã quoad frigidus atque humidus sit facultate, sub pituitæ genere continebitur. Eâdem quoque ratione quicunque calidus & siccus fuerit, flauæ bili congener est. De his verò pleniùs alibi dictum est; Quare nunc in his haud immorandum; nam & de his omnibus copiosiùs in libris methodi medendi disseretur. Quod autem præsentis est operis, id rursum explicetur. Omnes siquidem huiusmodi morbi fiunt naturâ ad partes imbecilliores crebrò materiam exuberantem deponente; Id profectò à multis aliis antea dictum est. Quis tamen sit depositionis modus, nondum dictum est; rationem enim quandam atque mentem naturæ tribuemus, si ita simpliciter ipsam, quicquid inutile est, deponere affirmemus ex nobilibus partibus ad ignobiles. Sed quòd quidem in morbis optimæ crises ab aliquâ eiusmodi facultate fiant, manifestè apparet. Quis autem his sit generationis modus, nondum maiores nostri accuratè docuerunt, quoniam neque facultates naturales, de quibus nos in aliis commentariis egimus, quot numero, & quænam existant, & quod singularum sit opus, satis explanare potuerunt. Verùm nunc ei haudquaquam arduum est de his omnibus disserere, qui suppositionibus his in commentariis demonstratis vsus fuerit. Quum quatuor sint facultates quarum pars omnis tum animalis, tum plantæ est particeps; quúmque altera sibi familiare *alimentum* attrahat; alia retineat; alia alteret; alia superuacaneum excernat; quum etiam superuacaneum duplex sit genere, aut enim quantitate superuacaneum est, aut qualitate; quum denique omnibus corporis partibus non æquale sit robur,

A ποιότησιν ἐξίσταται τοῦ κατὰ φύσιν ἔχειν τὰ σώματα, μηδεμιᾶς ἔξωθεν αὐτοῖς ἐπιρρυείσης ἑτέρας οὐσίας. ἐνίοτε δὲ ἐμπίπλαται ῥεύματος, ὑγροῦ μὲν πάντως τὴν ἰδέαν, οὐχ ὑγροῦ δὲ τὴν δύναμιν. εἴρηται μὲν οὖν καὶ τοῖς παλαιοῖς ἰατροῖς τε καὶ φιλοσόφοις ὑπὲρ τῆς τῶν τοιούτων ὑγρῶν δυνάμεως. ἀποδέδεικται δὲ καὶ ἡμῖν ἐν ἄλλοις τέ τισι, καὶ ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν. ὅσον δ' ἐξ αὐτῶν εἰς τὰ παρόντα χρήσιμον, εἰρήσεται καὶ νῦν, ὡς ἡ μὲν ξανθὴ χολὴ θερμὴ καὶ ξηρὰ τὴν δύναμίν ἐστιν· ἡ δὲ μέλαινα ξηρὰ καὶ ψυχρά· ὑγρὸν δὲ καὶ θερμὸν τὸ αἷμα· καὶ ψυχρὸν καὶ ὑγρὸν τὸ φλέγ-

B μα· καὶ ὡς ἐνίοτε μὲν εἰλικρινὴς ἐπιρρεῖ τούτων ἕκαστος τῶν χυμῶν, ἐνίοτε δ' ἀλλήλοις ἐπιμίγνυνται. καὶ ὡς αἱ τῶν οἰδισκόντων τε καὶ σκιρρουμένων καὶ φλεγμαινόντων μορίων διαθέσεις ἐντεῦθεν ἐπὶ πλεῖστον ποικίλλονται. καὶ γὰρ οὖν καὶ ἄνθρακες, καὶ καρκῖνοι, καὶ ἕρπητες, ἐρυσιπέλατά τε, καὶ γάγγραιναι, καὶ φύγεθλα, καὶ φαγέδαιναι, καὶ σατυριάσεις ἐκ τούτου τοῦ γένους εἰσί. καὶ μὴν καὶ ἀλφοί, καὶ ἀθερώματα, καὶ ἀχῶρες, καὶ μελικηρίδες, καὶ γάγγλια, καὶ στεατώματα, ῥευμάτων εἰσὶν ἔκγονα νοσήματα. διαφέρει δ' ἀλλήλων ταῦτα, καὶ ἄλλα

C σύμπαντα τὰ προειρημένα, τῷ τὰ μὲν ἐκ φλέγματος γίγνεσθαι μόνου, τὰ δ' ἐξ αἵματος, τὰ δ' ἐκ τῆς ξανθῆς χολῆς, τὰ δ' ἐκ τῆς μελαίνης, τὰ δ' ἐξ ἄλλου τινὸς χυμοῦ οὐ τελέως παρὰ φύσιν. ἀλλὰ καὶ οὗτος ὅστις ἂν ᾖ πάντως ἔκ τινος τῶν προειρημένων ἐστὶ γενῶν. οὐ γὰρ ἐνδέχεται μὴ οὐχὶ θερμὸν εἶναι καὶ ξηρὸν αὐτόν, ἢ θερμὸν καὶ ὑγρόν, ἢ ψυχρὸν καὶ ξηρόν, ἢ ψυχρὸν καὶ ὑγρόν. ἀλλ' ὅσον ἐπὶ πλεῖστον ἥκει πάχους καὶ ψύξεως, ἐκπίπτει μὲν τῆς κατὰ φύσιν φλέγματος τῆς ἰδέας, ἕτερος δ' εἶναι δοκεῖ χυμὸς ὅλῳ τῷ γένει παρὰ φύσιν. οὐ μὴν οὕτως γε ἔχει τἀληθές. ὅς γὰρ ἂν ὑγρὸς ᾖ καὶ ψυχρὸς τὴν δύναμιν, ἐν τῷ

D τοῦ φλέγματος γένει περιέχεται. κατὰ δὲ ταὐτὰ καὶ ὅστις ἂν ᾖ ξηρὸς καὶ θερμὸς ὁμογενής ἐστι τῇ ξανθῇ χολῇ. λέλεκται δὲ καὶ περὶ τούτων ἐπὶ πλέον ἑτέρωθι. καὶ νῦν οὐ χρὴ μηκύνειν ὑπὲρ αὐτῶν, εἰρήσεται γὰρ οὖν καὶ αὖθις ἐπὶ πλέον ὑπὲρ ἁπάντων τούτων ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν· ὃ δ' ἐστὶν οἰκεῖον τῆς ἐνεστώσης διεξόδου πάλιν ἑρμηνεύωμεν. ἅπαντα γὰρ τὰ τοιαῦτα νοσήματα τῆς φύσεως ἀποτιθεμένης ἑκάστοτε τὸ περιττὸν εἰς ἀκυρώτερα μόρια γίγνεται. τοῦτο μὲν δὴ καὶ ἄλλοις ἔμπροσθεν εἴρηται πολλοῖς. ὅστις δ' ὁ τρόπος

E ἐστὶ τῆς ἀποθέσεως, οὐκ ἔτ' εἴρηται· λογισμὸν γάρ τινα καὶ νοῦν τῇ φύσει δώσομεν, ἐὰν ἁπλῶς οὕτως αὐτὴν ἀποτίθεσθαι φῶμεν ἐκ κυρίων μορίων εἰς ἄκυρα πᾶν ὅπερ ἂν ὑπάρχῃ μὴ χρηστόν. ἀλλ' ὅτι μὲν ἐν τοῖς νοσήμασιν αἱ ἀγαθαὶ κρίσεις ὑπό τινος τοιαύτης γίγνονται δυνάμεως ἐναργῶς φαίνεται. τίς δὲ ὁ τρόπος ἐστὶν αὐταῖς τῆς γενέσεως οὐκ ἀκριβῶς οἱ πρὸ ἡμῶν ἐξηγήσαντο, διότι μηδὲ τὰς φυσικὰς δυνάμεις, ὑπὲρ ὧν ἡμεῖς ἐν ἑτέροις ὑπομνήμασι διήλθομεν, ἀκριβῶς ἠδυνήθησαν ἀποδεῖξαι πόσαι τέ

F εἰσι, καὶ τίνες, ὁποῖόν τέ τι ἐστὶ τὸ ἑκάστου αὐτῶν ἔργον. ἀλλὰ νῦν γε χαλεπὸν οὐδέν ἐστι περὶ τούτων ἁπάντων διελθεῖν, ὑποθέσεσιν εἰς αὐτὰ χρησάμενον τοῖς δι' ἐκείνων ἀποδεδειγμένοις· οὐσῶν δὲ τεττάρων δυνάμεων, ὧν ἁπάντων μετέχει μόριον καὶ ζώου καὶ φυτοῦ, καὶ τῆς μὲν ἑλκούσης τὸ οἰκεῖον, τῆς δὲ κατεχούσης, τῆς δὲ ἀλλοιούσης, τῆς δὲ ἀποκρινούσης τὸ περιττόν. ὄντος δὲ τοῦ περιττοῦ διττοῦ κατὰ γένος, ἢ γὰρ τῷ ποσῷ περιττόν ἐστιν, ἢ τῷ ποιῷ, καὶ τοίνυν καὶ τῶν τοῦ σώματος μορίων οὐκ ἴσην ἁπάντων ἐχόντων τὴν ῥώμην,

ἀλλὰ τῶν κυριωτέρων αὐτῆς ἐξ ἀρχῆς ὑπὸ τῆς φύσεως ῥωμαλεωτέρων ἀποτελεσθέντων, εὔλογον ἐν τοῖς ἀκαθάρτοις τε καὶ περιττωματικοῖς σώμασιν ἐπιῤῥεῖν τι τοῖς ἀκυρωτέροις μορίοις. ἅτε γὰρ ἐξ ἁπάντων τῶν ἰσχυροτέρων μορίων ἐλαυνόμενον τὸ περίττωμα, καὶ μηδαμόθι στῆναι δυνάμενον, εἰς τὸ πάντων ἀσθενέστατον ἀφικνεῖται μόριον. ἄλλο δ' ἐστὶ δι' ἄλλο τοιοῦτον ἐστὶν, ἢ εὐθὺς ἐν τῇ πρώτῃ συμπήξει τοῦ ζώου πλημμεληθὲν ἢ ἐξ ὑστέρου βλαβὲν, ἢ καὶ φύσει δεόμενον εἶναι τοιοῦτον, ὥσπερ τὸ δέρμα. τοῦτο γὰρ ἅτε μηδεμιᾶς ἐνεργείας ἕνεκεν, ἀλλὰ χρείας μόνης γεγενημένον, ἀσθενέστερον εἶναι προσήκει τῶν ἐνεργούντων. ἔστι γὰρ οἷον σκέπασμά τι, καὶ περίβλημα τοῦ ζώου σύμφυτον, οὔτε πέψιν, οὔτε ἀνάδοσιν τροφῆς, οὔτ' ἐξαιμάτωσιν, οὔτε σφυγμὸν, οὔτε ἀναπνοὴν, οὔτε κίνησιν καθ' ὁρμὴν, οὔθ' ὅλως ἐνέργειάν τινα τῷ ζώῳ παρεχόμενον. ἅμα δὲ καὶ πάντων ἔξωθεν κείμενον, εὐλόγως ἐκδέχεται τὰ τοῦ σώματος ὅλου περιττώματα. πολλὰ μὲν γὰρ αὐτῆς ἐξ ἀρχῆς ἡ φύσις ἐτεχνήσατο τῶν περιττωμάτων καθάρσεως ἕνεκεν ὄργανα, καὶ πρός γε τὴν ὑγείαν ἀρκεῖ μόνα ταῦτα, ἐπειδὰν μήτε τις ἐκ τοῦ περιέχοντος ἐγίνηται βλάβη τῷ ζώῳ, μήτ' ἐκ πλημμελοῦς διαίτης περιττωματικὸν ἀμέτρως ὅλον ἀποτελεσθῇ τὸ σῶμα. τούτου δέ τινος συμβάντος ἁμαρτήματος, οὐκ ἔτ' αὐτάρκη μόνα τὰ φυσικὰ τῶν ὀργάνων ἀποκαθαίρειν τὸ πλῆθος τοῦ περιττώματος. κἂν τούτῳ κατασκήπτει ῥεύματα τοῖς ἀσθενεστέροις μορίοις, ἐκ τῶν ἰσχυροτέρων ἐξελαυνόμενα, συμβαίνει δέ ποτε καὶ στεγνωθέντων τῶν ἐκκαθαιρόντων αὐτὰ πόρων ἑτέροις ἐπιῤῥυῆναι μορίοις. αὗται μὲν αἱ ἀρχαὶ τῆς γενέσεως ἁπάντων εἰσὶ τῶν προειρημένων νοσημάτων. αὐξάνεται δ' ἐν αὐτοῖς ἤδη τοῖς μέλεσι τὸ κακὸν, ὡς ἂν σφηνουμένων τε καὶ διασηπομένων τῶν περιττωμάτων, καὶ οὕτως αὐτῶν τε χειρόνων γινομένων, τὸν ἐπιῤῥέοντα χυμὸν ἐξ ὑστέρου, κἂν χρηστὸς ᾖ, συνδιαφθειρόντων.

περὶ τῶν ὀργανικῶν νοσημάτων

A sed principes statim ab initio à naturâ robustiores procreatæ sint, rationi consentaneum est in corporibus impuris, & quæ excrementis scatent, ad ignobiliores partes aliquid deffluere. Quum enim excrementum ab omnibus robustioribus partibus amandetur, ac nullibi consistere queat, in partem omnium imbecillimam deuehitur. Sed alia propter aliam eiusmodi est. Aut enim *pars* statim in primâ animalis formatione læsa est; aut postea læsa fuit; aut etiam talis esse naturâ debuit, vt cutis. Hanc enim (quum nullius B actionis, sed solius vsus gratiâ creata sit) iis quæ actiones edunt partibus imbecilliorem esse congruebat. Est enim *cutis* veluti operculũ quoddam ac natiuum animalis inuolucrum, quæ quum neque coctionem, neque alimenti distributionem, neque sanguinis generationem, neque pulsum, neque respirationem, neque voluntarium motum, neque demum aliquam animali actionem suggerat; præterea quum omnium partium extrema sit collocata, non citra rationem totius corporis excipit excrementa. Multa nanque organa ad excrementorum purgationem natura fabricata est; hæcque sola ad sanitatem tuendam sufficiunt, quum neque ex ambiẽte nos aëre ani-C malis læsio oboritur; neque ex victus errore totum corpus excrementis immoderatè scatens redditum est. Accidente autem huiusmodi aliquo errore, tum sola naturalia organa, ad excrementi multitudinem expurgandam non amplius sufficiunt; proindéque fluxiones à robustioribus partibus depulsæ in imbecilliores irruunt. Accidit autem interdum, constipatis meatibus eas expurgantibus ad alias regiones confluere. Atque hæc generationis prædictorum morborum omnium exordia sunt. Augetur verò iam in ipsis D membris vitium, quum his impacta sunt excrementa & putrescunt, ac ita deteriora fiunt, quæ affluentem postea humorem, quanquam vtilem, simul corrumpunt.

περὶ τῶν κατὰ τὴν διάπλασιν νοσημάτων

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ αἰτίων τῶν νοσημάτων ὀργανικῶν ἐν τῷ τῆς διαπλάσεως γένει.

Ἀλλ' ἐπειδὴ καὶ τὰ τῶν ὁμοιομερῶν σωμάτων ἴδια νοσήματα διήλθομεν, ἑξῆς ἂν εἴη λέγειν τὰ τῶν ὀργανικῶν, ἀπὸ τοῦ πρώτου καὶ αὐτὰ τοῦ κατὰ τὴν διάπλασιν ὑπαρξαμένους γένους. γίγνεται δὲ τοῦτό ποτε μὲν τοῦ κατὰ φύσιν σχήματος ἐξαλλαττομένου, ποτὲ δὲ λειότητός τινος, ἢ τραχύτητος, ἢ πόρου διαφθειρομένου. τοῦ μὲν δὴ τοῦ κατὰ φύσιν σχήματος ἐξαλλαγῆς αἰτίαι. πρώτη μὲν ἡ κατὰ γαστρὸς ἔτι κυουμένων αὐτῶν διάπλασις μοχθηρά, πλήθους ὕλης ἢ ποιότητος οὐκ ἐπιτηδείου τὰς φυσικὰς τοῦ σπέρματος κινήσεσιν ἐμποδὼν γιγνομένης. δευτέρα δὲ, ἥ τε κατὰ τὴν ἀποκύησιν αὐτὴν, κἂν τῷ σπαργανοῦσθαι πλημμέλεια. μαλακὰ γὰρ ἔτι καὶ ὀλίγου δεῖν ῥυτὰ τὰ τῶν νεογνῶν παιδίων ὑπάρχοντα σώματα, ῥᾳδίως ἐκστρέφεται, δεχομένων τε τῶν μαιῶν αὐτὰ κατὰ τὴν ἀποκύησιν οὐκ ὀρθῶς, ἐνειλιττουσῶν τε τοῖς σπαργάνοις, ἔστιν ὅτε μὴ δεόντως, εἶτ' αὖθις τῶν τροφῶν αἰρουσῶν τε καὶ ἀποτιθεμένων οὐ κατὰ τρόπον, ἔν τε τῷ γάλα παρέχειν, καὶ ἐν τῷ λούειν καὶ σπαργανοῦν. ἐν ἅπασι γὰρ τοῖς τοιούτοις εἰ μή τις ἐπιτηδείως μεταχειρίζοιτο, ῥᾳδίως ἐκστρέφεται καὶ διαφθείρεται τὸ κατὰ φύσιν ἑκάστου τῶν μελῶν σχῆμα-

λε

λφ

CAPVT VII.

De causis morborum organicorum in genere conformationis.

VErùm quoniam similarium partiũ proprios explicauimus morbos, licuerit deinceps or-E ganicarum *morbos* dicere, ac exordiri ab eo qui primus inter eos in conformationis est genere. Fit autem hic morbus interdum quum figura naturalis immutatur; interdum quum læuitas quædam aut asperitas vitiatur. Causæ verò immutationis figurę naturalis *hæ sunt*. Prima quidem partium ipsarum, quum in vtero adhuc concipiuntur, praua conformatio, *quæ oboritur*, quum materiæ copiâ, aut minimè idoneâ qualitate naturales seminis motus prohibentur. Secunda verò, F error in partu ipso, aut in infante fasciando *commissus*. Mollia si quidem adhuc ac propè dixerim fluxa quum sint infantium nuper genitorum corpora, facilè inuertuntur, & quum in partu edendo eos non rectè obstetrices excipiunt, neque decenter fasciis inoluunt; aut vbi eos postea nutrices sine modo aut attollunt, aut reponunt, dum lac præbent, dum lauant, dum fasciis inoluunt. In his si quidem omnibus, nisi quis *infantes* aptè tractauerit, facilè singulorum membrorum figura naturalis inuertitur, ac deprauatur.

Præterea

Præterea verò in vniuersâ quæ sequitur educatione, partim ab immoderatâ satietate, partim à motu incomposito, dum maturiùs quàm deceat & stare, & incedere ipsis conceditur, aut vehementiùs moueri, multa distoqueri membra contingit. Satietas siquidem actiones naturales interturbat. Intempestiui autem & vehementiores motus aliorsum quàm deceat artus subducunt ac circumagunt. Crura etenim incumbentium eis corporum grauitate aut ad exteriora aut interiora distorquentur pro natiuâ tibiæ propensione. Quibus enim rectiora sunt crura, quàm naturæ conueniat vatii magis incedunt; quibus autem cauiora, vari efficiuntur. Voco autem vatium, cui crus ad exteriora flectitur; varum, cui in contrariam partem. Thoracis quoque partes plerunque à nutricibus inuertuntur, dum ipsas in primâ educatione extrinsecus prauè constringunt. Maximè verò hoc continenter apud nos intueri licet in virginibus; quibus dum student nutrices eas augere partes, quæ circa coxas sunt ac ilia, quò hæ thoracis partibus maiores fiant, fasciis quibusdam totum circumprehendunt, atque omnes scapularum ac thoracis partes vehementer constringunt; hinc, quum sæpe inæqualis fit tensio, aut pronum in anteriora prominet pectus, aut huic oppositæ *posteriores* spinæ partes gibbæ redduntur. Accidit autem nonnunquam veluti præfractum in obliquum seduci dorsum, ita vt altera scapula & non aucta, & parua, & valde compressa; altera verò prominens, tumida, ac omnino maior appareat. Hæc omnia figurarum vitia in thorace consistunt ob nutricum errorem imperitiámque, æquilibrem deligationem ignorantium. Sic & medici plerunque non probè deligantes, conformantésque artus effractos inuertunt; quemadmodum rursus & citra medici curantis peccatū ipse ægrotus, si priusquam callus prorsus firmus constiterit membrum ad vsum accommodet, sibi inuersionis est author. Sed & collisæ partes vt nasus, & confractæ vt supercilia acetabulorum, & excisa quandóque ossa, aut vberior caro, quæ postea non æqualiter succrescit, naturalem figuram demoliūtur. Alius autem modus læsionis figurarum ob immoderatam repletionem, aut *alimenti* penuriam, quemadmodum aut vltra modum obesis, aut admodum colliquatis, siue in vnâ *corporis* parte, siue in toto corpore oboritur. Nam & qui morbus elephas appellatur, & qui tabes, planè figurā immutant. Etenim nasus simus fit, labra crassa, atque aures extenuatæ videntur, ac omnino satyris similes fiunt qui laborant elephantiasi. At nares acutæ, collapsa tempora, oculi concaui, & in scapulis & brachiis tanquam alæ exteriùs eminentes tabidis apparent. Atque his in omnibus primâ ratione figura naturalis deprauatur; per accidens autem *vitiatur* in his quos paralysis obsidet, aut conuulsio, aut inflammatio, aut scirrhus, aut quibus nerui aut tendones secti sunt, aut duris cicatricibus obducti; in his siquidem omnibus aliâs ob aliam causam in alienam figuram aliorsum pars prouoluitur; hæc vt in iis qui alterâ parte resoluuntur à musculis actionem obeuntibus attrahitur: sic in conuulsionibus quæ ad alteram contrahunt partem, à musculis conuulsis. Inflammationes etiam, scirrhi, duræ cicatrices & quicunque tales affectus partem ad

A Καὶ μὲν δὴ κἀν τῇ μετὰ ταῦτα ἀνατροφῇ συμπάσῃ, τὰ μὲν ὑπὸ πλησμονῆς ἀμέτρου, τὰ δ᾽ ὑπὸ κινήσεως πλημμελοῦς ἢ πρωϊαίτερον τοῦ δέοντος ἵστασθαί τε καὶ βαδίζειν ἐπιτραπέντος αὖθις ἢ σφοδρότερον κινεῖσθαι, πολλὰ τῶν μελῶν διαστρέφεσθαι συμβαίνει· τῆς μὲν πλησμονῆς, τὰς φυσικὰς ἐνεργείας ἐμποδιζούσης· τῶν δ᾽ ἀκαίρων, ἢ σφοδρῶν κινήσεων, ἐγκλινουσῶν τε καὶ περιαγουσῶν ἐφ᾽ ἃ μὴ χρὴ τὰ κῶλα. τὰ μὲν γὰρ σκέλη κατ᾽ αὐτὸ τὸ βάρος τῶν ἐπικειμένων σωμάτων, ἢ πρὸς τοὐκτὸς ἢ πρὸς τὸ ἔνδον διαστρέφεται κατὰ τὴν ἀρχαίαν τῆς κνήμης ῥοπήν. B οἷς μὲν γὰρ ὀρθότερα τοῦ δέοντός ἐστι φύσει, βλαισοῦνται μᾶλλον· οἷς δὲ κυρτότερα, ῥαιβοῦνται. Καλῶ δὲ βλαισὸν μὲν τὸ ἐπὶ τὰ ἐκτὸς ῥέπον, ῥαιβὸν δὲ τὸ ἐπὶ τἀναντία. καὶ κατὰ τὸν θώρακα δὲ μέλη διαστρέφεται πολλάκις ὑπὸ τῶν σφιγγουσῶν τροφῶν οὐ καλῶς ἔξωθεν ἐν τῇ πρώτῃ ἀνατροφῇ. καὶ μάλιστα παρ᾽ ἡμῖν ἔστι τὸ τοιοῦτον ἰδεῖν συνεχῶς γιγνόμενον ἐπὶ τῶν παρθένων· αὐξάνεσθαι γὰρ αὐτῶν αἱ τροφαὶ βουλόμεναι τὰ κατ᾽ ἰσχία τε καὶ λαγόνας, ὡς πολλῷ μείζω γίγνοιτο τῶν κατὰ θώρακα, ταινίαις τισὶν ὅλον ἐν κύκλῳ περιλαμβάνουσιν ἰσχυρῶς σφίγγουσαι τά C κατ᾽ ὠμοπλάτας τε καὶ θώρακα μόρια σύμπαντα. κἄν τούτῳ πολλάκις ἀνίσου γιγνομένης τῆς τάσεως, ἢ προπετὲς εἰς τοὔμπροσθεν ἀπέφηναν τὸ στῆθος, ἢ τὰ ἀντικείμενα τὰ κατὰ ῥάχιν κυρτά. συμβαίνει δὲ ἐνίοτε καὶ ὥσπερ διακεκλασμένον καὶ παρῃρημένον εἰς τὰ πλάγια γίγνεσθαι τὸ μετάφρενον, ὡς τὴν μὲν ἑτέραν ὠμοπλάτην ἀναυξῆ τε καὶ μικρὰν καὶ προσεσταλμένην ἱκανῶς φαίνεσθαι, τὴν δ᾽ ἑτέραν ἐξέχουσάν τε καὶ προπετῆ καὶ πάντῃ μείζονα. αὗται σύμπασαι κακίαι σχημάτων ἐν θώρακι συνίστανται πλημμελείᾳ καὶ ἀμαθίᾳ τῶν τροφῶν ἀγνοουσῶν ἰσορρόπως ἐπιδεῖν. οὕτω δὲ καὶ οἱ ἰατροὶ πολλάκις, οὐκ D ὀρθῶς ἐπιδοῦντές τε καὶ διαπλάττοντες τὰ κατεαγότα κῶλα διέστρεψαν. ὥσπερ αὖ πάλιν ἐνίοτε ἐξαμαρτάνοντος τοῦ θεραπεύοντος, αὐτὸς ὁ κάμνων πρὶν ἀκριβῶς κρατυνθῆναι τὸν πῶρον ἐπιχειρήσας χρῆσθαι τῷ κώλῳ, τῆς διαστροφῆς ἑαυτῷ γίγνεται δημιουργός. ἀλλὰ καὶ θλασθέντα μόρια καθάπερ ῥίς, ἢ καὶ περιθραυσθέντα καθάπερ αἱ ἄμβωνες τῶν κοτυλῶν, ἔστιν ὅτε δὲ καὶ τῶν ὀστῶν ἐκκοπέντων ἢ σαρκὸς πλείονος εἶτ᾽ οὐκ ἴσον αὐξηθείσης ἀπόλλυσι τὸ κατὰ φύσιν σχῆμα. ἕτερος δὲ τρόπος βλάβης σχημάτων, ὁ διὰ πλησμονὴν ἄμετρον ἢ ἔνδειαν, ὥσπερ τοῖς ὑπερπαχυνθεῖσιν ἢ συντακεῖσιν ἄγαν, ἤτοι E καθ᾽ ἕν τι μόριον ἢ καὶ σύμπαντι τῷ σώματι. καὶ γὰρ οὖν καὶ ὁ ἐλέφας ὀνομαζόμενος καὶ ἡ φθόη φανερῶς ἐξαλλάττουσι τὴν μορφήν. σιμοῦται μὲν γὰρ ἡ ῥίς, καὶ τὰ χείλη παχέα, καὶ ἀπεξυσμένα τὰ ὦτα φαίνεται, καὶ τὸ σύμπαν ὅμοιοι τοῖς σατύροις οἱ ἐλεφαντιῶντες γίγνονται. ῥὶς δὲ ὀξεῖα, καὶ κρόταφοι συμπεπτωκότες, καὶ ὀφθαλμοὶ κοῖλοι, καὶ τὰ κατ᾽ ὠμοπλάτας τε καὶ βραχίονας, οἱονεὶ πτέρυγες ἔξωθεν αἰωρούμεναι τοῖς φθινώδεσι φαίνονται. καὶ διαφθείρεται μὲν ἐν τούτοις ἅπασιν κατὰ πρῶτον λόγον τὸ κατὰ φύσιν σχῆμα· κατὰ δὴ αὖ συμβεβηκὸς ἐν μὲν τοῖς F παραλελυμένοις ἢ σπωμένοις ἢ φλεγμαίνουσιν ἢ σκιρρουμένοις, ἢ νεῦρα διῃρημένοις ἢ τένοντας, ἢ ὑπὸ σκληρῶν οὐλῶν δεδεγμένοις. ἐν ἅπασι γὰρ τοῖς τοιούτοις ἑτερόρροπον γίγνεται τὸ μόριον ἄλλοτε κατ᾽ ἄλλην αἰτίαν. ἐν μὲν τοῖς κατὰ θάτερα παραλελυμένοις, ὑπὸ τῶν ἐνεργούντων μυῶν ἑλκόμενον. οὕτω δὲ κἀν τοῖς ἑτερορρόποις σπασμοῖς ὑπὸ τῶν σπωμένων. καὶ φλεγμοναὶ δὲ καὶ σκίρροι καὶ οὐλαὶ σκληραὶ καὶ πάνθ᾽ ὅσα τοιαῦτα

παθήματα τείνοντα πρὸς ἑαυτὰ τὸ συνεχές, οὕτω διαστρέφει τὸ μόριον. ἐν δ' αὖ τοῖς διατετμημένοις νεύροις καὶ τένουσιν, ὥσπερ ἐν τοῖς παραλελυμένοις, ἡ τῶν ἀντιτεταγμένων τε καὶ κατὰ φύσιν ἐχόντων ἐνέργεια πρὸς ἑαυτὴν ἐπισπᾶται τὸ μέρος. ὥστε τὰς πολλὰς ταύτας αἰτίας ἑνὶ τρόπῳ συμπάσας ὑπάγεσθαι, τῇ διαστρεφούσῃ τὸ μέρος ἑτερορρόπῳ τάσει. καὶ περὶ μὲν τῶν παρὰ φύσιν σχημάτων διαφορᾶς, ἱκανὰ καὶ ταῦτα. τὰς δ' ἐντὸς τῶν μορίων κοιλότητας, ἢ τοὺς πόρους αὐτῶν ἤτοι διαφθείρεσθαι τελέως, ἢ βλάπτεσθαι συμβαίνει, κατὰ τάσδε τὰς αἰτίας, σύμφυσιν, στενοχωρίαν, ἔμφραξιν, θλίψιν, σύμπτωσιν, ἀναστόμωσιν. ἐνίοτε μὲν γὰρ ἑλκωθείσης τῆς ἔνδον ἐπιφανείας ἐν αὐτῇ τῇ κοιλότητι, κἄπειτα συμφυέντων ἀλλήλοις τῶν ἡλκωμένων ἡ διαφθορὰ γίνεται τῆς κατὰ φύσιν διαπλάσεως. ἐνίοτε δὲ ἤτοι σαρκὸς ἐπιτραφείσης ἢ ἄλλου τινὸς παρὰ φύσιν βλαστήματος, ἢ καὶ σκίρρου συστάντος, ἢ φλεγμονῆς, ἢ ἀποστήματος ἐν αὐτοῖς τῶν ὀργάνων τοῖς σώμασι, κἄπειτα τοῦ παρὰ φύσιν ὄγκου τὴν ἐντὸς κοιλότητα καταλαβόντος, ἡ στενοχωρία γίνεται. καὶ μὲν δὴ καὶ ἡ τῶν γλίσχρων τε καὶ παχέων ὑγρῶν, καί τινων πώρων ἢ θρόμβων ἔμφραξις εἰς τὴν αὐτὴν ἄγει τὰς κοιλότητας διάθεσιν. οὕτω δὲ κἂν εἴ τι τῶν ἔξωθεν ἐμπιπτόντων θλίβοι σφοδρῶς, ἀναγκαῖον εἰς τὴν ἐντὸς κοιλότητα συνωθεῖσθαι τὰ περιέχοντα αὐτὴν σώματα. κἂν εἰ συνιζάνοι δὲ εἰς ἑαυτὰ τὰ σώματα, καθάπερ ὑπὸ τῶν στυφόντων πάσχει συναγόμενα, καὶ ὑπὸ τῶν ψυχόντων πιλούμενα, καὶ πρὸς τῶν ξηραινόντων αὐαινόμενα, στενώσει δηλονότι. κἂν τούτῳ μάλιστα μὲν τοὺς πόρους, ἤδη δὲ καὶ αὐτὰς τὰς κοιλίας. τὰ μέν γε στόματα τῶν πόρων οὐ στενοῦται μόνον, ἀλλὰ καὶ παντελῶς τυφλοῦται πολλάκις ἐν ταῖς τοιαύταις διαθέσεσιν. ἀτὰρ οὖν καὶ ἡ τῆς καθεκτικῆς ὀνομαζομένης δυνάμεως ἄμετρος κίνησις ἐσχάτως συνάγουσα καὶ σφίγγουσα τὰ στόματα τῶν πόρων, αἰτία καὶ αὕτη ποτὲ γίνεται στενώσεως. ὥσπερ γε καὶ τῆς μανώσεως, ἐνίοτε μὲν ἡ τῆς ἀποκριτικῆς δυνάμεως ἄμετρος κίνησις, αἰτία γίνεται. πολλάκις δὲ καὶ ἡ τῆς καθεκτικῆς ἀρρωστία, καί τι φάρμακον, ἢ ὕδωρ ἀναστομωτικόν, ἢ πλαδότης ἄμετρος αὐτοῖς τοῖς ὀργάνοις ἐγγινόμενος, ἢ ἡ τοῦ περιέχοντος ἡμᾶς κρᾶσις εἰς ὑγρότητά τε καὶ ἄμετρον θερμότητα μεθισταμένη. αὗται μὲν δὴ καὶ αἱ τῶν κατά τε τὰς κοιλίας καὶ τοὺς πόρους διαθέσεων αἰτίαι. καὶ δῆλον, ὡς ἐκ τῶν εἰρημένων ἤδη πρόδηλον, ὁποίας τινὰς εἶναι βούλονται τὰς αἰτίας τῶν ἐν τοῖς ὁμοιομερέσι σώμασι νοσημάτων, ὅσοι συγκεῖσθαι νομίζουσιν ἐξ ὄγκων καὶ πόρων αὐτά. ἐμοὶ δὲ περιττὸν ἐδόκει μνημονεύειν καὶ τούτων ἰδίᾳ, ψευδοῦς ὅλης τῆς ὑποθέσεως αὐτῶν οὔσης, ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, εἴπωμέν τε τῶν ὑπολοίπων νοσημάτων τὰς αἰτίας, ἀπὸ τῆς κατὰ τὴν διάπλασιν αὖθις ὑπαρξάμενοι γένους. ὑπελείπετο δὲ ἐν αὐτῷ διττὴ νοσημάτων γένεσις, ἤτοι τραχυνομένων παρὰ φύσιν, ἢ λεαινομένων τῶν ὀργάνων. τραχύνεται δὴ τὰ πρότερον λεῖα. καὶ λεῖα γίνεται τὰ πρότερον τραχέα. τὰ μὲν ὑπὸ δριμύτητος χυμῶν ἢ φαρμάκων ῥυπτόμενα. τὰ δ' ὑπὸ λιπαρᾶς ὑγρότητος ἢ γλίσχρου χυμοῦ τεγγόμενα. καὶ μάλιστα ἐν ὀστοῖς ἐναργῶς φαίνεται ταῦτα γινόμενα, ποτὲ μὲν ὑπὸ αὐτῶν τῶν ἰατρῶν οὐ δεόντως ἰωμένων, ἔστιν ὅτε δὲ καὶ ἐξ αὐτῆς τῆς ἐν τοῖς ζώοις ὑγρᾶς ὁρμᾶται φύσεως. ὀφθαλμοῖς δὲ καὶ φάρυγγι τραχύτητες οὐκ ἐκ τούτων μόνον ἀλλὰ καὶ ἐξ ἀτμῶν δριμέων, ἢ κονιορτοῦ καὶ καπνοῦ προσγίνονται.

se proximam tendunt; sic partem peruertunt. In neruis autem & tendonibus dissectis, quemadmodum in resolutis, & oppositorum & secundum naturam se habentium actio partem ad se attrahit. Quare hæ plures causæ ad vnã omnes reducuntur, inæqualẽ *nimirum* tensionem, quæ partem aliorsum vrgendo peruertit. Atque de figurarum præter naturã differentiis hæc dixisse sufficiat. Immersas autem partibus cauitates, earumque meatus vel omnino interire, vel oblædi contingit eas ob causas, coalitum, coarctationem, obstructionem, constrictionem, subsidentiam, & apertionem. Interdum enim vlceratã cauitatis interiore superficie, ac deinceps coalescentibus vlceratis partibus, conformationis naturalis euersio oboritur. Interdum verò quum aut caro excreuit, aut aliud quoddam præter naturam tuberculum, aut scirrhus constitit, aut phlegmone, aut abscessus in ipsis organorum corporibus, ac deinde tumor præter naturam internam cauitatem occupat, loci coarctatio oritur. Quin etiam *interdum* obstructio ob lentos ac crassos humores, vel ob callos aliquos, vel grumos orta, ad eundem affectum cauitates ducit. Ita verò si quid extrinsecus incidens vehementer comprimat, corpora cauitatem continentia ad ipsam interiorem simul impelli necesse *est*. Quod si subsideant in se ipsa corpora, vt quum ab astringentibus coguntur, aut à refrigerantibus densantur, aut ab exiccantibus exarescunt, ipsos quidem meatus imprimis, deinde & ipsos ventres omnino constipabunt. Equidem meatuum oscula non solùm constipantur sub huiusmodi affectibus, verùm etiam multoties occæcantur. Sed & retentricis, quam appellant, facultatis motus immoderatus, quum meatuum oscula ad extremum cogit constringitque, constipationis causa redditur; quemadmodum & laxationis interdum, immoderatus excretricis facultatis motus, causa fit. Sæpe quoque retentricis imbecillitas, & medicamentum aut aqua aperiens oscula, aut quæ mollities ipsis accidit organis, aut quæ ambientis nos *aëris* temperies ad humiditatem & caliditatem immodicã permutatur. Hæ quidem ipsæ sunt affectuum tum meatus tum ventres obsidentium causæ. Atque manifestum *est*, vt ex iam commemoratis patet, quas & quales velint esse causas morborum similaribus corporibus insidentium, qui ipsa ex aceruis ac meatibus construi arbitrantur. Mihi verò superuacaneum videtur de his priuatim mentionem facere, quum tota eorum suppositio falsa sit. Sed ad propositum reuertamur reliquorumque morborum causas explicemus, à conformationis genere rursus exordientes. Superest duplex morborum species, asperitas præter naturam organorum & læuitas. Asperantur autem *organa*, quæ priùs erant læuia; & læuigantur, quæ priùs erant aspera. Illa quidem ab acrimoniâ humorum aut medicamentorum detersa; hæc verò à pingui humiditate aut lento humore irrigata. Atque potissimùm in ossibus hæc manifestè oboriri conspiciuntur, quum interdum non decenter ab ipsis medicis curantur; interdum etiam ex humorum animalium corpora irrorantium naturâ ortum ducunt. Oculis autem & faucibus asperitates non ab his tantùm, sed etiam ab acribus vaporibus, aut puluere, & fumo contingunt, quem-

quemadmodum, arbitror, & stomacho, & ventriculo, & intestinis, à procreatis in ipso corpore excrementis, atque ab eorum quæ eduntur, & bibuntur qualitate; inter quæ etiam venena sunt. Liquet autem exasperantium causarum singulas, quum valentiores fuerint, in partibus quidem carnosis vlcerationem aliquam aut erosionem, in ossibus verò cariem inducere. Hæ itaque primi morborum generis conformationis causæ *explicatæ* sunt.

καθάπερ, οἶμαι, καὶ στομάχῳ, καὶ γαστρὶ, καὶ ἐντέροις ἔκ τε τῶν ἐν αὐτῷ τῷ σώματι γεννωμένων περιττωμάτων, κἀκ τῆς τῶν ἐσθιομένων τε, καὶ πινομένων ποιότητος, ἐν οἷς ἐστι, καὶ τὰ δηλητήρια. πρόδηλον δ' ὡς ἕκαστον τῶν τραχυνόντων αἰτίων σφοδρότερον γιγνόμενον, ἑλκῶσιν μέν τινα ἢ διάβρωσιν ἐν τοῖς σαρκώδεσι μορίοις, ἐν τοῖς ὀστοῖς δὲ τερηδόνας ἀπεργάζεται. αὗται μὲν οὖν αἱ τοῦ πρώτου γένους τῶν νοσημάτων, τοῦ παρὰ τὴν διάπλασιν, αἰτίαι.

CAPVT VIII.

De causis morborum organicorum in genere numeri.

IN secundo autem ipsius genere, quod ad numerum pertinet, si perierit pars aliqua quæ secundum naturam *adesse debuit*, aut sectio quædam, aut putrefactio, aut vehemens perfrigeratio præcessit. At causæ quidem perfrigerationis priùs explicatæ sunt. Putrent autem nonnulla à medicamentis putrefaciendi facultate præditis, aut ab iis quæ in ipsis animalibus generantur excrementis; quædam ab iis quæ transpirationem prohibent. Atque prohibitæ transpirationis antecedentes causæ priùs enarratæ sunt. Quod si quid eorum, quæ secundum naturam adsunt, ad nascatur, equidem morbus est qui ad numerum partium spectat; sed si quod supercreuit, formam naturalem obtineat, vtilis materiæ copia, causa est; at si præter naturam, erit quoque materiæ qualitas præter naturam. Facultas verò in vtrisque robusta sit oportet, aliàs neque quod vtile est conformasset, neque quod vitiatum erat, extrusisset. Conformat autem in conceptibus, quum aut sextum digitum, aut quid aliud eiusmodi construit; in iam adultis autem, quum exulceratis partibus validas carnes excrescere molitur, vt in oculis pterygium. Deponit verò superuacaneum in gangliis, meliceridibus, steatomatis, atheromatis, ac in eiusmodi omnibus.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ αἰτίων τῶν νοσημάτων ὀργανικῶν ἐν τῷ κατ' ἀριθμὸν γένει.

ΤΟῦ δευτέρου δὲ αὐτοῦ παρὰ τὸν ἀριθμὸν, εἰ μὲν ἀπόλοιτό τι τῶν κατὰ φύσιν, ἤτοι τομή τις, ἢ καῦσις, ἢ σῆψις, ἢ ψύξις ἰσχυρὰ προηγεῖται. τὰ μὲν οὖν τῆς ψύξεως αἴτια προείρηται. σήπεται δὲ τὰ μὲν ὑπὸ τῶν σήπειν πεφυκότων φαρμάκων, ἢ τῶν ἐν αὐτοῖς τοῖς ζώοις γεννωμένων περιττωμάτων· τὰ δ' ὑπὸ τοῦ μὴ διαπνεῖσθαι· προείρηται δὲ καὶ τὰ τοῦ μὴ διαπνεῖσθαι προηγούμενα. εἰ δὲ τῶν οὐκ ὄντων τι κατὰ φύσιν ἐπιγίγνοιτο, νόσος μὲν καὶ τοῦτ' ἐστὶ, παρὰ τὸν ἀριθμὸν τῶν μορίων. ἀλλ' εἰ μὲν τῆς κατὰ φύσιν ἰδέας ἔχοιτο τὸ ἐπιγιγνόμενον, ὕλης χρηστῆς πλῆθος, αἴτιον· εἰ δὲ τῆς παρὰ φύσιν, εἴη ἂν καὶ ἡ τῆς ὕλης ποιότης παρὰ φύσιν. ἔρρωται δ' ἐν ἀμφοῖν ἡ δύναμις, ἢ οὐκ ἂν οὔτε διέπλαττε τὸ χρηστὸν, οὔτ' ἀπέτριβε τὸ μοχθηρόν. διαπλάττει μὲν οὖν ἐν ταῖς κυήσεσιν, ἐπειδὰν ἑξαδάκτυλον ἤ τι τοιοῦτον ἕτερον ἀπεργάσηται· κἀν τοῖς ἤδη τελείοις, ἐπειδὰν ἐπιτρέφῃ σάρκας ἰσχυρὰς τοῖς ἑλκωμένοις μορίοις, ὡς πτερύγιον τοῖς ὀφθαλμοῖς. ἀποτίθεται δὲ τὸ περιττὸν, ἐν γαγγλίοις τε καὶ μελικηρίσι, καὶ στεατώμασι, καὶ ἀθερώμασι, καὶ τοῖς τοιούτοις ἅπασι.

CAPVT IX.

De causis morborum organicorum in genere magnitudinis.

PRæterea verò magnitudo partium augetur ab vtilis materiæ copia, & facultatis robore; minuitur autem à contrariis causis, quum aut sectio aliqua, aut vstio, aut putredo, aut ab immoderatâ perfrigeratione interitus aliquam organi partem adeo corrumpit, vt ipsius residuum, mutilum maneat.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ αἰτίων τῶν νοσημάτων ὀργανικῶν ἐν τῷ κατὰ μέγεθος γένει.

ΚΑΙ μὲν δὴ καὶ τὸ μέγεθος τῶν μορίων, αὐξάνεται μὲν ὑπό τε πλήθους ὕλης χρηστῆς, καὶ δυνάμεως ἐρρωμένης. μειοῦται δὲ ὑπὸ τῶν ἐναντίων, κἀπειδὰν ἤτοι τομή τις, ἢ καῦσις, ἢ σῆψις, ἢ νέκρωσις ἐκ καταψύξεως ἀμέτρου διαφθείρῃ τινὸς ὀργάνου μόριον, ὡς εἶναι τὸ λειπόμενον αὐτοῦ κολοβόν.

CAPVT X.

De causis morborum organicorum in genere situs.

IN situs vero genere morbi nonnulli causas habent, repentinos ac vehementes, qui præcesserint, motus; nonnulli ob humiditatis incõmoderationẽ in articulis oboriuntur, quæ ligamenta & madefacit, & laxat, totámque dearticulationem præ lentitia lubricâ labilémque reddit; Quibusdam autem quòd acetabulorum supercilia confracta fuerint, prompta fit *elapsis* capitibus crurum alternatio; nonnullis verò quòd

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ αἰτίων τῶν νοσημάτων ὀργανικῶν ἐν τῷ τῆς θέσεως γένει.

ΤΑ δ' ἐν τῷ τῆς θέσεως γένει νοσήματα, τινὰ μὲν ἐξαιφνιδίους τε καὶ σφοδρὰς ἔχει προηγουμένας κινήσεις· τινὰ δὲ δι' ἀμετρίαν τῆς ἐν τοῖς ἄρθροις ὑγρότητος γίγνεται, τεγγούσης μὲν τοὺς συνδέσμους καὶ χαλώσης, ὀλισθηρὰν δὲ τῇ γλισχρότητι τὴν ὅλην διάρθρωσιν ἐργαζομένης. ἐνίοις δὲ τῶν ἀμφὶ τὰς κοτύλας ὀφρύων περιθραυσθεισῶν, ἑτοίμη τῶν κεφαλῶν τῶν κώλων ἡ παράλλαξις γίγνεται. τισὶ δ' εὐθὺς ἐξ

ἀρχῆς ὑπτίαι τε καὶ περιπετεῖς εἰσὶ καὶ παντάπασιν ἐπιπολῆς αἱ κοτύλαι. ταυτὶ μὲν οὖν ἅπαντα τῶν ἐξαρθρημάτων αἴτια. κατὰ δὲ τὰς ἐντεροκήλας τε καὶ τὰς ἐπιπλοκήλας ὀνομαζομένας ἀνευρύνεσθαι μὲν τοὐπίπαν, ἔστιν ὅτε δὲ καὶ ῥήγνυσθαι συμβαίνει τὸν ἀπὸ τοῦ περιτοναίου καθήκοντα πόρον ἐπὶ τοὺς ὄρχεις, εἶθ' οὕτως εἰς αὐτὸν τὸν πόρον, ἢ εἰς τὸν ἐρυθροειδῆ χιτῶνα κατολισθαίνειν ἤτοι τὸ ἐπίπλοον, ἢ καί τι τῶν ἐντέρων. ἐξίσταται δὲ τῆς οἰκείας θέσεως ἔντερα, κἀπειδὰν τοῦ περιτοναίου διαιρεθέντος περιπέσῃ. καὶ πνεύμονος δὲ λοβὸς ἐπὶ ταῖς τοῦ θώρακος τρώσεσιν ἐκπίπτει πολλάκις. καὶ ὁ ῥαγοειδὴς χιτὼν ἐπὶ πλεῖστον χαλᾶται, διαβρωθέντος τοῦ κερατοειδοῦς. εἰ δὲ καὶ τῶν σπλάγχνων ὑποπτύσσεταί τις ἐνίοτε λοβὸς ἐπὶ σφοδραῖς καταπτώσεσιν, ἢ θλίψεσιν, εἴη ἂν καὶ τοῦτο τὸ νόσημα τῆς τε θέσεως ἅμα καὶ τοῦ σχήματος ἡ παραλλαξις ἐπὶ ταῖς εἰρημέναις αἰτίαις γιγνόμενον. ἡ δὲ πρὸς τὰ παρακείμενα μόρια κοινωνία διαφθείρεται, συμφυόντων τινῶν ἀλλήλοις οὐ δεόντως, ἢ τινος ἀρτήματος, ἢ δεσμοῦ χαλασθέντος, ἢ συνταθέντος, ἢ ἀπορραγέντος. ἐκ τίνων δ' ἕκαστον τούτων γίγνεται προφάσεων, εὔδηλον.

A quamprimum ab initio supina & procumbentia & penitus in superficie sint acetabula. Hæc igitur omnia luxationum causæ sunt. In enterocelis, quas appellant, & epiplocelis, laxari omnino, nonnunquam & rumpi eum meatum contingit, qui à peritonæo ad testiculos procedit; sic quoque dein ad ipsum meatum, aut ad tunicam erythroidem, aut omentum, aut aliquod intestinum prolabitur. Decedunt etiam de proprio situ intestina, quum dissecto peritonæo deciderint. Pulmonis quoque lobus multoties in thoracis vulneribus excidit. Et ob erosam corneam, B vuea tunica plurimùm laxatur. Præterea si viscerum lobus interdum aliquis ob vehementes lapsus, aut compressiones complicetur, erit quoque is morbus & situs simul, & figuræ immutatio, à commemoratis causis factus. In vicinis autem partibus societas deprauatur, quum quædam inter se ineptè coalescunt, aut quum aliquod appendiculum, vel vinculum laxatur, vel intenditur, vel abrumbitur. Ex quibus autem causis hi singuli morbi oriantur, declaratum est.

C

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ αἰτίων τῶν νοσημάτων τῶν τοῖς τε μορίοις ὁμοιομερέσι καὶ τοῖς ὀργανικοῖς κοινῶν, εἴτε τῆς συνεχείας λύσεως.

Ἑνὸς δ' ἔτι γένους νοσήματος κοινοῦ πάντων τῶν μορίων, εἴτ' οὖν ὁμοιομερῆ τε καὶ ἁπλᾶ τελέως, εἴτε καὶ σύνθετα εἴη, τὰς αἰτίας τῆς γενέσεως εἰπεῖν χρή. καλεῖν μὲν οὖν εἴωθα τὸ γένος τοῦτο σύμπαν, ἑνώσεως λύσιν, ἢ διαφθορὰν ἑνώσεως, ἢ συνεχείας λύσιν, ἢ ὅπως ἂν ἄλλως ἐλπίσω τὸν λόγον σαφῆ ἔσεσθαι τοῖς ἀκούουσιν. οὐδὲν γὰρ ὄνομα κατ' αὐτοῦ κείμενον ὑπὸ τῶν ἔμπροσθεν παρελάβομεν, ὥσπερ ἐπὶ τινῶν εἰδῶν αὐτοῦ, κάταγμα μὲν καὶ τερηδόνα, τὸ ἐν ὀστῷ συνεχείας διαφθειρομένης, ἕλκος δὲ καὶ τραῦμα, τὸ ἐν σαρκί. κατὰ μέν γε τὰ τῆς κεφαλῆς ὀστᾶ καὶ πλείω τὰ ὀνόματα. τὸ μὲν γὰρ ὥσπερ ἐν τοῖς ἄλλοις ὀστοῖς κάταγμα, ῥωγμή τε καὶ ῥῆξις προσαγορεύεται. τὸ δ' ὑπό τινος ὀξέος ἐμπεσόντος αὐτοῖς καὶ διακόψαντος, ἐκκοπή τε, καὶ διακοπή, καὶ ἕδρα. τὸ δὲ τῆς τερηδόνος ὄνομα, πλεονάζειν δοκεῖ τῷ .ε. στοιχείῳ. παρὰ γὰρ τὸ τρῆμα συγκεῖσθαι πεπίστευται, καθάπερ τρηδών τις οὖσα. καὶ γὰρ μὲν ὑπὸ δριμέων χυμῶν διαβιβρωσκόντων, ὑποπίπτει δὲ κατ' ἀρχὰς μὲν ἑτέρῳ γένει νοσήματος. ὀστοῦ γοῦν τραχύτης μᾶλλον ἢ τερηδὼν ὀνομάζεται. μείζονος δὲ τοῦ τρήματος γενομένου καὶ οἷον ὀπῆς τινος ἤδη φαινομένης, τερηδὼν ὀνομάζεται. καὶ μὴν καὶ τὸ θλάσμα τούτου τοῦ γένους ἐστίν, ἐν μὲν τοῖς σαρκώδεσιν ὡς τὰ πολλὰ μέρεσι γιγνόμενον, ἔστιν ὅτε δὲ κἂν τοῖς τῆς κεφαλῆς ὀστοῖς, ἐπὶ παίδων μάλιστα. δεῖ μὲν γὰρ τὸ εἴκειν εἰς ἑαυτὸ πάντως τὸ θλασθησόμενον, δεῖ δὲ αὐτὸ τοῦτο μαλακὸν εἶναι, καὶ μὴ τελέως σκληρόν. ὥς τε τῶν σαρκωδῶν ἔσται μορίων καὶ τῶν ἁπαλῶν ὀστῶν ὑπό τινος ἐμπεσόντος ἔξωθεν αὐτοῖς βιαίως ἰσχυροῦ τε καὶ σκληροῦ σώματος. ὅταν οὖν ἡ ἔξωθεν ἐπιφανείας τοῦ παθόντος οὕτω μορίου συνεχὴς ἔτι φυλάττηται, ἐν τῷ βάθει γίνωνται πολλαὶ καὶ σμικραὶ διαιρέσεις, θλάσμα τε καὶ θλάσις ὀνομάζεται τὸ νόσημα. κοιλότητος δέ τινος ἐμφαινομένης, ἣν ὁ πλῆξαν ἐναπειργάσατο τῷ θλασθέντι, καλεῖται τὸ πάθος ἔνθλασις.

CAPVT XI.

De causis morborum partibus similaribus & organicis communium, siue solutionis continui.

AT vnius adhuc generis morbi omnibus partibus (siue similares, ac omnino simplices, siue compositæ existant) communis causæ effectrices sunt explicandæ. Equidem hoc vniuersum genus vnitatis solutionem vocare consueui, aut vnitatis corruptionem, aut continui D solutionem, vel quomodocunque aliter, prout sperauerim sermonem auditoribus fore perspicuum. Nullum enim nomen aliquod à maioribus huic impositum accepimus, quemadmodum nonnullis eius speciebus, fracturam quidem, & cariem *vocitant*, solutam in osse continuitatem; in carne verò, vlcus, ac vulnus. In ossibus autem capitis plura etiam sunt nomina. Nam vt in cæteris ossibus, *sic in his* fractura, & fissura, & ruptura vocatur. Quæ verò ab acuto quodam ipsis occursante *ferro* atque incidente fit, excisio & incisio, & sedes. Nomen autem τερηδόνος, *id est*, E *cariei*, ε litera abũdare videtur; nam παρὰ τὸ τρῆμα *hoc est, a foramine* deriuari creditur, ac si teredon .i. *perforatio* quædam, existat, quæ ab acribus humoribus erodentibus fit, ac in principio quidem cadit sub aliud morbi genus, & ossis asperitas potiùs quàm caries nominatur; maiori autem perforatione facta, & tanquam foramine quodam apparente, caries appellatur. Et quidem huius generis est collisio, quæ in carnosis plerunque fit partibus, nonnunquam verò & in ossibus capitis, in pueris maximè; nam in seipsum prorsus cedat F oportet quicquid colliditur; idque ipsum molle esse oportet, non autem absolutè durum; quare carnosarum erit partium tenerorúmque ossium, ab aliquo extrinsecus incidente violenter, & valido & duro corpore *collidi*. Quum igitur externa partis ita affectæ superficies continuitatem etiamnum seruat, & in profundo multæ & exiles fiunt diuisiones, collisio, & contusio hic morbus nominatur. At apparente aliqua cauitate, quam parti collisæ percutiens *corpus* impresserit, hic affectus illisio vocatur.

Igitur

Igitur necessarium omnino est collisam partem sub ipso ictu in sese compelli, & concauam fieri, aliàs non collideretur: seruari verò cauitatem abeunte causâ efficiente, necessarium non est. Mollia siquidem omnia, sublatâ causâ feriente, ad pristinum statum plerunque redeunt. Si verò non solùm intrò cesserit os capitis, verùm etiam ruptura quædam in exteriori superficie accesserit, iam compositus erit eiusmodi morbus, neque vllum ei nomen priscum ipsi impositum habemus. Quamobrem oratione potiùs explicandus est, quàm nominibus vti summè barbaris, qualia multa à iunioribus medicis vsurpata sunt. Cæterùm continuitatis solutio etiam est tum ruptura, tum conuulsio, hæc in neruosâ, illa in carnosâ parte consistens. Horum verò generationis est causa, repentinus quidam vel inæqualis vehemensque motus, ac tum præcipuè quum neque perfricta, neque æquabilia *reddita*, neque calefacta, neque emollita, ad motus aguntur corpora. Diuelluntur enim in eiusmodi affectibus plurimæ eorum partes, atque vt summatim dicam, omnes huius generis morborum causæ aut extrinsecùs irruunt, aut ex ipso corpore *oriuntur*. Extrinsecus quidem *adueniunt*, quæ vulnerare ac collidere queunt. Ex ipso corpore, immoderati ac incompositi animalis motus, & quædam humorum prauitates erodendi facultate præditæ. Hæ nanque sunt causæ morbi omnibus partibus communis, tum simplicibus ac primis quæ similares appellantur, tum ex iis compositis, quę & organicæ & organa dicuntur. Compositorum verò morborum causas non arduum est inuenire, quum ex iam commemoratis componantur. Quare quum quis hoc desiderauerit, potest sibi hanc causarum copiam parare. Sed tempus me compellit huic libro finem imponentem, de symptomatum differentiis deinceps disserere.

A ἀνάγκη μὲν οὖν ἅπασα καὶ αὐτὴν τὴν πληγὴν εἰς ἑαυτὸ συνωθεῖσθαι, καὶ κοῖλον γίγνεσθαι τὸ θλώμενον, ἢ οὐκ ἂν ἐνθλασθείη. διασώζεσθαι δὲ τὴν κοιλότητα τοῦ δρῶντος ἀπελθόντος, οὐκ ἔτ' ἀναγκαῖον. ἐπανέρχεται μὲν ὡς τὸ πολὺ τὰ μαλακὰ σύμπαντα, χωρισθέντος τοῦ πλήξαντος, εἰς τὴν ἀρχαίαν κατάστασιν. εἰ δὲ μὴ μόνον εἴσω χωρήσειε τὸ τῆς κεφαλῆς ὀστοῦν, ἀλλὰ καὶ ῥῆξίς τις αὐτῷ προσγένοιτο κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν σύνθετον ἤδη τὸ τοιοῦτον, καὶ οὐδὲν

B ὄνομα κατ' αὐτοῦ κείμενον ἔχομεν εἰπεῖν παλαιόν. ἀλλὰ χρὴ λόγῳ δηλοῦν αὐτὸ μᾶλλον, ἤπερ ὀνόμασιν ἐσχάτως χρῆσθαι βαρβάροις, οἷα πολλὰ τοῖς νεωτέροις ἰατροῖς ἐξεύρηται. συνεχείας δ' ἐστὶ λύσις, καὶ τὸ ῥῆγμα, καὶ τὸ σπάσμα. τὸ μὲν ἐν σαρκώδει μορίῳ, τὸ δ' ἐν νευρώδει συνιστάμενον. αἰτία δὲ καὶ τούτων τῆς γενέσεως, ἐξαίφνιδιός τις, ἢ ἀνώμαλος, καὶ ἡ σφοδρὰ κίνησις, καὶ μάλιστα ὅταν ἀτρίπτά τε, καὶ ἀνώμαλα, καὶ ἀθέρμαντα, καὶ ἀμάλακτα πρὸς τὰς κινήσεις ἄγηται τὰ σώματα. διασπᾶται γὰρ ἐν

C ταῖς τοιαύταις διαθέσεσι πολλὰ τῶν ἐν αὐτοῖς μορίων. συνελόντι δὲ φάναι, πάντα τὰ τοιούτου γένους τῶν νοσημάτων αἴτια, τὰ μὲν ἔξωθεν ὁρμᾶται, τὰ δὲ ἐξ αὐτοῦ τοῦ σώματος. ἔξωθεν μὲν ὅσα τιτρώσκειν, ἢ θλᾶν πέφυκεν. ἐξ αὐτοῦ δὲ τοῦ σώματος, ἄμετροί τε, καὶ ἄτακτοι κινήσεις τοῦ ζώου, καὶ τινες ὑγρῶν μοχθηρίαι διαβιβρώσκειν πεφυκυῖαι. τοιαῦται γάρ τινες αἰτίαι, καὶ αἱ τοῦ κοινοῦ νοσήματος ἁπάντων τῶν μορίων, τῶν θ' ἁπλῶν, καὶ πρώτων, ἃ δὴ καὶ ὁμοιομερῆ καλεῖται, καὶ τῶν ἐξ ἐκείνων συντιθεμένων, ἃ δὴ ὄργανά

D τε καὶ ὀργανικὰ προσαγορεύεται. τὰς δὲ τῶν συνθέτων νοσημάτων αἰτίας οὐδὲν ἔτι χαλεπὸν ἐξευρίσκειν ἐκ τῶν εἰρημένων συντιθεμένας. ὥστ' ἐπὶ τοῦτο βουληθεὶς ἕκαστος, ἑαυτῷ δυνατός ἐστιν ἐκπορίζεσθαι. καιρὸς δ' ἂν εἴη μοι καὶ τοῦτον ἤδη τὸν λόγον ἐνταυθοῖ καταπαύσαντι, περὶ τῆς τῶν συμπτωμάτων διαφορᾶς ἐφεξῆς διελθεῖν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΣΥΜΠΤΩΜΑΤΩΝ ΔΙΑΦΟΡΑΣ ΒΙΒΛΙΑ ΤΡΙΑ. ΠΡΩΤΟΝ.

GALENI DE SYMPTOMATVM DIFFERENTIIS LIBRI TRES. PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩ ΒΙΒΛΙΩ.

Συμπάσας τὰς τῶν συμπτωμάτων διαφορὰς ἐκδιηγεῖται.

ARGVMENTVM LIBRI.

Differentias omnes symptomatum explicat.

E

CAPVT I.

Quid sanitas, quid morbus, affectus, pathos, quid causa per se, & per accidens, & quid symptoma.

QVINAM, & quot vniuersi morbi sint, tum simplices, tum compositi, in genera ac species à nobis diuidentibus, quot etiam singulorum generationis sint causæ, aliis in commentariis con-

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ὑγεία, τί τὸ νόσημα, τί ἡ διάθεσις, τί πάθος, τί ἡ καθ' αὑτὸν αἰτία, καὶ ἡ κατὰ συμβεβηκός, καὶ τί τὸ σύμπτωμα.

ΤΙΝΑ μέν ἐστι καὶ πόσα τὰ σύμπαντα νοσήματα, κατ' εἴδη τε, καὶ γένη διαιρουμένοις ἁπλᾶ τε καὶ σύνθετα, ὁπόσαι τε καθ' ἕκαστον αὐτῶν αἰτίαι τῆς γενέσεως, ἐν ἑτέροις προ-

μασι γέγραπται. λοιπὸν δ' ἂν εἴη περὶ τῶν συμπτωμάτων διελθεῖν, ἵν' ᾖ τέλειος ὁ περὶ πασῶν τῶν παρὰ φύσιν διαθέσεων λόγος. ἅπασα γὰρ οὖν διάθεσις σώματος ἐξισταμένη τοῦ κατὰ φύσιν, ἤτοι νόσημά ἐστιν, ἢ αἰτία νοσήματος, ἢ σύμπτωμα νοσήματος, ὅπερ ἔνιοι τῶν ἰατρῶν ἐπιγέννημα καλοῦσιν. ἀλλὰ τοῦτο μὲν οὐ πάνυ σύνηθές ἐστι τοῖς Ἕλλησι τοὔνομα, σύμπτωμα δὲ καὶ πάθημα, καὶ πάθος ὀνομάζουσι συνήθως ἅπαντα τὰ τοιαῦτα. σημαίνεται μὲν οὖν οὐ πάντη ταὐτὸν ἐκ τῶν ὀνομάτων, ἀλλ' ὡς ἐγὼ νῦν διαιρήσω περὶ πάντων ἐφεξῆς τῶν παρακειμένων ἀλλήλοις κατὰ τόνδε τὸν τρόπον ἐπεξιών. ἡ μὲν δὴ νόσος εἴρηται κατασκευή τις οὖσα παρὰ φύσιν, ὑφ' ἧς ἐνέργεια βλάπτεται πρώτως. δῆλον δὲ ὡς εἰ καὶ διάθεσιν τινα εἴποιμεν παρὰ φύσιν, ὑφ' ἧς ἐνέργεια βλάπτεται, ταὐτὸν ἐροῦμεν. ἕκαστον γὰρ τῶν ὄντων διάκειταί πως, εἴθ' ὑγιεινὸν, εἴτε νοσῶδες, εἴτε μηδέτερον ὑπάρχει. παρὰ δὲ τὸ διακεῖσθαί πως τὸ τῆς διαθέσεως ὄνομα γέγονεν, εἰς ταύτην ἠγμένον τὴν χρῆσιν οὐχ ὑπὸ τῶν φιλοσόφων μόνον τῶν παλαιῶν, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων. ἡ μὲν οὖν διάθεσις κοινὸν ἁπάντων, ὑγιαινόντων, καὶ νοσούντων, καὶ οὐδετέρως ἐχόντων. καὶ γὰρ καὶ μέλους, καὶ ἁρμονίας, καὶ λόγου, καὶ λέξεως διάθεσις εἴρηται παρὰ τοῖς Ἕλλησιν. ἡ νόσος δὲ τὸ ἐναντίον τῇ ὑγιείᾳ. διαφέρει δὲ ἀμφοῖν τὸ πάθος τε καὶ πάθημα προσαγορευόμενον, ὥσπερ δὴ καὶ Πλάτων αὐτὸς διοριζόμενος ἔλεγε· πᾶν γὰρ ὅ τι περ ἂν πάσχῃ τις πάθος προσρητέον. ὅθεν οἶμαι καὶ τὰς τῶν αἰσθήσεων ἀλλοιώσεις παθήματα προσαγορεύει, κατὰ μὲν τὴν ὄψιν, τὰς ἀπὸ λευκοῦ, καὶ μέλανος, καὶ ξανθοῦ, καὶ τῶν ἄλλων χρωμάτων, κατὰ δὲ τὴν ἁφὴν, τὰς ἀπὸ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, καὶ σκληροῦ, καὶ μαλακοῦ, καὶ τῶν τοιούτων ἁπάντων. οὕτω δὲ καὶ καθ' ἑκάστην τῶν ἄλλων αἰσθήσεων. ὀνομάζει δὲ καὶ τὴν ἡδονὴν πάθημα, καὶ ὅλως ἅπασαν κίνησιν ἥντινα οὖν τὴν ὑφ' ἑτέρου γινομένην ἐν ἑτέρῳ. ἡ μὲν γὰρ τοῦ ποιοῦντος κίνησις ἐνέργεια, πάθημα δὲ καὶ πάθος, ἡ τοῦ διατιθεμένου πως ὑπ' αὐτοῦ. καὶ γὰρ καθόλου τὸ διατίθεσθαί πως ταὐτόν τῷ πάσχειν ἐστί. καὶ διώρικε τῆς διαθέσεως τὸ πάθημα κινήσει. παυσαμένης γὰρ τῆς ἀλλοιώσεως, ἡ περὶ τὸ παθὸν ἀλλοίωσις ὑπομένουσα, διάθεσίς ἐστι τοῦ παθόντος. ὥστε ἐν αὐτῷ μὲν τῷ τρέπεσθαι, καὶ μεταβάλλεσθαι, καὶ ἀλλοιοῦσθαι, καὶ κινεῖσθαι τὸ πάθος ἔχει τὴν γένεσιν. ἐν δὲ τῷ μένοντι, καὶ σωζομένῳ περὶ τὸ ὑποκείμενον σῶμα, τὴν διάθεσιν. ἤδη δὲ καὶ μένουσαν διάθεσιν οἱ Ἕλληνες ὀνομάζουσι πάθος. ὥσπερ καὶ τὸ πεποιηκὸς, οὐκ ἔτι δὲ ποιοῦν αἴτιον. καίτοι γε οὐδὲ τοῦτο ἁπλῶς αἴτιον, οὐδ' ἡ μένουσα διάθεσις ἁπλῶς ἐστι πάθος, ἀλλὰ καὶ αὕτη κατά γε τὸν ἀκριβῆ λόγον, γεγονὸς μὲν πάθος ἐστὶν, οὐ γινόμενον δ' ἔτι. ὅτι δὲ οὕτως συνήθως ὀνομάζειν τοῖς Ἕλλησιν, ἐν τῇ περὶ τῶν ἰατρικῶν ὀνομάτων πραγματείᾳ δέδεικται. καὶ χρὴ μεμνημένους ὅπερ ἀεὶ λέγεται πρὸς ἡμῶν, ὑπὲρ μὲν τῶν ὀνομάτων, ὅτι τάχιστα συντίθεσθαι πρὸς ἀλλήλους, ἐπὶ δὲ τὰ πράγματα σπεύδειν αὐτὰ, καὶ διατρίβειν τε, καὶ χρονίζειν ἐν ἐκείνοις. ἀλλ' οἱ πλεῖστοι τῶν πεπαιδεῦσθαι φασκόντων ἔμπαλιν δρῶσιν, ἅπαντα κατατρίβοντες τὸν ἑαυτῶν βίον εἰς τὴν περὶ τῶν ὀνομάτων ἔριν, ὡς μηδέποτε δυνηθῆναι τοῦ τέλους τῆς τέχνης ἐφικέσθαι. τί δὴ οὖν χρὴ ποιεῖν τὸν ἀληθείας ἐραστήν; ἐπιδείκνυσθαι τὰ παραπλήσια ταῖς ἀλλήλων φύσεσι πράγματα, καὶ διὰ τοῦτο παρεωραμένα, κἄπειτα τίθεσθαι κατὰ τούτων τὰ ὀνόματα, μάλιστα μὲν, εἰ οἷός τε εἴη, τὰ συνήθη τοῖς Ἕλλησιν. εἰ δ' ἀγνοεῖ

scriptum est. Reliquum est de symptomatis disserere, quò de affectibus omnibus, qui præter naturam sunt, integrum reddatur opus. Omnis igitur corporis affectus à naturali statu decedens, aut morbus est, aut morbi causa, aut morbi symptoma, quod epigenema. i. *cōsectarium* quidam Medici vocitant. Verùm non admodum id nomen Græcis consuetum est, sed symptoma, & pathema, & pathos, hæc omnia pro consuetudine nominant. Non idem tamen omnino his vocabulis significatur, sed nunc ego de omnibus ordine inter se dispositis distincturus, ad hunc modum dissero. Equidem morbus definitur constitutio quædam præter naturam, à quâ primùm actio læditur. Constat autem & si eum esse affectum quendam præter naturam dixerimus, à quo actio læditur, nos idem dicturos. Nam quicquid est, siue sanum, siue ægrum, siue neutrum sit, aliquo modo afficitur. A διακεῖσθαι verò i. *affici*, διάθεσις i. *affectus* nomen quodammodo deriuatum est in hunc vsum non ab antiquis solùm philosophis, sed etiam aliis Græcis ductum. Enimuerò affectus generatim omnibus tum sanis, tum ægris, tum neutro modo se habentibus est commune. Etenim & cantus & harmoniæ, & orationis, & dictionis affectio à Græcis dicitur. Morbus autem sanitati contrarium: differt autem ab vtroque, quod pathos, & pathema nominatur (vt etiam Plato ipse definiens proferebat) *quicquid aliquis perpessus fuerit, pathos i. passio appellandum est.* Vnde, arbitror, sensuum quoque alterationes pathemata nominauit. In visu quidem eas, quæ ab albo, nigro, flauo, & cæteris coloribus fiunt; in tactu, quæ à calido, frigido, sicco, humido, duro, molli, cæterisque eiusmodi omnibus, sic & in singulis reliquis sensibus. Nominat autem & voluptatem pathema i. *passionem*; omnemque prorsus motum, quicunque ab altero procedit in alterum. Quippe agentis motus actio est; rei verò ab eo quodammodo affectæ, pathema, & pathos i. *passio*. Etenim vniuersè ipsum affici, idem quodammodo quod pati est; differtque passio ab affectu, motu, cessante enim alterante, alteratio quæ in passo remanet, affectus rei perpessæ est; ita vt in ipso quod conuertitur, & mutatur, & alteratur, & mouetur, passio generationem habeat; in eo verò quod permanet, & in subiecto corpore seruatur, affectus *constet*. Iam ipsum quoque permanentem affectum Græci passionem nominant, vt etiam quod iam effecit, nec etiamnum efficit, causam. Quanquam neque hoc simpliciter causa est, neque permanens affectus simpliciter passio; sed accurate loquenti affectus passio est iam facta, non autem quæ adhuc fit. Quod autem Græcis sic nominari consuetum est, in libro de medicis nominibus à nobis est demonstratum. Atque rei memores, quæ à nobis semper profertur, de nominibus quamprimum inter nos conuenire, & ad res ipsas properare, & in iis versari, morarique oportet. Verùm eorum qui sese eruditos profitentur, plurimi contrà efficiunt, in contentione de nominibus totam suam vitam ita conterentes, vt ad artis finem peruenire numquam possint. Quidnam igitur veritatis studiosum agere oportet? Res naturis inter se similes, ob idque neglectas demonstrare, deinde nomina iis imponere, potissimumque, si possit, Græcis vsitata, sed si hæc ignora-

 uerit,

uerit, propria fingere; ante omnia verò singulis rebus singula nomina, quò nulla obscuritas ex homonymiâ nascatur, neque captiones sint in sermone, neque res vlla omittatur. Illud verò siue rectè, siue non rectè, siue propriè, siue impropriè nomen sit impositum, id multo otio considerandum est, quum res ipsas iam didicerimus; quippe in harum cognitione rectum institutum consistit, non in nominibus. Nos igitur, vt diximus, tum consueta Græcis nomina imponimus, tum res inter se vicinas distinguimus, & cæteris, prout voluerint, nominare permittimus, sed res aliquas indefinitas prætermittere non concedimus. Proinde his in ipsis quæ nunc nobis proposita sunt, quoniam id quod ipsâ corporis conuersione, & mutatione, & qualicunque alteratione consistit, diuersum est ab eo quod iam factum est manétque. Eius autem, quod factum est, aliud naturalem actionem efficit, aliud eam lædit; quod in fieri essentiam habet, actionem passionémve nominauimus; quod in permansione ad aliquod tempus, sanitatem, morbumve. Passionem verò ab actione discreuimus, tanquam quod efficitur, ab eo quod efficit, & morbum à sanitate, vt illud præter naturam est, hoc secundum naturam. Rursus igitur integris horum orationibus positis, reliquis hæreamus. Sanitas igitur affectus est secundum naturam actionem efficiens. Nihil refert, vt diximus, vtrùm constitutionem, aut affectum dixerimus, aut actionis effectricem, aut actionis causam; simili modo nec si illud, secundum naturam, abstulerimus, quicquam referet; adsignificatur enim in reliquâ oratione, sic verò & morbus constitutio corporis est præter naturam, & causa læsæ actionis; aut sic angustiùs, morbus est affectus, actionem interturbans. Passio motus est in materiâ, ab agente; ipse verò agentis motus, actio; quod autem ex suâ naturâ ei quod efficitur aliquam generationis portionem confert, causa ipsius dicitur. Causæ verò genere sunt plures, nam & materia, & vsus, & scopus, & instrumentum, & vnde motus initium, *causæ sunt*. Hæ nanque singulæ ei quod efficitur perfectionis aliquid conferunt; quæ verò nihil conferunt, sed tamen à causis conferentibus non seiunguntur, hæc causarum sine quibus non, rationem obtinent. His ita se habentibus, potest causarum multoties sese inuicem excipientium series quædam institui, vt si quis calculis pluribus inter se ordine positis, primum moueat, ac primus secundum, & hic tertium, & sic deinceps vnusquisque succedentē. In huiusmodi enim omnibus nisi quis id quod per se efficere dicitur ab eo quod per accidens distinguat, plurimi absurdissimique errores in disputationibus contingent. Significat autem per se, idem quod primò, tametsi Atticè eloquentium quidam hoc vocabulum auersantur; per accidens verò, idem quod secundò. Igitur qui primo calculo digitum admouit, primò quidem hunc mouit, per accidens verò ac secundò huic proximum, atque sic iam quoque reliquos omnes. Sic primus quoque secundum *mouet* per se, per accidens verò tertium, reliquósque ordine subsequentes. Iam secundus eâdem ratione primò *mouet* tertium, secundò verò quartum, & quintum, & ordine subsequentes. Quòd si accuratiùs adhuc distinguere vo-

A ταῦτα, ποιεῖν ἴδια. πρὸ πάντων δὲ καθ' ἑκάστου πράγματος ἓν ὄνομα, ἵνα μήτε παρὰ τὴν ὁμωνυμίαν ἀσάφειά τις γίνηται, καὶ σοφίσματα συνίσταται κατὰ τὸν λόγον, μήτε παραλείπηταί τι πρᾶγμα. τὸ δ' εἴτ' ὀρθῶς, εἴτε οὐκ ὀρθῶς, εἴτε κυρίως, εἴτ' ἀκύρως κεῖται τοὔνομα, κατὰ πολλὴν ἐπισκέπτεσθαι σχολὴν, ὅταν ἤδη τὰ πράγματα μεμαθηκότες ὑπάρχωμεν. ἐν γὰρ τῇ τούτων γνώσει τὸ κατορθοῦν ἐστιν, οὐκ ἐν τοῖς ὀνόμασιν. ἡμεῖς μὲν οὖν, ὡς ἔφην, τά τε συνήθη τε τοῖς Ἕλλησιν ὀνόματα τιθέμεθα, καὶ τὰ παρα-
B κείμενα ἀλλήλοις πράγματα διορίζομεθα, τοῖς δ' ἄλλοις, ὀνομάζειν μὲν, ὡς ἂν ἐθέλωσι συγχωροῦμεν. ἀδιόριστον δέ τι πρᾶγμα παραλιπεῖν οὐ συγχωροῦμεν. ἐν αὐτοῖς γοῦν τούτοις τοῖς νῦν προκειμένοις ἡμῖν, ἐπεὶ τὸ μὲν ἐν τῷ τρέπεσθαι, καὶ μεταβάλλεσθαι τὸ σῶμα, καὶ ὁπωσοῦν ἀλλοιοῦσθαι γινόμενον, ἕτερόν ἐστι τοῦ γεγονότος ἤδη καὶ μένοντος. αὐτοῦ δὲ τοῦ γεγονότος τὸ μὲν ἐνεργείας τῆς κατὰ φύσιν ἐστὶ ποιητικὸν, τὸ δὲ βλαπτικόν. τὸ μὲν ἐν τῷ γίνεσθαι τὸ εἶναι κεκτημένον, ἐνέργειαν ἢ πάθος ὠνομάσαμεν.
C τὸ δ' ἐν τῷ διαμένειν ἐπί τινα χρόνον, ὑγείαν, ἢ νόσον. ἐνεργείας δὲ διώρισται πάθος, ὡς ποιοῦν ποιουμένου, καὶ νόσος ὑγείας, ὡς τὸ μὲν παρὰ φύσιν ὄν, τὸ δὲ κατὰ φύσιν. αὖθις οὖν αὐτὰς εἰπόντες ὅλοις τοῖς λόγοις, ἐχώμεθα τῶν ἐφεξῆς. ὑγεία μὲν οὖν ἐστι διάθεσις κατὰ φύσιν ἐνεργείας ποιητική. διαφέρει δ' οὐδὲν, ὡς ἔφαμεν, εἴτε κατασκευὴν, ἢ διάθεσιν εἴποιμεν, εἴτε ποιητικὴν ἐνεργείας, εἴτ' αἰτίαν ἐνεργείας. ὡσαύτως δὲ καὶ εἰ τὸ κατὰ φύσιν ἀφέλοιμεν, οὐδὲν διοίσει. συνσημαίνεται γὰρ ἐν τῷ λοιπῷ λόγῳ. οὕτω δὲ καὶ νόσος, ἡ παρὰ φύσιν κατασκευὴ τοῦ σώματος,
D καὶ αἰτία τοῦ βεβλάφθαι τὴν ἐνέργειαν. ἢ συντομώτερον οὕτως. νόσος ἐστὶ διάθεσις παρὰ φύσιν, ἐνεργείας ἐμποδιστική. πάθος δ' ἐστὶν ἡ παρὰ τὴν ὕλην ἀπὸ τοῦ δρῶντος κίνησις. αὐτὴ δὲ ἡ τοῦ δρῶντος κίνησις, ἐνέργεια. τὸ δ' ἐκ τῆς ἑαυτοῦ φύσεως εἰσφερόμενόν τινα τῷ γινομένῳ μοῖραν τῆς γενέσεως, αἴτιον αὐτοῦ λέγεται. πλείω δ' ἐστὶ ταῦτα κατὰ γένος. ἥ τε γὰρ ὕλη καὶ ἡ χρεία, καὶ ὁ σκοπὸς, καὶ τὸ ὄργανον καὶ τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. ἕκαστον γὰρ τούτων εἰσφέρεταί τινα τῷ γιγνομένῳ συντέλειαν. τὰ δ' οὐδὲν μὲν εἰσφερόμενα, μὴ χωρι-
E ζόμενα δὲ τῶν εἰσφερομένων, τὸν τῶν ὧν οὐκ ἄνευ, λόγον ἐπέχει. τούτων οὕτως ἐχόντων, ἐνδέχεταί τινα στῖχον αἰτιῶν γενέσθαι πολλάκις, ἀλλήλας διαδεχομένων, ὡς εἰ καὶ ψηφίδων ἐφεξῆς ἀλλήλαις κειμένων πλειόνων, κινήσειέ τις τὴν πρώτην, αὐτὴ δὲ τὴν δευτέραν, κἀκείνη τὴν τρίτην, καὶ οὕτω κατὰ τὸ ἑξῆς ἑκάστη τὴν μεθ' ἑαυτήν. ἐν γὰρ τοῖς τοιούτοις ἅπασιν, εἰ μή τις διορίζοιτο τὸ κατὰ συμβεβηκὸς ποιεῖν λεγόμενον τοῦ καθ' ἑαυτὸ, παμπολλά τε καὶ ἄτοπα ταῦτα συμπεσεῖται τοῖς λόγοις ἁμαρτήματα. σημαίνει δὲ ταὐτὸν
F τὸ μὲν καθ' ἑαυτὸ τῷ πρώτως, κἂν εἴ τινες τῶν ἀττικιζόντων φυλάττοιντο τοὔνομα, τὸ δὲ κατὰ συμβεβηκὸς τῷ δευτέρως. ὁ μὲν οὖν τὸν δάκτυλον προσενεγκὼν τῇ πρώτῃ ψηφῖδι πρώτως μὲν ταύτην ἐκίνησε, κατὰ συμβεβηκὸς δὲ καὶ δευτέρως τὴν ἐφεξῆς αὐτῇ, καὶ οὕτως ἤδη καὶ τὰς ἄλλας ἁπάσας. οὕτως δὲ καὶ ἡ πρώτη καθ' ἑαυτὴν μὲν τὴν δευτέραν, κατὰ συμβεβηκὸς δὲ τὴν τρίτην, καὶ τὰς ἄλλας τὰς ἐφεξῆς. καὶ ἡ δευτέρα δὲ κατὰ τὸν αὐτὸν λόγον, πρώτως μὲν τὴν τρίτην, δευτέρως δὲ τὴν τετάρτην καὶ τὴν πέμπτην καὶ τὰς ἐφεξῆς. εἰ δὲ ἀκριβέστερον ἔτι διαιρεῖσθαι βού-

λοίο, ὥσπερ γὰρ τὴν τῶν προειρημένων ἀκρίβειαν οὕτω χρησιμώτερον ἑκάστη τῶν ψηφίδων πρώτως μὲν κινεῖ τὴν ἐφεξῆς, δευτέρως δὲ τὴν μετ' ἐκείνην, καὶ τρίτως τὴν ἔτι μετ' ἐκείνην, καὶ τετάρτως τὴν ἐφεξῆς αὐτῇ. τούτων οὕτως ἐχόντων καὶ διωρισμένων, ἐπειδὴ τὸ νόσημα διάθεσίς τίς ἐστι παρὰ φύσιν τὴν ἐνέργειαν βλάπτουσα, τῆς νόσου δ' αὐτῆς ἐνδέχεταί τινα προηγεῖσθαι διάθεσιν ἑτέραν, παρὰ φύσιν μὲν καὶ ταύτην, οὐ μὴν κατά γε τὸν ἑαυτῆς λόγον βλάπτουσαν τὴν ἐνέργειαν, ἀλλὰ διὰ μέσου τοῦ νοσήματος, τὴν τοιαύτην διάθεσιν οὐ νόσημα καλέσομεν, ἀλλ' αἰτίαν προηγουμένην νοσήματος. ἀκριβῶς τε τὸν νοῦν ἐνταῦθα προσέξομεν τοῖς κἀκείνην τὴν διάθεσιν αἰτίαν εἶναι φάσκουσι, τοῦ βλάπτεσθαι τὴν ἐνέργειαν. οὔτε γὰρ καθ' ἑαυτὴν, οὔτε πρώτως, ἀλλὰ κατὰ συμβεβηκός τε καὶ δευτέρως ἐμποδίζεσθαί τε καὶ βλάπτεσθαι δι' αὐτὴν ἐροῦμεν τὴν ἐνέργειαν. ὑπὸ δὲ τοῦ νοσήματος αὐτοῦ πρώτως τε καὶ κατὰ τὸν ἑαυτοῦ λόγον. ὅθεν κἂν τῷ λέγειν διάθεσιν σώματος ἐμποδιστικὴν ἐνεργείας εἶναι τὸ νόσημα, τοῖς μὲν εὐθὺς ὑπακούουσιν, ὅτι πρώτως τε καὶ καθ' ἑαυτὴν, αὐτάρκης ὁ λόγος. ὅσοι δ' αὖ ἤτοι σκαιότεροι, ἢ ἐριστικώτεροι ἀκούωσι, προσθετέον αὖθις καὶ τὸ πρώτως, ἵν' ᾖ τοιοῦτος ὁ λόγος· νόσημά ἐστι διάθεσις σώματος ἐνεργείας τινὸς ἐμποδιστικὴ πρώτως. ὅσαι τοίνυν αὐτῆς προηγοῦνται διαθέσεις, οὔπω νοσήματα. κἂν εἰ συμπίπτοιεν δέ τινες αὐταῖς ἕτεραι διαθέσεις οἷον σκιαί τινες παρακολουθοῦσαι, καὶ ταύτας οὐ νοσήματα καλέσομεν, ἀλλὰ συμπτώματα. καὶ ἡμῖν οὕτως οὐ πᾶν ὅτιπερ ἂν ᾖ παρὰ φύσιν ἐν τῷ σώματι, νόσημα εὐθὺς ἔσται κλητέον, ἀλλὰ τὸ πρώτως μὲν βλάπτον τὴν ἐνέργειαν, νόσημα. τὸ δὲ τούτου προηγούμενον, αἴτιον μὲν νοσήματος, οὔπω δὲ νόσημα. εἰ δ' ἑπομένη τις ἄλλη τῷ νοσήματι περὶ τὸ σῶμα διάθεσις, αὕτη σύμπτωμα ὀνομασθήσεται. καὶ μὴν καὶ ἡ τῆς ἐνεργείας αὐτῆς βλάβη, σύμπτωμά ἐστι τοῦ ζώου. πᾶν γὰρ ὅτιπερ ἂν παρὰ φύσιν συμβαίνῃ τῷ ζώῳ, σύμπτωμά ἐστι. παρὰ μὲν δὴ τοῖς Ἕλλησιν ἡ τῶν ὀνομάτων χρῆσις οὕτως ἔχει. μετατιθέναι δ' ἔξεστι τῷ βουλομένῳ, μενόντων ὥσπερ εἴρηται τῶν πραγμάτων. οἷον εὐθὺς εἰ μὴ βούλοιτο σύμπτωμα καλεῖν, ἀλλ' ἐπιγέννημα. σύμπτωμα μὲν γὰρ εἶναι πᾶν ὅ,τι περ ἂν συμβεβήκει τῷ ζώῳ παρὰ φύσιν. ἐπιγέννημα δὲ, οὐ πᾶν, ἀλλὰ τὸ μόνοις τοῖς νοσήμασιν ἐξ ἀνάγκης ἑπόμενον. ἀλλ' ἡμεῖς γ', ὡς ἔφην, ἅπασαν μὲν ἀλλοίωσιν ἔτι γινομένην, πάθος εἶναι, ἅπαντα δὲ τὰ παρὰ φύσιν ὑπάρχοντα τοῖς σώμασιν ὀνομάσομεν συμπτώματα. καὶ συμβήσεται ταὐτὸν ἐνίοτε πρᾶγμα, καὶ πάθος ὀνομάζεσθαι, καὶ σύμπτωμα, τῶν σημαινομένων ἑκατέρων ὑπαρχόντων αὐτῷ κατ' ἄλλον καὶ ἄλλον λόγον. οἷον αὐτίκα τὸ τρέμειν πάσχειν ἐστὶν, ὅτι καὶ ἀλλοιοῦσθαι, καὶ κινεῖσθαι μὴ κατὰ τὴν οἰκείαν ἐνέργειαν συμβαίνει. καὶ πάθημά τε καὶ πάθος ὁ τρόμος, ὅτι καὶ ἀλλοίωσις ἡ τοιαύτη κίνησις· ἀλλὰ καὶ σύμπτωμα· παρὰ φύσιν γὰρ ἡ κίνησις. εἰ δέ γε ἀλλοίωσις ἡ μόνον ὥσπερ ἐν τῷ βλέπειν τε καὶ ἀκούειν, καὶ ὀσφραίνεσθαι, καὶ γεύεσθαι, καὶ ἅπτεσθαι γίνοιτο, πάθος μὲν ὀνομαζέσθω μόνον, οὐκέτι δὲ σύμπτωμα. τὸ γάρ τοι τοῦ συμπτώματος ἴδιον αὐτὸ τοῦτ' ἐστι, τὸ παρὰ φύσιν. ὅθεν κἀν ταῖς διαφοραῖς ἁπάσαις τοῦ κατὰ φύσιν ἐξαλλαττομέναις συνίσταται. καὶ γὰρ σχημάτων τῶν κατὰ φύσιν, καὶ χρωμάτων, καὶ μεγεθῶν, ἐνεργημάτων τε καὶ παθημάτων διαφθειρομένων γίνεται· καὶ τοῦτ' ἔστιν ἰδιαίτατος αὐτοῦ λόγος, ἐξάλλαξις τοῦ κατὰ φύσιν. τί δέ; οὐχὶ καὶ ἡ νόσος ἐξάλλαξις τοῦ κατὰ φύσιν;

A lueris (id enim ad exquisitiorem rerum notitiam sic vtilius videtur) quisq; calculus sibi cõtiguum primò mouet, secundò proximo vicinum, tertiò præterea vicino finitimum, quarto denique finitimo succedentes. His ita se habentibus, ac definitis, quum morbus affectus quidam sit præter naturam actionem lædens; morbum autem ipsum præcedere possit affectus alter, qui etiam præter naturam sit, non tamen qui sui ipsius ratione lædat, sed morbo interueniente, talem affectum non morbum, sed causam quæ morbum præcedit, vocabimus. Atque hîc accuratè B mens adhibenda est, illum quoque affectum causam esse proferentibus, quòd actionem lædat. Neque enim per se, neque primò, sed per accidens, & secundò interturbari, lædíque per eum actionem dicemus; à morbo verò & primò & sui ipsius ratione. Vnde quum dicimus morbum esse corporis affectum qui actionem interturbat, statim subaudientibus, *ipsum* & primò & per se *interturbare*, satisfacit oratio; verùm vel rudiùs, vel contentiosiùs inaudientibus adiiciendum in oratione est, primò, quò talis sit definitio. Morbus est affectus corporis actionem aliquam interturbans primò. Quicunque igitur C affectus hunc præcedunt, nequaquam morbi sunt. Quod si alii quidam affectus cum his inciderint velut ipsorum vmbræ comites, nec hos quidem morbos vocabimus, sed symptomata. Ita etiam non statim quicquid fuerit in corpore præter naturam, id morbus à nobis vocabitur, sed quod primò actionem lædit, morbus; quod hunc præcedit, morbi causa, nondum autem morbus. Quod si quis alius affectus in corpore morbum sequatur, is symptoma duntaxat nominabitur; quanuis etiam actionis ipsius læsio D symptoma sit animantis. Quicquid enim animali præter naturam accidit, symptoma est. Ac nominum quidem vsus apud Græcos ita se habet, quæ tamen mutare, dummodò res ipsæ (vt prædictum est) permaneant, cuique volenti licebit: verbi gratiâ, si quis noluerit symptoma vocare, sed epigenema i. *succedens vel obortum*; symptoma verò esse dicitur, quicquid præter naturam animali accidit; epigenema verò non omne, sed quod solos morbos necessario sequitur. Nos verò (vt dictum est) omnem alterationem, quæ adhuc fit, passionem esse diximus; omnia verò quæ E in corporibus præter naturam sunt, symptomata nominabimus. Acciditque aliquoties eandem rem & passionem, & symptoma nominari, quum vtriusque significatum aliâ atque aliâ ratione illi insit. Verbi gratiâ tremere pati est, quod tum alterari, tum moueri non propriâ functione contingit; tremor, & passio, & pathema est, quòd talis motus alteratio sit; imò etiam *tremor* symptoma est; nam motus est præter naturam. Quòd si alteratio solùm esset, qualis in F videndo, audiendo, odorando, gustando, tangendóque fit, passio tantùm nominaretur, nequaquam verò symptoma; symptomatis enim id ipsum proprium est, *vt sit* præter naturam. Vnde & in differentiis omnibus, quæ ab eo qui secundùm naturam est statu immutantur, consistit: Nam & in figuris naturalibus, & coloribus, & magnitudinibus, & actionibus, & passionibus, vbi corrumpuntur, existit. Estque hæc eius maximè propria ratio, mutatio à naturali *statu*. Quid igitur? nũ & morbus mutatio naturalis est status?

an non absolutè mutatio, sed mutatio quædam; symptoma verò absolutè mutatio est? Nã quum in affectibus naturalis status mutatur, actionémque lædit, morbus gignitur; duóque hæc, vt morbus sit, omnino desiderantur, in genere affectus esse, & functionem lædere, quorum neutrum symptomati adesse necessarium est; etenim licet neque affectus sit, nec actionem aliquam lædat, tamen eo solo, quod præter naturam sit, abundè definietur. Atque à morbo quidem hac ratione differt; à passione verò, quòd hæc passio omnino sit in motu, interdum & secundum naturam. Symptoma non solùm in motu, sed etiam in habitu quodam, & omnino præter naturã. Erit igitur passio, alteratio vel circa materiam motus, qui adhuc fit. Affectus verò qui pòst manet. Symptoma autem, quicquid animali præter naturam acciderit. Quare morbus quoque sub generalem symptomatis appellationem reducetur; est enim is quoque quodam modo symptoma. Quin etiam quæ & antecedentes in corpore animalis causæ constituuntur, generali symptomatis notioni subiiciuntur.

A ἢ οὐχ ἁπλῶς ἐξάλλαξις, ἀλλ' ἐξάλλαξίς τις. ἁπλῶς δὲ ἐξάλλαξις, τὸ σύμπτωμα; τῆς γὰρ ἐν ταῖς διαθέσεσι κατὰ φύσιν ἐξαλλαττομένης καὶ βλάπτοντος τὴν ἐνέργειαν, ἡ νόσος ἐστὶ. καὶ δυοῖν τούτοιν ἐξ ἀνάγκης ἐδεῖτο, πρὸς τὸ νόσος ὑπάρχειν, ἐν γένει μὲν εἶναι τῷ διαθέσεως, βλάπτειν δὲ τὴν ἐνέργειαν, ὧν οὐδέτερον ἀνάγκη παρεῖναι τῷ συμπτώματι. καὶ γὰρ εἰ μὴ διάθεσις εἴη, καὶ εἰ μὴ βλάπτοι γέ τινα ἐνέργειαν, ἀλλὰ αὐτῷ γε μόνῳ τῷ παρὰ φύσιν, ἱκανῶς ὁρισθήσεται. νοσήματος μὲν δὴ ταύτῃ διενήνοχε· παθήματος δὲ, τῷ· τὸ μὲν
B ἐν κινήσει πάντως εἶναι τὸ πάθημα καὶ κατὰ φύσιν ἐνίοτε. τὸ σύμπτωμα δὲ οὐκ ἐν κινήσει μόνον, ἀλλὰ καὶ καθ' ἕξιν τινὰ, καὶ πάντως παρὰ φύσιν. ἔσται δὴ πάθος μὲν, ἡ περὶ τὴν ὕλην ἀλλοίωσις ἢ κίνησις ἔτι γινομένη. ἡ δ' ὑπομένουσα, διάθεσις. σύμπτωμα δὲ, πᾶν ὅ, τι περ ἂν συμπίπτῃ τῷ ζώῳ παρὰ φύσιν. ὥστε καὶ ἡ νόσος ὑπὸ τῆς τοῦ γενικοῦ συμπτώματος ἀναχθήσεται προσηγορίαν. ἔστι γάρ πως καὶ αὕτη σύμπτωμα. καὶ μὲν δὴ καὶ τὰ προηγούμενα τῶν νόσων αἴτια τὰ κατ' αὐτὸ τὸ σῶμα τοῦ ζώου συνιστάμενα τῇ τοῦ γενικοῦ συμ-
C πτώματος ὑποπέπτωκεν ἐννοίᾳ.

CAPVT II.

De triplici specialium symptomatum differentiâ.

Atque de iis quidem iam dictum est, de specialibus verò symptomatis, hoc in libro differere propositum est. Est autem horum triplex differentia. Alia nanque ipsius corporis nostri sunt affectus; alia functionum læsiones; alia hæc ambo comitantia; tum in excretorum & retentorum ametriâ; tum in iis qui in ipso animali excitantur strepitibus; tum etiã in reliquis sensibilibus differentiis omnibus. Læsio verò nunc & priuatio dicta audiatur. Non enim solùm mouendi, neque sentiendi difficultas læsiones quædam actionum sunt, sed etiam immobilitas & insensibilitas. Ad eundem modum non dyspepsia solùm, sed etiam apepsia seu *cruditas*. Atque hæc quidem genera symptomatum sunt, quorum differentiæ particulares considerandæ sunt. At singula persequi sermone deinceps conueniet; illo priùs admonito, quod in libro De morborum differentiis diximus, *nempe* qui sanitatem non esse affectum corporis, qua actionem edimus, sed ipsas actiones sanitatem esse putarunt, quam nos nunc doctrinam symptomatum de actionum læsione tradimus, hanc ipsi morborum doctrinam facturi sunt, & à nobis nimirum, si nihil in ipsis rebus errauerint, de solis nominibus dissensuri. Oriuntur autem (vt sæpe dictum est) huiuscemodi doctrinarum errores ex aliquâ, quæ omittitur, differentiâ. Itaque si differentias omnes percenseant, & eas non symptomatum, sed morborum esse dicant, in nomine solo, non in re, à nobis dissentient. Ergo dicendæ differentiæ nobis iam sunt, oratione ad principium reuocatâ, quoniam symptoma generatim quidem appellatur quicquid animali præter naturam contigit; ita vt tum morbi ipsi, tum morborum causæ, quæ intra corpus consistunt, (nõ enim euidentes) symptomata sint. Alterâ verò significatione, ac veluti magis propriâ, detractis tum morbis, tum eorũ causis, reliqua omnia, quę præter naturã sunt, symptomata nominãtur; Atque nunc de his loqui nobis est propositum.

ΚΕΦΑΛΑΙΟΝ Β'

Περὶ τριττῆς τῶν εἰδικῶν συμπτωμάτων διαφορᾶς.

Περὶ μὲν οὖν τούτων ἤδη λέλεκται. περὶ δὲ τῶν εἰδικῶν συμπτωμάτων ἐν τῷδε γράμματι πρόκειται διελθεῖν. ἔστι δὲ καὶ τούτων τριττὴ διαφορά· τὰ μὲν γὰρ διαθέσεις εἰσὶν αὐτοῦ τοῦ σώματος ἡμῶν· τὰ δὲ ἐνεργειῶν βλάβαι· τὰ δὲ ἀμφοτέροις ἑπόμενα, κατά τε τὴν ἀμετρίαν τῶν ἐκκρινομένων καὶ ἐπεχομέ-
D νων, καὶ τοὺς ἐν αὐτῷ τῷ ζώῳ συνισταμένους ψόφους, καὶ προσέτι τὰς ἄλλας ἁπάσας αἰσθητὰς διαφοράς. βλάβη δὲ ἀκουέσθω νῦν καὶ ἡ στέρησις. οὐ γὰρ ἡ δυσκινησία μόνον, οὐδὲ ἡ δυσαισθησία, βλάβαι τινὲς τῶν ἐνεργειῶν εἰσιν, ἀλλὰ καὶ ἡ ἀκινησία τε καὶ ἡ ἀναισθησία. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐχ ἡ δυσπεψία μόνον, ἀλλὰ καὶ ἡ ἀπεψία. ταῦτα μὲν οὖν τὰ γένη τῶν συμπτωμάτων, ἐν οἷς χρὴ σκοπεῖσθαι τὰς κατὰ μέρος διαφοράς. ἑξῆς δ' ἂν εἴη προσῆκον ἕκαστον διελθεῖν τῷ λόγῳ, πρότερόν γε ἀναμνήσαντας, ὃ κἂν τῷ περὶ τῶν νοσημάτων διαφορᾶς εἴπομεν, ὡς ὅσοι τὴν ὑγείαν, οὐ διάθεσιν σώματος, ἀφ' ἧς ἐνερ-
E γοῦμεν, ἀλλ' αὐτὰς ἐνόμισαν εἶναι τὰς ἐνεργείας, τὴν ἡμεῖς νῦν ὑπὲρ τῆς τῶν ἐνεργειῶν βλάβης διδασκαλίαν ἐν τοῖς συμπτώμασι διέξιμεν αὐτοὶ τῶν νοσημάτων ποιήσονται, καὶ διενεχθήσονται δηλονότι περὶ τῶν ὀνομάτων ἡμῖν μόνον, εἰ μηδὲν ἐν αὐτοῖς σφάλλοιντο τοῖς πράγμασιν. ἔστι δὲ, ὡς πολλάκις εἴρηται, τῶν τοιούτων ἁπασῶν διδασκαλιῶν τὰ σφάλματα, παραλειπομένης τινὸς διαφορᾶς. ἐὰν οὖν ἁπάσας αὐτὰς διεξιόντες, μὴ συμπτωμάτων, ἀλλὰ νοσημάτων εἶναι φάσκωσιν, ἐν ὀνόματι μόνῳ, καὶ οὐκ ἐν πράγματι διαφωνήσουσιν ἡμῖν.
F λεκτέον οὖν ἤδη τὰς διαφορὰς ἐπ' ἀρχὴν ἀναγαγόντας τὸν λόγον. ἐπεὶ τὸ σύμπτωμα προσαγορεύεται γενικῶς μὲν, ἅπαν ὅ, τι περ ἂν συμβεβήκῃ τῷ ζώῳ παρὰ φύσιν, ὡς καὶ τὰ νοσήματα, καὶ τὰς αἰτίας αὐτῶν, τὰς ἐν τῷ σώματι συνισταμένας, οὐ γὰρ δὴ τάς γε προκαταρκτικὰς εἶναι συμπτώματα. καθ' ἑτέραν δέ τινα καὶ οἷον ἰδικωτέραν ἔννοιαν, ἀφαιρεθέντων τῶν τε νοσημάτων, καὶ τῶν αἰτίων, τὰ λοιπὰ πάντα τὰ παρὰ φύσιν ὀνομάζεται συμπτώματα. καὶ νῦν ἡμῖν ὑπὲρ τούτων πρόκειται λέγειν.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ συμπτωμάτων τῆς ἐνεργείας ψυχικῆς βεβλαμμένης.

Ἀναμνησθέντας οὖν πρότερον χρὴ τὸ τριττὸν τῆς φύσεως αὐτῶν, οὕτω τέμνειν ἐφεξῆς ἅπαντα, τὴν ἀρχὴν ἀπὸ τῆς βλάβης τῶν ἐνεργειῶν ποιησαμένους. τμητέον δὴ ταύτην εἰς δύο τὰ πρῶτα γένη, διότι καὶ τῶν ἐνεργειῶν αὐτῶν δύο εἰσὶν αἱ πρῶται διαφοραί. αἱ μὲν γὰρ ψυχῆς, αἱ δὲ φύσεώς εἰσι. καὶ καλοῦνται διὰ τοῦτο, ψυχικαὶ μὲν αἱ πρότεραι. φυσικαὶ δὲ αἱ δεύτεραι. αὖθις οὖν τὰς ψυχικὰς προτέρας τέμνοντες, εἴς τε τὰς αἰσθητικὰς καὶ τὰς κινητικὰς καὶ τρίτας τὰς ἡγεμονικάς (οὐδὲν γὰρ χεῖρον οὕτως αὐτὰς ὀνομάσαι διδασκαλίας σαφοῦς ἕνεκα) καὶ πάλιν ἑκάστην τῶν εἰρημένων διαιροῦμεν εἰς τὰς ἐν αὐτῇ διαφοράς. ἡ μὲν οὖν αἰσθητικὴ τῆς ψυχῆς ἐνέργεια, πέντε τὰς πάσας ἔχει διαφοράς, ὁρατικάς, καὶ ὀσφρητικάς, καὶ γευστικάς, καὶ ἀκουστικάς, καὶ ἁπτικάς. ἡ δὲ κινητικὴ, τὸ μὲν προσεχὲς ὄργανον ἓν ἔχει, καὶ τὸν τρόπον αὐτὸν τῆς κινήσεως ἕνα· (δέδεικται γὰρ οὕτως ἐν τοῖς περὶ μυῶν κινήσεως.) ποικίλλεται δὲ ἐν τοῖς κατὰ μέρος ὀργάνοις, ὡς φαίνεσθαι πολυειδής. ἡ λοιπὴ δὲ ἐνέργεια τῆς ψυχῆς ἡ κατ' αὐτὸ τὸ ἡγεμονικὸν, εἴς τε τὸ φανταστικὸν καὶ διανοητικὸν καὶ μνημονευτικὸν διαιρεῖται. καὶ τοίνυν αἱ βλάβαι τῶν αἰσθητικῶν ἐνεργειῶν, κοιναὶ μὲν ἁπασῶν, ἀναισθησίαι τινές εἰσιν, ἢ δυσαισθησίαι. (καλῶ δὲ δυσαισθησίας μὲν ἁπάσας τὰς μοχθηρὰς αἰσθήσεις.) κατὰ μέρος δὲ ἑκάστης, ἐν ὀφθαλμοῖς μὲν τυφλότητές τε καὶ ἀμβλυωπίαι καὶ παροράσεις τινές· ἐν ὠσὶ δὲ κωφότητές τε καὶ βαρυηκοΐαι καὶ παρακούσεις τινές. οὕτω δὲ καὶ κατὰ τὴν γλῶτταν καὶ τὰς ῥῖνας καὶ τὴν ἁφὴν, εἰ καὶ μηδὲν ἴδιον ὄνομα κέκτηνται, ταῖς εἰρημέναις ἀνάλογον ἔχουσιν. ἢ γὰρ οὐδ' ὅλως αἰσθάνονται τῶν οἰκείων αἰσθητῶν, ἢ κακῶς. καὶ τὸ κακῶς τοῦτο διττὸν ἔσται, θάτερον μὲν ἀμυδρῶς, θάτερον δὲ παρατυπωτικῶς. ἴδιον δὲ ἐξαίρετον ἡ κατὰ τὴν ἁφὴν ἐνέργεια παρὰ τὰς ἄλλας αἰσθήσεις κέκτηται σύμπτωμα, τὴν ὀδύνην, ἐγγινομένην μὲν καὶ ταῖς ἄλλαις αἰσθήσεσιν ἀπὸ τῶν ἔξωθεν οἰκείων αἰσθητῶν· ἐπὶ δέ γε ταύτης οὐκ ἀπὸ τῶν ἔξωθεν μόνον, ἀλλὰ καὶ πολὺ δὴ μᾶλλον ἀπὸ τῶν ἐν αὐτῷ τῷ σώματι διαθέσεων, καὶ πολλάκις γε οὕτως ἰσχυρῶς, ὥστε ἀποκτεῖναί τινας σφᾶς αὐτοὺς, ὑπὸ τοῦ πόνου βιασθέντας. ἐγγίνεται μὲν οὖν καὶ τοῖς ὀφθαλμοῖς ὀδυνηρόν τι πάθος ὑπὸ φωτὸς λαμπροῦ, καὶ τοῖς ὠσὶν ὑπὸ μεγάλου τινὸς ἢ τραχέος ψόφου· καὶ δὴ καὶ κατὰ τὰς γεύσεις, καὶ τὰς ὀσμὰς ἕτερα τοιαῦτα παθήματα συνίσταται λυπηρὰ, πρὸς τῶν ἰδίων αἰσθητῶν ἑκάστης τῶν αἰσθήσεων ὀδυνηρῶς διατιθεμένης. μέγισται δὲ ὀδύναι συμπίπτουσι τῇ τῆς ἁφῆς αἰσθήσει. καὶ γὰρ ὅσα διὰ φλεγμονὴν ὤτων, ἤ τινα ἄλλην ἐν αὐτοῖς διάθεσιν ἀλγοῦμεν ἰσχυρῶς, οὐ τῆς ἀκουστικῆς ἐστιν, ἀλλὰ τῆς ἁπτικῆς αἰσθήσεως ἴδια. κοινὴ γὰρ αὕτη πάντων αἰσθανομένων ὀργάνων, αἱ δ' ἄλλαι τέτταρες ἑκάστου καταμόνας. οὕτω δὲ κἂν τοῖς ὀφθαλμοῖς πολλάκις ὀδύναι γίγνονται σφοδραὶ, τῆς ἐν αὐτοῖς ἁπτικῆς αἰσθήσεως ἀνιωμένης. ὥσπερ δὲ καὶ κατὰ τοὺς ὀδόντας ἐστὶ, καὶ τὸ κῶλον, ἀλγήματα. καὶ μὲν δὴ, καὶ ὁ κνησιᾶν ἐκ τούτου τοῦ γένους ἐστὶ τῶν συμπτωμάτων. μὴ τοίνυν ἔτι ζήτει καθ' ἕκαστον μόριον ἴδιον ὄνομα τοιοῦτον, οἷον κεφαλαλγίας τε καὶ καρδιαλγίας καὶ ὠταλγίας. οὐ γὰρ εὑρήσεις κείμενον. ἀλλ' ἀρκεῖ λόγῳ πάνθ' ἑρμηνεύειν τὰ τοιαῦτα, κύστεως ἀλγήματα λέγοντα, ἅπαρ καὶ νεφρῶν, καὶ σπληνὸς, καὶ γονάτων, καὶ ποδὸς,

CAPVT III.

De Symptomatis actionis animalis læsæ.

PRimùm ergò memores esse oportet triplicis eorum *symptomatum* naturæ, ac sic deinceps omnia diuidere, ab actionum læsione ducto exordio. Hæc autem secanda est in duo prima genera, quòd & actionum ipsarum duæ sint primæ differentiæ; aliæ enim animæ, aliæ naturæ sunt; proindeque priores quidem animales; posteriores verò naturales vocantur. Rursus igitur animales priores diuidimus, in sensitrices, motrices, & tertias principes (nihil enim deterius fuerit ita dilucidæ doctrinæ gratiâ eas nominasse) & iterum earũ, quæ dictæ sunt, quámque in suas differentias distinguimus. Sensitricis igitur animæ functio, quinque omnino habet *functionum* differentias, videndi, odorandi, gustandi, audiendi, & tangendi. Motrix verò, proximum instrumentum vnum habet, modùmque ipsius motionis vnum: (demonstratum enim ita est in libris de musculorum motu) variatur autem in particularibus instrumentis, ita vt varias habere species videatur. Reliqua verò animæ functio, quæ à principe facultate procedit, in imaginatricem, ratiocinatricem, & recordatricẽ diuiditur. Ergo etiã læsiones functionũ sentiendi, communes quidem omnibus sunt; insensibilitas quædam vel sentiendi difficultas (voco autem sentiẽdi difficultatem sensum vitiosum omnem) particulares verò in vnoquôque *sunt sensu*, in oculis quidem cæcitas, & visus obscuritas, & deprauata visio quædam. In auribus; surditas & & auditus grauitas & obauditio quædam: Sic in linguâ, naso & tactu; etsi propria nomina sortita non sunt, tamen respondentia prædictis ad proportionem habentur, aut enim propria sensibilia prorsus non sentiunt, aut male; eritque illud (male) duplex, alterum diminutè, alterum deprauatè. Tactus autem proprium *&* insigne præter cæteros sensus in actione sua symptoma obtinet, dolorem; qui quidem etiam cæteris sensibus, ab externis propriis sensibilibus incidit; huic verò non solùm ab externis, sed etiam multò magis ab affectibus, qui intra corpus consistunt, isque plerunque tam vehemens, vt nonnulli cruciatu victi sibi ipsis mortem consciscant. Inuadit quidem & oculos ob lucis splendorem molestus quidam *doloris* affectus; aures quoque ob magnum aliquem & asperum strepitum; in gustu quoque, & odoratu alii eiusmodi molesti affectus oboriuntur, à proprio sensili, vnoquoque sensu dolenter affecto. Maximi verò dolores tactus sensui accidunt. Etenim qui dolores ob aurium phlegmonem, aliúmve quempiam affectum vehementer nos angunt, ii proprii auditus *dolores* non sunt, sed tactus; communis enim is est omniũ sensuum organis, reliqui quatuor cuiusque seorsum. Ita in oculis sæpe vehementes dolores excitantur sensu, tactus in his laborante; sic etiam & dentium, & coli dolores; quin pruritus quoque ex hoc genere symptomatum est. Ne igitur etiamnum in vnaquaque parte proprium nomen quæras; quale est cephalalgia, & cordolium, & aurium dolor: non enim inuenies impositum; sed oratione eiusmodi omnia interpretari satis fuerit, dicendo vesicæ, & renum, & lienis, item genuum, & pedis, cætera-

cæterarúmque similiter partium dolores. Atque talia quidem, & tot numero functionum sentiendi, sunt symptomata. Ad hæc etiam duo eximia peruigilium & sopor in primo omnium sensu, qui omnibus sensibus est communis, consistunt. At functionum motum edentium prima symptomata sunt immobilitas, & mouendi difficultas. Sed difficultatis mouendi alius diminutus infirmúsque motus est, alius deprauatus, deprauati autem alius tremulus, alius conuulsiuus, alius palpitans, alius concussiuus. Dictorum symptomatum quædam quum in toto corpore fiunt, diuersas appellationes sortiuntur, vt emprosthotonos, opisthonos & tetanos. Quod si totius corporis non solùm conuulsio sit, sed etiam principum functionum cohibitio, tale *symptoma* epilepsia dicitur, quemadmodum & apoplexia quæ totius est corporis resolutio vnà cũ principibus functionibus *læsis*. Atque hæ quidem actionum motum edentium sunt læsiones; *quarum* siqua proprium & insigne nomen inditum non habeat, non debet propterea vllos deceptos æstimare aliquod symptoma à nobis prætermissum esse, vt neque apnœan & dyspnœan, vel ischurian & dysurian, vel aphonian & cacophoniã & dysphonian. Sed ipsi medico eiusmodi omnia in singulis animalibus fũctionibus sunt exploranda, vt & in cuiusque eorũ differentiis; Veluti si sors ita tulerit, quum dyspnœa vnũ sit animalis functionis *nempe* respirationis symptoma, quot sint in vniuersum eius differentiæ (quemadmodum in libris de dyspnœa demonstrauimus) aut cacophoniæ, quot particulares habeantur differentiæ, vt in libello de voce disseruimus. At passim dubitauerit quispiam, cuius generis symptoma sit vt pandiculatio, oscitatio, sternutatio, tussis. Verùm de eiusmodi omnibus proximo libro de symptomatum caussis fusiùs disseretur. Deinceps autem licuerit principum functionum læsiones prosequi ac primùm imaginatricis. Est autem huius læsio quoque alia veluti paralysis quædam, quæ caros & catalepsis nominatur; alia veluti prauus quidam erransque motus, qui delirium vocatur; alia veluti deficiẽs & imbecillus *motus*, vt in comate, & lethargo. Quin etiam ratiocinatricis functionis, quæ veluti paralysis est, amentia; quæ veluti deficiẽs motio est, & stultitia & fatuitas; quæ verò veluti aberrans est, delirium appellatur. Nã plerunque in vtrisque simul delirium consistit, tum in prauâ imaginatione, tum in ineptâ ratiocinatione; est autem interdum in earum alterâ duntaxat: quemadmodum & Theophilo medico ægrotanti contigit, in cæteris quidem prudenter & disserere & præsentes exactè noscere, sed tibicines quosdam angulum domus, vbi decumbebat, occupasse assidueque tibiâ modulari ac sonos edere putabat; atque hos se intueri arbitrabatur, alios quidem illic stantes, alios autem sedentes ita continuè tibiâ canentes, vt neque noctu quicquam remitterent, neque omnino interdiu vel minimum tempus quiescerent; proinde exclamabat, perpetuò iubens eos domo eiici. Atque hæc illi erat delirii species. Is postquam planè conualuit à morboque euasit, tum reliqua omnia quæ ingredientium quisque dixisset fecissétve, narrabat, tum visa de tibicinibus memorabat. Quibusdam verò nullum uisum apparet, sed hi non

καὶ τῶν ἄλλων ὡσαύτως. τοιαῦτα μὲν δὴ καὶ τοσαῦτα τῆς αἰσθητικῆς ἐνεργείας τὰ συμπτώματα. καὶ πρὸς τούτοις ἔτι δύο ἐξαίρετα, ἡ μὲν ἀγρυπνία, ὁ δὲ κῶμα, καὶ τοῦ πρώτου αἰσθητικοῦ, ὃ δὴ καὶ κοινὸν ἁπασῶν ἐστι τῶν αἰσθήσεων. τῶν δ' αὖ κινητικῶν ἐνεργειῶν, ἀκινησία μὲν καὶ δυσκινησία τὰ πρῶτα συμπτώματα. δυσκινησίας δὲ ἡ μὲν ἀμυδρά τε καὶ ἀρρωστὴς κίνησις, ἡ δὲ μοχθηρά. καὶ τῆς μοχθηρᾶς ἡ μὲν τρομώδης, ἡ δὲ σπασμώδης, ἡ δὲ παλμώδης, ἡ δὲ κλονώδης. ἔνια δὲ τῶν εἰρημένων συμπτωμάτων, ἐπειδὰν ἐν ὅλῳ τῷ σώματι γίνηται, διαφόρου τετύχηκε προσηγορίας, ὡς ἐμπροσθότονός τε καὶ ὀπισθότονος καὶ τέτανος. εἰ δὲ μὴ μόνον σπασμὸς εἴη τοῦ παντὸς σώματος, ἀλλὰ καὶ τῶν ἡγεμονικῶν ἐνεργειῶν ἐπίσχεσις, ἐπιληψία τὸ τοιοῦτον προσαγορεύεται. καθάπερ γε καὶ ἀποπληξία, ἡ παντὸς τοῦ σώματος παράλυσις ἅμα ταῖς ἡγεμονικαῖς ἐνεργείαις. αὗται μὲν αἱ τῶν κινητικῶν ἐνεργειῶν βλάβαι. εἰ δέ τις ἰδίαν ἐξαίρετον ὄνομα οὐκ ἔχει, οὐ χρὴ τούτου χάριν ἐξαπατηθέντας οἴεσθαι παραλελεῖφθαί τι σύμπτωμα, καθάπερ οὐδὲ τὴν ἄπνοιάν τε καὶ δύσπνοιαν, ἢ τὴν ἰσχουρίαν τε καὶ δυσουρίαν, ἢ τὴν ἀφωνίαν τε καὶ κακοφωνίαν καὶ δυσφωνίαν. ἀλλὰ χρὴ τὰ τοιαῦτα πάντα αὐτὸν τὸν ἰατρὸν ἐξευρίσκειν καθ' ἑκάστην ἐνέργειαν ψυχικήν, ὥσπερ γε καὶ τὰς καθ' ἕκαστον αὐτῶν διαφοράς, οἷον εἰ τύχοι τῆς δυσπνοίας ἑνὸς ὄντος συμπτώματος ἔργου ψυχικοῦ τῆς ἀναπνοῆς, αἱ πᾶσαι πόσαι γίνονται διαφοραί, καθάπερ ἐν τῷ περὶ δυσπνοίας ἐδείξαμεν, ἢ τῆς κακοφωνίας, αἱ κατὰ μέρος πόσαι διαφοραί, καθάπερ ἐν τοῖς περὶ φωνῆς διήρηται. πολλάκις δὲ καὶ ἀπορήσειεν ἄν τις ἐκ ποίου γένους ἐστὶ τὸ σύμπτωμα, καθάπερ ἐπὶ τοῦ σκορδινᾶσθαι καὶ χασμᾶσθαι καὶ πταρνύσθαι καὶ βήττειν. ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἁπάντων ἐπὶ πλέον ἐν τῷ μετὰ ταῦτα λόγῳ τῷ περὶ τῆς ἐν τοῖς συμπτώμασιν αἰτίας εἰρήσεται. Ἐφεξῆς δ' ἂν εἴη τὰς τῶν ἡγεμονικῶν ἐνεργειῶν βλάβας διελθεῖν. καὶ πρώτης γε τῆς φανταστικῆς. ἔστι δὲ καὶ ταύτης ἡ μὲν οἷον παράλυσίς τις, ὃ δὴ κάρος καὶ κατάληψις ὀνομάζεται. ἡ δ' οἷον μοχθηρά τις ἢ πλημμελὴς κίνησις, ὅπερ δὴ παραφροσύνη καλεῖται. ἡ δ' οἷον ἐλλιπὴς καὶ ἄτονος, ὡς ἐν κώμασί τε καὶ ληθάργοις. καὶ μέν γε καὶ αὐτῆς τῆς διανοητικῆς ἐνεργείας ἡ μὲν οἷον παράλυσις, ἄνοια. ἡ δ' οἷον ἐλλιπὴς κίνησις, μωρία τε καὶ μώρωσις. ἡ δ' οἷον πλημμελής, παραφροσύνη καλεῖται. τὰ πολλὰ μὲν γὰρ ἐπ' ἀμφοῖν ἅμα συνίσταται τὸ παραφρονεῖν, ἔν τε τῷ μὴ καλῶς φαντασιοῦσθαι κἀν τῷ μὴ δεόντως λογίζεσθαι. ἔστι δ' ὅτε καὶ κατὰ τὸ ἕτερον αὐτῶν μόνον, ὥσπερ γε καὶ Θεοφίλῳ τῷ ἰατρῷ νοσοῦντι. τὰ μὲν ἄλλα σωφρόνως ὑπῆρχε διαλέγεσθαί τε καὶ γνωρίζειν ἀκριβῶς τοὺς παρόντας, αὐλητὰς δέ τινας κατειληφέναι τὴν γωνίαν τοῦ οἰκήματος ἐν ᾧ κατέκειτο, καὶ διαπαντὸς αὐλεῖν τε ἅμα καὶ κτυπεῖν ἐνόμιζε καὶ τούτους βλέπειν ᾤετο, τοὺς μὲν ἑστῶτας αὐτόθι, τοὺς δὲ καθημένους, οὕτω διηνεκῶς αὐλοῦντας, ὡς μήτε νύκτωρ ἀνιέναι τι, μήτε δι' ὅλης ἡμέρας ἡσυχάζειν μηδὲ τὸ σμικρότατον. ἐκεκράγει δὲ διὰ παντός, ἐκβληθῆναι κελεύων αὐτοὺς τῆς οἰκίας. καὶ τοῦτ' ἦν αὐτῷ τὸ τῆς παραφροσύνης εἶδος. καὶ ὡς ἐρρώσθη γε τελέως, καὶ ἀπέφυγε τὸ νόσημα, τά τε ἄλλα πάντα τὰ ὑπὸ τῶν εἰσιόντων ἑκάστου ῥηθέντα καὶ πραχθέντα διηγεῖτο, καὶ τοῦ περὶ τοὺς αὐλητὰς ἐμέμνητο φαντάσματος. ἐνίοις δὲ φάντασμα μὲν οὐδὲν φαίνεται. λογίζονται δ' οὐκ ὀρθῶς,

τοῦ διανοητικοῦ τῆς ψυχῆς αὐτοῖς πεπονθότος. ὥσπερ καὶ τῷ φρενιτικῷ, τῷ κλείσαντι μὲν τὰς θύρας ἔνδοθεν, ἕκαστον δὲ τῶν σκευῶν προφέροντι διὰ τῶν θυρίδων. εἶτα ἐρωτῶντι τοὺς παριόντας, εἰ κελεύοιεν ῥίπτειν. ἐπεὶ γὰρ ἑκάστου μὲν τῶν σκευῶν ἀκριβῶς ἔλεγε τοὔνομα, κἀν τῷδε δῆλος ἦν οὔτ᾽ ἐν τῇ φαντασίᾳ τῇ περὶ αὐτὰ βεβλαμμένος, οὔτ᾽ ἐν τῇ τῶν ὀνομάτων μνήμῃ. τί δὴ βούλεται αὐτῷ τὸ πάντα ῥίπτειν ἀφ᾽ ὑψηλοῦ καὶ καταγνύναι, τοῦτ᾽ οὐκέθ᾽ οἷός τ᾽ ἦν συμβάλλειν, ἀλλ᾽ ἐν αὐτοῖς ἤδη τοῖς ἔργοις τῷδε κατάδηλος ἐγίνετο παραπαίων. ὅτι δὲ καὶ περὶ τὸ μνημονευτικὸν τῆς ψυχῆς γίνεται συμπτώματα, καὶ νοσοῦσιν ἔτι, καὶ ἤδη πεπαυμένοις τῶν νοσημάτων, τοῦτο μὲν καὶ παρὰ Θουκυδίδου μαθεῖν ἔξεστιν ἐνίους τῶν διασωθέντων ἐκ τοῦ λοιμοῦ μέχρι τοσούτου τῶν ἔμπροσθεν ἁπάντων ἐπιλαθέσθαι λέγοντος, ὡς μὴ μόνον τοὺς ἰδίους, ἀλλὰ καὶ σφᾶς αὐτοὺς ἀγνοῆσαι.

ΚΕΦΑΛΑΙΟΝ Δ.

Περὶ τῶν συμπτωμάτων τῆς ἐνεργείας φυσικῆς.

Ἀλλὰ γὰρ ἐπειδὴ καὶ τὰ περὶ τὸ τῆς ψυχῆς ἡγεμονικὸν εἴρηται συμπτώματα, μεταβαίνειν καιρὸς ἤδη ἐπὶ θάτερον γένος τῶν ἐνεργειῶν, ἃς ὀνομάζουσι φυσικάς. ἔσται δὴ κἀνταῦθα καθ᾽ ἑκάστην αὐτῶν ἢ μὴ γινομένην ἢ κακῶς γινομένην, συμπτώματα. τούτου μὲν γένους εἰσὶ τῶν συμπτωμάτων κατὰ μὲν δὴ τὴν ὄρεξιν, ἀνορεξίαι τε καὶ δυσορεξίαι καὶ ἄμετροι σιτίων ἐπιθυμίαι. κατὰ δ᾽ αὖ τὴν πέψιν ἀπεψίαι τε καὶ βραδυπεψίαι καὶ δυσπεψίαι. καὶ μὲν δὴ καὶ περὶ τὴν ἀνάδοσιν ὡσαύτως, καὶ περὶ τὴν τοῦ αἵματος γένεσιν, ἢ μὴ γιγνομένην ἢ κακῶς γιγνομένην, συμπτώματα ἔσται. τούτου τοῦ γένους εἰσὶ τῶν συμπτωμάτων καὶ οἱ ὕδεροι. καὶ μέν γε κατὰ τὴν τῆς θρέψεως ἐνέργειαν ἀτροφίαι μέν τινες καὶ φθίσεις εἰσὶν αἱ ἀποτυχίαι· λεύκας δὲ καὶ ὀφιάσεις καὶ ἀλωπεκίας καὶ πᾶν ὅσον τι τοιοῦτον εἶδος συμπτώματος αἱ μοχθηραὶ θρέψεις ἀποτελοῦσιν. ἀσφυξίαι δὲ καὶ κακοσφυξίαι περὶ τὴν τῶν σφυγμῶν ἐνέργειαν συμπτώματά εἰσι. καὶ μὲν δὴ καὶ κατὰ τὴν διάκρισιν τῶν περιττωμάτων ἢ μηδ᾽ ὅλως ἢ μὴ καλῶς ἐπιτελουμένην συμπτώματα συνίσταται, τὰ μὲν ἀποροῦντα προσηγορίας οἰκείας, καθάπερ τὰ περὶ τὴν μέλαιναν χολήν, τὰ δὲ ὠνομασμένα συνήθως, ὥσπερ ὁ ἴκτερος. μέθοδος δὲ κἀνταῦθα τῆς ἁπάντων εὑρέσεως, ἡ γνῶσις τῶν φυσικῶν δυνάμεων, ἃς ἐν τῷ περὶ αὐτῶν λόγῳ τέτταρας ἐν ἑκάστῳ τῶν τοῦ σώματος μορίων ἐδείξαμεν ὑπάρχειν, ἑλκτικήν τε καὶ καθεκτικὴν καὶ ἀλλοιωτικὴν καὶ ἀποκριτικήν. ἔσται δὴ καθ᾽ ἑκάστην αὐτῶν διττὸν σύμπτωμα. θάτερον μὲν κακῶς γινομένης τῆς ἐνεργείας, θάτερον δὲ οὐδ᾽ ὅλως γινομένης. ὥστε καθ᾽ ἕκαστον ὄργανον φυσικὸν ὀκτὼ τὰ πάντα ἔσται συμπτώματα. εἴπερ οὖν ἐκ τῆς ἀνατομῆς ἔγνωσται τὸ πλῆθος τῶν τοῦ ζώου μορίων, εὑρεθήσεται ταχέως ἐξ αὐτοῦ τὸ πλῆθος τῶν ἁπάντων συμπτωμάτων. ὅσα μὲν γὰρ τῆς φύσεως μόνης ἐστὶν ὄργανα, τοῖς ὀκτὼ συμπτώμασιν ἁλώσεται μόνοις. ὅσα δὲ τῆς ψυχῆς, καὶ τούτοις μέν, ἐξ ἐπιμέτρου δὲ ἑτέροις δυσί. δέδεικται γὰρ ὀλίγον ἔμπροσθεν, ὡς καθ᾽ ἑκάστην τῶν ψυχικῶν ἐνεργειῶν διττὸν εἶδος ἔσται συμπτώματος ἤτοι μηδ᾽ ὅλως αὐτῶν ἢ κακῶς γινομένων. εἴρηται δὲ καὶ ὡς τὸ κακῶς τοῦτο διττόν ἐστι. τὸ μὲν, οἷον ἀμυδρῶς. τὸ δὲ ὡς ἄν τις εἴπῃ πλημμελῶς. ὥστε πάλιν εἰ καὶ μὴ δύο τὰ συμπτώματα

recte ratiocinantur, ratiocinatrice animæ facultate iis affectâ; vt phrenitico contigit, qui occlusis intus ianuis singula vasa per fenestras protulit, postea prætereuntes rogabat, num projicere iuberent. Hic enim singulorum vasorum nomina planè proferebat, quâ in re se manifestè declarabat, neque in imaginatione circa ea læsum esse, nec in nominum memoriâ. Quid igitur sibi vult, ab alto omnia deiicere ac perfringere? hoc intelligere non poterat, sed opere ipso delirare se declarabat. Quod autem & circa memoratricem animæ facultatē symptomata eueniant non ægrotantibus modò, sed iis etiam qui ægrotare desierunt, id didicisse è Thucydide licet, qui nonnullos è pestilentia seruatos, eatenus omnium quæ præcessissent oblitos prodit, vt non solùm suos familiares, sed etiam se ipsos ignorarent.

CAPVT IV.

De symptomatis functionis naturalis.

Sed enim quoniam principis animę facultatis symptomata explicata sunt, iam tēpestiuum est ad alterum functionum genus, quas naturales appellant, transire. Atque harum singulis, quum vel non eduntur, vel malè eduntur, erunt symptomata. Huius quidem generis symptomatum sunt in appetitu appetentia tum difficilis inappetentia, tum immoderata ciborum appetentia. Concoctionis sunt apepsia, bradypepsia, dyspesia. Pari modo in distributione & sanguinis generatione, quæ vel non peragitur, vel prauè peragitur, existent symptomata. Huius generis symptomatum sunt hyderi. Iam in nutritionis actione atrophię quædam & tabes frustrationes *eius* sunt. Leucas verò & ophiases, & alopecias, & quicquid eiusmodi symptomatum species *habetur*, vitiosæ nutritiones efficiunt. At asphyxiæ & cacosphyxiæ functionis *læsæ* pulsuum sunt symptomata. In excrementorum quoque secretione quæ vel non omnino, vel non ritè peragitur, symptomata consistunt, alia nomine proprio vacantia, veluti quæ circa atram bilem eueniunt; alia ex consuetudine nominata, vt regius morbus. Methodus verò hîc quoque omnium inuentionis est, naturalium facultatum cognitio, quas in libris de ipsis conscriptis quatuor esse in vnaquâque corporis parte indicauimus, attractricem, retentricem, alteratricem & excretricem. Erit igitur in harum vnaquâque duplex symptoma; alterum quum malè fit actio, alterum quum prorsus non fit. Quare in quocunque naturali instrumento, octo erunt in vniuersum symptomata. Ergo sicui ex anatome innotuerit partiū animalis numerus, facilè ex sese omnium symptomatum multitudinem inueniet. Quæ enim naturæ soliùs sunt instrumenta, octo solùm symptomatis laborabunt; quæ verò sunt animæ, *tum istis*, tum his ampliùs aliis duobus. Monstratum enim paulò supra est, cuiusque animalium actionum duplicem esse symptomatū speciem, vel quæ prorsus non efficiuntur, vel quæ malè eduntur. Dictum præterea est hoc, malè, duplex esse, aliud veluti obscurè debiliterque, aliud ac siquis dicat deprauatè. Ita rursus si non duo in quâque tum actione tum facultate symptomata

promata esse dicas, sed omnino tria, alterum *scilicet* priorum duorum in duo secans, duodecim quidem in quoque naturali instrumento erunt sympromata; quindecim verò in animalibus *organis*. Porrò prior diuisio, quæ in duas *facta est* differentias, octo quidem naturalium, decem verò animalium actionum efficit. Si quod verò instrumentũ dupliciratione animale sit, vt sentiat simul & moueat; huic ex secundâ diuisione decem & octo symptomata incident; ex priore, duodecim. Monstrato igitur, quod dicimus in vnâ alteráve parte, quod nos in iis, hoc ipsum in omnibus facere censemus eum, qui numerare sympromata studebit, minimè quidem nominibus attentum (neque enim vbique vsitata nomina inueniet) sed ipsam rerum naturam spectantem. Sed esto ventriculus concoctionis instrumentum, quod trahit ad se (vti ostendimus) familiare alimentum, & excernit quicquid est alienum; præterea quod attraxit, id retinet, & quod retinet, alterat. Quum igitur vel omnino non attrahere, vel vitiosè attrahere illi contigit, duo hæc attractricis facultatis symptomata mecum perpende. Alterum eorum rursum bifariam diuiditur, *nempe* (quod vitiosè) oratione saltem quatenus vtique licet (tametsi nominibus dilucidè demonstrare non potes, quòd *scilicet* his nullum impositum nomen sit) interpretari conatus, quod etiam per id ipsum (vitiosè) alia erit vt *attractio* imbecilla, alia vt deprauata; imbecillà quidem quæ vix & ægrè & longo tẽpore fit; deprauatà, quæ veluti cum palpitatione, vel tremore, vel cõuulsione, vel concussione agitur. In alteratrice verò ventriculi facultate aliud *symptoma* est, vbi omnino alteratio non fit, quũ quales assumpti cibi sunt, tales in omni qualitate manẽt; aliud *vbi* imbecilliter, *quod* propriũ nomen bradypesiam habet; quemadmodum & deprauatè, quum in alienam qualitatẽ cibi permutantur, ita vt tria in totum symptomata circa vnam actionem frustratam habeantur. Vocatur autem ipsa functio, concoctio, quæ ciborum est in familiarem animali qualitatem alteratio. Bradypepsia verò, mutatio in eam qualitatem est, sed vix & spatio longiore; Alterationem autem in alteram qualitatem, non tamẽ in eam, quæ secundum naturam est, apepsiam nominant. Huic æquinocè priuatio quoque actionis nominatur; quanquam clariùs fuerat hanc solam apepsiam nominare; illam verò deprauatam mutationem, dyspepsiam; sicut imbecillam alterationem, bradypepsiam. Atque vt Plato dicebat, veteres quum res plurimas ignorarent, alias omnino non nominarunt, alias non rectè. Non igitur decipi nos oportet nominibus, sed in ipsam rerum substantiam inspicere. Id si fecerimus, inueniemus similiter retentricis facultatis actionem secundum naturam se habere, quum tempus comprehensionis ciborum cõcoctionis tẽpori exæquatur, ac cibos vndiq; prorsus complectitur; priuationem verò vniuersalem actionis, quum prorsus non complectitur; accidit autem id in lienteriis; imbecillitatem verò *vocamus*, quum vel non probè comprehendit, vel non ad vsque perfectam concoctionem, vel quum ambo hæc simul incidunt. Quum enim his in duobus consistat proba comprehensiuæ facultatis functio, tum vt nullum spatium relinquatur inter ventrem & cibos vacuum; tum vt

A καθ' ἑκάστην ἐνέργειαν τε καὶ δύναμιν (εἰ) λέγοις, ἀλλὰ τρία πάντα, θάτερον τῶν προτέρων δυοῖν τέμνων δίχα, δώδεκα μὲν ἔσται τὰ πάντα καθ' ἕκαστον ὄργανον φυσικόν, πεντεκαίδεκα δὲ ἐν τοῖς ψυχικοῖς. ἡ δ' εἰς τὰς προτέρας δύο διαφορὰς τομή, ὀκτὼ μὲν τὰ τῶν φυσικῶν, δέκα δὲ ἀπεργάζεται τὰ τῶν ψυχικῶν. εἰ δὲ καὶ κατὰ διττὸν εἴη λόγον ὄργανόν τι ψυχικὸν αἰσθητικόν τε ἅμα καὶ κινητικόν, ὀκτὼ καὶ δέκα μὲν ἔσται τὰ συμπτώματα κατὰ τὴν δευτέραν τομήν, δώδεκα δὲ κατὰ τὴν προτέραν. ἐφ' ἑνὸς οὖν ἢ δευτέρου μορίου δείξαντες τὸ λεγόμενον, ὥσπερ ἐπὶ τούτων ἡμεῖς, τοῦτ' ἐπὶ B πάντων ἀξιώσομεν ποιῆσαι τὸν βουλόμενον ἐξαριθμήσασθαι τὰ συμπτώματα, μὴ τοῖς ὀνόμασι προσέχοντα τὸν νοῦν, (οὐ γὰρ εὑρήσει πανταχόθι συνήθεις προσηγορίας) ἀλλ' εἰς αὐτὴν ἀποβλέποντα τὴν τῶν πραγμάτων φύσιν. ἔστω δὴ ἡ γαστὴρ ὄργανον τῆς πέψεως, ἕλκον μέν, ὡς ἐδείκνυμεν, εἰς ἑαυτὸ τὴν οἰκείαν τροφήν, ἀποκρῖνον δὲ πᾶν ὅσον ἀλλότριον· ἀλλὰ καὶ κατέχον τοῦτο τὸ ἑλχθέν, καὶ ἀλλοιοῦν τὸ κατασχεθέν. ὅταν οὖν ἤτοι μηδ' ὅλως ἕλκειν, ἢ κακῶς ἕλκειν αὐτῇ συμβῇ, δύο μὲν ταυτί δή μοι νόει περὶ τὴν ἑλκτικὴν δύναμιν C τὰ συμπτώματα. τέμνεται δὲ αὖθις δίχα θάτερον αὐτῶν τὸ μοχθηρῶς, εἰ καὶ μὴ τοῖς ὀνόμασιν ἔχοις ἐνδείξασθαι σαφῶς· οὐ γὰρ κεῖταί τι κατ' αὐτῶν οὐδὲν ὄνομα· λόγῳ γοῦν ὡς οἷόν τε πειρώμενος ἑρμηνεύειν, ὅτι καὶ κατ' αὐτὸ τοῦτο τὸ μοχθηρῶς, τὸ μὲν οἷον ἀρρώστως ἔσται, τὸ δὲ οἷον πλημμελῶς· ἀρρώστως μὲν τὸ μόγις καὶ δυσχερῶς καὶ σὺν χρόνῳ πολλῷ· πλημμελῶς δέ, τὸ οἷον παλμωδῶς, ἢ τρομωδῶς, ἢ σπασμωδῶς, ἢ κλονωδῶς. ἐπὶ δέ γε τῆς ἀλλοιωτικῆς δυνάμεως ἐν τῇ γαστρί, τὸ μὲν μηδ' ὅλως ἐστίν, ὅταν οἷάπερ ἐλήφθη τὰ σιτία, τοιαῦτα D διαμένῃ κατὰ πᾶσαν ποιότητα· τὸ δ' ἀρρώστως, ἴδιον ὄνομα κέκτηται, τὴν βραδυπεψίαν· ὥσπερ καὶ τὸ πλημμελῶς, εἰς ἀλλόκοτον ποιότητα τῶν σιτίων μεταβαλλόντων· ὥστε γίνεσθαι τὰ σύμπαντα συμπτώματα τρία περὶ μίαν ἐνέργειαν ἀποτυγχανομένην. καλεῖται δὲ ἡ μὲν ἐνέργεια, πέψις, ἀλλοίωσις οὖσα τῶν σιτίων εἰς τὴν οἰκείαν τοῦ ζώου ποιότητα· βραδυπεψία δὲ ἡ ἐν χρόνῳ πλείονι καὶ μόγις εἰς τὴν αὐτὴν ποιότητα μεταβολή· τὸ δ' ἀλλοιοῦσθαι μὲν εἰς ἑτέραν ποιότητα, μὴ μέντοι κατὰ φύσιν, ἀπεψίαν ὀνομάζουσιν· ὁμωνύμως δὲ αὐτῇ προσαγορεύεται καὶ ἡ στέρησις τῆς ἐνεργείας. καίτοι σαφέστερον ἦν ταύτην μὲν μόνην ἀπεψίαν ὀνομάζεσθαι, δυσπεψίαν δὲ τὴν πλημμελῆ μεταβολήν, βραδυπεψίαν δὲ τὴν ἄρρωστον ἀλλοίωσιν· ἀλλὰ γάρ, ὅπερ ὁ Πλάτων ἔλεγεν, ἀγνοοῦντες οἱ παλαιοὶ τὰ πλεῖστα τῶν πραγμάτων, τὰ μὲν οὐδ' ὅλως, τὰ δὲ οὐκ ὀρθῶς ὠνόμασαν. οὔκουν ἐξαπατᾶσθαι χρὴ τοῖς ὀνόμασιν, ἀλλ' εἰς αὐτὴν ἀποβλέπειν τῶν πραγμάτων τὴν οὐσίαν. εἴπερ οὖν τοῦτο ποιοῖμεν, εὑρήσομεν ὡσαύτως καὶ τῆς καθεκτικῆς δυνάμεως ἐνέργειαν μὲν τὴν κατὰ φύσιν, E ὅταν ἐξισῶται ὁ χρόνος τῆς περιστολῆς τῷ χρόνῳ τῆς πέψεως, καὶ σφίγγῃ πανταχόθεν ἀκριβῶς τὰ σιτία· στέρησιν δὲ παντελῆ τῆς ἐνεργείας, ὅταν μηδ' ὅλως περιλαμβάνῃ· γίνεται δὲ τοῦτο ἐν ταῖς λειεντερίαις· ἀρρωστίαν δέ, ὁπόταν ἢ μὴ περιστέλληται καλῶς, ἢ μὴ μέχρι τῆς παντελοῦς πέψεως, ἢ ἄμφω ἅμα συμπίπτῃ. ἐπεὶ γὰρ ἐν δυοῖν τούτοιν ὑπῆρχε τὸ καλῶς ἐνεργεῖν τὴν περισταλτικὴν δύναμιν, ἔν τε μηδεμίαν ἀπολιπεῖν χώραν κενὴν μεταξὺ τῆς τε γαστρὸς καὶ τῶν σιτίων, τῷ τ' ἐξισοῦσθαι τὸν χρόνον τῆς περιστολῆς τῷ χρόνῳ τῆς πέψεως, ἤτοι κατὰ θάτερον

αὐτῶν μόνον ἐνεργήσει κακῶς, ἢ κατ᾽ ἄμφω καὶ συμπτώματα ἀκολουθήσει, κλύδωνες μὲν καὶ πνευματώσεις ἀρρώστῳ περιστολῇ· ἐκκρίσεις δὲ ταχεῖαι ἢ διαφθορὰ τῶν σιτίων ἐν τῇ κάτω γαστρὶ, ταῖς ὀλιγοχρονίοις. ἔνθα σε καὶ τούτῳ κελεύω προσέχειν τὸν νοῦν, ὡς ἕπεται πολλάκις ἕτερον ἑτέρῳ συμπτώματι. τῇ μὲν γὰρ ἀρρώστῳ περιστολῇ, ποτὲ μὲν οἱ κλύδωνες ἕπονται, ποτὲ δὲ αἱ πνευματώσεις· τῇ δ᾽ ὀλιγοχρονίῳ, πάντως μὲν αἱ ἐλλιπεῖς πέψεις, ἐφεξῆς δὲ ἤτοι ταχεῖα διέξοδος τῶν σιτίων, ἢ διαφθορὰ κατὰ τὴν κάτω γαστέρα. ταχείας μὲν οὖν διεξόδου συμπτώματα ἀχώριστα, διαχωρήσεως ὑγρότης καὶ ἀνάδοσις ἐλλιπής· διαφθορᾶς δὲ, δυσωδία μὲν ἐν τοῖς διαχωρουμένοις ἐξ ἀνάγκης, οὐκ ἐξ ἀνάγκης δὲ δήξεις ἢ πνευματώσεις, ἀλλ᾽ ἔστιν ὅτε μὲν οὐδέτερον αὐτῶν, ἔστιν ὅτε δὲ θάτερον, ὅτε δ᾽ ἀμφότερα. διὰ τί δὲ κἀν τούτοις, κἀν τοῖς ἔμπροσθεν εἰρημένοις, τινὰ μὲν ἐξ ἀνάγκης ἕπεται, τινὰ δ᾽ οὐκ ἐξ ἀνάγκης, ἐν τῷ μετὰ τοῦτον δίειμεν λόγῳ τῷ περὶ τῶν ἐν τοῖς συμπτώμασιν αἰτιῶν. ἐν δὲ τῷ παρόντι μετιέναι καιρὸς ἐπὶ τὴν λοιπὴν διαφορὰν τῶν συμπτωμάτων τῆς καθεκτικῆς δυνάμεως. ὅταν οὖν περιστέλληται ἡ γαστὴρ τοῖς σιτίοις, ἀλλὰ μετὰ παλμοῦ τινος, ἢ οἷον σπασμοῦ τε καὶ τρόμου καὶ κλόνου, πλημμελὲς ἂν εἴη τὸ τοιοῦτον τῆς περιστολῆς ἔργον. τοῦ μὲν οὖν παλμοῦ τῆς γαστρὸς σαφῶς αἰσθανόμεθα, καὶ μήν γε καὶ τοῦ σπασμοῦ, λυγμὸς γὰρ ὀνομάζεται τὸ σύμπτωμα· τοῦ δὲ οἷον τρόμου, παθήματος αὐτῆς, οὐκέτ᾽ ἐναργῶς, ἀλλ᾽ εἰ προσέχοις τῷ λόγῳ τὸν νοῦν, οὐκ ἂν οὐδὲ τοῦτο φωράσαις χαλεπῶς. ὅταν οὖν ἐδηδοκότι σοι μήτε κλύδων τις ἐνοχλῇ, μήτε πνευμάτωσις, ἀλλὰ μήτε παλμός τις εἴη, μήτε λύγξ, ἀήθους δ᾽ ἀπορίας αἴσθησις ὑπάρχῃ κατὰ τὴν γαστέρα, καὶ οἷον βαρύνηταί τε καὶ κάμνῃ καὶ ποθῇ θᾶττον ὑπελθεῖν κάτω τὸ βάρος ἢ ἄνω, ἅμα τῷ τινα ἐρυγὴν προσγίνεσθαι· καί που καὶ δυσχέρεια περὶ τὴν ἀναπνοὴν δύσφορός δή τις καὶ δύσφραστος ἕπηται, τότε ἡγοῦ τὴν γαστέρα περιεστάλθαι μὲν τοῖς σιτίοις, ἀλλ᾽ οἷον τρομωδῶς. ἡ δὲ οἷον κλονώδης κίνησις ἐν τοῖς ῥίγεσι μάλιστα καταφανής ἐστιν, ἅπαντα τοῦ ζώου καταλαμβάνουσα τὰ μόρια. περὶ μὲν δὴ τούτων ἐπὶ πλέον ἐν τοῖς μετὰ τοῦτο λεχθήσεται γράμμασι· νυνὶ δὲ ἐπὶ τὴν τετάρτην ἤδη τῆς γαστρὸς μετέλθωμεν δύναμιν, τὴν ἀποκριτικήν τε καὶ προωστικὴν ὀνομαζομένην, ἧς ἡ μὲν οἷον στέρησις ἔν τισιν ἰδέαις εἰλεῶν γίνεται· ἡ δὲ ἀρρωστία συνεχῶς ἐγγίνεται ἐν βραδείαις τισὶ περιττωμάτων διεξόδοις· ἡ δ᾽ οἷον πλημμελὴς κίνησις, ὅταν ἤτοι πρὶν τελειωθῆναι τὴν πέψιν ἐξορμήσῃ πρὸς τὴν ἐνέργειαν, ἢ βραδύνῃ καὶ μέλλῃ τελειωθείσης, ἢ μετά τινος ἤδη τῶν εἰρημένων συμπτωμάτων· ἢ ἄλλως πως ἀνωμάλως, ἢ οἷον ἀκρατῶς αὖθις ἐμπίπτῃ τοῖς σιτίοις ἡ γαστὴρ, ἀταμίευτον ἔχουσα τὴν κίνησιν ὁμοίως τοῖς εἰς τὸ κάταντες θέουσιν, εἶτα στῆναι μὴ δυναμένοις. ἐπὶ μὲν δὴ τῆς γαστρὸς, ὡς ὀργάνου πέψεως, εἴρηται τὰ συμπτώματα. καθότι δὲ καὶ τρέφεσθαι δεῖται, καὶ τὸ θρέψον ἕλκειν εἰς ἑαυτὴν, καὶ κατέχειν γε, μέχρι περ ἂν ἀλλοιώσῃ καὶ ἀποκρίνῃ τὸ περιττὸν, ἕτερον ἴσον ἀριθμὸν κτήσεται συμπτωμάτων, ὡς ὁμοιομερὲς σῶμα. τάχα οὖν ἂν εἴη κάλλιον ἅπαντα

περὶ τῆς ἀποκριτικῆς τῆς γαστρὸς

A comprehensionis tempus concoctionis tempori exæquetur; vel in altero tantùm malè functionem obibit; vel in vtroque; symptomataque consequentur, imbecillam quidem comprehensionem fluctuationes & flatus; breuioris verò temporis comprehensionem, excretio celeris & ciborum in inferiori ventre corruptela. Atque hic te huic rei mentem adhibere velim quòd alteri symptomati alterum nonnunquam succedit; imbecillam nanque comprehensionem modò perturbationes ventris sequuntur, modò flatus; breuioris verò temporis *comprehensionem*, omnino imperfecta concoctio; cui succedit, vel celer ciborum exitus, vel eorum in ventre corruptela. Ac ita celeris quidem exitus inseparabilia symptomata sunt deiectionis humiditas, & distributio deficiens; corruptelæ autem, in alui quidem deiectionibus graueolentia necessariò, non necessariò autem mordicationes aut inflationes. Sed interdum neutrum eorum, interdum alterum, interdum vtrumque sequitur. Cur autem tum in istis, tum in iis, quæ priùs sunt dicta, quædam necessariò sequantur, quædam non necessariò, in libro hunc sequenti agemus. In præsentiâ verò ad reliquam retentricis facultatis symptomatum differentiã est transeundum. Quum igitur cibos venter comprehendit, sed cum palpitatione quadam vel tanquam conuulsione & tremore & concussione, eiusmodi comprehensionis opus deprauatum fuerit. Ac palpitationem quidem ventris clarè sentimus, itemque conuulsionem (singultum n. hoc symptoma nominãt) at pathema eius, quòd veluti tremor sit, non clarè *percipitur*: Sed si nostræ orationi animum adhibueris, id quoque non magno negotio deprehendes. Ergo vbi ab assumpto cibo neque aliqua fluctuatio te infestat, neque inflatio, imò neque palpitatio vlla est, neque singultus, sed insuetæ iactationis in vẽtre sensus est, & veluti grauatur is ac laborat, ac desiderat celerius onus per inferiora aut superiora secedere, simulq; accedit ructus quidam; ac molesta quædam difficultas intoleranda ac vix explicabilis respirationis sequitur; tum existima ventriculum cibos comprehendere quidem, sed tremulè. At motus veluti concussiuus in rigoribus maximè est conspicuus, vniuersas animalis partes occupans. Sed de his fusiùs in libris hunc sequentibus disseretur. Iam nunc ad quartã ventris facultatem excretricem propultricemque nominatam accedamus; cuius veluti priuatio in quibusdã ilei speciebus cernitur; imbecillitas verò plerunque in tardis quibusdam excrementorum deiectionibus incidit. Motus autem quasi vitiosus est, quum vel priusquam peracta concoctio sit, ad actionem proruit; vel absolutâ *concoctione*, cessat ac tardat, vel vnà cum aliquo iam dictorum symptomatum fit; aliterve quouis modò inæqualiter; vel tanquam intemperanter venter in cibos irruit, minimè moderatum habens motum exemplo eorum, qui per decliue currentes, gradum postea sistere nequeunt. Igitur ventris, quatenus organum est concoctionis, dicta symptomata sunt; at quatenus ipsum nutriri oportet & ad se alimentum attrahere, & retinere, quousque alterauerit, & superuacaneum excreuerit; alium parem symptomatũ numerum vt similare corpus sortietur. Fortassis igitur pręstiterit omnia, quæ facultatis nutricis

nutricis facultatis functioni accidunt symptomata percurrere, tum quæ ventris corpori, tum quæ cæteris partibus omnibus insunt cõmunia, quippe clarior ita legentibus oratio fiet, illustriúsque docebit quod paulò supra est dictum, symptoma symptomatis causam esse. Atrophiam. n. quum vnum symptoma sit, siue ea in toto fiat animali, siue in vnâ eius parte, multa præcedunt symptomata. Quum .n. quod probè nutriri debet, id & trahere ad se familiare ac proprium alimentum oporteat; & quoad alteratum sibi assimilauerit, retinere; præterea quod redundat excrementũ excernere; quumque id excrementum duplex genere sit, aut .n. quantitate redundat, aut qualitate; necesse omnino est partem atrophiâ laborantem, vel vno prædictorum aliquo id pati, vel plurimis. Nam siue diminutè nutriturum *alimentum*, siue non omnino, siue deprauatè trahat; atrophiâ pars laborabit: siue id quidem, quantum & quale esse oportet, suppeditetur; cæterum symptoma aliquod in retentrice facultate consistat simile dictis ventriculi symptomatis; atrophiâ sic quoque laborabit. Quòd si hæ facultates illæsis fungantur actionibus, excretrix autem errauerit, plusquam oportet euacuans; sic quoque pars macilenta atrophiáque tabescens reddetur. Iam alteratricis facultatis symptomatum illud quidem, quod veluti priuatio est (quã apepsiam vocari diximus) liquidò patet partem macilentam efficere. Alterũ quasi imbecillitas quædam est (quam bradypepsiam vocamus) hæc spatio quidem longiore, sed manifestam tandem aliquando maciem inducet. Tertium verò symptoma, dyspepsiæ simile, non macilentam & atrophia laborantem partem reddet, sed partis ideam permutabit quemadmodũ in leuce, & elephantiasi cernitur. Sed hîc aduertere, ac distinguere oportet, vtrúmne humore aliquo affluente, an solidis ipsis ita affectis, mutatus color sit. Nam si ob humorem mutatus sit, alterius generis symptoma est, non alteratricis facultatis error; si autem tota pars per totam; qualem esse oporteat, talis non sit, alteratricis facultatis *id vitium est*. Fit. n. & in arquatis naturalis coloris mutatio; sed id, secretionis actionis est symptoma, nisi venarum ipsarum affectio sit; tunc enim alteratricis est facultatis. Vitiosus autem in singulis priuatim partibus color, nisi ex humore aliquo extrinsecus affluente proueniat, veluti quædam dyspepsia est tum alteratricis, tũ concoctricis in ipsa parte facultatis. Ergo hanc atrophiam, quæ cacotrophia quædam dicenda *potiùs* sit, à præsenti disputatione eximamus; ad atrophiam verò vocatã, qua nutritionis fit priuatio, reuersi illud admoneamus, tum ipsam symptoma esse, tum symptomatis aliàs aliis, quæ vel attractrici, vel retentrici, vel excretrici, vel alteratrici facultati accidunt, superueuire. Omnium verò horum symptomatum causæ, morbi sunt. Finge .n. diminutè ad aliquam partem trahi alimentum, ideóque eam non nutriri, omnino morbus aliquis diminutum hunc tractum præcedit. Dictum enim est; quum pars ipsa imbecillior ad se ipsam alimentum trahit, eam omnino sanè intemperatam esse; morbus autem *est* intẽperies: si verò temperata quidem pars fuerit, sed obstructio aliqua in distributionis organis existens distributionẽ impediat, obstructio ipsa morbus

τὰ περὶ τὴν θρεπτικὴν ἐνέργειαν διελθεῖν συμπτώματα, τῷ τε γαστρὸς σώματι, καὶ τοῖς ἄλλοις ἅπασι μορίοις ὑπάρχοντα κοινά, σαφέστερος γὰρ ὁ λόγος οὕτως ἂν γένοιτο τοῖς ἐντυγχάνουσιν, ἐναργέστερόν τ' ἄν τις διδάξειε τὸ μικρῷ πρόσθεν εἰρημένον, ὡς ἔστι καὶ σύμπτωμα συμπτώματος αἴτιον. ἑνὸς γοῦν συμπτώματος τῆς ἀτροφίας, εἴτε καθ' ὅλον αὐτὴ γίνοιτο τὸ ζῶον, εἴτε καθ' ἕν τι μόριον αὐτοῦ, πλείω προηγεῖται συμπτώματα. δεομένου γὰρ τοῦ μέλλοντος θρέψεσθαι καλῶς, ἕλκειν τε πρὸς ἑαυτὸ τὴν οἰκείαν τροφήν, καὶ κατέχειν αὐτὴν ἄχρις ἂν ἀλλοιωθεῖσαν ὁμοιώσῃ, τὸ μὲν τοῖς καὶ ἀποκρίνειν τὸ περιττόν· ὄντος δὲ καὶ αὐτοῦ τοῦ περιττοῦ διττοῦ κατὰ γένος, ἢ γὰρ τῷ ποσῷ περιττόν ἐστιν, ἢ τῷ ποιῷ· ἀνάγκη πᾶσα τὸ ἀτροφοῦν μόριον, ἢ δι' ἕν τι τῶν εἰρημένων τοῦτο πάσχειν, ἢ διὰ πλείω. εἴ τε γὰρ ἐλλιπῶς ἕλκει τὸ θρέψον, ἢ μηδ' ὅλως, ἢ μοχθηρῶς, ἀτροφήσει τὸ μόριον· εἴτε τοῦτο μὲν ὅσον τε ἐχρῆν εἴη, καὶ δὴ ἐπιδίδοιτο, σύμπτωμα δέ τι περὶ τὴν καθεκτικὴν δύναμιν εἴη τοῖς ἐπὶ τῆς γαστρὸς εἰρημένοις ἀνάλογον, ἀτροφήσει καὶ οὕτως. εἰ δὲ καὶ τούτων τῶν δυνάμεων ἀμέμπτως ἐνεργουσῶν, ἡ ἀποκριτικὴ σφάλλοιτο πλέον ἢ προσῆκε κενοῦσα, καὶ οὕτως ἂν ἰσχνὸν καὶ ἄτροφον ἀποδειχθείη τὸ μόριον. ἀλλὰ μὴν καὶ τῆς ἀλλοιωτικῆς δυνάμεως τὰ συμπτώματα, τὸ μὲν δὴ στέρησις, ὅπερ ἀπεψίαν ἔφαμεν ὀνομάζεσθαι, δῆλον, ὡς ἰσχνὸν ἐργάζεται τὸ μόριον· τὸ δὲ δὴ ἀρρωστία τις, ὅπερ καλοῦμεν βραδυπεψίαν, ἐν χρόνῳ μὲν πλείονι, σαφῆ δ' οὖν καὶ αὐτὴ ποιήσει ποτὲ τὴν ἰσχνότητα· τῷ δὲ τρίτῳ συμπτώματι, τῷ δυσπεψίας ἀνάλογον, οὐκ ἰσχνὸν καὶ ἄτροφον, ἀλλ' ἐξηλλαγμένον τὴν ἰδέαν ἀποδείξει τὸ μόριον, ὥσπερ ἔν τε ταῖς λεύκαις καὶ ταῖς ἐλεφαντιάσεσι φαίνεται. προσέχειν δὲ ἐνταῦθα χρὴ τὸν νοῦν καὶ διορίζειν, πότερον χυμοῦ τινος ἐπιρρέοντος, ἢ τῶν στερεῶν αὐτῶν οὕτω διακειμένων ἐξήλλακται τὰ τῆς χροιᾶς. εἰ μὲν γὰρ διὰ χυμόν, ἐξ ἑτέρου γένους τὸ σύμπτωμά ἐστι, καὶ οὐ τῆς ἀλλοιωτικῆς δυνάμεως τὸ σφάλμα· εἰ δ' ὅλον δι' ὅλου τὸ μόριόν ἐστιν, οἷον οὐκ ἐχρῆν εἶναι, τῆς ἀλλοιωτικῆς δυνάμεως. γίνεται μὲν γὰρ κἀν τοῖς ἰκτερικοῖς ἐξάλλαξις τοῦ κατὰ φύσιν χρώματος, ἀλλὰ τοῦτο μέν, σύμπτωμά ἐστι τῆς διακριτικῆς ἐνεργείας, πλὴν εἰ μὴ τῶν φλεβῶν αὐτῶν πάθος ποθ' ὑπάρχει· τηνικαῦτα γὰρ τῆς ἀλλοιωτικῆς ἐστιν. ἡ δὲ καθ' ἕκαστον μόριον ἰδίως ἄχροια, εἰ μὴ διά τινα χυμὸν ἔξωθεν ἐπίρρυτον γίνεται, δὴ δυσπεψία τίς ἐστι τῆς ἐν αὐτῷ δυνάμεως ἀλλοιωτικῆς τε καὶ πεπτικῆς. ἐξέλωμεν δὴ ταύτην ἐκ τοῦ παρόντος λόγου τὴν ἀτροφίαν, κακοτροφίαν τινὰ οὖσαν· ἐπὶ δὲ τὴν στερητικὴν τῆς θρέψεως ὀνομαζομένην ἀτροφίαν ἐπανελθόντες, ἀναμνήσωμεν, ὡς αὕτη τε σύμπτωμά ἐστι καὶ ἕπεται συμπτώμασιν ἄλλοτ' ἄλλοις, ἤτοι περὶ τὴν ἑλκτικήν, ἢ περὶ τὴν καθεκτικήν, ἢ τὴν ἀποκριτικὴν δύναμιν, ἢ τὸ περὶ τὴν ἀλλοιωτικὴν αὐτὴν γιγνομένοις. ἁπάντων δὲ τούτων τῶν συμπτωμάτων αἴτια τὰ νοσήματα. φέρε γὰρ ἐλλιπῶς ἐπί τι μόριον ἕλκεσθαι τὴν τροφήν, καὶ διὰ τοῦτ' ἀτροφεῖν αὐτό, νόσημα ἐξ ἀνάγκης προηγεῖταί τι ταύτης τῆς ἐλλιποῦς ἕλξεως· εἴρηται γὰρ ὅτι ἂν αὐτὸ τὸ μόριον ἀρρωστότερον ἐφ' ἑαυτὸ τὴν τροφὴν ἐπισπᾶται, πάντως δή που δύσκρατον ὑπάρχειν, νόσος δὲ ἡ δυσκρασία· εἰ δ' εὔκρατον μὲν εἴη τὸ μόριον, ἔμφραξις δέ τις ἐν τοῖς τῆς ἀναδόσεως ὀργάνοις ὑπάρχουσα παρεμποδίζῃ τὴν ἀνάδοσιν, ἡ μὲν ἔμφραξις νόσημα,

σύμπτωμα δ' αὐτῆς ἡ βλάβη τῆς ἀναδόσεως. οὐ μόνον δὲ ἐπερχόμενος ἕκαστον τῶν συμπτωμάτων, ὅσα διά τινα βλάβην ἐνεργείας γίνεται, μάθοις ἂν ὡς προηγεῖταί τι νόσημα πάντως αὐτῶν, ἀλλὰ κἀξ αὐτῆς τῆς οὐσίας τῶν πραγμάτων ἔνεστί σοι χωρὶς ἐπαγωγῆς συλλογίζεσθαι. τὴν μὲν γὰρ ὑγείαν αἰτίαν ἐνεργείας ἐθέμεθα, τὴν δὲ νόσον αἰτίαν ἐνεργείας βλάβης· ἀλλὰ καὶ τὰ συμπτώματα, περὶ ὧν δὴ νῦν τὸν λόγον ποιούμεθα, βλάβας ἐνεργειῶν ὑπάρχειν ἔφαμεν· ἐκ δὲ τούτων ὑποκειμένων συμβαίνει, τοῦ τοιούτου γένους τῶν συμπτωμάτων αἰτίας εἶναι τὰς νόσους.

A est; distributionis impedimentum, *eius* symptoma. Non solùm autem singula symptomata percurrens, quæ aliqua functionis læsione proueniunt, disces, quòd omninò morbus ipsa præcedit, sed etiam ex ipsâ rerum essentiâ, licet citra inductionem colligere. Etenim sanitatem actionis causam posuimus, morbum autem læsæ actionis causam; at verò symptomata, de quibus nunc verba facimus, actionum esse læsiones diximus. Quare ex his propositis colligitur huius generis symptomatum morbos esse causas.

B

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν ἐν ταῖς διαθέσεσι τοῦ σώματος συνισταμένων συμπτωμάτων.

ΟΤΙ δὲ καὶ τὰ τῶν λοιπῶν δύο γενῶν αἱ νόσοι προηγοῦνται, λόγον αἰτίας ἔχουσαι πρὸς αὐτά, καὶ τοῦτο δείξομεν ὀλίγον ὕστερον, ἐπειδὰν πρότερον ἅπαντα τὸν περὶ αὐτῶν ἐπέλθωμεν λόγον, ἀρξάμενοι πάλιν ἀπὸ τῶν ἐν ταῖς διαθέσεσι τοῦ σώματος συνισταμένων συμπτωμάτων. εἰσὶ δ' αὐτῶν αἱ πρῶται διαφοραὶ τέτταρες. τὰ μὲν γὰρ ὁρατά, τὰ δ' ἀκουστά, τὰ δ' ὀσφρητά, τὰ δὲ γευστά, τὰ δ' ἁπτὰ τετύχηκεν ὄντα. τὰ μὲν οὖν ὁρατά, τὴν γένεσιν ἐν ταῖς παρὰ φύσιν ἴσχει χροιαῖς, ἤτοι παντὸς ἅμα τοῦ σώματος, ἢ τινῶν μορίων ἢ τινος ἁπάντως μὲν οὖν, ὡς ἐπὶ τῶν ἰκτεριώντων ἔχει, καὶ τῆς ἡπατίτιδός τε καὶ σπληνίτιδος ὀνομαζομένης νόσου, καί τισιν ὑδέρων εἴδεσιν· ἑνὸς δέ τινος, καθάπερ ἔν τε τῇ γλώττῃ μόνῃ πολλάκις ὁρᾶταί τις ἐξαίρετος ἀχροία, καὶ τοῖς ἐξ ἀποστημάτων μορίοις μελανθεῖσιν ἢ πελιδνοῖς γινομένοις, οὕτω δὲ κἂν τοῖς ἄνθραξι, κἂν τοῖς ἐρυσιπέλασιν, ἕρπησί τε καὶ γαγγραίναις ὑπαλλάττεται τὰ κατὰ φύσιν χρώματα. τούτου τοῦ γένους ἐστὶ καὶ ἀλφός, καὶ λεύκη, καὶ ἐλέφας, καὶ τἄλλα ὅσα τοιαῦτα. καὶ γὰρ καὶ ταῦτα τὰς κατὰ φύσιν ὑπαλλάττει χροιάς. καὶ μὴν δὴ καὶ πολλοῖς ἅμα μορίοις ἐστὶν εὑρεῖν ποτε συμβαίνουσαν ἀχροιαν ἐν πολλοῖς τῶν νοσημάτων, ἤτοι περὶ τὰ σκέλη μᾶλλον, ἢ περὶ τὸ πρόσωπον, ἢ σύμπαν γε τὸ ἄνω τοῦ σώματος, ἢ σύμπαν τὸ κάτω. τὰς μὲν οὖν ὁρατὰς διαφορὰς ἐν τούτοις ἐπισκεπτέον. τὰς δ' ὀσφρητὰς ἐπί τε τῆς ἀναπνοῆς, καὶ τῆς διαπνοῆς πρῶτον. ὀνομάζω δὲ τὴν μὲν διὰ φάρυγγος ὁλκήν τε καὶ αὖθις ἔκπεμψιν τοῦ περιέχοντος ἀέρος, ἀναπνοήν· τὴν δὲ καθ' ὅλον τὸ σῶμα, διαπνοήν. αἱ τοίνυν κατὰ ταύτας γινόμεναι δυσωδίαι παρὰ φύσιν, ἐν τῷ τῶν συμπτωμάτων τετάξονται γένει, μετὰ δὲ ταύτας αἱ κατὰ τὰ ὦτα καὶ ῥῖνας καὶ μασχάλας καὶ ὅσα μόρια κατὰ πάθος σήπεται. καὶ μὲν δὴ κἂν ταῖς ἐρυγαῖς ἐστιν εὑρεῖν ταὐτὸ τοῦτο γένος τῶν συμπτωμάτων, ἤτοι καπνώδους, ἢ ὀξώδους, ἢ βρωμώδους, ἢ ἰχθυώδους, ἢ τινος ἑτέρας τοιαύτης ποιότητος ἐξοζούσης τῆς ἐρυγῆς. κατὰ δὲ τὰς γευστὰς διαφορὰς, αὐτῷ τῷ κάμνοντι τεκμαίρεται τὰ συμπτώματα. καὶ γὰρ ἱδρῶτος ἐγεύσαντό ποτε παραρρυέντος εἰς τὸ στόμα, καὶ τοῦ κατ' αὐτὴν τὴν γλῶτταν σιάλου τῆς ποιότητος ἐξηλλαγμένης· ὥσπερ οὖν καὶ τοῦ αἵματος, οἷς καὶ τοῦτο διὰ στόματος ἐκκενοῦται καθ' ὁντιναοῦν τρόπον, οἱ μὲν ἐπισήμως γλυκέος ἢ ἁλμυροῦ γέ τινος ἢ πικροῦ τὴν αἴσθησιν ἴσχουσιν· οὕτω δὲ καὶ τῶν ἐκ πνεύμονος ἀναγομένων, καὶ τῶν ἐκ γαστρὸς ἐμουμένων, οἱ μὲν ὀξέων, οἱ δ' ἁλικῶν, οἱ δὲ πικρῶν, οἱ δὲ γλυκέων, οἱ δ' αὐστηρῶν αἰσθάνονται. πολλοὶ δὲ τῶν ἰατρῶν καὶ ἱδρῶτας γεύονται

CAPVT V.

De symptomatis, quæ in affectibus corporis consistunt.

QVòd verò reliqua duo genera morbi præcedant, & causæ rationem ad ipsa obtineant, id quoque paulò post docebimus, vbi priùs integrum de ipsis absoluerimus sermonem, auspicati rursus à symptomatis quæ in corporis consistunt affectibus. Sunt autem eorum primæ differentiæ quatuor; alia nanque sub visum cadunt, alia sub auditum, alia sub odoratum, alia sub gustum, alia sub tactum. Ac visilia quidem in coloribus præter naturam ortum habent, vel vniuersi simul corporis, vel quarundam partium, vel partis alicuius. Vniuersi quidem *corporis*, vt in arquatis se habet; in hepatitide & splenitide vocatis morbis; & in hydropum speciebus quibusdam. Vnius verò *partis* quemadmodum tum in linguâ solâ alienus color multoties aspicitur, tum in partibus, quæ abscessibus vel nigricant vel liuent. Sic & in carbunculis, & erysipelate, & herpetibus, & gangrænis, naturales colores immutantur. Huius generis sunt vitiligo, leuce, elephantiasis, aliáque id genus; quippe hæc quoque naturalẽ colorem mutant. Iam in multis simul partibus obortam decolorationem in multis morbis comperire licet; vel circa crura magis, vel circa faciem, vel circa totam superiorem corporis regionem, vel circa totam inferiorem. Ac visiles quidem differentiæ in his sunt contemplandæ. Odorabiles verò primùm quidem in respiratione, ac transpiratione; voco autem quod ambientis nos aëris per fauces attrahitur, & rursus emittitur, respirationem; quod autem per totum corpus, transpirationem. Ergo quæ his accidunt præter naturam graueolentiæ, in hoc symptomatum constituentur genere; post has verò aurium, nariũ, axillarum fœtores, & partium quæcunque ob affectum putrescunt. His amplius in ructu idem symptomatum genus licet inuenire, ipso ructu vel fumosam, vel acidam, vel virosam, vel piscium graueolentiam, vel aliam quampiam eiusmodi referente qualitatem. In iis verò quæ sub gustum cadunt differentiis laborantes ipsi symptomata coniiciunt; nam sudorem defluentem in os aliquando gustant; ac eius quæ circa linguam est saliuæ mutatam qualitatem; quemadmodum sanguinem, quibus is quocunque modo per os vacuatur, alii quidem notabiliter dulcem, alii salsum, alii amarum sentiunt. Ita etiam & quæ ex pulmone reiiciuntur, & quæ ex ventriculo euomuntur, aliis hæc acida, aliis salsa, aliis amara, aliis dulcia, aliis austera sentiuntur. At medicorum non pauci etiam sudores, atque

aurium

aurium præterea sordem gustu explorandam censent; quippe ex hoc quoque aliquid coniectari *æstumant*. Iam tactiles differentiæ, vbi naturæ modum excesserunt, in eiusmodi symptomatis numerandæ sunt, veluti cutis dura & distenta & prearida; simili modo præhumida vel rugosa vel aliam quampiam eiusmodi habens differentiam. Ergo ex dictis manifestum est hoc quoque symptomatum genus vniuersum à morbis ortum habere. Quippe colorum, halituum, & saporum differentias omnes, solidorũ ipsorũ corporum temperamenta sequi, in naturalibus libris didicimus; ita verò & eas quæ sub tactũ cadunt *differentias*, & multò sanè magis prædictis omnibus, quia actiuis qualitatibus congeneres eas esse dixi, vt quæ ad eiusdem sensus iudicium referantur: etenim mollities, duritiesque tactu iudicantur, haud aliter, quàm effectrices qualitates ipsis cognatæ. Quare quicquid in eis præter naturam *est*, id totum intemperiei soboles est, vt quod secundum naturam est, temperiei. At est omnis intemperies morbus: quare eiusmodi symptomata, morborum sunt fœtus. Quæ verò ex affluente quodam humore partibus accidunt, eiusdem generis cum prædictis symptomatis, alia nanque obstructiones, vel angustias sequentia, alia attractricis & excretricis facultatum functiones malè obitas; necesse est hæc quoque veluti fontẽ *suæ* generationis morbos habere. At iecinoris quidẽ obstructio, quæ compositi & organici corporis est morbus, decolorationis in ictero causa est. Cuiusque verò similaris partis intemperies, quæ ipsa quoque eiusmodi corporum morbus est, aliàs aliam eius facultatem impedit vel attractricẽ vel excreticẽ vel aliã quãpiam; ob quas quum inæqualiter & sine ordine humores in corpore fluant, partes aliàs aliæ in colore, halitu, sapore, omnibusq; tactilibus differentiis, alterantur. Quin etiã quodcunque reliquum est symptomatum genus, siue id in vocibus sit, & sonis, qui in animalibus eduntur, siue in iis, quæ à corpore excernuntur, in eòve detinentur; id totum etiam morborum est soboles, vel ipsorum proximè vel mediis quibusdam symptomatis. In vocibus. n. morbi, qui in ore, faucibus, arteriâ asperâ, pulmone, & thorace sunt, symptomata faciunt, & turbidas quasdam, tremulas, raucas, clangentesque voces efficiunt. In aliis verò quibusdam animalis partibus sonitus, murmurilla, stridores, aliaque eiusmodi, partim quidem ob instrumentorum angustiam, vel errabundum motum, partim ob flatulenti spiritus abundantiam, vel etiam quibusdam, vel etiam omnibus cum his concurrentibus cientur, de quibus pleniùs inter symptomatum causas agetur.

CAPVT VI.

De symptomatis in excretis & retentis consistentibus.

QVæ verò præter naturam vel à corpore excernuntur, vel retinentur, ea quoque in primas tres secantur differentias, quum vel totâ substantiâ, vel qualitate, vel quantitate ab eo, qui secundum naturam est *statu*, decedunt. Sequuntur autem omnino morbos, vel ipsos nullo interposito affectu, vel aliis symptomatis intercedentibus. Nam *sanguinis profusio* toto

A δικάζουσιν αὐτοὶ καὶ προσέτι τοῦ κατὰ τὰ ὦτα ῥύπου. τεκμαίρεσθαι γάρ τι κἀκ τούτου. καὶ μὴν καὶ τὰς ἁπτὰς διαφορὰς ἐν τούτοις τοῖς συμπτώμασιν ἀριθμητέον, ἐπειδὰν ἐξιστῶνται τοῦ κατὰ φύσιν, οἷον δέρμα σκληρὸν καὶ περιτεταμένον καὶ καρφαλέον. οὕτω δὲ καὶ πλαδαρὸν ἢ ῥυσὸν ἢ τινα τοιαύτην ἑτέραν ἔχον διαφοράν. ἐξ οὖν τῶν εἰρημένων δῆλον, ὡς καὶ τοῦτο τὸ γένος ἅπαν ὑπὸ νοσημάτων γίγνεται. τὰς μὲν γὰρ κατά τε τὴν χροιὰν καὶ ἀτμὸν καὶ χυμὸν ἁπάσας διαφορὰς αὐτῶν τῶν στερεῶν σωμάτων, ἐν τοῖς φυσικοῖς λόγοις ἐμάθομεν ἑπομένας ταῖς κράσεσιν· οὕτω δὲ καὶ τὰς ἁπτὰς, καὶ πολύ γ' ἔτι μᾶλλον ἁπασῶν τῶν εἰρημένων, ὅτι ταῖς δραστικαῖς

B ποιότησιν ὁμογενεῖς αὐτὰς εἶπον, ὡς ὑπὸ τῆς αὐτῆς αἰσθήσεως κρινομένας, καὶ γὰρ μαλακότης, καὶ σκληρότης ὑπὸ τῆς ἁφῆς δοκιμάζονται, καθάπερ αἱ δραστικαὶ ποιότητες ὁμογενεῖς οὖσαι ὑπάρχουσαι. ὥσθ' ὅσον ἐν αὐταῖς παρὰ φύσιν, ἔκγονον ἅπαν τοῦτο δυσκρασίας ἐστὶν, ὥσπερ γε καὶ τὸ κατὰ φύσιν εὐκρασίας. ἀλλ' ἔστιν ἅπασα δυσκρασία νόσος. ὥστε καὶ τὰ τοιαῦτα συμπτώματα νοσημάτων ἔκγονα. τὰ δ' ἐξ ἐπιρρύτου τινὸς ὑγρότητος ἐγγινόμενα τοῖς μορίοις, ὁμογενῆ τοῖς εἰρημένοις ὑπάρχοντα συμπτώμασι, τὰ μὲν γὰρ ἐμφράξεσιν ἢ θλίψεσιν ἑπόμενα, τὰ δὲ τοῖς τῶν ἑλκτικῶν τε καὶ ἀποκριτικῶν

C δυνάμεων ἔργοις κακῶς γινομένοις, ἀνάγκη καὶ ταῦτα τὴν οἷον πηγὴν τῆς γενέσεως ἔχειν τὰ νοσήματα. ἡ μὲν οὖν κατὰ τὸ ἧπαρ ἔμφραξις νόσημα οὖσα συνθέτου τε καὶ ὀργανικοῦ σώματος, αἰτία τῆς κατὰ τὸν ἴκτερον ἀχροίας ἐστίν. ἡ δὲ καθ' ἕκαστον τῶν μορίων δυσκρασία, νόσημα οὖσα καὶ αὐτὴ τῶν τοιούτων σωμάτων, ἄλλοτ' ἄλλην αὐτῶν ἐμποδίζει δύναμιν, ἤτοι τὴν ἑλκουσαν, ἢ τὴν ἀποκρίνουσαν, ἤ τινα ἑτέραν, ἐφ' αἷς ἀνωμάλως τε καὶ ἀτάκτως τῶν ἐν τῷ σώματι διαρρεόντων ὑγρῶν, ἄλλοτ' ἄλλο μόριον ἀλλοιοῦται κατὰ χροιὰν καὶ ἀτμὸν καὶ χυμὸν καὶ τὰς

D ἁπτὰς ἁπάσας διαφοράς. ἀλλὰ μὴν καὶ ὅσον ὑπόλοιπόν ἐστι συμπτωμάτων γένος, ἤτοι περὶ φωνὰς καὶ ψόφους τοὺς κατὰ τὸ ζῶον, ἤτοι κἀν τοῖς ἐκκρινομένοις τοῦ σώματος ἢ ἐπεχομένοις, ἔκγονον ἅπαν καὶ τοῦτο νοσημάτων ἐστὶν, ἢ αὐτῶν ἄντικρυς, ἢ διὰ μέσων τινῶν συμπτωμάτων. ἐν μὲν γὰρ ταῖς φωναῖς, αἵ τε κατὰ τὸ στόμα καὶ τὴν φάρυγγα καὶ τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸν πνεύμονα καὶ τὸν θώρακα νόσοι τὰ συμπτώματ' αὐτῶν ἐργάζονται, κλονώδεις τέ τινας, καὶ τρομώδεις, καὶ βραγχώδεις καὶ κλαγγώδεις ἀποτελοῦσαι φωνάς. ἐν ἄλλοις δέ τισι τοῦ ζώου μορίοις, ἦχοί τε καὶ βορβορυγμοὶ καὶ τρυσμοὶ καὶ ὅσα

E τοιαῦτα, τὰ μὲν ὑπὸ στενοχωρίας ὀργάνων, ἢ κινήσεως πλημμελοῦς, τὰ δὲ ὑπὸ πλεονεξίας φυσώδους πνεύματος, ἢ καί τινων ἢ καὶ πάντων ἅμα τούτων συνιόντων ἀποτελεῖται, περὶ ὧν ἐπιπλέον ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις εἰρήσεται.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῶν ἐν τοῖς ἐκκρινομένοις καὶ κατεχομένοις συνισταμένων συμπτωμάτων.

περὶ κρινομένων τοῦ σώματος ἢ κατεχομένων.

F ΤΑ δὴ ἐκκρινόμενα τοῦ σώματος, ἢ κατεχόμενα παρὰ φύσιν, εἰς τρεῖς μὲν τέμνεται καὶ αὐτὰ τὰς πρώτας διαφορὰς, ἢ ταῖς οὐσίαις ὅλαις, ἢ ταῖς ποιότησιν, ἢ ταῖς ποσότησιν, ἐξιστάμενα τοῦ κατὰ φύσιν. ἕπεται δὲ πάντως νοσήμασιν ἢ αὐτοῖς ἄντικρυς ἢ διὰ μέσων ἑτέρων συμπτωμάτων. αἱμορραγία μὲν γὰρ ὅλου

τῷ γένει τῆς ἐκκρινομένης οὐσίας παρὰ φύσιν ἐστίν. ἀλλ' ἤτοι τρωθέντος ἢ ῥαγέντος ἢ ἀναστομωθέντος ἢ διαβρωθέντος ἀγγείου γίγνεται. τούτων δὲ ἡ μὲν τρῶσις καὶ ἡ ῥῆξις καὶ ἡ διάβρωσις νόσημά ἐστιν ὁμοιομεροῦς ἴδιον. ἡ δ' ἀναστόμωσις, ἴδιον ὀργανικοῦ, ποτὲ μὲν τῆς περισταλτικῆς δυνάμεως ἀρρωστούσης, ποτὲ δὲ τῆς ἀποκριτικῆς ἀμέτρως κινουμένης, ποτὲ δὲ ἀμφοτέρων ἅμα βεβλαμμένων ἀποτελουμένη. οὕτω δὲ καὶ ῥοῦς γυναικεῖος, ἤτοι διὰ τὰ τῶν εἰρημένων ἐνεργειῶν συμπτώματα γένοιτ' ἂν, ἢ λεπτοῦ καὶ ὀρρώδους τοῦ παντὸς αἵματος ἀποτελεσθέντος. ἔστι δὲ καὶ τοῦτο σύμπτωμα, γένεσις δ' αὐτοῦ πολυειδής. ἤτοι γὰρ τῆς ἐξαιματούσης δυνάμεως, ἢ τῆς διακρινούσης τό, τε λεπτὸν καὶ ὀρρῶδες, ἢ τῆς ἐκκρινούσης, τὸ σφάλμα. γένοιτο δ' ἄν ποτε καὶ τῆς καθεκτικῆς ἀμέτρως ἐνεργούσης καὶ τοῦ δέρματος πυκνωθέντος καὶ τῶν νεφρῶν στεγνωθέντων. οὕτω δὲ καὶ ἱδρῶτας ἀμέτρως ἐκκρίνεσθαι, ἢ ἴσχεσθαι μὴ δεόντως, ἤτοι διὰ τὴν τοῦ δέρματος διάθεσιν, ἢ διά τινα τῶν εἰρημένων δυνάμεων, ἢ δι' αὐτὴν τὴν τῶν ὑγρῶν φύσιν ἀναγκαῖον γίνεσθαι. καὶ δῆλον ὡς ἐν ἅπασι τοῖς τοιούτοις λόγοις, τοῖς παραδιαζευκτικοῖς τοῖς συνδέσμοις χρώμεθα. πάντως μὲν γὰρ ἐφ' ἑκάστῳ τῶν εἰρημένων συμπτωμάτων, εἷς τις ὑπάρχει τρόπος τῆς αἰτίας, οὐ μὴν κεκώλυταί γε δύο καὶ τρεῖς, καὶ πάντας ἅμα συνιέναι. δῆλον δὲ ὡς ἐκ τούτου τοῦ γένους ἐστὶ τῶν συμπτωμάτων, δυσουρία τε καὶ ἰσχουρία καὶ στραγγουρία καὶ ὁ καλούμενος ὕδρωψ εἰς ἀμίδα, τινὲς δὲ διαβήτην αὐτὸν ὀνομάζουσι, ἄλλοι δὲ διάρροιαν εἰς οὖρα. καὶ μὲν δὴ καὶ τὰ χρώματα τῶν ἐκκρινομένων παρὰ φύσιν, ἢ τὰς ὀσμὰς, οὐδὲν ἔτι δεόμεθα δεικνύειν, ἐξ ἀνάγκης ἑπόμενα ταῖς νόσοις, εἴ γε μηδὲν τῶν τοιούτων ἄνευ δυσκρασίας γίγνεται. δῆλον δὲ καὶ ὡς τὸ προκείμενον ἀποδέδεικται σαφῶς. ἁπάσης γὰρ τῶν συμπτωμάτων τῆς φύσεως ἡγεῖσθαι χρὴ νοσήματα, ὡς γίνεσθαι πολλάκις οἷον στοῖχον τινὰ συμπτωμάτων ἐφεξῆς ἀλλήλοις· ὑπὸ μὲν τοῦ νοσήματος αὐτοῦ τὸ πρῶτον, ὑπὸ δὲ τούτου τὸ δεύτερον, εἶτ' αὖθις ὑπ' ἐκείνου τὸ τρίτον, εἶθ' ἑξῆς ἐπὶ τούτῳ τὸ τέταρτον. ἀλλ' ἐνταῦθα μὲν προσέχειν ἀκριβῶς χρὴ τὸν νοῦν, καὶ διαιρεῖν ἐπιμελῶς τῶν ἔργων τοῦ ζώου τὰ συμπτώματα. πολλαχῆ γὰρ ἀλλήλοις οὕτως ἔοικεν, ὡς καὶ τὸ σύμπτωμα, ἔργον νομίζεσθαι, καὶ τοὔργον σύμπτωμα. καὶ εἰ μή τις ἔχει τι κἂν τούτῳ κριτήριον ὑγιές, ἐξ ὧν ἂν αὐτὸς σφάλληται, συκοφαντήσει τὸν λόγον. εἰ γὰρ δὴ τῶν κατὰ φύσιν ἐκκρίσεων, οὕτω δὲ καλοῦσι τὰς ἐπὶ τῶν ὑγιαινόντων γιγνομένας, ἤτοι τὸ ποσὸν, ἢ καὶ τὸ ποιὸν, ἢ καὶ τὸ γένος αὐτὸ τῆς οὐσίας ὑποθέμενός τις σκοπὸν, ἔπειτα πρὸς τοῦτ' ἀποβλέπων, κρίνοι τὰ συμπτώματα, σφαλήσεται πολλαχόθι. πολλαπλάσιος γὰρ ἱδρὼς ἐνίοτε τοῦ κατὰ φύσιν, ἢ γαστρὸς διαχώρησις, ἢ οὖρα τοῖς ἀρρωστοῦσι γίγνεται, μὴ ὅτι βεβλαμμένης ἐνεργείας τινὸς, ἀλλὰ καὶ μετὰ ῥώμης καὶ προνοίας τοῦ ζώου γιγνομένης. ἔνια μέν γε καὶ ὅλῳ τῷ γένει παρὰ φύσιν ὑπάρχοντα, καθάπερ αἱμορραγίαι διὰ τῶν ῥινῶν, ἢ ἔμετος, ἢ αἵματος ὑποχώρησις, ἢ αἱμορροΐς, ἤτοι τοιοῦτον ἕτερον, ὅμως οὐδέπω παρὰ φύσιν ἐστὶν, ἂν ἐν καιρῷ γίγνηται. τὸ δ' ἐν καιρῷ, δῆλον ὅτι τοῦτ' ἐστιν, ἂν τὸ λυποῦν ἐκκαθαίρηται. μενούσης οὖν τῆς ὁμολογίας, ἣν ἐξ ἀρχῆς ὡμολογήσαμεν, ὡς αἱ τῶν ἐνεργειῶν βλάβαι συμπτώμαθ' ὑπάρχουσιν, οὐδὲν τῶν ἐπ' ὠφελείᾳ γινομένων ἐκ τούτου τοῦ γένους ἐστὶ τῶν συμπτωμάτων. ἔργον γὰρ φύσεως ἕκαστον αὐτῶν μᾶλλον, ἢ βλάβη τις ὑπάρχει. ἀλλ' ἴσως τις

A excretæ substantiæ genere præter naturam est; ea verò vel vulnerato, vel rupto vel aperto vasis osculo, vel eroso vase incidit. Porrò horum vulneratio, ruptio & erosio, proprii similarium partium morbi sunt; apertio osculorum, organicarum; quæ interdùm comprehensiuâ seu retentrice facultate imbecillâ; interdum excretrice immoderatè concitatâ, interdum ambabus simul læsis ortum habet. Simili modo fluxus muliebris, vel propter iam dictarum actionum symptomata fiet, vel quòd B totus sanguis tenuis serosúsque sit redditus. Est verò & id symptoma, cuius etiam multiplex habetur ortus. Nam vel facultatis sanguinem procreantis, vel tenue & serosum secernentis, vel excernentis error *est*: incidere autem aliquando potest, & retentrice immoderatè opus suum vrgente, & cute densata, & renibus constipatis. Sic & sudores immodicè excerni, vel indebitè retineri, aut propter cutis affectum, aut propter dictarum facultatum aliquam, aut ipsam humorum naturam, necessariò contin- C get. Constat quoque in omnibus huiusmodi sermonibus nos disiunctiuis vti coniunctionibus. omnino .n. cuique dictorum symptomatum vnus quidam est causæ modus, nihil tamen prohibet duos, tres, & simul omnes concurrere. Patet autem & dysuriam, & ischuriam, & stranguriam, & hydropem ad matulam vocatum, quem alii diabeten, aliqui vrinæ fluorem nominant, ex hoc genere symptomatum esse. Iam quod eorum, quæ præter naturam excernuntur, & colores, & odores morbos necessariò sequantur, nihil opus est demonstremus, si modò nihil D eiusmodi citra intemperiem oboriatur. Patet autem & quod propositum à nobis est, clarè esse demõstratum; omnem enim symptomatum naturam vt morbi præcedant oportet, vt fiat nonnunquam symptomatum, ordine sibi inuicem succedentium, veluti series quædam: à morbo quidẽ ipso primum; ab hoc verò, secundũ; dein rursus post hoc, tertium, ac ab isto deinde quartum. Verùm hîc accuratè mentem oportet adhibere, ac diligenter distinguere à functionibus animalis symptomata; sæpe .n. ita similia inter se sunt, vt & symptoma functio putetur, & functio symptoma. Ac nisi quis in hoc sano sit præ- E ditus iudicio, ex iis, in quibus ipse fallitur, nostrã orationem calumniabitur. Si nanque naturalium excretionum (sic autem vocant eas quæ sanis accidunt) vel quãtitatem, vel qualitatẽ vel genus ipsum substãtiæ pro scopo sibi proponat, deinde huc intuens, symptomata iudicet, passim aberrabit. Quippe sudor aliquando multò amplior quã pro naturę modo, vel alui deiectio, vel vrina ægrotãtibus accidit, nõ solùm nullâ actione læsâ, sed etiã cum viriũ robore & prouidentiâ animalis. Quanuis enim quædam toto genere F præter naturam sint, vt sanguinis per nares profusio, vel vomitus, vel sanguinis deiectio, vel hæmorrhois, vel aliud eiusmodi, tamen præter naturam adhuc non sunt, si in tempore fiant. Patet autem in tempore dici, si id, quod molestum est, expurgetur. Manente igitur sententiâ, quã ab initio cessimus (quod symptomata actionum læsiones sint) nihil eorum, quæ ad *animalis* cõmodum fiunt, ex hoc genere symptomatum est; opus nanque naturæ vnumquodque eorum potiùs est, quàm læsio aliqua. Ad alterum fortassis

tassis symptomatum genus, ad affectũ nimirum A præter naturam, aliquis omnia talia reducet; omnino .n. diuisam esse in quâcunque animalis parte venam aliquam, aut eius osculum apertum, quoad sanguinem, quem priùs retinuerat, profundat, hunc affectum secundum naturam non esse. Quanquam hîc quoque alui fluorem, aut vrinæ copiam docere non possit affectibus prẹter naturam omnino succedere. sanguinis nanque profusiones, & vomitiones toto genere præter naturam esse dicet quis: at non ea, quę per ventrem aut vesicam aut vterum fit, excretio toto genere prẹter naturam est. Fortasse verò dubitauerit quispiam & de sudoribus, ceu nec ipsi secundum naturam sint; quippe quod Diocles etiam docere B tentauit. Videtur autem dura esse opinio, & præter rerum euidentiam, tametsi eam maximè probabiliter confirmat. Ac de talibus quidem posthac aliquando fortasse agetur; perpauca enim sunt de quibus ambigitur. De reliquorum verò symptomatum totâ multitudine abundè est disputatum, finiendusque iam hic liber est. Si quis enim exercitatus in concessis fuerit, faciliùs de iis, quę in dubio sunt, iudicium consequetur.

παρὰ ἑκάτερον γένος τῶν συμπτωμάτων, τῆς παρὰ φύσιν διαθέσεως, ἅπαντα τὰ τοιαῦτα. τὸ γὰρ ὅλως διῃρῆσθαί τινα φλέβα καθ' ὁποιονοῦν μόριον τοῦ σώματος, ἢ ἀνεστομῶσθαι μέχρι τοῦ προχεῖν ἃ πρότερον ἔστεγεν, οὐ κατὰ φύσιν εἶναι διάθεσιν. καί τοι κἀνταῦθα τὴν διάρροιαν τῆς γαστρὸς, ἢ τὸ τῶν οὔρων πλῆθος, οὐκ ἂν ἔχοι δεικνύναι πάντως ἑπόμενα ταῖς παρὰ φύσιν διαθέσεσιν. αἱμορραγίας μὲν γὰρ καὶ ἐμέτους ὅλῳ τῷ γένει φησί τις παρὰ φύσιν ὑπάρχειν. οὔτε δὲ ἡ διὰ γαστρὸς, οὔτε ἡ διὰ κύστεως, οὔτε ἡ διὰ μήτρας ἔκκρισις ὅλῳ τῷ γένει παρὰ φύσιν. ἴσως δ' ἀμφισβητήσει τις καὶ περὶ τῶν ἱδρώτων, ὡς οὐδ' αὐτῶν ὄντων κατὰ φύσιν. καὶ γὰρ οὖν καὶ ὁ Διοκλῆς ἱκανῶς ἐπεχείρησεν εἰς τοῦτο. πολὺ δ' εἶναι τραχὺ δοκεῖ τόδε τὸ δόγμα καὶ παρὰ τὴν ἐνάργειαν, εἰ καὶ ὅτι μάλιστα πιθανῶς κατασκευάζηται. περὶ μὲν δὴ τῶν τοιούτων ἴσως ἄν ποτε καὶ αὖθις εἰπεῖν ἂν γένοιτο ἡμῖν· παντάπασι γὰρ ὀλίγα διαμφισβητεῖται. περὶ δὲ τοῦ παντὸς πλήθους τῶν ἄλλων συμπτωμάτων ἱκανῶς ἐπιδέδεικται, καὶ χρὴ καταπαύειν ἤδη καὶ τόδε τὸ γράμμα. καὶ γὰρ δὴ καὶ γεγυμνασμένος τις ἐν τοῖς ὁμολογουμένοις, ῥᾷον ἂν ἀκολουθήσειε τῇ τῶν ἀμφισβητουμένων κρίσει.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΙΤΙΩΝ ΣΥΜΠΤΩΜΑΤΩΝ, ΒΙΒΛΙΑ ΤΡΙΑ, ΠΡΩΤΟΝ.

GALENI DE SYMPTOMATVM CAVSIS, LIBERI TRES, PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩ ΒΙΒΛΙΩ.

Ἅπαντα τῶν κατὰ τὴν ψυχικὴν δύναμιν τὴν αἰσθητικὴν, καθ' ὄψιν, καὶ ἀκοὴν, καὶ ὄσφρησιν, καὶ γεῦσιν καὶ ἁφὴν, συμπτωμάτων αἴτια ἐξηγεῖται.

ARGVMENTVM LIBRI.

Omnes symptomatum facultatis animalis sentientis, visus, auditus, odoratus, gustus, tactus, causas explicat.

C

CAPVT I.

Quotuplicia sint Symptomata.

Cavsas symptomatum his in libris contẽplabimur, eundem orationis ordinem seruantes, quem in libro de ipsorum differentiis iam posuimus. Quum igitur symptomatum genera in vniuersum tria sint, de eo primùm nobis oratio fuit, in quo læsam esse actionem diximus, & ita eam intelligere volumus, siqua etiam omnino perierit. Quum autem duplices genere sint actiones, aliæ naturales, aliæ animales; ab animalibus auspicati eas quoque tripartitas, alias sentientes, alias motrices, alias principes appellauimus. Ergo in sentiendi actioni-

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ποσαπλάσια συμπτώματα.

Τὰς αἰτίας τῶν συμπτωμάτων, ἐν τοῖσδε τοῖς γράμμασι σκεψόμεθα, τὴν αὐτὴν τοῦ λόγου τάξιν φυλάττοντες, ἣν κἀν τῷ περὶ διαφορᾶς αὐτῶν ἐποιησάμεθα. ἔστι μὲν οὖν τὰ σύμπαντα γένη τρία τῶν συμπτωμάτων, ἀλλὰ περὶ μὲν τούτου τοῦ πρώτου ὁ λόγος ἡμῖν ἐγένετο, καθὸ καὶ βεβλάφθαι τὴν ἐνέργειαν ἔφαμεν, οὕτως ἀκούειν ἀξιώσαντες, ὡς εἰ καὶ τελέως τις ἀπόλοιτο. διττῶν δ' οὐσῶν κατὰ γένος ἐνεργειῶν, τῶν μὲν φυσικῶν, τῶν δὲ ψυχικῶν· ἀπὸ τῶν ψυχικῶν ἠρξάμεθα, καὶ ταύτας τριχῇ διελόμενοι, τὰς μὲν αἰσθητικὰς, τὰς δὲ κινητικὰς, τὰς δὲ ἡγεμονικὰς ἐκαλέσαμεν. ἐν τοίνυν ταῖς αἰσθη-

τικῆς ἐνεργείας, τριττὴ τῶν συμπτωμάτων ἐστὶν ἡ διαφορά· μία μὲν, αὐτοῦ τοῦ πρώτου τῆς αἰσθήσεως ὀργάνου πεπονθότος· ἑτέρα δὲ, τῆς αἰσθητικῆς δυνάμεως· ἡ τρίτη δὲ, τῶν εἰς ὑπηρεσίαν τινὰ τοῦ πρώτου τῆς αἰσθήσεως ὀργάνου γεγονότων.

ΚΕΦΑΛΑΙΟΝ Β.

Περὶ τῶν κατ' ὀφθαλμοὺς συμπτωμάτων.

Οἷον ἐν ὀφθαλμῷ, τὸ μὲν πρῶτον ὄργανον αἰσθητικὸν ἐστὶν τὸ κρυσταλλοειδὲς, ἐδείχθη γὰρ τοῦτο μόνον ὑπὸ χρωμάτων ἀλλοιούμενον· ἡ δὲ αἰσθητικὴ δύναμις, ἡ ἐξ ἐγκεφάλου παραγινομένη διὰ τοῦ καθήκοντος εἰς αὐτὸν νεύρου· τὰ δ' εἰς ὑπηρεσίαν αὐτοῦ γεγονότα, σύμπαντά ἐστι τὰ ἄλλα τὰ κατὰ τὸν ὀφθαλμὸν μόρια. καὶ τοίνυν ἤτοι κακῶς, ἢ οὐδ' ὅλως ὄψεται τὸ ζῶον, ἑνός γέ τινος ἐκ τῶν εἰρημένων βεβλαμμένου. τὰ μὲν οὖν τοῦ κρυσταλλοειδοῦς νοσήματα κατὰ τὰς ὀκτὼ δυσκρασίας ἐστί. τὰ δὲ τῆς δυνάμεως ἢ τῷ τὸ νεῦρον ἢ τῷ τὸν ἐγκέφαλον πεπονθέναι. ὀκτὼ δὲ καὶ τούτων ἑκατέρου τὰ γένη, τά γε ὡς ὁμοιομερέσιν αὐτοῖς γινόμενα νοσήματα, τὰ δὲ ὡς ὀργανικοῖς, ἐμφράξεις τε καὶ θλίψεις, ὅσα τε δι' ἐπιρροὴν ὑγρῶν ὄγκον ἐργάζεται παρὰ φύσιν. ἡ δὲ τῆς συνεχείας λύσις ἐπὶ πᾶσι τοῖς εἰρημένοις, κοινὸν ὁμοιομερῶν τε καὶ ὀργανικῶν μορίων ἐστὶν, οὐκ ἐγκεφάλῳ μόνον, ἢ νεύρῳ συμβῆναι δυνάμενον, ἀλλὰ καὶ τῷ κρυσταλλοειδεῖ. τούτῳ μέν γε καὶ τὸ μετακινηθῆναί τε καὶ μεταστῆναι τῆς οἰκείας ἕδρας, ὀργανικὸν συμπίπτει νόσημα. τῆς μεταστάσεως, εἰ μὲν ἤτοι πρὸς τὸν μέγαν ἢ τὸν μικρὸν γίγνοιτο κανθὸν, οὐδὲν ἀξιόλογον βλαπτούσης, εἰ δ' ἄνω καὶ κάτω, διπλᾶ ποιούσης ἅπαντα φαίνεσθαι τὰ ὁρώμενα. ταυτὶ μὲν οὖν ἐστὶ τά τε τοῦ πρώτου τῆς ὄψεως ὀργάνου νοσήματα, καὶ τῶν τὴν δύναμιν αὐτῷ χορηγούντων. τὰ δὲ τῶν χρείαν τινὰ παρεχομένων, εἰ κατὰ τὸ τρῆμα τοῦ ῥαγοειδοῦς, ἢ καὶ τὸ μεταξὺ τούτου τε καὶ τοῦ κρυσταλλοειδοῦς, ὑγρόν τε καὶ πνεῦμα συσταίη τηλικοῦτον, ὡς ἐμποδίσαι τὸ πρῶτον τῆς ὄψεως ὄργανον πρὸς τὴν τῶν αἰσθητῶν διάγνωσιν. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ ἡ πρὸ τῆς κόρης μοῖρα τοῦ κερατοειδοῦς, ἐμποδίζει τὴν ὄψιν, ἄν τε κατὰ τὸν ἑαυτῆς λόγον, ἄν τε κατ' ἄλλον τινὰ τρόπον ἐξίστηται τοῦ κατὰ φύσιν. τὸ μὲν οὖν τρῆμα κατὰ τέσσαρας τρόπους ὑπαλλάττεται τῆς αὐτοῦ φύσεως, ἢ αὐξανόμενον, ἢ μειούμενον, ἢ διασπώμενον, ἢ ῥηγνύμενον. ἀλλ' ἡ μὲν αὔξησις ἀεὶ βλάπτει τὴν ὄψιν, ἄν τ' ἐκ γενετῆς ᾖ, ἄν τε ὕστερον συμβαίη. ἡ δὲ μείωσις, ἐκ γενετῆς μὲν, ὁράσεως ὀξυτάτης ἐστίν· αὖθις δὲ εἰ γίγνοιτο, μοχθηρᾶς. τῶν δὲ ἄλλων οὐδέτερον, οὔτ' ἐκ γενετῆς, οὔθ' ὕστερον, οὐδὲν ὅ, τι καὶ ἄξιον λόγου παραβλάπτει τὴν ὄψιν. ἑωράκαμεν γὰρ ἤδη πολλάκις ἐπὶ προπτώσεσι βραχείαις τοῦ ῥαγοειδοῦς συνουλωθείσαις, παρεσπασμένην τὴν κόρην, οὐδὲν δὲ εἰς τὸ βλέπειν τὸν ἄνθρωπον ἐμποδιζόμενον, ὅταν γε δὴ τὴν πρὸ αὐτῆς μοῖραν τοῦ κερατοειδοῦς διαυγουμένην ἀμέμπτως ἔχῃ. ταυτὶ μὲν οὖν ἡ πεῖρά γε δείκνυσιν. ἡ δ' αἰτία, δι' ἣν ἡ μὲν εὐρύτης τοῦ τρήματος ἀεὶ βλαβερὸν εἰς εὐαισθησίαν ὄψεως, ἡ δὲ στενότης οὐκ ἀεὶ, σκέψεως ἀξία. δοκεῖ δέ μοι τὸ ἀπ' ἐγκεφάλου καταφερόμενον ἐπὶ τὸν ὀφθαλμὸν νεῦρον, ὃ δὴ καὶ πόρον ὀνομάζουσιν οἱ περὶ τὸν Ἡρόφιλον, ὅτι τοῦτο μόνον φανερόν ἐστι τὸ τρῆμα, πνεύματος ὑπάρχειν ὁδὸς αἰσθητικοῦ. καὶ διὰ τοῦτο ἐπειδὰν

bus, triplex symptomatum est differentia; vna quum ipsum primum sensus organum malè affectum est; altera, quum sentiendi facultas; tertia, quum *partium* ad vsum aliquem primi sensus organi procreatarum *quæpiam malè habet*.

CAPVT II.

De symptomatum causis in sensu visus.

Exempli gratia, in oculo primum sentiendi instrumentum, crystallinus est humor, eum nanque solum à coloribus alterari demonstratum est. Sentiens verò facultas, quæ à cerebro per neruum in ipsum descendentem procedit. Ad illius verò vsum cæteræ omnes oculi partes sunt conditæ. Itaque vna quadam parte ex prædictis læsa, vel malè videbit animal, vel prorsus non videbit. Iam crystallini quidem humoris morbi per octo intemperies distinguuntur, *morbi* autē facultatis, vel quod neruus, vel quòd cerebrum malè sit affectum, *ortum habent*. Atque vtriusque horum octo sunt morbi, ipsis, vt similaribus partibus, accidētes; atque alii, vt organicis, tum obstructiones, tū cōpressiones, tū quæcunque ex humorum affluxu molem præter naturam moliuntur. Continui verò solutio præter omnia prædicta, tum similaribus, tum organicis partibus communis est *affectus*, qui non cerebro modò, aut neruo, sed etiam crystallino humori accidere potest. huic autē, quòd à propria sede dimoueatur ac decedat, organicus morbus accidit. Hæc sedis mutatio, si versus, aut angulum maiorem aut minorem fiat, nihil effatu dignum oblædit. Si verò sursum deorsumve *translatio fiat*, duplicia, quæ cernuntur, omnia apparere facit. Atque hi quidem sunt, tum primi visus organi, tum eorum, quæ illi facultatem subministrant, morbi. Earum verò *partium* quæ vsum aliquem ei conferunt, hi *sunt morbi*; Si in vueæ tunicæ foramine, vel etiam inter hanc & crystallinum, humor spiritúsve tantus constiterit, vt primum visus organum ad sensibilium dignotionem impediat. Ad eundem modum corneæ quoque pars ea, quæ pupillæ præposita est, visum impedit, siue ea per se, siue aliâ quâpiam ratione ab eo, qui secundum naturam est statu decesserit. Igitur foramen vueæ quatuor modis à propria natura deflectit vel auctū vel imminutum, vel in aliquam partem diuulsum, vel ruptum. Atqui incrementum siue ab ortu sit, siue pòst acciderit, semper visum lædit; Imminutio vero, in vtero contracta acutissimi visus est; quæ verò pòst accidit, praui. Reliquorum *vitiorum* neutrum, siue ab origine, siue post acciderit, læsionem effatu dignam visui adfert. Iam enim sæpenumero vidimus in parua vueæ procidentia cicatrice inducta detortā pupillam, hominē tamen quò minus cerneret haud quaquam fuisse impeditum, quum ante se corneæ partem splendidam inculpatè haberet. Atque hæc quidem experientia docuit. Verùm causa propter quam laxitas foraminis ad perspicaciam visus semper sit noxia, angustia non semper, discussione digna est. Videtur autem mihi neruus is, qui à cerebro ad oculum defertur, quem meatum appellant Herophili sectatores, quòd hic solus foramen manifestum habeat, sensibilis spiritus via. Proinde quum altero oculo conuiuemus, alterius pupillam

pillam dilatari contingit, tanquam in vnum solum commeante spiritu, qui priùs in duos erat dispertitus. Itaque etiam hoc maximè signo dignoscitur, an suffusi conpunctâ & detractâ suffusione visum recepturi sint, an non. Quippe quibus altero oculo conniuentibus, alterius pupillam dilatari contingit, iis si conpunctio administretur, recipiendi visus fiducia est; quibus non dilatatur, horum nemo vnquam vidit, neque si minimo cum dolore ac commodissimè iis est administrata *compunctio*. Ex his omnibus liquet confluere ad oculos à cerebro spiritum animalem tum in crystallinum ipsum humorem, tum in totum illi obiectum spatium, quod vueæ foramen determinat. Quum igitur amplior fuerit pupilla, siue in prima statim conformatione, siue postea, non probè vniuersa animali expletur spiritu; fundi igitur dissolui ac dissipari cogitur, sicut contra in minore pupilla colligitur, constringitur, ac densatur spiritus. Atqui in libris de vsu partium demonstratum est, eius collectionem, ac constrictionem, ad sensus facilitatem illi conducere; contra dissolutionem, ac dispersionem ad sensus difficultatem deducere. Cur igitur imminuta pupilla morbi ratione non naturâ, multò deterior efficitur, quàm mediocris? An quia prauos affectus sequitur, ob quos necessariò deterius cernit oculus sic affectus, non proprer pupillæ exiguitatem? Quinam igitur hi *sunt* affectus? nam hoc etiam disputatio requirit. Vnus quidem ipsius vueæ tunicæ tantum est; alter humoris tenuis effusi qui medius inter ipsam vueam & crystallinum humorem locatur. Ac tunicæ quidem solius affectus, extensio quædam est & relaxatio, qualis in externis articulis sæpe cernitur, quum ligamenta redundante humore sunt perfusa. Humorum verò affectus defectus quidam est, ob quem vacuato interno spatio, vuea in se concidens contrahitur ac rugatur, atque idcirco pupillam imminuit. Deterius ergo aut nihil omnino ex talibus affectibus cernere contingit non proprer pupillæ paruitatem, sed propter humoris penuriam. Demonstratum enim est in iis, quæ de visu, tum in opere de vsu partium, tum de placitis Hippocratis & Platonis, disseruimus, crystallinum humorem semper propugnaculo quodam indigere, quò externum splendorem sine offensâ sustineat. Vnum igitur propugnaculorum eius & is humor est, cum eo etiam quod substantiæ crystallini humoris nonnihil conducit. Vbi igitur parcior redditus hic humor est, & crystallinus ipse siccior efficitur, quòd non amplius liberali humore irroretur, & vuea tunica in se concidens, spatium quod inter ipsam & crystallinum interest, angustius efficit. Atque ita coactus crystallinus humor paruo interstitio cum externo aëris splendore commercium habere, persimilem patitur affectum, qualis solem citra nictationem contuentibus accidit: horum enim aliqui occæcati sunt, omnes verò ita læsi, vt vix visum recuperarint. Nam demonstratum nobis est, fieri non posse, vt splendidam lucem citra læsionem toleret visus organum; ob idque vueam tunicam, quæ nigra simul, & cœrulea est, illi propugnaculũ esse, quod hi colores visum à splendidâ luce laborantem, maximè consolentur. Atque hæc quidẽ causa est cur imminutus qui in pupilla est humor, tum dete-

A ἐπιμύσαιμεν τὸν ἕτερον τῶν ὀφθαλμῶν, εὐρύνεσθαι συμβαίνει θατέρου τὴν κόρην, ὡς ἂν εἰς τὸν ἕνα μόνον ἰόντος τοῦ πνεύματος, ὃ πρότερον εἰς ἀμφοτέρους ἐμερίζετο. ταῦτά τοι καὶ ἡ τῶν ὑποκεχυμένων διάγνωσις, εἴτ' ὄψονται παρακεντηθέντος καὶ κατενεχθέντος τοῦ ὑποχύματος, εἴτε μή, διὰ τούτου μάλιστα γίνεται τοῦ σημείου. οἷς μὲν γὰρ εὐρύνεσθαι συμβαίνει τὴν κόρην, μύσαντος θατέρου τῶν ὀφθαλμῶν, τούτοις μὲν ἐλπὶς ὄψεσθαι παρακεντηθέντας· οἷς δ' οὐκ εὐρύνεσθαι, τούτων οὐδεὶς οὐδὲ πώποτε εἶδεν, οὐδ' ἂν ἀνωδυνώτατά τε καὶ κάλλιστα χειρουργηθῶσιν. ἐξ ὧν ἁπάντων εὔδηλον, ὡς ἐπιρρεῖ τι πνεῦμα τοῖς ὀφθαλμοῖς ἐξ ἐγκεφάλου ψυχικόν, εἴς τε τὸ κρυσταλλοειδὲς ὑγρὸν αὐτὸ καὶ τὴν περικειμένην ἅπασαν χώραν, ἣν διορίζει τὸ τρῆμα τοῦ ῥαγοειδοῦς. ὅταν οὖν ἡ κόρη γίνηται μείζων, εἴτε κατὰ τὴν πρώτην διάπλασιν, εἴθ' ὕστερον, οὐκ ἐκπληροῦται καλῶς ὑπὸ τοῦ πνεύματος ἅπασα· χεῖσθαι τοίνυν ἀναγκάζεται καὶ διαλύεσθαι καὶ σκεδάννυσθαι· κατὰ δὲ τοὐναντίον ἐν τῇ μικροτέρᾳ κόρῃ συνάγεται καὶ σφίγγεται καὶ πυκνοῦται τὸ πνεῦμα. δέδεικται δ' ἐν τοῖς περὶ χρείας μορίων, ὡς τὸ μὲν συνάγεσθαί τε καὶ σφίγγεσθαι πρὸς εὐαισθησίαν αὐτῷ συντελεῖ· τὸ δὲ διαλύεσθαί τε καὶ σκεδάννυσθαι, πρὸς δυσαισθησίαν ἀπάγει. τί δήποτ' οὖν ἡ σμικρυνθεῖσα κόρη λόγῳ νοσήματος, οὐ φύσει, πολὺ χείρων ἀποτελεῖται τῆς συμμέτρου; ἢ διότι μοχθηραῖς διαθέσεσιν ἕπεται, δι' ἃς ἐξ ἀνάγκης χεῖρον ὁρᾷ ὁ παθὼν οὕτως ὀφθαλμός, οὐ διὰ τὴν σμικρότητα τῆς κόρης; τίνες οὖν αἱ διαθέσεις; ἔτι γὰρ τοῦτο λείπει τῷ λόγῳ. μία μὲν αὐτοῦ τοῦ ῥαγοειδοῦς χιτῶνος μόνου· δευτέρα δ' ἡ ἐκ τῆς ὑγρότητος ἐκχεομένης τῆς λεπτῆς, ἣ μεταξὺ τέτακται τοῦ τε κρυσταλλοειδοῦς ὑγροῦ καὶ αὐτοῦ τοῦ ῥαγοειδοῦς. ἡ μὲν οὖν τοῦ χιτῶνος αὐτοῦ μόνου διάθεσις, ἔκτασίς τίς ἐστι καὶ χάλασις, οἷα κἀπὶ τῶν ἐκτὸς ὁρᾶται πολλάκις ἐν ἄρθροις, ὑγρότητι περιττῇ διαβραχέντων τῶν συνδέσμων· ἡ δὲ τῶν ὑγρῶν διάθεσις, ἔλλειψίς τίς ἐστι, δι' ἣν κενουμένης τῆς ἔνδον χώρας, ὁ ῥαγοειδὴς ἐπ' αὐτὴν καταπίπτων συστέλλεταί τε καὶ ῥυσοῦται, καὶ διὰ τοῦτο καὶ τὴν κόρην σμικρύνει. χεῖρον οὖν ὁρᾶν ἢ καὶ μηδόλως ὁρᾶν ἐπὶ ταῖς τοιαύταις διαθέσεσιν, οὐ διὰ τὴν σμικρότητα τῆς κόρης, ἀλλὰ διὰ τὴν τῆς ὑγρότητος ἔνδειαν συμβαίνει. δέδεικται γὰρ ἐν τοῖς ὀπτικοῖς λόγοις, οὓς ἔν τε τῇ περὶ χρείας μορίων, καὶ προσέτι ἐν τῇ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐποιησάμεθα πραγματείᾳ, τὸ κρυσταλλοειδὲς ὑγρὸν ἀεὶ προβλήματός τινος δεόμενον, ἵνα ἀλύπως ὑπομένῃ τὴν ἔξωθεν αὐγήν. ἓν δὲ δή τι τῶν προβλημάτων αὐτοῦ καὶ τόδε τὸ ὑγρόν ἐστι, μετὰ τοῦ καὶ συνωφελεῖν τι τὴν οὐσίαν τοῦ κρυσταλλοειδοῦς. ὅταν οὖν ἐνδεέστερον γένηται τὸ ὑγρὸν τοῦτο, ξηρότερον μὲν δήπου καὶ αὐτὸ γίνεται τὸ κρυσταλλοειδές, ὡς μηκέτι τεγγόμενον ὑγρότητι δαψιλεῖ· καταπίπτων δὲ καὶ ὁ ῥαγοειδὴς χιτὼν ἐπ' αὐτό, τὴν μεταξὺ χώραν ἑαυτοῦ τε κἀκείνου, βραχυτέραν ἐργάζεται, καὶ οὕτως ἀναγκαζόμενον τὸ κρυσταλλοειδὲς ὁμιλεῖν δι' ὀλίγου τῇ κατὰ τὸν ἔξωθεν ἀέρα λαμπρότητι, παραπλήσιόν τι πάσχει τὸ πάθος, οἷον καὶ τοῖς τὸν ἥλιον ἀσκαρδαμυκτὶ θεωμένοις συμβαίνει. ἐκείνων δ' οὖν ἔνιοι μὲν ἐτυφλώθησαν, ἐβλάβησαν δ' ἅπαντες, ὡς μόγις ἀνακτήσασθαι τὴν ὄψιν. ἐδείχθη γὰρ ἡμῖν, ὡς οὐχ οἷόν τέ ἐστι λαμπροῦ φωτὸς ἀλύπως ἀνέχεσθαι τὸ τῆς ὄψεως ὄργανον, καὶ ὡς διὰ τοῦτο καὶ ὁ ῥαγοειδὴς αὐτοῦ χιτὼν προβέβληται μέλας τε ἅμα καὶ κυανοειδὴς ὑπάρχων, ἐπειδὴ ταῦτα μάλιστα τὰ χρώματα παραμυθεῖται τὴν ὄψιν ὑπὸ λαμπροῦ κάμνουσαν φωτός. αὕτη μὲν οὖν ἡ αἰτία, δι' ἣν ἔλαττον γιγνόμενον τὸ κατὰ τὴν κόρην γινό-

μένον ὑγρὸν, αἴτιον τε ἅμα τοῦ χεῖρον ὁρᾶσθαι γίγνεται, καὶ σμικρότερον ἀποφαίνει τὸ τοῦ ῥαγοειδοῦς τρῆμα, καὶ διὰ τοῦτο δυσιατώτατόν ἐστι τὸ τοιοῦτον νόσημα τῶν ὀφθαλμῶν. ἡ δ' ἑτέρα διάθεσις, ἡ δι' ὑγρότητα τοῦ ῥαγοειδοῦς μικροτέραν ἐργαζομένη τὴν κόρην, ἧττον ταύτης ἐστὶ μοχθηρά. χαλεπώτερον γάρ ἐστι, τῶν ὁμοιομερῶν τι τοῦ σώματος μορίων ἐξηρασμένον ὑγραίνειν, ἤπερ ὑγρασμένον ξηραίνειν. ταυτὶ μὲν οὖν ἤδη πως ἅπτεται θεραπευτικῶν λογισμῶν, λέγωμεν δὲ, ὅπερ ἐξ ἀρχῆς προὔκειτο. χαλεπὴ μὲν ἡ παρὰ φύσιν τῆς κόρης σμικρότης, ἀγαθὴ δὲ ἡ σύμφυτος. ἡ δὲ εὐρύτης, οὐκ ἀγαθὴ μὲν ἡ σύμφυτος· ἡ δὲ παρὰ φύσιν, οὐδ' αὐτὴ μὲν ἀγαθὴ, μικρότερον δ' ἐστὶ τῆς στενότητος κακόν. ἡ μὲν γὰρ ὡς ἄν εἴποι τις, αἰτία συνεκτικὴ τῆς γενέσεως αὐτῆς, τάσις ἐστὶ τοῦ ῥαγοειδοῦς χιτῶνος, ὥσπερ αὖ τῆς σμικρότητος ἡ χάλασις. ἐπεὶ δὲ καὶ κατὰ διττὸν τρόπον τείνεται, ὅτε κατὰ τὸν ἑαυτοῦ λόγον πάσχει, ἢ ξηραινόμενος ὡς ὁμοιομερὲς, ἢ ὑγραινόμενος ὡς ὀργανικόν· ἡ μὲν ξηρότης αὐτοῦ δυσίατος, ἡ δὲ ὑγρότης οὐ δυσίατός ἐστι. φλεγμοναὶ γὰρ καὶ σκίρροι καὶ ἀποστήματα, καὶ ὅσα τοιαῦτα νοσήματα, τῶν ὀργανικῶν ἐστι μορίων ἐπὶ περιτταῖς ὑγρότησιν, ὧν ἁπάντων ἀγαθὸς ἰατρὸς ἐν τῷ ῥαγοειδεῖ συνισταμένων οὐ χαλεπῶς ἂν περιγίγνοιτο. προσγίνεται δέ ποτε τάσις τῷ ῥαγοειδεῖ καὶ κατά τι συμβεβηκὸς ἐκ τοῦ πλήθους τῶν ὑποκειμένων ὑγρῶν ὁρμηθεῖσα. πληρωθεὶς γὰρ ὥσπερ ἀσκὸς ἢ κύστις, ἐκτείνεται, καὶ περιτείνεται πανταχόθεν τοῖς ἀθροισθεῖσιν αὐτοῦ τε μεταξὺ καὶ τοῦ κρυσταλλοειδοῦς ὑγροῦ. ἐπεὶ δὲ οὐ μόνον ὅσα τοῦ τρήματός ἐστι τοῦ κατὰ τὸ ῥαγοειδῆ, νοσήματα διῆλθεν ὁ λόγος, ἀλλὰ καί τινων αὐτοῦ τοῦ ῥαγοειδοῦς ἐμνημόνευσε, καὶ προσέτι τῶν τῆς λεπτῆς ὑγρότητος, ἑξῆς ἂν εἴη τὰ λείποντα τῶν ἐν αὐτοῖς εἰπεῖν, ὑφ' ὧν ἤ τι παραποδίζεται τὸ βλέπειν, ἢ καὶ παντάπασιν ἀπόλλοιτο. τῶν μὲν δὴ κατὰ τὸν ῥαγοειδῆ χιτῶνα συνισταμένων, ὅσα γε δὴ λυμαίνεται τὴν ὄψιν, ἓν ἔτι παραλέλειπται νόσημα τὸ κοινὸν ὁμοιομερῶν τε καὶ ὀργανικῶν, ἡ τῆς ἑνώσεως λύσις, ὅπερ ἐν τούτῳ τῷ μέρει, τραῦμά τε καὶ ἕλκος ἐστίν. ὅταν μὲν οὖν γένηται μέγα τὸ τοιοῦτον, ὡς διαρραγῆναι μὲν ἱκανῶς τὸν ῥαγοειδῆ, προχυθῆναι δὲ τὴν λεπτὴν ὑγρότητα πρὸς τὸ ἐκτὸς τοῦ χιτῶνος, ὡς ψαύειν ἤδη κερατοειδοῦς, ἀνάγκη συμπίπτειν ἄτοπα ἐν τῷδε δύο, καταπίπτειν μὲν ἐπὶ τὸ κρυσταλλοειδὲς ὑγρὸν τὸν ῥαγοειδῆ χιτῶνα, τὸ δ' ἀπ' ἐγκεφάλου πνεῦμα, μηκέτι ὅλον ἐπὶ τὴν κόρην ἀφικνεῖσθαι δυνάμενον, διὰ τοῦ τραύματος ἐκρεῖν. ὅτι δὲ οὐ μόνον ἄμφω ταῦτα συνελθόντα βλάβη τῆς ὄψεώς ἐστιν, ἀλλὰ καὶ τὸ ἕτερον αὐτῶν, εὔδηλον εἶναι νομίζω τοῖς γε μὴ παρέργως ἀκηκοόσι τῶν προειρημένων. ἐμοὶ δ' ἂν εἴη καιρὸς μεταβαίνειν ἤδη ἐπὶ τὴν λεπτὴν ὑγρότητα, περὶ ἧς εἴρηται μέν που καὶ πρόσθεν τό γε τοσοῦτον, ὡς εἴτε πλείων, εἴτε ἐλάττων γένοιτο, βλάπτει τὴν ὄψιν· ὅτι δὲ καὶ εἰ παχυτέρα ποτὲ κατὰ τὴν σύστασιν, ἢ ἀλλοιοτέρα κατὰ τὴν χροιὰν ἀποτελεσθείη, καὶ οὕτως ἐργάσεταί τι σύμπτωμα περὶ τὴν τοῦ βλέπειν ἐνέργειαν, ὅπερ οὐκ εἴρηται μὲν ἔμπροσθεν, ἤδη δὲ αὐτὸ λέγεσθαι καιρός. εἰ μὲν δὴ παχύτερον ἑαυτοῦ γίγνοιτο τὸ ὑγρὸν τοῦτο, τήν τε ἀκρίβειαν τῆς ὄψεως ἀφαιρήσεται, καὶ τὸ μῆκος κωλύσει, ὡς μήτε τὰ πόρρω βλέπειν, μήτε ἀκριβῶς τὰ πλησίον. εἰ δὲ ἱκανῶς ἀποτελεσθείη παχὺ, καθάπερ ἐν τοῖς ὑποχύμασι γίνεται, διακωλύσει τὸ βλέπειν. εἰ δὲ μὴ πᾶν ἐπισκοτισθείη τὸ τρῆμα πρὸς τοῦ συστάντος αὐτόθι παχυμεροῦς σώματος, ἀλλά τι μέ-

riorem efficiat visionem, tum minus vueæ tunicæ foramen reddat; eôque potissimum curatu difficillimus est eiusmodi oculorum morbus. Alter affectus, qui propter humorem rhagoidis, minorem reddit pupillam, minus illo est noxius; difficilius nanque est, similarem corporis partem exiccatam humectare, quàm humidam exsiccare. Atque hæc quidem medendi rationem quodammodo iam attingunt. Dicamus autem quod ab initio proponebatur. Molesta est pupillæ paruitas præter naturam, bona quæ congenita est. Laxitas autem natiua quidem bona non est; quæ verò præter naturam, ne ipsa quidem bona, malum tamen est angustiâ minus. Quippe laxitatis generandæ causa (vt quispiam dixerit) continens, tensio vueæ tunicæ est; vt paruitatis, *eiusdem* relaxatio. Quoniam autem duplici ratione tenditur, quum propria ipsius ratione afficitur; aut siccata vt pars similaris; aut humectata, vt organica; siccitas quidem eius difficilis curationis est, humiditas non difficilis. Etenim phlegmonæ, scirrhi, abscessus, & alii eiusmodi morbi organicarum sunt partium, ex superuacaneis humoribus *oriundi*, quos omnes, si in vuea consistant, peritus medicus non magno negotio superabit. Verùm accedit vueæ nonnunquam etiam ex accidenti tensio, à multitudine subiectorum humorum concitata. Impleta enim veluti vter, vesicáve iis quæ inter ipsam & crystallinum humorem aceruantur, in omnem partem distenditur & circunducitur. Quoniam autem non solùm foraminis quod in rhagoide est, morbos disputatio percensuit, sed etiam aliquos ipsius rhagoidis commemorauit, prætereáque tenuis humoris nonnullos, sequens fuerit reliquos ipsorum *morbos* persequi, quibus vel impeditur visus vel omnino aboletur. Ergo ex iis, qui in vuea tunica consistunt, ac visum lædunt, vnus adhuc morbus restat, tam similarium, quàm organicarum partium communis, vnitatis solutio; quæ in hac parte tum vulnus, tum vlcus est. Quum igitur tale vitium magnum est, ita vt & admodum disrumpatur vuea, ac tenuis humor ad exteriora *prolapsus* è tunica, effundatur, vt corneam contingat; duo absurda inde accidere necesse est; tum vt concidat super crystallinum humorem vuea tunica, tum vt spiritus, qui à cerebro in pupillam totus non peruenire potest, per vulnus effluat. Quòd autem non solùm ambo hæc coeuntia visionem lædant, sed etiam eorum alterum, iis qui prædicta non negligenter audierunt, manifestum arbitror. Mihi verò tempestiuum iam fuerit ad tenuem humorem transire, de quo supra dictum hactenus saltem est, quod is siue adaugeatur, siue imminuatur, visum lædit. Quòd autem etiamsi aut crassior aliquando sit consistentiâ, aut colore magis alienus, sic quoque symptoma aliquod circa videndi actionem excitabit, quod dictum prius non est, sed iam id dicendi tempus est. Ergo hic humor si seipso crassior sit redditus, tum integram visus aciem adimet, tum longitudinem prohibebit; ita vt neque longè posita cernantur, neque prope admota exactè perspiciantur. Quod si admodum crassus sit factus, quemadmodum in suffusionibus euenit, visum prohibebit. Quòd si totum foramen à crasso illic consistente corpore obtenebratum non sit, sed aliqua pars *eius* pura

pura ſuperſit; per illam res externas ſingulas per ſe ſolas nihilo deterius, quàm antè vident; non tamen ſimiliter vno tempore multas, ob viſionis conum qui ſeipſo factus eſt anguſtior. At ſi in pupillæ centro exigua ſuffuſio conſtiterit, partibus quæ in circuitu ſunt manentibus puris, omnia ſic affectis veluti feneſtras habere videntur; quippe quod in medio non cernitur, exciſum eſſe videtur. Iam ſi diuulſa, nec inter ſe coniuncta craſſa corpora in iam dicto humore fluitent, facient vt ſic affecti circuncurſantes culices foris videre ſibi videantur. Sæpenumero verò ex craſſiore humoris conſiſtentiâ, tanquam ſimulacra quædam ſibi apparere imaginantur. Porrò eiuſmodi ſimulacrorum ortus, poſtquam à ſomno ſurgitur, plerumque prodit, potiſſimum pueris, & iis qui pluſculum *vini* biberunt, aut aliàs caput impleuerunt. Quòd ſi colore immutatus ſit humor inter cryſtalloidem, & rhagoidem medius, ſi quidem ad fuſcum inclinet, veluti per nebulam fumúmve hominem videre faciet; ſi ad alterum vllum colorem vergat, eius phantaſiam viſibilibus impartietur. At ſi inæqualiter, vel à naturali conſiſtentiâ, vel colore deceſſit, quæcunque eius pars ſic affecta ad pupillæ locum peruenerit, ſimilem etiam ſibi imaginem in viſibilibus repræſentabit; quippe illius tum colorem tum conſiſtentiam tum figuram foris ſe videre homo putabit. Ex hoc ſymptomatum genere ſunt tum ea quæ ſuffuſi imaginantur, tum quæ de iis, quibus vel ſanguis ex naribus profluxurus eſt, vel qui vomituri ſunt, ab Hippocrate ſunt ſcripta. Iam verò quibus adeò exquiſitus viſus eſt, vt eum ne vel minimũ ſenſibile fugiat; exhalationes verò quædam à ventriculo aſcendunt, potiſſimùm vbi non probè concoxerint, ſimilia ſymptomata ſuffuſionibus accidunt; Nam puriſſimus naturâ tum cryſtallinus humor iis eſt, tum hic ipſe aquoſus, de quo nunc agimus. Magnitudo autem ſymptomatum in his pro morbi magnitudine ſemper eſt, non ſolum in iis, de quibus nuper ſermonem abſoluimus, ſed etiam in omnibus, quæ prædicta ſunt: Verbi gratiâ, Similarium partium intemperies ſi paruæ ſint, paruam actionis læſionem afferunt, ſin maiores habeantur, actionis læſionem ipſis analogam adaugent; ſicut quæ plurimùm à naturali ſtatu deceſſerunt, funditus actionem tollunt. Æquè verò, & quæ de quantitate, & conſiſtentiâ, & colore aquoſi humoris ſunt dicta, ſi paululum à naturali ſtatu deceſſerint, paruam etiam actioni læſionem afferunt; ſin longiùs deceſſerint, pro ratione ſuæ læſionis, etiam actionis læſionẽ adaugẽt; ſed quum plurimùm à naturali decedunt, omnino actionẽ adimunt. Ad eundem modum & quæ de vueæ rupturâ & pupillæ magnitudine ſunt dicta, vel paululum actionem oblædunt, vel ampliùs, vel omnino euertunt. Sic & animalis ſpiritus, vel ad vnguem purus eſt, qualis æther, vel nebulæ ritu humidus ac turbidus. Præterea in quantitate ſubſtantiæ, vel plus eius *habetur*, vel minus; Si igitur ſimul & multus ſit & æthereus, etiam quæ longiſſimè abſunt videt, ac perfectè diſcernit; ſin paucus ſit & purus, quæ propè ſunt exactè dignoſcit, quæ procul abſunt non videt; quòd ſi humidus ſimul, multuſque ſit, longiſſimè quidem videt, ſed non exactè. Sicuti etiam ſi humidus ſimul exiguuſque ſit, nec exactè

A ρος ἀπολείποιτο καθαρὸν, ὁρῶσι δι᾽ ἐκείνου τὰ ἐκτὸς, ἕκαστον μὲν αὐτὸ μόνον οὐδὲν χεῖρον ἢ πρόσθεν, οὐ μὴν οὐδ᾽ ὑφ᾽ ἕνα χρόνον ὁμοίως τὰ πολλὰ διὰ τὸ στενώτερον ἑαυτοῦ γεγονέναι τὸν τῆς ὄψεως κῶνον. κατὰ δὲ τὸ κέντρον τῆς κόρης εἰ γένοιτο σύστασις ὑποχύματος μικροῦ, τῶν ἐν κύκλῳ μενόντων καθαρῶν, ἅπαντα φαίνεται τοῖς οὕτω πάσχουσιν οἷον θυρίδας ἔχοντα. τὸ γὰρ ἐν μέσῳ τὸ μὴ βλεπόμενον, ἐκκεκόφθαι δοκεῖ. εἰ δὲ διεσπασμένα τε καὶ μὴ συνεστῶτα πρὸς ἄλληλα τὰ παχυμερῆ σώματα κατὰ τὸ προειρημένον ὑγρὸν ἐμφέροιτο, φαντασίαν ἐργάσεται τοῖς οὕτως ἔχουσιν, ὡς ἐκτὸς ὁρώμενά τινα
B περιφερόμενα κωνώπια. πολλάκις δὲ καὶ οἷον εἴδωλόν τι προφαίνεσθαι φαντάζονται διὰ τὰς τῶν παχυμερῶν ὑγρῶν συστάσεις. ἡ τοιαύτη δὲ τῶν εἰδώλων γένεσις μετὰ τὴν ἐξανάστασιν ὕπνου φαίνεται τὰ πολλὰ, μάλιστα δὲ παισὶ, καὶ τοῖς πεπωκόσι πλέον, ἤ πως ἄλλως πεπληρωμένοις τὴν κεφαλήν. εἰ δὲ κατὰ τὴν χροιὰν ἐξαλλαχθείη τὸ μεταξὺ τοῦ τε κρυσταλλοειδοῦς καὶ τοῦ ῥαγοειδοῦς ὑγρὸν, ἐπὶ μὲν τὸ φαιότερον ἀποκλίναν, ὡς δι᾽ ὁμίχλης ἢ καπνοῦ ποιήσει τὸν ἄνθρωπον ὁρᾶν· ἐπ᾽ ἄλλην δέ τινα χροιὰν
C ἐκτρεπόμενον, ἐκείνης τὸ φάντασμα προστρίψεται τοῖς ὁρατοῖς. εἰ δὲ ἀνωμάλως ἤτοι τῆς συστάσεως, ἢ τῆς χροιᾶς ἐξίσταιτο τῆς κατὰ φύσιν, ὅτι περ ἂν αὐτοῦ μέρος οὕτω διακείμενον ἐπὶ τὸ τῆς κόρης ἀφίκηται χωρίον, ὅμοιον ἑαυτῷ καὶ τὸ φάντασμα παρέξει τοῖς ὁρατοῖς, καὶ μὲν γὰρ τὴν χροιὰν ἐκείνου καὶ τὴν σύστασιν καὶ τὸ σχῆμα δόξουσιν ὁρᾶν ἐκτός. ἐκ τούτου τοῦ γένους ἐστὶ τῶν συμπτωμάτων τά τε τῶν ὑποχεομένων φαντάσματα, καὶ τῶν ἐκ ῥινὸς αἱμοῤῥαγεῖν, ἢ ἐμεῖν μελλόντων, ὑφ᾽ Ἱπποκράτους γεγραμμένα. καὶ μὴν καὶ ὅσοις ἀκριβὴς μὲν ἡ ὄψις ἐστὶν, ὡς μηδὲ τὸ σμικρότατον αὐτὴν λανθάνειν τῶν αἰσθητῶν, ἀνα-
D θυμιάσεις δέ τινες ἀπὸ τῆς γαστρὸς ἀναφέρονται, καὶ μάλιστα ὅταν μηδὲ πέψωσι καλῶς, ὅμοια τοῖς ὑποχεομένοις γίνεται τὰ συμπτώματα. καθαρώτατον μὲν γὰρ τούτοις ἐστὶ φύσει τό, τε κρυσταλλοειδὲς ὑγρὸν καὶ τουτὶ δ᾽ αὐτὸ τὸ ὑδατοειδὲς, ὑπὲρ οὗ νῦν διεξερχόμεθα. τὸ δὲ μέγεθος τῶν συμπτωμάτων ἐν αὐτοῖς ἀεὶ κατὰ τὸ μέγεθος τοῦ πάθους ἐστὶν οὐ μόνον ἐφ᾽ ὧν ἄρτι πέπαυμαι λέγων, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν προειρημένων. οἷον αὐτίκα τῶν ὁμοιομερῶν αἱ δυσκρασίαι, βραχεῖαι μὲν οὖσαι, σμικρὰν τὴν βλάβην τῆς ἐνεργείας ἐργάζονται· μείζονες δὲ γινόμεναι, καὶ τὴν βλάβην ἑαυταῖς ἀνάλογον ἐπαυξάνουσιν· ἐπὶ
E πλεῖστον δ᾽ ἐξιστάμεναι τοῦ κατὰ φύσιν, ἄρδην ἀπολλύουσι τὴν ἐνέργειαν. οὕτω δὲ καὶ ὅσα περὶ ποσότητος εἴρηται καὶ συστάσεως καὶ χροιᾶς τῆς ὑδατώδους ὑγρότητος, ἐπ᾽ ὀλίγον μὲν ἐξιστάμενα τοῦ κατὰ φύσιν, ὀλίγον τι καὶ τὴν ἐνέργειαν ἀδικεῖ· ἐπὶ πλέον δὲ ἀποχωροῦντα, πρὸς λόγον τῆς σφετέρας βλάβης καὶ τὴν τῆς ἐνεργείας βλάβην αὐξάνει· ἐπὶ πλεῖστον δὲ ἐκτρεπόμενα, τελέως ἀναιρεῖ τὴν ἐνέργειαν. ὡσαύτως δὲ καὶ ὅσα περὶ τὰς ῥήξεις εἴρηται τοῦ ῥαγοειδοῦς, καὶ τὸ τῆς κόρης ποσὸν, ἤτοι βραχύ τι παραβλάπτει τὴν ἐνέργειαν, ἢ πλέον, ἢ καὶ παντάπασιν ἀπόλλυσιν. οὕτω δὲ καὶ τὸ πνεῦμα τὸ ψυχικὸν ἢ ἀκριβῶς
F ἐστὶ καθαρὸν, οἷός περ ὁ αἰθὴρ, ἢ ὑγρὸν καὶ θολερὸν ὁμίχλης δίκην· καὶ κατὰ τὸ ποσὸν τῆς οὐσίας, ἤτοι πλέον, ἢ ἔλαττον. ἐὰν μὲν οὖν, ἅμα πολύ τε καὶ αἰθερῶδες ὑπάρξῃ, καὶ τὰ πλεῖστον ἀπέχοντα θεᾶται, καὶ ἀκριβῆ τὴν διάγνωσιν αὐτῶν ποιεῖται· ἐὰν δὲ ὀλίγον μὲν ᾖ, καθαρὸν δὲ, τὰ μὲν ἐγγὺς ἀκριβῶς διαγινώσκει, τὰ πόῤῥωθεν δὲ οὐχ ὁρᾷ· ἐὰν δὲ ὑγρότερόν τε ἅμα καὶ πολὺ τύχῃ, μέχρι μὲν πλείστου, οὐκ ἀκριβῶς δ᾽ ὁρᾷ· ὥσπερ γε καὶ εἰ ὑγρόν τε ἅμα καὶ ὀλίγον εἴη, οὔτ᾽ ἀκριβῶς,

οὔτ' ἄπωθεν πλεῖστον ὁρᾷ. καὶ περὶ μὲν τούτου ἱκανὰ καὶ ταῦτα πρός γε τὰ παρόντα. τοῦ δὲ κερατοειδοῦς ἡ περὶ τὴν κόρην μοῖρα παχυτέρα τε καὶ πυκνοτέρα καὶ ὑγροτέρα γενηθεῖσα, βλάπτει τὴν ὄψιν. οὕτω δὲ καὶ εἰ κατὰ τὴν χροιὰν ὑπαλλαχθείη, καὶ εἰ ἕλκος ἀξιόλογον σχοίη, καὶ εἴ τι τῶν ἔξωθεν αὐτοῦ προκειμένων αὐξηθὲν ἐπισκοτήσειεν. ὁ μὲν οὖν παχύτερος καὶ πυκνότερος κερατοειδὴς ἀμβλυωπίας ἐργάζεται. ὁ δὲ ὑγρότερος καὶ πυκνότερος, εἴτε ὁμοιομερῶς, εἴτε ὀργανικῶς, οὐ μόνον ταύτας, ἀλλὰ καὶ δι' ἀχλύος ἢ ὁμίχλης ἢ ἀτμοῦ τινος ἢ καπνοῦ θεᾶσθαι δοκεῖ. εἰ δὲ μὴ πολλὰ μὲν εἴη τὰ ὑγρά, τῇ χρόᾳ δὲ ἐξηλλαγμένα, κατὰ τὴν ἐκείνων φύσιν παρόρασις γίνεται. διὰ τοῦτο γοῦν οἱ μὲν ἰκτεριῶντες, ὠχρὰ πάντα θεᾶσθαι δοκοῦσιν· οἱ δὲ ὑπόσφαγμα πεπονθότες, ἐρυθρά. ἕλκος δὲ ἀξιόλογον οὐ μόνον τὴν περιττὴν ἀθροίζειν ὑγρότητα, βλάπτει τὴν ὄψιν, ἀλλὰ καὶ τῷ δι' ὀλίγου τὸ κρυσταλλοειδὲς ἀναγκάζειν ὁμιλεῖν τῷ περιέχοντι φωτί. διαβρωθὲν δὲ εἴσω τὸ κατὰ τὴν κόρην ἕλκος ἀποχεῖ τι καὶ τῆς ὑδατώδους ὑγρότητος ἐκτός, ὥστε καὶ κατὰ τοῦτο κίνδυνος εἰς ἐσχάτην ἀφικέσθαι τυφλότητα τὸν οὕτως παθόντα. διὰ τοῦτο δὲ καὶ οἱ τρωθέντες εἰς τὸ περὶ τῆς κόρης μέρος τοῦ κερατοειδοῦς, ὅταν εἴσω διαφθαρῇ τὸ τραῦμα, τυφλοῦνται τὰ πολλά. παράδοξον μέντοι τι καὶ οὐκ εἰθισμένως γινόμενον ἐπὶ παιδὸς ἐθεασάμεθα νυγέντος γραφείῳ κατὰ τὴν κόρην. ἐκρυέντος γὰρ εὐθέως τοῦ ὑδατώδους ὑγροῦ, καὶ ἡ κόρη μὲν ἐγένετο μικροτέρα, καὶ ὅλος δὲ ὁ κερατοειδὴς ἐφάνη ῥυσότερος, ἀλλ' ὕστερον θεραπευόμενος ὀρθῶς ἔβλεψεν, ἀθροισθείσης δηλονότι κατὰ βραχὺ τῆς πρότερον ἐκρυείσης ὑγρότητος. ἀλλὰ ταῦτα μὲν σπάνια, τυφλότητες δὲ ὡς τὰ πολλὰ ταῖς τοιαύταις ἕπονται τρώσεσιν, ὥσπερ καὶ τοῖς προειρημένοις αἰτίοις ἅπασιν ἐπὶ πλεῖστον αὐξηθεῖσιν. εἴτε γὰρ ἱκανῶς πυκνός, εἴτε παχὺς ἐσχάτως, εἴτε ὑγρὸς ἀμέτρως ὁ κερατοειδὴς ἀπεργασθείη, παντάπασιν ἐπισκοτεῖ τὴν ὄψιν, ὡς μηδ' ὅλως ὁρᾶν τὸν οὕτω διακείμενον. καὶ τί θαυμαστόν, εἰ τῶν εἰρημένων ἕκαστον αὐξανόμενον ἀφαιρεῖται τοῦ ζώου τὴν ὄψιν, ὅπου γε καὶ αὐτὸς ὁ κερατοειδὴς ἐνίοτε μόνος, ῥυσούμενος ὁμοίως ἐνοχλεῖ; γίνεται δὲ τὸ πάθημα τοῦτο τοῖς εἰς ἔσχατον γῆρας ἀφικνουμένοις. ἐπισκεπτέον δὲ ἀκριβῶς ἐν τῷδε τὸ μέγεθος τῆς κόρης. εἰ μὲν γὰρ ἐλάττων γένοιτο, καὶ τὸ ὑδατῶδες ὑγρὸν ἐπὶ μὲν τοιούτων ἐμειώθη· μένοντος δὲ ἴσου, μόνου τοῦ κερατοειδοῦς τὸ πάθημά ἐστιν. ἀλλὰ τῶν μὲν τούτων διορισμῶν οὐδὲν ἡ νῦν ἐνεστῶσα δεῖται πραγματεία. τὰ δὲ τοῦ κερατοειδοῦς χιτῶνος γινόμενα νοσήματα μεγάλα παντελῶς ἐμποδίζει τὰς ὄψεις, καὶ μάλιστα ὅταν ἤτοι φλεγμαίνων, ἢ ἐκπυϊσκόμενος, ἢ σκιρρούμενος, ἢ τι τοιοῦτον ἕτερον πάσχων, ὡς ὀργανικὸν μόριον, ὑγρὰ νοσήματα πάσχῃ. τοιαῦτα μὲν δή τινα καὶ τοσαῦτα τὰ τοῦ κερατοειδοῦς ἐστι νοσήματα βλάπτοντα τὴν ὄψιν. Ὁ δὲ ἐπιπεφυκὼς ὑμὴν φλεγμαίνων μέν, κατὰ συμβεβηκὸς ἐμποδίζει τὴν ὀπτικὴν ἐνέργειαν· ἐν δὲ ταῖς καλουμέναις χημώσεσι καὶ προσέτι τοῖς πτερυγίοις, οὐ κατὰ συμβεβηκός, ἀλλ' ἤδη καὶ πρώτως ἐπισκοτεῖ τῇ κόρῃ. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἱ τῶν βλεφάρων μεγάλαι φλεγμοναί, καὶ εἴ τινες ἐπ' αὐτῶν ἔφυσαν ὄγκοι παρὰ φύσιν εἰς τοσοῦτον μεγέθους ἥκοντες, ὡς ἐπισκοτεῖν τῇ κόρῃ. ταῦτ' ἄρα μὲν οὖν ἅπαντα τοῦ μὴ βλέπειν, ἢ τοῦ φαύλως βλέπειν ἐστὶν αἴτια.

nec longissimè videt. Et de hoc quidem vt ad rem propositā hæc abunde. Corneæ verò tunicæ pars, quæ pupillæ antestat, & quum crassior & densior & humidior facta est, visionem lædit. Sic etiam si colorem suum mutauerit, & si vlcus maiusculum in se habeat, & si quid eorum, quæ extrinsecus illi præiacent, inauctum obscuritatem afferat. Ac crassior quidem & densior cornea hebetudinem visus creat; humidior autem ac densior siue vt similaris pars, siue vt organica, non solùm visus hebetudinem affert, sed etiam vt quasi per caliginem, vel nebulam, vel halitum quempiam, vel fumum cernatur, efficit. Si verò humores non multi, sed colore mutato sint, pro eorum naturā hallucinatio suborietur. Proinde qui regio morbo laborant, pallida omnia videre se putant; Qui verò hyposphagma patiuntur, rubra. Vlcus verò notatu dignum, non solùm quòd superuacaneum coacervat humorem, visionem lædit, sed etiam quòd exiguo interstitio crystallinum cum circumfuso lumine conuersari cogat. At penetrans introrsum versus pupillam vlcus, etiam aliquid aquosi humoris foras effundit; proinde sic affectus in summum cæcitatis discrimen adducitur: ob id qui in parte corneæ quæ pupillæ prætenditur, vulnus acceperunt, quum id vulnus introrsum penetrat, ii magnā ex parte occæcantur. Cæterùm incredibile quiddam nec fieri vulgò solitum in puero vidimus, qui stylo in pupillam fuerat compunctus. Nam quum statim effluxisset aquosus humor, tum pupilla ipsa minor est reddita, tum tota cornea apparuit rugosior: cæterùm sanatus postea rectè vidit, collecto scilicet paulatim eo qui effluxerat humore. Verùm hæc rara sunt: cæcitates autem eiusmodi vulneribus plerumque succedunt, vt etiam omnibus iam dictis causis, vbi plurimùm sunt auctæ. Nam siue vehementer densa, siue ad summum crassa, siue immodicè humida cornea est effecta, omnino tenebras oculis offundit; ita vt qui sic est affectus, prorsus non videat. Et quid mirum si singula prædicta, quum aucta sunt, animali visum adimunt, vbi ipsa sola cornea rugata aliquando similem noxam adfert? Accidit hic affectus iis, qui ad vltimum peruenêre senium. Sanè consideranda hoc tempore diligenter est pupillæ magnitudo. Quippe quæ si minor sit facta, etiam aquosus humor in iis est imminutus; sin æqualis sibi permaneat, corneę solius affectus est. Verùm eiusmodi discrimina præsens opus non requirit. Corneæ verò tunicę morbi, si magni sint, prorsus visum impediunt; & maximè quum vel phlegmone, vel suppuratione, vel scirrho, aut alio eiusmodi morbo laborans vt pars organica humidis morbis afficitur. Ac corneæ quidem tunicæ morbi, qui visum lædant, tales & tot incidunt. Membrana verò adnata vbi phlegmone laborat, ex accidenti visus actionem impedit. At in iis, quæ vocantur chemoses, præterea in pterygiis, non ex accidenti, sed iam & primò pupillam obtenebrat. Ad eundem modum magnæ palpebrarum phlegmonæ tumoresque, si qui in his præter naturam orti eò magnitudinis venerunt, vt pupillæ vmbram offundant. Atque hæc omnia, aut non videndi, aut malè videndi sunt causæ.

CAPVT

[Handwritten marginal notes in the left margin, partly legible: "περὶ τοῦ κερατοειδοῦς", "πόθεν ἀμβλυωπία" [illegible], "πόθεν παρόρασις", "δια", "περὶ τοῦ ἐπιπεφυκότος ὑμένος τῇ ὄψει. κατὰ βλάβην" [illegible]]

CAPVT III.

De symptomatum causis in auditus sensu.

ATque de oculis quidem hæc sufficiunt. Nam exempli magis causâ, quàm vt singula particulatim persequeremur, de his sermonem instituimus; quum sit mihi nunc institutum per generaliores sermones methodum indicare, quâ vsus quispiam symptomatum causas inueniat. Quoniam autem non solùm nouisse methodos ipsas oportet, sed etiam multifariam in particularibus exercitari, quod facere omnibus in promptu non est; idcircò qualem fieri modum exercitationis oporteat, in oculis nunc ostendi. Eodem enim scilicet modo cæteras sensitrices facultates, qui volet, adeat, consideretq; in vnaquaque tum primum eius instrumentum, tum cætera, quæ illi vsum aliquem præstant, distinguatque, vt paulò antè dictum est, quinam ipsius facultatis laborantis sint morbi, quinam instrumentorum singulorum, quibus actionem lædi continget. Siquidem audiendi grauitas, & surditas, aut propter aurium ipsarum partem aliquam, aut propter neruum in has à cerebro descendentem, aut propter cerebrum ipsum in ea parte læsum, vnde neruus exoritur, animali accident. Igitur in neruo quidem ex cerebro *morbi sunt* similiter iis, qui in oculis; qui verò in reliquis partibus *sunt*, ad proportionem quidem, non tamen omnino similiter lædent. Quam enim habet in oculo rationem humor crystallinus, hanc habet in auribus internus auditorii meatus finis, vbi neruum dilatatum contingit; quæ verò extra hunc in anfractu meatus sunt omnia, iis quæ crystallino *humori* in oculo prætenduntur, proportione respondent. Itaque etiam morbos illarum partium huc transferri ex illis conueniet, similarium quidem partium, qui in intemperie & continui solutione consistunt; meatûs verò, in obstructionibus, siue ob aliquem ipsarum partium tumorem præter naturam, meatum obstruentem, vt abscessum, phlegmonen, scirrhum, œdema; siue ob aduentitiũ aliquem aut omninò quemuis tumorem præter naturam, qualis in eodem meatu sæpe fit, quum callosum quid aut carnosum sensim concrescit ex iis, quæ meatum præter naturam obstruunt, inter quæ sunt & sordes, quæ in auribus colligi solent.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν αἰτιῶν τῶν κατ' ἀκουστικὴν συμπτωμάτων.

ΚΑὶ περὶ μὲν ὀφθαλμῶν ἱκανὰ καὶ ταῦτα. παραδείγματος γὰρ ἕνεκα μᾶλλον, ἢ ὥστε τὰ κατὰ μέρος ἐπελθεῖν ἅπαντα, τὸν περὶ αὐτῶν ἐποιησάμεθα λόγον, ἐπεὶ τό γε σπούδασμά ἐστί μοι νῦν διὰ τῶν καθολικωτέρων λόγων ἐπιδεικνύναι τὴν μέθοδον, ᾗ χρώμενος ἄν τις ἐξευρίσκοι τὰς τῶν συμπτωμάτων αἰτίας. ἐπεὶ δὲ οὐ μόνον ἐπίστασθαι χρὴ τὰς μεθόδους, ἀλλὰ καὶ γυμνάζεσθαι πολυειδῶς ἐν τοῖς κατὰ μέρος, ὅπερ οὐ πρόχειρον πάντες εἰσὶν ἕτοιμοι, διὰ τοῦτο νῦν ἐπὶ ὀφθαλμῶν ὑπέδειξα τὸν τρόπον τῆς ἀσκήσεως, ὁποίαν τινὰ προσήκει ποιεῖσθαι. κατὰ γὰρ δὴ τὸν αὐτὸν τρόπον ἡκέτω τις ἐπὶ τὰς ἄλλας αἰσθητικὰς δυνάμεις, ἐπισκοπούμενος ἐν ἑκάστῃ τό τε πρῶτον αὐτῆς ὄργανον καὶ τὰ ἄλλα τὰ χρείαν τινὰ τούτῳ παρέχοντα, καὶ διαιρείσθω καθάπερ ἀρτίως εἴρηται, τίνα μέν ἐστι νοσήματα τῆς δυνάμεως αὐτῆς πεπονθυίας, τίνα δὲ τῶν ὀργάνων ἑκάστου, δι' ἃ βλάπτεσθαι τὴν ἐνέργειαν συμβήσεται. Βαρυηκοΐαι γοῦν καὶ κωφότητες, ἤτοι διά τι τῶν κατὰ τὰ ὦτα μορίων, ἢ διὰ τὸ καθῆκον ἐξ ἐγκεφάλου νεῦρον, ἢ διὰ τὸν ἐγκέφαλον ἐν ἐκείνῳ τῷ μέρει βεβλαμμένον, ὅθεν αὐτῷ τὸ νεῦρον ἀποφύεται, συμπεσοῦνται τῷ ζώῳ. τὰ μὲν οὖν κατὰ τὸ νεῦρόν τε καὶ τὸν ἐγκέφαλον, ὡσαύτως τοῖς κατὰ τοὺς ὀφθαλμούς· τὰ δ' ἐν τοῖς ἄλλοις μορίοις, ἀνάλογον μὲν, οὐ μὴν πάντη γε ὡσαύτως βεβλάψεται. ὃν γὰρ ἐν ὀφθαλμῷ λόγον ἔχει τὸ κρυσταλλοειδὲς ὑγρὸν, τοῦτον ἐν ὠσὶ τὸ κατὰ τὸν ἀκουστικὸν πόρον τὸ ἔνδον πέρας, ἔνθα συνάπτει τῷ νεύρῳ πλατυνομένῳ· τὰ δ' ἐκτὸς τοῦδε πάντα τὰ κατὰ τὴν ἕλικα τοῦ πόρου, τοῖς προκειμένοις ἐν ὀφθαλμῷ τοῦ κρυσταλλοειδοῦς ἀνάλογον ἔχει. καὶ τοίνυν καὶ τὰ νοσήματα αὐτῶν ἐξ ἐκείνων ἐνταῦθα μεταφέρειν, ὅσα μὲν τῶν ὁμοιομερῶν ἐστι, κατὰ τὰς δυσκρασίας τε καὶ τὴν τῆς ἑνώσεως λύσιν· ὅσα δὲ τοῦ πόρου, κατὰ τὰς ἐμφράξεις, εἴτε δι' ὄγκον τινὰ παρὰ φύσιν αὐτῶν τῶν μορίων, ἐμφράττοντα τὸν πόρον, ἀπόστημα λέγω καὶ φλεγμονὴν, καὶ σκίρρον, καὶ οἴδημα· εἴτε δι' ἐπίκτητόν τινα καὶ ὅλως ἀλλότριον ὄγκον παρὰ φύσιν, οἷος ἐν τῷ αὐτῷ πόρῳ γίνεται πολλάκις, ἢ πωρῶδες τινὸς, ἢ σαρκῶδες βλαστήματος ἐπιτραφέντος ἐκ τῶν παρὰ φύσιν ἐμφραττόντων τὸν πόρον, ὧν ἐστι καὶ ὁ ῥύπος ὁ συνήθως ἐν ὠσὶ γινόμενος.

CAPVT IV.

De symptomatum causis in gustu & odoratu.

QVemadmodum igitur in his partium constitutio symptomatum indicauit causas, ita & in lingua & naso indicabit, modò in iis quoque tum primùm sentientem partem, tum reliquas, quæ totum instrumentum complent, nouerimus. Monstratum enim est linguam, quia duabus facultatibus, sensitrici & motrici, subseruit, duas quoque habere actiones: ac nunc eam, vt sentientem, consideramus. Odoratus verò sensorium ipsos esse cerebri ventriculos demonstrabamus. Ac gustandi quidem symptomata sunt tum omnino sapores non sentire, tum prauè sentire. Quum autem malè sentire, vt monstratum est, dupliciter intelligatur, aliàs quum diminutè sentitur, aliàs cũ deprauatè, di-

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν αἰτιῶν τῶν κατὰ τὴν γεῦσιν καὶ ὄσφρησιν συμπτωμάτων.

ΩΣπερ οὖν ἐν τούτοις ἡ κατασκευὴ τῶν μορίων ἐνεδείξατο τὰς τῶν συμπτωμάτων αἰτίας, οὕτω καὶ κατὰ τὴν γλῶτταν τε καὶ τὴν ῥῖνα ἐνδείξεται, γιγνωσκόντων γε ἡμῶν κἀκεῖ τό τε πρῶτον αἰσθητικὸν μόριον καὶ τὰ ἄλλα τὰ συμπληροῦντα τὸ σύμπαν ὄργανον. ἐδείχθη γὰρ ἡ μὲν γλῶττα διὰ τὸ δυοῖν ὑπηρετεῖν δυνάμεσιν αἰσθητικῇ τε καὶ προαιρετικῇ, δύο καὶ τὰς ἐνεργείας ἔχουσα, καὶ νῦν αὐτὴν ὡς αἰσθητικὴν ἐπισκοπούμεθα. τὸ δὲ τῆς ὀσμῆς αἰσθητήριον, αὐτὰς ἐπεδείκνυμεν εἶναι τὰς κοιλίας τοῦ ἐγκεφάλου. τὰ μὲν οὖν τῆς γευστικῆς αἰσθήσεως συμπτώματα, τό τε μηδ' ὅλως αἰσθάνεσθαι χυμῶν ἐστι, καὶ τὸ κακῶς αἰσθάνεσθαι. διττοῦ δὲ τοῦ κακῶς ὑπάρχοντος ὡς ἐδείκνυτο, τοῦ μὲν ἀμυδρῶς τοῦ δὲ ὡς ἄν τις εἴποι παρατυπωτικῶς, τὸ μὲν ἀμυδρῶς ἀνάλογον

ἐστὶ τῇ κατὰ μὲν τὴν ὄψιν ἀμβλυωπίᾳ, κατὰ δὲ τὴν ἀκοὴν βαρυηκοΐα. τὸ δὲ παρατυπωτικῶς, ὅταν ὑπηλλαγμένα ταῖς χρόαις ἢ τοῖς σχήμασιν ἢ τοῖς μεγέθεσιν ἢ ταῖς θέσεσιν ὁρῶντες τυγχάνωσιν, ὅπερ ἐν ἀκοῇ παρακούσεις ὠνόμασται. τὰ δὲ τῶν εἰρημένων συμπτωμάτων αἴτια νοσήματα κατὰ τὴν γευστικὴν ἐνέργειάν τε καὶ δύναμιν, ἔν τε τῷ τῆς γλώττης ἐστὶν ὁμοιομερεῖ σώματι καὶ τῷ περὶ αὐτὴν χιτῶνι, καὶ τοῖς νεύροις τοῖς μαλακοῖς, καὶ τῇ χώρᾳ μάλιστα ἐκείνῃ τοῦ ἐγκεφάλου, καθ᾽ ἣν ἀποφύεται ταῦτα. τὰ μὲν οὖν ἄλλα νοσήματα τῶν εἰρημένων ἁπάντων εὔδηλα. τὸ δὲ οἷον παρατυπωτικῶς αἰσθάνεσθαι τῶν χυμῶν, ὅταν ἀλλοκότου τινὸς ὑγρότητος ἡ γλῶττα πληρωθῇ, συμβαίνειν εἴωθεν, ἤτοι πάντων ὧν ἂν γεύσηταί τις ἁλμυρῶν φαινομένων, ἢ πάντων πικρῶν, ἤ τινα ἄλλην ἀτοπίαν ἔχειν δοκούντων ἄρρητον ἢ ῥητήν. ὡς γὰρ ἐπὶ τῶν ὑποχεομένων ἡ ὀπτικὴ δύναμις ἐκτὸς ἐδόκει θεᾶσθαι τὰ κατὰ τὸν ὀφθαλμὸν ἐμφαινόμενα, τὸν αὐτὸν τρόπον ἡ γευστικὴ τὰ κατὰ τὴν γλῶτταν τοῖς αἰσθητοῖς ἀναφέρει τὰ τῶν ὀργάνων συμπτώματα, ἐπὶ μὲν τῶν ἰκτεριώντων τὴν πικρότητα τῆς χολῆς οὐ τῆς γλώττης πάθος, ἀλλ᾽ ὧν γεύεται, ὑπολαμβάνουσα, καὶ κατὰ τὰς ἄλλας δέ τινας διαθέσεις ἁλυκότητας ἢ ὀξύτητας ἐν τοῖς ἐδέσμασι περιέχεσθαι φανταζομένη, οὐ μὲν προσελθόντος ἔξωθεν αἰσθητοῦ τὴν τέως ἡσυχάζουσαν ἐν τῇ γλώττῃ κακοχυμίαν ἀνακινοῦντος, αἰσθανομένης δὲ τῆς γευστικῆς δυνάμεως οὐ τοῦ προσελθόντος, ἀλλὰ τοῦ πλεονάζοντος ἐν αὐτῇ. πολλάκις δέ ποτε καὶ πρὸ τοῦ γεύσασθαί τινος, αἴσθησις γίνεται τῶν ἐν τῇ γλώττῃ χυμῶν, ἀκριβείᾳ τῆς γευστικῆς αἰσθήσεως. ὅμοιόν τι τούτῳ σύμπτωμα τὸ καὶ ὀφθαλμοῖς ἐπὶ στομαχικαῖς διαθέσεσιν ἢ φαντασίαν ὑποχύσεως συμπίπτειν· ἢ ἐν ὠσὶν ἤχους, οὐδενὸς ἔξωθεν ψοφοῦντος, ἀλλ᾽ αὐτῆς τῆς κατὰ τὰς μήνιγγας κινήσεως τὸ φάντασμα πεμπούσης· ἢ κατὰ τὰς ῥῖνας ὀσμῆς τινος ἀπὸ τῶν αὐτόθι περιεχομένων χυμῶν. ἀλλὰ γὰρ ἐπειδὴ καὶ τῆς ῥινὸς ἐμνημονεύσαμεν διτταῖς ὑπηρετούσης δυνάμεσιν, ὥσπερ καὶ ἡ γλῶττα (καὶ γὰρ καὶ τῶν ὀσφρητικῶν ὀργάνων οἱονεὶ πέρας τι, καὶ τῶν ἀναπνευστικῶν ἐστιν) ἄμεινον ἂν εἴη καὶ περὶ ταύτης ὡσαύτως τοῖς εἰρημένοις διελθεῖν. εἰ γάρ τι συμβαίη καὶ αὐτῇ νόσημα τῷ πόρῳ λυμαινόμενον, ἤτοι χεῖρον ἢ οὐδ᾽ ὅλως αἰσθήσεται τῶν ὀσμῶν ἡ ὀσφρητικὴ δύναμις. ἰσχυρῶς τε οὖν συνθλιβεῖσα, καὶ πολύπουν ἤ τινα ὄγκον παρὰ φύσιν ἔχουσα, τὴν ὁδὸν τοῦ πνεύματος ἐμφράξει. τούτου τοῦ γένους ἐστὶ καὶ ἡ περὶ τὸν ἔνδοθεν αὐτῆς ὑμένα γιγνομένη φλεγμονή, καὶ μὲν δὴ καὶ ὅσα κατά τινα τῶν ἠθμοειδῶν ὀστῶν ἤτοι τὰς ταύτῃ μήνιγγας, ἢ αὐτὰς τῶν ὀστῶν τὰς διατρήσεις ἐμφράττει, καὶ ταῦτα βλάπτει τὴν ὀσφρητικὴν αἴσθησιν. ἔτι δὲ ἂν μᾶλλον εἰ κατὰ τὰς ἀποφύσεις γίγνοιτο τοῦ ἐγκεφάλου τὰς εἰς ταῦτα τὰ μόρια καθηκούσας. ἐν μέντοι καταῤῥόοις τε καὶ κορύζαις, καὶ ὅλως ἐν ὅσοις ὑπ᾽ ἐγκαύσεως ἢ ψύξεως ἢ ὑγρότητος ἐπληρώθησαν αἱ ἔμπροσθιαι κοιλίαι τοῦ ἐγκεφάλου, οὐ μόνον ἔμφραξις γίγνεται τῶν ἐνταῦθα χωρίων, ἀλλὰ καὶ τοῦ πνεύματος αὐτοῦ τοῦ κατὰ τὰς κοιλίας, ἔτι τε τοῦ περιέχοντος ἐγκεφάλου δυσκρασία τις ἕπεται. καὶ μὲν δὴ καὶ θλίψεις καὶ διαιρέσεις ἀξιόλογοι τῶν εἰρημένων μορίων αὐτοῦ, δυσαισθησίας τε καὶ ἀναισθησίας ἐργάζονται τῶν ὀσμῶν. ἡ δὲ οἷον παρατυπωτική τε καὶ πλημμελὴς αἴσθησις ἐνταῦθα γίγνεται διὰ κακοχυμίαν τινὰ ἐγχώριον, ἥτις ἀτμίζουσα δυσῶδες ἐπιθολοῖ τοὺς ἀναφερομένους ἐπὶ τὴν ὀσφρητικὴν δύναμιν ἀτμοὺς ἀπὸ τῶν πλησιαζόντων σωμάτων, ὅμοιόν τε σύμπτωμα τοῦτο κατὰ τήνδε συμπίπτει τὴν δύναμιν, οἷόν τι καὶ κατὰ τὴν γευστικὴν ἐν ἰκτεροῖς ἐῤῥέθη συμβαίνειν.

A minutè quidem gustare respondet visus hebetudini, auditûs grauitati; deprauatè autem gustare est, veluti cum rerum aut color, aut figura, aut magnitudo, aut situs mutatus videtur, quod in auditu obauditio nominatur. Horum symptomatum authores morbi in gustandi tum facultate tum actione, partim substantiæ linguæ similari insident, partim tunicæ, quâ inuoluitur, partim mollibus neruis, partim ei præcipuè cerebri parti, vnde hi originem sumunt. ac reliqui quidem prædictorum omnium morbi manifesti sunt. Deprauatus verò saporum sensus, refertâ extraneo quopiam humore linguâ, accidere solet, ita vt omnia, quæ gustantur, aut salsa, aut B amara, aut alio quopiam alieno sapore prædita videantur, siue is oratione exprimi queat, siue non. quemadmodum enim videndi facultas ea foris videre videbatur, quæ in oculo apparebant; eodem modo gustandi facultas in lingua, sensibilibus imputat organorum symptomata, in arquatis quidem bilis amarorem non linguæ, sed eorum, quæ gustat, affectum esse existimans, in aliis autem quibusdam affectibus salsuginem aut acorem eduliis contineri sibi fingens, dum admotum sensibile quietum hactenus in lingua prauum humorem commouet, gustandi autem C facultas non id, quod admouetur, percipit, sed quod in ipsa abundat. Interdum autem etiam, licet rariùs, priusquam quicquam gustetur, percipiuntur ii humores, quibus lingua perfusa est, ob exquisitum gustandi sensum. Huic simile symptoma est, vbi aut in oculis, à stomachicis affectibus, suffusionis imaginatio oboritur; aut in auribus soni, nullo extra sonante, sed ipso meningũ motu eam speciem creante; aut in naribus, odoris, ab humoribus illic contentis. Sed enim quoniam nasi meminimus duabus facultatibus, itidem vt lingua, inseruientis (nam & odo- D randi & respirandi instrumentorum veluti quidam finis est) satius est etiam de hoc, perinde ac de prædictis, disserere. Siquid enim huic accidat morbi, quod meatui incõmodet, aut deteriùs, aut nullomodo percipiet odores odoratrix facultas. Vehementer itaque contusus aut polypo vel alio præter naturam tumore laborans, spiritûs viam obstruet. Huius generis est & siqua in interna eius membrana fiat phlegmone, quin etiam quæcunque in aliqua parte ossium colatoriorum, aut etiam in cerebri inuolucris, E aut ipsis ossium foraminibus obstruunt, hæc quoque odorandi sensum lædunt; atque hoc magis si in processibus cerebri, qui ad has perueniunt particulas, fiant. At in catarrhis, & coryzis, & denique iis quibus ab æstu, frigore, vel humore oppleti priores cerebri ventriculi sunt, non locorum modò, qui istic habentur obstructio fit: sed etiam tum spiritui ipsi, qui in ventriculis est, tum cerebro, quod hos continet, intemperies quædam accedit. Iam compressiones & sectiones notabiles cuiusuis dictarum partium, odorum sensum tum difficilem, F tum deperditum efficiunt. Deprauatus verò sensus hic fit propter vitiosum aliquem, qui illic continetur humorem, qui mali odoris aliquid exhalans, ascendentes ab admotis corporibus ad odoratricem facultatem halitus obturbat: Taléque est in hac facultate hoc symptoma, quale arquatis in gustatrice accidere est dictum.

CAPVT

CAPVT V.

De symptomatum causis in sensu tactus; ac cur seorsum vel sensus, vel motus aliquando deperdatur.

QVandoquidem de sensibus, qui in propriis sibi animalis partibus obeuntur, abundè dictum est, de sensu omnibus quomodocunque sentientibus communi (quem tactum vocitant) iam agamus. Sunt vtique huius quoque ad aliorum proportionem symptomata. Vtitur autem is non propriis appellationibus, sed communibus, sicut etiam prædictorum nonnulli. Neque enim in gustatrice, neque in odoratrice eiusmodi nomina habemus, qualia sunt in visitrice hebetatio, cæcitas & hallucinatio. In auditrice verò grauitas auditus & surditas & obauditio siue obauditus, nihil enim in præsentiâ interest, quibusnam quiuis pro arbitrio vtatur nominibus. At dentium stuporis tum nomen, tum symptoma vnius tactricis est insigne facultatis; verùm hoc tam in ore, quàm in dentibus post acidos & acerbos cibos accidere maximè consueuit. Torpor verò, qui ex tam motus, quàm sensus difficultate est compositus, in toto corpore & maximè in artubus manifestè videtur à frigore & compressione neruosorum corporum incidere; ad hæc etiam à torpedinis marinæ contactu. Si autem suâ sponte nullâ tali causâ antecedente accidat, omnino vita deses, & ciborum vel crassorum vel lentorum abundantia, vel consuetæ alicuius vacuationis suppressio necessariò præcessit. Igitur continens quidem causa siue coniuncta siue proxima, siue quomodocunque quispiam voluerit appellare, talis est quidam nerui affectus, vt à principe ad ipsum facultas transmitti prohibeatur. Porrò prohibetur, si meatum aliquem neruus habeat (qualem qui ad oculos descendunt manifestè habere cernuntur) vel ob obstructionem, vel compressionem; si autem non habeat, ob constipationem, vel frigus, vel compressionem. Atque quòd animalis quidem facultas, si meatum aliquem tanquàm viam à cerebro per neruum porrectam habeat, hoc obstructo impedietur, cuiuis patet. Quin etiã quòd compresso extrinsecus neruo augustia quædam meatus sequatur, neque id abditum. Quòd si nullus fuerit meatus, sed vt per aquam vel aërem solis radii transeunt, eodem modo à principio si facultas per ipsum corpus neruorum permeauerit, quum hi ad crassiorem consistentiam sunt mutati, transitus impedietur, nec id mihi longioribus probationibus egere videtur, recordanti præsertim ea, quæ in aquâ & aëre eueniunt. Quippe nebula & fumus & nubes in aëre constituta, in aquâ lutum & limus solis splendorem vlteriùs sincerum procedere impediunt ac prohibent. Sic igitur & neruus, si crassior & durior quàm pro suâ naturâ sit redditus, facultatis ipsius delationem oblædet. Sanè crassior erit, si vel glutinosis, vel crassis alatur succis, vel violento frigore sit stipatus. Si autem à duro aliquo corpore illi extrinsecus occursante comprimatur, ne sic quidem liberum facultati transitum præbebit. Proinde qui nerui laqueis vel manibus constringuntur, & qui extrinsecus ab alicuius partis vicinæ phlegmone vel scirrho

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν αἰτίων τῶν καθ' ἁφὴν συμπτωμάτων, καὶ ἐφ' ὧν ποτ' ἡ αἴσθησις ἢ κίνησις καταμόνας ἀπόλλυται.

ΕΠεὶ δὲ περὶ τῶν ἐν τοῖς ἰδίοις μέρεσι τοῦ ζώου γιγνομένων αἰσθήσεων αὐτάρκως εἴρηται, περὶ τῆς ἐν ἅπασι τοῖς ὁπωσοῦν αἰσθανομένοις κοινῆς ἤδη λέγωμεν, ἣν ὀνομάζουσιν ἁφήν. ἔστι δὲ δήπου καὶ ταύτης ἀνάλογον μὲν ταῖς ἄλλαις τὰ συμπτώματα. λέγεται δ' οὐκ ἰδίαις, ἀλλὰ κοιναῖς ταῖς προσηγορίαις, ὥσπερ καὶ τῶν εἰρημένων ἔνιαί τινες. οὔτε γὰρ ἐπὶ τῆς γευστικῆς, οὔτ' ἐπὶ τῆς ὀσφρητικῆς δυνάμεως ἔχομεν ὀνόματα τοιαῦτα, οἷα ἐπὶ μὲν τῆς ὀπτικῆς ἀμβλυωπίας τε καὶ τυφλότητας καὶ παρορώσεις τινάς· ἐπὶ δὲ τῆς ἀκουστικῆς, βαρυηκοΐας τε καὶ κωφότητας, ἔτι τε παρακούσεις, ἢ παρακοάς, ἢ παρακούσματα. διαφέρει γὰρ οὐδὲν εἴς γε τὰ παρόντα χρῆσθαι τοῖς ὀνόμασιν ὅπως ἂν ἐθέλῃ τις. τὸ μέντοι τῆς αἱμωδίας ὄνομά τε καὶ σύμπτωμα τῆς ἁπτικῆς δυνάμεως ἐξαίρετον ὑπάρχει. ἀλλὰ τοῦτο μὲν ἐν τῷ στόματί τε καὶ κατὰ τοὺς ὀδόντας μάλιστα συμπίπτειν εἴωθεν ἐπ' ὀξέσι τε καὶ στρυφνοῖς ἐδέσμασιν. ἡ νάρκη δὲ καὶ καθ' ὅλον τὸ σῶμα καὶ μάλιστα κατὰ τὰ κῶλα, σύνθετος ἐκ δυσαισθησίας τε καὶ δυσκινησίας ὑπάρχουσα, φαίνεται προφανῶς μὲν ἐπὶ ψύξεσι καὶ θλίψεσι νευρωδῶν σωμάτων γιγνομένη, καὶ πρὸς τούτοις ἔτι τῆς νάρκης τοῦ θαλαττίου ζώου ψαυσάντων· αὐτομάτως δ' εἰ συμβαίη μηδενὸς αἰτίου τοιούτου προσγιγνομένου, βίος ἀργὸς καὶ πλῆθος ἐδεσμάτων ἤτοι παχέων ἢ γλίσχρων, ἤ τις ἐποχὴ συνήθων ἐκκρίσεων προηγεῖται ἐξ ἀνάγκης. τὸ μὲν οὖν συνέχον αἴτιον ἢ συνεκτικὸν ἢ προσεχὲς ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, τοιαύτη τίς ἐστιν ἐν τῷ νεύρῳ διάθεσις, ὡς ἐμποδίζεσθαι τὴν ἀπὸ τῆς ἀρχῆς ἐπιπεμπομένην αὐτῷ δύναμιν. ἐμποδίζεται δὲ, εἰ μὲν ἔχοι τινὰ πόρον τὸ νεῦρον, ὥσπερ ἐναργῶς ὁρᾶται τὰ ἐπὶ τοὺς ὀφθαλμοὺς ἥκοντα, δι' ἔμφραξιν ἢ θλῖψιν· εἰ δ' οὐκ ἔχει, διὰ πύκνωσιν ἢ ψύξιν ἢ θλῖψιν. ὅτι μὲν οὖν, εἴπερ ἔχει τινὰ πόρον οἷον ὁδὸν ἀπὸ τῆς ἀρχῆς διὰ τοῦ νεύρου τεταμένην ἡ ψυχικὴ δύναμις, ἐμφραχθείσης ταύτης ἐμποδισθήσεται, πρόδηλον παντί· καὶ μὲν δὴ καὶ ὡς θλιβέντος ἔξωθεν τοῦ νεύρου, στενοχωρία τις ἕπεται κατὰ τὸν πόρον, οὐδὲ τοῦτο ἄδηλον· ὅτι δὲ καὶ εἰ μηδεὶς εἴη πόρος, ἀλλ' ὥσπερ δι' ὕδατος ἢ ἀέρος αἱ ἀκτῖνες τοῦ ἡλίου διεξέρχονται, τὸν αὐτὸν τρόπον, ἡ ἀπὸ τῆς ἀρχῆς δύναμις διὰ τὸ σῶμα τῶν νεύρων εἰ διέρχοιτο, παρεμποδισθήσεται κατὰ τὴν δίοδον ἐπὶ τὸ παχυμερέστερον ἀλλοιωθέντων αὐτῶν, οὐδὲ τοῦτο δοκεῖ μοι δεῖσθαι μακρῶν πίστεων ἀναμνησθέντι τῶν περί τε τὸ ὕδωρ καὶ τὸν ἀέρα συμβαινόντων. ὁμίχλη μὲν γὰρ καὶ καπνὸς καὶ νέφος ἐν ἀέρι συνιστάμενα, βόρβορος δὲ καὶ ἰλὺς ἐν ὕδατι, παραποδίζουσί τε καὶ κωλύουσιν εἰλικρινῆ φέρεσθαι πρόσω τὴν ἡλιακὴν αὐγήν· οὕτως οὖν καὶ τὸ νεῦρον εἰ παχυμερέστερόν τε καὶ σκληρότερον ἑαυτοῦ γένοιτο, παραβλάψει τι τὴν φορὰν αὐτῆς τῆς δυνάμεως. ἔσται δὲ δή που παχυμερὲς, ἤτοι γλίσχροις τε καὶ παχέσι τρεφόμενον χυμοῖς, ἢ ψύξει βιαίᾳ πιληθέν. εἰ δὲ δὴ καὶ θλίβοιτο πρός τινος ἔξωθεν ὁμιλοῦντος αὐτῷ σκληροῦ σώματος, οὐδ' οὕτως ἀκώλυτον παρέξει τὴν φορὰν τῇ δυνάμει. ταῦτ' ἄρα καὶ ὅσα βρόχοις ἢ χερσὶ διαλαμβάνεται νεῦρα, καὶ ὅσα πρός τινος ἔξωθεν ἤτοι φλεγμαίνοντος ἢ σκιρρουμένου θλίβεται,

καὶ ὅσα διασχισθέντων ὀστῶν ἐν ἐξαρθρήμασιν ἢ κατάγμασι στενοχωρεῖται, ναρκώδη μὲν τὸ πρῶτον, ὕστερον δὲ παντάπασιν ἀναίσθητά τε καὶ ἀκίνητα γίγνεται. καὶ καλεῖται μὲν ἡ τοιαύτη κάκωσις αὐτῶν παράλυσις, ἐν ταὐτῷ δὲ γένει οὖσα τῇ νάρκῃ, τῷ μεγέθει διαλλάττει. καὶ εἰ κατὰ πάντα συμβαίη τὰ νεῦρα, παραχρῆμα μὲν ἀναίσθητόν τε καὶ ἀκίνητον ἐργάζεται τὸ σύμπαν σῶμα, θάνατον δὲ ὀξὺν ἐπιφέρει στερήσει τῆς ἀναπνοῆς. εἰ μὲν οὖν ἡ ἀρχὴ τοῦ νωτιαίου βλαβείη, τοῖς κατὰ τὴν κεφαλὴν μορίοις αἰσθάνονταί τε καὶ κινοῦνται μόνοις, ἄχρι περ ἂν ζῶσιν· εἰ δὲ καὶ κατὰ τὸν ἐγκέφαλον ἡ βλάβη συμπέσοι, πάντων παραχρῆμα τῶν μορίων ἀκρατεῖς καὶ ἀναίσθητοι γίγνονται. ζῶσι δὲ ἑκάτεροι τοσοῦτον χρόνον, ὅσον ἂν ἔζησαν οἱ ἀγχόνῃ συσχεθέντες. ὅσοις δὲ κατωτέρω τῆς ἐκφύσεως τῶν διαστελλόντων τὸν θώρακα νεύρων ἔπαθεν ὁ νωτιαῖος, ἤτοι σπονδύλου τινὸς ἐκστάντος ἢ καὶ ἄλλως, ἐπὶ μὲν ταῖς μεγάλαις διαθέσεσιν ἀναίσθητοί τε καὶ ἀκίνητοι τὰ κάτω πάντα παραχρῆμα γίγνονται, ναρκώδεις δ' ἐπὶ ταῖς σμικροτέραις· οὐ μὴν ἀποθνήσκουσιν οὗτοι, διὰ τὸ φυλάττεσθαι τὴν ἀναπνοὴν αὐτοῖς. ἡ μέντοι τῶν χειρῶν αἴσθησις, οἷς μὲν ὁ νωτιαῖος ἔπαθε κατὰ τὸν πέμπτον σπόνδυλον, ἀπόλλυται πᾶσα μετὰ τῆς κινήσεως· οἷς δὲ κατὰ τὸν ἕκτον, οὐ πᾶσα, τὰ γὰρ πρῶτα μέρη τοῦ βραχίονος ἀπαθῆ διαφυλάττεται· πολὺ δὲ δὴ μᾶλλον, εἰ κατὰ τὸν ἕβδομον σπόνδυλον ὁ νωτιαῖος πάθοι· εἰ δὲ κατὰ τὸν ὄγδοον, ὀλίγιστον· εἰ δὲ ὁ μετ' αὐτὸν, οὐδὲ ὅλως ἔτι πάσχουσιν αἱ χεῖρες οὐδέν. ἀπόλλυται μέν τοι ἡ φωνὴ πᾶσιν, οἷς ἂν ὁ ἐν τραχήλῳ πάθοι νωτιαῖος· οὐ μὴν ἐπί γε τοῖς τοῦ νώτου σπονδύλοις ἅπασιν, ἀλλ' ὁπόσον τι καθ' ἕκαστον ἐν τοῖς περὶ φωνῆς διώρισται. νυνὶ γάρ μοι δοκῶ καὶ πλείω τοῦ δέοντος εἰρηκέναι. οὐ γὰρ ἐπελθεῖν ἅπαντα τὰ κατὰ μέρος ἐν τῷδε τῷ γράμματι συμπτώματα προὐθέμην, ἀλλ' εἰς τὰς γενικωτέρας αἰτίας ἀναγαγεῖν. κοινῇ τοίνυν εἰρήσθω μοι κατὰ πάσης βλάβης αἰσθήσεως, ὡς ὑφ' ὧν ἕκαστα χορηγεῖται νεύρων ἐρρωμένων, ὑπὸ τούτων βλάπτονται παθόντων. εἰ δέ τις ἑκάστου νεύρου τὴν δύναμιν ἐπίστασθαι ποθεῖ, τῶν μὲν εἰς ἀναπνοὴν συντελούντων, ἐν τοῖς περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων διώρισται· τῶν δὲ εἰς τὰς φωνὰς, ἐν τῇ περὶ φωνῆς πραγματείᾳ λέλεκται. ταῦτα μὲν οὖν ἠκρίβωται πρὸς ἡμῶν ἑτέρωθι. τὰ δὲ τοῖς κατὰ τράχηλόν τε καὶ κεφαλὴν, ἐπιγάστριόν τε καὶ χεῖρας καὶ σκέλη χορηγοῦντα νεῦρα, καὶ ἄλλοι τινὲς ἔμπροσθεν οὐ φαύλως ἔγραψαν, ἡμεῖς τε ἐγράψαμεν ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν. ὁ μὲν οὖν ἐνεστηκὼς λόγος περὶ τῶν κατὰ τὰς αἰσθήσεις συμπτωμάτων ἦν. ἐπεὶ δὲ ὅσα μόρια τὴν καθ' ὁρμὴν κινεῖται διὰ νεύρου τινὸς, εὐθὺς ταῦτα καὶ τὴν αἴσθησιν ἔχει δι' αὐτοῦ, διττὴν ἀναγκαῖον αὖθις γίνεσθαι βλάβην ἐπὶ τῷ τοῦ νεύρου νοσήματι, τὴν μὲν ἑτέραν τῆς αἰσθήσεως, τὴν δὲ ἑτέραν τῆς κινήσεως. πῶς οὖν ἔνια μὲν μόρια παραλελύσθαι δοκεῖ τῆς κινήσεως τὴν καθ' ὁρμὴν ἐνεργειῶν, αἰσθάνεσθαι δέ; καὶ πῶς πάλιν ἕτερα κινεῖσθαι μὲν, οὐκ αἰσθάνεσθαι δέ; κατὰ μὲν δὴ τὴν γλῶτταν καὶ τοὺς ὀφθαλμοὺς οὐδὲν ἄπορον, ἐπειδὴ διττὰ νεύρων γένη τούτοις ἐστίν· ἐν οἷς δὲ μέλεσι τὰ σκληρὰ μόνον ἐστὶ, διοριστέον ὧδε τὸν λόγον. εἰ μὲν ἀφῃρημένου τοῦ δέρματος, ὁ ὑποκείμενος μῦς γυμνὸς ὢν, ἀκίνητος μὲν φαίνεται, ψαυόντων

A comprimuntur, & qui aut luxatis aut fractis ossibus angustiores fiunt, omnes primò quidem torpent, postea verò omnino sensum motúmque perdunt: vocatúrque eiusmodi neruorum vitium paralysis, *neruorum resolutio*: quæ quum in eodem genere cum torpore sit, magnitudine ab eo differt. Ac si in omnes incidat neruos, ilicò totum corpus sensu motuque priuat, ac mortem celerem respirationis priuatione infert. Si igitur spinalis medullæ principium sit B læsum, partibus solis capitis, quoad viuunt homines, tum sentiunt tum mouentur. Sin & cerebro læsio accidat, statim omnibus partibus impotentes insensibilesque efficiuntur. Viuunt autem vtrique tanto tempore, quãto viuerent qui præfocatione premerentur. Quibuscunque verò spinalis medulla infrà neruorum thoracem dilatantium exortum est læsa, siue vertebra aliqua luxata, siue etiam aliter, in magnis affectibus quidem insensibiles immobilesque omnibus inferioribus partibus statim fiunt, in minoribus torpent ii, non tamen moriuntur, propterea quod respiratio iis illæsa manet. At manuum C sensus iis, quibus spinalis medulla circa quintam vertebram est affecta, totus simul cum motu amittitur; quibus autem circa sextam, non totus, quippe primæ brachii partes illæsæ seruantur; iam multò etiam magis, si circa septimam vertebram spinalis medulla malè sit affecta. Quòd si circa octauam sit affecta, paucissimam; si verò quæ post hanc habetur, prorsus nullã læsionem patiuntur manus. Cæterùm quibus spinalis medulla in ceruice affecta est, iis omnibus vox adimitur, non tamen omnibus dorsi vertebris id accidit. Verùm quantum læsionis singulæ D afferãt in commentariis de voce definitum est. nunc enim mihi videor plura, quàm pro instituto dixisse; neque enim omnia symptomata particulatim persequi hoc in opere est propositum, sed ea in generaliores causas reducere. Ergo generatim mihi de omni sensus læsione sit dictum, quod à quibus neruis benè valentibus suppeditatam sibi facultatem habent, ab iisdem malè affectis læduntur. Quòd si quis cuiusque nerui nosse facultatem studet, eos qui ad respirationem conducunt, in libris de respirationis causis definiuimus; eos verò qui ad vocem, in opere de E voce explicauimus. Atque hi à nobis alibi accuratiùs explorati sunt. Qui autem colli, capitis, abdominis, manuum & crurum partibus, nerui *facultatem* suppeditant, eos tum alii ante nos non malè scriptis prodiderunt, tum nos de iis in libris de administrationibus anatomicis scripsimus. Ac propositus quidem nobis sermo erat de sensuum symptomatis. Quoniam autẽ quæ partes per neruum aliquem voluntariè mouentur, eædẽ protinus sensum quoque per eundem obtinent, duplicem iis læsionem ex nerui morbo necesse est accedere, alteram sensus, alteram F motus. Quomodo igitur nonnullæ videntur partes ad voluntarias quidẽ motus functiones resolui, sentire tamẽ? Et quomodo rursus aliæ moueri quidem, minimè autem sentire? Sanè in linguã & oculis nulla fit dubitatio, propterea quòd hæc duplici neruorum genere sunt prædita; at in quibus membris duri tantùm nerui sunt, in iis distinguendus sermo ad hunc modum est. Si cute ablatã, subiectus ei nudus musculus immobilis appareat, tangentem tamen sentiat, paruam

illi noxam accidisse est putandum; nempe quòd tantam animalis facultatis partem suscipiat, quanta ad sensus excitationem sufficiat, ad musculum verò mouendum non sufficiat. Consistit enim in patiendo magis, quàm agendo tangendi sensus, itaque etiam parua facultate perfici potest. Musculorum motus, quum agendo, non autem patiendo functionem obeat (totum namque corpus ab hoc transfertur) multa eget animali facultate. Contrà verò nunquàm deprehendas musculum nudum moueri, vt idem non sentiat. At si superiacens musculo cutis sensum amisit, ipse autem moueatur, nihil est quod mirere; quemadmodum si duorum musculorum alter moueatur, alter moueri non possit; aut altero sentiente, alter sit insensilis. Vt enim in iis alterius læsum neruum, alterius illæsum esse licet: eodem pacto fieri potest vt is neruus qui in cutem dispergitur, læsus sit; qui autem in musculum, minimè; sic è contrario fit vt illæso cutis neruo, non illæsus maneat musculi neruus. Ac de propositis symptomatis hæc satis.

CAPVT VI.

De causis delectationis, & doloris in vnoquoque sensu.

Delectatio autem & dolor omnibus sensibus insident, non tamen simili euidentiâ; sed in visu minimâ, in tactu autem & gustu, maximâ; ab iis deinceps in odoratu, & post hunc in auditu. Quænam igitur est tum omnium communis, tum cuiusque causa propria? Sanè communis *ea est*, quam Plato in Timæo profert sic scribens. *Quum affectio præter naturam, violenter & confertim in nobis fit, dolorem excitat; quæ verò rursus ad suam naturam confertim redit, delectationem; quòd autem sensim & paulatim fit, sensum non ferit.* Atque ita quidem Plato. Hippocrates verò eo antiquior, *Iis, inquit, quibus natura alteratur & corrumpitur, dolores fiunt.* Quippe illud, *corrumpitur*, celeritatem simul ac magnitudinem mutationis indicat. Sanè tactui accidunt magnæ mutationes naturæ à frigidi calidique violento impetu: & ab iis, quæ vel secare vel distendere vel erodere possunt. Nam humor & siccitas citra calorem vel frigus minimè violentum contactum habet, vt qui opus de simplicibus medicamentis perlegerit, facilè discet. Vbi demonstratum est frigidum aliâ ratione oblectationem inducere, quàm calidum, quin etiam ipsum quod substantiam diuellat, dolorem concitare. Videntur autem & quæ contundunt & quæ tendunt dum rupturæ corporibus periculum afferunt, dolorum causæ esse; quemadmodum & quæ pungunt & quæ secant. Non enim certè & sectio & ruptura postquam facta est dolorem infert; sed dum fiunt hujusmodi omnia, dolorum causæ constituuntur nisi tamen ex accidente aliquo, sic affectos dolor sequatur, aliàs quidem acri humore exulceratum corpus mordente; aliàs phlegmone superueniente, quæ ipsa quoque nunquam non distendēdo dolorem efficit, multoties verò, etiam caloris iniuriâ vel humorum acrimoniâ. Diuellitur autem & gustus organum, quatenus vtique tactus est particeps, à iam dictis causis; quatenus verò gustus est proprium, ab

A δ' αἰσθάνοιτο, μικρὰν ἡγητέον αὐτῷ συμπεπτωκέναι τὴν βλάβην, ὡς μέρος τοσοῦτον δυνάμεως δέχεσθαι ψυχικῆς, ὅσον αἰσθάνεσθαι μὲν ἱκανόν ἐστιν, κινῆσαι δὲ τὸν μῦν οὐχ ἱκανόν. ἐν γὰρ τῷ πάσχειν μᾶλλον, ἤπερ ἐν τῷ ποιεῖν ἐστιν ἡ τῆς ἁφῆς αἴσθησις, ὥστ' ἐγχωρεῖ καὶ δι' ὀλίγης αὐτὴν ἐπιτελεῖσθαι δυνάμεως· ἡ δὲ τῶν μυῶν κίνησις ἐν τῷ ποιεῖν, οὐκ ἐν τῷ πάσχειν, ἔχουσα τὴν ἐνέργειαν (ὅλον γὰρ ὑπὸ ταύτης μεταφέρεται τὸ σῶμα) πολλῆς δεῖται δυνάμεως ψυχικῆς. ἔμπαλιν δὲ οὐκ ἂν εὕροις ποτὲ γεγυμνωμένον ὡς κινεῖσθαι μὲν, ἀναίσθητον δὲ εἶναι τὸν γυμνὸν μῦν. εἰ B δὲ τὸ μὲν περικείμενον αὐτῷ δέρμα τὴν αἴσθησιν ἀπολέσειεν, ὁ δὲ μῦς κινοῖτο, θαυμαστὸν οὐδέν· ὥσπερ οὐδὲ εἰ δυοῖν μυοῖν, ὁ μὲν εἴη κινούμενος, ὁ δὲ ἀκίνητος· ἢ ὁ μὲν αἰσθανόμενος, ὁ δὲ ἀναίσθητος. ὥσπερ γὰρ ἐπ' ἐκείνων ἐγχωρεῖ, τοῦ μὲν ἑτέρου βεβλάφθαι τὸ νεῦρον, ἀβλαβὲς δὲ εἶναι θατέρου, κατὰ τὸν αὐτὸν τρόπον ἐνδέχεται τὸ μὲν εἰς τὸ δέρμα διασπειρόμενον βεβλάφθαι, τὸ δὲ εἰς τὸν μῦν, μὴ βεβλάφθαι· οὕτω δὲ καὶ τοὐναντίον ἀβλαβὲς μὲν εἶναι τὸ τοῦ δέρματος νεῦρον, οὐκ ἀβλαβὲς δὲ τὸ τοῦ μυός. περὶ μὲν οὖν τῶν προτεθέντων συμπτωμάτων ἱκανὰ καὶ ταῦτα.

C ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τῶν αἰτίων τοῦ τ' ἥδεσθαι καὶ τοῦ ἀλγεῖν καθ' ἑκάστην τῶν αἰσθήσεων.

Ἥδεσθαι δὲ καὶ ἀλγεῖν ἁπάσαις μὲν ἐγγίγνεται ταῖς αἰσθήσεσιν, οὐχ ὁμοίως δὲ ἐναργῶς, ἀλλ' ἐν μὲν τῇ τῆς ὄψεως ἥκιστα· μάλιστα δὲ ἐν τῇ τῆς ἁφῆς τε καὶ γεύσεως· ἐφεξῆς δὲ τούτων ἐν ὀσφρήσει· καὶ μετὰ ταύτας ἐν ἀκοῇ. τίς οὖν ἥ τε κοινὴ πάντων αἰτία καὶ τίς ἡ καθ' ἕκαστον ἰδία; κοινὴ μὲν, D ἥνπερ καὶ Πλάτων ἐν Τιμαίῳ φησὶ γράφων οὕτως. τὸ μὲν παρὰ φύσιν καὶ βιαίως γιγνόμενον ἀθρόως ἐν ἡμῖν πάθος, ἀλγεινόν· τὸ δὲ εἰς φύσιν ἀπιὸν αὖ πάλιν ἀθρόον, ἡδύ· τὸ δὲ ἠρέμα καὶ κατὰ μικρὸν, ἀναίσθητον. οὕτω μὲν ὁ Πλάτων, ὁ δὲ Ἱπποκράτης ἔτι παλαιότερος ὤν, τοῖς τὴν φύσιν, ἔφη, διαλλαττομένοισι, καὶ διαφθειρομένοισιν αἱ ὀδύναι γίγνονται. τὸ μὲν γὰρ, διαφθειρομένοισι, τάχος τε ἅμα, καὶ μέγεθος ἐνδείκνυται τῆς μεταβολῆς. εἰσὶ δὲ καὶ κατὰ τὴν ἁφὴν αἱ μεγάλαι μεταλλαγαὶ τῆς φύσεως ὑπὸ ψυχροῦ καὶ θερμοῦ βιαίας προσβολῆς, ὅσα τε θλᾶν, ἢ τέμνειν, ἢ διατείνειν, ἢ δια- E βιβρώσκειν πέφυκε. τὸ γὰρ ὑγρὸν ἢ ξηρὸν ἄνευ τοῦ θερμαίνειν ἢ ψύχειν, ἀβίαστον ἔχει τὴν ὁμιλίαν, ὡς ἔνεστί σοι μαθεῖν ἀναλεξαμένῳ τὴν περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείαν, ἔνθα καὶ τὸ ψυχρὸν ἐδείχθη καθ' ἕτερον μὲν τρόπον ἡδὺ, ἢ τὸ θερμὸν, ἀλλὰ καὶ αὐτὸ τῷ διασπᾶν τὴν οὐσίαν, ὀδυνηρὸν γίγνεσθαι. φαίνεται δὲ καὶ τὰ θλῶντα καὶ τὰ τείνοντα κίνδυνον τοῦ ῥαγῆναι φέροντα τοῖς σώμασιν, ἀλγημάτων αἴτια γίγνεσθαι, καθάπερ γε καὶ τὰ νύττοντα καὶ τὰ τέμνοντα. οὐ γὰρ δὴ μετὰ τὸ τμηθῆναί τε καὶ ῥαγῆναι, τὴν ὀδύνην ἐπιφέρει, ἀλλ' ἐν τῷ γίγνεσθαι τὰ τοιαῦτα πάν- F τα πόνων αἴτια καθίσταται, πλὴν εἰ μὴ κατά τι συμβεβηκὸς ἀκολουθήσειε τοῖς οὕτω παθοῦσιν ὀδύνη, ποτὲ μὲν ὑγρῶν δριμέων δακνόντων τὸ ἡλκωμένον σῶμα, ποτὲ δὲ φλεγμονῆς ἐπιγιγνομένης, ἥ τις καὶ αὐτὴ διὰ παντὸς μὲν τῷ διατείνειν ὀδυνᾷ, πολλάκις δὲ καὶ διὰ τὴν θερμασίαν ἢ διὰ τὴν τῶν ὑγρῶν δριμύτητα. διασπᾶται δὲ καὶ τὸ τῆς γεύσεως ὄργανον, ᾗ μὲν τῆς ἁφῆς μετέσχηκεν, ὑπὸ τῶν εἰρημένων, ᾗ δὲ καὶ τῆς γεύσεως ἐστιν ἴδιον,

ἀπό τε τῶν ὀξέων καὶ πικρῶν καὶ στρυφνῶν καὶ δριμέων, ὅτι καὶ τούτων ἕκαστον, ὡς ἀποδέδεικται, διαιρεῖ τὸ συνεχές. λυπηροὶ δὲ εἰσὶ καὶ κατὰ τὴν ὄσφρησιν, οἱ τῶν εἰρημένων χυμῶν ἀπορρέοντες ἀτμοί, διότι καὶ οὗτοι διασπῶσι τὸ συνεχές. ἐν ἀκοῇ δὲ, ἥ τε τραχεῖα καὶ ἡ μεγίστη καὶ ἡ ταχίστη φωνή, ὧν καὶ συνελθουσῶν εἰς ταὐτὸν ἐν ταῖς φοβερωτάταις βρονταῖς, ἀνάπηροι παντάπασιν ἔνιοι τὴν ἀκουστικὴν αἴσθησιν ἐγένοντο, τῷ διασπασθῆναι τῇ βίᾳ τοῦ ψόφου τὸ ὄργανον αὐτῆς. καὶ μέντοι γε καὶ τὴν ὄψιν αἱ λαμπρόταται τῶν αὐγῶν λυποῦσί τε ἅμα, καὶ διαφθείρουσι, τῷ διακρίνειν ἐπὶ πλεῖστον. ἔστι δὲ δήπου καὶ τὸ διακρίνειν, ἐκ τοῦ τῶν διαιρούντων γένους, καὶ φαίνεται κοινὸν ἐν ἁπάσαις ταῖς αἰσθήσεσι τὸ λυπηρὸν πάθος, ἐκ διακρίσεώς τε καὶ διαιρέσεως τοῦ συνεχοῦς καὶ ἡνωμένου σώματος ἀποτελούμενον, ἐπειδὰν ἀθρόως συμπίπτῃ. καλῶ δὲ ἀθρόως, τὸ κατὰ τὰ μεγάλα ἅμα καὶ ταχέως. τοῦτο δὲ δήπου καὶ ὁ Πλάτων ἐβούλετο, συνθέτου ἐκ βιαίου τε ἅμα καὶ ἀθρόου παθήματος ἐγγινομένου τοῖς αἰσθητικοῖς σώμασι, τὴν ἀνιαρὰν αἴσθησιν ἀποτελεῖσθαι φάσκων. οὐδὲν γὰρ διοίσει λέγειν ἀνιαρὰν ἢ λυπηρὰν ἢ ἀλγεινὴν ἢ ὀδυνηρὰν ἢ ἐπίπονον αἴσθησιν· ὥσπερ οὐδὲ αὐτὸ τὸ πάθος, ἀνίαν, ἢ λύπην, ἢ ὀδύνην, ἢ πόνον, ἢ ἀλγηδόνα. δηλοῖ δὲ καὶ αὐτὸς ὁ Πλάτων ὁμοτίμως χρώμενος ἐπὶ ταὐτοῦ πράγματος ἅπασι τοῖς εἰρημένοις ὀνόμασιν ἔν τε Τιμαίῳ, καὶ Φιλήβῳ, καὶ καθ᾽ ὅ, τι ἂν ἕτερον αὐτῷ σύγγραμμα περὶ τῶν αὐτῶν ὁ λόγος ᾖ. ὅτι δὲ καὶ ἡ Ἱπποκράτους δόξα τῆς αὐτῆς ἔχεται διανοίας ἔν τε τοῖς ὀνόμασι καὶ τοῖς πράγμασιν, εὔδηλον ἔκ τε τῶν ἔμπροσθεν ὀλίγον εἰρημένων, καὶ τῶν ἐν ἅπασι τοῖς βιβλίοις αὐτοῦ γεγραμμένων. οὕτω μὲν δὴ τὸ μὲν πάθος λυπηρὸν ἐν ἁπάσαις γίγνεται ταῖς αἰσθήσεσι· τὸ δ᾽ ἐναντίον αὐτῷ τὸ ἡδὺ διὰ τὴν ἐναντίαν αἰτίαν. ἡ γὰρ κινδυνεύοντος διασπασθῆναι ἢ εἰς τὸ κατὰ φύσιν ἐπάνοδος ἀθρόα τὴν ἡδονὴν ἀπεργάζεται. διὰ τοῦτο τοῖς ὀφθαλμοῖς ἥδιστον θέαμα τὸ κυανοῦν, ὥσπερ ὀδυνηρότατον τό τε λαμπρὸν ἅμα καὶ λευκόν, οἷον ὁ ἥλιος. ἐφεξῆς δὲ τούτων ἐν μὲν τοῖς λυποῦσι τὸ λευκόν, ἐν δὲ τοῖς ἥδουσι τὸ φαιόν. τὸ μὲν γάρ, τῷ διακρίνειν τε ἅμα, καὶ διαλύειν τὴν οὐσίαν αὐτῆς, τὸ δέ, τῷ ἀβιάστως συνάγειν. οὐ γὰρ δή που τὸ συνάγειν γε μόνον ἱκανὸν καὶ αὔταρκες· οὕτω γὰρ ἂν ἦν που καὶ τὸ μέλαν ἡδύ, νῦν δ᾽ οὐκ ἔστιν, ἐναντίον γὰρ ὑπάρχον τῇ τῆς ὄψεως οὐσίᾳ, συνάγει βιαιότερον αὐτήν, ἢ ὡς εἰς τὴν φύσιν ἐπανάγειν. ἧττον δὲ ἐστι τὸ μελάντατον τοῦ λαμπροτάτου ἀνιαρόν, οὐχ ὅτι τὸ ἐναντίον ἧττον λυπεῖ τοῦ κατὰ τὸ συγγενὲς ἀμετρίας (κατὰ τοῦτο μὲν γὰρ μᾶλλον ἀνιαρὸν ἦν τοῦ λαμπροτάτου τὸ μέλαν) ἀλλ᾽ ὅτι τὸ μὲν τῆς ὄψεως ὄργανον αὐγοειδές, αὐγὴ δὲ πᾶσα λεπτομερὴς οὐσία· τὸ δὲ μέλαν ἀεὶ παχυμερές· ἀεὶ δ᾽ ἐν τῇ φύσει δραστικώτερόν ἐστι τὸ λεπτομερὲς τοῦ παχυμεροῦς. ὅταν μὲν οὖν εἰς ταὐτὸν ἀλλήλοις ἥκῃ τὸ λεπτομερὲς καὶ παχυμερές, ἧττον εἰς τὸ λεπτομερὲς ἐνεργεῖ τὸ παχυμερές, εἴπερ μᾶλλον πάσχειν ὑπ᾽ ἐκείνου πέφυκεν. οὕτως οὖν καὶ ὁ ἥλιος ἀνιᾷ τὴν ὄψιν, ὅτι λεπτομερέστερος ὢν ἑτοίμως αὐτὴν διακρίνει. τῇ μὲν οὖν οἰκειότητι τῆς οὐσίας ἧττόν ἐστι τῶν ἐναντίων ἀνιαρός, τῷ δὲ ἰσχυρῷ τῆς ἐνεργείας βιαιότερος ὑπάρχων, τούτῳ καὶ τὸ τάχος ἴσχει τῆς εἰς τὴν ὄψιν βλάβης. ὃ γὰρ ἐν ἐλαχίστῳ χρόνῳ πρὸς τῆς ἡλιακῆς αὐγῆς ἡ ὄψις ἡμῶν πάσχει, τοῦτο ἐν παμπόλλῳ, μηδ᾽ ὅλως αὐγὴν θεασαμένη μηδεμίαν,

acidis, amaris, acerbis & acribus, quod hæc singula, sicut demonstratum est, continuum diuidant. Infestant verò & olfactum qui a iam dictis *humoribus* exhalant halitus, quod hi quoque continuum diuellant. Auditum verò vox aspera & maxima & celerrima; quibus etiam in magnis tonitruis in idem coeuntibus, aliqui auditus sensu omnino sunt priuati, ipsius instrumento soni violentiâ diuulso. Iam verò ipsum visum maximi splendores nimiâ secretione non infestant modò, sed etiam corrumpunt. Est autem ipsa quoque secretio ex diuidentium genere; videturque omnibus sensibus commune infestam affectionem ex secretione ac diuisione continui vnitique corporis excitari, quum affatim accidit, affatim autem voco quod vehementer simul ac celeriter. Hoc quoque Plato volebat, quum diceret Molestum sensum fieri violento simul & conferto pathemate, quum sensu preditis corporibus incideret. Neque enim refert vel molestum vel tristem vel dolentem vel dolorificum vel laboriosum sensum appellare, vt neque pathema ipsum, molestiam vel tristitiam vel dolorem vel dolentiam vel laborem. Atque perspicuum est, Platonem ipsum pro eadem re dictis nominibus omnibus promiscuè vsum & in Timæo & in Philebo, præterea & in aliis libris sicubi de ipsis sermo inciderit. Quòd autem & Hippocratis opinio eiusdem sit tum in nominibus ipsis tum rebus sententiæ, & ex paulò antè dictis & ex iis quæ in omnibus suis libris conscripta reliquit, manifestum est. Sic profectò in omnibus sensibus molestum pathema euenit; iucundum verò illi contrarium contrariis ex causis: confertus enim corporis diuelli periclitantis ad eum, qui secundum naturam est, statum reditus voluptatem efficit. Idcirco iucundissimum oculis spectaculum cæruleũ est: sicut molestissimũ, quod splendidum simulque album est, quemadmodum sol. proxima his inter ea quæ molesta sunt, album; inter ea quæ delectant, fuscum: illud quidem quod substantiam eius segreget simul ac dissoluat, hoc quod citra violentiam congreget. Neque enim profectò sola congregatio sufficit ac satis est; nam sic nigrum quoque iucundum esset, nunc autem non est; quum enim visionis substantiæ sit contrarium, violentiùs eam cogit, quàm vt eam ad naturam reducat. At nigerrimum splendidissimo minùs infestat, non quòd contrarium minùs sit molestum, quàm excessus, qui est in genere cognato (hac enim ratione molestius esset nigrum splendidissimo) sed quòd visus organum sit radiosum, radius autem omnis tenuium partium, nigrum verò semper crassarum. Naturâ autem perpetuò res tenuium partium, in agendo efficacior est, quàm quæ crassarum est. Quum itaque in idem vicissim peruenerint quod tenuium est partium & quod crassarum, minùs agit crassum in tenue, siquidem id à tenui potius pati natum est. Ita igitur & sol visum lædit, quod quum tenuioris sit substantiæ, facilè eum segreget; ac familiaritate quidẽ substantiæ minùs molestus est, quàm quæ sunt contraria; sed quòd actionis vehementiâ sit violentior, hoc ipso celeritatem quoque læsionis in visum obtinet. Quod enim in minimo tempore visus noster à solis splendore patitur, id in plurimo vbi omnino nullũ splendorem vidit,

vidit, sed in profundis tenebris est versatus; quippe is quoque ad lucem reductus videre non potest, quòd extinctus ad quendam modum, crassusque sit redditus ac tenebrosus. iucundissimus igitur meritò gratissimusq; cæruleus color visui est, si tamen is à sole non est discussus. huic enim quòd iam ægrotet, contrarium remedium est: at ei, qui sanus quidem est, sed fatigatus, cæruleum aut fuscum saluberrimum est spectaculum, quòd nec eum segregat, vt tum album tum splendidum; sed nec cogit & extinguit, vt nigrum. At fuscum quidem ex albo & nigro simul mixtis efficitur; cæruleum verò ex albo ac splendido tum coeuntibus tum in saturum nigrum incidentibus; sic enim Plato nos de ambobus docuit. Ergo hi colores ex contrariis extremisque mixtis medii ac moderati nascuntur, qui & excessum vtrumque, quo visus læditur, declinant, & moderatas ipsius fatigationes emendant; quemadmodum morbos ex segregatione prouenientes nigrum. Verùm voluptas ab iis orta non peræque manifesta est, ac ea quæ in aliis sensibus, quòd neque dolor par extiterit. Nam partiũ tenuitas visus, neque dũ segregatur, propter substantiæ familiaritatem violentum aliquid patitur (illuc enim, quò ducitur, ipsa per se properat) neque dum congregatur, propter mutationis imbecillitatem. Demonstratum enim est tenue à crasso debiliter cogi. Atque ita quidem in visu se habent voluptas & dolor. In auditu verò iucundissima vox est, quæ lenissima tardissimaque est; ideo molestissima est tum asperrima tum celerima. verum hæ integrè sano sensui iucundæ molestæque sunt; fatigato verò amica, præter lenem & tardam, etiam exigua; ægrotanti, simul & lenissima & tardissima & maximè exilis; atque hac etiam magis, quæ numerosa est; absolutum enim silentium simile quid in auditu est, atque in visu tenebræ, vnde etiam in quæstionem venit, nùm contrariæ lumini sint tenebræ, an eius priuatio, quemadmodum vocis, silentium; & motus, quies. voluptas autem euidentior in hoc sensu est, propterea quod substantiâ est crassiore: at in odoratu adhuc manifestior delectatio, quòd eius substantia sit magis crassa: quantum enim aër splendore est crassior, tantum aëre crassior est halitus. Est verò splendoris quidem sensus visus, aëris verò auditus, halitûs odoratus, quemadmodum humidæ naturæ gustus, & solidi corporis tactus. Quum autem odoratus & gustus sensus sint congeneres, solâ substantiæ tenuitate dissidentes, (est enim halitus humor attenuatus) de ambobus simul differemus, à gustu perspicuitatis gratiâ ducto exordio. Iucundissimi igitur huic secundum naturam se habenti sunt sapores omnes dulces & pingues; hi nanque omnes demonstrati sunt corporis substantiæ maximè esse familiares: vitiato autem recenter ab aliquâ causâ infestante, pingues; hi nanque partem exasperatam maximè leniunt: ægrotanti verò, succi contrarii causis morborum efficientibus; crassis quidem, attenuantes; tenuibus, incrassantes; glutinosis, incidentes; exasperantibus, lenientes; ad eundem modum calidis, frigidi, frigidis calidi; vt & siccis, humidi; & humidis, sicci. Dictum autem de horum naturâ in quarto de simplicium medicamentorum

A ἀλλ' ἐν βαθεῖ σκότῳ διαιτηθεῖσα· καὶ γὰρ καὶ αὕτη πρὸς τὸ φῶς ἀναχθεῖσα βλέπειν οὐ δύναται, τῷ κατεσβέσθαι τρόπον τινὰ καὶ πεπαχύνθαι καὶ σκοτώδης γεγονέναι. ἥδιστον γε οὖν εἰκότως ἐστὶ καὶ ὠφελιμώτατον ὄψει τὸ κυανοῦν χρῶμα, πλὴν τῆς ὑφ' ἡλίου διασπεφορημένης. ἐκείνῃ μὲν γὰρ, ὡς ἂν ἤδη νοσούσῃ, τὸ ἐναντίον ἴαμα· τῇ δὲ ὑγιαινούσῃ μὲν, κεκμηκυίᾳ δὲ, τὸ κυανοῦν ἢ τὸ φαιὸν ὑγιεινότατον θέαμα, μήτε διακρίνον αὐτὴν ὡς τὸ λευκόν τε καὶ λαμπρὸν, ἀλλὰ μήτε συνάγον καὶ σβεννύον, ὡς τὸ μέλαν. τὸ μὲν οὖν φαιὸν ἐκ λευκοῦ τε ἅμα καὶ μέλανος κραθέντων γίγνεται· τὸ κυανοῦν δὲ, λευκοῦ καὶ λαμπροῦ συνελ-
B θόντων, καὶ εἰς μέλαν κατακορὲς ἐμπεσόντων. οὕτω γὰρ ἡμᾶς καὶ ὁ Πλάτων περὶ ἀμφοῖν ἐδίδαξεν. ὥστ' ἐκ τῶν ἐναντίων τε καὶ ἄκρων κραθέντων ἔμμεσά τε καὶ σύμμετρα γίγνεται ταυτὶ τὰ χρώματα, τὴν θ' ὑπερβολὴν ἑκατέραν ἐκφυγόντα, καθ' ἣν ἡ ὄψις ἐβλάπτετο, καὶ τοὺς μετρίους αὐτῆς ἐπανορθούμενα καμάτους, ὥσπερ τὰς ἐπὶ τῇ διακρίσει νόσους, τὸ μέλαν. τὸ δ' ἐναργὲς τῆς ἡδονῆς τῆς ἀπ' αὐτῶν οὐχ ὅμοιόν ἐστι τῇ κατὰ τὰς ἄλλας αἰσθήσεις, ὅτι μηδὲ τὸ τῆς ὀδύνης ἴσον ὑπῆρχεν. ἡ γὰρ λεπτομέρεια τῆς ὄψεως οὔτ' ἐν τῷ διακρίνεσθαι βίαιόν τι πάσχει, διὰ τὴν οἰκειό-
C τητα τῆς οὐσίας (ἐφ' ὃ γὰρ ἄγεται, φθάνουσα σπεύδει καὶ καθ' ἑαυτὴν) οὔτ' ἐν τῷ συγκρίνεσθαι, διὰ τὴν ἀσθένειαν τῆς μεταβολῆς. ἐδείχθη γὰρ ἀσθενῶς συναγόμενον ὑπὸ τοῦ παχυμεροῦς τὸ λεπτομερές. οὕτω μὲν ἔχει τὰ κατὰ τὴν ὄψιν ἡδονῆς τε καὶ λύπης. ἐπὶ δὲ τῆς ἀκοῆς, ἡδίστη μὲν ἡ λειοτάτη καὶ ἡ βραδυτάτη φωνὴ, διότι καὶ ἡ τραχυτάτη καὶ ταχίστη, λυπηροτάτη. ἀλλὰ ταῦτα μὲν ὑγιαινούσης ἀκριβῶς τῆς αἰσθήσεως ἡδέα τε, καὶ λυπηρά· κεκμηκυίας δὲ, πρὸς τῇ λείᾳ τε καὶ βραδείᾳ, καὶ ἡ σμικρὰ προσφιλής· νοσούσης δὲ, ἡ λειοτάτη τε
D ἅμα, καὶ βραδυτάτη, καὶ σμικροτάτη, καὶ ταύτης ἔτι μᾶλλον ἡ εὔρυθμος. ἡ γὰρ παντελὴς ἡσυχία, ἀνάλογον ἔχει τι τοῦτο τῷ σκότει τῷ κατὰ τὴν ὄψιν, ὅθεν καὶ ζήτησιν ἔσχεν, εἴτ' ἐναντίον τῷ φωτὶ τὸ σκότος ἐστὶν, εἴτε στέρησις· ὥσπερ φωνῆς μὲν ἡσυχία, κινήσεως δὲ ἠρεμία. τὸ δὲ τῆς ἡδονῆς ἐναργέστερον ἐν ταύτῃ, διότι καὶ τὸ τῆς οὐσίας παχυμερέστερον. ἔτι δὲ ἐναργέστερον ἐν τῇ τῆς ὀσφρήσεως αἰσθήσει τὸ τερπνὸν, ὅτι καὶ ἡ οὐσία παχυμερεστέρα. εἰς ὅσον γὰρ ἀὴρ αὐγῆς παχύτερος, εἰς τοσοῦτον ἀέρος ἀτμός. ἔστι δὲ αὐγῆς μὲν, ἡ τῆς ὄψεως αἴσθησις· ἀέρος δὲ, ἡ τῆς ἀκοῆς· ἀτμοῦ δὲ, ἡ τῆς ὀσφρή-
E σεως· ὥσπερ γε καὶ ἡ μὲν τῆς γεύσεως, ὑγρᾶς φύσεως· ἡ δὲ ἁφῆς, στερεοῦ σώματος. ἐπεὶ δὲ ὁμογενής ἐστιν ἡ τῆς ὀσφρήσεως αἴσθησις τῇ τῆς γεύσεως, ἑνὶ μόνῳ διαφέρουσα τῷ λεπτομερεστέρῳ τῆς οὐσίας (ὁ γὰρ ἀτμὸς, ὑγρόν ἐστι λελεπτυσμένον) ὑπὲρ ἀμφοῖν ἅμα ῥηθήσεται, τὴν ἀρχὴν ἀπὸ τῆς γεύσεως ποιησαμένοις, ἕνεκα σαφηνείας. ἥδιστοι τοίνυν εἰσὶ ταύτῃ χυμοὶ, κατὰ φύσιν μὲν ἐχούσῃ πάντες οἱ γλυκεῖς καὶ λιπαροὶ, οὗτοι γὰρ πάντες ἐδείχθησαν οἰκειότατοι τῇ τοῦ σώματος οὐσίᾳ· κεκακωμένῃ δ' ἔναγχος ὑπό τινος τῶν αἰτιώντων αὐτὴν, οἱ λιπαροὶ, μάλιστα γὰρ οὗτοι τὸ τετραχυσμένον ἐκ-
F λεαίνουσι· νοσούσῃ δὲ, οἱ ἐναντίοι τοῖς νοσάζουσι, τοῖς μὲν παχέσιν οἱ λεπτύνοντες, τοῖς δὲ λεπτοῖς οἱ παχύνοντες, τοῖς δὲ γλίσχροις οἱ τέμνοντες, τοῖς δὲ τραχύνουσιν οἱ ἐκλεαίνοντες, οὕτω δὲ καὶ τοῖς μὲν θερμοῖς οἱ ψυχροὶ, τοῖς δὲ ψυχροῖς οἱ θερμοὶ, καὶ τοῖς μὲν ξηροῖς οἱ ὑγροὶ, τοῖς δὲ ὑγροῖς οἱ ξηροί. εἴρηται δὲ περὶ τῆς φύσεως αὐτῶν ἐν τῷ τετάρτῳ περὶ τῆς τῶν ἁπλῶν

φαρμάκων δυνάμεως, ὃ χρὴ μὲν μὴ παρέργως ἀναλέγεσθαι τὸν λόγον ἐκεῖθεν εἴς τε διάγνωσιν καὶ εἰς θεραπείαν ὄντα ὠφέλιμον. ἡ μὲν γὰρ κοιλία τοῖς τε σπλάγχνοις ὑπηρετεῖ καὶ ταῖς φλεψὶν, ὥστε οἵων ἂν ἐκεῖνα δέηται χυμῶν, τοιούτων ὀρέγεσθαι· ταύτης δ' αὖ γνώμων ἡ γλῶττα προβέβληται, τούτοις μάλιστα χαίρουσα τῶν χυμῶν, ὧν ἂν ἡ κοιλία δέηται. τῆς κοινωνίας δὲ, ὁ περιαλείφων αὐτὴν χιτὼν μάλιστα αἴτιος. ἥδεται μὲν οὖν ἡ γλῶττα κατὰ διαφέροντας καιροὺς, ἄλλοις ἄλλοτε τῶν ἔξωθεν αὐτῇ προσπιπτόντων χυμῶν· ἥδεται οὖν ἐνίοτε καὶ τῶν ἐν αὐτῇ γλυκέων αἰσθανομένη. (φλέγματος δὲ ἐστὶν εἶδος ὁ γλυκὺς οὗτος χυμὸς) ὥσθ' ὁσάκις γε ἀπὸ τῶν φλεβῶν ἐγχυθέντος αἵματος, αἴσθησιν ὡς γλυκέος ἔλαβεν ἡ γλῶττα, τοῖς ἔξωθεν αὐτῇ προσπίπτουσιν ἀνάλογον ἔπαθεν. ἐπὶ μέντοι τῆς ὀσφρητικῆς δυνάμεως, ἡ μὲν τῶν ἔξωθεν ἡδέων τε καὶ ἀνιαρῶν αἴσθησις ἀνάλογον ἔχει τῇ γευστικῇ· τῶν δὲ κατ' αὐτὴν ἀτμῶν ἀηδῶν μὲν ὄντων, ὡς εἴρηται πρόσθεν, αἰσθάνεταί ποτε· γλυκέων δὲ ἢ ὅλως ἡδέων οὐκ αἰσθάνεται, καθάπερ οὐδὲ ἡ ὄψις, οὐδὲ ἡ ἀκοή. τῷ γὰρ εἶναι λεπτομερεστέρας οὐσίας αἰσθήσεις, οὐ πάσχουσι πάθος οὐδὲν ἰσχυρὸν ἐν αὐταῖς. ἡ δὲ ἁφὴ καὶ ἡ γεῦσις, σφοδρὸν μὲν οὐδὲν οὐδὲ αὗται· πάσχουσι δ' ἐνίοτε καὶ τοιοῦτόν τι πάθος ἀμυδρὸν, ἡ μέντοι γλῶττα πρὸς γλυκέος, ὡς εἴρηται, φλέγματος, ὅνπερ ὁ Πραξαγόρας τε καὶ Φιλότιμος ἰδιώτερον ὀνομάζουσι γλυκὺν χυμόν· ἡ δὲ ἁφὴ τῆς ἐν αὐτῇ κινήσεως αἰσθάνεται πολλάκις, ἐπειδὰν εἰς τὸ κατὰ φύσιν ἐπανέρχηται, τῶν τραχυνόντων γε αὐτὴν ἔνδον ἤτοι πεττομένων ἢ διαπνεομένων ἢ αἰσθητῶς ἐκκρινομένων. καὶ μὴν καὶ οἱ κοπωθέντες, ἐπειδὰν τρίψωσί τε μαλακαῖς ἢ λουτροῖς ἁπαλυνθέντες τὸ σῶμα μετὰ ταῦθ' ἡσυχάζωσιν, ἐναργῶς αἰσθάνονται τῆς ἡδονῆς. ἔτι δὲ δὴ μᾶλλον ἐν αὐταῖς ταῖς εἰρημέναις κινήσεσιν ἥδονται τοῖς κεκμηκόσι μορίοις εἰς τὸ κατὰ φύσιν ἐπανερχομένοις. οὐ μόνον δὲ ἐν τῷ λούεσθαι καὶ ἀνατρίβεσθαι μαλακῶς ἐλαίῳ δαψιλεῖ συμβαίνουσιν ἡδοναὶ τοῖς κεκοπωμένοις μέρεσιν, ἀλλὰ κἀν ταῖς μείζοσιν ὀδύναις ἐπαφὴ μαλακὴ καὶ πραεῖα καὶ λεία φέρει τινὰ παραμυθίαν οὐ σμικράν. ἔξωθεν δὲ ἤδη τὰ τοιαῦτα, καὶ λεκτέον ἑξῆς ὑπὲρ ἁπάντων αὐτῶν. οὐδὲν γὰρ ἔτι δεόμεθα περὶ τῶν ὀσφρητῶν διεξέρχεσθαι, τοῖς γευστικοῖς ἀνάλογον ἐχόντων. ἡδόμεθα τοίνυν ἐν τούτῳ γένει τῆς αἰσθήσεως, ἁπλῶς μὲν εἰπεῖν, εἰς τὸ κατὰ φύσιν ἐπανερχόμενοι· καὶ γίγνεται τοῦθ' ἡμῖν ἀεὶ διὰ τῶν ἐναντίων, ἐάν γέ τις, ὡς προσήκει, λαμβάνῃ τὸ ἐναντίον. προσήκει δὲ δήπου, τὸ πρώτως τε καὶ καθ' ἑαυτὸ, καὶ μὴ δι' ἑτέρου μέσου, τοῦ τέλους αἴτιον, οὐ τὸ προκατάρχον τε καὶ προκαταρκτικὸν ὀνομαζόμενον, ἐν τοῖς τοιούτοις ἅπασι σκοπεῖν, ὅπερ Ἱπποκράτης ἡμᾶς ἔν ἄλλοις τε πολλάκις ἀναμιμνήσκειν ἔοικε, κἀν τῷ φάναι. ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος, νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις, ἐπανάκλησιν θέρμης ποιέεται· θέρμη δὲ ῥύεται ταῦτα. δόξειε μὲν γὰρ ὅ γέ τις ὑπὲρ τῶν τοιούτων ἀσκεπτότερον ἀποφαινόμενος, ὑπὸ τῶν ὁμοίων ἐνίοτε θεραπεύεσθαί τι τῶν παρὰ φύσιν, ὥσπερ καὶ τὸν τέτανον ὑπὸ τῆς ψυχρολουσίας. ἔχει δ' οὐχ οὕτως τἀληθές· ἀλλ' ἀεὶ πάντα πρὸς τὸ κατὰ φύσιν ἐπανέρχεται διὰ τῶν ἐναντίων, ὥσπερ καὶ ὁ τέτανος διὰ τῆς κατὰ τὴν θερμασίαν ἐπανακλήσεως. εἰ μὲν οὖν ἀθρόως τοῦτο γίγνοιτο, μεθ' ἡδονῆς ἡ θεραπεία συντελεῖται· κατὰ μικρὸν δὲ συμβάντος, ἀναίσθητος ἡ εἰς τὸ κατὰ φύσιν ἐπάνοδος ἔσται.

facultatibus, legendusque non negligenter is liber est, vt qui tum ad dignotionem tum ad curationem sit vtilis. ventriculus enim visceribus venisque subseruit; itaque & quales hæ succos requirunt, tales appetit. Porro huic index lingua prostat iis succis maximè gaudens, quos ventriculus desiderat. huius autem societatis potissima causa est tunica ipsam vestiens. Ac delectatur quidem lingua diuersis temporibus succis sibi extrinsecus occurrentibus aliis atque aliis. Delectatur autem nonnunquam etiam dulcibus, quos in se ipsa sentit; porro dulces hi succi pituitæ species sunt. Quare quoties effusi venis sanguinis, vt dulcis, sensum lingua percipit, iis simile quid patitur, quæ ipsi extrinsecus occursant. At in odorandi facultate externorum quidem tum iucundorum tum molestorum sensus perinde se habet, ac in gustatrice. Halitus autem, quos in se habet, insuaues quidem, vt priùs dictum est, aliquando sentit, suaues autem aut in summâ iucundos non sentit, veluti nec visus nec auditus. hi nanque sensus, quum tenuis substantiæ sint, nullam in se ipsis vehementem affectionem patiuntur: tactus verò & gustus ne ipsi quidem, vehementem nonnunquam verò patiuntur quandam eiusmodi affectionem exilem; lingua quidem à dulci, vt dictum est, pituitâ, quam praxagoras & Philotimus magis proprio nomine dulcem succum appellant: tactus verò motum in se non rarò sentit, quum eorum, quæ intus ipsum exasperant, vel concoctione vel transpiratione vel sensibili excretione ad naturam suam reuertitur. Quin etiam lassitudine laborantes, vbi mollibus frictionibus vel balneis emollito corpore ab iis quiescunt, euidentem sentiunt voluptatem. Iam magis etiam in dictis motibus oblectantur, fatigatis partibus ad statum naturalem redeuntibus. Sanè non solùm lotione & molli ex largo oleo frictione voluptas lassatis partibus accidit, sed etiam in maioribus doloribus attrectatio mollis, blanda & lenis solatium quoddam non exiguum affert. Sed hæc iam externa sunt, dicendumque de his deinceps. Neque enim de iis quæ ad odoratum spectant etiamnum differere nobis opus est, quum analogiam habeant cum iis quæ ad gustum referuntur. Delectamur igitur in hoc sensus genere (vt verbo dicam) dum ad naturalem statum reducimur; contingit autem id nobis semper per contraria, si quis, prout consentaneum est, contrarium accipiat. Est autem consentaneum, eam quæ primò & per se nec per alterum mediũ finis causa est, non quæ euidẽs & externa vocatur, in omnibus eiusmodi cõsiderare, quod Hippocrates tum in aliis multoties nos admonere videtur, tum quum ait. *Est autem vbi in tetano sine vlcere in iuuene corpulento æstate mediâ copiosæ frigidæ perfusio caloris reuocationẽ efficit, calore autẽ hæc liberantur.* Quippe si quis de his inconsideratiùs iudicet, putabit aliquos affectus præter naturam aliquando à similibus curari, vt & tetanum à frigidâ lauatione: non tamen ita se habet veritas; sed perpetuò omnes *affectus* ad naturalem statum per contraria redeunt, quemadmodum etiam tetanus per caloris reuocationem. Quod si confertim id fiat, curatio cum delectatione perficitur; si verò paulatim contigerit, insensilis erit ad naturalem statum reditus. Sic

Sic autem decessus à naturali statu ad eum qui præter naturam est, qui confertim fit, & violentus & cum dolore omnino est: qui paulatim, insensibilis. Proinde quum qui omnino non secundum naturam in corpore paulatim accumulatur affectus, nullum sui sensum excitet, eius ad naturalem statum reditus, quum celeriter perficitur, simul cum sensu iucundus fit; atque potissimùm per ea quæ maximè nobis sunt familiaria, cuiusmodi sunt in gustu quidem dulcia; in odoratu verò quæ his proportione respondent, vocantur autem odorata. At verò genitales partes proprio quodam & eximio sensu afficiuntur, quod & facultatem habeant valentissimam, in masculo quidem seminis expultricem, in fœmina verò tum hanc ipsam in testibus & seminalibus vasis, tum attractricem in toto vtero: coniunxit enim natura seminis effusioni & *eius* conceptui ingentem cupiditatem simul ac voluptatem. Verùm læsio redundantis & intus manentis seminis paulatim multo tempore colligitur; ac idcirco quanquam magnopere infestat (de quibus alibi dicemus) impar *tamen* est magnitudini voluptatis, quæ in venere sentitur. Lædentis enim excretio confertim facta etiam delectationis magnitudinem celeritati reditûs ad naturam proportione respondentem habet.

A οὕτω δὲ καὶ ἡ ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ὁδὸς, ἡ μὲν ἀθρόως γιγνομένη, βίαιός τε καὶ ὀδυνηρὰ πάντως ἐστίν· ἡ δὲ κατὰ μικρὸν, ἀναίσθητος. καὶ διὰ τοῦτο τῆς καθ' ὀλίγον ἀθροιζομένης ἐν τῷ σώματι διαθέσεως οὐ κατὰ φύσιν, ἀναισθήτου παντάπασιν οὔσης, ἡ εἰς τὰ κατὰ φύσιν ἐπάνοδος, ἐπειδὰν ἀθρόως ἐπιτελῆται, μετ' αἰσθήσεώς τε ἅμα καὶ ἡδεῖα γίγνεται. καὶ μάλιστα ἐπὶ τῶν οἰκειοτάτων ἡμῖν, οἷά περ ἐστὶν, ἐν μὲν τῇ γεύσει, τὰ γλυκέα· κατὰ δὲ τὴν ὄσφρησιν, ὅσα τούτοις μὲν ἀνάλογον ἔχει, καλεῖται δ' εὐώδη. ἴδιον δέ τι πέB πονθεν ἐξαίρετον ἡ τῶν γεννητικῶν μορίων αἴσθησις, ὅτι καὶ δύναμιν ἰσχυροτάτην ἔχει, κατὰ μὲν τὸ ἄρρεν γένος ἀποκριτικὴν τοῦ σπέρματος, κατὰ δὲ τὸ θῆλυ καὶ ταύτην μὲν ἔν τε τοῖς ὄρχεσι καὶ τοῖς σπερματικοῖς ἀγγείοις, ἀλλὰ καὶ τὴν ἑλκτικὴν ἐν ὅλῃ τῇ μήτρᾳ· συνῆψε γὰρ ἡ φύσις ὑπερέχουσαν ἐπιθυμίαν τε ἅμα καὶ ἡδονὴν τῇ τε προέσει καὶ τῇ συλλήψει τοῦ σπέρματος. ἀλλ' ἡ μὲν ἀνία, τοῦ περιττοῦ σπέρματος μένοντος ἔσω, ἀθροίζεται κατ' ὀλίγον ἐν χρόνῳ πλείονι, καὶ διὰ τοῦτο, καί τοι μεγάλα λυποῦσα (περὶ ὧν ἑτέρωθι λέξομεν) ἀπολείπεται τῷ μεγέθει τῆς ἡδονῆς, ἣν ἐν τοῖς ἀφροδισίοις ἴσχει. ἡ δ' ἀπόκρισις ἡ τοῦ λυποῦντος C ἀθρόως γιγνομένη, τῷ τάχει τῆς εἰς τὸ κατὰ φύσιν ἐπανόδου καὶ τὸ τῆς ἡδονῆς μέγεθος ἀνάλογον ἔχει.

CAPVT VII.

De symptomatum causis quæ ventriculo eueniunt.

Reliquum autem fuerit de symptomatis orificium ventriculi (quod etiam cor appellant.) obsidentibus disserere; sunt enim hæc quoque ex eorum, quæ ad tactum referuntur, genere. Cæterùm nulla pars aut ita exactum habet sensum, aut *ita* vtrunque principium vnâ secum afficit, vt os ventriculi: nominatur autem pro consuetudine non vulgò solùm sed etiã à medicis stomachus. Quæ igitur stomachicæ vocantur syncopæ, huius partis symptomata sunt, quemadmodum & cordolia, quæ ab alterâ eius appellatione nomen sortita sunt. Inducit præterea & dyspnœas & apnœas & suffocationes & epilepsias & deliria & melancholias; at hæc quidem per consensum; inappetentias verò & diminutas deprauatasque appetentias ipse per seipsum. Voco autem inappetentiam, quum quis nihil omnino appetit; diminutam verò appetentiam, quum imbecilliter; at deprauatarum aliæ ad immoderatam cibi & potus sumptionem deflectunt; aliæ ad alienarum qualitatum desiderium. Dicendum ergo ordine de omnibus, initio à propriis eius symptomatis sumpto. Sequuntur hæc ipsas naturales partis functiones, quarum gratiâ maximos à cerebro requirebat neruos, propter quos etiam excellentiam hanc sensus supra cæteras *partes* possidet. Quum enim per cutem vnumquodque animal in ambientem aërem dissipatur, accidit partes ipsi subditas primò vacuari, quarum ingenita facultas (quemadmodum in commentariis de facultatibus naturalibus demonstrauimus) è vicinis partibus sibi alimentum trahit, vt vacuatum impleat; deinde rursus illæ è sibi proximis; *hæq; ve* postea tertio loco è sibi propinquis, atque ita semper per continuum veluti in choro quodam translatione celerrimè factâ, ad venas

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν αἰτιῶν τῶν κατὰ τὴν κοιλίαν συμπτωμάτων.

Ὑπόλοιπον δ' ἂν εἴη περὶ τῶν κατὰ τὸ στόμα τῆς κοιλίας, ὃ δὴ καὶ καρδίαν ὀνομάζουσι, συμπτωμάτων διελθεῖν. ἔστι μὲν γὰρ ἐκ τοῦ γένους καὶ αὐτὰ τῶν ἁπτικῶν, ἀλλ' οὐD δὲν οὕτω μέρος οὔτ' ἀκριβῆ τὴν αἴσθησιν ἔχει, οὔτε τὰς ἀρχὰς ἑκατέρας ἑαυτῷ συνδιατίθησιν, ὡς τὸ στόμα τῆς γαστρός. ὀνομάζεται δὲ συνήθως οὐ τοῖς πολλοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἰατροῖς στόμαχος. αἱ γοῦν καλούμεναι στομαχικαὶ συγκοπαὶ, τούτου τοῦ μέρους εἰσὶ συμπτώματα, καθάπερ καὶ αἱ καρδιαλγίαι κατὰ τὴν ἑτέραν αὐτοῦ προσηγορίαν ὠνομασμέναι· καὶ δὴ καὶ δυσπνοίας τε καὶ ἀπνοίας, καὶ πνίξεις καὶ ἐπιληψίας καὶ παρακοπὰς καὶ μελαγχολίας ἐπιφέρει. ταῦτα μὲν οὖν ἅπαντα κατὰ συμπάθειαν· ἀνορεξίας δὲ καὶ δυσορεξίας καὶ μοχθηρὰς ὀρέξεις αὐτὸ E καθ' ἑαυτό. καλῶ δὲ ἀνορεξίας μὲν ὅταν μηδὲ ὅλως ὀρέγωνται· δυσορεξίας δὲ, ἐπειδὰν ἀμυδρῶς· αἱ μοχθηραὶ δὲ ὀρέξεις, αἱ μὲν εἰς ἀμέτρον ἐκτρέπονται σιτίων ἢ ποτῶν προσφορὰν, αἱ δὲ εἰς ἀλλοκότων ποιοτήτων ἐπιθυμίαν. ῥητέον οὖν ὑπὲρ ἁπάντων ἑξῆς ἀπὸ τῶν οἰκείων αὐτοῦ συμπτωμάτων ἀρξαμένους. ἕπεται δὲ ταῦτα ταῖς κατὰ φύσιν ἐνεργείαις τοῦ μορίου, δι' ἃς καὶ τῶν ἀπ' ἐγκεφάλου νεύρων ἐδεήθη μεγίστων, ἐφ' οἷς δὴ καὶ τὸ περιττὸν τοῦτο εἶδος τῆς F αἰσθήσεως ὑπὲρ ἅπαντα κέκτηται. διαφορουμένου γὰρ εἰς τὸ περιέχον ἑκάστου ζώου κατὰ τὸ δέρμα, πρώτως κενοῦσθαι συμβαίνει τοῖς ὑπ' αὐτῷ μέλεσιν, ὧν ἡ σύμφυτος δύναμις, ὡς ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἐδείκνυμεν, ἐκ τῶν ὁμιλούντων ἑαυτοῖς ἐπισπᾶται τροφὴν ἀναπληροῦσα τὸ κενούμενον· εἶτ' αὖθις ἐκ τῶν ἑαυτοῖς ὁμιλούντων ἐκεῖνα, κἄπειτα ἐκ τῶν ἑαυτοῖς τὰ τρίτα, καὶ οὕτως ἀεὶ κατὰ τὸ συνεχὲς ὡς ἐν χορῷ τινι ταχείας τῆς μεταλήψεως γιγνομένης, ἐπὶ τὰς καθηκούσας εἰς τὴν

γαστέρα φλέβας ἡ κένωσις ἀφικνῆται. αὗται δέ γε εἰθικέσθαι τε ἅμα καὶ πεφυκέσθαι ἐκ τῆς γαστρὸς ἐπισπᾶσθαι τὴν τροφὴν, ἀνάλογον ταῖς ἐπὶ τῶν φυτῶν εἰς τὴν γῆν καθηκούσαις ῥίζαις. ἅπαν γὰρ τοῦτο τὸ ἔργον οὐ ψυχικὸν, ἀλλὰ φυσικὸν ὑπάρχον, ὁμοίως ἐπιτελεῖται κατά τε τὰ φυτὰ καὶ τὰ ζῶα. τοῖς μὲν οὖν φυτοῖς, ἡ γῆ τῆς γαστρὸς δίκην ὑπηρετεῖ διὰ παντὸς, ἑτοίμην τε καὶ ἄφθονον ἐπιρρέουσα τὴν τροφὴν, ἄχρι περ ἂν αἱ ἐκ Διὸς ὧραι κατὰ φύσιν ἔχωσιν, ὡς εἴγε ποτὲ δι' ὑπερβολὴν αὐχμῶν ἀναξηρανθείη τὸ ὑγρὸν ἐξ αὐτῆς, ἐνδείᾳ τροφῆς αὐαίνεται τὰ φυτά. τοῖς δὲ ζώοις ἅτε μὴ προσπεφυκόσι τῇ γῇ, πλὴν ὀλίγων δή τινων, ἡ φύσις ἐδημιούργησε μὲν καὶ τὴν γαστέρα ταμεῖον τροφῆς, οἷόν περ τὴν γῆν τοῖς φυτοῖς· ἔδωκε δὲ καὶ τῆς ἐνδείας αἴσθησιν, ἵν' ἐξορμῶντα τὰ ζῶα πρός τε τὴν ἐδωδὴν τε καὶ πόσιν ἐν ἑνὶ χρόνῳ πληρῶνται. καὶ καλεῖται μὲν ἡ τῆς τοιαύτης πληρώσεως ἔφεσις, ὄρεξις, γίνεται δ' ἐπ' αἰσθήσει τῆς ἐνδείας, ὅταν αἱ μὲν φλέβες ἐξ αὐτῆς τι τῆς γαστρὸς ἕλκωσιν οἷον βδάλλουσαί τε καὶ μυζῶσαι, μὴ φέρουσα δὲ τὴν μύζησιν ἡ γαστὴρ, ἀλλ' οἷον διασπωμένη, τῆς λύπης ταύτης ἴαμα τὴν ἐδωδὴν πορίζεται. τρέπονται γὰρ αἱ φλέβες οὕτως ἐπὶ τὰ παρακείμενα σιτία, κἀξ αὐτῶν ἕλκουσι τὴν τροφὴν, οὐκ ἐκ τῆς γαστρὸς, καὶ συμβαίνει μετὰ τὴν προσφορὰν ἅμα τε τὰς φλέβας ἐπὶ τὰ σιτία τρέπεσθαι, καὶ τὴν κοιλίαν εἰς ἑαυτὴν ἕλκειν ἐξ αὐτῶν, ὅσον κεκένωται πρότερον ὑπὸ τῶν φλεβῶν. ἡ μὲν οὖν τῆς μυζήσεως αἴσθησίς ἐστιν ἡ πεῖνα. δύο δὲ ἄλλα, τὸ μὲν τοῦ βδάλλειν τὰς φλέβας ἡγεῖται, καὶ καλεῖται καὶ τοῦτο ὄρεξις ὁμωνύμως θατέρῳ, φυσικὸν ἔργον ὑπάρχον, οὐ ψυχικόν· αὐτῆς δὲ τῆς τοιαύτης ὀρέξεως ἡ κένωσις προηγεῖται καὶ γίνεται πέντε συμπτώματα, τὰ σύμπαντα κατὰ στοῖχον ἐφεξῆς ἀλλήλων τεταγμένα· κένωσις μὲν πρώτη, δευτέρα δὲ ὄρεξις ἡ φυσικὴ τῶν κενωθέντων μορίων, εἶτα ἡ μύζησις τῆς κοιλίας, εἶτα ἡ ταύτης αἴσθησις, εἶτα ἡ ὄρεξις αὐτῆς ἡ ψυχικὴ ἁπασῶν ὑστάτη. καὶ τοίνυν καὶ ἡ ἀπώλεια τῆς ἐνεργείας ταύτης, ἢ διὰ τὸ τὴν αἴσθησιν ἀπολωλέναι τῆς βδάλσεως, ἢ διὰ τὸ μὴ γίνεσθαι τὴν βδάλσιν, ἢ διὰ τὸ μὴ κενοῦσθαι τὸ σῶμα, συμβαίνει. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἱ ἀμυδραὶ τῶν ὀρέξεων οὐκ ἐξ ἀπολωλότων ὧν εἴπομεν, ἀλλ' ἐγγὺς ἀπωλείας ἡκόντων ἕπονται. μοχθηραὶ δὲ ὀρέξεις γίγνονται κατὰ μὲν τὸ ποσὸν ὑπερβάλλουσαι, καὶ καλοῦνται πρός τινων αἱ τοιαῦται κυνώδεις, ὅταν ἤτοι κακοχυμία τις ὀξώδης δάκνῃ τὴν κοιλίαν, ἢ καὶ τὸ σύμπαν σῶμα διαφορούμενον ἀμέτρως ἐν χρείᾳ συνεχεῖ καθίσταται τῆς θρέψεως. ἡ μὲν γὰρ ψυχρὰ κακοχυμία τὴν δῆξιν μὲν ἀνάλογον τῇ μυζήσει παρέχει, τὴν ὄρεξιν δ' ἐπεγείρει τῇ τοῦ φυσικοῦ παθήματος ὁμοιότητι, τροφῆς δὲ οὐ ποτοῦ τὴν ἐπιθυμίαν ἐργάζεται διὰ τὴν ψύξιν· ἁλυκῆς δ' ἔτι καὶ χολώδους κακοχυμίας δακνούσης τὴν γαστέρα, ποτοῦ μᾶλλον ἢ σιτίων ὀρέγονται. πρὸς γὰρ τῷ θερμαίνεσθαί τε καὶ ξηραίνεσθαι τὴν κοιλίαν, ἅπερ αἴτια δίψους ἐστὶν, ἔτι καὶ τὸ χεῖσθαι τοὺς χυμοὺς ἐν αὐτῇ τε καὶ ταῖς φλεψὶ συμβαίνει. τὸ δὲ τῆς χύσεως τῶν χυμῶν σύμπτωμα πληροῖ τὰ περιέχοντα, καθάπερ, οἶμαι, τὰ τῆς ψύξεως ἐκκενοῖ. καὶ τοίνυν εἰς μὲν τὸ πεινῆν, οὐ σμικρὸν ἡ ψύξις τῶν κατὰ τὴν γαστέρα συντελεῖ. κενά τε γὰρ ἐργάζεται τὰ σώματα, καὶ τοὺς χιτῶνας αὐτῆς συνάγουσά τε καὶ σφίγγουσα πρὸς τὴν ὄρεξιν ἐπεγείρει, τοῦ δὲ μὴ πεινῆν ἐν τοῖς μάλιστα συνεκτικὸν αἴτιον ἡ θερμότης ἐστὶ, τὰ μὲν στερεὰ σώματα τῷ χαλᾶν ἐκλύουσα καὶ πρὸς τὴν ὁλκὴν ἀτονώτερα κατασκευάζουσα, τὰ δὲ ὑγρὰ

ad ventriculum porrectas vacuatio peruenit. His verò consuetum simul est & à naturâ comparatum è ventriculo alimentum trahere, peræquè ac stirpium radices, quæ in terram sunt demissæ. Quum enim hoc opus vniuersum non animale fit sed naturale, similiter in stirpibus & animalibus perficitur. Quare stirpibus terra ventriculi instar perpetuò paratum copiosúmque alimentum irrigando suppeditat, quandiu temporum status secundum naturâ se habet, quemadmodum si è terrâ squalloris excessu exaruerit humor, stirpes nutrimenti penuriâ marcescunt. Animalibus autem, vt pote terræ non affixis præter pauca quædam, natura ventriculum alimenti promptuarium fabricauit, quemadmodum stirpibus terram. Dedit autem animalibus & penuriæ sensum, quoad cibum potumque proritata eodem tempore impleantur; vocatúrque eiusmodi implendi desiderium, appetentia, fit autem ex penuriæ sensu, quum venæ ex ipso ventriculo veluti mulgentes sugentésque aliquid trahunt, non ferens autem eum suctum ventriculus, sed tanquam diuulsus, molestiæ eius medelam cibum quærit. Ita nanque venæ ad obiectos cibos conuertuntur, atque ex iis alimentum trahunt, nequaquam ex ventriculo. Fitque post cibi sumptionem, vt & venæ simul ad cibos se conuertant, & ventriculus ex iis in seipsum trahat quantum priùs per venas est exhaustum. Ac suctûs quidem ipsius sensus fames est. Reliquorum verò duorum alterum venarum suctum præcedit, vocatúrque appetentia homonymωs cum altero, quum sit naturale opus, non animale; talem verò appetentiam vacuatio præcedit; existúntque in totum quinque symptomata ordine quodam sese deinceps sequentia. Primum vacuatio est; secundum vacuatarum partium appetentia naturalis; tertium ventriculi suctus; quartum eius sensus; quintum appetentia eius animalis omnium vltima. Itaque etiam huius actionis abolitio aut eò accidit, quod sensus suctionis sit abolitus; aut quod suctio non fiat, aut quod corpus non vacuetur. Ad eundem modum exiles appetentiæ erunt, non perditis iis quæ diximus, sed propè vt pereant perductis. Deprauatæ verò appetentię, quæ quantitatis modum excedunt, vocantúrque à quibusdam caninæ, tũ existunt quum vel acidus quispiam vitiosus humor ventriculũ mordet; vel totum corpus immodicè dissipatum assiduâ nutritione indiget. Vitiosus nanque succus frigidus similem suctui morsum infert, appetentiam verò proritat naturalis affectus similitudine; alimenti autem non potus desiderium excitat propter frigus; at vitioso succo salso & bilioso ventrem mordente, potus magis quàm cibus appetitur. præterquam enim quod calefit siccatúrque ventriculus, quæ sitis causa sunt, etiam liquari tum in eo, tum in venis humores contingit. Fusionis autem humorum symptoma partes continentes implet, quemadmodum (arbitror) frigiditas euacuat. Itaque etiam non parum ad esuriem frigus partium ventriculi confert: nam & vacua efficit corpora & eorum tunicas cogendo constringendóque ad appetentiam irritat. Non esuriendi continens in primis causa est calor, vt qui solida corpora laxando dissoluat, atque ad tractum imbecilliora reddat; liquida liquando ampliùs extendat,

extendat. Atque vna quidem caninæ appetentię causa est acidus humor vitiosus; altera (vt dictum est) vberior per totum corpus vacuatio, quæ vel caloris robore vel retentricis facultatis imbecillitate sit illata. Proinde in priore affectu accidit plurimas sumptorum fieri deiectiones; in posteriore verò, vt quę ex habitùs *corporis* vacuatio ne fiat, alimentũ in corpus distribui. Atque immodica quidem & appetẽtia & fames ob has causas fiunt. Prauas autem qualitates concupiscunt ii, quibus ventriculi tunicæ vitioso aliquo excremento imbutæ sunt. Atque consueuit is *affectus* mulieribus maximè vitioso humore scatentibus iisque grauidis accidere, vocaturque affectus pica. Appetunt autem in hoc affectu acida maximè acerbaque, aliquando verò acria, nonnunquam verò vel terram cimoliam vel testas vel extinctos carbones vel valde aliena quædam edulia. Porrò sic afficiuntur earum pleræque vsque ad secundum & tertium mensem; in quarto verò desinunt partim vomitione vacuato vitioso humore, partim tempore concocto, muliere præ cibi auersione pauca comedente, partim etiam abundantiâ *humorum* vacuatâ. Nam primis duobus mensibus parum sanguinis ad se fætus attrahit, quia adhuc minimus est, quum *quod in vtero est* hoc tempore nondum fætus vocetur, sed conceptus. Hic autem auctior redditus & ipse ampliore nutrimento vtitur, & non solùm quicquid optimum in venis est id attrahit, vt prius dixi, sed etiam quod pluris indigeat, vitiosi etiam aliquid vnâ trahit. Atque ita totum corpus tum plenitudine laborare desinit, tum minus vitiosi fit humoris. Ipse autem fætus alimenti quod attrahit excrementa in duplicibus membranis reponit. Ac fit quidem magnâ ex parte ipse quoque & vitiosioris humoris & intemperatior, vt pote ex vitioso sanguine nutritus; nisi grauida residuo gestationis tempore valde probis vtatur alimentis. Verùm hoc nihil ad rem propositam. Vitiosæ autem qualitatis appetentia, de quâ disputans picæ memini, aliquando viris quoque accidit, quum iis quoque in ventriculi orificium similis quidam vitiatus humor procubuit. Atque hæc quidem circa cibi appetentiam symptomata fiunt. In potionis autem appetentiâ alia totidem iis similia. Est quidem quasi priuatio *appetentiæ potus*, quum vel corpus propter excessum humoris & frigoris omnino potione non eget, vel ventriculus propriã affectionem non sentit. Deficiens verò appetentia, quum eadem ipsa imminuta sunt. Deprauata verò potionum appetentia deprauatæ ciborum appetentiæ proportione respondet; interdum immoderati est potus, quum in ipsis ventriculi tunicis prauus aliquis humor salsus aut biliosus continetur, interdũ cum veluti feruet natiua ipsius humiditas. Prauas autem potiones quemadmodum & prauos cibos quidam appetunt pro dominantis vitiosi humoris ratione. Atque hæc diuturniori tempore vitiosâ victus ratione vsis superueniunt, & inexplebili siti cruciatis, ex quâ etiam perire nouimus tum eum qui viperam deuorauerat (erat scilicet dipsas) tum messores qui vinum casu biberant, in quo eiusmodi fera quædam extincta fuerat, tum eum qui veteri vino fuerat inebriatus, nec non eum qui *sitim* tolerare decreuerat, & alios in nauigio, quum deficeret aqua *dulcis*, quorum

τῷ χεῖν ἐπιπλέον ἐκτείνουσα. μία μὲν οὖν αἰτία τῆς κυνώδους ὀρέξεώς ἐστιν ἡ ὀξώδης κακοχυμία· δευτέρα δὲ, ὡς ἐλέγετο, κένωσις πλείων δι' ὅλου τοῦ σώματος, ἤτοι διὰ ῥώμην θερμότητος ἢ δι' ἀῤῥωστίαν τῆς καθεκτικῆς δυνάμεως ἐπιτελουμένη. καὶ δὴ καὶ συμβαίνει κατὰ μὲν τὴν προτέραν διάθεσιν ὑποχωρήσεις τῶν ληφθέντων γίγνεσθαι πολλάς· κατὰ δὲ τὴν δευτέραν, ὡς ἂν ἐπὶ κενώσει τῆς ἕξεως ἐπιτελουμένην, ἀναδίδοσθαι τὴν τροφήν. ἄμετροι μὲν οὖν ὀρέξεις τε ἅμα καὶ πεῖναι, διὰ ταῦτα γίγνονται. μοχθηρῶν δὲ ποιοτήτων ἐπιθυμοῦσιν, οἷς ἂν εἰς τοὺς τῆς κοιλίας χιτῶνας ἐναποθῇ τι περίττωμα μοχθηρόν. εἴωθε δὲ τοῦτο γίγνεσθαι μάλιστα ταῖς κακοχύμοις γυναιξὶν, ἐπειδὰν κυήσωσι, καὶ καλεῖται κίττα τὸ πάθος. ὀρέγονται δὲ ἐν αὐτῷ μάλιστα μὲν ὀξέων τε καὶ στρυφνῶν, ἔστι δὲ ὅτε καὶ δριμέων, ἐνίοτε δὲ ἤτοι κιμωλίας γῆς ἢ ὀστράκων ἢ ἐσβεσμένων ἀνθράκων ἢ τινων οὕτως ἀτόπων βρωμάτων. καὶ τοῦτο πάσχουσιν αἱ πλείους αὐτῶν ἄχρι τοῦ δευτέρου καὶ τρίτου μηνός· ἐν δὲ τῷ τετάρτῳ, παύονται, τὸ μέν τι τοῖς ἐμέτοις ἐκκενωθείσης τῆς κακοχυμίας, τὸ δέ τι καὶ πεφθείσης ἐν τῷ χρόνῳ, βραχέα σιτουμένης τῆς ἀνθρώπου διὰ τὴν ἀποσιτίαν, τὸ δέ τι καὶ πλήθους ἐκκενουμένου. κατὰ μὲν γὰρ τοὺς πρώτους δύο μῆνας ὀλίγον ἐπισπᾶται τοῦ αἵματος εἰς ἑαυτὸ τὸ ἔμβρυον, ὡς ἂν ἔτι μικρότατον ὑπάρχον, ὅτε μηδ' ἔμβρυον ἤδη πω καλεῖται κατ' ἐκεῖνον τὸν καιρὸν, ἀλλ' ἔτι κύημα· μεῖζον δὲ γιγνόμενον, αὐτό τε πλείονι χρῆται τροφῇ, καὶ οὐ μόνον ὅ, τι περ ἂν ᾖ χρηστότατον ἐν ταῖς φλεψὶ τοῦτ' ἐπισπᾶται, καθάπερ ἔμπροσθεν, ἀλλὰ τῷ δεῖσθαι πλείονος, συνεπισύρεταί τι καὶ τοῦ μοχθηροῦ. καὶ οὕτω σύμπαν σῶμα τότε πληθωρικὸν εἶναι παύεται, καὶ ἧττον γίγνεται κακόχυμον. αὐτὸ δὲ δὴ τὸ ἔμβρυον ἧς ἐπισπᾶται τροφῆς τὰ περιττώματα διπλοῖς ὑμέσιν ἐναποτίθεται, καὶ γίγνεται μὲν ὡς τὰ πολλὰ καὶ αὐτὸ κακοχυμότερόν τε καὶ δυσκρατώτερον, ὡς ἂν ὑπὸ μοχθηροῦ τρεφόμενον αἵματος, ἢν μὴ πάνυ χρησταῖς ἡ κύουσα χρῆται τροφαῖς ἐν τῷ λοιπῷ χρόνῳ τῆς κυήσεως. ἀλλ' οὐδὲν τοῦτό γε πρὸς τὰ παρόντα. ἡ δὲ μοχθηρῶν ὄρεξις ποιοτήτων, ὑπὲρ οὗ διηγούμενος ἐμνημόνευσα τῆς κίττης, γίγνεταί ποτε καὶ ἀνδράσιν, ὅταν γε καὶ τούτοις εἰς τὸ τῆς γαστρὸς στόμα κατασκήψῃ ὁμοία τις κακοχυμία. ταυτὶ μὲν οὖν τὰ συμπτώματα περὶ τὴν τῆς τροφῆς ὄρεξιν γίγνεται. περὶ δὲ τὴν τοῦ ποτοῦ παραπλήσια τούτοις ἕτερα τοσαῦτα, ἡ μὲν οἷον στέρησις, ἐπειδὰν ἤτοι μηδ' ὅλως δέηται τὸ σῶμα δι' ὑπερβάλλουσαν ὑγρότητα καὶ ψύξιν, ἢ ἀναίσθητος ᾖ τοῦ καθ' ἑαυτὴν πάθους ἡ γαστήρ· ἡ δὲ ἐνδεὴς ὄρεξις, ἐπειδὰν ἐνδεῶς γίγνεται ταὐτά. ἡ μοχθηρὰ δὲ τῶν ποτῶν ὄρεξις, ἀνάλογος γίγνεται τῇ περὶ τὴν τροφὴν ὀρέξει μοχθηρᾷ, ποτὲ μὲν ἀμέτρου πόματος, ὅταν ἐν αὐτοῖς τοῖς χιτῶσι τῆς γαστρὸς ἁλμυρώδης τις ἢ χολώδης κακοχυμία περιέχηται, ποτὲ δὲ οἷον ζέσαντος τοῦ καθ' ἑαυτὴν ὑγροῦ συμφύτου· μοχθηρῶν δ' ἐπιθυμοῦσι πομάτων ὥσπερ καὶ σιτίων, ἀνάλογον τῇ κρατούσῃ κακοχυμίᾳ. ταυτὶ μὲν οὖν ἐν χρόνῳ πλείονι κακῶς διαιτηθεῖσιν ἐπιγίγνεται· ἀπαύστοις δὲ δίψεσι [16] καταληφθεῖσιν, ἐξ ὧν περ καὶ ἀποθανόντας οἶδα τόν τε καταφαγόντα τὴν ἔχιδναν (ἦν δὲ ἄρα διψάς) καὶ τοὺς ἐκ τοῦ οἴνου πιόντας ἐκ περιστάσεως θερισάς, ἐν ᾧ τοιοῦτόν τι θηρίον ἐναποτεθνήκει, καὶ τὸν ἐξ οἴνου παλαιοῦ μεθυσθέντα, καὶ τὸν ἀποκαρτερεῖν θελήσαντα, καὶ τοὺς ἐν τῷ πλοίῳ ἐπιλιπόντος τοῦ ὕδατος,

ὧν ὅσοι τῆς θαλάσσης ἐτόλμησαν τι πιεῖν, ἀμετρότερόν τε διψήσαντες τῶν ἄλλων, καί τινες μὲν αὐτῶν ὑπαχθέντες τὴν γαστέρα καὶ δηχθέντες σφοδρῶς ὀξύτερον ἢ κατὰ τοὺς λοιποὺς ἀπέθανον. οἶδα δέ τινα καὶ τῶν πυρεττόντων καυσωδῶς, ἐπιδιδόντος ἔτι τοῦ νοσήματος, ἀνέδην τε πίνοντα ψυχρὸν, καὶ μηδαμῶς ἐμπιπλάμενον, ἄχρι περ οὗ ἀπέθανεν. αὗται μὲν δὴ τοιαῦται καὶ τοσαῦται περὶ τὰς ὀρέξεις τῆς γαστρὸς αἱ πλημμέλειαι. καὶ πρὸς αὐταῖς ἡ καρδιαλγία, σύμπτωμά τι τοῦ στόματος τῆς γαστρὸς αἰσθητικὸν, γινόμενον ἐπὶ χυμοῖς δακνώδεσιν. ἔξωθεν δὲ τούτων ἐστὶν ὁ καλούμενος βούλιμος ἐνδείας τε ἅμα καὶ ἀτονίας καὶ καταψύξεως τοῦ ἐνταῦθα σύμπτωμα. θαυμαστὸν δὲ οὐδὲν, εἰ ταῖς ὀδύναις αὐτοῦ, λειποψυχίαι τε καὶ καταπτώσεις ἕπονται τῆς δυνάμεως. ὅπου γὰρ ὁρῶνταί τινες ἐπὶ προσπταίσματι δακτύλου [17] λειποθυμήσαντες, οὐδὲν δήπου θαυμαστὸν ἐπὶ στομάχῳ παθεῖν αὐτὸ, καὶ τῇ τῆς αἰσθήσεως ἀκριβείᾳ, καὶ τῇ τῆς θέσεως ἐγγύτητι, τὰς δύο ἀρχὰς ἑτοιμότερον εἰς συμπάθειαν ἄγειν αὐτοῦ δυναμένου. καὶ τὰ μέγιστα συμπτώματα τοὺς εὐαισθητοτάτους στομάχους ἐστὶν εὑρεῖν ἐπιφέροντας, ὡς ἂν καὶ μᾶλλον τῶν ἄλλων αἰσθανομένους ἐπὶ πᾶσι τοῖς λυποῦσι, καὶ ταῖς ἀρχαῖς ἀμφοτέραις ἀναπέμποντας ἐστὶν ἰδεῖν τὴν βλάβην αὐτοῖς. ὅταν δὲ δὴ καὶ ὅλον τὸ νευρῶδες γένος ἐπί τινος εὐαισθητότερον ἢ εὐπαθέστερον ὑπάρχῃ, τότε δὴ καὶ μάλιστα καὶ αὐτάς γε τὰς ἀρχὰς εἰς συμπάθειαν ἑτοιμότερον ἄγεσθαι συμβέβηκεν, ὅταν ἤτοι κατά τι πάθος, ἢ καὶ φύσει πως ὑπάρχωσιν ἀσθενεῖς. καὶ ὅταν γε συνέλθῃ τὰ τέτταρα, μέγιστον ἀνάγκη γίνεσθαι τὸ πάθημα. τέτταρα δὲ λέγω, τήν τε λυποῦσαν τὸν στόμαχον διάθεσιν ἰσχυρὰν γινομένην, καὶ τὴν αἴσθησιν αὐτῆς μάλιστα ἀκριβουμένην, καὶ τὸ τῶν νεύρων γένος, ἢ τὸ τῶν ἀρτηριῶν ἀσθενὲς ὑπάρχον, ἔτι δὲ πρὸς τούτοις, ἤτοι τὸν ἐγκέφαλον, ἢ τὴν καρδίαν. οὕτω γοῦν ἐπιληψίαι τε διὰ τὸν ἄτονον στόμαχον ἐνίοις ἐπιγίνονται, καὶ κάροι, καὶ κώματα, καὶ καταλήψεις, παραφροσύναι τε καὶ μελαγχολίαι, τῆς κατὰ τὸν ἐγκέφαλόν τε καὶ τὰ νεῦρα συμπαθούσης ἀρχῆς. αἱ δὲ ὀνομαζόμεναι καρδιακαὶ συγκοπαὶ, τῆς κατὰ τὴν καρδίαν τε καὶ τὰς ἀρτηρίας ἀρχῆς συμπαθούσης ἐπιγίνονται. οὕτω δὲ καὶ ἀσφυξίαι τε καὶ μικροσφυξίαι, καὶ κακοσφυξίαι, αἱ δ᾽ ἄπνοιαι τῶν ἀρχῶν ἀμφοτέρων εἰς μεγάλην ἀγομένων συμπάθειαν. αἱ δύσπνοιαι δὲ κατὰ διττὸν τρόπον, αἱ μὲν τῇ στενοχωρίᾳ τῶν φρενῶν, αἱ δὲ τῶν ἀρχῶν ἀμφοτέρων συμπασχουσῶν. αἱ δ᾽ εἰς τὰ τοιαῦτα παθήματα προφάσεις ἄγουσαι τὸ ζῶον, οὐκ ὀλίγαι. ψύξις τε γὰρ ἰσχυρὰ, ποτὲ μὲν αὐτὴ καθ᾽ αὑτὴν, ἔστι δ᾽ ὅτε ἐπὶ φλέγματι πάνυ ψυχρῷ, (τοιοῦτον δέ ἐστι παραπλήσιον ὑάλῳ κεχυμένῃ, κατά τε τὴν χρόαν καὶ τὴν σύστασιν, ὃν περ δὴ καὶ ὑαλώδη χυμὸν οἱ περὶ τὸν Πραξαγόραν τε καὶ Φιλότιμον ὀνομάζουσιν) οὐχ ἥκιστα δὲ καὶ φυσῶδες πνεῦμα ψυχρὸν, ἢ ποτὸν, ἢ ἐδεστὸν, ἤ τι φάρμακον ἱκανῶς ψυχρὸν, αὐτό τε τῆς κοιλίας τὸ στόμα καταψύχεται, καὶ σὺν αὐτῷ, διὰ μὲν τῶν νεύρων τὸν ἐγκέφαλον, διὰ δὲ τῆς μεγάλης ἀρτηρίας τὴν καρδίαν συγκαταψύχει· τῇ μὲν τῶν νεύρων τοῦ γένους κοινωνίᾳ τὸν ἐγκέφαλον, τῇ δὲ τῆς θέσεως ἐγγύτητι τὴν καρδίαν. ἐπειδὰν μὲν γὰρ ἡ ἐκφῦσα τῆς καρδίας ἐπιβῇ τῆς ῥάχεως ἡ μεγίστη τῶν ἀρτηριῶν, πρῶτον μὲν ζεύγνυταί τε καὶ συνάπτεται δι᾽ ὑμένων τῷ στομάχῳ, μετ᾽ αὐτὸν δὲ τῷ στόματι καὶ αὐτῇ τῇ γαστρὶ κατὰ μῆκος ὑποτείνεται κάτω προϊοῦσα. διὰ ταύτης μὲν οὖν τῆς ἀρτηρίας μεγίστης

ἑκατέρων

A qui ausi sunt marinam bibere, quum immoderatiùs supra cæteros sitirent, quidam etiam eorum solutâ aluo cum vehementi morsu, celeriùs quàm cæteri interierunt. Noui quendam febre ardente laborantem, quum etiamnum morbus inualesceret, frigidam liberaliùs bibentem nequaquam, quoad occubuerit, expletum fuisse. Ac talia quidem & tot circa ventris appetentias sunt errata. Est præterea cordolium oris uentriculi quoddam symptoma, quod ad sentiendi functionem læsam ab humoribus mordacibus refertur. Præter hæc B est quod bulimos vocatur, symptoma ex penuriâ simul & imbecillitate & refrigeratione huius loci *ortum*. Nec mirandum, si eius dolores tum animi deliquia tum virium lapsus comitentur. Quum enim digiti offensione videantur aliqui animi deliquio laborare, mirum profectò non est affecto stomacho id accidere, quum & ob eximium sensum & ob sitûs vicinitatem duo principia promptiùs in cõsensum asciscere possit. Maximaque symptomata maximè sensibiles stomachos inuehere deprehendas, vt qui C magis quàm cæteræ partes ab omnibus causis infestantibus lædantur, & ad vtrasque partes principes suam læsionem transmittere videantur. Quum autem vniuersum neruosum genus in aliquo magis sensile, aut magis patibile est, tum vel maximè ipsas quoque principes in consensum promptiùs adduci contingit, quum vel affectu aliquo vel etiam naturâ imbecillæ fuerint. Quum verò quatuor concurrunt, maximum necesse est fieri pathema. Quatuor autem dico tum affectum, qui stomachum lædit, D vehementem, tum sensum eius exquisitissimum, tum neruorum arteriarumve genus imbecillum; ad hæc etiam vel cerebrum vel cor *infirmum*. Sic igitur & comitialis morbus & carus & coma & catalepsis & deliria & melancholiæ quibusdam ob stomachi imbecillitatem oboriuntur consentiente principio quod in cerebro & neruis est. At quæ cardiacæ vocantur syncopæ consentiente tum cordis tum arteriarum principio oboriuntur: ita & pulsus abolitio & pulsus paruus & pulsus deprauatus: apnœa quoque quum vtrumque principium in magnum con- E sensum adducitur: dyspnœæ etiam duplici ratione *proueniunt*; aliæ transuersi septi angustiâ; aliæ vtriusque principii sympathiâ. Sunt autem occasiones, quæ animal ad eiusmodi symptomata ducunt, non paucæ. Nam & valida refrigeratio interdum quidem ipsa per se, interdum verò ex pituitâ admodum frigidâ (est autem talis, quæ fuso vitro colore ac consistentiâ sit similis, quem vitreum humorem Praxagoras & Philotimus nominant) non minimè verò ex spiritu flatulento frigido aut ex potu aut cibo F aut medicamento aliquo valde frigido, quod non solùm ipsum os ventriculi perfrigerat, sed etiam vnà cum ipso per neruos quidem cerebrum, per magnam verò arteriam cor ipsum frigidum reddit, neruosi quidem societate cerebrum, sitûs autem vicinitate cor. Postquam enim maxima arteria à corde exorta super spinam incessit, primùm quidem stomacho tum iungitur tum per membranas annectitur, post hanc verò & sub os *ventriculi* & ipsum ventriculum per longitudinem porrigitur infráque procedit. Ac per hanc quidem arteriam quæ maxima

ma est & ex ipso corde nascitur, alterum principiorum cum orificio ventriculi sympathiam habet: per neruos autem, cerebrum. Nihil igitur mirum ob eius morbos maximis & vehementissimis symptomatis animal torqueri. At quis cuiusque *symptomatis* generandi sit modus, in sequentibus dicetur: nunc verò causas ipsas dicere mihi satis fuerit. Hæ sunt fungi quidam & buprestes & cerussa & gypsum & lac concretum & ab vtero strangulationes in viduis & ijs quæ non purgantur, præterea quæ in viris ad horum proportionem fiunt. Dicetur verò alibi de respirationis priuatione seorsum.

CAPVT VIII.

De symptomatum causis, quæ in primo & communi sensu fiunt.

ITaque de sensuum organis omnibus, etiam de ipsorum facultatibus, iam finem habere sermonem arbitror. ad ipsum eorum principium, quod ex se tanquam ex fonte quodam singulis *partibus* facultates mittit, oratione reuerti tempestiuum est. Id verò primum sensorium est. Nam cuiusque sensus alteratio, quæ à sensibilibus infertur, in singulis organis perficitur; eius autem sensorium est pars, quæ alteratur, ex eo quod à cerebro delatam ad se per neruum facultatem recipit. Ipsum namque cerebrum sensorium organum à naturâ conditum non est, sed sensoriorum sensorium. Quòd autem per neruos semper sentiendi facultatem omnibus animalis partibus transmittat, inde maximè liquet, quòd præciso neruo quocumque, ilicò pars, in quam dispergitur, sentiendi facultatem amittit. Constat non minùs & in somno aut sensus omnino feriari aut obscurè agere. Rationi ergo consentaneum est aliquantulum facultatis a principio in singulos influere. Et profundè quidem ac non profundè dormire (sic vulgò loquimur) ex quantitate influentis facultatis contingit. Tantò enim minus influere est credibile, quantò somnus est profundior. Igitur in toto illo somni tempore videtur animalis quidem facultas quiescere, naturalis verò validiùs agere. Inde autem coniectet quiuis, quòd ipsa laboribus defessa post somnum robustior euadat, ac potissimùm quum ab *assumpto* cibo moderato somnum iniuimus, tum quòd per somnum cibus non in ventriculo tantùm, verùm etiam in vniuersâ animalis mole optimè concoquatur. Est autem aliàs consentaneum illam quoque animalis partem aliquando quiescere, in qua rationalis animæ principatus est. Nam cor paulatim videtur hoc facere, ita vt multo tempore ad quietem non indigeat; cerebrum autem non ita, sed in vigilijs semper agit, in somnis quiescit. Quamobrem liberaliùs exercitatis altior somnus obrepit, vt quibus multæ vires laborantibus à principio defluxerint. Igitur cerebrum tum propter facultatis, quam misit, inanitionem, tum propter fatigationem, quâ præ multis functionibus laborat, & quiete simul & virium instauratione indiget. Quemadmodum homines autem ab exercitationibus & promptiùs & profundiùs dormiunt, sic & ab assumpto cibo; quantoq; is cibus humidior naturâ fuerit, tantò magis somnum ineunt. Sic etiã, qui

A τε οὔσης καὶ ἐξ αὐτῆς τῆς καρδίας ἐκφυομένης, ἡ ἑτέρα τῶν ἀρχῶν συμπαθεῖ τῷ στόματι τῆς κοιλίας· διὰ δὲ τῶν νεύρων, ὁ ἐγκέφαλος· ὥστ' οὐδὲν θαυμαστὸν ἐπὶ ταῖς νόσοις αὐτοῦ μέγιστά τε καὶ ἰσχυρότατα συμπτώματα καταλαμβάνειν τὸ ζῷον. ὅστις μὲν οὖν ὁ τρόπος ἐστὶν ἑκάστου τῆς γενέσεως, ἐν τοῖς μετὰ ταῦτα λεχθήσεται. νυνὶ δὲ τὰς προφάσεις αὐτὰς ἀρκεῖ μοι διελθεῖν. εἰσὶ δὲ μύκητές τινες, καὶ βουπρήστεις, καὶ ψιμμύθιον, καὶ γύψος, καὶ γάλα πεπηγὸς, αἵ τε ἀπὸ τῶν ὑστερῶν [18] πνίξεις ἐπὶ τῶν χηρευουσῶν τε καὶ μὴ καθαιρομένων, ὅσα τε ἀνάλογον αὐταῖς ἐπὶ τῶν ἀρρένων γίνεται. λεχθήσεται δὲ χωρὶς ὑπὲρ B ἀπνοίας ἑτέρωθι.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῶν αἰτιῶν τῶν κατὰ τὸ πρῶτον αἰσθητικὸν συμπτωμάτων.

ΚΑὶ περὶ μὲν τῶν αἰσθητικῶν ὀργάνων ἁπάντων, ἔτι τε τῶν κατὰ ταῦτα δυνάμεων, ἤδη μοι δοκῶ πέρας ἔχειν τὸν λόγον. ἐπ' αὐτὸ δὲ τὸ κατάρχον αὐτῶν ἐπιπέμπον τε τοῖς κατὰ μέρος οἷον ἐκ πηγῆς τινος ἑαυτοῦ τὰς δυνάμεις, ἐπιέναι τῷ λόγῳ C καιρός. ἔστι δὲ δήπου τὸ πρῶτον αἰσθητικόν. ἐν αὐτοῖς μὲν γὰρ τοῖς κατὰ μέρος ὀργάνοις ἑκάστη τῶν αἰσθήσεων ἡ ἀπὸ τῶν αἰσθητῶν ἀλλοίωσις ἐπιτελεῖται. ταύτης δὲ αἰσθητικὸν γίγνεται τὸ ἀλλοιούμενον μόριον, ἐκ τοῦ δέχεσθαι τὴν ἀπ' ἐγκεφάλου καθήκουσαν εἰς αὐτὸ διὰ τοῦ νεύρου δύναμιν. αὐτὸς γὰρ ὁ ἐγκέφαλος, οὐκ αἰσθητικὸν ὄργανον ὑπὸ τῆς φύσεως, ἀλλ' αἰσθητικῶν αἰσθητικὸς ἐγένετο. καὶ ὅτι μὲν ἀεὶ διὰ τῶν νεύρων ἐπιπέμπει τὴν αἰσθητικὴν δύναμιν ἅπασι τοῖς τοῦ ζώου μορίοις, ἐναργέστατόν D ἐστιν, ἐκ τοῦ μετὰ τὸ τμηθῆναι νεῦρον ὁποιονοῦν, εὐθέως ἀναίσθητον ἀποτελεῖσθαι τὸ μέρος, εἰς ὃ τὸ νεῦρον κατασχίζεται. ἐναργὲς δὲ οὐδὲν ἧττόν ἐστι καὶ ὡς κατὰ τοὺς ὕπνους ἤτοι παντάπασιν ἀργοῦσιν αἱ αἰσθήσεις, ἢ ἀμυδρῶς ἐνεργοῦσιν. εὔλογον οὖν ὀλίγην τινὰ ἐπιρρεῖν τηνικαῦτα δύναμιν ἀπὸ τῆς ἀρχῆς, τοῖς κατὰ μέρος. καὶ τό γε βαθέως τε καὶ μὴ βαθέως κοιμᾶσθαι τοῦτο δὴ τὸ συνήθως ἑκάστοτε λεγόμενον, ἐν τῷ ποσῷ τῆς ἐπιρροῆς ἐστι. τοσούτῳ γὰρ μεῖον ἐπιρρεῖν εἰκός ἐστιν, ὅσῳπερ ἂν ὁ ὕπνος ᾖ βαθύτερος. ἔοικεν οὖν ἐν ἐκείνῳ τῷ χρόνῳ E παντὶ τῷ κατὰ τὸν ὕπνον ἀναπαύεσθαι μὲν ἡ ψυχικὴ δύναμις, ἐνεργεῖν δὲ ἰσχυρότερον ἡ φυσική· τεκμήραιτο δ' ἄν τις, τῷ κεκμηκυῖαν αὐτὴν, ὑπνωσάντων ἀναρρώννυσθαι, καὶ μάλιστα ὅταν ἐπὶ τροφῇ συμμέτρῳ κοιμηθῶμεν· ἔτι τε τῷ πέττεσθαι τὴν τροφὴν ὑπνούντων κάλλιστα καθ' ὅλον τοῦ ζώου τὸν ὄγκον, οὐκ ἐν τῇ γαστρὶ μόνον. ἔστι δὲ καὶ ἄλλως εὔλογον ἀναπαύεσθαί ποτε κἀκεῖνο τοῦ ζώου τὸ μέρος, ἐν ᾧ τῆς λογικῆς ψυχῆς ἐστιν ἡ ἀρχή. ἡ μὲν γὰρ καρδία φαίνεται κατὰ σμικρὰ τοῦτο ποιοῦσα, ὡς μὴ δεῖσθαι χρόνου πολλοῦ πρὸς ἀνάπαυσιν· ὁ δὲ ἐγκέφαλος οὐχ οὕτως, ἀλλ' ἐν μὲν ταῖς ἐγρηγόρσεσιν ἐνεργεῖ διὰ E παντὸς, ὑπνούντων δὲ, ἡσυχάζει, καὶ διὰ τοῦτο βαθύτερος ὕπνος συμπίπτει τοῖς πλείονα γυμνασαμένοις, ὡς ἂν ἀπορρυηκυίας αὐτοῖς πολλῆς δυνάμεως ἀπὸ τῆς ἀρχῆς, ὁπότε ἐνήργουν. διά τε οὖν τὴν κένωσιν ἧς ἔπεμψε δυνάμεως ὁ ἐγκέφαλος, ἔτι δὲ διὰ τὸν κάματον, ὃν ἔκαμε διὰ τὰς πολλὰς ἐνεργείας, ἀναπαύσεώς τε ἅμα καὶ ἀναρρώσεως χρήζει. ὥσπερ δὲ ἐπὶ τοῖς γυμνασίοις ἑτοιμότερόν τε καὶ βαθύτερον ὑπνοῦσιν, οὕτω καὶ τροφὴν προσενεγκάμενοι, καὶ ὅσῳπερ ἂν ὑγροτέραν τὴν φύσιν ὑπάρχῃ, τοσούτῳ μᾶλλον ὑπνοῦσιν· οὕτω δὲ

F

καὶ οἶνον πλείονα προσφεράμενοι, καὶ λουσάμενοι λουτροῖς δαψιλέσι θερμοῖς κατὰ τῆς κεφαλῆς. ἅπαντα γὰρ τὰ τοιαῦτα φαίνεται πληροῦντα τὸν ἐγκέφαλον ὑγρότητος, ἧς ἄρα δεῖται κεκμηκώς τε καὶ κατεξηρασμένος ὡσαύτως ἐν ταῖς πολλαῖς ἐνεργείαις. ἀλλὰ γὰρ ὅτι ἡ μὲν κεφαλὴ πληρουμένη τὸν ὕπνον ἐπιφέρει, δέδεικται πρὸς Ἀριστοτέλους αὐτάρκως, καὶ οὐδὲν δεῖ νῦν ἡμᾶς ἐπεξιέναι τῷ λόγῳ. ὁ γάρ τοι περὶ ὕπνου καὶ ἐγρηγόρσεως ἀναγνοὺς τὶς αὐτοῦ βιβλίον, αὐτό τε τοῦτο σαφῶς ἐκμαθήσεται, τὸ πληρουμένης τῆς κεφαλῆς ἐπιγίγνεσθαι τοῖς ζώοις τοὺς ὕπνους, ἔτι τε πρὸς τούτοις καταμαθήσεται τὸ χωλεῦον τοῦ αὐτοῦ λόγου. καί τοι γὰρ ἱκανώτατος ὢν ἐπιχειρῆσαι, καὶ πιθανώτατος εἰς ὅπερ ἂν ἐθελήσῃ τὸν λόγον ἀγαγεῖν, ὅμως οὐδὲν ἔσχε πιθανώτερον ἐξευρεῖν, διότι τῆς κεφαλῆς πληρουμένης, ἀναπαύεται τὸ πρῶτον αἰσθητικὸν ἐν τῇ καρδίᾳ καθιδρυμένον, ὡς αὐτὸς ὑπολαμβάνει· πολὺ γὰρ δήπου πιθανώτερον ἦν ἐπὶ ταῖς τοῦ πνεύμονος ὑγρότησι γίγνεσθαι τοὺς ὕπνους, ὃν ἡ φύσις οὐδὲν ἄλλο ἢ ὑπηρετήσοντα τῇ καρδίᾳ περιέβαλε κύκλῳ. τίς δ' οὐχὶ καὶ τῶν τἀναντία δοξαζόντων ἰατρῶν, ἢ ἀπὸ ψιλῆς ἀναγομένων τῆς ἐμπειρίας, ἐν κάροις, καὶ ληθάργοις, καὶ κώμασι, καὶ πᾶσι τοῖς παρὰ φύσιν ὑπνώδεσι νοσήμασιν ἐπὶ τὴν κεφαλὴν ἀφικνεῖται καταντλῶν καὶ καταπλάττων αὐτήν, καὶ ξυρῶν, καὶ σικύας προσφέρων, καὶ πᾶν ὁποῖον ἄλλο μηχανώμενος, ὡς ἐνταῦθα τῆς ῥίζης τοῦ νοσήματος ὑπαρχούσης· οὕτω δὲ καὶ τὰς παραφροσύνας καὶ φρενίτιδας, ἁπάσας τε τὰς παρὰ φύσιν ἀγρυπνίας ἰώμενοι, τῇ κεφαλῇ τὰ βοηθήματα προσφέρουσιν. ἀλλὰ περὶ μὲν τούτων ἑτέρωθι διὰ πλειόνων ἀποδέδεικται. τὸ δὲ εἰς τὰ παρόντα τοῦ λόγου χρήσιμον, ὡς ὁ ἐγκέφαλος ἡνίκα μὲν ἐπιπλέον αὐτὸς ἐνεργήσας ἀναπαύεσθαι βουληθῇ, τὸν κατὰ φύσιν ὕπνον ἐπάγει τῷ ζώῳ, καὶ μάλιστα ἐπειδὰν ὑγρότητος δαψιλοῦς ἀπολαύει ἡ ἐν αὐτῷ θρεπτικὴ δύναμις ἔχῃ· ἡνίκα δ' αὖ ὑπὸ πολλῆς ψυχρᾶς ὑγρότητος βαρύνηται, τὸν ἐν κώμασί τε καὶ ληθάργοις ὕπνον ἐπιφέρει, ὅσα τε ἄλλα νοσήματα παραπλήσια· κεφάλαιον δ' αὐτῶν ἐστιν ἡ ὑγρότης τε καὶ ψύξις, ἤτοι κατὰ μόνας ἑκατέρα συνισταμένη, ἢ καὶ κατ' αὐτὸν ἀμφότεραι συνελθοῦσαι. τοιαῦτα γοῦν ἐστι καὶ τὰ φάρμακα πάντα τὰ τῷ ὄντως ὑπνωτικά, καὶ ὅσα καλεῖται μὲν οὕτως, ἐργάζεται δὲ οὐχ ὕπνον, ἀλλὰ κῶμά τε καὶ κάρον καὶ νάρκην παντὸς τοῦ σώματος. ὅσα μὲν οὖν ὑγραίνει μόνον, ὑπνωτικὰ δεόντως ὀνομάζεται· τὰ ψύχοντα δὲ οὐκ ὀρθῶς, οὔθ' ὕπνον οὔτ' ἀνωδυνίαν ἐπιφέρειν ἂν λέγοιντο, ἀλλ' ἀντὶ μὲν ὕπνου κῶμα καὶ κάρον, ἀντὶ δὲ τῆς ἀνωδυνίας ἀναισθησίαν ἢ δυσαισθησίαν διὰ τὴν ὑπερβολὴν τῆς ψύξεως. εἴρηται δὲ δήπου καὶ πρόσθεν, ὡς ἡ νάρκη τὸ πάθημα, δυσαισθησία τε ἅμα καὶ δυσκινησία τῶν νευρωδῶν μορίων ἐστί· καὶ γίγνεται μὲν ὡς ἐλέχθη καὶ δι' ἄλλας αἰτίας, γίγνεται δὲ καὶ κατὰ δυσκρασίαν, ὡς ἐπὶ τοῖς ψύχουσι φαρμάκοις. οὕτω μὲν οὖν ὕπνοι τε καὶ κώματα καὶ κάροι καὶ νάρκαι γίγνονται. ξηρότης δ' αὖ πάλιν ἀμετροτέρα καὶ θερμότης, καθάπερ ἐν φρενίτισιν, ἢ διὰ χυμόν τινα δακνώδη τε καὶ θερμόν, ἢ ἐρεθισμοὺς, ἢ ἀγρυπνίας ἐπιφέρουσιν, ὅσαι γε μὴ διὰ λύπην ἤ τινα φροντίδα συνίστανται. ὥσπερ δὲ τὰ τοιαῦτα συμπτώματα κοινὰ τοῦ σώματος ὅλου γίγνεται διὰ τὸ πεπονθέναι τὴν ἀρχήν, οὕτω καὶ ἄλλα περὶ τὰς καθ' ὁρμὴν ἐνεργείας ἁπάσας συμπίπτει, τῆς ἀρχῆς παθούσης. αἵ τε γὰρ ἀποπληξίαι καὶ ἐπιληψίαι διὰ τὸν ἐγκέφαλον γίγνονται. τοιοῦτον μέν τοι πάθος ἡ ἀποπληξία περὶ τὰς κατὰ προαίρεσιν ἐνεργείας, οἷος ὁ βαθὺς ὕπνος ἐν ταῖς αἰσθητικαῖς ἐνεργείαις.

A liberalius vinum biberunt, quique caput copiosis balneis calidis lauarunt. Hæc enim omnia videntur cerebrum humiditate implere, quâ vtique indiget, vbi in multis functionibus eodem modo & fatigatum & siccatum est. Sed enim quòd caput repletum, somnum afferat, demonstratum ab Aristotele abundè est; nec est ea de re nobis nunc quicquam agendum. Qui enim librum eius de somno & vigiliâ legerit, tum hoc ipsum dilucide discet, *capite repleto* B *somnum animalibus obrepere*; tum præterea quod in eius sermone claudicat, intelliget. Quanquam enim & ad ratiocinandum sit vehementissimus, & ad disceptationem quocunque velit probabiliter perducendam maximè potens, tamen nihil potuit probabile inuenire, cur capite repleto primum sensorium, si id (sicuti ipse existimat) in corde sedem habet, quiescat; multò enim probabilius fuit ex pulmonis humiditatibus somnos fieri, quem natura non alia de causa cordi circundedit, quàm vt illi ministraret. Quis verò aut medicorum, qui contrariæ sunt sententiæ, aut qui à nudâ experentiâ C procedunt, in caris, & lethargis, & comatis, denique in omnibus præter naturam somnolentis morbis, ad caput non accedit, illudque fomentis perfundit, cataplasmatis induit, raditque, & cucurbitas affigit, omniáque molitur, tanquam hîc morbi radix consistat? Sic etiam quum deliria, & phrenitides, omnes denique præter naturam vigilias curant, præsidia capiti admouent. Verùm de his alibi pluribus est disceptatum. Sed ad præsentem seriem orationis illud confert, quòd cerebrum vbi à multâ actione quiescere voluerit, naturalem somnum D animali inducit; præsertim, quum nutrix in eo facultas largum, quo fruatur, humorem habet. At quum à multo vel frigido humore grauatur, comatis & lethargi somnum affert, aliosque similes iis morbos: horum præcipua causa humiditas ac frigiditas sunt, vel alterutra per se solam in eo consistens, vel ambæ simul iunctæ. Talia igitur sunt cùm medicamenta omnia, quę verè somnifera sunt; tum quę sic quidem vocantur, inferunt autem non somnum, sed coma, & carum, & totius corporis torporem. Igitur quæ duntaxat humectant, omnia meritò som- E nifera nominantur; quæ verò perfrigerant, nec somnum, nec indolentiam afferre rectè dicentur, sed pro somno coma, & carum; pro indolentiâ, vel abolitum sensum vel diminutum ob perfrigerationis excessum Porrò dictum priùs est torporem affectum, sensum motumque diminutum neruosarum esse partium; fitque (vt dictum est) tum ex aliis causis; tum ex intemperie, quæ medicamentis perfrigerantibus succedit. Atque ita quidem somni & comata & cari & torpores fiunt. At siccitas immodica & calor, quales in phrenitide propter humorem F aliquem mordacem & calidum *spectantur*, irritationes inferunt & vigilias, quæ quidem neque ex mœstitia, neque ex sollicitudine oriuntur. Vt autem talia symptomata toti corpori communia, fiunt ob affectum principium: sic alia quoque omnibus voluntariis functionibus principio affecto accidũt. Nam & apoplexiæ & epilepsiæ propter cerebrum *affectum* fiunt. Est tamen apoplexia eiusmodi affectio in voluntariis actionibus, qualis in sentiendi actionibus altus somnus.

somnus. Aliud verò tale est in epilepsiis conuulsio, quale in sentiendi functionibus vigiliæ. Ambo enim hæc deprauati motus cerebri sunt, ideoque etiam partium sigillatim omnium; reliqua rursum duo, actionum eius tum cohibitiones, tum cessationes. At in conuulsionibus totius corporis sine delirio vel caro, morbus spinalis medullæ in collo est; quemadmodum vbi vel manus vel crus vel musculus vnus tenditur ac violenter conuellitur, vnius semper nerui partem mouentis læsio *est*. Quæ verò planè morbi causa sit, qua partes conuellantur, difficile dictu est; æquè ac tremoris & palpitationis & rigoris. Rigorem nunc nomino, non quidem vehementis frigoris sensum, sed inæqualem vniuersi corporis concussionem ac turbationem. Hæc enim omnia musculosum genus vel solum, vel magis quàm cæteras partes, tentare videntur. Exactiùs autem id sciemus, si priùs eorum notiones distinxerimus. Ad præsens enim quatuor memorauimus appellationes, conuulsionem, tremorem, palpitationem & rigorem. Qualia verò singula symptomata sint, quæ per has significantur, à nullo me priorum accuratè definitum inuenio; sed alii ad morborum substantias, quas sequuntur symptomata, statim se conferunt; alii ea distinguere aggressi, in interpretationibus suis falluntur; quod facile intelliget, qui lectis quæ à nobis traduntur præceptis euoluere libros eorum voluerit: neque enim difficile est vbi veritatem noueris, quæ prauè sunt dicta, deprehendere. Ergo de his omnibus proximo agetur libro.

A ἕτερον δὲ τοιοῦτον, οἷον ἐν ταῖς αἰσθητικαῖς ἡ ἀγρυπνία, ὁ ἐν ταῖς ἐπιληψίαις σπασμός. ἄμφω μὲν γὰρ ταῦτα πλημμελεῖς κινήσεις εἰσὶ τοῦ ἐγκεφάλου, καὶ διὰ τοῦτο καὶ τῶν κατὰ μέρος ἁπάντων μελῶν· ἄμφω δ' αὖ πάλιν θάτερα καὶ ἀπολήψεις τε καὶ ἡσυχίαι τῆς ἐνεργείας αὐτοῦ. κατὰ μέντοι τοὺς ὅλου τοῦ σώματος σπασμοὺς ἄνευ παραφροσύνης ἢ κάρου τὸ νόσημά ἐστι τοῦ κατὰ τὸν τράχηλον νωτιαίου. καθάπερ γε κἀπειδὰν ἤτοι χεὶρ, ἢ σκέλος, ἤτοι εἷς μῦς τείνεταί τε καὶ σπᾶται βιαίως, ἑνὸς ἑκάστοτε νεύρου τοῦ κινοῦντος τὸ μέρος ἡ
B βλάβη. ἥτις δ' ἀκριβῶς ἐστιν ἡ αἰτία τοῦ νοσήματος ἐφ' ᾧ σπᾶται τὰ μόρια, χαλεπὸν εἰπεῖν, ὥσπερ γε καὶ τρόμου, καὶ παλμοῦ, καὶ ῥίγους. ὀνομάζω δὲ νῦν ῥῖγος, οὐ τὴν τῆς σφοδρᾶς ψυχρότητος αἴσθησιν, ἀλλὰ τὸν ἀνώμαλον ἁπάντος τοῦ σώματος σεισμόν τε καὶ κλόνον. ἅπαντα γὰρ δὴ ταῦτα φαίνεται καταλαμβάνοντα τὸ μυῶδες γένος, ἢ μόνον, ἢ μάλιστα τῶν ἄλλων μορίων. ἀκριβέστερον δὲ εἰσόμεθα, διορισάμενοι πρότερον αὐτῶν τὰς ἐννοίας. ἐν μὲν γὰρ τῷ παρόντι τέτταρας ἐφθεγξάμεθα προσηγορίας, σπασμὸν, καὶ τρόμον,
C καὶ παλμὸν, καὶ ῥῖγος. ὁποῖον δὲ ἕκαστόν ἐστι τῶν συμπτωμάτων, ἃ δηλοῦσι, παρ' οὐδενὶ τῶν ἐμοῦ πρεσβυτέρων εὗρον ἀκριβῶς διωρισμένον, ἀλλ' οἱ μὲν εὐθέως ἐπὶ τὰς οὐσίας ἔρχονται τῶν νοσημάτων, οἷς ἕπεται τὰ συμπτώματα· τινὲς δ' ἐπιχειρήσαντες μὲν αὐτὰ διαστείλασθαι, σφάλλονται δὲ ἐν οἷς ἑρμηνεύουσιν, ὡς ἔξεστι μαθεῖν τῷ βουληθέντι μετὰ τὴν ἡμετέραν διδασκαλίαν ἀναλέξασθαι τὰς βίβλους αὐτῶν. οὐδὲ γὰρ οὐδὲν χαλεπόν ἐστι φωρᾶσαι τὰ κακῶς εἰρημένα, προεγνωσμένων ἤδη τῶν ἀληθῶν. ὑπὲρ ἁπάντων οὖν τούτων εἰρήσεται κατὰ τὸν ἑξῆς λόγον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΙΤΙΩΝ ΣΥΜΠΤΩΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

GALENI DE SYMPTOMATVM CAVSIS LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩ ΒΙΒΛΙΩ.

Αἰτίαι τῶν συμπτωμάτων ἐπί τε τὴν τῆς τε κινήσεως καὶ τῆς ψυχικῆς ἡγεμονικῆς ἐνεργείας πλημμέλειαν ἀναφερομένων ἐμφανίζονται.

ARGVMENTVM LIBRI.

Causæ symptomatum tum ad motus, tum ad functionis animalis principis deprauationem spectantium explicantur.

CAPVT I.

Quot & quæ sint deprauati motus symptomata.

Enimvero conuulsio, tremor, palpitatio, rigor, horror, singultus, tussis, ructus, sternutamentum, pandiculatio, oscitatio, dentium stridor, commune genus omnia motum deprauatum sortiuntur. Dissident autē

F

ΚΕΦΑΛΑΙΟΝ Α.

Ὁπόσα καὶ τίνα τῆς κινήσεως πλημμελοῦς συμπτώματα.

ΣΠΑΣΜΟΣ δὲ, καὶ τρόμος, καὶ παλμὸς, καὶ ῥῖγος, καὶ φρίκη, καὶ λυγμὸς, καὶ βῆχες, ἐρυγαί τε καὶ πταρμοὶ, καὶ σκορδινισμοὶ, καὶ χάσμαι, καὶ τρισμοὶ, κοινὸν μὲν ἅπαντα γένος ἔχει κίνησιν πλημμελῆ· διενήνοχε δ' ἀλλήλων, ἐνὶ μὲν καὶ

περὶ τοῦτο μάλιστα, τὸ τὰ μὲν αὐτῶν ἔργα φύσεως εἶναι βιαίως ἀναγκαζομένης κινεῖσθαι πρός τινος αἰτίου νοσεροῦ· τὰ δὲ νοσώδεσιν ἕπεσθαι διαθέσεσιν, οὐδὲν εἰς τὴν γένεσιν αὐτῶν συμπραττούσης τῆς φύσεως· ἔνια δὲ ὑπ' ἀμφοῖν ἐνεργούντων γίνεσθαι, τοῦ τε νοσήματος ἅμα καὶ φύσεως. ἀκούειν δὲ ἀξιῶ σε τοῦ τῆς φύσεως ὀνόματος ἐν τῷ παρόντι λόγῳ κατὰ πάσης δυνάμεως τῆς διοικούσης τὸ ζῶον, εἴτε κατὰ τὴν ἡμετέραν προαίρεσιν, εἴτε καὶ χωρὶς ταύτης. ἀντιδιαιρούμενοι γὰρ νῦν ἁπάσῃ τῇ παρὰ φύσιν αἰτίᾳ, δι' ἣν βλάπτεται καὶ διαφθείρεται τὸ ζῶον, ὅλον ἐκεῖνο τὸ γένος τῶν δυνάμεων, ὑφ' οὗ διασώζεται. τοιαύτης μὲν οὖν δυνάμεως ἔργα, πταρμοί, καὶ βῆχες, καὶ χάσμαι, καὶ σκορδινισμοί, καὶ λύγγες· μόνου δὲ τοῦ νοσήματος ἐνεργοῦντος παλμὸς καὶ σπασμός·[1] ἀμφοῖν δὲ συνιόντων τοῦ τε νοσήματος καὶ τῆς[2] δυνάμεως, αἵ τε ναρκώδεις ἅπασαι κινήσεις, ὅσαι τ' ἄλλαι παραλυομένων μὲν, οὐδέπω δὲ παραλελυμένων γίγνονται, καὶ πρὸς ταύταις ὁ τρόμος. αὗται μὲν[3] αἱ πρῶται διαφοραὶ τοῦ νῦν ἡμῖν προκειμένου γένους τῶν συμπτωμάτων. ἐφεξῆς δὲ καθ' ἕκαστον ἴδιαί τινες, ὑπὲρ ὧν ἤδη λέγωμεν, ἀπὸ τῶν ὑπό τινος ἐμφύτου δυνάμεως γιγνομένων κινήσεων ἀρξάμενοι. κοινωνία δὲ καὶ ταύταις ἐστὶ πρὸς τὰς ἀκριβῶς κατὰ φύσιν, ὧν ἀναγκαῖον εἰπεῖν πρότερον ὑπὲρ τοῦ διδάξαι σαφῶς, ὁποία τις αὐτῶν ἐστιν ἡ γένεσις. οὐσῶν δὴ τεσσάρων δυνάμεων ὑφ' ὧν διοικεῖται τὰ τρεφόμενα σώματα πάντα, πρώτης μὲν τῆς ἑλκούσης πρὸς ἑαυτὴν τὸ χρηστόν, ἑτέρας δὲ τῆς κατεχούσης αὐτό, καὶ τρίτης τῆς ἀλλοιούσης, καὶ τετάρτης τῆς ἀποκρινούσης τὸ περιττόν, ἐπειδὰν μὲν νόμῳ φύσεως διοικεῖται τὸ ζῶον, οὐδεμία κίνησις οὐδεμιᾶς αὐτῶν ἐστι σύμπτωμα· συστάντος δέ τινος παρὰ φύσιν ἐν τῷ σώματι, ὅταν ἀποτρίβεσθαι τοῦτο τῶν ἀποκριτικῶν τις ἐξορμήσῃ δυνάμεων, ἐνίοτε μὲν ἀναίσθητοι τὸ παράπαν αἱ κινήσεις αὐτῶν, ἐνίοτε δὲ αἰσθηταὶ γίγνονται. περὶ μὲν δὴ τῶν ἀναισθήτων αὖθις εἰρήσεται.

inter sese, vno primóque potissimùm, quòd eorum alia naturæ sint opera, ab aliquâ morbosâ causâ violenter ad motum coactæ: alia morbosos comitantur affectus, nihil ad ipsorum generationem conferente natura: alia fiunt, vbi ambo ad opus efficiendum simul coeunt, & morbus & natura. Naturæ nomen in hac disceptatione pro omni facultate animal siue nostra voluntate siue citra hanc regente, intelligas velim. Nunc enim omni causæ præter naturam, qua læditur & corrumpitur animal, totum illud facultatum genus, cuius beneficio seruatur, diuidendo opponimus. Eiusmodi ergo facultatis opera *sunt* sternutatio, tussis, oscitatio, pandiculatio & singultus. Solius autem morbi opera sunt palpitatio & conuulsio. Amborum morbi facultatisque coeuntium, tum torpidi omnes motus, tum cæteri quos *edunt*, qui paralytici fiunt, nondum autem paralytici facti sunt, ac præterea tremor. Hæ sunt nunc nobis propositi symptomatum generis primæ differentiæ. Atqui deinceps singulorum propriæ quædam sunt, de quibus nunc disseramus, à motibus, quos innata aliqua facultas cier, auspicati. Sed & societas istis est cum iis, qui omnino secundum naturam sunt, quam, vt quę sit eorum generatio doceam, necesse est prius exponere. Igitur quum quatuor facultates sint, omnia quæ nutriuntur corpora gubernantes; prima quæ quòd vtile est ad se trahat; altera, quæ id retineat; tertia, quæ alteret; quarta, quæ quod excrementum est, expellat, quum naturæ legibus animal gubernatur, nullus ipsarum motus symptoma est; quū verò consistit in corpore aliquid præter naturam, vbi id excretricum facultatum aliqua deiicere nititur, aliquando insensiles omnino earum motus sunt, aliquando sensiles euadunt. Ac de insensilibus quidem rursum disseretur.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τὰ συμπτώματα τῆς κινήσεως πλημμελοῦς τῇ φύσει, καὶ τὰ τῷ νοσήματι, καὶ τὰ τοῖς ἀμφοτέροις προσγεγραμμένα· καὶ μάλιστα περὶ τρόμου τε καὶ παλμοῦ λέγεται.

Περὶ δὲ τῶν αἰσθητῶν ἐπεὶ κοινωνοῦσι ταῖς προαιρετικαῖς ὀνομαζομέναις, ἡ διδασκαλία γιγνέσθω κοινή. προαιρετικῆς μὲν οὖν ἐνεργείας βλάβαι, παράλυσίς τε καὶ σπασμὸς καὶ τρόμος καὶ νάρκη· ποικίλλεται δὲ ἐν τοῖς κατὰ μέρος ὀργάνοις ἕκαστον τῶν εἰρημένων, οὐ τῇ τῶν συμπτωμάτων ἰδέᾳ μόνον, ἀλλὰ καὶ ταῖς προσηγορίαις. ἡ μὲν γὰρ τῶν τὴν ἀναπνοὴν ἐργαζομένων ὀργάνων παράλυσις, ἄπνοια, καθάπερ δὴ καὶ ἡ τῶν τὴν φωνήν, ἀφωνία προσαγορεύεται. ἡ δὲ τῆς γλώττης παράλυσις, οὐδὲν ὄνομα ἴδιον κέκτηται, τελέως ἀναιροῦσα καὶ αὐτὴ τὴν διάλεκτον, ἔργον οὐ σμικρὸν προαιρέσεως. ἔμπαλιν δέ, οὐδὲν ἧττον ἡ ἰσχουρία παραπλήσιόν τι δοκεῖ δηλοῦν ἀπνοίᾳ τε καὶ ἀφωνίᾳ, καίτοι γε οὐ προαιρετικῆς ἐνεργείας ἀλλὰ φυσικῆς ἐστιν ἀπώλεια· τὸ γὰρ ἐκρεῖν ἀκουσίως τὰ οὖρα προαιρετικῆς ἐνεργείας βλάβη. παραπλησίως δὲ τοῖς οὔροις ἐπὶ τῶν διαχωρημάτων, ἡ μὲν ἐπίσχεσις φυσικῆς, ἡ δὲ ἀκούσιος[4] ἔκκρισις, προαιρετικῆς ἐνεργείας βλάβη.[5] δέδεικται δ' ἐπὶ πλέον ὑπὲρ τῶν τοιούτων ἁπάντων ἐν τοῖς περὶ μυῶν κινήσεως. οὕτω μὲν αἱ παραλύσεις ποικίλαι ταῖς ἰδέαις ὑπάρχουσιν.

CAPVT II.

Quæ symptomata deprauati motus naturæ, quæ morbo, quæ vtrique ascribantur: & præsertim de Tremore, & Palpitatione agetur.

DE sensilibus verò, quoniam cum voluntariis consortium habent, communis *à me* doctrina tradatur. Ergo voluntariæ functionis læsiones *sunt*, paralysis, conuulsio, tremor, & torpor. Variantur autem symptomatum horum singula in particularibus organis, nō specie symptomatum, modò sed etiam nominibus. Nam organorū respirationem efficientium paralysis, apnœa vocatur; quemadmodū & vocem efformātium, aphonia; at linguæ paralysis proprium nullum nomen habet, & ipsa loquelam, quæ voluntatis non leue est opus, prorsus adimit. Rursus verò vrinæ suppressio, apnœæ atque aphoniæ simile quid indicare videtur: cæterùm voluntariæ actionis amissio non est, sed naturalis; quippe quod lotium præter voluntatem fluat, voluntariæ actionis læsio est. Simile quid ac in vrinâ, in deiectionibus quoq; *accidit*; suppressio enim earum naturalis actionis *est* læsio; inuoluntaria deiectio, actionis voluntariæ. Porrò demonstratum vberius, de his omnibus est in libris De musculorum motu. Atque ita quidem paralyses speciebus variæ sunt. Conuulsiones vero

verò hoc modo *differunt*. Dentium inuitus stridor masseterum musculorum est conuulsio; inuersio verò & qui vocantur strabismi, eorum qui in oculis habentur; quemadmodum etiam gonorrhœæ alia est differentia; si enim cum penis tensione *seminis effluxus* fiat, veluti quædam conuulsio est; si citra ipsam tensionem, retentricis facultatis imbecillitas. Sic quoque nonnullis singultus conuulsio esse videtur. Atque duplex inspirantium reuocatio nonnunquam ob musculorum inspirationem facientium conuulsionem fit. Est & quædam expirationis species conuulsiua; quæ musculorum expirationem efficientium conuulsioni succedit; appellatur hæc ab Hippocrate *spiritus illidens in externa eruptione*. Quòd autem apoplexia totius corporis *sit* paralysis; & epilepsia totius corporis conuulsio, suprà dictum est; & quidem superiùs etiam diximus torporem leuem quandam esse paralysin. Sanè torpore laborantium partium, non parua in excessu defectúque differentia est, quoniam id symptoma ex morbo & facultate mixtum est. Si nanque morbus facultatem prorsus superet, omnino partem sustinere non valet; sin facultas *vicerit*, haudquaquam impeditur; at si veluti pugna quædam eorum fuerit, mouetur quidem pars, sed ægrè; ac si iubeas, quũ læsam partem extendunt, vt eam extensam seruent, nequeunt; decidit enim quod à natiuo pondere deorsum fertur ob facultatis ipsam partem vehentis imbecillitatem; quod enim attollit ac sustinet; facultas est; quod deorsum fertur, ipsum manus crurisve est corpus. Causa verò *huius rei* reddita priùs est, quum de sentiendi actionibus sermonem *fecimus*; ostendimusque nos neruum quum vel frigore densatur, vel crassis & lentis humoribus obstruitur, vel ab aliquâ externâ causâ grauatur & comprimitur, in torporem & paralysim adduci. At conuulsio in eundem affectum neruos musculosque ducit, in quem, quum secundum naturam se haberent, ab animali facultate ducebantur. Siue igitur ad principium tensis, siue flatûs prolapsu impletis musculis voluntarii motus perficiantur, hæc in conuulsione accident, tum spiritu flatulento qui in musculis gigni possit, tum multis qui tensionem creent (quemadmodum & phlegmone est) affectibus. Caput autem ipsorum (vt Hippocrates dixit) duplex est, *repletio vacuatioque*. In phlegmonosis affectibus, repletio; in ardentissimis siccissimisque febribus vacuatio. Quòd autem repletis vacuatisque plus iusto neruosis corporibus tendi eis omnibus contingat; docent non in postremis, quæ in instrumentis *musicis* intenduntur chordæ. Hæ nanque siue in humidam & humectam, siue in siccam & squalentem domum intentæ sint repositæ, rumpuntur; ideóque eas artifices, priusquam reponantur, laxant. Quamobrem dictum est antea per æque ac conuulsiuum motum à solo fieri morbo, immobilitatem, quæ in paralysi accidit, Etenim ipsâ quoque morbi occasione efficitur. At secundum naturam in animalibus motio & immobilitas, vbi possumus porrigere manum & immobilem seruare porrectam, vtraque ab animali fit facultate. Si autem sanam manum super solidum aliquid deponentes, omnes musculorum laxauerimus actiones, neque propter morbum neque propter facultatem eo casu

A οἱ σπασμοὶ δὲ κατὰ τάδε. τὸ μὲν τὸ τρίζειν ἀκουσίως τῶν μασητήρων μυῶν σπασμός ἐστιν· ἡ δὲ ἴλλωσις, οἵ τε καλούμενοι στραβισμοὶ, τῶν κατὰ τοὺς ὀφθαλμούς· ὥσπερ γε καὶ τῆς γονορροίας ἡ ἑτέρα διαφορά. εἰ μὲν γὰρ μετ' ἐντάσεως τοῦ αἰδοίου γίνοιτο, οἷον σπασμός ἐστιν. εἰ δὲ χωρὶς ταύτης, ἀρρωστία τῆς καθεκτικῆς δυνάμεως. δοκοῦσι δὲ ἐνίοις καὶ αἱ λύγγες. καὶ ἡ διπλῆ δὲ τῶν εἰσπνεόντων ἐπανάκλησις ἔστιν ὅτε διὰ σπασμὸν γίνεται τῶν τὴν εἰσπνοὴν ἐργαζομένων μυῶν. ἔστι δέ τι B καὶ τῆς ἐκπνοῆς εἶδος οἷον σπασμῶδες, ἐπιγιγνόμενον αὖ καὶ τοῦτο τοῖς σπασμοῖς τῶν τὴν ἐκπνοὴν ἐργαζομένων μυῶν, ὅπερ ὀνομάζεται πρὸς Ἱπποκράτους, πνεῦμα προσπταῖον ἐν τῇ ἔξω φορῇ. ὅτι δὲ καὶ ὅλου τοῦ σώματος ἡ μὲν ἀποπληξία, παράλυσις· ἡ δ' ἐπιληψία σπασμός ἐστιν, ἔμπροσθεν εἴρηται. καὶ μέν τοι καὶ περὶ τῆς νάρκης εἴρηται πρόσθεν, ὡς ἀμυδρά τις ἐστὶ παράλυσις. οὐ σμικρὰ δὲ ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἡ διαφορὰ τῶν ναρκωδῶν ἐστι μορίων, ἐπειδὴ μικτόν πώς ἐστι τὸ σύμπτωμα νοσήματός τε καὶ δυνάμεως. εἰ μὲν γὰρ τὸ νόσημα τελέως ἐπικρατήσειε τῆς δυνάμεως, οὐδ' ὅλως δύναται μεταφέρειν τὸ μέλος· εἰ δ' ἡ δύναμις, οὐδ' ὅλως ἐμποδί-C ζεται· εἰ δ' οἷον μάχη τις αὐτῶν εἴη, κινοῦσι μὲν, ἀλλὰ μόγις, καὶ εἰ κελεύσειας ἀνατείναντας τὸ βεβλαμμένον κῶλον ἐκτεταμένον φυλάττειν, οὐ δύνανται· καταπίπτει γὰρ ὑπὸ τοῦ συμφύτου βάρους φερόμενον κάτω, ἀρρωστίᾳ τῆς ὀχούσης αὐτὸ δυνάμεως. τὸ μὲν γὰρ ἐξαῖρόν τε καὶ βαστάζον, ἡ δύναμίς ἐστι· τὸ δὲ κάτω φερόμενον, αὐτὸ τὸ σῶμα τῆς χειρὸς, ἢ τοῦ σκέλους. ἡ δ' αἰτία πρόσθεν εἴρηται κατὰ τὸν περὶ τῶν αἰσθητικῶν ἐνεργειῶν λόγον, ἐπιδεικνυκότων ἡμῶν ἤτοι πιλούμενον ὑπὸ τῆς ψύξεως τὸ νεῦρον, ἢ ἐμφραττόμενον ὑπὸ D παχέων τε καὶ γλίσχρων χυμῶν, ἢ βαρυνόμενόν τε καὶ θλιβόμενον ὑπό τινος ἔξωθεν αἰτίου εἰς νάρκην τε καὶ παράλυσιν ἔρχεσθαι. ὁ δέ γε σπασμὸς εἰς τὴν αὐτὴν ἄγει τά τε νεῦρα καὶ τοὺς μῦς διάθεσιν, εἰς ἣν καὶ κατὰ φύσιν ἐχόντων ὑπὸ τῆς ψυχικῆς δυνάμεως ἤγετο. εἴτε οὖν τεινομένων ἐπὶ τὴν ἀρχὴν, εἴτε καὶ διὰ πνεύματος ἔμπλωσιν πληρουμένων τῶν μυῶν, αἱ προαιρετικαὶ κινήσεις ἐγίνοντο, καὶ κατὰ τοὺς σπασμοὺς ταῦτα συμβήσεται, πνεύματός τε φυσώδους ἐν αὐτοῖς γεννᾶσθαι δυναμένου, καὶ πολλῶν διαθέσεων τάσιν ἐργαζομένων, ὥσπερ καὶ ἡ φλεγμονή. κεφάλαιον δ' αὐτῶν ἐστι διττὸν, ὡς E Ἱπποκράτης ἐδήλωσε, πλήρωσίς τε καὶ κένωσις. ἐν μὲν οὖν τοῖς φλεγμονώδεσι πάθεσιν ἡ πλήρωσις· ἐν δὲ τοῖς καυσωδεστάτοις τε καὶ ξηροτάτοις πυρετοῖς ἡ κένωσις. ὅτι δὲ πληρουμένοις τε καὶ κενουμένοις ἐπὶ πλέον ἅπασι τοῖς νευρώδεσι σώμασι τείνεσθαι συμβαίνει, δηλοῦσιν οὐχ ἥκιστα καὶ αἱ ἐν τοῖς ὀργάνοις ἐντεταμέναι χορδαί. ῥήγνυνται γοῦν ἄν τ' εἰς ὑγρὸν καὶ νοτιῶδες, ἄν τ' εἰς ξηρὸν καὶ αὐχμῶδες οἴκημα τεταμέναι κατατεθῶσι. καὶ διὰ τοῦτ' ἐπανιᾶσιν αὐτὰς οἱ τεχνῖται, πρὶν κατατίθεσθαι. διὰ τοῦτο γοῦν ἐρρέθη καὶ πρόσθεν ὡς ἡ σπασμώδης κίνησις ὑπὸ μόνου γίγνεται τοῦ νοσήματος, F ὁμοίως τῇ κατὰ τὰς παραλύσεις ἀκινησίᾳ. καὶ γὰρ αὕτη τῷ λόγῳ τοῦ νοσήματος ἀποτελεῖται. ἡ δέ γε κατὰ φύσιν ἐν τοῖς ζώοις ἀκινησία τε καὶ κίνησις, ὅταν ἀνατείναντες τὴν χεῖρα δυνάμεθα φυλάττειν ἀκίνητον ἀνατεταμένην, ὑπὸ τῆς ψυχικῆς ἀμφότερα γίγνεται δυνάμεως. εἰ δὲ κατατιθέντες ἐπί τινος στερεοῦ τὴν ὑγιαίνουσαν χεῖρα, πάσας ἐκλύσαιμεν τῶν μυῶν τὰς ἐνεργείας, οὔθ' ὑπὸ τοῦ νοσήματος, οὔθ' ὑπὸ τῆς δυνάμεως ἡσυχάζει κατ' ἐκεῖνον

τῆς χειρὸς, ἀλλ' ὑπὸ τοῦ συμφύτου βάρους τοῖς ζώοις ἡ χείρ. ὥστε τῶν τριῶν ἡσυχιῶν τὴν μὲν ἐν ταῖς παραλύσεσιν, ὑπὸ τοῦ νοσήματος γίνεσθαι, δεδεμένης (ὡς ἂν εἴποι τις) ἐν τούτῳ τῷ χρόνῳ τῆς δυνάμεως· τὴν δ' ἐν τῷ ἀνατεταμένον ἔχειν τὸ κῶλον, ὑπὸ τῆς δυνάμεως· τὴν δ' ἀρτίως ἐλεγομένην, ὑπ' οὐδετέρου, γινωσκόντων ἡμῶν ἅπερ ἐν τοῖς περὶ μυῶν κινήσεως ἐλέχθη περὶ τῆς ἀνατεταμένης χειρὸς, ὡς ἐκ τοῦ τῶν ἐνεργειῶν τε καὶ κινήσεών ἐστι γένους κατά γε τὴν ἀλήθειαν αὐτήν. ἐλέχθη δὲ καὶ ὅτι τονικὴν ὀνομάζομεν ἡμεῖς τὴν κίνησιν ταύτην, ἡ μὲν δὴ τοιαύτη κατάστασις ἑτέρῳ μὲν τρόπῳ κίνησις, ἑτέρῳ δ' ἀκινησία λέγοιτ' ἄν· αἱ λοιπαὶ δὲ δύο κατ' οὐδένα τρόπον ἐφάπτονται κινήσεως· ὥσπερ γε καὶ αἱ λοιπαὶ δύο κινήσεις, ἥ τε σπασμώδης τε καὶ ἡ προαιρετικὴ, κατ' οὐδένα τρόπον ἐφάπτονται ἀκινησίας. καὶ μὲν δὴ καὶ ὡς ἡ ἀνατεταμένη χεὶρ ἐκ δυοῖν ἰσοσθενῶν ἐλέγετο συγκεῖσθαι κινήσεων, ἄνω μὲν ἀναφερούσης αὐτὴν τῆς δυνάμεως, κάτω δ' ἀνθέλκοντος τοῦ συμφύτου βάρους, οὕτω καὶ ὁ τρόμος ἐκ δυοῖν ἀποτελεῖται κινήσεων καὶ αὐτὸς, τῆς τε διὰ βάρος ἀπαγούσης κάτω τὸ κῶλον, ἣν δ' ἡ δύναμις εἰς τοὐναντίον ἀναφέρουσα ποιεῖται. ἐπὶ μὲν οὖν τῆς ἐρρωμένης χειρὸς οὐδ' ἐπὶ βραχὺ νικᾶται πρὸς τοῦ βάρους ἡ δύναμις, ἀλλ' ἰσχυροτέρα καθεστηκυῖα τῆς κάτω τοῦ κώλου ῥοπῆς, ὀχοῦσα τοσοῦτον ἀναφέρει πρὸς τὸ μετέωρον, ὅσον ὑπεσύρετο κάτω· κατὰ δὲ τοὺς τρόμους ἀκούσης αὐτῆς ὑπορρεῖ τὸ κῶλον κάτω, φανερῶς γέ ἐστι θεάσασθαι τὴν μάχην αὐτῶν οὔτε τῆς δυνάμεως ἐπιτρεπούσης κατενεχθῆναι τὸ κῶλον ὡς ἐν ταῖς παραλύσεσιν, οὔτε τοῦ βάρους συγχωροῦντος τῇ δυνάμει φυλάττειν αὐτὸ μετέωρον, ὡς ὅτε ἔρρωται. ἐναλλὰξ οὖν τῆς δυνάμεως νικώσης τε καὶ νικωμένης, καὶ διαδεχομένων ἀλλήλας ἀεὶ τῶν ἐναντίων κινήσεων, ὁ τρόμος γίνεται, σύνθετός τις ὑπάρχουσα κίνησις, ὥσπερ καὶ τῶν ἀρτηριῶν σφυγμός. ἀλλ' ἐν ἐκείναις μὲν αἰσθηταὶ διαιροῦσιν ἡσυχίαι κινήσεων τὴν διαστολὴν ἀπὸ τῆς συστολῆς, εἰ μή πω ἄρα οὕτω γίνοιτο πυκνότατος ὁ σφυγμὸς, ὡς ἐν τοῖς μυρμηκίζουσιν. ἐνταυθοῖ γὰρ οὐδεμίαν εὑρεῖν ἐστι μεταξὺ τῶν ἐναντίων κινήσεων αἰσθητὴν ἡσυχίαν. οὐ γὰρ ἀμοιβὴ κινήσεώς ἐστιν ὑπὸ μιᾶς ἐπιτελουμένη φύσεως, ἀλλὰ μάχη δυνάμεώς τε καὶ βάρους σώματος. ὡς δ' ἄν τις εἰκάσειε μάλιστα τὴν κίνησιν ἑτέρῳ τινὶ τῶν κατὰ τὸ σῶμα, τῇ τῶν μυρμηκιζόντων σφυγμῶν ἐστι παραπλήσιος. ὡς γὰρ ἐν ἐκείνοις ἡ κίνησις τῆς ἀρτηρίας κατὰ βραχυτάτης φέρεται διαστάσεως, οὕτως ἐν τοῖς τρόμοις τὸ τοῦ ζώου μόριον, ὅ, τι περ ἂν ὑπὸ τῆς ἀσθενοῦς κινῆται δυνάμεως. εὔδηλος οὖν ἤδη καὶ ἡ γένεσίς ἐστι τοῦδε τοῦ συμπτώματος, ὅτι τε σὺν ὁρμῇ τοῦ κινεῖσθαι πάντως, ὅτι τε σὺν ἀσθενείᾳ δυνάμεως ἀποτελεῖται. ἔνιοι δ' οὐκ οἴονται τὴν ὁρμὴν ἀχώριστον εἶναι τοῦ τρόμου, θεωροῦντες ἐνίοτε τὴν κεφαλὴν ὅλην τρομωδῶς σειομένην ἄνευ τοῦ προελέσθαι κινεῖν. ἀγνοοῦσι γὰρ ὡς κἂν τὸ φυλάττειν τι μέρος ὀρθὸν ἥ τε προαίρεσις ἐνεργεῖ, καὶ τείνονται παραπλήσιον ὑπ' αὐτῆς τρόπον οἱ μύες, οἷσπερ ἐτείνοντο κἂν ταῖς ἄλλαις ἐνεργείαις. ἡμῖν δὲ τοῦτο μὲν ἐν τοῖς περὶ μυῶν κινήσεως ἀποδέδεικται, καὶ νῦν δ' αὖ οὐ μικρὰ παράγομεν τεκμήρια τοῦ τε τὴν προαίρεσιν ἐνεργεῖν ἐν τοῖς τρόμοις, καὶ τοῦ διὰ τὴν ἀσθένειαν ἀδυνατεῖν ἀκλόνον αὐτὸ φυλάττειν τὸ μέρος. ἐκεῖνον γοῦν τὸν τρομώδη τὴν κεφαλὴν εἰ κατακλίναις ὕπτιον ἐπὶ μαλακοῦ τινος, οὐκέτι τρομώδης ἔσται. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδ' ὅστις ἤτοι γράφων, ἢ τέμνων, ἢ ὁτιοῦν ἄλλο διαπραττόμενος ἐν τρόμῳ καθέστηκεν, οὐδ' οὗτος ἡσυχάσας τῶν χειρῶν, ἔτι φαίνεται τρέμων· ὥσπερ οὐδ' ὁ

quiescit manus, sed ob innatum animalibus pondus. Quare trium quietum ea quidem quæ in paralysi *cernitur*, à morbo solo fit, obligatâ (vt sic dicam) eo tempore facultate; quæ verò in membro, quum extensum est, habetur à facultate; quam verò paulò antè dicebamus, à neutro, non ignorantibus nobis, quæ in libris de musculorum motu de porrectâ manu sunt dicta, *talem habitum* ipsâ re verâ ex actionum motuumque esse genere; motum præterea hunc tensiuum à nobis nominari dictum est. Atque talis status, alio modo motus, alio immobilitas dici potest; reliqui duo nullo modo participes sunt motus; æquè vt reliqui duo motus, & conuulsiuus & voluntarius nullo modo ad immobilitatem attinent. Præterea dictum est porrectam manum ex duobus æquè valentibus constitui motibus facultate ipsam sursum attollente & natiuo pondere contrà deorsum trahente. Sic tremor quoque ex duobus perficitur motibus, tum eo qui pondere partem deorsum deducit, tum eo quem facultas attollens in contrarium molitur. Enimuerò quum robusta fuerit manus, ne vel minimum quidem vincitur facultas à pondere, sed potentior constituta membri deorsum nutu, sustinet id tantumque in sublime attollit, quantum illud deorsum trahit. In tremore verò inuitâ facultate, membrum ruit deorsum; licetque liquidò cerni eorum pugnam, neque facultate membrum deorsum ferri sinente, veluti in paralysi; neque pondere permittente facultatem id sublatum seruare, vt quum valens erat. Vicissim igitur vincente victaque facultateque, mutuoque semper contrariis succedentibus motibus tremor efficitur, qui est compositus motus, qualis est arteriarum pulsus. Verùm in iis sensibilis motuum quies diastolen à systole dirimit; nisi fortasse densissimus fuerit pulsus, vt in formicantibus. Hîc autem nullam inter contrarios motus sensibilem quietem inuenias, neque enim vicissitudo motuum est, quæ ab vnâ perficiatur naturâ, sed pugna facultatis & ponderis corporis. Quod siquis maximè hunc motum alteri cuipiam corporis assimilet, formicanti pulsui ipsum esse similem deprehendet. Vt enim in hoc arteriæ motus in minimâ spatii intercapedine agitur: sic in tremore animalis pars, quæcunque ab imbecillâ facultate mouetur. Patet ergo iam huius quoq; symptomatis generatio; tum quòd omnino cum impetu mouendi, tum quòd cum facultatis imbecillitate perficiatur. Nonnulli putant animalem impetum à tremore non esse inseparabilem, quum videant totum interdum caput tremulè concuti, sine voluntate mouendi; Ignorant enim quòd etiam ad aliquam partem rectam seruandam tum voluntas agit, tum tenduntur ab eâ musculi, non aliter quàm in aliis actionibus tenderentur. Sanè hoc in libris de musculorum motu à nobis demonstratum est. Sed & nunc non exigua ponemus indicia, & quod voluntas in tremoribus agat, & quòd ob imbecillitatem inconcussam custodire partē non valeat. Illum enim, cui caput tremit, si super molle aliquid supinum reclines, non ampliùs tremet. Ad eundem modum siquis scribens secansve aut aliud quippiam factitans tremit, si manus ab opere abstineat, tremere iam desistet. Pari modo si quis cruribus quum ingre-

ingreditur, fit tremens, si ingredi desinet, non tremet: videas enim non rarò robustissimos iuuenes, vbi maximum aliquod onus humeris imposuerunt, quum progrediuntur, cruribus tremere; vbi progredi desierunt, aut onus abiecerunt, statim à tremendo liberos; Nam quum graue leueque ad aliquid referantur; fuerit nimirum & onus adeo magnum, vt etiam fortissimo sit graue. Ac robustam quidem facultatem maximum onus vincit; quæ verò valida non est, hanc non maximum modò, sed etiam paruum *superat*; quod si adhud sit infirmior, ipsum eius insitũ corpus oneris instar graue erit. Eóq; fit, vt senes omnes si quando maiorum virium opus moliuntur, statim partibus iis, quibus agunt, tremant. Sic etiam qui ad aliquem præruptum accedit locum, cruribus tremit; deiicit enim facultatem timor. Non secus etiam serpentem quis conspectum fugiens, tremens redditur. Quin & qui formidabilem magistratum adit, toto corpore tremit, qui si loqui eum iusserit, ne vocem quidem non tremulam edet. Vt igitur animi affectus, vbi debilitatem motrici facultati intulit fũctiones, tremulas efficit; sic & corporis morbi quum vires labefactant, tremoris symptomata inducunt. Ac primùm quidem maximeque facultatem lædunt *morbi*, qui in intemperie consistunt. Etenim senectus quoque quòd intemperies quædam sit, ad frigidius sicciusque conuersa propterea tremulis affectibus facilè corripitur. Corripiuntur & ex iuuenibus qui vehementer sunt refrigerati, & qui vino meraco se multo impleuerunt, vel multis cruditatibus laborarunt, vel longo tempore cibis repleti, inexercitati ociosique omnino exegerunt; sunt & qui ex frigidâ intempestiuè haustâ tremebundi sunt redditi. Hæc enim omnia frigidam intemperiem creant, sæpe quidem in toto corpore & ipso neruorum principio; interdum verò in quibusdam partibus, quæ imbecilliores naturâ sunt, & ad noxam *subeundam* cæteris magis opportunæ. Iam crassi glutinosique humores vias facultatis sic obstruentes, vt parcior influat *facultas*, tremoris causæ constituuntur, potissimùm quum prorsus obstruxerint, ac neruorum aliquorum partes quasdam resolutas laxasque reddiderint; Nam reliquæ fibræ valenter musculum intendere nequeunt. Vbi tamen humores, qui facultatis vias per neruos obstruunt, non penitus sunt impacti; sed concuti & dimoueri per violentiores facultatis incursiones possunt, eiusmodi motus fiunt, quales in paralysi incipiente nonnunquam accidere priùs diximus, membro se aliquando attollente statimque decidente. Siquidem quum excitata collectaque facultas vehementiùs irruens neruorum obstructiones amolita fuerit, membrum mouetur; rursus autem humoribus in priorem locum confluentibus, decidit immotúmque manet, quoad rursus secundò facultas vniuersa irruens, humores, qui eius vias occuparant, dissipet. Verùm de his hactenus abundè. Palpitatio verò dilatatio præter naturam est; fit autem in omnibus corporis partibus quæ dilatari naturâ suâ possunt; non enim ossa, & cartilagines vnquam palpitant, propterea quòd dilatari non possunt. Ergo hæc cuti sæpe accidit, nonnunquam etiam subiectis illi musculis; maximè verò ventriculo, vesicæ, vtero,

A τοῖν σκελοῖν, ἡνίκα βαδίζῃ τρομώδης γιγνόμενος, οὐδὲ γὰρ οὐδ' ἐκεῖνος ἂν ἔτι τρέμοι παυσάμενος τοῦ βαδίσεως. ἔνεστιν οὖν σοι πολλάκις θεάσασθαι εὐρωστοτάτους νεανίσκους ἀναθεμένους τι τοῖς ὤμοις μέγιστον βάρος, εἶτ' ἐν τῷ προϊέναι τρέμοντας τοῖς σκέλεσιν· εἰ δὲ παύσαιντο βαδίζοντες, ἢ τὸ φορτίον ἀπορρίψαντες, εὐθὺς ἀτρόμους γιγνομένους. ἐπεὶ γὰρ ἐν τῷ πρός τι τὸ βαρὺ καὶ κοῦφόν ἐστιν, εἴη ἂν καὶ τὸ φορτίον οὕτω μέγιστον, ὡς καὶ τοῖς ἰσχυροτάτοις εἶναι βαρύ. τὴν μὲν οὖν εὔρωστον δύναμιν τὸ μέγιστον φορτίον νικᾷ· τὴν δὲ μὴ τοιαύτην οὐ τοῦτο μόνον, ἀλλὰ B καὶ τὸ σμικρόν· εἰ δ' ἐπὶ πλέον ἀρρωστήσειεν, αὐτὸ τὸ σύμφυτον αὐτῆς σῶμα βαρύνει δίκην φορτίου, καὶ διὰ τοῦθ' οἱ γέροντες ἅπαντες ὅταν ἐπιχειρήσωσιν ἐνεργείαις σφοδροτέραις, αὐτίκα τρομώδεις γίγνονται τοῖς ἐνεργοῦσι μέρεσιν. οὕτω δὲ καὶ παρὰ κρημνόν τις προσιὼν, τρέμει τὰ σκέλη, καταβάλλει γὰρ τὴν δύναμιν τὸ δέος. οὕτω καὶ θηρίον [8] ὑποφαινόμενόν τις ὑποφεύγων, τρομώδης καθίσταται. καὶ δὴ καὶ προσιών τις δυνάστῃ φοβερῷ, τρέμει παντὶ τῷ σώματι· καὶ εἰ φθέγξασθαι κελεύσειεν αὐτὸν, οὐδὲ τὴν φωνὴν ἄτρομός ἐστιν. ὡς οὖν τὸ ψυχικὸν C πάθος ἀρρωστίαν ἐργασάμενον τῇ κινούσῃ δυνάμει, τρομώδεις ἀποτελεῖ τὰς ἐνεργείας, οὕτω καὶ τὰ τοῦ σώματος νοσήματα βλάπτοντα τὴν δύναμιν, ἐπιφέρει τὰ τρομώδη συμπτώματα. πρῶτα μὲν οὖν καὶ μάλιστα βλάπτει τὴν δύναμιν, ὅσα κατὰ δυσκρασίαν συνίσταται· καὶ γὰρ καὶ τὸ γῆρας, ὅτι δυσκρασία τίς ἐστιν ἐπὶ τὸ ψυχρότερόν τε καὶ ξηρότερον, διὰ τοῦτο ἑτοίμως ἁλίσκεται τρομώδεσι πάθεσιν· ἁλίσκονται δὲ τῶν νεωτέρων οἵ τε ψυχθέντες ἰσχυρῶς, καὶ ὅσοι πολὺν [9] ἐνεφορήθησαν ἐπὶ τὸ ἀκράτου οἴνου, ἢ πολλὰς ἀπεψίας ἠπέπτησαν, ἢ χρόνῳ [10] πολλῷ σιτίων ἐμπιπλάμενοι, διετέλεσαν ἀγύμναστοί τε καὶ D ἀργοὶ παντελῶς· εἰσὶ δὲ οἳ καὶ ψυχρὸν ὕδωρ οὐκ ἐν καιρῷ προσενεγκάμενοι, τρομώδεις ἐγένοντο. τὰ γὰρ τοιαῦτα πάντα ψυχρὰν δυσκρασίαν ἐργάζεται; πολλάκις μὲν ἐν ὅλῳ τῷ σώματι καὶ καθ' αὐτὴν τῶν νεύρων τὴν ἀρχὴν, ἐνίοτε δ' ἔν τισι μέρεσιν, ἅπερ ἀσθενέστερά τε τῇ φύσει καὶ βλαβῆναι τῶν ἄλλων ἐπιτηδειότερα τύχῃ. καὶ μὲν δὴ καὶ οἱ παχεῖς καὶ γλίσχροι χυμοὶ τὰς ὁδοὺς τῆς δυνάμεως ἐμφράττοντες, ὡς ἐπιρρεῖν ἐλάττονα, τρόμων αἴτια καθίστανται, καὶ μάλιστα ὅταν ἀκριβῶς ἐμφράξωσι καὶ παραλύσωσι μόρια ἄττα νεύρων τινῶν. αἱ γὰρ ὑπόλοιποι τῶν ἰνῶν ἀδυνατοῦσιν ἰσχυρῶς ἐντείνειν τὸν E μῦν. ἐπειδὰν μέντοι τὰ φράττοντα τὰς διὰ τῶν νεύρων ὁδοὺς τῆς δυνάμεως ὑγρὰ μηδέπω τελέως ἐμπεπλασμένα τύχῃ, διασείεσθαι δέ τι καὶ ἐξακινεῖσθαι δύνηται κατὰ τὰς βιαιοτέρας ἐμπτώσεις τῆς δυνάμεως, αἱ τοιαῦται γίγνονται κινήσεις, οἵας ἔμπροσθεν ἔφαμεν ἐν παραλύσεσιν ἀρχομέναις ἐνίοτε συμβαίνειν, ἐπαιρομένου μὲν ἐνίοτε τοῦ κώλου, καταπίπτοντος δ' αὐτίκα. κατὰ μὲν γὰρ τὴν ἔμπτωσιν τῆς δυνάμεως ὅταν ἐπεγείρασά τε καὶ συναθροίσασα σφοδροτέραν ἑαυτὴν ἀπώσηται τὰ τῶν νεύρων ἐμφράγματα, κινεῖται τὸ κῶλον· αὖθις δὲ τῶν διωσθέντων εἰς τὸν ἐξ ἀρχῆς τόπον συρρεόντων, καταπίπτει τε καὶ F ἀκίνητον κεῖται, μέχρι περ ἂν πάλιν ἐκ δευτέρου ἡ δύναμις ἀθροωτέρα ἐμπεσοῦσα, διασκεδάσῃ τοὺς χυμοὺς, οἳ κατειλήφασιν αὐτῆς τὰς ὁδούς. ἀλλὰ περὶ μὲν τούτων ἱκανὰ καὶ ταῦτα. ὁ δὲ παλμὸς ἐστὶ μὲν διαστολὴ παρὰ φύσιν, ἐν ἅπασι δὲ γίγνεται τοῖς μορίοις ὅσα γε διαστέλλεσθαι πέφυκεν. οὐ γὰρ δὴ τά γε ὀστᾶ καὶ οἱ χόνδροι πάλλονταί ποτε, διότι μὴ διαστέλλεσθαι δύνανται. ταῦτ' ἄρα καὶ κατὰ τὸ δέρμα συμπίπτει πολλάκις, ἔστι δ' ὅτε καὶ κατὰ τοὺς ὑποκειμένους αὐτῷ μύας,

ἀτὰρ οὐχ ἥκιστα καὶ κατὰ γαστέρα καὶ κύστιν καὶ τὴν μήτραν ἔντερά τε καὶ ἧπαρ καὶ σπλῆνα καὶ διάφραγμα καὶ, συλλήβδην εἰπεῖν, ἅπανθ' ὅσα διαστέλλεσθαι πέφυκεν, ὥστε καὶ ταῖς ἀρτηρίαις καὶ αὐτῇ τῇ καρδίᾳ φαίνεται συμπίπτων, ἑτέρας ταύτης κινήσεως ἐν ταύταις γιγνομένης παρὰ τὸν σφυγμόν. οὔτ' οὖν τῆς προαιρετικῆς δυνάμεως, οὔτε τῶν προαιρετικῶν ὀργάνων ἴδιόν ἐστι τὸ πάθος, ὥσπερ ὁ τρόμος τε καὶ ὁ σπασμός, ἀλλ', ὡς ἀρτίως εἴρηται, πᾶσι τοῖς διαστέλλεσθαι δυναμένοις ἐγγίνεται σώμασιν. ἔστι δὲ δή που ταῦτα πάντα μαλακὰ τὴν φύσιν, ὡς διάστασίν τε καὶ συνίζησιν ὑπομένειν δύνασθαι. τὴν δ' αἰτίαν τοῦ συμπτώματος ἀπὸ τῶν ἐναργεστάτων φαινομένων ἐξευρίσκειν προσήκει, τούτων δὴ τῶν κατὰ βλέφαρά τε καὶ ὀφρῦς καὶ μέτωπον καὶ μῆλα συμπιπτόντων παλμῶν. ὁρᾶται γὰρ ἐν αὐτοῖς ἐξαιρόμενόν τε καὶ διαφυσώμενον τὸ δέρμα, καθ' ὃν αἱ ἀρτηρίαι διαστέλλονται τρόπον. ὅπερ οὖν ἐπ' ἐκείνων ἐζήτηται, πότερον ἐξ αὑτῶν διαστελλόμεναι συνεπισπῶνται τῇ διαστολῇ τὸ πληρῶσον, ὥσπερ αἱ φῦσαι τῶν χαλκέων, ἢ πληρούμεναι δίκην ἀσκῶν διαστέλλονται, τοῦτό σε χρὴ κἀπὶ τῶν παλλομένων μορίων διορίσασθαι πρότερον. ἔοικε δὲ τῷ μὲν γένει τῆς ζητήσεως ὁμοιοῦσθαι ταῖς κατὰ τὰς ἀρτηρίας, τῷ δ' ἑτοίμῳ τῆς εὑρέσεως ἀποκεχωρῆσθαι. οὐ γὰρ δὴ ὥσπερ ταῖς ἀρτηρίαις ἀεί τε καὶ κατὰ φύσιν σφυζούσαις εἰκὸς εἶναί τινα δύναμιν ἔμφυτον, οὕτω καὶ τοῖς παλλομένοις μέρεσι. διὰ παντὸς γὰρ ἂν ὑπῆρχεν αὐτοῖς, καὶ ὑγιαίνουσι μᾶλλον. ὁπότε οὖν οὔτε διὰ παντὸς οὔτε ὑγιαίνουσι, δῆλον ὡς οὐ δι' ἐξ ἑαυτῶν διαστέλλονται. καὶ μὴν εἴπερ οὐκ ἐξ ἑαυτῶν, πάντως δήπου πρός τινος οὐσίας ἔνδοθεν ἐπιρρεούσης αὐτοῖς. διττὴν δ' εἶναι ταύτην εἰκός, ἤτοι χυμὸν ἢ ἀερώδη τινὰ φύσιν. χυμὸν μὲν οὖν οὐχ ὁμολογεῖ τὸ τάχος οὔτε τῆς γενέσεως οὔτε τῆς λύσεως τοῦ παλμοῦ· καὶ γὰρ ἐξαίφνης γίνεται καὶ παύεται παραχρῆμα, χυμὸς δ' οὐδεὶς οὕτως οὔτε ἐπιρρεῖ ταχέως, οὔτ' ἀπορρεῖ, καὶ μάλιστ' ἐν οἷς ἄρτι λέλεκται μέρεσι τοῖς κατὰ τὸ πρόσωπον, ἐπὶ ψιλοῖς σχεδόν τι τοῖς ὀστοῖς ἐπιτεταμένου τοῦ δέρματος· ὥστε ἀνάγκη τὴν ἐργαζομένην τοὺς παλμοὺς αἰτίαν, ἀερώδη τινὰ οὐσίαν ὑπάρχειν. ἀλλ' εἴπερ ὀλίγη τε εἴη αὕτη καὶ λεπτομερής, ἑτοίμως ἂν διέρρει τοῦ σώματος. ἔοικε δὴ ἄρα παχυμερής τις εἶναι καὶ ἀτμώδης καὶ τὸ πλῆθος ἀξιόλογον, ὡς πρὸς τὸ χωρίον, ἐν ᾧπερ ἂν ἑκάστοτε συνίσταται. διαστέλλεται οὖν, ὡς εἰκός, καὶ ἐξαίρει καὶ διαφυσᾷ τὸ μέρος, ἄχρι περ ἂν ὠθουμένη τε καὶ βιαζομένη πρὸς τὸ συγγενὲς ἀναπνεύσῃ, ὁμοίως συμβαίνοντος τοῖς κατὰ τὰς ἐν τοῖς ἑψομένοις χυλοῖς πομφόλυγας, πλήν γε ὅτι ῥήγνυνται μὲν αἱ πομφόλυγες, τὸ παλλόμενον δ' οὐ ῥήγνυται σῶμα διὰ τὴν ἰσχύν, ἀλλ' ἐξαίρεται μέν, ἄχρι περ ἂν ὠθῆταί τε καὶ διεξέρχηται δι' αὐτοῦ τὸ πνεῦμα, καταπίπτει δ' αὖθις εἰς τὴν ἐξ ἀρχῆς ἕδραν, ἐπειδὰν ἐκκενωθῇ τε, καὶ διεξέλθῃ τὸ πᾶν. εὐλόγως δὲ καὶ τοῖς ψυχθεῖσιν ὁποιουοῦν μέρος οἱ παλμοὶ συμβαίνουσιν. ὃ γὰρ ἐν τῷ κατὰ φύσιν ἔχειν ἀπέρρει λεπτυνόμενόν τε καὶ κατεργαζόμενον ἀκριβῶς ὑπὸ τοῦ συμφύτου τοῖς ζῴοις θερμοῦ, τοῦτο νῦν ἀρρωστήσαντος αὐτοῦ διὰ τὴν ψύξιν ἀτμωδέστερον, καὶ παχυμερέστερον γίνεται· ὥστ' οὐχ ἑτοίμως διαπνεῖται, καθάπερ ἔμπροσθεν, ἀλλ' ἴσχεταί τε κατὰ τὸ δέρμα, καὶ στενοχωρούμενον ἐν τῇ διεξόδῳ βραδύνει κατὰ τὴν ὁδόν. εἰ δὲ καὶ αὐτὸ τὸ δέρμα πυκνωθείη, διπλασιασθήσεται τὸ σύμπτωμα, τοῦ

A intestinis, iecori, lieni, septo transuerso & (vt summatim dicam) omnibus, quæ dilatari possunt, ita vt tum arteriis tum cordi ipsi videatur accidere, quum hic alius in his præter pulsum motus suboriatur. Itaque hic affectus neque voluntariæ facultatis, neque voluntariorum organorum proprius est, vt & tremor & conuulsio; sed, vt nuper dictum est, omnibus corporibus quæ dilatari possunt, incidit. Sunt autem hæc omnia naturâ mollia, ita vt tum dilatationem sui tolerare, tum subsidere possint. B Sanè causam huius symptomatis ab manifestissimè apparentibus indagari conuenit, nempe iis palpitationibus, quæ palpebris, quæ superciliis, quæ fronti, quæ denique genis oboriuntur. Cernitur enim in iis cutis & attolli & inflari ad eum modum, quo arteriæ dilatantur. Ergo quod in iis quæsitum est, vtrúmne quum à seipsis dilatantur, vnâ cum dilatatione trahant id quod eas implebit, veluti fabrorum folles; an vtrium ritu, quum implentur, dilatantur, hoc idem te primum definisse in palpitantibus quoque partibus oportet. C Videntur autem *hæ partes* quæstionis quidem genere in re aliquâ arteriis esse similes; facilitate autem inuentionis dissimiles. Non enim vt arteriis & semper & secundum naturam pulsantibus probabile est facultatem *pulsus effectricem* aliquam innatam esse, ita etiam partibus, quæ palpitant; Nam & semper iis inesset, ac bene valentibus magis. Quum itaque *talis* facultas neque semper, neque bene habentibus insit, liquet eas à se ipsis non dilatari. At verò si non à seipsis, omnino certè ab aliquâ interius in ipsas influente substantiâ. D Hanc autem duplicem esse causam credibile est, vel humorem quempiam, vel aëream aliquam naturam. Atqui humorem esse repugnat celeritas tum generationis, tum solutionis palpitationis; Nam & ilico fit, & statim desinit. Humor autem nullus aut ita celeriter influit aut refluit, potissimùm in iis, quas modo memoraui, circa faciem partibus, vt in quibus super nuda propemodum ossa cutis extenditur. Itaq; necesse est causam palpitationis effectricem, aëream esse substantiam. At verò si hæc tum pauca tum tenuis fuerit, facilè per corpus E defluet: Proinde videtur esse substantia quædam crassa & halituosa, & pro sui multitudine, ad loci quo vndique continetur spatium notabilis. Ergo dilatat (vt verisimile est) attollitque ac inflat partem, quoad trusa & vi compulsa ad congenerem perspiret aërem, quum simile accidat ei, quod dum coquuntur succi, visitur in bullis; nisi quòd bullæ hîc rumpuntur, palpitans corpus ob firmitudinem non rumpitur, sed attollitur, quoad flatus per id extrudatur ac transeat; decidit rursus in pristinam sedem, vbi totus vacuatus est & exiuit. F Consentaneum autem est & iis quibus perfrigerata est aliqua pars, palpitationes accidere. Quod enim *ab eâ* quum secundum naturam se habet, attenuatur, planeque à natiuo animalium calore conficitur, effluit id nunc, vbi ea pars propter frigus est imbecilla, & halituosius & crassius efficitur. Ita nec facilè sicut priùs, perspirat, sed cohibetur à cute & transitus angustiâ impeditum in viâ tardatur. Quòd si ipsa quoque cutis sit densata, duplicabitur symptoma ad

cras-

crassitudinem transfluentis substantiæ angustiâ quoq; viarum accedente. Sic igitur in palpitationibus attollitur & distenditur cutis. Sic & musculi, quum in his eiusmodi excrementum colligitur, dilatati aliquando totum membrum attollunt. Distat tamen manifestissimè is motus à motu conuulsionis, quòd membrum neque prorsus extendat neque inflectat. In palpitationibus enim membrum, nec quod notabile sit extenditur, nec inflectitur; concutitur autem quodammodo huc atque illuc, quoad musculus palpitare cesset, ad eum sanè modum motu obito, quo etiam in tremore; eo autem differente, quòd per magna fiat interualla, cum tremor incidat per exigua. Siquidem palpitans musculus cum satis notabili magnitudine est, dum dilatatur, totum sæpenumero membrum secum attollit; dum contrahitur, tanquam rem inanimem deorsum ferri concedit, ita vt totus motus præter naturam sit, non autem sicut in tremore, mixtus quodammodo & compositus. At qualis est palpitantium membrorum motus, paucus simul tardusque & rarus; talis rigoribus multus, densus, celer accidit. Multum dico, ipso motuum numero; celerem autem, ipso motus impetu; densum, ipso breui tempore quietum. Est autem motus hic non vt palpitationi & conuulsioni totus præter naturam, sed alio modo, quam tremor. Est igitur ipse quoque mixtus quodammodo ex causa præter naturam, & animalis facultate; habeturque in hoc facultatis plus quàm in tremore. Imo verò (si fateri verum oportet) motus omnis insitæ est facultatis, quam nos excretricem & expultricem nominare solemus. At causa facultatem cogens proritansque vt violenter moueat, præter naturam est.

CAPVT III.

De motibus qui Symptomata sunt ob causas naturam cogentes.

QVISQVIS igitur huius facultatis functiones, dum sanum citra læsionem animal est, nouit, estque alioqui prudens, huic longiore sermone opus non est; qui verò eas ignorauerit & mentis naturâ fuerit hebetioris, huic suaserim nisi omnino veritatem amet, ab hoc libro secedere; si verò veritatem studio perquirat colatque, vbi de naturalibus facultatibus commentarios priùs adierit & se affatim in iis exercuerit, ad hunc librum redire. Nisi enim id fecerit, neque demonstrationes eorum quæ â nobis dicentur assequetur, neque eorum quæ priùs dicta sunt, quicquam citra demonstrationem positum intelliget. Nos itaque statuimus, nullam hoc in opere opinionem refellere. Licet autem volenti vigesimoquarto Athenæi libro prælecto, causas quas eo priores cùm medici, tum philosophi de rigore protulerunt, in quantas ineptias deuenerint intelligere; refellit enim eas omnes Athenæus. Licet sanè & ipsam Athenæi opinionem examinare, quæ quidem probabilius quidpiam superioribus habet, non tamen ipsa vera est. Verùm cui veritas est curæ, is hæc opinor, quemad-

A πάχους τῆς διαῤῥεούσης οὐσίας προσλαβόντος τὴν στενότητα τῶν ὁδῶν. οὕτω μὲν οὖν ἐν ταῖς παλμοῖς ἐξαίρεταί τε καὶ [11] διαστέλλεται τὸ δέρμα. οὕτω δὲ καὶ οἱ μύες, ὅταν ἐν αὐτοῖς ἀθροίζηται τὸ τοιοῦτον περίττωμα, συνεξαίρουσιν ἐνίοτε διαστελλόμενοι τὸ κῶλον ἅπαν. ἀλλ' ἡ τοιαύτη κίνησις ἐναργέστατα διαφέρει τῆς σπασμώδους, τῷ μήτ' ἐκτείνειν ἀκριβῶς μήτε κάμπτειν τὸ κῶλον. ἐπὶ γάρ τοι τῶν παλμῶν ἐκτείνεται μὲν ἢ κάμπτεται τὸ κῶλον οὐδὲν ὅτι καὶ ἄξιον λόγου, διασείεται δέ πως ἐφ' ἑκάτερα, μέχρις ἂν ὁ μῦς παύσηται παλλόμενος, B ἐν μὲν ταὐτῷ τρόπῳ τῆς κινήσεως ἐπιτελουμένης, ἐν ᾧπερ καὶ ὁ τρόμος, διαλλαττούσης δ' ἐν τῷ κατὰ μεγάλα γίγνεσθαι διαστήματα, κατὰ σμικρὰ τοῦ τρόμου συμπίπτοντος. ὁ γάρ τοι παλλόμενος μῦς ὅταν ἀξιόλογος ᾖ τὸ μέγεθος, ἐν μὲν τῷ διαστέλλεσθαι συνεξαίρει τὸ κῶλον ὅλον ἑαυτῷ πολλάκις, ἐν δὲ τῷ συστέλλεσθαι, συγχωρεῖ φέρεσθαι κάτω, καθάπερ ἄψυχον, ὥστ' εἶναι τὴν κίνησιν ἅπασαν παρὰ φύσιν, οὐχ ὥσπερ ἐπὶ τοῦ τρόμου μικτήν γέ πως καὶ σύνθετον. ὁποία δὲ ἡ τῶν παλλομένων κώλων γίγνεται κίνησις ὀλίγη τε ἅμα καὶ βραδεῖα καὶ ἀραιά, C τοιαύτη τοῖς ῥιγοῦσι συμπίπτει πολλή τε ἅμα καὶ πυκνὴ καὶ [12] ταχεῖα. λέγω δὴ πολλὴν μὲν, αὐτῷ τῷ τῶν κινήσεων ἀριθμῷ· ταχεῖαν δὲ, τῷ ῥοίζῳ τῆς φορᾶς· πυκνὴν δὲ, τῷ βραχυχρονίῳ τῆς ἡσυχιῶν. ἔστι δ' οὐχ ὡσαύτως ἡ κίνησις ἥδε παλμῷ καὶ σπασμῷ ὅλη παρὰ φύσιν, ἀλλ' ἕτερον μὲν τρόπον, ἤπερ ὁ τρόμος. ἐπίμικτος δ' οὖν καὶ αὕτη πώς ἐστιν ἔκ τε τῆς παρὰ φύσιν αἰτίας καὶ τῆς τοῦ ζώου δυνάμεως, καὶ πλέον γ' [13] ἐπὶ ταύτης ἐστὶν, ἤπερ ἐν τοῖς τρόμοις τὸ τῆς δυνάμεως. μᾶλλόν τ' εἰ χρὴ τ' ἀληθὲς εἰπεῖν ἡ μὲν κίνησις ἅπασα συμφύτου δυνάμεώς ἐστιν, ἣν ὀνομάζειν D ἔθος ἡμῖν ἐκκριτικήν τε καὶ ἀποκριτικήν· ἡ δὲ τὴν δύναμιν ἀναγκάζουσά τε καὶ βιαζομένη κινεῖσθαι βιαίως αἰτία παρὰ φύσιν ἐστίν.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Περὶ κινήσεων τῶν συμπτωμάτων τῶν διὰ τὰς αἰτίας τὴν φύσιν ἀναγκαζούσας γιγνομένων.

ΟΣτις μὲν οὖν ἱκανῶς κατενόησε τὰς ἐνεργείας τῆς δυνάμεως ταύτης, ὑγιαίνοντος ἀμέμπτως τοῦ ζώου, καὶ ἄλλως ἐστὶ συνετὸς, οὐδὲν δεῖ τούτῳ μακροτέρου λόγου. E ὅστις δ' οὔτ' ἐκείνας ἔγνω, καὶ τὴν διάνοιαν ἀμβλύτερος ἔφυ, τούτῳ συμβουλεύσαιμ' ἂν, εἰ μὲν μὴ δ' ὅλως ἀληθείας ἐρᾷ, χωρίζεσθαι τοῦδε τοῦ γράμματος, εἰ δ' ἐσπούδακέ τε καὶ τιμᾷ τὸ ἀληθὲς, ἐπὶ τὰ τῶν φυσικῶν δυνάμεων ὑπομνήματα πρότερον ἀπελθόντι, καὶ γυμνασαμένῳ ἱκανῶς ἐν αὐτοῖς, οὕτως ἐπὶ τόνδε τὸν λόγον ἐπανελθεῖν. εἰ μὴ γὰρ τοῦτο ποιήσειεν, οὔτε τῶν ὑφ' ἡμῶν λεχθησομένων παρακολουθήσει ταῖς ἀποδείξεσιν, οὔτε τῶν ἔμπροσθεν εἰρημένων κατανοήσει τὸ ἀναπόδεικτον. ἐγὼ F μὲν οὖν προὐθέμην ἐν τῇδε τῇ πραγματείᾳ μηδεμίαν ἐξελέγξαι δόξαν. ἔνεστι δὲ τῷ βουλομένῳ τὴν εἰκοστὴν καὶ τετάρτην Ἀθηναίου βίβλον ἀναγνόντι, τὰς ὑπὸ τῶν ἐκείνου πρεσβυτέρων ἰατρῶν τε καὶ φιλοσόφων εἰρημένας αἰτίας περὶ ῥίγους, εἰς ὅσον ἥκουσιν ἀτοπίας καταμαθεῖν, ἐξελέγχει γὰρ ἁπάσας αὐτὰς ὁ Ἀθήναιος. ἔνεστι δὲ καὶ αὐτὴν Ἀθηναίου δόξαν βασανίσαι, πιθανώτερον μὲν τι τῶν ἔμπροσθεν ἔχουσαν, οὐ μὴν οὐδ' αὐτὴν ἀληθεύουσαν. ἀλλὰ ταῦτα μὲν ὅτῳ φροντὶς ἀληθείας, οἶδ' ὅτι καθ' ὃν [14] ὑφήγημαι τρό-

πον, ὅ τι περ ἂν δέηται ποιεῖν. ἐγὼ δὴ ὡς ἀνεγνωκόσι τὰ περὶ φυσικῶν δυνάμεων ὑφ' ἡμῶν γεγραμμένα διαλέξομαι βραχέα πρότερον ἀναμνήσας, ὧν ἐν αὐτοῖς ἀπέδειξα περί τε μήτρας καὶ γαστρὸς, ἐντέρων τε κύστεως. αἵ τε γὰρ μῆτραι κατ' οὐδένα τρόπον ἐδείχθησαν εἰς ἀποκύησιν ὁρμῶσαι τῶν ἐμβρύων ἢ διὰ τὴν τῆς ἀποκριτικῆς δυνάμεως ἐνέργειαν. αἱ γοῦν ἐννέα μησὶν ἀνεχόμεναι τοῦ τε βάρους τοῦ κατὰ τὸ ἔμβρυον καὶ τῆς σφῶν αὐτῶν διαστάσεως, καὶ οὕτως ἀκριβῶς ἐν ἅπαντι τούτῳ χρόνῳ μεμυκυῖαι τὸ στόμιον, ὡς μηδὲ πυρῆνα μήλης προσδέχεσθαι, τελειουμένων ἐν αὐταῖς τῶν κυουμένων, ἐπὶ τὴν ἀπόκρισιν αὐτῶν παραγίνονται τὴν ἐναντίαν [15] ἑαυταῖς περιτιθεῖσαι κατάστασιν. ὁ μὲν γὰρ στόμαχος αὐτῶν ὁ πρότερον μεμυκὼς ἀνοίγνυται τηλικοῦτον, ὡς γίγνεσθαι δίοδον εὐπετῆ τοῖς τικτομένοις. οἱ δὲ χιτῶνες οἱ πρότερον ἐπὶ πλεῖστον ἐκτεταμένοι συστέλλονται πανταχόθεν ἀπωθοῦσί τε γε τὸ ἔμβρυον, ὡς διεκπεσεῖν ὅτι τάχιστα τοῦ τῶν ὑστερῶν αὐχένος. ἡ δὴ οὕτω κηδεμονικὴ τῶν ἐμβρύων δύναμις, ὡς ἀνέχεσθαι μὲν ἐννέα μηνῶν χρόνῳ βαρυνομένη, τελειωθέντων δ' ὅπως ἀσφαλῶς ἐκκριθῇ προνοουμένη, περὶ τὸν τρίτον ἢ τέταρτον ἢ ὁντιναοῦν ἄλλον μῆνα διαφθαρέν, εὐθέως ἐκβάλλει τὸ ἔμβρυον, ἀνοίγνυσα καὶ νῦν ὁμοίως τὸν στόμαχον, ὡς ὁπότ' ἤνοιγεν ἐπιστάντος τοῦ τόκου. προθεσμία γὰρ αὐτῇ τοῦ κλείειν τε καὶ ἀνοίγειν, οὐχ ὡρισμένη χρόνου περίοδός ἐστιν, ἀλλ' ὁ τῆς χρείας καιρός. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐδείκνυτο καὶ ἡ κοιλία, κλείουσα τὸ κάτω στόμιον ἑαυτῆς ἐπὶ ταῖς ἐδωδαῖς, καὶ μηδὲν μεθιεῖσα διεξέρχεσθαι, πρὶν πεφθῆναι τελείως· ὅταν γε μηδὲν ἕτερόν τι αὐτὴν ἀναγκάζῃ διακόψαι τὴν ἐνέργειαν, ὥσπερ τὰς μήτρας ἡ τῶν ἐμβρύων διαφθορά. ἀνάλογον γὰρ δή τι καὶ τῇ γαστρὶ πάθος ἐγγίγνεται διαφθαρέντων ἐν αὐτῇ τῶν σιτίων, ἢ καὶ νὴ Δία πολλάκις ἅμα τῷ ληφθῆναι, μοχθηρῶν οὕτως ὑπαρχόντων ἢ καὶ πολλῶν, ὡς μὴ δύνασθαι φέρειν αὐτά. καὶ διὰ τοῦτο τὰ μὲν ἐπιπολάζοντα δι' ἐμέτων ἐκβάλλει, τὰ δὲ ἤδη ῥέποντα κάτω πρὸς ἐκείνην ἀπωθεῖται τὴν διέξοδον. ἀλλὰ μὴν καὶ χωρὶς σιτίων εἰς ἔμετον πολλάκις ἡ τῆς γαστρὸς δύναμις ἐξορμᾷ, ἤτοι διὰ χολὴν, ἢ φλέγμα μοχθηρὸν, ἤ τινα τοιοῦτον ἕτερον χυμὸν, ἢ ἰχῶρα. σύμφυτος γὰρ ἑκάστῳ τῶν τοῦ ζώου μορίων δύναμίς ἐστιν, ἐκκρίνουσα τὸ παρὰ φύσιν ἐν αὐτῷ συνιστάμενον, ὡς ἐν τοῖς ἰδίοις ὑπὲρ αὐτῆς ἀποδέδεικται λόγοις· ἀρκεῖ γὰρ εἴς τε τὰ παρόντα σαφηνείας ἕνεκα τῶν ἔργων ἐπιμνησθῆναι τῆς τοιαύτης δυνάμεως, ὅσα τ' ἄλλα λέλεκται περί τε μητρῶν καὶ γαστρός. οἵα γάρ τίς ἐστι κατὰ τοὺς ἐμέτους ἐνέργεια τῆς ἐκκριτικῆς ἐν τῇ γαστρὶ δυνάμεως, τοιαύτη κατὰ τὰς βῆχας ἐν θώρακι καὶ πνεύμονι. διδάσκεται δ' οὐδὲν ζῷον οὔτε ναυτιᾶν οὔτ' ἐμεῖν οὔτε βήττειν, ἀλλὰ καὶ παμπόλλῳ χρόνῳ πολλάκις ἀπὸ γενετῆς, ἀμέμπτως ὑγιαίνοντα καὶ ἄλλα πολλὰ ζῷα καὶ ἄνθρωποι οὔτ' ἐμέτων ἐπειράθησαν, οὔτε βηχός. ἀλλ' ἐὰν καταλάβῃ τὸ λυποῦν αἴτιον ἤτοι τὸ στόμα τῆς κοιλίας ἢ τὰς ὁδοὺς τῆς ἀναπνοῆς, εὐθὺς ἐμεῖ τε καὶ βήττει τὸ ζῷον, ἐν μὲν τοῖς ἐμέτοις ὁμοίως κινουμένης τῆς γαστρὸς, ὡς ἐν τοῖς τόκοις αἱ μῆτραι. κατὰ δὲ τὰς βῆχας [16] ἑτέρως. οὐ γὰρ ἐγχωρεῖ τῷ πνεύμονι τοιαύτην κινηθέντι κίνησιν, ἀπώσασθαι τὸ λυποῦν ἐξευρούσης τῆς φύσεως ἐπικουρίαν τινὰ περιττῶς σοφήν. ἅτε γὰρ εἰς τὰς τραχείας ἀρτηρίας εἰσπνεομένου τοῦ ἔξωθεν ἀέρος, αἳ δὴ χονδρώδεις τέ εἰσι καὶ

A modum exposui, sic facere tentabit. Ego verò, veluti cum iis qui ea quæ de naturalibus facultatibus scripsimus legerunt, paucis agam, si priùs ad memoriam reuocauero, quæ de vtero, ventriculo, intestinis, ac vesicâ in iis demonstraui. Siquidem demonstratum est, vteros nullo alio modo ad fœtuum editionem se comparare, quàm expultricis facultatis actione. Hi siquidem tum fœtus grauitatem tum sui distentionem nouem mensibus perferunt, atque ita ad vnguem toto hoc tempore eorum osculum clauditur, vt ne styli quidem mucronem recipiat, absoluto in ipsis fœtu, ad eius ex- B pulsionem accedunt, diuersam sibi ipsis constitutionem tribuentes. Etenim eorum fauces priùs clausæ tantopere aperiuntur, vt fœtui facilis detur exitus; tunicæ verò, antea plurimum exstensæ vndique contrahuntur ac fœtum extrudunt, vt quàm celerrimè per vteri ceruicem excidat. At moderatrix fœtus facultas ita solicita, vt, licet grauetur, nouem mensium spatio substineat & quò perfectus tutò excernatur, prouideat; si circa tertium quartúmve aut alium mensem fœtus sit corruptus, statim eum eiicit, tum quoque simi- C liter fauces aperiens, vt quum pariendi tempus instabat, aperuit. Nam præfinitum illi claudendi se aperiendique tempus, non circunscriptus temporis circuitus est, sed vsus occasio. Ad eundem modum demonstratum est ventriculum quoque inferius orificium suum post cibos claudere, nihilque sinere abire, priusquam planè sit concoctum; quum eum nihil aliud intercidere actionem cogit, quemadmodum vterum fœtus corruptela; quippe similis affectus ventriculo incidit, cibis in eo corruptis aut medius fidius multoties simul D atque sunt deuorati, ita deprauatis aut copiosis existentibus, vt eos ferre non possit. Quamobrem innatantes in ipso cibos vomitionibus eiicit; deorsum verò iam prolabentes, ad exitum per inferiora detrudit. Sed & citra cibos ventriculi facultas sæpe ad vomitum insurgit, aut ob bilem, aut prauam pituitam, aut alium quempiam eiusmodi humorem, saniemve. Insita nanque est singulis animalis partibus facultas, quæ quod præter naturam in ipsis est collectum, excernit, vt in propriis de ea *facul-* E *tate* libris demonstratum est. Satius nanque est ad præsentis disputationis claritatem ea, ex huiusce facultatis operibus retulisse, quæ de vtero & ventriculo dicta sunt. Etenim qualis est per vomitiones excretricis in ventriculo facultatis actio; talis est per tusses in pectore & pulmone. At nullum animal aut nauseare aut vomere aut tussire docetur; sed enim longo sæpe à natali tempore integrâ sanitate fruentia, tum alia multa animalia, tum homines neque vomitus neque tussis expe- F rientiam habuerunt; si tamen molesta causa vel os ventriculi vel respirationis vias occupauerit, ilicò & tussit & vomit animal, quum in vomitu perinde mouetur ventriculus, ac in partu vterus. In tussi verò aliter *fit motus*; neque enim potest pulmo tali motu concitatus, quod molestum est expellere, quum inuenerit natura auxilium quoddam ab exuberanti sapientia profectum; inspirato enim in asperas arterias externo aëre, quæ & cartilagineæ & duræ

duræ sint, neque contrahi queant circa id, quod in ipsis continetur, vehementem hanc spiritus foras eruptionem machinata est, quam tussim nominant. Huius generis quoque sternutatio est, qua protruduntur quæ nares irritant; hæ videlicet respirationis sunt viæ à naturâ inuentæ; expurgat enim spiritus ipse violenter & impetu ruens ipsarum vias, quemadmodum quum tibias & fistulas *expurgant* opifices. Quis tamen mouendi modus sit, quo hoc fiat, progressus orationis docebit; quòd verò ad res propositas est vtile, iam accipiamus, eiusmodi motus naturæ esse opera, sed tamen annumerari symptomatis præter naturam, ob causas naturam moueri sic cogentes. At in intestinis quidem & vtero, & vesica excretricis facultatis similes motus sunt, siue quid eorum quæ secundum naturam, siue quæ præter naturam sunt, excernatur; quamobrem symptomata non clarè distincta sunt. At quæ in tenesmis & dysenteriis & lienteriis excernuntur, symptomata sunt; quemadmodum (arbitror) quæ tum in vrinæ stillicidio, tum fluore; quod siquis accuratè perpendat, etiam sonorus flatus & stridor & ructus & murmurillum & quæ sunt huiusmodi cætera. atque de his in sequentibus dicetur.

σκληραί, καὶ συστέλλεσθαι περὶ τὸ ἐνυπάρχον αὐταῖς ἀδύνατοι, σφοδράν τινα τοιαύτην ἐπετεχνήσατο τοῦ πνεύματος ἔξω φοράν, ἣν ὀνομάζουσι βῆχα. τούτου τοῦ γένους ἐστὶ καὶ ὁ πταρμός, ὑπὲρ τοῦ διώσασθαι τὰ κατὰ τὰς ῥῖνας, αἳ δὴ καὶ αὗται τῆς ἀναπνοῆς εἰσιν ὁδοὶ ὑπὸ τῆς φύσεως εὑρημέναι. ἐκκαθαίρει γὰρ αὐτὸ τὸ πνεῦμα τὰς ὁδοὺς[17] ἑαυτοῦ, βιαίως τε καὶ σφοδρῶς φερόμενον, ὥσπερ τοὺς αὐλούς τε καὶ τὰς σύριγγας οἱ δημιουργοί. ὅστις μὲν οὖν ἐστιν ὁ τρόπος τῆς κινήσεως, ἵνα γένηται τοῦτο, προϊὼν ὁ λόγος ἐπιδείξει. τὸ δ᾽ εἰς τὰ προκείμενα χρήσιμον ἤδη λαμβάνωμεν, ὡς αἱ τοιαῦται κινήσεις ἔργα μὲν φύσεως ὑπάρχουσιν, ἐν δὲ τοῖς παρὰ φύσιν ἀριθμοῦνται συμπτώμασι, διὰ τὰς ἀναγκαζούσας οὕτω κινεῖσθαι τὴν φύσιν αἰτίας. ἐπὶ μὲν οὖν ἐντέρων τε καὶ μητρῶν καὶ κύστεων αἱ κινήσεις ὅμοιαι τῆς ἐκκριτικῆς δυνάμεώς εἰσιν, ἄν τε τῶν κατὰ φύσιν, ἄν τε τῶν παρὰ φύσιν ἐκκρίνηταί τι. καὶ διὰ τοῦτο σαφῶς οὐκ ἀφώρισται τὰ συμπτώματα, καίτοι τά γε κατὰ τοὺς τεινεσμούς τε καὶ δυσεντερίας καὶ λειεντερίας ἐκκρινόμενα, συμπτώματά ἐστιν, ὥσπερ (οἶμαι) καὶ τὰ κατὰ τὰς στραγγουρίας τε καὶ τὴν εἰς οὖρα διάρροιαν. ἂν δ᾽ ἀκριβολογῆταί τις καὶ ἡ ψοφώδης φῦσα καθάπερ γε καὶ ὁ τρυσμὸς καὶ ἡ ἐρυγὴ καὶ ὁ βορβορυγμός, ὅσα τε ἄλλα τοιαῦτα. καὶ λεχθήσεταί γε περὶ τούτων ἐν τοῖς ἐφεξῆς.

CAPVT IV.

De Tussis & sternutamenti causis.

IAm verò ventriculi affectus manifestior in vomitibus est; multique hos non naturæ opus; sed symptomata esse dicunt. In tussi verò & sternutatione, euidentior quidem est, qui in tussi *notatur*: sternutatio verò non similiter videtur præter naturam esse. Cæterum sunt non hæc modò, sed etiam tussis, & vomitus, & diarrhœæ, taliaque omnia, ex illo symptomatum genere, in quibus causa aliqua præter naturam ad tales actiones naturam excitat. Sed motionis modus neque in omnibus idem, neque ab eadem facultate fit, verùm quæ ab vtero vel intestinis vel ventriculo vel vesicâ excernuntur, circa ea ipsæ partes contrahunt sese, ad eum modum quod in se continent extrudentes, quo manus nostræ aliquid exprimunt. Facultas autem ipsarum motum efficiens, vna è quatuor naturalibus est. Quum verò in asperis arteriis corpus quoddam continetur quæ ipsæ cartilagineæ, duræque existunt, ob idque circa contentum contrahi non possunt, vehementem spiritus eruptionem foras natura molitur, quæ tussim mouet. Hæc vero fit iisdem organis, quibus magnæ & vehementes expirationes (quas efflationes nominamus) perficiuntur; vt tussis nihil sit aliud, quàm vehementissima quædam efflatio, quâ & plurimus simul & celerrimè foras erumpens spiritus, extrahat propellatque excrementa vias suas obstruentia, suo impetu; quumque primo conatu expellere, quæ molesta sunt, non valeat, bis terque in ea irruere non grauatur, & finem plerunque assequitur, quum & spiritus ipse vehementer fertur, & quæ obstruunt ad expulsionem idonea sunt; talia sunt quæ nec aquosæ nec lentæ substantiæ sunt. Aquosa nanque propter

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν τῆς βηχός τε καὶ τοῦ πταρμοῦ αἰτίων.

Ἐπὶ δέ γε τῆς γαστρὸς ἐναργέστερον ἤδη τὸ κατὰ τοὺς ἐμέτους ἐστί, καὶ πολλοὶ καὶ τούτους οὐκ ἔργον φύσεως, ἀλλὰ συμπτώματα εἶναί φασιν· ἐν δὲ τῇ βηχὶ καὶ τοῖς πταρμοῖς, ἐναργέστερον μὲν κἀνταῦθα τὸ κατὰ τὰς βῆχας, οὐχ ὁμοίως δ᾽ οἱ πταρμοὶ δοκοῦσιν εἶναι παρὰ φύσιν. ἀλλ᾽ εἰσί γε καὶ οὗτοι, καὶ αἱ βῆχες, καὶ οἱ ἔμετοι, καὶ διάρροιαι, καὶ πάνθ᾽ ὅσα τοιαῦτα τοῦ γένους ἐκείνου τῶν συμπτωμάτων, ἐν οἷς αἴτιόν τι παρὰ φύσιν ἐπὶ τὰς τοιαύτας ἐνεργείας ἐξορμᾷ τὴν φύσιν. ὁ δὲ τρόπος τῆς κινήσεως, οὔτ᾽ ἐν ἅπασιν ὁ αὐτός, οὔθ᾽ ὑπὸ τῆς αὐτῆς γίνεται δυνάμεως· ἀλλ᾽ ὅσα μὲν ὑπὸ τῶν μητρῶν, ἢ τῶν ἐντέρων, ἢ τῆς γαστρός, ἢ τῆς κύστεως ἐκκρίνεται, τούτοις μὲν αὐτὰ περιστέλλεται τὰ μόρια κατὰ τὸν αὐτὸν τρόπον ὠθοῦντα τὸ περιεχόμενον ἐν αὐτοῖς, ὃν αἱ χεῖρες ἐκθλίβουσιν. ἡ δ᾽ ἐργαζομένη τὴν κίνησιν αὐτῶν δύναμις ἐκ τῶν τεττάρων ἐστὶ μία τῶν φυσικῶν. ἐπειδ᾽ ἄν τι κατὰ τὰς τραχείας ἀρτηρίας περιέχηται σῶμα, χονδρώδεις καὶ σκληρὰς οὔσας, καὶ διὰ τοῦτ᾽ ἀδυνατούσας περιστέλλεσθαι τῷ περιεχομένῳ, σφοδρὰν τὴν τοῦ πνεύματος ἔξω φορὰν ἡ φύσις ἐργάζεται, βῆχα κινοῦσα. γίνεται δ᾽ αὕτη διὰ τῶν αὐτῶν ὀργάνων, δι᾽ ὧν ἐπιτελεῖ τὰς μεγάλας τε ἅμα καὶ σφοδρὰς ἐκπνοάς, ἃς ἐκφυσήσεις ὀνομάζομεν, ὡς εἶναι τὴν βῆχα μηδὲν ἄλλο ἢ σφοδροτάτην τινὰ ἐκφύσησιν, ἵνα πλεῖστόν τε ἅμα καὶ τάχιστα φερόμενον ἔξω τὸ πνεῦμα, παρασύρῃ τε καὶ προωθῇ τῇ ῥύμῃ τὰ ἐμφράττοντα τὰς ὁδοὺς αὐτοῦ, καὶ ὅταν γε κατὰ[18] τὴν ἐκβολὴν τὴν προτέραν ἀδυνατήσῃ διώσασθαι τὰ λυποῦντα, καὶ δὶς καὶ τρὶς ἐμπίπτειν αὖθις οὐκ ὀκνεῖ, καὶ τυγχάνει γε τοῦ τέλους ὡς τὰ πολλά· ὅταν αὐτό τε τὸ πνεῦμα φέρηται σφοδρῶς, ἐπιτήδειά τε εὑρίσκῃ προωθεῖσθαι τὰ ἐμφράττοντα· τοιαῦτα δ᾽ ἐστίν, ὅσα μήθ᾽ ὑδατώδη μήτε γλίσχρα τὴν οὐσίαν ἐστί. τὰ μὲν γὰρ ὑδατώδη διὰ τὴν λεπτότητα

σπάστως

προσΐζεται τῷ πνεύματι μᾶλλον, ἢ πρόσω φέρεται· τὰ δὲ γλίσχρα τῆς ἀρτηρίας ἀντέχεται δυσαπολύτως. ὅταν οὖν ποτε τοιούτοις ὑγροῖς τὸ πνεῦμα διαγωνίζηται, πάνυ πολλάκις ἐμπίπτει βιαίως, καὶ αἱ σφοδρόταταί τε καὶ μετὰ συντονίας πλείστης γιγνόμεναι βῆχες ἐπὶ τοιούτοις αἰτίοις συνίστανται. μᾶλλον δ' ἐκφέρουσι τὰ δυσαπόλυτά τε καὶ δυσαπάγωγα τῶν κατὰ τὰς ἀρτηρίας ὑγρῶν οἱ πταρμοί, σφοδροτέραν μὲν ἔτι καὶ τῶν βηχῶν ἔχοντες τὴν ὁρμὴν τοῦ πνεύματος, αἰτίαν δὲ τῆς γενέσεως ἑτέραν· τῶν γὰρ ἐν τῇ ῥινὶ λυπηρῶν ἕνεκεν, οὐ τῶν κατὰ τὴν τραχεῖαν ἀρτηρίαν ἐκπέμπεται βιαίως τὸ πνεῦμα, συνεκπέμπεται δὲ αὐτῷ τι κἀκ τῶν ἐμπροσθίων κοιλιῶν τοῦ ἐγκεφάλου· καὶ διὰ τοῦτο βῆχες μὲν οὐδὲν ὀνίνασι τὴν κεφαλήν, οἱ πταρμοὶ δὲ ὅταν μὴ διὰ καταῤῥοήν τινα γίγνωνται, μέγιστον ἴαμα κεφαλῆς ἀτμῶν πεπληρωμένης εἰσίν. οὐδὲν δὲ δήπου θαυμαστὸν τὸ ὑπὸ μιᾶς ὁρμῆς ἔκ τε τοῦ πνεύμονος ἐκπέμπεσθαι τὸ πνεῦμα καὶ ἐκ τῆς κεφαλῆς. ἐδείχθη γὰρ ἐν τοῖς περὶ μυῶν λογισμοῖς ὁ μὲν ἐγκέφαλος τῷ θώρακι τὴν ἀρχὴν τῆς κινήσεως ἐνδιδούς, ὁ δὲ θώραξ τὸν πνεύμονα διαστέλλων τε καὶ συστέλλων. ὅταν οὖν ὁρμήσῃ διώσασθαι τὰ λυποῦντα κατὰ τὰς ῥῖνας, ἀμφοτέραις ἅμα χρῆται ταῖς ὁδοῖς τῆς ἐκπνοῆς, τὴν μὲν ἑτέραν αὐτὸς δι' ἑαυτοῦ ποιούμενος, τὴν δὲ ἑτέραν οἱονεὶ διὰ χειρῶν τινων μακρῶν τῶν καθηκόντων εἰς τὸν θώρακα νεύρων. διὰ τούτων μὲν γὰρ ἐκεῖνον συστέλλει, διὰ δὲ τῶν ἠθμοειδῶν ὀστῶν αὐτὸς ἐκπέμπει τὸ ἀτμῶδες πνεῦμα. ταυτὶ μὲν οὖν τὰ συμπτώματα προαιρετικῆς ἐστι δυνάμεως· ὁ δὲ ἔμετος ἀνάλογόν τι τούτοις ὑπάρχων, φυσικῆς. ὥσπερ δὲ τῶν ἐμέτων αἱ ναυτίαι προηγοῦνται, τὸν αὐτὸν τρόπον τοῦ βήττειν [20] ὁ κέρχνος. καὶ μέν γε καὶ ὥσπερ ἐναυτίασαν μέν τινες, οὐκ ἤμεσαν δέ, κατὰ τὸν αὐτὸν τρόπον, ὁ μὲν κέρχνος αὐτοῖς ἐγένετο, βὴξ δὲ οὐκ ἠκολούθησε διὰ σμικρότητα τῆς αἰτίας. ἐνίοτε μὲν γὰρ ἐπὶ βραχείᾳ τραχύτητι φάρυγγος, ἐνίοτε δὲ διὰ λεπτήν τινα καὶ παντάπασιν ὀλίγην ὑγρότητα συμβαίνει ὁ κέρχνος. ἀεὶ γὰρ ὅπερ ἂν προσκόπτῃ τὸ πνεῦμα, τοῦτ' ἐκβάλλειν ἐπιχειρεῖ διὰ βηχός. ἤτοι δὲ ὑγρόν ἐστι τοῦτο καταφερόμενον ἀπὸ τῆς κεφαλῆς, ὡς ἐν καταῤῥοις· ἤτοι κατὰ τὰς τραχείας ἀρτηρίας ἀθροιζόμενον, ὡς ἐν περιπνευμονίαις τε καὶ πλευρίτισι καὶ ταῖς τῶν κυρτῶν τοῦ ἥπατος φλεγμοναῖς, ἢ ταῖς τῆς φάρυγγος τραχύτησιν. ἔξωθεν δὲ τούτων ἐστὶν ἀνάλογον τοῖς ἀπὸ κεφαλῆς καταῤῥοις, ὅσα πινόντων τε καὶ ἐσθιόντων παρεμπίπτει. γένος δέ ἐστι καὶ ἄλλο τι βηχὸς ἐπὶ [21] δυσκρασίᾳ τῶν ὀργάνων τῆς ἀναπνοῆς, ὃ κατενόησαν μὲν οὐχ ἥκιστα καὶ τῶν ἀπὸ τῆς πνευματικῆς αἱρέσεως ἀνδρῶν οἱ δοκιμώτατοι, ὧν ἐστι καὶ Ἀθήναιος· τὴν μέν τοι ἀνάγκην, δι' ἣν ἐπιγίνεται βὴξ διὰ δυσκρασίαν, τινὲς μὲν αὐτῶν οὐδ' ἐπεχείρησαν ὅλως εἰπεῖν, ἔνιοι δὲ [22] προσπταίειν ἑαυτῷ φασι τὸ πνεῦμα, τινὲς δ' ἀσαφέστερόν τι τούτου ῥῆμα φθεγξάμενοι νομίζουσιν εἰρηκέναι τι. χρὴ δ' οὐχ ὅτι τὴν αἰτίαν ἀγνοοῦσι, μέμφεσθαι τοῖς ἀνδράσιν, ἀλλ' ὅτι καλὸν ἐξεῦρον θεώρημα καὶ ἄξιον τῆς ἑαυτῶν φιλοπονίας, ἐπαινεῖν. γίγνεται μὲν οὖν ἡ βὴξ αὕτη, ψυχθέντων τῶν ἀναπνευστικῶν [23] μορίων, καὶ οὐδὲν ἀναπτύουσι μὲν οὗτοι καὶ αὐτὴ οὐδὲ ὅλως γίγνεται βίαιος, ἀλλ' οὕτω σμικρά τε καὶ ἀβίαστος, ὥστε καὶ κατασχεῖν οἷόν τε καὶ κωλῦσαι τὴν γένεσιν αὐτῆς ἢ ἐπιπλεῖστον ἢ παντάπασιν. αἱ δέ γε βίαιοι

νιᾶσι

A tenuitatem potius à spiritu inciduntur, quàm vltra ferantur; lenta sic arteriæ adhærent, vt vix ab eâ solui queant. Quoties igitur spiritus cum eiusmodi humoribus contendit, admodum sæpè violenter irruit in ipsos, fiuntque vehementissimæ tusses atque cum plurimâ contentione ab huiusmodi causis. Verùm eos humores qui in arteriis contumaciter hærent, & qui difficulter reiiciuntur, magis euellunt sternutationes, quæ vehementiorem, quàm tussis, habent spiritus impetum; causam verò generationis alteram; quippe ob ea quæ naribus, nō ob ea, quæ asperæ arteriæ molesta sunt, spiritus violenter emittitur. B emititur autem cum eo etiam ex prioribus cerebri ventriculis aliquid; atque idcirco tusses caput nihil iuuant; sternutationes, quum ex catarrho quodam non fiunt, maximum remedium capitis halitu repleti sunt. Nec mirum vnico impetu tum ex pulmone tum ex capite spiritum emitti: demonstratum enim est, vbi de musculis disseruimus, cerebrum quidem thoraci motus principium tradere; à thorace verò pulmones & dilatari & contrahi. Quum igitur ad ea, quæ naribus inclusa lędunt, expellenda impetu fertur, vtriusque simul C expirationis viis vtitur, alterâ quidem, quam ipsum per se facit: alterâ, quam per neruos, veluti per quasdam longas manus, in thoracem descendentes. Nam per hos illum contrahit, halituosum autem spiritum per colatoria ossa ipsum per se exturbat. Atque hæc quidem symptomata, voluntariæ sunt facultatis. Vomitus autem, quum his proportione quadam respondeat, naturalis facultatis est symptoma. Vt autem vomitiones nauseæ præcedunt, eodem modo tussim cerchnos, *stridulus impetus*. Præterea vt nonnulli nausearunt, D nec tamen vomuerunt; ita nonnullis cerchnos accidit, nec tamen tussis propter causæ paruitatem est sequuta; Nam interdum ex paruâ faucium aspredine, interdum verò ex tenui aliquo exiguóque prorsus humore cerchnos contingit. Perpetuò enim quicquid offendit, spiritus eiicere id per tussim conatur; est autem id vel humor aliquis à capite defluens, vt in catarrhis; vel in asperis arteriis collectus, vt in peripneumoniâ & pleuritide & conuexarum iecoris partium phlegmone, vel faucium E asperitatibus. Præterea catharrhis à capite defluentibus proportione respondent ea, quæ & bibentibus & edentibus *nobis in arteriam* delabuntur. Est & aliud tussis genus ab organorum respirationis intemperie, quod agnouerunt quidem etiam Pneumaticæ sectæ probatissimi, quorum est & Athenæus. Qua tamen necessitate ob intemperiem tussis oriatur, eorum quidam ne conati quidem sunt enunciare; nonnulli verò sibi ipsi illidi spiritum aiunt: alii etiam obscuriore, quàm hoc verbo vsi, putant se aliquid dixisse. Sunt autem F non quòd causam ignorarint accusandi, sed quod pulchrum theorema & suo studio dignum inuenerint, laudandi. Fit igitur ea tussis spirandi organis perfrigeratis, nihilque in eâ tussientes expuunt; neque omnino violenta *tussis*, sed adeo exigua ac minimè coacta est, vt eam cohiberi & generationem eius vel plurimùm vel omnino prohiberi liceat: At violentæ

violentæ tusses spiritus detentione non vincuntur. Quæ verò res sit spiritus detentio, sæpe à me in aliis iam dictum est. Neque solùm tusses ab intemperie spiritus detentione in præsentiâ fieri prohibentur, verùm etiam ab eâ curantur, nisi quædam magnæ admodum fuerint. Augetur nanque in respirationis organis calor ob cohibitam respirationem; permeatque spiritus violenter à pectore pressus omnes angustos meatus: quibus vtrisque peractis, æquantur omnia atque in similitudinem temperamenti veniunt.

CAPVT V.

De causis pandiculationis, inæqualitatis, lassitudinum, horroris, rigoris, tremoris & cæterarum deprauatarum motionum.

CVr autem ab inæquali spirabilium *organorum* intemperie *laborantes* tussium (id enim dicebam non admodum commodè à Pneumaticis medicis explicatum esse) ipse enarrare tentabo, orsus à rei substantiâ, vt congruum est iis, qui aliquid cum demonstratione dicturi sunt. Intemperies igitur interdum è nudis prouenit qualitatibus, quum ipsa corpora aut calidiora, aut frigidiora, aut sicciora, aut humidiora redduntur; aut etiam ex quadam *ipsarum* coniugatione afficiuntur; interdum verò vnâ quum in iis dispergitur, veluti ros, id quod intemperatum est. Atque æqualis quidem intemperies omnino sine dolore est, vt indicant & hecticæ febres & multi frigidi affectus, qui æqualiter partes occuparunt; fit enim talis intemperies, singulis ita affectis, velut acquisititia quædam natura. Nullum enim corpus læditur à propriâ naturâ quemadmodum Hippocrates dixit: *quibus alteratur corrumpiturque natura, his dolores fiunt, non quibus corrupta iam & alterata est.* Quum enim & mutantur & à suâ naturâ decedunt corpora, dolent (quemadmodum in priori libro demonstratum est.) Quum igitur in aliquo sensibilium corporum intemperies inæqualis gignitur, tanta est doloris magnitudo, quanta est intemperiei. Atque in acutissimis & vehementissimis febribus dolore afficiuntur solidæ animantis partes, dum à calido præter naturam mutantur atque alterantur. Præterea incipientibus morbis, plerique homines priusquam febricitent, sentiunt interdum in totâ corporis mole inæqualitatem quandam, quam tamen, qualis sit, explicare verbis nequeunt. Ac miramur quidem siquis eorum, qui hos libros reuoluerunt, ita fuit fortunatus, vt ipse symptoma hoc nunquam senserit; Nam profundus quidam fit sensus in totâ corporis mole, vt dispersæ per eam rei cuiusdam à naturâ nostrâ alienæ; id autem quod dispersum est, aliquando quidem veluti subcalidum esse videtur, aliquando mordax citra calorem, aliquando vtroque modo afficiens, aut sine his leuiter omnes carnes distendens. Atque in omnibus huiusmodi symptomatis tum inæqualitatem quandam sentire se aiunt, tum pandiculantur, tum omnes corporis partes distendunt naturæ quodam instinctu, qualem iam dudum diximus, omnibus animalis partibus & ad salutem & perman-

βῆχες οὐ νικῶνται καταλήψει πνεύματος. ὁποῖον δέ τι πρᾶγμά ἐστιν ἡ κατάληψις τοῦ πνεύματος, ἤδη μοι πολλάκις ἐν ἄλλοις εἴρηται. καὶ οὐ μόνον γε παραχρῆμα κωλύονται τῇ καταλήψει τοῦ πνεύματος αἱ κατὰ δυσκρασίαν βῆχες, ἀλλὰ καὶ θεραπεύονται πρὸς αὐτῆς, ἐὰν μὴ πάνυ μεγάλαι τινὲς ὑπάρχωσιν. αὐξάνεται γὰρ ἡ ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις θερμασία διὰ τὴν ἐπίσχεσιν τῆς ἀναπνοῆς, διεξέρχεταί τε τοὺς στενοὺς πόρους ἅπαντας τὸ πνεῦμα θλιβόμενον ὑπὸ τοῦ θώρακος βιαίως, ἀμφοτέρων δὲ τούτων γινομένων, ὁμαλύνεται πάντα καὶ εἰς ὁμοιότητα κράσεως ἀφικνεῖται.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν αἰτίων τοῦ σκορδινισμοῦ τε καὶ τῆς ἀνωμαλίας, καὶ τῶν κόπων, καὶ τῆς φρίκης, καὶ ῥίγους, καὶ τρόμου, καὶ τῶν ἄλλων τῶν πλημμελῶν κινήσεων.

ΔΙὰ τί δὴ ἐπὶ ταῖς ἀνωμάλοις δυσκρασίαις τῶν ἀναπνευστικῶν βήττουσι (τοῦτο γὰρ ἔφην μὴ πάνυ τι καλῶς ἐξειργάσθαι τοὺς πνευματικοὺς ἰατρούς) ἐγὼ πειράσομαι διελθεῖν, ἀπὸ τῆς οὐσίας τοῦ πράγματος ἀρξάμενος, ὥσπερ καὶ προσήκει τοὺς μέλλοντάς τι μετ᾽ ἀποδείξεως ἐρεῖν. ἡ τοίνυν δυσκρασία, ποτὲ μὲν κατὰ ψιλὰς γίγνεται ποιότητας, ἤτοι θερμοτέρων ἢ ψυχροτέρων ἢ ξηροτέρων ἢ ὑγροτέρων ἀποτελουμένων αὐτῶν τῶν σωμάτων, ἢ καὶ κατά τινα συζυγίαν τοῦτο παθόντων· ἐνίοτε δὲ μετὰ τοῦ περιεσπάρθαι δροσοειδῶς ἐν αὐτοῖς τὸ δύσκρατον. ἡ μὲν οὖν ὁμαλὴ δυσκρασία παντάπασιν ἀνώδυνος, ὡς οἵ τε πυρετοὶ δηλοῦσιν οἱ ἑκτικοὶ καὶ πολλαὶ τῶν κατὰ ψύξιν διαθέσεων, ὁμαλῶς καταλαβοῦσαι τὰ μόρια· γίγνεται γὰρ οἷον φύσις τις ἐπίκτητος, ἡ τοιαύτη κρᾶσις ἑκάστῳ τῶν οὕτω διατεθέντων. οὐδὲν δὲ τῶν σωμάτων ὑπὸ τῆς ἑαυτοῦ φύσεως ἀνιᾶται, ὥσπερ ἔλεγεν Ἱπποκράτης. τοῖσι τὴν φύσιν διαλλαττομένοισι, καὶ διαφθειρομένοισιν αἱ ὀδύναι γίγνονται, οὐ διεφθαρμένοισιν, ἢ διηλλαγμένοισι. ἐν γὰρ τῷ μεταβάλλειν τε καὶ τῆς ἑαυτῶν φύσεως ἐξίστασθαι, λυπεῖται τὰ σώματα (καθάπερ ἐδείκνυτο καὶ κατὰ τὸν ἔμπροσθεν λόγον) ὅταν οὖν ἐγγένηταί τινι τῶν αἰσθητικῶν σωμάτων ἀνώμαλος δυσκρασία, τηλικοῦτον τῆς λύπης ἐστὶ τὸ μέγεθος, ἡλίκον καὶ τὸ τῆς δυσκρασίας. ἐν μὲν οὖν τοῖς ὀξυτάτοις τε καὶ ἰσχυροτάτοις τῶν πυρετῶν ἀνιᾶται τὰ στερεὰ τοῦ ζώου μόρια μεταβαλλόμενά τε καὶ ἀλλοιούμενα πρὸς τῆς παρὰ φύσιν θερμότητος. ἔτι δὴ ἀρχομένων τῶν νοσημάτων, πρὶν πυρέττειν αἰσθάνονται μὲν ἐνίοτε καθ᾽ ὅλον ἑαυτῶν τὸν ὄγκον ἀνωμαλίας τινὸς οἱ πολλοὶ τῶν ἀνθρώπων, ἐξειπεῖν δ᾽ αὐτὴν ὁποία τίς ἐστιν οὐ δύνανται. ἀλλὰ θαυμάζοιμ᾽ ἄν, εἴ τις τῶν ὁμιλησάντων τοῖσδε τοῖς γράμμασιν οὕτως εὐτυχής ἐστιν, ὡς μὴ καὶ αὐτὸς ἑαλωκέναι ποτὲ τῷ συμπτώματι. βύθιος γάρ τις αἴσθησις γίγνεται καθ᾽ ὅλον τὸν ὄγκον, ὡς διεσπαρμένου τινὸς ἐν αὐτῷ τῆς φύσεως ἡμῶν ἀλλοτρίου· καὶ τοῦτο τὸ διεσπαρμένον ἐνίοτε μὲν οἷον ὑπόθερμόν τι δόξειεν ἄν τις ὑπάρχειν, ἐνίοτε δὲ δακνῶδες ἄνευ τοῦ θερμαίνειν, ἔστι δὴ ὅτε ἄμφω πεπονθὸς ἢ χωρὶς τούτων ἀτρέμα διατεῖνον ἁπάσας τὰς σάρκας. ἐπὶ μὲν δὴ τοῖς τοιούτοις ἅπασι συμπτώμασιν ἀνωμαλίας τέ τινος αἰσθάνεσθαί φασι, καὶ σκορδινῶνται καὶ πάντα διατείνονται τὰ μόρια κατά τινα φυσικὴν ὁρμήν, ὁποίαν ἐλέγομεν ἀρτίως ἅπασι δεδόσθαι τοῖς τοῦ ζώου

G

περίεστιν ὑπὸ τῆς φύσεως, ἐπὶ σωτηρίᾳ τε καὶ διαμονῇ. μάλιστα δὲ διατείνονται μετὰ τοὺς ὕπνους, ἀτμώδους περιττώματος ἐν ταῖς σαρξὶν αἰσθανόμενοι, διά τε τὴν κατεργασίαν τῆς τροφῆς ἠθροισμένου καὶ διὰ τὴν ἡσυχίαν τῶν τοιούτων κινήσεων· καὶ τοῦτ' ἀδίδακτον ἔχει καὶ τὰ σμικρότατα τῶν παιδίων. ἀλλ' εἰς τὴν τοιαύτην κίνησιν ἡ φύσις ἐξορμᾷ τὰ ζῷα διαπνοὴν τοῖς ἀτμώδεσι περιττώμασι μηχανωμένη. Ταύτης δ' ἕτερον εἶδος αἰσθήσεώς ἐστιν ἀνιαρᾶς, ὃ κατὰ τὰς κοπώδεις διαθέσεις, εἴτ' οὖν ἐπὶ πόνοις πλείοσιν, εἴτε καὶ αὐτόματοι συνίστανται. τριττὴ μὲν οὖν ἐστιν ἡ ἐν τοῖς κόποις αἴσθησις, ἤτοι τεθλάσθαι τε καὶ συγκεκόφθαι δοκούντων, ἢ τείνεσθαι πάντῃ τὸν ὄγκον τοῦ σώματος, ἢ οἷον ἕλκη πολλὰ διεσκεδασμένα δοκούντων ἔχειν, ἐπειδὰν κινῶνται. τὸ μὲν οὖν τείνεσθαι τὸν ὄγκον, ὅταν γε γυμνασίων χωρὶς οὕτω πάσχωσιν, ὄνομα μὲν ἔχει κόπον αὐτόματον τονώδη· γίγνεται δ' ἐπὶ πλήθει μάλιστα διατείνοντί τε τὰ περιέχοντα, καὶ μὴ στεγομένῳ πρὸς αὐτῶν· ὅταν δὲ ἑλκώδης αὐτοῖς αἴσθησις διατρέχῃ, γίνεται μὲν καὶ τοῦτο κινουμένοις μᾶλλον, ἤπερ ἡσυχάζουσι, πλὴν εἰ μὴ πάνυ μέγας ὁ κόπος ὑπάρχει. νύττεσθαι δὲ ὥσπερ ὑπὸ ἀκανθῶν πολλῶν ἐμπεπηγμένων αὐτοῖς δοκοῦσι, δακνώδους γὰρ ὑγρότητος ἐργαζομένης τὸ σύμπτωμα. ὁ δὲ τρίτος κόπος, ἐν ᾧ φασιν ὀστοκόπῳ συνέχεσθαι, κινήσεως μὲν οὖν οὐδὲ βραχυτάτης ἀνέχεται· θερμότητος δ' ἐπιφανοῦς ἐστιν αἴσθησις αὐτοῖς ἅμα καὶ τάσεως καὶ δήξεως, ἀναπεμπομένης εἰς ὅλον τοῦ ζῴου τὸν ὄγκον κακοχυμίας δαψιλοῦς. οὐδεὶς δ' ἐπιχειρεῖ τῶν οὕτως ἐχόντων σκορδινᾶσθαι, δεδιὼς ἅπασαν κίνησιν. ἐν δὲ τοῖς ἑτέροις δυσὶ κόποις (ὧν τὸν μὲν ἑλκώδη καλεῖν εἰώθασι, τὸν δὲ, τονώδη) γίνεταί ποτε καὶ ἡ τοιαύτη κίνησις, ὅταν ἤτοι σμικροὶ παντάπασιν ὑπάρχωσιν, ἢ φυσώδεσί τε καὶ ἀτμώδεσιν ἐπιγίγνωνται περιττώμασιν· ὁ γοῦν ἑλκώδης κόπος ὅταν μείζων συστῇ, φέρουσι μὲν οὐδ' οὗτοι κίνησιν οὐδεμίαν, ἀλλ' ὀδυνῶνται, καθάπερ ἕλκος, τὸ σῶμα καὶ φρίττουσιν. ἐγγὺς δ' ἥκουσιν, ἢν αὐξάνηται τὸ σύμπτωμα, τῆς φρικώδους διαθέσεως· ἐν ἐκείνῃ γὰρ φρίττουσι καὶ πρὶν κινεῖσθαι. ὥσπερ δ' ὅταν ἑλκώδης αἴσθησις γίγνηται, κινούμενοι φρίττουσι, καὶ μᾶλλον, εἰ σφοδρότερον· οὕτως ἡ φρικώδης διάθεσις, ὅταν εἰς κίνησιν ἄγηται, ῥῖγος ἐργάζεται. γίνεται μὲν γὰρ ταῦτα πάντα διὰ δακνώδη περιττώματα· διαφέρει δ' ἀλλήλων τῷ τε πλήθει τῶν περιττωμάτων αὐτῶν καὶ τῇ κινήσει, καὶ τῷ τὰ μὲν μᾶλλον εἶναι δακνώδη, τὰ δὲ ἧττον, καὶ τῷ τὸ σῶμα τὸ κάμνον ἢ δυσπαθὲς ἢ εὐπαθὲς ἢ ἀσθενὲς ἢ εὐαίσθητον ἢ δυσαίσθητον εἶναι φύσει. τὸ μὲν γὰρ εὐαίσθητόν τε καὶ ἀσθενὲς ὑπάρχον ὑπὸ βραχυτάτης αἰτίας ἀνιᾶται· τὸ δ' ἰσχυρὸν καὶ δυσαίσθητον μεγάλης δεῖται τῆς αἰτίας εἰς γένεσιν τοῦ τοιούτου συμπτώματος. ἆρ' οὖν ἐν τούτοις μόνοις, ἢ κἂν τῷ κινεῖσθαι τὸ αἴτιον ἢ μὴ κινεῖσθαι, καὶ κινούμενον, ἤτοι θᾶττον ἢ βραδύτερον κινεῖσθαι, παμπόλλη τίς ἐστιν ἐν τοῖς συμπτώμασι διαφορά; ἐμοὶ μὲν οὕτως δοκεῖ, τῷ γε τὸν αὐτὸν ἄνθρωπον ἡσυχάζοντα μὲν ἀνωμαλίας ἐνίοτε μόνης ἀντιλαμβάνεσθαι, κινηθέντα δὲ φρίττειν, γυμνασάμενον δὲ, ῥιγοῦν. ταῦτά τοι καὶ συμβουλεύουσιν οἱ ἰατροὶ τοῖς ὧδε κάμνουσιν, ὑπὸ τῆς πείρας δεδιδαγμένοι, πάσης ἀπέχεσθαι κινήσεως.

A sionem à naturâ datum. Maximè autem distenduntur post somnum, quum in carnibus halituosum excrementum sentiunt, quod tum ex confectione nutrimenti tum cessatione ab eiusmodi motibus est collectum; atque id vel minimi pueruli sine doctore faciunt. Verùm ad talem motum animalia impellit ipsa natura, quæ perspiratum halituosis excrementis molitur. At huius molesti sensus altera species est quæ in lassitudinum affectibus sentitur, siue hæ post multos labores siue suâ sponte consistant. B Triplex autem est in lassitudinibus sensus, quòd putent *iis laborantes*, vel fractam & contusam esse, vel tendi vndequâque corporis molem; vel tanquam multis vlceribus, quoties mouentur, conspergi. Quum igitur tenditur corporis moles, ac citra exercitationem is affectus accidit, lassitudo tensiua spontanea nominatur. Fit autem maximè ex plenitudine quæ partes continentes distendit & ab iis non continetur. Quum verò vlcerosus ipsas partes sensus percurrit, fit quidem & is motis magis quàm quiescentibus, nisi admodum C magna fuerit lassitudo. Pungi verò, quasi multas spinas haberent infixas, se putant, quum à mordaci humore symptoma oriatur. Tertia lassitudo, sub qua se ossifrago dolore laborare dicunt, ne minimum quidem motum sustinet; manifestus autem in ipsis est caloris sensus, simulque tensionis & morsus, vitioso humore in totam animalis molem ampliter transfuso. Eorum verò qui hac laborant nemo pandiculari tentat, vt qui omnem motum formident. In aliis duabus lassitudinibus (quarum D alteram vlcerosam, alteram tensiuam hominare consueuerunt) fit etiam talis aliquando motus, quum videlicet vel exiguæ omnino sunt, vel ex flatuosis & halituosis excrementis proueniunt; quum itaque vlcerosa lassitudo maior fuerit, ne hi quidem eâ laborantes motum vllum ferunt, sed dolorem veluti vlceris per corpus sentiunt horrentque. Quòd si augeatur symptoma, ad horroris affectum propè perueniunt; nam sub hoc horrent priusquàm etiam moueantur. Vt autem, quum vlcerosus fit sensus, quoties mouentur, horrent, magisque, si vehementiùs; sic horroris affectus, quum in E motum agitur, *concutientem* rigorem efficit. Hæc nanque omnia à mordacibus oriuntur excrementis. Differunt inter se, tum excrementorum ipsorum multitudine, tum motu, & quòd excrementorum alia magis sint mordentia, alia minùs; & quòd corpus laborantis, vel non facilè afficiatur, vel facilè patiatur, vel robustum imbecillumvè sit, vel acuti naturâ hebetisvè sensûs. Nam quod acuti sensus est & imbecillum, etiam ex leuissimâ causâ dolet; contrà, quod valentissimum nec facilis sensus est, magnam causam ad talis symptomatis ge- F nerationem requirit. Vtrúmne igitur in his solis, an etiam in mouendo causam, aut non mouendo; preterea quod mouetur, in eo quod vel celeriùs vel tardiùs moueatur; plurima est in symptomatis differentia? Ac mihi quidem ita videtur; eundemque hominem in quiete quidem solam inæqualitatem sentire, in motu verò horrere, & in exercitatione rigere. Ideóque & medici ita laborantibus experientiâ docti consulunt, vt ab omni motu abstineant.

Iam aliquos cruditate laborantes scimus, dum quiescerent, nihil perpeti; quum balneum fuissent ingressi aut in Sole stetissent, horruisse; atque hoc magis, si se exercitassent. Nam & Sol & balneum & exercitatio excrementa, quæ priùs quieuerant, ad motum excitant, quemadmodum ex animi affectibus, ira; à seipsis autem ad motum excitantur quæ priùs quieuerant excrementa, dum calefiunt, attenuantur, & in flatulentum spiritum vertuntur. Nec mirum corpus, quum ipsa excrementa quiescunt, minùs lædi; quum mouentur, magnopere lædi & concuti horrore, rigore, & febre; Etenim quæ dura corpora extrinsecus oculis incidunt, conniuentibus palpebris, & parte quiescente, vel parum omnino vel nihil contristant; mouentibus, vix tolerabilem afferunt dolorem. Sed & citra exemplum ex ipsâ rerum naturâ inuenire licet, motam causam quiescente molestiorem *esse*, quum per corpora sensibilia defertur, vt nunc in oculis propositum est. Non enim de humoribus per venas & arterias fluentibus est disputatio, sed de iis qui & in carnibus & toto corporis habitu continentur. Quum igitur, per hæc aliquid agitur & violenter ad cutim fertur, necesse est, in ipso per carnem cutimque transitu omnes in quas incidit partes pungere, stimulare, diuidere, ac vulnerare. Quòd autem omnis mordax & mota causa, siue ea calida, siue frigida sit, animal in horrorem ac rigorem ducit, primùm quidem ex talibus intellexisse licet. Si sano corpori feruentem aquam subitò affundas, aut ignis scintillas incutias, statim horrore vexabitur. Iam quum vlceratis partibus causticum medicamentum imponitur, primùm quidem horrent, deinde rigent, mox etiam febricitant nonnulli. Sed & tertianæ febres, quæ omnium certè febrium maximè biliosæ & calidæ sunt, omnium maximè horrorem aduehunt; quantoque sinceriores tertianæ sunt, tantò etiam rigor in iis incidit vehementior: *Quin etiam ardente febre laboranti rigor superueniens morbum soluit*, inquit, Hippocrates quod bilis, quæ *prius* in venis errabat, à naturâ criticè per carnes ad cutim trudatur. Ergo motus eius delationisque, quæ per sensibilia corpora agitur, simul & symptoma & signum rigor est. Atque iam inde sudant, qui ita obriguerunt, vacuataque in iis bile à febre liberantur. Interdum verò non ad cutim, sed ad internas partes *bilis* impetum faciens, per vomitiones simul & aluum vacuatur. Sæpenumero & intro & foras eodem die defertur, ita vt simul & sudore, & vomitione, & alui deiectione bilis vacuetur. Quicunque verò rigorem profligãdæ ardentis febris salubrem esse causam propter frigus putant (nam contraria contrariorum sunt remedia) omnino falluntur. Primùm enim si id verum esset, liceret ipsis rigorem excitare, partim quidem frigidâ aquâ inspersâ aut affusâ; partim ægro ipso nudo in frigidum aërem delato; aut in frigidæ aquæ labrum demisso. Deinde si per mutationem ad contrarium *affectum* iis, qui in ardenti febre obriguerant, solutio accidat morbi, oportebat post rigorem *ipsorum* febrem sedari, non tamen ita se habet veritas: Non enim quòd rigeant, febricitare desinunt, qui etiam multo grauiore febre post

ἀλλὰ καὶ τῶν ἀπεπτησάντων ἐνίους ἴσμεν, ἄχρι μὲν ἡσυχάζωσι, μηδὲν πάσχοντας· ἂν δ' εἰς βαλανεῖον εἰσέλθωσιν ἢ ἐν ἡλίῳ στῶσι, φρίττοντας, ἔτι δὲ δὴ μᾶλλον ἐὰν γυμνάσωνται. καὶ γὰρ ὁ ἥλιος καὶ βαλανεῖον καὶ γυμνάσιον εἰς κίνησιν ἐξορμᾷ τὰ τέως ἡσυχάζοντα περιττώματα, καθάπερ γε καὶ τῶν ψυχικῶν παθῶν, ὁ θυμός, ἐξ ἑαυτῶν δ' εἰς κίνησιν ἐξορμᾷ τὰ τέως ἡσυχάζοντα περιττώματα, θερμαινόμενα καὶ λεπτυνόμενα καὶ πνευματούμενα. καὶ οὐδὲν θαυμαστὸν ἡσυχαζόντων μὲν αὐτῶν, ἧττον ἀνιᾶσθαι τὰ σώματα, κινηθέντων δὲ, λυπεῖσθαί τε μεγάλως καὶ κλονεῖσθαι φρίττοντα καὶ ῥιγοῦντα καὶ πυρέττοντα. καὶ γὰρ ὅσα τοῖς ὀφθαλμοῖς ἔξωθεν ἐμπίπτει σκληρὰ σώματα, μυσάντων μὲν τὰ βλέφαρα καὶ καθησυχασάντων τὸ μόριον, ἢ σμικρὸν παντάπασιν ἢ οὐδὲν ἀνιᾷ· κινησάντων δὲ, δυσανεκτον ἐπιφέρει τὴν ὀδύνην. ἀλλὰ καὶ χωρὶς παραδείγματος ἐξ αὐτοῦ τοῦ πράγματος τῆς φύσεως ἔνεστιν ἐξευρεῖν, ὡς τὸ κινούμενον αἴτιον ἀνιαρότερον τοῦ μένοντος, ὅταν γε διὰ τῶν αἰσθητικῶν σωμάτων ἡ φορὰ γίγνηται, καθάπερ ἐν ὀφθαλμοῖς ὑπόκειται νῦν. οὐ γὰρ περὶ τῶν ἐν ταῖς φλεψὶ καὶ ταῖς ἀρτηρίαις διαρρεόντων χυμῶν ὁ λόγος ἐστὶν, ἀλλὰ περὶ τῶν κατὰ τὰς σάρκας τε καὶ ὅλην τοῦ ζώου τὴν ἕξιν. ὅταν οὖν διεξέρχηταί τι διὰ τούτων βιαίως ἐπὶ τὸ δέρμα φερόμενον, ἐν τῇ διόδῳ τῇ διὰ τῆς σαρκός τε καὶ τοῦ δέρματος ἀναγκαῖον αὐτὸ κεντεῖν τε καὶ νύττειν καὶ διαιρεῖν καὶ τιτρώσκειν οἷς ἂν ἐντυγχάνοι πᾶσιν. ὅτι δὲ τὸ δακνῶδες καὶ κινούμενον αἴτιον ἁπλῶς εἰς φρίκας τε καὶ ῥίγη ἄγει τὸ ζῶον, ἄν τε θερμὸν ἄν τε ψυχρὸν ᾖ, πρῶτον μὲν ἐκ τῶν τοιούτων καταμαθεῖν δυνατόν. εἰ περιχέαις ἐξαίφνης ὑγιαίνοντι σώματι ζέον ὕδωρ, ἢ σπινθῆρας ἐνσείσαις πυρὸς, εὐθέως φρικῶδες γενήσεται. ἀλλὰ καὶ κατὰ τῶν ἡλκωμένων μορίων ἐνίοτε φαρμάκων ἐπιτεθέντων καυστικῶν, φρίττουσι μὲν πρῶτον, ἐφεξῆς δὲ καὶ ῥιγοῦσιν, εἶτα καὶ πυρέττουσιν ἔνιοι. ἀλλὰ καὶ οἱ τριταῖοι πυρετοὶ ἁπάντων δὴ μάλιστα πυρετῶν χολώδεις ὄντες καὶ θερμοὶ, πάντων δὴ μάλιστα φρικώδεις εἰσὶ, καὶ ὅσῳ γ' ἂν ἀκριβέστεροι τυγχάνωσιν ὄντες, τοσούτῳ καὶ τὸ ῥῖγος αὐτοῖς γίνεται σφοδρότερον. ἀλλὰ καὶ ὑπὸ καύσου ἐχομένῳ ῥῖγος ἐπιγενομένου λύσις, Ἱπποκράτης φησὶ, τῆς τέως ἐν ταῖς φλεψὶν ἀλωμένης χολῆς ὑπὸ τῆς φύσεως ἀπωθουμένης κριτικῶς ἐπὶ τὸ δέρμα διὰ τῆς σαρκός. τῆς οὖν κινήσεως καὶ φορᾶς αὐτῆς, ἣν διὰ τῶν αἰσθητικῶν ποιεῖται σωμάτων, ἅμα τε σύμπτωμα καὶ σημεῖόν ἐστι τὸ ῥῖγος. καὶ δὴ καὶ ἱδροῦσι τοὐντεῦθεν οἱ οὕτω ῥιγώσαντες, καὶ ἀπαλλάττονται τοῦ πυρετοῦ, κενωθείσης αὐτοῖς τῆς χολῆς. ἐνίοτε δ' οὐκ εἰς τὸ δέρμα τὴν ὁρμὴν, ἀλλ' εἰς τοὺς ἔσω τόπους ποιησαμένη, δι' ἐμέτων τε ἅμα καὶ διὰ τῆς κάτω γαστρὸς ἐκκενοῦται. πολλάκις δὲ εἴσω τε καὶ ἔξω κατὰ τὴν αὐτὴν ἡμέραν ὠθεῖται, ὡς ἱδρῶσαί τε ἅμα καὶ ἐμέσαι καὶ διελθεῖν κάτω τὴν χολήν. ὅσοι δ' αἴτιον ὑγιεινὸν οἴονται τὸ ῥῖγος γίγνεσθαι τοῦ καύσου διὰ τὴν ψύξιν, τὰ γὰρ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα, τοῦ παντὸς ἁμαρτάνουσι. πρῶτον μὲν γὰρ εἰ τοῦτ' ἀληθὲς ὑπῆρχεν, ἐνῆν αὐτοῖς δήπου ῥῖγος ἐργάσασθαι, τοῦτο μὲν ὕδωρ ψυχρὸν προσραίνοντας ἢ καταχέοντας, τοῦτο δ' εἰς ψυχρὸν ἀέρα τὸν κάμνοντα γυμνὸν ἀπάγοντας, ἢ εἰς ὕδατος ψυχροῦ δεξαμενὴν ἐμβάλλοντας. ἔπειτα δ' εἴπερ ἄρα διὰ τὴν πρὸς τοὐναντίον μετάπτωσιν τοῖς καυσουμένοις ἡ λύσις ἐγίγνετο ῥιγώσασιν, ἐχρῆν αὐτοὺς ἐπὶ τῷ ῥίγει πεπαῦσθαι πυρέσσοντας. ἔχει δὲ οὐχ οὕτω τἀληθές· οὐ γὰρ ἅμα τῷ ῥιγῶσαι παύονται πυρέσσοντες, οἵ γε πολὺ μείζονι πυρετῷ μετὰ τὸ ῥῖγος,

ἢ πρόσθεν ἁλίσκονται, ἀλλ' ἐπειδὰν ἱδρώσωσι δαψιλῶς, ἢ ἐμέσωσι τὴν ὠχρὰν χολὴν, ἢ κατ' ἔντερον αὐτοῖς ὑπέλθῃ. ἐπὶ γὰρ τῇ σφοδροτέρᾳ κινήσει τῆς χολῆς σφοδρότερον εἰκὸς ἀνάπτεσθαι τὸν πυρετόν. ὅτι μὲν οὖν οὐ μόνον ἐπὶ τοῖς ψυχροῖς αἰτίοις ῥιγῶσιν, ἀλλὰ κἀπὶ τοῖς θερμοῖς, ἤδη πέφανται. διὰ τίνα δὲ τὴν αἰτίαν ἐναντιωτάταις προφάσεσι ταὐτὸν ἕπεται σύμπτωμα, λεκτέον ἐφεξῆς, ἀναμνησθέντας αὖθις ὧν ἀπεδείξαμεν ὑπὲρ τῆς ἐκκρινούσης τὰ λυποῦντα δυνάμεως. οὐ γὰρ δήπου τὰ μὲν ἐν ταῖς εὐρυχωρίαις τῶν ὀργάνων ἐκκρίνει, καθάπερ ἐδείκνυτο τὰ κατὰ γαστέρα τε καὶ μήτραν καὶ τὰς κύστεις ἀμφοτέρας ἔντερά τε καὶ πνεύμονα καὶ ῥῖνας, ἀμελεῖ δὲ τῶν ἐν αὐτοῖς τοῖς σώμασιν ὑποτρεφομένων περιττωμάτων· ἀλλὰ κἀκ τούτων ὁσημέραι πᾶν ἀποκρίνει τὸ περιττὸν ἀλύπως τε καὶ κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοὴν, ὅταν γε νόμῳ φύσεως διοικῆται τὸ ζῶον. ἐπειδὰν δέ τι δακνῶδες ἐν αὐτῷ συστῇ, καὶ μάλισθ' ὅταν ἔχῃ κίνησιν ἰσχυρὰν, ἀνιᾶταί γε καὶ ἀποκρίνειν αὐτὸ σπεύδει, καθ' ὃν ἂν ἐγχωρῇ μάλιστα τρόπον ἐκ τοῦ σώματος αὐτοῦ τῶν μελῶν ἐκκριθῆναί τι, συναγομένων δηλονότι καὶ σφιγγομένων εἰς ἑαυτὰ τῶν μορίων, εἶθ' ἑκάστου τὸ κατ' αὐτὸ μέρος τοῦ περιττώματος ὠθοῦντος. ἀλλ' εἰ πάντα νοήσαις ἅμα τὴν κίνησιν ταύτην κινούμενα, σεισμός τις ὅλον τὸ σῶμα καταλήψεται καὶ κλόνος, ὁποῖος ἐν τοῖς ῥίγεσι φαίνεται καταλαμβάνων. ἀνάγκη γὰρ, οἶμαι, τῶν μυῶν πάντων κλονουμένων, συγκλονεῖσθαι τὰς διαρθρώσεις αὐτοῖς, ὧν κλονουμένων ἐκτάσεις τέ τινας καὶ κάμψεις ἀκουσίους συμπίπτειν, ἑτέρας οὔσης τῆς τοιαύτης κινήσεως παρὰ τὴν ἐν τοῖς σπασμοῖς τε καὶ παλμοῖς. ἐν μὲν γὰρ τοῖς σπασμοῖς ὡσαύτως μὲν, οὐ μὴν ὑπό γε τῆς αὐτῆς δυνάμεως αἱ κινήσεις ἐπιτελοῦνται· κατὰ δὲ τοὺς παλμοὺς, οὐχ ὡσαύτως, ἀλλ' ὡς εἴρηται πρόσθεν, ὅτι συνεξαίρεται τῷ μυῒ τὸ κῶλον ὑπὸ τοῦ φυσώδους διαστελλομένῳ πνεύματος· ῥιγούντων δὲ, ὡς ἀρτίως εἴρηται, πᾶν μόριον κινεῖται τοῦ μυὸς ἐκκαθαίροντος ἑαυτόν· κατὰ δὲ τὴν ἐκείνων κίνησιν ὅλος ὁ μῦς σειόμενός τε καὶ κλονούμενος ἅμα ἑαυτῷ τὴν διάρθρωσιν, εἰς ἣν καταφύεται, συγκλονεῖ. ἡ τοιαύτη καὶ τοῖς κατὰ θώρακα μυσὶν ἡ κίνησις ἐν ταῖς ἀνωμάλοις γίνεται δυσκρασίαις, καὶ διὰ τοῦτο βραχυτέρα τε καὶ κερχνωδεστέρα βὴξ αὐτοῖς ἕπεται. διασείονται γὰρ οἱ μύες ἐκκρίνειν ἐφιέμενοι τὰ λυποῦντα τῆς ἑαυτῶν σαρκὸς διὰ τῶν τοῦ πνεύμονος ἀρτηριῶν· ἐν δὲ ταῖς ἄλλαις βηξὶν ἐδείκνυντο σφοδρῶς ἐμπίπτοντες τῷ πνεύμονι, χάριν τοῦ πολλὴν καὶ ἀθρόαν ἐκφύσησιν ἐργάσασθαι. ἔτι τε βιαιότερον ἐμπίπτουσιν ἐν τοῖς πταρμοῖς, ἐξωθοῦντες ἀθρόον τὸ πνεῦμα, ὃ κατὰ τὰς ῥῖνας ἐκκαθαίρειν βουλόμενοι. καὶ τοῦτο καταμαθόντες τινὲς ἀσθενεῖς μὲν τὴν δύναμιν, ἀναπτύσεως δὲ τὰ κατὰ θώρακά τε καὶ πνεύμονα δεόμενοι, πταρμὸν ἑαυτοῖς κινοῦσιν ἐρεθίζοντες τοὺς μυκτῆρας, ἵνα τῷ βιαίῳ τῆς κινήσεως ἀναπτύσωσιν, ὃ κατὰ βῆχας ἐκβάλλειν οὐκ ἠδυνήθησαν. ἀλλὰ περὶ μὲν τῶν τοιούτων βηχῶν εἴρηται καὶ πρόσθεν αὐτάρκως. αἱ δὲ κατὰ δυσκρασίαν τῶν ἀναπνευστικῶν, ἐκ ταὐτοῦ μέν εἰσι τοῖς ῥίγεσί τε καὶ ταῖς φρίκαις γένους,

rigorem, quam ante, corripiuntur; sed post quam multum sudarunt, aut flauam bilem vomuerunt, aut per intestinum deiecerunt, *tum febris cessat*; Nam ex vehementiore bilis motu vehementiorē accendi febrem consentaneum est. Quod igitur homines non solùm ex frigidis causis rigore tententur, sed etiam calidis, iam demonstratum est. Verùm quam ob causam causis maximè contrariis idem symptoma succedat, deinceps docebimus; sed admonitis priùs, quæ de excretrice molestorum excrementorum facultate monstrauimus. Non enim ea, quæ in amplis organorum capacitatibus sunt, excernit, vt quæ in ventriculo sunt & vtero & vtrâque vesicâ & intestinis & pulmone & naribus; quæ verò in ipsis corporibus excrementa colliguntur, negligit; sed ab iis quoque quotidie excernit quicquid superuacaneum est, citra vllam animalis læsionem insensibili transpiratione, vbi lege naturæ animal gubernatur. Quum autem mordax aliquid in iis constiterit, ac potissimùm quum vehementi agitur motu, & angitur & id expellere festinat eo modo, quo maximè licet ex ipso membrorum corpore aliquid excerni, partibus scilicet ipsis sese contrahentibus atque constringentibus, mox vnaquaque earum portionem excrementi, quod in se continet, protrudente. Verùm si vniuersas partes hoc motu simul moueri intelligas, concussio aliqua totum corpus obsidebit & conturbatio, qualis in rigoribus obsidere cernitur. Quum enim musculi omnes cōcutiuntur, necesse est opinor, articulos quoque cum ipsis simul concuti; & eorum, vbi concutiuntur tum extensiones quasdam tum inflexiones præter voluntatem incidere, quum tamen hic motus diuersus ab eo sit, qui in conuulsione palpitationeque percipitur. In conuulsione nanque similiter quidam, non tamen ab eâdem saltem facultate motus cientur. In palpitatione non similiter, sed vt priùs dictum est, quòd membrum attollatur vnà cum musculo, qui à flatulento spiritu distenditur. At cum concussione rigentibus, vt dudum est dictum, mouetur omnis pars, musculo se ipsum expurgante; in illarum verò motu totus musculus concussus vibratúsque articulum, in quem inseritur, vnà secum concutit. Talis etiam motus & thoracis musculis in inæquali intemperie accidit; ob idque breuior & lenior tussis eos sequitur; concutiuntur enim musculi, dum student sibi molesta à carne sua per pulmonum arterias expellere. In cæteris autem tussibus vehementer eos pulmonibus incumbere demonstratum est, quòd multum simul & celerem efflatum excitent. Iam etiam vehementius per sternutationes incutiuntur, affatim spiritum excutientes, quum quidpiam naribus inclusum expurgare nituntur. Atque id nonnulli quum intelligerent, viribus quidem imbecilles, sed indigentes sputi per thoracem ac pulmones reiectione, sternutamenta sibi cient, irritatis naribus, quò quæ per tusses eiicere non valuerunt, huius motus violentiâ expuerent. Verùm de eiusmodi tussibus satis priùs dictum est. Quæ verò ob spirabilium organorum intemperiem accidunt, ex eodem sunt cum concutientibus rigoribus horroribúsque genere,

diffe-

differunt autem, eò quòd celerior earum sit sensus quòd nunquam quiescant spirabilia organa. Demonstratum nanque prius est, quòd motus etiam in toto corpore eiusmodi affectiones maximè prodat. Quum igitur humida quidem naturâ sint quæ lædunt, violentâ hac concussione ac agitatione, quæ per tussim & concutientem rigorem concitantur, ab excretrice facultate expulsa, vndique ad loca cedentia feruntur, quædam in superiorem, quædam in inferiorem ventrem, quædam foras ad cutim; ita vt sensibilis eorum vacuatio fit. Quum verò flatuosa quædam tantum citra humorem substātia, vel calidior iusto vel frigidior corpus permeat, vtique horrent tunc quoque; aliquando verò rigent ob eandem causam, neque tamen vomunt, neque sudant, neque quicquam his sensibile per aluum deiicitur: quum aërea sint, quæ excretricem facultatem irritant. Sic in balneis præcalidis maximéque si subitò & repente minimè præcalfacti ad ea accesserimus, statim horroribus corripimur. Sic quum in frigidum aërem repente transferimur, aut si non subitò saltem si diuturnam *in eo* moram facere cogamur, quemadmodum in itinere agendo accidere aliquando consueuit. Eiusmodi rigoris remedium calfactio est, non sudor, vel vomitus, aut alui deiectio. Quoniam autem (vt dictum est) & frigida causa & calida rigorem creat; calidæ quidem quæ aërea sit, refrigeratio idoneum remedium est; humidæ verò febris necessariò succedit; sanatio verò *eius* vacuatio est. At frigidæ, quæ aërea sit, calefactio remedium *est*. humidæ verò aliquando sola concoctio sufficit, aliquando vacuatio; nonnunquam verò ambæ competunt. Ac vetus quidem hic sermo est, *Rigori febrem semper succedere*, non tamen est in totum verus, ne etiamsi quis eum vt decet definiat. Quod etiā par est, amicè definire potiùs veterum dicta interpretantibus, quàm maleuolè redarguentibus. Veruntamen ne sic verus sermo est, nec sic definientes dixerimus; *Qui citra externam causam è corpore nostro rigores concitantur, hos febrem necessariò sequi*; quippe non nobis solis, sed etiam multis medicis qui nos præcesserunt, iam visi sunt sine febre rigores; non tamen ita vehementes sunt, ac qui legitimas tertianas, quartanásve præcedunt, aut qui ardentes febres finiunt. Solent sanè eiusmodi rigores prauam sequi victus rationem, quum homines per otium se repleuerunt, ac sæpe à cibo se lauarunt. Quum verò ipsæ ciborum qualitates frigidioris sæpe ac pituitosioris temperamenti sint, promptissimè sic affecti rigoribus, qui ægrè calefiant, capiuntur. Non igitur mirandum est antiquos medicos nullum eiusmodi rigorem vidisse, hominibus qui tunc viuebant, nihil perinde ac qui nunc viuunt, in salubri victu peccantibus, sed nec in balneorum vsu tam frequenti. Verùm (sicuti dictum mox est) eiusmodi rigores horroris magis sunt, quàm concussionis. Primus enim sensus nobis ex vitiosis excrementis inæqualitatis accidit, quæ quum & acria fuerint, mordacitatis sensus est; secundus horroris exigui, deinde maioris, postea magni ita, vt iam rigoris aliquatenus sit particeps; Tertius rigoris ipsius solius partes

A διαφέρουσι δὲ τῷ θᾶττον αὐτῶν γίνεσθαι τὴν αἴσθησιν αὐτῶν, οὐδέποτε ἡσυχαζόντων τῶν ἀναπνευστικῶν ὀργάνων. ἐδείκνυτο γὰρ ἔμπροσθεν, ὡς καὶ τὰς καθ' ὅλον τὸ σῶμα τοιαύτας διαθέσεις ἡ κίνησις ἐξελέγχει μάλιστα. ἐπειδὰν μὲν οὖν ὑγρὰ τὰ λυποῦντα τὴν φύσιν ὑπάρχῃ, τῷ βιαίῳ τούτῳ σεισμῷ καὶ κλόνῳ τῷ κατὰ τὴν βῆχα καὶ τὸ ῥῖγος, ὑπὸ τῆς ἐκκριτικῆς δυνάμεως ὠθούμενα φέρεται πάντῃ πρὸς τοὺς εἴκοντας τόπους, τὰ μὲν εἰς τὴν ἄνω, τὰ δὲ εἰς τὴν κάτω γαστέρα, τὰ δὲ ἐπὶ τὸ δέρμα πρὸς τοὐκτός, ὡς αἰσθητὴν B αὐτῶν γενέσθαι τὴν κένωσιν. ἐπειδὰν δὲ πνευματώδης τις οὐσία μόνη χωρὶς ὑγρότητος ἤτοι θερμοτέρα τοῦ δέοντος, ἢ ψυχροτέρα διεξέρχηται τὸ σῶμα, φρίττουσι μὲν δήπου τότε καὶ ῥιγοῦσιν ἐνίοτε διὰ τὴν αὐτὴν αἰτίαν, οὔτε δ' ἐμοῦσιν οὔθ' ἱδροῦσιν, οὔθ' ὑποχωρεῖ τι κάτω τοῖς τοιούτοις οὐδὲν αἰσθητόν, ὡς ἂν αὐτῶν ἐρεθιζόντων τὴν ἐκκριτικὴν δύναμιν ἀερωδῶν ὑπαρχόντων. οὕτως ἐν βαλανείοις περικαέσι, καὶ μάλιστα ἢν ἐξαίφνης τε καὶ ἀθρόως ἄνευ τοῦ προδιαθερμανθῆναι πλησιάσωμεν αὐτοῖς, αὐτίκα φρικώδεις γινόμεθα. οὕ- C τως ὅταν εἰς τὸν ψυχρὸν ἀέρα μετέλθωμεν ἀθρόως, ἢ εἰ καὶ μὴ ἀθρόως, ἀλλὰ πολυχρονίως γε ὁμιλεῖν ἀναγκασθῶμεν, ὡς ἐν ὁδοιπορίαις ἐνίοτε συμπίπτειν εἴωθε. τοῦ τοιούτου ῥίγους ἴαμα, θέρμανσίς ἐστιν, οὐχ ἱδρὼς ἢ ἔμετος ἢ διαχώρημα γαστρός. ἐπεὶ δ' ὡς εἴρηται καὶ ψυχρὸν αἴτιον καὶ θερμὸν ἐργάζεται ῥῖγος, ἐπὶ μὲν τῷ θερμῷ τῷ ἀερώδει ψύξις ἱκανὴ πρὸς τὴν ἴασιν· τῷ δ' ὑγρῷ, πυρετὸς μὲν ἐξ ἀνάγκης ἐπιγίνεται, κένωσις δὲ ἡ ἴασίς ἐστιν. ἐπὶ δὲ τῷ ψυχρῷ τῷ μὲν ἀερώδει, θέρμανσις ἴαμα· τῷ δ' ὑγρῷ, ποτὲ μὲν ἡ πέψις ἀρκεῖ μόνη, ποτὲ δὲ ἡ κένωσις, ἔστι δ' ὅτε ἄμφω συμπί- D πτει. παλαιὸς μὲν οὖν ὁ λόγος οὗτός ἐστιν ὡς διὰ παντὸς ἕπεται ῥίγει πυρετός, οὐ μὴν γε ἀληθὴς ὑπάρχει τὸ πάμπαν, οὐδ' ἂν διορίσηταί τις αὐτὸν προσηκόντως, ὥσπερ οὖν καὶ χρὴ διορίζεσθαι φιλικῶς μᾶλλον ἐξηγουμένους τὰ τῶν παλαιῶν οὐ δυσμενῶς ἐξελέγχοντας, ἀλλ' ὅμως οὐδ' οὕτως ἀληθής ἐστιν ὁ λόγος, οὐδ' ἂν διορισάμενοι φῶμεν, ὅσα χωρὶς τῆς ἔξωθεν προφάσεως ἐκ τοῦ σώματος ἡμῶν ὁρμᾶται ῥίγη, πυρετὸν ἐξ ἀνάγκης αὐτοῖς ἀκολουθήσειν. ὦπται γὰρ οὐχ ἡμῖν μόνοις, ἀλλὰ καὶ πολλοῖς τῶν πρὸ ἡμῶν ἰατροῖς ἤδη ῥίγη συστάντα χωρὶς πυρετῶν, οὐ μὴν ἰσχυρά γε οὕτως ἐστὶν, ὡς τὰ τῶν ἀκρι- E βῶν προηγούμενα τριταίων ἢ τεταρταίων, ἢ τὰ κρίνοντα πυρετοὺς καυσώδεις τε καὶ θερμούς. εἴωθε δὲ τὰ τοιαῦτα ῥίγη διαίταις ἕπεσθαι μοχθηραῖς, ἐμπιπλαμένων ἀργῶς ἀνθρώπων καὶ λουομένων ἐπὶ τροφαῖς πολλάκις. ὅταν δὲ καὶ αὐτῶν τῶν ἐδεσμάτων αἱ ποιότητες πολλάκις ἐκ τῆς ψυχροτέρας τε καὶ φλεγματικωτέρας ὦσι κράσεως, ἑτοιμότατον ἁλῶναι ῥίγεσιν δυσεκθερμάντοις τοὺς οὕτω διακειμένους. οὐδὲν οὖν θαυμαστὸν οὐδὲ τὸ μηδέποτε θεάσασθαι ῥίγη τοιαῦτα τοὺς παλαιοὺς ἰατρούς, ὡς ἂν μήτε πλημμελούντων εἰς τὴν ὑγιεινὴν δίαιταν ἴσα τοῖς νῦν τῶν τότε, μήτε τῆς τῶν βα- F λανείων χρήσεως εἰς τοσοῦτον ἐπιπολαζούσης. ἀλλ' (ὡς εἴρηται πρότερον) τὰ τοιαῦτα ῥίγη φρικώδη μᾶλλόν ἐστιν, ἢ κλονώδη. πρώτη μὲν γὰρ αἴσθησις ἡμῖν ἐπὶ τοῖς μοχθηροῖς περιττώμασιν ἀνωμαλίας γίνεται, καὶ ὅταν γε δριμέα τὰ τοιαῦτα ὑπάρχῃ, δακνώδης ἐστὶν ἡ αἴσθησις· δευτέρα δὲ φρίκης μικρᾶς, εἶτα μείζονος, εἶθ' οὕτω μεγάλης, ὡς ἤδη καὶ ῥίγους τι μετέχειν· εἶτα τοῦ ῥίγους αὐτοῦ μόνου κλονοῦντός τε καὶ διασείοντος τὰ μόρια. τρίτον τὸ ῥῖγος ἐπὶ τοῖς ψυ-

χροῖς χυμοῖς οὐκ ἄν ποτε γένοιτο· τὴν ἀρχὴν γὰρ οὐδὲ σφοδρῶς κινοῦνται οἱ τοιοῦτοι διὰ τὸ πάχος. εἰ δὲ λεπτυνθεῖέν ποτε καὶ οὗτοι, ῥῖγος μὲν οἴσουσιν, οὐ μὴν ἰσχυρότερον. οὐ γὰρ ἐγχωρεῖ τὴν αὐτὴν ἐπιδέξασθαι λεπτότητα φλέγμα λεπτυνθὲν, ἣν ἡ λεπτυνθεῖσα δέχεται ξανθὴ χολή. τὸ μὲν δὴ τοιοῦτον ῥῖγος, οὐ πάνυ τοι γινώσκουσιν οἱ παλαιοὶ ἰατροί· τὸ δ' ἐν νοσήμασι θανατώδεσι γινώσκουσιν. λέγει οὖν ὁ Ἱπποκράτης ἐν ἀφορισμοῖς, ἢν ῥῖγος ἐμπίπτῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον. ἐν γὰρ τοῖς τοιούτοις ῥίγεσιν ὥρμησε μὲν ἡ φύσις ἐπὶ τὸ διώσασθαι τὰ λυποῦντα, νικηθεῖσα δὲ καταπίπτει καὶ κατασβέννυται, καὶ διὰ τοῦτο ἐστὶν ὀλέθριον τὸ σύμπτωμα. κατὰ δὲ τοὺς τεταρταίους, ἐπίμικτον τὸ ῥῖγός ἐστιν ἐκ ψυχροῦ τε καὶ θερμοῦ. φύσει μὲν γάρ ἐστι ψυχρὸς χυμὸς ἡ μέλαινα χολή, σηπεδόνα δέ τινα προσλαβοῦσα, δι' ἣν καὶ πυρετοὺς ἐξάπτει, τοσοῦτον ἐπικτᾶται θερμότητος, ὅσον καὶ σηπεδόνος. ὅτι μὲν οὖν ἕπεται ῥίγη κἀν τοῖς θερμοῖς αἰτίοις ἀπεδείξαμεν· ὅτι δὲ κἀν τοῖς τοιούτοις ἅπασι καταψύχονταί τε καὶ λειφαιμοῦσι, μάλιστα μὲν ὅσα τοῦ σώματος ἄκρα μόρια, σὺν αὐτοῖς δὲ καὶ τὸ δέρμα σύμπαν, ὅσα τ' ἐπιπολῆς ἐστιν ὑπ' αὐτοῦ, καὶ διὰ τίνα τὴν αἰτίαν γίνεται, τοῦτο σκεπτέον ἐφεξῆς. ἔστι δή τις ἐκ τῶν πρώτων καὶ (ὡς ἂν εἴπῃ τις) ἡγεμονικωτάτων κινήσεων ἡ ἔσω τε καὶ ἔξω φορὰ τῆς ἐμφύτου θερμασίας, ἐπὶ πολλοῖς πάθεσι γινομένη ψυχικοῖς, ἅμα δ' αὐτῇ δηλονότι καὶ τὸ πνεῦμα καὶ τὸ αἷμα, ποτὲ μὲν ἔσω τε καὶ πρὸς τὴν ἀρχὴν φέρεται καὶ συστέλλεται, ποτὲ δ' ἐκτὸς ἀποτείνεται καὶ χεῖται. αὐτῆς μὲν γὰρ τῆς ψυχῆς τὴν οὐσίαν ἴσως μὲν καὶ κατ' ἄλλην τινὰ πραγματείαν ἀποφήνασθαι τολμηρὸν, ἐν δὲ τῇ νῦν ἐνεστώσῃ πρὸς τῷ τολμηρῷ καὶ περιττόν. ἔοικε δ' οὖν ἥ τις ποτ' ἂν ᾖ, δυοῖν θάτερον, ἢ τοῖς πρώτοις ὀργάνοις εἰς ἁπάσας τὰς ἐνεργείας χρῆσθαι πνεύματί τε καὶ αἵματι καὶ τῇ θερμασίᾳ τῇ κατὰ θάτερόν τε καὶ συναμφότερον, ἢ ἐν αὐτοῖς τούτοις ὑπάρχειν. ἔνεστι δὲ ἐναργῶς θεάσασθαι τὰς κινήσεις αὐτῆς ἐν ἄλλοις τε πολλοῖς καὶ μάλιστα τοῖς ψυχικοῖς πάθεσιν, αὐτίκα φόβος τε καὶ θυμός, ὁ μὲν εἴσω τε καὶ πρὸς τὴν ἀρχὴν ὑπάγει καὶ συστέλλει τό τε πνεῦμα καὶ τὸ αἷμα σὺν τῷ καταψύχειν τὰ ἐπιπολῆς, ὁ δὲ ἀποτείνει τε καὶ χεῖ καὶ θερμαίνει. τὸ δ' ἀγωνιᾶν ὀνομαζόμενον ἐξ ἀμφοῖν ὑπάρχον σύνθετον, ἀνώμαλόν ἐστι ταῖς κινήσεσι. καὶ τοίνυν καὶ οἱ σφυγμοὶ τῶν ἀρτηριῶν τε καὶ τῆς καρδίας μικρότατοι μὲν καὶ ἀτονώτατοι τοῖς φοβηθεῖσι, μέγιστοι δὲ καὶ σφοδρότατοι τοῖς θυμωθεῖσιν, ἀνώμαλοι δ' εἰσὶ τοῖς ἀγωνιῶσιν. ἐπὶ δὲ τῆς αἰδοῦς, εἴσω μὲν πρῶτον ἡ κίνησις γίνεται τῆς ψυχικῆς δυνάμεως, ἐπάνοδον δ' αὖθις ἀθρόα πρὸς τοὐκτὸς λαμβάνει· ὡς εἴγε μὴ ἐπανέρχοιτο, φόβος ἐστὶν, οὐκ αἰδώς. ἡ μὲν γὰρ αἰδὼς ἐξαίφνης γίνεται, μηδὲν τῆς ψυχικῆς δυνάμεως προσδοκώσης κακὸν, ἀλλ' (ὡς ἂν εἴπῃ τις) ὑπὸ μαλακίας τε καὶ δειλίας συμφύτου, μὴ φερούσης ἀνθρώπου πολὺ κρείττονος ὁμιλίαν, ἀλλ' ἀποδρᾶναί τε καὶ εἰ οἷόν τ' ἦν ἐκ ποδῶν γενέσθαι σπευδούσης. καὶ διὰ τοῦτο μόνον ἀποχωρεῖ πρὸς τὸ βάθος, οἷον ἀποδιδράσκουσα χωρὶς τοῦ καταψύχεσθαι. τοῦ λογισμοῦ δ' ἐπεγείροντος καὶ παρορμῶντος τὸ παθητικὸν τῆς ψυχῆς,

agitantis & concutientis. Hic rigor à frigidis humoribus nunquam creatur. Principio enim ob crassitudinem vehementer hi humores non mouentur; quòd si aliquando attenuentur, rigorem quidem excitant, non tamen vehementiorem: neque enim potest eandem recipere tenuitatem attenuata pituita, quam attenuata recipit flaua bilis. Ac talem quidem rigorem non admodum norunt antiqui medici; qui autem in lethalibus incidit febribus, hunc norunt. Ait igitur Hippocrates in aphorismis. *Si rigor febre non intermittente, laborantem, fractis iam viribus, inuadat, lethale.* In talibus enim rigoribus insurgit quidem natura in res noxias expellendas: sed victa, concidit, atque extinguitur; ob idque lethale symptoma est. In quartanis autem mixtus rigor ex calido frigidoque est; nigra nanque bilis frigidus naturâ humor est; sed quum putredinem quandam sibi adiunxit, cuius causâ febrem accendit, tantum possidet caloris, quantum etiam putredinis. Ac quòd rigores quidem calidis etiam causis succedant, indicauimus. Quòd autem in talibus quoque omnibus & perfrigerentur, & exsangues appareant maximè quidem extremæ corporis partes, cum his verò tum cutis vniuersa, tum quæ proximè sub ea sunt; & quam ob causam id accidat; id deinceps considerandum. Est igitur ex primis ac (vt ita quis loquatur) maximè principibus motibus ipsa naturalis caloris intrò forasque delatio, quæ multas animi perturbationes sequitur: simul autem cum ipso spiritus quoque ac sanguis aliàs intro & ad ipsum principium feruntur ac contrahuntur; aliàs foras tendunt & funduntur. Ipsius nanque animæ substantiam vel alio quouis opere definisse fortasse sit audacia; in eo verò quod nunc proponitur, præter audaciam, etiam superuacaneum. Videtur tamen quæcunque ea fuerit, duorum alterum; vel primis ad omnes actiones instrumentis & spiritu, & sanguine, & calore tum alterius tum vtriusque, vti; vel in his ipsis esse. Licet autem motus eius euidenter contemplari cùm in aliis multis, tum maximè in ipsius perturbationibus. in præsentiâ sint timor & ira. ille quidem intro & ad principium tum spiritum tum sanguinem vnà cum refrigeratione eorum, quæ in summo corpore sunt, adducit ac contrahit; hæc verò & foras agit & fundit & calefacit; quæ verò composita ex ambobus est, nominata agonia, inæquales habet motus. Itaque etiam pulsus tum arteriarum tum cordis timentibus, minimi ac imbecillimi sunt; iratis verò maximi & vehementissimi; agoniâ laborantibus inæquales. At in verecundiâ primùm quidem intro agitur animalis facultatis motus; deinde rursum confertim ad exteriora redit; quòd si non redeat, timor est, non verecundia. Siquidem verecundia derepente fit, omnino nihil mali expectante animali facultate, sed (vt quis dixerit) præ molliciâ & natiuâ timiditate, hominis longè prestantioris societatem non ferente, sed fugam capere etiam, si fieri possit, pedibus studente; ideoque ipsa veluti refugiens tantum citra vllam perfrigerationem in profundum recedit; ratione vero patibilem partem animi excitante, atque impellente, quæ terretur & verecundatur,

&

& redit & foras mouetur simillimo motus modo, quo ex frigidâ lauatione caloris fit reuocatio. In timore verò, quum ratio patibilem animi partem nec excitet nec inhortetur; perpetuò magisque extinguitur calor, ita vt etiam rigeant eorum nonnulli. Quod autem in timore confertim, id in tristitiâ paulatim patiuntur dissidentibus inter se non toto genere, sed magnitudine & pathematis vehementiâ. Itaque etiam ex subitaneo timore nonnulli iam interierunt, quum animula naturâ imbecilla vehementi pathemate detenta, confertim & extincta & suffocata est. Nam extingui accidit propter ipsam affectûs naturam in refrigerando generationem habentis; suffocari autem, quòd totus sanguis vnâ cõmeet atque ad principium deferatur. At iratus nemo interiit, quòd neque calor perfrigeretur, neque robur soluatur. Præ gâudio tamen ingenti nonnulli homines pusillanimes interierunt, quemadmodum & timore confecti; non enim vnâ cum robore & feruore mouetur ad exteriora animalis facultas; sed contrà si quid priùs habuit roboris, id nunc & exoluit & laxat; ergo quum plurimùm laxata ad exteriora fertur, discutitur. Dolor autem contrà quum animam cogat moueri, peræquè ac maximus timor, affert symptoma; Etenim *laborantes* decolores apparent, rigent, tremunt ac pulsu sunt paruo, atq; eodem priuãtur, demum moriuntur similiter iis qui perterrentur. refugit enim in his quoque ad principium innatus calor, vbi resoluitur simul & extinguitur. Quum autem mortem afferant eiusmodi affectiones, nihil profectò miri est, si animi *excitent* deliquia. Ne igitur id quidem mirum est, si reliqua, quæ animi deliquia sequuntur, symptomata inuehant, cùm cætera, tum excrementorum præter voluntatem exitum. Cæterùm pluribus in his morari præsentis occasionis non est, sed ad propositum redeundum. Quum itaque rigor à calidis & mordacibus humoribus excitetur, mirum non est, si refrigerentur omnes externæ partes, animali facultate vnâ cum sanguine in profundum commeante. Tunc enim fit sensus externarum partium frigoris, non earum quæ sunt in profundo; quippe quum vehementer sitiant eo tempore nonnulli, tanquam seruato calore in interioribus. Quòd autẽ talia cum ratione rigentibus accidant, licet inde colligi. Si enim in vnâ quapiam parte dolor vehemens infixus tum animi deliquia tum perfrigerationem inferat, mirum non est eum, qui in toto sit corpore, etsi non animi deliquia mortémque, certè perfrigerationem efficere. Sunt enim dolores in rigore eiusdem cum cæteris omnibus doloribus generis; deficiunt autem ab iis qui interimunt, magnitudine, & tempore, quippe quum & minores multò sint & breuioris temporis. Colicus nanque dolor sæpè duobus continuis diebus detinuit; rigor quantò est vehementior, tantò breuioris est temporis. Est enim in eo similis animæ motus non ei qui in timore, sed ei potius qui in verecundiâ ac frigidâ lauatione fit; pugnat itaque facultas ac certat contra ea, quæ lædunt, quoad excusserit profligaueritque omnia; Ergo tum ob vehementes impetus, tum quòd in profundo collecta cum multo calore reuertatur, febrem post rigores accendit,

A ὅπερ ἐστὶ τὸ φοβούμενόν τε καὶ αἰδούμενον, ἐπανέρχεταί τε καὶ κινεῖται πρὸς τὰ ἐκτὸς, ἐν ὁμοίῳ μάλιστα τρόπῳ κινήσεως, ἐν οἵῳ περ ἂν ὅταν ἐπὶ ψυχρολουσίᾳ θερμασίας ἐπανάκλησις γίγνηται. ἐν δέ γε τοῖς φόβοις ἅτε μηδ᾽ ὅλως ἐπεγείροντός τε καὶ παρορμῶντος τοῦ λογισμοῦ τὸ παθητικὸν τῆς ψυχῆς, ἀεὶ καὶ μᾶλλον κατασβέννυται τὸ θερμὸν, ὥστε καὶ ῥιγοῦν ἐνίους αὐτῶν. ὅπερ δ᾽ ἐν φόβοις ἀθρόως, τοῦτ᾽ ἐν λύπαις κατὰ βραχὺ πάσχουσι, μεγέθει καὶ σφοδρότητι τῶν παθῶν, οὐχ ὅλῳ τῷ γένει διαφερόντων. B καὶ τοίνυν καὶ ἀπέθανον ἤδη τινὲς ἐπὶ φόβοις ἐξαιφνιδίοις, ὅταν ἀσθενὲς φύσει ψυχάριον ἰσχυρῷ πάθει καταληφθὲν, ἀθρόως κατασβεσθῇ τε καὶ καταπνιγῇ. τὸ μὲν γὰρ σβέννυσθαι διὰ τὴν αὐτοῦ τοῦ πάθους γίγνεται φύσιν ἐν τῷ καταψύχεσθαι τὴν γένεσιν ἔχοντος· τὸ δὲ καταπνίγεσθαι διὰ τὸ συνθεῖν τε καὶ φέρεσθαι πᾶν ἐπὶ τὴν ἀρχὴν τὸ αἷμα. θυμωθεὶς δ᾽ οὐδεὶς ἀπέθανεν, ὡς ἂν μήτε τῆς θερμότητος καταψυχομένης, μήτε τοῦ τόνου λυομένου. χαρέντες μέν τοι μεγάλως ἔνιοι τῶν μικροψύχων ἀνθρώπων ἀπέθανον, ὥσπερ καὶ φοβηθέντες. οὐ γὰρ ἅμα τόνῳ καὶ ζέσει[25] κινεῖται πρὸς τὰ ἐκτὸς ἡ ψυχικὴ δύναμις, ἀλλ᾽ αὐτὸ τοὐναντίον, εἴ τι καὶ C πρότερον εἶχε τόνου, τοῦτο νῦν ἐκλύει τε καὶ χαλᾷ. διαφορεῖται τοιγαροῦν, ὅταν ἐπὶ πλεῖστον χαλασθεῖσα φέρηται πρὸς τὸ ἐκτός. ὁ δὲ πόνος ἐναντίως κινεῖσθαι τὴν ψυχὴν ἀναγκάζων, ὅμοια τῷ μεγίστῳ φόβῳ φέρει τὰ συμπτώματα. καὶ γὰρ ἀχροοῦσι καὶ καταψύχονται καὶ ῥιγοῦσι καὶ τρέμουσι καὶ μικροσφυκτοῦσι καὶ ἀσφυκτοῦσι καὶ τέλος ἀποθνήσκουσιν ὡσαύτως τοῖς[26] ἐκπλαγεῖσιν. ὑποφεύγει γὰρ κἀν τούτοις ἐπὶ τὴν ἀρχὴν ἡ ἔμφυτος θερμασία, λυομένη θ᾽ ἅμα καὶ κατασβεννυμένη. ὅπου δὲ θάνατον ἐπιφέρει τὰ τοιαῦτα τῶν παθῶν, D οὐδὲν δήπου θαυμαστὸν εἰ καὶ λειποψυχίαν. οὔκουν οὐδ᾽ ὅτι τὰ λειποψυχίας ἀκόλουθα συμπτώματα, τά τε ἄλλα, καὶ ἡ ἀκούσιος ἔκκρισις τῶν περιττωμάτων ἕπεται, οὐδὲν ἔτι χρὴ θαυμάζειν. ἀλλὰ γὰρ οὐ τοῦ παρόντος καιροῦ μηκύνειν ἔτι ὑπὲρ τῶν τοιούτων, ἀλλ᾽ ἐπὶ τὸ προκείμενον ἰτέον. ὅταν οὖν ἐπὶ θερμοῖς τε ἅμα καὶ δακνώδεσι χυμοῖς γίγνηται ῥῖγος, οὐδὲν θαυμαστὸν ἐστι καταψύχεσθαι τὰ ἐκτὸς ἅπαντα, τῆς ψυχικῆς δυνάμεως εἰς τὸ βάθος συνδυούσης ἅμα τῷ αἵματι. γίγνεται γὰρ αἴσθησις τηνικαῦτα τῆς τῶν ἐκτὸς ψύξεως, οὐ τῆς τῶν ἐν τῷ βάθει. καὶ γὰρ διψῶσιν ἰσχυρῶς ἔνιοι κατ᾽ ἐκεῖνον τὸν καιρὸν, ὡς ἂν τῆς ἔνδον θερ- E μασίας διαφυλαττομένης αὐτοῖς. ὅτι δ᾽ εὐλόγως τὰ τοιαῦτα τοῖς ῥιγοῦσι συμβαίνειν εἴωθεν, ἔνεστι κἀντεῦθεν συλλογίσασθαι. εἰ γὰρ καθ᾽ ἕν τι μέρος ἐρειδόμεναι σφοδρότεραι ὀδύναι λειποψυχίας τε ἅμα καὶ καταψύξεις ἐπιφέρουσιν, οὐδὲν ἂν εἴη θαυμαστὸν τὰς καθ᾽ ὅλον ἅμα τὸ σῶμα συνισταμένας, εἰ καὶ μὴ τὰς λειποψυχίας τε καὶ τοὺς θανάτους, ἀλλὰ τάς γε καταψύξεις ἐργάζεσθαι. εἰσὶ γὰρ ὁμογενεῖς καὶ ταῖς ἄλλαις ἁπάσαις ὀδύναις αἱ κατὰ τὸ ῥῖγος, ἀπολείπονται δὲ τῶν ἀναιρουσῶν μεγέθει καὶ χρόνῳ. καὶ γὰρ ἐλάττους εἰσὶ πολλῷ, καὶ βραχυχρόνιοι. κωλικὴ μέντοι γε πολλάκις ὀδύνη δυοῖν ἐφεξῆς ἡμερῶν κατέσχε· F ῥῖγος δ᾽ ὅσωπερ ἂν ᾖ σφοδρότερον, τοσοῦτον ὀλιγοχρονιώτερον γίγνεται. προσέοικε γὰρ ἡ κατ᾽ αὐτὸ κίνησις τῆς ψυχῆς οὐ τῇ κατὰ τοὺς φόβους, ἀλλὰ μᾶλλόν πως τῇ κατὰ τὴν αἰδῶ τε καὶ ψυχρολουσίαν. ἀναμάχεται γοῦν ἡ δύναμις καὶ διαγωνίζεται πρὸς τὰ λυποῦντα, μέχριπερ ἂν ἐκμοχλεύσῃ τε καὶ διώσηται πάντα. διά τε οὖν τὰς σφοδρὰς ἐμπτώσεις, καὶ ὅτι κατὰ τὸ βάθος ἀθροισθεῖσα μετὰ πολλῆς ἐπανέρχεται θερμασίας, τὸν ἐπὶ τοῖς ῥίγεσι πυρετὸν ἐξάπτει,

τὴν ὕλην ἔχουσα σύμμαχον εἰς τὸ μέγεθος αὐτοῦ. εἰ δέ ποτε διαγωνιζομένη φθάσειε κάμνειν αὕτη, πρὶν διώσασθαι τὰ λυποῦντα (γίνεται μὲν γὰρ καὶ τοῦτο δι' ἀρρωστίαν δυνάμεως, ἢ μέγεθος αἰτίου) θάνατος ἐξ ἀνάγκης ἀκολουθεῖ, καθάπερ ἔμπροσθεν εἴρηται.

materiam habens in magnitudinem eius adiutricem. Si quando autem certans priùs fatigatur, quàm quæ infestant profligauerit (fit enim & hoc vel ob facultatis imbecillitatem, vel causæ magnitudinem) necessariò mors sequitur, vt priùs est dictum.

ΚΕΦΑΛΑΙΟΝ ϛ.

Ἀνακεφαλαίωσις ἁπασῶν τῶν αἰτιῶν, τῶν τοῖς προειρημένοις κεφαλαίοις καταλαμβανομένων.

Ὅποτε οὖν ἐνταῦθα τοῦ λόγου γεγόναμεν, ἐπιθῶμεν ἤδη τὸ κεφάλαιον αὐτῷ, βραχέσι κεφαλαίοις ἅπαντά τε τὰ προειρημένα περιλαβόντες, ὅσα τε λείπεται προσθέντες. αἱ μὲν βῆχες καὶ οἱ πταρμοὶ καὶ αἱ λύγγες καὶ τὰ ῥίγη, τῆς ἐκκριτικῆς δυνάμεως ἰσχυραὶ καὶ βίαιοι κινήσεις εἰσίν· οἱ δὲ σκορδινισμοὶ καὶ αἱ χάσμαι τῆς αὐτῆς μὲν, ἀλλὰ μέτριαι· μετριώτεραι δὲ κἀν ταῖς φρίκαις αἱ κινήσεις εἰσί· καὶ πολὺ δὴ τούτων μετριώτεραι αἱ κατὰ τὰς ἀνωμαλίας κινήσεις, ὥστε σχεδὸν οὐδὲ κινήσεις εἴποι τις τὰς τοιαύτας, ἀλλ' αἰσθήσεις μόνον ὑπάρχειν, οἷαί περ καὶ αἱ κατὰ τοὺς ἑλκώδεις κόπους αἰσθήσεις εἰσί· καὶ τούτων μᾶλλον ἔτι ἐν τῷ κνησιᾶν. αἴσθησις γὰρ ἐν τούτῳ τῷ συμπτώματι μόνον ἐστὶ περιττωμάτων κνησμωδῶν· οὐδὲ γὰρ ὀνομάσαι δυνατὸν ἄλλως αὐτὰ, πλὴν εἰ νιτρώδη καὶ ἁλμυρά τις ἢ πικρὰ προσαγορεύειν ἐθέλοι, τοιαύτη γὰρ ἡ φύσις αὐτῶν. ἔνεστι δὲ μαθεῖν περὶ αὐτῶν ἀπό τε τῶν ἔξωθεν, οἷον ἀκαλήφης τε καὶ σκίλλης καὶ ἅλμης καὶ θαλάττης, ὅσα τ' ἄλλα τοιαῦτα· καὶ τούτων οὐδὲν ἧττον ἀπ' αὐτῶν τῶν κατὰ τὸ σῶμα. τοῖς γὰρ ἀλουτοῦσι καὶ ῥυπῶσι καὶ ἀπεπτοῦσι καὶ τροφὰς κακοχύμους ἐσθίουσι κνησιᾶν συμβαίνει, καὶ πολὺ δὴ μᾶλλον ἐν ψώραις τε καὶ λέπραις, ὅτι πλείων τε καὶ παχύτερος ὁ χυμὸς ἐν ταῖς τοιαύταις διαθέσεσι. καὶ διὰ τοῦτο κνῶνται μὲν ἐπὶ πλεῖόν τε καὶ μᾶλλον ἁπάντων αὐτοὶ τῆς τοιαύτης διαθέσεως κνησιώντων· ὀνίνανται δ' οὐδὲν οὐδ' ἂν ἐκδείρωσιν ἑαυτοὺς κνώμενοι σφοδρότατα, διὰ τὸ μένειν ἐν αὐτοῖς ἐμπεπλασμένον τε καὶ (ὡς ἂν εἴπῃ τις) ἐσφηνωμένον ἐν τῷ δέρματι τὸν λυποῦντα χυμόν. οὔτε γὰρ ὀλίγος ἐστὶν οὔτε λεπτός ἐστιν, ὡς ἐπὶ τῶν ἀλουτησάντων μόνον ἢ ῥυπώντων, ἀλλὰ καὶ πλεῖστος καὶ παχὺς, ἐνίοτε δὲ καὶ γλίσχρος. ἅπαντα γοῦν τὰ τοιαῦτα συμπτώματα, κακοχυμίας ἐστὶν ἔγγονα, διαφέροντα δὲ ποιότητι καὶ ποσότητι τῆς αἰτίας, ἔτι τε πρὸς τούτοις ἡσυχίᾳ τε καὶ κινήσει. ὀλίγη μὲν γὰρ καὶ λεπτὴ καὶ ἁλμυρὰ καὶ ἀκίνητος ἐν τοῖς κνησιῶσιν. ὀλίγη δὲ καὶ λεπτὴ καὶ δακνώδης καὶ ἀκίνητος ἐπὶ τοῖς ἑλκώδεσι κόποις· πολλὴ δὲ καὶ παχεῖα καὶ ἁλμυρὰ καὶ ἀκίνητος ἐν λέπραις τε καὶ ψώραις· ὀλίγη δὲ καὶ λεπτὴ καὶ δακνώδης καὶ βραχεῖαν ἔχουσα τὴν κίνησιν, ἐν ταῖς φρίκαις. εἰ δ' ἤτοι κινηθείη σφοδρῶς ἢ πλείων ἢ δακνωδεστέρα γένοιτο, ῥῖγος, οὐ φρίκην ἐπιφέρει, μέγιστον μὲν, ἡ πλείστη τε καὶ σφοδροτάτη καὶ δακνωδεστάτη καὶ σφοδρότατα κινουμένη, ἐλάχιστον δὲ, εἰ καθ' ἕν τι τούτων μετρίως αὐξηθὲν ἐκ φρίκης εἰς ῥῖγος μεταπέσοι. πάμπολλαι δὲ ἄλλαι μεταξὺ τοῦ τ' ἐλαχίστου ῥίγους εἰσὶ καὶ τοῦ μεγίστου, τῷ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων διαφέρουσαι, παρά τε τὸ μᾶλλον καὶ ἧττον κινεῖσθαι τὴν αἰτίαν, καὶ παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον εἶναι δακνώδη, καὶ προσέτι τὴν ἐν τῇ ποσότητι διαφορὰν, ἔτι τε πρὸς τούτοις ἤτοι παρὰ τὸ πάσαις ταῖς εἰρημέναις διαφοραῖς, ἢ παρὰ τό τισιν ἢ τινὶ τὴν ποιοῦσαν τὸ ῥῖγος αἰτίαν ηὐξῆσθαι. ταυτὶ μὲν οὖν

CAPVT VI.

Summa causarum omnium, quæ superioribus capitibus comprehensæ sunt.

Qvvm itaq; huc orationem perduxerimus, iam imponamus illi summam, prædicta omnia breuibus capitibus complexi, iis etiam quæ deficiunt adiectis. Tussis quidem & sternutatio & singultus & rigores, excretricis facultatis validi violentique sunt motus; pandiculatio & oscitatio eiusdem quidem facultatis motus sunt, sed moderati; in horrore verò, etiam moderatiores motus sunt; ac multò sanè his moderatiores sunt, quos inæqualitas ciet; ita vt eiusmodi motus dixerit quis propemodum motus non esse, sed tantùm sensus, cuiusmodi sensus in vlcerosâ lassitudine aduertuntur; atque hoc etiam magis in pruritu. In hoc enim symptomate pruritũ excitantium excrementorum est tantùm sensus; neque enim aliter ea nominare licet, nisi quis nitrosa ea & salsa vel amara nominare velit, talis nanque natura eorum est. Licet autem discere, tum ab externis, veluti vrticâ & scillâ & muriâ & mari & eius generis reliquis, tum nihilo minùs ab iis, quæ in ipso sunt corpore. Nam illotos, sordidos, cruditate laborantes & praui succi cibos comedẽtes pruritus exercet; multóque magis in scabie & leprâ, quòd in his affectibus & copiosior & crassior *sit vitiosus* humor; ideoque & diutius & magis scabiunt, quàm vlli alii, qui citra talem affectum pruriunt; nectamen iuuantur, nec si seipsos immodicè scabendo excorient, quòd eiusmodi noxius humor his infixus maneat, ac (vt quis dixerit) cuti impactus hæreat; non enim hic exiguus & tenuis est, vt in illotis aut sorde affectis, sed & plurimus & crassus, interdum verò & glutinosus. Omnia igitur eiusmodi symptomata vitiosorum humorum sunt soboles; diffident verò inter se causæ tum qualitate tum magnitudine, itemque quiete & motu. Paucus enim tenuis, salsus, immotúsque humor in iis est, qui pruriunt; Paucus, tenuis, mordens & immotus in vlcerosis lassitudinibus; Multus, crassus, salsus, & immotus, in lepra & scabie; Paucus, tenuis, mordax & cum exiguo motu, in horroribus. Quòd si vel vehementer moueatur vel copiosior mordaciorve sit, rigorem infert, non horrorem, maximum quidem, qui plurimus est & vehementissimus & mordacissimus, & vehementissimè mouetur; minimũ verò, qui propter quid vnum horum mediocriter auctum ex horrore in rigorem degenerat. Sanè complures alii inter maximum minimúmque rigorem sunt *motus* excessu & defectu inter se dissidentes, prout causa magis minúsve mouetur, vel prout magis minúsve mordax est; ad hæc prout in quantitate est diuersitas; præterea prout causa rigorẽ excitans in dictis differentiis vel quibusdam, vel aliquâ fuerit adaucta. Atque hæc quidem

omnia

omnia symptomata circa cutim & in omnibus subiectis illi carnibus, aceruatâ causâ consistere consueuerunt. Tusses autem & sternutationes & singultus; tusses quidem, in pulmone, & faucibus consistente causâ; sternutationes vero, in naribus; singultus, in ventriculo & stomacho. In omnibus autem dictis commune est, quòd expultricem facultatem seipsam ad vehementissimos motus concitare, vt quæ oblædunt, ea propellat, sicut prædiximus & reliqua quæ ad ortum eorum *spectant*, tum quòd sternutatio per accidens aliquando humorum in pulmone consistentium remedium sit, quanquam eorum causâ non fiat. Sic etiam ventriculum & stomachum, in quibus singultus consistunt, sternutationes ex accidenti purgant, & hac ratione fiunt singultuum remedia; nam abdominis musculi dum extenduntur & contrahuntur, ventriculum simul impellunt, vt violentiorem impetum faciat in ipsas infestantes causas, quas festinat expellere. Ac dixi fermè omnia tum actionum, tum facultatum animalium, vnà cum causis ipsa gignentibus, symptomata. Verùm in primo libro nullius, quòd naturalibus actionibus facultatibúsque superueniat, symptomatis mentionem feci; in hoc secundo ex sermonis consortio, de illis quoque pauca loquuti sumus; verùm absolutam ac propriam ipsis disceptationem, in tertio qui hunc sequetur libro faciemus.

A ἅπαντα τὰ συμπτώματα περὶ τὸ δέρμα καὶ τὰς ὑπ' αὐτὸ σάρκας, ἀθροιζομένης τῆς αἰτίας εἴωθε συνίστασθαι. βῆχες δὲ καὶ πταρμοὶ καὶ λύγγες, ἐν τοῖς κατὰ πνεύμονά τε καὶ φάρυγγα καὶ θώρακα τῶν αἰτίων συνισταμένων· οἱ πταρμοὶ δὲ ἐν τοῖς κατὰ τὰς ῥῖνας· λύγγες δὲ ἐν τοῖς κατὰ γαστέρα καὶ στόμαχον. ἐν ἅπασι δὲ τοῖς εἰρημένοις κοινὸν ἡ τῶν λυπούντων ἐκκριτικὴ δύναμις, ἑαυτὴν ἐπεγείρουσα πρὸς τὰς σφοδροτάτας κινήσεις ὑπὲρ τοῦ διώσασθαι τὰ λυποῦντα, καθάπερ ἔμπροσθεν εἴρηται τά τ' ἄλλα περὶ τῆς γενέσεως αὐτῶν, καὶ ὅτι κατὰ συμβεβηκός ποτε καὶ ὁ πταρμὸς τῶν κατὰ πνεύμονα συνεστώτων B ὑγρῶν ἴαμα καθίσταται, μὴ γινόμενος ἐκείνων ἕνεκεν. οὕτω δὲ καὶ κατὰ τὴν γαστέρα καὶ τὸν στόμαχον, ἐφ' οἷς αἱ λύγγες συνίστανται, κατὰ συμβεβηκὸς ἐκκαθαίρουσιν οἱ πταρμοί, καὶ ταύτῃ γίγνονται λυγγῶν ἰάματα. συνεπωθοῦσι γὰρ τὴν κοιλίαν οἱ κατεπιγάστριοι μύες ἐκτεινόμενοί τε καὶ προστέλλοντες, ὡς βιαιοτέραν γίνεσθαι τὴν ἔμπτωσιν αὐτῆς τοῖς λυποῦσιν αἰτίοις, ἃ διώσασθαι σπεύδει. εἴρηταί μοι σχεδὸν ἅπαντα τὰ τῶν ψυχικῶν ἐνεργειῶν τε καὶ δυνάμεων συμπτώματα σὺν ταῖς ἀπογεννώσαις αἰτίαις αὐτά. κατὰ μέντοι τὸ πρότερον ὑπόμνημα τῶν ἐν τῇ φυσικαῖς C ἐνεργείαις τε καὶ δυνάμεσι γιγνομένων συμπτωμάτων οὐδενὸς ἐπεμνήσθην, ἐν δὲ τῷ δευτέρῳ τῷδε κατὰ τὴν κοινωνίαν τοῦ λόγου λέλεκταί τι καὶ περὶ ἐκείνων ἐπ' ὀλίγον, ἀλλά γε τὸν τέλεόν τε καὶ ἴδιον αὐτῆς λόγον ἀποδώσομεν ἐν τῷ [28] τρίτῳ τῷ μετὰ τοῦτον.

CAPVT VII.

De causis Symptomatum principis animalis functionis.

NVnc quò omnia, quæ animalibus facultatibus oboriuntur symptomata, duobus his libris sint absoluta, de *symptomatis* quoque ad principes actiones spectantibus disseremus. Sunt igitur in his tria prima symptomatum genera; Vnum, actionis abolitio; alterum, *actionis* læsio; tertium, *eius* in alteram speciem mutatio. Abolitio quidem in stultitiâ & obliuione; visum nanque non rarò est, morbos in abscessum aliquem abeuntes, stultitiam aut vocatam obliuionem induxisse. Vidimus enim quosdam, qui & literas & artes omnino fuerant obliti, imò nec propria nomina meminerant; cuiusmodi aliquid Athenis in peste accidisse memorat Thucydides; quosdam enim ex iis qui euaserant, & se ipsos & suos necessarios ignorauisse. Iam visi sunt & propter extremum senium nonnulli similibus symptomatis tentari. Quo patet & fatuitatem & obliuionem ex refrigeratione creari. Quin etiam medicamenta, quæ eiusmodi symptomata inducunt, sunt frigida facultatibus. Ac talia quidem symptomata ipsum cerebri corpus perfrigeratum esse docent, quemadmodum apoplexiæ & epilepsiæ, ex pituitosi humoris multitudine in ipsius cerebri ventriculis collecti gigni videntur. Proinde subitanea est earum tum generatio tum solutio, quod accidere per corporum intemperiem nullo modo potest. At mediocres tum rationis tum memoriæ noxæ & quasi torpores ex minore refrigeratione accidunt, veluti aut

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ αἰτίων τῶν συμπτωμάτων τῶν κατὰ τὰς ἡγεμονικὰς ἐνεργείας γινομένων.

D

NΥνὶ δὲ πρὸς τὸ πέρας ἡμῖν ἐν τοῖς δύο συμπεπληρῶσθαι τὰ ταῖς ψυχικαῖς δυνάμεσι γινόμενα συμπτώματα, καὶ περὶ τῶν κατὰ τὰς ἡγεμονικὰς ἐνεργείας ἐροῦμεν. ἔστι μὲν οὖν κἀν ταύταις τρία τὰ πρῶτα γένη τῶν συμπτωμάτων. ἓν μὲν ἀπώλεια τῆς ἐνεργείας· ἕτερον δὲ βλάβη· τὸ δὲ τρίτον, εἰς ἑτέραν ἰδέαν ἐκτροπή. ἀπώλεια μέν, ἐν ταῖς καλουμέναις μωρώσεσί τε καὶ λήθαις. ὦπται γὰρ οὐκ E ὀλιγάκις ὡς εἰς ἀπόστασίν τινα κατασκήψαντα νοσήματα, μώρωσιν ἢ λήθην ἐπήγαγεν. ἐνίους γοῦν καὶ γράμματα καὶ τέχνας τελέως ἐπιλαθομένους ἐθεασάμεθα καὶ μηδὲ τῶν σφετέρων ὀνομάτων μεμνημένους, ὁποῖόν τι καὶ ὁ Θουκυδίδης φησὶν ἐν τῷ λοιμῷ συμβῆναι, τινὰς γὰρ τῶν διασωθέντων ἀγνοῆσαι σφᾶς τε αὐτοὺς, καὶ τοὺς ἐπιτηδείους. ὤφθησαν δὲ καὶ διὰ γῆρας ἔσχατον ἔνιοι παραπλησίοις ἁλόντες συμπτώμασιν· ᾧ καὶ δῆλον, ὡς ἐπὶ καταψύξει γίγνεται καὶ μώρωσις καὶ λήθη. καὶ γὰρ οὖν καὶ τὰ φάρμακα τὰ τῶν τοιούτων συμπτωμάτων ποιητικά, ψυχρὰ ταῖς δυ- E νάμεσίν ἐστι. τὰ μὲν δὴ τοιαῦτα συμπτώματα τὸ σῶμα αὐτὸ κατεψῦχθαι δηλοῖ τοῦ ἐγκεφάλου, ὥσπερ καὶ τὰ ἀποπληκτικὰ καὶ τὰ ἐπιληπτικά, διὰ φλεγματώδους χυμοῦ πλῆθος ἐν ταῖς κοιλίαις αὐτοῦ τοῦ ἐγκεφάλου συναθροισθέντος ἔοικε γίγνεσθαι. καὶ διὰ τοῦτο ἐξαιφνίδιος ἥ τε γένεσις αὐτῶν ἐστι καὶ ἡ λύσις, οὐδαμῶς τούτου συμβῆναι δυναμένου κατὰ τὰς τοῦ σώματος δυσκρασίας. αἱ δὲ μέτριαι βλάβαι καὶ οἷον νάρκαι τοῦ λογισμοῦ τε καὶ τῆς μνήμης ἐπὶ βραχυτέρᾳ καταψύ-

ξεσι συμβαίνουσιν, ἤτοι διά τι τῶν εἴσω τοῦ σώματος ληφθέντων φαρμάκων ψυχρῶν, ἢ κατὰ τῆς κεφαλῆς ἐπιτεθέντων, ἢ καὶ χυμοῦ ψυχροῦ κατὰ τὸν ἐγκέφαλον ἠθροισμένου. καὶ παραφροσύναι δὲ πᾶσαι, πλημμελεῖς ὑπάρχουσαι κινήσεις τῆς ἡγεμονικῆς δυνάμεως, ἐπὶ μοχθηροῖς συνίστανται χυμοῖς ἢ δυσκρασίᾳ τῇ κατὰ τὸν ἐγκέφαλον. ὀνομάζονται δὲ φρενίτιδες μὲν αἱ μετὰ πυρετῶν. μανίαι δὲ αἱ χωρὶς τούτων, ποτὲ μὲν τοῖς δακνώδεσι καὶ θερμοῖς ἑπόμεναι χυμοῖς, ὁποῖος ὁ τῆς ξανθῆς χολῆς ἐστι μάλιστα, πολλάκις δὲ κατὰ τὴν δυσκρασίαν τὴν ἐπὶ τὸ θερμότερον αὐτοῦ τοῦ ἐγκεφάλου συνιστάμεναι· μόναι δ' αἱ μελαγχολικαὶ παραφροσύναι ψυχρότερον ἔχουσι τὸν αἴτιον χυμόν. ἡ μὲν γὰρ φρενῖτις οὐδὲ ἁπλῶς ἐπὶ θερμοῖς συνίσταται χυμοῖς, ἀλλὰ μετὰ τοῦ φλεγμονὴν ἐργάζεσθαι κατά τε τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας. ἐν δὲ τοῖς ἄλλοις πυρετοῖς αἱ παραφροσύναι πληθύνοντος ἐν ἐγκεφάλῳ γίγνονται τοῦ τοιούτου χυμοῦ· καὶ ὅσαι γε κατὰ τὰς ἀκμὰς συνίστανται τῶν ὀξυτάτων πυρετῶν, ἀτμὸν δακνώδη καὶ θερμὸν ἀναθυμιώμενον ἴσχουσιν ἐπὶ τὸν ἐγκέφαλον. αἱ δὲ μελαγχολικαὶ παραφροσύναι, πολυειδεῖς μέν εἰσι ταῖς κατὰ μέρος ὑπούλοις φαντασίαις, ἐν δ' αὐταῖς ἔοικεν ἁπάσαις ὑπάρχειν κοινόν, ὃ πρὸς Ἱπποκράτους εἴρηται. ἢν φόβος καὶ δυσθυμίη πολὺν χρόνον ἔχουσα διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον. δυσθυμοῦσι γὰρ ἅπαντες ἀλόγως, οὐδ', ἢν ἐρωτήσῃς, ἔχοντες εἰπεῖν ἐφ' ὅτῳ λυποῦνται, δεδίασί τε ἐξ αὐτῶν οὐκ ὀλίγοι θάνατόν τε καὶ ἕτερά τινα μηδενὸς ἄξια δείματος· εἰσὶ δὲ οἳ καὶ σφοδρῶς ἐπιθυμοῦσι θανάτου. τό γε μὴν ἐπὶ τῇ μελαίνῃ χολῇ καταλαμβανούσῃ τὴν ἀρχὴν τῆς λογικῆς ψυχῆς, φόβους τε γίγνεσθαι καὶ δυσθυμίας καὶ θανάτου προσδοκίας, οὐδὲν θαυμαστόν. ὁρῶμεν γὰρ καὶ τῶν ἔξωθεν τοῦ σώματος οὐδὲν οὕτως ἡμῖν φοβερόν, ὡς τὸ σκότος. ὅταν οὖν οἷον σκότος τι περιχυθῇ τῷ λογικῷ μορίῳ τῆς ψυχῆς, ἀναγκαῖον, ἀεὶ φοβεῖσθαι τὸν ἄνθρωπον, ὡς ἂν ἀεὶ τὴν αἰτίαν τοῦ φόβου συμπεριφέροντα τῷ σώματι. ὅπερ γὰρ ἡμῖν ἔξωθεν γίγνεται κατὰ χρόνον τινά, βαθυτάτου σκότους καταλαβόντος τὸν πέριξ ἀέρα, τοῦτο τοῖς μελαγχολῶσιν ἔνδοθέν τε καὶ ἐξ αὐτοῦ τοῦ σώματος ὁρμᾶται, καταλαβούσης τὸν ἐγκέφαλον ἤτοι τῆς μελαίνης χολῆς αὐτῆς, ἤ τινος ἀναθυμιάσεως ἀτμοῦ μελαγχολικοῦ, καθάπερ ἐν τῷ νοσήματι τῷ φυσώδει τε καὶ ὑποχονδριακῷ προσαγορευομένῳ.

A ex medicamento aliquo refrigeranti in corpus assumpto, aut capiti imposito, aut etiam frigido humore in cerebro collecto. Iam deliria omnia quæ deprauati motus principis facultatis sunt, in vitiosis humoribus consistunt vel in eorum intemperie, quæ sunt in cerebro. Nominantur autem, quæ cum febre sunt; phrenitides; quæ sine febre maniæ, quæ interdũ mordaces & calidos sequuntur humores, qualis maximè flaua est bilis; sæpè etiam è calidiore cerebri intemperie ortum ducunt. Sola verò illa, quæ melancholica vocantur, deliria frigidiorem humo-

B rem pro causâ habent. Nam phrenitis non simpliciter à calidis humoribus ortum habet, sed etiam à phlegmone, quum in cerebro, vel eius inuolucris generatur. In reliquis verò febribus deliria fiunt, eiusmodi humore in cerebro exuberante. Quæ verò acutissimarum febrium summo incremento oriuntur, hæ vaporem aliquem mordentem ac calidum ad cerebrum ascendentem *causam* habent. Melancholica verò deliria multarum sunt specierum è corruptis particulatim imaginationibus: Vnum tamen, quod ab Hippocrate perhibetur, omni-

C nibus commune esse videtur; *Si timor & mæstitia multo tempore perdurent, melancholicum eiusmodi symptoma est.* Sunt enim omnes præter rationem mœsti, nec si roges quamobrem mœreant, reddere causam possunt. Timent autem eorum nonnulli tum mortem, tum alia, quę minimè sunt timenda. Sunt & qui mortem vehementer expetant. Cæterum quòd ab atrâ bile rationalis animæ arcem occupante, timor mœrorque ac mortis expectatio accidant, nihil mirum: videmus enim etiam eorum, quæ extra corpus

D sunt, nihil nos peræquè terrere, ac tenebras. Ergo quum veluti quædam tenebræ rationalis animæ parti sint circumfusæ, necesse est hominem semper timere; vt qui semper vnà cum corpore suo timoris causam circumferat. Quod enim nobis extrinsecus fit, altissimis tenebris ambientem nos aërem ad tempus aliquod occupantibus, id melancholiæ vitio laborantibus, ab interno & ipso corpore contingit, vel ipsâ nigrâ bile cerebrum occupante, vel aliquâ melancholici halitus exhalatione, veluti in morbo, quem flatulentem, & hypochondriacun vocant.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΙΤΙΩΝ ΣΥΜΠΤΩΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

GALENI DE SYMPTOMATVM CAVSIS LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩ ΒΙΒΛΙΩ.

Αἰτίαι τῶν ἐν ταῖς φυσικαῖς ἐνεργείαις συμπτωμάτων, καὶ ἐν τῇ τῶν περιττωμάτων ἀλλοιώσει, καὶ ἐν ταῖς ποιότησιν ἁπλαῖς συνισταμένων δηλοῦνται.

ARGVMENTVM LIBRI.

Causæ symptomatum functionis naturalis; mutationis excrementorum; & qualitatum simplicium declarantur.

A

CAPVT I.

Causæ Symptomatum seu læsionum concoctionis, distributionis & secretionis.

QVOD autem quæ in naturalibus tum functionibus tum facultatibus symptomata fiunt, eandem inuentionis methodum habent, quam quæ in animalibus actionibus oboriuntur, præstiterit fortassis & in horum speciebus particulatim exercitatos esse, quemadmodum etiam in iis quæ animalium sunt actionum, sumus exercitati. Id profectò caput est inuentionis omnium causarum facultates lædentiũ, cognitio modi quo hæ sanæ suas functiones obibant. Si enim cõterendo concoqueret cibos ventriculus, is in conterendo impeditus, concoctionis symptomata efficiet; si prorsus non conterat, etiam non prorsus concoquet; si prauè conterat, prauè etiam concoquet. Eadem ratione si putrefaciendo concoqueret, quòd non putrefaceret, non concoqueret. At si vt nos demonstrauimus, ipsa concoctio alteratio in qualitate est, fit autem à ventriculo cibum sibi assimilante; cuique patet, frustrationem in alteratione concoctionis symptoma fore. Quòd si nulla penitus alteratio fuerit, id symptoma cruditas vocatur, ad eum modum, quo in animæ functionibus immobilitas & insensibilitas, significantibus his vocibus actionum primariæ animæ partis & abolitionem & priuationem. Si verò fiat alteratio, sed non vt oportet, cruditas id quoque appellatur: significat tamen non vt prius *symptoma* priuationem, sed deprauationem solam. Quum autem sit deprauatio duplex, vel quòd tardet & nunquam conuenientem mutationem cibus suscipiat; vel quòd corrumpatur omninò, ita vt naturalem perfectionem prorsus recipere nequeat; priorem quidem tardam concoctionem nominant; secunda nullum proprium nomen adepta est. Tot itaque concoctionis sunt

ΚΕΦΑΛΑΙΟΝ Α'.

Αἰτίαι τῶν συμπτωμάτων ἢ τῶν βλαβῶν πέψεώς τε καὶ ἀναδόσεως καὶ διακρίσεως.

ΟΤΙ δὲ ὅσα κατὰ τὰς φυσικὰς ἐνεργείας τε καὶ δυνάμεις ἀποτελεῖται συμπτώματα, τὴν αὐτὴν μὲν ἔχει μέθοδον τῆς εὑρέσεως, ἥνπερ καὶ τὰ ταῖς ψυχικαῖς ἐνεργείαις ἐπιγινόμενα, κάλλιον μὲν ἴσως ἐστί, κἂν τοῖς τούτων εἴδεσι γυμνάσασθαι κατὰ μέρος, ὥσπερ κἂν τοῖς τῶν ψυχικῶν ἐγυμνασάμεθα. ὃ μὲν δὴ κεφάλαιόν ἐστι τῆς εὑρέσεως ἁπάντων τῶν αἰτίων ὅσα λυμαίνεται ταῖς δυνάμεσιν, ἡ γνῶσις τοῦ τρόπου καθ' ὃν ἐνήργουν ὑγιαίνουσαι. εἰ μὲν γὰρ τῷ τρίβειν ἡ γαστὴρ ἔπεττε τὰ σιτία, περὶ τὸ τρίβειν ἐμποδισθεῖσα, τὰ τῆς πέψεως ἀποτελέσει συμπτώματα· μηδ' ὅλως μὲν τρίψασα, τὸ μηδ' ὅλως πέψαι· μοχθηρῶς δὲ τρίψασα, τὸ μοχθηρῶς πέψαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ τῷ σήπειν ἔπεττεν, οὐ πέψει τῷ μὴ σῆψαι. εἰ δ' ὡς ἡμεῖς ἀπεδείξαμεν, αὐτὴ μὲν ἡ πέψις, ἀλλοίωσίς ἐστι κατὰ ποιότητα, γίγνεται δὲ ὑπὸ τῆς γαστρὸς ὁμοιούσης ἑαυτῇ τὰ σιτία, παντί που δῆλον, ὡς ἡ περὶ τὴν ἀλλοίωσιν ἀποτυχία σύμπτωμα γενήσεται πέψεως. εἰ μὲν δὴ μηδ' ὅλως ἀλλοιωθείη, καλεῖται μὲν ἀπεψία τὸ σύμπτωμα, καθάπερ ἀκινησία τε καὶ ἀναισθησία περὶ τὰ τῆς ψυχῆς ἔργα, σημαινουσῶν ἀπώλειάν τε καὶ στέρησιν τῆς ἐνεργείας τοῦ πρώτου μορίου τῆς ψυχῆς. εἰ δ' ἀλλοιωθείη, οὐχ ὡς προσῆκε δέ, ἀπεψία μὲν καὶ τοῦτο καλεῖται· σημαίνει δ' οὐ στέρησιν ὡς πρότερον, ἀλλὰ κάκωσιν μόνην. οὔσης δὲ καὶ αὐτῆς τῆς κακώσεως διττῆς, ἢ τῷ βραδύνειν τε καὶ μηδέπω δέχεσθαι τὴν οἰκείαν μεταβολήν, ἢ τῷ διεφθάρθαι παντάπασιν, ὡς μηδ' ὅλως δύνασθαι τὸν ἐκ τῆς φύσεως κόσμον δέξασθαι, βραδυπεψίαν μὲν ὀνομάζουσι τὴν προτέραν· ἡ δευτέρα δὲ οὐδὲν ἴδιον ὄνομα κέκτηται. τοσαῦται μὲν οὖν αἱ βλάβαι τῆς

πέψεως. αἰτίαι δὲ αὐτῶν, κοινὴ μὲν ἡ τῆς ἀλλοιούσης δυνάμεως ἀποτυχία τοῦ σκοποῦ. διῄρηται δ᾽ αὕτη κατ᾽ εἴδη τε καὶ γένη. τὰ μὲν δὴ πρῶτα δύο γένη τῆς ἀποτυχίας εἰσί, τὸ μὲν ἕτερον ἡ δύναμις αὐτὴ πεπονθυῖα· τὸ δὲ ἕτερον, ἔξωθέν τις πλημμέλεια. διαιρεῖται δὲ ἑκάτερον, ἡ μὲν τῆς δυνάμεως βλάβη κατὰ τρόπον διττόν, ἤτοι διὰ τὴν ἑαυτῆς οὐσίαν, ἢ διά τι νόσημα τῶν ὀργανικῶν. ἡ δ᾽ ἔξωθεν πλημμέλεια, τριττὴ μὲν καὶ αὐτή· ἡ μὲν ἐν τοῖς κατὰ τὴν γαστέρα περιττώμασιν· ἡ δὲ ἐν τοῖς σιτίοις· ἡ δὲ ἐν τῷ χρόνῳ τῶν ὕπνων. ἀλλ᾽ αἱ μὲν κατὰ τὴν οἰκείαν οὐσίαν τῆς δυνάμεως βλάβαι, δυσκρασίαι τινές εἰσι τῶν δραστικῶν ποιοτήτων· αἱ δ᾽ ἀπὸ τῶν ὀργανικῶν νοσημάτων, ἐρυσιπέλασι καὶ οἰδήμασι καὶ φλεγμοναῖς καὶ σκίρροις καὶ ἀποστήμασι καὶ ἄνθραξι, καὶ ὅσα τ᾽ ἄλλα τοιαῦτα, τὰ μὲν ἁπλᾶ, τὰ δὲ σύνθετα νοσήματα περὶ τὴν γαστέρα συνίσταται. διὰ ταῦτα μὲν δὴ πάντα κακῶς ἡ γαστὴρ πέττει, τῆς δυνάμεως αὐτῆς ᾗ πέττει βλαπτομένης, ἐν μὲν ταῖς δυσκρασίαις κατὰ τὴν οἰκείαν ἑαυτῆς οὐσίαν, ἐν δὲ τοῖς ἄλλοις νοσήμασιν, ὅσα μὲν ἁπλῶς ἐστιν ὀργανικά, παραποδιζομένης μόνον, ὅσα δὲ ἐκ δυσκρασιῶν τε καὶ ὀργανικῶν σύνθετα, κατ᾽ ἀμφοτέρους τοὺς τρόπους. ἐπὶ ταύταις ταῖς προφάσεσιν ἡ γαστὴρ κακῶς πέττει, κἂν μηδὲν τῶν ἄλλων πλημμελῆται τῶν ἔξωθεν. τὸ ἔμπαλιν δὲ τῆς γαστρὸς αὐτῆς μηδὲν πεπονθυίας, οὐ πέττει τὸ ζῶον ἤτοι διὰ πλῆθος ἄμετρον ἐδεσμάτων τε καὶ πομάτων ἢ διὰ ποιότητα μοχθηρὰν ἢ δι᾽ ἀκαιρίαν ἢ δι᾽ ἀταξίαν ἢ περίττωμα φαῦλον ἢ ὕπνον ὀλίγον. ἀλλ᾽ ἐπὶ μὲν ταῖς μοχθηραῖς τῶν σιτίων ποιότησι καὶ τοῖς περιττώμασιν, ὅσα κατὰ τὴν γαστέρα συνίσταται, μετὰ διαφθορᾶς ἀποτελοῦσιν, ἔστι δ᾽ ὅτε καὶ δι᾽ ἀταξίαν τε καὶ ἀκαιρίαν. λέγω δὲ ἀταξίαν μέν, εἰ μῆλα καὶ ῥοιὰς εἰ οὕτως ἔτυχε, πρῶτα, τελευταῖα δὲ προσφέροιντο λάχανα δι᾽ ἐλαίου καὶ γάρου· ἀκαιρίαν δ᾽ εἰ ἕωθεν, πρὶν ὑπελθεῖν καλῶς τὴν προτέραν τροφήν, ἢ πρὸ ὀλίγου τῶν γυμνασίων ἀριστήσειεν. αἱ διαφθοραὶ δὲ κνισώδεις μὲν ἐπὶ τοῖς θερμοτέροις τε καὶ χολωδεστέροις ἐδέσμασι συμπίπτουσιν· ὀξώδεις δὲ ἐπὶ τοῖς ψυχροτέροις φύσει καὶ φλεγματωδεστέροις. οὕτω δὲ κἀπὶ τοῖς περιττώμασιν, ὀξώδεις μὲν ὅσα φλεγματικὰ καὶ ψυχρά· κνισώδεις δέ, ὅσα θερμά τε καὶ πικρόχολα. καὶ αὐτὴ δὲ ἡ γαστήρ, ἐπὶ μὲν τοῖς ψυχροτέροις νοσήμασι τὰς ὀξώδεις, ἐπὶ δὲ τοῖς θερμοτέροις τὰς κνισώδεις ἐργάζεται μεταβολάς. βραδυπεψίας δὲ ἐργάζεται τὰ δυσδιάφθαρτα μέν, ὑπὲρ τὴν δύναμιν δέ, ἢ ὑπὲρ τὸν ὕπνον. ὅταν δὲ χωρὶς τοῦ διαφθαρῆναι στέρησις παντελὴς γένηται πέψεως, ἰστέον ἐν τῷδε νενικῆσθαι τὴν γαστέρα τελέως ἤτοι διὰ πλῆθος ἄμετρον, ὡς πρὸς τὴν ἀσθένειαν τῆς δυνάμεως, ἢ διὰ ψύξιν ἰσχυράν· ἀπεῖπε γὰρ ἐν ταῖς τοιαύταις καταστάσεσιν ἡ γαστήρ, ὡς μηδ᾽ ἐπιχειρεῖν ὅλως πέττειν. ταῦτ᾽ οὖν ἔστω σοι παραδείγματα καὶ τῆς ἐν τοῖς ἀγγείοις ἀπεψίας. εἰς γὰρ τοὺς αὐτοὺς αὖ τρόπους ἀνάξεις κἀκείνας, καὶ πρὸς ἐκείναις γε τὰς κατὰ τὴν τρίτην πέψιν, αἷς ἡ θρέψις ἕπεται τοῦ σύμπαντος ὄγκου, τὴν αὐτὴν ἀναλογίαν ἐχούσης πρὸς μὲν τὰς φλέβας, τῆς ἐκ κοιλίας εἰς αὐτὰς ἀναδιδομένης τροφῆς· πρὸς δὲ τὰς σάρκας, τῆς ἐκ τῶν φλεβῶν εἰς ἐκείνας, ἥνπερ εἶχε τὰ ἐσθιόμενά τε καὶ πινόμενα πρὸς τὴν γαστέρα. ταῦτ᾽ οὖν ἅπαντα ἡμῖν ἐνεδείξατο προεγνωσμένος ὁ τῆς πέψεως

A noxæ. Causa verò earum communis quidem est, alteratricis facultatis à scopo *aberrantis* frustratio. Ea diuiditur tum in species, tum in genera. Ac prima quidem duo genera frustrationis sunt, alterum facultas ipsa affecta; alterum externus quidam error. Diuiditur verò horum vtrumque; facultatis quidem læsio *fit* bifariam, aut per suam ipsius substantiam, aut per aliquem morbum organicum. Externus error triplex & ipse est; alius in excrementis ventriculi; alius in cibis; alius in tempore somni. Verùm B quæ in propriam facultatis substantiam *cadunt* noxæ, intemperies quædam sunt actiuarum qualitatum; quæ verò ab organicis oriuntur morbis, eæ in erysipelatis & œdematis & phlegmonis & scirrhis & abscessibus & carbunculis & cæteris eiusmodi circa ventriculum partim simplicibus, partim compositis morbis, consistunt. Propter hæc quidem omnia ventriculus malè concoquit, ipsâ quâ concoquit facultate læsâ, ab intemperie quidem in propriâ sui ipsius substantiâ; à cæteris verò morbis, qui simpli- C citer sunt organici, duntaxat impeditâ; ab iis verò qui ex intemperie & organicis morbis compositi *sunt*, vtroque modo *læditur*. Atque his de causis venter malè concoquit, etiamsi in cæteris externis nullus error sit. Rursus ventre ipso minimè affecto, non concoquit animal, vel propter eduliorum ac potuum immoderatam copiam, vel propter prauam qualitatem, vel propter tempus inopportunum, vel ob incongruum ordinem, vel vitiosum excremētum, vel somnum exiguum. Verùm à vitiosis ciborum qualitatibus & excrementis quę in ventriculo D consistunt, cum corruptione fit apepsia; interdum etiam ob præposterum ordinem, & tempus non opportunum. Dico autem præposterum ordinem, si mala *cydonia* (si ita contingat) & punica primis mensis sumantur, olera cum oleo, & garo vltimis. Intempestiuitatem verò, vt siquis manè antequam prior cibus descenderit, vel paulò ante exercitationem, pransus fuerit. Porrò corruptelæ nidorosæ à calidioribus magisque biliosis accidunt cibis; acidę vero, à frigidioribus naturâ magisque pituitosis. Ita verò & in excrementis; acidas quidem *creant*, quæ pituitosa sunt & frigida; nido- E rosas, quæ calida & biliosa. Etiam ipse venter, in frigidioribus quidem morbis acidas, in calidioribus nidorosas mutationes facit. Tardas concoctiones efficiunt ea quæ ægrè quidem corrumpuntur, sed superant facultatem aut somnum. Quum autem citra corruptelam concoctionis omninò est priuatio, scire licet eo casu prorsus superatum esse ventriculum vel ab immodica multitudine pro facultatis imbecillitate, vel à vehementi frigore; ita enim in tali statu ventriculus non cōcoquit, vt etiam concoquere prorsus non tentet. Ergo hæc ti- F bi quoque cruditatis in vasis *sanguinis* oborientis, exempla sunto. Hanc enim rursus ad eosdem modos reduces, sicuti ad hanc etiam eam quæ in tertia est concoctione, quam totius molis corporis nutritio sequitur, eandem rationem ad venas habente alimento, quod è ventre in eas defertur; & ad carnes, quod è venis in has distribuitur, quam habent ad ventriculum, quæ comeduntur & bibuntur. Hæc igitur omnia nobis indicauit concoctionis modus præco-

præcognitus. Scientes enim, quòd quatuor elementorum certa quædam temperies, quæ proprietatem corporis ventriculi effecit, alterationis ciborum sit causa, tum quòd plurimam in id vim calidum elementum conferat; veluti manu ad causarum cruditatis inuentionem ducti sumus. Est porrò non in cruditatibus modò, sed etiam in omni symptomatum genere, aliud actionis veluti iactura, seu priuatio, seu quomodocunque aliter id nominare libet; aliud imperfecta deficiensque actio; aliud deprauata & errans. Atque in ventriculo quidem (vt mox est dictum) priuatio actionis est, quum cibi ne vel minimam quidem mutationem accipiunt; imperfecta autem coctio in bradypepsiis *consistit*, quemadmodũ deprauata & errans in corruptelis. In venis autem priuatio actionis est, quum humores omninò sunt crudi; deficiens actio, quum semicocti; deprauata, quum vitiosi. Sic & in toto quoque animalis habitu, quæ velut priuatio est, in crudis isthic *consistit* humoribus; quæ tanquam deficiens est *functio*, in semicoctis; sicut deprauata, in vitiosis humoribus. Porrò ex iis vitiosis humoribus erysipelata, cancri, gangrænæque nascuntur; præterea phagedænæ, carbunculi, vlcera serpentia aliaque eiusmodi. In nutriendi autem actione, priuatio quidem actionis, atrophia est; deficiens verò nutritio, gracilitas; vitiosa, in leucis & elephantiasi appellatã cernitur. Causæ omnium prædictorum symptomatum eædem genere sunt cum iis, quæ supra de ventriculo sunt dictæ; quædam ipsarum ad facultatis imbecillitatem; quædam ad alimenti deprauationem; tertiæ ad vitæ rationem, & ea, quæ extrinsecus animali incidunt, reductæ. Ad eundem quoque modum facultatis imbecillitates, quæ quidem propriæ sunt similarium, intemperiem; quæ non propriæ, organicos sequuntur morbos. Deprauationes verò nutrimenti, in quantitatem & qualitatem humorum diuiduntur; quemadmodum, arbitror, & vitæ rationum, & eorum quæ extrinsecus appropinquant, errores, in ordinem vitiatum, & intempestiuitatem quandam diuiduntur. Voco rationem vitæ, equitationem, piscationem, venerẽ, balneas, ambulationes, nauigationes, venationes, omnia denique, in quibus aliquid corpore agimus. Oportet autem medicum non solum symptomatum dignoscendorum facultatem habere, ac generationis eorum inueniendæ peritum esse, sed etiam modi quo generentur, qui inter effectricum causarum differentias numeratur. Non enim illud tantum nosse conuenit, num ventriculus nihil omnino concoxerit, sed etiam quamobrem; vtrumne propter exuperantem concoctricis facultatis imbecillitatem, an ob copiam aliquam immodicam, an pessimam aliquam ciborum qualitatem. Nam symptoma cibis succedens, facilè corrigitur; quòd verò ob extremum facultatis incidit collapsum, in lienteriam, aut tympanitem vocatum hydropa finitur. In venis quoque simili ratione, non solùm sanguinis frustrationem æstimari conueniet, sed etiam quâ ex causâ ea contingat; vtrúmne ob sanguificæ facultatis imbecillitatem (non enim ita ipsam nominare abs re fuerit) an ob multitudinem humorum crudorũ frigidorumq;

A τρόπος. ὅτι γὰρ ἡ ἐκ τῶν τεττάρων στοιχείων ποιὰ δέ τις κρᾶσις, ἡ καὶ τὴν ἰδιότητα τοῦ τῆς γαστρὸς ἐργασαμένη σώματος, αἰτία τῆς ἀλλοιώσεώς ἐστι τῶν σιτίων, ἐπιστάμενοι, καὶ ὅτι πλείστην εἰς τοῦτο δύναμιν εἰσφέρεται τὸ θερμὸν στοιχεῖον, ἐποδηγήθημεν εἰς τὴν εὕρεσιν τῶν ἐν ταῖς ἀπεψίαις αἰτίων. ἔστι δὲ οὐ μόνον ἐν ταῖς ἀπεψίαις, ἀλλὰ καὶ κατὰ τὰ σύμπαντα τῶν συμπτωμάτων γένη, τὸ μὲν, οἷον ἀπώλεια τῆς ἐνεργείας ἢ στέρησις ἢ ὡς ἄν τις ἑτέρως B ὀνομάζειν ἐθέλοι· τὸ δὲ, οἷον ἀτελὴς καὶ ἐλλιπὴς ἐνέργεια· τὸ δὲ, μοχθηρά τε καὶ πλημμελής. ἐν μὲν οὖν τῇ γαστρὶ (καθάπερ ἀρτίως εἴρηται) στέρησις μὲν τῆς ἐνεργείας ἐστὶν, ὅταν μηδ᾽ ἐπὶ βραχύτατον ἀλλοιωθῇ τὰ σιτία· πέψις δὲ ἐλλιπὴς, ἐν ταῖς βραδυπεψίαις, ὥσπερ γε καὶ ἡ μοχθηρὰ καὶ ἡ πλημμελὴς ἐν ταῖς διαφθοραῖς. κατὰ δὲ τὰς φλέβας ἡ μὲν τῆς ἐνεργείας στέρησις, ἐν τοῖς παντάπασιν ὠμοῖς χυμοῖς· ἡ δὲ ἐλλιπὴς ἐνέργεια, κατὰ τοὺς ἡμιπέπτους· ἡ δ᾽ αὖ πλημμελὴς, ἐν ταῖς κακοχυμίαις. οὕτω δὲ καὶ καθ᾽ ὅλην τοῦ ζώου τὴν ἕξιν, ἡ μὲν οἷον στέρησις, ἐν τοῖς ὠμοῖς κατ᾽ ἐκεῖνα χυμοῖς· ἡ δ᾽ οἷον ἐλλιπὴς, C ἐν τοῖς ἡμιπέπτοις· ἡ δὲ μοχθηρὰ, κατὰ τὰς ἐν αὐτοῖς κακοχυμίας. ἐκ τούτων τῶν κακοχυμιῶν ἐρυσιπέλατά τε καὶ καρκῖνοι καὶ γάγγραιναι γίγνονται, φαγέδαιναί τε καὶ ἄνθρακες, καὶ ἕρπητες, ὅσα τ᾽ ἄλλα τοιαῦτα. κατὰ δὲ τὴν τῆς θρέψεως ἐνέργειαν, ἀτροφία μὲν ἡ στέρησις τῆς ἐνεργείας· ἐλλιπὴς δὲ θρέψις, ἡ ἰσχνότης· μοχθηρὰ δὲ, ἡ ἐν ταῖς λεύκαις τε καὶ κατὰ τὸν ἐλέφαντα προσαγορευόμενον. αἱ δὲ αἰτίαι τῶν λελεγμένων ἁπάντων συμπτωμάτων αἱ αὐταὶ κατὰ τὸ γένος εἰσὶ ταῖς ἔμπροσθεν D ἐπὶ τῆς γαστρὸς εἰρημέναις. ἔνιαι μὲν αὐτῶν εἰς ἀρρωστίαν δυνάμεως, ἔνιαι δὲ εἰς τὴν τῆς τροφῆς πλημμέλειαν, αἱ τρίται δ᾽ εἰς ἐπιτηδεύματά τε καὶ τὰ προσπίπτοντα τοῖς ζώοις ἔξωθεν ἀναγόμεναι. καὶ κατά γε τὸν αὐτὸν ἐκείναις τρόπον αἱ ἀρρωστίαι τῆς δυνάμεως, αἱ μὲν οἰκεῖαι ταῖς τῶν ὁμοιομερῶν δυσκρασίαις, αἱ δ᾽ οὐκ οἰκεῖαι τοῖς ὀργανικοῖς ἕπονται νοσήμασιν. αἱ δὲ πλημμέλειαι τῆς τροφῆς, εἰς πλῆθός τε καὶ ποιότητα χυμῶν διαιροῦνται, καθάπερ οἶμαι καὶ αἱ τῶν ἐπιτηδευμάτων τε καὶ τῶν ἔξωθεν ὁμιλούντων, εἰς ἀταξίαν τε καὶ ἀκαι- E ρίαν τινά. ἐπιτηδεύματα δὲ καλῶ νῦν ἱππασίας, ἁλιείας, ἀφροδίσια, λουτρὰ, περιπάτους, πλοῦς, κυνηγέσια, καὶ ἅπαντα ἁπλῶς ἐν οἷς ἐνεργοῦμέν τι τῷ σώματι. χρὴ δὴ οὐκ αὐτῶν δήπου μόνον τῶν συμπτωμάτων διαγνωστικόν τε ἅμα καὶ τῆς γενέσεως εὑρετικὸν εἶναι τὸν ἰατρὸν, ἀλλὰ καὶ τοῦ τρόπου τῆς γενέσεως αὐτῶν ὡς ἐν τῇ διαφορᾷ τέτακται τῶν ποιητικῶν αἰτίων. οὐ γὰρ εἰ μηδ᾽ ὅλως ἔπεψε μόνον ἡ γαστὴρ ἐπίστασθαι προσήκει, ἀλλὰ καὶ διότι, πότερον δι᾽ ὑπερβάλλουσαν ἀσθένειαν τῆς πεπτικῆς δυνάμεως, ἢ διά τι πλῆθος ἄμετρον, ἢ μοχθηρο- F τάτην τινὰ σιτίων ποιότητα. τὸ μὲν γὰρ ἐπὶ τοῖς σιτίοις σύμπτωμα, ῥᾳδίως ἐπανορθοῦται· τὸ δ᾽ ἐπὶ ταῖς ἐσχάταις καταπτώσεσι τῆς δυνάμεως, εἰς λειεντερίαν, ἢ τὸν καλούμενον τυμπανίαν ὕδερον ἀφικνεῖται. καὶ κατὰ φλέβας δὲ ὡσαύτως οὐ μόνον ἀποτυχίαν αἱματώσεως ἐπισκοπεῖν χρὴ, ἀλλὰ καὶ διότι γίγνεται· πότερον δι᾽ ἀρρωστίαν τῆς αἱματοποιοῦ δυνάμεως (οὐδὲν γὰρ χεῖρον οὕτως αὐτὴν ὀνομάζειν) ἢ διὰ πλῆθός τι χυμῶν ἀπέπτων τε καὶ ψυχρῶν,

ἐκ τῆς γαστρὸς ἀναδιδομένων. εὐίατον μὲν γὰρ ἐκεῖνο, θάτερον δ' εἰς ὕδρωπα τελευτᾷ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐν τῇ σαρκί. διὰ μὲν γὰρ τοὺς ὠμοὺς χυμούς, οἱ ἐκ νοσημάτων ἀμέτρως ἐμφορούμενοι, φυσώδεις τε καὶ ὑδαλέοι τὴν ὅλην ἕξιν ἀποτελοῦνται. διὰ δὲ τὴν ἀρρωστίαν τῆς δυνάμεως, οἱ ἀνὰ σάρκα προσαγορευόμενοι τῶν ὑδέρων. ἅπασαι μὲν οὖν αἱ μεγάλαι δυσκρασίαι καταβάλλουσι τὴν δύναμιν. ἀλλ' αἱ μὲν ἐπὶ τῷ ψυχρῷ κρατοῦντι, τὰ ψυχρὰ τῶν παθῶν ἐργάζεσθαι πεφύκασιν· αἱ δὲ ἐπὶ τῷ θερμῷ, τἀναντία. κατὰ ταὐτὰ δὲ καὶ περὶ τῆς λοιπῆς γιγνώσκειν ἀντιθέσεως καὶ συζυγίας. ἐν ἁπάσαις δ' (ὡς εἴρηται) κοινόν, ἡ μεγίστη τῆς κατὰ φύσιν ἐκτροπή. τὸ γὰρ μηδ' ὅλως ἐνεργῆσαι περὶ τὰ σύμμετρά τε καὶ συνήθη σιτία, μεγίστην ἐνδείκνυται τῆς γαστρὸς τὴν δυσκρασίαν. ἀλλ' εἰ μὲν δι' ὑπερβάλλουσαν θερμότητα συμβαίνει τὸ τοιοῦτον, εὐθὺς καὶ διαφθείρεται τὰ σιτία, κοινὴν μέν τινα διαφθορὰν ἐπὶ τὸ κνισῶδες, ἰδίαν δὲ ἕκαστον, ὡς ἂν φύσεως ἔχῃ. τὰ μὲν γὰρ ὄζει βρώμου τινὸς ἢ βορβόρου, διαφθειρόμενα· τὰ δὲ ἰχθύων τινῶν ὠμῶν, ἢ ἀρρήτου τε καὶ ἀλλοκότου σηπεδόνος ὄζει. διαμεῖναι γὰρ ἄσηπτον θερμαινόμενον σφοδρῶς οὐδενὶ τῶν ἐδεσμάτων δυνατόν. εὐθὺς δὲ δήπου καὶ διψῶσιν ἀμέτρως οἱ οὕτω διακείμενοι, καὶ πυρέττουσιν ἐνίοτε λεπτοὺς καὶ μικροὺς ἑκτικοὺς πυρετούς. εἰ δὲ διὰ ψύξιν ἄμετρον ἀπόλοιτο παντάπασιν ἡ πέψις τῶν σιτίων, ἄδιψοί τέ εἰσι καὶ ἀπύρετοι, καὶ αὐτῶν τῶν σιτίων ἀκριβῶς ἀποσῴζουσι τὰς ποιότητας, εἴτ' ἐρυγγάνειν ἐθελήσαιεν, εἴτε καὶ ἐμεῖν. εἰ δὲ καὶ βραχεῖά τις ἐνέργεια περὶ τὴν πέψιν αὐτῶν γίγνοιτο, καὶ ἡ τῶν σιτίων φύσις ἤτοι τῆς μέσης εἴη κράσεως ἢ τῆς ψυχροτέρας, ὀξυρεγμιώδεις ἀποτελοῦνται. θερμοτέρων δὲ κατὰ κρᾶσιν ὄντων ἢ καὶ φύσει φυσωδεστέρων, ἐμπίπλαται πνεύματος ἀτμώδους ἡ γαστήρ. εἰς μὲν δὴ τὰς τοιαύτας δυσκρασίας ἐγχωρεῖ διὰ ταχέων αὐτὴν ἀφικέσθαι· καθ' ὑγρότητα δὲ καὶ ξηρότητα δύσκρατος εἰς τοσοῦτον, ὡς ἀπολέσαι τὴν ἐνέργειαν, οὐκ ἂν ποτε γένοιτο γαστήρ, ἄνευ χρόνου παμπόλλου· καὶ χρὴ προηγήσασθαι τῆς μὲν ὑγρότητος, ὕδερον· τῆς δὲ ξηρότητος, ἤτοι γῆρας, ἢ μαρασμόν. ἀλλὰ τὰς μὲν τοιαύτας διελέσθαι διαφορὰς, πραγματείας ἑτέρας ἐστίν.

qui à ventriculo distribuuntur; quippe hoc facilis sanationis est, illud in hydropem terminatur. Ad eundem modum in carne. Ob crudos nanque humores, qui à morbis immodicè se satiant, flatuosi ac toto corporis habitu aquis turgidi redduntur. Ob imbecillitatem verò virium, qui intercutes vocantur hyderi *existunt*. Atque omnes quidem magnæ intemperies facultatem deiiciunt. Verùm quæ ex frigido superante constant, frigidos affectus excitare sunt idoneæ; quæ verò ex calido, contrarios: eodem autem modo & in reliquâ oppositione coniugationeque intellige. In omnibus verò (vt dictum est) communis est à naturali statu maxima euersio. Circa mediocres enim & consuetos cibos nihil omnino effecisse, maximam ventris intemperiem prodit. Verùm si propter exuperantem calorem tale *quid* accidat, protinus etiam corrumpuntur cibi; generatim quidem corruptelâ quadam, quæ ad nidorosum inclinet; speciatim verò pro suâ quisque naturâ. Nam alia quum corrumpuntur, tanquam virus; alia tanquam lutum; alia crudos pisces, aut indicibilem alienamque putredinem olent; nullum enim eduliorum vehementer calefactum, durare imputre potest: protinus autem sitiunt quoque immodicè qui ita sunt affecti, febricitantque interdum tenui paruaque hecticâ febre. Sin ex frigore immodico periit planè ciborum concoctio, nec siti nec febre affliguntur, & ciborum ipsorum qualitates, siue ructare velint siue vomere, planè seruant. quòd si exigua quæpiam circa concoctionem eorum sit actio, & ciborum natura sit vel medii temperamenti vel frigidioris, acidi ructus fiunt; sin calidiore temperie cibi sint, aut etiam natura flatulentiores, ventriculus halituoso impletur spiritu. In eiusmodi quidem intemperiem breui incidere potest ventriculus; in humiditate verò & siccitate adeò intemperatus venter esse, vt actionem amittat, non potest sine prolixo temporis spatio; debetque præcessisse humiditatem quidem hydrops; siccitatem verò, vel senium vel marasmus. Verùm tales distinxisse diffrentias, alterius est operis.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Αἰτίαι τῶν κατὰ τὴν καθεκτικὴν, καὶ ἀποκριτικὴν, καὶ ἑλκτικὴν δύναμιν συμπτωμάτων· καὶ πνευματώσεων τε καὶ κλυδώνων, καὶ τῶν κινήσεων πλημμελῶν τῆς κοιλίας, τοῦ λυγμοῦ, καὶ ἐμέτου.

Ἐπὶ δὲ τὴν καθεκτικὴν δύναμιν ἰτέον ἤδη. γίγνεται γὰρ κατὰ ταύτην ἡ μὲν πρώτη διαφορὰ τῶν συμπτωμάτων τριττή, ἤτοι μηδ' ὅλως περιστελλομένης, ἢ ἐλλιπῶς, ἢ πλημμελῶς. τῷ μὲν οὖν μηδ' ὅλως ἢ ἀρρώστως περιστέλλεσθαι πνευματώσεις τε καὶ κλύδωνες ἀκολουθοῦσι· πνευματώσεις μὲν, ἐπειδὰν τὰ σιτία φυσώδη, καὶ ἡ γαστὴρ ὑπάρχῃ μὴ πάνυ τι ψυχρά· κλύδωνες δὲ, ὅταν ἤτοι μηδὲν ἐν αὐτῇ περιέχηται πνευματοῦσθαι δυνάμενον, ἢ καταψυχθῇ σφοδρῶς, οὐδένα γὰρ ἀτμὸν ἡ τοιαύτη γεννᾷ διάθεσις. πρόδηλον δὲ, ὡς οὐκ ἄνευ πόματος ὁ κλύδων γίγνεται τῇ γαστρί. τῆς δ' ἀτονίας ἐσχάτως αὐτῆς αἰτία νόσος ἐστίν, ἡ μὲν ὡς ὁμοιομεροῦς μορίου τῆς γαστρὸς, ἡ δὲ, ὡς ὀργανικοῦ. περὶ δὲ τῶν πλημμελῶν κατ' αὐτὴν κινήσεων,

CAPVT II.

Causæ symptomatum retentricis, expultricis, & attractricis, inflationum, fluctuationum, motuum deprauatorum ventriculi, singultus & vomitus.

IAm ad retentricem facultatem veniendum est. In hac enim occurrit prima symptomatũ differentia triplex; quũ ea vel omninò cibos non complectitur, vel diminutè, vel deprauatè. Quòd itaque vel prorsus non complectatur, vel debiliter, & inflationes & fluctuationes cum sonitu succedunt; inflationes quidem, quum & cibi flatulenti sunt & ventriculus non admodum frigidus: fluctuationes cum sonitu, quum vel nihil in eo continetur, quod verti in flatus possit; vel quum vehementer perfrigeratus est, talis enim affectus nullum creat halitum. Constat autem citra potionem non posse fieri in ventre sonoras fluctuationes. Extremæ verò imbecillitatis eius causa morbus est; alius, vt similaris est pars ventriculus, alius vt organica. De motibus autem in eo deprauatis, quòd vel tre-

tremuli quidam sint vel palpitãtes, vel tanquam concussiui vel conuulsiui, dictum suprà est in libro de symptomatum differentiis; qualis verò dictorum quisque sit motuum, tum quæ cuiusque eorum causa, superiore libro declaratum est. Nunc tantulum etiamnum adiiciendum est, quòd tam retentricis quàm excretricis facultatis tum morbi tum symptomata miscentur. Verbi gratia veluti conuulsiuus ventriculi motus, qui in singultiendo accidit, conuulsio quidem absoluta non est, quæ solis accidit musculis (ventriculus autem neque ipse musculus est, neque eius orificium) sed veluti conuulsio quædam, ambarum facultatum commune symptoma; retentricis quidem, quòd ventriculus quum singultit, & prauè & non secundum naturam cibos complectitur; excretricis, quòd primùm eius sit ipse motus deprauatus, dum ea, quæ molesta sunt, expellere conatur. Sanè non idem est vomentibus atque singultiẽtibus motus, quòd non idem sit affectus; Nam vomitionibus, quæ in capacitate sunt *ventriculi*, eiiciuntur; singultu quæ in ipso ventriculi sunt corpore, simili tum affectu, tum motu, qualem in iis, qui ob intemperiem tussiunt, demonstrauimus; omnibus nimirum ventriculi partibus, quæ sibi molesta sunt, premendo expellentibus. Proinde eiusmodi symptoma tum iis, quibus ventriculus obriguit, tum iis qui piper aut calidum perindè medicamentum liberalius sumpserunt, deinde calidam potionem superbiberunt, accidit; his magis etiam singultire contingit, quum piper tenuissimè tritum fuerit; Nam eiusmodi piper altius in ipsum ventriculi corpus inseritur. Sic & cæteris omnibus refrigerantibus calefacientibusque, quæ in corpus ipsum ventriculi descendunt, superuenit; estque is singultus primò excretricis facultatis motus deprauatus; secundò retentricis ac complectentis nominatæ. Ita verò & nauseæ & vomitus excretricis facultatis deprauati motus sunt, ad ea, quæ ventriculo molesta sunt, quam citissimè per stomachum vacuanda. Simile huic symptoma est & quod in lienteriis *apparet*, quũ ventriculus ab aliqua re vel mordaci vel grauante vexatus, eiicere eam statim cupit. Quum autem ipsi duo sint orificia, vnum superius ad gulam, alterum inferius ad pylorum, ad vtrumcunque horum vergit quod lædit, illo vtitur ad expulsionem; quòd si toti illi talis affectus aliquando contingat, vtroque orificio simul vtitur, veluti in choleris. Reliqua verò quartaq; eius facultas attractrix triplici genere symptomatũ & ipsa corripitur; Vel enim cibos attrahere omnino non potest, vocaturque id symptoma, stomachi paralysis; vel ægrè attrahit, quo tempore resolui quidem incipit, resolutus tamen adhuc non est; tertium præter hæc est, quum aliquid deprauatè *trahit*. Deprauati autem motus sæpè iam dicti sunt, quemadmodum & affectus, quibus succedunt. Sanè accidit aliquando & carnosum aliquod tuberculum, qualia sæpè foris videmus, in stomacho nasci, quod vel omninò ciborũ viam obstruit, vel aliquatenus impedit. Vocantur autem eiusmodi morbi organici, & proditum de iis est in libro de morborum differentiis. Quum enim secundum naturam se habet ventriculus, è supernis partibus per stomachum ad se trahit, atque per inferiores excernit; quum

A ὅτι μὲν ἤτοι τρομώδεις τινές εἰσιν ἢ παλμώδεις ἢ οἷον κλονώδεις ἢ σπασμώδεις, εἴρηται πρότερον ἐν τῷ περὶ τῆς τῶν συμπτωμάτων διαφορᾶς· ὁποία δέ τις ἑκάστη τῶν εἰρημένων ἐστὶ κινήσεων, ἥτις τε ἡ καθ' ἑκάστην αὐτῶν αἰτία, διὰ τοῦ προτέρου δεδήλωται λόγου. νυνὶ δὲ τοσοῦτον ἔτι προσθετέον, ὡς ἐπιμίγνυται τά τε νοσήματα καὶ τὰ συμπτώματα τῆς καθεκτικῆς καὶ ἐκκριτικῆς δυνάμεως. αὐτίκα ἡ οἷον σπασμώδης κίνησις τῆς γαστρὸς, ἥπερ ἐν τῷ λύζειν συμπίπτει, σπασμὸς μὲν ἀκριβῶς οὐκ ἔστιν, ὅς γε μόνοις γίγνεται τοῖς B μυσίν, (ἡ δέ γε γαστὴρ οὔτ' αὐτὴ μῦς ἐστιν οὔτε ὁ στόμαχος αὐτῆς) οἷον σπασμὸς δέ τις, ἀμφοτέρων κοινόν τι σύμπτωμα τῶν δυνάμεων· τῆς μὲν καθεκτικῆς, ὅτι μοχθηρῶς τε καὶ οὐ κατὰ φύσιν ἡ γαστὴρ λύζουσα περιστέλλεται τοῖς σιτίοις· τῆς δὲ ἐκκριτικῆς, διότι πρώτως ἐκείνης αὐτῆς ἐστιν ἡ κίνησις ἡ πλημμελὴς, ἀποτρίψασθαί τι τῶν λυπούντων ἐφιεμένης. ἔστι δὲ οὐχ ἡ αὐτὴ κίνησις, ὅτι μηδὲ ἡ αὐτὴ διάθεσις, ἐμοῦσί τε καὶ λύζουσιν. ἐν μὲν γὰρ τοῖς ἐμέτοις τὰ κατὰ τὴν εὐρυχωρίαν ἐκκρίνουσιν· ἐν δὲ τῷ λύζειν, τὰ κατ' αὐτὸ τῆς γαστρὸς τὸ σῶμα, παρα- C πλησίας τῆς τε διαθέσεως καὶ τῆς κινήσεως γιγνομένης, οἵαν καὶ τοῖς βήττουσι κατὰ δυσκρασίαν ἐδείκνυμεν γίγνεσθαι, πάντων τῶν μορίων τῆς κοιλίας ἐκθλιβόντων τὸ λυποῦν αὐτά. διὰ τοῦτο τοῖς τε ῥιγώσασι τὴν γαστέρα τὸ τοιοῦτον σύμπτωμα γίγνεται, καὶ τοῖς πεπέρεως ἀθρούστερον λαβοῦσιν ἤ τι θερμὸν οὕτω φάρμακον, εἶτ' ἐπιπίνουσι θερμὸν ποτόν, καὶ μᾶλλόν γε γίγνεται λύζειν αὐτοῖς, ὅταν ἀκριβῶς ᾖ λεπτὸν τὸ πέπερι, μᾶλλον γὰρ ἐγκαταδύεται τὸ τοιοῦτον αὐτῷ τῷ σώματι τῆς κοιλίας. οὕτω δὲ καὶ τοῖς ἄλλοις ἅπασιν, ὅσα ψύχοντά τε καὶ θερμαίνοντα τῷ σώματι τῆς γαστρὸς ἐγκαταβαίνει, τὸ λύζειν D ἕπεται, πρώτως μὲν τῆς ἐκκριτικῆς δυνάμεως κίνησίς τις οὖσα πλημμελής, δευτέρως δὲ καὶ τῆς καθεκτικῆς τε καὶ περισταλτικῆς ὀνομαζομένης. οὕτως δὲ καὶ αἱ ναυτίαι καὶ οἱ ἔμετοι τῆς ἐκκριτικῆς δυνάμεως κινήσεις εἰσὶ πλημμελεῖς, ἐπὶ τῷ τὰ λυποῦντα τὸ σῶμα τῆς γαστρὸς ὅτι τάχιστα κενῶσαι διὰ τοῦ στομάχου. παραπλήσιον δὲ τούτῳ σύμπτωμά ἐστι καὶ τὸ κατὰ τὰς λειεντερίας, ὅταν ὑπό τινος ἡ γαστὴρ ἤτοι δάκνοντος ἢ βαρύνοντος λυπῆται, τοῦτ' ἀποκρίνειν εὐθέως ἐφιεμένη. ὄντων δὲ αὐτῇ δυοῖν στομάτων, ἄνω μὲν τοῦ κατὰ τὸν στόμαχον, ἐν δὲ τοῖς κάτω, τοῦ κατὰ τὸν πυλωρὸν, ἐφ' ὁπότερον ἂν E αὐτῶν ῥέποι τὸ λυποῦν, ἐκείνῳ συγχρῆται πρὸς τὴν ἔκκρισιν. εἰ δὴ ὅλῃ ποτὲ αὐτῇ συμβαίη τοιαύτη διάθεσις, ἀμφοτέροις ἅμα χρῆται τοῖς στόμασιν, ὡς ἐν ταῖς χολέραις. Ἡ δὲ λοιπή τε καὶ τετάρτη δύναμις αὐτῆς ἡ ἑλκτικὴ, συμπτώμασιν ἁλίσκεται τριττοῖς μὲν καὶ αὐτὴ κατὰ γένος· ἤτοι μηδ' ὅλως ἕλκειν δυναμένη τὰ σιτία, καὶ καλεῖται τὸ τοιοῦτον σύμπτωμα, στομάχου παράλυσις· ἢ μόγις ἕλκουσα, καθ' ὃν χρόνον ἄρχεται μὲν παραλύεσθαι, παρεῖται δ' οὐδέπω· καὶ τρίτον ἐπὶ τούτοις, ἐπειδὰν ἕλκῃ τι πλημμελῶς. αἱ πλημμελεῖς δὲ κινήσεις εἴρηνται πολλάκις, ὥσ- F περ οὖν καὶ αἱ διαθέσεις, ἐφ' αἷς γίγνονται. συμβαίη δ' ἐνίοτε καὶ βλάστημά τι σαρκῶδες κατὰ τὸν στόμαχον, οἷα κἀκτὸς ὁρᾶται πολλάκις γιγνόμενα, ὡς ἤτοι παντάπασιν ἀποφράξαι τὴν ὁδὸν τῶν σιτίων ἢ παραβλάψαι κατά τι. καλεῖται δὴ ὀργανικὰ τὰ τοιαῦτα νοσήματα, καὶ διῄρηται περὶ αὐτῶν ἐν τῇ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς. ἐν μὲν δὴ τῷ κατὰ φύσιν ἔχειν, ἡ γαστὴρ ἕλκει μὲν ἄνωθεν εἰς ἑαυτὴν διὰ τοῦ στομάχου, κάτω δὲ ἐκκρίνει πρὸς φύσιν

δὲ διατεθεῖσα, κἂν τῶν κάτωθέν τι μεταλαμβάνῃ. καὶ γὰρ καὶ κλυστὴρ ἐπανῆλθέ τισιν ὡς ἐμεθῆναι, καὶ κόπρος ἐν τοῖς ὀλεθρίοις εἰλεοῖς. ἄμεινον γὰρ οὐχ ἕλκειν αὐτὴν ἐν ταῖς τοιαύταις διαθέσεσιν ὑπολαμβάνειν, ἀλλὰ δέχεσθαι μόνον ὅσον ἂν ὑπὸ τῶν ἐντέρων ἀναθλιβόντων βιαίως ἄνω φέρηται. κατὰ φύσιν μὲν γάρ ἐστιν ἐν τοῖς ἐντέροις (ἤδη γὰρ καὶ περὶ τούτων λέγειν καιρὸς) ἡ περιστολή, καθάπερ ἐν ἑτέροις ἐπιδέδεικται, καὶ ταύτῃ χρώμενα προωθεῖ τὴν τροφὴν ἄχρι τοῦ κάτω πέρατος. ἐν διαθέσεσι δέ τισιν, ὅταν ἡ περισταλτικὴ κίνησις ἄρξηται κάτωθεν, ἡ φορὰ τῶν περιεχομένων ἐν αὐτοῖς ἄνω γίγνεται. οὕτω καὶ χυμός τις δριμὺς ἐνίοτε κατενεχθεὶς ἐπὶ τὴν ἕδραν, ἢ τοῖς κατ᾽ ἀγορὰν διατριβόντων ἢ κατ᾽ ἄλλο τι χωρίον ἢ πρᾶξιν, ἧς οὐχ οἷόν τε ἦν ἀπαλλαγῆναι, βιαίως ἐπισχεθεὶς, ἀνηνέχθη πάλιν ἄνω, καὶ τήν τε γαστέρα δάκνει, καὶ τὴν κεφαλὴν ἀναθυμιώμενος πληροῖ, τὴν μὲν ἀρχὴν τῆς κινήσεως ἀπὸ τοῦ σφιγκτῆρος λαβὼν ὀργάνου ψυχικοῦ, τοὐντεῦθεν δ᾽ ἑκάστου τῶν ἐντέρων ὠθοῦντός τε αὐτὸ πάλιν ἀφ᾽ ἑαυτοῦ πρὸς τὸ ὑπερκείμενον, ἐν οἵῳ τρόπῳ πρότερον εἰς τὸ κάταντες ὠθοῖτο. κατὰ δὲ τὸν αὐτὸν ἐνίοτε τρόπον, καὶ ἡ φῦσα κατασχεθεῖσα, παλινδρομεῖ. θαυμαστὸν οὖν οὐδὲν, εἰ καὶ κλύσματός τι καὶ κόπρου ταῖς οὕτω βιαίοις περιστολαῖς τῶν ἐντέρων ἐπαναφέρεταί ποτε εἰς γαστέρα παρὰ φύσιν, εἶθ᾽ οὕτως ὁρμᾶται * πρὸς ἔκκρισιν. αἱ δὲ ἕτεραι κινήσεις αὐτῶν ἐκ μὲν τοῦ γένους εἰσὶ τῶν κατὰ φύσιν, ἤτοι δ᾽ ἐλλιπεῖς εἰσιν ἢ πλημμελεῖς, καὶ διὰ τοῦτο καὶ συμπτώματα. ληπτέον δὲ αὐτὰς ἀνάλογον ταῖς ἐπὶ τῆς γαστρὸς εἰρημέναις. οὕτω δὲ καὶ ἡ τῆς κινήσεως αὐτῶν στέρησις, οὐ σμικρότατον οὖσα σύμπτωμα. καὶ γίνοιτ᾽ ἂν ποτε καὶ διὰ τοιαύτην αἰτίαν εἰλεός, ὥσπερ γε καὶ οἱ παρὰ φύσιν ὄγκοι, ποτὲ μὲν οὐδ᾽ ὅλως ἐπιτρέψουσι φέρεσθαι κάτω τοῖς περιττώμασιν, ἔστι δ᾽ ὅτε ἐλλιπῶς. ἀλλὰ καὶ σκληρὰ κόπρος ἔν τινι τῶν ἐντέρων ἑλικὶ σφηνωθεῖσα κωλύσειεν ἄν ποτε διεξέρχεσθαι κάτω τὴν ὑπερκειμένην κόπρον. καὶ φυλάττεται κἀνταῦθα τοῖς ἐπὶ τῆς γαστρὸς εἰρημένοις ἡ ἀναλογία πάντων τῶν συμπτωμάτων τῶν τοῖς ἐντέροις ἤτοι διὰ δυσκρασίαν τινὰ συμβαινόντων, ἢ δι᾽ ὄγκους οὐ κατὰ φύσιν, ἢ δι᾽ αὐτὰ τὰ περιεχόμενα περιττώματα. οὔκουν οὐδὲ χρονίζειν ἔτι κατὰ τὸν περὶ αὐτῶν λόγον ἄμεινον, ἀλλ᾽ ἐφ᾽ ἕτερόν τι αὐτῶν γένος ἰέναι συμπτωμάτων καιρός.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Αἰτίαι τῶν συμπτωμάτων τῆς ἀναδόσεως βεβλαμμένης καὶ διακρίσεως τῶν περιττωμάτων καὶ περὶ τῶν τριῶν τῆς πέψεως περιττωμάτων.

Ἔστι δὴ καὶ φυσικὸν ἔργον ἀνάδοσις τροφῆς, ἐκ κοιλίας μὲν εἰς ἧπαρ, ἐξ ἥπατος δὲ εἰς ὅλον τὸ σῶμα. καὶ δέδεικται καὶ περὶ ταύτης, ὡς ἕλκοντος ἑκάστου μορίου τὴν οἰκείαν ἑαυτοῦ τροφὴν ἐπιτελεῖται. συμπτώματα δὴ τριττὰ καὶ περὶ τὴν τοιαύτην ἐνέργειάν ἐστι, ποτὲ μὲν ἐλλιπῶς, ἢ μοχθηρῶς, ποτὲ δὲ οὐδ᾽ ὅλως ἐπιτελουμένην. αἱ δὲ αἰτίαι τριτταί, καθάπερ ἐπὶ τῶν ἔμπροσθεν. ἤτοι δυσκρασίαι τῶν ἑλκόντων, ἢ νοσήματα ὀργανικὰ τῶν αὐτῶν τούτων, ἢ τῆς ἀναδιδομένης τροφῆς μοχθηρία. αἱ μὲν οὖν δυσκρασίαι τὴν δύναμιν ἄρρωστον ἀποτελοῦσιν.

præter naturam affectus est, etiam ab inferioribus aliquid aſſumit; nam & clyſteres ita nonnullis aſcenderunt, vt vomuerint; & ſtercus per lethales volulos. Satius enim eſt exiſtimemus cum in eiuſmodi affectibus non trahere, ſed quod ab inteſtinis violenter comprimentibus ſurſum fertur, duntaxat recipere. Nam in inteſtinis (iam enim de iis agere tempeſtiuum eſt) ſecundum naturam eſt comprehenſio, vt aliis in libris demonſtratum eſt, & hac quum vtuntur, nutrimentum ad inferiorem ſuum exitum propellunt. In quibuſdam tamen affectibus quum periſtalticus motus inferne incipit, quæ in ipſis continentur, ſurſum feruntur. Ita quoque humor acer quiſpiam, ad ſedem aliquando delatus, ab iis qui in foro vel alio quopiam loco verſantur aut negocio aliquo, quod deſerere non licuit, diſtringuntur, violenter retentus, rurſus ſurſum ductus eſt, ventriculúque mordet ac caput vaporibus implet, principio quidem motus ab animali organo ſphinctere accepto, ab hinc verò vnoquoque inteſtino ipſū à ſe ad ſuprà poſitum propellente, ſimili modo quo prius deorſum protrudebat. Ad eundem verò modum flatus retentus recurrit. Ergo mirum non eſt, clyſmatis quoque aliquid & ſtercoris ex tam violentâ inteſtinorū comprehenſione ad ventrem aliquando præter naturam ſurſum ferri, deinde ſic ad exitum properare. Cæteri verò eorum motus ex genere quidem motuum ſecundum naturam ſunt, verùm vel diminuti, vel deprauati, atque idcirco etiam ſymptomata. Accipiendi verò ſunt ad eorum, qui de ventre ſunt dicti, proportionem. Pari modo & motus eorum priuatio, quæ non leuiſſimum ſymptoma eſt; ob eamque cauſam gignitur etiam interdū voluulus, quemadmodum & tumores præter naturam, qui interdum nullo modo deorſum ferri excrementa ſinunt, interdum verò parciora. Quin & durum ſtercus in quibuſdam inteſtinorum anfractibus impactum, ſuperiora deorſum ferri excrementa nonnunquam prohibebit. Ac ſeruatur hîc quoque ad ea quæ de ventre ſunt dicta, proportio, omnibus ſymptomatis vel ob intemperiem aliquam vel ob tumores præter naturam vel ob ipſa quæ continentur excrementa, *factis*. Itaque ſatius eſt in his non oratione ampliùs morari, imò ad aliud ipſorū ſymptomatum genus accedere tempeſtiuum eſt.

CAPVT III.

Cauſæ ſymptomatum diſtributionis læſæ, & ſecretionis excrementorum; ac de tribus coctionis excrementis.

EST igitur naturale quoddam opus, alimenti ex ventriculo in iecur, ex iecore verò in totum corpus diſtributio. Hanc perfici demonſtratum eſt, quum ſingulæ partes familiare ſibi alimentum alliciunt. Quare ſymptomata circa huiuſmodi quoq; actionem triplicia incident, aliàs diminutè, aliàs deprauate, aliàs omnino non peractam. Cauſæ verò triplices ſunt, quemadmodum in antedictis, vel intemperies *partium* trahentium, vel organici earundem morbi, vel alimenti, quod diſtribuitur, prauitas. Ac intemperies quidem facultatem reddit imbecil-

imbecillem; organici morbi vias coarctant; alimenti prauitas est crassitudo & lentitia, de quorum dignotione dicendi tempus nunc non est. Sed ad secretionem excrementorum veniendum. Est verò in hac quoque causa triplex, vna quidem partium *excrementa* ipsa expurgantium imbecillitas; secunda viarum angustiæ; quæ verò superest excrementi ipsius prauitas. Ac imbecillitatis quidem causa intemperies est; viarum angustiæ, obstructio vel aliquis organorum tumor. Verum tumoris eiusmodi causa fluxio humorum est, quæ in ipsum organorum corpus decumbit; obstructionis verò, vel crassitudo humorum vel lentor vel tubercula. Excrementorum ipsorum prauitas est multitudo, crassitudo & lentor. Quum autem triplex sit in venarum concoctione excrementum, vnum amara bilis, alterum melancholicum, tertium serosum: biliosum quidem vesica iecinori adiacens expurgat; melancholicum, lien; serosum, renes. Itaque etiam vitiose purgabuntur horum singula, vel ob imbecillitatem aliquam propriorum organorum, vel viis quomodocunque obstructis: quum autem viæ duplex sit, alia per quam trahitur excrementum, alia per quam excernitur, in vtraque secretionem lædet angustia; aliquando horum nullum læsionis est causa, sed excrementi multitudo, quum immoderata est, nec tota simul expurgari potest, vnà cum sanguine per totum corpus defertur. Immoderationis huius *excrementi* duplex causa, & alteratrix facultas malè affecta, & alimentorum prauitas. Ac læsæ quidem facultatis intemperies partium causa est, vt sæpenumero dictum est; alimentorum prauitas, cuique excremento respondet: alia namque magis melancholicæ naturæ sunt, alia magis aquosæ, alia magis biliosæ, vt in libris de his editis dictum est. Sed alteratricis facultatis intemperies, quæ ad calidius sit versa, aliàs biliosum, aliàs melancholicũ efficit excrementum (cuiusmodi autem vtrumque sit, in aliis est traditum) ad frigidius verò *mutata*, vel pituitosius vel aquosius *facit excrementum.* Porrò singula excrementa, propria symptomatis species comitabitur; Pallidam quidem *bilem* quum in toto corpore redundat, regius morbus; quum vnam quampiam partem obsidet, erysipelata & herpetes: atram verò in toto quidem corpore, elephas; in vnâ quadam parte, cancer; pituitoso excremento per vniuersam corporis molem *succedit* hydrops leucophlegmatias dictus; in vnâ parte, vocatum œdema (sic autem vocant doloris expertem ac laxum tumorem) serosa excrementa quum redundant, tum ascites vocatus hydrops comitatur, tum papularum in iis animalis partibus, in quas perducta excrementa sunt, prouentus. ita quidem fit, vbi singula excrementa sincera redundant; vbi autem & inter se & cum sanguine miscentur, complures tam symptomatum, quam morborum species existunt, de quibus hîc pluribus disputare non est necesse, sed ad propositum redeundum.

A Τὰ δὲ ὀργανικὰ νοσήματα τὰς ὁδοὺς στενοχωρεῖ. τῆς τροφῆς δὴ ἡ μοχθηρία πάχος τέ ἐστι καὶ γλισχρότης· περὶ δὲ τῆς διαγνώσεως αὐτῶν οὐ νῦν λέγειν καιρός, ἀλλ' ἐπὶ τὰς διακρίσεις τῶν περιττωμάτων ἰτέον. εἰσὶ δὲ καὶ ταύταις αἰτίαι τρεῖς. μία μὲν ἡ τῶν ἐκκαθαιρόντων αὐτὰ μορίων ἀτονία· δευτέρα δέ, ἡ στενοχωρία τῶν ὁδῶν· ἡ δ' ὑπόλοιπος, τοῦ περιττώματος ἐστὶν αὐτοῦ μοχθηρία. τῆς μὲν οὖν ἀτονίας αἰτία δυσκρασία τετύχηκεν οὖσα· τῆς δὲ στενοχωρίας, ἔμφραξις ἢ ὄγκος τις τῶν ὀργάνων. ἀλλὰ τῶν μὲν ὄγκων αἴτιον ἐστὶ τὸ ῥεῦμα χυμῶν εἰς αὐτὸ κατασκῆπτον τὸ σῶμα τῶν ὀργάνων· τῆς δὲ ἐμφράξεως, ἤτοι πάχος ἢ γλισχρότης τῶν χυμῶν ἢ βλαστήματα. τῶν περιττωμάτων δ' αὐτῶν ἡ μοχθηρία, πλῆθός B ἐστι καὶ πάχος καὶ γλισχρότης. ὄντων δὲ τριῶν περιττωμάτων τῆς ἐν ταῖς φλεψὶ πέψεως, ἑνὸς μὲν τοῦ πικροχόλου, δευτέρου δὲ τοῦ μελαγχολικοῦ, καὶ τρίτου τοῦ ὀρρώδους· τὸ μὲν πικρόχολον, ἡ ἐπὶ τῷ ἥπατι κύστις ἐκκαθαίρει· τὸ δὲ μελαγχολικόν, ὁ σπλήν· τὸ δὲ ὀρρῶδες, οἱ νεφροί. καὶ τοίνυν καὶ καθαρθήσεται φαύλως ἕκαστον ἢ διά τι τῶν οἰκείων ὀργάνων ἀρρωστίαν, ἢ τῶν ὁδῶν στενοχωρηθεισῶν ὁπωσοῦν· ἅτε δὲ διττῶν ὑπαρχουσῶν τῶν ὁδῶν· ἑτέρων μέν, δι' ὧν ἕλκεται τὸ περιττόν· ἑτέρων δὲ δι' ὧν ἐκκρίνεται, κατ' ἀμφοτέρας ἡ στε- C νοχωρία βλάπτει τὴν διάκρισιν. ἔστι δ' ὅτε τούτων μὲν οὐδὲν ἐβλάβη· τὸ δὲ πλῆθος τοῦ περιττώματος, ὅταν ἄμετρον ᾖ, πᾶν ἐκκαθαρθῆναι μὴ δυνάμενον, ἅμα τῷ αἵματι φέρεται πανταχόσε τοῦ σώματος. τῆς δὲ ἀμετρίας αὐτοῦ διττὸν αἴτιον, ἥ τ' ἀλλοιωτικὴ δύναμις οὐ καλῶς διακειμένη, καὶ τῶν ἐδεσμάτων ἡ μοχθηρία. τοῦ μὲν δὴ βεβλάφθαι τὴν δύναμιν ἡ δυσκρασία τῶν μορίων αἰτία, καθάπερ εἴρηται πολλάκις· ἡ δὲ τῶν ἐδεσμάτων μοχθηρία καθ' ἕκαστον τῶν περιττωμάτων ἐστὶν ἰδία· τὰ μὲν γὰρ μελαγχολικώτερα φύσει· τὰ δὲ ὑδατωδέστερα· τὰ δὲ πικρόχολα ταῖς οὐσίαις ἐστίν, ὡς ἐν D τοῖς ὑπὲρ αὐτῶν λόγοις εἴρηται. καὶ μέν γε καὶ τῆς ἀλλοιωτικῆς δυνάμεως ἡ δυσκρασία, πρὸς μὲν τὸ θερμότερον ἐκτρεπομένη, ποτὲ μὲν τὸ πικρόχολον, ἔστιν ὅτε δὲ τὸ μελαγχολικὸν ἀποτελεῖ περίττωμα (δέδεικται δ' ἐν ἑτέροις ὁποῖον ἐστὶν ἑκάτερον) ἐπὶ δὲ τὸ ψυχρότερον ἤτοι φλεγματικώτερον ἢ ὑδατωδέστερον. ἀκολουθήσει δ' ἑκάστῳ τῶν περιττωμάτων οἰκεία τοῦ συμπτώματος ἰδέα, τῇ μὲν ὠχρᾷ πλεοναζούσῃ καθ' ὅλον μὲν τὸν ὄγκον ἴκτεροι· καθ' ἓν δέ τι μέρος, ἐρυσιπέλατά τε καὶ ἕρπητες· τῇ μελαίνῃ δέ, καθ' E ὅλον μὲν τὸν ὄγκον ἐλέφας, καθ' ἓν δέ τι μέρος ὁ καρκίνος· τῷ φλεγματώδει δέ, καθ' ὅλον μὲν τὸν ὄγκον ὁ λευκοφλεγματίας ὀνομαζόμενος ὕδερος, ἐν ἑνὶ δὲ τῷ μορίῳ, τὸ καλούμενον οἴδημα (λέγουσι δὲ οὕτω τὸν ἀνώδυνόν τε καὶ χαῦνον ὄγκον) ὀρρώδεσι δὲ περιττώμασι πλεονάζουσιν, ὅ, τ' ἀσκίτης ὀνομαζόμενος ὕδερος ἕπεται, ἔτι τε φλυκταινῶν γενέσεις ἐν ἐκείνοις τοῖς τοῦ ζώου μέρεσιν, εἰς ἅπερ ἠνέχθη τὰ περιττά. οὕτω μὲν ἐπειδὰν εἰλικρινὲς ἕκαστον αὐτῶν πλεονάζῃ· μιγνυμένων δ' ἀλλήλοις τε καὶ τῷ αἵματι πάμπολλαι συμπτωμάτων τε καὶ νοσημάτων ἰδέαι συνί- F στανται, περὶ ὧν οὐκ ἀναγκαῖον ἐν τῷδε μηκύνειν, ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέρχεσθαι.

A

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Αἰτίαι τῶν συμπτωμάτων τῆς θρέψεως τετραπλασίας βεβλαμμένης, καὶ δὴ καὶ τῆς λεύκης τε καὶ ἀτροφίας.

Τῶν φυσικῶν ἐνεργειῶν ἡ πρώτη τε καὶ ἀναγκαιοτάτη σχεδὸν ἁπασῶν ἡ θρέψις ἐστὶν, εἶδός τι τῆς ἀλλοιωτικῆς ἐνεργείας ὑπάρχουσα. ἔστι μὲν γὰρ καὶ ἡ κατὰ τὴν γαστέρα πέψις ἀλλοίωσις· ἔστι δὲ καὶ ἡ ἐν ταῖς φλεψίν· ἔστι δὲ καὶ ἡ καθ' ἕκαστον μόριον, ἐφ' ἣ τετάρτη τις ἀλλοίωσις, ἣν ἐξομοίωσιν ὀνομάζουσιν, οὐ ταὐτὸν μὲν ὀνόματι τῇ θρέψει, τὸ δ' ἔργον οὐχ ἕτερον. ἀποτυγχάνεται δὲ καὶ ἡ θρέψις, ἤτοι μηδ' ὅλως, ἢ ἐλλιπῶς, ἢ πλημμελῶς γιγνομένη· διά τε τὴν θρεπτικὴν δύναμιν, ἧς τὸ γένος ἐστὶν ἡ ἀλλοιωτικὴ, ἢ διά τινα τῆς ὕλης ἔνδειαν, ἢ μοχθηρίαν· ἔνδειαν μὲν ἐν ταῖς ἀτροφίαις, ὅσαι τε ἐλλιπῶς καὶ ὅσαι στερητικῶς ὀνομάζονται· μοχθηρίαν δὲ, ὡς ἐν ἐλέφασι τε καὶ λεύκαις, ὅσα τ' ἄλλα τοιαῦτα. συμβαίνει γὰρ ἐν τῷ προσφύεσθαι τὴν τροφὴν ταῖς σαρξὶν, ἐπειδὰν φλεγματικώτερον ὑπάρχῃ τὸ αἷμα, καὶ τὴν σάρκα γίνεσθαι φλεγματικωτέραν. οὐ γὰρ ταὐτόν ἐστιν αὐτῇ σαρκί τε εἶναι, καὶ φλεγματικῇ σαρκί· ὥσπερ οὐδὲ ταὐτόν ἐστι σαρκί τε εἶναι καὶ μελαγχολικῇ σαρκί· καὶ νὴ Δία γε πικροχόλῳ τε καὶ εὐκράτῳ τε καὶ δυσκράτῳ, καὶ κατὰ τὰς πρώτας ὀνομαζομένας ποιότητας, ὑγροτέρᾳ τε καὶ ξηροτέρᾳ καὶ θερμοτέρᾳ καὶ ψυχροτέρᾳ. πιστεύσεις δὲ τῷ λόγῳ βεβαιότερον, ἐννοήσας τῶν ζώων τὰς σάρκας ἐναίμων τε καὶ ἀναίμων, καὶ πρὸς τούτοις τῶν ἑρπετῶν, ὅσα κατὰ τὸ ἔαρ ὁρᾶται γεννώμενα, καὶ μάλιστα αὐτῶν ὅσα βοτάναις χλωραῖς ἔοικεν. ἀλλὰ τούτων μὲν ἡ σὰρξ ὁμοιοτάτη ταῖς πόαις ἐστίν· ἑτέρων δὲ λευκὴ καὶ ἄναιμος, ὥσπερ τῶν καράβων τε καὶ πολυπόδων, ἄλλων τε ἄλλη τις· οὔτε γὰρ ὀνομάσαι τὰς διαφορὰς αὐτῶν ἔνεστιν, οὕτως ἄπειροι τὸ πλῆθος ὑπάρχουσιν. ὅταν οὖν ὡς ἐλέγομεν ὑπὸ φλεγματικοῦ τε ἅμα καὶ γλίσχρου τοῦ αἵματος ἡ σὰρξ τρέφηται χρόνῳ πολλῷ, σὰρξ μὲν ἔτι μένει, μεταλλάττεται δ' αὐτῆς ἡ διαφορὰ καὶ πρὸς ἑτέραν ἰδέαν ἐκτρέπεται, καὶ γίνεται μεταξὺ τῶν ἐναίμων σαρκῶν καὶ ἀναίμων. ἐπειδὰν δὲ τοιαύτη καταστῇ, συμβαίνει λοιπὸν αὐτῇ, μηδ' ἐπιχειρεῖν ἔτι τὴν ἐπιφερομένην ἑαυτῇ τροφὴν εἰς ἐρυθρὰν σαρκὸς ἰδέαν μεταβάλλειν, οὐ μᾶλλον, ἢ πολύποσί τε καὶ καράβοις· ἐν τούτῳ δὴ τάχιστα λευκή τε γίγνεται πᾶσα καὶ φλεγματώδης, ὅταν αὐτή τε μηκέτι δύνηται τὴν τροφὴν εἰς ἐρυθρότητα μεταβάλλειν, ἐπιρρέῃ τε τὸ φλεγματῶδες ἐκεῖνο. οἵαν οὖν ἐξ ἀρχῆς ὁ κάραβος ἔχει τὴν σάρκα καὶ σχεδὸν ἅπαντα τὰ ὄστρεα, τοιαύτην ἐκ μεταπτώσεως ἴσχουσιν οἱ ταῖς λεύκαις ἁλισκόμενοι, (καὶ γὰρ ὀνομάζουσιν οὕτω τὸ πάθημα τῆς σαρκὸς ἀπὸ τῆς χροιᾶς τὴν ὀνομασίαν θέμενοι) τῆς δέ γε μελαίνης σαρκὸς ἅμα καὶ ὀχθώδους ἀπὸ τοῦ ζώου τοῦ ἐλέφαντος ἐποιήσαντο τοὔνομα. γίγνεται δὲ κἀκείνη κατὰ τὸν αὐτὸν τρόπον τῇ λεύκῃ, χρόνῳ παμπόλλῳ μελαγχολικῆς ἐπιρρεούσης τροφῆς τῇ σαρκί. τῶν δὲ ἀλφῶν ἡ γένεσις ὁμοειδὴς μέν ἐστι τοῖς εἰρημένοις πάθεσιν, οὐ μὴν αὐτῆς γε δι' ὅλου πεπονθυίας τῆς σαρκὸς, ἀλλ' ἐπιπολῆς τοῦ δέρματος, οἷον λεπίδες τινὲς ἐπιπεπήγασιν οἱ ἀλφοί· λευκοὶ μὲν ἐκ φλεγματικοῦ· μέλανες δὲ ἐκ μελαγχολικοῦ γινόμενοι χυμοῦ. πηλίκα δὲ δύναται τροφὴ, καὶ ὡς μέγιστα πρὸς ἀλλοίωσιν σαρκὸς, εἴρηται καὶ Ἀριστοτέλει μεμνημένῳ χωρίων, ἐν οἷς ἀλλοιοῦνται τὰ βοσκήματα μεθιστάμενα χρόαν τε καὶ ἄλ-

CAPVT IV.

Causæ symptomatum nutritionis quatruplicis læsæ, ac proinde vitiliginis & atrophiæ.

NAturalium actionum prima ac propemodum omnium maximè necessaria nutritio est, quæ alteratricis actionis quædam est species. Est enim & in ventre concoctio; est quoque & in venis, est & in singulis partibus, in quibus & quarta quædam est alteratio, quam assimilationem appellant, à nutritione nomine quidem diuersam, sed opere eandem. Frustratur autem & nutritio, quum vel prorsus non fit, vel diminutè vel deprauatè fit, idque vel ob nutricem facultatem, cuius genus est alteratrix, vel ob materiæ defectum, vel prauitatem: ob defectum quidem in atrophiis, tum quæ ex defectu, tum quæ ex priuatione dicuntur, ob prauitatem verò, vt in elephantiasi, & vitiliginibus, cæterisque id genus. Accidit enim dum agglutinatur carnibus nutrimentum, vbi pituitosior sanguis est, carnem quoque effici pituitosiorem, non enim idem est ipsi, carni esse, & pituitosæ carni esse, vt neque idem est & carni esse, & melancholicæ carni esse, neque biliosæ & temperatæ & intéperatæ, & in primis, quas vocant, qualitatibus, humidiori & ficciori & calidiori & frigidiori. Certiorem fidem sermoni nostro adhibebis, si animalium carnes tum sanguine præditorum, tum exanguium æstimaueris; ad hæc etiam reptilium, quæ veris tempore gigni cernuntur, maximéque ex iis, quæcunque viridibus herbis colore sunt similia. Cęterùm horum caro simillima ipsis herbis est; aliorum alba & exanguis, veluti carabi, & polypi, atque aliorum alia quædam; neque enim nominare facilè est eorum differentias, adeò infinitę multitudinis sunt. Ergo quum (vt diximus) caro lõgo tempore pituitoso simul ac glutinoso sanguine nutritur, caro quidem adhuc manet, mutatur tamen eius differentia, & in alteram speciem vertitur, fitque media quædam inter sanguineam exanguemque carnem. Vbi autem talis est reddita, accidit ei, vt de cætero allatum sibi nutrimentum non magis tentet in rubram carnis speciem mutare, quam polypodes, & carabi: ita fit, vt tum alba, tum pituitosa tota quàm citissimè euadat, quum nec ipsa possit nutrimentum in ruborem transmutare; & pituitosum illud affluat. Ergo qualem ab initio carabus carnem habet ferèque omnes ostreæ, talem ex transmutatione habent, qui leucis fœdantur (ita enim carnis vitium nominant, à colore albo nomen imponentes) nigræ verò simul & callosæ carni ab elephante animali nomen fecerunt; fit itaque eodem quo leuce modo, melancholico nutrimento ad carnem longo tempore confluente. Vitiliginum autem generatio prędictis affectibus similis est; non tamẽ tota ipsa caro vitiatur, sed in superficie cutis, veluti squamæ quæpiã, vitiligines infiguntur; quæ albæ quidem ex pituitoso, nigrę ex melancholico exoriuntur. Quanta verò sit alimenti facultas præcipuéque ad carnis mutationem, etiam ab Aristotele est traditum, vbi meminit regionum, in quibus pecora, quæ tam colore quàm cæteris differentiis sensibilibus mutantur, alteran-

alterantur. Qui verò ab alimento alterari alita non concedunt, quòd victi, non vincentis alimentum fit nomen, hi neque de animalium, neque etiamnum magis de plantarum transmutatione quicquam sanum dicere possunt; sed omnino in rebus vnicuique luculenter apparentibus, hærent. Quæ de persicâ plantâ ex Perside in Ægyptum translatâ *produntur*, nemo ignorat; lethalis siquidem in Perside erat, in Ægyptum autem translata, quod inerat periculosum mutauit; quemadmodum, arbitror, & id vites apud nos, quæ quum loca mutant, diuersum afferunt vinum. De aliis verò stirpibus tradiderunt qui de agriculturâ scripserunt, vt etiam de herbis, qui de herbariâ; transportatæ enim ex aliis in alia loca, sæpè minori quàm duorum stadiorum interuallo, multis differentiis alterantur. Oportebat igitur, qui aiunt alimenti nomen esse rei, quæ vincitur, alteratur ac mutatur, eos non id modò scire ac dicere, sed etiam de leuces generatione dissertationem aggredi. Nam aut quæ alitur caro, eius morbi causa est, aut alimenti prauitas; sed, si alimentum *causa non est* (ita enim volunt) necesse est carnem dicere. Quo ergo pacto ipsa alimentum sibi in totum non assimilat? ita enim natura huius affectionis ducetur causa; at multo (arbitror) satius erat alimento causam imputare. At quod aliti quidem actio sit sibi alimentum assimilare, assimilari verò & transmutari, alimenti passio, non tamē propterea impossibile est, quod in agendo patitur, agenti aliquid etiamsi minimū fuerit, rependere. Ipsum enim maximè contrarium in dissertatione de his demonstrauimus, neque nos duntaxat, verùm etiā philosophorum grauissimi, qui omnium naturæ tum actionum, tum passionum interpretes fuerunt. Apparet igitur omnia, etiamsi multò iis, quibuscum congrediuntur, sint valentiora, aliquid tamen ab ipsis sensibile manifestumq; pati, & si non primo statim eorum occursu, at certè temporis processu. Nam & ferrum acutissimum in mollissimâ carne secanda est hebetatū; & durissimus lapis à guttulâ longo tempore ictus, cauitatem contraxit. Iam quid de iis, quæ inter sese miscentur, dicendum sit, omnes norunt. Si enim in amphoram aquæ feruentis, frigidæ heminam iniicias, quòd mixtum ex ambabus est, non solum expugnationem heminæ declarat, sed etiam vincentis passionem: si quis rursus heminam calidæ immittat in amphoram frigidæ, vincetur quidem hemina, patietur verò pusillum quid & amphora. Sed enim quòd à nobis priùs dictum est, neque hoc in opere verbis contendere, neque orationem protrahere mei est instituti, sed quoad fieri potest breuissimam doctrinam tradere. Ergo leuce maximus quidē alteratricis facultatis error est; parui autem alii complures sunt, quum per humorem, siccitatē, frigus, & calorem caro immutatur. *Priuabitur alimento* pars, non solùm ob alteratricis facultatis imbecillitatem, verum etiam ob attractricis infirmitatem, aut immoderatiorem excretricis motum. Porrò ad immoderatiorem motum excretrix facultas venit (vt priùs dictum est) quum retentrix facultas vel ob multitudinem vel acrimoniam excrementorum, vel propriam imbecillitatem grauatur. Tunc enim necesse est excerni cum superuacaneo vtile,

A λας αἰσθητὰς διαφοράς. ὅσοι δ' οὐ συγχωροῦσιν ὑπὸ τῆς τροφῆς ἀλλοιοῦσθαι τὰ τρεφόμενα, κρατουμένης γὰρ οὐ κρατοῦντος ὄνομα εἶναι τὴν τροφήν, οὔτε περὶ τῆς κατὰ τὰ ζῷα μεταβολῆς, οὔτε πολὺ μᾶλλον ἔτι περὶ τῆς κατὰ τὰ φυτὰ δύνανται λέγειν ὑγιὲς μηδέν, ἀλλ' ἀπορήσουσι παντάπασιν ὑπὸ τῶν πραγμάτων ἐναργῶς ἅπασι φαινομένων. τὰ μὲν γὰρ τοῦ Περσικοῦ φυτοῦ τοῦ μετακομισθέντος ἐκ Περσῶν εἰς Αἴγυπτον, οὐδεὶς ἀγνοεῖ· θανάσιμον μὲν ἦν κατὰ τὴν Περσίδα, μετακομισθὲν δ' εἰς Αἴγυπτον μετέβαλε τὸ κινδυνῶδες. καθάπερ οἶμαι καὶ τὸ τῶν παρ' ἡμῖν ἀμπέλων, ὡς ὑπαλλάττουσαι τὰ χωρία, διάφορον ἐκφέρουσι τὸν οἶνον. τὰ δὲ τῶν ἄλλων φυτῶν οἱ τὰ γεωργικὰ ἀναγράψαντες ἐδήλωσαν· ὥσπερ γε καὶ τὰ τῶν βοτανῶν, οἱ τὰ βοτανικά· μετακομιζόμεναι γὰρ ἐξ ἑτέρων χωρίων εἰς ἕτερα πολλάκις οὐδὲ δυοῖν σταδίοιν διάστημα, κατὰ πολλὰς ἀλλοιοῦνται διαφοράς. ἐχρῆν οὖν ὅσοι φάσκουσι κρατουμένου καὶ ἀλλοιουμένου καὶ μεταβαλλομένου τὴν τροφὴν ὑπάρχειν ὄνομα, μὴ τοῦτο μόνον ἐπίστασθαί τε καὶ λέγειν, ἀλλὰ καὶ περὶ λεύκης γενέσεως ἐπιχειρῆσαι διελθεῖν. ἤτοι γὰρ ἡ τρεφομένη σὰρξ αἰτία τοῦ παθήματος, ἢ ἡ τῆς τροφῆς μοχθηρία. ἀλλ' εἴπερ οὐχ ἡ τροφή, (βούλονται γὰρ οὕτως) ἀνάγκη φάναι τὴν σάρκα. τί ποτ' οὖν αὐτὴ πάσχουσα, τὴν τροφὴν οὐκ ἐπὶ ἑαυτὴ κατὰ πᾶν ὁμοιοῖ; γενήσεται γὰρ οὕτω γε τοῦ πάθους ἡ φύσις αἰτία, πολὺ δ' ἦν ἄμεινον (οἶμαι) τὴν τροφὴν αἰτιᾶσθαι. ἔμελλον οὖν ὅτι τὸ μὲν ὁμοιοῦν ἑαυτῷ τὴν τροφὴν ἔργον ἐστὶ τοῦ τρεφομένου, τὸ δ' ὁμοιοῦσθαί τε καὶ μεταβάλλεσθαι πάθος τῆς τροφῆς, διὰ τοῦτο οὐκ ἀδύνατόν ἐστι τῷ πάσχοντι περὶ τὸ ποιοῦν ἀντιδρᾶσαί τι, κἂν ᾖ σμικρότατον. αὐτὸ γὰρ δήπου ἐναντιώτατον ἐν τοῖς περὶ τούτων λογισμοῖς ἐπεδείξαμεν, οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ τῶν φιλοσόφων ὅσοι δεινότατοι τῶν ὅλων τῆς φύσεως ἐνεργειῶν τε καὶ παθῶν ἐξηγηταὶ γεγόνασι. φαίνεται γοῦν ἅπαντα κἂν ἰσχυρότερα πολὺ τῶν ὁμιλούντων τυγχάνῃ, πάσχοντά τι πρὸς αὐτῶν αἰσθητὸν καὶ σαφές, εἰ καὶ μὴ κατὰ τὴν πρώτην τούτων ὁμιλίαν, ἀλλ' ἐν τῷ χρόνῳ γε προϊόντι. καί που καὶ σίδηρος ὁ τμητικώτατος ἠμβλύνθη τέμνων σάρκα μαλακωτάτην· ὅ, τε σκληρότατος λίθος, ἔσχε τι κοῖλον ἐν ἑαυτῷ χρόνῳ πολλῷ πληττόμενος ὑπὸ τοῦ σταλαγμοῦ. τί δεῖ λέγειν ἔτι περὶ τῶν κεραννυμένων, ἅπαντες γιγνώσκουσιν. κἂν τε γὰρ εἰς ἀμφορέα ζέοντος ὕδατος ἐμβάλῃς κοτύλην ψυχροῦ, τὸ μικτὸν ἐξ ἀμφοῖν οὐ μόνον ἐνδείκνυται τὴν ἧτταν τῆς κοτύλης, ἀλλὰ καὶ τοῦ νικήσαντος τὸ πάθος· ἐάν τις ἔμπαλιν εἰς ἀμφορέα ψυχροῦ κοτύλην θερμοῦ ἐμβάλῃ, νικηθήσεται μὲν ἡ κοτύλη, πείσεται δέ τι βραχὺ καὶ ὁ ἀμφορεύς. ἀλλὰ γὰρ ὅπερ εἴρηταί μοι καὶ πρόσθεν, οὐκ ἀντιλέγειν ἐν τῇδε τῇ πραγματείᾳ προὔθέμην οὔτε μηκύνειν, ἀλλ' ὅσον οἷόν τε τάχιστην ποιήσασθαι τὴν διδασκαλίαν. ἡ μὲν οὖν λεύκη μέγιστόν τι σφάλμα τῆς ἀλλοιωτικῆς ἐστι δυνάμεως· ἕτερα δὲ πάμπολλα σμικρά, καθ' ὑγρότητα καὶ ξηρότητα καὶ ψυχρότητα καὶ θερμότητα τῆς σαρκὸς ὑπαλλαττομένης. ἀτροφήσει δὲ τὸ μέρος, οὐ μόνον δι' ἀρρωστίαν τῆς ἀλλοιωτικῆς δυνάμεως, ἀλλὰ καὶ διὰ τὴν ἑλκτικὴν ἀτονήσασαν; ἢ διὰ τὴν ἐκκριτικὴν ἀμετρότερον κινηθεῖσαν. εἰς ἀμετρίαν δὲ κινήσεως ἡ ἀποκριτικὴ δύναμις ἔρχεται (καθάπερ εἴρηται καὶ πρόσθεν) ὅταν ἤτοι διὰ πλῆθος ἢ δριμύτητα περιττωμάτων, ἢ οἰκείαν ἀσθένειαν, ἡ καθεκτικὴ βαρύνηται δύναμις. ἐν τούτῳ γὰρ ἀνάγκη συνεκκρίνεσθαι τῷ περιττῷ

τὸ χρηστὸν, ὡς ἐν λειεντερίαις τε καὶ δυσεντερίαις καὶ χολέραις· ἀτονίᾳ δὲ τῆς ἀποκριτικῆς δυνάμεως ὑγροτέραν τε καὶ περιττωματικωτέραν ἀνάγκη γίγνεσθαι τὴν σάρκα. τὴν περιττωμάτων δ' αὐτῶν ἡ πλείων γένεσις ἀρρωστίᾳ τῆς ἀλλοιωτικῆς ἀποτελεῖται. ὅταν οὖν ἅμα συνέλθῃ τὴν μὲν ἑλκτικὴν πολὺν ἐπισπᾶσθαι χυμὸν, ἀδυνατεῖν δὲ τὴν ἀλλοιωτικὴν δύναμιν ἅπαντα τὸν ἑλχθέντα κατεργάζεσθαι, καὶ διὰ τοῦτο πολλὰ γίγνεσθαι τὰ περιττώματα, τὴν ἀποκριτικὴν δὲ ἐν τούτῳ τῷ καιρῷ χεῖρόν τε καὶ ἀτονώτερον ἑαυτῆς κινεῖσθαι, πλῆθος οὕτως ἀνάγκη περιττωμάτων ἐν ταῖς σαρξὶ συνίστασθαι, κἀν τούτῳ κατά τε τὴν ἰδέαν καὶ τὸ ποσὸν τοῦ περιττώματος ἄλλοτε ἀλλοίαν γίνεσθαι τὴν σάρκα, ποτὲ μὲν οἰδηματώδη, ποτὲ δὲ φυσώδη, ποτὲ δὲ ὑδερώδη. καὶ γὰρ δὴ καὶ ὁ ἀνὰ σάρκα καλούμενος ὕδερος, ἐκ τούτου τοῦ γένους ἐστίν. ἀλλ' οὐδὲν οἶμαι δεῖν ἔτι μηκύνειν περὶ τῶν τοιούτων. οὐ γὰρ ἅπαντα διελθεῖν ἐν τῷδε τῷ λόγῳ τὰ κατὰ μέρος συμπτώματα προὐθέμην, ἀλλ' ἐν τοῖς πλείστοις γυμνάσαι τοὺς φιλομαθεῖς.

vt in lienteriis, dysenteriis, & choleris. expultricis verò imbecillitate necesse est carnem & humidiorem fieri & pluribus excrementis impleri. At excrementorum ipsorum vberiorum generatio alteratricis imbecillitate perficitur. Vbi igitur simul euenit, vt attractrix quidem facultas multũ humorem attrahat, sed eum attractum totum alteratrix facultas cõficere non valeat, atque hanc ob rem multa excrementa gignantur, expultrix autem facultas eo tempore & deterius, & imbecillius, quam prius moueatur; necesse est ita excrementorum copiam in carnibus consistere, atque interdum pro excrementi tum specie tum multitudine alias aliã fieri carnem; quæ interdum œdematis, interdum inflationis, interdum hyderi speciem refert: Est enim etiam hyderus, quem anasarca vocant, ex hoc genere. Verùm de talibus producendum amplius sermonem non arbitror; non enim omnia in hoc libro particulatim recensere symptomata statui, sed in plurimis studiosos exercitare.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Αἰτίαι τῶν ἐν τῇ ἐκκρίσει βεβλαμμένῃ καὶ ἐν τῷ ποσῷ καὶ ποιῷ τῶν ἐκκρινομένων, συμπτωμάτων· καὶ δὴ καὶ τῆς αἱμορραγίας, ἀναστομώσεως, ῥήξεως, διαβρώσεως, καὶ διαπηδήσεως τῶν ἀγγείων· ἔτι δὲ καὶ ἐμέτου καὶ διαχωρήσεως.

Ὥστε μοι καιρὸς ἤδη μεταβαίνειν ἐφ' ἕτερόν τι γένος συμπτωμάτων ἐγγὺς τῶν κατὰ τὰς βεβλαμμένας ἐνεργείας. αὐτὸ μὲν οὖν γένος ἐν τῷ ποσῷ καὶ ποιῷ τῶν ἐκκρινομένων ἐστίν. ἤτοι δὲ διὰ βλάβην τινὰ γίγνεται δυνάμεως, ἢ ἐρεθισμὸν ἄκαιρον, ἢ πλημμελῆ κίνησιν ἐπεγείροντα τὴν δύναμιν, ἢ δι' ἀναστόμωσιν ἢ ῥῆξιν ἢ διάβρωσιν ὀργάνου τινὸς, ὥσπερ ἀμέλει καὶ ἡ τοῦ αἵματος ἔκκρισις· οὐδὲν γὰρ χεῖρον ἀπὸ ταύτης ἄρξασθαι, διότι τῷ γένει δοκεῖ παρὰ φύσιν εἶναι τὰ πολλά· πλὴν γὰρ ὅσαι διὰ μήτρας αἱμορραγοῦσι γυναῖκες, αἱ μὲν ἄλλαι πᾶσαι κενώσεις τοῦ αἵματος ὅλῳ τῷ γένει παρὰ φύσιν εἰσίν· ἐκεῖναι δὲ τῷ ποσῷ μόνον. αἱ μὲν δὴ ῥήξεις αἱ τῶν ἀγγείων ἤτοι διά τινα τῶν ἔξωθεν γίγνονται πληγῶν, ἢ λακτίσαντός τινος ἢ πατάξαντος, ἢ ὁπωσοῦν ἄλλως ἰσχυρῶς πλήξαντος τοῦ ἀνθρώπου· γίγνονται μὲν καὶ πηδήσασι μέγα, καὶ κατενεχθεῖσιν ἐπὶ τὴν γῆν ἀφ' ὑψηλοῦ, καὶ διὰ κραυγὴν ὀξεῖάν τε καὶ μεγάλην· ἐπειδὴ καὶ κατὰ ταύτην ἐπὶ πλεῖστον τείνεται τὰ φωνητικὰ τῶν ὀργάνων μόρια. τῷ λόγῳ δὲ τῆς τάσεως ἀναρρήγνυται καὶ ὅσα πηδώντων ἐβλάβη· τὰ δὲ ἐξ ὑψηλοῦ κατενεχθέντων, ἐν τῷ τῶν πληγῶν ἐστι γένει. (διαφέρει γὰρ οὐδὲν ἢ ὑπὸ λίθου τινὸς ἐμπεσόντος ἔξωθεν θλασθῆναί τι μέρος, ἢ αὐτοῦ τοῦ κατενεχθέντος ἰσχυρῶς ἐμπεσόντος τῷ δαπέδῳ) ταῦτα μὲν οὖν ἀγγείου ῥήξεως αἴτια πρόδηλα, καὶ οὐδεὶς ἀγνοεῖ. τὰ δὲ ἐκ τῶν τοῦ σώματος ὁρμώμενα διαθέσεων, ἐπειδὰν ἀπὸ ταὐτομάτου τις αἱμορραγήσῃ διὰ ῥινῶν, ἢ ἐμέσας, ἢ ἀναβήξας, ἢ χρεμψάμενος, ἢ κάτω διαχωρήσας, ἢ οὐρήσας αἷμα τύχῃ. ταυτὶ μὲν οὖν ὅλῳ τῷ γένει παρὰ φύσιν ἐστί. ταῖς γυναιξὶ δὲ ὡς εἴρηται διὰ τῆς μήτρας αἱμορραγούσαις, οὐχ ὅλῳ τῷ γένει παρὰ φύσιν ἡ κένωσις, ἀλλ' ἐν τῷ ποσῷ μόνον. ἅπαντα δὲ τὰ τοιαῦτα ἐμπίπτει διὰ τρεῖς

CAPVT V.

Causæ symptomatum in excretione læsa, & in excretorum quantitate & qualitate consistentium, ac proinde hæmorrhagiæ, osculationis, ruptionis, erosionis, diapedesis vasorum; præterea vomitus, & deiectionis.

Qvare iam mihi ad alterum symptomatum genus, quod ad læsas actiones spectat, huic vicinum transire tempestiuum est. Ipsum igitur genus in quantitate & qualitate excretorum consistit. Accidit autem aut læsione aliquâ facultatis, aut intempestiuâ irritatione, aut deprauato motu facultatem excitante; aut alicuius organi osculatione, vel ruptione, vel erosione, quemadmodum sanè in sanguinis excretione conspicitur; nihil enim deterius ab hac cœpisse, quòd genere ipso præter naturam esse vt plurimùm videatur; præter enim eas, quæ mulieribus per vterum erumpunt, cæteræ omnes sanguinis vacuationes toto genere præter naturam sunt, illæ verò solâ multitudine. Ac ruptiones quidem organorum, vel ob plagas aliquas extrinsecus illatas fiunt, aut calcitrãte aut percutiente aut aliàs quomodocunque vehementer feriente aliquo homine. Accidunt autem & magnopere saltantibus & ab alto in terram desilientibus & acutè & altè *vociferantibus*; quoniam in eo vocaliũ organorum partes quam maximè tenduntur. Quæ autem in saltantibus læsa sunt, ratione tensionis rumpuntur; in desilientibus verò ex alto *vasa rupta*, plagarum generis sunt. Nihil enim interest, an à lapide aliquo foris illapso, an eius, qui ab alto deciderit, vehementi in terram lapsu pars aliqua contusa sit. Atque hæ quidem ruptionis vasis manifestæ causæ sunt, nec vllus ignorat. Aliæ verò ex corporis affectibus excitantur, quũ aliquis naribus sanguinem sponte emittit, aut vomit, aut extussit, aut excreat, aut deorsum deiicit, aut mingit; atque hæc quidem toto genere pręter naturam sunt. Quibus autem mulieribus (vt dictum est) per vterum sanguis profluit, toto genere præter naturã vacuatio non est, sed quantitate duntaxat. Sanè hæc omnia triplicem ob

causam incidunt; aut ob facultatem vas sanguinis recludentem, vt in profusionibus sanguinis per nares; aut ob sanguinem ipsum praue affectum, aut vasculum aliquod. Ac sanguinem quidem praue affici dico, quum adeò vitiosus est, vt erodat vasa quibus continetur, & quum ita exuberat, vt à *vasis* contineri nequeat; etenim is quoq; vas rumpere, vel reserare, potest. Ipsorum verò vasorum vitium in immodicâ mollitie & duritie & tenuitate consistit. Fiunt autem hæc nonnullis quidem, etiam in vtero statim vitiosè formatis: Mollities verò non minùs ex immodica *prouenit* humiditate; duritiés ex siccitate; tenuitas ex atrophiis. Quod immodicè molle est, id ob imbecillitatē promptius frangitur; at durum admodum, quòd non facilè amplius extendatur; tenue verò, ob vtrasque venarum eiusmodi affectiones, non solum à causis internis facilè rumpi potest, sed etiam ab externis. Eroduntur autem non omnia *vasa* pari modo; quod enim durum est & crassum, non facilè erosionibus afficitur. Ita quoq; recludi vasi & imbecillo & molli & tenui facile est; robusto verò crasso & duro non promptum. Fit autem anastomosis *vasorum reclusio*, tum ab irritantibus ora vasorum, tum à plenitudine grauante; interdum verò & natura ipsa res noxias excernente. Sunt qui sanguinis diapedesin quandā, vt quartū genus præter ea quæ dicta sunt, vocitat. Est autem minimè quartum, sed vel exiguorū vasorū apertio, vel non excretionis sanguinis, sed seri species, quā maximè ratione ex iecoris renūmque debilitate meiitur ac sæpè deorsum deiicitur cruentum serum. De his autem paulò pòst dicetur, quum priùs de iis, quæ vomitione reiiciuntur, egerimus. Excernuntur itaque & hæc, nonnunquā vt exuberantiora ac ventriculum grauantia, vt interdum alimenti copia, aliàs verò vt infestantia, & mordentia, vt quum vel acidum vel nidorulentum vel amarum & acre ex concoctionis defectu assumptum nutrimentum euaserit. Sanè huius generis sunt & biliosa & pituitosa & serosa excrementa, tum quæ in ipso sint genita, tum quæ in eum ex toto corporis habitu confluere sunt apta. Est autem ad hæc & tertium genus causarum, quæ ventriculum ad vomitionem excitant, licet nec degrauent nec mordeant, sed præter naturam duntaxat sint. Porrò omnium, quæ præter naturam sint, communis definitio est, si etiam concocta nutrire non valeant. Hac arbitror ratione non solum acida pituita & salsa, sed etiam dulcis in ventriculo collecta, non rarò eum ad vomitum prouocare consueuit. Sed & sanguis ipse in ventriculum effusus, sic ipsum vomere cogit. Iam deorsum quoq; transmittit *ventriculus* aliquando maturius, aliquando tardius, aut parcius, aut liberalius, aut rarò, aut sæpe, vel vtile alimentum, vel corruptum, vel quod in eum supernè affluit, vel quod in eo generatur. Verùm excretio, quæ consuetum præuenit tempus, vel quod grauetur ventriculus, veluti à multo cibario assumpto, vel pungatur velliceturq; veluti à mordacibus, vel tanquam alienum ac minimè familiare detrudat, accidit. Cæterùm meminisse debemus nos quum quoddam *cibarium* multum *assumptum* dicimus, triplicem id habere generationem, vel quòd facultas imbecillior sit, quàm priùs; vel quòd symme-

αἰτίας, ἤτοι τῆς δυνάμεως ἀναστομωσάσης ἀγγεῖον, ὡς ἐν ταῖς ἐκ ῥινῶν αἱμορραγίαις, ἢ δι᾽ αὐτὸ τὸ αἷμα μοχθηρῶς διακείμενον, ἢ τῶν ἀγγείων τι. τὸ μὲν οὖν αἷμα μοχθηρῶς διακεῖσθαι λέγω, τό, τε κακόχυμον εἰς τοσοῦτον γιγνόμενον, ὡς διαβιβρώσκειν τὰ περιέχοντα, τό, θ᾽ οὕτω πλέον, ὡς μὴ στέγεσθαι· καὶ γὰρ καὶ τοῦτο ῥηγνύειν ἢ ἀναστομοῦν ἀγγεῖον, ἱκανόν ἐστιν. αὐτῶν δὲ τῶν ἀγγείων ἡ κάκωσις ἐν ἀμέτροις ἐστὶ μαλακότησι καὶ σκληρότησι καὶ λεπτότησι. γίγνεται δὲ ταῦτα καὶ φύσει μὲν τισὶν εὐθέως ἐν τῇ μήτρᾳ διαπλασθεῖσι μοχθηρῶς· οὐδὲν δ᾽ ἧττον αἱ μὲν μαλακότητες ἐπὶ περιτταῖς ὑγρότησιν· αἱ δὲ σκληρότητες, ἐπὶ ξηρότησιν· αἱ δὲ λεπτότητες, ἐπὶ ἀτροφίαις. τὸ μὲν οὖν μαλακὸν ἀμέτρως ἑτοιμότερον ῥαγῆναι δι᾽ ἀσθένειαν· τὸ δὲ σκληρὸν πολύ, τῷ μὴ ῥᾳδίως ἐπὶ πλέον ἐκτείνεσθαι· τὸ δὲ ἰσχνόν, δι᾽ ἀμφοτέρας τὰς τοιαύτας τῶν φλεβῶν διαθέσεις οὐ μόνον ὑπὸ τῶν ἔνδον αἰτίων, ἀλλὰ καὶ ὑπὸ τῶν ἐκτός, ἑτοίμως ῥήγνυσθαι συμβέβηκε. διαβιβρώσκεται δ᾽ οὐχ ὁμοίως ἅπαντα· τὸ μὲν γὰρ σκληρὸν καὶ παχύ, δυσπαθὲς ὑπὸ διαβρώσεως. οὕτω δὲ καὶ ἀναστομοῦσθαι τῷ μὲν ἀτόνῳ τε καὶ μαλακῷ καὶ ἰσχνῷ πρόχειρον· οὐ πρόχειρον δὲ τῷ εὐτόνῳ τε καὶ παχεῖ καὶ σκληρῷ. γίγνεται δ᾽ ἡ ἀναστόμωσις ὑπό τε τῶν ἐρεθιζόντων τὰ στόματα τῶν ἀγγείων, καὶ διὰ πλῆθος βιαζόμενον· ἐνίοτε δὲ καὶ δι᾽ αὐτὴν τὴν φύσιν ἐκκρίνουσαν τὰ λυποῦντα. καλοῦσι δέ τινα καὶ διαπήδησιν αἵματος, ὡς τέταρτον γένος ἐπὶ τοῖς εἰρημένοις. ἔστι δὲ τέταρτον μὲν οὐδαμῶς, ἤτοι δὲ ἀναστόμωσις ἀγγείων μικρῶν, ἢ οὐχ αἵματος ἐκκρίσεως, ἀλλ᾽ ὀρροῦ εἶδος, καθ᾽ ὃν μάλιστα τρόπον ἐπ᾽ ἀτονίας ἥπατος καὶ νεφρῶν οὐρεῖται καὶ κάτω δὲ διαχωρεῖται πολλάκις αἱματώδης ὀρρός. εἰρήσεται δὲ περὶ αὐτῶν ὀλίγον ὕστερον ἐπειδὰν ἐπέλθωμεν πρότερον περὶ τῶν ἐμουμένων. ἐκκρίνεται γὰρ οὖν καὶ ταῦτα, ποτὲ μὲν ὡς πλείω τε καὶ βαρύνοντα τὴν κοιλίαν, ὥσπερ ἐνίοτε τὸ πλῆθος τῆς τροφῆς, ἔστιν ὅτε δὲ ὡς ἀνιῶντά τε καὶ δάκνοντα, καθάπερ ὅταν ὀξώδης ἢ κνισώδης ἢ πικρὰ καὶ δριμεῖα κατὰ τὴν ἀπεψίαν ἡ προσενεχθεῖσα γένηται τροφή. τοιούτου γένους ἐστὶ καὶ τὰ χολώδη τε καὶ φλεγματώδη καὶ ὀρρώδη περιττώματα, τά τ᾽ αὐτόθι γεννώμενα, καὶ ὅσα συρρεῖν πέφυκεν εἰς αὐτὴν ἐξ ὅλου τοῦ ζώου τῆς ἕξεως. ἔστι δὲ καὶ τρίτον τι γένος ἐπὶ τούτοις αἰτίων εἰς ἔμετον ἐξορμώντων τὴν γαστέρα, κἂν μήτε βαρύνῃ μήτε δάκνῃ, μόνον δὲ αὐτοῖς ὑπάρχῃ τὸ παρὰ φύσιν. ὅρος δ᾽ ἐστὶ κοινὸς ἁπάντων τῶν παρὰ φύσιν, εἰ μὴ δύναιτο τρέφειν πεφθέντα. κατὰ τοῦτον οἶμαι τὸν λόγον, οὐ μόνον ὀξὺ φλέγμα καὶ ἁλυκόν, ἀλλὰ καὶ γλυκὺ πολλάκις ἐν τῇ γαστρὶ συστὰν εἰς ἔμετον αὐτὴν ἐξορμᾶν εἴωθε. καὶ αὐτό γε τὸ αἷμα τὸ εἰς τὴν κοιλίαν ἐκχυθὲν οὕτως ἐμεῖν αὐτὴν ἀναγκάζει. καὶ μὴν καὶ κάτω διαπέμπει ποτὲ μὲν θᾶττον, ἔστιν ὅτε δὲ βραδύτερον, ἢ ἔλαττον, ἢ πλέον, ἢ ὀλιγάκις, ἢ πλεονάκις, ἤτοι χρηστὴν τροφήν, ἢ διεφθαρμένην, ἢ τὸ συρρέον εἰς αὐτὴν ἄνωθεν, ἢ τὸ κατ᾽ αὐτὴν ἀπογεννώμενον. ἀλλ᾽ ἡ μὲν φθάνουσα τὸν συνήθη καιρὸν ἔκκρισις, ἤτοι καὶ βαρυνομένης τῆς κοιλίας, ὡς ὑπὸ πολλοῦ τοῦ ληφθέντος, ἢ ὀδαξωμένης τε καὶ κεντουμένης, ὡς ὑπὸ δάκνοντος, ἢ ὡς ἀλλότριον καὶ οὐκ οἰκεῖον ἀπωθουμένης γίγνεται, μεμνημένων ἡμῶν, ἐπειδὰν πολύ τι λέγωμεν, ὡς τριττὴν ἔχει τοῦτο τὴν γένεσιν, ἤτοι τῆς δυνάμεως ἀτονωτέρας ὑπάρχειν ἑαυτῆς, ἢ τῷ τὸ ληφθὲν ὑπερβάλλειν τὸ σύμμε-

ρον, ἢ διὰ τὸ συναμφότερον. ἔξωθεν δὲ τῶν εἰρημένων, ἡ τῶν ὑγροτέρων τε καὶ γλισχροτέρων ἐδεσμάτων προσφορὰ ταχεῖαν ἐργάζεται διαχώρησιν, ὀλισθαινόντων αὐτῶν ἑτοιμότερον, εἰ καὶ περιπατήσαντες μάλιστα τύχοιεν ἐπ' αὐτοῖς ἀτρέμα, ὥστε κατασεῖσαι μὲν αὐτά, μὴ μέντοι γε ἀνάδοσιν ἐργάσασθαι πρὸ τοῦ καιροῦ· συμβαίνει γάρ τι τοιοῦτον ἐν ταῖς κατασείσεσιν, ἐπεὶ πάμπολλαι τῶν ἐντέρων ἕλικές εἰσιν. ἀνάγκη δήπου καθ' ἑκάστην αὐτῶν ἐκ τῶν ὑψηλοτέρων εἰς τὰ ταπεινότερα φέρεσθαι τὰ σιτία, τοιῶσδε δὲ τῷ βάρει μὲν οὐκ ἔθ' οἷόν τε μένειν, τῇ δὲ τῶν ἐντέρων αὐτῶν ἐνεργείᾳ προωθεῖται τὰ σφηνούμενα κατὰ τὰς ἕλικας αὐτῶν ἐχόντων δύναμιν ἔμφυτον ἀποκριτικὴν τῶν ἀνιώντων αὐτά. τὰ δ' ὑγρὰ καὶ γλίσχρα σιτία διεξέρχεται ῥᾷον, εἴτε τῷ βάρει καὶ τῷ σεισμῷ τοῦ σώματος, εἴτε τῇ τῶν ἐντέρων ἐνεργείᾳ προωθοῖτο. ταχείας μὲν οὖν διεξόδου λέλεκται τὰ αἴτια. ὀψιαίτερον δὲ τοῦ συνήθους ἀποκρίνει ἡ κάτω γαστήρ, ἤτοι δι' ἀτονίαν, ἢ διὰ δυσαισθησίαν τῶν ἐντέρων, ἢ δι' ὀλιγότητα τῶν ἐδεσμάτων, ἢ διὰ ποιότητα. τά τε γὰρ ἄτονα προωθεῖν οὐ δύναται· τὰ δὲ δυσαίσθητα τῶν λυπούντων ἀμυδρῶς αἰσθάνεται, τῆς λύπης δ' ἦν αὐτοῖς ἴασις ἡ ἔκκρισις. καὶ μὲν δὴ καὶ αὐτῶν τῶν σιτίων τὰ μὲν ἐλάττω τοῦ δέοντος, ὀλίγον ἴσχει τὸ περιττόν, ὥστ' οὐχ ὁμοίως βαρύνει· τὰ δὲ παχέα καὶ στρυφνά, βραδύπορα πολύ τ' ἐστιν ἐναντίως τοῖς γλίσχροις τε καὶ ὑγροῖς. οὐ μόνον δὲ ἀτονίᾳ τῶν ἐντέρων, ἀλλὰ καὶ τῶν κατ' ἐπιγάστριον μυῶν, ἡ διαχώρησις βραδύνει, καὶ μάλιστα ἐπειδὰν σκληρότερα τύχῃ γινόμενα τὰ περιττώματα. τηνικαῦτα γὰρ οὐ μόνον τῶν κατ' ἐπιγάστριον, ἀλλὰ καὶ τῶν κατὰ τὸν θώρακα μυῶν ἰσχυρῶς ἐνεργούντων δεῖται. ἔλαττον δὲ γίνεται περίττωμα τὸ πρὸς τὸ πλῆθος ἀναλογίας τῶν ἐδηδεσμένων, ἐπειδὰν εἰς ἀνάδοσιν ἐξ αὐτῶν πλέον ἀφίκηται. ἔμπαλιν δὲ πλέον τῆς ἀναλογίας τῶν ληφθέντων διαχωρεῖται, ποτὲ μὲν ἐνδείᾳ τῆς ἀναδόσεως, ἔστιν ὅτε δὲ συρρεόντων τινῶν ἄνωθεν εἰς τὰ κατὰ τὴν γαστέρα χωρία. συνεχεῖς δὲ ἐκκρίσεις γίνονται δι' ἀτονίαν ἢ δῆξιν. ἡ μὲν οὖν ἀτονία τῶν κατὰ τὴν κοιλίαν ὀργάνων (ὡς ἤδη πολλάκις εἴρηται) διὰ δυσκρασίαν· ἡ δὲ δῆξις ὑπὸ τῶν περιεχομένων ἐν αὐτοῖς γίνεται. τέτταρες δὲ αἰτίαι τῆς γενέσεώς εἰσι τῶν οὕτω δακνόντων, ἤτοι φαρμακώδης τις δύναμις ἅμα τοῖς σιτίοις ἢ καθ' ἑαυτὴν ληφθεῖσα, ἢ καὶ τῶν ἐδεσμάτων αὐτῶν αἱ διαφθοραί· καὶ πρὸς τούτοις, ὅσα ἐκ τοῦ σώματος εἰς τὰ κατὰ γαστέρα συρρεῖ δακνώδη περιττώματα· καὶ ὅσα κατ' αὐτὴν γίνεται τοιαῦτα, καθάπερ ἐν δυσεντερίαις ταῖς ἐφ' ἕλκεσι κακοήθεσι. δύναιτο δ' ἄν τις ἅμα ταῖσδε καὶ πέμπτην αἰτίαν προστιθέναι τῶν τοιούτων συμπτωμάτων, αἴσθησιν περιττὴν τῶν σωμάτων, εἴτ' ἐκ φύσεως ὑπάρχουσαν, εἴτε δι' ἕλκωσιν. ἕτερος δὲ τρόπος ἐκκρίσεως συνεχοῦς ἐστι τῷ γένει τῆς αἰτίας ἀποκεχωρισμένος ἁπάντων τῶν προειρημένων αἰτίων, ὁ ἐπὶ τῇ παραλύσει τῶν ἐπικειμένων μυῶν τῷ πέρατι τῆς ἐκροῆς τῶν περιττωμάτων. ἀπροαίρετος γὰρ ἐπὶ τούτων ἡ ἔκκρισις, καὶ διὰ τοῦτο ἄκαιρός τε καὶ ἄτακτος καὶ συνεχής. ἀλλὰ περὶ μὲν διαχωρημάτων, ἱκανὰ καὶ ταῦτα.

A triam excedat quod assumptum est, vel ob vtranque causam. Præter iam dictas causas celerem efficit deiectionem humidiorum quoque ac magis glutinosorum eduliorum sumptio, quæ promptiùs delabuntur, maximè si qui ab assumptis lentè ambulauerint, ita vt concutiantur quidem, nequaquàm autem ante tempus distribuantur; accidit nanque tale quid in concussionibus. Quum enim complures intestinorum sint spiræ, necesse profectò est in singulis eorũ à superioribus in inferiora cibos deferri. De B cætero verò *pre* grauitate quidem non amplius manere possunt; sed qui in spiris sunt impacti intestinorum, ipsorum actione propelluntur, ipsis rerum oblædentium expultricem facultatem insitam habentibus. Humidi verò & glutinosi cibi siue grauitate ipsâ & corporis concussione, siue intestinorum actione propellantur, faciliùs permeant. Ac celeris quidem transitus dictæ causæ sunt. Tardius autem, quàm pro consuetudine, excernit imus venter, aut ob intestinorum imbecillitatem, vel hebetem *eorum* sensum; aut ob ciborum tum paucitatem tum C qualitatem. Quippe quæ imbecilla sunt, propellere non valent; quæ hebetis sunt sensus, res sibi molestas obscurè sentiunt: at expulsio molestiæ ipsis erat sanatio. Iam ipsorum quoque ciborum ii, qui quam deceat sunt pauciores, parum habent excrementi, proinde non similiter grauant; crassi verò & acerbi omnes tardi sunt transitus, contrà quàm glutinosi & humidi. Non solùm autem propter intestinorum imbecillitatem, sed etiam musculorum abdominis, deiectio retardatur; potissimùm quum excrementa duriora euaserunt, tum enim non solùm mus-D culorum abdominis, sed etiam thoracis valenti actione est opus. At pauciora, quàm pro multitudinis comestorum ratione excrementa redduntur, vbi plus ex ipsis in distributionẽ venerit. E contrario verò plus deiicitur, quàm pro sumptorum ratione, aliàs ob distributionis defectum, aliàs confluentibus supernè aliquibus in ea, quæ circa ventrem sunt loca. Assiduæ autem excretiones fiunt, ob imbecillitatem vel demorsum. Atque imbecillitas quidem instrumentorum ventriculi (vt sæpè iam dictum est) ab intemperie *prouenit*; demorsus autem ab iis E fit, quæ in ipsis continentur. Porrò quatuor causæ generationis sunt eorum, quæ sic mordent; vel medicamentosa quædam facultas vnà cum cibis, vel per seipsam assumpta; vel etiam ciborum corruptelæ, præterea tum quæ ex corpore in ventris partes mordacia excrementa confluunt, tum quæ in ipso eiusmodi gignuntur, vt in dysenteriis ab vlcere maligno subortis. Potest autem aliquis & quintam eiusmodi symptomatum causam addere, vehementem corporum sensum, siue is à naturâ, siue ab vlce-F re procedat. Alter assiduæ excretionis motus est, ab omnibus iam dictis genere causæ distinctus, qui paralysi succedit musculorum incumbentium extremo meatui excrementorum; quippe inuoluntaria in iis est excretio, propterea que tum intempestiua, tum inordinata, tum assidua. Verùm de deiectionibus sunto hæc satis.

CAPVT

CAPVT VI.

Causæ flatuum, ructus, flatus sonori & silentis, bombosi, murmurilli & aliorum.

DE halituosis spiritibus, quos etiam flatus nominant, deinceps dicendum. Est autem & horum generatio in ipsa ventris regione, humoribus quibusdam inibi pituitosis, vel cibis à deficiente calore in halitum solutis. Etenim absolutum frigus prorsus halitum non facit, quòd id omninò neque attenuet, neque conficiat, neque dissoluat alimentum; vehemens autem calor, quum longo interuallo alimentum superet, ampliùs quam pro halitu generando, id attenuat, nisi tamen flatuosum sit naturâ; tunc enim gignitur quidem spiritus quispiam turbidus, ac (vt siquis dicat) nebulosus, isque paucus & breuis temporis, vt vno vel altero ructu vacuetur. At calor, qui in cibos agit quidem aliquanto debiliùs eos dissoluit, sed non prorsus conficit; atque hinc flatulenti spiritus generatio. Vnoque verbo, vt extrinsecus tum frigidissimi temporum status sunt sereni, solentque maximè flante borea fieri; tum calidissimi, qui æstatis tempore accidunt, ambientem aëra purum reddunt; qui verò inter hos sunt, nebulam gignunt: ita in animalibus, neque in caloris summâ imbecillitate, neque quum viribus est vehemens, sed in iis qui inter hos sunt statibus, flatulentum excrementum gignitur. Atque id quum per os excernitur, ructum creat; quum per inferiorem partem, sonorum silentémve flatum; quum verò per neutram partium emittitur, symptoma creat, quod flatum seu inflationem vocant, quum ventriculus non potest excrementosum nebulosumque excernere spiritum. Iam intestinorum aliàs aliæ partes, vbi talis spiritus in iis constitit ac mouetur, multiformes edunt sonitus, qui non omnes nomina sunt sortiti; cæterùm prudenti viro, quale quantumque excrementum sit, ac quo maximè loco voluatur, indicare possunt. Quippe si eiusmodi spiritus acutũ & tenue sonet, per vacuum & prorsus angustum intestinum defertur, éstque tum purior, tum magis aëreus; flatuosior autem redditus, similiter quidem sonum edit exiguum, quum in tenuibus intestinis voluitur, cæterùm nec prorsus acutum, nec tenuem. Atque eiusmodi soni omnes in iis quæ circa ieiunum sunt, locis maximè consistunt: in quantum autem hinc ad alia tenuia intestina descendunt, in tantum minùs sunt sonori. Alii verò bombosi sunt, iis, qui ex latissimis tibiis eduntur, similes; quo genere vtuntur, qui siticines vocantur, quæ ob materiam, ex quâ fiunt, purè sonare nequeunt, propter autem spiritus viæ latitudinem grauiter sonant. Tales autem omnes *flatus* in crassis fiunt intestinis, quum excrementorum sunt vacua. Quòd si humor quispiam in his contineatur, accedit hinc quoque bombi species quædam; vocantque homines eiusmodi sonum murmurillum, qui humidi excrementi excretionem denuntiat. Quippe species ipsa soni hęc ambo pręsignat, quòd à naturâ fiat mota, excretionem nuntiãs; quod autẽ cum eiusmodi murmurillo, humidam. At eorum flatuum, qui extra feruntur, sonitus, alius quidem murmurillo

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Αἰτίαι φυσῶν, ἐρυγῆς, καὶ φύσης ψοφούσης καὶ ἀψόφου, καὶ βομβώδους, καὶ βορβορυγμοῦ καὶ ἄλλων.

ΠΕρὶ δὲ τῶν ἀτμωδῶν πνευμάτων, ἃ δὴ καὶ φύσας ὀνομάζουσιν, ἐφεξῆς ῥητέον. ἔστι δὲ καὶ τούτων ἡ μὲν γένεσις ἐν αὐτοῖς τοῖς κατὰ τὴν γαστέρα χωρίοις, χυμῶν τινων αὐτόθι φλεγματωδῶν, ἢ σιτίων εἰς ἀτμοὺς λυομένων ὑπὸ θερμότητος ἐνδεοῦς. ἡ μὲν γὰρ τελεία ψύξις οὐδ᾽ ὅλως ἀτμὸν ἐργάζεται, διότι μηδὲ ὅλως λεπτύνει, μηδὲ κατεργάζεται, μηδὲ διαλύει τὴν τροφήν· ἡ δὲ ἰσχυρὰ θερμασία, πολλῷ τῷ περιέχοντι κρατοῦσα, πλέον ἤδη, ἢ κατὰ γένεσιν ἀτμοῦ λεπτύνει τὴν τροφήν, εἰ μὴ φυσώδης ὑπάρχει φύσει· τηνικαῦτα δὲ γίνεται μέν τι πνεῦμα θολερόν τε καὶ (ὡς ἂν εἴποι τις) ὁμιχλῶδες, ὀλίγον δὲ τοῦτο καὶ κατὰ χρόνον ἐλάχιστον, ὡς ἀπὸ μιᾶς ἢ δευτέρας ἐρυγῆς ἐκκενοῦσθαι. ἡ δὲ ἐνεργοῦσα μὲν ἀμφὶ τὰ σιτία θερμότης, ἐνδεεστέρα μέν πως διαλύει αὐτά, κατεργάζεται δ᾽ οὐκ ἀκριβῶς, κἀντεῦθεν ἡ τοῦ φυσώδους πνεύματος γένεσις. ἔτι δὲ λόγῳ, καθάπερ ἐκτὸς αἵ τε ψυχρόταται καταστάσεις αἴθριοι, μάλιστα δ᾽ ἐν τοῖς βορείοις γίνεσθαι πεφύκασιν· αἵ τε θερμόταται θέρους ὥρᾳ συνιστάμεναι, καθαρὸν ἀπεργάζονται τὸν περιέχοντα· αἱ μεταξὺ δ᾽ αὐτῶν εἰσιν αἱ τὴν ὁμίχλην γεννῶσαι· κατὰ τὸν αὐτὸν τρόπον ἐν τοῖς ζώοις, οὔτε ταῖς ἐσχάταις ἀρρωστίαις τῆς θερμασίας, οὔθ᾽ ὅταν ἰσχυρῶς ἐρρῶσθαι, κατὰ δὲ τὰς μεταξὺ τούτων ἀπογεννᾶται τὸ φυσῶδες περίττωμα. καὶ τοῦτο διὰ μὲν τοῦ στόματος ἐκκρινόμενον, ἐρυγὴν ἐργάζεται· διὰ δὲ τοῦ κάτω πέρατος, ἤτοι ψοφοῦσαν ἢ ἄψοφον φῦσαν· ἐπειδὰν δὲ μηδ᾽ ἑτέρως ἐκφέρεται, τὴν ἐμπνευμάτωσιν ὀνομαζομένην ἀποτελεῖ, σύμπτωμα γαστρὸς ἀτονούσης ἐκκρίνειν τὸ περιττωματικόν τε καὶ ὁμιχλῶδες πνεῦμα. κατὰ τὰ μόρια δὲ ἄλλοτε ἄλλα τῶν ἐντέρων, ἐπειδὰν συνίσταταί τε καὶ κινεῖται τὸ τοιοῦτον πνεῦμα, πολυειδεῖς ἀποτελεῖ τοὺς ψόφους, ὀνόματα μὲν οὐκ ἔχοντας ἅπαντας, ἐνδείξασθαι δὲ τῷ συνετῷ δυναμένους, ὁποῖόν τε καὶ ὁπόσον ἐστὶ τὸ περίττωμα, καὶ καθ᾽ ὅν τινα μάλιστα τόπον ἑλισσόμενον. εἰ μὲν γὰρ ὀξὺ καὶ λεπτὸν ἠχοίη, τὸ μὲν τοιοῦτον πνεῦμα διὰ κενοῦ τε φέρεται τοῦ ἐντέρου καὶ πάντως στενοῦ, καθαρώτερόν τε καὶ ἀερωδέστερον ὑπάρχον αὐτό· φυσωδέστερον δὲ γινόμενον, ὁμοίως μὲν ἐργάζεται τὸν ψόφον μικρόν, ἐν τοῖς λεπτοῖς ἐντέροις ἐνελιττόμενον, ἀλλ᾽ οὔτ᾽ ἀκριβῶς ὀξύν, οὔτε λεπτόν. οἱ μὲν δὴ τοιοῦτοι ψόφοι πάντες, ἐν τοῖς κατὰ τὴν νῆστιν μάλιστα συνίστανται χωρίοις· εἰς ὅσον δ᾽ ἂν ὑποκαταβαίνουσιν ἄχρι τῶν ἄλλων ἐντέρων τῶν λεπτῶν, ἧττον ἠχώδεις ἀποτελοῦνται. βομβώδεις δ᾽ εἰσὶν ἕτεροι, τοῖς ἐξ εὐρυτάτων αὐλῶν ἐοικότες, ὁποίους ἔχουσιν οἱ τυμβαῦλαι καλούμενοι, διὰ μὲν τὴν ὕλην ἐξ ἧς γεγόνασιν οὐ δυναμένους ἠχεῖν καθαρόν, διὰ δὲ τὴν εὐρύτητα τῆς τοῦ πνεύματος ὁδοῦ βαρύτατα φθεγγομένους. οἱ τοιοῦτοι πάντες ἐν τοῖς παχέσιν ἐντέροις συνίστανται κενοῖς γινομένοις περιττωμάτων. εἰ δ᾽ ὑγρότης τις ἐν αὐτοῖς περιέχοιτο, προσέρχεταί τις ἰδέα τῷ βόμβῳ καὶ παρὰ τῆσδε, καὶ καλοῦσι τὸν τοιοῦτον ψόφον οἱ ἄνθρωποι βορβορυγμόν, ἔκκρισιν ἐπαγγελλόμενον ὑγροῦ περιττώματος. ἡ γὰρ ἰδέα ψόφου ταῦτ᾽ ἄμφω σημαίνει, διότι μὲν ἐπικινουμένη γίνεται τῇ φύσει τὴν ἔκκρισιν ἐπαγγελλομένη· ὅτι δὲ καὶ μετὰ βορβορυγμοῦ, τὴν ὑγράν. καὶ αὐτῶν δὲ τῶν ἔξω φερομένων φυσῶν ὁ ψόφος, ὁ μὲν δὴ

βορβορυγμῷ τινι προσέοικεν, ἔκκρισιν ἔσον οὔπω γενήσεσθαι προδηλῶν· ὁ δὲ καθαρός τε καὶ (ὡς ἂν εἴποι τις) εὐηχής ἐστι καὶ ἀερώδης, ἤτοι κενὸν ἐνδεικνύμενος εἶναι τὸ ἔντερον, ἢ πάνυ τι σκληρὸν ἔχειν ἀνωτέρω που περίττωμα· καὶ μὴν δὴ καὶ μέσος τις τούτων ἐστὶν ἄλλος, ὁ οἷον βομβώδης, ἐπὶ μέσῃ τινὶ καὶ μεταξὺ τῶν εἰρημένων διαθέσει γινόμενος. ὁ δ' οἷον τρυσμὸς, ἢ τρισμὸς (ἑκατέρως γὰρ αὐτὸν ὀνομάζουσιν, οἱ μὲν ἀπὸ τοῦ υ τὴν ἀρχὴν, οἱ δ' ἀπὸ τοῦ ι ποιούμενοι τῆς προτέρας συλλαβῆς) ἐπὶ στενοχωρίᾳ τε ἅμα τῶν ὀργάνων καὶ φυσώδει πνεύματι μετ' ὀλίγης ὑγρότητος γίνεται.

cuipiam similis est, excretionem iam futuram indicans; alius purus atque (vt siquis dixerit) sonorus est & aëreus, qui vel vacuum esse intestinum docet, vel etiam prædurum quidpiam superius alicubi habere excrementum; iam alius quidam horum est medius, velutique bombosus, ex medio quodam prędictorum affectu proueniens. *Tenuis autem sonitus*, qui veluti trysmos, siue trismos est (quippe vtroque modo appellant, alii per υ, alii per ι scribentes) ex instrumentorum angustiā simul & flatulento spiritu, cum exiguo humore efficitur.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Αἰτίαι τῶν ἐξ ἥπατος εἰς κοιλίαν συρρεόντων παρὰ φύσιν ἐπὶ τῶν ἡπατικῶν τε καὶ δυσεντερικῶν, καὶ τῶν ἐκκρινομένων αἱματωδῶν τεσσάρων.

Ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται πρός γε τὰ παρόντα, περὶ τῶν ἄνωθεν εἰς τὴν γαστέρα συρρεόντων ἐπιμεληθῶμεν· ἐρρήθη γὰρ δὴ καὶ ταῦτα διαχωρημάτων ὑγρότητός τε καὶ πλήθους αἴτια καθίστασθαι. φέρεται τοίνυν ἄνωθεν εἰς τὴν γαστέρα, πολλάκις μὲν εὐρωστίᾳ τῆς φύσεως ἐκκρινούσης τὸ περιττὸν, ἔστι δ' ὅτε ὑπ' ἀρρωστίας οὐδὲ τὸ χρηστὸν βαστάζειν δυναμένης. ἐκκρίνεται μὲν οὖν τὸ περιττὸν ἔν τε ταῖς κρίσεσι καὶ κατὰ τὸν τῆς ὑγείας ἐνίοτε χρόνον, ὥσπερ ἀμέλει καὶ ταῖς γυναιξὶν ἐφ' ἑκάστῳ μηνί. τοιαύτας δὲ καὶ τὰς αἱματηρὰς δυσεντερίας ὁ Ἱπποκράτης ἔφασκε συμπίπτειν, ἐφ' ὧν ἀπεκόπη τι κῶλον. εἴδομεν δὲ καὶ ἡμεῖς οὐ τούτοις μόνοις, ἀλλὰ καὶ ἄλλοις τισὶ συμπιπτούσας ἐκ περιόδου τινὸς ὡρισμένης. ἅπαντες δ', οὓς ἐθεασάμεθα κενουμένους οὕτως, ἐκ γυμναστικοῦ τοῦ πρόσθεν βίου μεθεστήκεσαν εἰς ἀργίαν παντελῆ. τὸ μὲν δὴ τοιοῦτον περίττωμα, τῷ ποσῷ μόνον ἀλλότριόν ἐστιν· ἕτερον δὲ τῷ ποιῷ, τὰ πολλὰ μὲν ἐν τοῖς ὀξέσι νοσήμασι κριτικῶς ἐκκρινόμενον, ἔστιν ὅτε δὲ, λόγῳ συντήξεως. ἐν τῷ μεταξὺ δὲ τούτου τε τοῦ παντάπασιν ἀχρήστου καὶ μοχθηροῦ περιττώματος, κἀκείνου τε τοῦ προειρημένου χρηστοῦ, τρίτον ἄλλο γένος ἐστὶ περιττώματος, οἷόν περ ἐν γαστρὶ τὸ ἡμίπεπτον σιτίον. ἐκκρίνεται δὲ τοῦτο κατὰ τὰς ἡπατικὰς μάλιστα διαθέσεις. ὀνομάζουσι δὲ οὕτως, ἐφ' ὧν ἀτονία τοῦ ἥπατος ἡ νόσος ὑπάρχει, κἂν μηδεμία συνῇ φλεγμονή. τηνικαῦτα γὰρ ὅμοιόν τι τὸ πάθημα συμβαίνει τῷ σπλάγχνῳ, τοῖς κατὰ τὴν ἄτονον γαστέρα συμπίπτουσιν, ἐπειδὰν ὀρέγηται μὲν ἡ γαστὴρ, εἰ δ' αὖ προσφέρηται σιτία μὴ πέψασα, βαρύνεταί τε καὶ ἡμίπεπτα τοῖς ἐντέροις ἐκπέμπει· αὕτη μὲν γὰρ καὶ εἰς ἔμετον ὁρμᾷ· τὸ δ' ἧπαρ ἀνάλογόν τι τῷ ἐμέτῳ πάσχον, ἣν ἐπεσπάσατο τροφὴν, ὡς διὰ στομάχων τῶν κατὰ τὸ μεσάραιον ἀγγείων, αὖθις ἀποπέμπει δι' αὐτῶν ἡμίπεπτον. ἔστι δὲ τῆς τοιαύτης ἐκκρίσεως ἡ ἰδέα (καθάπερ οὖν καὶ εἰκάζουσιν αὐτὴν οἱ πρὸ ἡμῶν) ἐοικυῖα μάλιστα πλύμασι κρεῶν· ἄμεινον δ' ἴσως οὐχ ἁπλῶς οὕτω λέγειν, ἀλλ' εἰς ἀκρίβειαν τῆς εἰκόνος, ἐναίμων τε καὶ νεοσφαγῶν τῷ λόγῳ προστιθέναι· καὶ μὲν δὴ καὶ εἴ τις ὑδατῶδες αἷμα τὸ οὕτως ἐκκρινόμενον εἴποι, καὶ οὗτος ἐμοὶ δοκεῖ σαφῶς ἑρμηνεύειν αὐτό. τοῦτο μὲν δὴ τὸ σύμπτωμα τοῖς τῶν ἡμιπέπτων σιτίων ἐμέτοις ἀνάλογον ἔχει.

CAPVT VII.

Causæ eorum, quæ ab hepate in aluum confluunt præter naturam in hepaticis & dysentericis, excretorum quoque cruentorum quadruplicium.

QVoniam autem & de his (vt ad rem propositam) satis est dictũ, ad ea quæ ésupernis in ventrem confluunt, redeamus; quippe dictum est hæc quoque tum humiditatis deiectionum, tum multitudinis esse causas. Defertur igitur supernè in ventrem sæpenumero excrementum, naturæ expellentis robore; aliquando verò propter imbecillitatem neque quòd vtile est portare valentis. Ac excernitur quidem quod superuacuum est, tum in crisibus, tum verò sanitatis nonnunquam tempore, veluti mulieribus singulis mensibus. Tales verò etiam cruentas dysenterias Hippocrates in iis accidere dixit, quibus artuum aliquis esset abscissus. Nos autem videmus id non in iis modò, sed etiam aliis quibusdam per definitos circuitus euenire; quos autem ita vacuari vidimus, omnes ab exercitata priori vita penitùs ad otiũ se transtulerant; atque hoc quidem excrementum, quantitate sola est alienum; alterum verò qualitate, quod in acutis morbis criticè plerunque excernitur; aliquando verò ratione colliquationis. Inter hoc autem omninò inutile prauumque excrementum & illud iam dictum vtile, aliud tertium excrementi genus medium est, quale est in ventriculo cibus semicoctus. Excernitur id maximè in hepaticis affectibus. Eos autem ita nominãt, in quibus morbus iecoris est imbecillitas, licet nulla affuerit phlegmone. Tum enim similis affectus huic visceri accidit, iis qui imbecillo ventriculo accidunt, quum ventriculus appetit quidẽ cibos, sed quos sibi admouet quum non concoquat, iisdem grauatur & semicoctos ad intestina demittit. atque is quidem ad vomitum quoque concitatur; iecur autem quum affectũ patiatur aliquem vomitioni proportione respõdentẽ, quod alimentũ per vasa, quæ in mesareo sunt, vt per stomachos quosdã attraxit, rursus per eadem semicoctum ablegat. Est autem eiusmodi excretionis species (veluti etiam eam assimilarunt qui ante nos fuere) maximè similis carnium loturæ; præstiterit autem fortassis non ita simpliciter pronunciare, sed ad exquisitam imaginis expressionem, cruentarum atque recenter iugulatarum sermoni addere. Quin etiam siquis, quod ita excretum est, aquosum sanguinem nominet, hic quoque mihi illud clarè interpretari videtur. Atque hoc quidem symptoma semicoctorum ciborum vomitioni proportione respondet

pondet: Alterum quod dicturus sum, humidis ventris deiectionibus ad exquisitissimam concoctionem perductis, non tamen distributionem consecutis assimilatur. Nam vt has quoque venter omninò ab ipsis grauatus excernere cupit; sic iecur, vbi affatim distributi in ipsum alimenti fructum cepit, non patitur id ampliùs apud se morari. Quum ergo id vlteriùs progredi quâuis ex causâ nequeat, retrorsum ad ventrē recurrat necesse est; apparetque qui excernitur sanguis, & nigrior quā pro naturâ, & splendens, vt potè ex sanguine & nigra bile commixtus. Sanguis enim ipse per se, quum ob refrigerationem nigrescat, nedum vllum splendorem acquirit, etiam quem ab initio habebat, amittit. Sed atra bilis etiam sanguine ipso splēdidior est, quemadmodum etiam bitumē, quod ex mari mortuo *affertur*, Iudaicum id appellant. Non enim grumi exemplo, quum perfrigeratur sanguis, atram bilem creat, sed quum supra modum assatus est, ideoque etiam splendorē suum tuetur. Non enim vt grumus sanguine perfrigerato, sic etiam atra bilis generatur; imò contrà omninò ex immodicâ assatione & ebullitione, veluti cinis quidam, atra bilis efficitur; frigida quidem, quòd terrestris; caloris autem particeps, sicuti cinis & acetum. Deuenit autem ad dictum affectum qui ex ventriculo in iecur distributus est succus, quum is, quòd vlteriùs in corpus non distribuatur, in hepate diutiùs moratur. Nominatur autem talis excretionis species à nonnullis dysenteria; etenim ita affecti sæpenumero vellicantur peræquè ac dysenterici, vel (arbitror) ob flauæ bilis acrimoniam, quam sanguis, dum assaretur, acquisiuit; at vocet quidem quisque prout volet. Iam cruentorum excrementorum quatuor omnino sunt differentiæ quatuor affectibus succedentes. Vna est, vbi ipse sanguis per circuitus quosdam emanat, vel ob mutilatos artus, vel exercitationem derelictam. Altera, quū ob imbecillitatem iecoris aquosus sanguis deiicitur, quem loturæ carnium assimilant. Tertia, quæ nunc dicta est, melancholici splendentisque sanguinis. At hæ quidem tres, & confertam & simul multam excretionem efficiunt. Quarta verò eam, quę & paulatim & exiguo tempore fit, expulsionem continet, aliàs quidem sinceri sanguinis, aliàs grumosi. In hac & sæpe puris nonnihil pauculum simul excernitur; etiam ramenta, quæ ephelcides dicuntur; & membranosa quædam corpora, intestinorum ipsorum particulæ; sed & stercus super his collectum sæpenumero excernitur, sanguinis in se guttas habens. Affectus verò trium primarum differentiarum, paulò antè dicti sunt. Quartæ verò nunc explicatæ intestinorū exulceratio est affectus; atque hanc solam nonnulli dysenteriam nominari censent. Sed (quod à me sæpe dictum est) quò nulla res omittatur, magna solicitudo est habenda, de nominibus verò minimè curandum. Est autem ex eodem, quo iam dicta dysenteria, genere & qui tenesmus vocatur, quum vlcus in recto intestino factum est; is cætera quidem symptomata infert dysentericis similia, tensiones tamen multò vehementiores.

τὸ δ' ἕτερον, ὃ μέλλω λέγειν, ἔοικεν ὑγραῖς διαχωρήμασι γαστρὸς εἰς ἀκριβεστάτην μὲν ἀφιγμένοις πέψιν, ἀτυχήσασι δὲ τῆς ἀναδόσεως. ὡς γὰρ καὶ ταῦτα πάντως δήπου βαρυνομένη πρὸς αὐτῶν ἡ γαστὴρ ἐκκρίνειν ἐφίεται, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὸ ἧπαρ, ἐπειδὰν ἱκανῶς ἀπολαύσῃ τῆς ἀναδοθείσης τροφῆς εἰς ἑαυτό, οὐκ ἔτι ἀνέχεται παρακειμένης ἐπιπλέον. ὅταν οὖν αὕτη μὴ δύνηται φέρεσθαι πρόσω δι' ἥντινα οὖν αἰτίαν, ἀναγκαῖον αὐτὴν παλινδρομεῖν εἰς τὴν γαστέρα, καὶ φαίνεται τηνικαῦτα τὸ ἐκκρινόμενον αἷμα μελάντερόν τε τοῦ κατὰ φύσιν καὶ στίλβον, ὡς ἐξ αἵματός τε καὶ μελαίνης χολῆς κεκραμένον. αἷμα μὲν γὰρ αὐτὸ καθ' ἑαυτὸ μελαινόμενον ἐν τῷ ψύχεσθαι, πρὸς τῷ μηδεμίαν ἐπικτᾶσθαι στιλπνότητα, καὶ ἣν ἐξ ἀρχῆς εἶχεν, ἀπόλλυσιν· ἡ μέλαινα δὲ χολὴ στιλπνοτέρα καὶ αὐτοῦ τοῦ αἵματός ἐστιν, ὥσπερ καὶ ἡ ἐκ τῆς νεκρᾶς θαλάττης ἄσφαλτος, ἣν Ἰουδαϊκὴν ὀνομάζουσιν. οὐ γὰρ ἀποψυχόμενον τὸ αἷμα γεννᾷ τὴν μέλαιναν χολήν, ὥσπερ ἐπὶ τοῦ θρόμβου, ἀλλ' ὑπεροπτώμενον, διὸ καὶ τὴν στιλπνότητα διασωζομένην ἔχει. οὐ γὰρ ὡς ὁ θρόμβος, ἀποψυχθέντος τοῦ αἵματος, οὕτω καὶ ἡ μέλαινα χολὴ τὴν γένεσιν ἔχει· τοὐναντίον γὰρ ἅπαν ἐξ ὑπεροπτήσεώς τε καὶ ζέσεως, οἷον τέφρα τις ἡ μέλαινα χολὴ συνίσταται, ψυχρὰ μέν, ὅτι γεώδης, θερμότητος δὲ μετέχουσα, καθάπερ ἡ τέφρα τε καὶ τὸ ὄξος. ἔρχεται δὲ εἰς τὴν εἰρημένην διάθεσιν ὁ ἐκ τῆς κοιλίας ἀναδοθεὶς χυμὸς ἐπὶ πλέον ἐν ἥπατι μένων, τῷ μὴ τυγχάνειν τῆς ἐντεῦθεν ἀναδόσεως. ὀνομάζεται δὲ ἡ τοιαύτη τῶν ἐκκρίσεων ἰδέα πρός τινων δυσεντερία· καὶ γὰρ οὖν καὶ δάκνονται πολλάκις ὁμοίως τοῖς δυσεντερικοῖς, ἅτε γάρ, οἶμαι, τῆς ξανθῆς χολῆς δριμείας αὐτοῖς γινομένης ἐν τῷ κατοπτᾶσθαι τὸ αἷμα· καλείτω μὲν οὖν ἕκαστος ὡς ἂν ἐθέλῃ. Διαφοραὶ δὲ τῶν ἐκκρινομένων αἱματωδῶν αἱ πᾶσαι τέσσαρες ὑπάρχουσιν ἐπὶ τέτταρσι διαθέσεσι. μία μὲν αὐτοῦ τοῦ αἵματος, ἐπὶ τῶν ἀποκοπέντων κώλων, ἢ γυμνάσια καταλυσάντων ἐκ περιόδου τινὸς ἀποτελουμένη· δευτέρα δέ, δι' ἀτονίαν ἥπατος ὑδατώδους αἵματος ὑπιόντος, ὃ κρεῶν εἰκάζουσι πλύματι· τρίτη δὲ ἡ νῦν εἰρημένη τοῦ μελαγχολικοῦ καὶ στίλβοντος. αὗται μὲν οὖν αἱ τρεῖς ἀθρόαν τε ἅμα καὶ πολλὴν ἐργάζονται τὴν ἔκκρισιν· ἡ τετάρτη δὲ κατὰ βραχύ τε καὶ δι' ὀλίγου τοῦ χρόνου τὴν ἀπόκρισιν ἔχει γινομένην, ἐνίοτε μὲν ἀκριβοῦς αἵματος, ἔστι δ' ὅτε θρομβώδους. ἐν ταύτῃ καὶ πύου τι συνεκκρίνεται πολλάκις ὀλίγον, καὶ τῶν καλουμένων ἐφελκίδων, ὑμενώδη τέ τινα σώματα, μόρια τῶν ἐντέρων αὐτῶν· ἀλλὰ καὶ συνεστηκυῖα πολλάκις ἐπὶ τούτων ἡ κόπρος ἐκκρίνεται σταγόνας αἵματος ἐφ' ἑαυτῇ ἔχουσα. αἱ διαθέσεις δὲ τῶν μὲν προτέρων τριῶν, ὀλίγον ἔμπροσθεν εἴρηνται· τῆς τετάρτης δὲ τῆς νῦν εἰρημένης, ἕλκωσις ἐντέρων ἐστὶν ἡ διάθεσις, ταύτην καὶ μόνην ἀξιοῦσί τινες ὀνομάζεσθαι δυσεντερίαν. ἀλλ' (ὅπερ εἴρηταί μοι πολλάκις) ὑπὲρ τοῦ μηδὲν παραλειφθῆναι πρᾶγμα μεγάλην δεῖ πεποιῆσθαι τὴν φροντίδα, τῶν δ' ὀνομάτων καταφρονητέον. ἔστι δ' ἐκ ταὐτοῦ τοῦ γένους τῇ προειρημένῃ δυσεντερίᾳ καὶ ὁ καλούμενος τεινεσμός, ἕλκος ἐν ἀπευθυσμένῳ γινόμενον, τὰ μὲν ἄλλα συμπτώματα παραπλήσια φέρων, ἐντάσεις δὲ πολὺ σφοδροτέρας τῶν δυσεντερικῶν.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Αἰτίαι τῶν ἐν οὔροις συμπτωμάτων, ἢ τῆς οὐρήσεως βεβλαμμένης.

Αἱ δὲ τῶν οὔρων ἐπισχέσεις τε καὶ μοχθηραὶ κενώσεις ἀνάλογον ἔχουσι ταῖς κατὰ τὴν γαστέρα τῶν περιττωμάτων ἐπισχέσεσί τε καὶ παρὰ φύσιν ἐκκρίσεσιν. ἴσχονται μὲν γὰρ ἢ ἀδυνατούσης ἐκκρίνειν τῆς κύστεως, ἢ στενωθέντος αὐτῆς τοῦ στομάχου. ταυτὶ μὲν οὖν ἄμφω τὰ νοσήματα τῆς κύστεως ἓν κοινὸν ἔχει σύμπτωμα, τὴν ἰσχουρίαν· ἴσχεται γὰρ ἐν αὐτῇ τὰ οὖρα. καλοῦσι δὲ οὐδὲν ἧττον οἱ πολλοὶ τῶν ἰατρῶν ἰσχουρίαν κἀκεῖνο τὸ σύμπτωμα καίτοιγε οὐκ ὂν ἰσχουρία, ἐπειδὰν μηδόλως εἰς τὴν κύστιν ἀφικνῆται τὸ οὖρον, ἀπολλυμένης τῶν νεφρῶν τῆς ἐνεργείας. καὶ συγχωρητέον γε αὐτοῖς ὀνομάζειν οὕτως ἀποροῦσι προσηγορίας οἰκείας· οὐ μὴν ἀγνοεῖσθαι προσήκει γε τὴν διαφορὰν τῶν διαθέσεων. ἑτέρα μὲν γάρ ἐστι διάθεσις, ὅταν μηδὲν ἐκκρίνεται, πεπληρωμένης τῆς κύστεως· ἑτέρα δέ, ὅταν ὑπάρχῃ κενή, μηδὲν ὅλως ἐν αὐτῇ περιέχουσα. κατὰ γοῦν τὴν τοιαύτην διάθεσιν ἐν ᾗ πλήρης ἡ κύστις ἐστίν, ἤτοι γε ἐστένωται τὸ στόμα αὐτῆς, ἢ τούτου κατὰ φύσιν ἔχοντος ἀρρωστεῖ περιστέλλεσθαί τε καὶ ἐξωθεῖν ἔξω τὸ οὖρον. αἱ μὲν οὖν στενώσεις τοῦ στομάχου δι' ἔμφραξίν τε καὶ μύσιν ἀποτελοῦνται. καὶ γὰρ ἡ μὲν ἔμφραξις ὑπὸ θρόμβου τε καὶ πύου πάχεος καὶ λίθου καὶ πώρου καὶ διὰ βλάστημά τι κατ' αὐτὸν ἐπιτραφὲν τὸν πόρον, ὁποῖα κἀν τοῖς ἄλλοις ἅπασιν ἐκτὸς ὁρᾶται γινόμενα κατά τε τὰ ὦτα, καὶ ῥῖνας, αἰδοῖά τε καὶ ἕδραν. ἡ δὲ μύσις ἤτοι δι' ὄγκον τινὰ παρὰ φύσιν ἢ διὰ ξηρότητα γίνεται πολλήν. ὁ μὲν οὖν ὄγκος ἐπὶ φλεγμοναῖς ἀποτελεῖται καὶ σκίρροις καὶ τοῖς ἄλλοις οἰδήμασιν, ὅσα τε τὸν τράχηλον ἐξαίροντα τῆς κύστεως εἰς τὸν ἐντὸς πόρον ἀποχεῖ τὸν ὄγκον. ἡ δὲ ξηρότης ἐν τοῖς καυσωδεστάτοις τε καὶ αὐχμωδεστάτοις πυρετοῖς, ἐν οἷς πολλάκις ὁρῶμεν οὐδὲ φθέγξασθαι δυναμένους τοὺς κάμνοντας, ἄνευ τοῦ διαβρέξαι τὸ στόμα. τῆς δὲ κατὰ τὴν κύστιν ἀτονίας οὐδὲν ἔτι δέομαι λέγειν τὰς αἰτίας· εἴρηται γὰρ ἤδη μοι πολλάκις ἐπὶ πολλῶν μορίων, εἴθ' ὡς ὁμοιομερέσιν αὐτοῖς, εἴθ' ὡς ὀργανικοῖς συμπίπτουσιν. περιττότερον δέ τι κατὰ τὴν κύστιν ἔοικε συμπίπτειν ὑπερπληρωθείσῃ, ὅπερ οὐχ ἡμεῖς μόνοι τεθεάμεθα γινόμενον, ἀλλὰ καὶ παρ' ἄλλων ἐπυθόμεθα. πληρωθείσης γὰρ αὐτῆς αἰδεσθέντων τινῶν ἐξαναστῆναι τοῦ δείπνου καὶ οὐρῆσαι, τὴν ἐνέργειαν ἀπολέσθαι συνέβη, καὶ οὐκ ἔτ' ἠδυνήθησαν ἐκκρῖναι τὸ οὖρον, κἂν ἰσχυρῶς βιαζόμενοι τύχοιεν. ἔοικε δέ τι καὶ κατὰ τὴν γαστέρα συμπίπτειν τοιοῦτον καὶ τὰ ἔντερα, ἀλλὰ τοὺς πολλοὺς λανθάνειν, ἐπὶ μὲν τῶν κατ' αὐτὴν τὴν κοιλίαν τοῦτο παθόντων, ἀποπνιγέντων φθανόντων· ἐπὶ δὲ τῶν ἐν τοῖς ἐντέροις ἅπασιν ἠθροικότων τὸ περίττωμα, διὰ τὰ παρεπόμενα συμπτώματα περιελκομένων ἐπ' ἄλλα τῶν ἰατρῶν· ἐν μόναις γὰρ καθάρσεσι συνωσθείσαις μὲν εἰς ἔντερα, μεινάσαις δὲ εἰς αὐτά, εἴωθε τὸ τοιοῦτον συμπίπτειν. αὗται μὲν οὖν αἱ διαθέσεις, τὴν οἷον στέρησιν τῆς ἀποκρίσεως τῶν οὔρων ἐπιφέρουσιν· αἱ δ' ὁμογενεῖς μὲν αὐταῖς, ἀπολειπόμεναι δὲ μεγέθει, τὰς οἷον ἀμυδράς τε καὶ ναρκώδεις ἐνεργείας ἀποτελοῦσιν. ἐπ' ἄλλαις δὲ διαθέσεσι τὸ τρίτον γένος τῶν συμπτωμάτων ἐπιγίνεσθαι πέφυκεν, ἐν ταῖς πλημμελέσι κενώσεσι

CAPVT VIII.

Causæ Symptomatum in vrinis seu læsi mictus.

VRinarum autem tum suppressiones, tum deprauatæ vacuationes, ventris excrementorum retentionibus & contra naturam excretionibus, proportione respondet. Supprimuntur enim vel ob vesicæ imbecillitatem excernere non valentis, vel ob eius orificium occlusum. Atque hi quidem duo vesicæ morbi, vnum commune symptoma ischuriam habent; detinentur enim in ea vrinæ. Vocat autem vulgus medicorum non secus ischuriam, quanquã ischuria non sit, illud quoque symptoma, quum vrina in vesicam omninò non venit, deperditâ renum actione. Et ipsis concedendum est ita nominare, quum propriam appellationem non habeant; non tamen ignoranda est amborum affectuum differentia. Nam alter eorum affectus est, quum vesica quidem est plena, sed nihil excernitur; alter, quum vacua est, nihil omninò in se continens. Sub tali enim affectu, in quo plena est vesica, aut occlusum est eius orificium, aut hoc secundum naturam se habente, ipsa ad sese contrahendam, ac lotium foras extrudendum, est imbecilla. Itaque eius orificiĩ occlusio, vel propter obstructionem, vel conniuentiam oboritur. Fit autem obstructio tum à grumo, tum crasso pure, tum calculo, tum callo, & tuberculo aliquo in eius meatu nato, qualia & in reliquis omnibus externis partibus, aure, naribus, pudendo, & sede fieri videntur. Conniuentia verò, aut ob tumorem aliquem præter naturam, aut ob multam siccitatem accidit. Ac tumor quidem à phlegmone, scirrhis, atque aliis perficitur tumoribus, qui vesicæ ceruicem attollentes, in internum meatum molem porrigũt. Siccitas autem in ardentissimis ac siccissimis febribus, in quibus laborantem sæpenumero neque loqui posse videmus, nisi os madefecerit. Imbecillitatis vesicæ causas nihil opus est recenseam: expositæ enim iam mihi in multis partibus sunt, siue iis vt similaribus, siue vt organicis accidant. Sed peculiare quiddam magis accidere in vesicâ videtur, quum supra modum impleta est; quod fieri non nos modò vidimus, sed etiam ab aliis audiuimus. Ipsa nanque impletâ quum surgere è conuiuio ac meiere quosdam puderet, actionem eius destrui contigit, nec vrinam qui ita sunt affecti, quanuis magnopere connixi, excernere præterea potuerunt. Sanè videtur, & ventri & intestinis tale quid accidere, sed vulgus latêre; in his quidem, qui in ipso ventriculo id patiuntur, quòd celeriter suffocentur: in illis verò, qui excrementũ in omnibus intestinis collegerunt, quòd medici propter sequentia symptomata, ad alia conuertantur: in solis enim purgationibus ad intestina demissis, atque inibi manentibus, tale quid accidere solet. Atque hi quidem affectus, veluti priuationem inferunt excretionis vrinarum. Qui verò eiusdem sunt cum illis generis, magnitudine tamen deficiunt, veluti obtusas torpidásque actiones edunt. Aliis autem affectibus tertium symptomatum genus, quod in deprauatis vacuationibus consistit, superuenire

nire solet. Sunt autem multæ eius species. Prima quæ stranguria dicitur, ob imbecillitatem vesicæ, vel vrinæ acrimoniam accidit. Secunda ventriculi fluxionibus est similis, de quâ melius est copiosiùs semel hoc loco disserere. Fit igitur quædam veluti refusio vel colliquatio vel resolutio siue dissolutio aut quomodocunque quis aliter nominare voluerit, aliquando totius corporis, aliquando humorum qui in venis sunt duntaxat. Atq; huius colliquamentum aliàs ad ventrem confluit, aliàs ad vrinas, aliàs ad sudores pellitur. Ac humoribus, quos venæ continent, in serosam saniem resolutis, renes ad excrementum id trahendũ nati, potissimùm quum sani sunt, serum quidem à venis expurgant, fluxionem autem ad vesicam assiduè mittunt. Vbi autem renes trahere non valent, aut venæ eiusmodi serum in ventrem mittunt, aut toti id corpori partientes, subitaneos hydropum status inducunt. Si autem quod liquatũ est, crassum sit, qualeque renes trahere non possunt, totum in ventrem necessariò confluit. Carnoso verò genere ita colliquato, tum venter fluxionem eius recipit, vbi ea est crassior; tum sudores multi superueniunt, vbi in halitus est resoluta. Atque hæc quidem de colliquatione tum carnis tum sanguinis, ad præsens satis. Reliquorum vrinæ symptomatum quædam, vel vesicæ vel renum affectum quendam indicant, de quibus Hippocrates in aphorismis prodidit; quædam quousque concoctionis cruditatisve sanguis peruenerit, docent; scriptum autem de his est in prognosticis.

CAPVT IX.

Causæ Symptomatum in sudoribus consistentium.

ITaque iam ad sudores transeundi est tempus, de quibus hactenus saltem dictum est, quòd interdum resoluto corporis habitu eueniant, vocaturque hic affectus syncope; cui contrarius status est, qui per decretorios *accidit* sudores, qui robustam naturam indicant, non autem resolutam; atque eiusmodi quidem sudores corpus expurgant. Similes iis sunt, quos mediocres exercitationes & balneæ & calor æstiuus excitant. In immoderatis verò exercitiis, etiam boni aliquid effluit. Porrò odorem, coloremque excremento, quod vacuatur, similem habent. Copia verò eorum, aut ob corporis raritatem, aut propter excrementi abundantiam, aut ob eius quod vacuatur tenuitatem *prouenit*. At propter horum contraria retineri quoque solent, quum paucum vel glutinosum vel crassum fuerit excrementum, vel meatus constipati. Id autem accidit ipsis, vel propter obstructionem, vel conniuentiam. Obstruuntur à crassis & glutinosis humoribus; conniuent ob atrophiam, vel perfrigerationem, vel mollitiem. Fit autem & ob imbecillitatem facultatis in carnibus, sudorum tum retentio tum excretio, quemadmodum etiam reliquorum excrementorum. Etenim & vesica & ventriculus contenta in se ipsis excrementa nonnunquam magis tolerant, eaque expellere cunctantur; sæpè contrà, ne vel minimum quidem sustinent, sed & grauantur & statim abiiciunt.

συνιστάμενον. ἰδέαι δὲ πλείους αὐτῶν· πρώτη μὲν ἡ στραγγουρία καλουμένη, δι' ἀτονίαν τῆς κύστεως ἢ δριμύτητα τῶν οὔρων ἀποτελουμένη· δευτέρα δὲ τοῖς κατὰ τὴν γαστέρα ῥεύμασιν ἐοικυῖα, περὶ ἧς ἄμεινον ἐπὶ πλέον εἰσάπαξ εἰπεῖν ἐν τῷδε. γίνεται δή τις, οἷον ἀναστοιχείωσις, ἢ σύντηξις, ἢ ἀνάλυσις, ἢ ὡς ἄν τις ὀνομάζειν ἐθέλοι, ποτὲ μὲν ἅπαντος τοῦ σώματος, ἔστιν ὅτε δὲ τῶν ἐν ταῖς φλεψὶ μόνων χυμῶν· καὶ ταύτης τὸ σύντηγμα, ποτὲ μὲν εἰς τὴν γαστέρα συρρεῖ, ποτὲ δὲ εἰς τὰ οὖρα, ποτὲ δὲ εἰς ἱδρῶτας ἀποτρέπεται. τῶν μὲν οὖν ἐν ταῖς φλεψὶ χυμῶν εἰς ἰχῶρας ὀρρώδεις ἀναλυομένων, οἱ νεφροὶ τὸ τοιοῦτον πεφυκότες ἕλκειν περίττωμα, καὶ μάλιστα ὅταν ὑγιαίνοντες τύχωσιν, ἐκκαθαίρουσι μὲν τῶν φλεβῶν τὸν ὀρρόν, ἐπιφέρουσι δὲ τῇ κύστει τὸ ῥεῦμα συνεχῶς. ὅταν δὲ καὶ οἱ νεφροὶ τύχωσιν ἕλκειν ἀδύνατοι, ἢ εἰς τὴν γαστέρα καταπέμπουσιν αἱ φλέβες τὸν τοιοῦτον ὀρρόν, ἢ παντὶ τῷ σώματι μεταδιδοῦσαι, τὰς ἐξαιφνιδίους ὑδερώδεις καταστάσεις ἐπιφέρουσιν. ἐὰν δὲ τὸ σύντηγμα παχύτερον ᾖ, καὶ οἷον οὐ πεφύκασιν ἕλκειν οἱ νεφροί, συρρεῖ πᾶν ἐξ ἀνάγκης εἰς τὴν γαστέρα. τοῦ δὲ σαρκώδους γένους οὕτως συντηκομένου, καὶ ἡ γαστὴρ μὲν ἐνδέχεται τὸ ῥεῦμα, ἐπειδὰν παχύτερον ᾖ, καὶ ἱδρῶτες ἐπιγίνονται πολλοί· ἀναλυθέντος δὲ εἰς ἀτμούς, ἱδρῶτες. ταῦτα μὲν περὶ τῆς κατὰ τὰς σάρκας τε καὶ τὸ αἷμα συντήξεως εἴς γε τὸ παρὸν ἱκανά. τὰ δ' ἄλλα τῶν οὔρων συμπτώματα, τὰ μὲν ἤτοι κύστεως ἢ νεφρῶν ἐνδείκνυταί τινα διάθεσιν, ὑπὲρ ὧν ἐν ἀφορισμοῖς ἔγραψεν Ἱπποκράτης· τὰ δέ, εἰς ὅσον ἀπεψίας ἢ πέψεως ἥκει τὸ αἷμα, διδάσκει, γέγραπται δὲ περὶ αὐτῶν ἐν τῷ προγνωστικῷ.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Αἰτίαι τῶν κατὰ τοὺς ἱδρῶτας συμπτωμάτων.

ΜΕταβαίνειν οὖν ἤδη καιρὸς ἐπὶ τοὺς ἱδρῶτας, ὑπὲρ ὧν εἴρηται μέν που τό γε τοσοῦτον ὡς ἀναλυομένης ἐνίοτε γίνονται τῆς ἕξεως, καὶ καλεῖται τὸ πάθημα συγκοπή· τούτῳ δ' ἐναντία κατάστασίς ἐστιν, ἡ ἐν τοῖς κρισίμοις ἱδρῶσιν, ἐρρωμένην ἐνδεικνυμένοις, οὐ διαλυομένην τὴν φύσιν. οἱ μὲν δὴ τοιοῦτοι τῶν ἱδρώτων ἐκκαθαίρουσι τὸ σῶμα· παραπλήσιοι δ' αὐτοῖς εἰσιν, οἱ κατὰ τὰ μέτρια γυμνάσια καὶ τὰ βαλανεῖα, καὶ τὸ θάλπος τὸ θερινόν. ἐν δὲ τοῖς ἀμέτροις γυμνασίοις, ἤδη τι καὶ τοῦ χρηστοῦ συναπέρχεται· τὴν δ' ὀσμὴν ἴσχουσι καὶ τὴν χρόαν τῷ κενουμένῳ ὁμοίαν περιττώματι. τὸ δὲ πλῆθος, ἤτοι διὰ τὴν ἀραιότητα τοῦ σώματος, ἢ διὰ τὸ πλῆθος τοῦ περιττώματος, ἢ διὰ τὴν λεπτότητα τοῦ κενουμένου. διὰ δὲ τἀναντία τούτων, ἴσχεσθαι πεφύκασιν, ὅταν ὀλίγον ἢ γλίσχρον ἢ παχὺ τύχῃ τὸ περιττόν, ἢ οἱ πόροι στεγνωθῶσι. πάσχουσι δὲ τοῦτο δι' ἔμφραξιν ἢ μύσιν. ἐμφράττονται μὲν οὖν ὑπὸ παχέων τε καὶ γλίσχρων ὑγρῶν· μύουσι δὲ δι' [16] ἀτροφίαν, ἢ ψῦξιν, ἢ μαλακότητα. γίνεται δὲ καὶ δι' ἀτονίαν τῆς κατὰ τὰς σάρκας δυνάμεως, ἐπίσχεσίς τε καὶ ἔκκρισις ἱδρώτων, ὥσπερ καὶ τῶν ἄλλων περιττωμάτων. καὶ γὰρ καὶ κύστις καὶ γαστήρ, ἐνίοτε μὲν ἀνέχονται μᾶλλον ἐν ἑαυτοῖς περιεχομένων τῶν περιττωμάτων, ἀποκρίνειν ὀκνοῦντα· πολλάκις δ' ἔμπαλιν, οὐδὲ γὰρ βραχύτατον φέρουσιν, ἀλλὰ βαρύνονταί τε καὶ ἀπορρίπτουσι παραχρῆμα.

ΚΕΦΑΛΑΙΟΝ Ι.

Τίνες τῶν ἡλικιῶν καὶ φύσεων πρὸς τίνας τῶν ἐνεργειῶν ἰσχυροτέρως ἔχουσιν ἢ ἀσθενεστέρως.

Κοινὸν δὲ τοῦτον ὑπάρχοντα λόγον ἁπάντων τῶν μορίων, ἐφύλαξα τελευταῖον ἐπὶ πᾶσι διελθεῖν ἅμα. καὶ γὰρ ἄπορον δοκεῖ εἶναι, βλαβέντος τινὸς σώματος, οὐκ ἐξ ἴσου συμβλάπτεσθαι τὰς δυνάμεις αὐτοῦ πάσας, ἀλλὰ τὰς μὲν μᾶλλον, τὰς δὲ ἧττον, ἐνίας δ' οὐδ' ὅλως. ὅτι μὲν οὖν ἄνευ τοῦ βλαβῆναί τι τὴν οὐσίαν ἑκάστου τῶν ὄντων, οὐχ οἷόν τε τὴν ἐνέργειαν αὐτοῦ παραποδισθῆναι, πρόδηλον παντί. πολλάκις δὲ ἐνεργοῦντος ἑκάστου τῶν μορίων, ἄλλοτε ἄλλη βλάπτεται τῶν ἐνεργειῶν, οὐ γὰρ ὁμοίας δεῖται κατασκευῆς εἰς τὰς ἀλλοιωτικάς τε καὶ πρακτικὰς ἐνεργείας. ἡ μὲν γὰρ ἀλλοίωσις γίνεται τῶν πλησιαζόντων ἁπάντων ἀλλήλοις οὐδὲν δεομένων οὔτε τόπον ἐκ τόπου μεταχωρεῖν, οὔτ' ἀντιλαμβάνεσθαί τινος, οὔτε κατέχειν, οὔτε ἀντιστηρίζεσθαι· τῶν δ' ἤτοι τι μελλόντων ἕλξειν ἢ καθέξειν ἢ ἀπώσασθαι, σὺν τῇ κατὰ τόπον κινήσει τὴν ἐνέργειαν ἀνάγκη γίνεσθαι. κἂν τούτῳ, τὸ μὲν οὕτω μαλακόν, ὡς ὑγρόν τε εἶναι καὶ ῥυτὸν καὶ ἀστήρικτον, οὔτε ἕλκειν ὁμοίως οὔτε κατέχειν οὔτε ἀποκρίνειν ἐστὶ δυνατόν· ἐν ἅπασι γὰρ τοῖς τοιούτοις ἔργοις ἀποστήριξιν καὶ τάσιν ὑπάρχειν χρὴ τοῖς ἐνεργοῦσιν. ἀλλοιοῦν δέ, κἂν ὑγρότατον ᾖ, τὰ πλησιάζοντα δύναται, καὶ μάλιστα ὅταν ἅμα καὶ θερμότατον ὑπάρχῃ· φαίνεται γὰρ οὐδεμία τῶν δραστικῶν ποιοτήτων οὕτω ταχέως ἀλλοιοῦσα τὸ πλησιάζον, ὡς ἡ θερμότης. ἐξ ὧν δῆλον, ὡς τὸ μὲν θερμότατον καὶ ὑγρότατον σῶμα τάχιστα ἀλλοιώσει, τοῦτ' ἔστι πέψει τε ἅμα τὴν οἰκείαν τροφὴν ἑαυτῷ κἀξομοιώσει· τὸ δὲ σκληρὸν εἰς τοσοῦτον, εἰς ὅσον μὴ δυσκαμπὲς μὲν ὑπάρχειν, στηρίζεσθαι δ' ἀσφαλῶς, ἕλκειν τε δυνήσεται σφοδρῶς, ὅ, τι ἂν ἐθελήσῃ, καὶ ὠθεῖν βιαίως καὶ κατέχειν ἐρρωμένως. οὔτε γὰρ ὀκλάζει κατὰ τὴν τάσιν, ὡς τὰ λίαν μαλακά, καὶ κίνδυνος οὐδεὶς αὐτῷ ῥαγῆναι σφοδρότερον ἐνταθέντι, καὶ ὧν ἂν ἅπαξ ἀντιλάβηται, κατέχει ταῦτα περιπτυσσόμενον, οὔτε τῶν διὰ σκληρότητα δυσκάμπτων οὕτως ἐνεργεῖν δυναμένων, οὔτε τῶν δι' ὑγρότητα μαλακῶν· τὰ μὲν γὰρ οὐκ ἀσφαλῶς περιστέλλεται· τὰ δὲ ἀρρώστως χρώμενα ταῖς λαβαῖς, ἀπορρεῖ ῥᾳδίως, ὧν ἀντιλαμβάνεται. κάλλιστα μὲν οὖν τρέφεται τὰ ὑγρὰ καὶ θερμὰ σώματα, καὶ γὰρ ἀλλοιοῖ τάχιστα καὶ παραδέχεται τὴν τροφὴν εἰς ἑαυτὰ καὶ προσφύει καὶ ἐξομοιοῖ· κάκιστα δὲ τὰ ψυχρὰ καὶ ξηρά, μήτε ἀλλοιοῦν δυνάμενα, μήτε εἰς ἑαυτὰ καταδέχεσθαι, μήτε προσφύειν, μήθ' ὁμοιοῦν. ὅτι μὲν οὖν ἀλλοιοῖ τάχιστα τὸ θερμότατον, εἴρηται καὶ πρόσθεν· ἐν τούτῳ γὰρ ἦν τὸ πέττειν· ὅτι δὲ τὸ ὑγρότατόν τε καὶ μαλακώτατον ἑτοίμως εἰς ἑαυτὸ παραδέχεται τὸ ἀλλοιωθέν, ἀναμνήσεως δεῖ μᾶλλον, ἢ πίστεως· ὥσπερ γε τὸ ξηρόν τε καὶ σκληρόν, οὐδὲν εἰς ἑαυτὸ περίησιν εἰσιέναι, πρὶν διαστῆναί τε κατά τι τὸ οἷον ἑλκωθῆναι. καὶ γὰρ δὴ ὅτι προσφύεταί τε καὶ συμφύεται τὰ μὲν ὑγρότερα ῥᾷόν τε καὶ θᾶττον, ὅσα δ' ἐστὶ σκληρότερα, τὰ μὲν οὐδὲ ὅλως, τὰ δὲ μόγις, οὐδεὶς ἀγνοεῖ. ἵνα γοῦν παρῇ τις χαλκὸν καὶ σίδηρον καὶ χρυσὸν καὶ λίθον, ἐπὶ μόλιβδόν τε τὸν λόγον ἀγάγῃ, φαίνεται μηδ' ὅλως ἑτέρῳ μολίβδῳ συμφυόμενος ἄνευ τοῦ θερμανθῆναι

CAPVT X.

Quæ ætates & naturæ, ad quas actiones promptiores aut ineptiores existant.

AT hunc sermonē omnibus partibus communem, omnium postremum simul tractandum reseruaui. Etenim vix credibile videtur esse, læso aliquo corpore, non ex æquo omnes eius facultates simul lædi, sed alias magis, alias minus, alias haud quaquam. Enimuero nisi oblæsa aliquatenus cuiusque partis substantia, non posse functionem eius interturbari, cuique manifestum est. At sæpenumero quacunque parte functionē obeunte, aliàs alia eius læditur actio; non enim simili apparatu opus est tum ad alterantes tum practicas functiones. Alteratio nanque fit omnium, mutuò sibi appropinquantium, quæ minimè desiderant aut locum è loco mutare, aut aliquid apprehendere, aut tenere, aut alicui inniti; at quæ vel tractura aliquid sunt vel retentura vel repulsura, eorum actionem cum loci mutatione necesse est fieri. Qua ratione quod ita est molle, vt tum humidum sit tum fluxile tum nulli innitens, id nec trahendi similiter, nec retinendi, nec repellendi vim habet: in omni nanque eiusmodi opere, nisum tensionemque esse in operanti oportet. At verò alterare propinquantia potest vel quod humidissimum est, ac maximè quum simul calidissimum est; nulla enim actiuarum qualitatum adeò breui, quod appropinquat, alterare videtur, ac calor, vnde palàm est corpus, quòd humidissimum calidissimumque sit, celerrimè alteraturum .i. tum concocturum proprium alimentum, tum sibi ipsi assimilaturum esse. Quòd verò durū hactenus est, vt nec difficilè ad flectendum sit & firmiter innitatur, id & trahere valenter quicquid voluerit poterit, & violenter trudere & fortiter tenere: Neque enim sicuti quæ valdè sunt mollia, remittitur, cū id tendis; nec si vehementer tenditur, frangi periclitatur; & quæ semel apprehenderit, ea complectens tenet; nullo nec quod propter duritiem difficulter flectitur, nec quod propter humorem est molle, sic agere valente; illa enim non firmiter cōplectuntur; hæc imbecillo complexu vsa, quæ apprehenderunt, facilè elabi sinunt. Atque optimè quidem nutriuntur calida humidáque corpora, quippè quæ alimentum alterant celerrimè & in se recipiunt & agglutinant & assimilant. Pessimè verò frigida & sicca, vt quæ neque alterare neque in se ipsa recipere neque agglutinare neque assimilare queant: Ac quòd celerrimè alteret, quod calidissimum est, priùs est dictum; hoc verò erat concoctio. Quòd verò humidissimum, mollissimumque, promptè alteratum in se recipiat, admonitione potiùs, quàm probatione indiget. Sicuti contrà quod siccum durumque est, nihil in se ingredi sinit priusquam ipsum ex aliquā parte diuisum sit ac velut exulceratum. Etenim & quòd faciliùs ac celeriùs tū agglutinentur tum coalescāt humidiora *corpora*; duriora verò partim nunquā, partim vix, nullus ignorat. Vt igitur quispiam æs, ferrum, aurum, & lapidem omittat, & ad plumbum orationem agat, id cum altero plumbo omnino non coalescere videtur, nisi calefactum

ctum liquetur. Itaque pueris, & aliis quibus calidius & humidius est corporis temperamentum, optima tum concoctio est, tum appositio, tum agglutinatio, tum nutritio. Nam concoctio & nutritio alterationes sunt. Appositio verò fit, quum alitum in roris speciem alimentum in se recipit. Adhæsio verò alimenti, agglutinatio quędam eius vnitioque est. A quibus omnibus, non leue commodum ad assimilationem est alendi corporis humiditas, nutrienti consistentiã similis. Distributionis verò organa pueris, licet ad functiones obeundas non admodum sint valida, satis tamen idonea sunt, & *viribus* nullatenus indigent. Etenim commoderatam iam duritiẽ ac robur eorum venæ obtinent. Retentrix autem facultas iis imbecillior est; atque idcirco siue ab aliquo pondere premantur, siue aliàs infestentur, celeriter excernunt. Similiter huic, pueri etiã excretricem in imbecillitate cõmoderatam habent. Quanquam retentrix facultas non solùm pueris, sed etiam cæteris omnibus, expultrice videtur imbecillior, etiamsi actionis diuturnitate sint æquales; maximè enim diuturna est retentricis facultatis actio, vt cuius retinere, opus sit proprium; expultrix verò breuem habet actionem, vt quæ vnico impetu, quod lædit propellere & abiicere potest. Quemadmodum igitur in externis rebus, idem homo, qui ad deiiciendum onus maximè sufficit, portare id totâ die non valet: sic internis quoque instrumentis propellere quod molestum est, quàm diu retinere, est promptius. Itaque pueri (de quibus sermo est) alteratricem quidem facultatem valentiorem habent, quàm qui ætatis vigore prouecti sunt; attractricem verò iisdem iuuenibus imbecilliorem, non tamen ad suum vsum deficientem; reliquas verò duas *facultates* imbecilliores possident, quàm ætate florentes. Cæterum non deprehenditur expultricis imbecillitas, ob actionis suæ breuitatem; quippe tum vomunt, tum deiiciunt frequentiùs, quàm ætate florentes, non expultricis robore, sed retentricis debilitate. At in ventris concoctione, quæ humida & mollia sunt, similiter ac ætate florentes concoquunt; quæ verò dura, deteriùs. Pueris enim halituosior est calor; florentibus ætate, siccior. Iam verò quibus humidius est corpus, ii nutritura alimenta humidiora postulant; quibus siccius, sicciora. Ergo si concoctio alteratio sit in propriam alitorum qualitatem, pueris quidem molliora humidioraque edulia magis congruunt; florentibus ætate, duriora magis idonea sunt; senibus autem ad omnes ferè actiones corpus prauè affectum est; quippe multò siccius quàm ætate florentibus, illisque solis frigidum est. Neque igitur probè concoquunt caloris penuriã: neque nutriũtur, propter tum siccitatem tum alteratricis facultatis imbecillitatem. Distributio ipsis, veluti à iam torpentibus præ frigore organis, & tarda & imbecilla fit. Et deiectiones præterea, quę breuiores sunt, facultatis imbecillitatẽ non arguunt; quæ diuturniores, malè obeuntur. Porrò ad actiuas actiones siccum calidumque instrumentum magis est idoneum; humidum & frigidum, magis imbecillum; horum in medio duæ reliquæ coniugationes sunt. Atque in ætatibus quidem humidum & frigidum corpus non inuenias; senum

A χυθῆναι· τοῖς μὲν οὖν παιδίοις, ὅσα τε ἄλλα σώματα θερμότερά τε καὶ ὑγρότερα ταῖς κράσεσιν ὑπάρχει, τά τε τῶν πέψεων ἄριστά ἐστι καὶ τὰ τῶν προσθέσεων, καὶ προσφύσεων, καὶ θρέψεων. ἡ μὲν γὰρ πέψις τε καὶ θρέψις ἀλλοιώσεις εἰσίν· ἡ δὲ πρόσθεσις, εἰς ἑαυτὸ καταδεχομένου τὴν τροφὴν [17] δροσοειδῶς τοῦ τρεφομένου γίγνεται· ἡ πρόσφυσις δὲ κόλλησίς τις ἐστὶ καὶ ἕνωσις· ἐφ᾽ οἷς ἅπασιν, οὐ σμικρὸν ἀγαθὸν εἰς ἐξομοίωσιν ἡ ὑγρότης τοῦ τρεφομένου σώματος, ὁμοία τῷ τρέφοντι τὴν σύστασιν ὑπάρχουσα. τὰ δὲ τῆς ἀναδόσεως ὄργανα τοῖς παισίν, εἰ καὶ μὴ σφόδρα ἰσχυρὰ ταῖς ἐνεργείαις
B ἐστίν, ἀλλ᾽ ἱκανά γε καὶ οὐδαμῶς ἐνδεῆ· σύμμετρον γὰρ ἤδη σκληρότητα καὶ τόνον αἱ φλέβες ἔχουσιν. αἱ καθεκτικαὶ δὲ δυνάμεις ἀσθενέστεραι τούτοις εἰσί, καὶ διὰ τοῦτο ταχέως [18] ἀποκρίνουσιν, ἤν τε βαρύνωνταί ποτε πρός τινος, ἤν τε ἄλλως ἀνιῶνται. ταύταις δ᾽ ὁμοίως αἱ ἀποκριτικαὶ μέτριαι κατὰ τὴν ἀρρωστίαν εἰσί. καί τοι φαίνονται οὐ παισὶ μόνοις, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν αἱ καθεκτικαὶ δυνάμεις τῶν ἀποκριτικῶν ἀσθενέστεραι, κἂν ὁμοίως ἔχωσι, διὰ τὸ πολυχρόνιον τῆς ἐνεργείας. ἐπὶ πλεῖστον μὲν γὰρ αἱ καθεκτικαὶ δυνάμεις
C ἐνεργοῦσιν, ὡς ἂν κατέχειν ἔργον πεποιημέναι· βραχυχρόνιον δὲ ἔχουσι τὴν ἐνέργειαν αἱ ἐκκριτικαί, διώσασθαί τε καὶ ἀπορρῖψαι τὸ λυποῦν ἐν πληγῇ μιᾷ δυνάμεναι. ὡς οὖν ἐπὶ τῶν ἐκτὸς ὁ αὐτὸς ἄνθρωπος ἀπορρῖψαι τὸ φορτίον ἱκανώτατος ὑπάρχων, ἀδυνατεῖ βαστάζειν αὐτὸ δι᾽ ὅλης ἡμέρας, οὕτω κἀν τοῖς ἔνδον ὀργάνοις ἀπώσασθαι τὸ λυποῦν ἑτοιμότερόν ἐστι, τοῦ κατέχειν ἐπιπλέον. οἱ γοῦν παῖδες (ὑπὲρ ὧν ὁ λόγος) ἀλλοιωτικὴν μὲν ἔχουσι δύναμιν ἰσχυροτέραν τῶν ἀκμαζόντων· ἑλκτικὴν δὲ τὴν μὲν τῶν ἀκμαζόντων ἀσθε-
D νεστέραν, οὐ μὴν ἐλλιπῆ γε πρὸς τὴν ἑαυτῆς χρείαν· τὰς λοιπὰς δὲ δύο τῶν ἀκμαζόντων ἀσθενεστέρας. ἀλλ᾽ οὐκ ἐξελέγχεται τῆς ἀποκριτικῆς ἡ ἀσθένεια διὰ τὸ βραχυχρόνιον τῆς ὑπηρεσίας. ἐμοῦσι γὰρ καὶ διαχωροῦσι συνεχέστερον τῶν ἀκμαζόντων, οὐ ῥώμῃ τῆς ἀποκριτικῆς, ἀλλ᾽ ἀρρωστίᾳ τῆς καθεκτικῆς. ἐν δὲ ταῖς κατὰ τὴν γαστέρα πέψεσιν, ὅσα μὲν ὑγρὰ καὶ μαλακά, παραπλησίως τοῖς ἀκμάζουσιν· ὅσα δὲ σκληρά, χεῖρον πέττουσι. παισὶ μὲν γὰρ ἀτμωδέστερον τὸ θερμόν, ἀκμάζουσι δὲ ξηρότερον. καὶ μὲν δὴ καὶ ὅσοις μὲν ὑγρότερόν ἐστι τὸ σῶμα, τῶν θρεψόντων ὑγροτέρων δέονται·
E οἷς δὲ ξηρότερον, ξηροτέρων. εἴπερ οὖν ἡ πέψις ἀλλοίωσίς ἐστιν εἰς τὴν οἰκείαν τοῖς τρεφομένοις ποιότητα, τοῖς μὲν παισὶν οἰκειότερα τὰ μαλακώτερα καὶ ὑγρότερα τῶν ἐδεσμάτων ἐστί· τοῖς δ᾽ ἀκμάζουσιν οἰκειότερα τὰ σκληρότερα· γέρουσι δὲ πρὸς ἁπάσας σχεδόν τι τὰς ἐνεργείας κακῶς διάκειται τὸ σῶμα, ξηρότερόν τε γάρ ἐστι πολὺ πλέον, ἢ τοῖς ἀκμάζουσι, καὶ μόνοις ψυχρόν. οὔτ᾽ οὖν πέττουσι καλῶς ἐνδείᾳ θερμότητος, οὔτε τρέφονται διὰ ξηρότητά τε ἅμα καὶ τῆς ἀλλοιωτικῆς δυνάμεως ἀρρωστίαν. ἥ τ᾽ ἀνά-
F δοσις αὐτοῖς οἷον ὑπὸ ναρκώντων ἤδη διὰ ψυχρότητα τῶν ὀργάνων ἀποτελεῖται, [19] βραδεῖά τε ἅμα καὶ ἀσθενής· αἵ τ᾽ ἀποκρίσεις, ὅσαι μὲν ὀλιγοχρόνιοι, τὴν ἀρρωστίαν οὐκ ἐξελέγχουσι τῆς δυνάμεως· ὅσαι δὲ πολυχρονιώτεραι, κακῶς ἐπιτελοῦνται. πρὸς δὲ τὰς πρακτικὰς ἐνεργείας, τὸ μὲν [20] ξηρὸν καὶ θερμὸν ὄργανον, ἐπιτηδειότερόν ἐστι· τὸ δὲ ὑγρὸν καὶ ψυχρόν, ἀσθενέστερον· ἐν τῷ μέσῳ δ᾽ ἀμφοῖν, αἱ λοιπαὶ δύο συζυγίαι καθεστήκασι. κατὰ μὲν οὖν τὰς ἡλικίας, οὐκ ἂν εὕροις ὑγρὸν καὶ ψυχρὸν σῶμα· τὸ γὰρ

χείρω τῶν ἀκμαζόντων

τῶν γερόντων ἐδείχθη ψυχρὸν καὶ ξηρόν. ἐν δὲ ταῖς μοχθηραῖς κράσεσιν, ὅσαι τε κατὰ φύσιν ἑκάστῳ τῇ ἰδέᾳ εἰσί, καὶ ὅσαι κατ' ἐπικτήτους γίγνονται διαθέσεις· οἷον αὐτίκα φρενῖτις μὲν ξηρὸν καὶ θερμόν ἐστι νόσημα, καὶ διὰ τοῦτο ταῖς πρακτικαῖς ἐνεργείαις εὐρωστότατον· ὁ δὲ λήθαργος, ἄρρωστον, ὑγρότητι δαψιλεῖ τε καὶ ψυχρᾷ διαβρέχων τὰ μόρια. τοιοῦτον δέ τι καὶ τὸ τῶν ὑδέρων ἐστὶ γένος, καὶ μάλιστα τῶν λευκοφλεγματιῶν τε καὶ ἀνὰ σάρκα. καὶ πανταχοῦ δὲ τὸ ψυχρὸν ἀσθενέστερόν τε καὶ ναρκῶδές ἐστιν, ἄν τε μετὰ ξηρότητος, ἄν τε ὑγρότητος ᾖ. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἱ καθεκτικαὶ τῶν φυσικῶν δυνάμεων, εὐρωστότεραι μὲν ἐπὶ ξηροτέροις τε καὶ θερμοτέροις ὀργάνοις, ἀρρωστότεραι δὲ ἐφ' ὑγροτέροις καὶ ψυχροτέροις, εἴτ' ἐκ γενετῆς εἰσιν, εἴτ' ἄλλως ἐπιγένοιντο. προσέχειν δὲ τὸν νοῦν χρὴ ἐφ' ἑκάστου μορίου τῷ ποσῷ τῆς ἀμετρίας, οἷον αὐτίκα νεῦρα μὲν, καὶ τένοντας, καὶ μῦς, καὶ συνδέσμους, εἰς ὅσον ξηροτέρους, εἰς τοσοῦτον καὶ ῥωμαλεωτέρους ὑπάρχειν ἀναγκαῖον, ἄχρι τῆς ἀμετρίας ἐκείνης, ἐν ᾗ δυσκαμπεῖς τε γίγνονται διὰ σκληρότητα, καὶ οἷον κραυροὶ διὰ ξηρότητα. σπάσμασι γὰρ οὕτως ἁλίσκονται. τὰ δ' αὖ φυσικὰ τῶν ὀργάνων, εἰς ὅσον μὲν ὑγρότερα, τρέφεσθαι βελτίω, κἂν ἐσχάτως ὑγρὰ ταῖς κράσεσιν ὑπάρχῃ· πρὸς δὲ τὰς πέψεις, οὔτε βελτίω σφῶν αὐτῶν, οὔτε τῶν ξηροτέρων, εἰ καὶ ὁμοίως εἴη θερμὰ, πλὴν εἴ γε τροφὴν ξηρὰν δοίης ὀργάνῳ ξηρῷ καὶ αὐχμώδει, μὴ μίξας ὑγρότητος αὐτῇ δαψιλοῦς. εἰς δὲ τὰς ἀναδόσεις τε καὶ τὰς ἀποκρίσεις, τὰ λίαν σκληρὰ σώματα, μοχθηρά· καὶ γὰρ καὶ διαστέλλεται καὶ συστέλλεται χαλεπώτερον, ὧν τὸ μὲν ὁλκὴν ἐργάζεται, τὸ δὲ ἔκκρισιν. ἵνα δὲ καὶ εἰς ὀλίγους ἀποβλέπῃ τις σκοπούς, ἐν κεφαλαίοις διαιρήσω τὸ πᾶν. αἱ μὲν τῆς θερμασίας αὐξήσεις ἀλλοιοῦσιν ἰσχυρότερον ἄχρι περ ἂν εἰς τοσοῦτον ἥκωσιν ἰσχύος, ὡς μηδέπω συντήκειν, τότε γὰρ πρὸς ἅπαντα ἄχρηστοι· αἱ δὲ ψυχρότητες εἰς οὐδεμίαν ἐνέργειαν χρησταί· ξηρότητες δὲ εἰς ῥώμην καὶ τόνον, ἄχρι τοῦ μηδέπω δυσκίνητα, μηδὲ εὔρηκτα ποιεῖν· ὑγρότητες δὲ εἰς μὲν τὰς θρέψεις ἐπιτηδειόταται, πρὸς δὲ τὰς ἄλλας ἐνεργείας ἐναντιώταται, πλὴν αὐξήσεως, εἰς ταύτην δὲ πλέον ἢ κατὰ τὴν θρέψιν ὑπάρχουσι χρησταί, διατείνεσθαί τε καὶ διαφυσᾶσθαι πάντῃ δεομένων ἑτοιμότατα τῶν μελλόντων αὐξηθήσεσθαι καλῶς.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ αἰτίων τῶν ἄλλων τῶν ἐν τοῖς περιττώμασι συνισταμένων συμπτωμάτων.

Ἤρκει μὲν ἴσως ἐνταῦθά που καταπαύειν ἤδη τὴν πραγματείαν· ὡς γὰρ κἀν τοῖς ἔμπροσθεν εἶπον, οὐχ ὑπὲρ τοῦ πάντα τὰ κατὰ μέρος ἐπελθεῖν, ἀλλ' ἕνεκα τοῦ γυμνάσαι τοὺς φιλομαθεῖς ἐπὶ πλειόνων παραδειγμάτων, εἰς πολλὰ συμπτωμάτων εἴδη τε καὶ γένη τὸν λόγον ἤγαγον. ἐπιχωροῦντος δ' ἔτι τοῦ κατὰ τὸ γράμμα μεγέθους, εἰρήσεταί τι καὶ περὶ τῶν παραλελειμμένων. εἴτε γὰρ ἐκ ῥινῶν, εἴτ' ἐξ ὤτων, εἴτ' ἐξ ὑπερῴας, εἴτ' ἐξ ὀφθαλμῶν, εἴτ' ἐκ φάρυγγος, εἴτ' ἐκ μήτρας, εἴτ' ἐξ ὅτου δὴ τῶν ἄλλων ἁπάντων, ἐκκρίνοιτό τι, τό, τε ποσὸν ἐν αὐτοῖς σκοπεῖσθαι προσήκει, καὶ τὸ ποιόν, ἔτι τε τὸν τρόπον τῆς ἐκκρίσεως, εἰς τὰς εἰρημένας αἰτίας ἀναγαγόντα. πάντα γὰρ εὑρεθήσεται τὰ συμπτώματα διά τε τὰς δυσκρασίας γιγνόμενα τῶν ὁμοιομερῶν, καὶ τὰ νοσήματα τῶν ὀργανικῶν, ἔτι τε τῆς

enim corpus frigidum esse & siccum, demonstratum est. In prauis autem temperamentis, tum quæ secundum naturam cuique propriam sunt, tum quæ in acquisitis affectibus fiunt, *inuenias*: vt verbi gratiâ phrenitis quidem calidus & siccus est morbus, ideoque in actionibus actiuis maximum habet robur. Lethargus autem imbecillis, vt qui partes humore copioso frigidoque perfundat. Tale quippiam est & hydropum genus, maximéque ex iis leucophlegmatiæ, & anasarca. Vbique autem frigidum, siue cum siccitate cuniunctum sit, siue cum humiditate, tum imbecillius est, tum torpidum. Ad eundem modum retentrices facultates, quæ naturales sunt, in siccioribus & calidioribus organis validiores sunt; in humidioribus & frigidioribus, siue à natiuitate alicui, siue aliàs contigerint, imbecilliores. Mens autem adhibẽda est in singulis partibus ametriæ magnitudini; vt verbi gratia, nerui, & tendones, & musculi, & ligamenta quantò sunt ficciora, tantò sint robustiora necesse est, ad illam vsque ametriam, qua vix flectantur ob duritiem, & veluti rigidentur ob siccitatem; ita nanque conuulsionibus corripiuntur. Rursus naturalia organa, quò sunt humidiora, eo sunt ad nutriendum magis idonea, etiamsi vltimo tẽperamenti gradu humida sint. Ad concoctiones verò neque se ipsis neq; aridioribus aptiora sunt, etiamsi similiter sint calida, nisi sicco & squallenti organo siccum alimentum humore largo non admixto dederis. Ad distributiones verò & expulsiones valdè dura corpora sunt inepta; etenim difficiliùs tum dilatãtur, tum contrahuntur, quorum alterum attractionem, alterum excretionem promouet. Quò verò ad paucos dirigat quis scopos, in summis rem totã distinguã. Calor adauctus valentius alterat, quousque eò virium perueniat, vt nondũ colliquet, tum nanque ad omnia est inutilis. Frigus verò nulli functioni est vtile. Siccitas ad robur & firmitatem conducit, quandiu nec motu difficilia, nec facilè frangibilia facit. Humiditas ad nutritionem maximè idonea est, sed ad alias functiones maximè contraria, auctione exceptã, ad quã magis quam ad nutritionẽ est vtilis; quum quæ probè sunt augenda, facillimè tum tendi tum perflari vndique debeant.

CAPVT XI.

De causis reliquorum symptomatum, quæ in excrementis consistunt.

EQuidem par erat fortassis huic operi iã finem imponere; non enim (vt antea diximus) vt omnia particulatim persequeremur, sed vt studiosos exerceremus pluribus exemplis, ad multas symptomatum tum species, tum genera sermonẽ duximus. At concedente etiamnum libri magnitudine, aliquid & de iis quæ prætermissa sunt disseretur. Siue enim è naribus, siue auribus, siue palato, siue oculis, siue faucibus, siue vtero, siue ex reliquarum partium quacunque aliquid excernatur, eius tum quantitatem, tum qualitatem considerare, atque excretionis modum ad iam dictas causas reducere oportet. Omnia nanque inuenientur symptomata, ab intemperie similarium, & organicis morbis ortum habere, præterea à materiæ

riæ ipsius tum qualitate, tum quantitate. Verbi gratiâ, catarrhi & coryzæ causa est cerebrũ, vt pars quidem similaris vel à frigore, vel peræquè à solis ardore ad intemperiem reductũ; vt organica verò, quatenus impletur. Ergo qualis in vẽtre diarrhœa affectus ex dyspepsia fit, talis in cerebro prædictorum vterque; catarrhum nominantibus nobis, quum excrementum in os defluit; coryzam, quum in nares: raucitas autem catarrhis superuenit, faucibus humore imbutis. Quod si in gurgulionem fluxio procumbat, aut vocatam in ipso vuulam creat; aut aliàs eum in tumorem attollit; at si in glandulas sibi inuicem in fine oris vtrinque oppositas, antiadas facit; si autem in partes iis proximas, paristhmia. Defertur à capite fluxio & in ventriculum, & in asperam arteriam, vtrumque magnopere lædens. Verùm *factas* ab eiusmodi fluxionibus læsiones, tum alii ante nos diligentiùs exposuerunt, tum nos prolixius in medendi methodo de iisdem ampliùs disseremus. De iis verò, quæ ex pulmone & pectore reiiciuntur, in libris de crisibus iam egimus. Sed nec eorum, quæ ad mensium suppressionem, aut molestam omniũ, quæ ab vtero manant, expulsionem pertinent, etiam arduum est causas inuenire, si quis ad similes dirigat scopos. Etenim quum ipsius vteri corpus densum durumq; fuerit, suppressionis causa erit; tale scilicet aut à natura conditum, vt omnino nunquàm purgetur, nisi quis ipsum medicamentis, longoque tempore ad meliorem statum transferat; aut certo tempore, sub illo affectu, quicunque subinde vteros occupauerit. Etiam venarum angustia statim à principio congignitur, vbi hac parte fœmina malè formata est. Huic *affectui* respondet & quæ ex circumiacentibus *partibus* vasorum fit compressio, quum præter modum corpus crassum euaserit. Vteri verò intemperies, tum naturâ, tum affectibus quibusdam suboritur, vt densitas. Aderit autem aliquando & ob ipsam materiam menstruorum retentio, quoties quod vacuatur, vel crassum, vel glutinosum est. Quin, etiamsi id menstruum optimum fuerit, obstructio tamen aliqua vasorum ad vterum descendentium ab huiusmodi humoribus priùs facta est; sic quoque supprimetur menstruum. Præterea ob vniuersum corpus interdum prorsus non purgabitur mulier interdum parciùs, aut liberalius, aut deprauatè. Prorsus quidem non purgabitur, tum propter plura exercitia, tum tenuem victum, tum humorum in alias partes irruptionem. Ob has autem ipsas causas, sed quam pro naturæ lege moderatiores, minus purgatur; plus autem, tum ob diuturnum otium, tum copiosum victum. Sed & deprauatæ per vterum fluxiones (vocatur autem id symptoma fluxus muliebris) expurgato per hanc partem vniuerso corpore fiunt. Est autem perpetuò quod euacuatur, tale specie, quale & quod in animali redundat; aliud rubrum, sanguinis sanies; aliud album, à pituita; aliud pallidum, quod est biliosum; aliud aquosum & serosum. Est autem, & præter hæc eorũ, quæ ab vtero profluunt, vacuatio praua, ob affectum aliquem in ipso exortum. Est præterea quoque talis mensium suppressio, quum neque ob sanguinis penuriam, vt post plures exercitationes, & tenuem victum

A ὕλης αὐτῆς τὸ ποιόν τε καὶ ποσόν. οἷον αὐτίκα καὶ κατάῤῥου καὶ κορύζης αἴτιος ὁ ἐγκέφαλος, ἐν μὲν ταῖς ψύξεσιν ὡς ὁμοιομερὴς εἰς δυσκρασίαν ἀγόμενος, ὁμοίως δὲ κἀν ταῖς ἐγκαύσεσιν· ὡς ὀργανικὸς δὲ, πληρούμενος. ὁποῖον οὖν ἡ διάῤῥοια πάθος ἐν τῇ γαστρὶ κατὰ δυσπεψίαν γίγνεται, τοιοῦτον ἑκάτερον τῶν εἰρημένων ἐν ἐγκεφάλῳ· κατάῤῥουν μὲν ὀνομαζόντων ἡμῶν, ἐπειδὰν εἰς τὸ στόμα καταῤῥέῃ τὸ περίττωμα· κόρυζαν δὲ, ἐπειδὰν εἰς τὰς ῥῖνας· ὁ δὲ βράγχος ἐπὶ καταῤῥοις γίγνεται, διαβραχείσης τῆς φάρυγγος. εἰ δὲ εἰς B τὸν γαργαρεῶνα κατασκήψειε τὸ ῥεῦμα, ἤτοι τὴν καλουμένην ἐν αὐτῷ σταφυλὴν ἐγέννησεν, ἢ ἄλλως εἰς ὄγκον ἤγειρεν αὐτόν· εἰ δὲ εἰς τοὺς ἑκατέρωθεν ἀντικειμένους ἀλλήλοις ἀδένας ἐν τῷ πέρατι τοῦ στόματος, ἀντιάδας· εἰ δὲ εἰς τὰ τούτων ἐχόμενα, παρίσθμια. καταφέρεται δὲ καὶ εἰς τὴν γαστέρα τὸ ἀπὸ τῆς κεφαλῆς ῥεῦμα, καὶ εἰς τὴν τραχεῖαν ἀρτηρίαν, ἑκατέροις μεγάλως λυμαινόμενον. ἀλλὰ τὰς μὲν ἐκ τῶν τοιούτων ῥευμάτων βλάβας, ἄλλοι τε πρὸ ἡμῶν ἐπιμελέστερον ἐξηγήσαντο, καὶ ἡμεῖς ἐροῦμεν ἐπὶ πλέον ὑπὲρ αὐτῶν ἐν τοῖς θεραπευτικοῖς· ὑπὲρ δὲ τῶν C πνεύμονός τε καὶ θώρακος ἀναπτυομένων ἤδη φθάνομεν ἐν τοῖς περὶ κρίσεων εἰρηκότες. οὐ μὴν οὐδὲ τὰ περὶ τὴν τῶν καταμηνίων ἐπίσχεσιν, ἢ μοχθηρὰν ἀπόκρισιν ἁπάντων τῶν ἐκ τῆς μήτρας, ἔτι χαλεπὸν ἐξευρεῖν, εἰς τοὺς ὁμοίους ἀναφέροντα σκοπούς. καὶ τοι γὰρ αὐτῆς τῆς μήτρας τὸ σῶμα πυκνὸν καὶ σκληρὸν ὑπάρχον, αἴτιον ἐπισχέσεως ἔσται, φύσει μὲν τοιοῦτον γεγονὸς, ὡς μηδ' ὅλως μηδέποτε καθαρθῆναι, πλὴν εἰ φαρμάκοις τε καὶ χρόνῳ πολλῷ τις αὐτὸ μετακοσμήσειεν ἐπὶ τὸ βέλτιον· ἐν χρόνῳ δέ τινι, κατ' ἐκεί- D νην τὴν διάθεσιν, ἥτις ἂν ἑκάστοτε τύχῃ τὰς ὑστέρας καταλαβοῦσα. καὶ ἡ τῶν φλεβῶν δὲ στενότης, εὐθέως ἐξ ἀρχῆς συγγίνεται, μοχθηρῶς διαπλασθέντος ταύτῃ τοῦ θήλεος. ἀνάλογον δ' αὐτῇ καὶ ἡ ἐκ τῶν περικειμένων ἐν τοῖς ἀγγείοις θλίψις ἐστὶν, ὅταν ἀμέτρως παχυνθῇ τὸ σῶμα. ἡ δὲ δυσκρασία τῆς ὑστέρας, καὶ φύσει, καὶ κατὰ διαθέσεις τινὰς γίγνεται, καθάπερ ἡ πυκνότης. ἔσται δέ ποτε καὶ διὰ τὴν ὕλην αὐτὴν ἐπίσχεσις τῶν καταμηνίων, ὅταν ἤτοι παχὺ τὸ κενούμενον, ἢ γλίσχρον γίγνηται. καὶ μήν γε καὶ εἰ αὐτὸ μὲν εἴη χρηστὸν, ἔμφραξις δέ τις ἐν τοῖς καθήκουσιν εἰς τὰς μή- E τρας ἀγγείοις ἐκ τῶν τοιούτων χυμῶν φθάνῃ γεγενημένη, καὶ οὕτως ἐπισχεθήσεται τὸ καταμήνιον. ἀλλὰ διὰ τὸ σύμπαν σῶμα, ποτὲ μὲν οὐδ' ὅλως καθαρθήσεται τὸ θῆλυ, ποτὲ δ' ἔλαττον, ἢ πλέον, ἢ μοχθηρόν· οὐδ' ὅλως μὲν, ἐπί τε γυμνασίοις πλείοσι καὶ διαίτῃ λεπτῇ, καὶ τῇ πρὸς ἄλλα μόρια ῥοπῇ τῶν χυμῶν· διὰ τὰ αὐτὰ δὲ ταῦτα μετριώτερα γινόμενα τοῦ κατὰ φύσιν, ἔλαττον· ἐπὶ πλέον δὲ, διά τε μακρὰν ἡσυχίαν, καὶ δίαιταν ἁδράν. ἀλλὰ καὶ τὰ μοχθηρὰ διὰ τῶν ὑστερῶν ῥεύματα (καλεῖ- F ται δὲ τὸ σύμπτωμα ῥοῦς γυναικεῖος) ἐκκαθαιρομένου κατὰ τοῦτο τὸ μόριον ἅπαντος τοῦ σώματος, γίγνεται. τοιοῦτον δ' ἐστὶ τὴν ἰδέαν ἑκάστοτε τὸ κενούμενον, οἷον καὶ τὸ πλεονάζον ἐν τῷ ζώῳ· τὸ μὲν ἐρυθρὸν, ἰχὼρ αἵματος· ἕτερον δὲ λευκὸν, ἀπὸ φλέγματος· ὠχρὸν δὲ ἄλλο, τὸ πικρόχολον, ἄλλο δὲ ὑδατῶδες, καὶ ὀῤῥῶδες ἄλλο. ἔξωθεν δὲ τούτων ἐστὶ κένωσις τῆς ἐκ μήτρας μοχθηρὰ, διά τι πάθος ἐν αὐτῇ γεγονός. ἔξωθεν δὲ καὶ ἡ τοιαύτη τῶν καταμηνίων ἐπίσχεσις, ὅταν μήτε δι' ἔνδειαν αἵματος, ὡς ἐπί τε γυμνασίοις πλείοσιν εἴρηται, καὶ λε-

στῇ διαίτῃ, μήτε διὰ πάθος ἐν τῇ μήτρᾳ γεγονός, ἀλλ' ἐνίοτε διὰ τὴν ῥώμην, εἰς ἕτερα μόρια κατασκήψαντος τοῦ αἵματος, αἱ κατὰ τὰς μήτρας ἴσχονται καθάρσεις. ἀλλ' ὡς ἀρτίως εἶπον, οὐδὲν οἶμαι χαλεπὸν, ἐπεὶ πολλῶν ἤδη γεγυμνασμένον ἕκαστον τῶν ὁμιλησάντων τοῖσδε τοῖς ὑπομνήμασι καὶ αὐτὸν ἐξευρίσκειν τὰ τοιαῦτα. καὶ γὰρ ὅτι διὰ τὰ τῆς μήτρας ἴδια νοσήματα, τά τε κατὰ τὰ κέρατα συνιστάμενα, καὶ τὰ κατὰ τὸν τράχηλον, ἔτι τε καὶ καθ' ὅλον τὸ κύτος, ἐνίοτε μὲν ἤτοι πλείονα τοῦ πρόσθεν, ἢ ἐλάττονα φέρεται τὰ καταμήνια, ποτὲ δ' οὐδ' ὅλως, ἢ μοχθηρὰ, παντί που δῆλον, κατὰ τοῦτό που γένος ἐν τῇ τοῦ λόγου διαιρέσει καὶ τῶν ἀτρήτων εὑρισκομένων. οὕτω δὲ καὶ ὁ καλούμενος πριαπισμὸς, οἴδησίς τε καὶ διαφύσησις ἀκούσιός ἐστι τοῦ τῶν ἀρρένων αἰδοίου, φυσώδους πνεύματος ἔκγονον σύμπτωμα. καὶ μὴν καὶ αἱ γονόρροιαι, χωρὶς μὲν τοῦ συνεντείνεσθαι τὸ αἰδοῖον, ἀρρωστίᾳ τῆς καθεκτικῆς δυνάμεως τῆς ἐν τοῖς σπερματικοῖς ἀγγείοις· ἐντεινομένου δέ πως, εἰς σπασμῷ τινι παραπλήσιον παθόντων ἐπιτελοῦνται. οὐκ οὖν ἔτι χρὴ περὶ τῶν τοιούτων διέρχεσθαι.

accidere dictum est; neque propter affectum in vtero consistentem, sed interdum ob virium robur, sanguine in alias partes irruente, purgationes vteri sistuntur. Verùm (vt nuper dicebam) haud arbitror difficile, quemque his incōmentariis versatum & iam in multis exercitatum, per se ipsum quoque talia inuenire. Etenim quòd & propter vteri proprios morbos, tum qui in eius cornibus, tum qui in ceruice consistunt, tum qui in toto *eius* conceptaculo, aliquando quidem aut plura, quàm priùs, aut pauciora ferantur menstrua; aliquando autē prorsus non *fluant*, aut praua effluant, neminem latet; etiam imperuiæ fœminæ in sermonis nostri diuisione sub hoc genere inueniuntur. Sic autem & qui priapismus vocatur, tumescentia & inflatio inuoluntaria est mariū pudendi, symptoma ab inflante spiritu natum. Quinetiam gonorrhœę, quę citra tensionem pudendi sunt, imbecillitate retentricis seminalium vasorum facultatis fiunt; quæ verò tenso quodammodo *pudendo*, ceu conuulsioni cuidam similes erunt affectus. Non est igitur de his pluribus disserendum.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Αἰτίαι συμπτωμάτων τῶν ἐν τῇ τῶν ποιοτήτων ἁπλῶν μεταβολῇ συνισταμένων· καὶ περὶ τῶν ἐξ ἀνάγκης ἀλλήλοις ἑπομένων, καὶ οὐκ ἐξ ἀνάγκης, συμπτωμάτων.

Μεταβαίνοντας δ' ἐπὶ τὸ λοιπὸν γένος τῶν συμπτωμάτων, οὐ πολλοῦ δεόμενον οὐδ' αὐτὸ λόγου διὰ τὰ προειρημένα περὶ τῶν ἑπομένων ἀλλήλοις συμπτωμάτων, καταπαύειν ἤδη τὴν πραγματείαν ἐνταῦθα. χρώματα μὲν οὖν ὑπαλλαχθήσεται, συνελόντι μὲν εἰπεῖν, διὰ τοὺς χυμοὺς ἐξισταμένους τῆς κατὰ φύσιν ἰδέας, ἢ ὑπονοστοῦντας εἰς τὸ βάθος, ἢ οἷον ἐπικλύζοντας τὸ δέρμα· κατὰ μέρος δὲ, διὰ τὰς τοὺς χυμοὺς ἀναγκαζούσας αἰτίας εἰς τὰς τοιαύτας ἀφικνεῖσθαι κινήσεις τε καὶ διαθέσεις. ἔστι δὲ δήπου τὰ πάθη τὰ ψυχικὰ, καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος αἱ εἰς θερμότητά τε καὶ ψυχρότητα μεταβολαί. καὶ αὐτοῦ τοῦ σώματος γὰρ αἱ διαθέσεις, ἢ θερμότερον ἴσχοντος, ἢ ψυχρότερον, ἢ ἔλαττον, ἢ πλέον, ἢ ὠθούμενον ἐκτὸς, ἢ ἀντισπώμενον ἔσω τὸ αἷμα. τούτου δ' ἐστὶ τοῦ γένους καὶ ἡ κακοχυμία πᾶσα, κατὰ τὴν ἑαυτῆς ἰδέαν ἀλλοιοῦσα καὶ τὴν ἅπαντος τοῦ σώματος χροιὰν, ἐν ἰκτέροις τε καὶ ὑδέροις καὶ ἐλέφασι, καὶ σπληνὸς καὶ ἥπατος ἀτονίαις. ἀνάλογον δὲ καὶ αἱ καθ' ὁποιονοῦν μόριον ἀχροίαι συστήσονται. τὰ δὲ κατὰ φύσιν ὑπαλλαχθήσεται σχήματα, πληρουμένων ἀμετρότερον, ἢ κενουμένων τῶν μορίων, ἢ τῆς οἰκείας χώρας μεθισταμένων, ἢ περισπωμένων. αἰτίαι δὲ δήπου καθ' ἕκαστον αὐτῶν πλείους εἰσὶν, ἃς οὐδὲν ἔτι χαλεπὸν ἐξευρίσκειν, ὅτῳ μὴ παρέργως ἀνεγνώσθη τὰ πρόσθεν. οὕτω δὲ καὶ τὰς τῶν δυσωδιῶν αἰτίας, ἢ μαλακοτήτων, ἢ σκληροτήτων, ἢ τῶν ἄλλων ὅσα τούτοις ἀνάλογόν ἐστιν, οὐ χαλεπὸν ἐξευρίσκειν, ἀπὸ τῶν προειρημένων ὁρμώμενον. οὐ μὴν ἀλλὰ, καὶ κατὰ τὸ τελευταῖον ἤδη μόριον εἴρηται τοῦ συγγράμματος, ὃ περὶ τῆς τῶν συμπτωμάτων διαφορᾶς ἐπιγέγραπται· οὔκουν ἔτι χρὴ μηκύνειν περὶ τῶν αὐτῶν, ἀλλ' ἐν τῷδε τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων ἡ πραγματεία τέλος ἐχέτω, τοῦτο ἔτι μόνον προσθέντων ἡμῶν, ὅπερ ἀνεβαλλόμην ἐν τῷ περὶ τῆς τῶν συμπτωμάτων διαφορᾶς ἐπιδεῖξαι ἐνταῦθα, τὸ τινὰ μὲν ἐξ ἀνάγκης ἀλλήλοις ἕπεσθαι συμπτώματα, τινὰ δὲ οὐκ ἐξ ἀνάγκης,

CAPVT XII.

Causæ symptomatum, quæ consistunt in qualitatum mutatione; ac de iis, quæ se inuicem necessariò & non necessariò sequuntur, symptomatis.

TRanseuntes autem ad reliquum symptomatum genus, quod multis verbis non indiget ob ea, quæ de consequentibus se inuicem symptomatis prædicta sunt, iam huic operi finem imponamus. Ergo colores mutabuntur, vt summatim dicam, ob humores, qui à naturali specie decesserunt, aut qui in altum *corpus* reuertuntur, aut cutem veluti perfundunt. Particulatim verò propter causas, quæ humores ad eiusmodi tum motus, tum affectus peruenire compellunt. Hæ verò sunt tum animi perturbationes, tum ambientis nos aëris in calorem & frigus mutationes; tum ipsius corporis affectus, sanguinem vel calidiorem, vel frigidiorem, vel parciorem, vel vberiorem, vel foras protrusum, vel intrò reuulsum continentis. Huius autē generis est omnis vitiosus humor, qui sua specie etiam totius corporis colorem alterat, vt in aurigine & hydero, & elephāte, & splenis & iecoris imbecillitate. His autem proportione respōdent cuiusque partis decolorationes. Figuræ verò naturales partium immutabuntur, quum hæ vel immoderatius replentur, vel vacuantur, vel à propriis sedibus tranferuntur, vel auelluntur. Causæ verò cuiusque horum affectuum plures sunt, quas etiam inuenire huic arduum non est, qui superiora non oscitanter perlegerit. Sic nec graueolentiæ aut mollitiei aut duritiei, aliorūmve his similiū causas inuenire operosum est ei, qui à prædictis progrediatur; quinimo iā dictæ à me sunt in fine libri, qui De symptomatum differentiis inscribitur; ac proinde in his haud immorandū. Sed hoc loco opus de symptomatum causis finem habeat, hoc tantū à nobis adiecto, quod in libro De symptomatum differentiis huc demonstrandum distulimus, quædam symptomata se inuicem necessariò sequi, quædam non necessariò; quod ipsum quoque non longo

longo mihi sermone videtur indigere; sed satis erit me sub vnico exemplo rei methodum demonstrantem particularium multitudinem abiicere. Hortor igitur, vt animaduertas, vtrũ ab ab vnicâ causâ perficiatur effectus, an pluribus. Si enim ab vnicâ, causam efficientem sequi necesse est; pluribus autem ad sui generationem si indiget, non necessariò. Atque hæc quidem in rebus omnibus cõmunis est methodus. Ad hunc igitur modum tibi symptomata exploranda sunt. Quippe si vnũ *symptoma* ab vno fiat, necessariò illi succedit; sin ad secundi symptomatis generationem aliæ quædam causæ concurrant, minimè necessariò priori succedet. Non enim apepsiam necessariò inflatio sequitur; vt neque mordicatio, neque humida aut multa deiectio, neque nausea, aut inappetentia, aut intensa appetẽtia, aut ad actiones ignauia, aut mentis torpor, aut capitis grauitas, aut vigilia, aut cardialgia, neque præterea magis epilepsia, aut amentia, aut extasis, aut coma, vt neque mœstitia vlla, neque alia quæuis molestia, neque multo magis melancholica, præterea neque omnino coli, vel renum, vel lienis, vel iecinoris, vel thoracis, vel articulorum dolor; vt nec inæqualitas, aut horror, aut rigor, aut febris. Quãquam tum horum, tum reliquorum propè omnium symptomatum, nullum inuenitur, quod nõ aliquo tempore in iis, qui malè concoxerũt, appareat: Imò pro cruditatis magnitudine ac differentiâ, & naturæ hominis facili sensu, atque difficili, singularumque corporis partium robore aut imbecillitate, aliàs aliud symptoma gignetur. Quippe magna cruditas & maiora & plura symptomata creat; parua contrà, pauciora minoraque. Iam verò & cruditatũ ipsarũ differentiæ, quæ ad frigidum & pituitosum deflectunt, aliorum symptomatum sunt causæ; quæ ad nidorem, & calorem, aliorum; sic & quæ mordent, & quæ non mordent, & quæ in halituosum spiritum solutæ sunt, aut non solutæ. Sed & hominis natura, vt dictum est, symptomatũ generationi tum confert, tum repugnat. Verbi gratiâ, quibus hebetis sensus ventriculus est, ii neque vehementer mordentur, neque dolent, neque multa excernunt; eodemque modo nec cardialgia laborãt, nec facilè capite infestantur: quibus boni est sensus, iis omnia hæc ex facili superueniũt, principe parte è supernis symptomata emittente. Quid dicendum, singulis cruditate laborãtibus eam partem maximè læsionem sentire, quæ imbecillima est? Proinde dicere non par est, symptoma vllum necessariò cruditatem sequi. Atqui actionis distribuendi in corpus alimenti, siue priuatio, siue imbecillitas, atrophiam necessariò inducit; quemadmodum etiam alteratricis in singulis partibus facultatis læsio & secretionis excrementorum à sanguine frustratio, quæ secreticis actionis est symptoma, necessariò decolorationis adfert symptomata. Vocatur alterum eorum morbus regius; alterum, quod melancholico excremento succedit, sine nomine est. Simili modo in omni symptomatis genere, & quæ semper sibi succedant inuenies, & quæ non semper. Ego verò longitudini parcens, huic libro finem imponam.

A ὅσα περ οὐδ' αὐτό μοι δοκεῖ δεῖσθαι λόγου μακροῦ· ἀρκέσει ὡς ὑφ' ἑνὸς παραδείγματος ἐπιδείξαντα τὴν μέθοδον αὐτοῦ, παραιτήσασθαι τὸ πλῆθος τῶν κατὰ μέρος. κελεύω δὴ σε σκοπεῖσθαι, πότερον ὑπὸ μιᾶς αἰτίας ἐπιτελεῖται τὸ γιγνόμενον, ἢ πλειόνων. εἰ μὲν γὰρ ὑπὸ μιᾶς, ἐξ ἀνάγκης ἀκολουθήσει τῷ ποιοῦντι· πλειόνων δ' εἰς γένεσιν δεόμενον, οὐκ ἐξ ἀνάγκης. αὕτη μὲν οὖν ἐπὶ πάντων πραγμάτων ἡ μέθοδος κοινή. κατὰ δὲ τὸν αὐτὸν τρόπον χρή σε κἀπὶ τῶν συμπτωμάτων σκοπεῖσθαι. B εἰ μὲν ἓν ἐφ' ἑνὶ γίγνοιτο, τὴν ἀκολουθίαν ἀναγκαίαν ἕξει· προσιόντων δὲ καὶ ἄλλων τινῶν αἰτίων εἰς τὴν γένεσιν τοῦ δευτέρου συμπτώματος, οὐκ ἔτ' ἐξ ἀνάγκης ἀκολουθήσει τῷ προτέρῳ. οὐ γὰρ εἰ ἀπεπτήσειεν, ἐμπνευματώσειν ἀναγκαῖον ἀκολουθεῖν· ὥσπερ οὐδὲ δῆξιν, οὐδὲ ὑγρὰν διαχώρησιν ἢ πολλήν, οὐδὲ ναυτίαν, ἢ ὄρεξιν ἐπιτεταμένην, ἢ ὄκνον εἰς τὰς πράξεις, ἢ νωθρότητα διανοίας, ἢ καρηβαρίαν, ἢ ἀγρυπνίαν, ἢ καρδιαλγίαν, ἔτι δὲ μᾶλλον οὐδ' ἐπιληψίαν, ἢ παράνοιαν, ἢ ἔκστασιν, ἢ κῶμα· καθάπερ οὐδὲ δυσθυμίαν, οὔτ' ἄλλην αἰνίαν, οὔτε πολὺ μᾶλλον τὴν μελαγχολικήν, οὐδὲ δὴ κώλου πάντως, C ἢ νεφρῶν, ἢ σπληνός, ἢ ἥπατος, ἢ θώρακος, ἢ ἄρθρων ἄλγημα· καθάπερ οὐδὲ ἀνωμαλίαν, ἢ φρίκην, ἢ ῥῖγος, ἢ πυρετόν· καίτοι καὶ τούτων ἕκαστον, καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων συμπτωμάτων, οὐκ ἔστιν εὑρεῖν, ὃ μὴ κατά τινα καιρὸν ἐπιφαίνεται τοῖς ἀπεπτήσασιν, ἀλλά τε παρά τε τὸ μέγεθος τῆς ἀπεψίας καὶ τὴν διαφοράν, καὶ τὴν τῆς ἀνθρώπου φύσεως εὐαισθησίαν τε καὶ δυσαισθησίαν, ἑκάστου τε τῶν κατὰ τὸ σῶμα μορίων ἰσχὺν ἢ ἀσθένειαν, ἄλλοτε ἄλλο γενήσεται σύμπτωμα. μεγάλη μὲν γὰρ ἀπεψία, μείζονά τε καὶ πλείονα φέρει τὰ συμπτώματα· μικρὰ δὲ, ἔμπαλιν ἐλάττονά D τε καὶ μικρότερα. καὶ τοίνυν καὶ αὐτῶν τῶν ἀπεπτηθέντων αἱ διαφοραί, πρὸς μὲν τὸ ψυχρόν τε καὶ φλεγματῶδες ἐκτετραμμέναι, συμπτωμάτων ἑτέρων εἰσὶ γεννητικαί· πρὸς δὲ τὸ κνισῶδές τε καὶ θερμόν, ἑτέρων· οὕτω δὲ καὶ δάκνουσαί τε καὶ μὴ δάκνουσαι, καὶ εἰς ἀτμῶδες πνεῦμα λυόμεναί τε καὶ μὴ λυόμεναι. καὶ ἡ φύσις δέ, ὡς εἴρηται, τοῦ ἀνθρώπου συντελεῖ τε καὶ ἀντιπράττει τῇ γενέσει τῶν συμπτωμάτων. αὐτίκα οἷς δυσαίσθητος ἡ γαστήρ, οὔτε δάκνονται σφοδρῶς, οὔτ' ἀλγοῦσιν, οὔτ' ἐκκρίνουσι πολλά· κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὔτε καρδιαλγοῦσιν, E οὔτε κεφαλὴν ἀδικοῦνται ῥᾳδίως· ὅσοις δὲ εὐαίσθητος, ἑτοίμως ἅπαντα τούτοις ἕπεται, τῆς ἄνωθεν ἀρχῆς τὰ συμπτώματα ἐπιπεμπούσης. τί δεῖ λέγειν ὡς ἑκάστῳ τῶν ἀπεπτησάντων, ἐκεῖνο μάλιστα τὸ μέρος αἰσθάνεται τῆς βλάβης, ὅπερ αὐτοῦ ἀσθενέστατον ᾖ; καὶ διὰ τοῦτο οὐκ ἔνεστιν εἰπεῖν ἐξ ἀνάγκης ἑπόμενον ἀπεψίᾳ σύμπτωμα οὐδέν. ἡ μέντοι τῆς ἀναδιδομένης εἰς τὸ σῶμα τροφῆς, εἴτ' οὖν στέρησις, εἴτ' ἀρρωστία τῆς ἐνεργείας, ἀτροφίαν ἐξ ἀνάγκης ἐπιφέρει, ὥσπερ γε καὶ ἡ τῆς καθ' ἕκαστον μέρος ἀλλοιωτικῆς δυνάμεως βλάβη, καὶ ἡ περὶ τὴν διάκρισιν δὲ τῶν περιττωμάτων τοῦ αἵματος ἀποτυχία, F σύμπτωμα οὖσα καὶ αὐτὴ διακριτικῆς ἐνεργείας, ἐξ ἀνάγκης ἐπιφέρει τὰ τῆς ἀχροίας συμπτώματα· καὶ καλεῖται τὸ μὲν ἕτερον αὐτῶν ἴκτερος· ἀνώνυμον δὲ ἐστὶ τὸ ἐπὶ τοῖς μελαγχολικοῖς περιττώμασι. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπὶ παντὸς γένους συμπτώματος, ἐξευρήσεις ὅσα τε διὰ παντὸς ἀλλήλοις ἕπεται, καὶ ὅσα μὴ διὰ παντός. ἐγὼ δὲ μήκους φειδόμενος, ἐνταῦθα καταπαύσω τὸν λόγον.

περὶ τῶν ἐξ ἀνάγκης συμπτωμάτων.

περὶ τῶν ἐξ ἀνάγκης ἀλλήλοις ἑπομένων συμπτωμάτων.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΠΥΡΕΤΩΝ ΒΙΒΛΙΑ ΔΥΟ.

ΠΡΩΤΟΝ.

GALENI DE DIFFERENTIIS FEBRIVM LIBRI DVO.

LIBER PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἀρχάς τινας διδάσκει, δι᾽ ὧν αἱ ἑκάστων τῶν Πυρετῶν διαφοραὶ ὁρίζονται, καὶ περὶ τῶν ἐφημέρων τε καὶ ἑκτικῶν Πυρετῶν πραγματεύεται.

ARGVMENTVM LIBRI.

Prima quadam principia docet, quibus singularum Febrium differentia intelligantur; agitque de diarijs & hecticis Febribus.

A

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Ὅθεν καὶ τίνες αἱ τῶν πυρετῶν διαφοραὶ, καὶ ὁπόσαι αἱ κυριώταται· καὶ ὅτι ἡ οὐσία τῶν πυρετῶν ἐν τῷ γένει τῆς παρὰ φύσιν θερμότητός ἐστι.

Αἱ διαφοραὶ τῶν πυρετῶν, αἱ μὲν οἰκειόταται, καὶ κυριώταται κατὰ τὴν οὐσίαν αὐτῶν εἰσιν· αἱ δ᾽ ἄλλαι κατά τι τῶν συμβεβηκότων. ἐπεὶ δὲ καὶ αὐτῶν τῶν συμβεβηκότων οὐ μία φύσις, ἀλλὰ τὰ B μὲν ἐγγυτέρω τε καὶ οἰκειότερα τῆς διαιρουμένης οὐσίας ἐστὶ, τὰ δὲ πορρωτέρω τε καὶ ἀλλοτριώτερα· διὰ τοῦτο καὶ τῶν ἐντεῦθεν λαμβανομένων διαφορῶν, οὐχ ἓν τὸ γένος ἐστί. μάλιστα μὲν οὖν ἁμαρτάνουσιν οἱ τῶν οἰκείων τε καὶ κυριωτάτων ἀποχωροῦντες. ἐφεξῆς δὲ ὅσοι τούτων ἐπιμνησθέντες, ἀνέμιξαν αὐταῖς ὁμοτίμως ἁπάσας τὰς κατὰ τὸ συμβεβηκὸς, οὐ διακρίναντες ἀπὸ τῶν χρησίμων τὰς ἀχρήστους. οὐ μόνον δὲ ἐν τοῖς γένεσι τῶν διαφορῶν ἥμαρτον οἱ πλεῖστοι τῶν ἰατρῶν, ἤτοι πλεονάσαντες, ὡς καὶ τῶν ἀχρήστων μνημονεῦσαι, ἢ ἐλλιπόντες, ὡς καὶ τῶν χρησίμων ἐνίας παρελθεῖν· ἀλλὰ κατὰ τὴν ἐν αὐτοῖς τοῖς γένεσι τομὴν εἰς τὰς οἰκείας διαφορὰς ὡσαύτως ἐσφάλησαν. αὐτίκα γέ τοι, τοῦ πρώτου τε καὶ κυριωτάτου γένους τῶν διαφορῶν ἀπὸ τῆς τοῦ τεμνομένου πράγματος οὐσίας λαμβανομένου, ἐνίους μὲν τῶν ἰατρῶν ἐστιν ἰδεῖν ὅλον πα-

CAPVT PRIMVM.

Vnde, & quæ sint febrium differentiæ; & quot principalissimæ; & quòd essentia febrium sit in genere caloris præter naturam.

Differentiæ febrium, maximè quidem propriæ ac principes, secundum earum substantiam sunt; aliæ verò secundum aliquod accidens. Quoniam verò & ipsorum accidentium non vna est natura, sed alia quidem propinquiora, magisque propria diuidendæ substantiæ sunt, alia verò remotiora ac magis aliena; idcirco & earum, quæ hinc sumuntur, differentiarum non vnum genus est. Itaque maximè quidem peccant, quicunque differentias proprias ac maximè principes omittunt. Deinde verò, quicunque mentione harum factâ permiscent cum eis differentias C accidentales æqualiter omnes, minimè discernentes vtiles ab inutilibus. Non solùm autem peccarunt plurimi medici in differentiarũ generibus, aut plures quàm oporteret tradendo, vt inutilium quoq; meminerint; aut pauciores, vt nonnullas etiã vtiles omiserint; sed etiam diuidendo genera ipsa in proprias differentias, similiter errarũt. Ne longiùs abeas, quum primũ ac maximè proprium differentiarum genus ab ipsâ diuidendæ rei substantiâ sumatur, videas tamen nõnullos medicos prætermisisse vniuersũ hoc

hoc genus; alios verò diuidendo plura, quàm opus esset, aut statuisse pauciora, tametsi Hippocrates optimè fecerit diuisionem libro sexto Epidemion. Textus autem sic habet; *Febres, hæ quidem manui sunt mordaces; illæ verò mites; quædam autem non mordaces, sed increscentes; nonnullæ acutæ, sed ab ipsa manu deuictæ; quædam statim ardentes, quædam verò semper debiles, siccæ; aliæ salsæ; aliæ flatulentæ, aspectui graues; aliæ ad manum humidæ; aliæ rubicandæ valde; aliæ liuidæ; aliæ præpallidæ*; & alia istiusmodi. Apertissimè enim his *sententiis* ab ipsâ rei substantiâ, simulque ab ipsâ dignotione in proprias differentias fecit diuisionem. Nam essentia quidem febrium est in genere caloris præter naturam. Differentiæ verò caloris, & ab eius multitudine & paucitate sumuntur; & ab ipsa materia, in qua calor ille præter naturam *accenditur*; & ab ipso motionis modo; quas omnes complicans cum earum dignoscendarum ratione scripsit, quemadmodũ procedente sermone docebimus. Porrò autem quæ à maiori minorique *calore ducuntur*, sunt manifestæ; & in hoc genere differẽtiæ, medicis iam mos est magnam ac paruam febrem nominare; verùm impropriè quidem de rei qualitate quãtitatis vocabulum enuntiant, sed ita facere consueuerunt, non in febre solùm, sed & in aliis sexcentis, quæ in qualitate quidem ipsâ essentiam habent, magna tamẽ paruaq; nominantur. Quæ verò *differẽtiæ* à materiâ *sumũtur*, in quâ calor ille præter naturam *consistit*, maximè propriæ caloris præter naturam differẽtiæ sunt; siue ille corpus ipsum cordis inuadat, siue humores, qui in ipsius ventriculis continentur. Reliqua autem ac tertia differentia *est*, vbi aërea substantia sola admodùm incaluit, humida verò ac solida corpora adhuc quidẽ incalescunt, sed nondum incaluerunt. Non enim parum differt quum incalescit aliquid, ab eo quod incaluit. Sed discas euidentissimè id, quod dicitur, ex his exemplis. Finge mihi aquam calidam iniectam lebeti frigido, deinde ab eâ ipsâ aquâ calefieri contactu ipsius lebetis corpus, nondum autem totum exquisitè incaluisse; & rursus finge in calidum atque ignitum lebetem frigidam aquam infusam, deinde calefieri quidem adhuc, nondum autem incaluisse. Ex his exemplis, cum secundo quidem prima febrium differentia similitudinem habet, quas corpus ipsum corripuisse docuimus; cum primo autem secunda, quam conditos in ventriculis humores *occupasse diximus*. Reliqua autem ac tertia differentia exemplum omnino simile non habet. Sed perspicuitatis gratia mihi finge fabrilem follem trahere ad se aërẽ admodum calidum; deinde calefieri adhuc ab eo, nondum autem incaluisse. Sed exemplum magis indicabit rei declarandæ naturam, si finxeris in folle contineri humorem; atque adhuc magis, si foramina follis, per quæ trahit atque emittit aërem, ita angusta effeceris, vt humori quidem inuia, aëri verò peruia sint: quâ sanè in re potissimũ dissident naturæ opera, ab his quæ homines ipsi efficiunt. Etenim substantia aërea permixta cum sanguine est in omnibus arteriis, per multa foramina pariter spirantibus; ac nihilo minus in ipso corde, vt quæ per eas omnes confluat.

A ρελθόντας τὸ χθμὸς τοῦτο. τινὰς δὲ ἤτοι πλεονάσαντας, ἢ ἐλλιπόντας ἐν τῇ διαιρέσει, καίτοιγε Ἱπποκράτους ἄριστα πεποιημένου τὴν διαίρεσιν ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν. ἔχει δὲ ἡ ῥῆσις ὧδε. Πυρετοὶ, οἱ μὲν δακνώδεες τῇ χειρί· οἱ δὲ πρηέες· οἱ δὲ οὐ δακνώδεες, ἐπαναδιδόντες δέ· οἱ δὲ ὀξέες μὲν, ἡσσώμενοι δὲ τῆς χειρός· οἱ δὲ περικαέες εὐθέως· οἱ δὲ διὰ παντὸς βληχροὶ, ξηροί· οἱ δὲ ἁλμυρώδεες· οἱ δὲ πεμφιγώδεες, ἰδεῖν δεινοί· οἱ δὲ πρὸς τὴν χεῖρα νοτιώδεες· οἱ δὲ ἐξέρυθροι· οἱ δὲ ἔξωχροι· οἱ δὲ πελιοί. καὶ τὰ ἄλλα τὰ τοιαῦτα. ἐναργέστατα γὰρ ἐν τούτοις ἀπό τε τῆς οὐσίας τοῦ πράγματος ἅμα καὶ ἀπὸ B τῆς διαγνώσεως, εἰς τὰς οἰκείας διαφορὰς ἐποιήσατο τὴν διαίρεσιν. ἡ μὲν γὰρ οὐσία τῶν πυρετῶν ἐν τῷ γένει τῆς παρὰ φύσιν θερμότητος· αἱ διαφοραὶ δὲ τῆς θερμασίας, αἵ τε παρὰ τὸ μᾶλλον καὶ τὸ ἧττόν εἰσι, καὶ παρὰ τὴν ὕλην, ἐν ᾗ τὸ παρὰ φύσιν τοῦτο θερμὸν, καὶ αἱ παρὰ τὸν τρόπον αὐτοῦ τῆς κινήσεως, ἃς ἁπάσας συμπλέξας τῷ τρόπῳ τῆς διαγνώσεως ἔγραψεν, ὡς ἐπὶ προϊόντι τῷ λόγῳ δείξομεν. Αἱ μὲν τοίνυν κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον, αὐτόδηλοί τε, καὶ συνήθης ἤδη τοῖς ἰατροῖς ὀνομάζειν ἐν τούτῳ τῷ γένει τῆς διαφορᾶς, τὸν μέγαν τε καὶ μικρὸν πυρετὸν, οὐ C κυρίως μὲν ἐπὶ ποιοῦ πράγματος ὄνομα ποσότητος ἐπιφέροντες, ὅμως δὲ οὖν εἰθισμένοι οὕτω ποιεῖν, οὐκ ἐπὶ τοῦ πυρετοῦ μόνον, ἀλλὰ καὶ ἐπὶ ἄλλων μυρίων, ἐν ποιότητι μὲν ἐχόντων τὴν ὕπαρξιν, ὀνομαζομένων δὲ μεγάλων τε καὶ μικρῶν. αἱ δὲ παρὰ τὴν ὕλην, ἐν ᾗ τὸ παρὰ φύσιν τοῦτο θερμὸν, οἰκειόταται διαφοραὶ τῆς παρὰ φύσιν θερμασίας εἰσίν· ἤτοι τὸ σῶμα τῆς καρδίας αὐτὸ κατειληφυίας αὐτῆς, ἢ τοὺς περιεχομένους ἐν ταῖς κοιλίαις αὐτῆς χυμούς. λοιπὴ δὲ καὶ τρίτη τις ἐπ' αὐταῖς διαφορὰ, τῆς ἀερώδους οὐσίας μόνης ἐκτεθερμα- D σμένης ἱκανῶς, τῶν δὲ ὑγρῶν καὶ στερεῶν σωμάτων θερμαινομένων μὲν ἔτι, ἐκτεθερμασμένων δὲ οὐδέπω. διαφέρει γὰρ οὐ σμικρῷ τὸ θερμαίνεσθαί τι τοῦ τεθερμάνθαι. μάθοις δ' ἂν ἐναργέστατα τὸ λεγόμενον ἐπὶ παραδειγμάτων τοιῶνδε. νόησόν μοι θερμὸν ὕδωρ ἐμβεβλημένον λέβητι ψυχρῷ, κἄπειτα θερμαινόμενον ὑπ' αὐτοῦ τῇ γειτνιάσει τὸ τοῦ λέβητος σῶμα, θερμὸν δὲ ἀκριβῶς ὅλον μηδέπω γεγενημένον· αὖθις οὖν μοι νόησον εἰς θερμὸν καὶ διάπυρον λέβητα, ψυχρὸν ὕδωρ ἐγκεχυμένον, εἶτα θερμαινόμενον ἔτι, θερμὸν μηδέπω μηδὲ αὐτὸ γεγενημένον. ἐπὶ ταύταις ταῖς εἰκόσι, κατὰ μὲν τὴν δευ- E τέραν ἡ πρώτη διαφορὰ τῶν πυρετῶν ἐστιν, οὓς ἔφαμεν αὐτὸ τῆς καρδίας τὸ σῶμα κατειληφέναι· κατὰ δὲ τὴν προτέραν ἡ τῶν ἐν τοῖς χυμοῖς τοῖς κατ' αὐτήν. ἡ δὲ λοιπὴ καὶ τρίτη πάνυ μὲν οὐκ ἔχει ὅμοιον παράδειγμα, σαφηνείας δ' ἕνεκα, φῦσάν μοι νόησον χαλκευτικὴν ἕλκουσαν εἰς ἑαυτὴν ἀέρα πάνυ θερμὸν, εἶτα θερμαινομένην ἔτι πρὸς αὐτοῦ, ἐκτεθερμασμένην δὲ οὐδέπω. μᾶλλον δ' ἂν ἔτι τὸ παράδειγμα τὴν τοῦ δηλουμένου πράγματος ἐνδείξεται φύσιν, εἰ περιεχόμενον ὑγρὸν ἐν τῇ φύσῃ νοήσῃς, καὶ μᾶλλον ἔτι, εἰ τὰς ὀπὰς τῆς F φύσης, δι' ὧν ἕλκει τε καὶ ἐκπέμπει τὸν ἀέρα, στενὰς οὕτως ἐργασάμενος, ὡς ὑγρῷ μὲν ἀβάτους ὑπάρχειν, ἀέρι δὲ βασίμους· ἐν ᾧ δὴ καὶ μάλιστα διαφέρει τὰ τῆς φύσεως ἔργα τῶν ὑπ' ἀνθρώπου γινομένων. ἀναμέμικται γὰρ ἔν τε ταῖς ἀρτηρίαις ἁπάσαις διὰ πολλῶν ὀπῶν ἅμα πνεούσαις ἡ ἀερώδης οὐσία τῷ αἵματι, καὶ κατὰ τὴν καρδίαν οὐδὲν ἧττον, ὡς ἂν συῤῥέουσ' ὑπάρχουσα πάσαις αὐταῖς.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τὴν θερμότητα ἢ ἐν τοῖς πνεύμασιν, ἢ τοῖς ὑγροῖς, ἢ ἐν τοῖς στερεοῖς μορίοις ἀνάπτεσθαι.

Ἄρχεται μὲν οὖν ἡ παρὰ φύσιν αὕτη θερμότης, ἣν δὴ καὶ πυρετὸν ὀνομάζομεν, ἄλλοτε ἐξ ἄλλου τῶν εἰρημένων, ἐπινέμεται δὲ καὶ συνδιατίθησι τῷ πεπονθότι τὰ λοιπὰ δύο γένη. ῥᾴστη μὲν οὖν ἡ ἐκ τῶν ὑγρῶν εἰς τὸ πνεῦμα μετάληψις τῆς θερμότητος, ἧττον δ᾽ ἑτοίμως τῷ πνεύματι συνεκπυροῦται τὰ ὑγρά, καὶ μήν γε καὶ τὸ στερεὸν σῶμα τοῖς ὑγροῖς τε καὶ ἀερώδεσιν ἑτοιμότερον μεταδίδωσι τῆς θερμασίας, ἢ αὐτὸ παρ᾽ ἐκείνων λαμβάνει· πᾶσα μὲν γὰρ ἡ λεπτομερὴς οὐσία ῥᾷον ἀλλοιοῦται τῆς παχυμεροῦς· ἔστι δὲ λεπτομερεστάτη μὲν ἡ τοῦ ἀέρος, παχυμερεστάτη δὲ ἡ τῶν στερεῶν σωμάτων, ἐν τῷ μεταξὺ δὲ ἀμφοῖν ἡ τῶν ὑγρῶν. οὐδὲν δὲ διαφέρει ἔν γε τῇ παρούσῃ διδασκαλίᾳ πνεῦμα λέγειν ἢ ἀέρα· διώρισται γὰρ ὑπὲρ αὐτῶν ἀκριβέστερον ἑτέρωθι. νῦν δὲ ἀρκεῖ τό γε τοσοῦτον γινώσκειν, ὅπερ οἶμαι καὶ ὁ Ἱπποκράτης ἐνδεικνύμενος ἔλεγε, τὰ ἴσχοντα, καὶ τὰ ἰσχόμενα, καὶ τὰ ἐνορμῶντα. ἴσχοντα μὲν αὐτὰ τὰ στερεὰ μόρια τοῦ σώματος, ἰσχόμενα δὲ τὰ ὑγρά, ἐνορμῶντα δὲ τὰ πνεύματα προσαγορεύων. ἄρχεται μὲν γὰρ ἄλλοτε ἐξ ἄλλου τῶν εἰρημένων ἡ πυρετώδης διάθεσις· οὐ καταμένει δὲ ἐν τῷ πρώτῳ μόνῳ τοῦ βλαβέντος, ἀλλ᾽ ἐπινέμεται τὰ λοιπὰ δύο, κἂν μὴ φθάσῃ λυθῆναι, συνδιατίθησιν ὡσαύτως κἀκεῖνα τῷ χρόνῳ. τὰ μὲν κεφάλαια τοῦ λόγου ταῦτα· χρὴ δὲ ἀποδεῖξαί τε ἅμα τὰ εἰρημένα, καὶ τὰς διαγνώσεις ἑκάστου γένους τῶν πυρετῶν ἐπελθεῖν. εὐθὺς δὲ ἀναγκαῖον εἰπεῖν τι καὶ περὶ τῆς γενέσεως αὐτῶν.

CAPVT II.

Calorem accendi vel in spiritibus, vel in humoribus, vel in partibus solidis.

HIc ergo calor præter naturam, quem & febrem appellamus, aliàs ex alio prædictorum incipit. Occupat autem ac simul afficit cum affecto, reliqua duo genera. Facillima ergo caloris ab humoribus ad spiritum translatio: humores autem tardiùs ignem concipiunt à succenso spiritu; atq; etiam solidum corpus promptiùs tribuit calorem humoribus, aëriæque substantiæ, quàm ipsũ ab illis accipiat; omnis enim substantia tenuis faciliùs quàm crassa alteratur. Tenuissima quidẽ aëris est, crassissima verò corporum solidorum; amborum media humorum est substantia. Nec quicquam refert in præsenti documento, spiritum vel aërem appellare; nam de his alibi accuratiùs definitum iam est. Nunc verò sufficiet illud tantummodo scire, quod (puto) Hippocrates indicans dixit, *continentia, contenta, & impetum facientia.* Continentia quidem appellans, ipsas corporis partes solidas; contenta autem, humores; impetum verò facientia, spiritus. Febrilis enim affectus aliàs ex alio prædictorum incipit: verùm in eo genere, quod primò læsum est minimè permanet, sed inuadit reliqua duo; ac nisi priùs soluatur, processu tẽporis illa similiter afficit. atque hæc sermonis sunt capita. Sed oportet ea quę dicta sunt, demonstrare, notasque vniuscuiusque generis febrium percurrere. Statim itaque de generatione earum dicere aliquid opus est.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ κοινῶν τε καὶ προκαταρκτικῶν πυρετῶν αἰτιῶν· περὶ χρείας λογικῆς μεθόδου πρὸς τὴν εὕρεσιν· καὶ περὶ τῶν πυρετῶν παρὰ τὴν ὕλην διαφορᾶς.

Ὅτι μὲν οὖν ἐπὶ κόποις, καὶ θυμοῖς, καὶ λύπαις, ἐγκαύσεσί τε, καὶ ἐμψύξεσι, καὶ ἀγρυπνίαις, καὶ ἀπεψίαις, καὶ μέθαις, καὶ πλησμοναῖς ὁρῶνται πυρέττοντες ἔνιοι, πᾶσιν ἀνθρώποις ἐστὶν ἤδη τοῦτό γε πρόδηλον, ὑπ᾽ αὐτῆς τοῦ πράγματος τῆς ἐναργείας δεδιδαγμένοις. καὶ μὲν δὴ καὶ ὅτι λοιμώδης ἀέρος κατάστασις εἴωθε πυρετὸν, οὐδὲ τοῦτο ἀγνοοῦσιν, οἷς μέτεστι συνέσεως· ὥσπερ γε καὶ ὅτι συνδιατρίβειν τοῖς λοιμώττουσιν ἐπισφαλές· ἀπολαῦσαι γὰρ κίνδυνος, ὥσπερ ψώρας τινὸς ἢ ὀφθαλμίας. ἐπισφαλὲς δὲ καὶ τοῖς ὑπὸ φθόης συνεχομένοις συνδιημερεύειν, καὶ ὅλως ὅσοι σηπεδονῶδες ἐκπνέουσιν, ὡς καὶ τοὺς οἴκους, ἐν οἷς κατάκεινται, δυσώδεις ὑπάρχειν. ἔγνωσται δὲ πρὸς τῆς μακρᾶς πείρας, καὶ ὡς οἱ καταλύσαντες ἔθος γυμνασίων, ἄλλοις τέ τισιν ἁλίσκονται νοσήμασι, καὶ οὐχ ἥκιστα τοῖς πυρετώδεσι. καὶ μήν γε καὶ ὡς ἡ καλουμένη πληθώρα φέρει πυρετούς, ἐδέσματά τέ τινα μοχθηρά, καὶ φάρμακα, καὶ τὰ περὶ κυνὸς ἐπιτολὴν καύματα, καὶ ἄλλα τινὰ τοιαῦτα, γινώσκεται μὲν ἅπασιν ἀνθρώποις, ὡς ἔπος εἰπεῖν· ἥτις δὲ ἀπ᾽ αὐτῶν ἐν τοῖς σώμασιν ἡμῶν γίνεται διάθεσις, ἀφ᾽ ἧς πυρέττομεν, οὐκ ἔτι γε τοῦτο γινώσκουσιν οὔθ᾽ οἱ πολλοὶ τῶν ἀνθρώπων, οὔτ᾽ ἔνιοι τῶν ἰατρῶν. διττὸν δὲ τὸ γένος τῶν ἀγνοούντων τὰ τοιαῦτα. τὸ μὲν ἕτερον ἀπὸ τῆς ἐμπειρίας μόνης * ὁρμώμενον, ὡς οὐδεμιᾶς

CAPVT III.

De communibus ac euidentibus causis febrium; de vsu logicæ methodi ad inuentionem; ac de febrium differentiis à materia sumptis.

EX lassitudine ergo, irâ, mœrore, vstione, frigore, insomnio, cruditate, temulentiâ ac satietate, quosdam febricitare cunctis hominibus perspicuum est, ab ipsâ rei euidentiâ edoctis. Quinetiam pestilentem aëris statum afferre febrim, minimè ignorant quicunque intellectu participant; quemadmodũ & versari cum his, qui peste laborãt, periculosum esse: etenim ne à contagio lædamur periculum est, quemadmodum à scabie quadam aut ophtalmiâ. Periculosum prætereà est, consuescere his qui tabe tenentur, atque in totum cum omnibus qui putridum adeò expirant, vt domicilia in quibus decumbunt, grauiter oleant. Constat prætereà ex longo rerum vsu, eos qui consuetudinẽ exercitationum omiserunt, tum aliis multis morbis, tum maximè febrilibus corripi. Atque etiam quod quæ vocatur plethora generet febres, & praui quidam cibi, ac medicamẽta, & æstus circa Canis *syderis* ortum, & alia quædam huiusmodi, cunctis hominibus (vt ita dixerim) perspicuũ est. Quis verò ab ipsis in corporibus nostris fiat affectus, ex quo febricitamus, minimè sciũt neque plærique hominum, neque quidam medicorũ. Duplex autem genus hæc ignorantium est; alterum quidem, quod ipsâ experientiâ tantummodo nititur, tanquam nulla rei cuiusquam natura,

natura, ratione possit inuestigari. Alterum autem *genus* est hominum, qui sapientes quidem videntur, sed quum ignorent peræquè ac priores, scientiæ tamen habent existimationem. Ignorare autem eos contingit, quia nullam priùs habent in methodis logicis exercitationē, ex quibus cognoscuntur ac discernuntur à demōstratiuis sumptionibus verisimilia quidem, sed quæ nihil veri aut inuenire aut demonstrare possunt. Huic autem inscitiæ vbi insolentia accessit, eorū nonnulli in tantam stupiditatem vel audaciam deuenerunt, vt nec ea quæ omnes homines cognoscunt experientiâ ipsâ edocti, febrium causas esse concedant. De quibus quū libro de causis procatarcticis abundè docuerim, nihil opus est hoc loco mentionem facere temerariæ loquacitatis eorum. Neque enim contradicere, neque soluere sophismata hoc libro institui; sed instituere ac docere, supponendo ea quæ alibi à nobis sunt demonstrata, ac docendo differentias febrium. Suppositiones igitur hæ *sunt*, calidum, frigidum, siccum, atque humidum esse elementa corporum, ac fieri primos morbos ex horum intemperie, è quibus vna febris existit, quū calor quidam præter naturam in corde generatur. Differentiæ autem secundum genus caloris (de quibus præsens sermo tractat) à materiç differentiâ ducuntur, suscipientis febrilem caliditatē *quæ materia* genere triplex est. Aut enim in ipso corpore cordis, aut in humoribus primā ipsam accendi dicebamus, aut in spiritu; præuenire autem omnium febrium constitutionē causas omnibus manifestas, de quibus paulò antè docuimus, ex quarum obseruatione Empiricus quidem medicus ad curationem nonnihil iuuatur; rationalis verò ad ipsam rei naturam accedens, per indicationes ab illâ in futurorum prænotionem, atque inuentionem curationis, iuuatur, vtens omnibus quidem experientiâ ipsâ inuentis, adiiciens autem ipsis multa ex docendi viâ rationali. Quæ ergo sint per vtraque partem inuenta (experimentum intelligo ac rationem) alio loco docuimus. Quis verò affectus ab vnaquaque causâ procatarcticâ in corpore consistat accendens febrem, nunc docere instituimus.

CAPVT IV.

Multas esse causas caloris præter naturam, ex quibus gignitur febris, quoties causis suscipiendis parata sunt corpora.

QVVM ergo videamus non vnum modum, neque generationis, neque auctionis caloris (quando ne ipsius quidē ignis *modus vnus est*) sed gignitur aut propter motum, aut propter putrefactionem, aut propter alterius caloris commercium ac viciniam, aut propter suppressionem calidi effluuii, aut propter permixtionem calidæ substantiæ, tanquam de fonte quodam ebullientis, aut genitæ, scilicet ad nostrum sensum, aut augentis calorem; necesse est omnes febrium causas in prædictos modos reuocari; qualis si lubet æstus est, siue ex ipso sole actio talem habeat appellationem, siue affectio quæ in corpore efficitur, siue ea quæ iam effecta est. Nam & ea ipsa calor est præter naturam; nondum tamen febris, nisi cor ipsum concalefece-

A τῶν ὄντων τῆς φύσεως εὑρεθῆναι λόγῳ δυναμένης· τὸ δ' ἕτερον γένος ἀνθρώπων ἐστὶ δοξοσόφων, ἀγνοούντων μὲν ὁμοίως τοῖς προτέροις, οἴησιν δ' ἐπιστήμης ἐχόντων. ἀγνοῆσαι μὲν αὐτοὺς συνέβη διὰ τὸ μὴ γεγυμνάσθαι πρότερον ἐν ταῖς λογικαῖς μεθόδοις, ἐξ ὧν γνωρίζεταί τε καὶ διακρίνεται τῶν ἀποδεικτικῶν λημμάτων τὰ πιθανὰ μὲν, οὐδὲν δὲ ἀληθὲς οὔθ' εὑρεῖν οὔτ' ἀποδεῖξαι δυνάμενα. τῇ δὲ ἀγνοίᾳ ταύτῃ προσγινομένης ἀλαζονείας, ἔνιοί τέ τινες ἐξ αὐτῶν εἰς τοσοῦτον ἀναισθησίας ἢ τόλμης ἧκον, ὡς μηδὲ ἃ πάντες ἄνθρωποι γινώσκουσι τῇ πείρᾳ δεδιδαγμένοι, μηδὲ ταῦθ' ὁμολογεῖν αἴτια πυρετῶν.
B ὑπὲρ ὧν ἐν τῷ περὶ τῶν προκαταρκτικῶν ὀνομαζομένων αἰτίων αὐτάρκως διειλεγμένος, οὐδὲν δέομαι τό γε νῦν μεμνῆσθαι τῆς ματαίας φλυαρίας αὐτῶν. οὔτε γὰρ ἀντιλογητικὸν, οὔτε σοφισμάτων ἐπιλυτικὸν ἐνεστησάμην τόνδε τὸν λόγον, ἀλλ' ἐπιστημονικὸν καὶ διδασκαλικὸν, ὑποθέσεις μὲν ἔχοντα τὰς δι' ἑτέρων ἀποδεδειγμένας, διδάσκοντα δὲ τὰς διαφορὰς τῶν πυρετῶν. αἱ μὲν οὖν ὑποθέσεις αὗται· τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν εἶναι τὰ στοιχεῖα τῶν σωμάτων, καὶ γίνεσθαι τὰς πρώτας νόσους ἐπὶ τῇ δυσκρασίᾳ τούτων, ὧν μίαν
C εἶναι καὶ πυρετὸν, ἐπειδὰν ἐν τῇ καρδίᾳ θερμότης τις γένηται παρὰ φύσιν. αἱ διαφοραὶ δὲ κατὰ γένος τῆς θερμότητος (ὑπὲρ ὧν ὁ προκείμενος περαίνεται λόγος) ἀπὸ τῆς τῶν ὑλῶν διαφορᾶς ἐλαμβάνοντο τῶν δεχομένων τὴν πυρετώδη θερμασίαν, τριῶν οὐσῶν κατὰ γένος. ἤτοι γὰρ ἐν αὐτῷ τῷ σώματι τῆς καρδίας ἀνάπτεσθαι πρώτην αὐτὴν ἐλέγομεν, ἢ ἐν τοῖς χυμοῖς, ἢ ἐν τῷ πνεύματι· προκατάρχειν δὲ τῆς συστάσεως ἁπάντων τῶν πυρετῶν αἰτίας ἐναργῶς ἅπασι γινωσκομένας, ἃς ὀλίγον ἔμπροσθεν εἴπομεν, ἐφ' αἷς ὁ μὲν ἐμπειρικὸς ἰατρὸς ἐκ τῆς τηρή-
D σεώς τι καὶ πρὸς τὴν θεραπείαν εὐπορεῖ· ὁ δὲ λογικὸς ἐπὶ τὴν φύσιν αὐτὴν τοῦ πράγματος ἐρχόμενος, ἐνδεικτικῶς ἀπ' ἐκείνης εἴς τε τὴν τῶν ἐσομένων πρόγνωσιν, καὶ εἰς τὴν τῆς θεραπείας εὕρεσιν ὀνίναται, χρώμενος μὲν ἅπασι καὶ τοῖς διὰ πείρας εὑρισκομένοις, προστιθεὶς δὲ αὐτοῖς ἐκ τῆς λογικῆς μεθόδου πολλά. τίνα μὲν οὖν ἐστὶ τὰ καθ' ἑκάτερον μέρος εὑρισκόμενα (τήν τε ἐμπειρίαν λέγω, καὶ τὸν λόγον) ἑτέρωθι δηλοῦμεν· ἥτις δὲ ἀπὸ τῶν προκαταρκτικῶν αἰτίων ἑκάστου διάθεσις ἐν τῷ σώματι συνίσταται πυρετὸν ἀνάπτουσα, νῦν πρόκειται λέγειν.

E

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Πολλὰς εἶναι αἰτίας τῆς παρὰ φύσιν θερμότητος δι' ὧν ὁ πυρετὸς ἀνάπτεται, ὅταν ὑποδέχεσθαι τὰς αἰτίας προπαρεσκευασμένα ᾖ τὰ σώματα.

ΕΠεὶ τοίνυν ὁρῶμεν οὐχ ἕνα τρόπον οὔτε γενέσεως οὔτε αὐξήσεως τῆς θερμασίας (ὅτι μηδὲ αὐτοῦ τοῦ πυρὸς) ἀλλ' ἤτοι διὰ κίνησιν, ἢ διὰ σῆψιν, ἢ διὰ ὁμιλίαν ἑτέρας θερμότητος, ἢ δι' ἐπίσχεσιν ἀπορροῆς θερμῆς, ἢ
F δι' ἐπιμιξίαν οὐσίας θερμῆς ὥσπερ γε ἐκ πηγῆς τινος ἀναζεούσης, ἤτοι γινομένης, ὥς γε πρὸς τὴν ἡμετέραν αἴσθησιν, ἢ αὐξανομένης τὴν θερμασίαν, ἀνάγκη πάσας καὶ τὰς τῶν πυρετῶν αἰτίας εἰς τοὺς εἰρημένους ἀνάγεσθαι τρόπους. εἶτ' αὐτίκα ἡ ἔγκαυσις, εἴθ' ἡ ἀπὸ τοῦ ἡλίου ἐνέργεια ταύτην ἔχει τὴν προσηγορίαν, εἴτε τὸ γιγνόμενον ἐν τῷ σώματι πάθος, εἴτε τὸ ἤδη γεγενημένον. ἔστι μὲν δήπου καὶ αὐτὸ τοῦτο παρὰ φύσιν θερμότης, οὐ μὴν ἤδη γέ πω πυρετὸς, εἰ μὴ συνεκθερμαίνῃ τὴν καρδίαν.

K

ἁπάντων γε τοι τούτων τὸ γένος τῆς αἰτίας, ἐξ ὁμιλίας γὰρ τοῦ θερμαίνοντος, εἴτε ἥλιος, εἴτε πῦρ, εἴτε φάρμακον εἴη τὸ θερμαῖνον, ἔξωθεν ἁπτόμενον, ἢ πλησιάζον, ἢ ὁμιλοῦν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ. ὁ δέ γε θυμὸς οἷον ζέσις τις καὶ κίνησις σφοδρὰ τῆς θυμοειδοῦς δυνάμεως ἐν τῷ σώματι τῆς καρδίας αὐτῷ καθιδρυμένης. συνεκθερμαίνεται δὲ αὐτῇ, ποτὲ μὲν ἡ τοῦ πνεύματος, ἔστιν ὅτε δὲ ἡ τοῦ αἵματος οὐσία, κἂν ἐπιτηδείως ἔχοντα τύχῃ πρὸς τὸ τὰ δεξάμενα κατασχεῖν ἐπὶ πολὺ τὴν θερμότητα, κἂν τῆς καρδίας ἡ κίνησις καταστῇ, διαμένει ταῦτα παρὰ φύσιν θερμά, κἂν τῷδε πυρέττειν ἀνάγκη τὸν ἄνθρωπον. ὁ μὲν οὖν τοιοῦτος πυρετὸς ἀρχὴν ἔχει τὴν κίνησίν τε καὶ ζέσιν τῆς ἐμφύτου θερμασίας· ὁ δὲ ἐπὶ λύπαις οὐκέτι ζέσιν, ἀλλὰ κίνησιν μόνον· ὁ δ' ἐπὶ κόποις, ἀρχὴν μὲν καὶ αὐτὸς ἔχει κίνησιν πλείονα μυῶν καὶ νεύρων καὶ συνδέσμων καὶ ἄρθρων, ἃ δὴ καὶ πρῶτα θερμαίνεται, διαδίδοται δὲ κατὰ τὸ συνεχὲς ἐντεῦθεν εἰς τὴν καρδίαν ἡ θερμασία, κἂν τούτῳ πυρέττουσιν. ὁ δ' ἐπὶ πυκνώσει τοῦ δέρματος ἀναπτόμενος πυρετός, ὁποῖος μάλιστα τοῖς γε στυφθεῖσι καὶ ψυχθεῖσιν εἴωθε συμπίπτειν, ἀθροιζομένης ἐν τῷ σώματι τῆς δακνώδους ἀπορροῆς γίνεται. διαπνεῖται μὲν γὰρ ἀεὶ τὰ τῶν ζῴων σώματα κατὰ διττὸν τρόπον, ἀποκρινομένων μὲν εἰς τοὐκτὸς ὁσημέραι τῶν ἀτμωδῶν καὶ λιγνυωδῶν περιττωμάτων, ἑλκομένης δὲ εἴσω τῆς ἐμψυχούσης τε καὶ ῥιπιζούσης τὸ κατὰ φύσιν θερμὸν ἀερώδους οὐσίας. ἐπειδὰν οὖν αἰτία τις ἰσχυρὰ πυκνώσασα τὸ δέρμα, τὰς εἰρημένας διεξόδους στεγνώσῃ, πολλάκις μὲν εἰς πληθωρικὴν ἐνέβαλε διάθεσιν, ὅταν ἀτμῶδές τε καὶ χρηστὸν ᾖ τὸ ἀπορρέον· ἔστι δ' ὅτε εἰς πυρετόν, ὅταν δριμὺ καὶ δακνῶδες εἴη, ἡνίκα μάλιστα κἂν τῷ μηδὲν εἴσω τοῦ σώματος ἕλκεσθαι τὸ ἀναψῦχον, ἡ θερμασία συνεπαύξεται. δριμὺ δ' ἀπορρεῖ καὶ δακνῶδες περίττωμα, τοῖς ἤτοι φύσει κακοχυμοτέροις, ἢ ἐδέσματα μοχθηρὰ προσφερομένοις, ἢ πολλάκις ἀπεπτοῦσι, καὶ μάλιστα εἰ ἐπὶ τοῖς τοιούτοις ἐδέσμασιν ἢ ἰλυῶδες καὶ πηλῶδες καὶ βορβορῶδες καὶ τελματῶδες, ἢ λιμναῖον, ἢ ὁπωσοῦν διεφθαρμένον τε καὶ σεσηπὸς ὕδωρ πίνουσιν· ὡσαύτως δὲ καὶ τοῖς ὑπερπονοῦσιν, ἢ ἀγρυπνοῦσιν, ἢ φροντίζουσιν, ἢ φάρμακα δριμέα συνεχῶς προσφερομένοις. ἐδέσματα μὲν οὖν λέγω μοχθηρά, τά τε φύσει τοιαῦτα, καθάπερ κρόμμυά τε καὶ σκόροδα καὶ κάρδαμα καὶ πράσα καὶ κράμβας ὤκιμά τε καὶ ἀκαλήφας, ὅσα τ' ἄλλα καλοῦσιν ἄγρια, καθάπερ καὶ τὰς λαψάνας παρ' ἡμῖν, τά τε φύσει μὲν χρηστά, διὰ σηπεδόνα δέ τινα τὴν ἴσην τοῖς εἰρημένοις ἢ καὶ μείζονα πολλάκις ἐπικτησάμενα κακίαν, ὥσπερ καὶ πυροὶ καὶ κριθαὶ καὶ τ' ἄλλα σπέρματα σύμπαντα σιτηρά, τὰ μὲν ὑπὸ χρόνου μήκους εἰς σηπεδονώδη διάθεσιν ἀχθέντα, τὰ δὲ εὐρῶτος ἐμπλησθέντα διὰ μοχθηρὰν ἀπόθεσιν, ἔνια δὲ καὶ κατὰ τὴν πρώτην γένεσιν ὑπ' ἐρυσίβης κακωθέντα. τοιαῦτα γοῦν ἐδέσματα καὶ νῦν ἀναγκασθέντες ἐσθίειν πολλοὶ διὰ λιμόν, οἱ μὲν ἀπέθανον ὑπὸ σηπεδονωδῶν τε καὶ λοιμωδῶν πυρετῶν, οἱ δὲ ἐξανθήμασιν ἑάλωσαν ψωρώδεσί τε καὶ λεπρώδεσιν. ὅταν μὲν οὖν ἀνάμεστον ᾖ τὸ σῶμα τοιούτων χυμῶν, ἔμφραξις δὲ μηδεμία κατὰ μηδὲν τῶν σπλάγχνων ᾖ, ἀκωλύτως δὲ διαπνέηται καὶ ἀναψύχηται κατὰ τὸ δέρμα σύμπαν τὸ ζῷον, ὑγιαίνει μέν, ἀλλ' ἐπίκαιρόν τε καὶ σφαλερὰν ἔχει τὴν ὑγείαν. ἐπειδὰν δὲ ἤτοι τὸ ἐκτὸς πέρας στεγνωθῇ, ἢ ἐμφραχθῶσι αἱ ἐν τῷ βάθει διέξοδοι, ἐπὶ μὲν ταῖς στεγνώσεσι

A rit. Sanè totum hoc genus causæ ex consuetudine efficitur rei calefaciẽtis, siue sol, siue ignis, siue medicamentũ fuerit id quod calefacit extrinsecus, quum aut attingit, aut propiùs accedit, aut consuescit, vel quouis alio modo libeat appellare. At verò ira quasi feruor quidam ac motus vehemens est irascibilis facultatis, quæ in ipso corpore cordis sedem habet. Concalescit autem interdum cum ea spiritus substantia, atque interdum sanguinis, & si promptè se habeant suscipientia corpora ad continendũ diutius calorem, quamuis ipsius cordis motus constiterit, hæc permanent calida præter naturam, B tuncque febricitare hominem necesse est. Eiusmodi ergo febris principium habet motum atque feruorem natiui caloris. *Febris autem* quæ ex mœrore *consistit*, non iam feruorem, sed motũ tantummodò *principium habet*. Si autem ex lassitudine *efficiatur*, principium quidem habet motum ampliorem musculorum, ac neruorum, & ligamentorũ, & articulorum; quæ quidem prima calefiunt, calor autem continenter cordi distribuitur, ac tunc febricitant. Vbi verò fe- C bris propter densitatem cutis accenditur, qualis maximè astrictis refrigeratisque fieri solet, collecto in corpore mordaci effluuio consistit. Difflãtur enim semper animaliũ corpora duobus modis, emissis foras quotidie vaporosis fumosisque excrementis, attractâque intrò aëreâ substantiâ refrigerante atque ventilãte naturalem calorem. Vbi igitur vehemens causa condensando cutem prædictos meatus astringit, sæpe plethoricũ affectum inducit, quoties vaporosa ac benigna materia effluit; interdum D febrem *cõmittit*, quoties acris ac mordax fuerit, maximè quum ex eo augetur calor, quia refrigerans aër intra corpus non trahitur. Excernitur autem excrementum acre ac mordax, aut iis quibus sunt deteriores humores, aut iis qui praua edulia ingesserunt, aut sæpè non concoxerunt, presertimque iis qui ab eiusmodi eduliis etiam limosam aut lutosam aut cænosam aut palustrem aut stagnantem aut alio quouis modo corruptam & putrefactam aquam bibunt. Eodem modo euenit immoderatè laborantibus, aut vigilantibus, aut angore affectis, aut acria E medicamenta frequenter assumentibus. Edulia verò praua intelligo, tum quæ ex naturâ talia sunt, vt allia, cæpe, nasturtium, porrum, brassica, ocimum, vrtica, & alia quæcunque nominantur agrestia, vt lapsanæ apud nos; atque etiam quæ bona sunt ex naturâ, sed ob putredinem quandam prædictis ęquale aut maius sæpenumerò vitium acceperunt, vt hordeum ac triticũ & aliæ omnes fruges frumẽtariæ, partim ob temporis longitudinem ad putridam dispositionem deductæ, partim situ quodam repletæ, quia F prauè repositæ sunt, partim ex primâ generatione à rubigine vitiatæ. Tales igitur cibos etiam nunc plerique comedere coacti præ fame, alii febribus putridis ac pestilentibus mortui sunt, alii pustulis scabiosis & leprosis correpti. Vbi igitur corpus fuerit refertũ talibus humoribus, nulla autem obstructio in visceribus fuerit, atque animal in cutẽ totâ liberè diffletur ac refrigeretur; sanum quidem existit, sed temporariam lubricamque obtinet sanitatem. Vbi verò exterior terminus aut constringitur aut in profundo meatus obstruitur, in constrictioni-

bus,

bus, nunc dictum febrium genus; in obstructionibus, id quod paulò pòst dicendum est, consistit. Nihil igitur mirum, si ex cruditate hi quidem febricitent, illi verò minimè. Etenim iis qui prauis iā humoribus pleni sunt ac malè difflantur, aut intempestiuè laborant, aut lauantur temerè, promptum est febricitare. Iis autē qui bonis sunt humoribus, ac probè difflantur, & quiescunt, ac fouent ad iecur & ventriculum attinentes partes, impossibile est febricitare; in iecore enim ac ventre manet quicquid corruptum est, ac temporis spatio paulatim concoquitur atque efficitur benignum. Quemadmodum & iis, qui motus vehementiores sustinuerint, aut in sole æstiuo steterint, aut in balneum calidum dulcium aquarum descenderint, cibi corrupti in vniuersum corporis habitum transsumuntur: sic & eos, quibus corrupta cibaria deorsum deferuntur, febris minimè sequitur, nisi propter aliquam aliam causam, vt si sæpenumero surgendo in lassitudinem inciderint, aut ventrem ipsum inflammatio tentauerit.

A τὸ νῦν εἰρημένον, ἐπὶ δὲ ταῖς ἐμφράξεσι τὸ μετ' ὀλίγον εἰρησόμενον ἕπεται γένος τῶν πυρετῶν. οὐδὲν οὖν θαυμαστὸν οὐδὲ διὰ τί τῶν ἀπεπτησάντων οἱ μὲν ἐπύρεξαν, οἱ δὲ οὔ. τοῖς μὲν ἤδη κακοχύμοις οὖσι καὶ κακῶς διαπνεομένοις, ἢ πονήσασιν ἀκαίρως ἢ λουσαμένοις προπετέστερον, ἕτοιμον πυρέξαι· τοῖς δὲ εὐχύμοις καὶ καλῶς διαπνεομένοις, καὶ ἡσυχάσασι καὶ θάλψασι τὰ κατὰ τὴν γαστέρα καὶ τὸ ἧπαρ, ἀδύνατον πυρέξαι· μένει γὰρ αὐτόθι που αὖθις τὸ διεφθαρμένον κατὰ τὴν γαστέρα καὶ τὸ ἧπαρ, καὶ ἐν τῷ χρόνῳ δὲ πέττεται κατὰ βραχὺ, καὶ γίνεται χρηστόν. B ὥσπερ καὶ τοῖς ἐπὶ κινήσεσι σφοδροτέραις ἀφικομένοις ἢ εἰς ἥλιον θερινὸν, ἢ λουτρὸν θερμὸν γλυκέων ὑδάτων, ἀναλαμβάνεται πάντη εἰς τὴν τοῦ σώματος ἕξιν τὰ διεφθαρμένα σιτία· οὕτω δὲ καὶ οἷς ἐπῆλθε κάτω τὰ διεφθαρμένα σιτία, πυρετὸς οὐκ ἠκολούθησεν, εἰ μὴ καθ' ἄλλην τινὰ αἰτίαν, οἷον εἰ κοπωθεῖσιν ἐπὶ ταῖς πολλαῖς ἐξαναστάσεσιν ἢ φλεγμήνασι τὰ κατὰ τὴν γαστέρα.

CAPVT V.

Putredinem febris, & obstructionē putredinis caussam esse; ac potissimùm quæcunque calida atque humida putrescere.

ENimuerò in meatuū obstructionibus atque humorum constipationibus (nam ea de re docere distuli) animalia ob putredinem febribus tentantur. Promptissimè enim putrescunt, quæcunque calida & humida & multa sunt in locis calidis, nisi difflari simul, ac refrigerari contigerit. Ergo neque mirum videri debet, quamobrem febres sequantur plethoram; etenim per eiusmodi affectiones, multæ obstructiones efficiuntur, ac totum corpus difficulter difflatur; vt & ex altera plenitudine, *quæ est* ad vires, humores citò ad corruptionem deueniūt, quòd neq; ampliùs euincantur, neq; probè concoquantur: quum facultas eos conficiens imbecillior existat. Quocirca quæcunq; cibaria glutinosa crassaque sunt, morbos magis accelerāt; obstruere enim, atque constipare humorem ex illis facilius est. Quid igitur? Nonne contrarie tum attenuantia tum acria, *morbos aduehunt*? Videntur enim qui alterutro victus genere frequentius vtuntur, febre similiter corripi, quia hæc omnia vitiosi esse succi ante diximus. Hac ergo ratione succi vitiosi, febrium causæ sunt; alia verò ratione putredinis, quæcunque glutinosa, crassaque existunt. Nec secus partes inflammatione affectæ ratione putredinis accendunt febrem. Impactus enim qui in eas influxit humor, vbi fuerit naturâ calidus, quia non benè difflatur, putrescit. Vbi igitur decurrens humor fuerit planè biliosus, calor erysipelatodes partē occupat; vbi sanguineus, phlegmonodes; ex ambobus verò mistus, vel erysipelas fit phlegmonodes, vel phlegmone erysipelatodes; nomen quidem sumens ab humore dominante, denominationem verò accipiens ab altero. At verò ex his omnibus accenditur febris, ratione societatis. Semper enim simul cum eo quod incaluit, pars continua calefit, quousque affectio ad cor ipsum peruenerit. Nam & continuæ carbunculis partes cum eis simul calefiunt, genitis

C

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τὴν σηπεδόνα τοῦ πυρετοῦ, καὶ τὴν ἔμφραξιν τῆς σηπεδόνος αἰτίαν εἶναι· μάλιστα δὲ πάνθ' ὅσα θερμὰ καὶ ὑγρὰ, σήπεσθαι.

ΚΑτὰ μέντοι τὰς ἐμφράξεις τῶν πόρων καὶ σφηνώσεις τῶν χυμῶν (ἀνεβαλόμην γὰρ εἰπεῖν τὰ περὶ τῶνδε) πυρέττει τὰ ζῶα τὸν ἐπὶ σηπεδόνι πυρετόν. ἑτοιμότατα γὰρ σήπεται πάνθ' ὅσα θερμὰ καὶ ὑγρὰ καὶ πολλὰ κατὰ θερμὸν χωρίον, εἰ μὴ τύχῃ διαπνοῆς τε ἅμα καὶ ἀναψύξεως. οὐδὲν οὖν θαυμαστὸν, οὐδὲ διὰ τί πληθώραις ἕπονται πυρετοί. D καὶ γὰρ ἐμφράξεις πολλαὶ, καὶ δυσδιάπνευστον ὅλον γίνεται τὸ σῶμα κατὰ τὰς τοιαύτας διαθέσεις· ὥσπερ οὖν κατὰ θάτερον πλῆθος τὸ πρὸς δύναμιν, ἐπὶ διαφθορὰν ἀφικνοῦνται ταχέως οἱ χυμοὶ, μηκέτι κρατούμενοι μηδὲ πεττόμενοι χρηστῶς, ὡς ἂν τῆς κατεργαζομένης αὐτοὺς δυνάμεως ἀσθενεστέρας ὑπαρχούσης. διὰ τοῦτο, καὶ ὅσα γλίσχρα καὶ παχύχυμα τῶν ἐδεσμάτων, νοσωδέστερα· ἐμφραχθῆναί τε γὰρ καὶ σφηνωθῆναι τὸν ἐξ αὐτῶν χυμὸν ἑτοιμότερόν ἐστιν. καὶ τί δή ποτ' οὖν; οὐχὶ κατὰ τἀναντία, νοσώδη τὰ λεπτύνοντα καὶ δριμέα; φαίνονται γὰρ E ὁμοίως ἁλισκόμενοι πυρετοῖς οἱ πλεονάζοντες ἐν ἑκατέρᾳ τῇ διαίτῃ, ὅτι καὶ πρόσθεν εἴρηται κακόχυμα πάντ' εἶναι τὰ τοιαῦτα. τῷ μὲν οὖν τῆς κακοχυμίας λόγῳ ταῦτα· τῷ δὲ τῆς σήψεως, ὅσα γλίσχρα καὶ παχέα πυρετῶν ἐστιν αἴτια. καὶ τὰ φλεγμαίνοντα δὲ μέρη, τῷ τῆς σήψεως λόγῳ ἀνάπτει πυρετούς. σφηνωθὲν γὰρ ἐν αὐτοῖς τὸ ἐπιρρυὲν, ὅταν ᾖ φύσει θερμὸν, ὑπὸ τοῦ μὴ διαπνεῖσθαι καλῶς, σήπεται. ὅταν μὲν οὖν ἀκριβῶς ᾖ πικρόχολον τὸ ῥεῦμα, θερμότης ἐρυσιπελατώδης καταλαμβάνει τὸ μέρος· ὅταν δὲ F αἱματικὸν, φλεγμονώδης· τὸ δὲ ἐξ ἀμφοῖν μικτὸν, ἢ ἐρυσίπελας γίνεται φλεγμονῶδες, ἢ φλεγμονὴ ἐρυσιπελατώδης· τὸ μὲν ὄνομα παρὰ τοῦ ἐπικρατοῦντος χυμοῦ λαμβάνον, τὴν δὲ ἐπωνυμίαν ἐπικτώμενον ἀπὸ θατέρου. πυρετὸς δὲ ἐπὶ πᾶσι τούτοις ἀνάπτεται τῷ λόγῳ τῆς κοινωνίας. συνεκθερμαίνεται γὰρ ἀεὶ τῷ θερμανθέντι τὸ συνεχὲς, ἄχρις ἂν ἐπὶ τὴν καρδίαν ἡ διάθεσις ἀφίκηται. συνεκθερμαίνεται γὰρ καὶ τοῖς ἄνθραξι τὸ συνεχὲς, ἐπὶ

θερμῷ μὲν ἱκανῶς αἵματι, μελαγχολικωτέρῳ δὲ διὰ τὸ κατοπτᾶσθαι, τὴν γένεσιν ἔχουσιν.

A ex sanguine valde calido, sed magis melancholico propter adustionem.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ὅτι τοῦ λοιμώδους πυρετοῦ αἰτίας εἶναι τὴν τῶν σηπεδονωδῶν μιασμάτων εἰσπνοὴν καὶ τὴν τοῦ σώματος πάσχοντος ἐπιτηδειότητα.

Αἱ δὲ θερμότεραι τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσεις (οἷαι περὶ κυνὸς ἐπιτολὴν γίνονται μάλιστα) διὰ μὲν τῆς εἰσπνοῆς, ἄντικρυς αὐτὴν θερμαίνουσι τὴν καρδίαν· ἔξωθεν δὲ περικεχυμέναι τῷ σώματι, σύμπαν αὐτὸ θερμὸν ἀποφαίνουσι, καὶ μάλιστα τὰς ἀρτηρίας, ὡς ἂν ἑλκούσας τι καὶ τῆς οὐσίας αὐτῆς τοῦ περιέχοντος ἡμᾶς ἀέρος, οἷς ἅπασι συνδιατίθεσθαι τὴν καρδίαν ἀναγκαῖόν ἐστι, καὶ θερμὴν ἀμέτρως γινομένην αὐτὴν πρώτην τε καὶ μάλιστα τὴν πυρετώδη διάθεσιν ἴσχειν, ἐπιπέμπειν τε παντὶ τῷ σώματι. κατὰ δὲ τὰς λοιμώδεις καταστάσεις, ἡ εἰσπνοὴ μάλιστα αἰτία. γίνεται μὲν γάρ ποτε καὶ διὰ τοὺς ἐν τῷ σώματι χυμοὺς ἐπιτηδείους πρὸς σῆψιν ὑπάρχοντας, ὅταν ἀφορμήν τινα βραχεῖαν ἐκ τοῦ περιέχοντος εἰς ἀρχὴν πυρετοῦ λάβῃ τὸ ζῶον· ὡς τὰ πολλὰ δὲ ἐκ τῆς ἀναπνοῆς ἄρχεται τοῦ πέριξ ἀέρος ὑπὸ σηπεδονώδους ἀναθυμιάσεως μιανθέντος. ἡ δ' ἀρχὴ τῆς σηπεδόνος ἤτοι πλῆθός τι νεκρῶν ἐστι μὴ καυθέντων, ὡς ἐν πολέμοις εἴωθε συμπίπτειν· ἢ ἐκ τελμάτων τινῶν, ἢ λιμνῶν ἀναθυμιάσεις ὥρᾳ θέρους· ἔστι δ' ὅτε κατάρχεται μὲν ἀμετρος θερμασία τοῦ περιέχοντος, ὡς ἐπὶ τοῦ καταλαβόντος Ἀθηναίους λοιμοῦ, καθά φησιν ὁ Θουκυδίδης, ἀλλ' ἐν καλύβαις πνιγηραῖς ὥρᾳ ἔτους διαιτωμένων ὁ φθόρος κατὰ τὸ σῶμα ἐγίνετο. τῷ δ' εἶναι τοὺς ἐν τῷ σώματι χυμοὺς ἐκ μοχθηρᾶς διαίτης ἐπιτηδείους εἰς σῆψιν, ἀρχὴ τοῦ λοιμώδους γίνεται πυρετοῦ. τάχα δὲ καὶ κατὰ τὸ συνεχὲς ἐξ Αἰθιοπίας ἔρρει τινὰ σηπεδονώδη μιάσματα τοῖς ἐπιτηδείως ἔχουσι σώματα βλαβῆναι πρὸς αὐτῶν, αἴτια πυρετοῦ γινόμενα. χρὴ γὰρ μεμνῆσθαι τούτου ἀεὶ παρ' ὅλον αὐτὸν τὸν λόγον, ὡς οὐδὲν τῶν αἰτίων ἄνευ τῆς τοῦ πάσχοντος ἐπιτηδειότητος ἐνεργεῖν πέφυκεν· ἢ οὕτως ἂν οἵ τ' ἐν ἡλίῳ θερινῷ διατρίψαντες ἅπαντες ἐπύρεττον, οἵ τ' ἐπὶ πλέον κινηθέντες, ἢ οἰνωθέντες, ἢ θυμωθέντες, ἢ λυπηθέντες. οὕτω δ' ἄν, οἶμαι, καὶ περὶ κυνὸς ἐπιτολὴν, ἅπαντες ἐνόσουν, ἔν τε τοῖς λοιμοῖς ἀπέθνησκον· ἀλλ' (ὡς εἴρηται) μεγίστη μοῖρα γενέσεως νοσημάτων ἐστὶν ἡ τοῦ μέλλοντος πάσχειν σώματος ἑτοιμότης. ὑποκείσθω γοῦν ὡς ἐν παραδείγματι, κατὰ μὲν τὸ περιέχον ἐμφέρεσθαί τινα λοιμοῦ σπέρματα, τῶν δ' ὁμιλούντων αὐτῷ σωμάτων τὰ μὲν εἶναι περιττωμάτων παντοίων μεστὰ ἑτοίμων ἤδη καὶ καθ' ἑαυτὰ σήπεσθαι, τὰ δὲ ἀπέριττα καὶ καθαρά· καὶ προσκείσθω τοῖς μὲν προτέροις, ἐμφράξεις τῶν πόρων πολλαχόθεν, καὶ ἡ καλουμένη πληθώρα καὶ βίος ἀργὸς ἐν ἀδηφαγίαις καὶ μέθαις καὶ ἀφροδισίων ἀμέτροις χρήσεσι καὶ ταῖς ἐξ ἀνάγκης ἅπασι τοῖς εἰρημένοις ἀκολουθούσαις ἀπεψίαις· τοῖς δ' ἄλλοις ἅπασι σώμασι τοῖς καθαροῖς καὶ ἀπερίττοις, ὑπαρχέτω πρὸς τοῖς οὖσιν ἀγαθοῖς, εὔπνοια μὲν ἅπασι τοῖς πόροις ἀφράκτοις τε καὶ ἀθλίπτοις ὑπάρχουσι, γυμνάσια δὲ σύμμετρα, καὶ σώφρων δίαιτα· κἄπειτα ἐπὶ ταύταις ταῖς ὑποθέσεσιν ἐννόησον, ὅπως ἑκάτερα τῶν σωμάτων εἰκός ἐστι διατίθεσθαι πρὸς τῶν ἀναπνεομένων εἰς αὐτὰ σηπεδονωδῶν ἀέρων. ἆρ' οὐκ εἰκός, τὰ μὲν αὐτίκα ἀπὸ τῆς πρώτης εἰσπνοῆς ἀρχήν τε τῆς σηπεδ-

περιέχοντα

καὶ δριμύτησι

CAPVT VI.

Pestilentis febris causas esse tum putridorum inquinamentorum inspirationem, tum corporis afficiendi præparationem.

Calidiores præterea ambientis nos aëris status (quales circa Canis ortum contingunt potissimùm) per inspirationem planè cor ipsum calefaciunt; B extrinsecus verò circunfusi corpori, totum ipsum calidum reddunt, maximéque arterias, vt quæ nonnihil substantiæ ipsius ambientis nos aëris attrahant, ex quibus omnibus simul cor affici necesse est, atque ipsũ in primis immoderatè calefieri, maximéque febrilem affectum suscipere, atque toti corpori immittere. In pestilenti verò statu, inspiratio potissimum causa est. Interdum enim efficitur febris propter humores, qui in corpore sunt, ad putredinem idoneos, quoties animal breuem C quandam occasionẽ ad febris ortũ ab aëre circumfluente susceperit; sed magnâ ex parte incipit ex aëris circunfluentis respiratione, putridâ exhalatione infecti. Principium autem putredinis, aut multitudo cadauerum est minimè crematorum, quemadmodum in bello contingere solet; aut exhalatio quarundam paludum aut stagnorum æstiuo tempore; atque interdũ immoderatus calor circunstantis aëris est principium, quemadmodũ in pestilentia, quæ Athenienses inuasit, vt Thucydides ait, *viuentium autem hominum corpora in suffocatis nec ita perflatis* D *tuguriis æstatis tempore corruptio afficiebat. Fit autem initium pestilentis febris, eò quòd humores corporis ex prauo victu essent in putrefactionẽ parati. Fortassis autem accidit id per continuum aërem, quòd ex Æthiopia fluxerant quædam putredinis inquinamenta, quæ iis qui habebant corpora læsioni parata, causæ febris futura erant.* Huius enim semper meminisse oportet toto hoc sermone, quòd nulla causa sine corporis aptitudine efficere possit; alioquin omnes, qui in sole versantur æstiuo, in febrem inciderent, & qui plus æquo mouentur, aut vinum bibunt, aut irascuntur, aut mœrent. Nec secus E omnes ægrotarent circa Canis *syderis* ortum, atque in pestilentia perirent: Sed (vt est dictum) maxima pars generationis morborum est, quod passurum est, corporis præparatio. Subiiciatur ergo pro exemplo in ambiente aëre inuehi quædam pestilentiæ semina; atque corporum, quæ versantur in eo, hæc esse variorum excrementorum plena, paratorum iam ex seipsis putrefieri; illa sine excrementis, ac pura: Atque addatur, prioribus inesse obstructionẽ meatuum vndique, ac plethoram appellatam, ac vitam otiosam in multis epulis, & ebrietatibus, & Veneris F vsu immodico, & cruditatibus, quæ omnia prædicta necessariò consequuntur; cæteris autem omnibus corporibus puris, ac excrementorum expertibus adsit præter ea *quæ diximus* commoda, cunctis meatibus neq; obstructis, neq; pressis libera trãspiratio; exercitia verò moderata, ac victus temperatus; ac deinceps his suppositis, cogita quomodo sit verisimile vtraque corpora inspiratione putridi aëris affici. Nonne consonum est hæc statim à prima inspiratione initium putredinis

putredinis accipere, vnde in maiorem noxam prolabatur; quæcunque verò vacua excrementis & pura sunt, ea vel nullo modo, vel exigua labe infici, vt facilè ad habitũ naturæ recurrant? Itidem quoties aëris temperamentum ab ipso naturæ habitu immoderatè recessit ad humiditatem & caliditatem, pestilentes fore morbos necesse est; affici autẽ his maximè eos, qui iam priùs pleni fuerint humiditate excrementosa; quemadmodum qui laboribus moderatis, ac victus ratione temperatâ vsi sunt, penitus impatibiles permanent per omnes eiusmodi affectiones. Hic sermo super vno exẽplo dictus est, sed in omni genere causæ verus est. Ac qui vult integrè in eo exerceri, legat librum de causis externis. Ego verò præsenti libro parcens longitudini, vno capite vbi omnia comprehendero, finem faciam. Oportet enim in vnoquoque causarum *genere* scrutari, quâ potissimum facultate morbos efficere soleat; deinde cõsiderare congruentes & repugnantes ei dispositiones corporum; scientem congruẽtibus quidem promptam læsionẽ esse, aduersas autem ac repugnantes, quantã vim habet & magnitudinem cõtrarietas, tantùm inuictas permansuras. Ipse nanq; vidi nonnunquàm eueniente tali statu, qualem Hippocrates *in oppido Cranone fieri dixit, carbunculos per populum grassatos non paucos*, quorum generatio & alia omnia eo quo ille scripsit modo planè fuerunt. Quinetiam quæcunque scripsit tertio libro Epidemion in pestilenti statu, ea etiam omnia per aliam similem illi constitutionem extiterunt. *Summa eorum* (vt ipse Hippocrates declarauit) *putredo fuit*, atque id ipsi præcognoscentes, statim incipiente statu quæcunque corpora vidimus humida, quouis modo exiccare tentauimus; quæcunque verò ficciora, pristinam naturã in his custodiuimus; quæcunque verò excrementis plena, purgationibus sanauimus; quascunque verò obstructiones meatuum soluimus atque aperuimus. Sed hæc quidem iam quodam modo ad medendi methodũ pertinent, & certè in eo opere fusissimè dicentur. Nunc autem eorum mentionem feci, sequutus sermonẽ docentem, quonam modo ab vnâ causâ exuperante quidam corripiuntur febribus, alii impatibiles permanent. Dispositiones enim corporum dissimiles, multiformesque sunt; & idcirco quidam facilè vincuntur, ac propissimè patiuntur à causâ agente; alii inuicti penitus & impatibiles sunt, aut difficulter patiuntur. Ad eius rei demonstrationem coacti sumus mentionem fecisse etiam curationis, perinde vt Hippocrates facientes, qui alicubi eodem quodam modo celebre illud verbum adscripsit, *Id autem sanatio ipsa indicat.*

CAPVT VII.

De præcautione morborum pestilentium, ac febrem omnem ex putredine non oriri, ac de ephemera ex bubonibus orta, & de putredine.

PRæcautio igitur secundum talem quendam modum sanatio est. Quandoquidem & ipsa nomina sæpenumerò cõfunduntur apud medicos. Quemadmodum enim alio libro demonstrauimus torum esse medici munus corpo-

λαμβάνειν, ἐπὶ πλεῖστόν τε προέρχεσθαι κακώσεως· ὅσα δ' ἀπέριττα καὶ καθαρά, τὰ μὲν μηδόλως, τὰ δὲ ἐπ' ὀλίγον πάσχειν, ὡς ῥᾴστην αὖθις γίγνεσθαι τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον; οὕτω δὲ κἀπειδὰν ἡ κατὰ τὸν ἀέρα κρᾶσις ἀμέτρως ἐκτραπῇ τῆς κατὰ φύσιν ἐς ὑγρότητά τε καὶ θερμότητα, λοιμώδη μὲν ἀνάγκη γίγνεσθαι νοσήματα, πάσχειν δ' ἐν αὐτοῖς μάλιστα, τοὺς ἤδη προπεπληρωμένους ὑγρότητος περιττῆς, ὥς ὅστις γε συμμέτροις τε πόνοις καὶ βίῳ κεκοσμημένῳ χρῆται, τὸ πάμπαν ἀπαθὴς διαμένει κατὰ πάσας τὰς τοιαύτας διαθέσεις. ἔστι ὁ λόγος ἐφ' ἑνὸς μὲν εἴρηται παραδείγματος, ἀληθεύεται δὲ ὅμως ἐπὶ παντὸς γένους αἰτίας. καὶ ὅστις γε προῄρηται τελέως ἐν αὐτῷ γυμνάσασθαι, τὸ περὶ τῶν προκαταρκτικῶν αἰτίων ἀναγινωσκέτω βιβλίον· ἐγὼ δὲ ἐν τῷ παρόντι μήκους φειδόμενος ἑνὶ κεφαλαίῳ σύμπαντα περιλαβὼν αὐτὸν ἀπαλλάξομαι. χρὴ γὰρ ἐφ' ἑκάστου τῶν αἰτίων, ᾗ τινι μάλιστα ἐπισκεψάμενον δυνάμει νοσάζειν πέφυκεν, ἑξῆς ἐπισκοπεῖσθαι τὰς ὁμολογούσας τε καὶ ἀντιβαινούσας αὐτῷ διαθέσεις τῶν σωμάτων· εὖ εἰδότα ὡς ταῖς μὲν ὁμολογούσαις, ἑτοίμη βλάβη· ταῖς δὲ ἐναντιουμέναις τε καὶ ἀπομαχομέναις, εἰς ὅσον ἂν ἥκῃ δυνάμεως καὶ μεγέθους ἡ ἐναντίωσις, εἰς τοσοῦτον ἀηττήτοις ὑπάρξει διαμένειν. οἶδα γοῦν ἔγωγέ ποτε τοιαύτης καταστάσεως γενομένης, οἵαν Ἱπποκράτης ἐν Κρανῶνι γενέσθαι φησίν, ἄνθρακας ἐπιδημήσαντας οὐκ ὀλίγους, ὧν ἥ τε γένεσις καὶ ἄλλα σύμπαντα, καθ' ὃν ἐκεῖνος ἔγραψε τρόπον, ἠκριβοῦτο. καὶ μέντοι καὶ ὅσα κατὰ τὸ τρίτον τῶν ἐπιδημιῶν ἐπὶ τῆς λοιμώδους ἔγραψε καταστάσεως, καὶ ταῦτα σύμπαντα καθ' ἑτέραν ὁμοίαν ἐκείνῃ κατάστασιν ὡσαύτως ἐγίνετο. κεφάλαιον δὲ αὐτῶν ἦν (ὡς αὐτὸς ὁ Ἱπποκράτης ἐδήλωσεν) ἡ σηπεδών, καὶ ἡμεῖς τοῦτο προγινώσκοντες εὐθὺς ἀρχομένης τῆς καταστάσεως, ὅσα μὲν ὑγρὰ τῶν σωμάτων ἑωρῶμεν, εὐθὺς ἐκ παντὸς τρόπου ξηραίνειν ἐπεχειροῦμεν· ὅσα δὲ ξηρότερα, τὴν ἀρχαίαν φύσιν ἐπὶ τούτων ἐφυλάττομεν· ὅσα δὲ περιττωματικά, καθάρσεσιν ἐξιώμεθα· τὰς δὲ ἐμφράξεις τῶν πόρων ἐξεφράττομέν τε καὶ διερρύπτομεν. ἀλλὰ ταῦτα μὲν ἤδη πως ἔχεται τῆς θεραπευτικῆς μεθόδου, καὶ δῆλον ὅτι δι' ἐκείνης τῆς πραγματείας ἐπὶ πλεῖστον εἰρήσεται. νῦν δὲ ἐπεμνήσθην αὐτῶν ἀκολουθήσας τῷ λόγῳ διδάσκοντι, καθ' ὅντινα τρόπον ὑπὸ μιᾶς αἰτίας δυναστευούσης, ἔνιοι μὲν ἁλίσκονται πυρετοῖς, ἔνιοι δὲ ἀπαθεῖς διαμένουσιν. αἱ γὰρ τῶν σωμάτων διαθέσεις ἀνόμοιοί τε καὶ πολυειδεῖς ὑπάρχουσαι, τινὲς μὲν εὐνίκητοί τε καὶ παθεῖν ἑτοιμόταταί πρὸς τῆς ἐνεργούσης αἰτίας εἰσί, τινὲς δὲ ἀήττητοι καὶ τὸ πάμπαν ἀπαθεῖς ὑπάρχουσιν, ἢ δυσκόλως πάσχουσιν. εἰς ἀπόδειξιν δὲ τοῦ πράγματος ἠναγκάσθημεν ὑπομνησθῆναι καὶ τῆς θεραπείας, ὅμοιόν τι παθόντες Ἱπποκράτει προσγράψαντί που κατά τινα τρόπον ἐκεῖνο τὸ πολυθρύλλητον ῥῆμα, τὸ δηλοῖ δὲ ἡ ἴησις.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ προφυλακῆς τῶν νοσημάτων λοιμωδῶν· καὶ τὸν ἅπαντα πυρετὸν ἐπὶ τῇ τῶν χυμῶν σήψει μὴ γενέσθαι· καὶ περὶ τοῦ ἐφημέρου ἐκ τῶν βουβώνων γεγονότος ἢ σήψεως.

ΕΣτι μὲν οὖν καὶ ἡ προφυλακὴ λεγομένη κατά τινα τοιοῦτον τρόπον ἴασις. ἀμέλει καὶ συγκέχυται πολλαχόθι τὰ ὀνόματα παρὰ τοῖς ἰατροῖς. ὥσπερ γὰρ ἐν ἑτέρῳ δέδεικται γράμματι, τὸ ἔργον ἰατροῦ τῶν περὶ τὸ σῶμα

σφαλμάτων ἐπανορθωτικόν ἐστιν. ἀλλ' οὐδὲν εἰς τὰ παρόντα τῆς τοιαύτης δεῖ λεπτολογίας, εἴτε γὰρ εἰς δύο τέμνοις ὀνόματα τὸ σύμπαν, ἴασιν καὶ προφυλακήν, εἴτε εἰς ἓν ἄμφω συνάγοις, ἴασιν ὀνομάζων, οὐ μικρὸν τεκμήριόν ἐστι τοῦ μὴ πάσχειν ὁμοίως ὑπὸ τῆς τοιαύτης αἰτίας ἅπαντας ἡ τῶν κωλυθέντων ἁλῶναι τοῖς ἐπιδημίοις τε καὶ λοιμώδεσι νοσήμασι διάθεσις. εἷς μὲν γὰρ καὶ πρῶτος σκοπός ἐστιν ἐπὶ πάντων κοινός, ἀπέριττον ὅτι μάλιστα καὶ εὔπνουν εἶναι τὸ σῶμα· δεύτερος δὲ ἐφεξῆς τῷδε, ὡς πρὸς τὴν δυναστεύουσαν αἰτίαν ἀπομάχεσθαι ὡς δυνατόν. ὅσοις δὲ τἀναντία τούτων ὑπάρχει, τάχιστά τε πάσχουσι καὶ μάλιστα κάμνουσιν. ἐπεὶ δὲ τῶν λοιμωδῶν ἐμνημόνευσα πυρετῶν ὑπὸ σηπεδόνος ἁπάντων γινομένων, ἄξιον ἐπιστάντα τὸν λόγον ἐν τῷδε, διασκέψασθαι περὶ παλαιοῦ δόγματος, ἅπαντα πυρετὸν ἐπὶ τῇ τῶν χυμῶν σήψει φάσκοντος γίνεσθαι. κινδυνεύει γὰρ οὕτω δοξάζειν ὧδε καὶ ὁ τῶν ἀπ' Ἀθηναίου χορός, ἄνδρες οὐχὶ φαυλότατοι τά τ' ἄλλα τῆς τέχνης, καὶ οὐχ ἥκιστα πυρετῶν ἐπιστήμης, περὶ ὧν κἀγὼ τό γε πλεῖστον αὐτοῖς σύμφημι, πλὴν ἕν τι παρίημι, τοὺς ἐφημέρους ὀνομαζομένους πυρετούς. οὐ γάρ μοι δοκοῦσιν ἐπὶ σήψεσιν ἕπεσθαι χυμῶν, ἀλλ' ὁ μὲν ἐπ' ἐγκαύσει πυρέξας ὑπὸ τῆς τοῦ δρῶντος αἰτίου θερμασίας ἀλλοιοῦσθαι πέφυκε· τῷ δὲ ἐπὶ θυμῷ πυρέττοντι, καὶ τούτῳ ζέσιν μέν τινα γίνεσθαι τοῦ κατὰ τὴν καρδίαν αἵματος ἀναγκαῖον, οὐ μὴν ἤδη γε καὶ σῆψιν. οὕτω δὲ καὶ τῷ γυμνασαμένῳ πλείονα, θερμασίαν ἀνῆφθαι παρὰ φύσιν ἄνευ σήψεως χυμῶν. καὶ ὅστις ἐπυκνώθη τὸ δέρμα, δριμύτερα περιττώματα δι' αὐτοῦ κενούμενος, ἀθροισθέντων ἐκείνων, ἐπύρεξεν ἄνευ σηπεδόνος χυμῶν. καὶ μὲν δὴ καὶ οἱ ἐπὶ βουβῶσι πυρετοί, πάντες κακοί, πλὴν τῶν ἐφημέρων (Ἱπποκράτης πού φησι) καίτοι καὶ ὁ βουβὼν ἐκ τοῦ γένους ἐστὶ τῶν φλεγμονῶν· καὶ σύμφημι κατά γε τοῦτο τῷ τῆς σήψεως λόγῳ, διὰ τοῦτο γὰρ ἐπὶ ταῖς φλεγμοναῖς πυρέττουσιν, οὐχ ὡς Ἐρασίστρατος ὑπελάμβανεν. ἀλλ' ὅμως εἰσί τινες ἐπὶ βουβῶσι πυρετοὶ τοῦ γένους τῶν ἐφημέρων, ὥσπερ ἕτεροί τινες ἀγγέλλουσιν οὐκ εὐμεταχείριστα νοσήματα, φλεγμονῆς ἢ ἕλκους ἢ ἀποστάσεως ἢ τινος ἑτέρας τοιαύτης ἐν σπλάγχνῳ διαθέσεως ἔγγονα. διαφέρουσι δὲ οἱ ἐπὶ βουβῶσιν ἐφήμεροι πυρετοὶ τῶν ἐπὶ ταῖς σήψεσι συνισταμένων ἤτοι κατά τι σπλάγχνον, ἢ κατὰ κοῖλα καὶ μέγιστα τῶν ἀγγείων, ὅτι τοῖς μὲν ἐπὶ βουβῶσι συνεκθερμαίνουσιν ἀεὶ τὸ συνεχές, ἡ μὲν θερμασία διαδίδοται μέχρι τῆς καρδίας, οὐκ ἀφικνεῖται δὲ εἰς αὐτὴν ἡ σηπεδονώδης λιγνύς, ἀλλ' αὐτόθι μένει περιγεγραμμένη κατὰ τὸ τοῦ βουβῶνος χωρίον, ἀλλοιώσει μόνῃ τῇ κατὰ τὸ συνεχὲς ἐπὶ τὴν καρδίαν ἀφικνουμένης τῆς θερμότητος, ᾧ μάλιστα τρόπῳ κἀπὶ τῶν ἐγκαιομένων τε καὶ κοπουμένων, ἐκ τῶν πρώτων θερμανθέντων ἐπὶ τὴν ζωτικὴν ἀρχὴν ἡ διάδοσις γίνεται. ἐπὶ δὲ τῆς κατὰ τὰ σπλάγχνα καὶ τὰ μεγάλα τῶν ἀγγείων σηπεδόνος, οἷον καπνὸς ἐκ τῶν σηπομένων χυμῶν εἰς τὰς κοιλίας ἀφικνεῖται τῆς καρδίας. καὶ τοίνυν καὶ σήπεσθαι συμβαίνει τοὺς μὲν ἐν τοῖς βουβῶσι χυμοὺς ἀθρόως ἅπαντας, εἴτε κατὰ μίαν ἡμέραν, εἴτε κατὰ δύο συνεχῶς, ἅτε ὁμιλοῦντάς τε ἀλλήλοις καὶ κατακεκλεισμένους ἐν ἑνὶ χωρίῳ· τοὺς δὲ κατὰ τὰ σπλάγχνα καὶ τὰ μεγάλα τῶν ἀγγείων, ἅτε διαρρέοντας ἀεὶ καὶ συνδιασήποντας ὅσων ἂν ἐφάψωνται, χρόνῳ πλείονι τὸ σηπεδονῶδες ἀνάπτειν θερμόν. ἑνὶ δὲ λόγῳ καθάπερ ἐπὶ τῶν ἐκ τῆς ἀπο-

κατάστασι

cap. 5

A ris vitia emendare. Sed nihil ad proposita huiusmodi nominũ subtilitate egemus. Siue enim seces in duo nomina totum id, sanationem ac præcautionem; siue in vnum ambo colligas, sanationem appellans, non paruum argumentum est, non omnes ab eiusmodi causâ similiter affici, dispositio corporum, quæ prohibita sunt epidemiis ac pestilẽtibus morbis corripi. Vnus enim primusque scopus in omnibus communis est, *vt corpus maximè vacet excrementis & optimè spiret*; secundum verò post hoc, *vt exuperanti causæ repugnet, quoad fieri potest.* Quibus verò B contraria horum insunt, ocyssimè afficiuntur, maximéque ægrotant. Sed quoniam febrium pestilentium mẽtionem feci, ex putredine omnium ortum habentium, pár est incumbentem animo ad hunc sermonem explicandum hoc loco scrutari de antiquâ opinione, omnem febrẽ consistere ex humorum putredine, asserente. Videtur enim ita sentire Athenæi chorus, non obscuri quidem viri tum in cæteris ad artẽ spectantibus, tum præsertim in ea quæ est de febribus scientia; in quibus ego plurimum cum illis sentio, veruntamen vnum excipio, diarias nominatas febres. Non enim mihi videntur hæ C subsequi putredinem humorũ, sed qui ob ęstum febricitat, ab ipso efficientis causæ calore alterari solet. Ob iram verò febricitanti, & ei quidem ebullitionem quandam fieri sanguinis in corde necesse est, nõ tamen putredinem. Nec non per exercitationem, caliditatem ampliorem præter naturam sine humorum putredine accendi. Et quisquis cutem habuerit adstrictã, per quam acria excrementa euacuabantur, illis collectis febricitauit sine putredine humorum. D Quinetiam *febres ex bubonibus omnes malæ, excepta ephemera*, vt Hippocrates dixit; licet etiam bubo inflammationum genere contineatur. Atque assentio in hoc, sermoni putredinis, nam ob eã rem ex inflammatione febricitant, non quemadmodum Erasistratus existimauit. Attamen nonnullæ sunt ex bubone febres in genere diariarum, quemadmodum aliæ quædam nuntiant non faciles curatu morbos, ex inflammatione, aut vlcere, aut abscessu, aut altero quopiam tali in viscere affectu ortum habentes. Cæterũ dissident diariæ febres ex bubone, ab iis quę ex hu- E morum putredine consistunt, quæ fit aut in aliquo viscere, aut in cauis, ac maximis vasis, quoniam vbi febris ex bubone consistit, pars continua semper calefit, ac calor quidem vsque ad ipsum cor distribuitur; cæterùm putrida fuligo vsque ad ipsum minimè peruenit, sed ibi manet circũscripta in bubonis loco, per alterationem solam continuarum partium ad cor peruenientecalore; quo potissimũ modo, etiam per æstũ ac per exercitationem ex partibus primò calefactis, distributio ad principium vitale fit. Vbi F autem putredo fuerit in visceribus atque in magnis vasis, veluti fumus ex putrescentibus humoribus ad cordis sinus peruenit. Accidit igitur humores in bubone quidẽ omnes confertim putrescere, siue vno die, siue duobus continenter; vt potè semper inuicem adhærentes & vno loco inclusos; Qui verò sunt in visceribus conditi, & in magnis vasis, vt potè transfluentes semper ac simul putrefacientes quos attigerint, tempore ampliori putridum accendunt calorem. Sed vt vno verbo *dicatur*, quemadmodum in exteris

exteris

cæteris omnibus, quæcunque calefiunt præter naturam à quauis causa, si nequeat putrescere id quod calefit, velut lapis aut lignũ aut aliquod aliud tale, eò vsque perseuerat calidum quoad refrixerit paulatim. Id autem quod putrescere potest, depascentem semper secundum continuitatem habet calorem. Quemadmodum aliàs vidi in agro stercus pecudum simul & columborum ex parte quapiam ab ipso sole calefactum ita vehementer, vt multa exurgeret exhalatio instar fumi ascendens, vehementer mordens atque afficiens, vt si quis propinquasset, eius oculos & nares læderet. Porrò stercus tãgentibus erat ita calidum, vt deureret diutiùs impositas ipsi manus aut pedes. Nõ tamen semper id symptoma durabat; sed sequenti die refrigerabatur quidem quãtùm stercoris ad summum feruorem pridie peruenerat; quod autem continuum ipsi erat, tunc succendebatur, quando primum stercus in summo feruoris vigore erat; illudque ipsum, dum hoc inclinabat, rursus incalebat atque efferuescebat, ac paulò post summum feruorem obtinebat, primo refrigerato, atque illud rursus inclinabat, dum id quod continuum erat, calorem concipiebat; & paulò pòst accendebatur quidem hoc, & ad summum feruoris perueniebat, prius autem refrigerabatur. Erat autem hic circuitus ferè tempus diei ac noctis; ita vt exemplum sit maximè conueniens febri quotidianæ. Si verò duobus diebus ac noctibus dictus circuitus fuisset, exemplum foret ita febris tertianæ; & si tribus, quartanæ; & si quatuor, quintanæ, si modò febris vlla quintana sit; ipse enim nondum perspicuè vidi neq; eum circuitum neque aliquem alium vltra quartanũ. Sed de *febribus* repetentibus per circuitum, pòst dicetur. Putredo autem humorum, quæ fit in vasis, similis putredini, quæ in inflammationibus fit & abscessibus & aliis phymatis, duplex quidem genere est; ex permistione autem duorum generum, alia tertia varia specie existit. Siquidem & mixtionis modi, quum alterum genus maioris minorisque ratione superet & superetur, facilè numerari non possunt, sed ex duobus generibus alterum quidem fit superãte naturâ, alterum verò euictâ. Superante quidem, vt per inflãmationes & phymatodes tumores omnes, pus; in humoribus autem venarum & arteriarũ, id quod subsidet in vrinâ proportione puri respondens. Atque hæc putredo non simpliciter putredo censetur, sed etiam habet aliquid concoctionis; manente enim adhuc concoquendi facultate vasorum, putrescens tunc humor ad talem alterationem deducitur. Porrò alia est putredo concoctrice facultate adeò debili, vt nulla mutatiò ad bonum putrescentis excrementi efficiatur; quod fit interdum illa extremè debili, quanuis putrescens humor sit modicè prauus; interdum autem facultas ad extremam debilitatem minimè deducitur, sed humor summè prauus existit. Huiusmodi excrementi putredo, neque consistentiam, neque colorem, neque odorem habet vnum; sed putrescens humor semper secundum substantiam permutatur ac variatur. Altera verò putredo quam & concoctionem esse diximus, in vnam speciem puris semper mutatur, & colorem & consistentiam & odorem.

των, ὅσα θερμαίνεται παρὰ φύσιν ὑφ' ἧστινοσοῦν αἰτίας, εἰ μὲν ἄσηπτον εἴη τὸ θερμανθὲν ὂν, ἤτοι λίθος ἢ ξύλον ἤ τι τοιοῦτον ἕτερον, ἄχρι τοσούτου μένει θερμὸν, ἄχρι περ ἂν ἀποψυχθῇ κατὰ βραχύ· τὸ δὲ σήπεσθαι πεφυκὸς, ἐπιγεννωμένην ἀεὶ κατὰ τὸ συνεχὲς ἴσχει τὴν θερμασίαν. ὥσπερ ποτὲ κατ' ἀγρὸν ἐθεασάμην κόπρον κτηνῶν τε ἅμα καὶ περιστερῶν ἔκ τινος μέρους ὑφ' ἡλίου θερμανθεῖσαν οὕτως ἰσχυρῶς, ὥσπερ παμπόλλην ἀναθυμίασιν ἀφιέναι καπνοῦ δίκην ἀναφερομένην, ἰσχυρῶς δάκνουσαν καὶ ἀνιῶσαν, εἴ τις πλησιάζοι, ὡς τούς τε ὀφθαλμοὺς καὶ τοὺς μυκτῆρας βλάπτεσθαι· ἦν δὲ ἄρα καὶ τοῖς ἁπτομένοις ἡ κόπρος οὕτω δή που θερμὴ, ὥστε κατακαίειν τοὺς ἐπὶ πλέον ἐντιθέντας αὐτῇ τὰς χεῖρας, ἢ τοὺς πόδας· οὐ μὴν εἰς ἀεί γε τὸ σύμπτωμα τοῦτο παρέμενεν, ἀλλὰ κατὰ τὴν ἑξῆς ἡμέραν ἀπεψύχετο μὲν, ὅσον ἀκμαίως ἔζεσε τῆς κόπρου κατὰ τὴν προτεραίαν· τὸ συνεχὲς δ' αὐτῷ τὸ τέως ὑποτυφόμενον, ἡνίκ' ἀκμὴν εἶχεν ἡ πρώτη ζέουσα, τοῦτ' ἐν τῷ παρακμάζειν ἐκείνην, αὖθις πάλιν ἀνεθερμαίνετό τε καὶ ἀνέζει καὶ ὀλίγον ὕστερον ἤκμαζε, τῆς προτέρας ἀπεψυγμένης, καὶ τοῦτο αὖθις πρὶν ἠκμάζεν ὑποτυφομένου τοῦ συνεχοῦς αὐτῇ, καὶ μικρὸν ὕστερον ἀνῆπτετο μὲν ἐκεῖνο καὶ ἤκμαζεν, ἀπεψύχετο δὲ τὸ πρότερον. ἦν δὲ περίοδος σχεδόν τι χρόνος ἡμέρας καὶ νυκτὸς, ὡς ἀμφημερινοῦ μάλιστα πυρετοῦ παράδειγμα τὸ γινόμενον οἰκειότατον ὑπάρχειν. εἰ δέ γε καὶ δυσὶν ἡμέραις καὶ νυξὶν ἡ εἰρημένη περίοδος ἐγίνετο, παράδειγμα ἦν οὕτω τριταίου πυρετοῦ· καὶ μέν γε καὶ εἰ τρισὶ, τεταρταίου· καὶ εἰ τέτταρσι, πεμπταίου, εἴπερ γε πεμπταῖός τις ἐστὶ πυρετός· ἐγὼ μὲν γὰρ οὔπω σαφῶς εἶδον οὔτε ταύτην τὴν περίοδον, οὔτ' ἄλλην τινὰ ἐξωτέρω τῆς τεταρταίας. ἀλλὰ περὶ μὲν τῶν κατὰ τὴν περίοδον παροξυνομένων αὖθις εἰρήσεται· ἡ δὲ σῆψις τῶν χυμῶν ἡ ἐν τοῖς ἀγγείοις γινομένη, παραπλησία τῇ κατὰ τὰς φλεγμονὰς καὶ τὰς ἀποστάσεις ἐστὶ, καὶ τὰ ἄλλα τὰ φύματα, διττὴ μὲν κατὰ γένος, ἐξ ἐπιμιξίας δὲ τῶν δύο γενῶν ἄλλη τις τρίτη ποικίλη κατ' εἶδος, ὅτι καὶ τῆς μίξεως ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ὑπερέχειν τε καὶ ὑπερέχεσθαι θάτερον τῶν γενῶν, οὐκ εὐαρίθμητόν ἐστιν. ἀλλὰ τά γε δύο γένη, τὸ μὲν ἕτερον ἐπικρατούσης τῆς φύσεως γίγνεται, τὸ δὲ ἕτερον νενικημένης· ἐπικρατούσης μὲν, ὡς ἐπὶ ταῖς φλεγμοναῖς τε καὶ τοῖς φυματώδεσιν ὄγκοις ἅπασι τὸ πύον· ἐν δὲ τοῖς κατὰ τὰς ἀρτηρίας τε καὶ τὰς φλέβας χυμοῖς, ἀνάλογον τῷ πύῳ τὸ τοῖς οὔροις ὑφιστάμενον. ἡ μὲν δὴ τοιαύτη σῆψις, οὐχ ἁπλῶς σῆψίς ἐστιν, ἀλλά τι καὶ πέψεως ἔχει. μενούσης γὰρ ἔτι τῆς πεπτικῆς δυνάμεως τῶν ἀγγείων, ὁ διασηπόμενος τέως χυμὸς εἰς τοιαύτην ἀλλοίωσιν ἀφικνεῖται. ἑτέρα δέ ἐστί τις σηπεδὼν, ἀρρωστούσης εἰς τοσοῦτον τῆς πεπτικῆς δυνάμεως, ὡς μηδεμίαν ἐπὶ τὸ χρηστὸν ἐργάζεσθαι μεταβολὴν τοῦ σηπομένου περιττώματος· ὃ καὶ γίνεται ποτὲ μὲν ἐσχάτως ἀσθενούσης ἐκείνης, κἂν τὸ σηπόμενον μετρίως ᾖ μοχθηρόν· ἔστι δὲ ὅτε τὰ μὲν τῆς δυνάμεως οὐκ εἰς ἔσχατον ἀρρωστίας ἥκει, τὸ δὲ ὑγρὸν ἄκρως μοχθηρὸν ὑπάρχει. οὐ τοιούτου περιττώματος ἡ σηπεδὼν οὔτε σύστασιν οὔτε χρόαν οὔτε ὀσμὴν ἴσχει μίαν, ἀλλὰ κατὰ τὴν οὐσίαν ἀεὶ τὸ σηπόμενον ἐξαλλάττεται καὶ ποικίλλεται. ἡ δὲ ἑτέρα σῆψις, ἣν καὶ πέψιν ἔφαμεν ὑπάρχειν, εἰς ἓν εἶδος ἀεὶ μεταβάλλει πύου, καὶ χρόᾳ καὶ συστάσει καὶ ὀδμῇ.

A

ΚΕΦΑΛΑΙΟΝ Η'.

Τὸ κάλλιστον πύον, τὸ ἄριστον οὖρον· καὶ τὰ τῶν ἐφημέρων πυρετῶν σημεῖα καὶ, δι' ὧν ἡ διάγνωσις.

Κρατησάσης μὲν οὖν ἀκριβῶς τῆς φύσεως τὸ κάλλιστον γίγνεται πύον, ἰδεῖν μὲν λευκὸν καὶ παχὺ καὶ ὅμοιον ἑαυτῷ πανταχόθεν, λεῖον δ' ἁπτομένῳ, καὶ ἥκιστα δυσῶδες. Εἰ δὲ οἷον ἡμισαπὲς εἴη, τὸ τρίτον γένος ἐν τῇ τοιαύτῃ μεταβολῇ (ὃ μικρὸν ἔμπροσθεν ἔφαμεν) συνίσταται. Εἴρηται δὲ καὶ ὡς πολυειδέστατόν ἐστι τὸ τοιοῦτον γένος· ἐν γὰρ τῷ μᾶλλόν τε καὶ ἧττον δεδέχθαι τὴν πέψιν ἀναρίθμητος ἡ διαφορά. B πολλάκις μὲν γὰρ λευκὸν ἀποτελεσθὲν, ἤτοι δυσῶδές ἐστιν ἢ λεπτὸν κατὰ τὴν σύστασιν. ἐνίοτε δὲ οὐ λευκὸν, ἀλλὰ πελιδνὸν φαίνεται, κἂν τούτοις ἅπασι τὸ μᾶλλόν τε καὶ τὸ ἧττον ἄπειρον. ὅσαι δὲ ἐν τοῖς ἀποστήμασι τῆς σηπεδόνος διαφοραὶ, τοσαῦται κἂν τοῖς ὑπὸ σηπεδόνος ἀναπτομένοις πυρετοῖς αἱ τῶν ἐμφερομένων τοῖς οὔροις ἰδέαι. τὸ μὲν γὰρ ἄριστον οὖρον, ἐκ τοῦ σηπομένου χυμοῦ τὴν ἐκ τοῦ περιέχοντος ἀγγείου καταδεξαμένου πέψιν ἀποτελεῖται, λευκὴν καὶ λείαν καὶ ὁμαλὴν, καὶ ἥκιστα δυσώδη τὴν ὑπόστασιν ἔχει· τὸ δὲ χείριστον, ἐναντιώτατόν ἐστι τῷδε κατὰ πάντα. C τὰ δ' ἐν τῷ μεταξὺ καθ' ὅσον ἂν ὁποτέρου πλησιαίτερον ὑπάρχῃ, κατὰ τοσοῦτον χεῖρον ἢ βέλτιον γίγνεται. ἀλλὰ περὶ μὲν τῆς τῶν οὔρων διαφορᾶς ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασι λέγεται. τοὺς δὲ ἐπὶ σήψει χυμῶν ἀναπτομένους πυρετοὺς, ἑτέρους χρὴ νομίζειν τῶν ἐφημέρων. καὶ ἥγε διάγνωσις αὐτῶν οὐ χαλεπὴ, κἂν τισιν ἀδύνατος εἶναι δοκεῖ, καὶ τοῦτο ἔργῳ μυριάκις ἐδείξαμεν ἐπὶ τῷ πρώτῳ παροξυσμῷ παυσαμένῳ, λουσάμενόν τε καὶ μετρίως διαιτηθέντα, τῶν συνήθων ἔχεσθαι κελεύσαντες, ὡς οὐκέτι πυρέξοντα, καὶ οὕτως ἀπέβη. D ἓν μὲν δὴ καὶ πρῶτον γνώρισμα τῶν ἐφημέρων πυρετῶν, τὸ ἀπό τινος ἄρξασθαι προκαταρχούσης αἰτίας προσφάτου τε καὶ φανερᾶς (ἥνπερ ἤδη συνήθως ὀνομάζουσιν οἱ νεώτεροι πάντες ἰατροὶ προκαταρκτικὴν αἰτίαν) ἀλλὰ τοῦτο μὲν εἰ καὶ ἀχώριστόν ἐστι τῶν τοιούτων πυρετῶν, ἴδιον αὐτῶν οὐκ ἔστιν· ἄρχονται γὰρ καὶ τῶν ἄλλων ἔνιοι, φανερᾶς προηγησαμένης αἰτίας. ἀχώριστον δὲ καὶ ἴδιον ἡ τῶν οὔρων πέψις ἐστὶν εὐθέως ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, καὶ πρὸς τούτοις εἰς μέγεθος καὶ τάχος ἐπιδιδόντων τῶν σφυγμῶν ἀξιόλογον, ὡς ἀπολείπεσθαι τῆς ἀναλογίας τὴν πυκνότητα κατὰ τὴν ἐκτὸς ἡσυχίαν. E ἔτι τε μᾶλλον ἴδιον καὶ ἀχώριστον αὐτῶν ἐστι τὸ μηδ' ὅλως εἰς τάχος ἐπιδιδόναι τὴν συστολήν· ἢ εἰ καὶ ἐπιδιδοίη ποτὲ, μικρότατον εἶναι τοῦτο καὶ δυσγνωριστον καὶ ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν ἐξιστάμενον. ἀλλὰ μὴν καὶ τὸ τῆς θερμασίας ἡδὺ τῶν τοιούτων πυρετῶν ἴδιόν τέ ἐστι καὶ ἀχώριστον. ἀχώριστον δὲ καὶ ἡ ὁμαλότης, καὶ ἀκώλυτος ἀνάβασις ἔν τε τῇ θερμασίᾳ καὶ τοῖς σφυγμοῖς, οὐ μὴν ἴδιόν γε· καὶ γὰρ καὶ τῶν ἄλλων ὑπάρχει τισὶν, ὥσπερ γε καὶ τὸ τῆς ἀκμῆς ἐπιεικές· οὐδὲ γὰρ τοῦτο ἴδιον, εἰ καὶ μάλιστα τούτοις ὑπάρχει. καὶ κάλλιόν γε τὰ κοινὰ ταῦτα κατὰ τὰς ἀναβάσεις τε καὶ τὰς ἀκμὰς, ἐν τῷ F μάλιστα ὑπάρχειν τοῖς ἐφημέροις, ἴδια τίθεσθαι. γένοιτο γὰρ ἂν οὕτως εἰ καὶ μὴ τοῦ πράγματος εἶδος, ἀλλὰ τὸ κάλλιστόν γε καὶ ἀπηκριβωμένον τῶν τοιούτων πυρετῶν ἴδιόν τε ἅμα καὶ ἀχώριστον σημεῖον, ὥσπερ γε καὶ ἡ παρακμὴ μεθ' ἱδρῶτος, ἢ νοτίδος, ἢ πάντως γε σὺν ἀτμῷ τινι χρηστῷ γινομένη, τελείας ἀπυρεξίας ἐκδεχομένης αὐτήν.

CAPVT VIII.

Pus optimum, optima vrina; & diariarum febrium signa, & per quæ dignotio.

Vincente igitur prorsus naturâ pus optimum gignitur, visu album ac crassum & sibi simile vndique; læue autem tangenti ac minimè fœtidum. Quòd si velut semiputridum fuerit, tertium genus in tali mutatione (quod paulò suprà diximus) consistit. Porrò diximus tale genus maximè multiplex esse: Nam quòd magis ac minus recipiat concoctionem; innumerabilis differentia est. Sæpè enim album effectum, aut fœtidum est aut tenue consistentiâ; quandoque verò non album, sed liuidum apparet, atque in omnibus his magis & minus est infinitum. Cæterum quot in abscessibus putredinis differentiæ sunt, tot in febribus ex putredine accensis vrinarum ab iis, quæ his innatant, formæ existunt: optima enim, quæ ex putrente humore coctionē à continenti vase suscipiente perficitur, candidum, læue, æquale, ac minimè fœtidum sedimentum habet: Pessima verò, quæ in omnibus maximè contraria huic est. Ea verò, quæ media est, quò propius ad earum alteram accesserit, tantò melior aut deterior est. Sed de vrinarum differentiâ in commentariis de iudicationibus disseritur. Febres autem, quæ ex putredine humorum accenduntur, alias à diariis esse existimare oportet. Atque harum dignotio nequaquàm difficilis est, quanuis impossibilis quibusdam esse videatur, idque re ipsa millies indicauimus, prima accessione finita, lotum ac modicè cibatum ad solita opera redire præcipientes, vt posteà non febricitaturum, & ita accidit. Vnum igitur ac primum indicium diariarum febrium est, ab aliquâ causâ incepisse recenti atque euidenti, quæ præcesserit (quam consueuerunt omnes medici iuniores appellare causam procatarcticam) sed id quanuis inseparabile sit ab huiusmodi febribus, earum proprium minimè est; quoniam & aliæ nonnullæ incipiunt causa quadam euidenti prægressa. Inseparabile verò & proprium est, vrinæ concoctio statim primo die; & ad hæc, pulsus ad magnitudinem ac celeritatem insignem accedentes, ita vt frequentia per exteriorem quietem à proportione deficiat. Magis prætereà proprium, atque inseparabile earum *indicium* est, quòd systole minimè crescat in celeritatem, vel si crescat interdum, id minimum est, ac cognitu difficile & paulùm à *pulsu* naturali recedens. quinetiam caloris suauitas proprium atq; inseparabile est talium febrium. Inseparabile verò, & æqualitas, & ascensus liber tum in caliditate tum pulsibus, non tamen proprium est: etenim quibusdam aliis inest, quemadmodum & status clementia, neque enim id proprium est, quanuis his potissimum insit. Ac melius quidem *fuerit* hæc communia, quòd per incrementum ac vigorem diariis præcipuè insint, inter propria reponere. Sit enim ita, quanuis non rei species, tamen optimum certissimumque talium febrium proprium simul atque inseparabile signum: quemadmodū declinatio, quæ cum sudore, aut madore, aut penitus vapore quodam suaui est, quā integritas perfecta excipiat.

hæc

hæc quidem communis est febrium diariarum dignotio. Sed de singulis seorsum secundum speciem agam infra.

CAPVT IX.

Dignotio atque indicia febrium putridarum, deque duritie pulsus nonnulla contra Archigenem.

Aliud autem genus febrium, quod diuisione diariis opponitur, nullum nomen commune omnium habet. Differentiæ autem primæ duæ existunt, non obscuris speciebus definitæ; quædam enim ex iis putredine humorũ accenduntur; aliæ verò partes ipsas animalis solidas occuparunt, atque appellant eas hecticas febres, vel quia stabiles sunt ac solutu difficiles, quemadmodum habitus, vel quia ipsum corporis habitum occuparunt. Ita nanque consueuerunt nominare solidas partes, eas humoribus diuisione opponentes. Indicia igitur febriũ, quę ex humorum putredine accenduntur, hæc sunt. Primum omnium propriũ quidem, sed minimè inseparabile est, quòd nulla præincipiens causa tales præcesserit febres, neutri enim aliorum generum hoc inest, eo quòd omnes diariæ ex causis procatarcticis consistant, hecticæ autem quoties sine iis generantur, nunquam ab initio inuadunt: quocirca quoties sine præincipiente causâ quis febricitare cœperit, causam huius affectionis esse in humoribus sciendũ est. Sed interdum causa quæpiam euidens, quæ præcesserit, diariam febrem, quantum est in seipsa, committens, febrem ex humorum putredine excitauit, quoties affectum corpus ita se habet, id est, quum impurum excrementosumque est. Vbi enim excrementa per diariam febrem plus æquo calefacta fuerint, deinde initium putredinis inde susceperint, alterum febrium genus accendunt, priore sedato. Sed internoscitur successio talis febris indicio proprio simul atq; inseparabili, quòd febris diaria nequaquàm desinat ad exquisitam integritatem. Accidit sanè interdum in diariarum febrium vigore, aliquod transmutationis *indicium* prodi; ac multò magis in declinatione, quoties (vt paulò ante dicebamus) maxima tranquillitas febris abest, quæ adesse deberet. Hæc sunt transitus indicia. At verò febrem à rigore incepisse, neque prægresso æstu, neque frigore vehemente (qualem maximè patiuntur, qui per niuem faciunt iter vel alio modo in vehementi frigore versantur diutiùs) proprium est & hoc febrium, quę ex humorum putredine accenduntur, sed haudquaquã inseparabile. Non enim omnibus ipsis, quemadmodum nec horror, inest: is enim non solùm nõ inseparabilis est ab huiusmodi febribus, sed nec ab initio proprius est. Cæterum pulsum atque caloris inæqualitatem esse, siue per accessiones siue per incrementa, talium generi febrium proprium est, sed haudquaquàm inseparabile, multæ enim etiam sine inæqualitate sensibili incipiunt, atque ad statum perueniunt. Iam verò multò minùs illud *inseparabile est*, quòd accessio multas habeat inuasiones, quod rursus exacerbari appellamus. Quemadmodum & pulsuum compressio (ita verò nominant, vbi incipiente accessione parui admodum & inæquales existunt) neque id talium febrium insepara-

αὕτη μὲν ἡ κοινὴ διάγνωσις τῶν ἐφημέρων πυρετῶν, ἑκάστου γὰρ αὐτῶν ἰδίᾳ κατ' εἶδος ἐν τοῖς ἑξῆς διοριούμεθα.

ΚΕΦΑΛΑΙΟΝ Θʹ.

Αἱ διαγνώσεις καὶ τὰ γνωρίσματα τῶν ἐπὶ σήψει χυμῶν πυρετῶν, καὶ περὶ τῆς τοῦ σφυγμοῦ σκληρότητος ἔνια πρὸς τὸν Ἀρχιγένην.

Τοῦ δὲ ἄλλου γένους τῶν πυρετῶν, ὅπερ ἀντιδιαιρεῖται τοῖς ἐφημέροις, οὐδὲν μὲν ὄνομα κοινὸν ἁπάντων ἐστίν, αἱ διαφοραὶ δὲ αἱ πρῶται, δύο εἰσὶν οὐκ ἀσαφέσιν ἰδέαις ἀφωρισμέναι· τινὲς μὲν γὰρ αὐτῶν ἐπὶ σήψει χυμῶν ἀνάπτονται· τινὲς δὲ αὐτὰ κατειλήφασι τὰ στερεὰ τοῦ ζώου μόρια, καὶ καλοῦσιν αὐτοὺς ἑκτικοὺς πυρετούς, εἴθ' ὅτι μόνιμοί τ' εἰσὶ καὶ δύσλυτοι, καθάπερ αἱ ἕξεις, εἴθ' ὅτι τὴν ἕξιν τοῦ σώματος αὐτὴν κατειλήφασιν. οὕτω γὰρ εἰώθασιν ὀνομάζειν τὰ στερεά, τοῖς ὑγροῖς ἀντιδιαιρούμενοι. αἱ διαγνώσεις δὲ τῶν ἐπὶ σήψει χυμῶν πυρετῶν αἱ τοιαίδε. πρώτη μὲν ἁπασῶν οὐκ ἀχώριστος μέν, ἰδία δέ, τὸ μηδὲν τῶν προκαταρκτικῶν αἰτίων ἡγήσασθαι τῶν τοιούτων πυρετῶν, οὐδετέρῳ γὰρ τῶν ἄλλων γενῶν τοῦθ' ὑπάρχει, διὰ τὸ τοὺς ἐφημέρους ἅπαντας ἐπὶ ταῖς προκαταρκτικαῖς αἰτίαις συνίστασθαι, τοὺς δ' ἑκτικούς, ὅταν ἄνευ τούτων γίνωνται, μηδέποτε ἐξ ἀρχῆς εἰσβάλλειν, ὥσθ' ὅταν ἄνευ προκαταρχούσης αἰτίας ἄρξηταί τις πυρέττειν, εἰδέναι τούτου τὴν αἰτίαν τοῦ πάθους ἐν τοῖς χυμοῖς ὑπάρχειν. ἔστι μὴν ὅτε προκαταρξαμένη τις αἰτία φανερὰ τὸν ἐφήμερον, ὅσον ἐφ' ἑαυτῆς, συνιστῶσα πυρετόν, διεδέξατο δ' αὐτὸν ὁ ἐπὶ σήψει χυμῶν, ὅταν οὕτως ἔχῃ τὸ πάσχον σῶμα, τουτέστιν, ὅταν ἀκάθαρτόν τε καὶ περιττωματικὸν ὑπάρχῃ. θερμανθέντα γὰρ ἐπὶ πλέον ἐν τοῖς ἐφημέροις πυρετοῖς τὰ περιττώματα, κἄπειτ' ἀρχὴν σηπεδόνος ἐντεῦθεν λαβόντα, θάτερον εἶδος ἀνάπτει τῶν πυρετῶν ἐπὶ τῷ προτέρῳ παυσαμένῳ. διάγνωσις δὲ τῆς διαδοχῆς μία μὲν ἰδία τε ἅμα καὶ ἀχώριστος ἁπάντων, τὸ μὴ τελευτῆσαι τὸν ἐφήμερον πυρετὸν εἰς ἀπυρεξίαν ἀκριβῆ· συμβαίνει μήν, ἔστιν ὅτε, καὶ κατ' αὐτὴν τὴν ἀκμὴν τῶν ἐφημέρων πυρετῶν ἐμφαίνεσθαί τι τῆς μεταπτώσεως, καὶ πολὺ δὴ μᾶλλον ἐν ταῖς παρακμαῖς, ὅταν ὅπερ ὀλίγον ἔμπροσθεν ἐλέγομεν ἐν τῷ μάλιστ' εὐφόρως τετάχθαι, τοῦτ' ἀπῇ. ταῦτά τοι μὲν μεταπτώσεως σημεῖα. τὸ δ' ἀπὸ ῥίγους ἄρξασθαι τὸν πυρετόν, οὔτ' ἐγκαύσεως, οὔτε καταψύξεως ἰσχυρᾶς προηγησαμένης (ὁποῖαι μάλιστα τοῖς διὰ χιόνος ὁδοιπορήσασι συμπίπτουσιν, ἢ ἄλλως ἐν ἰσχυρῷ κρύει διατρίψασιν ἐπὶ πλέον) ἴδιον ἐστὶ καὶ αὐτὸ τῶν ἐπὶ σηπεδόνι χυμῶν ἀναπτομένων πυρετῶν, οὐ μὴν ἀχώριστόν γε. οὐ γὰρ ἅπασιν αὐτοῖς ὑπάρχει, καθάπερ οὐδὲ αἱ φρίκαι· αὗται μέν γε οὐ μόνον οὐκ εἰσὶν ἀχώριστοι τῶν τοιούτων πυρετῶν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ἴδιαι. τὸ δὲ τῆς ἀνωμαλίας τῶν σφυγμῶν καὶ τῆς θερμασίας, εἴτ' ἐν ταῖς εἰσβολαῖς, εἴτ' ἐν ταῖς ἀναβάσεσι γίγνοιτο, τοῦ γένους μὲν ἐστὶ τῶν τοιούτων πυρετῶν ἴδιον, οὐ μὴν ἀχώριστόν γε οὐδ' αὐτό· πολλοὶ γὰρ χωρὶς ἀνωμαλίας αἰσθητῆς εἰσβάλλουσί τε καὶ ἀναβαίνουσιν ἐπὶ τὴν ἀκμήν. ἔτι δὲ δὴ μᾶλλον οὐδὲ τὸ πολλὰς ἔχειν εἰσβολὰς ἴδιον τοὺς παροξυσμούς, ὅπερ ἐπιπαροξύνεσθαι καλοῦμεν· ὥσπερ γε καὶ τὸ τῆς θλίψεως τῶν σφυγμῶν (οὕτω δὲ ὀνομάζουσιν, ὅταν ἀρχομένου τοῦ παροξυσμοῦ μικροὶ ἱκανῶς ἔχωσι καὶ ἀνώμαλοι αὐτοί) οὐδ' αὐτὸ τῶν τοιούτων πυρετῶν ἀχώρι-

στον, οὐ μὴν οὐδὲ κοινόν ἐστιν ἑτέρῳ τινὶ γένει πυρετῶν, ἀλλ' ἴδιον ἐξαίρετον τούτων, ὥσπερ καὶ ὁ τῆς ἀνωμαλίας, ὅταν γε μὴ κατά τι σύμπτωμα γίνηται. πολλάκις γὰρ ἐν αὐτῷ στόματι τῆς κοιλίας ἢ ἀθροισμένου τινὸς χυμοῦ μοχθηροῦ καὶ δάκνοντος ἢ ψύχοντος αὐτό, μικροί τε ἅμα καὶ ἀνώμαλοι γίνονται. πλεονάζει μὲν ἐπὶ μὲν τῶν ψυχόντων ἡ μικρότης, ἐπὶ δὲ τῶν δακνόντων ἡ ἀνωμαλία, ἀλλὰ ἐμεσάντων γε ταῦτ' ἄμφω παραχρῆμα καθίσταται. ὅτε δὲ οὐδὲν ἡ γαστὴρ πέπονθε, τοῦ γένους τῶν προκειμένων εἰσὶ πυρετῶν οἱ τοιοῦτοι σφυγμοί. μέγιστον δὲ γνώρισμα τῶν ἐπὶ σήψει πυρετῶν ἐστι καὶ ἡ τῆς θερμασίας ποιότης. οὐδὲν γὰρ ἔχει χρηστόν, οὐδὲ μέτριον, οὐδ' ὅμοιόν τι τῶν [10] ἐφημέρων· ἀλλ' ὥσπερ εἴρηται καὶ τοῖς ἀρίστοις τῶν πρὸ ἡμῶν ἰατρῶν δακνώδης πώς ἐστι μᾶλλον, ὡς ἀνιᾶν καὶ διαβιβρώσκειν τὴν ἁφήν, ὥσπερ ὁ καπνὸς τοὺς ὀφθαλμοὺς καὶ τοὺς μυκτῆρας. ἀλλ' ἐν μὲν ταῖς ἐπιβολαῖς τῶν παροξυσμῶν (ὡς ἂν ἔτι καταπνιγομένου τε τοῦ θερμοῦ καὶ τυφομένων ἔνδον τῶν περιττωμάτων) οὐκ εὐθέως ἐπιβαλλόντων τὴν χεῖρα διαγινώσκεται, χρονιζόντων δέ, τὸ εἰρημένον εἶδος τῆς θερμότητος ἐκ βάθους ἀναφέρεται. καί μοι δοκεῖ τοιοῦτόν τι κατιδὼν [11] Θεμίσων, ἴδιόν τε καὶ ἀχώριστον ὑπάρχειν ἅπασι τοῖς πυρέττουσιν ὑπελάμβανεν. ἀλλὰ περὶ μὲν τούτου, ἐν οἰκείῳ τῷδε τοῦ λόγου χωρίῳ καὶ αὖθις σκεψόμεθα. τὸ δ' εἰρημένον εἶδος τῆς θερμασίας, τὸ κεντοῦν (ὡς ἂν εἴποι τις) ἢ διαβιβρῶσκον, ὥσπερ τι φάρμακον δριμύ, τὴν ἐπιβαλλομένην χεῖρα, σηπεδόνος ἐστὶ χυμῶν ἔγγονον, ἐναργῶς μὲν ταῖς ἀναβάσεσί τε καὶ ταῖς ἀκμαῖς τῶν πυρετῶν φαινόμενον, οὐκ ἐναργῶς, οὐδ' εὐθέως ἐν ταῖς εἰσβολαῖς. ἴδιον δὲ ἀχώριστόν ἐστι τοῦ γένους τῶν ἐπὶ χυμοῖς ἀναπτομένων πυρετῶν, καὶ τὸ τάχος τῆς τῶν σφυγμῶν συστολῆς, ἐναργέστερον μὲν ἐν ταῖς ἐπιδόσεσι [12] φαινόμενον, οὐκ ἀσαφὲς δὲ οὐδ' ἐν ταῖς εἰσβολαῖς τε καὶ ταῖς ἀκμαῖς. σύνεστι δ' αὐταῖς, κατὰ μὲν τὰς ἀρχὰς ὁ μικρός τε ἅμα, καὶ ὁ ταχὺς σφυγμός, ἔν τε ταῖς ἀκμαῖς ὁ μέγας τε ἅμα καὶ ταχύς. οὕτω δὲ καὶ ἡ κατὰ τὴν ἐκτὸς ἠρεμίαν πυκνότης ἐναργής ἐστιν ἐν τοῖς τοιούτοις πυρετοῖς, οὔτε τοῖς ἐφημέροις, οὔτε τοῖς ἑκτικοῖς ὁμοίως ὑπάρχουσα. ἴδιον δὲ ἐν τοῖς μάλιστα τῶν τοιούτων πυρετῶν ἐστι καὶ ἡ τῶν οὔρων ἀπεψία, καὶ ἡ ἀμυδρὰ πέψις ἴδιόν ἐστι γνώρισμα τῶν ἐπὶ χυμοῖς πυρετῶν. οὔτε γὰρ ἄπεπτον, οὔτε ἀμυδρῶς πεπεμμένον ἐν τοῖς ἐφημέροις φαίνεται. ἑκάτερον μὲν αὐτῶν ἰδίᾳ λεγόμενον, ἴδιόν ἐστι γνώρισμα τῶν ἐπὶ χυμοῖς πυρετῶν· ἅμα δ' ἄμφω λεγόμενα κατὰ τὸ παραδιεζευγμένον ἀξίωμα, παντάπασιν ἀχώριστα. ᾧ γὰρ τοιούτῳ γένει τῶν πυρετῶν τὰ πρῶτα τῶν οὔρων, ἤτοι παντάπασιν ἄπεπτα, ἢ ἀμυδρῶς πεπεμμένα συμβάλλει. μέγα δὲ καὶ ἀξιόλογον γνώρισμα πέψεως ἐν τοῖς πρώτοις οὔροις οὐδέποτε φαίνεται κατὰ τοὺς τοιούτους πυρετούς, ἀφωρισμένης τῆς ἐκ τῶν ἐφημέρων πυρετῶν μεταπτώσεως, ὑπὲρ ἧς ἔμπροσθεν ἔφαμεν. ἐπὶ δὲ τοῖς εἰρημένοις γνωρίσμασι τῶν προκειμένων πυρετῶν, ἐστὶ καὶ τὸ κατὰ τὴν ἀκμὴν τοῦ παροξυσμοῦ προδεῖξαι τι σύμπτωμα καυσώδους πυρετοῦ. καὶ μέντοι γε καὶ τὰ τῶν ἠπιάλων καὶ λειπυριῶν εἰ φανείη συμπτώματα, καθάπερ οὖν καὶ τὰ τῶν ἡμιτριταίων, ἢ τυφωδῶν, ἤ τινος ἄλλου τοιούτου πυρετοῦ, ἅπερ ἴδια μέν ἐστι τοῦ γένους τῶν ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν, οὐ μὴν ἀχώριστά γε, καὶ διὰ τοῦτο μὴ παρόντων μὲν αὐτῶν, ἐξ ἑτέρων ἡ διάγνωσις· εἰ παρείη δέ, οὐ μόνον τοῦ γένους τῶν τοιούτων πυρετῶν, ἀλλὰ καὶ τινος εἴδους ἑνὸς ἐξ αὐτῶν ἐστι δηλωτικά. εἰ μὲν δὴ καὶ τὸ μὴ παύσασθαι τὴν παρακμὴν εἰς ἀπυρε-

A bile *est*, non tamen commune est alteri vlli generi febrium, sed harum proprium, quemadmodum ipsa inæqualitas, vbi alicuius symptomatis ratione non accidit. Sæpè enim in ipso ore ventriculi collecto quodam prauo humore ac mordente ipsum vel refrigerante, parui simul inæqualesque fiunt. In frigidis quidem humoribus paruitas; in mordacibus verò, inæqualitas exuperat: Sed vomentibus, hæc ambo statim desistunt. Vbi verò ventriculus nihil eiusmodi patitur, generis prædictarum febrium tales pulsus existunt. At verò maximum indicium

B febrium putridarum est caloris qualitas. Nihil enim suaue, neque moderatum, neque diariis simile habet; sed quemadmodũ optimi ante nos medici dixerunt, mordax potiùs quodammodo est, vt lædat mordeatque tactum, veluti fumus oculos ac nares. Verùm inter initia accessionum (dum adhuc suffocatur calor, ac succenduntur intus excrementa) non statim admouentibus manum dignoscitur; sed diutiùs immorantibus prædictum caloris genus de profundo emergit. Ac (vt mihi videtur) quum tale aliquid vidisset Themison, proprium atque inseparabile esse

C omnibus febribus existimabat. Sed de his suo loco rursus agetur. Prædicta autem species caloris perpugens (vt ita dixerim) aut erodens, veluti medicamentum aliquod acre, impositam manum, putredinis humorum soboles est, perspicuè per incrementa atque vigores febrium apparens; non tamen statim per initia accessionum perspicuè *existit*. Proprium prætereà inseparabile est generi febrium, quæ ex humorum putredine accenduntur, velocitas contractionis pulsus, euidentior quidem per incrementa

D apparet, sed minimè obscura per ipsos vigores atque accessiones. Comitatur autem has per initia paruus simul ac velox pulsus; per vigorem autem, magnus simul ac velox. Nec secus frequentia ipsa per exteriorem quietem perspicua est in eiusmodi febribus, neque diariis, neque hecticis similis. Maximè proprium pæterea est talium febrium, vrinæ cruditas; atque obscura, concoctio proprium indicium est febrium ex humoribus consistentium. Neque enim cruda, neque obscurè concocta in febribus diariis existit. Atque alterutra quidem earum seorsum dicta proprium est febrium putridarũ indicium;

E sed ambo simul dicta per ipsam enunciationis disiunctionem, penitus inseparabilia sunt. Nam primæ vrinæ in tali febrium genere, vel penitus crudæ, vel obscurè concoctæ simul prodeunt. Magnum verò atque insigne indicium concoctionis in primis vrinis nunquàm existit per huiusmodi febres, excepta diariarum in has transmutatione, quam paulò antè docuimus. Cæterũ præter hæc, quæ diximus, indicia propositarum febrium, id quoque existit, per accessionis vigorem declarare symptoma quoddam ardentis

F febris; quemadmodum siquod epialæ, ac lipyriæ, vel semitertianæ, vel typhodis, vel alterius talis febris symptoma fuerit; quæ propria quidem sunt generis febrium ex putredine humorum consistentium, non tamen inseparabilia, & ob eam rem, si quidem hæc minimè adfuerint, ex aliis indicium *quærendum*; si verò adfuerint, non solùm genus talium febrium, sed & species vna aliqua ex ipsis significatur. Quòd si declinatio minimè desinat ad integritatem, siue per sudo-

ſudorem, ſiue etiam aliter fiat, alterum è duobus erit, aut indicium tranſitus *in aliam febrem*, ſi ſuperiora omnia diariæ fuerint indicia; vel ſi nullum ex his fuerit, febrem quandam ex humoribus conſiſtentem ſtatim ab initio inuaſiſſe oſtenditur. Si verò pulſus prima die durus exiſtat, conſiderandum num concretio quædã ex frigore, an ſiccitas, an tenſio conuulſifica in corpore laborantis, an inflammatio quædam, an ſcirrhus ſit; ſcientes quòd ex his tantummodò pulſus durus efficiatur. Nam Archigenis errores circa notionem dignotionemque duri pulſus, in opere de pulſibus abundè docuimus, in quo verſatus ſit oportet, qui ad hos libros legendos accedet, ac potiſſimùm in *ea* parte quæ de pulſuum dignotione *agit*. Etenim pulſuum ipſorũ nomina ac ſignificata ab eis omnia, omnemque numerum vno volumine indicauimus, quod quidem inſcripſimus de differentiis pulſuum. Sed quonam modo vnumquenque conueniat dignoſcere, alio volumine diximus in quatuor libros *diſtincto*, quod inſcripſimus De dignotione pulſuum: quemadmodũ alios deinceps quatuor libros de cauſis pulſuum effecimus; & item quatuor ab iis dictis de prænotione ex pulſibus, non ſolùm verbis, ſed etiam re ipſâ indicantes huius ſcientiæ vtilitatem. Et ſi quis nobiſcum vnâ acceſſit ad ægros, horum librorum ſpeculationem re ipſâ demonſtrantibus, cùm cætera ei perſuaſa ſunt, tum *verò etiam illud*, non eſſe *videlicet* durum pulſum aut proprium talium febrium aut inſeparabilem. Sed de hoc nunc non eſt dicendi locus; nam prædictis libris, & aliis octo libris, quibus expendimus librum de pulſibus Archigenis, abundè huiuſmodi ſymptomata docuimus; hoc loco, quod ſit neceſſarium, tantũmodò indicabitur. Pulſus durus neque proprius eſt, neque inſeparabilis cuipiam generi febrium, neque diariæ, neque putridæ, neque hecticæ. Sed hecticæ ineſt magnâ ex parte, atque interdum in aliis duobus generibus ob ſymptoma quoddam. In diariâ quidem, quoties febris affligit ob perfrigerationem vehementẽ, vel tenſio quædam neruoſa ineſt; atque interdum *efficitur* ob æſtum vehementem, vel laſſitudinem ſimul, vel inopiam alimenti, vel vigilias immodicas, vel euacuationem; quum ob alimenti defectum hæc quoque conſtiterint. Per febres autẽ putridas pulſus quoque durus habetur, quoties in viſcere inflammatio fatigat, vel ſcirrhus; & ob ſymptoma aliquod coniunctum, aut neruoſam aliquam tenſionem, aut ſiccitatem, durus quoque ſic pulſus euadit, velut & iis qui intempeſtiuè frigidam biberunt, aut eadem lauerunt, & fructus quoſdã largiter comederunt. Sed pulſus durus nunquàm efficitur per ipſam febrem, quâ febris eſt, neque per ipſam diariam, neque per ipſam putridam; neque enim quoties ex inflammatione febris affligit, eodem modo febris ac pulſus durities comitatur; ſed febris quidem ſequitur putredinem humorum; durities autem tenſionem ex repletione vaſorum. Nam (vt ſemel dicatur) durities tunicis arteriarum accedit, vel propter concretionem, vel tenſionem, vel ſiccitatem. Concretionem igitur refrigeratio vehemens committit; tenſionem verò inflammatio ac ſcirrhus, atque etiam neruorum proportione reſpondens inflammationibus diſpo-

A ξίαν, εἴτ' οὖν μεθ' ἱδρῶτος, εἴτε καὶ ἄλλως γένοιτο, δυοῖν θάτερον, ἤτοι μεταπτώσεώς ἐστιν ἴδιον, εἰ τὰ πρόσθεν ἅπαντα τῶν ἐφημέρων εἴη γνωρίσματα· εἰ δὲ μηδὲν τούτων εἴη, τὸν ἐπὶ χυμοῖς τινα πυρετὸν εὐθέως ἐξ ἀρχῆς εἰσβάλλειν ἐνδείκνυται. εἰ δέ ποτε φανείη σκληρὸς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ὁ σφυγμὸς, ἐπισκέπτεσθαι πότερα πῆξίς τις ἐκ ψύξεως, ἢ ξηρότης, ἢ τάσις σπασμώδης ἐν τῷ σώματι τοῦ κάμνοντος, ἢ φλεγμονή τις, ἢ σκίρρος ἐστὶν, εἰδότας, ὡς ἐπὶ τούτοις μόνοις ὁ σφυγμὸς γίνεται σκληρός.
B Ἀρχιγένης γὰρ ὅσα πλημμελεῖ περί τε τὴν ἔννοιαν καὶ τὴν διάγνωσιν τοῦ σκληροῦ σφυγμοῦ, διὰ τῆς περὶ τῶν σφυγμῶν πραγματείας αὐτάρκως ἐπιδέδεικται, ἧς δηλονότι τὸν ὁμιλήσοντα τοῖσδε τοῖς γράμμασιν ἐμπείρως ἔχειν ἀναγκαῖόν ἐστι, καὶ μάλιστα τῆς διαγνωστικῆς. τὰ μὲν γὰρ ὀνόματα τῶν σφυγμῶν καὶ τὰ σημαινόμενα πρὸς αὐτῶν ἅπαντα καὶ τὸν ἀριθμὸν σύμπαντα διὰ μιᾶς ἐξηγησάμεθα πραγματείας, ἣν περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν ἐπιγράφομεν· ὅπως δ' ἕκαστον χρὴ διαγινώσκειν, ἐν ἑτέρᾳ πραγματείᾳ λέγεται διὰ βιβλίων τεττάρων, ἣν
C περὶ διαγνώσεως σφυγμῶν ἐπιγράφομεν· ὥσπερ γε καὶ τὴν ἑξῆς αὐτῇ τετράβιβλον ἑτέραν, περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ἐποιησάμεθα· καὶ τετάρτην ἐπὶ ταῖς εἰρημέναις, περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως, οὐ λόγῳ μόνῳ, ἀλλὰ καὶ τοῖς ἔργοις αὐτοῖς ἐπιδειξάμενοι τὸ τῆς τοιαύτης θεωρίας χρήσιμον. καὶ εἴ τις ἡμῖν ἐπ' ἀρρώστων συμπαρεγένετο, τὴν τῶν βιβλίων θεωρίαν ἔργῳ διαδεικνυμένοις, ἔγνω ἐπείσθη τά τε ἄλλα, καὶ ὡς οὐκ ἔστιν οὔτ' ἴδιος, οὔτ' ἀχώριστος τῶν πυρετῶν τούτων ὁ σκληρὸς σφυγμός. ἀλλ' οὐ νῦν περὶ
D τούτου καιρός· ἔν τε γὰρ ταῖς εἰρημέναις πραγματείαις, καὶ δι' ἑτέρας ὀκταβίβλου, καθ' ἣν ἐπισκοπούμεθα τὸ περὶ τῶν σφυγμῶν Ἀρχιγένους βιβλίον, αὐτάρκως ἐπιδέδεικται τὰ τοιαῦτα συμπτώματα. νυνὶ δὲ ὅσον εἰς τὰ παρόντα χρήσιμον, εἰρήσεται. ὁ σκληρὸς σφυγμὸς οὐκ ἔστιν οὔτ' ἴδιος, οὔτ' ἀχώριστος οὐδενὸς γένους πυρετῶν, οὔτε τῶν ἐφημέρων, οὔτε τῶν ἐπὶ χυμοῖς, οὔτε τῶν ἑκτικῶν· σύνεστι δὲ ὡς τὰ πολλὰ μὲν τοῖς ἑκτικοῖς, ἔστι δὲ ὅτε καὶ τοῖς ἄλλοις δύο γένεσι κατά τι σύμπτωμα. τοῖς μὲν ἐφημέροις, ἐπειδὰν ἐπ' ἐμψύξει σφοδρᾷ πυρέττωσιν, ἤ τις αὐτοῖς συνυπάρχῃ τάσις νευρώδης· ἔστι
E δ' ὅτε καὶ δι' ἔγκαυσιν ἰσχυρὰν, ἢ κόπον ἅμα, ἢ ἔνδειαν τροφῆς, ἢ ἀγρυπνίαν ἀμέτρων, ἢ κένωσιν, ὅταν ἐπ' ἐνδείᾳ τροφῆς καὶ ταῦτα συστῇ. τοῖς δὲ ἐπὶ σηπομένων χυμῶν σκληρὸς ὑπάρχει σφυγμὸς, ἐπειδὰν ἤτοι φλεγμαίνῃ τι σπλάγχνον, ἢ σκιρρωθῇ, καὶ κατὰ σύμπτωμα δέ τι συνὸν, ἤτοι νευρώδη τινὰ τάσιν, ἢ ξηρότητα, γένοιτ' ἂν καὶ οὕτως σκληρὸς ὁ σφυγμὸς, ὥσπερ καὶ τοῖς ἀκαίρως πιοῦσι ψυχρὸν, ἢ λουσαμένοις ἐν ψυχρῷ, καὶ τινας ὀπώρας προσενηνεγμένοις δαψιλῶς. κατ' αὐτὸν δὲ τὸν τοῦ πυρετοῦ λόγον, ᾗ πυρετός ἐστιν, οὐδέ ποτε γίνε-
F ται σκληρὸς ὁ σφυγμὸς οὔτε τοῖς ἐφημέροις πυρετοῖς, οὔτε τοῖς ἐπὶ σηπομένων χυμῶν· οὐδὲ γὰρ ὅταν ἐπὶ φλεγμονῇ πυρέττωσι, κατὰ τὸν αὐτὸν λόγον ὅ, τε πυρετὸς ἕπεται, καὶ ἡ τοῦ σφυγμοῦ σκληρότης· ἀλλὰ ὁ μὲν πυρετὸς, ἐπὶ σήψει τῶν χυμῶν· ἡ δὲ σκληρότης, ἐπὶ τῇ διὰ τὴν συμπλήρωσιν τῶν ἀγγείων τάσει. συλλήβδην γὰρ εἰπεῖν, ἡ σκληρότης τοῖς χιτῶσι τῶν ἀρτηριῶν ἐγγίνεται, ἢ διὰ πῆξιν, ἢ τάσιν, ἢ [13] ξηρότητα. πῆξιν μὲν οὖν αἱ ἰσχυραὶ καταψύξεις ἐργάζονται· τάσιν δὲ αἵ τε φλεγμοναὶ, καὶ οἱ σκίρροι, καὶ ἡ τῶν νεύρων ἀνάλογος φλεγμοναῖς

διάθεσις· ξηρότητα δὲ αἵ τε κενώσεις αἱ πολυχρόνιοι, ἢ διὰ ῥεῦμα γαστρὸς, ἢ λειεντερίαν, ἢ δυσεντερίαν, ἢ ἐμέτοις μακροῖς, ἤ τι τοιοῦτον ἕτερον· ὅ τε πολυχρόνιος λιμὸς, οἵ τε καυσώδεις τῶν πυρετῶν οἱ μακροὶ, καὶ τὸ σύμπαν εἰπεῖν, ὅσοι ξηραίνουσιν ἰσχυρῶς αὐτοῦ τοῦ ζώου τὰ μόρια τὰ στερεὰ, καθάπερ οὖν καὶ οἱ ἑκτικοὶ πυρετοὶ, περὶ ὧν ἤδη λέγειν καιρὸς, ἀπὸ τῆς γενέσεως αὐτῶν ἀρξαμένοις.

sitio; siccitatem verò euacuationes diuturnæ, vel ob alui fluorem, vel lienteriam, vel dysenteriam, vel vomitum longum, vel aliud istiusmodi; & fames diuturna, atque ardentes febre diuturnæ & (vt in totum dicatur) quæcunque vehementer exiccant ipsius animalis partes solidas, velut & hecticæ; de quibus nunc dicere fuerit tempestiuum, ab earum generatione exorsis.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ γενέσεώς τε καὶ διαγνώσεως τῶν ἑκτικῶν πυρετῶν καὶ τοῦ μαρασμοῦ.

Γίνονται τοίνυν οἱ ἑκτικοὶ καλούμενοι πυρετοὶ κατὰ διττὸν τρόπον, ὡς τὰ πολλὰ μὲν ἐπὶ τοῖς καυσώδεσιν, ἤτοι μηκυνθεῖσιν εἰς τοσοῦτον, ὡς ἐκδαπανῆσαι τῷ χρόνῳ τὴν ἰκμάδα τοῦ τῆς καρδίας σώματος, ἢ καὶ μενούσης ἔτι συχνῆς. ἐκεῖνοι μὲν οὖν οὐχ ἑκτικοὶ μόνον εἰσὶν, ἀλλὰ ἤδη καὶ μαρασμώδεις· οἱ δὲ ἐπὶ μενούσης τῆς ὑγρότητος γιγνόμενοι, τὸ σῶμα τῆς καρδίας αὐτὸ καταλαβόντες, ἐντεῦθεν ἀνάπτονται μάλιστα, καθάπερ ἡ τῶν λύχνων φλὸξ ἐκ τῆς θρυαλλίδος. ἡ μὲν δὴ μία γένεσις αὐτῶν εἴρηταί μοι· ἡ κατάλοιπος δ' ἐστὶν, ὅταν ἐξ ἀρχῆς εὐθέως εἰσβάλλωσι, τὴν πρώτην γένεσιν ὁμοίαν ποιησάμενοι τοῖς ἐφημέροις ἐπὶ λύπῃ καὶ θυμῷ καὶ κόπῳ πλείονι μετ' ἐγκαύσεως ἅμα γινομένῳ. τούτους μὲν οὖν τοὺς πυρετοὺς οὐ χαλεπόν ἐστιν ἰᾶσθαι· τοὺς δ' ἐξ αὐτῶν εἰς μαρασμὸν ἀφικομένους ἀμαθίᾳ τῶν ἐπιστατούντων ἰατρῶν, οὐ μόνον οὐ ῥᾴδιον, ἀλλ' οὐδὲ δυνατόν ἐστιν ἰᾶσθαι συστάντας γε ἀκριβῶς ἤδη, καὶ μηκέτ' ἀρχομένους. ἡ γάρ τοι φύσις αὐτῶν ἐστι ξηρά τε καὶ θερμὴ, παραπλήσιόν τι πασχούσης τῆς καρδίας, ὥσπερ ἡ θρυαλλὶς ἐν τοῖς λύχνοις, ἐπειδὰν ἐπὶ πλεῖστον ἐκκαυθῇ. θρύπτεται γὰρ ἡ οὕτω φρυγεῖσα καὶ διαλύεται, καὶ τὸ συνεχὲς ἀπόλλυσιν ὑπὸ κραυρότητος, ὡς μηδ' εἰ παραχέοις ἄφθονον ἔλαιον, ἀναφθῆναι δύνασθαι φλόγα δαψιλῆ. περιαπείρεται τοιγαροῦν ἐν αὐτῇ ἡ μικρὰ καὶ ἄτονος φλὸξ, ἀεὶ καὶ μᾶλλον ἐλάττων γιγνομένη, μέχρι περ ἂν ἀποσβεσθῇ. ὁ μὲν ἀκριβῶς μαρασμώδης πυρετὸς τοιοῦτός ἐστιν, οὐ ταὐτὸν ὑπάρχων νόσημα τῷ πάθει τῷ μαρασμῷ. τοῦτο μὲν γὰρ, ἐπί τε τῶν γηρασάντων γίνεται χωρὶς πυρετοῦ, σβεσθείσης αὐτοῖς τῆς ἐμφύτου θερμότητος (ὅπερ δὴ καὶ μάλιστα θάνατος ἄλυπός ἐστι καὶ κατὰ φύσιν ἐπὶ ξηρότητι συνιστάμενος) ὥσπερ γε καὶ τῶν παρὰ φύσιν μαραινομένων ἐκεῖνο τὸ εἶδος, ὃ προσαγορεύει Φίλιππος ἐκ νόσου γῆρας, εἰς ὃ πολλοὺς εἴδομεν οὐ πρεσβύτας μόνον, ἀλλὰ καὶ παῖδας ἐμπεσόντας. ὁ δὲ μαρασμώδης πυρετὸς οὐ ξηρὸν μόνον, ἀλλὰ καὶ θερμόν ἐστι πάθος. ἀποσβέννυται δὲ κατὰ τοῦτο πολὺ θᾶττον ἡ ἐν τῷ ζώῳ θερμότης, καὶ μαραίνεται σύμπαν τὸ σῶμα, δίκην δένδρου καταξηρανθέντος ἐσχάτως, ἤτοι διὰ χρόνου μῆκος, ἢ διὰ φλογὸς γειτνίασιν, ἢ σφοδρὸν καὶ ἄμετρον αὐχμόν. ἀλλὰ περὶ μὲν ὅλης τοῦ μαρασμοῦ διαθέσεως, ὁποία τίς ἐστιν, ἰδίᾳ γέγραπται.

CAPVT X.

De ortu, ac dignotione febrium hecticarum, & de marasmo.

QVæ igitur febres vocãtur hecticę, duobus modis ortum habent magnâ ex parte febribus ardentibus, quæ vel prorogantur adeò, vt cõsumant spatio temporis humorem corporis cordis, vel etiã quum adhuc multus permaneat. Illæ igitur non solum hecticæ, sed etiã tabidæ iam existunt. Hæ verò quę manente adhuc humore fiunt, corpus ipsum cordis prehendentes, indè maximè accêduntur, quemadmodũ lucernarum flamma ex ellychnio. Atque vna quidem eius generatio à me est prodita. Reliqua autem est, quoties statim ab initio inuaserint, primum sui ortum diariis similem facientes ob mœrorem, iram, lassitudinem magnam cum æstu contractam. Has igitur febres sanare nequaquàm difficile est; quæ verò ex eis deuenerint in marasmum inscitia medicorũ, qui curationi pręfecti fuerunt, eas sanare non solùm non facile, sed etiam impossibile est, quoties planè iam confirmatæ fuerint, nec amplius incipiant. Earum enim natura calida ac sicca existit, quum cor similiter afficitur, ac ellychnium in lucernâ, quoties plurimum crematum fuerit. Etenim ita exustum comminuitur, atque dissoluitur, perditq; continuitatẽ præ ariditate; vt neque si affundas abundè oleum, queas rursus accendere flammam copiosam. Parua enim atque infirma flammula in ipso dispergitur, ac semper minor efficitur, vsquequo extincta fit. Atque exactè quidem tabida febris huiusmodi existit, nec eadem est cum affectu marcore. Hic enim in iis efficitur, qui consenuerunt, sine febre, extincto in illis natiuo calore (quæ potissimùm mœrore vacua mors est, ac secũdum naturam ex siccitate consistens) velut & in iis qui emarcent præter naturam, genus illud *efficitur*, quod Philippus nominat ex morbo senectam, in quam multos nouimus non senes solùm, sed etiam pueros incidisse. Febris autem tabida non solùm sicca, sed & calida affectio est. Extinguitur autem per eam multò celeriùs calor in animali, atque tabescit totum corpus instar arboris prorsus arefactæ, vel ob temporis longitudinem, vel flammæ vicinitatem, vel fortem atque immoderatum squalorem. Sed de tota marcoris affectione, qualis sit, seorsum diximus.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν ἑκτικῶν πυρετῶν, καὶ τῆς τῶν ἐφημέρων εἰς τοὺς ἑκτικοὺς μεταπτώσεως, καὶ τῆς τῶν ἑκτικῶν διαγνώσεως.

Τῶν δ' ἑκτικῶν πυρετῶν, ἐπειδὴ διττόν ἐστι τὸ εἶδος, ὡς ἄρτι διώρισαι, τὰς διαγνώσεις ἐφεξῆς λέγωμεν. ὁ μὲν δὴ

CAPVT XI.

De febribus hecticis; ac de diariarum in hecticas transmutatione, & hecticarum indiciis.

QVum autem hecticarum febrium duplex genus sit, vt antè definiuimus, indicia deinceps explicemus. febris igitur hectica cum marcore

marcore coincidens, promptissimè ac facillimè cognosci potest. Priùs enim quàm tangas pulsum atque calorem, oculos supra modum cauos videbis, quasi in foueâ quadam conditos, ob totius humidæ eorum substantiæ consumptionem; ita vt ossa, quibus palpebræ annexæ sunt, promineant. Quinetiam lippitudines in eis visuntur aridæ, ac quædam squalida dispositio, qualis maximè inest eis, qui per puluerem multum totâ die in sole calido fecerunt iter. Flos ipse prætereà viuidus coloris perit, atque id toti faciei accidit, & immoderatus squalor habetur totius cutis circa faciem, maximéque circa frontem, ita vt propter siccitatem dura atque intenta sit; non tamen queunt palpebras ipsas multum attollere, perinde affecti semper, vt qui dormituriunt. Quinetiam conniuent magnâ ex parte, quemadmodum qui dormitant. Est autem talis affectio nequaquàm somnus, sed impotentia vigilandi. Carnes præthereà extabuerunt circa tempora, ita vt ea loca collapsa, cauaque appareant. Etenim quid aliud quàm ossa ac cutis sunt? ita vt si eos denudes, in ventre nullum superesse intestinum, nec vlla viscera, atque hypochondria ipsa retracta esse ad thoracē admodum videantur. Quòd si libeat illos tangere, cutis quidem perquàm arida existit, & vbi attollas apprehendens digitis, quasi corium quoddam stat. Pulsus autem tenuis, durus, obscurus, ac frequens *habetur*. Calor autem primo quidem occursu debilis, sed paulò post acer atque erodens apparet, ac magis vbi tangendo diutius immoreris. Sed minimè conuenit reliqua indicia commemorare in re tam perspicuâ. Itaque satius est, vt ad ipsum marcorem adhuc incipientē oratione veniamus. Marcorem ergo incipere dico, quoties humor insitus in vnoquoque corpore dispersus per loca media partium similarium, ex quo partes primùm aluntur, ferè in ipso corpore cordis nullus ampliùs inesse videtur. Quousque enim aliquid ipsius seruatur, hectica febris tantummodò est, nondum tamen marasmodes. Quum verò res eo periculi deuenerit, vt ferè nihil amplius huius humoris existat, exquisitus iam marcor consistit. Difficilis ergo cuiuslibet hecticæ febris dispositio est, quoties ipsius principii tempus præterierit. Definio autem principium, non dierum, vel horarum numero, quemadmodum neque in cæteris morbis, sed ipsâ qualitate dispositionis. Etenim dum corpus ipsum cordis discedit ab ipsa temperie naturali, non statim insitus humor perit, neque facultas debilitatur; sed inprimis velut ebullitio quædam efficitur ipsius humoris, quo tempore talis febris facillimè curatur; quippe quòd facultas nihildū perpessa est. Deinceps autem consumptio quædam fit ob ebullitionem, eâque ipsâ amplius iam procedente, ipsa etiam corpora similaria, quæ velut elementa cordis *existunt*, sicciora euadunt, minusque alimenti sentiunt, ac facultas debilis redditur tantum, quantum siccitas ac caliditas in eo exuperat, è quibus alterum sufficiens erat, vt exuperans infirmam redderet facultatem. Talis febris iam quodammodo medio genere ambigit, ac media est insanabilis penitus illius tabidæ, eiusque quam paulò antè diximus adhuc incipientem facillimè posse curari. Atque in ea perquàm multa latitudo

A συνεμπίπτων τῷ μαρασμῷ πυρετὸς ἑκτικὸς ἑτοιμότατός ἐστι, καὶ προχειρότατος γνωσθῆναι. πρὶν μὲν γὰρ ἅψασθαι τῶν τε σφυγμῶν καὶ τῆς θερμασίας, ὀφθαλμοὺς κοίλους ἀμέτρως θεάσῃ, καθάπερ ἐν βόθροις τισὶν ἐγκειμένους, διὰ ἀπωλείας ἁπάσης αὐτῶν τῆς ὑγρᾶς οὐσίας, ὡς καὶ τῶν ὀστῶν οἷς ἐπιπέφυκε τὰ βλέφαρα φαίνεσθαι τὰς ἐξοχάς. καὶ μὴν καὶ λῆμαι καθ' αὐτοὺς ἐμφαίνονται ξηραί, καί τις αὐχμώδης διάθεσις, οἵα μάλιστα τοῖς πολλὴν διελθοῦσι κόνιν δι' ὅλης ἡμέρας ἐν ἡλίῳ θερμῷ. ἀπόλωλε δὲ καὶ τῆς χρόας αὐτοῦ τὸ ζωτικὸν ἄνθος, ὅτῳ μὲν

B γε καὶ τῷ προσώπῳ παντὶ συμβέβηκε, καί τις ἄμετρος αὐχμὸς ἐμφαίνεται τοῦ τε δέρματος ἅπαντος τοῦ περὶ τὸ πρόσωπον, καὶ μάλιστα τοῦ κατὰ τὸ μέτωπον, ὡς διὰ τὴν ξηρότητα σκληρόν τε εἶναι καὶ περιτεταμένον, οὐ μὴν οὐδ' ἀνατείνειν ἐπιπλέον οἷοί τέ εἰσι τὰ βλέφαρα, παραπλησίως τοῖς νυστάζουσιν ἀεὶ διακείμενοι. καὶ μέντοι καὶ μύουσιν ὡς τὰ πολλά, καθάπερ ὑπνώττοντες· ἔστι δ' οὐχ ὁ ὕπνος αὐτῶν τὸ πάθος, ἀλλ' ἐγρηγόρσεως ἀδυναμία. ἐκτετήκασι δὲ καὶ αἱ σάρκες αἱ κατὰ τοὺς κροτάφους, ὡς φαίνεσθαι συμπεπτωκότα καὶ κοῖλα τὰ χωρία. καὶ τί

C γὰρ ἄλλο, ἢ ὀστᾶ καὶ δέρμα τὸ σύμπαν εἰσίν; ὡς εἰ καὶ γυμνώσας αὐτοὺς, ἐπισκέπτοιο τὰ κατὰ τὴν γαστέρα, δόξει σοι μηδὲ τῶν ἐντέρων τι, μήτε τῶν σπλάγχνων μηδὲν ἀποσώζεσθαι, καὶ τὸ ὑποχόνδριον ἀνεσπάσθαι σφοδρῶς εἰς τὸν θώρακα. εἰ δὲ καὶ ἅψασθαι βουληθείης αὐτῶν, τὸ μὲν δέρμα καρφαλέον ἐσχάτως ἐστί, καὶ εἰ ἀνατείναις ἐπιλαβόμενος τοῖς δακτύλοις, ὥσπερ βύρσα τις ἵσταται· ὁ δὲ σφυγμὸς, ἰσχνὸς καὶ σκληρὸς καὶ ἀμυδρὸς καὶ πυκνός· ἡ θερμασία τε κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν ἀμυδρά, μετ' ὀλίγον δὲ τό, τε δριμὺ καὶ τὸ διαβρωτικὸν ἐνδείκνυται, καὶ μᾶλλον, ἢν ἐπιπλέον ἐγχρονίσῃς ἁπτόμενος. οὐδὲν ἔτι χρὴ

D τῶν λοιπῶν μνημονεύειν γνωρισμάτων, ἐν οὕτω σαφεῖ πράγματι. βέλτιον γὰρ ἐπὶ τὸν ἀρχόμενον ἔτι μαρασμὸν ἀπάγειν τὸν λόγον. ἄρχεσθαι δὲ λέγω τὸν μαρασμὸν, ὅταν ἡ σύμφυτος ὑγρότης ἡ ἐν ἑκάστῳ σώματι παρεσπαρμένη κατὰ τὰς μεταξὺ χώρας τῶν ὁμοιομερῶν, ἐξ ἧς πρῶτον τρέφεται τὰ μόρια, κινδυνεύει μηκέτ' εἶναι κατὰ τὸ τῆς καρδίας σῶμα. μέχρι μὲν γὰρ οὗ σώζεταί τι ταύτης, ἑκτικὸς μόνον ὁ πυρετός ἐστιν, οὐ μὴν ἤδη γέ πω καὶ μαρασμώδης· ὅταν δὲ εἰς κίνδυνον ἥκῃ τοῦ μηκέτ' εἶναι τῆς τοιαύτης ὑγρότητος μηδὲν, ὁ ἀκριβὴς ἤδη μαρασμὸς συνίσταται. χαλεπὴ μὲν οὖν καὶ ἡ τῶν ἑκτικῶν ἁπάντων πυρετῶν

E ἐστι διάθεσις, ὅταν γε τὸν τῆς ἀρχῆς χρόνον ὑπερβῶσιν. ὁρίζω δὲ τὴν ἀρχὴν οὐχ ἡμερῶν ἢ ὡρῶν ἀριθμῷ, καθότι μηδ' ἐν τοῖς ἄλλοις νοσήμασιν, ἀλλὰ τῷ ποιῷ τῆς διαθέσεως. ἐν γὰρ τῷ πρῶτον ἐκτρέπεσθαι τῆς κατὰ φύσιν εὐκρασίας τὸ σῶμα τῆς καρδίας, οὔθ' ἡ σύμφυτος ὑγρότης ἀπόλωλεν εὐθέως, οὔθ' ἡ δύναμις ἀρρωστεῖ, ἀλλὰ πρῶτον μὲν οἷον ζέσις τις γίνεται τῆς ὑγρότητος, ἐν ᾧ δὴ καιρῷ ῥᾷστον ἰᾶσθαι τὸν τοιοῦτον πυρετὸν, ὡς ἂν μηδὲν τῆς δυνάμεως ἤδη πεπονθυίας· ἐφεξῆς δὲ καὶ δαπάνη τις ἐπὶ τῇ ζέσει, καὶ ταύτης ἐπιπλέον ἤδη προερχομένης, καὶ αὐτὰ τὰ ὁμοιομερῆ σώματα, τὰ

F οἷον περ στοιχεῖα τῆς καρδίας, ξηρότερά τε καὶ ἀτροφώτερα γίγνεται, καὶ ἡ δύναμις ἄρρωστος εἰς τοσοῦτον, εἰς ὅσον περ ἄν ἥ τε ξηρότης ἐν αὐτῇ κρατῇ καὶ ἡ θερμότης, ὧν ἤρκει καὶ θάτερον ἐπικρατῆσαν, ἄτονον ἐργάσασθαι δύναμιν. ὁ τοιοῦτος πυρετὸς ἤδη πως ἐπαμφοτερίζει, καὶ μέσος ἐστὶ τοῦ τ' ἀνιάτου παντάπασιν ἐκείνου τοῦ μαρασμώδους, καὶ τοῦ μικρὸν ἔμπροσθεν εἰρημένου τοῦ κατ' ἀρχὰς ἐπὶ ῥᾷστου θεραπεύεσθαι. πλάτη δ' ἐστὶ

κἂν τούτῳ πάμπολλα· διότι καὶ τῆς διαθέσεως αὐτῆς οὐκ ὀλίγη τις ἡ παραλλαγὴ, ὁ μᾶλλόν τε καὶ ἧττον ὑπαλλάξις. ὁ μὲν οὖν ἴσον ἀπέχων ἑκατέρων τῶν πυρετῶν, τοῦ τ' ἀκριβῶς ἤδη μαρασμώδους, καὶ τοῦ μηδέπω μηδὲν ἔχοντος τοιοῦτον, μέσος πώς ἐστι καὶ πρὸς τὴν ἴασιν ἀμφίδοξον ἔχων τὴν ἐφ' ἑκάτερα ῥοπήν. ὁ δ' ἐγγυτέρω τοῦ μαρασμώδους, ἤδη κινδύνῳ πελάζει, καθάπερ καὶ ὁ θατέρου τοῦ προτέρου πλησίον, οὐκ ὀλίγας ἔχει σωτηρίας ἐλπίδας. ἑξῆς οὖν ἐπὶ τὰς διαγνώσεις αὐτῶν ἰτέον, καὶ προτέρου γε τοῦ λύεσθαι δυναμένου ῥᾳδίως, ἐὰν μὴ περιπέσῃ τινὶ τῶν πολλῶν τούτων ἰατρῶν. ἔστι δὲ μόνος μὲν ὑφιστάμενος, οὐ χαλεπὸς ἐπιγνωσθῆναι, συνεπιπεπλεγμένος δέ τινι τῶν ἐπὶ σήψει χυμῶν, δυσφώρατος ἤδη γίγνεται διὰ τὴν ἐπιμιξίαν. ὑποκείσθω δὲ πρότερος αὐτὸς μόνος ἐπί τινι τῶν προειρημένων αἰτιῶν συνιστάμενος, καὶ φαινέσθω γε κατὰ τὴν προτέραν ἡμέραν ἅπαντα ἐπ' αὐτοῦ τὰ γνωρίσματα τῶν ἐφημέρων πυρετῶν τοῦ γένους. συνεμφαίνεται μὲν οὖν αὐτίκα εὐθέως καὶ ἡ ἰδέα τοῦ προκατάρξαντος αἰτίου, καὶ δηλωθήσεται καὶ τοῦτο τοῦ λόγου προϊόντος. ἀλλὰ καὶ πυνθανομένοις αὐτοῦ τοῦ κάμνοντος, ἔνεστι μαθεῖν, εἰ τὰ ἄλλα διακείμενος ἀμέμπτως, ἐπὶ μόνῳ τῷ θυμωθῆναι σφοδρῶς ἢ λυπηθῆναι, πυρέττειν ἤρξατο. καὶ εἰ φαίνοιτο ταῦθ' οὕτως ἔχοντα, καὶ παρατείνοιτο κατὰ τὴν δευτέραν ἡμέραν ὁ πυρετός, μήτ' εἰς ἀπυρεξίαν ἀναπαυόμενος, ἀλλὰ μηδὲ σφοδρότερος γινόμενος, αὐχμηρότερός γε φαινόμενος, ὑποπτεύειν ἑκτικὸν ἔσεσθαι τὸν τοιοῦτον. εἰ δὲ κἂν τῇ τρίτῃ τῶν ἡμερῶν ἄσιτος ὑπερβάλλειν ἐθελήσειε τὰς ὑποπτευομένας ὥρας τοῦ διὰ τρίτης παροξυσμοῦ, καὶ μήτε προσθήκη τις γίνοιτο, μήτε ἀφαίρεσις ἀξιόλογος, ἀλλὰ τὸ τοῦ προτέρου πυρετοῦ λείψανον τὸ σμικρὸν ἐκτείνοιτό τε καὶ παραμένοι σὺν αὐχμηρῷ τῷ σώματι, καὶ τῇ θερμασίᾳ κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν τῆς χειρὸς ἐπιεικεῖ φαινομένῃ, χρονιζόντων δὲ δριμείᾳ καὶ δακνώδει καὶ αὐχμηρᾷ προσπιπτούσῃ, τὸν τοιοῦτον πυρετὸν ἑκτικὸν ὑπολαμβάνειν εἶναι. μέγιστον δέ σοι καὶ ἀναμφισβήτητον ἔσται γνώρισμα τῆς φύσεως αὐτοῦ, θρέψαντι τὸν ἄνθρωπον, ἡνίκα μάλιστα δοκεῖ βεβαίως ὑπερβεβηκέναι τὰς ὑπόπτους ὥρας ἁπάσας. εὐθέως γὰρ ἐπὶ τῇ τροφῇ μετὰ μίαν ὥραν ἢ δευτέραν ἅπασι τοῖς ἁπτομένοις τοῦ κάμνοντος ἑτέραν ἐπίδοσιν ὁ πυρετὸς ἐσχηκέναι δόξει. καί τις καὶ τοῖς δοῦσι τὴν τροφὴν ὡς ἀκαίρως θρέψασιν ἐγκαλέσει, καὶ ὡς κατ' αὐτὰς μάλιστα τὰς ὥρας τοῦ παροξυσμοῦ, καὶ ὡς ἐχρῆν ἐπὶ πλείω χρόνον ἐπιμετρῆσαι, καὶ ὡς ὑστέρησεν ἡ ἐπισημασία. τὸ δ' οὐχ οὕτως ἔχει. πᾶσι γὰρ τοῖς ἑκτικοῖς πυρετοῖς ἴδιον ἀχώριστον ὑπάρχει τοῦτο, τὸ τροφῆς προσενεχθείσης, ἀνάπτεσθαι μὲν τὴν θερμασίαν, ἐπιδιδόναι δὲ τὸν σφυγμὸν εἰς μέγεθος καὶ τάχος, ὡς ἄθλιπτον δοκεῖν ἐπισημασίαν γεγονέναι. προσαγορεύω δὲ ἄθλιπτον, ἐν ᾗ μήτε φρίκη τις ἐγένετο, μήτε περίψυξις τῶν ἄκρων, μήθ' ἡ εἰς ὕπνον τις καταφορά, μήτε νωθρότης τις ἐπίσημος, ἢ ἀνωμαλία τις ὅλως ἤτοι κατὰ τὴν θερμασίαν, ἢ κατὰ τοὺς σφυγμούς, ἐπὶ δὲ μᾶλλον οὔτε σμικρότης, οὐδ' ἀμυδρότης, οὐδ' ἄλλο τι τῶν τοιούτων οὐδέν, ἀλλ' ὡς ἂν καὶ ἄλλῳ τινὶ τραφέντι, μείζων αὐτίκα καὶ θάττων ὁ σφυγμὸς ἀποτελεσθείη. γίγνεται μὲν οὖν ποτε καὶ κατ' ἄλλους τινὰς πυρετούς, ἄθλιπτος ἀνάβασις, καὶ ὅσον γε ἐπὶ τούτου, δόξειεν ἂν οὐκ εἶναι αὐτῶν ἑκτικῶν ἴδιον ἀχώριστον σύμπτωμα. διαφέρει μὲν οὐκ ὀλίγον, εἰ τὸ σύμπαν ἄθροισμα τῶν εἰρημένων γνωρισμάτων ἐπιβλέπεις. ἐν μὲν γὰρ τοῖς ἄλλοις ἅπασι πυρετοῖς αἱ τοιαῦται εἰσβολαὶ ἄθλιπτοι γίνονται χωρὶς τοῦ τραφῆναι· κατὰ δὲ τοὺς ἑκτικούς, πάντη τὸ

existit, quoniam non parua affectionis ipsius permutatio maioris minorisque ratione. Itaque quoties ab vtraque febre discedit æqualiter, ab exquisitè scilicet tabidâ, eaq; quę nondũ quippiam eiusmodi habet, media quodammodo est, & ad curationem ambiguum habens in vtroque momentum. Quæ autem tabidæ propior est, iam periculo proxima est, quemadmodum priori alteri propinquior spem obtinet non paruam sanitatis. Sed tempus est, vt ad earum indicia transeamus; & primùm quidem illius, quæ potest facilè curari, nisi in vulgarem quempiam medicum incidat. Est autem, vbi sola consistit, nequaquam difficilis cognitu; implexa autem cuipiam putridæ, deprehensu difficilis iam existit ob permixtionem. Sed primam subiiciamus ipsam solam ex quadã causâ prædictâ consistere, atque appareant in eâ primâ die cuncta febrium diariarum generis indicia. Simul igitur cum eis apparebit statim causæ procatarcticę species, atq; id indicabitur procedente oratione. Sed interrogando ægrotum ipsum licebit discere, si aliis in rebus non malè affectus, ex irâ vehementi tantummodò vel mœrore, febricitare inceperit. Quòd si videantur hæc ita se habere, febrisque extendatur vsque in secundum diem, nequaquàm desinens ad integritatem, sed neque vehementior euadens, si squalidior quidem appareat, suspicari hecticam fore talẽ debes. Quòd si tertio die sine cibo transmittere voluerit suspectas horas accessionis, quæ tertio quoque die *prehendere solet*, ac neque additio vlla facta sit neque imminutio insignis; sed primæ febris paruæ reliquiæ extendantur, permaneantque cum squalido corpore & calore, miti quidem in primo occursu manus apparente, moranti autem diutius acri, mordaci & squalido occurrente, talem febrem hecticam esse existimare *debes*. At verò maximum tibi atque certissimum indicium erit naturæ eius, nutrito homine, quando certissimè videtur transiuisse omnes horas suspectas. Statim enim à cibo post vnam horam vel alteram, omnibus tangentibus ægrum, alterum incrementum febris ipsa habuisse videbitur. Nec deerit qui increpet, tãquam intempestiuè dantes cibum, & ipso potissimùm tempore accessionis, & *dicat* diutiùs fuisse expectandum, & tardasse accessionẽ. Sed res non ita se habet. Cuilibet enim hecticæ febri proprium inseparabile id est, vt ingesto cibo calor accendatur, pulsusque in magnitudinem ac velocitatẽ increscat; ita vt laboris expers insultus accessionis esse videatur. Laboris expertem voco, in quo nec horror extitit, nec frigus extremorum, neque somnus dẽgrauans, neque pigritia insignis, vel inæqualitas quædam penitus, vel in calore, vel in pulsu, imò nec etiam paruitas, neque debilitas, neque aliud huiusmodi quicquam, sed tanquam alii cuipiam nutrito pulsus maior statim ac velocior redditur. Accidit autem interdum & in aliis quibusdam febribus incrementum laboris expers: &, quod quidem ex ipso est, videbitur minimè esse hecticæ febris symptoma proprium inseparabile. Sed non parum differt, si ad vniuersam dictorum indiciorum collectionem respexeris. In omnibus enim aliis febribus tales accessionum insultus laboris expertes existunt etiam citra alimentum ingestum. In hecticâ autem penitus con-

contrarium *euenit*. nullo enim tempore accessionis insultus prehendit, sed vna continua febris est, velut ea quæ continens propriè nominatur. Sed hæc quidem quasi flammam quandam permultam occurrentem habet imponentibus manum; præterea pulsus quoque velocissimus, frequentissimus, maximusque ei existit. In febre autem hectica, neque caloris multitudo occurrit, ac pulsus tantò minor, rarior, tardiorque est, quàm in continente, quantò calor ipse minor habetur.

CAPVT XII.

De indiciis communibus cuique hecticæ febri, & cur ab assumpto cibo calor augeatur.

COmmune igitur cuiusuis hecticæ febris est, vt exigua sit atque æqualis semper à primo initio vsque ad vltimum finem. Propriũ autem eius, quæ tabi affinis existit, siccitas est; quoniam hectica febris sæpenumerò sine siccitate consistit, nequaquam transiens in marcorem, qualis etiam nunc multis in magnâ penuriâ contigit. Febris igitur hectica dissidet à synocho, quemadmodum dictum iam est. Ab aliis autem laborũ expertes accessionum habentibus insultus, eo ipso maximè dissidet, quòd laborum angustiam quandam illæ omnino habeant post alimentum sub ipsam accessionis inuasionem; hecticæ autem post alimentum velut accessionis insultus quidam laborum expers contingat; qui (vt paulò antè docui) minimè accessio habetur, sed imperitos circa talia decipit ob caloris tum multitudinem, tum magnitudinem velocitatemque pulsus. Talis autem febris sequenti die planiùs cognoscetur, si diligentius obseruauerimus, quamdiu permaneat, vbi cibum sumpserit æger, ipsa pulsus, calorisque alteratio. Inuenies enim tandiu permanere omnium, quæ manifestè apparent, alterationem, donec distributio alimenti atque adiectio, squalorem cordis humefaciat; deinde rursus ad pristinum redire statum, qui erat antequàm sumeret alimentum. Si igitur alio tempore nutrias ipsum sequenti die, rursusque alio tempore sequenti die, inuenies, quod fieri dico, augeri quidem calorem post cibum, pulsumque ipsum, vt dictum est, alterari. Constat enim illis id accidere, quod calci ac lapidi calefacto. Si enim eis affundas frigidissimam aquam, multò calidiores sentiuntur, tanquam calor squalidus in eis ab humidâ substantiâ nutriatur. Quæ autem causa sit, ob quam ita eueniat, quæstio naturalis existit; sed quòd ita efficiatur, cuiuis tentare volenti discere licet. Vbi enim manibus sumas glebulam calcis, contemnes eius caliditatem, ac minimè senties. Vbi verò deponẽs ipsam humi, affundas illi aquam, perspicies statim admodum calefieri, atq; adeò feruere, vt lebetes, quoties in multâ flãmâ versentur. Videbis præterea vaporem ab eâ haud exiguum efferri; quòd si audeas tangere, facilè deureris. Ad hunc igitur modum ad ipsum sensum, humidus calor non paulò habet vim euidentiorem, quam siccus. Cæterum quòd calor siccus existat per hecticã febrem, cui succedit marcor, hinc discas licebit. Nemo statim ab initio correptus est tali febre, qui corporis ha-

A ἐναντιώτατον, οὐδ᾽ ὅλως ἐπισημασία γάρ καὶ οὐδένα χρόνον, ἀλλ᾽ εἷς ἐστι συνεχὴς πυρετὸς ὥσπερ ὁ καλούμενος ἰδίως συνόχος. ἀλλ᾽ ἐκεῖνος μὲν ὥσπερ τινὰ φλόγα παμπόλλην ἀπαντῶσαν ἔχει τοῖς ἐπιβάλλουσι τὴν χεῖρα, πρὸς τῷ καὶ τοὺς σφυγμοὺς ταχίστους καὶ πυκνοτάτους καὶ μεγίστους ὑπάρχειν αὐτῷ· κατὰ δὲ τοὺς ἑκτικοὺς πυρετοὺς, οὔτε πλῆθος ἀπαντᾷ θερμασίας, οἵ τε σφυγμοὶ τοσοῦτον μικρότεροι καὶ ἀραιότεροι καὶ βραδύτεροι τῶν ἐν τοῖς συνόχοις εἰσὶν, ὅσον περ καὶ τὰ τῆς θερμότητος ἐλάττω.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

B *Περὶ τῆς διαγνώσεως τῆς ἁπάντων τῶν ἑκτικῶν πυρετῶν κοινῆς, καὶ διὰ τί ἐπὶ ταῖς τροφαῖς αὐξάνεται ἡ θερμασία.*

ΚΟινὸν μὲν οὖν ἁπάντων τῶν ἑκτικῶν πυρετῶν βληχροῖς τε εἶναι καὶ ἴσοις διὰ παντὸς, ἀπὸ τῆς πρώτης ἀρχῆς ἕως τῆς ἐσχάτης τελευτῆς· ἴδιον δὲ τοῖς τῶν μαρασμῶν συζυγοῦσιν ἡ ξηρότης, ἐπεί τοι πολλάκις ἄνευ ξηρότητος ἑκτικοὶ συνίστανται πυρετοὶ, μὴ μεταπίπτοντες εἰς μαρασμὸν, οἷοι καὶ νῦν ἐγένοντο παμπόλλοις ἐν τῷ λιμῷ τῷ μεγάλῳ. τῶν μὲν οὖν συνόχων διαφέρουσιν, ὡς εἴρηται, οἱ ἑκτικοὶ πυρετοί· τῶν δὲ ἄλλων τῶν C ἀθλίπτους ἐχόντων τὰς ἐπισημασίας, αὐτῷ μάλιστα τούτῳ διαφέρουσι, τῷ θλῖψιν μέν τινα πάντως ἐκείνοις προσγίνεσθαι τροφὴν ὑπὸ τὴν εἰσβολὴν τοῦ παροξυσμοῦ· τοῖς δ᾽ ἑκτικοῖς, τὴν οἷον ἄθλιπτον ἐπισημασίαν ἐπὶ ταῖς τροφαῖς συμπίπτειν, οὐκ οὖσαν μὲν (ὡς ὀλίγον ἔμπροσθεν εἶπον) ἐπισημασίαν, ἐξαπατῶσαν δὲ τοὺς ἀγυμνάστους περὶ τὰ τοιαῦτα, τῷ τε πλήθει τῆς θερμασίας, καὶ τῷ μεγέθει καὶ τῷ τάχει τῶν σφυγμῶν. ἐναργέστερον δὲ κατὰ τὴν ἑξῆς ἡμέραν ὁ τοιοῦτος ἐπιγνωσθήσεται πυρετὸς, ἐπιμελέστερον ἔτι παραφυλαξάντων ἡμῶν, ἄχρι πόσου παραμένει τὰ μετὰ τὸ τραφῆναι τὸν ἄνθρωπον ἔν τε τοῖς σφυγμοῖς ἀλλοιω- D θέντα, καὶ περὶ τὴν θερμασίαν. εὑρεθήσεται γὰρ ἄχρι τοσούτου ἠλλοιωμένα τὰ φαινόμενα σύμπαντα σαφῶς, ἄχρι περ ἂν ἡ ἀπὸ τῆς τροφῆς ἀνάδοσίς τε καὶ πρόσθεσις ὑγραίνηται τὸν αὐχμὸν τῆς καρδίας, εἶτ᾽ αὖθις εἰς τὴν ἐξ ἀρχῆς κατάστασιν ἐπανερχόμενα τὴν πρὸ τοῦ τραφῆναι τὸν ἄνθρωπον. εἰ τοίνυν ἐν ἑτέρῳ καιρῷ θρέψας αὐτὸν ἐν τῇ μετὰ ταύτην ἡμέρᾳ, καὶ πάλιν ἐν ἑτέρῳ κατὰ τὴν ἑξῆς, εὑρήσεις ὃ λέγω γινόμενον, αὐξανομένην μὲν ἐπὶ τῇ τροφῇ τὴν θερμασίαν, ἀλλοιουμένους δὲ, ὡς εἴρηται, τοὺς σφυγμούς. ἔοικε γὰρ αὐτοῖς συμβαίνειν, οἷόν E τι κἀπὶ τῆς τιτάνου καὶ τῶν λίθων τῶν διατεθερμασμένων. εἰ γὰρ καὶ ψυχρότατον ὕδωρ αὐτῶν καταχέαις, πολὺ θερμότεροι φαίνονται, τρεφομένης ὡς ἔοικε τῆς αὐχμώδους ἐν αὐτοῖς θερμασίας ὑπὸ τῆς ὑγρᾶς οὐσίας. ἥτις μὲν οὖν ἐστιν ἡ αἰτία δι᾽ ἣν τοῦτο γίνεται, τῶν φυσικῶν προβλημάτων ἐστίν· ὅτι δὲ οὕτως γίνεται, μαθεῖν ἔνεστιν ἅπαντι τῷ πειραθῆναι βουληθέντι. λαβὼν γοῦν ἐπὶ τὴν χεῖρα βῶλον τιτάνου, καταφρονήσεις τῆς αὐτῆς θερμασίας καὶ οὐκ αἰσθάνῃ· εἰ δὲ ἀποθέμενος χαμαὶ καταχέαις αὐτῆς ὕδωρ, ὄψει μὲν αὐτίκα μάλα θερμαινομένην τε καὶ οὕτω ζέουσαν, ὥσπερ οἱ λέβητες, ὅταν ὁμιλήσωσι παμπόλλῃ φλογί· θεάσῃ δὲ καὶ ἀτμὸν οὐκ F ὀλίγον ἀναφερόμενον ὑπ᾽ αὐτῆς· εἰ δὲ καὶ ἅψασθαι τολμήσειας ἐν τῷδε, καυθήσῃ ῥᾳδίως, οὕτως ἄρα, πρός γε τὴν αἴσθησιν, ἡ ὑγρὰ θερμότης οὐκ ὀλίγῳ τινὶ τῆς ξηρᾶς ἐναργεστέραν ἔχει τὴν δύναμιν. ὅτι δὲ ξηρὰ θερμότης ἐστὶν ἡ κατὰ τοὺς ἑκτικοὺς πυρετοὺς, οἷς ἕπεται μαρασμὸς, ἔνεστί σοι κἀντεῦθεν μαθεῖν· οὐδεὶς ἐξ ἀρχῆς εὐθέως ἑάλω τοιούτῳ πυρετῷ τῶν ὑγρὸν ἐχόντων

τὴν ἕξιν τοῦ σώματος, ἀλλ' ὅσοι καὶ φύσει ξηρότεροι, καὶ μάλιστα εἰ τούτῳ θερμοὶ τὴν κρᾶσιν εἶεν, εἵλοντό τε βίον ἐν πόνοις καὶ ἀγρυπνίαις καὶ φροντίσι καὶ διαίτῃ λεπτῇ, τούτοις εὐθέως εὐθὺς ἐξ ἀρχῆς εἰσβάλλει ἑκτικὸς πυρετὸς ἐπὶ θυμοῖς ἢ λύπαις· ἔτι δὲ καὶ μᾶλλον εἰ θέρους ὥρα συμπέσοι, καὶ κατάστασις θερμὴ καὶ ξηρὰ καὶ χωρίον τοιοῦτον. ὅρος δὲ τῆς ἀρχῆς αὐτοῦ, ὁ κατὰ τὸν χρόνον, ἐν ᾧ περ οἱ ἐφήμεροι διὰ παρακμῆς ἐπιεικοῦς εἰς ἀπυρεξίαν ἔρχονται, πρὸς τῷ μηδὲν αὐτοῖς γίνεσθαι τοιοῦτον, ἐναργῶς ἐπιτείνεσθαι τὴν ξηρότητα. τότε γὰρ πρῶτον ἀποχωρήσας τῶν ἐφημέρων, ἑκτικὸς ἤδη γίνεται. τῆς δ' οὖν αὐξήσεώς τε καὶ τελείας συμπληρώσεως αὐτοῦ, ὅρος ἕτερός ἐστιν, ὁ κατὰ τὴν τρίτην ἡμέραν παροξυσμός· εἰ γὰρ (ὡς ὀλίγον ἔμπροσθεν εἴρηται) κατὰ τήνδε μήτ' εἰσβάλλοι παροξυσμὸς, μήτ' ἀπύρεκτος ὁ κάμνων φαίνοιτο, τῆς ξηρότητος ἐπιτεινομένης αὐτοῦ, βεβαίως ὁ τοιοῦτος ἤδη ἐστὶν ἑκτικὸς, καὶ προϊόντος δὲ τοῦ χρόνου μαρασμώδης ἔσται ταχέως, σφυγμός τε ἀμυδρός τε ἅμα καὶ σκληρὸς γίνεται. μικρὸς δὲ δήπου καὶ πυκνὸς ἐξ ἀνάγκης τοιοῦτός ἐστι καὶ πυκνός, οὐ μὴν διὰ ταῦτά ἐστι μαρασμώδης, ἀλλὰ διὰ τὴν ἀμυδρότητα καὶ σκληρότητα. γίνεται γὰρ ἡ μὲν ἀμυδρότης ἐπὶ ταῖς ἰσχυραῖς τῆς καρδίας δυσκρασίαις· ἡ δὲ σκληρότης ἐπὶ ταῖς ξηρότησιν. ἢν δὲ δὴ ταῦτα τὴν καρδίαν καταλάβῃ τὰ παθήματα, πυρέττειν ἀνάγκη τὸ ζῶον ἐν τῷδε μαρασμώδη πυρετόν. εἰς δὲ τὸν αὐτὸν τοῦτον ἐμπίπτουσι πυρετὸν, ἐκ τῶν ὀξέων τε καὶ καυσωδῶν οἱ πλεῖστοι τῶν κακῶς ἰατρευθέντων, καὶ μάλιστα ὅσοι δεόμενοι ὕδατος πιεῖν ψυχροῦ, πρὸς τῷ μὴ πιεῖν, οὐδ' ἄλλο τι ψυκτήριον ἴαμα τῷ θώρακι καὶ τῶν ὑποχονδρίων ἔσχον. εἰ δὲ δὴ πρὸς τῷ μηδὲ τούτων τι σχεῖν, ἔτι καὶ τοῖς διὰ μέλιτος ἐπὶ πλεῖστον ἐχρήσαντο καταπλάσμασιν, ἃ νῦν ἐπιπολάζει, ἐπὶ πλέον μαρανθῆναι τούτοις ἕτοιμον, εἴθ' ἁπλῶς πυρέττοιεν, εἴτ' ἐφ' ἥπατος ἢ γαστρὸς φλεγμονῇ. μάλιστα γὰρ οὖν δὴ ταύταις ταῖς φλεγμοναῖς οὐκ ὀρθῶς θεραπευομέναις ἕπονται μαρασμοί· ὥστε τινὲς ᾠήθησαν οὐδ' ἄλλως δύνασθαι γίνεσθαι τὸ τοιοῦτον πάθος, οὐκ εἰδότες ὡς οὔτε τούτων οὐδέτερον, οὐδ' ἄλλο τι σπλάγχνον ἢ μόριον, οὔτε μαρασμὸν, οὔθ' ὅλως ἑκτικὸν οὐδένα πυρετὸν ἐργάζεται, πρὶν ὡς εἴρηται, παθεῖν τὴν καρδίαν. ἄρχεται δὲ τὸ πάθος αὐτῇ, ποτὲ μὲν ἐξ αὐτῆς, ὡς ἐπὶ θυμοῖς, καὶ λύπαις ἰσχυραῖς, καὶ μακραῖς· ἐνίοτε δὲ ἐπὶ τοῖς καυσώδεσι πυρετοῖς· ἔστιν ὅτε δὲ ἐπὶ τοῖς κατὰ πνεύμονα καὶ θώρακα πάθεσι, καὶ μάλιστα ἐμπυήμασί τε καὶ φθόαις. ὥσπερ δὲ ἐπὶ τούτοις, οὕτως ἐπὶ γαστρὶ καὶ ἥπατι καὶ ἁπλῶς εἰπεῖν ἁπάσαις ταῖς χρονιζούσαις φλεγμοναῖς ἐπὶ κυρίοις μέρεσιν ἅμα ξηρότητι τοῦ γε σύμπαντος ζώου καὶ μάλιστα τῆς καρδίας. ἐγὼ γοῦν οἶδα καὶ κώλου φλεγμονῇ χρονισάσῃ μαρασμὸν ἀκολουθήσαντα, καὶ στομάχου καὶ κύστεως καὶ νεφρῶν. ἐγένοντο δέ τινες οὐχ ἥκιστα καὶ τῶν δυσεντερικῶν ἐν τοιούτῳ πυρετῷ, φλεγμαινόντων αὐτοῖς δηλονότι τῶν ἐντέρων. καὶ λειεντερίαις δὲ καὶ διαρροίαις μακραῖς, ὅταν ἤτοι γε εὐθέως ἀπ' ἀρχῆς, ἢ ἐν τῷ χρόνῳ προϊόντι πυρετὸς συμπέσῃ βληχρὸς, ἕπονται μαρασμοί, καὶ ἁπλῶς εἰπεῖν, ὅταν ἤδη προεξηρασμένον τὸ τῆς καρδίας σῶμα, τὴν πυρετώδη θερμότητα καταδέξηται δυσλύτως.

ὅρος τοῦ ἑκτικοῦ γινομένου

ἀμυδρὸς διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως, σκληρὸς διὰ τὴν ξηρότητα, πυκνὸς δὲ διὰ τὸ ...

ἐπὶ πλεῖον

bitum habuerit humidum; sed qui ficcior natura existit, maximéque vbi calidus quoque temperamento sit, & qui vitam delegit in labore, vigiliis, curâ, ac victu tenui, is assolet statim ab initio detineri hecticâ febre ex irâ, aç mœrore; ac multò magis, quoties æstas & constitutio calida ac sicca locusque eiusmodi fuerit. Principium autem eius terminatur, quoties eo tempore, quo diaria per declinationem mitiorem deducitur ad integritatem, adeò nihil eiusmodi ipsi accidit, vt siccitas perspicuè intendatur; tunc enim primum succedens diariæ hectica iam efficitur. Definitur preterea aliter eius incrementum atque perfecta generatio per accessionem tertiæ diei. Si enim (vt paulò antè diximus) eo die alia accessio minimè prehendat, neque æger sine febre existat, sed siccitas ipsi cõstanter intendatur, talis febris haud dubiè iam hectica est, ac processu temporis marasmodes sine morâ euadet, ac pulsus debilis simul ac durus fit; continuoque paruus ac frequens is necessariò est; non tamen proptereà tabidus existit, sed propter debilitatem ac duritiem. At verò debilitas accidit ob vehementem cordis intemperiem; durities autem, ob siccitatem. Quòd si tales affectus inuadant cor ipsum, tabidâ febre detineri animal tunc necesse est. In eandem prætereà febrem incidunt ex acutâ atque ardente plærique eorum, qui malè curantur, maximeque quicunque vbi frigidam aquam bibere postularent, adeò nihil eiusmodi biberunt, vt nec vllum aliud infrigidans remedium thoraci atque hypochondriis adhibuerint. Si verò quum nihil eiusmodi adhibuerint, etiam cataplasmatis ex melle plurimùm vsi sint, quæ nunc frequenti in vsu sunt, etiam in marcorem incurrere his promptum est, siue solùm febricitent, siue ex iecoris aut ventris inflammatione. Maximè enim his inflammationibus haud rectè curatis succedit marcor: ita vt quidam existimarint non aliter posse fieri huiusmodi affectionem, nescientes, quòd neutrum horum, nec aliud quodquam viscus, aut membrum, neque marcorem neque penitus hecticam vllam febrem committat, priusquàm (vt diximus) cor ipsum afficiatur. Talis igitur affectio ei incipit, interdum à seipso, vt ab irâ ac mœrore forti, & longo; interdum à febre ardenti; quandoque verò ab affectibus pulmonis ac thoracis, maximeque purulentis ac tabidis. Vt autem ab his, ita fit à ventre ac iecore, & vt summatim dicatur, quauis diutinâ inflammatione, quæ iuncta est siccitati partis principis totius animalis, maximeque cordis. Ego nanque vidi inflammationi laxioris intestini diuturnæ succedere marcorem, ac stomachi, ac vesicæ, ac renum. fuerunt autem nonnulli, qui affecti erant difficultate intestinorum, tali febre correpti, quum scilicet laborassent inflammatione intestinorum. Atque etiam læuitates intestinorum, & fluores intestinorum diutinos, quoties statim ab initio aut tempore procedente febris imbecillis incidit, marcor subsequitur, & vt summatim dicam, quoties præexiccatum cordis corpus febrilem calorem susceperit solutu difficilem.

CAPVT

A

CAPVT XIII.

De maximo febrium hecticarum indicio; at de hecticarum cum putridis implicatione.

MAximum itaque signum febris hecticæ est, quoties arteriæ sentiuntur calidiores, quàm corpora, quæ circiter sunt; quod per alias febres illis minimè accidit. Fit autem symptoma adhuc euidentius vbi laueris, aut alio quouis modo rarefeceris, ita vt humor quidam profluat, atque calor ipse perspiret. Calor enim moderatus in aliis partibus omnibus post talem perspirationem apparet; in ipsis autem arteriis nequaquam minor est priore. Is verò quàm maximè exquisitè sentitur per pulsuum diastolas, qui minimè mutantur post dictam perspirationem, sed similes penitus permanēt. Sola ergo consistens hectica febris perspicua est, siue absoluto sermone hectica, siue etiam tabida sit. Vbi verò cum alia quapiam *fuerit*, difficilius iam cognoscitur, quemadmodum quæ nuper mulieri cuipiam accidit, cui non solùm die, sed etiam nocte non obscurè fiebat accessio. Latuit enim tabida febris omnes qui eam visitabant Medicos, existimantes oportere neque principium accessionis sensibile esse hecticæ febri, neque incrementum, neque vigorem, tanquam minimè contingat hecticam febrem putridæ alicui posse implicari; sed nobis statim primis diebus in hac muliere cognita est. Vterque enim accessionis insultus, qui die ac nocte fiebat, breues efficiebat partes accessionis, ac sæpè cum madore quodam, aut perspiratione vaporosâ soluebatur tam perspicuè, vt corpus ipsum benè temperatum tangentibus sentiretur. Indicia autem in arteriis paulò antè dicta semper extiterunt, nequaquam refrigeratis ipsis similiter aliis partibus, neque velocitatem aut frequentiam motus amittentibus. Quæ ergo alio loco sæpenumerò docuimus, etiam nunc dicemus; non oportere solùm circuitus, atque proportiones accessionum considerare, sed multò priùs ipsam speciem febris; ex eaque cognoscere ipsam febrem, quemadmodum hominem ex propriâ formâ. Sic ipsi sæpè primâ die ad hunc modum speciem febris cognouimus, minimè expectantes tertianam, aut quartanam, aut quotidianam circuitionem. Sed de his secundo libro de iudiciis latiùs docuimus; atq; eo ipso libro nihilominus diximus, quomodò oporteat diariæ febris cognoscere differentias. Promiseram autem (scio) me dicturum hoc loco de illis. Sed cum recordarer pauca in eo libro desiderari, quo in plenum de omnibus præceptum esset, alia quidem huc transcribere superuacuum duxi, adiiciam verò ea tantummodo, quæ intra modum sunt in eo prodita.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τοῦ μεγίστου τῶν ἑκτικῶν πυρετῶν γνωρίσματος· καὶ περὶ τῆς αὐτῶν σὺν τοῖς σηπεδονώδεσι πυρετοῖς ἐπιπλοκῆς.

Διὸ τὸ μέγιστόν ἐστι γνώρισμα πυρετῶν ἑκτικῶν αἱ ἀρτηρίαι θερμότεραι φαινόμεναι τῶν πέριξ σωμάτων, ὅπερ αὐταῖς οὐ συμβαίνει κατὰ τοὺς ἄλλους πυρετούς. ἔτι δὲ ἐναργέστερον γίνεται τὸ σύμπτωμα, λουσαμένων ἢ ἄλλως ὁπωσοῦν ἀραιωθέντων, ὡς ἰκμάδα τέ τινα προχυθῆναι, καὶ διαπνεῦσαι τὴν θερμότητα. σύμμετρος μὲν γὰρ ἡ ἐν τοῖς ἄλλοις ἅπασι μέρεσι θερμασία φαίνεται μετὰ τὰς τοιαύτας διαπνοάς· οὐδὲν δὲ τῆς ἔμπροσθεν ἐλάττων, ἡ ἐν ταῖς ἀρτηρίαις. μάλιστα δ' αὐτῆς ἐστιν ἀκριβῶς αἰσθάνεσθαι κατὰ τὰς διαστολὰς τῶν σφυγμῶν, οἵτινες οὐδ' αὐτοὶ μεταβάλλουσιν ἐπὶ ταῖς εἰρημέναις διαπνοαῖς, ἀλλὰ διαμένουσιν ὅμοιοι τὰ πάντα. μόνος μὲν οὖν συνιστάμενος ὁ ἑκτικὸς πυρετὸς εὔδηλός ἐστιν, εἴθ' ἁπλῶς ἑκτικὸς, εἴτε καὶ ἅμα μαρασμώδης ὑπάρχει· σὺν ἑτέρῳ δέ τινι χαλεπώτερον ἤδη γινώσκεται, καθάπερ ὁ ἔναγχος ἐπί τινος γυναικὸς γινόμενος, οὐ δι' ἡμέρας μόνον, ἀλλὰ καὶ διὰ νυκτὸς οὐκ ἀσαφῶς παροξυνόμενος. ἐλάνθανε γὰρ ὁ μαρασμώδης πυρετὸς ἅπαντας τοὺς ἐπισκοπουμένους ἰατροὺς οἰομένους χρῆναι μήτ' ἀρχὴν εἰσβολῆς αἰσθητὴν εἶναι τοῖς ἑκτικοῖς πυρετοῖς, μήτε ἀνάβασιν, μήτε ἀκμὴν, ὡς οὐκ ἐνδεχόμενον ἑκτικῷ πυρετῷ συμπλακῆναί τινα τῶν ἐπὶ χυμοῖς· ἀλλ' ἡμῖν γε κἀπὶ ταύτης γυναικὸς, εὐθέως ἐν ταῖς πρώταις ἡμέραις ἐγνωρίσθη. ἑκατέρα γὰρ τῶν ἐπισημασιῶν, ἥτε δι' ἡμέρας καὶ ἡ νύκτωρ γινομένη, βραχυχρόνια μὲν ἐποίει τὰ μέρη τοῦ παροξυσμοῦ, καὶ πολλάκις τε καὶ μετὰ νοτίδος τινὸς, ἢ ἀτμώδους διαπνοῆς ἐλύετο σαφῶς οὕτως, ὡς εὔκρατον ἁπτομένοις φαίνεσθαι τὸ σῶμα· τὰ δὲ κατὰ τὰς ἀρτηρίας σημεῖα τὰ μικρὸν ἔμπροσθεν εἰρημένα διὰ παντὸς ἔμενεν, οὔτε ἀποψυχομένων αὐτῶν ὁμοίως τοῖς ἄλλοις μορίοις, οὔτε τὸ τάχος ἢ τὴν πυκνότητα τῆς κινήσεως ἐκλυουσῶν. ἅπερ οὖν εἴρηταί μοι καὶ δι' ἑτέρων ἤδη πολλάκις, εἰρήσεται καὶ νῦν, ὡς οὐ χρὴ τὰς περιόδους τε καὶ ἀναλογίας τῶν παροξυσμῶν ἐπισκοπεῖσθαι μόνον, ἀλλὰ πολὺ πρότερον αὐτὴν τὴν ἰδέαν τοῦ πυρετοῦ, κἀκ ταύτης γνωρίζειν αὐτοὺς τοὺς πυρετοὺς, ὥσπερ τοὺς ἀνθρώπους ἐκ τῆς ἰδίας μορφῆς. οὕτω τοι καὶ ἡμεῖς ἐν τῇ πρώτῃ πολλάκις ἡμέρᾳ τὸ εἶδος ἐγνωρίσαμεν τοῦ πυρετοῦ, μὴ περιμείναντες ἢ διὰ τρίτης, ἢ διὰ τετάρτης, ἢ ἀμφημερινῆς ἀνταποδόσεως. ἀλλὰ περὶ μὲν τούτων ἐπὶ πλέον ἐν τῷ δευτέρῳ περὶ κρίσεων εἴρηται. λέλεκται δὲ οὐδὲν ἧττον ἐν ἐκείνῳ βιβλίῳ καὶ ὡς χρὴ τῶν ἐφημέρων πυρετῶν γνωρίζειν τὰς διαφοράς. ἐπηγγελάμην μὲν οὖν κἀνταῦθα, οἶδ' ὅτι, περὶ αὐτῶν ἐρεῖν. ἀναμνησθεὶς δὲ ὡς μικροῦ τινος ἐνδεῖ τὰ κατ' ἐκείνου τοῦ βιβλίου εἰς τὸ τελέως εἰρῆσθαι πάντα, τὰ μὲν ἄλλα περιττὸν ᾠήθην μεταγράφειν ἐνταῦθα, μόνα δὲ, ἅπερ ἐλλιπῶς διώρισται ἐν αὐτῷ, προσθήσω.

F

CAPVT XIV.

Quibus indiciis febres diariæ à seinuicem discrepent.

FEbricitantibus igitur ab æstu, cutis magis ad temperiem calidiorem & squalidiorem,

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Διὰ τίνων γνωρισμάτων οἱ ἐφήμεροι πυρετοὶ διακρίνονται ἀλλήλων.

ΤΟῖς μὲν ἐπ' ἐγκαύσει πυρέττουσι τὸ δέρμα μᾶλλον ἐστὶ τὸ θερμότερόν τε καὶ αὐχμωδέστερον, ἤπερ σφυ-

μοὶ πρὸς τὸ πυρετῶδες ἐξανίστανται. καὶ γὰρ οὖν καὶ διψώδεις ἧττον οἱ τοιοῦτοι τῶν ἴσην ἐχόντων τὴν θερμότητα, καὶ κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς χειρὸς, ἀκμαῖον ἐπ' αὐτῶν φαίνεται τὸ θερμὸν, ἔμπαλιν ἢ ὡς ἐπὶ τῶν διὰ στέγνωσίν τινα νοσούντων, ἐπιδιδίδωσι γὰρ ἐπ' ἐκείνοις. διακαίεσθαι δὲ καὶ ἡ κεφαλὴ μάλιστα δοκεῖ τοῖς ἐπ' ἐγκαύσει πυρέξασι, καὶ χαίρουσί τε μᾶλλον καὶ ὀνίνανται ψυχροῖς καταντλούμενοι, καὶ οἱ ὀφθαλμοὶ δὲ αὐτοῖς θερμότεροί τε καὶ ἐρυθρότεροι φαίνονται μετὰ ξηρότητος, ὅσοι γε δὴ χωρὶς κορύζης καὶ καταῤῥου κάμνουσιν. ἐνίοις γὰρ τῶν ἐγκαυθέντων καὶ ταῦτα συμπίπτει, καὶ γίγνεται τούτοις οὐ θερμὴ μόνον, ἀλλὰ καὶ πλήρης ἡ κεφαλὴ τοῦ αἵματος, ὡς καὶ τὰς φλέβας ἐπιπλέον συντείνεσθαι συμπάσας, ὅσαι γε καὶ κατὰ τοὺς ὀφθαλμούς εἰσι καὶ τοὺς κροτάφους, καὶ τὸ μέτωπον, ὅλον τε τὸ πρόσωπον. ἔστι δ' οὐχ ἥκιστα διακρῖνον καὶ τοῦτο τὸ πληρῶσθαι αὐτοὺς ἱκανῶς, τῶν ἐπὶ ψύξει χυμῶν πυρεττόντων. καὶ γὰρ καὶ τούτων ὅσοι τὴν κεφαλὴν ἐκακώθησαν, ἑτοίμως ἁλίσκονται κορύζαις τε καὶ καταῤῥοις, καὶ ὅ γε πυρετὸς αὐτοῖς ἐνίοτε σύμπτωμά ἐστι μόνης τῆς ἐν τῇ κεφαλῇ διαθέσεως· ὡς τὰ πολλὰ δὲ τότε μᾶλλον πυρέττουσιν, ὅτε τὸ σῶμα σύμπαν ψυχθῶσιν ἢ ἐγκαυθῶσιν. ἧττον δ' ἐστὶ θερμὸν τὸ δέρμα τοῖς ψυχθεῖσιν, ἐν ὄγκῳ τε μείζονι τὸ σῶμα, καὶ οὐδεὶς αὐχμὸς ἀμφὶ τὸ πρόσωπον, οἷος τοῖς ἐπ' ἐγκαύσει πυρέττουσιν ἄνευ τοῦ πεπληρῶσθαι τὴν κεφαλήν. ὡς τὰ πολλὰ μὲν οὖν εἴωθεν ἅπασι τοῖς τοιούτοις ἡ κεφαλὴ πληροῦσθαι, πλὴν εἴ τις ἀκριβῶς εἴη καθαρὸς καὶ ἀπέριττος τὸ σῶμα· τούτοις γὰρ μόνοις ἐνδέχεται θερμαινομένην τὴν κεφαλὴν ἀπλήρωτον διαμένειν, ὅμως μὴν ἔστιν ὅτε καὶ χωρὶς τοῦ πεπληρῶσθαι, θερμασίαν παμπόλλην καταλαμβάνειν σύμπασαν αὐτὴν ἐγκαυθεῖσαν· αὕτη μὲν οὖν ἡ διάθεσις ἐναργέστατα διαφέρει τῆς κατὰ ψύξιν. ἡ δὲ μετὰ τοῦ πεπληρῶσθαι, δυσδιάκριτός ἐστιν, ὡς ἂν καὶ κατάῤῥουν ἐπικαλουμένη καὶ κόρυζαν, ἅπερ καὶ τοῖς ψυχθεῖσι συμβαίνει, ἀλλ' ὡς εἴρηται, τὸ αὐχμῶδες καὶ τὸ ἄγαν θερμὸν τοῦ δέρματος, ὅσα τ' ἄλλα μικρὸν ἔμπροσθεν εἶπον, ἴδια τῶν ἐγκαυθέντων εἰσί, περὶ ὧν οὖν πλέον ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου λεχθήσεται σὺν ταῖς ἄλλαις ἁπάσαις τῶν ἐφημέρων πυρετῶν διαφοραῖς, ὧν τὰς διαγνώσεις ἐν τῷ δευτέρῳ περὶ κρίσεων εἰρηκότες, οὐδὲν ἔτι δεόμεθα νῦν ἐκδιηγεῖσθαι. ἀλλὰ τοῦτον μὲν ἤδη τὸν λόγον ἐνταυθοῖ καταπαύσομεν, ἑξῆς δὲ τῶν ἐπὶ χυμοῖς ἀναπτομένων πυρετῶν ἁπάσας ἐροῦμεν τὰς διαφοράς.

quàm pulsus ad febrilem affectum mutatur, quocirca sitis minus hos infestat, quàm qui æqualem habent caliditatem. Ac primo occursu manus, calor in ipsis vigere videtur, contrà quàm in ægrotantibus propter adstrictionem; in his enim increscit. Caput prætereà peruri maximè videtur iis, qui propter æstum febricitant; gaudentque magis & iuuantur frigidis fomentis, atque ipsorum oculi calidiores, & rubicundiores videntur cum siccitate, quicunque sine grauedine & defluxione febricitant. Quibusdam enim propter æstum talia accidunt, caputque ipsis redditur non solùm calidum, sed etiam plenum sanguine; ita vt omnes venæ admodum contendantur, quæ circa oculos, & tempora, & frontem, & faciem totam habentur. Id autem non parum discernit, quòd pleni sint, ab iis, qui ex humorum refrigerio febricitant. Hi enim vbi caput malè afficitur, promptè corripiuntur grauedine & defluxionibus, & febris ipsis interdum symptoma est solius in capite affectionis. Sed magnâ ex parte tunc magis febricitant, quum corpus totum refrigeratum est, vel exustum. At verò cutis minus calida refrigeratis, atque in tumore maiori corpus existit, nec quisquàm squalor circa faciem, qualis propter æstum febricitantibus euenit sine capitis repletione. Itaque magnâ ex parte caput solet talibus repleri ab æstu, nisi quis fuerit admodum purus, ac sine excrementis, iis enim tantummodo contingit calescens caput sine repletione permanere, interdum tamen sine repletione à multo calore corripi ipsum totum exustum. Hæc igitur affectio perspicuè dissidet ab eâ, quam frigus excitauit. At quæ cum repletione est, difficilè distinguitur; vt potè defluxionem inferens ac grauedinem, quæ etiam refrigeratis accidunt, sed (vt diximus) squalor & nimius calor cutis, & quæcunque alia paulò antè dixi, propria vstorum existunt; de quibus fusiùs in libris de medendi methodo dicetur, cum aliis omnibus diariæ febris differentiis; quarum dignotiones quia secundo *libro* de iudiciis docuimus, non ampliùs hoc loco dicendæ sunt; sed hunc quidem sermonem hic finiemus, deinceps verò febrium, quæ ex humoribus accenduntur, omnes differentias indicabimus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΠΥΡΕΤΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

GALENI DE DIFFERENTIIS FEBRIVM LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰς τῶν ἐπὶ χυμοῖς ἀναπτομένων πυρετῶν διαφορὰς, καὶ τὰς νόσους τὰς ἀπὸ τῆς τῶν ὑγρῶν ἐπιρροῆς καὶ τῶν ῥευμάτων γινομένας δηλοῖ.

ARGVMENTVM LIBRI.

Differentias Febrium putridarum, ac morbos ex humorum defluxu orientes explicat.

CAPVT PRIMVM.

Singulis febribus putridis proprias causas definiri; neque bilem solam esse febrium omnium causam.

AT superest febrium quæ in humoribus accenduntur, differentias percurrere, si priùs de eis admonuerimus, minimè sufficere (vt quidam voluerunt) ad generationem febrium, augeri atque exuperare humorem biliosum, quem alii pallidam, nonnulli flauam nominant bilem. Omnes enim arquati maximâ sic afficerentur febre, quibus copia talis bilis in toto corpore continetur; sed haudquaquam febricitant priùs, quàm alia quædam causa concurrat, de quâ paulò post agetur. At verò absurdum est in quartanâ, & quotidianâ febre exquisitâ colligi amaram bilem existimare, quemadmodum in tertianâ atque causo. Etenim cõtra quàm, in illis in quotidianâ & quartanâ febre, neque vomitus biliosus, neque sudor, neque vrina, neque deiectiones videntur biliosæ; prætereà nec quicquam aliud, quod præcessit, aut simul adest eis, subscribit. Febris enim tertiana vt plurimum consistit in corpore naturâ bilioso, & in ætate vigoris, quæ est omnium ætatum maximè biliosa, & æstiuo tempore maximè, quo talis humor exuperat. Itidem in regione calidâ & siccâ temperamento & statu ambientis aëris tali, & vita non otiosa ac deside plurimùm, sed in labore, cura, vigiliis, æstu, & victu parco, eoque calido & sicco. Quin & immoderatus vsus medicamentorum calefacientium & exiccantium committit febrem tertianam. Quotidiana verò è contrario penitus efficitur in natura pituitosiore, ac tempore hyberno, & cõstitutione frigida & humida, senibus & pueris potiùs, in regione frigida & humida, & vita otiosa simul cum repletione, maximeque quoties post cibum lauantur, ac mul-

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἑκάστῳ τῶν πυρετῶν σηπεδονωδῶν ἰδίας αἰτίας ἀφωρισμένας εἶναι, μήτε τὴν χολὴν ξανθὴν μόνην ἁπάντων τῶν πυρετῶν αἰτίαν εἶναι.

ΥΠΟΛΟΙΠΟΝ ἂν εἴη τὰς διαφορὰς τῶν ἐπὶ χυμοῖς ἀναπτομένων πυρετῶν διελθεῖν, ἀλλὰ τοῦτο πρότερον ὑπὲρ αὐτῶν εἰπόντας, ὡς οὐχ ἱκανόν ἐστιν ὅ τινες ὑπέλαβον, εἰς γένεσιν πυρετῶν, αὐξηθῆναί τε καὶ πλεονάσαι τὸν πικρόχολον χυμὸν, ὃν ἔνιοι μὲν ὠχρὰν, ἔνιοι δὲ ξανθὴν ὀνομάζουσι χολήν. ἅπαντες γὰρ ἂν οὕτω μεγίστοις ἐπύρεττον πυρετοῖς οἱ ἰκτεριῶντες, οἷς πλῆθός γε τῆς τοιαύτης χολῆς ἐν ἅπαντι σώματι περιέχεται, ἀλλ' οὐ πυρέττουσι, πλὴν εἰ κατ' ἄλλην τινὰ αἰτίαν συνέλθοιεν, ὑπὲρ ἧς ὀλίγον ὕστερον εἰρήσεται. ἄτοπον δὲ τὸ καὶ τοῖς τεταρταίοις καὶ τοῖς ἀμφημερινοῖς πυρετοῖς τοῖς ἀκριβέσιν ἠθροῖσθαι τὴν πικρὰν χολὴν ὑπολαμβάνειν, ὥσπερ ἐν τοῖς τριταίοις καὶ καύσοις. ἔμπαλιν γὰρ ἐπί τε τῶν ἀμφημερινῶν καὶ τεταρταίων πυρετῶν, οὔτε ἔμετοι χολώδεις, οὔθ' ἱδρῶτες, οὔτ' οὖρα, καὶ διαχωρήματα φαίνεται πικρόχολα· πρὸς δὲ μηδ' ἄλλο τι τῶν προηγησαμένων τε καὶ συνυπαρχόντων αὐτοῖς μαρτυρεῖν. οἱ μὲν γὰρ τριταῖοι πυρετοὶ τὸ ἐπίπαν ἔν τε σώμασι συνίστανται χολωδεστέραις φύσει, καὶ ἐν ἡλικίᾳ τῇ τῶν ἀκμαζόντων, ἥτις ἐστὶν ἁπασῶν τῶν ἡλικιῶν χολωδεστάτη, καὶ ἐν ὥρᾳ θερινῇ μάλιστα, καθ' ἣν ὁ τοιοῦτος ἐπικρατεῖ χυμός. οὕτω δὲ καὶ ἐν τοῖς θερμοῖς καὶ ξηροῖς τῇ κράσει χωρίοις, καὶ καταστάσει τοῦ περιέχοντος ἀέρος τοιαύτῃ, καὶ βίοις οὐκ ἐν ῥᾳστώνῃ καὶ ῥαθυμίᾳ τὸ πλέον, ἀλλ' ἐν πόνοις καὶ φροντίσι καὶ ἀγρυπνίαις, ἐγκαύσεσί τε καὶ τροφαῖς ὀλίγαις, καὶ ταύταις θερμαῖς καὶ ξηραῖς. ἀλλὰ καὶ ἡ θερμαινόντων τε καὶ ξηραινόντων φαρμάκων ἀμετροτέρα χρῆσις, εὔφορός ἐστι τριταίων πυρετῶν· οἱ δ' ἀμφημερινοὶ κατὰ τοὐναντίον ἅπαν, ἔν τε ταῖς φλεγματικωτέραις φύσεσι, καὶ τῶν ὡρῶν ἐν χειμῶνι, καὶ τῶν καταστάσεων ἔν τε ταῖς ὑγροτέραις καὶ ψυχροτέραις, γέρουσί τε καὶ παισὶ μᾶλλον, ἐν ὑγροῖς καὶ ψυχροῖς χωρίοις, καὶ βίοις ἀργοῖς ἅμα καὶ σὺν πλησμονῇ, καὶ μάλιστ'

ὅταν ἐπὶ σιτίοις λούωνται, καὶ πολὺ δὴ μᾶλλον, ὅταν καὶ αὐτὰ τὰ σιτία φλεγματικώτερα τὴν φύσιν ὑπάρχῃ. οὐ μὴν οὐδ' ἐμοῦσιν οὗτοι τὸν πικρόχολον χυμὸν, οὐδὲ διαχωροῦσιν, οὐθ' ἱδροῦσιν, ὥσπερ ἐν τοῖς τριταίοις πυρετοῖς. οὗτοι μὲν γὰρ ἐπὶ τῇ ξανθῇ χολῇ σηπομένῃ γίγνεσθαι πεφύκασιν· οἱ δ' ἀμφημερινοὶ τοῖς φλεγματώδεσιν ἕπονται χυμοῖς, ὥσπερ οἱ τεταρταῖοι τοῖς μελαγχολικοῖς. οὕτω γοῦν καὶ φύσεις σωμάτων αἱ μελαγχολικώτεραι, καὶ τῶν ἡλικιῶν ἡ παρακμαστική, καὶ τῶν ὡρῶν τὸ φθινόπωρον, ἅπαντά τε τὰ τούτοις ἀνάλογα ἐν ἐδέσμασί τε καὶ πόμασι καὶ τῷ σύμπαντι βίῳ ξηρὰ καὶ ψυχρὰ τὴν κρᾶσιν ὑπάρχοντα τεταρταίων ἐστὶ γέννημα πυρετῶν. διὰ τοῦτο καὶ τὸ προηγούμενον αὐτῶν ῥῖγος οὐχ ὅμοιον, ἀλλὰ τὸ μὲν ἐν τοῖς τριταίοις, οἷον νύττοντός τε καὶ τιτρώσκοντος, τὴν αἴσθησιν ἐνδείκνυται τοῦ ποιοῦντος αἰτίου· τὸ δ' ἐν τοῖς τεταρταίοις, οἷον ψύχοντος. εἴρηται δ' ἱκανῶς ὑπὲρ τῶν ἐν τοῖς ῥίγεσιν ἰδέας ἐν τῷ τῶν συμπτωμάτων αἰτίαις, ἔνθα καὶ περὶ τῆς τῶν ὁμογενῶν πυρετῶν ἀποδέδεικται διαφορᾶς· ὡς οἱ μὲν διαλείποντες αὐτῶν (οὕτω γὰρ ὀνομάζω τοὺς εἰς αἰσθητὴν ἀπυρεξίαν ἀφικνουμένους) ἐπὶ κινουμένῳ τε καὶ πάντῃ τοῦ σώματος ἰόντι περὶ τὸν πυρετὸν ἐργαζομένῳ συνίστανται χυμῷ· οἱ δὲ συνεχεῖς, ἀφικνοῦνται στηριζομένῳ καὶ περιεχομένῳ ἐν ταῖς φλεψίν, ὑπὲρ ὧν τῆς διαγνώσεως ἐν τῷ δευτέρῳ περὶ κρίσεων εἴρηται.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Αἱ κοιναὶ τῶν σηπεδονωδῶν πυρετῶν διαφοραί· τῶν μὲν ἁπλῶν εἰς τοὺς διαλείποντας ἀμφημερινὸν, τριταῖον, καὶ τεταρταῖον· καὶ εἰς τοὺς συνεχεῖς, τὸν σύνοχον τριπλοῦν, καὶ τὸν συνεχῆ τριπλοῦν· ἐπιπλεκομένων δ' εἰς τὸν διπλοῦν καὶ τριπλοῦν.

Τῶν μὲν οὖν διαλειπόντων τρεῖς εἰσιν αἱ πᾶσαι διαφοραί, ἀμφημερινὸς, τριταῖος, καὶ τεταρταῖος· ἐπὶ φλέγματι μὲν, ὁ ἀμφημερινὸς σαπέντι· ἐπὶ δὲ ταῖς χολαῖς ἑκατέραις, τῇ ξανθῇ μὲν ὁ τριταῖος, τῇ μελαίνῃ δὲ ὁ τεταρταῖος. τῶν δὲ συνεχῶν ἐπὶ μὲν τῇ ξανθῇ χολῇ διττὸν εἶδος, ἓν μὲν τὸ τῶν συνόχων ὀνομαζομένων, ὧν ὁ σύμπας χρόνος εἷς παροξυσμός ἐστιν ἀπ' ἀρχῆς ἄχρι λύσεως· ἕτερον δὲ τὸ τῶν ὁμωνύμως τῷ γένει λεγομένων συνεχῶν, ἐν πολλαῖς ταῖς κατὰ μέρος περιόδοις περαιρουμένων. τῶν μὲν οὖν συνόχων, αἱ πᾶσαι τρεῖς εἰσιν αἱ διαφοραί. τινὲς μὲν γὰρ αὐτῶν ἀπὸ τῆς ἀρχῆς ἕως τῆς τελευτῆς ἴσοι διαμένουσι· τινὲς δὲ παραυξάνονται κατὰ βραχύ· τρίτοι δ' ἄλλοι μειοῦνται κατὰ βραχύ. καί τινες ὀνόματα τοῖς μὲν πρώτοις ὁμοτόνους τε καὶ ἀκμαστικοὺς ἔθεντο· τοῖς δὲ δευτέροις ἀναβατικούς τε καὶ ἐπακμαστικούς· τοῖς δὲ τρίτοις παρακμαστικούς. τῶν δὲ συνεχῶν, δύο μὲν εἰσιν αἱ πρῶται διαφοραί, τῶν μὲν διὰ τρίτης μόνον παροξυνομένων· ἑτέρων δὲ κἀν τῇ μέσῃ φερόντων παροξυσμόν. οὗτοι μὲν οὖν οὐδὲν ἴδιον ἐξαίρετον ὄνομα κέκτηνται· τοὺς δὲ διὰ τρίτης παροξυνομένους, ἐγὼ μὲν ὀνομάζω τριταιοφυεῖς, οὐ μὴν κωλύω γε τὸν βουλόμενον ἕτερον αὐτοῖς ἐπιφέρειν ὄνομα, φυλαττομένης τῆς ἐν τοῖς πράγμασι διαφορᾶς. ἄλλη μὲν γάρ ἐστι φύσις, ὅταν εἰς ἀπυρεξίαν παύωνται, ἄλλη δ' ὅταν εἰς παρακμὴν πυρετώδη τελευτῶσιν οἱ διὰ τρίτης συνεχεῖς παροξυνόμενοι πυρετοί· καὶ πρὸς τούτοις ἔτι φύσις ἑτέρα τίς ἐστι τῶν καὶ ἐν τῇ μέσῃ παροξυνομένων. ἡμιτριταῖον δὲ τούτων οὐδένα καλῶ, οὐ μὴν οὐδὲ κωλύω τοὺς βουλομένους ὀνομάζειν οὕτως, εἰ μόνον

τὸ magis, vbi ipse cibus pituitosior natura existit. Sed neque vomunt tales biliosum humorem, neque deiiciunt, neque sudant, quemadmodum in tertiana febre. Hæc enim ex flaua bile putrescente fieri solet. Quotidiana verò pituitosũ humorẽ subsequitur, quomodo quartana melancholicum. Sic nanque natura corporis magis melancholica, & ætas declinans, & autumni tempus, necnon omnia, quæ his proportione respondent in cibo potúque, & toto victu, frigida & sicca temperamento, febrem gignunt quartanam. Et eam ob rem præcedens eas rigor nequaquàm similis est; sed in tertiana quasi pungens ac vulnerans sensum, efficientem causam indicat; in quartana autem quasi refrigerans. Sed de forma rigoris libro de causis symptomatum definitum abundè iam est, vbi etiam de eiusdem generis febrium differentia est proditum, nempe ex eis intermittentes (ita appello eas, quæ ad integritatem sensibilem desinunt) ex humore moto ac in omnem corporis partem delato efficiente febrem consistere; continuas verò ex condito & contento in venis, de quarum cognitione secundo *libro* de crisibus docuimus.

CAPVT II.

Communes febrium putridarum diuisiones, simplicium quidem in intermittentes, quotidianam, tertianam & quartanam; & continuas, continentem triplicem, & continuam triplicem; implicitarum, in duplicem & triplicem.

Febrium igitur intermittentium omnes differentiæ tres existunt, quotidiana, tertiana, & quartana; ex pituita putri, quotidiana; ex vtraque bile, flauâ quidem, tertiana; atrâ autem, quartana efficitur. Continuarũ verò, quæ ex flaua bile consistunt, duplex species est; vna quidem earum quæ synochi *continentes* appellantur, quarum omne tempus vna accessio est ab initio vsque ad finem. Alterum earum, quæ communi, sed ambiguo genere cõtinuæ dicuntur, & multis particularibus circuitibus continentur. Cæterum continentium differentiæ omninò tres existunt. Quædam enim earum ab initio vsque ad finem æqualis permanet, quædam paulatim crescit, tertia verò alia paulatim decrescit. Ac nonnulli primam nominant homotonum & acmasticam, *æquali tenore ac vigore incedentem*; alteram anabaticam & epacmasticam, *ascendentem atque increscentem*; tertiam verò paracmasticam, *decrescentem*. Continuarũ verò duæ differentiæ primæ existunt. Nam aliæ tertio quoque die tantummodò exacerbantur, aliæ die intermedio alteram inferunt exacerbationem. Atque hæ nullum nomen peculiare obtinent. Febrem autem, quæ tertio quoque die exacerbatur, ego quidem nomino tertianariam, seu tritæophyem; non tamen prohibeo, si libeat, aliter appellare, modo serues in rebus ipsis differentiam. Alia enim est natura, quum desinunt ad integritatem; alia quum ad declinationem febrilem finiuntur febres continuæ, quæ tertio quoque die exacerbationem habent; & præterea quædam alia natura, quæ in medio exacerbationes facit. Sed nullam ex his semitertianam appello, non tamen prohibeo qui ita nominare voluerint, si id vnum mihi caueatur

caueatur ab eis, vt nulla febris species omittatur, sed vna quæque deinceps dicatur, quemadmodum ego nunc in hoc libro facere institui. Ex continuis enim, quæ in die medio exacerbantur, quædam in formâ quotidianæ procedit, duas exacerbationes simillimas inuicem efficiens; quædam verò dissimiles habens duas, primæ quidem tertiam simillimam obtinet, secundæ verò quartam, in formâ duarum tertianarum procedens; sed hæc ex bile potiùs; illa quæ singulis diebus similiter exacerbatur, ex pituitoso humore consistit. Porrò tertium aliud genus est febrium continuarum rarò eueniens, quoties exacerbatio in formâ quartani circuitus procedit, nequaquam desinens ad integritatem. Accidit autem, quemadmodum febris, quæ tertio quoq; die accedit, interdum duplex ac triplex: ita etiam hæc non solùm duplex, sed etiam triplex. Sed hi febrium implexus libro de typis commodiùs indicantur. Febrium autem simplicium, quæ ex humoribus accenduntur, *simplices* differentiæ tot numero sunt, quot proximè docuimus. Ex earum autem permixtione, aliæ quædam efficiuntur, de quibus deinceps dicam, si priùs de simplicibus quod deest, adiecero; vt quæcunque fuerit omnino simplex febris, vnam speciem quasi regulam quandam obtineat earum, quas nunc dicturi sumus. Quæcunque verò degenerauerit aliquatenus, eatenus ab ipsis febribus simplicibus decedet.

A τοῦθ᾽ ἓν μόνον φυλάττοιτο πρὸς αὐτῶν, τὸ μηδεμίαν ἰδέαν παραλείπεσθαι πυρετοῦ, λέγεσθαι δὲ ἐφεξῆς ἁπάσας, ὡς ἐγὼ νῦν ἐνεστησάμην τόνδε τὸν λόγον. τῶν γὰρ κατὰ τὴν μέσην παροξυνομένων συνεχῶν, ἔνιοι μὲν ἐν ἀμφημερινοῦ σχήματι προέρχονται, τοὺς δύο παροξυσμοὺς ὁμοιοτάτους ἀλλήλοις ποιούμενοι· τινὲς δ᾽ ἀνομοίους ἔχοντες τοὺς δύο, τῷ μὲν προτέρῳ τὸν τρίτον ὁμοιότατον ἴσχουσι, τῷ δὲ δευτέρῳ τὸν τέταρτον, ἐν σχήματι δυοῖν τριταίων προϊόντες. οὗτοι μὲν ἐπὶ χολώδει μᾶλλον· οἱ δὲ καθ᾽ ἑκάστην ἡμέραν ὁμοίως παροξυνόμενοι,

B ἐπὶ φλεγματικωτέρῳ συνίστανται χυμῷ. τρίτον δ᾽ ἄλλο γένος ἐστὶ τῶν συνεχῶν πυρετῶν σπανίως γινόμενον, ἐπειδὰν ὁ παροξυσμὸς ἐν σχήματι τεταρταίου περιόδου προέρχηται μὴ παυόμενος εἰς ἀπυρεξίαν. γίνεται δὲ ὥσπερ ὁ διὰ τρίτης ἔστιν ὅτε διπλοῦς καὶ τριπλοῦς· οὕτω καὶ οὗτος οὐ μόνον διπλοῦς, ἀλλὰ καὶ τριπλοῦς. αἱ μέν τοι τοιαῦται τῶν πυρετῶν ἐπιπλοκαὶ τῆς περὶ τύπων εἰσὶ θεωρίας ἴδιαι. τῶν δ᾽ ἐπὶ χυμοῖς ἀναπτομένων ἁπλῶν πυρετῶν αἱ σύμπασαι διαφοραὶ τοσαῦται τὸν ἀριθμόν εἰσιν, ὅσαι περ εἴρηνται νῦν· ἐξ ἐπιμιξίας δ᾽ αὐτῶν, ἕτεραί τινες γίνονται, περὶ ὧν

C ἐφεξῆς ἐρῶ, πρότερόν γε περὶ τῶν ἁπλῶν ἔτι τὸ λοιπὸν προσθεὶς, ὡς ὅστις ἂν ἀκριβῶς ἁπλοῦς ᾖ πυρετὸς, ἓν εἶδος οἷον κανόνα τινὰ κεκλήρωται τῶν νῦν ὑφ᾽ ἡμῶν λεχθησομένων· ὅστις δ᾽ ἂν τοῦτο νοθεύσῃ κατά τι, κατὰ τοσοῦτον ἀποχωρεῖ τῶν ἁπλῶν πυρετῶν.

CAPVT III.

De tertianæ febris exquisitæ dignotione.

QVæ igitur *febris* ex flauâ bile per sentientes corporis partes delatâ accēditur, cum rigore inuadit atque ardens est, & vomitu bilis, vel deiectione, vel sudore, vel quibusdam horum, vel omnibus simul soluitur. Huius febris longitudo accessionis maxima, horarū est æquinoctialium duodecim; atque appellamus eam exquisitam tertianam, quæ temperamento ægri bilioso, ac tempore, & regione, & statu, & victu calido & sicco efficitur. Sed omnia alia paulò antè docuimus, quæcunque concurrunt ad ejus generationem. Atque accessio breuior est magnâ ex parte, quàm quæ anteà dicta est longitudo, permultam maioris ac minoris obtinens differentiam; vel propter quantitatem & qualitatem ipsius bilis, vel propter ægri vires, vel propter præsentem tunc in ægro corpore dispositionem. Bilis enim copiosior longiorem, quàm paucior, efficit accessionem; tenuis, breuiorem, quàm crassa. Sic verò & vires validiores, breuiorem; imbecilliores, longiorem. Et corporis dispositio rara quidem, breuiorem; densa verò longiorem. At verò tempus intermissionis in tali febre, ex pulsu indicium putredinis humoris penitus obscurum habet sequenti die ac nocte post accessionem. Leuiter autem succensa obscure cognosci potest primis partibus posterioris diei; sed adhuc clariùs circa fines eiusdem diei aut noctis; atque adhuc clariùs proximâ die vel nocte, quæ præcedit scilicet diem aut noctem accessionis. Sanè in eâ ipsâ perspicuum iam est signum; multóque magis, quoties accessio inuadit; ac multò magis, vbi ascendit ad vigorem. In eo verò minus

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ τοῦ ἀκριβοῦς τριταίου διαγνώσεως.

D ΟΜὲν γὰρ ἐπὶ τῇ ξανθῇ χολῇ διὰ τῶν αἰσθητικῶν σωμάτων φερομένῃ γινόμενος, εἰσβάλλει τε μετὰ ῥίγους, καὶ καυσώδης ἐστὶ, καὶ χολῆς ἐμέτοις, ἢ διαχωρήσεσιν, ἢ ἱδρῶσιν, ἤ τισιν αὐτῶν, ἢ πᾶσιν ἅμα ἐκλύεται. τοῦ τοιούτου πυρετοῦ τὸ μῆκος τοῦ παροξυσμοῦ τὸ μέγιστον ὡρῶν ἐστιν ἰσημερινῶν δώδεκα, καὶ καλοῦμεν αὐτὸν ἀκριβῆ τριταῖον, ἐπὶ κράσει τοῦ κάμνοντος χολώδει, καὶ ὥρᾳ καὶ χώρᾳ καὶ καταστάσει καὶ διαίτῃ θερμῇ καὶ ξηρᾷ συνιστάμενον. εἴρηται δὲ καὶ τἆλλα τὰ συντελοῦντα πρὸς τὴν γένεσιν αὐτοῦ πάντα μικρὸν ἔμπροσθεν. ὀλιγοχρονιώτερος δὲ ὡς τὰ πολλὰ τοῦ προειρημένου μήκους ὁ παροξυ-

E σμὸς γίνεται, παμπόλλην ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἔχων τὴν διαφορὰν, ἤτοι διὰ τὸ ποσόν τε καὶ τὸ ποιὸν αὐτῆς τῆς χολῆς, ἢ διὰ τὴν τοῦ κάμνοντος δύναμιν, ἢ διὰ τὴν ὑπάρχουσαν τηνικαῦτα τῷ πάσχοντι τὴν διάθεσιν. ἡ μὲν γὰρ πλείων χολὴ τῆς ἐλάττονος μακρότερον φέρει τὸν παροξυσμόν· ἡ δὲ λεπτὴ τῆς παχείας βραχύτερον. οὕτω δὲ καὶ τῆς δυνάμεως, ἡ μὲν ἰσχυροτέρα βραχύτερον· ἡ δ᾽ ἀσθενεστέρα, μακρότερον. καὶ τῆς τοῦ σώματος διαθέσεως, ἡ μὲν ἀραιὰ βραχύτερον· ἡ δὲ πυκνὴ μακρότερον. ὁ δὲ τοῦ διαλείμματος χρόνος ἐν τῷ τοιούτῳ πυ-

F ρετῷ, τὸ κατὰ τοὺς σφυγμοὺς σημεῖον τῆς σηπεδόνος τοῦ χυμοῦ παντάπασιν ἀδιάγνωστον ἔχει κατὰ τὴν ἑξῆς ἡμέραν ἢ νύκτα τοῦ παροξυσμοῦ· βραχέως δὲ ὑποτυφόμενον γνωστὸν ἀμυδρῶς ἐν τοῖς πρώτοις μέρεσι τῆς μετ᾽ αὐτήν· σαφέστερον δὲ ἤδη περὶ τὰ πέρατα τῆς αὐτῆς ἡμέρας, ἢ νυκτός· ἔτι δὲ σαφέστερον ἐπὶ τῆς ἐχομένης, ἥτις προηγεῖται δηλαδὴ τῆς παροξυντικῆς ἡμέρας ἢ νυκτός. ἐν ἐκείνῃ δὲ αὐτῇ σαφὲς ἤδη τὸ σημεῖόν ἐστι, καὶ πολὺ μᾶλλον, εἰσβάλλοντος τοῦ παροξυσμοῦ, καὶ πολὺ μᾶλλον ἀναβαίνοντος ἐπὶ τὴν ἀκμήν. ἐν

ταύτῃ δ' ἧττον ἢ κατὰ τὴν ἀνάβασιν, καὶ μακρῷ πάλιν ἧττον ἐν τῇ παρακμῇ. τοῦτον τὸν πυρετὸν εἰ βούλοιο καλεῖν ἀκριβῆ τριταῖον, ὀνόματι χρήσῃ παλαιῷ· εἰ δὲ μή, ἀλλ' ἡμῖν γε συγχώρησον οὕτως ὀνομάζειν ἕνεκα σαφοῦς διδασκαλίας.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τοῦ ἀκριβοῦς ἀμφημερινοῦ διαγνώσεως.

Ἔστι δ' ἕτερος ἀκριβὴς ἁπλοῦς πυρετός, ἐπὶ φλέγματι σηπεδονώδει διὰ τῶν αἰσθητικῶν σωμάτων ὑπὸ τῆς φύσεως ὠθουμένῳ γιγνόμενος. ἄρχεται μὲν ἀπὸ καταψύξεως τῶν ἄκρων καὶ φρίκης μᾶλλον ἢ ῥίγους· δυσεκθέρμαντος δ' ἐστί, καὶ πολυχρόνιον ἔχει τὴν ἀνάβασιν ὡς ἐπὶ τὴν ἀκμήν, ἐπειδὴ καὶ ὁ χυμός, ἐφ' ᾧ συνίσταται, ψυχρὸς μέν ἐστι καὶ ὑγρὸς τὴν κρᾶσιν, γλίσχρος δὲ τὴν σύστασιν. δυσεξάπτος τε οὖν ἐστι διὰ ταῦτα, καὶ βραδύπορος, καὶ πολλαχόθι κατὰ τοὺς πόρους ἰσχόμενος, θλίβει μὲν ἐνίοτε καὶ βαρύνει τὴν δύναμιν, ἀνωμάλους δὲ καὶ πλέον ἀμυδροὺς ἐργάζεται καὶ μικροὺς τοὺς σφυγμοὺς ἔν τε ταῖς εἰσβολαῖς, καὶ τῶν ἀναβάσεων ἐν τοῖς πρώτοις. γίγνεται μὲν οὖν καὶ τῷ χολώδει πυρετῷ κατὰ τὰς εἰσβολὰς τῶν παροξυσμῶν ἕκαστον τῶν εἰρημένων περὶ τὸν σφυγμὸν παθημάτων, ἀλλ' ἐπ' ἐκείνου μὲν ἐν τάχει καθίσταταί τε τἄλλα, καὶ ἡ ἀνωμαλία, τὰ πολλὰ μηδὲ συμβάλλουσα τοῖς τοιούτοις πυρετοῖς· ἡ θερμασία δ' οὐ μετὰ πολὺ τοῦ παύσασθαι τὸ ῥῖγος ἐξάπτεται λαμπρά, καθάπερ τι πῦρ ἀκριβῶς καθαρόν, οὐδὲ μιᾶς ἐμφερομένης αὐτῷ καπνώδους ἀχλύος. τὴν δὲ τοῦ φλεγματώδους χυμοῦ θερμασίαν εἰκάσαις ἂν πυρὶ καπνώδει ξύλων χλωρῶν ἐξαπτομένων. ταῦτ' ἄρα καὶ κενώσεις ἐπ' αὐτοῦ βραχεῖαι, καὶ τὸ μῆκος τοῦ παροξυσμοῦ μακρότερον γιγνόμενον, ὅ, τε χρόνος ὁ τοῦ διαλείμματος οὐχ ὁμοίως τῷ πρώτῳ καθαρός, ἀλλ' ἀεὶ τὸ τῆς σήψεως τοῦ χυμοῦ διαφυλάττων γνώρισμα κατὰ τήν τε θερμότητα καὶ τοὺς σφυγμούς. ἐναργέστατον δὲ κἀν τούτῳ τῷ πυρετῷ περὶ τὰς εἰσβολάς τε καὶ τὰς ἐπιδόσεις τῶν παροξυσμῶν ἐστι τὸ τῆς σήψεως σημεῖον· ὅμως δ' οὖν καὶ τοῦτον, ὅταν ἀκριβὴς ᾖ, τοῖς πολλοῖς δοκεῖ καθαρὸν ἔχειν τὸ διάλειμμα, καὶ ἡμεῖς οὕτως καὶ αὐτοὶ λέγομεν οὐκ ὀλιγάκις, ὅταν ἄκαιρος ἡ ἀκριβολογία φαίνηται. συμβαίνει δὲ φύσεσί τε σωμάτων, καὶ ὥραις, καὶ χώραις καὶ καταστάσεσιν, ἐπιτηδεύμασί τε, καὶ διαίτῃ, καὶ τοῖς ἄλλοις ἅπασι τοῖς φλεγματώδεσι. παροξύνεται δὲ καθ' ἑκάστην ἡμέραν, καίτοι γ' ἧττον ὑπάρχων θερμὸς τοῦ διὰ τρίτης τοῦ χολώδους. ἀλλ' ἔοικεν ἐκεῖνος μέν, ἐπειδὴ τὸν χυμὸν εὐέξαπτον ἔχει, καὶ ῥᾳδίως ἑκάστοτε διὰ λεπτότητα τὸ ζέον αὐτοῦ κατὰ τὸν παροξυσμὸν ἐκκαθαίρεται σύμπαν, εἰς ἀπυρεξίαν τέ τινα καθαρωτέραν ἰέναι, καὶ βραχὺ μετὰ τὸν παροξυσμὸν ἐγκαταλείπειν σπέρμα σηπεδονώδους θερμότητος· ὁ δ' ἐπὶ τῷ φλέγματι, μηδὲ καθαίρεσθαι τελέως ἐν ταῖς παρακμαῖς τῶν παροξυσμῶν, μήτ' ὀλίγον ὑπολείπειν τὸ οἷον ὑποτυφόμενον. ἐντεῦθεν ἄρα τό τε διάλειμμα πολὺ φαυλότερον αὐτῷ, καὶ τοῦ δευτέρου παροξυσμοῦ ταχυτέρα ἡ εἰσβολή.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ διαγνώσεως τοῦ πυρετοῦ τεταρταίου ἀκριβοῦς, καὶ ὅτι τὸ ῥῖγος ἐνίοτε χωρὶς πυρετοῦ γίνεται.

Τὸ δὲ τρίτον γένος τῶν διαλειπόντων πυρετῶν ὁ ἀκριβὴς τεταρταῖος, ὅταν ἐπὶ μόνῳ γένηται τῷ μελαγχολικῷ

quàm per incrementum, rursusque multò minùs per declinationem. Hanc febrem si libeat nominare exquisitam tertianam, nomine vteris antiquo; sin minùs, at certè nobis dabis ita nominare perspicuæ doctrinæ gratia.

CAPVT IV.

De febris quotidianæ exquisitæ dignotione.

Alia porrò est simplex ac exquisita febris ex pituita putri, quæ per sentientes corporis partes pellitur ab ipsa naturâ, cōsistens. Ea incipit ex frigore partium extremarū, atque horrore potiùs, quàm rigore; difficulter accenditur, diuturnumque obtinet incrementum ad *consistendi* vigorem; quoniam humor, in quo consistit, frigidus atque humidus est temperamento, ac glutinosus consistentia. Itaque difficulter accenditur, ac tardè mouetur sæpè in ipsis meatibus hærens. Ac premit quidem interdum, grauatque uires; Inæqualem autem ac magis debilem efficit paruumque pulsum in insultu ac primo incremento. Per febrem verò biliosam existit inter initia accessionū vnaquæque affectio ex dictis circa pulsum; sed ab illa quidem citò abeunt tum alia, tum etiam inæqualitas, quæ magnâ ex parte cum talibus febribus non accedit. Calor autem non multò post, quàm destitit rigor, accenditur luculentus, quemadmodum ignis quidam planè purus, in quo nulla fumosa caligo inuehitur. Calorem verò pituitosi humoris assimilabis igni fumoso lignorum viridium accensorum. Euacuationes igitur in eo paucæ existunt, ac longitudo accessionis diuturnior, & tempus intermissionis non æquè ac primum purū est; sed semper seruans in calore & pulsu, putredinis humoris indicium. At verò & in hac febre circa principia, atque incrementa accessionum indicium putredinis est manifestissimū. Attamen & hæc vbi exquisita fuerit, videtur multis habere puram intermissionem; & nos ipsi ita etiam non rarò dicimus, quum intempestiua accurati sermonis discussio videtur. Accidit autem naturæ corporis, tempori, regioni, tempestati, studio, victui, & aliis omnibus pituitosis. Accedit verò singulis diebus, quanuis minus calida sit, quam biliosa, quæ tertio quoque die fatigat. Sed constat hanc quidem (quoniam & humorem habet accēsu facilem, & promptè semper ob tenuitatem quicquid eius feruefactum est per accessionem, expurgatur) ad integritatem quandam magis puram desinere, & exiguum post accessionem vestigium putridi caloris relinquere; eam verò, quæ ex pituitâ fit, nec integrè purgari per declinationes accessionum, nec exiguum, quod velut succendatur, relinquere. Inde ergo efficitur & intermissio multò deterior, & secundæ accessionis maturius principium.

CAPVT V.

De dignotione febris quartanæ exquisitæ; & quod rigor interdum citra febrem sentiatur.

At verò tertium genus intermittentium febrium, quartana exquisita, quoties ex humore melancholico solo efficitur frigido sicco-

ſiccoque temperie paulatim quidem ſuccenditur, quemadmodum lapis quidam, vel teſta, vel os, vel aliud quidpiam ſic frigidum & ſiccum corpus. Vbi verò flamma quædam ex eo accenſa eſt, nihil relinquit fumoſum, neque ſemiuſtũ poſt acceſſionem; & eam ob rem euacuationes plures ex tali humore, quàm pituitoſo, & intermiſſio planè pura eſſe videtur, eò quòd hîc omne id humoris melancholici, quod eſt accenſum, euacuatur atque diſcutitur. Et ob eam rem accidit illis rigor, qualis potiſſimùm in vehementi frigore refrigeratis; non qualis interdum exiſtit per æſtum, vel laſſitudinem, vel medicamentum calidum ac mordax vlceri adhibitum. Cæterùm neceſſe eſt hanc febrem anteceſſiſſe quicquid colligit atram bilem, ex vitæ genere, victu, cœli ſtatu, tempore, regione, naturâ & ætate ægri melancholicâ. Acceſſio præterea huius febris, longitudine temporis, tertianæ ſimilis eſt; atque interdum *accidit*, vt ſit longior, quanuis exquiſita ſit, quoniam ex humore frigidiore conſiſtit. Cauſa autem ſimilis eſt in his febribus & aliis omnibus, quæ differentiam longitudinis efficit acceſſionum, quemadmodum paulò antè diximus in exquiſitâ tertianâ; in multitudine & qualitate humoris, & robore & infirmitate virium, & ad hæc ipſa ægri diſpoſitione differentiam habens. Nam & alia omnia proportione reſpondent iis, quæ ex humore bilioſo conſiſtunt. Quocirca ſi humor melancholicus neque putreſcat, neque vehementer feratur per partes corporis ſentientes, nequaquam efficit melancholicam circuitionem exquiſitam. Sanè arquatis affectibus proportione reſpondent ex liene morbi diutini melancholici, corporiſque totius fœdi fiunt colores. Et eryſipelatibus ac herpetibus, qui ex flauâ bile conſiſtunt, cancri & phagedænæ proportione reſpondent. Sed neque ex his neque ex melancholicis affectibus neceſſariò febricitant, niſi priùs humor melancholicus & bilioſus putreſcant. Natura enim ſemper nititur, ſuis viribus vtens, aſſimilare partibus nutriendis quicquid fieri vtile poteſt; excernere autem id, quod non eſt iſtiuſmodi. Quòd ſi interdum præ craſſitie, vel copiâ, vel lentore excrementi, vel ſtipatione quadam meatuum, vel ſuâ ipſius debilitate non poſſit excernere humorẽ vniuerſum prauum, immorantem diutiùs in ipſo corpore animalis putreſcere neceſſe eſt. Nullus enim alius humor permanere, qualis extitit ab initio, poteſt, nedum qui adeò vitioſus eſt, vt ab ipſa natura cultum ampliùs ſuſcipere non poſſit; ſed aut concoctus apponitur atque aſſimilatur ſolidis animalis partibus, aut corrumpitur atque putreſcit. Ad hunc modum arquatis ac melancholicis affectibus, quum humor bilioſus exuperans in corpore diutiùs immoratur, febris euenit. Sæpè etiam affectus in iecore & in ſplene attulit febrem, quum aut inflammatio aliqua, aut obſtructio efficit prædictos affectus. Pari ratione nec vbi pituitoſus humor exuperat, febris ſequitur, niſi putreſcat priùs. Atque ob hunc quidem, quod ab antiquis exiſtimatum eſt eſſe impoſſibile, ſæpenumerò viſum eſt; id autem eſt ſine febre rigor, qui nonnullis quidem ſemel accidit, nonnullis autem etiam per circuitum pluribus die-

χυμῷ ψυχρῷ καὶ ξηρῷ τὴν κρᾶσιν ὑπάρχοντι, κατὰ βραχὺ μὲν ὑποτύφεται καθάπερ τις λίθος, ἢ ὄστρακον, ἢ ὀστοῦν, ἢ τι τῶν οὕτω ψυχρῶν καὶ ξηρῶν σωμάτων· ἐπειδὰν δὲ ἐξαφθῇ τις ἐξ αὐτοῦ φλὸξ, οὐδὲν ὑπολείπει καπνῶδες, οὐδὲ ἡμίκαυστον ἐπὶ τῷ παροξυσμῷ, καὶ διὰ τοῦτο κενώσεις τε πλείονες ἐπὶ τούτῳ τῷ χυμῷ μᾶλλον, ἢ τῷ φλεγματικῷ, καὶ τὸ διάλειμμα καθαρὸν ἀκριβῶς εἶναι δοκεῖ, τῷ κἀνταῦθα ἅπαν κενοῦσθαί τε καὶ διαφορεῖσθαι τὸ ἐξαφθὲν τοῦ μελαγχολικοῦ χυμοῦ. διὰ τοῦτο δὲ καὶ τὸ ῥῖγος αὐτοῖς ἐστιν, οἷον μάλιστα τοῖς ἐν κρύει καρτερῷ καταψυχθεῖσιν, οὐχ οἷόνπερ ἐνίοτε γίγνεται τοῖς ἐγκαυθεῖσιν, ἢ κοπωθεῖσιν, ἢ ἐπὶ φαρμάκοις θερμοῖς καὶ δάκνουσιν ἕλκει προσενεχθεῖσιν. ἀνάγκη δὲ τοῦ τοιούτου πυρετοῦ προηγήσασθαι μὲν, ὅσα χολὴν ἀθροίζει μέλαιναν, ἐν ἐπιτηδεύμασι, καὶ διαίτῃ, καὶ καταστάσει, καὶ ὥρᾳ, καὶ χώρᾳ, τὴν φύσιν τε καὶ ἡλικίαν εἶναι τοῦ κάμνοντος μελαγχολικωτέραν. ὁ παροξυσμὸς δὲ καὶ τούτου τοῦ πυρετοῦ, τῷ μήκει τοῦ χρόνου, τῷ τεταρταίῳ παραπλήσιος, ἔστι δ᾽ ὅτε καὶ μακρότερος, ἔτι μένοντος ἀκριβῶς, ὡς ἂν ἐπὶ ψυχροτέρῳ χυμῷ συνισταμένου. ἡ δ᾽ αἰτία παραπλήσιος ἐπί τε τούτων ἐστὶ τῶν πυρετῶν καὶ τῶν ἄλλων ἁπάντων, ἡ τὴν διαφορὰν ἐργαζομένη, τοῦ μήκους τῶν παροξυσμῶν, ὥσπερ ὀλίγον ἔμπροσθεν ἐπὶ τῶν ἀκριβῶν εἴρηται τριταίων, ἐν πλήθει καὶ ποιότητι τοῦ χυμοῦ καὶ ῥώμῃ καὶ ἀῤῥωστίᾳ δυνάμεως, ἔτι πρὸς τούτοις αὐτῇ τοῦ κάμνοντος τῇ διαθέσει τὴν διαφορὰν ἔχουσα. καὶ γὰρ καὶ τὰ ἄλλα πάντα αὐτοῖς ἀνάλογον ὑπάρχει τοῖς ἐπὶ τῷ πικροχόλῳ χυμῷ συνισταμένοις. εἰ γοῦν μήτε σήποιτο, μήτε φέροιτο σφοδρῶς διὰ τῶν αἰσθητικῶν σωμάτων ὁ μελαγχολικὸς χυμὸς, οὐκ ἂν ἀπεργάσεται τεταρταίαν περίοδον ἀκριβῆ. καὶ μὴν καὶ τοῖς ἰκτερώδεσι παθήμασιν, ἀνάλογον αἱ ἐπὶ σπληνὸς ἀῤῥωστίαι χρόνιαι μελαγχολικαὶ, καὶ δύσχροιαι περὶ τὸ σύμπαν γίνονται σῶμα· καὶ τοῖς ἐρυσιπέλασιν ἐπὶ τῇ ξανθῇ χολῇ συνισταμένοις ἀνάλογον οἵ τε καρκῖνοι, καὶ αἱ φαγέδαιναι. πυρέττουσι δ᾽ οὔτε ἐν τούτοις ἐξ ἀνάγκης, οὔτ᾽ ἐν τοῖς μελαγχολικοῖς, εἰ μὴ σαπείη πρότερον ὁ μελαγχολικὸς χυμός. πειρᾶται μὲν γὰρ ἡ φύσις ἀεὶ ἑαυτῆς χρωμένη δυνάμεσιν, ὁμοιοῦν μὲν τοῖς τρεφομένοις ὅσον ἂν ἐγχωρῇ γενέσθαι χρηστὸν, ἐκκρίνειν δὲ τὸ μὴ τοιοῦτον· ἢν δέ ποτε διὰ πάχος, ἢ πλῆθος, ἢ γλισχρότητα τοῦ περιττώματος, ἢ τινα στέγνωσιν τῶν ὁδῶν, ἢ καὶ διὰ τὴν ἑαυτῆς ἀσθένειαν, ἀδυνατήσῃ πᾶν ἐκκρῖναι τὸ μοχθηρὸν, ἀναγκαῖον αὐτῷ χρονίζοντι κατὰ τὸ τοῦ ζώου σῶμα διαφθείρεσθαι. μένειν μὲν γὰρ οἷον ἦν ἐξ ἀρχῆς, οὐδὲ τῶν ἄλλων ὑγρῶν οὐδὲν δύναται, μή τί γε δὴ τὸ οὕτω φαῦλον, ὡς μηκέτ᾽ ἐπιδέχεσθαι τὸν παρὰ τῆς φύσεως κόσμον, ἀλλ᾽ ἤτοι πεττόμενον προστίθεταί τε καὶ ὁμοιοῦται τοῖς στερεοῖς τοῦ ζώου μορίοις, ἢ διαφθείρεταί τε καὶ σήπεται. οὕτω γὰρ καὶ τοῖς ἰκτερώδεσι καὶ μελαγχολικοῖς, ὅταν ἐπὶ πλείονα χρόνον ἐν τῷ σώματι μένωσιν οἱ χολώδεις χυμοὶ πλεονάζοντες, ἐπιγίγνονται πυρετοί. πολλάκις δὲ καὶ ἡ κατὰ τὸ ἧπαρ ἢ τὸν σπλῆνα διάθεσις ἤνεγκε πυρετὸν, ὅταν ἤτοι φλεγμονή τις ἢ ἔμφραξις ἐργάζεται τὰ προειρημένα παθήματα. κατὰ δὲ τὸν αὐτὸν λόγον, οὐδ᾽ ὅταν ὁ φλεγματώδης πλεονάζῃ χυμὸς, ἕπεται πυρετὸς, εἰ μὴ σαπείη πρότερον. ἐπὶ τούτῳ μέν γε καὶ τὸ τοῖς παλαιοῖς ἀδύνατον εἶναι δοκοῦν, ὦπται πολλάκις. ἔστι δὲ τοῦτο, τὸ χωρὶς πυρετοῦ ῥῖγος, ἔστι δὲ οἷς μὲν ἅπαξ γινόμενον, ἔστι δὲ οἷς καὶ κατὰ περίοδον ἐπὶ πλείους

ἡμέρας, ἢ συνεχὴς ἀπ' ἀρχῆς ἄχρι τέλους, ἤτοι παντάπασιν οὕτω μέτριος, ὡς μηδ' εἶναι δοκεῖν, ὅταν ἡσυχάζωσιν, ἀλλὰ μόνον εἰ κινηθεῖεν, εἰς αἴσθησιν ἥκειν, ἢ καὶ μείζονος, ὡς καὶ χωρὶς τῆς κινήσεως διοχλεῖν. ἀλλ' ὅταν γε καὶ ὁ τοιοῦτος ἐν τῷ χρόνῳ διασαπῇ χυμός, οὐ ῥιγοῦσι μόνον, ἀλλὰ καὶ πυρέττουσι. καὶ χρόνιός τε πάνυ καὶ δύσλυτος ἐπιγίνεται ταῖς τοιαύταις αἰτίαις ὁ πυρετὸς ἐν ἀμφημερινοῦ σχήματι.

A bus, vel continuus ab initio vsque ad finem, vel omnino ita mediocris, vt nequaquàm esse videatur, quum quieuerint, sed vbi moueantur tantummodo, efficiat sensum; vel etiam maior, vt etiam sine motu infestet. Sed quoties talis humor spacio temporis putrescat, non rigent solùm, sed etiam febricitant. Et diuturna admodum & solutu difficilis febris in quotidianæ forma tales causas sequitur.

ΚΕΦΑΛΑΙΟΝ ς'.

τίνα χαρακτηρίζει τὸν ἠπίαλον

Περὶ ἠπιάλου πυρετοῦ καὶ ῥιγοπυρέτου ὀνομαζομένου, καὶ περὶ τοῦ ὑαλώδους χυμοῦ, καὶ τῶν τοῦ φλέγματος γενῶν.

Τούτου τοῦ γένους ἐστὶ καὶ ὁ ἠπίαλος πυρετὸς ἰδίως ὀνομαζόμενος, ὅταν ἅμα πυρέττωσί τε καὶ ῥιγῶσι, καὶ ἀμφοτέρων αἰσθάνονται κατὰ τὸν αὐτὸν χρόνον, ἐν ἅπαντι μορίῳ τοῦ σώματος. Ἀρχιγένης μὲν οὖν οἴεται κατ' ἄλλου μηδενὸς ἐπιφέρεσθαι μηδέποτε τοὔνομα τὸν ἠπίαλον, ἀλλ' ἢ κατὰ μόνου τοῦ τοιούτου πυρετοῦ. φαίνονται δὲ τῶν Ἀττικῶν ἄνδρες ἔνιοι καὶ τὸ πρὸ τοῦ πυρετοῦ ῥῖγος οὕτως ὀνομάζοντες. ὑαλώδη δέ μοι δοκεῖ προσαγορεύειν ὁ Πραξαγόρας τὸν χυμὸν τοιοῦτον. οἱ νεώτεροι δὲ ὧν ἐστὶ καὶ Φίλιππος, ὠμὸν ἁπλῶς, οὐδὲν προστιθέντες εἰς ἀκριβῆ διορισμὸν ὄνομα. τοῦ φλεγματώδους δ' ἐστὶ δήπου καὶ αὐτὸς ἰδέας, ἱκανῶς ὑπάρχων ψυχρός τε καὶ γλίσχρος. ὃς γὰρ ἂν ὑγρὸς ἅμα καὶ ψυχρὸς ᾖ χυμός, ὑπὸ τὴν τοῦ φλέγματος ἀνάγεται προσηγορίαν, εἴ τις Ἱπποκρατείως τε καὶ συνήθως ἅπασιν, οὐ μόνον τοῖς παλαιοῖς ἰατροῖς, ἀλλὰ ἤδη καὶ τοῖς ἄλλοις Ἕλλησιν ὀνομάζειν ἐθέλοι. Πρόδικος γὰρ ἐν τῷ περὶ φύσεως ἀνθρώπου παρανομεῖ καὶ περὶ τοὔνομα, πρὸς τῆς θαυμαστῆς ἐτυμολογίας ἀναπειθόμενος. ἀλλ' οὐ νῦν καιρὸς ἐπὶ τὰ τοιαῦτα τὸν λόγον ἐκτρέπειν, ἄλλην αὖθις πραγματείαν ἀναπεπληκότα. αὖθις οὖν ἐπὶ τὸ προκείμενον ἴωμεν. ὅστις ἂν ἐν τῷ σώματι χυμὸς ὑγρὸς ᾖ καὶ ψυχρός, ἡμεῖς μὲν τοῦτον ὀνομάζομεν φλέγμα, σὺ δ' εἰ βούλει κάλει σκινδαψόν. οὕτως ἄρα μοι μέλει τῶν ὀνομάτων οὐδέν.

περὶ φλέγματος

ἀλλ' ἴσθι γε τοῦ χυμοῦ τούτου πλείους οὔσας διαφοράς. ἓν μὲν γὰρ εἶδος αὐτοῦ πάνυ δή τι ψυχρόν ἐστιν, ὥστε καὶ μεγάλας ὀδύνας, ὅταν ἐμφραχθῇ χωρίῳ θερμῷ, παρέχεσθαι· καὶ πολλάκις τε πολλὰς ἀλγηδόνας τῶν προσαγορευομένων κωλικῶν, ἐπὶ δριμεῖ κλύσματι τοιοῦτον χυμὸν ἐκκενώσαντι παραχρῆμα παυομένας ἐστὶν ἰδεῖν. ἔοικε δὲ καὶ τὴν ὄψιν ὁ χυμὸς ὅδε ὑάλῳ κεχυμένῃ.

περὶ τοῦ ὑαλώδους

περὶ γλυκέος

ἕτερον δ' ἐστὶ φλέγματος εἶδος, ὃ ἀναχρεμπτόμενοι πολλάκις ἀποπτύουσί τινες, αἰσθητὴν ἔχον τὴν γλυκύτητα, καὶ δῆλον ὡς οὐκ ἐνδέχεται τὸ τοιοῦτον ἀκριβῶς εἶναι ψυχρόν, εἴ τι μεμνήμεθα τῶν ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἀποδεδειγμένων.

περὶ ὀξέος

ἔστι γε δή τι καὶ τρίτον ἄλλο φλέγματος εἶδος, αὐτοῖς τοῖς πτύουσιν ὀξὺ φαινόμενον, ἧττον δὲ τοῦ ὑαλώδους, μᾶλλον δὲ τοῦ γλυκέος ψυχρόν·

περὶ τοῦ ἁλυκοῦ

ὥσπερ ἕτερον ἁλμυρόν, ἤτοι διὰ σῆψιν, ἢ διὰ ἐπιμιξίαν ἁλυκῆς ὀρρώδους ὑγρότητος, ἐφ' ᾧ δὴ καὶ οἱ πυρέττοντες οὐ ῥιγοῦσιν, ἀλλὰ φρίττουσι μόνον, εἰσβάλλοντος τοῦ παροξυσμοῦ. τὸ δέ γ' ὀξὺ καὶ τὸ ὑαλῶδες εἰ κινοῖτο, διὰ τῶν αἰσθητικῶν σωμάτων ἰόν, τὰ χωρὶς πυρετοῦ φέρει ῥίγη· καὶ εἰ σηπεδόνος τις αὐτοῖς ἐπιγένοιτο μετρία, τὸν ἠπίαλον ἐργάζεται πυρετόν· εἰ δ' ἐπὶ πλέον σαπείη, προηγεῖται μὲν ὁ ῥῖγος, ἕπεται δ' ὁ πυρετός, ἐκνικωμένης τῆς ψύξεως

B

CAPVT VI.

De febre epiala, rigopyreto appellata; de humore vitreo, & de pituitæ generibus.

Hvius generis est febris epiala propriè nominata, quum simul febricitant ac rigent, & vtrumque sentiunt eodem tempore in quauis corporis parte. Sanè Archigenes existimat de nulla altera nomen epialon efferri, quàm de vnâ hac febre. Sed constat Atticos quosdam viros rigorẽ ante febrem ita appellare. Enimuerò Praxagoras videtur mihi vitreum appellare humorem talem. C Recentiores autem, è quibus Philippus est, crudum simpliciter, nullum adiicientes vocabulum ad exquisitam definitionem. Is profectò ex specie pituitosi humoris est, vt qui admodum frigidus atque lentus sit. Qui enim humor frigidus simul & humidus fuerit, sub ipsam pituitæ cadit appellationem, siquis Hippocraticè & ex omnium consuetudine non solùm veterum medicorum, sed etiam aliorum Græcorum nominare voluerit. Prodicus enim libro de naturâ hominis errat circa hoc vocabulum mirandâ D etymologiâ adductus. Sed non est præsentis temporis ad talia deflectere orationem, quum aliam dicauerimus illis disputationẽ. Ergo rursus ad institutũ veniamus. Quisquis in corpore humor fuerit frigidus & humidus, ipsi hunc nominamus pituitam; tu si libet appella scindapsum. Adeò sanè nulla mihi vocabulorum est cura. At verò scias huius humoris plures esse differentias. Nam vna quidem species eius est admodum frigida, ita vt maximos dolores adferat, quum in locum calidum impacta est. Et sæpenumerò multos dolores eorum, qui co- E lici dicuntur, ex acri clysmate tali humore euacuato, statim sedatos intueri licet. Hic autem humor videtur similis aspectu vitro fuso. Altera verò species pituitæ est, quam excreantes sæpè expuunt quidam, sensibilem obtinens dulcedinem. Constatque eam non posse esse omninò frigidam, si recordamur eorum, quæ libro de simplicium medicamentorum facultatibus docuimus. Tertia prætereà species alia pituitæ est, quæ ipsis expuentibus acida sentitur, ac minùs quàm vitrea, magis quàm dulcis, frigida est; quemadmodum altera F salsa habetur, aut ob putrefactionem, aut ob permixtionem salsæ serosæ humiditatis, ex qua febricitantes minimè rigent, sed horrent tantummodo, inuadente accessione. Acida autem ac vitrea si moueatur, corporis sentientis partes permeans, infert rigorem sine febre; quòd siqua putredo moderata illis adfuerit, epialam efficit febrem; sin magis putrescat, rigor præuenit, febris verò subsequitur, deuicto frigore ab

ab ipsa multitudine caliditatis, ita vt nullo modo existat per incrementa & vigores accessionum. At verò vitrea pituita forsitam acidæ qualitatis particeps est; ita vt omnes eius differentiæ tres existant, acida, dulcis, salsa; atque ex pituitâ dulci putrescente rigor minimè antecedit febrem. Forsitan verò neque simpliciter, neque à simplici causa quis existimarit tales fieri febres. Siquidem quicquid pituitæ putrescit, accendit febrem; reliquum verò nondum putrescens, ex quo rigent, non eiusdem est qualitatis cum ea quæ putrescit. Si igitur ab hac quidem rigor, à putrefacta verò febris efficitur, duplex semper causa erit. Licet verò hîc dicere febrem ab altero quidem fieri causæ genere, rigorem autem ab alio, vt qui non sit, quod febris. Per febrem tamen tertianam flaua bilis & rigorem efficit & febrem. Sed hæc subtilioris sunt concertationis; nos ad institutum nostrum redeamus.

ὑπὸ τοῦ πλήθους τῆς θερμασίας, ὡς μηδ' ὅλως φαίνεσθαι κατὰ τὰς ἀναβάσεις καὶ τὰς ἀκμὰς τῶν παροξυσμῶν. ἴσως δὲ καὶ τὸ ὑαλῶδες φλέγμα τῆς ὀξείας μετέχει ποιότητος, ὡς εἶναι τὰς πάσας διαφορὰς αὐτοῦ τρεῖς, ὀξὺ, καὶ γλυκὺ, καὶ ἁλυκόν· ἥκιστα δὲ ἐπὶ τῷ γλυκεῖ φλέγματι σηπομένῳ προηγεῖται τοῦ πυρετοῦ ῥῖγος. ἴσως δ' ἄν τις οὐδὲ ἁπλῶς, οὐδ' ὑφ' ἁπλῆς αἰτίας γίνεσθαι τοὺς τοιούτους ὑπολάβοι πυρετούς, εἴ γε δὴ τοῦ φλέγματος ὅσον μὲν ἤδη σήπεται, τὸν πυρετὸν ἐξάπτει, τὸ δ' ἄλλο τὸ μηδέπω σηπόμενον, ἐφ' οὗ ῥιγοῦσιν, οὐκ αὐτῆς ἐστι τῷ σηπομένῳ ποιότητος. εἴπερ οὖν ὑπὸ τούτου μὲν τὸ ῥῖγος, ὑπὸ δὲ τοῦ διασαπέντος ὁ πυρετὸς γίνεται, διττὸν ἀεὶ ἔσται τὸ αἴτιον. ἐγχωρεῖ μὲν κἀνταῦθα τὸν μὲν πυρετὸν ὑφ' ἑτέρου γένους αἰτίας γίνεσθαι φάναι, τὸ ῥῖγος δ' ὑπ' ἄλλου, μὴ ὄν, ὅπερ ὁ πυρετός. ἔν γε μὴν τοῖς τριταίοις πυρετοῖς ἡ ξανθὴ χολὴ καὶ τὸ ῥῖγος ἐργάζεται, καὶ τὸν πυρετόν. ἀλλὰ τὰ μὲν τοιαῦτα λογικωτέραν ἔχει τὴν ἀμφισβήτησιν, ἐπὶ δὲ τὰ νῦν ἡμῖν προκείμενα μετιέναι καιρός.

CAPVT VII.

De tertianæ febris cum quotidiana implicatione; ac de semitertiana febre.

Permixtâ pituitâ putrescente, ex qua fieri quotidianam docuimus, cum bilioso humore efficiente tertianam, composita duplexque causa & affectus fit. Alter enim humor vnoquoque die, alter tertio quoque die adfert accessionem; ita vt vnus dies duas habeat accessiones, alter verò vnam, quum tempora accessionis in easdem horas minimè incidunt. Vbi enim incidunt, vna erit confusa, neque tertianæ, neque quotidianæ exactam speciem seruans. Et quoniam vtriusque febris duplex est species, implicationes quatuor erunt; vna, in qua tertiana permiscetur quotidianæ; secunda, in qua tertiana continuæ quotidianæ; tertia, in qua permiscetur quotidiana tertianæ continuæ; quarta autem, in qua permiscetur quotidiana continua tertianæ continuæ. Singularum verò dictarum implicationum differentia duplex est. Interdum enim omnes accessiones eodem tempore simul inuadunt, interdum diuersis temporibus. Sed hi cognosci facilè possunt, præterquàm quòd sæpè intermittens minimè cognoscitur à parum exercitatis, quoniam ægri nunquam deducuntur ad integritatem; sed oportet speciem considerare accessionis, quemadmodum secundo libro de crisibus satis dictum est, & inde cognoscere, non ex ipsa circuituum proportione. Subiiciatur enim inuasisse quempiam circa horam primam, accessionem simul cum rigore, qui videatur vulnerare carnem laborantis, deinde omnia alia tertianæ febris indicia vsque ad vigorem processisse, cum vomitu bilis simul & cũ sudore benigno declinare, atque esse iam diei horam nonam; porrò coniectare nos ex toto accessionis motu, circa vndecimam horam sine febre fore ægrotum, eâ scilicet integritate, quam in circuitibus nominare solemus. Ita verò sperantibus, statim subsistere sudorem, aut densatâ solùm, aut etiam inhorrescente cute, deinde initium, atque incrementum, & ad hæc vigorem in genere continuæ febris pituitosæ sequi. Duplicem profectò ita cognos-

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ τριταίου πυρετοῦ σὺν τῷ ἀμφημερινῷ ἐπιπλοκῆς καὶ περὶ ἡμιτριταίου πυρετοῦ.

Μιχθέντος δὲ τοῦ σηπομένου φλέγματος, ἐφ' ᾧ τὸν καθ' ἑκάστην ἡμέραν παροξυνόμενον ἐλέγομεν συνίστασθαι πυρετὸν, τῷ πικροχόλῳ χυμῷ τῷ τὴν διὰ τρίτης ἐργαζομένῳ, σύνθετός τε καὶ διπλῆ γίνοιτ' ἂν ἥ τε αἰτία, καὶ ἡ διάθεσις· ὁ μὲν γὰρ ἕτερος τῶν χυμῶν καθ' ἑκάστην ἡμέραν ἐπιφέρει τὸν παροξυσμὸν, ὁ δ' ἕτερος διὰ τρίτης· ὥστε τὴν μὲν ἑτέραν τῶν ἡμερῶν δύο ἔχειν παροξυσμοὺς, ἕνα δὲ τὴν ἑτέραν, ὅταν γε μὴ συμπίπτωσιν ἐγγὺς τῆς ὥρας οἱ παροξυντικοὶ καιροί· συμπιπτόντων γὰρ, εἷς ἔσται συγκεχυμένος, οὔτε τὴν τοῦ διὰ τρίτης, οὔτε τὴν τοῦ καθ' ἑκάστην ἡμέραν ἀκριβῶς διαφυλαττόντων ἰδέαν. ἐπεὶ δ' ἐστὶν ἑκατέρου τῶν πυρετῶν διττὸν εἶδος, ἐπιπλοκαὶ γενήσονται τέσσαρες, μία μὲν, ἐν ᾗ μίγνυται τριταῖος ἀμφημερινῷ, δευτέρα δὲ ἐν ᾗ τριταῖος τῷ καθ' ἑκάστην ἡμέραν παροξυνομένῳ συνεχεῖ, καὶ τρίτη μιχθέντος ἀμφημερινοῦ τῷ διὰ τρίτης συνεχεῖ, καὶ τετάρτη καθ' ἣν ὁ καθ' ἑκάστην ἡμέραν παροξυνόμενος συνεχὴς μίγνυται τῷ διὰ τρίτης συνεχεῖ. ἑκάστων δὲ τῶν εἰρημένων συμπλοκῶν ἡ διαφορὰ διττή, ποτὲ μὲν εἰς τὴν αὐτὴν ὥραν ἀπάντων ὁμοῦ τῶν παροξυσμῶν, ἔστι δ' ὅτε κατὰ διαφέροντας εἰσβαλλόντων καιρούς. ἀλλ' οὗτοι μὲν εὐδιάγνωστοι, πλὴν ὅτι πολλάκις ὁ διαλείπων ἀγνοεῖται τοῖς ἀγυμνάστοις, ὡς ἂν μηδέποτ' εἰς ἀπυρεξίαν ἐρχομένου τοῦ νοσοῦντος. ἀλλὰ χρὴ τὴν ἰδέαν ἐπισκοπεῖσθαι τοῦ παροξυσμοῦ, καθάπερ ἐν τῷ δευτέρῳ περὶ κρίσεων ἐπὶ πλέον εἴρηται, κἀντεῦθεν γνωρίζειν οὐκ ἐκ τῆς τῶν περιόδων ἀναλογίας. ὑποκείσθω γὰρ εἰσβεβληκέναι τινὰ περὶ πρώτην ὥραν παροξυσμὸν ἅμα ῥίγει τιτρώσκειν δοκοῦντι τὰς σάρκας τοῦ κάμνοντος, εἶτα καὶ τἄλλα πάντα μέχρι τῆς ἀκμῆς τοῦ τριταίου πυρετοῦ γνωρίσματα προβάλλοντα, μετὰ χολῆς ἐμέτου ἅμα χρηστοῖς ἱδρῶσι παρακμάζειν, καὶ εἶναι μὲν ἤδη τὴν ἡμέρας ὥραν ἐννάτην, τεκμαίρεσθαι δ' ἡμᾶς ἐκ τῆς συμπάσης κινήσεως τοῦ παροξυσμοῦ περὶ τὴν ἑνδεκάτην ὥραν ἀπύρεκτον εἶναι τὸν κάμνοντα, ταύτην δηλονότι τὴν ἀπυρεξίαν, ἣν ἐν ταῖς περιόδοις ὀνομάζειν εἰώθαμεν· οὕτω δ' ἐλπιζόντων, ἐξαίφνης ἐπισχεθῆναι μὲν τοὺς ἱδρῶτας, ἤ τι πυκνωθέντος μόνον ἢ καὶ φρίξαντος τοῦ δέρματος, ἐντεῦθεν δὲ τά τε τῆς ἀρχῆς καὶ τῆς ἀναβάσεως, ἔπι τε τῆς ἀκμῆς ἐν εἴδει φλεγματώδους γίνεσθαι πυρετοῦ συνεχοῦς. διττὸν γὰρ οὕτω

γε γνωσόμεθα τὴν αἰτίαν εἶναι καὶ τὴν ἰδέαν τοῦ πυρετοῦ μεμιγμένου τοῦ διαλείποντος τῷ συνεχεῖ, κἂν μηδὲν εὑρίσκεται διάλειμμα. καὶ κατά γε τὴν δευτέραν ἡμέραν ἐλπίσομεν εἰσβάλλειν τὸν παροξυσμὸν ὥρας ἐννάτης, καὶ εἰ κατὰ τὴν προσδοκίαν ἀποβαίη τὸ πρᾶγμα, πάντως δή που καὶ κατὰ τὴν τρίτην ἡμέραν ὁμοίως ἐλπίσομεν ἔτι πυρέττοντος τοῦ κάμνοντος ἐπεισβάλλειν αὐτῷ τοῦ τριταίου πυρετοῦ παροξυσμὸν ὥρας που πρώτης. εἰ δὲ προλάβοιεν ἢ ὑστερήσαιεν, ὅ, τε κατὰ τὴν δευτέραν ἡμέραν ἐλπιζόμενος ὥρας ἐννάτης γενέσθαι παροξυσμός, ὅ, τε κατὰ τὴν τρίτην πρώτης, οὐκέτι κατὰ τὰς ἑξῆς ἡμέρας οὔτ᾽ ἐννάτην ὥραν οὔτε πρώτην ἐλπίσομεν, ἀλλὰ τοσούτῳ πρότερον ἢ ὕστερον, ὅσῳ περ ἡ ἀναλογία τῆς πρώτης περιόδου τῶν παροξυσμῶν, ἢ προλαμβάνοντα τὴν ἀρχῆθεν ὥρας, ἢ ὑστερίζοντα προὐδείξεν. ὅστις δὲ αὐτῶν παύσαιτο πρότερον, ἔκ τε τῆς ἰδέας τοῦ πυρετοῦ τεκμαίρεσθαι, κἀκ τοῦ κατὰ τὸν παροξυσμὸν μήκους τε καὶ μεγέθους, ἤθους τε καὶ κινήσεως, ἔτι τε τῆς τῶν περιόδων ἀνταποδόσεως ἐν τῷ προλαμβάνειν ἢ ὑστερίζειν, καὶ πρὸς τούτοις ἔτι τοῖς ἐπιφαινομένοις σημείοις ἀπεψίας τε καὶ πέψεως ὅλου τοῦ νοσήματος, ὧν ἐν τοῖς οὔροις ἐστὶ τὰ μέγιστα· καὶ γέγραπται περὶ τούτων ἁπάντων αὐτάρκως ἐν τοῖς περὶ κρίσεων. εἰ δὲ μὴ περὶ τὴν ἐννάτην ὥραν, ἀλλὰ πέμπτην ἢ ἕκτην ὁ φλεγματώδης συνεχὴς ἐπιλάβοι τὸν διαλείποντα χολώδη τὸν κατὰ τὴν πρώτην ὥραν ἠργμένον, ἔτι χαλεπώτερόν ἐστι γνῶναι τοῖς πολλοῖς τούτοις ἰατροῖς, οἷς οὐδὲν μέλει τῆς τοιαύτης θεωρίας, εἴθ᾽ ἕν ἐστιν εἶδος πυρετοῦ τὸ γιγνόμενον, εἴτε δύο, καὶ ὁποῖον ἑκάτερον. ἅτε δὲ μηδὲν τούτων γινώσκοντες, οὐ μόνον οὐκ ἴσασιν ὡς χρὴ θεραπεύειν τουτουσί, μηδὲν γνωριζομένους ὁποῖοί ποτ᾽ εἰσίν, ἀλλ᾽ οὐδ᾽ εἰ καὶ κατὰ τὴν δευτέραν ἡμέραν ὑποπτεύειν χρὴ τὰς ὥρας ἀμφοτέρας, αἵπερ ἐν τῇ πρώτῃ τοὺς παροξυσμοὺς ἤνεγκαν· ἐγὼ γοῦν οἶδα πολλάκις ἐκ μαντικῆς αὐτοῖς μᾶλλον, ἢ προγνώσεως ἰατρικῆς στοχάζεσθαι δόξας τῆς εἰσβολῆς τοῦ παροξυσμοῦ. κατὰ γοῦν αὐτὴν ταύτην, ἣν νῦν προχειριζόμεθα, μίξιν τοῦ τριταίου πρὸς τὸν καθ᾽ ἡμέραν παροξυνόμενον, οἶδά ποτε περὶ μὲν τὴν πρώτην ὥραν εἰσβάλλοντα παροξυσμὸν ἀκριβοῦς τριταίου, κατὰ δὲ τὴν ἕκτην, τοῦ καλουμένου πρὸς τῶν νεωτέρων ἰατρῶν ἰδίως καθημερινοῦ. καλεῖν γὰρ ἔθος αὐτοῖς οὕτω τὸν καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενον, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενον· ἐγὼ δ᾽ εἴωθα τὸν τοιοῦτον ὀνομάζειν ἀμφημερινὸν συνεχῆ· τὸ γὰρ καθημερινὸν ὄνομα, τὴν ἀρχὴν οὐδ᾽ ἔστιν εὑρεῖν παρά τινι τῶν Ἑλλήνων γεγραμμένον, ἀμφημερινὸν δὲ πᾶν πρᾶγμα τὸ καθ᾽ ἑκάστην ἡμέραν ὡσαύτως γιγνόμενον ὀνομάζουσιν. ἀλλὰ γάρ, ὥσπερ ὁ Πλάτων φησί, καταφρονεῖν χρὴ τῶν ὀνομάτων, οἷς τοσούτων τε καὶ τηλικούτων πραγμάτων πρόκειται σκέψις. ὀνομαζέσθω τοιγαροῦν ἕνεκα σαφοῦς διδασκαλίας ὁ μὲν ἑκάστης ἡμέρας παροξυνόμενος, εἰς δ᾽ ἀπυρεξίαν παυόμενος, ἀμφημερινὸς ἁπλῶς οὕτω, μηδὲν ἔτι προστιθέντων αὐτῷ κατὰ τὸν λόγον· ὁ δὲ μὴ παυόμενος, ἀμφημερινὸς συνεχής· ἐξέστω δ᾽ εἴ τις βούλοιτο, καὶ θατέρῳ προστιθέναι τὸ διαλεῖπον. οὕτω δὲ κἀπὶ τοῦ διὰ τρίτης, ἡ μὲν ἑτέρα διαφορὰ τριταῖος ἁπλῶς, ἢ καὶ διαλείπων τριταῖος, ἡ δ᾽ ἑτέρα τριταῖος συνεχής· ἐγχωρεῖ δὲ καὶ τὸν συνεχῆ τριταῖον ὀνομάζειν διὰ τρίτης, ἁπλῶς οὕτω χωρὶς προσθήκης τινός, ὥσπερ γε καὶ ὀνομάζουσί τινες. ἀλλὰ γὰρ οὐ χρὴ μηκύνειν ἔτι περὶ τῶν ὀνομάτων, ἐπανέρχεσθαι

A cemus causam esse ac speciem febrium, mixta intermittente cum continua, quamuis nulla inueniatur intermissio. Ac sequenti quidem die sperabimus inuasuram accessionem horâ nonâ, & si vt expectabamus, res ipsa eueniat, penitus tertio die similiter sperabimus, adhuc febricitante ægroto, iterum inuasuram eum tertianæ febris accessionem horâ primâ. Quòd si præueniat aut tardet accessio, quam secunda die sperabamus horâ nonâ, atque ea quam tertio *die credebamus futuram* primâ horâ, non etiã B posthac sequentibus diebus, neque nonam horam, neque primam expectabimus, sed tantò priùs aut posteriùs, quantò proportio primi circuitus accessionem præuenisse ab horâ, quâ initio cepit, aut tardasse indicauit. Vtra verò earum desitura sit priùs, tum ex febris specie coniectandum est, tum ex accessionis longitudine, & magnitudine, & more, & motu, & item circuituum repetitione in anticipatione & tardatione, & adhæc signis quæ posteà apparent cruditatis & concoctionis totius morbi, quorum in vrinâ maxima censentur. Ac de his omnibus libris de crisibus satis dictum est. Quòd C si pituitosa continua non ad nonam horam, sed quintam aut sextam excipiat intermittentem biliosam, quæ primâ horâ incepit, adhuc difficilior cognitu est vulgo isti medicorum, quibus talis consideratio minimè curæ est, an scilicet sit vnũ febrium genus, an duo, & quodnam vtrumque. Cæterùm tanquam nihil horum cognoscentes, non solùm nesciunt, quonam modo oporteat curare eas, quæ nequaquam cognoscuntur quales tandem sint, sed neq; vtrum secundâ die suspectas habere con- D ueniat vtrasque horas, quæ primâ die accessiones attulerunt. Ego nanque scio me visum eis sæpenumerò vaticinio potiùs, quàm medica prænotione coniecisse accessionis insultũ. Per hanc igitur ipsam mixtionem, de qua nunc agimus, tertianæ cum ea, quæ quotidie accedit, vidi interdum circa primam horam exquisitæ tertianæ accessionem inuadere, circa sextam autem existere accessionem eius, quam recentiores medici propriè nominant quotidianam. Solent enim ita nominare febrem quæ E singulis diebus accedit, nequaquam desinit ad integritatem. Ipse verò solitus sum talem nominare quotidianam continuam; nomen enim, cathemerinum, nequaquã licet inuenire apud quenquam Græcorum scriptum, sed amphemerinam appellant rem omnem, quæ singulis diebus similiter fit. Sed vt Plato dixit, contemnere oportet nomina eos, quibus tantarum ac talium rerum proposita est consideratio. Appelletur igitur, gratiâ clarioris doctrinæ, ea quæ singulis diebus accedens desinit ad integritatem, quotidiana simpliciter, nihil insuper addendo ei in oratione; ea verò quæ mini- F mè desinit, quotidiana continua; ac liceat tibi, si libeat, alteri adiicere intermittens. Pari ratione dicendum & de ea, quæ tertio quoque die accedit; altera enim differentia tertiana simpliciter, vel etiam intermittens tertiana habetur, altera tertiana continua est. Licet verò & continuam tertianam nominare tertianam simpliciter sine adiectione vlla, quemadmodũ nonnulli appellant. Sed enim non opus est fusiùs disputare de nominibus, sed redire

id

ad institutum tempus est. Nam adolescens, in quo dixi implicationem extitisse tertianæ cum quotidiana continua, primo quidem die mane incepit cum rigore tertianæ proprio febri, alia omnia seruans exquisitæ tertianæ indicia vsque ad sextam horam, subitúmque vomitum biliosum & multum attulit, & ventris excretionem satis multam, eamque biliosam, ac paruos sudores, à quibus statim contractus est atque horruit homo; deinde rursus incipiente insultu, pulsus erat paruus & inæqualis; post vsque ad horam vndecimam, succensa adhuc paulatim, pleraque ipsius inuasionis habebat propria, pauca verò quæpiam ipsius quoque incrementi; deinde vsque ad noctis horam quartam incrementum merum erat, post in eadem magnitudine permanebat ad ipsum quidem sensum, vsque ad horam noctis sextam, quum iam perspicuè videbatur declinare, vsque ad quartam horam in secundo die. In ea enim contrahebatur, atque insultus accessionis signa ostendebantur, partibus quidem ipsius extremis frigidioribus euadentibus, pulsu autem paruo; atque increscebat vsque ad vesperam paulatim, neque horrorem quempiam, neque inæqualitatem aliam efficiens; deinde rursus vigebat circa horam quartam noctis, ac sensibiliter declinare incipiebat circa sextam. Ac quòd quidem tertia die horâ circiter secundâ oportebat eius expectare accessionis insultum fore quotidianum, perspicuum erat; non tamen tertiana an seruatura esset eandem horam, an non, perspicuum erat. Accessio igitur horrifica incepit horâ secunda, quę citiùs quàm pro accessione, in prima ac secunda die continuæ quotidianæ increscens vsque ad quintam horam, initium rursus alterum fecit post quintam horam, atque ei erant omnia symptomata similia iis, quæ secundâ die extiterant. Deinde rursus increscens promptiùs vsque ad octauam horam, rursus horruit in illâ horâ, ac paulò post accessio promptè ascendebat increscens, ita vt circa horam noctis quartam ad vigorem deduceretur. Ecquidnam aliud quàm exquisitæ semitertianæ hæc accessio extitit? Quum duæ febres eadem horâ inuaderent, eo quòd quæ singulis diebus repetebat, duabus horis præuenisset, tertiana verò duabus horis tardasset, ita vt nitenti dignoscere speciem febris perspicuè videri potuissent temperata ac permixta tertianæ ac continuæ quotidianæ symptomata. Quum enim tertiana quidē cum rigore incipiat, quotidiana verò sine rigore, permixta ex vtrisque horrorem statim inferebat, rem quidem minorem rigore, maiorem verò frigore; ac tanto maiorem frigore, quanto minor rigore est; ita vt æqualiter distans ab extremis vtrisque horror in medio amborum collocetur, rigoris scilicet atque frigoris; id quod tēperatis inuicem extremis potissimum fieri solet. Ergo non ab re nomen tali febri semitertianam indiderunt. Temperata enim ex quotidiana continuâ ac tertiana intermittente, totius suæ naturæ partem dimidiam vtramque prædictarum febrium habet. Vt igitur semiasinus, ac semideus dictus est; eodem modo semitertiana. Mulus enim medietatem quidem equi conducentis ei ad generationem, medietatem verò asini habens, ab altero eorum tan-

A δὲ ἐπὶ τὸ προκείμενον. ὁ γάρ τοι νεανίσκος, ἐφ᾽ οὗ τὴν ἐπιπλοκὴν ἔφην γεγονέναι τοῦ τριταίου πρὸς τὸν ἀμφημερινὸν τὸν συνεχῆ, κατὰ μὲν τὴν πρώτην ἡμέραν ἕωθεν ὑπήρξατο μετὰ ῥίγους οἰκείου τριταίῳ πυρετῷ, καὶ τἄλλα σύμπαντα φυλάττων ἀκριβοῦς τριταίου γνωρίσματα μέχρι τῆς ἕκτης ὥρας, ἐξαιφνίδιόν τε ἔμετον, χολώδη τε καὶ πολὺν ἐκόμισε, καὶ γαστρὸς διαχώρησιν ἱκανήν, καὶ ταύτην χολώδη, καὶ μικροὺς ἱδρῶτας, ἐφ᾽ οἷς αὐτίκα συνεστάλη καὶ ἔφριξεν ὁ ἄνθρωπος, κἀντεῦθεν αὖθις ἀρχομένης ἐπισημα- B σίας ἦν ὁ σφυγμὸς μικρὸς καὶ ἀνώμαλος, εἶτα μέχρι μὲν ὥρας ἑνδεκάτης ὑποτυφόμενος ἔτι κατὰ βραχύ, τὰ πλείω μὲν τῆς ἐπισημασίας εἶχεν ἴδια, βραχέα δέ τινα καὶ τῆς ἀναβάσεως· ἐντεῦθεν δὲ μέχρι νυκτὸς ὥρας που τετάρτης, ἐπίδοσις ἦν ἀκριβής, εἶτα ἐπὶ τοῦ αὐτοῦ μεγέθους ἔμενεν, ὥς γε πρὸς αἴσθησιν, ἄχρι νυκτὸς ὥρας ἕκτης, ὅτε ἤδη σαφῶς ἐφαίνετο παρακμάζειν ἄχρι τετάρτης ὥρας ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν. ἐν ταύτῃ γὰρ ἤδη συνεστέλλετό τε καὶ τὰ τῆς ἐπισημασίας ἐνεδείκνυτο σημεῖα, τῶν μὲν ἀκραίων αὐτοῦ C μερῶν ψυχροτέρων γινομένων, τοῦ δὲ σφυγμοῦ μικροῦ· καὶ δὴ καὶ μέχρι τῆς ἑσπέρας ἐπεδίδου κατὰ βραχύ, μήτε φρίκην τινά, μήτ᾽ ἀνωμαλίαν ἑτέραν ποιησάμενος· εἶτα πάλιν ἤκμασε περὶ τὴν ὥραν τετάρτην νυκτός, αἰσθητῶς τε παρακμάζειν ἤρξατο περὶ τὴν ἕκτην. ὅτι μὲν οὖν κατὰ τὴν τρίτην ἡμέραν ὥρας που δευτέρας ἐχρῆν αὐτοῦ προσδοκᾶν ἔσεσθαι τὴν ἀμφημερινὴν ἐπισημασίαν, εὔδηλον ἦν· οὐ μὴν ὅ γε τριταῖος εἴτε φυλάξει τὴν αὐτὴν ὥραν, εἴτε καὶ μή, εὔδηλον ἦν. εἰσέβαλλεν οὖν ὥρᾳ δευτέρᾳ παροξυσμὸς φρικώδης, ὅς τις θᾶττον ἢ κατὰ τὸν ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ τῶν ἡμε- D ρῶν τοῦ συνεχοῦς ἀμφημερινοῦ παροξυσμὸν ἐπιδοὺς ἄχρι πέμπτης ὥρας, ἀρχὴν αὖθις ἑτέραν ἐποιήσατο κατὰ τὴν μετὰ πέμπτην ὥραν· καὶ πάντ᾽ ἦν αὐτῷ τὰ συμπτώματα παραπλήσια τοῖς ἐπὶ τῆς δευτέρας ὥρας γινομένοις· ἐντεῦθεν δὲ αὖ πάλιν ἐπιδιδοὺς ἑτοιμότερον ἄχρι τῆς ὀγδόης ὥρας, ἔφριξεν αὖθις ἐν ἐκείνῃ, καὶ μετ᾽ ὀλίγον ἑτοίμως ἀνέβαινεν παραυξανόμενος ὁ παροξυσμός, ὡς νυκτὸς ὥρας που τετάρτης εἰς ἀκμὴν ἀφικέσθαι. καὶ τί γὰρ ἄλλο ἢ ἀκριβοῦς ἡμιτριταίου παροξυσμὸς οὗτος ἐγένετο; τῶν δύο πυρετῶν κατὰ τὴν αὐτὴν ὥραν εἰσβαλλόντων διὰ τὸ προλαβεῖν μὲν ὥραις δύο E τὸν καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενον, ὑστερῆσαι δὲ δυσὶν ὥραιν τὸν τριταῖον, ὥστε τῷ δυναμένῳ γνωρίζειν ἰδέας πυρετῶν ἐναργῶς φαίνεσθαι κεκραμένα τά τε τοῦ τριταίου καὶ τὰ τοῦ συνεχοῦς ἀμφημερινοῦ συμπτώματα. τοῦ μὲν γὰρ τριταίου μετὰ ῥίγους εἰσβάλλοντος, τοῦ δ᾽ ἀμφημερινοῦ χωρὶς ῥίγους, ὁ μικτὸς ἐξ ἀμφοῖν φρίκην ἐξαίφνης ἔφερεν, ἔλαττον μὲν τι πρᾶγμα ῥίγους, μεῖζον δὲ περιψύξεως, καὶ τοσούτῳ γε μεῖζον περιψύξεως, ὅσῳ ῥίγους ἔλαττον· ὡς ἀνάλογον ἀπεχουσαν ἑκατέρου τῶν ἄκρων τὴν φρίκην ἀμφο- F τέρων ἐν μέσῳ τετάχθαι, τοῦ τε ῥίγους καὶ τῆς περιψύξεως, ὅπερ εἴωθε μάλιστα κεραννυμένων γίνεσθαι τῶν ἄκρων. οὐκ οὖν οὐδ᾽ ἀπὸ σκοποῦ τοὔνομα τῷ τοιούτῳ πυρετῷ τὸ ἡμιτριταῖον ἔθεντο. κεκραμένος γὰρ ἐξ ἀμφημερινοῦ τε συνεχοῦς καὶ τριταίου διαλείποντος, τῆς ὅλης αὐτοῦ φύσεως τὸ ἥμισυ μέρος ἑκάτερον ἔχει τῶν εἰρημένων πυρετῶν. ὡς οὖν ὁ ἡμίονος τε καὶ ὁ ἡμίθεος ὠνόμασαι, τὸν αὐτὸν τρόπον καὶ ὁ ἡμιτριταῖος· ὅ, τε γὰρ ἡμίονος, ἥμισυ μὲν ἵππου συντελοῦντος αὐτῷ πρὸς τὴν γένεσιν, ἥμισυ δ᾽ ὄνου, κατὰ θάτερον αὐτῶν

ὠνόμασται ἡμίονος· ὁ δ' ἡμίθεος ἐνδείκνυται μὲν ἥμισυ μετέχων, ὅτι δ' ἄνθρωπός ἐστι, κατὰ θάτερον ἥμισυ παραλείπει. καὶ τοίνυν καὶ ὁ ἡμιτριταῖος, ἥμισυ μὲν ἑαυτοῦ μέρος ἔχει τὸν τριταῖον, ἥμισυ δ' ἄλλο τὸν ἀμφημερινὸν τὸν συνεχῆ. διττὸς δὲ ὁ τρόπος αὐτῷ τῆς γενέσεως, ἤτοι συνελθόντων εἰς ἕνα καιρὸν τῶν δύο παροξυσμῶν, ὡς ἀρτίως ἐλέγετο, διότι παραληπτικὸν μὲν εἶναι τὸν ἕτερον, ὑστερητικὸν δὲ τὸν ἕτερον· ἢ εὐθέως ἐξ ἀρχῆς ἀνακεκραμένων ἀλλήλοις ἀμφοτέρων. ὁ μὲν οὖν εἰς ἕνα καιρὸν ἀμφοτέρων συνελθόντων γιγνόμενος, ἕνα μόνον ἴσχει παροξυσμὸν ἡμιτριταίου φύσεως· ὁ δ' ἕτερος ἅπαντας ἐξ ἀρχῆς τοῦ νοσήματος ἄχρι τελευτῆς, ὅσπερ δὴ καὶ κυριώτατος παρὰ πάντων ἡμιτριταῖος ὀνομάζεται. περὶ μὲν δὴ τοῦδε καὶ μετ' ὀλίγον εἰρήσεται μάλιστα διὰ τοὺς περὶ τὸν Ἀγαθῖνόν τε καὶ τὸν Ἀρχιγένην. περὶ δὲ οὖν νεανίσκῳ ᾧ κατὰ τὴν διήγησιν ὑποκειμένῳ, κατὰ τὴν τρίτην ἡμέραν ὁ παροξυσμὸς τοιοῦτος γινόμενος, διὰ τὸ συμπεσεῖν εἰς ἕνα χρόνον ἀμφοτέρων τῶν πυρετῶν τὰς εἰσβολάς, τοῦ μὲν καθ' ἑκάστην ἡμέραν παροξυνόντος, ὥραις δύο προλαμβάνοντος ἀεί, τοῦ δὲ διὰ τρίτης ὑστερίζοντος ἀεὶ δύο, ὁ κατὰ τὴν τετάρτην ἡμέραν παροξυσμὸς εἰσέβαλλεν ἀνατέλλοντος τοῦ ἡλίου, τὴν ἰδέαν ἀποσώζων ἀκριβῆ τοῦ φλεγματικοῦ πυρετοῦ. ἔμελλε δὲ δήπου κατὰ τὴν ἀναλογίαν ὁ πέμπτος ἀπ' αὐτοῦ παροξυσμὸς ἄρξεσθαι περὶ δεκάτην ὥραν νυκτός, ἐπειδὴ προελάμβανεν ἀεὶ δυοῖν ὥραιν· ὁ δὲ τοῦ χολώδους πυρετοῦ τριταῖος ἀπὸ τῆς ἀρχῆς παροξυσμός, ἔμελλεν εἰσβάλλειν ἤδη που κατὰ τὴν πέμπτην ἡμέραν ὥρας τετάρτης, ὥστε εἶναι τὸ μεταξὺ διάστημα τῆς ἀρχῆς τῶν δυοῖν πυρετῶν ἓξ ὡρῶν, ὅπερ οὖν καὶ ἐγένετο, περὶ μὲν τὴν δεκάτην ὥραν τῆς τετάρτης νυκτὸς εἰσβάλλοντος παροξυσμοῦ κατὰ τὴν ἰδέαν τοῦ φλεγματικοῦ πυρετοῦ, καὶ προελθόντος οὕτως ἄχρι τετάρτης ὥρας ἡμερινῆς· ἐπιβάντος δὲ αὐτῷ τοῦ χολώδους ἅμα ῥίγει μετρίῳ, τοὐντεῦθεν τε πάλιν ἐπίμικτον εἶδος ἔχοντος τοῦ παροξυσμοῦ κατὰ τὴν τοῦ χολώδους τε ἅμα καὶ φλεγματώδους ἰδέαν. τῇ δὲ ἐπιούσῃ νυκτὶ περὶ τὴν ὀγδόην ὥραν ὁ φλεγματώδης πυρετὸς ἀρξάμενος ἀκριβής τε καὶ μόνος ἅπασαν κατέσχε τὴν ἑξῆς ἡμέραν, οὖσαν ἕκτην· εἶτα ἄχρι μέσης νυκτὸς παρακμάσας, ἐντεῦθεν πάλιν ὑπῆρξε κατὰ τὸν αὐτὸν τρόπον· εἶτα τὸ ὑπόλοιπον ἥμισυ τῆς νυκτὸς καὶ τὸ μέχρι μεσημβρίας τῆς ἑβδόμης ἡμέρας κατασχών, ἤδη πως παρήκμαζεν, ἀλλ' ὅ γε τριταῖος αὐτὸν διεδέξατο μετὰ ῥίγους εἰσβαλών, ὥσπερ εἴωθεν εἰσβάλλειν ἀκριβὴς τριταῖος, καὶ τ' ἄλλα πάντα κατὰ τὸν αὐτὸν τρόπον ἀκριβῆ κομίσας γνωρίσματα, χολῆς ἔμετον εἰργάσατο, καὶ διαχώρησιν χολώδη, καὶ οὖρα χρηστά, καί τινα βραχεῖαν νοτίδα δείλης ὀψίας, δηλῶν ἐναργέστατα τοῖς μεμαθηκόσι διαγινώσκειν εἴδη πυρετῶν, ὡς ὑφίησί τε ἤδη, καὶ παρακμάζει, καὶ παύσεται ἤ που κατὰ μίαν που περίοδον, ἢ τὸ πλεῖστον δευτέραν. καὶ γὰρ οὖν καὶ ἡ παρακμὴ ῥᾳστώνην ἔσχε θαυμαστήν τινα, καὶ οἵαν οὐδεμία τῶν ἔμπροσθεν, ἄχρι νυκτὸς ὥρας τετάρτης. ἐν ἐκείνῃ δὲ ὁ φλεγματικὸς πυρετὸς ὁ καθ' ἑκάστην μὲν ἡμέραν παροξυνόμενος, ὥραις δὲ δύο προλαμβάνων, εἰσέβαλλε, καὶ κατασχὼν ὅλην τε τὴν νύκτα καὶ τὴν ἑξῆς ἡμέραν ὅλην, αὖθις ὑπῆρξατο κατὰ τὴν ὀγδόην νύκτα δευτέρας ὥρας, ἥν τινα νύκτα κατασχὼν ὅλην, παρήκμασε κατὰ τὴν ἑξῆς ἡμέραν τὴν ἐνάτην. ἔμελλε δὲ δήπου καὶ ὁ τοῦ τριταίου παροξυσμὸς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γενήσεσθαι περὶ τὴν ὀγδόην ὥραν, ἐπειδὴ δυοῖν ὥραιν ὑστέριζεν· ἀλλὰ τότε γε περὶ ἐνάτην ὥραν εἰσέβαλλε, δηλῶν ἔτι κατὰ τὸ ἐπὶ τὴν ἑαυτοῦ παρακμήν. ἡλίου δὲ δυομένου, συνῆψεν αὐτῷ παραληπτικὸς εἰσβάλλων ὁ φλεγματώδης,

— ἔλεγον δὲ μίγνυσθαι πυρετοὺς ἑτερογενεῖς.

A tummodo dictus est semiasinus. Et semideus indicatur quidem participare dei medietatem; quòd autem homo sit alterâ ex parte, omittitur. Itidem semitertiana medietatem alteram habet tertianam, medietatem alteram quotidianam continuam. Sed ipsi duplex modus generationis est, aut enim in vnum tempus duæ accessiones concurrunt, vt paulò antè dixi, quia altera præuenit, altera tardat; aut ambæ statim ab initio inuicem temperantur. At quæ ambabus in vnum tempus coeuntibus fit, vnam solam habet accessionem naturæ ipsius semitertianæ; B altera verò omnes ab initio morbi vsque in finem, quæ maximè propriè semitertiana ab omnibus nominatur. Sed de hoc paulò post agetur, potissimum propter Agathinum & Archigenem. Adolescenti igitur, quem nostra narratio supposuit, tertio die quum fieret talis accessio, propterea quòd in vnum tempus ambarum febrium accessiones incidissent, præueniente duabus horis quotidianæ accessione semper, tertiana autem tardante semper duabus, C accessio quarta die incepit oriente sole, speciem seruans exactam febris pituitosæ. Futurum autem ex proportione erat, vt quinta ab ea accessio inciperet circa decimam horam noctis, quoniam semper præueniebat horis duabus: tertia autem ab initio accessio febris biliosæ habitura principium erat quintâ die, horâ quartâ, ita vt medium interstitium initii duarum accessionum foret sex horarum; quod etiam factum est; circa decimam horam quartæ noctis adueniente accessione secundum speciem pituitosæ febris, atque ita procedente vsque ad horam quartam diei; D coeunte verò cum biliosa simul modico rigore, deinde rursus permixtam speciem habente accessione secundum biliosæ simul ac pituitosæ speciem. At verò subsequenti nocte circa octauam horam pituitosa febris incipiens exquisita ac sola totam obtinuit sequentem diem, quæ sexta fuit; tum autem vsque ad mediam noctem declinans, inde rursus incepit eodem modo; posteà reliquam noctis medietatem, & tempus vsque ad meridiem septimæ diei obtinens, iam quodammodò declinauit. E Sed tertiana ei successit cum rigore incipiens, quemadmodum solet incipere exquisita tertiana; atque alia omnia eodem modo exquisita afferens indicia, bilis vomitum effecit, & deiectionem biliosam, & vrinam bonam, & quendam madorem crepusculo vespertino, indicans perspicuè iis, qui didicerunt cognoscere genera febrium, quòd remitteretur atque declinaret, & soluenda esset post vnam vel ad summum alteram circuitionem. Etenim declinatio facilitatem habuit mirabilem quandam, & qualem nulla ex prioribus, F vsque ad horam noctis quartam. In illâ enim febris pituitosa singulis diebus accedens, horis autem duabus præueniens, incepit, atque occupans totam noctem, & totum sequentem diem, rursus incepit octauâ nocte, secunda hora; quam quidem noctem totam occupans declinauit sequenti die nono. Accessio autem tertianæ erat futura in illa die circa octauam horam, quoniam duabus horis tardabat; sed tunc circa horam nonam incepit, indicans adhuc eo suam declinationem. Sole autem occidente coiuit cum ea accessio pituitosa, an-

ticipando inuadens, quemadmodũ solita erat, & noctem occupans illam, & sequentem diem, rursus incepit decima die, hora decima. Dein rursus vndecima die hora octaua exactè permanens pituitosa; deinde circa horam noctis primam, initium horrificum tertianæ febris quatuor horis tardantis extitit, tum autẽ sextâ horâ noctis venter deiecit biliosa, & quidam in toto corpore madores extiterunt; & post hos tota declinatio prope ad integritatem deuenit, atque erat iam perspicuum tertianam destitisse integrè, pituitosam autem esse relictam solam iam & declinantem. Has igitur ob res circa duodecimam diem nec insuper accessio præuenit horis duabus, quemadmodum antea solita erat, sed septima hora incepit; deinde circa decimam tertiam haudquaquam sexta, sed tardauit, ac septima hora incepit, *ostendens* insignem facilitatem atque declinationem. Quartodecimo autem die declinatio multò melior extitit, atque accessio incepit horâ nonâ, & in vrinâ insigne concoctionis indicium apparuit, prænuntians fore solutionem futuro decretorio. Sed de hoc nunc non est sermo, nisi obiter. Quod autem sæpenumerò permisceantur diuersi generis febres medicorum vulgus latentes, biliosæ scilicet pituitosis, itemque continuæ intermittentibus, præscriptus ægrotus abundè indicauit.

ὥς εἰώθει, καὶ τήν τε νύκτα κατασχὼν ἐκείνην, καὶ τὴν ἑξῆς ἡμέραν, αὖθις εἰσέβαλλε κατὰ τὴν δεκάτην ἡμέραν ὥρας δεκάτης. εἶτ᾽ αὖθις κατὰ τὴν ἑνδεκάτην ἡμέραν ὥρας ὀγδόης ἀκριβῶς διαμένων φλεγματικός. εἶτα περὶ νυκτὸς ὥραν πρώτην φρικώδης εἰσβολὴ τοῦ τριταίου πυρετοῦ τέτταρας ὥρας ὑστερήσαντος ἐγένετο, κἄπειθ᾽ ἕκτης ὥρας νυκτὸς ἥ τε γαστὴρ διεχώρησε χολώδη, καί τινες ἐν ὅλῳ τῷ σώματι νοτίδες ἐγένοντο, καὶ μετὰ ταύτας ἡ παρακμὴ πᾶσα πλησίον ἀπυρεξίας ἀφίκετο, καὶ ἦν ἤδη δῆλον, ὡς ὁ μὲν τριταῖος ἐπαύσατο τελέως, ὁ δὲ φλεγματώδης ὑπελείπετο μόνος, ἤδη δέ τι καὶ αὐτὸς ἐνδιδούς. ταῦτ᾽ ἄρα κατὰ τὴν δωδεκάτην ἡμέραν οὐκέτι προὔλαβεν ὁ παροξυσμὸς ὥραις δυοῖν, ὥσπερ εἰώθει πρότερον, ἀλλ᾽ ἑβδόμης ὥρας εἰσέβαλλεν. εἶτα κατὰ τὴν τρισκαιδεκάτην οὐδὲ τῇ ἕκτῃ, ἀλλ᾽ ὑστέρησε καὶ ταύτης, ἑβδόμης ὥρας εἰσβαλὼν ἐπ᾽ ἀξιολόγῳ ῥᾳστώνῃ τε καὶ παρακμῇ. κατὰ δὲ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν, ἥ τε παρακμὴ πολὺ βελτίων ἐγένετο, καὶ ὁ παροξυσμὸς εἰσέβαλλεν ὥρας ἐνάτης, καὶ τοῖς οὔροις ἀξιόλογα σημεῖα πέψεως ἐφάνη, προδηλοῦντα τὴν ἐσομένην λύσιν ἐν τῇ μελλούσῃ κρισίμῳ. ἀλλ᾽ οὐ περὶ τούτου νῦν ὁ λόγος, ὅτι μὴ παρέργως. ὅτι δ᾽ ἐπιμίγνυνται πολλάκις ἑτερογενεῖς πυρετοί, χολώδεις φλεγματώδεσι, καὶ διαλείποντες συνεχέσι, τοὺς πολλοὺς τῶν ἰατρῶν λανθάνοντες, ὁ προγεγραμμένος ἄρρωστος ἱκανῶς ἐνδείκνυται.

CAPVT VIII.

De dignotione febris semitertianæ exquisitæ, & non exquisitæ, aduersus Archigenem & Agathinum.

SEd quum de his, quæ decebant dicta sint, ad id, quod paulò antè productũ est, rursus venio. Composita enim ex tertiana & quotidiana continua (quam vocamus semitertianam) vel habet flauam bilem exuperantem, proindeque flauæ bilis symptomata vehementia; vel hanc pauciorem, pituitam verò copiosiorem, proindeque quotidianæ continuæ pathemata certiora; vel neutrum altero humore exuperantiorem, sed ambos æquales, quæ sanè exquisita semitertiana est, talis speciе, qualem Hippocrates ipsam indicauit, scribens libro primo epidemiõn ad hunc modum. *Plærisque eorum hæ fuerunt affectiones. Febres horrificæ, continuæ, acutæ, in totum minimè intermittentes, modus autem semitertianus erat; hæ quidem diem vnum habentes leuiorem, altero autem grauius exacerbantes, atque ad acutiorem affectum increscentes.* Horrificas autem dixit, non simpliciter febres incipientes cum horrore (nam innumeris febribus id accidit, de quibus deinceps docebo) sed in quibus bonã partem accessionis horror occupat altera duntaxat die, in qua simul inuadunt tertiana ac quotidiana continua. Sequens enim dies quotidianam tantummodò habet. Quocirca prima dies magna ex parte permixtam ex vtrisque febrem affert; secunda autem continuam quotidianam. Interdum enim prima die inuadere pituitosam, secundâ autem vtrasque contingit. Accessio igitur communis ex vtrisque, quoties æquè polluerint humores, talis est, qualem paulò antè descripsimus semitertianam; vbi verò tertiana exuperat, febris magis horrificat, & aliquid rigoris in insultũ

ΚΕΦΑΛΑΙΟΝ Η.

Περὶ διαγνώσεως τοῦ ἡμιτριταίου πυρετοῦ ἀκριβοῦς τε καὶ οὐκ ἀκριβοῦς πρὸς τὸν Ἀρχιγένην καὶ τὸν Ἀγαθῖνον.

ΑΛλ᾽ ἐπειδὴ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα, ἐπὶ τὸ ἀναβληθὲν ὀλίγον ἔμπροσθεν ἐπάνειμι αὖθις. ὁ γάρ τοι σύνθετος ἐκ τριταίου καὶ ἀμφημερινοῦ συνεχοῦς, ὃν ἡμιτριταῖον ὀνομάζομεν, ἤτοι πλεονεκτοῦσαν ἔχει τὴν ξανθὴν χολὴν, καὶ διὰ τοῦτο καὶ τὰ τοῦ τριταίου συμπτώματα σφοδρότερα, ἢ ταύτην μὲν ἐλάττονα, πλέον δὲ τὸ φλέγμα, καὶ διὰ τοῦτο τὰ τοῦ συνεχοῦς ἀμφημερινοῦ παθήματα βεβαιότερα, ἢ οὐδέτερον θατέρου τῶν χυμῶν ἐπικρατέστερον, ἀλλ᾽ ἰσοσθενεῖς ἀμφοτέρους, ὅσπερ δὴ καὶ ἀκριβὴς ἡμιτριταῖός ἐστι, τοιοῦτος ὢν τὴν ἰδέαν, οἷόνπερ Ἱπποκράτης αὐτὸν ἐδήλωσε, γράφων ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ὧδε. ἦν δὲ τοῖς πλείοσιν αὐτέων τὰ παθήματα τοιάδε, φρικώδεες πυρετοὶ, συνεχέες, ὀξέες, τὸ μὲν ὅλον οὐ διαλείποντες, ὁ δὲ τρόπος ἡμιτριταῖος, τὴν μὲν μίαν κουφότεροι, τῇ δ᾽ ἑτέρῃ ἐπιπαροξυνόμενοι, καὶ τὸ ὅλον ἐπὶ τὸ ὀξύτερον ἐπιδιδόντες. φρικώδεις γὰρ εἶπεν οὐχ ἁπλῶς τοὺς μετὰ φρίκης εἰσβάλλοντας, ὡς μυρίοις γε πυρετοῖς ὑπάρχει τοῦτο, περὶ ὧν ἑξῆς ἐρῶ, ἀλλ᾽ ὅσοις τὸ πλεῖστον μέρος τοῦ παροξυσμοῦ κατειλήφασιν αἱ φρῖκαι, κατά γε τὴν ἑτέραν τῶν ἡμερῶν, ἐν ᾗ συμβάλλουσιν ὅ τε τριταῖος καὶ ὁ συνεχὴς ἀμφημερινός. ἡ γὰρ ἐφεξῆς ἡμέρα τὸν ἀμφημερινὸν ἔχει μόνον. ὡς τὰ πολλὰ μὲν οὖν ἡ πρώτη τῶν ἡμερῶν τὸν μικτὸν ἐξ ἀμφοῖν ἐπιφέρει πυρετὸν, ἡ δὲ δευτέρα τὸν συνεχῆ φλεγματώδη. συμβαίνει μὴν ἐνίοτε καὶ κατὰ μὲν τὴν πρώτην εἰσβάλλειν τὸν φλεγματώδη, κατὰ δὲ τὴν δευτέραν ἀμφοτέρους. ὁ γοῦν παροξυσμὸς ὁ κοινὸς ἐξ ἀμφοῖν, ὅταν μὲν ἰσοσθενεῖς ὦσιν οἱ χυμοὶ, τοιοῦτός ἐστιν, οἷον ὀλίγον ἔμπροσθεν ἐγράψαμεν τὸν ἡμιτριταῖον· ὅταν δ᾽ ὁ τριταῖος ἐπικρατῇ, φρικωδέστερος ὁ πυρετὸς γίνεται, καί τι καὶ ῥίγους

προσλαμβάνει κατὰ τὴν ἐπισημασίαν. εὐθὺς δὲ δήπου καὶ θερμότερος ὁ τοιοῦτός ἐστι καὶ καυσωδέστερος, καὶ θᾶττον ἐπὶ τὴν ἀκμὴν ἀφικνεῖται, καί τινα χολῆς ἔμετον, ἢ διαχώρησιν, ἢ ἰκμάδα φέρει. θατέρου δὲ τοῦ φλεγματώδους πλεονεκτοῦντος, ἐπικρατοῦσι μὲν αἱ ψύξεις τῶν ἀκρωτηρίων, ὀλίγαι δ' εἰσὶν αἱ φρίκαι, καὶ τῶν σφυγμῶν ἡ θλίψις ἰσχυροτέρα τε καὶ πολυχρονιωτέρα, καὶ βραδέως ἐπιδίδωσιν ὁ παροξυσμὸς καὶ μετὰ πολὺν ἀκμάζει χρόνον, οὐ μὴν οὐδὲ διψώδης, οὐδὲ καυσώδης ἐστὶν, οὐδ' ἔμετος, οὐ διαχώρησις χολώδης, ἢ νοτὶς ἐπ' αὐτοῦ γίνεται. καὶ ταύτης τῆς μίξεως τῶν δύο πυρετῶν εἰς ἔννοιάν τινα καὶ Ἀρχιγένης ἀφίκετο, συγκεχυμένως μέν τοι καὶ ἀδιαρθρώτως, ὡς ἐπιδείκνυμεν ἐν τῷ ἑβδόμῳ τῶν γεγραμμένων ἡμῖν ὑπομνημάτων εἰς τὴν περὶ τῶν σφυγμῶν αὐτοῦ πραγματείαν. οἴεται γοῦν ἐν τοῖς ἡμιτριταίοις ἐνίοτε μὲν ἐπικρατεῖν τὸν τριταῖον πυρετὸν, ἐνίοτε δὲ τὸν ἀμφημερινόν, οὐ μὴν περί γε τῆς ἰσοκρατοῦς μίξεως αὐτῶν, ἥπερ δὴ καὶ μόνη τὸν ἀκριβῆ συνίστησιν ἡμιτριταῖον, οὔτε ἐνενόησεν, οὔτε ἐδήλωσεν, ἀλλ' ὅλως παρέλιπεν. ἐπειδὰν γὰρ ἴσοι κατὰ τὸ μέγεθος ὑπάρχωσιν ὅ τε χολώδης διαλείπων, καὶ ὁ φλεγματώδης συνεχής, ἡ μὲν εἰσβολὴ τοῦ παροξυσμοῦ μετὰ φρίκης γίνεται· μέσον γὰρ δή τι τοῦτ' ἐστι ῥίγους τε καὶ περιψύξεως, ὧν τὸ μὲν τῷ τριταίῳ, τὸ δὲ τῷ συνεχεῖ φλεγματώδει συνῆν. ἡ δὲ ἀπὸ τῆς εἰσβολῆς αὔξησις, διὰ μὲν τὸν τριταῖον εὐθέρμαντός τέ ἐστι, καὶ πρὸς τὴν ἀκμὴν ἐπείγεται· διὰ δὲ τὸν φλεγματώδη βραδεῖαν ὅσον ἐφ' ἑαυτῷ ποιούμενον τὴν ἀνάβασιν, ἐπέχεταί τε καὶ διακόπτεται, καὶ ἔστιν ὥσπερ τις μάχη τῶν συμπτωμάτων, ἐνίοτε μὲν ἐκθερμαινομένου τοῦ κάμνοντος, ὅταν ἡ τοῦ τριταίου θερμότης ἰσχυρότερον ἐνεργήσασα, πρὸς τὸ δέρμα τοὺς χυμοὺς ἀναφέρῃ· κατέχοντος δ' ἔστιν ὅτε, καὶ ἀντισπῶντος εἴσω τὴν τούτου κίνησιν τοῦ φλεγματώδους, ἀργοῦ, καὶ δυσκινήτου, καὶ ψυχροῦ, καὶ βραδυπόρου τὴν φύσιν ὑπάρχοντος. ἔν τε τῇ διαμάχῃ ταύτῃ, κρατοῦντος μὲν τοῦ ψυχροῦ χυμοῦ συστολαί γίνονται, καὶ φρῖκαι, καὶ καταψύξεις τῶν ἀκρωτηρίων τε καὶ τοῦ δέρματος, ὡς δοκεῖν αὖθις ἑτέραν εἰσβάλλειν παροξυσμόν. εἰ δ' ὁ θερμότερος ἐπικρατήσειεν, ἀθρόως τε ἐπιθερμαίνονται, καὶ πλησίον τῆς ἀκμῆς ἀφῖχθαι δοκοῦσιν· εἶτ' ὀλίγον ὕστερον ἐπικρατήσαντος τοῦ φλεγματώδους, συστέλλονταί τε πάλιν οἱ κάμνοντες καὶ καταψύχονται, καὶ φρίττουσι, καὶ τοῦτ' οὐ παύεται γινόμενον ἄχρι τῆς ἀκμῆς, ἥτις καὶ αὐτὴ πρωϊαιτέρα μὲν ἢ κατὰ τὸν φλεγματώδη χυμόν, ὀψιαιτέρα δὲ ἢ κατὰ τὸν χολώδη γιγνομένη φαίνεται. τοῦ μὲν γὰρ χολώδους τὸ τάχος ὁ φλεγματώδης ἐπέχει, τοῦ δ' αὖ φλεγματώδους τὸ βραδὺ καὶ νωθρὸν, ὁ χολώδης ἐπεγείρει. τοιοῦτος μέν τις ὁ ἀκριβὴς ἡμιτριταῖος, ἐξ ἰσοσθενοῦς κράσεως δυοῖν πυρετοῖν γιγνόμενος, ὅτι καὶ δυοῖν χυμῶν· ὁ δ' οὐκ ἀκριβὴς, ἤτοι τὸν χολώδη χυμὸν, ἢ τὸν φλεγματώδη πλείονα κέκτηται.

ΚΕΦΑΛΑΙΟΝ Θ.

Τὸν ἡμιτριταῖον πυρετὸν εἶναι συνεχῆ, καὶ εἰς ἀπυρεξίαν οὐ καταπαύεσθαι· ἀλλὰ τὸν Ἀγαθῖνον ἐψεῦσθαι ἡμιτριταῖον ἅπαντα μακρότερον πυρετὸν καλέσαντα.

Δευτέρα δ' ἐστὶν ἐπιπλοκὴ καὶ μίξις δυοῖν πυρετῶν, τριταίου τε καὶ ἀμφημερινοῦ, παραπλήσιον μέν τινα τὸν παροξυσμὸν ποιουμένη τῷ πρόσθεν εἰρημένῳ, διαφέροντα δὲ τῷ τε προάγεσθαι τοῦτον εἰς ἀπυρεξίαν, καὶ τῷ κατὰ τὴν δευτέραν

A accessionis assumit. Statim itaque calidior tadis est, atque ardentior, ac celeriùs peruenit ad vigorem; & quendam bilis vomitum, vel deiectionem, vel madorem infert. Vbi verò humor pituitosus exuperat, frigus extremarum partium exuperat, & horror paruus est, & pulsus contractio fortior ac diuturnior, ac lentè accessio increscit, & multo pòst tempore viget; non tamen sitim efficit, neque ardorem; neque vomitus, neque deiectio biliosa, vel mador in ea existit. Atque huius mixtionis duarum febrium etiam Archigenes in notitiam quandam deuenit, sed confusè & incertè, quemadmodum indicauimus septimo B libro, quem contra ipsius commentarios de pulsibus scripsimus. Existimat enim in semitertiana quandoque exuperare tertianam febrem, quandoque quotidianam, mixtionem tamen earum æquè pollentem, quæ sola semitertianam exquisitam constituit, neque cognouit, neque indicauit, sed penitus omisit. Quum enim æquales magnitudine sint intermittens tertiana & quotidiana continua, initium accessionis cum horrore existit, id enim medium rigoris perfrictionisque existit, è quibus alterum tertianæ, alterum quotidianæ continuæ C inest. Incrementum verò post initium propter tertianam facilè suscipit caliditatem, atque ad vigorem festinat; propter pituitosam autem tardum, quantum in ea est, efficientem incrementum, inhibetur atque interrumpitur; atque est veluti quædam pugna symptomatum, interdum incalescente ægro, quum tertianæ calor vehementiùs agens ad cutem humores effert; detinente autem interdum ac retrahente intrò huius motum pituita, quæ otiosa ac frigida est ex naturâ, ac difficilè mouetur, & D tardè transmeat. At verò in tali pugna, exuperante frigido humore contractio efficitur, & horror ac frigus partium extremarum & cutis; ita vt altera accessio rursum incipere videatur. Quòd si calidior exuperet, subitò calefiunt, & propè ad vigorem peruenisse videntur; dein paulò post exuperante pituitoso, ægri rursus contrahuntur, refrigerantur & horrent, idque minimè desinit fieri vsque ad vigorem, qui maturiùs quàm pro pituitoso humore, tardiùs quàm pro bilioso existit; quoniam pituitosus detinet biliosi celeritatem, biliosus E autem tarditatem ac segnitiem pituitosi accelerat. Atque huiusmodi quidem exquisita semitertiana est, ex æquali temperamento duarum febrium, & duorum humorum effecta. Ea verò quæ minimè exquisita est, vel humorem biliosum, vel pituitosum obtinet ampliorem.

CAPVT IX.

Semitertianam febrem continuam esse, & ad integritatem non deduci; sed errasse Agathinum, F *vocantem semitertianam omnem febrem diuturniorem.*

At verò secunda implicatio ac mixtio est duarum febrium, tertianæ & quotidianæ, subsimilem efficiens accessionem prædictæ, sed differentem, quod hæc deducatur ad integritatem, & quòd secunda die, vel cum horrore, vel

vel cum rigore quotidiana sola effecta inuadat. Quocirca talis febris non amplius semitertiana erit, siquidem semitertiana continua censetur. Si verò in altero genere febrium eam annumeremus, non solùm talis, sed etiam aliæ quædam febres nominabuntur semitertianæ. Ob eam rem mihi videtur Agathinus omnes productas tertianas, appellare semitertianas. Sed enim quum de nominibus potiùs quàm de rebus tales quæstiones sint, inmorandum in eis minimè censeo. Nam alio libro seorsùm de vocabulis medicis dictum iam est, in quo id ostenditur ac definitur in plenum, quænam sint de rebus, & quænam de nominibus controuersiæ. Quocirca rursus ad res ipsas redeamus, semitertianam ab Hippocrate nominatam horrificam & continuam, quam tertiana quotidianæ continuæ permixta efficit, intermittenti autem, minimè efficit, propterea quòd febris ex vtraque composita, necessariò & ipsa intermittens existit. Neque verò ex duabus continuis, biliosa scilicet ac pituitosa, fieri potest semitertiana; neque enim mixtio horrificam facit febrem, neque multas reduplicationes habentem. Quum enim omnis continua febris suapte ratione, quum exquisita est, neque habeat horrorem, neque rigorem; neque etiam febris ex eis composita, horrifica erit. Oportet ergo si eadem futura sit horrifica simul ac continua, generationem habere eam ex duabus febribus, alterâ quidem intermittente, alterâ autem continua. Et ob eam rem tertiana permixta quotidianæ continuæ, procreat semitertianam; neque ambæ intermittentes, neque ambæ continuæ possunt talem febrem procreare. Restat igitur vna mixtio, quæ ex quotidiana intermittente, ac biliosa continua constans, potest continuam simul atque horrificam efficere febrem. Sed hæc contra quam prima, habebit continuitatem quidem ex biliosa, horrorem autem ex pituitosa, atque reduplicationes ex pugna mutua, maximéque quoties humores ipsi æquè vicerint. Vincentis verò eorum alterutrius ex symptomatis dignotio in prima mixtione declarata est. Hæc omnia de quatuor mixtionibus biliosæ febris ac pituitosæ, magis propria sunt libro, qui est de typis; sed hîc necessariò dicta sunt propter semitertianam, cuius generationem Archigenes ad tertianam quotidianamque retulit, nequaquam videns se intermittentem efficere febrẽ. Agathinus verò perspicuè confessus est eiusdem generis esse cum tertiana semitertianam, dissidentem tantummodò magnitudine accessionis. Si igitur omnes febrium differentias accuratè persequuti, lapsi nominibus essent, fuisset id ferendum. Sed quum neque simplicium, neque compositarum omnes scripserint differentias, & ad hæc quasdam alias superuacuas adiecerint, nihil neque in prænotionem, neque in curationem iuuantes, nos conati sumus pro viribus diligenter excolere omnem typum, longo tempore, experientia simul ac ratione, vtiles in eo differentias peruestigantes. Simplices ergo præsentis sunt operis; implicitæ autem ex his attinent ad librum de typis, cuius penitus ignarus non erit, qui hunc diligenter euoluerit. Ex iis enim, quæ diximus de febre pituitosa ac biliosa inuicem permixtis,

ἡμέραν ἤτοι μετὰ φρίκης ἢ μετὰ ῥίγους εἰσβάλλειν μονωθέντα τὸν ἀμφημερινόν. οὐκοῦν ἔτι ἡμιτριταῖος ὁ τοιοῦτος ἔσται πυρετός, εἴπερ γε τῶν συνεχῶν ἦν ὁ ἡμιτριταῖος. εἰ δὲ θατέρῳ γένει τῶν πυρετῶν αὐτὸν ἐναριθμήσαιμεν, οὐχ ὁ τοιοῦτος μόνον, ἀλλὰ καὶ ἄλλοι τινὲς τῶν πυρετῶν ὀνομασθήσονται ἡμιτριταῖοι. κατὰ τοῦτό μοι δοκεῖ καὶ ὁ Ἀγαθῖνος ἅπαντας τοὺς παρεκτείνοντας τριταίους ἡμιτριταίους ὀνομάζειν. ἀλλὰ γὰρ ἐπεὶ περὶ ὀνομάτων μᾶλλον ἢ πραγμάτων αἱ τοιαῦται ζητήσεις εἰσίν, διατρίβειν ἐν αὐταῖς οὐκ ἀξιῶ. γέγραπται γὰρ ὑπὲρ τῶν ἰατρικῶν ὀνομάτων ἰδίᾳ καθ᾽ ἑτέραν πραγματείαν, ἐν ᾗ καὶ τοῦτ᾽ αὐτὸ δείκνυταί τε καὶ διορίζεται τελέως, ὁποῖαι μέν τινές εἰσιν αἱ περὶ τῶν πραγμάτων, ὁποῖαι δὲ αἱ περὶ τῶν ὀνομάτων ἀμφισβητήσεις. ἴωμεν οὖν αὖθις ἐπ᾽ αὐτὰ τὰ πράγματα, τὸν ὑφ᾽ Ἱπποκράτους ὀνομαζόμενον ἡμιτριταῖον τὸν φρικώδη καὶ συνεχῆ, ὃν τριταῖος ἀμφημερινῷ μὲν τῷ συνεχεῖ κεραννύμενος ἀπεργάζεται, τῷ διαλείποντι δ᾽ οὐκέτι, διότι καὶ τὸν ἐξ ἀμφοῖν συντιθέμενον ἐξ ἀνάγκης καὶ αὐτὸν διαλείποντα γίνεσθαι. ἀλλὰ μὴν οὐδ᾽ ἐκ δυοῖν συνεχῶν, τοῦ τε χολώδους καὶ τοῦ φλεγματώδους, οἷόν τε γενέσθαι τὸν ἡμιτριταῖον. οὔτε γὰρ φρικώδη ποιήσει τὸν τοιοῦτον πυρετὸν ἡ μίξις, οὔτε πολλὰς ἐπαναδιπλώσεις ἔχοντα. παντὸς γὰρ συνεχοῦς πυρετοῦ κατὰ τὸν ἑαυτοῦ λόγον, ὅταν ἀκριβὴς ᾖ, μήτε φρίκην ἔχοντος, μήτε ῥῖγος, οὐδ᾽ ὁ συγκείμενος ἐξ αὐτῶν ἔσται φρικώδης. ἀναγκαῖον οὖν, εἰ μέλλοι φρικώδης τε ἅμα καὶ συνεχὴς ὁ αὐτὸς ἔσεσθαι, τὴν γένεσιν ἴσχειν αὐτὸν ἐκ δυοῖν πυρετῶν, τοῦ μὲν ἑτέρου διαλείποντος, τοῦ δὲ λοιποῦ συνεχοῦς. καὶ διὰ τοῦτο τριταῖος μὲν ἀμφημερινῷ συνεχεῖ κεραννύμενος ἐργάζεται τὸν ἡμιτριταῖον, οὔτε δ᾽ ἀμφότεροι διαλείποντες, οὔτε δ᾽ ἀμφότεροι συνεχεῖς γινόμενοι δύνανται γεννῆσαι τοιοῦτον πυρετόν. ἀπολείπεται οὖν μία μίξις ἡ ἐκ διαλείποντος ἀμφημερινοῦ καὶ συνεχοῦς χολώδους γιγνομένη, δυνατή τε καὶ αὐτὴ συνεχῆ τε ἅμα καὶ φρικώδη γεννῆσαι πυρετόν. ἕξει δ᾽ ἔμπαλιν ἥδε τῇ προτέρᾳ, τὸ μὲν συνεχὲς ἐκ τοῦ χολώδους, τὸ δὲ φρικῶδες ἐκ τοῦ φλεγματώδους, τὸ δὲ τῶν ἐπαναδιπλώσεων ἐκ τῆς πρὸς ἀλλήλους μάχης, καὶ μάλιστα ὅταν ἰσοκρατεῖς ὦσιν οἱ χυμοί. κρατοῦντος δ᾽ αὐτῶν ὁποτέρου, τά τε συμπτώματα καὶ ἡ διάγνωσις ἐν τῇ προτέρᾳ μίξει δεδήλωται. ταῦτα σύμπαντα περὶ τῶν τεττάρων μίξεων τοῦ τε χολώδους πυρετοῦ καὶ τοῦ φλεγματώδους, οἰκειότερα μέν ἐστιν, ὡς ἄν τῳ δόξειε, τῇ περὶ τύπων πραγματείᾳ. λέλεκται δ᾽ ἀναγκαίως ἐνθάδε διὰ τὸν ἡμιτριταῖον, οὗ τὴν γένεσιν Ἀρχιγένης μὲν εἰς τριταῖον καὶ ἀμφημερινὸν ἀνῆγεν, οὐ παρακολουθῶν, ὅτι διαλείποντα ποιεῖ πυρετόν· Ἀγαθῖνος δ᾽ ἄντικρυς ὡμολόγησε τοῦ αὐτοῦ γένους εἶναι τῷ τριταίῳ τὸν ἡμιτριταῖον, ἐν τῷ μεγέθει μόνῳ τοῦ παροξυσμοῦ διαφέροντα. εἰ μὲν οὖν ἁπάσας τῶν πυρετῶν τὰς διαφορὰς ἀκριβῶς γράψαντες ἐν τοῖς ὀνόμασιν ἐσφάλλοντο, χαλεπὸν ἂν εἴη οὐδέν· ἐπεὶ δ᾽ οὔτε τῶν ἁπλῶν, οὔτε τῶν συνθέτων πάσας ἔγραψαν τὰς διαφοράς, ἔτι τε καὶ περιττάς τινας ἄλλας προσετέθεσαν, οὐδὲν οὔτ᾽ εἰς πρόγνωσιν, οὔτ᾽ εἰς θεραπείαν ὠφελούσας, ἡμεῖς ἐπειράθημεν εἰς ὅσον οἷόν τ᾽ ἦν ἀκριβῶς ἐξεργάσασθαι τὸν τύπον ἅπαντα, χρόνῳ παμπόλλῳ δι᾽ ἐμπειρίας ἅμα καὶ λόγου τὰς χρησίμους ἐξευρόντες ἐν αὐτῷ διαφοράς. αἱ μὲν οὖν ἁπλαῖ τῆς νῦν ἐνεστώσης εἰσὶ πραγματείας· αἱ δ᾽ ἐκ τούτων ἐμπλεκόμεναι, τῆς περὶ τύπων· ἧς οὐδ᾽ αὐτῆς ἂν εἴη ἀμαθὴς παντάπασιν ὁ ταύτην ἐπιμελῶς ἀναγνούς. ἐκ γὰρ ὧν εἴπομεν ἐπὶ τοῦ φλεγματώδους καὶ χολώδους πυρετοῦ μιγνυμένων ἀλλήλοις,

ἔνεστι ταῦτα κἀπὶ τοῦ μελαγχολικοῦ μεταφέροντα τεκμήρεσθαι· περὶ τῆς πρὸς ἑκάτερον ἐκείνων ἐπιπλοκῆς τε καὶ κράσεως, ἐπιπλοκὴν μὲν ὀνομάζοντας, ἐπειδὰν κατὰ διαφόρους ὥρας εἰσβάλλωσι, κρᾶσιν δὲ τὴν καθ' ἕνα χρόνον ἀρχήν. οὕτω δὲ τοὺς τρεῖς πυρετοὺς ἐπιπλέκειν τε καὶ κεραννύναι δυνήσεταί τις, αὐτὸς καθ' ἑαυτὸν ἐννοεῖν ἐκ τῶν εἰρημένων ὁρμώμενος. ἁπάντων γὰρ τούτων ἀρχὴ καὶ πηγὴ καὶ στοιχεῖόν ἐστιν, τὸ διαγινώσκειν ἀκριβῶς ἑκάστου τῶν ἁπλῶν πυρετῶν τὴν ἰδέαν. οὐδὲ γὰρ πολύ τι τὸ πλῆθος αὐτῶν ἐστιν, ἀλλ' οἱ πάντες τρεῖς, ὅ, τε πικρόχολος, ὅ τε μελαγχολικὸς καὶ ὁ φλεγματικός, ὧν ἑκάστου δύο διαφοραί, διαλείποντός τε καὶ συνεχοῦς γιγνομένου· ὡς εἶναι τὰς πάσας διαφορὰς ἁπλῶς τῶν ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν, ἓξ τὸν ἀριθμόν. εἰ δέ τις ἄλλη προσέρχοιτο ταῖσδε κατὰ μέρος ἐν αὐταῖς διαφορά, παρά τε τὸ πλῆθος τοῦ χυμοῦ καὶ τὸ ποσὸν καὶ τὸ ποιὸν τῆς σήψεως, ἔτι τε τὸν τρόπον τῆς κινήσεως, καὶ τὸ μέρος ἐν ᾧ σήπονται, τὴν γένεσιν ἕξει.

A licebit hæc ad melancholicam transferentes, de implicatione cum vtraque earum ac mixtione coniicere; implicationem nominantes, quum diuersis horis inuadant; mixtionẽ, quum insultus eodem tempore fit. Sic tres febres implicare ac miscere quis per se ipse poterit ex prædictis concitatus. Horum enim omnium initium, fons & elementum est, diligenter dignoscere cuiusque simplicium febrium speciem. Neque enim magnus numerus earum est, sed omnes tres existunt, biliosa, melancholica, ac pituitosa, quarum cuiusque B duplex differentia est, intermittens & continua; ita vt omnes simplices differentiæ febrium ex humoribus putridis consistentium sex numero sint. Quòd siqua alia illis accesserit in his particulatim differentia, ex copia humoris, quantitate & qualitate putredinis, necnon modo motus, & parte in qua putrescit, generationem habebit.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Ὅπως Ἀγαθῖνος σφάλλεται πυρετὸν ἅπαντα ἡμιτριταῖον ὀνομάζων, οὗ ὁ παροξυσμὸς ἐπὶ πλεῖστον παρεκτείνηται.

Οἷον αὐτίκα τῶν διὰ τρίτης παροξυνομένων διαλειπόντων πυρετῶν, ὅσοις μὲν ὅ, τε χρόνος ὁ τοῦ παροξυσμοῦ βραχύς, ἥ τε εἰσβολὴ μετὰ ῥίγους ἐστί, καὶ ἡ λύσις ἐφ' ἱδρῶσι καὶ χολεμεσίαις, ἢ τῆς κάτω γαστρὸς ὑπαγούσης χολώδη, τούτοις μὲν ὄνομα κεῖται τριταῖος ἀκριβής· ὅσοις δ' ἐλλείπει τι τούτων, οὐκέτ' ἀκριβής, ἀλλ' ἁπλῶς τριταῖος ὀνομάζεται. ἐὰν δὲ καὶ τὸ διάλειμμα μικρότερον ἔχωσι, μηκυνθέντος δηλονότι τοῦ παροξυσμοῦ, τριταῖον τοῦτον ὀνομάζουσι παρεκτείνοντα, καί τοι καὶ αὐτοῦ τούτου πολλὴν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἔχοντος τὴν διαφοράν. ἔστι μὲν δήπου τὸν μέν τινα καλεῖν ἁπλῶς οὕτως, μεμηκυσμένον, ὅς ἂν εἰς τέτταρας καὶ εἴκοσιν ὥρας τὸν παροξυσμὸν ποιησάμενος, ἀπύρετος ἴσχῃ τὰς λοιπάς· τὸν δέ τινα μεμηκυσμένον ἱκανῶς, ὃς ἂν ἀμφὶ τὰς τριάκοντα ὥρας τοῦ πυρετοῦ ἐκτείνῃ· καί τινα πρὸς τούτοις ἐπὶ πλέον μεμηκυσμένον, ὃς ἂν εἰς ἓξ καὶ τριάκοντα προέρχηται· καί τινα ἕτερον ἐπὶ πλεῖστον, ὃς ἂν εἰς τεσσαράκοντα καὶ πλείους ἔτι παρεκτείνηται. περιορίζειν δὲ ἀκριβέσιν ὅροις ἕκαστον τῶν εἰρημένων οὐκ ἐγχωρεῖ διὰ τὴν σωριτικὴν ἀπορίαν. οὐ μὴν οὐδ' ἀναγκαῖόν ἐστι τοιαύτην τῶν ὀνομάτων ἀκρίβειαν ζητεῖν, ἐνόν γε ἡμῖν καὶ χωρὶς αὐτῆς δηλοῦν τοῖς πέλας ἀκριβῶς περὶ ἑκάστου τῶν νοσούντων, καὶ θεραπεύειν ὀρθῶς καὶ προγινώσκειν τὸ ἀποβησόμενον. ὑποκείσθω γὰρ τινὰ πεντεκαίδεκα μὲν ὥρας πυρέττειν, ἀπύρετον δὲ γίνεσθαι τρεῖς καὶ τριάκοντα, καὶ τὸ ἐφεξῆς αὐτῷ κατ' ἀναλογίαν ἀπαντᾶν, εὔδηλον δή, ὅτι καὶ τὸν καιρὸν τῆς τροφῆς εἴσεταί τις, ἔκ τε τοῦ κατὰ τὸν παροξυσμὸν καὶ τὸ διάλειμμα χρόνου, καὶ ὅσον ἐκ χρόνου δυνατόν ἐστι λαβεῖν εἰς πρόγνωσιν καὶ θεραπείας χρῆσιν, ἕξει καὶ τοῦδε ἱκανῶς, ἂν μὴ ζητῇ, εἴτε τριταῖον ἁπλῶς χρὴ καλεῖν τὸν τοιοῦτον πυρετόν, εἴτε καὶ μετά τινος ἑτέρας προσθήκης ἀφοριζούσης τὴν διαφοράν. ἀλλὰ καὶ δηλοῦν βουλόμενος ἑτέρῳ τοῦ κάμνοντος πυρετὸν ὁποῖός τίς ἐστιν, ἀκριβέστερον δηλώσει τὸ μῆκος τοῦ τε παροξυσμοῦ καὶ τοῦ διαλείμματος εἰπὼν μᾶλλον, ἢ ζητῶν ὄνομα σαφὲς καὶ ἀφωρισμένως ἐνδεικνύμενον

CAPVT X.

C *Quo pacto erret Agathinus, appellans febrem omnem semitertianam, cuius accessio plurimum producatur.*

EXEMPLI gratiâ febrium intermittentium, quæ tertio quoque die accessionem faciunt, quibus & accessionis tempus breue est, & initium cum rigore, & solutio cum sudore ac vomitu bilis, vel etiam inferna aluo deiiciente biliosa, his nomen inditum est exquisita tertiana; quibus verò aliquid horum deest, non ampliùs exquisita, sed simpliciter tertiana D vocatur. Quòd si & intermissionem minorem habuerit, producta scilicet accessione, tertianam hanc nominant productam; tametsi hæc maioris minorisque ratione differentiam magnam obtinet. Ac licet hanc quidem absoluto sermone appellare productam, quæ quum quatuor & viginti horas accessionis occupauerit, reliquas sine febre obtinet; hanc verò admodum productam, quum circiter triginta horas febris producitur; & hanc præterea magis productam, quum ad sex & triginta procedit; & hanc aliam plurimum, quum ad quadra- E ginta & eo ampliùs producitur. Sed hæc omnia definire certis terminis non licet ob soriticam, *aceruale*m, dubitationem. Neque verò necesse est talem nominum subtilitatem quærere, quum liceat nobis etiam sine ea indicare iis qui adsunt diligenter de vnoquoque ægro, & rectè curare, ac euentum morbi prænoscere. Subiiciamus enim quempiam quindecim horis febricitare, esse autem sine febre tribus & triginta; atque id deinceps ei accidere ex proportione, sanè cibandi tempus certa scien- F tia sumere licebit tum ex accessionis, tum intermissionis tempore, & quicquid ex eo sumi vtile potest ad prænotionem & curationem, id quoque abundè suppetet, etiam si non quæratur tertianamne absoluto sermone oporteat nominare talem febrem, an cum quadam alia adiectione definiente ipsam differentiã. Quin & volens indicare alia ratione febrem ægri, quænam sit, diligentiùs indicabit, accessionis & intermissionis dicens longitudinem, quàm quærens nomen, quod perspicuè ac definite indicare

indicare idem queat. Hæc igitur optima enarratio, atque doctrina est. Secunda autem est, quam paulò antè dixi, exquisitam quandam tertianam nominans, aliam verò simpliciter tertianam, mox aliam paulùm productā, deinde aliam admodum, aliam autem magis, postremò plurimùm aliam. Sed ex omnibus obscurissima ac pessima est, quæ prima est prodita; ob quam recentiores medici quotidie inter se certant, atque contendunt, ne id quidem cognoscentes se de nomine contendere. Sed de aliis quis fortassè minùs mirabitur, de Agathino verò magis mirandum, siquidem productam quandam nominans quotidianam & quartanam, in tertiana minimè seruauit proportionem; sed cuius ampliùs producta fuerit accessio, hanc nominat semitertianam. Sed de nominum ratione hactenus; nam & ipse plus quàm par est temporis in ipsis contero. proinde tempus est, vt ad considerationem aliarum redeamus.

CAPVT XI.

Quomodo ex sanguine putrefacto febris accendatur biliosa; & quòd sanguinis pars tenuior in flauam bilem, crassior in atram mutetur.

Sequens est, vt agitetur consideratio nihilò inutilior, vtrum quemadmodum ob vtranque bilem ac pituitam fiunt genera quædam febrium, ita & ob sanguinem putrescentem eueniat. Febris enim diaria, eo tantummodò calefacto (vt diximus) haudquaquàm putrefacto, consistit. Per ipsam verò putrefactionem (necesse est enim interdum sanguinem putrefieri) quærendum febrium ipsarum genus. Id autem inuentum iri par est, si priùs inuenerimus, quonam modo sanguis putrescit. Constat enim Aristotelem rectè dixisse, fieri putrefactionem ab alieno calore; intelligit autem alienum, externum, non natiuum, nec vnicuique rei proprium. Hic enim concoquere, alienus verò corrumpere solet, quod est putrefacere. Extrinsecus autem calor superuenit sanguini per æstum, ac pestilentem constitutionem, & vt summatim dicam, per omnes febres, ex quacunque causa in generationem deducantur. Quinetiam vbi in quapiam animalis parte sanguis copiosior collectus suprà vires eius fuerit, corrumpitur; maximéque quoties infarctus est ob crassitiem in paruis vasis, aut impactus ob copiam. Quemadmodum accidit in bubone & phymatis, & vt in summa dicam, in omni inflammatione. Nam in eiusmodi affectibus sanguis duplici ex causa corrumpitur, tum quia minimè difflatur, tum quia à natura minimè vincitur. Quòd autem quæ minimè difflantur, putrescere soleant, in cunctis exteris corporibus intueri licet, fructibus, seminibus, atque etiā vestibus; atque persuadere nobis id, quod dicimus, maximè potest pleuritis. Expuunt enim per eam alii spumosam, alii pallidam, alii rubram saniem, quæ nihil aliud est quàm humoris in inflāmatione vincentis pars, quæ non continetur, sed præ tenuitate foras resudat. Interdum etiam talis sanies nigra apparet, ac neque statim ab initio, sed processu temporis, præcedente magna ex parte pallido sputo,

A ταὐτὸν δυνάμενον. αὕτη μὲν οὖν ἡ ἀρίστη διήγησις καὶ διδασκαλία. δευτέρα δὲ ἣν ὀλίγον ἔμπροσθεν εἶπον, ἀκριβῆ τινα τριταῖον ὀνομάζων, καὶ ἄλλον ἁπλῶς τριταῖον, εἶτα ἄλλον ἠρέμα μεμηκυσμένον, εἶτ' ἄλλον ἱκανῶς, ἕτερον δὲ ἐπὶ πλέον, εἶτ' ἄλλον ἐπὶ πλεῖστον. ἀσαφεστάτη δὲ καὶ χειρίστη πασῶν ἡ πρώτη λελεγμένη, καθ' ἣν ἐρίζουσι καὶ φιλονεικοῦσι καθ' ἡμέραν πρὸς ἀλλήλους οἱ νεώτεροι τῶν ἰατρῶν, οὐδ' αὐτὸ τοῦτο γινώσκοντες, ὅτι περὶ ὀνόματος ἐρίζουσιν. ἀλλὰ περὶ μὲν τῶν ἄλλων ἴσως ἧττον ἄν τις θαυμάσειε· Ἀγαθίνου δὲ πάνυ θαυμάζειν ἄξιον, εἴπερ ἐκτείνοντά τινα
B καλῶν ἀμφημερινὸν καὶ τεταρταῖον, ἐπὶ τοῦ τριταίου τὴν ἀναλογίαν οὐκ ἐφύλαξεν, ἀλλ' ἐς ὃν ἐπὶ πλέον ἐκταθῇ ἐν τῷ παροξυσμῷ, τοῦτον ἡμιτριταῖον ὀνομάζει. ἀλλὰ ἤδη μοι τὰ περὶ ὀνομάτων λόγου. κινδυνεύω γὰρ οὖν κἀγὼ πλείονα χρόνον ἢ προσήκει διατρίβειν ἐν αὐτοῖς. ἐπιμελητέον οὖν μοι καιρὸς εἰς τὴν τῶν ὑπολοίπων πραγμάτων ἐπίσκεψιν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

C Ὅπως ἐπὶ τῷ αἵματι σηπομένῳ πυρετὸς χολώδης ἀνάπτεται· καὶ τοῦ αἵματος ὅσον λεπτότερον εἰς τὴν ὠχράν, καὶ ὅσον παχύτερον εἰς τὴν μέλαιναν χολὴν μεταβάλλεται.

Εἴη δ' ἂν ἐν τοῖς ὑπολοίποις οὐδενὸς φαυλότερον σκέμμα τόδε, πότερον ὥσπερ ἐπὶ ταῖς χολαῖς ἀμφοτέραις καὶ τῷ φλέγματι γίνονταί τινες ἰδέαι πυρετῶν, οὕτω κἀπὶ τῷ αἵματι σηπομένῳ. τοὺς μὲν γὰρ ἐφημέρους πυρετοὺς ἐκ θερμανθέντος αὐτοῦ μόνον, οὐ μὴν σαπέντος, ἐλέγομεν γίνεσθαι, κατὰ δὲ τὰς σήψεις (ἀνάγκη γάρ ποτε καὶ τὸ αἷμα σήπεσθαι) ζητητέον ἐστὶ τὴν ἰδέαν τῶν πυρετῶν. εὑρεθήσεσθαι δὲ
D εἰκὸς αὐτήν, ἂν πρότερον ἐξεύρωμεν πῶς σήπεται αἷμα. δοκεῖ μὲν γὰρ ὀρθῶς Ἀριστοτέλης εἰρηκέναι τὴν σῆψιν ὑπὸ θερμότητος ἀλλοτρίας γίνεσθαι. λέγει δ' ἀλλοτρίαν τὴν ἔξωθεν, οὐκ ἔμφυτον οὐδ' οἰκείαν ἑκάστου τῶν ὄντων. αὕτη μὲν γὰρ πέφυκε πέττειν, ἡ δ' ἀλλοτρία διαφθείρειν, ὅπερ ἐστὶ σήπειν. ἔξωθεν δὲ θερμότης ἐπιγίνεται τῷ αἵματι κατά τε τὰς ἐγκαύσεις, καὶ τὰς λοιμώδεις καταστάσεις, καὶ ἁπλῶς εἰπεῖν, ἅπαντας τοὺς πυρετούς, ὑφ' ἧς ἂν τινος αἰτίας εἰς γένεσιν ἥκωσιν. ἀλλὰ κἀπειδὰν ἔν τινι μορίῳ τοῦ ζώου τὸ αἷμα πλέον ἀθροισθὲν ὑπὲρ τὴν δύναμιν αὐτοῦ γένηται,
E διαφθείρεται, καὶ μάλιστα ὅταν ἐμφραχθῇ διὰ πάχος ἐν μικροῖς ἀγγείοις, ἢ σφηνωθῇ διὰ πλῆθος, ὁποῖόν τι συμβαίνει κατά τε τοὺς βουβῶνας καὶ τὰ φύματα, καὶ ἁπλῶς εἰπεῖν, ἁπάσας τὰς φλεγμονάς. ἐν γὰρ ταῖς τοιαύταις διαθέσεσι κατὰ διττὴν αἰτίαν φθείρεται τὸ αἷμα, τῷ τε μὴ διαπνεῖσθαι, καὶ τῷ μὴ κρατεῖσθαι πρὸς τῆς φύσεως. ὅτι δὲ καὶ τὰ μὴ διαπνεόμενα σήπεσθαι πέφυκεν, ἐπὶ τῶν ἐκτὸς ἁπάντων ἐστὶ θεάσασθαι καρπῶν τε καὶ σπερμάτων, ἤδη δὲ καὶ ἱματίων. ἐπαγαγεῖν δ' ἡμᾶς ἱκανῶς δύναται τῷ λεγομένῳ καὶ τὸ κατὰ τὰς πλευρίτιδας. ἀναβήττουσι
F γὰρ ἐν αὐταῖς, οἱ μὲν ἀφρώδεις, οἱ δὲ ὠχρόν, οἱ δὲ ἐρυθρὸν ἰχῶρα, τοῦ κατὰ τὴν φλεγμονὴν ἐπικρατοῦντος χυμοῦ τὸ μὴ στεγόμενον, ἀλλ' ὑπὸ λεπτότητος ἔξω ἱδρούμενον. ἔστι δ' ὅτε καὶ μέλας ὁ ἰχὼρ φαίνεται, καὶ οὐδὲ κατ' ἀρχὰς εὐθέως, ἀλλ' ἐν τῷ χρόνῳ προϊόντι, προηγησαμένων ὡς τὰ πολλὰ τῶν ὠχρῶν πτυσμάτων,

ὥσπερ οὖν τοῦ πικροχόλου κρατοῦντος χυμοῦ γνωρίσματα, καθάπερ ἀφρώδη μὲν τοῦ φλέγματος, ἐρυθρὰ δὲ τοῦ αἵματος. Εἰκὸς οὖν ποτε καὶ αὐτὸ τὸ αἷμα σήπεσθαι κατὰ τὰ φλεγμαίνοντα χωρία, καὶ τὸν ἐπ᾽ αὐτῷ πυρετὸν ἁπλούστερον μὲν εἶναι τῶν ἐπὶ τοῖς ἄλλοις χυμοῖς, ἀναλογίαν δὲ τῶν παροξυσμῶν ἐν τριταίᾳ μάλιστα περιόδῳ λαμβάνειν. οὕτω γὰρ φαίνεται κἀπὶ τῶν πλευριτικῶν γινόμενον, ὅταν ἐρυθρὰ πτύωσιν. Εἰ δ᾽ ὑπεροπτηθείη, μεταβάλλει μὲν δήπου πάντως· ὅσον μὲν δὴ λεπτότατόν τε ἅμα καὶ πῖόν ἐστιν, εἰς τὴν ὠχράν· ὅσον δὲ παχύτερον, εἰς τὴν μέλαιναν χολήν, ὥσπερ κἀπὶ τῶν καλουμένων ἀνθράκων, καὶ γὰρ ἐπὶ τούτων ἐξ αἵματος ἰσχυρῶς ζέσαντος ἡ μετάπτωσις εἰς τὸν μελαγχολικὸν χυμὸν γίγνεται. οὕτω δ᾽ ἀκούειν χρὴ τὸ γεννᾶσθαι μελαγχολικὸν χυμόν, ὡς οὐκ ἀκριβῶς ἤδη γεγονότα μέλαιναν χολήν, ἀλλ᾽ ἐν μεθορίῳ τινὶ τεταγμένον. καὶ τοίνυν καὶ οἱ πυρετοὶ κατὰ τὰς τῶν χυμῶν ἰδέας, εἰς οὓς μεταβάλλει τὸ αἷμα, συνίστανται, μόνῳ τῷ κακοήθει καὶ οὐ κακοήθει διαλλάττοντες. ἁπλούστεροι γὰρ οἱ ἐπὶ τῇ τοῦ αἵματος μεταβολῇ, τά τ᾽ ἄλλα, καὶ τῇ πρᾳότητι τῆς θερμασίας. Εἰ γὰρ ὅτι μάλιστα παμπόλλη φαίνοιτο κατὰ τὴν ἐπιβολὴν τῆς χειρός, ἀλλὰ πραεῖά γε πάντως ἐστίν, ὥσπερ ἡ κατὰ τὰ βαλανεῖα. τὸ μὲν γὰρ πλῆθος ἀεὶ τῆς πυρετώδους θερμασίας ἐν τῷ πλήθει κεῖται τῆς ἀπορροῆς· τὸ δὲ ἀνιαρόν, ὡς πρὸς τὴν ἐπιβαλλομένην ἔξωθεν χεῖρα, κατὰ τὴν τοῦ χυμοῦ δριμύτητα. καί σοι τοῦτ᾽ ἔστω μέγιστον γνώρισμα τοῦ τὸν πυρετὸν ἐργαζομένου χυμοῦ, λέγω δὴ τὸ κατὰ τὴν ποιότητα τῆς θερμασίας. ἡ μὲν γὰρ ἀτμωδεστέρα τε καὶ ἀλυποτέρα τοῦ αἵματός ἐστιν· αἱ δ᾽ ἀνιαραὶ καὶ διαβρωτικαὶ καὶ δακνώδεις, ἐπὶ ταῖς χολαῖς συνίστανται. ὅταν δὲ κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν ἀτμῶδές τι μᾶλλον, οὐ δριμὺ φαίνηται, χρονιζόντων δὲ κατὰ βραχὺ, προσγίνεται τὸ δακνῶδες αὐτῷ, καὶ μάλιστα ἀνώμαλον, ὡς δι᾽ ἠθμοῦ τινος ἢ κοσκίνου διηθεῖσθαι δοκεῖν, ἐπὶ φλέγματι σηπομένῳ τὸν τοιοῦτον πυρετὸν ἴσθι γινόμενον.

ἀνάλογον δὲ τὸν παροξυσμόν

quod erat indicium flauæ bilis exuperantis; quemadmodũ spumosum pituitæ, rubrum sanguinis. Quocirca ratione non caret interdum putrescere sanguinem ipsum in locis inflammatione affectis, febrémque ex eo simpliciorem esse quàm ex aliis humoribus. Proportionem autem accessionum tertianæ circuitionis potissimum sumit (ita enim fieri cernitur & in pleuriticis, quoties rubrum expuunt) si verò suprà modum assetur, mutatur penitus. Pars enim tenuissima simul ac pinguis in pallidam bilem, crassior autem in atram vertitur, quemadmodum accidit in carbunculis. Etenim in his sanguis vehementer feruefactus mutatur in humorem melancholicum. Ad hunc verò modum inaudire oportet humorem melancholicum, tanquam nondum effectus sit atrabilis, sed in confinio quodam collocatus. Febres igitur consistent pro specie humoris, in quem sanguis mutatur, tantummodò dissidentes malignitate & clementia. Simpliciores enim sunt ex mutatione sanguinis, tum cætera, tum caloris lenitate. Etsi enim quam maximè multus manus occursu deprehendatur, prorsus tamen mitis est, quemadmodum is qui in balneis accidit. Copia enim caloris febrilis in ipsa effluuii copia semper posita est; molestia verò, si admoueas extrinsecus manum, in ipsa caliditatis acrimonia, idque erit tibi indicium maximum humoris committentis febrem; intelligo autem ipsius caloris qualitatem. Qui enim vaporosior est atque minùs molestus, sanguinis est; qui molestus, erodensque & mordax, ex bile consistit. Vbi verò in primo occursu vaporosus potius, quàm mordax sentitur, diutiùs autem immorantibus paulatim ei acrimonia accedit, eaque maximè inæqualis, ita vt per colum quoddam vel cribrum transmitti videatur, talem febrem ex pituita putrescente oboriri sciendum est.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Διὰ τί ἐν τῷ ἐπὶ φλέγματι πυρετῷ θερμασία μετ᾽ ἀνωμαλίας προσπίπτει.

Ἐπισκεπτομένῳ δέ μοι καὶ ζητοῦντι τὴν αἰτίαν, δι᾽ ἣν οἱ μὲν ἐπὶ τοῖς ἄλλοις χυμοῖς πυρετοὶ τὴν θερμασίαν ὁμαλῶς προσπίπτουσαν ἔχουσιν, οἱ δ᾽ ἐπὶ φλέγματι μετὰ τῆς εἰρημένης ἀνωμαλίας, ἐδόκει μάλιστα αἴτιον εἶναι τὸ γλίσχρον καὶ παχὺ καὶ δυσδιάλυτον τοῦ χυμοῦ. Διαπνεῖται μὲν γὰρ δήπου καὶ τούτου, ὡς καὶ τῶν ἄλλων ἁπάντων, ὁπόσον ἂν ἑκάστοτε λεπτυνθῇ· λεπτύνεται δὲ μόλις, ὅ, τι περ ἂν ᾖ παχύτατον· ἂν δὲ καὶ ψυχρὸν ὑπάρχῃ φύσει, πολὺ δὴ καὶ μᾶλλον· οὔτ᾽ οὖν ὅλον, οὔθ᾽ ὁμαλῶς, ἀλλ᾽ ὅπῃ περ ἂν ἡ σηπεδὼν ἐπισχύσῃ, κατ᾽ ἐκεῖνο μόνον ἐκφυσᾶται καὶ ἀναφέρεται λελεπτυσμένον, ὁμοίου τοῦ συμβαίνοντος ὄντος, οἷόν τι κἀπὶ τῶν ἐκτὸς ἑψομένων γλίσχρων καὶ παχέων χυμῶν τὸ γινόμενον. ἐπανίστανται γὰρ αὐτοῖς πομφόλυγες, ὧν ἐκρηγνυμένων, ἀθρόον ἀναφέρεται πνεῦμα συναναφέρον ἑαυτῷ λελεπτυσμένην ὑγρότητα· τοῖς δὲ λεπτοῖς χυμοῖς ἑψομένοις οὔτε πομφόλυγες ἐγγίνονται, καὶ ὁ ἀναφερόμενος ἀπ᾽ αὐτῶν ἀτμός, ὅμοιός τέ ἐστι πάντῃ καὶ συνεχὴς ἑαυτῷ.

CAPVT XII.

Cur in febre pituitosa calor inæqualis accidat.

Considerantí verò mihi, quærentique causam, ob quam febres ex aliis humoribus calorem habent æquabiliter occurrentem; quæ verò ex pituita consistunt, dictam obtinent inæqualitatem; apparuit mihi potissimùm causa esse lentor crassitiesque humoris, & dissolutionis difficultas. Huius enim, vt aliorum omnium, quicquid semper extenuatum est, per halitum digeritur; vix autem extenuatur, quicquid crassissimum; ac multò minus, si frigidum naturâ sit. Quocirca neque totum, nec æqualiter, sed quicquid putredo occupauerit, id solùm in flatus vertitur, ac extenuatum foras fertur; ac perinde euenit, vt in glutinosis crassisque humoribus externis, dum elixantur. Existunt enim ex eis bullæ, quibus ruptis spiritus cõfertim educitur, simul secum abducens humorem attenuatum; vbi verò tenuis humor elixatur, neque bullæ efficiuntur, & quí ab eo attollitur vapor, omnino similis ac continuus sibi ipsi est.

CAPVT XIII.

Mirum esse synochum febrem vnicam habere accessionem, & quosdam morbos per circuitum accessiones repetere.

SEd quum de his dicta, quæ decebant, sint, febrium synochorum causas inspiciamus. Mirum enim mihi esse videtur sæpè vsque ad quartum vel quintum, & interdum vsque ad septimum diem vnam fieri accessionem in eis ab initio vsque ad finem. Quanquàm siquis consideret diligenter, magis mirum est quasdam febres per circuitus suas habere accessiones. Exemplum enim supra dictum à nobis de stercore particulatim putrescente, non omnino potest accidere, quum in corpore animalis putrescentes humores cum his, qui putredine vacant, facilè misceri possint, vt potè quum ex omnibus confluxus conspiratióque in omnia existat. Quocirca minimè fieri potest, vt putredo in vna aliqua parte aliàs aliâ fiat, nisi inflammatio colligatum detineat incipientem putrescere humorem. Quum igitur ratio in contrarium cedat, difficiliusque sit inuenire causam febrium circuitione repetentiũ, quàm synochorum, de vtrisque nitemur disserere, neque hîc producentes sermonem, neque contradicentes erratis aliorum, sed (vt in omnibus antè fecimus) veritatem ipsam tantummodò persequentes, qua quiuis excitatus possit deprehendere errata aliorum. Incipiendum igitur ab iis, quæ manifestissimè apparent, cuiusmodi sunt opthalmiæ quædam, quarum hæ quidem singulis diebus, hæ autem tertio quoque die accedunt. Accedunt quoque aurium dolores & capitis, vel totius, vel dimidii, quem nominant hemicraniã. Nonnullis verò etiam podagra ac dolor articularis repetit per circuitum. Vt igitur in his omnibus videre licet venas ipsas in partibus, quæ paroxysmis infestantur, in tumorem attolli, & phlegmonen augescere, & dolores intendi, & fluxionem insignem foras procumbere; ita existimandum est in partibus internis, quæ minimè apparent, seruari eandem proportionem. Verbi gratiâ per inflammationem pleuritides, ac peripneumoniæ intumescere quidem inter initia accessionum, discuti verò ac subsidere per declinationem. Sed quonam modo id fiat fortasse inueniemus, si ea quæ de inflammationis generatione & rheumaticis affectionibus vocatis alibi, vt in libro de inæquali intemperie, demonstrata sunt, ad memoriam reuocauerimus. Si enim simul cum illis adiecero quæcunque propria huic sermoni sunt, præsentibus quæstionibus sufficient.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ὅτι θαυμαστὸν ἕνα παροξυσμὸν εἶναι τῶν συνόχων· καὶ τινα νοσήματα κατὰ περίοδον παροξύνεσθαι.

ΕΠεὶ δὲ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα, τὴν αἰτίαν ἐπισκεψώμεθα τῶν ὀνομαζομένων συνόχων πυρετῶν. θαυμαστὸν γὰρ εἶναί μοι δοκεῖ, πολλάκις μὲν ἄχρι τῆς τετάρτης ἢ πέμπτης, ἐνίοτε δὲ καὶ μέχρι τῆς ἑβδόμης ἡμέρας, ἕνα παροξυσμὸν ἀπ' ἀρχῆς ἐπ' αὐτοῖς ἄχρι τελευτῆς γίνεσθαι. καίτοιγ' εἴ τις ἀκριβῶς ἐπισκέπτοιτο, θαυμαστότερόν ἐστι τὸ κατὰ περίοδον παροξύνεσθαι τινας πυρετούς. ὃ γὰρ ἐν τοῖς ἔμπροσθεν εἴπομεν παράδειγμα τῆς κόπρου τῆς κατὰ μέρος σηπομένης, οὐ πάνυ τι συμβαίνειν δύναται ἐν τῷ τοῦ ζώου σώματι μιγνυμένων τῶν σηπομένων χυμῶν τοῖς ἀσήπτοις ἑτοίμως, ἅτε συμπνοίας οὔσης καὶ συρροίας ἐκ πάντων εἰς πάντα. οὔκουν οἷόν τε γίνεσθαι τὴν σηπεδόνα καθ' ἕν τι μέρος ἄλλοτε ἄλλο, πλὴν εἰ φλεγμονὴ δήσασα κατέχει τὸν ἀρξάμενον σήπεσθαι χυμόν. ἐπεὶ τοίνυν εἰς τοὐναντίον ὁ λόγος περιέστησε, χαλεπώτερον δέ ἐστιν ἐξευρεῖν τὴν αἰτίαν τῶν κατὰ περίοδον παροξυνομένων πυρετῶν, ἤπερ τῶν συνόχων, πειρατέον ὑπὲρ ἀμφοῖν διελθεῖν, οὐδ' ἐνταῦθα μηκύνοντας οὐδ' ἀντιλέγοντας τοῖς ἐσφαλμένοις, ἀλλ' ὥσπερ ἐν ἅπασι τοῖς ἔμπροσθεν ἐποιήσαμεν, αὐτὰ τὰ ἀληθῆ μόνα διερχόμενοι, ἐξ ὧν ὁρμώμενος ἄν τις εὑρίσκειν δύναιτο καὶ τὰ τοῖς ἄλλοις διημαρτημένα. ἀρκτέον δὲ ἀπὸ τῶν ἐναργέστατα φαινομένων, ἅπερ εἰσὶν ὀφθαλμίαι τέ τινες, αἱ μὲν καθ' ἑκάστην ἡμέραν, αἱ δὲ διὰ τρίτης ἡμέρας παροξυνόμεναι· φαίνονται δὲ καὶ ὤτων ἀλγήματα, καὶ κεφαλῆς ἤτοι συμπάσης, ἢ καὶ τοῦ ἡμίσεως, ὃ δὴ προσαγορεύουσιν ἡμικρανίαν· ἐνίοις δὲ καὶ ποδάγρα καὶ ἀρθρῖτις ὁρᾶται κατὰ περίοδον παροξυνομένη. ὥσπερ οὖν ἐπὶ τῶν τοιούτων ἁπάντων ἰδεῖν ἐστι καὶ τὰς φλέβας ἐν τοῖς παροξυνομένοις μέρεσιν εἰς ὄγκον αἰρομένας, καὶ τὴν φλεγμονὴν αὐξανομένην, καὶ τὰς ὀδύνας ἐπιτεινομένας, καὶ ῥεῦμα περιττόν που παρεγχεόμενον ἔξω· οὕτω χρὴ νοῆσαι κἀπὶ τῶν ἐντὸς ὅσα μὴ φαίνεται τὴν αὐτὴν ἀναλογίαν σωζομένην ἔχοντα. ὥστε καὶ τὴν ἐν τῇ πλευρίτιδι, καὶ τὴν ἐν τῇ περιπνευμονίᾳ φλεγμονὴν ἐξαίρεσθαι μὲν ἐν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν, διαφορεῖσθαι δὲ καὶ προστέλλεσθαι κατὰ τὰς παρακμάς. ὅπως δὲ γίνεται τοῦτο, τάχ' ἂν εὕροιμεν, εἰ περὶ γενέσεως φλεγμονῆς καὶ τῶν καλουμένων ῥευματικῶν διαθέσεων ἀναμνησθείημεν, ὅσα δι' ἑτέρων ἡμῖν ἐν τῷ περὶ ἀνωμάλου δυσκρασίας ἀποδέδεικται. σὺν ἐκείνοις γὰρ ὅσον ἴδιόν ἐστι τοῦ νῦν λόγου προστεθὲν, ἀποχρήσει τοῖς παροῦσι ζητήμασι.

CAPVT XIV.

Cur fluxiones definito circuitu sæpè in partes decumbant, & quòd partes debiliores promptius suscipiant excrementa.

FLuxionem igitur decumbentem in oculos, omnes quidem concedunt à capite defluere; sed quænam causa sit, ob quam præfinito circuitu sæpenumerò defluat, dicere

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Διὰ τί ἐν ὡρισμένῃ περιόδῳ τὰ ῥεύματα πολλάκις ἐπιρρεῖ. καὶ ὅτι τὰ ἀσθενέστερα μέρη ἑτοιμότερον τὰ περιττώματα ὑποδέχεται.

ΤΟ τοίνυν ἐπιφερόμενον τοῖς ὀφθαλμοῖς ῥεῦμα, συγχωροῦσι μὲν ἅπαντες ἀπὸ τῆς κεφαλῆς ἐπιρρεῖν, ἥτις δέ ἐστιν αἰτία, δι' ἣν ἐν ὡρισμένῃ περιόδῳ πολλάκις ἐπιρρεῖ,

λέγειν οὐκ ἔχουσιν, ὡς ἂν μὴ φιλοσοφήσαντες περὶ τῶν φυσικῶν δυνάμεων, περὶ ὧν ἐν τρισὶ βιβλίοις ἡμεῖς ἐγράψαμεν, ἀποδεικνύντες ὡς αἱ πᾶσαι τέσσαρές εἰσιν, ὑφ' ὧν τά τε φυτὰ, καὶ τὰ ζῷα διοικεῖται. μία μὲν οὖν ἐστιν ἡ τῶν οἰκείων ἑλκτική· δευτέρα δ' ἡ καθεκτικὴ τούτων· καὶ τρίτη πρὸς ταύταις ἡ ἀλλοιωτική· καὶ τετάρτη γε πρὸς αὐταῖς ἡ τῶν ἀλλοτρίων ἀποκριτική. διττὸν δὲ δή που τὸ ἀλλότριόν ἐστιν ἅπασι τοῖς οὖσι, τὸ μὲν τῷ ποιῷ, τὸ δὲ τῷ ποσῷ. ἀθροίζεται μὲν οὖν τοῦτο διὰ τὴν ἐν τοῖς μορίοις τῶν δυνάμεων ἰσχὺν, καὶ ἀρρωστίαν. εἰ μὲν γὰρ ἰσοσθενεῖς ὑπάρχωσιν, οἵ τ' ὀχετεύοντες πόροι τὰ περιττώματα κατὰ φύσιν ἔχωσιν, ὑγιαίνει τὰ μόρια· πλείονος δὲ ἀχθέντος, ἢ ὅσον ἀλλοιοῦται, τὸ περιττὸν ἅπαν ἀναγκαῖον ἀποκρίνεσθαι, πρὸς τῆς ἀποκριτικῆς δυνάμεως ὠθούμενον· εἰ δ' ἀρρωστήσειεν αὕτη, μένειν ἐν τῷ χωρίῳ, καὶ τὸ μὲν πολὺ, βαρῦνόν τε καὶ διατεῖνον αὐτὸ, τὸ δὲ δριμὺ, διαβιβρῶσκόν τε καὶ δάκνον, ὥσπερ γε καὶ τὸ μὲν θερμὸν θερμαῖνον, τὸ δὲ ψυχρὸν ψῦχον. ἐναργῶς δὲ φαίνεται ταῦτα κἀπὶ τῶν κατὰ τὴν γαστέρα. προσενεγκάμενοι γάρ τινες ἔσθ' ὅτε σιτία πλέονα, ποτὲ μὲν ἐμεῖν ἀναγκάζονται ναυτιάσαντες, ἐνίοτε δὲ διαρροίαις ἁλίσκονται. ὅπερ οὖν ἐνταῦθα διὰ μεγίστων εὐρυχωρειῶν ἐκκρίνεται πρός γε τὸ ἐκτὸς ἐξερευγομένων τὸ περιττὸν, τοῦτ' ἐν ἄλλοις μέλεσι τοῦ ζώου, διὰ λεπτῶν πόρων, οὐκ ἐκτὸς, ἀλλ' ἐξ ἑτέρων εἰς ἕτερα μεταρρεῖ μέρη, ὠθούντων μὲν αὐτὸ τῶν ἰσχυροτέρων, ὑποδεχομένων δὲ τῶν ἀσθενεστέρων. ὠθεῖται δ' αὖθις κἀκ τούτων εἰς ἕτερα, καὶ ἐξ ἐκείνων εἰς ἄλλα καταρρεῖ, μέχριπερ ἂν εἰς τὰ πάντων ἀσθενέστερα κατασκήψῃ. παλινδρομῆσαι δ' αὖθις εἰς ἕτερα ἐντεῦθεν τῶν ἰσχυροτέρων, ἀδύνατον αὐτὸ, καὶ διὰ τοῦτο κατά γε τὰς πληθώρας καὶ κακοχυμίας, τὰ πάντων ἀσθενέστερα μόρια τὰ μὲν φλεγμοναῖς ἁλίσκεται, τὰ δ' ἐρυσιπέλασι, τὰ δὲ ἕρπησι, τὰ δ' ἄλλῳ τινὶ παθήματι, τὰ δὲ καὶ τὴν καλουμένην ῥευματικὴν διάθεσιν, περὶ ἧς ἰδίᾳ μοι γέγραπται. θαυμαστὸν οὖν οὐδὲν, ἤτοι τὸν ἐγκέφαλον, ἢ καὶ σύμπασαν ἐνίοτε τὴν κεφαλὴν, ἀθροίσασάν τι περιττὸν, ἐπί τι τῶν ἀσθενεστέρων ἀπώσασθαι μορίων, ἢ οὖς, ἢ ὀφθαλμοὺς, ἢ κρόταφον, ἢ χεῖλος, ἢ ὀδόντας, ἢ γνάθον, ἢ οὐρανίσκον, ἢ οὖλα, καὶ γαργαρεῶνα, καὶ παρίσθμια, καὶ τοὺς ἀδένας τοὺς ἐνταῦθα· κἀπειδὰν τούτων μηδὲν ἀσθενὲς ᾖ, καὶ θώρακι, καὶ πνεύμονι, καὶ φάρυγγι, καὶ στομάχῳ, καὶ γαστρὶ καταπέμπειν τὸ ῥεῦμα. καθάπερ οὖν ἡ κεφαλὴ πολλάκις ἑκάστῳ τῶν εἰρημένων αἰτία γίνεται νοσήματος, οὕτω καὶ τῆς κατὰ τὸ ἧπαρ καὶ τὸν σπλῆνα φλεγμονῆς, τῶν ὁμιλούντων τι μορίων, ἢ καὶ νὴ Δία τῶν πορρωτέρω κειμένων ἓν ἢ καὶ πλείω γεννᾷ τε καὶ αὐξάνει, καὶ ἀπορρεῖ, καὶ κατὰ περίοδον προξενεῖ. καὶ οὐδὲν θαυμαστὸν ὅμοιόν τι συμβαίνειν αὐτοῖς πάθημα, τῇ κατὰ τὴν γαστέρα τῶν περιττωμάτων ἐκκρίσει. ὥσπερ οὖν εἴ τις ἑώρα μὲν, ὅσον ἐκκρίνεται καθ' ἑκάστην ἡμέραν, ἠγνόει δὲ τὴν αἰτίαν τῆς ἐκκρίσεως, ἐθαύμαζεν ἂν τὴν τάξιν· οὕτως ὅστις οὐκ οἶδεν οὔτε τῆς γενέσεως τῶν ἐν τῇ κεφαλῇ περιττωμάτων, οὔτε τῆς ἐκκρίσεως τὴν αἰτίαν, ἀγνοεῖ δὲ καὶ διὰ τί τὰ μὲν εἰς τὸ ἐκτὸς ἀπορρεῖ, τὰ δ' εἰς ἕτερόν τι μεταρρεῖ μόριον, ἀπορεῖ τε καὶ θαυμάζει τὴν ἀναλογίαν τῆς ἐπιρροῆς. ὡσαύτως δὲ καὶ ὅστις οὐκ οἶδεν οὔτε τὰ πέμποντα τῷ ἥπατι τὸ περιττὸν, οὔτε τὴν αἰτίαν, καθ' ἣν ἐπιπέμπεται, θαυμάζει τὴν ἀναλογίαν

νὴ

αἰτίαν

A minimè possunt, vt qui nequaquàm de facultatibus naturalibus philosophati sint, de quibus ipsi tribus libris perscripsimus, indicantes omnes quatuor esse, à quibus plantæ & animalia gubernantur. Vna ergo est, quæ attrahit proprium alimentum; altera idipsum detinet; tertia autem ab his alterat; quarta ab his aliena expellit. Alienum autem in omnibus rebus duplex est, alterum qualitate, alterum quantitate. Id verò propter sitarum in ipsis partibus facultatum robur, atque imbecillitatem colligitur. B Nam si quidem paribus sint viribus, & meatus deferentes excrementa se habuerint secundum naturam, partes ipsæ sanæ sunt: si verò plus quàm alterari queat, assumptum sit, excrementum omne excerni à facultate expultrice pulsum necesse est. Quòd si hæc imbecillis sit, eodem in loco manere necesse est; atque si multum sit, grauat eum ipsum, atque distendit; si acre sit, erodit & mordet; quemadmodum si calidum sit, calefacit; si frigidum, frigefacit; atque hæc perspicua sunt in iis, quæ in ventre habentur. Quidam nanque ingerentes plus alimenti, interdum vomere coguntur nauseabundi, interdum alui fluore corripiuntur. Quod igitur hîc per maxima spatia excernitur eructantia foras excrementum, C id in aliis partibus animalis per tenues meatus non foras, sed ex aliis in alias transfluit partes; expellentibus quidem fortioribus, suscipientibus verò debilioribus. Porrò rursus expellitur ex his in alias, atque ex illis in alias defluit, quousque in debilissimas omnium decumbat. Id autem rursus recurrere inde in alias fortiores nequaquam possibile est. Atque ob eam rem per plethoram ac vitiosum humorem partes omnium debilissimæ D aliàs inflammatione, aliàs erysipelate, vel herpetibus, vel alia quapiam affectione prehenduntur, aut habent affectionem, quam rheumaticam nominant, de qua seorsum scripsimus. Quocirca minimè mirum videri debet, cerebrum vel etiam totum interdum caput, vbi collegit aliquod excrementum, in aliquam partem debiliorem expellere, aut in aures, aut oculos, aut tempora, aut labrum, aut dentes, aut genas, aut palatum, aut gingiuas, & gurgulionem, & tonsillas, & adenas ibi contentos. Atque vbi nullum ex his fuerit imbecille, in thoracem, pulmonem, fauces, gulam, ventriculum, fluxionem transmittit. E Quemadmodum ergo caput sæpenumerò prædictorum cuique causa morbi est: ita inflammationis in iecore & liene, proximarum aliqua partium, aut etiam mehercle, vna longiùs positarum, vel plures, quæ excrementa gignunt, augent, transmittunt, & circuitibus repetunt. Ac nihil miri est his accidere affectū similem excretioni excrementorum ventriculi. F Quemadmodum igitur siquis videret quidem quantum quotidie excernitur, ignoraret autem causam excretionis, miraretur ordinem: ita qui nescit neque generationis in capite excrementorum, neque excretionis causam, ignorat autem & quamobrem hæc foras decumbant, illa in aliquam aliam partem transfluant; hæret atque miratur influxus proportionem. Pari autem modò, & qui ignorat, quæ partes excrementum iecinori transmittant, miratur proportionem excreta-

tarum

A tarum ex iecore febrium. At qui nouit decumbentem in viscus fluxionem & primum phlegmones initium dedisse, & sequentis accessionis ipsam partem affectam autorem esse, mirari desinit.

τὸν ἐφ' ἥπατι πυρετόν, ὁ δέ γε γνοὺς, ὅτι τὸ κατασκῆπτον εἰς τὸ σπλάγχνον ῥεῦμα τήν τε πρώτην εἰργάσατο τῆς φλεγμονῆς ἀρχὴν, καὶ τοῦ μετὰ ταῦτα παροξύνεσθαι, τὸ πεπονθὸς αὐτὸ τὴν αἰτίαν ἔχει, πέπαυται θαυμάζων.

CAPVT XV.

Quod calor attrahat excrementa; & dolor omnis irritet fluxiones.

B Ceterùm duplex causa est huiusmodi influxus humorum, vna quam proximè indicaui, quum ex aliis partibus in alias debiliores excrementa transmittuntur; altera verò, quoties attrahuntur, de qua iam agendum, initio sermonis petito ab iis, quæ omnibus perspicua confessaque sunt. Si enim thapsiam illinas cuipiam, videbis paruo tempore partem huic esse calidiorem, atque in tumorem non paruum attolli. Nec secus si foueas partem quampiam iuxta ignem, aut fortiter frices, aut vngas resina, aut pice modicè calida, deinde C paulò pòst euellas vniuersim; aut si etiam vngas partem quopiam medicamento calido; videbis enim ex his omnibus ipsam attolli in molem, quia calor, vel ad se trahere, vel suscipere soleat fluxionem. Verùm necesse non est in præsens talia definire, id quod vtile est instituto iam habentes, etiam sine huiusmodi contemplatione. Semper enim in partes vehementiùs calescentes decumbere fluxio videtur, vbi corpora plena sunt, atque abundant excrementis; admodum larga; vbi vacant excrementis, pauca. Decumbit præterea D maximè & in dolentes. Sic nanque sæpè cui summus digitus manus minima acu punctus est, statim dolet, & paulò post partes quæ circiter sunt inflammatione laborant, atque in molem maximam tolluntur; quibusdam verò etiam bubones sub alis erumpunt, vbi acceperint aliquid fluxionis rara & spongiosa, quæ ibi habentur, corpora, quos nominant adenas. Quibusdam autem accidit id in medio brachio, vbi insignis aden ea parte extiterit. Perspicuè id quod dicimus videre licet, quoties vlcus aliquod exiguum sine inflammatio-E ne ac dolore prope vnguem fuerit. Si enim hoc contemnatur, neque coëat, & ad cicatricem deducatur, innata ipsi caro ab vngue pressa primùm quidem dolet, deinde totus digitus, aliquando verò & eorum carpus, & interdum manus, vel pes in maximam deducitur inflammationem. Ita igitur dolor attrahit in dolore affectas partes fluxionem; non tamen causam huius hîc dicere oportet, alibi enim commodiùs est dicta, nec illius in præsens indigemus. Videntur ergo iam causæ fluxionum ex partibus laborantibus fluxione ortæ esse F duplices. Vna ex calore, qui in eis accenditur; altera ex dolore, qui superuenit. Causa autem, cur aut plus, aut minùs, aut benignius, aut deterius influat, est non in ipsis solùm partibus laborantibus fluxione; sed cur benignius deteriúsve influat, in ipsis partibus mittentibus causa est; cur autem plus minúsve, in vtrisque. Calor enim vehemens ac dolor plus, debilior minus attrahit. Iridem corpora excrementis vacua exiguum quiddam trahentibus

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὅτι τὸ θερμὸν τῶν περιττωμάτων ἑλκτικόν ἐστι· καὶ πᾶν ἄλγημα τῶν ῥευμάτων ἐρεθιστικόν.

Διττὴ δ' ἡ πρόφασίς ἐστι τῆς τοιαύτης ἐπιῤῥοῆς, μία μὲν, ἣν νῦν δὴ πέπαυμαι λέγων, ὅταν ἐξ ἑτέρων μορίων ἐπιπέμπηται τοῖς ἀσθενεστέροις τὰ περιττώματα· δευτέρα δ' ὅταν ἕλκηται, περὶ ἧς ἤδη λεκτέον, ἀρχὴν τοῦ λόγου κἀνταῦθα τὰ πᾶσιν ἐναργῶς φαινόμενα ποιησάμενοι. εἰ γὰρ ἐπαλείψαις τινὶ θαψίαν, ὄψει τοῦτον ἐν ὀλίγῳ χρόνῳ θερμότερόν τε τὸ μόριον ἴσχοντα, καὶ εἰς ὄγκον οὐ σμικρὸν ἐξαιρόμενον. οὕτω δὲ κἂν εἰ παρὰ πυρὶ θάλψαις τὸ μέρος, ἢ ἀνατρίψαις ἰσχυρῶς, ἤτοι ῥητίνῃ καταχρίσας, ἢ πίττῃ μετρίως θερμῇ, κἄπειτ' ὀλίγον ὕστερον ἀποσπάσαις ἀθρόως, ἢ εἰ καί τι προσαπολείψαις ὁτῳδήποτε μέρει θερμαῖνον φάρμακον. ὄψει γὰρ ἐν ἅπασι τοῖς τοιούτοις εἰς ὄγκον ἐξαιρόμενον αὐτὸ, τῆς θερμασίας ἤτοι γ' ἕλκειν ἐφ' ἑαυτὴν, ἢ δέχεσθαι ῥεύματα πεφυκυίας. οὐ γὰρ ἀναγκαῖον ἐν τῷ παρόντι τὰ τοιαῦτα διορίζεσθαι, τὸ χρήσιμον εἰς τὸ προκείμενον ἔχοντας ἤδη, καὶ χωρὶς τοῦ τὰ τοιαῦτα φιλοσοφεῖν. ἐπιῤῥεῖν γὰρ ἀεὶ φαίνεται τοῖς ἰσχυρότερον θερμαινομένοις μορίοις, ἐν μὲν τοῖς πληθωρικοῖς καὶ περιττωματικοῖς σώμασιν, ἱκανῶς δαψιλὲς, ἐν δὲ τοῖς ἀπερίττοις ὀλίγον. ἐπιῤῥεῖ δ' οὐχ ἥκιστα καὶ τοῖς ὀδυνωμένοις. οὕτω γοῦν πολλάκις ἄκρον τὸν δάκτυλον τῆς χειρὸς ἐλαχίστῃ βελόνῃ νυχθείς τις, ὀδυνᾶται μὲν αὐτίκα, μικρῷ δ' ὕστερον φλεγμαίνει τε καὶ εἰς ὄγκον αἴρεται μέγιστον ἅπαντα τὰ πέριξ, ἐνίοις δὲ καὶ βουβῶνες ἐπανίστανται κατὰ τὰς μασχάλας, ἀπολαυσάντων τι τοῦ ῥεύματος τῶν ἀραιῶν τε καὶ σπογγωδῶν ἐνταῦθα σωμάτων, ἃ δὴ καλοῦσιν ἀδένας. ἔστι δ' οἷς καὶ κατὰ μέσον τὸν βραχίονα τοῦτο φαίνεται γιγνόμενον, οἷς ἂν ἀξιόλογος ἀδὴν ἐνταῦθα ᾖ τεταγμένος. ἐναργέστατα δ' ὄψει τὸ λεγόμενον, ἐφ' ὧν ἂν ἑλκύδριόν τι μικρὸν ἀφλέγμαντόν τε καὶ ἀνώδυνον ὄνυχος ᾖ πλησίον. εἰ γὰρ ἀμεληθείη τοῦτο, καὶ μὴ συνέρχοιτο, καὶ εἰς οὐλὴν ἄγοιτο, τῆς ἐπιτρεφομένης αὐτῷ σαρκὸς ὑπὸ τοῦ ὄνυχος θλιβομένης, ὀδυνᾶται μὲν πρῶτον, εἶθ' ἑξῆς ὅλος ὁ δάκτυλος, ἐνίοτε δὲ καὶ καρπὸς αὐτῶν ἢ ποὺς εἰς μεγίστην ἐξαίρεται φλεγμονήν. οὕτως ἄρα καὶ ἡ ὀδύνη ῥεῦμα τοῖς ὀδυνωμένοις ἐπάγει μορίοις, οὐ μὴν οὐδὲ τούτου τὴν αἰτίαν ἐνταῦθα λέγειν ἀναγκαῖον, ἑτέρωθι γὰρ εὐκαιρότερον λέλεκται, καὶ οὐδὲν αὐτῆς εἰς τὰ παρόντα δεόμεθα. φαίνονται γοῦν ἤδη σαφῶς αἰτίαι ῥευμάτων ἐξ αὐτῶν ὁρμώμεναι τῶν ῥευματιζομένων μορίων διτταὶ, μία μὲν ἡ ἐκ τῆς ἀναπτομένης ἐν αὐτοῖς θερμασίας, ἑτέρα δὲ ἡ ἐκ τῆς γινομένης ὀδύνης. τοῦ δ' ἤτοι πλέον, ἢ ἔλαττον, ἢ χρηστότερον, ἢ μοχθηρότερον ἐπιῤῥυῆναι, τὴν αἰτίαν οὐκ ἔτ' ἐξ αὐτῶν ἔχει μόνον τῶν ῥευματιζομένων σωμάτων, ἀλλὰ τοῦ μὲν χρηστότερον ἢ μοχθηρότερον, ἐν τοῖς πέμπουσι μορίοις ἡ αἰτία, τοῦ δ' ἧττόν τε καὶ πλέον ἐν τοῖς συναμφοτέροις. αἱ μὲν γὰρ ἰσχυραὶ θερμασίαι τε καὶ ὀδύναι πλέον ἕλκουσιν, αἱ δ' ἀσθενέστεραι μεῖον. οὕτω δὲ καὶ τὰ μὲν ἀπέριττα σώματα βραχύ τι τοῖς ἕλκουσι πέμπουσι,

τὰ δὲ περιττωματικά τε καὶ πληθωρικὰ τοσούτῳ πλέον, ὅσῳπερ ἂν ἐξεστήκῃ τοῦ κατὰ φύσιν. αὗται μὲν οὖν αἱ διαφοραὶ τῶν ῥευμάτων χωρὶς τῆς τῶν ῥευματιζομένων ἀσθενείας γίνονται. ἕτεραι δὲ διά τε τὴν τούτων ἀσθένειαν, καὶ τὴν ἰσχὺν τῶν πεμπόντων τὰ περιττώματα. πᾶσαι γὰρ αἱ χωρὶς τοῦ τρωθῆναι, καὶ θλασθῆναι καταλαμβάνουσαι τὰ μόρια φλεγμοναί, περιττωμάτων τινῶν κατασκηπτόντων ἐξ ἰσχυροτέρων εἰς ἀσθενέστερα, γίνονται· συνεξάπτουσι δ' εὐθὺς αἱ τοιαῦται φλεγμοναὶ καὶ πυρετούς, ὅταν ἤτοι διὰ μέγεθος, ἢ γειτνίασιν ἡ ἐξ αὐτῶν θερμότης ἐπὶ τὴν καρδίαν ἐξικνῆται. σήπεται μὲν οὖν ἐν πάσαις ταῖς φλεγμοναῖς τὰ κατασκήψαντα περιττώματα διὰ τὰς εἰρημένας ἔμπροσθεν αἰτίας· οὐχ ὁμοίως δὲ σήπεται τὰ πάντα, τῷ τὰ μὲν εἶναι φλεγματικά, τὰ δὲ μελαγχολικά, τὰ δὲ πικρόχολα. σηπομένων δὲ αὐτῶν ἀνάπτεται θερμασία παρὰ φύσιν ἐν τῷ φλεγμαίνοντι μορίῳ, συνεκθερμαίνουσα μέν, ὅσα πρῶτα ψαύει τῶν φλεγμαινόντων μορίων, εἶτ' ἐφεξῆς τὰ συνεχῆ τούτοις, ὑφ' ὧν αὖθις ἕτερα τῷ τῆς γειτνιάσεως λόγῳ θερμανθέντα, καὶ πάλιν ὑπ' ἐκείνων ἕτερα, διακομίζει τὴν θερμασίαν ἐνίοτε μέχρι τῆς καρδίας. ἥτις μὲν οὖν ἐστιν ἡ ἐν τοῖς φλεγμαίνουσι διάθεσις, ἔν τε τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας εἴρηται λόγῳ, κἀν τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων. ὅτι δ' ἀναγκαῖόν ἐστι, τὸ περιεχόμενον ἐν αὐτοῖς αἷμα σήπεσθαι πολλάκις ἅμα τοῖς ἐπιρρυεῖσιν, ἐν τῷδε λεχθήσεται.

mittunt; excrementosa autem ac plethorica tantò plus mittunt, quantò ab ipso naturæ habitu longiùs recesserint. Atque hæ quidem fluxionum differentiæ sine debilitate partium fluxione laborantium existunt; aliæ verò & ob harum debilitatem, ac robur mittentium excrementa, efficiuntur. Omnis enim inflammatio sine vulnere ac collisione prehendens partem, excrementis quibusdam decumbentibus ex robustioribus in debiliora, existit. Talis autem inflammatio statim accendit febrem, quoties aut ob magnitudinem, aut vicinitatem calor ex ea ad cor peruenerit. Decumbentia igitur excrementa in omni inflammatione putrescunt propter causas priùs dictas. Nec similiter omnia putrescunt, eò quòd quædam sunt pituitosa, alia melancholica, nonnulla biliosa. Ipsis autem putrescentibus accenditur calor præter naturam in parte inflammatione affecta, simul quidem calefaciens quæcunq; primæ tangunt inflammatione obsessas partes, deinde illis continuas, ex quibus rursus aliæ ratione vicinitatis calefactæ, rursusque aliæ ab illis vsque ad ipsum cor deferunt interdum caliditatem. Sed quænam sit dispositio in parte inflammatione affecta, diximus in libro de intemperie inæquali, & item in libro de tumoribus præter naturã. Quòd autem necesse sit contentum in ea sanguinem putrefieri sæpenumero simul cum materia quæ influxit, in hoc dicetur.

ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

Περὶ αἰτίων τοῦ τῶν περιττωμάτων ἀθροισμοῦ· καὶ τῆς τῶν χυμῶν σηπεδόνος· καὶ τῆς τῶν παροξυσμῶν πολυχρονιότητός τε, καὶ βραχύτητος.

Τὸ κατασκῆψαν ἐξ ἑτέρου μέρους εἰς ἕτερον περίττωμα, ποτὲ μὲν οὕτως ἐστὶ πολὺ καὶ μοχθηρόν, ὡς βλάψαι τοῦ ῥευματισθέντος μορίου τὴν δύναμιν· ἐνίοτε δ' οὕτως ἐπιεικές τε καὶ ὀλίγον, ὡς μηδὲν ἀδικῆσαι τὸ ὑποδεξάμενον σῶμα. εἰ μὲν δὴ βλάψει τὴν δύναμιν εἰς τοσοῦτον, ὡς ἔκλυτόν τε γίνεσθαι, καὶ μηκέτι κρατεῖν ὧν ἔμπροσθεν ἐκράτει, σήπεσθαι τηνικαῦτα ἀναγκαῖον ἤδη καὶ τῷ αἵματι, κατὰ διττὸν λόγον, ὅτι τε τὸ μὴ κρατούμενον ὑγρὸν ὑπὸ τῆς οἰκείας θερμότητος ὑπόλοιπον ἔχει τὴν εἰς σηπεδόνα μετάστασιν, ὅτι τε τοῖς περιττώμασι σηπομένοις συνδιασήπεται. εἰ δὲ μὴ βλάψειεν εἰς τοσοῦτο τὴν δύναμιν, ὡς ἐκλυθεῖσαν ἡσυχάσαι παντάπασιν, ἡμιμόχθηρόν τι καὶ οἷον ἡμισαπὲς ἐν τῇ τοιαύτῃ καταστάσει γίγνεται τὸ αἷμα, τῇ μὲν τῶν σηπομένων περιττωμάτων γειτνιάσει συνδιασηπόμενον, ἐν δὲ τῷ κατὰ φύσιν ἑαυτοῦ διαμένον τοσοῦτον, ὅσον ἐπὶ τῷ λόγῳ τῆς διακοσμούσης αὐτὸ δυνάμεως. ὁποτέρως δ' ἂν ἔχῃ, τό, τε κατὰ τὴν πρώτην σηπεδόνα θερμὸν ἀναπτόμενον, ἔστι μὲν πάντως δριμύτερόν τε καὶ δακνωδέστερον τοῦ κατὰ φύσιν, αὐξάνεται δ' εἰς τοσοῦτον, εἰς ὅσον ἂν καὶ ἡ τῶν περιττωμάτων φύσις ἐξαρκῇ. παραπλήσιον γάρ τινα λόγον ἔχει ταῦτα πρὸς τὴν ἐξ αὐτῶν ἀναπτομένην θερμασίαν, οἷόνπερ τὰ ξύλα πρὸς τὸ πῦρ. ἐξ αὐτῶν μὲν γὰρ τῶν ξύλων ἀλλοιουμένων γεννᾶται τὸ πῦρ· οὐ μὴν εἰς ἄπειρόν γε χρόνον ἐξαρκεῖ ταῦτα πρὸς τὴν ἀλλοίωσιν, ἀλλ' ἔστιν ὅρος αὐτοῖς τῆς μεταβολῆς ἡ τῆς ἐνυπαρχούσης ἰκμάδος ἀπώλεια, μέχρι τοσούτου καίεσθαι δυναμένοις, ἄχρι περ ἂν ἔχῃ τι τῆς συμφύτου ἰκμάδος· ἐκδαπανηθείσης

CAPVT XVI.

De causis collectionis excrementorum, putredinis humorum; diuturnitatis & breuitatis accessionum.

QVod igitur excrementum ex vna parte in aliam decubuit, interdum adeò multum prauumque est, vt partis fluxione laborantis facultatem lædat; interdum adeo mite ac exiguum, vt suscipiens corpus minimè offendat. Si igitur adeo facultatem lædat, vt exoluatur, nec prætereà euincat ea, quæ priùs vincebat, tunc sanguinem putrefieri necesse est duplici ratione; & quia humor minimè euictus à calore proprio reliquam habet in putredinem mutationem; & quia simul cum excrementis putrescentibus putrescit. Sin non tantùm lædat vires, vt exolutæ penitus quiescant, semiprauus, & tanquam semiputris, in tali constitutione sanguis efficitur; viciniâ quidem putrescentium excrementorum simul putrescens, persistens tamen in sua ipsius natura, quantum est in ratione facultatis ipsum conficientis. Vtcunque autem se res habeat, accensus calor per primam putredinem penitus acrior ac mordacior est, quàm dum secundum naturam se habet, atque tantùm crescit, quantùm natura ipsa excrementorum sufficit. Hæc enim talem habent rationem ad calorem ex eis accensum, qualem ligna ad ignem obtinent. ex ipsis enim lignis dum alterantur generatur ignis; hæc tamen minimè in infinitum tempus sufficiunt ad alterationem, sed terminus alterationis ipsis est humoris innati consumptio; nam eousque cremari queunt, dum innatum habuerint humorem; atque eo

consumpto

consumpto cremari desinunt, ac reliquiæ eorum nominantur cinis. Quinetiam putrescentium humorum similiter calor permanet, dum prorsus sint assati; par est autem reliquias humorũ terrestres exiguas esse, nequaquam multas, quemadmodum lignorum; propterea quòd in substantia eorum elementum humidum exuperat, non siccum. Simili modò si libeat coquere humorum externorum quempiam, vt oleum, aut vinum, terrestre quidem eius quod minimum relinquetur, reliquum autem totum extenuatum in vaporem atque aërem discedet. Itaque tota substantia feruefactorum humorum ex putredine extenuatorum ab ipso calore in ambientem dispergitur per vigorem declinationemque febrium; remanet autem iam excrementum omnino exiguum, vel nullum; in humoribus quidem crassioribus exiguum, in serosioribus autem nullum. Quòd si nulla debilitas extiterit virium partis inflammatione laborantis, nec rursus mittantur excrementa, & morbus solutus est, & posthac haud iterum febricitauerit homo, neque sequenti die, neque tertio quoque die, neque quarto quoque. Quòd si ob eandem causam mittantur excrementa, ob quam ab initio parti mittebantur, aut si hæc quidem non amplius mittantur, sed permaneat virium debilitas, denuò febricitare hominem necesse est. Subiiciatur enim primùm facultas partis robusta, tempore verò interueniente eisdem in partibus, quæ priùs transmiserant, collecta esse excrementa paria quantitate & qualitate his, quę initio transmiserant. Hoc verò accidit his in quibus dispositio mittentium, & attracti ad ipsas alimenti quantitas & qualitas eadem permanet. Necesse enim est, ęquale ac simile, quod ab eadem alteratur facultate, æqualia ac similia facere excrementa. Quinetiam tempus collectionis eorum necessariò æquale erit. Partes enim quæ aluntur, quoad similem habuerint constitutionẽ ab eodem nutrita alimẽto, ęqualia quantitate & similia qualitate, atque eodem præfinito temporis tractu colligent excrementa. Quinetiam eodem circuitu incitantur ad expellenda ea atque mittenda debilioribus. Siquidem tunc primùm expellendi facultas excitatur ad actionem suam, vbi grauatur multitudine excrementorum, aut qualitate diuexatur. Sed de his omnibus in commentariis de facultatibus naturalibus definitum iam est; in quibus exercitatum esse conuenit eum, qui quæ nunc dicuntur, sit cum demonstratione intellecturus; magno quidem præmio ipsi proposito ex tali contemplatione ad curandi viam & rationem. Nam vt alia omnia omittam, quæ sum dicturus in eo libro, vnius tantummodo faciam mentionem, quod maximè quidem in promptu est, quodque ipsi sæpenumero fecimus, ophthalmiæ scilicet per circuitionem repetentis. Spero enim id non paruum incitamentum fore lectoribus ad eam, quam hoc loco tradimus, condiscendam doctrinam. Contrà enim quàm ii, qui se nominant ab oculorum curatione ophthalmicos *ocularios medicos*, curauimus semper huiusmodi ophthalmiam. Nam quum illi semper oculis negotium facesserent, nos interdum purgatione, interdum balneo, interdum meri potione (vt Hippo-

A ἢ ταύτης, πέπαυταί τε καιόμενα, καὶ τὸ λειπόμενον αὐτῶν καλεῖται τέφρα. καὶ δὴ καὶ τῶν διασηπομένων χυμῶν ὡσαύτως ἡ θερμασία διαμένει μέχρι περ ἂν ὀπτηθῶσι τελέως· ὀλίγον δ' εἰκὸς τὸ τῶν χυμῶν γίγνεσθαι γεῶδες λειπόμενον, οὐχ ὥσπερ τὸ τῶν ξύλων πολύ, διότι κατὰ τὴν οὐσίαν αὐτῶν ἐπικρατεῖ τὸ ὑγρὸν στοιχεῖον, οὐ τὸ ξηρόν. οὕτω δ' εἰ καὶ τῶν ἐκτός τινα χυμῶν ἕψειν ἐθέλοις, οἷον ἔλαιον ἢ οἶνον, ὀλίγιστον μὲν αὐτοῦ καταλείψεις γεῶδες, τὸ ἄλλο πᾶν εἰς ἀτμόν τε καὶ ἀέρα λεπτυνθὲν οἰχήσεται. καὶ B τοίνυν τῶν ζεσάντων ἐπὶ τῇ σηπεδόνι χυμῶν λεπτυνθέντων ὑπὸ τῆς θερμότητος, εἰς τὸ περιέχον ἡ οὐσία σκίδναται πᾶσα κατὰ τὰς ἀκμάς τε καὶ παρακμὰς τῶν πυρετῶν, ὑπολείπεται δ' ἤδη παντάπασιν ὀλίγον περιττὸν, ἢ οὐδέν· ἐν μὲν τοῖς παχυτέροις χυμοῖς, ὀλίγον, ἐν δὲ τοῖς ὀῤῥωδεστέροις οὐδέν. εἰ μὲν δὴ μή τις ἀσθένεια ἐγγίγνοιτο τῇ τοῦ φλεγμήναντος μέρους δυνάμει, μήτ' αὖθις ἐπιπέμποιτο περιττώματα, πέπαυταί τε τὸ νόσημα, καὶ δεύτερον οὐκ ἂν ἔτι πυρέξειεν ὁ ἄνθρωπος, οὔτε κατὰ τὴν ἑξῆς ἡμέραν, οὔτε διὰ τρίτης, οὔτε διὰ τετάρτης. εἰ δή τοι κατὰ τὴν αὐτὴν αἰτίαν ἐπιπέμποιτο, καθ' ἣν ἐξ ἀρχῆς ἐπέμφθη τῷ μέρει τὰ περιττώματα, ἢ εἰ ταῦτα μὲν οὐκ ἔτι πέμ- C ποιτο, παραμένοι δὲ ἡ τῆς δυνάμεως ἀῤῥωστία, δεύτερον ἀνάγκη πυρέξαι τὸν ἄνθρωπον. ὑποκείσθω γὰρ πρότερον ἐῤῥωμένη μὲν ἡ τοῦ μορίου δύναμις, ἀθροιζόμενα δ' ἐν τῷ μεταξὺ χρόνῳ τὰ περιττώματα κατὰ τὰ πρῶτα ἀποπέμψαντα μόρια, τοιαῦτά τε τὴν ποιότητα, καὶ τοσαῦτα τὸ πλῆθος, οἷά καὶ ὅσα τὴν ἀρχὴν ἔπεμψεν. ἔστι δὲ τὸ τοιοῦτον, οἷς ἂν ἥ τε διάθεσις τῶν πεμπόντων ἡ αὐτὴ διαμένῃ, καὶ τῆς ἑλκομένης εἰς αὐτὰ τροφῆς ἡ ποσότης τε καὶ ἡ ποιότης. ἀνάγκη γὰρ, οἶμαι, τὸ ἴσον καὶ ὅμοιον ὑπὸ D τῆς αὐτῆς δυνάμεως ἀλλοιούμενον, ἴσα καὶ ὅμοια ποιῆσαι περιττώματα, καὶ μὴν δὴ καὶ ὁ τῆς ἀθροίσεως αὐτῶν χρόνος ἐξ ἀνάγκης ἴσος ἔσται. τὰ γὰρ τρεφόμενα μόρια μέχρι περ ἂν ὁμοίαν ἔχῃ τὴν κατάστασιν, ὑπὸ τῆς αὐτῆς τρεφόμενα τροφῆς, ἴσα τε τῇ ποσότητι καὶ ὅμοια τῇ ποιότητι καὶ κατὰ τὴν αὐτὴν τοῦ χρόνου προθεσμίαν ἀθροίσει τὰ περιττώματα. καὶ μέντοι κατὰ τὴν αὐτὴν περίοδον ὁρμήσει πρὸς τὸ ταῦτα ἀπωθεῖν τε καὶ πέμπειν τοῖς ἀσθενεστέροις. εἴγε δὴ τότε πρῶτον, ἡ ἀποκριτικὴ δύναμις ὁρμᾷ πρὸς τὴν ἑαυτῆς ἐνέργειαν, ὁπόταν ἤτοι βαρύνηται τῷ πλήθει τῶν περιττω- E μάτων, ἢ δυσχεραίνῃ τῇ ποιότητι. δέδεικται δὲ ὑπὲρ τῶν τούτων ἁπάντων ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἐν οἷς χρὴ γεγυμνάσθαι τὸν μέλλοντα σὺν ἀποδείξει μαθήσεσθαι τὰ νῦν λεγόμενα, μεγάλων γε τῶν ἄθλων αὐτῷ προκειμένων ἐκ τῆς τοιαύτης θεωρίας, εἰς τὴν θεραπευτικὴν μέθοδον. ἵνα γὰρ ἅπαντα παραλίπω τἆλλα τὰ μέλλοντά γε λεχθήσεσθαι κατ' ἐκείνην τὴν πραγματείαν, ἑνός γε μόνου μνημονεύσω, προχειροτάτου τε F καὶ πολλάκις ὑφ' ἡμῶν γεγονότος, ὀφθαλμίας παροξυνομένης κατὰ περίοδον· οὐ μικρῶς οἶμαι προτραπήσεσθαι τὸν ἀκούσαντα, τὴν νῦν ἡμῖν διαπεραινομένην ἐκμαθεῖν θεωρίαν· ἔμπαλιν γὰρ, ἢ ὡς οἱ καλοῦντες ἑαυτοὺς ὀφθαλμικοὺς, ἐθεραπεύσαμεν ἀεὶ τὰς τοιαύτας ὀφθαλμίας. ἐκείνων μὲν ἀεὶ τοῖς ὀφθαλμοῖς παρεχόντων πράγματα, ἡμῶν δὲ ποτὲ καθάρσει χρησαμένων, ποτὲ μὲν λουτρῷ, ποτὲ δὲ ἀκρατοποσίᾳ (ὡς Ἱπποκράτης

λέγει) ποτὲ δὲ φλεβοτομίᾳ, ποτὲ δ' ἀμφοτέροις, ἢ κλυστῆρι μετὰ φλεβοτομίας, εἶτ' ἐαθ' ὅτε μὲν εὐθὺς ἐπὶ τοῖσδε παυσαμένων, ἐαθ' ὅτε δὲ μετὰ τοῦ προνοήσασθαι τῆς κεφαλῆς. ἅπαντες γὰρ οἱ οὕτω θεραπευθέντες, ἢ οὐδ' ὅλως ἔτι παρωξύνθησαν, ἢ ἅπαξ μόνον, ἔλαττον πολὺ τοῦ πρόσθεν. ἀλλὰ περὶ μὲν τῶν θεραπευτικῶν διορισμῶν τε καὶ γνωρισμάτων, οὐ νῦν λέγειν καιρός. ὅτι δ' ἐγχωρεῖ ποτε μὴ τὴν ὅλην κεφαλὴν ἤτοι μηδὲν πεπονθυῖαν, ἀλλ' αἵματι μοχθηρῷ καὶ περιττωματικῷ τρεφομένην, ἀθροίζειν περιττώματα πλείω τε καὶ μοχθηρότερα τοῦ ἔμπροσθεν, ὡς μηκέτ' αὐτοῖς ἀρκεῖν τὰς φυσικὰς ἐκροάς τε καὶ διαπνοάς, ἀλλ' ἀναγκάζεσθαι τὴν φύσιν ὠθεῖν τὸ περιττὸν εἴς τι τῶν ἀσθενεστέρων μορίων· ἢ τῶν μὲν χυμῶν ἐχόντων κατὰ φύσιν, αὐτῆς δέ τι πεπονθυίας, ἢ καὶ συνελθόντων ἀμφοῖν ἀθροίζεσθαί τε τὰ περιττώματα, καὶ κατασκήπτειν εἴς τι μόριον, ὁ ἐνεστὼς λόγος ἐπιδεῖξαι σπουδάζει. μέχρι γὰρ ἂν ὅ,τι ἐπιρρέων χυμὸς ὅμοιος ᾖ, καὶ τῆς κεφαλῆς ἡ διάθεσις ἡ αὐτή, μέχρι τοσούτου τά τε περιττώματα κατὰ τὸν ἴσον ἀθροισθήσεται χρόνον ὅμοιά τε καὶ ἴσα, καὶ οἱ παροξυσμοὶ τῶν ὀφθαλμῶν ὅμοιοι γενήσονται. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ καὶ μὴ συμπάσης τῆς κεφαλῆς, ἀλλ' ἑνός γέ τινος τῶν ἐν αὐτῇ μορίων, ἤτοι μηνίγγων, ἢ ἐγκεφάλου γένηταί τις διάθεσις, ὡς ἐκ τῆς τοιαύτης τροφῆς, ἀθροίζειν τι τοσόνδε καὶ τοιόνδε περίττωμα κατὰ τοσόνδε χρόνον, εἶτ' ὠθεῖν τὸ περίττωμα τοῦτο ἡνίκα δὴ τὰ πρῶτον, ὅταν ὑπ' αὐτοῦ ἀξιολόγως ἀνιαθείη, συμβήσεται καὶ τότε παροξύνεσθαι κατὰ περίοδον, ἢ ὀφθαλμούς, ἢ ὦτα, ἤ τι τοιοῦτον ἕτερον, εἰς ὅπερ ἂν ἀσθενέστερον ὠθῇ τὸ περιττόν. * ὥσπερ οὖν ἐπ' ὀφθαλμῶν, καὶ ὤτων, καὶ ποδῶν, καὶ ἄλλων τε πολλῶν τοιούτων μορίων, ἐναργῶς ὁρᾶται κατὰ περίοδον ὁ παροξυσμὸς γιγνόμενος, ὡς ἐπιδέδεικται, τί θαυμαστὸν ἐν πλευρίτιδι, καὶ περιπνευμονίᾳ καὶ φρενίτιδι, καὶ τοῖς ἄλλοις ἅπασιν, ὧν οὐκ ἔστι θεάσασθαι τὰς φλεγμονάς, ὁμοίως μὲν ἐπιρρεῖν τὸ περιττὸν * καὶ ὁμοίως τὸν πυρετὸν ἀνάπτειν, οὐδὲν αὐτοῦ τοῦ φλεγμαίνοντος μέρους πεπονθότος ἐξαίρετον ἴδιον εἰς τὴν τῶν εἰρημένων γένεσιν ἄλλο γε, πλὴν ὅτι τῶν πεμπόντων τὰ περιττώματα κατ' ἐκεῖνον τὸν χρόνον ἀσθενέστερόν ἐστιν; οὐ μὴν οὐδ' ἐκεῖνο θαυμαστόν ἐστι, τὸ μηδὲ κατὰ μίαν ἀθροίζεσθαι προθεσμίαν ἅπαντα τὰ περιττώματα. τῷ γὰρ μήτε τὸ φερόμενον ἐν λόγῳ τροφῆς αἷμα ὅμοιον διὰ παντὸς ὑπάρχειν, μήτε τὴν τῶν τρεφομένων διάθεσιν εἶναι τὴν αὐτήν, ἄλλος ἄλλῳ χρόνῳ ἱκανός ἐστιν εἰς τὴν τοσούτου περιττώματος ἄθροισιν, ὑφ' οὗ πρώτου λυπεῖται μὲν ἡ φύσις ἡ τοῦ μέρους, ἀναγκάζεται δ' ὡς ἀλλότριον ἑαυτῆς ἀποτρίβεσθαι τὸ λυποῦν. οὐ μὴν οὐδ' ὅτι τῶν παροξυσμῶν αὐτῶν ἄνισόν ἐστι τὸ μῆκος, ἔτι χρὴ θαυμάζειν. εἴπερ γὰρ οὐχ ἓν γένος, οὔτ' εἶδος, οὔτε πλῆθός ἐστι τῶν περιττωμάτων, οὐδ' ὡσαύτως ἀνάπτεσθαι πᾶσιν, ἢ διαφορεῖσθαι προσήκει. τὰ μὲν γὰρ πλείω, καὶ ψυχρότερα, καὶ γλίσχρα, καὶ παχέα, μακροτέρους ἐργάζεται τοὺς παροξυσμούς· τὰ δ' ἐλάττω, καὶ θερμότερα, καὶ λεπτότερα, βραχυτέρους, συνεπιλαμβανούσης οὐ σμικρὸν εἰς ταῦτα τῆς τε τοῦ σώματος ὅλου κατασκευῆς ἐν ἐκείνῳ τῷ χρόνῳ, καὶ τοῦ τῆς δυνάμεως τόνου. τὸ μὲν γὰρ ἀραιότερον σῶμα βραχυτέρους, ὅσον ἐφ' ἑαυτῷ, τοὺς παροξυσμοὺς ἐργάζεται, τὸ δὲ πυκνότερον μακροτέρους· καὶ ῥώμη μὲν δυνάμεως ὀλιγοχρονιωτέρους, ἀρρωστία δὲ πολὺ χρονιωτέρους. ἡ μὲν γὰρ ἰσχυρὰ δύναμις ἑτοιμότερον ἀφ' ἑαυτῆς ὠθεῖ τὸ ἀλλότριον, ἡ δὲ τοῦ σώματος

crates dicit) interdum sanguinis missione, interdum vtrisque, vel clystere cum sanguinis missione vsi sumus, atque interdum statim his adhibitis desiuit, quandoque etiam vbi capiti fuisset prospectum. Omnes enim qui curati sunt, aut omnino accessionem non habuerunt, aut semel solùm, sed multò leuiorem quàm priùs. Sed de medendi decretis ac indiciis, nequaquam nunc differendi tempus est. Cæterùm quòd accidat interdum totum caput aut minimè affectum, sed sanguine prauo atque excrementoso nutritum, colligere excrementa plura ac vitiosiora, quàm antè, ita vt nequaquam eis sufficiant naturales effluxus ac perspiratus, sed cogatur natura expellere excrementum ad aliquam partem debiliorem; aut si humores secundum naturam se habeant, ipsum autem affectum sit, aut etiam ambo concurrant, colligi excrementa, atque decumbere in aliquam partem, præsens sermo demonstrare studet. Etenim quoad decumbens humor similis fuerit, & capitis affectio eadem, eousque excrementa æquali colligentur tempore similia & æqualia, & accessiones oculorum similes erunt. Simili modò & si non totius capitis, at certè vnius alicuius in eo partis, aut meningum, aut cerebri ipsius fuerit aliquis affectus, ita vt ex tali nutrimento colligat tantum taleque excrementum tanto tempore, deinde expellat excrementum id tunc primùm quum ab eo insigniter vexatur, accidet & tunc per circuitum exacerbari vel oculos, vel aures, vel aliquid aliud tale, in quod debilius expulsum fuerit excrementum. Vt igitur in oculis, & auribus, & pedibus, & aliis multis partibus talibus perspicuè videtur fieri accessio per circuitum, quemadmodum ostensum est; quid mirum in pleuritide, & peripneumonia, & phrenitide, & aliis omnibus quorum non licet intueri inflammationes, similiter fluere excrementum, eodemque modo febrem accendere, nullo alio ipsa parte inflammatione obsessa affectu laborante peculari ac proprio ad dictorum generationem, quàm quòd mittentibus excrementa eo tempore imbecillior est? Neque etiam illud mirum videri debet, quod non eodem tempore colligantur omnia excrementa. Quòd enim neque qui defertur ratione alimenti, sanguis semper similis est, neque affectio partium quæ aluntur eadem, idcirco aliud alii tempus satis est ad tanti excrementi collectionem, à quo primùm natura partis molestatur, cogiturque veluti alienum à se id, quod molestat, expellere. Neque porrò mirandum est, ipsarum accessionum longitudinem inæqualem esse; si enim neque genus neque species neque multitudo excrementorum vna sit, neque similiter accendi in omnibus, neque discuti conuenit. Nam plura quidem, & frigidiora, & glutinosa, & crassa, longiores efficiunt accessiones; pauciora autem & calidiora & tenuiora breuiores; conducente ad id non parum totius corporis constitutione eo tempore & virium robore. Corpus enim rarius, breuiores, quantum in se est, efficit accessiones; densius autem longiores. Et robur quidem virium, breuiores; debilitas autem, multò longiores. Facultas enim valida promptiùs à se expellit id, quod est alienũ; corporis autem raritas,

raritas minimè detinet id quod effertur. Quocirca ita affectis citò euacuari excrementum necesse est, si etiam alia similia existant. Pari ratione quibus è contrario corpus afficitur, iis necesse est esse longiorem excretionem excrementorum, debiliter expellente excrementa facultate; detinente autem ea, quæ efferuntur, angustiâ meatuum. Omnibus autem simul concurrentibus, aut breuissima aut longissima accessio fit. Longissima quidem, ob crassitiem, & multitudinem excrementi, ac virium imbecillitatem, meatuumque angustiam; breuissima autem, ob tenuitatem, & paucitatem excrementi, & robur virium, ac viarum amplitudinem.

A ἀραιότης οὐκ ἴσχει τὸ φερόμενον, ὥστ' ἀνάγκη τοῖς οὕτω διακειμένοις ταχέως ἐκκενοῦσθαι τὸ περιττόν, εἰ καὶ τἆλλα παραπλήσια ὑπάρχει. κατὰ δὲ τὸν αὐτὸν λόγον, ὅστις ἐναντίως διάκειται τὸ σῶμα, τούτοις ἀνάγκη πολυχρονιωτέραν γίνεσθαι τὴν ἔκκρισιν τῶν περιττωμάτων, ἀρρώστως μὲν ὠθούσης τὰ περιττώματα τῆς δυνάμεως, στεγούσης δὲ τὰ φερόμενα τῇ τῶν διεξόδων στενότητι. ἁπάντων δ' ἅμα συνελθόντων, ἤτοι μακρότατος, ἢ βραχύτατος παροξυσμὸς γίγνεται· μακρότατος μὲν διὰ τὸ πάχος, καὶ τὸ πλῆθος τοῦ περιττώματος, καὶ τὴν ἀσθένειαν τῆς B δυνάμεως, καὶ τὴν τῶν διεξόδων στενότητα· βραχύτατος δὲ, διά τε λεπτότητα, καὶ ὀλιγότητα τοῦ περιττώματος, καὶ τὴν ῥώμην τῆς δυνάμεως, καὶ τῶν ὁδῶν τὴν εὐρύτητα.

CAPVT XVII.

Quam ob causam accessiones quædam desinant ad integritatem, quædam non.

EAdem autem ratione neque quam ob causam accessiones quædam desinant ad integritatem, quædam verò non, difficile est inuenire. Quoties enim prioris accessionis tempus adeò breue fuerit, vt priusquam secunda incipiat, iam *prima* desierit, medium principii secundæ, priorisque finis interuallum totum sine febre existit. Sed vbi secunda priùs incipit, quàm prior omnino soluatur, nihil harum medium relinquitur. Hoc igitur (vt diximus) fit, quum facultas partis excrementa recipientis sui similis esse pergit, hoc est, adhuc, vt anteà, sanguinem qui in ipsa habetur, vincit. Quòd siquando debilis efficiatur, idque ei causa sit cur non excrementa solùm, sed ipse etiam sanguis corrumpatur ac putrefiat, & febris accendatur; alterum inde quoque initium orietur circuitu repetentium accessionum. At si quidem prædictus adhuc seruetur calor, duplex erit genus febrium inter se implicitarum. Si verò ille quidem desinat, affectio verò suscipientis fluxionem permaneat, quæ de mittente sunt dicta priùs, de hac intelliges. Hæc enim pars efficiet in se quædam excrementa duplici ratione, quemadmodum & illa, tum quia prauus est sanguis contentus in ea, tum quia facultas debilis est. Nec secus si ex quauis causa reddita sit interdum debilis partis facultas, adeò vt onus ipsi potiùs quàm alimentum sit sanguis adiectus; corrumpetur, & si calidus fuerit, facilè putrescet: si verò subfrigidus ac pituitosus, non statim quidem, sed processu temporis is quoque eandem suscipiet dispositionem. Quinetiam vbi nequeat concoquere quælibet pars genita in se excrementa, aut expellere ad aliã, tale sibiipsi initium febricitandi, quale ea quæ transmittit alteri, adfert. Cur autem nequeat alteri mittere excrementa, prima quidem causa est in viribus mittentis suscipientisque; altera autem in viarum obstructione, quæ à glutinosis, crassis, & multis fieri solet humoribus. Nihil igitur miri est, si etiam absque eo quòd altera mittat alteri excrementum (quemadmodum caput oculis mittebat) ex excrementis in ipsa adhuc manentibus in eandem suscipienti aliena dispositionem deuenerit. Quæ enim obstruxerunt naturales effluxus, processu temporis ea quoque putrescant necesse est,

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Διὰ τί τῶν παροξυσμῶν οἱ μὲν εἰς ἀπυρεξίαν λήγουσιν, οἱ δ' οὔ.

C ΚΑτὰ δὲ τὸν αὐτὸν λόγον οὐδὲ διὰ τί τῶν παροξυσμῶν οἱ μὲν εἰς ἀπυρεξίαν λήγουσιν, οἱ δ' οὔ, χαλεπὸν ἐξευρεῖν. ἐπειδὰν μὲν γὰρ ὁ τοῦ προτέρου παροξυσμοῦ χρόνος οὕτως ᾖ βραχὺς, ὡς πρὶν ἄρξασθαι τὸν δεύτερον, ἤδη τὸν πρότερον [27] λελύσθαι, τὸ μεταξὺ τῆς ἀρχῆς τοῦ δευτέρου καὶ τοῦ προτέρου τῆς τελευτῆς διάστημα σύμπαν ἀπύρεκτον γίγνεται· φθάσαντος δ' εἰσβάλλειν τοῦ δευτέρου, πρὶν ἀκριβῶς λυθῆναι τὸν πρότερον, οὐδὲν αὐτῶν ἀπολείπεται μεταξύ. τουτὶ μὲν οὖν, ὡς εἴρηταί μοι, ὅτε τῆς ἐν τῷ δεχομένῳ μορίῳ τὰ περιττώματα δυνάμεως ὁμοίας ἑαυτῇ διαμενούσης, τουτέστι, κρατούσης ἔτι τοῦ περιεχομένου καθ' αὐτὴν αἵματος, ὡς καὶ πρόσθεν· εἰ δ' ἀσθε-D νὴς ποτε γένοιτο, καὶ τοῦτ' αἴτιον αὐτῇ καταστάιη τοῦ μὴ τὰ περιττώματα μόνον, ἀλλὰ καὶ αὐτὸ τὸ αἷμα διαφθείρεσθαί τε καὶ σήπεσθαι καὶ πυρετὸν ἐξάπτειν, ἑτέρα τις κἀντεῦθεν ἀρχὴ γεννήσεται περιοδικῶν παροξυσμῶν. εἰ μὲν οὖν ἔτι ἡ προειρημένη φυλάττοιτο θερμασία, διττὸν εἶδος ἔσται πυρετῶν ἀλλήλοις ἐπιπεπλεγμένων· εἰ δ' ἐκείνη μὲν παύσαιτο, μένοι δὲ ἡ τοῦ δεξαμένου τὸ ῥεῦμα διάθεσις, ἅπερ ἐπὶ τοῦ πέμποντος λέλεκται πρόσθεν, κἀπὶ τούτῳ μοι νόει. ποιήσει γάρ τινα καὶ τοῦτο τὸ μέρος ἐν αὐτῷ περιττώματα κατὰ διττὸν τρόπον, ὥσπερ δὴ κἀκεῖνο, τῷ τε E μοχθηρὸν εἶναι τὸ αἷμα περιεχόμενον ἐν αὐτῷ, καὶ τῷ τὴν δύναμιν ἀρρωστεῖν. ὡσαύτως δὲ κἂν εἰ κατά τινα αἰτίαν ἡντιναοῦν ἀπεργασθείη ἀσθενής ποτε μορίου [28] δύναμις εἰς τοσοῦτον, ὡς ἄχθος αὐτῷ μᾶλλον, ἢ τροφὴν εἶναι τὸ παρακείμενον αἷμα, διαφθαρήσεταί τε, καὶ εἰ θερμὸν εἴη, σαπήσεται ῥᾳδίως, εἰ δ' ὑπόψυχρόν τε καὶ φλεγματικὸν, οὐκ αὐτίκα μὲν, ἀλλὰ ἔν γε τῷ χρόνῳ καὶ τοῦτο τὴν αὐτὴν ἐπικτήσεται διάθεσιν. καὶ μὴν καὶ ὅταν ἀδυνατήσῃ ποτὲ πέψαι τὰ καθ' αὐτὸ γινόμενα περιττώματα μόριον ὁποιονοῦν, ἢ ἀπώσασθαι πρὸς ἕτερον, τοι-F αύτην ἑαυτῷ τὴν ἀρχὴν τοῦ πυρέττειν, οἵαν περ ἑτέρῳ τὸ πέμπον ἐξεργάζεται. τοῦ δὲ μὴ δύνασθαι πέμπειν ἑτέρῳ τὰ περιττώματα, πρώτη μὲν αἰτία κατὰ τὴν τοῦ πέμποντός τε καὶ δεχομένου δύναμιν, ἑτέρα δὲ κατὰ τὴν τῶν ὁδῶν ἔμφραξιν, ὅπερ ἐπὶ γλίσχροις καὶ παχέσι καὶ πολλοῖς εἴωθε γίγνεσθαι χυμοῖς. οὐδὲν οὖν θαυμαστὸν, εἰ καὶ χωρὶς τοῦ πέμπειν ἕτερον ἑτέρῳ περίττωμα, καθάπερ ἡ κεφαλὴ τοῖς ὀφθαλμοῖς ἔπεμπεν, ἐκ τῶν ἐν αὐτῇ ἔτι μενόντων περιττωμάτων εἰς τὴν αὐτὴν τῷ δεχομένῳ τὰ ἀλλότρια διάθεσιν ἀφίκοιντο. τὰ γὰρ ἐμφράξαντα τὰς φυσικὰς ἐκροὰς ἀναγκαῖον ἐν τῷ χρόνῳ καὶ

ταῦτα σήπεσθαί τε καὶ πλήθους περιττωμάτων αἴτια καθίστασθαι τὰ μέρη, κωλύοντα κενοῦσθαι καὶ διαπνεῖσθαι συνήθως αὐτά. σήπεται οὖν ὁμοίως ἐκείνοις κἀκεῖνα τὰ ὕστερον ἀθροιζόμενα, καὶ συνεξάπτει πάντα ἀλλήλοις αὐτίκα τὴν ἐν τῷ μορίῳ πυρετώδη θερμότητα. δέδεικται δ' ἔμπροσθεν, ὡς ἔνθα ἀνάπτεταί τις ἢ καὶ αὐξάνεται θερμότης, ἐπιρρεῖ πρὸς τοῦτο τὸ μόριον τὸ παρὰ τῶν ἄλλων αἷμα. καὶ τοίνυν ἀναγκαῖον ἐν τῷ χρόνῳ τῆς ἐπιρροῆς, ψύχεσθαι μὲν ἐκεῖνα λειφαιμοῦντα, βαρύνεσθαί τε καὶ διατείνεσθαι τὸ πεπονθός, ἀλλοιοῦσθαι δὲ τὸ ἐπιρρυὲν αἷμα διὰ διττὴν αἰτίαν, ὅτι τε μίγνυται τοῖς ἤδη σηπομένοις περιττώμασιν, ὅτι τε σφηνούμενον, ἀδιάπνευστον ἀπομένει. τύφεται τοιγαροῦν δίκην ξύλων ὑγροτέρων ἀθρόως ἐπιβληθέντων ὀλίγῃ φλογί, καὶ ἔστιν ὁ χρόνος ἅπας ἀρχὴ τοῦ παροξυσμοῦ προσαγορευόμενος. ἐπειδὰν δὲ τῆς ὕλης ἐγκρατὴς ἡ θερμότης γένηται, καλεῖται μὲν ἐπίδοσίς τε καὶ ἀνάβασις ὁ τοιοῦτος καιρός, αὐξάνεται δ' ἐν τούτῳ θερμότης τοσαύτη τὸ πλῆθος, ὡς μὴ μόνον αὐτὸ καίειν τὸ χωρίον, ὃ οἷόνπερ [29] ἑστία τις σηπεδόνος ἐστίν, ἀλλ' ἤδη κατὰ τὸ συνεχὲς ἐπινέμεσθαι τὸ σύμπαν σῶμα. κἀπειδὰν εἰς ἄκρον ἀφίκωνται τῆς ζέσεως οἱ ἐξαπτόμενοι χυμοί, καλεῖται μὲν ἀκμὴ τὸ τοιοῦτο τοῦ παροξυσμοῦ μέρος, ἅπαν δὲ διάπυρον εἶναι δοκεῖ τηνικαῦτα τὸ τοῦ κάμνοντος σῶμα, τῆς θέρμης εἰς ὅλον [30] τὸ ζῶον ὁμαλῶς ἐπιτεταμένης. ἐντεῦθεν δέ, εἰ μὲν οἵ τε χυμοὶ λεπτοὶ τύχοιεν ὄντες, ἥ τε δύναμις εὔρωστος, ἀραιόν τε τὸ σῶμα, κενοῦται τὸ πλεῖστον τῶν ζεσθέντων χυμῶν εἰς ἱδρῶτα χυθέν· εἰ δὲ οὗτοί τε παχύτεροι εἶεν, ἄρρωστός τε ἡ ἐκκριτικὴ δύναμις, αἵ θ' ὁδοὶ στενωθεῖεν, αἰσθητὸν μὲν οὐδὲν ἀπορρεῖ, μόνον δὲ τὸ οὕτως λεπτυνθέν, ὡς εἰς ἀτμοῦ λεπτοῦ μεταστῆναι φύσιν. ὀνομάζεται δὲ ὁ καιρὸς οὗτος παρακμή, διαπνοή τις οὖσα τῶν ζεσθέντων χυμῶν. ἀλλὰ μενούσης γε τῆς ἐν τῷ μορίῳ διαθέσεως, ἀναγκαῖον ἕτερον ἐν αὐτῷ γεννηθῆναι περίττωμα, τῆς ἑλκομένης αὖθις εἰς αὐτὸ τροφῆς οὐκ ἀκριβῶς ἁπάσης κρατουμένης, ὃ πάλιν, ὡς εἴρηται πρόσθεν, ὑπό τε τῶν ἐγκαταλελειμμένων τῷ μορίῳ σηπεδονωδῶν περιττωμάτων, καὶ αὐτῆς τῆς οἰκείας μοχθηρίας, ἀρχὴν σηπεδόνος λαμβάνει· κἀπειδὰν ἱκανῶς θερμανθῇ, πάλιν ἐπιρρεῖ πρὸς αὐτό, καθάπερ τὸ εἰρημένον πρότερον, ἐκ τῶν ἄλλων τοῦ ζώου μορίων αἷμα, καὶ κατὰ τὸν αὐτὸν αὖθις τρόπον ἀρχή τε καὶ ἀνάβασις, ἀκμή τε καὶ παρακμὴ γίγνεται τοῦ παροξυσμοῦ. καὶ τοῦτο οὐ παύεται περιοδίζον, ἄχρις ἂν ἡ διάθεσις ἡ ἐν τῷ πρώτῳ γεννῶντι μορίῳ τὰ περιττώματα, φυλάττηται.

σῶμα

λυθέντων

λ δια

& causa sint oportet, ob quam multitudo excrementorum in parte minimè vacuetur, & vt solita erat, diffletur. Putrescunt igitur, vt illa, ea quoque quæ posteà colliguntur, & omnia simul accendunt statim in parte calorem febrilem. Suprà autem indicauimus, vbi accenditur quidam vel etiam augetur calor, in eam partem ab aliis sanguinem defluere. Itaq; necesse est, vt tempore, quo defluit, partes illæ refrigerentur sanguine destitutæ; pars autem affecta grauetur atque distendatur, & qui defluxit sanguis alteretur, propter duas causas, & quia putrescentibus iam excrementis permiscetur, & quia impactus minimè difflatur. Quocirca succenditur instar lignorum humidiorum confertim in exiguam flammam coniectorum, atque id tempus omne initium accessionis appellatur. Vbi verò calor superat materiam, appellatur incrementum & ascensus tale tempus. Atque eo tempore augetur calor tam multus, vt non solùm deurat locum ipsum, qui veluti causa quædam putredinis est, sed iam per continuitatem depascatur vniuersum corpus; & vbi ad summum peruenerunt feruorem qui accenduntur humores, appellatur vigor talis pars accessionis. Vniuersum verò ignitum esse videtur tunc ægroti corpus, calore in vniuerso animali æqualiter intenso; deinde si quidem humores tenues sint, ac facultas valida, & corpus rarum, pars plurima feruefactorum humorum fusa in sudorem vacuatur; quod si crassi fuerint, ac excretrix facultas debilis, & viæ angustæ, nihil quidem sensibile effluit, sed solùm id quod ita extenuatum est, vt in halitus tenuis transierit naturam; appellatur autem id tempus declinatio, quæ perspiratio quædam est humorum feruefactorum. Sed vbi in parte affectus permanet, necesse est alterum in ea gigni excrementum; quum quod rursus in eam attrahitur alimentum, non planè totum vincatur; quod rursus (vt antè docuimus) & ab excrementis putridis in parte ipsa relictis, & ab ipsa propria prauitate, initium putredinis suscipit; & vbi admodum incaluerit, rursus decumbit in ipsam, vt priùs dictus ex aliis animalis partibus sanguis, rursusque eodem modo, initium, incrementum, vigor & declinatio accessionis fit. Atque hoc certo ambitu semper fit, dum affectus in parte primum gignente excrementa, seruatur.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Διὰ τί τῶν πυρετῶν οἱ μὲν κατὰ περίοδον παροξύνονται, οἱ δὲ κατὰ τὸ συνεχὲς συνίστανται.

Διττὴ δ' ἐστὶν ἡ τοιαύτη διάθεσις, ἡ μὲν τις ἀσθένεια τοῦ μορίου, καθ' ἣν γεννᾶται τὰ περιττώματα· δευτέρα δὲ ἡ ἐξ αὐτῶν τῶν ἑκάστοτε [31] γεννωμένων ἀθροιζομένη. μὴ γάρ τοι δόκει, τοῖς μὲν ἐκτὸς ἀγγείοις τούτοις, ἐν οἷς ἑψόμενον ἔδεσμα κνισῶδες ἐγένετο, διάθεσιν ὑπολείπεσθαί τινα· τοῖς μέρεσι δ' ἐν οἷς οἱ χυμοὶ σήπονται, μηδεμίαν. ἔτι δὴ μᾶλλον ἀδύνατον λυθῆναι τὴν διάθεσιν, ὅταν καὶ τὸ σύμπαν σῶμα κακόχυμον, ἢ καὶ πληθωρικὸν ὑπάρχῃ, καὶ πολὺ δὴ μᾶλλον, εἰ ἐν τούτοις προσγένοιτο [32] στένωσις ἁπάντων τῶν ἐξοχετευόντων πόρων περιττώματα τοῦ μέρους. ὥσπερ οὖν καὶ

στένωσις

CAPVT XVIII.

Cur febrium quædam per circuitus accedunt, quædam verò per continuitatem consistunt.

AT verò affectus talis duplex est: alter quidem partis debilitas, qua gignuntur excrementa; alter verò, qui ex ipsis quotidie genitis aceruatur. Caue enim putes in istis vasis externis, in quibus elixa cibaria nidorulenta euaserunt, affectum quendam relinqui; in partibus autem, in quibus humores putrescunt, nullum permanere. Quum sanè etiamnum magis hæc affectio solui nequeat, quoties vniuersum corpus prauis humoribus *abundet*, ac plethoricum sit, multóque magis, quoties in his fuerit angustia omnium meatuum partis excrementa educentium. Quemadmodum igitur & sanatio subse-

subsequetur, si & meatus expurgentur, vt pars meabilis sit, & vires roborentur, & affectus emendetur, & vniuersum corpus neque malis humoribus scateat, neque plethoricum sit. Quamdiu autem hæc permanent, circuitum accessionum permanere necesse est. Similiter accidit in mulieribus. In eis enim quoad similis causa & æqualis permaneat menstruorum, idem eorum circuitus seruatur. Sed de his omnibus in libro de rheumaticis affectibus latiùs docuimus; & nunc immorari diutius in confirmandis iis, quæ antè demonstrata sunt, minimè conuenit, neque præterire capita rerum in præsens vtilium. Maximè autem vtile est cognoscere, quòd aliquæ partes aliis transmittant fluxiones, quemadmodum caput oculis; quædam verò ab excrementis in se genitis initium febricitandi suscipiant; & quòd his omnibus commune excrementorum putredo sit; proprium verò singulis, huic quidem obstructio ac constipatio vasorum, aut ob humores glutinosos, vel crassos, vel multos; alteri verò constrictio meatuum vel sensibilium, vel minimè sensibilium; alii autem quòd omnia spacia vacua in toto ipsius corpore sint oppleta, & ab his plenitudo ad vires; quemadmodum in libro de plenitudine docuimus. Febrium igitur per circuitus accedentium haud scio an vlla generationis causa omissa sit. Earum autem, quæ ordine carent, nonnullæ ob humoris mutationem, nonnullæ ob rationis victus errorem, ad eiusmodi constitutionem deueniunt. Sanguis igitur putrescens maximè mutatur, quoniam (vt ante diximus) partim flaua bilis, partim atra efficitur. Quantùm igitur humores in corpore ægro mutantur, tantum & circuitiones accessionum. Quocirca minimè mirum videri debet, per tales mutationes ordinem quoque mutari. Mutantur verò maximè, vbi qui incepit putrefieri, in aliqua parte alius existit, alius autem ex aliis defluit, qui aut in illis solis talis habebatur, aut in toto animalis corpore exuperabat. Ita verò quæcunque ægri in victus ratione delinquunt, hæc quoque nihilo minus corrumpunt circuitionis ordinem. Vt enim in sanis prauus victus morborum causa est, eodem modo vel magis etiam in ægris, ex iis quæ deliquerint, accessiones inordinatæ existunt. Nec solùm adhuc ægrotantes, sed etiam quo tempore à morbis se recolligunt, promptè ex quouis delicto læduntur. Quocirca per omnem insignem læsionem vel præuenire multum circuitiones cogunt, aut diuersi generis à prioribus quasdam gignunt, à quibus accessionum ordo corrumpitur. Sæpè verò ob implicationem circuituum incognitam medicis, ægri visi sunt pati inordinatas accessiones. Sed tales ordinum permutationes reuerà non sunt, sed tantummodo videntur. Quæcunque autem reuerà sunt, aut ob permutationem humorum febres generantium, aut ob errorem in victus ratione efficiuntur. Reliquum porrò synochorum genus (quarum totum tempus vna accessio est, aut semper æqualis, aut decrescens, aut increscens vsque ad crisim) ex tali causa fieri solet, qualem omnium febrium Praxagoras statuit, humorum in caua vena putredinem esse existimans; sed absolutior sermo ac verior hoc modo euadet.

A ἴασις ἀκολουθήσειεν, ἐὰν οἵ τε πόροι διακαθαρθῶσιν, ὥστε εὔρουν εἶναι τὸ μόριον, ἥτε δύναμις ῥωσθείη καὶ ἡ διάθεσις ἐπανορθωθείη, καὶ τὸ σύμπαν σῶμα μήτε πληθωρικὸν μήτε κακόχυμον εἴη· ἕως δ' ἂν δὲ ταῦτα διαμένῃ, καὶ τὴν περίοδον τῶν παροξυσμῶν ἀναγκαῖόν ἐστι διαμένειν. οὕτω γοῦν συμβαίνει κἀπὶ τῶν γυναικῶν, καὶ γὰρ καὶ ταύταις ἄχρι περ ἂν ἴση τε καὶ ὁμοία μένῃ τὰ τῶν καταμηνίων αἰτία, καὶ ἡ περίοδος αὐτῶν ἡ αὐτὴ φυλάττεται. λέγεται δ' ἐπὶ πλεῖστον ὑπὲρ τῶν τοιούτων ἁπάντων, ἐν τῷ περὶ τῶν ῥευματικῶν διαθέσεων λόγῳ,
B καὶ νῦν οὔτε χρονίζειν ἐν ταῖς πίστεσι τῶν προαποδεδειγμένων εὔλογον, οὔθ' ὑπερβαίνειν τὰ κεφάλαια τῶν χρησίμων εἰς τὰ παρόντα. χρήσιμα δ' ἐστὶν ἐν τοῖσδε μάλιστα τό γε γινώσκειν, ὡς ἔνια μὲν τῶν μορίων ἑτέροις ἐπιπέμπει ῥεύματα, καθάπερ ἡ κεφαλὴ τοῖς ὀφθαλμοῖς· ἔνια δὲ ὑπὸ τῶν ἐν αὐτοῖς γινομένων περιττωμάτων ἀρχὴν τοῦ πυρέττειν λαμβάνει· καὶ ὅτι τοῖς τοιούτοις ἅπασι κοινὸν μὲν ἡ σηπεδών ἐστι τῶν περιττωμάτων, ἴδιον δ' ἑκάστῳ, τῷ μὲν ἔμφραξίς τε καὶ σφήνωσις τῶν ἀγγείων, ἤτοι διὰ γλίσχρους χυμοὺς, ἢ παχεῖς,
C ἢ πολλούς· ἑτέρῳ δὲ στέγνωσις τῶν πόρων ἤτοι τῶν αἰσθητῶν, ἢ τῶν οὐκ αἰσθητῶν· ἄλλῳ δέ τινι, τὸ πληρωθῆναι τὰς καθ' ὅλον αὐτοῦ τὸ σῶμα χώρας κενάς, καὶ πρὸς τούτοις ἔτι τὸ πρὸς τὴν δύναμιν πλῆθος, ὡς ἐν τῷ περὶ πλήθους ἐπιδέδεικται λόγῳ. τῶν μὲν δὴ κατὰ περίοδόν τινα παροξυνομένων πυρετῶν οὐκ οἶδ' εἴ τις ἐπιλείπει γενέσεως αἰτία, τῶν δ' ἀτάκτων ἔνιοι μὲν ἐπὶ τῇ μεταποιώσει τοῦ χυμοῦ, τινὲς δὲ καὶ διὰ τὸ τῆς διαίτης πλημμελὲς εἰς τὴν τοιαύτην ἔρχονται κατάστασιν. μεταπίπτει μὲν οὖν μάλιστα τὸ αἷμα σηπόμενον. ὡς γὰρ καὶ πρόσθεν εἴρηται, τὸ μέν τοι αἵματος, ξανθὴ χολὴ γίνεται,
D τὸ δὲ, μέλαινα. εἰς ὅσον δ' αὖ οἱ ἐν τῷ σώματι τῶν ἀρρωστούντων χυμοὶ μεταβάλλουσιν, εἰς τοσοῦτον καὶ αἱ περίοδοι τῶν παροξυσμῶν· ὥστ' οὐδὲν ἐπιθαυμαστὸν ἐν ταῖς τοιαύταις μεταβολαῖς ὑπαλλάττεσθαι τὴν τάξιν. ὑπαλλάττονται δ' οὐχ ἥκιστα κἂν τῷ τὸ μὲν ἀρξάμενον σήπεσθαι, κατά τι μόριον ἕτερον ὑπάρχειν· ἕτερον δ' ἐξ ἄλλων ἐπιρρεῖν, ἤτοι γε ἐν ἐκείνοις μόνοις ὄντα τοιοῦτον, ἢ καθ' ὅλον τοῦ ζώου τὸ σῶμα πλεονάζοντα. οὕτως δὲ καὶ ὅσα κατὰ τὴν δίαιταν ἁμαρτάνεται τοῖς κάμνουσιν, οὐδὲν ἧττον καὶ ταῦτα διαφθείρει τὴν περιόδων τὴν τάξιν. ὥσπερ γὰρ καὶ αὐτοῖς τοῖς ὑγιαίνουσιν
E αἱ μοχθηραὶ δίαιται νοσημάτων αἴτιαι καθίστανται τὸν αὐτὸν, οἶμαι, τρόπον, ἢ καὶ μᾶλλον ἔτι τοῖς νοσοῦσιν, ἐξ ὧν ἂν πλημμελήσωσιν, οἱ παροξυσμοὶ συμπίπτουσιν. οὐ μόνον γοῦν ἔτι νοσοῦντες, ἀλλὰ καὶ περὶ τὸν τῆς ἀναλήψεως χρόνον, ἑτοίμως ὑπὸ παντὸς ἁμαρτήματος βλάπτονται. καθ' ἑκάστην οὖν ἤδη βλάβην ἀξιόλογον, ἤτοι προλαμβάνειν πολὺ τὰς περιόδους ἀναγκάζουσιν, ἢ καί τινας ἑτερογενεῖς τῶν ἔμπροσθεν αὐτοῖς γεννῶσιν, ὑφ' ὧν ἡ τάξις τῶν παροξυσμῶν διαφθείρεται. πολλάκις δὲ διὰ τὴν ἐπιπλοκὴν τῶν περιόδων ἀγνοουμένην τοῖς ἰατροῖς, ἀτάκτως ἔδοξαν οἱ νοσοῦντες παροξύνεσθαι· ἀλλ' αἱ μὲν τοιαῦται τῶν ἀταξιῶν οὐκ εἰσὶν
F ὄντως, ἀλλὰ φαίνονται μόνον. ὅσαι δ' ὄντως εἰσὶν, ἤτοι διὰ μετάπτωσιν τῶν ἰδίως πυρετοὺς ἐργαζομένων χυμῶν ἢ τὸ πλημμελὲς τῆς διαίτης ἀποτελοῦνται. λοιπὸν δὲ τὸ τῶν συνόχων γένος, ὧν ὁ σύμπας χρόνος εἷς παροξυσμός ἐστιν ἤτοι διὰ παντὸς ὁμότονος, ἢ μειούμενος, ἢ αὐξανόμενος ἄχρι κρίσεως, ὑπὸ τοιαύτης αἰτίας γενέσθαι πέφυκεν, οἵαν ἁπάντων πυρετῶν ὁ Πραξαγόρας ὑπέθετο, σῆψιν οἰόμενος τῶν χυμῶν ἐν τῇ κοίλῃ φλεβὶ συνίστασθαι. τελεώτερος δ' ἂν ὁ λόγος καὶ ἀληθέστερος γίνοιτο κατὰ τόνδε τὸν τρόπον.

ὅσα μὲν ἐν περιόδοις τισὶ παροξύνεται νοσήματα, μορίων ἐπιγίνεται διαθέσεσιν, ἤτοι πεμπόντων, ἢ δεχομένων, ἢ γεννώντων, ἢ ἑλκόντων περιττώματα, καθ' ὃν ὀλίγον ἔμπροσθεν εἴρηται τρόπον· ὅσα δ' ἄνευ περιόδων, οὐδεὶς ἐπὶ τούτων ὁ πεπονθὼς ἐστὶ τόπος ἐξαίρετος, ἀλλ' οἱ κατὰ τὰς ἀρτηρίας καὶ τὰς φλέβας ἁπάσας χυμοί, καὶ μάλιστα ὅσοι κατὰ τὰς μεγίστας τε καὶ θερμοτάτας εἰσίν, ἤτοι δι' ἄλλην τινὰ αἰτίαν, ὡς ἐν ταῖς ἐφημέροις, ἢ καὶ διὰ σηπεδόνα ζέσαντες, ἀνάπτουσι πυρετὸν ἕνα συνεχῆ, ἀπ' ἀρχῆς ἕως τοῦ τέλους ἀδιάλειπτον, ἄχρι τοσούτου παραμένοντά τε καὶ διακαίοντα τὸν ἄνθρωπον, ἄχρις ἂν οἱ γεννῶντες αὐτὸν χυμοὶ δαπανηθῶσιν, ἢ πεφθῶσιν, ἢ τι συναμφότερον πάθωσιν.+

Quicunque circuitibus quibusdam accessiones repetunt morbi, partium superueniunt affectibus, vel mittentium, vel suscipientium, vel gignentium, vel trahentium excrementa, eo, quo paulò suprà diximus, modo. Qui verò sine circuitu accedunt, in his nullus locus peculiaris affectus est; sed humores in venis & arteriis omnibus, maximéque qui in maximis & calidissimis sunt, aut ob aliquam aliam causam, vt in diariis, aut etiam ob putredinem feruefacti, accendunt febrem vnam continentem, ab initio vsque ad finem minimè intermittentem, eatenus durantem ac deürentem hominem, quoad gignentes eam humores sint consumpti, aut concocti, aut vtrumque passi.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΥΠΩΝ ΒΙΒΛΙΟΝ.

GALENI DE TYPIS LIBELLVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὴν τῶν τύπων ἁπλῶν τε καὶ συνθέτων φύσιν καὶ τὰς διαφορὰς δηλοῖ.

ARGVMENTVM LIBELLI.

Typorum simplicium ac compositorum naturam ac differentias explicat.

ΚΕΦΑΛΑΙΟΝ Α.

Προοίμιον βιβλίου.

Πολλῶν πλατύτερον περὶ τῆς περὶ τύπων θεωρίας πραγματευσαμένων, ἀναγκαῖον ἡγησάμην αὐτὸς ὁριστικώτερον καὶ κατὰ περιγραφὴν ἐπιδραμεῖν ταῦτα, οὕτως εὐκαταρίθμητον καὶ εὐκαταμάθητον οἰόμενος τοῖς νεωστὶ προσιοῦσι τῇ τέχνῃ τὸ πρᾶγμα, ὄν τε ἁπλοῦν, καὶ μετὰ τὴν ἁπλουστέραν κατάληψιν εὐκολώτερον, καὶ καθάπερ ἐξ ἑτοίμου τοῖς πολλοῖς ἐντυγχάνον. ἀρκτέον δὴ ἐντεῦθεν.

CAPVT PRIMVM.

Libri præfatio,

Cvm multi fusiùs de typorum speculatione tractauerint, necessarium ipse putaui contractioribus terminis ac circumscriptione hæc percurrere; ita rem numeratu ac scitu recens arti incumbentibus facilem existimans, quæ simplex & post simpliciorem comprehensionem facilior est, ac veluti ex promptu cuilibet obuia. Hinc autem auspicandum est.

ΚΕΦΑΛΑΙΟΝ Β.

Τί τύπος, καὶ περίοδος.

Τύπος ἐστὶ τάξις ἐπιτάσεως καὶ ἀνέσεως· περίοδος δέ ἐστι χρόνος ἐπιτάσεως καὶ ἀνέσεως ἐν νοσήματι γενόμενος. ὀλίγα τῶν παθῶν οὐ τυποῦται ὡς ἀτροφία, παράλυσις, καὶ ἐλεφαντίασις, καὶ τὰ τούτοις ἀνάλογα· τὰ πλείονα δὲ τῶν παθῶν τυποῦται μέν, ἀλλὰ σπανιώτερον· πάντων δὲ μάλιστα πυρετοὶ τυποῦνται, δίχα τῶν συνεχῶν τῶν διηνεκῶν λεγομένων, ἢ τῶν ἀτάκτων.

CAPVT II.

Quid typus, & periodus.

Typus ordo est intentionis & remissionis; periodus autem, tempus est intentionis & remissionis in morbis. Pauci affectus typum non habent, vt atrophia, paralysis, elephantiasis & his consimiles. Plures verò affectus typum habent quidem, sed rariùs. Omnium maximè febres typos habent, exceptis continuis assiduis dictis, vel inordinatis.

CAPVT III.

Quot typorum differentiæ.

TYporum alii sunt primi, alii secundi; alii consistentes; alii mobiles; ac rursus alii simplices, alii compositi. Primi igitur sunt, qui paruam habent inuasionem, longam autem remissionem, quales tertianæ & quartanæ. Secundi autem, qui longam habent inuasionem, paruam autem remissionem, vt quotidianus & extensus semitertianus. Inter extensos autem hic solus alteratus apud veteres nominatus est. Consistentes verò sunt, qui iisdem horis inuadunt & remittunt; mobiles; qui semper aliis horis inuadunt. Ex quibus qui quidem præuertunt & horas citiùs promouent, præoccupatorii appellantur: qui tardiùs morantur, posteriores. At simplices sunt, qui vnam faciunt intensionem; compositi, qui ex pluribus constant & inuasionibus & remissionibus. Compositorum autem typorum, alii ex genere similibus constituuntur, alii ex genere diuersis. Ex similibus quidem genere, quum quotidianus typus, verbi gratiâ, simplex duplici quotidiano commiscetur, aut tertiani duplices, aut tres tertiani concurrunt; aut rursus duo & tres quartani. Ex genere diuersis quum quotidianus, verbi causâ, tertiano complicatur, aut tertianus quartano, aut alteri cuipiam ex iis, qui eiusdem generis non sunt.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Πόσαι τῶν τύπων διαφοραί.

ΤΩν τύπων οἱ μὲν εἰσὶ πρῶτοι, οἱ δὲ δεύτεροι· καὶ οἱ μὲν ἑστῶτες, οἱ δὲ κινούμενοι· καὶ πάλιν οἱ μὲν εἰσὶν ἁπλοῖ, οἱ δὲ σύνθετοι. πρῶτοι μὲν οὖν εἰσιν οἱ μικρὰν μὲν ἔχοντες τὴν ἐπισημασίαν, μακρὰν δὲ τὴν ἄνεσιν· ὡς οἱ τριταῖοί τε καὶ τεταρταῖοι· δεύτεροι δέ, οἱ μακρὰν μὲν ἔχοντες τὴν ἐπισημασίαν, μικρὰν δὲ τὴν ἄνεσιν· οἷος ὁ ἀμφημερινός, καὶ ὁ παρεκτεταμένος ἡμιτριταῖος. τῶν δὲ παρεκτεταμένων, εἷς μόνος ἐξηλλαγμένος παρὰ τοῖς παλαιοῖς ὠνόμασται. ἑστῶτες δέ εἰσιν οἱ ἐν ταῖς αὐταῖς ὥραις ἐπισημαίνοντες καὶ ἀνιέντες· κινούμενοι δὲ οἱ ἀεὶ ἄλλαις ὥραις ἐπισημαίνοντες· ὧν οἱ μὲν φθάνοντες καὶ προάγοντες τὰς ὥρας τάχιον, προληπτικοὶ λέγονται· οἱ δὲ βραδύνοντες, ὑστερητικοί. ἁπλοῖ δέ εἰσιν, οἱ μίαν ἐπίτασιν ποιούμενοι· σύνθετοι δέ, οἱ ἐκ πλειόνων ἐπισημασιῶν καὶ ἀνέσεων συνεστῶτες. τῶν δὲ συνθέτων, οἱ μὲν ἐξ ὁμογενῶν συνίστανται, οἱ δὲ ἐξ ἑτερογενῶν· ἐξ ὁμογενῶν μὲν ὅταν ἀμφημερινὸς, λόγου δὲ χάριν ἁπλοῦς διπλῷ ἀμφημερινῷ συμπλέκεται, ἢ τριταῖοι διπλοῖ, ἢ τρεῖς τριταῖοι τυγχάνουσιν, ἢ πάλιν δύο καὶ τρεῖς τεταρταῖοι· ἐξ ἑτερογενῶν δέ, ὅταν ἀμφημερινὸς λόγου χάριν τριταίῳ συμπλακῇ, ἢ τριταῖος τεταρταίῳ, ἢ ἄλλῳ τινὶ τῶν μὴ τοῦ αὐτοῦ γένους ὄντων.

CAPVT IV.

De typis febrium, & quæ symptomata singulos comitentur.

QVotidianus autem est, qui quotidie vnam molitur accessionem, eandemque in longitudine modum seruantem, vnam eandemque remissionem. Tertianus est, qui tertio quoque die vnam eandemque accessionem longitudine commoderatam, & vnam eandemque remissionem efficit. Quartanus, qui quarto vnam & eandem accessionem & remissionem molitur. Eadem de quintano & septimano intelligantur, & siquis alius typorum ordo inuenitur. Quotidianum verò comitatur habitus humiditas, pituitosi vomitus, sitis non intensa, & totius corporis grauitas, somnus carodes & cataphoricus, pulsus magnus, rarus, & laxus, facies subtumida, flaccida, mollicula, & quæ multam materiæ prauitatem testetur, & conuersionem; atque lienis hoc in typo durities subsequetur; & ipso inueterascente tremulæ & lethargicæ cataphoræ, thoracis rheumatismi; hydropicæ præterfusiones subsequuntur; generatur potissimùm, ob stomachum malè affectum. Tertianum comitatur sitis intensa, æstus, acres & biliosi vomitus, lnediæ, iactatio; plerunque sanè rigores hunc præcedunt, interdum & perfrigeratio. Pulsus autem tertianâ laborantibus paruus & frequens succedit. Quæ noctes accessorios dies præcedunt, molestæ fiunt; at vbi morbus prorogatur, non ampliùs fiunt molestæ, sed etiam febrim sistunt; atque ita febricitantes aliquando ex tertiana in semitertianam transeunt. Hic typus

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν ἐν τοῖς πυρετοῖς τύπων, καὶ τίνα αὐτῶν ἑκάστῳ παρέπονται συμπτώματα.

ΑΜφημερινὸς δέ ἐστιν ὁ καθ' ἑκάστην ἡμέραν, μίαν ἐπισημασίαν καὶ ταύτην ἔμμετρον ἐν τῷ μήκει, καὶ μίαν καὶ τὴν αὐτὴν ἄνεσιν ποιούμενος. τριταῖος δέ ἐστιν ὁ διὰ τρίτης μίαν καὶ αὐτὴν ἐπισημασίαν σύμμετρον ἐν τῷ μήκει, καὶ μίαν καὶ τὴν αὐτὴν ἄνεσιν ποιούμενος. τεταρταῖος δέ ἐστιν ὁ διὰ τετάρτης μίαν καὶ τὴν αὐτὴν ποιούμενος ἄνεσιν. τὰ αὐτὰ δὲ νοείσθω περὶ πεμπταίου καὶ ἑβδομαίου, καὶ εἴ τις ἄλλη τύπων εὑρίσκεται τάξις. ἀμφημερινῷ δὲ παρέπεται ὑγρότης ἕξεως, καὶ φλεγματώδεις ἔμετοι, καὶ δίψος οὐκ ἐπιτεταμένον, καὶ βαρυσμὸς τοῦ σώματος ὅλου, καὶ ὕπνος καρώδης, καὶ καταφορικός, καὶ σφυγμὸς μέγας, καὶ ἀραιός, καὶ χαῦνος· τὸ πρόσωπον ὑπόοιδον, καὶ χαῦνον, καὶ πεπονῶδες, καὶ πολλὴν ἐμφαῖνον τὴν τῆς ὕλης κακοχυμίαν, καὶ τροπήν. καὶ σπλὴν δὲ ἐν τύπῳ τούτῳ παρακολουθήσει σκληρώδης. χρονίζοντος δὲ αὐτοῦ, τρομώδεις καὶ ληθαργώδεις καταφοραί, καὶ θώρακος ῥευματισμοί, καὶ περιεγχύσεις ὑδερικαί. συνίσταται δὲ μάλιστα ἐπὶ στομάχῳ κακοπραγοῦντι. παρέπεται δὲ τριταίῳ δίψος ἐπιτεταμένον, ἔγκαυσις, δριμεῖς καὶ χολώδεις ἔμετοι, ἀσιτίαι, καὶ ῥιπτασμοί. κατὰ πολλὰ μὲν τῶνδε ῥίγη προηγοῦνται, ποτὲ δὲ καὶ περίψυξις. σφυγμὸς δὲ τοῖς τριταΐζουσι μικρὸς καὶ πυκνὸς παρέπεται. αἱ νύκτες αἱ πρὸ τῶν παροξυντικῶν ἡμερῶν δύσφοροι γίνονται, ἐπιτεινομένης δὲ τῆς νόσου, οὐκέτι γίνονται δύσφοροι, ἀλλὰ καὶ πυρετὸν ἱστᾶσι, καὶ οὕτω πυρέττοντες μεταβάλλουσί ποτε τὸν τριταῖον εἰς ἡμιτριταῖον. ἔστι δὲ πάντων τύπων

εὐλυτώτερος ὁ τύπος ἐστί, καὶ μάλιστα εἰ συστῇ ἐν θέρει. παρασεσημείωται δὲ τῷ Ἱπποκράτει τοῖς λέγουσι· τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι τὸ μακρότατον. σπανίως δὲ χρονίζει, καὶ μάλιστα εἰ μὴ συστῇ φθινοπώρου λήγοντος ἤδη καὶ τῷ χειμῶνι προσάπτοντος. ἔστι δὲ καὶ τὰ οὖρα ξανθά, πάρεστι δὲ τούτοις καὶ ἀγρυπνία. πάντα δὲ ὅσα παρακολουθεῖ τῷ τριταίῳ, καὶ ἡμιτριταίῳ ταῦτα συμβέβηκε· καὶ γὰρ καὶ τοῦ αὐτοῦ κεκοινωνήκασι γένους, διὰ τρίτης ποιούμενοι τάς τε τῶν ἀνέσεων, καὶ τῶν παροξυσμῶν ἀνταποδόσεις. ἴδιον δὲ τοῦ εἴδους τῶν τύπων τῶν ἡμιτριταίων συμβέβηκεν ἡ παρέκτασις τῶν ἐπισημασιῶν, καὶ τὸ μετὰ περιψύξεως ἐπὶ τὸ πλεῖστον καὶ ταῖς ἀκμαῖς μηδέπω συντετελεσμέναις προσεδρεύειν, ἃς ἰδίως ἐπαναδιπλώσεις καλοῦμεν. ἔστι δὲ κινδυνώδης ὁ ἡμιτριταῖος, οὐ μόνον τοῦ στομάχου καὶ τῶν νευρωδῶν καθαπτόμενος, καὶ καθόλου τῶν μέσων, ἀλλὰ καὶ ληθαργικὰς ἐπιφέρων καταφορὰς καὶ παρακρουστικὰς ἀγρυπνίας, ἔστι δ' ὅτε καὶ συγκοπτικὰς διαφορήσεις, γλῶσσάν τε ἰσχυρῶς ξηραίνει, καὶ λειποθυμίαν ἀπεργάζεται, σφοδρῶς δὲ κινεῖ τὰ ἐν τῷ βάθει, καὶ καθόλου ἄγριός τε ἐστὶ καὶ κινδυνωδέστατος ἐστὶν ὁ τύπος. ἔσθ' ὅτε μὲν δὲ ἀπὸ τῆς πρώτης ἡμέρας συνίσταται, καθάπερ καὶ οἱ λοιποὶ τύποι· ποτὲ δ' ἀπὸ τῆς δευτέρας καὶ τρίτης ἡμέρας ἄρχεται, ὥστε μεγίστη αἰτία ἀπάτης γίνεται τοῖς ἰατροῖς τῇ τοιαύτῃ εἰσβολῇ. δύναται δὲ καὶ ἀπὸ τριταίου παρεκταθέντος, καὶ λυόμενος ἐνίοτε εἰς τριταῖον ἐπιστρέφει, ποτὲ δὲ καὶ διακόπτεται τῷ μήκει τῆς κατὰ τὴν ἐπισημασίαν, εἰς β΄ τριταίους καὶ ἀμφημερινούς. πλεονάζει δὲ ἐπὶ μὲν τῆς φύσεως τῆς κατὰ τοὺς ἄνδρας, ἡλικίας δὲ τῆς κατὰ τοὺς ἀκμάζοντας, ὥρας δὲ μᾶλλον τῆς φθινοπωρινῆς, ὅτε καὶ λίαν κινδυνώδης τυγχάνει. ἔστι δὲ οὐ πάντοτε συνεχής, ἀλλὰ καὶ διαλείπων εὑρίσκεται. παραδίδοται δὲ ὑφ' Ἱπποκράτους τὸ μὴ μόνον αὐτὸν ἐν τοῖς ὀξέσι καταριθμεῖσθαι, ἀλλὰ καὶ ἐν τοῖς χρονίζουσιν. ἔχει δὲ καὶ τὰς κατὰ τὸ μέγεθος διαφορὰς τρεῖς. ὁ μὲν γὰρ σμικρός ἐστιν ἡμιτριταῖος, ὁ δὲ μέσος, ὁ δὲ μέγας. σμικρὸς μὲν οὖν ἐστιν, ὁ παρὰ τὰς εἰκοσιτέσσαρας ὥρας στρεφόμενος· μέσος δὲ ὁ παρὰ τὰς τριακονταέξ· μέγας δὲ ὁ παρὰ τὰς τεσσαράκοντα καὶ ὀκτώ, ὃς δὴ συνεγγίζει τῷ συνεχεῖ πυρετῷ. τινὲς δέ φασι τὸν ἡμιτριταῖον οὕτως ὀνομασθῆναι, ὡς τὸ ἡμικύκλιον καὶ ἡμισφαίριον, λέγοντες αὐτὸν ἐλάττονα τοῦ ἡμίσεος τῆς τριταϊκῆς περιόδου. ἄλλοι δέ φασι τὸν ἡμιτριταῖον ὀνομασθῆναι, ὡς καὶ τὸν ἡμιόλιον ἀριθμόν, ὥστε τῆς τριταϊκῆς ἐπισημασίας λόγου χάριν ἐκ δώδεκα ὡρῶν συγκειμένης, τὸν ἡμιτριταῖον μὲν ἐμπεριλαμβάνειν τὰς ιβ΄ ὥρας τοῦ τριταίου, προστιθέναι δὲ ταύταις καὶ τὸ ἥμισυ τῶν ιβ΄. καὶ τὰς πάσας γίνεσθαι δέκα καὶ ὀκτώ, ὡς εἶναι ἥμισυ μείζονα τῶν τριῶν κατὰ περίοδον τύπων, ἀμφημερινοῦ, τριταίου, καὶ τεταρταίου, ὥστε ὡρῶν αὐτὸν εἶναι εἴκοσι καὶ τεσσάρων. ὁ Ἀγαθῖνος δὲ ἀπὸ τῆς πρὸς τὸν τριταῖον ἐπιφορᾶς φησιν ὀνομασθῆναι τὸν ἡμιτριταῖον, διὰ τρίτης γὰρ ἐπισημασίαι ἀμφοτέροις. πότερον οὖν ὥραις, ἢ διαστήμασι χαρακτηρίζεται ὁ ἡμιτριταῖος; κατὰ μὲν τὸν Ἀγαθῖνον, οὔτε ὥραις, οὔτε διαστήμασιν (ἀμφότερα γὰρ ταῦτα περιγεγραμμένον ἔχει τὸ μέγεθος) ὡς καὶ ἡμιτριταῖον ἀπεριορίστως ἔχειν τὴν σύστασιν ἐν πλάτει, ὥραις τε ὡς παρεπομέναις. τεταρταίῳ δὲ παρακολουθεῖ ῥίγη σύντονα, καὶ φλεγματώδεις ἔμετοι, καὶ σπληνὸς φλεγμονὴ καὶ διόγκωσις, ἔσθ' ὅτε δὴ καὶ ἀνορεξία, καὶ σιελισμὸς παρέπεται, ποτὲ δ' ἐκ τῶν ἐναντίων ὄρεξις ἐπιτεταμένη, βήχιόν τε ποτε

omnium facillimè soluitur, præsertim in æstate generatus; id quod Hippocrates indicauit his verbis; *Tertiana exquisita septem circuitibus, vt longissimè, iudicatur*; rarò autem diuturna fit, nisi potissimùm autumno iam desinente, ac hyemem attingente constituta fuerit. Vrinæ sunt flauæ; his etiam adsunt vigiliæ. Omnia verò quæ tertianam comitantur, etiam hæc hemitritæo accidunt; etenim eiusdem generis communionem obtinent, vt quæ tertio quoque die & remissionum & accessionum repetitiones efficiant. At propriè semitertianis typis accidit inuasionum productio, & quòd quas reduplicationes vocamus plerumque cum perfrigeratione & in statu nondum absoluto assideant. Est autem semitertiana periculosa, vt quæ non solum stomachum & neruosas partes attingat, & summatim media, sed etiam lethargicas in somnum delationes, atque cum deliriis vigilias inuehat, interdum dissolutiones syncapen inducentes, linguam validè siccet, animæ defectum efficiat, vehementer ea quæ in alto sunt commouens; in vniuersum typus hic & ferus est, & periculosissimus. Interdum primo die constituitur, quemadmodum & reliqui typi; aliquando à secundo & tertio die incipit, ita vt ab huiusmodi insultu maxima deceptionis causa medicis oriatur. Generatur etiam ex tertiana producta, ac interdum quum soluitur, in tertianam reuertitur, nonnunquam ex inuasionis longitudine in duas tertianas & quotidianas dirimitur. Frequentiùs corripit naturam virilem, ætatem florenti proximam, tempore potiùs autumnali, quando etiam valde periculosa accidit. Est autem non semper continua, sed etiam intermittens reperitur. Traditum est ab Hippocrate, non modò acutis eam morbis annumerandam esse, sed etiam diuturnis. Habet autem tres in magnitudine differentias. Alia enim exigua est semitertiana, alia media, alia magna. Exigua igitur est, quæ horarum vigintiquatuor interuallo redit; media, quæ tringintasex; magna verò, quæ quadragintaocto, quæ & continuæ febri propinqua est. Quidam verò semitertianam ita nominatam esse censent, vt semicirculum, & semiglobum, minorem eam dimidio quàm tertianum circuitum asseuerantes. Alii dictitant semitertianam appellari, vt & sesquialterum numerum, vt tertiana inuasione, verbi gratia, ex duodecim horis conflata, semitertiana quidem duodecim tertianæ horas comprehendat, dimidiúmque illarum his adhuc addat, vt omnes numero fiant octodecim, ac dimidio maior sit tribus circuitu repetentibus typis, quotidiano, tertiano, & quartano, vt horarum sit ipsa vigintiquatuor. Agathinus semitertianam dictam esse pronunciat, à relatione ad tertianam, nam vtrisque tertio quoque die fiunt accessiones. Vtrum igitur horis aut interuallis semitertiana signatur? Agathino quidem neque horis, neque interuallis (ambo enim hæc circunscriptam habent magnitudinem) vt & semitertiana indefinitam habeat constitutionem in latitudine, & horis vt subsequentibus. Quartanum typum comitantur rigores validi, pituitosi vomitus, lienis inflammatio & tumor; interdum & cibi fastidium, & saliuatio comitatur; interdum ex contrariis, appetentia intensa, tussicu-

tussiculáque nonnunquam adest, & corporis habitus corrumpitur. ideirco difficulter soluitur, ac diutius omnibus typis perdurat, vt etiam ad bienniū vsque prorogetur. Ipse verò quum inualescit, implicatur, vt duas & tres quartanas efficiat, aut etiam ad continuitatem aliquam procedat. Rursus quum moderatior euadit, in vnam conuertitur. At fiunt nonnunquam etiam periculosæ *febres* ob implicita ipsis symptomata, vt phthisin postremò aut hydropicas præterfusiones efficiant. Frequentior autem quartana potissimùm autumnò, & solutu contumacissima est; si per æstatem inuadat, solutu facilior est. Ac magna ex parte aliis prægressis inordinatè superuenit, rarò & ipsa ab initio constituitur. Pulsus tertiana laborantes non adeò exiguus magnitudine comitatur, ac quartana occupatos; neque vsque adeò in tumorem attollitur, quantum quotidianæ febri accidit. Nam pulsuum mediocritas in hoc typo pro pulsuum ratione inuenitur; interdum etiam per initia inuasionum rarior eo, qui secundum naturam est, reperitur. [13] Aliæ typicos dierum motus seruantes, tertio quoque; aliæ typorum maximè expertes, singulis. Quæ igitur typicos dierum motus seruant, vel præter horas consuetas anticipant, aut tardius remorantur: inordinatæ autem fiunt etiam præter motuum speciem; quare interdum præuertunt, interdum tardius redeunt; inordinatè autem vtraque, quòd aliàs citra ordinem moueantur, aliàs consistant; nunquam verò ordinatè, vbi à nullo prohibentur, manente dierum figura in particularibus solis inordinationibus. At typi prorsus expertes præter omnes enumeratos modos, præterque ordinem dierum fiunt; nonnullæ quidem inuadunt cum indiciis, nonnullæ omnino sunt inordinatæ. Sed speciei differentias plures esse contingit. Licet, autem prædicto modo considerare, & typorum priùs enumeratorum proprietates, vt libuerit, complicare.

A συμπίπτει ἐστὶν αὐτῷ, καὶ καταφθειρομένης τῆς ἕξεως. διὰ τοῦτο δύσλυτοί, καὶ χρονιώτεροι παρὰ πάντας τοὺς τύπους, ὥστε καὶ μέχρι διετοῦς παραβαίνειν. ἐπιπλέκεται δὲ σφοδρυνόμενος αὐτὸς ἑαυτῷ, ὥστε β΄. καὶ γ΄. ἀποτελεῖν τεταρταίους, ἢ καὶ μέχρι τινὸς συνεχείας παραβαίνειν, καὶ πάλιν ἐκεῖνος μετριάζων εἰς ἕνα περιΐσταται. γίγνονται δὲ ἐνίοτε καὶ κινδυνώδεις, διὰ τὰ πεπλεγμένα αὐτῷ συμπτώματα, ὥστε φθίσιν τὸ τελευταῖον, ἢ περιεγχύσεις ὑδρωπικὰς ἀποτελεῖν. πλεονάζει δὲ μάλιστα φθινοπώρῳ, καὶ ἐστὶ μάλιστα δύσλυτος. B ὁ δὲ θερινὸς εὐλυτώτατος. καὶ κατὰ πολὺ μὲν ἄλλων προηγησαμένων ἐπιγίνεται ἀτάκτως· σπανίως δ᾽ ὅτε καὶ αὐτὸς ἀπὸ τῆς ἀρχῆς συνίσταται. σφυγμὸς δὲ τοῖς τριταΐζουσιν οὐκ ἐπὶ τοσοῦτον παρέπεται μικρὸς τῷ μεγέθει, ἐφ᾽ ὅσον τοῖς τεταρταΐζουσιν, οὐδὲ μὴν ἐπὶ τοσοῦτον διεγείρεται, ἐφ᾽ ὅσον τῇ ἀμφημερινῇ νόσῳ τυγχάνει. μεσότης γὰρ τῶν σφυγμῶν ἐν τύπῳ τούτῳ κατὰ τοὺς σφυγμοὺς εὑρίσκεται. ἔστι δ᾽ ὅτε καὶ κατὰ ἀρχὰς τῶν ἐπισημασιῶν [13] ἀραιότερος παρὰ τοὺς ἐν τῷ κατὰ φύσιν εὑρίσκεται.* οἱ μὲν ἀποσώζοντες C τὰ τυπικὰ τῶν ἡμερῶν κινήματα, παρὰ τρεῖς· οἱ δὲ ἀτυπώτατοι, παρ᾽ ἕνα. οἱ μὲν οὖν ἀποσώζοντες τὰ τυπικὰ τῶν ἡμερῶν κινήματα, ἤτοι παρὰ τὴν συνήθη τῶν ὡρῶν προλαμβάνουσιν, ἢ ἐφυστεροῦσιν· ἄτακτοι δὲ γίγνονται καὶ παρὰ τὸ εἶδος τῶν κινήσεων, ὥστε ποτὲ μὲν προλαμβάνουσι, ποτὲ δὲ ἐφυστερίζουσιν, ἀτάκτως δὲ ἑκάτεροι παρὰ τὸ ποτὲ μὲν κινεῖσθαι ἀτάκτως, ποτὲ δὲ ἵστασθαι, μηδέποτε δὲ τεταγμένως, ἔνθα παρ᾽ οὐδενὸς κεκώλυται, μένοντος τοῦ κατὰ τὰς ἡμέρας σχήματος ἐν ταῖς ἐπὶ μέρει συμφοραῖς ἀταξίαις μόναις. οἱ δὲ ἀτυπώτατοι, παρὰ πάντας μὲν D τοὺς κατηριθμημένους τρόπους καὶ παρὰ τὴν τάξιν γίγνονται τῶν ἡμερῶν· τινὲς μὲν ἐπισημαίνουσι, τινὲς δὲ παντελῶς εἰσιν ἄτακτοι· τὰς δὲ ἐπὶ εἴδους διαφορὰς πλείονας εἶναι συμβέβηκεν. ἔξεστι δὲ σκοπεῖν τῷ προειρημένῳ τρόπῳ, καὶ συμπλέκειν, ὡς ἂν βούληται, τὰ τῶν προειρημένων τύπων ἰδιώματα.

CAPVT V.

Quo pacto typi duplicentur, ac inter se complicentur.

AT duplicantur ex typis primi dicti, vt quotidianus, tertianus, quartanus. Quotidianus igitur duplex est, qui singulis diebus bis similiter accedit, bisque remittit. Duo autem tertiani cum diuersis accessionibus quotidie oborientibus, tertio quoque die sibiipsis occurrunt. Quartani autem, cum vno die bono orto, subsequentibus duobus diebus febris accidit, figuris, quæ per quatuor æstimantur, in singulis inuasionum horis seruatis. At quotidianus tertiano implicatur quum primus dies bis insultum experitur, ac bis remittit, sequens semel, tertius rursus primo similiter. Quartanus verò quotidiano implicatur, quum primo sanè die accessiones duæ inuadunt; subsequentibus duobus, vna; quarto similiter, duæ. At implicantur inter se mutuò, quotidianus, tertianus, & quartanus, quum primus dies tres habet inuasiones, ac totidem remissiones, secundus vnam; tertius duas; quartus tres; quintus vnam; sextus duas; septimus iterum tres;

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

E *Πῶς οἱ τύποι διπλοῦνται, καὶ ἀλλήλοις συμπλέκονται.*

ΤΥπων δὲ διπλοῦνται οἱ πρῶτοι καλούμενοι, εἰσὶν ἀμφημερινός, τριταῖος, τεταρταῖος. ἀμφημερινὸς μὲν οὖν ἐστὶ διπλοῦς ὁ καθ᾽ ἑκάστην ἡμέραν δὶς ἐπισημαίνων ὁμοίως, δίς τε ἐπανιείς· δύο τριταῖοι δὲ τυγχάνουσιν, ὁπότε διαφόρων ἐπισημασιῶν καθ᾽ ἑκάστην ἡμέραν ἐπιγινομένων ἑαυτοῖς διὰ τρίτης ἀπαντῶσι· τεταρταῖοι δέ, ὁπόταν μιᾶς ἡμέρας γινομένης καλῆς, ἑξῆς δυσὶν ἡμέραις συμβαίνῃ F πυρέσσειν, τῶν διὰ τεσσάρων σχημάτων καθ᾽ ἑκάστην τῶν ἐπισημασιῶν τῶν ὡρῶν ἀποσωζομένων. ἐπιπλέκεται δὲ ἀμφημερινὸς τριταίῳ, ὅταν ἡ μὲν α΄. τῶν ἡμερῶν δὶς ἐπισημαίνῃ, καὶ δὶς ἀνίῃ· ἡ δ᾽ ἑξῆς ἅπαξ· τρίτη δὲ πάλιν, ὁμοίως πρώτῃ. ἐπιπλέκεται δὲ ἀμφημερινὸς τεταρταίῳ, ὅταν τῇ μὲν α΄. δὶς ἐπισημαίνῃ· τῇ δ᾽ ἑξῆς δυσίν, ἅπαξ· τῇ δ΄. ὁμοίως δίς. συμπλέκονται δὲ ἀλλήλοις ἀμφημερινός, τριταῖος, καὶ τεταρταῖος, ὅταν ἡ μὲν α΄. τῶν ἡμερῶν τρεῖς ἐπισημασίας ἔχῃ, καὶ τρεῖς ἐπανέσεις· ἡ δὲ β΄. μίαν· ἡ δὲ γ΄. δύο, καὶ ἡ δ΄. τρεῖς, καὶ ἡ ε΄. μίαν, ἡ ς΄. δὲ δύο, ἑβδόμη δὲ πάλιν τρεῖς,

καὶ αἱ λοιπαὶ τὴν αὐτὴν τοῖς πρώταις τάξιν φυλάττουσι, καὶ καθ' ἕτερον τρόπον συμβάλλουσιν οἱ τύποι, καὶ εἰς δ' αὐτὸ σχῆμα περιάγονται. ἐπιπλέκεται δὲ τριταῖος τεταρταίῳ, ὅταν ἡ μὲν α΄. τῶν ἡμερῶν δύο ἐπισημασίας ἐνέγκῃ, καὶ δύο ἀνέσεις· ἡ δὲ β΄. μηδ' ὅλως· τρίτη δὲ ἅπαξ· καὶ τετάρτη πάλιν ὁμοίως, ὡσαύτως καὶ αἱ ἑξῆς. ἐπιπλέκεται δὲ τριταῖος, τεταρταῖος, καὶ πεμπταῖος, ὅταν τῇ μὲν α΄. τῶν ἡμερῶν ἐπισημασίαν συμβῇ, τῇ β΄. δ' ἀνεῖναι καὶ πάλιν τῇ τρίτῃ τριταῖος, καὶ τῇ τετάρτῃ τεταρταῖος, καὶ τῇ πέμπτῃ ἅμα ἅπαξ. καὶ ἄλλως δέ πως τούτου τοῦ τύπου ἡ εἰσβολὴ γίγνεται, οὐδὲν ἧττον εἰς τὸν αὐτὸν τύπον τῆς τάξεως ἐμπιπτούσης τοῦ τριταίου πρὸς τὸν ἡμιτριταῖον συμπλοκῆς, καθάπερ ἐπὶ τῆς ὑπογραφῆς ἔχει ταύτης. τῇ α΄. ἤρξατο ἀπὸ ἑσπέρας μετὰ ῥίγους, καὶ ἔλυσεν ἕως πρωΐ, παρέμεινε δὲ ἕως ὥρας ὀγδόης· εἶτα ἐμπίπτει ἐπισημασία μετὰ περιψύξεως, καὶ μένει τὴν ἐρχομένην νύκτα, καὶ τῆς ἡμέρας ἕως ὥρας η΄. καὶ πάλιν ἄνεσις ἀκολουθεῖ, εἶτα εἰς τὴν νύκτα πάλιν ἐπισημασία μετὰ ῥίγους, καὶ εἰς ἡμέραν πάλιν ἄνεσις ὁμοία τῇ ἀναλόγῳ, καὶ ἑξῆς κύκλος ὁμοίως.

ac reliqui eundem cum primis ordinem tuentur, ac altero modo typi coeunt, in eandémque figuram reducuntur. Implicatur autem tertianus quartano, quum primus dies duas inuasiones, duásque remissiones infert; secundus, nullam prorsus; tertius vnam; ac quartus rursus similiter; pari modo & reliqui subsequentes. Implicantur autem tertianus, quartanus, & quintanus, quum primo die accessionem fieri contigit, secundo remissionem, ac rursus tertio tertianus, & quarto quartanus, ac quinto pariter semel. Iam alio quodam modo huius typi insultus accidit, dum nihilominus in eundem ordinis typum tertianus cum semitertiano complicatus incidit, sicut in subscriptione habet. Hæc primo die incepit vesperi cum rigore, ac manè soluta est, perseuerauit autem vsque ad horam octauam; deinde incidit accessio cum perfrictione, ac durat nocte subsequenti, ac die vsque ad horam octauam; rursúsque remissio comitatur, deinde in noctem iterum accessio incipit cum rigore, ac die iterum remissio proportione similis; ac deinceps circulus similiter perficitur.

ΓΑΛΗΝΟΥ ΠΡΟΣ ΤΟΥΣ ΠΕΡΙ ΤΥΠΩΝ ΓΡΑΨΑΝΤΑΣ, Η ΠΕΡΙ ΠΕΡΙΟΔΩΝ, ΒΙΒΛΙΟΝ.

GALENI ADVERSVS EOS, QVI DE TYPIS SCRIPSERVNT, VEL DE CIRCVITIBVS, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Πόσα ἥμαρτον οἱ νεώτεροι τῶν ἰατρῶν, τὰ τῶν τύπων εἴδη τε καὶ τὸ πλῆθος ψευδεῖ μεθόδῳ ἐπιζητοῦντες.

ARGVMENTVM LIBRI.

In quot errores lapsi sint iuniores medici, qui typorum species ac multitudinem falsa methodo inquirebant.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Τὰ τῶν νεωτέρων ἰατρῶν ἐν τῷ γνωρίζειν τοὺς τύπους σφάλματα.

Τοῖς μὲν παλαιοῖς ἰατροῖς ἀπόχρη μόνον τοῦτο εἰποῦσιν, ὡς κατὰ περιόδους ἐνίοις τῶν νοσημάτων οἱ παροξυσμοὶ γίνονται, μηκέτι προσεπιθεμένοις, τί σημαίνῃ τοὔνομα ἡ περίοδος. ἠπίσταντο γὰρ Ἕλλησιν ἀνθρώποις γράφοντες τὰ βιβλία, σαφῶς εἰδόσιν, ὡς ἐπειδὰν δι' ἴσου χρόνου γίγνηταί τι ταὐτὸν τῷ εἴδει, τὸν χρόνον τοῦτον ἅπαντες Ἕλληνες ὀνομάζουσι περίοδον. οὕτω γοῦν Ὀλυμπιακάς

CAPVT PRIMVM.

Errores recentiorum medicorum in typis dignoscendis.

VETERIBVS sanè Medicis satis fuit hoc solùm dixisse, nonnullis morborum accessiones per circuitum oboriri, non etiamnum, quid vocabulum circuitus significaret, adiicientibus. Nouerant enim se Græcis hominibus libros scribere, qui manifestò scirent, quum æquali tempore aliquid idem specie fiat, hoc tempus Græcos omnes periodum .i. *circuitum*, nominare. Ita igitur Olympiacas quasdam,

dam, & Pythiacas appellabant periodos. Recentiores autem primùm sane periodis, typi vocabulum inuexerunt. Deinde idem alii voce periodus, ordo, & typus, significari arbitrati sunt; alii non idem. Hæc verò vniuersa definire aggrediuntur alii aliter, nec solùm proprias definitiones astruunt, verùm etiam aliorum *alias* improbant. Quicunque igitur gloriæ studio definitiones tractarunt, conceduntque tribus nominibus, typo, periodo, & ordine, vnum quiddam significari, minus nugantur. Sed qui periodum nominant tempus, quo idem aliquid fit; typum autem non absolutè vniuersum huiusmodi tempus, sed quum integris diebus & noctibus circunscribitur, prolixas hi ac inutiles nugas proferunt, atque idcirco tum suum, tum discipulorum tempus conterentes, vbi ægros accedunt, quouis idiotâ sunt deteriores. Siquidem idiota, mentis compos, quum viderit aliquem quotidie accessionem experiri, siue paulò tardior accessio veniat, siue præuertat, imaginationem quandam periodi quotidianæ vocatæ habet. At siquis & industrius, & medicinæ studiosus fuerit, eum cogitatio quædam subit duarum tertianarum, aut trium quartanarum, atque id distingui à medicis volet. Qui verò prædictis hypothesibus mancipati sunt, si ægroto duabus horis quotidie accessionem anticipatoriam ferenti occurrerint, viginti sane & duarum horarum periodum esse pronunciant; totum verò typum non simplicem, sed compositum quendam arbitrantur; deinde perscrutati plurimùm & apud seipsos ratiocinati, alii in digitis, alii etiam in tabella libro cuidam inscripta, duodecim duodecumanas eiusmodi, typũ esse dictitant. Verùm quum auditores propter hæc rident, indignantur; multò magis quum horâ vna quandoque accessionem præuertentem conspexerint, tunc quoque viginti quatuor viginti-quaternanas esse enunciant; & ipsi ridentur, & aliis medicis quandam ignorantiæ suspicionem apud idiotas conciliant. Quum enim illos ex libro viderint cum grauitate quadam vt rem maximam inuenientes viginti quatuor vigintiquaternanas, subit ipsis omnes qui libros legunt dãnare, ac potiùs irrationali exercitio artem tractantibus sese permittunt. Siquis igitur medicorum huiusmodi nugantium hypotheses sequatur, etiam tertianam quum vel horâ vnâ præuertet, vel tardiùs accedet, omniâ potiùs quàm tertianam dicit. Nam præuertentem, quatuor & viginti horarum quum sit, implexum esse dicit quadragesimoctanum; tardiùs autem venientem, quinquagesimanum, atque hunc referet, quinque & viginti *horarum* esse. Quis igitur primus inceperit hanc insulsam sapientiam, haud noui; quando autem primùm eum qui ipsam indicat audiuerim, aperiam. Excesserat sane nuper è viuis Antoninus, qui post Adrianum fuit imperator; regnabat autem tunc Seuerus, qui seipsum quidem mutato nomine Antoninum vocauit, Lucium verò, quem in imperii communionem acceperat, Seuerum appellauit. Hoc tempore quum primùm audiuissem, admiratus sum eos, qui in hunc modum proponebant; si quinque horis aliquis accessionem experitur, duabus remissionem, vt tota perio-

τέ τινας καὶ Πυθιακὰς ἐκάλουν περιόδους. οἱ νεώτεροι δὲ πρῶτον μὲν ἐπεισήγαγον τῇ περιόδῳ τὴν τοῦ τύπου προσηγορίαν. εἶθ' οἱ μὲν ταὐτὸν ἠξίωσαν σημαίνεσθαι πρός τε περιόδου, φωνῆς, καὶ τάξεως, καὶ τύπου· οἱ δὲ οὐ ταὐτόν. ὁρίζεσθαι δὲ πάντα ταῦτα ἐπιχειροῦσιν ἄλλοι ἄλλως, οὐ μόνον κατασκευάζοντες τοὺς ἰδίους ὅρους, ἀλλὰ καὶ τοῖς τῶν ἄλλων ἀντιλέγοντες. ὅσοι μὲν οὖν ἄχρι τῆς περὶ τοὺς ὅρους φιλοτιμίας προεληλύθασι συγχωροῦντες ἐκ τῶν τριῶν ὀνομάτων ἕν τι σημαίνεσθαι, τύπου, καὶ περιόδου, καὶ τάξεως, ἐλάττονα φλυαροῦσιν· ὅσοι δὲ περίοδον μὲν ὀνομάζουσι τὸν χρόνον, ἐν ᾧ τι ταὐτὸν γίγνεται, τύπον δὲ, οὐχ ἁπλῶς ἅπαντα τὸν τοιοῦτον χρόνον, ἀλλ' ὅταν ὁλοκλήροις ἡμέραις τε καὶ νυξὶ περιγράφηται, μακρὰς οὗτοι καὶ ἀχρήστους φλυαρίας καταβάλλονται, καὶ διὰ τοῦθ' αὑτῶν τε καὶ τῶν μαθητῶν κατατρίψαντες τὸν χρόνον, ὅταν ἐπὶ τοὺς κάμνοντας ἀφίκωνται, χείρους εἰσὶν ἰδιώτου παντός. ἰδιώτης μὲν γὰρ νοῦν ἔχων, ἐπειδὰν θεάσηταί τινα καθ' ἑκάστην ἡμέραν παροξυνόμενον, ἐάν θ' ὑστερῇ σμικρὸν ὁ παροξυσμὸς, ἐάν τε προλαμβάνῃ, φαντασίαν τινὰ ἔχει περιόδου τῆς καλουμένης ἀμφημερινῆς. εἰ δέ τις καὶ φιλόπονος εἴη καὶ φιλίατρος, ἔννοιά τις αὐτὸν εἰσέρχεται δυοῖν τριταίοιν ἢ τριῶν τεταρταίων, καὶ τοῦτο ἀξιοῖ διορισθῆναι πρὸς τῶν ἰατρῶν. οἱ δὲ ταῖς εἰρημέναις ὑποθέσεσι δουλεύοντες, ἐὰν ἐντύχωσιν ἀρρώστῳ δυοῖν ὥραιν ἑκάστης ἡμέρας τὸν παροξυσμὸν ἔχοντι προληπτικὸν, εἴκοσι καὶ δυοῖν ὡρῶν φασι τὴν περίοδον εἶναι· τὸν δ' ὅλον τύπον οὐχ ἁπλοῦν, ἀλλά τινα σύνθετον ὑπάρχειν νομίζουσιν· εἶτα ζητήσαντες ἱκανῶς καὶ λογισάμενοι κατὰ σφᾶς αὐτοὺς, οἱ μὲν ἐπὶ δακτύλων, οἱ δὲ καὶ ἐπὶ διαγράμματος ἔν τινι βιβλίῳ γεγραμμένου, δώδεκά φασιν εἶναι δωδεκαταίους τὸν τοιοῦτον τύπον. γελώντων δὲ ἐπὶ τούτοις τῶν ἀκουσάντων, ἀγανακτοῦσιν. ἔτι δὲ μᾶλλον ὅταν ὥρᾳ μιᾷ ποτε θεάσωνται τὸν παροξυσμὸν προλαμβάνοντα, καὶ τότε ἀποφαίνονται, δ'. εἶναι καὶ κ'. εἰκοσιτεταρταίους, αὖθίς τε καταγελῶνται, καί τινα τοῖς ἄλλοις ἰατροῖς ὑποψίαν ἀγνοίας παρὰ τοῖς ἰδιώταις παρασκευάζουσιν. ὅταν γὰρ ἐκείνους ἐκ βιβλίου θεάσωνται μετὰ σεμνότητός τινος εὑρίσκοντας, ὥς τι μέγιστον πρᾶγμα, κδ'. εἰκοσιτεταρταίους, ἐπέρχεται καταγινώσκειν αὐτοῖς ἁπάντων τῶν ἀναγινωσκόντων τὰ βιβλία, καὶ μᾶλλον τοῖς ἀλόγῳ τριβῇ μεταχειριζομένοις τὴν τέχνην ἑαυτοὺς ἐπιτρέπουσιν. ἐὰν γοῦν τις ἕπηται ταῖς ὑποθέσεσι τῶν τὰ τοιαῦτα ληρούντων ἰατρῶν, καὶ τὸν τριταῖον, ὅταν ἤτοι προλαμβάνῃ μίαν ὥραν ἢ ὑστερίζῃ, πάντα μᾶλλον, ἢ τριταῖον ἐρεῖ. τὸν μὲν γὰρ προλαμβάνοντα, τεττάρων καὶ κ'. ὄντα, φησὶ τεσσαρακοστοόγδοον ἐπιπλοκὴν εἶναι· τὸν δ' ὑστερίζοντα, πεντηκοσταῖον, καὶ τοῦτον ἐρεῖ ε'. καὶ κ'. εἶναι. τίς μὲν οὖν ἤρξατο πρῶτος τῆς ἐμπλήκτου ταύτης σοφίας, οὐκ οἶδα· ἡνίκα δ' ἐγὼ πρῶτον ἤκουσα τοῦ γε μηνύοντος αὐτὴν, ἐρῶ. μεθεστήκει μὲν ἐξ ἀνθρώπων ἔναγχος Ἀντωνῖνος ὁ μετ' Ἀδριανὸν γενόμενος αὐτοκράτωρ, ἦρχε δὲ τότε Σεβῆρος, ἑαυτὸν μὲν Ἀντωνῖνον μετονομάσας, εἰς δὲ τὴν τῆς ἀρχῆς κοινωνίαν προσλαβὼν Λούκιον καὶ μετονομάσας Σεβῆρον. ἐν τούτῳ τῷ χρόνῳ πρῶτον ἀκούσας ἐθαύμασα τοὺς προβάλλοντας ὡδί πως. ἐὰν πέντε τις ὥραις παροξυνόμενος, ἀνίηται δυοῖν, ὡς εἶναι τὴν ὅλην περίοδον ὡρῶν

ζ. καὶ τοῦτ᾽ ἐφεξῆς γίγνηται, τίνα χρὴ νομίζειν τὸν τύπον; ἀπεκρινάμην οὖν εὐθέως αὐτῷ, μηδ᾽ οἷόν τε γενέσθαι τοῦτο. τοὺς γὰρ ὀλιγοχρονίους οὕτω παροξυσμοὺς μακρὰς ποιεῖσθαι τὰς παρακμὰς, καὶ τοὐπίπαν γε καὶ εἰς ἀπυρεξίαν ἀφικνεῖσθαι. σὺ δὲ παροξυσμὸν μὲν, ἔφην, διηγῇ νοσήματος ἐπιεικέστατον, τῇ συνεχείᾳ δὲ τῶν περιόδων, ὀλεθριώτατον αὖθις ἀποφαίνεις αὐτόν. μηδὲν, ἔφη, σκόπει τό γε νῦν, πότερον ἀδύνατός ἐστιν ἡ ὑπόθεσις, ἢ δυνατὴ, γυμνασίας δ᾽ ἕνεκα τὰ τοιαῦτα συγχώρει ζητεῖσθαι. πρὸς γὰρ τὰς τῶν ποικίλων τύπων εὑρέσεις εὐπορωτέρους ἡμᾶς ἐργάζεται. ἐκείνῳ μὲν οὖν ὅτι τὸ τοιοῦτον γυμνάσιον ἀπορωτέρους ἡμᾶς ἐργάζεται μᾶλλον, ἢ περ εὐπορωτέρους, ἐπειράθην ἐνδείξασθαι τότε· νυνὶ δὲ τοῖς ἄλλοις ἐπιδείξω προδιηγησάμενος, ἥ τίς ποτ᾽ ἐστὶν ἡ χρεία τῆς τοιαύτης θεωρίας.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ χρείας τῆς τῶν τύπων προγνώσεως, καὶ περὶ τοῦ σφάλματος τῶν τὰς περιόδους παρὰ τοῦ τριῶν ἡμερῶν ἀριθμοῦ ἐκτεινόντων.

Ἐπεὶ τοίνυν οὐδὲν οὕτω χρήσιμόν ἐστι, καὶ μάλιστα ἐν τοῖς πυρετοῖς, ὡς τὸ προγινώσκειν τὰς ἀρχὰς τῶν ἐσομένων παροξυσμῶν, ἐὰν μὲν τις εὐθέως ἀπ᾽ ἀρχῆς οἷός τε ᾖ στοχασμῷ τεχνικῷ τοῦτ᾽ ἐξεργάζεσθαι, μέγιστα τὸν κάμνοντα δι᾽ ὅλου τοῦ νοσήματος ὠφελήσει· ἐὰν δ᾽ εὐθὺς μὲν ἐξ ἀρχῆς ἀδυνατήσῃ, προϊόντος δὲ τοῦ χρόνου δυνηθῇ, κατὰ τὸν ὑπόλοιπον χρόνον ὀνήσει τὸν κάμνοντα· καὶ ὅσῳ γὰρ θᾶττον εἰς πρόγνοιαν ἀφίκηται τῆς τοῦ νοσήματος ἰδέας, τοσούτῳ πλέονα χρόνον ὠφελήσει τὸν νοσοῦντα. πειρατέον μὲν οὖν εὐθὺς ἀπ᾽ ἀρχῆς διαγινώσκειν ὁποῖός τίς ἐστιν ὁ πυρετὸς, ὡς ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασι δέδεικται, καὶ τά γε πολλὰ βεβαίως ἐστὶ γνῶναι τοῦτον διὰ τῶν ἐν ἐκείνοις γνωρισμάτων· εἰ δέ τις ἀμφιβολία γενηθείη κατὰ τὴν πρώτην ἡμέραν, ἐν τῇ δευτέρᾳ διακριτέον αὐτήν· εἰ δὲ καὶ ταύτην γέ ποτε ἐκφύγοι, τῇ τρίτῃ γε πάντως γνωρισθήσεται· εἰ δ᾽ ἄρα καὶ ταύτην γέ ποτε διεκφύγοι κατὰ τὸ σπάνιον, ἀλλ᾽ ἐν τῇ τετάρτῃ ἐξ ἀνάγκης γνωρισθήσεται· εἰ δὲ μηδ᾽ ἐν ταύτῃ τις ἤδη τὴν ἰδέαν τοῦ νοσήματος ἐγνώρισεν, ἀλλ᾽ ἔτ᾽ ἀπορεῖ, πολὺ μέρος οὗτος τῆς τέχνης ἀγνοεῖ. τά τε γὰρ ἄλλα καὶ οἱ παροξυσμοὶ πάντες οἱ ἐν τοῖς πυρετοῖς, ἤτοι καθ᾽ ἑκάστην ἡμέραν, ἢ διὰ τρίτης, ἢ διὰ τετάρτης ἀπαντῶσιν· ἐν μὲν τοῖς πλείστοις νοσήμασιν, ἐφ᾽ ὧν δὴ καὶ μάλιστά ἐστι χρεία τῆς προγνώσεως τοῦ μέλλοντος ἔσεσθαι παροξυσμοῦ, διὰ τρίτης, καὶ καθ᾽ ἑκάστην ἡμέραν· ἐν ὀλιγίστοις δέ τισι διὰ τετάρτης. ἀλλ᾽ ἴσως τις φήσει τῶν νεωτέρων τουτωνὶ σοφιστῶν καὶ διὰ πέμπτης ἡμέρας γίγνεσθαί τινας περιόδους, καὶ δι᾽ ἕκτης, καὶ ἑβδόμης, καί τινας ἄλλας ἄχρι παμπόλλων ἡμερῶν ἐκτεινομένας, οὓς ὄντως ἐστὶ μακαρίσαι τῆς θαυμαστῆς συνέσεως, εἰ μὴ παρακολουθοῦσιν, ἐξ ὧν λέγουσιν ἄρδην ἀναιροῦντες τὸ χρήσιμον ἁπάσης τῆς περὶ τύπων πραγματείας. ὅσοι μὲν γὰρ ἀγνοεῖν ὁμολογοῦντες ἀπὸ τῆς πρώτης ἡμέρας εἴδη διαγινώσκειν πυρετῶν, ἀναμένουσι τὰς μέχρι τῆς τετάρτης, οὔτε πεμπταίαν τινὰ περίοδον, οὔθ᾽ ἑκταίαν, οὔτε τούτων ἐξωτέρω τινὰ ἑωρακέναι φάσκοντες, εἰ καὶ μὴ τῇ β'. καὶ τῇ γ'. τῶν ἡμερῶν, ἀλλὰ τῇ γ' ἐξῆς ἐλπίζειν τι δύνανται περὶ τοῦ μέλλοντος παροξυσμοῦ· τοῖς δ᾽ εἰς πολὺ πλῆθος ἡμερῶν ἐκτείνουσι τὰς περιόδους ἀδύνατον προ-

dus horarum septem existat, idque ordine deinceps fiat, quis typus censeri debet? Respondi igitur statim ei, id ne fieri quidem posse. nam breues ita accessiones, longas facere declinationes, ac omnino etiam ad integritatem peruenire. Tu verò accessionem quidem, dicebam, narras morbi mitissimam, periodorum autem frequentiâ perniciosissimam ipsam rursus pronuncias. Noli, inquit, considerare in præsentia, vtrum hypothesis fieri possit, an minus; exercitii autem gratia huiusmodi inquiri permittito. nam ad variorum typorum inuentionem doctiores nos efficient. Illi igitur, quòd huiusmodi exercitium ineptiores nos potius reddat quàm promptiores, ostendere tunc tentaui; nunc aliis ostendam, vbi priùs percensuero, quis tandem huius speculationis vsus existat.

CAPVT II.

De vsu prænotionis typorum, & de errore illorum, qui circuitus vltra trium dierum producunt.

Qvoniam igitur nihil adeò vtile est, ac præsertim in febribus, quàm accessionum futurarum principia prænoscere, siquis statim ab initio artificiosa coniectura id possit efficere, plurimum ægrotanti per totum morbi decursum profuerit; sin autem statim ab initio nequeat, procedente autem tempore possit, reliquo tempore ægrotum iuuabit; & quanto citius in morbi speciei notitiam venerit, tanto longiori tempore ægrotanti auxiliabitur. Incumbendum igitur est statim per initia, vt cognoscas qualis sit febris, sicut in commentariis de crisibus ostensum est, ac magna ex parte firmiter licet hanc ex notis illic proditis cognoscere. At siqua primo die dubitatio fuerit oborta, in secundo discerni debet; sin etiam hunc quandoque effugiat, tertio omnino cognoscetur; quòd si hunc etiam interdum effugiat, quòd rarò accidit, saltem in quarto necessariò intelligetur; si neque in hoc quis iam morbi speciem cognouerit, sed etiamnum dubitet, magnam partem artis hic ignorat. Nam cùm alia, tum accessiones omnes febrium vel singulis diebus, vel tertio, vel quarto inuadunt, in plurimis quidem morbis, in quibus etiam præcipuè vtilis est futuræ accessionis prænotio, tertio quoque & singulis diebus; in paucissimis autem, quarto. Sed dicet forsan aliquis recentiorum horum sophistarum, etiam quinto die periodos quasdam fieri, & sexto, & septimo, nonnullasque alias ad multos dies extendi, quos reuera beatos prædicare ob admirandam intelligentiam licet, si non assequuntur ex his quæ dicunt, se totius de typis operis vtilitatem è medio prorsus tollere. Qui igitur concedentes se à primo die febrium species dignoscere nescire, expectant vsque ad quartum, neque quintanam aliquam periodum, neque sextanam, neque extra has aliquam vidisse se pronunciantes, etiam si non secundo, aut tertio die, saltem sequentibus de futura accessione aliquid sperare possunt. Illi verò, qui in numerosam dierum multitudinem periodos extendunt, futuram accessionē neutiquam

quam

quam possunt prænoscere. Verbi causa primo die exortæ licet & quotidianæ, & tertianæ, & quartanæ, & quintanæ, omnibusque subsequẽtibus esse. Siue igitur in secundo die orta sit accessio, siue non, de tertio die nihil poterunt sperare, qui longas periodos inuehunt. Supponatur itaque post primum diem, neque in secundo, neque in tertio, neque in quarto, accessionem accidisse. Qui sanè tres solas periodos nouerunt, hominem è lecto erigunt, ac consueta obire iubent, ab omni suspicione liberatum arbitrantes; qui verò etiam sequentes, quæ multorum dierum sunt, fieri dicunt, similiter quintum diem meritò suspectum habent, quemadmodum & alios priores, ita verò & sextum, septimúmque, aliosque subsequentes. At si etiam in secundo die quædam oboriatur accessio, incertum est, an secundum quotidianæ figuram, proportionem cum ea, quæ primum facta est, tueatur, an alterius periodi sit initium. Ac eodem modo si post diem secundum etiam tertio inuaserit. Nam ignoranti statim ab initio discernere, num quotidiana sit, an tertiana, an alia quædam febris, incertum, vnáne sit quotidiana, an duarum tertianarum implicatio, vel etiam trium quartanarum, ac de aliis maioribus periodis eadem ratio est. Quòd igitur qui multas esse periodos arbitrantur, non solas tres, haud vnquam futuram accessionem prænoscere poterunt, ostensum iam est.

CAPVT III.

De errore illorum, qui tres periodos ex accessionum tantùm repetitionibus æstimabant.

DIcamus autem deinceps de iis, qui solas tres arbitrantur, non tamen ex propria natura vnamquanque dignoscunt, verùm ex accessionum repetitionibus. ita enim solent nominare ipsi accessionum proportiones. Tales si non semper, quemadmodum priores, accessionem futuram ignorabunt, certè vsque ad quartum aut quintum necessariò. Supponatur enim in primo die vnam obortam esse accessionem, in secundo duas, in tertio rursus duas, & totidem in quarto. Potest itáque & talis esse simplicium periodorum implicatio, vt in primo die quotidiana inceperit, in secundo, tertiana, in tertio possit & tertiana, possit & quartana (incertum enim hoc antè quintum est) deinde quarto die, quartanæ, quæ primo die inceperit, secunda accessio, & tertianæ, quæ secundo auspicata sit, secunda. Constat autem quintum diem duas habiturum accessiones, nempe secundam tertianæ, quæ die tertio incepit, & quartanæ, quæ secundo die auspicata est, secundam; sextum autem quartanæ tertio die auspicatæ, secundam, & tertianæ secundo, tertiam. Fieri autem potest aliis pari modo se habentibus, vt duæ aliæ tertianæ, aut duæ quartanæ aliæ in tertio die inceperint. Quoniam enim quartus dies in tali hypothesi nullam habet cum tertio communionem, licet & duas tertianas duasque quartanas, & tertianam quartanámque vnam in tertio die incepisse. Mirari autem subit eos, qui huiusmodi implicationes componunt, quod

γνῶναι τὸν ἐσόμενον παροξυσμόν. αὐτίκα γοῦν ὁ κατὰ τὴν πρώτην ἡμέραν γινόμενος δυνατόν ἐστι καὶ ἀμφημερινῷ καὶ τριταίῳ, καὶ τεταρταίῳ, καὶ πεμπταίῳ, καὶ πᾶσι τοῖς ἐφεξῆς ὑπάρχειν. ἐάν οὖν γένηται κατὰ τὴν δευτέραν ἡμέραν παροξυσμός, ἄν τε καὶ μή, περὶ τῆς τρίτης ἡμέρας ἐλπίζειν οὐδὲν ἔξεστιν οἱ τὰς μακρὰς περιόδους εἰσηγούμενοι. καὶ τοίνυν ὑποκείσθω μετὰ τὴν πρώτην ἡμέραν, μήτ' ἐν τῇ δευτέρᾳ, μήτ' ἐν τῇ τρίτῃ, μήτ' ἐν τῇ τετάρτῃ γεγονέναι παροξυσμόν. οἱ μὲν τὰς τρεῖς μόνας εἰδότες περιόδους ἀνίστασθαί τε τὸν ἄνθρωπον ἀπὸ τῆς κλίνης, καὶ τῶν συνήθων ἔχεσθαι κελεύουσιν, ἀπηλλάχθαι νομίζοντες ἁπάσης ὑποψίας· οἱ δὲ καὶ τὰς ἑξῆς, ὅσαι πολυήμεροι, γίγνεσθαι φάσκοντες, ὁμοίως ὑποπτεύειν τὴν ε΄. ἡμέραν εἰσὶ δίκαιοι, καθάπερ καὶ τὰς ἄλλας τὰς ἔμπροσθεν· οὕτω δὲ καὶ τὴν ϛ΄. καὶ τὴν ζ΄. καὶ τὰς ἄλλας τὰς ἐφεξῆς ὑποπτεύουσιν. εἰ δὲ καὶ γένοιτό τις καὶ ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν παροξυσμός, ἄδηλον εἴτε κατ' ἀμφημερινοῦ σχῆμα πρὸς τὸν ἐν τῇ προτέρᾳ γεγονότα τὴν ἀναλογίαν ἐφύλαξεν, εἴτ' ἐστὶν ἑτέρας ἀρχὴ περιόδου. κατὰ ταὐτὰ δ' εἰ καὶ κατὰ τὴν τρίτην ἐπὶ τῇ δευτέρᾳ γένοιτο. τῷ γὰρ ἀγνοοῦντι διαγινώσκειν εὐθὺς ἐξ ἀρχῆς, εἴτε ἀμφημερινός ἐστιν, εἴτε τριταῖος, εἴτ' ἄλλος τις πυρετός, ἄδηλον εἴθ' εἷς ἐστιν ἀμφημερινός, εἴτε δυοῖν ἐπιπλοκὴ τριταίοιν, εἴτε καὶ τριῶν τεταρταίων, καὶ περὶ τῶν ἄλλων δὲ τῶν μειζόνων περιόδων ὁ αὐτὸς λόγος. ὅτι μὲν οὖν ὅσοι νομίζουσι πολλὰς εἶναι περιόδους, οὐ μόνας τὰς τρεῖς, οὐδέποτε δυνήσονται προγνῶναι τὸν ἐσόμενον παροξυσμόν, ἤδη δέδεικται.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ σφάλματος τῶν τὰς τρεῖς περιόδους ἐκ τῆς τῶν παροξυσμῶν ἀνταποδόσεως μόνης ὁριζόντων.

ΛΕγωμεν δ' ἐφεξῆς περὶ τῶν μόνας τὰς τρεῖς ἡγουμένων, οὐ μὴν ἐκ τῆς ἰδίας φύσεως ἑκάστην διαγινωσκόντων, ἀλλ' ἐκ τῶν κατὰ τοὺς παροξυσμοὺς ἀνταποδόσεων, οὕτω γὰρ εἰώθασιν ὀνομάζειν αὐτοὶ τὰς ἀναλογίας τῶν παροξυσμῶν. οἱ τοιοῦτοι δ' εἰ μὴ διὰ παντός, ὥσπερ οἱ πρότεροι, τὸν ἐσόμενον παροξυσμὸν ἀγνοήσουσιν, ἀλλὰ μέχρι τῆς τετάρτης ἢ πέμπτης ἡμέρας ἐξ ἀνάγκης. ὑποκείσθω γὰρ ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ἕνα γεγονέναι παροξυσμόν, ἐν δὲ τῇ δευτέρᾳ δύο, καὶ δύο πάλιν ἐν τῇ τρίτῃ, καὶ δύο κατὰ τὴν τετάρτην. ἐνδέχεται μὲν οὖν καὶ τοιαύτην εἶναι τὴν ἐπιπλοκὴν τῶν ἁπλῶν περιόδων, ὡς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀμφημερινὸν ἦρχθαι· κατὰ δὲ τὴν δευτέραν, τριταῖον· ἐν δὲ τῇ τρίτῃ δύνασθαι μὲν καὶ τριταῖον, δύνασθαι δὲ καὶ τεταρταῖον (ἄδηλον γὰρ τοῦτο πρὸ τῆς πέμπτης) εἶτ' ἐν τῇ τετάρτῃ τόν τε κατὰ τὴν πρώτην ἡμέραν ἀρξαμένου τεταρταίου δεύτερον παροξυσμόν, καὶ τὸν κατὰ τὴν δευτέραν τριταίου δεύτερον. εὔδηλον δὲ ὡς ἡ πέμπτη τῶν ἡμερῶν δύο παροξυσμοὺς ἕξει, τοῦ τε κατὰ τὴν τρίτην ἡμέραν ἀρξαμένου τριταίου τὸν δεύτερον, καὶ τοῦ κατὰ τὴν δευτέραν ἡμέραν ἀρξαμένου τεταρταίου τὸν δεύτερον· ἡ δ' ἕκτη τοῦ κατὰ τὴν τρίτην ἠργμένου τεταρταίου τὸν δεύτερον, καὶ τοῦ κατὰ τὴν δευτέραν τριταίου τὸν τρίτον. ἐνδέχεται δὲ τῶν ἄλλων ὡσαύτως ἐχόντων ἐν τῇ τρίτῃ τῶν ἡμερῶν ἦρχθαι δύο τριταίους ἄλλους, ἢ δύο τεταρταίους ἄλλους. ἐπεὶ γὰρ ἡ τετάρτη τῶν ἡμερῶν κατὰ τὴν τοιαύτην ὑπόθεσιν οὐδεμίαν ἔχει πρὸς τὴν τρίτην κοινωνίαν, ἐνδέχεται καὶ δύο τριταίους, καὶ δύο τεταρταίους, καὶ τριταῖον καὶ τεταρταῖον ἕνα κατὰ τὴν τρίτην ἡμέραν ἄρξασθαι. θαυμάσαι δ' ἔστι τὰς τοιαύτας ἐπιπλοκὰς συντιθέντων,

εἰ μηδέποτε ἐνενόησαν ἐνδέχεσθαι τῶν δύο τύπων εἰς τὴν αὐτὴν ὥραν συνελθεῖν τοὺς παροξυσμοὺς, ὅπερ εἰ γένοιτο, διέφθαρται τὰ τῆς ἀνταποδόσεως αὖθις γνωρίσματα. κατὰ γοῦν τὴν προκειμένην ὑπόθεσιν ἐγχωρεῖ τὸν μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀρξάμενον τεταρταῖον ὥρᾳ δευτέρᾳ, τὸν δὲ τεταρταῖον ἑνδεκάτῃ. τούτων δ' οὕτως ἐχόντων, εἷς ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ἔσται παροξυσμὸς ὁ κατὰ τὴν δευτέραν ὥραν. οὐ μὴν ἕνα λέγουσί ποτε γενέσθαι κατὰ τὴν ὑποκειμένην ὑπόθεσιν, ἀλλ' ἀεὶ δύο. θεάσαι δ' ὅπως ἐγχωρεῖ καὶ τρεῖς ἅμα παροξυσμοὺς εἰς μίαν ὥραν συνδραμεῖν, καὶ διὰ τοῦτ' οὐκ ἀγνοηθῆναι τὴν ἐπιπλοκὴν τοῖς εἰδόσιν ἑκάστου τύπου τῶν ἁπλῶν διαγινώσκειν τὸ εἶδος. ὑποκείσθω γὰρ ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ἦρχθαι τεταρταῖον ὥρᾳ τρίτῃ, ἐν δὲ τῇ δευτέρᾳ, κατὰ τὴν αὐτὴν ὥραν τριταῖον, ἐν δὲ τῇ τρίτῃ, κατὰ τὴν αὐτὴν ὥραν ἀμφημερινόν. ἀνάγκη δὴ τούτων ὑποκειμένων ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ὥρᾳ τρίτῃ γενέσθαι παροξυσμὸν ἕνα, τῶν τριῶν περιόδων ἐς ταὐτὸν ἀλλήλαις ἀφικνουμένων. ἀλλ' οὐδεὶς αὐτῶν ἔγραψε τοῦτο, πάντες δὲ ὥσπερ ἐξ ἑνὸς στόματος ἐπὶ τῇ προειρημένῃ νῦν ὑποθέσει κατὰ τὴν τετάρτην ἡμέραν τρεῖς λέγουσι γενέσθαι παροξυσμούς. ἄν τε τις (ἀναστρέψῃ) καθ' ἑκάστην ἡμέραν ἅπαξ ὑπόθηται τὸν κάμνοντα παροξυνόμενον, ἔνιοι μὲν ἁπλῶς ἀμφημερινὸν ἀποφαίνονται, τινὲς δὲ ἐνδέχεσθαί φασι καὶ δύο τριταίους εἶναι, καὶ τρεῖς τεταρταίους· ὅπως μέντοι χρὴ διακρίνειν αὐτοὺς, οἱ πλείους μὲν οὐδὲ ὅλως ἐζήτησαν, ἔνιοι δὲ τῇ διαφορᾷ τεκμαίρονται τῶν ὡρῶν, ὥσπερ οὐκ ἐνὸν ὥρας ἕκτης εἰ τύχοι, πάντας εἰσβάλλειν ἐν διαφερούσαις ἡμέραις· ὅπερ εἰ γένοιτο, συμβήσεται καθ' ἑκάστην ἡμέραν ἕνα φαίνεσθαι παροξυσμὸν, ἐπιπλεκομένων ἀλλήλαις τῶν τριῶν περιόδων, ἀμφημερινῆς, καὶ τριταίας, καὶ τεταρταίας. ἡ μὲν γὰρ πρώτη τῶν ἡμερῶν, τὸν τεταρταῖον ἕξει μόνον· ἡ δὲ δευτέρα, τὸν τριταῖον· ἡ δὲ τρίτη τὸν ἀμφημερινόν· ἡ δὲ τετάρτη ἅμα πάσας τὰς τρεῖς εἰς ἕνα χρόνον συνεληλυθυίας· ἐφ' αἷς ἡ πέμπτη πάλιν ἡμέρα τὴν ἀμφημερινὸν ἕξει μόνον· ἡ δ' ἕκτη πρὸς ταύτῃ καὶ τὴν τριταῖον· ἡ δὲ ζ. τὰς τρεῖς εἰς ἕνα χρόνον συνεληλυθυίας. ἄδηλον οὖν, ὡς εἴρηται, πότερον ἀμφημερινὸς εἷς ἐστιν, ἢ δύο τριταίων μῖξις, ἢ τριταίων καὶ τεταρταίων, ἢ τεταρταίου καὶ τριταίου καὶ ἀμφημερινοῦ. καὶ μὴν οὐχ ἡ αὐτὴ θεραπεία τριταίου καὶ τεταρταίου, καὶ ἀμφημερινοῦ, πλὴν εἰ καὶ τοῦτο νομίζουσιν. ἀφ' οὗ γὰρ ἐπεπόλασεν ἀπαιδευσία τε ἅμα καὶ ἀναισχυντία τῶν ἐπιπηδώντων τῇ τέχνῃ, θαυμαστὸν οὐδέν ἐστιν ἀγνοεῖσθαί τισι καὶ τὰ τηλικαῦτα. ἀλλ' ἡμεῖς γινώσκομεν εἰς ὅσον διαφερούσης δέονται θεραπείας ἀμφημερινὸς εἷς, τριταίοιν δυοῖν, καὶ τριταῖοι, τεταρταίοιν, ὡς οὐχ οἷόν τε ἐστὶ διακρῖναι κατὰ τοὺς ἀγνοοῦντας ἑκάστου πυρετοῦ τὴν ἰδέαν. καὶ πολλάκις ἐπὶ τῶν καμνόντων ἐθεασάμεθα δυοῖν τριταίοιν ἐπιπλοκὴν ἀμφημερινὸν ἕνα νομίζοντας εἶναι τοὺς θεραπεύοντας, οὓς μόγις ἐπείσαμεν ὑπὸ δυοῖν τριταίοιν ἐνοχλεῖσθαι τὸν κάμνοντα, λυθέντος μὲν ἐξ αὐτῶν πρότερον τοῦ προτέρου, καταληφθέντος δὲ μόνου τοῦ χαλεπωτέρου. ἅπαντες οὖν ἐοίκασιν οἱ τὰ περὶ τύπων βιβλία γεγραφότες, οὐδὲν φροντίσαι τῆς εἰς τὴν πρόγνωσίν τε καὶ δίαιταν ἐξ αὐτῶν ὠφελείας, ἀλλ' ὥσπερ λέγουσιν, οὕτω καὶ ποιῆσαι, γυμνάσματα τοῖς νέοις γράψαι ταῦτα παραπλήσια τοῖς περὶ δεῖπνον αἰνίγμασιν. εἰ μὲν οὖν αὐτοὺς ἁπλῶς βούλονται γυμνάζειν, ἐνῆν τοῦτο πράττειν ἐπί τε γεωμετρίαν ἄγουσι, καὶ ἀριθμητικὴν, καὶ λογιστικὴν, καὶ διαλεκτικήν· εἰ δ' ἕνεκα

non intellexêre fieri posse, vt duorum typorum accessiones in eandem horam conueniant; quod si eueniat, corrumpuntur ipsis repetitionis notæ. In proposita igitur hypothesi accidere potest, vt quartana in primo die horâ secundâ incipiat, quartana vndecimâ. Quæ quum ita se habent, vna in quarto die est accessio secunda hora inuadens, non tamen vnam dicunt aliquando fieri secundum subiectam hypothesin; sed duas perpetuò. Contemplator autem quomodo liceat & tres simul accessiones in vnam horam concurrere, atque ideo non ignorari implicationem ab iis, qui vniuscuiusq; typi simplicis speciem possunt dignoscere. Fingamus enim in primo die quartanam hora tertia incepisse; in secundo, eadem hora tertianam; in tertio, eadem hora quotidianam; necesse iam his suppositis est in quarto die horâ tertiâ vnam accessionem fieri tribus circuitibus in idem conuenientibus. Sed nullus ipsorum hoc literis mandauit; omnes autem tanquam ex vno ore in prædicta nunc hypothesi quarto die tres fieri accessiones dicunt. Ac siquis singulis diebus semel ægrotum accessionem habere statuat, nonnulli simpliciter quotidianam pronunciant; nonnulli verò duas tertianas esse, ac tres quartanas posse dicunt. Quomodo tamen discernere ipsas conueniat, plures ipsorum neutiquam inquisierunt; nonnulli differentia horarum coniectant, tanquam non liceat hora sexta, verbi causa, omnes diebus diuersis inuadere. Quod si fiat, singulis diebus continget vnam apparere accessionem trium periodorum inuicem implicitarum, quotidianæ, tertianæ, & quartanæ. Nam primus dies, quartanam habebit solam; secundus, tertianam; tertius, quotidianam; quartus simul omnes tres in idem tempus congressas, post quas quintus rursus dies quotidianam habebit solam; sextus præter hanc, etiam tertianam; septimus, tres in idem tempus congressas. Non igitur constat, vt dictum est, vtrum quotidiana vna sit, an duarum tertianarum miscella, aut tertianarum & quartanarum, aut quartanæ, tertianæ, & quotidianæ. Atqui non eadem est curatio tertianæ, quartanæ, & quotidianæ, nisi & hoc arbitrentur. Ex quo enim imperitia simul & impudentia eorum, qui in artem insiliunt lasciuiúntque, præpollet, miri nihil est quibusdam etiam talia ignorari: verùm nos nouimus quam differentem quotidiana vna à tertianis duabus, ac tertianæ à quartanis curationem desiderent: ac neutiquam fieri potest, vt ii qui vniuscuiusque febris speciem ignorant, discernant. Ac sæpè in ægrotantibus medicos vidimus duarum tertianarum implicationem, quotidianam vnam esse autumantes, quibus vix persuasimus ægrotum à duabus tertianis infestari, soluta quidem ex ipsis prius priore, relicta autem sola difficiliori. Omnes igitur, qui de typis libros scripserunt, videntur nihil curare præsidium, quod ex ipsis in prænotionem & victus rationem peruenit; sed quemadmodum dicunt, ita quoque facere, exercitia iuuenibus hæc scribere similia ænigmatis, quæ in cœna proponuntur. Si igitur ipsos absolutè velint exercere, id facere liceret ducentes ipsos ad geometriam, arithmeticen, logisticen, & dialecticen. At si vt inuadentem

dentem accessionem prænoscant, ad hoc veniunt exercitium, ex toto errant, qui iuuenibus prauis insistere viis persuadent, vnde nihil inueniunt vel in prænotionem, vel in curationem vtile; quum liceat ipsos docere, quomodo accessionem internoscant febris quotidianæ, tertianæ, quartanæ, semitertianæ, tritæophyę, aliarúmq; singularum, quæ non modò circuituum figura, sed etiam tota natura inuicem differunt. Nam qui has ignorant dignoscere, inutilis ipsis tota de typis speculatio est; præstiterit autem forsan dixisse, quòd tota hæc sit superuacua. Ei verò qui propriis signis vnamquanque febrem nosse studuerit, non modò lucro est vanam loquacitatem contemnere, sed etiam victus speciem vnicuique conuenientem prænoscere. Sed hi sanè adhuc tolerandi sunt. Etenim Agathinus vir non vulgaris, in eiusmodi disciplinam successit. At qui septem horarum circuitus faciunt, desiderabant quidem non nos, sed Philistionem, aut huiusmodi similem nugas ipsorum irridentem.

A τοῦ προγινώσκειν τὸν ἐρχόμενον παροξυσμὸν ἐπὶ τὸ γυμνάσιον ἀφικνοῦνται τοῦτο, τῆς παντὸς ἁμαρτάνουσι, διὰ μοχθηρῶν ὁδῶν ἰέναι τοὺς νέους ἀναπείθοντες, ἐξ ὧν οὐδὲν εὑρίσκουσιν, οὔτ' εἰς πρόγνωσιν, οὔτ' εἰς θεραπείαν χρηστόν, ἐνὸν αὐτοὺς (ἑαυτοὺς) διδάξαι διαγινώσκειν παροξυσμὸν ἀμφημερινοῦ πυρετοῦ, καὶ τριταίου, καὶ τεταρταίου, καὶ ἡμιτριταίου, καὶ τριταιοφυοῦς, ἑκάστου τε τῶν ἄλλων, ὅσοι μὴ μόνον κατὰ τὸ σχῆμα τῶν περιόδων, ἀλλὰ καὶ κατὰ τὴν ὅλην φύσιν ἀλλήλοις διαφέρουσιν. ὡς ὅσοι γε τούτους ἐπίστανται γνωρίζειν, ἄχρηστος αὐτοῖς πᾶσα ἡ περὶ τύπων θεωρία. κάλλιον δ' ἂν ἴσως εἰπεῖν, ὡς αὕτη μὲν
B ἅπασα ματαία, τῷ δ' ἀσκήσαντι διὰ τῶν ἰδίων σημείων ἕκαστον τῶν πυρετῶν γνωρίζειν, οὐ μόνον κέρδος ἐστὶ τὸ τῆς ματαίου φλυαρίας καταφρονεῖν, ἀλλὰ καὶ τὸ προγινώσκειν γε τὸ τῆς διαίτης εἶδος ἑκάστῳ προσφόρον. ἀλλ' οὗτοι μὲν ἔτι ἀνεκτοί, καὶ γὰρ Ἀγαθῖνος ἀνὴρ οὐχ ὁ τυχὼν εἰς τὴν τοιαύτην ὑπεισῆλθε διδασκαλίαν· οἱ δ' ἑπτὰ ποιοῦντες ὡρῶν περιόδους, ἐδέοντο μὲν οὐχ ἡμῶν, ἀλλὰ Φιλιστίωνος, ἤ τινος τοιούτου τοῦ διαπαίζοντος αὐτῶν τὸν λῆρον.

CAPVT IV.

Methodus, qua recentiores medici typorum species, ac multitudinem comprehendebant.

QVoniam verò iuniorum nonnulli me precibus adegerunt, vt quam ego ludens ipsos docui methodum ad typorum, qui in huiusmodi hypothesibus asseruntur, inuentionem, scriptis mandarem, in illorum gratiam etiam diem vnum in hoc sermone grauatim collocaui. Incipiamus igitur iam disciplinam ipsorum, hinc sumpto initio. Typum hi vocant, non omnem circuitum, sed qui ex integris diebus & noctibus constitutus est, & secundum vnumquenque dierum numerum, peculiarem typum esse volunt, non autem viginti, aut triginta solùm dierum, sed etiam vltra hos typorum circuitus extendentes. At in typis his accessionis tempus ad alteram accessionem non amplius quidem typus, sed hoc solùm, periodus, ipsis nominatur. Audiui autem iam quendam etiam librum integrum non exiguum conscripsisse, docentem quomodo quis in vnaquaque periodo accessoria proposita & speciem inueniat typorum, & numerum, ac per deos admiratus sum, quæ tandem essent, quæ in libro dicit. Nam methodus, ex quibus quis inueniat, quot sit typorum implexus, paucissimis versibus doceri potest, talis quum sit. Numerum horarum vniuscuiusque typi promptum habere conuenit, vel in memoria, vel in charta descriptum. Quotidianæ typum vigintiquatuor, tertianæ, quadragintaocto, atque ita deinceps, quartanæ quidem, septuagintaduo; quintanæ, nonanagintasex; sextanæ, centum viginti; septimanæ centum quadragintaquatuor, & aliarum, vt hæc tabula subscripta habet.

TYPI	HORAS.
Quotidianus	24
Tertianus	48
Quartanus	72
Quintanus	96
Sextanus	120
Septimanus	144

C ΚΕΦΑΛΑΙΟΝ Δʹ.

Ἡ μέθοδος, καθ' ἣν οἱ νεώτεροι τῶν ἰατρῶν τὰ τῶν τύπων εἴδη τε καὶ τὸ πλῆθος κατελάμβανον.

ΕΠεὶ δ' ἠνάγκασάν με τινες τῶν νεωτέρων δεηθέντες, ἣν ἐγὼ παίζων αὐτοὺς ἐδίδαξα μέθοδον εἰς εὕρεσιν τῶν ἐν ταῖς τοιαύταις ὑποθέσεσι τύπων, ἐν γράμμασι καταθέσθαι, δι' ἐκείνους ἀνέθηκα καὶ τούτῳ τῷ λόγῳ μίαν ἡμέραν οὐχ ἑκών. ἀρξώμεθα οὖν ἤδη τῆς διδασκαλίας αὐτῶν ἐντεῦθεν. τύπον οὗτοι καλοῦσιν οὐχ
D ἅπασαν περίοδον, ἀλλ' ἥτις ἂν ἐξ ὁλοκλήρων ἡμερῶν τε καὶ νυκτῶν συγκέκτηται, καὶ καθ' ἕκαστον γε πλῆθος ἡμερῶν ἴδιον εἶναι βούλονται τύπον, οὐδὲ κ. ἢ λ. μόνον ἡμερῶν, ἀλλὰ καὶ τούτων ἐξωτέρω τὰς τῶν τύπων περιόδους ἐκτείνοντες. ἐν δὲ τοῖς τύποις τούτοις ὁ τοῦ παροξυσμοῦ χρόνος ἐπὶ παροξυσμὸν, οὐκέτι μὲν τύπος, αὐτὸ δὲ τοῦτο μόνον ὀνομάζεται αὐτοῖς περίοδος. ἐπυθόμην δή τινα καὶ βιβλίον ὅλον οὐ σμικρὸν γεγραφηκέναι διδάσκοντα, πῶς ἄν τις ἐφ' ἑκάστῃ περιόδῳ παροξυντικῇ προβληθείσῃ, τό τε εἶδος εὑρίσκῃ καὶ τὸν ἀριθμὸν τῶν
E τύπων. καὶ νὴ τοὺς θεοὺς ἐθαύμασα, τίνα ποτ' ἐστὶν ἃ λέγει κατὰ τὸ βιβλίον. ἡ γάρ τοι μέθοδος, ἐξ ὧν ἄν τις εὑρίσκοιτο, πόσων ἐστὶ τύπων ἐπιπλοκή, δι' ἐλαχίστων ἐπῶν διδαχθῆναι δύναται, τοιαύτη τις οὖσα. τὸν ἀριθμὸν τῶν ὡρῶν ἑκάστου τύπου πρόχειρον ἔχειν προσήκει, ἤτοι διὰ μνήμης, ἢ γεγραμμένον ἐν χαρτίῳ, τοῦ μὲν ἀμφημερινοῦ, τὸν τῶν κδʹ. τριταίου δὲ τὸν τῶν ὀκτὼ καὶ τετταράκοντα· καὶ οὕτως ἐφεξῆς, τεταρταίου μὲν οβʹ. πεμπταίου δὲ ϟςʹ. ἑκταίου ρκʹ. ἑβδομαίου δὲ ρμδʹ. καὶ
F τῶν ἄλλων, ὡς τοῦτο τὸ διάγραμμα τὸ ὑποτεταγμένον ἔχει.

Τύποι	ὥρας.
Ἀμφημερινός.	κδʹ.
Τριταῖος.	μηʹ.
Τεταρταῖος.	οβʹ.
Πεμπταῖος.	ϟςʹ.
Ἑκταῖος.	ρκʹ.
Ἑβδομαῖος.	ρμδʹ.

Ὀγδοαῖος.	ρξη'.
Ἐνναταῖος.	ρϟβ'.
Δεκαταῖος.	σιϛ'.
Ἑνδεκαταῖος.	σμ'.
Δωδεκαταῖος.	σξδ'.
Τρισκαιδεκαταῖος.	σπη'.
Τεσσαρεσκαιδεκαταῖος.	τιβ'.
Πεντεκαιδεκαταῖος.	τλϛ'.
Ἑκκαιδεκαταῖος.	τξ'.
Ἑπτακαιδεκαταῖος.	τπδ'.
Ὀκτωκαιδεκαταῖος.	υη'.
Ἐννεακαιδεκαταῖος.	υλβ'.
Εἰκοσταῖος.	υνϛ'.
Εἰκοστὸς πρῶτος.	υπ'.
Εἰκοστὸς δεύτερος.	φδ'.
Εἰκοστὸς τρίτος.	φκη'.
Εἰκοστὸς τέταρτος.	φνβ'.
Εἰκοστὸς πέμπτος.	φοϛ'.
Εἰκοστὸς ἕκτος.	χ'.
Εἰκοστὸς ἕβδομος.	χκδ'.
Εἰκοστὸς ὄγδοος.	χμη'.
Εἰκοστὸς ἔννατος.	χοβ'.
Τριακοστός.	χϟϛ'.
Τριακοστὸς πρῶτος.	ψκ'.
Τριακοστὸς δεύτερος.	ψμδ'.
Τριακοστὸς τρίτος.	ψξη'.
Τριακοστὸς τέταρτος.	ψϟβ'.
Τριακοστὸς πέμπτος.	ωιϛ'.
Τριακοστὸς ἕκτος.	ωμ'.
Τριακοστὸς ἕβδομος.	ωξδ'.
Τριακοστὸς ὄγδοος.	ωπη'.
Τριακοστὸς ἔννατος.	ϡιβ'.
Τεσσαρακοστός.	ϡλϛ'.
Τεσσαρακοστὸς πρῶτος.	ϡξ'.
Τεσσαρακοστὸς δεύτερος.	ϡπδ'.
Τεσσαρακοστὸς τρίτος.	͵αη'.
Τεσσαρακοστὸς τέταρτος.	͵αλβ'.
Τεσσαρακοστὸς πέμπτος.	͵ανϛ'.
Τεσσαρακοστὸς ἕκτος.	͵απ'.
Τεσσαρακοστὸς ἕβδομος.	͵αρδ'.
Τεσσαρακοστὸς ὄγδοος.	͵αρκη'.
Τεσσαρακοστὸς ἔννατος.	͵αρνβ'.
Πεντηκοστός.	͵αροϛ'.

Τοιοῦτον ἐχέτωσαν ἐν χαρτίῳ διάγραμμα ἐσκευασμένον οἱ μὴ δυνάμενοι ῥαδίως λογίζεσθαι. μετὰ δὲ τὴν τούτου παρασκευὴν ἐπισκοπείσθωσαν ὁ προβληθεὶς παροξυσμὸς τῶν κατὰ τοὺς παροξυσμοὺς περιοδικῶν ὡρῶν ὅστινος τῶν πρόσθεν γεγραμμένων ἀριθμῶν ἐστὶ μόριον. εὑρόντες γὰρ αὐτὸν ἕξουσι τὸ γένος τοῦ τύπου (γένος δὲ, ἢ εἶδος, ἢ ἰδέαν, ἢ φύσιν ἐν τῷ παρόντι λέγειν οὐ διοίσει) τὸν δὲ ἀριθμὸν, τῶν τύπων εὑρεθέντων, κατὰ τὸ μόριον. εἰ μὲν γὰρ τρίτον εἴη τὸ μόριον ὁ κατὰ τὴν περίοδον ἀριθμὸς τῶν ὡρῶν τοῦ τύπου, τρεῖς ἐρεῖς ἀλλήλοις ἐκείνους περιπεπλέχθαι τοὺς τύπους. εἰ δὲ τέταρτον, τέτταρας. εἰ δὲ πέμπτον, πέντε, παρώνυμον ἀεὶ τὸν ἀριθμὸν τοῦ μέρους ποιούμενος. ἵνα δὲ καὶ διὰ παραδείγματος εὑρεθῇ σαφεστέρα ἡ μέθοδος, ἔστω τινὰ παροξύνεσθαι μὲν ὥραις ἕξ, ἐξανίεσθαι δὲ δυοῖν, ὥστε τὴν ὅλην περίοδον ὑπάρχειν ὡρῶν ὀκτώ. κατὰ ταύτην τὴν ὑπόθεσιν ἐπισκέψῃ, τί μέρος ἐστὶ τὰ η'. τῶν κδ'. εἶθ' εὑρὼν, ὅτι τρίτον, ἀμφημερινοὺς ἐρεῖς ἐπιπεπλέχθαι τρεῖς. ἀμφημερινοὺς μὲν, ὅτι τοῦ τῶν κδ'. ἀριθμοῦ μόριόν ἐστιν ὁ τῶν ὀκτώ· τρεῖς δὲ, ὅτι τρίτον. ὑποκείσθω δὲ πάλιν ἑκκαίδεκα ὡρῶν εἶναι τὴν κατὰ τοὺς παροξυσμοὺς περίοδον. ἐπεὶ τοίνυν τὰ δεκαὲξ τῶν κδ'. οὐκ ἔστι

Octanus	168
Nonanus	192
Decumanus	216
Vndecumanus	240
Duodecumanus	264
Tridecumanus	288
Quatuordecumanus	312
Quindecumanus	336
Sexdecumanus	360
Septemdecumanus	384
Octodecumanus	408
Nouemdecumanus	432
Vigesimanus	456
Vigesimanusprimus	480
Vigesimanussecundus	504
Vigesimanustertius	528
Vigesimanusquartus	552
Vigesimanusquintus	576
Vigesimanussextus	600
Vigesimanusseptimus	624
Vigesimanusoctauus	648
Vigesimanusnonus	672
Trigesimanus	696
Trigesimanusprimus	720
Trigesimanussecundus	744
Trigesimanustertius	768
Trigesimanusquartus	792
Trigesimanusquintus	816
Trigesimanussextus	840
Trigesimanusseptimus	864
Trigesimanusoctauus	888
Trigesimanusnonus	912
Quadragesimanus	936
Quadragesimanusprimus	960
Quadragesimanussecundus	984
Quadragesimanustertius	1008
Quadragesimanusquartus	1032
Quadragesimanusquintus	1056
Quadragesimanussextus	1080
Quadragesimanusseptimus	1104
Quadragesimanusoctauus	1128
Quadragesimanusnonus	1152
Quinquagesimanus.	1176

Huiusmodi habeant in charta tabulam paratam qui facilè computare non possunt. Post huius apparatum inspiciatur proposita accessio ex periodicis accessionum horis, cuius primùm scriptorum numerorum sit pars. Hoc enim inuento typi genus habebunt (genus autem, vel speciem, vel formam, vel naturam, in præsentiarum dicere nihil intererit,) numerum autem, typis inuentis, secundum partem. Si enim tertia fuerit pars horarum typi numerus periodi, tres dices typos illos inuicem implexos, si quarta, quatuor, si quinta, quinque, numero semper ex parte nomen imponens. Vt autem & exemplo methodus fiat manifestior, fingamus aliquem accessionem experiri horis sex, hanc autem remittere duabus, vt totus circuitus octo sit horarum. In hac hypothesi considerato, quæ pars sint octo vigintiquatuor; deinde inueniens tertiam esse, quotidianas tres implexas esse dices, quotidianas sanè, quoniam numeri vigintiquatuor pars est numerus octo continens; tres autem, quia tertia pars. Supponatur rursum sexdecim horarum esse accessionum circuitum. quoniam igitur sexdecim numerus vigintiquatuor nulla est

est pars, quadraginta autem octo tertia est, & quadragintaocto tertianæ periodi est numerus, tres febres tertianas inuicem implicatas esse dices. Supponatur rursum accessionum periodus esse horarum octodecim; pars autem hæc est neque quotidianæ horarum numeri, neque tertianæ, sed quartanæ qui horarum septuaginta duarum est. Dices igitur quatuor quartanas implicatas esse; quartanas sanè, quoniam ex septuaginta duarum horarum numero constat, quatuor autem, quoniam octodecim horarum numerus pars quarta est septuagintaduarum. Statuamus iterum accessionum periodum horarum esse quinque, pars autem sunt quinque horæ centenarum viginti vigesimaquarta; dices igitur typos sextanos vigintiquatuor inuicem esse implexos. Pone rursus accessionum horarum periodum septem, pars autem hæ sunt centenarum sexagintaocto horarum, hoc est octani typi, vigesimaquarta. Quare pronunciabis typos octanos esse vigintiquatuor. Finge iterum accessionum periodum horarum nouem; pars autem sunt hæ ducentenarum sexdecim horarum vigesimaquarta; hæ rursus ducentæ sexdecim sunt decimi typi circuitus. Erunt igitur in hypothesi hac decumani typi quatuor & viginti. Subiiciatur rursus accessionum periodus horarum decem; duodecima autem pars est numerus hic centenarum viginti; qui est sextanæ periodi; idcirco sextanæ erunt duodecim. Ponatur iterum accessionum circuitus vndecim esse horarum; mensura autem est ducentarum sexagintaquatuor numeri vndecim per vigintiquatuor. Erunt igitur vigintiquatuor typi duodecumani inuicem impliciti, quoniam secundum vigintiquatuor numerum vndecim duodecumani typi horarum numerum metiuntur, qui est ducentarum sexagintaquatuor. Semper igitur typorum species ex numeris in tabula descriptis inuenietur; multitudo verò ipsorum deprehenditur, si noscas, quota numeri pars accessionum horarum numerus existat; quod idem est, ac si noueris, iuxta quem numerum is, qui accessionum est, typi numerum metitur: siquidem à se mutuò denominationem sumunt & numerus hic & pars. Nihil igitur interest dicere, tertiam esse partem duodecim horarum quaternarium numerum; aut duodecim per tria in quatuor partiri. Simile huic est etiam si ita dicamus, quaternarius duodenarium per ternarium metitur. Redacta igitur rursus in pauca capita methodo, ad aliam deinceps sermonem digrediar. Erunt autem tanquam quædam ipsius definitiones huiusmodi. Inspiciendæ veniunt accessionum periodorum horæ, quota pars sint horarum typorum. Etenim à parte denominatus numerus, copia typorum erit; at qui ab his partitur, ipse typus est. Alia autem oratione idem sic interpretabitur. Accessionum periodi numerum horarum inspicito, per quem metiatur quemlibet ex iis, qui tabella habentur. Ipse enim ex tabella numerus typorum speciem indicabit, is verò per quem eum periodi numerus metitur, multitudinem ipsorum indicat. Alia verò oratione idem hoc pacto exponetur.

A ἐστι μόριον, τῶν τε μη΄. τρίτον ἐστὶ τὰ δὲ μη΄. τριταίας ἐστὶν ἀριθμὸς περιόδου· τριταίους ἐρεῖς πυρετοὺς πρὸς ἀλλήλοις ἐπιπεπλέχθαι. ὑποκείσθω πάλιν ἡ τῶν παροξυσμῶν περίοδος ὡρῶν ὑπάρχειν ὀκτωκαίδεκα. μέρος δὲ ἐστιν αὕτη οὔτε τῶν κατὰ τὸν ἀμφημερινὸν ὡρῶν ἀριθμοῦ, οὔτε τῶν κατὰ τὸν τριταῖον, ἀλλὰ τοῦ κατὰ τὸν τεταρταῖον, ὅς ἐστιν οβ΄. φήσεις οὖν ἐπιπεπλέχθαι τεταρταίους ἀλλήλοις τέτταρας. τεταρταίους μὲν, ὅτι ἐκ τοῦ τῶν οβ΄. ὡρῶν ἀριθμοῦ· τέτταρας δὲ, ὅτι τέταρτόν ἐστι μέρος ὁ τῶν ὀκτωκαίδεκα ὡρῶν ἀριθμὸς τοῦ τῶν οβ΄. ὑποκείσθω πάλιν ἡ τῶν παροξυσμῶν περίοδος ὡρῶν
B εἶναι ε΄. μέρος δὲ εἰσιν αἱ ε΄. τῶν ρη΄. εἰκοστοτέταρτον· ἐρεῖς οὖν εἶναι τύπους ἑκταίους ἐπιπεπλεγμένους ἀλλήλοις κδ΄. ὑποκείσθω πάλιν ἡ τῶν κατὰ τοὺς παροξυσμοὺς ὡρῶν περίοδος ζ΄. μέρος δὲ εἰσιν αὗται τῶν ρξη΄. τουτέστιν ὀγδοαίου τύπου, τὸ εἰκοστὸν τέταρτον· ἐρεῖς οὖν εἶναι τύπους ὀγδοαίους εἰκοσιτέτταρας. ὑποκείσθω πάλιν ἡ τῶν κατὰ τοὺς παροξυσμοὺς περίοδος ὡρῶν θ΄. μέρος δὲ εἰσιν αὗται τῶν σις΄. εἰκοστοτέταρτον. αὗται δὲ αἱ σις΄. περίοδός ἐστι δεκάτου τύπου. γενήσονται γοῦν ἐπὶ τῆς ὑποθέσεως ταύτης δεκαταῖοι τύποι τέτταρες
C καὶ εἴκοσιν. ὑποκείσθω πάλιν κατὰ τοὺς παροξυσμοὺς περίοδος ὡρῶν δέκα· δωδέκατον δὲ ἐστι μέρος ἀριθμὸς οὗτος τῶν ρκ΄. ὅστις ἐστὶν ἑκταίας περιόδου, διὰ ταῦτα οὖν ἑκταῖοι γενήσονται δώδεκα. ὑποκείσθω πάλιν ἡ κατὰ τοὺς παροξυσμοὺς περίοδος ὡρῶν ὑπάρχειν ἕνδεκα· μετρεῖται δὲ ὁ τῶν σξδ΄. ἀριθμὸς ὑπὸ τῶν ἕνδεκα κατὰ τὸν κδ΄. ἔσονται οὖν κδ΄. ἀλλήλοις ἐπιπλεκόμενοι τύποι δωδεκαταῖοι, διότι κατὰ τὸν τῶν κδ΄. ἀριθμὸν ὁ τῶν ια΄. μετρεῖ τὸν τοῦ δωδεκαταίου τύπου τῶν ὡρῶν
D ἀριθμόν, ὅστις ἐστὶν ὁ τῶν σξδ΄. ἀεὶ τοίνυν εὑρεθήσεταί σοι τὸ μὲν εἶδος τῶν τύπων ἐκ τῶν ἐν τῷ διαγράμματι γεγραμμένων ἀριθμῶν· τὸ δὲ πλῆθος αὐτῶν ἐκ τοῦ γνῶναι πόστον ἐστὶ τοῦ ἀριθμοῦ μέρος ὁ τῶν κατὰ τοὺς παροξυσμοὺς ὡρῶν ἀριθμός, ὅπερ ταὐτόν ἐστι τῷ γνῶναι κατὰ τίνα τῶν ἀριθμῶν ὁ κατὰ τοὺς παροξυσμοὺς μετρεῖ τὸν τοῦ τύπου· συνονομάζονται γὰρ ἀλλήλοις ὅ, τε ἀριθμὸς ἐστὶ, καὶ τὸ μόριον. οὐδὲν γοῦν διαφέρει τρίτον εἶναι μέρος φάναι τῶν ιβ΄. τὸν τῶν δ΄. ἀριθμόν, ἢ μετρεῖσθαι πρὸς τοὺς τέτταρας τὸν δώδεκα κατὰ τὸν τρία.
E ταὐτὸν δὲ ἐστι τούτῳ κἂν οὕτως εἴπωμεν, ὁ τέτταρας τὸν δώδεκα μετρεῖ κατὰ τὸν τρία. γράψας οὖν πάλιν ἐν κεφαλαίοις βραχέσι τὴν μέθοδον, ἐφ᾽ ἕτερον ἐφεξῆς μεταβήσομαι λόγον. ἔσονται δὲ ὥσπερ τινὲς αὐτῆς ἀφορισμοὶ τοιοίδε. ἐπισκέπτεσθαι χρὴ τὴν κατὰ τοὺς παροξυσμοὺς περιόδων ταῖς ὥραις, πόστον μέρος εἰσὶ τῶν κατὰ τοὺς τύπους ὡρῶν. ὁ μὲν γὰρ τοῦ μέρους συνονομαζόμενος ἀριθμὸς, τὸ πλῆθος ἔσται τῶν τύπων· ὁ δὲ ὑπὸ τούτων μετρούμενος, αὐτὸς ὁ τύπος. ἑτέρᾳ δὲ λέξει ταὐτὸν ἑρμηνευθήσεται οὕτως· τὸν κατὰ τοὺς παροξυσμοὺς περιόδου
F τὸν ἀριθμὸν τῶν ὡρῶν ἐπισκέπτου, κατὰ τίνα μετρεῖ τῶν ἐκ τοῦ διαγράμματος ὁντινοῦν. αὐτὸς μὲν γὰρ ὁ ἐκ τοῦ διαγράμματος ἀριθμὸς, τὸ εἶδος τῶν τύπων δηλώσει· καθ᾽ ὃν δὲ τοῦτον ἐμέτρησεν ὁ τῆς περιόδου, τὸ πλῆθος αὐτῶν. ἄλλῃ δὲ λέξει ταὐτὸν οὕτως ἑρμηνευθήσεται.

ὁ κατὰ τοὺς παροξυσμοὺς ἀριθμὸς τῶν περιοδικῶν ὡρῶν ὁσάκις ἂν μετρῇ τινα τῶν κατὰ τοὺς τύπους, τοσαυτάκις ὁ τύπος ἐκεῖνος ἑαυτῷ συμπλέκεται. συμπλέκεται δὲ ἢ ἐπιπλέκεται λέγειν οὐ διοίσει.

Numerus horarum periodicarum accessionis quoties metitur aliquem ex iis, qui inter typos habentur, toties typus ille sibi ipsi implicatur; siue autem implicatur, siue complicatur dicas, nihil refert.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Πόσα ἁμαρτήματα τῇ πρότερον παραδεδομένῃ μεθόδῳ ἕπεται.

ΠΟλλαῖς δὲ καὶ ἄλλαις λέξεσίν ἐστιν ἑρμηνεῦσαι τὴν αὐτὴν μέθοδον, ἀλλ' ἀρκεῖ καὶ μέχρι τοσούτου προεληλυθέναι τῆς ματαιοτεχνίας αὐτῶν, ἵνα καὶ διὰ βραχέων κεφαλαίων ἐπιδεῖξαι δυνηθῶμεν ἕκαστον τῶν ἑπομένων ἁμαρτημάτων, ἀρξάμενοι πάλιν ἀπὸ τῶν προχειροτέρων. ἐπεὶ γὰρ ὅταν ἡ κατὰ τοὺς παροξυσμοὺς περίοδος ὡρῶν ᾖ δώδεκα, δύνανται μὲν εἶναι καὶ δύο ἀμφημερινοὶ, δύνανται δὲ καὶ τριταῖοι τέτταρες, καὶ τεταρταῖοι δ' οὐδὲν ἧττον ἕξ, καὶ ὀκτὼ πεμπταῖοι, καὶ δέκα ἑκταῖοι, καὶ δώδεκα ἑβδομαῖοι, καὶ δεκατέσσαρες ὀγδοαῖοι, καὶ δεκαὲξ ἐνναταῖοι, καὶ δεκαοκτὼ δεκαταῖοι, πάλιν οὖν κατὰ τόνδε τὸν τρόπον ὁδὸς εὑρίσκεται φλυαρίας οὐ σμικρά, στῆναι μὴ δυναμένη, μηδέ τινα σκοπὸν ὡρισμένον ἔχειν, ἔνθα περιγράφειν αὐτὴν ἀναγκαῖον ἔσται. τί γὰρ μᾶλλον ἄχρι τῶν ὀκτωκαίδεκα δεκαταίων, ἢ τῶν εἴκοσι δωδεκαταίων, ἢ τῶν εἰκοσιδύο δωδεκαταίων προαιρεῖσθαι προσήκει, ἢ τινος τῶν ἐφεξῆς περιόδων; ἔξεστι γὰρ λέγειν εἰκοσιτέσσαρας μὲν εἶναι τρισκαιδεκαταίους, ἓξ δὲ καὶ εἴκοσι τεσσαρεσκαιδεκαταίους, ὀκτὼ δὲ ἐπὶ ταῖς εἴκοσι πεντεκαιδεκαταίους. ὁμοίως τε τούτοις ἔξεστι δὴ προστιθέναι. διήκει μὲν γὰρ ἤδη τοῦτο καὶ κατὰ τοὺς ἀμφημερινούς ἐστιν, ἔτι δὲ ληρωδέστερον ἐπὶ τῶν τριταίων καὶ τεταρταίων, καὶ πολὺ μᾶλλον ἁπάντων τῶν ἐφεξῆς. ἡ γοῦν τῶν ἑκκαίδεκα ὡρῶν περίοδος οὐδὲν μᾶλλόν ἐστι τριῶν τριταίων, ἢ ἓξ πεμπταίων, ἢ ἑβδομαίων θ'. δύναται δὲ αὕτη δώδεκα μὲν ἐνναταίων εἶναι, πεντεκαίδεκα δὲ δεκαταίων, ὀκτωκαίδεκα τρισκαιδεκαταίων, ἑνὸς δὲ ἐπὶ τῶν κ'. πεντεκαιδεκαταίων, ἀνάλογόν τε τῶν ἐφεξῆς ἁπάντων. ἀλλ' ἐμοὶ τὴν ὁδὸν ἀρκεῖ μόνον ἐνδεδεῖχθαι τῆς περὶ τὰ τοιαῦτα ἀπωλείας τοῦ χρόνου. καὶ γάρ τοι καὶ ἡ τῶν η'. καὶ ι'. ὡρῶν περίοδος (ἐνδειξάμενος γὰρ ἔτι καὶ τὴν ταύτης ὁδὸν ἐπ' ἄλλο τι μεταβήσομαι) τεττάρων μέν ἐστι τεταρταίων, ὀκτὼ δὲ ἑβδομαίων, δεκαταίων δὲ δώδεκα. καὶ τούτων ἁπάντων ἐστὶν ἑκάστου μέθοδος, ὥστε ἐπὶ δακτύλων λογίσασθαι μὴ δεηθέντα διαγράμματος. ἀλλ' ἐγὼ μὲν διὰ τὶ παιδείας ἕκαστον τούτων ἀποκρίνομαι τοῖς προλαβοῦσι τὸ διάγγελμα, διὰ δὲ γεγυμνάσθαι τὴν παιδικὴν ἡλικίαν ἐν ἀριθμοῖς. ἀγύμναστος δὲ ἄνθρωπος οὐ μηνῶν, ἀλλ' ἐτῶν ὅλων εἰς αὐτοὺς δεῖται χάριν τοῦ γενέσθαι σοφὸς ἐν ἀχρήστοις πράγμασιν, ἃ μετὰ σπουδῆς τινες ἀλλήλοις προβάλλοντες οὐκ αἰδοῦνται. ὅτι μὲν οὖν ἁμαρτάνουσι διττὰ πάντες οἱ τὰ περὶ τύπων ὑπομνήματα γράψαντες, οὔτε τὰς ἰδέας τῶν νοσημάτων διδάσκοντες, οὔτε τοῖς χρηστοῖς τρίβοντες τὸν χρόνον, αὐτάρκως ἡγοῦμαι δεδεῖχθαι.

CAPVT V.

Quot errores ex superiùs tradita methodo consequantur.

IAm multis aliis verbis eandem methodum licet interpretari. Verùm sufficit etiam hactenus vanam istorum artem percensuisse, vt paucis capitibus singulos errores, qui sequuntur, possimus ostendere, rursus à promptioribus exorsi. Quum enim, vbi circuitus per accessiones repetens horarum duodecim fuerit, possint quidem & duæ quotidianæ esse, possint & quatuor tertianæ, & quartanæ nihilominus sex, & octo quintanæ, & decem sextanæ, & duodecim septimanæ, & quatuordecim octanæ, & sexdecim nonanæ, & octodecim decumanæ; rursus igitur eodem modo via nugacitatis non parua inuenitur, quę sistere nequit, neque vllum habere scopum definitum, vbi circunscribere ipsam sit necessarium. Cur enim magis vsque ad octodecim decumanas, aut viginti vndecumanas, aut vigintiduas duodecumanas procedere conuenit, quàm ad aliquam periodorum subsequentium? Licet enim dicere vigintiquatuor quidem esse tridecumanas, sex autem & viginti quatuordecumanas, octo autem supra viginti quindecumanas, similiterque his licet addere. Satis enim iam hoc est de quotidianis. At adhuc nugacius in tertianis & quartanis, ac multò magis omnibus his sequentibus agunt. Sexdecim ergo horarum periodus nihilo magis est trium tertianarum, quàm sex quintanarum, aut septimanarum nouem. Potest hæc duodecim quidem nonanarum esse, quindecim autem vndecumanarum, octodecim tridecumanarum, vnius autem & viginti quindecumanarum, ac ad proportionem omnium subsequentium. Verùm mihi abundè est viam tantùm indicasse, qua in huiusmodi tempus conterunt. Etenim etiam octodecim horarum circuitus (vbi enim huius adhuc viam indicauerim, ad aliud transgrediar) quatuor quidem quartanarum est, octo septimanarum, decumanarum duodecim. Atque horum omnium vniuscuiusque methodus est, vt in digitis citra tabulæ operam possis numerare. Verùm ego sanè loco institutionis singula hæc profero iis, qui per ætatem puerilem in numeris statim sunt exercitati. Nam homo inexercitatus non mensibus, sed totis annis ad eos indiget, quò in rebus inutilibus fiat sapiens, quæ cum studio nonnullos sibi inuicem proponere non pudet. Quòd igitur bifariam errent omnes, qui de typis commentarios scripserunt, dum neque morborum species docent, neque in rebus frugiferis tempus consumunt, abundè satis arbitror esse demonstratum.

CAPVT VI.

Quàm innumeræ & inexplicabiles ex recentiorum hypothesibus typorum implicationes oriantur.

QVandoquidem verò coëgerunt nos relictis vtilibus tempus in refellendis ipsis perdere, ostendamus ipsis in quantam stupiditatem perueniant, tum ipsi, tum qui ipsis tanquam vtile aliquid docentibus attendunt. Nam quum fateantur de re quæ fieri non potest se verba facere, attamen vt exercitium quoddam tractare, cur ne millesima quidem totius curationis parte exercentur? Præterea hypotheses ipsorum inter se pugnant, quas etiam primas tibi percensebo. Nonnulli ipsorum vsque ad quindecim dies typorum circuitus procedere statuunt; nonnulli verò vsque ad mensem; sunt qui etiam ad duos tresve menses venire ponunt. Ego verò quam sententiam habeam de iis, quæ Hippocrates dixit extra periodum quartanam, alibi indicaui, vbi docui, vt mihi persuadeo, speculationem vtilem arti. Nunc autem (neque enim docere mihi propositum in hoc sermone est, sed reprehendere eos, qui neque vtilia scribunt, & speculationem laudant inutilissimam.) ad eos primùm me conuertam, qui vsque ad quindecumanum typum exercitii causa procedere se affirmant. Nam imprudentes hi & nescii suam ipsorum hypothesin aliis, quas apponunt, euertunt. Si enim febris, quæ per horas vigintitres accessionem habet, non est quotidiana quæ anticipet, necessarium est ipsam quatuor & viginti vigesimasquartanas existere. Quemadmodum scilicet & eam, quæ vnâ horâ tardiùs inuadit, vigesimassextanas esse vigintiquatuor. Non igitur verè dicunt qui typos in quindecim dies exporrigi statuunt; multo magis quum vel tertianum, aut quartanum, aut sanè quintanum circuitum horis vel duabus, vel tribus tardiùs inuadentem, aut præuertentem, in typorum implexus ducunt similiter vigintiquatuor vigesimissextanis. Vt enim relicto quindecim dierum circuitu ad quintanæ periodum veniam; in hoc typo, siquidem vna hora accessio anticipet, vigintiquatuor nonagesimæsextanæ erunt; sin autem moretur, vigintiquatuor rursus nonagesimæoctanæ. At si nonnullas iam præuenientes, tardantésque statuant, manifestò suam tollunt hypothesin. Quare necessarium est typos integris diebus & noctibus circumscribi, ipsos statuere, aut nihil est quod nugentur. Eo autem statuto typi in longum dierum numerum procedent, quamuis illi nolint. Melius igitur forsan faciunt, qui per initia statim numerum dierum typorum definiri non posse statuunt. Si enim etiam aliud nihil dicant, puchrè saltem ne quis contra ipsos disserat effugiunt, non quemadmodum priores à seipsis damnantur, dum typos vsque ad quindecim dies progredi supponunt, coguntur autem vti non iis solis, qui ex multis decadibus componuntur, sed etiam iis, qui ex centuriis constant. Quoniam igitur nequeunt typorum multitudinem effugere, fieri non potest vt implicationes inuicem connectentes euitent: sed

ΚΕΦΑΛΑΙΟΝ ϛ΄.

Ὡς ἀναρίθμητοί τε καὶ ἀνέκφραστοι κατὰ τὰς τῶν νεωτέρων ὑποθέσεις, αἱ τῶν τύπων ἐπιπλοκαὶ γίνονται.

ΕΠεὶ δ' ἠνάγκασαν ἡμᾶς ἐάσαντας χρήσιμα τὸν χρόνον εἰς τὴν πρὸς αὐτοὺς ἀντιλογίαν ἀναλίσκειν, ἐπιδείξωμεν αὐτοῖς, εἰς ὅσον ἀναισθησίας ἥκουσιν αὐτοί τε καὶ οἱ προσέχοντες αὐτοῖς, ὡς τι διδάσκουσι χρήσιμον. ὁμολογήσαντες γὰρ αὐτοὶ περὶ πράγματος ἀδυνάτου ποιεῖσθαι σφίσι τοὺς λόγους, ὅμως ὡς ἐπὶ γυμνάσιον αὐτοὺς μεταχειριζόμενοι, τί δή ποτε τῆς ὅλης θεραπείας οὐδ' αὐτῷ χιλιοστῷ μέρει γυμνάζονται; πρὸς τῷ καὶ μάχεσθαι τὰς ὑποθέσεις αὐτῶν ἀλλήλαις, ἃς καὶ πρώτας σοι δίειμι. τινὲς μὲν αὐτῶν ἄχρι τῶν ε΄. καὶ ι΄. ἡμερῶν τύπων ὑποτίθενται προέρχεσθαι τὰς περιόδους· ἔνιοι δὲ μέχρι τῶν μηνιαίων· εἰσὶ δὲ καὶ οἳ μέχρι δυοῖν ἢ τριῶν μηνῶν. ἐγὼ δὲ τίνα μὲν ἔχω γνώμην ὑπὲρ ὧν Ἱπποκράτης εἶπεν ἐξωτέρω τῆς τοῦ τεταρταίου περιόδου, ἐν ἑτέροις ἐδήλωσα, δι' ὧν ἐδίδαξα, ὡς ἐμαυτὸν πείθω, θεωρίαν χρησίμην τῇ τέχνῃ. νυνὶ δέ, οὐ γὰρ διδάξαι μοί τι πρόκειται κατὰ τόνδε τὸν λόγον, ἀλλ' ἐξελέγξαι τοὺς μήτε τὰ χρήσιμα γράφοντας, ἐπαινοῦντάς τε θεωρίαν ἀχρηστοτάτην, ἐπὶ πρώτους τρέψομαι τοὺς ἄχρι τοῦ πεντεκαιδεκαταίου τύπου γυμνασίας ἕνεκα προϊέναι φάσκοντας. ἀναιροῦντες γὰρ οὗτοι τὴν ἑαυτῶν ὑπόθεσιν ἑτέραις ὑποθέσεσιν, ἃς προστιθέασιν, οὐκ αἰσθάνονται. εἰ γὰρ ὁ διὰ κ΄. καὶ γ΄. ὡρῶν παροξυνόμενος πυρετὸς οὐκ ἔστιν ἀμφημερινὸς παραλλακτικός, ἀναγκαῖον αὐτὸν εἶναι τέτταρας καὶ εἴκοσιν εἰκοστοτεταρταίους· ὥσπερ οὖν καὶ τὸν ὑστεροῦντα μίαν ὥραν εἰκοστοεκταίους εἶναι καὶ τοῦτο κ΄. τε καὶ τέτταρας. οὐκ οὖν ἀληθεύουσιν εἰς ε΄. καὶ ι΄. ἡμέρας ἐκτείνεσθαι τοὺς τύπους ὑποτιθέμενοι. πολὺ δὲ μᾶλλον ὅταν ἤτοι τριταίαν ἢ τεταρταίαν ἢ δὴ πεμπταίαν περίοδον, ὥραις ἤτοι δυοῖν, ἢ τρισὶν ὑστερίζουσαν, ἢ προλαμβάνουσαν, εἰς ἐπιπλοκὰς τύπων ἄγουσιν ὁμοίως τοῖς εἰκοσιτέσσαρσιν εἰκοσιεκταίοις. ἵνα γὰρ ἐάσας τὴν πεντεκαιδεχημέρων αὐτῶν περίοδον, ἐπὶ τὴν τοῦ πεμπταίου παραγένωμαι, κατὰ τοῦτον τὸν τύπον, ἐὰν μὲν προλάβῃ μίαν ὥραν ὁ παροξυσμός, εἴκοσι καὶ τέτταρες ἐννενηκονθεκταῖοι γενήσονται· ἐὰν δὲ ὑστερίζῃ, ἐννενηκοστοογδοαῖοι πάλιν κδ΄. εἰ δ' αὐτὰ δὴ ὑποτίθενταί τινας ἤδη προλαμβάνοντας καὶ ὑστερίζοντας, ἀναιροῦσιν ἄρδην ἑαυτῶν τὴν ὑπόθεσιν. ὥστε τὸ μὲν ὁλοκλήροις ἡμέραις τε καὶ νυξὶ περιγράφεσθαι τοὺς τύπους ἀναγκαῖον αὐτοὺς ὑποτίθεσθαι, ἢ οὐκ ἔστιν ὅ τι ληροῦσιν· ὑποκειμένου δὲ αὐτοῦ, προήξουσιν εἰς μακρὸν ἀριθμὸν ἡμερῶν οἱ τύποι, κἂν ἐκεῖνοι μὴ θέλωσι. κάλλιον οὖν ἴσως ποιοῦσιν οἱ κατ' ἀρχὰς εὐθέως ὑποτιθέμενοι τὸν ἀριθμὸν τῶν κατὰ τοὺς τύπους ἡμερῶν ἀπερίληπτον ὑπάρχειν. εἰ γὰρ καὶ μηδὲν ἄλλο λέγουσι, καλῶς γε ἐκφεύγουσι τὴν πρὸς αὐτοὺς ἀντιλογίαν, οὐχ ὥσπερ οἱ πρόσθεν ὑπὸ σφῶν αὐτῶν καταβάλλονται, μέχρι πεντεκαιδεχημέρων ὑποτιθέμενοι προϊέναι τοὺς τύπους, ἀναγκαζόμενοι δὲ χρῆσθαι μὴ μόνοις τοῖς ἐκ πολλῶν δεκάδων συγκειμένοις, ἀλλὰ καὶ τοῖς ἐξ ἑκατοντάδων. ἐπεὶ τοίνυν ἀδύνατόν ἐστιν αὐτοῖς φυγεῖν τὸ πλῆθος τῶν τύπων, ἀδύνατον δήπου καὶ τὰς ἐπιπλοκὰς ἀλλήλοις ἐπιπλέκοντας σώζειν· ἀλλὰ

καθάπερ οἱ τοὺς τρεῖς τύπους ὑποτιθέμενοι μόνους ὑπάρχειν, ἀμφημερινὸν καὶ τριταῖον καὶ τεταρταῖον, ὅμως ἐκ τῆς ἐπιπλοκῆς αὐτῶν συζυγίας ἀποτελοῦσι πολλάς, οὕτως ἀναγκαῖον ἐστι καὶ τούτοις ἐπιπλέκειν ἀλλήλοις ἅπαντας τοὺς τύπους. ὡς οὖν ἐπιπλέκουσι τοὺς τρεῖς, λέγοντες ἑαυτῷ μὲν πρῶτον ἕκαστον, ἔπειτ' ἀλλήλοις, οὕτως ἀναγκαῖον ἐστι καὶ τούτους ἐπιπλέκειν. ἀρξώμεθα οὖν ἀπὸ τοῦ πεμπταίου, καὶ δείξωμεν αὖθις, ὅπως ἐπιπλεκόμενος τῷδε παμπόλλας ποιήσει συζυγίας, οὐδὲν διαφέροντος, εἰ μὴ συζυγίας, ἀλλ' ἐπιπλοκὰς ὀνομάζοι τις τὰ τοιαῦτα. μία μὲν γὰρ ἡ συζυγία αὕτη· τῇ πρώτῃ τῶν ἡμερῶν ἀρχέσθω πεμπταῖος, εἶθ' ἡ τρίτη καὶ ἡ τετάρτη καθαρευέτω πυρετοῦ παντός· ἡ πέμπτη μὲν οὖν κατὰ τὴν πρώτην ἡμέραν ἀρξαμένου πεμπταίου τὸν δεύτερον ἐχέτω παροξυσμόν, ἡ δ' ἕκτη τοῦ κατὰ τὴν δευτέραν· εἶτα ἡ ζ΄. καὶ ἡ η΄. καθαρευσάτων, ἡ μὲν ἐννάτη τὸν τρίτον ἐχέτω παροξυσμὸν τοῦ προτέρου τῶν πεμπταίων, ἡ δὲ δεκάτη τοῦ δευτέρου καὶ αὐτὴ τὸν τρίτον ἐφεξῆς· καὶ κατὰ τὴν ἀναλογίαν ὁ τέταρτος πεμπταῖος προερχέσθω, διαφέροντος οὐδὲν εἰς τὰ παρόντα, διπλοῦν πεμπταῖον ἢ δύο πεμπταίους λέγειν, ὅπερ οὐδ' αὐτὸ συγχωροῦσιν ἅπαντες. ἑτέρα συζυγία δυοῖν πεμπταίων· ἡ πρώτη τῶν ἡμερῶν ἕνα παροξυσμὸν ἑνὸς ἐχέτω πεμπταίου, ἡ δευτέρα δὲ καθαρευέτω, κἄπειθ' ἡ τρίτη τὸν ἕτερον πεμπταῖον ἀρχόμενον ἐχέτω, σωζομένης τῆς ἀναλογίας ἐν ταῖς ἐφεξῆς ἡμέραις. ἄλλη συζυγία δυοῖν πεμπταίοιν. ἡ μὲν πρώτη τῶν ἡμερῶν τὸν ἕτερον αὐτῶν, ἡ δὲ τετάρτη τὸν ἕτερον ἀρχόμενον ἐχέτω, τῶν ἐξῆς ἡμερῶν τὴν ἀναλογίαν φυλαττουσῶν. τετάρτη συζυγία δυοῖν πεμπταίοιν. ὁ μὲν ἕτερος αὐτῶν εἰσβαλλέτω κατὰ τὴν πρώτην νύκτα. πέμπτη συζυγία δυοῖν πεμπταίοιν. ὁ μὲν ἕτερος αὐτῶν ἀρχέσθω κατὰ τὴν πρώτην ἡμέραν, ὁ δ' ἕτερος κατὰ τὴν δευτέραν νύκτα. ἕκτη συζυγία δυοῖν πεμπταίοιν. ὁ μὲν ἕτερος ἀρχέσθω κατὰ τὴν πρώτην ἡμέραν, ὁ δ' ἄλλος κατὰ τὴν τρίτην νύκτα. ἑβδόμη συζυγία δυοῖν πεμπταίοιν. ὁ μὲν ἕτερος ἀρχέσθω κατὰ τὴν πρώτην ἡμέραν, ὁ δ' ἄλλος κατὰ τὴν τετάρτην νύκτα. ταύτας οὖν τὰς ἑπτὰ συζυγίας ἐπλέξαμεν ὑποθέμενοι τὸν πρότερον τῶν πεμπταίων ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἄρχεσθαι, πάλιν δ' ἄλλας ζ΄ ποιησόμεθα, ὑποθέμενοι τὸν πρότερον αὐτῶν ἄρχεσθαι τῆς πρώτης νυκτός. ἐὰν οὖν οὕτως ἐπιπλέξωμεν αὐτοῖς καὶ τὸν ἑκταῖον, δῆλον ὡς πλείους αἱ συζυγίαι γενήσονται· καὶ πλείους ἔτι, τὸν ἑβδομαῖον ἐπιπλεκόντων, καὶ πολὺ πλείους ἔτι τὸν ὀγδοαῖον, ἢ καὶ τὸν δεκαταῖον, ἵνα μηδὲν εἴπω περὶ τῶν εἰκοσταίων καὶ τριακοσταίων καὶ τεσσαρακοσταίων, ὅσοι τε πρὸς τούτοις ἐδείχθησαν ἐξ ἀνάγκης ἑπόμενοι ταῖς ὑποθέσεσιν αὐτῶν. ἐκεῖνοι μὲν οὖν ἐάσθωσαν ἐν τῷ παρόντι, γενέσθω δὲ ἡμῖν ἄχρι τοῦ δεκαταίου. καί μοι πρῶτον ἐννόησον, ὡς νῦν ὁπότε διπλοῦς ὁ πεμπταῖος γίγνεται, τὰς συζυγίας εἴπομεν, ἐὰν δὲ τριπλοῦς γενηθείη, δῆλον ὅτι πλῆθος οὐκ ὀλίγον ἄλλο γενήσεται συζυγιῶν. ἐγχωρεῖ δήπου καὶ τετραπλοῦν αὐτὸν γενέσθαι, καθ' ἑκάστην ἡμέραν ἑνὸς εἰσβάλλοντος παροξυσμοῦ. πενταπλοῦς δ' αὖ γένοιτο μιχθέντος τῷ τετραπλῷ κατὰ μίαν νύκτα πέμπτου τινὸς ἐπὶ τοῖς εἰρημένοις τέτταρσι πεμπταίοις, καὶ τούτου πάλιν αὐτοῦ τετραχῶς· ἢ γὰρ ἐν τῇ πρώτῃ νυκτὶ τὴν ἀρχὴν δύναται λαβεῖν, ἢ τινι τῶν ἐφεξῆς, ἤτοι τῇ δευτέρᾳ, ἢ τῇ τρίτῃ, ἢ τῇ τετάρτῃ, ἢ τῇ πέμπτῃ. ἡ δ' αὐτὴ ποικιλία τούτοις ἐστὶ καὶ κατὰ τοὺς ἄλλους τύπους, καὶ μᾶλλον ἔτι κατὰ τοὺς πολυημερωτέρους αὐτῶν. ἐὰν οὖν ἐπιπλέκῃς ἅπαξ τὴν τοῦ πεμπταίου ποικιλίαν τῇ κατὰ τὸν ἑκταῖον, ἐννοεῖς, οἶμαι, πόσον ἔσται πλῆθος. ἐὰν δὲ μίξῃς αὐτῷ καὶ τὸν ἑβδομαῖον, ἢ ὀγδοαῖον,

quemadmodum qui tres typos solos esse ponunt, quotidianum, tertianum & quartanum, tamen ex ipsorum implexu multa efficiunt coniugia, ita necessarium erit etiam his omnes typos inuicem coniungere. Vt igitur implicant tres cõmemoratos, primùm sanè vnumquemque sibi, deinde inter se; sic necessarium erit his quoque implicare. Incipiamus igitur à quintana, ostendamúsque ipsis quomodo huic implicita permulta efficiat coniugia; nec refert *quicquam*, si quis non coniugia, sed implicationes eas appellet. Vnum itaque coniugium tale est; primo die incipiat quintana, deinde tertius quartúsve dies ab omni febre purus sit; quintus sanè quintanæ, quæ primo die incepit, secundam habeat accessionem, sextus autem eius, quæ secundo inuasit; deinde septimo & octauo à febre liberis, nonus quidem tertiam primæ quintanæ habeat accessionem, decimus verò secundæ & ipse tertiam deinceps; pari proportione quarta quintana procedat. Nihil autem refert in præsentia duplicem quintanam, aut duas quintanas dicere, quod nec ipsum omnes concedunt. Alterum par duarum quintanarum. Primus dies vnam accessionem vnius habeat quintanæ, secundus liber sit, deinde tertius alteram quintanam incipientem habeat, proportione in subsequentibus diebus seruata. Aliud duarum quintanarum coniugium. Primus dies alteram ipsarum, quartus alteram incipientẽ habeat, subsequentibus diebus proportionem seruantibus. Quartum coniugium duarum quintanarum. Altera ipsarum prima nocte inuadat. Quintũ duarum quintanarum coniugium. Altera ipsarum prima die incipiat, altera secũda nocte. Sextum duarum quintanarum par. Altera prima die auspicetur, reliqua tertia nocte. Septimum duarum quintanarum par. Altera primo die incipiat, altera quarta nocte. Hæc igitur septem coniugia coniunximus, statuentes priorem quintanam primo die auspicari. Rursus autem alia septem faciemus, primam ipsarum nocte prima incipere supponentes. Si igitur ita ipsi & sextanam adiunxerimus, constat plura fore coniugia; at plura adhuc si septimanam implicuerimus; multóque plura, si octanam, vel etiam decumanam; vt nihil dicam de vigesimanis, trigesimanis, quadragesimanis, quæque præter has ostensæ sunt necessariò hypotheses ipsorum sequi. Illæ igitur in præsentia dimittantur; fiant autem à nobis vsque ad decumanam. Ac primùm mihi considera, quod nunc quum duplex quintana gignitur, coniugia diximus, Si autem triplex oborta fuerit, constat multitudinem haud paucorum parium aliam generari. Iam verò licet & quadruplicem ipsam fieri, quotidie vna inuadente accessione. Quintuplex etiam fiet, mixta quadruplici, vna nocte, quinta quadam post commemoratas quatuor quintana, atque hac rursus ipsa quadrifariam; vel enim prima nocte principium potest sumere, vel quadam subsequenti, aut secunda, aut tertia, aut quarta, aut quinta. Hoc autem ipsum varium his est etiam in aliis typis, & maximè in his, qui plures dies continent. Si igitur omnem quintanæ varietatem ei, quę in sexta est, coniunxeris, vides opinor quanta sit multitudo. At si eis vel septimanam miscueris vel

vel octanã, aut aliquam subsequentium, deinde rursus ex quatuor typis ita inuicem implicitis alia facias coniugia, deinde ex quinque, postea rursus ex pluribus, puto te intelligere, quantus coniugationum numerus futurus sit, aut quot opus libris ad eorum disciplinam. Qualis enim in eis erit plexus, conabor tibi paucis indicare, initium sermoni hoc constituens. In singulis typis priùs conueniet coniugationum varietatem persequi, vt in quintana paulò antè ostendi; postea ipsas inter se complicare, primùm sanè vnum par eorum, quæ ex quintana fiunt, verbi causa, vni sextanæ coniugio, vt ex duobus paribus tertium quoddam aliud oriatur; deinde omnibus omnia deinceps connectere, postea ita vnum duobus, hinc tribus, hinc pluribus, vsque dum vniuersa typi, qui complicatur, coniugia vni permisceas. Post hoc duo paria vnius typi quintani vnicuique aliorum miscere, deinde duobus, aut tribus, aut quatuor, vsque dum omnia inuicem complicueris; deinde ita rursus quatuor coniugia iis, quæ in vnoquoque typo sunt, miscere, postea quinque, deinde sex, vsquedum omnia quintani coniugia omnibus aliorum coniugiis permiscueris, non simul videlicet omnium, sed vniuscuiusque separatim, vt quintani paria iis, quæ in septimano habentur; postea ita octani, aut nonani, aut decumani, aut alicuius subsequentium coniugiis. Inde quemadmodum quintanum singulis aliis cõmiscuisti, ita iam decumanũ vnicuique aliorum miscere; postea septimanum, octanum, & reliquos. Vbi verò hoc feceris, necessarium erit trium typorum coniugia omnia omnibus coniungere, hinc quatuor, inde quinque, mox sex, postea septem, atque ita deinceps, donec omnia omnium complicuerimus. Quòd verò adeò copiosa coniugiorum erit multitudo, vt myriades numeratu difficiles existant, quemlibet puto etiam numeri imperitum intelligere. potest & arithmeticis sermone communicato, audire ab ipsis multitudinem. Ego enim si ostendere nunc eam vellem, libro mihi opus esset maiore iis, quos hæc nugantes scripserunt, non considerantes se vel millesimam implicationum particulam non attigisse, etsi multa inaniter sunt loquuti. Si igitur vtile esse arbitrantur typos inuicem commiscere, sciant se vtilis millesimam partem inuenisse: sin autem inutile, pudore capti iam tandem vocent ad libros Vulcanum, aut si ipsi non vocent, tempus corrumpet. Quis enim ex ipsis alius ex scribet? quis non & hos iam dissecans in quotidianos vsus impendet?

ἤ τινα τῶν ἐφεξῆς, εἶτα πάλιν ἐκ τεττάρων τύπων οὕτως ἀλλήλοις ἐπιπεπλεγμένων ἑτέρας ποιήσῃς συζυγίας, εἶτ᾽ ἐκ πέντε, κἄπειτ᾽ αὖθις ἐκ πλειόνων· οἶμαί σε λογίζεσθαι πόσος ἀριθμὸς ἔσται συζυγιῶν, ἢ πόσων δεήσει βιβλίων εἰς τὴν διδασκαλίαν αὐτῶν. ὁποία γάρ τις ἡ καὶ αὐτὰς ἔσται πλοκή, πειράσομαί σοι διὰ βραχέων ἐνδείξασθαι, τὴν ἀρχὴν τῷ λόγῳ τήνδε τιθέμενος. καθ᾽ ἕκαστον τῶν τύπων πρότερον δεήσει τὴν ποικιλίαν τῶν συζυγιῶν διελθεῖν, ὡς ἐπὶ τοῦ πεμπταίου μικρὸν ἔμπροσθεν ἔδειξα· μετὰ ταῦτα ἐπιπλέκειν ἀλλήλαις αὐτάς, πρότερον μὲν μίαν συζυγίαν τῶν ἐκ τοῦ πεμπταίου, φέρε εἰπεῖν, μιᾷ τῇ κατὰ τὸν ἑκταῖον, ὡς ἐκ δυοῖν συζυγιῶν γενέσθαι τινὰ τρίτην ἄλλην, εἶθ᾽ ἑξῆς ἁπάσαις ἁπάσας ἐπιπλέκειν, εἶθ᾽ οὕτω μίαν δυοῖν, εἶτα τρισίν, εἶτα πλείοσιν, ἄχρι περ ἂν ἁπάσας τοῦ συμπλεκομένου τύπου τὰς συζυγίας ἀναμίξῃς τῇ μιᾷ· μετὰ δὲ τοῦτο δύο συζυγίας ἑνὸς τύπου τοῦ πεμπταίου μιᾷ καθ᾽ ἑκάστην τῶν ἄλλων μιγνύειν, εἶτα δυοῖν, ἢ τρισίν, ἢ τέτταρσιν, ἄχρι περ ἂν ἁπάσας ἀλλήλαις ἐπιπλέξῃς· εἶθ᾽ οὕτω πάλιν τέτταρας συζυγίας τοῦ καθ᾽ ἕκαστον τύπον μιγνύειν, εἶτα πέντε, κἄπειτα ἕξ, μέχρι περ ἂν ἁπάσας τοῦ πεμπταίου τὰς συζυγίας ἁπάσαις τῶν ἄλλων ἀναμίξῃς, οὐχ ὁμοῦ δηλονότι πάντων, ἀλλ᾽ ἑκάστου κατὰ μόνας, εἶτα τὰς τοῦ πεμπταίου τῶν κατὰ τὸν ἑβδομαῖον, εἶθ᾽ οὕτω τῶν κατὰ τὸν ὀγδοαῖον, ἢ τὸν ἐνναταῖον, ἢ τὸν δεκαταῖον, ἤ τινα τῶν ἐφεξῆς· εἶθ᾽ ὥσπερ τὸν πεμπταῖον ἑκάστῳ τῶν ἄλλων ἔμιξας, οὕτως ἤδη τὸν δεκαταῖον ἑκάστῳ τῶν ἄλλων μιγνύειν, ἔπειθ᾽ ἑβδομαῖόν τε καὶ ὀγδοαῖον, καὶ τοὺς ἄλλους. ὅταν δὲ τοῦτο ποιήσῃς, ἀναγκαῖον ἔσται τριῶν τύπων τὰς συζυγίας ἁπάσας ἁπάσαις ἐπιπλέκειν, εἶτα τεττάρων, εἶτα πέντε, κἄπειθ᾽ ἕξ, εἶτα ἑπτά, καὶ οὕτω καθεξῆς, ἄχρι περ ἂν ἁπάσας ἁπάντων ἐπιπλέξωμεν. ὅτι δὲ οὕτω πολὺ πλῆθος ἔσται τῶν συζυγιῶν, ὡς δυσαριθμήτους γενέσθαι μυριάδας, ἤδη νομίζω κατάδηλον εἶναι, κἂν ἄπειρος ἀριθμοῦ ᾖ. δύναται δὲ καὶ τοῖς ἀριθμητικοῖς κοινωσάμενος τὸν λόγον, ἀκοῦσαι παρ᾽ αὐτῶν τὸ πλῆθος. ἐγὼ γὰρ ἐὰν ἐπιδεικνύναι νῦν αὐτὸ βουληθῶ, βιβλίου μοι δεήσει μείζονος, ὧν οἱ ταῦτα ληροῦντες ἔγραψαν, οὐκ ἐννοήσαντες ὅτι μυριοστοῦ μορίου τῶν ἐπιπλοκῶν ἥψαντο, καίτοι γ᾽ ἀδολεσχήσαντες πολλά. εἰ μὲν οὖν χρήσιμον εἶναι νομίζουσιν ἐπιπλέκειν ἀλλήλοις τύπους, ἴστωσαν τοῦ χρησίμου τὸ μυριοστὸν μέρος εὑρηκότες· εἰ δ᾽ ἄχρηστον, αἰδεσθέντες ἤδη ποτὲ καλείτωσαν ἐπὶ τὰς βίβλους τὸν Ἥφαιστον, ἢ κἂν αὐτοὶ μὴ καλέσωσιν, ὁ χρόνος αὐτὰς διαφθερεῖ. τίς γὰρ ἐξ αὐτῶν ἄλλος ἔτι γράψει; τίς δὲ οὐ καὶ ταύταις ἤδη κατατεμὼν, εἰς τὰς ἐφημέρους χρείας ἀναλώσει.

CAPVT VII.

Altera methodus typorum inueniendorum.

His iam scriptis, & quibusdam amicis traditis, aut aliis discere volentibus, quomodo tabula se habeat, ego statim proponentibus typorum multitudinem respondeo. Est itaque methodus non alterius cuiusdam generis, sed priori subiecta. Persuadeberis autem & ipse rem ita se habere, si reuoces priùs in memoriam, promptúmve semper habeas, diem nos hoc tempore appellare tempus ex die & nocte compositum, quem nonnulli

ΚΕΦΑΛΑΙΟΝ Ζ.

Ἑτέρα μέθοδος τοῦ τοὺς τύπους εὑρίσκειν.

Τούτων ἤδη γεγραμμένων, καί τισι τῶν ἑταίρων ἐκδεδομένων, ἢ ἀξιωσάντων ἑτέρων μαθεῖν, ὅπως ἂν ἔχῃ τοῦ διαγράμματος, ἐγὼ παραχρῆμα τοῖς προβάλλουσιν ἀποκρίνομαι τὸ πλῆθος τῶν τύπων. ἔστιν οὖν ἡ μέθοδος οὐχ ἑτέρου τινὸς γένους, ἀλλ᾽ ὑποπεπτωκυῖα τῇ προτέρᾳ. πεισθήσῃ δὲ καὶ αὐτὸς οὕτως ἔχειν ἀναμνησθεὶς πρότερον ἀεί τε πρόχειρον ἔχων τὴν μνήμην αὐτῶν, ὡς ἡμέραν ὀνομάζομεν ἐν τῷ χρόνῳ τούτῳ τὸν συγκείμενον χρόνον ἔκ τε τῆς ἡμέρας καὶ τῆς νυκτός,

ὥσπερ ἔνιοι προσαγορεύουσι νυχθήμερον. οὕτω γοῦν καὶ τὸν ἐνιαυτὸν εἶναι λέγομεν ἡμερῶν τξε΄. καὶ τετάρτου. μιᾶς μὲν οὖν ἡμέρας τέτταρες ἐπὶ ταῖς κ΄. ὧραι γίγνονται, δυοῖν δὲ ὀκτὼ καὶ τετταράκοντα, τριῶν δὲ δύο καὶ ἑβδομήκοντα. τὰ δὲ ὀνόματα τοῖς τύποις οὐκ ἀπὸ τῶν συμπληρουμένων ἡμερῶν ἐστιν, ἀλλ' ἀπὸ τῆς ἀνταποδόσεως τοῦ παροξυσμοῦ. τριταῖον μὲν ὀνομάζομεν, ᾧ διὰ τρίτης ἡμέρας ὁ παροξυσμὸς γίγνεται, δυοῖν μεταξὺ δηλονότι καὶ συμπληρωθεισῶν· τεταρταῖον δέ, ᾧ κατὰ τετάρτην, τριῶν κἀπὶ τούτῳ μεταξὺ συμπληρουμένων ἡμερῶν, ἐπί τε τῶν ἄλλων ἀνάλογον. ὥσθ' ὅταν εὕρῃς περίοδον τύπου τεττάρων ἡμερῶν, πεμπταῖον ἐρεῖς αὐτόν. οὐ ταὐτὸν γάρ ἐστι διὰ πέμπτης τε παροξύνεσθαι, καὶ πέντε ἡμερῶν ἔχειν περίοδον. εἰ μεμνημένος τούτων ἐθέλοις τοῦτο, πάλιν ἀναμνήσθητί μοι τῆς ἐπὶ τοῖς ἔμπροσθεν ἐπὶ τῷ διαγράμματι μεθόδου. ἐλέχθη δὲ ὅτι τὸν προβληθέντα περιοδικῶν ἀριθμὸν ὡρῶν, ὃς ἐστι τὰ μεταξὺ δυοῖν ἀρχῶν γίνεται παροξυσμοῦ, ἐπισκέπτεσθαι πότερον μετρεῖ τὸν ἐν τῷ διαγράμματι περιεχόμενον ἀριθμὸν ὁποιονοῦν· ἦσαν δ' ἐκεῖνοι κατὰ πολλαπλασιασμὸν ὡρῶν εἰκοσιτεττάρων γενόμενοι. ἵνα οὖν χωρὶς διαγράμματος αὐτὸς εὑρίσκῃς ἐπὶ δακτύλων τοῦτο, ταυτὶ πρᾶττε. τῶν μὲν ἓξ καὶ ὀκτὼ προβληθέντων, εὐχερῶς ἂν εὕρῃς τέσσαρας μὲν ἀμφημερινοὺς γενομένους, ὅταν ἓξ ὡρῶν προβεβλημένη περίοδος ᾖ· τρεῖς δ' ὅταν ὀκτώ. τῶν δ' ἑπτὰ προβληθέντων, ἢ τινος ἄλλου τῶν μὴ μετρούντων τὸν τῶν εἰκοσιτεττάρων ὡρῶν ἀριθμόν, ἐπισκέπτου πότερον ἔχει τι μέρος ὁ προβληθεὶς, ἢ οὐδέν, ὅτι μὴ τὴν μονάδα. εἰ μὲν ἔχει τι παρὰ τὴν μονάδα μέρος ἄλλο, καθάπερ ὁ μὲν ἐννέα τὸ τρίτον, ὁ δὲ πεντεκαίδεκα τὸ τρίτον τε καὶ τὸ πέμπτον, ἐπισκέπτου ποῖον αὐτοῦ τῶν μερῶν κοινόν ἐστι πρὸς τὸν τῶν εἰκοσιτεττάρων. αὐτίκα γοῦν τρίτον μὲν ὁ τῶν εἰκοσιτεττάρων ὡρῶν ἀριθμὸς ἔχει, πέμπτον δ' οὐκ ἔχει, καθάπερ ὁ τῶν πεντεκαίδεκα. ἐὰν μὲν οὖν προβεβλημένη περίοδος ὡρῶν ἐννέα τύχῃ, τὸ τρίτον μὲν ταύτης λήψῃ, τὸ τρίτον δὲ καὶ τῶν κδ΄. τὰ ὀκτώ, καὶ φήσεις ὀκτὼ τύπους εἶναι τρισὶν ἡμέραις περιγραφομένους. ἠξίουν δέ σε μεμνῆσθαι τοὺς τοιούτους τύπους τεταρταίους ὀνομάζεσθαι. εἰ δὲ ιε΄. ὡρῶν περίοδος εἴη, τῶν μὲν ιε΄. τὸ τρίτον λαβὼν, πέντε ἡμερῶν εἶναι τοὺς τύπους, ὥσπερ ἐστὶν ἑκταίους· τῶν δὲ κδ΄. ἐπεὶ καὶ τούτων τὸ τρίτον ὀκτὼ γίγνεται, τοσούτους ἐρεῖς εἶναι καὶ τοὺς ἑκταίους τύπους. εἰ δὲ μηδὲν μόριον ὁ προβεβλημένος ἀριθμός, ἢ οἷός περ ἐστὶν ὁ ζ, κδ΄. ὀγδοαίους. οὕτω δὲ καὶ εἰ ἕνδεκα ὡρῶν ἡ προβεβλημένη περίοδος, κδ΄. εἶναι τοὺς τύπους ἐνδεκαημέροις ἐφεξῆς, ὥσπερ ἐστὶ δωδεκαταίους. οὕτω δὲ καὶ εἰ τρισκαίδεκα ὡρῶν ἡ περίοδος ᾖ, τέσσαρας ἐπὶ τοῖς εἴκοσι τεσσαρεσκαιδεκαταίους. ὡσαύτως δὲ κἂν μείζων ἡ προβεβλημένη περίοδος τῶν κδ΄. ὡρῶν, εἰ μὲν μηδὲν ἔχοι μέρος κοινὸν πρὸς τὸν τῶν κδ΄. ὥσπερ ἐπὶ τοῦ τῶν ε΄. καὶ κ΄. συμβέβηκε, τέτταρας καὶ κ΄. ἐρεῖς εἶναι εἰκοσιεκταίους τύπους. (ὥσπερ γε καὶ κ΄.) εἰ δ' εἴη τι κοινὸν μέρος ἀμφοῖν, ὥσπερ ἐπὶ τῶν ζ΄. καὶ κ΄. τὸ τρίτον ἐστὶν, ὀκτὼ φήσεις εἶναι δεκαταίους, ἐπεὶ τῶν μὲν κ΄. καὶ δ΄. τὸ τρίτον ἐστὶν θ΄. τῶν δὲ κζ, θ΄. δῆλον γὰρ ὅτι τοῦ δεκαταίου τύπου περίοδός ἐστιν

noctidiem nominant; sic itaque & annum esse dicimus dierum trecentorum sexagintaquinque, & quartæ *vnius partis*. Itaque diei vnius, quatuor & viginti horæ sunt; duorum, quadragintaocto; trium, septuagintaduæ; nomina verò typis non à diebus completis sunt, sed ab accessionis repetitione. Tertianam sanè appellamus, cui tertio die accessio oboritur, duobus interea iam nimirum & absolutis; quartanam, cui quarto quôque die, tribus & in hac interea diebus completis, ac in aliis ad proportionem. Quapropter quum circuitum typi quatuor dierum inueneris, quintanam ipsam dices; non idem nanque est, quinto quoque die accessionem inuadere, & quinque dierum esse circuitum. His igitur in memoria positis, rursus reminiscere dictam priùs in tabula methodum. Dictum autem est propositum horarum periodicarum numerum, quæ inter duo principia fit accessio, inspici debere, vtrum metiatur in tabula contentum numerum quemlibet. Erant autem illi pro horarum vigintiquatuor multiplicatione effecti. Vt igitur citra tabulam ipse in digitis inuenias, hoc ipsum facito. Sex quidem & octo propositis, commodè vtique inuenies quatuor quotidianas fieri, quum sex horarum circuitus propositus existit; tres autem, quum octo. Septem autem propositis, aut alio quodam non metiente vigintiquatuor horarum numerum, inspicito vtrum propositus partem aliquam habeat, an nullam præter vnitatem. Si enim habeat aliquam aliam partem præter vnitatem, quemadmodum nouem tertiam, quindecim tertiam & quintam, inspicito qualis ipsius pars communis sit numero vigintiquatuor. Exempli causâ tertiam sanè vigintiquatuor horarum numerus, quintam autem non habet, quemadmodum quindecim horarum numerus. Si igitur proposita periodus horarum nouem fuerit, tertiam sanè huius capies, tertiam autem & numeri vigintiquatuor, nempe octo; ac dices octo typos esse tribus diebus circunscriptos. volebam autem te memorem esse huiusmodi typos quartanos nominari. Sed si quindecim horarum circuitus fuerit, quindecim sanè tertiâ parte captâ, quinque dierum typos esse, hoc est sextanos. At horarum vigintiquatuor, quoniam & harum tertia pars octo sunt, tot esse dices etiam sextanæ typos; quòd si nulla pars propositus numerus fuerit, qualis est septenarius, vigintiquatuor octanas. Ita quoque si vndecim horarum propositus fuerit circuitus, vigintiquatuor typos esse vndecim dierum dices, hoc est duodecumanos. Sic vbi tredecim horarum circuitus fuerit, quatuor & viginti quatuordecumanos. Pari modo si maior fuerit propositus circuitus quàm horarum vigintiquatuor, siquidem nullam habet mensuram communem cum numero vigintiquatuor, quemadmodum in vigintiquinque contingit, vigintiquatuor esse typos vigesimossextanos dices (*quemadmodum & viginti*.) At si communis vtrique mensura quæpiam fuerit, quemadmodum in vigintiseptem numero tertia pars est, octo decumanos asseuerabis; quandoquidem horarum vigintiquatuor tertia pars sunt octo, vigintiseptem autem, nouem. Quippe constat decu-

decumani typi circuitum esse dierum nouem A absolutorum, qui sanè horarum numerum ducentarum sexdecim efficiunt, cuius pars octaua est propositus vigintiseptem horarum numerus. Hæc igitur methodus communi in tabulâ prædictæ subiacet, tantùm ab illa differens, quòd aliquis etiam citra tabulam inuenire potest primum horarum numerum, diurnis circuitibus mensuratum, cuius pars est propositus. Hæc speculatio demonstrata est etiam ab Euclide in libro elementorum, septimum autem ipsius est caput. At maius vtrique numero commune capientes, considerare oportet, quoties communis hæc mensura vtrunque B numerum metitur; vt in quindecim & vigintiquatuor, prima communis mensura est trium numerus. Hic autem quindenum numerum metitur per quinum, vigesimumquaternarium numerum per octo. siue igitur quinque multiplicaueris in numerum vigintiquatuor, siue octo in quindecim, eundem numerum fieri inuenies, vt centenarum viginti horarum, dierum autem nimirum quinque; atque idcirco typum sextanum dices. Eadem ratione si propositus numerus horarum tredecim fuerit, communiter metientur & hic & vigintiquatuor ex ambobus inter se multiplicatis factum, qui est trecentarum duodecim hora- C rum numerus (quandoquidem ad primos dictos numeros pertinet tredecim. Appellant enim sic, quorum non est communis mensura præter vnitatem.) Itaque numerus quem vtrique metiuntur erit tricenus duodenus; nam ter & decies hic vigintiquatuor horas continet; typus autem dierum erit absolutorum tredecim, hoc est quatuordecumanus; quandoquidem autem quater & vigesies hic numerum ducentorum duodecim metitur, multitudo typorum erit quatuor & viginti. D Habete itaque iam & hanc methodi demonstrationem, etsi non statueram res inutiles vos docere; satius enim erat ipsas omnino contemnere, memores oraculi Pythici, nempe, Parcendum esse tempori.

A ἡμερῶν ἐννέα συμπληρουμένων, αἵτινες ὡρῶν ἀριθμὸν ἐργάζονται ἑκκαίδεκα καὶ διακοσίων. οὗ μέρος ὄγδοόν ἐστιν ὁ προβεβλημένος ἀριθμὸς εἰκοσιεπτὰ ὡρῶν. ὑποπέπτωκεν οὖν ἡ μέθοδος αὕτη τῷ κατὰ τὸ διάγραμμα κοινῇ προειρημένῃ, τοσοῦτον ἐκείνης διαλλάττουσα, τῷ δύνασθαι καὶ χωρὶς τοῦ διαγράμματος εὑρεῖν τινα πρῶτον ἀριθμὸν ὡρῶν ἡμερησίαις περιόδοις μετρούμενον, οὗ μέρος ὁ προβεβλημένος ἐστίν. τὸ δὲ θεώρημα τοῦτο δέδεικται καὶ παρὰ Εὐκλείδου κατὰ τὸ τῶν στοιχείων, ἕβδομον δὲ αὐτοῦ ἐστι κεφάλαιον. τὸ δὲ μεῖζον κοινὸν ἀμφοτέρων τῶν ἀριθμῶν χρὴ λαμβάνοντας σκέψασθαι ποσάκις ἑκάτε- B ρον μετρεῖ τὸν ἀριθμὸν τὸ κοινὸν τοῦτο μέτρον, οἷον ἐπὶ τοῦ πεντεκαίδεκα καὶ τοῦ τῶν εἰκοσιτεσσάρων πρῶτον κοινὸν μέτρον ἐστὶν ὁ τῶν τριῶν ἀριθμός· οὗτος δὲ τὸν ε΄. καὶ ι΄. μετρεῖ κατὰ τὸν ε΄. τὸν δὲ εἰκοσιτέσσαρα κατὰ τὸν ὀκτώ. ἐὰν οὖν τὸν ε΄. πολλαπλασιάσῃς ἐπὶ τὸν τῶν κδ΄, ἐάν τε τὸν η΄. ἐπὶ τῶν ιε΄, τὸν αὐτὸν ἀριθμὸν εὑρήσεις γινόμενον, ὥσπερ ἑκατὸν καὶ εἴκοσιν ὡρῶν, ἡμερῶν δὲ δηλονότι ε΄. καὶ διὰ τοῦτο τὸν τύπον ἑκταῖον ἐρεῖς. κατὰ δὲ τὸν αὐτὸν λόγον, εἰ τρισκαίδεκα ὡρῶν ὁ προβεβλημένος ἀριθμὸς εἴη, κοινῇ μετρήσουσιν οὗτός τε καὶ ὁ τῶν κδ΄. τὸν ἐξ ἀμφοτέρων ἀλλήλων πολλαπλασίων γινόμενον, ὅσπερ ἐστὶν ὁ C τῶν τιβ΄. (ἐπεὶ τῶν πρώτων καλουμένων ἀριθμῶν ἐστιν ὁ τρισκαίδεκα. προσαγορεύουσι γὰρ οὕτως ὧν οὐκ ἔστι κοινὸν μέτρον πλὴν μονάδος) ὁ μὲν οὖν ἀριθμὸς, ὅσον ἀμφότεροι μετροῦσιν, ἔσται τιβ΄. τρισκαιδεκάκις γὰρ οὗτος ἔχει τὰς κδ΄. ὥρας. ὁ δὲ τύπος ἡμερῶν ἔσται τελείων τριῶν καὶ ι΄, τουτέστι τεσσαρεσκαιδεκαταῖος· ἐπεὶ δὲ τετράκις τε καὶ εἰκοσάκις οὗτος μετρεῖ τὸν τῶν τιβ΄, τὸ πλῆθος τῶν τύπων ἔσται δ΄. ἐπὶ τοῖς κ΄. ἔχετε γοῦν ἤδη καὶ ταύτην ἀπόδειξιν τῆς μεθόδου, καίτοι γ᾽ οὐ βου- D ληθέντος ἐμοῦ διδάσκειν ὑμᾶς ἄχρηστα πράγματα· κάλλιον γὰρ ἦν αὐτῶν ὅλως καταφρονεῖν μεμνημένους τοῦ Πυθικοῦ παραγγέλματος, ὡς φείδεσθαι προσήκει χρόνου.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΝΩΜΑΛΟΥ ΔΥΣΚΡΑΣΙΑΣ ΒΙΒΛΙΟΝ.

GALENI DE INAEQVALI INTEMPERIE LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἅπαντας τοὺς τρόπους διδάσκει, δι' ὧν ἡ ἀνώμαλος δυσκρασία καὶ καθ' ὅλον τοῦ ζώου τὸ σῶμα, καὶ καθ' ἓν ὁποιονοῦν μόριον γίνεται.

ARGVMENTVM LIBRI.

Modos omnes docet, quibus inæqualis intemperies tum in vniuerso corpore, tum in aliqua animalis parte oriatur.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Δι' ὧν τρόπων ἡ ἀνώμαλος δυσκρασία γίνεται.

ΑΝΩΜΑΛΟΣ δυσκρασία γίγνεται μὲν καὶ καθ' ὅλον τοῦ ζώου τὸ σῶμα ἐνίοτε, καθάπερ ἔν τε τοῖς ἀνὰ σάρκα λεγομένοις ὑδέροις, καὶ τοῖς ἠπιάλοις καλουμένοις πυρετοῖς, καὶ σχεδὸν ἅπασι τοῖς ἄλλοις, πλὴν τῶν ἑκτικῶν ὀνομαζομένων· γίγνεται δὲ καὶ καθ' ἓν ὁποιονοῦν μόριον, οἰδισκόμενον, ἢ φλεγμαῖνον, ἢ γαγγραινούμενον, ἢ ἐρυσιπελατούμενον, ἢ καρκινούμενον. τούτου δὲ τοῦ γένους καὶ ὁ καλούμενος ἐλέφας, καὶ ἡ φαγέδαινα, καὶ ὁ ἕρπης. ἀλλὰ ταῦτα μὲν ἅπαντα μετὰ ῥευμάτων. ἄνευ δ' ὕλης ἐπιῤῥύτου, μόναις ταῖς ποιότησιν ἀλλοιουμένων τῶν μορίων, ἀνώμαλοι γίνονται δυσκρασίαι, ψυχθέντων ἢ ἐκκαυθέντων, ἢ γυμνασαμένων ἐπὶ πλέον, ἢ ἀργησάντων, ἢ τι τοιοῦτον ἕτερον παθόντων. οὐ μὴν ἀλλὰ κἀκ τῶν ἔξωθεν προσπιπτόντων, ἀνώμαλοι δυσκρασίαι τοῖς σώμασιν ἡμῶν πλείονες ἐγγίνονται, θερμαινομένοις, ἢ ψυχομένοις, ἢ ξηραινομένοις, ἢ ὑγραινομένοις. ἁπλαῖ μὲν γὰρ αὗται, καθότι κἀν τοῖς περὶ κράσεων ὑπομνήμασιν ἐδείκνυτο· σύνθετοι δὲ ἐξ αὐτῶν εἰσιν ἕτεραι τέσσαρες, ἢ θερμαινομένων ἅμα καὶ ξηραινομένων, ἢ ψυχομένων τε ἅμα καὶ ὑγραινομένων, ψυχομένων τε ἅμα καὶ ξηραινομένων, ἢ θερμαινομένων τε ἅμα καὶ ὑγραινομένων. ὅτι δ' αἱ τοιαῦται δυσκρασίαι διαφέρουσι τῶν ὁμαλῶν, τῷ μὴ κατὰ πάντα τὰ μόρια τοῦ δυσκράτως διακειμένου σώματος ὡσαύτως ὑπάρχειν, ἄντικρυς δῆλον. ὅστις οὖν ὁ τρόπος τῆς γενέσεώς ἐστιν ἁπάσαις ταῖς ἀνωμάλοις δυσκρασίαις, ἐν τῷδε τῷ γράμματι πρόκειται διελθεῖν. ἵνα δὲ σαφὴς ὁ λόγος γένηται, ἀναμνῆσαι χρὴ πάντων τοῦ σώματος μορίων, ἀρξάμενον ἀπὸ τῶν μεγίστων, ἃ δὴ καὶ τοῖς ἰδιώταις γινώσκεται. χεῖρας γάρ τοι, καὶ πόδας, καὶ γαστέρα, καὶ θώρακα, καὶ κεφαλὴν, οὐκ ἔστιν ὃς ἀγνοεῖ.

CAPVT PRIMVM.

Quibus modis inæqualis fiat intemperies.

INÆQVALIS intemperies fit interdum & in vniuerso animalis corpore, vt in hydrope quem aquam intercutem vocant, & febribus quas epialas appellant, & propè cæteris omnibus, iis exceptis quas hecticas nominant. Oboritur autem & in vnaquaque parte, quum ea œdemate, vel phlegmone, vel gangræna, vel erysipelate, vel cancro obsidetur; huius autem generis est & qui elephas vocatur, & phagedæna, & herpes. Verùm hæc quidem omnia cum fluxionibus consistunt. Citra verò materiam affluentem, quum partes solis qualitatibus alterantur, inæquales intemperies fiunt, iis vtique refrigeratis, aut deustis, aut præter modum exercitatis, aut feriatis, aut aliquid eiusmodi perpessis. Præterea ex iis quæ foris occursant, inæquales intemperies nostris corporibus oboriuntur, quum calefiunt, vel refrigerantur, vel siccantur, vel humectantur. Hæ nanque simplices intemperies sunt, vt in commentariis de temperamentis demonstratum est. Compositæ verò ex iis aliæ quatuor sunt, quum corpora vel calefiunt simul & siccantur; vel calefiunt simul & humectantur; vel refrigerantur simul & siccantur; vel refrigerantur simul & humectantur. Quòd autem eiusmodi intemperies ab æqualibus eò dissideant, quòd in omnibus intemperanter affecti corporis partibus æqualiter non insint, id clarè liquet. Ergo quis sit omni inæquali intemperiei generationis modus, in hocce libello enarrare propositum est. Quò autem clarior euadat oratio, reuocare in memoriam oportet omnes corporis partes, sumpto à maximis exordio, quæ sanè & idiotis innotescunt; manus enim, & pedes, & ventrem, & thoracem, & caput, nemo est qui ignoret.

CAPVT II.

Partium corporis sectio, & libri propositum.

SEcetur autem à nobis earum rursus vnaquæque in sibi continuas *integrantes* appellatas partes, verbi gratiâ, crus in femur, tibiã, & pedem; manus in brachium, cubitum, & summam manum; Et verò summæ manus propriæ partes sunt carpus, metacarpium, & digiti; Digitorum præterea, ossa, cartilagines, ligamenta, nerui, arteriæ, venæ, membranæ, carnes, tendones, vngues, cutis, adeps. Has verò etiamnum in aliam speciem secare non conceditur, sed sunt similares ac primæ, exceptis tamen arteriis, & venis; hæ nanque ex fibris, & membranis sunt conditæ, vt in anatomicis administrationibus traditum est. Quin etiam multa sunt spatia inter ipsas primas & similares partes appellatas, atque his etiam plura, maioráque inter ipsas organicas, & compositas; aliquando verò & in vnaquaque similari parte, vt in osse, cutéque; atque de his quoque omnibus, in administrationibus anatomicis dictum est. Etenim mollia corpora, quum sibi inuicem incumbunt, interpositorum spatiorum sensum adimunt; sed quæ dura siccáque sunt, in iis maximè deprehendere spatia licet, sicuti ossium cauernulas. Continent hæ ex naturâ in sese humorem crassum & album, ad id comparatum, vt ossa nutriat. Quæ in cute foramina sunt, ea quâ ratione fiant, in libris de temperamentis dictum est. Atque hæc monuisse necessarium erat perspicuitatis gratiâ eorum, quæ à nobis deinceps explicanda sunt. De inæquali verò intemperie nunc agendum; tum quænam eius natura sit, tum quot eius generationis modi. Ergo quod in omnibus corporis ita affecti partibus vna temperies non sit, priùs dictum est; verùm id quidem omnis intemperiei inæqualis est commune; differentiæ verò *eius* ipsam corporum affectorum naturam sequuntur. Aliter enim simplex caro, aliter vniuersus musculus ad inæquale temperamentum peruenit.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τομὴ τοῦ σώματος μορίων καὶ τὸ τοῦ βιβλίου προκείμενον.

ΤΕτμήσθω δὲ πάλιν ὑφ' ἡμῶν ἓν ὁποιοῦν ἐξ αὐτῶν εἰς τὰ προσεχῆ καλούμενα μόρια, σκέλος μὲν εἰ τύχοι εἰς μηρὸν καὶ κνήμην καὶ πόδα· χεὶρ δ' αὖ εἰς βραχίονά τε καὶ πῆχυν καὶ ἄκραν χεῖρα. καὶ μὲν δὴ καὶ ἄκρας χειρὸς οἰκεῖα μόρια καρπὸς καὶ μετακάρπιον καὶ δάκτυλοι· δακτύλων δ' αὖ πάλιν, ὀστᾶ, καὶ χόνδροι, καὶ σύνδεσμοι, καὶ νεῦρα, καὶ ἀρτηρίαι, καὶ φλέβες, ὑμένες τε καὶ σάρκες, καὶ τένοντες, ὄνυχές τε καὶ δέρμα καὶ πιμελή. ταῦτα δ' οὐκέτ' ἐγχωρεῖ τέμνειν εἰς ἕτερον εἶδος, ἀλλ' ἔστιν ὁμοιομερῆ τε καὶ πρῶτα, πλὴν ἀρτηριῶν τε καὶ φλεβῶν· αὗται γὰρ ἐξ ἰνῶν τε καὶ ὑμένων σύγκεινται, καθὸ κἀν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν ἐλέγετο. καὶ μὲν δὴ καὶ ὡς χῶραι πολλαὶ μεταξὺ τῶν εἰρημένων ὁμοιομερῶν τε καὶ πρώτων μορίων ὑπάρχουσι, καὶ τούτων ἐπὶ πλείους τε καὶ μείζους ἐν τῷ μέσῳ τῶν ὀργανικῶν τε καὶ συνθέτων, ἐνίοτε δὲ καὶ καθ' ἓν ὁποιοῦν ὁμοιομερὲς μόριον, ὡς ἐν ὀστῷ καὶ δέρματι· καὶ περὶ τούτων ἁπάντων ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν εἴρηται. τὰ μὲν οὖν μαλακὰ τῶν σωμάτων ἀλλήλοις ἐπιπίπτοντα, τὰς μεταξὺ χώρας ἀδήλους ἐργάζεσθαι πρὸς τὴν αἴσθησιν· ὅσα δὲ σκληρὰ καὶ ξηρὰ, πάνυ φωρᾶσαι αὐτῶν αἰσθητὰ τὰ διαλείμματα, καθάπερ ἐν ὀστοῖς τὰς σήραγγας. ἔχουσι δὲ αὗται κατὰ φύσιν ἐν ἑαυταῖς ὑγρὸν παχὺ καὶ λευκὸν εἰς θρέψιν τοῖς ὀστοῖς παρεσκευασμένον. οἱ δ' ἐν τῷ δέρματι πόροι καθ' ὅντινα γίγνονται τρόπον, ἐν τοῖς περὶ κράσεων εἴρηται. ταῦτα μὲν οὖν ἀναγκαῖον ἦν ἀναμνῆσαι σαφηνείας ἕνεκεν τῶν μελλόντων λεχθήσεσθαι. περὶ δὲ τῆς ἀνωμάλου δυσκρασίας ἤδη ῥητέον, ὁποία τέ τις ἡ φύσις αὐτῆς ἐστι, καὶ ὅσοι τρόποι γενέσεως. ὅτι μὲν δὴ μία κρᾶσις οὐκ ἔστιν ἐν ἅπασι τοῖς μέρεσι τοῦ πεπονθότος οὕτω σώματος, ἔμπροσθεν εἴρηται. ἀλλὰ τοῦτο μὲν ἁπάσης ἀνωμάλου δυσκρασίας κοινόν· αἱ διαφοραὶ δὲ ταῖς τῶν πεπονθότων σωμάτων ἕπονται φύσεσιν. ἄλλως μὲν γὰρ ἡ ἁπλῆ σὰρξ, ἄλλως δὲ ὁ σύμπας μῦς εἰς ἀνώμαλον ἀφικνεῖται κρᾶσιν.

CAPVT III.

Quo pacto in aliqua parte inflammatio oriatur, ac finiatur.

QVum enim fluxio *humoris* calida in musculum decubuit, primùm maiores arteriæ venæque implentur, ac distenduntur; deinde minores; idque fit ad vsque minimas; in quibus quum vehementer fluxio impacta sit, neque ampliùs contineri queat, pars quædam eius per ipsarum ora, pars quædam etiam per tunicas colata foras transmittitur; tum verò interiecta spatia primorum corporum ita fluxione implentur, vt vndique omnia ab humore & incalescant, & perfundantur. Ea sunt nerui, ligamenta, membranæ, caro ipsa; antéque hæc arteriæ, & venæ, quæ certè primæ, & præter cætera vario dolore afficiuntur. Etenim interiùs à fluxione tum calefiunt, tum distenduntur, ac diuelluntur; exteriùs non modo calefiunt, sed etiam premuntur, ac de-

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τίνα τρόπον ἡ ἐν ἑνί τινι μορίῳ φλεγμονὴ γίνεται καὶ καταπαύεται.

ΑΥτίκα γέ τοι ῥεύματος θερμοῦ κατασκήψαντος εἰς μῦν, πρῶτον μὲν αἱ μείζους ἀρτηρίαι καὶ φλέβες ἐμπίπλανταί τε καὶ διατείνονται, μετὰ ταῦτα δὲ αἱ μικρότεραι, καὶ οὕτω γε μέχρι τῶν σμικροτάτων· ἐν αἷς ὅταν ἰσχυρῶς σφηνωθῇ καὶ μηκέτι στέγηται τὸ ῥεῦμα, τὸ μέν τι κατὰ τὸ στόμα, τὸ δέ τι καὶ διὰ τῶν χιτώνων αὐτῶν διηθεῖται πρὸς τὸ ἐκτός. κἀν τούτῳ πίμπλανται ῥεύματος αἱ μεταξὺ χῶραι τῶν πρώτων σωμάτων, ὥστε καὶ θερμαίνεσθαι καὶ περικλύζεσθαι πανταχόθεν ὑπὸ τῆς ὑγρότητος ἅπαντα. τὰ νεῦρα δέ ἐστι ταῦτα καὶ ὑμένες, καὶ σύνδεσμοι καὶ σάρκες αὐταί. πρὸ δὲ τούτων αἱ ἀρτηρίαι καὶ φλέβες, αἳ δὴ καὶ πρώτως καὶ μάλιστα ποικίλως ὀδυνῶνται. καὶ γὰρ ἔνδοθεν ὑπὸ τοῦ ῥεύματος θερμαίνονταί τε καὶ διατείνονται καὶ διασπῶνται, κἀκ τῶν ἔξωθεν θερμαίνονται ἅμα καὶ θλίβονται καὶ βαρύνονται· τὰ δ' ἄλλα μόρια, τὰ

τὰ μὲν ἐν τῷ θερμαίνεσθαι μόνον ἢ θλίβεσθαι, τὰ δὲ τῷ συναμφοτέρῳ κάμνει. καὶ καλεῖται μὲν τὸ νόσημα φλεγμονή, δυσκρασία δέ ἐστιν ἀνώμαλος τοῦ μυός. τὸ μὲν γὰρ αἷμα τὸ κατ' αὐτὸν, ἤδη ζεῖ· συνεκθερμαίνει δὲ αὐτῷ, πρώτους μὲν καὶ μάλιστα τοὺς χιτῶνας τῶν ἀρτηριῶν καὶ φλεβῶν· ἤδη δὲ καὶ τὰ ἐκτὸς αὐτῶν, οἷς περικέχυται, πάντα. καὶ δυοῖν γε θάτερον ἀναγκαῖον ἀπαντῆσαι, νικήσαντος μὲν τοῦ ῥεύματος, φθορὰν γενέσθαι τῶν νικηθέντων σωμάτων· νικηθέντος δὲ, τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον τῷ μυΐ· καὶ δὴ νικάσθω πρότερον τὸ ῥεῦμα (βέλτιον γὰρ ἀπὸ τῶν κρειττόνων ἄρξασθαι) διττὸς ἐν τούτῳ ὁ τρόπος ἔσται τῆς ἰάσεως, ἢ διαφορηθέντος ἅπαντος τοῦ κατασκήψαντος ὑγροῦ, ἢ πεφθέντος. ἀλλ' ἡ μὲν διαφόρησις εὐκταιοτάτη τῶν ἰάσεών ἐστι· τῇ πέψει δὲ ἕπεσθαι δύο ταῦτ' ἐξ ἀνάγκης, πύου γένεσις καὶ ἀπόστασις. ἀφίσταται δὲ ποτὲ μὲν εἰς τὴν μεγίστην καὶ ἀκυροτάτην τῶν παρακειμένων κοιλοτήτων, ἥπερ δὴ καὶ βελτίστη τῶν ἀποστάσεών ἐστιν· ἐνίοτε δὲ εἰς τὴν μεγίστην μὲν οὐ μὴν ἄκυρον, ἢ εἰς ἄκυρον μὲν οὐ μεγίστην δέ. τοῖς μὲν οὖν κατὰ γαστέρα, καλλίστη τῶν ἀποστάσεών ἐστιν ἡ εἰς τὴν ἐντὸς εὐρυχωρίαν, εἰς ἣν καὶ συρρήγνυνται τὰ πολλά· μοχθηρὰ δὲ ἡ ὑπὸ τὸ περιτόναιον. οὕτω δὲ καὶ τοῖς κατὰ τὸν ἐγκέφαλον, ἡ μὲν εἰς τὰς ἔμπροσθεν κοιλίας, ἀγαθή· μοχθηρὰ δὲ ἡ ὑπὸ τὰς μήνιγγας καὶ εἰς τὴν ὄπισθεν κοιλίαν. αἱ δὲ κατὰ τὰς πλευρὰς ἀποστάσεις εἰς τὰς τοῦ θώρακος εὐρυχωρίας ἐκρήγνυνται· καὶ τῶν μὲν μυῶν ὑπὸ τὸ δέρμα· τῶν δὲ σπλάγχνων ἢ εἰς τὰς ἀρτηρίας καὶ τὰς φλέβας τὰς ἐν αὐτοῖς, ἢ ὑπὸ τὸν ὑμένα τὸν περιέχοντα, καθάπερ τι δέρμα καὶ αὐτὸν ὑπάρχοντα τοῖς σπλάγχνοις. εἰ δὲ νικηθείη τὰ σώματα πρὸς τοῦ ῥεύματος, εἰς τοσαύτην μὲν ἀφίξεται δηλονότι δυσκρασίαν, ὡς καὶ τὴν ἐνέργειαν αὐτῶν ἀπολέσθαι καὶ φθαρῆναι τῷ χρόνῳ· παύσεται δὲ ὀδυνώμενα τηνικαῦτα πρῶτον, ὅταν ἐξομοιωθῇ τῷ μεταβάλλοντι. οὐ γὰρ ἐν τῷ μεταβεβλῆσθαι τὴν κρᾶσιν, ἀλλ' ἐν τῷ μεταβάλλεσθαι, πονεῖ τὰ μόρια, καθότι καὶ ὁ θαυμασιὸς Ἱπποκράτης ἔλεγεν. τοῖσι γὰρ τὴν φύσιν διαλλαττομένοισι καὶ διαφθειρομένοισιν αἱ ὀδύναι γίγνονται. διαλλάττεται δὲ καὶ διαφθείρεται τὴν φύσιν ἕκαστον, θερμαινόμενον, ἢ ψυχόμενον, ἢ ξηραινόμενον, ἢ ὑγραινόμενον, ἢ τὴν συνέχειαν λυόμενον· ἐπὶ μὲν ταῖς ἀνωμάλοις δυσκρασίαις διὰ τὸ θερμαίνεσθαι ἢ ψύχεσθαι μάλιστα (δραστικώταται γὰρ αὗται αἱ ποιότητες) ἤδη δὲ καὶ διὰ τὸ ὑγραίνεσθαί τε καὶ ξηραίνεσθαι. ἐν δὲ τῷ πεινῆν ἢ διψῆν, ἐπιλειπούσης, ἔνθα μὲν τῆς ὑγρᾶς οὐσίας, ἔνθα δὲ τῆς ξηρᾶς· ἐν δὲ τῷ τιτρώσκεσθαι καὶ διαβιβρώσκεσθαι, καὶ τείνεσθαι, καὶ θλίβεσθαι, καὶ διασπᾶσθαι, τῆς συνεχείας λυομένης.

A grauantur; reliquę partes aliæ incalescendo solùm, vel comprimendo, aliæ vtroque genere laborant; appellaturque morbus ipse phlegmone; est autem inæqualis musculi intemperies. feruet enim iam qui in eo est sanguis; is secum calefacit primùm quidem ac maximè arteriarum & venarum tunicas; mox verò, quæ extra has sunt, omnia, quibus circunfunditur. Ita duorum alterum sequi necesse est, vt, si fluxio vicerit, corruptio sequatur victorum corporum; sin fluxio victa sit, vt musculus ad naturalem statum redeat. B Vincatur igitur priùs fluxio (tutius enim est à potentioribus *curationem* exordiri) duplex hîc erit medendi modus, quum vel discussus fuerit totus, qui decubuit, humor, vel concoctus. Verùm discussio optanda maximè curatio est; concoctionem autem hæc duo necessario sequuntur, puris generatio, & abscessus. Abscedit aliquando in cauitatum proximè accubantium tum maximam, tum abiectissimam, qui sanè abscessuum optimus est; interdum in maximam, non tamen abiectam; vel in abiectam, sed non maximam. Quibus igitur in ventrem *fluxus abscedit*, abscessuum is optimus est, qui in internam eius amplitudinem abiit, in quam C etiam plerunque erumpunt; prauus verò, qui sub peritonęum. Ita verò quibus in cerebrum, bonus est, qui in anteriores eius ventriculos abscedit; prauus, sub meningas, & qui in posticum eius ventriculum *fertur*. Costarum verò abscessus in thoracis capacitates erumpunt; musculorum, sub cutem; viscerum, vel in arterias, & venas, quas in se continent, vel in membranam ambientem, quæ tanquam cutis quædam visceribus ipsa est. At si victæ à fluxione corporis partes fuerint, in tantam D nimirum intemperiem deuenient, vt inde tum earum pereat actio, tum ipsæ temporis spatio corrumpantur; Desinent autem tum primùm dolere, quum mutatrici qualitati fuerint assimilatæ; non enim quum mutata est temperies, sed quum mutatur, partes dolent; quemadmodum & præclarus effatur Hippocrates; *Dum enim alteratur ac corrumpitur natura, dolores fiunt.* Alteratur autem ac corrumpitur cuiusque natura, quum vel calefit, vel refrigeratur, vel siccatur, vel humectatur, vel *eius* continuum soluitur. In intemperiebus quidem inæqualibus à calore & frigore potissimum *con-* E *tractis* (hæ nanque efficacissimæ sunt qualitates) deinde verò à siccitate, & humiditate; ab inediâ verò vel siti, quòd hîc humida, illic sicca substantia deficiat; à vulnerantibus, erodentibus, tendentibus, prementibus, & lacerantibus, quòd continuitas soluatur.

ΚΕΦΑΛΑΙΟΝ Δ.

Περὶ γενέσεως τῆς κατὰ τὸ τοῦ ζώου σῶμα ἀνωμάλου δυσκρασίας.

Εἰ μὲν οὖν ἥ τε θερμότης τοῦ αἵματος ἡ κατὰ τὸ φλεγμαῖνον μόριον ἐπιεικὴς ὑπάρχει καὶ τὸ περιεχόμενον αἷμα καθ' ὅλον τὸ τοῦ ζώου σῶμα μετρίως ἔχει κράσεως, οὐ πάνυ τι ῥᾳδίως συνεκθερμαίνεται τῷ πεπονθότι· εἰ δ' ἤτοι ζέοι σφοδρότερον, ἢ εἰ καὶ τὸ καθ' ὅλον τὸ τοῦ ζώου σῶμα αἷμα χολωδέστερον ὑπάρχοι, παραχρῆμα σύμπαν ἐκθερμαίνεται

CAPVT IV.

F

De ortu inæqualis intemperiei in vniuerso animalis corpore.

Itaque si calor sanguinis in parte phlegmone laborante mitis fit, & qui sanguis in vniuerso animalis corpore continetur, moderatam sortiatur temperiem, nequaquam perfacilè vnà cum affecta parte calefit; si verò ferueat sanguis vehementiùs, vel si per totum animalis corpus biliosus fuerit, illicò totus incalescit,

caleſcit; multo verò magis, quum ambo concurrerint, vt & qui ſanguis in phlegmone continetur, admodum calidus ſit, & qui in toto eſt animante, bilioſus. Incaleſcit autem priùs qui in arteriis eſt ſanguis, quòd is tum naturâ calidior, tum verò magis ſpiritalis ſit; deinde verò etiam qui in venis eſt. Quòd ſi pars affinis viſceribus ſanguine ſcatentibus obſeſſa phlegmone fuerit, etiamnum celeriùs cum eo vniuerſus animalis ſanguis incaleſcit; vnóque verbo, à quocunque calefaciente quicquid facilè alterari poteſt, aut naturâ eſt calidum, primum excalefit; quemadmodum & ab eo quod refrigerat, quicquid facilè alterabile eſt, vel naturâ frigidum, id primum refrigeratur. Ac promptus quidem ad alterandum ſpiritus eſt, quòd ex tenuiſſimis conſtet partibus. Calidiſſima naturâ eſt flaua bilis; frigidiſſima verò, pituita. Reliquorum humorum ſanguis poſt flauam bilem calidus eſt, ſicut atra bilis poſt pituitam frigida. Quin etiam alteratur flaua bilis leui momento, à quouis in eam agente; nigra ægrè alteratur. Vno verbo, quicquid tenuium eſt partium, id promptè alteratur; contrà quod craſſarum eſt partium, difficilem ſubit alterationem. Quare multiplices in phlegmonis alterationes oboriri neceſſe eſt, quòd multifariam affecta ſint corpora. Primùm nanque humor, qui phlegmonen excitat, magis minúſve calidus eſt; deinde ipſius putrefactio pro ipſius natura incidit; non minimè verò, prout is magis minúſve impactus eſt. Quæ nanque non perflantur, celeriùs putreſcunt, vt & externis accidit omnibus; cæterùm quum calida temperamento ſunt, & humida, tum vtique potiſſimùm putrent. Iam pars ipſa phlegmone laborans, vel propè, vel longè ſita eſt à multi ſanguinis viſceribus; totuſque ſanguis vel bilioſus eſt, vel melancholicus, vel pituitoſus, vel flatulentus, atque hæc omnia magis minúſque; quare neceſſe eſt multiplices fieri alterationes, ſiue alterum alteri ſit collatum, ſiue idem ſibi.

πολὺ δὲ μᾶλλον ἐπειδὰν ἄμφω συνδράμῃ, καὶ τὸ κατὰ τὴν φλεγμονὴν αἷμα θερμὸν ἱκανῶς εἴη, καὶ τὸ καθ' ὅλον τὸ ζῶον χολῶδες. ἐκθερμαίνεται δὲ πρότερον μὲν τὸ κατὰ τὰς ἀρτηρίας, ὅτι καὶ φύσει θερμότερόν ἐστι καὶ πνευματωδέστερον, ἐφεξῆς δὲ καὶ τὸ κατὰ τὰς φλέβας. εἰ δ' ἐγγὺς εἴη τῶν πολυαίμων σπλάγχνων τὸ φλεγμαῖνον μόριον, ἔτι καὶ θᾶττον αὐτῷ συνεκθερμαίνεται τὸ καθ' ὅλον τὸ ζῶον αἷμα. συνελόντι δὲ εἰπεῖν, ὑπὸ παντὸς τοῦ θερμαίνοντος ὅσον εὐαλλοίωτόν ἐστιν, ἢ τῇ φύσει θερμὸν, ἐκθερμαίνεται πρῶτον· ὥσπερ γε κἀπὶ τοῦ ψύχοντος ὅσον εὐαλλοίωτόν ἐστιν, ἢ τῇ φύσει ψυχρὸν, ἐκεῖνο πρῶτον καταψύχεται. εὐαλλοίωτον μὲν οὖν τὸ πνεῦμα, διότι καὶ λεπτομερέστατον· θερμότατον δὲ φύσει χολὴ ξανθὴ, ψυχρότατον δὲ φλέγμα. τῶν δ' ἄλλων χυμῶν αἷμα μὲν ἐφεξῆς τῇ ξανθῇ χολῇ θερμόν· ἡ μέλαινα δὲ ψυχρὸν μετὰ τὸ φλέγμα. καὶ δὴ ἀλλοιοῦται μὲν ἡ ξανθὴ χολὴ ῥᾳδίως, ὑπὸ παντὸς τοῦ δρῶντος εἰς αὐτήν· ἡ μέλαινα δὲ δυσχόλως. ἑνὶ δὲ λόγῳ τὸ μὲν λεπτομερὲς ἅπαν, εὐαλλοίωτον· τὸ δὲ παχυμερὲς, δυσαλλοίωτον. ὥστ' ἀνάγκη πολυειδεῖς γίνεσθαι τὰς ἐπὶ ταῖς φλεγμοναῖς ἀλλοιώσεις, ὅτι καὶ πολυειδῶς διάκειται τὰ σώματα. πρῶτον μὲν γὰρ ὁ τὴν φλεγμονὴν ἐργαζόμενος χυμὸς, ἢ μᾶλλον ἢ ἧττόν ἐστι θερμός· ἐφεξῆς δὲ σῆψις αὐτοῦ κατὰ τὴν οἰκείαν ἅπαντα φύσιν. οὐχ ἥκιστα δὲ καὶ παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐσφηνῶσθαι. τὰ γὰρ μὴ διαπνεόμενα θᾶττον σήπεται, ὥσπερ κἀπὶ τῶν ἐκτὸς ἁπάντων· ὅταν δὲ καὶ θερμὰ καὶ ὑγρὰ τὴν κρᾶσιν ἐστὶ, τότε δὴ καὶ μάλιστα. καὶ μὲν δὴ καὶ τὸ φλεγμαῖνον μόριον, ἢ ἐγγὺς, ἢ πόῤῥω τῶν πολυαίμων σπλάγχνων ἐστὶ, καὶ τὸ πᾶν αἷμα πικρόχολον, ἢ μελαγχολικὸν, ἢ φλεγματῶδες, ἢ πνευματῶδες, καὶ ταῦτα πάντα μᾶλλόν τε καὶ ἧττον, ὥστ' ἀνάγκη πολυειδεῖς γίνεσθαι τὰς ἀλλοιώσεις, ἑτέρου τε πρὸς ἕτερον παραβαλλομένου, καὶ αὐτοῦ τινος πρὸς ἑαυτό.

CAPVT V.

Vſquequo inæqualis intemperies in febribus intelligatur.

HÆ omnes intemperies corporis inæquales fiunt, maximè quidem inflammato eo qui in phlegmone eſt ſanguine; deinde eo qui in viſceribus & corde continetur, eoque potiſſimùm qui in ſiniſtro eſt eius ventriculo, in quem (vt in adminiſtrationibus anatomicis ſcriptum eſt) ſi viuo etiam animante, necadhuc febricitante, digitos velis coniicere, vehementiſſimum ſenties calorem. Non itaque abſurdum eſt, vbi totum corpus præter naturam incaleſcit, hunc maximè ventriculum ad ſummum calorem peruenire; etenim tenuiſſimum, maximéq; ſpirituoſum ſanguinem habet, perpetuóque mouetur. Verùm his in febribus omnibus calefit quidem interdum vniuerſus iam ſanguis, qui calorem illum præter naturam ex humorum putredine obortum concepit; non tamen aut arteriarum, venarúmve tunicæ, aut aliud vllum circumiacentium corporum prorſus iam temperamentum ſuum mutauit, ſed

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἕως ὅτου τὴν ἀνώμαλον δυσκρασίαν ἐν τοῖς πυρετοῖς ἐστι καταμαθεῖν.

Αὗται πᾶσαι δυσκρασίαι τοῦ σώματος ἀνώμαλοι γίγνονται, μάλιστα μὲν ἐκπυρουμένου τοῦ κατὰ τὴν φλεγμονὴν αἵματος, ἐφεξῆς δὲ τοῦ κατὰ τὰ σπλάγχνα, καὶ τοῦ κατὰ τὴν καρδίαν, καὶ ταύτης μάλιστα τοῦ κατὰ τὴν ἀριστερὰν κοιλίαν, εἰς ἣν εἰ καὶ ζῶντος τοῦ ζώου καὶ μηδέπω πυρέττοντος ἐθελήσῃς ἐμβαλεῖν τοὺς δακτύλους, ὡς ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι γέγραπται, σφοδροτάτης αἰσθήσῃ θερμασίας. οὔκουν ἀπεικός ἐστιν, ὁπότε σύμπαν ἐκθερμαίνεται τὸ σῶμα παρὰ φύσιν, εἰς ἄκρον ἥκειν τὴν θερμότητα ἐκείνην μάλιστα. καὶ γὰρ λεπτομερέστατον αἷμα καὶ πνευματωδέστατον ἔχει, καὶ κινεῖται διαπαντός. ἀλλ' ἐν τούτοις ἅπασι πυρετοῖς, ἐκθερμαίνεται μὲν ἐνίοτε σύμπαν ἤδη τὸ αἷμα, καὶ δέδεκται τὴν παρὰ φύσιν ἐκείνην θερμασίαν, τὴν ἐκ τῆς σηπεδόνος τῶν χυμῶν ὁρμηθεῖσαν· οὐ μὴν οὔθ' οἱ χιτῶνες τῶν ἀρτηριῶν ἢ τῶν φλεβῶν, οὔτ' ἄλλο τι τῶν περικειμένων σωμάτων ἤδη πω τελέως ἠλλοίωται τὴν κρᾶσιν,

ἀλλ' ἔτι μεταβάλλεται καὶ ἀλλοιοῦται θερμαινόμενα. εἰ δ' ἐν χρόνῳ πλείονι τοῦτο πάσχοι, κἂν νικηθείη ποτὲ καὶ μεταβληθείη παντάπασιν, ὡς μηκέτι θερμαίνεσθαι μόνον, ἀλλ' ἤδη τεθερμάνθαι παρὰ φύσιν. ὅρος δὲ ἐστὶ τῆς ἀλλοιώσεως ἑκάστῳ τῶν μορίων, ἡ τῆς ἐνεργείας αὐτοῦ βλάβη· ὃ δὴ ἄχρι τοῦδε πλάτος, ἐπάνοδος ἐστὶν εἰς τὸ παρὰ φύσιν, οἷον ἐπίμικτόν τε, καὶ κοινὸν καὶ μέσον ἐξ ἀμφοῖν τῶν ἐναντίων γεγονός, αὐτοῦ τε τοῦ κατὰ φύσιν ἀκριβῶς καὶ τοῦ τελέως ἤδη παρὰ φύσιν. ἐν δὲ τούτῳ παντὶ τῷ χρόνῳ τὸ θερμαινόμενον σῶμα τῷ ποσῷ τῆς ἀλλοιώσεως ἀνάλογον ἔχει τὴν ὀδύνην. ὅταν δ' ἐκθερμανθῇ τελέως ἅπαντα τοῦ σώματος τὰ στερεὰ μόρια, καλεῖται ὁ τοιοῦτος πυρετὸς ἑκτικός, ὡς ἂν μηκέτι τοῖς ὑγροῖς τε καὶ τῷ πνεύματι μόνον, ἀλλ' ἤδη καὶ τοῖς ἕξιν ἔχουσι σώμασι περιεχόμενος. ἀνώδυνος δ' ἐστί, καὶ νομίζουσιν οἱ πυρέττοντες οὕτως ὡς μηδὲ πυρέττειν ὅλως. οὐ γὰρ αἰσθάνονται τῆς θερμασίας, ἁπάντων ὁμοίως τεθερμασμένων αὐτοῖς τῶν μορίων. καὶ δὴ καὶ ὁμολογεῖται ταῦτα τοῖς φυσικοῖς ἀνδράσιν ἐν τοῖς περὶ τῶν αἰσθήσεων λογισμοῖς. οὔτε γὰρ χωρὶς ἀλλοιώσεως ἡ αἴσθησις, οὔτ' ἐν τοῖς ἤδη τελείως ἠλλοιωμένοις ἡ ὀδύνη. ταῦτ' ἄρα καὶ οἱ ἑκτικοὶ πυρετοὶ πάντες, ἄπονοί τε καὶ τελέως εἰσὶν ἀναίσθητοι τοῖς κάμνουσιν. οὐ γὰρ ἔτι τῶν ἐν αὐτοῖς μορίων, τὸ μὲν ποιεῖ, τὸ δὲ πάσχει, πάντων ὁμοίων ἀλλήλοις ἤδη γεγονότων, καὶ μίαν ἐχόντων ὁμόλογον κρᾶσιν.

adhuc mutatur, atque incalescens alteratur. Quod si longiori tempore hoc patiatur, etiam vincetur aliquando, prorsúsque mutabitur, ita vt non ampliùs calefiat, sed iam sit præter naturam calefactum. Terminus autem alterationis cuique partium est functionis ipsius læsio; ad quem vsque *terminum* latitudo, reditus est in id quòd pręter naturam est, veluti mixtum, communéque ac medium quiddam ex contrariis vtrisque conflatum, ipso, qui secundum naturam prorsus est, *affectu*, & eo qui iam planè est præter naturam. Hoc toto tempore corpus incalescens, alterationis magnitudini proportione respondentē habet dolorem. Quum verò omnes corporis solidæ partes absolute incaluerint, eiusmodi febris hectica vocatur, ceu quæ non ampliùs in humoribus, & spiritibus solùm, sed iam & in corporibus habitum habentibus contineatur; doloris autem est expers, & qui eâ febricitant, omnino se non febricitare augurantur; non enim sentiunt calorem; omnibus eorum partibus æquè calefactis. Sed & conuenit de his inter naturalis scientiæ professores in iis, quæ de sensibus produnt. Neque enim citra alterationem est sensus; neque in iam perfectè alteratis dolor. Itaque etiam hecticæ febres omnes, tum doloris, tum sensus ipsis laborantibus omnino expertes sunt. Non enim etiamnum ex eorum partibus hæc agit, illa patitur, quum omnes inter se iam similes sint redditæ, ac vnicam habeant consentientem temperiem.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Ὅτι οὐχ ἡποσοῦν ἀλλοίωσις τὴν ἀνώμαλον δυσκρασίαν ποιεῖν ἱκανή.

Εἰ δὲ δὴ καὶ τὸ μὲν εἴη θερμότερον αὐτῶν, τὸ δὲ ψυχρότερον, ἀλλὰ τοσούτῳ θερμότερον ἢ ψυχρότερον, ὡς μὴ λυπεῖν τὸ πλησιάζον· ἢ οὕτως ἂν ὑπ' ἀλλήλων λυποῖτο καὶ κατὰ φύσιν ἔχοντα τὰ μόρια, ὡς διαφέροντά γε καὶ αὐταῖς ταῖς κράσεσι. σὰρξ μὲν γὰρ θερμὸν μόριον, ὀστοῦν δὲ ψυχρόν· ἀλλὰ καὶ τούτων καὶ τῶν ἄλλων ἁπάντων, ἀνώδυνος ἡ ἀνωμαλία τῷ μέτρῳ τῆς ὑπεροχῆς. οὕτω γοῦν καὶ τὸ περιέχον ἡμᾶς οὐκ ἀνιᾷ, πρὶν εἰς ἄμετρόν τε ψύξιν ἢ θερμασίαν ἐκτραπῆναι· τῶν δ' ἐν τῷ μέσῳ διαφορῶν αὐτοῦ, καίτοι παμπόλλων οὐσῶν, καὶ σαφῆ τὴν ὑπεροχὴν ἐχουσῶν, ἀλύπως αἰσθανόμεθα. κινδυνεύει τοιγαροῦν ἐκ τῶνδε κἀκεῖνος ὁ λόγος ἔχειν ἐπιείκειαν, ὥς που καὶ Ἱπποκράτης φησίν, ὁ φάσκων ἕλκη πάντ' εἶναι τὰ νοσήματα. συνεχείας μὲν γὰρ λύσις τὸ ἕλκος, αἱ δ' ἄμετροι θερμασίαι καὶ ψύξεις, πλησίον ἥκουσι τοῦ λύειν τὴν συνέχειαν. ἡ μὲν γὰρ πολλὴ θερμασία, τῷ διακρίνειν τε καὶ διατέμνειν τῆς οὐσίας τὸ συνεχές· ἡ δ' ἄκρα ψύξις, τῷ πιλεῖν τε καὶ συνωθεῖν εἴσω, τὰ μὲν ἐκπιέζει, τὰ δὲ θλᾷ. καὶ τοῦτον γέ τις ὅρον τιθέμενος ἀμετρίας θερμοῦ καὶ ψυχροῦ, τάχ' ἂν οὐκ ἀπὸ τρόπου γινώσκειν δόξειεν. εἴτε δ' οὗτος, εἴτε ἄλλος τις ὅρος ἐστὶ τῆς ἀμετρίας, ἀλλὰ τοί γ' ἐν τῷ πρός τι πᾶσαν ἀμετρίαν ὑπάρχειν ἤδη που πρόδηλον. οὐ γὰρ ὡσαύτως ὑπὸ τῶν θερμῶν ἢ ψυχρῶν ἅπαν τὸ σῶμα διατίθεται. καὶ διὰ τοῦτό τινα μὲν οἰκείους ἔχει τοὺς χυμοὺς ἀλλήλοις ζῷα,

CAPVT VI.

Non quamlibet alterationem ad inæqualem intemperiem faciendam sufficere.

QVod si earum *partium* alia calidior fuerit, alia frigidior, sed eatenus calidior, vel frigidior, vt vicinam non lædat; alioqui ita partes secundum naturam se habentes mutuò sese læderent, vt quæ ipsis temperamentis dissideant. Caro nanque calida pars est, os frigidum. Verùm tam harum *partium*, quàm reliquarum omnium, exuperantiæ metro, doloris est expers inæqualitas. Sic itaque ambiens nos aër priùs haud lædit, quàm ad immoderatum calorem frigúsque fuerit immutatus; cuius eas quæ in medio sunt differentias, tametsi permultas, ac manifestum excessum inter se habentes, citra læsionem sentimus. Vnde ex his periclitatur & oratio illa habere æquitatem (vt alicubi & Hippocrates ait) proferens *omnes morbos esse vlcera*; continuitatis nanque solutio, vlcus est. Immóderatus verò calor, ac frigus proximè accedunt, vt vnitatem soluant; multus quidem calor, dum segregat ac incîdit substantiæ continuitatem; summum verò frigus, tum cogendo, tum introrsum pariter trudendo quædam exprimit, quædam collidit. Atque hunc quispiam terminum caloris ac frigoris immoderationem statuens, fortassis non vltra modum se percipere duxerit. seu verò is, seu alius quidam immoderationis terminus sit, certè consistere omnem immoderationem in habitudine ad aliquid, iam liquet. Non enim eodem modo à calidis, frigidisue afficitur omne corpus; ob idque animalium quædam familiares sibi inuicem succos habet, quædam

dam non solùm non familiares, sed etiam exitiales; quemadmodum homo atque vipera, quorum vtriusque saliua alteri est perniciosa; ita quoque & scorpium necaueris, si ieiunus *illi* inspueris. At non homo hominem morsu interimet, nec vipera viperam, nec aspis aspidem. Quod enim simile est, id familiare, amicúmque est; quod contrarium, id inimicum ac noxium. Augentur enim ac nutriuntur omnia à similibus; perimuntur verò ac corrumpuntur à contrariis. Itaque etiam sanitatis conseruatio similibus perficitur; morborum euersio, contrariis. Verùm de his alius est sermo. Hecticam verò illam febrem, quæ iam habitum animalis occupauit, minimè sentit qui eâ laborat; reliquas febres nemo non sentit; sed aliæ magis, aliæ minùs ægrotantibus sunt graues. Ipsarum nonnullæ rigorem inuehunt; fit enim id quoque symptoma, quemadmodum alia multa, ab inæquali intemperie. Modum tamen eius generationis in præsenti libro tradere non datur, priusquam de naturalibus facultatibus demonstratum fuerit, quot & quales sint, tum quid agere quæque nata sit. Verum in libris de symptomatum causis, de omnibus agetur.

A τινὰ δ᾽ οὐ μόνον οἰκείους ἔχει, ἀλλὰ καὶ φθαρτικούς, ὡς ἄνθρωπος καὶ ἔχιδνα. ὁ γοῦν σίελος ὀλέθριόν ἐστιν ἑκατέρῳ ὁ τοῦ ἑτέρου. οὕτω γοῦν καὶ σκορπίον ἀναιρήσεις ἐπιπτύων νῆστις, οὐ μὴν ἄνθρωπός γε ἄνθρωπον ἀναιρήσει δάκνων, οὐδὲ ἔχις ἔχιν, οὐδ᾽ ἀσπίδα ἀσπίς. τὸ μὲν γὰρ ὅμοιον, οἰκεῖον εἶναι καὶ φίλιον· τὸ δ᾽ ἐναντίον, ἐχθρὸν καὶ ἀναιρόν. αὐξάνεται οὖν ἅπαντα καὶ τρέφεται, πρὸς τῶν ὁμοίων· ἀναιρεῖται δὲ καὶ φθείρεται, πρὸς τῶν ἐναντίων. καὶ διὰ τοῦτο ἡ μὲν τῆς ὑγείας φυλακή, διὰ τῶν ὁμοίων· ἡ δὲ τῶν νοσημάτων ἀναίρεσις, διὰ τῶν ἐναντίων. ἀλλὰ περὶ μὲν τούτων, ἕτερος λόγος. B ὁ δ᾽ ἑκτικὸς ὀνομαζόμενος πυρετὸς ὁ τὴν ἕξιν ἤδη τοῦ ζώου κατειληφώς, ἀναίσθητός ἐστι τῷ κάμνοντι. τῶν δ᾽ ἄλλων πυρετῶν, οὐδεὶς ἀναίσθητος, ἀλλ᾽ οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον ἀνιαροὶ τοῖς νοσοῦσιν. ἔνιοι δ᾽ αὐτῶν καὶ ῥῖγος ἐπιφέρουσι. γίνεται γὰρ οὖν δὴ καὶ τοῦτο τὸ σύμπτωμα, καθάπερ καὶ ἄλλα πολλὰ πρὸς τῆς ἀνωμάλου δυσκρασίας. εἰπεῖν δὲ οὐκ ἐγχωρεῖ τὸν τρόπον αὐτῆς τῆς γενέσεως ἐν τῷ ἐνεστῶτι λόγῳ, πρὶν ἀποδεῖξαι περὶ τῶν φυσικῶν δυνάμεων, ὅσαι τέ εἰσι καὶ ὁποῖαι, καὶ ὅ, τι δρᾶν ἑκάστη πέφυκεν. ἀλλ᾽ ἐν ταῖς τῶν συμπτωμάτων C αἰτίαις ὑπὲρ ἁπάντων εἰρήσεται.

CAPVT VII.

De reliquis causis intemperiei inæqualis, quæ in vniuerso fit corpore.

AT rursum ad inæqualis intemperiei differentias reuertor; nam quemadmodum ex phlegmone febris oriatur, tum quòd phlegmone omnis ac febris omnis, præter hecticas appellatas, ex morbis sint, quibus inæqualis sit intemperies, iam dictum est. Accenditur autem D febris & citra phlegmonen, ex solis humoribus putrescētibus. Non enim quæ obstruuntur, & quæ non perflantur, solùm putrescunt, verùm hæc celerrimè, ac potissimum; sed etiam putrescunt alia multa, quæ putredini sunt obnoxia. Dicetur verò de horum opportunitate alio loco. Iam alio quoque modo inæqualis erit intemperies in toto corpore, interdum fuliginosa difflatione suppressa; interdum ab exercitationibus maioribus, vel laboribus calorem adaugentibus; interdum ab ira, quum sanguis immoderatiùs feruet, vel quum ob deustionem E quamuis externā incalescit. Porrò, quòd etiam his in omnibus febribus, quemadmodum & in phlegmonis priùs dictum est, tum pro efficientis causæ viribus, tum pro corporis ipsius affectu, alii magis, alii minùs, alii haudquaquam febricitent, apertum esse arbitror. Peræquè verò, & quòd intemperies ipsa nonnunquam solam spirituum inuadat substantiam, nonnunquam ipsos etiam humores, clarum id quoque non minùs esse reor, & quòd omnibus huiusmodi febribus diuturnis hectica vocata superue- F niet. Iámque sermo noster propemodū ostendit inæqualem hanc intemperiem aliquando ex calida frigidáve substantia, quæ in partem aliquam influat, accidere, quemadmodum in inflammatis dictum est; sæpè verò non ita, sed ipsa corporis temperie in qualitate mutata; tum quòd alterantium eam quædam ortum habent ab ipso corpore, quædam extrinsecus; vtique, quum ex putredine tantùm aliqua vel phleg-

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν ἄλλων τῆς ἀνωμάλου δυσκρασίας τῆς περὶ σύμπαν τὸ σῶμα γινομένης αἰτιῶν.

ΕΠάνειμι δὲ πάλιν ἐπὶ τὰς τῆς ἀνωμάλου δυσκρασίας διαφοράς. ὅπως μὲν γὰρ ἐπὶ φλεγμονῇ γίνεται πυρετὸς ἅπας, ὅτι τε καὶ πυρετὸς καὶ φλεγμονὴ πᾶσα, χωρὶς τῶν ἑκτικῶν ὀνομαζομένων, ἐκ τῶν ἀνωμάλως κεκραμένων νοσημάτων, ἤδη μοι λέλεκται. γίνεται δὲ καὶ χωρὶς φλεγμονῆς ἐπὶ σήψει χυμῶν πυρετός. οὐ γὰρ δὴ τά γε ἐσφηνωμένα καὶ μὴ διαπνεόμενα σήπεται μόνον, ἀλλὰ ταῦτα τάχιστα μὲν καὶ μάλιστα· σήπεται δὲ καὶ ἄλλα πολλὰ τῶν ἐπιτηδείων εἰς σῆψιν. εἰρήσεται δὲ καὶ περὶ τῆς τούτων ἐπιτηδειότητος ἑτέρωθι. καὶ μὲν δὴ καὶ κατ᾽ ἄλλον τρόπον ἀνώμαλος ἔσται δυσκρασία περὶ σύμπαν τὸ σῶμα, ποτὲ μὲν λιγνυώδους διαπνοῆς ἐπισχεθείσης, ποτὲ δὲ ἐκ γυμνασίων πλεόνων, ἢ πόνων αὐξηθέντων, τὴν θερμασίαν ἐπιτεινόντων, ποτὲ δὲ ἐπὶ θυμῷ, ζέσαντος ἀμετρότερον τοῦ αἵματος, ἢ δι᾽ ἔγκαυσίν τινα, ἔξωθεν ἐκθερμανθέντος. ὅτι δὲ κἀν τούτοις ἅπασι τοῖς πυρετοῖς, ὥσπερ κἀν τοῖς ἐπὶ ταῖς φλεγμοναῖς ἔμπροσθεν ἐλέγετο, παρά τε τὴν ἰσχὺν τοῦ δρῶντος αἰτίου καὶ παρὰ τὴν τοῦ σώματος διάθεσιν, οἱ μὲν μᾶλλον πυρέσσουσιν, οἱ δὲ ἧττον, οἱ δὲ οὐδ᾽ ὅλως, εὔδηλον εἶναι νομίζω. καὶ μὲν δὴ καὶ ὡς ποτὲ μὲν ταύτης τῆς πνευματώδους μόνης οὐσίας, ἐνίοτε δὲ ἅπτεται καὶ τῶν χυμῶν ἡ δυσκρασία, πρόδηλον καὶ τοῦτ᾽ οὐδὲν ἧττον, καὶ ὡς ἐπὶ πᾶσι τοῖς τοιούτοις χρονίζουσιν ὁ καλούμενος ἑκτικὸς ἀκολουθήσει. καί πως ὁ λόγος ἤδη δείκνυσιν, ὡς ἐνίοτε μὲν οὐσίας θερμῆς ἢ ψυχρᾶς ἐπιρρυείσης μορίῳ τινὶ γίνεσθαι συμβαίνει τὴν ἀνώμαλον ταύτην δυσκρασίαν, ὥσπερ ἐπὶ τῶν φλεγμαινόντων ἐλέγετο· πολλάκις δὲ οὐχ οὕτως, ἀλλ᾽ αὐτῆς τοῦ σώματος τῆς κράσεως ἀλλοιωθείσης κατὰ ποιότητα· καὶ ὡς τῶν ἀλλοιούντων αὐτήν, τὰ μὲν ἐξ αὐτοῦ τοῦ σώματος ὁρμᾶται, τὰ δὲ ἔξωθεν. ὅταν μὲν ἐπὶ σήψεσι μόναις, ἢ τισι φλεγμο-

καὶ ἐγείρηται πυρετὸς, ἐξ αὐτοῦ τοῦ σώματος· ὅταν δὲ ἐπὶ ἐγκαύσεσι καὶ γυμνασίοις, ἔξωθεν. εἰρήσεται δὲ καὶ περὶ τούτων ἐπὶ πλέον αὖθις ἐν ταῖς τῶν νοσημάτων αἰτίαις. ὥσπερ δὲ ἐπὶ ἐγκαύσει γίνεται πυρετὸς, ἀλλοιωθείσης τῆς τοῦ σώματος κράσεως, οὕτως ἐν κρύει πολλάκις ἐψύγησαν ἰσχυρῶς ἔνιοι σύμπαν τὸ σῶμα, καί τινες ἐξ αὐτῶν ἀπέθανον· καὶ μὲν δὴ καὶ ὡς ἀλγοῦσιν οὕτω παθόντες, οὐδὲ τοῦτ' ἄδηλον.

A mone excitatur febris, ab ipſo corpore; quum ab vſtione, vel exercitatione, extrinſecus. Dicetur autem & de his fuſiùs rurſum in morborum cauſis. Quemadmodum autem ex deuſtione febris accenditur, alterato corporis temperamento: ita nonnulli ſæpè ex frigore refrigerati toto corpore vehementer ſunt, aliqui verò etiam interierunt. Iam quòd hi omnes etiam doleant, nec id quidem latet.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς ἀνωμάλου δυσκρασίας, ἐν ᾗ θερμοῦ ἅμα καὶ ψυχροῦ αἴσθησις γίνεται.

CAPVT VIII.

B

De inæquali intemperie, in qua calor & frigus ſimul ſentiuntur.

Ἀλγοῦσι δὲ καὶ ὅσοι καταψυχθέντες σφοδρῶς ὑπὸ κρύους καρτεροῦ, προεθυμήθησαν ἐκθερμῆναι ταχέως ἑαυτοὺς, καὶ πολλοί γε αὐτῶν ἐπενέγκαντες ἀθρόως τῷ πυρὶ τὰς χεῖρας, ἀλγήματος αἰσθάνονται σφοδροῦ κατὰ τὰς ῥίζας τῶν ὀνύχων. εἶτά τις οὕτως ὁρῶν ἐναργῶς ὀδύνης αἰτίαν γιγνομένην τὴν ἀνώμαλον δυσκρασίαν, ἔτ' ἀπιστεῖ περὶ τῶν ἐντὸς ἀλγημάτων, ἢ θαυμάζει, πῶς χωρὶς φλεγμονῆς ὀδυνῶνται πολλάκις, ἢ τὸ κῶλον, ἢ τοὺς ὀδόντας, ἢ τῶν ἄλλων τι μορίων; οὔτε γὰρ τῶν τοιούτων διαθέσεων οὐδὲν θαυμαστὸν, οὐδὲ πῶς ἅμα ῥιγοῦσι καὶ πυρέττουσιν ἔνιοι τῶν νοσούντων. καὶ γὰρ εἰ φλεγματώδης χυμὸς ψυχρὸς, ὃν ὁ Πραξαγόρας ὑαλώδη καλεῖ, καὶ πικρόχολος καὶ θερμὸς ἅμα πλεονάζοιέν τε καὶ κινοῖντο διὰ τῶν αἰσθητικῶν σωμάτων, οὐδὲν θαυμαστὸν ἀμφοτέρων ὁμοίως αἰσθάνεσθαι τὸν ἄρρωστον. οὐδὲ γὰρ εἰ στήσαις ἄνθρωπον ἐν ἡλίῳ θερμῷ, καὶ προσβρέχοις ὕδωρ ψυχρὸν, ἀδύνατον αὐτὸν μὴ οὐχ ἅμα καὶ τῆς ἀπὸ τοῦ ἡλίου θερμότητος αἰσθάνεσθαι, καὶ τῆς ἀπὸ τοῦ ὕδατος ψυχρότητος. ἀλλ' ἐνταῦθα μὲν ἔξωθέν ἐστιν ἀμφότερα, καὶ κατὰ τὰ μεγάλα προσπίπτει μόρια· κατὰ δὲ τοὺς ἠπιάλους πυρετοὺς, ἔνδοθέν τε καὶ κατὰ μικρὸν, καὶ διὰ τοῦτο σύμπαν ἀμφοτέρων αἰσθάνεσθαι τὸ σῶμα δοκεῖ. τοῖς γὰρ δὴ ἐλαχίστοις μορίοις παρεσπάρθαι τό τε θερμὸν καὶ ψυχρὸν, οὐδὲν ἐστιν αὐτῆς λαβεῖν μόριον αἰσθητὸν, ἐν ᾧ θάτερον οὐχ ὑπάρχει. κατὰ μέντοι τὴν εἰσβολὴν τῶν παροξυσμῶν, ἔνιοι τῶν πυρεττόντων καὶ ῥιγοῦσι καὶ + διψῶσι καὶ ἀμφοτέρων αἰσθάνονται, ψύξεως ἀμέτρου καὶ θέρμης. ἀλλ' οὐ κατ' αὐτὸν τὸν τόπον, ἐναργῶς γὰρ ἔχουσι διορίζειν τὰ θερμαινόμενα μόρια τῶν ψυχομένων. ἔνδοθεν μὲν γὰρ καὶ κατ' αὐτὰ τὰ σπλάγχνα θερμασίας, ἐν δὲ τοῖς ἔξωθεν μορίοις ἅπασι τῆς ψύξεως αἰσθάνονται. ἔτι δὲ καὶ οἱ λειπυρίαι καλούμενοι πυρετοὶ διὰ παντὸς τοιοῦτοι, καί τι γένος ὀλεθρίων καύσων. ὅπερ οὖν ἐν τούτοις κατὰ τὰ μεγάλα μόρια, τοῦτ' ἐν τοῖς ἠπιάλοις κατὰ σμικρὰ συμπέπτωκεν. ἀνώμαλος μὲν γὰρ δυσκρασία, καὶ ἡ τούτων τῶν πυρετῶν· ἀνώμαλος δὲ καὶ ἡ τῶν ἄλλων ἁπάντων, πλὴν τῶν ἑκτικῶν ὀνομαζομένων· ἀνώμαλος δὲ καὶ τοῖς ῥιγοῦσι μὲν, οὐκ ἐπιπυρέττουσι δέ. σπάνιον μὲν γὰρ τὸ σύμπτωμα, γίνεται μὴν ὅλως καὶ γυναιξὶ, καί τισιν ἀνδράσιν ἐνίοτε. χρὴ δὲ πάντως ἀργὸν προηγεῖσθαι βίον, ἢ τι πλῆθος ἐδεσμάτων, ἐν χρόνῳ πλείονι προσενηνέχθαι τὸν ἄνθρωπον, ἐξ οὗ χυμὸς ἀργὸς καὶ ψυχρὸς καὶ ὠμὸς καὶ φλεγματώδης γένηται, ὁποῖόν τινα καὶ Πραξαγόρας ἡγήσατο τὸν ὑαλώδη. πάλαι δὲ, ὡς ἔοικεν, οὐδεὶς οὕτως ἔπασχεν, ὅτι μηδεὶς

AT verò dolent & qui ab arduo frigore vehementer perfrigerati, celeriter ſeſe excalefacere properarunt; multique eorũ quum ſubitò ac ſimul manus igni admouerunt, ingentem circa vnguium radicem dolorem ſentiunt. Deinde quiſquam, quum tam luculenter videat inæqualem intemperiem doloris eſſe cauſam, C etiam de internis doloribus dubitat, aut miratur quo pacto citra phlegmonen ſæpenumero, vel colo inteſtino, vel dentibus, vel aliâ quâuis parte homines doleant? Nam nihil talium affectuum mirabile eſt, nec quemadmodum ſimul rigeant, & febricitent ægrotantium aliqui. Etenim ſi pituitoſus humor frigidus, quem Praxagoras vitreum appellat, & bilis amara & calida ſimul abundent, & per ſenſibilia corpora *membra* moueantur, nihil mirum eſt vtrumque ab ægroto pari modo ſentiri. Neque enim ſi hominem ſub ſole calido ſtatuas, & aquam illi D frigidam infundas, fieri non poteſt, vt ſimul & à ſole calorem, & ab aqua frigus ſentiat. Verùm hîc ambo extrinſecus ſunt, & magnis portionibus incidunt; in febribus verò epialis, tum internis, tum exiguis portionibus, ob idque vniuerſum corpus ambo ſentire videtur. Quum enim tenuiſſimis portiunculis aſperſum per corpus tum calidum ſit, tum frigidum, nullam ſenſibilem alterius portiunculam ita paruam deſumis, in qua non alterum ſit *comprehenſum*. In ipſa tamen acceſſionis inuaſione, nonnulli febri- E citantium tum rigent, tum ſitiunt, tum ambo ſentiunt frigus immoderatum & calorem, verùm non eodem loco; nam poſſunt excalefactas partes à refrigeratis manifeſtè diſcernere; nam intus & in ipſis viſceribus calorem ſentiunt, in externis partibus vniuerſis frigus. Tales etiamnum perpetuò ſunt febres quæ lipyriæ vocantur, & quoddam ardentium febrium pernicioſum genus. Quod igitur in his, maioribus portionibus accidit, hoc in epialis contingit minutis. Inæqualis nanque eſt & harum febrium intemperies; ſed inæqualis quo- F que reliquarum omnium, exceptis appellatis hecticis. Quin etiam rigentibus, nec febricitantibus inæqualis intemperies eſt; rarum enim eſt id ſymptoma; incidit tamen prorſus tum mulieribus, tum quibuſdam aliquando viris. Debet autem omnino deſes præceſſiſſe vita, aut certè ciborum copiam longiore ſpatio homo ſumpſiſſe, ex quibus tardus, frigidus, crudus, & pituitoſus naſcatur humor, qualem Praxagoras vitreum exiſtimat. Antiquitùs autem nemo (vt videtur) ita eſt affectus, vt qui nec adeo ocioſi,

ociosi, nec in victus saturitate viuerent; indéque factum est, vt scripserint antiqui medici *Rigori febrem superuenire.* Verumtamen tum nos ipsi, tum alii iuniorum medicorum non pauci, sæpenumero vidimus rigorem, quem nulla febris sequuta sit. Componitur autem ex hac intemperie, & ea quæ febricitantium est, epiala; appello ita febrem illam, cui ambo semper accidunt; at in qua rigor quidem præcedit, febris verò sequitur, vt in tertianis, & quartanis, hanc epialam non voco. Proinde ex duplici inæquali intemperie epiala complicatur, & aliæ febres, præter hecticas, propè omnes.

CAPVT IX.

De inæquali partium intemperie, tumore aliquo præter naturam correptarum.

EOdem modo qui partis alicuius cum tumore sunt morbi, hi quoque omnes peræquè ac phlegmone, cum inæquali intemperie consistunt, cancer, erysipelas, carbunculus, herpes, œdema, phagedæna, gangræna. Nam his omnibus est commune, vt ex humorum fluxione sint orta; in eô dissident, quod alii ex pituitoso, alii ex bilioso, vel melancholico humore, alii ex sanguine, vel calido & tenui & bulliente, vel frigido & crasso, vel alio modo affecto fiant; de horum nanque specialibus differentiis accuratè alibi declarabitur. Quod ad præsentem disceptationem pertinet, hoc tantùm dixisse abundè est, quòd qualiscunque sit fluxio, eadem ratione quemque prædictorum affectuum creet, quâ priùs ex calidâ & sanguineâ phlegmonen gigni monstrauimus; quodque etiam similarium ac simplicium primorúmque corporum singula, à fluxione affecta, ad inæqualem intemperiem deueniant; cæterùm extrinsecus pro rheumatis ratione, calefacta, refrigerata, siccata, vel humectata, ad profundum vsque nondum similiter affecta. Quòd si tota per tota mutata alteratáque sint, fiunt quidem illicò à dolore libera; in difficiliori tamen sic constituta sunt statu. hæc prænouisse iis qui opus de medicamentis sunt percepturi, & post id medendi methodum, abundè mihi satis videtur.

τοσοῦτον ἀργῶς καὶ πλησμίως διῃτᾶτο, καὶ διὰ τοῦτο γέγραπται παρὰ τοῖς παλαιοῖς ἰατροῖς ἕπεσθαι ῥίγει πυρετόν· ἀλλὰ καὶ ἡμῖν αὐτοῖς καὶ ἄλλοις πολλοῖς τῶν νεωτέρων ἰατρῶν ὤφθη πολλάκις ῥῖγος, ᾧ πυρετὸς οὐκ ἐπηκολούθησε. σύνθετος δ' ἐκ ταύτης ἐστὶ τῆς δυσκρασίας, καὶ προσέτι τῆς τῶν πυρεττόντων, ὁ ἠπίαλος. οὕτω δ' ὀνομάζω τὸν πυρετὸν ἐκεῖνον, ᾧ διὰ παντὸς ἄμφω συμβέβηκεν· ᾧ δὲ ἡγεῖται μὲν ῥῖγος, ἕπεται δ' ὁ πυρετός, ὡς ἐν τριταίοις καὶ τεταρταίοις, οὐ καλῶ τοῦτον ἠπίαλον. ὥστε διὰ τῶν ἀνωμάλων δυσκρασιῶν ὁ ἠπίαλος συμπέπλεκται, καὶ οἱ λοιποὶ δὲ πυρετοὶ σχεδὸν ἅπαντες, πλὴν τῶν ἑκτικῶν ὀνομαζομένων.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς ἀνωμάλου δυσκρασίας τῶν ὄγκον τινὰ παρὰ φύσιν ἐχόντων μορίων.

ΩΣαύτως καὶ ὅσα μορίου τινός ἐστι νοσήματα μετ' ὄγκου, καὶ ταῦτα σύμπαντα παραπλησίως τῇ φλεγμονῇ κατὰ δυσκρασίαν ἀνώμαλον ἀποτελεῖται, καρκῖνος, ἐρυσίπελας, ἄνθραξ, ἕρπης, οἴδημα, φλεγμονή, φαγέδαινα, γάγγραινα. κοινὸν μὲν γὰρ αὐτοῖς ἅπασι τὸ ἐξ ἐπιρροῆς ὑγρῶν γεγονέναι· διαφέρει δὲ τῷ τὰ μὲν ἀπὸ τοῦ φλεγματικοῦ χυμοῦ, τὰ δὲ ὑπὸ χολώδους, ἢ μελαγχολικοῦ χυμοῦ, τὰ δὲ ὑφ' αἵματος ἤτοι θερμοῦ καὶ λεπτοῦ καὶ ζέοντος, ἢ ψυχροῦ καὶ παχέος, ἢ πως ἄλλως διακειμένου γίγνεσθαι. δηλωθήσεται γὰρ ἀκριβῶς ὑπὲρ τῆς κατ' εἶδος ἐν τούτοις διαφορᾶς, ἑτέρωθι· πρὸς δὲ τὸν ἐνεστῶτα λόγον, ἀρκεῖ καὶ τοῦτ' εἰρῆσθαι μόνον, ὡς ὁποῖον ἂν ᾖ τὸ ῥεῦμα, κατὰ τὸν αὐτὸν λόγον ἕκαστον τῶν εἰρημένων ἐργάσεται παθῶν, καθ' ὃν ἔμπροσθεν ὑπὸ τοῦ θερμοῦ καὶ αἱματώδους ἐδείκνυτο γίνεσθαι φλεγμονή· καὶ ὡς τῶν ὁμοιομερῶν τε καὶ ἁπλῶν σωμάτων ἕκαστον, ὑπὸ τοῦ ῥεύματος διατεθειμένον, εἰς ἀνώμαλον ἀφίξεται καὶ αὐτὸ δυσκρασίαν, ἔξωθεν μέντοι θερμαινόμενον, ἢ ψυχόμενον, ἢ ξηραινόμενον, ἢ ὑγραινόμενον, ὁποῖον ἂν ᾖ τὸ ῥεῦμα, μέχρι τοῦ βάθους μηδέπω διακείμενον ὁμοίως· εἰ δὲ πᾶν ὅλον δι' ὅλου μεταβάλλοι καὶ ἀλλοιωθείη, γενήσεται μὲν εὐθέως ἀνώδυνον, ἐν χαλεπωτέρᾳ δὲ ἂν οὕτω γε διαθέσει κατασταίη. ταῦτα ἀρκεῖν μοι δοκεῖ προεγνῶσθαι τοῖς μέλλουσι τῇ τε περὶ φαρμάκων ἀκολουθήσειν πραγματείᾳ, καὶ μετ' αὐτὴν τῇ τῆς θεραπευτικῆς μεθόδου.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΜΑΡΑΣΜΟΥ ΒΙΒΛΙΟΝ

GALENI DE MARCORE LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Πρῶτον τί καὶ ποσαπλάσιος ὁ μαρασμὸς καὶ τοῦ αὐτοῦ ὅρος, καὶ γένεσις, καὶ αἰτίαι, καὶ σημεῖα παραδίδονται· ἔπειτα καὶ ἡ θεραπευτικὴ μέθοδος, ᾗ ὁ μὲν ἰατὸς Μαρασμὸς θεραπευθήσεται, ἀνίατος δὲ μή.

ARGVMENTVM LIBRI.

Primùm quid, & quotuplex Marcor, eiúsque definitio, ortus, causa, & signa traduntur; deinde etiam methodus, quâ sanabilis Marcor curetur, insanabilis minimè.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί καὶ ποσαπλάσιος ὁ μαρασμὸς, καὶ τίς ἡ κυρία αὐτοῦ αἰτία.

ΜΑΡΑΣΜΟΣ ἐστὶ φθορὰ ζῶντος σώματος ἐπὶ ξηρότητι. διττῶς δὲ τῆς φθορᾶς λεγομένης, τῆς μὲν ἐν τῷ γίνεσθαι, τῆς δὲ ἐν τῷ γεγονέναι, κατὰ τὸ πρότερον σημαινόμενον ἀκούειν χρὴ τῆς προσηγορίας. οὕτω δὲ καὶ αὐτὸς ὁ μαρασμὸς, ὁ μὲν παρὰ τὸ μεμαράνθαι λέγοιτ' ἄν, ὁ δὲ παρὰ τὸ μαραίνεσθαι, περὶ οὗ νῦν ὁ λόγος ἐστίν. ἐπεὶ δὲ ζῶντος σώματος ἔφαμεν εἶναι φθορὰν τὸν μαρασμὸν, ἔστι δὲ τρία γένη τῶν ζώντων, ζῶα, φυτὰ, καὶ σπέρματα, καὶ διὰ ταῦτα καὶ οἱ καρποὶ, τούτων ἂν εἴη πάθος τὸν μαρασμὸν ἑρμηνεύοντες κυρίως, ἐκ μεταφορᾶς δὲ ἤδη καὶ τὰς ἄλλας φθορὰς, ὅσαι γίνονται διὰ ξηρότητος, μαρασμὸν ὀνομάζουσιν. ὥστε καὶ κατὰ τοῦ πυρὸς ἐπιφέρουσι τοὔνομα, καὶ μᾶλλον ἔτι πορρώτερον, ἐπιφέροντες ἐπὶ πάντα τὰ κατὰ βραχὺ φθειρόμενα. ἀλλ' οὐδὲ περὶ τινος τῶν ἄλλων, ὅσα μὴ κυρίως μαραίνεσθαι λέγεται, περὶ μόνου δὲ τοῦ κατὰ τὸν ὁρισμὸν μαρασμοῦ νῦν ἡμῖν πρόκειται λέγειν, καὶ μάλιστα ὅταν ἐν ζώου γίνηται σώματι. κοινωνίαν γὰρ ὁ λόγος ἀναγκαίαν ἕξει καὶ πρὸς τὰ φυτά. κατὰ τέτταρας οὖν τρόπους ἁπλοῦς καὶ πρώτους, ἁπάντων τῶν ζώντων φθειρομένων, ὅτι καὶ τὰ στοιχεῖα τῆς οὐσίας αὐτῶν ἐστι τέσσαρα, τὰ μὲν διὰ ξηρότητος φθειρόμενα, μαραίνεσθαι λέγομεν. εἰ μὲν δὴ τοῦτο μόνον αὐτοῖς ὑπάρχοι τὸ ξηραίνεσθαι, τῆς ἑτέρας τῶν στοιχείων ἀντιθέσεως τῆς κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν ἐν τοῖς οἰκείοις ὅροις διαμενούσης, ἁπλοῦς ἐστιν ὁ τοιοῦτος μαρασμός· εἰ δ' ἤτοι θερμότης ἄμετρος ἢ ψύξις αὐτῷ προσγένοιτο, σύνθετος οὕτω τε καὶ διπλὸς ὁ τρόπος εἴη τῆς φθορᾶς. ὁ μὲν οὖν ἁπλοῦς μαρασμὸς ἐπὶ ταῖς ἀσιτίαις δοκεῖ γίνεσθαι, τῶν τε κατὰ πρόθεσιν ἀποκαρτερούντων, καὶ ὅσοι λιμώττουσιν ἀπορίᾳ σιτίων· ὁ δὲ μετὰ ψύξεως,

CAPVT I.

Quid, & quotuplex marcor; & quæ causa eius præcipua.

MARCOR est corruptio viuentis corporis ex siccitate. Quum autem bifariam corruptio dicatur; altera quæ fit, altera, quę facta est, in priori significato appellatio sumenda est: ita quoque & ipse marcor, alter à marcuisse, à marcescere alter, de quo nunc sermo habetur, dici potest. Quoniam autem marcorem diximus esse viuentis corporis corruptionem, triáque sunt viuentium genera, animalia, stirpes, ac semina, & ob hæc etiam fructus, horum propriè marcorem affectum esse interpretantes, ex translatione verò alias etiam quæ siccitate proueniunt corruptiones, marcorem nuncupant; vt & ad ignem, multóque adhuc longiùs ad omnia, quæ paulatim corrumpuntur, nomen hoc traducant. At verò nos non de vllo aliorum, quæ haud propriè marcescere dicuntur, sed de eo duntaxat, quem definiuimus marcore, præcipuéque cum in animalis fit corpore, dicere nunc statuimus; cõmunitatem tamen disputatio hæc cum stirpibus necessariam obtinebit. Quum igitur quatuor modis simplicibus ac primis viuentia omnia corrumpantur, quòd & eorum substantiæ quatuor sint elementa, marcescere ea dicimus, quæ siccitate corrumpuntur. Quæ si hoc ipsum solum habeant, vt siccentur, altera elementorum oppositione, quæ est caloris & frigoris, intra proprios terminos manente, simplex is marcor est: si verò siccitati calor immoderatus vel frigus adiungatur, compositus iam duplexque tunc corruptionis erit modus. Simplex igitur marcor ob inediam fieri videtur, vbi quis, vel ex electione famem tolerat, vel præ ciborum inopia fame conficitur. Qui autem cum frigore con-

coniunctus est, tum senescentibus euenit; tum iis etiam, qui ex quodam morbo similem senectuti affectionem incurrunt. At qui adiunctum habet calorem, in aliquibus hecticis febribus *fieri conspicitur*. In stirpibus porrò tum totum corpus, tum singulas earum partes, vbi præ siccitate fiunt corruptiones, marcescere dicimus. Non ita tamen in animalibus, sed totum quidem corpus dicimus marcescere; de nulla verò sigillatim parte nomen hoc consueuimus proferre; præsensque nobis sermo haudquaquam de eis, quæ ob aliquod symptoma siccantur, partibus institutus est, sed quum totum sic affectum fuerit corpus. Iam igitur si totius corporis affectus sit marcor, illud etiam nobis perspicuum est, nunquam ipsum fieri posse, nisi animalis principium affectum fuerit. Quin etiam fieri nullo modo potest, vt alius quidem in toto animali sit affectus, alius autem principium occuparit; quare cordis corpus siccari marcescentibus est necesse. Ergo si causas omnes inuenerimus, à quibus cor solet exiccari, non ignorabimus etiam, vtrum marcescentes omnes insanabiles sint, an verò ex ipsis nonnulli sanari possint.

ἐπί τε τῶν γηρασκόντων, καὶ ὅσοι διά τι πάθος εἰς ὁμοίαν γήρᾳ διάθεσιν ἐμπίπτουσι. ὁ δὲ μετὰ θερμότητος, ἔν τισι τῶν ἑκτικῶν πυρετῶν. ἐπὶ μὲν δὴ τῶν φυτῶν ὅλον τὸ σῶμα καὶ μόριον ὁτιοῦν αὐτῶν μαραίνεσθαι λέγομεν ἐπὶ ταῖς διὰ ξηρότητος φθοραῖς· οὐ μὴν ἐπί γε τῶν ζώων, ἀλλὰ τὸ μὲν ὅλον σῶμα μαραίνεσθαί φαμεν, οὐκέτι δὲ συνήθες ἐστὶ καθ᾽ ἑκάστου μορίου φέρειν τοὔνομα, καὶ νῦν ἡμῖν ὁ λόγος ἐστὶν οὐ περὶ τῶν ξηραινομένων διά τι σύμπτωμα μορίων, ἀλλ᾽ ὅταν ὅλον οὕτω καταστῇ τὸ σῶμα. δῆλον τοίνυν ἐστὶν ἤδη τό γε τοσοῦτον, ὡς εἴπερ ὅλου τοῦ σώματός ἐστι πάθος ὁ μαρασμὸς, οὐκ ἄνευ τῆς ἀρχῆς τοῦ ζώου παθόντος γίνεται. οὐ μὴν οὐδ᾽ ἄλλο μέν τι πάθος ἐν ὅλῳ τῷ ζώῳ γίνεσθαι δυνατόν ἐστιν, ἄλλο δέ τι κατειληφέναι τὴν ἀρχήν· ὥστ᾽ ἀνάγκη τὸ σῶμα τῆς καρδίας ξηραίνεσθαι τοῖς μαραινομένοις. εἰ τοίνυν εὕροιμεν ἁπάσας τὰς αἰτίας, ὑφ᾽ ὧν ξηραίνεσθαι συμβαίνει τὴν καρδίαν, εἰσόμεθα πότερον ἀνιάτως ἔχουσιν οἱ μαραινόμενοι πάντες, ἢ τινὲς ἐξ αὐτῶν ἰαθῆναι δύνανται.

CAPVT II.

Senectutem & mortem vitari non posse, ac de cuiusdam sophistæ fatuitate, qui immortales se homines redditurum pollicitabatur.

SAtius igitur fortasse hoc in loco fuerit disputationem ad principium reducere. Optimum autem erit principium, senectutis causam nosse, quum ex marcoribus hic *vnus* videatur maximè esse ineuitabilis, vt etiam secundum naturam esse existimetur; singula verò naturæ opera ineuitabilia sunt, ortusque ordinem necessarium habent. Sed & huic ipsi vnum aliud præmittendum est, vt scilicet dictionis huius, secundum naturam, significata cognoscamus. Neque enim profectò eodem dicimus modo secundum naturam esse senectutem, quo nutriri ac augeri; hęc enim naturę sunt opera; senectus verò non opus, sed affectus necessariò consequens. Nullum siquidem procreatorum animal, senii expers visum est. Ideoque nonnulli senium secundum naturam esse dixerunt, quòd omnia, quæ à natura dispensantur, necessariò consequatur. Itaque si senectutem esse secundum naturam in hac capiatur significatione, alia deinceps huius dictionis significata, de quibus malè quidam (vt alibi ostendimus) opinati sunt, inuestigare non erit necessarium, nulláque ampliùs in oratione supererit dubitatio. Nam si intelligunt, quo nunc dictum est modo, verum sanè est senectutem secundum naturam esse, ac ineuitabilem existere, siquidem necessariò naturæ opera consequitur. Quanquam nostro hoc seculo philosophus quidam librum conscripsit, in quo, quônam quis modo possit senii expers perpetuò permanere, ostẽdit. Edidit porro hunc librum, quum annum adhuc quadragesimum ageret, ætate verò vsque ad octogesimum annum peruenit, atque gracilis adeò siccusque euaserat, vt præclarè illud Hippocratis dictum in prognosticis, in eum quadrare posset; *Nares acutæ, oculi concaui, collapsa tem-*

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὅτι ἄφυκτα γῆρας καὶ θάνατος, καὶ περὶ τῆς σοφιστοῦ τινὸς μωρίας τοῦ ἀθανάτους ποιήσειν τοὺς ἀνθρώπους ἐπαγγελλομένου.

ΚΑλλιον οὖν ἴσως ἐστὶ κἀνταῦθα τὸν λόγον ἐπ᾽ ἀρχὴν ἀγαγεῖν. ἀρχὴ δὲ ἀρίστη τὸ γνῶναι γήρως αἰτίαν, ἐπειδὴ φαίνεται τῶν μαρασμῶν εἷς ἀφυκτότατος, ὡς καὶ κατὰ φύσιν εἶναι δοκεῖν· ἄφυκτα δὲ τὰ τῆς φύσεως ἔργα σύμπαντά ἐστι, καὶ τάξιν τῆς γενέσεως ἀναγκαίαν ἔχοντα. προηγεῖται δέ τι καὶ αὐτοῦ τοῦδε, τὸ γνῶναι τὰ σημαινόμενα τῆς κατὰ φύσιν λέξεως. οὐ γὰρ δὴ οὕτω λέγεται κατὰ φύσιν εἶναι τὸ γῆρας, ὡς τὸ τρέφεσθαί τε καὶ αὐξάνεσθαι. ταῦτα μὲν γὰρ ἔργα τῆς φύσεώς ἐστι, τὸ γῆρας δὲ οὐκ ἔργον, ἀλλὰ πάθος ἐξ ἀνάγκης ἑπόμενον. οὐδὲν γὰρ τῶν γεννητῶν ζώων ἀγήρων ἑωρᾶτο. καὶ διὰ τοῦτο κατὰ φύσιν εἶναι λέγουσιν αὐτὸ τινὲς ἐξ ἀνάγκης ἑπόμενον ἅπασι τοῖς ὑπὸ φύσεως διοικουμένοις. εἴπερ οὖν κατὰ τοῦτο τὸ σημαινόμενον εἴρηται κατὰ φύσιν εἶναι τὸ γῆρας, οὔτ᾽ ἀναγκαῖον ἔτι προσεπισκέπτεσθαι τ᾽ ἄλλα σημαινόμενα τῆς λέξεως, ἃ κακῶς ἔδοξέ τισιν, ὡς ἐν ἑτέροις ἐπιδείκνυμεν, οὔτ᾽ ἀπορία τις ὑπολείπεται κατὰ τὸν λόγον· οὕτω γὰρ λεγόντων, ὡς εἴρηται νῦν, ἀληθές ἐστι τὸ κατὰ φύσιν εἶναι τὸ γῆρας ἄφυκτόν τε ὑπάρχειν, εἴπερ ἐξ ἀνάγκης ἕπεται τοῖς ἔργοις τῆς φύσεως. καίτοι τις τῶν καθ᾽ ἡμᾶς φιλοσόφων ἔγραψε βιβλίον, ἐπιδεικνὺς ὅπως ἔνεστιν ἀγήρων τινὰ διαμεῖναι τὸ πάμπαν. ἐξέδωκε μὲν οὖν τὸ βιβλίον ἔτι τετταρακοντούτης ὤν, προέτεινε δὲ μέχρι καὶ τῶν ὀγδοήκοντα ἐτῶν, καὶ ἦν οὕτως ἰσχνός τε καὶ ξηρὸς, ὡς ἁρμόζειν ἐπ᾽ αὐτοῦ τὴν ἐκ τοῦ προγνωστικοῦ Ἱπποκράτειον ῥῆσιν, ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι ξυμπεπτωκότες, ὦτα ψυχρά, καὶ συ-

…ταλεῶα, καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι, καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον ξηρόν τε καὶ περιτεταμένον, καὶ καρφαλέον ἐόν. ἐπεὶ τοίνυν ἐγελᾶτο τοιοῦτος φαινόμενος, ὅτι ἄλλους ἀνθρώπους ἐπεχείρησε διδάσκειν, ὅπως ἄν τις ἀγήρως διαμείνῃ, δευτέραν ἔκδοσιν ἐποιήσατο περὶ τῆς θαυμαστῆς ἀγηρασίας (οὕτω γὰρ αὐτὴν καὶ ὠνόμασε διὰ τοῦ συγγράμματος) ἐπιδεικνὺς, ὡς οὐ πᾶς ἄνθρωπος ἀγήρως δύναται διαμένειν, ἀλλὰ δέοι μὲν εἰς τοῦτο καὶ φύσιν [2] ἔχειν ἐπιτηδείαν μάλιστα δ' [3] ὧν ἡ πρώτη τροφὴ τοιαῦτα βάλλοιτο θεμέλια, καὶ ἐπηγγείλατο τῶν ἐπιτηδείων εἰς τοῦτο βρεφῶν εὐθὺς ἐξ ἀρχῆς αὐτὸς ἐπιστατῶν, ἀθάνατα αὐτῶν ποιήσειν τὰ σώματα. καὶ ἦν ἀνεξέλεγκτον αὐτοῦ τὸ ἐπάγγελμα, πρὸ τοῦ γὰρ ἀνδρωθῆναι τοὺς παῖδας, οὓς παρελάμβανεν, ἔμελλεν αὐτὸς τεθνήξεσθαι. οἱ μὲν οὖν ἄλλοι πάντες ἐσχάτην μωρίαν αὐτοῦ κατεγίνωσκον, ἐγὼ δὲ οὐ μόνον εἰδὼς, ὅτι πολλὰ καὶ ἄλλα δόγματα τοῖς διὰ τῆς ἐμπειρίας ἐγνωσμένοις μαχόμενα πολλοὶ τῶν λογικῶν ἀνδρῶν ἀπεφήναντο τῇ πιθανότητι τῶν λόγων ἐξαπατηθέντες,* οὐκ οὖν οὐδὲ τοῦτο θαυμαστόν ἐστιν ὅσον ἐπὶ τῷ λόγῳ. τὸ γὰρ, ὅτι τὸ γεννητὸν πᾶν φθαρήσεται πάντως, οὔτ' ἐπιστημονικὴν, οὔτ' ἀναγκαίαν ἔχει τὴν ἀκολουθίαν, ἀλλ' ἄχρι τοῦ πιθανοῦ προϊοῦσαν, ὡς ἐν τοῖς περὶ ἀποδείξεως ἀποδέδεικται, καίτοιγε τούτῳ χρῶνται τῷ λόγῳ σχεδὸν ἅπαντες, ὅσοι τὸ γηράσκειν ἀναγκαῖον ἐπιδεικνύουσι τοῖς ζώοις, ὁδὸν εἶναι φάσκοντες αὐτὸ πρὸς τὴν ἐξ ἀνάγκης ἑπομένην φθορὰν τοῖς γεννητοῖς ἅπασιν. ἐκ τῆς ἐμπειρίας οὖν ἔτι μόνης τὸ γῆρας ἀναγκαῖόν τε καὶ κατὰ φύσιν, ὥσπερ γε καὶ ὁ θάνατος οὐδ' αὐτὸς ἀποδεδειγμένος ὑπὸ τῶν ἑτοίμως ἀποφαινομένων καὶ λεγόντων, ὡς ἀναγκαῖόν ἐστι τὸ γεννηθὲν ἅπαν εὐθὺς εἶναι φθαρησόμενον. ἑπόμενον δὲ δήπου τοῖς σοφισταῖς ἐστι τὸ πρὸς τὴν ἐμπειρίαν ἀντιλέγειν, ὅπερ οἶμαι κἀκεῖνος ἐποίει φάσκων ἀποθνήσκειν τε καὶ γηράσκειν ἅπαν ζῶον ἀγνοίᾳ τῶν ἐπιστατούντων.

A pora, *frigidæ contractæque aures, auriumque lobi inuersi, cutis circa frontem dura, intenta, ac arida.* Quũ igitur talis proditus irrideretur, quod alios docere conaretur homines, quomodo quisque senii expers permaneret; secundam de admirabili agerasiâ *senectutis vacatione* editionem tradidit (sic enim illam eo volumine appellabat) ostendens, non quemlibet hominem senii expertem permanere posse, sed ad hoc naturâ opus esse idoneâ, præcipuéque quorum prima educatio proba iecerit fundamenta. Pollicita- B baturque se infantium ad hoc idoneorum corpora redditurum immortalia, vbi ipse eorum curæ statim ab initio præficeretur; miniméque eius reprehendi poterat pollicitatio, nam illi prius moriendum erat, quàm quos suscepisset pueros viri euasissent. Summam igitur eius stultitiam cæteri omnes contempsere: ego verò nequaquam, sciens pleraque etiam alia decreta iis, quæ per experientiam cognita sunt, aduersantia, rationales multos viros enunciasse, rationum probabilitate deceptos. Neque hoc igitur quantum ad rationem attinet, mirum est. C Illud enim, corrumpetur omnino quodcunque genitum est, nec eam, quæ scientiã efficit, consecutionem habet, nec necessariam, sed quæ vsque ad id quod probabile est procedit, quemadmodum in commentariis de demonstratione nobis demonstratum est. Quanquam hac vtuntur ratione ferè omnes, qui senescere animalibus necessarium esse ostendunt, id ipsum esse viam dicentes ad corruptionem necessariò omnia generata consequentem. Hactenus igitur experientiâ solâ senium necessarium est ac secundum naturam, quemadmodum sanè & D ipsa mors, quæ nec ipsa demonstrata est ab iis qui promptè enunciant ac dicunt, *quicquid genitum est, id omnino etiam necessariò interiturum.* At is videlicet sophistarum mos est contra experientiam dicere, quod & ille arbitror fecit, qui animal omne ex agendorum ignoratione interire senescereque asseruit.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἀνασκευάζει τὴν δόξαν τῶν τὴν φλόγα τοῦ πυρὸς τῇ τῶν ζώων θερμασίᾳ παραβαλλόντων, καὶ ὡς ἡ φλὸξ τὰ ξύλα, οὕτω καὶ τὸ σύμφυτον θερμὸν τὰ τῶν ζώων σώματα ἀναλίσκειν λεγόντων.

Ἴσως οὖν ἄμεινον ἡμᾶς ἐπισκέψασθαι τὴν αἰτίαν ἥτις ποτέ ἐστι, δι' ἣν γηράσκει τά τε ζῶα καὶ τὰ φυτὰ σύμπαντα. φαίνεται γὰρ δὴ ξηραινόμενα, καὶ τοιοῦτόν τι πάθος εἶναι τὸ γῆρας, εἰ καί τινες ἑτέρως ὑπέλαβον, ψυχρούς τε καὶ ὑγροὺς ἀποφηνάμενοι τοὺς γέροντας· ἐπιδέδεικται δὲ αὐτῶν ἡ αἰτία τῆς ἀπάτης, ἐν τοῖς περὶ κράσεων γράμμασιν. ἆρ' οὖν διὰ τοῦτο ξηραίνεται, δι' ὃ λέγουσί τινες, ὡς ἡ σύμφυτος τοῖς ζώοις θερμασία καθάπερ τι πῦρ ὑπάρχουσα, τὴν αὔξησιν ἐκ τῆς ὕλης, ὅθεν ἀνάπτεται, λαμβάνει; ταύτῃ γὰρ ἐνδέδεται, καὶ ταύτης ἀχώριστός ἐστι, καὶ πάντα ἐκ ταύτης ἐστὶν αὐτῇ. τὰ μὲν οὖν νεογνὰ ζῶα, καθάπερ καὶ τὰ φυτὰ, σύμπαντά ἐστιν ὑγρὰ, καὶ διὰ τοῦθ' ὥσπερ ἐγκαταπνιγομένη τῷ πλήθει τῆς ὑγρότητος, ἑαυτὴν ἀναφέρει μόλις, ὁμιχλώδης τέ τις οὖσα καὶ βραδεῖα καὶ δυσκίνητος· ἐν δὲ τῷ χρόνῳ προϊόντι,

CAPVT III.

Refellit opinionem eorum, qui ignis flammam animalium calori comparant, ac vt flamma ligna, sic E *animalium calorem innatum corpora absumere proferunt.*

QVapropter fortasse melius erit nos quæ causa sit inuestigare, ob quam tum animalia, tum stirpes omnes senescunt. Cernimus siquidem tum ea exiccari, tum eiusmodi affectum illis esse senium; quanuis nonnulli aliter opinati fuerint, asseruerintque frigidos humidosque esse senes; eorum tamen deceptionis causam in libris de temperamentis ostendi- F mus. Nunquid igitur ob id (vtà quibusdam dicitur) exiccantur animalia, quòd innatus sibi ipsis calor, veluti quidam ignis existens, incrementum ex qua accenditur materia sumit? huic enim deuinctus est, & ab hac minimè separabilis, ex hac denique omnia habet. Nuper ergo nata animalia, quemadmodum & ipsæ etiam stirpes, vniuersa sunt humida; ideóque calor humiditatis copia tunc veluti suffocatus, vix se ipsum attollit, vt qui nebulosus tardus & ad motum difficilis existat; temporis autem progressu humiditatem

humiditatẽ illam ſuperat, ac omni materia euadit ſuperior; iamque non nebuloſus turbulentuſque nec fumoſus, ſed purus & æthereus redditus, ſuos ipſius motus vniuerſos liberè commonſtrat; &, vt breuiter totam rem complectar, quemadmodum flammæ, vbi in humida inciderint ligna, principio quidem opprimuntur, ac veluti ſuffocantur, quod paruæ admodum, imbecillæque ſint; temporis verò ſpatio paulatim ſplendent ac creſcunt, paulatimque materiam ſuperãt, ac tandem quum iam totam ſuperauerint, in maximam attolluntur magnitudinem, quod certè ipſis vigor eſt, ac robur; deinceps verò, hoc alimento iam deficiente, marceſcunt, ac extinguuntur: eodem etiam modo (inquiunt ipſi) calor qui in nobis eſt, animalis corpori tanquam materiæ cuidam inditus, principio quidẽ humidus ac imbecillis eſt; deinceps verò vſque ad vigentem ætatem increſcens, tum ſplendet, tum augetur, ac in ampliſſimam eleuatur magnitudinem, ignis flammam imitatus; abhinc alimenti penuria paulatim marceſcit, idque eſt ſenium; mox verò iam prorſus extinguitur, quod eſt mors. Hæc ratio ab omnibus fermè recẽtioribus tum medicis, tum philoſophis probatur, quæ tamen, meo iudicio, vera non eſt, vt quæ ignis flammam animalium calori comparet, haud ſanè intelligens, flammas ex corruptione eiuſdem materiæ ex qua ſuccenduntur, ortum habere; animalia verò non ſic innatum ab eo, qui ea effinxit, ſortita eſſe calorem, ſed vt ab illo augenda, ac gubernanda; nec vllum dari tempus, quo innatus noſter calor per vniuerſam materiam ipſam non ſit extenſus, non eas ſolùm facultates, quibus fingit obtinens, ſed & pleraſque etiam alias: nam & nutrimentum ad ſe ipſum trahit, materiámque gubernat, apponit, agglutinat, aſſimilat, & (vt ſemel dicam) omnia ſecus, ac flamma, in innatam ſibi materiam efficit. Nam quæ flamma materiam, cui deuincta eſt, adauget? quæ verò illi potius alimentum aſſimilat, quam ſibi ipſi materiam? quæ denique tot machinationes vt materiam tueatur inuenit? nonnullas quidem partes circũueſtiens ac claudens, vt nihil ipſis extrinſecus affluat; nonnullas verò perforans dilatanſque: canales præterea inſerens, hos quidem vt per ipſos nutrimentum attrahatur, illos verò ad refrigerium ac reſpirationem, ſimúlque excrementa per alios quidem craſſa, per alios verò tenuia excernens. Omne huc imprudens de partium vſu opus transferam, ſi ſingula naturæ opera enarrare voluero. Quinetiam huius enarratæ opinionis principes idem eſſe calorem innatum dicunt, & naturam. Haud igitur rectè eum flammis aſſimilant comparantque, ac corpora ab ipſo corrumpi putant. Cur ego (*aiant*) ab Hippocrate fuit dictum, *interficit igitur nos calor ille, qui corpora produxit*? Primùm quidem *vobis* reſpondebimus, boni viri, non eſſe illum ex legitimis Hippocratis librum, in quo hæc leguntur, deinde verò, licet Hippocratis decretum eſſe concedatur, declarari tamen id oportuerat, quònam modo dictum fuerat, ac aliquam afferri demonſtrationem. Si verò propterea fidem ſibi haberi volint, quia demonſtrationibus deſtituuntur, non rectè ſapiunt. Equidem verum eſt ob innatum calorem corpora

καὶ αὕτης περιγίνεται, καὶ τῆς ὕλης ἐγκρατὴς ἁπάσης καθίσταται. καὶ οὕτως οὐχ ὁμιχλώδης ἐστὶ καὶ θολερὰ καὶ καπνώδης, ἀλλὰ καθαρά τε καὶ αἰθερώδης γινομένη, τὰς ἑαυτῆς κινήσεις ἁπάσας ἀκωλύτως ἐπιδείκνυται, καὶ τὸ σύμπαν εἰπεῖν, ὥσπερ αἱ φλόγες, ὅταν ἐμπέσωσιν ὑγροῖς ξύλοις, ἐν ἀρχῇ μὲν ἐπιτύφονταί τε καὶ οἷον καταπνίγονται μικραὶ παντάπασιν οὖσαι καὶ ἀσθενεῖς, ἐν δὲ τῷ χρόνῳ προήκοντι κατὰ βραχὺ μὲν ἐκλάμπουσί τε καὶ αὔξονται, κατὰ βραχὺ δὲ τῆς ὕλης ἐγκρατεῖς γίνονται, καὶ τέλος ἐπὶ μήκιστον αἴρονται μέγεθος, ὅταν ἁπάσης κρατήσωσιν, ὅπερ ἐστὶν αὐταῖς ἀκμή τε καὶ ῥώμη· κἄπειτα ἐντεῦθεν ἤδη τῆς τροφῆς ἐπιλειπούσης ταύτης, μαραίνονταί τε καὶ σβέννυνται· κατὰ τὸν αὐτὸν τρόπον ἡ ἐν ἡμῖν φασι θερμότης ἐνδεδεμένη τῷ τοῦ ζώου σώματι καθάπερ ὕλῃ τινὶ, τὸ μὲν πρῶτον ὑγρά τις ἐστὶ καὶ ἀσθενὴς, αὐξανομένη δὲ μέχρι τῆς τῶν ἀκμαζόντων ἡλικίας ἐκλάμπει τε καὶ αὐξάνεται καὶ ἐπὶ πλεῖστον αἴρεται μεγέθους καὶ μιμεῖται τοῦ πυρὸς τὴν φλόγα· τοὐντεῦθεν δὲ, τροφῆς ἀπορίᾳ, μαραίνεται κατὰ βραχὺ καὶ τοῦτό ἐστι τὸ γῆρας, ὕστερον δὲ ἤδη καὶ ἀποσβέννυται παντελῶς, ὅπερ ἐστὶν ὁ θάνατος. οὗτος ὁ λόγος εὐδοκιμεῖ παρὰ πᾶσιν, ὀλίγου δεῖν, τοῖς νεωτέροις ἰατροῖς τε καὶ φιλοσόφοις, οὐκ ὢν ἀληθὴς, ἐμοὶ γοῦν κριτῇ, παραβάλλων γέ τοι τὴν φλόγα τοῦ πυρὸς τῇ τῶν ζώων θερμασίᾳ, μηδὲ τοῦτ' αἰσθανόμενος, ὡς ταῖς μὲν φλοξὶν ἡ γένεσις ἐκ τῆς κατὰ τὴν ὕλην ἐστὶ φθορᾶς, ὅθεν περιεξάπτονται, τὰ ζῷα δὲ οὐχ οὕτως ὑπὸ τοῦ διαπλάττοντος αὐτὰ, τῆς ἐμφύτου θερμότητος ἔτυχεν, ἀλλ' ὡς αὐξηθησόμενα καὶ διοικηθησόμενα πρὸς αὐτῆς, οὐδὲ ἐστί τις χρόνος ἐν ᾧ διὰ πάσης αὐτῆς οὐκ ἐκτέταται τὸ σύμφυτον ἡμῖν θερμὸν δυνάμεις ἔχον, οὐχ αἷς διαπλάττει μόνον, ἀλλὰ καὶ πολλὰς ἑτέρας· καὶ γὰρ ἕλκει τὴν τροφὴν ἐφ' ἑαυτὸ, καὶ τὴν ὕλην διοικεῖ καὶ προστίθησι καὶ προσφύει καὶ ὁμοιοῖ, καὶ συλλήβδην εἰπεῖν, ἅπαντα τἀναντία ταῖς φλοξὶν ἀπεργάζεται περὶ τὴν σύμφυτον ὕλην ἑαυτῇ. τίς γὰρ φλὸξ αὐξάνει τὴν ὕλην, ᾗπερ ἐνεδέθη; τίς δ' ἐκείνῃ τὴν τροφὴν ἐξομοιοῖ μᾶλλον περ, ἢ τὴν ὕλην ἑαυτῇ; τίς δὲ τοσαύτας μηχανὰς ἕνεκα τοῦ διασώζεσθαι ὕλην ἐξευρίσκει, τὰ μὲν ἀμφιεννῦσα καὶ ἀποστέγουσα τῶν μορίων, ὡς μηδὲν αὐτοῖς ἔξωθεν πλεονάζειν, τὰ δὲ διατετραίνουσα καὶ ἀνευρύνουσα καὶ ὀχετοὺς ἐντιθεῖσα, τοὺς μὲν ὥσθ' ἕλκειν δι' αὐτῶν τὴν τροφὴν, τοὺς δ' εἰς ἀνάψυξίν τε καὶ ἀναπνοὴν, ἐξοχετεύουσά τε τὰ περιττώματα, δι' ἄλλων μὲν τὰ παχέα, δι' ἄλλων δὲ τὰ λεπτά; λάθοιμι ἂν ἐνταῦθα μεταφέρων ἅπασαν τὴν περὶ χρείας μορίων πραγματείαν, εἰ τὰ τῆς φύσεως ἔργα πάντα ἐξῆς καταλέγοιμι, καὶ μὴν ταὐτόν γε φασὶν ἔμφυτον θερμὸν καὶ φύσιν οἱ τῆς εἰρημένης δόξης ἡγεμόνες. οὔκουν ὀρθῶς ὁμοιοῦσι καὶ παραβάλλουσιν αὐτὸ ταῖς φλοξὶ καὶ φθείρειν οἴονται τὰ σώματα τοῦτο. Ἱπποκράτης εἶπε, καὶ ἀποκτείνει τοίνυν ἡμᾶς τὸ θερμὸν, ὅπερ ἔφυσε τὰ σώματα. πρῶτον μὲν δὴ φήσομεν, ὦ βέλτιστοι, τῶν γνησίων οὐκ ἔστιν Ἱπποκράτους βιβλίων, ἐν ᾧ τοῦτο λέγεται. δεύτερον δὲ, εἰ καὶ δόγμα ἐστὶν Ἱπποκράτους, ἐχρῆν ἐξηγεῖσθαι αὐτὸ ὅπως εἴρηται, καὶ τινα φέρειν ἀπόδειξιν. εἰ δὲ ἐξ ὧν ἀποροῦσιν ἀποδείξεων, ἐκ τούτων πιστεύεσθαι δικαιοῦσιν, οὐκ ὀρθῶς γινώσκουσιν. ἀληθὲς μὲν ἐστὶ τὸ διὰ τὴν ἔμφυτον θερμότητα γηράσκειν τε τὰ σώματα

καὶ τελευτῶντα διαφθείρεσθαι· ψευδὴς δὲ ὁ τρόπος ὃν οὗτοί φασιν. οὐ γὰρ ὡς ἡ φλὸξ τὰ ξύλα, ταύτῃ καὶ τὸ σύμφυτον θερμὸν τῶν ζώων ἀναλίσκει τὰ σώματα· τοῦτο μὲν γὰρ ἴσως οἰκεῖόν ἐστι τοῖς ὑπὸ τῶν πυρετῶν διαφθειρομένοις παράδειγμα, καὶ τό γε παρ' Ἱπποκράτους λεγόμενον ἐν τῇ προγεγραμμένῃ ῥήσει, τοιοῦτόν τι δηλοῦν ἔοικε. τὸ μέν τοι ξηραίνεσθαι τὰ σώματα κατά τινα φυσικὴν ἀκολουθίαν, καὶ γίνεσθαι τοῦτο διὰ τὴν ἔμφυτον θερμότητα, παντὸς μᾶλλον ἀληθές ἐστιν, ὡς κἀν τῷ προτέρῳ τῶν ὑγιεινῶν ἐπιδέδεικται, ῥηθῆναι δὲ ἀναγκαῖόν ἐστι τῷ λόγῳ καὶ νῦν οὐδὲν ἧττον.

A tum senescere, tum tandem corrumpi; falsus tamen est modus, quem ipsi tradunt. Neque enim vt à flamma absumuntur ligna, ita quoque à calore innato animantiũ corpora. Enimverò fortassis hoc exemplum iis, qui à febre corrumpuntur, accommodatur, quodque ab Hippocrate in nuper citatis verbis fuit dictum, tale quid videtur indicare. Exiccari sanè corpora secundum quandam naturalem consecutionem, hocque ob calorem innatum fieri, omnino verissimum est, quemadmodum & in primo de sanitate tuenda libro demonstratum est; B idem tamen in præsenti quoque disputatione repetere nihilominus est necessarium.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐκ τῆς γενέσεώς τε καὶ τῆς δημιουργίας τοῦ ζώου, καὶ τῆς τῶν κράσεων μεταβολῆς, καὶ τῆς ἡλικιῶν καταδρομῆς τὴν τοῦ γήρως ἀνάγκην κατασκευάζει, καὶ τὴν αὐτοῦ ἀρχὴν δηλοῖ.

Ἡ φύσις ἡ δημιουργοῦσα τά τε φυτὰ καὶ τὰ ζῶα, πάντως μὲν δήπου τῆς γενέσεως αὐτῶν ἀρχήν τινα λαμβάνει σωματώδη, οὐδενός γε τῶν ὄντων δυναμένου τὴν ἀρχὴν τῆς γενέσεως ἐκ τοῦ παντάπασιν οὐκ ὄντος λαβεῖν. ἀρξαμένη δὲ ἐντεῦθεν, ἐπὶ σκοπὸν ἀεὶ τέταται τὸν ἐξ ἀρχῆς αὐτῇ προκείμενον ἐν τῇ δημιουργίᾳ, τοῦτο δέ ἐστι τὸ τέλειον ἀπεργάσασθαι τὸ γινόμενον, εἴτ' οὖν φυτὸν, εἴτε καὶ ζῶον. ἔστι δὲ δήπου τὸ τέλειον, ᾧ μηδεμία τῶν οἰκείων ἐνεργειῶν ἀπολείπεται. πλείονες δὲ εἰσὶ τῶν ἐνεργειῶν, αἳ σκληρῶν χρῄζουσι τῶν ὀργάνων, καὶ τοῦτ' ἔστιν αἴτιον τοῦ πολλὰ γίνεσθαι τοῖς ζώοις μόρια σκληρά· τὴν δὲ ἀρχὴν αὐτῶν τῆς γενέσεως, ἔμπαλιν τῷ τελείῳ ζώῳ μαλακὴν ἀναγκαῖον ὑπάρχειν, ἵν' εὔρυθμός τε καὶ εὔπλαστος, εὐπειθής τε πρὸς ἅπαντα ᾖ τῇ δημιουργούσῃ. καὶ διὰ τοῦτο κἂν σκληρὸν ᾖ τι σπέρμα, φυτὸν μαλακὸν γὰρ πρότερον ὑγρότητι συμμέτρῳ τεγγόμενον, ἵν' ἀντὶ σπέρματος φύσις γίνηται. εἴπερ οὖν ἄρχεσθαι μὲν χρὴ τὴν τῶν ζώων γένεσιν ἐκ μαλακῆς οὐσίας, τελειουμένην δὲ γίνεσθαι σκληράν, ἐπικρατεῖν ἀναγκαῖόν ἐστιν ἐν τῇ πρώτῃ κράσει τῶν συνιόντων αὐτῶν στοιχείων τό, τε ὑγρὸν καὶ τὸ ξηρόν. τὸ μὲν οὖν ὑγρὸν, τὸ ὑδατῶδές ἐστιν· τὸ δὲ ξηρὸν, διττὸν μὲν ὑπάρχει τὴν φύσιν· τὸ μὲν γεῶδες, τὸ δὲ πυρῶδες. ἀλλ' οὐχ οἷόν τε ἦν ἐξ ἀρχῆς μιχθῆναι πλέον τὸ γεῶδες, ὑγρᾶς δεομένης εἶναι τῆς τῶν ζώων ἀρχῆς. ἀπολείπεται οὖν ἔτι μόνον τὸ πυρῶδες, ἀναγκαίαν ἔχον ἐπικράτησιν ἐν τῇ πρώτῃ τοῦ ζώου γενέσει τε καὶ συμπήξει. εἰ μὲν οὖν οἷόν τε ἦν τῇ φύσει μέχρι τῆς ἀκμῆς προαγαγούσῃ τὸ ζῶον ἢ φυτὸν, αὖθις ἑτέραν ἐντεῦθεν στοιχείωσιν ἀνάλογον ἴσην κατὰ δύναμιν, οὕτως ἂν μόνως ἀγήρων τε καὶ ἄφθαρτον ἔμενεν αὐτῇ τὸ δημιούργημα, σοφοῦ τινος ἐπιστάτου τυγχάνον (οὐ γὰρ δὴ ἁπλῶς γε οὕτως ἄφθαρτον, εἰ ἔζη τε κακῶς διαιτώμενον) καὶ τότε ἂν ἡμῖν ὁ Αἰγύπτιος ἐπεδείξατο τὴν ἑαυτοῦ τέχνην ἐπὶ δυνατῷ γενέσθαι πράγματι. νυνὶ δ' ἐπεὶ οὐδὲ οἷόν τέ ἐστι μεταθεῖναί τε καὶ ὑπαλλάξαι τὰ πρῶτα στοιχεῖα τῆς τῶν ζώων καὶ φυτῶν γενέσεως, ἀναγκαῖόν ἐστι καὶ μετὰ τὴν ἀκμὴν ξηραίνεσθαι τὸ σῶμα, καίτοι γε οὐ δεόμενον ἔτι πάσχειν τοῦτο, τοῦ ξηραίνεσθαι χρείας οἰχομένης. ἀλλ' ἡ μὲν παρακμὴ βραχεῖαν ἔχουσα τὴν ξηρότητα,

CAPVT IV.

Ex ortu & structura animalis, temperamentorum permutatione, ac ætatum decursu, senectutis necessitatem probat, eiusque principium declarat.

Natura quæ stirpes animaliáque procreat, omnino sanè generandis ipsis principium quoddam corporeum assumit; nulla siquidem omnino res est, quæ ex nihilo penitus generationis principiũ habere possit: atque hinc exorsa, ad eum perpetuò scopum sibi à principio in procreatione propositum ordinatè tendit; id verò est, perfectum reddere quod generatur, siue stirps sit, siue animal; id autem scilicet perfectum est, cui nulla propriarum actionum desit. At plures sunt ex actionibus, quæ duris indigent instrumentis; & hæc est causa, cur multæ in animalibus fiant duræ partes. Earum verò generationis principium, contra quam animal perfectum, molle sit necesse est, vt bene cõcinnari conformarique, & ad omnia fabricanti sequax ac prẽsto esse possit. Ideóq; quamuis durum quid sit semen, mollis tamen stirps fit, humore prius moderato irrigatum, vt pro semine natura efficiatur. Si igitur oportet animalis generationem principium habere ex molli substãtia, quæ quum perficitur durescat; necesse est, vt in prima elementorum, à quibus ipsum animal constituitur, mixtione, tum humidum, tum siccum exuperet. Ac humidum quidem est id, quod aqueum est; siccum verò duplicis est naturæ, vel enim terreum est, vel igneum. Atqui fieri ab initio minimè poterat, vt ex terreo plus misceretur, quòd humidum esse animalis principium oporteat. Solũ ergo adhuc quod igneum est relinquitur, in prima animalis generatione ac compactione necessariò exuperans. Si igitur facere potuisset natura, vt postquam animal vel stirpem ad vigorem vsque perduxisset, aliam rursus facultatibus parem induceret elementationem, hoc vtique duntaxat modo sine senio ac corruptione eius perdurasset fabrica, si tamen illi custodiendæ sapiens quidã vir præfuisset (neque enim simpliciter sic incorrupta perduraret, si praua vteretur victus ratione) tuncque nobis suam ostendere potuisset artẽ Ægyptius ille, in re, quæ fieri posset. Nunc autem quum omnino fieri nequeat, vt prima elementa generationis animalium ac stirpium transponantur ac transmutentur; necessarium est, vt etiam post vigorem, siccetur corpus, quamuis nihil ampliùs illi sit opus hoc pati, exiccationis vtilitate sublata. Verùm decrescens ætas, paucã

habens

habens ſiccitatem, multos latet, ac ſi nondum marcor quidam ſit; ſenectus verò non genere, ſed quantitate ſola, ab ipſa differens, manifeſtè deprehenditur. Hæc ergo eſt cauſa, quæ homini non prorſus amenti apertè oſtendit, in omnibus animalibus temporis progreſſu neceſſariam eſſe ſiccitatem, ſenectutémque nec euitari, nec ſanari poſſe. Nam quod primam animalium generationem neceſſariò conſequitur, quomodo aliquis id fieri prohibebit, aut factum tollet? Iam verò quod ſit ſenectutis principium & quando ſeneſcere primùm incipiant corpora, inueſtigare fuerit opportunum. Ergo qui decreſcentium temperamẽtum ſiccum eſſe ac frigidum arbitrantur; ſenum verò humidum ac frigidum, in huius transmutatione principium ſenectutis ſtatuunt. Nos verò, qui in commentariis De temperamentis omnia corpora poſt vigorem ad finem vſque demonſtrauimus exiccari, iure de ſenectutis principio dubitabimus, quum tota poſt vigorem ætas ſicca ſit ac frigida. Neque enim quòd decreſcentium alter altero magis minúſve ſit ſiccus & frigidus, ſenectutis principium ſtatui poteſt, quum corpus ad plurimum deuenerit ſiccitatis; illud enim, ad plurimum, in acerualem incidit dubitationem: & licèt huiuſmodi dubitationem (quod plerunque aliàs fieri eſt neceſſe) contemnere quis poſſit, non tamen ſatius fuerit, qui terminis manifeſtis diſtinguere rem poteſt, ſeipſum dubitationibus non neceſſariis ſubiicere. Termini autem manifeſti inter decreſcentem & ſenilem ætatem, eſt humidorum excrementorum exuperantia; à quibus *excrementis* nonnulli decepti, humidam (vt diximus) ſenectutem eſſe aſſeruere. Quin & actiones omnes in hac ipſa debilitari apertè intueri poſſumus; & quæ dudũ decreſcentium ad mortem via latebat, tunc manifeſtè deprehenditur. Hinc ſophiſtis problemata ex hypotheſi fiunt, aliis quidem ſenectutẽ eſſe morbum, aliis eſſe ſanitatem in affectu mouente, aliis neutrum quid eſſe; ac nonnullis eſſe ſecundum naturam, aliis præter naturam; quibuſdam verò & hîc medium quiddam inter ambo eſſe ac neutrum viſa eſt ſenectus, vt nec ſecundum naturam, nec præter naturam ipſam appellent, ſed tertiam in ipſa nacti fuerint dictionem, quâ ipſam non natura eſſe dicant. Has tamen controuerſias dirimere alterius fuerit temporis.

CAPVT V.

De ſenectutis prorogatione; de maraſmi differentiis, & cauſis.

AT verò ſenectutis marcor prohiberi profectò non poteſt, ſuccurri tamen, vt quamplurimum prorogetur, poteſt; & hæc eſt illa medicinæ pars, quæ gerocomice .i. ſenum tutrix, dicitur; cuius ſcopus eſt (vt rei natura indicat) obſiſtere prohibereque, prout fieri poteſt, ne cordis corpus adeò exiccetur, vt tãdem aliquando agere deſiſtat. Nam is eſt vitæ finis, cordis ab actione ceſſatio; quandiu enim cor ſecundum propriam ſui ipſius actionem mouetur, animal interire non poteſt. Quare ſi fieri poſſit, vt ipſius corporis cordis aut certè iecoris ſubſtantia reddatur humidior, poteſt & ipſum

A λανθάνει τοὺς πολλούς, ὡς οὐδέπω μαρασμός τις οὖσα· τὸ δὲ γῆρας οὐ τῷ γένει διαφέρον αὐτῆς, ἀλλὰ μόνῃ τῇ ποσότητι καταφωρᾶται γάρ. αὕτη μὲν ἡ αἰτία τὴν ἀναγκαίαν ἅπασι τοῖς ζώοις ἐπὶ προήκοντι τῷ χρόνῳ ξηρότητα ἐναργῶς ἐνδεικνυμένη, τῷ γε μὴ παντάπασιν ἀσυνέτῳ, τό, τε τῆς γενέσεως ἄφυκτον, καὶ τὸ τῆς ἰάσεως ἀδύνατον. ὃ γὰρ ἐξ ἀνάγκης ἀκολουθεῖ τῇ πρώτῃ τῶν ζώων γενέσει, τοῦτο πῶς ἄν τις γενέσθαι κωλύσειεν, ἢ παύσειε γενόμενον; ἥτις δέ ἐστιν ἡ τοῦ γήρως ἀρχή, καὶ πότε πρῶτον ἄρχεται γηράσκειν τὰ σώματα, καιρὸς ἂν εἴη σκοπεῖσθαι. ὅσοι μὲν οὖν ἡγοῦνται τὴν μὲν τοῦ παρακμάζοντος κρᾶσιν εἶναι ξηρὰν καὶ ψυχράν, τὴν δὲ τῶν γερόντων ὑγρὰν καὶ ψυχράν, B ἐν τῇ ταύτης μεταβολῇ τὴν ἀρχὴν τοῦ γήρως τίθενται. ἡμεῖς δὲ ἀποδείξαντες ἐν τοῖς περὶ κράσεων ἅπαντα τὰ σώματα μετὰ τὴν ἀκμὴν ἄχρι τῆς τελευτῆς ξηραινόμενα, δεόντως ἀπορήσομεν περὶ ἀρχῆς γήρως, ἁπάσης τῆς μετὰ τὴν ἀκμὴν ἡλικίας ξηρᾶς καὶ ψυχρᾶς ὑπαρχούσης. οὐδὲ γὰρ ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἕτερον ἑτέρου τῶν παρακμαζόντων εἶναι ξηρὸν καὶ ψυχρόν, ἀρχὴν τοῦ γήρως ὑποθέσθαι δυνατόν ἐστιν, ὅταν ἐπὶ πλεῖστον ἥκῃ τὸ σῶμα ξηρότητος· τουτὶ γὰρ τὸ C ἐπὶ πλεῖστον εἰς σωρητικὴν ἀπορίαν ἐμπίπτει, καὶ δύνασθαι μέν τις καὶ καταφρονῆσαι τῆς τοιαύτης ἀπορίας, καὶ πολλαχόθι γε ἀναγκαῖον οὕτω ποιεῖν, οὐ μὴν ἄμεινόν γε σαφέσιν ὅροις ἀφορίσασθαι δυνάμενον, ὑποβάλλειν ἑαυτὸν οὐκ ἀναγκαίαις ἀπορίαις. ὅροι δὲ σαφεῖς ἐπὶ ταῖς τοῦ παρακμάζοντος ἡλικίαις καὶ ταῖς τοῦ γέροντος, ἡ τῶν ὑγρῶν ἐπικρατήσεις περιττωμάτων, ὑφ' ὧν ἐξαπατώμενοι ἐλέγομεν ἀποφήνασθαί τινας ὑγρὸν εἶναι τὸ γῆρας. εὐθέως δὲ καὶ τὰς ἐνεργείας ἐν τῷδε σαφῶς ἐστιν ἰδεῖν ἀῤῥωστούσας D ἁπάσας, καὶ ἡ τέως λανθάνουσα τῶν παρακμαζόντων ἐπὶ θάνατον ὁδὸς ἐναργῶς καταφαίνεται τηνικαῦτα. καὶ προβλήματα ὑποθέσεως γοῦν τοῖς σοφισταῖς, τοῖς μὲν ὡς νόσος ἐστὶ τὸ γῆρας, τοῖς δὲ ὡς ἡ κατὰ σχέσιν ὑγεία, τοῖς δὲ ὡς οὐδέτερόν τι· καὶ τοῖς μὲν ὡς κατὰ φύσιν ἐστί, τοῖς δὲ ὡς παρὰ φύσιν· ἐνίοις δὲ κἀνταῦθα μέσον τι καὶ οὐδέτερον ἀμφοῖν ἔδοξεν εἶναι τὸ γῆρας, ὡς μήτε κατὰ φύσιν αὐτό, μήτε παρὰ φύσιν ὀνομάζειν· ἀλλὰ καὶ λέξιν ἐξευρίσκειν ἐπ' αὐτῇ τρίτην, οὐ φύσει φάσκοντες ὑπάρχειν αὐτό. περὶ μὲν δὴ τῶν τοιούτων ἀμφισβητημάτων E ἑτέρου διελέσθαι καιροῦ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς τοῦ γήρως ἐκτάσεως, καὶ περὶ τῆς διαφορᾶς καὶ τῶν αἰτίων τοῦ μαρασμοῦ.

ΤΟν δὲ τοῦ γήρως μαρασμόν, ἀδύνατον δήπου καταλῦσαι, βοηθεῖσθαι δὲ ὡς ἐπιπλεῖστον ἐκταθῆναι, δυνατόν, καὶ τό γε γηροκομικὸν ὀνομαζόμενον μέρος τῆς ἰατρικῆς αὐτὸ τοῦτ' ἐστι, σκοπὸν ἔχον ὡς ἡ τοῦ πράγματος ἐνδείκνυται F φύσις, ἐνίστασθαι καὶ διακωλύειν ὡς οἷόν τε, μὴ ξηρανθῆναι τὸ σῶμα τῆς καρδίας εἰς τοσοῦτον, ὡς ἐνεργοῦν ποτε παύσασθαι. τοῦτο γὰρ δὴ τὸ πέρας ἐστὶ τῆς ζωῆς, παῦλα τοῦ τῆς καρδίας ἔργου, ὡς μέχρι ἂν ἥδε κινῆται κατὰ τὴν ἑαυτῆς ἐνέργειαν, ἀδύνατον ἀποθανεῖν τὸ ζῶον. εἰ μὲν οὖν οἷόν τε ἐστὶν ὑγρότερον ἐργάσασθαι τὴν οὐσίαν αὐτοῦ τοῦ τῆς καρδίας σώματος, ἢ καὶ νὴ Δία τοῦ ἥπατος, ἐγχωρεῖ τὸ γῆρας

ἐπισχεῖν. Εἰ δὲ μηδεὶς ἱκανός ἐστι μήθ᾽ ἧπαρ ὑγρότερον ἑαυτοῦ ποιῆσαι, μήτε καρδίαν, ἀλλ᾽ ἀναγκαῖον ἐπὶ προήκοντι τῷ χρόνῳ ξηρότερα γίνεσθαι σφῶν αὐτῶν οὐ τὰ σπλάγχνα μόνον, ἀλλὰ καὶ τὰς ἀρτηρίας καὶ τὰς φλέβας, κωλῦσαι μὲν τὸ γῆρας ἀδύνατον, ἐπισχεῖν δὲ τὸ τάχος αὐτοῦ δυνατόν. ἔοικε τοίνυν Ὅμηρος, εἴπερ τι καὶ ἄλλο, καὶ τοῦτο μαντικῶς ἐκφωνῆσαι περὶ τῶν γερόντων,

----ἐπὴν λούσαιτο φάγοι τε,

Εὑδέμεναι μαλακῶς, οἷα δίκη ἐστὶ γερόντων.

καὶ γὰρ τὸ λουτρὸν τῶν ὑγραινόντων ἐστὶ, καὶ ἡ μαλακὴ κοίτη καὶ ὁ ὕπνος, ἡ δὲ τροφὴ πρώτη καὶ μάλιστα. μόνη γὰρ αὕτη μέρος γίνεται τῶν τρεφομένων σωμάτων ὁμοιουμένη ταῖς οὐσίαις αὐτῶν, ἕκαστον δὲ τῶν ἄλλων ἢ τῷ κωλῦσαι ξηρανθῆναι σφοδρότερον τὰ ὁμοιομερῆ, ἢ τῷ τὴν ἐν ταῖς μεταξὺ χώραις αὐτῶν ἐπιτέγγειν τε καὶ αὐξάνειν ὑγρότητα, τῆς τῶν ὑγραινόντων μετείληφε προσηγορίας τε καὶ δυνάμεως. οὕτω δὲ ἐγχωρεῖ ποτε ἧπαρ καὶ τὴν καρδίαν ὑγρανθῆναι, ὡς εἴρηται νῦν, τῆς τε προεσπαρμένης αὖθις ὑγρότητος αὐξανομένης, ἣν κἂν τοῖς λεπτυνθεῖσι νέοις σώμασιν ἐκδαπανᾶσθαι συμβαίνῃ, καθ᾽ ὅλον μὲν τὸ σῶμα φανερῶς πολλάκις, ἐγχωρεῖ δέ ποτε καὶ κατὰ τὴν καρδίαν καὶ τὸ ἧπαρ. ὅτι δὲ τούτων τῶν σπλάγχνων τὸ μὲν ἀρτηριῶν τε καὶ σφυγμῶν ἐστιν ἀρχὴ, τὸ δὲ φλεβῶν τε καὶ τοῦ τρέφεσθαι, δι᾽ ἄλλης ἐπιδέδεικται πραγματείας, ἐν ᾗ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος ἐπεσκοπούμεθα δογμάτων. ταῦτα οὖν τὰ σπλάγχνα, πρὶν ἰσχυρὰν ἔνδειαν αἵματος γενέσθαι καθ᾽ ὅλον τὸ ζῶον, οὐκ ἀπορεῖ συμμέτρου τροφῆς, τὸ μὲν ἧπαρ, ὅτι πᾶν τὸ αἷμα τὴν ἀρχὴν ἐντεῦθεν ἔχει· ἡ καρδία δὲ, διὰ τὸ τῆς ὁλκῆς ἰσχυρόν. ἕλκει μὲν ἅπαντα τὰ μόρια τοῦ ζώου τὴν οἰκείαν τροφὴν ἐφ᾽ ἑαυτὰ, τῇ δὲ ἴσῃ ῥώμῃ τῆς ὁλκῆς οὐ κέχρηται πάντα· διὰ τοῦτ᾽ οὖν οὐδὲ ὁμοίως ἀτροφεῖ κατὰ τὰς ἐνδείας τοῦ αἵματος, ἀλλ᾽ ἥ τε καρδία σφοδροτάτην ἔχουσα τὴν κατὰ τὸ ἕλκειν ἐνέργειαν, οὐκ ἄν ποτε ἀπορήσειεν τροφῆς, πρὶν εἰς ἐσχάτην ἔνδειαν ἀφικέσθαι πάντα τοῦ ζώου τὰ μόρια. μὴ τοίνυν ὑπολαμβάνωμεν, ἐπειδὰν ἰσχνὸν γένηται τὸ σῶμα χρονίως ἀρρωστησάντων, ἀναλόγως τοῖς ἄλλοις ἅπασι μέρεσι τὴν καρδίαν καὶ τὸ ἧπαρ ὑπάρχειν ἰσχνά. θεάσασθαι δ᾽ ἐστί σοι τοῦτο βουληθέντι κἀπὶ τῶν ἄλλων ζώων. ὅ, τι γὰρ ἂν ἐθελήσαις ἐπιπλεῖστον λιμαγχονήσας ἀνατέμνειν, ἰσχνὰ μὲν αὐτοῦ καὶ ξηρὰ τἄλλα σύμπαντ᾽ εὑρήσεις μόρια, τὸ δ᾽ ἧπαρ ἅμα τῇ καρδίᾳ πλησίον τοῦ κατὰ φύσιν. ἀποθνήσκουσι γὰρ (ἐπὶ ταῖς ἀσιτίαις) οὐ τοσοῦτον ἐνδείᾳ τῆς τῶν στερεῶν σωμάτων τροφῆς, ὅσον τοῦ πνεύματος, οἱ σφαττόμενοι, καὶ διὰ τοῦτο γοῦν ἅπαντα τὰ μόρια μαλακά τέ ἐστι καὶ ὑγρὰ τοῖς τῶν ζώντων ὁμοίως, ἐπειδὴ τὸ περιεχόμενον ἐν αὐτοῖς ὑγρὸν, ὑφ᾽ οὗ πρώτως τρέφεται, σώζεται σύμπαν. οἱ δ᾽ ὑπὸ λιμοῦ διαφθαρέντες, ἥκουσι μὲν ἐγγὺς τοῦ ὄντως μαρασμοῦ, καὶ διὰ τοῦτο μεμαράνθαι φήσομεν αὐτοὺς, ὅταν γε τῆς ἀκριβολογίας μηδέπω καιρὸς ᾖ, κατ᾽ ἀλήθειαν δ᾽ οὐκ ἐμαράνθησαν, ἢ οὐ πάντα γε τὰ μόρια τοῦ σώματος· ὁ δ᾽ ὄντως μαρασμὸς ὁμοίως μαραίνει πάντα, διότι καὶ τὰς ἀρχάς. ἔστι δ᾽ οὗτος ἐν μὲν ταῖς ἡλικίαις τὸ γῆρας, ἐν δὲ τοῖς παρὰ φύσιν ὁ μαρασμώδης πυρετός. ἑτέρα δέ τις ἀνάλογος γήρᾳ διάθεσις, ἣν οὐδὲν

etiam senium cohiberi; si autem nemo est, qui iecur & cor se ipsis humidiora possit efficere, sed temporis processu necessario sicciora euadunt non ipsa solùm viscera, sed arteriæ etiam & venæ, senium certè prohiberi non potest; at eius celeritas coerceri potest; quamobrem videtur Homerus, si quid aliud, hoc certè etiam vaticinans de senibus cecinisse;

------Vt lauit, atque comedit,
Mollibus in stratis dormire, hæc vita senilis.

Nam ex iis quæ humectant, est tum lauacrum, tum molle cubile, tum somnus, tum verò in primis ac præcipuè ipsum alimentum; nam hoc ipsum solùm eorum quę aluntur corporum pars efficitur, quum eorum substantiis assimiletur; cætera verò singula, vel quòd prohibeant similares partes vehementiùs exiccari, vel quòd humiditatem in intermediis earum capacitatibus contentã irrigent ac adaugeant, humectãdi tum appellationem tum facultatem adepta sunt. Sic verò, vt dictum nunc est, quandoque possunt iecur & cor humectari, adauctâ, quæ in ipsis dispersa est, humiditate, quam & in extenuatis iuuenum corporibus sæpius quidem in toto corpore manifestè, nonnunquam verò in corde etiam & iecore, absumi contingit. Quòd verò horum viscerum alterum arteriarum pulsuumque sit origo, alterum venarum ac nutritionis, in alio ostensum est opere, in quo de Hippocratis & Platonis decretis tradidimus. Hæc igitur viscera, antequam vehemens in toto animali fuerit sanguinis penuria, moderato non deficiunt alimento; iecur quidem, quòd vniuersus sanguis hinc principium habeat; cor verò ob attractionis vehementiam. Equidem omnes animalis partes proprium alimentum ad se ipsas trahunt, sed æquali attractionis robore non vtuntur omnes; ideoque in sanguinis indigentia non æquè omnes alimento destituuntur. Verùm cor quum vehementissimam habeat attrahendi actionem, alimento nunquam indigebit, nisi priùs omnes animalis partes ad extremam deuenerint inopiam. Minimè igitur suspicandum est, quum ex diuturno morbo gracile redditum fuerit corpus, ipsum quoque cor ac iecur, pro aliarum omnium partium proportione, gracilia existere. Hoc, si tibi libuerit, in aliis etiam animalibus intueri poteris. Nam quotiescunque horum aliquod fame prius confectum dissecare volueris, cæteras quidem omnes ipsius partes graciles ac siccas inuenies, iecur autem & cor propè secundum naturã esse. Moriuntur enim (post inedias) non tàm ob alimenti corporum solidorum, quàm ob spiritus inopiam, qui mactãtur, proptereáque omnes eorum partes molles ac humidæ peræquè ac viuentium sunt; tota siquidem in ipsis contenta humiditas, à quâ primùm ipsæ nutriuntur, integra seruatur. Sed qui fame intereunt, propiùs quidem ad verum marcorem accedunt, ac ob id eos marcuisse dicemus, quum exquisitè loquendi nondum vlla sit occasio; re tamen verâ non marcuerunt, vel saltem non omnes corporis partes. At vbi verus est marcor, omnes æqualiter partes marcescunt, propterea quod etiam principia; & hoc in ætatibus quidem senium est, in rebus autem præter naturam, febris marcida. Est præterea alia quædã affectio proportione respondens senectuti, quam nihilo

deterius

deterius sit, ex morbo senium appellare, non mehercle, vt Philippus, qui eam marcidam febrem nuncupat. Non enim eiusmodi affectio febris esse potest, in quâ frigidius, quàm natura postulat, cor factum sit. Iam quòd tale obtineat temperamentum, indicium non minimum est pulsus paruus rarúsque redditus, vt & ipse scribit Philippus. Eiusmodi verò pulsum ob frigiditatem fieri in libris de pulsibus ostendimus. Quin & respiratio iis, qui ita affecti sunt, pulsui similis visitur, & parua nimirum simul, & tarda, ac per longa interualla, quæ & ipsa partium ad cor attinentium frigiditatem indicat, vt etiam in libris de spirãdi difficultate à nobis ostensum est. Nec verò calidum hi expirant, quod & ipsum inseparabile est à principio refrigerato; sicuti contrarium, à calefacto. Vnde igitur, quòd febricitent? nam ipsorum thorax neque circa pectus, neque alibi, vel ad alas & ad costarum gibba, vel etiam ad spinam calidus est. Sed & hæc Philippus concedit; ait tamen eorum pulsum febris signum habere, duritiem videlicet innuens, quam febrium omnium inseparabile signum statuit Archigenes. Verùm si pulsum re verâ durum intelligit, omnibus marcescentibus is certè inest ob arteriarum siccitatem, non tamen febrium est signum. At si eum intelligat, quem Archigenes durum vocauit, nomen tantummodò proferens, nullam tamen rem habẽs, cui nomen hoc attribueret, de hoc quoque plura à nobis in libris de pulsibus scripta sunt. Senium igitur ex morbo, quoniam frigiditas vna cum siccitate est, febris non est. Alia verò species, quam marcorem retorridum Philippus nominat, verè est marcor, quemadmodũ etiam & qui syncoposus appellatur. Estq; his ambobus pulsus frequens, & paruus; specialiter verò iis, qui retorrido affecti sunt marcore, accidit, vt dum oscitant, spiritum efflent calidum, vt iure ipsum æstui assimilare possis. Oritur autem, vt diximus, retorridus hic marcor ex caliditate ardentissimisque febribus, ac præsertim in sicciore corporis habitu. Syncoposus autem fit, vbi qui syncope fuerint correpti, vehementiam quidem periculi in præsentia euitarint, relictum tamen deinceps ipsis fuerit aliquid syncoposæ affectionis. At verò frigidus marcor, qui senectutis affectionem similem obtinet, fit ex permutatione febrium, quæ tum per aquæ frigidę potionem, tum per ea auxilia, quæ refrigerandi gratiâ hypochondriis ac thoraci imponi solent, fuerint secus ac oportet refrigeratæ. Illud autem, secus ac oportet, duplex est, nimirum quando quis vel intemperantiùs, vel intempestiuiùs refrigerantibus vsus fuerit. Possit etiam quandoque vtrisque his de causis affectus hic constitui.

χεῖρον ὀνομάζειν ἐκ νόσου γῆρας, οὐ μὰ Δί' οὐχ' ὡς Φίλιππος εἰς τὸν ἕνα μαρασμώδη πυρετὸν καλεῖ. οὐ γάρ ἐστιν ἡ τοιαύτη διάθεσις πυρετός, ἐν ᾗ ψυχροτέρα τῆς κατὰ φύσιν ἡ καρδία γέγονεν. ὅτι δὴ οὕτως ἔχει κράσεως, οὐκ ἐλάχιστον γνώρισμα μικρὸς καὶ ἀραιὸς σφυγμὸς ἀποτελούμενος, ὡς καὶ αὐτὸς ὁ Φίλιππος γράφει· δέδεικται δὲ ἐν τοῖς περὶ σφυγμῶν ὁ τοιοῦτος σφυγμὸς ἐν ψύξει γινόμενος. ἀλλὰ καὶ ἡ ἀναπνοὴ τοῖς οὕτω διακειμένοις ὁμοίως φαίνεται τοῖς σφυγμοῖς μικρά τε ἅμα καὶ ἀραιὰ, καὶ διὰ πολλοῦ, τὴν ψύξιν ἐνδεικνυμένη καὶ αὐτὴ τῶν κατὰ τὴν καρδίαν, ὡς καὶ τοῦτ' ἐν τοῖς περὶ δυσπνοίας δέδεικται. οὐ μὴν οὐδ' ἐκπνέουσι θερμὸν, ὅπερ ἀχώριστόν ἐστι καὶ αὐτὸ τοῦ κατεψῦχθαι τὴν ἀρχὴν, ὥσπέρ γε τὸ ἐναντίον τοῦ τεθερμάνθαι. πόθεν οὖν, ὅτι πυρέττουσιν; οὐδὲ γὰρ ὁ θώραξ αὐτῶν ἐστι θερμὸς, οὔτ' οὖν κατὰ τὸ στέρνον, οὔθ' ἑτέρωθι, οὔτ' ἐν ταῖς κατὰ μασχάλην τε καὶ τὰ κυρτὰ τῶν πλευρῶν, οὔτ' ἄχρι ῥάχεως, ἀλλὰ ταῦτα μὲν ὁμολογεῖ καὶ ὁ Φίλιππος, ἔχειν δὴ αὐτῶν φησι τοὺς σφυγμοὺς τὸ σημεῖον τοῦ πυρετοῦ, τὴν σκληρότητα δηλονότι λέγων, ἣν ἀχώριστον ἔθετο σημεῖον ἁπάντων πυρετῶν Ἀρχιγένης. ἀλλ' εἰ μὲν τὸν ὄντως λέγει σκληρὸν, ὑπάρχει μὲν τοῖς μαραινομένοις ἅπασι διὰ τὴν ξηρότητα τῶν ἀρτηριῶν, οὐ μὴν σημεῖόν ἐστι πυρετῶν· εἰ δὴ ὃν Ἀρχιγένης ἐκάλει σκληρὸν, ὄνομα μόνον φθεγγόμενος, οὐ μὴν ἔχων γε δεῖξαι πρᾶγμα καθ' οὗ τοὔνομα φέρει, γέγραπται καὶ ἡμῖν περὶ αὐτοῦ πολλὰ κατὰ τὰς περὶ τῶν σφυγμῶν πραγματείας. τὸ μέν τοι γῆρας τὸ ἐκ νόσου, ψύξις ὂν ἅμα ξηρότητι, πυρετὸς οὐκ ἔστι, τὸ δὲ ἕτερον εἶδος, ὁ περιφρυγὴς ὀνομαζόμενος ὑπὸ τοῦ Φιλίππου μαρασμὸς, ὄντως ἐστὶ μαρασμὸς, ὥσπέρ γε καὶ ὁ συγκοπώδης. καί ἐστιν αὐτοῖς ὁ σφυγμὸς πυκνός τε καὶ μικρὸς, ἐπὶ μέρους δὲ τοῖς ἐν τῷ περιφρυγεῖ συμβαίνει θερμὰ ἐκφυσᾶν πνεύματα χαίνουσιν, ὡς ἄν τις εἰκάσειεν αὐτὸ τῇ καύσει. ἡ γένεσις δὲ, ὡς εἴρηται, τῷ περιφρυγεῖ μὲν ἐκ θερμότητος καὶ καυσωδεστάτων ἐστὶ πυρετῶν, καὶ μάλιστα ἐπὶ ξηρότητι τῆς ἕξεως· τῷ συγκοπώδει δὲ ἐπειδὰν ἐν συγκοπῇ γενηθέντες ἐκφύγωσιν ἐν τῷ παραυτίκα τὸ τοῦ κινδύνου σφοδρὸν, ὑπολείπεται δὴ αὐτοῖς τι τῆς συγκοπώδους διαθέσεως. ὁ δὲ ψυχρὸς μαρασμὸς ὁ τὴν τοῦ γήρως ἔχων διάθεσιν, ἐκ μεταπτώσεως γίνεται πυρετῶν ψυχθέντων ὡς οὐ χρὴ, διά τε πόσεως ὕδατος ψυχροῦ, καὶ ὅσα καθ' ὑποχονδρίου τε καὶ θώρακος ἐπιφερόμενα ἰάματα ψυκτήρια· τὸ δ' ὡς οὐ χρὴ, διττόν ἐστι, ἤτοι τε ἀμετρότερον τοῖς ψύχουσι χρησαμένων, ἢ μὴ ἐπὶ προσήκοντι τῷ χρόνῳ. συμβαίη δ' ἄν ποτε καὶ κατ' ἀμφοτέρας ἅμα τὰς αἰτίας, συστῆναι τὸ πάθος.

CAPVT VI.

Quis marcor curari queat? quis nequeat? ac de marasmi curatione, & balnei vsu aduersus Philippum.

QVòd verò marcor, quum verè marcor est, curari non possit, dictum quidem etiam superiùs est, quum de senectute scriberemus; dicetur autem & in præsenti. Tale quid contingit arbitrantibus marcorem se sanaturos, quale iis qui marcidarum spinæ vertebrarum in anteriorem partem decessionem curan-

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Τίς ἰατὸς μαρασμός; τίς ἀνίατος; καὶ περὶ τῆς τοῦ μαρασμοῦ θεραπείας καὶ τῆς τοῦ βαλανείου χρήσεως πρὸς τὸν Φίλιππον.

ΟΤΙ δὲ ἀδύνατον ἰάσασθαι μαρασμὸν, ὅταν ὄντως μαρασμὸς ᾖ, λέλεκται μέν που καὶ πρόσθεν, ἡνίκα περὶ τοῦ γήρως ἐγράφομεν, εἰρήσεται δὲ καὶ νῦν. συμβαίνει τι τοιοῦτον τοῖς οἰομένοις ἰᾶσθαι μαρασμὸν, οἷόν τι καὶ τοῖς ὑπειληφόσι τὴν εἰς τὰ πρόσω μετάστασιν τῶν

καταμαρανθέντων κατὰ ῥάχιν σπονδύλων. ἐξ ὧν γὰρ ἑκάτεροι περὶ τὰς διαγνώσεις τῶν παθῶν ἐσφάλησαν, ἐκ τούτων ᾠήθησαν ἑαυτοὺς μέγιστα κατωρθωκέναι. καταλεπτυνθέντας μὲν γάρ τινας ἰάσαντο, μαρανθέντας δὲ μηδένας. διττῆς δὲ οὔσης τῆς οὕτω λεπτυνθέντων τῆς διαθέσεως, ὑπὲρ ἑκατέρας ἰδίᾳ λεκτέον. ἔστι τοίνυν ἡ μὲν ἑτέρα τῶν κατισχνωθέντων διάθεσις, ἐπειδὰν ἥ τε ὑγρότης ἀπόλλυται τῶν στερεῶν σωμάτων, ἣν οἰκείαν αὐτῶν ἔφαμεν εἶναι τροφὴν, αἵ θ' ἁπαλαὶ σάρκες συντακῶσιν. ἡ δὲ ἑτέρα τῶν σωμάτων αὐτῶν ἅπτεται τῶν στερεῶν, ἃ δὴ καὶ πρῶτά τε καὶ ὁμοιομερῆ προσαγορεύομεν. αὕτη μὲν οὖν ἐστιν ἡ ἀνίατος, ὥσπερ γε καὶ τὸ γῆρας· ἡ δ' ἑτέρα κινδυνώδης, οὐ μὴν τό γε πάμπαν ἀνίατος, ἐν μὲν τῷ κοινῷ μετὰ ταῖς ἄλλαις ἁπάσαις ἐστὶ, τῶν ἐναντίων τῷ πάθει δεομένη βοηθημάτων, οὐ μὴν ὡσαύτως γε ταῖς πλείσταις αὐτῶν ἀσφαλής. ὑγραίνεσθαι μὲν γὰρ χρὴ τὰς τρεῖς διαθέσεις, καὶ τοῦτ' αὐταῖς κοινὸν ἐπὶ κοινῇ τῇ ξηρότητι, θερμαίνεσθαι δεομένης τῆς μιᾶς, ἣν τῷ γήρᾳ προσεικάζομεν. ὥσπερ γε καὶ ψύξαι μίαν, ἣν περὶ φρυγῆ μαρασμὸν ὀνομάζομεν. ἐπιμίκτου δέ πως ἰάσεως ὁ συγκοπώδης δεῖται μαρασμὸς, οὔτε γεγονὼς ἤδη (μεμνῆσθαι γὰρ χρὴ τούτου διὰ παντὸς) ἀλλ' ἔτι γινόμενος, ἐκδαπανωμένης τῆς συμφύτου τοῖς στερεοῖς μορίοις ὑγρότητος. οὗτοι μὲν οἱ σκοποὶ τῆς ἰάσεως. ὅπως δ' ἄν τις εὕροι τὰς ὕλας τῶν βοηθημάτων, ἔτι τε σὺν αὐτοῖς τὸν τρόπον τῆς χρήσεως, ἐφεξῆς ἂν εἴη σκεπτέον. ἄμεινον μὲν οὖν γεγράφθαι τῷ Φιλίππῳ, μὴ μόνον ὅσα γέγραπται κατὰ τὸ πρῶτον περὶ μαρασμοῦ βιβλίον ὑπέρ τε γενέσεως τοῦ πάθους καὶ τῆς κατ' αὐτὸ διαφορᾶς διαγνώσεώς τε καὶ μεταπτώσεως, ἀλλὰ καὶ περὶ τῆς θεραπείας τι. νυνὶ δὲ ταύτην μὲν ὡς ἔοικεν οὐκ ἔφθασεν γράφειν. ζητήσας γοῦν ἐγὼ πάνυ πολλοῖς ἔτεσι τὸ περὶ μαρασμοῦ δεύτερον, οὔτ' αὐτὸς εὗρον, οὔτ' ἄλλῳ συνέτυχον ἀνεγνωκέναι ποτὲ φάσκοντι. κατὰ δὲ τὸ πρῶτον βιβλίον, ὃ τινες οὐδὲ πρῶτον ἐπιγράφουσιν, ἀλλ' ἁπλῶς περὶ μαρασμοῦ, διὰ τὸ μὴ φαίνεσθαι τὸ δεύτερον, ἐπεμνήσθη βαλανείου χρήσεως. οὐ μὴν ἀποδέχεται τοὺς χρωμένους ὡς βοηθήματι, βλάπτεσθαι νομίζων ὑπ' αὐτοῦ τοὺς μαραινομένους· ἅτε δ' ἐν παρέργῳ μνημονεύσας, οὔτ' ἐπεξῆλθεν, οὔθ' ὡς εἴωθεν ἀκριβῶς ἐσκέψατο περὶ τοῦ βοηθήματος. καίτοι γε φαίνεται ἐναργῶς ὑγραῖνον τοὺς κατεξηρασμένους, ὡς ἔνεστιν ἐπί τε τῶν ὁδοιπορησάντων ἐν ἡλίῳ θερινῷ, ἢ καὶ ἄλλως ὁπωσοῦν γυμνασαμένων ἢ ἐγκαυθέντων θεάσασθαι· τούτους τε γὰρ ἅπαντας ἔτι τε πρὸς αὐτοῖς ὅσοι διψώδεις εἰσὶν, ὑγροὺς καὶ ἀδίψους καθίστησί τε καὶ ἐργάζεται· φαίνεται δὲ καὶ τοὺς ἄλλους ὁπωσοῦν ἐξηρασμένους, ἢ ὑπ' ἀγρυπνίας, ἢ φροντίδος, ἢ ἀφροδισίων, ἢ βρωμάτων, ἢ φαρμάκου ξηραίνοντος, ἢ θυμοῦ, πάντας ἐπιτέγγον τε καὶ ἀνακτώμενον. ἀλλά μοι δοκεῖ Φίλιππος ἐπὶ τῶν ἤδη ὄντως μεμαρασμένων κατεγνωκέναι βαλανείου, οὓς οὐδ' ἄλλο οὐδὲν ἰᾶται, ὥστε με διχόθεν ἀποστῆναι τῆς γνώμης αὐτοῦ, ἐξ ὧν τε νομίζει τῶν ὄντως μαρανθέντων ἰάσασθαί τινας, ἐξ ὧν τε βαλανείου κατέγνωκεν. ἔνεστι γὰρ ἐναργῆ τῆς δυνάμεως αὐτοῦ λαβεῖν τὴν πεῖραν, ἐπὶ τῶν μηδέπω τὸν ἀθεράπευτον νοσούντων μαρασμὸν, ὃν οὐδὲ μαρασμὸν ἄν τις ἴσως ἀκριβολογεῖσθαι βουλόμενος ὀνομάζοι. ἀλλ' ἡμῖν γε ὀνομάτων οὐ μέλει, δυναμένοις ἑρμηνεῦσαι λόγῳ τὰ πράγματα σαφέστερον.

A dam suscipiunt. Ex quibus enim vtriq; in dignoscendis affectibus decepti sunt, ex his putarũt se rectissimè aliquid effecisse; etenim quosdam extenuatos curarunt; eorũ verò, qui marcuerunt, nullos. At quum sic extenuatorum corporum duplex sit affectio, de vtrâque nobis separatim agendum est. Igitur altera extenuatorum affectio oritur, quando tum ipse solidorum corporum humor, quem propriũ ipsis esse nutrimentum diximus, periit, tum teneræ carnes colliquatæ sunt; altera verò corpora solida attingit, B quæ sanè & prima & similaria appellamus. Hæc ipsa est, quæ sanari non potest, quemadmodum sanè nec ipsum senium; altera verò periculosa quidem est, at non prorsus incurabilis; habétque cum cæteris aliis affectionibus hoc cõmune, vt contraria affectui remedia exposcat; non æquè tamen, ac pleræque aliarũ, est tuta. Nam tres has affectiones humectare oportet, hócque illis ob communem siccitatem est cõmune; vna verò, quam senectuti assimilamus, calefactionẽ exposcit; sicuti & vna, quam retorridũ marcorẽ C vocamus, refrigerationẽ; cõmixtam verò quodãmodo curationẽ requirit syncopošus marcor, non qui iã factus sit (huius enim semper oportet meminisse) sed qui adhuc fiat, quum humiditas solidis partibus congenita absumitur. Hi quidẽ sunt curationis scopi. Deinceps verò considerandum est, quomodo tum à quouis inueniẽdæ, tum adhibendæ, ac vsurpandæ sint remediorum materiæ. Præstantius igitur egisset Philippus, si non solùm quæcunque in primo de marcore libro de morbi istius generatione & de eius differentia dignotionéque ac transmutatione tradidit, scripsisset, sed aliquid etiam de curatione; D sed hanc vt videtur scribere non potuit. Nam quum ego multis iam annis secundum de marcore librum perquisiuissem, nec ipse vnquã inueni, nec in quempiam alium incidi, qui se illum legisse assereret. In primo verò, quem nõnulli, propterea quod secundus non extet, non primum, sed simpliciter de marcore inscribunt, de balnei vsu meminit; non eos tamen admittit, qui hoc vtuntur auxilio, quòd ab ipso lædi marcescentes opinetur. Quia verò obiter, ac extra institutum huius remedii meminit, idcirco de E eo neque diffusè pertractauit, neque accuratè, vt solet, contemplatus est. Quanquam remedium hoc manifestè conspicitur exiccatos humectare, vt facile intueri possumus in iis, qui vel iter fecerunt per Solem æstiuum, vel quocunque alio modo exercitati vel exusti fuerunt; hos enim omnes, ac præterea siticulosos, humectat ac siti liberat. Quin & quoscunque alios, qui quomodocunque vel à vigiliis, vel à curis, vel à venere, vel à cibis medicamentisve exiccantibus, vel etiam ab ira exiccati fuerint, tum ma- F defacere tum reficere conspicitur. Sed mihi videtur Philippus balneum in iis improbasse, qui iam verè marcuere, quos nec aliud quicquã sanaret; vt bifariam ego ab eius sententia discedam, tum quia nonnullos ex iis, qui verè marcuerunt, sanari posse existimat; tum etiam, quia balneum improbat. Euidentem enim facultatis ipsius experiẽtiam capere licet in iis ipsis, qui nõdum insanabili laborant marcore, quem nec fortasse marcorem, vbi accuratè loqui velis, nomines. At nobis nulla de nominibus cura est, vbi res clariori oratione possumus interpretari.

CAPVT

A

CAPVT VII.

De marcoribus, qui balneo, & aquæ potu curantur; & de ipsorum ortu, ac curatione, aduersus Philippum.

QVum enim tres sint febrium primæ ac generalissimæ differentiæ, diarias in præsenti excipimus; sermo verò nobis de febribus tum ex humoribus accensis, tunc hecticis habendus est. Itaque febrium, quæ ex putrescentibus humoribus accenduntur, post humorum concoctionem balneum remedium est. Hecticis verò solis existẽtibus citra vllam alterius febris implicationẽ, omne tempus ad lauacrum idoneũ est. Si verò implicentur alicui febrium, ex humoribus accensarum, *tunc est idoneum*, quum iam humores fuerint concocti. Eadem quoque propemodum esse frigidæ potionis exhibẽdæ tempora censendum est. Verùm huius frustratio in magnam fit læsionem; balnei verò vsus in prædictis febribus periculo vacat, nisi fortè virium adesse imbecillitatem suspiceris. Atque nos, plerósque quibus marcor aduertebatur imminere, his præsidiis curauimus. Dictum autem est in primo de febrium differentiis libro, diariarũ febrium quasdam cum hecticarum genere communicare, primóque die non posse accuratè cognosci, sed vel in secundo, vel omnino in tertio. Ac quum primùm cognitæ fuerint, aqua frigida danda est, nam eo tempore maximè citra periculum est, quum & vires validæ sint, & sanguis in corpore copiosus contineatur; nam vbi febres diuturnæ fiunt, tunc vires redduntur imbecillæ & sanguis fit paucus. Duplici igitur læsione plerunque læduntur; altera quidem, quia ex aquæ potione pars aliqua feritur, ac refrigeratur; altera verò, quoniam qui eam ipsis exhibent, nisi modum mensuramque debitam tenuerint, non solùm aliam quampiam partẽ refrigerabunt, sed & eam ipsam, quæ principium generationis febris obtinet. Quòd si etiam cor largiùs refrigeraris, si innatam adhuc suam humiditatem seruet, concident vires: sin siccius iam existat, affectio senectuti similis subsequetur. Sed & quo tempore prima hecticarum febrium indicia manifesta fuerint, eodem etiam vtiliter foris adhibentur refrigerantia medicamenta, si imponantur super ipsum (vt quispiam dicat) febris focum, de quo paulo post accuratè definiam. Nunc ad balneum redeo, quod ad omnes squalentes febres vtile est, quando nihil aliud ipsis implicatum prohibeat. Quandóque verò vtilius etiam est, quam sint refrigerantia medicamenta, quum squallor vel in toto corpore exuperarit, vel in foco. Focum febris dico eam animalis partem, quæ prima suis ipsius solidis partibus immodicè fuerit calefacta. Primũ ergo cor calidius quàm deceat redditum, hecticam infert febrem. Deinceps verò iecur, non per se ipsum quidem, quemadmodum cor, sed quia secum in consensum illud trahat, quando non ipse cordis affectus rationem causæ obtinebit, sed qui sunt corporum cordi vicinorum. Post hæc est venter. Ab hoc quæcunque possunt secum cor concalefacere. Quantum igitur ad viciniam attinet; pulmo quidem omnium maximè cor concalefaciendo, hecticã siccamq;

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ μαρασμῶν τῶν διὰ βαλανείου καὶ τοῦ ψυχροῦ πόσεως θεραπευομένων· καὶ περὶ τῆς αὐτῶν γενέσεώς τε καὶ θεραπείας πρὸς τὸν Φίλιππον.

ΟΥσῶν γὰρ τῶν πρώτων τε καὶ γενικωτάτων ἐν τοῖς πυρετοῖς διαφορῶν τριῶν, ἐξαιρουμένων γε τῷ παρόντι τοὺς ἐφημέρους· ὁ δέ μοι λόγος περί τε τῶν ἐπὶ χυμῶν γενήσεται, καὶ τῶν ἑκτικῶν. τῶν μὲν οὖν ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν, μετὰ τὴν πέψιν τῶν χυμῶν ἴαμα βαλανεῖόν ἐστι· τοῖς δὲ ἑκτικοῖς, μόνοις μὲν συνισταμένοις χωρὶς ἐπιπλοκῆς τινος ἑτέρου πυρετοῦ, πᾶς χρόνος ἐπιτήδειός ἐστι πρὸς λουτρόν· εἰ δὲ ἐπιπλέκοιτό τινι τῶν ἐπὶ χυμῶν, ὅταν ἐκεῖνοι πεφθῶσι, τοὺς δ' αὐτοὺς χρὴ νομίζειν εἶναι καιροὺς ὡς ἔγγιστα, καὶ δόσεως ψυχροῦ. ἀλλὰ τούτου μὲν ἡ ἀποτυχία, μετὰ μεγάλης βλάβης γίνεται· βαλανείου δ' ἀκίνδυνος ἡ χρῆσις ἐπὶ τῶν εἰρημένων πυρετῶν ἐστι, πλὴν εἴπου μὲν ὑποπτεύοις ἀσθένειαν δυνάμεως· καὶ ἡμεῖς γε πολλοὺς ἐθεραπεύσαμεν ἐπιδόξους μαρανθήσεσθαι, διὰ τούτων βοηθημάτων. εἴρηται δ' ἐν τῷ πρώτῳ περὶ διαφορᾶς πυρετῶν, ὅτι καὶ τῶν ἐφημέρων τινὲς κοινωνοῦσι τῷ γένει τῶν ἑκτικῶν, καὶ ὡς οὐκ ἔστιν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀκριβῶς γνωρίζειν αὐτούς, ἀλλ' ἤτοι περὶ τὴν δευτέραν, ἢ πάντως γε τὴν τρίτην. καὶ ὡς ἐπειδὰν πρῶτόν τις γνῷ, διδόναι τὸ ψυχρὸν ὕδωρ· ἀκινδυνότατον γὰρ ἐν τούτῳ τῷ καιρῷ, τῆς τε δυνάμεως ἐρρωμένης ἔτι καὶ δαψιλοῦς τοῦ αἵματος ἐν τῷ σώματι περιεχομένου. χρονίζοντες μὲν γὰρ ἀσθενεῖς γίνονται δυνάμει, ὀλίγον δ' ἴσχουσι τὸ αἷμα. βλάπτονται τοιγαροῦν, ὡς τὰ πολλά, βλάβην διττήν, μίαν μὲν τῷ πλήττεσθαί τε καὶ καταψύχεσθαί τινα τῶν μορίων ἐν τῇ πόσει τοῦ ψυχροῦ· ἑτέραν δὲ ἐπειδὰν οἱ διδόντες αὐτοῖς τὸ ὕδωρ μὴ κρατήσαντες τοῦ συμμέτρου καταψύξωσιν οὐ μόνον ἄλλο τι μόριον, ἀλλὰ καὶ αὐτὸ τὸ τὴν ἀρχὴν ἔχον τῆς γενέσεως τοῦ πυρετοῦ. εἰ δὲ καὶ τὴν καρδίαν ἐπιπλέον ἐμψύξαιεν, εἰ μὲν ἔτι διαφυλάττει τὴν ἔμφυτον ἰκμάδα, κατάπτωσις γίνεται δυνάμει· εἰ δὲ ἤδη ξηροτέρα ὑπάρχουσα, ἡ τῷ γήρᾳ διάθεσις ἐοικυῖα διαδέξεται. κατὰ δὲ τὸν αὐτὸν καιρὸν ἐν ᾧ πρῶτα τὰ γνωρίσματα σαφῆ τῶν ἑκτικῶν πυρετῶν ἐστι, καὶ ἡ τῶν ἔξωθεν ἐπιτιθεμένων ψυχόντων φαρμάκων προσφορὰ χρήσιμος ὑπὲρ τῆς καὶ αὐτῆς ἐπιτιθεμένων, ὡς ἂν εἴποι τις, τῆς ἑστίας τοῦ πυρετοῦ, περὶ ἧς ὀλίγον ὕστερον ἀκριβῶς διοριοῦμαι. νυνὶ δὲ ἐπὶ τὸ βαλανεῖον ἐπάνειμι, χρήσιμον ὑπάρχον ἐν ἅπασι τοῖς αὐχμώδεσι πυρετοῖς, ὅταν γε ἄλλο μηδὲν κωλύοι τῶν ἐπιπλεκομένων αὐτοῖς. χρησιμώτερον δ' ἐστιν ὅτε καὶ τῶν ἐμψύχων φαρμάκων, ὅταν ἐπικρατῇ τὸ αὐχμῶδες ἤτοι καθ' ὅλον τὸ ζῶον ἢ κατὰ τὴν ἑστίαν. λέγω δὲ ἑστίαν τοῦ πυρετοῦ τὸ μόριον ἐκεῖνο τοῦ ζώου τὸ πρῶτον ἀμέτρως θερμανθὲν τοῖς στερεοῖς μέρεσιν ἑαυτοῦ. πρώτη μὲν οὖν ἡ καρδία θερμοτέρα τοῦ προσήκοντος γινομένη τὸν ἑκτικὸν πυρετὸν ἐπιφέρει· ἐφεξῆς δὲ τὸ ἧπαρ, οὐ καθ' ἑαυτὸ μέν, ὥσπερ ἡ καρδία, τῷ δὲ ἐκείνην ἄγειν εἰς συμπάθειαν, ἡνίκα τὸ τῆς καρδίας πάθος μὴ αὐτὸν τῆς αἰτίας ἐφέξει λόγον, ἀλλὰ τὰ τῶν γειτνιώντων αὐτῇ σωμάτων, ἑξῆς δὲ τούτοις ἐστὶν ἡ γαστήρ, καὶ μετὰ ταύτην ὅσα δύναται συνεκθερμαίνειν ἑαυτοῖς τὴν καρδίαν. ὅσον μὲν οὖν ἐπὶ τῇ γειτνιάσει, μάλιστα πάντων ἐχρῆν τῷ πνεύμονι συνεκθερμαινομένην τὴν καρδίαν ἑκτικὸν

καὶ ξηρὸν ἐπιφέρειν πυρετόν, ᾧ μαρασμὸς ἕπεται. οὐ μὴν φαίνεται γινόμενον, ἅμα μὲν ὅτι τὸ σπλάγχνον ὑγρόν, ἅμα δ' ὅτι διὰ τῆς ἀναπνοῆς ψυχόμενον. οὐ ῥᾳδίως δή ποτε διάθεσις ὁμοίας αἰτίας κτήσεται. ὡς τὰ πολλὰ μὲν οὖν κατὰ τὰ λοιπὰ σπλάγχνα μετὰ χολώδους χυμοῦ συνίστασθαι πέφυκεν ὁ ἑκτικὸς πυρετός, ἀναποθέντος εἰς τὴν γαστέρα τοῦ πάσχοντος τόπου. καὶ διὰ τοῦτο καὶ ὁ Φίλιππος ἐρυσιπελατώδη διάθεσιν ἐν τῇ γαστρὶ γίνεσθαι νομίζει κατὰ τοὺς πλείους τῶν μαραινόντων πυρετῶν. εἰ δὲ ἐν γαστρί, ἀναγκαῖον καὶ καθ' ἧπαρ ὑπονοῆσαι τὴν αὐτὴν συνίστασθαι διάθεσιν, ἐφ' οἷς σπλάγχνοις πάσχουσι μόνοις ἔοικεν ὁ Φίλιππος ἡγεῖσθαι γίνεσθαι μαρασμόν. ἐθεασάμην δ' οὐκ ὀλιγάκις τινάς, ἀπαθῶν ὑπαρχόντων τούτων, ἐν τῇ καρδίᾳ μαρανθέντας, ἧς οὐκ οἶδ' ὅπως ἐπιλέλησται ὁ μὴ ἐφ' ἥπατι καὶ γαστρὶ μόνοις πάσχουσιν ἐπιδεῖξαι δυνάμενος ὅπως γίνεται μαραίνων πυρετὸς ἄνευ τοῦ τῇ καρδίᾳ διαδοθῆναι τὸ πάθος. οὐ μόνον δὲ κατὰ τοῦτό μοι σφάλλεσθαι δοκεῖ, ἀλλὰ καὶ καθ' ὅσον ἐπὶ τοῖς ἄλλοις μέρεσιν οὐχ ἡγεῖται συνίστασθαι μαρασμώδη πυρετόν. εἴτε γὰρ ἐρυσιπελατώδης διάθεσις μόνη κατὰ γαστρὸς γεννηθεῖσα, τὸν τοιοῦτον ἐπάγει πυρετόν, εἴτε καὶ χωρὶς ταύτης ἔστιν ὅτε τὸ σῶμα αὐτὸ μόνον ἐκπυρωθὲν ἄνευ χολώδους ὑγρότητος, ἐγχωρεῖ καὶ κατ' ἄλλο τι μέρος ὁμοίαν γίνεσθαι διάθεσιν· ἀλλ' εἴπερ εἴη τὸ μόριον ἐκεῖνο τοιοῦτον, οἷον ἑαυτῷ συνεκθερμῆναι τὴν καρδίαν, ἀνάγκη πᾶσα πυρετὸν γεννῆσαι τὴν διάθεσιν αὐτοῦ, καὶ τοῦτον πάντως ἐν τῷ χρόνῳ γενόμενον ἑκτικόν, εἰ μὴ λύοιτο, μαρασμὸν ἐπενεγκεῖν. ἄλλως τε ὥσπερ εἶπον ἔμπροσθεν, οὐ περὶ τῶν ὀνομάτων σπουδάζειν προσήκει, ἀλλὰ τὰς ξηραινούσας ἁπάσας διαθέσεις τὸ σῶμα διαγινώσκειν τε ἅμα καὶ θεραπεύειν ὀρθῶς, ὧν ἐστι μία καὶ ἡ μετὰ πυρώδους θερμότητος, ἣν βαλανεῖον ὀνίνησι διαπαντός, ὅταν αὐτὴ καθ' ἑαυτὴν ὑπάρχῃ μόνη. γίνεται γὰρ ὡς εἴρηταί ποτε σὺν ἐρυσιπελατώδει διαθέσει πυρετὸς ἑκτικός τε καὶ μαρασμώδης, καὶ δεῖται ψυχθῆναι πρότερον ἐδέσμασί τε καὶ πόμασι καὶ τοῖς ἔξωθεν ἐπιτιθεμένοις· ἀλλ' αὐτὸς καθ' ἑαυτὸν ὁ τοιοῦτος πυρετὸς ἄμικτος ἑτέρῳ νοσήματι βαλανείου χρῄζει, καθάπερ καὶ αἱ ἄλλαι πᾶσαι ξηρότητες, εἴτε θερμαὶ τύχοιεν, εἴτε ψυχραί τινες οὖσαι. θαυμαστὸν γὰρ δὴ τοῦτο τοῖς βαλανείοις ὑπάρχει τὸ καὶ τὰς θερμὰς ξηρότητας ὀνίνασθαι καὶ τὰς ψυχράς, ὥσπερ γε καὶ τὸ διψώδεις μὲν ποιεῖν τοὺς μὴ διψῶντας, ἀδίψους δὲ τοὺς διψώδεις. ὅτι μὲν ἐργάζεται ταῦτα καὶ χωρὶς λόγου παντὸς ἐναργῶς ὁρᾶται· φαίνονται γάρ, ὡς εἴρηται πρόσθεν, ἐξ ἡλίου τε καὶ ὁδοιπορίας θερμαινόμενοί τε καὶ ξηραινόμενοι, λουσάμενοι θαυμαστῶς ὅπως ὑγραινόμενοί τε καὶ ψυχόμενοι· καὶ τούτων οὐδὲν ἧττον οἱ ἐκ κρύους ἰσχυροῦ θερμανθῆναι δεόμενοι, τάχιστα καὶ οὗτοι θερμαινόμενοι. καὶ μήν γε καὶ οἱ ἐξ ὁδοιπορίας τε καὶ ἡλίου διψώδεις, ἀδιψότεροι γίνονται, καὶ οἱ μὴ διψώδεις δέ, λουσάμενοι διψῶσι· χρὴ δὲ τούτους μὲν πλεονάκις, ἐκείνους δὲ ἅπαξ λούσασθαι. ταυτὶ μὲν οὕτω φαίνεται γινόμενα, καὶ τὰς αἰτίας αὐτῶν ἐν ἑτέροις εἴπομεν.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ θεραπείας τοῦ ἁπλοῦ μαρασμοῦ, καὶ τοῦ τῇ ἐρυσιπελατώδει διαθέσει ἐπιπεπλεγμένου, διὰ τῶν ἐμψυχόντων προσφερομένων τε καὶ ἐπιτιθεμένων.

ΕΠὶ δὲ τὸ προκείμενον αὖθις ἰτέον, ὡς ἅπαντας τοὺς ἑκτικοὺς πυρετοὺς ὀνίνησι βαλανεῖον, ὅταν γε αὐτὸ

A inferre febrem, quam marcor consequitur, debuerat; hoc tamen fieri non conspicitur; nec facilè vnquam affectio causam similẽ suscipiet, tum quia hoc viscus humidum est, tum etiam quia respiratione refrigeratur. Plerunq; igitur hectica febris in reliquis visceribus, cum bilioso humore solet consistere, vbi is in patientis loci ventriculũ imbibitus fuerit; ob id etiam Philippus marcescentiũ febrium plurimis, erysipelatosam affectionem genitam esse in ventriculo arbitratur. Quòd si in ventriculo, necessariò B etiam suspicandum est eandem in iecore constitui affectionem, à quibus solis visceribus affectis credere videtur Philippus marcorem generari. At nos non rarò vidimus quosdam *membris* his illæsis, in corde marcuisse, cuius quidẽ cordis haud scio cur oblitus fuerit *Philippus*, quum nec ex iecore aut vẽtriculo solis affectis ostendere potuerit, quomodo febris marcida suboriatur, nisi affectus cordi distribuatur *ac communicetur.* Neque verò in hoc solo videtur *Philippus* aberrare, sed etiam dum non iudicat, ex aliis etiam partibus febrem marcidam constitui posse. Nam siue erysipelatosa sola affectio in ven- C triculo exorta eiusmodi febrem inducat, siue etiam citra hanc affectionem aliquando corpus ipsum solum accensum sit sine biliosâ humiditate, potest etiam in aliâ quâpiam parte similis fieri affectio; quæ pars si talis sit, vt secum concalefaciat etiam cor, necesse omnino est, vt eius affectio febrem generet, quæ omnino temporis processu hectica fiet, ac tandem nisi soluatur, marcorem inducet. Atque aliàs, quod priùs dixi, de nominibus sollicitũ esse non conuenit; sed vt omnes affectiones, quæ corpus D exiccant, tum dignoscamus, tum rectè etiam curemus; quarum vna est etiam cum igneo calore, quam sanè balneum perpetuò iuuat, vbi ipsa per se sola constiterit. Nonnunquam enim (vt diximus) cum erysipelatosâ affectione oritur febris hectica marcidáque, quæ priùs cibo & potu & topicis extrinsecus admouendis refrigeranda est; sed vbi eadem febris per se nulli alteri morbo implicata fuerit, balneum requirit, sicut omnes aliæ siccitates, siue calidæ, siue frigidæ extiterint. Etenim hoc mirabile habent balnea, quod & calidas & frigidas siccitates iu- E uant; quemadmodum & hoc, quod non sitientibus sitim accendant, & sitientibus eãdem tollant. Quòd autem hæc efficiat balneum, clarè etiam nullâ adhibitâ ratione perspicitur. Cernimus enim (vt superiùs etiam dictum fuit) eos, qui à Sole & ex itinere calefiunt & exiccantur, vbi loti fuerint, admirabili quodam modo tum humectari tum refrigerari; nihilóque his minùs illos celerrimè calefieri, qui ob vehemens frigus calefieri desiderant. Iam verò qui ex itinere & sole sitiũt, non ampliùs vbi se lauerint, sitiũt; F & qui siti vacant, loti sitiunt; verum hos multoties, illos semel lauasse oportet. Hæc quidẽ ita fieri conspicimus, causas verò alibi explicamus.

CAPVT VIII.

De curatione marcoris tum simplicis, tum impliciti erysipelati, refrigerantibus assumptis & admotis.

AD propositum autem rursus eundum. Omnibus febribus hecticis, quæ hoc vnum dun-

duntaxat habeant, vt hecticæ sint, balneum auxiliatur. Si verò vel erysipelas, vel phlegmone, vel putrescentes adhúcque inconcocti humores corpus obsideant, ob hæc, non ob ipsam febrem hecticam, à balneo lædi ægrotum continget. Ipsa enim quatenus febris est, semper tum à frigida potione extinguitur, tum à balneis iuuatur; ob implicitas verò ipsi febri affectiones, ægrotus læditur. Atque hæc quidem efficacissima remedia sunt, quæ marcoris generationem prohibeant; eáque admodum audacter in febribus hecticis assumenda sunt. Si autem erysipelatosa quædam fuerit affectio, à balneo quidem prorsus abstinendum est, sed aquâ frigidâ dum morbi vigor cõsistit, est vtendũ agonistice; ita enim nominare solent, quando ea & affatim & frigidissima exhibetur. In principio autem danda non est, nisi nos cogat æger, qui & frigidæ potioni sit assuetus, & sitim tolerare haud possit: verùm imponenda extrinsecus sunt, quæ refrigerent; quæ si nihil profuerint, cogendi etiam sunt ægri, vt ea intrò assumant. Maximè verò eis competunt humidæ ac nouellæ lactucæ (sed in recenti frigida abluendæ priùs sunt) atque ita edendæ. Si quando verò abs te æger petierit, vt cibi fastidium consoleris, acetum aquæ frigidæ miscebis, ac vt in eo lactucas tingat, concedes; sit autem acetum illud omnis prorsus vinosæ qualitatis expers. Quinetiam extrinsecus eiusdem lactucæ succũ, imò & semperuiui, intybique, ac quæcunque alia refrigerantia, imponere expedit. Optimus etiam est vuarum immaturarum *succus*, quo potissimũ pro tempore vtimur. Expressus enim earum humor, vnà cum portulacis in pilam inicitur; postea contusus in vas exprimitur, vasque illud in frigidam aquam immergitur, quæ si niuis etiam aliquid habuerit, præstantior reddetur. Modicum autem albæ farinæ, vbi eò vti volumus, immiscemus. Deinde in duplicatum linteolum infundentes, extrinsecus ipsum super hypochondria extendimus; nec illic diu morari sinimus, sed vbi tepidum euaserit, illud abiicimus, ac alterum simili modo imponimus; & hoc continuò agimus, quousque æger se in profundo refrigerari, ac siti liberari persentiat. Miscemus etiam aliquando oleum omphacinũ vel rosaceum, vbi præcipuè nonnihil phlegmonodes in hypochondriis constiterit. Hoc igitur modo erysipelatodes affectiones refrigerare oportet. Nosse verò decet nunquam posse febrem exquisitè hecticã esse, vbi eiusmodi quæpiam affectio adfuerit. Exquisitè autem hectica ea est, quæ nullum particularis accessionis, aut principium, aut incrementum, aut vigorem, aut denique declinationem habeat. Iam verò in opere de febrium differentiis diximus tum multa alia, tum quòd à solo cibo hecticæ febres efferuescunt, veluti calx inspersâ aquâ; quo incremento ablato, æquales semper permanent. Si quando tamen breuissimum aliquod incrementum vel inuasio intercedit, considerare oportet, an aliqua adsit humorum putredo; an verò locus primus affectus alius sit à corde, qui & ipse nec simplicem nec hecticam affectionem habeat, sed vel phlegmonodem quampiam, vel erysipelatodem. Atque hoc modo propria curatio affectionibus adaptanda est.

A τοῦτο μόνον ἑκτικαὶ τυγχάνουσιν οὖσαι· ἂν δὲ ἐρυσίπελας, ἢ φλεγμονή τις, ἢ σηπόμενοι χυμοὶ καὶ ἔτι ἄπεπτοι περιέχωνται κατὰ τὸ σῶμα, διὰ ταῦτα βλαβῆναι συμβήσεται τοὺς νοσοῦντας, οὐ διὰ τὸν ἑκτικὸν πυρετόν. αὐτὸς μὲν γὰρ, ᾗ πυρετός ἐστι, διαπαντὸς ὑπό τε ψυχροῦ σβέννυται πόματος, ὑπό τε βαλανείων ὀνίναται, διὰ δὲ τὰς ἐπιμιγνυμένας αὐτῷ διαθέσεις, οἱ κάμνοντες βλάπτονται. τὰ μὲν δραστικώτατα τῶν βοηθημάτων, ὡς κωλῦσαι γενέσθαι μαρασμὸν, ταῦτά ἐστι· καὶ χρὴ παραλαμβάνειν αὐτὰ πάνυ θαῤῥούντως, κατὰ τοὺς ἑκτικοὺς πυρε-
B τούς. Εἰ δὲ ἐρυσιπελατώδης εἴη διάθεσις, ἀπέχεσθαι μὲν χρὴ βαλανείου παντελῶς, ὕδατι δὲ ψυχρῷ, κατὰ μὲν τὴν ἀκμὴν τοῦ νοσήματος χρηστέον ἀγωνιστικῶς, οὕτω δὴ ὀνομάζειν εἰώθεν, ὅταν ἀθρόον τε καὶ ψυχρότατον δῶμεν· ἐν ἀρχῇ δ' οὐ χρηστέον, εἰ μὴ καταναγκασθείημεν ὑπὸ τοῦ κάμνοντος ἐν ἔθει τε ψυχροποσίας ὄντος, οὐ φέροντός τε τὸ δίψος, ἀλλ' ἔξωθεν ἐπιτιθέναι χρὴ τὰ ψύχοντα, καὶ εἰ μηδὲν ἀνύῃ, καὶ εἴσω τοῦ σώματος ἀναγκάζειν λαμβάνειν. μάλιστα δ' αὐτοῖς ἁρμόττουσιν αἱ ὑγραὶ καὶ νέαι θριδακίναι
C (πεπλύσθωσαν δὲ ἀκραιφνεῖ ψυχρῷ) μάλιστα μὲν οὕτω ληφθεῖσαι, δεηθέντος δέ ποτε τὴν ἀηδίαν τῆς προσφορᾶς παραμυθήσασθαι τοῦ κάμνοντος, ὄξος ὕδατι ψυχρῷ μίξαντες συγχωρεῖν ἐν τούτῳ βάπτειν. ἔστω δὲ ἀκριβῶς ἀποκεχωρηκὸς ἁπάσης οἰνώδους ποιότητος, τὸ ὄξος. ἔξωθεν δὲ, καὶ αὐτὸς μὲν ὁ τῆς θριδακίνης χυλὸς ἐπιτήδειος, ἀλλὰ καὶ ἀειζώου, καὶ σέρεως, ὅσα τἆλλα ψύχοντα. κάλλιστον δ' ᾧ μάλιστα χρώμεθα κατὰ καιρὸν, τῶν ὀμφάκων. ἐνθλίψαντες γὰρ αὐτῶν τὸ ὑγρὸν, ἐμβάλλομεν ὅλμῳ μετὰ
D τῶν ἀνδραχνῶν, εἶτα κόψαντες ἐκπιέζομεν, ἐνστήσαντες τότε ἀγγεῖον ὕδατι ψυχρῷ, κάλλιον δὲ εἰ καὶ χιόνος ἔχει τι. μίγνυμεν δὲ ἐπὶ τῆς χρήσεως, ὀλίγον ἀλφίτου λευκοῦ, κἄπειτα δεύσαντες εἰς ὀθόνιον δίπτυχον, ἐπιτείνομεν ἔξωθεν αὐτὸ κατὰ τῶν ὑποχονδρίων, οὐκ ἐῶντες χρονίζειν, ἀλλ' ἐπειδὰν γένηται χλιαρὸν, αἴροντες μὲν τοῦτο, χρώμενοι δὲ ἑτέρῳ παραπλησίως, καὶ τοῦτο διαπαντὸς ἐκ διαδοχῆς ποιοῦντες, ἄχρις ἂν ὁ κάμνων αἰσθάνηται τοῦ βάθους ψυχόμενος, καὶ ἀδιψότερος
E γένηται. μίγνυμεν δὲ ἐνίοτε καὶ ἔλαιον ὀμφάκινον ἢ ῥόδινον, ἐπειδὰν μάλιστα καὶ φλεγμονῶδές τι καθ' ὑποχόνδριον ᾖ. τὰς μὲν οὖν ἐρυσιπελατώδεις διαθέσεις οὕτως ἐμψύχειν χρή. γινώσκειν δὲ ὡς εἴπερ εἴη τις τοιαύτη διάθεσις, τὸν πυρετὸν ἀκριβῶς ἑκτικὸν ἀδύνατον ὑπάρχειν. ἀκριβῶς δὲ ἑκτικός ἐστιν ὁ μηδεμίαν ἀρχὴν, ἢ ἐπίδοσιν, ἢ ἀκμὴν, ἢ παρακμὴν μερικοῦ παροξυσμοῦ ποιούμενος. εἴρηται δ' ἐν τῷ περὶ τῆς διαφορᾶς τῶν πυρετῶν καὶ τά τ' ἄλλα, καὶ ὡς ἐπὶ ταῖς τροφαῖς μόναις ἀναζέουσιν οἱ ἑκτικοὶ πυρετοὶ, καθάπερ ἡ τίτανος ἐπιχυθέν-
F τος ὕδατος, ἀλλ' ἀφαιρεθείσης γε τῆς τοιαύτης αὐξήσεως, ἴσοι διαμένουσιν ἀεί. Εἰ δὲ καὶ παρεμπίπτει ποτὲ κἂν βραχυτάτη τις αὔξησις ἢ ἐπισημασία, διασκέπτεσθαι, μή τις ἤτοι χυμῶν σηπεδὼν, ἢ τόπος ὁ πρῶτος πεπονθὼς ἕτερός ἐστι παρὰ τὴν καρδίαν, οὐδ' αὐτὸς ἁπλῆν οὐδ' ἑκτικὴν ἔχων διάθεσιν, ἀλλ' ἤτοι φλεγμονώδη τινὰ, ἢ ἐρυσιπελατώδη· καὶ οὕτω τὴν θεραπείαν οἰκείαν ἐφαρμόττειν ταῖς διαθέσεσι.

ΚΕΦΑΛΑΙΟΝ Θʹ.

Περὶ θεραπείας τῶν μαρασμῶν τῶν κατὰ τὴν δίαιταν, καὶ τὸ βαλανεῖον καὶ τὸν οἶνον.

ΤΟΥ μὲν οὖν περιφρυγοῦς μαρασμοῦ, τὴν γένεσιν ἐκ τῶν καυσωδῶν πυρετῶν λαμβάνοντος, ἡ κώλυσις ἐν τοῖς ψυκτηρίοις ἐστὶν ἰάμασιν, ἔξωθέν τε κατὰ τοῦ πεπονθότος ἐπιτιθεμένοις, εἴσω τε τοῦ σώματος λαμβανομένοις. εἰ δ᾽ ἀποτελεσθείη γῆρας ἐκ νόσου, τὸ μὲν ἀκριβῶς ἤδη γεγονὸς, ἀδύνατον ἰάσασθαι· τὸ δ᾽ οὔπω μὲν ἀπηκριβωμένον, ἐγγὺς δὲ ἧκον αὐτοῦ τῆς γενέσεως, ἕνα μὲν ἔχει τὸν τῆς ἰάσεως σκοπὸν, ὃν ἀνάληψίν τε καὶ ἀνάθρεψιν ὀνομάζομεν, ἐκ πολλῶν τε τῶν κατὰ μέρος ἐνεργειῶν, ἃ πολλά τε καὶ παμπόλλης ἀσφαλείας δεόμενα, ὑπὲρ ὧν εἰ λεγοίμην νῦν, ὁ λόγος ἄν μοι γένοιτο μήκιστος, εἴρηται δὲ ἱκανῶς ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ. νυνὶ δ᾽ ἀρκεῖ τό γε τοσοῦτον εἰπεῖν, ὡς τὰ ἐξηραμμένα τῶν σωμάτων στερεῶν ἰᾶται τροφή. δέδεικται δὲ ἐν τοῖς περὶ τῶν φυσικῶν δυνάμεων, ὡς οὐχ ἑαυτὴν ἡ τροφὴ ποδηγεῖ πρὸς ἅπαντα τὰ μέρη τοῦ σώματος, ἀλλ᾽ ὑπ᾽ αὐτῶν ἕλκεται τῶν τρέφεσθαι δεομένων. ἄτονα δέ ἐστιν ἐν τοῖς μαρασμοῖς ταῦτα, καὶ ἕλκειν ἄῤῥωστα διὰ τὴν ξηρότητα, προσελθούσης δὲ καὶ ψύξεως, ἐγγὺς ἤδη νεκρῶν τυγχάνει. χρὴ τοίνυν εὔελκτον εἶναι τὴν τροφὴν, ἵν᾽ ὅπερ ἐνδεῖ τῇ ῥώμῃ τῶν ἑλκόντων, ἐκ τῆς κατὰ τὴν ὕλην ἐπιτηδειότητος ἀναπληρῶται. εὔελκτος δέ ἐστιν ἡ λεπτομερής τε καὶ φύσει θερμὴ, ἀλλ᾽ αὕτη γε τοὐπίπαν ἄτροφός ἐστιν. ἐπιδέδεικται γὰρ ὥστε τροφὴν μόνιμον ἀναγκαῖον παχεῖάν τε εἶναι καὶ γλίσχραν, ὡς ἂν μόνιμός τε καὶ δυσδιάπνευστος ᾖ, καὶ τοῖς τρεφομένοις σώμασιν ἑτοίμως ὁμοιῶται. μαχομένων γ᾽ οὖν τῶν σκοπῶν τούτων, ἀδύνατον μὲν εὐπορῆσαι τροφῆς ἀκριβῶς διασωζούσης ἀμφότερα· πειρατέον δὲ ὅμως κἂν μετρίως ἑκάτερον ἐργάζεσθαι δυναμένην ἐξευρεῖν. ἐμοὶ μὲν δὴ βέλτιον οὐδὲν εἰς τὰ τοιαῦτα, γάλακτος εἶναι δοκεῖ, μάλιστα μὲν εἴ τις αὐτὸ ὑπομένοι βδάλλειν ἐπιτιθέμενος τῷ στόματι γυναικεῖον τιτθὸν, ὥσπερ Εὐρυφῶν τε καὶ Ἡρόδικος ἐπὶ τῶν φθινόντων ἀξιοῦσιν· εἰ δὲ μὴ, ἀλλά τό γε τῆς ὄνου λαμβάνειν ἔτι θερμὸν, ἐλαχίστῳ χρόνῳ ὡμιληκὸς τῷ περιέχοντι. συμφέρει μὲν οὖν ὁ τοιοῦτος σκοπὸς τῶν τροφῶν, οὐ μόνον τοῖς γήρᾳ παραπλησίαν ἔχουσι διάθεσιν, ἢ συγκοπώδεσι μαρασμοῖς, ἀλλὰ καὶ τοῖς περιφρυγέσιν ὑπὸ τοῦ Φιλίππου προσαγορευομένοις. χρηστέον δὲ ταῖς ὕλαις τῶν τροφῶν, ἐπί γε τούτων, μὴ θερμαῖς, ὥσπερ ἐπὶ τοῦ γήρως, ἀλλὰ ψυχραῖς. ἐν τῷ μέσῳ δ᾽ ἀμφοῖν ἔστωσαν, αἱ ταῖς συγκοπώδεσι διδόμεναι. γάλα μὲν οὖν καὶ πτισάνη καὶ χόνδρος, ἐπὶ τῶν τριῶν διαθέσεων ἁρμόττουσιν. ἀλλὰ τοῦ χόνδρου μὲν, δι᾽ ὄξους ὁμοίως πτισάνῃ σκευαζομένου, πρὸς τὸ ῥᾷστον ἀναδίδοσθαι. μέλι δὲ, ἐν μὲν ταῖς ψυχραῖς διαθέσεσι, ὠφελιμώτατον, ἐν δὲ ταῖς θερμαῖς, βλαβερώτερον. οὕτως οὖν ἔχει κἀπὶ τῶν ἐπιδόξων μαραίνεσθαι τοὺς εἰρημένους μαρασμούς. ἐναντιώτατον μὲν γὰρ τοῖς περιφρυγέσιν, ὠφελιμώτατον δὲ τοῖς τῶν γερόντων κινδυνεύουσιν ἴσχειν διάθεσιν. ἐν δὲ τοῖς συγκοπώδεσιν, εἰ μὴ κωλύοι τὰ τῆς γαστρὸς, ἑψῶντα διδόναι, καθ᾽ ἑαυτό τε, καὶ σὺν τοῖς ἄλλοις ἐδέσμασι. βαλανείου

CAPVT IX.

De curatione marcorum per cibum, balneum, & vinum.

MArcorem igitur retorridum, qui ex ardentibus febribus generationem suscipit, refrigerantibus prohibebimus remediis, tum extrinsecus impositis, tum intrò in corpus assumptis. Senium vero quod ex morbo effectum fuerit, si illud quidem absolutè factū fuerit, curari non potest; si autem nondum absolutum sit, sed propè accedat, vt eiusmodi fiat, vnum habet curationis scopum, quem recreationem & refectionem appellamus, ex multis particularibus actionibus, quæ tum multis, tum multa etiam egent cautione; de quibus si nunc loqui vellē, longissima mihi fieret oratio; abundè tamen in libris de medendi methodo dictum fuit. Nunc autem satis erit si hoc dixerimus, quod exiccata corpora solida, alimentum curet. Ostendimus autem in commentariis de facultatibus naturalibus, quod non se ipsum cibus ad omnes corporis partes defert, sed ab ipsis, quæ nutritione egeant, attrahitur. At verò in marcoribus hæ ipsæ inualidæ sunt, ac præ siccitate ad attrahendum infirmæ; quod si frigiditas quoq; adiungatur, parum iam à mortuis absunt. Oportet igitur, vt alimentum attractu facile sit, vt quod attrahentis corporis robori deest, id ex materiæ aptitudine rependatur. Attractu autē facile est *id alimentum*, quod tum tenuiū sit partium, tum natura calidum; verùm hoc ferè non nutrit; nam ostensum est alimentum crassum viscosumque esse debere, vt stabile sit difficultérque transpiret, & nutriendis corporibus promptè assimiletur. Quando autem hi scopi inter se pugnant, fieri nequit, vt alimenti exactè vtraque seruantis copia suppetat. Danda tamen est opera, vt quod mediocriter ambo præstare possit, inueniamus. Mihi porrò nihil ad hęc omnia lacte videtur esse præstantius, præcipuè quidem si quis muliebrem mammam ore apprehendens id ipsum mulgere toleret, quemadmodum sanè Euryphon & Herodicus in phthisicis præcipiunt; sin minus, at saltem asininum adhuc calidum assumat, quod breuissimo temporis spatio ambienti aëri fuerit expositum. Hic igitur alimentorum scopus non iis solùm, qui similem senectuti affectionem, vel etiam marcorem syncopalem habent, confert, verùm etiam iis, quos marcor à Philippo retorridus appellatus occupat. In iis tamen calidorum alimentorum materiæ adhibendæ non sunt, veluti in senio, sed frigidorum; mediæ autem inter has sint, quæ syncopalibus exhibentur. Itaque lac, & ptissana, & halica in his tribus affectionibus competunt. Halica tamen ad faciliorem distributionem ex aceto condiatur, quemadmodum ptissana. Mel verò frigidis quidem affectionibus vtilissimum est; calidis autem est maximè noxium. Ita ergo se habet quoque *mel* in iis, qui obnoxii sunt, vt à iam dictis marcoribus corripiantur. Nam in retorridis inimicissimum est; iis autem quibus senum affectio imminet, vtilissimum; at in syncopalibus, nisi ventriculus prohibuerit, concoquendum id est, ac tum per se solum, tum cū aliis eduliis exhibendum. Balnei verò

verò vſus opportunus, tum ad alia antedicta, tum ad cibi diſtributiones peragendas præſtantiſſimum eſt remedium. Verùm illud cibo quidem iam concocto aſſumendum erit, non tamen poſt inediam longiorem. Nam ſi ei, qui nuper comederit, balneum adhibeatur, crudis corpus, ac inconcoctis humoribus replebit; ſi verò illi, qui diutius à cibo abſtinuerit, vires diminuit. In cæteris verò corporis conſtitutionibus, ac præſertim in ea, quæ nuper dicta eſt, completa iam (vt dictum eſt) concoctione lauare oportet. Vini præterea vſus, ſicuti in frigido marcore magnopere iuuat, in retorrido fugiendus; medio autem quodam modo ſe habet in ſyncopali marcore, propterea quod affectio hæc media ſit, & mixta, partim quidem aliquid frigiditatis obtinens, partim verò etiam adhuc aliquid ipſius febris ſeruans. Quum autem huiuſmodi affectio, qua ad contraria per partes viciſſim permutatur, nonnunquam quidem refrigerationem, pulſúſque priuationem, & (vt ſimpliciter dicam) omnia, quæ ipſius ſyncopæ propria ſunt, inuehat; nonnunquam autem caliditatem, pulſúſque marcoris retorridi pulſibus ſimiles: ita etiam curationem pro exuperantium natura immutari oportet. Atque in ſyncopali, tum vinum, ac alimenta temperata offeremus, tum corpus vniuerſum conſtipabimus, denſabimúſque; in retorrido contraria agemus. Singulorum verò omnium vſum opportunum ille probè inueniet, qui in libris de medendi methodo fuerit exercitatus: hi enim libri non quibuſcunque, ſed iis qui aliquem in arte habitum habent, à nobis ſcripti ſunt.

A ἡ δὲ χρῆσις εὔκαιρος, εἴς τε τἆλλα τὰ προειρημένα, καὶ εἰς τὰς ἀναδόσεις τῆς τροφῆς, ἄριστον βοήθημα. παραλαμβάνειν δὲ αὐτὸ, πεπεμμένης ἤδη τῆς τροφῆς, οὐκ ἐπ' ἐνδείᾳ μακροτέρᾳ. τοὺς μὲν γὰρ ἀρτίως ἐδηδοκότας προσφερόμενον λουτρὸν, ὠμῶν καὶ ἀπέπτων χυμῶν ἐμπίπλησι τὸ σῶμα. τοὺς δ' ἐπ' ἐνδείᾳ μακροτέρᾳ, τὴν δύναμιν καθαιρεῖ. ἐν δὲ ταῖς ἄλλαις ἁπάσαις καταστάσεσι τοῦ σώματος, καὶ μάλιστα ἐν τῇ νῦν προειρημένῃ, πειρατέον, ὡς εἴρηται, λούειν ἐπὶ συμπεπληρωμένῃ τῇ πέψει. B καὶ ἡ τοῦ οἴνου δὲ χρῆσις, ἐπὶ μὲν τοῦ ψυχροῦ μαρασμοῦ, μεγάλως ὠφέλιμος· ἐπὶ δὲ τοῦ περιφρυγοῦς, φευκτέον· μέση δέ πώς ἐστιν ἐν τῇ συγκοπώδει, διότι καὶ ἡ διάθεσις αὕτη, μέση τέ ἐστι καὶ μικτή· τὸ μέν τι ψύξεως ἔχουσα, τὸ δέ τι καὶ τοῦ πυρετοῦ διασώζουσα. μεταβαλλούσης δὲ τῆς τοιαύτης διαθέσεως πρὸς τἀναντία, ἐν μέρει ποτὲ μὲν κατάψυξίν τε καὶ ἀσφυξίαν φερούσης, καὶ ἁπλῶς εἰπεῖν τὰ τῆς συγκοπῆς ἴδια· ποτὲ δὲ θερμότητα, καὶ σφυγμοὺς C ὁμοίους τῷ περιφρυγεῖ· καὶ τὰ τῆς θεραπείας χρὴ συμμεταβάλλεσθαι κατὰ τὴν τῶν ἐπικρατούντων φύσιν, ἐν μὲν τοῖς συγκοπώδεσιν, οἶνόν τε καὶ τροφὰς εὐκράτους διδόντων ἡμῶν, καὶ πιλούντων καὶ πυκνούντων τὸ σύμπαν σῶμα· ἐν δὲ τῷ περιφρυγεῖ, τἀναντία. τὴν δὲ κατὰ μέρος ἁπάντων ἐπιδέξιον χρῆσιν, ὁ γεγυμνασμένος ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν ἐξευρήσει. τοῦτο γὰρ τὸ βιβλίον οὐ τοῖς ἐπιτυχοῦσιν, ἀλλὰ τοῖς ἕξιν ἔχουσί τινα κατὰ τὴν τέχνην, γέγραπται.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΟΥ ΠΑΡ' ΙΠΠΟΚΡΑΤΗι ΚΩΜΑΤΟΣ, ΒΙΒΛΙΟΝ.

GALENI DE COMATE SECVNDVM HIPPOCRATEM, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τί κῶμα; ποσαπλάσιον; πότερον ταὐτὸν τῇ καταφορᾷ; καὶ εἰ τὸ ὑπνῶδες κῶμα τῶν ληθαργικῶν, τὸ δ' ἄγρυπνον τῶν φρενιτικῶν ἴδιον;

ARGVMENTVM LIBRI.

Quid Coma? quotuplex? an idem ac catathora? an ſomnolentum lethargicis, & inſomne phreniticis proprium?

CAPVT I.

Quod comatis nomen? an coma cum vigilia coniunctum? an dictum ἀπὸ τοῦ κωμάζειν?

QVID ſignificat comatis nomen apud Hippocratem? vtrum delationem in ſomnum, vt quidam interpretum dixerunt?

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί τὸ τοῦ κώματος ὄνομα; πότερον μετὰ ἀγρυπνίας γίγνεται; εἰ ἀπὸ τοῦ κωμάζειν λέγεται;

ΤΙ ποτε σημαίνει τὸ τοῦ κώματος ὄνομα παρ' Ἱπποκράτει; πότερον τὴν εἰς ὕπνον καταφορὰν, ὡς τινες τῶν

ἐξηγησαμένων ἔφασαν; ἢ ὕπνον αὐτόν; ἢ καθάπερ ἄλλοι τὴν ὑπνώδη καταφοράν; καὶ γὰρ καὶ οὕτως ὠνόμασάν τινες [2] ἐν συνθέτῳ προσηγορίᾳ τὴν ἐξήγησιν ποιησάμενοι. τινὲς δὲ οὐδὲν μὲν τούτων, τὴν ληθαργικὴν δὲ καταφορὰν κῶμα πρὸς τοῦ ἀνδρὸς ὀνομάζεσθαί φασι. παρὰ μὲν τῶν ἄλλων παλαιῶν οὐδὲ μία γένοιτ᾽ ἂν μεγάλη μαρτυρία· καὶ γὰρ εἰ καὶ μάλιστα καθ᾽ ἑτέρου πράγματος ἐκεῖνοι τοὔνομα φέρουσιν, οὐδὲν κωλύει τὸν Ἱπποκράτην διαφερόντως χρῆσθαι. αὐτίκα παρὰ τῷ ποιητῇ δόξειεν ἂν ὕπνον δηλοῦν τοὔνομα·

[3] Ἤ με μάλ᾽ αἰνοπαθῆ μαλακὸν περὶ κῶμ᾽ ἐκάλυψεν.

καί,

—— ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα.

Ἀλλ᾽ οὐχ Ἱπποκράτης οὕτω φαίνεται χρώμενος, εἴγε καὶ μετ᾽ ἀγρυπνίας πολλάκις τὸ κῶμα γίνεσθαί φησι, καὶ φρενιτικοῖς συνεδρεύειν. ἐν ἀρχῇ μὲν τοῦ προρρητικοῦ τάδε γράφει. [3] οἱ κωματώδεες ἐν ἀρχῇσι γινόμενοι, μετὰ κεφαλῆς, ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης, ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί εἰσιν; ἐν δὲ τῷ τρίτῳ τῶν ἐπιδημιῶν (ἀπό τινων τῶν ὁμολογουμένων αὐτοῦ γνησίων βιβλίων λάβωμεν τὰς μαρτυρίας) ὧδέ πως φησίν. [4] ἑνδεκάτῃ κατενόει (κωματώδης δὲ ἦν) οὖρα πολλά, λεπτά, καὶ μέλανα, ἄγρυπνος. εἶτ᾽ ἐφεξῆς ταῦτά φησι, ταύτῃ τὰ τῶν οὔρων διὰ τέλεος ἦν μέλανα, καὶ λεπτά, καὶ ὑδατώδεα, καὶ κῶμα παρείπετο, ἀπόσιτος, ἄγρυπνος, ἄθυμος. ἐν πάσαις γὰρ ταῖς εἰρημέναις ῥήσεσιν, ἀγρυπνίας καὶ κώματος φαίνεται μνημονεύων. ἕτερον δ᾽ ἄρρωστον αὖθις γράφων ἐν τῷ αὐτῷ βιβλίῳ, φησί, τουτέῳ [5] διὰ τέλεος, ἐξ οὗ καὶ ἐγὼ οἶδα, κοιλίη ταραχώδης, οὖρα λεπτὰ μέλανα, κωματώδης, ἄγρυπνος. ὥστ᾽ ἄντικρυς εἶναι δῆλον, ὅτι μήθ᾽ ὕπνον, μηδὲ καταφορὰν παρ᾽ αὐτῷ δηλοῖ τὸ τοῦ κώματος ὄνομα. διὰ τοῦτο, οἶμαι, τινὲς τῶν ἐξηγητῶν ἀπὸ τοῦ κωμάζειν φασὶ τοὺς κωματώδεις ὠνομάσθαι, ἐγρηγορέναι μὲν γὰρ καὶ τοὺς κωμάζοντας, ἐγρηγορέναι δὲ καὶ τοὺς κωματώδεις. [6] καὶ νὴ Δία ὥσπερ οἱ κωμάζοντες οὐ πάνυ τι καταμύουσιν, οὕτως οὐδὲ τοὺς κωματίζοντας, καὶ μάλιστα τοῖν ὀφθαλμοῖν. ὑγρούς τε γὰρ εἶναι καὶ ἐρυθρούς, καὶ ἀστηρίκτους καὶ ἐνδεδυμένους· ἀλλὰ τὸ πᾶν ἀμφοτέροις σῶμα σφαλερὸν ἐν ταῖς κινήσεσι καὶ ἀκρατές. αὐτὸν διὰ τοῦτο καὶ τὸν Ἱπποκράτην περὶ τῆς ὅλης συνδρομῆς ἀπορεῖν, εἴτε χρὴ φρενιτικοὺς αὐτοὺς ὀνομάζειν, εἴτ᾽ ἄλλο τι. φρενιτικοὺς μὲν γὰρ εὐλαβεῖσθαι καλεῖν, μηδέπω παραπαίοντας· ἅπαντα δὲ ὁρῶντα συμπτώματα φρενιτικά, καὶ γὰρ κεφαλήν, ὀσφύν, ὑποχόνδριον, καὶ τράχηλον ἀλγοῦντα, μήτε σφάλμα τι, μήτ᾽ ἄγνοιαν μηδεμίαν ὑποστέλλεσθαι. ταῦθ᾽ ὡς μὲν οὐκ ἔχει πιθανῶς, οὐδεὶς ἀντείποι. οὐδὲ μὴν ἱκανῶς, ἐμοὶ γοῦν, οὐδὲ μετ᾽ ἀποδείξεως εἰρῆσθαι δοκεῖ. ἐχρῆν γὰρ ἐξ Ἱπποκράτους αὐτοῦ τὴν ἐξήγησιν ποιεῖσθαι τῆς λέξεως, ἵνα μὴ μόνον ὅτι πιθανῶς εἴρηται λέγειν ἔχωμεν, ἀλλ᾽ ὅτι καὶ κατὰ τὴν ἐκείνου γνώμην. οὐ γὰρ ἡγοῦμαι τοῦτο χρῆναι σκοπεῖσθαι μόνον τὸν ἀγαθὸν ἐξηγητήν, εἰ πιθανῶς ἢ ἀληθῶς εἴρηκεν, ἀλλ᾽ εἰ καὶ τῆς γνώμης ἔχεται τοῦ συγγραφέως, ὅπερ οὐκ ἐν τῷ πρόσθεν λόγῳ. καίτοιγε μέρος τι τῆς περὶ τοὔνομα γνώμης τοῦ παλαιοῦ δέδεικται διὰ τῶν ῥήσεων, ἐν αἷς ἀγρυπνίαν τὸ κῶμα γνοὺς ἐφαίνετο. καί τις ἴσως ἔχειν ἤδη τὸ πᾶν δόξειεν ἄν, ἀλλ᾽ ἂν βραχὺ περιμείνας ἀκούσῃ ἐκ τοῦ αὐτοῦ βιβλίου τοῦ τρίτου τῶν ἐπιδημιῶν ῥήσεων ἑτέρων, οὐχ ὅπως τὸ πᾶν, ἀλλ᾽ οὐδὲ τὸ ἥμισυ τοῦ παντὸς ἑαυτὸν εὑρήσει γινώσκοντα.

A an somnum ipsum? an quemadmodum alii, somnolentam cataphoram? etenim & sic nominarunt quidam, in composità appellatione explicationem facientes. Quidam verò nihil quidem horum, sed lethargicam cataphoram coma à viro nominari dicunt. Ab aliis sanè antiquis nullum haberi potest magnum testimonium. Etenim etsi maximè de aliâ re illi nomen hoc proferant, nihil prohibet Hipprocratem diuersè eo vti. Exempli B gratia, apud poëtam videri potest somnum nomen hoc significare, quum cecinit,

At mala perpessum molle hinc me coma prehendit.

Et alibi.

Comate quandoquidem nos molli obuoluimus ipsum.

Sed non Hippocrates ita videtur vti; siquidem & cum vigiliâ sæpenumero coma euenire pronunciat; ac phreniticis assidêre. In principio enim prorrhetici hæc scribit, *Qui comatosi in principijs fiunt, cum capitis, lumborum, hypochondrii, & ceruicis dolore, vigilantes, num phrenitici sunt?* In tertio autem epidemiorum (vt ab aliquibus ex concessis ipsius legitimis libris sumamus testimonia) hoc modo ait; C *Vndecimâ resipiscebat (comatosa autem erat) vrinæ multæ, tenues & nigræ, vigil.* Deinceps hæc ait; *Huic vrinæ perpetuò erant nigræ, & tenues, & aquosæ, & coma comitabatur, cibos fastidiens, vigil, animum despondens.* In omnibus enim prædictis textibus, vigiliæ & comatis mentionē facere videtur. Alium autem ægrotum rursus in eodem libro describens, ait; *Huic perpetuò, ex quo & ego vidi, aluus turbata, vrinæ tenues nigræ, comatosus, vigil.* Ita vt planè sit manifestum, neque somnum, neque cataphorā apud ipsum significare comatis nomen. Qua- D propter (arbitror) quidam interpretes ἀπὸ τοῦ κωμάζειν aiunt comatosos nominatos esse, vigilare enim τοὺς κωμάζοντας, vigilare etiam & comatosos; & per Iouem, vt petulantes ebrii non admodum capite nutant, ita neque comatosos, & potissimum oculis; humidos enim illis esse, & rubros, & inconstantes, & intus conditos; sed totū ambobus corpus titubans motibus esse, & incontinens. Idcirco & Hippocratem de toto symptomatum concursu dubitare, an oportear phreniticos ipsos nominare, an quid E aliud; vereri enim phreniticos vocare, quum nondum desipiant; quum tamen omnia symptomata phrenitica videat, etenim caput, lumbos, hypochondria, & ceruicem dolentia, nec errorem vllum nec ignorantiam reformidare. Hæc certè quod probabilitatem habeant, nemo negabit, non tamen sufficienter, nec cum demonstratione mihi sanè dicta esse videntur; oportebat enim ex Hippocrate ipso explicationem facere dictionis, quò asserere possemus, non solū probabiliter dicta eá esse, sed & ad illius mentem. Neque enim existimo hoc solum considerare, oportere bonum explanatorem, si proba- F biliter vel verè dixerit, sed & si menti scriptoris consentiat, id quod in superiore sermone non *est factum*; quanquam certè in aliquâ parte mens senis circa hoc nomen ostensa est per textus, in quibus coma esse vigiliam nouisse visus est. Ac quispiam fortassis habere iam totum opinabitur; sed si parumper expectando, textus alios ex eodem tertio epidemiorum libro audiuerit, ne dicam totum, sed ne dimidium totius se ipsum cognoscere comperiet.

CAPVT

CAPVT II.

Coma opponi vigiliæ, idemque esse coma & cataphoram; coma duplex; somniculosum, quod proprium est lethargicorum; & insomne, quod phreniticorum.

COnsidera ergo, quæ dicat in quadam ægrotante muliere. *Alteram ex abortu circa quintum mensem Oecetæ uxorem ignis corripuit, incipiens comatosa, & rursus vigil.* Apparet enim per oppositionem coma à vigilia distinguere tanquam contraria. Rursus autem in pestilenti constitutione, *Comatosi*, inquit, *magna ex parte, & rursus vigiles.* & post pauca. *Comatosi erant potissimum phrenitici, & qui febre ardente laborabant, tum etiam aliis in morbis omnibus maximis, quod febrem adiunctam haberent. Perpetuò autem plurimos vel graue coma comitabatur, vel vt tenues ac paruos somnos dormirent.* Et rursus. *In Thaso Parium, qui supra Dianæ ædem habitabat, febris corripuit acuta, inter initia continua, ardens, siticulosa, incipiens comatosa & rursus vigil.* In his enim omnibus vigiliam comati opponit. Ex consuetudine igitur ita interpretans, millies ipsum comperies, quando contrariarum rerum mentionem facit, hunc in modum scribere; imò verò nunquam aliter. Verbi gratiâ è multis pauca adscribã ex eodem libro. Satius enim esse videtur omnia ex vno exempla sumere. Duas mulieres describens ante pestilentem constitutionem, in priori quidem ait; *Alteram ex abortu circa quintum mensem Oecetæ uxorem ignis corripuit, incipiens comatosa, & rursus vigil.* In posteriori verò ait; *Mulierem, quæ decumbebat in mendacium foro, primùm enixam cum dolore masculum, corripuit ignis; rursúsque noctu subortus est rigor, extrema non recalescebant, non dormiuit; aliquantulum delirauit, statimque ad mentem rediit.* Octauo circa meridiem rediit calor, sitibunda, comatosa, nauseabunda. Deinceps autem in pestilentiâ multos ægrotos scribit, primúmque omnium (cuius paulo antè memini) qui variè & inæqualiter ægrotauit, & multas multoties ad contraria mutationes fecit; incipit autem hunc in modum. *In Thaso Parium, qui supra Dianæ ædem habitabat, febris corripuit acuta.* Sed nulla ad præsentem sermonem vtilitas est primorum dierum: quorum autem indiguero, eorum mentionem faciam; *Vndecimâ sudauit non per totum, perfrigeratus est quidem, citò tamen recaluit*; apertè enim verbo perfrixit, verbum recaluit contrarium est. Deinde; *duodecimâ febris acuta, deiectiones biliosæ, tenues, multæ, vrinis enæorema, delirauit; decimâ septimâ laboriosè se habuit; neque enim somni aderant; & febris intendebatur; vigesimâ sudauit per totum, peruigil, à febre liber, deiectiones biliosæ, cibum auersabatur, comatosus; vigesimoquarto reuertit; trigesimoquarto à febre liber, aluus non constitit, & rursus recaluit. Quadragesimo à febre liber, aluus constitit tempore non multo, cibum auersans, aliquantum rursus febricitauit.* Rursus; *Si enim intermitteret, ac leuaret, rursus citò reuertebatur*; contrarium enim *verbo* leuare, est *verbum* reuerti. *Et alui* (inquit) *excrementa consistebant, & rursus dissoluebantur*; *verbum* enim consistere, *verbo* dissolui contrarium *est*. Deinceps autem aliam ægrotam exponens. *Octauo*, inquit, *multa desi-*

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Τὸ κῶμα διαστέλλεσθαι κατ᾽ ἀντίθεσιν τῆς ἀγρυπνίας· καὶ ταὐτὸ εἶναι τὸ κῶμα τῇ καταφορᾷ. κῶμα διττὸν, τὸ μὲν ὑπνῶδες τῶν ληθαργικῶν, τὸ δὲ ἄγρυπνον τῶν φρενιτικῶν ἴδιον.

ΣΚόπει οὖν, ἐπὶ τίνος ἀῤῥώστου γυναικὸς ἃ λέγει. ἑτέρην δὲ ἐξ ἀποφθορῆς περὶ πεντάμηνον, οἰκέτεω γυναῖκα, πῦρ ἔλαβεν, ἀρχομένη δὲ κωματώδης, καὶ πάλιν ἄγρυπνος. φαίνεται γὰρ διαστέλλων κατ᾽ ἀντίθεσιν τὸ κῶμα τῆς ἀγρυπνίας, ὡς ἐναντία. αὖθις δ᾽ ἐν τῇ λοιμώδει καταστάσει, [8] κωματώδεες, φησιν, ἐπὶ πολὺ, καὶ πάλιν ἄγρυπνοι. καὶ μετ᾽ ὀλίγα, [9] κωματώδεες δὲ μάλιστα οἱ φρενιτικοὶ, καὶ οἱ καυσώδεες ἦσαν. ἀτὰρ καὶ ἐπὶ τοῖσιν ἄλλοισι νουσήμασι, τοῖσι μεγίστοισιν, ὅτι μετὰ πυρετοῦ γίνοιτο. διὰ παντὸς δὲ τοῖσι πλείστοισιν ἢ βαρὺ κῶμα παρείπετο, ἢ λεπτοὺς καὶ μικροὺς ὕπνους κοιμᾶσθαι καὶ πάλιν. [10] Ἐν Θάσῳ τὸν Πάριον, ὃς κατέκειτο ὑπὲρ Ἀρτεμισίου, πυρετὸς ἔλαβεν ὀξὺς κατ᾽ ἀρχὰς συνεχὴς, καυσώδης, διψώδης, ἀρχόμενος κωματώδης, καὶ πάλιν ἄγρυπνος. ἐν ἅπασι γὰρ τούτοις, ἀντιτίθησι τὴν ἀγρυπνίαν τῷ κώματι. συνήθως γοῦν οὕτως ἑρμηνεύοντα, μυριάκις εὑρήσεις αὐτὸν, ὅταν ἐναντίων πραγμάτων μνημονεύῃ, τὸν τρόπον τοῦτον γράφοντα, μᾶλλον δὲ οὐδέποτε ἄλλως, οἷον ἐκ πολλῶν ὀλίγα παραγράψω ἐκ τοῦ αὐτοῦ βιβλίου. κάλλιον γὰρ ἐξ ἑνὸς εἶναι δοκεῖ πάντα τὰ παραδείγματα λαβεῖν. δύο γυναῖκας ἀναγράφων πρὸ τῆς λοιμώδους καταστάσεως, ἐπὶ μὲν τῆς προτέρης φησὶν, [11] ἑτέρην δὲ ἐξ ἀποφθορῆς περὶ πεντάμηνον, οἰκέτεω γυναῖκα, πῦρ ἔλαβεν, ἀρχομένη δὲ κωματώδης, καὶ πάλιν ἄγρυπνος. ἐπὶ δὲ τῆς δευτέρας, φησὶ, γυναῖκα, ἥτις κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, τότε τεκοῦσαν πρῶτον ἐπιπόνως ἄρσεν, πῦρ ἔλαβεν καὶ πάλιν εἰς νύκτα ἐπερρίγωσεν, ἄκρεα οὐκ ἀνεθερμαίνοντο, οὐχ ὕπνωσε, σμικρὰ παρέκρουσε, καὶ πάλιν ταχὺ κατενόει· η΄ περὶ μέσον ἡμέρης ἀνεθερμάνθη, διψώδης, κωματώδης, ἀσώδης. ἑξῆς δὲ ἐν τῷ λοιμῷ πολλοὺς ἀῤῥώστους γράφει, πρῶτον δ᾽ ἁπάντων, οὗ μικρὸν ἔμπροσθεν ἐμνημόνευσα, ποικίλως τε καὶ ἀνωμάλως νοσήσαντα, καὶ πολλὰς πολλάκις [13] (ἀπιστ. καὶ ἀχθέστ.) εἰς τἀναντία μεταβολὰς ποιησάμενον. ἄρχεται δὲ τοῦτον τὸν τρόπον. [14] Ἐν Θάσῳ τὸν Πάριον, ὃς κατέκειτο ὑπὲρ Ἀρτεμισίου, πυρετὸς ἔλαβεν ὀξύς. ἀλλ᾽ οὐδὲν εἰς τὸν προκείμενον λόγον χρεία τῶν πρώτων ἡμερῶν, ὧν δὲ χρήζω, τούτων μνημονεύσω. ἑνδεκάτῃ ἵδρωσεν οὐ δι᾽ ὅλου, περιέψυξε μὲν, ταχὺ δὲ πάλιν ἀνεθερμάνθη. σαφῶς γὰρ αὖ τῷ περιέψυξε τὸ ἀνεθερμάνθη ἐναντίον. ἔπειτα, δωδεκάτῃ πυρετὸς ὀξὺς, διαχωρήματα χολώδεα, λεπτὰ, πολλὰ, οὔροισιν ἐναιώρημα, παρέκρουσεν. ἑπτακαιδεκάτῃ ἐπιπόνως. οὔτε γὰρ ὕπνοι, [15] ὅ, τε πυρετὸς ἐπέτεινεν. εἰκοστῇ ἵδρωσεν δι᾽ ὅλου, [16] ἄπυρος, διαχωρήματα χολώδεα, ἀπόσιτος, κωματώδης. εἰκοστῇ τετάρτῃ ὑπέστρεψεν. τριακοστῇ τετάρτῃ ἄπυρος, [17] κοιλίη οὐ ξυνίστατο, καὶ πάλιν ἀνεθερμάνθη. τεσσαρακοστῇ ἄπυρος, κοιλίη ξυνέστη [18] χρόνον οὐ πολὺν, ἀπόσιτος, σμικρὰ πάλιν ἐπύρεξε. πάλιν, εἰ γάρ τοι διαλείποι καὶ διακουφίσειεν, πάλιν ταχὺ ὑπέστρεφεν. ἐναντίον γὰρ τῷ διακουφίσαι τὸ ὑποστρέψαι. καὶ τὰ κατὰ κοιλίην, φησὶ, συνιστάμενα, καὶ πάλιν διαλυόμενα. τὸ γὰρ συνίστασθαι τῷ διαλύεσθαι ἐναντίον. ἑξῆς δ᾽ ἑτέραν ἄῤῥωστον ἐκτιθέμενος, [19] ὀγδόῃ, φησὶ, πολλὰ

παρέκρουσε καὶ τὰς ἐχομένας, καὶ ταχὺ πάλιν κατενόει. καὶ πάλιν ἑξῆς, εἰκοστῇ μικρὰ περιέψυξε, καὶ ταχὺ πάλιν ἀνεθερμάνθη. καὶ αὖθις, ἑβδόμῃ καὶ εἰκοστῇ [20] ἄπυρος, κοιλίη ξυνέστη. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον ἰσχίου δεξιοῦ ὀδύνη ἰσχυρὴ χρόνον πολὺν, πυρετοὶ δὲ πάλιν παρείποντο. εἶτ' ἐφεξῆς, καὶ τὰς ἑπομένας ἄφωνος, καὶ πάλιν κατενόει καὶ διελέγετο. ἀλλὰ τί δεῖ μακρολογεῖν ἁπάντων μνημονεύοντα μυρίων μυριάκις ὄντων; οὕτω πολλὰ παρ' αὐτῷ τοῦ τοιούτου εἴδους τῆς ἑρμηνείας. ὡς ὅταν λέγῃ, κωματώδης καὶ πάλιν ἄγρυπνος, ἐναργῶς ἀντιτίθησι τῇ ἀγρυπνίᾳ τὸ κῶμα. καὶ μὴν ἀγρυπνίᾳ καταφορὰν εἰς ὕπνον ἔχεις ἀντιτιθέναι, καὶ οὐδὲν ἄλλο τοίνυν θάτερον ἀναφαίνεται πάλιν ἐκ τοῦ κώματος σημαινόμενον. τί δ' ὅταν λέγῃ, [21] κατεῖχε δ' ἢ τὸ κῶμα συνεχὲς οὐχ ὑπνῶδες, ἢ μετὰ πόνων ἄγρυπνοι. καὶ γὰρ αὖ καὶ τὸ τοιοῦτο εἶδος τῆς ἑρμηνείας ἴδιον Ἱπποκράτει, ἐπισημαίνεσθαι τὰ συνέπεσθαι μὲν εἰωθότα, νῦν δ' οὐχ ἑπόμενα παρὰ λόγον. οἷον ὅταν εἴπῃ, [22] οἱ μὲν οὖν καῦσοι ἐλαχίστοισί τε ἐγένοντο, καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν. οὔτε γὰρ αἱμορραγίη, εἰ μὴ πάνυ τι σμικρὰ, καὶ ὀλίγοισιν, οὔτε παράληροι. καὶ μετ' ὀλίγα, οὐδ' ἀποθανόντα οὐδένα οἶδα τότε καύσῳ, οὐδὲ φρενιτικὰ τότε γενόμενα. δι' ἃ χρῆν ἐκ ῥινῶν αἱμορραγεῖν, ἅπτεσθαι τῆς διανοίας, ὀξέας ἔχειν κινδύνους, μηδὲν ἀπαντῆσαι τηνικαῦτα, ὁμοίως ἐπισημαίνεται. καὶ τὸ ἐπιφερόμενον δ', οὐδὲ φρενιτικὰ οἶδα τότε γενόμενα, κατὰ τὸν αὐτὸν εἴρηται λόγον. ἐπὶ γὰρ ταῖς αὐταῖς καταστάσεσι καὶ τοῖς αὐτοῖς αἰτίοις οἵ τε καῦσοι καὶ φρενίτιδες, ἀμέλει κατὰ τὴν ὥραν πλεονάζουσι τὴν θερινὴν, καὶ ἐν χωρίοις θερμοτέροις, καὶ ἐν ἡλικίᾳ τῇ τῶν ἀκμαζόντων, καὶ ἐν φύσεσι θερμοτέραις, καὶ διαιτήμασιν ὡσαύτως, καὶ ἐπιτηδεύμασιν. καὶ τὰ φρενιτικὰ πλεονάζειν ἀξιοῦν ἦν, ὡς παράλογον ἐπισημήνασθαι [23] τὸ ἀπαντῆσαι, φρενίτιδες μὲν οὐδ' ὅλως ἐγένοντο, καῦσοι δὲ πολλοί. κατὰ τὴν αὐτὴν γνώμην εἴρηται καὶ ταῦτ'. ἦν δὲ ἡ κατάστασις τῶν γινομένων καύσων. [24] ἀρχόμενοι κωματώδεες, ἀσώδεες, φρικώδεες, πυρετὸς οὐκ ὀξὺς, οὐδὲ διψώδεες λίην, οὐδὲ παράληροι. καὶ μετ' ὀλίγον· οὔτε γὰρ ἡμορράγει καλῶς, οὔτε τις ἄλλη τῶν εἰθισμένων ἀπόστασις ἐγένετο κρίσιμος. ἐκεῖνα δὲ πῶς εἴρηται; [25] ἐπάρματα δὲ παρὰ τὰ ὦτα πολλοῖσιν ἑτερόρροπα ἦν, καὶ ἐξ ἀμφοτέρων τοῖσι πλείστοισιν, ἀπύροισιν ὀρθοστάδην, ἔστι δ' οἷς καὶ σμικρὰ ἐπεθερμαίνοντο, κατέσβη πᾶσιν ἀσινέως, οὐδ' ἐξεπύησεν οὐδενὶ, ὥσπερ τὰ ἐξ ἄλλων προφάσεων. ὄντως γὰρ παράλογον, μηδὲν ἐκπυῆσαι, καὶ οὐκ εἰθισμένα [26] πάντως. εἶτ' ἐπιφέρει, ἦν δ' ὁ τρόπος αὐτέων, χαῦνα, μεγάλα, κεχυμένα, οὐ μετὰ φλεγμονῆς· παράλογον γὰρ χωρὶς φλεγμονῆς ἅπασι γενέσθαι τὰς περὶ τὰ ὦτα ἀποστάσεις. ὥστε φέρειν πάλιν κἀνταῦθα τὸ κῶμα φαίνεται ἐπὶ καταφορᾶς τῆς ὑπνώδους, ὅταν λέγῃ, ἦν δὲ τὸ κῶμα συνεχὲς, οὐχ ὑπνῶδες· ὡς γὰρ ὑπνῶδες εἶναι δέον αὐτὸ, καὶ ὡς τοιοῦτο ἀεὶ γιγνόμενον, εἶτα νῦν παραλόγως οὐ γιγνόμενον, ἐπισημαίνεται. τὸ δ', ὅταν ἐν τῷ αὐτῷ βιβλίῳ τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἐπὶ τοῦ Πυθίωνος εἴπῃ, [27] ἐνάτῃ κωματώδης, ἀσώδης, ὅτε διεγείροιτο. σαφῶς γὰρ κἀνταῦθα τὸ κῶμα καταφοράν τινα δηλοῦν ἔοικεν. ἀλλ' οὐχ οἷόν τέ φασιν ἅμα καταφέρεσθαι καὶ ἀγρυπνεῖν. ταῦτα γὰρ οἱ θαυμαστοὶ λέγουσιν ἐξηγηταὶ, μὴ γιγνώσκοντες, ὅτι

puit, & sequentibus diebus, citò rursus resipuit. Ac rursus. *Vigesimo aliquantum perfrixit, & citò rursus recaluit.* Et mox, *Septimo & vigesimo à febre libera, aluus constitit; non post verò multum tempus coxæ dextræ dolor validus multo tempore, febres autem rursus comitabantur.* Deinde rursus, *Et sequentibus diebus muta, ac rursus resipiscebat, & loquebatur.* Sed quid opus est sermonem protrahere memorando omnia, quæ infinita ferè sunt? adeo frequens apud ipsum est talis species interpretationis. Quare quum dicit, *Comatosus, & rursus vigil,* apertè coma vigiliæ opponit. Atqui vigiliæ prolapsum in somnum potes opponere, ac proinde rursus coma nihil aliud diuersum videtur significare. Quid autem, quum dicit? *Detinebat autem vel coma continuum non somniculosum, vel cum doloribus vigiles.* Etenim talis species interpretationis propria est Hippocrati, vt notet ea, quæ consequi solent, nunc autem præter rationem non sequuntur. Vt quando dicit, *Febres ardentes igitur paucissimis accidebant, & minimum ex ægrotis hi laborarunt, neque enim sanguis erupit, nisi admodum parum, & paucis, nec delirarunt.* Et post pauca; *Neque mortuum vllum vidi tunc ardenti febre, neque phreniticum euadere.* Per quæ verba annotat, largam sanguinis è naribus eruptionem, mentis læsionem, & acuta pericula solita esse comitari causos, licet tunc non euenerint. Et quod additur, *Neque phrenitica tunc vidi euenisse,* eadem ratione dictum est; ex eisdem enim constitutionibus, & eisdem causis fiunt, tum febres ardentes, tum phrenitides. Scilicet tempore frequentes sunt æstiuo, & in regionibus calidioribus, & in ætate vigenti, & in naturis calidioribus, & simili victu, ac vitæ instituto; & phrenitica debuisse esse frequentia putare erat, rem tanquam inopinatam notare; phrenitides quidem nullæ acciderunt, causi autem multi. Secundum eandem sententiam dicta sunt & hæc. Erat autem constitutio causorum qui fiebant, hęc; *incipientes comatosi, anxii, horrescentes, febris non acuta, non sitibundi valdè, neque deliri.* Et paulo post. *Neque enim sanguis erupit ritè, neque quispiam alius ex consuetis abscessus factus est iudicatorius.* Illa autem quomodo dicta sunt? *Tubercula ad aures multis erant ad alteram vergentia, & ad vtrasque plurimis, febre carentibus, rectè stantibus; quibusdam etiam aliquantulum incaluerunt, extinctaque sunt omnibus innoxiè; neque alicui suppurarunt, sicuti quæ ex aliis occasionibus fiunt.* Re-uera enim inopinatum est, nullam suppurare, & omnino insuetum. Postea infert. *Erat autem modus ipsarum, laxa, magna, fusa, non cum plegmone;* inopinatum enim est, abscessus circa aures, absque phlegmone omnibus factos esse. Quare rursus & hoc in loco videtur proferre coma de cataphorâ somnolentâ, quum ait, *Erat autem coma continuum non somnolentum;* tanquam enim somnolentum ipsum sit, & tanquam tale semper fiat, postea nunc inopinatò factum non fuerit, annotatur. Quando autem in eodem libro tertio epidemiorum in Pythione inquit, *Nono die comatosus, anxius, quando expergiscebatur;* apertè sanè & hoc in loco coma cataphoram quandam significare videtur. Sed impossibile est, inquiunt, cataphorâ detineri simul & vigilare; hęc enim admirabiles isti interpretes dicunt, non cognoscentes, quod duæ

duę sint species cataphoræ, vt & probatissimi medicorum scripserunt, & euenta rerum testantur. Commune enim ambarum est, quod tollere non possint oculos, sed mox grauentur, & dormire velint. Proprium verò alterius, quod ii quidem dormiant mox, & profundè, & diu; ii verò vigiles versent se, alia super aliam phantasia adueniente, & mentem mouente, & somnum intercidente; vnde semper quidem vigiles manent, surgere verò non possunt, & agere ea, quę vigilantium, sed deficiunt magis, quàm si vigilarent, & grauantur, & cataphora detinentur, vt speres, si concesseris eis, facilè vtique dormituros; concesso autem iis hoc, nedum dormiant, sed ne spem quidem, quam habebant, vt dormituri, seruent. Hîc igitur intellige coma velut commune amborum, quod vocare consuetudo est nobis cataphoram; si verò somnolentam solùm intellexeris; peccabis; non somnolentam enim cataphoram priuabis nuncupatione, non minùs, quàm alteram, indigentem comatis nomine. Siue igitur somnolenta, siue vigil fuerit cataphora, coma vocare consuetudo est ei. Et nequaquam sibi inuicem repugnant ea, quę secundum partem; sed rationabiliter quandoque quidem in vigiliis paruis inuenitur coma, quandoque autem in somno. Etenim cataphora quandoque quidem somnolenta est, quandoque autem vigil. Quare non habes dicere de cataphoram patientibus, quòd vigilent, vel non; tantùm tamen differunt; quod plures dormiant; pauci verò eorum, qui ita habent, insomnes permaneant; vnde licèt amborum sit affectus, tamen familiarior multò dormientibus inuenitur. Propter hoc igitur dicit, *Erat autem coma continuum, non somnolentum*, ceu vt plurimùm somnolentum fit. Si igitur commune est amborum coma, & somno magis familiare; rationabiliter, quando vult somnolentam significare cataphoram, simpliciter dicit comatosos; quando verò rursus vigilem, non simpliciter, sed copulate ait comatosos vigiles. Nouit enim vtrumque, & quòd familiare sit somno coma, & eius naturæ magis assimiletur; & quòd cum vigilia quandoque consistat. Et si hoc quidem ita habeat, mirum nihil est, si non lethargicis solùm, sed etiam phreniticis accidat. Non somnolentum verò coma his quidem non est proprium, aliquando autem fit; inuenies enim multos phreniticos qui neque surgere, neque eleuare palpebras omnino possint, sed in eodem loco maneant similes lethargicis; vnde hos vulgares, & indocti medici, neque quid oporteat vocare sciunt, sed omnino ambigunt, & extraneus videtur eis esse affectus hic, & non nominatus; quidam autem permixtum ex lethargo, & phrenitide æstimant, & vocant eum Typhomaniam. Et quod est deterius omnibus, quidam Hippocraticos se esse simulantium dicunt hoc; etiam nimirum apertè ita & manifestè Hippocrate scribente non in dubitato libro, sed si quis alius, germanorum esse credito, tertio epidemiorum, *Neque maniacus factus est phreniticorum aliquis, sicut in aliis, sed in quadam cataphora pigra caput grauati, interierunt.* Non solùm enim quoniam cataphora phrenitidibus aliquando accidat, nunciauit; sed quod & pigra multoties. Quæ autem est pigra? me-

δύο εἰσὶν εἴδη καταφορᾶς, ὡς οἵ τε δοκιμώτατοι τῶν ἰατρῶν γεγράφασι, καὶ αὐτὰ τὰ γινόμενα μαρτυρεῖ. κοινὸν μὲν γὰρ ἀμφοτέρων ἐστὶν, ὅτι ἐπαίρειν οὐ δύνανται τοὺς ὀφθαλμοὺς, ἀλλ' εὐθέως βαρύνονται καὶ ὑπνοῦν βούλονται. ἴδιον δὲ θατέρας, ὅτι οἱ μὲν ὑπνοῦσιν εὐθέως, βαθέως τε καὶ χρόνον πολύν· οἱ δὲ ἄγρυπνοι στρεφόμενοί εἰσιν, ἄλλης ἐπ' ἄλλῃ φαντασίας ἐπιγινομένης, καὶ τὴν γνώμην κινούσης, καὶ τὸν ὕπνον διακοπτούσης, ὅθεν ἀεὶ μὲν ἄγρυπνοι μένουσιν, ἀνίστασθαι δὲ ἀδυνατοῦσι καὶ πράττειν τὰ τῶν ἐγρηγορότων, ἀλλ' ἐλλιπέστερον ἔχουσιν, ἢ ὥσπερ εἰ ἐγρηγόρεσαν, καὶ βαρύνονται καὶ καταφέρονται, ὡς ἐλπίσαι, εἰ συγχωρήσαις αὐτοῖς, ῥᾳδίως ἂν κατακοιμηθῆναι, συγχωρηθέντος δ' αὐτοῖς τούτου, οὐχ ὅπως ὑπνοῦσιν, ἀλλ' οὐδ' ἣν εἶχον ἐλπίδα, ὡς ὑπνώσοντες, φυλάττουσιν. ἐνταῦθ' οὖν νόει μοι κῶμα, ὡς κοινὸν ἀμφοτέρων, ὅπερ δὴ καλεῖν ἔθος ἡμῖν καταφοράν· εἰ δὲ τὴν ὑπνώδη μόνην νοήσεις, ἁμαρτήσεις, τὴν γὰρ οὐχ ὑπνώδη καταφορὰν στερήσεις ὀνόματος, οὐχ ἧττον τῆς ἑτέρας δεομένην τῆς τοῦ κώματος ἐπωνυμίας. εἴτε μὲν οὖν ὑπνώδης, εἴτε ἄγρυπνος εἴη καταφορὰ, κῶμα καλεῖν ἔθος ἐστὶν αὐτήν. καὶ οὐδαμῶς γε ἀλλήλοις μάχεται τὰ κατὰ μέρος, ἀλλ' εὐλόγως ὅτε μὲν ἐν ταῖς σμικραῖς ἀγρυπνίαις εὑρίσκεται τὸ κῶμα, ὅτε δὴ ἐν τῷ ὕπνῳ. καὶ γὰρ ἡ καταφορὰ ὅτε μὲν ὑπνώδης ἐστὶν, ὅτε δὲ ἄγρυπνος, ὥστε οὐκ ἔχεις εἰπεῖν περὶ τῶν καταφερομένων, ὅτι ἀγρυπνοῦσιν ἢ μή· τοσοῦτόν γε μὴν διαφέρουσιν, ὅσον οἱ μὲν πλείους αὐτῶν ὑπνοῦσιν, ὀλίγοι δὲ τῶν οὕτως ἐχόντων ἄγρυπνοι μένουσιν, ὅθεν καίτοι ἀμφοτέρων τυγχάνον τὸ πάθος, οἰκειότερον μέντοι πολλῷ τῶν ὑπνούντων εὑρίσκεται. διὰ τοῦτο μὲν οὖν φησιν, ἦν δὲ τὸ κῶμα συνεχὲς, οὐχ ὑπνῶδες, ὡς ἂν ἐπὶ τὸ πολὺ ὑπνώδους γιγνομένου. ἐπεὶ τοίνυν κοινόν ἐστιν ἀμφοτέρων τὸ κῶμα καὶ τῷ ὕπνῳ οἰκειότερον, εὐλόγως, ὅταν βούληται τὴν ὑπνώδη σημῆναι καταφορὰν, ἁπλῶς φάσκει κωματώδεις· ὅταν δὲ πάλιν τὴν ἄγρυπνον, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ προσθήκης φησὶ κωματώδεις ἀγρύπνους. οἶδε γὰρ ἀμφότερα, ὅτι τε οἰκειότερόν ἐστι τῷ ὕπνῳ τὸ κῶμα, καὶ τῇ αὐτοῦ φύσει μᾶλλον ὡμοίωται, καὶ ὅτι μετ' ἀγρυπνίας ἔστιν ὅτε συνίσταται. κἂν μὲν τοῦθ' οὕτως ἔχῃ, θαυμαστὸν οὐδὲν, εἰ μὴ μόνον τοῖς ληθαργικοῖς, ἀλλὰ καὶ τοῖς φρενιτικοῖς συμπίπτῃ. τὸ δ' οὐχ ὑπνῶδες κῶμα, τούτοις μὲν οὐκ ἔστιν ἴδιον, γίνεται δ' ἐνίοτε. εὑρήσεις γὰρ πολλοὺς φρενιτικοὺς οὔτε ἀνισταμένους, οὔτε ἐπαίρειν τοὺς ὀφθαλμοὺς ὅλως δυναμένους, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ μένοντας ὁμοίους τοῖς ληθαργικοῖς, ὥστε τούτους οἱ πολλοὶ καὶ ἀπαίδευτοι τῶν ἰατρῶν, οὔτε τί δεῖ καλεῖν οἴδασιν, ἀλλὰ παντάπασιν ἀποροῦσι, καὶ ἀλλότριον δοκεῖ αὐτοῖς εἶναι τοῦτο τὸ πάθος καὶ ἀνώνυμον, ἔνιοι δὲ σύμμικτον ἐκ ληθάργου τε καὶ φρενίτιδος ὑπολαμβάνουσι, καὶ προσαγορεύουσι τυφομανίαν. καὶ τὸ κάκιστον πάντων, τινὲς τῶν Ἱπποκρατείων εἶναι προσποιουμένων τοῦτό φασι, καίτοι δήπου σαφῶς οὕτω καὶ φανερῶς γράφοντος Ἱπποκράτους, οὐκ ἐν ἀμφιδόξῳ βιβλίῳ, ἀλλ' ὥσπερ τις ἄλλος τῶν γνησίων εἶναι πεπιστευμένῳ τῷ τρίτῳ τῶν ἐπιδημιῶν, οὔτ' ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς, ὥσπερ ἐπ' ἄλλοισιν, ἀλλ' ἄλλῃ τινὶ καταφορῇ νωθρῇ βαρέως ἀπώλλυντο. οὐ μόνον γὰρ ὅτι καταφορὰ τοῖς φρενιτικοῖς ἐνίοτε συμπίπτει δεδήλωκεν, ἀλλ' ὅτι καὶ νωθρὰ πολλάκις. τίς δὴ ἡ νωθρά;

μεμνήσῃ πρότερον μὲν τῆς διαιρέσεως, ἂν μὴ μέλλῃς τὰ παρόντα παρακούειν, ὅτε μὲν καταφορὰν τὴν μὲν ὑπνώδη τὴν δὲ ἄγρυπνον ἐκάλουν, καὶ τὴν μὲν ὑπνώδη ἰδίαν εἶναι τῶν ληθαργικῶν καὶ διαπαντὸς ὑπάρχειν αὐτοῖς, τὴν δὲ οὔτε ἰδίαν εἶναι τῶν φρενιτικῶν, οὔτε ὑπάρχειν αὐτοῖς διαπαντός.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἱπποκράτην ἐπαινεῖ, ὅτι οὐκ εἰκῇ τὰ ὀνόματα ἐπέθηκε· καὶ πάλιν κατασκευάζει, ὅτι δύο καταφοραὶ, ἡ μὲν ὑπνώδης τῶν ληθαργικῶν ἰδία, ἡ δ' ἄγρυπνος τοῖς φρενιτικοῖς ἔστιν ὅτε συμπίπτουσα, καὶ αὕτη ἡ νωθρὰ ἢ οὐ νωθρά.

Η Μὲν οὖν ὑπνώδης, ὅσον ἐπὶ τῷ παρόντι, τοῖς ληθαργικοῖς συμπίπτει· τὴν δὲ ἄγρυπνον, ἥτις τοῖς φρενιτικοῖς ἐπιγίγνεται, πειράσομαι διελεῖν, ἵνα δυνηθῇς εὑρίσκειν τὴν ὑφ' Ἱπποκράτους εἰρημένην διαφοράν. οὐ γὰρ ἦν τῶν ματαίως τὰ ὀνόματα ἐπιτιθέντων οὗτος ὁ ἀνὴρ, οὔτ' ἀνοήτως προσέθηκε τῇ καταφορᾷ τὸ νωθρά, οὔτε φησιν, ὥσπερ Ὅμηρος, ὑγρὸν ἔλαιον καὶ γάλα λευκὸν, μηδενὸς ἕνεκα διορισμοῦ, καὶ γὰρ πᾶν γάλα λευκὸν, καὶ ἔλαιον ὑγρόν· ἀλλ' ἑκάστη λέξις καὶ συλλαβὴ πᾶσα πρᾶγμά τι σημαίνει παρ' αὐτῷ. περὶ φρενίτιδος ἄρα λόγον ποιούμενος (ὅπερ πρὸς τὰ παρόντα χρήσιμόν ἐστι διδάσκειν τοὺς τὸ σύνηθες αὐτοῦ μανθάνειν βουλομένους) ποτὲ μὲν οὕτω γράφει, παρελήρει· ποτὲ δὲ οὕτω, παρηνέχθη· ποτὲ δὲ πάλιν, παρέκοψε· πάλιν δὲ, παρεφρόνησε· καὶ πάλιν, ἐξέστη· καὶ αὖθις, ἐμάνη, καὶ ἐξεμάνη, καὶ οὐ κατενόει, καὶ παρέλεγε. ταῦτα πάντα τῶν βεβλαμμένων τὴν διάνοιάν ἐστιν, οὓς ἅπαντας σὺ μὲν παραφρονοῦντας ὀνομάζεις, Ἱπποκράτῃ δὲ οὐκ ἀρκεῖ τὸ γένος μόνον εἰπεῖν, ἀλλ' ἑκάστῳ μεγέθει τοῦ τῆς παραφροσύνης εἴδους ἴδιον ἐξεύρηκεν ὄνομα. ἄνθρωπος γάρ φησι θερμαινόμενος ἐδείπνησεν, οὐκ ἐτόλμησεν εἰπεῖν πυρετὸν τοσαύτην θερμασίαν, καθ' ἣν δύναταί τις δειπνῆσαι. πάλιν δὲ τὸ τοῦ πυρετοῦ μέγεθος ἐνδείκνυσθαι βουλόμενός φησι, πῦρ ἔλαβεν αὐτόν. ἠδολεσχήσαμεν μὲν ἐπιδεικνύων τὴν τοῦ ἀνδρὸς ἐπιμέλειαν περὶ τὰς λέξεις, ἀλλ' ὡς ἤδη εἰδόσι καὶ πεπεισμένοις ἐπὶ τὸ ζητούμενον ἀφίξομαι. διττὸν μὲν εἶδος τῆς ἀγρύπνου καταφορᾶς. ὀνομάζεται δὲ ἡ μὲν νωθρὰ, ἧς μέμνηται νῦν Ἱπποκράτης· ἡ δὲ τῷ τοῦ γένους ὀνόματι κέχρηται. κοινὸν δ' ἀμφοτέρων ἐστὶ τῶν καὶ μάλιστα τῆς ὑπνώδους διαφερουσῶν, ὅτι φράζουσί τε καὶ παραληροῦσι μηδεμιᾶς ἐχόμενα γνώμης, καὶ πρὸς τὰς ἀναστάσεις πρόθυμοί εἰσι μάλα, ὧν οὐδὲν ἐπὶ τῆς ληθαργικῆς ὑπάρχει καταφορᾶς. οὔτε γὰρ χωρὶς φράζουσί τι καὶ πανούργως, δυσαίσθητοι δὲ εἰσὶν, οὔτε πρὸς τῶν ἐπιβοώντων καὶ νυττόντων ἐγείρονται ῥᾳδίως. κῶμα δὲ τὸ μὲν φρενιτικὸν καὶ ἄγρυπνον ἔξω ταύτης ἐστὶ τῆς δυσαισθησίας καὶ δυσκινησίας· καὶ γὰρ ἀνίστανται ῥᾳδίως ἀκούσαντες τῆς φωνῆς καὶ ἤχου παντὸς, κἂν μέρους τινὸς ἅψῃ τοῦ σώματος, εὐθὺς ἐξαίρουσι τοὺς ὀφθαλμοὺς, καὶ πρὸς τὸν ἁπτόμενον ἀποβλέπουσι. κατ' αὐτὴν δὲ τὴν καταφόρησιν, ἢ χεῖρα κινοῦσιν, ἢ σκέλος, ἢ σύμπαν τὸ σῶμα ῥιπτοῦσιν ἀλόγως, ἐξαίφνης τε καὶ παραφρενητικῶς ἐξάλλονται σπασμοῦ δίκην, καὶ ταῦτα πάντα ποιοῦσι μετὰ τοῦ καὶ λέγειν τινὰ οὐ προσηκόντως, ὧν οὐδὲν οἱ μετὰ καταφορᾶς λη-

mor eris primò diuisionis, si debes præsentia non obaudire, quando cataphoram aliam quidem somnolentam, aliã verò insomnem vocabã; & somnolentam quidem, propriam esse lethargicorum, & semper inesse eis; alteram verò, neque propriam esse phreniticorum, neque adesse eis semper.

CAPVT III.

Laudat Hippocratem, quòd non temerè nomina imposuerit; probátque denuò duas esse cataphoras; alteram somnolentam lethargicorum propriam; alteram insomnem, phreniticis quandoque euenientem; hancque vel pigram, vel non pigram.

SOmnolenta igitur, quantum ad præsens, ipsis lethargicis accidit; insomnem verò, quæ phreniticis aduenit, tentabo distinguere, vt possis inuenire dictam ab Hippocrate differentiam. Non enim erat eorum, qui frustra imponunt nomina vir iste; neque stultè adiacet cataphoræ hoc, scilicèt pigra; neque dicit, sicut Homerus, humidum oleum, & lac album, nullius determinationis gratiâ: etenim omne lac est album, & oleum humidum; sed vnumquodque vocabulum, & syllaba omnis rem aliquam significat ab eo. De phrenitide igitur loquens (quod est ad præsentia vtile docere eos, qui consuetudinem eius discere volunt) interdum quidem ita scribit, delirauit; interdum autem ita, mente captus est; interdum autem rursus, intercisè loquutus est; rursus autem desipiuit; & rursus, egressus est à se; & iterum mania correptus est, & mania sæuiit, & non intelligebat, & absurda loquebatur. Hæc omnia læsam habentium mentem sunt; quos vniuersos tu quidem desipientes vocas; Hippocrati non sufficit dicere genus solùm, sed vnicuique magnitudini, speciei insipientiæ proprium adinuenit nomen. *Homo* enim, ait, *incalescens, cœnauit*; non fuit ausus nominare febrem tantillum calorem, in quo quis cœnare potest. Rursus autem magnitudinem volens ostendere febris, dicit, *Ignis corripuit eum.* Occupatus fui in in ostendendo diligentiam viri in vocabulis, sed vt iam scientibus & suasis ad id quod quæritur accedam. Duæ sunt species insomnis cataphoræ; nominatur altera quidem pigra, cuius nunc Hippocrates meminit; altera verò nomine generis vtitur. Commune autem ambarum est (quæ & maximè differunt à somnolenta) quòd loquantur & delirent nulli hærentia menti, & ad assurrectiones promptissimi sint, quorum nullum in lethargicis existit cataphoris; neque enim seorsum quid loquuntur, & versutè, sunt difficilè sentientes, neque ad acclamãtes & pungentes excitantur facilè. Coma verò phreniticum quidem & insomne extra hanc est sentiendi difficultatem, & immobilitatem; etenim surgunt facilè audientes vocem, & sonum omnem; & si tetigeris partem corporis, mox oculos eleuant, & ad tangentem aspiciunt. In ipsa autem cataphoratione, vel manum mouent, vel crus, vel vniuersum corpus eiiciunt irrationabiliter, & repentè, & desipicè exiliunt ad instar spasmi, & hæc omnia faciunt cum eo, quòd loquantur aliqua non congruè; quorum nullum, qui sunt lethargici cum

cum cataphora faciunt; immobiles enim semper & voce capti iacent, eis qui profundè dormiunt, assimilati. Ipsorum autem, qui non somnolenter cataphorantur, alii quidem ita facilè, & multum mobiles existunt, vt neque deficiant clamantes magne, & moueat aliquam partem vehementer; sed si excitaueris eos, aut loquaris, aspiciunt inconuenienter, & magis egrediuntur à se, & malum facere tentant, & omnino in audiendo promptissimi fiunt, nihil intra eos, qui summè desipiunt. Alii verò è contrario surgentes, magis intelligunt, & non multum mouentur; & tunc magis desipiunt, quando permiseris eos comati; & ex hoc maximè licet eos discernere à cataphoris lethargicis. Hæc igitur est, quæ ab Hippocrate dicitur *pigra cataphora*. Quoniam autem apertè didicimus, quòd non solùm hoc, scilicet cataphorari, quibusdam phreniticorum accidat, sed etiam hoc, scilicet pigrè (de hoc vtique maximè aliquis dubitabit) ad reliquam transeamus dubitationem, cuius siquidem aliquam inuenerimus solutionem, habebimus iam totum. Est autem dubitatio hæc; postquam meminit Hippocrates in prorrhetico comatosorum vigilum, dubitat vtrum phreniticos eos, aut aliud quid vocet; habet autem series ita; *Qui comatosi in principiis fiunt cum capitis, lumbi, hypochondriorum, & colli dolore, vigilantes, num phrenitici sunt?* Scribitur autem dupliciter hic textus, in nonnullis quidem exemplaribus sic; in quibusdam autem absque hoc, scilicet *sunt*, num phrenitici? Sed nunc quidem primùm scrutemur. Cum duæ sint species primæ comatis, & altera quidem lethhargicis semper, altera verò phreniticis aliquando accidat; Dubitat nunc Hippocrates, an oporteat ita habentes nominare phreniticos; hoc autem nedum dubitabile, sed è contrario facilè inuentu, & promptum videtur esse; quum enim sint duo comata, & somnolentum quidem proprium lethargicorum non possit hic intelligi (hoc enim, scilicet, *vigilantes*, adiacens non permittit id significari) de altero comate, an phreniticũ sit, videtur enunciare. Qualiter igitur dubitat? Syllogistica est, inquies, *num*, particula, & non dubitatiua. Sed hoc quidem, si non haberet barbaram interpretationem, & ab omni consuetudine Græca alienam, fortassis vtique acceptarem; quia verò neque alii Græci, neque ipse Hippocrates tali compositione propositionum inueniuntur vti; qualiter suscipiam syllogisticum esse, *num*, aduerbium? ante enim quam assumptionibus vtamur in oratione, & præponamus eas conclusioni, non est ratiocinari. Putà (vt quod dicitur, manifestum fiat etiam minùs exercitatis) hoc, scilicet, num dies est? &, num veniet hodie? dubitandi habet aduerbium; si verò oratione enunciare eis voluero, vel simpliciter dicendo, ita absque omni demonstratione, veniet hodie; vel cum demonstratione, hoc modo; si Sol supra terram est, dies est; si ambulat, ergo mouetur. Quando verò sine demonstratione enunciamus quid, non indigemus aduerbio, ergo; superfluus enim est sermo; & nullus dicit ita, dies est ergo; neque sic, ergo est dies; quum liceat dicere sic simpliciter, dies est; Neque sic in demonstratione possibile est eum vti hoc, scilicet ergo. Qualiter enim erit demon-

θαργικοὶ προσήκουσιν, ἀκίνητοι γὰρ ἀεὶ καὶ ἄφωνοι κεῖνται τοῖς βαθέως κοιμωμένοις ὁμοιωθέντες. τῶν δὲ μὴ ὑπνωδῶς καταφερομένων οἱ μὲν οὕτω ῥᾳδίως καὶ ἐπὶ πολὺ εὐκίνητοί εἰσιν, ὥστε μὴ διαλείπειν βοῶντες μέγα, καὶ κινεῖν τι μόριον σφοδρῶς· ἀλλ' εἰ ἐξεγείρης αὐτοὺς ἢ προσλαλῇς, προσβλέπουσιν ἀπρεπῶς καὶ μᾶλλον ἐξίστανται, καὶ κακὸν πράττειν ἐπιχειροῦσι, καὶ πάντως ἀκούειν προθυμότατοί εἰσιν οὐδὲν ἀπολειπόμενοι τῶν ἄκρως παραφρονούντων· οἱ δ' ἔμπαλιν ἀνιστάμενοι κατανοοῦσι μᾶλλον, καὶ οὐ πολὺ κινοῦνται, καὶ τότε μᾶλλον παραφρονοῦσιν, ὅταν ἐπιτρέψῃς αὐτοὺς τῷ κώματι. καὶ κατὰ τοῦτο μάλιστά ἐστιν αὐτοὺς διορίζειν τῆς ληθαργικῆς καταφορᾶς. αὕτη μὲν οὖν ἐστιν ἡ πρὸς Ἱπποκράτους λεγομένη νωθρὰ καταφορά. ἐπεὶ δὲ σαφῶς ἐμάθομεν, ὡς οὐ μόνον τὸ καταφέρεσθαι τῶν φρενιτικῶν τισι συμβαίνει, ἀλλὰ καὶ τὸ νωθρῶς (περὶ τούτου μάλιστ' ἄν τις ἀπορήσειεν) ἐπὶ τὴν λοιπὴν μεταβῶμεν ἀμφισβήτησιν, ἧς εἰ μὲν ἵνα εὑρήσωμεν λύσιν, ἕξομεν ἤδη τὸ πᾶν. ἔστι δὲ ἡ ἀμφισβήτησις ἥδε. μεμνημένος Ἱπποκράτης ἐν τῷ προρρητικῷ τῶν κωματωδῶν ἀγρύπνων, ἀπορεῖ πότερον φρενιτικοὺς αὐτοὺς, ἢ τι ἕτερον ὀνομάσει. ἔχει δὲ ἐφεξῆς οὕτως. οἱ κωματώδεες ἐν ἀρχῇσι γινόμενοι, μετὰ κεφαλῆς, ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης, ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί εἰσι; γράφεται δὲ διχῶς ἥδε ἡ ῥῆσις· ἐπὶ τισὶ μὲν ἀντιγράφοις οὕτως, ἐπὶ τισὶ δὲ ἄνευ τοῦ, εἰσὶν, ἆρά γε φρενιτικοί; ἀλλὰ νῦν μὲν τὸ πρῶτον ἐρευνῶμεν. ἐπεὶ δύο τὰ πρῶτά ἐστι κώματος εἴδη, καὶ τὸ μὲν τοῖς ληθαργικοῖς ἀεὶ, τὸ δὲ τοῖς φρενιτικοῖς ἔστιν ὅτε συμπίπτει, ἀπορεῖ νῦν Ἱπποκράτης, εἰ δεῖ τοὺς οὕτως ἔχοντας ὀνομάζειν φρενιτικούς. τοῦτο δὲ οὐχ ὅπως ἄπορον, ἀλλ' ἔμπαλιν ῥᾳδίως εὑρετὸν καὶ πρόχειρον εἶναι δοκεῖ. ἐπεὶ γὰρ ἐστι δύο κώματα, καὶ τὸ μὲν ὑπνῶδες τὸ τῶν ληθαργικῶν ἴδιον οὐ δύναται ἐνταῦθα νοηθῆναι (τὸ γὰρ, ἄγρυπνοι, προσκείμενον οὐκ ἐπιτρέπει σημαίνεσθαι τοῦτο) περὶ τοῦ λοιποῦ κώματος, τὸ ἆρά γε φρενιτικόν ἐστιν, ἀπαγγέλλειν φαίνεται. πῶς ἄρα ἀπορεῖ; συλλογιστική ἐστι φησὶν ἡ ἆρα λέξις, οὐκ ἀπορητική. ἀλλὰ τοῦτο μὲν ἐὰν μὴ βάρβαρον εἶχε τὴν ἑρμηνείαν καὶ πάσης Ἑλληνικῆς συνηθείας ἀλλοτρίαν, ἴσως ἂν ἀπεδεχόμην· ὅτι δὲ οὔτε οἱ ἄλλοι Ἕλληνες οὔτε ὁ Ἱπποκράτης τοιαύτῃ προτάσεων συντάξει οὐχ εὑρίσκονται χρώμενοι, πῶς ἂν δεξαίμην συλλογιστικὸν εἶναι τὸ, ἆρα, ἐπίρρημα; πρὶν γὰρ ἢ λήμμασι χρῆσθαι ἐν τῷ λόγῳ, καὶ προτάξαι αὐτὰ τοῦ συμπεράσματος, οὐκ ἔστι συλλογίζεσθαι. φέρε εἰπεῖν (ὅπως τὸ λεγόμενον σαφὲς γένηται καὶ τοῖς ἧττον γεγυμνασμένοις) τὸ, ἆρά γε ἡμέρα ἐστί; καὶ, ἆρά γε ἐλεύσεται σήμερον; ἀπορητικὸν ἔχει ἐπίρρημα. ἂν δὲ λόγῳ ἀποφαίνειν αὐτοῖς βουληθῶ, ἤτοι ἁπλῶς λέγων οὕτω χωρὶς πάσης ἀποδείξεως, ἐλεύσεται σήμερον· ἤτοι μετ' ἀποδείξεως οὕτως, ἐὰν ἥλιος ὑπὲρ γῆν ἐστιν, ἡμέρα ἐστίν, ἐὰν περιπατεῖ, κινεῖται ἄρα. ὅταν δὲ χωρὶς ἀποδείξεως ἀποφαίνωμέν τι, οὐ δεόμεθα τοῦ, ἄρα, ἐπιρρήματος, περιττὸς γὰρ ἐστιν ὁ λόγος, καὶ οὐδεὶς οὕτω φησὶν, ἡμέρα ἐστὶν ἄρα, οὐθ' οὕτως, ἆρά γε ἡμέρα ἐστίν, ἐπειδὰν ἐξῇ λέγειν οὕτως ἁπλῶς, ἡμέρα ἐστίν. οὐδ' οὕτω καὶ ἀπόδειξιν οἷόν τέ ἐστι χρῆσθαι αὐτὸν τῷ ἆρά γε. πῶς γὰρ

ἂν εἴη ἀπόδειξις, πάσης ἀποδείξεως ἐξ ἑτέρων λημμάτων ἕτερον λῆμμα καταλαμβανούσης; ἀλλὰ μηδὲν φαίνεται νῦν λῆμμα συλλογιστικὸν εἰς ἀπόδειξιν λαμβάνων. πῶς οὖν τὸ, ἆρά γε, ἐπίρρημα γενήσεται ἀντ' ἀπορητικοῦ συλλογιστικὸν καὶ συμπερασματικόν; μετ' γὰρ τινων οὔτε τὸν αὐτὸν τόπον κατέχουσι τὸ ἀπορητικὸν ἐπίρρημα καὶ τὸ συλλογιστικόν τε καὶ συμπερασματικὸν καλούμενον, ἀλλὰ τὸ μὲν ἀπορητικὸν προκεῖται ἀεὶ, τὸ δὲ συλλογιστικὸν καὶ συμπερασματικὸν μεταξὺ τοῦ ὀνόματος καὶ τοῦ κατηγορουμένου καθίσταται. ἀποροῦντες γὰρ λέγομεν, ἆρά γε ἡμέρα ἐστί; συλλογιζόμενοι δὲ οὕτως, ἡμέρα ἄρα ἐστί. πῶς οὖν νῦν προετέθη; ὡς οὐ συλλογιστικὸν ὑπάρχον, προετέθη. οὐ γὰρ εἴρηται οὕτω, φρενιτικοὶ ἄρα εἰσὶν, ἀλλ' ἁπλῶς, ἆρά γε φρενιτικοί εἰσιν; ἀποροῦντος φανερῶς τοῦ Ἱπποκράτους, καὶ μὴ τολμῶντος ἀποφήνασθαι βεβαίως ὑπὲρ αὐτῶν, ὥσπερ ἀμέλει πολλάκις φαίνεται ποιῶν. ἀρκέσει δ' ἓν ἢ δεύτερον παράδειγμα, χάριν τοῦ μὴ διατρίβειν ἐπὶ πλέον ἐν οὕτω σαφεῖ πράγματι. ἐν μὲν οὖν τῷ πρώτῳ τῶν ἐπιδημιῶν φησι, [24] μετὰ δὲ ταῦτα δυσεντεριώδεες ἐγένοντο οὗτοι πάντες. ἆρά γε ὅτι οὖρα ὑδατώδεα, σκεπτέον; ἐν ταύτῃ τὸ σκεπτέον προσκείμενον. οὐδὲ τὸν ἀναιδέστατον ἄλλως ἀκούειν ἐάσει τοῦ ἄρα συνδέσμου, πλὴν ὡς ἀπορητικοῦ. ἐν δὲ τῷ ἕκτῳ τῶν ἐπιδημιῶν, [25] τὸ μετ' οὔρησιν συνάγμα, φησὶ, παιδίοισι μᾶλλον, ἆρά γε ὅτι θερμότερα; ἐν αὐτῷ δὲ τῷ προρρητικῷ, [26] ἐν φρενιτικοῖσι λευκὴ διαχώρησις, κακὸν, ὡς καὶ Ἀρχεκράτει. ἆρά γε ἐπὶ τούτοισι ἐνωθρότης γίνεται; καὶ πάλιν, [26] ἐν ἀφωνίῃ πνεῦμα, οἷον τοῖσι πνιγομένοισι πρόχειρον, πονηρόν. ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον; εἰ τοίνυν χρὴ κεφαλὴν ἐπιθεῖναι τῷ λόγῳ, καὶ μήτ' ἄλλος τις τῶν Ἑλλήνων οὕτω κέχρηται τῷ ἄρα συνδέσμῳ, μήτ' Ἱπποκράτης αὐτὸς, ὡς ἐγὼ νῦν ἔδειξα, μέμψαιτ' ἄν τις οἶμαι τοὺς ἐξηγησαμένους ὡς οὐκ ἀπορητικὸν σύνδεσμον.

A stratio, omni demonstratione ex aliorum assumptionibus aliam assumptionem comprehendente? sed nullam videtur nunc assumptionem syllogisticam ad demonstrationem accipere. Qualiter ergo, num, aduerbium fiet, pro dubitatiuo, syllogisticum & illatiuum? Cum aliquibus enim neque eundem locum obtinent dubitandi aduerbium, & syllogisticum & illatiuum vocatum; sed dubitatiuum quidem præponitur semper, syllogisticũ verò, & illatiuum inter nomen & prædicatum locatur; dubitantes enim sic dicimus; num dies est? syllogizantes B autem sic; dies ergo est. Qualiter igitur nunc prælocatum est? ceu non syllogisticum existens, prælocatum est: non enim est dictum sic; phrenitici ergo sunt; sed simpliciter, num phrenitici sunt? dubitante apertè Hippocrate, nec audente firmiter asserere de ipsis, quemadmodum certè sæpenumero facere videtur. Satis autem erit vnum, vel alterum exemplum, ne diutiùs in re tam conspicua immoremur. In primo ergo Epidemiorum ait; *Postea verò dysenterici facti sunt hi omnes; num sanè, quòd minxerint aquosa, considerandum?* hoc in loco dictio, considerandum, quæ adiecta est, ne impudentissimum quidem permittet, vt coniunctionem ἄρα id est, C *num*, aliter intelligat, quam vt dubitatiuam. In sexto item Epidemiorum, *Post mictionem concretio*, inquit, *pueris magis; num sanè, quod calidiores sint?* In ipso autem prorrhetico, *In phreniticis alba deiectio malum, vt & Archecrati; num sanè ex his torpor fit?* & rursus; *in aphonia spiritus, qualis iis, qui suffocantur, promptus, prauum; num sanè & tale deliratorium?* Si ergo finem sermoni imponere oportet, & neque alius quispiam Græcorum ita vsus est coniunctione ἄρα neque Hippocrates ipse, vt ego nunc ostendi, reprehen- D det vtique quispiam, arbitror, eos, qui tanquam non dubitatiuam coniunctionem explanauerunt.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὴν αἰτίαν ἀποδίδωσι, δι' ἣν Ἱπποκράτης ἐν τῇ τῶν προρρητικῶν ἀρχῇ τούτοις οὐκ ἐτόλμησε φρενιτικοὺς ὀνομάζειν, οἵτινες κωματώδεες ἐν ἀρχῇσι γινόμενοι, μετὰ κεφαλῆς, ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης ἀγρυπνέοντες.

Καί τοι χαλεπώτερον ἐμαυτὸν τὸν λόγον ἐπίσταμαι ποιεῖν. διωρισμένης γὰρ τῆς ὑπνώδους καταφορᾶς ἀπὸ τῆς οὐχ ὑπνώδους φρενίτιδος, οὐκ ἂν ἔτι δεόντως ἀπορῶν φαίνοιτο καὶ μὴ βεβαίως ἀποφαινόμενος φρενιτικοὺς εἶναι τοὺς τοιούτους. ἀλλ' ἧττον γάρ ἐμοὶ μέλει τῆς ἐν τοῖς λόγοις χαλεπότητος, ἢ τῆς ἀληθείας, ὅτι τε ἀπορητικός ἐστιν ὁ σύνδεσμος, ὁμολογῶ, καὶ δείξω τὴν αἰτίαν, δι' ἣν οὐκ ἐτόλμησε φρενιτικοὺς εἶναι τοὺς τοιούτους ἀποφήνασθαι ὁ Ἱπποκράτης, ἀλλ' ἔτι ἀπορεῖ. τὸ γὰρ, ἐν ἀρχῇσι, προσκείμενον, τὴν πᾶσαν ἔχει τοῦ λόγου δύναμιν, ὃ παραλείπουσιν οἱ πολλοὶ τῶν ἐξηγητῶν, ὥσπερ μάτην προσγεγραμμένον. παραπλήσιον γάρ τι συμβαίνει πολλῶν ἀρχομένοις νοσημάτων, οἷον ἔν τισι τῶν μεθυσθέντων ἐστὶν ἰδεῖν γινόμενον. ὅταν μὲν κωματώδεις ὦσι, καὶ σφάλλονται, καὶ βαροῦσι τὴν κεφαλὴν, καὶ μηδ' εἰ βιάζοιντο διαίρειν δύνανται τὰ βλέφαρα· δι' αὐτὸ δ' αὖ πάλιν τοῦτο τὸ βάρος ὕπνου ἀδυνατοῦσιν ἀλύοντες,

CAPVT IV.

Causam reddit, cur Hippocrates in principio Prorrheticorum, eos qui comatosi sunt in principiis cum capitis, lumborum, hypochondriorum, & ceruicis dolore, vigilantes, non ausus sit appellare phreniticos.

Qvanquam difficiliorem orationem me ipsum facere scio. Quum enim distincta E sit somnolenta cataphora à non somnolenta phrenitide, non vtique conuenienter dubitare videatur, & non firmiter asserere, tales esse phreniticos. Sed certè minùs mihi curæ est difficultas sermonum, quam veritas. Quòd dubitatiua sit coniunctio fateor, & causam ostendam, propter quam non ausus est asserere Hip- F pocrates tales esse phreniticos, sed adhuc dubitet; nam dictio, in principiis, quæ adiecta est, totam orationis vim habet; quam dictionem multi explanatorum prætermittunt, tanquam temerè ascriptam. Simile enim quidpiam accidit multis incipientibus morbis, quale in aliquibus ebriis fieri videmus. Quando comatosi quidem sunt, & titubant, & capite grauantur, & neque si cogantur, attollere possunt palpebras; ob hanc eandem verò rursus grauitatem dormire non possunt, anxiantes, & vertentes

tentes & proiicientes se ipsos, ac transmutantes alias ad aliam figuram. Hæc enim videmus sæpenumero in ebriis fieri, quum repletum fuerit in ebrietate caput, postea à grauitate vnà & in coma trahatur, vnáque à somno prohibeatur. Ita ergo, vbi plenitudo inconcocta caput occupauit, vigiles simul, & comatosi sunt. Dumque hoc per initia euenerit, interdum quidem probè concoquitur multitudo, ac si ex vino talis res euenisset; sed ita sanè, nec lethargus, nec phrenitis subsequitur; interdũ autem acris reddita, in phrenitin terminatur. Multis verò pars tenuior, vel concocta, vel digesta, euacuata est; remansit autem crassior, & ita lethargus superuenit: progresso quidem tali morbo, hæc affectio, sicuti quidem nos ostendimus, iam propè phrenitidem est: sicuti verò ii, qui mixtum affectum ex lethargo & phrenitide introducunt, suspicantur, illi videretur esse proximior. Vtrum autem eos, qui ita habent, iam phreniticos nominare oporteat, an paulo post phrenitici expectandi sint; hoc alterius vtique est considerationis, nihil ea quæ nunc proponuntur iuuantis, ac præsertim propter dictionem *sunt*, quam quidam ascribunt huic contextui, *num phrenitici*, quidam verò non.

καὶ στρεφόμενοι, καὶ ῥιπτοῦντες ἑαυτοὺς, καὶ μεταβάλλοντες ἄλλοτ' εἰς ἄλλο σχῆμα. ταῦτα γάρ ἐστιν ἰδεῖν πολλάκις ἐπὶ τῶν μεθυσθέντων γιγνόμενα, πληρωθείσης αὐτοῖς ἐν τῇ μέθῃ τῆς κεφαλῆς, εἶθ' ὑπὸ τοῦ βάρους ἅμα τ' εἰς κῶμα κατασπώσης, ἅμα τε ὕπνον κωλυούσης. οὕτως οὖν καὶ πλήθους ἀπέπτου τὴν κεφαλὴν κατειληφότος, ἄγρυπνοί τε ἅμα καὶ κωματώδεις εἰσίν. καὶ τοῦτο κατ' ἀρχὰς γενόμενον, ἔστιν ὅτε μὲν πεφθῇ καλῶς, ὥσπερ καὶ ἐξ οἴνου τοιοῦτο εἴη γεγονός· ἀλλ' οὕτω μὲν οὔτε λήθαργος, οὔτε φρενῖτις ἠκολούθησεν· ἔστιν ὅτε δὲ δριμὺ γινόμενον, εἰς φρενίτιδα ἐτελεύτησε. πολλοῖς δ' αὖ τὸ μὲν λεπτότερον, ἢ πεφθὲν ἢ διαφορηθὲν ἐκενώθη, ὑπέμεινε δὲ τὸ παχύτερον, καὶ οὕτω λήθαργος ἐπεγένετο. προεληλυθότος μὲν τοῦ τοιούτου νοσήματος, ἡ τοιαύτη διάθεσις, ὡς μὲν ἡμεῖς ἐδείξαμεν, ἐγγὺς ἤδη φρενίτιδος· ὡς δ' οἱ τὸ μικτὸν πάθος ἐκ ληθάργου καὶ φρενίτιδος εἰσάγοντες ὑπολαμβάνουσιν, ἐκείνῳ δόξειεν ἂν εἶναι συγγενεστέρα. πότερον δ' ἤδη τοὺς οὕτως ἔχοντας ὀνομάζειν χρὴ φρενιτικοὺς, ἢ ὀλίγον ὕστερον ἔσεσθαι προσδοκᾶν, τοῦτ' ἑτέρας ἂν εἴη σκέψεως, οὐκ ὠφελούσης τι τὰ νῦν προκείμενα, καὶ ἄλλως διὰ τὸ εἰσὶν, ὃ καὶ τινες προσγράφουσι τῷ ἄρα φρενιτικοὶ, τινὲς δ' οὔ.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΡΟΜΟΥ, ΚΑΙ ΠΑΛΜΟΥ, ΚΑΙ ΣΠΑΣΜΟΥ, ΚΑΙ ΡΙΓΟΥΣ, ΒΙΒΛΙΟΝ.

GALENI DE TREMORE, PALPITATIONE, CONVVLSIONE, ET RIGORE, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τί κινήσεως γένος; τίνες διαφοραὶ καὶ τόποι καὶ αἰτίαι, τοῦ τρόμου, καὶ παλμοῦ, καὶ σπασμοῦ, καὶ ῥίγους;

ARGVMENTVM LIBRI.

Quod genus motus, quæ differentiæ, qui loci, quæ causæ, tremoris, conuulsionis, rigoris, & palpitationis?

CAPVT PRIMVM.

Propositum Libri.

QVANDOQVIDEM Praxagoras Nicarchi filius, cum in aliis medicinæ partibus præstantissimus, tùm in naturalibus speculationibus peritissimus, non rectè mihi videtur de pulsu, palpi-

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τὸ προκείμενον.

ΕΠΕΙΔΗ Πραξαγόρας ὁ Νικάρχου, τά τε ἄλλα τῆς ἰατρικῆς ἐν τοῖς ἀρίστοις γενόμενος, ἔν τε τοῖς περὶ φύσιν λογισμοῖς δεινότατος, οὐκ ὀρθῶς μοι δοκεῖ περί τε σφυγμοῦ, καὶ παλμοῦ, καὶ σπασμοῦ

καὶ τρόμου γινώσκειν, ἀρτηριῶν μὲν ἅπαντα νομίζων εἶναι πάθη, διαφέρειν δὲ ἀλλήλων μεγέθει. διὰ τοῦτο ἔδοξέ μοι κοινῇ περὶ πάντων αὐτῶν ἐν τῷδε τῷ γράμματι διελθεῖν, οὐχ ἵνα ἐλέγξαιμι Πραξαγόραν ἐν οἷς σφάλλεται, τοῦτο μὲν γὰρ αὐτάρκως Ἡρόφιλος ἔπραξε, μαθητὴς αὐτοῦ γενόμενος, ἀλλ' ἵν' οἷς ὀρθῶς ἐκεῖνος ἔγραψε, τὰ λείποντα προσθῶ. περὶ μὲν δὴ τοῦ σφυγμοῦ, τί ποτ' ἐστὶ καὶ καθ' ὅντινα τρόπον γίνεσθαι πέφυκεν, ἔν τε τῇ περὶ σφυγμῶν πραγματείᾳ δέδεικται, καὶ νῦν εἰρήσεται τοσοῦτον, ὅσον ἂν εἰς τὰ προκείμενα χρήσιμον εἶναι φαίνηται. περὶ δὲ τῶν ἄλλων, ἐν τῷδε τῷ γράμματι δίειμι, τὴν ἀρχὴν ἐντεῦθεν ποιησάμενος.

tatione, conuulsione, & tremore sentire; vt qui omnia arteriarum esse affectus; differre autem inter se magnitudine, existimet; idcirco de omnibus ipsis communiter hoc libro à me tractandum esse putaui, non vt Proxagoram in iis, in quibus errorem admittit, falliturque, redarguam (id enim Herophilus eius discipulus abundè factitauit) sed vt iis quæ rectè ille scripsit, ea quæ desunt, adiiciam. De pulsu igitur, quid tandem sit, & quomodo fieri soleat, in opere de pulsibus demonstratum est, & nunc tantum dicetur, quantum ad præsentem disputationem vtile esse videbitur; de aliis autem hoc commentario sum tractaturus, inde sumpto initio.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Πόσα τῆς κινήσεως γένη· καὶ ἐν τίνι γένει τρόμος καὶ σπασμὸς, καὶ ῥῖγος, καὶ παλμὸς περιέχονται.

Αἰσθηταὶ κινήσεις ἐν τοῖς τῶν ζώων σώμασιν, ὁπόταν ὑγιαίνωσι, διτταὶ τῷ γένει φαίνονται· καθ' ὁρμὴν μὲν ἢ κατὰ προαίρεσιν, ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλωσιν οἱ τὰ μὲν τοιαῦτα δεινοί, τῆς δὲ τῶν πραγμάτων ἐπιστήμης ἀμελοῦντες, αἱ διὰ νεύρων τε καὶ μυῶν γινόμεναι, καὶ ταύτας ἔθος ἐστὶ τοῖς ἰατροῖς ὀνομάζειν προαιρετικὰς ἐνεργείας· ἕτεραι δὲ κινήσεις εἰσὶν ἐν τοῖς τῶν ζώων σώμασιν αἱ κατὰ τὰς ἀρτηρίας τε καὶ τὴν καρδίαν, ἃς προσαγορεύουσι ζωτικὰς (ὄντος καὶ ἄλλου τρίτου γένους κινήσεων ἐν ταῖς φλεψὶν, οὐκ αἰσθητοῦ) ὑπὲρ ὧν οὐδὲν ἐν τῷ παρόντι δέομαι λέγειν. ἀλλ' ἥ γε διὰ τῶν μυῶν τε καὶ τῶν νεύρων γινομένη, καθ' ἣν καὶ τὰς χεῖρας καὶ τὰ σκέλη κινοῦμεν, ἐν τρόμοις καὶ σπασμοῖς καὶ ῥίγεσι νοσώδεσιν, ἐνίοτε δὲ καὶ τοῖς παλμοῖς φαίνεται. πάντα γὰρ τὰ τοιαῦτα παθήματα πλημμελεῖς κινήσεις εἰσὶ τῶν αὐτῶν ὀργάνων, ἀφ' ὧν ὑγιαινόντων αἱ καθ' ὁρμὴν ἐπιτελοῦνται κινήσεις.

CAPVT II.

Quot motus genera, atque in quo genere tremor, conuulsio, rigor, & palpitatio contineantur.

Motus sensibiles in animantium corporibus, quum sana sunt, genere duplices apparent; ex impetu sanè, aut arbitrio seu volũtate, aut quomodocunq; nominare velint nominũ quidem periti, rerum autem scientiam negligentes; qui neruis musculisque fiunt; atque has medici voluntarias actiones appellare solent; alii verò motus in animantium corporibus existunt, tum in arteriis, tum corde, quos vitales nuncupant (imò & aliud quoddam tertium motuum genus in venis habetur, quod sensibus non percipitur) de quibus in præsentia dicere opus non habeo; verùm qui musculis, & neruis perficitur, per quem & manus & crura mouemus, in tremoribus, conuulsionibus, rigoribus morbidis, interdum & in palpitationibus apparet. Omnes etenim eiusmodi affectus, deprauati motus sunt organorum eorundem, quibus arbitrarii sanorum motus obeuntur.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τί ὁ τρόμος, καὶ πῶς γίνεται.

Ὁ τρόμος μὲν οὖν γίνεται τῆς ὀχούσης καὶ κινούσης τὸ σῶμα δυνάμεως ἀρρωστίᾳ. οὐ γὰρ ἐξ ἑαυτῶν δήπου τὰ μόρια τῶν ζώων οὕτως ὄντα βαρέα καὶ κάτω φέρεσθαι πεφυκότα, τὰς εἰς ἅπαντα τόπον ἔχει κινήσεις, ἀλλ' ἡ διὰ τῶν νεύρων τοῖς μυσὶν ἀπὸ τῆς ἀρχῆς ἐπιπεμπομένη δύναμις οἷον ὄχημά τι καὶ πτέρωμα τῆς κινήσεως αὐτοῖς ἐστιν· ἣν ὅταν μὲν ἀπολέσῃ τελέως (ἀπόλλυσι δὲ τὰ παραλελυμένα) καταφέρεται καὶ πίπτει κάτω δίκην ὄρνιθος πτερορρυήσαντος, ὅθεν οὐδεμία κίνησις ἀπολείπεται τοῖς οὕτω πάσχουσιν. εἰ δὲ περιγίνοιτο μὲν ἡ δύναμις, ὀλίγη δὲ καὶ ἀσθενὴς, ὡς μήθ' ἱκανῶς ὀχεῖν τε καὶ βαστάζειν τὰ μέρη τοῦ σώματος, ἢ ὥσπερ τι φορτίον φέρειν μὴ δύνασθαι, ἀνάγκη τὸ διακείμενον οὕτω μόριον ἐν τρόμῳ καθεστάναι. αἱ γὰρ ὑπὲρ τὴν δύναμιν τοῖς ἀσθενέσι κινήσεις βίαιοί τε καὶ πρὸς ἀνάγκην γινόμεναι τρομώδεις εἰσίν. οἶμαί σε πολλάκις ἑωρακέναι βαρὺ φορτίον ἠρμένον τινὰ, κἄπειτα βαδίζειν ἐπιχειροῦντα πρὸς βίαν, ὡς τρομώδης γίνεται τοῖν σκελοῖν. καὶ γὰρ εἰ καὶ ταῖν χεροῖν ὑπέρβαρύ τι βαστάζειν ἐπιχειρήσῃ, τρομώδης ἔσται ταῖν χεροῖν. οὕτω δὲ

CAPVT III.

Quid sit tremor, & quomodo fiat.

Tremor itaque facultatis corpus vehentis mouentisque infirmitate oboritur. Non enim ex se ipsis scilicet animantium partes, tam graues quum sint deorsumque ferri natę, in omnem locum motum habent; verùm facultas, quæ per neruos musculis à principio transmittitur, tanquam vehiculum quoddam & ala motus ipsis est; quam quum prorsus perdiderint (perdunt autem resolutæ) deorsum feruntur, & auis cui pennæ defluxerint instar, concidunt; vnde nullus ita affectis *partibus* motus relinquitur. Sin autem facultas quidem reliqua fuerit, sed pauca & imbecillis, vt neque corporis partes satis attollat, vehatque, aut tanquam graue pondus aliquod ferre nequeat, necesse est partem ita dispositam, in tremore conspici; siquidem motus, qui ab imbecilibus supra vires & violenti & ad necessitatem fiunt, tremuli existunt. Puto te sæpè vidisse aliquem, qui graui pondere sublato, incedere violenter conaretur, quam cruribus intremiscat; quin etiam si manibus præter vires graue aliquid portare aggrediatur, manus habebit tremulas. Pari modo homo

homo quum timet expauescitque aliquis, siue manibus quid facere, siue incedere volet, manus quidem, si his functionem obire aliquam audeat, tremulas: tremula verò crura, si conetur incedere, habebit. Minuit enim & timor nihilominùs cæteris virium robur; quæ vbi semel collapsæ fuerint & debilitatæ, quidvis etiã multò leuissimum, graue redditur; quapropter & corpus animantis, quod priùs erat leue, oneris modo ipsas aggrauat. Ac senes simili modo ex imbecillitate vt plurimum tremuli sunt. Præterea, quibus ex morbo corporis robur laborauit, nec iis quoque citra tremores motus fiunt. Nam in omnibus sic se habentibus facultas partes mouens, attollensque, nunc debilitata, id quod priùs attollere solebat, ampliùs non potest, tanquam in motu vacillans. Si verò vniuersum naturæ robur remiserit, tùm corpora, facultate attollente destituta, suo põdere deorsum feruntur, ac illic remanent quemadmodum in paralysibus, si vniuersam facultatem robur omnino destituerit; quantum autem ipsius reliquum est, id rursus vehere corpus conatur; verùm neque nunc quantum vult, præ imbecillitate potest; sed modicè quidem eleuat, magis autem deficit, imperfectum mutilumque hîc quoque motum relinquens. Rursus igitur corporibus deorsum ferri concedit, quòd quum continuè fiat, & deorsum tendens latio sursum vergentem excipiat, rursusque subiungatur sursum tendens; duplex sanè & compositus totus fit motus, partibus loca semper per vices mutantibus. Nomen autem affectui est tremor, quo corpora deorsum pondere suo vergunt, rursus autem in altum à facultate attolluntur.

καὶ ἄνθρωπος ὅταν φοβῆται, ἤν τέ τι ταῖς χερσὶ δρᾷν, ἤν τε βαδίζειν ἐθέλῃ, τρομώδεις μὲν αἱ χεῖρες αὐτῷ τολμῶντι δι' αὐτῶν ἐνεργεῖν, τρομώδη δὲ τὰ σκέλη βαδίζειν ἐπιχειροῦντι. καθαιρεῖ γὰρ ἰσχὺν δυνάμεως, οὐδὲν ἧττον τῶν ἄλλων φόβος. ἢν δὲ ἅπαξ αὕτη καταπέσῃ καὶ ἀῤῥωστήσῃ, πᾶν ἄχθος γίγνεται, κἂν παντελῶς ᾖ κουφότατον. ὥστε καὶ τὸ σῶμα τοῦ ζώου κοῦφον ὂν πρότερον, οἷα φορτίον, αὐτὴν βαρύνει. γέροντες δ' ὡσαύτως ἀπ' ἀσθενείας τὰ πολλὰ τρομώδεις εἰσὶν, ὅσοις τε διὰ νόσον ἡ τοῦ σώματος ἰσχὺς ἐπόνησεν, οὐδὲ τούτοις ἄνευ τρόμου αἱ κινήσεις. ἐν πᾶσι γὰρ τοῖς οὕτως ἔχουσιν ἡ κινοῦσα τὰ μέρη, καὶ βαστάζουσα δύναμις, ἀῤῥωστήσασα νυνὶ, ὅσον ἐπεφύκει πρότερον αἴρειν, οὐκέτι δύναται, καθάπερ ὀκλάζουσα περὶ τὴν κίνησιν. ἔνθα δ' ἂν ὅλως ὁ τόνος ἐνδῷ τῆς φύσεως, ἐνταῦθα τοῦ κουφίζοντος ἀπορηθέντα τὰ σώματα, τῷ σφετέρῳ βάρει φέρεται κάτω, καὶ ἔμεινεν ἐνταῦθα, καθάπερ ἐν παραλύσεσιν, εἰ πᾶσαν τὴν δύναμιν ἡ ἰσχὺς ἐπελελοίπει τελέως· ὅσον δὲ αὐτῆς λείπεται, τοῦτο πάλιν ὀχεῖν ἐπιχειρεῖ. δύναται δὲ οὐδὲ νῦν ὅσον βούλεται δι' ἀσθένειαν· ἀλλ' ὀλίγον μέν τι κουφίζει, τὸ πλέον δ' ἀπολείπει, ἀτελῆ καὶ κολοβὴν ἐγκαταλείπουσα καὶ ταύτῃ τὴν κίνησιν. αὖθις οὖν ἐπιτρέπει τοῖς σώμασι φέρεσθαι κάτω. τούτου συνεχῶς ἀποτελουμένου, καὶ τὴν ἄνω φορὰν ἐκδεχομένης ἀεὶ τῆς κάτω, συναπτούσης δὲ αὖ πάλιν τῆς ἄνω, διπλῆ μὲν καὶ σύνθετος ἡ πᾶσα γίνεται κίνησις, ἀμειβόντων ἀεὶ τῶν μορίων τοὺς τόπους. ὄνομα δὲ τῷ πάθει τρόμος, εἰς μὲν τὰ κάτω τῆς φορᾶς τοῖς σώμασι τῷ σφετέρῳ βάρει γινομένης, ἄνω δὲ αὖ πάλιν ὑπὸ τῆς δυνάμεως αἰρομένης.

CAPVT IV.

Quid tremor, & quomodo differat à palpitatione.

SEd & palpitatio, forsan dicet aliquis, similiter atque tremor, motus est inuoluntarius ac inuitus partium, quæ quum palpitant, attolluntur & deorsum aguntur. Quomodo igitur tremor à palpitatione differet? Hactenus sanè nihil inter se discrepare videntur; veruntamen discrimen intercedit; neque enim locum affectum eundem esse trementibus & palpitantibus, neque causam, neque symptoma dico. Quippe nemo, qui artus mouere non instituerit, tremet; palpitantes autem partes, etiamsi in quiete fuerint, etiamsi nullum ipsis motum induxeris, palpitant. Decipiuntur hîc quoque multi, dum capita tremula conspiciunt, ac manum immobilem & crus, vt visum fuerit, extensum habentibus nonnullis, deinde nihilominus trementibus. Quos hanc sententiam docere conuenit, quæ non à me nunc primùm dicitur, sed etiam à multis veterum, non quæ moueri videntur, ea moueri sola pronunciantibus. Multa siquidem citra motũ esse videntur, vnum eundemque locum obtinentia, nihilo autem minus mouentur. Siquidem aues non modo quum sursum & deorsum feruntur, sed etiam si locum vnum in aëre occupent, in motu tunc quoque esse *censent*. Nam si in eo loco mortuum auis corpus situm fuerit, facilè ad terrã decidet, pondere suo inclinans.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τί τρόμος; καὶ πῇ τοῦ παλμοῦ διαφέρει;

ἈΛλὰ καὶ παλμὸς, ἴσως φήσει τις, ὡσαύτως τῷ τρόμῳ κίνησίς ἐστιν ἀβούλητός τε καὶ ἀκούσιος ἐπαιρομένων τε καὶ καταφερομένων τῶν παλλομένων μερῶν. πῇ ποτ' οὖν διοίσει τρόμος παλμοῦ; μέχρι μὲν τοῦδε φαίνονται μηδὲν ἀλλήλων διαφέροντες, διενηνόχασι δὲ, οὔτε γὰρ τόπον πάσχοντα τὸν αὐτόν φημι εἶναι τοῖς παλλομένοις, οὔτ' αἰτίαν, οὔτε σύμπτωμα. τρέμει μὲν γὰρ μὴ προελόμενος κινεῖν τὸ κῶλον, οὐδείς· πάλλεται δὲ τὰ παλλόμενα, κἂν ἀποκείμενα τύχῃ, κἂν μηδεμίαν κίνησιν αὐτοῖς ἐπάγῃς. ἀπατῶνται δὲ κἀνταῦθα πολλοὶ, κεφαλάς τε τρομώδεις ὁρῶντες, ἀκίνητόν τε χεῖρα, καὶ σκέλος, ὡς ἂν δόξειεν, ἀποτεταμένον ἐχόντων τινῶν, ἔπειτ' οὐδὲν ἧττον τρεμόντων. οὓς χρὴ διδάξαι τὸν λόγον τοῦτον, οὐχ ὑπ' ἐμοῦ νῦν πρῶτον λεγόμενον, ἀλλὰ καὶ πολλοῖς τῶν παλαιῶν, οὐχ ὅσα φαίνεται κινεῖσθαι, ταῦτα κινεῖσθαι φασὶ μόνα. πολλὰ γοῦν ἀκίνητα μὲν εἶναι δοκεῖ, ἕνα καὶ τὸν αὐτὸν ἐπέχοντα τόπον, οὐδὲν δὲ ἧττον κινεῖται. τοὺς γοῦν ὄρνιθας, οὐ μόνον ἄνω καὶ κάτω φερομένους, ἀλλὰ κἂν ἕνα τόπον ἐν τῷ ἀέρι κατειληφότες ὦσιν, ἐν κινήσει καὶ τότε ὑπάρχειν. ἐὰν γοῦν ἐν ἐκείνῳ τῷ τόπῳ νεκρὸν ὄρνιθος σῶμα τεθῇ, ῥᾳδίως ἐπὶ τὴν γῆν κατενεχθήσεται τῷ βάρει ῥέπον.

ᾧ δῆλον ὅτι καὶ τὸ μένον ἐπὶ τοῦ αὐτοῦ τόπου σῶμα, κινήσει τινὶ παραφερόμενον ἐμετεωρίζετο, κατὰ τοσοῦτον μέρος γε κινήσεως, ὅσον ἔχειν ἂν, εἰ μόνῳ τῷ βάρει καταφερόμενον τετύχηκεν. ὥστε ἣν δοκεῖς ἀκινησίαν εἶναι, σύνθετός ἐστι κίνησις ἐκ δύο τινῶν εἰς ὑπεναντίους τόπους ἀπάγειν τὸ σῶμα δυναμένων κινήσεων συγκειμένη. ὧν εἰ τὴν ἑτέραν ἀφέλοις τὴν ἄνω, τὴν λοιπὴν ὄψει ῥᾳδίως εἰς τὸν κάτω τόπον ἀπάγουσαν τὸ σῶμα. τοῦτ' οὖν καὶ Ἱπποκράτης διδάσκει εἰπών. ἑστάναι, ἕλκεσιν ἥκιστα συμφέρει: καὶ ἄλλως, ἢν ἐν σκέλει ἔχῃ τὸ ἕλκος, οὐδὲ καθῆσθαι, οὐδὲ πορεύεσθαι, ἀλλὰ ἡσυχίην ἔχειν καὶ ἀτρεμίζειν συμφέρει. τὸ μὲν γὰρ ἀτρεμίζειν καὶ ἡσυχάζειν, ὡς ὠφελοῦν, ἐπαινεῖ· τὸ δὲ ἑστάναι καὶ καθῆσθαι, φησιν, ἥκιστα συμφέρει, ἕτερόν τι τοῦ ἀτρεμίζειν καὶ ἡσυχάζειν ὑπάρχον. ἐντέτανται γὰρ καὶ τότε οἱ μύες βαστάζοντές τε καὶ ἀπὸ τῆς γῆς ἐξαίροντες καὶ ὀρθοῦντες τὸ σῶμα. διὰ τοῦτο τοῦ περιπατεῖν οὐδὲν ἧττον τὸ ἑστάναι κοπῶδες, ὡς ἂν καὶ αὐτὸ κίνησις ὄν. ἀρθείσης γοῦν τῆς ψυχῆς τῆς κινούσης τε καὶ ὀρθούσης τὸ σῶμα, ῥᾳδίως ὄψει κείμενον ἐπὶ τῆς γῆς τὸ πρότερον ὂν ὀρθῶς. ᾧ δῆλον ὅτι καὶ ὁπότε ἦν ὀρθὸν ἦν, οὐκ ἦν ἀκίνητον, ἀλλ' εἶχέ τι κουφίζον τε καὶ βαστάζον καὶ ἐξαῖρον αὐτό. ἐγὼ μὲν οὖν οὐδὲ τὸν κατακείμενον ἄνθρωπον, εἰ τὴν μὲν κεφαλὴν ὑψηλοτέραν ἔχον, τοὺς δὲ πόδας ταπεινοτέρους, οὐδὲ τοῦτον ἀκίνητον εἶναί φημι παντάπασιν. ὑπέρρει γὰρ ἂν ῥᾳδίως ἐπὶ πόδας ἀπὸ τῶν ὑψηλοτέρων εἰς τὸ κάταντες ῥέπων, εἰ μή που κινήσει τὴν ῥοπὴν ταύτην ἀντισηκώσειεν. ταῦτ' ἄρα καὶ ὁ Ἱπποκράτης ἔλεγεν, εἰ δὲ καὶ προπετὴς γίνοιτο, καὶ καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ πόδας, δεινότερόν ἐστι. τὸ γὰρ ἐπὶ τοὺς πόδας ὑπορρεῖν κατακείμενον, ἀρρωστούσης ἐσχάτως δυνάμεως βεβαιότατόν ἐστι γνώρισμα. ἑστάναι μὲν γὰρ ἢ καθέζεσθαι ἢ ἀνίστασθαι μὴ δύνασθαι, δεινὸν μὲν, ἀλλ' ἧττον δεινόν, ἀπολήγουσι γὰρ πρὸς ταῦτα πολλοὶ τῶν νοσούντων, εἰς ἔσχατον ἀσθενείας οὔπω προϊόντες· τὸ δὲ μὴ κατακεῖσθαι δύνασθαι ζῶντος τρόπον, ἀλλὰ κἂν τοῦ καθάπερ νεκρὸν καὶ ἄψυχον σῶμα, καταφέρεσθαι, κακὸν ἔσχατον. τοῦτο ἐν τῷ περὶ χυμῶν ἔρριψιν ἐκάλεσεν. ὅπερ οἱ ἐξηγησάμενοι τὸ σύγγραμμα μὴ νοήσαντες, ἐλήρησαν πολλά. τὸ γὰρ καταβεβλῆσθαι δίκην ἀψύχου σώματος, πάντως τοῦ τόνου τελείως ἐκλελυμένου τε καὶ ἀπολωλότος, ἔρριψιν εἶπεν, ὥστε μὴ ταὐτὸν εἶναι τὸ ἐρρίφθαι τῷ κατακεῖσθαι, ἀλλ' ὃν ἔχει λόγον τὸ καταπίπτειν πρὸς τὸ κατακεῖσθαι. οὕτω κἀπὶ τῶν ὀρνίθων ἕτερον μέν ἐστιν ἐπὶ γῆν καταπτῆναι, ἕτερον δὲ πεσεῖν ἐπὶ τὴν γῆν. τὸ μὲν γὰρ, ἐνέργεια, τὸ δέ, πάθος. ὡσαύτως οὖν τούτοις ἐνέργεια μὲν ἡ κατάκλισίς ἐστι, πάθημα δὲ, ἡ ἔρριψις. πρὸς τί δή μοι ταῦτα λέγεται; ἵνα τοὺς ἐπηρκότας ἢ σκέλος ἢ χεῖρα, κἄπειτα φυλάττοντας, ὡς ἔχουσι, μὴ δόξῃς ἀκινήτους εἶναι, μηδ' ἂν ὅτι μάλιστα τυγχάνωσιν ἕνα καὶ τὸν αὐτὸν ἀεὶ κατέχοντες τόπον. εἰ δ' οὐ βούλει συγχωρῆσαι κίνησιν ὑπάρχειν τοῖς οὕτω διακειμένοις, ἀλλ' ἐνέργειάν τε πάντως αὐτοῖς συγχωρήσεις ὑπάρχειν, καὶ διπλασίαν γε τὴν ῥώμην ταύτην τῆς ἁπλῆς ἐνεργείας. ἐν μὲν γὰρ ταῖς ἁπλαῖς ἓν γένος ἐνεργεῖ μυῶν, ἤτοι τῶν καμπτόντων, ἢ τῶν ἐντεινόντων τὸ κῶλον· ὅταν δὲ ἀποτείνας αὐτὸ διαφυλάττῃς, ἄμφω τὰ γένη τῶν μυῶν ἰσοσθενῶς ἐνεργεῖ. εἰ δὲ τούτου μνημονεύεις, ἀληθῆ παραφυλάττων εὑρήσεις ἀεὶ τὸν λόγον, ὅτι τῷ μηδεμίαν ἐπιχειροῦντι

ὀρθῶν

σοις

ειν

A Vnde constat & corpus quod in eodem manebat loco, motus cuiusdam auxilio in sublimi constitisse, tanto vtique motu, quantum haberet, si solo pondere deorsum ferretur. Quare quam immobilitatē esse putas, motus est compositus, ex duobus quibusdam constās, qui corpus in contraria loca possunt abducere; quorum si alterum sursum vergentem tollas, reliquum videbis facilè corpus in locum inferiorem deducere. Hoc igitur & Hippocrates his verbis docet: *Stare, vlceribus minimè conducit.* B Et alibi. *Si in crure vlcus habeat, neque sedere, neque obambulare, sed quiescere, & otio vacare confert.* Nam quietem & otium, tanquam profutura commendat; stare autem & sedere minimè prodesse ait, vt quæ à conquiescendo & otiando sint diuersa; etenim & tunc musculi, qui gestant corpus, & à terra attollunt, eriguntque, intensi sunt; idcirco stare nihilo minus, quam obambulare, lassitudinem parit, vt quod & ipsum motus existat. Animâ igitur, quæ corpus & mouet & erigit, ablatâ, statim quod priùs rectum erat, in terram inclinare videbis; quo con- C stat etiam quum rectum erat, non fuisse citra motum, sed habuisse aliquid, quod subleuaret, gestaret, attolleretque ipsum. Ego itaque ne decumbentem quidem hominem, si caput sublimius habeat, pedes autem humiliores, citra motū omnino esse dixerim; sublaberetur enim facilè ad pedes ex sublimiori in decliue vergens nisi motu contrario huic propensioni reniteretur. Hæc sanè & Hippocrates asserebat; *Si verò præceps agatur, & à lecto ad pedes delabatur, grauius periculum minatur.* Nam ad pedes sublabi decumbentem, facultatis extremè imbecillis no- D ta est firmissima. Stare etenim aut sedere aut surgere non posse, graue quidem, sed minùs graue periculum innuit; quippe multi ægrotantium ad hæc deueniunt desinuntque, ad extremam nondum imbecillitatem prolapsi: at decumbere non posse viuentis modo, sed hic quoque tāquam mortuum & inanimatum corpus, deorsum ferri, extremum malum. hoc *Hippocrates* in commentario de humoribus, ἔρριψιν .i. *virium prostrationem*, appellauit; quod interpretes libri nō intelligentes, multa nugati sunt. Nam prostratum esse instar corporis inanima- E ti, omni robore prorsus exsoluto & perdito, ἔρριψιν vocauit; vt non idem sit prostratum esse ac decumbere; sed quam habet rationem delabi ad decumbere. Ita etiam in auibus aliud est ad terram deuolare, aliud in terrā decidere: etenim illud actio, hoc affectus est. Similiter igitur his, actio quidem decubitus est; affectus autē, prostratio. quorsum igitur hæc mihi dicuntur? eò nempè, vt illos, qui aut crus aut manum in altum sustulerunt, deinde ita vt habent, seruant, ne immotos esse arbitreris, neque si vnum eundemque locum semper quam maxi- F mè occupent. At si nolis, ita dispositis motum adesse concedere, certè actionem ipsis omnino concedes, & hoc duplum simplicis actionis robur. Nam in simplicibus vnum musculorum genus, aut flectentium, aut intendentium artus, operatur; quum verò extensos ipsos conseruas, vtraque musculorum generā pari robore functionem obeunt. Quòd si huius memineris, vera obseruans, quæ priùs dicebantur, verba inuenies, *nempè* quòd ei, qui nullum motum

tum

rum aggreditur, tremor non obueniat; est enim impotentis, & infirmi motus symptoma. Vnde cuiuis constat, corpus, cui moueri neutiquam licet, id neque circa motum imbecille & impotens fore.

CAPVT V.

Quæ sint partes affectæ? quæ causa palpitationis, & tremoris?

PAlpitatio autem iis etiam, quæ non mouentur, partibus accidit. Etenim supercilium, palpebræ, & oculus sæpe citra omnem voluntatem attolluntur. Vnde & hoc manifestè arbitror magnam habere vim, tum ad affectus naturæ cognitionem, tum ad exactam à trementibus distinctionem. Nam quæ in palpitantibus partibus eleuationes depressionesque apparent, distentiones quædam sunt corporum, vt quę replentur, & eorundem subsidentiæ, vt quæ rursus inaniuntur. Quæ verò trementibus accidunt, totius membri motus sunt, quod interdum deorsum quidem vergit, rursus autem ad superiora fertur, sed nullomodo dilatatur, neque contrahitur. Eapropter tota sanè pars tremit, quum aliquid facere aggredimur, nullo eorum, quæ in ea habentur, manente immobili; sed similiter quidem musculi, similiter his arteriæ, nerui, venæ, ipsáque ossa, & cutis, nunc sursum, nunc deorsum feruntur. Palpitant autem non omnia; neruum igitur, aut os, aut cartilaginem, aut aliud quid huiusmodi, nunquam videas palpitare; non enim habent ventrem, quo vicissim dilatato, & contracto, attolli quidem quum dilatatur, collabi autem quum contrahitur, partibus liceat. Porrò musculorumne sit affectus tantum palpitatio, vt Herophilus opinabatur, an etiam cutis, aut arteriarum, vt censebat Praxagoras, id rursus cõsiderabimus: siquidem ea speculatio ad loci affecti inquisitionem magis pertinet. Nunc autem tantillum repetentes, ad priora digrediemur; nempè quòd palpitatio, dilatatio quædam sit, & contractio præter naturam; tremor autem motus partium præter voluntatem, quo sursum, deorsumque vicissim feruntur. At idem non est, neque dilatari, ac sursum ferri; neque contrahi, ac deorsum vergere. Etenim quæ sursum & deorsum feruntur, priori loco relicto, in alium transeunt; quæ dilatantur autem & contrahuntur, pristinam sedem conseruantia, partim ambientē regionem occupant, partim relinquunt. Quare moueri quidem vtrisque commune, tum quæ dilatantur contrahunturque; tum quæ sursum & deorsum feruntur: peculiare autem, his sanè minorem locum aut ampliorem occupare, ita vt veterem non deserant: illis autem, semper loca mutare, ita vt nunquam in eodem maneant. Opus autem, opinor, erit hîc quoque distinctione, vt in totum sermo verus euadat. Nam sæpenumero iam pluribus simul musculis, aut vno quodam insigni vehementer palpitante, attollitur quidem membrum vnà cum iis quæ dilatantur, concidit autem rursus cum iis, quæ contrahuntur. Hîc inuitam eleuationem depressionemque membri, tremorem vocare non oportet; nam videbis manifestò musculos palpitantes, à quibus membrum mouetur; ipsé-

A κινῆσαι κίνησιν, οὐκ ἐγγίνεται τρόμος. ἀδυνάτου γάρ ἐστι καὶ ἀσθενοῦς κινήσεως σύμπτωμα. ὅθεν ὅτῳ κινῆσαι σώματι μηδόλως ὑπάρχει, πάνυ τί που δῆλον, ὡς οὐδὲ περὶ τὴν κίνησιν ἀσθενὲς καὶ ἀδύνατον ὑπάρξει.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τίνα τὰ πεπονθότα μόρια; καὶ τίνες αἰτίαι τοῦ παλμοῦ τε καὶ τρόμου;

B ΠΑλμὸς δέ γε καὶ τοῖς ἀκινήτοις συμβέβηκε. καὶ γὰρ ὀφρὺς, καὶ βλέφαρον, καὶ ὀφθαλμὸς, ἐπαίρονται πολλάκις ἄνευ βουλήσεως ἁπάσης. ἔνθα καὶ τοῦτό γε σαφῶς οἶμαι θεάσασθαι, μεγάλην ἔχον μοῖραν εἴς ἐπίγνωσίν τε τοῦ πάθους τῆς φύσεως, ἀκριβῆ τε διάκρισιν ἀπὸ τῶν τρεμόντων. αἱ μὲν γὰρ ἐν τοῖς παλλομένοις μέρεσιν ἐπάρσεις τε καὶ θέσεις φαινόμεναι, διαστάσεις εἰσί τινες τῶν σωμάτων, οἷα πληρουμένων, αὖθίς τε πάλιν κενουμένων συστολαί. αἱ δὲ ἐπὶ τῶν τρεμόντων ὅλου τοῦ κώλου κινήσεις εἰσί, ποτὲ μὲν εἰς τὸ κάτω ῥέποντος, αὖθις δὲ ἄνω φερομένου, διαστέλλεται δὲ οὐδὲν, οὐδὲ συστέλλεται. διὰ τοῦτο τρέμει μὲν ὅλον τὸ μέρος
C ὁπόταν τι δρᾷν ἐπιχειρῶμεν, οὐδενὸς ἀκινήτου τῶν ἐν αὐτῷ μένοντος· ἀλλ' ὁμοίως μὲν οἱ μύες, ὁμοίως δὲ τούτοις ἀρτηρίαι καὶ νεῦρα, καὶ φλέβες, καὶ αὐτὰ τὰ ὀστᾶ, καὶ τὸ δέρμα, ποτὲ μὲν ἄνω φέρεται, ποτὲ δὲ, κάτω. πάλλεται δὲ οὐ πάντα. νεῦρον γοῦν, ἢ ὀστοῦν, ἢ χόνδρον, ἢ τοιοῦτον ἕτερον, οὐκ ἂν ἴδῃς ποτὲ παλλόμενον. οὐ γὰρ ἔχει κοιλίαν, ἧς ἐν μέρει διαστελλομένης τε, καὶ συστελλομένης, ἐπαίρεσθαι μὲν, ὅταν διαστέλληται, συμπίπτειν δὲ,
D ὅταν συστέλληται, τοῖς μέρεσιν ὑπάρξει. ἀλλ' εἴτε μυῶν ἐστι πάθος μόνον ὁ παλμὸς, ὡς Ἡρόφιλος ἐνόμιζεν, ἢ καὶ τοῦ δέρματος, ἢ ἀρτηριῶν, ὡς ὑπελάμβανε Πραξαγόρας, αὖθις τοῦτο σκεψόμεθα. τῇ γὰρ περὶ τῇ τοῦ πεπονθότος τόπου ζητήσει, οἰκειοτέρα ἡ σκέψις. τὸ δέ γε νῦν εἶναι, τοσοῦτον λαβόντες, εἰς τὸ πρόσθεν ἴωμεν, ὅτι διάστασις μέν τίς ἐστι, καὶ συνίζησις παρὰ φύσιν, ὁ παλμὸς, ἀκούσιος δὲ κίνησις ἄνω τε καὶ κάτω τῶν μερῶν ἐναλλὰξ φερομένων, ὁ τρόμος. ἔστι δὲ οὐ ταὐτὸν οὔτε τῷ
E ἄνω φέρεσθαι, τὸ διαστέλλεσθαι, οὔτε τῷ κάτω, τὸ συστέλλεσθαι. τὰ μὲν γὰρ ἄνω καὶ κάτω φερόμενα, τὸν πρότερον ἀπολείποντα τόπον, εἰς ἕτερον μεθίσταται· τὰ διαστελλόμενα δὲ καὶ συστελλόμενα, τὴν ἀρχαίαν ἕδραν φυλάττοντα, τὸ μὲν ἐπιλαμβάνει τοῦ πέριξ χωρίου, τὸ δὲ ἀπολείπει. ὥστε τὸ κινεῖσθαι μὲν, ἀμφοτέροις κοινὸν, ὅσα τε διαστέλλεται, καὶ συστέλλεται, καὶ μέν τοι καὶ ὅσα κάτω τε καὶ ἄνω φέρεται· ἴδιον δὲ, τοῖς μὲν, ἐλάττονα τόπον, ἢ πλέονα κατειληφέναι, τὸν ἐξ ἀρχῆς
F οὐκ ἀπολείπουσι· τοῖς δὲ, ἀεὶ τοὺς τόπους ἀμείβειν, μή ποτε ἐν ταὐτῷ μένουσι. δεήσει δὲ, οἶμαι, κἀνταῦθά μοι διορισμοῦ, πρὸς τὸ πάντη τὸν λόγον ἀληθεύειν. πολλάκις γὰρ ἤδη, πλεόνων ἅμα μυῶν, ἤ τινος ἑνὸς μεγάλου σφοδρῶς παλλομένου, συνεπαίρεται μὲν διαστελλομένοις αὐτοῖς τὸ κῶλον, αὖθις δὲ καταπίπτει, συστελλομένοις. ἐνθάδε τὴν ἀκούσιον ἔπαρσίν τε καὶ θέσιν τοῦ κώλου, τρόμον οὐ χρὴ καλεῖν. ὄψει τε γὰρ σαφῶς τοὺς παλλομένους μύας, οἷς κινεῖται τὸ κῶλον, αὐτή τε

κίνησις, οὐχ οἵα τοῖς τρέμουσιν. ἐπὶ μὲν γὰρ τῶν διὰ τοὺς παλλομένους μῦς ἐν κινήσει τὸ κῶλον ὅλον ἰσχόντων, ἰδίοις καὶ αἰσθητοῖς πέρασιν ἑκατέρα τῶν κινήσεων περιγράφεται· τῶν δὲ τρεμόντων τὸ πάθος οὐ τοιοῦτον, ἀλλὰ τῆς ἑτέρας κινήσεως ἔτ' ἀρχομένης, ὡς ἄν τις φαίη, τὴν ἐναντίαν αὐτῇ συνάπτουσαν εὑρήσεις, ὥστε ἀεὶ μὲν τὴν ἄνω φορὰν ἐκδέχεσθαι τὴν κάτω, ταύτην δ' ὑπ' ἐκείνης πάλιν κωλύεσθαι συνεχῶς, ἀτελευτήτου μὲν ἀεὶ τῆς ἄνω φορᾶς, ἀτελευτήτου δὲ τῆς κάτω ῥοπῆς ὑπαρχούσης. τάδε μέν σοι τῶν παθῶν τὰ γνωρίσματα, καὶ τοῖσδε τοῖς συμπτώμασιν ἀλλήλων διαφέρει. τόπον δὲ πάσχοντα καὶ τὸ ποιοῦν αἴτιον, ἐφεξῆς ἂν εἴη σκοπεῖσθαι. πνεῦμα παχὺ καὶ ἀτμῶδες οὐκ ἔχον διέξοδον, αἴτιον εἶναί φημι παλμῶν. ἀθροίζεσθαι δὲ τοῦτό φημι χρῆναι κατά τινα κοιλότητα, μὴ κομιδῆ μικράν, εἰ μέλλει τὴν διάστασιν αἰσθητὴν ἕξειν τὸ μέρος· εἴρηται μὲν δὴ τὸ πᾶν ἐν κεφαλαίῳ. δεῖ δέ σε τῶν ἀποδείξεων ἔτι πνευματικὴν μὲν εἶναι τὴν οὐσίαν τοῦ αἰτίου τιθέναι, διὰ τὸ τάχος τῆς κινήσεως καὶ τῆς γενέσεως καὶ τῆς λύσεως. τί γὰρ οὕτω ῥαδίως ἀθροίζεσθαί τε καὶ κενοῦσθαι δυνατὸν ἄλλο πλὴν πνεύματος; ἔστι μὲν γὰρ τὰ συντιθέντα τὸν ἄνθρωπον, ὡς Ἱπποκράτης ἐδίδασκεν ἡμᾶς, στερεά, ὑγρά, καὶ πνεύματα. μέμνηται δέ πως αὐτῶν ὧδε, τὰ ἴσχοντα λέγων, καὶ τὰ ἰσχόμενα, καὶ τὰ ἐνορμῶντα. ἴσχοντα μὲν τὰ στερεὰ καλῶν, περιέχει γὰρ καὶ ἀποστέγει τὰ ὑγρά· ἰσχόμενα δὲ, τὰ ὑγρά, περιέχεται γὰρ ὑπὸ τῶν στερεῶν· ἐνορμῶντα δὲ τὰ πνεύματα, πάντῃ γὰρ ἐξικνεῖται τοῦ σώματος ἐν ἀκαρεῖ χρόνῳ ῥαδίως τε καὶ ἀκωλύτως. ταχεῖαν οὖν κένωσιν, ἢ πλήρωσιν, ἢ διάστασιν, ἢ συνίζησιν, ἢ θέσιν, ἢ ἔπαρσιν, ἤ τινα ἄλλην κίνησιν, οὐδὲν ἂν τῶν ἁπάντων ἐργάσαιτο, πλὴν πνεύματος. ὥστε καὶ παλμῶν αἰτία, οὐσία μὲν τὸ πνεῦμα, ποιότης δὲ τῆς οὐσίας ὑγρότης ἐστὶ καὶ παχύτης, ὡς ὀλίγῳ πρόσθεν ἐλέγομεν, ἡνίκα παχὺ καὶ ἀτμῶδες ὠνομάζομεν αὐτό. εἰ γὰρ αἰθερῶδες εἴη καὶ λεπτὸν καὶ καθαρόν, ἀκωλύτως διεξερχόμενον, οὔτε πληρώσει ποτέ, οὔτε κενώσει τὰ μέρη. τὸ δὲ παχύτερον, ἢ κατὰ τοὺς πόρους τῶν σωμάτων, ἐν οἷς ἀθροίζεται, στεγόμενον ἐντός, εἰ μὲν ἔχοι κοιλότητα τὸ σῶμα, ταύτην πληροῦσαν, ἤγειρέ τε καὶ διέστελλε τὸ περιέχον· εἰ δ' οὐκ ἔχοι, μεταξὺ δυοῖν ἀθροιζόμενον σωμάτων, ἀπὸ θατέρου θάτερον ἀφίστησιν, ἐπίκτητον ἑαυτῷ κοιλίαν ἐργαζόμενον. οὗτος μὲν ὁ τρόπος ὁ δεύτερος εἰρημένος καὶ περὶ τὸ δέρμα παλμοὺς ἐργάζεται πολλάκις, οὐκ αὐτοῦ τοῦ δέρματος ἐν ἑαυτῷ κοιλότητά τινα κεκτημένου, ἀλλ' ἐν τῷ μεταξὺ τοῦ δέρματος καὶ τῶν ὑποκειμένων σωμάτων ἀθροίζεται τηνικαῦτα τὸ πνεῦμα. ὁ δὲ τρόπος ὁ πρότερος εἰρημένος, ἐν μυσὶ μάλιστα γίγνεται. κοιλότητες γὰρ ἐν τούτοις εἰσὶ πολλαί τε καὶ σμικραί. Πραξαγόρας δὲ καὶ ταῖς ἀρτηρίαις ἀνατίθησι σφυγμόν, ὥσπερ ἀμέλει καὶ παλμόν, καὶ τρόμον, καὶ σπασμὸν ἀρτηριῶν πάθη· καὶ σφυγμὸν μὲν ἐν τῷ κατὰ φύσιν ἔχειν· παλμὸν δὲ καὶ τρόμον καὶ σπασμόν, ἀλλήλων μὲν διαφέρειν μεγέθει, κινήσεις δὲ εἶναι παρὰ φύσιν. ὅτι δὲ οὐκ ὀρθῶς ἐγίνωσκε μόναις ἀρτηρίαις ἀναφέρων τὸν παλμόν, οὐ χαλεπὸν ἐξελέγξαι.

A que motus, non qualis trementibus, apparet. Nam in iis, qui membrum totum in motu propter musculos palpitantes retinent, propriis & sensilibus extremis vterque motus circumscribitur; trementium verò affectus talis non est, sed altero motu adhuc incipiente, vt ita dicam, contrarium ipsi subiungi deprehendes; vt ad superiora latio semper deorsum tendentem excipiat; hæc autem ab illa rursus continuè impediatur, ita vt imperfecta semper sursum latio, imperfecta quoque deorsum inclinatio existat. Ac hæ sanè affectuum tibi notæ erunt, his symptomatis inuicem differunt. Reliquum est, B vt locum affectum & causam efficientem consideremus. Palpitationum causam esse pronuncio spiritum crassum & vaporosum, cui non sit transitus. Hunc autem colligi oportere dico in cauitate quadam non admodum exigua, si pars distensionem sensibilem habitura sit. atque totum quidem negotium summatim explicatum est. Cæterum oportet, vt cum tu substantiam illam esse spiritualem demonstras, causæ addas, ob motus, generationis, ac solutionis celeritatem. Quid C enim tam facilè, vel congregari, vel inaniri potest aliud, quàm spiritus? Etenim quæ hominem constituunt, vt Hippocrates nos docebat, sunt solida, humida, & spiritus. Meminit autem ipsorum his verbis, *Continentia* dicens, *contenta, & impetu ruentia*. Continentia quidem solida nuncupans, vt quæ comprehendant, tegantque humida: contenta autem, humores, vt qui à solidis comprehendantur; quæ impetu feruntur, spiritus, si quidem in omnem corporis partem momento temporis, & facilè, & citra impedimentum perueniunt. D Citam igitur vacuationem, aut repletionem, aut distentionem, aut contractionem, aut depressionem, aut elationem, aut alium quendam motum, nullum ex omnibus præter spiritum effecerit. Quare & palpitationum causa, substantia quidem, spiritus: qualitas autem substantiæ, humiditas est, & crassities, vt paulò ante dicebamus, quum crassum eum vaporosumq; nominauimus. Si enim ethereus fuerit tenuis & purus, citra impedimentum transiens, neque replebit vnquam, neque vacuabit partes: crassior autem, quàm meatus corporum exigant, in quibus colligitur, reclusus intus, si quidem cauita- E tem corpus obtinet, hanc replens, & excitat & distendit regionem circunfluam; sin minùs, inter duo collectus corpora, ab vno ad alterum transit, ascititium sibi sinum efficiens. Hic sanè modus secundus dictus, etiam in cute crebro palpitationes excitat; non cute ipsâ cauitatem quandam in se sortitâ, sed in spatio, quod cutem & corpora subiecta intercedit, spiritus tunc colligitur. Prior autem dictus modus in musculis potissimum accidit, in his enim cauitates, & multæ sunt, & exiguæ. Praxago- F ras autem pulsum arteriis attribuit, sicut nimirum & palpitationem, tremorem, & conuulsionem, arteriarum affectus esse dicit: ac pulsum sanè in naturali statu; palpitationem verò, tremorem, & conuulsionem magnitudine inuicem differre, sed motus esse præter naturam. Quòd autem non rectè senserit, solis arterijs palpitationem attribuens, haud difficile est

est deprehendere; nam manifestò videre est frequenter & cutem palpitantem, & musculos, cum nulla in eo loco sit arteria: vel si esse quandam contingat, ea sit admodum exigua, vnde liceat manifestò alicui cognoscere, tantam distentionem non ex arteriæ magnitudine proficisci. Porrò num rectè nonnulli musculosis corporibus solis palpitationem attribuant, id mihi multò dignius consideratione videtur. Ego etenim etiam planè existimo, arteriam manifestò non modò palpitans, sed etiam conuulsorium quid sæpe repræsentantem inueniri, quemadmodum & alij pulsuum periti fatentur. Verum de hoc disputatio prolixior est, & in libris de pulsibus comprehensa. Iam plerisque hominum non rarò palpitationes in sola cute euidenter fieri apparent, cùm vaporosus spiritus in aliqua ipsius parte generatus retinetur, & in transitu moratur: ita etiam, si in musculis aut alio quodam corpore, spiritus flatulentus redundauerit, in illa palpitationem excitat. Quoniam verò spiritus crassus, nebulosus, aut caliginosus, aut flatulentus, aut quomodocumque nominare velis, palpitationis causa est, ideò & ætates frigidiores palpitationi obnoxiæ sunt, natura corporis frigidior, regiones frigidæ, anni tempus hybernum, vita otiosa in repletione & ebrietate, cibi frigidi & flatulenti, & vt semel dicam, omnia quæ corpus refrigerant. Quæ verò his contraria sunt, palpitationes statim tollunt. Nam calefacientia spiritum attenuant, & corpora reddunt rara molliaque; refrigerantia autem densant quidē & contrahunt, & corporum meatus cogunt conniuere; incrassant autem, coarctantque, & turbidum reddunt spiritum; facilè igitur retinetur, à perspiratu impeditus tum sua ipsius crassitie, tum corporum ipsum continentium densitate. Calida rursus contrario refrigerantibus modo dum fundunt, laxant, aperiunt corporum meatus, ipsumque spiritum attenuant, & ad motum facilè incitant, faciles ita transitus ipsi efficiunt. Quapropter etiam veteres medici palpitationum remedia adinuenere, quæ extenuare, & calefacere possunt; cuiusmodi sunt, quæ constant euphorbio, pyrethro, limnesia, sulphure, & pipere, aliaque id genus composita medicamenta; item inter aquas, quæ è terra prosiliunt calidæ, atque ex his potissimum nitrosæ, sulphuratæ, & bituminosæ, easque commendant. Vtuntur autem & marinâ aquâ, calefacientes ipsam, & muria, si marina desit. Tum potui exhibent medicamenta calida, præsertim ex castorio confecta. Hoc sanè etiam extrinsecus impositum, non modò epotum, generosum est medicamentum, vt quod calefacere simul & extenuare siccareque abundè possit. Palpitationis sanè omnis ex frigido generatio est; tremoris autem neque vna occasio, neque causa *semper* frigida est; verùm affectio quidem, facultatis corpus mouentis est imbecillitas; causæ autem, quæ huc corpus perducere potest, non vna species est; sed vel alimenti inopiâ, quemadmodum in cholera, valido alui profluuio, largo sanguinis fluore, aut magno ieiunio; vel vitali robore soluto, quemadmodum in stomachicis, & cardiacis exolutionibus; vel violento, & valido frigore occupante, aut plenitudine ipsa pōderis modo degrauante, imbecilla ad motus

A σαφῶς γὰρ ἔστιν ἰδεῖν πολλάκις καὶ τὸ δέρμα παλλόμενον, καὶ τοὺς μῦς, οὐδεμιᾶς κατὰ τὸν τόπον ἀρτηρίας οὔσης, ἢ εἰ καὶ τυγχάνει τις οὖσα, κομιδῆ μικρᾶς ὑπαρχούσης, ὡς ἂν ἵνα φανερῶς γνῶναι δύνασθαι, τὴν τοσαύτην διάστασιν οὐκ εἶναι κατὰ τὸ τῆς ἀρτηρίας μέγεθος. εἰ δὲ ὀρθῶς ἔνιοι τοῖς μυώδεσι σώμασι μόνοις ἀνατιθέασι τὸν παλμὸν, τοῦτό μοι δοκεῖ μᾶλλον ἄξιον ἐπισκέψεως εἶναι. ἐγὼ μὲν γὰρ καὶ πάνυ νομίζω σαφῶς τὴν ἀρτηρίαν οὐ μόνον παλμῶδες ἀλλὰ καὶ σπασμῶδές τι πολλάκις ἐμφαίνουσαν εὑρίσκειν, ὥσπερ καὶ ἄλλοι τῶν περὶ τοὺς σφυγμοὺς δεινῶν ὁμολογοῦσιν. ἀλλὰ περὶ μὲν τούτου μακρότερος ὁ λόγος ἐστὶ, κἂν τοῖς περὶ σφυγμῶν εἴρηται. B κατὰ δὲ τὸ δέρμα μόνον ἐναργῶς φαίνονται παλμοὶ γινόμενοι πολλοῖς τῶν ἀνθρώπων οὐκ ὀλιγάκις, ὅταν ἀτμῶδες πνεῦμα κατά τι μόριον αὐτοῦ γεννηθὲν, ἴσχηταί τε καὶ βραδύνῃ κατὰ τὴν διέξοδον. οὕτω δὲ κἂν ἐν μυσὶν ἢ ἄλλῳ τινὶ σώματι φυσῶδες πνεῦμα πλεονάσῃ, κατ᾽ ἐκεῖνο παλμὸν ἐργάζεται. ὅτι δὲ πνεῦμα παχὺ καὶ ὀμιχλῶδες ἢ ἀχλυῶδες ἢ φυσῶδες, ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλοις, αἴτιον γίνεται παλμοῦ, καὶ διὰ τοῦτο τῶν ἡλικιῶν αἱ ψυχρότεραι παλμοῖς εὐάλωτοι, καὶ φύσις σώματος ἡ ψυχροτέρα, καὶ χώρα ψυχρὰ, καὶ ὥρα τοῦ ἔτους ἡ χειμερινὴ, καὶ βίος ἀργὸς ἐν πλησμο- C ναῖς τε καὶ μέθαις, ἐδέσματά τε ψυχρὰ καὶ φυσώδη, καὶ πάνθ᾽ ἁπλῶς, ὅσα τὸ σῶμα καταψύχει· τὰ δ᾽ ἐναντία τῶνδε καθαιρετικά ἐστιν αὐτίκα τῶν παλμῶν. τὰ μὲν γὰρ θερμαίνοντα, λεπτύνει τε τὸ πνεῦμα καὶ τὰ σώματα τίθησιν ἀραιὰ καὶ μαλακά· τὰ δὲ ψύχοντα πυκνοῖ μὲν καὶ συνάγει καὶ μύειν ἀναγκάζει τῶν σωμάτων τοὺς πόρους, παχύνει δὲ καὶ πήγνυσι καὶ θολερὸν ἀποδείκνυσι τὸ πνεῦμα. ῥᾳδίως οὖν ἴσχεται, διαπνεῖσθαι μὴ δυνάμενον, τῷ θ᾽ ἑαυτοῦ πάχει, καὶ τῇ τῶν περιεχόντων αὐτὸ σωμάτων πυκνότητι. τὰ δὲ θερ- D μαίνοντα πάλιν ἐξ ὑπεναντίου τοῖς ψύχουσι χέοντα καὶ χαλῶντα καὶ διανοίγοντα τῶν σωμάτων τοὺς πόρους, αὐτό τε τὸ πνεῦμα λεπτύνοντα, καὶ πρὸς τὴν κίνησιν ἐπεγείροντα ῥᾳδίως, οὕτω καὶ εὐπετεῖς αὐτῷ τὰς διεξόδους ἐργάζεται. διὰ τοῦτο καὶ τὰ ἰάματα τῶν παλμῶν οἱ παλαιοὶ τῶν ἰατρῶν ἐξεῦρον, ὅσα λεπτύνειν τε καὶ θερμαίνειν δύναται, οἷά ἐστι τά τε δι᾽ εὐφορβίου, καὶ πυρέθρου, καὶ λιμνησίας, καὶ θείου, καὶ πεπέρεως, ὅσα τε ἄλλα τοιαῦτα συγκείμενα φάρμακα, καὶ τῶν ὑδάτων δὲ τὰ γῆθεν ἀνιόντα θερμὰ, καὶ τούτων μάλιστα τὰ νιτρώδη τε καὶ θειώδη, καὶ ἀσφαλτώ- E δη τε ταῦτα ἐπαινοῦσι. χρῶνται δὲ καὶ θαλάττῃ, θερμαίνοντες αὐτὴν, καὶ ἅλμῃ, εἰ θάλαττα μὴ παρείη. καὶ πίνειν διδόασι τὰ θερμαίνοντα φάρμακα, καὶ μάλιστ᾽ αὐτῶν τὰ διὰ καστορίου συγκείμενα· τοῦτο μὲν γε καὶ ἔξωθεν ἐπιτιθέμενον, οὐ μόνον πινόμενον, ἀγαθὸν φάρμακον, ὡς ἂν ἐκθερμαίνειν τε ἅμα καὶ λεπτύνειν καὶ ξηραίνειν ἀκριβῶς δυνάμενον. παλμοῦ μὲν δὴ παντὸς ἡ γένεσις ἐν τῷ ψυχρῷ, τρόμου δ᾽ οὐδὲ μία πρόφασις, οὐδὲ τὸ ψυχρὸν αἴτιον· ἀλλ᾽ ἡ μὲν διάθεσις, ἀρρωστία τῆς κινούσης τὸ σῶμα δυνάμεως, τῆς δ᾽ εἰς τοῦτο ἄγειν αἰτίας δυναμένης F οὐχ ἓν εἶδος· ἀλλ᾽ ἤτοι τροφῆς ἀπορίᾳ, καθάπερ ἐν χολέραις καὶ ῥεύμασι κοιλίας ἰσχυροῖς, καὶ σφοδραῖς αἱμορραγίαις, καὶ τοῖς ἀποκαρτεροῦσιν· ἢ λυθέντος τοῦ ζωτικοῦ τόνου, καθάπερ ἐν στομαχικαῖς, καὶ καρδιακαῖς ἐκλύσεσιν· ἢ βιαίας, καὶ σφοδρᾶς ψύξεως καταλαμβανούσης, ἢ πλήθους αὐτὴν, οἷον φορτίου, βαρύνοντος, ἄρρωστος εἰς τὰς

κινήσεώς ἐστι. ὅθεν οὐδὲ τῶν ἰαμάτων ἓν εἶδος τοῖς τρέμουσιν, ὥσπερ γε τοῖς παλλομένοις, ἀλλ' εἰ μὲν ὑπὸ καταψύξεως τρέμοιεν, τὸ θερμὸν, ἴαμα αὐτοῖς ἐστιν. ὡς ὅσοι γε χειμῶνος ὁδοιπορήσαντες, εἶτα ἐν κρύει καρτερῷ καταληφθέντες, ἡμιθνῆτές τε καὶ τρομώδεις οἴκαδε παρεγένοντο, ῥᾶστα τοῦ πάθους ἀπηλλάγησαν ἐκθερμανθέντες. ὁμοίως τούτοις ἰώμεθα καὶ τοὺς ἐπὶ πυρετῶν καταβολαῖς ψυχθέντας, ῥιγοῦντάς τε καὶ τρέμοντας. εἰ δὲ διαφορούμενοι γένοιντο τρομώδεις ὡς ἐν ἐκλύσεσι καρδιακαῖς τε καὶ στομαχικαῖς, τὸ θερμαίνειν τούτους κακῶν ἔσχατον, αὐτὸ γὰρ τοὐναντίον ἐν τοῖσδε πυκνῶσαι χρὴ τὴν ἐπιφάνειαν, ὅσα ψύχει καὶ στύφει καὶ συνάγει τοὺς πόρους προσφέροντας, οὐχ ὅσα θερμαίνει καὶ χαλᾷ καὶ διαπεπταμένους ἐργάζεται. εἰ δ' ἀπορίᾳ τροφῆς ὡς ἐν τοῖς ἀποκαρτεροῦσιν ἢ ὑπερκενωθεῖσιν, οἱ τρόμοι γίνοιντο, τούτῳ μὲν οὐδὲ λόγου δεῖ, παντὶ γὰρ δῆλον τοῦτο, ὡς τροφῆς οὗτοί γε χρῄζουσιν. ὅσοι δὲ διὰ πλῆθος ὑγρῶν βεβαρημένης τῆς δυνάμεως, τρέμουσιν, αἱ κενώσεις ἰάματα τούτοις. καθάπερ που καὶ Ἱπποκράτης διδάσκει λέγων. Εὐρυμάργεω οἰκέτις, ᾗ οὐδὲ αἷμα ἐχύετο, ὡς ἔτεκε θυγατέρα, ἀπέστραπτο δὲ τὸ στόμα τῆς μήτρας, καὶ ἐς ἰσχίον, καὶ ἐς σκέλος ὀδύνη, παρὰ σφυρὸν φλεβοτομηθεῖσα, ἐρρήισε, καίτοι τρόμοι τὸ σῶμα πᾶν κατεῖχον. ἀλλ' ἐπὶ τὴν πρόφασιν δεῖ ἐλθεῖν, καὶ τῆς προφάσεως τὴν ἀφορμήν. γυναικὸς μέμνηται μετὰ τόκον οὐ καθαρθέντος τὴν λεγομένην τὰ δεύτερα λοχείαν κάθαρσιν, εἶτα τρομώδους γενομένης. ταύτην, φησὶν, ἰασάμην φλεβοτομήσας ἀπὸ σφυροῦ, καίτοι τρόμοι τὸ σῶμα πᾶν εἶχον. τί δὴ ἕτερον αἰνίττεται ἐνταῦθα, ἢ ὅτι ἕτερος οὐκ ἂν ἐφλεβοτόμησε; ψυχρὸν γὰρ εἶναι πεπίστευται τὸ πάθος ὁ τρόμος, τὸ δ' αἷμα θερμόν. οὔκουν ἐτόλμησεν ἄν τις αἵματος κενοῦν, ἐν πάθει θερμαίνεσθαι δεομένῳ. ἀλλ' ἐγὼ, φησὶν, ἐτόλμησα, καὶ διδάσκει καὶ διότι. ἀλλ' ἐπὶ τὴν πρόφασιν δεῖ ἐλθεῖν, καὶ τῆς προφάσιος τὴν ἀφορμήν. τὸ ἐνοχλοῦν, φησὶν, ἠπιστάμην, καὶ τοῦ ἐνοχλοῦντος τὴν αἰτίαν. τὸ μὲν οὖν ἐνοχλοῦν, ἦν αἵματος πλῆθος, αἰτία δὲ αὐτοῦ, τῆς μήτρας ἡ πρὸς τὸ ἰσχίον ἔγκλισις, δι' ἣν οὐκ ἐκαθάρθη τὸ γύναιον. ὅπερ οὖν ἐχρῆν αἷμα κενωθῆναι μὴ κενούμενον, ἀλλ' ἐν τῷ σώματι πλανώμενον, ἄχθος ἦν τῇ φύσει, ὅθεν ἐπιγνοὺς τοῦ τρόμου τὴν μὲν πρόφασιν αἵματος πλῆθος, ἀφορμὴν δὲ τῆς προφάσεως, τῆς μήτρας τὸ πάθος, εἶτα τοῦ μὲν πλήθους ἐνδειξαμένου τὴν κένωσιν, τοῦ πεπονθότος δὲ μέρους τὸν τόπον δι' οὗ χρὴ κενῶσαι, συνθεὶς ἄμφω ταῦτα, τὴν ἀπὸ τοῦ σφυροῦ φλεβοτομίαν μὲν ἐποιήσατο, φλεβοτομίαν μὲν ὅτι κενοῦν αἷμα ἐβούλετο, ἀπὸ σφυροῦ δὲ, μήτρα γὰρ ἐπεπόνθει. ὅτι μὲν οὖν αἵματος πλεονάζοντος φλεβοτομεῖν χρὴ, δῆλον οἶμαι παντὶ, τὸ γὰρ αἷμα ἐν φλεψὶ περιέχεται· ὅτι δὲ μήτρας πασχούσης, περὶ σφυρὸν ἢ κατ' ἰγνύαν χρὴ τέμνειν, εἰ μὴ πρότερον ἐξ ἀνατομῆς διδάξαιμι τὰς κοινωνίας τῶν φλεβῶν, οὐκ ἂν ἕπεσθαι δύναιο τῷ λόγῳ. ἄλλη γὰρ ἄλλῳ μέρει τοῦ σώματος κοινωνεῖ φλέψ, καὶ χρὴ διὰ τῶν κοινῶν ἀεὶ τὰς κενώσεις ποιεῖσθαι, ὡς εἴ γε τὰς μηδὲν κοινωνούσας τῷ πεπονθότι μέρει φλέβας ἐντέμοις, οὔτε τὸ πεπονθὸς ἰάσῃ, καὶ βλάψεις ἀεὶ τὸ ὑγιές· ἀναγκαῖον οὖν ἀεὶ φαίνεται τῷ μέλλοντι καλῶς ἰᾶσθαι τὴν αἰτίαν ἐπίστασθαι, δι' ἣν γέγονε τὸ πάθος. ἀλλὰ περὶ μὲν αἰτίας τρόμου ἱκανὰ ταῦτα. πεπονθὼς δὲ

A efficitur. Vnde neque vna remediorum species trementibus, quemadmodum palpitantibus, *adhiberi potest.* Verùm si à perfrictione tremorem experiantur, calidum ipsis præsidio est. Nam qui per hyemem iter facientes, deinde valido frigore correpti, semimortui, & tremuli domum reuertuntur, facillimè ab affectu liberati sunt caloris beneficio. Similiter his medemur & illis, qui per refrigerantes febrium insultus, & rigent, & tremunt. At si discussi fiant tremuli, vt in deliquijs cardiacis & stomachicis, calefacere hos extremum malum est; quip-B pe contrarium in his conuenit, nempè cutem densare, quæ refrigerant, adstringunt coarctantque meatus, adhibentes, non quæ calefaciunt, laxant & adaperiunt. Quòd si penuria alimenti, vt in longis ieiunijs, aut immoderatis vacuationibus, tremores oboriantur, hoc ne verbis quidem indiget; cuius enim constat, alimentum hos desiderare. Qui autem viribus humorum copia grauatis tremunt, his vacuationes remedio sunt; quemadmodum, & Hippocrates alicubi docet his verbis; *Estymargei ancil-C læ, cui neque sanguis fluxerat, postquam filiam peperisset, os autem vuluæ auersum erat, ac dolor in coxam, & crus pertingebat, ex talo sanguis detractus profuit, etsi tremores totum corpus occuparent.* Sed ad occasionem veniendum, & occasionis fomitem. Mulieris meminit, quæ à partu eâ puerperij purgatione, quæ secundæ vocantur, non purgata, deinde tremore correpta est. Hãc, inquit, sanaui sanguine è malleolo detracto, etsi tremores totum corpus occupabant. Quid ergo aliud hic subindicat, quam quod alius sanguinem non misisset? Frigidus enim affectus tremor esse D creditur, sanguis verò calidus. Non igitur ausus fuisset aliquis sanguinem vacuare in affectu, qui calefieri desiderat. Ego tamen, inquit, ausus sum; & rationem docet. Sed ad causam veniendum est, & ad causæ fomitem. Id quod infestabat, inquit, & infestantis causam noueram. Quod igitur infestabat, sanguinis copia erat; causa ipsius, vuluæ ad coxas inclinatio, propter quam mulier purgata non erat. Sanguis igitur, quem vacuatum esse oportebat, non euacuatus, sed in corpore oberrans, naturæ pondus E erat, Vnde tremoris causam intelligens, sanguinis copiam, fomitem verò causæ vteri affectum; deinde copia quidem vacuationem indicante, parte autem affecta, locum per quem vacuare conueniebat; ambo hæc coniungens, sanguinis detractionem ex malleolo molitus est; sanguinis quidem detractionem, quoniam sanguinem vacuare volebat; è malleolo autem, quia vterus affligebatur. Quòd igitur sanguine abundante venam incidere oportet, cuique arbitror manifestum, siquidem in venis ille continetur. Quòd autem vtero affecto, circa F malleolum aut in poplite secare conuenit, nisi priùs venarum communiones ex anatome didiceris, haud poteris id, quod dico, assequi. Alia enim alij corporis parti vena communicat, oportetque vacuationes semper ex communibus moliri; nam si venas nihil parti affectæ communicantes incideris, neque affectæ medeberis, & sanam semper offendes. Necessarium igitur semper videtur, eum qui rectè medebitur, causam, ex qua affectus oritur, cognoscere. Verum de tremoris causa hæc sufficiunt. Locus autem

tem affectus in tremoribus, vnus necessario nullus est; atque hoc loco carpendi mihi veniunt Praxagoras & Herophilus; ille, quod arteriarum affectum tremorem dixerit; Herophilus, quod tremorem in neruoso ipso genere semper constitui ostendere contendat. Praxagoras igitur longè à vero abest; Herophilus autem deceptus est, dum facultatis affectū, instrumentis attribuit. Quòd etenim neruosum genus, non arteriosum, motibus voluntarijs seruiret, rectè intelligebat; quoniam autem non idem neruorum corpus, motus causa existit, sed hoc quidem organum; causa autem mouens, facultas est, quæ per neruos dispensatur: hic reprehendendus venit, qui facultatem, & organum non distinxerit. Si enim distinxisset, statim vtique opus læsum iri, non instrumentorum modò, sed etiam facultatum affectu deprehendisset. In mortuis igitur neque nerui, neque musculi affectus vllos experti sunt, quos pati ipsos & Herophilus & Praxagoras arbitrantur; deseruit autem eos omnis motus protinus vnà cum anima; at huius instrumenta musculi sunt & nerui. Non igitur musculi est, neque nerui mouere, sed animæ. Neque enim tibiarum opus est, tibicinium; neque citharæ citharisis; sed tibicinium, opus quidem est tibicinis, per instrumenta tibiarum; citharisis verò, musici, instrumentum autem cithara. Deprauabitur autem & tibiæ, & citharæ sonus, plerumque propter operum artifices; interdum autem propter instrumentorum, quibus vtuntur, læsionem; ita & motus in animante arbitrarij, opifex quidem artifexque facultas est, quæ animal gubernat; instrumenta autem, nerui & musculi. Itaque non moueri, & praue moueri, aut ob instrumentorum affectum, aut facultatem his instrumentis vtentem, accidet. Palpitationes igitur, conuulsiones, & paralyses, instrumentorum læsiones sunt; tremores autem, facultatis imbecillæ affectus.

τρόπος εἷς οὐδείς ἐστιν ἐξ ἀνάγκης ἐν τρόμοις, καὶ μέμφομαί γε ἐνταῦθα Πραξαγόρᾳ καὶ Ἡροφίλῳ, τῷ μὲν ἀρτηριῶν πάθος εἰπόντι τὸν τρόμον, Ἡροφίλῳ δὲ φιλοτιμουμένῳ δεῖξαι περὶ τὸ νευρῶδες αὐτὸ γένος ἀεὶ συνιστάμενον. ὁ μὲν οὖν Πραξαγόρας πόῤῥω τοῦ ἀληθοῦς ἥκει· ὁ δὲ Ἡρόφιλος ἠπατήθη, τὸ τῆς δυνάμεως πάθος ἀναφέρων τοῖς ὀργάνοις. ὅτι μὲν γὰρ τὸ νευρῶδες γένος, οὐ τὸ ἀρτηριῶδες, ὑπηρετεῖ ταῖς κατὰ προαίρεσιν κινήσεσιν, ὀρθῶς ἐγίνωσκεν· ὅτι δὲ οὐκ αὐτὸ τὸ σῶμα τῶν νεύρων αἴτιον κινήσεως, ἀλλὰ τοῦτο μὲν ὄργανον, ἡ κινοῦσα δ᾽ αἰτία, ἡ διήκουσα δύναμις διὰ τῶν νεύρων ἐστὶν, ἐνταῦθα μέμφομαι αὐτῷ μὴ διαιρήσαντι δύναμίν τε καὶ ὄργανον. εἰ γὰρ διώρισεν, εὐθὺς ἂν ἔγνω διότι βλαβήσεται τοὔργον οὐκ ὀργάνων μόνων, ἀλλὰ καὶ δυνάμεων πάθει. ἐπὶ μὲν οὖν τῶν τεθνεώτων οὐδὲν οὔτε τὰ νεῦρα πέπονθεν, οὔθ᾽ οἱ μύες, ὅσα πάθη πάσχειν αὐτὰ νομίζουσιν Ἡρόφιλός τε καὶ Πραξαγόρας· ἀπολέλοιπε δ᾽ αὐτῶν πᾶσα κίνησις εὐθὺς ἅμα τῇ ψυχῇ, μύες δὲ καὶ νεῦρα ταύτης ὄργανα. οὔκουν μυὸς οὐδὲ νεύρου τὸ κινεῖν, ἀλλὰ ψυχῆς. οὐδὲ γὰρ αὐλῶν ἔργον ἡ αὔλησις, οὐδὲ κιθάρας ἡ κιθάρισις· ἀλλ᾽ αὔλησις μὲν ἔργον αὐλητοῦ δι᾽ ὀργάνων αὐλῶν, κιθάρισις δὲ τοῦ μουσικοῦ, τὸ δ᾽ ὄργανον ἡ κιθάρα. διαφθαρήσεται δὲ καὶ αὔλημα καὶ κιθάρισις, πολλάκις μὲν διὰ τοὺς τῶν ἔργων δημιουργοὺς, ἔσθ᾽ ὅτε δὲ διὰ τὴν τῶν ὀργάνων, οἷς χρῶνται, βλάβην. οὕτω δὲ καὶ κινήσεως ἐν τῷ ζώῳ τῆς κατὰ προαίρεσιν, ὁ μὲν οὖν δημιουργὸς καὶ τεχνίτης ἡ διοικοῦσα τὸ ζῶόν ἐστι δύναμις· τὰ δὲ ὄργανα, νεῦρα καὶ μύες. καὶ τὸ μὴ κινεῖσθαι τοιγαροῦν, καὶ τὸ κακῶς κινεῖσθαι γένοιτ᾽ ἂν, ἢ διὰ τὸ τῶν ὀργάνων πάθος, ἢ διὰ τὴν χρωμένην τοῖς ὀργάνοις δύναμιν. παλμοὶ μὲν οὖν καὶ σπασμοὶ καὶ παραλύσεις, ὀργάνων βλάβαι· τρόμοι δὲ δυνάμεως ἀῤῥωστούσης πάθη.

CAPVT VI.

Quid sit Rigor, quæ illius causæ, & quo pacto generetur?

AC tremor sanè à palpitatione manifestè distinctus est; à rigore autem tremorem hoc pacto distinguas licet. Prius autem considerandum venit, quid sit rigor: etenim & hoc ex iis, quæ admodum sunt cognita, esse putatur; nihilo tamen minus difficile dijudicatu est, non eò solum, quod causam inuenire, vel affectionem, quæ ex ea corpori obuenit, haud procliue sit; sed ante hæc adhuc, quod in ipsa notionis descriptione errare mihi videntur. Rigorem enim si ita absolute perfrictionem dixeris, vt nonnulli pronunciarunt, error manifestus est; quum multi quidem vehementer perfrigerentur, non tamen etiam rigeant: imo nec si vehementem perfrictionem statuas, ne hoc quidem verum est. Nam qui stomachice, aut cardiace laborant, vehementer quidem frigent, non autem rigent. Iam perfrictionem cum tremore, rigorem dicere (in quam sententiam plerique medicorum descendunt) occasionem habet deceptionis concussionem corporis ac agitationem, quæ vehementibus ri-

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Τί τὸ ῥῖγος, καὶ τίνες αὐτοῦ αἰτίαι, καὶ πῶς γίνεται.

ΤΡΟΜΟΣ μὲν δὴ σαφῶς διώρισται παλμοῦ· ῥίγους δὲ τρόμον διορίσαις ἂν ὧδε. χρὴ δὲ πρότερον, οἷόν τι τὸ ῥιγοῦν ἐστιν ἐπισκέψασθαι. καὶ γὰρ οὖν καὶ τοῦτο δοκεῖ μὲν εἶναι τῶν πάνυ γνωρίμων, ἔστι δ᾽ οὐδενὸς ἧττον δυσδιάγνωστον, οὐ ταύτῃ μόνον, ὅτι τὴν αἰτίαν εὑρεῖν, ἢ τὴν ἀπ᾽ αὐτῆς περὶ τὸ σῶμα γινομένην διάθεσιν, οὐκ εὐπετὲς, ἀλλ᾽ ἔτι τούτων πρότερον, ὅτι ἐν αὐτῇ δοκοῦσί μοι τῇ τῆς ἐννοίας ὑπογραφῇ σφάλλεσθαι. Ῥῖγος γὰρ εἰ μὲν οὕτως ἁπλῶς κατάψυξιν εἴποις, ὥς τινες ἀπεφήναντο, καταφωρὸν τὸ σφάλμα, πολλῶν μὲν ἰσχυρῶς καταψυχομένων, οὐ μὴν καὶ ῥιγούντων· ἀλλ᾽ οὐδ᾽ εἰ κατάψυξιν ἰσχυρὰν, οὐδὲ τοῦτ᾽ ἀληθές· οἱ γοῦν στομαχικῶς ἀλγοῦντες, ἢ καρδιακῶς, ἰσχυρῶς μὲν εἰσὶ κατεψυγμένοι, ῥιγοῦσι δὲ οὔ. τὸ δὲ σὺν τρόμῳ λέγειν κατάψυξιν τὸ ῥῖγος, εἰς ὅπερ οἱ πολλοὶ τῶν ἰατρῶν ἀπηνέχθησαν, ἀφορμὴν ἔσχηκε τῆς ἀπάτης τὸν βρασμὸν καὶ τὸν κλόνον τὸν τοῖς σφοδροῖς ῥίγεσιν

ἐζευγμένον. ἐξελέγχεται δ' ἐναργῶς ἐκ τοῦ μήθ' ἅπασι τοῖς ῥιγοῦσι συμβεβηκέναι, μόνοις δὲ τοῖς σφοδρῶς, μήθ' οἷς συμβέβηκε, τρόμου τοῦ γινομένου πάθους ὄντος, ἀλλά τινος οἷον σεισμοῦ τε καὶ κλόνου. τρόμος μὲν γὰρ ὡς ἀπεδείξαμεν, ἄνευ τοῦ προελέσθαι κινεῖν τὸ μέρος, οὐ γίνεται, ὁ δὲ τοῖς σφοδροῖς ῥίγεσι συνεδρεύων κλόνος οὕτω βίαιός τε καὶ μετ' ἀνάγκης ἐμπίπτει τοῖς σώμασιν, ὥστε ἀμήχανον ἡσυχάζειν, κἂν πάνυ τις ἀνδρείως ἀντιτάξηται. καὶ τρόμος μὲν ἑνὸς πάθος μέρους, ὅλου δὲ τοῦ σώματος τὸ ῥῖγος. ὅθεν ἔμοιγε καὶ Πλάτωνος ἐπέρχεται θαυμάζειν, εἰ ταὐτὸν ἡγεῖται τρόμον τε καὶ ῥῖγος. εἰ γὰρ οἱ σὺν τρόμῳ κατάψυξιν εἰπόντες τὸ ῥῖγος, ἥμαρτον, πῶς γ' ἂν αὐτὸς ταὐτὸν εἶναι νομίζων τὸ τρέμειν τῷ ῥιγοῦν ἀληθεύοι; πρὸς μὲν γὰρ οἷς εἴπομεν ἀτόποις, ἔτι καὶ τοῦτο αὐτῷ μάχεται, τὸ τρέμειν μέν τινας, οὐδεμίαν αἴσθησιν ἔχοντας ψύξεως, ἀμήχανον γὰρ εἶναι ῥιγοῦν ἄνευ τοῦ δοκεῖν κατεψῦχθαι. διὰ τοῦτ' οὖν οὐδ' ἐκεῖνοί μοι δοκοῦσι πόῤῥω τῆς ἐννοίας ἔρχεσθαι τοῦ πάθους, ὅσοι καταψύξεως αἴσθησιν ἔφασαν εἶναι τὸ ῥῖγος. οὐ γὰρ ταὐτόν δήπου φαίης ἂν ἐψῦχθαί τε καὶ ψύξεως αἰσθάνεσθαι. τὰ μέν τοι παρειμένα τε καὶ τὰ ναρκώδη καὶ δυσαίσθητα καὶ τὰ παντελῶς ἀναίσθητα κατέψυκται πάντα, καὶ τὸ τρομῶδες, καὶ τὸ παράπληκτον, καὶ τὸ ἐπίληπτον, ὡσαύτως δὲ καὶ τὸ φυσῶδες, καὶ τὸ ὑδαρῶδες, καὶ τὸ ἐμφυσηματῶδες, καὶ τὸ οἰδηματῶδες ἅπαν ψυχρόν· ἀλλ' οὐδὲν τούτων αἰσθάνεται τῆς ἐν αὐτῷ ψύξεως, ὅθεν οὐδὲ ῥιγοῖ. εἰ δ' αἰσθάνοιτο, πάντως εὐθὺς καὶ ῥιγώσει. διὰ ταῦτα τοίνυν φημὶ μὴ καλῶς ὑπολαμβάνειν τὸν Πλάτωνα, ταὐτὸν εἶναι ῥῖγός τε καὶ τρόμον· οὔτε ἑνός ἐστι μέρους τὸ πάθος τὸ ῥιγοῦν, ὡς τὸ τρέμειν, οὔτ' αἴσθησις ψύξεως τοῖς τρέμουσιν, ὡς τοῖς ῥιγοῦσιν, ἥ τε κίνησις ἐπὶ μὲν τῶν , ἄνευ τοῦ κινεῖν ἐθέλειν τὰ μέρη, παντάπασιν ἀκούσιος· ἐπὶ δὲ τῶν τρεμόντων, οὐκ ἄνευ τῆς περὶ τὸ κινεῖν ὁρμῆς. ἀλλὰ Πλάτωνι μὲν ἴσως καὶ συγχωρήσειεν ἄν τις ἐν οὕτω λεπτοῖς καὶ ἰατρικοῖς πράγμασιν ἀμαρτάνειν, καί τοι τῶν γε ἄλλων παθῶν τῶν κατὰ τὸ σῶμα σχεδὸν ἁπάντων τὴν γένεσιν ἀκριβῶς διεξελθόντι. Ἀθηναίου δὲ ἄξιον θαυμάζειν τοῦ Ἀτταλέως, πολὺ γὰρ ἔτι καὶ Πλάτωνος ὕστερος γενόμενος οὐκ ἐν τοῖς περὶ τῆς αἰτίας λογισμοῖς μόνον ἕπεται τῷ Πλάτωνι (τοῦτο μὲν γὰρ ἀνεκτὸν) ἀλλὰ καὶ περὶ τὴν ἔννοιαν ὁμοίως ἐκείνῳ φαίνεται συγκεχυμένος. οὔτε γὰρ διωρίσατο ῥίγους καὶ τρόμου τὴν ἔννοιαν, ὑπογράφων τε τὸ ῥῖγος, ὧδέ πώς φησι. τῇ δὴ μάχῃ καὶ τῷ σεισμῷ τούτῳ τρόμος καὶ ῥῖγος ἕπεται, ψυχρὸν δὲ τὸ πάθος ἅπαν. τοῦτο καὶ τὸ δρῶν αὐτὸ ἔσχεν ὄνομα, ὥς πού, φησι, καὶ ὁ Πλάτων λέγει. ἔοικε γὰρ αὐτὴν τὴν λέξιν εἰρηκέναι τοῦ Πλάτωνος. ἔχει δὲ ἡ σύμπασα τόνδε τὸν τρόπον. τὰ γὰρ δὴ τῶν περὶ τὸ σῶμα ὑγρῶν μεγαλομερέστερα εἰς τὰς ἐκείνων οὐ δυνάμενα ἕδρας ἐνδῦναι, συνωθοῦντα ἡμῶν τὰ νοτερὰ (εἰσὶ δὲ τὰ σμικρότατα) ἔξωθεν τὸ ἕτερον ἐξ ἀνωμάλου κεκινημένον, (οὔτε) ἀκίνητον δι' ὁμαλότητα καὶ τὴν ξύνωσιν ἀπεργαζόμενα πήγνυσι. τὸ δὲ παρὰ φύσιν συναγόμενον μάχεται κατὰ φύσιν αὐτὸ ἑαυτὸ εἰς τὸ ἐναντίον ἀπωθοῦν. τῇ δὲ μάχῃ καὶ τούτῳ τῷ σεισμῷ τρόμος καὶ ῥῖγος ἐτέθη. ψυχρὸν δὲ τὸ πάθος ἅπαν, τοῦτο καὶ τὸ δρῶν αὐτὸ ἔσχεν ὄνομα. ὅτι μὲν οὐ τῷ τρόμῳ ταὐτόν ἐστι τὸ ῥιγοῦν, ἀλλ' οὐδὲ κατάψυξις

goribus coniuncta est. Arguitur autem manifestò, quod neque omnibus rigentibus accidat, sed solis vehementer rigentibus: neque ijs, quibus accidit, affectus qui aduenit, sit tremor, sed quædam veluti concussio, & agitatio. Tremor etenim, vt demonstrauimus, nisi partem mouere velit, non accidet; concussio autem, quæ validos rigores comitatur, tam violenta, & necessariò corporibus incidit, vt conquiescere non liceat; etiamsi quis strenuè admodum renitatur. Ac tremor sanè vnius partis affectus, rigor autem totius corporis est. Vnde mihi & Platonem mirari subit, qui tremorem cùm rigore confundat. Si enim ij, qui rigorem interpretati sunt, tremorem cum perfrictione, aberrarunt, quomodo ipse, idem esse tremere & rigere existimans, vera prædicauerit? Nam præter ea, quæ diximus absurda, etiam hoc adhuc ei refragatur, quod nonnulli tremant, nullum frigiditatis sensum habentes, non tamen fieri possit, vt quis citra perfrictionis sensum rigeat: idcirco neque illi, qui rigorem perfrictionis sensum esse dictitarunt, procul ab affectus notione abijsse videntur, non enim idem sanè dixeris, perfrixisse, & frigus sentire. Quæ enim resoluta sunt, torpida, difficili aut prorsus nullo sensu prædita, omnia perfrixerunt: item quod tremorem experitur, paraplexiam, epilepsiam, similiter & flatus, & aquam inter cutem, & inflationes, & œdema, totum frigidum est, sed nullum ex his frigiditatem quæ in ipso est, percipit, vnde neque riget; sin autem sentiat, protinus certè & rigebit. Quas ob res Platonem dico non rectè opinari, idem esse rigorem, & tremorem, neque vnius est partis affectus rigere, vt tremere; neque sensus frigiditatis trementibus, vt rigentibus; & motus in *rigentibus* sanè citra mouendi partes voluntatem, omnino inuitis est; in trementibus, non citra mouendi arbitrium. Sed Platoni sanè aliquis forsan condonauerit, quòd in tam tenuibus, & medicis rebus errorem admittat, quanuis aliorum affectuum corporis propè omnium generationem exactè sit persecutus; Athenæum autem Attaleum demirari par est, multò etenim Platone adhuc recentior, non in causæ rationibus modo Platonem sequitur, id enim tolerari poterat, sed etiam circa notionem similiter, atque ille, confusus apparet. Neque enim rigoris, tremorisque notionem distinxit, describensque rigorem in hunc modum ait: *Pugnam concussionemque hanc tremor rigorque comitatur, totus autem hic affectus frigidus, & causa efficiens idem nomen sortita est*, vt & Plato (inquit ille) affirmat; hic enim ipsam Platonis sententiam protulit. Habet autem vniuersa hunc in modum; *nam humorum corporis, partes grandiores, quum in minorum sedes subire nequeant, compellentes nostros morbosos (sunt autem minimi) extrinsecus alium ex inæquali motum, (neque) immotum ob æqualitatem & compulsionem facientes, coniungunt. quod autem præter naturam cogitur, pugnat secundum naturam ipsum sibi, in contrarium repellens. Huic autem pugnæ & concussioni tremor & rigor nomen positum est. frigidus affectus totus; hoc & ipsius causa efficiens sortita est nomen.* Quòd sanè neque tremori idem sit rigor, imò nec perfrictio simpliciter neque etiam perfrictio valida,

da, manifestò ostensum est. Quod autem paulò superius dictum est, nempe perfrictionem esse sed sensibilem, discutiamus num falsò prolatum sit. Nonnulli enim rigorem non sensibilem frigiditatem, sed molestam esse arbitrantur: si quidem multi etiam ex sanis frigere admodum se dicunt, alii sponte refrigerij desiderio diutiùs in aqua frigida immorati (quidam autem etiam quia opus habent, in frigida diutiùs versantur) rigent autem non statim, quemadmodum, nec qui lauit, deinde se ipsum in frigidam coniecit; neque enim hic, nisi admodum diu immoretur, riget, etsi frigiditatis qualitatem manifesto sentiat. Quapropter, quantum ad frigiditatis sensum attinet, omnes hi statim rigerent, si rigor frigiditas esset sensibilis; sed non rigent, meritò; non enim est omnibus cum dolore refrigeratio; sed nonnulli ipsorum, qui æstiuo tempore validum calorem non tolerantes in frigidam sese coniiciunt, adeò frigiditate oblectantur, vt tandiu in ea morentur, donec tangenti tibi glaciei modò refrigerati esse videantur. An igitur totum iam habebimus, si rigorem dolorificam frigiditatem definiamus? an quid adhuc desideratur? Fortè enim non quilibet rigor ita definiendus venit. In ægrotantibus sanè non idem esse videtur rigere, ac horrere, aut frigere; dicimus igitur sæpe accessionis insultum, huic sanè cum rigore, alteri cum horrore, alij cum frigiditate sola obortum; & in omnium medicorum commentariis idem vsus verborum existit. Ita quum quis nulla concussione corporis, & agitatione perfrigescit, non hic riget, verùm si affectus rigor appellari debeat, inæqualem, & prętter voluntatem motum ei accedere oportet; quod sine hoc accidit, si ne cutem quidem inæqualiter commoueat, perfrictionem nominant; sin autem hanc quidem perturbet, concutiatque per quosdam insultus, corpus autem totum non commoueat; horrorem nominant; vt hic cutis solius affectus talis existat, qualis totius corporis rigor. At in sanis alio modo rigere dicimus, extendentes ad omnem dolorificam perfrictionem; sin autem ratione morbi obueniat rigor, non satis est hoc tantum dixisse, sed totius corporis perturbationem apponere conuenit. Quod aliqui inducentes, perfrictionem cum tremore ipsum appellarunt. manifestò autem non sunt interpretati; tremorem enim nuncupare, neutiquam oportet, sed agitationem quandam præter voluntatem, aut vibrationem, aut concussionem, aut aliud id genus nomen inuenire; nam tremoris vocabulum de peculiari affectu enunciatur. Qui igitur morbi rigorem definiunt, perfrictionem, alium nullum dicere videntur, quàm eum, qui sanis accidit; etsi morbosum rigorem, de quo medici omninò disputant, etiam commemorati viri diffinire statuerant: morbidum autem vocamus, quum à nulla exteriori causâ violenta corpus, sed ex se talem obtinet affectionem. Ita enim, puto, Hippocrates quoque aiebat; *Quum quis causo affligitur, si rigor superueniat, liberatur.* Non igitur aquâ frigidâ febricitanti superfusâ rigorem excitabitis, sed quum ex ipsa corporis affectione suscitatur. In eundem modum & hæc sunt pronunciata; *Cum rigore desipientia, malum*; item, *obliuio, malum.* Rursus; *Sexto die rigores difficile iudicium notant*; Item; *Rigores incipiunt mulieribus ex*

A ἁπλῶς, οὐ μὴν οὐδὲ κατάψυξις ἰσχυρά, σαφῶς ἐπιδέδεικται. τὸ δὴ ὀλίγῳ πρόσθεν ῥηθέν, ὡς ἄρα κατάψυξίς ἐστιν ἀλλ᾽ αἰσθητή, βασανίσωμεν, εἰ μὴ ψευδῶς εἴρηται. τινὲς γὰρ οὐκ αἰσθητὴν ψύξιν τὸ ῥῖγος, ἀλλὰ ὀδυνηρὰν εἶναι νομίζουσι. καταψύχεσθαι μὲν γάρ φασιν ἰσχυρῶς πολλοὶ καὶ τῶν ὑγιαινόντων, οἱ μὲν ἑκόντες, ἐμψύξεως ἐπιθυμίᾳ διατρίψαντες ἐπὶ πλέον ἐν ὕδατι ψυχρῷ (τινὲς δέ, καὶ χρείᾳ τούτου χρονίζουσιν ἐν τῷ
B ψυχρῷ) ῥιγοῦσι δ᾽ οὐκ εὐθύς, ὥσπερ οὐδ᾽ ὁ λελουμένος, εἶθ᾽ ἑαυτὸν ἐμβαλὼν εἰς ὕδωρ ψυχρόν. οὐδὲ γὰρ οὗτος εἰ μὴ χρονίσειεν ἐπὶ πολύ, ῥιγοῖ, καίτοι τῆς γε τοῦ ψυχροῦ ποιότητος αἰσθάνεται σαφῶς. ὡς θ᾽ ὅσον ἐπὶ τῷ τῆς ψύξεως αἰσθάνεσθαι, πάντες ἂν εὐθέως ἐρρίγωσαν οὗτοι, εἴπερ ἦν αἰσθητὴ ψύξις τὸ ῥῖγος. ἀλλ᾽ οὐ ῥιγοῦσιν, εἰκότως. οὐ γάρ ἐστιν ἅπασι μετ᾽ ὀδύνης ἡ ψύξις, ἀλλά τινες αὐτῶν, ὅσοι θέρους ὥρᾳ μάλιστα μὴ φέροντες τὸ πνῖγος, εἰς ψυχρὸν ὕδωρ ἑαυτοὺς ἐμβάλλουσιν, οὕτω φιληδοῦσι πρὸς τὴν ψύξιν, ὥς τε διατρίβουσιν εἰς τοσοῦτον ἐν αὐτῷ, μέχρις ἂν ἁπτομένῳ σοι
C δόξωσιν ἀπεψύχθαι δίκην κρυστάλλου. ἆρ᾽ οὖν ἔχοιμεν ἂν ἤδη τὸ πᾶν, ὀδυνηρὰν ψύξιν ὁρισάμενοι τὸ ῥῖγος, ἢ τινος ἔτι προσδεῖ; τάχα γὰρ οὐ πᾶν ῥῖγος οὕτως ὁριστέον. ἐπί γέ τοι τῶν νοσούντων, οὐ ταὐτὸν μὲν δοκεῖ τὸ ῥιγοῦν τῷ φρίττειν ἢ καταψύχεσθαι. λέγομεν οὖν πολλάκις, εἰσβολὴν παροξυσμοῦ τῷδε μὲν τινι μετὰ ῥίγους, ἑτέρῳ δέ τινι μετὰ φρίκης, ἄλλῳ δέ, μετὰ καταψύξεως μόνης γεγονέναι, κἀν τοῖς τῶν ἰατρῶν ἁπάντων συγγράμμασιν ἡ αὐτὴ χρῆσίς ἐστι τῶν ὀνομάτων. ὡς ὅταν μὴ μετὰ
D βρασμοῦ καὶ κλόνου καταψύχηταί τις, οὐ ῥιγοῖ οὗτος, ἀλλὰ δεῖ, εἴπερ μέλλει τὸ πάθος ῥῖγος καλεῖσθαι, τὴν ἀνώμαλόν τε, καὶ ἀπροαίρετον αὐτῷ κίνησιν προσεῖναι. τὸ δ᾽ ἄνευ ταύτης, εἴγε μηδὲ τὴν ἐπιφάνειαν ἀνωμάλως κινεῖ, κατάψυξιν καλοῦσιν· εἰ δὲ ταύτην μὲν ταράττοι τε, καὶ σείοι κατά τινας ἐμβολάς, τὸ δὲ ὅλον σῶμα μὴ συγκινοῖ, φρίκην ὀνομάζουσιν, ὡς εἶναι τὴν φρίκην, τοῦ δέρματος μόνου πάθος τοιοῦτον, οἷον τοῦ παντὸς σώματος τὸ ῥῖγος. ἐπὶ δέ γε τῶν ὑγιαινόντων, ἑτέρως τὸ ῥιγοῦν λέγομεν, ἐκτείνοντες ἐπὶ πᾶσαν ὀδυνηρὰν κατάψυξιν.
E εἰ δὲ νοσήματος λόγῳ γίγνοιτο ῥῖγος, οὐκ ἀρκεῖ μόνον τοῦτο φάναι, προσθεῖναι δὲ χρὴ τὴν τοῦ παντὸς τοῦ σώματος ταραχήν, ὃ ἐπαγόμενοί τινες, μετὰ τρόμου κατάψυξιν εἶπον αὐτό. σαφῶς δ᾽ οὐχ ἡρμήνευσαν· οὐ γὰρ χρὴ τρόμον καλεῖν, ἀλλὰ βρασμόν τινα ἀπροαίρετον ἢ κλόνον, ἢ σεισμόν, ἢ τοιοῦτον ἕτερον ἐξευρίσκειν ὄνομα. τὸ γὰρ τοῦ τρόμου κατὰ πάθους ἰδίου κεῖται· ἐοίκασιν οὖν οἱ τὸ νοσερὸν ῥῖγος ὁριζόμενοι κατάψυξιν, ἄλλο μηδὲν εἰπόντες, ἀλλὰ τὸ τοῖς ὑγιαίνουσι γινόμενον. καίτοι τὸ νοσερὸν ῥῖγος, ὑπὲρ οὗ τοῖς ἰατροῖς ὁ πᾶς λόγος, ὁρίζεσθαι προὔκειτο καὶ τοῖς εἰρημένοις ἀνδράσι. νοσε-
F ρὸν δὲ καλοῦμεν, ὅταν ἀπὸ μηδενὸς ἔξωθεν αἰτίας βιαίας, ἀλλ᾽ ἐξ ἑαυτοῦ τὸ σῶμα τοιαύτην ἴσχει διάθεσιν. οὕτω γὰρ δὴ οἶμαι καὶ Ἱπποκράτης ἔλεγεν. ὑπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπιγινομένου, λύσις. οὔκουν ψυχρὸν ὕδωρ καταχέας τῷ πυρέττοντι, ποιήσεις ῥῖγος, ἀλλ᾽ ὅταν ἐξ αὐτῆς ἐγείρηται τῆς ἐν τῷ σώματι διαθέσεως. κατὰ δὲ τὸν αὐτὸν τρόπον εἴρηται καὶ ταῦτα. μετὰ ῥίγους ἄγνοια, κακόν. κακὸν δέ, καὶ λήθη. τὰ ἑκταῖα ῥίγεα δύσκριτα. ῥίγεα δ᾽ ἄρχεται γυναιξὶν, ἐξ

ὀσφύος διὰ νώτου μᾶλλον, ἀτὰρ καὶ ἀνδράσι μᾶλλον ὄπισθεν ἢ ἔμπροσθεν. ἐν ἅπασι γὰρ τούτοις οὐ τὸ τοῖς ὑγιαίνουσι γινόμενον, ἀλλὰ τὸ νοσῶδες εἴρηται ῥῖγος, ὅπερ ἐστὶ κατάψυξις ἀλγεινὴ μετά τινος ἀνωμάλου σεισμοῦ καὶ κλόνου παντὸς τοῦ σώματος. ὁπότ᾽ οὖν τί ποτέ ἐστι ῥῖγος, ἐγνώκαμεν, ἑξῆς ἴδωμεν καὶ τίς μὲν ἡ ποιοῦσα τὸ πάθος αἰτία, τίσι δὲ μάλιστα προηγησαμέναις αἰτίαις ἕπεται, καὶ τίσιν ἐπιγίνεται διαθέσεσιν, περὶ ἁπάσης τε τῆς γενέσεως αὐτοῦ. ὅτι μὲν γὰρ τὸ ῥιγοῦν πάθος ἐστὶ τοῦ κατὰ φύσιν θερμοῦ, σχεδὸν ἅπασιν ὡμολόγηται. δεῖται δὲ πᾶς ὁ λόγος ἔτι, ἀκριβοῦς ἀκροατοῦ, καὶ πολὺ μάλιστα νοῦν ἔχοντος. ἐγὼ μὲν γὰρ εἶπον τοῦ κατὰ φύσιν θερμοῦ πάθος εἶναι τὸ ῥῖγος, ἵνα μή τις τοῦ ἔξωθεν νομίσας εἰρῆσθαι, καταψεύδεσθαί με δόξειεν Ἐρασιστράτου, καὶ Πραξαγόρου, καὶ Φιλοτίμου, καὶ Ἀσκληπιάδου, καὶ μυρίων ἄλλων, ὅσοι τὸ θερμὸν οὐκ ἔμφυτον, ἀλλ᾽ ἐπίκτητον εἶναι νομίζουσι. πῶς γὰρ οὖν οὗτοι πάθος ἐμφύτου θερμοῦ λέγοιεν, οἱ μηδὲ τὴν ἀρχὴν ἔμφυτον εἰδότες θερμόν; ἀλλ᾽ ἔμφυτον μέν, ὥσπερ εἴπομεν, οὐ πάντες ὁμολογοῦσι τὸ θερμὸν ὑπάρχειν, γένεσιν δὲ ἐπίκτητον αὐτοῦ τεχνώμενοι, διαφερόντως ἄλλος ἄλλην, ἓν τοῦτο πάντες ὁμολογοῦσιν, ὡς ἔσται τι κατὰ φύσιν ἐν ἑκάστῳ ζώῳ θερμόν, ἐν τῷ προσήκοντι μέτρῳ θεωρούμενον. καὶ δὴ περὶ τοῦτο ῥῖγός τε καὶ φρίκην φασίν, ἅπασάν τε γίνεσθαι κατάψυξιν. Ἀσκληπιάδης γοῦν οὐ μόνον τὸ θερμόν, ἀλλ᾽ οὐδ᾽ ἄλλην τινὰ θεὶς ἔμφυτον δύναμιν, ἅπαντα πυρετὸν ἐπί τισιν ἐμφράξεσιν ὄγκων ἐν πόροις ἀεὶ συνίστασθαι λέγων, ἐν μεγέθεσι πόρων τὴν διαφορὰν τιθέμενος αὐτοῦ, οὕτω φιλοτεχνεῖ, δεικνύειν τε, τίσι μὲν ἀνάγκη ῥῖγος ἐζεῦχθαι, τίσι δ᾽ οὔ. καὶ ἔγωγ᾽ ἂν εἰ μὴ μακρότερόν τε τοῦ καιροῦ τὸν λόγον ἤλπιζον ἔσεσθαι, καὶ ἄλλως οὐ δίκαιον ἡγούμην περὶ Ἀσκληπιάδου μὲν ἐπισκέψασθαι μόνου, παρελθεῖν δὲ τὰ τῶν ἄλλων, ἢ πάλιν ἁπάντων ἐπιχειρῶν μνημονεύειν, εἰς μακρὸν καὶ ἀπέραντον ἐμπεσεῖν λόγου μῆκος, ἑξῆς ἂν περὶ ἁπασῶν τῶν δοξῶν ἐπισκεψάμενος, ἀφ᾽ ὅτου γε πιθανὸν τὴν ἀφορμὴν ἔσχηκεν ἑκάστη, καὶ τί μάλιστα τὸ ἀπατῆσαν, ὅπῃ τε σφάλλονται δείξας, οὕτως ἂν ἐπὶ τὴν ἡμετέραν ἧκον δόξαν. ἀλλὰ τοῦτο μὲν εἰς ἕτερον ἀναβεβλήσθω καιρόν. οὐδὲ γὰρ Ἀθήναιον ἐπαινῶ περὶ μὲν Ἀσκληπιάδου καὶ Ἡρακλείδου τοῦ Ποντικοῦ, καὶ Στράτωνος τοῦ φυσικοῦ λέγοντά τι, τῶν δ᾽ ἄλλων οὐδενὸς μνημονεύοντα, καίτοι γε οὐ τὰς τούτων δόξας μόνον περὶ ῥίγους, ἀλλ᾽ ἑτέρας πολὺ πλείους οὐδὲν ἧττον ἐνδόξους τε καὶ πιθανὰς εἶχεν εἰπεῖν. ἡμεῖς οὖν ἀρχὴν ὁμολογουμένην λαβόντες, ὡς ἐστὶ τοῦ κατὰ φύσιν ἐν ἑκάστῳ ζώῳ θερμοῦ πάθος τὸ ῥῖγος, ἴδωμεν ὅπως γίνεται. προκόψει δ᾽ ὁ λόγος ἐπὶ ταῖς Ἱπποκράτους ἀρχαῖς οὐκ ὄγκους καὶ πόρους ἡμῶν στοιχεῖα τιθεμένων τοῦ σώματος, οὐδὲ κινήσεως ἢ παρατρίψεως ἤ τινος ἄλλης αἰτίας ἔκγονον τὸ θερμὸν ἀποφαινόντων, ἀλλὰ τὸ μὲν ὅλον σῶμα σύμπνουν τε καὶ σύρρουν ἡγουμένων, τὸ θερμὸν δ᾽ οὐκ ἐπίκτητον οὐδ᾽ ὕστερον τοῦ ζώου τῆς γενέσεως, ἀλλ᾽ αὐτὸ πρῶτόν τε καὶ ἀρχέγονον, καὶ ἔμφυτον. καὶ ἥ γε φύσις καὶ ἡ ψυχὴ οὐδὲν ἄλλο, ἢ τοῦτ᾽ ἐστίν, ὥστ᾽ οὐσίαν αὐτοκίνητόν τε καὶ ἀεικίνητον αὐτὸ νοῶν, οὐκ ἂν ἁμάρτοις. ἕκαστον δὲ τούτων ἰδίᾳ βεβασάνισται, καίτοι μαθεῖν ἔνεστιν παρ᾽ αὐτῶν ἑτέρωθι,

A *lumbis per spinam potius, sed & viris potius retrò, quàm antè.* In omnibus enim his rigor non qui sanis accidit, sed qui ægris, explicatus est, qui est perfrictio dolorifica cum quadam inæquali totius corporis cõcussione, agitationeque. Quum igitur, quid tandem rigor sit nouerimus, deinceps inspiciamus & quæ causa sit efficiens, quas potissimum antecedentes causas comitetur, & quibus superueniat affectionibus, ac de vniuersa ipsius generatione. Quòd enim rigor natiui caloris affectus sit, omnibus ferè in confesso est. B Requirit autem totus hic sermo auditorem diligentem, & qui plurimum mentis habeat. Ego etenim natiui caloris affectum, rigorem esse dixi, ne quis externi dictum esse ratus, mentiri forsan me opinetur contra Erasistratum, Praxagoram, Philotimum, Asclepiadem, aliosque innumeros, qui calorem non insitum, sed ascititium esse censent. Quomodo enim hi natiui caloris affectum dixerint, qui prorsus natiuum calorem ignorarunt? Verùm genuinum sanè, vt diximus, non omnes calorem esse fatentur; generationẽ autem ei ascititiam molientes, variè alius aliam, vnum hoc omnes concedunt, esse aliquod secundum naturam in vnoquoque animante calidum, in conueniente mensura æsti- C matum; ac circa hoc rigorem, horrorem, omnemque perfrictionem fieri aiunt. Asclepiades igitur, quum non modo calidum, sed ne aliam quidem vllam facultatẽ insitam statuisset, omnem febrem propter quasdam corpusculorum in meatibus obstructiones, semper constitui dictitat; in magnitudine autem meatuum differentiam ipsius ponens, molitur ita ostendere; quibus necessariò coniunctus sit rigor, quibus non. Ac ego quidem nisi longiorem, quàm par est, sermonem fore sperarem; & præcipuè D iniquum censerem de Asclepiade quidem solo agere, aliorum verò dicta omittere; aut rursus omnium mentionem facere aggrediens, in longam ac infinitam sermonis prolixitatem incidere; deinceps vtique de omnibus opinionibus contemplatus, vnde vnaquæque probabilem occasionem haberet, quid potissimum eis imponeret, & vbi aberrarent, quum ostendissem, ita ad nostrã descenderem opinionem. Verùm hoc in aliud tempus differatur. Neque enim Athenæum laudo, qui de Asclepiade, Heraclide Pontico, Stratone Physico, aliquid dicat, E nullius autem aliorum meminerit; etsi non modò horum opiniones de rigore, sed aliàs multo plures nihilo minus celebres & probabiles explicare potuisset. Nos igitur initio hoc sumpto, quod omnibus in confesso est, nempe rigorem affectum esse caloris in vnoquoque animante natiui, videamus quomodo oriatur. Procedet autẽ disputatio ex Hippocratis principiis. nec verò corpuscula, & meatus statuemus corporis nostri elementa; neque calorem, motus aut F collisionis aut alterius cuiusdam causæ sobolem pronunciabimus; sed corpus quidem totũ conspirabile & confluxile censebimus; calorem autem non acquisitum, neque animalis generatione posteriorem, verùm ipsum primum, primigenium, & insitum. Ac natura sanè & anima, nihil aliud, quàm hic, existit; quare si substantiam per se & semper mobilẽ ipsum intelligas, haud errabis. Singula autem hæc seorsum indagemus, etsi de ipsis alibi discere licet; in præsentia autem

autem sermonis continuitas examinanda est. Nam calor insitus, ceu semper mobilis, neque intro solùm, neque extrà fertur; sed alterum ipsius motum alter semper excipit. Celeriter enim, si intus calor maneret, in immobilitatem cessaret; si foras efferretur, & hic motus dissiparet ipsum atque hac ratione perderet; modicè autem extinctus, & modicè accensus, vt Heraclitus aiebat, semper mobilis ita perseuerat. Inceditur igitur, quum ad intima inclinat alimenti appetens; ab intimis verò elatus & vndequaque dispersus, extinguitur. Verùm ad superiora exterioraque lationem, & vt ita dicam explicationem à suo principio, quòd natura calidus sit, experitur; intrò autem & deorsum, hoc est, ad proprium principium viam *init*, quoniam frigidi aliquatenus particeps est; quippe ex calido, & frigido temperatus. Prima sanè calidi ratione, sua spontè mouetur, atque hoc potissimũ ad actiones indiget; magnum tamen ipsi vsum, & frigidum exhibet. Solet enim calidum in sublime attolli, ac secum alimentum adducere. Si autem frigidum non obstaret, etiam longissimè procederet. Fit autem frigidum huiusmodi caloris motui impedimento, ne dispersus aboleatur; quippe periculum est, ne ipse præ leuitate, & impetu sursum à corporibus discedat; sed frigidum retinet impeditque, & vehementiam nimii huius motus tollit. Redeamus igitur ad superius institutum, ostendentes qualisnam natiui caloris affectus sit rigor. Quòd etenim vbi in naturalibus temperamẽti terminis manet, animal sanitate fruatur, verbis non indiget; hoc est, quum, vt Hippocrates aiebat, calidum & frigidum mutuo inter se temperamento mediocriter habent. Sin autem alterum altero sit fortius, animal ægrotare necesse est ea morbi specie, quæ causæ superãtis naturæ respondeat. Inflammationes igitur, erysipelata, herpetes, carbunculi, affectus testantes feruorem æstumque igneum, ac omnes febriles affectus, quum vis calidi euicerit; Contra conuulsiones, tetani, palpitationes, stupores, resolutiones, epilepsiæ, & paraplegiæ, frigidi superantis affectus. Ex huiusmodi affectibus vnus est rigor hic, non simpliciter perfrictio existens, sed cum sensu; vnde adiiciendum ei est, subita ac vniuersim facta. Præterea vehementem perfrictionem, & violentam esse oportet, vt manifestè ac verè definire liceat, rigorem insiti caloris perfrictionem esse subitam & violentam. Rursus enim, vt Plato dixit, *quod sensim & paulatim fit, insensibile; quod autem sensile, necesse est hoc vehementer moueri, & tremere subito.* Quare perfrictio quidem insensilis, longiori temporis spatio, & paulatim accidit; cita autem & emergens admodum, cum sensu prorsus contingit; neque enim huiusmodi affectus latere poterit. Talis autem affectus, cum frigoris sensu non omnis dolorem adfert, sed interdum etiam voluptatem. Dicebat enim rursus Plato, *affectum præter naturam, & violentum, & celeriter oborientem in nobis, dolorificum esse; qui verò celeriter & confertim, ad naturam redit, eum suauem esse.* Quare vtrique & suaui & dolorifico commune est, necessariò, ne affectus lateat, coniunctum; præter hoc autem, quod non latenter in naturalem statum reducit, suaue est; quod autem extra naturalem statum educit, dolorificum. Vnde vnum & idem nu-

τὸ νῦν δὲ εἶναι, τοῦ λόγου τὸ συνεχὲς ἐρευνητέον. ἅτε γὰρ ἀεικίνητον ὂν τὸ ἔμφυτον θερμὸν, οὔτ' εἴσω μόνον, οὔτ' ἔξω κινεῖται, διαδέχεται δ' ἀεὶ τὴν ἑτέραν αὐτοῦ κίνησιν ἡ ἑτέρα. ταχὺ γὰρ ἂν ἡ μὲν ἔσω μονὴ κατέπαυσεν εἰς ἀκινησίαν, ἡ δὲ ἐκτὸς, ἐσκέδασέ τε καὶ ταύτῃ διέφθειρεν αὐτό. μέτρια δὲ σβεννύμενον, καὶ μέτρια ἀναπτόμενον, ὡς Ἡράκλειτος ἔλεγεν, ἀεικίνητον οὕτω μένει. ἀνάπτεται μὲν οὖν τῇ κάτω συννεύσει, τῆς τροφῆς ὀρεγόμενον· αἰρόμενον δὲ καὶ πάντῃ σκιδνάμενον, σβέννυται. ἀλλὰ τὴν μὲν ἄνω τε καὶ ἔξω φορὰν, καὶ ὡς ἂν τις εἴποι ἐξάπλωσιν ἀπὸ τῆς ἰδίας ἀρχῆς, διότι φύσει θερμόν ἐστι, κέκτηται· τὴν δ' εἴσω τε καὶ κάτω, τουτέστιν ἐπὶ τὴν ἰδίαν ἀρχὴν ὁδὸν, ὅτι ψυχροῦ τι μετέχει. μικτὸν γὰρ ἐκ θερμοῦ καὶ ψυχροῦ γέγονε. κατὰ μὲν τὸν πρῶτον λόγον τοῦ θερμοῦ, τοῦτ' ἔστιν αὐτοκίνητον αὐτοῦ, καὶ τούτου μάλιστα δεῖται πρὸς τὰς ἐνεργείας· μεγάλην δ' ὅμως αὐτῷ χρείαν καὶ τὸ ψυχρὸν παρέχει. πέφυκε γὰρ τὸ μὲν θερμὸν εἰς ὕψος αἴρεσθαι καὶ συμπεριάγειν αὐτῷ τὴν τροφήν. εἰ δὲ μὴ τὸ ψυχρὸν ἐμποδὼν ἐγένετο, καὶ ἐπὶ μήκιστον προῆκε. γίνεται δ' ἐμποδὼν τὸ ψυχρὸν τῇ τοιαύτῃ τοῦ θερμοῦ κινήσει, ὡς μὴ ἀπόλλοιτο ἐκτεινόμενον. κίνδυνος γὰρ ὑπὸ κουφότητος καὶ τῆς πρὸς τὸ ἄνω ὁρμῆς ἀποστῆναι τῶν σωμάτων αὐτό. ἀλλὰ τὸ ψυχρὸν ἐπέχει τε καὶ κωλύει, καὶ τῆς ἄγαν ταύτης κινήσεως ἀφαιρεῖ τὸ σφοδρόν. ἐπανέλθωμεν οὖν ἐφ' ἅπερ ἐξ ἀρχῆς ὑπεθέμεθα, δεικνῦντες δὴ τί πάθος ἐστὶ τῆς ἐμφύτου θερμασίας τὸ ῥῖγος. ὅτι μὲν γὰρ ἐπειδὰν ἐν τοῖς κατὰ φύσιν ὅροις μένῃ τῆς κράσεως, ὑγιαίνει τὸ ζῶον, οὐ δεῖται λόγου; τουτέστιν ὅταν ὡς Ἱπποκράτης ἔλεγε μετρίως ἔχῃ τὸ θερμὸν καὶ τὸ ψυχρὸν τῆς πρὸς ἄλληλα κράσεως· ἢν δὲ τὸ ἕτερον τοῦ ἑτέρου κρατήσῃ, νοσεῖν ἀνάγκη τὸ ζῶον εἶδος νοσήματος ἐοικὸς τῇ φύσει τοῦ κρατήσαντος αἰτίου. φλεγμοναὶ μὲν οὖν καὶ ἐρυσιπέλατα καὶ ἕρπητες, καὶ ἄνθρακες, καὶ τὰ καυσώδη, καὶ φλογώδη, καὶ πάντα τὰ πυρετώδη πάθη, ὅταν ἡ τοῦ θερμοῦ δύναμις ἐπικρατῇ· σπασμοὶ δ' αὖ πάλιν, καὶ τέτανοι, καὶ παλμοὶ, καὶ νάρκαι, καὶ παραλύσεις, ἐπιληψίαι τε καὶ παραπληγίαι, τοῦ ψυχροῦ κρατοῦντος πάθη. ἕν τι τῶν τοιούτων παθῶν ἐστὶ καὶ τὸ ῥῖγος τουτὶ, οὐχ ἁπλῶς ὂν κατάψυξις, ἀλλὰ συναίσθησις, ὅθεν αὐτῷ δεῖ προσθεῖναι καὶ τὸ, ἀθρόον· ἔτι δὲ σφοδρὰν εἶναι χρὴ τὴν κατάψυξιν καὶ βιαίαν, ὡς εἶναι σαφῶς διοριζόμενον ἀληθεύειν, κατάψυξιν ἀθρόαν καὶ βίαιον εἶναι τὸ ῥῖγος τοῦ ἐμφύτου θερμοῦ. πάλιν γὰρ ὡς ὁ Πλάτων ἔλεγε τὸ μὲν ἠρέμα καὶ κατὰ μικρὸν ἀναίσθητον· εἰ δὲ τὸ αἰσθητὸν, ἀνάγκη τοῦτο μεγάλως κινεῖν, καὶ τρέμειν ἀθρόως. ὥστ' ἐμψύξις, ἡ μὲν ἀναίσθητος, ἐν χρόνῳ πλείονι καὶ κατὰ βραχὺ γένοιτ' ἄν· ἡ δὲ ταχεῖά τε καὶ μεγάλως ἐξαίρουσα, πάντως σὺν αἰσθήσει. οὐδὲ γὰρ ἂν τὸ τοιοῦτον πάθος διαλάθοι. τὸ δὲ τοιοῦτον πάθος σὺν αἰσθήσει τῆς ψύξεως οὐχ ἅπαν ὀδυνηρὸν, ἀλλ' ἔστιν ὅτε καὶ ἥδιστον. ἔλεγε γὰρ αὖ πάλιν ὁ Γλάτων, ὅτι τὸ μὲν παρὰ φύσιν καὶ βίαιον γινόμενον ἀθρόον ἐν ἡμῖν πάθος, ἀλγεινόν· τὸ δὲ εἰς φύσιν ἀπιὸν αὖ πάλιν ἀθρόον, ἡδύ. ὥστε τὸ μὲν ἀθρόον κοινὸν ἀμφοῖν ἡδέος τε καὶ ἀλγεινοῦ, τοῦ μὴ λαθεῖν τὸ πάθος ἕνεκεν ἀναγκαίως ἐζευγμένον· ἐπὶ τούτῳ δὲ τὸ μὲν πρὸς τὸ μὴ λανθάνειν εἰς τὴν φύσιν ἐπανάγον, ἡδύ· τὸ δ' ἐξιστὰν τοῦ κατὰ φύσιν, ἀλγεινόν. ὅθεν ἓν καὶ ταυτὸ

τῷ πλήθει ψυχρὸν, τὸ μὲν ἥσε, τὸ δ᾽ ὠδίασεν. εἰ μὲν ὑπερτεθερμασμένῳ σώματι προσάγοιτο, πάντως ἥσε· τὸ γὰρ ἀμέτρως τῇ θερμασίᾳ πονούμενον, ἐπὶ τῇ τοῦ λείποντος εἰσόδῳ ψυχροῦ παρηγορηθὲν, ἥσθη μὲν, ὅτε παρηγορήθη· τὴν δ᾽ ἑαυτοῦ φύσιν ἔχον ἢν ἀθρόως ἐμψύχοις, ἀνιάσεις, πονήσει γὰρ ἐπὶ τῇ τῆς κράσεως ἀμετρίᾳ, τοῖς γὰρ κατὰ τὴν φύσιν ὡς Ἱπποκράτης ἔλεγε, διαλλασσομένοισι καὶ διαφθειρομένοισιν αἱ ὀδύναι γίνονται. οὐ μόνον οὖν ἀθρόαν χρὴ καὶ σφοδρὰν εἶναι τὴν ψύξιν, ἵνα ῥῖγος γένηται, ἀλλ᾽ ἔτι τούτῳ προσεῖναι δεῖ τὸ βίαιον τοῦ πάθους, τουτέστι τὸ παρὰ φύσιν, ὥστε ἀθρόαν ψύξιν εἰς τὸ παρὰ φύσιν ἄγουσαν, εἶναι τὸ ῥῖγος. καί μοι δοκεῖ τοῦτο χρῆναι διαφυλάττειν ἐν τούτῳ τῷ λόγῳ μάλιστα περὶ τὴν τοῦ πάθους γένεσιν, εἰ μέλλοι τις ἀληθεύειν εἰπὼν, ψύξιν ἀθρόαν καὶ βίαιον ἐν τῷ ῥίγει γίνεσθαι τοῦ ἐμφύτου θερμοῦ. ψύχεται μὲν οὖν καὶ διαφορούμενον, ἐπιλείποντος αὐτὸ τοῦ συνέχοντος τόνου, καὶ τροφῆς ἀπορίᾳ, ὅθεν ἀνήπτετο· ἀλλ᾽ οὐδέτερον τούτων αὐτοῦ τῶν παθημάτων ῥῖγος ἐργάζεται, ἢ πάντες ἂν οἱ ἀποθνήσκοντες ἐρρίγουν. ὥστε τὸ διαφθείρεσθαι τὸ θερμὸν ἑνί γε τρόπῳ κοινὸν ἅπασι τοῖς ἀποθνήσκουσιν· ἀλλ᾽ οὐ ῥιγοῦσιν, οὐ γὰρ ἁπλῶς φημὶ χρῆναι ψύχεσθαι τὸ θερμὸν, ἀλλ᾽ ἀθρόως τε καὶ βιαίως, τουτέστιν ἐρρωμένον αὐτὸ μένον, οὔτε τὴν οὐσίαν οὔτε τὸν τόνον βεβλαμμένον, ὑπό τινος τῶν ἔξω αἰτίων ἀνιᾶσθαι. φλόγα δή μοι νόησον ἐκτὸς, ποτὲ μὲν ἀπορίᾳ τῆς ὕλης ὅθεν ἀνήπτετο, διαφθειρομένην, ποτὲ δὲ ἐν ἡλίῳ λαμπρῷ μαραινομένην, αὖθις δ᾽ ὑφ᾽ ὕδατος πολλοῦ κατασβεννυμένην, ἢ πλήθει ξύλων ἐπ᾽ αὐτῆς σωρευθέντων καταπνιγομένην. τέτταρες αὗται ἐπ᾽ αἰτίοις τέτταρσιν οὐ τὸν αὐτὸν ἅπασαι τρόπον ἀδικοῦσαι τὴν φλόγα. τῆς μὲν γὰρ ἐν ἡλίῳ μαραινομένης ὁ τόνος σκίδναται, βίᾳ τοῦ περιέχοντος διαφορούμενος, ἰσχυροτέρα γὰρ ἡ τῶν ἡλιακῶν ἀκτίνων ῥώμη καὶ διαρκεστέρα τοῦ πυρός· ὅταν δὲ ὕλης ἀπορῇ, μηκέτι ἀνάπτηται, τῆς οὐσίας ἀπολλυμένης, διαφθείρεται. τὸ μὲν γὰρ ἀναφθὲν, ἀεὶ διαφορεῖται κατὰ τὴν ἔξω κίνησιν· ἔσω δὲ νεύουσα τοῦ τραφῆναι χάριν, εἶτ᾽ ἀποροῦσα τοῦ θρέψοντος, ἀσθενῶς οὕτω τὸ δεύτερον ἀποτείνεται. ὕλης δὲ πλήθει βαρυνθεῖσα καὶ τῆς ἀναπνοῆς στερηθεῖσα, πνίγεται. ἐπὶ δὲ τῆς ἀφ᾽ ὕδατος βλάβης, οὐδὲ λόγου δεῖ· μάχη γὰρ ἰσχυρὰ φλογὶ πρὸς ἅπασαν εἰλικρινῆ τε καὶ πολλὴν ὑγρότητα, ὡς εἰ καὶ τοὔλαιον αὐτῇ προσάγῃς ἀθρόον, ἀνάγκη ψόφον καὶ σεισμόν τινα γενέσθαι, μονονουχὶ φωνῇ τοῦ πυρὸς ἐνδεικνυμένου τὸ βίαιον. τοιοῦτον δή τι πάθος περὶ τὴν ἔμφυτον θερμασίαν νόει τὸ ῥῖγος. οὔτε γὰρ ὅταν δι᾽ ὕλης ἔνδειαν ἀτροφοῦν τὸ θερμὸν μαραίνηται, οὔθ᾽ ὅταν ὑπὸ τοῦ πλήθους αὐτῆς βαρυνόμενον, οὔθ᾽ ὅταν ἀρρωστῆσαν ὀκλάζῃ, ῥῖγος εὑρήσεις γινόμενον, ἀλλ᾽ ὅταν ἰσχυρὸν ὂν ἀποτείνεσθαι δυνάμενον, εἶτα κωλύηται. δι᾽ αὐτὸ γὰρ τοῦτο καὶ τὸ κλονεῖσθαι τῷ σώματι συμβέβηκε, διπλῆς κἀνταῦθα καὶ συνθέτου κινήσεως γινομένης, ὡς ἐπὶ τῶν τρεμόντων, ἕτερον γὰρ τρόπον. ἐκεῖ μὲν γὰρ ἀσθενείᾳ τῆς κινούσης τὸ σῶμα δυνάμεως ἡ μικτὴ κίνησις ἐγίνετο, καθ᾽ ὅσον μὲν ἐνδῷ τοῦ τόνου διαιροῦσα τὸ κῶλον, ὑπορρέοντος ἀεὶ τοῦ μέρους εἰς τὸ κάτω· νυνὶ γὰρ τῆς φυσικῆς

A mero frigidum, partim oblectat, partim dolore infert; si quidem corpori præter modum calefacto admoueatur, omnino oblectat; nam immoderato calore laborans, per deficientis frigidi ingressum mitigatum, oblectatur quidem quum mitigatur: suam autem naturam obtinens, si celeriter & confertim refrigeres, dolore afficies; nam ob temperamenti immoderationem laborabit. Nam, vt ait Hippocrates, *quibus natura alteratur, corrumpiturque, dolores fiunt.* Non solùm igitur celerem, & vehementem frigiditatem esse oportet, vt rigor oboriatur, B sed adiicienda huic adhuc est violentia affectionis, hoc est, præter naturam status; vt rigor sit subita perfrictio in statum præter naturam perducens. Atque hoc mihi obseruandum in hoc sermone videtur, præsertim si de affectus generatione vera quis pronunciaturus est, vbi dixerit, in rigore subitam violentamque natiui caloris perfrictionem fieri. Refrigeratur itaque etiam quum dissipatur, robore quod continet ipsum, destituente; item alimenti, à quo accendebatur, penuria; sed neuter horum affectuum rigorem efficit; aut omnes, qui moriuntur, ri- C gerent. Quapropter corrumpi calidum, vt ita dicam, omnibus morientibus commune est, non tamen rigent; non enim absolutè calidum refrigerari oportere assero, sed & subitò & violenter, hoc est, robustum ipsum perseuerans, neque substantia neque tenore læsum, ab exteriorum causarum aliqua infestari. Considerato mihi flammam extrinsecus, interdum materiæ vnde accendebatur, penuria interire; interdum in Sole splendido cōtabescere, ac emori; rursus ab aqua multa extingui, aut lignorum D super eam cumulatim iniectorum copiâ suffocari; quatuor hæc *accidentia*, quatuor de causis, non eodem omnia modo, flammam afficiunt. Eius enim quæ in Sole contabescit, robur dissipatur, aëris nos ambientis violentia discussum; nam radiorum Solis robur igne fortius est, & durabilius. Quum verò materiæ penuria non ampliùs accenditur, substantiâ deperditâ, interit; quod enim accensum est, semper in motu ad exteriora discutitur dissipaturque, intro autem inclinans alimenti accipiendi gratia, dein- E de eo alimento destituta, imbecilliter adeò secunda vice porrigitur. Materiæ autē copia grauata, & respiratione destituta strangulatur. De noxa autem quæ ab aqua prouenit, manifestiùs est, quàm vt verbis indigeat; pugna enim valida flammæ est aduersus omnem sinceram & multam humiditatem, vt si & oleum ipsi cumulatim exhibeas, necessum sit, strepitum & concussionem quandam oboriri, igne propemodum voce violentiam fatente. Talem sanè affectum in calore insito, rigorem intelligito; neque enim, quum materiæ inopia calidum laborans nec alimentum sentiens contabescit, nec F quum à copia ipsius grauatum, nec quum imbecille labascit, rigorem fieri deprehendes; sed quum validus existit adeo, vt expandi possit, deinde prohibetur. Propter hoc ipsum etiam concuti corpus accidit, duplici hic quoque & composito motu oborto, vt in trementibus, sed diuersa ratione. Illic etenim facultatis corpus mouentis imbecillitate, mixtus motus ortus est, prout robur membrum erigens remiserit, parte semper deorsum sublabente, nunc autem naturali

rali caloris motu vi impedito, rigor occurrit. Cupit etenim, vt pote nec substantia nec robore oblæsus, expandi & in omnes corporis partes distribui; prohibitus autem & vi in altum repulsus, ad proprium principium refugit; quum autem ibidem manere nequeat (nam substantiæ semper mobili, loco consistere mors est) sese colligens & veluti in vnum congregans, æquabiliter sanè non intrò libero motu protenditur; sed vehementi latione vtens & veluti à carceribus exiliens, nonnunquam insurgit aduersus ea, quę motũ ipsius prohibent; illa sanè propellere, vias autem sibi puras reddere contendens. At in ea impingens, à latione sanè impetuosa cohibetur, totum autem corpus, eo incursu perturbat. Nam præter alia etiam vaporosus nunc redditus, dum illiditur in ea, quæ obsistunt, intro rursus resilit, ceu ictu repercussus, ac iterum ad principium reuertitur; inde rursus erumpens incidit violentiùs, iterumque resilit etiam ab hoc incursu; idque frequenter per successionẽ fit, quamdiu noxia perseuerant. Hac itaque ratione affectus dolorificus, quippe corpore ex ictibus laborante, & motus inæqualiter inuadit, & in vtroque motu animal riget. Nam quum in naturali statu erat, connatus noster calor æqualibus & liberis transituum viis vtebatur; tempore & mensura motûs in se inclinans, deinde se explicans; quum autem riget, motus ipsi neque inclinationes neque explicationes existũt; iustiùs autem dixeris ipsum intrò quidem proficiscentem (vtar autem non meis, sed veterum virorum vocabulis) resilire, impelli, reprimi, & concurrere; foras autem tendentem, erumpere, excuti, elabi, & exilire. Etenim & hæ vetustiorum hominum dictiones sunt, omnes rectè prolatæ & affectum accidentem, quàm licet maximè, manifestò interpretantes. Concuti autem, dico, omnia in corpore, & agitari, turbarique; ac omnis in rigore motus inæqualis, inordinatus, citra voluntatem eueniens, ob inæqualem, validum, & violentum illapsum, inuasionemque, & repulsum caloris insiti, vaporosi redditi, perficitur. Idcirco corpus post rigores ampliùs recalescit, quam quum in naturali statu calidum erat. Iam effunduntur etiam sudores. Quum enim per multos insultus noxia liberè propulerit, & absolutè respirauerit, tribus de causis corpus incalescere necesse est; primùm, quòd frequenter calor à perspiratu exteriori repressus, in alto colligitur; deinde, quòd nunc totus foras vehementer expansus est; postremò, quòd calor insultu, ictu, violentoque motu accendi soleat. Ac lignum aut lapidem confricans, nonnunquam ignem accendes; at insitus spiritus, quum natura sit calidus, si vehementer moueatur, non multò magis accendetur? Sed hoc in naturalibus motibus euidenter videre licet; nam currentes homines, luctantes, confricantesque se ac alio quodam modo mouentes, nihilo minus incalescunt, quã si quis in Sole æstiuo, & apud ignem incaluerit. Sæpe sanè & in huiusmodi ex alto reditu, calor veluti feruens aliquid humorum confertim effundit, quod nempe sudorem appellamus. Quocirca *post rigorem, refrigeratum non recalefieri iterum, malum est*; nam calor inter pugnandum victus est. Vincitur autem, nunc causæ lædentis robore, nunc quum ipse est imbecillior. Sic ita-

A τοῦ θερμοῦ κινήσεως ἰσχομένης βίᾳ, ὁ ῥῖγος ἀπαντᾷ. βούλεται μὲν γὰρ ἅτε μήτε τὴν οὐσίαν μήτε τὸν τόνον βεβλαμμένον, ἀποτείνεσθαί τε καὶ πάντῃ τοῦ σώματος φέρεσθαι· κωλυόμενον δὲ καὶ βίᾳ συνωθούμενον εἰς τὸ βάθος, ἐπὶ τὴν ἰδίαν ἀρχὴν καταφεύγει. μένειν δὲ ἐνταῦθα μὴ δυνάμενον (ἀεικινήτῳ γὰρ οὐσίᾳ τὸ στῆναι θάνατος) ἀθροῖσαν ἑαυτό, καὶ οἷον συνεσπειραμένον γεγονός, ὁμαλῶς μὲν οὐκ ἔσω τὴν ἀβίαστον ἀποτείνεται· σφοδρᾷ δὲ τῇ φορᾷ χρώμενον καὶ οἷον ἀπὸ ὕσπληγος ἐξαλλόμενον, ἐνίοτε ἐνίσταται τοῖς ἐνισταμένοις αὐτοῦ τῇ πρόσω κινήσει, διώσασθαι μὲν ταῦτα, καθαρὰς δὲ αὑτῷ τὰς ὁδοὺς ἀπεργάσασθαι σπεῦδον. προσκροῦον δ' αὐτοῖς, ἐπέχεται μὲν ἐξ ἀνάγκης τῆς
B ῥοιζώδους φορᾶς, ἐκλόνησε δὲ κατὰ τὴν ἔμπτωσιν ὅλον τὸ σῶμα. τά τε γὰρ ἄλλα καὶ ἀτμῶδες νῦν γεγονός, ἐν τῷ προσκρούειν τοῖς ἐνισταμένοις εἴσω πάλιν ἀποπάλλεται, πληγῇ τι πάσχον ἐοικός· ἐπὶ δὲ τὴν ἀρχὴν ἀνέρχεται τὸ δεύτερον· ἐντεῦθεν δὲ πάλιν ὁρμηθέν, ἐμπίπτει βιαιότερον, αὖθις δ' ἀποπάλλεται καὶ κατὰ τήνδε τὴν ἔμπτωσιν· καὶ τοῦτο πολλάκις ἐκ διαδοχῆς γίνεται, ἐφ' ὅσον μένει τὰ λυποῦντα. ὀδυνηρόν τε οὖν ταύτῃ τὸ πάθος, ἅτε τοῦ σώματος ταῖς πληγαῖς πονοῦντος, ἥ τε κίνησις ἀνωμάλως ἐπάγουσα καὶ ἀμφοτέρας τὰς κινήσεις τὸ ζῷον. ἐν μὲν γὰρ τῷ κατὰ φύσιν ἔχειν, τὸ συγγενὲς ἡμῶν θερ-
C μὸν ὁμαλέσι τε καὶ ἀκωλύτοις ταῖς διεξόδοις ἐκέχρητο, καιρῷ καὶ μέτρῳ κινήσεως εἰς αὑτὸ συννεῦον, εἶτ' ἐξαπλούμενον· ἐν δὲ τῷ ῥιγοῦν, οὔτε συννεύσεις οὔτ' ἐξαπλώσεις αἱ κινήσεις εἰσί, δικαιότερον δ' ἂν φαίης εἴσω μὲν ἰὸν αὐτὸ (χρήσομαι δὲ ὀνόμασιν οὐκ ἐμοῖς, ἀλλ' ἀνδρῶν παλαιῶν) καταπάλλεσθαί τε καὶ συνωθεῖσθαι καὶ ἀνασέλλεσθαι καὶ συντρέχειν, ἔξω δὲ φερόμενον ἐκρήγνυσθαί τε καὶ ἐνσείεσθαι καὶ ἐκπίπτειν καὶ ἐξάλλεσθαι. καὶ γὰρ αὖ καὶ ταῦτα παλαιῶν ἀνδρῶν ὀνόματα, καλῶς ἅπαντα κείμενα, καὶ τὸ συμβαῖνον πάθος, ὡς ἔνι μάλιστα, σαφῶς
D ἑρμηνεύοντα. τὸ κλονεῖσθαι δέ φημι, πάντα τὰ ἐν τῷ σώματι, καὶ τὸ σείεσθαι, καὶ τὸ βράττεσθαι, καὶ πᾶσα ἡ κατὰ τὸ ῥιγοῦν ἀνώμαλός τε καὶ ἄτακτος καὶ ἀβούλητος κίνησις ἐπὶ τῆς ἀνωμάλοις τε καὶ σφοδραῖς καὶ βιαίοις ἐμπτώσεσί τε καὶ ἀποπάλσεσι τῆς ἐμφύτου θερμασίας ἀτμώδους γεγενημένης, ἐπιτελεῖται. διὰ τοῦτο ἐπὶ τοῖς ῥίγεσιν ἀναθερμαίνεται πλέον τὸ σῶμα, ἢ ὅτε κατὰ φύσιν ἔχον, θερμὸν ἦν. ἐκχέονται δὲ καὶ ἱδρῶτες. ὅταν γὰρ κατὰ πολλὰς ἐμπτώσεις διώσηται ἀκωλύτως τὰ λυποῦντα καὶ τελέως ἀναπνεύσῃ, διὰ τρεῖς αἰτίας ἀνάγκη τὸ σῶμα θερμανθῆναι, ὅτι τε πολλάκις ἀποκλεισθὲν τὸ θερμὸν τῆς
E ἔξω διαπνοῆς, ἠθροίσθη κατὰ τὸ βάθος· ὅτι τε νῦν ἔξω πάντῃ ἐτάθη σφοδρῶς· καὶ τρίτον ὅτι ταῖς ἐμπτώσεσι καὶ πληγαῖς καὶ βιαίοις κινήσεσιν ἀνάπτεσθαι πέφυκεν ἡ θερμασία. καὶ ξύλον μὲν ἢ λίθον παρατρίβων, ἐξάψεις ποτὲ πῦρ· τὸ δὲ ἔμφυτον πνεῦμα, φύσει θερμὸν ὑπάρχον, ἐὰν σφοδρῶς τύχῃ κινηθέν, οὐ πολὺ μᾶλλον ἐξαφθήσεται; ἀλλὰ τοῦτο κἀπὶ τῶν κατὰ φύσιν κινήσεων ἐναργῶς ἐστιν ἰδεῖν, ὡς δραμόντες ἄνθρωποι, καὶ διαπαλαίσαντες, καὶ τριψάμενοι, καί πως ἄλλως κινηθέντες ἐθερμάνθησαν οὐδὲν ἧττον, ἢ εἴ τις ἐν ἡλίῳ θερινῷ καὶ παρὰ πυρὶ θαλφθείη. πολλάκις δὴ καὶ
F κατὰ τὴν τοιαύτην ἐκ τοῦ βάθους ἐπάνοδον, οἷον ζέον τὸ θερμόν, ἀποχεῖ τι τῶν ὑγρῶν ἀθρόον, ὃ δὴ καλοῦμεν ἱδρῶτα. διὰ τοῦτο ἐπὶ ῥίγει ψυχθέντα μηκέτι ἀναθερμανθῆναι, πονηρόν, ἡττήθη γὰρ ἐν τῇ διαμάχῃ τὸ θερμόν. ἡττᾶται δέ, ποτὲ μὲν τῇ ῥώμῃ τοῦ λυποῦντος αἰτίου κρατηθέν, ποτὲ δὲ αὐτὸ τυγχάνον ἀσθενέστερον. οὕτω γοῦν

εἴρηται κἀκεῖνο. αἱ ἐκ ῥίγεος καταψύξιες μὴ ἀναθερμαινόμεναι, κακόν. αὖθις δὲ τὰς διαθέσεις ἑκατέρας ἐφ' αἷς ὀλέθρια γίνεται ῥίγη, διδάσκων ἐρεῖ. ἐπ' ὀμμάτων διαστροφῇ, πυρετῷ κοπιώδει, ῥῖγος, ὀλέθριον. τοῦτο μὲν δὴ τὸ ῥῖγος ἰσχυρᾶς αἰτίας ἔκγονον· ἕτερον δὲ δι' ἀρρωστίαν δυνάμεως ὀλέθριον. ἢν ῥῖγος ἐμπέσῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενέος ἐόντος, θανάσιμον. ἀλλὰ περὶ μὲν τούτων ἐπὶ πλέον ἑτέρωθι λέγεται.

que & illud dictum est; *Ex rigore perfrigeratio non recalescens, malum.* Rursus affectiones vtrasque, ob quas rigores fiunt exitiales docens, inquit, *Post oculorum peruersionem in febre laboriosa, rigor perniciosus.* Hic sanè rigor vehementis causæ soboles est; aliùs autem propter facultatis imbecillitatem, lethalis; *Si rigor incidat febre non intermittente, ægro iam debili, lethale.* Verùm de his alibi vberius dicetur.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τὸ ψυχρὸν μόνον τοῦ ῥίγους αἴτιον οὐκ εἶναι.

ΤΟ δὲ νῦν ἐστι σκεπτέον, εἰ δικαίως ἀναφέρουσιν ἅπαντες σχεδὸν αἰτίῳ ψυχρῷ τὸ ῥῖγος. ὅτι μὲν γὰρ ψυχρὸν τὸ πάθος, ἐναργές· εἰ δὲ καὶ τὸ δρῶν αὐτὸ τοιοῦτον, ἄξιόν μοι δοκεῖ σκέψεως εἶναι. τριταίου γοῦν ἀκριβοῦς, εἴπερ τι καὶ ἄλλο, ῥῖγος γνώρισμα. συμβάλλουσι γὰρ οἱ παροξυσμοὶ ῥίγεσι σφοδροῖς, καίτοι τόν γε πυρετὸν τοῦτον, οὐκ ἄν τις οὐδὲ μαινόμενος ἐπὶ ψυχρῷ φαίη συνίστασθαι χυμῷ· καύσου γάρ ἐστι τῷ γένει, τοσοῦτον ἀποδέων θατέρου καύσου τοῦ συνεχοῦς, ὅσον διαλείπει τὸ θερμὸν τοῦ πυρετοῦ καὶ φλογῶδες καὶ περικαές. τὸ δὲ ἄπαυστον δίψος, ἥ τε τῆς ἐμψύξεως ἐπιθυμία, τό, τ' ἐμεῖν ἀκράτου χολῆς, καὶ ῥαστωνεῖν τοῖς γ' ἐμέτοις, πῶς οὐκ εἰσὶν ἅπαντα φανερῶς ἐπὶ τῷ θερμῷ πλεονάζοντι; πῶς οὖν ῥιγοῦσιν ἐν τριταίοις; πῶς δ' ἐν καύσοις πυρετοῖς τοῖς συνεχέσιν, εἰ μὴ διαλείποντες, ἀλλ' ἀεὶ καίοντες ἔγκεινται, ῥῖγος ἐπιγίνεται, καὶ κριτικόν γε πυρετοῦ; ὑπὸ καύσου γάρ, φησιν, ἐχομένῳ, ῥίγεος ἐπιγινομένου, λύσις. ἀλλὰ καὶ δριμὺ καὶ θερμὸν φάρμακον ἕλκει προσαχθέν, ὠδύνησε μὲν τὰ πρῶτα, φρίκην δ' αὖθις, εἶτ' ἐπ' αὐτῇ ῥῖγος ἐργάζεται, καὶ πολλοὺς ἴσμεν ῥιγώσαντάς τε καὶ πυρέξαντας ἐφ' ἕλκεσιν ἐρεθισθεῖσιν ὑπὸ δριμέων φαρμάκων. ἀλλὰ καὶ φλεγμονῆς εἰς ἀπόστημα τρεπομένης ἀνάγκη ῥῖγός τε καὶ φρίκην συνεδρεῦσαι. πολλῶν δ' ἄν σε καὶ ἄλλων ἀνέμνησα διαθέσεων, ἐφ' ὧν ἐναργῶς ἐπὶ δριμεῖ μᾶλλον ἢ ψυχρῷ χυμῷ συνίσταται ῥῖγος, εἰ μὴ τοῦ λόγου τὸ μῆκος ἔφυγον. μὴ τοίνυν τῷ ψυχρῷ μόνῳ βιαζόμενοι τὸ ῥῖγος ἀναφέρωμεν, ἐπεὶ καὶ φοβερὸν ἄκουσμα καὶ θέαμα φρίκην τε καὶ ῥῖγος ἐργάζεταί ποτε. τοῦτο μέν γε καὶ Πλάτων ἐγίνωσκεν, οὐ μόνον Ἱπποκράτης. διαλεγόμενος οὖν ὑπὲρ τῶν ἐπὶ χολῇ ξανθῇ γινομένων νοσημάτων, ἐμνημόνευσε καὶ ῥίγους. ὅθεν ἄλλων τε πολλῶν χάριν ἐπέρχεταί μοι θαυμάζειν τῶν μετὰ ταῦτα γενομένων ἰατρῶν, κἀν τοῖς περὶ τοῦ ῥίγους λόγοις οὐχ ἥκιστα. πῶς γὰρ οὐ δεινόν, εἰ Πλάτων μὲν οὐκ ὢν ἰατρὸς οὐκ ἠγνόησεν, ὅτι καὶ διὰ χολὴν γίνεταί ποτε ῥῖγος, ἐξευρεῖν τε τὴν αἰτίαν ἐσπούδασεν· οἱ δὲ τοσοῦτον ἀποδέουσι τοῦ τὸ πάντη γινώσκειν, ὥστ' οὐδ' ὅτι καὶ διὰ χολήν, καὶ διὰ δριμὺν ὁντιναοῦν χυμὸν ῥῖγος γίνεται, ἐπίστανται. ἀλλ' ἄπορον ἐξευρεῖν τὴν αἰτίαν, ὅπως ἐπὶ δριμεῖ τε καὶ θερμῷ χυμῷ συνίσταται πάθος ψυχρόν. ἴσως μὲν οὐκ ἄπορον, εἴ γε μηδὲ Πλάτων ἠπόρει· πολὺ δ' οὖν ἦν ἄμεινον, εἴπερ ὄντως ἐστὶν ἄπορον, οὐκ ἀνατρέπειν ἐπιχειρεῖν τὸ πρᾶγμα φαινόμενον ἐναργῶς, ἀλλὰ τῆς αἰτίας ὁμολογῆσαι τὴν ἄγνοιαν. τὸ δ' ἀναιρεῖν τὸ φαινόμενον, ὅμοιόν ἐστι τῷ μηδ' ὁρᾶν ἡμᾶς ὁμολογεῖν, ὅτι μὴ γινώσκομεν ὅπως ὁρῶμεν. οὐκοῦν ὅτι μὲν οὐδὲν ἧττον ἐπὶ δριμεῖ τε καὶ θερμῷ

CAPVT VII.

Frigus solum, rigoris causam non esse.

IN præsentia verò considerandum venit, num meritò omnes fere rigorem frigidæ causæ attribuant. Quòd enim frigidus affectus sit, cuius constat; an autem & causa ipsius efficiens talis existat, inspectione mihi dignum videtur. Tertianæ igitur exquisitæ, si quid aliud, certè rigor nota est; nam accessiones vnà cum vehementibus rigoribus inuadunt, etsi febrem hanc nemo vel insanus ex frigido constitui humore dixit. Causus enim est genere, tanto altero causo continuo inferior, quãto calor febris & flammeus & perurens intermittit. Sitis autẽ assidua, & refrigerii desiderium, bilis meræ vomitus, & quòd post vomitiones æger melius habet, quomodo non sunt omnia manifestè ob calorem redundantem? Quomodo igitur rigent in tertianis? quomodo in causis continuis, si non intermittentes, sed perpetuò vrentes affligunt, rigor superuenit, & febrem per crisim soluit? *Causo nanque laboranti*, ait *Hippocrates*, *si rigor superuenerit, morbus soluitur.* Imò acre & calidum medicamentum vlceri admotum, primùm sanè dolorem infert, mox horrorem, deinde rigorẽ excitat, ac multos nouimus tum riguisse, tum febricitasse, ob vlcera ab acribus medicamentis irritata. Sed & inflammationem, quum in abscessum mutatur, rigorem horroremque comitari necesse est. Multarum verò & aliarum affectionum mentionem facerem, in quibus rigor ob acrem potius, quàm frigidum humorem, clarè constituitur, nisi sermonis prolixitatem vitarem. Ne igitur frigido soli coacti rigorem tribuamus; quoniam & horrendum aliquid auditu & spectatu nõnunquam & rigorem & horrorem facit. Hoc sanè & Plato, non tantùm Hippocrates, sciebat. Quum igitur de morbis, qui ob flauam bilem fiunt, dissereret, rigoris etiam meminit; vnde tum aliorum multorum gratia mirari subit medicos post illum natos, tũ in sermonibus de rigore maximè. Quomodo enim non graue est, si Plato non medicus nouit etiam ex bile nonnunquam fieri rigorem, causamq; inuenire studuit, hi autem tantũ ab huius cognitione omnino absunt, vt ne ex bile quidẽ & acri quodam humore excitari rigorem sciãt? Sed difficile est causam inuenire, quomodo ob acrem calidumque humorem frigidus affectus constituatur; forsan autem difficile non est, siquidem nec Plato dubitauit; multò autem sanè satius erat, si re vera difficile est, non euertere conari rem euidenter apparentem, sed causæ ignorantiam fateri: tollere autem id quod apparet, simile est ac si fatearis ne videre quidem nos, eo quòd ignoremus quomodo videamus. Quòd igitur nihilominus ob acrem & calidum humo-

humorem, quàm frigidum & congelantem, rigor excitatur, longè verissimum est; deinde inspiciendum est, num frigidum aut acre simpliciter abundare oporteat, vt rigorem possit excitare; posteà autem illud multis incertum definiemus; neque enim simpliciter frigido humore redundante, neque simpliciter acri, rigor oritur. Sed de frigido sanè superiùs manifestò ostendi, quum in memoriam reuocarem omne quod œdema, torporem, paralysin, & aquam subter cutem repræsentat. De calido autem & acri nunc tibi indicabo; nam cacochymi, arquati, & febricitantes acutè, causóque occupati, omnes rigerent. Neque igitur simpliciter aut frigidum humorem aut acrem ad rigoris generationem abundare oportet; sed peculiarem vtrique ipsorum modum esse oportet. Erit autem modus (neque enim totum sermone persequi veri studiosis detrectandum est) aut copiæ mensura, aut humoris qualitas, aut locus aliquis corporis, in quo hunc colligi oportet; erit autem & in quo loco manet aut mouetur, & in motus modo, haud parua differentia. Ad has igitur ipsas Plato quoque respiciens dicebat, *Quum fibræ in sanguine hanc sanè vim habeant, bilis natura vetus sanguis facta, ac rursus ex carnibus in hunc liquata, calida & humida paulatim primùm incidens, propter fibrarum facultatem congelatur; congelascens autem, & vi restincta, hyemem tremoremque intus parit; copiosior autem influens, caliditate, quæ ab ea venerat, fibras exuperans, præterque modum exæstuans, conseruat.* In his Plato omnia conatus est persequi, quæ in omnibus affectus generibus scire conuenit. Nam speciem humoris dixit, bilem ipsum nominans; indicauit & qualitatem, calidam & humidam appellans; vnde etiam huiusmodi bilis exoriatur, nam ex carne liquescente ipsam fieri potulit; iam & locum in quem fluit, adiecit, ex eo quòd indicat bilem influentem à fibris in sanguine contentis concrescere; huic orationi etiam affectus generatio adiuncta est, vbi hyemem tremoremque fieri pronunciauit; hyemem sanè nominãs, frigiditatis in rigoribus sensum; tremorem autem, inæqualem concussionem & agitationem, in qua non hunc modò, sed etiam medicorum plerosque hallucinatos dicimus. Nos enim superiùs motum in tremore obortum, ab eo, qui in rigore accidit, distinximus. Quum igitur, ait, copiosior influens fibras euicerit, corpus excalefacit, ad suam ipsius vim fibras transmutans vice versa, vt ipsa priùs ab illis mutabatur. De veritate igitur eorum, quæ Plato dixit, considerare propositum nunc non est, quum in aliis commentariis simus tractaturi, sententiamque laturi de iis, quæ in Timæo memoriæ mandauit. Quòd autem nihil omiserit eorum, quæ dici conueniebat ab illis, qui de rigore pronunciãt, id iam ex verbis ipsius apparet. Etenim humorem dixit, à quo rigor nascitur, & locũ in quem fluit, motusque speciem; præterea modum quo refrigeratur & rursus incalescit corpus. Itaque de Platonis opinione in expositione eorum, quæ ipse in Timæo medicè prodidit, examinabimus. Nunc autem nostram proferimus sententiam, accommodantes ea, quæ ex Hippocratis opinione paulò antè dicta sunt. Etenim calidorum medicaminum applicationibus nonnunquã solus horror, sæpe & rigor superuenit;

χυμῷ γίνοιτ᾽ ἂν ῥῖγος, ἢ ὡς ἐπὶ ψυχρῷ τε καὶ πηγνύντι, παντὸς μᾶλλον ἀληθές. εἶτα σκοπεῖν, εἰ ἁπλῶς τὸ ψυχρὸν ἢ τὸ δριμὺ πλεονάζειν χρὴ, εἰς τὸ δυνηθῆναι ῥῖγος ἐργάσασθαι. ἐφεξῆς δὲ τοῦτο διορισόμεθα πολλοῖς ἀγνοούμενον, οὔτε γὰρ ἁπλῶς ψυχροῦ χυμοῦ πλεονάζοντος, οὔθ᾽ ἁπλῶς δριμέος γίνεται ῥῖγος· ἐπὶ μὲν ποι τοῦ ψυχροῦ σαφῶς ἔμπροσθεν ἔδειξα, τὸ οἰδηματῶδες ἅπαν καὶ τὸ ναρκῶδες, καὶ τὸ παράλυτον καὶ τὸ ὑδερῶδες ἀναμνήσας· ἐπὶ δὲ τοῦ θερμοῦ τε καὶ δριμέος νυνὶ ἐπιδείξω σοι· κακόχυμοι γὰρ ἂν ἰκτερικοί τε καὶ πυρέττοντες ὀξέως καὶ καυσούμενοι πάντες ἐρρίγουν. οὔτ᾽ οὖν ἁπλῶς χρὴ πλεονάζειν ἢ ψυχρὸν χυμὸν ἢ δριμὺν, πρὸς ῥίγους γένεσιν· ὑπάρχειν δὲ αὐτῶν ἀναγκαῖον ἑκατέρῳ τρόπον ἴδιον. εἴη δ᾽ ἂν ὁ τρόπος (οὐ γὰρ ἀποκνητέον ἐπὶ πᾶν ἰέναι τῷ λόγῳ τοῖς τῆς ἀληθείας ἐρῶσιν) ἢ τὸ τοῦ πλήθους μέτρον, ἢ ἡ τοῦ χυμοῦ ποιότης, ἢ τὶς τόπος τοῦ σώματος ἐν ᾧ χρὴ τοῦτον ἀθροίζεσθαι· γίνοιτο δ᾽ ἂν καὶ περὶ τὸ μένειν ἢ κινεῖσθαι, καὶ περὶ τὸν τρόπον τῆς κινήσεως, οὐ μικρὰ διαφορά. εἰς ταύτας οὖν αὐτὰς καὶ Πλάτων ἀφορῶν, ἔλεγε· ταύτην δὴ τὴν δύναμιν ἐχουσῶν ἰνῶν ἐν αἵματι, χολὴ φύσει παλαιὸν αἷμα γεγονυῖα, καὶ πάλιν ἐκ τῶν σαρκῶν εἰς τοῦτο τετηκυῖα, θερμὴ καὶ ὑγρὰ κατ᾽ ὀλίγον τὸ πρῶτον ἐμπίπτουσα, πήγνυται διὰ τὴν τῶν ἰνῶν δύναμιν· πηγνυμένη δὲ καὶ βίᾳ κατασβεννυμένη χειμῶνα καὶ τρόμον ἐντὸς παρέχει. πλείων δ᾽ ἐπιρρέουσα, τῇ παρ᾽ αὐτῆς θερμότητι κρατήσασα τὰς ἶνας, εἰς ἀταξίαν ζέσασα, διέσωσεν. ἐν τούτοις ὁ Πλάτων ἅπαντ᾽ ἐπειράθη διελθεῖν, ὅσα χρὴ γινώσκειν ἐν ἅπασι γένεσι πάθους. τό γε γὰρ εἶδος τοῦ χυμοῦ εἶπε, χολὴν ὀνομάσας αὐτόν· ἐδήλωσε δὲ καὶ τὴν ποιότητα, θερμὴν καὶ ὑγρὰν εἰπών· ὅθεν τε ἡ γένεσίς ἐστι τῇ τοιαύτῃ χολῇ, τηκομένης γὰρ ἔφη γίνεσθαι σαρκὸς αὐτήν. ἀλλὰ καὶ τὸν τόπον εἰς ὃν ῥεῖ, προσέθηκεν, ἐκ τοῦ δηλοῦσθαι πήγνυσθαι τὴν ἐπιρρέουσαν χολὴν ὑπὸ τῶν περιεχομένων ἰνῶν κατὰ τὸ αἷμα· τούτῳ δὲ τῷ λόγῳ συνῆπται καὶ ἡ τοῦ πάθους γένεσις, ἐν ᾧ χειμῶνα καὶ τρόμον ἔφη γίνεσθαι, χειμῶνα μὲν ὀνομάσας, τὴν ἐν τοῖς ῥίγεσιν αἴσθησιν τῆς ψύξεως, τρόμον δὲ, τὸν ἀνώμαλον σεισμόν τε καὶ κλόνον, ἐν ᾧ φαμὲν οὐ τοῦτον μόνον, ἀλλὰ καὶ τῶν ἰατρῶν πολλοὺς ἐσφάλθαι. διώρισται γὰρ ἡμῖν ἔμπροσθεν ἡ κατὰ τὸν τρόμον γινομένη κίνησις, τῆς κατὰ τὸ ῥῖγος. ὅταν οὖν, φησι, νικήσῃ τὰς ἶνας ἐπιρρέουσα πλείων, ἐξεθέρμανε τὸ σῶμα πρὸς τὴν ἑαυτῆς δύναμιν ἀντιμεταβάλλουσα τὰς ἶνας, ὡς αὐτὴ πρότερον ὑπ᾽ ἐκείνων μετεβάλλετο. περὶ μὲν οὖν τῆς ἀληθείας ὧν εἶπεν ὁ Πλάτων, οὐ πρόκειται νῦν ἐπισκέπτεσθαι, μελλόντων γε ἡμῶν ἐν ἑτέροις ὑπομνήμασιν ἐξηγεῖσθαί τε ἅμα καὶ κρίνειν ἃ κατὰ τὸν Τίμαιον εἶπεν· ὅτι δ᾽ οὐδὲν παρέλιπεν, ὧν ἐχρῆν λέγεσθαι τοῖς ἀποφαινομένοις περὶ ῥίγους, τοῦτο ἤδη πέφηνεν ἐκ τῆς ῥήσεως αὐτοῦ. καὶ γὰρ τὸν χυμὸν εἶπεν, ὑφ᾽ οὗ γίνεται τὸ ῥῖγος, καὶ τὸν τόπον, εἰς ὃν ῥεῖ, καὶ τὸ τῆς κινήσεως εἶδος, ἔτι τε τὸν τρόπον καθ᾽ ὃν ψύχεταί τε καὶ αὖθις ἐκθερμαίνεται τὸ σῶμα. περὶ μὲν οὖν τῆς Πλάτωνος δόξης (καὶ τῆς) κατὰ τὴν ἐξήγησιν τῶν ἐν τῷ Τιμαίῳ γεγραμμένων ἰατρικῶς, ἐπισκεψόμεθα· νυνὶ δὲ τὴν ἡμετέραν ἀποφαινόμεθα γνώμην, ἐπιδιαρθροῦντες ὅσα κατὰ τὴν Ἱπποκράτους δόξαν ὀλίγον ἔμπροσθεν εἴρηται. ταῖς γὰρ τῶν θερμῶν φαρμάκων ὁμιλίαις, ἐνίοτε μὲν φρίκη μόνη, πολλάκις δὲ καὶ ῥῖγος ἐπιγίνεται,

καθάπερ ἐν καύσοις τε καὶ τριταίοις πυρετοῖς κινουμένης τῆς ξανθῆς χολῆς, οὐκ ἐν ταῖς κοιλότησι τῶν ἀγγείων, ἀλλὰ διὰ τῶν σαρκῶν, ἤτοι τῷ γεννᾶσθαι πλείονα τὸν χυμὸν ἐν αὐταῖς, ἢ τῷ δι' αὐτῶν ὑπὸ τῆς φύσεως ἐκκαθαίρεσθαι. κατὰ τοῦτο γὰρ αὐτὸ μόνον καὶ οἱ καῦσοι πυρετοὶ τῶν τριταίων διαφέρουσι, τῶν μὲν (γὰρ) καύσων ἐν τοῖς ἀγγείοις ἐχόντων τὴν χολὴν, τῶν δὲ τριταίων ἔξω τῶν ἀγγείων διὰ τῶν αἰσθητικῶν σωμάτων φερομένην. ἐν γὰρ τῷ δι' αὐτῶν φέρεσθαι λυποῦσα τῇ δριμύτητι, τὴν ὀδύνην ἐργάζεται. συμβαίνει τοιγαροῦν ἐν τῷδε δύο τινὰ γίνεσθαι, συννεύειν μὲν εἰς τὸ βάθος τοῦ σώματος τὸ αἷμα, καὶ διὰ τοῦτο καταψύχεσθαι τὰ ἐκτὸς αὐτοῦ· τὰ μόρια δὲ αὐτὰ τοῦ σώματος, ἐν οἷς ἡ χολὴ, διὰ τῆς ἀποκριτικῆς τῶν ἀλλοτρίων δυνάμεως ὠθεῖν αὐτὴν ἕκαστον ἐξ ἑαυτοῦ πρὸς τὸ πλησιάζον, ἄχρις ἂν ἐξ ἁπάντων ἐλαυνομένη, δι' ἱδρώτων ἢ δι' ἐμέτων ἢ καὶ διὰ τῆς κάτω γαστρὸς ἐκκριθείη. τοῦτο δὲ καὶ τοῖς ἠπεπτηκόσιν ἢ κακοχυμίας μεστοῖς, ἢ εἰς ἥλιον θερινὸν ἢ βαλανεῖον ἀφικομένοις, ἢ γυμναζομένοις συμπίπτει. φρικώδεις οὖν αὐτίκα γίνονται, καί τινες αὐτῶν καὶ ῥιγοῦσι. χρὴ γὰρ οὐ μόνον αἴτιον εἶναί τι δακνῶδες ἐν ἡμῖν, ἀλλὰ καὶ σφοδρῶς κινούμενον, εἰ μέλλει ῥῖγος ἐργάσασθαι. καὶ κοινὸν τοῦτο συμβέβηκεν ἀμφοτέροις τοῖς γένεσι τῶν αἰτίων, ὅσα τε ψυχρὰ καὶ ὅσα θερμὰ τὴν δύναμίν ἐστι, τὸ κινεῖν ὀδυνηρῶς τὸ σῶμα. καὶ διὰ τοῦτο τεταρταίοις τοῖς πυρετοῖς καὶ τοῖς τριταίοις συμβάλλει ῥῖγος, καίτοι ὑπὸ χυμῶν ἐναντίων τὴν δύναμιν συνισταμένοις, ψυχρὸς μὲν γὰρ ὁ μελαγχολικὸς χυμὸς, θερμὸς δὲ ὁ τῆς ξανθῆς χολῆς. οὐχ ἁπλῶς δὲ πλεονάζειν αὐτοὺς ἔφην χρῆναι μέλλοντας ἐργάσασθαι ἢ φρίκην ἢ ῥῖγος, ἀλλὰ καὶ διὰ τῶν αἰσθητικῶν σωμάτων φέρεσθαι κινουμένους σφοδρότερον. ἐν ᾧ δὲ συννεύει μὲν εἰς τὸ βάθος τοῦ σώματος καὶ τὰ σπλάγχνα τὸ αἷμα, καὶ σὺν αὐτῷ δηλονότι καὶ ἡ θερμασία, ψυχρά τε καὶ ἄναιμα γίνεται τά τε κατὰ τὸ δέρμα μόρια καὶ σκελῶν καὶ χειρῶν τὰ τελευταῖα, διότι πλεῖστον ἀφέστηκε τῶν σπλάγχνων. ἐὰν μὲν οὖν ἐν τῷ βάθει συμβῇ σβεσθῆναι τὴν ἔμφυτον θερμασίαν, ἢ πνιγεῖσαν ὑπὸ τοῦ μὴ διαπνεῖσθαι πρὸς τοὐκτὸς, ἢ ἐκνικηθεῖσαν ὑπὸ τῶν ψυχρῶν αἰτίων, ἀποθνήσκει τὸ ζῶον. ἐὰν δὲ συννεύσῃ μὲν εἰς τὸ βάθος, ἀντίσχῃ δὲ τῆς βιαζομένοις αἰτίοις ἀθροισθεῖσα, κατὰ τοῦτο καθάπερ ὄργανον γίνεται τῆς τῶν ἀλλοτρίων ἀποκριτικῆς δυνάμεως τῆς ἐν ἅπαντι μορίῳ τοῦ σώματος ὑπαρχούσης. πεφυκυῖα γὰρ ἤδη καὶ αὐτὴ καθ' ἑαυτὴν ἐκκρίνειν τὰ λυποῦντα, πολλῷ μᾶλλον ἐργάζεται μετὰ τῆς ἐκ βάθους ἀναφερομένης θερμασίας, συνεκβαλλούσης αὐτὰ τῇ ῥύμῃ τῆς φορᾶς εἰς ὅ, τι περ ἂν εὐπετέστερον αὐτῇ γένηται. πολλάκις μὲν οὖν διὰ τοῦ δέρματος ἐκβάλλει τὰ λυποῦντα, πολλάκις δὲ δι' ἐμέτων καὶ τῆς κάτω γαστρός. οὐ μόνον δὲ ἐπὶ τῆς ξανθῆς ἢ μελαίνης χολῆς ῥῖγος, ἀλλὰ καὶ ἐπὶ τῷ ψυχρῷ πάνυ φλέγματι φιλεῖ γίνεσθαι· καλεῖ δὲ ὑαλώδη τὸν χυμὸν τοῦτον ὁ Πραξαγόρας. ἀλλὰ τό γε τοιοῦτον ῥῖγος, οὔτε σφοδρόν ἐστι, καίτοι διαμένον ἡμέραις ἐνίοτε πλείοσιν ἐφεξῆς· ἡσυχαζόντων δὲ καὶ μηδόλως κινουμένων, ἡσυχάζει καὶ αὐτό· κινηθεῖσι δὲ εὐθέως ἕπεται κατὰ τὸ μέτρον τῆς κινήσεως, ἐπὶ μὲν ταῖς ἰσχυροτέραις καὶ συντόνοις κινήσεσι, σφοδρότερον, ἐπὶ δὲ ταῖς ἀσθενέσι βραχύτερον. εἶδον τοῦτο τὸ σύμπτωμα γυναιξὶ μᾶλλον ἢ ἀνδράσι γινόμενον, καὶ γυναιξὶ ταῖς ἀργότατα διαιτωμέναις καὶ λουτροῖς ἐπὶ τροφῇ χρωμέναις. εἶδον δὲ καὶ νεανίσκῳ τινὶ τῶν ἡμετέρων συμφοιτητῶν ἐν Ἀλεξανδρείᾳ γινόμενον, ἡνίκα πρῶτον εἰς αὐτὴν κατεπλεύσαμεν ἐν ἀρχῇ φθινοπώρου. προσηνέγκατο δὲ οὗτος ἐφεξῆς ἡμέραις πλείοσι φοι-

quemadmodum in causis & tertianis febribus, quum flaua bilis non in vasorum conceptaculis, sed per carnes mouetur, vel quòd copiosior hic humor in ipsis creatus sit, vel quòd per ipsas à natura expurgetur. Hac enim ipsa ratione sola ardentes febres à tertianis differunt, quod ardentes in vasis bilem habeant, tertianæ extra vasa per sensilia corpora vagantem; nam dum per ipsa rapitur, acrimonia lædens, dolorem excitat. Contingit igitur interea duo quædam fieri, inclinare nempe in corporis altum, sanguinem, atque ideo exteriora eius refrigerari; partes autem ipsas corporis, in quibus bilis est, vnamquanque ipsam à se ad vicinam excretrice alienorum facultate propellere, vsque dum ex omnibus abacta, per sudores aut vomitus aut etiam per aluum fuerit excreta. Hoc autem & cruditate laborantibus, aut vitioso humore plenis, aut in Solem æstiuum aut balneum progressis, aut exercitatis accidit; horrore itaque statim corripiuntur, nonnulli ipsorum etiam rigent. Oportet enim non modò causam quandam in nobis esse mordacem, sed etiam vehementer agitatam, si factura sit rigorem; ac commune hoc vtrique causarum generi accidit, & quæ frigidæ, & quæ calidæ facultatibus existunt, nempe vt corpus dolorificè moueant. Ideoque in quartanis febribus & tertianis rigor simul inuadit, etsi ab humoribus contrariis facultate constituuntur; frigidus etenim melancholicus humor, calidus autem flauæ bilis. Non absolutè autem abundare ipsos dixi oportere, si aut rigorem aut horrorem sunt facturi, sed etiam motu vehementiori per corpora sensilia ferri. Quo autem tempore sanguis & cum eo etiam nimirum calor in altum corporis & viscera refugit, cutis partes & crurum manuumque extrema, frigida & exanguia redduntur, eò quòd plurimùm à visceribus absint. Si igitur in alto calorem insitum extingui contigerit, vel suffocatum quòd foras non transpiret, vel à frigidis causis euictum, animal emoritur. Sin autem in altum quidem refugiat, causis autem lædentibus collectus resistat, in hoc veluti instrumentum efficitur facultatis alienorũ expultricis, quæ in omni corporis parte consistit. Ipsa enim iam per se noxia expellere nata, multo id magis efficit caloris ex alto emergentis subsidio, qui simul ea robore lationis in quodcunque procliue ei fuerit, eiicit. Multoties igitur noxia per cutem excutit, sæpe per vomitus & ventrem inferiorem. Cæterum non modò ex flaua aut nigra bile rigor, sed etiam ex frigida admodum pituita fieri solet; vocat autem hunc humorem Praxagoras vitreum. Verùm talis rigor, neque vehemens est, etsi diebus nonnunquam pluscculis deinceps perseuerat; conquiescentibus autem, & nullo modo agitatis, ipse quoque cessat; motos verò statim comitatur pro motus mensura, ob validiores & robustos motus, vehementior, ob imbecilles, lenior. Vidi hoc symptoma mulieribus magis quàm viris accidere, ac iis mulieribus, quæ in otio maximo degebant, & balneis post cibos vtebantur. Noui & adolescenti cuidam ex nostris condiscipulis in Alexandria accidere, quum primùm illuc appulimus initio autumni. Ingesserat autem hic pluribus deinceps diebus palmularum glandes multas, teneras & recentes, & post

post balnea & ante hæc; erant autem plures ipsarum non exactè maturæ. Accidit itaque ei, vt primùm post exercitium & balneum à vehementi inciperet horrore, propter quem & opinatus se febricitaturum decubuit, & vestimentis contectus conquieuit. Quum autem tota nocte transacta febre careret, surrexit manè ad consueta munia reuertens; horrorem interea sentiens, iterum decubuit, quieuitque vsque ad balnei horam. Ac quum vt ad balneum accederet, rursus surrexisset, horror vehementior inuasit, erátque symptoma rigor quoque iam exiguus. Tunc igitur omni modo febricitaturum se arbitratus, multo adhuc magis in quiete se continuit. Quum autem toto die, noctéque insequenti experiendo deprehenderet se ob mediocres motus horrere; si quando largiùs moueretur, rigere; consilio nostro de iis, quæ fieri expediebat, vsus est. Ego itaque memor huiusmodi quiddam mulieri in Asia nostra accidisse, familiarem & metu liberaui, & adhortatus sum, vt cibis, potionibus & medicamentis vteretur calefacientibus, & crassitiem humorum incidentibus. Ille igitur hoc pacto conualuit. Postea, similiter affectis, per initia quidem dedi medicamentum ex triplici pipere; deinde nostrum diacalaminthes; postea ex liquore Cyrenaico & castorio cōpositum, quod etiam quaternariis circuitionibus est vtilissimū, præsertim vbi à rigore vehementi algescunt. Ne mireris autem, si apud veteres medicos scriptum inuenias, *febrem comitari necessariò rigores, qui sine frigore obueniunt externo, ex ipsa corporis affectione prodeuntes*; nihil enim tale veteribus, nec tot balneis post cibum, nec vita otiosa vtentibus, accidebat. Hoc autem tempore ambo hæc frequenti in vsu habita, etiam rigorem hunc, qui *quòd excalefieri nequeat* anecthermantos appellatur, excitant, nouum quoddam & peregrinum symptoma, propter victus nouitatis rationem; omnibusque ita affectis, vel tensionis vel grauitatis sensus in dextro hypochondrio oritur, vbi iecur situm est, venis nimirum ipsius crassitie humorum obstructis. Quemadmodum autem grauitatis & tensionis in viscere sensum, affecti habent, ita & rigorem percipiunt, ab eo, qui quartanis & tertianis accidit, diuersum. Nam in quartanis talem sibi rigorem fieri affirmant, qualem quum per frigus validum iter faciunt; in tertianis item, & causis febribus, tanquam ab aciculis acutis & tenuibus in carnibus lancinentur punganturque, sæpe sentiunt. Ego itaque & ipse quartanarum rigorem non expertus sum; alterum autem expertus, vt qui in iuuentute quater tertiana febre laborauerim, causo autem semel; quare de dicta rigoris qualitate in huiusmodi affectibus, testimonium ferre possum. Qui autem quartanarum rigorem experti sunt, ad ossa vsque pertingere dictitant, vbi sit vehemens, similem rigoribus, qui ex ambiente nos aëre admodum frigido nascuntur. Verùm hoc quoque tertianis causisque febribus adiicere possumus, quod quartanis non inest. Etenim plurimi sitiunt, & calorem per imas partes in ipso rigoris tempore sentiunt, quorum neutrum in quartana febre rigentibus accidit.

νίκων βαλανείοις πολλαῖς ἀπαλαῖς καὶ νέαις, ἐπὶ λουτροῖς τε καὶ πρὸ τούτων, ἦσαν δὲ οὐκ ἀκριβῶς αἵ γε πλείους αὐτῶν πέπειροι. συνέβη δὲ αὐτῷ τό γε πρῶτον ἀπὸ σφοδρᾶς ἄρξασθαι φρίκης, ἐπὶ γυμνασίῳ τε καὶ λουτρῷ, δι' ἣν καὶ προσδοκήσας πυρέξειν, κατεκλίθη τε καὶ σκεπάσας ἑαυτὸν ἱματίοις, ἔμεινεν ἥσυχος. ὡς δὲ διελθούσης ὅλης τῆς νυκτὸς, ἀπύρετος ἦν, ἐξανίστατο μὲν ἔωθεν ἐπὶ τὰ συνήθη, φρικώδης δ' ἐν τούτῳ γινόμενος αὖθις κατακλιθεὶς ἡσύχαζεν, ἄχρι τῆς κατὰ τὸ βαλανεῖον ὥρας. ἐξαναστάντι δὲ αὐτῷ πάλιν ὡς ἐπὶ τὸ λουτρὸν, ἡ φρίκη μείζων ἐγένετο, καὶ ἦν τὸ σύμπτωμα ῥῖγος καὶ ἤδη μικρόν. τότ' οὖν ἡγησάμενος ἐκ παντὸς τρόπου πυρέξειν, ἔτι καὶ μᾶλλον ἐφ' ἡσυχίας αὐτὸν συνεῖχεν. ἐπεὶ δὲ καὶ διὰ τῆς ἡμέρας ὅλης καὶ διὰ τῆς ἐπιούσης νυκτὸς ἀποπειρώμενος, ἐξεῦρεν ἑαυτὸν ἐπὶ μὲν ταῖς μετρίαις κινήσεσι φρίττοντα, ῥιγοῦντα δὲ, εἴ ποτε μειζόνως κινηθείη, συμβούλοις ἡμῖν ἐχρῆτο περὶ τῶν ποιητέων. ἀναμνησθεὶς οὖν ἐγὼ κατὰ τὴν ἡμετέραν Ἀσίαν γυναικὶ τοιουτόν τι συμβεβηκὸς, ἀδεέστερόν τε τὸν ἑταῖρον ἐποίησα, καὶ προὐτρεψάμην χρῆσθαι τοῖς θερμαίνουσί τε καὶ τέμνουσι πάχος χυμῶν ἐδέσμασί τε καὶ πόμασι καὶ φαρμάκοις. ἐκεῖνός τε οὖν οὕτω κατέστη, καὶ μετὰ ταῦτα τοῖς ὁμοίως πάσχουσιν, ἐν ἀρχῇ μὲν ἔδωκα τὸ διὰ τῶν τριῶν πεπέρεων φάρμακον, ἐφεξῆς δὲ τὸ διὰ τῆς καλαμίνθης ἡμέτερον, εἶτα τὸ δι' ὀποῦ κυρηναϊκοῦ καὶ καστορίου συντιθέμενον, ὃ καὶ ταῖς τεταρταΐκαῖς περιόδοις ἐστὶν ὠφελιμώτατον, καὶ μάλισθ' ὅταν ὑπὸ ῥίγους σφοδροῦ χειμάζωνται. μὴ θαυμάσῃς δὲ παρὰ τοῖς παλαιοῖς ἰατροῖς εὑρὼν γεγραμμένον ἐπὶ τοῖς ἄνευ κρύους ῥίγεσιν ἐξ αὐτῆς τῆς ἐν τῷ σώματι διαθέσεως ὁρμωμένοις ἐξ ἀνάγκης ἕπεσθαι πυρετόν. οὔτε γὰρ λουτροῖς τοσούτοις ἐπὶ τροφαῖς, οὔτ' ἀργῷ βίῳ χρωμένοις τοῖς παλαιοῖς, οὐδὲν τοιοῦτον συνέπιπτε. νυνὶ δ' ἀμφω ταῦτα πλεονασθέντα καὶ τουτὶ τὸ καλούμενον ἀνεκθέρμαντον ῥῖγος ἐργάζεται, νέον τι καὶ ξένον σύμπτωμα, διὰ τὸ νέον τῆς διαίτης· ἅπασί τε τοῖς οὕτω πάσχουσιν, ἤτοι τάσεως ἢ βάρους αἴσθησις γίνεται κατὰ τὸ δεξιὸν ὑποχόνδριον, ἔνθα κεῖται τὸ ἧπαρ, ἐμφραττομένων δηλονότι τῶν κατ' αὐτὸ φλεβῶν ὑπὸ τοῦ πάχους τῶν χυμῶν. ὥσπερ δὲ βάρους καὶ τάσεως τῆς κατὰ τὸ σπλάγχνον οἱ πάσχοντες ἴσχουσιν αἴσθησιν, οὕτω καὶ τοῦ ῥίγους αἰσθάνονται διαφέροντος τοῦ ἐν τεταρταίοις τε καὶ τριταίοις πυρετοῖς. ἐν μὲν γὰρ τοῖς τεταρταίοις τοιοῦτο γίνεσθαί φασιν αὐτοῖς τὸ ῥῖγος, οἷόνπερ ὅταν ὁδοιπορήσωσι διὰ κρύους ἰσχυροῦ. ὡσαύτως δὲ κατὰ τοὺς τριταίους, καὶ τοὺς καύσους πυρετοὺς, ὡς ὑπὸ βελονῶν ὀξέων τε καὶ λεπτῶν κεντούμενοι τὰς σάρκας αἰσθάνονται πολλάκις. ἐγὼ μὲν οὖν καὶ αὐτὸς ἄπειρός εἰμι τοῦ τῶν τεταρταίων ῥίγους, ἔμπειρος δὲ θατέρου, τετράκις μὲν ἐν νεότητι πυρέξας τριταίους πυρετοὺς, καύσους δ' ἅπαξ. ὥστε ἔχω μαρτυρεῖν τῇ λελεγμένῃ τοῦ ῥίγους ποιότητι κατὰ τὰ τοιαῦτα παθήματα. τὸ δὲ τῶν τεταρταίων οἱ πειραθέντες ἄχρι καὶ τῶν ὀστῶν φασι διήκειν, ὅταν ᾖ σφοδρὸν, ὅμοιον ὑπάρχον τοῖς ἐκ τοῦ περιέχοντος ἰσχυρῶς ψυχροῦ γιγνομένοις ῥίγεσιν. ἀλλὰ καὶ τοῦτ' ἔχομεν προσθεῖναι τριταίοις τε καὶ καύσοις πυρετοῖς, οὐχ ὑπάρχον τοῖς τεταρταίοις. καὶ γὰρ διψῶσιν οἱ πλεῖστοι, καὶ θερμασίας αἰσθάνονται κατὰ τὸ βάθος ἐν αὐτῷ τῷ τοῦ ῥίγους χρόνῳ, ὧν οὐδέτερον ὑπάρχει τοῖς ἐν τεταρταίῳ πυρετῷ ῥιγοῦσιν.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ σπασμοῦ, καὶ τῶν αὐτοῦ αἰτιῶν.

Ἐπεὶ δὲ καὶ περὶ ῥίγους αὐτάρκως εἴρηται, λοιπὸν ἂν εἴη καὶ περὶ σπασμοῦ διελθεῖν. ἔσται δὲ οὔτε μακρὸς, οὔτε ἀσαφὴς ὁ λόγος, εἴ τις, ὧν ἄχρι δεῦρο διῆλθον, εἴη μεμνημένος. ἄρξομαι δὲ καὶ νῦν ἀπὸ τῆς ἀναμνήσεως, ὧν ἐν τοῖς περὶ μυῶν κινήσεως ἔδειξα. πασῶν γὰρ τῶν καθ' ὁρμὴν κινήσεων ἐπιτελουμένων διὰ τῶν μυῶν, ὅταν ἐπὶ τὰς ἑαυτῶν κεφαλὰς ἀνελκόμενοι, συνεπισπάσωνται τῶν μορίων ἕκαστον εἰς ὃ καταπεφύκασιν, ἐπειδὰν γένηταί τι πάθος εἰς τάσιν αὐτοὺς ἄγον, ἀκολουθεῖ τούτῳ κίνησις, ὁμοία μὲν τῇ κατὰ φύσιν, ἀβούλητος δὲ, καὶ καλεῖται τὸ πάθος σπασμός. τὸ μὲν γὰρ τείνεσθαί τε καὶ ἀνασπᾶσθαι πρὸς τὴν ἰδίαν ἀρχὴν τὸν μῦν, ὥσπερ γε καὶ τὸ συνεπισπᾶσθαι πρὸς αὐτὸν ἐκεῖνο τοῦ σώματος τὸ μόριον εἰς ὃ τὴν ἔμφυσιν ἔχει, κοινὸν τοῖς θ' ὑγιαίνουσίν ἐστι καὶ τοῖς σπωμένοις· τὸ δ' ἀκούσιον ὑπάρχειν, τοῖς παρὰ φύσιν ἔχουσιν, οὐχ ὑπάρχον τοῖς ὑγιαίνουσιν. ἐὰν οὖν εὕρωμεν ὑπὸ πόσων αἰτίων τείνεται τὰ νευρώδη σώματα, πέρας ἂν ἤδη καὶ ἐνταῦθα ὁ λόγος ἡμῖν λάβοι. καὶ μὴν οὐδέν ἐστι τῶν ἔξω τοῦ σώματος εὑρεῖν χορδῶν νευρωδέστερον, ἃς ὁρῶμεν ὁσημέραι κατά τε τὰς λύρας καὶ κιθάρας ὑπὸ τῶν τεχνιτῶν ἐντεινομένας μὲν, ἐπειδὰν χρῆσθαι μέλλωσι τοῖς ὀργάνοις, ἀνιεμένας δὲ, ὅταν παυσάμενοι κατατίθενται. ῥήγνυνται δὲ ἐν ταῖς τοῦ περιέχοντος ἀμετροτέραις κράσεσι, κατὰ μὲν τὰς ὑγρὰς καὶ νοτίους, διαβρεχόμεναι· κατὰ δὲ τὰς ξηράς τε καὶ βορείους, ἰσχυρῶς ξηραινόμεναι. διὰ τοῦτο οὖν ἀνιᾶσιν αὐτὰς κατατιθέμενοι, καὶ μάλισθ' ὅταν ᾖ τι περιέχον, ὁποῖον εἴρηται· ῥήγνυνται γὰρ ἑκατέρως τεινόμεναι. νόει δή μοι καὶ τὰ νεῦρα, καὶ τοὺς τένοντας ἐν τοῖς τῶν ζώων σώμασιν, ἤτοι διατεινομένους ὑπὸ περιττῆς ὑγρότητος, ἢ ξηραινομένους ὑπὸ τῶν ξηραινόντων αἰτίων, εἰς τοσαύτην ἀγομένους τάσιν, ἐν ᾗ τοῖς ὑγιαίνουσιν ἡ καθ' ὁρμὴν ἐγίνετο κίνησις· ἐννόει δὲ καὶ ὡς ἐνδέχεταί τι τῶν ἐν τῷ σώματι μορίων ἢ διὰ φλεγμονὴν, ἢ δι' ἄλλην τινὰ αἰτίαν ἰσχυρῶς παθὸν, ἑαυτῷ συνεπισπᾶσθαι τὰ συνεχῆ νεῦρα. νοήσας γὰρ ταύτας πάσας τὰς διαθέσεις, εὑρήσεις ἐφ' αἷς γίνεται σπασμός. αἱ γὰρ φλεγμοναὶ τῶν νευρωδῶν μορίων, καὶ μάλισθ' ὅταν ἐπὶ τῆς ἀρχῆς τῶν νεύρων, ἢ καὶ πλησίον αὐτῆς γίνωνται, τείνουσιν ἐπισπώμεναι τὰ συνεχῆ νεῦρα, καθάπερ ἐκτὸς οἱ τεχνῖται τὰς χορδάς. εἰ δὲ ὑπὸ πλήθους χυμῶν διαβραχέντα τὰ νευρώδη σώματα τείνοιτο, παραπλήσιον ἐν τῷδε τὸ πάθημα γίνεται ταῖς διὰ τὴν ὑγρότητα τοῦ περιέχοντος ἐντεινομέναις σφοδρότερον χορδαῖς. ἔμπαλιν δὲ ἐπὶ τοῖς κακοήθεσι καύσοις καὶ ταῖς ἰσχυραῖς φρενίτισι φαίνεται γινόμενον· ὡς γὰρ οἱ πλησιάζοντες ἱμάντες πυρὶ, ξηραινόμενοι συσπῶνται καὶ τείνονται, τὸν αὐτὸν τρόπον οἱ σπασμοὶ γίνονται δι' ὑπερβάλλουσαν ξηρότητα νοσημάτων, ἰσχυρῶς ξηραίνουσαν τὸ νευρῶδες γένος. ἐπὶ μὲν οὖν τοῖς καύσοις, διὰ μόνην τὴν ξηρότητα τοῦτο συμβαίνει· ταῖς δὲ φρενίτισι, καὶ διὰ τὴν φλεγμονὴν τῆς ἀρχῆς τῶν νεύρων, ἕπεται τὸ σύμπτωμα. γινώσκεις δὲ ἤδη, ὡς πᾶσιν ὡμολόγηται τοῦ πάθους τούτου τὸ μὲν ἐμπροσθότονος εἶναί τε καὶ καλεῖσθαι· τὸ δὲ, ὀπισθότονος· τὸ δὲ, τέτανος· ὅταν μὲν εἰς τὸ πρόσω τείνηται τὰ μόρια τοῦ

CAPVT VIII.

De conuulsione eiusque causis.

Qvoniam verò & de rigore abundè dictum est, reliquum fuerit etiam de conuulsione adhuc differere. Erit autem neque longus neque obscurus sermo, si quis eorum, quæ hactenus recensui, memor fuerit. Incipiam autem etiam nunc à repetitione eorum, quæ in libris de musculorũ motu demonstraui. Quum enim omnes arbitrarii motus musculis obeantur, quãdo ad sua ipsorum capita contracti, vnamquanque partem cui inseruntur, simul attraxerint; si affectus aliquis in tensionem ipsos ducens, acciderit, hunc motus sequitur, similis quidem naturali, sed citra voluntatem, ac vocatur affectus, conuulsio. Quòd enim musculus & tendatur & conuellatur ad suum principium, sicut & quòd illa corporis pars cui inseritur, cum ipso simul attrahatur, commune id & sanis & conuulsis existit; quòd autem inuito hoc accidat, præter naturam affectis, non sanis. Si igitur à quot causis neruosa corpora tendantur, inuenerimus, finem sanè & hic iam sermo nobis accipiet. Atqui nihil est eorum ferè, quæ extra corpus sunt, chordis neruosius, quas quotidie & in lyris, & in citharis ab artificibus intendi quidem videmus, vbi instrumentis vsuri sunt; remitti autem, quum cessantes ea reponunt. At rumpuntur in immoderatioribus aeris temperamentis, in humidis sanè & austrinis commadefactæ; in siccis autem, & aquiloniis, vehementer siccescentes. Propter hoc igitur remittunt ipsas quum seponunt, præsertim vbi ambiens fuerit qualis dictus est; rumpuntur enim vtroque modo tensæ. Considerato mihi & neruos & tendones in animalium corporibus; vel distentos à superflua humiditate, vel siccescentes à causis siccantibus, in tantam perduci tensionem, in qua sanis motus fiebat arbitrarius. Considerato item fieri posse, vt pars quædam corporis, quæ aut inflammatione, aut alia quadam causa valdè sit affecta, neruos continuos secum attrahat, conuellatque. Etenim quum has omnes affectiones mente conceperis, ob quas conuulsio oriatur, inuenies. Siquidem inflammationes neruosarum partium, ac præsertim quum in neruorum principio, aut etiam prope ipsum generantur, neruos continuos attrahentes tendunt, quemadmodum artifices extrinsecus chordas. Si autem neruosa corpora ab humorum copia madefacta tendantur, similis interea affectus oritur; atque chordis, quæ propter ambientis humiditatem vehementius intenduntur. Contrà in malignis febribus ardentibus, & valida phrenitide fieri apparet. vt enim lora prope ignem siccescentia contrahuntur, tenduntur que, eodem modo conuulsiones fiunt ob nimiam morborum siccitatem, quæ neruosum genus admodum arefacit. In ardentibus igitur febribus, id ex sola siccitate euenit. Phrenitides autem & ex principii neruorum inflammatione symptoma comitatur. Nosti verò iam hunc affectum, primũ quidem emprosthotonon esse & dici, alterum opisthotonon, tertium tetanon, omnes habere pro confesso. Quum sanè in anteriora corporis

poris partes tenduntur, emprosthotonon; quum in posteriora, opisthotonon; quum denique ad vtrasque partes æquali tenore, tetanon. Ac ex siccitate conuulsiones nunquam sanaueris; quippè ita affecti protinus emoriuntur, ne cogitandi quidem remedii tempus permittentes; quæ autem ex copia, aut inflammatione fiunt conuulsiones, his medeberis, copiam sanè euacuans; inflammationem verò propriis ipsius remediis persanans, quæ in medendi methodi libris didicisti.

A

σώματος, ἐμπροσθότονος· ὅταν δὲ εἰς τοὐπίσω, ὀπισθότονος· τέτανος δὲ, ἰσοσθενῶς ἐφ' ἑκάτερα. τοὺς μὲν ἐπὶ ξηρότητι σπασμοὺς οὐκ ἂν ἰάσαιο, φθάνουσι γὰρ οἱ οὕτω παθόντες ἀπόλλυσθαι, μηδὲ ἐπινοῆσαι πρὸς αὐτοὺς ἴαμα συγχωροῦντες· ὅσοι δὲ διὰ πλῆθος ἢ φλεγμονὴν γίνονται σπασμοὶ, τούτους ἰάσῃ, τὸ μὲν πλῆθος κενῶν, τὴν φλεγμονὴν δὲ τοῖς ἰδίοις αὐτῆς βοηθήμασιν ἐκθεραπεύων, ἃ μεμάθηκας ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΥΣΠΝΟΙΑΣ ΒΙΒΛΙΑ ΤΡΙΑ, ΠΡΩΤΟΝ.

GALENI DE DIFFICVLTATE RESPIRATIONIS LIBRI TRES, PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Διδάσκει πάσας τὰς αἰτίας τῶν ἁπλῶν τε καὶ συνθέτων δυσπνοιῶν· καὶ ἐν τῷ προτέρῳ βιβλίῳ ποίαις ἀρχαῖς χρῆται, ὥστε τὰς τοιαύτας αἰτίας καὶ τὰς ἐξ αὐτῶν προγνώσεις κρίνεσθαι.

ARGVMENTVM LIBRI.

Docet causas omnes tum simplicium, tum coniunctarum difficultatum respirationis; ac primo libro certis vtitur principijs, vt huiuscemodi causæ & ex ipsis prænotiones iudicentur.

CAPVT PRIMVM.

Qua via ac ratione læsionis in respiratione differentiæ inueniendæ.

QVOD respirandi difficultas, respirationis quædam læsio sit; quéadmodũ sentiendi difficultas, sensus; & mouendi difficultas, motus; ipsũ nomen sufficienter demonstrat. Quot verò sint læsionis differentiæ, & ob quas causas fiat, & quomodo ipsas singulas dignoscere oporteat, non ex appellatione discere nunc datur, sed natura ipsa respirationis indicabit. Ob id sanè etiã cognitio eius, quod secundum naturã est, à veteribus medicis omnibus studiosè inuestigata est, cùm ob alia multa, tùm nihilo minùs indicationis eorum quæ præter naturã sunt, gratia. Quandoquidem enim vnum est id quod secundum naturam est, atque id velut regula & mensura, & sibi ipsi simile existit; varium autem & dissimile, & multiplici errore inuolutum est, quod præter naturam, adeo vt propemodum sequatur multitudine esse infinitum, arte verò incomprehensibile; visum est impossibile esse, eius immensitatem certis terminis comprehendere, citra cognitionem eius quod secundum naturam est. Quum enim vnum sit hoc,

B

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τίνι μεθόδῳ τὰς τῆς κατὰ τὴν ἀναπνοὴν βλάβης διαφορὰς εὑρίσκειν χρή.

ὍΤΙ μὲν ἡ δύσπνοια βλάβη τίς τῆς ἀναπνοῆς ἐστιν, ὥσπερ ἡ δυσαισθησία τῆς αἰσθήσεως, καὶ ἡ δυσκινησία τῆς κινήσεως, ἱκανὸν ἐνδείξασθαι τοὔνομα· πόσαι δὲ τῆς βλάβης διαφοραὶ, καὶ διὰ τίνας αἰτίας γιγνόμεναι, καὶ πῶς ἑκάστην αὐτῶν χρὴ διαγινώσκειν, οὐκ ἐκ τῆς προσηγορίας διδαχθῆναι νῦν ἐστιν, ἀλλ' ἡ φύσις αὐτὴ τῆς ἀναπνοῆς ἐνδείξεται. Ταῦτά τοι καὶ διεσπουδάσαι τοῖς παλαιοῖς ἰατροῖς ἅπασιν ἡ τοῦ κατὰ φύσιν ἐπίγνωσις, ἄλλων τε πολλῶν ἕνεκα, καὶ τῆς ἐν τοῖς

C

παρὰ φύσιν ἐνδείξεως οὐχ ἥκιστα. ἐπεὶ γὰρ ἕν μέν τοι τὸ κατὰ φύσιν, καὶ οἷον κανὼν καὶ μέτρον καὶ ὅμοιον ἑαυτῷ, ποικίλον δὲ καὶ ἀνόμοιον καὶ πολυειδὲς τοῖς σφάλμασι τὸ παρὰ φύσιν, ὡς κινδυνεύειν ἄπειρον μὲν τῷ πλήθει, τῇ τέχνῃ δὲ ἀπερίληπτον ὑπάρχειν, ἀδύνατον ἔδοξε περιλαβεῖν ὅροις τισὶ τὴν ἀπειρίαν αὐτοῦ, χωρὶς τῆς τοῦ κατὰ φύσιν γνώσεως. ἐπεὶ γὰρ ἕν ἐστι τοῦτο, καὶ χρηστὸν τῷ

ζώῳ, δῆλον ὡς καὶ σύμμετρον. εἰ δὲ τοῦτο σύμμετρον, ἄμετρον ἂν εἴη τὸ παρὰ φύσιν. εἰ δὲ ἄμετρον, διττὸν μὲν τῷ γένει πάντως· ἢ γὰρ ἐλλείπει τι τοῦ κατὰ φύσιν, ἢ ὑπερβάλλει. τοσαύτας δὲ ἐν αὐτῷ διαφορὰς ἕξει τὰς κατὰ μέρος, ὅσας περ ἂν οἷόν τε ᾖ δέξασθαι τὸ πρᾶγμα κατὰ τὰς τοῦ ὑπερβολὰς τοῦ μετρίου, καὶ τὰς ἐλλείψεις. δέχεται δὲ τὸ μὲν ἁπλοῦν διττάς· τὸ δ' ἐκ πλειόνων συνθετόν, διπλασίας κατὰ τὸν ἀριθμὸν τῶν συνθέντων αὐτό. εἰ μὲν οὖν ἕν τι καὶ ἁπλοῦν ἐστιν ἡ ἀναπνοή, διττὰς μὲν ἕξει τὰς ἀμετρίας, διττὰς δὲ τῷ γένει τὰς δυσπνοίας. εἰ δ' οὐχ ἕν, τὰς διαφορὰς ἕξει διπλασίας τὸν ἀριθμόν, τῶν συνθέντων αὐτό. εἰ μὲν οὖν αὕτη σαφής τε ἅμα καὶ σύντομός ἐστιν ἡ διδασκαλία, μακρὰ δικαίως ἡ παρὰ ταῦτα.

& animali commodum, palàm est etiam esse commoderatum. Si verò hoc commoderatum est, incommoderatum vtique fuerit id quod præter naturam est. Si verò incommoderatum, duplex quidem omnino genere est; aut enim deficit quodammodo ab eo quod secundum naturam habet, aut excedit. Tot autem in seipso particulares differentias habebit, quot potest ipsa res suscipere circa commoderati excessus & defectus. Suscipit autem simplex quidem duplices; compositum verò ex pluribus, duplo plures numero, quàm ea quæ ipsum componunt. Si igitur vnum quiddam & simplex sit respiratio, duplices quidem habebit ametrias, duplices etiam genere respirandi difficultates. Si verò non vnum, differentias habebit duplo plures numero, quam ea, quæ ipsum componunt. Itaque si manifesta, simulque concisa hæc est doctrina, meritò longa censetur, quæ ab his discedit.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν πρώτων τε καὶ ἁπλῶν τῆς δυσπνοίας διαφορῶν.

Καὶ τοίνυν ἐπειδὴ δύο μὲν ἐστὶ τὰ πρῶτα καὶ κυριώτατα μόρια τῆς ὅλης ἀναπνοῆς, εἰσπνοή τε καὶ ἐκπνοή, δύο δ' ἄλλα κατὰ συμβεβηκός, αἱ μεταξὺ τούτων ἡσυχίαι, ἐν τέτταρσιν ἂν οὕτω τοῖς πᾶσιν ἡ περὶ δυσπνοίας γίνεται σκέψις. ὥστε πάντως δεήσει τινὶ τῶν εἰρημένων, ἢ τισιν, ἢ καὶ πᾶσιν ἅμα, πλημμελεῖσθαί τε καὶ διαφθείρεσθαι τῆς κατὰ φύσιν ἰδέας, εἰς δυσπνοίας γένεσιν. ὀνομάζειν δὲ σαφοῦς ἕνεκα διδασκαλίας οὐδὲν ἂν εἴη χεῖρον, ἁπλῆν μὲν δύσπνοιαν, ἥτις ἂν ἓν μόριον ἑκάστοτε τῆς ὅλης ἀναπνοῆς καταλαμβάνῃ· σύνθετον δὲ τὴν ἐν πλείοσι συνισταμένην. ἀλλ' ἐπεὶ δεύτερόν ἐστιν ἀεὶ τὸ σύνθετον τῶν ἁπλῶν, κατὰ λόγον ἂν εἴη πρότερον περὶ φύσει προτέρων ποιήσασθαι τὸν λόγον, ὥστε καὶ ἀπὸ τῶν ἁπλῶν δυσπνοιῶν ἄρξασθαι. ἐπειδὰν δὲ ταύτας αὐτάρκως διέλθωμεν, μετὰ ταῦτα ἐπαλλάττοντες τάς τε κινήσεις καὶ τὰς ἡσυχίας κατ' ἀλλήλας τε καὶ καθ' ἑαυτάς, οὕτω τὰς συνθέτους ἐξευρήσομεν. τίνες οὖν εἰσιν αἱ κατὰ φύσιν αἰτίαι τῆς ἔσω τε καὶ ἔξω φορᾶς τοῦ πνεύματος, καὶ τίνες ἑκατέρας τῶν ἡσυχιῶν; ταυτὶ γὰρ ἦν τὰ πάντα μόρια τῆς ἀναπνοῆς. ἐπειδὴ δύο μὲν ἐξ ὧν εἴπομεν μορίων κινήσεις εἰσίν, ἡ ἔξω καὶ ἔσω φορὰ τοῦ πνεύματος, δύο δὲ διορίζουσαι ταύτας ἠρεμίαι, γένεσις δὲ ταῖς μὲν κινήσεσι σύνθετος, ταῖς δ' ἠρεμίαις ἁπλῆ, δῆλον ὡς τὰς μὲν πλείους ἀμετρίας, τὰς δ' ἡσυχιῶν διττὰς γενήσονται. αὗται μὲν γὰρ οὖσαι ἁπλαῖ, τῷ χρόνου τῷ ποσῷ τὰς διαφορὰς ἴσχουσι μόνῳ· αἱ κινήσεις δ' οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῷ ποσῷ τοῦ διαστήματος καθ' οὗ φέρονται διοίσουσιν. ὡς ἔσονται διτταὶ μὲν ἀμετρίαι αὐτῶν, καθὰ καὶ τῶν ἡσυχιῶν ἑκάτεραι, τῷ χρόνου τῷ ποσῷ διαιρούμεναι, καθ' ἃς ἤτοι ταχεῖαι, ἢ βραδεῖαι λεχθήσονται· διτταὶ δ' ἄλλαι τῷ ποσῷ τῆς διαστολῆς τῶν ἀναπνευστικῶν ὀργάνων διαφέρουσαι, καθ' ἃς ἤτοι μεγάλας ἢ μικρὰς αὐτὰς ὀνομάζουσιν. εἴπερ γὰρ ἀχώριστα πάσης ἐστὶ τῆς κατὰ τόπον κινήσεως, ὅ, τε χρόνος ἐν ᾧ κινεῖται τὸ κινούμενον, καὶ τὸ διάστημα καθ' οὗ φέρεται· διὰ μὲν τὸν χρόνον, ταχέως μὲν καὶ βραδέως ἐροῦμεν γίνεσθαι

CAPVT II.

De primis & simplicibus difficultatis respirandi differentiis.

Itaque quum duæ quidem sint primæ & præcipuæ totius respirationis partes, inspiratio & expiratio; duæ verò aliæ per accidens, interiectæ quietes; in quatuor sanè his vniuersa consideratio de respirandi difficultate consistit. Quare oportebit omninò in prædictorum aliquo aut pluribus, aut simul omnibus aberrare & vitiari ab ea, quæ secundum naturam est, specie, vt fiat respirãdi difficultas. Verùm manifestioris doctrinæ gratia, non deterius fuerit simplicem appellare respirandi difficultatem, quæ vnam totius respirationis partem singulatim occupat; compositam verò, quæ in pluribus consistit. At quum posterius sit semper compositum simplicibus, rationi consentaneum fuerit, de iis, quæ natura priora sunt, priùs sermonem facere; quare & à simplicibus respirationis difficultatibus initium sumere; vbi verò has sufficienter explicauerimus, postea vicissim permutantes tum motus, tum quietes, & mutuò, & inter se; ita & compositas inueniemus. Quæ igitur sunt naturales causæ lationis spiritus foras & intro *meantis?* quæ etiam vtriusque quietis? hæ enim erant omnes respirationis partes. Quandoquidem duo ex his quas diximus partibus, motus sunt, latio spiritus foras & intro *meantis*, duæ verò hos distinguunt quietes; generatio autem motibus quidem composita, quietibus verò simplex est; conspicuum planè est illorum ametrias plures, quietum verò geminas fieri. Hæ nanque simplices existentes, sola tẽporis quantitate differentias habent; motus verò non hac solùm, sed & quantitate spatii localis per quod feruntur, differunt. Itaque geminæ quidem erunt ametriæ ipsorum, quemadmodum etiam quietum, vtræque temporis quantitate diuisæ, quibus aut celeres, aut tardi appellabuntur; duæ autem aliæ quantitate dilatationis spirabilium organorum differentes, quibus ipsos aut magnos, aut paruos appellant. Siquidem enim inseparabilia sunt ab omni locali motu, tum tempus in quo mouetur id quod mouetur; tum spatium per quod mouetur; ob tempus quidem, celeri-

celeriter, aut tardè motum fieri dicemus; ob spatium verò, multùm & modicè. Verùm dilatationem spirabilium organorũ, non modicam & multam, sed paruam & magnam nominare consueuimus, veluti etiam contractionem; eadem enim ratio vtriusque motus existit. Quemadmodum autem motui propria sunt, celeritas & tarditas, ita & quantitati quietum raritas & densitas. Densas nanque vites, & oleas, aut quodcunque tandem huiusmodi plantari dicimus, quum breuissimum spatium ipsorum distantiæ indicare volumus: sic & raras, quum multus locus in medio plantatorum corporum fuerit relictus. Et vt in summa dicam, omnia ex pluribus distinctis composita, hæc nomina vsurpant. Quum igitur & ipsa respiratio ex contrariis motibus per quietes distinctis composita sit, densam ipsam reddet breuitas quietum, raram verò longitudo. Hæ igitur vniuersæ sunt simplices spirandi difficultatis differentiæ, & hæc ipsarum nomina, tum priscis aliis medicis, tum Hippocrati in vsum recepta. Siquis verò aliter appellare velit, quemadmodum iam quidam ex recentioribus medicis solent, nostra nihil interest. Verùm sciat hic se neque Hippocrati familiaribus, neque aliis veteribus, imò nec aliis omnino Græcis vsurpatis nominibus vti; quod si verò & hos contemnat, neque propriè neque perspicuè *res* interpretari. Si nanque vnum nomen ambobus tribuat, & motui & quieti, siue celeritatem solam siue densitatem, & rursum in contrariis siue tarditatem solam siue raritatem, reliquis in totum non vtatur; obscuritatem palàm hic affectat. Multò enim clarius esse opinor, vtrique rei seorsim vnum nomen ipsique proprium imponere, eoque perpetuò vti, scientem communia nomina, quæ alterum non magis, quam alterum significant, auditorem confundere, & perturbare, vt non cognoscat, quid sit tandem, quod dicitur, priusquam æquiuocatio distinguatur. Si verò vnũ quidem vtrique rei quis imponat nomen, non verò quo nos distinximus modo; sed vice versâ celeritatem quidem & tarditatem tribuat quietibus, raritatem verò & densitatem motibus; haud scio, quid sibi velit per impropriorum & inconsuetorum nominum vsum, quę pro propriis & consuetis inducit. Quòd enim omnes, qui nunc viuunt homines, atque etiam antiqui, tarditatem & celeritatem de nulla alia re prædicent, præterquam de iis quæ mouentur, nemo ignorat. Quid sapiens itaque fecerit, qui nominum vsum adeò permutarit, vt quietes motuum nominibus appellet? quid sapienter factum, si quietum nomina actionibus imponat? Quemadmodum enim & vites & oleas densas, vbi modicum interiectum est interuallum dicimus, raras nominantes si amplior intersit: sic animalium actiones, quæ modico tempore interiecto fiunt, densas, quæ multo, raras appellamus. Quòd si quis, vt dixi, non ita, sed aliter nominare velit, neque Hippocratem, neque alios veteres, neque omninò Græcos sequi dignatus, imò nec manifestæ interpretationis curiosus, illi permittendum est, vt Cadmeam victoriam vincat.

A τὴν κίνησιν, διὰ δὲ τὸ διάστημα, πολὺ καὶ ὀλίγον. ἀλλὰ τήν γε διαστολὴν τῶν ἀναπνευστικῶν ὀργάνων, οὐκ ὀλίγην καὶ πολλὴν, ἀλλὰ μικρὰν καὶ μεγάλην ὀνομάζειν ἔθος, ὥσπερ γε καὶ τὴν συστολήν, ὁ γὰρ αὐτὸς λόγος ἐπ' ἀμφοτέρων τῶν κινήσεων. ὥσπερ δὲ κινήσεως ἴδια τάχος καὶ βραδύτης· οὕτω καὶ τοῦ ποσοῦ τῶν διαλειμμάτων, ἀραιότης καὶ πυκνότης. πυκνὰς γοῦν τὰς ἀμπέλους ἢ τὰς ἐλαίας, ἢ ὁποιονοῦν ἄλλο τοιοῦτον φυτεύεσθαι λέγομεν, ὅταν τὸ βραχύτατον διάστημα αὐτῶν δηλῶσαι βουληθῶμεν· οὕτω δὲ καὶ ἀραιὰς, ὅταν πολὺ τὸ ἐν μέσῳ τῶν πεφυτευμένων σωμάτων ᾖ, καὶ B καθόλου φάναι, πάντα τὰ ἐκ πλειόνων διωρισμένων συγκείμενα τούτοις χρῆται τοῖς ὀνόμασιν. ἐπεὶ οὖν καὶ ἡ ἀναπνοὴ σύνθετός ἐστιν ἐξ ἐναντίων κινήσεων ἡσυχίαις διωρισμένων, πυκνὴν αὐτὴν ἐργάζεται τὸ βραχὺ τῶν ἡσυχιῶν, ἀραιὰν δὲ τὸ μακρόν. αὗται μὲν οὖν πᾶσαι δυσπνοίας ἁπλαῖ διαφοραὶ, καὶ ταῦτ' αὐτῶν τὰ ὀνόματα, τοῖς τε ἄλλοις παλαιοῖς συνήθη, καὶ Ἱπποκράτει. εἰ δέ τις ἑτέρως ὀνομάζειν ἐθέλει, καθάπερ ἤδη τινὲς τῶν νεωτέρων ἰατρῶν, οὐδὲν ἡμῖν διαφέρει· πλὴν ἴστω γε οὗτος, μήτε τοῖς Ἱπποκράτει συνήθεσι, μήτε τοῖς ἄλλοις παλαιοῖς, μήθ' ὅλως τοῖς ἄλλοις Ἕλλησιν ὀνόμασι χρησάμενος· C ἀλλ' εἰ καὶ τούτων καταφρονοίη, μήτε κυρίως, μήτε σαφῶς ἑρμηνεύων. εἰ μὲν γὰρ ἓν ὄνομα κατ' ἀμφοῖν φέρει, τῆς τε κινήσεως καὶ τῆς ἡσυχίας, ἤτοι τὸ τάχος μόνον ἢ τὴν πυκνότητα, καὶ αὖθις ἐπὶ τῶν ἐναντίων ἢ τὴν βραδυτῆτα μόνον ἢ τὴν ἀραιότητα, τοῖς ἑτέροις μηδόλως χρώμενος, ἀσαφείας ἄντικρυς ὁ τοιοῦτος ἐπιθυμεῖ. πολὺ γὰρ, οἶμαι, σαφέστερον, ἓν ἑκατέρῳ τῶν πραγμάτων ὄνομα θέμενον ἴδιον, ἐκεῖνο καλεῖν διαπαντὸς, εἰδότα γε ὡς τὰ κοινὰ τῶν ὀνομάτων οὐδὲν μᾶλλόν γε τὸ ἕτερον τούD των δηλοῦντα, συγχεῖ καὶ ταράττει τὸν ἀκροατὴν, ὡς μὴ γνῶναι, τί ποτ' ἐστὶ τὸ λεγόμενον, πρὶν διαστείλασθαι τὴν ὁμωνυμίαν. εἰ δὲ ἓν μὲν ἑκατέρῳ τῶν πραγμάτων ἐπιφέρει τις ὄνομα, μὴ ὡς ἡμεῖς μέντοι διειλόμεθα, ἀλλ' ὑπεναντίως, τάχος μὲν καὶ βραδυτῆτα κατὰ τῶν ἡσυχιῶν, ἀραιότητα δὲ καὶ πυκνότητα κατὰ τῶν κινήσεων, οὐκ οἶδ' ὅτι βούλεται αὐτῷ τοῖς ἀκύροις τε καὶ ἀήθεσιν ὀνόμασι πρὸ τῶν κυρίων τε καὶ δι' ἔθους χρῆσθαι. ὅτι γὰρ καὶ οἱ νῦν ἅπαντες ἄνθρωποι καὶ οἱ παλαιοὶ βραδυτῆτα καὶ τάχος οὐδενὸς ἄλλου κατηγοροῦσι, πλὴν τῶν κινουμένων, οὐδεὶς E ἀγνοεῖ. τί ποτ' οὖν σοφὸν ἀπειργασμένον ἐστὶ τῷ μεταθέντι τὴν τῶν ὀνομάτων χρῆσιν εἰς τοσοῦτον, ὡς τὰς ἡσυχίας τοῖς τῶν κινήσεων προσαγορεύειν ὀνόμασιν; τί δὲ σοφὸν, εἰ τὰ τῶν διαλειμμάτων ὀνόματα ταῖς ἐνεργείαις ἐπιφέρει; ὡς γὰρ καὶ τὰς ἀμπέλους πυκνὰς καὶ τὰς ἐλαίας, ὅταν ὀλίγον ἔχωσι τὸ μεταξὺ διάστημα, λέγομεν, ἀραιὰς ὀνομάζοντες, εἰ πλέον εἴη, οὕτω τὰς τῶν ζώων ἐνεργείας, τὰς μὲν δι' ὀλίγου χρόνου γινομένας πυκνὰς, ἀραιὰς F δὲ, τὰς διὰ πολλοῦ καλοῦμεν. εἰ δέ τις ὡς ἔφην οὐχ οὕτως, ἀλλ' ἑτέρως ὀνομάζειν ἐθέλει, μήθ' Ἱπποκράτει, μήτε τοῖς ἄλλοις παλαιοῖς, μήθ' ὅλως τοῖς Ἕλλησιν ἑπόμενος, ἀλλὰ μηδὲ τοῦ σαφοῦς τῆς ἑρμηνείας φροντίζων, ἐκείνῳ μὲν ἐπιτρεπτέον νικᾶν νίκην Καδμείαν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τίσιν ὀνόμασι τὰς πρώτας τῆς ἀναπνοῆς διαφορὰς ὀνομάζειν χρή.

ΤΟῖς δ' ἄλλοις, ὅσοι τῶν μὲν ὀνομάτων εἰς τοσοῦτον φροντίζουσιν, ὅσον αὐτῶν εἰς διδασκαλίαν χρηστόν, ἅπασα δ' αὐτοῖς ἡ σπουδή, τὴν ἐν τοῖς πράγμασιν ἐξευρεῖν ἀλήθειαν, ἤδη διαλεξώμεθα περὶ ὧν ἐξ ἀρχῆς γράφειν προὐθέμεθα. τῆς ἀναπνοῆς τῷ μὲν γένει κινήσεως οὔσης, συγκειμένης δὲ ἐκ δυοῖν μορίων ἐναντίων ἀλλήλοις, ὧν τὸ μὲν εἰσπνοήν, τὸ δὲ ἐκπνοὴν ὀνομάζομεν, ἀλλὰ καὶ δύο ἄλλα κατά τι συμβεβηκὸς ἐχούσης οὐχ ὅμοια, τὰς καλουμένας ἠρεμίας τε καὶ ἡσυχίας, αἱ βλάβαι γίνονται, περὶ μὲν τὰς κινήσεις εἰς τάχος καὶ βραδυτῆτα καὶ μέγεθος καὶ σμικρότητα· περὶ δὲ τὰς ἡσυχίας, εἰς ἀραιότητα καὶ πυκνότητα· καὶ παρὰ ταύτας, οὐκ ἂν εὕροις ἁπλῆν ἄλλην δυσπνοίας διαφοράν. ἡ γὰρ τῆς διαιρέσεως μέθοδος οὕτως ἐνδείκνυται.

CAPVT III.

Quibus nominibus appellandæ sint primæ respirandi differentiæ.

CVm cæteris verò, tantam nominum curam habentibus, quantum eorum ad doctrinam est commodum; & omne studium eò dirigentibus, vt in rebus inueniant veritatem, iam disseremus de iis quæ à principio scribere instituimus. Quum respiratio genere quidẽ motus sit, sed ex duabus partibus inter se contrariis composita, quarum alteram inspirationem, alteram expirationem nominamus; habeatque etiam duas alias per accidens partes non similes, quæ quietes & cessationes appellantur; læsiones fiunt, circa motus quidem in celeritatem & tarditatem, magnitudinemque & paruitatem; circa quietes verò, in raritatem & densitatem. Et præter has non reperias simplicem aliam difficultatis respirandi differentiam; methodus enim diuisionis ita demonstrat.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἡ μέθοδος τοῦ εὑρίσκειν τὰς τῆς δυσπνοίας αἰτίας.

ΛΟΙΠΟΝ δ' ἂν εἴη τὰς αἰτίας αὐτῶν ἐξευρόντας, ἐπὶ τὰς συνθέτους αὖθις τρέπεσθαι. τίς οὖν αἰτία ταχείας ἀναπνοῆς καὶ βραδείας, καὶ τῶν ἄλλων ἑκάστου; ἐμοὶ μὲν δοκεῖ κἀνταῦθα μεθόδῳ χρῆναι ζητεῖν αὐτάς, οὐχ ἁπλῶς ἀποφαίνεσθαι. τίς οὖν ἡ μέθοδος; ἐπειδὴ πρὸς τῶν αὐτῶν ἕκαστον ἢ χεῖρον, ἢ βέλτιον γίνεται, πρὸς ὧνπερ ὅλως γίνεσθαι πέφυκεν, εἰδότες ὑπὸ τίνων αἰτίων ἀναπνοὴ γίνεται, γνωσόμεθα δηλονότι, καὶ τὰς δυσπνοίας αἰτίας. τίνες οὖν αἰτίαι τῆς ἀναπνοῆς; ἔχεις μὲν αὐτὰς ἑτέρωθι μετ' ἀποδείξεως γεγραμμένας· νυνὶ δ' ἀρκεῖ τῶν κεφαλαίων ἀναμνησθῆναι μόνον· ἡ μὲν δύναμις ἡ ψυχικὴ κινεῖ τὸν θώρακα, τῷ δὲ ὁ πνεύμων συγκινεῖται, ταῖς τούτου δ' ἕπεται κινήσεσι, διαστελλομένου μὲν εἰσπνοή, συστελλομένου δὲ, ἐκπνοή. δέδεικται δ' ἐν ἐκείνοις, καὶ ὡς ἡ χρεία τῆς ἀναπνοῆς, ἡ μεγίστη μὲν καὶ κυριωτάτη, φυλακὴ τῆς ἐμφύτου θερμασίας ἐστίν, ἤδη δὲ καὶ τοῦ ψυχικοῦ πνεύματος θρέψις. οὕτω δὲ τούτων ἐχόντων, ἐπειδὰν μὲν ἡ δύναμίς τε καὶ ἡ χρεία καὶ τῶν ὀργάνων ἕκαστον εὐπραγῇ, νόμῳ φύσεως ἀναπνεῖ τὸ ζῶον· ἐπειδὰν δέ τι πάθῃ, κατ' ἐκεῖνο καὶ τὴν ἀναπνοὴν ἀναγκαῖον ἐμποδίζεσθαι. καὶ τοίνυν, ὥσπερ ἐν ταῖς περὶ τῶν σφυγμῶν πραγματείαις διττὴν ἐποιούμεθα διδασκαλίαν, ἢ καθ' ἕκαστον αὐτῶν ζητοῦντες τὰς αἰτίας, ἢ καθ' ἑκάστην ἐκείνων τὰς ἀλλοιώσεις, οὕτω κἀνταῦθα χρὴ καθ' ἑκάτερον γυμνάσασθαι, ὥστε καὶ τῆς αἰτίας προβληθείσης, εὐθὺς ἔχειν εἰπεῖν καὶ τὴν ἑπομένην δύσπνοιαν, καὶ τῆς δυσπνοίας ῥηθείσης, ἀναμιμνήσκεσθαι ῥᾳδίως τῆς ποιούσης αἰτίας. ἀρκτέον οὖν ἡμῖν κἀνταῦθα κατὰ τὸν αὐτὸν τρόπον ἀπὸ τῶν ἁπλῶν δυσπνοιῶν, ὡς ἐν ἐκείνοις ἀπὸ τῶν σφυγμῶν, καὶ ζητητέον, τίνες αἰτίαι ταχεῖαν εἰσπνοὴν ἐργάζονται. ταχὺν μὲν γὰρ σφυγμὸν

CAPVT IV.

Methodus inueniendarum causarum difficultatis respirationis.

REliquum autem fuerit causis earum inuentis, deinceps ad compositas transire. Quæ igitur est causa celeris & tardæ respirationis, & vniuscuiusque reliquarum? Mihi quidem etiam hîc methodo ad earum inquisitionem vtendum videtur, & non simpliciter enunciandum. Quæ est igitur methodus? Quum vnumquodque ab iisdem peius aut melius reddatur, per quæ omninò fieri solet, si sciuerimus à quibus causis respiratio fiat, sciemus nimirum & respirandi difficultatis causas. Quæ igitur sunt respirationis causæ? Habes quidẽ ipsas alibi cum demonstratione conscriptas; nunc verò capitũ tantùm recordari suffecerit. Facultas quidem animalis mouet thoracem; cum hoc simul pulmo mouetur; ad huius verò motus, vbi dilatatur, sequitur inspiratio; vbi contrahitur, expiratio. Demonstratum etiam ibidem est, maximum quidem & principalissimum respirationis vsum esse insiti caloris conseruationem, iam verò & animalis spiritus nutritionem. His itaque sic habentibus, quum & facultas & vsus & vnumquodque organum rectè ac prosperè habuerint, naturæ lege animal respirat; quum verò quid ex eis vitiatum fuerit, illius causa etiam respirationem impediri necesse est. Itaque quemadmodum in libris de pulsibus duplicem fecimus doctrinam, aut secundum vnumquemque ipsorum inquirentes causas, aut secundum vnamquanque ipsarum, alterationes: ita & hîc in vtranque partem exercitari oportet, vt proposita causa statim sequentem respirationis difficultatem dicere possimus; & vicissim nominata respirationis difficultate, facilè eius causam efficientem in memoriam reuocare. Incipiendum itaque nobis etiam hîc eodem modo à simplicibus respirationis difficultatibus, quemadmodum illic à pulsibus, & quærendum quæ causæ celerem inspirationem faciant. Celerem enim pulsum demon-

demonstrauimus vrgente vsu, integra facultate, & obsequentibus organis fieri. Videor autẽ mihi & hic easdem causas rectè referre posse, si vtique non malè in libro de vsu pulsuum demonstrauimus, eandem vtilitatem à respiratione quidem ei qui in corde est calori, à pulsibus verò ei qui per totum animal dispersus est, contingere. In illis autem iisdem libris de causis pulsuum, sufficienter dictum est de Archigenis aduersus Magnum disputatione, quod non à facultatis robore celer pulsus fiat, sed magis ab imbecillitate, nec oportet bis de iisdem dicere, quum vnus & idem demonstrationis modus esset futurus. Etsi ita circa respirationis difficultatem, vt circa pulsus, iuniores medici curiosi fuissent, & non penitus ipsam neglexissent, accomodatius vtique hic celeris motus ratio inuestigari posset: vt potè quum manifestior res ipsa sit, & ob id priùs doceri debeat. Verùm haud scio, quomodo de ipsa quidem respiratione plurimùm inquisierunt, & neque vsum cuius gratia fit, neque facultatem à qua efficitur, intactam reliquerunt; de organis etiam ipsis curiosè, quot, qualia, & quomodo moueantur, inuestigauerunt; de respirationis verò difficultate sermonem tanquam non magis necessarium, aut non magis varium, aut non multò difficiliorem inuentu, omnino segniter prætererierunt, quidam ne minimum quidem penitus de ipsa dicentes, quidam verò paucis admodum rem attingentes. Quanquam Hippocrates in libris de morbis epidemicis, tanquam œstrum quoddam, difficilium respirationum differentias scripserat, à quo punctos & stimulatos ipsos aliquando à profundo somno excitari oportebat, & quærere, quis in vnaquaque ipsarum sit affectus locus, & quis affectionis modus, & quæ causa, & an hæc ab Hippocrate penitus prætermissa sint, an aliqua quidem ab ipso relata, aliqua verò non, & in quibus id factum sit libris; aut quomodo; num perfectè & manifestè, an non integrè, & quasi seminatoriè. Nihil enim horum vllus vnquam inquisiuit, neque quisquam pro rei dignitate, & eorum, qui se Hippocraticos appellant, eiusque librorum commentarios enarratorios conscribunt, tractationem de respirationis difficultate perfectè explicauit. Verùm nos quæ in singulis ipsius libris relata sunt, in vnum coaceruemus omnia, & demonstremus, etiam in hac parte longè reliquos omnes ipsum antecellere; non tamen iam hoc faciendum est. Non enim solùm Hippocratis sententiam exponere propositum est, sed etiam proprias dogmatum demonstrationes apponere, atque veritatis, quę in eis est, certitudinem iis, qui in hæc inciderint, exhibere: ad hoc autem multò melius est non præoccupare tempus opinione *venerandi* senis. Et ideo hic primus liber ea quæ vera sunt, cum demonstratione docebit; qui deinde sequitur secundus, ea, quæ Hippocrates de respirationis difficultate statuit, exponet.

CAPVT V.

De celeris respirationis causis.

Rursum igitur ad id redeamus, vnde digressa est oratio, *nimirum*, quod quæstio de

A ἀπεδείξαμεν, ἐπειγούσης μὲν τῆς χρείας, ἐρρωμένης δὲ τῆς δυνάμεως, εὐπειθῶν δ' ὄντων γίγνεσθαι τῶν ὀργάνων. ἐοίκαμεν δὲ κἀνταῦθα τὰς αὐτὰς ἐρεῖν αἰτίας, εἴ γε μὴ κακῶς ἐν τῷ περὶ χρείας σφυγμῶν ἐδείξαμεν τὴν αὐτὴν ὠφέλειαν, παρὰ μὲν τῆς ἀναπνοῆς τῷ κατὰ τὴν καρδίαν θερμῷ, παρὰ δὲ τῶν σφυγμῶν τῷ καθ' ὅλον γίγνεσθαι τὸ ζῷον. ἐν ἐκείνοις δ' αὐτοῖς λόγοις τοῖς περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτιῶν, αὐτάρκως εἴρηται καὶ περὶ τῆς Ἀρχιγένους πρὸς Μάγνον ἀντιλογίας, ὡς οὐχ ὑπὸ ῥώμης δυνά-

B μεως ὁ ταχὺς γίγνεται σφυγμός, ἀλλὰ μᾶλλον ὑπὸ ἀρρωστίας. καὶ οὐ χρὴ δὶς περὶ τῶν αὐτῶν λέγειν, ἑνὸς καὶ ταὐτοῦ τρόπου τῆς ἀποδείξεως ἐσομένου. καὶ εἴπερ οὕτω περὶ δυσπνοίας, ὡς περὶ σφυγμῶν, οἱ νεώτεροι τὴν ἰατρικὴν ἐπραγματεύσαντο, καὶ μὴ τελέως αὐτῆς ὠλιγώρησαν, οἰκειότερον ἂν ἦν ἐνταῦθα ζητεῖσθαι τὸν περὶ τῆς ταχείας κινήσεως λόγον, ὡς ἂν καὶ σαφεστέρας τῆσδε τῆς πραγματείας οὔσης, καὶ διὰ τοῦτο προτέρας ὀφειλούσης διδάσκεσθαι. ἀλλ' οὐκ οἶδ' ὅπως περὶ μὲν αὐτῆς τῆς ἀναπνοῆς ἐπὶ πλεῖστον ἐζήτησαν, οὔτε χρείαν ἧς ἕνεκα γίγνεται παραλιπόν-

C τες ἄσκεπτον, οὔτε δύναμιν ὑφ' ἧς δημιουργεῖται. ἐπολυπραγμόνησαν δὲ καὶ περὶ τῶν ὀργάνων αὐτῆς ἐπιμελῶς, πόσα τε καὶ τίνα καὶ ὅπως εἴη κινούμενα. περὶ δὲ τῆς δυσπνοίας, ὥσπερ οὐκ ἀναγκαιότερον ὄντα τὸν λόγον, ἢ οὐ ποικιλώτερον, ἢ οὐ χαλεπώτερον εὑρεθῆναι, παντάπασιν ἀργῶς παρέδραμον, οἱ μὲν μηδ' ὅλως, μηδὲ τοὐλάχιστον ὑπὲρ αὐτῆς εἰπόντες, οἱ δὲ ἐπὶ βραχὺ κομιδῆ προσαψάμενοι. καίτοι γράψαντος Ἱπποκράτους ἐν τοῖς περὶ τῶν ἐπιδημιῶν, ὥσπερ τινὰ μύωπα, τὰς διαφορὰς

D τῶν δυσπνοιῶν, ὑφ' οὗ νυττομένους αὐτοὺς ἐχρῆν ἐξεγερθῆναί ποτε τοῦ βαθέος ὕπνου, καὶ ζητῆσαι, τίς ἐφ' ἑκάστης αὐτῆς ὁ πεπονθὼς τόπος ἐστὶ, καὶ τίς ὁ τρόπος τῆς διαθέσεως, καὶ τίς ἡ αἰτία, καὶ εἰ παραλέλειπται ταῦτα τελέως ὑφ' Ἱπποκράτους, ἢ τινὰ μὲν εἴρηται πρὸς αὐτοῦ, τινὰ δ' οὔ, καὶ ποῦ τῶν συγγραμμάτων, καὶ πῶς; ἆρά γε τελέως καὶ σαφῶς, ἢ ἐλλιπῶς τε καὶ οἱονεὶ σπερματικῶς; οὐδὲν γὰρ τούτων ἐζήτησεν οὐδεὶς, οὔτ' αὐτοῦ τοῦ πράγματος ἀξίως, τῶν θ' Ἱπποκρατείους ἑαυτοὺς ὀνομαζόντων, ἐξηγητικά τε γραψάντων ὑπομνήματα τῶν συγγραμμάτων αὐτοῦ, τὸν περὶ τῆς δυσπνοίας οὐδεὶς τελέως ἐπεξῆλθε λόγον. ἀλλ' ἡμεῖς τά τε καθ' ἕκαστον εἰρημένα τῶν βιβλίων εἰς ταὐτὸν ἀθροίσωμεν ἅπαντα,

E καὶ δείξωμεν, ὡς κἀν τούτοις ὁ ἀνὴρ πολὺ δή τι ὑπὲρ τοὺς ἄλλους ἐστίν. οὐ μὴν ἤδη γε τοῦτο ποιητέον. οὐ γάρ μοι πρόκειται μόνον ἐξηγήσασθαι τὴν Ἱπποκράτους γνώμην, ἀλλὰ καὶ τὰς οἰκείας ἀποδείξεις τῶν δογμάτων προσθεῖναι, καὶ τῆς ἐν αὐτοῖς ἀληθείας ἀκρίβειαν παρασχεῖν τοῖς ἐντυγχάνουσιν. εἰς δὲ τοῦτο πολὺ κάλλιόν ἐστι μὴ προκαταλαμβάνειν τὸν καιρὸν τῇ δόξῃ τοῦ παλαιοῦ, καὶ τοίνυν ὅδε μὲν ὁ πρότερός μοι λόγος διδασκαλία μετ' ἀποδείξεως ἔσται τῶν ἀληθῶν· ὁ δ' ἑξῆς δεύτερος, ἐξήγησις, ὧν Ἱπποκράτης

F ἐγίγνωσκε περὶ δυσπνοίας.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν τῆς ταχείας ἀναπνοῆς αἰτίων.

Αὖθις οὖν ἀναλάβωμεν ὅθεν λέγοντες ἀπελίπομεν, ὡς ἡ περὶ τάχους κινήσεως ζήτησις, ἐν τοῖς

περὶ σφυγμῶν ἡμῖν ἅπασα περαίνεται, διὰ τὸ σπουδασθῆναι μὲν ἐκείνην τὴν πραγματείαν τοῖς πλείστοις τῶν νεωτέρων ἰατρῶν· ἀμεληθῆναι δὲ τὴν νῦν προκειμένην σχεδὸν ἅπασι, καίτοι σαφεστέραν τε μακρῷ, καὶ οὐχ ἧττον ἐκείνης χρησίμην ὑπάρχουσαν. ἀλλὰ καὶ αὐτὸς ταύτην τὴν αἰτίαν εἴποιμι ἂν ἐπὶ προήκοντι τῷ λόγῳ, νυνὶ δὲ τὸ συνεχὲς περαντέον, ὡς ἅπασιν ἡ ταχεῖα κίνησις, διά τε τὴν ἐπείγουσαν χρείαν γίνεται, καὶ προσέτι τὴν δύναμιν ὑπηρετεῖν αὐτῇ δυναμένην, ὅπερ ἐστὶν ἐρρωμένην, καὶ τῶν ὀργάνων οὐδενὸς ἀντιπράττοντος, ὧν τὰς ἀποδείξεις ἐν τοῖς περὶ σφυγμῶν ἐλέγομεν εἰρῆσθαι. εἴρηται δ' ἐν ἐκείνοις καὶ ὡς ἐνδέχεταί ποτε τῆς χρείας ἰσχυρῶς ἐπειγούσης, κἂν ἡ δύναμις ἀρρωστοτέρα μετρίως ᾖ, τὴν κίνησιν γίνεσθαι ταχεῖαν. εἰ δ' ἐπὶ πλέον ἀσθενείας ἥκοι, μηκέτ' ἐγχωρεῖν γίνεσθαι ταχέως, ἀλλὰ τηνικαῦτα πυκνὴν μᾶλλον ἀντὶ ταχείας γίνεσθαι τὴν ἐνέργειαν. ἁπάσης γὰρ πυκνότητος ἐνεργειῶν μίαν ὑπάρχειν αἰτίαν, τὸ τῆς προτέρας ἐνεργείας ἐνδεές. ἀναγκάζονται γὰρ ἐπειγούσης ἐκείνης, μηκέτι ἡσυχάζειν ἐπὶ πλέον. ἅπαντα δὲ ταῦτα δι' ἐκείνων μὲν ἀποδέδεικται, κοινὸς δὲ αὐτῶν ὁ λόγος ἐστὶ καὶ πρὸς τὴν ἀναπνοήν· πρῶτον μὲν, ὅτι περὶ κινήσεως ἁπάσης ἐν τῷ καθόλου λέλεκται· ἔπειτα καὶ ἡ ἀναπνοὴ ὀλίγου δεῖν ἅπασα, τῇ τῶν σφυγμῶν ἀναλογίᾳ ἀνάλογον ἔχει. σύνθετος γάρ ἐστιν ἐξ ἐναντίων κινήσεων ἠρεμίαις διαιρουμένων, καὶ χρείας ἕνεκα τῆς αὐτῆς γίνεται, καὶ τῶν μορίων δ' αὐτῆς ἡ μὲν εἰσπνοὴ παραπλήσιος οὖσα τῇ διαστολῇ τῶν σφυγμῶν, ἀναψύχει τὴν ἔμφυτον θερμασίαν· ἡ δ' ἐκπνοή, καθάπερ ἡ συστολὴ τῶν σφυγμῶν, ἐκκρίνει τὸ καπνῶδες τῆς συγκαύσεως. ἀλλὰ καὶ τὸ τῇ θρέψει τοῦ ψυχικοῦ πνεύματος ἀμφοτέρας τὰς ἐνεργείας συντελεῖν, καὶ τὸ τῶν ἠρεμιῶν, τὴν μὲν ἐπὶ τῇ διαστολῇ, βραχυτέραν ὑπάρχειν, τὴν δὲ ἐπὶ συστολῇ μακροτέραν, ἀμφοτέρων κοινά. τάχος μὲν οὖν ταῖς ἀναπνευστικαῖς κινήσεσιν ὅπως προσγίνεται, καὶ δὴ λέλεκται.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τῶν τῆς μεγάλης τε καὶ μικρᾶς ἀναπνοῆς αἰτιῶν.

ΠΕρὶ τοῦ μεγέθους δὲ ἑξῆς δίειμι. χρὴ τοίνυν κἀν τούτῳ καλεῖν μὲν τὴν χρείαν εἰς τοὔργον, ὑπηρετεῖν δ' αὐτῇ τὴν δύναμιν ἐρρωμένην, ἑτοιμότητα δ' ὑπάρχειν τοῖς ὀργάνοις. τῆς αὐτῆς γάρ τοι συνοδίας τῶν αἰτίων δεῖται μέγεθος ἀναπνοῆς, ἥπερ καὶ τάχος· τά γε μὴν ἐναντία τούτων βραδύτης τε καὶ μικρότης, οὐ πάντη γε δεῖται τῶν ἐναντίων ἁπάντων ὁμοῦ, ἀλλ' ἓν μὲν ἐξ αὐτῶν χρὴ παρεῖναι πάντως, πλείω δὲ οὐκ ἀναγκαῖον. ἄν τε γὰρ ἡ χρεία μεγάλως ἐκλυθῇ, συνεκλύεται καὶ τὸ τάχος κινήσεως, καὶ τὸ μέγεθος τῆς διαστολῆς, κἂν ὅτι μάλιστα ῥώμης ἔχῃ καλῶς ἡ δύναμις· ἀργὴν γὰρ ἕξει ταύτην, ἔστ' ἂν μὴ δεήσεται τὸ ζῷον ἐνεργούσης αὐτῆς· ἄν τε μεγάλη μὲν ἡ χρεία, ἐκλύηται δέ πως ὁ τόνος τῆς δυνάμεως, ἄν τε ταῦτα μὲν ὑπάρχῃ, βλάβη δέ τις συμβῇ τοῖς ὀργάνοις, οἵαν ἐν τοῖς περὶ σφυγμῶν δηλοῦμεν· ὅ τι γὰρ ἂν εἴη τούτων, κωλυθήσεται τὸ τάχος καὶ τὸ μέγεθος τῆς ἀναπνοῆς.

A celeritate motus, in libris de pulsibus nobis in totum absoluta est, proptereaquòd circa illam tractationem plurimi iuniorum medicorum multum operæ impenderint; circa eam verò, quam nunc in manibus habemus, omnes negligentes fuerint, quanquam manifestior longè sit, & non minus, quam illa, vtilis, existat. Verùm & huius rei causam ipse *fortasse* referam in sermonis progressu; nunc verò quod consequens est, absoluamus; quòd videlicet omnibus celer motus & ob vrgentem vsum fiat & ampliùs facultatem ei subseruire valentem, B hoc est, robustam; & nullo organorum reluctante; quorum demonstrationes in libris de pulsibus à nobis relatas dicebamus. Dictum est etiam in illis, possibile esse quandoque, vsu multùm vrgente, etiamsi facultas paulò sit debilior, motum fieri celerem; si verò ampliùs debilitetur, non ampliùs posse fieri celeriter, sed tunc densam magis pro celeri fieri actionem. Omnis enim densitatis actionum vnam existere causam, prioris actionis defectum. coguntur enim illa vrgente, non amplius quiescere diu- C tiùs. Omnia autem hæc in illis *libris de pulsibus* sunt demonstrata. Communis autem est eorum ratio & respirationi; primùm quidem quòd de omni motu in vniuersum dicta sunt, deinde verò parum abest, quin omnis respiratio pulsuum proportioni respondeat. Cōposita enim est ex contrariis motibus per quietes distinctis, atque eiusdem vsus gratia fit; & ex partibus eius inspiratio quidem consimilis existens pulsuum diastolæ, insitum calorem refrigerat; expiratio verò velut systole pulsuum, fumosum adustionis *excrementum* excernit. Quin & D ad nutritionem animalis spiritus ambas actiones conferre; & in quietibus eam quæ post dilatationem fit, breuiorem esse; quæ verò contractionem sequitur, longiorem; ambobus communia existunt. Itaque quomodo celeritas motibus spirabilibus accedat, dictum est.

CAPVT VI.

De causis magnæ, & paruæ respirationis.

E DE magnitudine autem deinceps agam. Oportet igitur & in hac vsum ad opus prouocare, eíque facultatem robustam subseruire, & promptitudinem adesse ipsis instrumentis. Eundem enim causarum concursum magnitudo respirationis requirit, quem & celeritas. At contraria eorum tarditas & paruitas, non omninò opus habent contrariis omnibus simul, sed vnum ex ipsis adesse penitus oportet, plura non est necesse. Si etenim vsus valde exolutus sit, soluitur simul & celeritas motus F & magnitudo dilatationis, etiamsi robore maximè valeat facultas ipsa; otiosam enim habebit hanc, quousque animal eius actione non indigebit; si magnus quidem sit vsus, exoluatur autem aliquo modo facultatis robur; sique adsint quidem hæc, læsio autem aliqua acciderit instrumentis, qualem in libris de pulsibus indicauimus; quodcunque tandem ex his fuerit, impedietur & celeritas & magnitudo respirationis.

CAPVT VII.

De proportione causarum pulsus & respirationis in iis, qui fruuntur sanitate.

ATque in his sanè pulsus respirationibus omninò similes existunt. Quare etiam si causas primùm exponamus, & alterationes respirationis consequentes perscrutemur, ipsas consimiles reperiemus. Velut si calore aucto, reliquis respirationis causis immotis manentibus, qualis sit respirationis difficilis species quæramus; reperiemus enim vt etiam in primo de causis pulsuum est demonstratũ, quòd parum quidem eo aucto, maior manifestè, non tamen celerior; plurimùm verò aucto, & maxima, & celerior, & iam etiam densa inspiratio reddetur. Eodem modo etiam si calor secundum naturam sit imminutus, aliis causis immotis manentibus, quòd paruam ita, & tardam, ac raram necesse est fieri inspirationem, sed paulò tamen, quàm secundum naturam, minorem, multò verò, tardiorem, plurimò autem rariorem. Robusta enim existente facultate, non est possibile multo minorem fieri dilatationem. Sed si vsus multùm sit exolutus, plurimam quietem fieri verisimile est, non tamen propterea omninò tardè moueri, si facultas modò sit robusta. Quæ porrò ex aucto calore, eædem ex animali spiritu ad nutritionem vrgente, species erunt respirationis difficultatum, earum videlicet quæ circa inspirationem consistunt. Quemadmodum sanè immoderatio fuliginosæ horum exustionis, easdem respirandi difficultates circa expirationem operabitur, quæ circa inspirationem sunt relatæ. Celeres enim erunt & magnæ & densæ, vbi multum eiusmodi excrementum fuerit collectum; tardæ autem & paruæ & raræ in cõtrariis affectionibus. Numquid igitur ita quidem esse ratio ipsa poscit, repugnat autem quippiam eorum, quæ euidenter apparent? Ego quidem omnia hæc consentientia tum in ætatibus tum in regionibus tum prorsus in vniuersis ambientis nos aëris constitutionibus reperio. Fidem autem maxime faciunt tum quæ in omnibus exercitationibus tum quæ in morbis contingunt. Vbi enim calor abundat, & celeres & magnas & densas videre est fieri inspirationes; vbi rursus frigus, contrarias, & tardas & paruas & raras. At verò quibus animalis spiritus euacuatur, & ob id cita renutritione opus habet, hi non solum valdè, sed & citò & densè inspirant; quibus verò nihil euacuatur, hi contrariam illis habent inspirationis speciem; si verò ambo concurrant, & caloris incrementum, & spiritus consumptio, hi omnium maximam & celerrimam & densissimam inspirationem habent; & maximè si ambo vehementer fuerint aucta; vt etiam vbi ambo vehementer fuerint imminuta, minimæ, & tardissimæ, & rarissimæ fiunt inspirationes. At verò & expirationum species, si multa quidem fumosa excrementa sint collecta, & maxima & celerrima & densissima erit; si verò paucissima penitus fuerint excrementa, minima & tardissima & rarissima. Ex ætatibus porrò omnes quæ in augmento sunt, magnam & celerem & densam inspirationẽ facere videmus; quę verò decrescũt,

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς ἀναλογίας τῶν τοῦ σφυγμοῦ τε καὶ τῆς ἀναπνοῆς ἐν τοῖς ὑγιαίνουσιν αἰτιῶν.

ΚΑτὰ μὲν δὴ ταῦτα πάντως ἐοίκασιν οἱ σφυγμοὶ ταῖς ἀναπνοαῖς, ὥστε εἰ καὶ τὰς αἰτίας πρῶτα προχειριζόμενοι, τὰς ἀκολουθούσας αὐταῖς ἀλλοιώσεις τῆς ἀναπνοῆς ἐπισκεπτοίμεθα, παραπλησίους εὑρήσομεν. οἷον εἰ καὶ τῆς θερμασίας αὐξηθείσης, τῶν ἄλλων αἰτίων τῆς ἀναπνοῆς ἀτρέπτων μενόντων, ὁποῖόν τι τὸ τῆς δυσπνοίας εἶδος ἔσται, ζητοῦμεν· εὑρήσομεν γὰρ ὡς κἂν τῷ προτέρῳ δέδεικται τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, ὅτι βραχὺ μὲν αὐξηθείσης αὐτῆς, μείζων μὲν σαφῶς, οὐ μὴν καὶ θάττων· ἐπὶ πλεῖστον δὲ, καὶ μεγίστη καὶ ταχεῖα καὶ ἤδη πυκνὴ γίγνοιτ᾽ ἂν ἡ εἰσπνοή. κατὰ ταῦτα δὲ, καὶ εἰ μειωθείη τὸ κατὰ φύσιν θερμὸν, τῶν ἄλλων αἰτίων ἀτρέπτων μενόντων, ὅτι μικρὰν οὕτω, καὶ βραδεῖαν, καὶ ἀραιὰν ἀνάγκη γίνεσθαι τὴν εἰσπνοὴν, ἀλλ᾽ ὀλίγῳ μὲν τινι τῆς κατὰ φύσιν μικροτέραν, πολὺ δὲ βραδυτέραν, πάμπολυ δ᾽ ἀραιοτέραν. ἐῤῥωμένης γὰρ τῆς δυνάμεως οὔσης οὐκ ἐνδέχεται πολλῷ μικροτέραν γίνεσθαι τὴν διαστολήν. ἀλλ᾽ εἴπερ ἐκλυθείη τὰ τῆς χρείας ἱκανῶς, ἐπὶ πλεῖστον ἡσυχάζειν εἰκός· οὐ μὴν οὐδὲ κινεῖσθαι διὰ ταῦτα παντάπασι βραδέως, ἐῤῥωμένης τῆς δυνάμεως. ἃ δὲ ἐπὶ τῆς θερμασίας αὐξανομένης, ταῦτα κἀπὶ τῆς τοῦ ψυχικοῦ πνεύματος ἐπειγούσης θρέψεως, εἴδη δυσπνοιῶν ἔσται, δηλονότι τῶν περὶ τὴν εἰσπνοὴν συνισταμένων. ὥσπερ γε καὶ ἡ ἀμετρία τῆς λιγνυώδους τῶν χυμῶν συγκαύσεως, τὰς αὐτὰς τῆς ἐκπνοῆς δυσπνοίας ἐργάσεται, ταῖς ἐπὶ τῆς εἰσπνοῆς εἰρημέναις· ταχεῖαι μὲν γὰρ ἔσονται καὶ μεγάλαι, καὶ πυκναὶ, πολλοῦ τοιούτου περιττώματος ἠθροισμένου· βραδεῖαι δὲ καὶ μικραὶ καὶ ἀραιαὶ, κατὰ τὰς ἐναντίας διαθέσεις. ἆρ᾽ οὖν ὁ μὲν λόγος οὕτως ἀξιοῖ, μάχεται δέ τι τῶν ἐναργῶς φαινομένων; ἐγὼ μὲν ὁμολογοῦντα ταῦτα πάντα κατά τε τὰς ἡλικίας καὶ τὰς χώρας, καὶ ὅλως τὰς καταστάσεις ἁπάσας τοῦ περιέχοντος ἡμᾶς ἀέρος, εὑρίσκω· μαρτυρεῖ δ᾽ οὐχ ἥκιστα καὶ τὰ ἐν τοῖς ἐπιτηδεύμασιν ἅπασι, καὶ τὰ ἐν τοῖς νοσήμασιν. ἔνθα μὲν γὰρ τὸ θερμὸν πλεονεκτεῖ, ταχείας καὶ μεγάλας καὶ πυκνὰς ἔστιν ἰδεῖν γιγνομένας εἰσπνοάς· ἔνθα δ᾽ αὖ τὸ ψυχρὸν, τὰς ἐναντίας, βραδείας τε καὶ μικρὰς, καὶ ἀραιάς. καὶ μὴν ὅσοις μὲν κενοῦται τὸ ψυχικὸν πνεῦμα, καὶ διὰ τοῦτο τάχα δεῖται τῆς ἀναθρέψεως, οὐ μόνον μέγα, ἀλλὰ καὶ ταχὺ καὶ πυκνὸν εἰσπνέουσιν· οἷς δ᾽ οὐδὲν κενοῦται, τὸ ἐναντίον τούτοις εἶδος τῆς εἰσπνοῆς· εἰ δ᾽ ἄμφω συνδράμοι, καὶ θερμασίας αὔξησις, καὶ πνεύματος ἀνάλωσις, οὗτοι τὴν μεγίστην ἁπασῶν καὶ ταχίστην καὶ πυκνοτάτην εἰσπνοὴν ἴσχουσι, καὶ μάλιστ᾽ εἰ σφοδρῶς ἑκάτερα αὐξηθείη, ὥσπερ γε καὶ μειωθέντων ἀμφοῖν ἰσχυρῶς, μικρόταται καὶ βραδύταται καὶ ἀραιόταται γίνονται εἰσπνοαί. καὶ μὲν δὴ καὶ τὸ τῶν ἐκπνοῶν εἶδος, εἰ μὲν ἀθροισθείη πολλὰ καπνώδη περιττώματα, μέγιστόν τε καὶ τάχιστον καὶ πυκνότατον· εἰ δ᾽ ὀλίγιστα παντελῶς εἴη, μικρότατόν τε, καὶ βραδύτατον καὶ ἀραιότατον. ἡλικιῶν μέν γε, τὰς μὲν ἐν αὐξήσει πάσας καὶ μέγα καὶ ταχὺ καὶ πυκνὸν εἰσπνεούσας ὁρῶμεν· τὰς δ᾽ ἐν παρακμῇ,

πυκνοτάτην, ἀραιὰν μὲν καὶ μικρὰν καὶ βραδεῖαν· ὅτι ταῖς μὲν θερμὸν πλέον, ταῖς δ᾽ ἔλαττον· καὶ ταῖς μὲν συναύξεσθαι τῷ σώματι τὴν οὐσίαν τοῦ ψυχικοῦ πνεύματος ἀνάγκη, ταῖς δὲ συμμαραίνεσθαι. δι᾽ ἀμφοτέρας οὖν τὰς αἰτίας, πολὺ παραλλάττουσιν ἐν ταῖς τῆς εἰσπνοῆς ἰδέαις οἱ νέοι τῶν πρεσβυτέρων· δι᾽ ἄλλας δ᾽ αὖ δύο αἰτίας ἐν ταῖς ἐκπνοαῖς. ἐπεὶ γὰρ ταῖς αὐξανούσαις ἡλικίαις, διά τε τὴν τῆς ἐμφύτου θερμασίας ῥώμην, καὶ δι᾽ αὐτὴν τὴν αὔξησιν, πάμπολύ τι πλῆθος ἀναλίσκεται χυμῶν, ταῖς δὲ παρακμαστικαῖς, ὅσον εἰς αὐτὸ τὸ ζῆν μόνον, ὡς μήτε αὐξανομέναις ἔτι καὶ ἀποψυχομέναις ἤδη, κατὰ λόγον ταῖς μὲν ταχεῖα καὶ μεγάλη καὶ πυκνή, ταῖς δὲ ἐναντίως διακειμένη κατὰ πάντα ἡ ἐκπνοὴ φαίνεται. τὴν αὐτὴν δὲ ταύτην ἰδέαν καὶ οἱ σφυγμοὶ κατὰ τὰς τῶν ἡλικιῶν διαφορὰς ἔχοντες εὑρίσκονται, καθάπερ καὶ τοῦτ᾽ ἐν τρίτῳ τῷ ἐν αὐτοῖς αἰτίων ἐδηλώσαμεν. ὡς δ᾽ ἐν ταῖς ἡλικίαις, οὕτω κἂν ταῖς ὥραις καὶ ταῖς χώραις καὶ πάσαις ταῖς τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσεσιν, οἵ τε σφυγμοὶ ταῖς ἀναπνοαῖς, αἵ τ᾽ ἀναπνοαὶ τοῖς σφυγμοῖς ἀνάλογον ἔχουσιν, ἐν μὲν ταῖς θερμαῖς εἰς μέγεθος καὶ τάχος καὶ πυκνότητα τετραμμέναι, κατὰ δὲ τὰς ψυχρὰς, εἰς τἀναντία. καὶ εἴρηται περὶ τούτων ἁπάντων ἐν ἐκείνοις, ὥσπερ γε καὶ περὶ τῶν ἐπιτηδευμάτων. ἐν μὲν γὰρ τῷ τρέχειν καὶ παλαίειν καὶ ὁπωσοῦν ἄλλως ἀνδρίζεσθαι, μέγα καὶ ταχὺ καὶ πυκνὸν ἀναπνέομεν· ἡσυχάζοντες δέ, μικρὸν καὶ βραδὺ καὶ ἀραιόν· ὅτι ταῖς μὲν συντόνοις κινήσεσιν αὐξάνεται μὲν τὸ θερμόν, δαπανᾶται δὲ τὸ πνεῦμα τὸ ψυχικόν· ἠρεμούντων δὲ καὶ ἀκινήτων μενόντων, τὸ μὲν θερμὸν μαραίνεται, πνεῦμα δ᾽ οὐδ᾽ ὅλως ἢ παντελῶς ὀλίγον ἀναλίσκεται. καὶ τοίνυν καὶ τῶν λουτρῶν τὰ μὲν θερμὰ ταχεῖάν τε καὶ μεγάλην καὶ πυκνὴν ἐργάζεται τὴν ἀναπνοήν· τὰ δὲ ψυχρὰ, τὴν ἐναντίαν. ἐν τοῖς ὕπνοις δὲ καὶ πάνυ δεῖ προσέχειν τὸν νοῦν τῷ γινομένῳ. πλεονεκτεῖ γὰρ καὶ κατὰ μέγεθος καὶ τάχος κινήσεως ἡ ἐκπνοὴ τῆς εἰσπνοῆς, ὅτε τῶν σιτίων τε καὶ χυμῶν ἁπάντων αἱ κατεργασίαι, καὶ αἱ πέψεις μάλιστα γίνονται. πλεῖστον οὖν εἰκὸς ἐν αὐτοῖς καὶ τὸ καπνῶδες ἀθροίζεσθαι περίττωμα.

contrà, raram & paruam & tardam; Propterea quòd illis calor amplior, his paucior existit; & illis quidem animalis spiritus substantiam cum corpore simul augeri necesse est, his verò contabescere. Ob vtrasque igitur causas, inspirationis speciebus iuuenes à senibus multum differunt; & propter alias duas causas, in expirationibus. Quoniam enim in ætatibus crescentibus, tum ob insiti caloris robur, tum ob ipsum incrementum, plurima copia humorum consumitur; in decrescentibus verò, quantum ad ipsam vitam solùm necesse est, vt quæ neque augescunt amplius, & iam perfrigerantur; ratione sanè illis velox & magna & densa; his vice versa per omnia contraria expiratio apparet. Hanc verò eandem speciem etiam pulsus secundum ætatum differentias habere reperiuntur, quemadmodum & hoc in tertio de causis ipsorum ostendimus. Quemadmodum verò in ætatibus, ita & in anni tempestatibus, & regionibus, & omnibus ambientis nos aëris constitutionibus, tum pulsus cum respirationibus, tum respirationes cum pulsibus proportionem habent; in calidis quidem ad magnitudinem & celeritatem & densitatem vergentes; in frigidis verò, ad contraria. Et relatum de his omnibus est etiam illic, quemadmodum & de exercitijs; in currendo nanque & luctando & quomodocunque aliàs viriliter exercendo, valde & velociter, & densè respiramus; quiescentes verò, parum & tardè & rarè; quod in concitatis motibus, calor quidem augeatur, consumatur autem spiritus animalis; vbi verò quiescimus & immoti manemus, calor marcescit, spiritus autem aut nullo modo aut omnino modicè consumitur. At verò & ex lauacris, calida quidem celerem & magnam & densam faciunt respirationem; frigida verò, contrariam. In somnis porrò etiam valdè animũ ad hoc quod contingit, aduertere oportet. Nam & magnitune & celeritate motus expiratio inspirationem excedit, quando ciborum & humorum omniũ confectiones & concoctiones maximè fiunt; plurimùm igitur verisimile est in ipsis coaceruari fumosum recrementum.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ ἀναλογίας τῶν τοῦ σφυγμοῦ καὶ τῆς ἀναπνοῆς κατὰ τοὺς νοσοῦντας αἰτιῶν.

ΚΑὶ τῶν νοσημάτων δὲ (καὶ γὰρ καὶ περὶ τούτων ἤδη λεκτέον) ἐν μὲν τοῖς πυρετώδεσιν ἅπασι, καὶ μάλιστα ὅσοις περί τι τῶν ἀναπνευστικῶν ὀργάνων ἢ τὴν καρδίαν ἠθροισταί τι πολὺ πλῆθος θερμότητος, ἡ ἀναπνοὴ πᾶσα μεγάλη καὶ ταχεῖα καὶ πυκνὴ φαίνεται γιγνομένη· ἐν οἷς δὲ ἀπέψυκται τὸ θερμόν, ἡ ἐναντία, ὥστε καί τισιν ἤδη τελέως ἔδοξεν ἀπολωλέναι, καὶ ἣν ὁ Ποντικὸς Ἡρακλείδης ἄπνουν ἔγραψεν, ἥδε ἐστίν. τὸ ἀνάλογον γὰρ ἔχειν ἔοικεν, ὥσπερ ἐν τοῖς ἄλλοις ἅπασιν ἀναπνοή τε καὶ σφυγμός, οὕτω κἂν τῷδε. παντελῶς γὰρ οὐδέτερον αὐτῶν ἀπολέσθαι δυνατόν, ἕως ἂν περιείη τὸ ζῷον, ἀπολωλέναι μέντοι δόξαι διὰ σμικρότητα, θαυμαστὸν οὐδέν. οὐδὲ γὰρ τούτοις γε δὴ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι τοῖς ἐσχάτως μικροῖς, τὸ διαφεύγειν τὰς αἰσθήσεις κοινόν.

CAPVT VIII.

De proportione causarum pulsus & respirationis in iis qui ægrotant.

ATque in morbis etiam (nam & de his iam dicendum) in febrilibus quidem omnibus, & maximè, vbi circa aliquod respirationis organum, aut circa cor aliqua eaque multa caloris copia est coaceruata, omnis respiratio magna & velox & densa fieri apparet; In quibus verò perfrigeratus est calor, contraria; adeo vt & quibusdam iam penitus periisse putata sit; atque hæc est illa, quam Heraclides Ponticus *ἄπνουν i. spiritu priuatam* scripsit. Quemadmodum enim in aliis omnibus, sic etiam hic proportionem respiratio & pulsus habere videntur. Neutrum nanque ipsorum in totum perire potest, donec superfuerit animal; attamen periisse putari propter paruitatem, nihil mirum est. Neque enim his solùm, sed & aliis omnibus extremè paruis commune est, quòd sensum effugiant.

CAPVT

CAPVT IX.

In quibus differant pulsus, & respirationes.

AT postquam de iis quæ respirationibus & pulsibus æqualiter adsunt, sufficienter dictum est, quæremus iam & quantum in ipsis sit, quod non similiter habeat; proprietatem enim quæ est à facultatum diuersitate in singulis actionibus, verisimile est etiam multipliciter differentes ipsarum species facere. Hanc igitur considerare oportet, ac quærere, & inuenire methodo. Videor autem mihi videre statim ab ipsa rerum substantia, maximam quandam differentiam omnium animalium functionum à vitalibus esse. In illis enim voluntas potestatem habet generationis; & potest aliquando, etiam si vsus prouocet & facultas sit integra & singula respirationis instrumenta ad actionem accommoda, tamen prohibere & impedire ipsa à motu. Vbi verò ita potenter cohibere potest, certè longè facillimum ei fuerit, tardè aut citò mouere, & ampliùs aut minùs attollere, & per longius aut breuius tempus. In vitalibus verò functionibus non ita se res habet, sed quum vsus prouocat & facultas robusta est & organa apta existunt ad motus, neque tardam neque paruam possibile est fieri actionem. Itaque in pulsibus circa inflammatas partes euidentissimè apparet, ob motum arteriarum in ipsis dolorem accedere vehementem, propterea quod non in nobis sit motum facere magnitudine minorem aut celeritate tardiorem. Atqui si in nostra potestate esset minorem aut tardiorem ipsum reddere, nihil magis ex re facere possemus, mitigaturi vtique ex hoc dolorem: *Omne nanque inflammatum integram quietem desiderat*; si enim moueantur & inuicem atterantur ipsorum partes; premuntur, fluxione infestantur & vniuersim dolore vexantur. Quòd si quandoque ob vrgentem vsum ad motum cogantur, minorem planè & tardiorem motũ facilius ferunt, quàm maiorem & velociorem. Ita & crus, vbi pars aliqua in ipso fuerit inflammata, maximè quidem quietem expetit; si verò vrgente aliquo vsu ipsum mouere cogamur, minùs & tardiùs ambulamus. Verùm hoc impossibile est in arteriis facere: non enim in nostra potestate est ipsarum motus, vt vel eum qui fit, sedare, vel velociorẽ tardiorem, vel maiorem minorem facere possimus; sed necesse est eum, qui adest, boni consulere, siue celer, siue magnus, siue vtcunque sit violentus. Ideò vbi in inflammatis partibus arteriæ mouentur, dolore affligimur quidem, sed neque obtusiorem neque minorem neque tardiorem motum facere possumus, quum tamen per actiones voluntarias, aut in totum quietem cruri dare, aut valde paruum & tardum motum illi permittere queamus. Cœterum quando paruum & magnum motum dicimus, quòd non propriè, sed à spaciis per quæ fertur id, quod mouetur, appellamus, omnibus manifestum. Atqui quum thorax vna quædam animalis pars, organum sit respirationis, vt arteria pulsuum & crus ambulationis; si sanè respiratio inter functiones vitales sit, consimilem habebit arteriis motus proportionem; si verò inter animales, ad crurum similitudinem mouebitur.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Κατὰ τίνα διαφέρουσιν οἱ σφυγμοὶ τῶν ἀναπνοῶν.

ΑΛλ' ἐπεὶ καὶ περὶ τῶν ὡσαύτως ὑπαρχόντων ἀναπνοαῖς τε καὶ σφυγμοῖς αὐτάρκως εἴρηται, ζητήσομεν ἤδη καὶ ὅσον ἐν αὐτοῖς οὐχ ὡσαύτως ἔχει. τὸ γὰρ ἀπὸ τῆς τῶν δυνάμεων ἑτερότητος ἐν ἑκάστῳ τῶν ἐνεργειῶν ἴδιον, εἰκός ἐστι πολλαχῶς καὶ τὰς ἰδέας αὐτῶν διαφερούσας ἐργάσασθαι. τοῦτ' οὖν χρὴ σκοπῆσαι καὶ ζητῆσαι καὶ ἀνευρίσκειν μεθόδῳ. δοκῶ δή μοι καθορᾶν εὐθὺς ἀπ' αὐτῆς τῆς οὐσίας τῶν πραγμάτων μεγίστην τινὰ διαφορὰν ἁπάντων τῶν ψυχικῶν ἔργων πρὸς τὰ ζωτικά. τῶν μὲν γὰρ ἡ προαίρεσις ἐξουσίαν ἔχει τῆς γενέσεως καὶ δύναταί ποτε, κἂν ἡ χρεία καλῇ καὶ ἡ δύναμις εὐεκτῇ κἂν τῶν ὀργάνων ἕκαστον ἐπιτήδειον ἢ πρὸς τὴν ἐνέργειαν, ὅμως ἴσχειν τε καὶ κωλύειν αὐτὰ τῆς κινήσεως· ὅπου δ' ἰσχύει μέγα οὕτως, ἤπου γε καὶ τὸ βραδέως κινεῖν ἢ ταχέως, καὶ ἐπιπλέον ἢ ἐπ' ἔλαττον ἐξαίρειν, καὶ διὰ πλείονος ἢ ἐλάττονος χρόνου, ῥᾷστον αὐτῇ. τοῖς ζωτικοῖς δ' ἔργοις οὐχ οὕτως ἔχει, ἀλλ' ὅταν ἡ χρεία καλῇ, τῆς γε δυνάμεως ἐρρωμένης καὶ τῶν ὀργάνων ἐπιτηδείων ὑπαρχόντων εἰς τὰς κινήσεις, οὔτε βραδεῖαν οὔτε μικρὰν γενέσθαι οἷόν τε τὴν ἐνέργειαν. ἐπὶ γοῦν τῶν κατὰ τὰ φλεγμαίνοντα μόρια σφυγμῶν, ἐναργέστατα φαίνεται διὰ τὴν τῶν ἐν αὐτοῖς ἀρτηριῶν κίνησιν, ὀδύνη μὲν σφοδρὰ προσγινομένη διὰ τὸ μὴ ἐφ' ἡμῖν εἶναι τὴν κίνησιν ἐλάττονα ποιῆσαι τῷ μεγέθει ἢ βραδυτέραν τῷ τάχει· καίτοιγε εἴπερ ἦν ἐφ' ἡμῖν ἐλάττονά τε καὶ βραδυτέραν αὐτὴν ἐργάσασθαι, οὐδὲν ἂν προὐργιαίτερον ἐποιησάμεθα, μέλλοντές γε ἐκ τούτου παρηγορήσειν τὴν ὀδύνην. παντὶ μὲν γὰρ τῷ φλεγμαίνοντι τελέας ἡσυχίας δεῖ· κινουμένων γὰρ καὶ τριβομένων πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων, θλίβεταί τε καὶ ῥευματίζεται καὶ παντοίως ὀδυνᾶται. εἰ δ' ἄρα ποτὲ καὶ διὰ τὴν τῆς χρείας ἔπειξιν ἀναγκάζοιτο, τὴν μικροτέραν τε καὶ βραδυτέραν κίνησιν ῥᾷον φέρει τῆς μείζονός τε καὶ ὠκυτέρας. οὕτω καὶ τὸ σκέλος, ὅταν φλεγμαίνῃ τι μέρος ἐν αὐτῷ, μάλιστα μὲν ἀναπαύεσθαι ποθεῖ· εἰ δ' ἀναγκαζοίμεθα κινεῖν αὐτὸ χρείας τινὸς ἐπειγούσης, ἔλαττόν τε καὶ βραδύτερον βαδίζομεν· ἀλλ' οὐχ οἷόν τε τοῦτ' ἐπὶ τῶν ἀρτηριῶν ἐργάσασθαι. οὐ γάρ ἐστιν ἐφ' ἡμῖν ἡ κίνησις αὐτῶν, οὐδ' ὥστε καταπαύειν γιγνομένην, ὥστε βραδυτέραν ἐξ ὠκυτέρας ἢ ἐκ μείζονος ἐλάττω ποιεῖν, ἀλλ' ἀνάγκη στέργειν τῇ παρούσῃ, κἂν ὠκεῖα, κἂν μεγάλη, κἂν ὁπωσοῦν ᾖ βιαία. διὰ τοῦτο ἐν τοῖς φλεγμαίνουσι μορίοις τῶν ἀρτηριῶν κινουμένων, ὀδυνώμεθα μὲν, ἀλλ' οὔτε ἀμυδροτέραν, οὔτε ἐλάττω τὴν κίνησιν οὔτε βραδυτέραν ἐργάσασθαι δυνάμεθα, καί τοι τῶν γε κατὰ τὴν προαίρεσιν ἐνεργειῶν ἢ παντελῶς ἀναπαύοντες τὸ σκέλος, ἢ μικρὰν κομιδῇ καὶ βραδεῖαν ποιοῦντες. ὅταν δὲ λέγωμεν μικρὰν καὶ μεγάλην κίνησιν, ὅτι μὴ κυρίως, ἀλλ' ἀπὸ τῶν διαστημάτων φαμὲν, καθ' ὧν τὸ κινούμενον φέρεται, παντί που δῆλον. οὐκοῦν ἐπεὶ καὶ ὁ θώραξ ἕν τι τῶν τοῦ ζώου μορίων, ἐστὶν ὄργανον ἀναπνοῆς, ὡς ἡ μὲν ἀρτηρία σφυγμῶν, τὸ δὲ σκέλος βαδίσεως, εἰ μὲν ἐστι τῶν ζωτικῶν ἔργων ἡ ἀναπνοὴ, ταῖς ἀρτηρίαις ἀνάλογον· εἰ δὲ τῶν ψυχικῶν, τοῖς σκέλεσιν ὁμοίως κινηθήσεται. ἀλ-

λαὶ μὲν τὴν ψυχικήν, ὡς ἐν ἄλλοις ἀποδέδεικται. δῆλον ἄρα ὡς τοῖς σκέλεσιν ὁμοίως κινηθήσεται. εἰ τοίνυν φλεγμαίνων εἴη ἀναγκάζοιτό τε κινεῖσθαι, βραδύτερόν τε καὶ πολὺ ἧττον τοῦ δέοντος διασταλήσεται. ἀλλ' εἰ τοῦτο ποιήσει, ἐνδεῶς ἀναπνεύσει. εἰ δὲ καὶ δεύτερον ἔτι καὶ τρίτον ταὐτὸ τοῦτ' ἐργάσεται, τὸ καθ' ἑκάστην ἐνδεὲς ἐν ἀξιόλογόν ποτε κεφάλαιον γινόμενον, ἐγγὺς ἄξει τοῦ πνίγεσθαι τὸ ζῶον. ἵν' οὖν μὴ γίνηται τοῦτο, πυκνοτέρας ποιεῖται τὰς ἐνεργείας, μηκέτι ἡσυχάζων τοσοῦτον, ὅσον ὁπότε εἶχε κατὰ φύσιν, ὅμοιόν τι ποιῶν τοῖς διὰ τὸ μὴ δύνασθαι τὴν αὐτάρκη τροφὴν εἰς ἅπαξ προσενέγκασθαι, συνεχῶς ὀλίγον τρεφομένοις. ἀλλ' ἐν τούτῳ ἀναγκαῖον τὴν ὅλην ἀναπνοὴν γίνεσθαι μικρὰν καὶ βραδεῖαν καὶ πυκνήν, καὶ πλέονί γε μικροτέραν τοῦ προσήκοντος, ἢ βραδυτέραν. οὐχ οὕτω γὰρ ἰσχυρῶς ὁ πόνος τὸν θώρακα διὰ τὸ τάχος τῆς κινήσεως, ὡς διὰ τὸ μέγεθος τῆς διαστολῆς. τὸ μὲν γὰρ τάχος, εἰ καὶ κατ' αὐτὴν τὴν ἐνέργειαν ὀδυνηρόν, ἀλλὰ τῷ γε βραχυχρόνιον ἐργάζεσθαι τὴν ὅλην κίνησιν, ἧττον λυπεῖ τὸν θώρακα· σύντομος γὰρ ἐφ' ὃ σπεύδει παραγίνεται· σπεύδει δὲ δήπουθεν ἐπὶ τὴν ἡσυχίαν καὶ ταύτης ὅτι τάχιστα γλίχεται τυχεῖν, ὡς ἂν μόνης αὐτῷ τὴν ἐκ φλεγμονῆς ὀδύνην παραμυθουμένης. τὸ δὲ μέγεθος τῆς διαστολῆς πάντως χαλεπόν, αὐτῷ τε τῷ βιαίῳ τῆς κινήσεως, καὶ τῷ θλίβειν τε ἅμα καὶ τείνειν τὰ φλεγμαίνοντα, καὶ παντοίως ὀδυνᾶν τὸν θώρακα. ταῦτ' ἄρα καὶ πλέον ἀφαιρεῖ τοῦ μεγέθους, ἢ τοῦ τάχους, καὶ ὅταν γε τοῦτ' αὐτὸ μόνον ᾖ τὸ πάθημα, πόνος τις τῶν κατὰ τὸν θώρακα μορίων, μὴ μέντοι τά γε τῆς χρείας ἐπείγῃ, μενούσης δηλονότι τῆς ἐν τῇ καρδίᾳ θερμασίας ἐν τοῖς κατὰ φύσιν ὅροις, ἐναργῶς ἡ κίνησις τοῦ θώρακος βραδυτέρα γίνεται· πυρώσεως δέ τινος ἐν αὐτῇ γενομένης, τὸ μὲν τάχος οὐκ ἐκλύεται, δι' ἃς ἔμπροσθεν εἴπομεν αἰτίας, καθαιρεῖται δὲ κἀνταῦθα τὸ μέγεθος ἱκανῶς, ἀλλ' ἀντ' αὐτοῦ πυκνότης γίνεται, διὰ τὴν τῆς χρείας ἔπειξιν.

atqui inter animales censetur, quemadmodum alibi demonstratum est: manifestũ igitur, quòd ad crurum similitudinem mouebitur. Si igitur thorax inflãmatus sit, & moueri cogatur, & tardiùs & multo minùs quã oporteat dilatabitur: verùm si hoc fecerit, non satis respirabit. Si verò secundò etiamnum ac tertiò id ipsum effecerit, quod deest singulis respirationibus in vnam summam eamque notatu dignam collectum, animal prope suffocationem adducet. Vt igitur id ne fiat, densiores actiones facit, non ampliùs tantum quiescens, quantum solebat, quum secundum naturam habebat; simile quid faciens iis, qui quòd sufficientem cibum semel ingerere non possint, assiduè modicè aluntur. At in hoc necessarium est totam respirationem fieri paruam & tardam & densam, & quam par sit multò minorem, quàm tardiorem. Etenim dolor non ita grauiter vexat thoracem ob motus celeritatem, vt ob dilatationis magnitudinem. Celeritas enim quanuis circa ipsam actionem dolorem excitet, tamen quia breui tempore omnem motum efficit, minùs thoracem lædit; breui siquidẽ tempore eo quò properat, peruenit; properat autem ad quietẽ, eamq; quam celerrimè assequi cupit, tanquam quæ sola dolorem ex inflammatione ipsi lenire possit. At verò dilatationis magnitudo penitus molesta est, tum propter violentiam motus, tum quod comprimat & distendat inflammata, & dolore omnimodo thoracem afficiat. Ob id igitur plus de magnitudine, quàm de celeritate adimit. Et sanè quum hic solus affectus est, dolor quidam thoracis partium, non verò vrget vsus, manente videlicet calore cordis intra naturales terminos, tunc motus thoracis manifestè tardior redditur. Si verò ardor quidam in ipso corde oboriatur, celeritas quidem non exoluitur ob eas quas antea diximus causas, aufertur autem etiam hic multum de magnitudine, verùm pro ipsâ densitas generatur ob vrgentem vsum.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τίς ἡ διαφορὰ τοῦ σφυγμοῦ τε καὶ τῆς ἀναπνοῆς ἐκ τῶν τῶν ὀργάνων διαθέσεων γιγνομένη.

ΩΣτε κἀκ τῶν εἰρημένων ἤδη πρόδηλον ὑπάρχει, ὡς αὐτὴ μὲν καθ' ἑαυτὴν ὀδύνη περί τι τῶν ἀναπνευστικῶν ὀργάνων γινομένη, μικρὸν καὶ βραδὺ καὶ πυκνὸν ἐργάσεται τὸ πνεῦμα· μετὰ φλογώσεως δέ, μικρὸν μὲν ἔτι καὶ νῦν ὁμοίως, ἀλλὰ πυκνότερόν γε τοῦ διὰ μόνην τὴν ὀδύνην, καὶ ἤδη κατά τι ταχύτερον. ἡ δὲ διὰ μόνην τὴν πύρωσιν γιγνομένη δύσπνοια, πρόσθεν ἐδείχθη μέγα καὶ ταχὺ καὶ πυκνὸν ἐργαζομένη τὸ πνεῦμα. ὥστε σαφής ἐστι καὶ εὐδιάγνωστος τῶν τε ἁπλῶν ἑκατέρα, καὶ ἡ ἐξ ἀμφοῖν σύνθετος. ἡ μὲν γὰρ ἐπὶ μόνῳ τῷ πλήθει τῆς θερμασίας, εἰ καὶ πυκνὸν ἐργάζεται τὸ πνεῦμα παραπλησίως τῇ διὰ μόνην τὴν ὀδύνην, ἀλλὰ τῷ μεγέθει καὶ τῷ τάχει σαφῶς διορίζεται· ἡ δ' ἐξ ἀμφοῖν τῶν αἰτίων συνελθόντων, τῆς μὲν διὰ τὴν φλόγωσιν, μόνῃ τῇ μικρότητι διαφέρει, τῆς δὲ διὰ τὴν ὀδύνην, μεγέθει καὶ τάχει· καὶ μὲν δὴ καὶ ἡ διὰ τὴν κατάψυξίν γε τῆς κατὰ φύσιν θερμασίας δύσπνοια, σαφέσι τισὶ γνωρίσμασιν ἁπασῶν τούτων

CAPVT X.

Quæ differentia pulsus & respirationis ex instrumentorum affectibus oriatur.

QVare etiam ex iam dictis perspicuum est, dolorem ipsum per se circa aliquod respirationis organum consistentem, paruum & tardum & densum spiritum efficere; cum ardore verò, paruum quidem adhuc similiter, sed densiorem eo, qui ob solum fit dolorem, & iam etiam aliquanto celeriorem; quæ verò ob solum ardorem contingit respirandi difficultas, eam antea ostensum est magnum & celerem & densum spiritum efficere; vt perspicua sit & facilè discerni possit & vtraque simplex, & quæ ex ambabus composita est. Quæ enim ob solam fit caloris copiam, quanuis densum reddat spiritum, similiter vt ea quæ ob solum fit dolorem, tamen magnitudine & celeritate palam distinguitur. Quæ verò ex ambabus causis concurrentibus generatur, ab ea quæ ob ardorem fit, sola paruitate differt; ab ea verò quæ ob dolorem, magnitudine, & celeritate. At verò respirationis difficultas ob perfrigerationem naturalis caloris, euidentibus notis ab omnibus his

his distinguitur; paruum enim hęc (vt demonstratum est) & tardum & rarum spiritum efficit; nulli verò aliarum simul accidit tarditas & raritas. At quantum in defectibus & excessibus caloris ipsa respirationis species ab eo qui secundum naturam est rythmo decedit, in his eodem modo se ac pulsus habet; quæ verò in dolorosis organorum affectibus contingunt, non ampliùs eodem modo se habent; verùm quatenus euarient, manifestè opinor demonstratum est. Reliquæ tamen organorum affectiones, quæ citra dolorem per obstructiones, aut duritiés, aut compressiones, aut omninò coarctationes quasdam fiunt, consimiles alterationes in vtrisque actionibus, animalibus & vitalibus, efficiunt. Paruus enim in ipsis & celer & densus fit spiritus; paruus quidem quòd ob angustiam suscipientium organorum paucior, quam oporteat, attrahatur; densus verò, quòd vsus non expleatur; & ob eandē causam etiam celer. Ostensum est autē in commentariis de pulsibus, quòd quando magnitudo diastoles sufficienter explet vsum, nihil indiget celeritate; quando verò deficit aliquantulum, tunc iam etiam ad celeritatem se conuertit, si robusta sit facultas; si verò neque hæc sufficiens fuerit, tunc & ad densitatem. Ob has itaque causas paruus & celer & densus redditur spiritus pulsuum & respirationum in prædictis affectionibus; sed dictum est in libris de pulsibus, quòd etiam est inæqualis, quæ vel præcipua ipsarum est nota, & causæ ratio in illis enarrata est; & quòd in ipsis partibus, in quibus obstructio hæret & quæ cum his communicant, inæqualitas maximè fiat manifesta, & paruitas pulsuum aut semper aut vt plurimum cohæreat; in aliis verò magis magnitudo. Si verò propinquus principio fuerit affectus, communis in hunc modum fit omnibus arteriis. Atque hæc quidem illic relata sunt & monstrata.

A διορίζεται. μικρὸν γὰρ αὕτη γε ὡς ἐδείκνυτο καὶ βραδὺ καὶ ἀραιὸν ἐργάζεται τὸ πνεῦμα· τῶν δ' ἄλλων οὐδεμιᾷ συμβέβηκεν ἅμα βραδύτης καὶ ἀραιότης. ἀλλ' ὅσον μὲν ἐπὶ ταῖς ἐνδείαις τε καὶ πλεονεξίαις τῆς θερμασίας, ἡ τῆς ἀναπνοῆς ἰδέα τοῦ κατὰ φύσιν ἐξίσταται ῥυθμοῦ, ταῦτα καὶ τοῖς σφυγμοῖς ὡσαύτως ἔχει· τὰ δ' ἐπὶ ταῖς ὀδυνηραῖς τῶν ὀργάνων διαθέσεσιν, οὐκέθ' ὡσαύτως, ἀλλ' ὅπῃ παραλλάττει σαφῶς, οἶμαι, δέδεικται. αἱ λοιπαὶ μέντοι διαθέσεις τῶν ὀργάνων, ὅσαι χωρὶς ἀλγήματος ἐπ' ἐμφράξεσιν ἢ σκιῤῥώσεσιν ἢ θλίψεσιν ἢ ὅλως στενοχωρίαις τισὶ γίνονται, παραπλησίως ἐργάζονται τὰς ἀλλοιώσεις ἑκατέ-
B ραις ταῖς ἐνεργείαις ψυχικαῖς τε καὶ ζωτικαῖς. μικρὸν γὰρ ἐπ' αὐταῖς καὶ ταχὺ καὶ πυκνὸν γίνεται τὸ πνεῦμα· μικρὸν μὲν, ὅτι διὰ τὴν στενοχωρίαν τῶν ὑποδεχομένων, ἔλαττον τοῦ δέοντος ἕλκεται· πυκνὸν δὲ, ὅτι τὰ τῆς χρείας οὐ πληροῦται· διὰ δὲ τὴν αὐτὴν ταύτην αἰτίαν καὶ ταχύ. δέδεικται δὲ ἐν τοῖς περὶ σφυγμῶν ὑπομνήμασιν, ὅτι τὸ μέγεθος τῆς διαστολῆς, ὅταν μὲν ἱκανῶς πληροῖ τὴν χρείαν, οὐδὲν δεῖται τάχους, ὅταν δ' ἀπολείπηται κατά τι, τηνικαῦτα ἤδη καὶ εἰς τάχος ἡ τροπὴ γίνεται, τῆς δυνάμεως ἐῤῥωμένης, καὶ ὅταν μηδὲ τοῦτο
C ἱκανὸν ᾖ, τότε καὶ εἰς πυκνότητα. διὰ ταῦτα μὲν δὴ μικρὸν καὶ ταχὺ καὶ πυκνὸν γίνεται τὸ πνεῦμα κατὰ τοὺς σφυγμοὺς καὶ τὰς ἀναπνοὰς ἐν ταῖς προειρημέναις διαθέσεσιν, ἐῤῥέθη δ' ἐν τοῖς περὶ σφυγμῶν, ὅτι καὶ ἀνώμαλον, καὶ τοῦτ' ἔστι μάλιστα τὸ ἴδιον αὐτῶν γνώρισμα, καὶ ὁ τῆς αἰτίας λογισμὸς ἐν ἐκείνοις εἴρηται, καὶ ὅτι γε κατὰ μὲν αὐτὰ τὰ τὰς ἐμφράξεις ἔχοντα μόρια, καὶ ὅσα τούτοις κοινωνεῖ, τὰ τῆς ἀνωμαλίας μάλιστα εὔδηλα, καὶ ἡ μικρότης τῶν σφυγμῶν ἢ διὰ παντὸς ἢ ὡς τὸ πολὺ συ-
D νεδρεύει· κατὰ δὲ τἄλλα, τὸ μέγεθος μᾶλλον. εἰ δὲ πλησίον τῆς ἀρχῆς εἴη τὸ πάθημα, κοινὸν οὕτω γίνεται πάσαις ταῖς ἀρτηρίαις. ταῦτα μὲν οὖν ἐν ἐκείνοις εἴρηταί τε καὶ δέδεικται.

CAPVT XI.

Qualis fiat respiratio, coarctatis aut dolentibus instrumentis.

VErùm, quæ spirabilibus organis propria sunt, nunc commemorabimus, vt nihil desit orationi. Quum igitur aut propter tubercula cruda in ipsis consistentia, aut ob tenaces & crassos humores, qui vias spiritus occuparint, aut ob scirrhosum aliquem tumorē in ipsis connutritum, aut ob quodcunque tandem ipsis vicinum corpus quocunque modo in tumorem immoderatiorē eleuatum, paucior quam oporteat spiritus propter locorum angustiam inspiratur, necessariò accedit ipsi celeritas & densitas ob prædictas causas. Species autem quædam in genere huius respirandi difficultatis plures constituuntur, aliàs aliis partibus in respiratoriis organis coarctatis. Tumores etenim præter naturam circa ventrem & hepar, splenem item & colon & his coniunctas partes, consistentes, ob septi transuersi coarctationem, paruum & velocem & densum faciunt spiritum; eodem modo & hydropicis & vterum gestantibus & supra modum cibo expletis & prominentem ventrem habentibus, huiusmodi fit respirationis species; in orthopnœis autem appellatis, lentis & crassis humoribus in asperis pulmonis

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὁποία γίνεται ἀναπνοὴ στενοχωρουμένων, ἢ ἀλγούντων τῶν ὀργάνων.

E ΤΑ δὲ τῶν ἀναπνευστικῶν ὀργάνων ἴδια νῦν ἐπέξιμεν, ὡς μηδὲν ἐλλείπειν τῷ λόγῳ. ὅταν οὖν ἤτοι φυμάτων ἀπέπτων ἐν αὐτοῖς συστάντων, ἢ γλίσχρων καὶ παχέων χυμῶν καταλαβόντων τὰς ὁδοὺς τοῦ πνεύματος, ἤ τινος ὄγκου σκιῤῥώδους ἐν αὐτοῖς ὑποτραφέντος, ἢ τῶν ὁμιλούντων αὐτοῖς σωμάτων ὁτουοῦν δὴ καθ' ὁντιναοῦν τρόπον εἰς ὄγκον ἀμετρότερον ἀρθέντος, ἔλαττον τοῦ δέοντος εἰσπνέηται διὰ στενοχωρίαν τὸ πνεῦμα, προσγίνεται ἐξ ἀνάγκης αὐτῷ διὰ τὰς εἰρημένας αἰτίας τάχος καὶ πυκνότης. ἰδέαι δέ τινες ἐν τῷ γένει τῆς δυσπνοίας ταύτης πλείους συνίστανται, ἄλλων ἄλλοτε μορίων στενοχωρουμένων
F ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις. οἱ μὲν γὰρ κατὰ τὴν γαστέρα καὶ ἧπαρ, ἤδη δὲ καὶ τὸν σπλῆνα καὶ τὸ κῶλον καὶ τὰ τούτοις συνάπτοντα, συνιστάμενοι παρὰ φύσιν ὄγκοι, στενοχωρίᾳ τοῦ διαφράγματος μικρὸν καὶ ταχὺ καὶ πυκνὸν ἐργάζονται τὸ πνεῦμα· κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τοῖς ὑδερικοῖς καὶ ταῖς κυούσαις καὶ τοῖς ὑπερεμπεπλησμένοις καὶ τοῖς προγάστορσι τοιοῦτον γίνεται τὸ τῆς ἀναπνοῆς εἶδος· ἐν δὲ ταῖς καλουμέναις ὀρθοπνοίαις, γλίσχρων καὶ παχέων ὑγρῶν ἐν ταῖς κατὰ τὸν πνεύμονα τραχείαις

ἀρτηρίαις ἐναθροιζομένων. οὕτω δὲ καὶ εἰ σκιῤῥωθείη τι κατ' αὐτὸν, ἢ φῦμα γένοιτο, θλίβον καὶ στενοχωροῦν τὸ τῶν τραχειῶν ἀρτηριῶν γένος (αὗται γὰρ ὑποδέχονται τὸν εἰσπνεόμενον ἀέρα) μικρὸν καὶ πυκνὸν καὶ ταχὺ ἔσται τὸ πνεῦμα. κατὰ τὸν αὐτὸν δὲ τρόπον, εἰ κἂν τῷ θώρακι τοιοῦτον συσταίη φῦμα, οἷς δὴ πολλάκις κυφοῦται καὶ λορδοῦται καὶ σκολιοῦται τὰ κατὰ τὴν ῥάχιν, μικρὸν καὶ πυκνὸν καὶ ταχὺ τὸ πνεῦμα γενήσεται, καταλαμβάνοντος δηλονότι τοῦ παρὰ φύσιν ὄγκου, τὴν χώραν τοῦ πνεύμονος, εἰς ἣν διαστελλόμενον ἐξετείνετο. πολλάκις δὲ καὶ αὐτὸν ὅλον τὸν θώρακα, στενώτερον αἱ τοιαῦται διαθέσεις ἀπέφηναν, ἢ κυουμένοις εὐθέως συμπεσοῦσαι, ἢ καὶ μετὰ ταῦτα ὕστερον ἀπαντήσασαι. διαφέρει δ' οὐδὲν πρός γε τὸ στενοχωρούμενον τὸν πνεύμονα μὴ δύνασθαι τὸν ἱκανὸν ἕλκειν ἀέρα, ἢ στενὸν ὅλον γενέσθαι τὸν θώρακα καθ' ἡντιναοῦν διάθεσιν, ἢ τὴν μεταξὺ χώραν ἀπολέσαι καταληφθεῖσαν ὑπό τινων παρὰ φύσιν ἐν αὐτῇ συστάντων σωμάτων, ἢ καὶ σκιῤῥωθέντος αὐτοῦ ἢ φραχθέντος ἢ ἀνοιδήσαντος, ὡς ἐν τοῖς καλουμένοις πνευμονώδεσί τε καὶ περιπνευμονικοῖς γίνεται πάθεσιν. ἓν γὰρ ἐπὶ πάντων ἐστὶ τοῦτο τὸ συνεκτικὸν αἴτιον τοῦ μικρὰν γίνεσθαι τὴν εἰσπνοήν, ἡ στενοχωρία τῶν τραχειῶν ἀρτηριῶν. διότι δ' αὐτὴ μικρὰ, διὰ τοῦτο, ὡς πολλάκις εἴρηται, προσέρχεται πυκνότης, καὶ τάχος. ἀλλ' ὅταν μὲν κατ' αὐτὸν τὸν πνεύμονα τὸ πάθημα συμπέσῃ, καίτοι διαστέλλειν δυναμένου μέχρι πλείστου τοῦ θώρακος, μικρὸν ὅμως εἰσπνέουσιν. οὕτω δὲ καὶ ὅταν αἱ μεταξὺ τῶν ὀργάνων χῶραι καταληφθῶσιν. ὅταν δ' ὅλος ὁ θώραξ, ἤτοι κυουμένων ἢ καὶ ἄλλως, μικρὸς καὶ στενὸς γένηται, δῆλον ὡς καὶ τὴν διαστολὴν ἀνάλογον ἑαυτῷ μικρὰν ἐργαζόμενος, αἰτία τῷ πνεύμονι τῆς περὶ τὴν εἰσπνοὴν ταχύτητος καθίσταται. οὕτως δὲ καὶ ὅταν αἱ φρένες ὑπό του θλίβωνται, κατ' αὐτὸ τὸ κάτω πέρας ἰδίᾳ τοῦ θώρακος, ὡς ἐν τοῖς ἀνωδύνοις παθήμασι. τούτου γὰρ χρὴ μεμνῆσθαι μάλιστα, ὅτι ποτὲ μὲν ἡ τοῦ θώρακος μόνου διάθεσις, ποτὲ δὲ ἡ τοῦ πνεύμονος, ποτὲ δὲ ἡ τῆς μεταξὺ χώρας ἀμφοῖν, εἰς μικρότητα, καὶ διὰ τοῦτο εἰς τάχος καὶ εἰς πυκνότητα, τὴν τροπὴν τῆς ἀναπνοῆς ἐργάζεται, τῆς γε δυνάμεως ἐῤῥωμένης. καὶ γὰρ καὶ τούτου χρὴ μεμνῆσθαι πολλάκις ἤδη καὶ πρόσθεν εἰρημένου. μὴ τοίνυν ἔτι τῶν πλευριτικῶν, ἢ τῶν ἀποστάσεις τινὰς ἢ ὅλως ὄγκους ὀδυνηροὺς ἐχόντων κατὰ τὸν θώρακα μνημονεύσωμεν ἐν τῷδε τῷ λόγῳ (περὶ δὲ τῶν ἀνωδύνων παθημάτων, ὅσα τῷ θλίβειν τε τὸν πνεύμονα, καὶ στενοχωρεῖν τὰς ἐν αὐτῷ τραχείας ἀρτηρίας, μικροτέραν ἐργάζεται τὴν εἰσπνοήν, ὁ προειρημένος ἅπας ἐπεραίνετο λόγος). ἀλλ' ἐκεῖνα μὲν τοῖς περὶ τούτων γεγραμμένοις πάθεσι τοῦ θώρακος προσνείμωμεν, ἐφ' ὧν ἐλέγομεν διὰ τὴν ὀδύνην ἧττον διϊστάμενον τὸν θώρακα, μικρὸν ἐργάζεσθαι τὸ πνεῦμα. τὴν δὲ τῶν ἐμπύων καλουμένων διάθεσιν, κἂν ὅτι μάλιστα πολλάκις ἐκ πλευρίτιδος ἡ γένεσις αὐτῆς συμπίπτῃ, τούτοις τοῖς νῦν εἰρημένοις συγκαταριθμήσωμεν, ὅσα χωρὶς ἀλγήματος στενοχωρίαν ἐργαζόμενα κατὰ τὸν πνεύμονα, μικρὰν ἀποφαίνει τὴν ἀναπνοήν. τὸ γάρ τοι περιεχόμενον ἐν αὐτῷ πύον κατὰ τὰς τοιαύτας διαθέσεις, αἴτιον γίγνεται τῆς περὶ τὴν διάστασιν μικρότητος. ὡς οὖν μηκέτ' αὐτὸς κατὰ φύσιν διαστελλόμενος, οὐδὲ τὴν ὁλκὴν

arteriis collectis. Sic autem & si aliquid circa ipsum induretur, aut tuberculum nascatur premens & coarctans ipsum asperarum arteriarum genus (hę enim suscipiunt aërem, qui inspiratur) paruus & densus & celer erit spiritus. Eodem autem modo & si in thorace tale constiterit tuberculũ, propter quod sanè sæpè tum in posteriorem, tum in anteriorem partem luxatur spina, imò & in obliquũ torquetur, paruus, densus, & celer generabitur spiritus, occupāte nimirum tumore præter naturam pulmonis regionem, in quam dilatatus extendebatur. Sæpè verò & ipsum totum thoracem angustiorem huiusmodi affectiones reddiderunt, si aut statim dum in vtero adhuc sunt fœtus accidāt, aut etiam postea obueniant. Nihil autem refert, quòd attinet ad id quod coarctatus pulmo non possit sufficientem aërem trahere, an thorax totus angustus reddatur quacunque tandem affectione; an intermedia regio amittatur ab aliquibus præter naturam corporibus in ipsa consistentibus occupata; an etiam ipse pulmo induratus sit aut obturatus aut intumuerit, velut in pulmonicis & peripneumonicis appellatis affectibus contingit. Vna hæc enim in omnibus est coniuncta causa, ob quam parua inspiratio redditur, coarctatio asperarum arteriarum; propterea verò quod parua ipsa est, ob id etiam (vt sæpè dictum est) dẽsitas & celeritas accedit. Verùm quum in ipsum pulmonem affectus incumbit, quanuis thorax se plurimum distendere possit, tamen parum inspirant: ita etiam vbi intermediæ ipsorum organorum regiones fuerint occupatæ. Quum verò totus thorax, aut fœtibus aut aliter, paruus & angustus redditur, manifestum est quod & dilatationem ad sui ipsius proportionem paruam efficiens, pulmoni causa est velocis inspirationis. Sic vero etiam quum septum transuersum ab aliquo comprimitur ad infernam thoracis extremitatem, velut in affectionibus dolorem non inferentibus contingit. Huius nanque rei maximè memorem esse oportet, quod aliquando solius thoracis affectus, aliquando solius pulmonis, quandoque verò intermediæ amborum regionis, ad paruitatem, & ob id etiam celeritatem ac densitatem respirationis mutationem facit, si sanè facultas fuerit robusta; nam & huius meminisse oportet sæpè iam etiam antea relati. Ne igitur ampliùs pleuriticorum, aut abscessus aliquos aut omninò dolorosos tumores habentium in thorace, mentionem faciamus in hoc sermone (de affectionibus autem dolorem non inferentibus, quæ comprimendo pulmonem & coarctãdo asperas in ipso arterias, minorem faciunt inspirationem, omnis prædictus habebatur sermo) sed illa quidem ad affectiones thoracis antea conscriptas referamus, in quibus dicebamus thoracem, proptereaquòd minùs distenderetur ob dolorem, spiritum facere paruum; eorum verò, qui suppurati appellantur affectionem, quanuis sæpenumero eius generatio ex pleuritide contingat, his iam proximè relatis annumeremus, quæ citra dolorem in pulmone coarctationem facientia, paruã reddunt respirationẽ. Pus enim quod in ipso per huiusmodi affectiones continetur, causa fit eius, quæ circa distentionem fit, paruitatis. Itaque quòd neque ipse secundũ naturam distendatur, minimè

æqualem

æqualem facit spiritus attractionem. Quomodo igitur hæ spirabilium organorum affectiones citra dolorem consistentes (id enim præsenti adhuc deest sermoni) ab iis, quæ cum dolore fiunt, distinguentur, si sanè & paruus & densus ambobus similiter redditur spiritus? An celeritate motus? In affectibus enim cum dolore, modicè quidem respirant, & densè, non tamen celeriter, quum vtique citra febrem eiusmodi acciderit affectus; quando verò cũ febre, quanuis in paruitate, & celeritate similiter respirent, tamen densitate distinguuntur. Nam non modicè ipsis spiritus densatur; quod non euenit illis, qui ob coarctationem organorum respirationis difficulter respirant: verum etiamsi densior ipsis spiritus reddatur, moderatè tamen hoc fit, & multo infra summam densitatem. Quin & expiratio febricitantibus maior simulque calidior est, quod non cõtingit iis, qui ob coarctationem parum & densè expirant. Quomodo autem cognoscere oporteat exactè tum paruitatem, tum magnitudinem vtriusque partis totius respirationis, paulò post dicetur, vbi prius omnem de organis sermonem absoluerimus. Quòd enim difficultates respirandi citra organorum dolorem, ab eis quæ cum dolore fiunt differant, iam relatum est.

CAPVT XII.

De respiratione, quæ fit partibus quæ in ipsa commouentur, dolentibus; ac de ea, quæ mente motis contingit.

VTrum autem, vt simpliciter ostendimus coarctationem oportere ad pulmonem peruenire, eiusque asperas maximè arterias, vt animal difficultatem respirationis incurrat; sic etiam dolorẽ in respiratoriis organis fieri oportere, & præsertim in thorace, dicendum est (parum enim abest, vt pulmo sensus sit expers) an aliquã aliam in eiusmodi respirandi difficultatibus inquirere nos oportet enuntiationem? Nam qui dicit ad solos respiratoriorum organorum dolores eiusmodi difficultatis respirandi speciem sequi, eum non opinor videri posse omnem de his rem probè cognouisse, aut meminisse superiorum ratiocinationum, in quibus non ob affectionem, sed ob actionis facultatem, quæ animalis existit, paruus & densus spiritus fieri ostendebatur. At verò species difficultatis respirandi, quæ ad coarctationem pulmonis consequitur, nihil opus habent facultate ad sui generationem; quod de illo probè indicauimus, vbi totius rei tractationem peregimus. Verùm de dolorosis affectionibus non simpliciter id dicere conuenit, quando sanè in respiratoriis partibus consistunt. Non enim propter ipsam partium naturam priuatim, sed quòd animalis facultas earum motum moderetur, respirationem ad paruitatem mutari contingit, vt ne amplius *videlicet* animal dolore affligeretur, ipsâ minus quam oportet thoracem distendente. Atque hæc sanè prouidentia, vt ne vehementiùs animal dolore afficiatur, etiam aliis omnibus inest partibus, quæ ad respirabilium organorum motum simul mouentur, stomacho, ventriculo, hepati, spleni, peritonæo, colo & superioribus tenuibus intestinis, & musculis

ἴσην ποιεῖται τοῦ πνεύματος. πῇ ποτ᾽ οὖν ταῦτα χωρὶς ἀλγήματος πάθη τῶν ἀναπνευστικῶν ὀργάνων (τοῦτο γὰρ ἔτι λείπει τῷ παρόντι λόγῳ) διαιρεθήσεται τῶν μετ᾽ ἀλγήματος, εἴ γε καὶ μικρὸν ὡσαύτως ἀμφοτέροις καὶ πυκνὸν γίνεται τὸ πνεῦμα; ἢ τῷ τάχει τῆς κινήσεως; ἐν γὰρ τοῖς μετ᾽ ὀδύνης, ὀλίγον μὲν ἀναπνέουσι καὶ πυκνόν, οὐ μὴν ταχέως, ὅταν γε χωρὶς πυρετοῦ τὸ τοιοῦτον συμπίπτῃ πάθημα. μετὰ μέντοι πυρετοῦ κἂν εἰ τῇ μικρότητι καὶ τῷ τάχει παραπλήσιον ἀναπνέουσιν, ἀλλὰ τῇ γε πυκνότητι διαφέρονται· οὐ μετρίως γὰρ αὐτοῖς πυκνοῦται τὸ πνεῦμα· τοῦτο δ᾽ οὐχ ὑπάρχει τοῖς διὰ στενοχωρίαν τῶν ἀναπνευστικῶν δυσπνοοῦσιν, ἀλλ᾽ εἰ καὶ πυκνότερον αὐτοῖς γίγνοιτο τὸ πνεῦμα, μετρίως τοῦτο πάσχει καὶ πολὺ κατωτέρω τῆς ἄκρας πυκνότητος. ἀλλὰ καὶ ἡ ἐκπνοὴ τοῖς πυρέττουσι μείζων τε ἅμα καὶ θερμοτέρα, ὅπερ οὐχ ὑπῆρχε τοῖς διὰ στενοχωρίαν μικρὸν καὶ πυκνὸν ἐκπνέουσιν. ὅπως δὲ χρὴ διαγινώσκειν ἀκριβῶς μικρότητά τε καὶ μέγεθος ἑκατέρων τῶν μορίων τῆς ὅλης ἀναπνοῆς, ὀλίγον ὕστερον εἰρήσεται, τελεσάντων πρότερον ἡμῶν ἅπαντα τὸν περὶ τῶν ὀργάνων λόγον. ὅτι μὲν γὰρ διαφέρουσιν αἱ χωρὶς ὀδύνης αὐτῶν δύσπνοιαι, τῶν μετ᾽ ὀδύνης, καὶ δὴ λέλεκται.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῆς ἀναπνοῆς τῶν ὀδυνωμένων τῶν ἐν αὐτῇ κινουμένων μορίων γινομένης, καὶ τῆς τῶν παραπαιόντων.

ΠΟτερον δέ, ὥσπερ ἁπλῶς ἀπεφηνάμεθα τὴν στενοχωρίαν δεῖν εἰς τὸν πνεύμονα διήκειν, καὶ τούτου τὰς τραχείας μάλιστα ἀρτηρίας, ἵνα δυσπνοήσῃ τὸ ζῶον, οὕτω καὶ τὴν ὀδύνην ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις χρῆναι γίγνεσθαι, καὶ μάλιστά γε τῷ θώρακι, λεκτέον (ὁ γὰρ πνεύμων ὀλίγου δεῖν ἀναίσθητος) ἢ καὶ ἑτέραν ἡμῖν ἐπὶ τῶν τοιούτων δυσπνοιῶν ζητητέον ἀπόφανσιν; οὐδὲ γὰρ ἄν, οἶμαι, δόξειεν ὅ γε τοῖς τῶν ἀναπνευστικῶν ὀργάνων ἀλγήμασι μόνοις τὸ τοιοῦτον εἶδος ἕπεσθαι τῆς δυσπνοίας λέγων, ἐγνωκέναι καλῶς ὑπὲρ αὐτῶν τὸ σύμπαν, οὐδὲ μεμνῆσθαι τῶν ἔμπροσθεν λογισμῶν, ἐν οἷς οὐ διὰ τὸ πάθημα, διὰ δὲ τὴν τῆς ἐνεργείας δύναμιν ψυχικὴν οὖσαν, ἐδείκνυτο μικρὸν καὶ πυκνὸν γινόμενον τὸ πνεῦμα. τὸ μέντοι ταῖς στενοχωρίαις τοῦ πνεύμονος εἶδος τῆς δυσπνοίας ἑπόμενον, οὐδὲν προσδεῖται τῆς δυνάμεως εἰς τὴν γένεσιν, ὅθεν ἐπὶ μὲν τούτου καλῶς ἀπεφηνάμεθα καθ᾽ ὅλου τοῦ πράγματος τὸν λόγον ποιησάμενοι· περὶ δὲ τῶν ὀδυνηρῶν παθῶν οὐχ ἁπλῶς ἐχρῆν λέγειν, ὅταν γ᾽ ἐν τοῖς ἀναπνευστικοῖς συνίσταται μορίοις. οὐ γὰρ δι᾽ αὐτὴν τῶν μορίων τὴν φύσιν ἰδίως, ἀλλ᾽ ὅτι ψυχικὴ δύναμις ἐπιτροπεύει αὐτῶν τῆς κινήσεως, εἰς μικρότητα τὴν ἀναπνοὴν τρέπεσθαι συνέβαινεν, ὑπὲρ τοῦ μὴ μειζόνως ὀδυνᾶσθαι τὸ ζῶον, ἔλαττον τοῦ προσήκοντος διϊστάσης αὐτῆς τὸν θώρακα. αὕτη δ᾽ ἡ τοῦ μειζόνως ὀδυνᾶσθαι πρόνοια, καὶ τοῖς ἄλλοις δήπου ἅπασίν ἐστι μορίοις, ὅσα κινουμένοις τοῖς ἀναπνευστικοῖς συγκινεῖται, στομάχῳ καὶ γαστρὶ καὶ ἥπατι καὶ σπληνὶ καὶ περιτοναίῳ καὶ τῷ κώλῳ τε καὶ τῶν λεπτῶν ἐντέρων τοῖς ἄνω, καὶ τοῖς καθ᾽ ὑποχόνδριον μυσί.

ταῦτα γὰρ ταῖς τοῦ θώρακος κινήσεσι, καὶ μάλιστ᾽ ἐὰν μείζους ὦσι, συγκινεῖται. πρόδηλον οὖν, ὅτι μειζόνως μὲν ἐπὶ ταῖς μεγάλαις τοῦ θώρακος ὀδυνῶνται κινήσεσιν, ἔλαττον δὲ ἐπὶ ταῖς μικραῖς· καὶ διὰ τοῦτο μικρὸν καὶ πυκνὸν οὐ τοῖς πλευριτικοῖς μόνον, ἀλλὰ καὶ τοῖς τὸν στόμαχον ἢ τὴν γαστέρα διαφθειρομένοις ὀδυνωδῶς, ἔσται τὸ πνεῦμα. ἧττον μὲν, ὅτι καὶ τὰ τῆς αἰσθήσεως ἐλάττω· παραπλησίως μέντοι δυσπνοοῦσιν, ὅσοι τὸ ἧπαρ, ἢ τὸν σπλῆνα ἤ τι τῶν ἑτέρων τι τῶν προειρημένων ὀδυνῶνται· ἅπαντα γὰρ τὰ τοιαῦτα, τὰ μὲν ἐξηρτημένα, τὰ δὲ συμπεφυκότα τοῖς ἀναπνευστικοῖς ὀργάνοις, συσσείεται κινουμένοις αὐτοῖς, καὶ διὰ τοῦτ᾽ ἀναπνεόντων ἄλγεται. καὶ οὕτως οὐχ ὡς ἔμπροσθεν ἐπὶ τῶν ἀναπνευστικῶν μορίων, ἀλλ᾽ ἐπὶ πάντων τῶν ἁπλῶς κινουμένων ἐν ταῖς ἀναπνοαῖς, ὁ λόγος ἡμῖν γιγνέσθω, καὶ τολμήσωμεν ἀποφήνασθαι καθόλου, τὸ μικρὸν καὶ πυκνὸν πνεῦμα, σημεῖον ὑπάρχειν ὀδύνης ἁπάντων τῶν τοῦ ζώου μορίων, ὅσα κινεῖται κατὰ τὰς ἀναπνοάς. ἆρ᾽ οὖν ταύτῃ μόνον ἀνομοίως ἔχουσιν οἱ σφυγμοὶ ταῖς ἀναπνοαῖς, ἢ καὶ κατ᾽ αὐτὴν ἰδίᾳ τὴν ἀπὸ τῆς δυνάμεως αἰτίαν, ἄνευ τοῦ συμπεπλέχθαι τοῖς ὀργάνοις, ἔνεστιν εὑρεῖν τινα διαφοράν; αἱ μὲν γὰρ φυσικαὶ δυνάμεις πᾶσαι διαπαντὸς σχολάζουσι τοῖς ἀναγκαίοις σφίσιν ἔργοις, καὶ οὐδέποτε ῥαθυμοῦσιν οὐδ᾽ ἀμελοῦσιν. ὅσα δὲ ὑπὸ τὴν τῆς προαιρέσεως ἐξουσίαν ἔρχεται, ταῦτα πολλάκις, ἀσχολουμένης αὐτῆς περὶ πράξεις ἑτέρας, ἀμελέστερον ἀποτελεῖται. βαδίζοντες γοῦν ἐνίοτε συντόνως ἐπί τινα πρᾶξιν, εἶτα μεταξὺ, κατὰ τὴν ὁδὸν ἐννοήσαντές τι, κἄπειτα ἐπισκοπούμενοι τοῦτο καὶ φροντίζοντες ἀμφ᾽ αὐτοῦ, πολὺ τῆς κατὰ τὸν περίπατον συντονίας ἐκλυόμεθα, οὐ μὴν συνίεμέν γε οὐδὲ γινώσκομεν αὐτὸ τοῦτο, μέχρι περ ἂν τῷ φροντίσματι προσέχωμεν τὸν νοῦν· ὁπόταν δὲ παυσώμεθα καὶ περὶ μηδὲν ἔτι τὴν διάνοιαν ἔχωμεν, ἀλλ᾽ ἢ περὶ τὸ βαδίζειν μόνον, τότε, ὥσπερ ἐξ ὕπνου τινὸς ἐπεγερθέντες, ἐγνωρίσαμέν τε τὸ καταδεέστερον τῆς προὔσης ἐνεργείας, ὡς πρὸς τὴν ἐξ ἀρχῆς ὁρμὴν, αὖθίς τε πρὸς τοὔργον ἐπηγείραμεν ἡμᾶς. οὕτω καὶ οἱ παραπαίοντες, ὡς ἂν, οἶμαι, τὸν νοῦν ἐν τοῖς φαντάσμασιν ἔχοντες, καθάπερ τισὶ φροντίσμασιν, ἀμελοῦσι τῶν ψυχικῶν ἐνεργειῶν, καὶ οὔτε οὐροῦσιν, εἰ μὴ ὑπομνήσειέ τις· οὔτ᾽ ἀποπατοῦσιν, οὔτε πιεῖν οὔτε φαγεῖν αἰτοῦσιν, οὔτ᾽ ἄλλο οὐδὲν τῶν τοιούτων. εἰ δὲ τύχοιεν αἰτήσαντές ποτε, μεταξὺ προσενεχθέντος ἐπελάθοντο, καὶ αὖθις τῶν ὑπομνημάτων δέονται. παμπόλλους γοῦν ἴσμεν αἰτήσαντας ἀμίδα, δοθείσης δὲ, μηκέτ᾽ οὐροῦντας, ἀλλ᾽ ἀργῶς ἐν ταῖν χεροῖν κατέχοντας· ἑτέρους δὲ διαναστάντας μὲν ὡς ἀποπατήσοντας, ἐπειδ᾽ ἐκάθισαν, ἐπιλαθομένους τελέως καὶ μηδὲν ἐνεργοῦντας, ἄχρις αὐτοὺς οἱ παρόντες ἀναμνήσωσιν. ὥσπερ δὲ διὰ πολλοῦ χρόνου ποιοῦσι τὰς ἐνεργείας οὗτοι πάντες, οὕτω καὶ μεγάλας. ἀθρόως γοῦν οὐροῦσι πάμπολυ, καὶ πίνουσιν εἰς ἅπαξ ὑπὲρ τὸ σύμμετρον, ἕκαστόν τε τῶν ἄλλων ὡσαύτως δρῶσιν. καὶ οὐδὲν οἶμαι θαυμαστόν. ὃ γὰρ ἐχρῆν πολλάκις ἐν τοῖς προσήκουσι χρόνοις δρᾶν, ἀθρόως ἐπειξάσης τῆς χρείας ἀναγκάζονται πληροῦν, καὶ μάλισθ᾽ ὅταν ἀναγκαῖον ᾖ πρὸς τὴν ζωήν. ἧττον μὲν γάρ τις πιὼν τοῦ δέοντος, οὐχ

A hypochondriorum; hæ nanque ad thoracis motus, & maximè si fuerint maiores, commouentur. Perspicuum igitur est, quod ampliùs in magnis thoracis motibus dolore vexantur, minùs verò in paruis; & ob id paruus & densus non solùm in pleuriticis, sed & quibus stomachum aut vētriculū dolor infestat, spiritus erit; minus quidem, quòd etiam sensus eis minor sit, at consimiliter sanè difficulter respirabunt qui hepar, aut splenem, aut aliam quandam ex prædictis partibus dolore vexatam habent. Tales enim

B omnes partes, aliæ quidem appensæ, aliæ verò insitæ respiratoriis instrumentis, ad horum motum commouentur; & ob id in respirantibus offenduntur. Atque ita non vt antea de respirabilibus partibus, sed de omnibus simpliciter, quæ in respirationibus mouentur, communis nobis sermo fiat; atque audeamus in vniuersum pronunciare, paruum & densum spiritum signum esse doloris omnium animalis partium,

C quæ per respirationes cōmouentur. Num hæc solùm inter pulsus & respirationes dissimilitudo est? an etiam secundum ipsam priuatim facultatis causam, citra organorum complexum, aliquam differentiam inuenire licet? naturales enim facultates omnes semper necessariis sibi operibus vacant, & nunquam torpent aut negligentes sunt; quæ verò sub voluntatis potestatem veniunt, hæc sæpè, quum ipsa circa alias actiones occupatur, negligentiùs perficiuntur. Ambulantes igitur aliquando concitatiùs ad opus aliquod moliendum, deinde inter eundum cogitantes quid, ac posteà idipsum considerantes, & curiosè de ipso meditantes, multum ab

D illa ambulandi concitatione remittimus, non tamen intelligimus id ipsum neque cognoscimus, quousque sanè mentem illi curæ adhibemus; quum verò quiescimus ab illa cura, atque cogitationem circa nullam rem amplius habemus, quam circa solam ambulationem, tunc velut ex somno aliquo excitati cognoscimus circa institutam actionem nos fuisse negligentiores, quam pro primo impetu oportebat, rursumque ad ipsam actionem nosmet excitamus; sic etiam insanientes, mentem (vt arbitror) in visionibus, velut in qnibusdam curis habentes, animales actiones omittunt, neque lotium ex-

E cernunt, nisi quis eos monuerit, neque ventris onus deponunt, neque potum neque cibum petunt, neque quicquam aliud eius generis; si quid verò forsan aliquando petierint, id oblatum interea obliuioni dederunt, ac rursum monitis opus habent. Itaque nouimus plurimos, qui petita matula, eaque ipsis data, non iam lotium effunderent, sed matulam ociosè in manibus detinerent. Alios autem *nouimus*, qui exurgerent quidem tanquam ventris onus deposituri, postquam verò desedissent, penitus obliuiscerentur, atque nihil efficerent, donec à præsen-

F tibus admonerentur. Quemadmodum autem interiecto multo tempore actiones faciunt hi omnes, sic etiam magnas. Aceruatim igitur plurimum mingunt, & vna vice vltra mensuram bibunt, & singula alia eodem modo faciunt. Nec mirum id esse opinor. Quod enim sæpè decenti tempore facere oportebat, id ipsum aceruatim vrgente vsu explere coguntur, & præsertim vbi necessarium id est ad vitam. Etenim aliquis minus quam oportet, bibens non

ad dies

ad dies tantum, sed ad integros menses sufficere potest; si verò minus quam oportet respiret, is ne minimam quidem diei partem durauerit. Quare tametsi plus vno haustu mente capti bibunt, tamen quòd multo tempore interiecto assumant, vniuersus ipsis potus multum à commoderato deficit. Verùm si respirationis vsus non expleatur, quòd imminens simúlque molestum periculum habeat, excitat ad actionem, nec sinit torpere ne momentum quidem; recuperat autem statim id totum, quo per quietis tempus fuit priuata; atque ita non rarus solùm, sed & magnus spiritus efficitur; & tanto sanè, quam conuenit, maior, quanto & rarior. Quod ipsum in potu non contingit; multo enim rarius, paulò verò plus bibunt; vnde Hippocrates ipsos *paucibibos* appellauit. Atque hæc quidem ratio demonstrat disipientium respirationem in raritatem & magnitudinem mutari. Testimonium autem non minus rei conspectio præbet iis, qui in ipsis artis operibus speculationem exquirere volunt. Quicunque verò in adolescentulorum gymnasiis, in sublimibus soliis alti & vndiquaque conspicui sedentes, artis opera neglexerunt; quicquid verò in buccam venerit, id effutiunt; his non magis credibilia fiunt ea quæ euidenter apparentibus confirmantur, quàm iis, qui neque à principio, an appareat quicquam, cognoscunt. Cæterum ex hoc genere sophistarum quispiam aliquando mecum contendit de eo quòd rarus & magnus spiritus mente vacillantibus contingit. supponebat enim respirationem vnam quandam ex functionibus vitalibus esse; verùm cum huiusmodi hypothesi nō consentiebat quod palàm apparet; vnde cū eo sibi contendendū esse nouit. Principio nanque dixit, eiusmodi respirationis speciem in deliriis non apparere. Nam quæ nūquam conati sunt sophistæ in ipsis ægrotis obseruare, de his, ac si sexcenties uiderint, impudenter contendunt; neque verentur se magnam habere experientiam iactare eorum, quæ ne per somnium quidem viderunt. At verò quicunque obseruant apparentia & quæ ægris accidunt, hi ita vt Hippocrates, scribunt; viderunt enim, vt opinor, multos infirmos similes iis, quos ille descripsit, qui satis magnum testimonium prædicto sermoni præbent. Atque apponerem sanè iam eos, quos in epidemiorum libris conscripsit, nisi propositum esset mihi omnem sequentem sermonem secundum in eorum enarrationem, velut etiam antea dixi, reseruare; hunc verò solùm per se cum propriis, & synceris demonstrationibus absoluere. Itaque sermo de mente motis hic finiatur.

A ἡμέραις μόνον, ἀλλὰ καὶ μησὶν ὅλοις ἱκανῶς ἐξαρκεῖν, ἧττον δὲ ἀναπνέων, οὐδ᾽ εἰς ἐλάχιστον μόριον τῆς ἡμέρας ἐξίκοιτ᾽ ἄν. ὅθεν εἰ καὶ πλεῖον εἰς ἅπαξ οἱ παραπαίοντες πίνουσιν, ἀλλὰ τῷ γε διὰ πολλοῦ χρόνου προσφέρεσθαι, τὸ σύμπαν αὐτοῖς πόμα πολὺ τοῦ συμμέτρου ἀπολείπεται. ἡ δὲ τῆς ἀναπνοῆς χρεία μὴ πληρουμένη, τῷ τὸν κίνδυνον ἐπείγοντά τε ἅμα καὶ ἀνιαρὸν ἔχειν, ἐπεγείρει τε πρὸς τὴν ἐνέργειαν καὶ οὐκ ἐᾷ ῥαθυμεῖν οὐδὲ εἰς πάνυ μικρόν, ἀπολαμβάνει δ᾽ εὐθὺς ἅπαν, ὅσον ἐκ τοῦ τῆς ἠρεμίας ἀπεστέρηται χρόνου, καὶ οὕτως οὐκ ἀραιὸν μόνον, ἀλλὰ καὶ μέγα γίνεται, καὶ τοσοῦτόν γε μεῖζον τοῦ

B προσήκοντος, ὅσῳ καὶ ἀραιότερον, ὅπερ ἐπὶ τοῦ ποτοῦ οὐ γίνεται. πολλῷ μὲν γὰρ ἀραιότερον, ὀλίγῳ δὲ πλέον πίνουσιν, ὅθεν Ἱπποκράτης βραχυπότας αὐτοὺς ἐκάλεσεν. ὁ μὲν δὴ λόγος οὕτως ἀποδείκνυσι, τὴν τῶν παραπαιόντων, εἰς ἀραιότητα καὶ μέγεθος τρέπεσθαι τὴν ἀναπνοήν. μαρτυρεῖ δ᾽ οὐχ ἥκιστα καὶ ἡ αὐτοψία, τοῖς γε βουλομένοις ἐπ᾽ αὐτῶν τῶν ἔργων τῆς τέχνης ἐξετάζειν τὴν θεωρίαν. ὅσοι δὲ ἐν τῷ μέσῳ τῶν νέων διατριβαῖς, ἐφ᾽ ὑψηλῶν θρόνων ὑψηλοὶ καὶ περίβλεπτοι καθεζόμενοι, τῶν μὲν ἔργων τῆς τέχνης ἠμελήκασιν, ὅ,τι δ᾽ ἂν ἐπὶ γλῶτταν ἔλθῃ τοῦτο ληροῦσιν, τούτοις οὐδὲν μᾶλλον πιστὰ τὰ μαρτυρούμενα πρὸς τῶν ἐναργῶς φαινομένων, ἢ τοῖς μηδὲ τὴν ἀρχὴν οὐδ᾽ εἰ φαίνεταί τι γινώσκουσιν. ἀλλά τις ἐμοί ποτε τῶν τοιούτων σοφιστῶν ἠμφισβήτησε, περὶ τοῦ γίνεσθαι μέγα καὶ ἀραιὸν τὸ πνεῦμα τοῖς παραπαίουσιν. ὑπετίθετο μὲν γάρ ἕν τι τῶν ζωτικῶν ἔργων εἶναι τὴν ἀναπνοήν, οὐχ ὡμολόγει δὲ πρὸς τὴν τοιαύτην ὑπόθεσιν τὸ φαινόμενον, ὅθεν ὁμόσε χωρεῖν αὐτῷ δεῖν ἔγνωκε. τὴν ἀρχὴν γὰρ ἔφη, μὴ φαίνεσθαι τὸ τοιοῦτον εἶδος ἀναπνοῆς ἐν παραφροσύναις. ἃ γὰρ οὐδεπώποτε ἐπεχείρησαν ἐπ᾽ αὐτῶν τῶν νοσούντων οἱ σοφισταὶ παραφυλάξαι, περὶ τούτων ὡς

D μυριάκις ἑωρακότες ἀναιδῶς διατείνονται, καὶ μακρὰν ἔχειν ἐμπειρίαν οὐκ ὀκνοῦσιν ἐπαγγέλλεσθαι, τῶν μηδ᾽ ὄναρ αὐτοῖς ἑωραμένων. ἀλλ᾽ ὅσοι γε παραφυλάττουσι τὰ φαινόμενα καὶ τὰ συμπίπτοντα τοῖς νοσοῦσιν, οὕτω γράφουσιν ὥσπερ καὶ Ἱπποκράτης. ἑωράκασι γάρ, οἶμαι, πολλοὺς ἀρρώστους ὁμοίους οἷς ἐκεῖνος ἔγραψε, μαρτυροῦντας τῷ προειρημένῳ λόγῳ, καὶ παρεθέμην ἂν ἤδη τοὺς ἐν ταῖς ἐπιδημίαις ὑπ᾽ αὐτοῦ γεγραμμένους, εἰ μή μοι προὔκειτο τὸν ἑξῆς μοι λόγον ἅπαντα τὸν δεύτερον εἰς τὴν τούτων ἐξήγησιν, ὡς

E καὶ πρόσθεν εἶπον, ἀναβάλλεσθαι, τουτονὶ δὲ μόνον αὐτὸν καθ᾽ ἑαυτὸν ἅμα ταῖς οἰκείαις ἀποδείξεσι συμπεραίνεσθαι. καὶ τοίνυν ὁ μὲν τῶν παραπαιόντων λόγος ἐνταυθοῖ τελευτάτω.

CAPVT XIII.

De magna & parua respiratione dignoscendà.

QVomodo verò quis magnam, & paruam respirationē optimè dignoscat (scio enim & hoc me in prioribus distulisse) iam referatur. Procliue equidem erat *opinari*, nihil differre siue magnitudine distentionis respiratoriorum organorum, siue substantiæ, quæ inspiratur copia, magna inspiratio iudicetur; quemadmodum sanè etiam aliqui dicunt, putantes quantitatem inspirationis semper se habere oportere

ΚΕΦΑΛΑΙΟΝ ΙΓ.

Περὶ τῆς τῆς μεγάλης τε καὶ μικρᾶς ἀναπνοῆς διαγνώσεως.

F ΠΩς δ᾽ ἄν τις διαγινώσκοι κάλλιστα μεγάλην τε καὶ μικρὰν ἀναπνοήν (οἶδα γὰρ καὶ τοῦτ᾽ ἀναβαλλόμενος ἐν τοῖς ἔμπροσθεν) ἤδη λεγέσθω. πρόχειρον μὲν γὰρ ἦν, οὐδὲν διαφέρειν, ἢ τῷ μεγέθει τῆς διαστάσεως τῶν ἀναπνευστικῶν ὀργάνων, ἢ τῷ πλήθει τῆς εἰσπνεομένης οὐσίας, διαγινώσκεσθαι τὴν μεγάλην εἰσπνοήν, ὥσπερ ἀμέλει καὶ λέγουσί τινες, ἀνάλογον ἀεὶ δεῖν ἔχειν ἡγούμενοι

τῷ ποσῷ τῆς διαστολῆς τῶν ὀργάνων, τὸ ποσὸν τῆς εἰσπνοῆς· οὐ μὴν ἔν γε τῷ καθόλου τὸ τοιοῦτον ἀληθές ἐστιν, ἀλλὰ δεῖταί τινος διορισμοῦ. ἐχόντων γὰρ κατὰ φύσιν τῶν ὀργάνων, ἀνάλογος ἀεὶ ταῖς διαστολαῖς αὐτῶν ἡ ποσότης τοῦ πνεύματος· οὐ μὴν ὅταν γε καὶ παρὰ φύσιν ᾖ διακείμενα· ἀλλ' ἐνδέχεταί ποτε, διΐστασθαι μὲν ἐπὶ πλεῖστον τὸν θώρακα, βραχὺ δ' εἰσπνεῖσθαι τοῦ ἔξωθεν ἀέρος. πολλαὶ γάρ εἰσι διαθέσεις, εἴ τι μεμνήμεθα τῶν προειρημένων, ὑφ' ὧν ὁ πνεύμων στενοχωρούμενος, ἀδυνατεῖ τὸν ἱκανὸν ἀέρα δέξασθαι· οὔκουν ἀνάλογον πάντων τῶν ἀναπνευστικῶν ὀργάνων ταῖς διαθέσεσιν, ἀλλὰ μόνον τῶν τραχειῶν ἀρτηριῶν αἱ εἰσπνοαὶ γίγνονται. ἀλλὰ τούτων οὐδὲ μιᾷ τῶν αἰσθήσεων οἷόν τε διαγνῶναι τὴν διαστολήν· οὐκ οὖν οὐδὲ προσέχειν χρὴ τὸν νοῦν τοῖς ἀναπνευστικοῖς ὀργάνοις, ὁπόταν τὸ ποσὸν τῆς εἰσπνοῆς διαγνῶναι βουλώμεθα. ἀρκεῖ γὰρ μόνον αὐτὸν ἐπισκοπεῖσθαι τὸν ἀέρα, πόσος μὲν εἰσπνέεται, πόσος δ' αὖ ἐκπνέεται. οὐδὲ γὰρ τοῖς τῆς γαστρὸς ὄγκοις τεκμαιρόμεθά τι περὶ πλήθους ἐδεσμάτων, ἀλλ' ἀρκεῖ κἀνταῦθα τὸ ποσὸν μόνον ἐπισκοπεῖσθαι τῶν ἐσθιομένων. ἐπεὶ δ' ἐν ταῖς ἐκπνοαῖς, ποτὲ μὲν ἀργοῦσι παντελῶς ἅπαντες οἱ μύες, ἐπιτρέποντες τῷ θώρακι καταπίπτοντι τὴν οἰκείαν ἀπολαμβάνειν κατάστασιν, ποτὲ δὴ ἐνεργοῦντες ἐπὶ πλέον αὐτὸν συστέλλουσιν (ἀπεδείχθη γὰρ ἡμῖν πολλάκις περὶ τούτων) αἱ μὲν χωρὶς τῆς τούτων συντονίας συστολαὶ τοῦ θώρακος οὐκ ἄν ποτε μεγάλην ἐκπνοὴν ἐργάσαιντο, αἱ δὲ μετὰ ταύτης, ἅσπερ δὴ καὶ ἐκφυσήσεις εἰσί, ὡς καὶ τοῦτ' ἐδείχθη, δημιουργοὶ τοῦ μεγέθους εἰσίν. ἀλλ' οὐδ' ἐπὶ τούτων γυμνοῦντας τὸν ἄνθρωπον ὁρᾶν ἀξιῶ τὴν τάσιν τῶν μυῶν, ἀλλ' ἀρκεῖ τὸ μετ' ἐκφυσήσεως εἶδος τῆς ἐκπνοῆς, γνώρισμα τίθεσθαι μέγιστον. ἐπειγούσης γοῦν τῆς χρείας ἀθρόον ἐκπνεῖν ἀναγκαζόμεθα, ὥσπερ ὅταν ἡ τῆς εἰσπνοῆς ἐπείγῃ χρεία, πολὺν καὶ ἀθρόον ἕλκομεν τὸν ἔξωθεν ἀέρα.

ad proportionem quantitatis dilatationis organorum; atqui hoc minimè in vniuersum verùm est, sed distinctione quadam opus habet. Quum enim secundùm naturam se habent organa, quantitas spiritus semper ipsorum dilatationibus proportione respondet; non tamen quum præter naturam fuerint disposita, verùm possibile aliquando plurimum distendi thoracem, & parum externi aëris inspirari; multæ enim sunt affectiones (si modo prædictorum meminimus) in quibus pulmo coarctatus, multum aërem suscipere non potest. Nequaquam igitur ad affectionum omnium respirandi organorum proportionem, sed solùm asperarum arteriarum, inspirationes fiunt. At verò harum distentionem impossibile est per vllum sensum dignoscere. Ergo non est adhibendus animus organis respiratoriis, quum inspirationis quantitatem volumus dignoscere; sufficit enim ipsum solùm aërem inspicere, quantus inspiretur & quantus rursum expiretur. Neque enim ex ventris mole de ciborum copia coniecturam facimus, sed sufficit etiam hic solam eorum, quæ eduntur, inspicere quantitatem. Quoniam verò in expirationibus, aliquando quidem omnes musculi in totum otiosi sunt, permittentes thoraci collabenti propriam recuperare constitutionem; aliquando verò operantes ampliùs ipsum contrahunt, id quod nobis de his sæpè est demonstratum; contractiones sanè thoracis citra horum concitationem, nunquam magnã expirationem facere possunt; quæ verò cum *musculorum concitatione fiunt*, quæ sanè etiam efflationes existunt, vt & hoc est demonstratum, hæ opifices sunt magnitudinis. Verùm neque in his denudato homine inspicere iubeo musculorum tensionem, sed sufficit eam quæ cum efflatu fit, speciem expirationis, notam statuere maximã. Vrgente itaq; vsu aceruatim expirare cogimur; vt etiam quum inspirationis vrget vsus, multum & confertum externum aërem attrahimus.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Ἐπίλογος τῶν ἄχρι νῦν εἰρημένων.

Ἐπειδὴ δὲ καὶ περὶ τούτων αὐτάρκως διήλθομεν, τὰ κεφάλαια τῶν ἀπ' ἀρχῆς εἰρημένων ἀναλαβόντες, ἐπὶ τὰ λείποντα τραπώμεθα. κεφάλαια δὴ ἦν ὡς οἶμαι ταῦτα, τὰς ἁπλᾶς δυσπνοίας ἐξευρόντας, συνάψαι τοῖς συνεκτικοῖς αἰτίοις τῆς ἀναπνοῆς, καὶ δεῖξαι ἑκάστης αὐτῶν τὴν ποιοῦσαν αἰτίαν, αὖθις δὲ καθ' ἕκαστον τῶν αἰτιῶν τὴν ἀκολουθοῦσαν δύσπνοιαν, ἐν ᾧ δὴ καὶ συνθέτων ἠναγκάσθημεν μνημονεῦσαι δυσπνοιῶν. ἀλλὰ πῇ μὲν ὁμολογεῖ τὰ κατὰ τοὺς σφυγμοὺς ταῖς ἀναπνοαῖς, πῇ δὲ καὶ διαφέρεται, καὶ τοῦτ' ἦν οὐ μικρὸν ὧν διήλθομεν κεφάλαιον.

CAPVT XIV.

Epilogus eorum, quæ hactenus dicta sunt.

QVandoquidẽ autem de his abundè disseruimus, repetitis capitibus eorum quæ ab initio dicta sunt, ad reliqua progrediamur. Capita autem erant, vt opinor, hæc, quòd simplicibus respirandi difficultatibus inuentis, connectere oporteat causas coniunctas respirationis, & demonstrare singularum ipsarum efficientem causam; & vice versa, quæ respirandi difficultates ad singulas causas consequantur; in quo sanè etiam compositarum respirandi difficultatum mentionem facere coacti sumus. Verùm quî tractatio pulsuum cum respirationibus consentiat, & quî differat, etiam hoc non erat exiguum eorum, quæ explicauimus, caput.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Πόσαι τὸν ἀριθμὸν αἱ σύνθετοι δύσπνοιαι.

Ἐπεὶ δ' ἅπαντα ταῦτα πέπρακται, τὰς συνθέτους ἑξῆς σκεπτώμεθα δυσπνοίας, αὗται γὰρ ἔτι λεί-

CAPVT XV.

Quot numero sint compositæ respirandi difficultates.

QVoniam verò hæc omnia absoluta sunt, compositas deinceps spirãdi difficultates contemplemur; hæ nanque desunt adhuc priori eorum,

eorũ, quos proposuimus, cõmentario. Inuentis autẽ simplicibus, non amplius arduum est etiam has inuenire, quæ ex illis componuntur. Quum enim aliqua sit magna inspiratio, similiter & velox, & contrariæ his parua & tarda, necesse est quatuor fieri omnes respirandi difficultates in inspiratione compositas, magnam simulque tardam; magnam, & celerem; paruam, & celerem; & quartam paruam, ac tardam. Ita & in expiratione easdem quatuor coniugationes necessarium est fieri, duas magnas, & duas paruas, quæ velocitate & tarditate distinguantur. In quietibus verò impossibile est compositam spirandi difficultatis speciem fieri; neque enim duæ oppositiones in eis existunt, vt in motibus, sed vna sola in densitate, & raritate consistens.

CAPVT XVI.

Quot compositæ spirandi difficultates per motum oriantur.

AT verò ipsis motibus inter se collatis, inspiratione (inquam) cum expiratione, species quædam erunt rhythmorum totius respirationis, quemadmodum in pulsibus dilatatione ad contractionem collatâ contingit. Possibile est enim inspirationem fieri magnam, expirationem verò paruam; aut vice versa inspirationem paruam, expirationem magnam; aut vtrasque paruas, aut vtrasque magnas; sic & velocem aut tardam vtranque, aut alteram velocem, alteram tardam.

CAPVT XVII.

De respiratione inæquali.

QVin & inæqualis est quædam respiratio, quemadmodũ & pulsus, tum in motuum collectione, tum in motu vno. Similiter autem & ordinata ac inordinata respiratio fieri potest, vt etiam pulsus; atque quot differentiæ inæqualium pulsuum tum in vno motu, tum in pluribus consistentium existunt, tot etiam sunt respirationum. Verùm quod in principio statim huius tractationis dixi, omnes penitus negligenter respirationem tractauerunt, atque huius negligentiæ causam fortasse referam in progressu sermonis. Nunc quod propositum est nobis, absoluendum, ab inæqualitate in vno motu ducto exordio, quod ea & secundum naturam videri possit in medio posita esse earum quæ exactè simplices, & quæ ex confesso compositæ existunt. Contendit itaque aliquando quispiam mecum de ipsa, tanquam non esset composita; quòd certe non fecisset, nisi simplicibus propinqua esset; verùm compositam esse inde perspicuum est. Si quis incipiens inspirare, celeriter attrahat aërem, circa finem verò tardè; aut vicissim ex tardo principio in celerem desinat finem; hanc sanè inspirationem neque celerem simpliciter, neque tardam esse dixerimus, sed compositam, vtpotè quæ alteram sui partem habeat celerem, alteram tardam. Eodem modo etiam, si expiratio quomodocunque alteretur, siue ex tarditate in celeritatem, siue rursus ex celeritate in tarditatem motu tran-

ποιεῖν εἴς γε ὃ πρότερον ὧν προὐθέμεθα ὑπομνήματι. εὑρημένων δὲ τῶν ἁπλῶν, οὐδὲν ἔτι χαλεπὸν, οὐδὲ ταύτας εὑρεῖν, τὰς ἐξ ἐκείνων συντεθείσας. μεγάλης γάρ τινος οὔσης εἰσπνοῆς, ὡσαύτως δὲ καὶ ταχείας, καὶ τῶν ἐναντίων αὐταῖς μικρᾶς καὶ βραδείας, ἀνάγκη τέτταρας γίγνεσθαι τὰς ἁπάσας δυσπνοίας συνθέτους περὶ τὴν εἰσπνοὴν, τήν τε μεγάλην ἅμα καὶ βραδεῖαν, καὶ μεγάλην καὶ ταχεῖαν, καὶ μικρὰν καὶ ταχεῖαν, καὶ τετάρτην μικρὰν καὶ βραδεῖαν. οὕτω δὲ καὶ κατὰ τὴν ἐκπνοὴν, τὰς αὐτὰς τέτταρας συζυγίας ἀναγκαῖον ὑπάρχειν, διττὰς μὲν τὰς μεγάλας, διττὰς δὲ τὰς μικρὰς, τάχει καὶ βραδυτῆτι διαιρουμένας. ἐν μέντοι ταῖς ἠρεμίαις οὐκ ἐνδέχεται σύνθετον ἰδέαν γίγνεσθαι δυσπνοίας. οὐδὲ γὰρ δύο ἀντιθέσεις αὐταῖς ὑπάρχειν, ὥσπερ ταῖς κινήσεσιν, ἀλλὰ μία μόνη, κατὰ πυκνότητα καὶ ἀραιότητα συνισταμένη.

ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

Πόσαι αἱ σύνθετοι δύσπνοιαι κατὰ τὴν κίνησιν.

ΚΑΙ μὴν δὴ καὶ αὐτῶν τῶν κινήσεων ἀλλήλαις παραβαλλομένων, τῆς εἰσπνοῆς λέγω πρὸς τὴν ἐκπνοὴν, ὥσπερ ἐν τοῖς σφυγμοῖς τῆς διαστολῆς πρὸς τὴν συστολὴν, ἰδέαι τινὲς ἔσονται ῥυθμῶν τῆς ὅλης ἀναπνοῆς. ἐνδέχεται γὰρ εἰσπνοὴν μὲν γίγνεσθαι μεγάλην, ἐκπνοὴν δὲ μικράν· ἢ ἔμπαλιν εἰσπνοὴν μὲν μικρὰν, ἐκπνοὴν δὲ μεγάλην· ἢ ἀμφοτέρας σμικρὰς, ἢ ἀμφοτέρας μεγάλας. οὕτω δὲ καὶ ταχείας, ἢ βραδείας ἀμφοτέρας, ἢ τὴν μὲν ταχεῖαν, τὴν δὲ βραδεῖαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

Περὶ τῆς ἀνωμάλου ἀναπνοῆς.

ΚΑΙ μὴν δὴ καὶ ἀνώμαλός τίς ἐστιν ἀναπνοὴ, καθάπερ καὶ σφυγμὸς, ἥ τ' ἐν ἀθροίσματι τῶν κινήσεων καὶ κατὰ μίαν κίνησιν· ὡσαύτως δὲ καὶ τεταγμένη καὶ ἄτακτος ἀναπνοὴ γίγνοιτ' ἂν, ὥσπερ καὶ σφυγμὸς, ὅσαι τε διαφοραὶ τῶν ἀνωμάλων σφυγμῶν τῶν τε κατὰ μίαν κίνησιν, καὶ τῶν ἐν πλείοσι συνισταμένων, τοσαῦται καὶ τῶν ἀναπνοῶν. ἀλλ' ὅπερ ἔφην ἐν ἀρχῇ εὐθὺς τοῦ λόγου, παντάπασιν ὀλιγώρως τὰ περὶ ἀναπνοῆς ἐπραγματεύσαντο πάντες, καὶ τὴν αἰτίαν τῆς περὶ ταύτην ῥαθυμίας αὐτῶν, εἴποιμι ἂν ἐπὶ προήκοντι τῷ λόγῳ. νυνὶ δὲ τὸ προκείμενον ἡμῖν περαντέον, ἀπὸ τῆς κατὰ μίαν κίνησιν ἀνωμαλίας ἀρξαμένοις, ὅτι καὶ κατὰ φύσιν δόξειεν ἂν ἤδη μεταξὺ τετάχθαι τῶν ἀκριβῶς ἁπλῶν, καὶ τῶν ὁμολογουμένως συνθέτων. ἠμφισβήτει γοῦν ποτέ τις περὶ αὐτῆς πρὸς ἡμᾶς, ὡς οὐ σύνθετος, οὐκ ἄλλως τοῦτο παθὼν, εἰ μὴ πλησίον ἦν τῶν ἁπλῶν. ἀλλ' ὅτι μὲν σύνθετός ἐστιν ἐντεῦθεν δῆλον, εἴ τις ἀρχόμενος μὲν εἰσπνεῖν ταχέως ἐπισπᾶται τὸν ἀέρα, τελευτῶν δὲ βραδέως, ἢ ἔμπαλιν ἐκ βραδείας τῆς ἀρχῆς εἰς ταχὺ μεθίσταται τὸ τέλος, οὐκ ἂν οὔτε ταχεῖαν οὔτε βραδεῖαν ἁπλῶς ταύτην φαίημεν εἶναι τὴν εἰσπνοὴν, ἀλλὰ σύνθετον δηλονότι, τὸ μέν τι μόριον ἑαυτῆς ἔχουσαν ὠκὺ, τὸ δέ τι βραδύ. κατὰ ταὐτὸν δὲ καὶ τὴν ἐκπνοὴν, εἰ παντοίως ἀλλοιοῦται, μεταπιπτούσης τῆς κινήσεως ἢ ἐκ βραδυτῆτος εἰς τάχος, ἢ ἔμπαλιν ἐκ τάχους εἰς βραδυτῆτα, συγκεῖσθαι φήσομεν

τῶν ἐναντίως ἐχόντων πρὸς ἄλληλα τῶν μορίων, καὶ διὰ τοῦτο μηδ᾽ ἁπλῆν ἀλλὰ σύνθετον ὑπάρχειν. ὡσαύτως δὲ καὶ ὅταν ἡσυχία τις σχίζῃ τε καὶ διακόπτῃ τὴν ἑτέραν τῶν κινήσεων, ἤτοι τὴν εἴσπνοιαν ἢ τὴν ἔκπνοιαν, σύνθετον καὶ τότε φήσομεν εἶναι τὴν διῃρημένην, ἥτις ἂν εἴη. ὤφθαι δέ ποτε σπανίως, οὐ θάτερον μόνον, ἀλλ᾽ ἀμφότερα τὰ μόρια τῆς ὅλης ἀναπνοῆς κατὰ τὸν αὐτὸν ἄνθρωπον οὕτως ἔχοντα, καὶ γίγνεσθαι μάλιστα τὸ τοιοῦτον, ὅταν ὑγρῶν πλῆθος ἠθροισμένον ἐν ταῖς τραχείαις ἀρτηρίαις ἀποπνίγῃ τὸν ἄνθρωπον, ἐκ πλευρίτιδος ὀλεθρίας ἢ περιπνευμονίας μὴ ἐκκαθαρθείσης ἢ ἐμπυήματος αὐτόθι συστάντος, ὥστε κατὰ τοῦτο τὰς ἀναπνοὰς ὁμολογεῖν τοῖς σφυγμοῖς. ἐδείκνυτο γὰρ οὖν καὶ ἐπ᾽ ἐκείνων, ἐμφράξεσιν ὀργάνων καὶ θλίψεσι καὶ ὅλως στενοχωρίαις, ἡ ἀνωμαλία γιγνομένη. καὶ τοίνυν ὅσα περὶ τῶν ἄλλων ἀρτηριῶν τῶν καθ᾽ ὅλον τὸ ζῷον ἐν τῷ δευτέρῳ περὶ τῶν ἐν σφυγμοῖς αἰτίων εἴρηται, μαθών τις, εὐπορώτερος ἂν εἴη, περὶ τῶν ἐν πνεύμονι τραχειῶν καλουμένων λέγειν τὰ παραπλήσια. τὰς μὲν γὰρ ἵν᾽ ἀνώμαλος ὁ σφυγμὸς γίνηται, στενοχωρεῖσθαι χρή, τὰς τραχείας δὲ ἀρτηρίας, ἵν᾽ ἡ ἀναπνοή. ἐρρέθη δ᾽ ἐν ἐκείνοις, ὅτι καὶ δι᾽ ἀρρωστίαν δυνάμεως ἀνωμαλότης σφυγμῶν γένοιτ᾽ ἄν, ὅταν ἀδυνατῇ τελέως διαστέλλειν εἰς ἅπαξ τὰς ἀρτηρίας. ἵστανται γὰρ ἐν τῷ μεταξὺ καὶ διαναπαύονται, καθάπερ οἱ πρεσβῦται κατὰ τὰς ὁδοιπορίας. γένοιτο δ᾽ ἄν ποτε καὶ κατὰ τὴν ἀναπνοὴν ἀνωμαλία τις, ἥ τε κατὰ μίαν μόνην ἐνέργειαν, καὶ ἡ συστηματικὴ καλουμένη δι᾽ ἀσθένειάν τινα τῆς δημιουργούσης αὐτὴν δυνάμεως.

seunte, constare dicemus ex partibus contrario modo inter se habentibus, & ob id neque simplicem sed compositam existere. Similiter autem cum quies aliqua sciderit & interpellauerit alterum motum, siue inspirationem siue expirationem, compositam esse etiam tunc dicemus eam, quæ diuisa est, vtra tandem ea existat. Visum est autem aliquando, rarò tamen, non alteram tantùm, sed ambas totius respirationis partes, in vno & eodem homine ita habere, & maximè hoc fieri, quum humorum copia in asperis arteriis coaceruata hominem suffocat, ex pleuritide perniciosa, aut peripneumonia non expurgata, aut suppuratione istic consistente; ita vt in hac parte respirationes cum pulsibus conueniant: demonstratum est enim & in illis propter obstructiones organorum, compressionesque & omninò coarctationes, inæqualitatem fieri. Itaque siquis ea, quæ de aliis arteriis per totum animal dispersis, in secundo de pulsuum causis dicta sunt, probè perdidicerit, maiorem vtique copiam similia dicendi de asperis in pulmone appellatis arteriis habebit. Illas enim ad inæqualis pulsus generationem coarctari oportet, asperas verò arterias ad inæqualis respirationis. Relatum etiam in illis, quòd ob facultatis imbecillitatem pulsuum inæqualitas fieri possit, quum præ impotentia arterias vna vice perfectè dilatare non potest; resistunt enim interea & conquiescunt, velut senes in via. Fieri autem potest aliquando & in respiratione quædam inæqualitas, tum quæ in vna actione, tum quæ in pluribus contingit & systematica appellatur, ob quandam facultatis ipsam efficientis debilitatem.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

Τί διαφέρει ἡ ἐκ τῆς ἀναπνοῆς πρόγνωσις τῆς ἐκ τοῦ σφυγμοῦ; καὶ τίνες αἰτίαι τῇ ἀνωμάλῳ ἀναπνοῇ πρὸς τὸν ἀνώμαλον σφυγμὸν κοιναί;

Οὔσης δὲ ταύτης μὲν ψυχικῆς, ζωτικῆς δὲ τοὺς σφυγμοὺς ἐργαζομένης, γένοιτ᾽ ἄν τις ἐπὶ τὰς προγνώσεις ἐξ αὐτῶν διαφορά, τῶν μὲν σφυγμῶν ἀνάλογον ἀεὶ τῇ καθ᾽ ἑαυτοὺς βλάβῃ τὴν τῆς δυνάμεως ἀρρωστίαν ἐνδεικνυμένων, τῶν δ᾽ ἀναπνοῶν οὐκέθ᾽ ὡσαύτως, εἰ μὴ προσδιορίζοιτό τις τοῦ κάμνοντος τὴν προαίρεσιν. εἰ γὰρ ἐκ κοσμίου καὶ τὴν ἀπόκρισιν τὴν θρασεῖαν κακὸν εἶναι φησὶν ὁ Ἱπποκράτης, οὐ μέντοι ἐπὶ τῶν θρασέων φύσει μὴ ὅτι τὴν τοιαύτην ἀπόκρισιν, ἀλλὰ μηδ᾽ αὐτὴν τὴν παραφροσύνην μέγα τι δηλοῦν νόμιζε. οὕτως ἔχει καὶ ἐπὶ τῆς ἀναπνοῆς. οἱ μὲν γὰρ ἀταλαίπωροι καὶ μαλακοὶ καθ᾽ ἅπαν ἔργον ἀνωμάλως ἀναπνέουσι, κἂν μηδὲν αὐτοὺς μέγα βιάζοιτο· ὅσοι δὲ φιλόπονοι καὶ γενναῖοι τὴν γνώμην, οὐκ ἄν ποτε πρὶν εἰς ἐσχάτην ἀρρωστίαν ἀφικέσθαι τὴν δύναμιν, ἀνωμάλως ἀναπνεύσειαν. ἐπὶ δὲ τῆς κατὰ τοὺς σφυγμοὺς ἀνωμαλίας, ἡ αὐτὴ πρόγνωσις τῆς διαθέσεως, ἔν τε τοῖς βελτίοσι τὴν γνώμην καὶ τοῖς χείροσι· καθόλου γὰρ εἰπεῖν, ὅλως, ὅπου μηδὲν συντελεῖ πρὸς τὴν ἐνέργειαν ἡ προαίρεσις, ἐνταῦθα τὸ δηλούμενον ἴσον ἅπασιν· ἐν οἷς δ᾽ ἤτοι τὸ πολὺ ἢ τὸ πλεῖστον, ἐπὶ τούτοις προσεπισκοπεῖσθαι χρὴ τὸ ἦθος τοῦ κάμνοντος. ὥσπερ δὲ τῶν δημιουργουσῶν τὰς ἐνεργείας δυνάμεων διαφορά,

CAPVT XVIII.

Quid differat prænotio ex respiratione à prænotione ex pulsu; & quæ causæ sint inæquali respirationi cum inæquali pulsu communes.

Qvum verò hæc animalis sit, vitalis verò ea, quæ pulsus operatur, fieri potest quædam ad prænotiones ex ipsis differentia, nimirum pulsibus debilitatem facultatis semper suæ ipsorum læsioni proportione respondentem indicantibus; respirationibus verò non eodem modò, nisi quis etiam addat ægrotantis voluntatem. Nam si *temerariam responsionem à moderato homine factam, malum* esse Hippocrates dicit, non tamen in temerariis naturâ, nedum talem responsionem, sed ne ipsum quidem delirium, quicquam magnum puta portendere. Ita etiam habet in respiratione; desides enim, ac molles circa singulas actiones inæqualiter respirabunt, etiamsi nihil magnum ipsos cogat; qui verò laboriosi & generosa mente præditi sunt, priusquam ad extremam debilitatem eorum facultas deducatur, non vnquam inæqualiter respirauerint. At verò in pulsuum inæqualitate eadem prænotio affectionis est in iis qui generosâ, ac iis qui ignauâ mente præditi existunt. Vt enim in vniuersum dicam, vbi voluntas nihil confert ad actionem, ibi quod significatur, æquale est omnibus; vbi verò aut totum aut plurimum, ibi ampliùs etiã inspicere oportet mores ipsius ægri. Quemadmodum autem differentia facultatum efficientium actiones, tum

tum circa pulsus tum circa respirationes, differentes facit prænotiones: sic etiam circa ipsam organorum naturam, quædam indicationis diuersitas erit. Pulsus enim per læues arterias, respirationes verò non per solas asperas arterias fiunt, sed non minùs, quam per ipsas, imò fortassis magis, per musculosum genus. Hoc enim est quod primum animalis facultas mouet ad respirationis generationem; ab eo verò totus thorax motus, ipse rursus pulmonem commouet eo, quo diximus in horum tractatu, modo; pulmonis autem partes sunt asperæ arteriæ, in quas primas aër qui inspiratur, peruenit. Quemadmodum igitur harum affectiones totam respirationem sæpè inæqualem reddunt, sic & affectiones musculorum; propterea sanè, quod illæ spiritus sunt loci, musculi verò primum motus instrumentum. Verùm non eadem affectio in vtroque organorum genere, inæqualem respirationem facit, quum neque vsus ipsorum similis existat. Siquidem igitur vnumquodque organum in eo ipso, quo sanum existens actionem iuuit, eam ægrotans lædit, asperarum vtique arteriarum læsio coarctatio quædam est; musculorum verò deprauatus, & inordinatus motus; atq; illarum quidem, vt spiritus locorũ, horum verò, vt motus organorum lęsio est. Et coarctationis quidem in asperis arteriis tumores prẹter naturam causas esse dixi; deprauatorum verò in musculis motuum causas nunc referemus. Sunt igitur propriæ musculorum affectiones, conuulsiones, palpitationes, & tremores, quemadmodum in alio loco est demonstratum. Verùm quod hæ etiam deprauati motus sint, verbis non eget. Si verò ambo hæc insunt his affectionibus, vt & deprauati motus sint, & musculorum; atque hęc ipsa sunt, quæ quærimus; finem iam nobis hîc habebit institutus sermo; erit nanque aliquando inęqualis respiratio, & propter aliquam harum affectionum. Quemadmodum enim ambulatio inæqualis fit, crurum musculis aut trementibus, aut palpitantibus, aut conuulsis: ita & respiratio aliquando inæqualis erit, propter thoracis musculos (vt dictum est) oblęsos. Quare omnium inæqualitatum, tum quæ secundum vnam actionem, tum quæ circa plures ex ordine consistunt, aut asperarum arteriarum coarctatio, aut thoracis musculorum deprauatus motus, aut facultatis ipsam efficientis debilitas, causa fiet.

CAPVT XIX.

Quæ causæ propriæ sint inæqualis respirationis.

SCriptum est autem, vt dixi, fusissimè de omnibus inęqualitatibus in secũdo de pulsuum causis, & ob id, quæ cõmunia sunt cum illo sermone, omnia relinquimus, solummodò mentione ipsorum facta; quæ verò propria sunt respirationi in hoc libro explicamus. Vsus itaque (vt iam antea dictum est) communis vtrisque est; asperarũ etiam arteriarum & læuium ratio consimilis est: verùm musculorum genus proprium, & priuatim destinatum respirationibus est, præter pulsuum rationem. Opifices autem ipsorum facultates, partim quidem similiter, partim verò non ita habent: quatenus enim causę efficientes sunt, eatenus similiter habent;

A κατά τε τοὺς σφυγμοὺς καὶ τὰς ἀναπνοὰς, διαφόρους ἐργάζεται τὰς προγνώσεις, οὕτω καὶ περὶ αὐτὴν τὴν τῶν ὀργάνων φύσιν ἔσται τις ἐνδείξεως ἑτερότης. οἱ μὲν γὰρ σφυγμοὶ διὰ τῶν λείων ἀρτηριῶν, ἀναπνοαὶ δὲ οὐ διὰ μόνων γίγνονται τῶν τραχειῶν ἀρτηριῶν, ἀλλ' οὐχ ἧττον αὐτῶν, εἰ μὴ ἄρα καὶ μᾶλλον διὰ τοῦ μυώδους γένους. τοῦτο γάρ ἐστιν ὃ πρῶτον ἡ ψυχικὴ κινεῖ δύναμις εἰς γένεσιν ἀναπνοῆς· ὑπὸ δὲ τοῦδε ὁ θώραξ ὅλως κινηθεὶς, αὐτὸς πάλιν τὸν πνεύμονα συγκινεῖ, καθ' ὃν ἐν τοῖς περὶ αὐτῶν ἐδείξαμεν λογισμοῖς τρόπον. τοῦ B πνεύμονος δὲ εἰσὶ μέρη αἱ τραχεῖαι ἀρτηρίαι, εἰς ἃς πρώτας ὁ ἀναπνεόμενος ἀὴρ ἔρχεται. ὥσπερ οὖν τὰ τούτων παθήματα τὴν ἀναπνοὴν ὅλην ἀνώμαλον ἐργάζεται πολλάκις, οὕτω καὶ τὰ τῶν μυῶν, αἱ μὲν ὅτι χῶραι τοῦ πνεύματός εἰσιν, οἱ μύες δὲ ὅτι τὸ πρῶτον ὄργανον τῆς κινήσεως. ἀλλ' οὐ ταὐτὸ πάθος ἐν ἑκατέρῳ τῷ γένει τῶν ὀργάνων, ἀνώμαλον ἐργάζεται τὴν ἀναπνοὴν, ὅτι μηδὲ τὰ τῆς χρείας αὐτῶν ὅμοια. εἴπερ οὖν ἕκαστον τῶν ὀργάνων, εἰς ὅπερ ὑγιαῖνον ὠφελεῖ τὴν ἐνέργειαν, εἰς ταῦτα C καὶ νοσῆσαν βλάπτει, τῶν μὲν τραχειῶν ἀρτηριῶν ἡ βλάβη, στενοχωρία τίς ἐστι, τῶν δὲ μυῶν πλημμελὴς καὶ ἄτακτος κίνησις· τῶν μὲν γὰρ ὡς χωρίων τοῦ πνεύματος, τῶν δ' ὡς ὀργάνων κινήσεως, ἡ βλάβη. τῆς μὲν οὖν ἐν ταῖς τραχείαις στενοχωρίας τοὺς παρὰ φύσιν ὄγκους ᾐτιασάμεθα, τῶν δ' ἐν τοῖς μυσὶ πλημμελῶν κινήσεων τὰς προφάσεις νῦν ἐροῦμεν. ἔστιν οὖν ἴδια παθήματα μυῶν, σπασμοὶ καὶ παλμοὶ καὶ τρόμοι, ὡς δι' ἑτέρων ἀποδέδεικται· ἀλλὰ καὶ ὅτι πλημμελεῖς κινήσεις εἰσὶν, οὐ δεῖται λόγου. εἴπερ δ' ἄμφω ταῦθ' ὑπάρχει τοῖς παθήμασιν, ὥστε καὶ πλημμελέσι D κινήσεσιν εἶναι, καὶ μυῶν, αὐτὰ δὲ ταῦτ' εἴη τὰ ζητούμενα, ἤδη πέρας ἂν ἡμῖν ἔχοι καὶ ὁ δεῦρο λόγος· ἔσται γάρ ποτ' ἀνώμαλος ἡ ἀναπνοὴ, καὶ διά τι τούτων. ὡς γὰρ καὶ ἡ βάδισις ἀνώμαλος γίγνεται, τῶν ἐν τοῖς σκέλεσι μυῶν ἤτοι τρεμόντων ἢ παλλομένων ἢ σπωμένων, οὕτω καὶ ἀναπνοὴ γίνοιτ' ἄν ποτε ἀνώμαλος διὰ τοὺς κινοῦντας τὸν θώρακα μῦς, ὡς εἴρηται, βεβλαμμένους. ὥστε καὶ πασῶν τῶν ἀνωμαλιῶν, τῶν τε κατὰ μίαν ἐνέργειαν, καὶ τῶν κατὰ πολλὰς ἑξῆς συνισταμένων, ἤτοι στενοχωρία τῶν τραχειῶν ἀρτηριῶν, ἢ τῶν τοῦ θώρακος μυῶν πλημμελὴς κίνησις, ἢ ἀρρωστία τῆς E δημιουργούσης αὐτὴν δυνάμεως, αἴτιον γενήσεται.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Τίνες αἱ ἴδιαι τῆς ἀνωμάλου ἀναπνοῆς αἰτίαι;

ΓΕγραπται δὲ ὡς ἔφην ἐπὶ πλεῖστον ὑπὲρ ἁπασῶν ἀνωμαλιῶν ἐν τῷ δευτέρῳ τῶν ἐν σφυγμοῖς αἰτίων, καὶ διὰ τοῦτο μὲν ὅσα κοινὰ πρὸς ἐκεῖνον τὸν λόγον, ἅπαντα παραλείπομεν, ὑπομιμνήσκοντες αὐτῶν μόνον· ὅσα δὲ ἴδια τῆς ἀναπνοῆς, ἐπέξιμεν ἐν τῷ F δε τῷ γράμματι. τὰ μὲν οὖν τῆς χρείας, ὡς καὶ πρόσθεν εἴρηται, κοινὰ, καὶ τὰ τῶν ἀρτηριῶν δὲ τῶν τραχειῶν, ταῖς λείαις ἀνάλογον· ἴδιον δὲ ἐξαίρετον ταῖς ἀναπνοαῖς παρὰ τοὺς σφυγμοὺς, τὸ τῶν μυῶν ὑπάρχει γένος. αἱ δημιουργοὶ δὲ αὐτῶν δυνάμεις, ἔστι μὲν ᾗ ἀναλόγως, ἔστι δὲ ᾗ καὶ οὐχ οὕτως ἔχουσιν. ᾗ μὲν γὰρ αἰτίαι δραστικαί εἰσι, ταύτῃ μὲν ἀνάλογον ἔχουσιν,

ἡ δὲ τῆς ἀναπνευστικῆς δυνάμεως ἡ προαίρεσις ἐπιστατεῖ, τῆς ζωτικῆς δὲ οὐδεὶς δεύτερος κύριος, ἀλλ' ἐλευθέρα τελείως ἐστὶν, ταύτῃ διαφέρεσθαι. καὶ τοίνυν περιττόν τι εἰς ἀνωμαλίας γένεσιν ἕξει ἡ ἀναπνοὴ πρὸς τοὺς σφυγμοὺς, ὃ μηδὲ τοῦτο παραλείπωμεν. ἔστι δὲ διττὸν, τὸ μὲν ἀπ' αὐτῆς τῆς ψυχικῆς δυνάμεως μόνης ὁρμώμενον, τὸ δ' ἀπὸ τῆς πρὸς τὰς ὀδύνας συμπλοκῆς· ὀλίγον μὲν καὶ δυσγνώριστον τὸ ἀπὸ τῆς δυνάμεως μόνον, πλεῖον δὲ καὶ σαφέστερον καὶ ποικιλώτερον, τὸ διὰ τὰς ὀδύνας. ἐν γὰρ ταῖς παραφροσύναις, ἐπικρατεῖ μὲν ἡ ἀραιότης καὶ τὸ μέγεθος, ἐμφαίνεται δέ τις ἀνωμαλία, καὶ ἀταξία, κατά τε πλείους ἀναπνοὰς, καὶ κατὰ μίαν ἐνίοτε μόνην, ὡς ἂν οἶμαι, καὶ τῶν φαντασμάτων ποτὲ μὲν μᾶλλον, ποτὲ δ' ἧττον ἐξιστάντων τοῦ κατὰ φύσιν τὸν λογισμόν. ἐν γὰρ ταῖς τοιαύταις φαντασίαις, εὔλογον καὶ τὴν ἀναπνοὴν μεταβάλλεσθαί τι καὶ ποικίλλεσθαι πρὸς τὴν τῆς ἀνωμαλίας τε καὶ ἀταξίας γένεσιν καὶ παρὰ τὸ τῆς χρείας ποσόν. ἕως μὲν γὰρ ὀλίγον αὐτῆς ἑκάστη τῶν ἐνεργειῶν ἀπολείπεται, μικρὰ τοῦ κατὰ φύσιν ἡ ἐναλλαγή· ἐπειδὰν δὲ τοῦ κατὰ φύσιν ἔλλειμμά τι ἱκανῶς πολὺ γένηται, τότ' ἀναγκαῖον ἤδη τῶν μὲν ἡσυχιῶν τὸ ποσὸν, τῶν δὲ κινήσεων, οὐ τὸ ποσὸν μόνον, ἀλλ' ἤδη καὶ τὸ ποιὸν ἀλλοιοῦσθαι, κἀν τούτῳ τὴν ὅλην ἀναπνοὴν ἀνώμαλόν τε καὶ ἄτακτον γενέσθαι. ταὐτὸν δὲ τοῦτο καὶ ταῖς ὀδύναις συμπίπτειν ἀναγκαῖον. οὐδὲ γὰρ οὐδ' ἐπ' ἐκείνων ἡ χρεία πληροῦται, καθ' ἑκάστην ἐνέργειαν· οὔτε γὰρ ταχέως οὔτε πυκνῶς, οὔτ' ἐπὶ πλεῖστον δύναται διαστέλλειν τὸν θώρακα· πάντα γὰρ ταῦτ' αὐτοῖς ἀνιαρὰ, μάλιστα μὲν τὸ μέγεθος, δεύτερον δὲ τὸ τάχος, ἤδη δὲ καὶ πυκνότης, ἀλυπότερον γὰρ τοῖς ἀλγοῦσι, τὸ διὰ πλείονος χρόνου κινεῖσθαι, τοῦ δι' ἐλάττονος. διὰ τοῦτ' οὖν τοῦ μὲν μεγέθους ἀφαιροῦσι πάμπολλα, τάχους δ' ἐλάχιστα· πυκνότητος δὲ ἀφαιροῦσι μὲν οὐδὲν, ἀλλά τι καὶ προστιθέασι, τὴν ἐκ τῶν κατὰ φύσιν τῆς σμικρότητος ἔνδειαν ἐπανορθούμενοι. οὐ μέντοιγε τοσοῦτόν ἐστι τὸ προστιθέμενον, ὡς ἀναπληρῶσαι τὸ λεῖπον ἅπαν. ὅσον οὖν ἀπλήρωτον τῆς χρείας ἀπολείπεται, τοῦτ' ἐν πολλαῖς ἑξῆς ἐνεργείαις ἀθροιζόμενον, ὅταν ἐγγὺς ἤδη τοῦ πνίγεσθαι τὸ ζῶον ἀφίκηται, τότε καὶ τὴν προαίρεσιν ἀναγκάζει, μέχρι γοῦν χρόνου τινὸς, μείζονά τε ποιήσασθαι τὴν ἀναπνοὴν, καὶ θάττονα πολὺ, καὶ τῆς ἔμπροσθεν πυκνοτέραν. ἀλλ' ἐν ταῖς ταύτης ἐνεργείαις, τῆς μὲν χρείας πληρουμένης, ἀποκναιομένου δὲ τοῖς ἀλγήμασι τοῦ ζώου, πάλιν ἡ προαίρεσις ἀφαιρεῖ καὶ τοῦ μεγέθους καὶ τοῦ τάχους καὶ τῆς πυκνότητος, ἄλλοτε ἄλλου πλέον, ὡς ἂν ἀπορουμένη τε καὶ μήτε στῆσαι τὴν ἐνέργειαν δυναμένη, φόβῳ πνίξεως, μήτ' εὑρίσκουσά τινα τῆς ὀδύνης ἴασιν. ἄλλοτε γοῦν ἐπ' ἄλλο μετέρχεται, τὸ μὲν, ὡς τὴν χρείαν πληρῶσον, τὸ δ' ὡς τὴν ὀδύνην παραμυθησόμενον. ἁπάντων δὲ, τῶν μὲν τὴν χρείαν πληρούντων, παροξυνόντων τὰς ὀδύνας, τῶν δὲ ταύτας παρηγορούντων, αὐξανόντων τὴν χρείαν, οὐδενὸς δ' ἀμφοτέρων ἰάματος εὑρισκομένου κοινοῦ, πολυειδῶς ἐπὶ πάντα μετέρχεται δι' ἀπορίαν, ἀεὶ δυσαρεστουμένη τῷ παρόντι. κἀντεῦθεν τό, τ' ἀνώμαλον ἑκάστῳ τε κατὰ μόνας καὶ ἁπάσαις ἑξῆς ταῖς ἀναπνοαῖς, καὶ τὸ πολυει-

A quatenus verò voluntati permissum est arbitrium respiratoriæ facultatis, vitalis autem facultas nullum superiorem habet dominum, sed libera penitus existit, eatenus differunt. Igitur & peculiare quid ad inæqualitatis generationem respiratio habebit, si cum pulsibus eam contuleris; quod non prætermittamus. Est autem duplex, partim quidem ab ipsa animali facultate sola proficiscens, partim à complicatione ipsius cum doloribus. Modicum enim quidem & cognitu difficile est, quod à sola facultate proficiscitur; amplius verò & manifestius ac magis varium, quod propter dolores. In deli- B riis enim superat quidem raritas & magnitudo, apparet autem quædam inæqualitas & ordinis perturbatio, tum in pluribus respirationibus, tum in vna aliquando sola; nimirum, quòd & phantasmata aliquando plùs, aliquando minùs rationem ab eo, quod secundum naturam est, emoueant. In huiusmodi enim visis, rationi consentaneum est, etiam respirationem transmutari ac aliquatenus variari ad inæqualitatis & permutationis ipsius ordinis generationem, C etiã ab vsus quantitate. Nam quamdiu parũ deficiũt ab ea singulæ actiones, parua est eius quod secundum naturam est, immutatio; quando verò defectus ab eo, quod secundum naturam habet, continget satis multus, tunc necessarium iam quietum quidem quantitatem, motuum verò non solùm quantitatem, sed iam etiam qualitatem alterari; atque ob id totam respirationem inæqualem, & inordinatam reddi. Idem hoc & doloribus accidere necessarium est. Neque enim etiam in illis vsus expletur in singulis D actionibus, nam neque celeriter, neque densè, neque plurimùm distẽdere thoracem possunt; omnia enim hæc ipsis molesta sunt, & præsertim magnitudo, deinde celeritas, iam verò etiam densitas: *dolentibus nanque minus molestum est per longius tempus, quam per breuius moueri.* Ob id igitur à magnitudine omnino multum detrahunt; à celeritate verò minimum; à densitate autem auferunt quidem nihil, sed addunt etiam quippiam, paruitatis ab eo quod secundum naturam habet, defectum per eam corrigentes. Non tamen adhuc tantum est quod apponitur, vt om- E nem expleat defectum. Quantum igitur deficit ad vsus expletionem, hoc in multis deinceps actionibus coaceruatur; & quum parum abest, vt animal suffocetur, tunc voluntatem cogit, ad aliquod saltem tempus, maiorem facere respirationem, & multo velociorem, & priore densiorem. Verùm quum in huius actionibus vsus quidem expleatur, animal verò doloribus crucietur, voluntas rursus à magnitudine & celeritate ac densitate aufert, aliquando plus, F aliquando minus, vtpotè quæ consilii inops sit, & neque sistere actionem possit ob suffocationis timorem, neque aliquam reperire doloris medelam. Quare modò ad hoc, modò ad aliud transit; illud quidem, vt vsum expleturum; hoc verò, vt dolorem mitigaturum. Quum verò omnia vsum explentia exacerbent dolores; dolores verò mitigantia, augeant vsum, atque nulla communis vtrisque medela reperiatur; multiformiter ad omnia transit ob consilii inopiam, semper ægrè ferens, quod præsens est. Atque hinc tum inæqualitas circa singulas & omnes etiam deinceps respirationes, tum multiformis

tiformis illa ordinis perturbatio, originem habet. Ex corruptione enim æqualitatis, inæqualitatum omnium, itemque ordinis perturbationum generatio oritur. Monstratum nanque & hoc in libris de pulsuum differentiis, æqualitatem continuam, æquabilitatem esse; periodicam verò, ordinem; & continuâ æqualitate corruptâ, inæqualitatem; periodicâ verò, ordinis perturbationẽ generari. Attamen quãuis multa inæqualitas, & multa ordinis perturbatio in eiusmodi affectionibus incidat, superat tamen id genus respirãdi difficultatis, quod in paruitate, & densitate consistit. Etenim si magnam aliquando respirationem vna vice faciant, veluti periculum facientes eiusmodi respirationis, desistunt tamen è vestigio propter dolorem, ac per multum tempus valde parum respirant, donec vrgente vsu coacti, ad aliam rursus conuertantur experientiam magnæ respirationis. Assiduitas igitur inæqualitatis & inordinatæ mutationis, in celeritate ac tarditate, & in densitatis permutationibus, maximè consistit; quum nunquam quidem simpliciter rara respiratio fiat, propter vrgentem vsum, minùs tamen, & magis densa, atque in hoc sanè inæqualitatem acquirat. Quare densus semper hoc modo affectis est spiritus, magnus autem rarò, tardus verò nihil magis, quàm celer, propter repentinam ipsorum in vtranque partem mutationem. Rectè igitur antea dictum est, omnibus dolore vexatis organis, quæ in respirationibus cõmouentur, paruum, & densum spiritum oboriri; & eâdem ratione in deliriis magnum fieri & rarum spiritum; quanquam etiam his vel maximè inæqualitas comes sit. Exuperat enim in ipsis raritas, & magnitudo; magis enim & minùs rarus, & magis ac minus magnus spiritus in delirantibus redditur, paruus verò & densus nunquam. Atque hæc quidem mihi sufficere videntur de inæqualitatum cognitione, tum quæ in vna actione, tum quę in pluribus consistunt: dicta sunt enim & de iis quæ ratio postulat, ob sermonis communitatem; & euidenter quidem hæ compositæ sunt, multis omninò actionibus ad generationem & dignotionem indigentes; quę verò circa vnam actionem consistunt (vt etiam antè relatum est) ferè videri possint alicui simplices esse. Porrò non de systematicis tantùm inæqualitatibus, sed etiam de ordinis perturbationibus, hîc disseruimus; sunt enim in specie quadam inæqualitatum, velut etiam in libris de pulsibus demonstratum est.

CAPVT XX.

De causis spirandi difficultatum compositarum, quæ circa singulas respirationis partes seorsim consistunt.

AD cæteras igitur compositas spirandi difficultates redeamus, ac eas in primis explicemus, quæ in vna actione quacunque tandem consistunt. Equidem inspiratio magna simulq; velox fit vrgente vsu, obsequentibus organis, & facultate vel suum robur integrum seruante, vel parum immutatâ. Demonstratione autem hic sermo non habet opus apud eos, qui superiùs dictorũ meminerunt. Rursus verò

δῶς ἄτακτον ὑπάρχει. ἐν γὰρ τῇ τῆς ἰσότητος διαφθορᾷ, τήν τε ἀνωμαλίαν ἁπασῶν καὶ τὴν ἀταξίαν ἡ γένεσις. ἐδείχθη γὰρ καὶ τοῦτο ἐν τοῖς περὶ διαφορᾶς σφυγμῶν, ὡς ἡ μὲν ἐφεξῆς ἰσότης, ὁμαλότης ἐστίν· ἡ δὲ κατὰ περιόδους, τάξις· καὶ ὡς τῆς μὲν ἐφεξῆς ἰσότητος διαφθειρομένης, ἡ ἀνωμαλία· τῆς δὲ κατὰ περιόδους, ἡ ἀταξία γίγνεται. ἀλλ' ὅμως, πολλῆς μὲν ἀνωμαλίας, πολλῆς δὲ ἀταξίας ταῖς τοιαύταις διαθέσεσι συμπιπτούσης, ἐπικρατεῖ τὸ κατὰ μικρότητα καὶ πυκνότητα εἶδος τῆς δυσπνοίας. εἰ γὰρ καὶ μέγα ποτ' ἀναπνεύσαιεν εἰς ἅπαξ, οἷον ἀποπειρώμενοι τῆς τοιαύτης ἀναπνοῆς, ἀφίσανται παραχρῆμα διὰ τὴν ὀδύνην, καὶ χρόνῳ γε παμπόλλῳ μικρὸν πάνυ ἀναπνέουσιν, ἄχρι περ ἂν ὑπὸ τῆς χρείας ἐπειγούσης ἀναγκασθέντες, ἐφ' ἑτέραν αὖθις πεῖραν τράπωνται μεγάλης ἀναπνοῆς. τὸ συνεχὲς οὖν τῆς ἀνωμαλίας καὶ ἀτάκτου μεταβολῆς αὐτοῖς ἐν τάχει καὶ βραδύτητι, καὶ ταῖς τῆς πυκνότητος ἐξαλλαγαῖς, μάλιστα συνίσταται, μηδέποτε μὲν ἁπλῶς ἀραιᾶς γιγνομένης τῆς ἀναπνοῆς διὰ τὴν τῆς χρείας ἔπειξιν, ἧττον μέντοι καὶ μᾶλλον πυκνῆς, κἂν τούτῳ τὴν ἀνωμαλίαν κτωμένης. ὥστ' ἐστι πυκνὸν μὲν ἀεὶ τοῖς οὕτω διακειμένοις τὸ πνεῦμα, μέγα δὲ σπανίως, βραδὺ δ' οὐδὲν μᾶλλον ἢ ταχὺ, διὰ τὴν εἰς ἑκάτερον αὐτῶν ὀξύῤῥοπον μετάπτωσιν. ὀρθῶς οὖν ἔμπροσθεν ἐῤῥέθη πᾶσι τοῖς ὀργάνοις ὀδυνωμένοις, ὅσα κινεῖται κατὰ τὰς ἀναπνοὰς, μικρὸν καὶ πυκνὸν ἕπεσθαι τὸ πνεῦμα· κατὰ δὲ τὸν αὐτὸν λόγον ἐν ταῖς παραφροσύναις μέγα τε γίγνεσθαι καὶ ἀραιὸν, εἰ καὶ ὅτι μάλιστα καὶ ταύταις ἀνωμαλία τις ἕπεται. πλεονεκτεῖ γὰρ ἐν αὐταῖς ἥτε ἀραιότης καὶ τὸ μέγεθος· μᾶλλον μὲν γὰρ καὶ ἧττον ἀραιὸν, καὶ μᾶλλον καὶ ἧττον μέγα, τοῖς παραφρονοῦσι γίγνεται τὸ πνεῦμα· μικρὸν δὲ καὶ πυκνὸν, οὐδέποτε. τοσαῦτα ἀρκεῖν μοι δοκεῖ περὶ τῶν ἀνωμαλιῶν εἰδέναι, τῶν τε κατὰ μίαν ἐνέργειαν, καὶ τῶν ἐν πλείοσι συνισταμένων. καὶ γὰρ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα τῇ κοινωνίᾳ τοῦ λόγου. καὶ μέντοι σαφῶς μὲν αὗται σύνθετοι, παμπόλλων ἐνεργειῶν εἰς γένεσίν τε καὶ διάγνωσιν δεόμεναι· αἱ δὲ κατὰ μίαν, ὡς καὶ πρόσθεν εἴρηται, τάχ' ἂν τῳ δόξειαν ὑπάρχειν ἁπλαῖ. οὐ μόνον δὲ περὶ τῶν συστηματικῶν ἀνωμαλιῶν, ἀλλὰ καὶ περὶ τῶν ἀταξιῶν ἐν τούτῳ διήλθομεν. ἐν εἴδει γάρ τινι τῶν ἀνωμαλιῶν εἰσιν· ὡς κἂν τοῖς περὶ σφυγμῶν ἐδείχθη.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τῶν αἰτιῶν τῶν συνθέτων δυσπνοιῶν τῶν ἐν ἑκάστῳ τῆς ἀναπνοῆς μορίῳ ἰδίᾳ συνισταμένων.

ΕΠΙ τὰς ἐπιλοίπους οὖν αὖθις ἐπανέλθωμεν δυσπνοίας συνθέτους, καὶ πρώτας γε αὐτῶν προχειρισώμεθα, τὰς κατὰ μίαν ἐνέργειαν ἡντιναοῦν συνισταμένας. ἡ μὲν δὴ μεγάλη τε καὶ ἅμα ταχεῖα εἰσπνοὴ, τῆς μὲν χρείας ἐπειγούσης γίγνεται, τῶν δ' ὀργάνων εὐπειθῶν ὑπαρχόντων, τῆς δυνάμεως δὲ ἤτοι τὴν ἰδίαν εὐρωστίαν εὐρωστούσης, ἢ μικρὸν μεταβεβλημένης. ἀποδείξεως δὲ οὐ δεῖ τῷ λόγῳ, πρὸς τοὺς μεμνημένους τῶν ἔμπροσθεν. ἡ δ' αὖ μεγάλη μὲν,

βραδεῖα δὲ μόνοις τοῖς παραπαίουσι γίνεται, καὶ τούτοις οὐκ ἀεί. καὶ πρόδηλος τῆς αἰτίας ὁ λογισμὸς κἀνταῦθα, ἐκ τῶν προειρημένων, ὥσπερ καὶ ὅταν μικρὸν εἰσπνέωσι καὶ βραδέως, οἷς ἱκανῶς ἔψυκται τὸ ἔμφυτον θερμόν. ἡ δὲ λοιπὴ καὶ τετάρτη συζυγία μικρότης ἦν ἅμα τῷ τάχει, καὶ γίνεται διὰ παντὸς μὲν ἐπ' οὐδεμιᾷ διαθέσει ἁπλῇ, καθάπερ οὐδὲ ἡ μεγάλη τε ἅμα καὶ βραδεῖα, ἣν ἔσθ' ὅτε τοῖς παραπαίουσι συμπίπτειν ἔφαμεν· ἕπεται μέντοι κἂν εἰ μὴ διηνεκῶς, ἀλλ' ὡς τὸ πολύ γε, συνελθόντων εἰς ταὐτὸν ἀλγήματός τε καὶ χρείας αὐξήσεως. μικρὸν μὲν γὰρ ἐν τοῖς ἀλγήμασιν ἐξ ἀνάγκης ἀναπνέουσιν, ἀπληρώτου δὲ τῆς χρείας μενούσης, διά τε τὴν αὐτὴν ταύτην μικρότητα, καὶ ὅτι πλεονεκτεῖν ὑπέκειτο καθ' ἑαυτήν, οὐκ ἀρκεῖ πυκνωθῆναι μόνον τὰς ἐνεργείας, ἀλλ' ἀναγκάζονται πολλάκις ἐσπασμένως εἰσπνεῖν. ἀνάλογον δὲ τοῖς εἰρημένοις, κἀπὶ τῶν κατὰ τὰς ἐκπνοὰς συζυγιῶν, τὰς διαθέσεις ἐξευρίσκειν χρή. καὶ γὰρ οὖν κἀπὶ τούτων ἤτοι τὴν δύναμιν, ἢ τῶν ὀργάνων τι πεπονθὸς εὑρήσομεν, ἢ τῆς θερμασίας τὸ μέτρον ὑπηλλαγμένον. ἃ γὰρ οἷον αἰθαλώδη τε καὶ λιγνυώδη καὶ καπνώδη περιττώματα καλοῦμεν ἐν τῷ τῆς θερμασίας γένει, γεώδη εἰσὶ ταῦτα πάντα, καὶ οἷον ἡμίπεπτα τῷ συμφύτῳ θερμῷ, καθάπερ καπνὸς τῷ πυρί. φαίνεται γὰρ ἐναργῶς ἐπὶ τούτου δριμέα πάντα καὶ θερμὰ τὰ καπνώδη τῆς ὕλης περιττώματα, ἐνδεικνύμενα δεδέχθαι μὲν εἰς ἑαυτὰ τὴν τοῦ πυρὸς δύναμιν, οὐ μὴν παντάπασί γε ὑπ' αὐτοῦ κεκρατῆσθαι· φλὸξ γὰρ ἂν οὕτως ἐγεγόνει, καὶ οὐκέτι καπνός. ὥστε εἴ τις θερμασίας καπνώδους ἐν τοῖς σώμασι τῶν ζώων πλεονεκτούσης, τὴν ἐκπνοὴν λέγοι μεγάλην τε ἅμα γίνεσθαι καὶ ταχεῖαν, οὐκ ἂν ἁμάρτοι· δῆλον δ' ὅτι καὶ τὴν δύναμιν ἐρρῶσθαι χρὴ τηνικαῦτα, καὶ τῶν ὀργάνων μηδὲν πεπονθέναι· κατὰ ταὐτὰ δὲ καὶ τὴν μεγάλην τε ἅμα καὶ βραδεῖαν ἐνίοις τῶν παραφρονούντων, ὥσπερ εἶχε κἀπὶ τῆς εἰσπνοῆς· οὕτω δὲ καὶ τὴν μικρὰν ἅμα καὶ βραδεῖαν, οἷς μηδὲν συνήθροισται καπνῶδες περίττωμα, καὶ τὴν μικρὰν καὶ ταχεῖαν, οἷς ἤθροισται, καὶ ὀδυνᾶται τῶν μορίων ὅσα δηλονότι κινεῖται κατὰ τὰς ἀναπνοάς. ἀεὶ γὰρ χρὴ τούτων μεμνῆσθαι, κἂν τῇ λέξει ποτὲ παραλειφθῇ.

A magna & tarda solis mente motis contingit, atque his non semper; & conspicua vtique etiã hîc est causæ consideratio ex prædictis; quemadmodum etiam, cum paruam habent inspirationem & tardam, quibus insitus calor multùm est perfrigeratus. Quæ restat autem adhuc coniugatio quarta, paruitas erat cum velocitate, & fit perpetuò quidem in nulla affectione simplici (quemadmodum neque magna, simúlque tarda, quam aliquando desipientibus accidere diximus) sequitur tamen, quanquam non semper, sed vt plurimum, vbi simul dolor, & vsus B incrementum concurrunt; parum enim necessariò in doloribus respirant; inexpleto autem manente vsu, tum ob hanc ipsam paruitatem, tum quòd per se ipsum exuperare supponebatur, non satis est solùm densari ipsas actiones, sed coguntur etiam sæpè conuulsoriè inspirare. At eodem cum prædictis modo etiam in expirationum coniugiis ipsas affectiones perscrutari oportet. Nam in his, aut facultatem, aut aliquod organum affectum, aut caloris modum immutatum inueniemus. Quæ enim velut fuliginosa ac fauillosa & fumosa excrementa voca- C mus in caloris genere, ea omnia terrea sunt & velut semicocta ab innato calore; quemadmodum fumus ab igne; apparent enim in hoc euidenter acria omnia & calida, fumosa materiæ excrementa, indicantia susceptam quidem esse in se ipsa ignis facultatem, non tamen adhuc penitus ab igne se superata; flamma enim ita esset, & non ampliùs fumus. Quare si quis, fumoso calore in corporibus animantium redundante, expirationem magnam, simúlque velocem fieri dicat, non vtique errarit. Manifestum D est autem quòd & facultatem integram esse tunc oportet, & nullum ex organis affectum. Similiter autem & magnam simulque tardam in quibusdam delirantibus fieri, eodem modo quo contingit circa inspirationem: sic & paruã simúlque tardam fieri iis, quibus nullum fumosum excrementum est coaceruatum; & paruam ac velocem, quibus est collectum, & dolent simul aliquæ partes, quæ in respirationibus mouentur; semper enim huius memorẽ esse oportet, etiamsi aliquando in sermone omittatur.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τῶν αἰτίων τῶν συνθέτων δυσπνοιῶν τῶν ἀπὸ τοῦ ῥυθμοῦ λαμβανομένων.

Αὗται μὲν οὖν αἱ τέτταρες συζυγίαι τῶν δυσπνοιῶν, καθ' ἑκάτερον ἰδίᾳ τῆς ὅλης ἀναπνοῆς μόριον συνίστανται· ἕτεραι δὲ κατὰ τὸν οἷον ῥυθμὸν αὐτῆς, οὐ καθ' ἑκάτερον, ὅταν δὲ παραβάλλωμεν εἰσπνοὴν ἐκπνοῇ, καθάπερ ἐν τοῖς σφυγμοῖς διαστολὴν συστολῇ, ῥυθμὸν τὸ τοιοῦτον ὀνομάζομεν. δῆλον δ' ὅτι τὴν αὐτὴν θεωρίαν ὁ τόπος ἐνδέξεται, τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς ῥυθμῶν ὑφ' Ἡροφίλου γεγραμμένῃ. εἴρηται μὲν οὖν ἡμῖν περὶ αὐτῶν ὅσα χρή, κἂν ταῖς περὶ τῶν σφυγμῶν πραγματείαις· εἰρήσεται δὲ καὶ νῦν ὅσον οἷόν τε διὰ βραχυτάτων, οἷς χρὴ προσέχοντα τὸν νοῦν οἷον σκοποῖς τισιν, ἐξευρίσκειν τὰς αἰτίας ῥᾳδίως τῆς ἐν ταῖς ἀναπνοαῖς ἀρρυθμίας. τὰ γὰρ ἄρτι καθ' ἑκάτερον τῆς ὅλης ἀναπνοῆς μό-

CAPVT XXI.

E *De causis compositarum respirationis difficultatum, quæ à rhythmo sumuntur.*

Atque hæ quidem sunt quatuor spirandi difficultatis coniugationes, quæ in vtraque totius respirationis parte seorsim consistunt. Aliæ verò in ipsius veluti rhythmo *& consonantia*, non in vtraque seorsim parte fiunt; sed quum inspirationem expirationi conferimus, quemadmodum in pulsibus diastolen systolæ, rhythmum hoc ipsum appellamus. Manifestum autem, quòd eandem speculationem F hic locus capiet, quam de pulsuum rhythmis Herophilus conscripsit. Dicta quidem etiam nobis de ipsis, quæ necessaria sunt, in pulsuum tractationibus; dicetur autem & nunc, quàm fieri potest breuissimè, quibusnam veluti scopis quibusdam, animum attendere oporteat, vt facilè causas dissonantiæ in respirationibus inueniamus. Quæ enim iam secundum vtranque totius

totius respirationis partem, inspirationem dico, & expirationem, in superiori sermone recensuimus, ea ipsa etiam nunc inspicere operæpretium existimo circa ipsorum dissonantias. Velut verbi gratia (non enim deterius fuerit in vno quodã tanquam exemplo demonstrare id quod dicitur) sit quidem tardior & minor, quam secundum naturam, inspiratio; celerior autem & maior expiratio; his sanè ita affectis, dicemus calorem secundum naturam imminutum esse; auctum verò fumosum. Rursus in altera dissonantia, contrario modo se habente, ita vt inspiratio quidem sit magna & velox, expiratio verò parua & tarda; auctum naturalem calorem dicemus; & nullum esse fumosum recrementum. Duplicem enim genere semper intelligere oportet calorem, alterum genuinum & corpori innatum; alterum verò acquisititium, ac spurium. Palam igitur est, quod huiusmodi coniugatio nihil euariat ab iis, quæ in vtraque seorsim, hoc est alterutrâ existunt. Si enim inspiratio parua & tarda forte fuerit, perfrigerationem significat caloris secundum naturam, quomodocunque habeat ipsa expiratio; si verò expiratio eodem modo fuerit affecta, idem indicabit; nam & si magna aliquando ac velox fiat, redundantem significabit calorem præter naturam, quomodocunque habeat ipsa inspiratio. Quare nihil amplius ad prænotiones huiusmodi complicatio docet, quam ea, quæ iam singulatim de alterutra ipsarum sunt cognita.

CAPVT XXII.

Quæ difficultatum respirationis coniugationes ad affectuum cognitionem vtiles sint.

ITaque ad solas illas compositas respirandi difficultates animum attendere nos oportet, in quibus simplices quidem, communes sunt plurium affectionum, & ob id nihil certi indicant; coniugatæ verò aliis quibusdam, ad certum ac minimè fallax discrimen veniunt. Magnitudo enim respirationis ipsa per se respirandi difficultas quædam est simplex, verum nullius certæ cognitionis signum est; siquidem & vrgente vsu, & læsa mente fieri solet; at si cum densitate consistat, vrgentem vsum; si cum raritate, delirium indicat. Similiter autem & paruitas ipsa quidem per se ipsam, aut dolore affectam aliquam partem, aut vsum exolutũ ostendit; itaque neque ipsa aliquid certi indicat; quando verò componitur, cum densitate quidẽ, dolorem; cũ raritate verò, vsus exolutionẽ portendit. Quinetiam si ipsam densitatem per se solam aut raritatem proponas, ipsarum neutram per se inueneris quicquam certi significantem, nisi hoc discrimen accipiat cum altera quapiam respirandi difficultatis specie copulata; densa enim simúlque magna, facultatis augmentum indicat; densa verò simúlque parua, organi alicuius quod cum respirationibus commouetur, dolorem. Ipsa etiam rara, quæ deliria & perfrigerationes sequitur, si quidem cum magnitudine fuerit copulata, prius ex prædictis; si verò cum paruitate, posterius indicat. Et ob id sanè omnium compositarum respirandi difficultatum, huiusmodi coniugationes

A ριον, τήν τε εἰσπνοὴν λέγω καὶ τὴν ἐκπνοήν, ἅσπερ ἐν τῷ πρόσθεν λόγῳ φθάνομεν εἰρηκότες, αὐτὰ ταῦτα, καὶ νῦν ἀξιῶ σκέπτεσθαι κατὰ τὰς ἀρρυθμίας αὐτῶν. οἷον (οὐδὲν γὰρ χεῖρον ἐφ᾽ ἑνός τινος, ὡς ἐπὶ παραδείγματος, ἐπιδεῖξαι τὸ λεγόμενον) βραδυτέρα μὲν ἔστω καὶ μικροτέρα τῆς κατὰ φύσιν εἰσπνοή, θάττων δὲ καὶ μείζων ἡ ἐκπνοή· μεμειῶσθαι φήσομεν τοῖς οὕτω διακειμένοις τὸ κατὰ φύσιν θερμόν, ηὐξῆσθαι δὲ τὸ καπνώ-

B δες. ἐφ᾽ ἑτέρας δὲ αὖθις ἔμπαλιν ἀρρυθμίας ἐχούσης, ὡς τὴν μὲν εἰσπνοὴν εἶναι μεγάλην καὶ ταχεῖαν, τὴν δὲ ἐκπνοὴν μικρὰν καὶ βραδεῖαν, ηὐξῆσθαι μὲν τὸ κατὰ φύσιν θερμόν, μηδὲν δὲ εἶναι καπνῶδες περίττωμα. διττὸν γὰρ ἀεὶ χρὴ νοεῖν τῷ γένει τὸ θερμόν, τὸ μὲν οἰκεῖον καὶ σύμφυτον σώματι, τὸ δὲ ἐπίκτητόν τε καὶ νόθον. δῆλον οὖν ὡς οὐδὲν ἡ τοιαύτη σύζευξις παραλλάττει τῶν ἑκατέρᾳ κατὰ μόνας ὑπαρχόντων. εἰ γὰρ ἡ εἰσπνοὴ μικρὰ καὶ βραδεῖα τύχοι γινομένη, κατάψυξιν δηλοῖ τῆς κατὰ φύσιν θερμασίας, ὅπως ἂν ἔχῃ ἡ ἐκπνοή· εἰ δὲ ἡ ἐκπνοὴ κατὰ ταὐτὸ ᾖ διακειμένη, ἐνδείξεται ταὐτόν· καὶ γὰρ εἰ μεγάλη ποτὲ καὶ

C ταχεῖα γίνοιτο, πλεονεκτοῦσαν δηλώσει τὴν παρὰ φύσιν θερμασίαν, ὅπως ἂν ἔχῃ τὰ τῆς εἰσπνοῆς· ὅθεν οὐδὲν πλέον εἰς τὰς προγνώσεις ἡ τοιαύτη συμπλοκὴ διδάσκει, τῶν ἤδη κατὰ μόνας ὑπὲρ ἑκατέρας αὐτῶν ἐγνωσμένων.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

D

Τίνες τῶν δυσπνοιῶν συζυγίαι εἰς τὴν τῶν παθημάτων διάγνωσιν χρήσιμαι.

ΜΟναῖς γοῦν προσεκτέον ἡμῖν τὸν νοῦν ἐκείναις τῶν συνθέτων δυσπνοιῶν, ἐν αἷς αἱ μὲν ἁπλαῖ, κοιναὶ πλειόνων εἰσὶ διαθέσεων, καὶ διὰ τοῦτο σαφὲς οὐδὲν ἐνδείκνυνται· συνεζευγμέναι δὲ ἑτέραις τισὶν εἰς διορισμὸν ἥκουσιν ἀσφαλῆ. τὸ γὰρ μέγεθος τῆς ἀναπνοῆς, αὐτὸ μὲν καθ᾽ ἑαυτό, δύσπνοιά τίς ἐστιν ἁπλῆ· γνώρισμα δὲ οὐδενὸς ὑπάρχει βέβαιον, εἴ

E γε καὶ τῆς χρείας ἐπειγούσης γίνεται, καὶ τῆς διανοίας βεβλαμμένης· ἀλλ᾽ εἰ μὲν ἅμα πυκνότητι συσταίη, τῆς χρείας ἔπειξιν, εἰ δὲ σὺν ἀραιότητι, παραφροσύνην ἐνδείκνυται. ὡσαύτως δὲ καὶ ἡ σμικρότης αὐτὴ μὲν καθ᾽ ἑαυτὴν ἢ ὀδυνᾶσθαί τι μόριον, ἢ τὴν χρείαν ἐκλύεσθαι δηλοῖ, ὥστ᾽ οὐδὲν οὐδ᾽ αὐτὴ σαφὲς ἐνδείκνυται· σύνθετος δὲ γινομένη, μετὰ μὲν πυκνότητος, ἄλγημα, σὺν ἀραιότητι δέ, τῆς χρείας ἔκλυσιν δηλοῖ· κἂν εἰ τὴν πυκνότητα δι᾽ αὐτὴν μόνην, ἢ τὴν ἀραιότητα προχείρισαιο, καὶ τούτων ἂν εὕροις οὐδετέραν οὐδὲν σαφὲς δηλοῦ-

F σαν, ἄνευ τοῦ διορισθῆναι συμπλακεῖσαν ἑτέρῳ τινὶ δυσπνοίας εἴδει. πυκνὴ γὰρ ἅμα καὶ μεγάλη, τῆς δυνάμεως αὔξησιν ἐνδείκνυται· πυκνὴ δὲ ἅμα καὶ μικρά, τινὸς τῶν ταῖς ἀναπνοαῖς συγκινουμένων ὀργάνων ἄλγημα· καὶ ἡ ἀραιὰ δὲ παραφροσύναις ἑπομένη καὶ καταψύξεσιν, εἰ μὲν μετὰ μεγέθους εἴη, τὸ πρότερον τῶν εἰρημένων· εἰ δὲ μετὰ σμικρότητος, τὸ δεύτερον ἐνδείκνυται. καὶ διὰ τοῦτο πασῶν τῶν συνθέτων δυσπνοιῶν αἱ τοιαῦται συζυγίαι χρη-

σιμώταται, καὶ σαφῶς καὶ βεβαίως μίαν ἑκάστην διάθεσιν ἐνδεικνύμεναι, πυκνότης μὲν ἅμα μικρότητος, πόνον, εἰ δὲ σὺν μεγέθει γίνηται, τῆς χρείας αὔξησιν· ἀραιότης δὲ, μετὰ μὲν μεγέθους, παραφροσύνην, μετὰ δὲ σμικρότητος, τῆς χρείας ἔκλυσιν. γίνονται δὲ τέτταρες αὗται συζυγίαι, τῶν ἐν ταῖς ἐνεργείαις κατὰ μέγεθος καὶ μικρότητα διαφορῶν ταῖς τῶν ἠρεμιῶν διαφοραῖς μιγνυμένων. δύο γὰρ ἀντιθέσεις ἀλλήλαις ἐπαλλαττόμεναι, τέτταρας ποιοῦσι τὰς συζεύξεις. ὥστε κἀν τοῦτο δῆλον ἤδη γέγονεν, ὡς οὔτε πλείους, οὔτ' ἐλάττους ἐνδέχεται τὰς ἐκ τῶν ἀντιθέσεων τούτων συμπλοκὰς γενέσθαι. ἀλλ' ἐπὶ μὲν ταῖς ἠρεμίαις, ἀντίθεσις μία μόνη συμβέβηκεν ἡ κατὰ πυκνότητα καὶ ἀραιότητα, ταῖς δ' ἐνεργείαις, οὐχ ἡ κατὰ μέγεθος καὶ μικρότητα μόνον, ἀλλὰ καὶ ἡ κατὰ τάχος καὶ βραδυτῆτα. τέτταρες δὲ δηλονότι καὶ κατὰ τὰς τούτων ἐπαλλάξεις γενήσονται αἱ συζυγίαι· πρώτη μὲν πυκνὴ καὶ ταχεῖα, δευτέρα πυκνὴ ἅμα καὶ βραδεῖα, τρίτη ἀραιὰ ἅμα καὶ ταχεῖα, καὶ τετάρτη βραδεῖά τε ἅμα καὶ ἀραιά. γνωρίζουσι δ' οὐδὲν ἁπλῶς ἐξ ἀνάγκης, ὡς αἱ πρότεραι τέτταρες, ἀλλ' ὧδε χρὴ διορίζεσθαι· πολλῆς μὲν εἰς πυκνότητα μεταπτώσεως γινομένης, ὀλίγης δὲ τῆς εἰς τάχος, ὀδύνης τε ἅμα καὶ χρείας ἐστὶν αὔξησις· εἰ δ' ἔμπαλιν εἰς τάχος μὲν πλέον, εἰς πυκνότητα δὲ ἔλαττον ἐξίσταται τοῦ κατὰ φύσιν, τὴν χρείαν μόνην ἐπιτετάσθαι δηλώσει. συνδραμεῖται δὲ, τῇ μὲν τοιαύτῃ δυσπνοίᾳ, πάντως καὶ μέγεθος, τῇ δὲ ἑτέρᾳ τῇ πρὸ αὐτῆς εἰρημένῃ, σμικρότης, ὥστ' οὐδὲν δεησόμεθα τάχους μνημονεύειν. εἰ γὰρ ἡ ἀδιόριστος μὲν κατὰ τάχος καὶ πυκνότητα συζυγία, μηδὲν ἡμῖν δηλοῖ σαφὲς, εἰς διορισμὸν δ' ἐλθοῦσα, τοῦ μὲν τάχους πλεονεκτοῦντος, εὐθὺς καὶ μετὰ μεγέθους γίγνεται, τῆς δὲ πυκνότητος κρατούσης, ἐξ ἀνάγκης ἑπομένην ἔχει τὴν μικρότητα, πυκνὴ μὲν ἅμα καὶ μεγάλη κατὰ τὸν ἕτερον ἔσται διορισμὸν, πυκνὴ δ' ἅμα καὶ μικρὰ κατὰ τὸν ἕτερον· οὕτω δὲ καὶ πυκνὴ καὶ βραδεῖα συζυγία δηλωθήσεται· πλεονεκτούσης μὲν γὰρ τῆς πυκνότητος, ἄλγημα μόνον ἐνδείξεται· τοσοῦτον δὲ ἐξισταμένη τοῦ κατὰ φύσιν, ὅσον καὶ κατὰ βραδυτῆτα, συνθέτου διαθέσεως ἔσται γνώρισμα· καὶ γὰρ τὴν δύναμιν μεμειῶσθαι δηλώσει, καὶ ὀδυνᾶσθαί τι μόριον. οὕτω δὲ καὶ εἰ πλεονεκτεῖ τῆς πυκνότητος ἡ βραδυτὴς, ἔσται γνώρισμα διαθέσεως τῆς ἤδη λελεγμένης, ἀλλ' ἔλαττον μὲν ὀδυνᾶσθαι δηλώσει τοὺς οὕτως ἔχοντας, μειζόνως δὲ τὴν δύναμιν μεμειῶσθαι. οὔκουν οὐδὲ ταύτης εἰς τὰς προγνώσεις δεόμεθά τι τῆς συζυγίας. ἐν μὲν γὰρ ταῖς πρώταις ῥηθείσαις τέτταρσιν, ἃς χρησιμωτάτας ἐλέγομεν ὑπάρχειν, ἔχομεν γνωρίσματα, καὶ πόνου, καὶ χρείας μειώσεως μεγάλα. καὶ ἡ τρίτη δὲ ῥηθεῖσα συζυγία ἡ ἀραιά τε ἅμα καὶ ταχεῖα, δηλώσει μὲν οὐδὲν ἐξ ἀνάγκης, συνεδρεύει δ' ἤτοι παραφροσύναις τισὶν, ἢ καὶ σὺν αὐταῖς ταῖς τῆς χρείας αὐξήσεσιν. εἴρηται δὲ καὶ πρόσθεν, ὡς τῶν παραπαιόντων, ἀραιὰ μὲν πάντως ἐστὶν ἡ ἀναπνοὴ καὶ μεγάλη, ταχεῖα δὲ οὐ πάντως, ὥσπερ οὐδὲ βραδεῖα· γίνεσθαι γὰρ ἑκάτερον αὐτῶν ἀτάκτως τε καὶ ἀνωμάλως· ὅταν μέντοι συνέλθῃ καὶ ἡ τῆς χρείας αὔξησις, ἀναγκάζονται τηνικαῦτα καὶ πολὺ μεῖζον ἀναπνεῖν, ἢ εἰ παρέπαιον μόνον, καὶ ἤδη τε καὶ θᾶττον, ὥστε καὶ ταύτης τῆς συζυγίας, οὐδὲν εἰς τὰς προγνώσεις δεόμεθα,

vtilissimæ sunt, & manifestè & constanter vnamquamque affectionem indicantes, densitas quidem cum paruitate, dolorem; si cum magnitudine fiat, vsus augmentum; raritas autem, cum magnitudine, delirium; cum paruitate, vsus exolutionem. Fiunt autem quatuor hæ coniugationes, differentiis actionum in magnitudine & paruitate, cum quietum differentiis permixtis. Duæ enim oppositiones inter se permutatæ quatuor constituunt coniugia. Quare & hîc perspicuum iam fit, quòd neque plures, neque pauciores possibile est fieri ex his oppositionibus coniugationes. Verùm in quietibus quidem vna sola contingit oppositio circa densitatem & raritatem; in actionibus verò non solum oppositio circa magnitudinem & paruitatem, sed etiam circa velocitatem & tarditatem contingit. Quatuor itaque etiam in harum permutationibus nascentur coniugationes; prima quidem densa & velox; secunda densa simúlque tarda; tertia rara simul & velox; & quarta rara simúlque tarda. Cæterum nullum certæ cognitionis signum simpliciter & necessariò exhibent, quemadmodum priores quatuor; verùm hoc modo distinguere oportet; si quidem multa ad densitatem, pauca verò ad velocitatem, transitio fiat, tum doloris, tum vsus augmentum significat; si verò vice versa ad velocitatem plus, ad densitatem minùs ab eo quod secundum naturam est excedit, vsum solum auctum demonstrabit. Concurrit autem cum hac respirandi difficultate omnino & magnitudo; ad alteram autem ante ipsam relatam, paruitas: quare neque omnino opus habebimus velocitatis meminisse. Si enim coniugatio in velocitate & densitate indistincta, nihil certi nobis indicat, vbi verò sub distinctionem euenerit, velocitate quidem abundante, statim etiam cum magnitudine fit; densitate verò exuperante, necessariò consequentem paruitatem habet; densa vtique simulque magna secundum alteram distinctionem erit, densa verò simulque parua secundum alteram. Sic autem etiam densa ac tarda coniugatio demonstrabitur. Abundante enim densitate, solus dolor indicabitur; vbi verò tantum ab eo, quod secundum naturam est, excedit, quantum & secundum tarditatem, compositæ affectionis signum erit; nam & vsum imminutum esse ostendet, & partem aliquam dolore affici. Sic verò & quum tarditas densitatem superabit, signum erit affectionis iam dictæ, sed minus tamen dolore affici ostendit ita habentes, magis verò facultatem esse imminutam. Itaque neque hac coniugatione indigemus ad prænotiones: in primis enim prædictis quatuor, quas vtilissimas esse dicebamus, signa habemus & doloris & vsus imminuti magna. Quin & tertia coniugatio iam dicta, rara simulque velox, nihil necessariò indicabit; assidet autem vel deliriis quibusdam, vel cum ipsis etiam vsus augmentis. Relatum autem antea est, quòd mente captorum rara penitus est, & magna respiratio, velox autem non omnino, quemadmodum neque tarda; fieri enim vtrunque ipsorum inordinatè & inæqualiter; quum tamen simul inciderit & vsus augmentum, tunc coguntur & multò amplius respirare, quàm si solùm mente capti essent, & iam etiam citiùs. Quare neque hac coniugatione ad prænotiones

nes indigemus, ea quæ per ipsam indicantur cum distinctione, iam in primis quatuor coniugationibus habentes. Restabat autem adhuc quarta secundum hoc genus composita respirandi difficultas, tarda simulque rara, quæ etiam ipsa & deliriis quibusdam assidet, & vsus imminutionibus; itaque neque hac opus habemus, nam & delirium & imminutum vsum ex primis quatuor coniugationibus perspectum tenemus.

CAPVT XXIII.

Quo pacto difficultatum respirationis coniugationes ad suas causas referantur.

NOn solùm demonstrando differentiam in velocitate & tarditate non necessariam ad prænotiones esse, neque si solam accipias, neque si cum aliis copules, vtilitas earum fit manifesta, sed etiã ex ipsa rei natura apparet. Quum enim tria sint prima genera causarum ipsius respirationis, vsus, facultas, & instrumenta, palam est, quod si repererimus, ex quibus & quot respirandi difficultatibus affectiones in ipsis cognoscantur, hæ quidem nobis omnium vtilissimæ ad prænotiones erunt, reliquas verò omnes ex abundanti considerabimus. At repertæ sunt magna quidem & densa, vsus augmentum, & contrà parua ac rara, imminutionem significantes; delirii autem propria, magna ac rara; dolorum, parua & densa. Accesserunt his forinsecus inæquales, quandoque musculosi generis affectiones, quandoq; etiam asperarum arteriarum coarctationes indicãtes. Facultatis autem ægrotantis, primum quidem nullum necessariò reperitur cognitionis signũ ex vlla aliqua respirandi difficultate, quum aliter desides, aliter laboris tolerantes, respirationem forment: quod si quippiam etiam sit inæquale & inordinatum, minimè conspicuum est; & ipsas inæqualitates itemque ordinis perturbationes generant imparitates, quæ in densitate & raritate, & paruitate ac magnitudine consistunt; quibus accedit, quòd per sexcenta alia animalis facultatis debilitas cognoscatur ac innotescat, vt nihil nobis hac in parte respiratione opus sit, quorum opportunissima & plurima Hippocrates in prænotionum tradidit scriptis, si quid autem etiam relictum est, facillimè ex prædictis inueniri potest. Quòd si quis ipsius respirandi facultatis infirmæ, atque in communi omnis facultatis animalis, propria signa habere velit, & maximè perfrigeratæ, is alarum nasi motum habebit, & omnium musculorum circa scapulas actionem, & subitam thoracis collapsionem. Quando enim hic debilius quam conueniat, mouetur, in inspirationibus quidem spiritus ductum iuuant alæ nasi, externum aërẽ etiam ipsæ simul attrahentes eodem modo, quo per os aliquid attrahere volentes, labia contrahimus; rursus verò in expirationibus subita fit thoracis collapsio, non paulatim demissio. Dictum est autem diffusius in libris de musculorũ motu, quî differat collapsio partis à demissione & laxatione, nimirum quòd altera facultate infirmâ contingat, altera integrâ eâdem & valente. Contingit etiam amplius circa expirationes, iis qui imbecillam habent respiratoriam facultatem, tale quiddam. Thorax tensionem,

A τὰ δι' αὐτοῦ δηλούμενα μετὰ τοῦ διορισμοῦ, φθάνοντες ἔχειν ἐν ταῖς πρώταις συζυγίαις τέτταρσι. λοιπὸν δ' ἦν ἡ τετάρτη τῶν κατὰ τοῦτο τὸ γένος συνθέτων δυσπνοιῶν, ἡ βραδεῖά τε ἅμα καὶ ἀραιὰ, ἥτις καὶ αὐτὴ παραφροσύναις τέ τισι συνεδρεύει καὶ χρείας μειώσεσιν. οὐκοῦν οὐδὲ ταύτης οὐδέτι προσδεόμεθα, καὶ γὰρ παραφροσύνην καὶ χρείαν μειουμένην ἐγνωρίζομεν ἐκ τῶν πρώτων τεττάρων συζυγιῶν.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

B *Πῶς αἱ τῶν δυσπνοιῶν συζυγίαι πρὸς τὰς αὐτῶν αἰτίας ἀναφέρονται.*

ΟΥ μόνον ἐκ τοῦ δεῖξαι τὴν κατὰ τάχος τε καὶ βραδυτῆτα διαφορὰν οὐκ ἀναγκαίαν εἰς τὰς προγνώσεις, οὔτ' εἰ μόνην, οὔτ' εἰ συμπλέκοις ταῖς ἄλλαις, τὸ χρήσιμον ἐκείνων γέγονεν εὔδηλον, ἀλλὰ κἀξ αὐτῆς τῆς φύσεως τοῦ πράγματος φαίνεται. ἐπεὶ γὰρ τρία τὰ πρῶτα γένη τῶν αἰτίων ἐστὶ τῆς ἀναπνοῆς, ἡ χρεία, καὶ ἡ δύναμις, καὶ τὰ ὄργανα, δῆλον ὡς εἰ εὕρωμεν, ἐκ τίνων καὶ πόσων δυσπνοιῶν τὰς ἐν αὐτοῖς διαθέσεις γνωριοῦμεν, αὗται μὲν ἡμῖν C χρησιμώταται πρὸς τὰς προγνώσεις ἔσονται, τὰς δ' ἄλλας ἁπάσας ἐκ περιουσίας ἐπισκεψόμεθα. ἀλλ' εὑρέθησαν, αὔξησιν μὲν τῆς χρείας ἡ μεγάλη καὶ πυκνὴ, μείωσιν δὲ ἡ ἐναντία ἡ μικρὰ καὶ ἀραιὰ, δηλοῦσαι, παραφροσύνης τε ἴδιος ἡ μεγάλη τε καὶ ἀραιὰ, πόνου δ' ἡ μικρὰ καὶ πυκνή. προσίεσαν δ' ἔξωθεν αἱ ἀνώμαλοι, ποτὲ μὲν τοῦ μυώδους γένους τὰς διαθέσεις, ποτὲ δὲ καὶ τῶν τραχειῶν ἀρτηριῶν τὰς στενοχωρίας δηλοῦσαι. δυνάμεως δ' ἀρρωστούσης, πρῶτον μὲν ἐξ ἀνάγκης οὐδὲν εὑρίσκεται γνώρισμα δυσπνοίας, ἑτέρως μὲν τῶν ἀταλαιπώρων, ἑτέρως δὲ τῶν D καρτερικῶν, ποιουμένων τὴν ἀναπνοήν· εἰ δ' ἄρα καί τι εἴη ἀνώμαλόν τε καὶ ἄτακτον, ἀφανές ἐστι, καὶ τὰς ἀνωμαλίας τε καὶ τὰς ἀταξίας αὐτὰς αἱ κατὰ πυκνότητα καὶ ἀραιότητα καὶ μικρότητα καὶ μέγεθος ἀνισότητες γεννῶνται, πρὸς τῷ καὶ δι' ἄλλων μυρίων ἀρρωστίαν δυνάμεως ψυχικῆς γνωρίζεσθαι, μηδέν τι ἡμῶν ἀναπνοῆς δεομένων, ὧν τὰ μὲν ἐπικαιρότατα καὶ πλεῖστα διὰ τοῦ προγνωστικοῦ γράμματος ἐδίδαξεν Ἱπποκράτης, εἰ δέ τι καὶ παραλέλειπται, ῥᾷστον ἐκ τῶν εἰρημένων εὑρίσκειν. εἰ δέ τις αὐτῆς τῆς ἀναπνευστικῆς δυνάμεως ἀρρωστούσης, καὶ κοινῶς ἁπάσης E τῆς ψυχικῆς ἐθέλοι γ' ἔχειν ἴδια γνωρίσματα, καὶ μάλιστα τῆς ἐψυγμένης, τήν τε τῶν πτερυγίων τῆς ῥινὸς κίνησιν ἕξει, καὶ τὴν ἁπάντων τῶν κατ' ὠμοπλάτας μυῶν ἐνέργειαν, καὶ τὴν ἀθρόαν κατάπτωσιν τοῦ θώρακος. ὁπόταν γὰρ οὗτος ἀρρωστότερον τοῦ προσήκοντος κινῆται, κατὰ μὲν τὰς εἰσπνοὰς προσιμορεῖ τῇ τοῦ πνεύματος ῥύμῃ τὰ τῆς ῥινὸς πτερύγια, συνεπισπώμενά πως καὶ αὐτὰ τὸν ἔξωθεν ἀέρα, καθ' ὃν τρόπον καὶ διὰ τοῦ στόματος ἕλκειν τι προαιρούμενοι, τὰ χείλη συνάγομεν· κατὰ δ' αὖ τὰς ἐκπνοὰς, F ἀθρόα κατάπτωσις γίνεται τοῦ θώρακος, οὐ κατὰ βραχὺ σύμπτωσις. εἴρηται δ' ἐπὶ πλέον ἐν τοῖς περὶ μυῶν κινήσεως, ὅπῃ τε διαφέρει κατάπτωσις μορίου, καθέσεώς τε καὶ χαλάσεως, ὅτι τὸ μὲν ἀρρωστούσης δυνάμεως ἐστὶ, τὸ δ' ἐρρωμένης. συμβαίνει δ' ἔτι κατὰ τὰς ἐκπνοὰς, τοῖς ἀσθενέσι κατὰ τὴν ἀναπνευστικὴν δύναμιν, τοιόνδε. τὴν τάσιν, ἣν ἐκέκτητο τέως κατὰ τὰς εἰσπνοὰς ὁ θώραξ ἅμα

τῷ διαφράγματι, πᾶσαν ἀθρόως ἀποτίθεται, καθάπερ νεκρούμενος ἐξαίφνης. ἐρρέθη δ' ἐν τοῖς περὶ τῆς ἀναπνοῆς ὑπομνήμασιν, ὡς μόνον ἐκλύουσιν αἱ φρένες τὴν τάσιν, ἐκπνεόντων· ἀλλ' οὐ ταὐτὸν ἐκλύσαι κατὰ βραχὺ, καὶ ἀθρόως ἀποθέσθαι πᾶσαν. ὀλίγον δέ τι συνεργάζονται ταῖς τοιαύταις ἐκπνοαῖς οἱ κατὰ τὰ μεσοπλεύρια μύες, ὧν ἐνεργούντων, τὰς ἐκφυσήσεις ἐδείξαμεν γίνεσθαι. τοιοῦτον μὲν δή τι, καὶ διὰ ταύτας τὰς αἰτίας, τὸ τῆς ἀναπνοῆς εἶδος, τοῖς ἀρρώστοις τὴν δύναμιν.

quam antea in inspirationibus simul cum septo transuerso obtinuit, omnem aceruatim deponit, tanquam repente moriens. Relatum est autem in commentariis de respiratione, quòd solum septum transuersum expirantibus tensionem exoluit, sed non est idem paulatim exoluere, & aceruatim omnem deponere. Cæterùm paucum quid huiusmodi expirationibus cooperantur intercostales musculi, per quorum actiones efflatus fieri demonstrauimus. Talis sanè, & ob has causas, respirationis species est iis, qui ægram facultatem habent.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ τῆς ἐκ τῆς τῶν κινήσεων ἠρεμίας ἐν ταῖς ἀναπνοαῖς προγνώσεως.

Ὃ δέ μοι δοκεῖ λείπειν ἔτι πρὸς τὸ συμπληρῶσαι τοῦτον τὸν πρῶτον λόγον, ἤδη λελέξεται. διττῆς οὔσης ἠρεμίας ἐν ταῖς ἀναπνοαῖς, πρὸ τῆς εἰσπνοῆς μὲν μιᾶς, ἑτέρας δὲ πρὸ τῆς ἐκπνοῆς, ὁποτέρα ἂν τῶν κινήσεων βλάπτηται, καὶ τὴν πρὸ αὐτῆς ἠρεμίαν ἐξίστησι τοῦ κατὰ φύσιν. διττῆς μὲν οὖν οὔσης ἐν ταῖς κινήσεσι βλάβης, διττῆς δὲ κἀν ταῖς ἠρεμίαις, αἱ μὲν ἐλλείψεις τῆς χρείας, ἀεὶ πολυχρονίους ἐπιτελοῦσι τὰς ἡσυχίας, αἱ δὲ πλεονεξίαι, βραχυχρονίους. ὥσθ' ὅταν εἴπωμεν πυκνὴν καὶ μεγάλην γίνεσθαι τὴν ἀναπνοὴν ὑπὸ πλήθους θερμασίας, ἐφ' ἑκατέρας τῶν κινήσεων ἀληθὴς ὁ λόγος. αἱ μὲν γὰρ τοῦ κατὰ φύσιν θερμοῦ πλεονεξίαι, τὴν εἰσπνοὴν μεγάλην ἐργαζόμεναι, βραχυχρόνιον εὐθέως καὶ τὴν προηγουμένην αὐτῆς ἠρεμίαν ἀποφαίνουσιν· αἱ δὲ τοῦ παρὰ φύσιν τε καὶ καπνώδους, ὥσπερ τὴν ἐκπνοὴν μεγάλην, οὕτω καὶ τὴν πρὸ αὐτῆς ἡσυχίαν ὀλιγοχρόνιον ἐργάζονται. ὥστε μέγα μὲν γίνεται καὶ πυκνὸν τὸ πνεῦμα πάντως, ὁπόταν τὸ τῆς θερμασίας πλεονεκτῇ γένος· οὐ μὴν οὔτε τὸ αὐτὸ μόριον τῆς ἀναπνοῆς εἰς μέγεθος, οὔτε τὴν αὐτὴν ἠρεμίαν εἰς πυκνότητα μεταβάλλει. οὕτω δὲ καὶ εἰ καθαιρεθείη τὰ τῆς χρείας, τοῦ θερμοῦ μειωθέντος, ἐπὶ μὲν τῷ συμφύτῳ θερμῷ βλαβέντι μικρᾶς τῆς εἰσπνοῆς γινομένης, ἠρεμία μακρὰ προηγεῖται· τοῦ παρὰ φύσιν δ' ἀπολλυμένου, μικρὰ μὲν ἡ ἐκπνοὴ, μακρὰ δὲ πρὸ αὐτῆς ἡσυχία γίνεται. πολλάκις δὲ τὸ μὲν παρὰ φύσιν θερμὸν ηὐξήθη, τὸ δὲ κατὰ φύσιν ἐμειώθη· καὶ οὕτως ἡ μὲν πρὸ τῆς ἐκπνοῆς ἡσυχία, πολυχρόνιος γίνεται, βραχυχρόνιος δ' ἑτέρα. ὁποτέραν γὰρ ἂν τῶν κινήσεων ἡ χρεία κατεπείγῃ, τὴν προειρημένην ἡσυχίαν οὐκ ἀνέχεται χρονίζειν.

CAPVT XXIV.

De prænotione ex cessationibus motuum in respiratione.

VErùm, quod mihi adhuc deesse videtur ad expletionem huius primi sermonis, iam dicetur. Quum duplex existat quies in respirationibus, vna ante inspirationem, altera ante expirationem; vter sanè motus lædatur, quietem etiam priorem ab eo quod secundum naturam habet, immutat. Duplici igitur existente in motibus læsione, ac duplici item in quietibus, vsus quidem defectus semper diuturnas efficiũt quietes, exuperantiæ verò breues. Quare quum dicimus densam & magnam fieri respirationem præ copia caloris, in vtroque motu verus erit sermo. Abundantia nanque caloris secundum naturam inspirationem magnam reddens, statim etiam præcedentem ipsam quietem breuem efficit; abundantia verò caloris præter naturam & fumosi, vt expirationem magnam, sic etiam quietem præcedentem breuem reddit. Quare magnus & densus penitus fit spiritus, quando caloris redundarit genus; non tamen neque eandem respirationis partem in magnitudinem, neque eandem quietem in densitatem transmutat. Sic etiam si vsus imminutus sit, ob caloris imminutionem; vbi quidem innatus calor imminutus paruam inspirationem reddit, etiam longa quies præcedit; vbi verò calor præter naturam deperditur, parua quidem expiratio, longa verò ante ipsam quies contingit. Sæpè verò calor præter naturam auctus est, calor verò secundum naturam imminutus; atque ita quies ante expirationem diuturna redditur, altera verò breuis. Vtrum enim ex motibus ipse vsus vrgebit, is prædictam quietem cunctari non permittit.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ἐπίλογος τῶν περὶ τῆς προγνώσεως ἐκ τῶν τῆς ἀναπνοῆς συζυγιῶν, εἰρημένων.

Εἴρηται μὲν οὖν ἤδη περὶ αὐτῶν ὅσον εἰς τὰ παρόντα χρήσιμον. εἰ δέ τις ἀπορεῖ περὶ τῆς ἐν ταῖς θερμασίαις διαφορᾶς, οὐ καιρὸς νῦν ἂν εἴη διδάσκειν αὐτὸν, ἀλλ' εἰς τὰ περὶ τῆς ἐμφύτου θερμασίας ἀναπέμπειν ὑπομνήματα, νομίζω γὰρ αὐτὸν, εἰ μὴ παντάπασιν ἐριστικὸς εἴη, πασῶν τῶν ἀποριῶν εὑρήσειν ἐν ἐκείνοις ἰάματα. τί οὖν λοιπόν ἐστι; προσθεῖναι μὲν οὐδὲν, ὅτι μὴ καὶ πρόσθεν εἴρηται, τῶν εἰρημένων δ' ὑπομνῆσαι, πρὸς τὸ ῥᾳδίως ἀκολουθεῖν τοῖς ἑξῆς εἰρησομένοις, ἐν ὀλίγῳ τὴν ἅπασαν αὐτῶν

CAPVT XXV.

Epilogus eorum, quæ de prænotione ex respirationis coniugationibus dicta sunt.

DIctum igitur iam de ipsis, quantum ad præsens institutum vtile erat; si quis verò adhuc hæret circa differentiam calorum, hunc non est nunc tempestiuum de his edocere, sed ad commentarios de innato calore remittere; opinor enim ipsum (nisi penitus contentiosus existat) omnis hæsitationis suæ istic remedia inuenturum. Quid igitur restat? addere quidem nihil, quod non etiam priùs sit relatum; verùm prædicta in memoriam reuocare, vt quę deinceps referentur facilè assequamini, paucis totam

totam eorum summam habentes. Porrò summa hæc ab ipsius rei substantia procedit. Oportet enim facultatis, & organorum, & vsus affectiones perspectas habere. Monstrauimus autem quot vniuscuiusque dictorum sint affectiones, & quæ respirandi difficultates earum cognitionem exhibeant, & quòd necessariæ quidem sint quatuor coniugationes, & supra has inæqualitas quinta, reliqua verò omnia quæ respirationibus accidunt, tum simplicia tum composita, ad quas causas consequantur, necessarium esse monstrari; minimè verò debere existimari, necessariò ea aliquid indicare, sed vt ex illis ad prænotionem aliquid exabundanti habeatur; accuratissimam autem & constantissimam eam solam esse differentiam, quæ in iam sæpè dictis quatuor coniugiis consistit, atque adhuc etiam eam, quæ circa inæqualitatem fit, difficultatis respirationis differentiam.

σύνοψιν ἔχοντας. ἔστι δὲ ἡ σύνοψις ἀπ' αὐτῆς οὐσίας τοῦ πράγματος ὁρμωμένη· χρὴ γὰρ τάς τε τῆς δυνάμεως καὶ τὰς τῶν ὀργάνων, καὶ τὰς τῆς χρείας διαθέσεις γνωρίζειν. ἐδείξαμεν δὲ, πόσαι μὲν ἑκάστου τῶν εἰρημένων διαθέσεις, τίνες δ' αὐτῶν αἱ γνωριστικαὶ δύσπνοιαι, καὶ ὡς ἀναγκαῖαι μὲν αἱ τέτταρες συζυγίαι, καὶ πρὸς ταύταις ἡ ἀνωμαλία πέμπτη· τὰ δ' ἄλλα πάντα τὰ ταῖς ἀναπνοαῖς συμπίπτοντα, τά τε ἁπλᾶ καὶ τὰ σύνθετα, τίσιν αἰτίαις ἕπεται, ἀναγκαῖον ἀποδεῖξαι· οὐ προσῆκε δὲ ἐξ ἀνάγκης, ὡδέ τι δηλοῦν νομίζειν, ἀλλ' ὥστ' ἐκ περιττοῦ μέν τι ἔχειν παρὰ τούτων εἰς πρόγνωσιν, ἐπιμελεστάτην δὲ καὶ βεβαίαν εἶναι μόνην τὴν ἐπὶ ταῖς πολλάκις εἰρημέναις τέτταρσι συζυγίαις, καὶ ἔτι τὴν κατὰ τὴν ἀνωμαλίαν διαφορὰν τῆς δυσπνοίας.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΥΣΠΝΟΙΑΣ
ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

GALENI DE DIFFICVLTATE RESPIRATIONIS
LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰ ὑπὸ τοῦ Ἱπποκράτους ἐν τῷ πρώτῳ τε καὶ τρίτῳ βιβλίῳ τῶν ἐπιδημιῶν, περὶ τῆς ἀναπνοῆς γεγραμμένα τοῖς λογισμοῖς τοῖς ἐν τῷ πρὸ τούτου βιβλίῳ παραδεδομένοις ὁμολογεῖν.

ARGVMENTVM LIBRI.

Quæ ab Hippocrate primo & tertio libro epidemiorum de respiratione scripta sunt, cum rationibus superiori libro traditis conuenire.

CAPVT PRIMVM.

Propositum libri, & quid actum sit libro superiori.

HIc quidem liber explicatio est eorum, quæ ab Hippocrate de respirandi difficultate pronunciata sunt. Dicta sunt autem ab eo multa in multis locis, partim quidem in libris ipsius, partim etiam in commentariis. Plurimos enim ex libris epidemiorum, si non vtique omnes, meritò quis commentarios esse censuerit. *Est igitur expositio* (vt quidam veterum alicubi dixit) *explicatio obscuræ orationis.* Verùm nos non hoc solùm præstituros nos esse pollicemur, sed etiam quòd vera sint omnia quę ab ipso de respirationis difficultate scripta sunt, testaturos esse; non tamen demõstraturos quicquam eorum in hoc libro, sed in præcedentem remissuros, in quo nihil citra demonstrationem

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τὸ προκείμενον τοῦ βιβλίου, καὶ τί ἐν τῷ πρὸ τοῦδε βιβλίῳ τετέλεσται.

ΟΔΕ μὲν ὁ λόγος ἐξήγησίς ἐστι τῶν ὑφ' Ἱπποκράτους περὶ δυσπνοίας εἰρημένων. εἴρηται δὲ πολλὰ πολλαχοῦ τὰ μὲν ἐν τοῖς συγγράμμασιν αὐτοῦ, τὰ δὲ κἀν τοῖς ὑπομνήμασι. τὰ πλεῖστα γάρ τοι τῶν ἐπιδημιῶν, εἰ μὴ ἄρα καὶ πάντα, δικαίως ἄν τις ὑπομνήματα νομίζοι. ἔστι μὲν οὖν ἡ ἐξήγησις, ὥς πού τις τῶν παλαιῶν εἶπεν, ἀσαφοῦς ἑρμηνείας ἐξάπλωσις· ἡμεῖς δ' οὐ τοῦτο μόνον ἐοίκαμεν δράσειν, ἀλλ' ὅτι καὶ ἀληθῶς ἔχει πάντα τὰ περὶ δυσπνοίας ὑπ' αὐτοῦ γεγραμμένα, μαρτυρήσειν, οὐ μὴν ἀποδείξειν οὐδὲν αὐτῶν ἐν τῷδε τῷ γράμματι, ἀλλ' εἰς τὸ προηγούμενον τούτου βιβλίον ἀναπέμψειν, ἐν ᾧ χωρὶς ἀποδείξεως οὐδὲν

εἴρηται. καὶ ἵνα γε μὴ δυσωπῶτό τις ὑπὸ τῆς Ἱπποκράτους δόξης, καὶ θᾶττον ἤδη τοῖς λεγομένοις πιστεύοι πρὶν ὑπὸ τῶν ἀποδείξεων ἀναγκασθῆναι, τὸν πρῶτον λόγον ἰδίᾳ τε καὶ καθ' ἑαυτὸν ἐγραψάμεθα. ἐπεὶ δ' ἐκεῖνος ἐτελειώθη μετὰ τῶν προσηκόντων συλλογισμῶν, ἐν τῷδε τῷ γράμματι τὸν εὑρετήν τε καὶ οἷον πατέρα τῶν δογμάτων τιμήσομεν. αὕτη καὶ δικαία τε ἐστὶν ἅμα καὶ πρέπουσα τοῖς ὁτιοῦν ἀγαθὸν ἐξευροῦσι τιμή, μήτε κατακεκρύφθαι τὰ εὑρέματα αὐτῶν, μήτ' ἀγνοεῖσθαι τοῖς ἀνθρώποις, ἀλλ' αὐτά τε φαίνεσθαι, τήν θ' ὁδὸν αὐτῶν καὶ μέθοδον γινώσκεσθαι. οὕτως γὰρ αὐτοῖς καὶ τὸ θαυμάζεσθαι κατὰ τὴν ἀξίαν ὑπάρξει.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τοῦ μεγάλου τε καὶ ἀραιοῦ πνεύματος, ἐκ τοῦ πρώτου τῶν ἐπιδημιῶν Ἱπποκράτους.

Πρῶτον οὖν, ὅπερ ἀεὶ διαφυλάττειν ἀξιοῦμεν οἷς ἡ ἀλήθεια σπουδάζεται, τὸ μηδὲν ἀποκρύπτεσθαι τῶν ἐναργῶς φαινομένων, μηδ' ἂν ὅτι μάλιστα τὸν τῆς αἰτίας λογισμὸν ἀπορώτατον ἔχῃ, τοῦτ' ἐπαινῶ Ἱπποκράτην ἄξιον, ἔν τε τοῖς ἄλλοις ἅπασι, καὶ τοῖς περὶ δυσπνοίας λόγοις οὐχ ἥκιστα. τὸ γὰρ ἀραιὸν καὶ μέγα πνεῦμα, μυρίοις μὲν τῶν παραφρονούντων ὁσημέραι φαίνεται συμπῖπτον, ὅσοι δ' οὐ δύνανται τῶν σοφιστῶν εἰπεῖν αὐτοῦ τὴν αἰτίαν (εἰσὶ δ' εἰσὶν, ὡς ἔμπροσθεν ἐδείξαμεν, οἱ τὴν ἀναπνοὴν ἀπροαίρετόν τε καὶ φυσικὸν ἔργον ὑπειληφότες) οὐδὲ γίνεσθαί φασιν οὐδέποτε τοιοῦτον εἶδος δυσπνοίας, ἐξ ὧν περὶ τῆς αἰτίας ἀπορούσιν, ἐκ τούτων τὴν οὐσίαν τοῦ πράγματος ἀναιρεῖν τολμῶντες· δέον οὐ ταύτην, ἀλλὰ τὴν αὐτῶν μοχθηρὰν ὑπόληψιν ἀναιρέψαντας, αὐτὰ τὰ συμπίπτοντα τοῖς νοσοῦσι παραφυλάττειν, ὡς Ἱπποκράτης ἐποίει. [1] τουτέῳ γάρ φησι, πνεῦμα διὰ τέλεος, ὥσπερ ἀνακαλουμένῳ, ἀραιὸν καὶ μέγα. τουτέῳ, Φιλίσκῳ δηλονότι, τῷ πρώτῳ γεγραμμένῳ μετὰ τὰς τρεῖς καταστάσεις, ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν. ἆρ' οὖν τούτῳ μόνῳ τὸ πνεῦμα μέγα καὶ ἀραιὸν, ἢ καὶ ἄλλοις τισὶν Ἱπποκράτης ἐθεάσατο γινόμενον; οὐ τούτῳ μόνον, ἀλλὰ κἀλλοις τε πολλοῖς, καὶ τῷ μετὰ ταῦτα γεγραμμένῳ, Σιληνῷ τοὔνομα. διελθὼν γὰρ καὶ περὶ τούτου πάνθ' ὅσα συνέπεσεν αὐτῷ νοσοῦντι, κατ' αὐτὴν τοῦ λόγου τὴν τελευτὴν ταῦτα γράφει. [6] ἐξ ἀρχῆς τούτῳ καὶ διατέλεος, πνεῦμα ἀραιὸν, μέγα. αὖθις δ' ἐν τοῖς ἑξῆς ἀρρώστοις, [7] τὴν Δρομεάδεω, φησὶ, γυναῖκα τεκοῦσαν, καὶ τῶν ἄλλων γινομένων πάντων κατὰ λόγον, δευτεραίην ἐοῦσαν, ῥῖγος ἔλαβεν. εἶτα μικρὸν προελθὼν φησι· πνεῦμα ἀραιὸν μέγα. τοῦτο μὲν οὖν εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἔγραψεν οὕτως, αὖθις δὲ περὶ τῆς ς'. διαλεγόμενος ὧδε γράφει. ἕκτῃ πρωῒ ἐπερρίγωσε, ταχὺ διεθερμάνθη, ἵδρωσεν δι' ὅλου. ἄκρεα ψυχρά. παρέκρουσε. πνεῦμα ἀραιὸν, μέγα. ἐν μὲν τῷ πρώτῳ τῶν ἐπιδημιῶν [8] ἑκκαίδεκα τοὺς πάντας ἀρρώστους Ἱπποκράτης γράψας, τετράκις φαίνεται μνημονεύων ἀραιοῦ καὶ μεγάλου πνεύματος. οἱ γενναῖοι δ' ἡμῖν οὗτοι σοφισταὶ τὴν ἀρχὴν οὐδὲ ἑωρακέναι φασὶν οὐδένα μέγα καὶ ἀραιὸν ἀναπνέοντα. (ἢ) ἀλλ' ἴσως μὲν τοῦτο αὐτοῖς πιστευτέον. οὐ γὰρ ἑωράκασιν οὔτε ταύτης, οὔτ' ἄλλης δυσπνοίας διαφορὰν οὐδεμίαν, ὅτι μηδὲ τοὺς ἀρρωστοῦντας αὐτοὺς ὁρῶσιν, ἀλλ' ἔνδον καθέζονται, μοχθηρὰ σοφίσματα συντιθέντες.

dictum est. Et vt nequis ab Hippocratica sententia flectatur, ac citius iam dictis fidem præbeat priùs, quàm per demonstrationes cogatur, primum sermonem seorsim & per se conscripsimus: postquam verò ille cum conuenientibus ratiocinationibus absolutus est, in hoc libro ipsum inuentorem ac veluti patrem dogmatum venerabimur. *Hoc est enim iustum, simulque decens præmium eorum, qui quodcunque tandem in vita bonum inuenerunt, vt inuenta ipsorum non occultentur, neque hominibus sint ignota, sed tum ipsa appareant, tum ratio & methodus, quæ ipsa inuenit, cognoscatur.* Sic enim & pro dignitate ipsos in admiratione constitui continget.

CAPVT II.

De magno & raro spiritu, ex primo epidemiorum Hippocratis.

PRimum igitur, quod semper obseruandum veritatis cultoribus censemus, vt nihil eorum quæ manifestè apparent, occultetur, etiamsi causæ ratiocinationem quàm maximè incertam habeat, ob id ipsum sanè Hippocrates cùm in aliis omnibus, tum verò in sermonibus de respirandi difficultate, vel maximè laude dignus. Rarus enim & magnus spiritus sexcentis quotidie delirantibus accidere videtur. Verùm sophistæ, qui eius causam reddere non possunt (sunt autem ii, vt antea monstrauimus, qui respirationem inuoluntarium & naturale opus opinantur) neque fieri aiunt vnquam talem difficilis respirationis speciem; atque propterea quod causæ ignari sunt, inde ideo substantiam rei euertere audent, quum non hac, sed praua sua opinione euersa, oporteret quę ægris accidunt, obseruare, vt Hippocrates faciebat. *Huic enim*, inquit, *perpetuò spiritus, velut reuocanti, rarus, & magnus*; huic, Philisco videlicet, qui primus scriptus est post tres constitutiones, in primo de morbis popularibus. Num igitur huic soli spiritum rarum & magnum, an etiam aliis quibusdam Hippocrates factum vidit? non huic soli, sed & aliis multis, & ei, qui deinceps scriptus est, Sileno nomine. Enumeratis enim & de hoc omnibus, quæ ipsi ægrotanti acciderunt, sub ipsum sermonis finem hæc scribit; *Ab initio huic, & perpetuò spiritus rarus, magnus.* Rursus autem in sequentibus ægris, *Dromadæ*, inquit, *vxorem à partu, & omnibus aliis ratione factis, secunda die rigor prehendit.* Deinde paululum progressus ait, *Spiritus rarus, magnus.* Hoc igitur statim in primo die ita scripsit, rursus autem de sexta die differēs, sic scribit; *Sexta manè superriguit, citò percaluit, sudauit vniuersè, extrema frigida, delirauit, spiritus rarus, magnus.* Equidem in primo epidemiorum sexdecim ægros Hippocrates describens, quater rari & magni spiritus mentionem facere videtur. At verò pręclari illi sophistæ, prorsus ne vidisse quidem se vllum aliquem aiunt magnum & rarum spiritum ducentem. Verùm hoc fortassis ipsis credendum; neque enim aut hanc, aut aliam vllam dyspnœæ differentiam viderunt, quum neque ipsos ægros videant, sed intus desideant praua sophismata componentes.

CAPVT

A

CAPVT III.

Magnam & raram respirationem deliria sequi, ex Hippocratis dictis patere.

NVm igitur amplius etiam alii nobis ægri memorandi sunt, quos in aliis epidemiorum libris scripsit magnum & rarum spiritum ducere? an ad rei nunc propositæ fidem, hæc sufficiunt? Apparet enim Hippocrates qui confessione ac suffragio omnium medicorum, in eorum, quæ ægris accidunt, obseruatione diligentissimus fuit, multos hoc modo respirantes vidisse. Verùm in sequenti libro etiam aliorum quorundam ægrorum mentionem facere necessarium erit, qui magnum & rarum spiritum duxerunt, de quibus in sequentibus libris ipse Hippocrates scripsit; ad propositã autem nunc rem probandam hoc non erit, quum ipsa iam sit manifesta, sed ad aliarum quarundam quæstionum in ipso de ægris sermone contentarum expositionem; fides autem etiam eius rei, quod videlicet multi sic respirent, obiter augebitur. Cuius igitur affectionis huiusmodi spirandi difficultas significationem exhibet? nullius alterius, præterquam delirii; ob quam causam, in primo libro clarè est demonstratum; commemorationis autem gratia, etiam nunc paucis referetur. Reuera enim proprium desipientiæ symptoma est, magnam, & raram, hoc est multo tempore interiecto, respirationem facere. Quid enim plus inspirare oportebat, quum non copiosiore spiritu opus esset? aut per multum tempus, quum liceret per breuius? Quòd verò nõ copiosiore aëre opus habeant qui magnum & rarum spiritum inspirant, ipsa raritas ostendit. Omnino enim frequentius inspirare vrgerentur, si copiosiore indigerent; quod verò per longum tempus quiescant, signum est non multo opus esse; sed videntur ambo hæc tanquam obliuiscentis actionis affectus esse. Etenim immoderatam facere spiritus attractionem, rursumque immoderatam quietem, eius est, qui neque quãdo desinere ab actione oporteat nouit, neq; quando rursus incipere, sed in vtrisque mensuram egreditur ob ignorantiam conuenientis. Quemadmodum igitur desipientes sæpè postulatã matulã quò meiant, obliuiscuntur interea, neque mingunt, nisi quis monuerit; sic quandoquidem & respiratio animale opus est, ipsis autem ratio læsa est, obliuiosiores tum circa actiones, tum circa ipsarum interstitia fiunt. Ambo itaque, & actiones & quietes, in multo tempore facientes, hoc modo & magnitudinem & raritatem circa totam respirationem faciunt. Num igitur nos quidem sic dicimus, Hippocrates verò aliter sensit? an etiam ille in prænotionibus in hunc modum scripsit? *Spiritus magnus, & per multum tempus, desipientiam significat.* Quem enim in primo epidemiorum *rarum* nominauit, hunc in prænotionibus, *per multum tempus* appellauit, mutãs nomen in orationem. Atenim & in illis ægris, quibus magnum & rarum spiritum fuisse ait, præter alia symptomata etiam desipientiam scribit. Et in primo quidem omnium Philisco, hoc modo; *Noctem inquietam tulit, non dormiuit, penitus delirauit.* Sic quidem in tertiæ diei narratione; In quintæ verò rursus;

ΚΕΦΑΛΑΙΟΝ Γ.

Ὅτι τὴν μεγάλην καὶ ἀραιὰν ἀναπνοὴν ταῖς παραφροσύναις ἕπεσθαι ἐκ τῶν ὑφ' Ἱπποκράτους εἰρημένων δῆλον.

ΑΡ' οὖν ἔτι καὶ τῶν ἄλλων ἀρρώστων μνημονευτέον ἡμῖν ἐστιν, οὓς ἐν τοῖς ἄλλοις βιβλίοις τῶν ἐπιδημιῶν ἔγραψεν, μέγα καὶ ἀραιὸν ἀναπνέοντας; ἢ πρὸς μὲν τὴν τοῦ νῦν προκειμένου πίστιν ἀρκεῖ μὲν ταῦτα; φαίνεται γὰρ ὁ ὑπὸ πάντων ἰατρῶν Ἱπποκράτης ὡμολογημένος εἰς τὴν τῶν συμβαινόντων τοῖς νοσοῦσι τήρησιν ἐπιμελέστατος γεγονέναι, πολλοὺς ἑωρακὼς οὕτως ἀναπνέοντας. ἐν δὲ τῷ μετὰ ταῦτα λόγῳ καὶ ἄλλων τινῶν ἀρρώστων ἀναγκαῖον ἡμῖν ἐστι μνημονεῦσαι μέγα καὶ ἀραιὸν ἀναπνευσάντων, οὓς ἐν τοῖς ἑξῆς βιβλίοις ἔγραψεν ὁ Ἱπποκράτης· ἀλλ' οὐκ εἰς πίστιν ἔσται τοῦ νῦν προκειμένου, τοῦτο μὲν γὰρ ἤδη δῆλον, ἀλλ' εἰς ἑτέρων τινῶν ἐν τῷ κατ' αὐτοὺς λόγῳ περιεχομένων ζητημάτων ἐξήγησιν, ἐν παρέργῳ δὲ καὶ ἡ πίστις τοῦ πολλοὺς οὕτως ἀναπνεῖν, αὐξηθήσεται. τίνος οὖν διαθέσεως ἡ τοιαύτη δύσπνοια γνώρισμα; οὐδεμιᾶς ἄλλης, ὅτι μὴ παραφροσύνης. διὰ τίνα τὴν αἰτίαν, ἐν μὲν τῷ προτέρῳ λόγῳ σαφῶς δέδεικται, ὑπομνήσεως δ' ἕνεκα καὶ νῦν εἰρήσεται διὰ βραχέων. τῷ γὰρ ὄντι παραφροσύνης ἴδιον σύμπτωμα μεγάλην τε καὶ ἀραιάν, ὅπερ ἐστὶ διὰ πολλοῦ τοῦ χρόνου, τὴν ἀναπνοὴν ποιεῖσθαι. τί γὰρ ἔδει πλέον εἰσπνεῖν, μὴ δεόμενον πλέονος; ἢ τί διὰ πολλοῦ χρόνου, παρὸν δι' ἐλάττονος; ὅτι δ' οὐ δέονται πλέονος ἀέρος οἱ μέγα τε καὶ ἀραιὸν εἰσπνέοντες, ἡ ἀραιότης κατηγορεῖ. πάντως γὰρ ἂν ἠπείγοντο συνεχέστερον εἰσπνεῖν, εἴπερ ἐδέοντο πλέονος· τὸ δ' ἡσυχάζειν εἰς μακρόν, σημεῖόν ἐστι τοῦ μὴ δεῖσθαι πολλοῦ. ἀλλ' ἔοικεν ἄμφω ταῦτα οἷον ἐπιλανθανομένου τῆς ἐνεργείας εἶναι παθήματα. τὸ γὰρ ἄμετρον μὲν ποιήσασθαι τὴν ὁλκὴν τοῦ πνεύματος, ἄμετρον δὲ τὴν ἡσυχίαν, οὐδ' ὅπου καταπαῦσαι χρὴ τὴν ἐνέργειαν εἰδότος ἐστίν, οὐδ' ὅτε πάλιν ἄρξασθαι, ἀλλ' ἐν ἀμφοτέροις τὸ μέτρον ὑπερβαίνοντος, ἀγνοίᾳ τοῦ προσήκοντος. ὡς οὖν ἀμίδα πολλάκις αἰτήσαντες, ἵν' οὐρήσωσιν, οἱ παραφρονοῦντες, ἐπελάθοντο ἐν τῷ μεταξύ, εἶτ' οὐκ ἂν οὔρησαν, εἰ μὴ ὑπομνήσει τις, οὕτως ἐπεὶ καὶ τὸ ἀναπνεῖν ψυχικόν ἐστιν ἔργον, βέβλαπται δ' αὐτοῖς ὁ λογισμός, ἐπιλησμονέστεροι περί τε τὰς ἐνεργείας αὐτὰς, καὶ περὶ τὰ διαλείμματα αὐτῶν γίγνονται. ἀμφότερα οὖν ἐν πολλῷ χρόνῳ ποιοῦντες, καὶ τὰς ἐνεργείας καὶ τὰς ἡσυχίας, μέγεθος οὕτω καὶ ἀραιότητα περὶ τὴν ὅλην ἀναπνοὴν ἐργάζονται. ἆρ' οὖν ἡμεῖς μὲν οὕτω φαμέν, Ἱπποκράτης δ' ἄλλως ἐγίγνωσκεν; ἢ κἀκεῖνος ἐν προγνωστικῷ, τόνδε τὸν τρόπον ἔγραψεν; μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην σημαίνει. ὃ γὰρ ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἀραιὸν ὠνόμασε, τοῦτ' ἐν τῷ προγνωστικῷ, διὰ πολλοῦ κέκληκε, εἰς λόγον μεταβαλὼν τοὔνομα. καὶ γὰρ οὖν κἀπὶ τῶν ἀρρώστων ἐκείνων, οἷς μέγα καὶ ἀραιόν φησι γίγνεσθαι τὸ πνεῦμα, πρὸς τοῖς ἄλλοις συμπτώμασι καὶ παραφροσύνην γράφει. ἐπὶ μὲν τοῦ πρώτου πάντων τοῦ Φιλίσκου, τόνδε τὸν τρόπον· νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, πάντα παρέκρουσε. οὕτως μὲν ἐν τῇ τῆς τρίτης ἡμέρας διηγήσει. ἐν δὲ τῇ τῆς πέμπτης πάλιν·

ὕπνοι σμικροὶ, λόγοι, λῆρος. ἐπὶ δὲ τοῦ δευτέρου τῶν ἀῤῥώστων ᾧ Σιληνὸς ἦν ὄνομα, ἐν μὲν τῇ τῆς δευτέρας ἡμέρας διηγήσει, σμικρὰ παρέκρουσε, φησὶν, ἐν δὲ τῇ τῆς τρίτης, λόγοι πολλοὶ, γέλως, ᾠδὴ, κατέχειν οὐκ ἠδύνατο. εἶτ᾽ ἐπιφέρων ἐρεῖ, τετάρτη διὰ τῶν αὐτῶν. Φιλίσκος μὲν δὴ καὶ Σιληνὸς ὅτι παρεφρόνησαν, οὕτως ἐμνημόνευσεν. ἐπὶ δὲ τῆς Δρομάδεω γυναικὸς, καὶ γὰρ καὶ ταύτην ἀραιὸν καὶ μέγα ἀναπνεῦσαί φησι, τόνδε τὸν τρόπον ἔγραψε. περὶ μέσης ἡμέρης πολλὰ παρέκρουσε, καὶ πάλιν ταχὺ σμικρὰ κατενόει. οὕτως μὲν οὖν ἐν τῇ πέμπτῃ τῶν ἡμερῶν. εἶτα ἐπιφέρει· νυκτὸς ἐπεκοιμήθη, παρέκρουσε. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὰ διὰ τῆς ἕκτης ἡμέρας γινόμενα γράφων, ὧδέ πως φησι. ἄκρεα ψυχρὰ, παρέκρουσεν. οὕτω μὲν οὖν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ἔνθα μεγάλου καὶ ἀραιοῦ πνεύματος, ἐνταῦθα καὶ παραφροσύνης μνημονεύει. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ διὰ τῶν ἑξῆς βιβλίων ἡμᾶς ὑπομιμνήσκει, μηδαμοῦ μεγάλου καὶ ἀραιοῦ πνεύματος μνημονεύων, ὅπου μὴ μεγάλης παραφροσύνης.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὸ μέγα καὶ ἀραιὸν πνεῦμα, καί τοι τῶν παραφρονούντων ἴδιον ὂν, οὐ μέντοι ἐξ ἀνάγκης αὐτοῖς ἐπιγίνεσθαι.

ΟΤΙ μὲν οὖν ἐπὶ τῶν νοσούντων ἐθεάσατο πολλάκις Ἱπποκράτης τὴν τοιαύτην δύσπνοιαν ἐπὶ παραφροσύνῃ γινομένην, καὶ ὅτι καθόλου περὶ αὐτοῦ ἀπεφήνατο διὰ τοῦ προγνωστικοῦ, καὶ ταῦτα μὲν ἱκανῶς ἤδη εἴρηται, βεβαιωθήσεται δ᾽ οὐδὲν ἧττον ἔτι καὶ διὰ τῶν ἑξῆς εἰρησομένων. καὶ γάρ τοι καὶ δίκαιον ἦν, μὴ πάνυ πολλὰ λέγεσθαι περὶ αὐτῆς· ἀλλὰ διὰ τοὺς ἐν τοῖς περὶ φύσεως ἀναπνοῆς λογισμοῖς σφαλέντας, εἶτ᾽ ὑπὸ φιλονεικίας ἀναισχυντοῦντας, ἠναγκάσθημεν καὶ ἡμεῖς πλείω τοῦ προσήκοντος εἰπεῖν, εἴπως αὐτοὺς δυνηθείημεν, κἂν νῦν γοῦν μετάξαι πρὸς τὸ βέλτιον. ἔστι δ᾽ ὡς ἔοικεν οὐδεμία βαφὴ δυσέκπλυτος οὕτως, ὡς τὸ τῶν ἄνευ λογισμοῦ πρὸς τὰ μοχθηρὰ δόγματα πάθος. οὐ γάρ ἐστι μεταπεῖσαι τοὺς ἐν αὐτοῖς τραφέντας, ὡς ἂν μήτ᾽ ἐν ταῖς ἀποδεικτικαῖς μεθόδοις γεγυμνασμένους, μήθ᾽ ὅλως πεπορισμένους τι κριτήριον ἀληθῶν καὶ ψευδῶν, ἀλλὰ μηδ᾽ εἶναι βουλομένους τούς γε πλείστους αὐτῶν, καὶ ταύτην μισοῦντας τὴν σοφίαν. τῶν δὴ τοιούτων ποτέ τις ἄῤῥωστον ἡμῖν ἐπιδείξας παραφρονοῦντα μὲν, ἀλλὰ μήτε μέγα, μήτ᾽ ἀραιὸν ἀναπνέοντα, καταγελῶν, μᾶλλον δὲ καγχάζων ἀναισχύντως, καὶ διαπαίζων Ἱπποκράτην καὶ ἡμᾶς, ἀπηλλάττετο, μηδὲ λόγον μεταδοὺς ἡμῖν, μηδ᾽ ἀνασχόμενος μηδὲν ἐπακοῦσαι, καίτοι διδάξειν ἐπαγγελλομένοις, ὡς οὐ μάχεται τὸ φαινόμενον, οὔτε τοῖς πρὸς ἡμῶν λεγομένοις, οὔτε τοῖς Ἱπποκράτει γεγραμμένοις. ὁ μὲν γὰρ τὸ μέγα καὶ ἀραιὸν πνεῦμα παραφροσύνης εἶναί φησι γνώρισμα, οὐ μὴν εἴ τις παραφρονεῖ, πάντως τοῦτον ἀραιὸν ἀναπνεῖν καὶ μέγα, τά τε πρὸς ἡμῶν λεγόμενα ταὐτὸ τοῦτ᾽ ἐπαγγέλλεται, μηδὲν παραχαραττόντων ἡμῶν μηδὲ μεταποιούντων ὧν ἐκεῖνος ἔγραψεν, ἀλλὰ τὰς ἐξηγήσεις καὶ τὰς ἀποδείξεις μόνας προστιθέντων. εἰ δέ σοι νῦν, ἔφην, ὦ οὗτος, ἐξεύρηται τὸ πᾶσι τοῖς παραφρονοῦσιν ἀραιὸν καὶ μέγα γίνεσθαι τὸ πνεῦμα, σαφῶς ἐνδείκνυσαι μηδὲν τῶν Ἱπποκράτους ἀνεγνωκὼς, καίτοι προσποιῇ γε καταγινώσκειν αὐτῶν, ὡς ἀνεγνωκὼς δή που πρότερον. ἀλλ᾽ ἐκεῖνος μὲν ἀπηλλάγη

Somni parui, verba, deliramenta. In secundo autem ægro, Sileno dicto, in secundæ diei enarratione, *Modicè delirauit*, inquit; In tertia verò; *Verba multa, risus, cantus, cohibere se non poterat.* Et deinde subiungens ait, *Quarta per eadem.* Et sanè quòd Philiscus & Silenus delirauerint, sic meminit. Verùm in Dromadæ vxore, nam & hanc rarum & magnum spiritum habuisse dixit, hoc modo scripsit; *Sub meridiem multum delirauit, & rursus citò parum resipuit.* Sic quidem in quinta die; deinde infert, *Nocte dormiuit, delirauit.* Eodem modo & quæ sexto die facta sunt describens, in hæc verba inquit; *Summæ partes frigidæ, delirauit.* Sic quidem igitur in primo epidemiorum, vbi magni & rari spiritus, ibidem etiam desipientiæ mentionem facit. Eodem modo etiam in sequentibus libris nos monitos facit, nusquàm magni & rari spiritus mentionem faciens, vbi non etiam magni delirii.

CAPVT IV.

Magnum & rarum spiritum, quanquam est delirantium proprius, tamen non illis necessariò euenire.

QVòd igitur huiusmodi dyspnœam in delirio factam Hippocrates sæpè viderit in ægris, & quòd vniuersè de ipsa in prænotionibus pronunciarit, satis iam dictum opinor; confirmabitur tamen nihilominus adhuc & per ea, quæ deinceps referentur. Nam & iustum fuerat non valde multa de ipsa dicere; verùm propter eos, qui in raciocinationibus de natura respirationis errarunt, tum præ contentionis studio impudenter iam altercātur, coacti sumus & nos plura, quàm conuenit, dicere, siquo modo queamus ipsos vel nunc tandem ad meliorem mentem reuocare. Nulla scilicet est tinctura, quæ tam ægrè eluatur, quàm eorum, qui non ratiocinantur, in prauas opiniones affectus; neque enim vllis persuasionibus reuocari possunt ipsis innutriti, vt qui neque in demonstratiuis methodis exercitati sint, neq; omnino aliquod veri & falsi diiudicandi adiumentum sibi compararint; imo neque, plerique saltem ipsorum, esse velint, & hanc sapientiam odio habeant. Ex his aliquando quispiam ægroto nobis demō̄strato delirante quidem, sed neque magnum neque rarum spiritum ducente, deridens, imò potius impudenter cachinnans, ac tum Hippocrati, tum nobis illudens abiit, neque rationem nobis reddens, neque audire quicquam sustinens, quanuis docturos nos promitteremus, non pugnare quod apparebat, neque cum nostris dictis, neque cum Hippocratis scriptis. Hic enim magnum & rarum spiritum desipientiæ signum esse ait, non tamen si quis deliret, hunc omnino rarum ac magnum spiritum ducere; atque hoc ipsum etiam nostra dicta profitentur; quum nihil adulteremus, neque mutemus ex iis, quæ ille scripsit, sed expositiones tantùm ac demonstrationes apponamus. Si verò tibi bone vir, inquam, inuentum est, quòd omnibus delirantibus rarus & magnus spiritus fiat, palàm indicas te nihil scriptorum Hippocratis legisse, quanuis te simules ipsa contemnere, tanquam sanè priùs legeris. Verùm ille quidē abiit priusquam

quam aliquid vtile didicisset. Tu verò quisquis tandem hos libros versas, si veritatem reuera amas, Hippocratem audias in tertio epidemiorum, in ægroto quodam nomine Pythione sic scribentem in septimi diei enarratione; *Nocte turbatio multa, delirauit, nihil dormiuit.* Deinde in octauo die sic; *Serò rursus incaluit, delirauit.* Et postea rursus in nono; *Circa solis occasum inquietus erat, delirabat.* Vt igitur hæc audisti, sic rursus audi, qualisnam dyspnœæ species huic Pythioni affuit. Cognosces enim eum neque rarum neq; magnū spiritum duxisse, quanuis delirus esset. Mentionem igitur fecit Hippocrates difficilis respirationis, quæ ipsi accidit, bis per totam narrationem, tum circa secundum, tum circa octauum diem. Verùm de octauo die priùs apponā, in quo & delirasse & difficulter respirasse hominem ait, sic scribens; *Octauo manè quidem parum dormiuit, statim verò frigus, taciturnitas, spiritus tenuis & imminutus; serò rursus incaluit, delirauit.* Hîc igitur eâdem serie scripsit, & quod spiritus ipsi tenuis erat ac imminutus, & quòd vno & eodem octauo die delirauit. Num igitur iam per Iouem manifestum est, quòd nòn in omni delirio Hippocrates rarum ac magnum spiritum fieri ait? Nisi sanè putas, bone vir, imminutum nihil à magno differre; si enim hoc putas, manifestum est, quòd neque *imminuere* quid sit nosti, & idem esse putas, quod augere. Ne igitur à nobis talia discas, sed ad eos qui primas literas docent, eas. Ceterùm velut elementa non didicerat ille, significationis verbi *imminuere* ignarus, sic neque Hippocratis scripta legerat; omnino enim sexcenties reperisset, & *imminuere, & imminui, & imminutionem*, per omnes ferè numeros, & genera, & casus vbique declinata, & contrarium verbo *augere, & augmento* significantia. Quare etiam imminutus *spiritus* contrarius vtique fuerit aucto. Si igitur auctus magnus, imminutus paruus est. Sic igitur & quū diem secundam enarrat Pythionis, *breuispirum* ipsum appellat; breuis enim spiratio & actionē & quietem ipsam breuem fieri indicat; quemadmodum longa spiratio contrà, ambo esse producta. quanquam etiamsi alterum ipsorum indicaretur, tamen etiam sic in confesso esset, quòd non omnibus delirantibus magnus & rarus spiritus fieret. Rarus enim & magnus iuxta ambo longus est, & actionem & quietem; breuis verò spiratio, omnino iuxta alterum ipsorum breuis, quemadmodum etiam tenuis & imminutus spiritus breuis omnino existit.

πρὶν μαθεῖν τι χρηστόν. σὺ δ' ὁ τοῖσδε τοῖς γράμμασιν ὁμιλῶν, εἴπερ ὄντως ἀληθείας ἐρᾷς, ἐπάκουσον Ἱπποκράτους ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἐπ' ἀῤῥώστου τινὸς ὄνομα Πυθίωνος, ὧδε γράφοντος ἐν τῇ τῆς ζ'. ἡμέρας διηγήσει. νυκτὸς ταραχὴ πολλή, παρέλεξεν, οὐδὲν ἐκοιμήθη. εἶθ' ἑξῆς ἐπὶ τῆς η'. ἡμέρας, ὧδε· ὀψὲ πάλιν ἀνεθερμάνθη, παρέκρουσε. καὶ μετὰ ταῦτα πάλιν ἐπὶ τῆς ἐννάτης· περὶ δὲ ἡλίου δυσμὰς ἐδυσφόρει, παρέλεγεν. ὡς οὖν ταῦτα ἐπήκουσας, οὕτω πάλιν ἐπάκουσον, ὁποῖόν τι τὸ τῆς δυσπνοίας εἶδος ἐγίγνετο τούτῳ τῷ Πυθίωνι. γνώσῃ γὰρ ὅτι μήτε μέγα μήτ' ἀραιὸν ἀνέπνει, καίτοι παραφρονῶν. ἐμνημόνευσεν οὖν τῆς γενομένης αὐτῷ δυσπνοίας ὁ Ἱπποκράτης δὶς τὸ σύμπαν ἐν ὅλῃ τῇ διηγήσει, κατά τε τὴν δευτέραν ἡμέραν καὶ κατὰ τὴν ὀγδόην. ἀλλ' ἐγὼ τὸ κατὰ τὴν η'. παραθήσομαι πρότερον, ἐν ᾗ καὶ παραπαῖσαί φησι καὶ δυσπνοῆσαι τὸν ἄνθρωπον, ὧδε γράφων· ὀγδόῃ, πρωῒ μὲν ἐκοιμήθη σμικρόν, ἄφνω δὲ ψύξις, ἀφωνίη, λεπτὸν πνεῦμα καὶ μινυθῶδες, ὀψὲ πάλιν ἀνεθερμάνθη, παρέκρουσεν. ἑξῆς οὖν ἐν τούτῳ γέγραφεν ἀλλήλων, ὅτι λεπτὸν αὐτῷ καὶ μινυθῶδες ἦν τὸ πνεῦμα, καὶ ὅτι παρέκρουσεν ἐν μιᾷ καὶ αὐτῇ ἡμέρᾳ ταύτῃ τῇ ὀγδόῃ. ἆρ' οὖν πρὸς Διὸς οὐκ ἤδη σαφές ἐστιν, ὡς οὐκ ἐπὶ πάσης παραφροσύνης Ἱπποκράτης ἀραιὸν καὶ μέγα φησὶ γίγνεσθαι τὸ πνεῦμα; εἰ μή τι νομίζεις ὦ βέλτιστε οὐδὲν διαφέρειν τοῦ μεγάλου τὸ μινυθῶδες. εἰ γὰρ τοῦτο, δῆλον, ὡς οὐδὲ τὸ μινύθειν ὁποῖόν τί ἐστιν, οἶσθα, καὶ νομίζεις ταὐτὸν εἶναι τῷ αὐξάνεσθαι αὐτό. μὴ τοίνυν παρ' ἡμῶν τά γε τοιαῦτα μάνθανε, ἀλλ' ἐπὶ τοὺς τὰ πρῶτα γράμματα διδάσκοντας ἴθι. ἀλλ' ὥσπερ ταῦτα οὐκ ἔμαθεν ὁ τὸ μινύθειν ἀγνοῶν, οὕτως οὐδὲ τὰ Ἱπποκράτους ἀνέγνω συγγράμματα. πάντως γὰρ ἂν ἐν αὐτοῖς μυριάκις εὗρε, καὶ τὸ μινύθειν, καὶ τὸ μινυθεῖσθαι, καὶ τὴν μινύθησιν, κατὰ πάντας σχεδὸν ἀριθμούς, καὶ γένη, καὶ πτώσεις, ἐγκεκλιμένα πανταχοῦ, τοὐναντίον αὐξήσει τε καὶ τῷ αὐξάνεσθαι δηλοῦντα, ὥστε καὶ τὸ μινυθῶδες εἴη ἂν τὸ ἐναντίον τῷ ηὐξημένῳ. εἴπερ οὖν τὸ ηὐξημένον μέγα, τὸ μινυθῶδες μικρόν ἐστιν. οὕτως οὖν καὶ ὁπότε τὴν δευτέραν ἡμέραν διηγεῖτο τοῦ Πυθίωνος, βραχύπνοον αὐτὸν ὠνόμασε. ἡ γάρ τοι βραχύπνοια καὶ τὴν ἐνέργειαν αὐτὴν βραχεῖαν γίγνεσθαι δηλοῖ καὶ τὴν ἡσυχίαν· ὥσπερ ἡ μακρόπνοια κατὰ τοὐναντίον ἄμφω μεμηκύνθαι. καί τοι κἂν εἰ θάτερον αὐτῶν ἐδηλοῦτο, τό γε μὴ πᾶσι γίγνεσθαι τοῖς παραπαίουσι μέγα τε καὶ ἀραιὸν τὸ πνεῦμα καὶ οὕτως ἂν ὡμολόγητο. τὸ μὲν γὰρ ἀραιὸν καὶ μέγα, κατ' ἄμφω μακρόν ἐστι, καὶ κατὰ τὴν ἐνέργειαν καὶ κατὰ τὴν ἡσυχίαν· ἡ βραχύπνοια ἢ πάντως κατὰ τὸ ἕτερόν γε αὐτῶν βραχεῖα, ὥσπερ καὶ τὸ λεπτὸν καὶ τὸ μινυθῶδες πνεῦμα, βραχὺ πάντως ἐστίν.

CAPVT V.

In delirantibus, magnum & rarum spiritum, & huic contrarium, & vtrosque, Hippocrate teste, contigisse.

IPse itaque Hippocrates manifestè nouit non omnibus delirātibus esse necessariò spiritum magnum & rarum; nec certè pugnat hoc cum pronunciato de eiusmodi spirandi difficultate. Rarus enim & magnus spiritus proprius est delirii, & propterea necessariò ipsum significabit; non tamen siquis delirat, necessariò magnum & rarum spiritum habet; non enim inseparabilem, sed proprium esse diximus delirii, rarum

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὅτι ἐν τοῖς παραπαίουσι, τό τε μέγα καὶ ἀραιὸν πνεῦμα, καὶ τὸ τούτῳ ἐναντίον, καὶ ἀμφότερα, Ἱπποκράτους μαρτυροῦντος συμβέβηκε.

ΙΠποκράτης οὖν αὐτὸς οἶδε σαφῶς οὐκ ἐξ ἀνάγκης ὑπάρχειν ἅπασι τοῖς παραπαίουσι τὸ μέγα καὶ ἀραιὸν πνεῦμα, οὐ μὴν μάχεταί γε τοῦτο τῇ περὶ τῆς τοιαύτης δυσπνοίας ἀποφάνσει. τὸ μὲν γὰρ ἀραιὸν καὶ μέγα παραφροσύνης ἴδιον, καὶ διὰ τοῦτ' ἐξ ἀνάγκης αὐτὴν δηλώσει· οὐ μὴν εἰ παραφρονεῖ τις, μέγα καὶ ἀραιὸν ἐξ ἀνάγκης ἀναπνεῖ. οὐ γὰρ ἀχώριστον, ἀλλὰ ἴδιον ἔφαμεν εἶναι παραφροσύνης

τὸ ἀραιὸν καὶ μέγα πνεῦμα, καθάπερ τὸ γεωμετρεῖν, τὸ τεκταίνεσθαι, τὸ φιλοσοφεῖν, τὸ ῥητορεύειν καὶ ἄλλα μυρία, ὧν ἕκαστον οὐδενὶ μὲν ὑπάρχει τῶν ἄλλων ζώων, ὅτι μὴ ἀνθρώπῳ μόνῳ, καὶ διὰ τοῦτο ἴδιον αὐτοῦ λέγεται, οὐ μὴν ἀχώριστόν γέ τι, καθάπερ τὸ λογικόν. οὐ γὰρ πᾶν ἴδιον εὐθὺς καὶ ἀχώριστον. ὥσπερ δὲ ταῦθ᾽ ἡμᾶς ἡ λοιδορουμένη πρὸς αὐτῶν ἐδίδαξεν διαλεκτική, οὕτως καὶ ὅτι τὸ τοιοῦτον ἀξίωμα, εἰ μέγα καὶ ἀραιὸν ἀναπνεῖ, παραφρονεῖ, οὔτε ταὐτόν ἐστι τῷ, εἰ παραφρονεῖ, μέγα καὶ ἀραιὸν ἀναπνεῖ, οὔτ᾽ ἀναγκαῖον αὐτὰ συναληθεύεσθαι. οὐ γὰρ ἀντιστρέφει πρὸς ἄλληλα ταῦτα, ἀλλὰ μόνον ἀναστρέφει. ὡς οὖν οὐδεὶς Ὀλύμπια νικῆσαι δύναται, μὴ πολλῷ πρότερον γυμνασάμενος, οὕτως οὐδὲ τῆς ἐν τοῖς λόγοις ἀληθείας ἐπιβοηθὸς γενέσθαι μὴ μαθὼν τὰ κἀν τούτοις παλαίσματα. καὶ ὥσπερ οὐδὲ πεσεῖν εὐσχημόνως ἴσασιν οἱ παντάπασιν ἀμαθεῖς παλαισμάτων, ἀλλ᾽ ἐσθ᾽ ὅτε κατὰ τῆς γῆς ὕπτιοι κείμενοι κρατοῦσι καὶ ἄγχουσι καὶ οὐ μεθιᾶσι τὸν αὐτόν, οἶμαι, τρόπον οἱ ἀμαθεῖς τῆς ἐν τοῖς λόγοις τέχνης, ἐναργῶς πεπτωκότες πολλάκις αἴσχιστον πτῶμα, τοσαῦτα δέουσιν αἰδεῖσθαι, ὥστε καὶ νενικηκέναι νομίζουσιν· ὥσπερ καὶ ὁ τὸν παραφρονοῦντα δεικνύων μικρὸν ἀναπνέοντα, κἄπειτα νομίζων ἐξελέγχεσθαι διὰ τούτου τοῦ φαινομένου τὴν Ἱπποκράτους ἀπόφασιν. οὗτος γοῦν αἴσχιστον πτῶμα πεσὼν, ᾤετο καταβεβληκέναι. πῶς γὰρ οὐκ αἴσχιστα, ἅμα μὲν εὑρεθῆναι μηδὲν τῶν Ἱπποκράτους ἀνεγνωκότα, καὶ διὰ τοῦτο οἴεσθαι κενῶς εἰρῆσθαι τὰ πάλιν πρὸς ἐκείνου γεγραμμένα· ἅμα δὲ μηδὲ συνιέναι τῶν λεγομένων, ἀλλὰ παρακούειν τε καὶ ταὐτὸν εἶναι νομίζειν, τὸ μέγα καὶ ἀραιὸν πνεῦμα παραφροσύνης εἶναι γνώρισμα, τῷ πάντως ἕπεσθαι παραφροσύνῃ τὴν εἰρημένην δύσπνοιαν; εἶτα τί θαυμαστόν ἐστιν, ἐν τοῖς τῶν ἰάσεων λογισμοῖς τυφλώττειν τοὺς μηδὲ τὰ οὕτω σμικρὰ γιγνώσκοντας; ἀλλ᾽ ἤρτηται δηλονότι τὰ σμικρὰ ταῦτα ἐξ ἑτέρων σμικρῶν μὲν καὶ αὐτῶν, ὀλιγωρηθέντων δ᾽ αὖθις. τὸ γὰρ ἀγνοῆσαι, τίς δύναμις ἐπιτροπεύει τὴν ἀναπνευστικὴν ἐνέργειαν, ἀρχὴ τῶν τοιούτων σφαλμάτων· ἠγνοήθη δ᾽ ἐκεῖνο, διότι προηγνοήθη, πόθεν χρὴ πορίζεσθαι ταῖς ἀποδείξεσι τὰς προτάσεις. τοῦτο γάρ τοι τοῦ παλαίσματος, οἱ μὲν ἀγύμναστοι γενηθέντες, οἱ δὲ τελέως ἀμαθεῖς, τὰ τηλικαῦτα πίπτουσι πτώματα· καὶ ἡμῖν ἐν ἑτέροις ἀποδέδεικται, καὶ μάλιστ᾽ ἐν τῷ δευτέρῳ περὶ μυῶν κινήσεως, ὅτι τοῖς ἀπροαίρετον εἰποῦσιν ἔργον εἶναι τὴν ἀναπνοὴν, ἐκ τοῦ μὴ δυνηθῆναι παρὰ τῆς οὐσίας αὐτῆς τοῦ πράγματος πορίσασθαι τὰς εἰς τὴν ἀπόδειξιν προτάσεις, ἀλλὰ τοῖς ἄλλοις ὡς συμβεβηκὸς ἀκολουθῆσαι, σφαλῆναι συνέπεσεν. ἀλλὰ καὶ Ἱπποκράτης γε ὁ τὴν φύσιν μὲν αὐτὴν ὁρῶν τῶν πραγμάτων, ὑπερορῶν δὲ τῶν ἄλλων ὡς συμβεβηκότων, ἐν μὲν τῷ καθόλου βεβαίως ἀπεφήνατο διὰ τοῦ προγνωστικοῦ· μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην σημαίνει· κατὰ μέρος δὲ διὰ τῶν ἐν τοῖς νοσήμασι φαινομένων ἐβασάνισε τὸν λόγον ἐσχάταις εἰς ἀκρίβειαν βασάνοις, ἃς, οἶμαι, θαυμάσειεν, εἴ τις ἐθελήσειεν προσέχειν τὸν νοῦν τοῖς λεγομένοις. μαθήσεται γὰρ, ὅτι παραφροσύναις μὲν ἁπάσαις ἕπεται μέγα καὶ ἀραιὸν πνεῦμα κατὰ τὸν ἴδιον αὐτῶν λόγον, οὐ μήν γε τοῖς παραφρονοῦσιν ἅπασιν, ἀλλὰ μόνοις ἐκείνοις, ὅσοι μὴ δι᾽ ἄλλην τινὰ διάθεσιν μείζονα τῆς παραφροσύνης, ἑτέρως ἠλλοιωμένην ἔχουσι τὴν ἀναπνοήν. συγχωρησάτω δέ μοι πρότερον μιᾶς ἀρρώστου γυναικὸς προσθεῖναι διήγησιν, ἐν τῷ τρίτῳ τῶν ἐπιδη-

& magnum spiritum; quemadmodum esse geometram, esse architectum, esse philosophum, esse rhetorem, & alia innumera, quæ singula nulli alii adsunt animali, præterquam homini soli, & ob id propria ipsius esse dicuntur; non tamen etiam inseparabilia, quemadmodum est rationale; non enim quicquid proprium est, statim etiam est inseparabile. Quemadmodum autem hæc nos improbata ab ipsis dialectica docuit, sic etiam quòd tale pronunciatum, *si magnum & rarum spiritum ducit, delirat*, neque idem est quod hoc, *si delirat, magnum & rarum spiritum habet*, neque necessarium est ambo simul esse vera; non enim reciprocant hæc inter se mutuo, sed solùm inuertuntur. *Vt igitur nemo Olympia vincere potest, nisi priùs multo tempore sit exercitatus: sic neque veritati sermonum præsidium afferre, qui non didicerit etiam horum luctas. Et quemadmodum ne cadere quidem decenter sciunt luctæ penitus rudes, sed aliquando supini ad terram prostrati, & tenent & strangulant & non dimittunt victorem: eodem modo artis sermocinandi rudes sæpè manifestè turpissimo casu lapsi, tantum abest vt verecundentur, vt etiam vicisse se existiment.* Quemadmodum etiam hic, qui delirantem nobis demõstrauit paruum spiritum ducentem, atque inde per hoc experimentũ Hippocratis sententiam redarguisse se existimauit. Hic itaque turpissimo casu lapsus, putauit tamen se *nos* prostrauisse. Quomodo enim nõ turpissimus hic lapsus est simul inueniri nihil ex scriptis Hippocratis legisse, & ob id putasse frustra dicta, quæ deinde scripta sunt, simulque nihil intelligere ex illius dictis, sed obaudire, & idem esse putare, magnum & rarum spiritum delirii esse signum, & ad delirium omnino dictam dyspnœam sequi? Deinde quid mirum est in curandi ratiocinationibus cæcutire eos, qui tam parua non cognoscunt? Verùm hæc parua ex aliis itidem paruis dependent, quorum nihil pensi habuerunt. Etenim ignorare, quæ facultas respirationis actionem gubernet, principium est huiusmodi errorum; ignoratum est autem illud, propterea quod ante ignoratum fuit, vnde propositiones conquirere oporteat ad demonstrationes. Circa hoc enim luctæ genus, aut inexercitati, aut penitus rudes, eiusmodi casus incurrunt; demonstratumque nobis in aliis est, & maximè in secundo de motu musculorum, quod hi qui respirationem inuoluntarium opus esse dicunt, ex eo quòd non potuerint à substantia ipsius rei propositiones ad demonstrationem quærere, sed alia prout occurrerunt, secuti sint, in errorem inciderunt. Verùm & Hippocrates ipsam rerum naturam contuitus, & cæteris vt contingentibus posthabitis, in vniuersum constanter pronunciauit in prænotionibus; *Spiritus magnus & per multum tempus, delirium significat.* Particulatim verò per apparentia in morbis, sermonem extremis ad rei certitudinem experientiis factis probauit; quas opinor, admirabitur qui dictis animum aduertere voluerit. Discet enim quod omnibus deliriis magnus & rarus spiritus ex propria ipsorum ratione comes est, non tamen omnibus deliris, sed illis solis, qui non per aliam quandam affectionem delirio maiorem, respirationem habent aliter alteratam. Concedat autem mihi, vt priùs vnius ægrotæ fœminæ apponam enarrationem, quæ in tertio epidemiorum est conscripta,

conscripta, ad iam relatorum demonstrationem, & ad eorum, quæ nunc proposita sunt, inuentionem. Auspicatur itaque de ipsa sermonem hoc modo; *In Thaso Dealcis vxorem, quæ in Leio decumbebat, febris cum horrore acuta ex mœrore corripuit; ab initio autem pannis contegebatur, & ad finem semper silens palpabat, vellebat, scalpebat, pilos legebat; lacrymæ, & rursum risus; non dormiebat; à ventre irritatio, nihil prodibat; parum, commonita bibebat; vrinæ paucæ, tenues, sedimentum non habentes; febres ad manum tenues, extremarum partium frigus; nono multum delirabat, & rursus sedata est silés.* Quòd igitur & ab initio & perpetuò hæc desipuerit, didicimus; neque enim vna desipientiæ species ipsi accidit, neque vulgaris, sed multæ & fortes, partim silenti, partim loquenti, & partim cum lachrymis, partim cum risu. Audiamus autem deinceps ex Hippocrate qualis dyspnϾ species ipsi oborta sit, scribit autem sic; *Decimo quarto spiritus rarus, magnus, per tempus, & rursus breuispira.* Hìc equidem rursus manifestè per oppositionem dicta est breuispira, ad eam, quæ magnum & rarum spiritum habebat. Et nullus sanè amplius, etamsi omnino imperitissimus sit, dubitauerit de eo, quòd non omnibus delirantibus Hippocrates raram & magnam respirationem fieri dixerit. Itaque in vna & eadem fœmina vtriusque difficultatis spirandi ex ordine meminit, & paululum progressus ampliùs sic scribit; *Vigesimo verba multa, & rursus sedata est, obmutescens, breuispira.* Deinde vbi dixit, *Vigesimo primo mortua est*, ad finem totius sermonis hæc addit; *Huic ad finem spiritus rarus magnus, nihil sentiebat; semper contegebatur.*

CAPVT VI.

Quid hæ voces apud Hippocratem significent, per tempus, & ad finem.

MAnifestum igitur est ex omnibus, quæ retulimus, Hippocratem aliquando magnum & rarum spiritum delirantibus fieri nouisse, aliquando verò ipsius contrarium; aliquando vtrũque in eodem homine singulatim incidere. Et sanè me tibi demonstraturum esse confido, si modò mentem adhibueris, neque perfunctoriè quæ dicuntur audieris, in ipsis quos descripsit ægris, singularum prædictarum differentiarum causam ab ipso indicari. Initium autem faciam à postremà nobis ascripta ægrota Dealcis vxore, in qua omni completo sermone, deinde vt consueuit, breuiter contenta capita recolligens, hæc scribit; *Huic ad finem spiritus rarus, magnus, nihil omnium sentiebat.* Etenim vnum erat de omnibus & respirationis vsus, cuius itidem diutius negligens erat, propterea quòd nihil sentiebat; & quum per hoc longa quies efficeretur, rarus spiritus reddebatur, nimirum tunc primum ad actionem voluntate concitata, quando prope perniciem & suffocationem perueniebat. Quemadmodum autem hæc fœmina non sufficienter bibebat (*parum enim*, inquit, *admonita bibebat*) sic neque respirabat, priusquam à violentia suffocationis admoneretur, multò vehementiùs pungente ac stimulante & ad actionem excitante, quàm qui ad bibendum commonerent. Vbi verò iam respirare cœpisset, reuocabat nihilominus omnẽ

μένων γεγραμμένης, εἰς ἀπόδειξίν τε ἅμα τῶν ἤδη προειρημένων, εὕρεσίν τε τῶν νυνὶ προκειμένων. ἄρχεται μὲν οὖν τοῦ περὶ αὐτῆς λόγου, τόνδε τὸν τρόπον· ἐν Θάσῳ Δεάλκεος γυναῖκα, ἣ κατέκειτο ἐπὶ τοῦ Λείου, πυρετὸς φρικώδης, ὀξύς, ἐκ λύπης ἔλαβεν, ἐξ ἀρχῆς δὲ περιεστέλλετο, καὶ διατέλεος ἀεὶ σιγῶσα, ἐψηλάφα, ἔτιλλεν, ἔγλυφεν, ἐτριχολόγει, δάκρυα καὶ πάλιν γέλως, οὐκ ἐκοιμᾶτο, ἀπὸ κοιλίης ἐρεθισμός, οὐδὲν διήει, σμικρὰ ὑπομιμνησκόντων ἔπινεν, οὖρα σμικρά, λεπτά, οὐκ ἔχοντα ὑπόστασιν, πυρετοὶ πρὸς χεῖρα λεπτοί, ἀκρέων ψύξις· ἐνάτῃ πολλὰ παρέλεγε, καὶ πάλιν ἱδρύνθη σιγῶσα. ὅτι μὲν οὖν ἐξ ἀρχῆς τε καὶ διατέλους αὕτη παρεφρόνει, μεμαθήκαμεν· οὐδὲ γὰρ ἕν τι παραφροσύνης εἶδος αὐτῇ συνέπεσεν, οὐδὲ τὸ τυχόν, ἀλλὰ πολλά τε καὶ ἰσχυρά, τὰ μὲν σιωπώσῃ, τὰ δὲ φθεγγομένῃ, καὶ τὰ μὲν μετὰ δακρύων, τὰ δέ γε μετὰ γέλωτος· ἀκούσωμεν δ' ἑξῆς καὶ τοῦ Ἱπποκράτους, οἷόν τι δυσπνοίας εἶδος αὐτῇ γενέσθαι φησί. γράφει δὲ ὧδε· τεσσαρεσκαιδεκάτῃ πνεῦμα ἀραιόν, μέγα, διὰ χρόνου, καὶ πάλιν βραχύπνοος. ἐνταῦθα μέν γε σαφῶς πάλιν κατ' ἀντίθεσιν ἡ βραχύπνοος εἴρηται τῇ μέγα καὶ ἀραιὸν ἐχούσῃ πνεῦμα, καὶ οὐδεὶς ἂν ἔτι, οὐδ' εἰ παντάπασιν εἴη σκαιότατος, ἀπορήσειεν, ὅτι μὴ πᾶσι τοῖς παραφρονοῦσιν ὁ Ἱπποκράτης ἀραιὰν καὶ μεγάλην γίνεσθαί φησι τὴν ἀναπνοήν. ἐπὶ γοῦν μιᾶς καὶ τῆς αὐτῆς γυναικὸς τῶν δυσπνοιῶν ἑκατέρων ἐφεξῆς μέμνηται, καὶ μικρὸν ἔτι προελθών, ὧδέ πως γράφει· εἰκοστῇ λόγοι πολλοί, καὶ πάλιν ἱδρύνθη, ἄφωνος, βραχύπνοος. εἶτα εἰπών, μιῇ καὶ εἰκοστῇ ἀπέθανεν, ἐπὶ τέλει τοῦ παντὸς λόγου, τάδε προσγέγραφεν· ταύτῃ διὰ τέλεος πνεῦμα ἀραιόν, μέγα, ἀναισθήτως πάντων εἶχεν, ἀεὶ περιεστέλλετο.

ΚΕΦΑΛΑΙΟΝ ϛ.

Τί παρὰ τῷ Ἱπποκράτῃ σημαίνει τὸ διὰ χρόνου, καὶ τὸ διὰ τέλεος.

ΔΗλος οὖν ἐστιν ὁ Ἱπποκράτης ἐξ ἁπάντων ὧν παρεθέμεθα, ποτὲ μὲν τὸ μέγα καὶ ἀραιὸν πνεῦμα τοῖς παραφρονοῦσι γιγνόμενον εἰδώς, ποτὲ δὲ τὸ ἐναντίον αὐτοῦ, ποτὲ δ' ἀμφότερα κατὰ τὸν αὐτὸν ἄνθρωπον ἐν μέρει συμπίπτοντα. καί σοι νομίζω δείξειν, ἂν προσέχῃς τὸν νοῦν καὶ μὴ παρέργως ἀκούῃς τῶν λεγομένων, ἐν αὐτοῖς οἷς ἔγραψεν ἀρρώστοις, ἐνδεικνυμένην αὐτὸν ἑκάστης τῶν προειρημένων διαφορῶν τὴν αἰτίαν. ἄρξομαι δ' ἀπὸ τῆς ὑστάτης ἡμῖν παραγραφείσης ἀρρωστίας τῆς Δεάλκεος γυναικός, ἐφ' ἧς ἅπαντα συμπληρώσας τὸν λόγον, εἶθ' ὥσπερ εἴωθεν ἀναλαμβάνων ἐν ὀλίγῳ τὰ συνέχοντα κεφάλαια, ταυτὶ γράφει· ταύτῃ διατέλεος πνεῦμα ἀραιὸν μέγα, ἀναισθήτως πάντων εἶχεν. ἓν γὰρ τῶν πάντων καὶ ἡ τῆς ἀναπνοῆς χρεία, ἧς καὶ αὐτῆς ὠλιγώρει μέχρι πλείονος, ὅτι μηδὲν ᾐσθάνετο, κἂν τούτῳ μακρᾶς ἡσυχίας ἀποτελουμένης, ἀραιὸν ἐγίνετο τὸ πνεῦμα, τότε πρῶτον ἐπὶ τὴν ἐνέργειαν ἐξορμώσης τῆς προαιρέσεως, ἡνίκα πλησίον ὀλέθρου καὶ πνίξεως ἀφίκηται. ὥσπερ δὲ οὐκ ἔπινεν αὐτάρκως ἡ ἄνθρωπος αὕτη· μικρὰ γάρ, φησίν, ὑπομιμνησκόντων ἔπινεν· οὕτως οὐδ' ἀνέπνει πρὶν ὑπὸ τῆς κατὰ τὸ πνίγεσθαι βίας ἀναμνησθῆναι, πολὺ σφοδρότερον νυττούσης τε καὶ κεντριζούσης καὶ πρὸς τὴν ἐνέργειαν ἐπεγειρούσης, τῶν πίνειν ὑπομιμνησκόντων. ἀρξαμένη δ' ἀναπνεῖν, ἀνεκαλεῖτο μηδὲν ἧττον πάλιν τὸ πρόσθεν

λείμματος μέγεθος τῆς ἐνεργείας, ὁμοίως τοῖς ἐν ταῖς λύπαις καὶ τοῖς κλαίουσι στενάζουσιν. ἀλλ' ἐκεῖνοι μὲν ὑπὸ διττῆς αἰτίας τοῦτο πάσχουσιν, ὅτι τε περὶ τὸ φροντιζόμενον, ἐφ' ᾧ λυποῦνται, καταγίνονται, καὶ διὰ τοῦτο ἀραιότερόν τε καὶ μικρότερον ἀναπνεύσαντες ἐπὶ πολλαῖς ἐνεργείαις ἐφεξῆς, ἔπειτα βιασθέντες ὑπὸ τοῦ λείποντος, ἅπαν εἰσάπαξ ἠναγκάσθησαν αὐτὸ πληρῶσαι· καὶ προσέτι, διότι κατὰ τὰς λύπας ἔσω κινεῖται τό, τε πνεῦμα καὶ τὸ θερμόν, ἐπὶ δὲ τῶν τοιαύταις διαθέσεσι λεληθότως τε καὶ κατὰ βραχὺ πολλὴ κατὰ τὸ βάθος ἀθροιζομένη θερμότης ὁπότε πρῶτον ἅψηται τῆς αἰσθήσεως, ἀναγκαίη μεῖζον ἀναπνεῦσαι. ἐν δὲ ταῖς κατὰ τοὺς παραφρονοῦντας διαθέσεσιν, ἡ μὲν ἀπὸ τῆς πρώτης αἰτίας ἀνάγκη παραπλήσιος, ἡ δ' ἀπὸ τῆς δευτέρας οὐκέτι ὑπάρχει. οὐ γὰρ δὴ ἔσω δὴ μᾶλλον, ἢ ἔξω κινεῖται τούτοις τὸ θερμόν, εἰ μή τι ἄλλο κατὰ τύχην προσγένηται σύμπτωμα. διαφέρουσι δὲ καὶ τῷ πυρέττειν οἱ παραπαίοντες τῶν ἄλλως λυπουμένων. καὶ τοίνυν καὶ αὐτὸς ὁ Ἱπποκράτης εὑρίσκεται χρώμενος τῷ τῆς ἀνακλήσεως ὀνόματι, καθάπερ ἄλλοτε, καὶ περὶ Φιλίσκου λέγων· τούτῳ τὸ πνεῦμα διατελέος ὥσπερ ἀνακαλεομένῳ. τί ποτ' οὖν ἐστι τὸ διὰ χρόνου, καὶ δὴ τοῦτ' ἐξηγήσασθαι δίκαιον. εἰ γὰρ ἐλλείποι τὸ, πολλοῦ, ταὐτὸν δύναται τὸ, διὰ χρόνου, τῷ κατὰ τὸ προγνωστικὸν εἰρημένῳ· μέγα δ' ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην σημαίνει. ἀλλ' εἰ τοῦτο, δὶς ἂν ἐφεξῆς εἴη ταὐτὸ λεγόμενον, ἐπί τε τῆς Δεάλκους γυναικὸς, καὶ τοῦ ἐν Μελιβοίῃ νεανίσκου. γράφει οὖν ἐπ' ἀμφοῖν ὡσαύτως· πνεῦμα ἀραιὸν, μέγα, διὰ χρόνου. εἰ τὸ, πολλοῦ, προστεθείη, γένοιτ' ἂν τὸ λεγόμενον τοιοῦτον· πνεῦμα ἀραιὸν, μέγα διὰ χρόνου πολλοῦ· καὶ δὶς ἂν εἴη λεγόμενον, τὸ ἀραιόν. οὐκ οὖν ἐλλείπειν ἡγητέον τὸ, πολλοῦ, ἢ οὐχ οὕτως ἐλλείπειν, ὡς καὶ νῦν εἴπομεν, ἀλλ' ἑτέρως τε καὶ καθ' ἕτερον τρόπον, ἵνα ᾖ τὸ λεγόμενον τοιοῦτον· πνεῦμα μέγα, καὶ ἀραιὸν, οὐ συνεχῶς οὐδ' ἐφεξῆς, ἀλλὰ διὰ χρόνου πλείονος; εἰ μὲν γὰρ συνεχῶς καὶ κατὰ τὸ ἑξῆς ἁπάσας τὰς ἀναπνοὰς συμπέσοι γενέσθαι μεγάλας τε καὶ ἀραιάς, μὴ προστιθέναι ταῖς τοιαύταις αὐτὸν τὸ διὰ χρόνου, ἀλλ' ἁπλῶς γράφειν, πνεῦμα μέγα καὶ ἀραιόν· εἰ δ' αἱ μὲν πλείους τῶν ἀναπνοῶν μὴ γίγνοιντο μεγάλαι καὶ ἀραιαί, παρεμπίπτοιεν δέ τινες ὀλίγαι τοιαῦται, τότ' οὐκέτι ἁπλῶς αὐτὸν ἀραιὸν καὶ μέγα λέγειν, ἀλλὰ τὸ διὰ χρόνου προστιθέναι. ἢ καὶ τούτῳ μάχεται τὸ ἐπὶ τῆς Δεάλκους γυναικὸς εἰρημένον ἐπὶ τῇ τελευτῇ τοῦ παντὸς λόγου; ταῦτα γάρ φησι· πνεῦμα διὰ τέλεος ἀραιὸν καὶ μέγα· καίτοι πρότερον εἶπεν ἐπὶ τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας· πνεῦμα ἀραιὸν καὶ μέγα, διὰ χρόνου. σαφῶς γὰρ ὅπερ νῦν διὰ χρόνου, τοῦτ' ἐν τοῖς ἑξῆς διατελέος εἴρηκεν. τί οὖν ἐστι τὸ διὰ τέλεος; τὸ μέχρι τέλους δηλονότι διὰ παντὸς τοῦ νοσήματος γινόμενον. ἀλλὰ τούτῳ δόξειεν ἂν μάχεσθαι τὸ ἐπὶ τῆς τεσσαρεσκαιδεκάτης εἰρημένον· πνεῦμα ἀραιὸν καὶ μέγα διὰ χρόνου, καὶ πάλιν βραχύπνοος. πῶς γὰρ εἰ διὰ παντὸς τοῦ χρόνου μέγα καὶ ἀραιὸν ἦν τὸ πνεῦμα, τὸ, καὶ πάλιν βραχύπνοος, προσγέγραπται; εἴπερ γὰρ ὅλως ἐγένετό τις χρόνος, ὅτ' ἦν βραχύπνοος, οὐ διὰ παντὸς ἦν μακρόπνοος. καὶ μὴν ὅτι γε διὰ παντὸς ἤθελεν αὐτὴν γενέσθαι μακρόπνουν, εἰ καὶ μὴ διὰ ταύτης τῆς λέξεως τῆς ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, ἀλλ' ἐπί γε τῆς τελευτῆς, ἡνίκ' ἔφη διατελέος, ἐναργῶς δηλοῦται, καὶ πᾶσιν ὁμολογηθήσεται τοῖς εἰθισμένοις ἀκούειν τῆς Ἱπποκράτους λέξεως. οὐ γὰρ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ πάνυ πολλάκις εὑρίσκεται παρ' αὐτῷ τὸ διὰ τέλεος, οὐδ' ἐφ'

A priorem defectum per magnitudinem actionis; similiter iis, qui in mœrore & luctu suspirant. Verùm illi quidem ob duplicem causam hoc patiuntur, tum quòd in curis sibi molestis versentur, & ob id rarius ac minus respirantes per multas ex ordine actiones, deinde à defectu coacti, omnem ipsum semel explere cogantur; tum amplius etiam propterea quòd in mœroribus & spiritus & calor intus mouetur; in eiusmodi verò affectionibus, latenter & paulatim multus calor in alto coarceruatus vbi primum hominem presserit, necesse est amplius respirare. B Verùm in affectionibus delirantium, necessitas quidem à prima causa consimilis est; à secunda verò non itidem existit; non enim intrò magis, quàm foras his calor mouetur, nisi fortuitò aliud quoddam symptoma fiat. Differunt autē & quòd febricitent delirantes, ab iis, qui aliàs mœrore affecti sunt. Atque ipse Hippocrates reperitur in ipsis, *reuocationis* vocabulo esse vsus, C quemadmodum alibi & de Philisco loquens; *Huic spiritus perpetuò veluti reuocanti.* Quid igitur tandem *per tempus*, & hoc iustum est exponere. Si enim deest, *multum*, idem est *per tempus*, ac id, quod in prænotionibus dictum est; *Spiritus magnus, & per multum tempus desipientiam significat*; verùm si hoc est, bis consequenter idem dictum fuerit, tum in Dealcis vxore, tum in adolescente apud Melibœā; scribit enim in vtrisque consimiliter, *spiritus rarus, magnus, per tempus*; si *multum*, apponatur, quod dictum est tale fiet; *spiritus rarus, magnus, per multum tempus*; & bis dicetur vtique, *rarus*. An non igitur particulā, *multum*, deesse putandum est; aut certè non sic deficere, vt nunc diximus, sed aliter & alio modo, D vt sit quod dictum est tale; *spiritus magnus & rarus*, non continenter, neque consequenter, sed per longius tempus? Si enim continenter & consequenter omnes respirationes contingat fieri magnas & raras, non apponere eum huiusmodi respirationibus, *per tempus*, sed simpliciter scribere, *spiritus magnus & rarus.* Si verò plures quidem respirationes non fiant magnæ, & raræ; incidant autē aliquæ paucæ huiuscemodi, tunc eum sanè non simpliciter *spiritum rarum & magnum* dicere, sed *per tempus*, apponere. an etiam cum hoc pugnat, quod in Dealcis vxore dictum E est in fine totius sermonis? hæc enim ait, *spiritus perpetuò rarus & magnus*; quanuis superius dixisset in decimoquarto die, *spiritus rarus & magnus per tempus.* Manifestè enim quod nunc, per tempus, hoc in sequentibus, ad finem, dixit. Quid est igitur *ad finem*? id videlicet quod vsque ad finem per omnem morbum contingit. Verùm cum hoc pugnare videbitur, quod in decimoquarto die est dictum; *spiritus rarus & magnus, per tempus, & rursus breuispira*. Quomodo enim si per omne tempus magnus & rarus erat spiritus, *& rursus breuispira*, adscriptum est? Siquidē F enim omninò aliquod tempus fuit, in quo breuispira erat, non penitus longispira erat. At verò quòd perpetuo velit ipsam longispiram factam esse, tametsi non per hæc verba in decimoquarto die, at in fine vtique, quum ait, *ad finem*, manifestum redditur; ac omnes hoc ipsum concedent, qui Hippocratis dictionem audire sunt assueti. Non enim semel, aut bis, sed valdè frequenter reperitur apud ipsum, *ad finem*, neque in alio vllo vsurpatum, quàm vbi per omne

tempus

tempus indicare velit. Quare hoc dubium prorsus manet, siue hoc ipsum, *ad finem*, per tempus significare suspicemur, siue aliud quicquam. Imo sanè neque dubium est, sed frustra nos ipsos ludificamus. Non enim interrumpit, quod rarò incidit, in vllo aliquo eorum, quæ sic dicuntur, vniuersalem enunciationem; quemadmodum, si sic diceremus; huic fœminæ per omne quidem tempus magnus & rarus erat spiritus, incidebat tamen aliquando rarò spiratio breuis. Quòd verò huiusmodi sermo ipsi Hippocrati sit familiaris, cùm ex aliis libris ostendere licet, tùm ex ipso tertio popularium morborum, in quo etiam hæc ægrota conscripta est. Pestilentem enim constitutionem enarrans, sic sanè incepit; *annus austrinus, pluuiosus, sine flatibus perpetuò.* Et paululum progressus ait; *Etesiæ parui dispersim spirarunt.* Verum ob hoc ipsum sine flatibus annum dixit, quòd neque alii vlli venti, neque qui etesiæ appellantur, continēter & insigniter spirauerint, sed parui & dispersim, tum Apolloniū Abderitanū decimumtertium ab hac constitutione scribens, postquam de omnibus morbi ipsius diebus recensuit, ad finem totius sermonis apposuit; *Delirus perpetuò;* quanuis paulò suprà de ipso scripsisset his verbis; *Circa vigesimumquartum per lenitudinem, alia quidem in eodem statu, parum autem resipiebat.* Verùm non sufficiens erat ipsum parum resipuisse, ad hoc, vt totam de ægroto prolatam sententiam subuerteret; & ob id rectè dixit, delirus ad finem, hoc est, vsque ad finem, quod idem valet, quod per totum morbum.

ἑνὸς ἄλλου ταττόμενον, ἢ ὅταν τὸ διὰ παντὸς τοῦ χρόνου δηλῶσαι βουληθῇ. ὥστε οὐ τοῦτ᾽ ἀπορεῖν ἡμᾶς πάντως, εἴτε αὐτὸ τὸ διὰ τέλεος τὸ διὰ χρόνου δηλοῦν ὑπολαμβάνοιμεν, εἴτ᾽ ἕτερόν τι. μήτε τοίνυν οὐδ᾽ ἀπορεῖν ἐστιν, ἀλλ᾽ ἐπηρεάζομεν ἡμᾶς αὐτοὺς μάτην. οὐ γὰρ διακόπτει τὸ σπανίως παρεμπίπτον, ἐν οὐδενὶ τῶν οὕτως λεγομένων, τὴν ἐν τῷ καθόλου γιγνομένην ἀπόφανσιν, ὥσπερ εἰ καὶ οὕτως ἐλέγομεν· ταύτῃ τῇ γυναικὶ διὰ παντὸς μὲν τοῦ χρόνου μέγα καὶ ἀραιὸν ἦν τὸ πνεῦμα, παρενέπιπτε δέ ποτε καὶ τὸ σπάνιον ἡ βραχύπνοια. καὶ ὅτι γε αὐτῷ τῷ Ἱπποκράτει σύνηθές ἐστι τὸ τοιοῦτον, ἔκ τε τῶν ἄλλων ἐστὶν ἐπιδεῖξαι βιβλίων, κἀξ αὐτοῦ τοῦ τρίτου τῶν ἐπιδημιῶν, ἐν ᾧ καὶ ἥδε ἡ ἄρρωστος γέγραπται. τὴν γὰρ λοιμώδη κατάστασιν ἐκδιηγούμενος, ὧδέ πως ἤρξατο· ἔτος νότιον, ἔπομβρον, ἄπνοια διατέλεος. καὶ τι βραχὺ προελθών φησιν· ἐτήσια σμικρὰ διεσπασμένα ἔπνευσεν. ἀλλὰ δι᾽ αὐτὸ τοῦτ᾽ ἄπνουν εἶπε τὸ ἔτος, ὅτι μήτ᾽ ἄλλοι τινὲς ἄνεμοι, μήθ᾽ οἱ ἐτήσιοι καλούμενοι συνεχῶς τε καὶ ἀξιολόγως ἔπνευσαν, ἀλλὰ μικρά τε καὶ διεσπασμένως. Ἀπολλώνιόν τε τὸν ἐν Ἀβδήροις τρεισκαιδέκατον ἀπὸ ταύτης τῆς καταστάσεως γράφων, ὁπότε περὶ πασῶν τῶν αὐτοῦ διελέχθη τῶν κατὰ τὴν νόσον ἡμερῶν, ἐπὶ τῇ τελευτῇ τοῦ παντὸς λόγου προσέθηκε· παρέληρος διατέλεος· καίτοι μικρὸν ἄνω περὶ αὐτοῦ γράψας αὐτοῖς ὀνόμασι περὶ τῆς τετάρτης καὶ εἰκοστῆς, διὰ παρηγορίης τὰ μὲν ἄλλα ἐπὶ τῶν αὐτῶν, σμικρὰ δὲ κατενόησεν. ἀλλ᾽ οὐχ ἱκανόν γε ἦν τὸ σμικρὰ κατανοῆσαι, τὴν περὶ παντὸς τοῦ νοσοῦντος ἀπόφανσιν ἀνατρέψαι, καὶ διὰ τοῦτ᾽ ὀρθῶς εἶπε, παρέληρος διὰ τέλεος, τουτέστιν ἕως τέλους, ὅπερ ταὐτὸν δύναται τῷ, διὰ παντὸς τοῦ νοσήματος.

CAPVT VII.

Quam ob causam rarus & magnus spiritus, quibusdam delirantibus semper, quibusdam nunquam, nonnullis ad aliquod tempus, contingat; ac de differentia scriptorum Hippocratis & Thucydidis.

IAm igitur (tandem enim orationi finem imponere oportet) *per tempus*, non idem est, ac ad finem. Et quādoquidem hoc monstratum est, causam deinceps referamus, ob quam aliquibus delirantibus, rarus & magnus per totum morbum fit spiritus, aliquibus verò nunquam; & quibusdam per longius tempus rarò intercidente aut simpliciter diuerso aut etiam contrario; quibusdam verò vice versa, rarò quidem magnus & rarus; sæpè verò aut contrarius aut quoquo modo diuersus; quibusdam verò ex æquo vterque. In memoriam itaque & hîc reuocemus ea, quæ in primo libro sunt demonstrata de simplicibus affectionibus. Dolorem etenim solum in aliqua parte, quæ in respirationibus mouetur, factum, paruam & densam efficere vniuersam respirationem monstrabatur; delirium verò solum contrariam illi ipsi, raram & magnam; augmentum autem caloris, magnam & densam; & contrariam ipsi frigiditatem, paruam & raram. Si igitur à solo delirio respirationis & integritas confundatur, magnus & rarus erit spiritus perpetuò; si verò à solo dolore, paruus & densus; si verò ambo concurrant, & dolor vehementer superet, obscura omninò alteratio ex delirio erit; si verò moderatus fuerit dolor, aut plus quidem ex dolore, minùs verò ex delirio, respiratio

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Δι᾽ ἣν αἰτίαν τισὶ μὲν τῶν παραφρονούντων ἀραιὸν καὶ μέγα διὰ παντὸς, τὸ πνεῦμα· τισὶ δὲ οὐδέποτε· τισὶ δὲ κατά τινα χρόνον γίνεται. καὶ περὶ τῆς διαφορᾶς τῶν τοῦ Ἱπποκράτους καὶ Θουκυδίδους γραμμάτων.

ΟΥκοῦν, ἤδη γὰρ ἐπιτεῖναι χρὴ κεφαλὴν τῷ λόγῳ, τὸ (ὅτι) διὰ χρόνου τῷ διὰ τέλεος οὐ ταὐτόν ἐστι. καὶ ἐπεὶ τοῦτο δέδεικται, τὴν αἰτίαν ἐφεξῆς εἴπωμεν, δι᾽ ἣν τισὶ μὲν τῶν παραφρονούντων ἀραιὸν καὶ μέγα διὰ παντὸς τοῦ νοσήματος γίνεται τὸ πνεῦμα, τισὶ δὲ οὐδέποτε· καὶ τισὶ μὲν ἐν τῷ πλείονι τοῦ χρόνου παρεμπίπτοντος ὀλιγάκις ἢ τοῦ διαφέροντος ἁπλῶς, ἢ καὶ τοῦ ἐναντίου, τισὶ δ᾽ ἔμπαλιν, ὀλιγάκις μὲν τὸ μέγα καὶ ἀραιόν, πολλάκις δ᾽ ἤτοι τὸ ἐναντίον ἢ τὸ διαφέρον ὁπωσοῦν· τισὶ δὲ ἐπίσης ἑκάτερον. ἀναμνησθῶμεν πάλιν κἀνταῦθα τῶν ἀποδεδειγμένων ἐν τῷ προτέρῳ λόγῳ περὶ τῶν ἁπλῶν διαθέσεων. ἄλγημα μὲν γὰρ μόνον, ἔν τινι τῶν κινουμένων κατὰ τὰς ἀναπνοὰς μορίων γιγνόμενον, μικρὰν καὶ πυκνὴν ἐργαζόμενον ἐδείκνυτο τὴν ὅλην ἀναπνοήν· παραφροσύνη δὲ μόνη, τὴν ἐναντίαν αὐτοῦ, τὴν ἀραιὰν καὶ μεγάλην· αὔξησις δὲ τοῦ θερμοῦ, τὴν μεγάλην καὶ πυκνήν· ἡ δ᾽ ἐναντία αὐτῷ ψύξις, τὴν μικρὰν καὶ ἀραιάν. εἰ μὲν οὖν ὑπὸ παραφροσύνης μόνον ὁ τῆς ἀναπνοῆς κόσμος συγχέοιτο, μέγα καὶ ἀραιὸν ἔσται τὸ πνεῦμα διὰ παντός· εἰ δ᾽ ὑπὸ πόνου μόνου, σμικρὸν καὶ πυκνόν· εἰ δ᾽ ἄμφω συνέλθῃ, κρατοῦντος μὲν τοῦ πόνου σφοδρῶς, ἀφανὴς παντάπασιν ἡ ἐκ τῆς παραφροσύνης ἀλλοίωσις· μετρίου δ᾽ ὄντος, ἤτοι πλείονος μὲν ἐκ τοῦ πόνου, ἐλάττονος δ᾽ ἐκ τῆς παραφροσύνης, τὴν ἀναπνοὴν

ἀλλοιοῦσθαι συμβήσεται, ἢ ἔμπαλιν, ἢ ἐπ᾽ ἀμφοῖν ἐπίσης. ἀφανίσαι μὲν γὰρ οὐ πάνυ τι τελέως ἡ παραφροσύνη δύναται τὴν ἐκ τοῦ πόνου ἀλλοίωσιν, πλὴν εἰ αὐτὴ μὲν εἴη μεγάλη καὶ σφοδρά τις ἄγαν, ὁ δὲ πόνος μικρὸς καὶ ἀμυδρός. ὁ μέντοι πόνος ἐκνικᾷ τελέως, ὅταν ἰσχυρὸς ᾖ, τὴν ἐκ τῆς παραφροσύνης δύσπνοιαν, ὡς μηδ᾽ ὅλως ἐμφαίνεσθαι. οὕτω δ᾽ εἰ καὶ πρός τινα τῶν ἑτέρων διαθέσεων ἡ παραφροσύνη συμπλέκηται, τὴν ἰδέαν τῆς ἀναπνοῆς ἄλλοτ᾽ ἄλλην ἐργάσεται παρὰ τὸ κρατεῖν, ἢ κρατεῖσθαι, ἢ ἰσοσθενῶς ἔχειν, ἢ νῦν μὲν, εἰ τύχοι, κρατεῖν, αὖθις δ᾽ ἐν ἑτέρῳ καιρῷ τοῦ νοσήματος κρατεῖσθαι. δείξομεν οὖν ὅτι καὶ κατὰ τὰ τῶν ἐπιδημιῶν βιβλία τοῦτ᾽ αὐτὸ διδάσκει, διὰ τῶν ἐν αὐτοῖς γεγραμμένων ἀρρώστων. ἐναργῶς δὲ καὶ σαφῶς δειχθήσεται, προειπόντων ἡμῶν ὀλίγον τι περὶ τῆς προαιρέσεως τοῦ Ἱπποκράτους. δοκοῦσι γὰρ οἱ παλαιοὶ, πάντα τὰ τοῖς νοσοῦσι συμβαίνοντα γράφειν αὐτὸν, ὥσπερ καὶ τὸν Θουκυδίδην. ἔχει δ᾽ οὐχ οὕτως, ἀλλ᾽ αὐτὸ δὴ τοῦτο τὸ ἐναντιώτατον ὑπάρχει τοῖς Ἱπποκράτους γράμμασι πρὸς τὰ Θουκυδίδου. ὁ μὲν γὰρ πάντα γράφει τὰ καὶ τοῖς ἰδιώταις γνώριμα, μηδὲν ὅλως αὐτῶν παραλιπὼν ὁ Θουκυδίδης, ὁ δ᾽ Ἱπποκράτης, ὀλίγα μὲν τούτων, ὅσα πρὸς τὴν ὅλην διάθεσιν, καθ᾽ ἣν ἐκινδύνευσεν ὁ κάμνων, διαφέρει, πάμπολλα δ᾽ ἄλλα τοῖς ἰδιώταις μὲν παρεωραμένα, τεχνικὴν δὲ πάνυ καὶ ἀκριβῆ τὴν διάγνωσιν παρεχόμενα, καὶ δυνάμενα πολλάκις καὶ αὐτοὺς τοὺς ἀρίστους ἰατροὺς λαθεῖν. οὗτος δ᾽ ὢν ταχὺς ἐν τῷ ἑρμηνεῦσαι, καὶ μηδὲν ὅ, τι μὴ καὶ μεγάλως ὀνήσει γράφειν ἄξιον, δόξει σοι πάλιν ἐξεστάναι τῶν οἰκείων φρενῶν, ὅταν τὰ μηδ᾽ ὅλως γινόμενα τῷ νοσοῦντι γράφῃ, τοῦτ᾽ αὐτὸ προσδηλῶν, ὅτι μὴ ἐγένετο. ὁ γὰρ καὶ τῶν γινομένων τὰ πλεῖστα παραλείπων, οὐκ ἂν δόξειε τοῖς μὴ γινομένοις διατρίβων, παραπαίειν; ἀλλ᾽ εἰ ἐνόησας ὅτι διὰ τὴν αὐτὴν αἰτίαν κἀκεῖνα παραλείπει, καὶ ταῦτα γράφει, τότ᾽ οἶμαί σε θαυμάσειν αὐτόν. οὐδὲ γὰρ τὸ τυχὸν, οὐδ᾽ εἰς τὸν τυχόντα δυνάμενον ἰατρὸν ἐλθεῖν ἐκεῖνος ἔγραψεν. ἀποδέδεικται δὲ καὶ περὶ τούτων ἡμῖν, ἔν τε ἄλλοις πολλοῖς, καὶ δὴ κἀν τοῖς περὶ τῆς Ἱπποκράτους ἀνατομῆς, οὐχ ἥκιστα δὲ κἀν τοῖς περὶ τοῦ παρὰ τῷ Θουκυδίδῃ λοιμοῦ. τούτων τοίνυν μεμνημένος, οὐ χαλεπῶς αἰσθήσῃ τῶν λεχθησομένων. μέλλω γὰρ δεικνύειν, εἰ καὶ τὸ παράδοξον εἶναι δόξει, πολλοὺς μὲν τῶν ἐν ἐπιδημίαις γεγραμμένων, δυσπνοήσαντας, μηδὲν δ᾽ ὑπὲρ τῆς δυσπνοίας αὐτῶν εἰπεῖν τὸν Ἱπποκράτην, διότι σαφὴς ἦν καὶ πρόδηλος ἅπασιν ἰατροῖς. εἰ γὰρ ἤτοι τὸ στέρνον, ἢ τὰς πλευρὰς, ἢ τὰ περὶ τὰς κλεῖς, καὶ τὴν φάρυγγα συνέβαινέ τῳ φλεγμαίνειν, καὶ διὰ τοῦτο μικρὸν καὶ πυκνὸν ἐξ ἀνάγκης ἀναπνεῖν, ὡς ἐν τῷ πρόσθεν ἐπεδείκνυτο λόγῳ, γράφειν οὐκ ἂν ἠξίωσεν Ἱπποκράτης οὔτε τὸ τῆς δυσπνοίας εἶδος, οὔτε τὴν ἀρχὴν ὅτι δύσπνοος ἐγένετο. πολὺ γὰρ ἐστὶ τὸ τοιοῦτον τῆς δυσπνοίας εἶδος ἑκάστης σχεδὸν ἡμέρας ὁρώμενον, ἐπί τε περιπνευμονικῶν, καὶ πλευριτικῶν, καὶ συναγχικῶν, καὶ πάντων ἁπλῶς, οἷς τι κατὰ τὸν θώρακα καὶ τὸν πνεύμονα φλεγμαίνει. καὶ ταῖς ἥπατος δὲ φλεγμοναῖς, καὶ μάλιστα ταῖς κατὰ τὰ κυρτὰ, καὶ ταῖς τοῦ σπληνὸς, καὶ ταῖς κατὰ τὴν κεφαλὴν αὐτὴν, καὶ ταῖς τοῦ περιτοναίου, τὸ τοιοῦτον εἶδος ἕπεται τῆς δυσπνοίας. ἀλλὰ καὶ οἷς ἡ γαστὴρ φλεγμαίνει, καὶ μᾶλλον εἰ τὸ στόμα τε καὶ ὁ στόμαχος αὐτῆς,

A nem alterari continget, aut viceuersa, aut æqualiter in vtroque. Neque enim delirium omnino demoliri potest alterationem, *quæ fit* ex dolore, nisi ipsum quidem valdè sit magnum & vehemens, dolor verò paruus & obscurus; at dolor vbi vehemens fuerit, perfectè euincit respirationis difficultatem, quæ ex delirio induceretur, vt ne prorsus compareat. Sic etiam si cum alia quadam affectione delirium complicetur, respirationis speciem aliàs aliam efficit, quatenus aut superat, aut superatur; aut æquabilitate pollet, aut nunc quidem (si ita contin- B gat) superat, rursus verò in alio tempore morbi superatur. Monstrabimus igitur, quòd etiam hoc ipsum in libris epidemiorum docet, per conscriptos in ipsis ægrotos. Monstrabitur autem euidenter & manifestè, vbi priùs paucum quiddã de Hippocratis proposito præfati fuerimus. Existimant enim veteres omnia, quæ ægris contingunt, ipsum conscribere, velut Thucydidem; verùm res non ita habet, sed hoc ipsum est, in quo vel maximè contraria sunt Hippocratis & Thucydidis scripta. Thucydides C enim omnia scribit etiam idiotis nota, nihil ipsorum penitus prætermittẽs; Hippocrates verò pauca ex iis, quæ ad totam affectionem pertinent, in qua ægrotus est periclitatus; multa verò alia ab idiotis quidem neglecta, artificiosam verò & exactam cognitionem exhibentia, & quæ etiam optimos medicos sæpè latere possunt. Hic celer in interpretando, & nihil, quod non magnopere iuuet, scribendum sibi ducens, videbitur tibi rursus propria mente emoueri, quando etiam quæ penitus non sunt facta ægro, scribit, hoc ipsum insuper indicans, quòd non D sint facta; qui enim etiã ex factis plurima omittit, non videbitur in non factis tempus terens delirare? Verùm si meditatus esses ob eandem causam tum illa relinqui, tum hæc scribi, tunc sanè opinor te ipsum esse admiraturum; neque enim vulgaria, neque quæ quilibet medicus assequi queat, hic scripsit. Demonstratum est autem de his nobis, tum in aliis multis libris, tum in iis, qui sunt de Hippocratis dissectione scripti, nec minùs etiam in iis, qui de Thucydidis peste. Horum igitur memor, haud difficul- E ter intelliges ea quæ dicentur; demonstrabo enim (quanuis præter opinionem hoc esse videbitur) multos difficulter spirantes esse in morbis popularibus conscriptos, verùm Hippocratem nihil de difficili ipsorum respiratione dixisse, propterea quòd manifesta erat & omnibus medicis perspicua. Si enim aut pectus aut costas aut partes circa clauiculas aut fauces alicui inflammari contigit, & ob id paruus ac densus spiritus necessariò sequutus est, vt in superiore libro est demonstratum; Hippocrates neque difficilis respirationis speciem, neque omninò, F quòd difficulter spirans factus sit, scribere dignatus est. Multam enim & frequentem huiusmodi dyspnœæ speciẽ quotidie ferè videre est & in peripneumonicis & pleuriticis & in angina, ac simpliciter in omnibus quibus aliqua pars thoracis ac pulmonis est inflammata. Quin & hepatis inflammationes, præsertim gibbæ eius partis, & splenis, & maximè ipsius capitis, itémque peritonæi, eiusmodi difficilis spirationis species sequitur. Imò etiam quibus ventriculus inflãmatus est, & magis si os & stomachus ipsius,

& qui-

& quibus membrana aliqua aut musculus circa præcordia, aut ipsum adeò septum trãsuersum, his omnibus paruus & densus fit spiritus. Sæpè verò etiam intestinum aliquod tenue, & maximè ex iis, quæ ad ieiunum sunt & superiores coli partes, maiori inflammatione correptum, ita hominem difficulter coëgit spirare. Per inflammationem autem nunc intelligendus est durus & calidus & dolens tumor, quemadmodum & Erasistrato vocare consuetudo est, & recentioribus medicis omnibus; quandoquidem, veteres ita phlogosin nominasse, nemo ferè ignorat. Demõstratum est autem in libro hunc præcedente, ob quid & hydropicis, & iis, qui se aut potu aut cibis supra modum expleuerunt, & prægnantibus, & prominentem ventrem habentibus, paruus & dẽsus fiat spiritus, & vniuersim loquendo, omnibus quibus aliquod respiratorium organum coarctatur. Sic enim & asthmaticis, & pulmonariis, & suppuratis, & quibus spina dorsi magnopere distorta est, & quibus crudorum tuberculorum collectio vel in thorace vel in pulmone, ac denique omnibus, quibus scirrhus, aut alius quispiam tumor insignis in quibuscũq; prædictis partibus existit, necessarium est paruũ & densum spiritũ ducere. hi igitur neque vulgares quidem medicos latere possunt, neque affectiones ipsorum, ad quas necessariò sequitur spirandi difficultas. Nam & affectus manifesti sunt, & species dyspnœæ euidens est, & plerisque tantum non quotidie contingit. Verùm, quòd Hippocrates nihil ex tam manifestis scribat, sæpè demonstratum est. Thucydides enim quæ ægris contingunt, velut idiota, idiotis conscripsit; Hippocrates verò, vt artifex, artificibus.

A καὶ οἷς τῶν ὑμένων τις ἢ τῶν μυῶν τῶν κατὰ τὰ ὑποχόνδρια, ἢ αἱ φρένες αὐταὶ, τούτοις ἅπασι μικρὸν καὶ πυκνὸν γίνεται τὸ πνεῦμα. πολλάκις δὲ καὶ τῶν ἐντέρων τι τῶν λεπτῶν, καὶ μάλιστα τῶν κατὰ τὴν νῆστίν τε καὶ τοῦ κώλου τὰ ἄνω μειζόνως φλεγμήναντα, δυσπνοεῖν οὕτως ἠνάγκασε τὸν ἄνθρωπον, φλεγμονῆς νῦν ἀκουομένης τοῦ σκληροῦ καὶ θερμοῦ καὶ ὀδυνῶντος ὄγκου, καθάπερ τῷ Ἐρασιστράτῳ καλεῖν ἔθος ἐστὶ καὶ τοῖς νεωτέροις ἰατροῖς πᾶσιν, ἐπεὶ ὅτι γε τὴν B φλόγωσιν οὕτως ὠνόμαζον οἱ παλαιοὶ, σχεδὸν οὐδεὶς ἀγνοεῖ. δέδεικται δ᾽ ἐν τῷ περὶ τούτου λόγῳ, καὶ διότι τοῖς ὑδερικοῖς, καὶ τοῖς ὑπερεμπεπλησμένοις ἢ πόματος ἢ σιτίων, καὶ ταῖς κυούσαις, καὶ τοῖς προγάστορσι μικρὸν καὶ πυκνὸν γίνεται τὸ πνεῦμα, καὶ καθόλου φάναι, πᾶσιν ὅσοις στενοχωρεῖταί τι τῶν ἀναπνευστικῶν ὀργάνων. οὕτω γὰρ καὶ τοῖς ἀσθματικοῖς καὶ τοῖς πνευμονώδεσι καὶ τοῖς ἐμπύοις, καὶ οἷς ἡ ῥάχις διέστραπται μεγάλως, καὶ οἷς ἀπέπτων φυμάτων σύστασις ἢ ἐν θώρακι ἢ ἐν πνεύμονι, καὶ ὅλως ἅπασιν οἷς σκίρρος ἢ ἄλλος τις ὄγκος ἀξιόλογος ὅπου δὴ τῶν προειρημένων μορίων ἐστὶν ἁπάντων, μικρὸν καὶ πυκνὸν C ἀναπνεῖν ἀνάγκη. οὔτ᾽ οὖν οὗτοι δύνανται λαθεῖν οὐδὲ τὸν ἐπιτυχόντα τῶν ἰατρῶν, οὔτε αἱ διαθέσεις αὐτῶν αἷς ἐξ ἀνάγκης ἕπεται δύσπνοια. καὶ γὰρ αἱ διαθέσεις σαφεῖς, καὶ τὸ τῆς δυσπνοίας εἶδος ἐναργές ἐστι, καὶ πολλοῖς μονονουχὶ καθ᾽ ἑκάστην ἡμέραν γινόμενον. ἀλλ᾽ ὅτι μηδὲν τῶν οὕτω σαφῶν Ἱπποκράτης γράφει, πολλάκις ἀποδέδεικται. Θουκυδίδης μὲν γὰρ τὰ συμβάντα τοῖς νοσοῦσιν, ὡς ἰδιώτης, ἰδιώταις ἔγραψεν· Ἱπποκράτης δὲ, ὡς τεχνίτης, τεχνίταις.

D

CAPVT VIII.

Qui mos scribendi Hippocratis in propriis & legitimis libris Epidemicis; ac cur in quibusdam ægrotis respirandi speciem tacuerit.

Dicamus igitur iam etiam ipsos difficulter spirantes ægrotos, in quibus non dignatus est non solum speciem difficilis respirationis, sed neque ipsum hoc solum simpliciter dicere, quòd difficulter spirauerint. Quoniam verò septem sunt in vniuersum epidemiorum libri, & ex his septimus manifestè spurius esse omnibus videtur, imò & recẽtior, ac interpolatus; quintus verò non magni Hippocratis Heraclidæ filij, sed iunioris filij Draconis; secundus verò, ac quartus, & sextus, ab aliquibus Hippocratis filii, ab aliis verò ipsius Hippocratis esse putantur, non tamen opera, neque Græcis diuulganda, sed commentarij potius esse; quibusdam verò, qui mihi accuratius librorum vim expendisse videntur, à Thessalo conscriptos esse quinque libros coniectura est; duos autem esse magni Hippocratis, [14] & ob id sanè inscriptos esse *Libros* ex parua tabella; Thessalo videlicet omnia, quæ pater suus scripserat, in idem coacervare studente, quò nihil deperiret; solos autem reliquos ex his septem libris, Hippocratis magni esse ferè ab omnibus concessum est, nempè primum & tertium; *proinde* rationi consentaneum mihi visum est, primùm ægrotos his in libris conscriptos, in manus sumere; posteà

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Τίς ἡ τοῦ γράφειν μέθοδος τῷ Ἱπποκράτει ἐν τοῖς ἰδίοις τε καὶ γνησίοις τῶν ἐπιδημιῶν βιβλίοις καὶ διὰ τί ἔν τισιν ἀῤῥώστοις τὸ τῆς δυσπνοίας εἶδος ἐσιώπησε.

Εἴπωμεν οὖν ἤδη καὶ αὐτοὺς δὴ τοὺς δυσπνοήσαντας ἀῤῥώστους, ἐφ᾽ ὧν οὐκ ἠξίωσεν οὐχ ὅπως τὸ τῆς δυσπνοίας εἶδος, ἀλλ᾽ οὐδ᾽ αὐτὸ τοῦτο μόνον ἁπλῶς εἰπεῖν, ὅτι ἐδυσ- E πνόησαν. ἐπεὶ δ᾽ ἑπτὰ μέν ἐστιν ἅπαντα τὰ τῶν ἐπιδημιῶν βιβλία, τούτων δὲ τὸ μὲν ἕβδομον σαφῶς νόθον εἶναι πᾶσι δοκεῖ, καὶ νεώτερον, καὶ διεσκευασμένον· τὸ δὲ πέμπτον, οὐ τοῦ μεγάλου Ἱπποκράτους τοῦ Ἡρακλείδου υἱέος, ἀλλὰ τοῦ νεωτέρου τοῦ Δράκοντος· τὸ δὲ δεύτερον καὶ τὸ τέταρτον καὶ τὸ ἕκτον, ἔστι μὲν οἷς τοῦ Ἱπποκράτους υἱέος, ἔστι δὲ οἷς καὶ αὐτοῦ Ἱπποκράτους ἔδοξεν, οὐ μὴν συγγράμματά γε οὐδ᾽ ὥστε διαδοθῆναι τοῖς Ἕλλησι μέλλοντα, ἀλλ᾽ ὑπομνήματα μᾶλλον εἶναι· τισὶ δὲ οἵπερ καὶ ἀκριβέστερά μοι δοκοῦσι καταμαθεῖν τῶν βιβλίων F τὴν δύναμιν, ὑπὸ μὲν τοῦ Θεσσαλοῦ γεγράφθαι δοκεῖ τὰ ε΄. δύο δ᾽ εἶναι τοῦ μεγάλου Ἱπποκράτους, [14] καὶ ἐπιγεγράφθαι γέ που διὰ τοῦτο τὰ ἐκ τοῦ μικροῦ πινακιδίου, δηλονότι τοῦ Θεσσαλοῦ πάντα ὅσαπερ ὁ πατὴρ αὐτοῦ γεγραφὼς ἔτυχεν, ἀθροῖσαι σπουδάσαντος ἐς ταὐτὸν, ὡς μηδὲν ἀπόλοιτο· μόνα δὲ καὶ λοιπὰ τῶν ζ΄. τούτων βιβλίων, Ἱπποκράτους εἶναι τοῦ μεγάλου σχεδὸν ἅπασιν ὁμολόγηται, τό, τε πρῶτον καὶ τὸ τρίτον. εὔλογον ἔδοξέ μοι πρῶτον μὲν τοὺς ἐν τούτοις τοῖς βιβλίοις γεγραμμένους ἀῤῥώστους προχειρίσασθαι, μετὰ δὲ

τοῦτο καὶ τοὺς ἐν τοῖς ἄλλοις τῶν ἐπιδημιῶν εὐθὺς αὖθις συνάπτοντα, κατὰ τὴν τῶν λόγων οἰκειότητα, καὶ ὅσα διὰ τῶν ἄλλων συγγραμμάτων αὐτῷ περὶ δυσπνοίας εἴρηται. καὶ δὴ καὶ πρώτου πάντων μεμνημένοι τοῦ Ἀναξίωνος, ὅν τινα ὥς φησιν αὐτὸς, πυρετὸς ὀξὺς ἔλαβεν, πλευροῦ δεξιοῦ ὀδύνη ξυνεχὴς, ἔβησσε ξηρὰ, οὐδ᾽ ἔπτυε τὰς πρώτας ἡμέρας. καὶ πρῶτόν γε αὐτὸ τοῦτο δείξωμεν, τί δήποτε καίτοι βραχυλόγος ὢν ὁ Ἱπποκράτης, ἐνὸν εἰπεῖν αὐτῷ δι᾽ ἑνὸς ὀνόματος, ὅτι πλευριτικὸς ἦν ὁ Ἀναξίων, οὕτως εἰπὼν τὰ συμπτώματα τὰ κατὰ τοῦτο τὸ νόσημα, δι᾽ ἐκείνων μᾶλλον ἠξίωσε τὴν περὶ αὐτοῦ ποιήσασθαι διήγησιν; οὔτε γὰρ ἔθος αὐτῷ τὸ τοιοῦτον, ἀλλ᾽ αὐτὸ τοὐναντίον ἐστὶν, εἰς ἓν ὄνομα καὶ κεφάλαιον ἀνάγειν ἀεὶ τὰ κατὰ μέρος. οὔτε μὴν κατὰ τὸ τυχὸν ἐνδέχεται νῦν οὕτω γράφειν, τὸν μηδὲν εἰκῆ γράφοντα. τίς οὖν ἡ αἰτία; τῶν νοσημάτων ἑκάστῳ, συμπτώματα, τὰ μὲν ἐξ ἀνάγκης ὑπάρχει, τὰ δ᾽ ὡς τὸ πολύ. αὐτῶν δὲ τῶν ἐξ ἀνάγκης ὑπαρχόντων πλείους εἰσὶ διαφοραί, τινὲς μὲν πλειστάκις ὁρώμεναι, καὶ διὰ τοῦτ᾽ οἰκεῖαι τῇ φύσει τοῦ νοσήματος εἶναι πεπιστευμέναι· τινὲς δὲ σπανίως πάνυ, καὶ διά τι συμπεσὸν ἰδίως ἐξαίρετον. ὁ τοίνυν Ἱπποκράτης, ὅταν μὲν αἱ συνήθεις ἰδέαι τῶν συμπτωμάτων ὦσιν, ἀρκεῖται τηνικαῦτα μόνῳ τῷ καθόλου τοῦ νοσήματος ὀνόματι· ὅταν δέ τι ἐμπίπτῃ τῶν σπανίων, μετὰ τὴν καθόλου τε καὶ κοινὴν ἅπαντος τοῦ νοσήματος προσηγορίαν εὐθὺς ἐκεῖνο διορίζεται. εἰ δὲ πλείους ποτὲ θεάσαιτο παθημάτων ἰδέας παρὰ τὴν κοινὴν καὶ συνήθη φύσιν, δεομένην ἑκάστην οἰκείου διορισμοῦ, τηνικαῦτα παραβαίνει μὲν τὸ καθόλου, διηγεῖται δ᾽ εὐθὺς ἕκαστον τῶν κατὰ μέρος, ὡς ἂν ἐκ τούτων κἀκείνου δηλουμένου. πλευριτικοῖς οὖν ἐξ ἀνάγκης μὲν συμπίπτει τό, τε τῆς πλευρᾶς ἄλγημα, καὶ μετὰ τοῦ πυρετοῦ, καὶ ἡ δύσπνοια καὶ ἡ βήξ· οὐκ ἐνδέχεται γὰρ πλευριτικὸν εἶναι μὲν, μὴ οὐ πάντα δὲ ταῦθ᾽ ὑπάρχειν αὐτῷ· τὸ δὲ ἀνάγεσθαί τι τῶν ἀπὸ τῆς φλεγμονῆς ἅμα ταῖς βηξὶν, οὐκ ἀναγκαῖον μὲν, ὡς τὸ πολὺ μέντοι συμβαίνει. οὕτω δὲ καὶ ἡ τῶν ἀναγομένων ἰδέα ὑπέρυθρος, ἢ ὑπόξανθος, ἢ ἀφρώδης ἐστίν. ὥσπερ δ᾽ ἐν τοῖς εἰρημένοις τὸ μέν ἐστι συνῆθες, τὸ δὲ ξένον, οὕτω καὶ ἐν αὐτοῖς τοῖς ἐξ ἀνάγκης συμπίπτουσι, τινὲς μὲν ἰδέαι πλειστάκις, τινὲς δὲ σπανίως ὁρῶνται. καὶ τοίνυν ὁ Ἱπποκράτης, ἐπὶ τοῦ προκειμένου νῦν ἀρρώστου τοῦ Ἀναξίωνος, ἐπεὶ τὰ κατὰ μέρος παθήματα διορισμοῦ ἐδεῖτο, τῆς σπανιωτέρας ἰδέας ὄντα, διοριζομένων δ᾽ αὐτῶν ἤδη γνωρισθησομένην σαφῶς τὴν πλευριτικὴν συνδρομὴν, περιττὸν ἡγήσατο γράφειν ὃ πάντως ἔμελλε καὶ χωρὶς τοῦ προσγραφῆναι νοηθήσεσθαι. πυρετὸς γάρ, φησιν, ὀξὺς ἔλαβε, καὶ πλευροῦ δεξιοῦ ὀδύνη συνεχὴς, καὶ ἔβησσε ξηρὰ, δηλονότι βήχια. οὐκοῦν οὐ μόνον ὅτι πυρετὸς, ἀλλὰ καὶ ὁποῖός τις, ἔμαθες, ὀξὺς γάρ, φησιν· οὐδ᾽ ὅτι πλευρᾶς πόνος, ἀλλὰ καὶ ὁποῖος, ὅτι συνεχής· οὐδ᾽ ὅτι βῆχες μόνον, ἀλλὰ καὶ ὁποῖαι καὶ τίνες, ὅτι ξηραὶ καὶ ἄπτυστοι· ἐν ταὐτῷ δὲ τούτῳ τῷ λόγῳ, καὶ ὅτι πλευριτικὸς ἦν οὗτος ὁ ἄνθρωπος, ἔμαθες· οὐδενὶ γὰρ τῶν πάντων νοσημάτων, ἡ τῶν εἰρημένων παθῶν ὑπάρχει σύνοδος, ὅτι μὴ πλευρίτιδι. δι᾽ ἑνὸς οὖν λόγου καὶ ὅτι πλευρίτιδι ἐπεπάλαισεν ὁ ἄνθρωπος, καὶ ὁποία τις ἦν αὕτη, δεδήλωται. ἐπεὶ δ᾽ ἐξ ἀνάγκης ἕπεται πλευρίτισιν ἡ δύσπνοια, προέληψε

A verò etiam eos, qui in aliis epidemiorum libris proditi sunt, ipsis statim annectere, prout sermonis consortium postulauerit, etiam quæcunque in aliis ipsius scriptis de respirandi difficultate dicta sunt. Et sanè primi omnium Anaxionis mentionem faciamus, *quem* velut ipse ait, *febris acuta prehendit; lateris dextri dolor continuus, tussiuit aridas, neque primis diebus expuebat.* Ac primùm hoc ipsum demonstremus, cur tandem, quum breuiloquus sit Hippocrates, licuissetque ipsi vno verbo, quòd pleuriticus erat B Anaxion, dicere, sic relatis huius morbi symptomatis, per illa magis dignatus sit facere de ipso enarrationem? Neq; enim talis ipsi mos est, sed planè contrarius, ad vnum nomen & caput particularia semper reducere. Neq; verò verisimile est nunc eum fortuito sic scribere, qui nihil quicquam temerè scribat. Quænam est igitur causa? Singulis morbis insunt symptomata alia necessariò, alia vt plurimum. Eorum ipso- C rum, quæ necessariò insunt, plures sunt differentiæ; quædam sæpissimè videntur, & ob id naturæ morbi propria esse creduntur; quædam rarò admodum & ob rem aliquam præcipuam, priuatim obortam. Hippocrates igitur quum consuetæ species symptomatũ extiterint, tunc sanè solo vniuersali morbi nomine contentus est; quum verò aliquid ex raris incidit, post vniuersalem, & communem totius morbi appellationem, statim illud ipsum discriminat; quòd si plures aliquando conspiciat affectionum species, quæ singulæ supra communem & consuetam naturam propria distinctione opus habeãt, tunc vniuersale quidem transgreditur, enumerat autem statim singula particularia, tanquam D sanè ex his etiam illud manifestum fiat. Pleuriticis itaque necessariò accidit & lateris dolor, & cum febre, & respirandi difficultas & tussis; non enim datur pleuriticum esse, cui non omnia hæc adsint; verùm educi quicquam ab inflammatione vnà cum tussi, non quidem necessarium est, vt plurimum tamen contingit. Sic verò etiã eorum, quæ educuntur, forma subrubra, aut subflaua, aut spumosa existit. Quemadmodum autem in iam dictis aliud consuetum, aliud peregrinum est: sic etiam in ipsis, quæ necessariò accidunt, quædam formæ sæpissimè, quædam ra- E rò videntur. Hippocrates itaque in proposito nunc ægroto Anaxione, quum particulares affectiones distinctione indigerent, vt quæ rarioris formæ essent, iis autem distinctis, pleuriticum concursum manifestè cognitum iri videret, superuacaneum existimauit scribere, quod omninò circa conscriptionem intelligi poterat. *Febris enim*, inquit, *acuta corripuit, & dextri lateris dolor continuus, & tussiuit aridas*, tussiculas videlicet. Non solùm igitur, quòd febris fuit, sed etiam qualisnam, didicisti; *acuta enim*, inquit; & non solùm, quòd lateris dolor, sed etiam qualis, F nempè continuus; & non solùm, quod tusses, sed etiam quæ & quales, nimirum aridæ, neque quicpuam expuentes. In eodem autem hoc sermone didicisti, & quòd pleuriticus fuerit hic homo; nulli enim ex omnibus morbis prædictarum affectionum concursus adest, præterquam pleuritidi. Vna itaque oratione & quòd pleuritide conflictatus sit homo, & qualis hæc ipsa fuerit, ostensum est. Quando verò respirandi difficultas necessariò pleuritidem sequitur, scribere

scribere omisit, quòd difficilè spirarit. Si nanque & de hac quicquam peregrinum ac rarum, quod diceret, habuisset, non vtique tacuisset; quum verò scilicet consuetam speciem seruaret, meritò omisit. Quemadmodum autem hæc reliquit, sic alia ascripsit, quæ neque necessariò pleuriticis adsunt, neque vt plurimùm, neque ex dictis intelligi possunt. Inquit enim, *siticulosus, vigilans, vrinæ autem coloratæ, multæ, tenues*; deinde inferens, *sexto delirus, ad calefactoria verò nihil remittebat.* Horum nihil neque necessariò pleuriticis adest, neque vt plurimum. Si verò & septimi diei audiueris enarrationem, adhuc manifestiùs cognosces voluntatem viri. Habet autem hoc modo; *Septimo die magis laborauit, febris enim increuit, & dolores non remiserunt, tussesque infestabant, ac difficulter spirabat.* Hîc sanè difficilis spirationis mentionem fecit, hominem malè affici conclusurus, inter alia etiam ipsam recensens, quæ à principio quidem ipsi inciderāt, non cessauerant tamen neque remiserant. Febres enim etiam increuisse affirmat; reliqua verò tria (quatuor enim sunt comperta, quæ pleuriticum concursum perficiunt) eadem permāsisse ait, dolores, tusses, ac difficilem spirationem, ab ipsa morbi substantia colligens ratiocinando, hominem laboriosè affici. Si enim ex affectionibus ipsum morbum cōstituentibus, quæ quatuor erant, tres quidem eodem modo habentes permanebant, quarta verò etiam deterior reddebatur, omnibus manifestum est, quòd homo malè habebat. Quare palàm vides eum difficilis respirationis mentionem propterea fecisse, quod eâ opus fuerit ad constitutionis morbi prænotionem, aliàs ipsius haud vllam mentionem facturus. Et ob id primum hunc ægrum ex omnibus proposui, vt ostendam eum non malè nunc difficilis respirationis mentionem facere, de qua per initia nihil dixit, quòd prorsus ea non opus esset. Si enim mentem adhibueris dictioni, inuenies ipsam hoc indicare. *Septimo*, inquit, *magis laborauit*, *nam & febris increuit*, inquit, *& dolores* non remiserunt, tussesque infestabāt, ac difficulter spirabat. Hîc enim vt dixi, vnum quidem *malum* increuisse ostēdit, reliqua verò manere in eodē statu. Nam quod ostendit per hoc, *non remiserunt*, id ipsum etiam in reliquis tussibus, & difficili spiratione, ex communi intelligere oportet, quum familiarissima sit eiusmodi loquendi ratio non Hippocrati solùm, sed & aliis veteribus ferè omnibus. Vt enim dolores nihil remittebant, sic etiam tusses infestabāt, eodem modo scilicet, nihil remittentes; & difficulter spirans erat, eodem videlicet modo, nihil remittente difficili spiratione. Quin & ipsa vox, *erat*, idem ac, *similiter vt priùs.* Non enim, difficulter spirans factus est, dixit, quanuis dicere potuisset; & magis vtique quam omnia alia dixisset, si circa septimum hæc affectio insuper accessisset, cum non fuisset prius; sed nec accessit videlicet; omninò enim à principio ipsam cum aliis consistere oportebat. Rectè itaq; Hippocrates docuit, in principio quidem enarrationis ipsam omittens, posteà verò eius mentionem faciens. At verò in aliis multis ægrotis vt in principio omisit, sic neq; in progressu sermonis difficilis spirationis mentionem facere videtur. Cæterùm omnes ipsos deinceps ascribam, tum qui in primo epidemiorum, vt dixi,

A γεγράφθαι, ὅτι καὶ δύσπνους ἦν. εἰ μὲν γὰρ καὶ περὶ ταύτης τι ξένον εἶχεν εἰπεῖν καὶ ἀήθιον, οὐκ ἂν ἐσιώπησεν· ἐπεὶ δ᾽ ὡς ἔοικεν, ἐφύλαττε τὴν εἰθισμένην ἰδέαν, εὐλόγως παρέλιπεν. ὥσπερ δὲ ταῦτα παρῆκεν, οὕτως ἄλλα προσέγραψεν, ἃ μήτε ἐξ ἀνάγκης ὑπάρχει πλευρίτισι, μήθ᾽ ὡς πολὺ, μήτ᾽ ἐκ τῶν εἰρημένων νοηθῆναι δύναται. τί γάρ φησι; διψώδης, ἄγρυπνος, οὖρα δὲ εὔχροα, πολλά, λεπτά. εἶτα ἐπιφέρων, ἕκτη παράληρος, πρὸς δὲ τὰ θερμάσματα οὐδὲν ἐνεδίδου. τούτων B οὐδὲν οὔτ᾽ ἀναγκαίως ὑπάρχει πλευρίτισιν, οὔθ᾽ ὡς τὸ πολύ. εἰ δὲ καὶ κατὰ τὴν ἑβδόμην ἡμέραν ἀκούσῃς αὐτοῦ διηγουμένου, σαφέστερον ἐπιγνώσῃ τὴν προαίρεσιν τἀνδρός. ἔχει δ᾽ οὕτως· ἑβδόμῃ ἐπίπονος, ὅ, τε γὰρ πυρετὸς ἐπέτεινεν, οἵτε πόνοι οὐ ξυνεδίδοσαν, αἵ τε βῆχες ἠνώχλεον, δύσπνοός τε ἦν. ἐνταῦθα δυσπνοίας ἐμνημόνευσεν, ὁπότε τοῦ κακῶς διακεῖσθαι τὸν ἄνθρωπον ἐποιεῖτο συλλογισμὸν, ἐν τοῖς ἄλλοις καὶ αὐτὴν καταλέγων, τοῖς ἐξ ἀρχῆς μὲν αὐτῷ συμπεσοῦσι, μήτε δὲ πεπαυμένοις, μήτε ἐνδεδωκόσι. τοὺς μὲν γὰρ πυρετοὺς καὶ προσεπιτεῖναί C φησι, τὰ δὲ λοιπὰ τρία (τέτταρα γὰρ εὑρέθη τὰ συμπληροῦντα τὴν πλευριτικὴν συνδρομὴν) ἐπὶ τῶν αὐτῶν διαμεῖναί φησι, τοὺς πόνους, τὰς βῆχας, τὰς δυσπνοίας, ἀπ᾽ αὐτῆς τῆς οὐσίας τοῦ νοσήματος συλλογιζόμενος ἐπιπόνως ἔχειν τὸν ἄνθρωπον. εἰ γὰρ τῶν συμπληρωτικῶν αὐτοῦ παθημάτων τεττάρων ὄντων, τὰ τρία μὲν ὡσαύτως ἔχοντα διέμενε, τὸ τέταρτον δὲ χεῖρον ἐγένετο, παντὶ δῆλον, ὅτι κακῶς ὁ ἄνθρωπος εἶχεν. ὁρᾷς οὖν ἐναργῶς, ὅτι διὰ τὸ χρήζειν εἰς πρόγνωσιν τῆς τοῦ νοσή- D ματος καταστάσεως, ἐμνημόνευσε τῆς δυσπνοίας, οὐκ ἂν ἄλλως μνημονεύσας αὐτῆς. καὶ διὰ τοῦτο πρῶτον τῶν ἄλλων τοῦτον προεχειρισάμην τὸν ἄρρωστον, ἵνα δείξω, ὑπὲρ ἧς μηδὲν εἶπεν κατ᾽ ἀρχὰς δυσπνοίας, ὅτι μηδ᾽ ἐχρῆζεν ὅλως αὐτῆς, ὡς οὐ κακῶς μνημονεύει νῦν. εἰ γὰρ προσέχεις τῇ λέξει τὸν νοῦν, εὑρήσεις αὐτὴν τοῦτ᾽ ἐνδεικνυμένην. ἑβδόμῃ, φησὶν, ἐπίπονος. ὅ, τε γὰρ πυρετὸς ἐπέτεινε, φησὶν, οἵτε πόνοι οὐ ξυνεδίδοσαν, αἵτε βῆχες ἠνώχλεον, δύσπνοός τε ἦν. ἐνταῦθα μὲν γὰρ, ὡς ἔφην, ἓν μὲν ἐπιτετάσθαι δηλοῖ, τὰ δ᾽ ἄλλα μένειν ἐπὶ τῶν αὐτῶν. ὃ γὰρ ἐδήλωσεν, οὐ ξυνεδίδοσαν, εἰπὼν τοῦτ᾽ ἐπὶ τῶν λοιπῶν, τῶν βηχῶν καὶ τῆς δυσπνοίας, ἀπὸ κοινοῦ χρὴ νοεῖν, συνηθεστά- E της οὔσης τῆς τοιαύτης ἑρμηνείας, οὐχ Ἱπποκράτει μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις παλαιοῖς σχεδὸν ἅπασι. ὡς γὰρ οἱ πόνοι οὐδὲν ξυνεδίδοσαν, οὕτω καὶ αἱ βῆχες ἠνώχλεον, ὡσαύτως δηλονότι, μηδὲν ἐνδιδοῦσαι, δύσπνοός τε ἦν, ὡσαύτως δηλονότι, μηδὲν τῆς δυσπνοίας ἐνδιδούσης. ἐνδείκνυται δὲ καὶ αὐτὸ τὸ, ἦν, ταὐτὸν, τῷ, ὡς πρόσθεν. οὐ γὰρ, δύσπνοος ἐγένετο, εἶπε, καίτοι δυνάμενος εἰπεῖν, μᾶλλον δὲ παντὸς ἂν εἰρηκὼς, εἰ κατὰ τὴν ἑβδόμην προσεγεγόνει τοῦτο τὸ πάθημα, πρότερον οὐκ ὄν· ἀλλ᾽ οὔτε προσεγένετο δηλονότι, πάντως γὰρ ἐχρῆν ἐξ ἀρχῆς αὐτὸ συ- F στῆναι τοῖς ἄλλοις, Ἱπποκράτης τε δεόντως ἐδίδαξεν, ἐν ἀρχῇ μὲν τῆς διηγήσεως παραλιπὼν αὐτὸ, μετὰ ταῦτα δὲ μνημονεύσας· ἐπ᾽ ἄλλων μέντοι παμπόλλων ἀρρώστων, ὥσπερ ἐν ἀρχῇ παρέλιπεν, οὕτως οὐδ᾽ ἐπὶ προήκοντι τῷ λόγῳ φαίνεται μνημονεύων δυσπνοίας. ἅπαντας δ᾽ αὖθις ἐξῆς παραγράψω, τοὺς ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ὡς ἔφην,

καὶ τοὺς ἐν τῷ τρίτῳ γεγραμμένους, πρότερόν γε προσθεὶς τὰ λείποντα τῇ εἰς τὸν προγεγραμμένον ἄρρωστον ἐξηγήσεως. ὥσπερ οὖν ὅτι δύσπνοος ἦν, ἐξ αὐτοῦ τοῦ νοσήματος τῆς φύσεως ἂν ἐγνώκειμεν, εἰ καὶ μὴ πρὸς Ἱπποκράτους εἴρητο μετὰ ταῦτα, οὕτω καὶ ὅτι τὸ τῆς δυσπνοίας ἦν εἶδος αὐτῷ μικρὸν καὶ πυκνόν, οὐκ ἄδηλόν ἐστι, κἂν Ἱπποκράτης μὴ γράφῃ· ὡς γὰρ ὅτι δυσπνοοῦσιν οἱ πλευριτικοί, φαίνεται, οὕτω καὶ ὅτι μικρὸν καὶ πυκνὸν ἀναπνέουσιν. εἴπομεν δὲ ἔμπροσθεν, ὡς οὐδὲν τῶν καὶ τοῖς ἄλλοις σαφῶς γιγνωσκομένων Ἱπποκράτης γράφει. καίτοι καὶ παρεφρόνησεν οὗτος ὁ ἄνθρωπος· λέγει γοῦν οὕτω περὶ αὐτοῦ· ἕκτῃ παρελήρεε. ἀλλὰ τοῦτο μὲν οὐχ ὡς νόσημα φύσει παρακοπτικόν, ἀλλ' ὡς ἐπιγιγνόμενον πάθημα πλευρίτισιν ἰσχυραῖς, οὐκ ἔμελλε δήπουθεν ἐκνικῆσαι τὴν ἀπὸ τοῦ πόνου τροπήν, οὐδὲ καθ' αὐτὸ τυπῶσαι τὴν τῆς δυσπνοίας ἰδέαν· ὁ δ' ἐν τῇ πλευρᾷ πόνος ἰσχυρὸς ὤν, καθ' ἑαυτὸν πάντως ἔμελλεν ἀλλοιῶσαι τὴν ἀναπνοήν. εἰ δέ γε καθ' ὑπόθεσιν ὁ μὲν πόνος ἦν ἀμυδρός, σφοδρὰ δὲ ἡ παραφροσύνη, πάντως ἂν ἢ τελέως ἐνίκησεν ἡ παραφροσύνη τὸν πόνον, ἢ ὡς τὸ πολύ· καὶ οὕτως ἂν ἤτοι διὰ παντὸς τοῦ νοσήματος διέπνεεν ὁ τοιοῦτος ἄρρωστος μέγα καὶ ἀραιόν, ἢ πλεῖστα μὲν οὕτως, ὀλιγάκις δὲ σμικρὸν καὶ πυκνόν· καὶ τοῦτο πάντως ὁ Ἱπποκράτης προεσημήνατο, καθάπερ ἐπὶ τοῦ ἐν Μελιβοίῃ νεανίσκου. τούτῳ γὰρ ἦν μέν τις καὶ καθ' ὑποχόνδριον ἔντασις ὑπολάπαρος, ἀλλὰ καὶ παρεφρόνησε μεγάλως. γράφει γοῦν ἐπὶ μὲν τῆς ἐντάσεως οὕτως· ὑποχονδρίου ἔντασις ὑπολάπαρος, παραμήκης ἐξ ἀμφοτέρων· περὶ δὲ τῆς παραφροσύνης οὕτως· ἐν μὲν τῇ δεκάτῃ τῶν ἡμερῶν παρέκρουσεν ἀτρεμέως, ἐπὶ δὲ τῆς τεσσαρεσκαιδεκάτης πολλὰ παρέλεγεν, ἐπὶ δὲ τῆς εἰκοστῆς ἐξεμάνη, φησίν. ἦν μὲν οὖν καὶ μόνον αὐτὸ τοὔνομα τό, ἐξεμάνη, μέγεθος παραφροσύνης ἱκανὸν ἐνδείξασθαι, ἀλλὰ καὶ τό, κόσμιον εἶναι καὶ σιωπηλὸν τὸν νεανίσκον, αὐξητικόν ἐστιν οὐ σμικρὸν τοῦ μεγέθους αὐτῆς, εἴγε δὴ κἀν τῷ προρρητικῷ καὶ τὰς ἀποκρίσιας τὰς θρασείας, μή τοί γε τὰς παραφροσύνας αὐτάς, κακάς φησιν εἶναι τοῖς κοσμίοις. οὐ γὰρ δὴ οὐδ' ἄλλου τινὸς ἕνεκεν ἐν τῇ τῆς δεκάτης ἡμέρας διηγήσει προσέγραψεν τὰ περὶ τὸ ἦθος τοῦ νεανίσκου. ἵνα δὲ μὴ δόξωμεν, ἐπειδὴ γέγραπται, παρέκρουσεν ἀτρεμέως, ἁπλῆν τινα εἶναι καὶ τὴν τυχοῦσαν παραφροσύνην, διὰ τοῦτο ἐπιφέρει, ἦν δὲ κόσμιος καὶ σιγῶν, ἐξ ὧν πάντων μὲν δὴ τούτων τὸ σφοδρὸν τῆς παραφροσύνης ἐνεδείξατο. τὴν δὲ καθ' ὑποχόνδριον ἔντασιν ἐξ ἀμφοτέρων τῶν μερῶν, τάχ' ἄν τις δόξειεν μικρὸν καὶ πυκνὸν ἐργάσασθαι τὸ πνεῦμα· δι' αὐτῶν γὰρ ὧν ὑπὲρ αὐτῆς ἔγραψεν, ἐνεδείξατο νενικημένην εὐλόγως ὑπὸ τῆς παραφροσύνης. οὐ γὰρ ἁπλῶς εἶπεν ἦν δὲ καθ' ὑποχόνδριον ἔντασις, ἀλλὰ προσέθηκεν, ὑπολάπαρος, δηλῶν ὡς οὐκ ἦν σὺν ὄγκῳ μεγάλῳ. λαπαρὸν γάρ, τὸ κενόν. ἐκ δὲ τοῦ, παραμήκης, τοὐναντίον ἐμφαίνει τῷ πολλάκις αὐτὸς λέγει τῷ ἀνεσπασμένῳ ὑποχονδρίῳ. ὅταν μὲν γὰρ ὑπὸ τῶν φρενῶν τείνηται, τότε μὲν ἀνασπᾶταί τε καὶ κατακρύπτεται πᾶν, ἑλκόμενον εἰς τὸν θώρακα· ὅταν δ' ὑπό τινος τῶν κάτω, παραμήκης τηνικαῦθ' ἡ τάσις φαίνεται, οὐδὲν γάρ ἐστιν ἐπίπροσθεν τὸ κατακρύψον αὐτήν, ὥσπερ ἐπὶ τοῦ θώρακος αἵ τε νόθοι πλευραὶ καὶ τὸ στέρνον. οὐ μόνον οὖν ἐκ τούτων δῆλον, ὡς σμικρὰ παντάπασιν ἡ κατὰ τὸ ὑποχόνδριον ἦν διάθεσις εἰς δυσπνοίας γένεσιν, ἀλλὰ κἀξ αὐτοῦ τοῦ προσγεγράφαι τὸν Ἱπποκράτην περὶ τῆς ὀδύνης αὐτοῦ μηδέν. οὐ γὰρ ἂν ἐσιώπησεν, εἴπερ ἦν ὀδυνηρόν, ἔθος ὂν αὐτῷ

tum qui in tertio sunt conscripti, vbi prius apposuero, quæ desunt adhuc expositioni in præscriptum ęgrotum. Quemadmodum igitur eum difficulter spirasse, ex ipsa morbi natura cognouissemus, etiamsi non posteà ab ipso Hippocrate dictum esset; sic etiam difficilis spirationis speciem ipsi paruam ac densam fuisse, non obscurum est, etiamsi Hippocrates non scribat. Vt enim quòd pleuritici difficulter spirent apparet, sic etiam, quòd paruam ac densam spirationem habeant. Diximus autem antea, Hippocratem nihil eorum, quæ etiam aliis manifestè cognoscũtur, scribere. At etiā delirauit hic homo; dicit igitur sic de ipso; *Sexto delirat*. Sed hoc quidem, non vt morbum natura sua mentē percellentem, sed vt affectum validarum pleuritidum consectariũ, non sanè commutationem ex dolore superaturũ erat, neque per se ipsum difficilis respirationis speciem formaturũ; verùm quum dolor lateris vehemens existeret, per se ipsum omninò respirationem alteraturus erat. Si autem ex hypothesi dolor obscurus fuisset, delirium verò vehemens, omninò sanè aut perfectè delirium dolorem superasset, aut certè plurimùm; atque ita per totum morbum talis ægrotus magnum & rarum spiritum duxisset; aut vt plurimũ quidem sic, rarò autem paruum & densum; & hoc priùs Hippocrates prorsus significasset, vt in adolescēte Meliboeo; huic enim & hypochondrii tensio quædam submollis erat, sed & magnopere desipiebat. Scribit itaque de tensione quidem sic; *hypochondrii tensio submollis, oblonga ex vtrisque*. De desipientia verò sic; *decimo die sensim delirauit, decimoquarto multùm delirabat, vigesimo furebat*, inquit. Sola itaque vox ἐξεμάνη i. *furebat*, sufficiebat ad delirii magnitudinem indicandam; sed & quòd moderatus esset ac taciturnus adolescens, non parum magnitudinem delirii auget; siquidem sanè & in prædictionum libro, *responsiones temerarias*, nedum deliria ipsa, *malas esse ait in modestis*; neque enim alterius rei gratia in decimi diei enarratione, ea quæ ad mores adolescentis pertinent, adscripsit. Vt verò ne putaremus, propterea quod scriptum est, *delirauit sensim*, simplex quoddam & vulgare esse delirium, ob id sanè infert, *erat autem moderatus & taciturnus*, per quæ omnia vehementiam delirii indicauit. At verò tensionem hypochondrii ex vtraque parte, fortassis putauerit aliquis paruum ac densum spiritum effecturam; verùm per ea quæ de ipsa scripsit, ratione ostendit ipsā à delirio victam esse; neque enim simpliciter dixit, *erat autem hypochondrii tensio*, sed apposuit, *submollis*, ostendens, quòd non fuerit cum magno tumore. Molle enim est vacuum. Ex verbo autem *oblonga*, contrariũ ostendit ei, quod ipse sæpè dicit, *hypochondrio reuulso*. Quum enim à septo transuerso tenditur, tunc quidem reuellitur, ac totum occultatur, ad thoracem tractum; quum verò ab aliqua infra sita parte, tunc sanè oblonga ipsa tensio apparet; non est enim quicquam ante situm, quod ipsam occultet, vt in thorace sunt tum costæ spuriæ, tum ipsum pectus. Non solum igitur ex his palàm est, paruam omninò fuisse affectionem circa hypochondriũ ad difficilis respirationis generationem, sed & ex eo quod Hippocrates de ipsius dolore nihil ascripserit, non taciturnus, si eum dolore fuisset, quum ipsi mos sit, vt nihil eiusmodi rerũ negli-

negligenter pretereat. Si igitur hæc ipsa omninò erant parua (neq; enim tumor aliquis magnus erat in ipso, neque dolor, neque septum transuersum premebat, sed per totum extendebatur vẽtrem) delirio verò contrà nihil deerat, quò minùs & maximum & grauissimum esset; pro ratione vtique ab ipso penitus euicta est hypochondrii affectio, vt ob id per totum morbum respiratio rara & magna sit facta. Et propterea Hippocrates vtriusque simul meminit, tum speciei difficilis spirationis, tum hypochondrii affectionis. Habet autem ita textus; *Spiritus rarus, magnus, per tempus, hypochondrii tensio submollis.* Vt ne quis negligenter prætereat sermonem, sed duas deinceps legens affectiones, contrariam difficilis respirationis speciem efficere solitas, consideret causam, cur omino quidem superet deliriũ, vincatur autem hypochondrii tensio. Verùm nos sanè & causam diximus, & mẽtem viri exposuimus; & oportet nos iam aliò digressos, reliquam propositi sermonis partem explicare. Quum enim delirium perfectè vicerit contrariam affectionem, ipsum solum per propriam vim respirationem alterat, velut in præscripto dictum est adolescentulo, qui in tertio epidemiorũ vltimus recensetur. At verò, quòd etiam dolore perfectè exuperante, nihil appareat difficultatis spirandi, delirii consectariæ, in Anaxione demonstrauimus, qui & ipse in tertio epidemiorum scriptus est octauus à pestilenti constitutione. In Dealcis autem rursus vxore, cuius etiam antea mentionem fecimus, octauâ ab hoc, decimaquartâ post pestilentem constitutionem scriptâ, vt plurimùm quidem delirium exuperat, raró verò exuperatur; verùm verba paulò antè, quum exponerem quid significet, *per tempus*, ascripsi; nunc verò affectiones ipsas pugnantes referam, sequuturus & hîc sermones ab Hippocrate prolatos. Nulla itaque doloris affectio huic mulierculæ accidisse videtur, præualuit autem perfrigeratio, marcescente insito calore; ex eo enim quod scriptum est de ipsa; *Febres ad manum tenues, extremarum partium frigus*, hoc ostenditur, & ex eo, quòd *per totum morbum contegebatur*; quum enim dixisset, *ab initio autem contegebatur*, postea in fine totius narrationis, *semper contegebatur*, ait. Quin & ex mœrore initium sumpsisse, his consentit. Quid enim inquit? *Febris cum horrore ex mœrore corripuit.* Sed & ipsa febris horrifica eandem ob causam facta est. Et sanè etiam hoc, quod potulenta ventrem pertransirent, neque paruo tempore consistentia, maximum signum est innatum calorem extingui. Quin & cutis arida nihil aliud est quam resiccata. Deperit autem vnà cum eiusmodi siccitatibus innatus calor. At verò, quòd hæc omnia in ipsa facta sint, docent hæc verba. *Decimo septimo enim*, inquit, *irritationes à ventre turbulentæ, posteà verò ipsi potus pertransibant, neq; consistebant, omninò nihil sentiebat, cutis aridæ circuntensio.* Iure igitur per totum morbum magnus & rarus spiritus præualuit; intercedebat autem aliquando etiam breuis, perfrigerationes sequens. In memoriam autem reuocabo etiam nunc ipsos textus vt antea iam ascripsi; *Decimo quarto spiritus rarus, magnus, per tempus, & rursus breuispira. Vigesimo verba multa, rursus sedata est, taciturna, breuispira. Vigesimo primo mortua est. Huic perpetuò spiritus rarus, magnus.* Hîc igitur deli-

A μηδὲν τῶν τοιούτων ἀργῶς παρέρχεσθαι. εἴπερ οὖν ταῦτα μὲν ἦν πάντως σμικρὰ (οὔτε γὰρ ὄγκος τις ἐν αὐτῷ μέγας, οὔτε πόνος, οὔτε τὰς φρένας ἔθλιβεν, ἀλλὰ κατὰ τῆς γαστρὸς ὅλης ἐξετέτατο) ἡ παραφροσύνη δ' οὐδὲν ἐνέδει πρὸς τὸ μεγίστην εἶναι καὶ χαλεπωτάτην, κατὰ λόγον ἐνικήθη τελέως ὑπ' αὐτῆς ἡ κατὰ τὸ ὑποχόνδριον διάθεσις, ὥστε γίνεσθαι δι' ὅλου τοῦ νοσήματος τὴν ἀναπνοὴν ἀραιὰν καὶ μεγάλην. διὰ τοῦτ' οὖν καὶ ὁ Ἱπποκράτης ἀμφοτέρων ὁμοῦ μνημονεύει, τοῦ τε τῆς δυσπνοίας εἴδους, καὶ τῆς κατὰ τὸ ὑποχόνδριον διαθέσεως. ἔχει δ' ἡ λέξις ὧδε· [16] πνεῦμα ἀραιὸν, μέγα, διὰ χρόνου, ὑποχονδρίου ἔντασις ὑπολάπαρος. ἵνα μή τις ἀργῶς παρέλθοι τὸν λόγον, B ἀλλ' ἑξῆς ἀλλήλων ἀναγνοὺς δύο διαθέσεις, ἐναντίον εἶδος δυσπνοίας ἐργάζεσθαι πεφυκυίας, ἐπισκέπτηται τὴν αἰτίαν τοῦ κρατῆσαι μὲν τελέως τὴν παραφροσύνην, νικηθῆναι δὲ τὴν καθ' ὑποχόνδριον ἔντασιν. ἀλλ' ἡμεῖς γε καὶ τὴν αἰτίαν εἰρήκαμεν, καὶ τὴν γνώμην τἀνδρὸς ἐξηγησάμεθα, καὶ χρὴ μεταβάντας ἤδη τὸ λοιπὸν μέρος τοῦ προτεθέντος λόγου διελθεῖν. ὅταν μὲν γὰρ ἡ παραφροσύνη τελέως νικήσῃ τὴν ἐναντίαν διάθεσιν, αὐτὴ μόνη κατὰ τὴν ἑαυτῆς δύναμιν ἀλλοιοῖ τὴν ἀναπνοὴν, ὡς ἐπὶ τοῦ προγεγραμμένου γέγραπται νεανίσκου, τοῦ κατὰ τὸ τρίτον τῶν ἐπιδημιῶν ὑστάτου γεγραμμένου· ἀλλὰ μὴν καὶ ὅτι τοῦ πόνου τε- C λέως κρατοῦντος, οὐδὲν παρεμφαίνεται τῆς κατὰ τὴν παραφροσύνην δυσπνοίας, ἐπ' Ἀναξίωνος ἐδείξαμεν, ὃς ἐν τῷ τρίτῳ καὶ αὐτὸς γέγραπται τῶν ἐπιδημιῶν, ὄγδοος ἀπὸ τῆς λοιμώδους καταστάσεως· ἐπὶ δ' αὖ τῆς Δεάλκους γυναικὸς, ἧς καὶ πρόσθεν ἐμνημονεύσαμεν, ὀγδόης μὲν ἀπὸ τούτου, πεντεκαιδεκάτης δὲ μετὰ τὴν λοιμώδη κατάστασιν γεγραμμένης, ὡς τὰ πολλὰ μὲν ἡ παραφροσύνη κρατεῖ, σπανιάκις δὲ καὶ κρατεῖται· ἀλλὰ τὰς μὲν ῥήσεις ὀλίγον ἔμπροσθεν, ἡνίκ' ἐξηγούμην ὅ τι δηλοῖ τὸ διὰ χρόνου, παρέγραψα, νυνὶ δὲ καὶ τὰς D διαθέσεις αὐτὰς τὰς μαχομένας ἐρῶ, ἑπόμενος κἀνταῦθα ταῖς ὑφ' Ἱπποκράτους εἰρημέναις λέξεσιν. ἐπώδυνος μὲν οὖν διάθεσις οὐδεμία ταύτῃ τῇ ἀνθρώπῳ συμβῆναι φαίνεται, κατάψυξις δὲ ἐπεκράτησε, μαραινομένης τῆς ἐμφύτου θερμασίας. ἐκ γὰρ τοῦ γεγράφθαι περὶ αὐτῆς, πυρετοὶ πρὸς χεῖρα λεπτοὶ, ἀκρέων ψύξις, τοῦτο δηλοῦται, κἀκ τοῦ περιστέλλεσθαι δι' ὅλου τοῦ νοσήματος. εἰπὼν γὰρ ἐξ ἀρχῆς δὲ περιεστέλλετο· μετὰ ταῦτα ἐπὶ τέλει τῆς ὅλης διηγήσεως, ἀεὶ περιεστέλλετο, φησί. ἀλλὰ καὶ τὸ ἀπὸ λύπης ἄρξασθαι, τούτοις ὁμολογεῖ. τί γάρ φησι; πυρετὸς φρικώδης ἐκ λύπης ἔλαβε. E ἀλλὰ καὶ αὐτὸς ὁ φρικώδης πυρετὸς, κατὰ τὴν αὐτὴν αἰτίαν ἐγένετο. καὶ μὲν δὴ καὶ τὸ τὰ πινόμενα διεξέρχεσθαι τὴν γαστέρα, μηδ' ἐπὶ βραχὺ συνιστάμενα, μέγιστον τεκμήριον τοῦ τὴν ἔμφυτον θερμασίαν ἀποσβέννυσθαι. καὶ τὸ δέρμα δὲ τὸ καρφαλέον, τὸ ἀπεξηραμμένον ἐστί. συναπόλλυται δὲ ταῖς τοιαύταις ξηρότησι, τὸ ἔμφυτον θερμόν. ἀλλὰ μὴν ὅτι γε ταῦτ' ἐπ' αὐτῆς ἐγένετο, δηλοῦσιν αἱ λέξεις αὗται. ἑπτακαιδεκάτῃ γάρ, φησιν, ἐρεθισμοὶ ἀπὸ κοιλίης ταραχώδεες, ἔπειτα δὴ αὐτὰ τὰ ποτὰ διῄει, οὐδὲ συνίστατο· ἀναισθήτως εἶχε πάντων· δέρματος περίτασις καρφαλέα. εὐλόγως οὖν δι' ὅλου F τοῦ νοσήματος ἐπεκράτησε τὸ μέγα καὶ ἀραιὸν πνεῦμα, παρενέπιπτε δέ ποτε καὶ τὸ βραχὺ τὸ ταῖς καταψύξεσιν ἑπόμενον. ἀναμνήσω δὲ καὶ νῦν τῶν ῥήσεων, ὡς ἔμπροσθεν ἤδη παρέγραψα· τεσσαρεσκαιδεκάτῃ πνεῦμα ἀραιὸν, μέγα, διὰ χρόνου, καὶ πάλιν βραχύπνοος. εἰκοστῇ λόγοι πολλοὶ, πάλιν ἱδρύνθη, ἄφωνος, βραχύπνοος. μιῇ καὶ εἰκοστῇ ἀπέθανε. ταύτῃ διὰ τέλεος πνεῦ-

μία ἀραιὸν, μέγα. ἐνίοτε μὲν οὖν ἡ παραφροσύνη τῆς καταψύξεως ἐπεκράτει, καὶ διὰ τοῦτο σπανίως μὲν βραχύπνοις, δι' ὅλου δὲ τοῦ νοσήματος μακρόπνοις ἐτηρήθη. ἔμπαλιν δὲ ἐπὶ τοῦ Πυθίωνος, οὗ καὶ πρόσθεν ἐμνημόνευσα, βραχύπνοια μὲν ἦν δι' ὅλου τοῦ νοσήματος, ὀλιγάκις δέ ποτε συνέβαινεν ἡ μακρόπνοια, κατὰ λόγον, δύο γὰρ ἀντέκειντο τῇ παραφροσύνῃ διαθέσεις, βραχυπνοίας αἰτίαι, πόνος καὶ κατάψυξις, ἄμφω μὲν μικρὰν πεφυκότα ποιεῖν τὴν ἀναπνοήν, ἀλλ' ὁ μὲν πόνος, μετὰ πυκνότητος, ἡ δὲ κατάψυξις, μετὰ ἀραιότητος. ὅτι μὲν οὖν παρεφρόνησε, γέγραπται πολλάκις αὐτοῖς ὀνόμασιν ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους, ὥστε τοῦτο μὲν οὐκ ἄν τινα λάθοι· ἀλλ' οὐδὲ τὸ τοῦ πόνου τοῦ κατὰ τὴν κοιλίαν, καὶ γὰρ καὶ τοῦτο σαφῶς ὧδε γέγραπται· κατὰ δὲ κοιλίην, βάρος μετὰ πόνου· ὅτι δὲ κατέψυκτο, καὶ ἡ ἔμφυτος θερμασία ἐμαραίνετο, δῆλον ἐκ τῶνδε· δευτέρῃ περὶ μέσον ἡμέρης ψύξις ἀκρέων, τὰ δὲ περὶ χεῖρας καὶ κεφαλὴν μᾶλλον· εἶθ' ἑξῆς ἐν τῇ τῆς τρίτης ἡμέρας διηγήσει, ὀψὲ δὲ περὶ ἡλίου δυσμὰς ὑπεψύχθη μικρά· ἐπὶ δέ γε τῆς τετάρτης ἡμέρας, οὐ μόνον ὅτι ψύξις, ἀλλὰ καὶ ὅτι ἀνεθερμάνθη μετὰ χρόνον, προσγέγραπται. σαφέστερον δὲ περὶ τῆς ὀγδόης ἡμέρας διηγούμενος, πρωῒ μὲν ἐκοιμήθη, φησὶ, μικρὰ, ταχὺ δὲ ψύξις, ὀψὲ δὲ πάλιν ἀνεθερμάνθη. αὖθις δ' ἐπὶ τῆς δεκάτης ἡμέρας, πολλὴ ψύξις, φησί. ἐκ τῶνδε μὲν οὖν δῆλον ὅτι καὶ ψύξις ἦν, οὐ μόνον πόνος καὶ παραφροσύνη, τῷ Πυθίωνι. ὅτι δὲ ἐπεκράτει μὲν ἡ βραχύπνοια, ἦν δέ τις καὶ μακρόπνοια, γένοιτ' ἂν σαφὲς ἐν τῇ τῆς δευτέρας ἡμέρας διηγήσει. γέγραπται γὰρ ὧδε, βραχύπνοος ἐπὶ χρόνον πολύν. τοῦτο γὰρ τὸ, χρόνον πολὺν, ἐνδεικτικόν ἐστι τοῦ γε μὴ μόνην εἶναι τὴν βραχύπνοιαν, ἀλλὰ καὶ τοῦ πλεονεκτεῖν αὐτὴν τῆς (ἐπὶ) μακροπνοίας. γέγραπται δὲ καὶ ἔστιν ὁ Πυθίων ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν, τρίτος μετὰ τὴν λοιμώδη κατάστασιν, ὥστ' ἔνεστιν ἑκάστῳ καθ' ἑαυτὸν ἐπὶ πλέον ἐνδιατρίβειν ταῖς τοῦ παλαιοῦ ῥήσεσιν, ἵνα μὴ πάσας αὐτὰς ἡμεῖς παραγράφοντες, μακρὸν ποιῶμεν τὸν λόγον.

rium perfrigeratione superabat, & propterea raro quidem breuispira, per omnem vero morbum longispira obseruata est. Vice versa in Pythione, cuius iam antea memini, breuis spiratio per totum quidem morbum erat, raro autem quandoque longa spiratio contingebat; *atque id* ratione; duæ enim opponebantur delirio affectiones breuis spirationis causæ, dolor & perfrigeratio, quæ ambæ paruam respirationem facere solent; verùm dolor cum densitate, perfrigeratio verò cum raritate. Eum itaque delirasse, sæpè scriptum est apertis verbis ab ipso Hippocrate, vt hoc quidem neminem latere possit; sed neque dolor in aluo, nam & hic apertè sic scriptus est; *In aluo grauitas cum dolore*; quòd verò perfrigeratus fuisset, & insitus calor contabesceret, clarum ex his fit; *Secundo circa medium diem frigus extremarum partium, verùm magis circa manus & caput.* Deinde consequenter in tertii diei enarratione; *serò circa Solis occasum subfrigefactus est parum.* In quarto autem die non solùm frigus, sed etiam quod recalefactus sit post tempus, ascriptum est. Clarius autē adhuc de octauo die narrans; *manè quidem dormiuit*, inquit, *parum, statim autem frigus; serò excalefactus est*; rursus item in decimo die, *multum frigus*, ait. Ex his igitur manifestum est, frigus etiam, non solùm dolorem & deliriū fuisse Pythioni. Quod vero præualuerit quidem breuis spiratio, fuerit autem & quædam longa spiratio, perspicuum ex secundi diei enarratione redditur. sic enim scriptum est; *Breuispirus ad tempus multum.* Hoc enim quod ait, ad tempus multum, indicat non solùm fuisse breuem spirationem, sed & ipsam longam spirationem ab illa superatam. Porrò hic Pythion in tertio epidemiorum scriptus est tertius post pestilentem constitutionē. Quare licet vnicuique per se diutius in ipsius senis sermonibus immorari, ne nos omnes ipsos ascribendo, longum sermonem faciamus.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅτι μηδὲν ἐν τοῖς προειρημένοις κεφαλαίοις παραλείπεται τῇ Γαληνοῦ γνώμῃ ἀντικείμενον.

Ἀλλὰ καὶ ὅτι μηδεμίαν λέξιν ἐναντίαν τοῖς ὑφ' ἡμῶν λεγομένοις ἔχοντες (εἰ) παραλείπομεν, εἴ τις ἐπ' αὐτὰ τὰ βιβλία παραγένηται, μάλιστ' ἂν πεισθείη. καὶ διὰ τοῦτο μηνύομεν ἡμεῖς, ἔν τινί τε τῶν βιβλίων ὁ ἄρρωστος, ὑπὲρ οὗ ποτ' ἂν ἑκάστοτε διαλεγόμενοι τύχωμεν, γέγραπται, καὶ πόστος ἐστὶν ἢ ἀπὸ τῆς ἀρχῆς, ἢ ἀπὸ καταστάσεως ἀριθμοῦντι, πρὸς τὸ μὴ καταμέλλειν διὰ ταῦτα, ἵνα, καὶ περὶ τὴν ἀνεύρεσιν ὀκνοῦντα, ἢ ἀβασανίστως ἡμῖν πιστεύειν, ὅπερ οὐ βουλόμεθα, ἢ ὑποπτεύειν, ὥστε καὶ παραγράφοντας ἡμᾶς, ὃ δὴ πολλοὶ τῶν ἐξηγησαμένων ἐποίησαν. ἀλλ' ἐκεῖνοι μὲν διὰ τοῦτο σιγῶσι τὰ βιβλία, καὶ κατακρύπτουσιν ἑκόντες, ἐξ ὧν ἂν ἑκάστοτε παραγράφωσι τὰς λέξεις, ἡμεῖς δὲ οὐκ αὐτὰ μόνον, ἀλλὰ καὶ τοὺς τόπους αὐτοὺς καὶ τὰ κεφάλαια μηνύομεν, ὑπὲρ τοῦ ῥᾷον εὑρίσκειν τὰ βουλόμενα. ἴσμεν γὰρ ὅτι βεβαιοτέραν πίστιν ὧν λέγομεν ἕξουσιν οἱ τὸ πᾶν ἀναγνόντες τοῦ βιβλίου τὸ χωρίον, ἐξ οὗ τὴν ῥῆσιν παραγράφομεν. τῶν μὲν δὴ προειρημένων ἀρρώστων ἠνάγκασεν ἡμᾶς ἡ ἀκολουθία τοῦ λόγου μνημονεῦσαι, βουληθέντας

CAPVT IX.

Nihil superioribus capitibus omitti, quod Galeni sententiæ aduersetur.

Enimuero, quòd nullam dictionem his à nobis prolatis contrariam, volentes prætermittamus, maximè is crediderit, qui ad ipsos libros legendos accesserit. Ob idque indicamus nos, tum in quo libro æger, de quocunque tandem nobis subinde sermo fit, scriptus sit; tū quotus, aut à principio, aut à constitutione, numerandi exordio facto, vt nequis cunctetur ob hęc, & circa inuentionem pigritetur aut citra experimentum nobis credat, quod minimè expetimus, aut nos suspectos habeat tanquam qui scripta deprauemus, quod multi interpretes fecerunt. Verùm illi propterea libros silent, ac volentes celant, ex quibus frequenter adscribunt dictiones; nos verò non ipsos solùm, sed & locos ipsos ac capita indicamus, quò quæ volumus faciliùs reperiri queant; scimus enim firmiorem fidem habituros illos eorum, quæ dicimus, qui totum libri locum legerint, ex quo textum ascribimus. Cæterùm prædictorum ægrorum mentionem nos facere sermonis sequela coëgit, quum vellemus ostendere,

dere, quonam modo interdum solum delirium spirandi difficultatem efficiat, contrariam euincens affectionem; interdum verò penitus superatum etiam ipsum euanescat, atque interdum quidem, vt plurimum exuperet, raro intercidente diuersa spirandi difficultate; aliquando verò exuperetur, raro ipsum apparens. Et iam sanè perspicuum est id, quòd à principio dicebamus, nempè cui magnus & rarus est spiritus, huic omninò esse etiam delirium; cui verò delirium, huic non omninò magnum, & rarum esse spiritum.

CAPVT X.

Quòd in singulis ægrotis primi libri epidemiorum omnia prædictis astipulentur.

QVod autem propositis deest; id orationi addamus, omnes ægrotos, tum in primo, tum in tertio epidemiorum scriptos percurrentes, à primo vsque ad vltimum omnium, eundem orationi ordinem ponentes, quem ipse in scribendo obseruauit. Primus itaque omnium Philiscus, quod quidem delirarit, ac magnum & rarum spiritum habuerit, superioribus sermonibus Hippocratis dictionem inserentes demonstrauimus; quòd verò nullus dolor ipsi fuerit in vlla partium, quibus affectis paruam ac densam fieri respirationem dicebamus, nunc ostendemus, ipsa etiam hîc senis dictione in memoriam reuocatâ, quæ sic habet; *Splen intumuit orbiculari gibbo.* Neque igitur aliàs dolori obnoxium viscus splen, neque septum transuersum premit, sicut hepar & venter, nisi maximum sanè habeat tumorem circa caput, quod in Philisco non erat, & ob id splen ipse sufficiens minimè erat, vt spirandi difficultatem ex delirio inductam superaret, quum neque dolorem, neque septum transuersum premeret. At verò Silenus, qui deinceps scriptus est, cuius item in superioribus sermonibus post Philiscum mentionem fecimus, quod rarum & magnum etiam ipse habuerit spiritum, & quod delirarit; illic ostendimus; quod verò nullam affectionem habuerit, quæ delirium superare posset, hoc loco demonstrabitur; etenim tertii diei ipsius morbi enarratio & hoc scriptum habet; *hypochondrii distentio, ex vtraque parte oblonga; ad vmbilicum submollis.* Igitur & ad vmbilicum secedebat distentio, neque dolor quispiam neque tumor memorabilis *erat.* Quin & quod in fine dictum est, *hypochondrii palpitatio*, neque ipsum sufficiens est difficilem ex delirio respirationem alterare. Dictum enim sexcenties iam est, aut dolorem esse oportere in aliqua parte, quæ per respirationes moueatur, aut aliquod ex respiratoriis organis coarctari, vt paruus & densus spiritus fiat. Igitur neque Silenus hic, vt neque prior Philiscus, aliquam aliã affectionem habuit, quæ respirationẽ alterare posset, præterquam delirium. Neque enim dolor, neque compressio organorum respirabilium, imò neque perfrigeratio aliqua aderat, qualem in tertio epidemiorum, Pythioni & Dealcis vxori factam esse ostendimus. Cæterùm tres deinceps ab his scriptos, Herophontem & Philini & Epicratis vxorem, reperias, si diligenter enarrationes de ipsis perlegeris,

δηλῶσαι, καθ' ὅντινα τρόπον ἐνίοτε μὲν ἡ παραφροσύνη μόνη τὴν δύσπνοιαν ἐργάζεται, νικῶσα τὴν ἐναντίαν διάθεσιν, ἐνίοτε δέ, νικηθεῖσα τελέως, ἐξίτηλος γίνεται· καὶ ποτὲ μὲν ὡς τὸ πολὺ κρατεῖ, σπανίως ἐμπιπτούσης τῆς διαφερούσης δυσπνοίας, ποτὲ δὲ κρατεῖται, κατὰ τὸ σπάνιον αὐτή που παρεμφαινομένη. καὶ ἤδη δῆλον ὅπερ ἐν ἀρχῇ ἐλέγομεν, ὡς ᾧ μὲν τὸ μέγα καὶ ἀραιὸν πνεῦμα, πάντως καὶ παραφροσύνη, ᾧ δὲ παραφροσύνη, οὐ πάντως τούτῳ μέγα καὶ ἀραιὸν τὸ πνεῦμα.

ΚΕΦΑΛΑΙΟΝ Ι.

Ὅτι ἐν ἑκάστῳ τῶν ἀρρώστων τοῦ πρώτου τῶν ἐπιδημιῶν πάντα τοῖς προειρημένοις προσμαρτυρεῖ.

Ὅπερ δὲ ἔτι λείπει τῶν προτεθέντων, προσθῶμεν τῷ λόγῳ, πάντας ἐπελθόντες τούς ἔν τε τῷ πρώτῳ καὶ τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἀρρώστους γεγραμμένους ἀπὸ τοῦ πρώτου μέχρι τοῦ πάντων ὑστάτου, τὴν τάξιν τῷ λόγῳ τὴν αὐτὴν ἐντιθέντες, ἥπερ δὴ καὶ τῆς γραφῆς ἐστιν αὐτῷ. ὁ μὲν δὴ πρῶτος ἁπάντων Φιλίσκος, ὅτι μὲν καὶ παρεφρόνησε, καὶ μέγα καὶ ἀραιὸν εἶχε τὸ πνεῦμα, διὰ τῶν ἔμπροσθεν λόγων ἐδείξαμεν, αὐτὴν τὴν Ἱπποκράτους παραθέμενοι τὴν ῥῆσιν· ὅτι δὲ οὐδὲ ἦν τις πόνος αὐτῷ κατ' οὐδὲν μορίων, ὧν παρόντων ἐλέγομεν μικρὰν καὶ πυκνὴν γίνεσθαι τὴν ἀναπνοήν, νῦν δείξομεν, αὐτῆς καὶ ταύτης τῆς τοῦ παλαιοῦ λέξεως ὑπομνήσαντες, ἐχούσης ὧδε. σπλὴν ἐπήρθη περιφερεῖ κυρτώματι. οὔκουν οὔτ' ἄλλως ὀδυνηρὸν τὸ σπλάγχνον ὁ σπλήν, οὔτε θλίβει τὰς φρένας ὁμοίως ἥπατι καὶ γαστρί, πλὴν εἰ μὴ μέγιστόν ποτε ὄγκον ἀρείη κατὰ τὴν κεφαλήν, ὅπερ οὐκ ἦν τῷ Φιλίσκῳ, καὶ διὰ τοῦτο οὐχ ἱκανὸς ἐγίνετο νικῆσαι τὴν ἐκ τῆς παραφροσύνης δύσπνοιαν ὁ σπλήν, μήτ' ἐπώδυνος ὤν, μήτε θλίβων τὰς φρένας. ὁ δ' ἐφεξῆς τούτῳ γεγραμμένος Σιληνός, οὗ καὶ αὐτοῦ ἐν τοῖς ἔμπροσθεν λόγοις, μετὰ τὸν Φιλίσκον ἐμνημονεύσαμεν, ὅτι μὲν ἀραιὸν καὶ μέγα καὶ αὐτὸς εἶχε τὸ πνεῦμα, καὶ ὅτι παρεφρόνησεν, ἐν ἐκείνοις ἐδείξαμεν· ὅτι δ' οὐδεμία διάθεσις ἦν αὐτῷ νικῆσαι δυναμένη παραφροσύνην, ἐν τῷδε δειχθήσεται. ἡ γάρ τοι τῆς τρίτης τοῦ νοσήματος ἡμέρας διήγησις ἔχει καὶ τοῦτο γεγραμμένον· ὑποχονδρίου ξύντασις, ἐξ ἀμφοτέρων παραμήκης, πρὸς ὀμφαλὸν ὑπολάπαρος. οὐκοῦν καὶ πρὸς ὀμφαλὸν ἀπεχώρει ἡ σύντασις, οὔτ' ὀδύνη τις, οὔτ' ὄγκος ἀξιόλογος. ἀλλὰ καὶ τὸ ἐπὶ τῆς τελευτῆς εἰρημένον, ὑποχονδρίου παλμός, οὐχ ἱκανὸν οὐδ' αὐτὸ τὴν ἐκ τῆς παραφροσύνης ἀλλοιῶσαι δύσπνοιαν. ἐρρέθη γὰρ ἤδη μυριάκις, ἤτοι πόνον δεῖν εἶναι περί τι τῶν κατὰ τὰς ἀναπνοὰς κινουμένων μορίων, ἢ στενοχωρεῖσθαί τι τῶν ἀναπνευστικῶν ὀργάνων, ἵνα μικρὸν καὶ πυκνὸν γένηται τὸ πνεῦμα. οὐκ οὖν οὐδ' οὗτος ὁ Σιληνός, ὥσπερ οὐδ' ὁ πρότερος ὁ Φιλίσκος, εἶχέ τινα διάθεσιν ἑτέραν, ἀλλοιοῦν δυναμένην τὴν ἀναπνοήν, ὅτι μὴ παραφροσύνην. οὔτε γὰρ πόνος οὔτε θλῖψις τῶν ἀναπνευστικῶν ὀργάνων, ἀλλ' οὐδὲ κατάψυξίς τις ἦν, οἵαν ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἐδείξαμεν Πυθίωνί τε καὶ τῇ Δεάλκους γυναικὶ γινομένην. τοὺς μέντοι τρεῖς τοὺς ἑξῆς τούτων γεγραμμένους, Ἡροφῶντα, καὶ τὴν Φιλίνου γυναῖκα, καὶ τὴν Ἐπικράτους, εὕροις ἂν ἀκριβῶς ἀναλεγόμενος τὰς ὑπὲρ αὐτῶν διηγήσεις, ἐλάττονα τὴν

παραφροσύνην ἔχοντας, ἢ ὥστε κατὰ ταύτην ἀλλοιωθῆναι τὴν ἀναπνοήν. ἀλλ' Ἡροφῶντι μὲν ὅ, τε σπλὴν ἐπήρθη, καὶ ὑποχονδρίου, φησὶ, ξύντασις, οὐκέτι προσθεὶς, ὑπολάπαρος, οὐδὲ, παραμήκης, οὐδὲ, πρὸς ὀμφαλὸν, ὥστε τούτῳ τὰ κατὰ τὰς φρένας ἐφλεγμήνασιν, ἅπερ ἐδείχθησαν ἡμῖν ἐν τοῖς περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων, τὸ πρῶτόν τε καὶ κυριώτατον αὐτῆς ὄργανον. ἡ δὲ τοῦ Φιλίνου γυνὴ ἤλγεε, φησὶ, καρδίην καὶ ὑποχόνδριον δεξιόν· ἡ δέ γε τοῦ Ἐπικράτους, οὐ τὴν καρδίαν μόνην, ἀλλὰ καὶ πλευροῦ, φησὶν, ἀριστεροῦ βάρος μετ' ὀδύνης εἶχε. διὰ τοῦτ' οὖν οὐδὲ προσέγραψεν οὐδενὶ τούτων πνεῦμα μικρὸν καὶ πυκνὸν, ἀλλ' ὅλως ἐσιώπησεν, ἔθος ἔχων, ὡς καὶ πρόσθεν ἐδείξαμεν, τὰ σαφῶς ἅπασι γινωσκόμενα παραλείπειν. σαφεστάτη δὲ καὶ πᾶσι γνώριμος ἦν, ὡς καὶ τοῦτ' ἐδείξαμεν, ἡ κατὰ μικρότητα καὶ πυκνότητα δύσπνοια, ἣν ἐδυσπνόουν ἐξ ἀνάγκης οἱ προγεγραμμένοι τρεῖς ἄρρωστοι. καὶ μέντοι καὶ ὁ μετ' αὐτοὺς γεγραμμένος Κλεωνακτίδης, ἐξ ἀνάγκης μὲν καὶ αὐτὸς ὁμοίως ἐδυσπνόει διὰ τὴν ὀδύνην τῆς ἀριστερᾶς πλευρᾶς, ἀλλ' οὐδ' ἐπὶ τούτου γέγραπταί τι περὶ δυσπνοίας, ὡς δὴ καὶ χωρὶς τοῦ γραφῆναι νοηθῆναι δυναμένης. οὐ μὴν παρεφρόνησέ γε οὐδ' ὁ Κλεανακτίδης· ὁ δέ γε μετ' αὐτὸν γεγραμμένος Μέτων, οὔτ' ὀδυνῆσαι δυναμένην διάθεσιν, οὔτε στενοχωρῆσαί τι τῶν ἀναπνευστικῶν ὀργάνων, ἔσχεν, ἀλλ' οὐδὲ παραφροσύνης ὑπόθεσιν οὐδεμίαν νοσώδη, παράδοξον δέ τι καὶ οὐκ εἰθισμένον ἀπαντᾶν συνέπεσεν αὐτῷ. τῇ γὰρ ε'. τῶν ἡμερῶν αἱμορραγήσας τε καὶ ἱδρώσας, ἐκρίθη τελέως. ἡμορράγει οὖν ἔτι καὶ μετὰ κρίσιν ἄγρυπνος ὤν, ἀλλὰ καὶ παρέλεγε, φησὶ, καίτοι πρὶν κριθῆναι μηδ' ὅλως παραφρονήσας. διὰ τοῦτο οὖν καὶ ἡμεῖς ἔφαμεν αὐτῷ μηδεμίαν γενέσθαι νοσώδη διάθεσιν παραφροσύνης. ἀλλ' οὕτως παρέλεγεν, ὡς τοῖς μεθύουσι συμβαίνει, πληρώσει τῆς κεφαλῆς. δι' αὐτὸ δὲ τοῦτο καὶ τὸ, παρέλεγεν, ὄνομα γέγραπται πρὸς Ἱπποκράτους, ἐνδεικνυμένου τὴν πρὸς μέθην ὁμοιότητα γενομένην αὐτῷ ἐκ τῆς περὶ τὴν κεφαλὴν πληρώσεως. ἧκε γὰρ ἐπ' αὐτὴν, ὡς ἐκ τῶν συμβάντων ἔστι τεκμήρασθαι, πλῆθος οὐκ ὀλίγον αἵματος, ἐφ' ᾧ δὴ καὶ τὸ σύμπαν ἐκρίθη νόσημα, δεξαμένης τῆς κεφαλῆς ἅπασαν αὐτοῦ τὴν διάθεσιν. ἀλλὰ τοιούτου τοῦ αἵματος οὐκ ὀλίγον μὲν εὐθὺς ἐν τῇ ε'. τῶν ἡμερῶν λάβρως ἐξεκρίθη σὺν ἱδρῶτι, πολὺ δέ τι πλέον τοῦ κενωθέντος ὑπέμεινεν ἐν τῇ κεφαλῇ, βαρῦνόν τε αὐτὴν, καὶ παραλέγειν τὸν ἄνθρωπον ἀναγκάζον. ὅθεν Ἱπποκράτης λουτροῖς ἐχρήσατο κατὰ κεφαλῆς εἰπὼν, ἡμορράγει πολλάκις μετὰ κρίσιν. ὥστ' ἐπί γε τούτου οὐ μόνον οὐκ ἔγραψεν οὐδένα τρόπον δυσπνοίας, ἀλλ' οὐδὲ εἰ γεγένηται τὴν ἀρχὴν δύσπνοος. οὐ γὰρ τοῖς παραλέγουσιν ὁπωσοῦν, ἢ τοῖς μεθύουσιν, ἀλλὰ τοῖς παραφρονοῦσι μόνοις, μέγα γίνεται καὶ ἀραιὸν τὸ πνεῦμα. καὶ διὰ τοῦτ' ἐν τῷ προγνωστικῷ φησιν· μέγα δ' ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνει. ἀλλ' ὅ γε μετ' αὐτὸν ἄρρωστος Ἐρασῖνος, ἐξ ἀνάγκης μὲν ἐδυσπνόει, παραλέλειπται δ' ἡ δύσπνοια διὰ τὴν πολλάκις εἰρημένην αἰτίαν. ὅλως γὰρ οὐδαμοῦ φαίνεται προειπὼν οὐδεμίαν διάθεσιν ὀδυνηρὰν ἢ θλίβουσάν τι τῶν ἀναπνευστικῶν ὀργάνων, εἶθ' ἑξῆς ταύτης παραγράφων τὴν ἑπομένην δύσπνοιαν, ἀλλὰ πανταχοῦ παραλείπων, ὡς ἅπασι γνώριμον. ὅτι δ' ἦν τοιαύτη διάθεσις τῷ Ἐρασίνῳ,

minus deliriũ habere, quam vt ex hoc respiratiõ alterari possit. Sed *Herophonti splen elatus est, & hypochondrii*, ait, *distentio*, neque apponens, *submollis*, neque *oblonga*, neque *ad vmbilicum*; quare huic partes circa septum transuersum inflammatæ fuerunt, quod primum & principalissimũ respirationum organum esse, à nobis in commentariis de causis respirationis est monstratum. At verò, *Philini vxor dolebat*, inquit, *cor & hypochondrium dextrum. Epicratis verò vxor*, non solùm *cor dolebat*, sed & *lateris*, ait, *sinistri grauitatem cum dolore habuit.* Ob id igitur, neque ascripsit vlli horum paruum & densum spiritum, sed penitus obticuit, morem hunc habens, vt etiam antea indicauimus, vt quæ omnibus manifestè cognoscuntur, relinquat. Manifestissima autem & omnibus nota erat, vt item ostendimus, respirandi difficultas in paruitate ac densitate, quàm necessariò præscripti tres ægri habebant. Quin & Cleanactides, qui post ipsos scriptus est, itidem necessariò similiter difficulter spirabat, ob sinistri lateris dolorem; verùm neque in hoc quicquã scriptũ est de difficilis spirationis specie, vtque citra scriptionẽ intelligi possit; neque verò delirauit hic Cleanactides. Qui verò post eum scriptus est Meton, neque quæ dolorem inferre posset, neque quæ aliquod respirandi organum coarctare valeret, affectionem habuit, imò neque delirij vllum morbosum argumentum; verùm quid præter opinionem & quod occurrere non valde solet, ipsi accidit. Quinto enim die sanguine ex naribus effuso cum sudore, perfectè iudicatus est. Sanguinem igitur effundebat adhuc etiam post iudicationem, vigil existens; imo & *præterloquebatur*, inquit, quanuis ante iudicationem penitus non deliraret; & ob id etiam nos diximus nullam morbosam affectionem delirij ipsi affuisse. Verùm sic delirabat hic, vt ebrijs contingit, ex capitis repletione; ob hoc autem & vocem *præterloquebatur* Hippocrates scripsit, vt ostenderet similitudinem ebrietatis ipsi factam ex capitis repletione. Peruenit enim non pauca sanguinis copia ad ipsum, vt ex his, quæ contigerunt, coniectare licet, ob quam sanè totus morbus est iudicatus, suscipiente nimirum capite omnem ipsius affectionem. Verum ex hoc sanguine non parum statim quinto die impetuosè excretum est cum sudore; multo vero plus quam euacuatum est, in capite remansit, quod ipsum grauauit, & hominem delirare coëgit. Vnde Hippocrates balneis capitis vsus est, inquiens, *sanguinem è naribus sæpè post crisin fundebat.* Quare in hoc non solùm nullum difficilis respirationis modum scripsit, sed neque an principio difficulter spirauerit. Non enim quomodocunque delira loquentibus, aut temulentis, sed solis desipientibus magnus & rarus fit spiritus; ob idque in prænotionibus ait; *Spiritus magnus & per longum tempus, desipientiam significat.* At ægrotus, qui post ipsum *scriptus est*, Erasinus, necessariò difficulter spirabat; at prætermissa est spirandi difficultas, ob sæpè dictam causam. Nusquam enim prorsus vllam molestam affectionem, aut respirandi organa prementem prædixisse apparet, atque deinceps sequentem difficilem spirationem ascripsisse, sed vbique velut omnibus notam reliquisse. Quòd verò fuerit eiusmodi affectio ipsi Erasino, clarum

fecit

fecit quum dixit; *hypochondria sublimia, distetio cum dolore.* Magnitudinem enim inflammationis declarat, ob quam, tametsi homo delirabat, non tamen difficilem spirationem delirio propriam passus est; aut certè huius omninò mentionem Hippocrates fecisset. Quemadmodum enim paruam & densam in doloribus contingentem semper omittere reperitur, propterea quòd est manifesta; ita quum eam, quæ in deliriis contingit, norit ambiguam, nusquam reliquit neque indefinitam præteriit. Nam quæ in Critone post eum deinceps scripto acciderunt, manifestam causam habent. Quum enim secundo die mortuus sit inopinatissimè, vt ex ipsa narratione discere licet, meritò de respirationis difficultate quicquam dicere omisit Hippocrates, aut quòd qualis ea fuerit non obseruarit, aut quòd mentionem eius facere non sit dignatus; vtrunque enim ipsorum rationi consentaneum existit: quòd non obseruauerit quidem, tum ob mortis celeritatem, tum propter symptomatum admirabilitatem; non enim mediocriter mirum, hominem obambulantem, & consueta vitæ munia obeuntem, deinde magno pedis digito vehementer dolentem, primo die paululum subcaluisse, sequenti deinde mortuum esse. Quum igitur nulla mora interea facta sit, sed repentinæ homo morti concesserit, desipuerit autem non simpliciter, sed, vt ait, *furens insanierit,* non potuit obseruari quomodo respirauerit. Etenim furiosos ne prope quidem accedere sustinemus, verum omnibus modis ab illis recedimus, metuentes nequid mali etiã nobis affricent. Aut igitur non obseruauit, vt diximus, aut non dignatus est speciei difficilis respirationis mentionem facere, propter inopinatum omnium symptomatum concursum, ad quem solum nos mentem adhibere conuenit, & non distrahi ad ea, quæ per alios ægrotos inueniri possunt. At deinceps Clazomenium describit, qui *caput, & collum, ac lumbos,* inquit, *à principio dolebat*; verùm hæc non sufficiebant ad spiritum paruum ac densum efficiendum, nisi de collo sanè hoc dicere velimus; verùm de hoc in progressu sermonis determinabimus: at verò hypochondrium cum tumore elatum, sufficiens erat. Quare tametsi hic desipuit, non tamen propriam desipientiæ respirationis speciem habuit, quum prædictæ dolorificæ affectiones exuperarent. Cęterum Dromadæ vxor, quæ post hunc sequitur, quã etiã statim à principio huius sermonis apposui, non solùm desipuit, sed & magnum & rarum spiritum habuit, quum neque thoraci, neque hypochondrio, vlla affectio inesset, quæ paruam & densam spirationem efficere ex natura sua posset. Ob id igitur & Hippocrates omnia, quæ mulierem ipsam inuaserant, accurate describens, *primo die circa hypochondrium,* inquit, *dolere cœpit, nauseabunda; anxia*; prauis videlicet humoribus istic os ventriculi mordentibus, non tamen vlla inflammatione existente, neque etiam vlla alia affectione, à qua paruus & densus spiritus produci soleat. Et sanè in hac narratione paululum progressus Hippocrates, vbi scripsit hypochondrii dolor, vocem, *anxia*, apposuit, ac deinde rursus, *siticulosa.* Neque igitur quicquam eorum, quæ circa hypochondrium aut thoracem fiebant, sufficiens erat deliriũ exuperare,

A σαφὲς ἐποίησεν εἰπών· ὑποχόνδρια μετέωρα, συντάσις μετ' ὀδύνης· μέγεθος γάρ τοι φλεγμονῆς ἐμφαίνεται, δι' ἣν καί τοι παραφρονήσας ὁ ἄνθρωπος, οὐκ ἐδυσπνόησε τὴν τῆς παραφροσύνης ἰδίαν δύσπνοιαν, ἢ πάντως ἂν καὶ ταύτης ἐμνημόνευσεν Ἱπποκράτης. ὥσπερ γὰρ τὴν ἐπὶ ταῖς ὀδύναις, τὴν μικρὰν καὶ πυκνὴν, ἀεὶ παραλείπων ὁδε εὑρίσκεται, διότι σαφής ἐστιν, οὕτω τὴν ἐπὶ ταῖς παραφροσύναις εἰδὼς ἀμφισβητουμένην, οὐδαμοῦ παρέλιπεν, οὐδὲ παρῆλθεν ἀόριστον. τὰ γὰρ ἐπὶ Κρίτωνος τοῦ μετ' αὐτὸν ἑξῆς γεγραμμένου σαφῆ τὴν αἰτίαν ἔχει.

B δευτεραίου γὰρ ἀποθανόντος αὐτοῦ παραδοξοτάτως, ὡς ἐξ αὐτῆς τῆς διηγήσεως ἔνεστι μαθεῖν, εἰκότως παρέλιπεν εἰπεῖν τι περὶ δυσπνοίας ὁ Ἱπποκράτης, ἢ οὐ παραφυλάξας τὴν γινομένην δύσπνοιαν, ἢ οὐκ ἀξιώσας μνημονεῦσαι. ἔστι γὰρ ἑκάτερον αὐτῶν εὔλογον, τὸ μὲν μὴ παραφυλάξαι, διά τε τὸ τάχος τοῦ θανάτου, καὶ τὸ τῶν συμπτωμάτων ἐκπληκτικόν· οὐ γὰρ δὴ μικρόν γε θαῦμα περιερχόμενον ἄνθρωπον, καὶ τὰ συνήθη πράττοντα, κἄπειτα τὸν μέγαν ἐν τῷ ποδὶ δάκτυλον ἀλγήσαντα σφοδρῶς, τῇ πρώτῃ μὲν ἡμέρᾳ μικρὸν ὑποθερμανθῆναι, τῇ δ' ἑξῆς ἀποθανεῖν.

C οὔτ' οὖν διατριβῆς ἐν τῷ μεταξὺ γινομένης, ἀλλ' ἐν τάχει μὲν ἀποθανόντος τοῦ ἀνθρώπου, παραφρονήσαντος δ' οὐχ ἁπλῶς, ἀλλ' ἐκμανέντος, ὡς φησιν, οὐχ οἷόν τε ἦν παραφυλάττειν, ὅπως ἀνέπνει. τοῖς μὲν γὰρ ἐκμαινομένοις, οὐδ' ἐγγὺς ἐλθεῖν ὑπομένομεν, ἀλλ' ἐξιστάμεθα παντὶ τρόπῳ δεδιότες, μήτι κακὸν ἡμῖν προστρίψωνται. ἢ οὖν οὐ παρεφύλαξεν ὡς εἴπομεν, ἢ οὐκ ἠξίωσε μνημονεῦσαι τοῦ τῆς δυσπνοίας εἴδους, διὰ τὸ παράδοξον τῆς ὅλης συνδρομῆς,

D ᾗ μόνῃ προσέχειν τὸν νοῦν ἡμᾶς ἄξιον, καὶ μὴ περιέλκεσθαι πρὸς τὰ δι' ἄλλων ἀρρώστων εὑρεθῆναι δυνάμενα. ἑξῆς δὲ γράφει τὸν Κλαζομένιον, ὃς ἤλγει, φησὶ, κεφαλὴν, καὶ τράχηλον, καὶ ὀσφὺν, ἐξ ἀρχῆς· ἀλλὰ ταῦτα μὲν οὐχ ἱκανὰ μικρὸν καὶ πυκνὸν ἐργάσασθαι τὸ πνεῦμα, πλὴν εἴπερ ἄρα ὁ τράχηλος: ἔστι δὲ καὶ ὅτι τοῦτο προϊόντος τοῦ λόγου διορισθήσεται· τὸ δὲ ὑποχόνδριον τὸ μετ' ὄγκου ἐπηρμένον, ἱκανόν, ὥστ' εἰ καὶ παρεφρόνησεν οὗτος, οὐκ ἐδυσπνόησε τὴν οἰκείαν τῇ παραφροσύνῃ δύσπνοιαν, κρατησάντων τῶν εἰρημένων

E ἐπωδύνων παθημάτων. ἡ μέντοι μετ' αὐτὸν Δρομάδεω γυνὴ, ἣν καὶ κατ' ἀρχὰς εὐθὺς τοῦδε τοῦ λόγου παρεθέμην, οὐ μόνον παρεφρόνησεν, ἀλλὰ καὶ μέγα καὶ ἀραιὸν εἶχε τὸ πνεῦμα, μηδενὸς μήτε περὶ θώρακα, μήτε καθ' ὑποχόνδριον γινομένου παθήματος, ὃ μικρὰν καὶ πυκνὴν ἐπεφύκει τὴν ἀναπνοὴν ἐργάσασθαι. ταῦτ' ἄρα καὶ ὁ Ἱπποκράτης ἀκριβῶς πάντα τὰ καταλαβόντα τὴν ἄνθρωπον γράφων, ἤρξατο πονεῖν τὴν πρώτην περὶ ὑποχόνδριον, ἔφη, ἀσώδης, ἀλύουσα· μοχθηρῶν

F δηλονότι χυμῶν αὐτόθι δακνόντων τὸ στόμα τῆς γαστρὸς, οὐ μὴν φλεγμονῆς γε οὐδεμιᾶς ὑπαρχούσης, οὐδ' ἄλλου παθήματος οὐδενὸς, ὑφ' οὗ μικρὸν καὶ πυκνὸν γίνεται τὸ πνεῦμα· καὶ μὲν δὴ καὶ βραχὺ προελθὼν κατὰ τὴν διήγησιν ὁ Ἱπποκράτης, εἶτα γράψας, ὑποχονδρίου πόνος, τὸ, ἀσώδης, προσέθηκεν, εἶθ' ἑξῆς πάλιν, διψώδης. οὔτ' οὖν τῶν καθ' ὑποχόνδριον ἢ θώρακα τι γινομένων, ἱκανὸν ἦν κρατῆσαι τῆς παραφροσύνης,

ἀλλ' οὐδὲ τὸ ἔμφυτον θερμὸν ἐσβέννυτο, καθάπερ ἐδείξαμεν ἑτέροις οὕτω συμβάν, ὥστ' εὐλόγως μηδεμιᾶς διαθέσεως τῶν ἀντιτεταγμένων τῇ παραφροσύνῃ, τὴν ἀναπνοὴν ἀλλοιῶσαι δυνηθείσης, μέγα ταύτῃ καὶ ἀραιὸν τὸ πνεῦμα ἐγένετο. ἐπεὶ δὲ προσγέγραπται τὸ, αὐτίκα ἀνεσπασμένον, τοῦτο ἐπισημήνασθαί με χρὴ νῦν, ἵνα μή τις ὑπολάβοι μέλλειν ἡμᾶς αὐτὸ ῥαθύμως παρέρχεσθαι. ἐξηγεῖσθαι δὲ οὐ νῦν καιρὸς, ἀλλ' ἐν τῷ μετὰ ταῦτα λόγῳ, σὺν τοῖς ἄλλοις ὁμοίως εἰρημένοις ἐξετασθήσεται· ἐν δέ γε τῷ παρόντι τοὺς ὑπολοίπους ἔτι τρεῖς ἀρρώστους προχειρισόμεθα, παραφρονήσαντας μὲν καὶ αὐτοὺς, οὐ μὴν δυσπνοήσαντάς γε τὴν ἰδίαν τῆς παραφροσύνης δύσπνοιαν. διὰ τοῦτ' ἐπὶ μὲν τοῦ πρώτου γέγραπται, ὑποχονδρίου δεξιοῦ πόνος, φλεγμονὴ ὑπολάπαρος ἐκ τοῦ εἴσω μέρεος, τοῦ πρὸς τὰς φρένας δηλονότι. ἐπὶ δὲ τοῦ δευτέρου, κατὰ τὸ ὑποχόνδριον ἔπαρμα σὺν ὀδύνῃ, καὶ μετ' ὀλίγον, ὑποχονδρίου πόνος, καὶ αὖθις ἑξῆς, περὶ δὲ κληῖδα ἀριστερὴν πόνος παρέμενεν. ἐπὶ δὲ τοῦ τρίτου τῶν ἀρρώστων (γυνὴ δὲ ἦν αὕτη, ὥσπερ καὶ ἡ πρὸ αὐτῆς) κεφαλῆς, φησι, καὶ τραχήλου καὶ στήθεος πόνος ἰσχυρὸς, καὶ μετ' ὀλίγον, οἱ πόνοι παρέμενον.

sed neque calor innatus extinguebatur, quemadmodum aliis sic contigisse ostendimus. Quare meritò, quum nulla affectio ex delirio oppositis respirationem alterare posset, magnus & rarus spiritus huic fœminæ fiebat. Quando verò ascriptum est & hoc, *statim reuulsus*, hoc ipsum adhuc me annotare nunc oportet, nequis suspicetur nos id segniter præterituros. Verùm nunc sanè id exponere non est tempestiuum, explicabitur autem sequenti libro vnà cum aliis similiter dictis. Cæterùm præsenti libro reliquos adhuc tres ægros in manus sumemus, qui quidem & ipsi desipuerunt, non tamen propriam delirio difficilis respirationis speciem habuerunt. Ob id in primo quidem scriptum est; *hypochondrii dextri dolor, inflammatio submollis ex interna parte*, ex ea videlicet, quæ ad septum transuersum vergit. In secundo verò, *In hypochondrio tumor elatus cum dolore*; & paulo post, *hypochondrii dolor*; & rursus deinceps, *Circa clauiculam sinistram dolor permanebat*. In tertio autem ægroto (mulier verò erat hæc velut etiam præcedens) *Capitis*, inquit, *& colli, & pectoris dolor fortis*; & paulò post, *Dolores permanebant*.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὅτι ἐξ ἑκάστου τῶν ἀρρώστων τοῦ τρίτου τῶν ἐπιδημιῶν βιβλίου μαρτυρήματα ἐπὶ τοῖς πρὸς τοῦ Γαληνοῦ προειρημένοις πίστιν παρέχοντα.

Οὗτοι μὲν δὴ οἱ τεσσαρεσκαίδεκα ἄρρωστοι ἐκ τοῦ πρώτου τῶν ἐπιδημιῶν εἰσιν, ἐφεξῆς οὕτως ὑφ' Ἱπποκράτους, ὥσπερ καὶ ἡμεῖς αὐτῶν ἐμνημονεύσαμεν, γεγραμμένοι· ἐν δὲ τῷ τρίτῳ τῶν ἐπιδημιῶν, δώδεκα μέν εἰσιν οἱ πρὸ τῆς λοιμώδους καταστάσεως, ἑκκαίδεκα δὲ οἱ μετ' αὐτήν, ὁμολογοῦντες ἅπαντες οἷς ἐξ ἀρχῆς ὑπεθέμεθα. καὶ οἶδα σαφῶς, ὅτι παραλιπὼν μὲν αὐτοὺς, καὶ τοῖς βουλομένοις ἐπισκοπεῖσθαι τὴν ἐν ἅπασιν ὁμολογίαν ἐπιτρέψας ἰδίᾳ καὶ καθ' ἑαυτοὺς ἀναλέγεσθαι τὰς ὑπὸ τοῦ παλαιοῦ γεγραμμένας διηγήσεις, οὐ διὰ τὸ φυλάττεσθαι μακρολογεῖν δόξω τοῦτο δρᾶν, ἀλλὰ διὰ τὸ μὴ δύνασθαι τὰς ἐξ ἀρχῆς ὑποθέσεις ἐν ὅλῳ τῷ λόγῳ διασώζειν· εἰ δὲ πάντας ἑξῆς ἐπίοιμι, φλύαρός τις εἶναι δόξω καὶ ληρώδης, ἃ καὶ καθ' ἑαυτὸν ἕκαστος ἱκανὸς ἦν ἐξετάζειν, αὐτὸς ταῦτα μάτην παραγράφων. οὐ μὴν ἀλλ' εἰ πάντως με χρὴ θάτερον ὑπομεῖναι τῶν ἀτόπων, ἤτοι τὴν ὑποψίαν τῆς μοχθηρίας τῶν δογμάτων, ἢ τὴν μακρολογίαν, εὑρίσκω δὲ τῆς μὲν μακρολογίας παραμυθίας τινάς, τῆς δ' ὑποψίας, οὐδεμίαν, εὐλογώτερον τὸ περὶ πάντων εἰπεῖν. τίνες οὖν αἱ τῆς μακρολογίας παραμυθίαι; πρώτη μὲν τὸ διὰ ταχέων ἐπιδραμεῖν τῷ λόγῳ τοὺς ἀρρώστους, μηκέτι ὁμοίως ἐγχρονίσαντα καθ' ἕκαστον, ἀλλ' ἢ μόνον ὑπομιμνήσκοντα· δευτέρα δὲ, τοὺς μηδὲ τῶν οὕτω βραχέων ὑπακούειν ἀνεχομένους, ὑπερβαίνειν αὐτὰ παρακαλέσαι, μηδὲ γεγράφθαι νομίζοντας. ὡς γὰρ ἐν ἑστιάσει λαμπρᾷ, πολλῶν παρασκευασθέντων, ἄλλος ἄλλο προαιρεῖται, τὸ μὲν ὡς ἡδὺ, τὸ δ' ὡς ὠφελῆσον, οὕτω χρὴ καὶ τῶν λόγων τὴν μὲν παρασκευὴν εἶναι δαψιλῆ, τὴν δ' αἵρεσιν ἐπὶ τοῖς χρωμένοις.

CAPVT XI.

Ex singulis ægrotis tertii epidemiorum libri esse testimonia, quæ superiora Galeni dicta confirment.

Atque hi quidem quatuordecim ægroti sunt ex primo libro epidemiorum, eo ordine ab Hippocrate, quo etiam nos ipsorum mentionem fecimus, conscripti; libro autem tertio epidemiorum duodecim sunt ante pestilentem constitutionem ægroti; sexdecim verò post eam, qui omnes consentiunt cum iis quæ initio supposuimus. Pro comperto autem habeo, me, si omittam ipsos, & committam iis, qui volunt in omnibus consensum intueri, vt priuatim & per se ipsos narrationes à sene conscriptas legant, non propterea, vt longiores vitem sermones, hoc facere visum iri, sed quòd non possim pronunciata à principio supposita per totum sermonem tueri. Si verò omnes deinceps recenseam, nugator & loquaculus esse videbor, vt qui ea quæ quisque per sese expendere poterat, ipse frustra ascribam. At verò si penitus me alterum absurdum incurrere oportet, aut videlicet suspicionem falsi dogmatis, aut loquacitatem, reperio autem loquacitatis aliqua solatia, suspicionis verò nulla; satius est de omnibus dicere. Quæ igitur sunt loquacitatis solatia? Primum vt paucis percurram ipsos ægros, neque amplius similiter immorer singulis, sed eorum solùm memoriam refricem; alterum verò, vt adhorter eos, qui ne tam pauca quidem sustinent audire, ea transgrediantur, & ne scripta quidem esse putent. Quemadmodum enim in splendida epulatione quum multa sint apparata, alius aliud eligit, hoc quidem, vt suaue, aliud verò, vt profuturum; sic etiam sermonum apparatum opiparum esse oportet, electionem autem in vtentibus.

CAPVT XII.

Ordo ægrorum tertii libri epidemiorum ante pestilentem constitutionem.

PRimus itaque omnium ægrotus nomine Pythion, ex ipsa narratione manifestum est, quòd nullum difficilis respirationis argumentum habuerit. Secundus verò, Hemocrates, *Caput*, inquit, *dolere incepit, & lumbos; hypochondrii distentio submollis*; non tamen quòd infra & ad vmbilicum ipsa tensio processerit, aut quòd oblonga fuerit, ascripsit; ex quo clarum fit, quòd à septo transuerso inflammato hypochondrium reuellebatur; & ob id etiam submolle apparebat, vt quod nullam propriam haberet inflammationem. Hic igitur etiamsi delirabat, tamen ipsum delirium ab alio maiore affectu superabatur; quemadmodum etiam in tertio, & quarto, quintóque ac sexto. Etenim in tertio, *hypochondrii dextri distentio submollis* scripta est. In quarto verò *hypochondrium dextrum distentum fuit, ad interna procubuit.* In quinto autem, *collum dolebat.* Verùm in sexto ægroto (erat autem hæc mulier) præfatus Hippocrates; *Hæc incipiente morbo dolebat fauces, & perpetuò ruborem habebat, gurgulio reuulsus, fluxiones multæ, tenues, paruæ, acres; tussiebat, maturum autem nihil educebat*; paulò post ait; *Erat autem & quid congenitum tabidum.* Quare manifesta etiam in hac fit affectio prædominans, in spirabilibus organis consistens. At verò eam quæ inde sequitur enarrans ægrotam, hoc modo auspicatur; *Mulier anginosa apud Aristionis*; progressus autem inquit, *Spiritus sublimis*; quod ipsum etiam in progressu sermonis exponemus, nunc verò quod propositum est absoluamus. In octauo deinceps ægroto scriptum est; *hypochondrii tensio submollis vtrinque.* In nono verò, *Dolores circa hypochondrium.* Verùm hæc sanè mulier non desipuit. Quæ verò sequuntur duę mulierculæ, *eas ex corruptione fœtuum malè habuisse* ait; affectiones verò, quas recenset de ipsis, vt vniuersim pronunciemus, vterorũ inflammationes sunt; particulatim verò, quæ ad eiusmodi affectiones etiam aliàs consequuntur. Postremam verò, quæ adhuc restat, *cor doluisse* ait, non apponens vocem, *anxia.* Quin & *frigidum sudasse, & per totum morbum horrore laborasse, vt magnopere perfrigeraretur & vix recalesceret, aut nullo modo.* Quare manifestum est etiam hanc omninò secundum vtrasque affectiones, tum doloris, tum perfrigerationis, breuispiram fuisse; non tamen dignatus est in hac Hippocrates difficilis spirationis mentionem facere, vt quæ valdè esset manifesta.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ.

Τάξις τῶν ἀῤῥώστων τοῦ τρίτου τῶν ἐπιδημιῶν πρὸ τῆς λοιμώδους καταστάσεως.

Ὁ Μὲν δὴ πρῶτος ἁπάντων ἄῤῥωστος, ᾧ Πυθίων ὄνομα, δηλός ἐστιν ἐξ αὐτῆς τῆς διηγήσεως, οὐδὲ μίαν πρόθεσιν ἔχων δυσπνοίας. ὁ δὲ δεύτερος, Ἑρμοκράτης, ἤρξατό, φησιν, ἀλγεῖν κεφαλὴν, ὀσφύν· ὑποχονδρίου ἔντασις ὑπολάπαρος. οὐ μὴν ὅτι κάτω καὶ πρὸς ὀμφαλὸν ἔῤῥεπεν ἡ τάσις, ἢ ὅτι προμήκης ἦν, ἐπιπροσέγραψεν, ἐξ ὧν δῆλον, ὅτι πρὸς τὰς φρένας φλεγμαινούσας ἀνεσπᾶτο τὸ ὑποχόνδριον, καὶ διὰ τοῦτο καὶ ὑπολάπαρον ἐφαίνετο, ὡς ἂν μηδεμίαν οἰκείαν ἔχον φλεγμονήν. ἐπεὶ οὖν εἰ καὶ παρέπαιεν, ἀλλ᾽ ὑφ᾽ ἑτέρου γε μείζονος ἐνικᾶτο ἡ παραφροσύνη, ὥσπερ οὖν καὶ ἐπὶ τοῦ τρίτου, καὶ τετάρτου, καὶ πέμπτου, καὶ ἕκτου. ἐπὶ μὲν γὰρ τοῦ τρίτου, ὑποχονδρίου δεξιοῦ ξύντασις ὑπολάπαρος γέγραπται· ἐπὶ δὲ τοῦ τετάρτου, ὑποχόνδριον δεξιὸν συνετάθη, ἔῤῥεπεν εἰς τὰ ἔσω· ἐπὶ δὲ τοῦ πέμπτου, τράχηλον ἐπωδύνως εἶχεν· ἐπὶ δὲ τοῦ ἕκτου τῶν ἀῤῥώστων (γυνὴ δὲ ἦν αὕτη) προειπὼν ὁ Ἱπποκράτης, αὕτη ἀρχομένη τοῦ νοσήματος, ἤλγει φάρυγγα, καὶ διατελέος ἔρευθος εἶχεν, γαργαρεὼν ἀνεσπασμένος, ῥεύματα πολλὰ, λεπτὰ, σμικρὰ, δριμέα· ἔβησσε, πέπον δ᾽ οὐδὲν ἀνῆγε. μετ᾽ ὀλίγον ἐρεῖ, ἦν δέ τι καὶ ξυγγενικὸν φθινῶδες· ὥστε δῆλον κἀπὶ ταύτης ἡ ἐπικρατοῦσα διάθεσις ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις συστᾶσα. τὴν μέντοι μετὰ ταύτην ἄῤῥωστον διηγούμενος, ἄρχεται τόνδε τὸν τρόπον· ἡ κυναγχικὴ ἡ παρὰ τὰ Ἀριστίωνος· προελθὼν δέ φησι· πνεῦμα μετέωρον· ὃ καὶ αὐτὸ προϊόντος ἐξηγησόμεθα τοῦ λόγου, νυνὶ δὲ τὸ προκείμενον περαντέον. ἐπὶ μὲν τοῦ ὀγδόου ἀῤῥώστου γέγραπται· ὑποχονδρίου ἔντασις ὑπολάπαρος ἐξ ἀμφοτέρων· ἐπὶ δὲ τοῦ ἐνάτου, πόνοι περὶ ὑποχόνδριον· ἀλλ᾽ αὕτη γε, οὐ παρεφρόνησε. τὰς δ᾽ ἑξῆς δύο γυναῖκας ἐκ διαφθορῆς μὲν φησι σχεῖν κακῶς, ἃς διαθέσεις δ᾽ αὐτῶν διηγεῖται, τὸ μὲν καθόλου ἀποφαίνεσθαι φλεγμοναὶ τῶν ὑστερῶν εἰσι, κατὰ μέρος δὲ, ὅσα ταύταις ἕπεται παθήματα. μίαν δέ τινα λοιπὴν, καρδίαν ἀλγῆσαι φησι, μὴ προσθεὶς, ἀσώδης, ἀλλὰ καὶ ἱδρῶσαι ψυχρὸν, καὶ δι᾽ ὅλου τοῦ νοσήματος φρικώδη γενέσθαι, καὶ καταψυχομένην μεγάλως, καὶ μόγις ἀναθερμαινομένην, ἢ οὐδ᾽ ὅλως. ὥστε δῆλον ὅτι καὶ αὐτὴ βραχύπνοος μὲν ἦν πρώτως κατ᾽ ἀμφοτέρας τὰς διαθέσεις, τήν τε τῆς ὀδύνης καὶ τὴν τῆς καταψύξεως, οὐ μὴν ἠξίωσέ γε οὐδ᾽ ἐπὶ ταύτης, εἰπεῖν περὶ δυσπνοίας ὁ Ἱπποκράτης, ὡς πάνυ σαφοῦς.

CAPVT XIII.

Ordo ægrorum tertii libri Epidemiorum post pestilentem constitutionem.

SVbsequitur autem pestilens constitutio, à qua rursus primum quidem ęgrum Parium describit, in quo circa finem sermonis, vbi quæ in toto corpore cõtinenter permanserunt, scribit, hoc adiicitur; *Cum doloribus vigilans*; Secundũ verò in Thaso, de quo ait; *Tusses autem continuæ,*

ΚΕΦΑΛΑΙΟΝ ΙΓ.

Τάξις τῶν ἀῤῥώστων τοῦ τρίτου τῶν ἐπιδημιῶν μετὰ τὴν λοιμώδη κατάστασιν.

Ἑξῆς δ᾽ ἐστὶν ἡ λοιμώδης κατάστασις, μεθ᾽ ἣν πάλιν, πρῶτον μὲν ἄῤῥωστον γράφει τὸν Πάριον, ἐφ᾽ ᾧ κατὰ τὴν τελευτὴν τοῦ λόγου, ἔνθα τὰ ἐν ὅλῳ τῷ σώματι διηνεκῶς παραμείναντα γράφει, πρόσκειται καὶ τοῦτο· μετὰ πόνων ἄγρυπνος· δεύτερον δὲ τὸν ἐν Θάσῳ, περὶ οὗ φησι, βῆχες δὲ

συνεχέες, ὑγρὰ, πολλαί. τρίτος δέ ἐστι Πυθίων, ὃν ἐξηγήσασθαι φθάνομεν. καὶ τέταρτος ὁ φρενιτικός, καὶ πέμπτος ὁ ἀρξάμενος ἐξαίφνης τὸν δεξιὸν μηρὸν ἀλγεῖν, τοῦ ῥεύματος δ' εἰς τὰ κατὰ τὴν κεφαλὴν ἐπανελθόντος, εὐθὺς μὲν παραφρενήσας, εὐθὺς δὲ καὶ ἀποθανών, ὁμοίως τῷ κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν, ἀρξαμένῳ μὲν ἀπὸ τοῦ κατὰ τὸν μέγαν δάκτυλον πόνου, δευτεραίῳ δὲ ἀποθανόντι. ὥστε οὐδ' ἐπὶ τούτοις περὶ δυσπνοίας ὅλως οὐδὲν ἔγραψε, δι' ἃς ἐπ' ἐκείνου φθάνομεν αἰτίας εἰρηκέναι. ὁ δ' ἕκτος οὔτε παρεφρόνησεν, οὔτ' ἄλλην τινὰ ἔσχε διάθεσιν δυσπνοίας ποιητικήν. ὁ δ' ἕβδομος ἄρρωστος ἡ παρθένος ἐστίν, ἡ διὰ τὸ πλῆθος τοῦ αἵματος ἐνοχληθεῖσα τὴν κεφαλὴν οὕτως, ὡς ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ὁ ἕβδομος γεγραμμένος, αἱμορραγήσας ἐκ ῥινῶν· ὥσθ' ὅσα φθάνομεν εἰρηκότες ὑπὲρ ἐκείνου, ταῦτα κἀνταῦθα μεταφέρεσθαι. ὁ δ' ὄγδοος ἄρρωστος Ἀναξίων ἐστίν, ὃν διὰ τῶν ἔμπροσθεν ἐξηγησάμεθα. ὁ δ' ἔνατος, τῇ τε παρθένῳ καὶ τῷ αἱμορραγήσαντι ἐκείνῳ τῷ ἐκ τοῦ πρώτου τῶν ἐπιδημιῶν παραπλήσιον ἔσχε τῆς ὅλης νόσου τὴν ὑπόθεσιν. ὁ δὲ δέκατος, ὅσπερ ἐστὶν ὁ ἐν Ἀβδήροις Νικόδημος, παρέπαισε μὲν ἅπαξ ἐν τῇ ἕκτῃ τῶν ἡμερῶν, εἶτα εἰκοσταῖος κριθεὶς ἱδρῶτι, καὶ δόξας ἀπύρετος γενέσθαι, αὖθις ἀνεπύρεξε, καὶ αὖθις μικρὰ παρέκρουσε. γράφει δ' ἐπ' αὐτοῦ καὶ τάδε· οἱ δὲ παροξυσμοὶ καὶ οἱ πόνοι τούτῳ διατελέος. τίνων πόνοι; τάχ' ἄν τις ἔροιτο. καρδιαλγικὸν μὲν εὐθὺς κατ' ἀρχὰς ἔφησεν αὐτὸν γενέσθαι, μικρὸν δὲ προελθών, πόνοι πάντων ἔγραψε. ταῦτ' ἄρα καὶ ἡ παραφροσύνη μικρὰ καὶ ὀλιγοχρόνιος γενομένη, τὴν ἀναπνοὴν οὐκ ἠλλοίωσε. εἶτ' ἐξῆς ἐστι τὸ γύναιον τὸ ἐκ τῆς λύπης ἀρξάμενον, ἐφ' ᾧ γράφει· πόνοι μεγάλοι συνεχεῖς, ἀλλὰ καὶ σπασμοὶ πολλοί, φησί. γράφει δ' ἐν ἀφορισμοῖς περὶ σπασμῶν ὧδε· ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακόν, σπασμὸν γὰρ σημαίνει. καὶ τοίνυν καὶ τὸ τῆς δυσπνοίας εἶδος τῇ γυναικὶ ταύτῃ, τὸ μέν τι κατὰ τὰς ὀδύνας, τὸ δέ τι κατὰ τοὺς σπασμοὺς ἐγίνετο· διὰ τοῦτ' οὖν καίτοι παραφρονήσασα, μέγα καὶ ἀραιὸν οὐκ ἔσχεν, οἷα νικηθὲν ὑφ' ἑτέρων δυοῖν ἰσχυροτέρων διαθέσεων. μετὰ ταῦτα δὲ ἡ ἐν Λαρίσσῃ παρθένος, ἡ δωδεκάτη μετὰ τὴν λοιμώδη κατάστασιν γεγραμμένη, διὰ πλῆθος αἵματος νοσήσασα, καὶ κριθεῖσα τῇ τε διὰ ῥινῶν αἱμορραγίᾳ, καὶ ἱδρῶτι, καὶ γυναικείοις τότε πρῶτον ἐπιφανεῖσιν, οὐδεμίαν ἔσχε κατασκευὴν δυσπνοίας οὐδεμιᾶς. τῷ δὲ μετὰ ταῦτα Ἀπολλωνίῳ τῷ ἐν Ἀβδήροις, ὑποχονδρίου δεξιοῦ, φησίν, ἔπαρμα σὺν ὀδύνῃ· ἀλλὰ καὶ ὅτι διὰ παντὸς ἦν μεγαλόσπλαγχνος, καὶ συνήθης αὐτῷ περὶ τὸ ὑποχόνδριον ὑπῆρχεν ὀδύνη, καὶ τοῦτ' ἐν ἀρχῇ γέγραπται τῆς διηγήσεως. οὐδὲν οὖν θαυμαστόν, εἰ καὶ παρεφρόνησε, μὴ δυσπνοῆσαι κατὰ τὸ τῆς παραφροσύνης εἶδος αὐτόν, οὕτως μεγάλην διάθεσιν ὀδυνηρὰν ἐν ὑποχονδρίῳ κεκτημένον. ἑξῆς δὲ τούτου ἡ ἐν Κυζίκῳ τὰς διδύμους θυγατέρας τεκοῦσά ἐστιν, ὑπὲρ ἧς ὧδέ πως ἔγραψε· κεφαλῆς καὶ τραχήλου βάρος μετ' ὀδύνης, ὥστε καὶ ἡ δύσπνοια κατὰ τοῦτο. λοιποὶ δ' ἐπὶ ταύτῃ δύο εἰσὶν ἄρρωστοι κατὰ τὸ τρίτον τῶν ἐπιδημιῶν, ἡ Δεάλκους γυνή, καὶ ὁ ἐν Μελιβοίῃ

humidæ, multæ. Tertius est Pythion, quem iam antea explicauimus. Et quartus *phreniticus.* Et quintus, cui repentè dextrum femur dolere incepit, & quum fluxio in caput conscendisset, statim quidem delirauit, & statim item mortuus est, similiter, vt is qui in primo epidemiorum, dolore ad magnum pedis digitum oborto, secundo die mortuus est. Quare in his de difficili respiratione penitus nihil scripsit, ob causas quas in illo ipso iam antè retulimus. Sextus deinceps, neque desipuit, neque aliam vllam affectionem difficilis respirationis effectricem habuit. Septimus autem ægrotus, virgo est, quæ ob sanguinis copiam ita caput vexata est, vt in primo epidemiorum septimus item scriptus æger, cui sanguis ex naribus profluxit; quare quæ iam de illo diximus, ea etiam huc transferantur. Octauus verò ægrotus Anaxion est, de quo in superioribus egimus. Nonus autem tum virgini, tum illi primi libri epidemiorum cui ex naribus sanguis profluxit, consimilem totius morbi hypothesim habuit. Decimus verò qui est Abderitanus Nicodemus, delirauit quidem semel sexto die, tum vigesimo per sudorem iudicatus, quum visus esset sine febre esse, rursus febricitauit, & rursus paululùm delirauit. Scribit de ipso etiam hæc; *Exacerbationes autem, & dolores huic ad finem.* Verùm quarum partium dolores? quæsierit fortassis aliquis. cordis equidem dolore ipsum statim in principio impetitum fuisse dixit, paululùm autem inde progressus, *dolores omnium*, scripsit. Ob id igitur & delirium, quod exiguum & breue fuerit, respirationem non alterauit. Deinceps consequitur muliercula, quę ex mœrore in morbum incidit, in qua scribit; *Dolores magni, continui; quin & conuulsiones multæ*, ait. At in aphorismis de conuulsionibus hoc modo scribit; *In febribus spiritus intercisus, malum, conuulsionem enim significat.* Itaque species difficilis respirationis huic mulierculæ, partim ob dolores, partim ob conuulsiones fiebant; ob id igitur quanuis delira esset, tamen magnum ac rarum spiritum non habebat, vt qui ab aliis duabus fortioribus affectionibus superatus esset. Postea verò virgo Larissæa duodecima post pestilentem constitutionem ab Hippocrate conscripta, quæ ob sanguinis multitudinem ægrotauit, & per fluxum sanguinis ex naribus iudicata est, itemque per sudores, & fluxum menstruorum tunc primùm conspectorum; nullam vllius difficilis respirationis dispositionem habuit. At verò Appollonio Abderitano, qui inde sequitur, *hypochondrii dextri*, inquit, *elatio cum dolore.* Quin & quòd semper fuerit magnis visceribus præditus, & quòd dolor in hypochondrio ipsi extiterit familiaris, hoc ipsum in principio narrationis scriptum est. Nihil igitur miri est ipsum quanuis delirauerit, non tamen respirationis speciem delirio propriam habuisse, quum videlicet affectionem molestam tantam in hypochondrio haberet. Deinceps ab hoc sequitur mulier, quæ Cyzici gemellas puellas peperit, dę qua sic scripsit; *Capitis & colli grauitas cum dolore*; quare etiam spirandi difficultas secundum hanc affuit. Restant post hanc duo adhuc ægroti in tertio epidemiorum libro, vxor videlicet Dealcis, & adolescens Melibœus, qui

ambo

ambo & delirauerunt, & magnum ac rarum spiritum habuerunt; de quibus in superioribus sufficienter diximus. Cæterùm quum hic liber iam ad iustam magnitudinem peruenerit, de reliquis omnibus, quæ de difficili spiratione à sene tradita sunt, sequenti libro speculabimur.

νεανίσκους, ἀμφότεροι παραφρονήσαντές τε, καὶ μέγα καὶ ἀραιὸν ἔχοντες τὸ πνεῦμα, περὶ ὧν ἔμπροσθεν αὐτάρκως διηλέχθη. ἀλλ' ἐπεὶ καὶ τοῦτο ἡμῖν τὸ βιβλίον ἱκανὸν ἤδη μέγεθος ἔχει, περὶ τῶν λοιπῶν ἁπάντων, ὅσα περὶ δυσπνοίας εἴρηται τῷ παλαιῷ, διὰ τοῦ μετὰ ταῦτα σκεψόμεθα.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΥΣΠΝΟΙΑΣ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

GALENI DE DIFFICVLTATE RESPIRATIONIS LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ὅτι τὰ ἐν τοῖς ἄλλοις βιβλίοις τῶν ἐπιδημιῶν τοῖς τῷ Ἱπποκράτει προσγεγραμμένοις περιεχόμενα, τοῖς ἐν τῷ πρώτῳ περὶ δυσπνοίας ἀποδεδειγμένοις προσμαρτυρεῖ.

ARGVMENTVM LIBRI.

Ea quæ in cæteris Epidemiorum libris ascriptis Hippocrati continentur, ijs quæ primo libro de spirandi difficultate demonstrata sunt, astipulari.

CAPVT PRIMVM.

Quid superioribus libris actum sit; quid hoc agendum; ac de authoribus Epidemiorum.

VNIVERSO de difficultate spirandi sermone in duplicem doctrinam à nobis diuiso, in primo quidem libro, quæ medicum de ipso cognoscere oportet, vnà cum propriis demonstrationibus ostendimus; in secundo verò, qui hunc pręcedit, & hoc ipso tertio, omnium, quæ ab Hippocrate de spirandi difficultate dicta sunt in omnibus ipsius scriptis, expositionem facimus. Quare qui ipsorum tantùm artis operum studiosi sunt, nihilque de veterum dictis curiosiùs inuestigandum (velut ipsi aiunt) censent, omnia quæ cupiunt, ex primo libro sufficienter habebunt: qui verò etiam Hippocratis sententiam discere expetunt, simúlque possunt, ex his sanè libris eam assequentur. Appetere itaque cognoscere ea, quæ ab optimis dicta sunt, commune est omnium naturâ honestatis studiosorum; verùm posse etiam ipsa discere, longiore tempore indiget, neque similiter omnibus licet; plerique enim præ multitudine negociorum, ocio ad optima prosequenda priuantur. Hæc sanè quum nos non laterent, ea quæ maximè ad artis opera pertinent, in primo horum commentariorum explicauimus; verùm seorsum Hippocratis sen-

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν ἐν τοῖς πρὸ τοῦδε βιβλίοις εἰρημένων καὶ τῶν ἐν τῷδε ῥηθησομένων, καὶ τῶν συγγραψάντων τὰ τῶν ἐπιδημιῶν.

ΤΟΝ περὶ τῆς δυσπνοίας λόγον εἰς δύο διδασκαλίας τεμόντες, ἐν μὲν τῷ πρώτῳ τῶν ὑπομνημάτων, ὅσα χρὴ γινώσκειν ὑπὲρ αὐτῆς τὸν ἰατρὸν, ἅμα ταῖς οἰκείαις ἀποδείξεσιν ἐδηλώσαμεν· ἐν δὲ τῷ πρὸ τούτου δευτέρῳ, καὶ αὐτῷ δὲ τούτῳ τῷ τρίτῳ, τῶν Ἱπποκράτει περὶ δυσπνοίας εἰρημένων ἐν ἅπασι τοῖς συγγράμμασιν, ἐξήγησιν ποιούμεθα· ὥστε τοὺς μὲν αὐτῶν τῶν ἔργων τῆς τέχνης μόνων ἐφιεμένους, μηδὲν δ' ὡς αὐτοί φασι, πολυπραγμονεῖν ἀξιοῦντας ὑπὲρ τῶν τοῖς παλαιοῖς εἰρημένων, ἔχειν ἅπαν ἱκανῶς, ὃ σπουδάζουσιν, ἐκ τοῦ πρώτου λόγου· τοὺς δὲ καὶ τὴν Ἱπποκράτους γνώμην ἐπιμαθεῖν ὀρεγομένους τε ἅμα καὶ δυναμένους, ἐκ τῶνδε τῶν γραμμάτων ἀναλέγεσθαι. τὸ μὲν οὖν ὀρέγεσθαι γνῶναι τὰ τοῖς ἀρίστοις εἰρημένα, κοινὸν ἁπάντων ἐστὶ τῶν φύσει φιλοκάλων· τὸ δὲ καὶ δυνηθῆναι μαθεῖν αὐτὰ, μακροτέρου χρόνου δεόμενον, οὐκέτι ὁμοίως πᾶσιν ὑπάρχει· πολλοὶ γὰρ ὑπὸ πολλῆς περιστάσεως πραγμάτων ἀποστεροῦνται τῆς περὶ τὰ κάλλιστα σχολῆς. ταῦτ' ἄρα καὶ ἡμεῖς οἴδαμεν, καὶ τὸ κατεπεῖγον εἰς τὰ τῆς τέχνης ἔργα διήλθομεν ἐν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων, ἰδίᾳ δ' ἐξῆς τὴν Ἱπποκράτους γνώμην

ἐξηγούμεθα διὰ τῶν ὑπολοίπων δυοῖν γραμμάτων, ὧν τὸ μὲν δεύτερόν ἐστι, τὸ δὲ τρίτον γινόμενον κατὰ τὴν ἐξ ἀρχῆς τάξιν. καὶ χρὴ τὸν μέλλοντα τοῖς ἐν αὐτῷ λεγομένοις ἀκολουθήσειν, ὡμιληκέναι τῷ δευτέρῳ πρότερον ἐπιμελῶς, ἐν ᾧ πρῶτον μὲν τὴν ὅλην γνώμην ἐδείξαμεν τοῦ Ἱπποκράτους, ὅτι μηδὲν τῶν ἐπιτυχόντων, μηδ' ὧν οἱ πολλοὶ τῶν ἰατρῶν ἴσασι, γράφειν ἀξιοῖ, δεύτερον δὲ καὶ κατὰ μέρος ἅπαντας ἐπήλθομεν τοὺς ἐν τῷ πρώτῳ τε καὶ τρίτῳ τῶν ἐπιδημιῶν ἀρρώστους, ἐπιδεικνύντες ἐπὶ πολλῶν μὲν, ὅτι εἰ καὶ δυσπνοεῖν ἀναγκαῖον ὂν τοῖς κάμνουσιν, ὅμως οὐκ ἔγραψε, καθάπερ οὐδ' ἄλλα πολλὰ τῶν ἐξ ἀνάγκης τοῖς γεγραμμένοις ἑπομένων (ἃ γάρ ἐστι καὶ χωρὶς τοῦ παρ' ἐκείνου μαθεῖν, ἐξ ὧν εἶπεν ὁρμώμενον αὐτόν τινα ἐξευρεῖν, ταῦτ' οὐκ ᾤετο χρῆναι γράφειν) ἐπὶ πολλῶν δὲ καὶ τὸ τῆς δυσπνοίας εἶδος αὐταῖς παραγράφει ταῖς τῶν τοιούτων διηγήσεσιν, ἐπειδὰν ἤτοι μὴ κατ' ἀνάγκην ἕπηται τοῖς νοσοῦσιν, ἢ μὴ πρόχειρον ᾖ γνωσθῆναι τοῖς ἀναλεγομένοις αὐτοῦ τὰ γράμματα. τούτων οὖν ἐχόμενοι καὶ νῦν τῶν σκοπῶν, ἐπεὶ τὸ πρῶτόν τε καὶ τὸ τρίτον τῶν ἐπιδημιῶν διὰ τῶν ἔμπροσθεν ἐξηγησάμεθα, πάλιν ἀπὸ τοῦ δευτέρου τὴν ἀρχὴν ποιησόμεθα, συνάπτοντες αὐτῷ καὶ τὰ λοιπὰ τῶν Ἱπποκράτους συγγραμμάτων. ὥσπερ δὲ τὸ πρῶτον καὶ τὸ τρίτον, οὐ μόνον ὑφ' Ἱπποκράτους συγκεῖσθαι δοκεῖ τοῖς ἄριστα περὶ τούτων ἐγνωκόσιν, ἀλλὰ καὶ τῇ τῆς θεωρίας οἰκειότητι συνῆφθαι πρὸς ἄλληλα, τὸν αὐτὸν οἶμαι τρόπον ἔχειν καὶ τὰ κατὰ τὸ δεύτερον καὶ τὸ δ' καὶ τὸ ἕκτον. ὁμολόγηται γὰρ οὖν ἤδη καὶ ταῦτα συνθεῖναι Θεσσαλὸν τὸν Ἱπποκράτους υἱὸν, τὰ μὲν αὐτοῦ τοῦ πατρὸς ἐν διφθέραις τισὶν ἢ δέλτοις εὑρόντα ὑπομνήματα, προσθέντα δέ τινα καὶ αὐτὸν οὐκ ὀλίγα. τό γε μὴν πέμπτον τε καὶ ἕβδομον τῶν ἐπιδημιῶν οὐκ ἄν τίς μοι δοκεῖ τῆς Ἱπποκράτους γνώμης οἰκείας ἀξιῶσαι, κατ' ἐμὴν δὲ γνώμην οὐδὲ τὸ τέταρτον, εἰ καὶ τισὶν ἔδοξε καὶ τοῦθ' ὑπὸ Θεσσαλοῦ συντεθῆναι· τὸ δὲ προγνωστικὸν, καὶ τοὺς ἀφορισμοὺς, καὶ τὸ περὶ ὑδάτων καὶ τόπων καὶ ἀέρων, ἔτι τε τὸ περὶ διαίτης ὀξέων ὅ τινες ἐπιγράφουσι πρὸς τὰς Κνιδίας γνώμας, οὐκ ἀλόγως Ἱπποκράτους αὐτοῦ πεπίστευται γράμματα εἶναι. τούτων τε οὖν τῶν βιβλίων, ἔνθ' ἂν ἡ χρεία καλῇ μνημονεύσομεν, ὅσα τ' ἄλλα τὰ μὲν εἰς αὐτὸν Ἱπποκράτην, τὰ δὲ εἰς Εὐρυφῶντα καὶ Θεσσαλὸν καὶ Πόλυβον ἀναφέρουσιν.

tertiam per reliquos duos libros exponimus; quorum alter secundus est; alter tertius ex ordine à principio constituto. Et oportet eum, qui quæ in ipso dicuntur, assequuturus sit, priùs diligenter secundum librum versasse, in quo primùm totam mētem Hippocratis ostendimus, quod nihil vulgare, neque eorum quæ vulgus medicorum nouit, scribere dignetur; deinde verò & particulatim omnes ex primo & tertio epidemiorum ægrotos recensuimus, demonstrantes, quòd in multis, quanquam difficulter spirare necesse erat ipsos ægros, tamen non ascripsit, quemadmodum neque alia multa, quæ scriptis necessario succedunt (quæ enim quispiam ab iis, quæ Hippocrates dixit, incitatus, citra hoc quod ab ipso ea discat, inuenire potest, hæc non putauit scribenda) In multis verò etiam ipsam difficilis respirationis speciem ipsis narrationibus de ægrotis ascribit, quando aut non necessariò sequitur ægrotos, aut non prompta est cognosci ab iis, qui ipsius scripta legunt. His igitur scopis etiam nunc intenti, postquam primum & tertium epidemiorum in superioribus exposuimus, rursus à secundo initium faciemus, ipsique etiam reliqua Hippocratis scripta connectemus. Quemadmodum autem primus & tertius non solùm ab Hippocrate compositi esse videntur iis qui optimè de his iudicant, sed etiam ob speculationis affinitatem mutuò inter se connexi, eodem modo, opinor, habent ea, quæ in secundo, quarto, ac sexto habentur. Concedunt enim iam etiam hos Thessalum Hippocratis filium composuisse, tum in parentis membranis quibusdam aut tabulis commentarios nactum, tum etiam aliqua eaque non pauca, de suo addentem. At quintum & septimum epidemiorum non videtur mihi quispiam genuinâ Hippocratis doctrinâ dignos censurus, nec vt ego sentio, quartum, quanuis quidam etiam hunc à Thessalo compositum esse putent. Cæterùm prænotionum liber, & aphorismi, & liber de aquis locis & aëre, ac præterea de victu in morbis acutis, quem aliqui in Cnidias sententias inscribunt, non præter rationem Hippocratis scripta esse credita sunt. Horum igitur librorum, vbi vsus postularit, mentionem faciemus; itémque aliorum, qui partim ipsi Hippocrati, partim Euryphonti, & Thessalo, ac Polybo authoribus tribuuntur.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Αἱ τῶν δυσπνοιῶν συζυγίαι ἐκ τοῦ δευτέρου καὶ τοῦ τρίτου τῶν ἐπιδημιῶν.

Ἀρκτέον οὖν ἤδη τῆς ἐξηγήσεως ἀπὸ τῆς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν γεγραμμένης ῥήσεως, ἐχούσης ὧδε· πνεῦμα σμικρὸν, πυκνόν· μέγα, ἀραιόν· σμικρὸν, ἀραιόν. ἔξω μέγα, εἴσω μικρόν· τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον. διπλῆ ἔσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσι· θερμὸν, ψυχρόν. ἡ δ' αὐτὴ ῥῆσις ἥδε ἐν τῷ ἕκτῳ γέγραπται τελεώτερον. ἐπὶ γὰρ ταῖς τρισὶ συζυγίαις αὐτῆς δυσπνοίας ἡ τετάρτη πρόσκειται, παραλελειμμένη σαφῶς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, οὐχ ὑπὸ τοῦ γράψαντος, ἐμοὶ δοκεῖν, αὐτοῦ· δῆλος γάρ ἐστιν οὐκ ἐξ ἐμπειρίας τινὸς καὶ μνήμης ἀθροίζων τὸ πλῆθος τῶν δυσπνοιῶν,

CAPVT II.

Coniugationes difficilium respirationum ex secundo & sexto epidemiorum.

Exordienda itaque iam expositio est à textu in secundo epidemiorum scripto, qui hoc modo habet; *Spiritus paruus, densus; magnus, rarus; paruus, rarus; extra magnus, intrò paruus; alius quidē extendens, alius verò vrgens; dupla intro reuocatio velut superinspirantibus; calidus, frigidus.* Idem verò textus sexto libro perfectiùs scriptus est. Supra tres enim coniugationes ipsius difficilis spirationis, quarta item adiecta est, quæ manifestè secundo epidemiorum omissa est, non ab ipso authore, vt mihi videtur, quum perspicuum sit ipsum non ab experimento quopiam & memoria, multitudinem spirationum difficilium coaceruasse.

seruasse, sed ex rationali diuisione. Nequaquam igitur relicturus erat aliquam difficilis spirationis speciem, verùm in hoc quispiam ex veteribus descriptoribus librorum peccauit; atque ita postea se habens liber diuulgatus est, seruatusq; est hic error huc vsque; merito sanè, quum aliqui negligenter planè veterum libros versent, vt neque an deficiat quippiam, neque an in alio libro dictum sit, sciant; quidã verò etiamsi sciant, tamen quod deest apponere non audent. Neque enim similiter nostri æui hominibus priores faciles erant, neque prompti ad mutandam veterem dictionem eodem modo in omnibus exemplaribus scriptam; sed significare solùm contenti erant, quòd hîc quidem imperfectè, in sexto verò epidemiorum perfectè, diuisio difficilium respirationum scripta esset, tum quæ secundum magnitudinem ac paruitatem fit, tum quæ iuxta raritatem ac densitatem. Has enim duas oppositiones, eam videlicet quæ secundum magnitudinem ac paruitatem fit, & eam quæ secundum raritatem & densitatem, Hippocrates manifestè inter sese complicat, & coniugationes difficilis spirationis quatuor facit; vnam in qua minor, simúlque densior, quam quæ secundum naturam respiratio fit; alteram, quum maior simul & rarior; & præter has aliam tertiam, in qua minor & rarior; & supra has quartam, quam in secundo epidemiorum desiderari diximus, in qua maior simúlque densior fit. Ostensum enim mihi sæpè est, etiamsi hoc citra demonstrationem omnibus manifestum sit, duas oppositiones inter sese complicatas, quatuor coniugationes facere. Sed dictio Hippocratis in sexto epidemiorum, non solùm in hoc differt ab ea, quæ in secundo habetur; sed & in eo quòd in sequentibus, quando inspirationis magnitudinem confert cum magnitudine expirationis, altera coniugatio penitus relicta est in secundo libro, indicante & hîc ipso librorum descriptore extremam socordiam, aut temeritatem. Si enim integras dictiones transgressus est, extremè socors erat; si verò similes inter se, nesciens quatenus differrent, vnum & idem vtrasque significare putauit; deinde alteram sustulit, ad ineptissimam sedulitatem progressus est, emendatorem scriptorum Hippocratis non ministrum se ipsum statuens. Hoc equidem vtile est ad plerasque obscuras dictiones meminisse, in quibus aut relictum quid esse credibile est, aut mutatum. Nihil enim vetat in illis, aut quod deest apponendo, aut quod delictum est corrigendo, perfectum ac verum reddere sermonem. Quemadmodum enim mutare veteres dictiones temerarium est, sic vt scriptum est seruare, & paucis quibusdam appositis aut immutatis dubitationes dissoluere, bonorum expositorum opus est. Verùm de his opinor me paulò post per ipsa opera monstraturum esse, quæ facere oporteat: non enim simpliciter, neque prout contingit, hoc faciendum est, sed ostendendo veritatem rerum, adhucque prius ipsam senis sententiam sic se habere, & vtramque consentire iuxta dictionis mutationem.

A ἀλλ' ἐκ λογικῆς διαιρέσεως. οὐκ οὖν ἔμελλε παραλείψειν τινὰ δύσπνοιαν· ἀλλά τις τῶν παλαιῶν βιβλιογράφων ἥμαρτεν, ἐπειδὴ οὕτως ἔχον ἔφθασεν ἐκδοθῆναι τὸ βιβλίον, ἐφυλάχθη τε εἰκότως μέχρι δεῦρο τοῦτ' αὐτὸ τὸ σφάλμα, τινῶν μὲν ὀλιγώρως ὁμιλούντων τοῖς τῶν παλαιῶν βιβλίοις, ὡς μήτ' εἰ λείπει τι, μήτ' εἰ δι' ἑτέρου γράμματος εἴρηται, γνωρίζειν, ἐνίων δὲ γνωριζόντων μὲν, ἀλλὰ προσθεῖναι τὸ λεῖπον οὐ τολμώντων. οὐ γὰρ δὴ ὁμοίως τοῖς νῦν οἱ πρόσθεν εὐχερεῖς ἦσαν οὐδ' ἕτοιμοι B παραγράφειν παλαιὰν λέξιν ὡσαύτως γεγραμμένην ἐν ἅπασι τοῖς ἀντιγράφοις, ἀλλ' ἐπισημήνασθαι μόνον αὐτοῖς ἤρκει ἦν, ὡς ἐνταῦθα μὲν ἐλλιπῶς, ἐν τῷ ἕκτῳ δὲ τῶν ἐπιδημιῶν τελέως ἡ διαίρεσις γέγραπται τῶν δυσπνοιῶν, ἥτε κατὰ μέγεθος καὶ μικρότητα, καὶ πυκνότητα καὶ ἀραιότητα. δύο γὰρ οὖν δὴ ταύτας ἀντιθέσεις ὁ Ἱπποκράτης, τήν τε κατὰ μέγεθος καὶ μικρότητα καὶ τὴν ἀραιότητα C καὶ πυκνότητα, δῆλός ἐστιν ἐπιπλέκων ἀλλήλαις, καὶ ποιῶν συζυγίας δυσπνοίας δ'. μίαν μὲν ἐν ᾗ μικροτέρα τε ἅμα καὶ πυκνοτέρα τῆς κατὰ φύσιν ἡ ἀναπνοὴ γίγνεται, ἑτέραν δ' ὅταν μείζων τε ἅμα καὶ ἀραιοτέρα, καὶ πρὸς ταύταις ἄλλην τρίτην ἐν ᾗ μικροτέρα τε καὶ ἀραιοτέρα, καὶ πρὸς ταύταις τετάρτην, ἣν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν παραλελεῖφθαί φαμεν, ἐν ᾗ μείζων τε ἅμα καὶ πυκνοτέρα γίγνεται. δέδεικται γάρ μοι πολλάκις, εἰ καὶ ἄρα χωρὶς τοῦ δειχθῆναι πρόδηλον ὑπάρχει πᾶσιν, ὡς δύο ἀντιθέσεις ἀλλήλαις ἐπιπλεκόμεναι, τέσσαρας ἀπεργάζονται συζυγίας. οὐ μόνον δὲ κατ' αὐτὸ διενήνοχεν ἡ ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν ῥῆσις τῆς ἐν τῷ D δευτέρῳ, ἀλλὰ καὶ καθ' ὅσον ἐν τοῖς ἐφεξῆς, ὁπότε παραβάλλει τὸ τῆς εἰσπνοῆς μέγεθος τῷ τῆς ἐκπνοῆς, ἡ ἑτέρα συζυγία παραλέλειπται παντάπασιν ἐν τῷ δευτέρῳ, ἐνδεικνυμένου κἀνταῦθα σαφῶς τοῦ γραφέως, ἤτοι ῥαθυμίαν ἐσχάτην, ἢ ῥᾳδιουργίαν. εἰ μὲν γὰρ ὅλας ὑπερέβαινε λέξεις, ἐσχάτως ἦν ῥάθυμος· εἰ δὲ τὰς ὁμοίας ἀλλήλαις, ἀγνοῶν ὅπῃ διαφέρουσιν, ἓν καὶ ταὐτὸν ἀμφοτέρας δηλοῦν ἐνόμιζεν, εἶτ' ἐξῆρε τὴν ἑτέραν, εἰς ἄκρον ἀφῖκτο περιεργίας, ἐπανορθωτὴν αὐτὸν τῶν Ἱπποκράτους συγγραμμάτων, οὐχ ὑπηρέτην, ἀποφαί- E νων. τοῦτο μὲν δὴ χρήσιμόν ἐστι μεμνῆσθαι πρὸς πολλὰς τῶν ἀσαφῶν ῥήσεων, ἐν αἷς ἤτοι παραλελεῖφθαί τι πιθανόν ἐστιν, ἢ παραγεγράφθαι. οὐδὲν γὰρ κωλύει καὶ ἐκείνας, ἤτοι τὸ λεῖπον προστιθέντας, ἢ τὸ ἡμαρτημένον ἐπανορθοῦντας, ἀπεργάζεσθαι τέλεόν τε καὶ ἀληθῆ τὸν λόγον. ὥσπερ γὰρ τὸ μεταγράφειν τὰς παλαιὰς ῥήσεις προπετὲς, οὕτω καὶ φυλάττοντας ὡς γέγραπται, βραχείαις τέ τισιν ἢ προσθέσεσιν, ἢ ὑπαλλάξεσι διαλύεσθαι τὰς ἀπορίας, ἀγαθῶν ἐξηγητῶν ἐστιν ἔργον. ἀλλὰ περὶ τούτων μὲν, οἶμαι, δι' αὐτῶν τῶν ἔργων ἐπιδείξειν ὀλίγον ὕστερον F ἅπερ χρὴ δρᾶν. οὐ γὰρ ἁπλῶς, οὐδ' ὡς ἔτυχεν, αὐτὰ ποιητέον, ἀλλὰ μετὰ τοῦ δεικνύναι τήν τε τῶν πραγμάτων ἀλήθειαν, ἔτι τε πρότερον αὐτὴν τοῦ παλαιοῦ τὴν γνώμην οὕτως ἔχουσαν, ὁμολογεῖν τε ἀμφοτέρας κατὰ τὴν λέξιν μετακοσμηθεῖσαν.

A

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐξήγησις τῆς γνώμης τοῦ Ἱπποκράτους ἐν τῷ ἕκτῳ βιβλίῳ τῶν ἐπιδημιῶν, περὶ συζυγιῶν τῶν δυσπνοιῶν.

Ἐπὶ δὲ τὸ προκείμενον ἤδη χωρήσαντες, καὶ παραθέμενοι τὴν τελεωτέραν λέξιν, τὴν ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν, ἴδωμεν ὁποῖός τις ὁ νοῦς αὐτῆς ἐστιν. ὅτι μὲν γὰρ ἐκ διαιρέσεως λογικῆς βούλεται ἐπιχειρεῖν τὰς διαφορὰς ἁπάσας τῶν δυσπνοιῶν, τοῦτο μὲν καὶ τοῖς ἐξηγησαμένοις αὐτοῦ τὰ βιβλία δοκεῖ, καὶ πάνυ τοι ῥᾴδιον εἶναι νομίζω συμβαλεῖν. εἰ δ' ὀρθῶς διαιρεῖται, καὶ εἰ μηδὲν παραλείπει δυσπνοίας εἶδος, οὐκ ἔτι τοῦτο ῥᾴδιον ἅπασιν ἐξευρεῖν, ἀλλὰ καὶ τῆς διαιρετικῆς μεθόδου χρεὼν ἔμπειρον εἶναι τὸν περὶ τούτων κρινοῦντα, καὶ τῶν Ἱπποκράτους δογμάτων οὐκ ἀμελέτητον. ἡ μὲν δὴ μέθοδος ἀποβλέπειν φησὶ χρῆναι πρὸς τὸ διαιρούμενον, ὁποῖον τὴν φύσιν ἐστίν. εἰ μὲν γὰρ ἁπλοῦν εἴη, τὰ κατὰ τὸν τῆς οὐσίας αὐτοῦ λόγον ὑπάρχοντα, πόσα τέ ἐστι καὶ τίνα καὶ ὁποῖα, σκοπεῖσθαι, κἀκ τούτων διαιρεῖσθαι· συνθέτου δ' ὄντος, ἑκάτερον μὲν, ἢ ἕκαστον τῶν μερῶν, ὡς εἴρηται, διαιρεῖν, τὸ δ' ὅλον ἐκ τοῦ τρόπου τῆς συνθέσεως. ἡ δ' Ἱπποκράτους γνώμη περὶ τῆς συνθέσεως, ἥτις ποτέ ἐστιν, εἴρηται μὲν ἡμῖν ἐν ἑτέροις ἐπὶ πλεῖστον, εἴρηται δὲ καὶ ἐν τοῖς ἔμπροσθεν, ὥστ' οὐδὲν κωλύει πρὸς τούτους τοὺς σκοποὺς ἀποβλέποντας, ἐπισκέψασθαι τὴν τῶν ἐπιδημιῶν ῥῆσιν, ὧδέ πως ἔχουσαν· πνεύματα μικρὰ πυκνά, μεγάλα ἀραιά· μικρὰ ἀραιά, μεγάλα πυκνά. ἔξω μέγα, εἴσω μικρόν· εἴσω μέγα, ἔξω μικρόν· τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον. διπλῆ ἔσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσιν· θερμόν, ψυχρόν. ὅτι μὲν οὖν οὐχ ἡ τετάρτη μόνη κατὰ τὸ πυκνὸν καὶ μέγα συζυγία παραλέλειπται κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν, ἀλλὰ καὶ τῶν ἐφεξῆς δυοῖν, ἐν οἷς παραβάλλει τῇ ἐκπνοῇ τὴν εἰσπνοήν, καὶ τούτων ἡ δευτέρα γέγραπται μὲν ἐν τῇ νῦν προκεχειρισμένῃ, παραλέλειπται δ' ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, πρόχειρον συνιδεῖν. οὐκέτι γὰρ ἐκείνῳ βιβλίῳ πρόσκειται τό, εἴσω μέγα, ἔξω μικρόν, ἀλλὰ θατέρου μόνον εἶδος τῆς δυσπνοίας δηλοῦται, καθ' ὃ μέγα μὲν ἐκπνεῖται πνεῦμα, μικρὸν δὲ εἰσπνεῖται. πολλαχόθι μὲν οὖν εὑρεῖν ἔνεστι καὶ προσγεγραμμένον τοῦτο τὸ λεῖπον, ἀλλ' ἐν τοῖς πλείστοις καὶ ἀξιοπιστοτάτοις τῶν ἀντιγράφων παραλέλειπται, καὶ οὐδὲν τοῦτό γε πρὸς τὸ παρὸν διαφέρει. πρόκειται γὰρ ἡμῖν τὴν τελεωτέραν ῥῆσιν ἐπισκοπεῖσθαι, τὴν νῦν γεγραμμένην. ὅτι μὲν οὖν ἐκ τῆς ἔσω τε καὶ ἔξω φορᾶς τοῦ πνεύματος, ἡ τῆς ὅλης ἀναπνοῆς ἐνέργεια σύνθετος ὑπάρχει, καὶ ὅτι τὸ μὲν ἕτερον αὐτῆς τῶν μερῶν εἰσπνοή, τὸ δ' ἕτερον ἐκπνοὴ προσαγορεύεται, λέλεκται μὲν καὶ διὰ τοῦ πρώτου γράμματος εὐθὺς κατ' ἀρχάς, ἀλλὰ κἂν εἰ μὴ πρὸς ἡμῶν εἴρηται, σχεδὸν οὐδεὶς ἀγνοεῖ. ὅτι δ' οὐδενὸς ἄλλου τῶν πάντων, ἢ κινήσεως, ἴδιον τάχος τέ ἐστι καὶ βραδύτης, εἴρηται μὲν ἤδη καὶ τοῦτ' ἔμπροσθεν, ἀλλὰ καὶ νῦν εἰς ἀνάμνησιν ἡκέτω. μέγεθος μέντοι καὶ μικρότης, ὥσπερ οὐκ ἴδια κινήσεως, οὕτως ἀχώριστα πάντως τοῦ κατὰ διαστήματος φερομένου. καὶ διὰ τοῦτο καθ' ἑκάτερον τῶν μερῶν τῆς ἀναπνοῆς, ἀντιθέσεις διαφορῶν διτταὶ γενήσονται, μία μὲν ἡ κατὰ τάχος καὶ βραδυτῆτα, δευτέρα δὲ ἡ κατὰ μέγεθος καὶ μικρότητα. τῆς δ' ὅλης ἀναπνοῆς, ὅτι ἑτέρα ἀντίθεσίς τίς ἐστι κατὰ

CAPVT III.

Explicatio sententiæ Hippocratis libro sexto epidemiorum, de coniugationibus difficilium respirationum.

Sed ad propositum iam progressi, & perfectiori dictione apposita, quæ sexto epidemiorum habetur, videamus qualisnam sententia ipsa sit. Quòd enim ex rationali diuisione inuenire conetur omnes difficilis spirationis differentias, hoc ipsum etiam iis, qui libros ipsius exposuerunt, videtur, & coniectare omnibus facile esse opinor. An verò rectè diuidat, & an nulla relicta sit difficilis spirationis species, hoc non etiam omnibus inuenire facile est; sed qui de his iudicaturus est, eum & diuidendi methodi peritum esse oportet, & circa Hippocratis dogmata nõ inexercitatum. Et methodus sanè ad id quod diuiditur respicere oportere ait, qualis naturæ existat. Si enim simplex fuerit, ea quæ secundum substantiæ ipsius rationem sunt, quot sint, & quæ, ac qualia, considerare oportet, atque ex his diuidere; si verò compositum, vtramque aut singulas partes diuidere, vt dictum est, totum verò ex modo compositionis. Verùm quæ sit Hippocratis sententia de compositione, nobis alibi fusissime dictum est, relatum est etiam in superioribus. Quare nihil vetat ad hos scopos respicientes ipsam epidemiorum dictionem contemplari, quæ sic habet; *Spiritus parui, densi; magni, rari; parui, rari; magni, densi; extrà magnus, intrò paruus; intrò magnus, extra paruus; alius extendens, alius vrgens; dupla intro reuocatio, veluti superinspirantibus; calidus, frigidus.* Quòd igitur non quarta solum coniugatio in denso & magno consistens, secundo epidemiorum relicta est, sed & ex sequentibus duabus, in quibus expirationem cum inspiratione confert, altera scripta quidem est in præsenti iam proposito sermone, relicta autem secundo epidemiorum, promptum videre est; neque enim in illo libro scriptum est, *Intrò magnus, extrà paruus*; sed altera sola difficilis spirationis species ostenditur, in qua magnus spiritus expiratur, paruus verò inspiratur. In multis tamen codicibus reperire licet hunc defectum ascriptum; verùm in plurimis, & fide dignissimis exemplaribus relictus est; atque hoc sanè nihil ad præsens refert: propositum est enim nobis perfectiorem loquutionem considerare nunc ascriptam. Quòd itaque ex spiritus intrò & extrà meatu, totius respirationis actio composita est; & quòd altera eius pars inspiratio, altera expiratio appellatur; dictum quidem est primo libro statim in principio; verùm etiamsi à nobis dictum non esset, nemo ferè ignorat. Quòd verò nullius alterius rei, quàm motus propria sint celeritas & tarditas, dictum quidem & hoc iam est, sed etiamnunc in memoriam reuocetur. Magnitudo autem & paruitas vt non sunt motui propria, sic omnino inseparabilia sunt ab eo, quod per spatium fertur. Et ob id secundum vtranque respirationis partem, duæ differentiarum oppositiones fient, altera secundum celeritatem ac tarditatem, altera secundum magnitudinem & paruitatem. Quòd verò totius respirationis adhuc alia sit oppositio secundum den-

densitatem ac raritatem consistens, id etiam antea relatum est; & quòd hæc oppositio non respirationis vt motus, sed vt compositæ rei, ex interuallis sit conflata. Quare in his tribus generibus omnes respirationis differentias esse necesse est; in celeritate quidem & tarditate, propterea quòd hæc propria & ab omni motu inseparabilia sunt; in magnitudine verò & paruitate, propterea quòd motus organorum respirationis per distantiam fit; densitas autem & raritas tertium ex prædictis genus, neutrius propriarum ac primarum respirationis partiũ proprium aut inseparabile est, verùm totius respirationis pars fit per accidens quoddam, quia composita res est ex duobus contrariis motibus quiete distinctis. Hæ igitur sunt primæ differentiæ totius respirationis. Cæterùm quum respiratio res sit, quæ & facere aliquid & pati possit, aliud etiam erit differentiarum genus in ipsa, vtraque videlicet parte æqualiter aut inæqualiter perfectâ; at verò & rursus aliud, ipsius totius, vt compositæ, partibus inter se collatis. Hæc quum ita habeant, sciendum primas quatuor difficilis respirationis differentias in proposita Hippocratis dictione scriptas, totius respirationis esse; neutrius enim partis est densitas & raritas, si sanè meminimus eorum, quæ statim à principio primi libri dicta sunt; sic etiam sequentes duas, nam & in his duæ totius respirationis partes conferuntur, & ob id sic scriptũ est; *Extra magnus, intrò paruus; intrò magnus, extrà paruus, videlicet spiritus*; sequentes autem deinceps duas differentias, in quibus dicitur; *Alius extendens, alius vrgens*, alterius partis ipsius respirationis proprias esse putandum est, quam sanè in substãtia esse maximè ipsius respirationis diximus. Extendens enim tardus est, vrgens autem velox; tarditas autem & velocitas ab omni motu inseparabilia sunt. Quod verò deinceps dicitur; *Duplex intro reuocatio velut superinspirantibus*, inæqualem inspirationem ostendit. Inquirẽda est autem eadem oppositio in expiratione, quam ego relictam esse credo à transcribentibus potius, quàm ab ipso Hippocrate; quandoquidem in aliis scriptis etiam eiusmodi speciei difficilis spirationis mentionem facere apparet, vt in sequentibus palàm ostendam. Quod si cui ab ipso Hippocrate relicta esse videatur, hic peiora pro melioribus eligit. Equidem penitus nullam inæqualitatis mentionem fecisse in neutra respirationis parte, sed penitus oblitum esse ac omisisse, minime conueniebat Hippocraticę diligentiæ; verùm ego sanè, etiãsi id quod nunc de inspiratione scriptum est omninò scriptum non esset, exscribentis magis peccatum esse, quàm ipsius Hippocratis, dicere ausus essem, rationem tamen vtique aliquam sic haberent hi, quibus ad peiora animus inclinat; at verò quum & inspirationis speciem adeo manifestè indicauerit, vt non solum dixerit, duplicem intrò fieri spiritus reuocationem, sed etiam *velut superinspirantibus* apposuerit, quomodo tandem aliquis adhuc suspicari queat ipsum expirationis esse oblitum? De his igitur etiam rursus *agemus*; deinceps autem alia adhuc difficilis respirationis specierum oppositio addita est in fine totius sermonis sic habens; *Calidus, frigidus*; vt videlicet & hîc subaudiamus, *spiritus*. Quemadmodum enim magnus & paruus, & densus ac

A πυκνότητά τε καὶ ἀραιότητα συνισταμένη, καὶ τοῦτ' ἔμπροσθεν εἴρηται, καὶ ὡς ἥδε ἀντίθεσις οὐχ ὡς κινήσεως τῆς ἀναπνοῆς, ἀλλ' ὡς συνθέτου πράγματος, ἐκ διαστάσεων ἐστὶ συγκειμένη. ὥστ' ἐν τρισὶ τούτοις γένεσιν ἀνάγκη πάσας εἶναι τὰς τῆς ἀναπνοῆς διαφοράς· ἐν τάχει μὲν καὶ βραδυτῆτι, διότι κινήσεως ἁπάσης ἴδιά τε καὶ ἀχώριστα ταῦτ' ἐστίν· ἐν μεγέθει δὲ καὶ μικρότητι, διότι κατὰ διαστήματος ἡ τῶν ἀναπνευστικῶν ὀργάνων κίνησις· πυκνότης δὲ καὶ ἀραιότης τὸ τρίτον τῶν εἰρημένων γενῶν, οὐδετέρου μὲν ἐστὶ τῶν οἰκείων τε καὶ πρώτων μερῶν τῆς

B ἀναπνοῆς, οὔτ' ἴδιον, οὔτ' ἀχώριστον, ὅλης δὲ μέρος γίνεται κατά τι συμβεβηκός, ἐπειδὴ σύνθετον πρᾶγμά ἐστιν ἐκ δυοῖν ἐναντίων κινήσεων ἡσυχίᾳ διωρισμένων. αὗται μὲν οὖν αἱ πρῶται διαφοραὶ τῆς ὅλης ἀναπνοῆς. τῷ δ' εἶναι ποιεῖν τι καὶ πάσχειν πεφυκὸς τὴν ἀναπνοήν, εἴη ἄν τι καὶ ἄλλο γένος ἐν αὐτῇ διαφορῶν, ἑκατέρου τῶν μορίων ὁμαλῶς ἢ ἀνωμάλως ἐπιτελουμένου· καὶ μὴν καὶ ἄλλο πάλιν ὅλης αὐτῆς ὡς συνθέτου, παραβαλλομένων ἀλλήλοις τῶν μορίων. τούτων οὕτως ἐχόντων, ἰστέον τὰς μὲν πρώτας γεγραμμένας ἐν τῇ προκειμένῃ ῥήσει δυσπνοιῶν

C διαφορὰς τέτταρας, ὅλης ἀναπνοῆς ὑπάρχειν· οὐδετέρου γὰρ τῶν μερῶν ἐστὶ πυκνότης καὶ ἀραιότης, εἴγε δὴ μεμνήμεθα τῶν εὐθὺς κατ' ἀρχὰς τοῦ πρώτου τῶνδε τῶν ὑπομνημάτων εἰρημένων. οὕτως δὲ καὶ τὰς ἐφεξῆς αὐτῶν τὰς δύο, καὶ γὰρ ἐν ταύταις παραβάλλεται τὰ δύο μόρια τῆς ὅλης ἀναπνοῆς, καὶ διὰ τοῦθ' οὕτως γέγραπται, ἔξω μέγα, εἴσω μικρόν, εἴσω μέγα, ἔξω μικρόν, δηλονότι πνεῦμα· τὰς δ' ἐφεξῆς δύο διαφοράς, ἐν αἷς λέγεται, τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον, τῶν μερῶν τῆς ἀναπνοῆς θατέρου νομιστέον ἰδίας ὑπάρχειν, ὃ δὴ κατὰ τὴν

D οὐσίαν εἶναι μάλιστα τῆς ἀναπνοῆς ἔφαμεν· ἐκτεῖνον μὲν γὰρ τὸ βραδύ, κατεπεῖγον δὲ τὸ ταχύ. βραδύτης δὲ καὶ ταχύτης ἁπάσης κινήσεως ἀχώριστα. τὸ δ' ἐφεξῆς λεγόμενον, τὸ, διπλῆ ἔσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσιν, ἔστι μὲν εἰσπνοῆς ἀνωμάλου δηλωτικόν, ἐπιζητεῖ δὲ τὴν αὐτὴν ἀντίθεσιν ἐπὶ τῆς ἐκπνοῆς, ἣν ἐγὼ πέπεισμαι παραλελεῖφθαι πρὸς τῶν μεταγραφόντων μᾶλλον, ἢ πρὸς Ἱπποκράτους αὐτοῦ, εἴγε δὴ φαίνεται μεμνημένος ἐν ἑτέροις συγγράμμασι καὶ τοῦ τοιούτου τῆς δυσπνοίας εἴδους, ὡς ἐπιδείξω σαφῶς ἐν τοῖς ἐφεξῆς. εἰ δέ τῳ δοκεῖ πρὸς Ἱπποκράτους αὐτοῦ παραλελεῖφθαι, οὗτος αἱρεῖται τὰ

E χείρω πρὸ τῶν βελτιόνων· τὸ μὲν γὰρ μηδ' ὅλως ἀνωμαλίας μνημονεῦσαι, κατὰ μηδ' ἕτερον τῶν τῆς ἀναπνοῆς μερῶν, ἀλλὰ τελέως ἐπιλαθέσθαι τε καὶ παραλιπεῖν, οὐκ ἦν μὲν οὐδὲ τοῦτο κατὰ τὴν Ἱπποκράτους ἐπιμέλειαν, ἀλλ' ἔγωγ' ἂν εἰ καὶ τὸ νῦν γεγραμμένον ἐπὶ τῆς εἰσπνοῆς οὐδ' ὅλως ἐγέγραπτο, τοῦ γραφέως ἁμάρτημα ὑπάρχειν αὐτὸ μᾶλλον, ἢ Ἱπποκράτους, εἰπεῖν ἐτόλμησα, λόγον δ' ἂν οὖν εἶχεν οὕτω τινὰ τοῖς τὰ χείρω νοοῦσιν· ἐπεὶ δὲ καὶ τὸ τῆς εἰσπνοῆς εἶδος ἐμήνυσε σαφῶς οὕτως, ὡς μὴ μόνον εἰπεῖν διπλῆν εἴσω

F γίγνεσθαι τοῦ πνεύματος τὴν ἐπανάκλησιν, ἀλλὰ καὶ τὸ οἷον ἐπεισπνέουσι προσθεῖναι, πῶς ἄν τις ἔτι ὑπολάβοι τῆς ἐκπνοῆς αὐτὸν ἐπιλαθέσθαι; περὶ μὲν οὖν τούτων καὶ αὖθις, ἐφεξῆς δὲ πρόσκειταί τις ἀντίθεσις ἄλλη δυσπνοιῶν, ἐπὶ τελευτῇ τοῦ λόγου παντὸς ὧδέ πως γεγραμμένη· θερμόν, ψυχρόν· ἵνα δηλονότι κἀνταῦθα προσυπακούωμεν τὸ πνεῦμα. καθάπερ γὰρ μέγα καὶ μικρόν, καὶ πυκνὸν καὶ ἀραιόν,

οὕτω καὶ θερμὸν, καὶ ψυχρὸν ἐκπνεῖται τὸ πνεῦμα. καίτοι κἀνταῦθα παρακούοντές τινες ἐξ ὧν αὐτοὶ μὴ συνίασιν, ἐπανορθοῦνται καὶ μεταγράφειν τὴν λέξιν τολμῶσιν, οὐ ψυχρὸν καὶ θερμὸν, ὡς νῦν εἴρηται γράφοντες, ἀλλὰ συνάπτοντες αὐτὰ τῷ προειρημένῳ, καὶ οὕτως ἀναγινώσκοντες, οἷον ἐπεισπνέουσι θερμῷ ψυχρόν. οὗτοι μὲν οὖν πρὸς τὸ μηδένα νοῦν ἔχουσαν ἐργάζεσθαι τὴν λέξιν, ὅτι μηδ' ἀνεγνώκασι τὰ τοῦ παλαιοῦ βιβλία, κατάδηλοι γίνονται. πάντως γὰρ ἂν ἐμέμνηντο τῶν ἐν ἑτέροις ὑπ' αὐτοῦ γεγραμμένων περί τε θερμῆς καὶ ψυχρᾶς ἐκπνοῆς, ἃ τίνα λόγον εἶχεν, ἢ ἐν ἐκείνοις αὐτὸν γράφειν, ἢ ἐνταῦθα παραλιπεῖν, οὐκ ἂν εἰπεῖν ἔχοιεν. εἰ μὲν γὰρ οὐκ ἐνόμιζεν ἐκ τῶν δυσπνοιῶν εἶναι τὴν θερμὴν καὶ ψυχρὰν ἐκπνοὴν, οὐ καλῶς ἐν ἑτέροις, ὡς δυσπνοιῶν ἐμνημόνευσεν. εἰ δ' ὀρθῶς ἐν ἐκείνοις ἔπραξεν, οὐκ ὀρθῶς νῦν παρέλιπεν. ἀλλ' οὐχ ὧδ' ἔχει ταῦτα, καὶ γὰρ ἐνταῦθά τε καλῶς ἐν τῇ διαιρέσει τῶν δυσπνοιῶν περιέχονται, καὶ τί ποτ' οὖν δηλοῦν πεφύκασιν, ὀρθῶς ἐν ἑτέροις εἴρηται.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Προτίθεται τὰ ζητήματα τὰ ἐκ τοῦ Ἱπποκράτους προγνωστικοῦ γινόμενα περὶ δυσπνοίας.

Καταλιπόντες οὖν ἤδη τοὺς οὕτω παρακούοντας τοῦ παλαιοῦ, καὶ παντὸς μᾶλλον ἢ τῆς γνώμης αὐτοῦ συνιέντας, αὐτοὶ καθ' ἡμᾶς αὐτοὺς ἐπισκεψώμεθα, τί δή ποτε κατὰ τὸ προγνωστικὸν γράμμα, περὶ δυσπνοίας ὧδέ πως γράφει· πνεῦμα, πυκνὸν μὲν ἐὸν πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι, μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνει, ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται· φαίνεται γὰρ ἐν τούτῳ τῷ βιβλίῳ, τριῶν τούτων μόνον δυσπνοιῶν μνημονεύων, καίτοι γ' εἰ μὲν τοσαῦται μόνον εἰσὶν, τί δή ποτε πολὺ πλείους ἐν τοῖς τῶν ἐπιδημιῶν αὐτὸς ἔγραψε; εἰ δὲ οὕτως εἰσὶ πολλαὶ, τί δή ποτε ὀλιγίστων ἐμνημόνευσεν ἐν τῷ προγνωστικῷ; ἢ τὸν μὲν ἀριθμὸν αὐτῶν ἐπίστασθαι ἐνόμιζε χρηστὸν, ὁποῖον δέ τι δηλοῦν ἑκάστη πέφυκεν, οὐκ εἶναι χρηστόν; ἢ μόναις ταῖς εἰρημέναις δηλοῦν ὑπάρχει τι, ταῖς δ' ἄλλαις οὐδὲν, ἀλλ' ἐνδέχεται ποτ' ἀναπνεῖν μὲν παρὰ φύσιν, οὐδεμίαν δ' εἶναι διάθεσιν ἐν τῷ ζώῳ παρὰ φύσιν; ἢ τοσοῦτον δεῖ τοῦτ' ἀληθὲς ὑπάρχειν, ὥστ' ἀνάγκη πᾶσα, τὴν παρὰ φύσιν ἐν τῷ ζώῳ διάθεσιν αὐτὴν, γίνεσθαι τῆς δυσπνοίας αἰτίαν; εἴπερ οὖν λόγον αἰτίας ἡ διάθεσις ἔχει πρὸς τὴν δύσπνοιαν, εἴη ἂν οὕτω καὶ χρόνῳ, καὶ τάξει, καὶ δυνάμει προτέρα. πῶς οὖν φαίνεται παραλιπὼν ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ, τοσοῦτον ἀριθμὸν δυσπνοιῶν; ἐγὼ μὲν διὰ ταῦτ' ἐβουλόμην καὶ παραβάλλειν τοὺς ἐξηγητὰς ἀλλήλοις, καὶ ζητεῖν καὶ λύειν· ἔχει δ' οὐχ ὧδε· τῶν μὲν γὰρ ἐξηγουμένων τίς ἂν τις καὶ μνημονεύσειε; τῶν δ' ἔμπροσθεν, ὧν γε καὶ πρὸς ἡμᾶς ὑπομνήματα διασώζεται, πολλοὺς μὲν καὶ μακροὺς λήρους καταγεγραμμένους εὑρεῖν ἐστι, τὰ δ' οὕτως ἐπίκαιρα παραλελεῖφθαι τελέως. ἀλλ' ἡμεῖς γε ζητῶμεν αὐτὰ, κἂν μηδεμίαν ὁδὸν εἰς τὴν εὕρεσιν ὑπ' ἐκείνων ἔχωμεν παραδεδειγμένην. εἴρηται μὲν δὴ κἂν τοῖς περὶ τῆς ἀρίστης αἱρέσεως,

rarus, sic etiam calidus & frigidus spiritus expiratur. Quanquam & hîc decepti quidam ex iis, quæ non intelligunt, corrigunt & textum mutare audent, non frigidus & calidus, vt nunc dictum est, scribentes, sed ipsa cum prædicto connectentes, atque hoc modo legentes, *velut superinspirantibus calido frigidum.* Hi quidem igitur præterquamquòd textum nullius sensus efficiunt, etiam palàm produnt, se neque senis libros legisse; omnino enim meminissent eorũ, quæ aliis locis ab ipso sunt scripta de calida & frigida expiratione; quæ quanam ratione aut illic ab ipso scripta sint, aut hîc relicta, non habent quî dicant. Si enim non putauit ex difficilium spirationum genere esse calidam & frigidam expirationem, non rectè in aliis locis ipsarum veluti difficilium respirationum meminit; si verò in illis rectè fecit, non rectè nunc prætermisit. Verùm hæc non ita habent; nam & hîc rectè in difficilium respirationum diuisione continentur, & quid indicent, aliis locis rectè dictum est.

CAPVT IV.

Proponuntur quæstiones, quæ ex libro Prænotionum Hippocratis de difficili respiratione oriuntur.

RElictis igitur iam his, qui sic à senis mente aberrant & omnia magis quam sententiam ipsius intelligunt, ipsi per nos ipsos inspiciamus, quidnam in prænotionum libro, de difficili respiratione in hunc ferè modum scribat; *Spiritus, densus existens, dolorem aut inflammationem significat in locis super septum tranuersum sitis; magnus autem & per multum tempus, desipientiam prodit; frigidus verò ex naribus & ore prodiens, valde iam perniciosus est.* Apparet enim in hoc libro, harum trium tantùm difficilium spirationum ipsum mentionem fecisse. Atqui si tot solum sunt, quid tandem multò plures ipse in epidemiorum libris scripsit? si verò adeò multæ sunt, cur paucissimarum in prænotionum libro mentionem fecit? An numerum quidem ipsarum nosse, commodum existimauit; quid verò singulæ indicent, non vtile esse putauit? An hæ solæ aliquid indicant, reliquæ verò nihil; sed possibile est quandoque præter naturam quidem respirare, nullam tamen affectionem in animali præter naturam esse? An verum hoc vt sit tantum ab est, vt penitus necessarium sit in animali ipsam affectionem præter naturam, fieri difficilis respirationis causam. Si igitur causæ rationem habet affectio ad difficilē respirationem, erit vtique hoc modo, & tempore & ordine & facultate prior. Quomodo igitur Hippocrates in prænotionum libro, tantum difficilium respirationum numerum relinquit? Equidem eâ gratiâ volebam ipsos expositores inter se conferre, & quærere ac soluere; verùm non ita res habet; nam expositorum *omnium* quis vel meminisse possit? Eorum verò qui ante *nos vixerunt*, & quorum commentaria ad nostram ætatem seruantur, multas & longas nugas conscriptas inuenire est; quæ verò tanti momenti sunt, penitus ab ipsis relicta sunt. Verùm nos sanè inquiramus ipsa, etiamsi nullam viam habeamus ad inuentionem ab illis præmonstratam. Dictum quidē à nobis est, & in iis quę de optimâ sectâ

sectā sunt, & in medendi methodi scriptis, quomodo talia omnia inquirere & inuenire oporteat. Imò & in primo horum commentariorum duplicem viam ostendi ad eiusmodi inuentionem; alteram ex differentiis difficilis spirationis procedentem, alteram ex affectionibus in organis respirationis, quam etiam faciliorem & manifestiorem esse dicebam; & quisquis illa scripta diligenter versauerit, haud indigebit multis verbis ad præsentium solutionem. Si verò vel negligenter illa tractauerit, vel aliàs ad discendum hebes sit; qui quidem negligenter tractauit, rursus ipsis relectis, huc reuertatur; qui verò hebes est, aliud quid agat, ac sciat paruo ingenio magni viri mentem assequi non licere, qualis erat Hippocrates. Quæ igitur nemo priorum aut proposuit, aut in dubium vocauit, aut quæsiuit, aut inuenit, ego & proponam, & in dubium vocabo, & quomodo quærere oporteat dicam, & cum diis inuenturum me spero. Ac problema quidem etiam paulò antè à me relatum est; cur tot difficilium respirationum species Hippocrates in prænotionum libro prætermiserit; dubitatio verò nunc dicetur, vbi quæ in primo sermone scripta sunt, priùs in memoriam reuocauero. Omnes enim difficilium respirationum differentias in illis sermonibus ad quinque omnino tum affectionum, tum difficilium respirationum genera reduxi. Quare adhuc magis dubium constituitur problema, spe etiam quæ sola restabat sublatâ. In eiusmodi enim omnibus, in quibus cuiuscunque tandem rei differentiæ plures quidem ab altero quopiam, siue viro, siue scripto; pauciores verò rursus ab altero dicuntur; vna sola superest consensus spes, si quis monstrare queat alterum in primis diuisionis membris stetisse, alterum *hæc etiam* subdiuidere. Hac igitur spe nobis sublata (monstratum est enim in primo libro neque affectionum, neque difficilium respirationum genera, in minorem numerũ redigi posse) quænam ampliùs ars solutionis eorũ, quæ nunc quæruntur, inueniri possit? nam tum alia, tum præterquamquod quædam prima genera relicta sunt, etiam diuulsa esse & malè in diuisione opposita, ac obscurè enarrata in prænotionum libro, arguere quis possit, quanuis si quis alius Hippocratis liber, is perspicuus sit. Atqui obscurum, simúlque indeterminatum est quod statim in principio dictionis dictum est; *Spiritus densus existens dolorem aut inflammationem significat in locis super septum transuersum sitis.* Si enim non duplex esset spiritus densus, alter quidem cum magnitudine, alter verò cum paruitate; aut non ex diuersa affectione vterque ipsorum generaretur; rectè vtique Hippocrates indiuisum ipsum reliquisset, aut differentiam eius quod per vtrunque significatur, nõ indicasset. Quando verò ipse manifestè in epidemiorum libris, alterum densum simulque paruum, alterum densum & magnum statuit; & nos monstrauimus hos ex prima ipsorum differentia esse; malè vtique indiuiso relicto denso, simpliciter sic dicere contentus fuit; *Spiritus densus existens dolorem aut inflammationem significat in locis super septum transuersum sitis.* Atque hoc sanè vnum dubium existit. Tertiæ verò deinceps differentiæ mentionem faciens sic; *Magnus autem & per multum tempus delirium significat*; & hanc solam ex

κἀν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ὅπως χρὴ τὰ τοιαῦτα πάντα καὶ ζητεῖν καὶ εὑρίσκειν. ἀλλὰ κἀν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων διττὴν ὁδὸν ἔδειξα τῆς τῶν τοιούτων εὑρέσεως, ἑτέραν μὲν ἐκ τῶν ἐν τῇ δυσπνοίᾳ διαφορῶν ὁρμωμένην, ἑτέραν δ' ἀπὸ τῶν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις διαθέσεων, ἣν καὶ ῥᾴω τε καὶ σαφεστέραν ὑπάρχειν ἔλεγον· καὶ ὅστις ἐκείνοις ἐπιμελῶς ἐνέτυχε τοῖς γράμμασιν, οὐ δεήσεται λόγων πολλῶν εἰς τὴν τῶν προκειμένων λύσιν. εἰ δ' ἤτοι ῥαθύμως ἐκείνοις ὡμίλησεν, ἢ ἄλλως ἐστὶ δυσμαθής, ὁ μὲν ῥάθυμος αὖθις (ἢ) ἀναλεξάμενος αὐτὰ, πάλιν ἐπὶ ταῦθ' ἡκέτω· ὁ σκαιὸς δὲ ἄλλο τι πραττέτω, γινώσκων ὡς οὐχ οἷά τε μεγαλογνώμονα ἀνδρὸς ἐκμαθεῖν φύσις μικρὰ, ὁποῖος ἦν ὁ Ἱπποκράτης. ἃ γοῦν οὐδεὶς ἔμπροσθεν οὔτε προὔβαλεν, οὔτ' ἠπόρησεν, οὔτ' ἐζήτησεν, οὔθ' εὗρεν, ἐγὼ καὶ προβαλῶ, καὶ ἀπορήσω, καὶ ὅπως χρὴ ζητεῖν ἐρῶ, καὶ σὺν θεοῖς εὑρήσειν ἐλπίζω. τὸ μὲν δὴ πρόβλημα καὶ μικρῷ πρόσθεν εἴρηταί μοι, τί δή ποτε τοσαῦτα δυσπνοιῶν εἴδη παρέλιπεν ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ; τὸ δὲ ἀπόρημα νῦν εἰρήσεται τῶν ἐν τῷ πρώτῳ λόγῳ γεγραμμένων ἀναμνήσαντι πρότερον. ἁπάσας γὰρ τῶν δυσπνοιῶν τὰς διαφορὰς ἐν ἐκείνοις τοῖς λόγοις εἰς πέντε τὰ πάντα γένη διαθέσεών τε καὶ δυσπνοιῶν ἀνήγαγον, ὥστ' ἀπορώτερον ἔτι τὸ πρόβλημα καθίσταται, τῆς μόνης ἔθ' ὑπολειπομένης ἐλπίδος ἀφῃρημένης. ἐν γὰρ τοῖς τοιούτοις ἅπασιν, ἐν οἷς ὅτου δή ποτε τῶν ὄντων διαφοραὶ πλείους μὲν ὑφ' ἑτέρου τινὸς ἢ ἀνδρὸς ἢ γράμματος, ἥττους δ' ὑφ' ἑτέρου λέγονται, μία μόνη τῆς συμφωνίας ἐλπὶς, εἴ τις ἐπιδεῖξαι δύναιτο, τὸν μὲν ἐν τοῖς πρώτοις μέρεσι τῆς διαιρέσεως μεμενηκότα, τὸν δὲ καὶ κατατέμνοντα. ταύτης τοίνυν ἡμῖν ἀφῃρημένης τῆς ἐλπίδος (ἐδείχθη γὰρ ἐν τῷ πρώτῳ λόγῳ, μήτε τῶν διαθέσεων, μήτε τῶν δυσπνοιῶν εἰς ἀριθμὸν ἐλάττονα δύνασθαι ἀναχθῆναι τὰ γένη) τίς ἂν ἔτι μηχανὴ τῆς λύσεως τῶν νῦν ζητουμένων εὑρεθείη; τά τε γὰρ ἄλλα, καὶ πρὸς τῷ παραλελεῖφθαί τινα τῶν πρώτων γενῶν, ἔτι καὶ τὸ διεσπάσθαι τε καὶ κακῶς ἀντιδιῃρῆσθαι πρὸς ἄλληλα καὶ ἀσαφῶς ἡρμηνεῦσθαι μέμψαιτ' ἄν τις ἐν τῷ προγνωστικῷ, καίτοι γ' εἴπερ τι καὶ ἄλλο τῶν Ἱπποκράτους βιβλίων, ὑπάρχοντι σαφεῖ. καὶ μὴν ἀσαφές τε ἅμα καὶ ἀδιόριστόν ἐστι τὸ κατὰ τὴν ἀρχὴν εὐθὺς εἰρημένον τῆς λέξεως· πνεῦμα δὲ, πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισιν. εἰ μὲν γὰρ μὴ διττὸν ἦν τὸ πυκνὸν πνεῦμα, θάτερον μὲν μετὰ μεγέθους, θάτερον δὲ μετὰ σμικρότητος, ἢ εἰ μὴ διαφερούσης διαθέσεως ἑκάτερον αὐτῶν ἔκγονον ὑπῆρχεν, εὐλόγως ἂν ὁ Ἱπποκράτης ἢ ἄτμητον αὐτὸ κατέλιπε, ἢ τοῦ δηλουμένου καθ' ἑκάτερον, τὴν διαφορὰν οὐκ ἐμήνυσεν· ἐπεὶ δ' αὐτός τε σαφῶς ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις ἕτερον μὲν τὸ πυκνὸν ἅμα καὶ σμικρὸν, ἕτερον δὲ τὸ πυκνὸν καὶ μέγα γινώσκει, καὶ ἡμεῖς ἀπεδείξαμεν ἐκ τῶν πρώτων εἶναι διαφορῶν αὐτὰ, κακῶς ἄτμητον ἐάσας τὸ πυκνὸν, ἁπλῶς οὕτως εἰπὼν ἠρκέσθη· πνεῦμα δὲ, πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισιν. ἓν μὲν δὴ τοῦτ' ἀπορεῖν. ἐφεξῆς δὲ τῆς τρίτης διαφορᾶς μνημονεύσας ὧδε· μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνει· καὶ ταύτην εἰπὼν μόνην σαφῶς

τῶν προτέρων διαφορῶν, οὐδ' ὁτιοῦν τῆς παρακειμένης αὐτῇ τῆς ἀραιόν τε καὶ μικρὸν ἀποδεικνυούσης τὸ πνεῦμα δυσπνοίας ἐμνημόνευσε, καίτοιγε ὥσπερ τὸ πυκνὸν πνεῦμα διττὸν ἦν, μεγέθει καὶ σμικρότητι διαιρούμενον, οὕτω καὶ τὸ ἀραιὸν διττὸν ἐξ ἀνάγκης ἐστὶ, μεγέθει καὶ σμικρότητι διαιρούμενον. θατέρου δὲ μόνου κατὰ τὸ προγνωστικὸν ἐμνημόνευσεν εἰπών· μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην σημαίνει· ἕτερον δὲ τὸ ἀραιὸν ἅμα καὶ σμικρὸν, παραλελεῖφθαι φαίνεται. ὥστ' ἐκ τῶν τεσσάρων συζυγιῶν, ἃς ἐν τῇ ἐπιδημίᾳ ἔγραψε, τὰς μὲν δύο τὰς πρώτας ἀδιορίστως τε καὶ ἀσαφῶς καὶ συγκεχυμένως εἰρῆσθαι, μόνην δ' ὡς ἔφαμεν τὴν τρίτην, αὐτήν τε καὶ τὸ δηλούμενον ὑπ' αὐτῆς ἄμφω γεγράφθαι σαφῶς. οὐ μόνον δ' ἐν τούτοις ἀσαφής τε ἅμα καὶ ἀδιόριστος, καὶ παραλιπὼν τὰ πλείω, δόξειεν ὑπάρχειν ὁ λόγος, ἀλλὰ κἀξ ὧν ἐπιφέρων φησί· ψυχρὸν δ' ἐκπνεόμενον ἔκ τε τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίγνεται. τί δήποτε γὰρ, εἰ τὰς κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν διαφορὰς ἐπελθεῖν ἐγνώκει, τῆς ψυχρᾶς ἐμνημόνευσε μόνης; ἔτι τε τί δήποτε μὲν τῶν ἄλλων δύο, ἥν τε ἀδιορίστως ὀνομάζει πυκνὸν πνεῦμα, καὶ ἣν διοριζόμενος, ἀραιὸν καὶ μέγα, τὰς διαθέσεις αὐτὰς μόνας προσέγραψεν, οὐ μὴν εἰς ὅ, τι τελευτήσουσιν ἐμήνυσε, πόνον μὲν καὶ φλεγμονὴν ὑπὸ τῆς πυκνῆς, παραφροσύνην δ' ὑπὸ τῆς ἀραιᾶς τε ἅμα καὶ μεγάλης δυσπνοίας δηλοῦσθαι φάμενος; ἐπὶ δὲ τῆς κατὰ τὸ ψυχρὸν διαφορᾶς, ἐς ὅτι μὲν τελευτήσει λέγει, φησὶ γὰρ ὀλέθριον εἶναι κάρτα τὸ τοιοῦτον πνεῦμα· τὴν διάθεσιν δ' ἀφ' ἧς οὕτω δυσπνοοῦσιν, ἀσαφεστέραν οὖσαν, οὐκέτι λέγει, βέλτιον ὂν ἐπὶ πασῶν τῶν δυσπνοιῶν καὶ τὰς διαθέσεις αὐτὰς εἰπεῖν, αἵ τινές ποθ' ὑπάρχουσι, καὶ τὸν τρόπον αὐτῶν προσγράψαι, διορίζοντα τὰς ἐπιεικεῖς ἀπὸ τῶν κακοηθῶν; οὐ τοίνυν οὕτως ἐποίησεν, ἀλλ' ἐπὶ μὲν τῶν προτέρων δυσπνοιῶν τὰς διαθέσεις, ἐπὶ δὲ τῆς ἐσχάτης, τὸν τρόπον μόνον ἐδήλωσεν. ὃ δὴ πάντων ἀφυκτότατόν ἐστι τῶν ἐγκλημάτων, τὸ μηδὲν ὅλως εἰρῆσθαι περὶ τῆς ἀνωμάλου δυσπνοίας, ἤδη δὴ καὶ αὐτὸ προσκείσθω τῷ λόγῳ. τὸ μὲν γὰρ ἐκτεῖνον καὶ κατεπεῖγον πνεῦμα, καὶ τὸ ἔξω μέγα καὶ εἴσω μικρὸν, οὐκ εἴρηται μὲν οὐδ' αὐτὰ διὰ τοῦ προγνωστικοῦ γράμματος, ἐξ ὧν δὲ ἡμεῖς ἐν τῷ πρώτῳ λόγῳ διήλθομεν, ἐν ταῖς τέσσαρσι τῶν δυσπνοιῶν συζυγίαις εὑρίσκεται περιεχόμενα· τὴν δέ γε πέμπτην ἀνώμαλον, ἧς τὸ μὲν ἥμισυ μέρος ἐν τοῖς τῶν ἐπιδημιῶν ἔγραψε, διπλῆν εἴσω φάμενος ἐπανάκλησιν, ἐν δὲ τῷ προγνωστικῷ τελέως παρέλιπεν, οὐκ ἔστιν ὑπ' οὐδεμιᾶς τῶν τεττάρων συζυγιῶν κατ' οὐδένα τρόπον εὑρεῖν περιεχομένην. αἱ μὲν οὖν ἀπορίαι τοσαῦταί τε καὶ τοιαῦται.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τίνι μεθόδῳ τὰ προτεθέντα ζητήματα λύεσθαι δύναται.

ΧΡὴ δὲ τοὐντεῦθεν, μὴ τοῖς πολλοῖς τῶν ἀντιλεγόντων Ἱπποκράτους παραπλησίως, καὶ ἡμᾶς τὰς μὲν ἀπορίας εὐπόρως ἐξευρίσκειν, ἐν δὲ ταῖς λύσεσιν αὐτῶν ἀπορεῖν, ἀλλὰ πρῶτον μὲν ὁδόν τινα τῆς εὐπορίας εὑρεῖν, ἐφεξῆς δ' ἀποδείξει πιστώσασθαι τὰ δι' αὐτῆς εὑρεθέντα. τίς οὖν ὁδὸς τῆς εὐπορίας; χρὴ γὰρ ἐντεῦθεν ἄρξασθαι,

primis differentiis manifestè proloquutus, proximæ ipsi spirandi difficultatis, quæ rarum & paruum spiritum ostendit, nullã omnino mentionem fecit; quanquam sanè vt densus spiritus duplex erat, magnitudine & paruitate distinctus; sic etiam rarus necessariò duplex est, magnitudine ac paruitate distinctus. Verùm alterius solius in prænotionibus meminit, vbi ait; *Magnus autem & per multum tempus, delirium significat*; alterum verò, rarum simul & paruum, prætermissum esse apparet. Quare ex quatuor coniugationibus, quas in epidemia scripsit, primæ duæ indistinctè & obscurè, ac confusè dictæ sunt; sola verò tertia, vt diximus, tum ipsa, tum quod per eam significatur, ambo manifestè scripta sunt. Cæterùm non in his solùm obscurus & indistinctus, & plura prætermittens sermo videri potest, sed & ex eis, quæ deinceps inferens ait; *Frigidus verò ex naribus & ore prodiens, valde iam perniciosus est.* Cur enim tandem, si eas quæ in calido & frigido sunt, differentias recensere statuerat, eam solam, quæ in frigido est, memorauit? Prætereà cur aliarum duarum, tum eius, quam indistinctè spiritum densum nominat, tum quam distinctè rarum & magnũ, affectiones ipsas solas ascripsit, non tamen in quid desinant significauit, dolorem quidem & inflammationẽ à densa, delirium autem à rara & magna spirationis difficultate indicari asserens? in differentia verò quæ in frigido est, in quid desinat dicit; inquit enim perniciosum valde esse huiusmodi spiritum; affectionem verò, ob quam ita difficulter spirant, obscuriorem existentem, non etiam dicit, quum tamen præstaret in omnibus difficilibus respirationibus, tum ipsas affectiones dicere, quæcunque tandem hę sint, tum alterationis ipsarum modum ascribere, mitiores à malignis distinguendo. At non ita fecit, verùm in prioribus spirandi difficultatibus affectiones, in vltima alterationis modum solum ostendit. Et quod crimen omnium minimè vitari potest, quòd videlicet nihil penitus de inæquali spirationis difficultate dixerit, id ipsũ sanè etiam iam sermoni addatur. Extensus enim & coactus spiritus; & extrà magnus, intrò paruus; & intrò magnus, extra paruus; nec ipsi etiã in prænotionum libro relati sunt; verum ex his, quæ nos in primo libro explicauimus, in quatuor difficilium spirationum coniugationibus comprehensi reperiuntur. At verò quintam inæqualem, cuius dimidiam partem in libris epidemiorum scripsit; *duplicem intrò reuocationem* afferens; in prænotionum verò libro penitus omisit; sub aliqua quatuor coniugationum nullo modo comprehensam inuenire licet. Atque tot quidem ac tales sunt dubitationes.

CAPVT V.

Qua via propositæ quæstiones explicari queant.

OPortet autem iam inde nos non similiter, vt multi faciunt eorum qui Hippocrati contradicunt, difficultates quidem facile reperire, in solutionibus verò ipsarum hærere; verùm primum quidem viam quandam facilitatis inuenire, deinceps verò demonstratione, quæ per ipsam inuenta erunt, confirmare. Quæ est igitur via facilitatis? oportet enim inde initiũ sumere,

sumere. Vna quidem commune illud omnibus veteribus familiare breuiloquium; altera verò ipsius Hippocratis animi magnitudo. Demonstratum enim nobis est quàm grauis sit sæpenumero hic vir, in iis quæ aliis medicis nota sunt, prætereundis, vt quæ à nemine eorum qui artem seriò exercent, ignorari queant; quæ verò his ignota sunt, omnibus diligenter simul & perspicuè exponendis. Si verò hic ipsi mos est, quid mirum ambiguam ac obscuram apud plerosque differentiam difficilis respirationis, eam videlicet quæ in magnitudine & raritate est; tum per alia scripta demonstrare conatum eum esse desipientiæ propriam, tum in prænotionum libro manifestâ doctrinâ dignam censuisse; differentias autem densitatis, vt quæ medicis ignotæ esse non queant, vna summa comprehēsas breuiter indicasse? In pleuritide enim & peripneumoniis, anginis & orthopnœis, densus & paruus fit spiritus. Quod si pleuritis non sit, sed tantum dolor circa costas, densus & paruus fit spiritus; quemadmodum etiam, si circa os ventriculi, aut stomachum, aut splenis caput, aut hepatis gibbam partem. Nam & in his locis si quis sit dolor, necessarium est paruum & densum fieri spiritum; & multo magis si circa septum transuersum, & partem eius peritonæo cohærentem, itémque musculos illic circunsitos. Atqui etiamsi non istic solùm, sed longè inferius peritonæum fuerit affectum, & læsionem ipsius percipiat septum transuersum, itidem paruum ac densum spiritum efficit. Quin & ventriculi ipsius maiores affectiones, quę cum dolore fiunt & tumore, splenis item ac hepatis infernæ partes, non minus densum ac paruum efficiunt spiritum. Et in vniuersum, siue tumor quis sit premens ac coarctans quodcunque tandem spirabile organum, siue dolor circa quamcunque partem ita vicinam respiratoriis organis, vt ipsis motis simul moueatur, densus ac paruus erit spiritus. Reliquas autem horum causas in primo libro recensuimus. Quemadmodum sanè & quòd calore multo in spirabilibus organis coaceruato, densus & magnus spiritus fiet; id quod fermè quotidie in omnibus feruidis febribus apparet, vt neminem latere possit. Etenim quòd phlogosin præter naturam non Hippocrates solùm, sed omnes ferè alii, qui ante Erasistratum fuerunt, phlegmonen nominarint, non à nobis tantum, sed ab omnibus Hippocratis expositoribus est ostensum. His itaque positis, nihil ampliùs mirum est, prædictas ambas differentias Hippocratem vno capite declarasse, vbi ait; *Spiritus densus existens dolorem aut inflammationem significat in locis supra septum transuersum sitis*, tanquam sanè nos intelligere possimus eum cùm paruitate dolorem significare, cum magnitudine inflammationem, hoc est phlogosin, declarare. Apponit autem meritò, *in locis supra septum transuersum sitis*, siue respiratoriis; tanquam immodico calore partium infra septum transuersum sitarum, respirationem in magnitudinem ac densitatem attollere nequeunte.

A μία μὲν, ἡ κοινὴ πάντων τῶν παλαιῶν συνήθης βραχυλογία· δευτέρα δὲ Ἱπποκράτους αὐτοῦ μεγαλοφροσύνη. δέδεικται γὰρ ἡμῖν ὡς πολλάκις ὁ ἀνὴρ οὗτος, ὅσα μὲν καὶ τοῖς ἄλλοις ἰατροῖς ἐστι γνώριμα, παρατρέχων, ὡς ὑπὸ μηδενὸς τῶν γνησίως ἀσκούντων τὴν τέχνην ἀγνοηθῆναι δυνάμενα, τὰ δὲ τοῖς τοιούτοις ἀγνοούμενα πάντ' ἐπιμελῶς τε ἅμα καὶ σαφῶς ἐξηγούμενος. εἰ δὴ τοῦτ' ἐστιν ἔθος αὐτοῦ, τί θαυμαστὸν ἀμφισβητουμένην τε καὶ ἀσαφῆ τοῖς πολλοῖς δυσπνοίας διαφορὰν τὴν κατὰ μέγεθός τε καὶ ἀραιότητα, B διά τε τῶν ἄλλων συγγραμμάτων ἐπιδεῖξαι πειραθῆναι παραφροσύνης ἰδίαν οὖσαν, ἔν τε τῷ προγνωστικῷ σαφοῦς ἀξιῶσαι διδασκαλίας· τὰς δὲ τῆς πυκνότητος, ὡς ἂν μηδὲ ταύτας ἀγνοηθῆναι τοῖς ἰατροῖς δυναμένας, ἑνὶ κεφαλαίῳ περιλαβόντα, διὰ ταχέων δηλῶσαι; ἔν τε γὰρ πλευρίτισι καὶ περιπνευμονίαις, καὶ συνάγχαις, καὶ ὀρθοπνοίαις, πυκνὸν καὶ μικρὸν γίνεται τὸ πνεῦμα· καὶ εἰ μὴ πλευρῖτις δ' εἴη, μόνη δ' ὀδύνη κατὰ τὰς πλευρὰς ὑπάρχοι, πυκνὸν καὶ μικρὸν ἔσται τὸ πνεῦμα, καθάπερ εἰ καὶ περὶ τὸ στόμα τῆς κοιλίας, ἢ τὸν στόμαχον, ἢ τοῦ σπληνὸς τὴν κεφαλὴν, C ἢ τοῦ ἥπατος τὰ κυρτά. καὶ γὰρ οὖν κἀν τούτοις πόνου τινὸς ὑπάρχοντος, ἀνάγκη μικρὸν καὶ πυκνὸν γίνεσθαι τὸ πνεῦμα, καὶ πολύ γε μᾶλλον, εἰ περὶ τὸ διάφραγμα γένοιτο καὶ τὸ συνάπτον αὐτοῦ τῷ περιτοναίῳ, καὶ τοὺς μῦς τοὺς περικειμένους αὐτῷ. καίτοι κἂν εἰ μὴ τῇδε μόνον, ἀλλὰ καὶ κατωτέρω μειζόνως πεπονθὸς τὸ περιτόναιον, αἰσθάνεταί τε τῆς βλάβης αὐτοῦ τὸ διάφραγμα, καὶ οὕτω μικρὸν καὶ πυκνὸν ἐργάζεται τὸ πνεῦμα. καὶ τῆς γαστρὸς αὐτῆς αἱ μείζους διαθέσεις, αἱ σὺν ὀδύνῃ τε καὶ ὄγκῳ, καὶ τοῦ σπληνὸς τὰ κάτω καὶ τοῦ ἥπατος, D οὐδὲν ἧττον καὶ αὗται πυκνὸν καὶ μικρὸν ἐργάζονται τὸ πνεῦμα· καὶ ὅλως, εἴτ' ὄγκος τις εἴη, θλίβων τε καὶ στενοχωρῶν ὁτιοῦν τῶν ἀναπνευστικῶν ὀργάνων, εἴτ' ὀδύνη περί τι μόριον οὕτω πλησιάζον τοῖς ἀναπνευστικοῖς, ὡς κινουμένοις αὐτοῖς συγκινεῖσθαι, πυκνὸν καὶ μικρὸν ἔσται τὸ πνεῦμα. τὰς δ' ἄλλας αἰτίας τούτων ἐν τῷ πρώτῳ γράμματι διήλθομεν, ὥσπερ γε καὶ ὅτι θερμασίας πολλῆς ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἠθροισμένης, πυκνὸν καὶ μέγα γενήσεται τὸ πνεῦμα. φαίνεται δὲ καὶ τοῦτο σχεδὸν ἁπάσης ἡμέρας ἐπὶ τῶν διακαῶν πάντων πυρετῶν, ὥστ' οὐδ' αὐτὸ διαλαθεῖν τινά. καὶ μέν τοι καὶ ὡς τὴν παρὰ φύσιν φλόγωσιν, οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες οἱ πρὸ Ἐρασι- E στράτου, φλεγμονὴν ὠνόμαζον, οὐχ ἡμῖν μόνοις, ἀλλὰ καὶ σύμπασιν, ὡς εἰπεῖν, τοῖς Ἱπποκράτους ἐξηγηταῖς ἀποδέδεικται. τούτων οὖν ὑποκειμένων, οὐδὲν ἔτι θαυμαστὸν ἑνὶ κεφαλαίῳ τὰς εἰρημένας ἀμφοτέρας διαφορὰς δηλῶσαι τὸν Ἱπποκράτην, πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, εἰπόντα, πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισιν, ὡς ἂν καὶ ἡμῶν νοῆσαι δυναμένων, ὅτι τὸ μὲν μετὰ μικρότητος, πόνον σημαίνει, τὸ δὲ μετὰ μεγέθους, φλεγμονὴν, ὅπερ ἐστὶ φλόγωσιν, δηλοῖ. προσθέντα δ' εὐλόγως, ἐν τοῖ- F σιν ὑπὲρ τῶν φρενῶν χωρίοισιν, ἤτοι τοῖς ἀναπνευστικοῖς, ὡς ἂν τῆς κάτω τοῦ διαφράγματος ἀμέτρου θερμασίας εἰς μέγεθός τε καὶ πυκνότητα, τὴν ἀναπνοὴν ἐξᾶραι μὴ δυναμένων.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ἐκ τινῶν ῥήσεων δείκνυται Ἱπποκράτης τὰς τοῦ πυκνοῦ πνεύματος συζυγίας δηλώσας.

Ἡ μὲν ὁδὸς τῆς εὑρέσεως τῶν ζητουμένων κατά γε τὰς πρώτας διαφορὰς ἥδε. προσθεῖναι δ' ἀνάγκη τινὰ καὶ ἀπόδειξιν τῷ λόγῳ. νυνὶ μὲν γὰρ, ὡς οὐκ ἀδύνατόν ἐστι, ταύτῃ τῇ γνώμῃ κεχρῆσθαι τὸν Ἱπποκράτην, δεδήλωται· δειχθήσεται δ' ἐφεξῆς, ὅτι πάντως οὕτως ἔχει. τί δή ποτε γὰρ ἐν μὲν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις ἀμφοτέροις, ἔν τε τῷ δευτέρῳ καὶ τῷ ἕκτῳ, πρώτας ἁπασῶν δύο ταύτας εὑρίσκεται διαφορὰς δυσπνοίας διαιρούμενος, προτέραν μὲν τὸ μικρὸν καὶ πυκνὸν πνεῦμα, δευτέραν δὲ τὸ πυκνὸν καὶ μέγα, κατὰ δὲ τὸ προκείμενον ἀγνοεῖν αὐτὰς νομίζεται; πρὸς τῷ καὶ μετὰ ταῦτ' εὐθὺς ἐν τῷ προγνωστικῷ γράφειν, ἀραιὸν καὶ μέγα· ἀραιὸν μὲν οὖν καὶ μέγα πνεῦμα γινώσκει, πυκνὸν δὲ καὶ μικρὸν ἀγνοεῖ; κἂν φαίη τις τῶν τὰ χείρω σπουδαζόντων, ὡς αὐτὸ μὲν τί ποτ' ἐστὶ πυκνὸν καὶ μικρὸν πνεῦμα γινώσκειν ἠδύνατο, τίς δ' ἐστὶν ἡ ἀπεργαζομένη διάθεσις αὐτὸ, μὴ γινώσκειν ἠδύνατο, ἀλλ' ὅταν εἴποι, τὸ πυκνὸν πνεῦμα πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖς ὑπὲρ τῶν φρενῶν χωρίοις, δῆλός ἐστι καὶ τὰς διαθέσεις γράφων, καὶ οὐδετέραν παραλιπὼν, ἀλλὰ κατὰ τὴν αὐτὴν τάξιν ἐδήλωσεν, ἣν κἀν τοῖς δύο τῶν ἐπιδημιῶν βιβλίοις ἐποιήσατο. δῆλος οὖν ἐστι, τῷ μὲν πυκνῷ καὶ σμικρῷ τὸν πόνον, τῷ δὲ πυκνῷ καὶ μεγάλῳ, τὴν φλόγωσιν συνάπτων. οὐδὲ γὰρ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἐν μὲν τοῖς τῶν ἐπιδημιῶν δύο, ἐμνημόνευσε μικροῦ καὶ πυκνοῦ, καὶ μεγάλου καὶ πυκνοῦ πνεύματος, ἑτέρωθι δ' οὐδαμόθι. καὶ γὰρ ἐν αὐτοῖς ἐκείνοις πολλάκις, κἀν τῷ περὶ διαίτης ὀξέων, ὃν ἐπιγράφουσι περὶ πτισάνης, εὐθὺς ἐν ἀρχῇ τοῦ συγγράμματος, οὐ μόνον διαρρήδην ὀνομάζει τὸ τῆς δυσπνοίας ταύτης εἶδος, ἀλλὰ καὶ τὴν διάθεσιν ἐφ' ᾗ γίγνεται, καὶ τὸν τρόπον αὐτῆς καθ' ὃν βλάπτειν πέφυκε, καίτοι τῶν ὑπὸ φιλονεικίας πολλὰ περικοπτόντων ὡς οὐ γνήσια τοῦ Ἱπποκράτους βιβλία, οὐδεὶς ἐτόλμησεν ἀφελέσθαι τὸν ἄνδρα τουτὶ τὸ σύγγραμμα. τὰ μὲν γὰρ ἐπὶ τέλει, τὰ μετὰ τὴν τοῦ λουτροῦ χρῆσιν ἀφαιροῦσι πολλοὶ, τὰ δὲ ἕως τοῦδε, φυλάττουσιν ἅπαντες. ἐὰν οὖν μὴ μόνον ἐν τούτῳ τῷ βιβλίῳ δείξωμεν, ἀλλὰ καὶ δι' ἄλλων πολλῶν ὁμοίως εὑρεθῇ τάς τε διαφορὰς τοῦ πυκνοῦ πνεύματος γινώσκων καὶ τὰς διαθέσεις, ἐνδεῖν τι δόξει πρὸς τὴν ἀπόδειξιν; εἰ δὲ καὶ κατ' αὐτὸ τὸ προγνωστικὸν εὑρεθείη κατωτέρω, μήτε τὰς διαφορὰς ἀγνοῶν, καὶ τὰς διαθέσεις ἐπιστάμενος, οὐκ ἂν ἔτι μᾶλλον πιστεύσαις ἀποδεδεῖχθαι τὸ προκείμενον; καὶ μὴν ὅτι ταῦθ' οὕτως ἔχει καὶ μηδὲν ψευδόμεθα, πάρεστι σκοπεῖν ἐξ αὐτῶν τῶν ῥήσεων. ἄρξομαι δ' ἀπὸ τοῦ περὶ διαίτης ὀξέων. ἐν τούτῳ τῷ βιβλίῳ κατ' ἀρχὰς εὐθὺς, περὶ τῶν κατὰ πνεύμονα καὶ θώρακα νοσημάτων τὸν λόγον ποιούμενος, ὧδέ πως φησίν· οἷσί τε γὰρ σῖτος αὐτίκα ἐγκατακέκλεισται, ἢν μή τις ὑποκενώσας τὸ ῥόφημα δοίη, τὴν ὀδύνην ἐνεοῦσαν προσπαροξύνειεν ἂν, καὶ μὴ ἐνεοῦσαν, εὐθὺς ἐμποιήσειεν ἂν, καὶ πνεῦμα πυκνότερον γίνοιτ' ἄν· κακὸν δὲ τοῦτο· ξηραντικὸν γὰρ πνεύμονος, καὶ κοπῶδες ὑποχονδρίων καὶ ἤτρου καὶ φρενῶν. ἐν τούτῳ τῷ λόγῳ, πρῶτον μὲν ὅτι καὶ διὰ πόνον τὸ πυκνὸν γίνεται

CAPVT VI.

Ex aliquot locis Hippocrates demonstratur declarasse densi spiritus coniugationes.

Ac via quidem inuentionis quæsitorum in primis differentiis hæc est. Verùm demonstrationem etiam quandam sermoni addere necessariam est. Nunc enim posse fieri vt hanc sententiam Hippocrates vsurparit, ostensum est; monstrabitur autem deinceps penitus rem sic habere. Cur enim tandem in vtroque epidemiorum libro, secundo ac sexto, has duas spirandi difficultatis differentias primas omniū distinguere reperitur, priorem quidem, paruum & densum spiritum; alteram verò densum & magnum; in proposito autem prænotionum libro ipsas ignorare videtur? præterquamquòd postea statim scribit, rarum & magnum; Rarum igitur & magnum spiritum nouit, densum verò & paruum ignorat? Et sanè etiamsi quispiam eorum, quibus animus in peiorem partem inclinat, dixerit, quinam sit densus ac paruus spiritus, cognoscere quidem *Hippocratem* potuisse; quæ verò sit affectio ipsum efficiens, non potuisse cognoscere; imò quum dicat; *densus spiritus dolorem significat, aut inflammationem in locis supra septum transuersum sitis*; constat eum & affectiones scribere, & neutram prætermittere. Imò eodē exposuit ordine, quem etiam in duobus epidemiorum libris fecit. Perspicuum itaque est eum denso & paruo dolorem, denso & magno inflammationem tribuere. Neque enim dici potest in epidemiorum quidem libris duobus, parui & densi, & magni ac densi spiritus mentionem fecisse, in aliis verò nusquam. Nam & in illis ipsis sæpè, & in libro de victu in morbis acutis, quem etiam de ptissana inscribunt, statim in principio libri non tantùm huiusmodi difficilis spirationis speciem palàm nominat, sed & ipsam affectionem, ex qua fit, & modum ipsius, iuxta quem lædere solet. Atqui nullus eorum, qui contentionis studio multos Hippocratis libros tanquam nō genuinos rescindunt, hunc librum viro adimere ausus est. Equidem, quæ in fine sunt post balnei vsum, plerique tollunt; quæ verò eousque habentur, omnes conseruant. Si igitur non solùm in hoc libro monstrauerimus, sed etiam in aliis similiter inueniatur, tum differentias, tum affectiones densi spiritus cognoscere, adhuc quicquam deesse videbitur ad demonstrationem? Si verò etiam in ipso prænotionum libro paulò inferius inueniatur & differentias non ignorare, & affectiones ipsas scire, nonne credas adhuc amplius id quod propositum est satis esse demonstratum? At verò quòd hæc ita habeant, neque mentiamur, ex ipsis verbis videre licet. Incipiam autem à libro de victu in morbis acutis. In hoc libro statim in principio, de morbis pulmonis, ac thoracis verba faciens, hoc modo ait; *Quibus etenim cibus statim conclusus est, si quis eo non subeuacuato sorbitionem dederit, dolorem præsentem exacerbauerit, & non præsentem statim induxerit, & spiritus densior reddetur. Malus autem hic est, resiccat enim pulmonem; & hypochondria, imúmque ventrem, & septum transuersum dolore vexat.* In hoc sermone primùm quidē, quòd & propter dolorem densus

sus sit spiritus, ostendit, nobis opinor relinquens meditandum generationis modum, quem in primo horum commentariorum me manifestè exposuisse puto. Quemadmodum enim dolentibus cruribus, multum progredi nequimus; eodem modo, vbi quoddam organum ex iis, quæ in respirationibus mouentur, doluerit, parum respirare cogimur, & citiùs desistere cupimus. Quum enim simul cum temporis respirationis longitudine extendatur dolor, qui citiùs cohibet motum spirabilium organorum, citiùs dolore liberatur. At quantò citiùs, quam oportuit cohibetur, tantò minùs ipsum animal inspiratione fruitur. Quemadmodum igitur siquis pauciores cibos, quàm ex vsu sit, accipiat, hic citò aliorum ciborum opus habebit; sic siquis minùs quàm ex vsu est, inspirauerit, hic citiùs inspiratione indigebit, atque ita spiritum densari continget. Quo enim tempore inter actiones medio organa respirationis cessantia quiescebant, eo ipso nunc quiescere animal ipsis non permittit; tanquam enim singulas respirationes imperfectè respirans, semper etiam propiùs ad suffocationem accedit. Huius autem ipsius affectionis metu citiùs respirare vrgetur, & respirationis organa citiùs quàm oporteat, mouet, non permittens ipsis quiescere, quantum quiescebant, quando secundum naturam habebant. Quum igitur Hippocrates ob dolorem spiritū densiorem fieri dicat, videatur autem per mediam paruitatem densitas ipsa generari, omnibus sanè manifestum est, eum paruitatem etiam nouisse. Quis enim tertiū à primo nosse queat, si medium ignoret, & præsertim si ipsum tertio generationis causa existat? Et sanè paululum progressus, propriis ipsis verbis apertè paruitatem densitatis causam esse tradit, sic scribens; *Etenim ipsum sputum intus retentum, prohibet quidem spiritum intrò ferri, cogit autem citò extra ferri.* Hic alteram rursus causam docet generationis densi spiritus; appellauit autem ipsam in superioribus sermonibus respirabilium organorū coarctationem. Quod igitur in dolore nobis intelligendum relinquebat, hoc ipsum hîc ipse exposuit. Quid est autem hoc? *Multo*, inquit, *sputo in arteriis*, pulmonis videlicet, *contento, & spiritus ipsius regionem occupante, spiritus ad inspirationis actionem intrò accedere prohibetur.* Num igitur aliud quid est, quàm parua inspiratio, id quod nunc dicitur? Non certè, siquidem copiâ substantiæ quæ inspiratur, magnitudinē respirationis metiri oportet, vt in primo libro demonstratū est; verùm si ob aliā quandam causam cogi spiritum celeriter extrà ferri dicat, quàm ob inspirationis paruitatem, id etiam dici non potest, quum dictionis series sic habeat; *Etenim ipsum sputum intus retentum, prohibet quidem spiritum intrò ferri, cogit autem citò extrà ferri.* Propterea enim quòd latione spiritùs ad interna priuatum est animal, quiescere non permittit, vt quod de suffocatione periclitetur; & in hoc densus spiritus generatur. Nam ab inspiratione ad expirationem celeriter progredi, nihil aliud est, quàm densè respirare. Non enim conuenit ipsas nominum syllabas audire velle, quum integri sermones perspicuè dicantur, neque aliud quiddam esse putare, citò ad expirationem concitari, quàm densè respirare; aliud prohiberi inspirationem sufficienter fieri, quàm paruā esse respirationē.

A πνεῦμα δεδήλωκεν, ἡμῖν οἶμαι καταλιπὼν ἐπινοεῖν τὸν τρόπον τῆς γενέσεως, ὃν ἐν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων σαφῶς μοι δοκῶ διεληλυθέναι. καθ᾽ ὃν γὰρ τρόπον ὀδυνώμενοι τὰ σκέλη, μέγα προβαίνειν οὐ δυνάμεθα, κατὰ τὸν αὐτὸν τρόπον, ὅταν πονῇ τι τῶν κινουμένων ἐν ταῖς ἀναπνοαῖς ὀργάνων, μικρὸν ἀναπνεῖν ἀναγκαζόμεθα, καὶ θᾶττον παύσασθαι γλιχόμεθα. ἐπεὶ γὰρ συμπαρεκτείνεται τῷ μήκει τοῦ χρόνου τῆς ἀναπνοῆς ὁ πόνος, ὁ θᾶττον ἂν ἐπισχὼν τὴν κίνησιν τῶν ἀναπνευστικῶν, θᾶττον ὀδυνώμενος παύσεται. ἀλλ᾽ ὅσον προτιαίτερον τοῦ δέοντος ἐπαύσατο, τοσοῦτον τὸ ζῶον ἐλλιπέστερον ἀπήλαυσε τῆς εἰσ-
B πνοῆς. ὥσπερ οὖν εἴ τις ἐλάττω τῆς χρείας σιτία προσφέρῃ, ταχέως ἑτέρων δεήσεται σιτίων, οὕτως εἴ τις εἰσπνεύσειεν ἔλαττον τῆς χρείας, θᾶττον ἑτέρας εἰσπνοῆς προσδεήσεται, κἂν τῷδε συμβήσεται πυκνοῦσθαι τὸ πνεῦμα. ὃν γὰρ ἡσύχαζε χρόνον ἐν τῷ μεταξὺ τῶν ἐνεργειῶν ἀναπαυόμενα τὰ τῆς ἀναπνοῆς ὄργανα, τοῦτον νῦν αὐτοῖς οὐκ ἐπιτρέπει ἡσυχάζειν τὸ ζῶον. ἅτε γὰρ ἐλλιπῶς ἀναπνέον ἑκάστην ἀναπνοήν, ἀεὶ καὶ μᾶλλον ἐγγυτέρω πελάζει πνίξεως· δέει δὲ αὐτοῦ τοῦδε τοῦ παθήματος, ἀναπνεῦσαι θᾶττον ἐπείγεται, καὶ κινεῖ τὰ τῆς ἀναπνοῆς ὄργανα προτιαίτερον τοῦ δέοντος, οὐκ ἐπιτρέπον
C αὐτοῖς ἡσυχάζειν ἐς ὅσον ἡσύχαζεν, ὅτ᾽ εἶχε κατὰ φύσιν. ὅταν οὖν διὰ τὴν ὀδύνην ὁ Ἱπποκράτης, πυκνότερον τὸ πνεῦμα γενέσθαι λέγῃ, φαίνηται δὲ διὰ μέσης τῆς μικρότητος ἡ πυκνότης γενᾶσθαι, παντί που δῆλον, ὡς καὶ τὴν σμικρότητα γινώσκει. τίς γὰρ ἂν τὸ τρίτον ἀπὸ τοῦ πρώτου δύναιτο γνῶναι, τὸ μέσον ἀγνοῶν; καὶ μάλισθ᾽ ὅταν αὐτὸ τῷ τρίτῳ τῆς γενέσεως αἴτιον ὑπάρχῃ; καὶ μήν γε καὶ προελθὼν ὀλίγον, αὐτοῖς τοῖς ἰδίοις ῥήμασιν ἄντικρυς αἰτιᾶται τὴν μικρότητα τῆς πυκνότητος, γράφων ὧδε· καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνεργόμενον, κωλύει μὲν τὸ πνεῦμα εἴσω φέρεσθαι,
D ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι. τὴν ἑτέραν ἐνταῦθα πάλιν αἰτίαν διδάσκει τῆς τοῦ πυκνοῦ πνεύματος γενέσεως, ὠνόμαζε δ᾽ αὐτὴν ἐν τοῖς ἔμπροσθεν λόγοις στενοχωρίαν τῶν ἀναπνευστικῶν ὀργάνων. ὅπερ οὖν ἐπὶ τοῦ πόνου παρέλιπεν ἡμῖν ἐπινοῆσαι, τοῦτ᾽ ἐνταῦθα αὐτὸς ἐξηγήσατο. τί δ᾽ ἐστὶ τοῦτο; πολλοῦ, φησί, τοῦ πτυέλου περιεργμένου κατὰ τὰς ἀρτηρίας, τοῦ πνεύμονος δηλονότι, καὶ τὴν χώραν τοῦ πνεύματος αὐτοῦ φθάνοντος κατειληφέναι, κωλύεται κατὰ τὴν τῆς εἰσπνοῆς ἐνέργειαν εἴσω παραγενέσθαι τὸ πνεῦμα. ἆρ᾽ οὖν ἕτερόν τι τῆς μικρᾶς εἰσπνοῆς ἐστὶ τὸ νῦν λεγόμενον; οὐ
E μήν, εἴγε τῷ πλήθει τῆς εἰσπνεομένης οὐσίας παραμετρεῖν χρὴ τὸ μέγεθος τῆς ἀναπνοῆς, ὡς ἐν τῷ πρώτῳ δέδεικται λόγῳ. ἀλλὰ εἰ δι᾽ ἄλλην τινὰ αἰτίαν ἀναγκάζεσθαι ταχέως ἔξω φέρεσθαι τὸ πνεῦμά φησι, ἢ διὰ τὴν μικρότητα τῆς εἰσπνοῆς, οὐκ ἔστιν οὐδὲ τοῦτ᾽ εἰπεῖν, ἐχούσης οὕτω τῆς λέξεως· καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνεργόμενον, κωλύει μὲν τὸ πνεῦμα εἴσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως φέρεσθαι ἔξω. διότι γὰρ ἐστερήθη τῆς εἴσω φορᾶς, ἡσυχάζειν οὐκ ἐπιτρέπει τὸ ζῶον, πνιγῆναι κινδυνεῦον, κἂν τῷδε πυκνὸν γίγνεται.
F τὸ γὰρ ἐπὶ τὴν ἐκπνοὴν ἰέναι ταχέως ἀπὸ τῆς εἰσπνοῆς, οὐδὲν ἕτερόν ἐστι τοῦ πυκνῶς ἀναπνεῖν. οὐ γὰρ δὴ τάς γε συλλαβὰς τῶν ὀνομάτων αὐτὰς ἐθέλειν ἀκούειν προσήκει, τῶν λόγων ὅλων σαφῶς λεγομένων, οὐδ᾽ ἄλλο μέν τι νομίζειν εἶναι τὸ ταχέως ἐπὶ τὴν ἐκπνοὴν ὁρμᾶν, τοῦ πυκνῶς ἀναπνεῖν, ἄλλο δέ τι, τὸ κωλύεσθαι τὴν εἰσπνοὴν αὐτάρκως γίγνεσθαι, τοῦ μικρὰν εἶναι τὴν ἀναπνοήν.

ἀλλ' ἐνταῦθα μὲν αὐτὸς ὁ Ἱπποκράτης ἐξηγήσατο σαφῶς, ὅπως ἐπὶ τοῦ πτυέλου κατεχομένου πυκνὸν γίνεται τὸ πνεῦμα, διὰ μέσης τῆς μικρότητος· ἐπὶ δὲ τῆς ὀδύνης παρέλιπεν, ὡς ἂν, οἶμαι, πολλαχοῦ μὲν αὐτὸς εἰρηκὼς κωλύεσθαι τὰς ἐνεργείας τῶν ὀργάνων ὑπὸ τοῦ πόνου, δυναμένων δὲ καὶ ἡμῶν, κἂν εἰ μὴ παρ' ἐκείνου προσηκούσαμεν, ἐκ τῶν ἐναργῶς φαινομένων εὑρεῖν αὐτό. πρὸς δὲ τοίνυν ἄμφω ταῦθ' ἡμᾶς ἐν τῷδε τῷ λόγῳ διδάξαι σαφῶς, ὡς καὶ πόνος καὶ στενοχωρία μικρὰν ἐργαζόμενα τὴν ἀναπνοὴν, εὐθὺς καὶ πυκνὴν δείκνυσιν, ἔτι καὶ τοῦτ' ἐκδιδάσκει, τὸ, μὴ ταῦτ' εἶναι μόνον πυκνοῦ πνεύματος αἴτια. πρῶτον μὲν γὰρ ἐν τῷ φάναι, εἴρηται δ' οὕτως ἐπὶ τῆς ὀδύνης, αὐτὸ δῆλον ποιεῖται πυκνὸν ἤδη διὰ τὴν ἑτέραν αἰτίαν ὑπάρχον τὸ πνεῦμα, πυκνότερον γίνεσθαι λέγων διὰ τὸν πόνον, ὡς ἂν οἶμαι, κἀνταῦθ' ἡμῶν λογίσασθαι δυναμένων, τὴν πυρεκτικὴν θερμασίαν πάντως αὐτὸ πυκνὸν ἀπεργάσασθαι· δεύτερον δ' ἐν τῷ λέγειν, ὅτι ὑπὸ τοῦ πυκνοῦ καὶ πολλοῦ πνεύματος, ὡς ἤδη εἴρηται, γλισχραινόμενον τὸ πτύελον ἀπέπτως, κωλύει τὴν ἐπάνοδον γίνεσθαι. τοῦ μὲν γὰρ πυκνοῦ πνεύματος, ὁ πόνος αἴτιον· τοῦ πολλοῦ δὲ, οὐχ ἔστι, ἀλλ' ἡ πυρεκτικὴ θερμασία. πάνυ δὲ κἀνταῦθα σαφῶς, οὐ μεγάλου πνεύματος εἶπεν, ἀλλὰ πολλοῦ. τὸ μὲν γὰρ μέγα τῷ καθ' ἑκάστην ἀναπνοὴν ποσῷ κρίνεται, τὸ δὲ πολὺ δυνατόν ἐστιν ἐκ μικρῶν ἐνίοτε πολλῶν ἀθροίζεσθαι. καὶ φαίνεταί γε σαφῶς τοῦτο γιγνόμενον ἐπὶ τῶν πλευριτικῶν, μέγα μὲν εἰσάπαξ ἀναπνεῖν μὴ δυναμένων διὰ τὸν πόνον, καίτοιγε δέονται πλέονος ἀέρος διὰ τὸν πυρετὸν, τῇ συνεχείᾳ δὲ τῆς ἐνεργείας, ἴσον ταῖς μεγάλαις ἀναπνοαῖς τὸ πλῆθος τοῦ πνεύματος ἀθροιζόντων. ὃ γὰρ ὀλίγαι μεγάλαι, τοῦτο πολλαὶ σμικραὶ δύνανται. κατὰ δὲ ταῦτα κἀπὶ τῶν περιπνευμονικῶν, πολλοῦ μὲν τοῦ πνεύματος ἡ χρεία, διὰ δὲ τὴν στενοχωρίαν ὀλίγον εἰσπνεῖται· κἀνταῦθα οὖν ἡ πυκνότης πολλὰς ἐργαζομένη τὰς μικρὰς ἀναπνοὰς, εἰς ἴσον ἄγει ταῖς ὀλίγαις τε καὶ μεγάλαις.

Verùm hîc quidem ipse Hippocrates manifestè exposuit, quomodo in detento sputo densus fiat spiritus per mediam paruitatem; in dolore verò reliquit, opinor, propteaquòd multis locis ipse dixerit actiones organorum à dolore impediri, quum possimus & nos, etiamsi ex illo non audiamus, ex manifestè apparentibus inuenire. Supra hoc igitur quòd ambo hæc nos manifestè in hoc sermone docet, quòd & dolor & locorum coarctatio paruam efficientia respirationem, statim etiam densam reddant; ampliùs & hoc edocet, quòd non hæ solum sint densi spiritus causæ. Primùm quidem in eo, quod dicit, *dictum est autem sic in dolore*; hoc ipsum manifestum facit, quòd ob aliam causam spiritus iam densus existat, densiorem fieri dicens ob dolorem, tanquam, opinor, & hîc nos ratiocinari possimus, febrilem calorē, ipsum omnino densum efficere. Secundò verò quum dicit, quòd à denso & multo spiritu, vt iam dictum est, sputū crudè lentescens regressum fieri prohibet; densi enim spiritus dolor causa est; multi autem non hic, sed calor febrilis. Cæterùm hîc valde sapiēter, non magni spiritus dixit, sed multi. Magnus enim quantitate in singulis respirationibus iudicatur; multum verò potest aliquando ex multis paruis coaceruari. Et apparet sanè hoc manifestè fieri in pleuriticis, qui magnum quidem spiritum semel ducere ob dolorem nō possunt, quanuis pluri aëre ob febrem opus habeant; ob continuitatem verò actionis, multitudinem spiritus magnis respirationibus æqualem coaceruant; quòd enim paucæ magnæ, hoc multæ paruæ possunt. Eodem modo & in peripneumonicis multo quidem spiritu opus est, verum ob locorum coarctationē paruum inspiratur. Etiam hic igitur densitas, multas paruas respirationes efficiens, tantum præstat, quantum paucæ & magnæ.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὅτι αὐτὰ τὰ τῶν δυσπνοιῶν ὀνόματα, καὶ αἱ τοῦ μεγάλου καὶ πυκνοῦ πνεύματος συζυγίαι κατά τινας τῶν Ἱπποκράτους βιβλίων ῥήσεις δηλοῦται.

Ἀρ' οὖν ἔτι δεησόμεθα τὰς συλλαβὰς εὑρίσκειν τῶν ὀνομάτων ἐν τῷδε τῷ βιβλίῳ γεγραμμένας ἐφεξῆς οὕτω, μικρᾶς τε καὶ μεγάλης ἀναπνοῆς, οὐκ ἀρκούμενοι τοῖς πράγμασιν αὐτοῖς οὕτω σαφῶς δεδηλωμένοις; καὶ μὴν οὐ τοῦτ' ἦν τὸ ζητούμενον, εἰ τοὔνομα γινώσκει τὸ τῆς μικρᾶς καὶ μεγάλης ἀναπνοῆς Ἱπποκράτης· εὑρίσκεται γὰρ ἔν τε τοῖς τῶν ἐπιδημιῶν βιβλίοις γεγραμμένον, κἂν τῷ προγνωστικῷ πάλιν ἐν οἷς ἔλεγε· μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνει· ἀλλ' εἰ διττὸν οἶδε τὸ πυκνὸν πνεῦμα, καὶ τὸ μὲν αὐτῶν ὑπὸ πόνου γίγνεσθαί φησι, τὸ δὲ ὑπὸ θερμασίας πολλῆς ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἀθροιζομένης. ὅπου τοίνυν ἐπιδέδεικται ταῦτα, περιττὸν ἔτι ποθεῖν ἀκούειν τὰς τῶν ὀνομάτων συλλαβὰς, ἐπεὶ καὶ κατ' αὐτὴν γε τὴν ἐν τῷ προγνωστικῷ λέξιν, ἣν ἐπὶ τῆς παραφροσύνης ἔγραψεν, ἔξεσται τινὶ λέγειν οὐκ ἀραιὸν μὲν καὶ μέγα, τὸ δηλοῦν αὐτῷ εἰρῆσθαι πνεῦμα, καὶ τὴν λέξιν προτείνεσθαι τόνδε τὸν τρόπον ἔχουσαν, μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνει, ὥσπερ οὐ ταὐτὸν μόνον, ἢ ἀραιὸν εἰπεῖν, ἢ διὰ πολλοῦ χρόνου, ἢ νῦν ἡμῶν ὀνόματα θηρευόντων, οὐ τὰ πράγματα ζητούντων. ἀλλ' ἐπειδή τινες

CAPVT VII.

Nomina ipsa defficilium respirationum, & magni & densi spiritus coniugationes, quibusdam librorum Hippocratis locis explicari.

NVm igitur indigebimus adhuc inquisitione syllabarum ipsorum nominū, in hoc libro conscriptarum sic deinceps, *paruæ & magnæ respirationis*, non contenti rebus ipsis adeò manifestè ostensis? Atqui non id quærebatur, an Hippocrates paruæ ac magnæ respirationis nomen nouerit; reperitur enim tum in epidemiorum libris scriptum, tum rursus in prænotionum libro, vbi inquit; *Magnus spiritus & per multum tempus desipientiam significat*; verùm an duplicem sciat densum spiritum, & alterum ipsorum à dolore fieri dicat, alterum à calore multo in spirabilibus organis coaceruato. Quando igitur hæc demonstrata sunt, superuacaneum est adhuc audire desiderare nominum syllabas. Quandoquidem & ex hoc ipso prænotionum loco de desipientia, cuipiam dicere licet, non rarum & magnum dictum esse spiritum, qui desipientiam indicet; & dictionem proferre hoc modo habentem; *spiritus magnus & per multum tempus desipientiam significat*; tanquam sanè non idem sit, aut rarum dicere, aut per multum tempus, aut nos nunc nomina venemur, non res ipsas quæramus. Sed quum quidam eò stupiditatis venerint,

vt etiam ipsa nomina velint audire, reuocemus etiam ipsis in memoriam duas quasdam dictiones ex ipso de victu in morbis acutis libro, sic habentes; *Spiritus illidens quum sursum fertur, densus aut magnus.* Hîc quidem habes, si desideras, nomen ipsum, *magnus*; rursus autē etiam *paruus*, vbi ait; *Et spiritus paruus, & reuulsio spiritus densa ac violenta accidit.* Rursum autem in ipso prænotionum libro, *difficulter ferre morbum* ait, *& spiritum magnum ac densum esse.* Hunc quidem igitur palam ipso nomine prolato, magnum, & densum scripsit. Paruum verò, & densum rursus in sermone de angina, vbi ait; *Plurimúmque dolorem exhibent & orthopnœam.* Quòd enim in orthopnœis paruus & densus fiat spiritus ob coarctationem respirationis organorum, haud scio, an quisquam ignoret. Quanquam, si talia ab ipso Hippocrate discere velimus, libro de victu in morbis acutis, verbis, quæ paulo antè ascripsi, docuit nos, quomodo paruus & densus spiritus fiat, in sputorum suppressione. Libro verò de articulis statim in principio *sermonis* de spina dorsi, enarrans luxationes in posteriorem partem, quæ supra septum transuersum ex tumoribus aut morbis fiūt, hoc modo ait (opinor enim præstabilius esse, totum sermonem ipsius ascribere) *Quibus supra septum transuersum fuerit in posteriorem partem luxatio, his & costæ nequeunt in latitudinem augeri, sed in anteriorem partem; & pectus acutum fit, sed non latum; ipsique difficulter & cum stertore spirant; minorem enim amplitudinem habent cauitates spiritum suscipientes & emittentes. Nam & coguntur in magna vertebra, ceruicem habere in anteriorem partem luxatam, vt ne pronum sit ipsis caput. Augustiam igitur multam faucibus exhibent; atque hoc etiam facit intrò repens; nam & rectis natura difficilem respirationem hoc os exhibet, si intrò repat, donec repressum fuerit. Ob hanc igitur rem huiusmodi homines eminentis gutturis magis apparent, quàm sani; tuberculosique vt plurimum tales in pulmone sunt, duris crudisque tuberculis. Etenim occasio gibbi posterioris, & contentio, plurimis ob eiusmodi collectiones fiunt, quibus sanè vicini nerui communicauerint.* In hoc toto sermone gibbum posteriorem, ob tubercula in pulmone cruda & dura fieri dicit; difficultatē verò respirationis ob angustiam locorum; appellauit autem huiusmodi ipsius defferentiā stertorosā. At verò in libro de victu in morbis acutis, quādo eorū, quibus in paruitatē & densitatem respiratio vertitur, meminit, etiā hoc ipsū orthopnœæ nomen apposuit, & stertere ipsos dixit. Quare etiā quum in libro prænotionum de angina narrans dixit; *Plurimúmq; dolorē exhibent & orthopnœā*; non aliam quandam difficilis respirationis speciem, quam paruam & densam, sic appellauit: Omnes enim qui ob angustiam non sufficienter inspirare possunt, de suffocatione periclitantur, si decumbant; & ob hoc tum thoracem totum, tum collum, rectum habere eos oportet, quod non paruum auxilium ipsis ex huiusmodi figura accedat. Latiora enim simulque longiora omnia respirationis organa fiunt, partim quidem quòd per rectam figuram dirigantur, partim verò quòd minùs in sese concidere prohibeantur. Manifestum est autem etiam ipsum Hippocratem sic vt nos nunc dicimus, de ipsis statuere, ex iis quæ dicit libro de articulis; *Ipsique difficulter spirantes fiunt, & stertorosi; minorem enim amplitudinem habent ventriculi spiritum excipientes & emit-*

A εἰς τοσοῦτον ἥκουσι σκαιότητος, ὡς καὶ τὴν ὀνομάτων ἀκούειν ἐθέλειν αὐτῶν, ἀναμνήσωμεν καὶ αὐτοὺς ἐξ αὐτοῦ τοῦ περὶ διαίτης ὀξέων βιβλίου δυοῖν τινων ῥήσεων ὧδέ πως ἐχουσῶν· πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ, πυκνὸν ἢ μέγα. ἐνταῦθα μὲν ἔχεις, εἴπερ ἐπιθυμεῖς, τοὔνομα τὸ μέγα· τὸ δ' αὖ μικρὸν, ἐπειδὰν φησὶ· καὶ πνεῦμα σμικρὸν καὶ ἀντίσπασις τοῦ πνεύματος πυκνὴ καὶ βιαίη παραγίγνεται. κατὰ δ' αὖ τὸ προγνωστικὸν αὐτὸ, δυσπετέως φέρειν τὴν νοῦσόν φησι, καὶ πνεῦμα μέγα καὶ πυκνὸν εἶναι. B τοῦτο μὲν οὖν ἄντικρυς αὐτοῖς τοῖς ὀνόμασιν ἔγραψε, μέγα καὶ πυκνὸν, τὸ δ' αὖ μικρὸν καὶ πυκνὸν ἐν τῷ περὶ συνάγχης λόγῳ, πλεῖστόν τε πόνον παρέχουσι καὶ ὀρθόπνοιαν, εἰπών. ὅτι γὰρ ἐν ταῖς ὀρθοπνοίαις μικρὸν καὶ πυκνὸν γίγνεται τὸ πνεῦμα διὰ τὴν στενοχωρίαν τῶν ἀναπνευστικῶν ὀργάνων, οὐκ οἶδ' εἴ τις ἀγνοεῖ. καίτοι κἂν εἰ τὰ τοιαῦτα παρ' Ἱπποκράτους αὐτοῦ μαθεῖν ἐθέλοιμεν, ἐν μὲν τῷ περὶ διαίτης ὀξέων, ἐν αἷς ὀλίγον ἔμπροσθεν ἔγραψα λέξεσιν, ἐδίδαξεν ἡμᾶς, ὅπως γίγνεται μικρὸν καὶ πυκνὸν πνεῦμα κατὰ τὴν τῶν πτυέλων ἐπίσχεσιν. ἐν δὲ τῷ περὶ ἄρθρων εὐθὺς ἐν ἀρχῇ τοῦ περὶ τῆς ῥάχεως αὐτοῦ λόγου, τὰς ὑπὸ τῶν ὄγκων ἢ νοσημάτων γιγνομένας κυφώσεις ἐν τοῖς ἀνωτέρω τῶν φρενῶν χωρίοις διηγούμενος, ὧδέ πως φησίν, C (ὅλην γὰρ, οἶμαι, κάλλιον εἶναι δοκεῖ παραγράψαι τὴν ῥῆσιν) οἷσι μὲν ἄνω τῶν φρενῶν τὸ κυφὸν, τουτέοισι μὲν αἱ πλευραὶ οὐκ ἐθέλουσιν εἰς τὸ εὐρὺ αὔξεσθαι, ἀλλ' ἐς τὸ ἔμπροσθεν, τό, τε στῆθος ὀξὺ γίγνεται, ἀλλ' οὐ πλατὺ, αὐτοί τε δύσπνοοι γίγνονται καὶ κερχνώδεες· ἧσσον γὰρ εὐρυχωρίην ἔχουσιν αἱ κοιλίαι τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι. καὶ γὰρ δὴ καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σπόνδυλον, λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς ἡ αὐτέοισιν ἡ κεφαλή. στενοχωρίην οὖν πολλὴν τῇ φάρυγγι παρέχουσι· D καὶ τοῦτο συμβάλλεται εἰς τὸ εἴσω ῥέπον. καὶ γὰρ αὐτέοισιν ὀρθοῖσι φύσει, δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἂν ἔσω ῥέπει, ἔστ' ἂν ἀναπιεσθῇ. διὰ οὖν τὸ τοιοῦτον πρήγματα ἐξεχέμβρογχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται ἢ ὑγιέες, φύματά τε ὡς ἐπὶ τὸ πολὺ τοῦ πνεύμονος ἔχουσιν οἱ τοιοῦτοι, σκληρῶν φυμάτων καὶ ἀπέπτων. καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος καὶ ἡ ξύντασις τοῖσι πλείστοισι διὰ τοιαύτας συστροφὰς γίγνεται, οἷσιν ἂν κοινωνήσωσιν οἱ ξύντονοι. ἐν τούτῳ τῷ λόγῳ παντὶ τὴν μὲν κύφωσιν ἐπὶ τοῖς ἐν πνεύμονι φύμασιν ἀπέπτοις τε καὶ σκληροῖς γίγνεσθαι λέγει, τὴν δὲ δύσπνοιαν ἐπὶ τῇ στενοχωρίᾳ· E κερχνώδη δὲ κέκληκε τὴν τοιαύτην διαφορὰν αὐτοῦ. ἐν δὲ γε τῷ περὶ διαίτης ὀξέων, ἡνίκα τῶν εἰς μικρότητά τε καὶ πυκνότητα τῆς ἀναπνοῆς τρεπομένων ἐμέμνητο, καὶ αὐτὸ μὲν τοῦτο τὸ τῆς ὀρθοπνοίας ὄνομα προσέθηκε, καὶ ῥέγχειν αὐτοὺς ἔφησεν. ὥστε κἀπειδὰν ἐν τῷ προγνωστικῷ περὶ συνάγχης διηγούμενος, εἴπῃ· πλεῖστόν τε πόνον παρέχουσι καὶ ὀρθόπνοιαν, οὐκ ἄλλο τι δυσπνοίας εἶδος, ἢ τὸ σμικροῦ καὶ πυκνοῦ πνεύματος, οὕτως ὀνομάζει. πάντες γὰρ οἱ διὰ στενοχωρίαν αὐτάρκως εἰσπνεῖν μὴ δυνάμενοι, πνίγεσθαι κινδυνεύουσιν, ἢν κατακέωνται. καὶ διὰ τοῦτ' ὀρθὸν ἔχειν δέονται τόν τε θώρακα σύμπαντα καὶ τὸν τράχηλον, ὡς ἂν οὐ F σμικρᾶς αὐτοῖς βοηθείας ἐκ τοῦ τοιούτου σχήματος προσερχομένης. εὐρύτερά τε γὰρ ἅμα καὶ μακρότερα σύμπαντα τὰ τῆς ἀναπνοῆς ὄργανα γίνονται, τοῦτο μὲν ἐξευθυνόμενα πρὸς τοῦ ὀρθίου σχήματος, τοῦτο δ' ἧττον εἰς ἑαυτὰ καταπίπτειν κωλυόμενα. δῆλος δὲ καὶ αὐτὸς ὁ Ἱπποκράτης οὕτω γινώσκων ὑπὲρ αὐτῶν, ὡς ἡμεῖς νῦν λέγομεν, ἐξ ὧν φησιν ἐν τοῖς περὶ ἄρθρων· αὐτοί τε δύσπνοοι γίνονται καὶ κερχνώδεες, ἧσσον γὰρ εὐρυχωρίην ἔχουσιν αἱ κοιλίαι αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προ-

πέμπουσαι· πᾶσιν οὖν τοῖς διὰ στενοχωρίαν δυσπνοοῦσιν, καὶ μικρὸν γίνεται τὸ πνεῦμα, καὶ δύο ἐξ ἀνάγκης ἕπεται συμπτώματα, τό, τε κερχνῶδες εἶδος τῆς ἀναπνοῆς, ὃ δὴ καὶ ῥέγχειν ὀνομάζεται, καὶ τὸ μικρῷ πρόσθεν εἰρημένον, ἡ ὀρθόπνοια. καὶ δὴ ὥσπερ ἐξεπίτηδες διατέμνων αὐτά, τὸ μὲν ἕτερον ἐν προγνωστικῷ γράφει ταῖς ὀλεθρίαις συνάγχαις προσεῖναι λέγων, τὸ δὲ δεύτερον ἐν τῷ περὶ ἄρθρων· ἐν μὲν τῷ προγνωστικῷ τὴν ὀρθόπνοιαν, ἐν δὲ τῷ περὶ ἄρθρων, τὸ κερχνῶδες· ἄμφω δὲ ἐν τῷ περὶ διαίτης ὀξέων ἐς ταυτὸν ἤγαγεν, οὕτως γράψας ὁ Ἱπποκράτης· οἱ δ᾽ ὑπὸ τῆς ὀρθοπνοίας καὶ τοῦ ῥέγχους ἀποπνιγέντες. ὃ γὰρ ἐν τῷ περὶ ἄρθρων κέρχνον, τοῦτ᾽ ἐνταῦθα ῥέγχος ὠνόμασε. χρῆται δὲ καὶ ἀλλαχόθι τῶν συγγραμμάτων, ἀμφοτέροις τοῖς ὀνόμασιν, ὡς ταυτὸν δυναμένοις δηλοῦν. ἐπειδὰν οὖν οὕτως ἐπιμελῶς αὐτὸς ἐν τῷ περὶ διαίτης, περὶ πάσης γενέσεως πυκνοῦ πνεύματος διεξῆλθε, θαυμαστὸν οὐδέν, εἰ μόνον τὸ κεφάλαιον αὐτὸ τοῦ παντὸς λόγου γέγραφεν ἐν τῷ προγνωστικῷ. ὅτι δ᾽ ἐπιμελῶς διῆλθε πάντα περὶ πυκνοῦ πνεύματος λόγον, οὐδὲν ἔτι δέομαι πλεῖον λέγειν, ἀλλ᾽ ἀναμνήσας τοῦτο μόνον, ὡς ἤτοι διὰ πόνον, ἢ στενοχωρίαν, ἢ πλῆθος θερμασίας, πυκνὸν γίνεται τὸ πνεῦμα, τὴν ὅλην ῥῆσιν ἐφεξῆς παραγράψω τόνδε τὸν τρόπον ἔχουσαν· οἷσί τε γὰρ σιτία αὐτίκα ἐγκατακέκλεισται, ἢν μή τις ὑποκενώσας, τὸ ῥόφημα δοίη, τὴν ὀδύνην ἐνεοῦσαν προσπαροξύνειεν ἄν, καὶ μὴ ἐνεοῦσαν εὐθὺς ἐμποιήσειεν ἄν, καὶ πυκνότερον γένοιτ᾽ ἂν τὸ πνεῦμα· κακὸν δὲ τοῦτο, ξηραντικὸν γὰρ πνεύμονος, καὶ κοπῶδες ὑποχονδρίου, καὶ ἤτρου, καὶ φρενῶν. ἢν δέ τι τῆς ὀδύνης τοῦ πλευροῦ ξυνεχέος ἐούσης, καὶ πρὸς τὰ θερμάσματα μὴ χαλώσης, καὶ τοῦ πτυέλου μὴ ἀνιόντος, ἀλλὰ καὶ καταγλισχραινομένου ἀσαπέως, ἢν μὴ λύσῃ τις τὴν ὀδύνην, ἢ κοιλίην μαλθάξας, ἢ φλέβα τεμών, ὁπότερον ἂν τουτέων σημήνῃ, τὰς δὲ πτισάνας ἢν οὕτως ἔχουσι διδῷ, ταχέες οἱ θάνατοι τῶν τοιουτέων γίνονται. διὰ ταύτας οὖν τὰς προφάσιας καὶ ἑτέρας τοιαύτας, ἔτι μᾶλλον οἱ ὅλῃσι χρεώμενοι πτισάνῃσιν, ἑβδομαῖοι καὶ ὀλιγημερώτεροι θνήσκουσιν, οἱ μέν τι καὶ τὴν γνώμην βλαβέντες, οἱ δ᾽ ὑπὸ τῆς ὀρθοπνοίης τε καὶ τοῦ ῥέγχους ἀποπνιγέντες· μάλα δὲ τοὺς τοιουτέους οἱ ἀρχαῖοι βλητοὺς ὠνόμαζον εἶναι, διὰ τόδε μάλιστα, οὐχ ἥκιστα δὲ ὅτι ἀποθανόντων ἡ πλευρὴ πελιὴ εὑρίσκεται ἴκελόν τι πληγῇ. αἴτιον δὲ τούτου ἐστί, ὅτι πρὶν λυθῆναι τὴν ὀδύνην θνήσκουσι. ταχέως γὰρ πνευματίαι γίνονται, ὑπὸ δὲ τοῦ πυκνοῦ καὶ πολλοῦ πνεύματος, ὡς ἤδη εἴρηται, γλισχραινόμενον τὸ πτύελον ἀπέπτως, κωλύει τὴν ἐπάνοδον γίνεσθαι, ἀλλὰ τὴν ῥέγξιν ποιεῖ ἰσχόμενον ἐν τοῖσι βρογχίοισι τοῦ πνεύμονος· ὁκόταν ἐς τοῦτο ἔλθῃ, θανατῶδες, ὡς ἐπὶ τὸ πολύ ἐστι. καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνεχόμενον, κωλύει μὲν τὸ πνεῦμα ἔσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι, καὶ οὕτως ἐς τὸ κακὸν ἀλλήλοισι ξυντιμωρέουσι. τό, τε γὰρ πτύελον ἐνεχόμενον πυκνὸν τὸ πνεῦμα ποιεῖ, τό, τε πνεῦμα πυκνὸν ἐόν, ἐπιγλισχραίνει τὸ πτύελον, καὶ κωλύει ἀπολισθαίνειν. εἴ τις ταύτῃ τῇ ῥήσει τὸν νοῦν ἐπιμελῶς προσέχοι, καὶ πολλάκις αὐτὴν ἀναλέξαιτο, τοῦτον ἐλπίζω ῥᾳδίως πεισθήσεσθαι τοῖς εἰρημένοις. ὅτι γὰρ οὐ μεγάλης ἐδεῖτο σοφίας ἡ τοῦ πυκνοῦ πνεύματος εἰς τὰς ἐν αὐτῷ διαφορὰς τομή, καὶ ὅτι τελέως αὐτὴν ἔφθασεν ἐν τούτῳ τῷ βιβλίῳ γεγραφέναι, διὰ τοῦτο ἐν τῷ προγνωστικῷ ταχέως πάνυ περιέδραμεν, ὡς πρὸς εἰδότας ἤδη τὸ σύμπαν, οἷον ἐπιτομήν τινα τοῦ λόγου ποιησάμενος.

A *tentes.* omnibus igitur ob angustiam difficulter spirantibus & paruus fit spiritus, & ex necessitate sequuntur duo symptomata, stertorosa videlicet respirationis species, quæ sanè & stertere appellatur, & paulò ante dicta orthopnœa. Et sanè velut de industria ipsa diuidens, alterum in prænotionum libro scribit, perniciosis anginis ipsum adesse dicens, alterum verò in libro de articulis; in prenotionum quidem libro, orthopnœam; in libro verò de articulis, stertorosam respirationem. Porrò in libro de victu in B morbis acutis, ambo in idem coëgit Hippocrates, sic scribens; *alii verò ab orthopnœa & stertore suffocati.* Quod enim libro de articulis κέρχνον, illud hoc loco ῥέγχος .i. stertorem, nominauit. Vtitur autem & alibi in suis scriptis vtrisque nominibus, vt quæ idem significent. Quandoquidem igitur adeò diligenter libro de victu in acutis morbis, de omni densi spiritus generatione enarrauit, nihil mirum est, si caput tantum & C summam totius sermonis in prænotionum libro conscripsit. Quòd verò omnia exactè tradiderit de spiritu denso, nihil amplius opus habeo pluribus ostendere; verùm vbi hoc solùm in memoriam reduxero, quod aut ob dolorem, aut ob angustiam, aut ob caloris multitudinem, densus fit spiritus, deinceps totum sermonem ipsius Hippocratis ascribam, hoc modo habentem; *Quibuscunque enim cibus statim conclusus est, si quis eo non subeuacuato sorbitionem dederit, dolorem, si adest, exarcebauerit; si non adest, statim induxerit, & spiritus densior reddetur. Malus autem hic est, resiccat enim pulmonem; & hypochondrium, & imum ventrem, ac septum transuersum dolore fatigat. At verò si dolor* D *lateris assiduus existat, calidisque fomentis non remittatur, ac sputum non exeat, sed crudum ac lentum permaneat; si quis dolorem soluat, aut aluum emolliendo, aut venam secando, vtrúmuis horum indicauerit, verùm ptisanas sic habentibus exhibeat, his repentina mors continget. has igitur ob causas atque alias huiusmodi adhuc magis ii, qui tota ptisana vtuntur, septimo die, antè aut citiùs moriuntur; partim quidem mente læsi, partim verò ab orthopnœa ac stertore suffocati. Tales verò veteres syderatos esse putabant, ob hoc maximè, non minùs autem quòd & mortuorum latus liuidum reperiatur, vt plaga. Cuius rei causa est, quòd ante solutam dolorem moriantur; citò enim anhelosi fiunt; à den-* E *so verò ac multo spiritu, vt iam dictum est, sputum citra coctionem glutinosum factum, reditum fieri prohibet, sed stertorem facit, in bronchiis pulmonis detentum; & quum ad hoc res ipsa peruenerit, lethale vt plurimum est. Etenim ipsum sputum intus retentum, prohibet quidem spiritum intro ferri, cogit autem citò extrà ferri, atque sic ad perniciem mutuas sibi operas conferunt. Sputum enim retentum, spiritum densum facit; spiritus vero densus, glutinosum sputum reddit & elabi prohibet.* Si quis huic dictioni mentem diligenter attenderit, ipsamque sæpè relegerit, spero equidem facilè eum persuasum iri ex his, quæ F dicta sunt. Quòd enim non magna sapientia indigeat densi spiritus in suas differentias sectio, & quòd ipsam perfectè in hoc libro antea conscripsisset, ob id sanè in prænotionibus celeriter admodum pertransiuit, tanquam qui ad scientes iam rem omnem, velut compendium quoddam sermonis faceret.

CAPVT

A

CAPVT VIII.

Paruum & rarum spiritum, frigidamque & calidam respirationem, omissa ab Hippocrate non fuisse.

TRes igitur iam à nobis coniugationes difficilium respirationum inuentæ sunt, deest autem adhuc quarta, in qua paruus & rarus fit spiritus. Cur igitur tandem ipsa prætermissa, frigidam expirationem scripsit? An quòd non alia quædam sit parua simúlque rara, alia verò frigida? Manifestum autem hoc est. Contrariam enim ipsi magnam & densam, ex immoderato calore in spirabilibus organis coaceruato generari demonstrauimus; necessariò igitur parua & rara his ipsis organis perfrigeratis erit. Atque duo nobis dubia soluta sunt, quòd neque quarta difficilis respirationis coniugatio, parua videlicet & rara, omissa sit, neque calida. Calidam enim in altera densi spiritus parte, quæ à principio relata est, comprehensam habebimus, eadem est enim cum densa & magna; raram verò & paruam in frigida; nam rara & parua à frigida nihil differt. Cur igitur tandem non raram, & paruam, sed frigidam ipsam scripsit? primùm quidem quòd ab euidétiore symptomate ipsam ostendere voluerit; deinde vt ostenderet causam, ob quā ipsam perniciosam dicit; & tertiò, quòd sic quam celerrimè nos intellecturos esse suspicatus sit, eandem hanc nihil à rara & parua differre, & contrariam ipsi calidam nihil à densa & magna. Frigidus enim spiritus omnino rarus est & paruus, vt etiam in secundo ostensum est libro; densum autem & magnum eum, qui inflammationem spirabilium organorū indicat, haudquaquā quis rectè dixerit, nisi etiā calidus effletur. At verò addendo soli frigido spiritui, *valde iam perniciosum eum esse*, manifestè ostendit, quid de prioribus tribus respirandi difficultatibus sentiat; nam si & ex illis aliquā perniciosam putasset, omnino vtique ascripsisset. Num igitur extra periculum ipsas esse opinatus est? nequaquam, sed non perniciosas quidem, non tamen extra periculum. Perfrigerari enim respirabilibus organis, palàm perniciosum est, quum istic sanè cor situm sit, quod principium & fontem insiti caloris esse scimus; at vel inflammationem multam esse in ipsis, vel dolorem, vel desipientiam, non omnino perniciosum est. Eiusmodi enim calor multis acutis febribus assidet. Quot autem & quibus morbis dolor adsit, prædictum est. At verò & ipsa desipientia non necessariò perniciosa est. Quòd verò ita de ipsis sentiat, manifestè ostendit per consequentem dictionem, vbi inquit; *Facilem verò spirationem valdè magnam vim ad salutem habere putandum est in omnibus acutis morbis, qui cum febribus sunt, & intra quadraginta dies iudicantur.* Si enim magnam vim ad salutem habere putauit facilem spirationem, certè extra periculum semper difficiles spirationes non opinatus est; quare aliæ quidem omnes respirandi difficultates hoc solum habent, quòd non extra periculum sint; postrema autem omnium relata, supra hoc quòd & periculosa sit & perniciosa, non procul à morte hominem esse nunciat: ob id igitur non simpliciter perniciosam ipsam esse dixit, sed etiam, *valdè*, apposuit; & neque hoc rursus contentus,

ΚΕΦΑΛΑΙΟΝ Η'.

Τὸ σμικρὸν καὶ ἀραιὸν πνεῦμα καὶ τὴν ψυχρὰν καὶ θερμὴν ἀναπνοὴν ὑπὸ τοῦ Ἱπποκράτους οὐ παραλειφθῆναι.

B

ΤΡεῖς μὲν οὖν ἡμῖν ἤδη συζυγίαι δυσπνοιῶν ἐξεύρηνται, λείπεται δ' ἡ τετάρτη, ἐν ᾗ σμικρὸν καὶ ἀραιὸν τὸ πνεῦμα. τί δήποτ' οὖν αὐτὴν παραλιπὼν, τὴν ψυχρὰν ἐκπνοὴν ἔγραψε; ἢ ὅτι οὐκ ἄλλη μέν τίς ἐστιν ἡ μικρά τε ἅμα καὶ ἀραιὰ, ἄλλη δ' ἡ ψυχρά; δῆλον δὲ τοῦτο. τὴν γὰρ ἐναντίαν αὐτῇ, τὴν μεγάλην τε ἅμα καὶ πυκνὴν, ἀμέτρου θερμασίας ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἠθροισμένης ἔκγονον ὑπάρχειν ἐδείκνυμεν. ἐξ ἀνάγκης οὖν ἡ μικρὰ καὶ ἀραιὰ, τούτων αὐτῶν τῶν ὀργάνων κατεψυγμένων ἔσται, καὶ δύο ἡμῖν ἀπορήματα λελυμένα, τὸ μήτε τὴν τετάρτην συζυγίαν τῆς δυσπνοίας, τὴν μικρὰν καὶ ἀραιὰν, παραλελεῖφθαι, μήτε τὴν θερμήν. ἐκείνην γὰρ ἐν θατέρῳ μέρει τοῦ πυκνοῦ πνεύματος τοῦ κατ' ἀρχὰς εἰρημένου, περιειλημμένην ἕξομεν· ἡ αὐτὴ γάρ ἐστι τῇ πυκνῇ καὶ μεγάλῃ· τὴν ἀραιὰν δ' αὖ καὶ μικρὰν, ἐν τῇ ψυχρᾷ, καὶ γὰρ ἥδε τῆς ψυχρᾶς οὐ διαφέρει.

C

τί δήποτ' οὖν οὐκ ἀραιὰν καὶ μικρὰν, ἀλλὰ ψυχρὰν αὐτὴν ἔγραψεν; ὅτι πρῶτον μὲν, ἀπὸ τοῦ προδηλοτέρου συμπτώματος ἠβουλήθη αὐτὴν δηλῶσαι· δεύτερον δὲ, ἐνδείξασθαι τὴν αἰτίαν, δι' ἣν ὀλεθρίαν αὐτὴν λέγει· καὶ τρίτον, ὅτι τάχιστα οὕτω νοήσειν ἡμᾶς ὑπενόησεν, αὐτήν τε ταύτην μηδὲν διαφέρειν τῆς ἀραιᾶς καὶ μικρᾶς, τήν τ' ἐναντίαν αὐτῇ τὴν θερμὴν, τῆς πυκνῆς καὶ μεγάλης. τὸ γὰρ ψυχρὸν πνεῦμα, πάντως ἀραιόν τ' ἐστὶ καὶ μικρὸν, ὡς κἀν τῷ δευτέρῳ δεδήλωται λόγῳ· τὸ δὲ πυκνὸν καὶ μέγα, τὸ τῆς φλογώσεως τῶν ἀναπνευστικῶν ὀργάνων ἐνδεικτικὸν, οὐδ' ἂν ὀρθῶς

D

τις λέγοι, εἰ μὴ καὶ θερμὸν ἐκπνέοιτο. καὶ μὲν δὴ κἂν τῷ προσθεῖναι τῷ ψυχρῷ πνεύματι μόνῳ, ὡς ὀλέθριον κάρτα ἤδη γίγνεται, δηλοῖ σαφῶς οὓς ἔχει γνώμην περὶ τῶν ἔμπροσθεν εἰρημένων τριῶν δυσπνοιῶν. εἴπερ γάρ τινα κἀκείνων ὀλεθρίαν ἡγεῖτο, πάντως ἂν που προσέγραψεν. ἆρ' οὖν ἀκινδύνους αὐτὰς ὑπελάμβανεν ὑπάρχειν; οὐδαμῶς, ἀλλ' οὐκ ὀλεθρίας μὲν, οὐκ ἀκινδύνους δ' ἔτι. τὸ μὲν γὰρ καταψύχεσθαι τοῖς ἀναπνευστικοῖς ὀργάνοις, ἄντικρυς ὀλέθριον, ἐνταυθοῖ γε τῆς καρδίας τεταγμένης, ἣν ἀρχὴν καὶ πηγὴν ἐπιστάμεθα τῆς ἐμφύτου θερμασίας· τὸ δ' ἤτοι φλόγωσιν εἶναι πολλὴν ἐν αὐτοῖς, ἢ ὀδύνην, ἢ παραφροσύνην, οὐ πάντως ὀλέθριον, ἥτε γὰρ τοιαύτη θερμασία πολλοῖς τῶν ὀξέων συνεδρεύει πυρετῶν, ἥ τ' ὀδύνη πόσοις καὶ τίσι νοσήμασιν ὑπάρχει, προείρηται. καὶ μέντοι καὶ ἡ παραφροσύνη τῶν οὐκ ἐξ ἀνάγκης ὀλεθρίων ἐστί. ὅτι δ' οὕτως ὑπὲρ αὐτῶν γινώσκει, σαφῶς ἐνεδείξατο διὰ τῆς ἐπιφερομένης λέξεως, εἰπών· εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖσίν ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται.

E

F

εἰ γὰρ δὴ μεγάλην δύναμιν ἐς σωτηρίην ἔχειν ἐνόμιζε τὴν εὔπνοιαν, οὐκ ἀκινδύνους ἀεὶ δηλονότι τὰς δυσπνοίας ὑπελάμβανεν· ὥστε αἱ μὲν ἄλλαι δύσπνοιαι τοῦτ' αὐτὸ μόνον, οὐκ ἀκίνδυνοί τινές εἰσιν, ἡ δ' ὑστάτη πασῶν εἰρημένη, πρὸς τὸ κινδυνώδης τ' εἶναι καὶ ὀλέθριος, οὐκ εἰς μακρὰν τεθνήξεσθαι τὸν ἄνθρωπον ὑπαγορεύει. διὰ τοῦτ' οὖν οὐχ ἁπλῶς ὀλέθριον εἶναι αὐτὴν ἔφη, ἀλλὰ καὶ τὸ, κάρτα, προσέφερεν, καὶ οὐδὲ τούτῳ πάλιν ἀρκεσθεὶς, ἐπήνεγκε

τὸ, ἤδη, ὥσπερ ἐπίγονον τοῦ θανάτου μόνης ταύτης τῆς δυσπνοίας ὑπαγορευούσης. οὕτως γὰρ ὀλέθριός ἐστιν, ὥστε μοι δοκεῖ, ὅτι οὐδ' ἂν ἔγραψέ τι περὶ αὐτῆς ὁ Ἱπποκράτης, εἰ μὴ τὸν τρόπον ὅλον ἐφεξῆς εἰπὼν περὶ τῶν δυσπνοιῶν. ἃ γὰρ ἀποθνήσκουσιν ἤδη γίγνεται, ταῦτ' οὐδεμίαν ἔχει μεγάλην ἐν προγνώσεσιν ἀξίαν. ἀγαθῶν δ' ἰατρῶν ἔργον, οὐ τὰ τοῖς ἰδιώταις ἤδη φαινόμενα προγινώσκειν, ἀλλ' ὅσα τε τούτους λανθάνει, καὶ μηδὲν φαῦλον ἔχειν δοκοῦντος τοῦ κάμνοντος φαίνεται. ἀλλὰ διὰ τὸ τὰ πάντ' ἐφεξῆς ἐθελῆσαι γράψαι τὰ τῆς δυσπνοίας εἴδη, δοκεῖ μοι καὶ ταύτης ἐπιμνησθῆναι, καὶ προσέτι διὰ τὴν τῆς μεγάλης τε καὶ πυκνῆς ἀντίθεσιν. ταῦτα μὲν οὖν ἐνταῦθα τελευτάτω.

iam adiecit, tanquam propinquam mortem sola hæc spirãdi difficultas nunciet. Adeo enim perniciosa est, vt mihi videatur neque quicquam de ipsa fuisse scripturus Hippocrates, nisi omnem modum, de respirandi difficultatibus disserens, recensere voluisset. Quæ enim iam morientibus fiunt, ea nullam magnam dignitatem in prænotionibus habent; sed bonorum medicorum est opus, non quæ idiotis iam apparent, præsagire, sed quæ ipsos latent, & quum nihil mali æger habere putatur, apparent. Verùm quum omnes ex ordine difficilis spirationis species scribere vellet, videtur mihi etiam huius meminisse, & præterea propter magnæ & densæ oppositionem. Hæc igitur tandem hic finem habeant.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Διὰ τί ἐν τῷ προγνωστικῷ τὴν τ' ἀνώμαλον δύσπνοιαν, καὶ ἄλλα πλεῖστα τῶν εἰς τὸ προγινώσκειν συμβαλλόντων παραλείπει Ἱπποκράτης.

Διὰ τί δὴ οὐδὲν ἔγραψεν ἐν τῷ προγνωστικῷ περὶ τῆς ἀνωμάλου δυσπνοίας, καίτοι γιγνώσκων αὐτὴν οὐκ ἐν τῷ δευτέρῳ καὶ τῷ ἕκτῳ τῶν ἐπιδημιῶν μόνον, ἀλλὰ κἀν τῷ πρώτῳ καὶ τρίτῳ, καὶ προσέτι κἀν τῷ περὶ διαίτης ὀξέων καὶ τοῖς ἀφορισμοῖς, καὶ ἄλλοθι πολλαχόθι τῶν συγγραμμάτων; ἐν μὲν γὰρ τῷ δευτέρῳ καὶ τῷ ἕκτῳ κατὰ τὴν προγεγραμμένην ῥῆσιν ἐμνημόνευσεν, εἰπών· διπλῆ ἔσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσι. καὶ προσέτι κατὰ μὲν τὸ δεύτερον τῶν ἐπιδημιῶν, ἐν τῷ διηγεῖσθαι τὰ τῇ Λυκίῃ συμβάντα, πνεῦμα δὲ ἐδιπλασίαζετο, προσέγραψε. τοῦτο γὰρ οὐδὲν διαφέρει τοῦ, διπλῆ εἴσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσιν. ἐν δὲ τῷ ἕκτῳ, ἢν πνεῦμα ἐγκαταλείπηται, φησι. καὶ γὰρ καὶ τοῦτο ταὐτόν ἐστι τῷ κατὰ τὸ περὶ διαίτης εἰρημένῳ· πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ. ὡς γὰρ εἰσπνέοντές τινες οὐχ ἅπαξ τοῦτο δρῶσιν, ἀλλ' ἡσυχίᾳ διακόπτουσι τὴν ἐνέργειαν ὁμοίως τοῖς κλαυθμυριζομένοις παιδίοις, οὕτω καὶ ἐκπνέοντες. ἀλλὰ κἀν τοῖς μετὰ τὸν περὶ τῶν λουτρῶν λόγον, πνευμάτων προτάσεις εἴρηκε, τὴν διακεκομμένην ἐνέργειαν ἐνδεικνύμενος. ἐν δὲ τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἐπὶ Φιλίσκου, τόνδε τὸν τρόπον ἔφη· τούτῳ πνεῦμα διὰ τέλεος, ὥσπερ ἀνακαλεομένῳ. ὁμοίως γὰρ τῷ, διπλῆ εἴσω ἐπανάκλησις, εἴρηται κἀνταῦθα, τὸ ἀνακαλουμένῳ. πάλιν δ' ἐπὶ τῆς Δρομάδεω γυναικός, πνεῦμα ἀραιόν, μέγα, αὐτίκα ἀνεσπασμένον, ἔφη. καὶ γὰρ καὶ τοῦθ' ὡσαύτως εἴρηται. ἐν δὲ τοῖς ἀφορισμοῖς, καὶ τί ποτε σημαίνει τὸ τοιοῦτον πνεῦμα, ἐκδιδάσκει γράφων ὧδε· ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον κακόν, σπασμὸν γὰρ σημαίνει. κατὰ λόγον οὖν κἀν τοῖς τῶν ἐπιδημιῶν, τὴν Δρομάδεω γυναῖκα σπασθεῖσαν ἀποθανεῖν φησιν, ἐφ' ἧς προειρήκει, πνεῦμα ἀραιόν, μέγα, αὐτίκα ἀνεσπασμένον. ἔνθα δὴ καὶ θαυμάσαι μάλιστά ἐστιν, ὅπως ἑκάτερον τῶν δυσπνοιῶν τὴν οἰκείαν αὐτῆς ἐδήλωσε διάθεσιν. οὐ γὰρ ἐσπάσθη μόνον ἥδε ἡ ἄνθρωπος, ἀλλὰ καὶ παρέπαισεν, ὡς ἂν μὴ μόνον τὴν ἰδίαν τῶν σπασμῶν ἐσχηκυῖα δύσπνοιαν, ἀλλὰ καὶ τὴν τῆς παραφροσύνης. ὡς δ' ὅτι μὲν ἐγίγνωσκε τὴν ἀνώμαλον ταύτην δύσπνοιαν ὁ Ἱπποκράτης, ἀποδέδεικται σαφῶς· ὅτι δὲ κἀν προγνωστικῷ παρέλιπεν εὐλόγως, ὥσπερ καὶ τὰ πολλὰ τῶν προγνωστικῶν γνωρισμάτων,

CAPVT IX.

Cur in prænotionum libro inæqualis respiratio, & alia plurima, quæ ad prædicendum faciunt, ab Hippocrate omittantur.

CVr igitur nihil in prænotionum libro de inæquali respirationis difficultate scripsit, quanuis agnoscat ipsam non solùm in secundo & sexto epidemiorum, sed etiam in primo ac tertio, & ampliùs in libro de victu in morbis acutis, & aphorismis, & aliis multis scriptorum suorum locis? In secundo enim & sexto epidemiorum, iuxta præscriptam dictionem meminit ipsius, vbi ait; *duplex intrò reuocatio velut superinspirantibus.* Et ampliùs in secundo epidemiorum, vbi enarrat quæ Lyciæ acciderunt, *Spiritus intrò duplicabatur*, ascripsit. Hoc enim nihil differt ab eo, quod dixit, *duplex intrò reuocatio velut superinspirantibus.* In sexto verò, *Si spiritus intus relinquatur*, ait. Nam & hoc idem est cum eo quod in libro de victu in acutis dixit; *Spiritus illidens, quum sursum fertur.* Quẽmadmodum enim quidam inspirantes non semel hoc faciunt, sed quiete ipsam actionem intercidunt, similiter vt pueri eiulantes; sic etiam expirantes. Quin & in his, quæ in eodem libro post sermonem de balneis habẽtur, *spirituum protensiones* dixit, actionem interruptam ostendens. In primo verò epidemiorum in Philisco, hoc modo ait; *Huic spiritus ad finem velut reuocanti.* Similiter enim ac *duplex intrò reuocatio*, etiam hic dictum est, *reuocanti.* Rursus autem in Dromadæ vxore; *Spiritus rarus, magnus, statim reuulsus*, inquit. Nam & hoc similiter dictũ est. In aphorismis verò etiam quid significet huiusmodi spiritus edocet, sic scribens; *In febribus spiritus illisus malus, conuulsionem enim significat.* Secundum rationem igitur in epidemiorum loco paulo ante citato, Dromadæ vxorẽ conuulsam mortuam esse dicit, in qua prius dixerat; *Spiritus magnus, rarus, statim reuulsus.* Vbi sanè & maximè mirari licet, quomodo vtraque difficilis spirationis species, propriam ipsius affectionem indicarit. Non enim solùm conuulsa est hæc mulier, sed etiam delirauit, vt quæ non solùm propriam conuulsionibus spirandi difficultatem haberet, sed etiam eam, quæ est desipientiæ. Quare quòd hanc inæqualem respirationis difficultatem Hippocrates nouerit, manifestè est demonstratum. Quòd verò etiam in prænotionum libro eam meritò prætermiserit, velut etiã multa prænotionis signa, con-

consequenter fuerit dicendum; vbi priùs summatim mentionem fecerimus, quòd neque de signis secundum ætates, aut regiones, aut horas, aut epidemicas constitutiones, in prænotionum libro quicquam scripsit; & quidem integro libro de aëre, locis, & aquis ab ipso scripto, & in aphorismis his omnibus compendio relatis. Imò neque de vrinarum dignotione, quæcunque in aphorismis scripsit, in prænotionibus recensuit; neque quæcunque ad mulieres pertinent in aphorismis scripta, in librum prænotionum transtulit; quanquam & hæc & alia multa in aphorismis relata prognosticę medicinæ partis existāt, vt ipse suis ipsius verbis indicat. Quū enim dicit; *Si verò borealis fuerit, tusses, fauces, alui duræ, vrinæ difficultates cum horrore, laterum dolores, & pectoris; quando hic præualuerit, talia in morbis expectare oportet.* dum item ait; *Quum æstas fit veri similis, sudores in febribus multos expectare oportet;* manifestè notat talia prognosticæ in arte partis esse. Expectare enim & sperare ac timere, & omnia huiuscemodi verba, prænotionis propria sunt. Et sanè etiam quum dicit; *Si hyems squallida & borealis fuerit, ver autem pluuiosum & austrinum, necesse est æstate febres acutas, & lippitudines, & dysenterias fieri;* manifestè hoc idem indicat; & multò sanè magis, quum de vrinis scribit in hunc modum; *Quibus vrinæ crassæ, grumosæ, paucæ, non sine febre, multitudo veniens ex his tenuis prodest; maximè verò tales veniunt, quibus à principio, breui sedimentum inest.* Et rursus; *Quibus vrinæ conturbatæ velut iumentis, his capitis dolores aut adsunt, aut aderunt.* Et rursus; *Qui septimo die iudicantur, his nubeculam habet vrina quarto die rubram, & alia secundum rationem.* Similiter verò & quæ vesicæ ac renum affectiones produnt, in aphorismis scripta sunt; in prænotionum verò libro relicta, itēq; alia omnino multa, quemadmodum & hæc; *Morbis quibuscunque incipientibus bilis atra, aut sursum, aut deorsum subierit, lethale. Dysenteria si à bile atra incipiat, mortiferum. Quibus per febres sanguinis copia vndecunque eruperit, his in refectibus, alui humectantur.* Taliaque multa in aphorismis scripta inuenire licet, ad artis prognosticam partem pertinentia. Cur igitur nihil horum in prænotionum libro recensuit? Propterea quòd de acutis morbis in illo docere proposuerat, vt ipse tum in principio, tum in fine libri enunciauit; in principio quidem, vbi ait; *Considerare autem sic oportet in acutis morbis;* in fine verò, vbi hæc verba ascripsit; *hæc verò de acutis morbis dico, & his, qui ex ipsis nascuntur.* Qui verò sunt, qui ex ipsis nascuntur? ipse Hippocrates rursus in eodem libro recenset; *Hydropes ex acutis morbis nati omnes mali.* Et rursus; *Facilem verò spirationem valdè magnam vim ad salutem habere putandum est in omnibus acutis morbis, qui cum febribus sunt, & intra quadraginta dies iudicantur.* Atque hic acutorum ex transmutatione mentionem facit, velut in libris de iudicatoriis diebus demonstrauimus. Quin & ex aliis multis locis eius libri significauit, quòd aut de acutis morbis, aut de his, qui ex ipsis nascuntur, sermonem faciat. Vt & hoc loco; *Sudores optimi quidem sunt in acutis morbis omnibus, qui in diebus iudicatorijs oboriuntur.* Et quid multis verbis opus est? ipse enim manifestè in illo libro ostendit, se multa prognostica signa volentem relinquere, alicubi quidem sic

A ἐφεξῆς ἂν εἴη λεκτέον αὐτῷ, πρότερον ἀναμνήσασι τὰς διὰ κεφαλαίων, ὡς οὔτε περὶ τῶν κατὰ τὰς ἡλικίας, ἢ χώρας, ἢ ὥρας, ἢ τὰς ἐπιδήμους καταστάσεις, ἐν τῷ προγνωστικῷ γέγραφέ τι, καὶ βιβλίου μὲν ὅλου τοῦ περὶ ἀέρων, τόπων, καὶ ὑδάτων ὑπ' αὐτοῦ γεγραμμένου, κατὰ δὲ τοὺς ἀφορισμοὺς ἐν ἐπιτομῇ πάντων τούτων εἰρημένων, ἀλλ' οὐδὲ περὶ τῶν οὔρων τῆς διαγνώσεως, ὅσα τοῖς ἀφορισμοῖς ἐνέγραψε, ταῦτα κἀν τῷ προγνωστικῷ διῆλθεν, οὐδὲ δὴ τῶν ἀμφὶ τὰς γυναῖκας, ὅσα κατὰ τοὺς ἀφορισμοὺς ἔγραψεν, εἰς τὸ προγνωστικὸν μετέθηκε· καίτοι καὶ ταῦτα, καὶ ἄλλα

B πολλὰ τῶν ἐν ἀφορισμοῖς εἰρημένων, ἐκ τοῦ προγνωστικοῦ μέρους τῆς ἰατρικῆς ἐστιν, ὡς αὐτὸς ἐνδείκνυται διὰ τῶν αὐτοῦ ῥημάτων, ἔν τε γὰρ τῷ λέγειν· ἢν δὲ βόρειος ᾖ, βῆχες, φάρυγγες, κοιλίαι ξηραί, δυσουρίαι φρικώδεις, ὀδύναι πλευρέων, στηθέων. ὅταν οὗτος δυναστεύῃ, τοιαῦτα προσδέχεσθαι ἐν τῇσιν ἀρρωστίῃσιν. ἐν δὲ τῷ φάσκειν· ὅταν θέρος γίνηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι πολλοὺς προσδέχεσθαι· δῆλός ἐστιν ἐπισημαινόμενος ὡς τοῦ προγνωστικοῦ μέρους τῆς τέχνης ἐστὶ τὰ τοιαῦτα. τὸ γὰρ προσδέχεσθαι, καὶ προσδοκᾶν, καὶ ἐλπίζειν, καὶ πάνθ' ὅσα τοιαῦτα ῥήματα, προγνώσεως ἴδια. καὶ μὲν δὴ κἀν τῷ φάσκειν· ἢν μὲν ὁ

C χειμὼν αὐχμηρὸς καὶ βόρειος γίνηται, τὸ δ' ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος πυρετοὺς ὀξέας καὶ ὀφθαλμίας καὶ δυσεντερίας γίνεσθαι· σαφῶς ἐνδείκνυται ταὐτὸ τοῦτο, καὶ πολύ γε μᾶλλον, ὅταν ὧδέ πως γράφῃ περὶ τῶν οὔρων· οἷσιν οὖρα παχέα, θρομβώδεα, ὀλίγα, οὐκ ἀπυρέτοισι, πλῆθος ἐλθὸν ἐκ τούτων λεπτὸν, ὠφελεῖ· μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, ἐν οἷσιν ἂν ἐξ ἀρχῆς διὰ ταχέων ὑπόστασιν ἴσχῃ. καὶ πάλιν· οἷσιν οὖρα ἀνατεταραγμένα οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι ἢ πάρεισιν, ἢ παρέσονται. καὶ πάλιν· οἷσιν ἑβδομαῖα κρίνονται, ἐπινέφελον ἴσχει τῇ τετάρτῃ τὸ οὖρον ἐρυθρὸν, καὶ τ' ἄλλα κατὰ λόγον. ὁμοίως

D δὲ τούτοις, καὶ τῆς κύστεως καὶ τῶν νεφρῶν τὰς διαθέσεις δηλοῦντα, κατὰ τοὺς ἀφορισμοὺς γέγραπται, παραλέλειπται δὲ ἐν τῷ προγνωστικῷ καὶ ἄλλα πάμπολλα, καθάπερ καὶ τὰ τοιαῦτα· τῶν νοσημάτων ὁκόσοισιν ἀρχομένων, χολὴ μέλαινα ἢ ἄνω, ἢ κάτω ὑπέλθοι, θανάσιμον· δυσεντερίη ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον· οἷσιν ἐν πυρετοῖσιν αἱμορραγεῖ πλῆθος ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσι τοῖσι τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται. τοιαῦτά τε πάμπολλα κατὰ τοὺς ἀφορισμοὺς ἐστὶν εὑρεῖν γεγραμμένα τοῦ προγνωστικοῦ μέρους τέχνης. τί δή ποτ' οὖν οὐδὲν τούτων ἐν τῷ προγνωστικῷ γράμματι διῆλθεν; ὅτι περὶ

E τῶν ὀξέων νοσημάτων ἐν ἐκείνῳ προὔθετο διδάσκειν, ὡς ἀρχόμενός τε ἅμα καὶ συντελέσας τὸ βιβλίον, αὐτὸς ἡρμήνευσεν, ἐν ἀρχῇ μὲν εἰπών· σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσιν ὀξέσι νοσήμασιν· ἐπὶ δὲ τῇ τελευτῇ προσγράψας ὧδε· ταῦτα δὲ λέγω περὶ τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τούτων γίνεται. τίνα δέ ἐστιν ἐκ τούτων γινόμενα; πάλιν αὐτὸς ὁ Ἱπποκράτης ἐν ταὐτῷ βιβλίῳ διέρχεται· οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοί. τοῦτο δὲ πάλιν, εὔπνοιαν δὲ χρὴ νομίζειν, κάρτα μεγάλην δύναμιν ἐς σωτηρίαν ἔχειν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα

F σὺν πυρετοῖσι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. κἀνταῦθα τῶν ἐκ μεταπτώσεως ὀξέων μνημονεύει, καθάπερ κἀν τοῖς περὶ κρισίμων ἀπεδείξαμεν. ἐπεσημήνατο δὲ καὶ ἄλλοθεν πολλαχόθεν τοῦ συγγράμματος, ὡς ἤτοι περὶ τῶν ὀξέων νοσημάτων, ἢ περὶ τῶν γινομένων ἐκ τούτων ὁ λόγος ἐστὶν αὐτῷ, καθάπερ κἀν τοῖσδε· οἱ δὲ ἱδρῶτες, ἄριστοι μὲν εἰσὶν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, οἳ ἂν ἐν ἡμέρῃσι κρισίμοισι γίνωνται. καὶ τί δεῖ πολλὰ λέγειν; αὐτὸς γὰρ, ὡς ἑκὼν παραλείπει πολλὰ τῶν προγνωστικῶν σημείων ἐν

ἐκείνῳ τῷ βιβλίῳ, σαφῶς ἐνδείκνυται, ποτὲ μὲν ὧδέ πως λέγων μὴ ἐξαπατάτω δέ σε, ἢν τι αὐτὴ ἡ κύστις νόσημα ἔχουσα, τὸν οὖρον τι ἀποδιδοῖ τοιοῦτον, οὐ γὰρ τοῦ ὅλου σημεῖον, ἀλλ' αὐτῆς καθ' ἑαυτήν. οὐ μὴν προστίθησί γε τὰ γνωρίσματα κατὰ τὸ προγνωστικὸν, ἀλλ' ἐν τοῖς ἀφορισμοῖς γράφει. αὖθις δ' αὖ λέγει· χρὴ δὲ καὶ τὰς διαφορὰς τῶν νοσημάτων τῶν ἐπιδημεόντων ταχέως ἐνθυμέεσθαι καὶ μὴ λανθάνειν τῆς ὥρης τὴν κατάστασιν· οὐ μὴν οὐδὲ περὶ τούτου τι διδάσκων ἡμᾶς ἐν προγνωστικῷ. προὔθετο γὰρ, ὡς ἔφην, τὰ τῶν ὀξέων νοσημάτων ἴδια διελθεῖν μόνα, τὰ δέ γε τῶν χρονίων ἴδια σύμπαντα παραλιπεῖν. ὥστ' εὐλόγως καὶ τὴν ἀνώμαλον δύσπνοιαν, ἐξ ἑτέρου γένους οὖσαν τῶν νοσημάτων, ἐνταῦθα παρέλιπεν. εἰ γὰρ δὴ σπωμένων γίγνεται τῶν ἀναπνευστικῶν ὀργάνων, εἴη μὲν ἂν καὶ τοῖς χρονίοις νοσήμασι συνεδρεῦον τὸ πάθημα, καὶ ταύτῃ γε μηδὲν δὴ τῶν ὀξέων ἢ χρονίων ἴδιον· εἴη δ' ἂν καὶ χωρὶς πυρετοῦ γιγνόμενον, ὥς γε καὶ οἱ σπασμοί. πρόκειται δ' αὐτῷ κατὰ τὸ προγνωστικὸν ὑπὲρ τῶν ἰδίως ὀξέων ὀνομαζομένων ποιήσασθαι τὸν λόγον. ἔστι δὲ ταῦτα τὰ σὺν πυρετοῖς γιγνόμενα συνεχέσι τοὐπίπαν, ὡς αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων ἐδήλωσεν ὧδέ πως γράψας· ἔστι δὲ ἄρα ταῦτα ὀξέα, ὁποῖα ὠνόμασαν οἱ ἀρχαῖοι πλευρῖτιν, καὶ περιπνευμονίαν, καὶ φρενῖτιν, καὶ καῦσον, καὶ τἄλλα ὅσα τούτων ἐχόμενα, ὧν οἱ πυρετοὶ τοὐπίπαν ξυνεχέες. οὔκουν οἱ σπασμοὶ τούτου τοῦ γένους εἰσὶ τῶν νοσημάτων, ὅθεν οὐδὲ τὴν ἰδίαν αὐτῶν δύσπνοιαν ἅμα τούτοις διῆλθε, καθάπερ οὐδὲ περὶ τῶν οὔρων, ἢ τῶν διαχωρημάτων, ἢ τῶν ἄλλων ἁπάντων, ὅσα κατὰ τοὺς ἀφορισμοὺς ἔγραψε, διότι τῶν ὀξέων νοσημάτων οὐκ ἦν ἴδια. διὰ τί δ' οὐδὲν οὐδὲ περὶ τῶν τοιούτων δυσπνοιῶν ἐδίδαξεν ἐν τῷ προγνωστικῷ, ἐν αἷς ἤτοι μόνον τὸ εἰσπνεόμενον, ἢ μόνον τὸ ἐκπνεόμενόν ἐστι μέγα, περιττὸν ἡγοῦμαι νῦν ἐπεξιέναι, δείξας γε σαφῶς ἐν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων, ὡς εἰς πέντε ταύτας τὰς δυσπνοίας, ὑπὲρ ὧν νῦν πέπαυμαι λέγων, αὐτάρκες ἀνάγειν τὰς ἄλλας διαφοράς. οὐδὲ γὰρ ἢ ταχείας, ἢ βραδείας ἀναπνοῆς ἐμνημόνευσεν ἐν προγνωστικῷ. κατὰ τὸν αὐτὸν δὲ λόγον ἐδείξαμεν, ὡς πάσας τὰς ἄλλας διαφορὰς ἐν ταῖς προειρημέναις περιέχεσθαι συμβέβηκε, ὥσθ' ἑκάτερον αὐτῶν ὀρθῶς ὁ Ἱπποκράτης φαίνεται ποιήσας, ἐν μὲν τοῖς τῶν ἐπιδημιῶν τὴν εἰς ἁπάσας τὰς κατὰ μέρος δυσπνοίας διαίρεσιν θέμενος, ἐν δὲ τῷ προγνωστικῷ καὶ τοῖς ἀφορισμοῖς, ὅσα πρὸς τὴν χρείαν ἐπεῖγεν.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ῥῆσίν τινα ἐξηγεῖται ἐκ τοῦ δευτέρου καὶ τοῦ ἕκτου τῶν ἐπιδημιῶν, περὶ μακροπνοίας καὶ βραχυπνοίας.

Ὁπότ' οὖν ταῦθ' ἡμῖν ἱκανῶς ἀποδέδεικται, λείποιτ' ἂν ἔτι τὰς ὑπολοίπους ἐξ ἁπάντων αὐτοῦ τῶν συγγραμμάτων ἐξηγήσασθαι ῥήσεις, ἀρξαμένους αὖθις ἀπὸ τοῦ δευτέρου τε καὶ ἕκτου τῶν ἐπιδημιῶν. ἐν ἀμφοτέροις γὰρ τούτοις τοῖς βιβλίοις, ἐφεξῆς τῇ πρώτῃ πασῶν εἰρημένῃ ῥήσει τῇ διδασκούσῃ τὰς διαφορὰς ἁπάσης τῆς δυσπνοίας, ὧδέ πως γέγραπται· ἰητήριον συνεχέων χασμέων μακρόπνοια· ἐν τῇσιν ἀπόσιτοι καὶ μόγις πίνουσι, βραχύπνοια. ἐνταῦθ' εἴτε τὸν ἄνθρωπον μακρόπνουν, εἴτε τὴν δύσπνοιαν αὐτὴν οὕτως ὠνόμασεν, ὅτι τὸ διὰ μακροῦ χρόνου γιγνόμενον, τουτέστι τὸ ἀραιὸν

dicens; *Ne decipiat autem te, si ipsa vesica aliquem morbum habens, eiusmodi quandam vrinam reddat; non enim totius, sed sui ipsius signum est*; nec tamen apponit signa eiusmodi casus in prænotionum libro, sed in aphorismis ipsa scribit. Rursus autem sic ait; *Oportet autem & differentias morborum epidemiorum citò animaduertere, temporisque statum non ignorare*; neque tamen de hoc quicquam in prænotionum libro nos docet. Propositum enim erat ipsi, vt dixi, solùm ea, quæ acutorum morborum propria sunt, recensere; quæ verò diuturnis propria sunt, omnia relinquere. Quare meritò etiam inæqualem respirationis difficultatem, ex alio morborum genere existentem, hîc prætermisit. Si etenim conuulsis spirabilibus organis fiat, assidebit & diuturnis morbis hic affectus, proindeque sanè nõ *magis* acutorum, quã diuturnorum proprius; oborietur quoque & citra febrem, vt etiam conuulsiones. At ipsi propositum est in prænotionibus, de his qui propriè acuti nominantur, facere sermonem. Sunt autem tales, qui omnino cum febribus continuis fiunt, vt ipse in libro de victu acutorum ostendit, sic scribens; *Sunt itaque hi acuti, quales veteres nominauerunt pleuritidem, & peripneumoniam, & phrenitidem, & febrem ardentem, & alios quoscunque his consimiles, quorum febres omnino sunt continuæ.* Nequaquam igitur conuulsiones huius morborum generis sunt, vnde neque propriã ipsorum respirationis difficultatem simul cum his recensuit, quemadmodum neque de vrinis, aut deiectionibus, aut aliis omnibus, quæ in aphorismis scripsit, propterea quòd acutorum morborum propria non erant. Cur verò neque de talibus difficilis respirationis speciebus in prænotionibus docuerit, in quibus aut sola inspiratio, aut sola expiratio est magna, superuacaneum puto nunc explicare, vt qui manifestè in primo horum commentariorum demonstrauerim, ad has quinque difficilis respirationis differentias, de quibus nunc dicere desii, omnes reliquas commodè reduci posse. Neque enim, aut celeris, aut tardæ respirationis in prænotionum libro mentionem fecit; ob eandem rationem; ostendimus enim omnes alias differentias in prædictis contineri. Quare Hippocrates vtrunque ipsorum rectè fecisse videtur, in libris quidem epidemiorum diuisione in omnes particulares spirandi difficultates positâ; in prænotionibus verò & aphorismis, quantum vsui erat necessarium.

CAPVT X.

Locum explicat secundi & sexti libri epidemiorum de longa & breui respiratione.

Qvum igitur hæc à nobis iam abunde demonstrata sint, reliquum fuerit etiamnũ reliquas omnium librorum dictiones exponere, initio rursus à secundo & sexto epidemiorum sumpto. In vtrisque enim his libris, post primam omnium relatam dictionem, in qua omnes difficilis respirationis differẽtias docet, hoc modo scriptum est; *Sanat continuas oscitationes spiratio longa; abhorrentes à potu, & vix bibentes, spiratio breuis.* Siue hîc hominem longa spiratione respirantem, siue difficultatem ipsam spirandi ita appellauit, quòd spiritus longo tempore

interiecto distinctus, hoc est rarus, insuperque multus, ea appellatione indicetur, secundo libro est demonstratum; quemadmodum etiam per breuem spirationem, is qui per modicum tempus fit, hoc est densus, insuperque paruus. Sanat igitur, aut vt signum, aut vt causa (vtrumque enim ostendere licet) continuas oscitationes magnus & rarus spiritus; vt signum quidem, tanquam affectione in contrarium mutata; vt causa verò, quòd contrariorum contraria sint remedia. Oscitant enim & pandiculantur continenter, ob vaporosum quendam & crassum spiritum in musculoso genere contentum, vt aliis in locis ostensum est. Quibus verò hoc contingit, statim etiam continenter expirant, vtpotè quum in expirationibus eiusmodi spiritus expurgetur, & euacuetur. Si verò quis non ita continuè, sed iam per longum tempus expirationes faciat, manifestum est, præcedentes in ipso affectiones cessasse; atque ita vt signum sanabit oscitationem longa spiratio. At longam spirationem, etiam vt causam, sanare continuas oscitationes intelligere licet, atque hoc ipsum non longo sermone mihi indigere videtur. Respirationem enim ad plurimum tempus continere, quòd spiritus cohibitio nominatur, qua ratione singultus sanat, eâdem etiam oscitationes sanabit. Et verò faciunt hoc in exercitiis omnes Athletæ, per vim expellere conantes quicquid siue humorum, siue vaporum, tenuibus circa cutem meatibus detinetur. Ob hæc igitur spiratio longa continuas oscitationes sanat, aut vt signum, aut vt causa; *Abhorrentes verò à potu, & vix bibentes, spiratio breuis*; hoc verò non ampliùs manifestè, sed iam ænigmati propiùs dictum est. An videlicet phreniticos ab ipso nunc indicari putandum est, quòd alio loco dixerit; *Phrenitici paucibibi, strepitu percelluntur facile, tremuli*? An potius eos, quibus partes circa pulmonem & cor perfrigeratæ sunt, vt simul & per longum tempus respirent, & frigidum expirent? Breuis enim spiratio ex vtrisq; inducta, sanitatis signum est; in perfrigeratis verò non solum signum, sed etiam causa. Quemadmodum enim spiritus cohibitio superflua euacuare poterat & ob id hanc in singultientibus, & multum oscitantibus, & pandiculantibus, & vehementer exercitatis, assumebamus; sic continua respiratio ventilare simul & excalefacere perfrigerata poterit. Hac igitur ratione etiam in secundo epidemiorum suasit excandescentiam inducere studere, & coloris reparandi, & sanguinis sub cutem diffundendi gratia, tanquam & excandescentia innatum calorem excitare queat. At verò quòd densiorem omnino reddat respirationem animi excandescentia, nemo ignorat. Assumemus igitur ipsam in perfrigeratis & decoloratis ac gracilibus, ex quibusdam interuallis & temporibus opportunis; non sanè ita continenter, vt valdè facultatem lædat; sed vt exercitationes innatum calorem corroborantes, non immoderatas facere iubemus, sed tum oportunè tum moderatè assumimus; sic etiam breuem spirationem, siue per se, siue cum excandescentia vsurpabimus, non sine opportunitate & modo assumemus. Hîc autē sermoni mentem aduertere oportet, & non putare eandem affectionem esse cum ea, quæ nunc à nobis ostenditur, eam quam in prænotionum

A πνεῦμα, καὶ προσέτι τὸ πολὺ, δηλοῦται διὰ τῆς προσηγορίας ταύτης, ἐν τῷ δευτέρῳ δέδεικται λόγῳ, καθάπερ γε καὶ ὡς τὸ δι᾽ ὀλίγου, τουτέστι τὸ πυκνὸν, καὶ προσέτι τὸ μικρὸν, ἐκ τοῦ, βραχύπνοος. ἰατρεῖον οὖν ἤτοι σημεῖον ἢ αἴτιον (ἑκάτερον γὰρ ἔστι δείξασθαι) τῶν συνεχῶν χασμῶν, τὸ μέγα καὶ ἀραιὸν γίγνεται (τὸ) πνεῦμα· σημεῖον μὲν, ὡς εἰς τἀναντία τῆς διαθέσεως μεθισταμένης, αἴτιον δὲ, ὅτι ἐναντίων ἐναντία τὰ ἰάματα· χασμῶνται) γὰρ καὶ σκορδινῶνται συνεχῶς, ἀτμώδους τινὸς καὶ παχέος πνεύματος ἐν τῷ μυώδει γένει B κατειλημμένου, καθότι δέδεικται δι᾽ ἑτέρων· εὐθὺς δ᾽ οἷς τοῦτο συμβέβηκε, καὶ συνεχῶς ἐκπνέουσιν, ὡς ἂν ἐκκαθαιρομένου τε καὶ κενουμένου τοῦ τοιούτου πνεύματος ἐν ταῖς ἐκπνοαῖς· εἰ δέ τις μηκέτι συνεχῶς, ἀλλ᾽ ἤδη διὰ μακροῦ χρόνου τὰς ἐκπνοὰς ποιεῖται, δῆλον ὡς αἱ προϋπάρχουσαι διαθέσεις αὐτῷ πέπαυνται, καὶ σημεῖον οὕτως ἰατρεῖον ἡ μακρόπνοια τῆς χάσμης ἔσται. καὶ μὲν δὴ καὶ ὡς αἰτίαν ἰωμένην τὴν μακρόπνοιαν τὰς χάσμας τὰς συνεχεῖς, ἀκούειν ἐγχωρεῖ, δοκεῖ μοι δὲ καὶ αὐτὸ μηκέτι δεῖσθαι μακροῦ λόγου. τὸ γὰρ ἕως πλείστου τὴν ἀναπνοὴν ἐπέχειν, ὅπερ ὀνομά- C ζεται κατάληψις πνεύματος, ᾧ λόγῳ τοὺς λυγμοὺς ἰᾶται, τούτῳ καὶ τὰς χάσμας ἰάσεται. καὶ γὰρ οὖν καὶ ποιοῦσιν ἐπὶ τοῖς γυμνασίοις αὐτὸ σύμπαντες οἱ ἀθληταὶ, διώσασθαι τῇ βίᾳ σπεύδοντες ἅπαν ὅσον ἐν τοῖς κατὰ δέρμα λεπτοῖς πόροις, ἢ ὑγρὸν ἢ ἀτμῶν ἴσχεται. διὰ ταῦτα μὲν οὖν ἡ μακρόπνοια τῶν συνεχῶν χασμῶν σημεῖόν ἐστιν, ἢ αἴτιον ἰατρικόν· ἐν δ᾽ αὖ τοῖσιν ἀπότοισι καὶ μόγις πίνουσιν, ἡ βραχύπνοια· τοῦτο δ᾽ οὐκέτι σαφῶς, ἀλλ᾽ ἤδη συμβολικώτερον εἴρηται. πότερον γὰρ τοὺς φρενιτικοὺς ἡγητέον ὑπ᾽ D αὐτοῦ δηλοῦσθαι νῦν, ὅτι καὶ δι᾽ ἄλλων εἶπεν, οἱ φρενιτικοὶ βραχυπόται, ψόφου καταπτοούμενοι, τρομώδεες; ἢ μᾶλλον οἷς κατέψυκται τὰ περὶ τὸν πνεύμονα καὶ τὴν καρδίαν, ὡς ἀναπνεῖν τε ἅμα διὰ μακροῦ, καὶ ψυχρὸν ἐκπνεῖν; εἰσαγομένη γὰρ ἐξ ἀμφοῖν ἡ βραχύπνοια, σημεῖον ἰατρεῖον· ἐπὶ δὲ τῶν κατεψυγμένων, οὐ σημεῖον μόνον, ἀλλὰ καὶ αἴτιον. ὡς γὰρ ἡ κατάληψις τοῦ πνεύματος ἐκκενοῦν ἠδύνατο τὰ περιττὰ, καὶ διὰ τοῦτο ταύτην ἐπὶ τῶν λυζόντων τε καὶ χασμωμένων πολλὰ, καὶ σκορδινωμένων, καὶ συντόνως γεγυμνασμένων παρελαμβάνομεν, οὕτως ἡ συνεχὴς ἀναπνοὴ, ῥιπίσαι τε ἅμα καὶ ἐκθερμῆναι τὰ κατεψυγμένα δυνήσεται. κατὰ τοῦτον οὖν E τὸν λόγον κἀν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν συνεβούλευσεν ἐπιτηδεύειν ὀξυθυμίην ἐμποιέειν, καὶ χροιῆς ἀναλήψιος ἕνεκα, καὶ ἐκχυμώσιος, ὡς καὶ τῆς ὀξυθυμίας ἐπεγείρειν τὴν ἔμφυτον θερμασίαν δυναμένης. ἀλλ᾽ ὅτι γε πυκνοτέραν ἐργάζεται πάντως ἡ ὀξυθυμία τὴν ἀναπνοὴν, οὐδεὶς ἀγνοεῖ. παραληψόμεθα οὖν αὐτὴν ἐπὶ τῶν κατεψυγμένων τε καὶ ἀχροούντων καὶ ἰσχνῶν, ἐκ διαλειμμάτων τέ τινων καὶ προσηκόντων καιρῶν· οὐ γὰρ δὴ συνεχῶς γε οὕτως, ὡς ἄγαν βλάψαι τὴν δύνα- F μιν, ἀλλ᾽ ὥσπερ τὰ γυμνάσια τὰ ῥωννύντα τὴν ἔμφυτον θερμασίαν, οὐκ ἄμετρα ποιεῖσθαι κελεύομεν, ἀλλ᾽ ἐν καιρῷ τε καὶ μέτρῳ παραλαμβάνομεν, οὕτω καὶ βραχύπνοιαν, εἴ τε κατὰ μόνας, εἴ τε καὶ μετὰ τῆς ὀξυθυμίας ἐπιτηδεύσομεν, οὐκ ἄνευ καιροῦ καὶ μέτρου παραληψόμεθα· προσέχειν δ᾽ ἐνταῦθα χρὴ τῷ λόγῳ, καὶ μὴ νομίζειν τὴν αὐτὴν εἶναι διάθεσιν τῇ νῦν ὑφ᾽ ἡμῶν δηλουμένῃ, τὴν κατὰ τὸ

προγνωστικόν, ἐφ᾽ ἧς ἔλεγε· ψυχρὸν δ᾽ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται. ἐπὶ γὰρ τῶν ἐν ὀξέσι νοσήμασι, περὶ ὧν ἐν ἐκείνῳ τῷ βιβλίῳ ποιεῖται τὸν λόγον, ἡ τοιαύτη δύσπνοια θάνατον δηλοῖ· τοῖς δ᾽ ἄλλοις νοσήμασιν, ὅσα χωρὶς πυρετοῦ, ψυχρότης τὴν ὅλην ἕξιν τοῦ ζώου καταλαμβάνει· συμπίπτει μὲν οὐδὲ τούτοις ἀκινδύνως, οὐ μὴν ἐξ ἅπαντός γε ὀλεθρίως. ἐκ τούτων δ᾽ ἐστὶ καὶ ἡ καλουμένη ὑστερικὴ πνίξ, καὶ ὅλως αἱ ἄπνοιαι πᾶσαι, γυναιξὶ μὲν συνεχῶς καὶ μάλιστα ταῖς [21] στερρούσαις συμπίπτουσαι, σπανίως δέ ποτε καὶ ἀνδράσι. ἐπὶ γὰρ τῶν τοιούτων ἁπασῶν διαθέσεων, ὑπὸ πλήθους ὕλης ψυχρᾶς ἡ ἔμφυτος θερμασία βαρύνεται, δίκην φλογὸς ὑπὸ πολλῶν ὑγρῶν ξύλων καταπνιγομένης, ὥστε καὶ ἀνάψαι ποτὲ δυνατὸν ταύτην κρατήσασαν τῆς ὕλης· ἐφ᾽ ὧν μέντοι δαπανηθείσης τῆς ὕλης ἐξ ἀνάγκης αὐτὴ συναποσβέννυται, καθάπερ ἐπὶ τῶν ἐν τοῖς ὀξέσι νοσήμασιν οὕτως ἐκπνεόντων, οὐδεμία σωτηρίας ἐλπὶς ὑπολείπεται. τούτων δὲ οὖν μεμνῆσθαι χρή, καὶ ὡς ἐν ταῖς ἀπνοίαις ἀπολωλέναι μὲν τελέως ἅπασαν τὴν ἀναπνοήν, οὔθ᾽ ὑπονοῆσαι δυνατόν, οὔθ᾽ οὕτως ἔχων φαίνεται τοῖς ἐπιμελῶς κατασκεπτομένοις τὸ συμβαῖνον· ἐλάχιστον δ᾽ αὐτοῖς ἅμα καὶ διὰ μακροτάτου χρόνου γίνεται τὸ πνεῦμα, καὶ ταύτῃ λανθάνει τοὺς πολλούς· ἀλλ᾽ εἰ προσέχοι τις ἐπιμελῶς τὸν νοῦν, ἢ καὶ προσθείη τινὰ τῶν δακτύλων πρὸ τῆς τοῦ κάμνοντος ῥινός, αἰσθήσεται τῆς ἀναπνοῆς. εἰ δὲ καὶ τρίχα κατακρεμάσει πρὸ αὐτῆς, ἢ ἔριον λεπτόν, ἀκριβῶς διεξεσμένον, ὄψεται καὶ ταῦτα σειόμενα. κατὰ μὲν δὴ τὰς τοιαύτας διαθέσεις, βραχύπνοια, τουτέστιν ἡ διὰ βραχέος χρόνου κίνησις τῶν ἀναπνευστικῶν ὀργάνων, ἥνπερ δὴ καὶ πυκνὸν πνεῦμα καλοῦμεν, αἴτιόν τε ἅμα καὶ σημεῖον ἰητήριον ὑπάρχει· κατὰ δὲ ταὐτό, τῶν συνεχῶν χασμῶν οὐ μόνον ἡ διὰ μακροῦ, τουτέστιν ἡ ἀραιά, σημεῖόν τε ἅμα καὶ αἴτιόν ἐστιν ἰητήριον, ἀλλὰ καὶ ἡ μεγάλη. καλεῖται γὰρ καὶ ἥδε κατὰ δεύτερον λόγον μακρόπνοια. πρώτως μὲν γὰρ ἡ διὰ μακροῦ χρόνου γινομένη, τουτέστιν ἡ ἀραιά, τοῦτο κέκτηται τοὔνομα, δευτέρως δὲ καὶ ἡ μεγάλη. περὶ μὲν δὴ τούτων ὧδε ἔχει.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Τὰς ῥήσεις ἐξηγεῖται, καθ᾽ ἃς Ἱπποκράτης τοῦ ἀσθμώδους, καὶ τοῦ διπλασιαζομένου καὶ τοῦ μετεώρου καὶ τοῦ ὑποπύκνου καὶ τῶν ἄλλων πνευμάτων μέμνηται.

Παραθώμεθα δὲ δὴ καὶ τἄλλα σύμπαντα τὰ περὶ τῆς δυσπνοίας αὐτῷ γεγραμμένα. κατὰ μὲν δὴ τὸ δεύτερον τῶν ἐπιδημιῶν, ἐπὶ μὲν τῆς Ἀντιγένεος, προειπὼν ὡς ἀσθμώδης ἐγένετο περὶ τόκου, μετὰ ταῦτ᾽ ἐπιφέρει· ἔπειτ᾽ ἅμα τόκῳ πύον ἀνήμεσεν. ὥσθ᾽ ὁμολογεῖ καὶ τοῦτο τοῖς ὑφ᾽ ἡμῶν ἀποδεδειγμένοις· ἀσθμαίνουσι μὲν γὰρ οἱ πυκνὸν ἀναπνέοντες ἅμα καὶ τὸν θώρακα μέχρι πολλοῦ διαστέλλοντες. γίνεται δὲ τοῦτο, ποτὲ μὲν ἐν διαθέσεσι πολλῆς εἰσπνοῆς δεομέναις, ἀμέλει καὶ τοῖς δραμοῦσιν ἢ ὁπωσοῦν ἄλλως ὀξέως γυμνασαμένοις τὸ τοιοῦτον συμπίπτει, καὶ πᾶσι τοῖς περικαέσι πυρετοῖς· γίνεται δ᾽, ὡς ἐδείχθη, κἀπειδὰν ἔμφραξις, ἢ θλῖψις, ἢ στενοχωρία τις ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ὑπάρχει· τοιοῦτον δέ τι φαίνεται συμβῆναι καὶ τῇ τοῦ Ἀντιγένεος, ὡς ἐδήλωσε τὸ πύον.

libro recensuit; de qua dixit; *Spiritus frigidus ex naribus, & ore prodiens valde iam perniciosus est.* In acutis enim morbis, de quibus in illo libro sermonem facit, huiusmodi spirandi difficultas mortem portendit; in aliis verò morbis, qui citra febrem consistunt, frigus totum animalis habitum apprehendit; & accidit quidem neque his extra periculum, non tamen penitus perniciosè. Ex his autem est & suffocatio vteri appellata, & omnino omnes apnœæ .i. *spiritus interceptiones*, quæ mulieribus quidem assiduè & præsertim sterilibus accidunt, raro autem aliquando & viris. In huiusmodi enim omnibus affectionibus præ multitudine materiæ frigidæ innatus calor grauatur, ad similitudinem flammæ, quæ multis humidis lignis suffocatur. Quare etiam accendi quandoque potest hæc iterum, exuperatâ materiâ; at in quibus consumptâ materiâ, necessariò etiam ipsa simul extinguitur, quemadmodum in iis, qui in acutis morbis sic expirant, nulla spes salutis relinquitur. Horum itaque meminisse oportet & quòd in apnœis omnem respirationem planè periisse, neque suspicari licet, neque ita esse apparet, quod contingit diligenter considerantibus. Minimus autem simulque per longissimum tempus ipsis fit spiritus, atque hac ratione plerosque latet, ac fallit; verùm si quis diligenter aduertat, aut etiam digitorum quempiam naribus ægri admoueat, percipiet vtique respirationem. Quòd si quis etiam præ naribus pilum suspendat aut tenuem lanam probè concerptam, videbit etiam hæc moueri. In huiusmodi sanè affectionibus spiratio breuis, hoc est motus spirabilium organorum per breue tempus, quem videlicet etiam densum spiritum appellamus, causa simúlque signum sanationis existit. Eadem verò ratione continuarum oscitationum, non solùm respiratio per longum tempus, hoc est rara, signum simúlque causa sanationis existit, sed etiam magna. Vocatur enim & hæc secundariò spiratio longa. Primariò etenim ea, quæ per longum tempus fit, hoc est rara, hoc nomen possidet; secundariò verò etiam magna. Atque de his quidem sic se res habet.

CAPVT XI.

Loca enarrat, vbi Hippocrates anhelosi, duplicati, sublimis, subdensi, ac aliorum spirituum, mentionem fecit.

Apponamus autem, & alia vniuersa ab ipso de spirandi difficultate conscripta. In secundo itaque epidemiorum, in Antigenis coniuge, præfatus anhelam fuisse ante partum, post hæc infert; *Postea simul cum partu pus euomuit.* Quare & hoc cum his quæ à nobis demonstrata sunt, consentit; anheli enim sunt, qui densum spiritum habent, & simul thoracem multum distendunt. Contingit autem hoc, aliquando quidem affectionibus multa inspiratione indigentibus, vt à cursu, aut alia quacunque vehementi exercitatione eiusmodi spiritus accidit, & omnibus ardẽtibus febribus; fit etiam, vt monstratum est, quando obstructio, aut compressio, aut angustia quædam in respirabilibus organis existit. Tale verò quiddam apparet accidisse etiam Antigenis vxori, quemadmodum

pus

pus indicauit. Huius quidem primæ in secundo epidemiorũ ſpirandi difficultatis meminit; poſt hanc verò eius quæ Lyciæ accidit, de qua velut antea dixi, ſcripſit; *Spiritus intro duplicabatur; non tamen magnus ſecundũ rationem.* Affectũ enim erat ipſi neruoſum organorum genus, vt etiam abſoluta vrinarum ſuppreſſio fieret, & ob hoc ſanè duplicatus ſpiritus fiebat. Cur autem non magnus? An quòd eſſet perfrigerata? *Contegebatur itaque*, inquit. Monſtratum eſt autem, quòd hac voce vtatur, in iis quibus calor innatus perfrigeratus eſt. Deinceps verò & de anginoſis tunc factis diſſerens ſic ſcribit; *Spiritus his non valdè ſublimis*; tanquam videlicet vt plurimùm ſublimis ſpiritus anginoſis fiat. Sic autem vocare ipſi mos eſt paruum ſpiritum, & vt alicui videatur, ad fauces vſque circiter ingredientem, non autem in thoracis profunditatem deſcendentem. Quòd verò eiuſmodi ſpiritus neceſſariò exiſtat in his, qui quodcunq; tandem ſpirabile organum dolent, antea dictum eſt. Quæ fuit igitur cauſa, ob quam anginoſis ſpiritus non valdè ſublimis erat? An quòd neque anginæ ſpecies ipſis conſueto more facta erat? *Primum enim*, inquit, *fauces non inflammatæ, ſed iacentes.* Deinde ſic ait; *Non ſuffocabantur plurimi, niſi quum deglutire cupiebant*; & omnino tota narratio de angina tunc facta illæſas permanſiſſe oſtendit ipſis fauces, verùm vicinas his partes vertebris colli continuas affectas fuiſſe. Nam & ipſas vertebras luxatas fuiſſe ait, partim intrò ſolum, partim etiam in obliqua. Quum igitur neque aliud aliquod ſpirabilium organorum ipſis fuerit affectum, neq; fauces ipſę ex propria ratione, niſi ob communitatem ſitus, affectionis participes eſſent, meritò non valdè ſublimis ipſis erat ſpiritus. Etenim ſi penitus non fuiſſent fauces affectæ, nequaquam ſanè ſpiritus ſublimis fuiſſet; quum verò per conſenſum vicinorum lęderentur, mediam prędictorum cõſtitutionem accepit, moderatè denſatus. Deinceps verò ab hac conſtitutione, alterius meminit Perinthi factæ, hoc modo narrationem incipiens; *Perinthum circa ſolſtitium ferè æſtiuum venimus.* Deinde recenſet totã morborum ſpeciem à cauſo exorſam, verùm vomitoriam factam, & ad plurimum tempus inueteratam. Quin & quod citra vomitus, ardentes febres his factæ ſint, & quòd venter ipſis multa deiecerit, appoſuit; vt tum ex his, tum ex aliis omnibus manifeſtum ſit, eius conſtitutionis cauſam in pituita putreſcente fuiſſe, ita vt ſpirabilia organa illæſa permãſerint, itémque ipſum os ventriculi, ſed ex inferioribus partibus initium impetus ſui ſumpſerit ardens febris. Meritò igitur ipſis neque magnus ſpiritus factus eſt, quemadmodum his fit, quibus in pulmone & corde febrilis caloris multitudo collecta eſt; neque paruus omnino fuit, vt qui nec dolerent, nec perfrigerati eſſent. Si paruus igitur & ſublimis nihil diuerſum ſignificant, iure vtique ſublimes ſpiritus ipſis factos eſſe dicit, non tamen valdè. Poſt hanc verò conſtitutionẽ nullius deinceps difficilis reſpirationis Hippocrates mentionem fecit, vſque ad illam dictionem, quam primam omnium principio huius libri appoſui, cuius initium hoc eſt; *Spiritus parui, denſi; magni, rari.* Hanc verò totam iam antea expoſui. Tempeſtiuum igitur iam fuerit mentionem facere difficilis reſpirationis, in

A Ταύτης μὲν δὴ προτέρας ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν δυσπνοίας μέμνηται· μετὰ δὲ ταύτην, τῆς συμβάσης τῇ Λυκίῃ, περὶ ἧς, ὡς καὶ πρόσθεν ἔλεγον, ἔγραψε· πνεῦμα ἐδιπλασιάζετο, οὐ μὴν μέγα κατὰ λόγον. ἐπεπόνθει γὰρ αὐτῇ τὸ νευρῶδες γένος τῶν ὀργάνων, ὥστε καὶ τῶν οὔρων ἐπίσχεσιν παντελῆ γενέσθαι. διὰ τοῦτο μὲν δή, τὸ διπλασιαζόμενον ἐγίνετο πνεῦμα· διὰ τί δὲ οὐ μέγα; ἢ διότι κατέψυκτο; προσεστάλατο γοῦν, φησι· τούτῳ δ' ἐδείχθη χρώμενος τῷ ὀνόματι κατὰ τῶν ἀποψυχομένων τὴν ἔμφυτον θερμασίαν. ἐφεξῆς δὲ καὶ περὶ B τῶν γενομένων τότε κυναγχικῶν διαλεγόμενος, ὧδε γράφει· πνεῦμα δὲ τούτοισιν οὐ πάνυ μετέωρον· ὡς δηλονότι μετεώρου τὰ πολλὰ τοῖς κυναγχικοῖς γιγνομένου τοῦ πνεύματος. οὕτως δὲ καλεῖν ἔθος αὐτῷ τὸ μικρὸν πνεῦμα, καὶ ὡς δόξειέ τινι, ἄνωθέν που μέχρι τῆς φάρυγγος εἰσιόν, οὐκ εἰς τὸ βάθος τοῦ θώρακος κατερχόμενον. ὅτι δὲ τοιοῦτον ἀνάγκη ὑπάρχειν τὸ πνεῦμα, τοῖς ὁπωσοῦν ὀδυνωμένοις τῶν ἀναπνευστικῶν ὀργάνων, ἔμπροσθεν εἴρηται. τίς οὖν ἡ αἰτία δι' ἣν τοῖς κυναγχικοῖς οὐ πάνυ τὸ πνεῦμα μετέωρον; ἢ διότι μηδὲ τὸ τῆς κυνάγχης εἶδος αὐτοῖς εἰθισμένως ἐγένετο; πρῶτον C μὲν γὰρ ἐρεῖ· φάρυγξ οὐ φλεγμαίνουσα, κειμένη δέ· εἶθ' οὕτω φησίν· οὐ πνιγόμενοι οἱ πλεῖστοι, εἰ μὴ καταπίνειν προθυμοῖντο· καὶ ὅλως ἡ διήγησις ἅπασα τῆς τότε γενομένης κυνάγχης, ἀπαθῆ μὲν ἐδείκνυτο μεῖναι τὴν φάρυγγα, τὰ δὲ πλησιάζοντα ταύτῃ μέρη, τὰ συνεχῆ τοῖς σπονδύλοις τοῦ τραχήλου, παθεῖν. καὶ γὰρ οὖν καὶ μεταστῆναί φησι καὶ αὐτοὺς τοὺς σπονδύλους, τοὺς μὲν εἴσω μόνον, τοὺς δὲ καὶ εἰς τὰ πλάγια. μήτ' οὖν ἄλλου τινὸς τῶν ἀναπνευστικῶν ὀργάνων πεπονθότος, ἀλλὰ μηδὲ τῆς φάρυγγος αὐτῆς κατὰ τὸν ἴδιον λόγον, ὅτι μὴ τῇ κοινωνίᾳ τῆς θέσεως συναπολαυούσης τῶν παθημάτων, D δεόντως οὐ πάνυ μετέωρον ἦν αὐτοῖς τὸ πνεῦμα· μηδ' ὅλως μὲν γὰρ ἐνοχλουμένης τῆς φάρυγγος, οὐδ' ἂν μετέωρον ἦν μηδαμῶς· ἐπεὶ δ' ἐκ τοῦ συμπάσχειν τοῖς παρακειμένοις ἠνωχλεῖτο, τὴν μέσην τῶν εἰρημένων κατάστασιν ἐκτήσατο, μετρίως πυκνωθέν. ἐφεξῆς δὲ τῆσδε τῆς καταστάσεως, ἑτέρας μνημονεύει γενομένης ἐν Περίνθῳ, τόνδε τὸν τρόπον ἀρχόμενος τῆς διηγήσεως· ἐς Πέρινθον, περὶ ἡλίου τροπὰς ὀλίγον τὰς θερινάς, ἤλθομεν· ἔπειτα διηγεῖται τὴν ὅλην τῶν νοσημάτων ἰδέαν, ἀπὸ καύσου μὲν ἀρξαμένην, ἐμετώδη δὲ γενομένην, καὶ μέχρι πλείστου χρονίσασαν. ἀλλὰ καὶ ὡς χωρὶς ἐμέτων οἱ καῦσοι τούτοις ἐγίγνοντο, καὶ ὡς ἡ γαστὴρ αὐτοῖς διεχώρει πολλά, καὶ τοῦτο προσέθηκεν· ὡς ἔκ τε τούτων καὶ τῶν ἄλλων ἁπάντων, εὔδηλον εἶναι, τῆς καταστάσεως τὴν ὑπόθεσιν ἐν φλέγμασι διασηπομένοις γεγενημένην, ἀπαθῶν μὲν τῶν ἀναπνευστικῶν μεινάντων, καὶ τοῦ στόματος τῆς κοιλίας, ἐκ δὲ τῶν κατωτέρω μερῶν αὖθις ὁρμωμένου τοῦ καύσου. εἰκότως οὖν αὐτοῖς, οὔθ' ὥσπερ οἷς ἐν πνεύμονί τε καὶ καρδίᾳ πλῆθος ἠθροίσθη θερμασίας πυρώδους, ἐγένετο μέγα τὸ πνεῦμα· μικρὸν δὲ οὐκ ἦν παντάπασιν, ὡς μήτ' ὀδυνωμένοις, μήτε κατεψυγμένοις. F εἴπερ οὖν τὸ μετέωρον οὐδὲν τοῦ μικροῦ διαφέρον δηλοῖ, κατὰ λόγον αὐτοῖς φησι τὰ πνεύματα μετέωρα γίνεσθαι, οὐ μὴν πάνυ γε. μετὰ δὲ ταύτην τὴν κατάστασιν, οὐδεμιᾶς ἐν τοῖς ἐφεξῆς δυσπνοίας ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἄχρι τῆς ῥήσεως ἐκείνης ἣν πρώτην προὐθέμην ἁπάντων, ἐν ἀρχῇ τοῦδε τοῦ γράμματος, ἣ ἄρχεται τόνδε τὸν τρόπον· πνεύματα, πυκνὰ σμικρά, μεγάλα ἀραιά. ταύτην δὲ σύμπασαν ἐξηγησάμενος φθάνω. τῶν οὖν ἐφεξῆς αὐτῷ γεγραμμένων δυσ-

πνοίας, ἐπὶ ἀρρώστου τινός, οὗ τὸ ὄνομα Σκόπος, εἴη ἂν ἤδη μεμνημονευμένη καὶ ἑξῆς· ἔχει δ' ἡ τοῦ παλαιοῦ λέξις ὧδε· πνεῦμα δὲ ὑπόπυκνον, ὑποχόνδρια ἤλγει, καὶ ἀναπνέων, καὶ στρεφόμενος. φαίνεται δὴ καὶ οὗτος ὁ ἄρρωστος μαρτυρῶν τοῖς πολλάκις ὑφ' ἡμῶν προειρημένοις· ἐπεὶ γὰρ τὰ ὑποχόνδρια τοῖς ἀναπνευστικοῖς ὀργάνοις συνῆπται, διὰ τοῦτο ὀδυνωμένων αὐτῶν, ὑπόπυκνον ἦν τὸ πνεῦμα. ταυτὶ μὲν οὖν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν εἴδη δυσπνοίας ἔγραψεν. ἐν δὲ τῷ τετάρτῳ, πρῶτον μὲν μέμνηται τῆς Νικοστράτου γυναικὸς, τῆς ἐν Κρανῶνι, μικρὸν καὶ πυκνὸν ἐχούσης τὸ πνεῦμα· δεύτερον δὲ, τῆς Ἀντιγένους, ἀσθματώδους οὐχ ὑπόγυιον τότε γενομένης, ἀλλ' ἐξ ἀρχῆς οὔσης, ὥστε καὶ βήττειν ἀεί· περὶ μὲν δὴ ταύτης, οὐδ' ἓν ἂν εἴη ζήτημα· περὶ δὲ τῆς ἐν Κρανῶνι, τῆς Νικοστράτου γυναικὸς, διὰ τοῦτό μοι δοκεῖ προσθεῖναι τὸ μικρὸν καὶ πυκνὸν πνεῦμα, διότι παρεφρόνησεν. εἴρηται γὰρ ἤδη πολλάκις, ὡς τοὐναντίον τὸ ἀραιὸν καὶ μέγα πνεῦμα παραφροσύνης ἐστὶν ἴδιον· ὥστε ἄξιον ζητῆσαι, διὰ τί τουτὶ μὲν οὐκ ἐγένετο, τὸ δ' ἐναντίον αὐτῷ τὸ τῶν ἀλγημάτων ἴδιον, τὸ μικρὸν καὶ πυκνόν. οὐδὲ γὰρ προσέθηκεν ἐν τῇ διηγήσει τῆς ἀρρωστίας, γενέσθαι τινὰ ὀδύνην οὐδενὸς τῶν μορίων, ἀλλ' οὐδ' ὄγκον ἐπίσημον, οὔτε καθ' ὑποχόνδριον, οὔτε κατὰ θώρακα. τί δὴ οὖν ἐστι τὸ γινόμενον; ἐμοὶ μὲν δοκεῖ διττή τις ἰδέα νοσήματος συστῆναι περὶ τὸ γύναιον ἀπὸ διττῆς ἀρχῆς· ἐν μὲν γὰρ τῷ παραφρονῆσαι, καὶ τὸν τράχηλον, καὶ τὸ στόμα, καὶ τὴν ῥῖνα παρασπασθῆναι, δῆλον ὡς ἐν τῇ κεφαλῇ τις ὑπόθεσις αὐτῇ νοσήματος ὑπῆρχεν· ἐκ δὲ τοῦ τόν σιτόν τε ἐγκατακλεισθῆναι μέχρι δεκάτης ἡμέρας, καὶ τοῖς οὔροις ὀροβοειδῆ γενέσθαι τὴν ὑπόστασιν, οὐ μικρὰν ἐν ἥπατι νομίζω γενέσθαι φλεγμονὴν, ἐφ' ἧς τὴν ἄνωθεν διάθεσιν νικηθεῖσαν οὐ δυνηθῆναι καθ' ἑαυτὴν τυπῶσαι τὴν ἀναπνοήν. εἴρηται γὰρ οὖν καὶ πρόσθεν ἤδη πολλάκις, ὡς κατὰ τὴν ἐπικρατοῦσαν διάθεσιν, ἡ τῆς δυσπνοίας ἰδέα σχηματίζεται. δηλοῖ δ' οὐχ ἥκιστα, τῆς παραφροσύνης τὸ βραχὺ, καὶ ἡ λέξις αὐτὴ τοῦ παλαιοῦ. παραλέγειν γοῦν αὐτὴν εἶπεν· εἴωθεν δὲ τῷ τοιούτῳ ῥήματι χρῆσθαι, μικρὰν ἐνδείξασθαι βλάβην βουλόμενος, ὡς καὶ τοῦτ' ἀποδέδεικται πολλάκις. οὐδὲν οὖν θαυμαστὸν, ἐπὶ βραχὺ μὲν αὐτῆς παραφρονούσης, ἰσχυρῶς δὲ φλεγμαινούσης κατὰ τὸ ἧπαρ, οὐ τὴν τῆς παραφροσύνης, ἀλλὰ τὴν τῆς φλεγμονῆς οἰκείαν ἀπαντῆσαι δύσπνοιαν. οὕτω μὲν δὴ καὶ περὶ τούτων ἔχει.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ.

Τί παρ' Ἱπποκράτει τὸ, πνευματώδης; καὶ περὶ τῶν λοιπῶν δυσπνοιῶν ἐκ τοῦ τετάρτου καὶ τοῦ πέμπτου τῶν ἐπιδημιῶν.

Τί δ' ὅταν εἴπῃ, πνευματώδη τινὰ γενέσθαι, χρὴ δέχεσθαι; πότερον ὃν ἐν τῷ περὶ διαίτης ὀξέων πνευματίαν ἐκάλεσεν; ἢ τὸν πεπνευματωμένον τὴν γαστέρα; τί δέ ἐστιν ὁ πνευματίας, ἐν τῷ περὶ διαίτης ὀξέων αὐτὸς ἐξηγήσατο σαφέστατα. προειπὼν γὰρ, ὡς ταχέως πνευματίαι γίνονται, συνάπτων εὐθὺς ἐπιφέρει· ὑπὸ δὲ πολλοῦ καὶ πυκνοῦ πνεύματος. τοῦτο μὲν δὴ καὶ κατ' ἀρχὰς εὐθὺς ἐξηγησάμην ἐν τῷδε τῷ βιβλίῳ· τὸ δ' ἐν τῷ τετάρτῳ τῶν ἐπιδημιῶν ἐπισκεπτέον, αὐτὴν ὑπογράψαντας τὴν ῥῆσιν ἔχουσαν ὧδε· ὁ ἐκ τῶν μετάλλων· ὑποχόνδριον δεξιὸν ἐντεταμένον, σπλὴν μέ-

ægroto quodam cuius nomen Scopus, ab ipso deinceps conscriptæ. Habet autem ita senis dictio; *Spiritus subdensus, hypochondria dolebat, & respirans, & cum vertebatur.* Apparet autem & hic æger testimonium præbere iis, quæ multoties à nobis sunt dicta. Quum enim hypochondria cum spirabilibus organis coniuncta sint, ob id ipsum sanè dolentibus ipsis subdensus spiritus erat. Atque hæc quidem difficilis respirationis genera in secundo epidemiorum scripsit. In quarto verò primum meminit vxoris Nicostrati in Cranone, quæ paruum & densum spiritum habuit; deinde vxoris Antigenis, anhelæ non nuper factæ, sed à principio existentis, vt & tussiret semper; & de hac sanè nulla quæstio fuerit. Verùm de vxore Nicostrati in Cranone, ob id mihi videtur paruum & densum spiritum apposuisse, quòd delirauerit. Dictum enim iam sæpe est, quòd contrarius, hoc est, rarus & magnus spiritus, delirii proprius existat. Quare quæstione omnino dignum est, cur hic quidem non fieret, verùm ipsi cõtrarius, qui dolorum proprius est, paruus videlicet & densus. Neque enim in narratione morbi, vllius partis dolorem vllum factum esse addidit, sed neque tumorem notabilem circa hypochondrium aut thoracẽ. Quid igitur est factum? Mihi equidem videtur duplex morbi species huic mulierculæ à duplici principio constitisse. In eo enim, quòd desipuit, & collum, & os, & nasum conuulsa habuit; manifestum fit, quòd in capite causa aliqua ipsius morbi extiterit; ex eo verò, quòd cibus intus conclusus vsque ad decimum diem fuerit, & in vrinis orobea sedimenta, non paruam in hepate factam esse inflãmationem existimo, per quam superna affectio victa, non potuerit secundum seipsam respirationis speciem effingere. Dictũ enim est & iam antea sæpe, ex vincente affectione ipsam spirandi difficultatis speciem formari. Indicat autem non minime ipsius delirii paruitatem & ipsa senis dictio, aliena enim loqui ipsam dixit. Solet autem huiusmodi verbo vti, vbi paruam læsionem vult indicare; quemadmodum & hoc sæpe demonstratum est. Nil igitur mirum, parum quidem illâ desipiente, forti verò inflammatione hepar occupante, non desipientiæ, sed inflammationi propriam respirandi difficultatem euenisse. Atque ita sanè de his habet.

CAPVT XII.

Quid apud Hippocratem vox pneumatodes; ac de reliquis spirandi difficultatibus ex quarto, & quinto libro epidemiorum.

QVid verò quum *pneumatodem* aliquem factum esse dicit, intelligere oportet? Num eum quem in libro de victu acutorum pneumatiam vocauit? An eum qui ventrem inflatus est? At verò quis sit pneumatias, in libro de victu acutorum ipse manifestissimè exposuit; quum prædixisset enim, *citò pneumatiæ fiunt*; statim subiungens, infert; *A denso verò ac multo spiritu.* Atque hoc sanè etiam statim in principio huius libri exposui. Cæterùm quod in quarto epidemiorum habetur, considerandum est, ipsâ dictione subscriptâ, quæ hoc modo habet; *metallicus; hypochondrium dextrum intentum, splen ma-*

gnus

gnus; aluus intenta subdura, pneumatodes, decolor. Possibile est enim vtrunque, & difficulter spirantem ipsum factum esse ob hypochondriorum affectiones, & ventrem item inflatum fuisse. Multò verò obscurior est, qui deinceps sequitur ægrotus, sic habens; *Timænei filius habuit quid spiritus, vt viridantis palloris esset.* Nam & huic quædam valdè mala hepatis affectio aderat, ob quam & difficulter spirare ipsum possibile erat, & ventrem item inflari. Color enim viridantis palloris, malè affecti hepatis signũ est. At quod deinceps ab eo dicitur hoc modo; *Maritus puerperæ apud Sitodocum, ictericus, ad quem septimo die ingressus sum, octauo moriebatur, neque mingens, neque deiiciens; hypochondria magna, & dura, & spiritus densus;* nihil quæstione dignum habet. Duris enim non moderatè, & magnis hypochondriis factis, cum ratione densus ipsi spiritus erat. Verùm penitus obscurum est, quod deinceps in ipsius puerperæ morbo dictum est, hoc modo; *Desinente autem febre, spiritus non est solutus.* Quam enim difficilis respirationis speciem habuerit, neque ipse manifestè indicauit, neque aliud quodquam eiusmodi symptoma scripsit, ex quo quis coniiciat de affectione ipsi facta. Atqui & post hanc paululum progressus, in hunc modum narrare incipit; *Timænei soror pneumatodes.* Potest enim difficulter spirans intelligi, potest etiam quemadmodum interpretum plurimi arbitrantur, inflatis hypochondriis dici. Verùm mihi videtur melius esse, & fortassis necessariũ, inflatam ad hypochondria dici potiùs, quàm difficulter spirantem; paululum itaque in narratione progressus, *& quodammodo faciliùs spirans*, inquit, tanquam, qui iam prædixisset de ipsa, quòd difficulter spirasset. Quòd verò pneumatodes appellare soleat eos, quibus densus est spiritus, dictum quidem in superioribus est, sed & nunc manifestum. Rursus enim in deterius mutata sunt huius mulieris symptomata, & circa decimum sextũ diem ipsam mortuã esse ait, *densũ spiritum* habentem. Quin & quòd post hanc conscriptus æger, etiam ipse densum spiritum habuerit ob hypochondriorum affectionem, ipsa dictio manifestum facit, hoc modo habens; *Puer qui mulieris erat Apæmanti sororis; ilia magna, & splen, spiritus, deiectio amaræ bilis.* Quemadmodum enim pneumatodes aliquando vocat, densum spiritum habentes; sic quandoque etiam simpliciter, *spiritus*, scribit. Nihil verò mirum est, si magnis existentibus hypochondriis, spiritus densus fiebat. Nam etiam rursus progressus, de ipso denuò inquit; *Hypochondria verò intenta erant, & sanè erat etiam tussicula modicè sicca.* In vniuersum enim vt diximus, quum aut tumor, aut dolor quispiam in partibus hypochondriorum constiterit, paruus & densus necessariò fit spiritus. Quare neque hoc mirum, quòd etiam in his, quæ post hæc sequuntur, cum antea dixisset, *hypochondrium submolle;* apponat, *pneumatodes autem non valdè.* Si enim molle, vacuum; submolle autem subuacuum, significat; tantum sanè difficulter spirabunt, quantum partes hypochondriorum ipsis malè habuerint. Moderatè itaque ipsis affectis, moderatè difficulter spirabunt. Quemadmodum rursus inferiùs eodem libro, vbi in hunc modum scribit; *Seruulæ, quam recens emptam vidi, duricies in dextris erat magna, haud vehementi*

A γας, κοιλίη ἐντεταμένη, ὑπόσκληρος, πνευματώδης, ἄχροος. ἐγχωρεῖ γὰρ ἑκάτερον, καὶ δύσπνουν αὐτὸν γεγονέναι διά (τε) τὰς ἐν τοῖς ὑποχονδρίοις διαθέσεις, καὶ πνευματωθῆναι τὴν γαστέρα. πολὺ δ᾽ ἔτι μᾶλλον ἀσαφὴς ὁ ἐφεξῆς ἄρρωστος, ἔχων ὧδε· ὁ Τιμαίνεω εἶχέ τι πνεύματος, ὡς ὠχρῶδες εἶναι. καὶ γὰρ καὶ τούτῳ πάνυ τις ἦν ἥπατος κακοπραγία, δι᾽ ἣν ἐνεχώρει δυσπνοεῖν αὐτὸν, καὶ πνευματοῦσθαι τὴν γαστέρα. τὸ γὰρ ὠχρῶδες χρῶμα κακοπραγοῦντος ἥπατος γνώρισμα. τὸ δ᾽ ἐφεξῆς λεγόμενον ὧδε· ὁ τῆς λεχοῦς ἀνὴρ, ὁ παρὰ Σιτοδόκῳ, ἰκτεριώδης, παρ᾽ ὃν ἑβδομαῖον εἰσῆλθον, ὀγδόη ἀπώλετο, οὔτε οὐρέων, οὔτε διαχωρέων· ὑποχόνδρια μεγάλα καὶ σκληρά, καὶ πνεῦμα πυκνόν. οὐδὲ ζήτημα ἔχει. σκληρῶν γὰρ οὐ μετρίως, καὶ μεγάλων τῶν ὑποχονδρίων γενομένων, εὐλόγως πυκνὸν εἶναι αὐτῷ τὸ πνεῦμα. ἀσαφὲς δὲ τελέως ἐστὶ τὸ τούτου συνεχὲς ἐπὶ τῆς λεχοῦς εἰρημένον ὧδε· διαφέρουσης δὲ τοῦ πυρετοῦ, πνεῦμα οὐκ ἐλύθη. τί γὰρ εἶδος εἶχε δυσπνοίας, οὔτ᾽ αὐτὸς ἐδήλωσε σαφῶς, οὔτε τι σύμπτωμα ἄλλο τοιοῦτον ἔγραψεν, ἐξ οὗ τεκμήραιτ᾽ ἄν τις τὴν γινομένην αὐτῇ διάθεσιν. καὶ μέντοι καὶ μετὰ ταύτην οὐκ ὀλίγον προελθὼν ἄρχεται διηγεῖσθαι τόνδε τὸν τρόπον· ἡ Τιμαίνεω, πνευματώδης. δύναται μὲν γὰρ δύσπνους ἀκούεσθαι, δύναται δὲ, καὶ ὥσπερ οἱ πλεῖστοι τῶν ἐξηγησαμένων οἴονται λέγεσθαι, ἐμπεπνευματωμένη τὰ ὑποχόνδρια. βέλτιον δὲ δοκεῖ μοι, καὶ ἴσως ἀναγκαῖον, τὴν πεπνευματωμένην τὰ ὑποχόνδρια λέγεσθαι μᾶλλον αὐτὴν, ἢ δύσπνουν. ὀλίγον οὖν ἐν τῇ διηγήσει προελθὼν, καί τινι εὐπνοωτέρῃ, φησὶν, ὡς ἂν ἤδη προειρηκὼς ὑπὲρ αὐτῆς δύσπνουν εἶναι. ὅτι δὲ πνευματώδεις, οἷς πυκνόν ἐστι τὸ πνεῦμα, προσαγορεύειν εἴωθεν, εἴρηται μὲν κἂν τοῖς ἔμπροσθεν, ἀλλὰ καὶ νῦν δῆλον. ἐπὶ τὸ χεῖρον γὰρ αὖθις ἐτετράπετο τὰ τῆσδε τῆς ἀνθρώπου συμπτώματα, καὶ κατὰ τὴν ἑξκαιδεκάτην ἡμέραν ἀποθανεῖν αὐτήν φησι, πυκνὸν ἔχουσαν τὸ πνεῦμα. καὶ ὁ μετὰ ταύτην δὲ γεγραμμένος ἄρρωστος, ὅτι καὶ αὐτὸς ἀνέπνευσε πυκνὸν ἐπὶ τῇ τῶν ὑποχονδρίων διαθέσει, δῆλον ἡ ῥῆσις αὐτὴ ποιήσει, τόνδε τὸν τρόπον ἔχουσα· ὁ παῖς, ὃς ἦν τῆς γυναικὸς τῆς τοῦ Ἀποιμάντου ἀδελφῆς, ὑποχόνδρια μεγάλα, καὶ σπλὴν, πνεῦμα, διαχώρησις πικρόχολος. ὥσπερ γὰρ πνευματώδεις ἐνίοτε καλεῖ τοὺς πυκνὸν ἀναπνέοντας, οὕτω ποτὲ καὶ ἁπλῶς γράφει, πνεῦμα. θαυμαστὸν δ᾽ οὐδὲν εἰ μεγάλων ὄντων ὑποχονδρίων, ἐγίγνετο πυκνὸν τὸ πνεῦμα. καὶ γὰρ αὖ καὶ προελθὼν, ἐπ᾽ αὐτοῦ πάλιν ἐρεῖ· τὰ ὑποχόνδρια δὲ ἐντεταμένα ἦν, καὶ δὴ καὶ ἦν τι βηχίον ξηρὸν ἡσυχῆ. καθόλου γὰρ, ὡς ἔφαμεν, ἐπειδὰν ἢ ὄγκος, ἢ ὀδύνη τις ἐν τοῖς καθ᾽ ὑποχόνδρια συστῇ, μικρὸν καὶ πυκνὸν ἐξ ἀνάγκης ἀναπνέουσιν. ὥστ᾽ οὐδὲν θαυμαστὸν, οὐδ᾽ ἐπειδὰν ἐν τοῖς μετὰ ταῦτα, προειπὼν, ὑποχόνδριον ὑπολάπαρον, προσθῇ, πνευματῶδες δὲ οὐ κάρτα. εἰ γὰρ δὴ τὸ μὲν λαπαρὸν κενὸν, τὸ δὲ ὑπολάπαρον, ὑπόκενον, ἐπὶ τοσοῦτον δυσπνοήσουσιν, ἐφ᾽ ὅσον αὐτοῖς ἔχει κακῶς τὰ καθ᾽ ὑποχόνδριον. μετρίως οὖν αὐτῶν πεπονθότων, μετρίως δυσπνοήσουσιν. ὥσπερ πάλιν ἐν τοῖς κατωτέρω τοῦ βιβλίου, ὧδέ πως γράφει· τῇ οἰκέτιδι, ἣν νεώνητον ἐοῦσαν κατεῖδον, ἦν τὸ σκλήρυσμα ἐν τοῖσι δεξιοῖσιν ἐὸν μέγα,

οὐ κάρτα ὀδυνῶδες· εὐλόγως ἐπήγαγε, καὶ οὐ πάνυ δύσπνοος. εἴπερ γὰρ τὸ σκλήρυσμα μὴ κάρτα ὀδυνῶδες ἦν, οὐδὲ πάνυ δύσπνουν εἶναι τὸν ἄνθρωπον εἰκὸς ἦν. οὕτω δὲ καὶ κατὰ τὴν τελευτὴν ἤδη τοῦ βιβλίου περὶ τοῦ πρεσβυτέρου διηγούμενος, εἶτα προειπὼν, παρελέχθη κοσμίως, ἐπήνεγκεν, οὐ πάνυ δύσπνοος. ἀεὶ γὰρ κατὰ τὸ μέγεθος τῆς ἐργαζομένης τὴν δύσπνοιαν αἰτίας, καὶ τὸ τῆς δυσπνοίας γίγνεται μέγεθος. ἀλλὰ καὶ ταῦτα μὲν ἐν τῷ τετάρτῳ τῶν ἐπιδημιῶν γέγραπται, ὁμολογοῦντα τοῖς περὶ δυσπνοίας ὑφ' ἡμῶν ἀποδεδειγμένοις. ἐν δὲ αὖ τῷ ε΄ τῶν ἐπιδημιῶν ὁ μὲν ἄρρωστος γέγραπται τόνδε τὸν τρόπον· ἐν Λαρίσῃ Ἱπποσθένης, περιπνευμονικὸς ἐδόκει τοῖς ἰητροῖσι συνέχεσθαι· ἦν δὲ οὐδαμῶς· ἀρχὴν δὲ παλαίων, ἔπεσεν ἐν σκληρῷ χωρίῳ ὕπτιος, καὶ ἐπέπεσεν αὐτῷ· καὶ ἐλούσατο ψυχρῷ, καὶ ἐδείπνησε, καὶ ἔδοξε βαρύτερος γίγνεσθαι· τῇ δ' ὑστεραίῃ ἐπύρεξε, καὶ βὴξ εἶχε ξηροτέρη, καὶ τὸ πνεῦμα πυκνόν. εἶτα μικρὸν προελθὼν, ὁπότε δὲ βήσσοι, φησὶν, ὠδυνᾶτο τὰ στήθεα καὶ τὰ νῶτα. οὐδὲν οὖν θαυμαστὸν, οὕτω διακειμένων τῶν κατὰ θώρακα, πυκνὸν γίγνεσθαι τὸ πνεῦμα. ὃ δ' ἐπὶ τῇ τελευτῇ τοῦ λόγου προσκείμενον, οὐδὲ ῥέγχος εἶχεν, εἰς ἀπόδειξιν μὲν εἴρηται τοῦ μὴ γίγνεσθαι περιπνευμονικὸν τὸν ἄνθρωπον, ὁμολογεῖ δὲ καὶ αὐτὸ τοῖς κατ' ἀρχὴν εὐθὺς ἐν τῷδε τῷ λόγῳ πρὸς ἡμῶν εἰρημένοις, ὁπότ' ἐν τῷ περὶ διαίτης ὀξέων ἐξηγούμεθα τὴν λέξιν ταύτην· οἱ δ' ἀπὸ τῆς ὀρθοπνοίας τε καὶ τοῦ ῥέγχεος ἀποπνιγῶντες. ἔνατός τε καὶ τριακοστὸς ἄρρωστος ἐν τῷ πέμπτῳ τῶν ἐπιδημιῶν γέγραπται, πυκνὸν ἔχων καὶ αὐτὸς τὸ πνεῦμα. παραγράψω δὲ κἀνταῦθα τὴν ῥῆσιν αὐτὴν, ὧδέ πως ἔχουσαν· παιδίον ὑπὸ ὀρέος ἐπλήγη τὴν γαστέρα καὶ τὸ ἧπαρ, ἀπέθανε τεταρταῖον· τὸ πνεῦμα πυκνὸν εἶχε, καὶ οὐ κατενόει, καὶ πυρετὸς εἶχεν. οὐκ ἄδηλον ἐπὶ τούτου, τὸ περιτόναιον καὶ τὸ διάφραγμα συμφλεγμῆναι γαστρὶ καὶ ἥπατι, καὶ διὰ τοῦτο καὶ παραφρονῆσαι τὸ παιδίον. ἀλλ' οὐ κατὰ τὴν παραφροσύνην ἐδυσπνόησεν, ἡ γὰρ μείζων διάθεσις ἡ καθ' ὑποχόνδριον, καθ' ἑαυτὴν ἐτύπωσε τὴν ἰδέαν τῆς ἀναπνοῆς, ἡ δ' ἥττων ἡττήθη. ἐν δὲ τῷ ε΄ ταῦτα.

cum dolore; bene subiungit, *neque valdè difficulter spirans.* Si nanque duricies sine magno dolore fuit, certè neque valdè difficulter spirare ipsam par erat. Sic verò etiam in fine iam libri, de seniore narrans, atque præfatus; *desipuit moderatè*; subiunxit, *non valdè difficulter spirabat.* Semper enim pro magnitudine causæ difficilem respirationem facientis, etiam ipsa difficilis respirationis magnitudo fit. Verùm hæc quidem in quarto epidemiorum scripta sunt, quæ omnia iis quæ à nobis de difficili respiratione demonstrata sunt, abundè consentiunt. At in quinto epidemiorũ, decimusquartus ægrotus hoc modo scriptus est; *In Larissa Hipposthenes peripneumonia correptus esse medicis videbatur; erat autem nequaquam; verùm principio luctans, in duro loco cecidit supinus*, aduersario *ipsi illapso, & lauatus est frigida, & cœnauit, & grauior factus esse sibi videbatur. Sequenti autem febricitauit, & tussis prehendit siccior, & spiritus densus.* Deinde paululum progressus; *Quoties verò tussiebat*, inquit, *dolebat pectus, & dorsum.* Nihil itaque mirum est, sic affectis partibus thoracis, densum spiritum factum esse. Quod autem in fine sermonis habetur; *Neque stertorem habuit*; dictum est, vt demonstraretur non fuisse peripneumonicus hic homo. Consentit autem & ipsum iis, quæ statim à principio hoc in libro à nobis dicta sunt, quando hanc dictionem ex libro de victu acutorum exposuimus; *alii verò orthopnœa & stertore suffocati.* Nonus deinceps & tricesimus ægrotus in quinto epidemiorum scriptus est, itidem & ipse densum spiritum habens; ascribam autem & hîc ipsam dictionem hoc modo habentem; *Puer à mulo percussus ventrem & hepar, mortuus est quarto die; spiritum densum habuit, & non intelligebat, & febris corripuit.* Non obscurum est in hoc & peritonæum, & septum transuersum, vnà cum ventre & hepate inflammata fuisse, & ob id etiam puerum delirasse. Verùm ex delirio non habebat difficilis spirationis speciem; maior enim affectio in hypochondrio per se respirationis speciem formauit; minor verò penitus est victa. Hæc verò in quinto libro.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Ὅτι τὰ περιεχόμενα λοιπὰ κατὰ τὸ ἕκτον τῶν ἐπιδημιῶν περὶ δυσπνοίας, τοῖς προειρημένοις ὁμολογεῖ.

Πάλιν δὲ μεταβάντες ἐπὶ τὸ ἕκτον, οὗ καὶ πρόσθεν ἤδη τὴν κοινὴν πρὸς τὸ δεύτερον ἐξηγησάμεθα ῥῆσιν, ἐπὶ τὰς ὑπολοίπους ἔλθωμεν. εἰσὶ δὲ, ὀλίγου δεῖν ἅπασαι σαφεῖς ἤδη διὰ τὰ προειρημένα. τὸ γὰρ, πνεῦμα, μόνον ἁπλῶς οὕτω γράφων ἐν ταῖς τῶν νοσημάτων ἐδείχθη συνδρομαῖς ἀντὶ τῆς δυσπνοίας, ἀφ' ἧς πυκνὸν γίγνεται τὸ πνεῦμα· τὸ δ' αὐτὸ τοῦτ' ἐπὶ πλέον πυκνούμενον, ἔθος αὐτῷ ἆσθμα καλεῖν. ὥστε κατὰ τὸ ἕκτον τῶν ἐπιδημιῶν ἐπειδὰν εἴπῃ, πνεῦμα ἐγκαταλείπηται, τὴν μετὰ πυκνότητος ἀκουσόμεθα δύσπνοιαν. ὡσαύτως δὲ κἀπὶ τῆς ἐν Κρανῶνι γυναικὸς, ἐφ' ἧς οὕτω γράφει· σπλὴν φύσει μέγας, πυρετὸς καυσώδης, ἐξέρυθρος, πνεῦμα. τὴν προειρημένην δύσπνοιαν ἀκουστέον, ἐφ' ἧς πυκνοῦται τὸ πνεῦμα, ὡς καὶ ἐπὶ τῆς Ἀγίσιος κόρης. ὅτι δὲ διαφέρει τὸ πυκνὸν πνεῦμα τοῦ ἄσθματος, ἐδήλωσε σαφῶς. ἔχει δὲ ἡ ῥῆσις ὧδε· ἡ

CAPVT XIII.

Quæ reliqua de difficultate respirationis sexto libro epidemiorum continentur, antè dictis astipulari.

AD sextum autem iterum transgressi, cuius etiam iam antea communem secundo libro dictionem exposuimus, reliquas recenseamus. Sunt autem ferè omnes ex iam prædictis manifestæ. Eum enim, *spiritum*, solum simpliciter ita scribere in morborum concursibus monstratum est, pro difficili respiratione, qua densus spiritus redditur; eundẽ verò amplius densatum, asthma solet appellare. Quare in sexto epidemiorum, quum inquit, *spiritus intus relinquatur*, respirandi difficultatem cum densitate intelligimus. Similiter autem & in muliere apud Cranonem, in qua sic scribit; *Splen natura magnus, febris ardens, rubicunda, spiritus*; prædicta difficilis spirationis species accipienda est, in qua spiritus densatur. Quemadmodum etiam in filia Agisis. Quòd verò differat densus spiritus ab asthmate, manifestè indicauit. habet autem ipsa dictio hoc modo; *Filia Agisis*

Agisis virgo existens, densi spiritus erat; mulier verò facta, à partu recenti ægra magnum onus non altè sustulit; & statim quidem strepuisse circa pectus videbatur; postridie verò asthma habuit, & dextrum coxendicem doluit. Deinceps vero; *Spuit spumosum*, inquit, *per initia autem erat florida.* Equidem ex toto symptomatum concursu manifestum fit, eam tuberculo in spirabilibus organis inueterato, & coctu difficili rupto, hæc expuisse; & quòd ob hæc tubercula densi spiritus fuerit. At in inferiori libri parte, circa constitutionem, quam hoc modo incepit; *Tusses cœperunt circa solstitium hybernum: Quibusdam verò, & spiritus simul sublimis fiebat*, inquit (sublimem spiritum paruum esse & densum, in superioribus explicauimus) anginas nempe sub illam constitutionem factas esse ait. Malè itaque sentiunt, qui sublimem pro magno dictum esse putant, quòd thoracem sublimem, plurimum diducendo attollat. Progressus autem paululum, *pneumatias* nominat quosdam; & dictū etiam de hoc est antea, quòd aut flatulentos aut asthmaticos sic vocat. At verò qui deinceps legitur *Spiritus obscurus*, paruus est & propterea non apparens, qualis & apnœas & suffocationes vteri comitatur; atque huiusmodi quiddam vult etiam ex ipsa dictione indicare, quæ sic habet; *Et spiritus tabidis obscuri, mali, & non parientibus*; & quæcunque alia talia ab eadem constitutione. Mulieres etenim non parientes (sunt autem hæ omnino, quæ non probè purgantur) apnœis maximè prehenduntur, quemadmodum sanè etiam, quæ diutius sunt viduæ. Quare spiritus, qui non manifesti sunt, neque nobis patentes, eos obscuros appellauit. Ex his igitur progressus quispiam inueniet & citra meam opem, omnia alia de difficili spiratioue dicta, tum in genuinis, tum in spuriis Hippocratis libris; quamquam nos fermè omnes genuinos in hoc sermone recensuimus. At verò quandoquidem & hi, qui ad Thessalum filium ipsius referuntur, & qui ad Polybum generum, itidem artis Hippocraticæ sunt; & non procul ab his absunt ea, quæ Euryphontis esse videntur, feruntur autem inter Hippocratica scripta; si mihi ocium contigerit aliquando maius, alium adhuc quartum adiiciam librum, in quo exponam ea, quæ in reliquis Hippocratii inscriptis libris continentur de respirationis difficultate. Nunc verò aliis rebus vrgentibus, ad illa non transibo.

Ἀγίσιος κόρη μὲν ἐοῦσα πυκνοπνεύματος ἦν· γυνὴ δὲ γενομένη, ἐκ τόκου οὐ πάλαι ἐπίπονος ἐοῦσα, ἐπιπολαίως ἤρετο ἄχθος μέγα, καὶ αὐτίκα ψοφῆσαι μὲν ἐδόκει κατὰ τὸ στῆθος· τῇ δ' ὑστεραίῃ ἆσθμά τε εἶχε, καὶ ἤλγει ἰσχίον τὸ δεξιόν. εἶτ' ἐφεξῆς ἔπτυσεν ἀφρώδεα, φησίν, ἀρχομένη δ' ἦν ἀνθηρά. καὶ δῆλός ἐστιν ἐξ ὅλης τῆς συνδρομῆς, ὡς φύματος ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις παλαιοῦ καὶ δυσπέπτου ῥαγέντος, ἔπτυσε ταῦτα, καὶ ὡς διὰ ταῦτα τὰ φύματα πυκνοπνεύματος ἦν. ἐν δ' αὖ τοῖς κατωτέρω τοῦ βιβλίου, κατὰ μὲν τὴν κατάστασιν, ἧς ὑπήρξατο τόνδε τὸν τρόπον· βῆχες ἤρξαντο περὶ ἡλίου τροπὰς τὰς χειμερινάς· οἷσι δὲ τὸ πνεῦμα ξυνεμετεωρίζετο, φησί, (καὶ ὅτι μετέωρόν ἐστι πνεῦμα τὸ σμικρὸν καὶ πυκνόν, διήλθομεν ἐν τοῖς ἔμπροσθεν) ἀμέλει καὶ συνάγχας γενέσθαι κατ' ἐκείνην τὴν κατάστασιν ἔφη. μοχθηρῶς γοῦν, οἱ τὸ μετέωρον ἀντὶ τοῦ μεγάλου νομίζοντες εἰρῆσθαι, διότι μετεωρίζει τὸν θώρακα, διαίρων ἐπὶ πλεῖστον. ὀλίγον δὲ προελθών, πνευματίας ὀνομάζει τινάς· καὶ εἴρηται καὶ περὶ τοῦδε πρόσθεν, ὡς ἤτοι τοὺς ἐμπεπνευματωμένους, ἢ τοὺς ἀσθματώδεις, οὕτω καλεῖ. τὸ δ' ἐν τοῖς ἐφεξῆς λεγόμενον, ἄσημον πνεῦμα, σμικρόν ἐστι, καὶ διὰ τοῦτ' ἀφανές, οἷον καὶ ταῖς καλουμέναις ἀπνοίαις, καὶ ταῖς ὑστερικαῖς πνιξὶ συνεδρεύει. τοιοῦτον δέ τι βούλεται δηλοῦν ἐξ αὐτῆς τῆς λέξεως ἐχούσης ὧδε· καὶ τὰ πνεύματα τοῖσι φθινώδεσι τὰ ἄσημα, κακά, καὶ τοῖσιν ἀτόκοισι. καὶ ὅσα ἄλλα τοιαῦτα ἀπὸ τῆς αὐτῆς καταστάσεως. αἱ γὰρ δὴ ἄτοκοι γυναῖκες, αὗται δὲ τοὐπίπαν εἰσὶν αἱ μὴ καθαιρόμεναι καλῶς, ἁλίσκονται μάλιστα ταῖς ἀπνοίαις, ὥσπερ ἀμέλει καὶ ὅσαι χηρεύουσιν ἐπὶ πλεῖστον. ὥσθ' ὅσα μὴ διάσημα σαφῶς πνεύματα, μηδ' ἐστὶν ἡμῖν κατάδηλα, ταῦτ' ἄσημα κέκληκεν. ἐκ τούτων ὁρμώμενος ἄν τις εὑρίσκοι καὶ χωρὶς ἐμοῦ τἄλλα πάντα, τὰ περὶ δυσπνοίας εἰρημένα, κατά τε τὰ γνήσια καὶ τὰ νόθα τῶν βιβλίων, καίτοι σχεδὸν ἡμεῖς πάντα διήλθομεν ἐν τῷδε τῷ λόγῳ τὰ γνήσια. ἀλλ' ἐπεὶ καὶ τὰ Θεσσαλοῦ τοῦ υἱέος αὐτοῦ, καὶ τὰ Πολύβου τοῦ γαμβροῦ, τῆς Ἱπποκράτους ἐστὶ τέχνης, οὐ πόρρω δ' αὐτῶν, οὐδ' ὅσα δοκεῖ μὲν Εὐρυφῶντος εἶναι, φέρεται δ' ἐν τοῖς Ἱπποκράτους, ἐάν μοι σχολὴ γένηταί ποτε πλείων, ἄλλο τέταρτον προσθήσω βιβλίον, ἐξηγούμενον ἃ κατὰ τὰ λοιπὰ τῶν ἐπιγεγραμμένων Ἱπποκράτους, εἴρηται περὶ δυσπνοίας. νυνὶ δ' ἑτέρων κατεπειγόντων, οὐκ ἐπ' ἐκεῖνα μεταβήσομαι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΑΙΣ ΝΟΣΟΙΣ ΚΑΙΡΩΝ, ΒΙΒΛΙΟΝ.

GALENI DE MORBORVM TEMPORIBVS LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Πόσοι ὡς τὸ πλεῖστον οἱ τῶν ἐν μέρει νοσημάτων καιροί· καὶ πόσα σφάλλονται οἱ νεώτεροι ἐν τῷ διαγινώσκειν τοὺς ἐν νόσοις καιρούς.

ARGVMENTVM LIBRI.

Quot ad summum sint tempora particularis morbi, & quantùm hallucinentur recentiores in temporibus morbi dignoscendis.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς ἀναλογίας τῶν ἐν νόσοις καιρῶν πρὸς τὰς τῶν ζώων ἡλικίας· καὶ πότερον ἀρχή τίς ἐστιν ἐν ταῖς νόσοις.

Οἵαν τοῖς ζώοις ἐστὶν ἡ κατὰ τὰς ἡλικίας διαφορά, τοιαύτην τοῖς νοσήμασιν, οὓς ὀνομάζουσι καιρούς. οὔτε γὰρ ὁ χρόνος ἁπλῶς δηλοῦται διὰ τῆσδε τῆς προσηγορίας, οὔθ' ὁ προσήκων χρόνος, ὑπὲρ οὗ καὶ τὰ βοηθήματα σκοπούμεθα· μόνη δὲ ἡ τῶν νοσημάτων, ὡς εἴρηται, ἡλικία, χρόνων ἀμοιβαῖς ὑπαλλαττομένη, καθάπερ καὶ ὁ ζῶον ταῖς ἡλικίαις. ἔοικε δὲ καὶ τοῦτο τοῖς φθαρτοῖς σώμασιν ὑπάρχειν πᾶσι, τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον, ὡς εἴγε διαπαντὸς ἔμενεν αὐτῶν ἀμετάβλητος καὶ ἄτρεπτος ἡ φύσις, τὴν οὐσίαν τὴν ἑαυτῆς φυλάττουσα, οὐκ ἂν ἐφθείρετο. καθάπερ οὖν καὶ ἡμεῖς αὐτοὶ γεννηθέντες αὐξανόμεθα μέχρι τῆς ἀκμῆς, εἶτ' ἐντεῦθεν ἀρξάμενοι φθίνειν, ἕως ἐσχάτου τέλους ἀφικνούμεθα φθορᾶς, ὅσοι πάσας διεξέρχεσθαι μέλλομεν τὰς ἡλικίας· τὸν αὐτὸν τρόπον καὶ τῶν ἀρρωστημάτων ἕκαστον μετὰ τὴν πρώτην σύστασιν τῆς γενέσεως αὐτοῦ, ὁδῷ τινι ἐπὶ τὸ μεῖζον προσαυξῆσαι χωρούμενον, μέχρι τῆς ἀκμῆς ἵεται, ἕως ἀνάλογον τῆς πρόσθεν αὐξήσεως μειούμενον εἰς παντελῆ διάλυσιν ἐλθεῖν. τάχα δ' ἂν ἴσως δόξειε ταύτῃ μόνον διαφέρειν ἡ τῶν νοσημάτων κατὰ χρόνον ἐξαλλαγή, τῆς κατὰ τὰς τῶν ζώων ἡλικίας, ὅτι τοῖς μὲν ζώοις ἴδιός ἐστιν ὁ χρόνος τῆς γεννήσεως, ἐν ᾧ διαπλάττεται πάντα τὰ μόρια τὰ πρὸς τὴν ζωὴν ἀναγκαῖα· τῶν νοσημάτων δὲ οὐδείς ἐστι χρόνος τοιοῦτος ἴδιος, ἀλλ' εὐθὺς ἀπὸ τῆς πρώτης εἰσβολῆς αὐξάνεται. καὶ τοῦτ' εἰκότως γίνεται· τὰ μὲν γὰρ ζῶα, σώματά ἐστι, τὰ δὲ νοσήματα, τοῖς σώμασι συμβεβηκότα· διάπλασιν μὲν οὖν καὶ γένεσιν ἐπιζητεῖ ἡ τῶν σωμάτων ἰδιότης, τὰ συμβαίνοντα δ' αὖθις, ἅτε μηδεμιᾶς διαπλάσεως δεόμενα, κατὰ τὴν πρώτην εἰσβολὴν εὐθέως, ἅμα τῇ γενέσει ἔχει, καὶ πρὸς τὴν αὔξησιν ἐπείγεται. τίς γὰρ ἂν εἴη φλεγμονῆς γένεσις, ὁποία ζώου κυουμένου διάπλασις;

CAPVT PRIMVM.

De proportione temporum morborum ad animantium ætates & an principium aliquod sit in morbis.

QVALIS animalibus est ætatum differētia, talia morbis sunt ea quæ nominantur tempora. Neq; enim tempus simpliciter hoc vocabulo significatur, neque idoneum illud tempus, pro quo præsidia quoque consideramus; sed sola morborum, vt diximus, ætas, quæ temporum vicissitudine immutatur, vt animal ætatibus. Atque hoc omnibus corruptelæ subiectis corporibus, aliis magis, aliis minùs adesse videtur; nam si natura ipsorum mutationis alterationisq; perpetuò expers maneret suam substantiam seruans, non corrumperetur. Quemadmodum igitur & ipsi nos geniti ad vigorem vsque augescimus, inde iam contabescere incipientes, ad extremam vsque corruptionem declinamus, si omnes ætates sumus pertransituri: pari modo singuli morbi à prima sua constitutione per incrementum ad statum vsque perueniunt, donec pro incrementi prioris proportione decrescentes in totum dissoluantur. Videbitur autem forsan morborum pro tempore immutatio hoc solum ab animantium ætate discrepare, quòd his proprium generationis tempus sit, quo omnes ad vitam necessariæ partes conformantur; morborum verò nullum huiuscemodi tēpus sit proprium, sed à primo statim insultu augescant. Idq; meritò fit; nam animalia corpora sunt; morbi, corporum accidentia. Quare conformationem generationémque corporum proprietas postulat; accidentia verò ipsis, vt quæ nullam conformationem expetāt, primo aditu protinus generationem simul acquirunt, & ad incrementum festinant. Quæ enim inflammationis generatio esse possit, qualis est animantis in vtero conformatio? vel quæ erysi-

erysipelatis? vel quæ, verbi gratia, febris? Nam vnumquodque horum, statim atque primum cœpit initium, huiusmodi speciem habere videtur, qualem eius generis maximum habet; deficit autem sola ab illo magnitudine. Etenim inflammata pars calidior seipsa euadit, cum tumore maiore, doloréque simul & tensione; sed hæc parua primò aditu sunt, inde verò ad magnitudinem quandam nõ in omnibus æqualem increscunt; ex quo deinceps vel discutitur præsidiis tumor prẹter naturam, simulque cum ipso dolor quoque & calor remittitur, vel in pus mutatur. hæ nanque sunt inflammationis solutiones, si solui debeat; de his autem sermo nobis primùm instituatur, consideratione de morbis, qui non soluuntur, nunc in posterum dilata. Tempus itaque nullum inflammationis generationi proprium & peculiare attribuitur ab eo, quod incrementi est, diuersum, sed vnum est vniuersum, à primo insultu vsque ad statum affectu increscente. Sic habet etiam de erysipelatis, omnibusque aliis; etenim febris genere quidem, vt arbitror, caloris prẹter naturam, comprehenditur; huius autem proprium generationis tempus diuisum non est; sed vbi corpus primùm calidius, quàm antea, febrili calore fieri cœpit, inde aliud atque aliud tempus affectionis incrementum ad vsque perfectum statum excipit, quem in singulis rebus summam esse magnitudinem intelligimus.

A ἢ τίς ἐρυσιπέλατος; ἢ τίς εἰ οὕτως ἔτυχε πυρετοῦ; φαίνεται γὰρ ἕκαστον τούτων εὐθὺς ἅμα τῷ πρῶτον ἄρξασθαι, τοιαύτην ὑπάρχον τὴν ἰδέαν, ὁποῖόν ἐστι τὸ μέγιστον ἐν ταὐτῷ γένει, λειπόμενον δ' ἐκείνου μόνον τῷ μεγέθει. θερμότερον γοῦν ἑαυτοῦ σὺν ὄγκῳ μείζονι, μετ' ὀδύνης τε ἅμα καὶ τάσεως, γίνεται τὸ φλεγμαῖνον· ἀλλὰ ταῦτα κατὰ μὲν τὴν εἰσβολὴν μικρά, τοὐντεῦθεν δ' αὐξάνεται, μέχρι τινὸς μεγέθους, οὐκ ἴσου πᾶσιν, ὅθεν ἐφεξῆς, ἤτοι διεφορήθη τοῖς βοηθήμασιν ὁ παρὰ φύσιν ὄγκος, ἅμα τῷ καὶ τὴν ὀδύνην αὐτοῦ καὶ τὴν θερμότητα συναποπαύσασθαι, B ἢ μετέβαλεν εἰς πῦον. αὗται γὰρ αἱ τῆς φλεγμονῆς λύσεις, αἵ γε μέλλοιεν λύεσθαι· περὶ τούτων γὰρ ἡμῖν ὁ λόγος ἔστω πρότερον, ἀναβεβλημένης κατὰ τὸ παρὸν εἰς ὕστερον τῆς περὶ τῶν μὴ λυομένων νοσημάτων ἐπισκέψεως. χρόνος οὖν οὐδείς ἐστιν ἴδιος ἐξαίρετος ἀποτεταγμένος τῇ γενέσει τῆς φλεγμονῆς, ἕτερος τοῦ τῆς αὐξήσεως, ἀλλ' εἷς ὁ σύμπας, ἀπὸ τῆς πρώτης εἰσβολῆς ἄχρι τῆς ἀκμῆς, αὐξανομένου τοῦ πάθους. οὕτω δ' ἔχει καὶ περὶ τῶν ἐρυσιπελάτων, ἁπάντων τε τῶν ἄλλων. καὶ γὰρ καὶ ὁ πυρετός, ἐν γένει μέν, οἶμαι, τῆς παρὰ φύσιν ἐστὶ θερμασίας· ταύτης δὲ οὐκ ἀποτέτμηται ὁ χρόνος C ἴδιος τῆς γενέσεως, ἀλλ' ἐπειδὰν πρῶτον ἄρξηται τὸ σῶμα θερμότερον ἑαυτοῦ γίνεσθαι πυρετώδει θερμασίᾳ, τοὐντεῦθεν ἕτερος ἐφ' ἑτέρῳ καιρὸς ἐκδέχεται τὴν αὔξησιν τοῦ πάθους, ἄχρι τῆς παντελοῦς ἀκμῆς, ἣν ἐν ἑκάστῳ τῶν ὄντων ἔσχατον τὸ μέγεθος εἶναι νοοῦμεν.

CAPVT II.

Solutio prædictæ dubitationis, & de ratione principii morborum dignoscendi.

HIc sermo probabilis est, & agonistam aliquem strenuum ad responsionem requirit, qui propriam morborum initiis speciem esse demonstret, vt animãtium formationi, primumque tempus huic destinatum finibus propriis circũscribi. Ad quæ iam sanè progrẹderer, quid sentiam, docens, nisi mihi casu quodam in hac sermonis parte versanti, Archigenis diuisio in mentem veniret, qui morbos in prima & maxima tempora diuidens, post principium statim vigorem ponit, medio tempore, incremento *videlicet*, omisso. Quum enim totius principii proprium tempus non esse videatur, sed id omne quod à primo insultu ad statum intercedit, incrementum esse, quomodo quis Archigeni consentiat, qui quod ab omnibus conceditur, prẹterit, ambiguum verò tanquam concessum promptè ponit? Hac igitur ratione sermonem omnino deseruisse videtur magna disputatione indigentem, vt morbi principium, proprium typum habere, non paruitate modò à sequentibus ipsum differre ostendatur. Nos verò iam morbi principium specie quadam à sequente increméto diuersum demonstrare conabimur. Initium autem sermonis commemorationem habebit ex his, quæ euidenter nobis omnibus in pluribus morbis apparent. Vnde moti puto & medici propemodum omnes, qui Archigenẽ præcesserunt, principium quoddam cuiusque morbi dicunt, non primum illum solum latitudinis expertẽ, insultum; sed temporis longitudinem, latitudinémque notatu dignam aliquãdo ipsi ascribunt; post hoc ascensum; deinde

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἡ λύσις τῆς προειρημένης ἀπορίας· καὶ περὶ τοῦ διαγινώσκειν τὴν τῶν νοσημάτων ἀρχήν.

D Οὗτος ὁ λόγος ἐπιεικής ἐστι, καὶ δεῖταί τινος ἀγωνιστοῦ γενναίου πρὸς τὴν ἀπάντησιν, ὃς ἐπιδείξει ταῖς ἀρχαῖς τῶν νοσημάτων, εἶδος ἴδιον ὑπάρχειν ὥσπερ τοῖς ζώοις διαπλαττομένοις, ἀνακείμενόν τε τούτῳ τὸν πρῶτον χρόνον ὅροις οἰκείοις περιγραφόμενον. ἐφ' ὧν ἐστελλόμην ἂν ἤδη διδάσκων, ἃ γινώσκω, εἰ μή με κατά τινα δὴ τύχην ἐν τῷδε τοῦ λόγου γενόμενον ὑπῆλθεν ἡ Ἀρχιγένους διαίρεσις, ὃς εἰς τοὺς πρώτους τε καὶ μεγίστους καιροὺς διαιρῶν τὰ νοσήματα, μετὰ τὴν ἀρχὴν εὐθέως ἀκμὴν τάττει, τὸν μεταξὺ καιρὸν καταλιπὼν τὴν ἀνάβασιν. ὅπου γὰρ οὐκ εἶναι δοκεῖ καιρὸς ἴδιος τῆς ἀρχῆς E ὅλης, ἀλλ' ἀπὸ τῆς πρώτης εἰσβολῆς ἄχρι τῆς ἀκμῆς, τὸ μεταξὺ πᾶν ἐπίδοσις ἦ, πῶς γε συγχωρήσειεν ἄν τις Ἀρχιγένει, τὸ μὲν ὁμολογούμενον ὑπερβαίνοντι, τὸ δ' ἀμφισβητούμενον ὡς ὁμολογούμενον ἑτοίμως τιθεμένῳ; οὕτως μὲν οὖν φαίνεται προδιδοὺς ἐσχάτως τὸν λόγον, ἀγῶνος μεγάλου δεόμενον εἰς τὸ δεῖξαι τὴν ἀρχὴν τοῦ νοσήματος ἴδιον ἔχουσαν τύπον, οὐ σμικρότητι μόνον τῶν ἐφεξῆς αὐτῇ διαφέρουσαν· ἡμεῖς δὲ ἐπιχειρήσομεν ἤδη δεικνύειν, διαλλάττουσαν ἰδέᾳ τινὶ τὴν ἀρχὴν τοῦ νοσήματος, τῆς μετ' αὐτὴν ἀναβάσεως. ἡ δ' ἀρχὴ τοῦ λόγου, τὴν ἀνάF μνησιν ἕξει ἐκ τῶν φαινομένων ἐναργῶς ἅπασιν ἡμῖν ἐπὶ πολλῶν νοσημάτων. ὅθεν περ, οἶμαι, καὶ κινηθέντες ἰατροὶ σχεδὸν ἅπαντες, οἱ πρὸ Ἀρχιγένους, ἀρχήν τινα λέγουσιν ἑκάστου νοσήματος, οὐ τὴν πρώτην εἰσβολὴν ἐκείνην μόνην τὴν ἀπλατῆ, μῆκος δέ τι χρόνου καὶ πλάτος αὐτῇ προσγράφουσιν ἀξιόλογον ἔστιν ὅτε, καὶ μετὰ ταύτην, τὴν ἀνάβασιν,

εἶτ' ἀκμήν, ἐφ' ᾗ δηλονότι τὴν καλουμένην παρακμήν. ἐθεασάμεθα γοῦν ἐνίους ἐν τῷ πράττειν ὁτιοῦν τῶν κατὰ τὸν βίον ἀτρέμα φρίξαντας τὸ πρῶτον, εἶτ' αὖθίς τε καὶ αὖθις ἀνωμαλίας τέ τινος ἰσχυροτέρας, καὶ φρίκης ἀξιολογωτέρας αἰσθανομένους, ὡς μήτε πράττειν μηδ' ὑπομένειν, ἃ πρότερον ἀμέμπτως ἔπραττον, ἀλλὰ καὶ κατακλιθῆναί τε καὶ δεῖσθαι σκεπασμάτων, καὶ τοῦτο παθόντας ἐνίους μὲν ὥραις τρισὶν, ἐνίους δὲ ἐλάττοσιν, ἢ πλείοσιν· ἐντεῦθεν δ' ἄρξασθαι θερμασίας ἀνιώδους τε καὶ παρὰ φύσιν αἰσθάνεσθαι, ταύτης καὶ ὀλίγον αὐξανομένης. ἐν αὐτοῖς γὰρ τούτοις ἐναργῶς ὁρᾶται διαφέρουσα καὶ ἰδέαν ἐξαίρετον, ἡ ἀρχὴ τοῦ παροξυσμοῦ τῆς ἐπιδόσεως. εὔδηλον δὲ ὅτι τὴν αὔξησιν ἐπίδοσιν ὀνομάζουσιν ἔνιοι, καθάπερ ἄλλοι τινὲς ἀνάβασιν· ἡμεῖς δ' ἅπασι τοῖς ὀνόμασιν, ὡς ἂν ἐπέλθῃ, χρησόμεθα· δηλοῖ γὰρ ἓν πρᾶγμα πάντα. τοῦτο οὖν τὸ πρᾶγμα ὃ τρισὶν ὀνόμασι προσαγορεύεται, ἵσταταί ποτε καὶ παύεται τῆς αὐξήσεως, καὶ φαίνεται διαμένον ἴσον ἑαυτῷ κατά τινα χρόνον, ἤτοι μακρότερον, ἢ βραχύτερον· εἶτ' ἐντεῦθεν ἔλαττον ἑαυτοῦ γινόμενον, ἤτοι διὰ ταχέων, ἢ χρόνῳ πλείονι· καί ποτε μὲν εἰς ἀπυρεξίαν ἡ τοῦ πυρέξαντος οὕτως φαίνεται ἐπανερχομένη διάθεσις, ἔστι δ' ὅτε ὑπὸ τῆς εἰσβολῆς δευτέρου παροξυσμοῦ καταλαμβανομένη, τὴν αὐτὴν ἰδέαν ἔχοντος τῷ προειρημένῳ. καὶ πάντως γ' ἔστιν ὅτε τὰ προειρημένα, δεύτερον αὖθις ἐπιγίνεται τῷ νοσοῦντι, πολλάκις δ' ἔστιν ὅτε καὶ τρίτον, καὶ τέταρτον, καὶ πέμπτον δὲ, περιερχομένης τῆς νόσου κατά τινα κύκλον, ἐκ τῶν αὐτῶν ἐπὶ τὰ αὐτὰ, διὰ τῆς αὐτῆς τάξεως. ὀνομάζουσι δὲ τὸν τοιοῦτον κύκλον ἕκαστοι οἱ ἰατροὶ, περίοδον. ἔνιαι μὲν οὖν αὐτῶν ἐν τέτταρσι καὶ εἴκοσιν ὥραις περιγράφονται, καὶ καλοῦσιν αὐτὰς ἀμφημερινάς· ἔνιαι δὲ ἐν ὀκτὼ καὶ τετταράκοντα, τουτέστιν ἐν δυσὶν ἡμέραις καὶ νυξὶν, ἃς ὀνομάζουσι τριταίων πυρετῶν περιόδους· ἑτέρας δέ τινας ἑβδομήκοντα καὶ δυοῖν ὡρῶν περιγράφει χρόνος, ὧν τοὺς μὲν πυρετοὺς αὐτοὺς ὀνομάζουσι τεταρταίους, τὸν κύκλον δ' ὅλον, ὃς ἐπανέρχεται εἰς τὴν μίαν ἀρχὴν, τεταρταίαν περίοδον· οὕτω δὲ καὶ τριταίαν περίοδον ἅμα τριταίῳ πυρετῷ, καὶ τὴν ἀμφημερινὴν ἑκάστης ἡμέρας ἐπανακυκλουμένην ἅμα τοῖς ἀμφημερινοῖς πυρετοῖς. ἀλλ' αἵ γε περίοδοι πᾶσαι, ποτὲ μὲν εἰς ἀπυρεξίαν ἀφικνοῦνται, καθάπερ ἐν τοῖς προειρημένοις πυρετοῖς, ἀμφημερινῷ καὶ τριταίῳ καὶ τεταρταίῳ· ποτὲ δὲ εἰς παρακμὴν μόνον, ἤτοι πλησίον ἀπυρεξίας ἥκουσαν, ἢ καὶ πορρωτέρω.

statum; ab hoc vocatam declinationem Spectauimus enim nonnullos, dum actionem aliquam consuetam obirent, paulatim inhorruisse primum; deinde iterum atque iterum inæqualitatem quandam validiorem, horroremque euidentiorem sensisse, vt quæ prius citra læsionem agebant, neque agere neque sustinere possent, sed & decumberent & cooperiri desiderarent; atque hoc aliis accidisse horis tribus, aliis paucioribus, vel pluribus; ex eo autem tempore calorem molestum, eumque præter naturam sensim augescentem percepisse; nam his principium accessionis ab incremento propria specie differre manifestò videtur. Perspicuum verò est, quosdam augmentum vocare incrementum, quemadmodum alios quosdam ascensum; nos omnibus vocabulis, vt in mentem venerit, vtemur; omnia siquidem rem vnam denunciant. Hæc itaque res quæ tribus nominibus appellatur, sistit quandoque, & ab incremento cessat, & sibi ipsi æqualis, vel longiore, vel breuiore quodam tempore permanere videtur; deinde minor quàm fuit, vel citiùs, vel diuturniori temporis spatio fieri; interdumque febricitantis affectio ad integritatem sic reuerti apparet, interdum à secundæ accessionis insultu eandem speciem cum prædicta habentis excipitur, atque interdum omnino prædicta secundò rursus ægrotanti adueniunt; plerunque tertiò, quartò, & quintò; morbo videlicet ex iisdem ad eadem eodem ordine per circulum quendam redeunte; hunc circulum singuli medici periodũ, i. *circuitum*, appellant. Nonnulli ex huius generе viginti quatuor horis describuntur, vocanturque quotidiani. Aliqui quadraginta octo, hoc est duobus diebus, & noctibus, quos tertianarum febrium circuitus nominant. Alios quosdam septuaginta duarum horarum tempus circunscribit, quorum febres ipsas quartanas nuncupant; circulum autem vniuersum, quia ad vnũ principium reuertitur, quaternarium circuitum; sic etiam ternarium simul cum tertiana febre, & quotidianũ singulis diebus reuertentem simul cum quotidianis febribus. At circuitus omnes aliquando ad integritatem perueniunt, vt in prædictis febribus, quotidianâ, tertianâ, & quartanâ; aliàs ad declinationem solùm, vel propiùs ad integritatem, vel etiam longiùs ab ea, venientem.

ΚΕΦΑΛΑΙΟΝ Γʹ.

Περὶ τῶν ἐν τῷ νοσήματι καιρῶν κατὰ τὸ τοῦ τριταίου πυρετοῦ παράδειγμα.

ΠΑραδείγματος οὖν ἕνεκεν, ἐπὶ τριταίου πυρετοῦ πρῶτον ἡμῖν ὁ λόγος γινέσθω. φρίκη μετρία τῶν τοιούτων πυρετῶν ἄρχεται, εἶτ' ἄκρων ψύξις ἅμα φρίκαις μείζοσιν, εἶτ' ἤδη καὶ ῥιγοῦσι καὶ ψύχονται τὰ πλεῖστα τοῦ σώματος. ὁ δὲ σφυγμὸς αὐτῶν ἐν τῷδε τῷ καιρῷ σκληρότερός τε καὶ μικρότερος γίνεται τοῦ πρόσθεν, ὠκύτερός τε σαφῶς κατὰ τὴν συστολὴν, τοῖς εἰδόσιν αἰσθάνεσθαι συστολῆς· ὡς ἥ γε διαστολὴ τὰ πολλὰ μὲν ἑαυτῆς βραδυτέρα, καὶ μάλιστα κατὰ τὴν εἰσβολὴν, ἐνίοτε δ' ἄν σοι δόξειεν ὁμοία διαμένειν τῇ προϋπαρχούσῃ καταστάσει. καὶ μὲν δὴ καὶ τῶν ἠρεμιῶν ἡ μὲν ἐπὶ τῇ συστολῇ, μακροτέρα πως ἐστίν· ἡ δ' ἐπὶ τῇ διαστολῇ κατὰ τὸν αὐτὸν ἐκείνῃ τρόπον, ὡς τὰ πολλὰ μὲν, ἴση τῇ πρόσθεν, ἔστι δ'

CAPVT III.

De Morbi temporibus exemplo febris tertianæ.

ITaque de tertiana febre (exempli gratiâ) nobis primùm verba sint. Ab horrore moderato huiusmodi febres incipiunt; deinde extremarum partium simul cum horrore vehementiore frigus; postea iam & rigore & frigore concutiuntur plurimæ corporis partes. Pulsus earum hoc tempore durior & minor, quàm priùs, euadit, velocior manifestò in systole, iis qui systolẽ sentire nouerunt; nam diastole, multo quam fuit, tardior, præsertim in insultu est; interdum verò similis priori constitutioni permanere tibi videbitur. Quin & illa quies, quæ post systolen est, longior quodammodo est; quæ verò post diastolen est, eodem atque illa modo, sæpè quidem est priori ęqualis, aliquando verò non æqua-

æqualis. Hæc quibusdam, horis æquinoctialibus duabus fieri consueuerunt; quibusdam, vel pluribus eis, vel paucioribus; deinde pulsus maior simul, & velocior, densiorque fieri incipiens, sensim singulis commemoratis increscit. Statim verò calidiores quam anteà cum relatis pulsus mutationibus redduntur; ita vt quidam multum calorem intus sentiant, artubus adhuc frigentibus; atque omninò inæqualitas quædã non parua in corpore per hoc tempus inualescit. Secundum hoc tempus ab illo primo est, in quo ex priore statu vniuersum quidem corpus refrigeratum fuit, pulsûs autem in contraria prioribus facta mutatio. In integritate sane, quæ intermissio nobis nominetur, quoniam & Hippocrates eam ita nominauit, pulsus in naturali statu cõsistit, quantum quidem sensu percipere possumus (huiusmodi autem intermissio optima est) nam simul atque animal refrigeratum est, in dictas paulò antè differentias repente transit; postea rursus, vbi incalescit, ad contraria vertitur. Primum itaque tempus totius periodi euidenter est, quo corpus cum mutationibus pulsûs prædictis inalsit, vel ex sanitate, vel ex intermissione ad hoc deductum. Aliud ab hoc secundum est, quod pulsum & calorem in contraria mutat, donec tota corporis moles æquabiliter incalescat. Post hoc, tertium, quo calor etiamnum augescit, pulsibus pari ratione magnitudine, celeritate, & frequentia crescentibus. Quarta constitutio post tres commemoratas conspicitur, omnibus iam dictis æqualem sibi magnitudinẽ pro sensus nostri iudicio conseruantibus. Ad hæc quinta alia, quum iam calor manifestò decrescit, halitus autem per cutẽ excernitur, pulsus ad naturalem statũ redit, deponens omnia quæ præter naturam in magnitudine, celeritate, & densitate acquisierat; hoc tempore plurimis ipsorum sudor oritur, & post hunc intermissionis tempus, sextum à prædictis aduenit. Nihil porrò horum abditæ rei hypothesis est, sed quotidie ferè in omnibus tertianâ febre laborantibus ita fieri conspicitur; atque huic sermoni dictum Hippocratis addendum est, *eum etiam qui medicus non sit, hactenus posse rectè cognoscere*, si pulsus mutationes à sermone excipiamus. Maius enim hæ negotium habent, quam vt ab idiotis queant intelligi, at caloris mutatio, etiamsi ægrotantes notare hanc nolint, stimulare ipsa pungereque eos ita consueuit, vt non lateat. Referunt itaque sic omnes ægri, subitò quidem vel sibi inæqualitatem, vel horrorem vltrò citroque cursitare; deinde simul cum extremorum refrigeratione horrores intendi, sequique ipsos rigorem; postea rursus rigoris tandem fieri remissionem, extremorum algores resolui, æstus vehementis sensum, & sitim intus esse; ad hæc rursus omnem quidem inæqualitatem discedere, corpus verò totum æquabiliter ardere, atque hoc semper magisque fieri; ac calorem tandem aliquando sistere, sibique similem manere; postremò solutionis sensum sibi oboriri, idque ad constitutionem vsque illam non cessare, in qua primum se vri non amplius sentiunt. In tertianis itaque febribus particulares circuitûs differentiæ huiusmodi quædam sunt; in aliis autem febribus aliæ differentiæ, de quibus ordine differam.

A ὅτε οὐκ ἴση. ταῦτα ἐνίοις μὲν ὥραις γίνεσθαι πέφυκεν ἰσημεριναῖς δυσί, τισὶ δὲ ἤτοι πλείοσιν αὐτῶν, ἢ ἐλάττοσιν· εἶθ᾽ ὁ σφυγμός, ἀρξάμενος μείζων θ᾽ ἅμα καὶ θάττων καὶ πυκνότερος γίνεσθαι, κατὰ βραχὺ προσέστι θησιν ἑκάστῳ τῶν εἰρημένων. εὐθὺς δὲ καὶ θερμότεροι σφῶν αὐτῶν ἀποτελοῦνται σὺν ταῖς εἰρημέναις τοῦ σφυγμοῦ μεταβολαῖς, ὥστ᾽ ἐνίους πολλῆς αἰσθάνονται θερμασίας ἔνδον, ἔτι κατεψυγμένοι τὰ κῶλα, καὶ τὸ σύμπαν εἰπεῖν, ἀνωμαλία τις ἐπικρατεῖ κατὰ τοῦτον τὸν χρόνον οὐ σμικρὰ περὶ τὸ σῶμα. δεύτερος οὗτος ὁ χρόνος ἐκείνου τοῦ πρώτου, καθ᾽ ὃν ἐκ

B τῆς πρόσθεν καταστάσεως ἐψύχθη μὲν ὅλον τὸ σῶμα, τοῦ σφυγμοῦ δὲ ἡ μετάπτωσις εἰς τἀναντία τοῖς πρόσθεν ἐγίνετο. κατὰ μὲν τὴν ἀπυρεξίαν, ἥτις ἡμῖν καλείσθω διάλειμμα, διότι καὶ ὁ Ἱπποκράτης οὕτως ὠνόμασεν, ὁ σφυγμὸς ἐν τῇ κατὰ φύσιν ἐστὶν ὡς πρὸς τὴν ἡμετέραν αἴσθησιν, καταστάσει (τοιοῦτον δὲ τὸ κάλλιστον διάλειμμα) μεταβάλλει γὰρ ἐξαίφνης εἰς τὰς εἰρημένας ὀλίγον ἔμπροσθεν διαφορὰς ἅμα τῷ κατεψύχθαι τὸ ζῶον, εἶτ᾽ αὖθις εἰς τἀναντία τρέπεται μετὰ τοῦ θερμαίνεσθαι. πρῶτος οὖν χρόνος ἐναργῶς ἐστὶ τῆς ὅλης περιόδου, καθ᾽ ὃν ἐψύχθη

C τὸ σῶμα σὺν ταῖς εἰρημέναις τοῦ σφυγμοῦ μεταβολαῖς, ἤτοι ἐξ ὑγείας, ἢ ἐκ διαλείμματος, εἰς τοῦτο ἀφικόμενος· ἕτερος δὲ ἐπὶ τούτῳ δεύτερος, ὁ τῆς εἰς τἀναντία μεταβολῆς τῶν τε σφυγμῶν καὶ τῆς θερμασίας, ἄχρι περ ἂν ὁμαλῶς γένηται θερμὸς ὁ σύμπας ὄγκος τοῦ σώματος· εἶτ᾽ ἐπ᾽ αὐτῷ τρίτος, αὐξανομένης μὲν ἔτι τῆς θερμασίας, ἀνάλογον δ᾽ αὐτῇ καὶ τῶν σφυγμῶν ἐπιδιδόντων εἰς μέγεθος καὶ τάχος καὶ πυκνότητα· τετάρτη δὲ κατάστασις ἐπὶ τοῖς εἰρημένοις τρισὶν ὁρᾶται, τῶν εἰρημένων ἁπάντων ἴσον ἑαυτοῖς φυλαττόντων τὸ μέγεθος, ὡς πρὸς τὴν ἡμετέραν αἴσθησιν· εἶτ᾽ ἐντεῦθεν ἄλλος πέμπτος, ὅταν ἤδη μὲν ἐλάτ-

D των ἡ θερμασία γίνηται σαφῶς, ἀτμὸς δὲ ἐκκρίνηται διὰ τοῦ δέρματος, ὁ σφυγμὸς δὲ ἐπὶ τὴν κατὰ φύσιν ἐπανέρχηται κατάστασιν, ἀποτιθέμενος ἃ παρὰ φύσιν ἐπεκτήσατο πάντα, μεγέθους τε [πέρι], καὶ ταχύτητος, καὶ πυκνότητος· ἐν τούτῳ τῷ χρόνῳ καὶ ἱδρὼς τοῖς πλείστοις αὐτῶν γίνεται, καὶ μετὰ τοῦτον ὁ τοῦ διαλείμματος ἀφικνεῖται χρόνος, ἕκτος ἐπὶ τοῖς εἰρημένοις. οὐδὲν δὲ τούτων ὑπόθεσίς ἐστιν ἀδήλου πράγματος, ἀλλ᾽ ἐναργῶς ὁσημέραι σχεδὸν ἅπασι τοῖς πυρέττουσι τριταίους πυρετοὺς, οὕτω φαίνεται γινόμενον· καὶ χρὴ προσθεῖναι τῷ λόγῳ τὸ πρὸς Ἱπποκράτους εἰ-

E ρημένον, ὡς μέχρι μὲν τούτου καὶ μὴ ἰατρὸς ἂν δύναιτο γινώσκειν ὀρθῶς, εἰ τὰς τοῦ σφυγμοῦ τροπὰς ἐξέλοιμεν τοῦ λόγου. περιεργότεραι γὰρ ἢ κατὰ τὴν ἰδιωτῶν αὗται εἰσίν, ἡ δὲ τῆς θερμασίας μεταβολή, κἂν εἰ μὴ βούλοιντο παρακολουθεῖν οἱ πάσχοντες, αὐτὴ κεντρίζειν τε καὶ νύττειν αὐτοὺς πέφυκεν, ὡς μὴ λανθάνειν. ἐξηγοῦνται γοῦν πάντες οἱ κάμνοντες οὕτως, ἐξαίφνης μὲν αὐτοῖς ἤτοι γ᾽ ἀνωμαλίαν ἢ φρίκην διαδραμεῖν, εἶτ᾽ ἐντεῦθεν ἅμα καταψύξει τῶν ἀκρωτηρίων ἐπιτείνεσθαι τὰς φρίκας, ἀκολουθῆσαι δ᾽ αὐταῖς τὸ ῥῖγος· εἶτ᾽ αὖθις τοῦ μὲν ῥίγους γίνεσθαί ποτε καὶ

F παῦλαν, ἐκλύεσθαι δὲ τὴν περίψυξιν τῶν ἄκρων, αἴσθησιν δὲ φλογώσεως ἔνδον εἶναι καὶ δίψος· ἐπὶ δὲ τούτοις αὖθις, οἴχεσθαι μὲν ἅπασαν ἀνωμαλίαν, ὁμαλῶς δὲ καίεσθαι τὸ σύμπαν σῶμα, καὶ τοῦτο ἀεὶ καὶ μᾶλλον αὐτοῖς γίνεσθαι, καὶ στῆναί γέ ποτε καὶ μεῖναι τὴν θερμασίαν ὁμοίαν ἑαυτῇ· εἶθ᾽ ὕστερον αἴσθησιν αὐτοῖς ἐκλυομένης γίνεσθαι, καὶ τοῦτο μέχρι τῆς καταστάσεως ἐκείνης μὴ παύεσθαι γινόμενον, ἐν ᾗ πρῶτον ᾔσθοντο μηκέτι πυρουμένων αὐτῶν. ἐπὶ μὲν οὖν τῶν τριταίων πυρετῶν, αἱ κατὰ μέρος διαφοραὶ τῆς περιόδου, τοιαῦταί τινες ὑπάρχουσιν· ἐπ᾽ ἄλλων δὲ ἄλλαι διαφοραὶ πυρετῶν εἰσίν, ὑπὲρ ὧν ἐφεξῆς ἐρῶ.

ἐπιτείνεσθαι τὰς φρίκας

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς ὀρθῆς τῶν ὀνομάτων θέσεως καὶ τῶν τοῦ σφάλλεσθαι τοῖς νεωτέροις αἰτίων.

Νυνὶ δὲ ἐπὶ τούτου πρῶτον, οὗ πρῶτον προὐθέμην, ὁ λόγος ἐξεταζέσθω. πρῶτος μὲν οὖν ἦν καιρὸς ὁ συνάπτων τῇ ἀπυρεξίᾳ, ψύξεως αἴσθησιν παρέχων, ὃν ἀρχὴν ὠνομάσαμεν· δεύτερος ὁ ἀποτιθέμενος τὴν ψύξιν, ὡς εἴρηται, κατὰ βραχύ, καὶ καλείσθω συντόμου διδασκαλίας ἕνεκεν, ἀνωμαλίας καιρός· εἶτ᾽ ἐπ᾽ αὐτῷ τρίτος ὁ τῆς ὁμαλοῦς αὐξήσεως. ἐφ᾽ ᾧ τέταρτος ὁ τῆς στάσεως, καὶ πέμπτος ὁ τῆς μειώσεως· εἶθ᾽ ἕκτος ὁ τῆς ἀπυρεξίας. ὅτι μὲν οὖν ἓξ εἰσὶν αἱ εἰρημέναι κανονικαὶ διαφοραὶ κατὰ τὰς τῶν τριταίων πυρετῶν περιόδους, αἰσθήσεως δεῖ καὶ μνήμης, οὐκ ἀποδείξεως λογικῆς. ἓξ δ᾽ οὐσῶν αὐτῶν, ὀνόματα συνθέσθαι κάλλιον ἕνεκα συντόμου τε ἅμα καὶ σαφοῦς δηλώσεως καθάπερ τις νόμος ἐστὶ κοινὸς ἅπασι τοῖς Ἕλλησιν, ὧν μὲν ἂν ἔχωμεν ὀνόματα πραγμάτων παρὰ τοῖς πρεσβυτέροις εἰρημένα, χρῆσθαι τούτοις· ὧν δ᾽ οὐκ ἔχομεν, ἤτοι μεταφέρειν ἀπό τινος, ὧν ἔχομεν, ἢ ποιεῖν αὐτοὺς κατὰ ἀναλογίαν τινὰ τὴν πρὸς τὰ κατωνομασμένα τῶν πραγμάτων, ἢ καὶ καταχρῆσθαι τοῖς ἐφ᾽ ἑτέρων κειμένοις. ἔξεστι μὲν τῷ βουλομένῳ μήτε φυλάττειν τὰ συνήθη τοῖς Ἕλλησιν (εἴπου δεήσει ποιεῖν αὐτὸν, εἰς τοὺς εἰρημένους ἀποβλέπειν σκοπούς) καὶ πολὺ τοῦτ᾽ ἐστὶ παρὰ τοῖς νεωτέροις ἰατροῖς, ὡς ἂν μὴ παιδευθεῖσι τὴν ἐν παισὶ παιδείαν, ὥσπερ οἱ παλαιοί. συγχωρητέον οὖν αὐτοῖς ὡς ἂν ἐθέλωσιν ὀνομάζειν, ἐπεί τοι μάχιμοί τ᾽ εἰσὶ καὶ ἀναιδεῖς, καὶ πολλάκις γε χρηστέον τοῖς ὀνόμασιν, ὡς ἂν ἐκεῖνοι κελεύωσιν, ἕνεκα τοῦ φυγεῖν αὐτῶν τὴν γλωσσαλγίαν. οὐδὲ γὰρ οὐδὲ βλαβήσονταί τι διὰ τὴν ἐν τοῖς ὀνόμασι παρανομίαν οἱ κάμνοντες. ὅταν δὲ ἤτοι παρέλθωσί τινα καιρὸν ὅλον ὑπερβαίνοντες, ἢ τοῖς εἰρημένοις ἐπεισάγωσι τὸ μὴ φαινόμενον, οὐκ ἐπιτρεπτέον αὐτοῖς, ὡς ἂν εἰς βλάβην ἤδη τῶν νοσούντων τῆς τοιαύτης ἁμαρτίας διαφερούσης. ἄμεινον οὖν ἐστιν ἐν τῷδε, προδιεσκέφθαι τὰς τῶν σφαλμάτων αἰτίας, παρ᾽ ἃς οἱ πλεῖστοι τῶν ἰατρῶν σφάλλονται· πρὸς τὸ μήτ᾽ αὐτούς τι σφαλῆναι, κἀκείνοις ἐπιδεῖξαι τὴν ἀληθῆ τοῦ πράγματος ὁδόν, εἰ βουληθεῖεν. ἔνιοι γὰρ αὐτῶν οὕτω πεφύκασιν, ὡς μηδ᾽ ἂν τὸν Ἀπόλλωνα αὐτὸν ἢ τὸν Ἀσκληπιὸν σχῶσιν ἐπιθυμοῦντάς τε διδάσκειν αὐτοὺς καὶ παρακαλοῦντας, ὑπακοῦσαί ποτε καὶ παρασχεῖν δύνασθαι τὰ ὦτα, μήτοιγε δὴ καταδέξασθαι τῇ ψυχῇ τὰ λεχθέντα. ἀλλ᾽ οὐκ ἐκείνοις γε ταῦτα γέγραπται. τοῦ τοίνυν σφάλματος αὐτῶν αἰτία πρώτη καὶ μάλιστ᾽ ἐστὶν, ἡ τῆς τῶν νοσημάτων διαφορᾶς ἄγνοια. τριταῖος μὲν γὰρ, ὡς εἴρηται νῦν, εἴωθε κινεῖσθαί τε καὶ τὰς ὥσπερ ἡλικίας αὐτοῦ διανύειν· οὐ μὴν ὁμοίαν γε κίνησιν ἔχει πᾶν νόσημα· διόπερ οὐδ᾽ ἡμεῖς ὀρθῶς, ἃ περὶ τριταίων εἰρήκαμεν, ἐπὶ πάντα μετοίσομεν, οὔτ᾽ ἄλλος τις ἀπ᾽ ἄλλου πάθους ὁρμηθεὶς, ἕνα κοινὸν ἀξιώσει λόγον ἁπάντων ὑπάρχειν. αὕτη μὲν οὖν ἡ πρώτη καὶ μεγίστη τῆς ἁμαρτίας αὐτῶν αἰτία.

CAPVT IV.

De recta nominum impositione, & errorum apud recentiores causis.

NVnc in hac primùm, quæ prima proposita est, sermo expendatur. Primum igitur erat tempus, quod integritati cohæret, frigoris sensum præbens, quod principium nominauimus; secundum, quod frigus, vt dictum est, paulatim deponit, & vocetur, concisæ doctrinæ gratiâ, inæqualitatis tempus; ab hoc tertium, quod est æqualis incrementi; postea quartum, quod est status; quintum, quod est imminutionis; postremò sextum, quod est integritatis. Quòd igitur sex dictę regulares in tertianarum febrium circuitibus differentiæ sint, sensu & memoriâ, non demonstratione logicâ indiget. Sex autem ipsis existentibus nomina præstat imponere, tum compendii, tum manifestę explicationis gratia; queadmodum lex quædam est communis omnibus Græcis, vt quarum rerum nomina apud vetustiores vsurpata inuenimus, his vtamur; quarum verò non habemus, vel ab aliqua earum rerum, quarum habemus *nomina*, transferamus, vel ipsi secundum quandam similitudinem cum iis quæ denominata sunt, fingamus, vel dictis de aliis abutamur. Licet quidem, si quis velit, ne consueta quidem gręcis seruare (Si facere ipsum oporteat, ad prædictos scopos respicere) Atque hoc frequens est apud recentiores medicos, vt qui non institutione à puero, quemadmodum veteres, instructi sint. Concedendum itaque ipsis est, vt volent, appellare; quoniam contentiosi sunt & impudentes; frequenter etiam omnibus vtendum, vt illi præcipiunt, quò nugacitatem ipsorum fugiamus. Neque enim propter peccatum in nominibus, ægrotantes incommodi quicquam capient. Quum autem vel tempus aliquod clam totum prætereunt, vel prædictis quod non apparet, adiungunt, non concedendum ipsis est, tanquã huiusmodi peccato ad ægrorum læsionem iam spectante. Melius itaq; est, hîc erratorum causas prospicere, ob quas medicorum plurimi falluntur, tum vt ne ipsi erroris quippiam committamus, tum vt illis veram rei viam, si velint, ostendamus. Quidam enim ex eis ingenio tam refractario sunt prædıti, vt ne si Apollinem ipsum, vel Æsculapium habuerint cupientes ipsos docere, & monentes, obtemperare vnquam aut aures præbere possint, nedum dicta animo suscipere; quare nec illis hæc scribentur. Hæc igitur erroris ipsorum causa prima & maxima est, morborum differentiæ ignorantia. Tertiana siquidem, vt iam expositum est, moueri & veluti ætates suas perficere consueuit: quanquam non similem motum quiuis morbus obtinet; quare neque nos rectè, quæ de tertianis diximus, ad omnes transferemus; nec alius quispiam ab vno affectu progressus communem vnam omnium rationem esse existimabit. Hæc itaque prima maximáque errati ipsorum causa est.

CAPVT V.

In quot ad summum partes, morborum tempora diuidi queant, ac quibus nominibus singulæ appellandæ.

ALias autem *causas* pro vsus ordine deinceps explicabo, vbi nomina priùs commemoratis tertianæ periodi temporibus imposuerim. Proinde quum Hippocrates dixerit; *Febres, quæcunque non itermittentes tertio die vehementiores fiunt, periculosiores; quocunque autem modo intermiserint, periculum abesse significant*; intermittere, de alia parte circuitus, capi non potest, si integritatem præterieris. Non enim sanè hoc ait, quocunque modo declinent; nam hoc falsum est; quippe quum semitertiana febrium deterrima sit, tamen in declinationem vulgo ipsi manifestã peruenit; & in aliis omnibus hac parte consimiliter, nisi in synochis appellatis; nam hæ solæ febres, declinationem sensibus apertam non habent, vt nec vniuersum circuitum, nec aliam ex prædictis differentiam; sed qualem tertianarum magnitudinis aliquo tempore statum esse diximus, talem illæ habent vniuersum ferè suum decursum. Si igitur, vt dixi, ex sua ipsarum natura periculo vacant, quæ ad integritatem desinunt, sicut in libris de febribus ostendimus, non aliud Hippocrates intermittere nominauit, quam ad integritatem desinere. Quamobrem meritò quis veterem consuetudinem sequutus, in tertianarum periodis intermissionem, tempus integritatis appellauerit; quemadmodum & in maxima magnitudine moram, quantum nos tactu, ipsique ægrotantes percipimus, vigorem. Ita sanè & ętatum vigor, perfectissimum est, videturque Hippocrates hoc vsus vocabulo, sicut & verbo, intermittere. Sed & primam partem circuitus, quę primo die venit in euersione naturalis status, & tertio, quinto, ac similibus eodem circuitu repetit post intermissionem, principium vocant, non Hippocrates modò, verùm & alii propè omnes medici. Post principium, quod frigore manifestè cognoscitur; secundum tempus erat inæqualitatis; tertium incrementi vsque ad vigorem. Communicantia hæc inter se, specie differre non exactè omnes cõspexerunt; nominantque ex ambobus compositum, tanquam vnum totum, alii Incrementum, alii Augmentum, alii Ascensum accessionis. Ac veri etiã nonnihil dicunt. Nam post primum tempus, quo extremæ partes refrigerantur, sanguis verò in altum confluere clarè perspicitur, aliud tempus est totum huic toti oppositum, quum videlicet calor cum frigore decertat, sanguis in exteriores partes extenditur. Atq; si hoc pacto vnũ ipsum dixerint, quo iam exposuimus, nihil referet hoc tempus vniuersum ascensum appellare; si verò ita vocatum, indiuisum reliquerint, non mediocriter artem lædent. Etenim inæqualitatis in eo tempus primum, aliorum præsidiorum indicationem habet, & non omnino eorundem ac sequens tempus, in quo æqualis quidem totius corporis constitutio est; incrementum verò præsentium in eadem specie ad statum vsque permanentium. Reliqua declinatio tempus vnum est specie sibi simile, nisi quòd

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Εἰς πόσα ὡς τὸ πλεῖστον μέρη οἱ ἐν ταῖς νόσοις καιροὶ διαιρετοὶ, καὶ τίσιν ὀνόμασιν ἕκαστον χρὴ προσαγορεύειν.

ΤΑΣ δ' ἄλλας ἐφεξῆς ἐρῶ, κατὰ τὴν τῆς χρείας τάξιν, ἐπειδὰν πρότερον ὀνόματα θῶ τοῖς εἰρημένοις τῆς τριταίας περιόδου καιροῖς. Ἱπποκράτους γοῦν εἰρηκότος· οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες, διὰ τρίτης ἰσχυροὶ γίνονται, ἐπικίνδυνοι· ὅτῳ δ' ἂν τρόπῳ διαλίπωσι, σημαίνει, ὅτι ἀκίνδυνοι· τὸ διαλιπεῖν οὐκ ἔστιν ἐπ' ἄλλου δέξασθαι μέρους τῆς περιόδου, τὴν ἀπυρεξίαν ὑπερβάντας. οὐ γὰρ δὴ τοῦτό γε φησιν, ὅτῳ δ' ἂν τρόπῳ παρακμάζωσιν, οὐ γὰρ ἀληθὲς τοῦτο. χείριστος γοῦν πυρετῶν ὑπάρχων ὁ ἡμιτριταῖος, ὅμως εἰς παρακμὴν ἀφικνεῖται σαφῆ τοῖς πολλοῖς, καὶ ἐν ἄλλοις ἅπασι κατά γε τοῦτο παραπλησίως, ὅτι μὴ τοῖς συνόχοις ὠνομασμένοις· οὗτοι γὰρ μόνοι πυρετῶν, οὐκ ἔχουσι παρακμὴν αἰσθητήν, ὥσπερ οὐδὲ τὴν ὅλην περίοδον, οὔτε τινὰ ἄλλην διαφορὰν τῶν προειρημένων, ἀλλ' οἵαν ἔφαμεν εἶναι τῶν τριταίων τὴν ἐπὶ τοῦ μεγέθους ἔν τινι χρόνῳ στάσιν, ἐκεῖνοι τοιαύτην ἔχουσιν, ὀλίγου δεῖν, ἅπασαν αὐτῶν τὴν διέξοδον. εἴπερ οὖν, ὡς ἔφην, ἀκίνδυνοι κατά γε τὴν ἑαυτῶν φύσιν εἰσὶν οἱ εἰς ἀπυρεξίαν λήγοντες, ὡς ἐν τοῖς περὶ αὐτῶν λόγοις ἐπεδείξαμεν, οὐκ ἄλλο τι τὸ διαλιπεῖν Ἱπποκράτης ὠνόμασεν, ἢ τὸ λήγειν εἰς ἀπυρεξίαν. ὥστ' εὐλόγως ἄν τις ἑπόμενος τῇ παλαιᾷ συνηθείᾳ, διάλειμμα καλέσειεν ἐν ταῖς τῶν τριταίων περιόδοις, τὸν καιρὸν τῆς ἀπυρεξίας· ὥσπερ γε καὶ τὴν ἐπὶ τοῦ μεγίστου μεγέθους στάσιν, ὡς πρὸς τὴν αἴσθησιν ἡμῶν τῶν ἁπτομένων, αὐτῶν τε τῶν καμνόντων, ἀκμήν. οὕτω γοῦν καὶ ἡ τῶν ἡλικιῶν ἀκμή, τὸ τελεώτατόν ἐστι, καὶ φαίνεται καὶ τούτῳ τῷ ὀνόματι, καθάπερ καὶ τῷ διαλείπειν ὁ Ἱπποκράτης χρώμενος. ἀλλὰ καὶ τὸ πρῶτον μέρος τῆς περιόδου κατά γε τὴν πρώτην ἡμέραν γινόμενον ἐπὶ τῇ μεταπτώσει τοῦ κατὰ φύσιν, ἔν τε τῇ τρίτῃ, καὶ τῇ πέμπτῃ, καὶ τῶν ἀνάλογον, ὡσαύτως περιοδίζον ἐπὶ τῷ διαλείμματι, καλοῦσιν ἀρχήν, οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες ἰατροί. μετὰ δὲ τὴν ἀρχὴν ἐναργῶς γνωριζομένην τῇ ψύξει, δεύτερος ἦν καιρὸς ὁ τῆς ἀνωμαλίας, καὶ τρίτος ὁ τῆς αὐξήσεως, ἄχρι τῆς ἀκμῆς. ἐπικοινωνοῦντας δ' αὐτοὺς ἀλλήλοις, οὐκ ἀκριβῶς ἐθεάσαντο πάντες, ἰδέᾳ διαφέροντας· ὀνομάζουσί τε τὸ συγκείμενον ἐξ ἀμφοῖν, ὡς ἓν ὅλον, οἱ μὲν ἐπίδοσιν, οἱ δ' αὔξησιν, οἱ δ' ἀνάβασιν τοῦ παροξυσμοῦ. καὶ μέντοι καὶ λέγουσιν ἀληθές τι. μετὰ γὰρ τὸν πρῶτον καιρόν, ἐν ᾧ καταψύχεται μὲν τὰ ἐκτός, εἰς δὲ τὸ βάθος ἐναργῶς φαίνεται τὸ αἷμα συῤῥέον, ἕτερός ἐστι καιρὸς ὅλος, ὅλῳ τῷδε κατ' ἀντίθεσιν ὑφιστάμενος, διαμαχομένου μὲν τοῦ θερμοῦ τῇ ψύξει, ἀποτεινομένου δὲ πρὸς τὰ ἐκτὸς τοῦ αἵματος. καὶ εἴ γ' οὕτως αὐτὸν ἕνα λέγοιεν, ὡς εἴρηται νῦν, οὐ διοίσει καλεῖν τοῦτον ὅλον τὸν καιρὸν ἀνάβασιν· εἰ δὲ οὕτω καλέσαντες, ἄτμητον ἐάσειαν, οὐ σμικρὰ βλάψουσι τὴν τέχνην. ὁ γὰρ τῆς ἀνωμαλίας ἐν αὐτῷ καιρὸς ὁ πρῶτος, ἑτέρων ἔνδειξιν ἔχει βοηθημάτων, καὶ οὐ πάντη τῶν αὐτῶν τῷ μετ' αὐτὸν καιρῷ, καθ' ὃν ὁμαλὴς μὲν ἡ τοῦ παντὸς σώματος κατάστασίς ἐστιν, αὔξησις δὲ τῶν ὄντων, ἐπὶ τῆς αὐτῆς ἰδέας μενόντων, ἄχρι τῆς ἀκμῆς· λοιπὴ δὲ ἡ παρακμή, καιρὸς εἷς ἐστιν ὅμοιος ἑαυτῷ κατὰ τὴν ἰδέαν, ὅτι μὴ

τῷ μᾶλλόν τε καὶ ἧττον αὐτοῦ τὰ μόρια διαφέρει. ἀλλὰ τοῦτό γε καὶ τῷ πρώτῳ καιρῷ τῆς ἀρχῆς, καὶ τῷ δευτέρῳ τῷ τῆς ἀνωμαλίας, καὶ ἔτι τῷ τρίτῳ τῆς ἀναβάσεως ὑπάρχει.[14] καὶ γὰρ τούτων ἑκάστῳ διαφορά τις ἐστὶ κατὰ μέρος αἰσθητῶς ὑπαλλαττομένῳ. οὐ γὰρ ὁμοία κατὰ πάντα ἐστὶν ἑκάστου τῶν εἰρημένων καιρῶν ἡ ἀρχὴ τῇ τελευτῇ, διαφέρουσι δ' ἀλλήλων τε καὶ τοῦ μέσου καιροῦ σαφῶς. ἡ γοῦν ἀρχὴ τοῦ παροξυσμοῦ βραχύ τι τῆς κατὰ φύσιν ἀποκεχώρηκε καταστάσεως, ὥσπερ ἡ τελευτὴ πλεῖστον. ὅπου δὲ ταῦτα μεγίσταις διαφοραῖς ἀλλήλων ἀποκεχώρηκε, πάντως δήπου καὶ μέσος τίς ἐστιν αὐτῶν καιρὸς, πλεῖον μὲν τῆς ἀρχῆς, ἀπέχων τοῦ κατὰ φύσιν, ἔλαττον δὲ, τῆς τελευτῆς. οὕτω δὲ καὶ ἡ τῆς ἀνωμαλίας ἀρχὴ, μικρόν τι διαλλάττει τῆς συναπτούσης αὐτῇ τοῦ πρώτου καιροῦ τελευτῆς, ἐπιπλέον δ' ἀφισταμένη, καὶ μέση οὖσα, μεταξύ πως ἵσταται τῇ εἰρημένῃ τοῦ πρώτου καιροῦ τελευτῇ, καὶ τῇ ἀρχῇ τοῦ τρίτου. κατὰ δὲ τὸν αὐτὸν, οἶμαι, λόγον, καὶ ὅσα συνάπτει τοῦ δευτέρου καιροῦ τοῦδε τῆς ἀνωμαλίας, ταῖς ἀρχαῖς τοῦ τρίτου καιροῦ, παραπλησίαν ἐκείνοις ἔχει τὴν κατάστασιν. οὕτω δὲ καὶ τοῦ τρίτου πάλιν αὐτοῦ καιροῦ, τὰ μὲν πρῶτα τῶν ἐσχάτων τοῦ δευτέρου βραχὺ παραλλάττει, τὰ δ' ὕστατα παραπλήσιά πώς ἐστι τῇ τῆς ἀκμῆς ἰδέᾳ, τὸ μέσον δ' ἀμφοῖν ἴσον ἑκατέρων τῶν ἄκρων ἀφέστηκεν. ὥστ' οὐδὲν θαυμαστὸν, ὥσπερ τούτων ἑκάστου τῶν καιρῶν, οὕτω καὶ τῆς παρακμῆς τὸ μὲν ἀρχὴν εἶναι, τὸ δὲ τελευτὴν, τὸ δὲ μεσότητα. καλεῖν δέ γε, εἰ βούλοιτό τις, ἕκαστον αὐτῶν ἰδίᾳ προσηγορίᾳ[15] δυνατόν. ἀκούω γοῦν ἑκάστοτε τῶν ἰατρῶν λεγόντων, ἀπέκλινεν ἀρτίως ἡ ἀκμὴ, νῦν ὑφίησι, νῦν ἐνδίδωσι, νῦν ἀνίεται. εἴπερ οὖν ταῦτα λέγουσιν, οὐκ ἀδύνατον αὐτοῖς τὰ πρῶτα τῆς παρακμῆς ὀνομάζειν ἀπόκλισιν, ἢ ὕφεσιν, ἢ ἔνδοσιν, ἢ ἄνεσιν, ἢ καί τινα τούτων, ἢ καὶ πάντα. καὶ μέντοι καὶ τὰ μέσα καλεῖν ἔξεστιν ὀνόματι τῶν εἰρημένων ἑνὶ, καὶ τελευταῖα, κατὰ τὸν αὐτὸν τρόπον· ὥσπερ καὶ ὁ Ἀρχιγένης λύσιν ὀνομάζει τὸ τελευταῖον τῆς παρακμῆς. ἀλλ' ἐκεῖνος φαύλως γε πράττει, νομίζων αὐτὴν ἕτερον εἶναι καιρὸν ἰδέᾳ τινὶ διαφέροντα τῆς παρακμῆς. ἀμέλει πάντων τῶν μερῶν τῆς ὅλης περιόδου, τὸ μὲν ἀρχὴν ποιούμενος, τὸ δὲ τελευτὴν, τὸ δὲ μέσον· οὕτω καὶ αὐτῆς τῆς ἀνέσεως ποιεῖται τὴν τομὴν, ὡς ἰδίου τινὸς ὄντος καιροῦ τῶν κατὰ τὴν πρώτην διαίρεσιν, οἳ διαφέρουσιν ἀλλήλων ἰδέαις τισὶν, οὐ μόνον τῷ μᾶλλόν τε καὶ ἧττον. ἐν ἀμφοτέροις οὖν ἁμαρτάνει προφανῶς, ἐξαίρων τε τὴν ἀνάβασιν τῆς πρώτης τομῆς, ἣν ἐναργέστερον ἅπαντες οἱ ἄνθρωποι νοοῦσι τῆς ἀρχῆς, καὶ προστιθεὶς τὴν λύσιν ἐν τῷ τέλει τῆς περιόδου. εἰ μὲν γὰρ εἰς ἀπυρεξίαν ἀφικνοῖτο, σαφὴς ἂν εἴη ἡ διαφορὰ τοῦ τοιούτου καιροῦ πρὸς τοὺς ἄλλους ἅπαντας. εἰ δὲ ἐπιλαμβάνοι τὴν παρακμὴν ἡ εἰσβολὴ τοῦ δευτέρου παροξυσμοῦ τριχῆ τμηθεῖσα, ἐν τῷδε τὸ τῆς ὅλης παρακμῆς μέρος ἔξεστι καλεῖν λύσιν, οὐ μὴν ἄλλον γέ τινα νομίζειν εἶναι καιρὸν ἰδίᾳ τινὶ φύσει χαρακτηριζόμενον, ὥσπερ τοὺς ἔμπροσθεν εἰρημένους. ὅτι μὲν οὖν ἔξεστι, τὰ πάντα μέρη τῆς τριταίας περιόδου σαφέσι διαφοραῖς ἀλλήλων ὁρᾶν χωριζόμενα, πρόδηλον παντὶ τῷ θεασαμένῳ κἂν ἕνα τινὰ τῶν οὕτω καμνόντων ἀρρώστων. εἰ δέ τινες αὐτῶν ἀνονόμαστοι, πρὸς μὲν τοὺς ἐριστικοὺς ἐροῦμεν, καιρὸς πρῶτος, καὶ δεύτερος, καὶ τρίτος, καὶ τέταρτος, καὶ πέμπτος, εἶθ' ἕκτος, ὁ τῆς ἀπυρεξίας· πρὸς δὲ τοὺς[16] εἰδότας ὀνομάτων χρῆσιν, αὐτοὶ συντιθέμενοι τὰ ἐπιτήδεια. καὶ τῷ μὲν πρώτῳ καιρῷ, τὸ τῆς ἀρχῆς ἴδιον

maioris minorisque ratione partes ipsæ differunt. At hoc etiam in primo principii tempore, & secundo inæqualitatis, atque etiam tertio ascensus, adest; siquidē vnicuique horum, dum sensibiliter immutatur, particularis quædam est differentia. Non enim cuiusque dicti temporis principium fini omino est simile, sed differunt inter se, & à medio manifestè. Principium enim accessionis paululum à naturali constitutione recessit, sicut finis plurimum. Quum verò hæc maximis differentiis inter se dissideant, mediū planè tempus ipsorum aliquod est, magis quidem quàm principium à naturali statu remotum; minus autem quam finis. Sic inæqualitatis etiam initium à cohærente ipsi primi temporis fine paululum variat: plus autem recedens, mediúmque existens, inter prædictum primi temporis finem, & tertii principium quodammodo consistit. Eadem opinor ratione & quæ secundi huius temporis inæqualitatis partes cohærent principiis tertii temporis, constitutionem illis assimilem obtinent. Sic & tertii rursus temporis prima, à secundi postremis parum dissident; postrema verò, status formæ quodāmodo similia sunt; medium amborum æquè ab vtrisque extremis recessit. Quapropter mirum nihil est, si vt his temporibus singulis, ita declinationi quoque aliud principium, aliud finis, aliud medium sit. Atque vnumquodque horum propria appellatione donare siquis velit, potest. Audio enim frequenter medicos dicentes, inclinauit nunc status, nunc relaxatur, nūc decrescit, nūc remittit. Si igitur hæc dicunt, integrum est eis primas declinationis partes nominare inclinationem, vel relaxationem, vel decrementum, vel remissionem, vel horum aliqua, vel omnia; quinetiam licet aliquo prædictorum nomine media nuncupare, vt & postrema; quemadmodum Archigenes quoque declinationis postremum, remissionem nominat. Verùm ille perperam facit, quòd eam à declinatione specie quadā differre existimet. Quum videlicet omniū partium totius circuitus aliam principium, aliam finem, aliam medium faciat; sic quoque remissionem ipsam diuidit, tanquàm proprium quoddam tempus ex prima eorum diuisione, quæ speciebus quibusdam, non solùm maioris minorisque ratione differunt. In vtroq; igitur clarè peccat, tum augmentum ex prima diuisione tollens, quod omnes homines manifestiùs, quam principium, intelligunt; tum adiiciens remissionem in circuitus fine. Si nanque ad integritatem veniat, manifesta huiusmodi temporis à cæteris erit differentia; si verò secundæ accessionis insultus trifariam diuisus, declinationem excipit, tum quidem totius declinationis partem remissionem vocare licet, non tamen aliud quoddam esse tempus putare propriâ naturâ insignitum, quemadmodum priùs dicta. Quòd igitur omnes tertiani circuitus partes manifestis à se differentiis separatas videre liceat, nemo ignorat, qui vel vnum hoc morbo laborantem ægrum conspexerit; si verò nonnulla eorum nomine careant, apud contentiosos dicemus, tempus primum, secundum, tertium, quartum, quintum, deinde integritatis sextum, apud eos autem, qui nominum vsum sciunt, ipsi componētes idonea. Ac primo quidem tempori proprium principii nomen imponatur,

imponatur; secundo inæqualitatis; tertio incrementi; quarto status; & quinto declinationis; sextum, quod integritatis est, intermissio nominetur.

CAPVT VI.

Circuitus morbi in duas partes diuisio.

Licet & alio quodam modo totum circuitum in maiores partes diuidere, siquidem in duas ipsum totum licet diuidere; vnam primę accessionis, à primo insultu ad extremam vsque remissionem; alteram inter declinationem, & secundæ accessionis insultum. Voco iam insultum accessionis, tempus omnino iam primum latitudinis expers; hoc ipsum significationē nominare consueuerunt. Et quod ab Hippocrate dictum est, *in accessionibus abstinendum*, secundum hanc diuisionē pronunciatum existimo. Quum enim prædixisset, *Quibus statim vigor adest, iis statim tenuem victum adhibendum; quibus postea vigor aduenit, iis in illo ipso & ante illum, tenuiter viuendum, antea verò plenius nutriri oportere, vt æger sufficiat*; subdidit, *In accessionibus abstinendum*, docens nos videlicet, solum illud tempus quod accessionem vocat, obseruandum esse. Nunquam enim in hoc nutrimus, verùm in reliquo omni tempore remissionis, interdum in alia atque alia eius parte; quia ex simplici interdum declinatione, interdum ex declinatione & intermissione compositum est. Hæc quidem vnius circuitus in duas partes est diuisio, vt alteram eius partem, primam accessionem appellemus; secundam, vel remissionem, vt paulò antè, vel vt quidam, intermissionem. Nam intermissionem non pauci medici quicquid interualli post statum est, qualicunque natura præditum, nominant; siue id ad integritatem veniat, siue non; verùm nos appellationes prædictas obseruabimus, ne vlla sermoni obscuritas accedat; vocabimusque omne id quod accessionem sequitur, remissionem. Sed neque prohibemus, vt dictum est, siquis ipsum totum nominet intermissionem, vel declinationem, vel decrementum, vel remissionem, vel ablationem. Instituimus enim non de verbis disceptare, sed circuitus partes inspicere, quot numero sint, & quomodo inter se differant.

CAPVT VII.

De temporibus simplicium febrium, quæ non intermittunt.

HÆc igitur est diuisio omnium febrium ad integritatem desinentium, quotidianarum, tertianarū, quartanarum; vt quæ sex partes speciebus manifestis diuersas habeant: alia verò non itermittentium, quæ in quinque partes diducuntur. Sunt autem & hæ permultæ, nonnullæ quæ quotidie exacerbantur; quædam quæ tertio quôque die; non tamen quæ quarto, frequenter, sed rarò euenire videntur; plurimum enim earum genus ad integritatem desinit. Atque duplex harum quoque species est, quæ ad integritatem non finiunt, quotidianarum, tertianarum, quartanarum. Quædam enim magnitudinem pulsus, & celeritatem, & densi-

ὄνομα κείσθω· τῷ δὲ δευτέρῳ, τὸ τῆς ἀνωμαλίας· τῷ δὲ τρίτῳ, τὸ τῆς ἀναβάσεως· καὶ τῷ τετάρτῳ, τὸ τῆς ἀκμῆς· καὶ τῷ πέμπτῳ, τὸ τῆς παρακμῆς· ὁ δὲ ἕκτος, ὁ τῆς ἀπυρεξίας, διάλειμμα προσαγορευέσθω.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Τῆς τοῦ νοσήματος περιόδου εἰς δύο μέρη τομή.

ΕΞεστι δὲ καὶ κατ' ἄλλον τινὰ τρόπον, εἰς μείζω μέρη διελεῖν ὅλην τὴν περίοδον, εἴπερ (γὰρ) εἰς δύο δυνατὸν αὐτὴν ὅλην διελεῖν, ἓν μὲν τὸ τοῦ πρώτου παροξυσμοῦ ποιοῦντας, ἀπὸ τῆς πρώτης εἰσβολῆς ἄχρι τῆς ἐσχάτης ἀνέσεως· τὸ δὲ (μετὰ) μεταξὺ (ἐστὶ) τῆς παρακμῆς καὶ τῆς εἰσβολῆς τοῦ δευτέρου παροξυσμοῦ. καλῶ δὲ εἰσβολὴν παροξυσμοῦ, τὸν ἀκριβῶς ἤδη πρῶτον χρόνον ἀπλατῆ, ὃν δ' αὐτὸν τοῦτον ἐπισημασίαν εἰώθασιν ὀνομάζειν. καὶ τό γε πρὸς Ἱπποκράτους εἰρημένον ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι· κατὰ ταύτην ἡγοῦμαι λελέχθαι τὴν τομήν. προειπὼν γὰρ, ὡς προσήκει, οἷς μὲν αὐτίκα ἡ ἀκμή, αὐτίκα λεπτῶς διαιτᾶν, οἷς δ' ὕστερον, εἰς ἐκεῖνο μὲν καὶ πρὸ ἐκείνου λεπτῶς, ἔμπροσθεν δὲ πιότερον διαιτᾶν, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων, ἐπήνεγκεν· ἐν δὲ τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή· διδάσκων ἡμᾶς δηλονότι μόνον ἐκεῖνον τὸν καιρὸν φυλάττεσθαι, τὸν ὑπ' αὐτοῦ καλούμενον παροξυσμόν. οὐδέποτε γὰρ ἐν αὐτῷ τρέφομεν, ἐν δὲ τῷ λοιπῷ παντὶ τῆς ἀνέσεως, ἄλλοτε κατ' ἄλλο μόριον αὐτοῦ· ποτὲ μὲν γὰρ ἁπλοῦς ἐστιν ἐκ παρακμῆς μόνον ὑπάρχων, ἐνίοτε δὲ ἐκ παρακμῆς καὶ διαλείμματος σύγκειται. αὕτη μὲν ἐστιν ἡ εἰς δύο μέρη τομὴ τῆς μιᾶς περιόδου, τὸ μὲν ἕτερον μέρος αὐτῆς τὸ πρότερον, ὀνομαζόντων ἡμῶν παροξυσμόν, τὸ δὲ ἐπ' αὐτῷ δεύτερον, ἤτοι γε ἄνεσιν, ὡς ἀρτίως, ἢ ὡς ἔνιοι, διάλειμμα. διάλειμμα γὰρ καλοῦσιν οὐκ ὀλίγοι τῶν ἰατρῶν, τὸ μετὰ τὴν ἀκμὴν ἅπαν, ὅπως ἂν ἔχῃ φύσεως, εἴτ' οὖν εἰς ἀπυρεξίαν παυόμενον, εἴτε καὶ μή. ἀλλ' ἡμῖν γε φυλαττέσθωσαν αἱ προειρημέναι κλήσεις, ὑπὲρ τοῦ μηδεμίαν ἀσάφειαν γίνεσθαι κατὰ τὸν λόγον, καὶ προσαγορευέσθω τὸ μετὰ τὸν παροξυσμὸν ἅπαν, ἄνεσις, οὐ κωλυόντων ἡμῶν, ὡς ἔφην, εἰ καὶ διάλειμμά τις αὐτὸ καλεῖν ὅλον, ἢ παρακμήν, ἢ ἔνδοσιν, ἢ ὕφεσιν, ἢ ἀφαίρεσιν ἐθέλοι. πρόκειται γὰρ οὐ περὶ τῶν ὀνομάτων ζυγομαχεῖν, ἀλλὰ τὰ μέρη τῆς περιόδου σκοπεῖν, ὁπόσα τε τὸν ἀριθμόν ἐστι, καὶ ὅπῃ διενηνόχεν ἀλλήλων.

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Περὶ τῶν καιρῶν τῶν ἁπλῶν πυρετῶν τῶν μὴ διαλειπόντων.

ΑΥτη μὲν οὖν ἡ τομὴ τῶν εἰς ἀπυρεξίαν ληγόντων ἁπάντων ἐστὶ πυρετῶν, ἀμφημερινῶν, τριταίων, τεταρταίων, ὡς ἓξ ἐχόντων τὰ μέρη διαφέροντα ἀλλήλων ἰδέαις εὐσήμοις· ἕτερα δὲ, τῶν μὴ διαλειπόντων, εἰς πέντε μέρη διαιρουμένων. εἰσὶ δὲ καὶ οὗτοι πάμπολλοι, τινὲς μὲν ἑκάστης ἡμέρας παροξυνόμενοι, τινὲς δὲ διὰ τρίτης· οὐ μὴν οἵγε διὰ τετάρτης πολλάκις, ἀλλ' ἐν τῷ σπανίῳ, φαίνονται γινόμενοι· τὸ πλεῖστον γὰρ αὐτῶν γένος, εἰς ἀπυρεξίαν παύεται. διττὴ δὲ καὶ τούτων ἐστὶν ἡ ἰδέα τῶν εἰς ἀπυρεξίαν μὴ παυομένων, ἀμφημερινῶν, τριταίων, τεταρταίων. ἔνιοι μὲν γὰρ αὐτῶν καὶ τὸ μέγεθος ἀποτίθενται τοῦ σφυγμοῦ, καὶ τὸ τάχος, καὶ τὴν πυκνότητα,

καὶ τὴν σκληρότητα· τινὲς δὲ, τὰ μὲν ἄλλα τρία πρὸς τὸ κατὰ φύσιν ἐπανάγουσι, φυλάττουσι δὲ τὴν ταχύτητα, οἱ μὲν πλέον, οἱ δὲ ἧττον. ἀλλ' οὐ γὰρ τοῦ παρόντος λόγου περὶ ἐκείνων διῃρῆσθαι, πρόκειται γὰρ ἐξαριθμῆσαι τὰ μόρια τῆς περιόδου, καθ' ἕκαστον γένος νοσήματος. εἰρηκότες οὖν ὀλίγον ἔμπροσθεν, ὡς ἓξ εἰσὶ τὰ πάντα κατὰ τοὺς διαλείποντας πυρετοὺς, ἑξῆς διερχόμεθα τὰ μέρη τῶν μὴ διαλειπόντων, πέντε εἶναι λέγοντες, ὅτι δὴ τὰ μὲν ἄλλα παραπλησίως αὖθις ὑπάρχει, μόνον δὲ λείπει τὸ τῆς ἀπυρεξίας. ἡ δ' ἐν τοῖς ἄλλοις μέρεσιν ὁμοιότης ἐξ ἀνάγκης ἐστὶ, τὸ τῆς εἰσβολῆς τῶν παροξυσμῶν μετὰ συστολῆς γίγνεσθαι (ὀνομάζω δ' οὕτω τὸ μετὰ τοῦ ψύχεσθαι, τούτῳ γὰρ ἕπεται [18] κατὰ τοὺς σφυγμοὺς [19] εἴσω μᾶλλον κινεῖσθαι μετὰ μικρότητος, ἀποχωροῦντος εἰς τὰ σπλάγχνα τοῦ αἵματος) ᾧ πάλιν ἐξ ἀνάγκης ἕπεται τὸ τῆς ἀνωμαλίας, εἶθ' ἑξῆς τὸ τῆς ἀναβάσεως, ἀκμῆς τε καὶ παρακμῆς. ἐφ' ὧν μέντοι χωρὶς αἰσθητῆς συστολῆς εἰσβολὴ γίγνεται παροξυσμοῦ, τοὺς τρεῖς καιροὺς εἰς ἕνα μετανίπτειν ἀναγκαῖόν ἐστι, καὶ γίγνεσθαι τὸ σύμπαν μέχρι τῆς ἀκμῆς, ἀνάβασιν. ὅπου γὰρ οὐκ ἐγένετο συστολὴ, δῆλον ὡς οὐδ' ἀνωμαλία. τὴν δ' ἀκμὴν οὐδέποτε εἶδον ἀπολείπουσαν, ἀλλ' ἀεὶ διαμένουσαν αἰσθητὴν ἰσότητα κατὰ πάντας τοὺς πυρετοὺς ἐπί τινα χρόνον· εἰσβολὴν μέντοι μυριάκις ἐθεασάμην ἄνευ τῶν εἰρημένων τῆς ἀρχῆς συμπτωμάτων, ὧν τὸ μὲν κυριώτατον ἦν ἁπάσαις ὀλίγου δεῖν ταῖς ἀρχαῖς ἡ ψύξις συνοῦσα τῶν παροξυσμῶν, ὥσπερ καὶ ἡ ἐπὶ τὰ ἔσω τῶν ἀρτηριῶν κίνησις, ὑπὲρ ἧς εἴρηται μὲν ἐπὶ πλέον ἐν τῇ περὶ τῶν σφυγμῶν πραγματείᾳ, κατὰ δὲ τὸν ἐνεστῶτα λόγον ἀρκεῖ τῷ τάχει τῆς συστολῆς ἀφορίζειν αὐτήν. ὅσα δ' ἄλλα συμπτώματά τε καὶ σημεῖα τῆς ἀρχῆς τῶν παροξυσμῶν ἐστιν ἴδια, προείρηται τὰ μὲν ἐπιγινόμενα τῇ περιψύξει, τὰ δ' ἄλλα ἄλλως συμβαίνειν· σμικρότης μὲν τῶν σφυγμῶν, καὶ ἀραιότης καὶ βραδυτὴς διαστολῆς ἐπὶ τῇ καταψύξει, ῥῖγος δ' ἐπ' ἄλλαις προφάσεσιν, ἃς ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις εἴπομεν. ἀλλ' ὅλον τὸ γένος τοῦτο τῶν παροξυσμῶν, παντάπασιν, ὡς ἔφην, ἀπόλλυται· καὶ πολλοὺς πολλάκις ἡμεῖς ἐκωλύσαμεν ὑπὸ τῶν θαυμαστῶν τούτων ἰατρῶν ἤτοι γ' ἐπὶ τὸ λουτρὸν πεμφθέντας, ἢ τροφὴν προσενέγκασθαι κελευσθέντας, ὡς ὑπερβεβηκότας ἤδη τὰς ὑπόπτους ὥρας τοῦ παροξυσμοῦ. συμβαίνει δ' αὐτοῖς ἀγνοοῦντας ἀκριβῶς ἅπτεσθαι τῆς ἀρτηρίας, ἐν τοῖς τοιούτοις σφάλμασι καθίστασθαι. ἅπασι γὰρ τοῖς οὕτω παροξυνομένοις ἡ συστολὴ θάττων γίγνεται· γνωρίζειν δ' αὐτὴν, οὐ παντός ἐστιν, ἀλλὰ δεῖται μάλιστα τοῦτο τὸ ἔργον, εἴπερ τι καὶ ἄλλο τῆς τέχνης, ἀσκήσεως ἱκανῆς, ἣν οὐχ οἷόν τε ποιήσασθαι, πρὶν γνωσθῆναι τὸν εἰρημένον ὑφ' ἡμῶν τρόπον ἐν τῷ πρώτῳ τῆς διαγνώσεως τῶν σφυγμῶν. εἰ μὲν οὖν τις εἴη γνωριστικὸς τῆς συστολῆς τῶν ἀρτηριῶν, ἐγχωρεῖ τούτῳ τίθεσθαι οὕτως αὐτὸ τὸ μέρος τοῦ παροξυσμοῦ, καθ' ὃ τὴν συστολὴν ὠκυτέραν ἐγνώρισε γεγενημένην ἄνευ τῆς διαστολῆς, ἀρχὴν τῆς περιόδου· τὸ δ' ἐφεξῆς τῷδε ἐπανάβασιν, ἄχρι τῆς ἀκμῆς. εἰ δὲ μὴ γνωρίζοι μηδὲ τοῦτο, φαίνοιτο δὲ ἀθλίπτως αὐτῷ παντοίως ἡ εἰσβολὴ γεγενημένη, τὸ μέχρι τῆς ἀκμῆς μέρος τοῦ παροξυσμοῦ πᾶν ἐπανάβασιν, ἢ ἐπίδοσιν, ἢ αὔξησιν ὀνομάσει· τέμνων δ' αὐτὴν εἰς πρῶτα, καὶ τελευταῖα, καὶ μέσα κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον, οὐκ εἴδεσι διαφόροις, ὡς ἔμπροσθεν ἔλεγον ἐπὶ τῶν αἰσθητῶν περιψύξεων. ἐν τοῖς τοιούτοις οὖν πυρετοῖς οἱ πάντες ἔσονται καιροὶ τρεῖς, αὔξησις, ἀκμὴ, μείωσις· οὐδὲν γὰρ χεῖρον οὐδὲ μείωσιν ὀνομάζειν τὸν καιρὸν ἐκεῖνον, ἐν ᾧ τοῦ μεγέθους ἀφαιρεῖταί τι τοῦ πυρετοῦ. ἐν ὅσοις δ' οὐκ ἔστι περίοδος, οἷοί εἰσι καὶ τοῖς συνόχοις ὀνομαζομένοις, τούτοις τοῖς πυρετοῖς οὔτε παροξυσμὸς ὅλως

tatem & duritiem deponunt; quædam alia quidem tria ad naturalem ſtatum deducunt, ſeruant autem celeritatem, hæ magis, illæ minus. At non eſt præſentis ſermonis, illarum diſtinctionem proponere; partes enim circuitus in vnoquoque morbi genere enumerare propoſuimus. Igitur quum paulò antè ſex in febribus intermittentibus eſſe dixerimus, deinceps non intermittentium partes referemus, quinque eſſe dicentes, quum aliæ ſimiliter ipſis ſe habet, ſola autem integritatis pars deficit. In aliis autem partibus ſimilitudo hæc neceſſariò eſt, vt acceſſionum inſultus cum ſyſtole fiat (Nomino autem ſic, cum frigore; nam hinc ſequitur in pulſu intrò magis moueri, cum paruitate, ſanguine in viſcera ſe recipiente) quem rurſus inæqualitas ex neceſſitate ſequitur; inde incrementum, ſtatus, & declinatio. In quibus tamen citra ſenſibilem ſyſtolen, acceſſionis inſultus accidit, tria tempora in vnum recidere neceſſe eſt, totumque vſque ad ſtatum, incrementum fieri; nam vbi ſyſtole non fuit, ibi planè nec inæqualitas. Statum verò nunquam deficere vidi, ſed ſemper ſenſibilem æqualitatem in omnibus febribus aliquandiu permanentem; at inſultum ſexcenties ſine prædictis principii ſymptomatis conſpexi, quorum præcipuum erat omnibus fere principiis acceſſionum comes perfrictio; quemadmodum ad interiora arteriarum motus; de quo in opere de pulſibus fuſiùs dictum eſt, in præſenti libro ipſum ſyſtoles celeritate definire ſufficit. Quæ verò alia ſymptomata ſignáque acceſſionum principio propria ſunt, alia frigori ſuperuenire, alia aliter accidere prædicta ſunt; paruitas ſiquidem pulſuum, raritas & tarditas diaſtoles, frigori; rigor aliis occaſionibus, quas in ſymptomatum cauſis expoſuimus. At vniuerſum hoc acceſſionis genus omnino, ſicut dixi, perit; & nos multos frequenter à mirãdis illis medicis, vel in balneum miſſos, vel cibum aſſumere iuſſos, tanquam ſuſpectas iam horas acceſſionis prætergreſſos, prohibuimus. Contingit autem ipſis, quod arteriam exactè tangere ignorent, huiuſmodi errores committere. Omnibus enim quibus talis acceſſio euenit, ſyſtole velocior redditur, quam cognoſcere non cuiuſuis eſt, ſed exercitationem magnam hoc opus, ſiquod aliud in arte, deſiderat. Hanc autem conſequi nemo poteſt, priùs quàm eo modo, quem in primo de pulſuum dignotione præſcripſimus, inſtitutus ſit. Siquis igitur arteriarum ſyſtolen nouerit, hanc ipſe acceſſionis partem, qua ſyſtolen velociorem factam ſine diaſtole deprehendit, circuitus initium poteſt ſtatuere; quæ verò ſequitur hanc, incrementum, ad ſtatum vſque. At ſi hanc quoque ignoret, videatur autem inſultus æquabiliter omnino factus, totam acceſſionis partem vſque ad ſtatum, aſcenſum, vel incrementum, vel augmentum nominabit; ſecans ipſam in prima, & poſtrema, & media, pro maioris minoriſque ratione, non ſpeciebus diuerſis, vt priùs dicebam in frigore ſenſibili. In huiuſmodi igitur febribus vniuerſa tempora tria erunt, incrementum, ſtatus, imminutio. Nihil enim mali eſt imminutionem illud tempus vocare, in quo ex febris magnitudine quippiam demitur. Quibus verò circuitus non eſt, vt ſynochis nominatis, neque acceſſio quædam omnino eſt, neque prædictæ

dictæ partes; attamen hæ quoque secundum diuersa tempora totius morbi partes habent, aliis modis innotescentes, quàm per accessionum tempora; quæ paulò post subiiciam; & hoc nomine potissimùm, quòd omnes medici in ipsis errent; quanuis Hippocrates rectissimè ea docuerit.

τίς ἐστιν, οὔτε τὰ προειρημένα μέρη, τὰ μέντοι τῆς ὅλης νόσου μόρια, κατὰ διαφέροντας χρόνους καὶ τούτοις ἐστὶν, ἑτέροις τρόποις διαγινωσκόμενα παρὰ τοὺς ἐν τοῖς παροξυσμοῖς καιροὺς, οὓς ὀλίγον ὕστερον ἐρῶ, καὶ μάλιστα ὅτι σφάλλονται πάντες ἐν αὐτοῖς ἰατροὶ, καίτοι γε Ἱπποκράτους ὀρθότατα διδάξαντος περὶ αὐτῶν.

CAPVT VIII.

De Semitertianæ, & reliquarum febrium, quæ tertio die faciunt accessionem, temporibus.

At nunc ad eas, quæ circuitu quodam accessionem habent, sermonem referamus, totum id, quod inconsideratum reliquimus, distinguentes. Vnum autem & primum memoriâ teneri volo, *nempe* vniuersum à principio huc vsque sermonem de simplicibus periodis nobis fuisse. Nam in complexis tempus vigorem sequens interdum arctius redditur, dum alterius accessionis significatio, antequam prior circuitus adamussim absolutus sit, inuadit. Frequenter etiam ex sua ipsius natura febris de intermittentium genere est, vt tertiana; complicatio autem nullum integritatis tempus priori circuitui relinquit, dum secunda accessio, antequam prior absoluatur, inuadit. Dictum est mihi de huiusmodi complicationibus in duobus commentariis, de crisibus, & de febrium differentiis; vbi etiam implicationem à mixtione distinximus. Itaque semitertiana ex mixtione & temperamento quotidianæ & tertianæ febris fieri demonstrata est. Sæpe etiam semitertianæ simplex vna febris implicatur, vel tertiana vel quotidiana; at huiusmodi varietas præsentis operis non est propria; satis enim hîc est, propria singularum febrium tempora diligenter explicare; etenim implicationem earum promptè discernere ita maximè nobis erit. Exactè igitur simplices, prius dictæ sunt; de mixtis deinceps disseram. Itaque cum horrore insultus aliquando oboritur omnes principii peculiares notas habens, præter rigorem; interdum & huius speciem; etenim vehemens horror, vel initium aliquod rigoris, vel paruus rigor esse videri potest; at exactum rigorem, qualis in tertianis quartanisque est, huiusmodi febris non accipit. Atque ob hoc ipsam horridam appello; & multò magis, quia vbi signa quædam secundi temporis præmonstrauerit, initium rursus alterius inuasionis horrificum efficit, quod nonnulli repetitionem, alii reduplicationem appellant. Aliquando hoc secundò, quibusdam tertiò facit; deinde vix æqualiter expanditur ad vsque statum increscens. Hæc febris ad integritatem nunquam desinit, nam permultum temporis vsque ad vigorem ipsa habet, item declinationem sine perspiratu sensili; multò verò magis abest, vt cum sudore ad integritatem accedat. Quemadmodum igitur à primo insultu accessio ad vigorem vsque multo tempore peruenit, eodem modo à vigore paulatim diminuitur; ideóque postridie altera ipsis accessio cum horrore quidem similiter aduenit, sed quæ non item vt prior, repetitiones habeat; aut si quando rarò habuerit, vnam duntaxat faciat, breuem & exiguam. Hæc autem etiam accessio ad vigorem longo tempore ascendit, nec exiguo pariter

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῶν ἐν τῷ ἡμιτριταίῳ καὶ τοῖς ὑπολοίποις πυρετοῖς, τοῖς διὰ τρίτης παροξυνομένοις, καιρῶν.

Ἀλλὰ νῦν ἐπὶ τοὺς κατὰ περίοδόν τινα παροξυνομένους ἐπανέλθωμεν τῷ λόγῳ, πᾶν ὅσον ὑπόλοιπον ἐν αὐτοῖς ἄσκεπτον ἀφεῖται διοριοῦντες. ἑνὸς μὲν δὴ καὶ πρώτου μεμνῆσθαι κελεύω, τοῦ γεγονέναι τὸν λόγον ἡμῖν ἅπαντα τὸν ἀπ' ἀρχῆς ἄχρι δεῦρο, περὶ τῶν ἁπλῶν περιόδων. ἐν γὰρ ταῖς ἐπιπεπλεγμέναις ὁ μετὰ τὴν ἀκμὴν καιρὸς ἐνίοτε στενοῦται, φθανούσης εἰσβάλλειν ἐπισημασίας ἑτέρου παροξυσμοῦ, πρὶν τὴν προτέραν περίοδον ἀκριβῶς πληρωθῆναι, καὶ πολλάκις γε κατὰ μὲν τὴν ἑαυτοῦ φύσιν ὁ πυρετὸς, ἐκ τῶν διαλειπόντων ἐστὶ γενῶν, ὥσπερ ὁ τριταῖος, ἡ δ' ἐπιπλοκὴ, χρόνον ἀπυρεξίας οὐδένα καταλείπει τῇ προτέρᾳ περιόδῳ, φθάσαντος εἰσβάλλειν τοῦ δευτέρου παροξυσμοῦ, πρὶν ἀπολυθῆναι τὸν πρότερον. εἴρηται δέ μοι περὶ τῶν τοιούτων ἐπιπλοκῶν, ἐν δύο πραγματείαις, τῇ τε περὶ κρίσεων καὶ τῇ περὶ διαφορᾶς τῶν πυρετῶν, ἔνθα καὶ διώρισται μίξις ἐπιπλοκῆς. ὁ γοῦν ἡμιτριταῖος, ἐκ μίξεώς τε καὶ κράσεως ἐδείχθη γιγνόμενος, ἀμφημερινοῦ τε καὶ τριταίου πυρετοῦ. πολλάκις δὲ καὶ αὐτῷ τῷ ἡμιτριταίῳ τῶν ἁπλῶν εἷς ἐπιπλέκεται πυρετῶν, ἢ τριταῖος, ἢ ἀμφημερινὸς, ἀλλ' οὐκ ἔστιν ἡ τοιαύτη ποικιλία τῆς ἐνεστώσης οἰκεία πραγματείας, ἀρκεῖ γὰρ ἐνταῦθα τοὺς ἰδίους ἑκάστου τῶν πυρετῶν καιροὺς ἀκριβῶς διορισθῆναι, τὸ γὰρ συμπλεκόμενον αὐτῶν ἑτοίμως δυνάσεται διακρίνειν, οὕτως ἂν ἡμῖν μάλιστα ὑπάρξειεν. οἱ μὲν οὖν ἀκριβῶς ἁπλοῖ προείρηνται, περὶ δὲ τῶν ἐπιμίκτων ἑξῆς ἐρῶ. γίγνεται τοίνυν ἐνίοτε φρικώδης εἰσβολὴ, τὰ τῆς ἀρχῆς ἴδια γνωρίσματα πάντα ἔχουσα, πλὴν ῥίγους, ἔστι δ' ὅτε καὶ τούτου τὴν ἔμφασιν· ἡ γάρ τοι σφοδρὰ φρίκη δόξειεν ἂν ἤτοι γε ἀρχή τις εἶναι ῥίγους, ἢ μικρὸν ῥῖγος, ἀλλὰ τό γε ἀκριβὲς ῥῖγος, οἷον ἐν τριταίοις τε καὶ τεταρταίοις πυρετοῖς ἐστιν, ὁ τοιοῦτος μὴ λαμβάνει, καὶ διὰ τοῦτο οὕτως αὐτὸν ὀνομάζω φρικώδη· καὶ πολύ γε μᾶλλον ὅτι προδείξας τινὰ σημεῖα τοῦ δευτέρου καιροῦ, πάλιν ἀρχὴν ἑτέρας εἰσβολῆς ἐργάζεται φρικώδη, ὃ καλοῦσιν ἔνιοι μὲν ἐπανάληψιν, ἔνιοι δ' ἐπαναδίπλωσιν· ἔστιν ὅτε δὲ καὶ δεύτερον ἐργάζεται τοῦτο, καί τισιν ἐνίοτε καὶ τρίτον, εἶτα μόγις ὕστερον ὁμαλῶς ἐξαπλοῦται μέχρι τῆς ἀκμῆς ἀναβαίνων. οὗτος ὁ πυρετὸς εἰς ἀπυρεξίαν οὐδέποτε παύεται. ὅ, τε γὰρ ἄχρι τῆς ἀκμῆς αὐτῷ χρόνος ὑπάρχει πάμπολυς, ἥ τε παρακμὴ, χωρὶς αἰσθητῆς διαπνοῆς· πολὺ δὲ δὴ μᾶλλον ἀποδεῖ τοῦ μεθ' ἱδρῶτος εἰς ἀπυρεξίαν ἰέναι. ὥσπερ οὖν ὁ ἀπὸ τῆς πρώτης εἰσβολῆς παροξυσμὸς ἄχρι τῆς ἀκμῆς, ἐν πολλῷ χρόνῳ παραγίγνεται, κατὰ τὸν αὐτὸν τρόπον ἀπὸ τῆς ἀκμῆς κατὰ βραχὺ μειοῦται. καὶ τοίνυν ἐπὶ τῆς ὑστεραίας ἕτερος αὖθις ἐπιγίνεται παροξυσμὸς, φρικώδης μὲν ὁμοίως, ἀλλ' οὐκ ἔχων τὰς ἐπαναλήψεις ὡσαύτως τῷ πρόσθεν, ἢ εἴ ποτε κατὰ τὸ σπάνιον σχοίη, μίαν ποιήσαιτο μόνην, ὀλιγοχρόνιόν τε καὶ σμικράν. ἀναβαίνει δὲ καὶ οὗτος ὁ παροξυσμὸς ἐπὶ τὴν ἀκμὴν ἐν χρόνῳ πολλῷ, καὶ παρακμάζει ὡσαύτως ἐν οὐκ ὀλίγῳ χρόνῳ,

καὶ διὰ τοῦτ' αὖθις ἐπὶ τῆς τρίτης ἡμέρας ὁ αὐτὸς τῷ κατὰ τὴν προτέραν ἐκδέχεται παροξυσμός, εἶτ' αὖθις ὁ κατὰ τὴν τετάρτην ὁ αὐτὸς τῷ κατὰ τὴν δευτέραν, καὶ τοῦτο ἐφεξῆς ἀεί. τοῦτον ἐγὼ τὸν πυρετὸν ἕνεκα συντόμου καὶ σαφοῦς διδασκαλίας, ἑνὶ προσαγορεύειν βουλόμενος ὀνόματι, τέθεικα καὶ αὐτοῦ κλῆσιν ἡμιτριταῖον. εἰ μὲν οὖν καὶ Ἱπποκράτης τὸν τοιοῦτον πυρετὸν ἡμιτριταῖον ἐκάλει, καθάπερ ἐγὼ πείθομαι, δύο ἂν ἐκ τοῦ λόγου κερδαίνοις, ὅτι τε πρᾶγμα μανθάνεις ἰατρικὸν, ὅτι τε τοὔνομα παλαιὸν ἐπιφέρεις αὐτῷ. εἰ δ' ἡγεῖταί τις, ἕτερόν τινα πυρετὸν ὑφ' Ἱπποκράτους ἡμιτριταῖον καλεῖσθαι, σφάλλεσθαί με νομίσας ἐν τῇ προσηγορίᾳ, τὸ πρᾶγμα αὐτὸ μανθανέτω. ὅτι γὰρ καὶ τοιοῦτός τις γίνεται πυρετὸς, ὁποῖον εἶπον, οὐκέτ' ἐν τῷδε μάρτυρος οὔθ' Ἱπποκράτους, οὔτε ἄλλου τινὸς ὁ λόγος χρήζει, μόνον οὐ καθ' ἑκάστην ἡμέραν ὁρώντων ἡμῶν αὐτὸν, καὶ μάλιστ' ἐν Ῥώμῃ. ὥσπερ γὰρ ἐν ἄλλοις ἄλλα χωρίοις, οὕτως ἐν τῇδε τῇ πόλει πλεονάζει τὸ κακὸν τοῦτο. παράκειται δ' αὐτῷ τις ἄλλος, οὔτε τῇ δευτέρᾳ τῶν ἡμερῶν ἕτερον φέρων παροξυσμὸν, οὔτε κατὰ τὴν προτέραν καὶ τὴν τρίτην τὰς ἐπαναλήψεις. ἔστι δ' οὐχ εἷς οὐδ' ὁ τοῦδε τρόπος· ἐνίοτε μὲν γὰρ, ἄνευ φρίκης, ἐνίοτε δὲ σὺν φρίκῃ, ποιεῖται τὴν εἰσβολὴν, ἔστι δ' ὅτε καὶ μετὰ καταψύξεως τῶν ἄκρων σαφοῦς· ὤφθη δὲ ἐνίοτε καὶ χωρὶς αἰσθητῆς περιψύξεως οὗτος ὁ πυρετὸς ἔχειν τοὺς πέντε καιροὺς, ἀρχὴν, ἀνωμαλίαν, ἐπίδοσιν, ἀκμὴν, καὶ παρακμήν. τοῖς δὲ χρόνοις ἤδη διῃρημένοις, ὀλιγοχρόνιος μὲν ἡ ἀρχὴ, ὀλιγοχρόνιος δέ ἐστιν αὐτοῦ καὶ ἡ ἀνωμαλία· τὰ δὲ τῆς ἀναβάσεως, οὐχ ὁμοίως ἅπασιν, ἀλλ' ἐνίοις μὲν (οὐκ) ὀλιγοχρόνια, ἐνίοις δὲ χρόνῳ πλείονι. καὶ μὲν δὴ καὶ ὁ τῆς ἀκμῆς καιρὸς, ἐν χρόνῳ μὲν πάντως αἰσθητῷ καὶ πλατεῖ, διαφέρει δ' οὐκ ὀλίγον ἐν τῷ μᾶλλόν τε καὶ ἧττον· οὕτω δὲ καὶ τὰ τῆς παρακμῆς, ἐν χρόνῳ μὲν ἅπασι μακρῷ, διαφέρει δ' ἐν τῷ, τισὶ μὲν αἰσθητῶς ἀφαιρεῖν καὶ παρέχειν ἐλπίδα τοῦ διὰ ταχέων παύσασθαι, μετὰ ταῦτα δ' ἵστασθαι φυλάττοντα ἴσον τὸ ὑπόλοιπον μέγεθος τῆς παρακμῆς· τισὶ δὲ ὅλην ποιεῖται τὴν παρακμὴν ἀπ' ἀρχῆς ἄχρι τῆς τελευτῆς βραδεῖαν, ὥστε καὶ ἐκ διαστημάτων χρόνου μακροτέρων ἀποσκοπουμένοις, δοκεῖν μὲν ἀφῃρηκέναι τι πάντως, ὀλίγιστον μέντοι τοῦτ' εἶναι. τοιαῦταί τινες καὶ ἄλλαι μερικαὶ διαφοραὶ τῶν διὰ τρίτης ἡμέρας παροξυνομένων πυρετῶν, οὓς ἅπαντας ὀνομάζω τριταιοφυεῖς, εἰς μὲν τὴν τῆς διαθέσεως, ὅθεν ἐξάπτονται, γνῶσιν, χρησιμώταται, πρὸς δὲ τὴν νῦν ἐνεστῶσαν πραγματείαν, ἄχρηστοι. πρόκειται γὰρ ἡμῖν ἐνταῦθα, τούς τε ἐν ταῖς περιόδοις διορίσασθαι καιροὺς, καὶ τοὺς ὅλου τοῦ νοσήματος, ἕνεκα τῆς τῶν βοηθημάτων εὐκαίρου χρήσεως, ἣν οὐδὲν ὀνίνησιν ἡ τοιαύτη ποικιλία, καθάπερ οὐδὲ ἡ τῶν ἐν ἀμφημερινοῦ σχήματι πεποικιλμένων. καὶ γὰρ καὶ τούτων οὐκ ὀλίγοι καθ' ἑκάστην ἡμέραν παροξυνόμενοι, διάλειμμα οὐδὲν ἴσχουσιν. ἐρῶ δ' αὐτῶν ὅμως, ἕνεκα παραδείγματος, ὀλίγας διαφορὰς, οὐχ ὡς χρησίμους εἰς τὴν ἐνεστῶσαν ὑπόθεσιν, ἀλλ' ὅτι τῶν ἰατρῶν ἔνιοι πάντα πᾶσι φυσῶνται, ἐξ ὧν ἀλόγως φλυαροῦσι, καὶ δόξαν ἀποφέρονται παρὰ τοῖς ἀσυνέτοις, ὡς ἐπιμελεῖς τε καὶ πανικοὶ καί τι σοφώτερον ἐπιστάμενοι τῶν μόνα τὰ χρήσιμα γραφόντων.

A declinat; atque ob hoc ipsum tertio die eadem, quæ primo, accessio succedit; postea rursus quarto similis ei, quæ secundo habita est, idque deinceps perpetuò. Hanc ego febrem compendiosæ claræque doctrinæ gratia, vno volens appellare vocabulo, imposui ei nomen semitertianæ. Si igitur Hippocrates quoque talem febrem semitertianam vocauit, vt ego persuasum habeo, duo ex sermone vno commoda consequeris, nempè rem medicam discis, & nomen vetus ei imponis; quòd siquis aliam quandam febrem ab Hippocrate B semitertianam vocatam esse putet, falli me in vocabulo ratus, rem ipsam addiscat. Quod enim talis quædam febris, qualem dixi, accidat, neque hîc testimonium vel Hippocratis vel alterius cuiusquam, oratio requirit, quum quotidie ipsam videamus, potissimum Romæ. Vt enim in aliis locis alia, sic in illa ciuitate hoc mali abundat. Porrò alia quædam ei vicina est, quæ nec secundo die aliam fert accessionem, nec primo & tertio repetitiones. Habet autem nec ipsa modum vnum, ac simplicem; interdum etenim sine horrore, aliquando C cum horrore inuadit; aliàs cum extremorum perfrigeratione manifesta. Visa autẽ est interdum etiam citra sensibile frigus febris hæc quinque tempora obtinere, principium, inæqualitatem, incrementum, statum, & declinationem. Temporibus iam diuisis, breue est principium; breuis quoque ipsius inæqualitas; ascensus non ęquè omnibus, sed quibusdam breuis, quibusdam longior. Quinetiam vigoris tempus spatium omnino sensibile & latum occupat; sed in maioris minorisque ratione non mediocriter differt; sic D etiam declinatio longo quidem tempore omnibus contingit, in hoc autem differt, quod nonnullis manifestò minuitur, & celeriter finiendi spem præbet, & post hæc sistit æqualem declinationis magnitudinem reliquam seruans; nonnullis lentè ab initio ad finem omnino declinat, vt ex temporis interuallis longioribus conìicienti tibi, videatur planè decreuisse quippiam, perquàm modicum tamen illud. Huiusmodi quædam sunt & aliæ differentiæ particulares febrium tertio die accedentium, quas vniuersas tritæophyas voco, ad affectionis unde excitantur cognitio- E nem vtilissimæ, ad præsens autem opus inutiles. Propositum enim est nobis hîc circuituum totiusque morbi tempora distinguere, tempestiui auxiliorum vsus gratiâ, cui nihil hæc varietas conducit, sicut nec earum quæ in quotidianæ forma variantur; siquidem harum non paucæ quotidie accessionem habentes, intermissionem nullam ostendunt; dicam tamen ipsarum paucas differentias exempli gratiâ, non vt institutæ hypothesi commo- F das; sed quoniam medicorum aliqui ex iis, quæ sine ratione nugantur, prorsus intumescunt, & gloriam apud indoctos aucupantur, tanquam diligentes, & studiosi, sapientiusque aliquid his, qui sola vtilia scribunt, intelligentes.

CAPVT

CAPVT IX.

De temporibus febrium, quæ singulis diebus habent accessionem.

INuadit ergo accessio febrium, quæ singulis diebus exacerbantur, interdum sine manifesto frigore, interdum cum ipso; & quæ propria principii sunt, quibusdam breuiùs, quibusdam diutiùs permanent; atque sic etiam inæqualitas his breuior, illis longior est; postea hæc febris vsque ad vigorem ascendit, diuturniore tempore, quam quæ tertio quoque die accessionem capiunt. Cæterum tale quippiam ipsi adest, quod etiam in illis interdum rarò contingit, multò autem sæpius in hac apparet; ascensum aperte moliens, consistit aliquo tempore nihil increscens, deinde rursus increscit. Similiter in declinatione, vel æquabilem facit imminutionem, vel medio cursu in eadem magnitudine aliis horâ vnâ, aliis duabus consistit, post hæc imminuitur; quinetiam ad secundæ accessionis insultum vsque nonnullis imminuitur; quibusdam in qua magnitudine est, permanet. At magis hoc tertio quôque die accessionem habentibus adest; quoniam circuitus earum longior est. Nam duplus ferè tempore circuitus est febrium, quæ tertio quôque die exacerbantur, si cum iis quæ quotidie, comparetur. Quare propter hoc manifestò declinationis ipsius reliquum protrahitur, in æquali magnitudine permanens. Ac multi quoque alii circuituum modi sunt, differentiis particularibus variantes, ad præsentem disputationem superuacanei. Ideò autem quorundam memini, quia medici *quidam* talem doctrinam huius considerationis non esse propriam nescientes, de iisdem conscripserunt, errantes quoque in ipsorum enarratione. At nunc eos reprehendere tempus non est in speculatione non propria. Disces autem euidenter eos inutilia nugari, quumque Hippocrates miro quodam modo methodum horum inuenerit, neminem eam elaborasse, & multos præterea eam deprauasse, in illa maximè sermonis parte, qua iam dictis temporibus auxilia coniuncturus sum. Faciam verò hoc, vbi totius morbi tempora ostenderim; nam hactenus particularia tantum recensui.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν ἐν τοῖς καθ' ἑκάστην ἡμέραν παροξυνομένοις πυρετοῖς καιρῶν.

Εἰσβάλλει τοίνυν ὁ παροξυσμὸς τῶν καθ' ἑκάστην ἡμέραν παροξυνομένων πυρετῶν, ὁπότε μὲν ἄνευ σαφοῦς περιψύξεως, ὁπότε δὲ σὺν [26] ταύτῃ, καὶ διαμένει γε τὰ τῆς ἀρχῆς ἴδια, τοῖς μὲν ἐπὶ πλείονα, τοῖς δὲ ἐπ' ἐλάττονα χρόνον· καὶ δὴ καὶ τὰ τῆς ἀνωμαλίας ὡσαύτως, τοῖς μὲν ἐπὶ πλείονα, τοῖς δὲ ἐπ' ἐλάττονα χρόνον· καὶ μετὰ ταῦτα ἀναβαίνει μέχρι τῆς ἀκμῆς ὁ πυρετὸς ἐστὶν ἐν πλείονι χρόνῳ τῶν διὰ τρίτης παροξυνομένων. ὑπάρχει δ' αὐτῷ καί τι τοιοῦτον, ὃ κἀκείνοις μὲν ἐστὶν ὅτε γίγνεται σπανίως, πολὺ μᾶλλον δ' ἐν τούτῳ φαίνεται· σαφῆ ποιούμενος ἀνάβασιν, ἵσταταί τινι χρόνῳ μηδὲν προστιθεὶς, εἶτ' αὖθις προστίθησιν. οὕτω δὲ κἀπὶ τῆς παρακμῆς, ἤτοι γε [27] ὁμαλῆ ποιεῖται τὴν ἀφαίρεσιν, ἢ μεταξὺ ἵστησιν ἐπὶ τοῦ αὐτοῦ μεγέθους, τοῖς μὲν ὥραν μίαν, τοῖς δὲ δύο, μετὰ ταῦτα ἀφαιρεῖ. καὶ δὴ καὶ μέχρι τῆς εἰσβολῆς τοῦ δευτέρου παροξυσμοῦ, τοῖς μὲν ἀφαιρεῖ, τοῖς δὲ ἐν ᾧ περ ἐστὶ μεγέθει διαμένει. μᾶλλον δὲ τοῦτο τοῖς διὰ τρίτης ὑπάρχει, διότι καὶ ἡ περίοδος αὐτῶν ἐστὶ μακροτέρα. διπλασία γάρ πως ἐστὶ τῷ χρόνῳ τῶν διὰ τρίτης παροξυνομένων πυρετῶν ἡ περίοδος, εἰ παραβάλλοιτο τῇ τῶν καθ' ἑκάστην ἡμέραν. ὥστε ἐναργῶς διὰ τοῦτο [28] χρονίζει τὸ λείψανον τῆς παρακμῆς αὐτῆς, ἐν ἴσῳ διαμένον μεγέθει. πολλοὶ δὲ καὶ ἄλλοι τρόποι περιόδων εἰσὶ, διαφοραῖς μερικαῖς ποικιλλόμενοι, περιττοὶ πρὸς τὰ νῦν ἐνεστῶτα. διὰ τοῦτο δὲ ἐνίων ἐμνημόνευσα, διότι τῶν ἰατρῶν οἱ μὴ γινώσκοντες, ὡς οὐκ ἔστιν οἰκεία τοῦ παρόντος σκέμματος ἡ τοιαύτη διδασκαλία, γεγράφασι περὶ αὐτῶν, ἁμαρτάνοντες καὶ κατ' αὐτὴν τὴν διήγησιν. ἀλλ' οὐ νῦν καιρὸς ἐλέγχειν αὐτοὺς ἐν οὐκ οἰκείῳ σκέμματι· μαθήσῃ δ' ἐπιστημονικῶς, ὅτι γε φλυαροῦσιν ἄχρηστα, καὶ ὅτι θαυμαστῶς Ἱπποκράτους εὑρόντος τὴν ἐν αὐτοῖς μέθοδον, οὔτ' ἐξειργάσατό τις αὐτὴν, καὶ πρὸς τούτῳ καὶ διέφθειραν οἱ πλεῖστοι, κατ' ἐκεῖνο μάλιστα τοῦ λόγου τὸ χωρίον, ἔνθα συνάπτειν μέλλω τοῖς εἰρημένοις καιροῖς τὰ βοηθήματα. πραχθήσεται δέ μοι τοῦτο τοὺς ὅλου τοῦ νοσήματος ἐπιδείξαντι καιροὺς, ἄχρι μὲν γὰρ τοῦδε τοὺς ἐν μέρει διῆλθον μόνους.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΟΛΟΥ ΤΟΥ ΝΟΣΗΜΑΤΟΣ ΚΑΙΡΩΝ, ΒΙΒΛΙΟΝ.

GALENI DE TOTIVS MORBI TEMPORIBVS, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰ τῶν καιρῶν ὅλου τοῦ νοσήματος γνωρίσματα, σωτηρίου τε καὶ θανατώδους, καὶ ἁπλοῦ, καὶ μετ' ἄλλων συνθέτου, δηλοῦται.

ARGVMENTVM LIBRI.

Indicia temporum totius morbi, salubris & lethalis, simplicis & cum alijs iuncti, declarantur.

A

ΚΕΦΑΛΑΙΟΝ Α'.

Προοίμιον, καθ' ὃ τῆς ἰδίας διδασκαλίας δηλοῖ τὴν τάξιν.

Ὅλου τοίνυν τοῦ νοσήματος ἐπινοουμένου καιροὺς, ἀνάλογον ταῖς ἡλικίαις τῶν ζώων· ἕνα μὲν καὶ πρῶτον τὸν τῆς γενέσεως αὐτοῦ· δεύτερον δὲ τὸν τῆς ἀναβάσεως· τρίτον δὲ τὸν τῆς ἀκμῆς· καὶ τέταρτον τὸν τῆς παρακμῆς, ὅταν γε μέλλωσιν οἱ κάμνοντες σώζεσθαι· φθασάντων γὰρ ἀποθανεῖν αὐτῶν, ἤτοι κατὰ τὴν ἀνάβασιν, ἢ τὴν ἀκμὴν, εὔδηλον ὡς οὐ διεξῆλθεν ἅπαντας τοὺς καιροὺς ἡ τοιαύτη νόσος. ἀλλ' ἥγε διεξερχομένη, σχεδόν τι περὶ πάντων αὐτῆς τῶν μορίων ἀμφισβητήσεις ἔχει, τινῶν μὲν ἕνα χρόνον εἶναι λεγόντων τὴν ἀκμὴν, ἐπινοίᾳ μόνῃ λαμβανόμενον· ἐνίων δὲ, ὡς ἐν τοῖς συνόχοις, ἀκμὴν μὴ εἶναι τὸ σύμπαν· ἐνίων δὲ εἰς ἀρχὴν ὀλιγοχρόνιον εἰσαγόντων τὴν ἀκμήν· ἄλλων δ' οὐκ ἐν τούτοις μόνον, ἀλλὰ καὶ τοῖς λοιποῖς ἅπασι νοσήμασιν, ἀφαιρούντων τὴν ἀρχήν· ἄλλων δ' ἐνίοτε καὶ τὴν παρακμὴν ἀφαιρούντων, ἂν ἐξ ἀποκοπῆς, ὡς ἐκεῖνοι καλοῦσιν, ἡ νόσος λυθῇ. πρῶτον μὲν οὖν χρὴ τὰς ἀμφισβητήσεις διαλύεσθαι ταύτας, εἶτα ἀκριβῶς διορίσασθαι τὰς ἐννοίας τῶν καιρῶν τῆς ὅλης νόσου, καὶ μετὰ ταῦτ' εἰπεῖν αὐτῶν τὰ γνωρίσματα, κἄπειθ' ἑξῆς εἴη δεῖξαι τὸ χρήσιμον, ἀναμίξαντας τοῖς κατὰ τὰς περιόδους.

CAPVT PRIMVM.

Præfatio, in qua ordinem suæ doctrinæ prodit.

ITAQVE totius morbi tempora animantiũ ætatibus analoga concipimus; vnum quidem ac primum, generationis ipsius; alterũ, ascensûs; tertium, vigoris; quartum, declinationis; quum ægri salui euasuri sunt; nam quum vel in ascensu vel vigore prius è vita decesserint, liquet talem morbum non omnia B tempora pertransiisse. Qui verò pertransit, de omnibus ferè suis partibus concertationes habet; quum quidam vigorem, vnum esse tempus dicant, quod intellectu solo deprehendatur; nonnulli vigorem, vt in synochis, non esse omnino; nonnulli vigorem post breuis temporis principium induci; alii non in his solum, sed etiam in reliquis omnibus morbis principium auferant; alii interdum, & declinationem tollant, si morbus ex abrupto, vt illi vocant, solua- C tur. Primum igitur hæ controuersiæ soluendæ sunt; deinde accuratè morbi totius temporum notiones constituendæ; postea ipsorum notæ tradendæ; tunc deinceps sequetur vt vtilitatem ostendamus, iis quæ ad circuitus pertinent, admiscentes.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τίς ὅλου τοῦ νοσήματος ἀρχή.

Ἡ τοίνυν ἀρχὴ τῆς νόσου, καθ' ὃν εἰσβάλλει ποτὲ καταπιπτούσης τῆς ὑγιεινῆς καταστάσεως, ἐν ἁπάσαις αὐταῖς ἐστιν ἄνευ χρόνου παρατάσεως ἐπινοουμένη· σὺν τούτῳ μέντοιγε οὐ συγχωρεῖται παντὸς νοσήματος ὑπάρχειν εἶναι γένεσιν, ὥσπερ ἐν τοῖς ζώοις ἐπινοοῦμεν. οὐ γὰρ ἐκ μορίων δή τινων ὥσπερ τὸ ζῶον ἐκ κεφαλῆς, καὶ θώρακος, καὶ κώλων, οὕτω καὶ τὰ νοσήματα σύγκειται. ἐκπίπτοντα γὰρ τοῦ κατὰ φύσιν, ἐν ἀκαρεῖ μέν τινι χρόνῳ τὴν γένεσιν ἔχει, τοὐντεῦθεν δὲ ἀναβαίνει

CAPVT II.

Quodnam sit totius morbi principium.

D PRincipium igitur morbi, quatenus aliquando salubri statu corporis labascente inuadit, in omnibus ipsis est, sine temporis productione conceptum; cum hoc tamen non conceditur etiam cuiusuis morbi ceu generationem esse, quemadmodum in animantibus animaduertimus. Non enim ex partibus quibusdam, vt animal ex capite, thorace, & artubus, sic etiam morbi compositi sunt; naturali enim statu excidentes, breuissimo quodam temporis spatio generationem sortiuntur; inde verò vsque ad

ad vigorem ascendunt. Esto enim morbus ex intemperie, verbi gratia, vnde febris etiam constitui nobis demonstrata est. Necessarium igitur, vbi calor hic præter naturam primùm natus est, hominem febricitare, calorémque adusque statum intendi. Nam cuius non sunt partes, quomodo huius erit generatio in tempore? Hæc mihi dicta sunt statim ab initio, ad eaque respondi, febrium quæ cum frigore inuadunt, mentione factâ. At in circuitibus responsio sufficit; vnum enim particularium temporum totius morbi, atque ordine primum est, tempus frigoris; sed ridiculum maximè foret primum tempus accessionis primæ, totius morbi principiũ existimare. Etenim hoc tempus, quod morbi principium nominant, ad præsidia ferenda conducit. Ac huc respiciens Hippocrates inquit; *Incipientibus morbis siquid mouendum videtur, moue; vigentibus verò, quietem præstat agere.* Similiter & ab ipso illud dictum est; *Circa principia & fines omnia imbecilliora sunt.* Quinetiam depurgatione scriptũ reliquit; *Cocta purgare conuenit & mouere, non cruda, neque in principiis, nisi turgeant.* Ad hæc; *In morbis acutis rarò & in principijs, vtendum purgationibus.* Multa insuper alia partim ab Hippocrate, partim ab aliis medicis omnibus veteribus dicta, non de primæ accessionis impetu principium intelligere nos sinunt, sed de tempore longiori, quo sanguinem detrahere & clystere vti possimus, interdum si res vrgeat, etiam purgare; præterquam quod ridiculum est, morbis qui intra diem septimũ soluuntur, & iis qui in annum durant, quemadmodum interdum quartana, æquale principium statuere. Multa sanè de hoc principio, etiam in primo de crisibus libro diximus, ostendentes quomodo primum hoc tempus quispiam cognouerit. Erat autem eius summa, morbi cruditas. Satius est autem & hic illis adiicere ea, quæ præsenti tractatui sunt vtilia.

A μέχρι τῆς ἀκμῆς. ἔστω γὰρ εἰ τύχοι κατὰ δυσκρασίαν τὸ νόσημα, καθ' ἣν ἡμῖν ἐπιδέδεικται καὶ ὁ πυρετὸς συνιστάμενος. ἀναγκαῖον οὖν ἐπειδὰν πρῶτον ἡ παρὰ φύσιν αὕτη γένηται θερμασία, πυρέττειν τε τὸν ἄνθρωπον, ἐπιτείνεσθαί τε μέχρι τῆς ἀκμῆς τὴν θερμασίαν. οὗ γὰρ οὐκ ἔστι μέρη, πῶς ἂν εἴη γένεσις ἐν χρόνῳ τοῦδε; ταῦτ' εἴρηταί μοι καὶ κατ' ἀρχὰς εὐθέως, ἀποκρινομένῳ πρός τε αὐτὰ τὴν μετὰ περιψύξεως εἰσβαλλόντων πυρετῶν ἀναμνήσας. ἀλλ' ἐν μὲν τοῖς περιόδοις, αὐτάρκης ἡ ἀπόκρισις· B εἷς γὰρ τῶν ἐν μέρει καιρῶν, καὶ τῇ τάξει πρῶτος, ὁ τῆς περιψύξεως, τῆς συμπάσης νόσου· γελοιότατον δ' ἂν εἴη τὸν τοῦ πρώτου παροξυσμοῦ πρῶτον καιρὸν ἀρχὴν ἡγεῖσθαι τοῦ νοσήματος ὅλου. ὁ γάρ τοι χρήσιμον ὁ καιρός ἐστιν, ὃν ὀνομάζουσιν ἀρχὴν νοσήματος, εἰς τὰ βοηθήματα κέκτηται, καὶ πρὸς τοῦτον ἀποβλέπων εἶπεν, ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινέειν, κίνει, ἀκμαζουσῶν δὲ, ἡσυχίην ἔχειν βέλτιόν ἐστιν· ὡσαύτως δὲ κἀκεῖνο λέλεκται αὐτῷ· περὶ τὰς ἀρχὰς καὶ τὰ τέλεα, πάντα ἀσθενέστερα· καὶ μέντοι καὶ τὸ περὶ φαρμακείας εἰρημένον, ὡς πέπονα χρὴ φαρμακεύειν καὶ κινέειν, μὴ ὠμὰ, μηδὲ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ· καὶ πρὸς τούτοις γε ἔτι τὸ, ἐν τοῖσιν ὀξέσι πάθεσιν C ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι. πολλά τε πρὸς τούτοις ἕτερα, τὰ μὲν Ἱπποκράτει, τὰ δὲ τοῖς ἄλλοις ἰατροῖς ἅπασι τοῖς παλαιοῖς εἰρημένα, τὴν ἀρχὴν ἡμᾶς οὐκ ἐπιτρέπει νοεῖν τοῦ πρώτου παροξυσμοῦ τὴν εἰσβολὴν, ἀλλ' ἐπὶ μακροτέρου, ὡς καὶ φλεβοτομῆσαι δύνασθαι, καὶ κλυστηρίῳ χρήσασθαι, ποτὲ δὲ εἰ κατεπείγοι, καὶ καθῆραι, πρὸς τῷ καὶ γελοῖον εἶναι τῶν ἐντὸς τῆς ἑβδόμης ἡμέρας λυομένων νοσημάτων, καὶ τῶν εἰς ἐνιαυτὸν παραμενόντων, ὥσπερ καὶ ὁ τεταρταῖος ἔστιν ὅτε, τὴν ἴσην ἀρχὴν τίθεσθαι. πολλὰ μὲν οὖν εἴρη- D ταί μοι περὶ τῆσδε τῆς ἀρχῆς, καὶ κατὰ τὸ περὶ κρίσεων πρῶτον, ἐπιδεικνύντι τὸν πρῶτον τοῦτον καιρὸν, ὡς ἄν τις γνωρίσειεν· ἦν δ' αὐτοῦ κεφάλαιον ἡ ἀπεψία τῆς νόσου· βέλτιον δὲ κἀνταῦθα πρὸς ἐκείνοις εἰπεῖν, ὅσα τῇ παρούσῃ διεξόδῳ χρήσιμα.

CAPVT III.

Distinctio, ac signa quatuor temporum vniuersalium in salubribus morbis.

Ponamus igitur primùm, inflammationis principium inquiri. Quis non dixerit veluti generationem eius toto illo tempore esse, quo pars sanguineâ substantiâ repletur? Siue enim per interlapsum id contingit; siue propter impactionem obstructionemque omnium vasorum; siue ob circunstantiam quandam tumorum in meatibus; siue (vt nos docuimus in libro de inæquali intemperie, & in commentario de tumoribus præter naturam) abundantia quædam sanguinis quum generatur inflammatio, in parte colligitur hoc erit primum tempus, quo pars affectûs magnitudini subiecta, repletur. Quum autem influxus cessauerit, & quod in parte inflammata continetur, putrefieri cœperit, calor quidam ob putredinem nascitur, & fusio maior propter calorem, vnde etiam spiritus generatur, atque ob hæc ambo, pars magis quam anteà distenditur, etiamsi nihil influat; secundum hoc tempus est, inflammationis incrementi. At quum in pus iam mutatur, maximi videlicet dolores tunc partem corripiunt; *nam*

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Διορισμὸς καὶ γνωρίσματα τῶν τεσσάρων τῶν καθόλου ἐν ταῖς σωτηρίοις νόσοις καιρῶν.

E Κείσθω τοίνυν πρῶτον ἀρχὴν φλεγμονῆς ζητεῖσθαι. τίς οὐκ ἂν φαίη τὴν οἱονεὶ γένεσιν αὐτῆς ὑπάρχειν ἐν ἐκείνῳ παντὶ τῷ χρόνῳ, καθ' ὃν πληροῦται τὸ μόριον αἱματώδους οὐσίας; εἴτε γὰρ ἐπὶ παρεμπτώσει συμβαίνοι τὸ τοιοῦτον, εἴτ' ἐπὶ τῇ σφηνώσει πάντων τῶν ἀγγείων, εἴτε ἐπὶ περιστάσει τινὶ τῶν ὄγκων ἐν τοῖς πόροις, εἴθ' ὡς ἡμεῖς ἐδιδάξαμεν ἔν τε τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας, καὶ τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων ὑπομνήματι, πλεονεξίᾳ τις αἵματος ἐν τῷ μορίῳ συνίσταται, γινομένης τῆς φλεγμονῆς, οὗτος ἔσται πρῶτος καιρὸς, ἐν ᾧ πλη- F ροῦται τὸ μέρος ἀνακείμενον εἰς τὸ μέγεθος τοῦ πάθους. ὅταν δὲ τὸ μὲν ἐπιρρέον παύσηται, τὸ δ' ἐν τῷ φλεγμαίνοντι περιεχόμενον ὑπάρξηται σήπεσθαι, θερμασία τις γίνεται διὰ τὴν σηπεδόνα, καὶ ἡ χύσις ἐπιπλέον διὰ τὴν θερμασίαν, ἐφ' ᾗ καὶ πνεῦμα γεννᾶται, καὶ δι' ἄμφω ταῦτα διατείνεται μᾶλλον, ἢ πρόσθεν, τὸ μόριον, εἰ καὶ μηδὲν ἐπιρρέοι· δεύτερος οὗτος ἐστὶ χρόνος ὁ τῆς αὐξήσεως τῆς φλεγμονῆς. ὅταν δὲ εἰς πύον ἤδη μεταβάλλοι, μέγιστοι μὲν δή που πόνοι τηνικαῦτα

καταλαμβάνουσι. περὶ γὰρ τὰς γενέσεις τοῦ πύου οἱ πόνοι καὶ οἱ πυρετοὶ συμβαίνουσι μᾶλλον, ἢ γενομένου· καλεῖται δ' ἀκμὴ τοῦ πάθους ὁ τοιοῦτος καιρός. εἰ δὲ ἐκπυϊσκόμενον ἢ διαφορούμενον τὸ ῥεῦμα, τόν τ' ὄγκον ἐλάττω καὶ τὴν τάσιν ἀποφαίνει, παρακμῆς ἀρχὴ τὸ τοιοῦτόν ἐστιν. οὕτω μὲν ἐπὶ τῆς φλεγμονῆς οἱ καιροὶ διαιροῦνται. ἐπὶ πυρετοῦ δὲ τοῦ μὲν ἐπὶ φλεγμονῇ συνισταμένου, τοὺς αὐτοὺς ἐκείνῃ τίθεσθαι καιρούς· τοῦ δ' ἐπὶ χυμοῦ ἄνευ φλεγμονῆς, τὸν μὲν τῆς ἀπεψίας τῶν λυπούντων χυμῶν χρόνον, ἀρχήν· ὅταν δ' ἄρξηται πέττεσθαι, πεπαῦσθαι μὲν τὴν ἀρχήν, τὸν δεύτερον δ' ἥκειν καιρόν, τὸν τῆς ἀναβάσεως ὀνομαζόμενον· ὁπότε δὲ ἡ πέψις αὐτὴ συντελεῖται μάλιστα, τὸν τῆς ἀκμῆς· εἶτ' ἐξῆς τὸν τῆς παρακμῆς, ἐν ᾧ πέπαυται μὲν ἤδη τό, τε μέγεθος τῶν συμπτωμάτων καὶ τὸ πλῆθος τῶν πεττομένων, ὀλίγον δ' ἐστὶν ἔτι λείψανον τῶν πεφθῆναι δεομένων χυμῶν. ἐδήλωσα δ' ἐν τῇ περὶ κρίσεων πραγματείᾳ καὶ τὰ γνωρίσματα πάντα, τά τε τῆς πέψεως τῆς ἀμυδρᾶς, καὶ τὰ τῆς παντελοῦς ἀπεψίας, καὶ τὰ τῆς ἐναργοῦς καὶ τὰ τῆς τελείας, ἴδια μὲν ὑπάρχοντα τῶν κατὰ τὴν γαστέρα πέψεων, ἴδια δὲ τῶν κατὰ τὰς φλέβας, ἴδια δὲ ἄλλα τῶν ἀναπνευστικῶν· ἐλαμβάνετο δέ, τὰ μὲν ἐκ τῶν διαχωρημάτων, τὰ δὲ ἐκ τῶν οὔρων, τὰ δὲ ἐκ τῶν πτυσμάτων. καὶ ταῦτα ἐπιπλεῖστον ἐν ἐκείνῳ τῷ λόγῳ διῆλθον ἅμα ταῖς Ἱπποκρατείαις ῥήσεσιν, ἀρκεῖ δὲ ἐν τῷ νῦν ἐνεστῶτι τοσοῦτον μόνον εἰπεῖν, ὡς καὶ τῶν ἑλκῶν οἱ αὐτοὶ καιροί. πρῶτον μὲν γὰρ ἰχῶρες ὑδατώδεις ἄπεπτοι καὶ λεπτοὶ ῥέουσιν ἐξ αὐτῶν· εἶτ' ἐξῆς ἐλάττους τε καὶ παχύτεροι· κἄπειτα ἤδη πύον λεπτόν· εἶτα ἔλαττον μὲν τῷ πλήθει τοῦτο γίνεται, παχύτερον δὲ καὶ λευκότερον· ὥστε οὐδέν ἐστι τῶν λυομένων παθῶν, ὃ μὴ διεξέρχεται τοὺς καιρούς. οὐ μὴν οὐδ' ἐξ ἄλλου τινὸς ἡ γνῶσις αὐτῶν, ὅτι μὴ τῶν τῆς ἀπεψίας τε καὶ πέψεως σημείων, ἃ διὰ τῶν περιττωμάτων γνωρίζεται. τίς γὰρ οὐκ οἶδεν ἠπεπτηκέναι τὴν γαστέρα, διαχωρήματα θεασάμενος ἀχύλωτα; τίς δ' οὐκ οἶδεν, οὖρον ὑδατῶδες ἰδών, ἠτυχῆσθαι τὴν ἐν τοῖς ἀγγείοις πέψιν; τίς δὲ λεπτὸν ἀναβηττόμενον πτύσμα κατὰ πλευρῖτιν, ἢ περιπνευμονίαν ἑωρακώς, ὁμοίως οὐ συνήσει ὡς ἀρχή ἐστιν ἔτι τοῦ πάθους; οὕτω δὲ κἀν ταῖς ὀφθαλμίαις, ἐν ἀρχῇ μέν, ἀπορρεῖ πολὺ καὶ λεπτόν, ἄπεπτον ἰχῶρος· ἐφεξῆς δέ, ἔλαττόν τε καὶ παχύτερον, ὑπογραφήν τινα πέψεως λαμβάνον· εἶτα ἐν τῷ χρόνῳ προϊόντι, τοῦ μὲν πλήθους μειουμένου, τῆς συστάσεως δὲ ἐπὶ τὸ παχύτερον ἰούσης, αὐξάνεται τὰ τῆς πέψεως εἰς τοσοῦτον, ὡς καὶ κολλᾶσθαι τὰ βλέφαρα κοιμηθέντων ὑπὸ τῆς διαμένης λήμης, ἥτις καὶ αὐτὴ κατ' ἀρχὰς μὲν λεπτὴ καὶ πολλή, τῷ χρόνῳ δὲ ἐλάττων τε καὶ παχυτέρα γενομένη, τήν τε πέψιν τοῦ νοσήματος ἐνδείκνυται καὶ τὴν παρακμὴν τούτου. καὶ μὴν καὶ τῶν ἐξ ἐγκεφάλου καταρρεόντων δι' ὑπερῴας καὶ ῥινῶν ἀρχὴ μέν, ὅταν ὑδατῶδές τε καὶ λεπτὸν ᾖ, καὶ πολύ, καὶ δριμύ, τὸ φερόμενον· ἐσχάτην γὰρ ἀπεψίαν ἐνδείκνυται ταῦτα· πέψεως δέ ἐστιν ἤδη γνωρίσματα παχύτερόν τε καὶ ἧττον δριμὺ καὶ ὀλίγον κενούμενον· εἰ δὲ καὶ ἡ καλουμένη μύξα καὶ βλέννα συναπέρχοιτο, βεβαιότερον ἤδη τοῦτ' ἐστὶ πέψεως σημεῖον· ὥσπερ δὴ καὶ (εἰ) παχυτέρα μὲν αὐτῆς καὶ ἐλάττων γενομένη, πολὺ δὴ καὶ μᾶλλον πέψιν ἐνδείκνυται. καὶ οὗτοι μὲν οἱ καιροὶ τῶν νοσημάτων εἰσίν, ἐξ ὧν οἱ κάμνοντες σῴζονται.

dum pus generatur, dolores febresque magis fiunt, quam confecto; vocatur autem huiusmodi tempus vigor affectionis. Si autem fluor suppuretur, vel discutiatur, minoremque tumorem & tensionem reddat, huiusmodi est declinationis principium. Sic quidem in inflammatione tempora diuiduntur. In febre, quæ ex inflammatione prouenit, eadem atque in illâ, tempora ponenda sunt; eius autem quæ ex humore citra inflammationem proficiscitur, humorum molestantium cruditatis tempus, principium; vbi concoqui cœperint, principium finiri, secundum autem tempus, quod ascensum nominant, accedere; at quum ipsa concoctio maximè conficitur, vigorem; inde rursus declinationem, in qua quidem & symptomatum magnitudo, & eorum qui coquuntur, copia cessauit, restant verò paucæ adhuc reliquiæ eorum, qui concoctionem requirunt, humorum. Docui autem in opere de crisibus & notas vniuersas, tum concoctionis obscuræ, tum omnimodæ cruditatis, tum euidentis, tum perfectæ; has quidem earum, quæ in ventriculo fiunt, coctionum proprias; illas verò earum, quæ in venis; alias item earum quæ in spirabilibus *organis*. Cæterùm aliæ notæ ex deiectionibus, aliæ ex vrinis, aliæ ex sputis sumebantur. Atque hæc copiosissimè in illo commentario simul cum Hippocratis dictis percensui, in præsentia verò tantùm dixisse sufficit, vlcerum quoque eadem esse tempora. Primùm enim sanies aquosæ, crudę, & tenues ex iis defluunt; inde pauciores, & crassiores; postea iam pus tenue; postremò minus quidem copiâ, sed crassius & albidius redditur. Quapropter nullus morborum qui soluuntur est, qui non quatuor hæc tempora percurrat; non tamen ex vllo alio, quàm ex cruditatis & concoctionis signis, quæ ab excrementis accipiuntur, cognitio ipsorum *sumitur*. Nam quis ignorat ventriculum non concoxisse, deiectiones nondum in chylum mutatas contemplatus? Quis nescit infelicem in vasis fuisse coctionem, vrinā aquosam intuitus? Quis tenue sputum in pleuritide vel peripneumonia tussiendo eiectum similiter conspicatus, non intelliget morbi adhuc esse principium? Sic etiam in ophthalmia, principio quidem copiosus humor, tenuis, & incoctus plurimus defluit; deinde paucior, crassiorque, rudimentum quoddam coctionis accipiens; postea temporis processu copiâ decrescente, consistentiâ verò ad crassitiem procedente, adeo coctionis signa augentur, vt etiam palpebræ dormientiū obortâ lippitudine conglutinentur, quæ & ipsa principio tenuis & copiosa, temporis spatio paucior & crassior euadens, morbi coctionem eiúsque declinationem ostendit. Quinetiam humorum, qui è cerebro per palatum & nares defluunt, principium quidem est, quum aquei tenuesque, & copiosi, & acres feruntur, extremam enim hæc cruditatem indicant; coctionis notę iam sunt, crassior, & minus acris, & modicus humor, qui euacuatur; quòd si mucus & blenna, vt dicunt, simul egrediantur, certius iam hoc est coctionis signum; quemadmodum & crassior pauciorque reddita, multò iam magis concoctionem innuit. Atque hæc sanè morborum tempora sunt, ex quibus ægri seruantur.

CAPVT

A

CAPVT IV.

De latitudine durationis quatuor morbi temporum.

DE aliis verò, in quibus intereunt, paulò post dicam, absolutis priùs iis, quæ distinctione quadam inter prædicta indigent. Vnum igitur hoc ipsorum est, an vigor perpetuò temporis expers ex sua natura sit, licèt temporibus conspicuis frequenter extendi sensibus appareat; an perpetuò latitudinem quandam habeat, nunc maiorem, nunc minorem; an in morbis quibusdam tempore vacet, in aliis tempus habeat. Quia verò longiorem sermonem disputatio requirit, visum est mihi totum eum relinquere, imitato Hippocratem de humeri luxatione verba facientem; *Non tamen ego assero de eo, licèt habeam quid dicam.* Quemadmodum enim ille perpetuò visis sibi contentus fuit, ita ego quoque nunc, quæ semper vidi, in medium producam. Omnem vigorem particularium accessionum temporis spatio fieri conspexi. Quare etiamsi ex natura tempore careat, nullam inde vtilitatem percipiemus. Nam quum primùm sensui manifesta declinatio fit, tum conuenientibus ei præsidiis vtimur; quousque ab æqualibus numeris febris magnitudo constiterit, eò vsque vigoris magnitudini propria agere conuenit. Simili modo in ophthalmia, pleuritide, omni inflammatione, & in aliis morbis singulis, generalia tempora sensu æstimata, diuersorum auxiliorum vsum significant. Logica igitur fit contemplatio de vigoris latitudine, siue de particularibus accessionibus, siue de toto morbo consideretur; at nunc hæc distinguere propositum mihi non est, vt ii qui omnia in omnibus adducunt, factitare solent, quorum vnus est & Archigenes. Immiscet enim hic vir disputationibus maximè medicis interdum quæstionem de nominibus, interdum de ipsis rebus, sed logicam. Nos verò vt hoc cauimus perpetuò, ita nunc quoque faciemus; relictâ de vigore quæstione aliis, temporisne expers sit, an cum tempore quodam, vsum eius metiemur, naturam videntes; tum in ætatibus, eam quæ viget, temporis latitudine manifestò dissolui; tum in morbis, interdum longiore, frequenter minore tempore, omnino autem sensibili. Verùm hanc ipsam temporis differentiam clariùs videre licet in animantium ætate vigente. Etenim & canes venaticos, & equos pugnaces proprium aliquod opus augmenti tempore facientes iam videmus; post hæc etiam adultos ipsos euasisse dicimus, & manifestò conspicamur fortiores, quam antea; quin & pari robore non anno vno, sed duobus quoque interdum & tribus permanentes; sicut homines pugiles non tribus annis modò, sed quatuor etiam & quinque frequenter, æquali fortitudine, quantum sensu deprehendimus, perdurare. Eadem ratione & in morbis, vt dixi, & particulares accessiones vigorem manifesto tempore faciunt; & multò his magis vniuersalia totius morbi tempora latitudinem quandam obtinent; tum alia omnia, tum nihilominus vigor, tum interdum alia singula. Cognoscere autem eos interdum apertè licet, aliquando obscurè, vel etiam diu planè igno-

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τοῦ τῆς τῶν τεσσάρων τοῦ νοσήματος καιρῶν χρονίσεως πλάτους.

ΠΕρὶ δὲ τῶν ἄλλων, ἐν οἷς ἀπόλλυνται, μικρὸν ὕστερον ἐρῶ, διαρθρώσας πρότερον, ὅσα διορισμοῦ τινος τῶν εἰρημένων δέονται. ἓν μὲν οὖν ἐστιν αὐτῶν καὶ τὸ περὶ τῆς ἀκμῆς, εἴτε ἄχρονος ὑπάρχει διαπαντός, ὅσον ἐφ' ἑαυτῇ, κἂν εἰ πρὸς τὴν αἴσθησιν φαίνοιτο παρεκτεινομένη πολλάκις ἀξιολόγοις χρόνοις, εἴτε διαπαντὸς ἔχει τι πλάτος, ποτὲ μὲν μεῖζον, ποτὲ δὲ ἔλαττον· εἴτ' ἐπί τινων μὲν νοσημάτων ἔγχρονος, ἐπί τινων δὲ ἄχρονος. μακροτέρου δὲ λόγου δεομένου τοῦ σκέμματος, ἔοικα παραλείψειν αὐτὸν ἅπαντα, μιμησάμενος Ἱπποκράτην περὶ τῆς κατὰ τὸν ὦμον ἐκπτώσεως εἰπόντα· οὐ μέντοι ἰσχυρίζομαι ἔγωγε περὶ αὐτοῦ, καίτοι ἔχων ὅ,τι λέγω. καθάπερ γὰρ ἐκεῖνος ἠρκέσθη τοῖς διαπαντὸς ἑωραμένοις αὐτῷ, κατὰ τὸν αὐτὸν τρόπον κἀγὼ νῦν ὡς διαπαντὸς ἰδὼν ἐρῶ. πᾶσαν ἀκμὴν τῶν κατὰ μέρος παροξυσμῶν χρόνῳ γινομένην ἐθεασάμην, ὥστε κἂν εἰ πρὸς τὴν φύσιν ἄχρονος εἴη, μηδεμιᾶς ἐξ αὐτοῦ χρείας ἀπολαύειν ἡμᾶς. ὅταν γὰρ πρῶτον αἰσθητὴ σαφὴς ἡ παρακμὴ γένηται, τότε τοῖς ἁρμόττουσιν αὐτῇ βοηθήμασι χρώμεθα· μέχρι δ' ἂν ἀπὸ τῶν ἴσων ἀριθμῶν ἑστήκῃ τὸ μέγεθος τοῦ πυρετοῦ, μέχρι τοσούτου τὰ μεγέθει τῆς ἀκμῆς οἰκεῖα πράττειν προσήκει. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπ' ὀφθαλμίας, καὶ πλευρίτιδος, καὶ πάσης φλεγμονῆς, ἑκάστου τε τῶν ἄλλων νοσημάτων, οἱ καθόλου καιροὶ τὴν τῶν διαφόρων βοηθημάτων ὑπαγορεύουσι χρῆσιν, αἰσθητῶς μετρούμενοι. λογικὸν οὖν ἐστὶ σκέμμα τὸ περὶ τοῦ πλάτους τῆς ἀκμῆς, εἴτε τῶν κατὰ μέρος παροξυσμῶν, εἴτε τῆς ὅλης νόσου τις σκοποίη. νυνὶ δὲ οὐ πρόκειταί μοι τὰ τοιαῦτα διαιρεῖν, ὡς οἱ τὰ πάντα ἐν πᾶσι φέροντες, πράττουσιν, ὧν εἷς ἐστι καὶ Ἀρχιγένης· ἀναμίγνυσι γὰρ οὗτος ὁ ἀνὴρ ἰατρικωτάταις πραγματείαις ἐνίοτε μὲν τὴν περὶ ὀνομάτων ζήτησιν, ἔστι δ' ὅτε καὶ περὶ αὐτῶν τῶν πραγμάτων, ἀλλὰ λογικήν· ἡμεῖς δὲ ὥσπερ ἀεὶ τοῦτο ἐφυλαξάμεθα, καὶ νῦν οὕτω πράξομεν, ἐάσαντες τὴν περὶ ἀκμῆς ἑτέροις ζητεῖν, εἴτε ἄχρονός ἐστιν, εἴτε σὺν χρόνῳ τινί, τὴν χρείαν μετρήσομεν αὐτῆς, τὴν φύσιν ὁρῶντες ἐναργῶς. ἔν τε τῶν ἡλικιῶν τὴν ἀκμαστικὴν ἐν πλατεῖ χρόνῳ διαλυομένην, ἔν τε τοῖς νοσήμασιν, ἐνίοτε μὲν ἐν μακροτέρῳ, πολλάκις δ' ἐν ἐλάττονι, πάντως δ' οὖν ἐν αἰσθητῷ. τουτὶ δὲ αὐτὸ τὸ τοῦ χρόνου διάφορον ἐναργέστερόν ἐστιν ἐπὶ τῆς κατὰ τὴν ἀκμὴν ἡλικίας ἐν τοῖς ζώοις θεάσασθαι. καὶ γὰρ δὴ καὶ κύνας θηρευτικούς, καὶ ἵππους ἀγωνιστὰς ὁρῶμεν ἤδη τι ποιοῦντας οἰκεῖον ἔργον ἐν τῷ τῆς αὐξήσεως καιρῷ, καὶ μετὰ ταῦτα τελείους τε αὐτοὺς φαμὲν γεγονέναι, καὶ βλέπομεν ἐναργῶς ἰσχυροτέρους μέν, ἢ πρόσθεν, ὡσαύτως δὲ ἰσχύοντας, οὐκ ἐνιαυτῷ μόνῳ, ἀλλὰ καὶ δυσὶν ἔστιν ὅτε, καὶ τρισὶν ἔτεσιν· ὥσπερ καὶ ἀνθρώπους ἀθλητὰς οὐ τρισὶ τούτοις γε μόνον, ἀλλὰ καὶ τέτταρσι καὶ πέντε πολλάκις ἔτεσιν ἰσοσθενεῖς διαμείναντας ὡς πρὸς αἴσθησιν. οὕτω δὲ ὡς ἔφην καὶ κατὰ τὰς νόσους οἵ τε κατὰ μέρος παροξυσμοί, τὰς ἀκμὰς ἐν χρόνῳ ποιοῦνται σαφεῖ, καὶ πολὺ δὴ μᾶλλον οἱ καθόλου καιροὶ τῆς ὅλης νόσου πλάτος ἔχουσιν, οἵ τε ἄλλοι πάντες, ὅ, τε τῆς ἀκμῆς οὐδὲν ἧττον, [ἐστὶν] ὅ, τε τῶν ἄλλων ἕκαστος. γνωρίζειν δὲ αὐτὰς ἐνίοτε μὲν ἐγχωρεῖ σαφῶς, ἔστι δ' ὅτε ἀμυδρῶς, ἢ καὶ παντάπασιν ἀγνοεῖν

ἄχρι παμπόλλου. καὶ κατὰ τύχην ἔνια δοκεῖ τῶν νοσημάτων εὐθὺς εἰσβάλλειν ἀκμάζοντα· καὶ τοῦτο μὲν αὐτὸ τῶν ἀδυνάτων ἐστὶν, οὔτε γὰρ ὁ λεγόμενος συνόχος πυρετὸς εὐθὺς ἀπὸ τῆς ἀκμῆς ποτε εἰσέβαλεν, ἀλλ' ἀπὸ τῆς πρώτης προσβολῆς ἄχρι τῆς τελεωτάτης ἀκμῆς, ὥραις ἤτοι τέτταρσιν ἢ τρισὶν ἀφικνεῖσθαι τοὐλάχιστον, ἐντεῦθεν δὲ πάντως ἴσος ἑαυτῷ μένων συνεχῶς ἄχρι κρίσεως. ἀλλ' οὐδὲ ὃ μάλιστα ἐξαίφνης εἰσβάλλειν ἀκμάζον εἴποι τις ἂν, τὴν ἀποπληξίαν· οὐδὲ γὰρ ἀκριβῶς ἐστὶ τὸ τοιοῦτον, ἀλλ' ἐν μὲν βραχεῖ χρόνῳ διεξέρχεται τήν τε ἀρχὴν καὶ τὴν ἀνάβασιν, οὐ μὴν ἄναρχόν τε ἐστὶν, οὐδ' εὐθὺς εἰσβάλλει τελεωτάτη· ὥσπερ οὐδὲ ὁ τῆς ἐπιληψίας παροξυσμός· οὐδεὶς γὰρ οὕτως ἁλίσκεται ἐξαίφνης τῷ συμπτώματι, καθάπερ οἱ τὸν τράχηλον ἀφαιρούμενοι, καίτοι καὶ τούτων ἡ τομὴ πρῶτον τινα χρόνον ἔχει, καὶ δεύτερον, καὶ τρίτον, καὶ τέταρτον, ὥσπερ εἰ καὶ χειρουργός τις ὁτιοῦν τέμνοι. ἀλλὰ γὰρ εἰ βούλει, συγχωρείσθω χωρὶς χρόνου τήν τε ἐπιληπτικὴν καὶ τὴν ἀποπληκτικὴν γίνεσθαι κατάπτωσιν, ἵν' ὅγε ἐξ ἀρχῆς προὐθέμην διέλθω. τουτὶ μὲν γὰρ αὐτὸ σύμπτωμά ἐστιν, ἡ γινομένη κατάπτωσις, ἡ νόσος δὲ, οὐ τοῦτό ἐστιν, ἀλλὰ χρὴ πάντως αὐτὴν, ὡς ἀπεδείξαμεν, εἶναι τινα διάθεσιν σώματος. εἰ δὲ οὐκ ἔχομεν εἴτε γινομένης αὐτῆς, εἴτε αὐξανομένης γνώρισμά τι, τὸν μὲν ἀκόλουθον λόγον οὐκ ἀνατρέπει τοῦτο, καθ' ὃν ἐλέγομεν παντὶ νοσήματι ἀναγκαῖον εἶναι διὰ τῆς ἀναβάσεως ἐπὶ τὴν ἀκμὴν ἀφικνεῖσθαι, δύσγνωστον δὲ ἐνίοτε καὶ πολλοῖς ἄγνωστον τῶν νοσημάτων ὁμολογεῖ εἶναι τὴν αὔξησιν. ὅτι δὲ ἀληθές ἐστιν ὃ λέγω, πείσαιμι ἄν σε βραχυτάτῳ λόγῳ τῷδε. σκιρρώδεις ὄγκους ἐθεασάμην πολλάκις ἐν σκέλεσιν, εὐθέως ἐξ ἀρχῆς συνισταμένους ἄνευ τοῦ προηγήσασθαι φλεγμονὴν, καὶ τρισί γε ἐνίοτε καὶ τέτταρσιν ἔτεσιν αὐξανομένους κατὰ βραχὺ, χωρὶς τοῦ παρεμποδίζειν αἰσθητῶς τὰς ἀναγκαίας τοῦ σκέλους ἐνεργείας· ἐν δὲ τῷ χρόνῳ, διὰ μέγεθος ἀξιόλογον, ὕστερόν ποτε καὶ τὴν βάδισιν ἐνοχλοῦντας. ἐπινόησον τοίνυν, οὐ γὰρ ἀδύνατον, ἐν τοῖς σιμοῖς τοῦ ἥπατος ἤδη τινὰ ὄγκον συνίστασθαι σκιρρώδη· καὶ λήσεται μέχρι τινὸς τούτου ἡ σύστασις, ὕστερον μέντοι τὰ τῆς διαθέσεως αὐτῆς ἔσται φανερώτερα, μηδὲ τότε δυναμένων ἡμῶν ἐξευρεῖν, ἐφ' ᾗ διαθέσει τοῦτο συμβαίνει· χρόνῳ δὲ ὕστερον, ἤδη που καὶ περιέγχυσις ὑδερικὴ συμβήσεται, μηδὲ τότε πρὸς τὴν ἁφὴν διασημαίνοντος τοῦ σκιρρώδους ὄγκου· ἀλλ' ὕστερόν γε φανεὶς ἀξιόλογος, ἀνέμνησεν ἡμᾶς τῆς ἔμπροσθεν ἀγνοίας. οὐκ ὀλίγους γοῦν ἐγὼ τεθέαμαι κατὰ τὴν τοιαύτην ὁδὸν τῶν συμπτωμάτων ἐν ὀλίγῳ χρόνῳ προφήναντας ὄγκον οὐ σμικρὸν ἐν ἥπατι σκιρρώδη, συνιστάμενον μὲν ἐκ πολλοῦ, λανθάνοντα δὲ διὰ τὴν αὐτοῦ σμικρότητα, καὶ εὐτροφίαν τῶν καθ' ὑποχόνδριον μυῶν· ἀλλ' ὅταν αὐξανόμενος ὁ σκίρρος ἅμα μὲν ἐπαναβῇ τοῖς κυρτοῖς τοῦ ἥπατος, ἅμα δὲ ἀτροφίας αἴτιος γίνηται τοῖς τε ἄλλοις τοῦ ζώου μορίοις, καὶ τοῖς καθ' ὑποχόνδριον μυσὶν, ἐξ ἀμφοτέρων τούτων ἐναργῶς ἐν ὀλίγῳ χρόνῳ διαγνώσεις, αὐτοῦ ἤδη ὑπάρξαντος ἀξιολόγου μεγέθους. τὰ μὲν δὴ τοιαῦτα πάντα, συνάπτεται τῇ τῶν πεπονθότων μορίων ἐπισκέψει, περὶ ἧς οὐ πρόκειται μὲν ἐν τῷ παρόντι σκοπεῖσθαι, δεδήλωται δὲ ὑπὲρ τῆς κοινωνίας αὐτῶν οὐκ ἀχρήστως. ἐπὶ δὲ τὸν ἐξ ἀρχῆς λόγον ἰέναι καιρός. ἑκάστου τῶν νοσημάτων, ἴδιός ἐστι χρόνος ὁ τῆς γενέσεως, ἐνίοτε μὲν, αἰσθητὸς, ἐνίοτε δὲ οὐκ αἰσθητός· ἀφ' οὗ πάλιν ὁ τῆς αὐξήσεως, οὐχ ὁμοίως ἐπὶ πάντων αἰσθητὸς οὐδὲ οὐ-

A rantur. Hinc quidam morbi statim vbi inuadunt, vigere videntur; quod fieri non potest; neque enim quæ nominatur synochos febris, protinus à vigore vnquã inuasit, verùm à primo insultu vsque ad perfectissimum vigorem, horis vel quatuor, vel tribus, vt minimũ, peruenit, inde prorsus æqualis sibi permanens continuè ad iudicium vsque. Sed neque id quod repente maxime inuadit, vigere quis dixerit, apoplexiã; nihil enim tale ad amussim est; sed breui sanè tempore & principium & ascensum percurrit, non tamen caret principio, nec statim perfectissimè B inuadit; quemadmodum nec comitialis morbi accessio; nullus siquidem tam subitò symptomate corripitur, quam ii quibus ceruix detruncatur, quanquam horum quoque sectio primum aliquod tempus habet, & secundum, & tertium, & quartũ, vt si chirurgus rem quamlibet secet. At enim si vis, concedamus sine temporis spatio comitialem & apoplecticum fieri collapsum, vt quod ab initio proposui, recenseam. Hoc enim ipsum symptoma est, collapsus ille, morbus autem hoc non est, sed corporis aliquam necesse est eum, sicut ostensum est, esse affectionem; si C verò vel generatæ ipsius, vel increscentis notam nullam habemus, ideo sequens sermo non peruertitur, quo omnem morbum necessariò per ascensum ad vigorẽ peruenire dicebamus; sed difficile interdũ cognitu & multis etiam ignotum restatur hoc esse morborum incrementum. Porrò verum hoc esse, quod dico, paucissimis verbis hisce tibi persuasero. Scirrhosos tumores plerunque in cruribus conspexi statim ab initio sine inflammatione præcedente constitutos, tribus interdum & quatuor annis paulatim D augescentes, sine manifesto necessariarum cruris actionum impedimento; temporis autem processu, propter magnitudinem conspicuam, postea tandem incessui incommodare. Quamobrem puta (non enim est impossibile) tumorem quendam in cauis iecinoris constitui scirrhosum. Latebit aliquandiu huius constitutio, postea tamen affectio ipsa manifestior euadet; nec tum tamen ex qua affectione hoc accidat, inuenire adhuc poterimus; at aliquantò post iam affusio aquę continget, tumore scirrhoso E videlicet nondum tactui se prodente, sed postea tandem conspicuus apparens, prioris nos ignorantiæ monet. Non paucos itaque vidi in tali symptomatum via, breui tempore tumorem in iecore scirrhoso non paruum ostendisse; constitutum quidem iamdiu, sed latentem propter ipsius paruitatem, & probam musculorum, qui hypochondriis subiacent, nutritionẽ. Postquam verò scirrhus augescens gibbas iecinoris partes ascendit, simulque atrophiam, tum aliis animalis partibus, tum musculis hypochondriorum attulit; ex vtrisque his euidenter breui spa- F tio dignosces, magnitudine ipsius scilicet iam insigni. Huiusmodi sanè omnia, affectarum partium inspectioni coniuncta sunt, de qua in præsenti considerare institutum meum non est; de communione tamen ipsorum non citra frugem est disputatum. Verùm sermo primum institutus, opportunè modo repetetur. Morbi vniuscuiusque proprium est generationis tempus, interdum sensui manifestum, interdum non manifestum; post quod rursus incrementi tempus est, non æquè manifestum, neque ipsum in omnibus;

nibus; quæ vigoris tempus sequitur omnino sensibile; quum fateamur nos nullam aliquando notam euidentem principii morbi, & incrementi habere. In his igitur ad artis vsum verè dices, solùm vigoris tempus esse. Si verò salus futura est, sequitur ipsum prorsus declinationis tempus, & hoc sensui subiectum, vt quod non simplici, sed lato spatio constet. Etenim si per sanguinis eruptionem, vel sudores aliquis acutè iudicetur, tempus certè declinationis & huic est manifestum. Quòd si minus hoc in aliis morbis fiat, & tribus vel quatuor vel pluribus diebus declinet, hoc nihil priorem sermonem offendere videtur; neque pronunciati summam subuertit, sed relinquitur adhuc omnium morborum, qui soluuntur, vt vigorem, sic etiam declinationem quandam esse.

A τος· οἷς ὁ τῆς ἀκμῆς ἕπεται πάντως αἰσθητός, ὁμολογούντων ἡμῶν ἔστιν ὅτε μηδὲν ἔχειν ἐναργὲς γνώρισμα τῆς ἀρχῆς τοῦ πάθους καὶ τῆς αὐξήσεως. ἐπὶ τούτων οὖν, ὡς πρὸς τὴν χρείαν τῆς τέχνης, ἀληθῶς τις ἐρεῖ τὸν τῆς ἀκμῆς μόνον ὑπάρχειν καιρόν· εἰ δὲ καὶ σώζεσθαι μέλλοιεν, ἕπεσθαι πάντως αὐτῷ τὸν τῆς παρακμῆς, αἰσθητὸν καὶ τοιοῦτον, ὡς ἂν ἐν χρόνῳ συνιστάμενον οὐκ ἀπλατεῖ. καὶ γὰρ εἰ ἢ δι' αἱμορραγίας, ἢ δι' ἱδρώτων τις ὀξέως κριθείη, χρόνος γοῦν τις ὑπάρχει καὶ τούτῳ αἰσθητὸς ὁ τῆς παρακμῆς· εἰ δ' ἐλάττονος τούτου καθ' ἕτερα νοσήματα γινομένου, τρισὶν ἢ τέτταρσιν ἢ καὶ πλέοσιν ἡμέραις παρακμάζοντος, B τοῦτο οὐδὲν τὸν ἔμπροσθεν λόγον φαίνεται παραβλάπτον, οὐδὲ διαβάλλει τὸ κεφάλαιον τῆς ἀποφάσεως, ἀλλ' ἔτι μένει, τὸ πάντων τῶν νοσημάτων, ὅσα λύεται, καθάπερ ἀκμήν, οὕτω δὴ καὶ παρακμὴν ὑπάρχειν τινά.

CAPVT V.

De natura morborum lethalium.

HIs à nobis abundè demonstratis, de morbis qui non soluuntur, considerabimus. Duplex autem eorum natura est; nonnulli enim ipsorum constitutionem habent, quum exactè illam absolutam sunt consecuti; alii ex natura quidem illorum sunt, qui soluuntur, sed quum occidere occupant, secundum hoc eis fieri contingit. Triplex quoque horum modus est; aut enim propter ægrotantis imbecillitatẽ, aut propter morborum vim, aut propter vtrunque priùs enecant, quàm soluti sint. Alia ratione communis vnus omnium huiusmodi modus est, quum supra vires existunt. Nam quod ægrotantis exitium continet, in hoc positum est; quòd neque seruari quis possit, nisi natura morbum superauerit; neque perire, nisi natura victa sit, morbusque eâ superior euaserit. Hinc est, quòd nonnulli vnum ex magno morbo, qui in relatione consistit, significari arbitrantur, ignorantes interdum etiam magnum morbũ ita dici, quemadmodum si maiorem diceremus, quum supra vires nostras est; dici autem & ex propria substantia, vt hominem, vel equum, vel bouem magnum. Cæterùm de hoc duplici significatu frequenter iam alibi diximus; omnia autem in omnibus elaborare, nugatorium est; quod itaque ad præsens opus conducit, hoc dicam. Morbi singuli ex sua quidem natura magnitudinem quandam possident (melius enim est sic appellare claritatis gratiâ) Hæc morbi magnitudo vel supra vires est, vt eas grauet; vel è contrario viribus ægri imbecillior, vt ab illis superetur, si omnia bene fiant. Proinde quum supra vires fuerit, homo prorsus morietur.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ φύσεως τῶν θανασίμων νοσημάτων.

ΤΟύτων ἡμῖν αὐτάρκως ἀποδεδειγμένων, ἐπισκεψόμεθα περὶ τῶν μὴ λυομένων νοσημάτων. διττὴ δέ ἐστιν αὐτῶν ἡ C φύσις· ἔνια μὲν γὰρ αὐτῶν ἔχει τὴν κατασκευήν, ὅταν ἀκριβῶς αὐτὴν ἔχει συμπεπληρωμένην· ἔνια δὲ ἐκ μὲν τῆς τῶν λυομένων ἐστὶ φύσεως, ἀλλ' ὅταν ἀποκτεῖναι φθάσῃ, κατὰ τοῦτο αὐτοῖς γίνεσθαι συμβαίνει. τριττὸς δὲ καὶ τούτων ὁ τρόπος ἐστίν· ἢ γὰρ διὰ τὴν τοῦ κάμνοντος ἀδυναμίαν, ἢ διὰ τὴν τῶν νοσημάτων ἰσχύν, ἢ διὰ τὰ συναμφότερα ἀναιρεῖ πρὶν λυθῆναι. καθ' ἕτερον δὲ λόγον, εἷς κοινὸς τύπος ἁπάντων ἐστὶ τῶν τοιούτων, ὅταν ὑπὲρ τὴν δύναμιν ᾖ· τὸ γάρ τοι συνέχον αὐτὸ τῆς ἀπωλείας τοῦ κάμνοντος ἐν τούτῳ τέτακται, μήτε σωθῆναι δυναμένου τινός, εἰ μὴ κρατήσειεν ἡ φύσις τῆς νόσου, μήτε ἀπόλλυσθαι χωρὶς τοῦ D νικηθῆναι μὲν τὴν φύσιν, ἐπικρατέστερον δὲ αὐτῆς γενέσθαι τὸ νόσημα. καὶ διὰ τοῦτό γέ τινες ἓν σημαίνεσθαι νομίζουσιν ἐκ τοῦ μεγάλου νοσήματος, ἐν τῷ πρός τι συνιστάμενον, οὐκ εἰδότες ὅτι λέγεται μέν ποτε καὶ οὕτω τὸ μέγα νόσημα, καθάπερ ἂν εἰ καὶ μεῖζον ἐλέγομεν, ὅταν ὑπὲρ τὴν δύναμιν ᾖ· λέγεται δὲ καὶ κατ' ἰδίαν οὐσίαν, ὡς ἄνθρωπος, ἢ ἵππος, ἢ βοῦς μέγας. ἀποδέδεικται δέ μοι καὶ περὶ τούτου τοῦ διττοῦ σημαινομένου πολλάκις ἤδη δι' ἑτέρων· τὸ δὲ πάντα ἐν πᾶσιν ἐξεργάζεσθαι, φλύαρον· ὅπερ οὖν εἰς τὰ παρόντα χρήσιμον ὑπάρχει, τοῦτο ἐρῶ. τῶν νοσημάτων ἕκαστον, αὐτὸ μὲν καθ' ἑαυτὸ κέκτηταί τινα πηλικότητα E (βέλτιον γὰρ οὕτως εἰπεῖν ἕνεκα σαφηνείας) ἤτοι δὲ ὑπὲρ τὴν δύναμίν ἐστιν ἡ πηλικότης αὕτη τοῦ νοσήματος, ὡς βαρύνειν αὐτήν, ἢ τοὐναντίον ἀσθενεστέρα τῆς δυνάμεως, ὡς νικηθῆναι πρὸς ἐκείνης, ἁπάντων τῶν καλῶς γινομένων· ὅταν οὖν ὑπὲρ τὴν δύναμιν ᾖ, τεθνήξεται πάντως ὁ ἄνθρωπος.

CAPVT VI.

De iudiciis, & temporibus lethalium morborum.

AT morbi tempora tum partim similiter ac in prædictis sumuntur, partim dissimiliter. Principium enim simili modo in morbi generatione constitutionẽ habet; ascensus autem non in concoquendo, sicut in iis qui superstites futuri sunt, sed in cruditatis lethalibusque signis consistit. Demonstrauimus enim, ni fallimur,

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τῶν κρίσεών τε καὶ καιρῶν τῶν θανασίμων νοσημάτων.

F ΟΙ καιροὶ δὲ τῆς νόσου τηνικαῦτα, κατά τι μὲν ὡσαύτως τοῖς προειρημένοις λαμβάνονται, κατά τι δὲ οὐχ ὡσαύτως. ἡ μὲν γὰρ ἀρχὴ κατὰ τὸν αὐτὸν τρόπον, ἐν τῇ γενέσει τοῦ νοσήματος ἔχουσα τὴν σύστασιν· ἡ δὲ ἀνάβασις, οὐκ ἐν τῷ πέττεσθαι, καθάπερ ἐπὶ τῶν σώζεσθαι μελλόντων, ἀλλ' ἐν τοῖς τῆς ἀπεψίας καὶ τοῖς ὀλεθρίοις σημείοις. ἐδείχθη γάρ, εἰ

τι μεμνήμεθα, διαφέροντα ταῦτα ἀλλήλων, λεχθήσεται δὲ, ἀναμνήσεως ἕνεκα, καὶ νῦν ἐξ αὐτῶν ἔνια. τὸ μὲν οὖν τὸ εὔχροον οὖρον, καὶ μετρίως παχὺ, πάντων οὔρων ἐστὶ κάλλιστον, ὅσον ἐπὶ τῇ χροιᾷ καὶ συστάσει· συμπεφυκέναι δὲ αὐτῷ χρὴ πάντως ἤτοι γε ἐναιώρημα χρηστὸν, ἢ νεφέλην, ἢ ὑπόστασιν, ὡς ἂν ἡ τοῦ νοσήματος ἀπαιτῇ φύσις· ἄλλως μὲν γὰρ ἐδείξαμεν ἐν τοῖς χολώδεσι νοσήμασιν, ἄλλως δὲ ἐν τοῖς ἐξ ὠμῶν χυμῶν πλήθεσι, τὰς ὑποστάσεις γινομένας. ἐκ διαμέτρου δὲ, ὡς ἄν τις εἴποι, τὸ μὲν ἄπεπτον οὖρόν ἐστι, ὃ μήτε ἐναιώρημα, μήτε ὑπόστασιν ἔχει, μήτε νεφέλην, ἀλλὰ μηδὲ πάχος τι προσειληφὸς, ἢ ὠχρότητα, λευκὸν δέ ἐστι τῇ χροιᾷ, καὶ λεπτὸν τῇ συστάσει, καθάπερ ὕδωρ. εἰ μέντοι νεφέλη τις, ἢ ἐναιώρημα μέλαν, ἢ ὑπόστασις ἐν αὐτῷ γίνοιτο μέλαινα, καὶ μᾶλλον εἰ καὶ σύμπαν εἴη ζοφῶδες, ὀλέθριον ὑπάρχει, καθάπερ εἰ καὶ κριμνώδη τινὰ, ἢ πεταλώδη κατ' αὐτὸ φαίνοιτο. καὶ μὴν καὶ τὸ δυσῶδες ἰσχυρῶς, καὶ τὸ λιπαρὸν, ὅπερ ἐλαιῶδες ὀνομάζουσιν, ὀλέθριον. ταῦτα οὖν ἐστι τὰ οὖρα, μεγάλου νοσήματος γνωρίσματα, ὃ κατὰ τὴν ἑαυτοῦ φύσιν ἔλεγον ὑπάρχειν μέγα. μέγα δὲ, εἰ καὶ τὸ πτύσμα πλευριτικοῖς καὶ περιπνευμονικοῖς, ἤτοι μέλαν, ἢ πυῤῥὸν ἰσχυρῶς, ἢ ἀφρῶδες, ἢ δυσῶδες ἰσχυρῶς, ἢ μηδ' ὅλως πτυόμενον, ἰσχυρᾶς ὀδύνης ἢ δυσπνοίας κατεχούσης τὸν ἄνθρωπον. ἀνάλογον δὲ τοῖσδε κἀπὶ τῶν ἄλλων νοσημάτων, ὅσα καθ' ἧπαρ, ἢ γαστέρα συνίσταται, τῶν ὀλεθρίων σημείων ὑπάρχει γένος, ὅθεν οὐδὲ ὁρίσαι παραπλησίως ἐστί τε τῇ τῶν σωζομένων ἀκμῇ, τὴν ἐν τοῖς τοιούτοις νοσήμασιν· ἐκεῖ μὲν γὰρ οἱ μέγιστοι παροξυσμοὶ τὴν ἀκμὴν ἀφώριζον, ἐνταῦθοι δὲ οὐχ ὁρίσαι τοὺς μεγίστους ὁμοίως, ὡς ἂν μηδὲ πεπτομένης τινὸς ἀρχῆς τοῦ νοσήματος, ἀλλ' ἐπινοίᾳ χρὴ λαμβάνειν τὸ μέγιστον, εἰς ὅ ποτε μὲν ἀφικνεῖται τὸ νόσημα, ποτὲ δὲ ἀναιρεῖ φθάνον. ἐπὶ μὲν γε τῆς λυομένης φλεγμονῆς, ἡ τοῦ πύου γένεσις ὅρος τῆς ἀκμῆς· ἐπὶ δὲ τῆς μὴ μελλούσης λύεσθαι, δυνατὸν μὲν τὸν ἄνθρωπον ἀποθανεῖν ἐστὶ καὶ κατὰ τὴν ἀνάβασιν αὐτῆς· ἐγχωρεῖ δὲ καὶ διαρκέσαι τὴν δύναμιν ἰσχυροτάτην παραμένουσαν, ἄχρι τοῦ τελευταίου μεγέθους. ταύτης γάρ τοι τῆς φλεγμονῆς, ὅταν γε μὴ μέλλοι λύεσθαι, τὸ μέγιστον μέγεθος ἤτοι γε εἰς γάγγραιναν, ἢ εἰς σηπεδόνα τελευτᾷ· μέχρι δ' ἂν μηκέτι τι τούτων ᾖ, δυνατὸν αὐτὴν αὐξηθῆναι. ἀνάλογον δὲ τῇ φλεγμονῇ καὶ αἱ καθ' ἕκαστον γένος τῶν ἄλλων νοσημάτων αὐξήσεις νοείσθωσαν. εἴρηται δὲ αὐτῶν οὐ τὰ γένη μόνον, ἀλλὰ καὶ αἱ διαφοραὶ καὶ τὰ εἴδη, δι' ἑνὸς ὑπομνήματος, ὃ περὶ διαφορᾶς νοσημάτων ἐπιγράφεται. ἐκείνῳ δὲ μάλιστα σε προσέχειν ἀξιῶ τὸν νοῦν, ὃ παρελθὸν, ἰσχυρῶς ἄν τινα σφάλλῃ.

hæc inter se differre; attamen & nunc ipsorum nonnulla ad memoriam refricandam, dicentur. Itaque vrina boni coloris & mediocriter crassa, omnium est optima, quantum ad colorem & consistentiã; adesse autem ei, vel salubre enæorema, vel nebulam conuenit, vel sedimentum, vt morbi natura postulauerit. Alia enim in biliosis morbis; alia in plenitudinibus ex crudis humoribus ortis sedimenta fieri demonstrauimus. Ex opposito, vt ita dicam, cruda vrina est, quæ neque suspensum quicquam, neque sedimentum, neque nebulam habet; imò neque crassitiem vllam aut flauum colorem assumpsit; sed alba est, & consistentiâ tenuis, quemadmodum aqua. Si tamen nebulæ quædam, vel suspensum, vel sedimentum in ipsa nigrum fuerit; & maximè si tota sit obscura, lethalis est; quemadmodum & si quædam parti farinæ crassiori similia, vel laminis, in ea appareant. Quinetiam quæ vehementer fœtet, & quæ pinguis est, quam oleaceam vocant, mortem minatur. Hæ igitur sunt vrinæ, magni morbi notæ, quem naturâ suâ magnum esse dicebam. Magnus etiam, si sputũ pleuritide & peripneumoniâ laborantibus, vel nigrum vel fuluum vehementer, vel spumans, vel impensè fœtidum est, vel non expuitur omninò, ingenti dolore, vel spirandi difficultate hominem occupante. Respondet his & in aliis morbis, qui iecur & ventriculum exercent, lethalium signorum genus; vnde huiusmodi morborum vigorem, similiter atque salubrium, determinare non licet; nam illic maximæ accessiones statum definiebant; hîc autem maximæ accessiones non æquè possunt determinari; quippe quum morbus omninò non concoquatur; verùm intellectu id quod maximum est, accipere opportet, ad quod aliàs morbus peruenit, aliàs priùs occidit. In inflammatione quæ soluitur, puris generatio vigoris terminus est; in ea verò, quæ soluenda non est, fieri quidem potest, vt homo in eius ascensu moriatur; fieri verò etiam potest, vt vires validissimæ existentes, ad extremam vsque magnitudinem perdurent. Huius etenim inflãmationis, quando soluenda non est, maxima magnitudo vel in gangrænam, vel in putredinem terminatur; quousque verò horum nihil adsit, augeri ipsa potest. Ad similitudinem verò inflammationis, aliorum morborum vniuscuiusque generis incrementa censeantur. Diximus autem ipsorum non genera modò, sed etiam differentias & species libro vno, qui de morborum differentiis inscribitur. Vni autem maximè animum te adhibere velim, quo neglecto, non mediocriter quis errare possit.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ διαγινώσκειν τοὺς καιροὺς, ὅταν πολλαὶ ἅμα νόσοι καταλάβωσι τὸν ἄνθρωπον.

ΕΝδέχεται γὰρ ἐν ἑνὶ καὶ τῷ αὐτῷ χρόνῳ, καὶ δυσὶ καὶ πλείοσι νοσήμασιν ἔχεσθαι τὸν ἄνθρωπον, ὧν τὸ μὲν ἤδη παρακμάζει· τὸ δὲ τὸν τῆς ἀρχῆς ἔτι μένει καιρὸν, ἢ τὰ πρῶτα τῆς ἀναβάσεως· τὸ δ' ἐπὶ πλεῖστον ηὔξηται· κἄπειτα τὸν μὲν ἄνθρωπον ἀποθανεῖν, οὔτε διὰ τὸ παρακμάζον, οὔτε διὰ τὸ νῦν ἀρχόμενον, ἀλλὰ διὰ τὸ μεγάλως ηὐξημένον. μάλιστα μὲν οὖν ἐπισκέπτου τὰς τρεῖς ἀρχὰς τῶν διοικουσῶν ὅλον τὸ σῶμα.

CAPVT VII.

De ratione temporum dignoscendorum, quando plures vno tempore morbi hominem infestant.

NAm vno & eodem tempore duobus, tribúsve morbis homo infestari potest, quorum alius iam declinet; alius principii tempus adhuc, vel incrementi primordia occupet; tertius plurimùm auctus sit; deindè mori, non propter declinantem, aut nunc incipientem, sed ob vehementer auctum. In primis igitur tria facultatum corpus totum gubernantium

tium principia, considera, quo in statu sint; dico autem hæc, cerebrum, cor, & iecur; deinde alias quoque vniuersas partes ex singulis principiis ortas, neruos, venas, & arterias; ad hæc illas, quæ naturam propriam quidem habent, sed ab omnibus principiis reguntur, quædam sanè æqualiter, quædam ab hoc magis, ab illo minùs. Nam ex hac speculatione, primũ vtrum vnus, an plures in homine morbi sint, inuenies; postea cuiusque propria tempora inspice ad præsidiorum inuentionem necessaria, ob quam sermo hic nobis elaboratur.

δυνάμεων, ὅπως διάκειν[ται]· λέγω δὲ ταύτας, ἐγκέφαλον, καρδίαν, καὶ ἧπαρ· ἐφεξῆς δὲ καὶ τὰ ἄλλα σύμπαντα μόρια, τὰ ἀπὸ τῶν ἀρχῶν ἑκάστης πεφυκότα, νεῦρα, φλέβας καὶ ἀρτηρίας, καὶ ἄλλα φύσιν μὲν ἰδίαν ἔχοντα, διοικούμενα δὲ ὑπὸ τῶν ἀρχῶν ἁπασῶν, ἔνια μὲν ὁμοτίμως, ἔνια δὲ ὑπὸ τῆσδε μὲν μᾶλλον, ὑπὸ τῆς δὲ ἧττον. ἐκ γὰρ τῆς τοιαύτης θεωρίας, πρῶτον μὲν, εἴθ' ἕν ἐστιν, εἴτε καὶ πλείω νοσήματα κατὰ τὸν ἄνθρωπον, εὑρήσεις· εἶθ' ἑξῆς, ἑκάστου τοὺς ἰδίους ἐπισκέψαι καιρούς, ἀναγκαίους ὑπάρχοντας εἰς τὴν τῶν βοηθημάτων εὕρεσιν, ἧς ἕνεκα ἡμῖν ὁ λόγος ὅδε σπουδάζεται.

CAPVT VIII.

Quem vsum doctrina temporum morbi ad eius curationem præstet.

Etenim *circa principia, & fines, omnia imbecilliora sunt; in vigore fortiora*; quæ hæc intercedunt, medio ordine consistunt. Nam principio viciniora, vigori propinquioribus imbecilliora sunt, sicut etiam fini propiora; quæ verò ęquè à principio & vigore absunt, mediam vtriusque extremorum vim obtinent; pari modo quæ à vigore & fine æquè recedunt, media & hæc propriorum extremorum sunt. Igitur in vigore, quod mitigandi vim habet, in curatione præpollere debet; in principio & fine, quod vehementer agit; at media tempora pro extremorum proportione capiantur, vt in medendi methodi libris copiosiùs dictum est, nunc verò rudimenti loco ipsa capita rerum percensui, vsum temporum in morbis differentiæ ostendens. Neque enim quam quis victus rationem instituat, inuenire poterit, neque *quando abstineat*, quando nutriat, sine certa temporum distinctione. Siquidem coniicere oportet statim ab initio, quando morbi vigor futurus sit, & quantę laborantis vires existant. Si nanque vigoris tempori etiam sine alimenti exhibitione sufficere queat, optimum fuerit, donec morbus declinare cœperit, à cibo abstinere; quòd si sufficere citra cibum non possit, protinus ab initio, quolibet apto ad alimentum tempore alendus æger est; hoc autem tempus est remissionis. Voco autem remissionem modò, secundam partem totius circuitus in duo vniuersa diuisi, accessionem & remissionem. Hippocrates itaque omnium primus, quos sciamus, rectè hæc distinxit; præstat verò artem ipsius excolere, quod nemo propè factitauit; nonnulli etiam ab ea planè recedentes, in verborum ambages abierunt, vt Archigenes cùm in aliis omnibus, tùm in duobus libris, quos de morborum temporibus inscripsit; hoc clarè disces, si hæc duo adamussim disquisieris; vnum an hæc, quæ toto hoc libro declaraui, ad curationem & prænotionem vtilissima sint; alterum, an ab Archigene dictum sit aliquid; si enim quum nihil his desit, dicere videatur alia, dupliciter peccat, tum quòd neque vtilia doceat, tum quod longis inutilium rerum nugis librorum suorum lectores opprimat.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Ἡ τίνα χρείαν ἡ τῶν ἐν τῇ νόσῳ καιρῶν γνῶσις εἰς τὴν αὐτῆς θεραπείαν παρέχει.

Ἐπεὶ μὲν γὰρ τὰς ἀρχὰς καὶ τὰ τέλη, πάντα ἀσθενέστερα, περὶ δὲ τὰς ἀκμὰς ἰσχυρότερα· μεταξὺ δὲ τούτων, ὅσα μεταξύ. τὰ μὲν γὰρ τῆς ἀρχῆς ἐγγυτέρω, τῶν ἐγγυτέρω τῆς ἀκμῆς ἀσθενέστερα, καθάπερ γε καὶ τὰ τοῦ τέλους ἐγγυτέρω· τὰ δὲ ἴσον ἀπέχοντα τῆς ἀρχῆς τε καὶ τῆς ἀκμῆς, μέσα τῆς ἰσχύος τῶν ἄκρων ἀμφοτέρων· οὕτω δὲ καὶ τὰ τῆς ἀκμῆς ἴσον ἀπέχοντα καὶ τῆς τελευτῆς, μέσα καὶ ταῦτα τῶν ἰδίων ἄκρων ἐστίν. ἐπικρατεῖν οὖν ἐν τῇ θεραπείᾳ προσήκει κατὰ μὲν τὴν ἀκμὴν, τὸ παρηγορικόν, ἐπὶ δὲ τῆς ἀρχῆς, καὶ τῆς τελευτῆς, τὸ ἀγωνιστικόν· ἀνάλογον δὲ τοῖς ἄκροις, οἱ μεταξὺ καιροὶ λαμβανέσθωσαν, καθάπερ ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ λέλεκται ἐπὶ πλέον, νυνὶ δὲ ὅσον ὑπογραφῆς ἕνεκεν αὐτὰ τὰ κεφάλαια διῆλθον, ἐνδεικνύμενος τὴν χρείαν τῆς ἐν τοῖς νοσήμασι κατὰ καιροὺς διαφορᾶς. οὐδὲ γὰρ ὅπως τις διαιτήσῃ δυνατὸν εὑρεῖν, οὐδὲ πότε δὲ θρέψῃ, χωρὶς τοῦ διαιρεῖσθαι βεβαίως αὐτούς, εἴ γε χρὴ συντεκμαίρεσθαι κατ' ἀρχὰς εὐθύς, ὁπηνίκα μὲν ἡ ἀκμὴ τοῦ νοσήματος ἔσοιτο, πηλίκη δέ ἐστιν ἡ τοῦ κάμνοντος δύναμις· εἰ μὲν γὰρ ἐξαρκέσει τῷ τῆς ἀκμῆς καιρῷ καὶ χωρὶς τοῦ τροφὴν προσενέγκασθαι, κράτιστον ἀσιτεῖν ἄχρι τοῦ τὴν παρακμὴν ἄρξασθαι· εἰ δ' οὐχ οἷόν τε ἀσιτοῦντα διαρκέσαι, θρεπτέον αὐτὸν ἀπ' ἀρχῆς εὐθέως ἐν ἅπαντι καιρῷ τῷ δυναμένῳ προσδέξασθαι τροφήν, ἔστι δὲ οὗτος ὁ τῆς ἀνέσεως. λέγω δὲ ἄνεσιν ἄρτι τὸ δεύτερον μόριον τῆς ὅλης περιόδου διαιρεθείσης εἰς δύο τὰ πάντα, παροξυσμόν τε καὶ ἄνεσιν. Ἱπποκράτης μὲν οὖν πάντων πρῶτος, ὧν ἴσμεν, ὀρθῶς περὶ τούτου διωρίσατο· βέλτιον δὲ ἦν, ἐξεργάσασθαι τὴν τέχνην αὐτοῦ· σχεδὸν δὲ οὐδεὶς τοῦτο ἐποίησεν, ἔνιοι δὲ καὶ τελέως ἀποχωρήσαντες αὐτῆς, εἰς μακρολογίαν ἐξετράποντο, καθάπερ καὶ Ἀρχιγένης ἔν τε τοῖς ἄλλοις ἅπασι, κἀν τοῖς δύο βιβλίοις, ἃ περὶ τῶν ἐν ταῖς νόσοις καιρῶν ἐγράψατο. μαθήσῃ δὲ ἐναργῶς, ὃ λέγω, δύο ταῦτα ἐξετάσας ἀκριβῶς· ἓν μὲν, εἰ ταῦτα τὰ νῦν ὑφ' ἡμῶν εἰρημένα δι' ὅλου τούτου τοῦ βιβλίου χρησιμώτατά ἐστιν εἰς θεραπείαν καὶ πρόγνωσιν· ἕτερον δὲ, εἰ λέλεκταί τι παρὰ Ἀρχιγένους. εἰ γὰρ μηδενὸς ἐλλείποντος τοῖσδε, φαίνεται λέγων ἕτερα, διττῶς πλημμελεῖ, μήτε τὰ χρήσιμα διδάσκων, βαρύνων τε τῇ τῶν ἀχρήστων πολυλογίᾳ τοὺς ἀναγινώσκοντας αὐτοῦ τὰ βιβλία.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ ΦΥΣΙΝ ΟΓΚΩΝ, ΒΙΒΛΙΟΝ.

GALENI DE TVMORIBVS PRÆTER NATVRAM, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Αἱ διαφοραὶ τῶν παρὰ φύσιν ὄγκων τοῖς ἰδίοις ὀνόμασι, καὶ ὅροις, καὶ αἰτίαις διωρισμένων, παραδίδονται.

ARGVMENTVM LIBRI.

Differentiæ tumorum præter naturam proprijs vocabulis, definitionibus, & causis distinctorum, traduntur.

A

ΚΕΦΑΛΑΙΟΝ Α.

Τί ἐστιν ὁ παρὰ φύσιν ὄγκος.

ΕΝ τι τῶν συμβεβηκότων τοῖς σώμασιν ὑπάρχει τὸ δηλούμενον πρὸς τῆμα πρὸς τοῦ ὄγκου φωνῆς. τὴν γὰρ εἰς μῆκος, καὶ πλάτος, καὶ βάθος διάστασιν, οὕτως ὀνομάζουσιν Ἕλληνες. ἔστι δ' ὅτε καὶ τὴν ὑπὲρ τὸ κατὰ φύσιν αὔξησιν, ὄγκον καλοῦσιν, ὅπερ οὐ τοῖς νοσοῦσι μόνον καθ' ὁτιοῦν μέλος, ἀλλὰ καὶ τοῖς ὑγιαίνουσιν ὑπάρχει. καὶ γὰρ καὶ οἱ παχεῖς ηὔξηνται μὲν ὑπὲρ τὸ κατὰ φύσιν εἰς βάθος καὶ πλάτος, οὐ μὴν ἤδη γέ πω παρὰ φύσιν ἔχουσιν. ὡς γὰρ πολλάκις εἴρηται, τρίτη τίς ἐστι κατάστασις ἡ τῶν οὐ φύσει διακειμένων σωμάτων, ἐν μέσῳ πως ὑπάρχουσα τῶν κατὰ φύσιν τε καὶ παρὰ φύσιν ἐχόντων. ὁ μὲν οὖν παχὺς ἢ ἰσχνὸς, οὐ παρὰ φύσιν, ἀλλ' ἁπλῶς μόνον ὁ μὲν ὑπὲρ τὸ κατὰ φύσιν, ὁ δὲ ἐνδεέστερον ἔχει τοῦ κατὰ φύσιν, οὐ φύσει δὲ ἑκάτερος. ὁ δὲ ἐξ ὑδέρου τὸν ὄγκον ἐπικτησάμενος, ἢ ἐκ φθόης τὴν λεπτότητα, παρὰ φύσιν ἄμφω διάκεινται. πρόκειται δὲ ἡμῖν ἐν τῷ νῦν ἐνεστῶτι λόγῳ σκέψασθαι περὶ τῶν παρὰ φύσιν ὄγκων, ὅλον τε καταλαμβανόντων τὸ σῶμα, καὶ μέρος ὁποιοῦν αὐτοῦ, τοσοῦτον ἐπιδιελεσαμένοις, ὡς τῶν οὐ φύσει διαθέσεων αἱ ὑπερβολαὶ παρὰ φύσιν εἰσίν. ὅρος δὲ τῆς ὑπερβολῆς ἐστιν αὐτῶν, ἡ βλάβη τῆς ἐνεργείας. ἀλλὰ περὶ μὲν τούτων τῶν ὄγκων οὐ δεῖ μακροτέρων λόγων. γινώσκεται γὰρ ὑπὸ πάντων ἀνθρώπων, οὐ μόνον τῶν ἰατρῶν, σαρκὸς καὶ πιμελῆς ἀμετρία τὴν γένεσιν αὐτῶν ἐργαζομένη. τοὺς δ' ἄλλους ὄγκους, ὅσοι κατὰ τὴν διάθεσιν αὐτῶν τῶν σωμάτων, οὐ μόνον τὴν ποσότητα πρὸς τὴν τῆς κατὰ φύσιν ἐξεστήκασιν, ἤδη σκοπῶμεν, ἀπὸ φλεγμονῆς ἀρξάμενοι.

CAPVT PRIMVM.

Quid sit tumor præter naturam.

QVÆ res tumoris voce significatur, vnum quoddam est accidentium, quæ corporibus eueniũt. Sic enim quod spatium in longum, latum, & profundum extenditur, Græci nominant. Nonnunquam etiam incrementum, naturalem statum excedẽs, tumorem vocitant, qui non solùm morbo laborantibus quacunque in parte, verùm etiam sanitate fruentibus adest. Etenim crassi supra eum, qui secundum naturam est, statum, in latum, & profundum aucti sunt; nondum tamen iam præter naturam se habent. Nam, vt plerunque dictum est, tertius quidam existit corporum non naturâ affectorum status, tum in eorum quæ secundum naturam, tum eorum quæ præter naturam se habẽt, medio quodam consistens. Crassus, aut gracilis, non præter naturam, sed simpliciter duntaxat, ille quidem exuperantem secundum naturam, hic verò deficientem secundum naturam statum obtinet; vterque autem non naturâ; qui verò ex hydero tumorem aut qui ex tabe maciem adeptus est, contra naturam vterque affectus est. Nunc autem in præsenti libro de tumoribus præter naturam corpus vniuersum, & quamcunq; eius partem occupantibus disserere proposuimus, tantum distinguentes, quòd affectuum non naturâ incidentium exuperantiæ præter naturam existunt. Eorum autem exuperantiæ terminus, actionis est læsio. Verùm de his tumoribus longiori oratione non opus est. Nam ab vniuersis hominibus, non tantum medicis, carnis & pinguedinis ametria cognoscitur, quæ ipsorum generationem efficit; cæteros verò tumores, qui pro ipsorum corporum affectu, non quantitate modò primariâ, ab eo qui secundũ naturam est, statu decesserunt, iam speculemur, ab inflammatione ducto exordio.

A

CAPVT II.

De inflammatione.

HOc *phlegmones* nomen Græcis dici consueuit de carnosis partibus maiorē in molem, cum tensione, renixu, dolore pulsatorio, calore; & rubore extuberantibus. At quæ causa sit, quâ hæc oboriantur symptomata, non vulgo, imò nec ipsis medicis omnibus innotuit. Neq; enim viâ quâdam plures ipsorum indagationem moliuntur, sed quod visum ipsis fuerit, B absolutè pronunciant. Talis autem esset consideratio, si quis viâ & ratione procederet. Maior tumor in nullo vnquam corpore contigerit, nisi horum duorum alterutrum substantiæ eius accidat, vel vt à copioso calore ceu inferuescēs fundatur, vel extrinsecus recentiorem aliquam substantiam conquirat. Fusa nanque in spiritum abit inflaturque, & refrigerata eadem pristinam molem facilè recuperat. Sed neque spiritus contentus in partibus phlegmone laborantibus conspicitur, quemadmodū in mul- C tis aliis tumoribus; & refrigeratæ ad priorem statum neque statim neque ex integro reuertuntur. Quod autem spiritus non contineatur, ex sectione patet. Apparet enim manifestè, si pars laborans phlegmone secta fuerit, sanguis permultus effluere, & locus vniuersus sanguine plenus, quemadmodum spongiæ madentes; spiritus autem neque statim excidere, neque postea. At & solus color sanguinis proprius simul & inseparabilis est; nulla siquidē corporis pars alia, nullúsve humor præterquam caro & sanguis, rubet. Verùm inflammationis affe- D ctus corpulentia non est, &, siquādo corpulentia sola in corpore citra sanguinis copiam consistat, tumor naturali statu maior extat, color intra sanitatis fines permanet, nec à pristinâ naturâ recedit. Quippe nulli, quòd secundum substantiam augescit, color primus intenditur. Sic enim nix candidior, pix nigrior, & aurum flauum magis euaderet. Quamobrem substantiæ incrementum ab alteratione diuersum est. Augescit enim secundum quantitatem, alte- E ratur secundum qualitatem. Est sanè & color qualitatis substantiæ, non quantitatis indicium. His igitur rationibus ab inflammatione differt corpulentia. Ob hæc autem eadem aliquis sanguinem humorem in ipsa exuberare censuerit. Interdum verò & cum vlceribus etiam maximæ oriuntur inflammationes, videturque sanies quædam tenuis aquæ modo effluere, loco circùm cruento apparente. Quare in hoc carnis densitatem, quam in vulneris terminis sibi comparauit, eò symmetriæ venire necessarium est, vt saniem elabi sinat, sanguinem intus in se F contineat. Et sanè quantò sanies tenuior sanguine, tantò etiam, vel magis adhuc, spiritu crassior existit. Proinde si in vulnere caro saniem excidere permittit, certè spiritum quoque permiserit; quo semel euacuato, statim etiam inflammationis tumor subsidet. Nimirum sic fieri conspicitur in partibus, vbi spiritus verè collectus fuerit. Ipsis enim incisis, tumor omnis coërcetur. Quin & vulneribus succedens inflammatio hoc testatur. Etenim in principio recentibus adhuc vulneribus excidit

ΚΕΦΑΛΑΙΟΝ Β.

Περὶ φλεγμονῆς.

ΛΕγεσθαι δὲ εἴθισται τοῖς Ἕλλησι τοὔνομα τοῦτο κατὰ τῶν ἐν ὄγκῳ μείζονι μορίων σαρκωδῶν, ἅμα τάσει καὶ ἀντιτυπίᾳ, καὶ ὀδύνῃ σφυγματώδει καὶ θερμῇ, καὶ μετ' ἐρυθήματος· ἥτις δή ἐστιν ἡ αἰτία, δι' ἣν ταῦτα ἐγίνετο τὰ συμπτώματα, μὴ ὅτι τοῖς πολλοῖς, ἀλλ' οὐδ' αὐτοῖς τοῖς ἰατροῖς ἔγνωσται πᾶσιν. οὐδὲ γὰρ ὁδῷ τινι ποιοῦνται τὴν ζήτησιν οἱ πλείους αὐτῶν, ἀλλὰ τὸ δόξαν αὐτοῖς ἁπλῶς ἀποφαίνονται. γίγνοιτο δ' ἂν ἡ σκέψις, εἴπερ τις ὁδῷ προέρχοιτο, τοιάδε. μείζων ὄγκος οὐκ ἄν ποτε γένοιτο περὶ σῶμα οὐδὲν ἄνευ τοῦ τὴν οὐσίαν αὐτοῦ δυοῖν τούτων παθεῖν θάτερον, ἢ ὑπὸ θερμότητος πολλῆς οἷον περιζέσασαν χυθῆναι, ἢ ἔξωθέν τινα νεωτέραν οὐσίαν ἐπικτήσασθαι. χεομένη μὲν γὰρ πνευματοῦται καὶ ψυχθεῖσά γε αὖθις τὸν ἀρχαῖον ὄγκον ἀνακτᾶται ῥᾳδίως. οὔτε δὲ πνεῦμα περιεχόμενον ἐν τοῖς φλεγμαίνουσιν ὁρᾶται, καθάπερ ἐν ἄλλοις ὄγκοις πολλοῖς, καὶ ψυχόμενα πρὸς τὴν ἐξ ἀρχῆς κατάστασιν, οὔτ' εὐθύς, οὔτ' ἐξ ἅπαντος ἐπανέρχεται. ὅτι δ' οὐ περιέχεται πνεῦμα, δῆλον ἐκ τῆς τομῆς. φαίνεται γὰρ εἰ τμηθείη τὸ φλεγμαῖνον, αἷμα μὲν ἐκχεόμενον πάμπολυ καὶ τὸ χωρίον ὅλον ἐναργῶς αἵματος μεστόν, ὥσπερ οἱ διάβροχοι σπόγγοι, πνεῦμα δέ, οὔτ' εὐθὺς ἐκπῖπτον οὔτ' αὖθις. ἀλλὰ καὶ ἡ χροιὰ μόνη τοῦ αἵματος οἰκεία τε ἅμα καὶ ἀχώριστος. οὐδὲ γὰρ ἄλλο τῶν ἐν τῷ σώματι μορίων, ἢ χυμῶν ἐρυθρόν, πλὴν σαρκός τε καὶ αἵματος. ἀλλ' οὔτε πολυσαρκία ἐστὶ τὸ πάθημα τῆς φλεγμονῆς, καὶ εἴπερ συσταίη ποτὲ πολυσαρκία κατὰ τὸ σῶμα μόνη, χωρὶς αἵματος πλήθους, ὁ μὲν ὄγκος μείζων γίνεται τοῦ κατὰ φύσιν, ἡ χροιὰ δὲ ἐν ὅροις ὑγιεινοῖς διαμένει, μηδὲν τῆς ἀρχαίας ἐξαλλάττουσα φύσεως. οὐδενὶ γὰρ αὐξανομένῳ κατὰ τὴν οὐσίαν, ἐπιτείνεται τὸ πρόσθεν χρῶμα. οὕτω γὰρ ἂν ἥ τε χιὼν ἐγίνετο λευκοτέρα, καὶ ἡ πίττα μελαντέρα, καὶ ὁ χρυσὸς ξανθότερος. ἕτερον οὖν ἐστι προφανῶς αὔξησις οὐσίας ἀλλοιώσεως. αὐξάνεται μὲν γὰρ κατὰ τὸ ποσόν, ἀλλοιοῦται δὲ κατὰ τὸ ποιόν. ἔστι δέ που καὶ τὸ χρῶμα ποιᾶς οὐσίας, οὐ ποσῆς γνώρισμα. διὰ ταῦτα μὲν οὖν πολυσαρκία ἕτερον φλεγμονῆς, δι' αὐτὰ δὲ ταῦτα πλεονάζειν ἄν τις ἐν αὐτῇ τὸν τοῦ αἵματος ὑπολάβοι χυμόν. ἀλλὰ καὶ μεθ' ἑλκῶν ἐνίοτε μέγισται γίνονται φλεγμοναί, καὶ φαίνεταί τις ἐκρέων ἰχὼρ ὑδατώδης λεπτός, αἱματώδους φαινομένου τοῦ πέριξ χωρίου. ἀναγκαῖον οὖν ἐν τῷδε τὴν πύκνωσιν τῆς σαρκός, ἣν ἐν τοῖς κατὰ τὸ τραῦμα πέρασιν ἑαυτῇ ἐπεκτήσατο, συμμετρίας εἰς τοσοῦτον ἥκειν, ὡς διεκπίπτειν ἐπιτρέπουσαν τοῖς ἰχῶρσιν, ἐναποστέγειν δ' ἔνδον ἑαυτῆς τὸ αἷμα. καὶ μὴν ὅσον αἵματος ἰχὼρ λεπτομερέστερός ἐστι, τοσοῦτον, ἢ καὶ πλέον ἔτι παχυμερέστερος ὑπάρχει πνεύματος. ὥστε εἴπερ ἡ κατὰ τὸ τραῦμα σὰρξ ἐπιτρέπει ἐκπίπτειν τοῖς ἰχῶρσιν, ἐπέτρεπεν ἂν δήπου τῷ πνεύματι. κενωθέντος δὲ ἅπαξ αὐτοῦ, καθίστατο ἂν εὐθέως καὶ ὁ τῆς φλεγμονῆς ὄγκος. ἀμέλει τοῦτο φαίνεται γιγνόμενον οὕτως ἐν οἷς ἂν μορίοις ὄντως ἀθροισθῇ τὸ πνεῦμα. τμηθέντων γὰρ αὐτῶν, αὐτίκα συστέλλεται πᾶς ὄγκος. ἀλλὰ καὶ ἡ γένεσις αὐτῆς τῆς ἐπὶ τραύμασι γινομένης φλεγμονῆς μαρτυρεῖ. ἐν ἀρχῇ μὲν γὰρ ἔτι νεοτρώτων ὄντων ἐκπίπτει

πλῆθος αἵματος. ἴσχεται δ' αὖθις ἤτοι ψυξάντων ἡμῶν, ἢ αὐτομάτως ὑπὸ τοῦ περιέχοντος ψυχθέν. ἀλλὰ καὶ πιλησάντων ἡμῶν ταῖς χερσὶν ἢ ἐπιδησάντων, ἴσχεται κωλυόμενον ἐκρεῖν. εἶτ' ἐν τοῖς στόμασι τῶν διῃρημένων ἀγγείων ἰσχόμενόν τε καὶ φραττόμενον, πιλοῦταί τε καὶ πήγνυται, παραπλήσιόν τι πάσχον θρόμβῳ, πλὴν ὅτι θρόμβος μὲν ἀθρόα τοῦ αἵματός ἐστι πῆξις αἰσθητή, τὸ δ' ἐπὶ τῶν ἑλκῶν γινόμενον, οὐκέτ' ἀθρόως, ἀλλὰ κατὰ σμικρὰ καὶ πολλὰ πέρατα τῶν διῃρημένων ἀγγείων, ἵστησι, καὶ παχύνει τὸ αἷμα. ὅταν μὲν οὖν ἅμα μὲν τοῦτο παχύτερον, ἅμα δὲ τῶν ἀγγείων τὸ πέρας γένηται στενότερον, ἴσχεται μὲν ἤδη τὸ αἷμα, διεκπίπτουσι δὲ ἰχῶρες. ταῦτα πάντα τεκμήρια μέγιστα τοῦ πληθύνειν ἐν τοῖς φλεγμαίνουσι μορίοις τὸ αἷμα. θερμότερον μὲν οὖν ἐστι τοῦ κατὰ φύσιν ἐν τοῖς οὕτω διακειμένοις, οὐ μὴν τοσοῦτον θερμότερον, ὡς μόνῃ τῇ χύσει τηλικοῦτον ἐργάσασθαι τὸν ὄγκον. πολλὰ δ' ἂν εἴη σοι καὶ τὰ τοῦδε τεκμήρια· πρῶτον μὲν οἱ διακαέστατοι τῶν πυρετῶν, ὅσον γὰρ ἐπὶ τούτων ἡ θερμασία σφοδροτέρα τῆς κατὰ τὰ φλεγμαίνοντα μόριά ἐστι, τοσοῦτον τὸν ὄγκον ἐχρῆν εἶναι μείζονα. δεύτερον δὲ τεκμήριον ἐκ τῆς τοῦ αἵματος οὐσίας, οὐ γὰρ ὥσπερ πίττα καὶ ῥητίνη καὶ κηρὸς, ὑπὸ ψύξεως πέπηγεν, ἀλλ' ἔστιν ἀεί τε καὶ φύσει θερμότερον. ἐκείνοις μὲν οὖν θερμαινομένοις, εἰς τοὐναντίον ἡ μετάστασις· αἵματι δὲ κατὰ φύσιν ὑπάρχοντι θερμῷ, γένοιτο μὲν ὀλίγῳ τινὶ ὁ μείζων ὄγκος, οὐ μὴν ἐπὶ τοσοῦτον, ὅσον ἐξαίρουσιν αἱ φλεγμοναὶ τὰ πάσχοντα μόρια. καίτοιγε πίττα καὶ ῥητίνη καὶ κηρὸς, εἰς τοσαύτην ἀφικνούμενα θερμασίαν, εἰς ὅσην ἥκει τὰ φλεγμαίνοντα, βραχὺ τοῦ ἐξ ἀρχῆς ἐπαύξεται. καί σοι καὶ τοῦτ' ἔστι τεκμήριον ἕτερον ἐπὶ τοῖς εἰρημένοις οὐ σμικρὸν, τοῦ τὸν ὄγκον τῶν φλεγμαινόντων μορίων μὴ διὰ μόνην γίνεσθαι τὴν χύσιν. ὀλίγη μὲν γάρ ἐστιν ἡ κατὰ θερμασίαν ἀλλοίωσις τοῦ αἵματος, οὐκ ὀλίγῳ δὲ μείζων ὁ ὄγκος. ἱκανὸν δὲ τεκμήριον ἔστω σοι καὶ αὐτὸ τὸ φαινόμενον. οὐ γὰρ ὥσπερ ἡ ῥητίνη, καὶ ἡ πίττα, καὶ ὁ κηρὸς θερμαινόμενα σφοδρότερον, ἐπιπλεῖστον ἥκουσι χύσεως, οὕτω καὶ τὸ αἷμα· φυλάττει δὲ κἂν ἐπὶ πυρὸς ἕψηται, τὸν ἔμπροσθεν ὄγκον, ἢ οὐδ' ὅλως ἢ παντάπασιν ἐλάχιστον εἰς μέγεθος ἐξαιρόμενον. εἴρηται δέ μοι καὶ πρόσθεν, ὅτι ψυχομέναις ταῖς φλεγμοναῖς οὐκ ἀεὶ καθίστασθαι συμβαίνει. τῆς γὰρ ἀκμαζούσης τε καὶ μεγάλης, ἐφ' ἧς ἐσφήνωται τὸ ῥεῦμα, κἂν ἐπὶ πλέον ψύξῃς, οὐ καθαιρήσεις τὸν ὄγκον, ἀλλὰ πελιδνὸν ἐργάσῃ τὸ μέρος καὶ ψυχρὸν, εἰς σκίρρον τε μεταστήσεις τὸ πάθος. εὐκολώτατα δὲ πρὶν μὲν σφηνωθῆναι τὸ ῥεῦμα τοῖς ψύχουσί τε καὶ στύφουσιν ἀναστέλλεται, καὶ μάλισθ' ὅταν ὀλίγον ᾖ· δυσλύτως δὲ ἔμπροσθεν ἐμπλασθὲν, ὑπὸ μὲν τῶν στυφόντων καὶ ψυχόντων οὐδὲν ὀνίναται, κενωθῆναι δὲ δεῖται. ἐξεύρηται τοιγαροῦν τηνικαῦτα τοῖς ἰατροῖς οὐ μόνον τοῖς θερμαίνουσι διαφορεῖν, ἀλλὰ καὶ αὐτοῦ τι τοῦ αἵματος αἰσθητῶς ἐκκενοῦν, ἀμυχὰς εἰς τὸ δέρμα ποιούντων. πάντα ταῦτα οὖν μεγάλα γνωρίσματα τοῦ πεπληρῶσθαι τὸ φλεγμαῖνον αἱματώδους χυμοῦ. θερμὸν δὲ ἀμέτρως οὐκ εὐθὺς ἐξ ἀρχῆς, ἀλλ' ἐν τῷ χρόνῳ γίνεται, διὰ τὴν ἔμφραξιν ἁπάντων τῶν πόρων ἰσχομένης τῆς ἀρχαίας διαπνοῆς. ἀναγκαῖον οὖν δήπου, καὶ σήπεσθαι, χρονίζοντι τῷ αἵματι. πάντα γὰρ ὅσα θερμὰ καὶ ὑγρὰ σώματα, κατὰ θερμὸν ἀθροιζόμενα τόπον, ἑτοίμως σήπεται, μήτε κενούμενα, μήτε ἐμψυχόμενα.

copia sanguinis; rursus autem supprimitur, aut nobis refrigerantibus, aut sua sponte ab ambiente refrigeratus. Imò etiam nobis manibus cõprimentibus, vel deligantibus, effluere prohibitus retinetur. Deinde in vasorum diuisorum orificiis retentus & obstructus coit & concrescit; cui simile quippiam grumo accidit, nisi quod grumus aceruata sanguinis concretio sit sensibilis; quod verò in vlceribus fit, non ita confertim, verùm paulatim, & in multis diuisorum vasorum terminis, sistit & crassum reddit sanguinem. Quum igitur simul hic crassior, simul vasorum extremum angustius euadit, retinetur quidem iam sanguis, excidit autem sanies. Hæc omnia maxima sunt indicia partes inflãmatione laborantes sanguinis copiã obtinere. Quapropter in affectis ita partibus calidior quidem est eo, qui secundum naturã est, non tamen tantò calidior, vt solâ fusione tam magnũ tumorem effecerit. Multę verò tibi & huius rei fuerint coniecturæ. Prima, febres ardẽtissimæ; quantò nanq; calor in his vehementior est eo, qui inflãmatas partes obsidet, tantò maiorẽ esse tumorẽ oportebat. Secunda coniectura ex sanguinis substantia sumitur; non enim vt pix, resina, & cera, à frigore cõcreuit, sed est semper & naturâ calidior. Illis igitur incalescentibus, in contrarium transmutatio est; sanguini, secundum naturam calido existenti, tumor aliquantulò maior extiterit, non tamẽ tantò, quantùm inflãmationes partes affectas attollũt. Et si pix quoque, resina, & cera in tantum calorem prodeuntia, in quantum veniunt inflãmatione laborantes partes, paululũ supra pristinum statũ adaugentur. Ac non leuis hæc quoque tibi fuerit coniectura, præter eas, quæ dictæ sunt, inflammatarum partium tumorem non ob solam fusionem contingere. Etenim modica est in calore sanguinis alteratio, tumor non paulò maior. Quod autem euidens est, id idoneum indicium tibi esto. Non enim quemadmodum pix, resina, & cera vehementiùs incalescentes, plurimum fusione fluunt, sic etiam sanguis; sed etiamsi in igne coquatur, priorem molem seruat, aut nullomodo, aut certè in minimam magnitudinem reducitur; Antea quoq; mihi dictũ est, inflammationes refrigeratas non semper subsidere. Nam vigentes & magnas, in quibus fluor impactus est, etiamsi plurimùm refrigeraris, non auferes tumorem, sed liuidam partem reddes & frigidam, in scirrhumq; vertes affectum. At minimo negotio priusquam fluxio impacta sit, refrigerantibus & astringentibus repellitur, & maximè quum modica fuerit. Porrò contumaciter antè impacta, astringentibus refrigerãtibúsque nihil iuuatur, sed euacuari postulat. Proinde inuentum est à medicis tunc non solùm calefacientibus esse discutiendum, verùm etiam ex sanguine quippiam sensibiliter euacuandum, scarificationibus in cute factis. Hæ igitur omnes notæ sunt, partem inflammatam humore sanguineo esse repletam. Calida verò immodicè non protinus ab initio, sed tempore fit, perspiratione pristinâ propter meatuum omnium obstructionem suppressâ. Necessarium igitur sanguinem diu immorantem computrescere. Omnia siquidem calida & humida corpora in calidum collecta locum, si neq; euacuentur, neque refrigerentur, facilè putrescunt;

putreſcunt; quapropter ex eius putredine accedit calor ei, quem priùs obtinebat. Quód igitur in vaſis partium inflammatarum ſanguis copioſus collectus ſit, ex tumoribus ipſarum licet coniicere; nec minus inde, quòd venæ in ipſis antea ob paruitatem viſum effugientes conſpiciantur, non generatæ videlicet in inflammatione, verùm ex ſanguinis repletione in magnitudinem tantam elatæ, vt ſenſibus pateant. Hoc in oculis potiſſimum accidere videtur, & præputio, & mammis. Ad hæc vniuerſam carnem, cuius iam & præcipuè inflammatio affectus eſt, fluore ſanguinolento repleri, tum color, tum ipſe tumor indicat. Ob id verò humida omnis caro & madeſcens, inſtar lanæ & ſpongiæ apparet. Atque huius teſtimonium ſanies effluens perhibet, vbi inflammatio orificium acceperit. Meritò etiam, meâ ſententiâ, cutis cum ſubiectarum partium tumoribus attollitur ac circuntenditur, & temporis proceſſu ipſa quoque fluxionem ſuſcipit, quemadmodum vaſorum tunicæ. Sic etiam inflãmatæ partis membranæ, inſuper nerui & tendines inflammationem temporis ſpatio experiuntur; interdum ſanè ipſis vulneratis, vel etiam aliter affectis, mali principium debetur. In vniuerſum nihil in parte inflammata ſecundum naturam exactè ſe habens permanet, ſi inflammatio diuturna ſit; verum omnes ſimul cum carne fluxionem participant. Quamobrem oſſa quoque nonnunquam inflammatio attingit, vt & ex ipſis aliquando primariò affectis mouetur. Quũ itaque ſecundum naturam ſe habet cutis, in minimè craſſis laxa eſt, & locus medius in quem incidit, vacuus eſt. Eodem modo carnium ſpatia, de quibus in anatomicis adminiſtrationibus latiùs dictum eſt, vacua exiſtunt omnia, præſertim quæ circa arterias orbiculatim earũ diaſtolis incumbunt. In inflammationibus autem omnia ſanguine replentur, ex vaſis per earum tunicas reſudante, in omni verò carnis parte roris inſtar permixto.

CAPVT III.

De abſceſſibus, & empyematis, ſeu ſuppuratis.

AT quum temporis proceſſu natura ſuperior euaſerit, fluor autem vniuerſus concoctus fuerit, & pus euaſerit, extra carnem pellitur ab eius facultate alienorum expultrice. Vbi ergo vel meatus naturalis notabilis eſt, veluti quidam effluxionis excrementorum riuus præparatus, vel ipſa regio indidem rara, aliud ex pure perſpirat, aliud ſenſibiliter effluit. Vbi vero cutis denſa duráque circuniacet, veluti exterior noſtra eſt, pus ibi retinetur, & à carne ei ſubiecta recedit; deinde etiam acrimoniâ erodit, *vulnerat*, & foras erumpit, niſi quis ſcarificatione *protinus* ipſam anteuertat. Verùm naturâ à fluore deuictâ, non ampliùs in pus, ſed in alienam aliquam mutationem alias aliam ſanguis peruenit. Vocantur huiuſmodi omnia vulgò à pleriſque medicis abſceſſus, maximè quæ intus in alto iacent. Quidam non omnes ſic appellandas cenſent, ſed illas duntaxat, quæ in aliam quandam corruptionem, non in conſuetum bonúmque pus immutantur; quemadmodum omnia ſuppurantia quidam vomicas,

ὥστε καὶ ἡ ἐκ τῆς σηπεδόνος αὐτοῦ περιέρχεται θερμότης, ἐφ' ἣ προσῆλθεν εἶχεν. ὅτι μὲν οὖν ἐν τοῖς ἀγγείοις αἷμα πλεῖον ἠθροίσθαι κατὰ τὰ φλεγμαίνοντα μόρια, τοῖς ὄγκοις αὐτῶν τεκμαρτέον, οὐχ ἥκιστα δὲ καὶ τῷ φαίνεσθαι φλέβας ἐν αὐτοῖς ἀοράτους ἔμπροσθεν οὔσας ὑπὸ σμικρότητος, οὐ γεννηθείσας δήπου κατὰ τὴν φλεγμονὴν, ἀλλ' ἐκ τοῦ πληρωθῆναι τοῦ αἵματος εἰς μέγεθος ἀρθείσας τοσοῦτον, ὡς αἰσθητὰς γενέσθαι. μάλιστα δὲ ἐν ὀφθαλμοῖς φαίνεται τοῦτο συμπίπτον, καὶ πόσθῃ, καὶ τιτθοῖς. ὅτι δὲ καὶ ἡ σύμπασα φαίνεται σὰρξ, ἧς ἤδη καὶ μάλιστα πάθος ἐστὶν ἡ φλεγμονὴ, πληροῦσθαι ῥεύματος αἱματώδους, ἥ τε χροιὰ καὶ ὁ ὄγκος αὐτῆς ἐνδείκνυται. διὰ τοῦτο δὲ καὶ ὑγρὰ πᾶσα καὶ διάβροχος, ὥσπερ ἔριον καὶ σπόγγος φαίνεται, καὶ τούτῳ μαρτυροῦσιν οἱ ἀπορρέοντες ἰχῶρες, ἐπειδὰν ἔχῃ στόμιον ἡ φλεγμονή. εἰκότως δὲ, οἶμαι, καὶ τὸ δέρμα σὺν τοῖς ὄγκοις τῶν ὑποκειμένων ἐξαίρεταί τε καὶ περιτείνεται, καὶ τῷ χρόνῳ δὲ δέχεται καὶ αὐτὸ τοῦ ῥεύματος, ὥσπερ καὶ οἱ τῶν ἀγγείων χιτῶνες. οὕτω δὲ καὶ οἱ ὑμένες οἱ κατὰ τὸ φλεγμαῖνον μέρος, ἔτι δὲ καὶ τὰ νεῦρα καὶ οἱ τένοντες, ἀπολαύουσιν ἐν τῷ χρόνῳ τῆς φλεγμονῆς, ἐνίοτε μὲν τιτρωθέντων αὐτῶν ἢ καὶ ἄλλως παθόντων, ἐξ αὐτῶν ἐκείνων πρώτων ἄρχεται τὸ κακόν. ὅλως δὲ οὐδὲν τῷ φλεγμαίνοντι μορίῳ κατὰ φύσιν ἔχον ἀκριβῶς διαμένει χρονιζούσης τῆς φλεγμονῆς, ἀλλὰ συναπολαύει τῇ σαρκὶ πάντα τοῦ ῥεύματος, ὥστε ἐνίοτε καὶ τῶν ὀστῶν ἅπτεται, καθάπερ καὶ ἐξ αὐτῶν ὁρμᾶται ποτὲ πρώτων παθόντων. ἐν γοῦν τῷ κατὰ φύσιν ἔχειν, χαλαρόν τέ ἐστι τὸ δέρμα τοῖς γε μὴ παχέσιν, ἥ τε ἐν τῷ μεταξὺ χώρα κενὴ, καθ' ἣν ἐπιπέπτωκεν. ὡσαύτως δὲ καὶ αἱ κατὰ τὴν σάρκα χῶραι, περὶ ὧν ἐπὶ πλέον ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι λέλεκται, κεναὶ πᾶσαι τυγχάνουσιν οὖσαι, καὶ μάλιστά γε αἱ περὶ τὰς ἀρτηρίας ἐν κύκλῳ ταῖς διαστολαῖς αὐτῶν ἀνακείμεναι. κατὰ δὲ τὰς φλεγμονὰς ἅπασαι πληροῦνται τοῦ αἵματος, ἐν μὲν τῷ τῶν ἀγγείων διιδρουμένου κατὰ τοὺς χιτῶνας αὐτῶν, ἐν παντὶ δὲ μορίῳ τῆς σαρκὸς ἀναμιγνυμένου δροσοειδῶς.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ τῶν ἀποστημάτων καὶ τῶν ἐμπυημάτων.

ΟΤαν δὲ ἐν τῷ χρόνῳ κρατήσῃ μὲν ἡ φύσις, πεφθῇ δὲ σύμπαν τὸ ῥεῦμα, καὶ γένηται πύον, ἐκτὸς ὠθεῖται τῆς σαρκὸς, ὑπὸ τῆς ἐν αὐτῇ δυνάμεως ἀποκριτικῆς τῶν ἀλλοτρίων. ἔνθα μὲν οὖν ἤτοι πόρος ἐστὶ φυσικὸς ἀξιόλογος, οἷον ὀχετός τις ἐκροῆς περιττωμάτων προκατεσκευασμένος, ἢ αὐτὸ τὸ χωρίον ἐστὶν ἀραιὸν, τοῦ πύου τὸ μέν τι διαπνεῖται, τὸ δὲ αἰσθητῶς ἐκρεῖ· ἔνθα δὲ περίκειται τὸ δέρμα πυκνὸν καὶ σκληρὸν, οἷόν περ τὸ ἔξωθεν ἡμῶν ἐστιν, ἴσχεται ἐν αὐτῷ τὸ πύον, ἀφίσταταί τε τῆς ὑποκειμένης αὐτῷ σαρκὸς, εἶτα καὶ διαβιβρώσκει τῇ δριμύτητι καὶ διεξέρχεται πρὸς τοὐκτὸς, εἰ μή τις φθάσῃ σχάσας αὐτό. κρατηθείσης δὲ τῆς φύσεως ὑπὸ τοῦ ῥεύματος, οὐκέτι εἰς πύον, ἀλλ' εἰς ἀλλόκοτόν τινα μεταβολὴν ἄλλοτε ἀλλοίαν ἀφικνεῖται τὸ αἷμα. καλεῖται δὲ, κοινῇ μὲν σύμπαντα τὰ τοιαῦτα πρὸς τῶν πλείστων ἰατρῶν ἀποστήματα, καὶ μάλιστα ὅσα διὰ βάθους ἔνδον ἐστίν· ἔνιοι δὲ οὐχ ἅπαντα προσαγορεύειν οὕτω δικαιοῦσιν, ἀλλ' ἐκεῖνα μόνον, ὅσα τὴν ἀλλοίωσιν εἰς διαφθορὰν ἑτέραν τινὰ, οὐκ εἰς τὸ συνηθές τε καὶ χρηστὸν ἴσχει πύον. ὡς τά γε ἐκπυΐσκοντα ἅπαντα

τινὲς μὲν ἐμπυήματα προσαγορεύουσιν, ἔνιοι δὲ διαπυήματα, καθάπερ καὶ αὐτὸ ἐκπυΐσκειν, καὶ διαπυΐσκειν. ἔνιοι δὲ οὐχ οὕτως, ἀλλ' ὅταν ἐν σπλάγχνῳ γένηταί τι τοιοῦτον, ἐκεῖνο μόνον ἐμπύημα προσαγορεύουσι, καὶ τοὺς οὕτω πάσχοντας ἐμπύους. ἄλλοι δ' αὖ τινες ἰατροὶ μόνους ἐκείνους ὀνομάζειν ἐμπύους δικαιοῦσιν, οἷς ἂν ἠθροισται πύον ἐν τῇ μεταξὺ θώρακός τε καὶ πνεύμονος χώρᾳ. τῶν μὲν οὖν ὀνομάτων, ὅπερ ἀεὶ μοι λέλεκται, φροντίζειν χρὴ τοσοῦτον, ὡς ἑρμηνεῦσαι σαφῶς τὸ δηλούμενον. αὐτὰ δὲ τὰ πράγματα, περὶ ὧν ὁ λόγος, εὑρίσκειν οὕτως σπουδαστέον, ὡς μηδὲν ἐξ αὐτῶν διαλαθεῖν. σύμπαντα γὰρ ταῦτα παρασκευαστικὰ πρὸς τὴν θεραπευτικήν ἐστι μέθοδον, ἐν ᾗ τὰς διαθέσεις, οὐ τὰς προσηγορίας αὐτῶν ἰώμεθα. τούτων οὖν ἀεὶ μεμνημένους ἐπὶ τὰ λείποντα αὖθις τῶν παρὰ φύσιν ἰτέον.

nonnulli suppurationes appellitant, vt & ipsum vomicas excitare, & suppurare. Aliqui verò non sic, verùm quum in viscere eiusmodi quippiam factum est, illud solùm appellant suppuratum, & hoc sic affectos, suppuratos & purulentos. Rursum & alii quidam medici illos solos empyos *purulentos* vocari censent, quibus in media inter thoracem & pulmonem regione pus collectum est. Itaque nominum, quod semper ego dixi, tãta est habenda ratio, quanta rei manifestò exponendæ sufficit. Ipsas res, de quibus agitur, inuenire sic conandum est, vt nulla ex eis subterfugiat. Hæc enim omnia ad medendi methodum præparant, in qua affectibus, non vocabulis ipsorum medemur. Horũ igitur semper memores, ad reliqua rursus veniemus.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ κόλπου ἁπλοῦ τε καὶ τυλώδους.

Ὅταν ἀποδείρῃ τὰ σώματα τὸ πύον, ἀποστήσῃ τε καὶ διαστήσῃ τῶν ὑποκειμένων τὰ περιέχοντα, κἄπειτα κενωθέντος αὐτοῦ καθ' ὁντιναοῦν τρόπον, ἀδυνατήσῃ τὰ διαστάντα τὴν ἀρχαίαν ἀπολαβεῖν κατάστασιν, ὀνομάζεται τὸ πάθος κόλπος. εἰ δὲ μὴ ταχέως τις αὐτὸν θεραπεύσῃ, τυλοῦται καὶ σκληρὸς τῷ χρόνῳ γίνεται, καὶ οὐχ οἷός τέ ἐστι κολλᾶσθαι τοῖς ὑποκειμένοις αὐτῷ. προστέλλεται μέντοι ξηρανθεὶς ὑπό τε φαρμάκων καὶ διαίτης, ὡς δοκεῖν ὑγιὲς ἀμέμπτως ὑπάρχειν τὸ μέσον. εἰ μὲν δὴ διὰ παντὸς ἀκριβῶς τις διαιτώμενος, ὑγιεινὸν ἀληθῶς ἔχει καὶ ἀπέριττον τὸ σῶμα, προσεσταλμένος ὁ κόλπος μένει. περιττώματος δέ τινος ὑποτραφέντος, αὖθις πληροῦται καὶ γίνεται πάλιν ὅπερ ἐξ ἀρχῆς ἦν ἀπόστημα. καὶ αὖθίς γε, δεόντως ἰωμένων, ἐκκενοῦται καὶ ξηραίνεται καὶ προστέλλεται, καὶ ἀεὶ πολὺ ῥᾷονα ἅπαντ' αὐτῷ γίνεται ταῦτα τῶν ἐξ ἀρχῆς ἀποστάντων. οὔτε γὰρ ὀδυνᾶται διασπώμενα τὰ μόρια, διέστηκε γὰρ ἤδη· καὶ πληροῦται τάχιστα, ῥᾳδίως ὑποδεχομένου τοῦ κόλπου τὸ ῥεῦμα. καὶ δὴ καὶ κενοῦται ταχέως, ὡδοποιημένων αὐτῷ τῶν ἐκροῶν, ὡς ὅταν γε κολληθῶσιν αὐτά, πάλιν ὀδυνῶνται, ῥηγνυμένου τοῦ ἀποστήματος. οὐ μόνον δ' ἐκ φλεγμονῆς ἡ γένεσις τοῖς ἀποστήμασιν, ἀλλὰ καὶ εὐθὺς ἐξ ἀρχῆς ἐνίοτε δι' ἄλλον χυμὸν ὁντιναοῦν ἀποδέροντα τῷ χρόνῳ καὶ ἀφιστάντα τῶν ὑποκειμένων τὰ περιέχοντα. καὶ τοίνυν καὶ τμηθέντων, παντοίαν ἰδέαν ὑγρῶν τε καὶ στερεῶν σωμάτων ἐντὸς ἔχοντα φαίνεται. καὶ γὰρ βορβόρῳ, καὶ οὔρῳ, καὶ θρόμβῳ καὶ χυλῷ μελιτώδει, καὶ μυξώδει, καὶ ὀστοῖς, καὶ λίθοις, καὶ πώροις, ὄνυξί τε καὶ θριξίν, ἐν ἀποστήμασιν εὑρίσκεται παραπλήσια σώματα, καὶ μὴν καὶ ζῷα πολλάκις εὕρηνται, σχεδὸν ἅπασι τοῖς ἐκ σηπεδόνος ἔχουσι τὴν γένεσιν ὁμοιότατα.

CAPVT IV.

De sinu simplici, ac calloso.

Qvum corpora pus excoriat, & continentia à subiectis separat, ac diducit, dein eo quomodocunq; euacuato, separata pristinũ statum recuperare nequeunt, affectio sinus appellatur. Nisi verò quis celeriter eum curet, callo obducitur, durúsque temporis progressu efficitur, & subiectis sibi partibus agglutinari non potest. Attamen tum medicamentis tum victus ratione exiccatus committitur ita, vt pars sana citra læsionem esse videatur. Si quidem accurato quis victu semper vsus, sanum verè corpus obtinet, & recrementorum expers, sinus commissus coniunctúsque manet. At vbi excrementum quoddam succreuerit, mox repletur, & qui abscessus ab initio erat, rursus efficitur; atque iterum, vt par est, medentibus, euacuatur siccatúrque & committitur; tum hæc omnia multò faciliora semper ei contingunt, quàm quæ priùs abscesserant. Neque enim diuulsæ partes dolent, diductæ enim iam sunt; & citissimè replentur, sinu fluxionem facilè suscipiente; quinetiam euacuatur celeriùs, effluxionibus seu viis ipsi patefactis; vt quum ipsæ partes coierint, vbi abscessus rumpitur, rursus doleant. At non solùm ex inflammatione abscessibus ortus est, sed etiam protinus à principio interdum, ob alium quemcunque humorem sensim excoriantē & à subiectis continentia diducentem. Ac proinde incisi vniuersas, non humorum modò, verùm etiam solidorum quorundam corporum species intus continere conspiciuntur. Etenim cœno, vrinæ, grumo, melleo mucosóque succo, ossibus, lapidibus, callis obduratis, vnguibus, & pilis similia corpora in abscessibus reperiuntur; quin & multoties inuenta sunt animalcula, propè omnibus, quæ ex putredine generationem habent, simillima.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ συρίγγων, καὶ ἀθερωμάτων, καὶ στεατωμάτων, καὶ μελικηρίδων.

Ἔστι δὲ καὶ ἡ σύριγξ ὀνομαζομένη στενὸς καὶ προμήκης κόλπος, ὁμοίως τοῖς ἄλλοις κόλποις προστελλομένη τε καὶ αὖθις ἀφισταμένη δι' ἐπιρροὴν περιττωμάτων, ὥσπερ

CAPVT V.

De fistulis, atheromatis, steatomatis, & meliceridibus.

At verò quæ fistula vocatur angustus oblongúsque sinus est, qui peræquè cæteris sinibus contrahitur, ac rursus ob excrementorum influxum diducitur, quemadmodum illi.

illi. Atheromata verò, & steatomata, & meliceridés, & huiusmodi cæteras affectiones alii inter abscessus reponunt, quidam ad aliud genus referunt. Ipsorum natura ex nominibus constat. Nam in Atheromatis pulticulę simile quid inuenitur; melli in meliceribus; seuo in steatomatis. Cæterùm huiusmodi vniuersa tunica quædam membranosa sæpe comprehendit. Atque hi omnes tumores præter naturam sunt. Accedunt huc carbunculi, gangrænæ, herpetes, erysipelata, scirrhi, œdemata, cancri, & inflationes; quæ nec ipsa medicum ignorare oportet, sed cuiusque generationem & substantiam accuratè perscrutari.

ἐκεῖνοι. ἀθερώματα δὲ, καὶ στεατώματα καὶ μελικηρίδας, ὅσα τε ἄλλα τοιαῦτα, τινὲς μὲν ἐν τοῖς ἀποστήμασι τίθενται, τινὲς δὲ εἰς ἕτερον γένος. εὔδηλος δὲ καὶ ἡ τούτων φύσις ἐκ τῶν ὀνομάτων. ἀθέρᾳ μὲν γάρ τι παραπλήσιον ἐν τοῖς ἀθερώμασιν εὑρίσκεται· μέλιτι δὲ ἐν τοῖς μελικηρίσι· στέατι δὲ ἐν τοῖς στεατώμασιν. ὡς τὸ πολὺ δὲ χιτών τις ὑμενώδης ἅπαντα τὰ τοιαῦτα περιέχει. ταῦτά τε οὖν ἅπαντα παρὰ φύσιν ὄγκοι, καὶ πρὸς τούτοις ἄνθρακες, καὶ γάγγραιναι, καὶ ἕρπητες, ἐρυσιπέλατά τε, καὶ σκίρροι, καὶ οἰδήματα, καὶ καρκῖνοι, καὶ πνευματώσεις, ὧν οὐδὲ αὐτῶν ἀγνοεῖν χρὴ τὸν ἰατρὸν, ἀλλ' ἀκριβῶς ἐπισκέπτεσθαι τήν τε γένεσιν ἑκάστου καὶ τὴν οὐσίαν.

CAPVT VI.

De carbunculis, & gangrænis.

ENimuero gangræna & carbunculi procreantur, quum sanguis tanquam feruens, atque inflãmationi propinquus cutem perusserit. Quapropter & cum crustâ fiunt, & pustulæ vlcus pręcedunt, quemadmodũ in ambustis, febremque acutissimam inferunt, & imminens vitæ periculum. Nigra verò prorsus ac cinerea carbunculorum vlceris apparet crusta; non tamen color inflammationis circumpositæ similiter aliis ruber est, sed ad nigriorem propendet, alio modo quàm ecchymosi laborantibus, vel à gelu refrigeratis; quia non adeo liuens, quemadmodum in illis, tumor est, sed etiam quid splendidum habet, veluti bitumen, & pix. Talis est quoque sincera bilis atra. Vnde profectò vlcerum in carbunculis malignitas emergit. Nam sanguis vel statim ab initio, vel in feruore assatus, melancholicus fieri videtur.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ γαγγραινῶν καὶ ἀνθράκων.

Αἱ μὲν δὴ γάγγραιναι καὶ οἱ ἄνθρακες, ἐπειδὰν οἷον ζέσαν τὸ αἷμα ἐγγύς τε τῆς φλεγμονῆς διακαύσῃ τὸ δέρμα. ταῦτ' ἄρα καὶ σὺν ἐσχάρᾳ γίγνονται, [illegible] φλύκταιναι προηγοῦνται τοῦ ἕλκους, ὥσπερ ἐν τοῖς πυρικαύστοις, ὀξύτατόν τε πυρετὸν ἐπιφέρουσι, καὶ κίνδυνον ὑπόγυιον ἀμφὶ τῇ ζωῇ. μέλαινα δὲ τοὐπίπαν καὶ τεφρώδης ἡ ἐσχάρα φαίνεται τοῦ τῶν ἀνθράκων ἕλκους, οὐ μὴν οὐδ' ἡ χροιὰ τῆς πέριξ φλεγμονῆς ὁμοίως ταῖς ἄλλαις ἐρυθρά ἐστιν, ἀλλ' ἐπὶ τὸ μελάντερον ῥέπει, ἕτερον τρόπον ἢ τῶν ἐκχυμωθέντων, ἢ ὑπὸ κρύους καταψυχθέντων· οὐ σφοδρῶς γὰρ πελιδνὸς, ὥσπερ ἐπ' ἐκείνοις ὁ ὄγκος, ἀλλ' ἔχει τι καὶ στίλβον, οἷον ἡ ἄσφαλτός τε καὶ ἡ πίττα. τοιαύτη δέ ἐστι καὶ ἀκριβὴς μέλαινα χολή. καὶ τοίνυν καὶ ἡ κακοήθεια τῶν ἐν τοῖς ἄνθραξιν ἑλκῶν, ἐντεῦθέν ἐστιν. ἔοικε γὰρ ἤτοι γε ἐξ ἀρχῆς εὐθέως, ἢ ὑπεροπτώμενον ἐν τῇ ζέσει τὸ αἷμα, μελαγχολικὸν γίνεσθαι.

CAPVT VII.

De cancris.

AT bilis atra sine ebullitione cancros facit; & cum vlcere, si acrior contigerit. Quamobrem & nigriores colore inflammatis semper apparent, miniméque calidi; venæ in ipsis replentur, ac tenduntur magis, quàm in inflammationibus. Humor enim cancros generans, minus ob crassitiem ex vasis in circumpositam carnem excidit; non tamen venæ sicut in inflammationibus, rubræ sunt, verùm & hæ pro humoris infestantis ratione.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ καρκίνων.

Χωρὶς δὲ τοῦ ζεῖν ἡ μέλαινα χολὴ τοὺς καρκίνους ἐργάζεται, καὶ ἢν δριμυτέρα τύχῃ, μεθ' ἕλκους. ταῦτ' ἄρα καὶ μελάντεροι τῇ χροιᾷ τῶν φλεγμαινόντων εἰσὶ, καὶ ἥκιστα θερμοί. πληροῦνται δὲ αἱ φλέβες ἐπ' αὐτῶν καὶ τείνονται μᾶλλον, ἢ ἐν ταῖς φλεγμοναῖς. ἧττον γὰρ ἐκπίπτει τῶν ἀγγείων εἰς τὴν πέριξ σάρκα διὰ τὸ πάχος ὁ γεννῶν τοὺς καρκίνους χυμός. οὐ μὴν οὐδὲ ἐρυθραὶ καθάπερ ἐν ταῖς φλεγμοναῖς αἱ φλέβες εἰσὶν, ἀλλὰ καὶ αὗται κατὰ τὸν λυποῦντα χυμόν.

CAPVT VIII.

De gangræna magnis inflammationibus succedente.

MAgnas inflammationes gangræna vocata sequitur, quæ partis affectæ mortificatio est. Hanc nisi quis citò sanauerit, pars sic laborans facilè emoritur, necnon alias continuas inuadit, ac hominem perimit. Quum enim vehementer obstructa sunt in maximis inflammationibus, tum vasorum orificia, tum omnes meatus naturali perspiratione destituti, sic ægrotantia corpora promptè emoriuntur. Ac primùm qui coloris flos inflammationibus adfuerat, in ipsis extinguitur; deinde dolor &

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ γαγγραίνης τῆς ταῖς μεγάλαις φλεγμοναῖς ἑπομένης.

Ἕπεται δὲ ταῖς μεγάλαις φλεγμοναῖς ἡ καλουμένη γάγγραινα, νέκρωσίς τε οὖσα τοῦ πάσχοντος μορίου. κἂν ἡ μὴ διὰ ταχέων τις αὐτὴν ἰάσηται, νεκροῦται ῥᾳδίως τὸ πάθον οὕτω μόριον, ἐπιλαμβάνει τε τὰ συνεχῆ καὶ ἀποκτείνει τὸν ἄνθρωπον. ἐπειδὰν γὰρ ἰσχυρῶς φραχθῇ κατὰ τὰς μεγίστας φλεγμονὰς τά τε στόματα τῶν ἀγγείων, οἵ τε πόροι πάντες οἱ κατὰ τὸ δέρμα τῆς κατὰ φύσιν ἀποστερούμενοι διαπνοῆς, τὰ οὕτω κάμνοντα σώματα νεκροῦνται ῥᾳδίως. καὶ πρότερον μὲν αὐτοῖς ἀποσβέννυται τὸ τῆς χρόας εὐανθὲς, ὃ συνῆν ταῖς φλεγμοναῖς·

ἐπειδὴ ἡ ὀδύνη καὶ ὁ σφυγμὸς οἴχονται), οὐ πεπαυμένης δήπου τῆς διαθέσεως, ἀλλὰ τῆς αἰσθήσεως νενεκρωμένης. ἀχώριστος δὲ φλεγμονῆς μεγάλης ὁ σφυγμός. οὕτω δὲ ἐοίκασιν ὀνομάζειν οἱ παλαιοὶ τὴν αἰσθητὴν κίνησιν αὐτῷ τῷ κάμνοντι τῶν ἀρτηριῶν, εἴτε χωρὶς ὀδύνης, εἴτε καὶ σὺν ταύτῃ γίγνοιτο. διὸ καὶ προστιθέασί τινες ἐν τοῖς συμπτώμασι τῆς φλεγμονῆς τῷ σφυγμῷ τὸ σὺν ὀδύνῃ. ταῦτα μὲν οὖν ἐν ὀνόματι τὴν ἀμφισβήτησιν ἔχει, κάλλιον δὲ ἐπίστασθαι τὴν γένεσιν αὐτῶν καταφρονοῦντα τῆς προσηγορίας. ἐν μὲν δὴ τῷ κατὰ φύσιν ἀναίσθητός ἐστιν ἡμῖν ἡ κίνησις τῶν ἀρτηριῶν, ἐν δὲ ταῖς φλεγμοναῖς αἰσθητὴ σὺν ὀδύνῃ. πλήττει γὰρ ἡ ἀρτηρία διαστελλομένη τὰ πέριξ σώματα, καὶ πρὸς τῆς πληγῆς ὀδυνώμεθα διὰ τὴν φλεγμονήν. ὅταν δὲ καὶ αὐτὸς ὁ χιτὼν ἤδη φλεγμαίνῃ, πλήττουσά τε ἅμα καὶ πληττομένη διπλασιάζει τὴν ὀδύνην. περὶ μὲν δὴ τούτων αὐτάρκως εἴρηται.

αὐτῆς

pulsus abeunt, nequaquam sedato affectu, verùm sensu emortuo. Pulsus autem ingentis inflammationis inseparabile symptoma est; sic autem videntur veteres appellare motum arteriarum ipsi ægrotanti sensibilem, siue citra dolorem, siue cum eo accidat. Quare nonnulli in inflammationis symptomatis, pulsui hoc addunt, cũ dolore. Hæc illis de nomine disceptatio est. Præstat hoc neglecto, originem eorum cognoscere. Certè in naturali statu arteriarum motus nobis non percipitur, in inflammationibus cum dolore sentitur. Percutit enim arteria, dum dilatatur, circumiacentes partes, ex cuius ictu propter inflammationem dolemus. Vbi vero ipsa quoque tunica inflammatione iam conflictatur, percutiens simul & percussa dolorem congeminat. De his quidem abunde satis dictum.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ ἐρυσιπέλατος, καὶ ἕρπητος, καὶ οἰδήματος, καὶ σκίρρου.

Λεκτέον δὲ ἐφεξῆς τὰ χολώδη ῥεύματα. νενίκηκε γὰρ οὐκ οἶδ' ὅπως τὸ τῶν ἰατρῶν ἔθος, ἤν τε χολὴν ὀνομάσωμεν ἁπλῶς, ἤν τε χολώδη χυμὸν, ἀκούειν ἡμᾶς τὴν ὠχρὰν καὶ πικρὰν, οὐ τὴν ὀξεῖαν καὶ μέλαιναν. ἐκείνην γὰρ ἀεὶ μετὰ προσθήκης ὀνομάζουσι, συνάπτοντες τῇ προσηγορίᾳ τοῦ χυμοῦ τὴν χρόαν. ὅταν οὖν κατασκήψῃ χολῶδες ῥεῦμα, τὸ μὲν ἀκριβὲς ἑλκοῖ τὸ δέρμα, τὸ δὲ ὑδατώδεσιν ἰχῶρσιν ἢ αἵματι συμμιγὲς, ἧττόν ἐστι δριμὺ καὶ μᾶλλον εἰς ὄγκον αἴρει τὸ μέρος, ἢ ἑλκοῖ. τουτὶ μὲν οὖν ἐρυσίπελας ὀνομάζεται, θάτερον δὲ ἕρπης. ἐνδείκνυται δὲ τὸν ἐργασάμενον χυμὸν ἥ τε χρόα καὶ ἡ θερμότης τῶν παθῶν. ἐπεὶ δὲ αὖ καὶ τοῦ δριμέος, ὁ μὲν ἧττον, ὁ δὲ μᾶλλον ὑπάρχει τοιοῦτος, ἰστέον ἐπὶ μὲν τοῦ δριμυτέρου τὸν ἐσθιόμενον ἕρπητα συνίστασθαι (οὕτω γὰρ αὐτὸν ὠνόμασεν Ἱπποκράτης) ὑπὸ δὲ θατέρου τὸν ἕτερον, ᾧ καὶ κεγχρίαν ἔνιοι τῶν μεθ' Ἱπποκράτην τοὔνομα ἔθεντο, διότι κέγχροις ὁμοίας ἐξοχὰς ἀποτελεῖ κατὰ τὸ δέρμα. φλέγματι μὲν οὖν μοι δοκεῖ μεμίχθαι τὸ τοιοῦτον ῥεῦμα· τὸ δὲ ἕτερον ἀκριβοῦς εἶναι χολῆς, διὰ τοῦτο καὶ μετὰ ἀναβρώσεως γίγνεται, τὸ συνεχὲς ἀεὶ τοῦ δέρματος ἐπιλαμβάνοντος τοῦ πάθους, ὅθεν αὐτῷ καὶ τοὔνομα. μιχθέντος δὲ αἵματος ἴσου τῇ χολῇ, τὸ πάθος ἀμφοῖν ἐν μέσῳ τὴν ἰδέαν ἐστὶ καὶ τὴν φύσιν, ἐρυσιπέλατός τε καὶ φλεγμονῆς. εἰ δὲ πολὺ ἐπικρατοίη τὸ ἕτερον, ἀπὸ τοῦ κρατοῦντος ἡ προσηγορία τῷ πάθει, κατηγορεῖται δὲ αὐτῷ τὸ μιχθέν. ἐρυσίπελας μὲν οὖν φλεγμονῶδες ἐπὶ τῇ ξανθῇ κρατούσῃ, φλεγμονὴ δὲ ἐρυσιπελατώδης ἐπὶ τῷ κρατοῦντι αἵματι λέγεται. παραπλήσιος δὲ καὶ ἡ τῶν ἄλλων μίξεων ἑρμηνεία, φλεγμονὴ σκιρρώδης, καὶ σκίρρος φλεγμονώδης· οἴδημά τε φλεγμονῶδες, καὶ οἰδηματώδης φλεγμονή. τέτταρα γὰρ ταῦτ' ἐστὶ συνεχῶς γινόμενα πάθη δι' ἐπιρροὴν ὑγρῶν, ἐρυσίπελας, καὶ οἴδημα, καὶ φλεγμονὴ, καὶ σκίρρος. ἐρυσίπελας μὲν οὖν, ὡς εἴρηται, χολώδους ῥεύματος κρατήσαντος· φλεγμονὴ δὲ, αἱματώδους· οἴδημα δὲ λεπτοῦ τὴν σύστασιν φλέγματος, ὥσπερ γε παχέος καὶ γλίσχρου, τὸ ἕτερον εἶδος τῶν σκίρρων. τὸ γὰρ ἕτερον ἡ ἰλὺς τοῦ αἵματος ἀπεργάζεται. ἔστι δὲ δήπου καὶ αὐτὴ διττὴ, τὸ μὲν ἕτερον εἶδος, ὅπερ Ἱππο-

CAPVT IX.

De erysipelate, herpete, œdemate, & scirrho.

De biliosis autem fluxionibus deinceps disserendum. Vicit enim, haud scio qua ratione, medicorum consuetudo, siue bilem simpliciter, siue biliosum humorem nominemus, inaudire nos pallidam & amaram, non acidam & nigram; quandoquidem illam semper cum adiectione nominant, humoris appellationi colorem adiungentes. Quum igitur biliosus humor *aliquò* decubuerit, sincerus quidem cutem exulcerat; qui verò aqueæ saniei aut sanguini mixtus, minus est acris & magis partẽ in tumorem attollit, quàm exulcerat. Hoc itaque Erysipelas appellatur, alterum Herpes. Procreantem verò humorem, affectuum tum color, tum calor prodit. Quum autem & rursus acris fluoris, hic minus, ille magis talis existit, sciendum, ex acriore herpetem estiomenum .i. *depascentem* constitui (sic enim Hippocrates ipsum nominauit) ex altero alterum, cui & nonnulli post Hippocratem miliaris nomen posuerunt, quòd miliis similes eminentias in cute procreet. Mihi verò talis fluor pituitæ commixtus; alter verò exactæ bilis esse videtur, ideóque cum erosione accidit, affectu cutis continuitatem semper prehendente; vnde nomen quoq; sortitus est. Si verò sanguis æqualiter bili sit permixtus, in vtriusque medio, inflammationis & erysipelatis, specie & natura hic affectus est. At si alter multùm exuperet, ab exuperante affectus nomen est; prædicatur vero quod ei mixtum est. Erysipelas quidem phlegmonodes ob flauam bilem præpollentem; phlegmone verò erysipelatodes, sanguine superante dicitur. Iam vero aliarum mixtionum similis est interpretatio, phlegmone scirrhodes, & scirrhus phlegmonodes; œdema phlegmonodes, & phlegmone œdematodes. Etenim quatuor hi affectus assiduè ex humorum fluxione generantur, erysipelas, œdema, phlegmone, & scirrhus. Erysipelas igitur, biliosa fluxione, vt dictũ est, exuperante; phlegmone, sanguineâ; œdema, pituitâ consistentiâ tenui; quemadmodum ex crassa lentáque, vna scirrhorum species; nam alteram limus sanguinis efficit. Atque hæc certè duplex est; altera quidem species, quam atram Hippocrates nominat;

minat; altera vero similiter atra est, sed propriam appellationem obtinet, nominatur etenim atra bilis. Huius quidem cancri soboles sunt; alterius verò nigræ, vna quædam scirrhorum species. Verùm posterior à pituitosâ colore distinguitur. Vtrisque cõmunia sunt maior, quàm secundum naturã deceat, tumor, tum doloris expers, tum durus. Atque amborum generatio interdũ à principio, nonnunquam ex permutatione aut inflammationis, aut erysipelatis, aut œdematis, quum immoderatiùs refrigerata sint.

καὶ τῆς ὀνομάζει μέλαιναν· ἡ δ' ἑτέρα ἐστὶ μὲν καὶ αὐτὴ μέλαινα, ἰδίαν δὲ ἔχει τὴν προσηγορίαν, ὀνομάζεται γὰρ μέλαινα χολή. ταύτης μὲν οἱ καρκίνοι, θατέρου δὲ τοῦ μέλανος ἕν τι τῶν σκίρρων εἶδος ἔγγονον ὑπάρχει. διορίζεται δὲ ἀπὸ θατέρου τοῦ φλεγματικοῦ τῇ χροιᾷ. κοινὰ δ' ἀμφοῖν ὁ μείζων τοῦ κατὰ φύσιν ὄγκος ἀνώδυνός τε καὶ σκληρός, ἥ τε γένεσις ἀμφοτέρων ἐνίοτε μὲν ἐξ ἀρχῆς, ἔστιν ὅτε δὲ ἐκ μεταπτώσεως ἤτοι φλεγμονῆς, ἢ ἐρυσιπελάτων, ἢ οἰδήματος ἐμψυχθέντων ἀμετρότερον.

CAPVT X.

De sugillatis, nigroribus, & liuoribus.

Vicina scirrhis sunt quæ ecchymomata & melasmata vocantur, maximè senibus ex venis contusis accidentia. Sunt autem horum quædam, vt diximus, nigra, & hæc senibus potissimum leues ob causas oriuntur. Quædam inter rubrum & nigrum consistunt, quos liuores vocitant. Sed hi omnes tumores sanguine ex venis effuso proueniunt; interdum ob tunicas contusas, interdum in extremis reseratas.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ ἐκχυμωμάτων, καὶ μελασμάτων, καὶ πελιδνῶν.

Ἐγγὺς δ' ἐστὶ σκίρρων τά τε ἐκχυμώματα καλούμενα καὶ τὰ μελάσματα, πρεσβύταις μάλιστα συμβαίνοντα θλασθεισῶν τῶν φλεβῶν. ἔστι γὰρ καὶ τούτων ἔνια μὲν ὡς εἴρηται μέλανα, καὶ μάλιστα γέρουσι γίγνεται ταῦτα διὰ σμικρὰς προφάσεις· ἔνιοι γὰρ καὶ ἐρυθροί τε καὶ μέλανες ἐν τῷ μεταξύ, τὰ καλούμενα πελιδνά. γίγνεται δ' ἅπαντα τὰ τοιαῦτα ἐκ τῶν φλεβῶν αἵματος ἐκχεομένου, ποτὲ μὲν διὰ τῶν χιτώνων θλασθέντων, ἔστι δ' ὅτε ἀναστομωθέντων κατὰ τὰ πέρας.

CAPVT XI.

De aneurysmate & sphacelo.

At verò arteriæ adapertæ affectus, aneurysma vocatur; fit autem quum ipsius vulneratæ circumposita cutis ad cicatricem quidem peruenit, manet autem vulnus, arteriâ nec coëunte, nec conglutinatâ, nec carne obstructâ. Dignoscuntur sanè huiusmodi pathemata pulsibus quos edunt arteriç, verum quum etiã comprimuntur, tumor omnis delitescit, substantiâ, quæ ipsum efficit, in arterias recurrente; quam alibi ostendimus tenuem & flauum esse sanguinem quempiam, vnà cum spiritu tenui & copioso permixtum; hic verò sanguis longè calidior est eo, qui in venis continetur, & vulnerato aneurysmate erumpit, vt vix sisti possit. Cæterùm in œdematis materia prementibus cedit digitis, & pars in fossulam cauatur; at nec pulsus in hac affectione est, sed color albidior; & œdema multò latius maiúsque est aneurysmate, nisi quum grumus quispiam innatus ex aneurysmate sphacelum gignat. Voco sic omnem solidarum partium corruptelam, vt etiam ossibus incidat, nedum carnibus aut vasis. Gangræna verò solidorum corporum mortificatio ipsa est, sed neque ossibus aduenit, & magnas inflammationes comitatur, species vna sphaceli existens, sed proprium nomen & singulare præter commune sortita. Hæc igitur satis distincta sunt; reliquum iam tempus postulat, vt de melancholicis fluxionibus verba faciamus.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ ἀνευρύσματος καὶ σφακέλου.

Ἀρτηρίας δ' ἀναστομωθείσης, τὸ πάθος ἀνεύρυσμα καλεῖται. γίγνεται δὲ τρωθείσης αὐτῆς, ἐπειδὰν εἰς οὐλὴν μὲν ἀφίκηται τὸ περικείμενον αὐτῇ δέρμα, μένῃ δὲ τὸ τῆς ἀρτηρίας ἕλκος μήτε συμφυθείσης, μήτε συνουλωθείσης, μήτε σαρκὶ φραχθείσης. διαγινώσκεται δὲ τὰ τοιαῦτα παθήματα τοῖς σφυγμοῖς τῶν ἐργαζομένων ἀρτηριῶν. ἀλλὰ καὶ θλιβομένων ἀφανίζεται πᾶς ὁ ὄγκος, παλινδρομούσης εἰς τὰς ἀρτηρίας τῆς ἐργαζομένης αὐτὸν οὐσίας, ἣν ἐδείξαμεν ἐν ἄλλοις αἷμα λεπτὸν καὶ ξανθὸν εἶναι, αἷμα τι πνεύματι λεπτῷ καὶ πολλῷ συμμιγές. αὐτὸ δὲ καὶ θερμότερόν ἐστι τὸ αἷμα τοῦτο τοῦ κατὰ τὰς φλέβας, καὶ τρωθέντος τοῦ ἀνευρύσματος, ἐξακοντίζεται δυσεπισχέτως. ὑποχωρεῖ μὲν οὖν κἀν τοῖς οἰδήμασιν ἡ ὕλη θλιβόντων τῶν δακτύλων, καὶ βοθροῦται τὸ μέρος, ἀλλ' οὔτε σφυγμὸς ἐστὶν ἐν τούτῳ τῷ πάθει, καὶ ἡ χροιὰ λευκοτέρα, καὶ τὸ οἴδημα πολλῷ πλατύτερόν τε, καὶ μεῖζον ἀνευρύσματος, πλὴν εἴποτε θρόμβος τις ἐγγινόμενος ἐξ ἀνευρύσματος σφάκελον ἐργάζοιτο. καλῶ δ' οὕτω τὴν φθορὰν τῶν στερεῶν σωμάτων ἅπασαν, ὡς καὶ τοῖς ὀστοῖς ἐγγίνεσθαι, μήτοιγε δὴ σαρξὶν, ἢ ἀγγείοις. ἡ δὲ γάγγραινα νέκρωσις καὶ αὐτὴ τῶν στερεῶν σωμάτων, ἀλλ' οὔτ' ὀστοῖς ἐπιγίγνεται, καὶ ταῖς μεγίσταις ἕπεται φλεγμοναῖς, εἶδος μέν τι τῶν σφακέλων ὑπάρχουσα, προσηγορίαν δὲ ἰδίαν ἐξαίρετον ἐπὶ τῇ κοινῇ κεκτημένη. ταῦτ' οὖν αὐτάρκως διώρισται, καὶ λέγειν ἤδη καιρὸς περὶ τῶν μελαγχολικῶν ῥευμάτων.

CAPVT XII.

De atræ bilis decubitu.

Qvum verò atra bilis in carnem decubuerit, mordax quidem, cutem circumposi-

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ κατασκήψεως μελαίνης χολῆς.

Ὅταν δὲ εἰς σάρκα μέλαινα κατασκήψῃ χολή, δακνώδης μὲν οὖσα διαβιβρώσκει τὸ περικείμενον

δέρμα, καὶ ἕλκος ἐργάζεται· μετριωτέρα δὲ ὑπάρχουσα, τὸν χωρὶς ἑλκώσεως ἀποτελεῖ καρκῖνον. εἴρηται δὲ ἔμπροσθεν ὅτι καὶ τὰς φλέβας ἐξαίρει μειζόνως τῶν φλεγμονῶν, ὁποῖόν τε τὸ εἶδος αὐτῶν τῆς χρόας ἐστίν. οὐ μόνον δὲ τὸ καρκινῶδες ἕλκος, ἀλλὰ καὶ ἄλλα πολλὰ σὺν ὄγκοις τῶν περιεχόντων αὐτὰ συνίσταται σωμάτων, ἔγγονα σύμπαντα κακοχυμίας, ἤτοι πικροχολίας τινός, ἢ μελαγχολικῆς, ἢ καὶ πως ἄλλως κακοήθους τε καὶ μοχθηρᾶς ἐκ διαφθορᾶς μείζονος ὑποτραφείσης.

A tam erodit, & vlcus efficit; moderatior autem, cancrum fine vlceratione molitur. Dictum est antea, venas ab eo magis quàm ab inflammationibus in tumorem attolli, & qualis species ipsarum coloris sit. Non solùm autem cancrosum vlcus, verùm etiam alia pleraque cum tumoribus corporum ea continentium constituũtur, omnia praui humoris soboles, aut biliosi cuiusdam, aut melancholici, aut alias vtcunque virulenti ac vitiosi ex maiore corruptela ortum adepti.

B

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ φαγεδαινῶν, καὶ ψώρας, καὶ λέπρας.

Ὅσα δὲ ἐν αὐτοῖς ἐπινέμεται καὶ τὰ πέριξ ἀπόλλυται διαβιβρώσκοντα τὸ περιέχον ὑγιὲς σῶμα, ταῦτα σύμπαντα φαγεδαινικὰ προσαγορεύεται· τὰ δὲ ἐξ ἀμφοῖν συνθέντα τοῦ τε ἕλκους αὐτοῦ καὶ τοῦ πέριξ ὄγκου, φαγέδαιναν ὀνομάζουσιν. ἐπινέμεται μὲν οὖν καὶ ὁ ἕρπης διαβιβρώσκων τὰ πέριξ, ἀλλ' ἔστι μόνου τοῦ δέρματος ἕλκωσις, ἡ φαγέδαινα δὲ σὺν τῷ δέρματι καὶ τῶν ὑποκειμένων ἅπτεται. χειρώνια δὲ καὶ τηλέφια καλεῖν ἕλκη, περιττόν· ἀρκεῖ γὰρ ἅπαντα κοινῇ κακοήθη προσαγορεύειν. ἔστι δὲ καὶ ἡ ψώρα καὶ ἡ λέπρα μελαγχολικὰ πάθη μόνου τοῦ δέρματος, ὡς εἴγε κἂν ταῖς φλεψὶ καὶ τῇ σαρκὶ γίγνοιτο, καρκῖνος ὀνομάζεται.

CAPVT XIII.

De phagedænis, scabie, & leprâ.

QVæ verò ex ipsis depascuntur, & circumpositas lædunt partes, sanum corpus ambiens erodentia, hęc vniuersa phagedænica nominantur. Quæ in ambobus consistunt, vlcere & tumore ambiente, phagedænam appellant. Depascitur quidem & herpes vicina erodens, verùm solius cutis est exulceratio; phagedæna verò cum cute etiam subiecta attingit. Chironia verò & Telephia vlcera vocare superuacuum est. Sufficit enim omnia communi vocabulo cacoëthe .i. maligna nuncupare. Ad hæc psora, & lepra, melancholici cutis solius affectus sunt; nam si in venis & carne proueniant, cancer appellatur.

C

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τοῦ ἐλέφαντος.

Μελαγχολικὸν δὲ πάθος καὶ ὁ ἐλέφας ἐστί, τὴν μὲν πρώτην γένεσιν ἐξ αἵματος ἔχων μελαγχολικοῦ, τῷ χρόνῳ δὲ πλείων ἡ μέλαινα γίγνεται τοῦ αἵματος, ἡνίκα δυσώδεις εἰσὶ καὶ ἀπειθεῖς ἰδεῖν, ἐνίοις δὲ αὐτῶν καὶ ἕλκη συμπίπτει. τοῦτο δὲ τὸ πάθος ἀρχόμενον ὀνομάζουσι σατυριασμόν, ἐπειδὴ τοῖς σατύροις ὅμοιοι γίγνονται τὸ πρόσωπον. ἔνιοι δὲ τὰς κατὰ τοὺς κροτάφους ἐξοχὰς ὀστώδεις οὕτω καλοῦσι, γίγνονται δὲ καὶ κατ' ἄλλα μόρια τοιαῦται τῶν ὀστῶν ἐξοχαί, καὶ καλοῦσιν αὐτὰς ἐξοστώσεις ἔνιοι, καθάπερ καὶ τὰς παρὰ φύσιν ἐντάσεις τοῦ αἰδοίου μὴ καθισταμένας, τινὲς ὀνομάζουσι σατυριασμόν, τινὲς δὲ πριαπισμόν.

CAPVT XIV.

De Elephante.

ELephas quoque melãcholicus affectus est, ex sanguine melancholico primam ducens originem; tempore verò bilis atra sanguine copiosior redditur, ac tum tali morbo obnoxii grauiter olent, & aspectu sunt molesti. Quibusdam ipsorum vlcera quoque accedunt. Hoc mali dum incipit, satyriasmum vocant, quia Satyris similes facie redduntur. Nõnulli osseas in temporibus eminentias sic nominant; fiunt quoque in cæteris partibus tales ossium eminentiæ, quas nõnulli exostoses vocitant, quemadmodum & pudendorum tentiones præter naturam, non remittentes, quidam satyriasmum, quidam priapismum appellant.

D

E

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ ἀχώρων, καὶ κηρίων, καὶ μυρμηκίων, καὶ ἀκροχορδόνων τε καὶ ψυδράκων, καὶ ἐπινυκτίδων, καὶ δοθιήνων, καὶ φυμάτων, καὶ βουβώνων, καὶ φυγέθλων, καὶ χοιράδων, καὶ τῶν κηλῶν.

Ἔστι δὲ καὶ ὁ ἀχὼρ ἕλκος μικρὸν ἐν τῷ δέρματι τῆς κεφαλῆς, εἰκάσαις δὲ αὐτὸ φλέγματος ἁλμυροῦ καὶ νιτρώδους ἔκγονον ὑπάρχειν. ἐκρεῖ γοῦν αὐτοῦ τις ἰχὼρ οὔθ' ὑδατώδης ἁπλῶς, οὔθ' ἤδη παχὺς ὥσπερ τὸ μέλι, καθάπερ ἐν τοῖς κηρίοις ὀνομαζομένοις. καὶ γὰρ καὶ ταῦτα σὺν ὄγκῳ τινὶ καὶ κατατρήσεσι πλείοσι γίγνεται, μελιτώδους ἐκρέοντος ὑγροῦ. μικρὸς δὲ καὶ τούτων ὁ ὄγκος, ἀλλ' οὐκ εἰς τοσοῦτον εἰς ὅσον ἀχῶρος. ἔτι δὲ καὶ τούτων ὄγκοι μικρότεροι παρὰ φύσιν ἐπὶ τοῦ δέρματος γίγνονται, μυρμηκίαι τε καὶ ἀκροχορδόνες τε καὶ ψύδρακες, ἐπινυκτίδες τε, ἅπασι γνώριμα πάθη. γνώριμος δὲ

CAPVT XV.

De achoribus, cereis fauisue, myrmeciis, acrochordonibus, psydracibus, epinyctidibus, dothienibus, tuberculis, bubonibus, phygethlis, strumis, & ramicibus.

ESt & Achor paruum in cute capitis vlcus; conieceris ipsum pituitæ salsæ & nitrosæ sobolẽ esse. Effluit igitur ex eo sanies quædam, non omnino aquosa, neque iam crassa, vt mel, quemadmodum in fauis appellatis. Nam & hæc cum tumore quodam & foraminibus plurimis eueniunt, humore melleo effluente. Paruus horum quoque tumor est, sed nõ adeò, vt achoris. Insuper his minores præter naturam tumores in cute nascuntur, myrmeciæ, acrochordones, psydraces, & epinyctides, affectus omnibus cogniti. Notus non minimè

F

& fu-

& furunculus est, mitis sanè, quum in ipsa cute sola consistit; malignus autem, quum magis ab alto exurgit, nam sic tuberculo similis est, differt tamen à tuberculo solâ duritie eiusmodi dothien; ambo phlegmonodes affectus sunt. Tertius his succedit bubo, & quartus, quem panum nonnulli vocant, calore simul & generationis celeritate ab aliis tuberculis distinguentes. Sunt quoque qui in inguinibus & alis duntaxat oriri phygethla dicant, quæ sunt glandularum inflammationes. Struma est, vbi hæ partes scirrhum contraxerint, quemadmodum testium scirrhis, morbi nomen sarcocelen .i. carneum ramicem imposuerunt; vt, quum humor aqueus in testium tunicis aceruatur, hydrocelen vocitant, & epiplocelen, & enterocelen, ad hæc compositum ex ambabus vocabulum magis quàm conuenit implexum, enteroepiplocelen, recentiorum medicorum est, qui vniuersos testium tumores κῆλας .i. ramices appellant, per η elementum primâ syllabâ, non per α, vt ab Atheniensibus, prolatâ. Quemadmodum verò vnumquodque prædictorum nominum partis morbum indicat, de quâ dicitur, ita quoque cirsocele recentius nomen, morbum illius notat, de quo prolatū est.

A οὐχ ἥκιστα, καὶ ὁ δοθιήν ἐστιν, ἐπιεικὴς μὲν ὑπάρχων, ὅτε ἐν αὐτῷ μόνῳ συνίσταται τῷ δέρματι, κακοήθης δὲ, ὅταν ἐκ πλείονος αὐξάνηται βάθους· ἔοικε γὰρ οὕτως φύματι, καὶ τῇ σκληρότητι μόνον διήνεγκε φύματος ὁ τοιοῦτος δοθιήν· ἔστι δ᾽ ἄμφω τὰ πάθη φλεγμονώδη· καὶ τρίτον ἐπ᾽ αὐτοῖς ὁ βουβὼν, καὶ τέταρτον, ὅπερ ὀνομάζουσιν ἔνιοι φύγεθλον, θερμότητι ἅμα καὶ τάχει γενέσεως ἀφορίζοντες τῶν ἄλλων φυμάτων. εἰσὶ δὲ καὶ οἱ κατὰ βουβῶνας καὶ μασχάλας μόνας γίνεσθαι φύγεθλα λέγοντες, φλεγμονὰς ὑπάρχοντα τῶν B ἀδένων. τῶν τῇδε σκιρρωθέντων, τὸ δὲ πάθος ὀνομάζεται χοιράς, ὥσπερ γε καὶ τῶν ὄρχεων σκιρρωθέντων, ὄνομα τῷ νοσήματι σαρκοκήλην ἔθεντο, καθάπερ ὅταν ὑγρὸν ὑδατῶδες ἐν τοῖς περὶ τὸν ὄρχιν ἀθροίζηται χιτῶσιν, ὑδροκήλην καλοῦσιν, ἐπιπλοκήλην τε καὶ ἐντεροκήλην, καὶ πρὸς τούτων ἔτι τὸ σύνθετον ἐξ ἀμφοῖν, μᾶλλον τοῦ δέοντος πεπλεγμένον ἐντεροεπιπλοκήλην, νεωτέρων ἰατρῶν ὄνομα, τῶν καὶ σύμπαντας τοὺς κατὰ τῶν ὄρχεων ὄγκους ὀνομαζόντων κήλας, διὰ τοῦ η. στοιχείου τῆς πρώτης λεγομένης συλλαβῆς. οὐ διὰ τοῦ α. καθάπερ ὑπὸ τῶν Ἀθηναίων. ὥσπερ δὲ τῶν εἰρημένων C ὀνομάτων ἕκαστον ἐνδείκνυται τοῦ μέρους τὸ νόσημα καθ᾽ οὗ λέγεται, οὕτω καὶ ἡ κιρσοκήλη νεώτερον ὄνομα, δηλοῖ τὸ πάθος ἐφ᾽ οὗ λέλεκται.

CAPVT XVI.

De varicibus, peritonæi ruptura, & hydropibus.

ATqui omnes reliquas venas, quæ dilatantur, cirsos .i. *varices*, antiqui nominant; medici recentiores cirsos & has vocant, elementum ι post κ literam ponentes, non quemadmodum Athenienses; proueniunt varices & in cruribus ob imbecillitatem earum, quæ illic sunt, venarum, & magis quum sanguis crassus in corpore exuberat. At peritonæo vulnerato vel rupto, deinde non coalescente, mollis tumor sedem illam occupat; si in inguine fiat, bubonocelen vocant; si in vmbilico is accidat, eo affectos medicorum nonnulli exomphalos appellant. At nullus ex his affectibus solius peritonæi est, verùm aponeurosin quoque musculi affici oportet, quam in anatomicis administrationibus, qualisnam sit, indicauimus. Igitur hi affectus transuersorum musculorum sunt; in inguine verò ramices, obliquorum, vel ruptâ, vel dilatatâ ea in regione eorum aponeurosi simul cum peritonæo tunica. Fiunt & alii harum sedium tumores propter subiectum aliquod viscus in altum sese attollens. Affectiones autem, quæ ipsorum tumores concitant, dictæ sunt; inflammationes enim sunt, scirrhi, abscessus, atque his similes. In hydropicis autem eo in loco copia coaceruatur, aquosa in ascitis; flatulenta in tympanitis; pituitosa in anasarca & leucophlegmatia.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

Περὶ κιρσῶν, καὶ περιτοναίου ῥαγέντος, καὶ ὑδέρων.

D ΚΙρσοὺς δὲ καὶ τὰς ἄλλας ἁπάσας φλέβας εὐρυνομένας ὀνομάζουσιν οἱ παλαιοί. κιρσοὺς δὲ καὶ ταύτας οἱ νεώτεροι καλοῦσιν ἰατροὶ, τὸ ι. στοιχεῖον μετὰ τοῦ κ. στοιχείου τιθέντες, οὐ καθάπερ οἱ Ἀθηναῖοι. γίνονται δὲ καὶ κατὰ τὰ σκέλη κιρσοὶ διὰ ἀρρωστίαν τῶν τῇδε φλεβῶν, καὶ μᾶλλον ὅταν αἷμα παχὺ πλεονάζῃ κατὰ τὸ σῶμα. περιτοναίου δὲ τρωθέντος, ἢ ῥαγέντος, εἶτα μὴ συμφύντος, ὄγκος μαλακὸς γίνεται κατὰ τὸ χωρίον. εἰ δὲ καὶ κατὰ τὸν βουβῶνα γένοιτο, καλοῦσι βουβωνοκήλην. εἰ δὲ κατὰ τὸν ὀμφαλὸν συμβαίη τοῦτο, καλοῦσιν ἐξομφάλους ἔνιοι τῶν ἰατρῶν τοὺς ὧδε πάσχοντας. ἔστι δὴ οὐ τοῦ περιτοναίου μόνου οὐδὲν τῶν παθῶν E τούτων, ἀλλὰ χρὴ πάντως καὶ τὴν τοῦ μυὸς ἀπονεύρωσιν παθεῖν, ἣν ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν ὁποία τίς ἐστιν ἐδηλώσαμεν. ταῦτα μὲν οὖν τὰ πάθη τῶν ἐγκαρσίων μυῶν ἐστιν, αἱ δὴ ἐν τῷ βουβῶνι κῆλαι τῶν λοξῶν, ἤτοι ῥηγνυμένης, ἢ διευρυσμένης αὐτῶν τῆς κατὰ τοῦτο τὸ χωρίον ἀπονευρώσεως ἅμα τῷ περιτοναίῳ χιτῶνι. γίγνονται δὲ καὶ ἄλλοι τῶν ταύτῃ χωρίων ὄγκοι, διά τι τῶν ὑποκειμένων σπλάγχνων ἐξαιρόμενον. εἴρηται δὲ καὶ τὰ πάθη τὰ τοὺς ὄγκους αὐτῶν ἐργαζόμενα. φλεγμοναὶ γάρ εἰσι, καὶ σκίρροι καὶ ἀποστήματα, καὶ ὅσα τοιαῦτα. κατὰ δὲ τοὺς ὑδερικοὺς ἀθροίζεται ταύτῃ πλῆθος, F ὑδατῶδες μὲν ἐν τοῖς ἀσκίταις, πνευματῶδες δὲ ἐν τοῖς τυμπανίταις, φλεγματῶδες δὲ ἐν τοῖς ἀνὰ σάρκα καὶ λευκοφλεγματίαις ὀνομαζομένοις.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τῶν ἐπουλίδων, καὶ παρουλίδων, καὶ θύμων, καὶ σταφυλῶν, καὶ παρισθμίων, καὶ ἀντιάδων, καὶ πολυπόδων, καὶ ἐγκανθίδων, καὶ πτερυγίων, καὶ σταφυλωμάτων.

Ἤδη δὲ καὶ ἄλλοι τινὲς ὄγκοι τετυχήκασιν ἰδίων ὀνομάτων, οὐδὲν ἐξαίρετον ἔχοντες, οἷαι ἐπουλίδες τε καὶ παρουλίδες, καὶ θύμοι, καὶ τἄλλα ὅσα τοιαῦτα σαρκώδη βλαστήματα. καθάπερ γε πάλιν αἱ σταφυλαὶ καὶ τὰ παρίσθμια, καὶ αἱ ἀντιάδες, οὐκ ἄλλο τι ἢ φλεγμοναί εἰσιν, B αἱ μὲν σταφυλαὶ τοῦ γαργαρεῶνος, αἱ δὲ ἀντιάδες τῶν ἐν ἀρχῇ τῆς φάρυγγος ἀντικειμένων ἀλλήλοις ἀδένων· ὥσπερ τὰ παρίσθμια τῶν κατ' αὐτὴν τὴν φάρυγγα σωμάτων. Ἱπποκράτης δ' ἔοικεν οὐχ ἅπασαν φλεγμονὴν τοῦ κίονος ὀνομάζειν σταφυλήν, ἀλλ' ἓν μόνον εἶδος, ἐν ᾧ τὸ πέρας τοῦ γαργαρεῶνος ὁμοιοῦται σταφυλῆς ῥαγί. ἀλλὰ καὶ οἱ πολύποδες, ἤτοι φλεγμονῆς, ἢ φύματος, ἤ τινος βλαστήματος, ἢ ὅπως ἂν ἐθελήσῃ τις ὀνομάζειν, ἐν μυκτῆρσι συνισταμένου ἀποτελοῦνται, φλεγμονώδεις δ' εἰσὶ, καὶ C ὑγροὶ διὰ τὸ χωρίον. ἐγκανθὶς δὲ καὶ αὐτὴ παρὰ φύσιν μέν τις ὄγκος ἐν τοῖς μεγάλοις γίνεται κανθοῖς, ἔστι δ' οὐ τῷ παντὶ γένει παρὰ φύσιν. τὰ δὲ πτερύγια, βλαστήματά ἐστι τοῦ ἐπιπεφυκότος ἔξωθεν ὑμένος τοῖς ὀφθαλμοῖς, ὃς ἀπὸ τοῦ περιοστίου καταφερόμενος, ἐπὶ τὴν στεφάνην ἀφικνεῖται. τὰ δὲ σταφυλώματα καλούμενα, τὰ μὲν, τῇ θέσει μόνῃ, τὰ δὲ τῇ διαθέσει παρὰ φύσιν ἐστίν, εἴρηται δὲ περὶ τῶν τοιούτων ἁπάντων, ὅσα κατὰ τοὺς ὀφθαλμοὺς συνίσταται πάθη, δι' ἑτέρου. καιρὸς οὖν ἤδη παύειν ἐνταῦθα τὸν λόγον, οὐδὲ μιᾶς ἔτι τῶν παρὰ φύσιν ὄγκων ἰδέας ἀρρήτου καταλελειμμένης.

CAPVT XVII.

De epulidibus, parulidibus, thymis, vuis, tonsillis, paristhmiis, polypis, entanthidibus, pterygiis, & staphylomatis.

IAm vero alii tumores propria nomina adepti sunt, nihil eximium obtinentes, cuiusmodi epulides, parulides, thymi, & eiusmodi cæteri carnosi surculi sunt; velut rursus vuæ, paristhmia, tonsillæ, aliud nihil præterquàm inflammationes existentes; vuæ quidem gurgulionis; tonsillæ glandularum, quæ in faucium principio sibi inuicem opponuntur; quemadmodum paristhmia corporum, quæ in ipsis faucibus consistunt. Hippocrates autem videtur non omnem inflammationem faucium vuam appellare, sed vnam solam speciem, in qua terminus gurgulionis acino vuæ similis existit. Verum & polypi vel ex inflammatione, vel tuberculo, vel excrescentiâ quadam, vel quomodocunque aliquis nominare voluerit, in naribus consistente generantur; phlegmonodes verò sunt, & humidi ob loci naturam. Sic encanthis ipsa tumor aliquis præter naturam in magnis oculorum angulis oritur, non est autem toto genere preter naturam, sed sola magnitudine. Pterygion membrana oculis extrinsecus adnata est, quæ à periostio ambiente delata, ad iridis coronam peruenit. Staphylomata verò quæ vocantur, alia solo situ, alia affectione præter naturam sunt. Dictum est alibi de omnibus huiusmodi affectibus, qui in oculis consistunt. D Opportunum itaq; iam est hic sermonē finire, quum nulla supersit adhuc tumorum præter naturam species, quæ cōmemorata non fuerit.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΛΗΘΟΥΣ ΒΙΒΛΙΟΝ.

GALENI DE PLENITVDINE, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰς τοῦ πλήθους αἰτίας καὶ τὰ σημεῖα δηλοῖ, καὶ τὰ τῶν Εμπειρικῶν καὶ τῶν ἄλλων δόγματα, τῇ ἀληθεῖ περὶ πλήθους διδασκαλίᾳ μαχόμενα, ἐξελέγχει.

ARGVMENTVM LIBRI.

Plenitudinis causas, & signa docet; & opiniones Empiricorum, aliorúmque, veram de plenitudine doctrinam oppugnantes, refellit.

E

ΚΕΦΑΛΑΙΟΝ Α'.

Πρὸς τοὺς περὶ πλήθους κακῶς ὑπολαμβάνοντας μεθοδικούς τε καὶ ἐμπειρικούς, καὶ ὅτι ἤτοι πρὸς τὴν δύναμιν ἤτοι πρὸς τὰ ἀγγεῖα λέγειν αὐτὸ ἀναγκαῖόν ἐστι.

Οὔτε πολλάκις ὀνομάζοντας ἕτερον ὄνομα τοῦ πλήθους μᾶλλόν ἐστιν εὑρεῖν ἅπαντας τοὺς νῦν σχεδὸν ἰατρούς, οὔτ' ἀγνοοῦντας ἕτερόν τι τούτου μᾶλλον. ὅσοι γοῦν αὐτῶν οἷοί τέ εἰσι καὶ δοῦναι καὶ λαβεῖν λόγον, οἱ πλεῖστοι μὲν ἀποκρίνονται τοῖς

CAPVT PRIMVM.

In Empiricos & Methodicos peruersè de plenitudine sentientes; & illam aut ad vires, aut ad vasa necessariò dici.

OMNES propè huiusce temporis medicos, aliud nomen quàm plenitudinis, neque frequentiùs nominare, neque eo quicquam aliud magis ignorare deprehendimus. Quicunque igitur possunt rationem tum reddere,

dere, tum percipere, ipsorum plurimi quid tandem plenitudinem appellent interrogantibus, id nomen, quemadmodum & multum & paucum, in relatione ad aliquid dici respondent, proinde ipsam mensurâ definiri non posse. Quod enim alteri multum, hoc interdum alteri minus est. Quumque ipsos rogaueris petendo, vt rem ad quam referri plenitudinem profitentur, explicent, nonnulli quidem magis muti quàm pisces fiunt; quidam verò tam multa, & absurda nugantur, vt quæ ab ipsis enunciantur, ea non possis assequi. Sed paucissimi multum & paucum pro ratione virium intelligi putant; sique rursum ipsos rogites, quid vires vocitent, nonnulli nihil prorsus respondent; qui verò pronunciare quid ausi fuerint, eorum nullus ac alter idem profert; plurimi autem omnia potius, quàm vires interpretantur. Sed siquis inter ipsos reperiatur eò vsque peritus, vt vires dicat esse vel effectricem substantiam, vel causam effectricem, rogetur postea primùm, an quædam sit substantia eiusmodi, quæ animal gubernet, deinde si sit, quid tandem ipsa sit, explicet; nequaquam prout interrogatur, controuersiam diluit; verùm aut omnino tacet, aut absurdam adeò profert orationem, vt tacere satius sit. Siquis verò in his comperiatur eousque sapiens ac modestus, vt quę viriũ sit substantia proferre nequeat, quod autem sit, ex actionibus augurari se dicat, interrogatus iterum is ipse, an quę ab Asclepiade multisq; Asclepiadis sectatoribus ac Methodicis de eo scripta fuerunt, quòd nullæ animantibus insint vires, perpẽderit, discusseritq;, apparet vtrum ab illis ea prodita sint, haudquaquam nouisse. Rursum prorsum inter illos ipsos quicunq; vires non esse contendunt, quòd relatione quidem ad ipsas plenitudinẽ tum intelligi, tum constitui negent, dilucidius innotescit. Non enim fieri potest, vt plenitudo comparatione ad imperfectum, qui plane non existit, habitum & intelligatur, & constituatur, ceu ad solas vasorum capacitates & multum & paucum contendunt esse. Interdum verò per initia neque omnino plenitudinem nominant, neque ab ea aliquam euacuationis indicationem accipiunt, sed à solâ constipatione, quam quòd nemo illorum eodem modo recenset, alibi demonstrauimus. Est sanè tertius quidam alius chorus illorum, qui neque norunt vtrum & quædam sint & an minimè sint vires, neque se inquirere fatentur, verùm signis quibusdam euidenter apparentibus circa ægrotantẽ obortis longâ experientiâ sibi euacuationem inuentam dicunt. Hi si rogentur, quæ tandem sint ea signa; vasorum distentionem, ruborem, vniuersi corporis grauitatem, ad motum pigritiã, membrorumque tensionem esse pronunciant. Eorum nonnulli & vlcerosum, operosumque lassitudinis sensum adiiciunt; ad hæc priorem vitam in otio & liberaliore eduliorum ac potuum vsu transactam, & consuetarum excretionum retentione. In hac igitur syndrome (sic enim vocant symptomatum congeriem) venæ sectionẽ ex obseruationibus factis aiunt prodesse. Hi igitur non solùm à se ipsis, verùm ab vniuersis aliis hominibus etiam, rationem auferunt, quum experientiâ omnia reperiri asserant. Alij verò quemadmodum iam

A ἐρομένοις δὲ, τί ποτ' οὖν ὀνομάζουσι πλῆθος, ὡς ἐν τῷ πρός τι λέγεται τοὔνομα, καθάπερ τὸ πολύ τε καὶ τὸ ὀλίγον, ὥστε οὐκ εἶναι δυνατὸν ἐν μέτρῳ περιλαβεῖν αὐτό· τὸ γὰρ ἑτέρῳ πολὺ, τοῦτ' ἐνίοτε ὑπάρχει ὀλιγώτερον ἑτέρῳ. καὶ ἐπειδὰν ἐρωτήσῃς αὐτοὺς, ἀξιῶν ἀποκρίνεσθαι τὸ πρᾶγμα πρὸς ὃ τὸ πλῆθος εἶναι λέγουσι, τινὲς μὲν ἰχθύων ἀφωνότεροι γίγνονται, τινὲς δὲ τοσαῦτά τε καὶ ἀλλόκοτα ληροῦσιν, ὡς μὴ παρακολουθῆσαι δύνασθαί τινα τοῖς ὑπ' αὐτῶν λεγομένοις. B ὀλίγιστοι δὲ ἀποκρίνονται, τὸ πολὺ καὶ ὀλίγον ὡς πρὸς τὴν δύναμιν νοεῖσθαι· καὶ εἴ τις αὖθις αὐτοὺς ἐπανέροιτο τί λέγουσι δύναμιν, ἔνιοι μὲν οὐδ' ὅλως ἀποκρίνονται· τῶν δὲ τολμησάντων ἀποφαίνεσθαι, λέγει μὲν οὐδεὶς οὐδὲν ταὐτόν, οἱ πλεῖστοι δὲ, πάντα μᾶλλον, ἢ δύναμιν ἑρμηνεύουσιν. εἰ δέ τις ἐν αὐτοῖς εὑρεθείη μέχρι τοσούτου φρόνιμος, ὡς ἤτοι δραστικὴν οὐσίαν, ἢ αἰτίαν δραστικὴν εἰπεῖν εἶναι τὴν δύναμιν, εἶτ' ἐρωτηθείη, πρῶτον μὲν εἰ ἔστι τις οὐσία τοιάδε διοικοῦσα τὸ ζῶον, ἔπειτα εἴπερ ἐστὶ, καὶ τί ποτέ ἐστιν αὕτη, διελθεῖν, C οὐκέτι οὐδ' οὗτος ἀποκρίνεται ἐρωτώμενος τὸ ἀπορούμενον, ἀλλ' ἤτοι σιωπᾷ τελέως, ἢ ἐκτοπίζει τὸν λόγον εἰς τοιοῦτον, ὡς βέλτιον ἂν εἴη σιωπᾶν. εἰ δὲ κἂν τούτοις τις εὑρεθείη μέχρι τοσούτου σωφρονῶν, ὡς ἥτις μέν ἐστιν ἡ οὐσία τῆς δυνάμεως οὐκ ἔχειν εἰπεῖν, ὅτι δέ ἐστι, ἐκ τῶν ἔργων τεκμαίρεσθαι, πάλιν αὖ καὶ αὐτὸς οὗτος ἐρωτηθεὶς, εἰ τὰ γεγραμμένα τε πρὸς Ἀσκληπιάδου καὶ πολλῶν Ἀσκληπιαδείων τε καὶ μεθοδικῶν, ὑπὲρ τοῦ μηδεμίαν εἶναι δύναμιν ἐν τοῖς ζώοις, ἐπεσκέψατό τε καὶ διελύσατο, D φαίνεται μηδ' εἰ λέλεκται πρὸς αὐτῶν ἐπιστάμενος. ἐκείνων δὲ αὖ πάλιν αὐτῶν, ὅσοι τὴν δύναμιν οὐκ εἶναί φασιν, ὅτι μὲν ὡς πρὸς ταύτην ἀγνοοῦνται νοεῖσθαί τε καὶ συνίστασθαι τὸ πλῆθος, μᾶλλον εὔδηλον· ἀδύνατον γάρ ἐστι πρὸς τὴν μηδ' ὅλως ὑπάρχουσαν σχέσιν, συστῆναί τε καὶ νοηθῆναι τὸ πλῆθος· ὡς πρὸς τὰς χώρας δὲ τῶν ἀγγείων μόνας ὑπολαμβάνουσι τὸ πολύ τε καὶ ὀλίγον ὑπάρχειν· ἐνίοτε δὲ οὐδὲ τὴν ἀρχὴν ὅλως ὀνομάζουσι πλῆθος, οὐδὲ ἀπ' αὐτοῦ τινα κενώσεως ἔνδειξιν λαμβάνουσιν, ἀλλὰ ἀπὸ μόνης στεγνώσεως, E ἣν ὅτι μηδεὶς αὐτῶν ὡσαύτως ἐξηγεῖται, δέδεικται δι' ἑτέρων. καὶ μὴν καὶ τρίτος τις ἄλλος ἐστὶ χορὸς, οὔτε γινώσκων, εἴτε ἐστὶν, εἴτε οὐκ ἔστι τις δύναμις, οὔτε ζητεῖν ὁμολογῶν, ἀλλ' ἐπί τισιν ἐναργῶς φαινομένοις σημείοις περὶ τὸν κάμνοντα συνισταμένοις, ἐκ πείρας μακρᾶς εὑρῆσθαι φάσκων ἑαυτῷ τὴν κένωσιν. εἶτ' ἐρωτώμενος αὖθις, τί ποτέ ἐστι τὰ σημεῖα ταῦτα, διάτασιν ἀγγείων φησὶ, καὶ ἔρευθος καὶ βάρος ὅλου τοῦ σώματος, ὄκνον τε πρὸς τὰς κινήσεις καὶ τάσεις τῶν μελῶν· F ἔνιοι δὲ αὐτῶν, καὶ τὴν ἑλκώδη καὶ κοπώδη προστιθέασιν αἴσθησιν, ἀργόν τε τὸν ἔμπροσθεν βίον ἐν προσφοραῖς ἐδεσμάτων τε καὶ πομάτων πλείοσι, καὶ συνήθων ἐκκρίσεων ἐποχῇ. ἐπὶ ταύτῃ γοῦν τῇ συνδρομῇ (καλοῦσι γὰρ οὕτω τὸ ἄθροισμα τῶν συμπτωμάτων) τετηρῆσθαι φλεβοτομίαν ὠφελοῦσαν. οὗτοι μὲν οὖν οὐ μόνον ἑαυτοὺς, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας ἀνθρώπους ἀφαιροῦνται τὸν λόγον, ἐκ πείρας εὑρῆσθαι πάντα φάσκοντες· οἱ δ' ἄλλοι, καθάπερ εἴρηται

νῦν δὴ, λόγῳ τε χρῆσθαί φασι, καὶ τὴν δύναμιν οἱ μὲν ὡς οὐδ' ὅλως ἐστὶν, οἱ δὲ ὡς ἔστι μὲν, ἥτις δ' αὐτῆς ἡ οὐσία, μὴ γινώσκεσθαί φασιν· ὡς ὀλιγίστοις εἶναι τοὺς ἀποφήνασθαι τολμήσαντας ὑπὲρ ἀριθμοῦ τε καὶ οὐσίας δυνάμεως. ἀλλὰ καὶ τούτων, οὔτε τὸν ἀριθμὸν, οὔτε τὴν οὐσίαν ἅπαντες ἀποφαίνονται τὴν αὐτήν· ἀλλὰ καὶ τῶν ἀπολειπόντων ἡμῖν συγγράμματα, τινὲς μὲν ἀπαλαιπωρότερον, ὡς περὶ μιᾶς ἀεὶ διαλέγονται τῆς τὸ ζῶον διοικούσης δυνάμεως, οὐδένα λογισμὸν προσθέντες· ἔνιοι δὲ ἀποδεικνύειν ἐπιχειροῦσι, καὶ πλείους μιᾶς οὐκ εἶναί φασιν. ὡς ἀναγκαῖον ὅστις ἀποφαίνεται πλῆθος εἶναι κατὰ τὸ σῶμα τοῦ κάμνοντος, ἀποκεχωρηκέναι μὲν ἤδη τοῦτον ἀπό τε τῶν ἐμπειρικῶν ὀνομαζομένων ἰατρῶν, ἀπό τε τῶν μεθοδικῶν· ἤτοι δ' ὡς πρὸς τὴν δύναμιν, ἢ ὡς τὰ ἀγγεῖα λέγειν τὸ πολύ.

nunc dictum est, ratione vtendum esse pronunciant. Hi vires quoque nullas planè esse; illi esse quidem, sed earum substantiam à nullo cognosci censent, vt paucissimi sint, qui virium aut facultatum substantiam & essentiam pronunciare audeant; imò nec harum etiam numerum, nec essentiam eandem omnes ostendunt. Quinetiam ex illis qui commentarios posteris reliquerunt, quidam minore negotio tanquam de vna facultate animal regente disputant, nullâ ratione adhibitâ; quidam id probare conantes, plures quàm vnam non esse aiunt. Proinde necesse est iam illum, qui in ægrotantis corpore plenitudinem esse iudicet, à medicis Empiricis appellatis & Methodicis, siue ad vires, siue ad vasa plenitudo respiciat, dissensisse.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Πρὸς τοὺς τὸ πλῆθος μόνῃ τῇ βαρύτητι, ἢ τῇ τῶν ἀγγείων τάσει, μετροῦντας.

ΚΑὶ τοίνυν ἐν ἡμῖν ὁ μὲν πρὸς τοὺς ἐμπειρικούς τε καὶ μεθοδικοὺς ἀναβεβλήσθω λόγος, ἐπὶ δὲ τοὺς ἑτέρους ἴωμεν, ὅσοι σὺν λογισμῷ φασι τὴν τέχνην μεταχειρίζεσθαι, καίτοι γε ἔνιοι τῶν νῦν, εἰς τοσοῦτον ἥκουσι τόλμης, ὡς ἐπιγράφεσθαι μὲν ἑαυτοῖς αἱρέσεως ὀνόματα, γινώσκειν δὲ οὐδὲν οὐδὲ ἐκείνων (ἐστὶν) αὐτῶν. ἀκοῦσαι γοῦν ἔστι πολλάκις πολλῶν, ἐπὶ μὲν τῶν ἀρρώστων λεγόντων, ὡς μεστὸς ὁ ἄνθρωπός ἐστι, καὶ φλεβοτομητέον αὐτόν· αὖθις δ' ἐμπεσόντος λόγου, μεθοδικοὺς ἢ ἐμπειρικοὺς ὀνομαζόντων ἑαυτούς. ἀλλ' ὅπερ ἔλεγον, ἐπὶ τοὺς ἀναλογισμῷ χρωμένους ἐλθόντες, τοῖς ἐξ αὐτῶν πρώτοις διαλεχθῶμεν, ὅσοι πρὸς τὴν δύναμιν ἀεὶ ἐννοοῦσι τὸ πολύ. κινδυνεύουσι γὰρ οὗτοι μήτ' ἀσκοὺς ἑωρακέναι, μήτε θυλάκους ἀμέτρως πεπληρωμένους, ἀλλὰ μηδὲ σιτίου ποτὲ προσενηνέχθαι πλείω τοῦ δέοντος, ὡς διατείνειν τὴν γαστέρα, μήδ' οὖρον ἠθροικέναι ποτὲ ἐν τῇ κύστει δαψιλέστερον τοῦ προσήκοντος, ἢ κόπρον ἐν ἀπευθυσμένῳ· διατείνεται γὰρ ἐναργῶς, ἐν πάσαις ταῖς τοιαύταις περιστάσεσιν, ἕκαστον τῶν εἰρημένων ὀργάνων, ὡς ἀνιᾶσθαι τὸν ἄνθρωπον, ἢν μὴ θᾶττον ἐκκρίνῃ τὸ πλεονάζον. οὐ μὴν οὐδ' ἡ αὐτή γε αἴσθησις γίνεται τοῦ βαρύνοντος ἢ δάκνοντος, ἢ ἀρρήτῳ τινὶ ποιότητι λυποῦντος· ἀκοῦσαι γοῦν ἔστι καὶ τῶν ἰδιωτῶν αὐτὸ τὸ συμβαῖνον αὖθις ἐναργῶς ἑρμηνευόντων, ἄνευ τῆς περὶ τὸ δόγμα φιλονεικίας, ἐνίοτε μὲν ὡς ὑπὸ τροφῆς βαρυνομένων καὶ θλιβομένων, καίτοι γε ἐλάχιστα προσενηνεγμένων· ἐνίοτε δ' ὡς δάκνοιντό τε καὶ διαβιβρώσκοιντο· πολλάκις δ' οὐκ ἔχοντες ἀκριβῶς ἑρμηνεῦσαι τὸ συμβαῖνον, ἀσᾶσθαί φασιν. οὐδεμία γὰρ τῶν αἰσθήσεων τούτων ἡ αὐτὴ πρὸς τοῖς ἀνθρώποις γίνεται, διὰ πλῆθος ἀμέτρων ἐδεσμάτων ἐπὶ πλεῖστον ἐκτεταμένης τε καὶ διατεταμένης τῆς γαστρός· ἐπὶ μὲν οὖν τῶν τοιούτων καταστάσεων, κινδυνεύειν ῥαγῆναί φασιν αὐτῶν τὴν κοιλίαν, σὺν τῷ καὶ ἡμᾶς ὁρᾶν, ἐπὶ πλεῖστον αὐτὴν τεταμένην· ἔνθα δὲ βαρύνεσθαι λέγουσι, προσεσταλμένην ὁρῶμεν ἐνίοτε τὴν γαστέρα. οὕτω δὲ κἀπὶ τῆς κύστεως, ἄλλη μὲν διάθεσίς ἐστι πλεῖστον ὑγρὸν περιεχούσης, ἄλλη δὲ ὀλίγον, ἢ βαρυνομένης· καὶ τοίνυν καὶ τὴν ἔκκρισιν, ἐπὶ μὲν τοῦ διὰ τὸ πεπληρῶσθαι τεινομένης

CAPVT II.

Aduersus eos qui plenitudinem sola grauitate, aut vasorum tensione metiuntur.

IAm verò & à nobis aduersus Empiricos & Methodicos oratio *in aliud tempus* differatur; alios verò aggrediamur, qui ratione artem administrari dicunt. Sed & nonnulli huius tempestatis eò procedunt audaciæ, vt etiam sectarum nomina sibi ascribant, quum quæ ad ipsas spectant, eorũ nihil quicquam agnoscere possint. Audire etenim frequenter licet multos, coram ægris dicentes, hic homo plenus est, ipsique vena incidenda, at vbi de ratione mentio inciderit, se Empiricos vel Methodicos appellant. Sed, quod diximus, ad eos qui analogismo vtuntur, digressi, cum eorum præcipuis disseramus, qui semper ex viribus plenitudinem metiuntur. Arguuntur enim hi neque vtres neque culeos præter modum repletos vidisse, imò ne cibi quidem iusto plus aliquando sumpsisse, vt venter distenderetur, neque vrinam in vesica quàm deceat copiosiorem, aut stercus in recto intestino collegisse. Nã in omnibus huiusmodi affectionibus singula quæ diximus organa sic euidenter distenduntur, vt nisi quod exuberat excrementum, celerius excernant, læsionem homo subeat. Non tamen idem extat sensus rei grauantis, aut mordentis, aut abdita quadam qualitate lædentis. Nunquid audimus idiotas quoque idem sibi accidens euidenter citra vllam de dogmate contentionem interpretari; vt interdum quidem tanquam alimentis quantumuis parcè assumptis grauentur premantúrque; interdum verò quasi mordeantur, ac penitus erodantur. At sæpenumerò quum accurate, quid acciderit, enarrare nesciunt, se fastidio laborare proferunt. Nullus siquidem istorum sensuum propter immodicam ciborum copiam, quâ venter extentus distentúsq; plurimum est, idem apud homines illos apparet. Hinc est, quòd in huiusmodi corporis constitutione ventrem rumpi metuant, quum nos eum vehementer intentum conspicimus. Vbi verò grauari dicunt, contractum interdum videmus. Sic de vesica quoque *indicabis*, cuius quidem alia est affectio, quum humoris plurimum, alia quum paucum continet, aut quum grauatur; ac proinde excretionem, dum ex plenitudine tenditur, copiosam

piosam conspicere licet; dum grauatur, paucissimam quidem, sed frequentissimam; non enim impletionis tēpus expectat, verùm quod molestum est, quamprimùm cupit expellere; quemadmodum quoque vbi à mordaci illius qualitate stimulatur; tunc enim continuam molitur excretionem. Itaque quum grauatur, tanquam ab ea quæ continetur sarcina, tunc non rectè quis dixerit, eam malè affici, sed ipsi copiam oneri esse, tunicam licèt omnino non distendat. Ista iam si huiusce opinionis principes prorsus affirmant, illis qui contraria sentiunt, negantibus; vtrique denuò interrogandi sunt, vtrū vesica eôdem dolore vexetur, quum quoquouersum distenditur, & rumpi periclitatur, quòd contentum non ampliùs perferat, quúmque grauatur, ac mordetur. Hîc enim rursus qui ad vasorum capacitates plenitudinem semper æstimant, ex facili concedunt; qui quoad vires, quæstiones huiusmodi molestè ferunt, succensentque variis modis, sursum & deorsum renitentes, quod nolint hanc esse plenitudinem concedere. Nos itaque vtrosque à cōtentione liberari cupientes, ad concordiam adhortati sumus; hos qui plenitudinem non ad vasis continentis capacitatem vnquam relatione dici putant, quibúscum primis disputationem incepimus, monentes veritati ne obstreperent, memores, partes dum repletæ distenduntur, eas molestiis affici; illos qui solùm ita plenitudinem consistere autumant, vt quod grauat, corpori quod grauatur, plenitudinem esse concederent. Vtrosque rursum apparentibus indiciis flectentes, in mentem reuocemus eis præcipuè, qui quoad vires solùm copiam intelligi profitentur, tum poritonæum ruptum, aut eduliorum plenitudine dilatatum, tum in rebus externis demonstremus, vtres & vesicas hoc pati, imò nonnunquam dolia ipsa, quum spiritu violento plena fuerint. Quæramus autem de his qui è pulmone sanguinem propter vasis rupturam, citra ictum, vel casum, vel aliam quandam id genus extraneam violentiam extussiunt, num putent ipsos ab immoderata plenitudine vas distendente in hunc affectum incidisse? Cæterum alios separatim admoneamus, puerum vehementer pusillum idem onus ac adolescentem bono corporis habitu præditum, ferre nequaquam posse (quod enim puero, arbitror, fuerit grauissimum, hoc adolescenti leuissimum erit) Vtrum igitur neq; onus omnino id, quod quis ferre nequit; neque multum, id quod grauat adeò, vocabimus? An onus quidem & grauitatem, plenitudinem verò nuncupari non permittemus? Verùm ita de dictione, non de re disceptatio erit. At quod ad alium modum pertinet, ne homo quidem habendus est, qui se nunquam, viginti licet talenta eius humeris imposueris, grauari dicat. Iis autem qui sese dogmati seruili addixerunt, nihil satis dici potest. Quamobrem eos iam omittamus, imò si verum oporteat dicere, hinc discedere iubentes, cum illo, quicunque ingenuus & veritatis amator extiterit, disseramus.

A παμπόλλην ἐστὶν ἰδεῖν, ἐπὶ δὲ τῆς βαρυνομένης, ὀλίγην μὲν, ἀλλὰ πυκνοτάτην· οὐ γὰρ ἀναμένει τὸν τῆς πληρώσεως χρόνον, ἀλλ' εὐθὺς ἀπορρῖψαι ποθεῖ τὸ λυποῦν, ὥσπερ κἀπειδὰν ὑπὸ τῆς ποιότητος αὐτοῦ δάκνηται, καὶ γὰρ τότε συνεχῆ ποιεῖται τὴν ἔκκρισιν. καὶ γὰρ οὖν καὶ ὁπότε βαρύνεται καθάπερ ὑπὸ φορτίου τοῦ περιεχομένου, τότε οὐκ ἂν τις ὀρθῶς φαίη φαύλως μὲν διακεῖσθαι, εἶναι δ' αὐτῇ τὸ βαρῦνον πολὺ, κἂν μηδ' ὅλως διατείνῃ τὸν χιτῶνα. ταῦτα πάντως δή ἐπί φασιν οἱ ταύτης τῆς δόξης ἡγεμόνες, ἀρνουμένων τῶν τἀναντία γιγνωσκόντων, αὖθις ἐρωτητέον ἀμφοτέρους,
B εἰ τὴν αὐτὴν ὀδύνην ἡ κύστις ἀνιᾶται, διατεινομένη πάντοσε καὶ κινδυνεύουσα ῥαγῆναι, τῷ μηκέτι στέγειν τὸ περιεχόμενον, καὶ βαρυνομένη τε καὶ δακνομένη. ἐνταῦθα γὰρ πάλιν οἱ μὲν πρὸς τὰς εὐρυχωρίας τῶν ἀγγείων ἀεὶ τὸ πλῆθος νοοῦντες, ἑτοίμως συγχωροῦσιν· οἱ δ' ὡς πρὸς τὴν δύναμιν, ἄχθονταί τε πρὸς τοῖς τοιούτοις ἐρωτήμασιν, ὀργίζονταί τε, πολυειδῶς ἀντιτείνοντες ἄνω καὶ κάτω, διὰ τὸ μὴ βούλεσθαι συγχωρῆσαι καὶ τοῦτ' εἶναι πλῆθος. ἡμεῖς οὖν ἀμφοτέρους τε εὐξάμενοι παύσασθαι τῆς φιλονεικίας, εἰς
C ὁμόνοιαν παρεκαλέσαμεν, τοὺς ὅσοι μὲν οὐχ ἡγοῦνται λέγεσθαι τὸ πλῆθος οὐδέποτε πρὸς τὴν χώραν τοῦ περιέχοντος, οἷς δὴ καὶ πρώτοις ὑπηρξάμεθα διαλέγεσθαι, συγχωρῆσαι τοῖς ἀληθέσι παρακαλοῦντες, ἀναμνησθέντας τοῦ ἐν τῷ διατείνεσθαι τὰ πεπληρωμένα μόρια λυπεῖσθαι· ὅσοι δὲ οὕτω μόνον συνίστασθαι πλῆθος νομίζουσι, συγχωρῆσαι τὸ βαρῦνον εἶναι τῷ βαρυνομένῳ πολύ. πάλιν δὲ ἑκατέρους τοῖς ἐναργῶς φαινομένοις δυσωποῦντες, ἀναμνήσωμεν ἰδίᾳ μὲν τοὺς ὡς πρὸς τὴν δύναμιν μόνον νοεῖσθαι φάσκοντας τὸ πολὺ, τοῦ περιτοναίου ῥαγέντος
D ἢ ἀνευρυνθέντος ὑπὸ πλήθους ἐδεσμάτων, ὑποδείξωμέν τε κἀπὶ τῶν ἐκτὸς ἀσκοὺς καὶ κύστεις τοῦτο πάσχοντας, ἐνίοτε δὲ καὶ τοὺς πίθους αὐτοὺς, ὅταν πνευματικὸν βίαιον ᾖ τὸ πλῆθος· ἐρωτήσωμεν δὲ περὶ τῶν ἀναβηξάντων ἐκ πνεύμονος αἷμα καὶ διὰ ῥῆξιν ἀγγείου, χωρὶς πληγῆς, ἢ καταπτώσεως, ἢ τινος ἑτέρας ἔξωθεν βίας τοιαύτης, εἰ μηδὲ οὗτοι δοκοῦσιν αὐτοῖς ὑπὸ πλήθους παμπόλλου διατείνοντος τὸ ἀγγεῖον, οὕτω παθεῖν. ἰδίᾳ δ' αὖ πάλιν ἀναμνήσωμεν τοὺς ἑτέρους, ὡς οὐ ταὐτὸ δύναται βάρος βαστάζειν εὐέκτης νεανίσκος, καὶ παιδίον κο-
E μιδῆ μικρόν· ὃ γὰρ ἂν, οἶμαι, βαρύτατον ᾖ τῷ παιδίῳ, κουφότατόν ἐστι τῷ νεανίσκῳ· πότερον οὖν οὔτε φορτίον ὅλως ἐροῦμεν, ὃ μὴ δύναταί τις βαστάζειν, οὐδὲ πολὺ τὸ οὕτως βαρῦνον; ἢ φορτίον μὲν καὶ βαρὺ, πλῆθος δ' ὀνομάζειν οὐ συγχωρήσομεν; ἀλλ' οὕτως μὲν οὐχ ὑπὲρ πράγματος, ἀλλ' ὑπὲρ ὀνόματος ἡ ἀμφισβήτησις ἔσται· κατὰ δὲ τὸν ἕτερον τρόπον, οὐδ' ἂν ἄνθρωπος εἶναί σοι δόξειεν, ὁ μηδ' ὅλως φάσκων βαρύνεσθαι μηδέποτε, μηδ' ἂν εἴκοσι τάλαντα κατὰ τὸν ὦμον ἐπιθῇς αὐτοῦ. πρὸς δὲ τοὺς ἑαυτοὺς ὑποθέντας δουλείῳ δόγματι, οὐδὲν ἱκανόν· ἐάσομεν οὖν
F ἤδη τούτους, μᾶλλον δή εἰ χρὴ τ' ἀληθὲς εἰπεῖν, ἀπαλλάττεσθαι παρακελευσάμενοι, ὅστις ἂν ἐλεύθερος ᾖ καὶ ἀληθείας ἑταῖρος, ἐκείνῳ διαλεξώμεθα.

A

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ποσαπλάσιον τὸ πλῆθος· καὶ περὶ τῆς συνεκτικῆς δυνάμεως πρὸς τοὺς Στωϊκούς, καὶ Ἡροφιλείους.

Δύο γὰρ ἐννοίας τε καὶ σχέσεις ὑπεθέμεθα τοῦ πλήθους, τὴν μὲν ὡς πρὸς ἰσχὺν καὶ δύναμιν τοῦ βαστάζοντος αὐτό, τὴν δὲ ὡς πρὸς τὴν ὑποδεχομένην χώραν. καὶ ὑποθέμενοί γε ταῦτα, ὁπόσαι τέ εἰσιν ἅπασαι τοῦ ζώου δυνάμεις, ὅπως τε τὸ καθ' ἑκάστην αὐτῶν πλῆθος ἢ γνωριοῦμεν, ἢ θεραπεύσομεν, ἐπισκεψόμεθα· πρὸς τούτοις δ' ἔτι πόσα τὰ σύμπαντά ἐστιν εἴδη τῶν ὑγρῶν αὐτῶν, ἤτοι τῶν βαρυνόντων τὴν δύναμιν, ἢ μὴ στεγόντων ἐν τοῖς ἀγγείοις. ἐν τούτοις γὰρ εἶναι χρὴ φιλόπονόν τε καὶ μέγαν τὸν ἰατρόν, οὐκ ἐν τῷ καταφρονεῖν τῶν ἐναργῶν, ἃ πάσης ἀποδείξεώς εἰσιν ἀρχαί. ἀλλ' οὐδὲν ἴσως θαυμαστὸν ἀγνοεῖσθαι καὶ αὐτὸ τοῦτο τοῖς μηδὲν ὑπὲρ ἀποδείξεως ἐζητηκόσι, μήτε εὑροῦσι, μήτε μαθοῦσι, μήτε ἀσκήσασιν. οὕτω γοῦν εὐήθεις εἰσίν, ὥστε καὶ νῦν ὁμιλῶν τις τοῖσδε τοῖς γράμμασιν, ἐλπίζει πρῶτον μὲν ἀποδεῖξαί με κατὰ τόνδε τὸν λόγον ἃ χρὴ πάντως ἐπίστασθαι τὸν μέλλοντά τι περὶ πλήθους ἀκριβῶς ἐπισκέψασθαι· δεύτερον δὲ διάγνωσίν τε καὶ θεραπείαν ἑκάστου πλήθους εὑρεῖν· μὴ γινώσκων, ὡς εἴπερ οὕτω μεγάλα πράγματα δι' ἑνὸς γράμματος ἀποδείκνυσθαι φύσεως εἶχεν, οὐκ ἂν ἦν ἡ τέχνη μακρά. ἐγὼ δέ, ὅτι μὲν ἑτέρα τίς ἐστιν ἡ κατὰ τὰς ἀρτηρίας δύναμις τῆς κατὰ τὰ νεῦρά τε καὶ φλέβας, ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἀπέδειξα· διὰ δὲ τῆς αὐτῆς πραγματείας ἐδίδαξα, καὶ ὅτι τῆς μὲν τῶν ἀρτηριῶν δυνάμεως οἷον πηγή τίς ἐστιν ἡ καρδία, τῆς δὲ τῶν νεύρων ὁ ἐγκέφαλος, τῆς δὲ τῶν φλεβῶν τὸ ἧπαρ· ἐν δὲ τῷ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἀπέδειξα, τὴν ὑποβεβλημένην οὐσίαν γενέσει καὶ φθορᾷ, δι' ὅλης αὐτῆς ἀλλοιοῦσθαι, κατὰ τὰς τέτταρας ποιότητας, ὑγρότητα καὶ ξηρότητα, θερμότητά τε καὶ ψυχρότητα, καὶ εἶναι τὴν ἑκάστου τῶν σωμάτων ἰδίαν οὐσίαν, ἐν τῇ ποιᾷ τούτων κράσει, καὶ διὰ τοῦτο καὶ τῶν διοικουσῶν αὐτὰ δυνάμεων ἡ τῆς κράσεως ἰδιότης ἐστὶν οὐσία· δέδεικται δέ μοι καὶ ἐν τῷ περὶ φυσικῶν δυνάμεων, ἰδίᾳ δὲ διά τινος ἑτέρας πραγματείας. εἴρηται δὲ καὶ διαγνωστικὰ σημεῖα πολλάκις ἐν πολλαῖς ἤδη πραγματείαις, ἑκατέρου τε τοῦ κατὰ τὸ πλῆθος γένους, ἑκάστου τε τῶν καθ' ἑκάτερον ἰδίᾳ· ἑκατέρου μὲν οὖν λέγω, τοῦ τε πρὸς τὴν δύναμιν καὶ τοῦ κατὰ τὸ ἔγχυμα· καλοῦσι γὰρ οὕτω τὸ ἕτερον γένος τοῦ πλήθους, ὃ τῇ περιεχούσῃ χώρᾳ μετρεῖται, συνιστάμενον οὐκ ἐν τοῖς ζώοις μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἀψύχοις οὐδὲν ἧττον, ὑφάσμασί τε καὶ πλοκάμοις, καὶ δέρμασι, καὶ ἀγγείοις κεραμέοις τε καὶ χαλκέοις, καὶ σιδηροῖς, ὅσα τ' ἐκ χαλκοῦ καὶ ἀργύρου καὶ κασσιτέρου γίγνεται· καὶ γὰρ καὶ ταῦτα ῥήγνυται, κατακλεισθείσης ἐν αὐτοῖς πνευματώδους οὐσίας πολλῆς, εἰ μὴ ἄρα τις ἐθέλοι καὶ τὸ τοιοῦτον πλῆθος ὡς πρὸς τὴν συνεκτικὴν συνίστασθαι δύναμιν, ἐπιλαθόμενος ἧς κατ' ἀρχὰς ἐννοίας ἐμνημονεύσαμεν ἐπὶ τῷ τῆς δυνάμεως ὀνόματι, φάσκοντες αὐτὴν αἰτίαν εἶναι δραστικήν, ὡς οὐδὲν διαφέρειν εἰπεῖν ἤτοι δραστικήν, ἢ ποιητικήν, οὐδ' εἴ τις οὐσίαν ἐθέλοι λέγειν, οὐκ αἰτίαν, εἶναι ποιητικὴν τὴν δύναμιν, ἀντιλέγομεν, ἀλλ'

ὁποῖαι

CAPVT III.

Quotuplex sit plenitudo, ac de facultate contentrice aduersus stoicos & Herophileos.

Dvas igitur plenitudinis tum notiones tum relationes subiecimus; hanc vt ad virium robur & facultatem corporis eam sustinentis; illam vt ad suscipientem capacitatem. Atque his suppositis, tum quot vniuersæ animalis sint facultates, tum qua ratione cuiusque B ipsarum plenitudinem vel cognoscemus, vel curabimus, deinceps inspiciamus; insuper verò quot vniuersæ humorum species existant, qui vel grauant vires, vel in vasis contineri nequeunt. In his enim medicum oportet esse & studiosum & excellentem, non in euidentibus contemnendis, quæ omnis demonstrationis initia sunt. Sed nihil fortassis admiratione dignum ignorari & id ipsum ab istis, qui nihil de demonstratione perpenderunt, nihil inuenerunt, C nihil didicerunt, nihil exercuerunt. Ita verò imperiti sunt, vt nunc siquis eorum his commentariis occurrerit, speret me primum hoc in opere demonstraturum, quæ omnino eum nouisse oportet, qui de plenitudine accuratè quid consideraturus sit; deinde cuiusque plenitudinis dignotionem & curationem inuenturum; ignorans, si res tam arduæ eam haberēt naturam, vt vno libro doceri possent, artem longam non fore. Nos sanè, quòd alia quædam in arteriis, alia in neruis, & venis sit facultas, in libris de Hippocratis & Platonis placitis abundè demonstrauimus. In eodem D opere docuimus, arteriarum facultatis veluti fontem quendam esse cor; neruorum, cerebrum; venarum, iecur. Porrò in opere, quod de Elementis ex Hippocratis sententia inscripsimus, indicauimus substantiam generationi & interitui obnoxiam qualitatibus quatuor, humore, siccitate, calore, & frigore per totam ipsam immutari; & propriam corporis cuiusque substantiam in certo quodam harum temperamento consistere; ob idque etiam facultatum ipsa corpora gubernantium essentia, temperamenti proprietas existit. Ostendimus hæc E in libro de naturalibus facultatibus, necnon alio in opere priuatim. Quinetiam sæpe in pluribus cōmentariis iam à nobis dicta sunt vtriusque plenitudinis generis dignoscendi signa, & vniuscuiusque sub vtroque seorsum. Vtriusque autem *plenitudinis* dico, tū ad vires, seu facultatem, tum ad enchyma; vocant enim sic alterum plenitudinis genus, quod locus continens metitur, consistens non in animantibus solùm, sed etiam in inanimatis itidem, velut pannis, crinibus, pellibus, vasis tum fictilibus, tum æreis, F ferreísque, & cæteris quæ ex ære, argento, & stanno fiunt. Hæc etenim etiam rumpuntur, si multum spiritalis substantiæ intus in se conclusum habeant, nisi quis forsan & eam plenitudinem relatione ad contentricem facultatem velit consistere, oblitus sententiæ, cuius antea meminimus in facultatis nomine, dicētes eandem esse causam effectricem, vt nihil intersit aut effectricem aut efficientem dicere; neque verò siquis substantiam esse non causam effectricem velit dicere, reclamamus; sed illud tantum

tantum hoc in sermone obseruari volumus, & effectricem, & actiuam dici, non passiuam & materialem siue causam siue substantiam esse facultatem. Quod si obseruemus, liquet facultatem actionis causam fore. Necessitas autem exigit, actionem, ipsum quoque esse agentis ad rem patientem motum; quemadmodum & affectum in patiente, motum esse ab agente ad rem patientem. Quamobrem facultatis notio in relatione ad aliquid dicitur; substantia in dispositione ad aliud, versatur. At facere quodcunque, aut agere in se ipsum, præter notionem est; ita quoque & continere sese. Qui etenim maximè contentricem facultatem, vt Stoici, inuexerunt, quod continet, aliud, aliud quod continetur, faciunt. Nam spirituosam substantiam, quod continet; materialem, quod continetur, *appellarunt*. Hinc aërem & ignem continere dicunt; terram verò & aquam *ab illis* contineri. Quanquam nonnulli ex his qui se nunc Herophileos nominant, hæc quum ne per somnium quidem audiuerint, summâ pronunciant confidentiâ de contentrice facultate; confitentes quidem se ignorare, vtrum aër, aut ignis, aut vtrunque, lapides, ligna, & quæ sunt huiusmodi cætera contineat; affirmantes autem simpliciter facultatem quandam esse, quæ huiusmodi omnia comprehendat; nam dissolui ac diffluere oporteret, nisi aliquid ea colligeret & complecteretur. Postea rogati, nunquid in oratione tali audeant vti axiomate. *Quæ existunt omnia, re continente indigere; nec ne*; ilicò quidem & promptè respondent, quæstionemque asseuerant; at inde ad absurdum abducti, prædictis tribuunt, & indignantur interrogantibus, tanquam superuacaneis sophistis. In vsu enim est apud huius seculi medicos, si quid aliud, vt de maximis decretis promptè ferant sententiam; reprehensi verò doleant, corripientésque ipsos, sophistas vocitent. Hoc igitur modo orationem in absurdum quippiam decidere necessarium est, dum nos res omnes continentem causam requirere contendimus. Iam tibi recenseo contentricem causam, quænam illa sit. Herophilei (ipsam enim fatentur se ignorare) vtrum ex iis quæ sunt aliquid, an ex iis, quæ non sunt, eam ipsi accipiunt? Si enim ex iis quæ non sunt, admiror virorum sapientiam, si & eorum, quæ sunt, vnumquodque, rerum non existentium egere aliquâ pronuncient; si verò in rebus contentricem causam statuant, meminerint se dixisse, res omnes, vt sint, contentrice causâ indigere; accidet enim ita, & causam ipsam, alterâ quoque causâ, quò consistat, egere, & illam rursus alterâ, idque *sic* in infinitum. Quòd si entium alia aliam quandam causam ad esse desiderare, alia verò esse ex se ipsis habere dixerint; primum intelligant se nequaquam axioma, quod ab initio vt longè verissimum proposuerunt, obseruare, ens nimirum omne ad esse, causam continentem requirere; deinde prolixissimam producere orationem, cur quædam eâ indigeant, quædam non indigeant, vel qualia sint ex his ipsis vtraque. Nam neque Herophileorum plerique, neque recentiores Stoici, aliquâ demonstratione spiritū & ignem tum semet, tum alia continere; aquam atque

ἐκεῖνο μόνον ἐν τῷ λόγῳ φυλάττεσθαι βουλόμεθα τό, δραστικὴν τε καὶ ποιητικὴν λέγεσθαι, μὴ παθητικὴν τε καὶ ὑλικὴν ἤτοι γε αἰτίαν ἢ οὐσίαν εἶναι τὴν δύναμιν. εἰ γὰρ δὴ τοῦτό γε φυλάττοιτο, πρόδηλον, ὡς ἐνεργείας τινὸς ἡ δύναμις αἰτία γενήσεται· τὴν δ' ἐνέργειαν ἀνάγκη δήπου καὶ αὐτὴν εἶναι κίνησιν ἐκ τοῦ ποιοῦντος εἰς τὸ πάσχον, ὥσπερ γε καὶ τὸ πάθος τὴν ἐν τῷ πάσχοντι κίνησιν ἐκ τοῦ ποιοῦντος (εἰς τὸ πάσχον) ὥσθ' ἡ γε νόησις, ἐν τῷ πρός τι τῆς δυνάμεως, ἡ θ' ὕπαρξις ἐν τῇ πρὸς ἕτερον σχέσει. ποιεῖν δ' εἰς ἑαυτὸ λέγειν ὁτιοῦν, ἢ ἐνεργεῖν εἰς ἑαυτό, παρὰ τὴν ἔννοιάν ἐστιν, οὕτως οὖν καὶ συνέχειν ἑαυτό. καὶ γὰρ οἱ μάλιστα εἰσηγησάμενοι τὴν συνεκτικὴν δύναμιν, ὡς οἱ Στωϊκοί, τὸ μὲν συνέχον, ἕτερον ποιοῦσι, τὸ συνεχόμενον δέ, ἄλλο· τὴν μὲν γὰρ πνευματικὴν οὐσίαν, τὸ συνέχον, τὴν δὲ ὑλικήν, τὸ συνεχόμενον, ὅθεν ἀέρα μὲν καὶ πῦρ συνέχειν φασί, γῆν δὲ καὶ ὕδωρ, συνέχεσθαι. καίτοιγε ἔνιοι τῶν νῦν Ἡροφιλείους ἑαυτοὺς ὀνομαζόντων, οὐδ' ὄναρ ἀκηκοότες ταῦτα, τολμηρῶς ἀποφαίνονται (τε) περὶ τῆς συνεκτικῆς δυνάμεως· εἰ μὲν ἀήρ, ἢ πῦρ, ἢ τὸ συναμφότερόν ἐστι τὸ συνέχον τοὺς λίθους τε καὶ τὰ ξύλα, καὶ τἄλλα ὅσα τοιαῦτα, μὴ γινώσκειν ὁμολογοῦντες· ἀποφαινόμενοι δὲ ἁπλῶς, ὅτι δύναμίς τίς ἐστιν ἡ συνέχουσα τὰ τοιαῦτα πάντα, διαλυθῆναι γὰρ ἂν καὶ διαρρυῆναι, μηδενὸς αὐτὰ συνάγοντός τε καὶ σφίγγοντος· εἶτ' ἐρωτηθέντες εἰ καὶ τοιούτῳ τινὶ τολμῶσιν ἀξιώματι χρήσασθαι κατὰ τὸν λόγον, ὡς ἅπαντα τὰ ὄντα δεῖται τοῦ συνέχοντος, ἢ μή, παραχρῆμα μὲν ἑτοίμως ἀποφαίνονταί τε καὶ καταφάσκουσι τὴν ἐρώτησιν· ἀπαχθέντες δ' ἐντεῦθεν ἐπ' ἄτοπον, ἀνατίθενται εἰς τὰ εἰρημένα, καὶ ἀγανακτοῦσι τοῖς ἐρωτῶσιν ὡς περιέργοις τε καὶ σοφισταῖς. ἤσκηται γὰρ εἴπερ τι ἄλλο καὶ τοῦτο τοῖς νῦν ἰατροῖς, ἀποφαίνεσθαι μὲν ὑπὲρ τῶν μεγίστων δογμάτων ἑτοίμως, ἐξελεγχομένοις δὲ ἄχθεσθαί τε καὶ τοὺς ἐλέγχοντας ἀποκαλεῖν σοφιστάς. ὅπως τοίνυν ἀναγκαῖόν ἐστιν εἰς ἄτοπόν τι λόγον ἀχθῆναι, θεμένων ἡμῶν ἅπαν τὸ ὂν δεῖσθαι συνεκτικῆς αἰτίας, ἤδη σοι δίειμι. τὴν συνεκτικὴν αἰτίαν ἥτις ποτ' ἐστίν (οὐ γὰρ ὁμολογοῦσιν αὐτὴν οἱ Ἡροφίλειοι γιγνώσκειν) ἆρά γε ἐκ τῶν ὄντων τι καὶ αὐτοὶ ὑπολαμβάνουσιν ἢ τῶν οὐκ ὄντων; εἰ μὲν γὰρ τῶν οὐκ ὄντων τι, θαυμάζω τὴν σοφίαν τῶν ἀνδρῶν, εἰ καὶ τῶν ὄντων ἕκαστον δεῖσθαί φασι τῶν οὐκ ὄντων τινός· εἰ δὲ τῶν ὄντων τίθενται τὴν συνεκτικὴν αἰτίαν, ἀναμνησθήτωσαν, ὡς ἅπαν τὸ ὂν ἔφασαν αἰτίας δεῖσθαι συνεκτικῆς εἰς τὸ εἶναι· συμβήσεται γὰρ οὕτως καὶ αὐτὴν τὴν αἰτίαν, αἰτίας ἑτέρας, ἵνα ὑπάρχῃ, δεηθῆναι, κἀκείνην αὖθις ἄλλης, καὶ τοῦτο εἰς ἄπειρον. εἰ δὲ τῶν ὄντων τὰ μὲν ἑτέρου τινὸς αἰτίου δεῖσθαι πρὸς τὸ εἶναι, τὰ δὲ ἐξ αὑτῶν ἔχειν τὸ εἶναι, φήσουσι· πρῶτον μὲν ἴστωσαν οὐκέτι διαφυλάττοντες τὸ ἐξ ἀρχῆς ἀξίωμα, ὃ πάντος μᾶλλον ἀληθὲς ἔλεγον, ὡς ἅπαν τὸ ὂν αἰτίας δεῖται συνεκτικῆς εἰς τὸ εἶναι· δεύτερον δέ, μακροτάτου χρήζοντες λόγου, διὰ τί τὰ μὲν δεῖται, τὰ δὲ οὐ δεῖται, ἢ καὶ ὁποῖα ἐκ τούτων ἐστὶν αὐτῶν ἑκάτερα. οὐδὲ γὰρ οὐδ' οἱ πολλοὶ τῶν Ἡροφιλείων, οὐδ' οἱ νεώτεροι Στωϊκοὶ λέγουσί τινα ἀπόδειξιν τοῦ τὸ μὲν πνεῦμα καὶ τὸ πῦρ συνέχειν ἑαυτό τε καὶ τὰ ἄλλα, τὸ δὲ ὕδωρ καὶ τὴν

τὴν ἑτέρου δεῖσθαι τοῦ συνέξοντος· ὅσον μὲν γὰρ ἐπὶ τῇ προχείρῳ φαντασίᾳ, τὸ μὲν σκληρὸν καὶ ἀντίτυπον καὶ πυκνὸν ἑαυτὸ συνέχειν λέγεται, τὸ δ' ἀραιόν τε καὶ μαλακὸν καὶ ὑπεῖκον, ἑτέρου δεῖσθαι τοῦ συνέξοντος. οὐ μόνον δὲ οὐδεμίαν ἀπόδειξιν εἰπόντες οἱ ἄνδρες, ἀξιοῦσι πιστεύεσθαι τὴν ὑπόθεσιν αὐτῶν, ἀλλὰ καὶ πρὸς ἑαυτὴν ὑποτιθέμενοι μαχομένην οὐκ ἔτι αἰσθάνονται. τὰ γὰρ ἁπάντων λεπτομερέστερα καὶ μαλακώτερα καὶ εἰκτικώτερα, τὸ πῦρ καὶ ἀέρα, ταῦτ' αἴτια τῇ γῇ τῆς σκληρότητός τε καὶ ἀντιτυπίας εἶναί φασιν, ὡς ἐνδεχόμενον ἕτερον ἑτέρῳ τινὶ μεταδοῦναι δυνάμεως, ἢ φύσεως, ἢ ἐνεργείας, ἢ ποιότητος, ἧς οὐ μετείληφεν αὐτό. καὶ γὰρ αὖ καὶ φαίνεται σαφῶς, οὐ μόνον οὐδὲν ὑπὸ τοῦ πυρὸς συνεχόμενον, ἀλλὰ καὶ διαλυόμενα πάντα. πρὸς μὲν δὴ τὴν τῶν Στωϊκῶν ὑπόθεσιν, ἑτέρωθι λέλεκται διὰ πλειόνων· ἐπὶ δὲ τοὺς Ἡροφιλείους ἐπάνειμι, καὶ πρὸς τούτους ἀρκέσει μοι κατά γε τὸ παρὸν εἰπεῖν, ὡς ὁ προστάτης αὐτῶν ἐναντιώτατα πέπονθεν, ἀπορῶν μὲν ἐν παμπόλλοις ἀποδείξεις προχείρους ἔχουσιν, ἀποφαινόμενος δὲ ἐν ἄλλοις, ὧν αἵ τ' ἀποδείξεις ἀδύνατοι, ἥ θ' ὑπόθεσις ψευδής.

terram alio continente indigere produnt. Quàm etenim promptâ imaginatione durum, renitens, & densum se continere; rarum verò & molle, & cedens, alterum quod contineat, postulare dicitur. At hi viri non solùm nullam proferentes demonstrationem suæ ipsorum suppositioni fidem adhiberi volunt, sed etiam pugnantem in seipsam statuentes postea non percipiunt. Nam aërem, & ignem, omnium tenuissima, mollissima & facillimè cedentia, terræ duritiei & soliditatis esse causam dicunt; quasi verò aliud alii aut facultatem, aut naturam, aut actionem, aut qualitatem eam possit communicare, quam ipsum nondum receperit. Etenim ab igne non modò nihil contineri, sed etiam omnia dissolui, perspicuè liquet. Verùm contra Stoicorum hypothesim complura alibi scripsimus. Nunc ad Herophileos reuertor. Atque aduersus hos in præsentia dixisse satis erit, antesignano videlicet illorum & præsidi longè diuersa accidisse, quòd in permultis adeò, quæ promptas demonstrationes habeant, addubitet; de illis verò, quæ demonstrari nequeunt, quorúmque falsa est hypothesis, sententiam proferat.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐν τίσι μορίοις πρόχειρός ἐστιν, ἢ δυσχερὴς, ἡ τοῦ τὴν δύναμιν βαρύνοντος πλήθους διάγνωσις.

Ἀπολιπόντες οὖν καὶ τούτους αὖθις λέγωμεν, ὡς τὸ μὲν διατείνεσθαι καὶ ῥήγνυσθαι διὰ πλῆθος, αὐτῶν τῶν περιεχόντων ἀγγείων ἐστὶ πάθος, οὐ δυνάμεώς τινος· τὸ δὲ βαρύνεσθαι, δυνάμεως αἰσθητικῆς· οὐ γὰρ δὴ ἁπλῶς γε ταύτης πάσης οὐδὲ τοῦτο, τῆς γέ τοι φυσικῆς δυνάμεως οὐκ ἔστι πάθος τὸ βαρύνεσθαι. εἴπερ οὖν ὀρθῶς ἀπεδείξαμεν ἐν τῇ τῶν φυσικῶν δυνάμεων πραγματείᾳ, τὴν μέν τινα τῶν οἰκείων ἑλκτικὴν εἶναι δύναμιν, ἑτέραν δὲ αὐτῶν τούτων ἀλλοιωτικὴν, ἄλλην δὲ καθεκτικὴν εἶναι δύναμιν, καὶ τετάρτην ἀποκριτικὴν τῶν ἀλλοτρίων, ἕτερα ἄττα χρὴ ζητεῖν γνωρίσματα τοῦ πρὸς ἑκάστην τῶν εἰρημένων δυνάμεων πλήθους, ὡς οὐχ ἱκανοῦ τοῦ βάρους ὑπάρχοντος. οὐ γὰρ ὥσπερ ἡ ἄῤῥωστος γαστὴρ αἰσθάνεται τῶν βαρυνόντων αὐτὴν, διὰ τὸ περιττὸν τῆς αἰσθήσεως, οὕτω καὶ ἡ φλὲψ καὶ ἡ ἀρτηρία τὴν αὐτὴν αἴσθησιν ἔχουσιν, ἀλλ' ἑτέραν. εἴπερ ἄρα γένος οὐ ταὐτὸν κατὰ τὰ νεῦρα, μακροτέρου λόγου δεόμενον εἰς δήλωσίν τε καὶ πίστιν· τοῦ μὲν οὖν κατὰ τὰς ἀρτηρίας πλήθους, ὡς πρὸς τὴν δύναμιν αὐτῶν, ἐπιστημονικὰ γνωρίσματα διὰ τῆς περὶ τῶν σφυγμῶν εἴρηται πραγματείας, ἴσασι δὲ οὐδὲ τούτων οὐδὲν οἱ ῥᾳδίως ὀνομάζοντες ὁσημέραι πλῆθος· οὐ μὴν τό γε πρὸς τὰς φλέβας αὐτὸς ἐξεῦρον ἐπιστημονικόν τι σημεῖον, ἢ παρ' ἑτέρῳ γεγραμμένον εὑρεῖν ἠδυνήθην, ὅπου γε τὴν ἀρχὴν οὐδὲ διωρίσατό τις ἡμῶν προτέρους οὐδ' αὐτὰς τὰς δυνάμεις ἐπιστημονικῶς. ἐπ' ὀλίγον μὲν γὰρ ἥψαντο τῆς θεωρίας αὐτῶν οἱ περὶ Φίλιππόν τε καὶ Ἀρχιγένην, τελέως δὲ οὐδὲ τούτων οὐδεὶς ἐξειργάσατο. ζητεῖ δὲ ὁ λόγος ὁ νῦν ἐνεστηκὼς οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὸ καθ' ἕκαστον μόριον πλῆθος, οἷον τὸ καθ' ἧπαρ, ἢ καρδίαν, ἢ νεφροὺς, ἢ κῶλον, ἢ ἐγκέφαλον, ἢ ὀστοῦν.

CAPVT IV.

Quibus in partibus prompta sit, vel difficilis plenitudinis vires grauantis dignotio.

Itaque his etiam omissis rursus dicamus, distentionem, & ex plenitudine factam ruptionem, vasorum ipsorum continentium, non facultatis cuiusdam affectus esse; at grauitatem sentientis facultatis. Nam neque ad hanc totam ea absolutè spectat. Naturalis siquidem facultatis affectus grauitas non est. Quapropter si rectè in commentario de facultatibus naturalibus demonstraui vnam idoneorum attractricem esse facultatem, alteram eorumdem alteratricem, tertiam retentricem, & quartam alienorum expultricem, alias quasdam plenitudinis notas in singulis prædictis facultatibus quærere oportet, quum grauitas satis esse non potest. Non enim, quemadmodum imbecillis ventriculus, quæ ipsum grauant, ob eximium sensum percipit; ita venæ atque arteriæ eundem, sed diuersum sensum obtinent. An idem quoque genus in neruis existat, pluribus verbis ad fidem faciendam opus est. Arteriarum igitur plenitudinis, vt ad ipsarum vires, notæ scientificæ in opere de pulsibus traditæ sunt. Nouerunt autem ex his planè nihil, qui ex facili quotidie plenitudinem nominant. Non tamen plenitudinis ad venas signum quoddam scientificum ipse inueni, nec ab altero scriptum inuenire potui; quandoquidem imprimis nemo ante nos ipsas facultates scienter distinxit. Paucis enim Philippus & Archigenes earum speculationem attigerunt, absolutè verò ne vnus istorum quidem absoluit; sed præsens hic sermo non hæc solum inquirit, verum etiam cuiusque partis plenitudinem, vt iecinoris, vel cordis, vel renum, vel coli, vel cerebri, vel ossis.

Quæ

Quæ igitur ex illis aut difficilem aut nullum habent sensum, ea non simili modo cum ventriculo & vesicâ in ipsis recrementa sentiunt. Quędam autem prorsus nihil, quædam aut omnino obscurè, aut nihil; obscurè quidem nimium, vt in plenitudine immodica; nihil, vt in modica. Quinetiam pulmoni, iecinori, & renibus grauitatis sensus interdum innascitur. Etiam quis grauari os, sed obscurè admodum percepit. In cerebro sæpe non obscura solùm grauitas, sed manifesta etiam apparet. In partibus sensu vacuis nullum nec grauitatis, nec alterius cuiuspiam symptomatis sensum oboriri constat. Ex ossibus quædam sensus expertia videntur, ad hæc adeps, & quędam glandulæ, præterea medullæ omnes inter partes sensu vacuas existunt. Cerebrum & spinalis medulla, vt nonnulli asserunt, ex partibus sunt præditis sensu. Quidam certè carnem circa gibbas iecinoris partes sitam, quam plerique medici parenchyma vocant, sensibilem affirmat; neque enim neruus omnino vnquam ei inseritur. Dubitauerit quoque quispiam de illa, quæ simis eius locis adiacet. Ita nanque exiles sunt nerui qui iecinoris portis inseruntur, vt membranam solùm ipsius contexere videantur. Eadem insuper alicui & in liene, & renibus, multò magis in pulmone, dubitatio acciderit. Atque forsan siquis in hisce visceribus grauitatis sensus existat, non ipsorum viscerum, sed tunicarum membranarúmque ea continentium esse dixeris, præsertim quæ à pulmone & iecinore suspensæ pendent, nec firmiter eis adhærent. Frequenter enim ægroti manifestam sursum ad clauiculam tensionem quandam, vt in hepatis tumoribus, & ipsius visceris grauitatem sentiunt. Nam vt totus est felix ille, qui per omnẽ vitæ suæ ætatem hoc mali nunquam percepit, ita frequenter omnes eo laborant. Dicit alicubi Hippocrates; *Ad renem dolor grauis*; quemadmodum &, *in pulmone fit grauitas*. Dicta sunt hæc ab omnibus ferè medicis, quum viscus inflammatione correptum fuerit. Sed horum nihil plerique medici inquisierunt; imò quidam neque plenitudinem aliquando in vniuerso animante esse posse, sed in vna quauis parte, aut etiam pluribus, temerè de plenitudine pronunciant. Sed age, si placet, omni dubitatione remota, in certioribus exerceamur.

CAPVT V.

Qua ratione plenitudinis signa singulis in partibus inueniantur.

Certius autẽ esse mihi videtur, rursus à grauitate initiũ capere. Hæc enim sensitricis facultatis plenitudinis euidentissimũ esse signũ apparet. Vtrum igitur verùm est quod dicitur, grauitatẽ necessariò plenitudinis esse comitẽ, vel grauitati præire plenitudinẽ? Non enim sanè idẽ est in ratione vel sequi grauitatẽ, vel præcedere. Verùm etenim, cui humorum quorundã plenitudo est in corpore, huic grauitatis sensũ esse, in illis videlicet partibus, in quibus sensu præditis existentibus plenitudo extiterit. At verũ non est, vbi grauitas aliquâ in parte est, in illâ humorum esse plenitudinẽ. Fieri enim po-

A ὅσα μὲν οὖν αὐτῶν ἤτοι δυσαίσθητά ἐστιν ἢ ἀναίσθητα, ταῦτα μὲν οὐκ ἂν ὡσαύτως αἰσθητὰ γαστρὶ καὶ κύστει τῶν ἐν αὐτοῖς περιττῶν, ἀλλὰ τὰ μὲν οὐδ᾽ ὅλως, τὰ δὲ ἤτοι παντάπασιν ἀμυδρῶς, ἢ οὐδ᾽ ὅλως· παντάπασι μὲν ἀμυδρῶς, ὡς ἐπὶ παμπόλλῳ πλήθει, οὐδ᾽ ὅλως δ᾽ ὡς ἐπ᾽ ὀλίγῳ. καὶ γὰρ καὶ πνεύμονι καὶ ἥπατι, καὶ νεφροῖς ἐγγίνεται βάρους αἴσθησις ἐνίοτε, καί τις ὀστοῦν ᾔσθετο βαρυνόμενος, ἀμυδρᾷ καὶ αὐτὸς αἰσθήσει. κατὰ τὸν ἐγκέφαλον δὲ βαρὺ διασημαίνει πολλάκις, οὐκ ἀμυδρὰ μόνον, ἀλλ᾽ ἔστιν ἐνίοτε καὶ πάνυ σαφῆ. τοῖς δὲ ἀναισθήτοις μορίοις, οὐκ ἐνδέχεται γίνεσθαί τινα αἴσθησιν, οὔτε βάρους, οὔτ᾽ ἄλλου συμπτώματος οὐδενός. ἀναίσθητα

B δ᾽ ἔοικεν ὑπάρχειν ἔνια τῶν ὀστῶν, καὶ ἡ πιμελή, καί τινες τῶν ἀδένων, εἰ μὴ ἄρα καὶ οἱ μυελοὶ πάντες ἐκ τῶν ἀναισθήτων εἰσίν· ἐγκέφαλος γὰρ οὖν καὶ νωτιαῖος, ὥς ἔνιοί φασιν, ἐκ τῶν αἰσθητικῶν εἰσι. βεβαίως δὲ τὶς ἀποφαίνοιτο κατὰ τὸ περὶ τὰ κυρτὰ τοῦ ἥπατος σαρκὸς, ἣν οἱ πολλοὶ τῶν ἰατρῶν παρέγχυμα προσαγορεύουσιν· οὐδὲ γὰρ ὅλως εἰς αὐτὴν οὐδαμόθεν ἐμφύεται νεῦρον. ἀπορήσειε δ᾽ ἄν τις καὶ περὶ τῆς ἐν τοῖς σιμοῖς, οὕτω γάρ ἐστι βραχέα τὰ κατὰ τὰς πύλας ἐμφυόμενα τῷ ἥπατι, ὥστε φαίνεσθαι τὸν ὑμένα μόνον αὐτοῦ διαπλέκοντα. καὶ μὴν καὶ κατὰ σπλῆνα, καὶ νεφροὺς, ὡσαύτως

C ἀπορήσειεν ἄν τις, ἔτι τε μᾶλλον ἐν πνεύμονι, καὶ τάχα ἄν τις ἐν τούτοις τοῖς σπλάγχνοις ἡ τοῦ βάρους αἴσθησις, οὐκ αὐτῶν τῶν σπλάγχνων, ἀλλὰ τῶν περιεχόντων αὐτὰ χιτώνων καὶ ὑμένων εἶναι λεχθείη, καὶ μάλιστα ἐπὶ πνεύμονός τε καὶ ἥπατος, ἐξηρτημένων τε καὶ κρεμαμένων, καὶ οὐχ ἑδραίως ἐστηριγμένων. ἐναργῶς γὰρ οἱ κάμνοντες αἰσθάνονται πολλάκις ἄνω πρὸς τὴν κλεῖδα τάσεώς τινος, ὡς ἐπὶ τοῖς κατὰ τὸ ἧπαρ ὄγκοις, αὐτοῦ τε τοῦ σπλάγχνου βαρέος· ὡς εὐτυχὴς δέ τις, ὃς οὐκ ᾔσθετο καθ᾽ ὅλον ἑαυτοῦ τὸν βίον, οὕτω συνεχῶς ἅπασι γινο-

D μένου. λέγει δέ πού καὶ Ἱπποκράτης, ἐς νεφρὸν ὀδύνη βαρείη, ὥσπερ γε καὶ, κατὰ πνεύμονα γίνεται βάρος· εἴρηται δὲ σχεδὸν ἅπασι τοῖς ἰατροῖς, ὅταν ἁλῷ φλεγμονῇ τὸ σπλάγχνον. ἀλλ᾽ οὐδὲν τούτων ἐζητηκότες οἱ πλεῖστοι τῶν ἰατρῶν, ἔνιοι δὲ οὐδ᾽ ὅτι δύναταί μέν ποτε καθ᾽ ὅλον τὸ ζῶον εἶναι τὸ πλῆθος, ἐγχωρεῖ δὲ καὶ περὶ ἓν ὁποιονοῦν μόριον ἢ καὶ πλείω, προπετῶς ἀποφαίνονται περὶ πλήθους. ἀλλ᾽ εἰ βούλει κατὰ τὸ παρὸν ἐάσαντες ἁπάσας ταύτας τὰς ἀπορίας, ἐν τοῖς εὐπορωτέροις γυμνασθῶμεν.

E

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Πῶς τὰ τοῦ πλήθους σημεῖα καθ᾽ ἕκαστον τῶν μορίων εὑρίσκεται.

Εὐπορώτερον δ᾽ εἶναί μοι δοκεῖ, πάλιν ἀπὸ βάρους ἄρξασθαι· φαίνεται γὰρ τοῦτο, τοῦ πρὸς τὴν αἰσθητικὴν δύναμιν πλήθους ἐναργέστατον εἶναι γνώρισμα. πότερον οὖν ἀληθές ἐστιν ἀποφαίνεσθαι τῷ πλήθει βάρος ἀκολουθεῖν ἐξ ἀνάγκης, ἢ τὸ βάρος ἀνάγκη προηγεῖσθαι

F πλήθους; οὐ γὰρ δή γε ταὐτόν ἐστιν, ἢ ἀκολουθεῖν ἐν τῷ λόγῳ τὸ βάρος, ἢ προηγεῖσθαι. ἀληθὲς μὲν γὰρ, ὅτῳ πλῆθος ὑγρῶν τινῶν ἐστιν ἐν τῷ σώματι, τούτῳ βάρους αἴσθησιν ὑπάρχειν, ἐν ἐκείνοις τοῖς μέρεσι δηλονότι, ἐν οἷσπερ ἂν ᾖ τὸ πλῆθος, αἰσθητικοῖς ὑπάρχουσιν· οὐκ ἀληθὲς δὲ τὸ, βάρους ὄντος ἔν τινι μέρει, πλῆθος ὑπάρχειν ἐν ἐκείνῳ χυμῶν.

ἐγχωρεῖ γάρ, ὑπὸ τῶν στερεῶν μορίων βαρύνεσθαι τὴν δύναμιν ἀρρωστοῦσαν, ὡς ἐν ταῖς παραλύσεσιν. ὑπὸ γὰρ (τῆς) τῶν μυῶν (ἐν) ὅλου κώλου κινουμένου, τῶν μυῶν ἀρρώστων γινομένων κινεῖν καὶ μεταφέρειν αὐτό, βάρους αἴσθησις γίγνεται τοῖς παραλυομένοις. οὐ γὰρ ἑαυτῷ βαρὺ φαίνεται τὸ ἀρρωστοῦν, οἷον ὁ μῦς, ἢ τὸ νεῦρον, ἢ ὅλως ὅ, τι περ ἂν ᾖ σῶμα τὸ πρώτως κινοῦν τὰ μόρια, ἀλλὰ τοῦτο τὸ πάθημα τὸ λεγόμενον βάρος, ἐξ ἑτέρου τε πέφυκεν ἑτέροις ἐγγίνεσθαι, αὐτό τε καθ' ἑαυτὸ τὸ νεῦρον, ἢ ὁ τένων, ἢ ὁ μῦς, ἢ ὅπερ ἂν ᾖ τὸ κινοῦν ἡμᾶς, ἀτονώτερον μὲν αὐτοῦ γίγνεσθαι καὶ ἀσθενέστερον ἐγχωρεῖ, βαρύνειν δὲ ἑαυτὸ, τῶν ἀδυνάτων ἐστίν. εὐτονώτερον μὲν οὖν γιγνόμενον, ἰσχυροτέρας τὰς ἐνεργείας ποιήσεται τῶν ἔμπροσθεν· ἀτονώτερον δὲ ἀσθενεστέρας. οἷον ὁ μῦς, εἴπερ γε οὗτός ἐστιν ὁ κινῶν τὸ σκέλος, ὑγιαίνων μὲν ἐπισπάσεται σφοδρῶς ἐκεῖνο τοῦ κώλου τὸ μέρος, εἰς ὃ καταπέφυκεν, εὐεκτῶν δὲ σφοδρότατα, καὶ νοσῶν μὲν, ἀσθενῶς, ἔκλυτος δὲ τὴν δύναμιν ὑπάρχων, ἀμυδρῶς. εἰ δὲ οὐχ ὁ μῦς ἐστιν, ἀλλὰ τὸ νεῦρον γε τὸν μῦν αὐτὸν κινοῦν, ἐκείνου πάλιν ὑγεία καὶ νόσος, εὐεξία τε καὶ ἀρρωστία, ταῦτα ἐργάσεται περὶ τὸ κῶλον, ἅπερ ὁ μῦς ἐλέχθη ποιεῖν. οὕτω δὲ εἰ καὶ τὸ πνεῦμα τὸ πρῶτόν ἐστι τῶν κινούντων τὸ σκέλος, ἐπ' ἐκείνου ταῦτα λεχθήσεται. φέρε τοιγαροῦν ἕνεκα σαφηνείας κείσθω ταῦθ' ἡμῖν, ὑπὸ μὲν τοῦ πνεύματος τοῦ διὰ τῶν νεύρων φερομένου κινεῖσθαι τὸν μῦν, ὑπὸ δὲ τοῦ μυὸς, πρώτην μὲν τὴν κνήμην, εἰς ἣν ὁ μῦς ἐμπέφυκεν, εἶτα δι' ἐκείνης τὴν κατὰ γόνυ διάρθρωσιν, ἐφ' ἣν τὸ σκέλος ὅλον ἐμπέφυκεν· ἀληθῶς γὰρ ἄν τις ἐπὶ ταύταις ταῖς ὑποθέσεσι λέγοι καὶ τὸν μῦν αὐτὸν βάρος γίγνεσθαι τῷ ἀρρώστῳ πνεύματι, καὶ σὺν αὐτῷ τὸ κῶλον ὅλον, οἷον εἰ τύχοι τὴν κνήμην· εἰ δέ γε τὸ νεῦρον ὑποθώμεθα κινεῖσθαι πρὸς τοῦ πνεύματος, ὑπὸ νεύρου δὲ τὸν μῦν, εἶτ' αὖθις ὑπὸ τοῦ μυὸς τὴν κνήμην, ὑπὸ πάντων τῶν εἰρημένων βαρυνθήσεται τὸ πνεῦμα τὸ ἄρρωστον. ὥστ' ἤδη μὲν κἀνταῦθα δῆλον, ὡς οὐχ οἷόν τε διαγνῶναι τὸ πρῶτον βαρῦνον τε καὶ βαρυνόμενον, ἄνευ τοῦ προεγνωκέναι τὸ πρῶτον κινοῦν ἕκαστον τῶν ἐν ἡμῖν μορίων. ἀλλὰ καὶ τοῦτο μὲν αὖθις ἀκριβέστερον ἐπισκεψόμεθα, ὑπὲρ οὗ δὲ ὁ λόγος ἐστὶ περαινέσθω· γενήσεται δὲ ἕνεκα σαφηνείας, ἡ διέξοδος ἅπασα μεθ' ὑποθέσεως. ὑποκείσθω τοίνυν ὁ μῦς εἶναι τὸ πρῶτον κινοῦν ἑαυτόν τε καὶ τὸ τῆς κνήμης ὀστοῦν· ἑαυτῷ μὲν οὖν οὐδέ πώποτ' ἐστὶ βαρὺς, οὐδ' ὅταν ἀτονώτατος ὑπάρχῃ, βαρύνει δὲ αὐτὸν ἡ κνήμη. πότερον δὲ κινεῖσθαι μόνον ἐφιέμενον, ἢ κἂν ἡσυχάζῃ, σκέψεως ἑτέρας οὐ μικρᾶς ᾖ, διωρισμένης ἡμῖν ἐν τοῖς περὶ μυῶν κινήσεως, ἧς ἄνευ σκέψεως, οὔτε διάθεσιν, οὔτε πεπονθότα τόπον, ἀκριβῶς ἔστι διαγνῶναι κατὰ τὰς τοῦ βάρους αἰσθήσεις. αὐτίκα γέ τοι τισὶ μὲν ἤτοι κῶλον ἓν ἢ καὶ σύμπαν τὸ σῶμα βαρύνεται, κινεῖσθαι προῃρημένοις, ἡσυχάζουσι δὲ, οὐδεμία βάρους αἴσθησις γίγνεται· τινὲς δὲ καὶ πρὸ τοῦ κινεῖσθαι, βαρύνεσθαί φασι. τίς οὖν ἑκατέρων τούτων ἡ διάθεσις, ἀμήχανον γνῶναι, πρὶν ἐξευρεῖν τὰ κινοῦντά τε καὶ κινούμενα σώματα καθ' ὅλον τὸ σκέλος. εἰ μὲν γὰρ αἱ τῶν νεύρων ἶνες αἱ κατὰ τὸν μῦν, εἰσὶν αἱ πρῶται κινούμεναι, συγκινεῖται δὲ ταύταις ἐν αὐτῷ τό, τε ὑμενῶδες γένος, καὶ τὸ φλεβῶδες, καὶ τὸ ἀρτηριῶδες, ἔτι δ' οἱ σύνδεσμοι, βάρους μὲν αἴσθησις αὐτῷ γενήσεται καὶ διὰ ταῦτα, καὶ δι' ἄλλα πάντα τὰ καθ' ὅλον τὸ κῶλον· ἐπισκεψόμεθα δὲ καὶ διοριούμεθα, πότε μὲν ἐνεργοῦντος καὶ κινουμένου τοῦ κώλου τὸ βάρος ἔσται, πότε δ' ἡσυχάζοντος· εἰ δὲ καὶ τὸ τῶν συνδέσμων ἐν αὐτῷ γένος ἅμα τῷ

test, facultatem imbecillē à solidis partibus grauari, vt in paralysi. Nam musculis totius, quod mouebatur, membri ex neruorum resolutione ad ipsius motum ac translationem factis infirmis, grauitatis sensus paralyticis oboritur. Non enim sibi ipsi graue apparet, quod ægrotat, veluti musculus, vel neruus, vel deniq; aliud quodlibet corpus primariò partes mouens; sed hæc affectio, quam grauitatem vocant, ex alio aliis aduenire nata est, ipseq; per se neruus, vel tendo, vel musculus, vel quæuis pars nos mouens, seipsa inualidior imbecilliórque fieri potest; grauare autem se ipsum rerū est impossibilium. Vbi igitur pars validior euadet, validiores prioribus actiones obibit; inualidior, imbecilliores. Exempli gratia, musculus, si hic sit, qui crus mouet, sanus vehementer illam membri partem, cui insertus est, attrahet; bono habitu præditus, vehementissimè; æger, inualidè; viribus resolutus, obscurè. Quòd si verò non musculus, sed neruus sit, qui musculū ipsum mouet, illius vicissim sanitas & morbus, bonus habitus & imbecillitas hæc in artubus expedient, quæ musculus moliri dictus est. Ita verò si quoque spiritus primum sit crus mouens, de eo hæc dicentur. Age igitur, ponamus perspicuitatis gratia, à spiritu qui per neruos fertur, musculum moueri, à musculo primùm tibiam cui musculus insertus est, dein articulum in genu, cui crus totum committitur. Verè siquidem in hisce hypothesibus dixeris musculū ipsum, membrúmque ipsum totum, nempe tibiam, spiritui imbecillo grauitatem adferre. At verò si neruum moueri à spiritu, à neruo musculum, à musculo rursum tibiam statuamus, spiritus imbecillis ab omnibus hisce enarratis grauabitur. Quare iam hîc liquet fieri non posse, vt, quid primum grauet, aut grauetur, dignoscas; nisi quid primariò quâque in nobis partem moueat, anteà compertum habeas. Sed id quoque rursum accuratiùs examinabimus; de quo sermo fuit, ad finem perducatur. Atque nunc perspicuitatis gratiâ cum hypothesi fiet enarratio. Supponatur itaque musculus esse primum mouens tum seipsum, tum tibiæ os; is equidem nequaquam sibi ipsi grauis est, ne etiam quum imbecillimus existit; sed tibia illum grauat. Vtrum autem moueri solùm cupientem, an conquiescentem, alterius non exiguæ speculationis sit, quæ in libris de musculorum motu definita est, citra quam speculationem neque affectionem, neq; locum affectum ex grauitatis sensibus datur dignoscere. Protinus enim quibusdam vel membrum vnum, vel etiam vniuersum corpus, dum mouere se volunt, grauatur; quiescentibus autē nullus grauitatis sensus est. Nonnulli quoque ante motum se grauari dicunt. Quæ igitur vtrorumq; horum dispositio sit, nulla ratione queas deprehendere, priusquam mouentia corpora, quæque mouentur in toto crure, adinueneris. Siquidem neruorum fibræ in musculo primæ mouentur, cum his simul membranosum genus, venosum, & arteriosum, ad hæc ligamenta mouentur; grauitatis equidem ipsi sensus, ex istis aliisque omnibus, quæ in toto membro consistunt, exorietur. Perpendemus autem atque definiemus, membri quando agit, ac mouetur, & quando rursus quiescit grauitatē fore. At si ligamentorum in eo genus simul cum carnoso

noso moueatur (hæc enim propria musculi est substantia) ex horum neutro grauitatis sensus vnquam euenerit, verùm ex venis, vel arteriis, vel adipe, vel ossibus, vel quibusdam, vel omnibus. Atqui manifestum est, in huiusmodi licèt distinctionibus *has dictiones*, ex quibusdam, vel ex omnibus, omiserimus, libri lectores subaudire tamen ipsas oportere, scientes in eiusmodi orationibus coniunctiones non disiunctiuas, sed adiunctiuas esse. Vnde iam perspicuum euadit, vt quicunque partem plenitudine laborantem velit dignoscere, is accuratam facultatum nos gubernantium, ad hęc dissectionis, & naturæ omnium animantis partium notitiam habeat, esse necessarium. Inde siquidem institutus quispiam plethoricę partis signa aliquando forsan inuenerit.

σαρκῶδες κινεῖται, ταῦτα γάρ ἐστιν ἡ οἰκεία τοῦ μυὸς οὐσία, διὰ οὐδὲν μὲν τούτων οὐδέποτε γίνοιτ' ἂν ἡ τοῦ βάρους αἴσθησις· ἤτοι δὴ ἐκ τῶν φλεβῶν, ἢ ἐκ τῶν ἀρτηριῶν, ἢ ἐκ τῆς πιμελῆς, ἢ ἐκ τῶν ὀστῶν, ἢ ἔκ τινων, ἢ ἐκ πάντων γίνεσθαι. δῆλον δὲ ὡς εἰ καὶ παραλίποιμέν ποτε κατὰ τὰς τοιαύτας διαιρέσεις, τὸ ἔκ τινων, ἢ ἐκ πάντων, αὐτὸ χρὴ προσυπακούειν τοὺς ἀναγινώσκοντας τὸ βιβλίον, εἰδότας ὅτι κατὰ τοὺς τοιούτους ἅπαντας λόγους, οἱ σύνδεσμοι, οὐ διαζευκτικῶς, ἀλλὰ παραδιαζευκτικῶς εἰσιν. ἐκ μὲν δὴ τῶν εἰρημένων εὔδηλον, ὡς ὅστις βούλεται διαγνωστικὸς εἶναι πληθωρικοῦ μορίου, τοῦτον τήν τε διοικουσῶν ἡμᾶς δυνάμεων ἐπιστήμην ἔχειν ἀναγκαῖόν ἐστι, ἀνατομῆς τε καὶ φύσεως ἁπάντων ἀκριβῶς τῶν τοῦ ζώου μορίων· ἐκ τούτου γὰρ ὁρμώμενος, ἴσως ἄν ποτε ἐξεύροι τὰ σημεῖα μορίου πληθωρικοῦ.

CAPVT VI.

De plenitudinis signis aduersus Erasistratum.

SIquis autem nullâ habitâ veritatis ratione, familiares studeat decipere, quòd sapientiæ aliquantulum sciat, huic quidem ex facili & siquid aliud licet, ea quæ apud Erasistratum in primo de sanitate tuenda traduntur, ediscere. In alio enim haud plenitudinis signa exponere aggressus est. Adhibeamus igitur animum ipsius verbis, in quibus primùm sanè quæ tandē plethoræ (sic enim vocat venarum plenitudinē) generatio sit, explicat; deinde in quibus dignotionis signa ostendit. Itaque generatio illi talis est. *Si nanque alimentum distribuatur, neque concoquatur, neque pro cuiusque consuetudine elaboretur, aut alio quouis modo excernatur, necesse est, vasa tum concoctionis, tum distributionis repleri, & eorum actiones prohiberi. Quumque id alimentum quod priùs in vasis fuit, nullo modo consumatur, sed alio ab iis quæ assumuntur accedente, corporis vasa quoque magis distenduntur. At vbi alimenti accumulationem non ampliùs vasa recipiunt, aliud verò alimentum è ventriculo defertur, ea quæ iam ipsis insunt, in vicina spiritus vasa irrumpunt.* Hinc igitur innotescit, de plenitudine ad infusionem illum disserere, & quod ipsam propriè plethorā vocet. Hic enim affectus plethora solùm nominatur, non alius, qui ad vires iudicatur. Paululum autem de dignotione progressus, hæc scribit. *Itaque plethoræ affectum dignoscere, prout diximus, conandum est. Quibus igitur per ipsius initia vasa moderatè repleta sunt, ii robustiores & fortiores quàm anteà præter consuetudinem apparent; vbi verò repletio maior his accesserit, brachia, tibiæ, & manus immoderatiùs implentur, quemadmodum illis qui ab exercitiis in distentionem veniunt. Quòd si copiosior plethora præcedat, hæ partes vlcerosæ, tardiores & ad motū ineptiores sunt, quòd vniuersa corporis iunctura tanquam lassitudine apparente tendatur. Iam verò huiusmodi affectus morbo vicinus est, nisi quis scitè admodum & prudenter eum soluat.* In his Erasistratus diuersarum plenitudinum notas comprehendit, ascribitque nonnullas eis parum necessarias. Series autem orationis ipsius ab initio inspicienda est; quum enim ait; *à principio itaque plenitudinis, quibus vasa moderatè repleta sunt, ii robustiores, fortioresque quam anteà, præter consuetudinem apparent*; neque aliunde sermo necessariam habet consequentiam, neque ab affectu ad eius notas,

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῶν τοῦ πλήθους σημείων πρὸς τὸν Ἐρασίστρατον.

Εἰ δέ τις ἀληθείας μὲν οὐ πεφρόντικεν, ἐξαπατᾶν δὲ βούλεται τοὺς πέλας, ὅτι εἴη γνούς τι σοφὸν, ἕτοιμον τούτῳ, κἂν εἰ μηδὲν ἄλλο, τά γοῦν Ἐρασιστράτου κατὰ τὸ πρῶτον ὑγιεινῶν αὐτὸ μαθεῖν· ἐν ἄλλῳ μὲν γὰρ οὐδὲ ἐπεχείρησε πλήθους εἰπεῖν σημεῖα. προσέχωμεν οὖν αὐτοῦ τοῖς ῥήμασι, πρῶτον μὲν ἐν οἷς ἥτις ποτέ ἐστιν ἡ γένεσις τῆς πληθώρας, φησὶν (οὕτως γὰρ αὐτὸς ὀνομάζει τὸ κατὰ τὰς φλέβας πλῆθος) εἶθ' ἑξῆς ἐν οἷς τὰ σημεῖα τῆς διαγνώσεως ἐξηγεῖται. ἡ μέντοι γένεσις αὐτῷ τοιάδε. τῆς γὰρ ἀναδιδομένης τροφῆς, μήτε καταπεττομένης, μήτε ἐκπονουμένης κατὰ τὸ εἰθισμένον ἑκάστῳ, μήτε ἄλλως πως ἐκκρινομένης, ἀναγκαῖον ἢ πληροῦσθαι τὰ ἀγγεῖα, τῆς πέψεως καὶ τῆς ἀναδόσεως καὶ τὰς κατ' αὐτὰς ἐνεργείας ἀποδιδουσῶν, καὶ τῆς μὲν προϋπαρχούσης τροφῆς ἐν τοῖς ἀγγείοις οὐδαμῶς καταναλισκομένης, τῆς δ' ἀπὸ τῶν προσφερομένων ἐπιγινομένης, τὰ ἐν τῷ σώματι ἀγγεῖα καὶ ἐπὶ πλέον διατείνεται· ὅταν δὲ μηκέτι ἐπίσαξιν ἐπιδέχηται τὰ ἀγγεῖα, ἐπιφέρηται δὲ ἐκ τῆς κοιλίας ἑτέρα τροφὴ, ὁρμὴν λαμβάνει τὰ ὑπάρχοντα εἰς τὰ παρακείμενα τοῦ πνεύματος ἀγγεῖα. ἔκ τε οὖν τούτου δῆλον, ὅτι περὶ τοῦ κατὰ τὸ ἔγχυμα διαλέγεται πλήθους, ἔκ τε τοῦ καλεῖν αὐτὸ πληθώραν ἰδίως· οὕτω γὰρ τὸ πάθος ὀνομάζεται πληθώρα μόνον, οὐ τὸ ἕτερον, ὃ πρὸς τὴν δύναμιν κρίνεται. μικρὸν δὲ διελθὼν περὶ τῆς διαγνώσεως αὐτοῦ, τάδε γράφει· δεῖ οὖν, καθάπερ εἴρηται, πειρᾶσθαι διαγινώσκειν τὴν κατὰ πληθώραν διάθεσιν. καθ' ἀρχὰς μὲν οὖν αὐτῆς, μετρίως πληρουμένων τῶν ἀγγείων, εὐτονώτεροί τε καὶ ἰσχυρότεροι ἑαυτῶν φαίνονται παρὰ τὸ εἰθισμένον· ἐπὶ πλέον δὲ πληρώσεως ἐρχομένων, περιεμπίπλανται βραχίονές τε, καὶ κνῆμαι, καὶ χεῖρες, ὥσπερ τοῖς ἀπὸ τῶν γυμνασίων εἰς διάτασιν ἐρχομένοις· ἐπὶ πολὺ δὲ τῆς πληθώρας προαγούσης, ἑλκώδεις τε καὶ βραδύτεροι καὶ δυσκινητότεροί εἰσι, καὶ ὅλη τοῦ σώματος ἡ ἁφὴ τείνεται, ὡς κόπου φαινομένου· πλησίον δὲ ἤδη νόσου ἡ τοιαύτη διάθεσις, ἐὰν μὴ πάνυ ἐπιδεξίως τε καὶ συνετῶς αὐτήν τις λύῃ. συνέχεεν ἐν τούτοις ὁ Ἐρασίστρατος, ἑτερογενῶν πληθῶν γνωρίσματα, μετὰ τοῦ καὶ προσγράφειν αὐτοῖς ἔνια τῶν οὐκ ἀναγκαίων. ἐπισκέψασθαι δέ ἐστιν ἀπ' ἀρχῆς αὐτοῦ τὸν λόγον. ἐν μὲν γὰρ τῷ, καθ' ἀρχὰς μὲν οὖν αὐτῆς μετρίως πληρουμένων τῶν ἀγγείων, εὐτονώτεροί τε καὶ ἰσχυρότεροι ἑαυτῶν φαίνονται παρὰ τὸ εἰθισμένον, οὐδ' ἑτέρωθεν ὁ λόγος ἀναγκαίαν ἔχει τοῦ ἀκολουθῆσαι, οὔτε ἀπὸ τῆς διαθέσεως ἐπὶ τὰ γνωρίσματα αὐτῆς,

οὔτε ἀπὸ τῶν γνωρισμάτων ἐπὶ τὴν διάθεσιν. οὔτε γὰρ ἀναγκαῖον, ἐπὶ τῶν ἀγγείων μετρίως πληρουμένων εὐτονωτέρους τε καὶ ἰσχυροτέρους ἑαυτῶν φαίνεσθαι, οὔθ᾽ ὅταν τοιοῦτοι φαίνωνται, μετρίως πεπλήρωνται τὰ ἀγγεῖα. ταῖς τε γὰρ τούτων μετρίαις πληρώσεσιν, ἐνδέχεταί ποτε καὶ ἀτονωτέρους γίνεσθαί τινας, ἢ εἰς μηδὲν ἐπιφανὲς ἐπὶ μηδέτερα παραλλάξαι, μήτε ἐπὶ ἰσχὺν, μήτε ἐπ᾽ ἀσθένειαν. εἰ δὲ ἰσχυρότεροι γίνονται ἢ πρόσθεν, ἐγχωρεῖ τούτοις οὐ μόνον συναυξῆσθαι τῇ δυνάμει τὸ πλῆθος τῶν χυμῶν, ἀλλὰ καὶ μεμειῶσθαί ποτε, καὶ τὴν ἐξ ἀρχῆς ἐνίοτε φυλάττειν ποσότητα. καθ᾽ ἑκατέραν γὰρ ὑπόθεσιν ἐγχωρεῖ, τῷ πρῶτον λεχθέντι, τριῶν ἀκολούθησιν εἶναι, τῷ μὲν ηὐξῆσθαι τοὺς χυμοὺς, εὐτονίαν τε καὶ ἀτονίαν παρὰ τὴν ἔμπροσθεν κατάστασιν, ἔτι τε τὴν ἐπὶ τῶν αὐτῶν ὅρων μονὴν τῆς δυνάμεως· τῷ δ᾽ εὐτονωτέραν γεγονέναι, τό τε ηὐξῆσθαι καὶ τὸ μεμειῶσθαι, καὶ τὸ συμμέτρους εἶναι τοὺς χυμούς. ἀκουέσθω δ᾽ ὡσαύτως κατὰ τὸν παρόντα λόγον, ἐάν τε χυμοὺς εἴπω, ἄν τε αἷμα· διορισθήσεται γὰρ ὑπὲρ αὐτῶν ἐν τῷ προήκοντι τοῦ λόγου. Ἐρασίστρατος μὲν οὖν ἁπλῶς ἀπεφήνατο, μηδεμίαν ἀπόδειξιν, οἷς εἶπε προσγράψας· ἡμεῖς δὲ οὐχ ἁπλῶς, ἀλλὰ σὺν ἀποδείξεσιν ἀναγκαίαις, ἕκαστον ὧν εἴπομεν ἄρτι πιστούμενοι, τὴν ἀρχὴν κἀνταῦθα πάλιν ἀπ᾽ αὐτῶν ποιησόμεθα τῶν Ἐρασιστράτου ῥημάτων. εὐτονώτεροι, φησὶ, καὶ ἰσχυρότεροι φαίνονται. πότερον ἄλλο τι σημαίνει τὸ, εὐτονώτεροι, τοῦ ἰσχυρότεροι, καὶ δύο ἡμᾶς ἐδίδαξε σημεῖα τοῦ μετρίου πλήθους, ἢ δύο μὲν εἰπὼν ὀνόματα, σημεῖον δὲ ἕν; ἐγὼ δὲ οὐδεμίαν εὑρίσκω τοῦ σημαινομένου διαφορὰν, οὔτε κατὰ τὸ γένος, οὔτε κατὰ τὸ εἶδος, οὔτε ἐν τῷ μᾶλλον ἢ ἧττον, ἀλλ᾽ ὑφ᾽ ἑκατέρου σημαίνεσθαι νομίζω ταὐτόν. εἰ δὲ βούλει, τίθει τὸ ἕτερον ἐπίτασίν τε καὶ αὔξησιν ἐμφαίνειν παρὰ θάτερον, εἴτ᾽ οὖν τὸ ἰσχυρότεροι παρὰ τὸ εὐτονώτεροι, εἴτε τὸ εὐτονώτεροι παρὰ τὸ ἰσχυρότεροι· ἀλλ᾽ ὁμοειδές γε πάντως ἐστὶ τὸ σημαινόμενον ἐξ ἀμφοτέρων. ἔνθα δ᾽ αὔξησίς ἐστι, τοῦ εἴδους μένοντος, ἐνταῦθ᾽ οὐκ ἔστι διδασκαλία δυοῖν σημαινομένων. εὔδηλον δ᾽ ὅτι θατέρου γένους τοῦ πλήθους, ὃ πρὸς τὴν δύναμίν ἐστιν, οὐδὲ μέμνηται τὴν ἀρχὴν ὁ Ἐρασίστρατος, οὔτε οὖν κατὰ τοῦτο τὸ βιβλίον, οὔτε ἐν τοῖς περὶ πυρετῶν. ἡ γὰρ πληθώρα, παρεμπτώσεώς ἐστιν αἰτία κατ᾽ αὐτὸν, ἐφ᾽ ᾗ φλεγμοναί τε συνίστανται, καὶ πυρετὸς ἕπεται· πληθώρας τε γένεσιν ἐναργῶς ἐδήλωσεν ἐν τῇ προγεγραμμένῃ ῥήσει, καθ᾽ ἣν ἐπισάττεσθαι τὰ ἐν τῷ σώματι ἀγγεῖα, καὶ ἐπιπλεῖστον διατείνεσθαί φησι. τούτοις γὰρ αὐτὸς ἐχρήσατο τοῖς ῥήμασιν, ὥσπερ καὶ ἔτι διὰ τὸ μηκέτι δύνασθαι τὴν ἐπίσαξιν ἐπιδέχεσθαι, παρέμπτωσιν εἰς τὰς ἀρτηρίας γίνεσθαι τοῦ περιττοῦ, τὴν ὁρμὴν ἐκεῖσε λαβόντων τῶν πληθυνόντων κατὰ τὰς φλέβας. παραλέλειπται μὲν οὖν τι κἀνταῦθα κατὰ τὴν διαίρεσιν. οὐ γὰρ ὧδε ἁπλῶς ἐχρῆν εἰπεῖν, ὅταν μηκέτι ἐπίσαξιν αἱ φλέβες δέχωνται, τὴν ὁρμὴν γίνεσθαι τῶν ἐν αὐταῖς εἰς τὰ τοῦ πνεύματος ἀγγεῖα· πολλῷ δ᾽ ἦν βέλτιον φάναι, δυοῖν θάτερον ἕπεσθαι τῇ προειρημένῃ πληρώσει τῶν φλεβῶν, ἤτοι ῥῆξιν αὐτοῦ χιτῶνος ἢ μετάχυσιν τοῦ αἵματος εἰς τὰ τοῦ πνεύματος ἀγγεῖα· τὸ δ᾽ ἐξ ἀνάγκης οἴεσθαι μὲν μεταχεῖσθαι τὸ αἷμα διὰ τὸ μὴ χωρεῖσθαι πρὸς τῶν φλεβῶν, ἐπιλελησμένου παντάπασίν ἐστιν, ὡς γίγνεταί ποτε ῥῆξις ἀγγείου διὰ πλῆθος, ἵνα παραλίπω τὴν ἄνευ μεταχύσεως ἀναστόμωσιν

A neque à notis ad affectum. Siquidem vasis moderatè repletis, robustiores illos & fortiores quàm priùs videri non est necessarium, neque quum tales apparent, vasa moderatè esse repleta. Fieri enim potest, vt moderatis horum repletionibus imbecilliores etiam aliqui fiant, vel ad neutrum insigniter declinent, putà vel ad robur, vel ad imbecillitatem. Si fortiores quàm antea euadant, his concedimus non solùm cum viribus humorum plenitudinem increuisse, sed interdum quoque decreuisse, B primámque interdum seruare quantitatem. Nam iuxta vtranque hypothesin colligitur ex priore dicto trium esse consequentiam; adauctos quidem humores, robur & imbecillitatem præter constitutionem priorem, prǽterque facultatis in eisdem terminis permansionem comitari; roboris verò accessionem, humores & auctos, & imminutos, & moderatos sequi. Intelligatur autem in præsenti commentario idem, siue humores, siue sanguinem dixero; hæc enim in sermonis processu distinguentur. Erasistratus qui-C dem simpliciter pronunciauit, nullâ demõstratione dictis suis appositâ. Nos autem non absolutè, sed cum necessariis demonstrationibus, fide iis quæ nuper retulimus, astruentes, exordium denuò hinc ab ipsis Erasistrati verbis capiemus. *Robustiores*, ait, *& fortiores apparent.* An diuersa significant *robustiores*, *& fortiores*; atque nos duo moderatæ plenitudinis signa docuit, vel duo quidem nomina, vnum verò signum effatus. Ego sanè ne vnam quidem significati differentiam inuenio, neque secundum genus, neque secundum speciem, neque demum se-D cundũ maioris minorísque rationem, sed idem de vtroque significari censeo. At alterum, si lubet, intensionem & incrementum in altero ostendere ponito. Siue igitur fortiores de robustioribus, siue robustiores de fortioribus dicas, vna similique specie vtriusque significationem omnino complecteris. Vbi nanque auctio est specie manente, ibi non est duarum significationum disciplina. Patet autem Erasistratum, alterius plenitudinis generis, quod ad vires pertinet, ne meminisse quidem prorsus, neque in hoc libro, neque in aliis qui de febribus inscribuntur. Nam plethora ipsius iu-E dicio incidentiæ causa est, in qua inflammationes consistunt, quámque febris consequitur. Plethoræ generationem euidenter verbis præscriptis indicauit, vbi corporis vasa onerari, distendique plurimum scribit. His enim verbis ipse vsus est, quemadmodum etiam quòd non ampliùs eam sarcinam vasa queant suscipere, exuberantis humoris incidentiam in arterias fieri innuit, iis quæ abundant in venis, illuc impetum ducentibus. Omisit ergo hîc quoque in F diuisione quippiam. Non enim ita dicendum erat absolutè, quum venæ nom ampliùs eam, *quæ adfertur*, sarcinam, capiant, eorũ quæ in ipsis continentur, ad spiritus vasa impetum fieri. Multò autem melius erat dixisse, duorum alterum prædictam venarum repletionem comitari, vel tunicæ ipsius rupturam, vel sanguinis in spiritalia vasa transfusionem. Cæterum putare sanguinem necessariò transfundi, quòd is à venis contineri nequeat, obliti omnino est, vasis rupturam aliquando ob plenitudinem euenire, vt omittam anastomosin quæ sine transfusione

sione manifeste plerumque fit in sensibilia ac ampla intestinorum, ventriculi, stomachi, faucium, & oris spatia. At quod in orationis distinctione defuit, non in hoc solum opere Erasistrato consuetum est, sed in aliis commentariis propemodum omnibus.

CAPVT VII.

Neque plenitudine sanguinis neque imminutione, necessariò vires augeri, aut minui.

QVod itaque enunciatum est, quid tandem sit, deintegro inspiciamus. *Repletis vasis moderatè, seipsis quàm antea robustiores apparēt.* Vtrum ô Erasistrate, etiamsi cum sanguinis plenitudine, corporis robur non adaugeatur, an etiam viribus simul adauctis? Ego siquidem necessarium planè esse dico ad actionis vigorem peræquè facultatis *seu virium* robur augeri. Tu verò si incremento sanguinis duntaxat facultatis actiones validiores fieri censeas, Asclepiadis sententias magis euertere, quàm facultatis statum astruere videris. Neque enim ille simpliciter sic loquitur; cui plus sanguinis, omnino hunc robustiorem esse, cui minus, necessariò imbecilliorem; sed inuenies quasdam eum distinctiones, apparentibus consonas dicere, etsi nullam in nobis facultatem, aut animalem, aut vitalem esse putet. Conspiciuntur enim quidam seipsis interdum magis sanguinei simul & fortiores euasisse, quidam fortiores simul & minus sanguinei. Quapropter quū neq; sanguinis plenitudine vires augeri, neque ipsius imminutione has debilitari necesse sit, negligentiùs hæc quoque se protulisse Erasistrato existimandum est. Quod si quis eum monuerit illorum, quæ ego nunc recensui, haud inficias iuerit functionum vigorem non sanguinis incrementum, sed facultatis robur consequi. Reddamus itaque nos iam eius sermonem perfectiorem, iis quæ parum integrè protulit, reliqua adiicientes; erit autem huiusmodi. *Augescente sanguine simul cum viribus, actionis quoque robur augescere necesse est.* Equidem si ita loquamur, id verum quidem dicemus, nihil autē plus nobis ex eo ad res propositas. Quibus enim vtrumque auctum est, & sanguis, & facultas, eisdem actionis robur auctum quoque verè dicetur; quibus autem vires increuerunt, his vtraque necessariò aucta esse, falsum. Non enim necessariò facultas simul cum sanguine augescente augetur; accidit autem aliquando, facultatem solam augeri. Bonus enim reuera gymnastes, si quempiam susceperit, qui sanguinem pituitosum copiosè præ otio collegerit, & viribus imbecillior existat, paulò post eum fortiorem, vberiorisque, quàm quum eum accepisset sanguinis compotem, efficiet. Quemadmodum igitur qui in actionibus fungendis validiores quàm priùs facti sunt, eis humores auctos esse necessum non est; ita qui seipsis in functionibus edendis robustiores euaserunt ipsis facultatem robustiorem euasisse necesse est. At non modò ab actionum vigore auspicatus, ad facultatis robur, sed etiam à facultate ad actionum vigorem necessariò deuenies. Nam facultate vali-

ἐναργῶς πολλάκις εἰς αἰσθητὰς εὐρυχωρίας γιγνομένην ἐντέρων, καὶ γαστρὸς, καὶ στομάχου, καὶ φάρυγγος καὶ στόματος. ἀλλὰ τὸ μὲν ἐν τῇ διαιρέσει τῶν λόγων ἐλλιπὲς, οὐκ ἐν τούτῳ μόνον Ἐρασιστράτῳ συνήθες, ἀλλὰ καὶ κατ' ἄλλα συντάγματα σχεδὸν ἅπαντα.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὅτι τῷ αἵματι οὔτε συναυξάνεται ἡ ἰσχὺς ἐξ ἀνάγκης αὐξανομένῳ, οὔτε συμμειοῦται μειουμένῳ.

ΤΟ δὴ οὖν εἰρημένον, ὁποῖόν ποτ' ἂν ᾖ, πάλιν ἐπισκεψώμεθα. πληρουμένων τῶν ἀγγείων μετρίως, ἑαυτῶν εὐτονώτεροι φαίνονται. πότερον ὦ Ἐρασίστρατε κἂν μηδὲ συναύξηται τῷ πλήθει τοῦ αἵματος, ἡ ῥώμη τοῦ σώματος, ἢ καὶ αὐτῆς συναυξανομένης; ἐγὼ μὲν γὰρ ἀναγκαιότατον εἶναί φημι πρὸς τὴν εὐτονίαν τῆς ἐνεργείας, καὶ τὴν ῥώμην τῆς δυνάμεως αὐξάνεσθαι. καὶ οὕτως δὲ, εἰ τῇ τοῦ αἵματος αὐξήσει μόνον, τῆς δυνάμεως τὰς ἐνεργείας ἰσχυροτέρας γίνεσθαι ἡγῇ, τὰς Ἀσκληπιάδου μᾶλλον ἀνατρέπειν δόξεις τὰς δυνάμεις. οὐδὲ γὰρ ἐκεῖνος ἁπλῶς οὑτωσί φησιν, ᾧ πλέον αἷμα, πάντως τοῦτον εὐτονώτερον ὑπάρχειν, ᾧ δὲ ἔλαττον, ἐξ ἀνάγκης ἀτονώτερον, ἀλλ' εὑρήσεις τινὰς εἰπεῖν διορισμοὺς, ὁμολογοῦντας τοῖς φαινομένοις, καίτοι οὐδεμίαν ἡγούμενον ἐν ἡμῖν εἶναι δύναμιν, οὔτε ψυχικὴν, οὔτε ζωτικήν. ὁρῶνται γάρ τινες, οἱ μὲν ἑαυτῶν ἐνίοτε πολυαιμότεροί τε ἅμα καὶ ἰσχυρότεροι γεγονότες, οἱ δὲ ἰσχυρότεροί τε ἅμα καὶ ὀλιγαιμότεροι· ὥστε ἐξ ἀνάγκης, οὔτε τῷ πλήθει τοῦ αἵματος αὐξανομένης τῆς ἰσχύος, οὔτε μειώσει καθαιρουμένης, ὀλιγωρότερον εἰρῆσθαι καὶ ταῦτα τῷ Ἐρασιστράτῳ νομιστέον, ὡς εἴ γέ τις ἀνέμνησεν αὐτὸν ὧν ἐγὼ νῦν διῆλθον, οὐκ ἂν ἠρνήσατο, τὴν τῶν ἐνεργειῶν εὐτονίαν, οὐκ αὐξήσει τοῦ αἵματος, ἀλλὰ ῥώμῃ τῆς δυνάμεως ἕπεσθαι. ποιησώμεθα οὖν ἡμεῖς ἤδη τὸν λόγον αὐτοῦ τελεώτερον, οἷς ἐνδεῶς εἶπε προσθέντες τὸ λοιπόν. ἔσται δὲ τοιοῦτος. αὐξανομένου τοῦ αἵματος ἅμα τῇ δυνάμει, καὶ τὴν εὐτονίαν ἀναγκαῖον αὐξάνεσθαι. καὶ μὴν εἰ καὶ τοῦτο εἴποιμεν, ἀληθὲς μέν τι λέξομεν, οὐδὲν δὲ ἡμῖν εἰς τὰ προκείμενα πλέον οὐδὲ ἐκ τοῦδε. τὸ μὲν γὰρ, οἷς ἄμφω συνηύξηται τό, τε αἷμα καὶ ἡ δύναμις, ηὐξῆσθαι καὶ τὴν εὐτονίαν, ἀληθῶς εἰρήσεται, τὸ δ' οἷς ηὔξηται τὰ τῆς ἰσχύος, ηὐξῆσθαι τούτοις ἐξ ἀνάγκης ἀμφότερα ψεῦδος. οὐ γὰρ ἐξ ἀνάγκης ἡ δύναμις τῷ αἵματι αὐξηθέντι συναύξεται, ἐγχωρεῖ δέ ποτε καὶ τὴν δύναμιν μόνον. ὁ γοῦν ὄντως ἀγαθὸς γυμναστὴς, εἰ παραλάβοι τινὰ, πολὺ μὲν αἷμα φλεγματικὸν ὑπ' ἀγυμνασίας ἠθροικότα, τῇ δυνάμει δὲ ἀσθενέστερον, ὀλίγον εἶναι ἀποδώσει τοῦτον ἰσχυρότερον, οὐ πολυαιμότερον, ἢ παρέλαβεν. ὥσπερ οὖν οὐκ ἀναγκαῖον, ὅσοι ταῖς ἐνεργείαις εὐτονώτεροι σφῶν αὐτῶν γεγόνασιν, ηὐξῆσθαι τούτοις τοὺς χυμοὺς, οὕτως ἀναγκαῖόν ἐστιν, ὅσοι ταῖς ἐνεργείαις σφῶν αὐτῶν εὐτονώτεροι γεγόνασιν, ἰσχυροτέραν αὐτοῖς γεγονέναι τὴν δύναμιν. οὐ μόνον δὲ ἀπὸ τῆς εὐτονίας ἀρξάμενος, ἐπὶ τὴν ῥώμην τῆς δυνάμεως ἀκολουθήσεις ἐξ ἀνάγκης, ἀλλὰ καὶ ἀπὸ τῆς δυνάμεως ἐπὶ τὴν εὐτονίαν· ὁ γὰρ

ἰσχυρὸς τὴν δύναμιν, εὐτονώτερος ἐν ταῖς ἐνεργείαις ἐστίν· ὥστ' ἀλλήλοις ἀντακολουθεῖν, εὐτονίαν μὲν ἐν ταῖς ἐνεργείαις ῥώμῃ δυνάμεως, ῥώμην δὲ ἐν τῇ δυνάμει τῇ τῶν ἐνεργειῶν εὐτονίᾳ· ὁπότερον γὰρ ἂν αὐτῶν ὑπάρχειν ὑποθοῖο, πάντως τούτῳ συνυπάρχει καὶ τὸ ἕτερον· οὐ μὴν ἀπό γε τοῦ πλείονος αἵματος ἡ ἀκολούθησις ἀναγκαία. οὔτε γὰρ εἰ πλέον τοῦτο τοῦ πρόσθεν, ἐξ ἀνάγκης εὐτονώτερος ὁ ἄνθρωπος, οὔτε εἰ ἔλαττον, ἀτονώτερος, ὥσπερ οὐδὲ ὅταν ἴσον, ὁμοίως ἔχει δυνάμεως. ὥστ' ἐκ τῶν εἰρημένων δῆλον, ὡς ἡ τῶν ἐνεργειῶν εὐτονία, τοῦ μὲν ἐῤῥῶσθαι τὴν δύναμιν, ἴδιόν τε ἅμα καὶ ἀχώριστόν ἐστι γνώρισμα, τῆς δὲ αὐξήσεως τοῦ αἵματος οὔτε ἴδιον, οὔτε ἀχώριστον. ὃ δὲ ἐφεξῆς εἶπεν Ἐρασίστρατος, ἴδιον μὲν οὐκ ἔστιν, ἀχώριστον δέ ἐστι πληθώρας. ὀνομάζει δὲ αὐτὸ περιεμπίμπλασθαι, σαφέστερον δ' ὀνομασθείη τείνεσθαι. καὶ γάρ τοι καὶ τῶν γυμναστῶν οἱ ἀκριβέστεροι τὸν μέν τινα τῶν κόπων, ἑλκώδη, τὸν δὲ, τονώδη, τὸν δὲ φλεγμονώδη καλοῦντες, οὐδὲν ἄλλ' ἐνδείκνυνται τοῦ περιεμπίμπλασθαι τὰ μέλη κατὰ τὸν τονώδη κόπον. τηνικαῦτα γὰρ ἑαυτῶν περιεμπεπλῆσθαι λέγουσιν ὁτιοῦν μόριον, ἐπειδὰν αἰσθάνωνταί τινος ἐν αὐτῷ τάσεως· αἰσθάνονται μὲν οὖν κἂν τῇ φλεγμονῇ, τάσεως, ἀλλ' ἐκείνῃ μὲν ἤτοι διὰ παντὸς, ἢ ὡς τὸ πολὺ σύνεστιν ὁ παρὰ φύσιν σφυγμὸς, ὃν τις ἐναργέστερον ἑρμηνεύων, ἐρεῖ πόνον σφυγμώδη· οἷς δ' οὐδὲν ἄλλο πλὴν τοῦ τείνεσθαι συμβέβηκε, τούτοις οὔτε φλεγμαίνει τὸ τεινόμενον μέρος, οὔτε ἐξ ἀνάγκης πληθωρικὸν ὑπάρχει, ἀλλὰ δυοῖν θάτερον, ἤτοι κοπῶδες ἢ πληθωρικόν. ἀλλ' εἰ μὲν κοπῶδές ἐστιν, ἐπὶ πόνοις πλείοσιν οὕτως ἔπαθεν· εἰ δ' ὅλως οὐκ ἐπόνησεν ὁ ἄνθρωπος, οὐ διὰ κόπον, κοπῶδες αὐτῷ γίγνεται τὸ μόριον, ἀλλ' ἑτέρως· ὥστ' ἀληθὲς εἰπεῖν, ἐπεὶ τάσεως αἴσθησίς ἐστιν ἄνευ τοῦ γυμνάσασθαι, πάντως ἐστὶ πληθώραν. γίγνεται δὲ, οὕτως εἰπόντων, ἀχώριστόν τε ἅμα καὶ ἴδιον τὸ σημεῖον, ἀκολουθούντων ἐξ ἀνάγκης ἀλλήλοις ἑκατέρων· ἥτε γὰρ ἄνευ τῶν γυμνασίων τάσις, ἕπεται πληθώρᾳ· γίγνεται γὰρ αὐτῆς ἀχώριστον σημεῖον, ὡς ὑπὸ αἰτίου τῆς πληθώρας ἀποτελούμενον· ἡ δὲ ἐπὶ τοσοῦτον αὔξησις τοῦ αἵματος, ὡς μηδέπω διατείνειν τὰς φλέβας, οὐδέπω πληθώρα. τί ποτ' οὖν ἐμνημόνευσεν ὁ Ἐρασίστρατος ἐν τῷ λόγῳ βραχιόνων καὶ κνημῶν καὶ χειρῶν; καὶ γὰρ καὶ ἐν τραχήλῳ, καὶ μεταφρένῳ, καὶ ὀσφύϊ, καὶ κατὰ θώρακα, καὶ καθ' ὑπογάστριον, ἡ τοιαύτη συνίσταται τάσις. ὥσπερ δὲ τῶν κώλων ὁ Ἐρασίστρατος ἐμνημόνευσεν ἐκ περιττοῦ, κατὰ τὸν αὐτὸν τρόπον, καὶ μειζόνως, καὶ τῆς ἑλκώδους αἰσθήσεως· οὐ γὰρ πληθώρας αὕτη γνώρισμά ἐστιν, ἀλλ' ἐπὶ δακνώδεσι γίγνεται χυμοῖς, οἷάπερ τοῖς ἡλκωμένοις μέρεσιν, ἤτοι ψαύοντος αὐτῶν τινος, ἢ ἰχῶρος ἐρεθίζοντος, ἢ φαρμάκου δάκνοντος, ἢ κἂν ταῖς κινήσεσι μόναις γίγνεται. ὥσπερ γὰρ ἡ τάσις οἰκεία ἐν τῷ πλήθει χυμῶν ἐστι διατεινόντων τὰ περιέχοντα, οὕτως ἡ ἑλκώδης αἴσθησις ἕπεται δακνώδει ποιότητι· καὶ διὰ τοῦτο συνίσταται πολλοῖς ἐνίοτε καὶ καθ' ὅλον τὸ σῶμα, μὴ ὅτι πληθώραν ἔχουσιν, ἀλλὰ μηδὲ τὸ σύμμετρον αἷμα.

dus, in functionibus obeundis robustior est. Quare hæc se inuicem sequuntur, vigor actionum, facultatis robur, actionum vigorem facultatis quoque robur. Vtrum enim ex eis adesse statueris, huic omnino alterum simul adest; non tamen à copiosiore sanguine necessaria sumitur consequentia. Neque enim si largior quam priùs existat, necessariò robustior homo euadet; neque si paucior, imbecillior erit; quemadmodum neque si proportione reliquis humoribus respondeat, facultas æqualiter se habebit. Proinde ex superioribus clarum est, actionum vigorem facultatis robustæ propriũ & inseparabile esse indicium; sanguinis incrementi neque proprium neque inseparabile. Quod autem deinceps Erasistratus dicit, proprium non est, sed plethoræ inseparabile. Vocat ipsum *adimpleri*, apertius tendi dixisset. Etenim gymnastarum quidam diligentiores, aliam lassitudinem vlcerosam, aliam tensiuam, aliam phlegmonodem appellantes, nihil aliud innuunt, quàm membra in tensiuam lassitudinem incidisse. Tunc enim corporis sui partem quãcunque adimpletam dicunt, quum tensionem quandam in se sentiunt; sentiunt itaque in inflammatione tensionem, sed pulsus præter naturam, illam vel semper, vel magna ex parte comitatur, quem quis clarior interpres dolorem pulsatilem appellarit. Quibus aliud nihil quàm tensio accidit, ijs neque inflammatione laborat tensa pars, neque necessariò plethorica est, sed duorum alterum, vel lassa vel plethorica est. At si lassa, pluribus laboribus hic affectus debetur; quod si non laborauerit homo, nequaquam ob lassitudinem lassa pars ipsa fit, verùm aliter. Quamobrem vt verum fateamur, tensionis sensus sine exercitiis omnino plethora est. Fit nanque sic loquentibus inseparabile simul & proprium signum, vtrisque se vicissim consequentibus. Nam tensio citra exercitationes, plethoræ comes est; fit enim huius inseparabile signum, quod tanquam à plethoræ causa perficitur. Porrò tantum sanguinis incrementum, vt venæ distendi ampliùs non possint, necdum plethora dicenda est. Quid igitur Erasistratus in enarratione brachiorum, tibiarum, manuumque meminit? Etenim in collo etiam, & dorso, & lumbis, & thorace, & imo ventre huiusmodi tensio constituitur. Quemadmodum autem superuacuò Erasistratus artuum, sic etiam pleniùs vlcerosi sensus mentionem facit. Hic enim plethoræ nota non est, verùm ex mordacibus humoribus, partibus velut exulceratis nascitur, vel has illorum aliquo contingente, vel sanie iritante, vel medicamento vellicante, aut ex motionibus solis prouenit. Vt enim propria tensio in humorum plenitudine continentia vasa distendentium versatur; ita sensus vlcerosus mordacem qualitatem sequitur, ideoque multis interdum in toto corpore accidit, non solùm non plethoram, sed ne moderatum quidem sanguinem habentibus.

CAPVT

CAPVT VIII.

An in solo sanguine plenitudo consistat; an ex molestiâ, tensione, & cæteris Empiricorum indicijs verè dignoscenda sit.

HIs ita sese habentibus, quemadmodum certè se habent, opportunum iam nobis videtur, distinctionem quorumdam apponere, quæ prius quum signa ab Erasistrato conscripta inspiceremus, ad hanc vsque seriem distulimus. Plenitudinem itaque, siue ad vires, siue ad continentium vasorum capacitatem æstimetur, satius erat videlicet distinguere, vtrum in sanguine solo, an etiam alijs omnibus humoribus consistere nata sit. Id namque indefinitum ab illis relictum est. Quum igitur non solùm hi morbi, penuria & plenitudo, sed etiam praua qualitas, omnes humores occupet, vniuersos medicos interrogaui, tum qui ad vires, tum qui ad humorum incrementum plenitudinem æstimant, solone aucto sanguine adeò, vt non contineatur, venas extendi contingat; an si pituita vel in aliam quamuis partẽ, aut etiam venas ipsas, vel simul cum hac, vel sine hac bilis quæpiam, vel sanies, vel spiritus flatulentus tanta plenitudine coaceruatus sit, vt à vase suo contineri magis non possit, num hîc quoque tensionem experiri animal necessarium erit? Si pars quæ tenditur, sentiat, eam in omni quod distendit, neque continetur, tensionis sensum animali excitare necesse est; & hunc affectum, tensionem vocitant, partes occupare, quâ latiùs auctâ eam quæ tenditur partem rumpi necessum est. Id mihi quidem rebus manifestò apparentibus, consentire videtur. Conspicimus enim non modò neruos, vel funiculos tensionis violẽtiâ dirũpi, sed dolia quoq; multoties à musto flatulento spiritu turgente. Nuper sanè vas stanneũ eousq; à medica nento ex viperis, quod in eo continebatur, inflatũ est, vt etiã pellis ei circundata, & funiculus quo deligatũ erat, dirũperentur, & operculum curuaretur. Præterea quòd maximis interdum doloribus quidam corripiuntur, spiritu flatulento nonnullis animalis partibus insidente, quemadmodum & colo intestino sæpe id accidere, omnes arbitror nouisse, quibus curæ est quotidie apud ægros visa sequi & considerare. Præstat igitur ab omni substantia humida & flatulenta, partes in tensiuam affectionem duci existimare, vel solum ex humoribus sanguinem exuberantem huiusmodi affectum comitari. Itaq; rursus ad eos qui plenitudinem tanquam ad vires semper putant constitui, digrediamur, rogemusque vnum aliquod longè facillimum, tali quapiam hypothesi exempli modo proposita. Homines duo, onera suis humeris imposita bajulent, alter quidem lignum vel lapidem, vel sarcinam aliquam grauissimam, alter verò spinas paucissimas & acutissimas; deinde in tali spectaculo, qui ad vires plenitudinem considerant, ab eis quæramus, an & paucas etiam spinas onus appellent, an quæ ab vtroque baiulantium onere fit molestia, commune aliquod hominibus symptoma sit, molestiæ vero species plurimum differat. Hic enim citra punctionem grauatur, ille sine grauitate

ΚΕΦΑΛΑΙΟΝ Η'.

Πότερον ἐν αἵματι μόνῳ συνίσταται τὸ πλῆθος· πότερον ἐκ τῆς αἰτίας καὶ τῆς τάσεως καὶ τῶν λοιπῶν τῶν Ἐμπειρικῶν γνωρισμάτων ὄντως αὐτὸ διαγινώσκειν χρή.

ΚΑὶ εἴπερ ταῦθ' οὕτως ἔχει, καθάπερ οὖν ἔχει, καιρὸς ἤδη διορίσασθαι περί τινος, ὧν ἔμπροσθεν ἀνεβαλλόμεθα, ἐπειδὴ ἐσκοποῦμεθα μέχρι τοῦ δεῦρο τὰ ὑπ' Ἐρασιστράτου γεγραμμένα σημεῖα. τὸ γάρ τοι πλῆθος, εἴτ' οὖν πρὸς τὴν δύναμιν, εἴτε πρὸς τὴν τῶν περιεχόντων χώραν νοοῖτο, βέλτιον μὲν ἦν δήπου διορίσασθαι, πότερον ἐν αἵματι μόνῳ, ἢ καὶ τοῖς ἄλλοις ἅπασι χυμοῖς συνίστασθαι πέφυκε· παραλέλειπται δὲ καὶ τοῦτ' αὖθις ἀδιόριστον. ἐπεὶ τοίνυν οὐ μόνον ταῦτα τὰ παθήματα καταλαμβάνει τοὺς χυμούς, ἔνδειά τε καὶ πλῆθος, ἀλλὰ καὶ ποιότης ἄτοπος, πάντας ἠρώτησα τοὺς ἰατρούς, ὅσοι τε πρὸς τὴν δύναμιν νοοῦσι τὸ πλῆθος, ὅσοι τε πρὸς τὴν αὔξησιν τῶν ὑγρῶν, πότερον αὐξηθέντος μόνου τοῦ αἵματος τοσοῦτον, ὡς μὴ στέγεσθαι, τείνεσθαι συμβήσεται ταῖς φλεψίν· εἰ δ' ἤτοι φλέγμα εἰς ὁτιοῦν ἄλλο μόριον, ἢ καὶ αὐτὰς τὰς φλέβας, ἢ καὶ σὺν τούτῳ τε καὶ χωρὶς τούτου χολή τις, ἢ ἰχώρ, ἢ πνεῦμα φυσῶδες, ἐς πλῆθος ἀθροισθείη τοσοῦτον, ὡς μὴ χωρεῖσθαι μηκέτι πρὸς τοῦ περιέχοντος, οὐχὶ καὶ νῦν ἀναγκαῖον ἔσται, τάσεως αἰσθάνεσθαι τὸ ζῷον; ἂν ὑπάρχῃ τὸ τεινόμενον μόριον αἰσθητικόν, ἀναγκαῖόν ἐστιν ἐπὶ παντὶ τῷ διατείνοντι καὶ μὴ στεγομένῳ, τὴν αἴσθησιν τῆς τάσεως τῷ ζῴῳ γίνεσθαι, καὶ τὸ πάθημα αὐτὸ καταλαμβάνειν τὰ μόρια, τὴν ὀνομαζομένην τάσιν, ἧς ἐπὶ πλέον αὐξανομένης, ἀνάγκη τε καὶ ῥαγῆναι τὸ τεινόμενον; ἐμοὶ μὲν τοιοῦτον δοκεῖ τοῖς ἐναργῶς φαινομένοις ὁμολογεῖν. ὁρῶνται γὰρ οὐ νεῦρα μόνον, ἢ σχοινία ῥηγνύμενα τῷ βιαίῳ τῆς τάσεως, ἀλλὰ καὶ πίθοι πολλάκις ὑπὸ γλεύκους πνευματωθέντος. ἔναγχος γοῦν ἀγγεῖον κασσιτέρινον εἰς τοσοῦτον διεφυσήθη πρὸς τοῦ περιεχομένου κατ' αὐτὸ φαρμάκου τοῦ διὰ τῶν ἐχιδνῶν, ὥστε καὶ τὸ περικείμενον αὐτῷ δέρμα καὶ τὸ σχοινίον ᾧ κατεδέδετο, ῥαγῆναι, καὶ τὸ πῶμα κυρτωθῆναι. καὶ μὲν δὴ καὶ ὅτι μεγίσταις ὀδύναις ἐνίοτε καταλαμβάνονταί τινες, ὑπὸ φυσώδους πνεύματος καταληφθέντος ἔν τισι τοῦ ζῴου μέρεσι, καὶ ὡς ἐν τῷ κώλῳ μάλιστα συμβαίνειν εἴωθε τοῦτο, γινώσκειν ἡγοῦμαι πάντας, οἷς ἐπιμελές ἐστιν ἀκολουθεῖν τε καὶ διασκέπτεσθαι τὰ καθ' ἑκάστην ἡμέραν ἐπὶ τῶν καμνόντων ὁρώμενα. βέλτιον οὖν ὑπὸ πάσης οὐσίας ὑγρᾶς καὶ πνευματώδους εἰς τονώδη διάθεσιν ἄγεσθαι νομίζειν τὰ μόρια, ἢ μόνῳ τῶν χυμῶν αἵματι πληθύνοντι τοιοῦτον ἕπεσθαι πάθημα. μεταβάλλωμεν οὖν αὖθις πρὸς τοὺς ὡς πρὸς τὴν δύναμιν ἡγουμένους ἀεὶ συνίστασθαι τὸ πλῆθος, ἐρωτήσωμέν τε καὶ τούτους ἕν τι τῶν προχειροτάτων, ὑποθέμενοι τοιάνδε τινὰ ὑπόθεσιν, ὡς ἐπὶ παραδείγματι. (μόρια) βασταζέτωσαν ἄνθρωποι δύο κατὰ τῶν ὤμων ἀναθέμενοι ὁ μὲν ξύλον, ἢ λίθον, ἤ τι φορτίον βαρύτατον, ὁ δ' ἕτερος ἀκάνθας ὀλιγίστας, ὀξυτάτας· εἶτ' ἐρωτήσωμεν ἐπὶ τῷ τοιούτῳ θεάματι τοὺς πρὸς τὴν δύναμιν ἀεὶ νοοῦντας τὸ πλῆθος, εἰ καὶ τὰς ὀλίγας ἀκάνθας ὀνομάζουσι φορτίον, ἢ τὸ μὲν ἀνιᾶσθαι πρὸς ἑκατέρου τῶν βασταζομένων, κοινόν τι σύμπτωμα τοῖς ἀνθρώποις ἐστίν, ἡ δὲ τῆς ἀνίας ἰδέα πάμπολυ διαλλάττουσα· τῷ μὲν γάρ, βαρύνεσθαι χωρὶς τοῦ νύττεσθαι, τῷ δέ, νύττεσθαι χωρὶς τοῦ

βαρεῖσθαι συμβέβηκεν. ὅλως δ' ἄν τις τὸ νύττεσθαι, ἢ δάκνεσθαι, ἢ ὁπωσοῦν ἄλλως φορτίον καλῇ καὶ πλῆθος, ἀναγκασθήσεταί ποτε καὶ μίαν ἄκανθαν ἢ βελόνην λεπτοτάτην καλεῖν φορτίον, οὗ τί ἂν εἴη γελοιότερον; ἔστιν οὖν ἄτοπα ταῦτα, καὶ παρὰ τὰς κοινὰς ἁπάντων ἀνθρώπων ἐννοίας. ἡμῖν δὲ οὐκ ἀνατρέπειν, ἀλλὰ φυλάττειν τὰς κοινὰς ἐννοίας πρόκειται. πολὺ μὲν οὖν ἡγούμεθα τὸ βαρῦνον, δριμὺ δὲ τὸ δάκνον, ἢ νύττον, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι. καὶ μὴν ὅτι δακνώδεις πολλοὶ τῶν χυμῶν εἰσιν, οἱ μὲν ἐν ἡμῖν αὐτοῖς τὴν γένεσιν ἔχοντες, οἱ δὲ ἔξωθεν ἡμῖν ἐπιφερόμενοι, παντὶ τοῦτο πρόδηλον. εἰσὶ δ' αὐτῶν τέτταρες ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφοραί· μετρίως μὲν γὰρ δάκνοντες κνησμώδεις εἰσίν, ὥσπερ ἡ σκίλλα· σφοδρότερον δὲ, δακνώδεις, ὥσπερ τὸ κρόμμυον, εἰ γὰρ ἐπὶ πλέον ὁμιλήσειεν ἡμῶν τὸ σῶμα τοιαύτῃ φύσει σώματος, ἑλκωθήσεται· τὰ δὲ ἔτι μᾶλλον ἐπὶ τούτου δριμέα, καὶ μάλιστα ὅταν ἡλκωμένοις προσφέρηται, φρίκην ἐργάζεται· φρίκης δὲ ἐκταθείσης τε καὶ αὐξηθείσης, τὸ σύμπτωμα ῥῖγος ὀνομάζεται. κατὰ δὲ τὴν αὐτὴν ἀναλογίαν ἐν ἡμῖν συνίστανται δακνώδεις χυμοὶ κατὰ τέτταρας ἰδέας· κνησμώδεις μὲν γὰρ ἐξ αὐτῶν εἰσιν οἱ μετρίως ἀμύττοντες, ἑλκώδη δὲ αἴσθησιν ἐμποιοῦσιν οἱ τούτων δακνωδέστεροι, φρίκην δὲ οἱ τούτων μᾶλλον δάκνοντες, οἱ δ' ἱκανῶς δακνώδεις, τὸ ῥῖγος. λέλεκται δὲ περὶ τούτων ἐν πολλαῖς πραγματείαις, ἀλλ' ἱκανὰ τῷ βουληθέντι σύνοψίν τινα λαβεῖν αὐτῶν, τὰ ἐν τῷ δευτέρῳ τῶν ἐν τοῖς συμπτώμασιν αἰτιῶν εἰρημένα, καὶ τῷ τετάρτῳ τῶν ὑγιεινῶν. εἰ δὲ καὶ τὸ περὶ τῶν φαρμάκων δυνάμεως ἀναλέξαιτό τις γράμμα, καὶ τὴν προηγουμένην αὐτοῦ πραγματείαν τὴν περὶ κράσεων, ἐπιστημονικώτερον ἂν οὕτως πεισθείη περὶ τῆς τῶν δακνωδῶν φύσεως. ἀλλ' οἱ πολλοὶ τῶν ἰατρῶν ὅμοιόν τι πεπόνθασι, τῷ πρὸς Ἱπποκράτους εἰρημένῳ περὶ τῶν ἐπὶ κατάγμασιν ἢ τοιούτοις τισὶ παθήμασι τὰ προσταττόμενα μὴ ποιούντων· καὶ γὰρ κἀκεῖνοι, καίτοι ὑγιεῖς ἐθέλοντες γενέσθαι, τὸν ἐν τῇ θεραπείᾳ κάματον οὐχ ὑπομένουσιν, ὥσπερ οὗτοι τὸν ἐν τῷ μανθάνειν· ἀλλ' οὔτε ἐξαίφνης ὑγιεῖς οἷόν τε γενέσθαι, μόνῳ τῷ βούλεσθαι τυχόντας τοῦ τέλους, οὔτε τούτοις ἐπιστημονικοῖς, ἄνευ τοῦ διελθεῖν ἅπασαν τὴν ὁδὸν, ἣν ἔμπροσθεν ἐδήλωσα. γνώσονται γὰρ εἰ βουληθεῖεν, ὡς ἡ ἑλκώδης ὅλου τοῦ σώματος αἴσθησις, ἥ τε ἐπὶ πλέοσι γυμνασίοις ἀήθως παραλαμβανομένοις γινομένη, καὶ ἡ χωρὶς γυμνασίων ἄφνω συστᾶσα, δακνώδους ἔγγονος ὑπάρχει χυμοῦ. καὶ διὰ τοῦτο τοὺς πλέον γυμνασαμένους, ἐλαίῳ τε πλείονι, καὶ τρίψει μαλακῇ, καὶ λουτροῖς γλυκέων ὑδάτων θερμοῖς ἀκριβῶς εὐκράτοις, οἱ γυμνασταὶ θεραπεύουσιν, ὡς διαφορηθῆναι τοὺς δακνώδεις χυμοὺς, ὅσοι γυμνασαμένων ἀμετρότερον, ἐγεννήθησαν ἐπὶ συντήξει πιμελῆς καὶ σαρκὸς μαλακῆς, ἢ δι' αὐτοὺς τοὺς ἐν τῷ σώματι χυμοὺς ἰσχυρῶς θερμανθέντας. εἰ δέ τις ὑπομείνειε τὰς τούτων ἀποδείξεις ἐκμανθάνειν, ἐκεῖνος ἂν μόνος πεισθείη βεβαίως, τὴν μὲν ἑλκώδη διάθεσιν ἐπὶ δακνώδεσι γίνεσθαι χυμοῖς, τὴν δὲ τοῦ βάρους ἐπὶ πολλοῖς πρὸς τὴν δύναμιν, τὴν δὲ τῆς τάσεως ἐπὶ πολλοῖς μὲν καὶ ταύτην, ἀλλ' ὡς πρὸς τὴν περιέχουσαν αὐτοὺς χώραν, οὐ τὴν δύναμιν τῶν (περιεχομένων) σωμάτων. Ἐρασίστρατος δὲ ἐν τῷ προτέρῳ τῶν ὑγιεινῶν, αὐτὴν μὲν τὴν γένεσιν τῆς πληθώρας διερχόμενος, ἐναργέστατα διδάσκει τὴν τρίτην τῶν εἰρημένων

pungitur. In summa, si quis punctionem, vel morsum, vel quodlibet molestum onus plenitudinem quoque vocet, cogetur aliquando & vnam spinam, vel acum tenuissimam onus appellare; quo quid est magis ridiculum? Absurda igitur hæc sunt, & præter omnium hominum opiniones. Nos autem communes notiones non euertere, sed conseruare statuimus. Proinde multum, quod grauat, interpretamur; molestum, quod mordet, vel pungit, vel quomodocunque quis vocare voluerit. Atqui multos esse humores mordaces, alios in nobis ipsis ortum habentes, alios extrinsecus accedentes, id omnibus perspicuum. Sunt autem quatuor ipsorum in maioris minorisque ratione differentię. Qui etenim mediocriter rodunt, pruritum concitant, quemadmodum scilla; vehementiùs autem, rodentes, vti cæpa; nam si tali naturâ prędito corpori corpus nostrum paulò diutiùs admotum fuerit, exulcerabitur. Nonnulla præterea hoc acriora sunt, maximéque quum vlceratis admouentur, horrorem concitant; horrore verò extenso auctóque, id symptoma rigor appellatur. Eâdem proportione mordaces in nobis humores quatuor specierũ constituuntur. Pruritum enim inter eos mouent, qui modicè vellicant; his mordaciores vlcerosum sensum faciunt; his adhuc vehementiùs mordentes horrorem; mordacissimi rigorem. De his autem in multis commentariis dictum est; verùm quæ in secundo de symptomatum causis, & quarto de sanitate tuenda tradidimus, ei qui compendium quoddam illorum velit capere, abunde sufficiunt. At si quis opus de medicamentorum facultatibus relegerit, & libros præcedentes de temperamentis, accuratiùs mordacium humorum naturam cognoscet. Verùm vulgo medicorum simile quid accidit, quod Hippocrates de illis dixit, qui fracturis, vel eius generis affectibus laborantes, præcepta medicorum non faciunt. Etenim illi, etiamsi sani velint degere, in curatione tamen laborem non perferunt, quemadmodum nec hi in discendo. At salutem subitò consequi non possunt solo finis desiderio, nec hi scientiam, nisi totam illam viam perfecerint, quam paulò antè indicauimus. Scient enim, si velint, vlcerosum totius corporis sensum, tum qui ob immoderatiora exercitia præter consuetudinem suscepta contingit, tum qui citra exercitia subitò oboritur, mordacis humoris esse sobolem; ideóque plùs ęquo exercitatis gymnastæ oleo copiosiore, frictione molli, balneo dulcis aquæ calido adamussim temperato, curationem moliuntur, quò mordaces humores, qui immoderatioribus exercitiis ob adipis carnísque colliquationem, vel propter ipsos in corpore humores vehementer calefactos, generati sunt, discutiantur. Quòd si quis igitur horum demõstrationes ediscere sustinuerit, solus ille firmiter persuasum habebit, vlcerosam affectionem propter mordaces gigni humores; grauitatis, ob multos, vt ad vires; tensiuam verò affectionem, itidem propter multos, sed vt ad continentem eos vasorum capacitatem, non ad corporum, quæ continentur, vires, *relationem habent.* Erasistratus in libro primo de sanitate tuenda, ipsam euidentissimè plethoræ generationem recensens, tertiam dictorum affectionem

ctionem docet, dein ad notas conuersus, non magis de hac, quàm aliis conscripsit. Etenim tẽsio huius duntaxat est, quod ille adimpleri nominauit. At vlcerosum gigni sensum, neque prædictæ plenitudinis, neque illius, quæ vires spectat, proprium indicium est; multò minùs grauiores, ad motúmque difficiliores euadere. Siquidem hoc plenitudinis ad vires peculiare signum est. Parum igitur ipsi abfuit, quin omnem propemodum Empiricorum syndromen nobis descripserit, postremò partem quandam notationis tritemporaneæ, quam Herophilei introduxerunt, peræque ac Empirici, literis prodidit, ita inquiens; *Quum enim alimentum quod distribuitur, neque apponitur, neque pro cuiusque consuetudine elaboratur, neque aliter excernitur.* Nihil enim refert, vel hęc dicere, vel, vt illi, otiosam vitam, solitorúmque excrementorum suppressionem. Otiosam enim priorem vitam indicauit, *neque elaboratur*, inquiens, *prout quisque consueuerat.* Excrementorum suppressionem, dum præscriberet, *neque aliter excernitur.* Plenitudinis significatio à tempore sumpta, ex præterito quidem tempore otiosam vitam simul cum excretionum suppressione comprehendit; ex præsenti repletionem, vlcerosúmque affectum, & ad motum pigritiam, & totius corporis grauitatem, aliáque huiusmodi apponit; ex futuro, quòd hoc vitio laborantes, si euacuentur, pulchrè cõualescunt, id quod Erasistratus omiserat. Testimonium etenim hoc rectæ dignotionis pariter & curationis est; dignotionis autem, vel vt illi vocant, significationis, nulla pars fuerit, siquidem per signa affectus significare volumus, vt idoneam eis curationem inueniamus. Quamobrem si ex alio quopiam sanationem commodè habere liceret, superflua essent signa. At præsentis temporis memor, ruborem, & vasorum distentionem prætermisit, quæ etiam ipsa Empirici ferè omnes, Dogmatici non pauci, sicut alia quædam (vti diximus) adiiciunt. Verùm quia & in sanguine solo plethoræ generatio statuitur, non malè ab illis rubor, & vasorum distentio dignotioni apposita sunt; ad hæc tamen magis, quòd brachia, manus, tibias adimpleri dicunt, non citiùs carnium & omnium musculorum, quã venarum plenitudinis secundum proprias ipsorum hypotheses esse putabimus. Atqui sic etiam duplicem dignotionem facere nos oportet, alteram venarum harum sensilium, quas omnes homines conspicimus; alteram illarum, quas ipse solus spectauit. Arbitror itaque iam constare iis qui animum aduertunt, non parui esse negotii plenitudinem dignoscere. Quum autem ne verbótenus quidem illam dignoscere promptum sit, verùm omnino difficillimum, multò minùs in actionibus spontaneis probè se gesserint, qui neque quicquam de ipsa priùs meditati sunt, neque inuenerunt.

CAPVT IX.

Aduersus plethoricam syndromen Empiricorum.

AB Empiricis itaque orationem de plenitudine rursus exordiamur, posteaquam tutò admodum dictas dubitationes effugere se putant, fatentes quidem ipsi nihil omnino de

A διάθεσιν, ἑξῆς δὲ ἐπὶ τὰ γνωρίσματα τρεπόμενος, οὐ μᾶλλόν τι ταύτης, ἢ τὰ τῶν ἄλλων ἔγραψεν. ἡ μὲν γὰρ τάσις, ταύτης μόνης, ὅπερ ἐκεῖνος ὠνόμασε τὸ ἐμπεπλῆσθαι. τὸ δ᾽ ἑλκώδη γενέσθαι τὴν αἴσθησιν, οὔτε τοῦ προειρημένου πλήθους, οὔτε τοῦ πρὸς τὴν δύναμιν ἴδιον γνώρισμα· πολὺ δὲ μᾶλλον οὐδὲ τὸ βαρυτέρους τε καὶ δυσκινητοτέρους ἀποτελέσθαι, καὶ γὰρ καὶ τοῦτο ἴδιόν ἐστι τοῦ πρὸς τὴν δύναμιν πλήθους. ὀλίγου τοίνυν ἐδέησεν αὐτὸς πᾶσαν ἡμῖν γράψαι τὴν τῶν ἐμπειρικῶν συνδρομήν, ἀμέλει καὶ μέρος τι τῆς τριχρόνου λεγομένης σημειώσεως, ἣν οἱ περὶ τὸν Ἡρόφιλον εἰσήγαγον ὁμοίως τοῖς ἐμπειρικοῖς, ἔγραψεν B ἐν ᾧ οὕτω φάναι· τῆς γὰρ ἀναδιδομένης τροφῆς μήτε καταπεττομένης, μήτε ἐκπονουμένης κατὰ τὸ εἰθισμένον ἑκάστῳ, μήτε ἄλλως πως ἐκκρινομένης· οὐδὲν γὰρ διήνεγκεν ἢ ταῦτα εἰπεῖν, ἢ ὡς ἐκεῖνοι λέγουσιν, ἀργὸν βίον, ἐπίσχεσίν τε συνήθων ἐκκρίσεων· ἀργὸν μὲν γὰρ τὸν ἔμπροσθεν βίον ἐνεδείξατο, μήτε ἐκπονουμένης, φήσας, κατὰ τὸ εἰθισμένον ἑκάστῳ· τὴν δὲ τῶν ἐκκρίσεων ἐπίσχεσιν, ἐν τῷ προσγράψαι, μήτε ἄλλως ἐκκρινομένης (ἡ διὰ χρόνον σημείωσις τοῦ πλήθους) ἐκ μὲν τοῦ παρεληλυθότος χρόνου λαμβάνων τὸν ἀργὸν βίον ἅμα C τῇ τῶν ἐκκρίσεων ἐπισχέσει· ἐκ δὲ τοῦ νῦν ἐνεστῶτος, τό, τε παρεμπεπλῆσθαι, καὶ τὴν ἑλκώδη διάθεσιν, ὄκνον τε πρὸς τὰς κινήσεις, καὶ βάρος ὅλου τοῦ σώματος, ὅσα τε ἄλλα τοιαῦτα προστιθέασιν· ἐκ δὲ τοῦ μέλλοντος, ὅτι περ κενωθέντες οἱ οὕτως ἔχοντες, καλῶς ὤνηνται), ὅπερ Ἐρασιστράτῳ παραλέλειπται. μαρτύριον μὲν γὰρ τοῦτο τῆς ὀρθῆς διαγνώσεώς τε ἅμα καὶ θεραπείας ἐστί· διαγνώσεως δέ, ἢ ὡς ἐκεῖνοι καλοῦσι σημειώσεως, οὐδὲν ἂν εἴη μέρος, εἴγε διὰ τῆς σημειώσεως σημειοῦσθαι βουλόμεθα τὰς διαθέσεις, ἵνα ἐξεύρωμεν τὴν προσήκουσαν θεραπείαν. ὥστε D εἴγε ἐξ ἄλλου τινὸς εἴη τὴν ὁρμηθέντας θεραπεῦσαι προσηκόντως, ἡ σημείωσις ἂν ἦν περιττή. τοῦ δ᾽ ἐνεστῶτος χρόνου μεμνημένος, ἔρευθός τε καὶ διάτασιν ἀγγείων παραλέλοιπεν, ἃ καὶ αὐτὰ προστιθέασιν οἱ ἐμπειρικοὶ σχεδὸν ἅπαντες, οὐκ ὀλίγοι δὲ τῶν δογματικῶν, ὥσπερ καὶ ἄλλα τινά, καθάπερ εἴρηται). καίτοιγε ὧν ὡς ἐν αἵματι μόνῳ τὴν τῆς πληθώρας ὑποτίθεται γένεσιν, οὐ κακῶς ἐπ᾽ ἐκείνων πρόσκειται τῇ διαγνώσει τὸ ἔρευθος, ἥ τε διάτασις τῶν ἀγγείων· ἔτι γε μὴν μᾶλλον, ὡς τὸ παρεμπεπλῆσθαι φάναι βραχίονάς τε καὶ χεῖρας καὶ κνήμας, οὐ E μᾶλλον τὸ κατὰ τὰς σάρκας τε καὶ ὅλους τοὺς μύας πλήθους, ἢ τοῦ τῶν φλεβῶν θήσεται, ἰδίαις ὑποθέσεσιν ἑπόμενος. ἀλλά τοι καὶ οὕτως ἀναγκαῖον τὴν διττὴν ποιήσασθαι διάγνωσιν, ἑτέραν μὲν τοῦ τῶν αἰσθητῶν τούτων φλεβῶν, ἃς ἅπαντες ἄνθρωποι βλέπομεν· ἑτέραν δέ, ἣν ἐκεῖνος ἐθεάσατο μόνος. οἶμαι τοίνυν ἤδη πρόδηλον γεγονέναι τοῖσγε προσέχουσι τὸν νοῦν, ὡς οὐ μικρὸν εἴη πρᾶγμα διαγνῶναι πλῆθος. ὅπου δὴ ἂν οὐδ᾽ ἄχρι λόγου διαγνῶναι ῥᾴδιον, ἀλλ᾽ ἄπορον παντοίως ἐστί, σχολῇ γ᾽ ἂν ἐπὶ τῶν ἔργων ἀπὸ ταὐτομάτου κατορθωθῇ, μήτε προδιεσκεμμένοις τι περὶ αὐτοῦ, μήτ᾽ F ἐξευροῦσιν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Πρὸς τὴν τῶν Ἐμπειρικῶν πληθωρικὴν συνδρομήν.

ἈΠὸ γοῦν τῶν ἐμπειρικῶν αὖθις ἀρξώμεθα τοῦ περὶ πλήθους λόγου, ἐπειδὴ δοκοῦσιν ἀσφαλῶς πάνυ τὰς εἰρημένας ἀπορίας ἀποδιδράσκειν, ὁμολογήσαντες, αὐτοὶ μὲν μηδ᾽ ὅλως

ἐπίστασθαι περὶ τῆς τοῦ πλήθους οὐσίας, ἐπὶ δὲ τοιᾷδέ τινι συνδρομῇ τετηρῆσθαι φάσκοντες ὠφελοῦσαν ἀφαίρεσιν αἵματος, ἣν συνδρομὴν ὀνομάζουσι πληθωρικήν. ἅπαντα γὰρ ἀθροίσαντες εἰς ταὐτὸν, ὅσα τῶν δογματικῶν ἑκάστῳ λέλεκται, νομίζουσι μὲν ἐκφυγεῖν ἐκ τούτων τὰς ἐκείνων ἀπορίας, ἐλέγχονται δὲ αὐτῶν πολὺ μειζόνως, εἴ τις προσέχοι τὸν νοῦν οἷς λέγουσιν, ἃ πάλιν ἐξ ἀρχῆς ἅπαντα κάλλιον ἐπελθεῖν. ἔστω τοίνυν ἐν μὲν τῷ προγεγονότι χρόνῳ συνήθης μὲν ἐπὶ τῶν ἐξ ἀρχῆς ἐδεσμάτων ἡ δίαιτα, καί τισιν αὐτῶν ἐν πλησμονῇ μᾶλλον, ἢ πρόσθεν, ἐπίσχεσις δὲ τῆς ἐκκρίσεως, ὅ, τε σύμπας βίος ἀργός· ἐν δὲ τῷ παρόντι, τάσις ὅλου τοῦ σώματος, ἢ τινων μορίων, ὄκνος τε πρὸς τὰς κινήσεις, ἀτονία τε περὶ τὰς ἐνεργείας, καὶ βάρους αἴσθησις, ἑλκώδους τε διαθέσεως, ἅμα τῷ τῶν φλεβῶν ὄγκῳ· προσκείσθω δὲ, εἰ βούλει, καὶ τὸ ἔρευθος, ἐπειδὴ καὶ τοῦτο λέγουσιν ἔνιοι, καὶ μὴν καὶ ὁ τοῦ σύμπαντος σώματος ὄγκος, ἀνώμαλός τέ τις καὶ κοπώδης διάθεσις· εἰσὶ γὰρ οἳ καὶ ταῦτα προστιθέασιν. ἐρωτήσομεν οὖν αὐτοὺς, ἅπερ ἐγὼ μειράκιον ὢν ἠρώτησα τὸν ἐμπειρικὸν διδάσκαλον, ὅτε με πρῶτον ταῦτα ἐδίδασκεν, ἆρά γε πάντα ἅμα τὰ εἰρημένα συνελθεῖν δεῖ πρὸς τὴν, ὡς αὐτοὶ λέγουσιν, ἀνάμνησιν τῆς κενώσεως, ἢ κἂν ἓν ἐξ αὐτῶν θεάσωνται, φλεβοτομήσουσιν αὐτίκα; πρὸς μὲν οὖν τὴν προτέραν ἐρώτησιν, ἑτοίμως ἀπεκρίνατό μοι, πάντα φάσκων συνελθεῖν χρῆναι· τοιοῦτον γὰρ πρᾶγμα τὴν συνδρομὴν ὑπάρχειν, ἄθροισμα τῶν συμπληρούντων αὐτὴν ἁπάντων· ἐπεὶ δὲ πρῶτον μὲν ἀνέμνησα δυοῖν ἀνθρώπων, οὓς ἔναγχος αὐτὸς ἐκεῖνος ἐκέλευσε φλεβοτομηθῆναι, τὸν μὲν ὀφθαλμιῶντα σφοδρῶς, τὸν δὲ ἐκπεσόντα τοῦ ὀχήματος, εἶτ' ἐμπλακέντα γε τοῖς ἱμᾶσι καὶ συρέντα ἐπὶ πλέον, ὡς θλασθῆναί τινα μέρη· μετὰ δὲ ταῦτα διασιωπήσαντος αὐτοῦ, καὶ ἄλλου τινὸς ἀνεμνήσθην, ὃν καὶ αὐτὸν, πυρέττοντα μὲν μετρίως, οὐ φέροντα δὲ τὸ ἄλγημα τῆς κεφαλῆς, ἐφλεβοτόμησεν· ἄλλον δὲ πλευριτικὸν, οὐδὲ τοῦτον ἔχοντα τὴν εἰρημένην ἅπασαν συνδρομήν· ἐν ἀπορίᾳ κατέστη μεγίστῃ. καὶ τοίνυν καὶ διῆλθον ἐπὶ πλέον αὐτῷ καὶ ἄλλους μέν τινας ὁμοίους, ἀλλὰ καὶ περὶ τῶν εἰρημένων ἀνεμίμνησκον, ὅτι τοσούτου δέοντας αὐτοὺς ἅπασαν ἔχειν τὴν συνδρομὴν, ἐφλεβοτόμησεν, ὥστ' ἐγὼ μὲν ἔφην οὐδὲ δύο τινὰ τούτων ἀναμιμνήσκεσθαι τοῖς ἀνθρώποις ὑπάρχοντα· τὸν μὲν γὰρ τοῦ ὀχήματος ἐκπεσόντα, γυμναζόμενον ὁσημέραι, καὶ πάσαις ταῖς συνήθεσιν αὐτάρκως ἐκκρίσεσιν ἐκκενούμενον, ἐσθίοντά τε σύμμετρα, καὶ σχεδὸν ὅλης ἡμέρας ἡμῖν συνδιατρίβοντα, καὶ μήτε ἐκείνῳ μήτε ἄλλῳ τινὶ δοκοῦντα δεῖσθαι κενώσεως, ἐπειδὴ κατενεχθεὶς ἐθλάσθη τινὰ μόρια, φλεβοτομίας ἠξίωσε, οὔτε ἔρευθός τι προσκτησάμενον, οὔτ' ἀγγείων ὄγκον, οὔτ' ἄλλο οὐδὲν ἐκ τῶν τῆς συνδρομῆς, ἀλλὰ μόνον ἀλγοῦντα τὰ τεθλασμένα μόρια· μετὰ ταῦτα δὲ καὶ τὸν ὀφθαλμιῶντα, καὶ τὸν τὴν κεφαλὴν ὀδυνώμενον, οὐδὲν ὅλως ἔχοντας τῶν εἰρημένων ἐν τῇ πληθωρικῇ συνδρομῇ, καὶ ἄλλους δὲ πολλοὺς ὑφ' ἡμῶν οἶδα φλεβοτομηθέντας, ἤτοι μηδ' ὅλως ἔχοντας μηδὲν ἐκ τῆς πληθωρικῆς συνδρομῆς, ἢ οὐ πάντα γε ἅμα τὰ πρὸς ἡμῶν λεγόμενα. νυνὶ γὰρ, ἔφην, ἀναμιμνήσκων ἐμαυτὸν, οὓς εἶδον ὑφ' ὑμῶν φλεβοτομηθέντας, οὐδενὸς ἐξ αὐτῶν εὐπορῶ, τοῦ τὴν ἐν τοιούτοις συμπτώμασιν ἅπασαν ἔχοντος συνδρομήν· ἀλλ' ὁ μέν τις,

A plenitudinis essentiâ se nouisse, in tali verò congerie, quam Syndromen plethoricam nominant, vtilem sanguinis detractionem obseruatam esse dicentes. Vniuersis enim in vnum collectis, quæ à singulis dogmaticis enumerata sunt, ex his illorum dubitationes euitare censent: verùm multò magis, quàm isti (si quis animum modò verbis ipsorum attendat) arguuntur: quæ rursus omnia ab exordio recensere præstiterit. Esto igitur in præterito tempore consueta eduliorum diæta, in repletione liberalior aliquâ ex parte quàm antea; item excre- B mentorum suppressio, vniuersa vita otiosa; in præsenti, totius corporis, vel partium quarundam tensio, ad motiones pigritia, ad actiones imbecillitas, & grauitatis, & vlcerosæ affectionis sensus, simulque venarum tumor; addatur, si placet, rubor, quoniam hunc quoq; nonnulli adscribunt; quinetiam totius corporis inæqualis quidam tumor & lassitudinis affectio. Sunt enim qui hæc adijciunt. Interrogabimus igitur ipsos, quæ ego adolescens adhuc Empiricum præceptorem rogaui, quum me primùm hæc doceret; omniane simul dicta ad euacua- C tionis recordationem, vt ipsi aiunt, coire oportet; an si vel vnum ex ijs conspiciant, venam statim incident? Ad primam igitur quæstionem promptè mihi respondit, omnia inquiens coire necessariò; huiusmodi nanque rem syndromen esse, vniuersorum eam complentium congeriem. Postquam verò primùm homines duos in memoriam reuocassem, quibus ille ipse nuper venam incidere iussit, vnum lippitudine vehementer laborantem; alterum ex vehiculo delapsum, deinde loris implexum longiùs protra- D ctum, vt partes quædam contunderentur: post hæc autem conticente ipso, alterius cuiusdam memini, cui & ipsi mediocriter febricitanti, dolorem verò capitis non ferenti, sanguinem misit; rursus alii pleuritico, qui nihilo magis vniuersam prædictam syndromen haberet; hæsitabat maximè quid responderet; proinde plures id genus alios ei produxi; imò superiorum submonui, quibus non solùm non totam syndromen, sed ne duo quidem symptomata habentibus hominibus, quod ego affirmarim me meminisse, sanguinē ex vena detraxerit. Huic etenim, qui ex vehiculo decidit, exercitato quotidie, & consuetis omnibus E excrementis abundè vacuato, mediocriter edenti, & toto ferè die nobiscum agenti, tum neque ipsius, neque alterius cuiuspiam opinione vacuatione indigenti, quum ex vehiculo delapsus partes quasdam contudisset, venam incidendam existimauit, nec rubore quopiam acquisito, nec vasorum tumore, nec alio quolibet ex his quæ syndromen *absoluant*, sed solo partium contusarum dolore. Haud secus illos tractauit, qui lippitudine, capitisque dolore affecti, nullum planè dictorum symptomatum in plethoricâ illâ syndrome perceperant. Quin F alios cōplures, qui vel nihil ex plethorica syndrome, vel non omnia simul quæ à nobis dicta sunt, haberent, venæ incisionem vestro iudicio admisisse vidimus. Nunc enim, aiebam, omnes apud me memoriâ repetēs, quibus à vobis sanguinem missum esse vidimus, nemo adhuc succurrit, qui vniuersam huiusmodi symptomatum syndromen haberet. Verùm huic quidem, quòd

quòd lassitudine, nullo alio affectu laborabat, vena incisa est; illi, quòd febricitaret grauiter, vel oculis doleret, vel capite, vel hæmorrhoidum suppressione, vel si mulier fuerit, menstruorum, non omnibus verò quæ plethorica syndrome coire postulat. Si igitur vniuersas affectiones, in quibus venæ sectio profuisse obseruata est, plethoricas nomines, nos quoque lippitudinem, pleuritim, vehementē dolorem, casum è curru, aliáque innumera, plethoricas syndromas appellare tempus est. At si horum nihil in plethorico concursu comprehendatur, & eorum symptomatum congeries, quæ supra retulimus, plethorica syndrome nuncupetur, nulli vena, priusquam omnia illa habeat, incidenda est. Quomodo igitur ille mihi ad hæc responderit, quámque nihil decenter, magni otij negotium, non rerum à nobis nunc propositarum proprium institutum. Ego autem quum per otium nugandi tempus in præsentia non feram, cogitaui scopos curationis vniuersos in libro de venæ sectione ostendere, quos etiam ipsos ne vnus quidem accuratè distinctéque conscripserit.

CAPVT X.

Quo pacto tensio & tumor vniuersi corporis, venarumque, ad indicandam vel non indicandam plenitudinem sese habeant.

ITaque relictis in præsenti Empiricis, ad Rationales denuò reuertamur, singula symptomata quæ scripserunt, inspicientes. Nonnulla siquidem ipsorum plenitudinis ad vires sunt, nonnulla plenitudinis ad enchyma, alia non absoluto sermone plenitudinis signa sunt, sed huius plenitudinis, alia prorsum nullius plenitudinis, sed aut vitiosi corruptique humoris, aut imbecillæ facultatis, aut solidarum partium tumoris. Hoc ita se habere, mentem si ijs quæ dicentur adhibeas, condisces. Iam sanè tensiua affectio quum sine exercitijs incidit, multam omnino substantiam in sensu prædito corpore contineri ostendit; quæ autem sit substantia, aut eius species, præterea non ostendit; nempe cum hac parte solùm ipsa tensio cuiuslibet substantiæ, tenuis, crassæ, consistentiâ mediæ, & flatulentæ, ad hæc calidæ, frigidæ, vel mediæ communis sit; sed alijs quibusdam dignoscendi signis ad huius distinctionem indiget. Porrò functionum infirmitas facultatem imbecilliorem ostendit, dum id quod mouet, intercipit, vt in manuum motu imbecilli; nam multas dispositiones comitatur. Siue enim carneum atque adiposum genus cuipiam increuerit, facultate eisdem terminis permanente, motus imbecilliores fieri necessitas exigit, mouente quidem æquali permanente, aucto verò moto; siue vnus aliquis humorum, vel etiam omnes simul exuberauerint, vires autem cum eis non adauctæ sint, necesse est hîc quoque functiones imbecilliores euadere; siue vtraque & quæ parenchymata vocantur, & humores, facultas autem non increuerit; siue hæc eodem modo sese habeant, facultas imbecillior contigerit. Possent autem vtraque simul quoque conuenire, tum vt facultas inualidior, tum hu-

ὅτι κοπώδης ἦν, ἐφλεβοτομήθη, μηδὲν ἄλλο ἔχων· ὁ δέ, ὅτι πυρέττων σφοδρῶς, ἢ ἀλγῶν ὀφθαλμούς, ἢ κεφαλήν, ἢ αἱμορροΐδας ἐπεσχημένος, ἢ καταμήνια γυνή. οὐ πάντα δέ, ὅσαπερ ἡ πληθωρικὴ συνδρομὴ βούλεται συνελθεῖν. εἰ μὲν οὖν ἁπάσας τὰς διαθέσεις, ἐφ' αἷς τετήρηται φλεβοτομία συμφέρουσα, πληθωρικὰς ὀνομάζεις, ὥρα λέγειν ἡμᾶς ὀφθαλμίαν, πλευρῖτιν, ἄλγημα σφοδρόν, ἐξ ὀχήματος κατάπτωσιν, ἕτερά τε μυρία, πληθωρικὰς συνδρομάς. εἰ δὲ τούτων οὐδὲν ἐν τῇ πληθωρικῇ συνδρομῇ περιέχεται, τὸ δὲ τῶν συμπτωμάτων ἄθροισμα τῶν ἔμπροσθεν εἰρημένων ὀνομάζεται πληθωρικὴ συνδρομή, οὐδένα χρὴ φλεβοτομεῖν πρὶν ἅπαντα ἔχειν αὐτά. πῶς μὲν οὖν ἐκεῖνος ἀποκρίνοιτό μοι πρὸς ταῦτα, καὶ οὐδὲν πρέπον ἀπεκρίνατο, μακρᾶς ἔργον σχολῆς, οὐ τῶν νῦν ἡμῖν προκειμένων ἔργον οἰκεῖον. ἐγὼ δὲ ἐπειδήπερ οὐ σχολὴν ἀδολεσχεῖν ἄγω νῦν, ἔγνων μὴ νῦν. ἐν δὲ τῷ περὶ φλεβοτομίας λόγῳ τοὺς σκοποὺς ἅπαντας ἐπιδεῖξαι προῄρημαι τοῦ βοηθήματος, οὓς οὐδ' αὐτούς τις ἀκριβῶς τε καὶ διωρισμένως ἔγραψε.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Πῶς ἔχουσι τάσις καὶ ὄγκος ἅπαντος τοῦ σώματος καὶ τῶν φλεβῶν, εἰς τὸ δεικνύναι ἢ μὴ δεικνύναι τὸ πλῆθος.

Ἐάσας οὖν ἐν τῷ παρόντι τὸ πρὸς τοὺς ἐμπειρικούς, αὖθις ἐπάνειμι πρὸς τοὺς λογικούς, ἕκαστον τῶν συμπτωμάτων ὧν ἔγραψαν ἐπισκοπούμενος. ἔνια μὲν γὰρ αὐτῶν τοῦ πρὸς τὴν δύναμίν εἰσι πλήθους, ἔνια δὲ τοῦ κατὰ τὸ ἔγχυμα, τινὰ δὲ οὐχ ἁπλῶς ἐστι σημεῖα πλήθους, ἀλλὰ τοιοῦδε πλήθους, τινὰ δὲ ὅλως οὐδενὸς πλήθους, ἀλλ' ἤτοι κακοχυμίας τε καὶ διαφθορᾶς, ἢ ἀρρώστου δυνάμεως, ἢ ὄγκου τῶν στερεῶν σωμάτων. ὅτι δὲ οὕτω ταῦτ' ἔχει, μάθοις ἂν εἰ προσέχοις τοῖς λεχθησομένοις τὸν νοῦν. ἡ μὲν δὴ τονώδης διάθεσις, ὅταν ἄνευ γυμνασίων συμπίπτῃ, ἐνδείκνυται μὲν πάντως πολλὴν οὐσίαν ἐν αἰσθητικῷ σώματι περιέχεσθαι, οὐ μὴν ἥτις γέ ἐστιν ἡ οὐσία, ἢ τὸ εἶδος αὐτῆς, ἔτ' ἐνδείκνυται, κατά γε τοῦτο μόνον αὐτὸ τὸ τείνεσθαι, κοινὸν ὑπάρχον ἁπάσης οὐσίας, καὶ λεπτῆς, καὶ παχείας, καὶ μέσης τὴν σύστασιν, καὶ πνευματώδους, ἔτι τε θερμῆς τε καὶ ψυχρᾶς, ἢ μέσης, ἀλλ' ἑτέρων τινῶν δεῖται διαγνωρισμάτων εἰς τὸν τούτου διορισμόν. ἡ δὲ ἐν ταῖς ἐνεργείαις ἀτονία, τὴν δύναμιν ἀρρωστοτέραν δείκνυσι, τῷ ἐπισχεῖν τὸ κινοῦν, ὡς ἐπὶ χειρῶν κινήσεως ἀσθενοῦς· πολλαῖς γὰρ ἀκολουθεῖ καταστάσεσιν. εἴτε γὰρ αὐξηθείη τινὶ τό, τε σαρκῶδες καὶ τὸ πιμελῶδες γένος, ἐν τοῖς αὐτοῖς ὅροις διαμενούσης τῆς δυνάμεως, ἀνάγκη τὰς κινήσεις ἀτονωτέρας γίνεσθαι, μένοντος μὲν ἴσου τοῦ κινοῦντος, αὐξηθέντος δὲ τοῦ κινουμένου· εἴτε τῶν χυμῶν τις εἷς, ἢ καὶ πάντες ἅμα πλεονάσειαν, μὴ συναυξηθείσης αὐτοῖς τῆς δυνάμεως, ἀνάγκη καὶ νῦν ἀτονωτέρας γίνεσθαι τὰς ἐνεργείας· εἴτ' ἄμφω μὲν συναυξηθείη, τά τε παρεγχύματα καλούμενα, καὶ τὰ ὑγρά, μὴ συναυξηθείη δὲ ἡ δύναμις, εἴτε τούτων ὡσαύτως ἐχόντων, ἡ δύναμις ἀσθενεστέρα γένοιτο (δύναιτο δ' ἄν ποτε καὶ ἄμφω συνελθεῖν, ὥστε τὴν δύναμιν ἀρρωστοτέραν γενέσθαι,

καὶ τοῖς χυμοῖς ἅμα τοῖς παρεγχύμασιν, ἢ πλέονας ἢ ἐλάττους εἶ), θάτερον αὐτῶν ὁποτερονοῦν) ἀρρωστότεραι αἱ ἐνέργειαι καὶ διὰ ταῦτα γίγνονται, καθ' ἕν τε συμβαῖνον ἕκαστον αὐτῶν, καὶ κατὰ δύο, καὶ πλείω, καὶ πάνθ' ἅμα. τὸ γὰρ, ἐπὶ τῇ τῶν στερεῶν σωμάτων εὐτροφίᾳ, νομίζειν ποτὲ δύνασθαι κίνησιν ἀτονωτέραν ἀπεργασθῆναι, μὴ γινωσκόντων ἐστὶν ἀνθρώπων, ὡς δι' ὅλων τῶν στερεῶν σωμάτων αἱ δυνάμεις διήκουσιν, ἀλλ' ὥσπερ αὐλοὺς ἢ σωλῆνας πνεύματι τὰς ἀρτηρίας καὶ τὰ νεῦρα παρασκευαζόντων. εἴσῃ δὲ τὸ τῆσδε τῆς δόξης μοχθηρὸν, ἐξ ἄλλων τε πολλῶν, ἀτὰρ οὐχ ἥκιστα ἐκ δυοῖν ἡμετέρων πραγματειῶν, τῆς τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων, καὶ τῆς τῶν φυσικῶν δυνάμεων. εὐεξίας μὲν οὖν ἴδιον ἡ τῶν στερεῶν σωμάτων εὐτροφία, εὐσαρκίας δὲ καὶ πολυσαρκίας, ἡ τῶν σαρκῶν αὔξησις. ὡς τὰ πολλὰ μὲν οὖν ἀνάλογον ἡ πιμελὴ μᾶλλον αὔξεται, ποτὲ δὲ ἐν πιμελῇ μᾶλλον ἡ σὰρξ ἢ μόνη πιμελή. εἴρηται δὲ περὶ τούτων ἐν τοῖς περὶ κράσεων ὑπομνήμασι. καθάπερ δὲ ἐν σαρκὶ τὸ μὲν ἐστὶν εὐσαρκία, τὸ δὲ πολυσαρκία, κατὰ τὸν αὐτὸν τρόπον ἐν αἵματι, τὸ μὲν εὐαιμία τίς ἐστι, τὸ δὲ πολυαιμία. τὸ μὲν δὴ τῆς εὐαιμίας, οὐκ ἄδηλον, ὅτι καὶ ποιότητι καὶ ποσότητι κατὰ φύσιν ἐστὶν ἀκριβῶς· τὸ δὲ τῆς πολυαιμίας ἄμεμπτον μὲν τῷ ποιῷ, τῷ ποσῷ δ' οὐκ ἄμεμπτον, ἀλλὰ πάντως μὲν πλέον, ἤτοι γε τοῦ κατὰ φύσιν ἐκ γενετῆς ὑπάρχοντος, ἢ τοῦ πρὸς τὴν δύναμιν. ἐγχωρεῖ γὰρ ποτε ἀλλήλοις συναύξεσθαι παρὰ τὴν ἐκ γενετῆς φύσιν ἀμφότερα, καὶ τὴν τῆς δυνάμεως ῥώμην, καὶ τὸ πλῆθος τοῦ αἵματος, ὥσπερ ἐν ταῖς ἀθλητικαῖς εὐεξίαις· καὶ γὰρ τὰ ὑγρὰ καὶ σαρκώδη, καὶ ἡ δύναμις, ἀνάλογον ἀλλήλοις ἐπ' αὐτῶν συναύξονται. καὶ τοίνυν ἤδη πρόδηλον, ὡς οὐδ' οἱ τὸν ὄγκον εἰπόντες τοῦ σώματος ἓν τῶν πληθωρικῶν σημείων, ἀληθεύουσιν· ὄγκος μὲν γὰρ φλεβῶν, πληθωρικὸν ἂν εἴη σημεῖον, ὄγκος δὲ σαρκῶν καὶ πιμελῆς, ἐκείνων ἂν εἴη πλῆθος αὐτῶν, οὐ μὴν ὅ γε νῦν ἡμεῖς ζητοῦμεν, ὃ δὴ καὶ πληθώρα καλεῖται. περὶ γὰρ τούτου τοῦ πλήθους, ὃ δηλονότι κένωσιν ἐνδείκνυται, προθέμενοι λέγειν, ἐς τοσοῦτον, ὅ ποτε ὁμωνυμίαις ἐνδείκνυται; ἐσφάλησαν ἔνιοί τινες ἐξ αὐτῶν, ὥστε εἰς τὸ τῶν σαρκῶν τε καὶ τῆς πιμελῆς ἀπενεχθῆναι πλῆθος. οὕτω μὲν δὴ μοχθηρὸν πλήθους γνώρισμα, σώματος ὄγκος· αὐτῶν μὲν γὰρ ἂν ἐκείνων εἴη τῶν φλεβῶν, ὧν ὁρῶμεν, ἐνδεικτικὸς τῆς πληρώσεως, οὐ μὴν ἐξ ἀνάγκης γε τῶν ἐν τῷ βάθει· ἀλλ' ἐνδέχεται ποτε καὶ τῶν ἔξω φλεβῶν διατεταμένων, οὐχ ὡσαύτως διατετάσθαι καὶ τὰς ἔνδον, οἷον αὐτίκα κρύους μὲν καταλαβόντος, εἰς τὸ βάθος ἀπελαύνεται τὸ αἷμα, καὶ λεφαιμοῦσι μὲν οὕτω δὴ αἱ ἐκτὸς, ὡς μηδὲ φαίνεσθαι. πάλιν δ' ἀλέας γινομένης, ἢ λουσαμένων, ἐπὶ τὸ δέρμα καὶ τὰ ἐκτὸς τοῦ σώματος φέρεται τὸ αἷμα, καταλιπὸν τὸ βάθος. εἰ δὲ καὶ διακαὴς εἴη πυρετὸς, ἀναγκαῖον καὶ τότε καίεσθαι τῷ σώματι, καθάπερ ζέοντι, πνευματοῦσθαί τε καὶ χεῖσθαι. ὥστε ὁ τῶν φλεβῶν ὄγκος, οὐκ ἔστιν ἀχώριστον γνώρισμα πλήθους χυμῶν· ἀλλὰ πρῶτον μὲν χρὴ τοιαύτην ὑπάρχειν τῷ σώματι κατάστασιν, ὡς μήτε τὰ ἔνδον τῶν ἔξω, μήτε ἐκεῖνα τούτων πλεονεκτεῖν θερμότητι· δεύτερον δὲ, μηδ' ἄμετρον εἶναι καθ' ὅλον τὸ ζῶον θερμότητα. ἐπὶ τούτοις προδιορισθεῖσιν εἴη ἂν ποτε σημεῖον ὁ τῶν φλεβῶν ὄγκος, αἱματικοῦ πλήθους

A mores simul cum parenchymatibus vel plures, vel pauciores fiant, vel horum alterum. Vtrum igitur propterea functiones infirmæ magis erunt in vnoquoque ipsorum accidente, & duobus, & pluribus, & simul omnibus? Quandoquidem ob solidarum partium nutritionem probam, motionem aliquando infirmam magis esse factam arbitrari, hominum est, qui ignorant facultates solida tota corpora transire, sed arterias & neruos spiritibus tanquam fistulas & canales fingunt. B Deprehendes opinionis prauitatem ex alijs multis, maximè duobus nostris commentarijs, de Hippocratis & Platonis placitis, & de naturalibus facultatibus. Itaque ad bonum habitum propriè spectat bona solidarum partium nutritio; probæ carnis & corpulentiæ, carnium incrementa propria sunt. Plerunque igitur proportione adeps liberaliùs augebitur; interdum in adipe magis caro, vel sola adeps increscet. Dictum est de his in commentarijs de temperamentis. Quemadmodum autem in carne aliud est proba caro, aliud corpulentia, sic in sanguine, hoc velut quædam sanguinis probitas, illud sanguinis copia. C Iam verò probitas sanguinis, & qualitate & quantitate adamussim naturalis esse omnibus manifesta videtur. Sanguinis copia, polyæmia dicta, qualitate quidem inculpata est, quantitate culpata est, verum omninò aut naturalem habitum, qui à generatione contigit, exuperat, aut illum qui ad vires spectat. Etenim vtraque, & facultatis robur, & sanguinis plenitudo aliquando præter naturam, quam origine acceptam habent, inuicem augescere possunt, quemadmodum in probis Athletarum habitibus; D humores nanque, & carnosæ partes, & vires proportione mutuâ in ipsis increscunt. Iam igitur perspicuum est, quòd qui corporis tumorem vnum esse plethoræ signum dicunt, falsa prædicant, nam venarum tumor, plethoricum fuerit signum; carnium verò & adipis tumor, illarum ipsarum plenitudinis, non tamen quam nunc inquirimus, quæ etiam plethora vocatur. De hac enim plenitudine, quæ videlicet euacuationem ostendit, quum aliqui ipsorum dicere statuissent, quatenus homonymiis innotescit, errauerunt adeò, vt in carnium, atque E adipis plenitudinem delaberentur. Ita iam prauum ac irritum plenitudinis signum est tumor corporis. Ipsarum enim venarum, quæ oculis patent, repletionem notat, non tamen necessariò in alto latentium; sed fieri aliquando potest exterioribus venis distentis, interiores non itidem distendi; vt quum subitò frigus ipsas inuadit, sanguis in altum refugit, & venæ exteriores ita sanguine destituuntur, vt ne appareant quidem. Rursus calore exorto, vel in balneo, sanguis alto relicto, ad summam cutem, exterioréśque corporis partes defertur. F Quòd si ardens febris extiterit, tunc quoque corpus veluti feruens necessariò vritur, inflatur, diffunditur. Proinde venarum tumor non est inseparabilis humorum copiæ nota, sed primùm huiusmodi statum in corpore esse conuenit, vt neque interiores partes exterioribus, neque hæ illis calore præcellant; deinde ne immoderatus in toto animante calor consistat. His antè distinctis, venarum tumor, sanguineæ plenitudinis, quam modo per excellentiã diximus, signum

signum aliquando fuerit. Nam fieri non potest, tam exactè sanguinem interdum in venis contineri, vt nihil vel bilis, vel pituitæ, vel serosæ saniei inferatur. Vnde nos in superioribus idem intelligi voluimus, siue humores, siue sanguinem abundare diceremus. Quippe immixtus & ab aliis humoribus sincerus sanguis nunquã in venis comprehenditur. Demõstratum enim est alibi à nobis de mixto nihil referre, humores, an sanguinem appelles, non tamen qualibet, sed moderatâ quadam mensurâ aliis ei admixtis, idque in animalibus secundum naturam sese habentibus. Vniuersis enim in naturali symmetria adauctis cum sanguine per excellẽtiam, idem significat humorum nomen, nullúmque discrimen est humores auctos, vel sanguinem dicere, quum oratio innuat humores idipsum omnino sibi velle, quod est pro veteri proportione omnino abundare. Hoc itaque nobis sic definitum esto. Iterum ad institutum reuertamur. Venarum siquidem tumor, neque propter exterioris constitutionis victoriam, neque perfusionem feruorémque obortus, sanguinis plenitudinem arguit. At talem particulam nec decliuem figurari, nec supra alias recenter esse motam oportet. Quapropter oratione quadam siquis vniuersas particulares distinctiones sit complexus, tunc venarum tumorem sanguinis plenitudinem indicare dicet, quum omnes simul particulæ eundem statum cum moderato calore obtinent. Si nanque pari omnes modo afficiantur, calor autem immoderatus existat, fusio humorum, quæ venas in tumorem attollat, interea nascitur, non tamẽ sanguinis, verùm spiritûs plenitudo ostenditur; nam humores calefacti inflantur; cuius rei gratiâ qui venarum tumorem, plenitudinem significare pronũciarunt, si iam illis venis, quibus hæc insint, ipsum contigisse intelligant, rectè dixisse videbuntur. Plenior enim substantia est necessariò, quæ venis tumorem conciliauit, quàm prior extitit, etsi qualis tandem plenitudo sit, non ita liquidò constat. Siquidem omnis substantiæ copiosæ tumor præter naturam communis est, siue sanguis purus, siue biliosus, siue serosus, siue pituitosus, siue flatulentus existat. Quemadmodum verò hic omnis plenitudinis differentiæ communis est; sic venarum quoque tensio. Etenim hæc plenitudinis quantitatem, non speciei differentiam sequitur. Quamobrem tumor, sensúsq; tensiuus, non magis humorum, quàm spiritûs plenitudinem ostendet. Siquis igitur huncin modum pronunciauerit, *in tensionis sensu plenitudo est necessario*; verè dicet. Quinetiam si hoc pacto dixerit; *sensilium partium plenitudo affectum quempiam inducit*; hic quoque verus erit. At siquis generali plenitudinis vel humorum nomine relicto, sanguinem in oratione vsurpet, veritatem non necessariò prolaturus est, ob eas quas diximus, causas. Porrò quòd neque plenitudinis simpliciter, sed eiusdem, pro maioris minorisque ratione, differentia & in venarum tumoribus, & tensiua affectione versatur, inde est perspicuum. Nulla pars plena, nisi violentam prius tensionem experta, dolet; si verò in tumorem, non tamen violentiùs attollatur, nondum tenditur; quamobrem tumor qui cum tensione oboritur, maiorem indicabit pleni-

νῦν λεγομένου, τοῦ κατ' ἐπικράτησιν· ἀδύνατον γὰρ οὕτως ἀκριβὲς αἷμά ποτε περιέχεσθαι κατὰ τὰς φλέβας, ὡς μηδὲν αὐτῷ μήτε χολῆς ἐμφέρεσθαι, μήτε φλέγματος, μήτε ὀῤῥώδους ἰχῶρος, ὅθεν ἐγὼ κἀν τοῖς ἔμπροσθεν ἠξίουν ὡσαύτως ἀκούειν, εἴτε τοὺς χυμοὺς πλεονάζειν, εἴθ' αἷμα φήσαιμι· τοῦ γὰρ ἀμίκτου καὶ καθαροῦ τῶν ἄλλων ὑγρῶν αἵματος, οὐδέποτε ἐν ταῖς φλεψὶ περιεχομένου (δέδεικται γὰρ τοῦθ' ἡμῖν ἑτέρωθι) ὡς τοῦ μέντοι μικτοῦ, μὴ μέντοι γε ὡς ἔτυχεν, ἀλλ' ὡς ἐν συμμετρίᾳ τινὶ τοῖς κατὰ φύσιν ἔχουσι ζώοις, ἐπιμεμιγμένων αὐτῷ τῶν ἄλλων, οὐδὲν διοίσει χυμοὺς ἢ αἷμα προσαγορεύειν· συναυξανομένων γὰρ ἁπάντων, ἐν τῇ κατὰ φύσιν συμμετρίᾳ, τῷ κατ' ἐπικράτειαν αἵματι, ταὐτὸν σημαίνει τὸ τῶν χυμῶν ὄνομα, καὶ οὐδὲν διαφέρει τοὺς χυμοὺς ηὐξῆσθαι λέγειν, ἢ τὸ αἷμα, τοῦ λόγου τοῦ φάσκοντος τοὺς χυμούς, αὐτὸ τοῦτ' ἐπιδεικνυμένου, τὸ παρὰ τὴν ἀρχαίαν ἀναλογίαν πάντας πλεονάσαι. τοῦτο μὲν οὖν ἡμῖν οὕτω διωρίσθω, πάλιν δ' ἐπὶ τὸ προκείμενον ἴωμεν. ὁ γὰρ τῶν φλεβῶν ὄγκος, ὁ μήτε δι' ἐπικράτησιν τῆς ἔξωθεν καταστάσεως, μήτε διὰ χύσιν τε καὶ ζέσιν ἢ γινόμενος, αἱματικὸν εἶναι τὸ πλῆθος ἐνδείκνυται· χρὴ δὲ μηδὲ κατάῤῥοπον ἐσχηματίσθαι τὸ τοιοῦτον μόριον, ἢ κεκινῆσθαι προσφάτως ὑπὲρ τὰ ἄλλα. διὸ καί τινι λόγῳ περιλαβὼν ἄν τις ἁπάσας τοὺς κατὰ μέρος διορισμούς, τότ' ἐνδείκνυσθαι φήσει τὸν ὄγκον τῶν φλεβῶν αἵματος πλῆθος, ὅταν ἅπαντα τὰ μόρια τὴν αὐτὴν κατάστασιν ἔχῃ μετὰ συμμέτρου θερμασίας, ὡς εἴγε ὡσαύτως μὲν ἅπαντα διακέοιτο, θερμότης δὲ ἄμετρος ὑπάρχοι, χύσις ἐν τῷδε γίγνεται τῶν χυμῶν εἰς ὄγκον αἴρουσα τὰς φλέβας, οὐ μὴν αἱματικόν γε τὸ πλῆθος, ἀλλὰ πνευματικὸν ἐνδείκνυται· πνευματοῦνται γὰρ οἱ χυμοὶ θερμαινόμενοι, διὸ καὶ ὅσοι τὸν ὄγκον τῶν φλεβῶν ἀπεφήναντο πλῆθος σημαίνειν, ἐὰν δὴ προσυπακούσῃ τις ἐν τῷ λόγῳ τὸ κατ' ἐκείνας τὰς φλέβας, ἐν αἷσπερ ἂν ᾖ τοῦτο γινόμενον, ὀρθῶς εἰρηκέναι δόξουσι· πλείων γὰρ ἡ οὐσία τῆς πρόσθεν ἐξ ἀνάγκης ἐστὶν, ἡ τὸν ὄγκον ἐργασαμένη ταῖς φλεψίν· οὐ μὴν ἤδη γέ πω δῆλον, ὁποῖόν τι τὸ πλῆθός ἐστιν· ἁπάσης γὰρ οὐσίας πολλῆς, ὁ παρὰ φύσιν ὄγκος κοινός, εἴτ' οὖν αἷμα καθαρὸν, εἴτε χολῶδες, εἴτε ὀῤῥῶδες, εἴτε φλεγματικὸν, εἴτε πνευματικὸν ὑπάρχοι· ὥσπερ δὲ τοῦτο κοινὸν ἁπάσης πλήθους διαφορᾶς, οὕτω καὶ τὸ τείνεσθαι τὰς φλέβας· ἕπεται γὰρ καὶ τοῦτο τῷ ποσῷ τοῦ πλήθους, οὐ τῇ κατ' εἶδος διαφορᾷ. ὥστε ὁ ὄγκος καὶ ἡ τονώδης αἴσθησις οὐ μᾶλλόν τι χυμῶν, ἢ πνεύματος ἐνδείξεται πλῆθος. εἰ μὲν οὖν τις ὧδέ πως ἀποφαίνοιτο, κατὰ τὰς τονώδεις αἰσθήσεις ἐξ ἀνάγκης πλῆθός ἐστιν, ἀληθὲς ἐρεῖ· καὶ μέντοι κἂν οὕτως φήσῃ, τὸ τοῖς αἰσθητικοῖς μέρεσι πλῆθος ἐπιφέρει τινὰ διάθεσιν, ἀληθὲς ἐρεῖ καὶ αὐτός. εἰ δέ τις ἐάσας τὸ γενικὸν ὄνομα τὸ πλῆθος ἢ τοὺς χυμούς, αἷμα μεταλαβὼν κατὰ τὸν λόγον, οὐκ ἐξ ἀνάγκης ἀληθεύσει, δι' ἃς εἴπομεν αἰτίας. ὅτι δ' οὐδὲ πλήθους ἁπλῶς, ἀλλὰ τοῦ τε μᾶλλόν τε καὶ ἧττον ἐν αὐτῷ, διαφορὰ κατά τε τοὺς ὄγκους ἐστὶ τῶν φλεβῶν, καὶ τὴν τονώδη διάθεσιν, ἐνθένδε δῆλον. οὐδὲν μόριον ὀδυνᾶται πληρούμενον, πρὶν ὑπὸ τοῦ προσθεῖσθαι πάνυ αὐτῷ βιαίως. εἰ δ' εἰς ὄγκον μὲν αἴροιτο, μηδέπω δέ γε βιαίως, οὐδέπω τείνεται· διὸ τῶν ὄγκων, ὁ μὲν σὺν τῇ τάσει, πλέον ἐνδείξεται

πλῆθος· ὃ δὴ αὐτὸ ταύτης, ἢ τί ἐστι; πῶς οὖν ἐνίοτε τὴν ἀρχὴν μὲν οὐδεὶς ὄγκος φαίνεται κατὰ τὰς φλέβας, ἡ τονώδης δὲ ἐστιν ἰσχυρὰ αἴσθησις; χρὴ γὰρ δήπου τοῖς μεγίστοις ὄγκοις ἐζεῦχθαι τὴν τοῦ τείνεσθαι διάθεσιν. ἢ διότι ἔστιν ὅτε ὁ ὄγκος ἐν ταῖς διὰ βάθους φλεψὶ μόναις διατείνει; ἢ εἴπερ ἐν τῷ πρός τι τὸ πλῆθος, ὑπὲρ οὗ νῦν διαλεγόμεθα, τό, τε πρὸς τὴν εὐρύτητα τῶν ἀγγείων, ὃ δὴ πλῆθος λέγομεν, οὐδέπω τεινομένων αὐτῶν· τό, τε πρὸς τὴν τοῦ χιτῶνος τάσιν, δηλονότι· τοῦ μὲν ὄγκου τῶν φλεβῶν ἡ γένεσις ἐπιδίδοται, εἰς πλῆθος αὐξομένου τοῦ αἵματος ὑπὲρ τὴν φυσικὴν ἑκάστου συμμετρίαν, ὥστε πρὸς ἐκείνην λέγεσθαι τὸ πολύ· τὸ δὲ τείνεσθαι τὸν χιτῶνα τῆς ὡς πρὸς αὐτὸν συμμετρίας ἐνδείκνυται (διὰ) ὑπερβολήν; οὐ γάρ ἐστι κατὰ φύσιν, οὐδὲ τοῦτον τείνεσθαι· ἑκάτερον οὖν ἐστι πολύ, τό, τε ὡς πρὸς τὴν κατὰ φύσιν συμμετρίαν αἷμα, καὶ πρὸς τὴν τοῦ χιτῶνος τάσιν. ἐμνημόνευσε δὲ Ἐρασίστρατος ἀμφοτέρων, οὐ διηρθρωμένως μέν, οὐδ᾽ οὕτω σαφῶς, ὡς ἐγὼ νῦν, ὅμως ὥστε ἐμφῆναι, διττὴν εἶναι φύσιν τοῦ πράγματος. ἐν μὲν γὰρ τῷ φάναι· κατ᾽ ἀρχὰς μὲν οὖν καὶ μετρίως πληρουμένων τῶν ἀγγείων, εὐτονώτεροί τε καὶ ἰσχυρότεροι ἑαυτῶν φαίνονται παρὰ τὸ εἰθισμένον· ἐνεδείξατο τὴν ὑπὲρ τὸ κατὰ φύσιν ἑκάστῳ τοῦ αἵματος ἀμετρίαν· ἐν οἷς δὲ ἑξῆς ἐπιφέρων φησίν· ἐπιπλέον δὲ πληρώσεως ἐρχομένων, παρεμπίμπλανται βραχίονές τε καὶ χεῖρες καὶ κνῆμαι· τὴν ὡς πρὸς τοὺς περιέχοντας τὸ αἷμα χιτῶνας· ὥστε ὅρους εἶναι δύο τῆς τοῦ αἵματος ὑπὲρ τὸ κατὰ φύσιν αὐξήσεως, ἕνα μὲν ἐν τῷ πληροῦσθαι τῶν φλεβῶν τοὺς χιτῶνας εἰς ὄγκον αἰρομένους ὑπὲρ τὸ κατὰ φύσιν ἑκάστῳ, τὸν δὲ ἕτερον, ἐν ᾧ πρὸς τούτῳ τείνεσθαι συμβαίνῃ, μηδ᾽ ἑτέρου τούτων ὁρωμένου ἐν τῷ πρὸς τὴν δύναμιν πλήθει. περὶ μὲν δὴ τούτων ἱκανὰ καὶ ταῦτα.

A tudinem, qui verò sine tensione, minorem. Quo igitur modo interdum initio nullus tumor in venis apparet; tensiuus autem sensus vehemens est? Nam tensiuam affectionem maximis tumoribus coniunctam esse oportet. Vel quia interdum tumor in venis latentibus insigniter distendit. Siquidem plenitudo tum quæ ad aliquid relationem habet, de qua nunc disserimus, tum quæ ad vasorum capacitatem spectat (quam sanè plenitudinem dicimus, nondum ipsis tensis) tum quæ ad tunicæ distensionem refertur, venarum tumorem generat, sangui- B ne supra naturalem cuiusque symmetriam copiosiùs increscēte, vt ad illam copia referatur. Tunicæ tensio, quasi ipsius symmetriæ excessum declarat; non enim naturalis est ea tunicæ tensio. Vterque autem sanguis multus est, & qui ex naturali symmetria, & qui ex tunicarum tensione æstimatur. Cæterùm Erasistratus amborum meminit, non exactè quidem, neque tam luculenter vt ego nunc, attamen ita, vt duplicem rei naturam esse declaret. Quum etenim dicit; *Ab initio itaque, & vasis mediocriter* C *repletis, robustiores, fortioresque seipsis quam priùs præter consuetudinem esse apparent*; indicauit immoderationem sanguinis cuique, naturæ modum excessisse; ex quibus deinceps inferens ait; *Vbi pleniores multò euaserint, brachia, manus, & tibiæ immoderatiùs replentur*; ceu tunicarum sanguinem continentiū ametriam innuit. Vnde colligitur duos esse terminos sanguinis supra naturam adaucti; priorem, quum venis impletis tunicæ ipsarum præter naturalem cuiusque statum in tumorem attolluntur; alterum, vbi ad hoc tensio quoque accedit, quum in pleni- D tudine, quæ ad vires pertinet, ne alterum quidem conspiciatur. Atque hæc quidem de illis dixisse sufficit.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ.

Περὶ τοῦ ἐρεύθους καὶ τῶν λοιπῶν σημείων, οἷς πληθώρα, κακοχυμία καὶ τὰ τοῦ πλήθους εἴδη σημαίνεται.

ΤΟ δὲ ἔρευθος, οὗ καὶ αὐτοῦ μνημονεύουσιν, οὐ πλήθους μὲν ἁπλῶς, ἀλλ᾽ αἱματικοῦ πλήθους γνώρισμα. δεῖται δὲ καὶ αὐτὸ τῶν διορισμῶν, ὧνπερ ὁ ὄγκος. εἰ γὰρ διά τι τῶν ἔξωθεν, οἷον ἥλιον, ἢ λουτρόν, ἢ γυμνάσιον, ἢ πορείαν, ἢ ἁπλῶς εἰπεῖν θερμασίαν, οὕτω δὲ καὶ θυμόν, αἰδῶ τε, καὶ ὅσα τοιαῦτα, καὶ ὀξεῖς δὲ πυρετοὶ τούτου τοῦ γένους εἰσίν. ὅταν οὖν ὁμαλὴ μὲν ὅλου τοῦ σώματος ἡ διάθεσις εἴη, μηδὲν δὲ ὧν εἴρηκα πάρῃ, τότ᾽ ἂν εἴη τὸ ἔρευθος αἱματικοῦ πλήθους γνώρισμα τοῦ καθ᾽ ὅλον τὸ ζῷον· εἰ δὲ μή, ἀλλὰ γε κατ᾽ ἐκεῖνο τὸ μέρος, ἐν ᾧ φαίνεται. καὶ γὰρ καὶ ταῖς φλεγμοναῖς, εἴτ᾽ ἐν τοῖς μυσίν, εἴτ᾽ ἐν τοῖς δέρμασι συνίστανται, τὸ τοιοῦτον ἕπεται χρῶμα, πληθωρικοῖς ὑπάρχουσι νοσήμασιν. ἀλλὰ περὶ φλεγμονῶν αὐτάρκως ἐν ἑτέρῳ δέδεικται γράμματι, καθ᾽ ὃ περὶ τῶν παρὰ φύσιν ὄγκων ἐπεσκεπτόμεθα, δεικνύντες ἅπαντας αὐτοὺς ὑπὸ πλήθους ὑγρῶν, ἄλλοτε εἰς ἄλλο μέρος κατασκηπτόντων, συνίστασθαι. νυνὶ δὲ οὐ περὶ τούτων, ἀλλ᾽ ὡς εἴρηται πρόσθεν, ὑπὲρ ἐκείνου τοῦ πλήθους ὁ λόγος ἐστίν, ὃ καλεῖται πληθώρα, πλεονεξίας χυμῶν ἐν ὅλῳ τῷ σώματι

CAPVT XI.

De rubore ac cæteris indicijs, quibus plethora, cacochymia, ac plenitudinis species significantur.

VErùm rubor, cuius & ipsi meminerunt, non plenitudinis simpliciter, sed sangui- E neæ plenitudinis nota est. Desiderat autem ipse distinctiones easdem, quas tumor, si nanque ob causas externas eueniat, vt ob solem, vel balneum, vel exercitationem, vel iter, vel, vt summatim dicam, ob calorem, ita verò si ob iracundiam, pudorémque, & quæcumque similia, cuius generis sunt acutæ febres, iam non sanguinem indicat. Proinde quum æqualis totius corporis affectio fuerit, nullum autem eorum quæ percensuimus adsit, tunc nimirum rubor, plenitudinis sanguineæ vniuersi corporis animantis nota extiterit, sin minùs, certè illius F partis, in qua apparet. Quin & inflammationibus, siue in musculis hæ, siue in cute consistant, huiusmodi color plethoricos morbos comitatur. Sed de inflammationibus abundè satis in commentario de tumoribus præter naturam, disseruimus, demonstrantes ipsos omnes pariter ab humorum plenitudine aliis atque aliis interdum partibus incumbentium, constitui. Iam verò non de his, verùm, vti priùs diximus, de illa plenitudine sermo est, quæ plethora vocatur, quæque redundantia humorum in toto

corpore cōsistens definitur. Non autem sic plenitudinem in toto corpore constitui dicimus, vt partium genus vtrumque, & vasorum & carnium, læsionem acceperit. Nonnunquam enim alterum duntaxat affici contingit, tanquam si etiam vtralibet pars occupata sit, non in vna quapiam parte, vel duabus, verùm aut in toto animali, vel pluribus, nobilissimísque partibus hæc eueniat. Eodem modo tumorem, qualisnam sit, deprehendere, viri est in rebus dignoscendis exercitatissimi. In carnoso nanque genere vnus tumor ipsarum carnium est, alter humorū, carne tanquam lanâ quapiam aut spongiâ superuacuo humore repletâ. Atqui talis in carnibus plenitudo, ei quæ ex vasorum infusione nomen accipit, proportione respondet; altera plenitudo, illi quæ ad vires vel cum grauitate, non est dissimilis; recordantibus nobis, nihil interesse, de composita carne, vel de musculis disputes; præterea si plenitudinis carnium fiat mentio, musculos, non simplicem illam carnem, quam parenchyma nonnulli vocant, inaudiendam esse. In arteriis sanè, & venis, non similiter ad vires plenitudo ægris ipsis percipitur, nisi qui naturâ ad sentiendum fuerint accommodatissimi; eiusmodi solis obscura quæpiam ac profunda grauitas in corpore apparet. Quamobrem aliæ quædam talis plenitudinis notæ manifestiores inquirendæ sunt. At quum plerique medicorum segniter eam tractauerint, nonnulli ne prorsus inspexerint quidem, alii multa omiserint, nulla certior firmiórque nota arteriarum motu inuenta est, quem in libris de pulsibus copiosè declarauimus. Siquidē venæ vnà cum arteriis sæpenumerò plethorâ corripiuntur propter vasorum confluentiam, quam alibi sæpe demonstrauimus; aliquando viscosis vel crassis humoribus in venis collectis, haud ita facilis eorum in arterias trāsfusio committitur; at huiusmodi rarum est. Nisi enim summè crassi aut viscosi humores extiterint, omnino transfundentur. Equidem in eiusmodi affectionibus, plenitudinis in venis collectæ nulla euidens nota est, sed ex arteriarum motu licet capere, etsi quàm maximè Nicarcho & Praxagoræ videtur; attamen sanguinem arteriis non transmittunt. In aliis plethoræ affectionibus, pulsuum signis fides adhibenda est, quæ priuato opere à nobis explicata sunt. Cęterùm species plenitudinis, quum in totum corpus æquabiliter humoribus diffusa fuerit, extensáque, hoc modo distinguendæ sunt. Rubicunda siquidem sanguinis plenitudo est; subpallida verò flauæ bilis; albescens immoderatiùs ab eo qui secundum naturam est statu decedit, quum pituita exuperat; vt si atra bilis, magis atra est plenitudo. Porrò in singulis quæ commemorauimus, sanguinem simul auctum esse oportet. Nam si pallida bilis & flaua nominata, aliquando exuberauerit, vt in regio morbo laborantibus, non adhuc plenitudo, nec plethorica affectio, sed vitiosus humor, huiusmodi affectus est. Hoc pacto in atra bile & pituita dicendum est. Vbi verò, sicut antea diximus, vel grauitas, vel tumor supra naturalem statū sit, plethorica quidem talis affectio dicetur; ex colore autem præpollentis humoris speciem cognoscere oportet. Verùm sola bilis, nullum plenitudinis inseparabile symptoma potest

A συνισταμένης. οὐχ οὕτω δὲ φαμὲν ἐν ὅλῳ τῷ σώματι συνίστασθαι πλῆθος, ὡς ἀμφότερα τὰ γένη τῶν σωμάτων βεβλάφθαι, τό, τε τῶν ἀγγείων, καὶ τὸ τῶν σαρκῶν· ἐγχωρεῖ γὰρ ἐνίοτε καὶ μόνον θάτερον, ὡς εἰ καὶ ὁπότερον ἂν καταληφθείη μέρος, οὐ καθ᾽ ἕν τι μόριον ἢ δύο τούτου συμβεβηκότος, ἀλλ᾽ ἤτοι καθ᾽ ὅλον τὸ ζῶον, ἢ κατὰ τὰ πλεῖστά τε καὶ κυριώτατα μόρια. καὶ τοίνυν καὶ τὸν ὄγκον ὁποῖός τίς ἐστιν ἐξευρεῖν, ἱκανῶς γεγυμνασμένου περὶ τὰς διαγνώσεις ἀνδρὸς δεῖται. κατὰ γοῦν τὸ σαρκῶδες γένος, ἕτερος μὲν ὄγκος ὁ τῶν σαρκῶν αὐτῶν ἐστιν, B ἕτερος δὲ ὁ τῶν ὑγρῶν, ὥσπερ ἐρίου τινὸς ἢ σπογγιᾶς, τῆς σαρκὸς ἐμπεπλησμένης ὑγρότητος περιττῆς. ἀλλὰ τὸ μὲν τοιοῦτον πλῆθος ἐν ταῖς σαρξὶν, ἀνάλογόν ἐστι τῷ κατὰ τὸ ἔγχυμα καλουμένῳ ἐπὶ τῶν ἀγγείων, τὸ δὲ ἕτερον πλῆθος, τῷ πρὸς τὴν δύναμιν, ἢ μετὰ βάρους: μεμνημένων ἡμῶν, ὅτι μηδὲν διήνεγκεν, ἢ περὶ συνθέτου σαρκὸς, ἢ περὶ μυῶν διαλέγεσθαι, καὶ ὡς εἴ ποτε περὶ πλήθους ὁ λόγος γίγνοιτο τοῦ κατὰ τὰς σάρκας, τοὺς μῦς ἀκουστέον ἐστὶν, οὐ τὴν ἁπλῆν ἐκείνην σάρκα, τὴν ὑπό τινων ὀνομαζομένην παρέγχυμα. κατὰ μέν- C τοι τὰς ἀρτηρίας καὶ τὰς φλέβας, οὐχ ὁμοίως αἰσθητόν ἐστι τὸ πρὸς τὴν δύναμιν πλῆθος αὐτοῖς τοῖς κάμνουσιν, ἀλλ᾽ ὅσοιπερ ἂν ὦσιν αἰσθητικώτατοι φύσει, μόνοις τοῖς τοιούτοις ἀμυδρόν τι καὶ βύθιον βάρος ἐμφαίνεται κατὰ τὸ σῶμα· διὸ χρὴ ζητεῖν ἕτερά τινα σαφέστερα τοῦ τοιούτου πλήθους γνωρίσματα. ῥαθύμως δὲ τῶν πλείστων ἰατρῶν ἐσχηκότων ἀμφ᾽ αὐτὸ, καὶ τῶν μὲν οὐδ᾽ ὅλως ἐπισκεψαμένων, ἐνίων δὲ ἐλλιπῶς, οὐδὲν εὕρηται βεβαιότερον γνώρισμα τῆς τῶν ἀρτηριῶν κινήσεως, ἣν ἐν ταῖς περὶ τῶν σφυγμῶν πραγματείαις αὐτάρκως ἐξηγησάμεθα. τὰ πολλὰ μὲν γὰρ ὁμοῦ D ταῖς ἀρτηρίαις αἱ φλέβες ἐν πληθώρᾳ καθίστανται, διὰ τὴν σύῤῥοιαν τῶν ἀγγείων, ἣν πολλάκις ἐν ἑτέροις ἀπεδείξαμεν· ἔστιν ὅτε δὲ χυμῶν γλίσχρων, ἢ παχέων ἠθροισμένων ἐν ταῖς φλεψὶν, οὐκ εὐπετὴς ἡ μετάληψις αὐτῶν εἰς τὰς ἀρτηρίας γίγνεται, σπάνιον δέ ἐστι τὸ τοιοῦτον· εἰ μὴ γὰρ ἐσχάτως εἶεν παχεῖς, ἢ γλίσχροι χυμοὶ, μεταῤῥυήσονται πάντως. ἐν μὲν δὴ ταῖς τοιαύταις διαθέσεσιν, οὐδὲν ἐναργὲς γνώρισμα τοῦ κατὰ τὰς φλέβας ἠθροισμένου πλήθους, ἐκ (δὲ) τῆς τῶν ἀρτηριῶν κινήσεως ἔνεστι λαβεῖν, εἰ E καὶ ὅτι μάλιστα τῷ Νικάρχῳ καὶ Πραξαγόρᾳ δοκεῖ, καίτοι μὴ μεταδιδόασι ταῖς ἀρτηρίαις αἵματος· κατὰ μέντοι τὰς ἄλλας διαθέσεις τῆς πληθώρας, πιστεύειν χρὴ τοῖς ἐκ τῶν σφυγμῶν σημείοις, ἃ διὰ τῆς οἰκείας εἴρηται πραγματείας. τὰς δὲ ἰδέας τοῦ πλήθους, ὅταν γε ὁμαλῶς ἐκτεταμένον εἰς ὅλον τὸ σῶμα ᾖ, κατὰ τάδε διαιρεῖσθαι. ἐξέρυθρον μὲν γὰρ τὸ τοῦ αἵματος πλῆθός ἐστιν, ὕπωχρον δὲ τὸ τῆς ξανθῆς χολῆς, ἐπὶ δὲ τὸ λευκότερον ἐκτρέπεται τοῦ κατὰ φύσιν, ὅταν τὸ φλέγμα κρατῇ, καθάπερ ἐπὶ τὸ μελάντερον, F ἣν ἡ μέλαινα χολή. καθ᾽ ἕκαστον δὲ τῶν εἰρημένων συνηυξῆσθαι χρὴ καὶ τὸ αἷμα· μόνη γὰρ εἴ ποτε πλεονάσειεν ἡ ὠχρὰ καὶ ξανθὴ προσαγορευομένη χολὴ, καθάπερ ἐν ἰκτερικοῖς, οὐκ ἔτι πλῆθος, οὐδὲ πληθωρικὴ διάθεσις, ἀλλὰ κακοχυμία τὸ τοιοῦτόν ἐστι πάθημα· κατὰ ταὐτὰ δὲ καὶ ἐπὶ τῆς μελαίνης χολῆς καὶ τοῦ φλέγματος. ὅταν δὲ, ὡς εἴρηται πρόσθεν, ἢ βάρος, ἢ ὄγκος παρὰ τὸ κατὰ φύσιν ᾖ, πληθωρικὴ μὲν ἡ τοιαύτη διάθεσις εἴρηται, ἐκ δὲ τῆς χρόας γνωρίζειν χρὴ τὴν ἰδέαν τοῦ κρατοῦντος χυμοῦ. μόνη δὲ χολὴ, τῶν ἀχωρίστων τοῦ πλήθους συμπτωμάτων

οὐδέτερον ἐργάζεσθαι δύναται, οὔτ' οὖν τὸν ὄγκον, οὔτε τὸ βάρος· ἑτέρα γάρ τι πρὸ ταύτης ἔσται πάθημα πρὶν ἐς τοσοῦτον αὐξηθῆναι. μόνον δή, εἴπερ ἄρα, τὸ φλέγμα, καὶ τοῦτο οὐχ ἁπλῶς ἁπλῶς, ἀλλὰ τὸ κατὰ τοὺς λευκοφλεγματίας ὀνομαζομένους ὑδέρους, ἐν ὅλῳ τῷ σώματι δυνήσεται πλεονάσαι· δῆλον δὲ ὡς καὶ τὸν ὠμὸν ὀνομαζόμενον χυμὸν ἕν τι τῶν φλέγματος εἰδῶν, ἔν γε τῷ νῦν λόγῳ τίθεσθαι χρή, ὡς εἴ γε ἕτερον ἐκείνου θησόμεθα, πρὸς αἷς εἴπομεν ἄρτι πλήθους διαφοραῖς, ἀναγκαῖόν ἐστι προσθεῖναι καὶ τὴν ἐκ τοῦ τοιούτου χυμοῦ· παχύτερος δὲ τοῦ ἄλλου φλέγματος ὁ χυμὸς ἐστὶ, ἧττόν τε πνευματικὸς, οἷος ἐν τοῖς οὔροις ὑφίσταται μάλιστα τοῖς ἐξ ἀδηφαγίας πολλὴν ὑπόστασιν, ἔτνει τε κυάμων ὁμοίαν ἔχουσι· καὶ μὴν καὶ διεχώρησε κάτω πολλάκις ὁ τοιοῦτος ἀθρόως χυμὸς ἐκείνοις τῶν σωμάτων, ὅσα γυμνασίων μὲν ἀπείχετο, παμπόλλοις δὲ ἐδέσμασιν ἐχρῆτο, καὶ λουτροῖς ἐπὶ τροφαῖς· ἀλλὰ καὶ τούτῳ τῷ χυμῷ, καθάπερ καὶ τῷ φλέγματι, λευκή τις ἀχροια καθ' ὅλον τὸ σῶμα συνέπεται. τὰ δὴ ἄλλα τοῦ φλέγματος εἴδη, τὸ μὲν ἐστι γλυκὺ, τὸ δὲ ὀξὺ, τὸ δὲ ἁλυκόν· καὶ ὑπνώδεις μὲν γίνονται ἐπὶ τοῦ γλυκέος, πεινώδεις δὲ ἐπὶ τοῦ ὀξέος πλεονάζοντος, ὥσπερ οὖν διψώδεις, ὅταν ἐπικρατῇ τὸ ἁλυκόν· ἀνόρεκτοι δὲ ἐπὶ τῷ προειρημένῳ τῷ ὠμῷ. τὰ δὲ τῶν ὕπνων, ἐπὶ μὲν τοῖς ἄλλοις φλέγμασι τοῖς προειρημένοις, βραχὺ πλείω τοῦ κατὰ φύσιν· ὁ δὴ ὠμὸς χυμὸς, ὥσπερ τὸ γλυκὺ φλέγμα, σαφῶς ὑπνώδεις ἀποτελεῖ· δέδεικται γὰρ ἑτέρωθι, τῆς αἰσθητικῆς ἀρχῆς ὑγραινομένης τε καὶ ψυχομένης, τὴν κωματώδη ἕπεσθαι διάθεσιν, ὥσπερ γε καὶ τὴν ἀγρυπνίαν, ξηραινομένης καὶ θερμαινομένης. ταῦτ' ἄρα καὶ οἱ χολώδεις ἄγρυπνοι πάντες ἐφ' ἑκατέρᾳ τῇ χολῇ· σύνεστι δὲ ἐξαίρετον ἐπὶ τῆς μελαίνης, τὸ σκυθρωπόν τε καὶ δύσθυμον ἄνευ λόγου. εἰ δὲ μὴ καθ' ὅλον σῶμα πλεονάζοιεν οἱ προειρημένοι χυμοὶ, καθ' ἕν τι δὲ μόριον ἀθροισθεῖεν, ὄγκους ἐργάζονται παρὰ φύσιν αὐτοῖς τοῖς σώμασιν, ὑπὲρ ὧν ἑτέρωθι δείκνυται. καὶ αὐτὰ δὲ τὰ νῦν αὐτῶν εἰρημένα συμπτώματα, πλὴν τῆς ἀχροίας, ἐγκέφαλόν τε καὶ στόμαχον κατειληφότων ἐστίν· ἀγρυπνίαι μὲν γὰρ καὶ ὕπνοι, διὰ τὸν ἐγκέφαλον, ὀρέξεις δὲ καὶ ἀνορεξίαι διὰ τὸν στόμαχον ἄλλοτε ἀλλοίως διατιθέμενον γίγνονται· δῆλον δ' ὅτι τὸ στόμα τῆς γαστρὸς εἴρηται νῦν στόμαχος, ἐν ᾧ τὸ μὲν φλέγμα τὸ ἀθροισθὲν, ὡς ὀλίγον ἔμπροσθεν εἴρηται, τὰς ὀρέξεις ἐποίησε· τῶν δὲ χολωδῶν, ἐπὶ μὲν τῆς ξανθῆς, διψώδεις τε καὶ ἀσώδεις εἰσί, καὶ τὸ στόμα πικρὸν αὐτοῖς ἐστιν· ἐπὶ δὲ τῇ μελαίνῃ, δύσθυμοι, καὶ σκυθρωποὶ, καὶ φοβεροὶ, καὶ ἄδιψοι, καὶ σιέλου μεστοὶ, ἀπόσιτοι δ' οὐ πάντες, ἀλλά τινες αὐτῶν ἱκανῶς δὲ πεινώδεις εἰσὶν, οἷς ἂν ἡ μέλαινα τὴν ὀξεῖαν ποιότητα κεκτημένη ἔχῃ· γίγνεται δὲ τοῦτο, κακοηθεστέρας αὐτῆς ἀποτελουμένης. ἐς ὅσον δὲ μόνον οἷον ἰλὺς αἵματος ἐστὶ, μήπω δὴ ἀκριβῶς ὀξεῖα, καλλίονως (μελαγχολικὸς χυμὸς ἕως τοῦ λέγεται) μηδὲ καλεῖν μηδέπω τὸν τοιοῦτον χυμὸν μέλαιναν χολὴν, ἀλλ' ὥσπερ εἰώθαμεν μελαγχολικὸν, ὅτι τοῦ γένους μέλαιναν χολὴν πλησίον ἥκει. ἀλλ' οὐ νῦν καιρὸς ὑπὲρ τῶν ἐν ταῖς κακοχυμίαις διεξέρχεσθαι διαφορῶν, ὅτι μηδὲ πλῆθος εἴποι ὀνομάζεσθαι αὐτάς· ἡμῖν δὲ οὐχ ἁπλῶς τὸ πλεονάζον ὁπωσοῦν ἐξευρεῖν, ἀλλὰ περὶ πλήθους σκέψασθαι πρόκειται· πλεονεξία δ' ἐστὶ τοῦτο τῶν καθ' ὅλον τὸ σῶμα τοῦ ζώου χυμῶν. οὔτ' οὖν τὸ κατὰ

efficere, neque tumorem certè, neque grauitatem. Nam altera quædam ante hanc erit affectio, priusquam eò corpus increuerit. Item pituita, & hęc non quælibet simpliciter, modo sola fuerit, sed ea quæ in hyderis, quos leucophlegmatias appellant, in vniuerso corpore redundare poterit. At liquet etiam crudam, quæ humor crudus nominatur, inter pituitę species in præsenti sermone ponendam esse. Etenim si diuersam ab illo statuamus, præter plenitudinis differentias quas nuper retulimus, necesse est eiusdem quoque humoris discrimen apponere. Est autem humor hic pituitâ crassior, minúsque flatulentus, qualis in vrinis subsidet, maxime iis qui copiosum ex voracitate sedimentum, elixis fabis simile, continent. Atqui talis humor sæpe illis vniuersim per aluum ductus est, qui ab exercitiis quidem abstinuerunt, cibis autem liberalissimè vsi sunt, balneisque à pastu. Imò & huic humori, sicut pituitæ, albedo quædam decolor in toto corpore subsistit. Inter reliquas pituitæ species alia dulcis est, alia acida, alia salsa. Dulcis somnolentos facit; acida quum abundat, famelicos; quemadmodum & salsa, quum exuperat, sitibundos; cruda verò prædicta cibos fastidientes *parit.* Aliæ pituitæ prædictæ paulò maiorem naturali somnum conciliant. At crudus humor, quemadmodum dulcis pituita, manifestò somnolentos efficit. Monstratum nanque est alibi, sensuum principio humectato, & frigescente, soporosam sequi affectionem; quemadmodum siccescente, & calescente, vigilias; hoc modo & biliosi omnes propter vtrâque bilem insomnes agunt. In atra præcipuè adest morositas, animi demissio, & fine ratione tristitia. Quòd si non vniuerso in corpore prædicti humores inundauerint, in vna verò parte quapiam congesti sint, tumores præter naturam in ipsis corporibus generant, de quibus in alio opere consideratio instituitur. Atque ipsa nunc illorum symptomata dicta sunt, præter decolorationem, & ea quæ cerebrum & stomachum occupant. Etenim vigiliæ & somni cerebro, appetentiæ cibi & fastidia, stomacho, aliis aliàs affecto accepta feruntur. Clarum verò est, os ventriculi, stomachi nomine hîc vocatum, in quo pituita collecta, vt paulò antè recensuimus, appetentias excitauit. Qui flaua bile abundant, sitibundi, nauseabundique ob bilem euadent, & os ipsis amarum est. Ex atra, submissi animo, & morosi, horribiles, à potu abstinentes, saliuâ pleni; at non omnes cibum refugiunt, sed quidam ex ipsis; hi verò abundè famelici sunt, quibus atra bilis acidâ qualitate exuberat. Hoc autem euenit, vbi ipsa malignior euadit. Cæterùm vel vt sanguinis fæx tãtum est, nondum exactè acida, præstiterit forsan huiusmodi humorem, non atram bilem, sed melancholicum quatenus ita dicitur, appellare, quemadmodum consueuimus, ideo quòd atræ bili vicinus sit, *eiusque naturam statim subiturus.* At de vitiosorum humorum differentiis disserendi nunc tempus non est, quòd nec plenitudinem ipsos nominari dixerim, verùm non simpliciter quod redundat quomodocunque, inuenire, sed de plenitudine agere nobis est propositum. Hæc autem est humorum in animantis corpore redundantia. Neque igitur particularium tumorum,

rum, neque vitiosi humoris species in hoc sermone audire desiderandum est, sed quum vniuersi vel iuxta pristinam proportionem increuerint, vel exiguum quendam excessum vnus inter eos acceperit. Itaque sanguis in plethoricis affectionibus vehementer potest præcellere; aliorum humorum nullus. Etenim cacochymia nunc (*quam vitiosum humorem interpretati sumus*) huiusmodi, non Plenitudo adhuc, neque plethora nominatur. Quare pulsus etiam in cacochymijs, humorum naturæ peculiares omnino sunt; in superioribus plenitudinibus non similiter manifestas seruant differentias, quia humor redundans, sanguinis paululum admixtum prorsus habet. Vbi sanè vehementer exuperauerit, tales pulsus ob bilem flauam oriri necesse est, quales sequi diximus exiccato corde, & incalescente. Propter atram rursus eiusmodi, quales, si refrigeretur idem siccescátque, prouenire docuimus. Eadem ratione, siquando pituita alios vicerit, pulsus frigidæ humidæque affectionis indices procreabit. Sanguinem adamussim naturali habitu præditum, nulla pristinæ constitutionis immutatio comitatur. Quum humido magis abundat, pulsus itidem immutãtur; vt & si calidior, & frigidior, quàm antea, fiat. Porrò huius generis vniuersa in opere de pulsibus distincta sunt. In præsentia tantum dixisse satis est, sanguinem videlicet ex otio, humidóque victu, aquosis recrementis in eo redundantibus, humidiorem atque priùs euadere; ex iracundia, ex exercitijs, æstu, frictionibus, medicamento calefaciente, alimento calido, vino meraciore, vetustioréque calidiorem; quemadmodum ex frigore quodam recenti, frigidiorem. Quòd si quispiam cibis siccioris tẽperamenti, aliâ tamen nullâ intẽperie præditis, pleniùs vsus fuerit, sanguis illi siccior futurus est. Quinetiã per coniugiũ humidior & frigidior, vel frigidior & siccior; calidior & humidior, vel calidior & siccior, ob prædictas causas sine alterius cuiusquã humoris exsuperantia reddetur. At si propter illorũ mixtionẽ, intemperiẽ subeat, hæc cum vitioso humore talis intẽperies constituetur, quæ etiamnũ sanguine vel calidiore, vel frigidiore humidioréque impendiò fieri dicitur, pari modo secundum alias sex intemperies (vniuersæ namque numero sunt octo) secus autem quàm cum solus ipse suâ naturâ talis fuit. Iam verò pulsus secundum octo intemperies speciem illam obtinebunt, qualem in commentario de pulsibus explicauimus. Verum soliúsne sanguinis sit, an humoris cuiuspiam ei admisti, distinguendum est præsenti corporis totius colore, alijsque symptomatibus, quæ de somno, vigiliã, vel appetentiã & cibi fastidio, alijsque, ante paulum commemorata sunt; ad hæc præcedẽte victus ratione, exercitijs, & ijs quæ ipsi ægro accidere consueuerunt; insuper anni tempore, regione, & naturali corporis densitate, atque raritate. Etenim satius est ex omnibus fidem dignotioni astruere, non ex vno, vel duobus, quum probè sciamus solam ipsam in arte plurimum coniecturæ acceptum ferre, dico iam hanc artis partem, quæ omni dignotioni seruit, non modo cacochymiæ, vel plenitudini, quas nunc definire instituimus. Siquidem actiones, vel morborum causæ, vel remedia, exactiorem

A μέρος ὄγκον, οὔτε κακοχυμίας ἀκούειν χρὴ ποθεῖν ἐν τῷ λόγῳ τῷδε τὰς ἰδέας, ἀλλ' ὅταν ἤτοι κατὰ τὴν ἀρχαίαν ἀναλογίαν αὐξηθῶσιν ἅπαντες, ἤ τινα βραχεῖαν ὑπεροχὴν ἐξ αὐτῶν εἷς λάβοι. τὸ μὲν οὖν αἷμα παμπόλλην ὑπεροχὴν δύναται λαβεῖν, ἐν ταῖς πληθωρικαῖς διαθέσεσι· τῶν δ' ἄλλων χυμῶν οὐδείς· κακοχυμία γὰρ ἤδη τό γε τοιοῦτον, οὐκ ἔτι πλῆθος, οὐδὲ πληθώρα καλεῖται. διὸ καὶ σφυγμοὶ, κατὰ μὲν τὰς κακοχυμίας, οἰκεῖοι τῇ φύσει τῶν χυμῶν ἀκριβῶς εἰσιν· ἐπὶ δὲ τοῖς εἰρημένοις πλήθεσιν, οὐχ ὁμοίως ἐναργεῖς ἀποσώζουσι τὰς διαφο-
B ρὰς, ὅτι σὺν αἵματι δαψιλὲς πάντως ἐστὶν ὁ πλεονάζων χυμός. ὅταν δὲ κρατήσῃ σφοδρῶς, ἐπὶ μὲν τῇ ξανθῇ χολῇ τοιούτους ἀνάγκη γενέσθαι σφυγμοὺς, οἵους εἴπομεν ἕπεσθαι, ξηραινομένης τε καὶ θερμαινομένης τῆς καρδίας· ἐπὶ δὲ τῇ μελαίνῃ τοιούτους αὖ πάλιν, οἵους ἔφαμεν, εἰ ψύχοιτό τε καὶ ξηραίνοιτο, γίνεσθαι. κατὰ δὲ τὸν αὐτὸν λόγον, εἰ νικήσειέν ποτε τὸ φλέγμα τοὺς ἄλλους, ψυχρᾶς καὶ ὑγρᾶς διαθέσεως ἐκγόνους ἀποτελέσει σφυγμούς. αἵματι δὲ τῷ μὲν ἀκριβῶς κατὰ φύσιν, οὐδεμία τῆς ἀρχαίας καταστάσεως ἀλλοίωσις ἕπεται· τῷ δὲ ὑγροτέρῳ πλεονάζοντι, καὶ οἱ σφυγμοὶ συναλλοιοῦνται, κα-
C θάπερ εἰ θερμότερόν τε καὶ ψυχρότερον ἑαυτοῦ γίνοιτο. διῄρηται δ' ἐν τῇ περὶ τῶν σφυγμῶν πραγματείᾳ τὰ τοιαῦτα σύμπαντα· νῦν δ' ἀρκέσει τό γε τοσοῦτον εἰπεῖν, ὡς ἐξ ἀργίας μὲν καὶ διαίτης ὑγρᾶς, ὑγρότερον ἑαυτοῦ γίνοιτ' ἂν τὸ αἷμα, πλεονεξίᾳ τῶν ὑδατωδῶν περιττωμάτων· ἐπὶ θυμῷ δὲ καὶ γυμνασίοις, ἐγκαύσεσί τε καὶ τρίψεσι, καὶ φαρμάκῳ θερμαίνοντι, καὶ τροφῇ τοιαύτῃ, καὶ οἴνοις ἀκρατεστέροις, καὶ παλαιοτέροις, θερμότερον· ὥσπερ γε καὶ διά τινα ψύξιν ὑπόγυιον, ψυχρότερον. εἰ δ' ἐπὶ πλέον ἐδέσμασι χρήσαιτό τις ξηροτέροις τὴν κρᾶσιν, οὐ μὴν ἄλλην τινὰ ἔχουσι δυσκρασίαν, ξηρότερον ἐκεί-
D νῳ γίνοιτ' ἂν τὸ αἷμα. καὶ δὴ καὶ κατὰ συζυγίαν, ὑγρότερόν τε καὶ ψυχρότερον, ἢ ψυχρότερόν τε καὶ ξηρότερον, θερμότερόν τε καὶ ὑγρότερον, ἢ θερμότερόν τε καὶ ξηρότερον, ἐπὶ τοῖς εἰρημένοις αἰτίοις ἀποτελεσθήσεται, χωρὶς τοῦ τῶν ἄλλων τινὰ πλεονεκτῆσαι χυμῶν. εἰ δὲ καὶ διὰ τὴν ἐκείνων μῖξιν εἰς δυσκρασίαν ἀφίκετο, μετὰ κακοχυμίας αὖ ἡ τοιαύτη δυσκρασία συσταίη, λεγομένου μὲν ἔτι καὶ νῦν ἤτοι θερμοτέρου γεγονέναι τοῦ αἵματος ἢ ψυχρότερου τε καὶ ὑγροτέρου, καὶ κατὰ τὰς ἑτέρας δυσκρασίας ἕξ, ὀκτὼ γὰρ ἦσαν αἱ σύμπασαι· καθ' ἕτερον δέ τι τρόπον, οὐχ ὡς ὁπότε μό-
E νον αὐτὸ καθ' ἑαυτὸ τοιοῦτον ὑπῆρχεν. οἱ σφυγμοὶ δὲ κατὰ τὰς δυσκρασίας τὰς ὀκτὼ τὴν ἰδέαν ἐκείνην ἕξουσιν, οἵαν ἐν τῇ τῶν σφυγμῶν πραγματείᾳ διήλθομεν. εἴτε δὲ, ὡς εἴρηται, μόνου τοῦ αἵματός ἐστιν, εἴτε διά τινα ἐπιμιξίαν χυμοῦ, διορίζεσθαι χρὴ τῇ τε συνούσῃ χρόᾳ παντὸς τοῦ σώματος, καὶ τοῖς ἄλλοις συμπτώμασιν, ὅσα περὶ ὕπνου καὶ ἐγρηγόρσεως, ἢ ὀρέξεως καὶ ἀνορεξίας, ἢ εἴ τι τοιοῦτον, μικρὸν ἔμπροσθεν εἴρηται, καὶ τῇ προηγησαμένῃ διαίτῃ, καὶ τοῖς γυμνασίοις, καὶ τοῖς αὐτῷ τῷ κάμνοντι συμπίπτειν εἰθισμένοις, ἔτι τε τῇ ὥρᾳ καὶ τῇ χώρᾳ καὶ τῇ φυσικῇ πυ-
F κνότητι καὶ ἀραιότητι τοῦ σώματος· ἄμεινον γὰρ ἐκ πάντων τὸ πιστὸν τῇ διαγνώσει λαμβάνειν, οὐκ ἐξ ἑνὸς ἢ δυοῖν, εὖ εἰδότας ὡς αὐτὸ μόνον ἐν τῇ τέχνῃ πλεῖστα κεκοινώνηκε τοῦ στοχάζεσθαι, λέγω δὴ τὸ μέρος τῆς τέχνης τοῦτο τὸ διαγνωστικὸν ἅπαν, οὐ μόνον τὸ κατὰ τὴν κακοχυμίαν, ἢ τὸ πλῆθος, ἃ νῦν ἡμῖν διορίζεσθαι πρόκειται· τὰ γὰρ περὶ τὰς ἐνεργείας, ἢ τὰς τῶν νοσημάτων αἰτίας, ἢ τὰς ἰάσεις,

ἐπισημαντικώτερον ἔχει τὴν γνῶσιν. Εἴρηται δ' ἐπὶ πλέον περὶ αὐτῶν τούτων ἑτέρωθι, καὶ νῦν ἀρκέσει τὸ προτεθὲν αὐτάρκως διῃρημένους, αὐτόθι που καταπαύσαι τὸ γράμμα. γίγνοιτο δ' ἂν αὐτάρκης ὁ λόγος ἐπὶ παραδείγματι ἐξετασθείς: ἔστω δὴ τὸν μὲν ἄνθρωπον ἀπύρεκτον ὑπάρχειν, ἐν ὄγκῳ δὲ μείζονι τὰς φλέβας αὐτοῦ, καὶ τὸ σύμπαν σῶμα ἐρυθρότερον. σκεπτέον οὖν, εἰ μηδὲν τούτῳ τῶν θερμαινόντων αἰτίων ἐπλησίασεν· εἰ γάρ τι φαίνοιτο, βέλτιον ἀναβάλλεσθαι τὴν διάγνωσιν, ἄχρι περ ἂν ἡ ἐξ ἐκείνου κίνησις ἐν ὅλῳ τῷ σώματι καταστῇ, διότι μήτε θυμούμενον, ἢ λελουμένον, ἢ λουόμενον, ἢ γεγυμνασμένον, ἢ οἴνου προσενηνεγμένον ἀρτίως, ἢ ἄλλως ὁπωσοῦν τεθερμασμένον, εἰς τὴν διάγνωσιν ἄγειν προσήκει, ἀλλ' ἐν ἡσυχίᾳ πασῶν τῶν ἔξωθεν ὑπαρχόντων κινήσεων. Εἰ γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ φαίνοιτο τοιοῦτος, αἷμα πλεονάζει τῷ ἀνθρώπῳ. τοὐντεῦθεν ἐπισκέπτεσθαι τἆλλα, πρῶτα μὲν ὅσα μεγίστην ἔχει δύναμιν, εἶτα ἑξῆς τὰ λοιπά. ἐδείχθη δὲ βάρος καὶ τάσις, ὅ, τε πρὸς τὰς κινήσεις ὄκνος, εἶθ' ἑξῆς τὰ κατὰ τοὺς σφυγμοὺς, ἀγρυπνίας τε καὶ ὕπνους, ὀρέξεις τε καὶ ἀνορεξίας, ὅσα τ' ἄλλα τοιαῦτα. μετὰ δὲ ταῦτα τῶν προηγησαμένων ἕκαστον, ὅσα πλῆθος ἐργάζεται, μή τις συνήθης ἔκκρισις ἐπέχηται, μὴ γυμνάσιον ἠμέληται, μὴ πλείω καὶ πολύτροφα σιτία συνεχῶς προσενήνεκται, μὴ μετὰ τροφὴν ἀήθεσι χρῆται λουτροῖς, καὶ πρὸς τούτοις ἔτι μὴ πολλάκις ὁ τοιοῦτος ἄνθρωπος ἁλίσκεται νοσήμασι πληθωρικοῖς. ἐπὶ τούτοις ἅπασι, καὶ τὰ παρὰ τῆς χώρας, καὶ ὥρας, ἢ εἴ τι τοιοῦτον ἄλλο προσθεὶς, οὐκ ἴσην ἅπασι νέμων τὴν αἰτίαν, ὥσπερ οὐδ' ἐν τοῖς ἄλλοις μέρεσι τῆς τέχνης· ἔνια μὲν γὰρ τῶν γνωρισμάτων ἐστὶν ἐπιστημονικὰ, καθάπερ ἡ τάσις, καὶ τὸ βάρος, ὅ, τε ὄγκος τῶν φλεβῶν, ὅ, τε ὄκνος, καὶ τὸ χρῶμα, καὶ ἡ τῶν σφυγμῶν κίνησις, ἁπασῶν δηλονότι τῶν προσφάτων κινήσεων ἀφωρισμένων· ἔνια δὲ ἀπολείπεται τούτων, οἷον ἡ τῶν ἐκκρίσεων ἐπίσχεσις, ὅ, τε ἀργὸς βίος, ἐδέσματά τε πλείω καὶ τρόφιμα, καὶ μετὰ τροφὴν λουτρά· συνιόντα μέντοι τὰ σύμπαντα, τοῖς ἐπισημαντικοῖς ἐγγὺς ἥκει. τρίτην ἐπὶ τούτοις ἔχει τάξιν, εἰ συνήθως ἁλίσκεται πληθωρικοῖς νοσήμασιν ὁ ἄνθρωπος· ἐφεξῆς δὲ τὰ κατὰ χώρας καὶ ὥρας συστατικὰ πάντων αὐτῶν· ἐν μὲν γὰρ χειμῶνι καὶ ἦρι, ψυχραῖς τε καὶ εὐκράτοις χώραις, μᾶλλον ἀθροίζουσι τὸ πλῆθος· ἐν δὲ ταῖς θερμαῖς καὶ ξηραῖς ὥραις καὶ χώραις, ἧττον· οὕτως δὲ καὶ οἱ μὲν πυκνοὶ τὴν ἐπιφάνειαν, μᾶλλον, οἱ δ' ἀραιοὶ ἀπημιώτεροι.

habent notitiam. Diximus de his ipsis copiosius alibi. Atque nunc satis erit, præposito abunde definito, in eodem manum supremam operi imponere. Absolutus autem sermo euaserit, si exemplum adhuc ei subiungatur. Fingamus iam homini nullâ febre laboranti venas plenius intumescere, & vniuersum corpus præter modum rubere. Considerandum igitur venit, an nulla calefaciens causa ei accesserit. Si enim appareat, melius erit, donec ex illâ motus in toto corpore constituatur, dignotionem differre; quia nec irascentem, vel lotum, vel lauantem se, vel exercitatum, vel vino recenter impletum, vel alio quouis modo calefactum, dignoscere conuenit, sed motionibus externis omnibus in quiete cessantibus. Nam si tunc eiusmodi appareat, sanguinem homini exuberare iudicabis. Inde alia sunt inspicienda; primò sanè, quæ maximam habent facultatem; deinceps reliqua. Ostendimus grauitatem, tensionem, ad motum pigritiam; mox pulsus, vigilias, somnos, appetentias cibi, & fastidia, aliaque similia. Postremò præcedentia singula, quæ plenitudinem faciunt, an consueta quæpiam excretio suppressa sit, an exercitatio neglecta, an pleniores multúmque nutrientes cibi continenter assumpti sint, an post alimenta insuetis balneis vsus fuerit, ad hæc quoque an crebrò plethoricis morbis homo corripiatur; accedunt his omnibus indicia à loco, & anni tempestate sumpta, vel si aliud tale velis apponere, non æqualem omnibus causam distribuens, vt nec in alijs artis partibus. Nonnullæ siquidem notæ scientificæ sunt, vt tensio, grauitas, venarum tumor, pigritia, color, pulsuum motio, cunctis videlicet accessorijs motibus separatis. Nonnullæ ab his declinant, velut excrementorum suppressio, vita otiosa, cibi plures, & valentes, atque post nutritionem balnea. Vbi nanque vniuersa conueniunt, scientificis vicina fiunt. Tertium præter hæc ordinem occupant, si ex consuetudine plethoricis affectibus homo corripiatur. Deinde loci temporúmque ratio est; quæ ipsa omnia constituit; quoniam hyeme & vere frigidis & temperatis regionibus, plenitudinem magis accumulant; calidis & siccis anni temporibus, locísque, minus; ita in superficie cutis densi, crebriùs; rariores, parciùs.

GALENI LIBER DE CAVSIS PROCATARCTICIS.

ARGVMENTVM LIBRI.

Probat causas dari procatarcticas, & refellit veterum medicorum sophismata.

CAPVT PRIMVM.

Aduersus sophistas, qui procatarcticas causas negarunt, ac quot, & qualia sint genera causarum.

NATVRALES philosophi illi veteres quorum studiũ erat, vt humano generi prodessent, non modò ea, quæ apertè cognoscuntur, tractabant; verum & operam nauabant, vt abditarum etiam rerum complures inuenirent: & inde proueniebat, vt illis temporibus rerum inuentionibus maxima fieret accessio. At verò ex his posterioribus tam philosophis, quàm medicis nonnulli, gloriæ quidem cupidi, desperantes verò, vt par est, eius se posse fieri compotes, quibusdam versutijs impliciti fuere. Alij autem quum propositas sibi cauillas diluere non possent, è duobus alterum passi sunt: nam vel illis perinde ac veris acquieuere, vel arbitrati sunt æquum esse, vt de omnibus dubitaremus. Et nimirum circa causas à græcis procatarcticas, quasi præincipientes, vocatas (nos forsitan non ineptè antegressas appellare possemus) aliquod etiam reperitur sophisma, quod in causa fuit, cur priores, alios quidem ex his, qui successere, in dubitationem ducerent: alios verò ad id, vt illi assentirent, adducerent: ita vt eam contemplationem, quæ ipsa per se, & sufficiens & necessaria est, quamque longam artem Hippocrates nominauit, istis suis his mirabilibus captionibus longiorẽ reddãt. Tu verò ô Gorgia, quum huiuscemodi medicos derideas, præsertim autem nuper, dum videres quendam delusum, atque ab ipsis huius artis operibus redargutum, efflagitasti à me, vt de antegressis causis, seu procatarcticis, quas etiam antiquorum complures, occasiones vocant, commentarios tibi scriberem: ob id enim censuerunt eas esse morborum occasiones dicendas, quod in primis imbecillitatem corporum animalium monstrant. Nullus etenim, qui bono constet corporis habitu, si vel secundum crura frigeat, vel calore æstuet, vel præter modum exerceatur, vel tristitiâ, vel alia huiuscemodi re afficiatur, statim etiam ægrotat. Sed huiusce generis causæ sola inualida corpora commouent, & inde (vt quidem arbitror) præstitæ sunt sophistis occasiones argumentorũ, dum probare nitũtur, quod si aliquando non obsunt, non sunt etiam, quum imbecilles rãgunt, pro veris causis habendæ. Quia si eâ sint naturâ, vt agant, ex se vim haberent agendi, neque ab inualidis corporibus haberent, vt effectrices viderentur, quod tamen secus est; videmus siquidem mille simul in theatro sedentes, è quorum numero A quatuor tantum æstuant, & in eis vnus à febre arripitur, nec plures. Quemadmodum & Menandrum familiarem nostrum pridiè vidimus: qui quum à stadio post certamen exiret, cõquerebatur, quòd secundum caput doleret, & paulò post cœpit febre teneri. Illum nos secunda die visentes, iussimus (vt nosti) caput rosaceo oleo foueri, mox dormire, postmodum impensè lauari, nihil timentes, si aliquæ adhuc reliquiæ febris viderentur relictæ; cæteris tamen medicis censentibus expectandum tantisper, donec videretur qualis foret inuasio, quæ B per tertiam diem solet inuadere, Græci diatriton dicunt. Habitis igitur verbis multis, quorum gratiâ hæc à nobis literis mandari rogasti; dum neque nos vnquam illos, neque illi nos de sententia mouere potuissent, ægrotanti facultate permissâ, vt quod ille mallet, eligeret, omnes vnà recessimus. Sed paulò post accessit ad nos quidam ex Menandri domesticis rogans, vt ad illũ rediremus, id quod fecimus. Nam neque adeò erat Menander rudis, vt eas rationes, vel non apprehenderet, vel non cognosceret eas, quæ veriores sint, esse efficaciores, C vel ignoraret etiam iudicem dissidentium rationum esse in primis experientiam: nec obliuioni præterea mandauerat ea quæ peracta erant, quando iuuenis ille, qui ex labore febricitauerat, balneis adhibitis, reclamantibus tamen medicis aliis, confestim integritati restitutus est. Sed & alium (vt te non latet) qui diceret se præ æstu febre fuisse arreptum, balneis pluribus sanaui. Qúmque cæteri timerent, & faterentur se ignorare qualis esset futurus euentus morbi illius in iuuene, qui iam delirabat, ego subridens, non multò post, inquam, fluorem sanguinis è naso patieris, & sic omnino à morbo liber euades. At illi irridebant, aiebantque, nequaquam hæc diuinari posse; verùm statim è dextra nare sanguis defluxit. Sed & sudorem, qui deinde superuenit, prædixi, & copiosam alui deiectionem, & vomitum, & multa etiam alia, quæ ad naturam, & curationem morborum attinent. Illi autem eò absunt, vt credant posse quippiam tale opus perfici, vt vatum potiùs, quam medicorum munus esse putent, huiuscemodi præsagire. Non ergo eis ille credere debebat, qui etiam mihi dixit, eorum se nullũ à principio aduocasse; sed illi hoc etiam inter alia mirabile agunt, quod neque etiam accersiti ægrotos adeunt. Tu verò (ait ille) me doceas quo me velis modo rosaceo vti, quibus etiam cibis à balneo vesci; ob id ipsum enim te rursus vocaui. At ego his, sicut tunc mihi visum est, institutis, ad alium accessi ægrotum, qui parum ab vrbe aberat; & mox alterâ die rediẽs, reperto homine absque vlla omnino febre, iussi iterum lauari, & copiosè etiam, & deinde

solitas aggredi actiones, & sic ea omnia obiuit munera, quæ sibi ex natura debentur, famoso illo non expectato diatrito. Nosti præterea & alium adolescentem, qui penè consilio huiuscemodi medicorum deperiit. Is siquidem biliosissimus, nec non & calidissimus erat, atque iter per æstum, locáque profunda ac arenosa, concitato motu fecerat, & ita exiccatus in gymnasium se contulerat (nam ex iis erat, qui ea exercitatione delectabantur) Vbi post frictiones, & vnctiones alter adolescens illi ætate par, obuiam factus & amplexus, eum iterum exagitauit, ita vt iam, & frictionum oblitus, & quòd inunctus esset, colluctauerit diutius. Moxque tertiò quum se lauisset, domúmque rediret, illi oblata est occasio maioris erroris. Occurrit nanque quibusdam amicis, qui inter se rixabantur, iámque ad verbera deuenerant, quos dum ille diuellere conatur, adeò exiccatus est, vt horrere statim cœperit, vtrique sibi videretur; tandem domum perlatus decubuit. Sed quum in istorum medicorum manus incidisset, illi inuasionem tertiæ diei expectari iussere; nobis tamen consulentibus, vt quamprimum vberrimè lauaretur, & cibus quàm humidus administraretur. Tu verò probè tenes, quòd quum tertiæ diei inuaderet exacerbatio, ille pulsu penitus carebat, & frigebat, nec se aut mouere, aut transferre poterat. Præ siccitate autem viriúmque imbecillitate, neque os, neque linguam mouere, neque vel modicum quid loqui potis erat. Necessitate igitur eâ famulus ipsius compulsus, nos adiit rogans, vt quamcelerrimè accederemus, & opem adolescenti ferremus. Quem accedentes tabe confectum vidimus, & postea vix diebus pluribus valetudini restituimus; & tu, qui interfuisti, hæc omnia scis; id enim medicis omnibus videbatur esse præter omnium opinionem, quum ab antiquorum nemine scriptum reperiatur; & censebant hoc nostræ potius esse temeritati ascribendum, velle ante accessionem cibum, atque etiam vinum adolescenti offerre. Sed & os quandoque illi vi aperiebam, vt cibum ingererem. Quum verò ille se meliùs habere cœpit, ante inuasionem ab exhibendo cibo me continebam, vt animaduertere posses, quo pacto ille dissolueretur, frigidúsque & propè sine pulsu redderetur. His tamen sic etiam peractis, vix potui illis medicis, qui aderant, persuadere id ipsum fuisse, vinum inquam cibúmque ante inuasionem obtulisse, quod adolescentem superstitem seruauit. Illi autem ex me sciscitabantur, qua tandem ratione id agerem; erat enim illis hoc admirationi. At ego existimabam non esse par, vt illis responderem, qui in ipsis statim artis initiis aberrarent, vtpotè quum & quæ sint elementa animantium, & qualis morbus febris sit, ignorent. Verùm in aliis literarum monumentis de his disseruimus; neque operæpretium est, vt pleniorem de his sermonem habeamus, quæ sunt præter institutum, quanuis sint etiam vtilia, quàm de iis de quibus loqui instituimus. Nobis enim proposuimus nullius, præterquàm vtilium rerum per hos libros meminisse, imò ea omnia remouere, quæ malè se habent, eos imitantes, qui vias veteres spinis ac sentibus obsitas, depurgant. Nam neque illis is erat scopus, vt spinas, & sentes resecarent; sed dum ad negotia sua properarent, puncti ab his syluestribus plantis, coguntur primùm ea abscindere, & ita deinceps ad id, quod sibi inter initia proposuerant, redire. Quòd si non modò spinis, & vepribus via sit intersepta, sed hamis quoque, & aliis preterea, quæ illi possint esse impedimento; multum ille, qui eam purgaturus est, tempus conterere cogetur. Porrò in hac nobis in præsenti propositâ contemplatione, nonnulla reperiuntur sophismata; quæ spinarum similitudinem gerunt, quædam verò veprium, alia hamorum, à quibus, incautus si quis ceciderit, statim capietur. Et proinde non secus odio habendi sunt illi, qui huiuscemodi sophismata consuunt, quę beneficę arti impedimento sunt, ac illi etiam, qui ea in viis, per quas homines frequentes transeunt, seminant. Nos itaque & horum nonnulla rescindamus, aliqua emendemus, alia conteramus, vt antiquam viam, quæ non ad ciuitatem, sed ad artem omnibus ciuitatibus vtilem, fert, expurgemus. Primùm igitur eos, qui nunquam inter morborum causas immodicum frigus, vel æstum, vel repletionem, vel alia eiusce generis, numeranda censent, interrogemus, quânam illi sapientiæ ratione, aut quâ opinione inducti, ista nobis suadere velint. Num ex his, quę hîc in terra degunt? Atqui nemo nostrum est, qui mediâ ęstate, circa meridiem, præsertim sub ortu canis, si in calidis regionibus ventis non expositis, quo maxime tempore venti qui per annum flare solent, nulli feruntur, se offendi non animaduertat, ac fugiat. Quòd si immoderatiores æstus omni carerent offensione, quis vnquam esset frigidarum domorum vsus? quæ frigidarum aquarum commoditas? quę vini, aut balnearum delectatio? quid sibi præterea vult declinatio ea, quum eo tempore ad vmbrosiores domos diuertimus? nam quis tunc non hortatur ad vtendum vino moderatè, vt via ad pulmonem humecta reddatur? Vnde si citra quodlibet periculum possemus ęstui nos exponere, superuacaneum esset ab eo fugere. Cur ergo mulieres pileum non abiiciunt? cur bubulci, atque etiam pastores cæteri coronas ex virentibus ramis non deponunt? Nullus tandem viator contecto capite iter faciat. Careant etiam conuiuia æstiua hederâ, careant coronis ex rosis contextis; fugiamus cætera, quæ nobis æstuosis temporibus solatio esse solent; doceamus pastores, bubulcosque, ne solem meridie fugiant, ne etiam ad vmbrosa, & aquilonibus exposita loca pecudes conducantur. Cur enim hæc fugienda, si molestiâ carent? Cur etiam his, quæ nullum afferunt incommodum, remedia quærimus? Nunquam sanè ista illis persuadebis, neque poteris vnquam cætera, quæ à natura sunt procreata, ita docere, quin ea, quæ ex natura contristant, sint fugienda. Dic quæso tu, vnde huc accedis? ex quo tandē mundo exortus es? nonne hîc omnia vsquequaque animantia suis functionibus deliramenta hæc tua redarguunt? quippe quæ per multa stadia peregrinantur, vt æstate calorem, frigus verò hyeme fugiant; & quæ præterea fugere nequeunt, æstum, ac frigus locorum mutatione, cauernisque & similibus habitaculis, vel tectis declinant. Ego autem libenter vellem, ô sophista generose, vt tu æstate mediâ, oriente cane, in regione aliquâ humili, nullis peruiâ ventis stares, nudo capite, neque etiam per totam diem, vel subinde per multos, sed vnico tantùm, imò tribus solummodo horis, illis tamen meridianis. Nam non modò vrereris, febréque laborares; sed delirares, exanimareris quoque. Neque malum præterea esset, si hyeme mediâ, niuosis temporibus, & plurimùm pluuiosis, nec ita modò, verùm exiens ex tepidioribus balneis; sentires siquidem, quid frigus possit, & quas etiam causas morbus sequatur. Neque possum non admirari, quum tu balnea

tu balnea damnas, ceu non rectè administrata. Nam quid aliud est malè balneas administrari, nisi eas non habere temperatum calorem? vel cur etiam eas damnas, quæ quòd sint iusto calidiores, vel frigidiores, temperiem excedunt, si nihil nos possumus à calore, vel frigore lædi? aut cur ii, qui in balneo concluduntur, mortem obeunt? cur etiam multi in itinere ex frigore antequam ad hospitium peruenire potuerint, interiere? Nisi forsitan verum quidem esse putas aliquos ab immoderatioribus caloribus, vel frigoribus posse mori, non tamen ab his ipsis quenquam posse lædi, quasi possit quispiam absque vlla læsione mori. Profectò hos iniquos sophistas deceret, vt sub terra se absconderent, vel saltem prę pudore prauas has opiniones desererent. Hi tamen adeo ab hoc absunt, vt subinde etiam non vereantur, vt alia quoque sophismata, quæ & absurditate, & impudentiâ maiori referta sunt, prioribus annectant. Dicunt enim se contendere, non quidem, quòd ab huiuscemodi rebus non lædantur homines, sed quòd non sint nocumenti causæ; quia si causæ existerent, semper eandem haberent rationem. Oportet autem nos dissoluere hosce nodos, quorum vis non in rebus est, sed in verbis; quia si aliquid sit, quod possit quidem nocere, verùm non semper sit morbi causa, & tu nolis, quia aliquando solùm noceat, & aliquo tempore, causam appellare; iam non ampliùs de re erit quæstio, sed de nomine tantùm erit ea cauillatio. Dic ergo id sanè nocere, nec tamen esse nocumenti causam; & noxium appella, illius tamen appellationis rationem nega. Noxium siquidem, sicut & salubre, nuncupatio quædam. Istius verò nuncupationis nulla alia ratio est, nisi quia nocumenti causa est. Vnde si quispiam horum, quæ à te proferuntur, ignarus sit, & illi dixeris aliquod esse noxium, intelliget ille, quod nocumenti causa est. Dices, quod mihi nocet non est omnino noxium, causa enim semper causa est. Atqui saltem quum nocet, necesse est fateri, esse causam nocumenti corpori, cui nocet; & idipsum est, quod nos quærebamus. Nam quemadmodum si semper noceret, semper causa esset nocumenti dicenda; ita quum non semper, sed aliquando noceat, tunc quoque solummodò causa dicetur; quòd si tu hoc volueris vocare noceri, nihil hoc ad rem faciet; lis enim erit tantummodo de nomine. Quòd si quæras, quid igitur est de re ipsa litigare? De re, inquam, est quæstio, quum quærimus si is homo, qui nunc febrit, id passus sit à nocumento sibi à solis æstu, vel à gelu, vel ab immodicis exercitiis illato. Disserere verò an id, quod nocuit, sit appellanda causa, vel ne, non est ea amplius dissertatio de re, sed de verbis: & si quis his assentiet, nihil propterea medicinæ oberit, non tamen hæc sunt admittenda. Possumus nos quidem, & sine vllo ferè negotio, explicare, quid hoc nomen, causa, significet; & ea res adeò exigua est, vt nullus ferè in hac lingua educatus illius ignoret significatum. Si enim quempiam se in forum conferentem interrogaueris, quânam ille de causâ domo exierit, aduerte quid ille respondeat; dicet etenim, quòd aliquid empturus, vel amicum conuenturus, vel aliquid aliud huiusmodi, ita vt semper insinuet id, quod sibi opportunum est, causam fuisse. Vnde hæc omnia ad idem genus attinent, siue id dicas propter quod aliquid factum est, siue vtilitatem generationis eius, siue finem, siue scopum (nam nec quicquam inter hæc interest) semper nimirum te velim id intueri, quod dicitur, non autem semper de vocabulis esse sollicitum. Quòd si alia quoque exempla desideras, pete à fabro, qui lignum perforat, vel dirigit, vel dolat, vel conglutinat, propter quam causam id efficiat; ille statim respondebit, lecticæ causâ, vnde & ipse scopum suæ actionis causam vocat; quem vbi est assecutus, vniuersa actio desinit. Nec secus etiam textor, si eum interrogaueris, cur fila staminis deducit, vel lanam pectit; propter id respondebit, quod suæ actionis finis est; affirmabit enim se omnia indumenti gratiâ facere. Quòd si rursus, quam ob causam indumentum fecerit, ab eo petas; dicet ille, vt corpus contegat, & à frigore tueatur, & id genus causæ quàm maximè omnibus est in vsu. Est & aliud non minùs hoc consuetum, quum causam in materiam referimus; vnde si reprehendatur faber, quòd paruam fecerit lecticam, statim ille id lignis attribuit; figulus verò terræ, & pictor coloribus. Quis enim est, qui non frequenter homines audiat, quum petitur, cur lignorum compagines in lectica dissolutæ sint, aut cur floridus picturę color citò defloruerit, quid etiã fuerit in causa, quòd ædes citò corruerint; respondentes, fuisse id, quoniam ligna viridia erant, quę subinde, quum aruere, distorta sunt; quod etiam optimorum colorum copia pictorem defecit; ædificator verò ait, quod vel calx, vel lutum, vel quippiam aliud his simile praua fuere. In omnibus siquidem his materiam causamur. In his etiam instrumenta ponimus. Si enim causam quæris, cur faber lecticam malè coagmentauit, qui tamen non esset malus artifex; ille statim respondebit, quod prauè affecta erat dolabra, terebellum crassum, limâ & malleo carebam, securis etiam erat obtusa. Pari etiam pacto si ex librario petas, cur non rectè scripserit; dicet ille, chartam asperam extitisse, atramentum verò fluidum, pennam autem obtusam, defuisse etiam cultellum quo ipsam rectiùs formaret. Is etiam, dum chartæ & atramenti meminit, materiam profert; dum pennæ & cultelli, instrumenta. Sed quis est præterea qui ignoret, quod etiam ipsos artifices culpamus, tanquam causas errorum, qui in opificiis committuntur; tunc in primis, quum nihil habemus, quod possit in instrumentorum defectum referri? Præstantium quoque opificiorum causam fuisse artifices profitemur. Dicimus enim quod is (vtpote Phidias) statuam illam effecit, alius verò Iouis Olympici simulacrum; necnon & medicum sanitatis, quam in ægrotis efficit, causam, & gubernatorem nauis, quam à procella seruat. Dicimus etiam causam esse nauis illum, qui eam construit; & idem de lectica, carpento, & similibus. Vt tandem duæ quidem sint primæ causæ, atque maximè principales, scopus, inquam, cuius gratiâ fiunt omnia, quæ fiunt, & effector à quo ea fiunt. Has dignitate sequuntur tertia, & quarta, instrumenta nimirum quibus, & materia ex qua. Porrò in humanis artibus, nisi causæ omnes conueniant, nullus vnquam effectus absolui poterit; nam nisi aliqua esset lecticę vtilitas, nunquam faber illam construeret. Sed si aliqua sit illius vtilitas, careat verò dolabrâ, serrâ, terebello, aliáque instrumentorum suppellectili, neque sic lecticam coagmentabit; & si hæc illi omnia pręstò sint, & mox ligna deficiant, neque ita componetur lectica. Neque si instrumenta, & materia parata sit, & vtilitas vrgeat, absit autem artifex, vnquam quicquam

fiet. Et hoc in omnibus aliis artibus pariter inuenias. Omnes siquidem alicuius gratiâ agunt, egent etiam tum instrumentis, tum materiâ. Quòd si aliquando secus fiat, tunc vnico videntur genere causæ orbata, eo inquam, quod dicitur cuius gratiâ fit, quod in his accidit, quæ casu fiunt; ea quippe nullius gratiâ fiunt; deficit tamen quandoque & id per quod fiunt. Per quod autem est instrumentum, sicut propter quod est vtilitas generationis rei; à quo, est artifex; ex quâ, est materia. Et iam quidem hoc constat, nihil vnquam reperiri posse, quod materiâ non egeat, ex qua constet, & efficiente à quo fit; nec aliquod reperias, quod contra se habeat. Semper etenim necesse est vt sit conuentus alicuius patientis, quod vicem materiæ habeat, & alterius, quod circa ipsam agat & efficientis rationem teneat, & hoc eget nonnunquam instrumento, si alicuius gratiâ egerit. Agit tamen aliquando etiam sine instrumento, quum nullius gratiâ agit. Nempe si quis calcitratus in pugna inde fuerit mortuus, qui calcitrauit, causa effectrix (vt ita dicam) mortis fuit, instrumentum autem crus fuit, materia corpus illius, qui fuit calcitratus; & si id ex proposito ille fecit, causâ alicuius id effectum est; quod si non alicuius gratiâ factum est, illud in fortunam referendum est. At quum ex frigore continentis aëris, vel æstu læditur quispiam; aër continens effectrix causa est, materia corpus, quod afficitur. Quare nunquam speraueris te posse aliquem reperire effectum, nisi efficiens, & materia coeant; ablato enim eo, quod patitur, ex quo fiat id, quod faciundum est, quî poterit esse efficiens à quo fiat? Vnde oportet vt hæc vtraque aliquid ad generationem rei conferant; quæ autem ad generationem conducunt, meritò causæ appellandæ sunt. Iam enim omnes homines causas appellant, quæ ex sui natura ad rei generationem aliquid afferunt; Potes autem tu, vel causam nominare, si libet, vel principium. Verùm in omnibus his aliquid istis oppositum reperies, quod tamen per accidens est. Faber nempe, terebellum, & lignum ad vasis generationem aliquid ex sui natura conferunt. Statim enim vt id constructum est, poteris intueri lignum, & foramina, quæ terebello fuere à fabro facta. At locus, vbi iacebat lignum, vnde à fabro fuit ad hoc opus assumptum, & aër qui id in orbem comprehendebat, causæ dicentur, non primùm, sed per accidens; & quia artifex homo erat, eum aliquo contineri loco necesse est. Quod quum ita sit, nec præterea opus sit intercedere inter ipsum & lignum corpus quod solidum sit, obsisteret enim ne ille in id agere posset: necesse fuit vt illud, quod inter vtrunque medium est, aut inane, aut si secus, saltem corpus sit, quod cedat; qua ratione, & aër aliquid ad vasis generationem affert. Hæc verò magis tibi euidentia videbuntur, si cogitaueris artificem, perinde ac ipsa natura facit, per vniuersam permeare materiam, dum agit; non autem vti nos, qui exteriùs tantummodo eam attingimus. Tunc enim satis erit apertum, nullum tunc loci vsum fore ipsi opifici, nisi illius fortè, quo materia continetur, neque aëris in orbem circumfusi, neque inanis. Quapropter sæpè in lapidibus, atque etiam in terra gignuntur animantia, vbi eundem penitus locum opifex occupat, & ipsum opificium. Indiget itaque faber, vt agere possit circa lignum, spatio intermedio, quod non impediat, non eâ ratione qua artifex, sed qua corpus est, quod alium ab eo, qui materiam, quæ

A efficitur, continet, locum occupat. Hæc nimirum ex accidenti sunt, & tanquam ea sine quibus non. Ea verò, quæ ex accidenti sunt, quatenus præsentia sunt, nihil ipsa operantur; videntur tamen eâ ratione adiuuare, quod dum ea adsunt, ab eo loco, ea quæ obsistere possunt, procul sunt; vnde magis valent, si absuerint, impedire actum, quàm quum præsto fuerint. Solidum quippe corpus interiectum inter fabrum, & ipsum lignum, impedimento est, quò minùs faber possit circa lignum operari; quod si de medio tollatur, ex accidenti consequitur, vt B aër in illius locum subeat; quum enim nusquam in hoc mundo inane consistere possit, locus, quem solidum illud corpus dereliquit, inanis omninò persistere nequit, sed aëre, qui in orbem id continebat, defluente repletur. Constat igitur, fabrum aëre ex accidenti indigere. Palàm prætereà est, quòd qui ambulat, substrato corpore solido eget, cui nitatur; alio verò circunfuso, quod cedat. Non sunt tamen hæc illi opportuna, quà ambulans est, sed quà corpus est, quod deorsum, hoc est versus mundi centrum, fertur; quodque rursum in sublimè ambulando nequit ferri, citiùs enim deorsum versus terram delaberetur. Sed neque anteriùs pro- C grederetur, eo à quo continetur, illi non cedente. Quapropter rectè illi, qui hæc pertractauerunt, dixere hæc ipsa potiùs rationem rei tenere, sine qua aliquid fieri non potest, quam quòd causæ sint generationis eius. Porrò ambulationis causæ sunt ipsius vtilitas, vis animalis, atque etiam crura. Causæ verò sine quibus id fieri nequit, externæ, corpus circunfusum cedens; interiùs verò, alterum quod resistat. Iam itaque vniuersum de causis sermonem absoluimus, & explicauimus quæ illæ sint, quotque, & quales, & quo modo inter se, tum etiam ab iis, D quæ per accidens, vel sine quibus non, differant. Quòd si nolit rursus sophista fateri fabrum esse causam generationis lecticæ, respondeat quæso, num fateatur saltem factam esse lecticam à fabro; si verò id concesserit, an posteà de appellatione adhuc disputabit? Si enim vel quod ex se facta sit respondeat, vel quòd ab eo, vtroque modo delirare redarguetur: quia si dicat ab aliquo quidem factam, de appellatione tamen voluerit mox disputare, nónne primùm verecundabitur, quòd non de re aliqua, sed de nomine est sua ipsius lis? Deinde totam quoque vitam euertit, & confundit. Vt enim dixerit fabrum fecisse quidem lecticam, non fuisse autem illius causam, nonne, perinde ac si quis concedat aliquem alium quempiam occidisse, illum ta- E men nolit fateri fuisse causam mortis istius, putabitur extremâ insaniâ teneri. Libentissimè verò audirem illum coram iudicibus loquentem, atque ita dicentem. Viri qui iudices constituti estis, fatetur quidem Dion se occidisse Tiphonem, nec tamen putandus est Dion extitisse causa mortis illius. Profectò si id, quod quippiam facit, est etiam eius causa, conuincetur Dion fuisse causa mortis Tiphonis; quòd si alius sit à quo fit aliquid, & alius est rei illius causa, ille, à quo occisus est hic, non fuit mortis istius causa, nec reus ipse habendus est, F & proinde absoluetur, qui conuinci non poterit fuisse causa mortis. Sed quis non iudicabit hæc esse deliramenta, & insaniam longam? Quare satius erit iam his relictis, alia aggredi horum deliria, vt quod præterea superest viæ purgemus.

CAPVT

CAPVT II.

Aduersus Erasistratum, qui procatarcticas quidem causas admittebat, sed negabat habendas in numero causarum.

EST & alter sophistarum chorus, qui sanè concedunt aliqua fieri ac interire, lædíque & alterari, atque etiam horum omnium aliquas existere causas putant; mox tamen verentur concedere procatarcticas, id est, antegressas, appellandas esse causas, vtpotè qui nolint ab æstu, vel à frigore, neque à plenitudine, neque à labore fieri vnquam morbos. Quorum amentia mihi magis miranda videtur, quam priorum, qui eas omninò, ac si non sint, negant: istorum enim sophisma occasionem aliquam à mutata appellatione illius nominis habet; illorum verò penitus sophisma est, imò, si verè loqui liceat, potiùs circunuentio. Quia si hi existimant aliquid esse causam, hoc addidisse deberent, an ea materia, circa quam id agit, impatibilis sit, an verò patiatur. Quod si ipsi impatibilem esse affirmauerint, ne materiam quidem seruabunt; hoc enim est esse materiæ, vt ab efficiente patiatur, atque facilè ab eo regatur. Si autem fateantur materiam pati, nunquam ampliùs negabunt, quin hæc quidem magis, illa verò minùs patiantur; nam causæ quæ in eam agunt materiam, aliquæ sunt fortiores, aliquæ imbecilliores comparatione materiæ. Quæ omnia vbi illi concesserint, quæ deinde ratio afferenda erit, cur è mille, qui in theatro aderant, quatuor tantummodo fuerint à febre arrepti? num hos tantum à Solis calore comburi contigit? Nam si non modò decem, sed vnus solummodo in febrim sit illapsus, nihil hoc absurdi secum habet; quid enim vetat quò minùs hic solum idoneus fuerit, vt in eo temporis spatio ab ea affectione læderetur, aliorum nonnullos ob corporis bonum habitum æstum omninò neglexisse, aliquos verò imbecilliores quidem fuisse, quàm vt possent se ab æstu omninò tueri, verùm fuisse opus longiori interuallo temporis, vt ea læsio in febrem desineret? Sed nos iam illum introducamus, qui primus adeò fuit in his impudens, & ipse suismet verbis loquatur, quæ in hunc se habent modum; *Causas sanè febrium primùm, atque etiam nunc sciscitari solent, & ab ipsis ægrotis audire volunt, an is morbus ex frigore, vel labore, vel plenitudine, vel alia simili causa originem habuerit; qui nec verè, neque vt conuenit causas morborum inquirunt. Etenim si frigus febris causa esset, qui magis refrigerantur, magis febre tenerentur; sed hoc non ita est; multi siquidem, qui ad extremum vsque periculum præ gelu deuenere, mox ab eo seruati, absque vlla febre permansere. Nec secus etiam in labore, & plenitudine fieri videmus; in fortioribus enim quidam laboribus versati, maiorique repletione graues, nunquam febrem passi sunt.* Hæc sunt Erasistrati verba in primo libro de febribus. Hæc verò ipse ita impudenter proferre coactus est, vt suum dogma sequeretur, sicuti paulò post exponemus. Sed de Erasistrato non tantum mirandum est (ipse enim gloriæ cupiditate adductus, multa ex iis, quæ à prioribus tradita sunt, innouauit, multa etiam diruit) quantũ de iis, qui ipsum sequuti sunt, illius siquidem gloriæ ipsi minimè erant participes. Vnde si isti hæc consultò agunt, manifestè insaniunt; si verò secus, admodum ignari sunt, quippe qui ipsam veritatem non agnoscentes, facilè decipiuntur. Porrò huius dissolutio sophismatis, neque multam etiam dialecticæ disciplinæ peritiam exposcere videtur; sic enim ait ipse; *si refrigerari febricitandi causa est, qui magis refrixerit, ille magis febricitabit.* At res hæc non ita se habet. Quia si effectrix causa ipsa id absque patiente apto efficere posset, qui magis refrigerarentur, magis quoque febricitarent; at si frigus non omni corpori febrem afferre potest, sed illi tantum quod paratum est ad hoc, tunc non ampliùs erit necesse, vt qui frixerunt magis, magis quoque febricitent; imò facilè reperias aliquos, qui ne semina quidem febris concipiant; quæ verò sint febris semina, non spectat ad nostrum in præsenti institutum. Sanè nulla cogit necessitas, vt febricitare magis sequatur eos, qui magis refrigescunt; potest nanque & id euenire, vt qui magis refrigeratur, magis febriat; potest etiam & omninò secus, sed & tertium accidere potest, quod magis, inquam, quis refrigeretur, & minus febricitet; & quartum quoque fieri potest, vt magis refrigeretur, pari verò febre arripiatur; & præterea potest, qui magis refrixit, nullâ teneri febre; potuit siquidem quispiam nihil quidem febricitare, verùm fieri attonitus, vel torpidus, vel tremulus, vel conuulsione apprehendi, vt accidit Alexandro, dum tempore æstiuo in Cydno Ciliciæ flumine se lauaret. At verò, nec illud etiam re verâ confici potest, vt qui magis frigescit, magis quoque lædatur; nempè id sequeretur, si ille pari modo aptus esset; tunc nimirum, si magis frigeret, magis læderetur. Porrò nec id etiã sequitur, vt si magis lædatur, magis febricitet, quum aliquando contingat, vt aliquis magis lædatur, qui tamen non modò non magis, sed nec omninò febricitet. Quia si nocumentum omne in solam desineret febrem, vbi maius esset nocumentum, ibi maior quoque adesset febris; quum autem multi sint nocendi modi, qui possunt eos, qui refrigerantur, alii alios sequi, falsum esse multifariàm monstrari potest, quod qui magis refrigescit, magis febricitet. Quòd si non est necesse, vt qui magis friget, magis febricitet, vel magis nocumentũ subeat; fatuum erit dicere, quòd idem homo, quum magis riget, magis etiam vel febricitat, vel magis læditur. Esset quidem necessarium, si ipse eodem esset affectus modo, sicuti priùs, vt quando magis rigeat, magis sit febri obnoxius; sed si secus, nulla ampliùs necessitas est, vel magis febricitare, vel magis lædi. Hæc profectò Erasistrati dictio, eo libro descripta, praua omninò est, quippe quæ sophismati occasionem & fidem potiùs præstat, quam quod illud dissoluat. Sed mihi admodum temerarii complures videntur, qui nunquam in logica disciplina versati, ita vt ne ea quidem sophismata, quę fallaciam in promptu, & omnibus expositam habent, possint discernere; audent tamen de veris decretis aliquid statuere, & deinde similes illis videntur, qui ambigunt, an motus omninò sit, quoniam rationes, quæ de eo afferuntur, intelligentiâ consequi nequeant. Diogenes verò Cynicus rationes illorum, qui motum negabant, appositè satis deludebat; quum enim hac de re interrogaretur; Miror equidem (aiebat) cur si motus non sit, nautæ quotidie clamant, ad Rhodum, ad Cnidum, ad Co. Et ipse ne tentabat quidem huiuscemodi diluere sophismata, quæ aduersantur iis, quæ euidentia sunt. Dialectici verò in his potissimum versantur. Ipsi etenim rationem statim falsam esse cognoscunt, ex eo quod repugnat iis, quæ manifestò conspiciuntur; mox verò inquirunt, num in proloquiis, vel in figura lateat fallacia; & si in proloquiis, an in omnibus, an in aliquibus, an in vno,

& quo etiam modo. Quòd si in figura, hîc quoque inuestigant, vbi error commissus sit, & vnde ratio habet, quod quanuis sit falsa, veri tamen similitudinem ingerat; neque enim iudicant par esse aut omninò tutum, velle eas rationes examinare, quid, inquam, veri contineant, antequam in iis, quæ apertè falsa sunt, fuerint exercitati. Nos autem sæpè vidimus multos homines, qui quum per hanc artificiosam viam incedere nolint, neque etiam per compendiariam illam Diogenis, etsi subinde diiudicare velint falsos sermones, id nec rectè, nec perfectè facere posse. Porrò si sint philosophi Cynici, nullum quidem, quod abditum sit, aggrediantur, præsertim si illis, quæ manifestò apparent, videatur aduersari; quin & rationes eas, quæ istis contrariæ sunt, omninò spernant, adeò vt neque velint exquirere, quâ parte fallant. Si verò sint Dialectici, statim paruo etiam negotio hasce captiones agnoscent. Verùm ipsi vtraque de causa culpandi sunt, nimirū & quòd adeò temerarii sint, vt in eas rationes, quarum sunt imperiti, se ingerere velint; & quod ea omninò obliuioni tradiderint, quæ manifestò apparent. Sed velim recorderis, quòd non modò viri sapientissimi, verùm etiam rustici omnes bubulci, cæterique pastores, imò & ipsæ pecudes, gelu, & calorem immodicum fugiunt; nonne multi ob horum excessus interiere? an forsitan tu solus inter mortales, ex balneis malè administratis nunquam læsus es? Non potes, Erasistrate, eas rationes dissoluere, quæ afferuntur contra causas procatarcticas; & non modo has, sed nec illas etiam, quæ contra motum, quæ contra demonstrationem; nec eas, quæ contra doctrinam, vel disciplinam, vel inquisitionem, vel inuentionem; nec etiam eas, quæ contra horum causas afferuntur. Num igitur hæc omnia erant à te, tanquam non entia, spernenda, vel potius fides iis, quæ euidentia sunt, præstanda erat, vt si quid ab aliquo fiat, hoc illius causam appellemus? Num ab immodico frigore, vel immodico æstu, nihil fit? at ob vtrunque moriuntur multi. Num moriuntur quidem, non tamen læduntur? qui fieri hoc vnquam potest? Num etiam ab aliis forsitan causis quis lædi potest, vt præ æstu, vel gelu nunquam à febre possit inuadi? Oportet sanè attendere ea quæ quotidie fiunt; res etenim hæc non eget demonstratione; quum plerunque videamus nocumentum, quod ex æstu est, vel in febrem desinere, vel in quippiam aliud simile; & illi (vt ego quidem puto) qui memores sunt eorum, quæ ob hæc quotidie eueniunt, eos derident, qui in hunc modum delirant. Quidam se in theatrum contulit, quum nullum in corpore sentiret incommodum; sed vbi Soli ardenti caput exposuit, illud paulatim & calidius, & plenius redditum est; mox cœpit dolere, & exuri, subindéque secundum vniuersa tempora dolens discessit; qui postea difficultate tenebatur cutem, quæ circa frontem, & caput est, mouendi, aridamque eam sentiebat, & paulò post febris illum adorta est. Sed medicus die sequenti accedens, capútque omphacino oleo frigido, vel rosaceo etiam perfundens, & administratis balneis, illum sanitati restituit. Quid quæso putas quempiam vel vulgarem existimaturum de tuo hoc sophismate? Quid præterea, si videat aliquem qui probè quidem concoquat, nec vllo alioqui symptomate teneatur, nisi quod post exercitationem, ex litigio quodam rursum exerceri adhuc magis coactus, cœpit articulos calidiores sentire, & paulò post totum etiam corpus aridum, & inæquale; quod dum mouere vellet, videbatur suboriri sensus, quasi vlcerosi cuiusdam doloris, moxque febricitauit; sed peritus medicus inclinante febre, adhibito balneo ipsum pristino & assueto victui restituit. Putasne igitur illi vnquam persuasum iri, non posse quenquam ex labore febricitare? At mirabitur quispiam fortassis, cur nulli vulgari homini hæc Erasistratus persuaserit, medicis verò non paucis persuadeat. Sed id quidem mirandum non videbitur, si audierit eorum plures asserentes, potiùs patriam prodendam, quam proprium dogma. Cur ergo tempus perdimus, dum Erasistratiorum dogmata redarguimus? huiuscemodi enim deliramentorum ea vnica causa est, quòd qui putat omnem febrem sequi phlegmonen, oportet, vt mox exponat, quo modo ille, qui ex exercitio in febrem illapsus est, paulò post ratione victûs institutâ liber euasit. Non erat autem verisimile rem ita succedere, si plegmone adsit; atque longè etiam minùs, quòd ex ciborum, ac vini oblatione id contingat. Vnde illi duorum alterum erat necesse; vel vt nihil ex his immutaret, quæ ex ratione priùs tradita fuerant, vel vt ad sophismata conuerteretur. Primum autem ille nequaquam poterat perferre, quippe qui sibi hoc persuaserat, si vsquequaque antiquos imitaretur, apud omnes in nulla se gloria futurum; vnde coactus postea est secundum aggredi, & mendacia, cauillásque confingere. Nec modo in his Erasistrato ac eius sectatoribus necesse fuit cauillari, verùm & in illis, quæ de hypostasi in vrina tradita sunt. Nam si suos assuefacerent discipulos in dignoscenda, discernendáque hypostasi, quæ purulenta est, ab ea quæ subinde in sanis conspicitur, redarguerentur facillimè ex iis in primis, quæ videmus, quum phlegmone in suppurationem versa soluitur per purulentas vrinas. Neque enim illis similes sunt, quæ solutis febribus excernuntur. In iis, siquidem id quod residet album est, neque fœtorem habet, neque colorem etiam, quem purulentæ retinent, neque lentorem. Ne ergo apertè conuincantur, se deridere eos præ se ferunt, qui hæc obseruant, & eos tinctores appellant, qui aliquid ex vrinâ percipere volunt, quos supposititiâ etiam vrinâ sæpè decipiunt. Et hæc omnia agunt, vt admirandum illud dogma defendant, quod omnes febres ex phlegmone fiant. Ob id etiam neque frigidam aquam potandam illis concedunt, qui ardente febri tenentur; eâ enim opportunè exhibitâ, confestim sudant, liberique à morbo euadunt. Et tu, Gorgia, nos id sæpè effecisse intuitus es, quum nulla obstabat viscerum inflammatio, tunc enim maximam febrem soluit frigidæ potus. Hi igitur, nequaquam bibenda est, aiunt, vt omnia ea declinemus, quæ nostram subuertere sectam valent. Sed & alia præterea artis huius auxilia reiecerunt, quippe qui timeant, ne ex illis redarguantur. In quo ordine reposuere etiam rationem causarum procatarcticarum, quum minimè monstrare possint, quo pacto homine exæstuante, vel laborante, vel irato, vel mœrente, transfusio ea sanguinis fiat in arterias, quam ipsi παρέγχυσιν vocant. Vnde varias rationes contexunt, sophismata machinantur, commentis quibusdam excogitatis illis insidiantur, qui eò accedunt, vt artem benignam, & vitę opportunam addiscant. Quibus ex tot horum insidiis secus, ac ipsi sibi priùs proposuissent, euenit; dum enim rudes essent, & imperiti, communes omnium

notiones

notiones seruabant, & iis, quæ manifestò apparent, credere assueuerant; mox verò adeò ab istorum mirabilibus sophismatis peruertuntur, vt adducantur ad id, quod non ampliùs rebus manifestè apparentibus credant, eorum nodos soluere nescientes. Hoc etenim admirandum commentum contra suos discipulos excogitauere huiuscemodi medici, vt neque eos permittant soli insistere experientiæ, neque ad rationem adhortantes, ad dialecticos remittant, vt eos his irretitos sophismatis detineāt. At illi, qui nullam vnquam adhibuere exercitationem in dissoluendis sophismatis, hos præceptores quasi deos admirantur. Tu sanè nosti, quod nōnulli, qui à quadam veluti aduersa fortuna ad tales medicos delati sunt, fatentur sæpè, quod dum in memoriam reuocant ea, quæ ipsi aliàs passi sunt, assentiuntur, quod ex æstu, aliisque huiuscemodi, febres accendi possint; at quum ea, quæ ab Erasistrato literis mandantur, perlegunt, statim sententiam mutant. Qui, si alicui præceptori artis dialecticæ perito adhæsissent, facillimè eius fallacias agnoscerent, vbi ipse inquit, quod multi in longè maioribus versati sunt laboribus, atque in maiori plenitudine fuere, quàm ii, qui febricitauere, & tamen ab omni morbo liberi permansere. Sed quæso, num propterea quod qui in maioribus laboribus versati sunt, nullâ sunt arrepti febre, non potuere alii minùs laborantes in febrem incurrere? Sed in medium proferamus nos aliquem oratorem, defendentem quendam pugilem, qui quod pugno vetulam percusserit, vnde illa mortua est, ab aduersariis accusetur, & in iudicium trahatur; vbi ab actore probatur, quòd ille eam percussit, quodque ea mortua est; fingamúsque rei patronum, hoc modo cauillis Erasistrati confisum, illum defendere. Vos, ô iudices, millies hunc hominem in stadio pugnantem vidistis, ac maximis aduersarios plagis pulsantem, vicissimque ab illis pulsatum, nec tamen is ab illis, aut illorum aliquis ab hoc, interfectus est. Non ergo quod percusserit, causa mortis extitit; quia si percuti in causa esset, quod quis moreretur, qui vehementiùs percuteretur, citiùs moreretur; quod quidem falsum est, quum iste maximas intulerit, ac etiam pertulerit plagas, nec ipse mortuus inde est, nec alium interfecit. Quis igitur credat, quod ex illatâ plagâ non admodū etiam magnâ, obierit anus? Nimirum si ex plaga non immodica posset quis mortem oppetere, hic qui alioqui plurimis & validioribus plagis expositus fuit, è vita iam multoties decessisset. Quid obsecro facturos iudices, si talia audierint putatis? nónne irridebunt palam tam patronum, quam reum, qui huiuscemodi patronum protulerit? Nam nemo meherclè est, qui non comprehendat, quod robur athletarum multas potest, vel etiam validas spernere plagas, quum tamē anus præ virium imbecillitate, ne mediocrem quidem & vnicam possit ferre. Is sanè orator solis vsus sophismatis Erasistrati, nec iudices decipere, nec aliquid obtinere poterit. Accedat autem alter orator isto quidem peritior, qui inspectâ vetulâ à iuuene percussâ, respirante adhuc, paulò post tamen moriturâ; affinibúsque ipsius illum homicidii accusantibus, à quo illum defendere velit, & ita dicat. Si hic totum ferè vitæ tempus, tum feriendo, tum ictus perferendo transegit, nec vnquam, vel ipse interfectus, nec ex aduersariis quenquam interfecit, non est profectò ipsi causa mortis istius vetulæ tribuenda, sed potiùs eius imbecillitati. Nam si vnica plaga

A mortem inferre posset, longè magis, & multæ, & validiores inferrent; quod tamen non ita est. Quare si vetula mortua est, ob suam mortua est imbecillitatem. Hic quidem orator multò est priore præstantior, qui non modo reum videtur causâ velle absoluere, verùm & illam aliò transfert; nihil tamen & ipse efficiet, quum necesse sit tandem fateri, quod anus percutiente iuuene mortua sit. Attamen Erasistratus nec isto etiam dicendi modo vsus est, quo sæpè nostri vtuntur, vt nimirum causam eius, quod æstum, vel frigus sequitur, in ipsam tranferret rationem rerum patientium. Primo enim occursu ratio

B ea, quæ ex translatione causæ depromitur, plurimùm videtur audienti efficax, qui tamen si illi mox institerit, diligenterque perpenderit, inueniet aliquid in ea afferri, quod congruere non videatur. Nam oportet tandem asserere, quod is affectus ex conuentu amborum nascatur, frigoris inquam, ac imbecillitatis rei patientis, siue modò affectus sit ex iis quæ sponte & casu proueniunt, siue ex iis quæ plurimùm; semper enim & frigus cum imbecillitate patientis concurret. At hoc nihil decretis Erasi-

C strati fauere potest; vtcunque etenim fateamur frigus, æstum, laborémque aliquid ad febrem facere, statim interrogandus erit, quo id fiat modo. Vnde quum ipse respondere nequeat, necesse est ipsum non parum turbari; neque enim hoc leue est, rationabili interrogationi respōdere non posse; sed longè adhuc grauius est, ab huiuscemodi rebus omnibus suppositiones ipsius coargui. Etenim qui in æstu versatus est, is febrem sentit; quæ in capite primum exorta, in vniuersum corpus mox diffunditur, tanquam à lare, vbi accensa est; alter verò, qui plurimum laborauit, ab articulis accensum calorem in

D reliquum corporis transmitti. Quis enim est qui si plus iusto ambulauerit, nō sentiat sæpissimè ex motu crura calefieri? quæ si adeò subinde calescant, vt vnà partes cæteras calefaciant, perueniente tandem calore in viscera, necesse est febrem exoriri. Quæ quidem febris in huiuscemodi rebus manifesta est cunctis hominibus, quippe cuius substantia ex abundantia caloris constat; sed & id constat ex procatarcticis causis, labore inquam, calore, & istiusmodi cæteris augmentū illi præstari. At vtrunque negat Erasistratus, qui neque febris intellectum seruat, nam & eius substantiam acceptaret; ait verò, quòd semper quamcunque febrem phleg-

E mone præcedit. Si enim ipse eundem huius affectûs, quem cæteri omnes, intellectum teneret, easdem etiam causas generationis illius teneret; moxque ab experientia res, quæ euidentes sunt, doctus ipse, ab iis exorsus ad alia accederet; sed nihil ille haberet posteà, quod de Hippocrate dicere posset. Vnde omnis illum sermo defecisset; ipse verò aliquid dicere sibi necessarium esse putabat, hoc siquidem illi constitutum erat. Quare constat, quod illi necesse fuit multa innouare, & sophismata ad-

F uersus ea, quæ euidentia sunt, comminisci; vnde etiam nos cogimur in his Erasistrati captionibus immorari, ac si nullum aliud nos negotium detineret. Habuit itaque aliquam causam Erasistratus, vt diximus, cur non concederet, quod causa nocumenti ex infirmitate est eorum, quibus nocetur: vt enim hoc concesserit, & præterea aliquid omninò fieri à causis procatarcticis, statim vniuersa ipsius de febribus decreta corruent manifestè, eorúmque absurditas apparebit. Porrò causæ notio aliquid videtur in se confusi, & indeterminati continere; &

propterea alii quidem dixere causam nihil in se habere, quod melius sit, aut præstantius; alii verò, in quibus sunt Empirici, dubii fuere sitne causa necne; alii verò, vt Herophilus, acceperunt quidem causam esse, sed ex hypothesi. Sed illi, qui tanquàm principem Erasistratum sequuti sunt, ex ordine causarum procatarcticas remouent; has autem omnes nomine mutato, & confictis rationibus, occasiones appellant. Attamen si concedamus, quòd vtilitas rei quæ fit, ab hominibus causa vocetur; quodque & effectrix, quæ principium dicitur, vnde fit; & cum his materia atque organa; facilè deprehendetur quòd ii cauillantur, dum aiunt, procatarcticas non esse causas; imò hinc omnia ea pendent, quæ perperam de causis prolata sunt. Inde enim ipsi conficere volunt, nullam esse cuiuspiam rei causam, quod nullum ex iis, quæ quippiam efficere dicũtur, in omnem materiam agere videatur. Nequaquam tamen hoc illud est, quod inde conficitur, sed id potiùs, quod nulla causa sola ipsa absoluta, & perfecta esse possit; materia siquidem semper effectricem causam, & effectrix materiam aptam, exposcere videtur. Superius autem iam monstrauimus, quod ea, quæ ab Erasistrato contra procatarcticas causas adducta sunt, nullã aliunde, quam ex mutatione huius vocis, causæ scilicet, habent verisimilitudinem; apertiùs tamen id ipsum ostendetur, si ipsa eius verba ascripsero. *Si refrigerari causa febris esset, qui magis refrigerarentur, magis essent febri obnoxii.* Vbi nos ea quæ Erasistratus consultò omisit, addentes, rationem vniuersam absoluamus; & ostendamus, quod propter id, quod ab ipso prætermissum est, accidit sophisma. Vt id igitur videatur, sit vniuersa eius series hæc; *si refrigerari sola esset febricitandi causa, tunc qui magis refrigerarentur, magis febricitarent.* At non est, ô Erasistrate, ea sola febricitandi causa, refrigerari inquam; verum opus est patiente naturâ, vt qui magis refrixit, magis febricitet; sicuti quum dicimus, quòd ille, qui magis calcitratus fuit, magis quoque læsus fuerit. Profectò, etsi ea istorum ratio solis causis procatarcticis videatur aduersari, omnes tamen in vniuersum causas oppugnat. Vnde non esset admodum difficile, si modo sophistæ resipiscere vellent, eis ostendere, quomodo vniuersa hominis vita vtatur nomine causæ; facilè etiam erit, omnem in his ambiguitatem, ea quæ manifesta sunt sequendo, de medio tollere. Sed hæc ipsa etiam res palàm tibi faciet, quòd nullus vnquã ita sibi cauere sine dialectica disciplina potest, quin decipiatur. Et proinde medici, qui ab experientia Empirici dicti sunt, ea quæ in vita hominibus eueniunt, sibi obseruanda proponentes, ab horum tamen sophismate deuicti sunt ita, vt dubitarint de procatarcticis causis, & de iis nihil pronunciare ausi sint; qui adeò tamen sapere visi sunt, vt concesserint aliquam omninò causæ rationem in procatarcticis seruari. Erasistratus verò, qui eas omninò subuertit, palàm est, quod nullam eorum ipse rationem habet, quæ vel ratione, vel experientiâ reperta sunt. Vnde si in alicuius Erasistratii medici manus quis inciderit, ex æstu, vel labore in febrem illapsus, necesse erit, vt tertium, & quartum diem expectet; quum tamen possit citra tertium benè se habere; possit etiam alioquin in longiorem morbum, vel etiam in grauius incidere periculum, quemadmodum illi adolescenti, de quo iam meminimus, contigerat. Oportet itaque non hæc tantummodò animaduertere, sed omnes etiam quantumlibet simplices sophistarum sermones. Etsi enim hoc satis videtur exiguum, non vti nimirum in omnibus ratione, sophistæ tamen semper nouissima quæque sectantur. Vellem autem te in hoc quoque libro exerceri, si tibi dandam operam dialecticæ putas.

CAPVT III.

Aduersus Erasistrati sophismata, quibus repletionem nullius esse morbi causam monstrare conabatur.

POteram hæc sanè ad hos sophistas redarguendos satis esse, verùm quoniam eos omninò confutare instituimus, iccircò rursum reuertamur ad Erasistratum, qui vnà cum cæteris procatarcticis causis, repletionem etiam tollit, ac si illa nunquam vllius morbi causa sit. Ait enim ipse, quod ea est veluti materia, quæ nullius morbi proxima causa est, nisi aliquid aliud interim agat, sicut omnes pro comperto habent. Oportet siquidem, vt ex eorum, quæ comeduntur, vel bibuntur ingestione, in venis aliqua gignatur plenitudo; ab ea verò (vt ipsi græci aiunt) paremptosis (quasi incidentiam dicas) in arterias; in præsenti enim ex suis decretis hunc sermonem instituimus. In hac verò paremptosi cor vehementiùs spiritum mouet, & sanguinem, vt expellat ad extremas arteriarum partes, vbi ea conculcata phlegmonen pariunt. Materia igitur ea est, quę mediâ plethorâ, seu plenitudine, & paremptosin facit, ac tandem conculcationem. Sed si ita est, quanuis plethora non sit prima phlegmonis causa, quum tamen illam in ea causarum consecutione, tam ordine, quam tempore primam admittant, dum à repletione plethoram (sic enim ipsi nominant venarum plenitudinem) fieri autumant, à quâ mox fieri aiunt paremptosin, subinde verò conculcationem, & phlegmonen; nescio, cur postea non audeant affirmare repletionem esse morbosam causam, & de nomine posteà litigent. Hæc verò videtur maior illius, quàm in alia quapiam re fuerit, impudentia, nimirum quod concedat repletionem plethoram efficere; hanc verò, sanguinis paremptosin ad arterias; & hanc, phlegmonen; & postea nolit, his hoc modo constitutis, concedere repletionem phlegmonis causam existere. Nam & nos pari pacto dicemus, quod qui plagâ homini illatâ venas colli secuit, non extitit illi causa mortis; quomodo autem? quoniam causa proxima, & materia fuit, non ille qui percussit, sed sanguinis potiùs effusio. Vnde accersamus oratorem aliquem Erasistratium, qui velit percussorem ab homicidii crimine eripere, & hoc modo dicat (vtamur verò definitis nominibus, vt res clarior fiat) Non est Orestes causa mortis Clytemnestræ; mouit enim ille manus quidem, nam id nos fatemur, quod manu sua ille hoc fecit; manus verò Orestis, non ipse Orestes, ensem mouerunt; vnde iam ex hoc Orestem insontem esse ostendimus. Sed ex alio etiam magis; nam ab ense præterea incisæ sunt venæ in collo, non ab Orestis manibus; fuit postea in causa effusionis multi sanguinis sectio venarum, non Orestes. Quod verò mors Clytemnestræ à venarum sectione, & sanguine multo effuso prodierit, neque ab iis, qui accusant, negari arbitror. Quare non est putandus Orestes fuisse causa mortis Clytemnestræ, quum nequeant accusatores

tores nostri monstrare, quòd idem sit Orestes & multi sanguinis effusio. Quòd si hæc non sunt vnum & idem, & iam pro confesso habetur, quòd horum alterum fuerit mortis causa, relinquitur alterum nulli ampliùs crimini esse obnoxium. Quo modo ergo volunt isti, simul & fluorem sanguinis, ac etiam Orestem, fuisse mortis causam, quum minimè fuerit Orestes causa cur sanguis fluxerit, sed potiùs venarum sectio, sicut istius, ensis? Quòd si vos propterea culpare Orestem velitis, quia eius propositum causa fuerit, cur ille ensem mouerit, videte ne eadem etiam ratione Clytemnestram criminis ream efficiatis. Vnde quotiescunque effectûs alicuius primâ proximâque causâ repertâ, hac non contentus, aliam voluerit quis antiquiorem istâ inquirere, & illâ aliam, illi profectò res hæc in infinitum abibit. Cur igitur non sit satis, attulisse causam mortis Clytemnestræ fuisse sanguinis profluuium? Verùm si tu vlterius prouectus dicas; At non esset sanguis effusus, nisi venæ fuissent sectæ, nec illæ incisæ, nisi ensis fuisset admotus; nec is admotus esset, si manibus Orestes illum non tractasset; neque manus id effecissent, nisi sibi illud Orestes proposuisset; nos quoque pari modo vlteriùs progressi, de hac re, sicuti & tu fecisti, disseramus, quum possimus hoc afferre, quod neque Orestes esset, nisi illum Clytemnestra genuisset; quo deinde fiet, vt sit necesse affirmare, Clytemnestram ipsam sibi suæ mortis causam fuisse. Sed poteramus nos statim in prima assignata causa persistere, nec vlteriùs eousque sermone prouehi, quòd videretur Clytemnestra fuisse suæ mortis causa. Vnde talis profectò videtur is orator, qualis ille, qui nos docet, quod si semel cœperimus impudentes esse, nulla nos sophismatum copia deficere possit. Sed item nobis permittatur, vt liceat in exemplum secundum afferre iudicium. Accusatur medicus, quod exitiale medicamentum dederit; dedit autem illud puero cuiusdam mulieris, quę illi, vt id emeret, mandauerat; illa verò posteaquam venenum id habuit, iussit, vt seruus, qui priuigno ministrabat, illud ipsi offerret; quo assumpto, ille mortuus est; vnde omnes damnati sunt, nouerca, & ille qui venenum obtulit, & ille qui emit, & præterea medicus, qui venenum vendidit. Accedat itaque orator ab Erasistrato instructus, & dicat. Quòd mortuus quidem puer sit, nemo negat; non est tamen à puero, qui venenum exhibuit, interfectus, sed à medicamento potius; Est etenim præter rationem omnem, quum causam apertam habeamus, id velle in hominem innoxium referre; neque enim idem est homo, & medicamentum, sed diuersa sunt hæc. Quòd si propinatum medicamen mortem peperit, cur ampliùs oportet alteri esse molestos? longèque minus culpanda est nouerca, quæ venenum misit, vel ille, qui illud attulit. Sicuti si quis alicui funem tradidit, qui postea, facto laqueo, se suspendit, vnde necatus est, iustum minimè est, vt ille accusetur, qui funem vendidit. Is itaque orator si ab Erasistrato edoctus, & in dicendo callidus fuisset, hęc omnia susque deque versando, potuisset forsitan iudicibus persuadere, vt medicum absoluerent; sed nullam ille habuit cum Erasistratiis consuetudinem, qui in disceptando vehementes admodum sunt, dum nos docent, quòd repletio non est morborum causa. Quis ergo ampliùs erit, qui nos præterea vetet cibo, potúque repleri? cur quispiam nos ab incoctione auocat? cur non exercemur? cur victûs rationem, qui suo constet ordine, laudamus? Hæc omnia à nobis reiicienda sunt, quum ita ab Erasistrato didicerimus. Negligamus æstum, frigus, quemadmodum & vigilias; hæc enim primùm pituitam gignunt & cruditatem; facilè autem cruditas negligi potest, quæ aliquâ ratione nihil possit officere; nam neque ex cruditate febris oriri potest, omnes siquidem cruditatem passi febricitarent; neque conuulsio, nam conuellerentur, qui cruditatem passi essent; sed neque membrorum resolutio, nec quisquam morbus alius: eadem enim est eorum omnium ratio. Et proinde prædicare meritò præclarum hoc Erasistrati inuentum possumus, atque eius admirari benignitatem, qui nos eâ vanâ superstitione, quâ nos omnes tenebamur, liberauit, quæque nostram vitam lædebat plurimùm. Ne igitur ampliùs timentes laborem, prohibeamus, quominus quis se totam diem, & noctem exerceat; nec etiam ab æstiuo Sole quenquam abigamus; neque serui indumentis vtantur, neque nobis calceamentis est amplius opus. Stultum enim est, quòd suspectum frigus habeamus, vel æstum, vel laborem, vel vigilias, si hæc nos lædere nequeunt. Neque erunt mox hi increpandi, qui se cibo nimis replent, vel qui inebriantur, si vana ea est opinio, quòd possint ex repletione ægritudines fieri. Cur ergo non delendi sint antiquorum tum medicorum, tum philosophorum libri, qui cruditates, repletiones, refrigerationem, ęstúmque damnauere? Cur Erasistrato aurea statua Delphis non sit collocanda, & plurimæ illi gratiæ referendæ, qui hæc nos docuerit iusseritque, tanquam illi, qui prę tot viris gloriosis & raris primus veritatem adinuenerit? Neque enim Diocles, neque Polybus, neque Hippocrates potuit vnquam huiuscemodi rationes contra gelu, & æstum, laborémque & repletionem inuenire, vt hæc omnia omninò negligamus. Secus præterea philosophis videtur. Aristoteles enim, Theophrastus, & ante hos Democritus, & Empedocles, & multi præterea ex minoribus philosophis, consulunt, vt ab excessibus caueamus. Solus verò Erasistratus noluit quicquam horum esse à nobis timendum. Est ergo ipse vti Deus adorandus. Ego autem quàm libenter hoc vnum, si possem, ab eo sciscitarer; at non possum, quum iam vita functus sit; si tamen viueret, facillimè nos forsan doceret, à qua inquam re nobis cauendum sit. Ego enim, si neque ab æstu, neque à gelu mihi timendum sit, neque à labore, neque à crapula, neque à vigiliis, neque ab ira, neque à mœrore, facilè sperauerim me posse assequi propemodum immortalitatem. Et fortassis neque verendum est, quòd me quispiam interficiat, vel sumpto veneno intercam; ab aliis enim omnibus, quæ priores timuere, nullus mihi videtur timor imminere, ab iis siquidem omnibus operâ Erasistrati ereptus sum. In reliquum ego neque balneum tanquam malè administratum damnabo; neque caput, vel pedes cooperiam; nil amplius domibus in hyeme, vel indumentis calidioribus, erit opus; non ciborum, vel potuum moderatione, vel eorum quæ externa sunt. Horum itaque omnium gratiâ Erasistratum, vt Deum, colamus.

CAPVT IV.

Aduersus Herophilum, qui nullam dari causam censebat.

QVemadmodum autem nobis de Erasistrati sapientia, quam in suis præ se fert rationibus, mirandum est, ita Herophilus de timore damnandus; qui quum de causis omnibus ipse multis, & validis rationibus dubitauerit, demùm illum inuenimus dicentem, *Sic hominibus multis videtur.* Hoc verò maximam videtur ostendere timiditatem, relictâ ratione, hominum sequi opinionem. Ait igitur ipse; *an verò causa sit, vel non, ne inueniri quidem potest; refrigerari autem, æstuaréque, ac cibo impleri, quadam potius opinione constare videntur.* Sed rationes illæ, quæ ex nominis mutatione assumptæ sunt, caput hoc in dubium reuocarunt; & illæ præterea, quæ ex modo, quo gignuntur ea, quæ quomodocunque sunt, depromi solent; & hæc insuper, quâ quæritur, si sit alicuius rei causa, quæ incorporea existens, alterius corporis opifex sit; vel ipsa corpus existens, incorporeæ rei sit effectrix; an etiam ipsa mota, moti, vel potius manentis; præterea an præsens præsentis, vel præsens futuri. Et postea, vt ea omnia, quæ ex ea partitione inuenta sunt, prosequutus est, quæ tamen nequeunt probari, tandem infert, non esse rei alicuius causam aliquam. Ipse enim sic inquit; *aut causa corporis incorporea est, aut corporea;* & cætera quæ ex partitione recenset; *manifestum autem, quòd nullum horum sit; & proinde causa omninò esse non potest.* At tu sophista generosissimè non animaduertis, quòd vniuersam hominis vitam subuertere potes eo modo argumentando in iis etiam, quæ manifestò apparent. Nam quum videmus aliquid, fit illud, quoniam vel ab iis, quæ videmus, aliquid egrediens ad oculos nostros peruenit; vel ab oculis aliquid exit, quod ad id fertur, quod à nobis videtur; vel id quod à nobis exit, illi occurrit quod ab illis egreditur, & hæc mutuò se tangunt, & ita videmus; vel neque ab illis ad nos, nec à nobis aliqua ad illa feruntur loco aliquo, sed sensus per medium, quasi per baculum, fit; sed nullum istorum est, neque primum inquam, neque secundum, neque tertium, neque quartum; vnumquodque enim horum multifariàm in quæstionem trahitur; vnde sequitur, quòd non videamus. Potest & hoc idem alio modo probari, si distinguamus; aut tam id quod videt, quàm id quod videtur, corpus est; aut incorporeum est quod videt, corpus verò, quòd videtur; aut contra; aut vtrunque incorporeum: ac deinde vnoquoque horum demonstrato, quod verum non sit, inferat quispiam nos non videre. Potest & idipsum alio modo trahi in dubium, vt distinguat aliquis, quòd si rei cuiusquam in nobis sensus excitetur, oporteat, quòd vel quiescens moti sensum moueat, vel motum quiescentis, vel quiescens quiescentis, vel motum moti; mox autem ostenso, quod nullum horum sit rationi consonum, astruat nos nihil videre.

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΟΠΩΝ ΤΩΝ ΚΑΤΑ ΑΝΘΡΩΠΟΝ, ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS DE LOCIS IN HOMINE, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Περὶ τῶν τοῦ σώματος κατὰ γένος μορίων τινά· περὶ τῶν αἰσθήσεων τῶν ἔξωθεν· περὶ τῶν φλεβῶν τὰ πλεῖστα· περὶ τῶν νεύρων, καὶ τῶν ῥαφῶν, καὶ τῶν ἄρθρων, καὶ τῶν ἄλλων μορίων· περὶ τῶν ῥόων, καὶ τῶν πυρετῶν, καὶ τῶν ἑλκῶν, καὶ τῶν ἄλλων νοσημάτων· καὶ περὶ τῆς μεθοδικῆς τῶν βοηθημάτων πλείστων χρείας.

ARGVMENTVM LIBRI.

De corporis partibus in genere quadam; de sensibus exterioribus; de venis plurima; de neruis, suturis, articulis, aliisque partibus; de fluxionibus, febribus, vlceribus, aliisque morbis; ac de methodico auxiliorum plurimorum vsu.

A

CAPVT PRIMVM.

Corporis, circuli, ac morborum principium ac finis; morbis aridiora corpora magis obnoxia, minùs humidiora; proprium partis alicuius affectum, affectus per consensum, & secundarios excitare; interseptum humorem fluxionum & morborum causam esse; à primogenito morbo curationis principium ducendum; partium cognatio, consensio, communicatio; partis vnius affectu, vniuersum corpus affici.

B

PRINCIPIVM *corporis mihi quidem nullum esse videtur, sed partes omnes peræquè principium, omnesque finis. Descripto nanque circulo, principium non inuenitur. Eademque ratio morborum in toto corpore. Quod enim siccius est, morbos suscipere, magisque laborare consueuit; humidum verò, minùs. Morbus enim qui in sicco est, impingitur, neque cessat. Qui verò in humido,*

C

diffluit, & aliàs aliam præcipuè corporis partem occupat, & semper commutando quietem facit, celeriusque sedatur, quod non impactus. Vnaquæque verò corporis pars altera alteri, quum hinc vel illinc proruperit, statim morbum facit, venter capiti; & caput carnibus, ac ventri; & reliquæ omnes eadem ratione, quemadmodum venter capiti, & caput carnibus ac ventri.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἡ τοῦ σώματος, καὶ κύκλου, καὶ νοσημάτων ἀρχὴ καὶ τελευτή· τὰ ξηρότερα σώματα τὰς νόσους λάζεσθαι καὶ πονεῖν μᾶλλον, τὰ ὑγρὰ ἧσσον· τὸ ἴδιον τινὸς μορίου νόσημα τὰ κατὰ συμπάθειαν νοσήματά τε καὶ τὰ δεύτερα ποιεῖν· τὴν ὑγρότητα ἀποφρασσομένην τῶν ῥευμάτων καὶ τῶν νοσημάτων αἰτίαν εἶναι· ἀπὸ τῆς πρωτογόνου νόσου ἀρκτέον τὴν θεραπείαν· ἡ τῶν μορίων συγγένεια, καὶ συμπάθεια, καὶ κοινωνία· τῇ τοῦ ἑνὸς μορίου διαθέσει τὸ ἅπαν σῶμα διακεῖσθαι.

ΕΜΟΙ δοκέει ἀρχὴ μὲν οὐδεμία εἶναι τοῦ σώματος, ἀλλὰ πάντα ὁμοίως ἀρχὴ, καὶ πάντα τελευτή· κύκλου γὰρ γραφέντος, ἀρχὴ οὐχ εὑρέθη. καὶ τῶν νοσημάτων [1] ἀπὸ παντὸς ὁμοίως τοῦ σώματος. τὸ μὲν ξηρότερον, πεφυκὸς [2] νόσους λάζεσθαι, καὶ μᾶλλον πονέειν· τὸ δὲ ὑγρὸν, ἧσσον. τὸ μὲν γὰρ ἐν τῷ ξηρῷ νόσημα πήγνυταί τε καὶ οὐ διαπαύει· τὸ δ' ἐν τῷ ὑγρῷ, διαρρέει, καὶ τοῦ σώματος ἄλλοτ' ἄλλο μάλιστα ἔχει, καὶ ἀεὶ μεταλλάσσον, ἀνάπαυσιν ποιέει, καὶ θᾶσσον παύεται, ὥστε οὐ πεπηγός. τοῦ δὲ σώματος τὰ μέλεα ἕκαστα τὸ ἕτερον τῷ ἑτέρῳ, ὁπόταν ἔνθα ἢ ἔνθα ὁρμήσῃ, νοῦσον παραυτίκα ποιέει· ἡ κοιλίη τῇ κεφαλῇ, καὶ ἡ κεφαλὴ τῇσί τε σαρξὶ καὶ τῇ κοιλίῃ· καὶ τἄλλα πάντα οὕτω κατὰ λόγον, ὥσπερ ἡ κοιλίη τῇ κεφαλῇ, καὶ ἡ κεφαλὴ τῇσί τε σαρξὶ καὶ τῇ κοιλίῃ.

ἡ γὰρ κοιλίη ὁπόταν ὑπεκχώρησιν μὴ ποιέῃ τὴν μετρίην, καὶ ἐσίῃ ἐς αὐτὴν, ἄρδει τῇ ὑγρότητι τὸ σῶμα τῇ ἀπὸ τῶν σιτίων τῶν προσφερομένων· αὐτὴ δὲ ἡ ὑγρότης ἀπὸ τῆς κοιλίης [3] ἀποφραττομένη, ἐς τὴν κεφαλὴν ὡδοιπόρησεν ἀθρόη· καὶ ἐς τὴν κεφαλὴν ἐπὴν ἀφίκηται, οὐ χωρουμένη ὑπὸ τῶν τευχέων τῶν ἐν τῇ κεφαλῇ, ῥέει ᾗ ἂν τύχῃ, καὶ περὶξ τῆς κεφαλῆς, καὶ ἐς τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου· καὶ ἡ μὲν ἐν τῷ ὀστέῳ ἐνδέδυκεν, ἡ δὲ περὶ τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου. καὶ ἢν μὲν ἐς τὴν κοιλίην πάλιν ἀφίκηται, τῇ κοιλίῃ νοῦσον ἐποίησεν· ἢν δ᾽ ἄλλῃ πῃ τύχῃ, ἄλλῃ νοῦσον ποιεῖ. καὶ τἄλλα οὕτως, ὥσπερ τοῦτο, τὸ ἕτερον τῷ ἑτέρῳ νοῦσον ποιεῖ. καὶ κάλλιστον οὕτως εὐτρεπίζειν τὰ νοσεύμενα, διὰ τῶν τὰς νούσους ποιεόντων. οὕτω γὰρ ἂν κάλλιστα τὴν ἀρχὴν τοῦ νοσευμένου τις ἰῷτο. τὸ δὲ σῶμα αὐτὸ ἑωυτῷ τωὐτόν ἐστι, καὶ ἐκ τῶν αὐτῶν σύγκειται· [4] ὁμοίως δὲ οὐκ ἔχοντος καὶ τὰ σμικρὰ αὐτοῦ, καὶ τὰ μεγάλα, καὶ τὰ κάτω καὶ τὰ ἄνω· καὶ εἴ τις βούλεται τοῦ σώματος ἀπολαβὼν μέρος κακῶς ποιεῖν τὸ σμικρότατον, πᾶν τὸ σῶμα αἰσθήσεται τὴν πεῖσιν, ὁποίη ἄν τις ᾖ, διὰ τόδε, ὅτι τοῦ σώματος τὸ σμικρότατον πάντα ἔχει, ὅσαπερ καὶ τὸ μέγιστον. τοῦτο δ᾽ ὁποῖον ἄν τι πάθῃ τὸ σμικρότατον, ἐπαναφέρει [5] πρὸς τὴν ὁμοεθνίην, ἕκαστον πρὸς τὴν ἑωυτοῦ, ἤν τε κακὸν, ἤν τε ἀγαθὸν ᾖ. καὶ διὰ ταῦτα καὶ ἀλγεῖ, καὶ ἥδεται ὑπὸ ἔθνεος τοῦ σμικροτάτου τὸ σῶμα· ὅτι ἐν τῷ σμικροτάτῳ πάντ᾽ ἔνι τὰ μέρεα, καὶ ταῦτα ἐπαναφέρουσιν ἐς τὰ σφῶν αὐτῶν ἕκαστα, καὶ διαγγέλλουσιν πάντα.

A *Quum enim venter moderatam deiectionem non fecerit, & in eum cibus immittatur, assumptorum ciborum humore corpus irrigat; ipse verò humor à ventre interseptus, confertim ad caput viam molitur. Quumque ad caput peruenerit, à capitis vasis haud exceptus, fluit quocunque sors tulerit, & in capitis ambitum, & in cerebrum per os tenue, & partim quidem os subit, partim verò circum cerebrum per os tenue. Quòd si ad ventrem rursus quidem se contulerit, ventri morbum inducit. Si verò in aliam quampiam partem decubuerit, ei ipsi morbum facit.* B *Ita etiam reliquæ partes vt hæc, altera alteri morbum inducit. Atque sic optimum fuerit ægrotantium partium per eas, quæ morbos faciunt, ad curationem accedere. Sic enim quam optime quis ægrotantis principio medebitur. Corpus autem ipsum sibiipsi idem est, & ex eisdem constat. Etsi non eodem modo se habent eius partes magnæ & paruæ, itémque inferiores & superiores; siquis tamen interceptam corporis partem minimam malè afficere velit, eam affectionem, qualiscunque tandem fuerit, totum corpus sentiet, propterea quòd minima corporis pars eadem habet omnia, quæcunque & maxima.* C *Eáque minima pars quicquid tandem pertulerit, ad cognationem & gentilitatem refert, vnaquæque ad suam, siue bonum, siue malum id fuerit; ac propterea corpus ob minimæ partis cognationem tum dolet, tum oblectatur, quòd in minimâ partes omnes insint, eæque ad ea quæ sui sunt generis singula transferunt, & omnia denunciant.*

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς ἀκοῆς, καὶ ὀσφρήσεως, καὶ ὄψεως· καὶ τῶν αὐτῶν ὀργάνων, καὶ φλεβῶν· περὶ τῶν τριῶν ὀφθαλμῶν μηνίγγων· καὶ δυοῖν τῆς κεφαλῆς· περὶ τῆς τῶν φλεβῶν ἀπὸ τῆς κεφαλῆς διαδόσεώς τε καὶ κοινωνίας· περὶ κοίλης φλεβὸς διαδόσεως· ὅθεν ἀκαρπία, ἡ τῆς ὄψεως ἀπόσβεσις, καὶ βλάβη, καὶ τάραξις, καὶ τοῦ αἵματος οὔρησις.

CAPVT II.

D De auditu, odoratu, ac visu; eorumque organis, ac venis; de tribus oculorum membranis; & cerebri duabus; de venarum à capite distributione, & communicatione; de venæ cauæ distributione. Vnde infœcunditas, visionis extinctio, læsio, turbatio, sanguinis mictus.

ΦΥσις δὲ τοῦ σώματος, ἀρχὴ τοῦ ἐν ἰητρικῇ λόγου. πρῶτον διατέτρηται ᾗ ἐσακούομεν. τὰ μὲν γὰρ περὶ τὰ ὦτα περὶξ κενεὰ, οὐκ εἰσακούει ἄλλο ἢ ψόφον καὶ ἰαχήν· ὅ, τι δ᾽ ἂν διὰ τῆς μήνιγγος ἐς τὸν ἐγκέφαλον ἐσέλθῃ, [6] τοῦτο διαφραδέως ἀκούεται ταύτῃ. καὶ μούνη τρῆσις διὰ τῆς μήνιγγός ἐστι τῆς περὶ τὸν ἐγκέφαλον περιτεταμένης. κατὰ δὲ τὰς ῥῖνας τρῆμα μὲν οὐκ ἔνεστιν, σομφὸν δὲ, οἷον σπογγιά, καὶ διὰ τοῦτο διὰ πλέονος ἀκούει ἢ ὀσφραίνεται· κατὰ πολὺ γὰρ σκίδναται ἡ ὀδμὴ τῆς ὀσφρήσιος. καὶ ἐς τοὺς ὀφθαλμοὺς φλέβια λεπτὰ ἐς τὴν ὄψιν ἐκ τοῦ ἐγκεφάλου διὰ τῆς μήνιγγος τῆς περιεχούσης φέρονται. ταῦτα δὲ τὰ φλέβια τὴν ὄψιν τρέφουσι τῷ ὑγρῷ τῷ καθαρωτάτῳ τῷ ἀπὸ τοῦ ἐγκεφάλου, ἐς ὃ καὶ ἐμφαίνεται ἐν τοῖσιν ὀφθαλμοῖσιν. ταῦτα δὲ τὰ φλέβια καὶ ἀποσβεννύασι τὰς ὄψιας, ὅταν ξηρανθῶσιν. μήνιγγες δὲ τρεῖς εἰσιν αἱ τοὺς ὀφθαλμοὺς φυλάσσουσαι· ἡ μὲν ἐπάνω, παχυτέρη· ἡ δὲ διὰ μέσου, λεπτοτέρη· ἡ δὲ τρίτη, λεπτὴ, ἡ τὸ ὑγρὸν φυλάσσουσα. τουτέων ἡ μὲν ἐπάνω καὶ παχυτάτη, νοῦσος, [7] ἢν κωφωθῇ· ἡ δὲ διὰ μέσου ἐπικίνδυνος αὐτὴ, καὶ ὅταν ῥαγῇ, ἐξίσχει

AT verò corporis natura principium in medicinæ speculatione. Primùm quâ parte audimus, perforata est. Vacua nanque in aurium circuitu, nil aliud præter strepitum & clamorem inaudiunt. Quicquid verò per membranam ad cerebrum peruenerit, id apertè hac E *parte auditur; ac vnicum foramen per membranam cerebrum circumuoluentem extat. Ad nares autem foramen quidem non tendit, sed laxum quiddam velut spongia, eamque ob causam per longius interuallum audit, quàm olfacit. Longè enim ab olfactu odor dispergitur. Ad oculos etiam venulæ tenues ad visionem ex cerebro per ambientem membranam feruntur. Hæ venulæ humore* F *purissimo de cerebro visionem alunt, ad quem etiam rerum species in oculis apparent. Eædem venæ quoque vbi resiccatæ fuerint, visionem extinguunt. Membranæ verò tres sunt oculos ipsos custodientes, superna quidem, crassior; media vero, tenuior; & tertia tenuis, quæ humorem conseruat. Ex his superior quidem & crassissima, si læsa fuerit, morbum facit. Media verò, ipsa etiam periculi plena est, & vbi rupta fuerit, foras veluti*

vesica

vesica prominet. Tertia tenuißima, omnino periculosa, quæ humorem conseruat. Cerebri autem membranæ duæ sunt, altera superna quidem craßior; altera, quæ cerebrum contingit, tenuis, non ampliùs eadem, vbi vulnerata fuerit. Venæ autem ad verticem quidem per carnem permeant, ad os decumbentes. Ex vertice verò, duæ quidem rectà per carnem feruntur, qua parte supercilia clauduntur, & ad oculorum angulos desinunt. Vna autem à vertice ad nares fertur, & in vtrámque narium cartilaginem scinditur. Aliæ duæ venę iuxta tempora feruntur, inter tempora & aures, quæ oculis incumbunt, sempérque pulsant. Ex venis enim hæ solæ minimè irrigant, sed abducitur ab ipsis sanguis. Qui verò auertitur, alteri influenti motum habet contrarium; & qui quidem auertitur, quum discedere cupiat; qui autem supernè affluit, quique deorsum vult procedere, hîc mutuo inter se propulsa ac diffusa, & circum agitata, venulis pulsum præbent. At visio ex cerebro humore nutritur; quum autem quid humoris à venis acceperit, fluxione turbatur, neque in eo apparent rerum species, sed obuersari ipsi videntur, interdum quidem velut auicularum imagines, interdum verò vt lentes nigræ; nihilque de cætero exactè re verâ cernere potest. Aliæ duæ venæ per medium aurium & reliquarum venarum, ad aures tendunt, iísque incumbunt. Aliæ duæ venæ ex oßis coniunctione, ad aures feruntur. Ex his autem quæ ad inferiora corporis descendunt, duæ quidem venæ iuxta ceruicis tendines, & iuxta vertebras feruntur, ac in renes desinunt, eadémque etiam ad testes permeant, quúmque hæ malè affectæ fuerint, homo sanguinem meijt. Aliæ duæ venæ à vertice ad humeros feruntur, & eæ sanè humerales vocantur. Aliæ duæ venæ à vertice iuxta aures, per anteriorem ceruicis partem, vtrinque in cauam appellatam venam feruntur. At vena caua, velut gula quidem producitur, mediáque inter guttur & gulam genita, per septum transuersum fertur, & per cor, & inter septum. Ad inguina autem & femora intrò scinditur, & diuaricationes in cruribus facit, & in tibias intùs ad malleolos fertur. Eæ quum sectæ fuerint, hominem infœcundum reddunt, quæ & in magnos digitos desinunt. Ex vena autem caua propago in manum sinistram deducitur; & subter lienem fertur, ad sinistri lateris ile, vnde lien per omentum emergit, & ad thoracem finem sortitur. Exoritur autem iuxta septum transuersum, & cum humerali committitur infra cubiti articulum, ipsáque lienis gratiâ secatur. Alia etiam ad dextram manum eodem modo à caua propagatur. Omnes autem venæ communicant & inter se mutuò confluunt. Aliæ siquidem sibi inuicem committuntur; aliæ vero per venulas, quæ à venis distenduntur, & carnes nutriunt, ea parte inter se confluunt.

A ἡ κύστις. ἡ δὲ τρίτη ἡ λεπτοτάτη, πάμπολυ ἐπικίνδυνος, ἡ τὸ ὑγρὸν φυλάσσουσα. μήνιγγες δὲ δύο εἰσὶ τοῦ ἐγκεφάλου, ἡ μὲν ἐπάνω παχυτέρη, ἡ δὲ λεπτὴ τοῦ ἐγκεφάλου ἁπτομένη, οὐκέτι ἡ αὐτὴ, ἐπὴν τρωθῇ. φλέβες δὲ περαίνουσι μὲν ἐς τὴν κορυφὴν διὰ τῆς σαρκὸς, ἔχουσαι πρὸς τὸ ὀστέον. φέρονται δὲ διὰ τῆς σαρκὸς, δύο μὲν ἐκ τῆς κορυφῆς κατ᾽ ἰθὺ, ᾗ αἱ ὀφρύες συγκλείονται, καὶ τελευτῶσιν ἐς τοὺς κανθοὺς τῶν ὀφθαλμῶν. μία δὲ ἀπὸ τῆς B κορυφῆς ἐς τὴν ῥῖνα φέρεται, καὶ σχίζεται ἐς τὸν χόνδρον τῆς ῥινὸς ἑκάτερον. ἄλλαι δύο φλέβες παρὰ τοὺς κροτάφους φέρονται, ἐν μέσῳ τῶν κροτάφων καὶ τῶν ὤτων, αἳ πιέζουσι τὰς ὄψιας καὶ σφύζουσιν ἀεί· μόναι γὰρ αὗται οὐκ ἀρδεύουσι τῶν φλεβῶν, ἀλλ᾽ ἀποτρέπεται ἐξ αὐτῶν τὸ αἷμα. τὸ δ᾽ ἀποτρεπόμενον ὑποσυμβάλλει τῷ ἐπιρρέοντι· καὶ τὸ μὲν ἀποτρεπόμενον βουλόμενον ἀποχωρέειν, τὸ δ᾽ ἄνωθεν ἐπιρρέον βουλόμενον κάτω χωρέειν, ἐν ταὐτῷ ὠθεύμενά τε καὶ ἀναχεόμενα πρὸς ἄλληλα, καὶ κυκλεύμενα, σφυγμὸν παρέχουσι τοῖσι φλεβίοισιν. ἡ δὲ ὄψις τῷ ἀπὸ τοῦ ἐγκεφάλου ὑγρῷ τρέφεται. ὅταν δέ τι τῶν ἀπὸ τῶν φλεβῶν C λάβῃ, τῇ ῥύσει ταράσσεται, καὶ οὐκ ἐμφαίνεται ἐς αὐτὸ, καὶ προσκινέεσθαι δοκέει ἐν αὐτῷ, τοτὲ μὲν οἷον εἴδωλον ὀρνίθων, τοτὲ δὲ οἷον φακοὶ μέλανες· καὶ τἄλλα οὐδὲν ἀτρεκέως κατ᾽ ἀληθείην δύναται ὁρᾷν. ἄλλαι δύο φλέβες ἐν μέσῳ τῶν τε ὤτων καὶ τῶν ἄλλων φλεβῶν, αἳ φέρονται ἐς τὰ ὦτα, καὶ πιέζουσι τὰ ὦτα. ἄλλαι δύο φλέβες ἐκ τῆς συγκλείσεως τοῦ ὀστέου ἐς τὰς ἀκοὰς φέρονται. αἱ δὲ κάτω τοῦ σώματος τετραμμέναι, δύο μὲν φλέβες παρὰ τοὺς τένοντας τοῦ τραχήλου φέρονται δὲ καὶ παρὰ τοὺς σπονδύλους, D καὶ τελευτῶσιν ἐς τοὺς νεφρούς· αὗται δὲ καὶ ἐς τοὺς ὄρχιας περαίνουσιν, καὶ ὅταν αὗται πονέσωσιν, [9] αἷμα οὐρέει ὁ ἄνθρωπος. ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς φέρονται ἐς τοὺς ὤμους, καὶ δὴ καὶ ὠμιαῖαι καλέονται. ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς παρὰ τὰ ὦτα ἐν τοῖς ἔμπροσθεν τοῦ τραχήλου, ἑκατέρωθεν ἐς τὴν κοίλην φλέβα καλεομένην φέρονται. ἡ δὲ κοίλη φλὲψ περαίνεται μὲν ὡς ὁ οἰσοφάγος, πέφυκε δὲ μεταξὺ τοῦ τε βρόγχου καὶ τοῦ οἰσοφάγου· φέρεται δὲ διὰ τῶν φρενῶν, καὶ διὰ τῆς καρδίης, καὶ μεταξὺ τῶν φρενῶν· καὶ σχίζεται ἐς τοὺς βου- E βῶνας, καὶ ἐς τοὺς μηροὺς ἐντὸς, καὶ τὰς διασφαγὰς ἐν τοῖσι μηροῖσι ποιέεται, καὶ ἐς τὰς κνήμας φέρεται [10] ἐντὸς παρὰ τὰ σφυρά. αὗται καὶ ἄκαρπον ποιέουσι τὸν ἄνθρωπον, ὅταν ἀποτμηθῶσιν, αἳ καὶ ἐς τοὺς μεγάλους δακτύλους τελευτῶσιν. ἐκ δὲ τῆς κοίλης φλεβὸς ἀποπέφυκεν ἐς τὴν χεῖρα τὴν ἀριστερὴν· φέρεται δ᾽ ὑποκάτω τοῦ σπληνὸς ἐς τὴν λαπάρην τὴν ἀριστερὴν, ὅθεν ὁ σπλὴν ἀποπέφυκεν διὰ τοῦ ἐπιπλόου, καὶ τὴν ἀποτελεύτησιν ἴσχει ἐς τὸν θώρηκα. ἀποπέφυκε δὲ κατὰ τὰς φρένας, καὶ ξυμβάλλει τῇ ὠμιαίῃ [11] κάτω τοῦ ἄρθρου τοῦ ἀγκῶνος, καὶ τοῦ σπληνὸς F τέμνεται αὕτη. καὶ ἄλλη ἐς τὴν δεξιὴν, τὸν αὐτὸν τρόπον ἀποπέφυκεν [12] ἀπὸ τῆς κοίλης. κοινωνέουσι δὲ πᾶσαι αἱ φλέβες καὶ διαρρέουσιν ἐς ἑωυτάς. αἱ μὲν γὰρ σφίσιν ἑωυταῖς ξυμβάλλουσιν, αἱ δὲ διὰ τῶν φλεβίων τῶν διατεταμένων ἀπὸ τῶν φλεβῶν, αἳ τρέφουσι τὰς σάρκας, ταύτῃ διαρρέουσι πρὸς ἑωυτάς.

A

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς τῶν νεύρων φύσεως, καὶ τροφῆς, καὶ οὐσίας, καὶ θέσεως, καὶ χρόας, καὶ ἰσχύος, καὶ τῶν νοσημάτων· περὶ πλεόνων τῆς κεφαλῆς ῥαφῶν· περὶ ὀστῶν παντὸς τοῦ σώματος καὶ τῶν μορίων· περὶ τῶν ὀστῶν ἁπάντων ἄρθρων, ἄρθρων παθημάτων, πόνων τε καὶ ὀδυνῶν, καὶ τῆς μύξης, καὶ χωλότητος· καὶ ὅσα ὀστᾶ, τοσαῦτα καὶ ἄρθρα εἶναι.

Καὶ ἀπὸ τῶν φλεβῶν ὅ,τι ἂν νόσημα γένηται, ῥᾷόν ἐστιν, ἢ ἀπὸ τῶν νεύρων. διαρρεῖ γὰρ σὺν τῷ ὑγρῷ τῷ ἐνεόντι ἐν τῇσι φλεψὶ, καὶ οὐκ ἀτρεμίζει. καὶ ἡ φύσις τῇσι φλεψὶν ἐν ὑγρῷ ἐστιν ἐν τῇσι σαρξί. τὰ δὲ νεῦρα ξηρά τε ἐστὶ καὶ ἀκοίλια, καὶ παρὰ τῷ ὀστέῳ πεφύκασιν, καὶ τρέφονται ὑπὸ τὸ πλεῖστον ἀπὸ τοῦ ὀστέου· τρέφονται δὲ καὶ ἀπὸ τῆς σαρκὸς, καὶ τὴν χροιὴν καὶ τὴν ἰσχὺν μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς πεφύκασιν, καὶ ὑγρότερα μέν εἰσι τοῦ ὀστέου καὶ σαρκωδέστερα, ξηρότερα δ' εἰσὶν ἢ αἱ σάρκες καὶ ὀστωδέστερα. νόσημα δ' ὅ,τι ἂν ἐς αὐτὰ ἔλθῃ, ῥώννυταί τε καὶ ἀτρεμίζει ἐν τῷ αὐτῷ, καὶ χαλεπόν ἐστιν ἐξάγειν. μάλιστα δ' ἐσέρχονται τέτανοί τε, καὶ ἄλλα, ἀφ' ὧν τρόμος τὸ σῶμα λαμβάνει, καὶ τρέμειν ποιεῖ. τὰ δὲ νεῦρα πιέζουσι τὰ ἄρθρα, διατεταμένα τε ἐστὶ παρ' ὅλον τὸ σῶμα, ἰσχύουσι δὲ μάλιστα ἐν ἐκείνοισι τοῦ σώματος, καὶ ἀεὶ παχύτατά ἐστιν, ἐν οἷσι τοῦ σώματος αἱ σάρκες ἐλάχισταί εἰσι, καὶ τὸ μὲν σῶμα πᾶν ἔμπλεον νεύρων. περὶ δὲ τὸ πρόσωπον καὶ τὴν κεφαλὴν, οὐκ ἔστι νεῦρα, ἀλλὰ ἶνες παρόμοιαι νεύροις, μεταξὺ τοῦ τε ὀστέου καὶ τῆς σαρκὸς, λεπτότεραι καὶ στερεώτεραι, [13] αἱ δὲ νευροκοίλιοι. αἱ κεφαλαὶ ῥαφὰς ἔχουσιν, αἱ μὲν, τρεῖς· αἱ δὲ, τέσσαρας. αἱ μὲν τέσσαρας ἔχουσαι, κατὰ τὰ ὦτα ἑκατέρωθεν, ῥαφὴ ἄλλη ἔμπροσθεν, ἄλλη ἐξόπισθεν τῆς κεφαλῆς· οὕτω μὲν ἡ τὰς τέσσαρας ἔχουσα· ἡ δὲ τὰς τρεῖς, κατὰ τὰ ὦτα ἑκατέρωθεν, καὶ ἔμπροσθεν, ὥσπερ δὴ ἡ τὰς τέσσαρας ἔχουσα, οὐ διαπέφυκεν ὄπισθεν αὕτη ῥαφή. ὑγιεινότεροι δ' εἰσὶ τὴν κεφαλὴν, οἱ τὰς πλέονας ῥαφὰς ἔχοντες. [14] ἐν τῇσιν ὀφρύσι διήλθεν τὸ ὀστέον, καὶ ἡ σύγκλεισις τῶν γνάθων, ἔν τε τῷ γενείῳ μέσῳ, καὶ ἄνω πρὸς τῇ κεφαλῇ. σπονδύλους οἱ μὲν πλέονας, οἱ δὲ ἐλάσσονας ἔχουσιν. [15] καὶ οἱ μὲν πλέονας ἔχοντες, δυοῖν δεόντοιν εἴκοσίν εἰσιν, ὧν οἱ μὲν ἄνω πρὸς τῇ κεφαλῇ, οἱ δὲ κάτω πρὸς τῇ ἕδρῃ. πλευραὶ ἑπτὰ, τὰ μὲν ὄπισθεν τοῦ σώματος πρὸς τοὺς σπονδύλους, τὰ δ' ἔμπροσθεν ἐν τῷ στέρνῳ, πρὸς ἑωυτάς. κληῖδες ἄρθρα ἔχουσιν, τὰ μὲν ἐν μέσῳ τοῦ στέρνου κατὰ τὸν βρόγχον, κατὰ ταῦτα ἤρθρωνται· τὰ δὲ πρὸς τοὺς ὤμους κεκλιμένα [16] πρὸς τὰς πλάτας, αἳ ἐπὶ τοῖς ὤμοις ἀεὶ πεφύκασιν. αἱ δὲ πλάται πρὸς τὰ γυῖα ἤρθρωνται, [17] ἐπιβάλλουσαι ἐπὶ τὸ ὀστέον τὸ ἐν τῷ γυίῳ. παρὰ δὲ τὸ ὀστέον [18] κορῶναι δύο προήκουσιν, ἡ μὲν ἔνδοθεν, ἡ δὲ ἐκτός. αἱ πρὸς τὰς πλάτας, τῷ ὀστέῳ προσπεφυκυῖαι, ἤρθρωνται κάτω· αἱ δ' ἐν τῷ ἀγκῶνι, κάτω μὲν τῆς κορώνης ἤρθρωνται, [19] κατὰ τὸ πεφυκὸς κοιλαινῶδες· ἄνω δὲ σμικρῷ τῆς κορώνης ἐς τὸν ἀγκῶνα τό, τε ὀστέον καὶ ἡ κορώνη ἐς τὸ αὐτὸ συμβάλλοντα, [20] ἄρθρον ἐν τῷ κυβίτῳ ποιεῦσι. παρὰ δὲ τὸν πῆχυν κορῶναι προήκουσι λεπταὶ

B C D E F

CAPVT III.

De neruorum naturâ, alimento, substantiâ, situ, colore, robore, morbis; de pluribus capitis suturis; de ossibus vniuersi corporis ac partium; de ossium omnium articulis, articulorum affectibus, doloribus, muco, claudicatione; ac tot ossa, quot articulos esse.

Qvicunque autem à venis morbus oritur, is leuior est, quàm qui à neruis. Diffluit enim vnà cum humore in venis contento, neque quiescit; venisque natura in humore & carnibus est. Nerui vero cùm sicci sunt, tum cauitates non habent, ossi adhærescunt, maximámque partem ab osse nutriuntur; nutriuntur & à carnibus, coloremque & robur inter os & carnem medium naturâ sortiti sunt; & humidiores quidem sunt ac carnosiores quàm ossa; sicciores vero & magis ossei quàm carnes. Quicumque autem morbus ad eos accesserit, eodem in loco firmatur & consistit, quem educere perarduum est. Præcipuè vero ipsos inuadunt tetani, aliique morbi à quibus tremor corpus prehendit, quique ipsi tremorem inducunt. Nerui autem articulos premunt, per totum corpus extenti, robusti autem maximè & semper crassissimi sunt in illis corporis partibus, in quibus paucissimæ carnes sunt; totúmque corpus neruis plenum est. At circa faciem & caput non sunt nerui, sed fibræ neruis consimiles, inter os & carnem, tenuiores & solidiores, quidam etiam nerui concaui. Capita suturas habent, alia tres, alia quatuor. Quæ quidem quatuor habent, his sunt vtrinque iuxta aures, altera sutura anteriore, altera posteriore capitis parte. Sic quidem se habet caput, quod quatuor suturas habet. Quod vero tres, ad aures vtrinque, & anteriore parte; at vt in eo quod quatuor habet, hac parte posteriore nulla sutura enascitur. Qui plures suturas habent, hi capite salubriores degunt. Inter supercilia os intercedit, & maxillarum coniunctio in medio mento, & superiore parte ad caput est. Vertebras hi quidem plures, hi verò pauciores habent. Quibus plures, his sunt duodeuiginti, quarum aliæ quidem sursum ad caput, aliæ verò deorsum ad sedem feruntur. Costæ septem, partim quidem posteriore corporis parte ad vertebras, partim vero anteriore in pectore, inter se committuntur. Claiculæ articulos habent, alios quidem in medio pectore iuxta guttur, eáque parte articulatæ sunt; alios verò ad humeros ad scapulas reclinatos, qui humeris semper adhærescunt. At scapulæ ad membra articulis connectuntur, in os quod in membro est, incumbentes. Ab hoc osse appendices duæ prodeunt, vna quidem intrinsecus, altera extrinsecus. Quæ ad scapulas, ossi cohærentes, inferiore ex parte articulis coniunguntur. Quæ vero sunt in cubiti flexu, infra quidem radio articulatæ sunt, iuxta os natura sua cauum; paulum autem supra radium in cubiti gibbum; tum os, tum radius in eundem locum committuntur, & articulationem in cubiti gibbo efficiunt. Ad vlnam verò appendices protẽduntur valdè

tenues

tenues quatuor, duæ quidem sursum, duæ verò deorsum; & ad cubiti quidem gibbum duæ appendices adnatæ, superiore parte ex osse exoriuntur. Hæ cum osse cohærentes, ad ossis articulum, in cubiti gibbum articulo committuntur. Quæ verò infra sitæ sunt, & intrò inclinatæ, eæ utræque ad radium è superis à membro procedentem concurrentes, interiore membri parte articulo committuntur, eæque inter se interiore cubiti parte commissæ radium appellatum efficiunt. Infrà verò ad manum, os articulum habet. Quum autem hac parte appendices teneræ existant, duæ quidem in articulum non exeunt; superior verò & inferior cum osse ad manum articulo committuntur. Manus autem multos habent articulos. Quæ enim ossa inter se committuntur, omnia articulos faciunt. Digiti multos habent articulos, tres vnusquisque. Vnum quidem sub vngue, inter vnguem & condylum; alterum in ipso condylo, quâ parte etiam digitos inflectunt; tertium, quâ parte digitus ex manu emergit. In coxendicibus autem duo sunt articuli, acetabula appellata, & in hos femora inarticulata. Ad femora duæ appendices porriguntur, altera intùs, altera foris; neutráque in articulum procedit neque ex altera parte, sed ad os ipsum femur inseruntur. Femur autem supernè, quâ acetabulum immittitur, huiuscemodi bicipitio bifidum est. In ea quidem bicipitij parte, quæ intrò inclinata est, in summo adnatum est rotundum ac leue, quod in acetabulum ingreditur. Altera vero pars minor quæ in bifurculo protuberat, foras magis prominet, & inferiore parte ad nates apparet, coxendixque vocatur. Ad genu autem femoris os hoc modo bifidum est. Huic vero bicipitio, os quod tibia appellatur, velut in cardine adaptatur. Supra adaptatum autem mola incumbit, quæ ad articulum, dum extenditur, humiditatem à carne descendere prohibet. Ad tibiam autem procedunt appendices duæ, quæ infernè quidem ad pedis malleolos desinunt; supernè vero ad genu, non perueniunt ad articulum. Ad pedem autem tibia iuxta malleolos articulum habet, aliumque infra malleolos. In pedibus etiam articuli multi, quemadmodum & in manibus sunt. Quot enim ossa, tot sunt articuli; & in pedum digitis pari numero & eodem se habent modo. Multi quoque in corpore articuli parui sunt, non simili tamen modo in omnibus, sed alijs alij; hi autem à nobis enumerati, in omnibus similiter se habent. Aliæ quinetiam sunt alijs venæ, nec tamen effatu dignæ. Mucus omnibus à natura inest, & quum purus fuerit, sani sunt articuli, ideòque facilè mouentur, quum sint inter se lubrici. Oboritur autem labor & dolor, vbi vexauerit qui à carne laborante fluit humor. Imprimis quidem rigidus fit articulus. Neque enim lubricus est qui ex carne affluxit humor. Deinde vt copiosus valdè dispersus, neque à carne irrigatus, semper resiccatur; quumque eum ob multitudinem articulus capere non possit, effluit, maléque concrescens, neruos quibus articulus colligatur, attollit, elaxat, & dissoluit; ob idque quum hoc magis fit, magis, quum minus, minùs claudi fiunt.

A πάνυ τέσσαρες, αἱ μὲν δύο ἄνω, αἱ δὲ δύο κάτω· καὶ πρὸς μὲν τὸν ἀγκῶνα δύο περόναι πεφυκυῖαι ἄνω ἐκ τοῦ ὀστέου πεφύκασιν· αὗται σὺν τῷ ὀστέῳ [21] πεφυκυῖαι, παρὰ τὸ τοῦ ὀστέου ἄρθρον προσήρθρωνται ἐς τὸ κύβιτον· αἱ δὲ κάτω κείμεναι καὶ ἐντὸς κεκλιμέναι, αὗται ἀμφότεραι ξυμβάλλουσαι πρὸς τὴν περόνην τὴν ἄνωθεν ἀπὸ τοῦ γυίου φερομένην, ἐντὸς τοῦ γυίου προσήρθρωνται, καὶ περόνην καλουμένην ποιέουσιν, αὗται ἑωυταῖς ξυμβάλλουσαι ἐν τῷ κυβίτῳ ἐντός. κάτω δὲ πρὸς τὴν χεῖρα, καὶ ὀστέον ἄρθρον ἔχει. αἱ δὲ περόναι ταύτῃ [22] ἁπαλαὶ ἐοῦσαι, αἱ μὲν δύο οὐκ ἐξήκουσιν ἐς τὸ ἄρθρον,

B ἡ δ᾽ ἄνω καὶ ἡ κάτω, σὺν τῷ ὀστέῳ προσήρθρωνται πρὸς τὴν χεῖρα. αἱ δὲ χεῖρες ἄρθρα ἔχουσι πολλά· [23] ὅσα γὰρ ὀστέα πρὸς ἑωυτὰ συμβάλλουσιν, πάντα ἄρθρα ποιέουσιν. δάκτυλοι ἄρθρα ἔχουσιν πολλά, ἕκαστος τρία· ἓν μὲν ὑπὸ τῷ ὄνυχι ἐν μέσῳ τοῦ τε ὄνυχος καὶ τοῦ κονδύλου· ἄλλο ἐν τῷ κονδύλῳ, ᾗ καὶ ξυγκάμπτουσιν τοὺς δακτύλους· ἄλλο τρίτον, ᾗ ὁ δάκτυλος ἀπὸ τῆς χειρὸς ἀποπέφυκεν. ἐν δὲ τοῖσιν ἰσχίοισιν ἄρθρα δύο εἰσίν, αἱ κοτύλαι καλεύμεναι, καὶ οἱ μηροὶ ἐς ταῦτα ἐνήρθρωνται. παρὰ δὲ τοὺς μηροὺς περόναι δύο παρήκουσιν, ἡ μὲν ἐντός, ἡ δὲ

C ἐκτός· καὶ ἐς τὸ ἄρθρον οὐδετέρη ἐξήκει, οὐδ᾽ ἑτέρωθεν, ἀλλὰ πρὸς τῷ ὀστέῳ προσπεφύκασιν πρὸς τῷ μηρῷ· ὁ δὲ μηρός, ἄνωθεν μὲν, ᾗ ἐς τὴν κοτύλην ἐμβάλλει, δικρόαιός ἐστι τοιῇδε δικροιότητι· ἐπὶ μὲν τοῦ ἐντὸς κεκλιμένου [24] τοῦ δικροαίου, ἐπὶ τοῦ ἄκρου ἐπιπέφυκεν στρογγύλον καὶ λεῖον, ὃ καὶ ἐς τὴν κοτύλην ἐμβάλλει· τὸ δ᾽ ἕτερον τὸ ἔλασσον τοῦ δικροαίου τὸ ἐκτός, μᾶλλον ἔξω ἐξέχει, καὶ φαίνεται ἐν τῷ πυγαίῳ κάτω, καὶ ἰσχίον καλέεται. πρὸς δὲ τὸ γόνυ τὸ ὀστέον τοῦ μηροῦ τοιόνδ᾽ ἐστὶ δικρόαιον. τῷ δὲ δικροαίῳ τούτῳ τὸ ὀστέον ἡ κνήμη καλεομένη, οἷον ἐν γιγλύμῳ

D ἐνήρμοσται· ἄνωθεν δὲ τοῦ ἐνηρμοσμένου, ἡ μύλη ἐπίκειται, ἣ ἀποκωλύει ἐς τὸ ἄρθρον ἀναπεπταμένον ἐσβῆναι τὴν ὑγρότητα τὴν ἀπὸ τῆς σαρκός. παρὰ δὲ τὴν κνήμην, περόναι δύο παρήκουσιν, αἱ κάτωθεν μὲν, πρὸς τοῦ ποδὸς τὰ σφυρὰ τελευτῶσιν· ἄνωθεν δὲ πρὸς τοῦ γόνατος, οὐκ ἐξήκουσι πρὸς τὸ ἄρθρον. πρὸς δὲ τὸν πόδα ἡ κνήμη κατὰ τὰ σφυρὰ ἄρθρον ἔχει, καὶ ἄλλο κατώτερον τῶν σφυρῶν. καὶ ἐν τοῖσι ποσὶν ἄρθρα πολλά, ὥσπερ καὶ ἐν τῇσι χερσίν· ὅσα γὰρ τὰ ὀστέα, τοσαῦτα καὶ ἄρθρα, καὶ ἐν τοῖσι δακτύλοισι τῶν ποδῶν τὸν ἀριθμὸν

E ἴσα κατὰ ταῦτα. ἄρθρα δὲ πολλὰ ἐν τῷ σώματι σμικρά, οὐχ ὁμοίως πᾶσιν, ἀλλὰ ἄλλα ἄλλοις· ταῦτα δὲ τὰ γεγραμμένα πᾶσιν ὁμοίως εἰσίν· ἄλλα τε φλέβια εἰσὶν ἄλλοις, ἀλλ᾽ οὐκ ἄξια λόγου. Μύξα πᾶσίν ἐστι φύσει, καὶ ὅταν αὕτη καθαρὴ ᾖ, ὑγιαίνουσι τὰ ἄρθρα, καὶ διὰ τοῦτο εὐκίνητά ἐστιν, ὥστε ὀλισθαίνοντα πρὸς ἑωυτά· πόνος δὲ καὶ ὀδύνη γίνεται, ὅταν ἀπὸ τῆς σαρκὸς ὑγρασίη ῥυῇ πονησάσης. τὸ πρῶτον μὲν πήγνυται τὸ ἄρθρον, οὐ γὰρ ὀλισθηρὴ ἡ ὑγρότης, ἡ ἐπερρυηκυῖα ἀπὸ

F τῆς σαρκός· ἔπειτα ὥστε πολλὴ λίην νεμομένη, καὶ οὐκ ἀρδομένη ἐκ τῆς σαρκός, ἀεὶ ξηραίνεται· καὶ ὥστε πολλὴ ἐοῦσα, καὶ οὐ χωρεῦντος τοῦ ἄρθρου, ἐκχεῖ, κακῶς τε πεπηγυῖα μετεωρίζει τὰ νεῦρα, οἷσι τὸ ἄρθρον συνδέδεται, καὶ ἄδετα ποιέει καὶ διαλελυμένα· καὶ διὰ τοῦτο χωλοὶ γίνονται, καὶ ὅταν μὲν τοῦτο μᾶλλον γένηται, μᾶλλον, ὅταν δὲ ἧσσον, ἧσσον.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἡ τῶν ἐσθιομένων καὶ τῶν πινομένων ὑποδοχὴ, κοιλία· ἡ δὲ τοῦ ὀῤῥώδεος ὑγροῦ, κύστις. αἱ τοῦ ῥόου αἰτίαι, τὸ ψύχος κατὰ τὴν ἔκθλιψιν· ἡ δὲ θερμότης, κατὰ τὴν τῶν σαρκῶν ἀραίωσιν, καὶ τὴν τοῦ ὑγροῦ ἴσχνανσιν· ἡ δὲ πλησμονὴ, κατὰ τὴν ἔμφραξιν· καὶ ἡ κενότης, κατὰ τὴν τῶν ὁδοιποιειῶν ἀνακάλυψιν. ὅτι τὰ κάτω μόρια τῶν ἄνω ἐστὶ ξηρότερα, διὰ τὰς ἐλάσσονας φλέβας.

ΕΣ δὲ τὴν κοιλίην καὶ τὰ ἐσθιόμενα καὶ τὰ πινόμενα χωρέουσιν· ἐκ δὲ τῆς κοιλίης, ἶνες ἐς τὴν κύστιν, ᾗ διηθεῖ τὸ ὑγρὸν, τεταμέναι εἰσίν. ῥόοι δὲ γίνονται καὶ διαψυχομένης τῆς σαρκὸς λίην, καὶ διαθερμαινομένης, καὶ ὑπερφλεγμαινούσης. [25] ῥόοι δὲ διὰ μὲν τὸ ψύχος γίνονται, ὅταν ἡ σὰρξ ἡ ἐν τῇ κεφαλῇ καὶ αἱ φλέβες τεταμέναι ἔωσιν· αὗται, φριξάσης τῆς σαρκὸς καὶ ἐς μικρὸν ἀφικνουμένης καὶ ἐκθλιψάσης, ἐκθλίβουσι τὴν ὑγρότητα· καὶ αἱ σάρκες ἅμα αὗται ἀντεκθλίβουσιν, ἐς μικρὸν ἀφικνούμεναι· καὶ αἱ τρίχες ἄνω ὀρθαὶ γίνονται, ὥστε πάντοθεν ἅμα ἰσχυρῶς πιεζόμεναι. ἐντεῦθεν ὅ, τι ἂν ἐκθλιβῇ, ῥεῖ ᾗ ἂν τύχῃ. ῥεῖ δὲ καὶ διὰ τὴν θερμότητα, ὅταν αἱ σάρκες ἀραιαὶ γινόμεναι διόδους ποιήσωσιν, καὶ τὸ ὑγρὸν θερμανθὲν λεπτότερον γένηται. πᾶν γὰρ τὸ ὑγρὸν θερμαινόμενον, λεπτότερον γίνεται· καὶ πᾶν τὸ ὑπεῖκον, ῥεῖ, μάλιστα δ' ὅταν λίην ὑπερφλεγμήνῃ, διὰ τόδε ῥεῖ. αἱ σάρκες λίην ἔμπλεαι γινόμεναι, ὅτι ἂν μὴ δύνωνται χωρέειν, ῥεῖ τὸ ὑγρὸν τὸ μὴ δυνάμενον χωρέεσθαι· ῥεῖ δὲ ᾗ ἂν τύχῃ. ἐπὴν δὲ ἅπαξ εὔροοι αἱ ῥοιαὶ γένωνται, ῥεῖ ἐς [26] τὸ χωρίον ᾗ ἂν τύχῃ, ἔστ' ἂν συμπιεχθῶσιν αἱ δίοδοι τοῦ ῥόου, δι' ἰσχνότητα, [27] ὅταν τὸ σῶμα ξηρανθῇ. ὥστε γὰρ τὸ σῶμα κοινωνέον αὐτὸ ἑωυτῷ, διαλαμβάνει καὶ ἄλλο, καθ' ὅτι ἂν ὑγρὸν ἐπιτύχῃ, ἐς ἑωυτὸ ξηρόν· ἄγειν δὲ οὐ χαλεπὸν αὐτό ἐστιν, [28] ὥστε τοῦ σώματος κενοῦ τε καὶ οὐ συνοιδέοντος ὑπὸ ἰσχνότητος. ὅταν δὲ τὰ κάτω, ξηρὰ γένωνται, τὰ δ' ἄνω, ὑγρὰ (μᾶλλον γὰρ τὰ ἄνω ὑγρά ἐστι τεύχεα, αἱ γὰρ φλέβες ἄνω πλέονές εἰσιν ἢ κάτω, καὶ αἱ σάρκες ἐλάττονες ὑγρότητος δεόμεναι αἱ ἐν τῇ κεφαλῇ) ἄγει δὴ τὸ ξηρὸν τοῦ σώματος τὸ ἐκ τῆς κεφαλῆς ὑγρὸν, καὶ ἅμα καὶ δίοδοί εἰσι τῷ ἄγοντι μᾶλλον, ἢ τῷ ἀγομένῳ. καὶ γὰρ αὗται κερδαίνουσιν ὥστε ξηραὶ ἐοῦσαι, καὶ ἅμα καὶ τὰ ὑγρὰ πέφυκε κάτω χωρέειν, καὶ ἢν βραχείη τις ἀνάγκη γένηται.

CAPVT IV.

Eduliorum ac potulentorum receptaculum, venter; serosi humoris, vesica. fluxionum causæ, frigus exprimendo; calor, rarefaciendo carnes, & humorem attenuando; plenitudo, obstruendo; vacuitas, patefaciendo vias. partes inferiores superioribus ficciores, ob pauciores venas.

AT verò quæ eduntur ac bibuntur, in ventrem feruntur. Ex ventre verò venæ in vesicam, quâ parte humorem transmittit, extentæ sunt. Fluxiones autem contingunt, & perfrigeratâ valde carne, & percalefactâ, & superinflammatâ. Propter frigus fluxiones fiunt, quum capitis caro & venæ tensæ fuerint; hæ enim horrente carne, & in angustum deueniente, & elidente, humorem exprimunt; simul etiam carnes ipsæ in angustum contractæ, vicissim exprimunt; & capilli velut vndique simul vehementer compressi, sursum eriguntur. Hinc quicquid expressum fuerit, quocunque sors tulerit, fluit. Fluit autem etiam ob calorem, quum carnes rarefactæ transitus præbuerint, humorque calefactus tenuior euaserit. Omnis enim humor calefactus, tenuior euadit, & quicquid cedit, fluit; potissimùm autem vbi valdè superinflammatum fuerit, hanc ob causam fluit. Carnes admodum repletæ quod capere nequeant, humor qui capi non potuit effluit; fluitque quocunque datum fuerit. Semel autem fluidis factis fluxionibus, fluit humor ad locum, quocunque contigerit, quoad fluxionis viæ ob attenuationem compressæ fuerint, quum corpus siccatum fuerit. Quum enim corpus sibi ipsi communicet, quamcunque in partem humor inciderit, quum siccum sit, eum in se suscipit ac deducit. Neque verò ipsam deducere est difficile, quum corpus vacuum existat, miniméque præ attenuatione intumescat. Quum autem inferiores partes siccæ euaserint, superiores verò humidæ (superiora enim vasa humidiora sunt, quum plures venæ sint parte superiore quàm inferiore, & capitis carnes minore indigeant humore) tùm sanè sicca corporis pars humorem ex capite ducit, simulque meatus ducenti magis patent, quàm ei qui ducitur. Quum enim ipsi sicci existant, ex eo sibi quæstum parant, simulque humores naturâ deorsum ferri solent, si modica quædam necessitas contingat.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν ἀπὸ τῆς κεφαλῆς ῥόων ἑπτά· τριῶν μὲν καταφανῶν, κατὰ τὰ ὦτα, καὶ κατὰ τὰς ῥῖνας, καὶ κατὰ τοὺς ὀφθαλμούς· τεσσάρων δὲ ἀδήλων, ἐς τὸν κίθαρον, καὶ τούτων πλειόνων, ὅθεν ἡ χολὴ, ὁ κόπος, καὶ τὸ ἐμπύημα καὶ ἡ φθίσις· ἐς τὸν μυελὸν, ὅθεν ἡ φθίσις ἀόρατος· ἐς τοὺς σπονδύλους, καὶ τὰς σάρκας, ὅθεν ὕδρωψ γίνεται· ἐς ἄρθρα, ὅθεν ἰσχιάδες, καὶ ἀρθρίτιδες, καὶ τὰ κέδματα.

ΡΟοι δὲ ἀπὸ τῆς κεφαλῆς ἑπτά· ὁ μὲν κατὰ τὰς ῥῖνας· ὁ δὲ, κατὰ τὰ ὦτα· ὁ δὲ κατὰ τοὺς ὀφθαλμούς· οὗτοι οἱ ῥόοι καταφανέες ἐκ τῆς κεφαλῆς τοῖσιν ὀφθαλμοῖσιν. ἐπὴν δ' ἐς τὸν κίθαρον ῥυῇ ἀπὸ

CAPVT V.

De fluxionibus à capite septem; tribus conspicuis in aures, nares, & oculos; quatuor abditis, in thoracem, iisque frequentioribus, vnde bilis, lassitudo, empyema, tabes; in spinalem medullam, vnde cæca tabes; in vertebras & carnes, vnde hydrops; in articulos, vnde arthritides, ischiades, & cedmata.

AT fluxiones à capite septem sunt. Quædam siquidem in nares; quædam in aures; quædam etiam in oculos decumbit. *Atque hæ à capite fluxiones, oculis sunt conspicuæ. Vbi verò in thoracem*

ob frigus fluxerit, bilis fit. Magis autem in thoracem præ frigore fluit, proptereaquòd ad guttur facilis est fluxio, quum minimè sit contectum. Eos verò qui à frigore bile vexantur, lassitudo eam ob causam detinet, quia carnes bile affectæ minimè quiescunt, sed concutiuntur, concussæque laborant & lassantur, non secus ac ex via concussæ. Quinetiam quum in thoracem fluxio decubuerit, suppurati & tabidi fiunt. Quum verò in medullam fluxio contigerit, tabes altera & occulta oritur. Quum retrò in vertebras & carnes defluxerit, hydrops suboritur. Inde verò dignoscere licet, si anteriores partes siccæ sunt, caput scilicet, nares & oculi. Quin & oculis caligo accedit, qui & unà cum reliquo corpore ex virore pallescunt, neque quicquam expuitur, ne si multū quidem defluat. Fluxio enim per mediam carnem posteriore parte delapsa & ab anteriore auersa, anteriores partes siccas facit, carnemque in posteriora irrigat, eámque magis quæ interior est ad ventrem, quàm quæ exterior ad nares. Eamque ob causam corpus exteriore parte magis quàm interiore solidum existit, & angustiores habet meatus ac foramina. Quæ quum tenuia sint foramina, coarctantur, ipsáque sibi ipsis medentur, & hâc fluxio ferri non potest. Intus autem cùm latiora sunt, tum intermedia tenuiora habent; fluxio verò quum ab altioribus delabatur, & tenuia contra se obiecta habeat, defluit, & carnes humore replet. Quin & humor à cibis eodem procedens corrumpitur, ipseque ex commixtione corruptus, & qui cum eo ex capite defluit, corpus nutriunt. Plurimo verò humore carnes nutritæ, & morboso turgidæ ac impletæ hydropem contrahunt. Quòd si pauca fluxio fuerit, ischiadem & arthritides facit, si fluere cessauerit. Nam quum modicum sit quod affluit, & undequaq; à potentioribus partibus depulsum, ad articulos se recipit. Diuturni quoq; articulorum affectus, & ischiades, ijs qui ab eiusmodi morbis conualuerunt, contingunt; quum quod morbum facit, sanum euaserit, in carne verò quid remanserit, cui quum neq; intrò denuò, neq; foras exitus pateat, sed in cute tuberculum creet, in ipso exitu confugit ad id quòd cedere potest, articulos nimirum, & aut cedmata aut ischiades parit.

A ψύχεος, χολὴ γίνεται. μᾶλλον δὲ ῥεῖ ἐς τὸν θώρακα ὑπὸ ψύχεος διὰ τόδε, ὅ,τι εὔροον γίνεται ἐς τὸν βρόγχον, ὥστε οὐδὲ ξυγκεκαλυμμένον. ὑπὸ δὲ τοῦ ψύχεος, καὶ κόπος ἔχει διὰ τοῦτο τοὺς ὑπὸ τῆς χολῆς ἐχομένους, ὅτι αἱ σάρκες, ὅταν χολὴ ᾖ, οὐκ ἀτρεμίζουσιν, ἀλλὰ σείονται, καὶ σειόμεναι μοχθέουσιν, καὶ κοπιῶσιν, ὥστε σειόμεναι, ὥσπερ ἐν τῇσιν ὁδοιπορίῃσιν. καὶ ἔμπυοι γίνονται ὅταν ἐς τὸν θώρακα ῥέῃ, καὶ φθισιῶντες· ὅταν δὲ ἐς τὸν μυελὸν ῥόος γένηται, φθίσις ἄλλη καὶ λαθραία γίνεται. ὅταν δ᾽ ὄπισθεν ἐς τοὺς σπονδύλους, καὶ ἐς τὰς σάρκας ῥυῇ, ὕδρωψ B γίνεται. καὶ τῷδ᾽ ἔστι γινώσκειν, ἢν ξηρὰ τὰ ἔμπροσθεν ᾖ, ἡ κεφαλὴ καὶ αἱ ῥῖνες καὶ οἱ ὀφθαλμοί· καὶ τοῖσιν ὀφθαλμοῖσι γίνεται ἀμβλυώσσειν, καὶ χλωροὶ γίνονται, καὶ τὸ ἄλλο σῶμα· καὶ οὐκ ἀποπτύει οὐδὲν, οὐδ᾽ ἢν πολὺ ῥέῃ· ὅδε γὰρ ὁ ῥόος διὰ τῆς σαρκὸς μέσης ῥέων τῆς ὄπισθεν, καὶ τῆς ἔμπροσθεν ἀπεστραμμένος, ξηρὰ τὰ ἔμπροσθεν ποιεῖ, τὴν δ᾽ ὄπισθεν ἄρδει σάρκα, καὶ τὴν ἐντὸς μᾶλλον πρὸς τὴν κοιλίην, ἢ ἐκτὸς πρὸς τὴν ῥῖνα. διὰ τοῦτο δὲ ἐκτὸς μᾶλλον ἢ ἐντὸς στερεώτερον τὸ σῶμα, καὶ στενο-C τέρας διατρήσιας ἔχει· ὥστε δὲ λεπταὶ ἐοῦσαι συμπιλέονται καὶ ἀκέονται αὗται σφίσιν ἑωυτῇς, καὶ ῥόος οὐ δύναται ταύτῃ ἰέναι οὐδείς. αἱ δ᾽ εὐρύτεραί τε εἰσιν αἱ ἐντὸς, καὶ λεπτότερα τὰ μεταξὺ ἔχουσαι· ὁ δὲ ῥόος, ὥστε ἀφ᾽ ὑψηλοτέρων, καὶ λεπτὰ τὰ ἀντικωλύοντα ἔχων, ῥεῖ καὶ πίμπλησιν ὑγρότητος τὰς σάρκας. καὶ ἀπὸ τῶν σιτίων ἐς τὸ αὐτὸ χωρέουσα ἡ ὑγρότης, διέφθαρται· διεφθαρμένη δ᾽ αὐτὴ ὑπὸ τῆς συμμίξιος, καὶ τὸ ῥέον σὺν αὐτῇ ἀπὸ τῆς κεφαλῆς, τρέφουσι τὸ σῶμα· λίην δὲ πολλῷ ὑγρῷ D αἱ σάρκες τρεφόμεναι, καὶ νοσηλῷ θάλλουσαι, ὕδρωπος ἔμπλεαι εἰσίν. ἢν δ᾽ ὀλίγον ῥεύσῃ, ἰσχιάδα καὶ κέδματα ἐποίησεν, ἐπὴν ῥέον παύσηται. ὥστε γὰρ ὀλίγον ἐρρυηκὸς καὶ πάντοθεν ὠθεύμενον ὑπὸ παντὸς κρέσσονος ἐόντος, ἐς τὰ ἄρθρα ἀποφυγὴν ποιέεται. γίνεται δὲ κέδματα, καὶ ἰσχιάδες καὶ ἀπὸ τοιούτων νοσημάτων ὑγιέων γινομένων· ὅταν τὸ μὲν νόσημα τὸ ποιέον ὑγιὲς γένηται, καταλειφθῇ δέ τι ἐν τῇ σαρκὶ, καὶ μὴ ᾖ αὐτῷ ἡ ἔξοδος, μήτε αὖ ἔσω, μήτε ἔξω, ἀλλ᾽ ἐς τὸ δέρμα φῦμα ποιήσῃ, E ἐξιὸν φεύγει ἐς τὸ ὑπεῖκον ἐς τὰ ἄρθρα, καὶ ἢ κέδματα, ἢ ἰσχιάδα ἐποίησεν.

CAPVT VI.

De manifestæ fluxionis in nares, aures, & oculos decumbentis, ac proinde coryzæ, otalgiæ, auris fistulæ; ophtalmiæ, psorophthalmiæ, epiphoræ, & argemi curatione, tum chirurgicâ per incisiones & pyroticum; tum pharmaceuticâ per topica & cathartica.

QVòd si nares intumuerint, & pituitâ eâque concretâ repleantur, ea vbi concreuerit, aut fomentis, aut medicamentis attenuanda, miniméque auertenda est. Etenim si auersa aliò feratur, omninò fluxio maiorem morbum efficiet. Quum verò ad aures fluxerit, primùm dolorem exhibet, vi enim fertur; dolorem autē exhibet, quoad fistula contracta fuerit. Vbi autem fluere consueuerit, non amplius dolorem excitat. At verò ei quem dolor detinet, medicamentū naturâ calidum tepefactum,

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τοῦ καταφανοῦς ῥόου ἐς τὰς ῥῖνας, καὶ ἐς τὰ ὦτα, καὶ ἐς τοὺς ὀφθαλμοὺς ῥέοντος, διὸ καὶ τῆς κορύζης, καὶ τῆς ὠταλγίας, καὶ σύριγγος τοῦ ὠτὸς, καὶ τῆς ὀφθαλμίας, καὶ τῆς ψωροφθαλμίας, καὶ τῆς ἐπιφορᾶς, καὶ τοῦ ἀργέμου θεραπείας τῆς χειρουργικῆς τε κατὰ τὴν τομὴν καὶ τὸ πυρωτικὸν, καὶ τῆς φαρμακευτικῆς κατὰ τὰ τοπικὰ, καὶ τὰ καθαρτικά.

F ΗΝ δὲ συνοιδήσωσιν αἱ ῥῖνες, καὶ φλέγματος ἔμπλεαι ἔωσι συμπεπηγότος τούτου, χρὴ τὸ φλέγμα τὸ συμπεπηγὸς λεπτύνειν ἢ πυριήσει, ἢ φαρμάκοις, καὶ μὴ ἀποτρέπειν· ἢν γὰρ ἀποτρεφθὲν ἄλλῃ πορεύσηται, πάντῃ τὸ ῥέεθρον μείζονα νοῦσον ποιέοι. ὁπόταν δ᾽ ἐς τὰ ὦτα ῥέῃ, τὸ πρῶτον ὀδύνην παρέχει, βίῃ γὰρ χωρεῖ· πόνον δὲ παρέχει, ἔστ᾽ ἂν ἀποσυριγγωθῇ· ἐπὴν δὲ μάθῃ ῥεῖν, οὐκέτι πόνον ποιεῖ. τῷ δὲ ὑπὸ τῆς ὀδύνης ἐχομένῳ φάρμακον θερμὸν φύσει, χλιαρὸν ποιήσαντα, διέντα

μετωπίῳ, ἐγχεῖν, καὶ ὄπισθεν σικύην ἐμβάλλειν, ἢν τὸ ἀριστερὸν ἀλγέῃ, ἐς τὸ δεξιόν· καὶ ἢν τὸ δεξιὸν, ἐς τὸ σκαιόν· μὴ καταχρούειν δὲ, ἀλλ' ὡς ἂν ἕλκῃ μοῦνον. ἢν δὲ μὴ πρὸς ταῦτα παύηται, ψύχοντα ἐγχεῖν φύσει ψυχρά, καὶ φάρμακον πίσαι, ὅ, τι ἂν κάτω ὑποχώρησιν ποιέῃ· ἄνω δὲ μὴ, ὥσπερ γὰρ ἀρήγει ἐμέειν, καὶ τὰ ἄλλα ψύχειν. καὶ αἰεὶ δὲ ἐκ τοῦ ὑγιὲς μὴ ποιέοντος τρόπου μεταλλάσσειν· καὶ ἢν μὲν κάκιον ποιέῃ, ἔχου ἐς τὸ ὑπεναντίον· ἢν δὲ ῥέπῃ ἐς τὸ ὑγιὲς, τὸ πάμπαν μὴ ἀφελεῖν τι τῶν προσφερομένων, μὴ δ' ἀποζευγνῦσαι μὴ δὲ προσθεῖναι ἄλλο τι. ἢν δὲ συνειλεγμένον ἤδη ᾖ, καὶ πεπυωμένος ῥέῃ ἰχὼρ πουλὺς, καὶ κακὸν ὄζωμενος, [34] τοῦτο ὧδε ποιέειν. σπόγγον δεύων ξηραίνοντί τινι φαρμάκῳ ξηρῷ, πρὸς τὸ ἀκρίβεστατον ὡς πελασάτω προσθεῖναι· καὶ πρὸς τὰς ῥῖνας καθαρτήριον, ὅπως τὸ ἐς τὰ ὦτα ῥέοντος πρόσθεν, ἐς τὰς ῥῖνας φέρηται, καὶ μὴ ἐς τὴν κεφαλὴν πάλιν ἀποχωρέῃ, νοσηρὸν ἐόν. ὅταν δ' ἐς ὀφθαλμοὺς ῥεῦμα ἴῃ, φλεγμαίνουσιν οἱ ὀφθαλμοὶ καὶ οἰδέουσιν. τοῦτον χρὴ φαρμάκῳ, ἢ τῷ ὑγρῷ ἢ τῷ ξηρῷ ἐπιπασσομένῳ ἰᾶσθαι. ἢν δ' [36] αὐτίκα φλεγμαίνωσι, μὴ ἐγχρίειν μηδὲν, [35] ἀλλ' ἢ καθῆραι κατωτάτω ἰσχυροτάτῳ, ἢ ἄλλῳ τινὶ ἀπισχναίνειν ὑποχωρητικῷ φαρμάκῳ, φυλασσόμενος μὴ ἔμετον ποιήσῃς. ἢν δὲ οἷα λίθοι ὑποῤῥέωσιν, φάρμακον ἐγχρίειν, ὅ, τι πλεῖστον ἄξειν δάκρυον μέλλει, καὶ τὸ ἄλλο σῶμα ὑγραίνοντα καὶ φλεγμαίνειν ποιέοντα, ὡς ὑγρότεροι οἱ ὀφθαλμοὶ γίνωνται [37] καὶ ἐκκεκλυσμένοι, ὡς τὸ δάκρυον συμπεπηγὸς ὑποῤῥέειν ποιέῃς. ὅταν δ' ἐς τοὺς ὀφθαλμοὺς κατὰ σμικρὸν ῥέῃ, [38] καὶ κνησμότητα παρέχῃ, τοῦτον ἐγχρίειν μαλθακώδει, ὅ, τι μέλλει ξηραίνειν ἅμα καὶ δάκρυον ὀλίγον ἄγειν, καὶ πρὸς τὰς ῥῖνας φάρμακον προσφέρειν ἢ ἑκάστης ἡμέρης, ἢ διὰ τρίτης τῷ αὐτῷ χρεώμενος· τοιόνδε ἔστω τὸ φάρμακον, ὅ, τι μὴ πλεῖον ἢ ἐμβάφιον ἀπάγειν μέλλει κατὰ τὰς ῥῖνας, ἀπάγειν δὲ κατὰ σμικρόν· τὸ δὲ κατὰ τοὺς ὀφθαλμοὺς ἀποξηραίνειν, ὡς ὅ, τι ἂν τὸ τῶν ὀφθαλμῶν φάρμακον ἀποξηρῶν καὶ ἀποφράξῃ, καὶ κατὰ τὰς ῥῖνας ἀποῤῥάπτηται. τὰ δὲ φάρμακα τὰ τῆς κεφαλῆς καθαρτήρια, ἃ μὲν αὐτῶν ἰσχυρά ἐστιν, ἀπὸ τῆς κεφαλῆς ἄγουσιν ὅλης· ὅσα δὲ ἀσθενέα, ἀπὸ τῶν ὀφθαλμῶν, καὶ αὐτόθεν ἀπὸ τῶν πέλας τῆς ῥινός. ἢν δ' ἀπὸ τῆς σαρκὸς καὶ τοῦ ὀστέου, μύξης ὑποστάσης μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς, ῥεῦμα ἐς τοὺς ὀφθαλμοὺς ἐγχέηται, τῷδε δῆλόν ἐστιν, ὅτι ἐντεῦθεν ῥεῖ τὸ ῥεῦμα. [39] τὸ ἐπὶ τῇ κεφαλῇ θλιβόμενον καὶ ὑπείκει, καὶ ἕλκεα ἐς τὴν κεφαλὴν ἐκθύουσιν, [40] καὶ κατὰ τοὺς ὀφθαλμοὺς δακρύουσιν, καὶ οὐχ ἑλκοῦνται τὰ βλέφαρα, οὐδὲ δάκνει, οὐδ' ἀμβλυώσσειν ποιεῖ, ἀλλ' ὀξὺ ὁρᾶν γίνεται· τὸ γὰρ ῥεῦμα οὐχ ἁλμυρόν ἐστιν, ὡς οὐκ ἀπὸ τοῦ ἐγκεφάλου, ἀλλὰ μυξωδέστερον μᾶλλον. τοῦτον ὧδε χρὴ ἰᾶσθαι. φαρμάκῳ καθαίρειν χρὴ τὴν κεφαλὴν μὴ ἰσχυρῷ, καὶ τὸ σῶμα ἰσχναίνειν, καὶ σιτίοισι καὶ φαρμάκοισι κάτω ὑπάγοντα, ὡς ἀποξηρανθῇ ἰσχναινομένου τοῦ σώματος, [41] ἢ ἐκτρεφθῇ τῷ κατὰ τὰς ῥῖνας προστιθεμένῳ φαρμάκῳ· πρὸς δὲ τοὺς ὀφθαλμοὺς οὐδὲν δεῖ φάρμακον προσφέρειν. ἢν δὲ μηδ' οὕτως ὑγιὲς γίνηται, τὴν κεφαλὴν καταταμεῖν, ἕως ἂν πρὸς τὸ ὀστέον ἵῃς, μὴ μετεώρους,

& metopio subactum infundendum, & pone cucurbitula admouenda, ad dextram, si sinistra auris doluerit; ad sinistram verò, si dextra; sed citra scarificationem, verùm ut trahat tantùm. Quod si per hæc dolor minimè sedetur, ea quæ naturâ refrigerant, frigida infundito, & medicamentum quod deorsum deiectionem moueat, propinato; sursum autem minimè, quum vomitus nihil conferat, & in reliquo refrigerantibus utendum. Semperque modus, qui sanitatem non inducit, permutandus est. Quod si deterius quidem malum reddiderit, ad contrarium confuge; si verò ad sanitatem vergat, nihil omninò ex his quæ adhibentur auferendum, neque aliud quicquam seiungendum aut apponendum. At ubi iam contracta fistula fuerit, multáque sanies purulenta & graueolens effluxerit, istud ita faciendum. Spongiam siccante quodam medicamento sicco imbutam, quàm penitißimè in aurem inde; & medicamentum purgans naribus adhibe, ut quod priùs ad aures defluebat, in nares feratur, neque id cùm morbosum existat, ad caput rursus decedat. At vero quum ad oculos fluxio decubuerit, oculi inflammantur & tument. Sic affectus medicamento aut liquido, aut sicco asperso curandus est. Quod si subitò inflammationem concipiant, nihil omnino illine, sed aut fortißimo in infimis partibus urito, vel alio quopiam aluum subducente medicamento attenuato, cautione adhibitâ ne vomitum prouoces. Quod si velut lapilli decurrant, medicamentū quod plurimam lachrymā cieat illinito, & reliquum corpus humectum & tumidum reddito, quo oculi humidiores euadant, ac colluantur, ut cōcretam lachrymam decurrere facias. Quum autem paulatim in oculos fluxerit, pruritumque exhibuerit, sic affectum molli medicamento, quod siccare simúlque modicam lachrymam ciere poßit, illinito, naribusque medicamentum admoueto, aut singulis diebus, aut tertio quoque die eodem utens. Sit autem medicamentum eius generis, quod non ampliùs quàm acetabulum per nares educat, idque paulatim educat. Quod verò oculis admouetur, id resiccare oportet, uti quod oculorum medicamentum resiccarit & obstruxerit, etiam per nares deducatur. At medicamenta caput purgantia, quæ quidē sunt valentia, à toto capite ducunt; quæ vero imbecillia, ab oculis, & inde à vicinis naso partibus. Quod si muco inter os & carnem subsistente, ex carne & osse in oculos fluxio decumbat, ex eo cognosces, quod inde humor defluat. Quod in capite comprimitur, cedit, & ulcera in capite erumpunt, oculique illachrymantur, palpebræ non exulcerantur, neque mordet fluxio, neque oculorū aciem hebetat, sed æger acutiùs cernit. Siquidem fluxio minimè salsa est, quum de cerebro non procedat, verùm mucosa magis. Sic affectus hac ratione curandus est. Caput medicamento non vehementi purgandum; & corpus tum cibis, tum medicamentis infra subducentibus attenuandum, quò attenuato corpore fluxus resiccetur, aut per medicamentum naribus admotum deriuetur. Verùm oculis nullum medicamentum admouendum est. Quod si ne sic quidem conualescat, caput ad os usque incidendum, non sublimibus,

neque

neque transuersis sectionibus, sed ad os ipsum pertingentibus; sed crebrò incidendum, quò collectus humor citiùs emigret, & per vlcera effluat; simulque crebræ sectiones existentes carnem ossi adhærescere faciant. Sic medendum, si res huiusmodi successum sit habitura. Sin minùs hæc commodè præparata fuerint, non est elotus oculus, *vt elotus acutè cernere possit, semperque potiùs ab incumbente humore splendescens redditur, hominisque acies extinguitur. Quòd si in visum ad humorem purum cruentus aliquis humor inciderit, huic pupilla intus in oculo minimè esse rotunda ob eam causam apparet*, quòd *in quacunque parte cruentus inest humor, ea non conspicitur; huic itaque quod cernitur desinit rotundum esse, & ante oculos ei quædam obuersari videntur, nihilque quicquam re verâ vt est, cernit. Huius venæ, quæ videndi aciem premunt, adurendæ sunt, quæ semper pulsant, & inter aurem & tempora à naturâ sitæ sunt; easque vbi obturaueris, medicamenta quæ humectant, oculis adhibe, lachrymamque quamplurimam educito, vti quod in oculis consistit & morbum facit, colluatur. Quòd si rumpatur oculus, mollibus & acerbis medicamentis vtendum, vt constrictum vlcus in angustum coeat, cicatrixque tenuis fiat. Quum verò albugo fuerit, lachrymæ oculo conferunt.*

μηδὲ ἐπικαρσίους τὰς τομὰς ποιεῖν, τάμνειν δὲ ἄχρι τούτου ἄχρις ἂν τοῦ ὀστέου θίγῃς· τάμνειν δὲ πυκνά, ὡς ἂν τὸ συνεστηκὸς ἐξέλθῃ θᾶσσον διὰ τῶν ἑλκέων ἀπορρέον, ἅμα δὲ αἱ τομαὶ πυκναὶ ἐοῦσαι προέσασιν ποιέωσιν τὴν σάρκα πρὸς τὸ ὀστέον. οὕτως ἰᾶσθαι δεῖ, εἰ τοῦτο τοιάδε ἡ ἀποτελεύτησις γίνεται· ἢν μὴ ταῦτ' εὐτρεπῆ εἴη, οὐκ ἐκκέκλυσται, ὥστ' ἐκκλυσθεῖσαν ὀξὺ ὁρᾶν ποιέειν· 43 αἰεὶ δ' ἐφισταμένῳ μαρμαρυγώδης μᾶλλον γίνεται, καὶ τὸ ὀξὺ ὁρᾶν τοῦ ἀνθρώπου ἀποσβέννυται. ἢν δ' ἐς τὴν ὄψιν ἐς τὸ ὑγρὸν καθαρόν, αἱματῶδές τι ἐσέλθῃ ὑγρόν, τούτῳ ἡ ὄψις ἔνδον ἐμφαίνεται τοῦ ὀφθαλμοῦ οὐ στρογγύλον ἐὸν διὰ τόδε· ἐν ᾧ ἂν τὸ αἱματῶδες ἐνῇ, τοῦτο οὐκ ἐμφαίνεται· τούτῳ δὴ ἐκλείπει τὸ φαινόμενον περιφερὲς εἶναι, καὶ περικινέεσθαι αὐτῷ δοκέει πρὸ τῶν ὀφθαλμῶν, καὶ οὐδὲν κατ' ἀλήθειαν ὁρᾷ. 44 τούτου χρὴ τὰς φλέβας ἀποκαίειν τὰς πιεζούσας τὴν ὄψιν, αἳ σφύζουσιν αἰεί, καὶ μεταξὺ τοῦ τε ὠτὸς καὶ τοῦ κροτάφου πεφύκασι· καὶ ἐπειδὰν ταύτας ἀποφράξῃς, πρὸς τοὺς ὀφθαλμοὺς φάρμακα ὅσα ὑγραίνει πρόσφερε, καὶ δάκρυον ἄπαγε ὡς πλεῖστον, ὅπως τὸ συνεστηκὸς ἐν τοῖσιν ὀφθαλμοῖσιν ἐκκλυσθῇ, ὃ τὴν νοῦσον παρέχει. ἢν δ' ὀφθαλμὸς ῥαγῇ, μαλθακοῖσι φαρμάκοισι χρῆσθαι, καὶ στρυφνοῖσιν, ὡς συμφερόμενον τὸ ἕλκος ἐς μικρὸν συνίῃ, καὶ ἡ οὐλὴ λεπτὴ ᾖ. 45 ὅταν δ' ἄργεμον ᾖ, δακρύειν τὸν ὀφθαλμὸν ἀρήγει.

CAPVT VII.

De fluxionis biliosę à capite in thoracem decumbentis, & ab ea ortæ peripneumoniæ, pleuritidis, suppurati, tabis & tussis, etiam tabis à fluxione in spinam, ac icteri, ortu, causis, signis diagnosticis, & prognosticis.

AT quum in thoracem fluxio decubuerit, bilisque fuerit, hinc manifestum est; dolor ile afficit, & clauiculam mollitudini è regione respondentem, & febris adest, linguáque superiore parte ex viridi pallescit, & concreta excreantur. In hoc morbo periculum septimo aut nono die instat. Quum vtraque latera doluerint, reliquaque similiter vt in priore se habuerint, hæc quidem peripneumonia est, illa verò pleuritis; hæ autem eam ob causam oriuntur. Quum è capite per guttur & arterias asperas in pulmonem fluxio se tulerit, pulmo naturâ rarus & siccus quum existat, quicquid humoris potest, in se attrahit; & vbi influxerit, maior redditur, & si quidem in totum fluxerit, lobi maiores redditi vtrúmque latus attingunt, pulmonique inflammationem faciunt; quum verò alterum tantùm, pleuritis fit. Pulmonis inflammatio longè periculosior est, & dolores ad laterum mollitudinem & clauiculas multò vehementiores habet, linguáque longè est pallidior, fauces à fluxione dolor occupat, vehemens lassitudo detinet, & spiritus sexto aut septimo die prehendit. Hunc nisi febris septimo die dimiserit, moritur, aut suffocatur, aut vtrúnque contingit. Quod si nono die, duobus inter-

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ χολώδεος ῥόου ἀπὸ τῆς κεφαλῆς ἐς τὸν θώρακα ῥέοντος, καὶ τῆς ἀπὸ τούτου γινομένης περιπνευμονίας, καὶ πλευρίτιδος, καὶ ἐμπυήματος, καὶ φθίσεως καὶ βηχός, καὶ τῆς φθίσεως ἀπὸ τοῦ ῥόου ἐκ τῆς κεφαλῆς ἐς τὴν ῥάχιν, καὶ τοῦ ἰκτέρου, γενέσεώς τε καὶ αἰτιῶν, καὶ σημείων διαγνωστικῶν καὶ προγνωστικῶν.

ΟΠόταν δὲ ἐς τὸν θώρακα ῥέῃ καὶ χολὴ ᾖ, τάδε δῆλόν ἐστιν· ὀδύνη ἔχει ἐς τὴν λαπάρην, καὶ ἐς τὴν κληῗδα 46 πρὸς τὴν ἐς τὴν λαπάρην, καὶ πυρετός, καὶ ἡ γλῶσσα τὰ ἄνω χλωρὴ γίνεται, καὶ ἀποχρέμπτεται ξυμπεπηγότα. ταύτης τῆς νούσου ἑβδομαίῳ ὁ κίνδυνός ἐστιν ἢ ἐναταίῳ. 47 ὁκόταν ἀμφότερα τὰ πλευρὰ ἀλγέῃ, τὰ δὲ ἄλλα ὅμοια ᾖ τῇ ἑτέρῃ, αὕτη μὲν περιπλευμονίη ἐστίν, ἡ δ' ἑτέρη πλευρῖτις· αὗται δὲ γίνονται διὰ τόδε. ὅταν ἐς τὸν πλεύμονα ῥεύσῃ ἐκ τῆς κεφαλῆς διὰ τοῦ βρόγχου, καὶ τῶν 48 ἀρτηριῶν, ὁ πλεύμων, ἅτε ψαφαρὸς ἐὼν καὶ ξηρὸς φύσει, ἕλκει ἐφ' ἑωυτὸν τὸ ὑγρὸν ὅτι ἂν δύνηται· καὶ ἐπὴν εἰσρύσῃ, μείζων γίνεται, καὶ ὅταν μὲν ἐς ὅλον ῥεύσῃ, μείζων ὁ λοβὸς γινόμενος, ἀμφοτέρων ἔψαυσεν τῶν πλευρέων, καὶ περιπλευμονίην ἐποίησεν· ὅταν δὲ τῆς ἑτέρης μούνον, πλευρῖτις ᾖ. ἡ περιπνευμονίη πολὺ ἐπικινδυνοτέρη ἐστί, καὶ ὀδύναι πολὺ ἰσχυρότεραί εἰσιν αἱ ἐς τὰς λαπάρας καὶ ἐς τὰς κληῗδας, καὶ ἡ γλῶσσα πολὺ ὠχροτέρη, καὶ τὴν φάρυγγα ἀλγέει ὑπὸ τοῦ ῥεύματος, καὶ κόπος ἔχει ἰσχυρός, καὶ πνεῦμα ἑκταῖον ἢ ἑβδομαῖον λάζεται. τοῦτον ἢν μὴ ἑβδομαῖον ὁ πυρετὸς ἀφῇ, ἀποθνήσκει καὶ ἀποπνίγεται, ἢ ἀμφότερα· ἢν δ' ἐναταῖον, δύο ἡμέρας διαλιπών,

περιζήσῃ, ὡς τὰ πολλὰ καὶ οὗτος ἢ ἀποθνήσκει, ἢ ἔμπυος διαφεύγει· ἢν δὲ δωδεκαταῖον, ἔμπυος γίνεται· ἢν δὲ τεσσαρεσκαιδεκαταῖον, ὑγιὴς γίνεται. καὶ ἔμπυοι ὅσοι ὑπὸ περιπλευμονίης ἢ πλευρίτιδος γίνονται, [49] οὐκ ἀποθνήσκουσιν, ἀλλ' ὑγιέες γίνονται. ὡς τὰ πολλὰ ἔμπυοι γίνονται, ὅταν ῥεῦμα ἐς τὸ αὐτὸ ὥσπερ ἐπὶ τῇσι χολῇσιν γίνηται· ἀλλὰ τῇσι μὲν χολῇσι, πολὺ ἀπορρεῖ, καὶ ἀπορρυὲν παύεται· τοῖσι δ' ἐμπύοισιν ἔλασσόν τε ῥεῖ καὶ οὐ παύεται. καὶ ἔμπυοι γίνονται, ὅταν ἔλασσον ἀποχρέμπτωνται ἢ ἐπιρρεῖ ἐς τὸν πλεύμονα. τοῦτο γὰρ τὸ ἐν τῷ πλεύμονι συνιστάμενόν τε καὶ ἐπιρρέον, πῦον γίνεται· τὸ δὲ πῦον συνιστάμενον ἐν τῷ πλεύμονι καὶ ἐν τῷ θώρακι, ἑλκοῖ καὶ σήπει· καὶ ἐπὴν ἑλκωθῇ, ἀπὸ τοῦ ἡλκωμένου ἐπιρρεῖ, καὶ ἐπαναχρεμπτομένου· ἅμα μὲν ἡ κεφαλὴ μᾶλλον ῥεῖ σειομένη, ἅμα δὲ ἐκ τοῦ ἡλκωμένου ἐν τῷ θώρακι καὶ τῷ πλεύμονι μᾶλλον ῥεῖ, καὶ τὰ ἕλκεα κινεύμενα ἐπαναρρήγνυνται, ὥστε καὶ εἰ παύσαιτο τὸ ἀπὸ τῆς κεφαλῆς ῥέον, τὸ ἀπ' αὐτέων τῶν ἑλκέων ἱκανὸν ἔσται νοῦσον παρέχειν. γίνεται δὲ καὶ ἀπὸ ἕλκεος ἔμπυος, καὶ ῥάων αὕτη ἡ νοῦσος. γίνεται δὲ καὶ ἐκτὸς τοῦ πλεύμονος, μάλιστα μὲν ἀπὸ ῥήγματος, καὶ ὅταν ἡ σὰρξ φλασθῇ· κατὰ τοῦτο γὰρ πῦον ξυνίσταται, καὶ συνιστάμενον εἴ τις σείῃ τὸ σῶμα, κλυδάζεται, καὶ ψόφον παρέχει· καὶ καίονται ταῦτα. φθίσις δὲ γίνεται, ὅταν ἐς τὸ αὐτὸ, ὥσπερ τῷ ἐμπύῳ, ὁ ῥόος γίνηται διὰ τοῦ βρόγχου [50] καὶ τῶν ἀορτέων, αἳ ξυνέχουσι τὸν πλεύμονα καὶ τὸν βρόγχον. ἐς δὲ τὸν πλεύμονα ῥέει θαμινὰ καὶ ὀλίγον, καὶ ὑγρότητα ἐν τῷ πλεύμονι [51] μὴ ποιεῖ πολλήν· ξηραινόμενον γὰρ τὸ ἐπιρρέον ἐν τῷ βρόγχῳ πέπηγεν, ὥστε οὐκ ἐκκλυζόμενον, ἀλλὰ κατ' ὀλίγον ἐπιρρέον [52] καὶ ἐνεχόμενον, βῆχα ποιεῖ· ἔν τε τῇσιν [53] ἀορτῇσιν ἐνεχόμενον τὸ ῥέον, ὥστε στενὰς διατρήσιας ἐχούσας τὰς ἀορτὰς, στενοχωρίην τῷ πνεύματι παρέχει, [54] καὶ τοῦτο ποιεῖ πνεῦμα ἔχειν· ὥστε γὰρ ἀπολειπόμενον ἀεὶ ἐπιθυμεῖ ἀναπνεῖν, καὶ ἐν τῷ πλεύμονι, ὥστε οὐκ ἰσχυρῶς ὑγρῷ ἐόντι, ξυσμὸς ἐγγίνεται· ὅταν δὲ πολὺ ἀπόρροη τῆς κεφαλῆς, οὔτ' ἐν τῷ πλεύμονι ξυσμὸς γίνεται, πολὺ γὰρ αὐτέῳ τὸ ἐπιρρέον ἐστί, καὶ ἔμπυοι ἐκ τῶν φθισίων τούτων γίνονται, ὅταν ὑγρότερον τὸ σῶμα γένηται· καὶ ὅταν ξηρότερον γένηται, ἐκ τῶν ἐμπύων φθισιῶντες. ἔμπυοι τοῖσδε δῆλοι γίνονται. τῆς λαπάρης ἀρχομένων πόνος ἔχει· ἐπὴν δὲ πῦον ξυνεστήκει ἤδη, ὅ,τε πόνος ὁμοίως ἔχει, βήξ τε γίνεται, καὶ ἐπαναχρέμπτεται πῦον, καὶ πνεῦμα ἔχει· ἢν δὲ μήπω ἐρρώγῃ ἐν τῇ λαπάρῃ, σείεται καὶ ψοφεῖ οἷον ἐν ἀσκῷ. ἢν δὲ τούτων μηδὲν [55] παρέῃ, ἔμπυος δὲ ᾖ, τοῖσιδε χρὴ τεκμαίρεσθαι. πνεῦμα πουλὺ ἔχει, φθέγγεταί τε ὑποβραγχότερον, καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ γούνατα· μᾶλλον δὲ κατὰ τὴν λαπάρην, ἐν ᾗ τὸ πῦον ἐστὶ, καὶ ὁ θώραξ συγκεκαμμένος ἐστί· καὶ λυσιγυῖα γίνεται, καὶ ἱδρὼς περιχεῖται ὅλον τὸ σῶμα· καὶ τοτὲ μὲν δοκεῖ θερμὸς αὐτὸς ἑωυτῷ εἶναι, τοτὲ δὲ ψυχρός· καὶ οἱ ὄνυχες περιτεταμένοι εἰσὶ, καὶ ἡ κοιλίη θερμὴ γίνεται. τούτοισι χρὴ γινώσκειν τοὺς ἐμπύους. ὅταν δ' ὀπι-

missis diebus corripiat, hic etiam ut plurimum aut moritur, aut suppuratus euadit. Si verò duodecimo die, suppuratus fit; si decimoquarto, conualescit. Et quicunque ex pulmonis inflammatione, aut pleuritide suppurati fiunt, minimè moriuntur, sed conualescunt. Suppurati verò ut plurimum fiunt, quum fluxio ad eundem locum, velut in bilis fluxionibus, decubuerit; sed in bilis quidem fluxionibus multum defluit, & ubi defluxit, sedatur; suppuratis verò, tum minus defluit, tum minimè sedatur. Suppurati etiam fiunt, quum minus excreant, quàm ad pulmonem defluat. Quod enim in pulmone consistit & defluit, id pus generatur. Pus autem in pulmone & thorace consistens, ulcerat & putrefacit. Et ubi ulcus factum fuerit, ab ulcerata parte, & ab eo quod per sputum repurgatur, defluit. Ac simul quidem caput concussum magis fluit, simulque ex ulcerato thorace & pulmone magis fluit, & ulcera motu agitata refringuntur; ut etiamsi qui humor à capite defluit, cesset, is tamen qui ab ipsis ulceribus procedit, ad morbum faciendum satis esse possit. Fit etiam ab ulcere suppuratus, & leuior hic morbus est. Fit verò etiam extra pulmonem, potissimùm quidem à ruptura, & ubi caro contusa fuerit, circa quam pus colligitur, collectumque, si quis corpus concutiat, fluctuat, & strepitum facit. Et hæc ustione curantur. At verò tabes fit, quum ad eundem locum, velut in suppurato, fluxio fertur per guttur & aortas, quæ pulmonem & guttur continent. Defluit autem in pulmonem frequenter & paulatim, nec copiosum in pulmone humorem facit. Dum enim resiccatur quod defluit, in gutture concrescens, nimirum quum non eluitur, sed sensim influit ac detinetur, tussim concitat; & in aortis detentum quod influit, quum hæ aortæ angusta foramina habeant, angustiam spiritui exhibet, eámque spirandi difficultatem habere facit, ut eo velut deficiente, semper respirare desideret. Quinetiam in pulmone, ceu non admodum humido existente, pruritus exoritur. Quum verò multum à capite defluxerit, pruritus in pulmone non fit; etenim copiosum est quod in ipsum defluit, & suppurati ex tabidis huiusmodi fiunt, ubi humidius corpus factum fuerit; & ubi siccius fuerit, ex suppuratis tabidi. Suppurati his signis dignoscuntur. Lateris mollitudinem à principio dolor obsidet. Quum verò iam pus collectum est, & dolor similiter vexat, & tussis suboritur, tum pus excreatur, & spiritus occupat. Quòd si nondum pus eruperit in lateris mollitudine, concutitur, ac velut in utre strepitum edit. At si horum nihil adfuerit, suppuratus tamen sit, ex his signis coniectare oportet. Spiritus multus afficit, subraucum loquitur, pedes & genua intumescunt; magis verò ex ea lateris mollitudine in qua pus inest, thorax incuruatus est; & membrorum dissolutio fit, sudore etiam totum corpus perfunditur; interdum quidem sibi calidus, interdum etiam frigidus videtur; ungues circumtensi sunt, & venter incalescit. Atque ex his suppurati dignoscendi sunt.

Quum verò posteriore ex parte fluxio in spinam decubuerit, huic tabes eiusmodi suboritur. Lumbos dolor occupat, & anteriores capitis partes ipsi vacuæ esse videntur. Bilis autem hoc modo periculosa est; si in oculis regius morbus oboriatur; si in vnguibus liuores suborti fuerint; si corpus vlcera habeat, partesque circa vlcera liuidæ fuerint; quum sudor non toto corpore, sed vnâ aliquâ tantùm corporis parte erumpit; & quum febre remanente, ex pallido virescens excreatur, aut si excreatio cesset, quum adhuc in pulmone remanet ex pallido virescens. Id autem quum inest quumque non inest, dignoscendum. Quum inest, in faucibus respirantis strepit, spiritus periculosus adest, *& singultus, febrisque discedit excreatione adhuc in pulmone existente, & debili iam ægro aluus deijcit. Ista sunt peripneumoniæ, & pleuritidis periculosa* indicia.

A ἐπὴν ῥεύσῃ ἐς τὴν ῥάχιν, φθίσις γίνεται ὑπὸ τῷ τοιᾷδε. τὴν ὀσφὺν ἀλγεῖ, καὶ τὰ ἔμπροσθεν τῆς κεφαλῆς κενὰ δοκέουσιν αὐτῷ εἶναι. χολὴ δὲ, τάδε ἐστὶν ἐπικίνδυνα· ἴκτερος ἢν ἐπιγένηται ἐν τοῖσιν ὀφθαλμοῖσιν, καὶ ἐν τοῖσιν ὄνυξιν πελιδνὰ ὅταν γένωνται, καὶ ἐς τὸ σῶμα ὅταν ἔχῃ ἕλκεα, καὶ τὰ περὶ τὰ ἕλκεα, πελιδνὰ ᾖ· καὶ ὁ ἱδρὼς ὁκόταν μὴ καθ᾽ ὅλον τὸ σῶμα ἐκθύῃ, ἀλλὰ καθ᾽ ἓν μέρος τοῦ σώματος· καὶ ὅταν τοῦ πυρετοῦ ἔτι ὄντος ἐπαναχρέμπτηται χλωρὸν, ἢ ἐνεόντος ἐν τῷ πλεύμονι ἔτι τοῦ χλωροῦ, ἡ ἐπανάχρεμψις παύσηται. B [56] τοῦτο δὲ δεῖ γινώσκειν ὅταν ἐνῇ, καὶ ὅταν μὴ ἐνῇ. ὅταν ἐνῇ, ἐμψοφεῖ ἐν τῇ φάρυγγι ἀναπνέοντος, καὶ πνεῦμα ἐπικίνδυνον, [57] καὶ λύγξ, καὶ ὁ πυρετὸς ἀπιών, ἀποχρέμματος ἔτι ἐν τῷ πλεύμονι ἐόντος, καὶ ἡ κοιλίη ἀσθενέος ἤδη ἐόντος ὑποχωρέουσα. ταῦτα πλευρίτιδος καὶ περιπλευμονίης ἐπικίνδυνα.

CAPVT VIII.

De pleuritidis, peripneumoniæ, suppurati, tabis, & octauæ fluxionis per fauces in ventrem, curatione.

Pleuritidi sic medendam est. Febris per septem dies haud sedanda; potu verò aut aceto mulso, aut aceto & aqua vtendum; hæc autem quam plurima offerenda, quò humectatio fiat, eaque facta excreationem faciat. Dolor medicamentis calefacientibus sedandus, & sorbitione exhibendum quicquid excreationem moliatur. Balneis etiam quarto die vtendum; quinto autem & sexto, oleo illinendum. Septimo lauandum, nisi febris dimiserit, vti ex balneo sudor oboriatur. Quinto insuper & sexto validissimis vtendum excreationem promouentibus medicamentis, quò quàm facillimè septimum transigat diem. Quod si neque septimo die desierit, nono desinet, nisi aliud quiddam periculosum contingat. At vbi febris remiserit, sorbitiones quàm debilissimæ offerantur. Si verò vacuatio oboriatur, si quidem corpus adhuc iuuenile existat, potus subducendus. Quod si febris remiserit, triticeis sorbitionibus vtitor. Eodemque modo pulmonis inflammationem curato. Suppuratis caput haud vehementibus medicamentis purgandum, sed sensim ad nares auertendum, cibisque simul ventrem subducentibus vtendum. Et vbi morbi principium non ampliùs fuerit, sed fluxus diuertatur, excreatio promouenda, & tussis excitanda, & tum medicamentis quæ infunduntur, tum cibis vtendum. Quum autem excreatio mouenda est, pluribus etiam cibis, tum salsis, tum pinguibus, vinoque austero vtendum, & quum hoc modo habuerit, tussis excitanda. Tabidos quinetiam quoad reliqua curabis *ad eundem modum, præterquam quòd cibaria non multa simul exhibenda, neque opsonia plura quàm cibaria frumentacea, & vino diluto inter cibos vtendum, ne calefaciat, & in corpore debili calorem exhibeat, & vtraq; simul eodem tempore calefaciant, & calore multam fluxionem inducant. Vbi per gulam in ventrem fluxio decubuerit, infrà morbus, interdumque suprà*

ΚΕΦΑΛΑΙΟΝ Η'.

C Περὶ τῆς πλευρίτιδος, περιπνευμονίας, ἐμπυήματος, φθίσιος, καὶ τοῦ ὀγδόου ῥόου διὰ τοῦ οἰσοφάγου ἐς τὴν κοιλίαν θεραπείας.

Πλευρῖτιν ὧδε χρὴ ἰᾶσθαι· τὸν πυρετὸν μὴ παύειν ἑπτὰ ἡμερέων· ποτῷ δὲ χρήσθω, ἢ ὀξυμελικρήτῳ, ἢ ὄξει καὶ ὕδατι· ταῦτα δὲ χρὴ προσφέρειν ὡς πλεῖστα, ὡς ἐπίτεγξις γίνηται, καὶ γενομένη ἐπανάχρεμψιν ποιέῃ. καὶ τὴν ὀδύνην παύειν θερμαντηρίοισι φαρμάκοισιν, καὶ καταρροφεῖν διδόναι, ὅ, τι ἐπανάχρεμψιν ποιήσει. καὶ λούειν χρὴ τεταρταίοισιν· τῇ δὲ πέμπτῃ, D καὶ τῇ ἕκτῃ, χρίειν ἐλαίῳ· τῇ δὲ ἑβδόμῃ, λούειν, ἢν μὴ ὁ πυρετὸς μέλλῃ ἀφιέναι, ὡς ὑπὸ τοῦ λουτροῦ ὁ ἱδρὼς ἐγγίνηται· καὶ ἔτι τῇ πέμπτῃ καὶ τῇ ἕκτῃ ἰσχυροτάτοισι χρῆσθαι τοῖσιν ἐπαναχρεμπτηρίοισι φαρμάκοις, ὡς τὴν ἑβδόμην ὅτι ῥήϊστα ἡμέρην ἀγάγῃ. ἢν δὲ μηδὲ τῇ ἑβδόμῃ ἡμέρῃ παύσηται, τῇ ἐνάτῃ παύσεται, ἢν μή τι ἄλλο τῶν ἐπικινδύνων γένηται. ἐπὴν δὲ ὁ πυρετὸς ἀφῇ, ῥοφήματα ὡς ἀσθενέστατα ποιέων προσφερέειν. ἢν δὲ [58] ἰνηθμὸς ἐγγίνηται, ἢν μὲν ἔτι νεαροῦ τοῦ σώματος E ἐόντος, τῶν ποτῶν ἀφαιρέειν· ἢν δὲ τοῦ πυρετοῦ ἀφιέντος, πυρίνοις τοῖς ῥοφήμασι χρέω. καὶ τὴν περιπλευμονίην τὸν αὐτὸν τρόπον ἰῶ. τοὺς ἐμπύους καθαίρειν τὴν κεφαλὴν, μὴ ἰσχυροῖσι φαρμάκοισιν, ἀλλὰ κατὰ μικρὸν ἀποτρέπειν ἐς τὰς ῥῖνας, καὶ ἅμα διαχωρητικοῖσιν σιτίοισι χρῆσθαι· καὶ ἐπὴν ἡ ἀρχὴ τοῦ νοσήματος μηκέτι ᾖ, ἀλλ᾽ ἐκτρέπηται ὁ ῥόος, ἐπανάχρεμψιν ποιέεσθαι, καὶ βῆχα ποιέειν, [59] καὶ ἐγχύτοισι φαρμάκοισιν χρῆσθαι, καὶ σιτίοισιν ἅμα. ὁπόταν δὲ δεῖ ἀπόχρεμψιν ποιέεσθαι, καὶ πλέοσι σιτίοισι καὶ ἁλυκοῖσι χρῆσθαι καὶ λιπαροῖσι, καὶ οἴνῳ αὐ- F στηρῷ, καὶ βῆχα ποιέειν, ὅταν ὧδε ἔχῃ· καὶ τοὺς ὑπὸ τῆς φθίσιος τὸν αὐτὸν τρόπον τἄλλα, πλὴν τὰ σιτία μὴ πολλὰ ἅμα, καὶ τὰ ὄψα μὴ πλέονα ἢ τὰ σιτία, καὶ τῷ οἴνῳ ὑδαρεῖ χρέω ἐπὶ τῷ σιτίῳ, ὡς μὴ θερμαίνῃ, καὶ τῷ σώματι ἀσθενεῖ ἐόντι θερμότητα παρέχῃ, καὶ ἅμα ἀμφότερα θερμαίνωσιν ἐν τῷ αὐτῷ χρόνῳ, καὶ θερμαλῆ ποιέουσιν ῥεῦμα πουλύ. ὁπόταν διὰ τοῦ οἰσοφάγου ἐς τὴν κοιλίην ῥεύσῃ, [60] νῆσις γὰρ κάτω, ἔστι δ᾽ ὅτε καὶ ἄνω.

τούτῳ ἢν μὲν ὀδύνη ἐνῇ ἐν τῇ γαστρὶ, ὑπεξάγειν πρῶτον φαρμάκῳ ἢ χυλῷ, ἔπειτα φαρμάκῳ [61] ἰσχυροτέρῳ χρῆσθαι, τοῖσι δὲ σιτίοισι διαχωρητικοῖσιν ἕως ἂν ἡ ὀδύνη ἔχῃ· ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, καὶ τοῖσι σιτίοισιν ἰσχυροτέροισι χρῆσθαι. τὸν αὐτὸν δὲ τρόπον, καὶ ἐπὴν πολλὰς ἡμέρας ἡ νοῦσος ἔχῃ, ἰᾶσθαι. ἢν δὲ ἀσθενὴς ᾖ, καὶ μὴ δύνηται προσφέρεσθαι ὑπὸ ἀσθενείης, κλύζειν πρῶτον μὲν χρὴ χυλῷ πτισάνης, ἔπειτα ἐπὴν τούτῳ καθήρῃς, [62] τῶν στυφόντων τινί.

fit. Huic quidem si dolor in ventre adfuerit, is primùm medicamento aut succo subducendus, deinde medicamento valentiore vtendum, cibis verò alum subducentibus, quandiu dolor detinuerit. At vbi dolor sedatus fuerit, cibis validioribus vtendum. Eodem modo etiam vbi per multos dies morbus detinuerit, curato. Quod si imbecillus fuerit, & præ imbecillitate ista offerri nequeant, primùm quidem ptisanæ succo aluus per infusum eluenda, deinde vbi per hunc purgaris, adstringente aliquo vtendum.

ΚΕΦΑΛΑΙΟΝ Θʹ.

Περὶ τῆς τοῦ ὕδρωπος, καὶ τῆς ἰσχιάδος, καὶ τῆς φθίσεως ἀπὸ ῥόου ἐκ τῆς κεφαλῆς ἐς τὰ ὄπισθεν, καὶ τοῦ σπληνὸς θάλλοντος, καὶ τοῦ ἐν παιδίῳ ὕδρωπος, θεραπείας.

Ὁπότε δ' ἐς τὴν σάρκα ὄπισθεν παρὰ τοὺς σπονδύλους ῥεύματα ὕδρωπα ποιήσῃ, ὧδε χρὴ ἰᾶσθαι. καίειν τὴν σάρκα τὴν ἐν τῷ τραχήλῳ μεταξὺ τῶν φλεβῶν, ἐσχάρας τρεῖς· καὶ ἐπὴν καύσῃς, ξυνάγειν καὶ ποιέειν ὡς ἰσχνοτάτας οὐλάς· καὶ ἐπὴν ἀποφράξῃς, πρὸς τὰς ῥῖνας φάρμακον πρόσφερε, ὡς ἐκτρέπηται, [63] καὶ ἀσθενὲς αὖθις ἄλλο, ἕως ἂν ἀποτρεφθῇ· καὶ τὰ μὲν ἔμπροσθεν τῆς κεφαλῆς, θέρμαινε, τὰ δ' ὄπισθεν ψύχε. καὶ ἐπὴν σοι ἐκτεθερμασμένος ᾖ τὰ ἔμπροσθεν τῆς κεφαλῆς, σιτία ἐσθίειν [64] τὰ φλεγματωδέστατα, καὶ ἥκιστα διαχωρητικά, ὡς ὅ,τι μάλιστα διευρυνθῶσιν αἱ ῥοιαὶ αἱ ἔμπροσθεν τῆς κεφαλῆς. ἔπειτα δὴ ἐπὴν ἀποφράξῃς, καὶ ἀποτρέψῃς τὴν ἐπίρρησιν, ἤν τι πρὶν ἢ ἐκτρεπίζειν τὸ ῥεῦμα, ἐς τὸ σῶμα ἔλθῃ, ὧδε χρὴ ἰᾶσθαι. ἢν μὲν μᾶλλον πρὸς τὸ δέρμα ἐκκεχωρηκὸς ᾖ, τὰ ἔξωθεν πυριῶνται· ἢν δὴ ἔνδον πρὸς τὴν κοιλίην, ἔξωθεν δὲ μὴ δῆλον ᾖ, φάρμακον πιπίσκοντα· ἢν δὴ ἐπ' ἀμφότερα, ἀμφοτέρων ἀφαιρέειν. ἐπιτηδεύειν δὲ χρὴ ἐγγυτάτην ἔξοδον ποιέειν, ἤν τε κάτω, ἤν τε ἄνω, ἤν τε ἄλλῃ ὅπῃ τοῦ σώματος ἔξοδοί εἰσιν. ὁπόταν ἰσχιὰς ἀπὸ ῥόου γένηται, σικύην χρὴ προσβάλλειν, καὶ ἕλκειν ἔξω, καὶ μὴ καταχρούειν, καὶ ἔνδοθεν θερμαντήρια φάρμακα πιπίσκοντα διαθερμαίνειν, ὅπως ἔξοδος ᾖ καὶ ἔξω εἰς τὸ δέρμα ὑπὸ τῆς ἑλκύσιος τῆς σικύης, καὶ ἐντὸς πρὸς τὴν κοιλίην ὑπὸ τῆς θερμασίης. ὁπόταν γὰρ ἀποφραχθῇ, καὶ μὴ ἔχῃ ὅπῃ ὁδοιπορέῃ, ὁδοιπορέουσα ἐς τὰ ἄρθρα ῥεῖ ἐς τὸ ὑπεῖκον, καὶ ἰσχιάδα ποιέει, [65] ἢ ὄπισθεν φθίσιν. τούτῳ τὴν κεφαλὴν καθαρτέον ἀσθενεῖ φαρμάκῳ, ἕως ἂν ἀποτρεφθῇ ὁ ῥόος, καὶ διαίτῃ, ὥσπερ ἔμπροσθεν, χρέω. φάρμακον δὲ πῖσον ἐλατήριον, καὶ κάτω γάλακτι κλύσον, τὰ δὴ ἄλλα πυριῆσιν ἰῶ. ἐπὴν ὁ σπλὴν ὑπὸ πυρετοῦ μέγας γένηται· γίνεται δὲ ὅταν τὸ σῶμα λεπτυνθῇ· τοῖσι γὰρ αὐτοῖσιν ὅ,τε σπλὴν θάλλει καὶ τὸ σῶμα φθίνει. ὅταν δὲ τὸ σῶμα λεπτὸν ᾖ, καὶ ὁ σπλὴν θάλλῃ, καὶ τὸ ἐπίπλοον ἅμα τῷ σώματι λεπτυνθῇ· ἡ πιμελὴ ἡ ἐν τῷ [66] ἐπιπλόῳ ἐκτήκεται. ἐπὴν δὲ ταῦτα κενὰ πιμελῆς γένηται καὶ ἀπὸ τοῦ σπληνὸς θάλλοντος ἀπορρέει ἐς τὸ ἐπίπλοον, ὡς ἐγγύτατα ἐὸν τὸ ἐπίπλοον, ὥστε τεύχεα ἔχον, [67] καὶ ταῦτα κενεά, ἐσδέχεται· καὶ ἐπὴν τὸ νόσημα ἅπαξ ἐν τῷ σώματι γένηται,

CAPVT IX.

De Hydropis, ischiadis, & tabis à fluxione capitis in posticas partes, etiam de splenis tumescentis, ac pueri hydropici, curatione.

Qvum autem in carnem posteriore parte iuxta vertebras illapsa fluxio hydropem excitarit, sic medendum. Ceruicis caro quæ in medio est venarum, tribus crustis inurenda; inusta constringenda, & quam tenuissimæ cicatrices inducendæ. Et vbi viam intercluseris, medicamentum naribus admoueto, vt eo diuertatur, & imbecillum rursus aliud, donec aliò auertatur; ac anteriores quidem capitis partes calefacito, posteriores verò refrigerato. Et postquam partibus capitis anterioribus excalefactus tibi videbitur, cibos edat qui maximè nutriant, & minimè ventrem subducant, quò fluxionum meatus anteriore capitis parte quàm maximè dilatentur. Posteaquam verò viam intercluseris, & influxionem auerteris, siquid priùs quàm fluxionem curaueris, ad corpus peruenerit, hoc modò medendum. Si quidem ad cutem magis secesserit, externis partibus fomentum admouebis; si verò intrò ad ventrem, neque foris conspicuum sit, medicamentum propinabis; sin vtramque in partem, vtrinque detrahes. Diligentia autem adhibenda est, vt proximum exitum facias, siue supernè, siue infernè, siue aliâ quauis corporis parte exitus detur. Quum ischias à fluxione oritur, cucurbitulam admouere, & foras attrahere oportet, citra scarificationem, & calefacientia propinando intùs calefacere, vt exitus pateat tum extrà ad cutem per cucurbitulæ tractionem, tum intrà ad ventrẽ per caliditatem. Vbi nanq; fluxioni via interclusa fuerit, neq; habuerit quò procedat, viã ad articulos facit, ac in id quod cedit defluit, & ischiadem inducit, aut posteriorum partium tabem. Sic affecto caput medicamento imbecillo purgandum, donec aliò auertatur fluxio, & victûs ratione, velut anteà, vtendum. Medicamentum autem potui exhibeto deorsum purgans, & aluum inferiorem lacte infuso subluito, cætera fomentis curato. Quum lien ex febre magnus extiterit, quod fit quum corpus extenuatur. Ex iisdem enim & lien augescit, & corpus contabescit. Quum autem corpus extenuatur, & lien turgescit, vnà etiam cũ corpore omentum extenuatum fuerit, omenti pinguedo colliquescit. Vbi vero partes istæ pinguedine vacuæ fuerint, & ex liene turgescente in omentum defluxerit, omentum quum valde vicinũ existat, & vasa vacua habeat, id excipit; atque vbi semel in corpore morbus exortus fuerit,

fuerit, ad id quod morbosum est vertitur, nisi quis rectè curet, vt etiamsi bene curetur, periculo non careat. Huic sic medendum. Medicamenta quibus aqua purgetur, potui exhibenda, & cibi maximè nutrientes offerendi. Si verò neque sic leuior fiat, quàm tenuissimis & quàm maximè in superficie crustis, quò aquam habere possis, in vmbilici ambitu inurito, & supra vmbilicum vnam, singulisque diebus emittito. Quumque morbus periculosissimus sit, in his periclitari oportet. Nam si sanè successerit, sanum efficies; sin verò frustatus fueris, nihil grauius, quàm quod euenturum erat, perpetietur. At in puero hydropem sic curare oportet. Tumidæ & aquæ plenæ partes scalpello aperiendæ sunt, crebróque ac parum; & à singulis corporis partibus educendum est, fomentisque vtendum, & semper quod apertum est, calefaciente medicamento illinendum.

A ἐς τὸ νοσέον τρέπεται, ἢν μή τις εὖ τρεπίζῃ, ὡς καὶ τὸ εὐτρεπιζόμενον [68] ἐπικινδυνεύειν. τοῦτον ὧδε ἰᾶσθαι. φάρμακα πιπίσκειν ὑφ' ὧν ὕδωρ καθαίρεται, [69] καὶ σιτία τὰ φλεγματωδέστατα διδόναι. ἢν δὲ μηδ' οὕτω ῥάων γίνηται, καίειν ὡς λεπτότατα καὶ ὡς ἐπιπολαιότατα, ὅπως τὸ ὕδωρ ἴσχειν δύνῃ, πέριξ τοῦ ὀμφαλοῦ, κύκλον δὲ ἐς τὸν ὀμφαλὸν [70] μίαν, καὶ ἀφιέναι ἑκάστης ἡμέρης. τὸ νόσημα τοῦτο, ὅ, τι ἂν ἐπικινδυνότατόν ἐστιν, ἐν τούτοισι παρακινδυνεύειν χρή· ἐπιτυχὼν μὲν γὰρ ὑγιᾶ ποιήσεις· ἀτυχήσας δ' ὅπερ καὶ ὣς ἔμελλε B γίνεσθαι, τοῦτ' ἔπαθε. παιδίῳ δὲ χρὴ ὑδρωπιῶντι ὧδε ἰᾶσθαι. τὰ οἰδέοντα καὶ ὕδατος ἔμπλεα ἐξοιγνύειν μαχαιρίῳ, πυκνὰ καὶ σμικρὰ [71] ἐξοιγνύντα· ἐξοιγνύειν δ' ἐν μέρει ἑκάστῳ τοῦ σώματος, καὶ πυρίῃσι χρῆσθαι, καὶ ἀεὶ τὸ ἐξοιγνύμενον χρίειν θερμαντηρίῳ φαρμάκῳ.

CAPVT X.

De arida pleuritide citra fluxionem, eiusque curatione; ac de febris generatione & curatione.

Pleuritis sicca citra fluxionem oritur, quum ex vehementi siti pulmo admodum resiccatus fuerit. Pulmo enim quum siccus existat, vbi ampliùs quàm pro natura resiccatus fuerit, gracilis euadit, & impotens redditus, ad latus præ impotentia inclinatur, latusque contingit, eóque contacto, quum humidum existat, et adhærescit, & pleuritidem facit. Tunc verò & dolor ad latus & iugulum oboritur, & febris, & album excreat. Hic multis potionibus curandus est & lauandus, eique medicamentum quod dolorem sedet exhibendum, aliáque quæ excreationem faciunt. Hic intra septimum diem conualescit, neque morbus periculosus est, neque cibos exhibere oportet. At verò febres hanc ob causam oriuntur. Quum corpore immoderatiùs inflammato carnes intumuerint, pituita bilisque conclusæ conquieuerint, nihil refrigeretur, neque exeat, neque moueatur, neque aliud quid subeat. Quum lassitudo & febris, & repletio detinuerit, multâ aquâ lauandum, & oleo illinendum, & quàm maximè calefaciendum, quo calor aperto corpore per sudorẽ exeat; hæcq; deinceps tribus aut quatuor diebus facienda. Quod si non sedetur, medicamentum quod bilẽ educat, propinandum, & febris perfrigeranda, priùsquã quartana sit. Neque tamen dum corpus repletum virescit, medicamentum potui exhibendum. Non enim vacuãtur, nisi parùm, nimirum corpore turgente. Quum autẽ macilentum fuerit, propinandum, & vacuabitur. In febre cibus minimè offerendus, neque sorbitionibus aluus subducenda. In potu exhibenda calida aqua, mulsa, & acetum cum aqua, hæcque quàm plurima propinanda. Si enim minimè frigidus potus ingressus fuerit, calidus existẽs & manens, ex ægro corpore detrahit, siue vrinas deducat, siue sudorẽ eliciat. Vndiq; autẽ apertum corpus, & respirãs, ac motũ, quod cõducat faciet. Quũ vero attenuatũ febris vrat, manifestũ quod nõ ob corporis tumorẽ febris

ΚΕΦΑΛΑΙΟΝ Ι'.

C Περὶ τῆς ξηρᾶς πλευρίτιδος ἄνευ ῥόου, καὶ τῆς αὐτῆς θεραπείας· καὶ περὶ τῆς τοῦ πυρετοῦ γενέσεώς τε καὶ θεραπείας.

Πλευρῖτις ξηρὴ ἄνευ ῥόου γίνεται, ὅταν ὁ πλεύμων λίην ξηρανθῇ ὑπὸ δίψης ἀναγκαίης. ὁ γὰρ πλεύμων, ἅτε ξηρὸς ἐών, ἐπὴν τι μᾶλλον ξηρανθῇ τοῦ φύσιος, ἰσχνὸς γίνεται, καὶ ἀκρατὴς γινόμενος [72] καὶ κλιθεὶς ἐς τὸ πλευρὸν ὑπ' ἀκρασίης, ψαύει τοῦ πλευροῦ· καὶ ἐπὴν θίγῃ, ὑγροῦ ἐόντος ἅπτεται, καὶ πλευρῖτιν ποιέει. D τότε δὲ καὶ ὀδύνη γίνεται ἐς τὸ πλευρὸν καὶ ἐς τὴν κληΐδα, καὶ πυρετὸς, καὶ ἔπτυσμα χρέμπτεται λευκόν. τοῦτον χρὴ πολλοῖσι ποτοῖσιν ἰᾶσθαι, καὶ λούειν, καὶ τῆς ὀδύνης φάρμακον διδόναι, καὶ τἄλλα τὰ ἀναχρέμψιν ποιεῦντα. οὗτος ἐν ἡμέρῃσιν ἑπτὰ ὑγιὴς γίνεται, καὶ τὸ νόσημα ἀκίνδυνόν ἐστιν, καὶ σιτία οὐ χρὴ διδόναι. Πυρετοὶ δι' αὐτὸ δὲ γίνονται. ὅταν τοῦ σώματος ὑπερφλεγμήναντος, αἱ σάρκες ἀνοιδήσωσιν, καὶ τὸ φλέγμα καὶ ἡ χολὴ κατακλεισθέντα ἀτρεμίζωσι, καὶ μὴ ἀναψύχηται μηδὲν μήτ' ἐξιὸν, μήτε κινεύμενον, μήτ' ἄλλου ὑπιόντος. ὁπόταν κόπος ἔχῃ, καὶ πυρετὸς, E καὶ πλησμονὴ, λούειν χρὴ πολλῷ, καὶ χρίειν ὑγρῷ, καὶ θερμαίνειν ὡς μάλιστα, [73] ὡς ἡ θερμωλὴ ἀνοιχθέντος τοῦ σώματος ὑπὸ τοῦ ἱδρῶτος ἐξέλθῃ· ἑξῆς δὲ ταῦτα ποιέειν καὶ τρεῖς καὶ τέσσαρας ἡμέρας· καὶ ἢν μὴ παύηται, φάρμακον πίσαι χολαγωγόν, καὶ ψύχειν τὸν πυρετὸν, πρὶν ἢ τεταρταῖος ᾖ. μηδ' [74] ὡς ἂν τὸ σῶμα θάλλῃ, πιπίσκειν φάρμακον· οὐ γὰρ κενοῦνται εἰ μὴ σμικρὸν, ὥστε συνοιδέοντος τοῦ σώματος· ἐπὴν δὲ ἰσχνὸς ᾖ, πιπίσκειν, καὶ F ὀνήσεται. πυρεταίνοντι σιτίον μὴ προσφέρειν, μηδὲ ῥοφήμασιν ὑπεξάγειν· καὶ πιεῖν ὕδωρ θερμὸν καὶ μελίκρατον, καὶ ὄξος σὺν ὕδατι· ταῦτα δὲ πιπίσκειν ὡς πλεῖστα. ἢν γὰρ [75] μὴ ψυχρὸν ἐσίῃ τὸ ποτὸν, θερμὸν ἐὸν, καὶ μένον, ἐκ τοῦ σώματος τοῦ νοσέοντος ἀφαιρέει, ἤν τε διουρήσῃ, ἤν τε διϊδρώσῃ. πάντῃ δὲ ἀνοιγόμενόν τε καὶ ἀναπνέον, καὶ κινεύμενον τὸ σῶμα, συμφέρον ποιήσει. ἐπὴν δὲ ἰσχνὸν ἐόντα καίῃ, δῆλον ὅτι οὐ διὰ τὸ φλεγμαίνειν ὁ πυρε-

τὸς ἔχῃ· καὶ ἢν μὴ παύηται, τρέφειν, καὶ φλεγμαίνειν ποιέειν· καὶ ἢν μηδ' οὕτω ξυμφέρῃ, δῆλον ὅτι οὐκ ἔχρῆν τὸν πυρετὸν ἐπιφέρειν. τούτῳ χρὴ φάρμακον πίσαι, ὡς ὑπεξάγῃ, ὅπῃ ἂν μᾶλλον ὁ πυρετὸς ἔχῃ, ἤν τε κάτω, ἤν τε ἄνω· ἢν μὲν ἄνω, ἄνω· ἢν δὲ κάτω, κάτω. οὐδὲν δ' ἧσσον δεῖ τοὺς ἀσθενέοντας τῶν ἰσχυρῶν φαρμάκων πιπίσκειν, ἀλλ' ὁμοίως· ἢ μοῦνον οὕτω, τοῖσι μὲν ἰσχυροῖς ἰσχυρὸν, τοῖσι δ' ἀσθενέσιν, ἀσθενές. τὰς δὲ πυρώσιας ποτοῖσι καὶ ῥοφήμασιν, ὥσπερ τὸν πυρετὸν ψυκτηρίῳ φαρμάκῳ ἐκλύειν, [76] καμμάρῳ, ἢ ἄλλῳ τινὶ τοιούτῳ. καὶ ἐπὴν ναυτιῶσι τῷ ψυκτηρίῳ, θερμαντηρίοισι χρῆσθαι ἑξῆς· ἐπὴν δὲ μὴ παύηται, ψυκτηρίοισι πάλιν χρῆσθαι.

detineat; ac si non cesset, nutrire, & tumidum reddere oportet. Quòd si ne sic quidem conducat, manifestum non oportuisse per oblatos cibos *febrem inducere. Huic medicamentum absorbendum est quod educat, qua parte magis febris detinet, siue superiore, siue inferiore. Si superiore quidem, supra; si inferiore, infra. Nihilo verò minùs etiam debilibus medicamenta vehementia sunt potanda, sed similiter; aut sic tantùm; robustis quidem vehemens, debilibus verò debile* exhibeatur. *Ardores autem potionibus & sorbitionibus, quemadmodum febrem refrigerante medicamento exoluere oportet, cammaro, aut alio quopiam id genus. Ac vbi ex refrigerante ad nauseam deuenerit, calefacientibus posteà vtitor. Quòd si non cesset, refrigerantibus rursus vtendum.*

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἡ τοῦ ἰκτέρου, καὶ τοῦ ἕλκους θηρίου, καὶ τοῦ κυνάγχης θεραπεία.

Ἴκτερον ὧδε χρὴ ἰᾶσθαι. ἐπὴν παραλάβῃς, τρέφε καὶ λουτροῖσι καὶ πιαντηρίοισι, καὶ ποτοῖσι καὶ σιτίοισι καθυγραίνειν τρεῖς ἢ τέσσαρας ἡμέρας· ἐπὴν δ' ὑγρανθῇ τὸ σῶμα, καθαίρειν καὶ ξηραίνειν τὸ σῶμα, λιπαρά τε ἐξαίφνης ἐξαρύσαι, πάντη τε προσφέρων φάρμακον, εἰ δυνατὸν ᾖ, ὑγρότητα ἐξάγειν· πρὸς δὲ τὴν κεφαλὴν καθαρτηρίῳ ἀσθενεῖ, καὶ οὐρητικὰ πιπίσκειν· καὶ πρὸ τῶν σιτίων τὸν χρόνον ἢν καθαίρῃς τὴν τεταραγμένην ὑγρότητα, [77] κατὰ ποτὸν δίδου, ὡς μὴ τρέφηται ἀπὸ τούτου τοῦ χρόνου τὸ σῶμα. ὅταν δὲ ἰσχναίνηται, καὶ λουτροῖσι καθαίρειν· τοῦ δὲ σικύου τοῦ ἀγρίου τὴν ῥίζαν κόψας, ἐς ὕδωρ ἐμβαλὼν, ἀπὸ τούτου λοῦε. χολαγωγὰ δὲ φάρμακα μὴ πίπισκε, ὡς μὴ ταράσσῃ μᾶλλον τὸ σῶμα τοῦτο. ἐπὴν δὲ ξηρὸν ᾖ τὸ τεταραγμένον, τρέφε μηδενὶ ὑποχωρητικῷ φαρμάκῳ, μηδὲ διουρητικῷ, [78] ἀλλ' οἴνῳ οἰνώδει καὶ ἄλλοισιν ἐρυθρότερον ποιέει τὸν ἄνθρωπον, τούτοισιν. ἢν δὲ χλωρὸς ᾖ, πάλιν ἐξαρύσαι, ξηραίνειν δὲ μηδαμά, ὡς μὴ παγῇ χλωρὸς ἐών. Θηρίον ἐπέρχεται ἐπὶ τὸ σῶμα διὰ τόδε. ἐπὴν φλεγμαίνῃ ἡ σὰρξ ἡ πέριξ, καὶ οἱ κρημνοὶ μεγάλοι ἔωσι τοῦ ἕλκεος, καὶ τὸ ἕλκος ὑγρὸν, καὶ ἐπὶ τοῦ ἕλκεος ἐξηρασμένος ἔπῃ ἰχὼρ, ἢ τὸ ἕλκος συμπεπηγὸς ᾖ, ξυσσηπτὸς ὁ ἰχὼρ ὁ ἀπὸ τοῦ ἕλκεος ἀπορρέων, κωλύεται ἔξω χωρέειν ὑπὸ τοῦ ἐπιπεπηγότος ὑπὸ τοῦ ἕλκεος πρὸς τὴν σάρκα· ἡ δὲ σὰρξ ὑποδέχεται, ὥστε μετέωρος ἐοῦσα ὑπὸ φλεγμασίης, [79] καὶ ὅτ' ἂν ἀφίκηται ὁ ἰχὼρ ὑπορρέων, σήπει καὶ μετεωρίζει. τοῦτον φαρμάκοισιν ὑγραίνοντας αὐτὸ τὸ ἕλκος χρίειν, ὡς ὑγραινομένου ἔξω τὸ ῥεῦμα ῥέῃ ἐκ τοῦ ἕλκεος, καὶ μὴ ὑπὸ τὴν σάρκα· καὶ τὰ κατάρροα τοῦ ἕλκεος ψύχουσι φαρμάκοισιν, ὡς χλιοῦσα συμπιλῆται ἡ σὰρξ, καὶ μὴ διαρραγεῖσα ἀντεπιρρέῃ. καὶ τἄλλα δὲ ἕλκεα ψύχουσι περιχρίειν, καὶ ἐπ' αὐτὰ τὰ ὑγραίνοντα ἐπιτιθέναι. Κυνάγχος ἀπὸ αἵματος γίνεται, ὅταν τὸ αἷμα παγῇ τὸ ἐν τῇσι φλεψὶ τῇσιν ἐν τῷ τραχήλῳ. τούτων ἀπὸ τῶν ἐν τοῖσι γυίοισι φλεβῶν αἷμα ἀφαιρέειν, καὶ αἷμα κάτω ὑπεξάγειν, ὡς τὸ τὴν νοῦσον παρέχον, τοῦτο καταπαυσθῇ. καὶ γλῶσσαν ὁπόταν ἕλκεα μεγάλα ἔχῃ, ὡσαύτως θεραπευτέον. τὰ νοσήματα χρὴ ἀπ' ἀρχῆς ἰᾶσθαι· ὅσα μὲν ἀπὸ τῶν ῥόων γίνεται, τοὺς ῥόους παύειν

CAPVT XI.

Curatio icteri, vlceris ferini, & anginæ.

Icterum sic curare oportet. Quum curandum susceperis, nutrito, & balneis, & pinguefacientibus, tum potibus, tum cibis, tribus aut quatuor diebus humectato. Vbi verò corpus humectatū fuerit, purgato, ipsumq; exiccato, pinguiaq; confestim submoueto, & vndiq; admoto medicamento, si fieri possit, humiditatē educito; ad caput imbecillo purgatorio vtitor, & quæ vrinas ducant, propinato; & ante cibos eo tempore quo turbatam humiditatem repurgaris, potui exhibeto, ne post hoc tempus corpus nutriatur. Cùm verò attenuatum fuerit, balneis etiam purgato, & cucumeris agrestis radice contusâ & in aquam coniectâ, inde lauato. Medicamenta bilem educentia ne propinato, ne corpus ipsum magis conturbent. Vbi verò siccum fuerit quod conturbatum fuit, nutrito, nullo admixto *aluum subducente, aut vrinas ciente medicamento, sed vino vinoso, & his quæ rubicundiorem hominem reddant. Quod si viridis pallescens sit, rursus exhaurito, neque vllo modo resiccato, ne viror defixus hæreat. Vlcus ferinum hanc ob causam corpus inuadit. Vbi caro circumcirca inflammationem conceperit, & vlceris labra intumuerint, vlcusque humidum & in vlcere sanies resiccata inerit, aut vlcus conpactum fuerit, putris ab vlcere sanies defluens, à compacto vlcere foras ad carnem prodire prohibetur; caro autem suscipit, quum nimirum ex inflammatione sublimis existat, quumque eò peruenerit subterfluens sanies, putrefacit & attollit. Hunc medicamentis humectantes, vlcus ipsum illinere oportet, uti ex humectato vlcere foras fluxio, neque subter carnē effluat. Et quæ ad vlcus affluūt, refrigerantibus medicamentis* illinenda, *vti caro frigore condensata coëat, & minimè diffracta rursus fluxionē immittat. Quin & reliqua vlcera refrigerātibus* medicamētis *oblinēda sūt, iisq; humectātia adhibēda. Angina à sāguine oritur, quū sanguis in venis quæ in collo sūt, cōpactus fuerit. Sic affectis à venis quæ in brachijs sunt, sanguis detrahēdus est, simulq; aluus subducenda, vt quod morbū exhibet, id auellatur. Lingua quoq; quū magna vlcera habuerit, similiter curanda. Morbi ab initio curādi sūt; qui à fluxionibus oriūtur,* in his sanè *primū fluxiones*

fluxiones sedandæ. Qui verò ab alia causa, in his morbi principium sedandum, & curandum; deinde quod influxit, si quidem copiosum est, educendum; sin modicum, victûs ratione compescendum.

A περὶ πρῶτον· ὅσα δ' ἀπ' ἄλλου, παύειν τὴν ἀρχὴν τοῦ νοσήματος, καὶ εὐτρεπίζειν· ἔπειτα τὸ συνερρυηκὸς, ἢν μὲν πολὺ ᾖ, ἐξάγειν, ἢν δὲ ὀλίγον, διαίτῃ καθιστάναι.

CAPVT XII.

De capitis fracturis ac fissuris, earumque per serram aut terebram curatione; de lethalibus purgationibus, vomitionibus, vulneribus, & vlcusculis; à purgatione laborantis curatio; bilis eruptio difficile sedatur, vomitus sedat euacuationem.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

B Περὶ τῶν τῆς κεφαλῆς καταγμάτων, καὶ ῥηγμάτων, καὶ τῆς τούτων κατὰ τὸν πρίονα ἢ τρύπανον θεραπείας. περὶ καθάρσεων θανασίμων, καὶ ἐμέτων, καὶ τρωμάτων καὶ τῶν ἑλκυδρίων. ἡ τοῦ μετὰ τὴν κάθαρσιν ὑπερνοσοῦντος θεραπεία. χολῆς ῥῆξις δυσχερῶς καθίσταται. ἔμετος παύει ἰνηθμόν.

IN capitis fracturis, si os quidem fractum sit & contritum, periculo vacat, & medicamentis humectantibus curandum. Quod si fissum fuerit, & fissura intrò procedat, periculi plenum est. Huic serram adhibere oportet, ne sanies per ossis fissuram affluens meningem putrefaciat. Nam quum per angustum quidem subeat, nec tamen exeat, molestiâ afficit, hominemque ad insaniam adigit. Huic terebram adhibere oportet, vt latè terebrato osse, saniei exitus, neque solùm ingressus pateat; & medicamentis quæ humorem ad se attrahant, vtendum, ac lauandum. Febricitanti caput ne purgato, vt ne ad insaniam agatur. Caput siquidem medicamenta purgantia calefaciunt, sanèque ad febrilem calorem medicamenti calor accedens, insaniam excitat. Lethalia vulnera. Si quis quauis ex causa malè affectus bilem atram vomuerit, moritur qui vulnus habet. Et qui euacuatione detentus, imbecillus ac extenuatus, derepente siccus considet, moritur. Quum febre detento, vlcuscula in ambitu liuida, imbecillo existenti eruperint, moritur. Quum cuipiam morbo detento, imbecillo iam existenti, liuores eruperint, lethale. Quum quis à medicamenti potu superægrotauerit, ac per superiora & inferiora eiecerit, vinum primò quidem dilutum, deinde meracum frequenter sorbendum exhibeto, & sedabitur. Medicamentum autem neque subducens, neque vomitum excitans dato. Si bilis sua sponte, aut deorsum, aut sursum proruperit, difficiliùs sedatur. Quæ enim sponte fertur, vi corpori illatâ propellitur. Quod si medicamento effluat, à nulla re cognata cogitur. Quum euacuatum & vomentem curandum susceperis, vomitum ne sedato. Vomitus siquidem euacuationem sedat, faciliùs autem postea vomitus sedabitur. Si vero imbecillus sit, qui hæc patitur, à vomitu medicamentum somnum concilians exhibeto. Sanguis quidem cum morbum facit, dolorem inducit; pituita verò, vt plurimùm grauitatem.

[80] ΚΕφαλῆς κατάγματα. Ἢν μὲν τὸ ὀστέον καταγῇ καὶ ξυντριβῇ, ἀκίνδυνον, καὶ ἰᾶσθαι χρὴ τοῦτον ὑγραίνουσι φαρμάκοισιν· ἢν δὲ ῥαγῇ, τὸ ῥῶγμα ἐγγένηται, ἐπικίνδυνον. τοῦτον πρίειν, ὡς μὴ κατὰ τὴν ῥωγμὴν τοῦ ὀστέου ἰχὼρ ῥέων, τὴν μήνιγγα σήπῃ· ὥστε γὰρ κατὰ στενὸν ἐσιὼν μὲν, ἐξιὼν δὲ C οὔ, λυπέει καὶ μαίνεσθαι ποιέει τὸν ἄνθρωπον. τοῦτον χρὴ πρίειν, ὡς ἔξοδος ᾖ τῷ ἰχῶρι, μὴ μοῦνον ἔσοδος, εὐρέος διαπριαθέντος· καὶ φαρμάκοισι χρῆσθαι, ἅσσα ἐφ' ἑωυτὰ τὸ ὑγρὸν ἕλκουσιν, [81] καὶ λούειν. Πυρεταίνοντι κεφαλὴν μὴ κάθαιρε, ὡς μὴ μαίνηται. θερμαίνουσι γὰρ τὴν κεφαλὴν καθαίροντα φάρμακα· πρὸς δὴ τὸ ἀπὸ τοῦ πυρετοῦ θερμὸν, τὸ ἀπὸ τοῦ φαρμάκου προσελθὸν μανίην ποιέει. Θανάσιμα τρώματα. Ἐφ' [82] ὧν ἄν τινι κακῶς ἔχοντι χολὴν μέλαιναν ἀπεμέσῃ, ἀποθνήσκει ὁ τὸ [83] τρῶμα ἔχων. D καὶ ὑπὸ ἰνηθμοῦ ὁ ἐχόμενος, καὶ ἔχων ἀσθενέως, καὶ λεπτὸς ἐὼν, ἐξαπίνης ξηρὸν καθίζει, ἀποθνήσκει. ἐπὴν ὑπὸ θέρμης ἐχομένῳ ἑλκύδρια ἐκθύωσιν ἀσθενεῖ ἐόντι, πέριξ πελιδνὰ, ἀποθνήσκει. ἐπὴν ὑπό τινος νοσήματος ἐχομένῳ ἀσθενεῖ ἤδη ἐόντι, πελιδνὰ ἐκθύῃ, θανάσιμον. ἐπὴν φάρμακόν τις πιὼν ὑπερνοσῇ, καὶ κάτω καὶ ἄνω ὑπεκχωρέῃ, οἶνον καταρροφεῖν, τὸ μὲν πρῶτον κεκρημένον, ἔπειτα ἄκρητον θαμινὰ διδόναι, καὶ παύεται. φάρμακον δὲ E μήτε ἰνηθμὸν, μήτε ἐμετήριον. χολὴ δ' ἐπὴν αὐτομάτη ῥαγῇ ἢ κάτω ἢ ἄνω, χαλεπωτέρα παύειν· ἡ γὰρ αὐτομάτη, ὑπὸ βίης γινομένης τῷ σώματι, βιᾶται· ἢν δ' ὑπὸ φαρμάκου ῥέῃ, οὐχ ὑπὸ συγγενέος βιᾶται. ἐπὴν παραλάβῃς [84] ἰνηθμὸν τε καὶ ἐμεῦντα, μὴ παύειν τὸν ἔμετον· ὁ γὰρ ἔμετος τὸν ἰνηθμὸν παύει, ῥᾷον δὲ ὁ ἔμετος ὕστερον παύσαιτο. ἢν δ' ἂν ἀσθενὴς ᾖ ὁ ταῦτα πάσχων, ὕπνου φάρμακον ἐμετήσαντι διδόναι. τὸ μὲν αἷμα ὁπόταν νοῦσον ποιέει, ὀδύνην παρέχει· F τὸ δὲ φλέγμα, βάρος, ὡς τὰ πολλά.

CAPVT XIII.

De morbi ignoti, ægri robusti & debilis, vlcerum, fluxionis, mœrentium, & conuulsionis curatione.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τοῦ ἠγνοημένου νοσήματος, καὶ ἀλγοῦντος ἰσχύοντος καὶ ἀσθενοῦς, καὶ τῶν ἑλκῶν, καὶ τοῦ ῥόου, καὶ τῶν αἰωρουμένων, καὶ τοῦ σπασμοῦ θεραπείας.

IN morbis, quos quis minimè cognoscit, medicamentum minimè vehemens potui exhibendum. Si inde leuior æger euadat, demonstrata via est, & extenuãdo curatio instituẽda est. Sin verò minimè leuius, sed deteriùs habeat,

ΤΩν νοσημάτων ὧν μὴ ἐπίστηταί τις, φάρμακον πίσαι μὴ ἰσχυρόν. ἢν δὲ ῥᾴων γένηται, δέδεικται ὁδὸς, εὐτρεπιστέον ἐστὶν ἰσχναίνοντα. ἢν δὲ μὴ ῥᾴων ᾖ, ἀλλὰ χαλεπώτερον ἔχῃ, τἀναντία.

ἢν μὴ ἰσχναίνειν ξυμφέρῃ, φλεγμαίνειν συνοίσει· καὶ θαμινὰ μεταλλάσσειν, ταύτῃ γνώμῃ χρώμενος. τῶν δὲ νοσημάτων ἤν τις ἰσχύοντος μὲν τοῦ ἀλγέοντος ἐπαλλάξεται, τοῦ δὲ νοσήματος ἀσθενέος, ἐνταῦθα μὲν ἰσχυροτέρῳ θαρσέοντα τῷ φαρμάκῳ τοῦ νοσήματος χρῆσθαι, ὥστε καὶ ἤν τι τοῦ ὑγιαίνοντος ἢν ἀπάγειν σὺν τῷ ἀσθενέοντι, οὐδεμία βλάβη ἐστίν· ἐπὴν δὲ τὸ νόσημα ἰσχυρότερον, τὸν δὲ νοσέοντα ἀσθενέα λάβῃς, ἀσθενέσι τοῖσι φαρμάκοισιν εὐτρεπίζειν, ὅσα αὐτοῦ τοῦ νοσήματος περιέσονται, καὶ ἀπάξουσιν, ἀσθενέστερον δὲ μηδὲν ποιήσουσιν τὸν ἀλγέοντα. γυμναστικὴ δὲ καὶ ἰητρικὴ ὑπεναντία πέφυκεν, ἡ μὲν γὰρ γυμναστικὴ οὐ δεῖται μεταλλαγὰς ποιέειν, ἀλλ' ἡ ἰητρική· τῷ μὲν γὰρ ὑγιαίνοντι οὐκ ἀρήγει ἐκ τοῦ παρεόντος μεταλλάσσειν, τῷ δὲ ἀλγέοντι. τῶν δὲ νοσημάτων, ὅσα μὲν ἕλκεα ἐόντα ὑπερέχοντα τοῦ ἄλλου σώματός εἰσιν, ἅμα τοῖσι φαρμάκοισιν καὶ λιμῷ χρὴ ἰῆσθαι. ῥόου ξυμφέρον ἐκ κεφαλῆς ῥέοντος, ἔμετος. τὰ παλαιὰ νοσήματα χαλεπώτερον ἰᾶσθαι τῶν νέων, ἀλλὰ νοσήματα τὰ παλαιά, νέα πρῶτον ποιέειν· ἕλκος πεπωρωμένον, ἐκβάλλοντα τὸ σκληρὸν σηπτηρίῳ φαρμάκῳ, ἔπειτα συνάγειν. τῶν φαρμάκων ὅσα φλεγμαίνειν ποιεῖ μάλιστα, ταῦτα συνάγουσι τὰ καθαρά· τὰ δὲ ἰσχναίνοντα, ταῦτα δὲ καθαίρουσιν. ἢν δέ τις συνάγῃ τὰ μήπω ὡραῖα ἐόντα, τὸ νοσέον τρέφει σῶμα ὃ ἂν ἕλκος ἔχῃ. καὶ ἢν μὲν συνάγειν δέῃ τὸ ἕλκος, καὶ ἐμπλῆσαι, φλεγμαίνειν ἀρήγει, καὶ ἢν ἐν κεφαλῇ σάρκα βούλῃ ἐπαναστρεφομένη γὰρ ἡ σὰρξ ὑπὸ τῶν σιτίων, ὠθέει τὴν ὑπὸ τοῦ φαρμάκου σηπομένην, καὶ τῇ φύσει ξυμμαχεῖ. τὴν δὲ μετέωρον ἢ λείην ἰσχναίνειν τοῖσι σιτίοισι. τοὺς ἀνιωμένους, καὶ νοσέοντας, καὶ ἀπάγχεσθαι βουλομένους, μανδραγόρου ῥίζαν πρωῒ πιπίσκειν ἔλασσον, ἢ ὡς μαίνεσθαι. Σπασμὸν ὧδε χρὴ ἰᾶσθαι. πῦρ παρακαίειν ἑκατέρωθεν τῆς κλίνης, καὶ μανδραγόρου ῥίζαν πιπίσκειν ἔλασσον ἢ ὡς μαίνεσθαι, καὶ πρὸς τοὺς τένοντας τοὺς ὀπισθίους σακκία προστιθέναι θερμά. ἀπὸ σπασμοῦ πυρετὸς ἢν ἐπιλάβῃ, παύεται αὐθημερόν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ ἡμέρῃ. ἀπὸ ῥήγματος πυρετὸς οὐ λάζεται πλέον ἢ τρεῖς ἢ τέσσαρας ἡμέρας· ἢν δὲ λάζηται, οἰόμενος ἀπὸ ῥήγματος ἔχειν, ἀπ' ἄλλου τινὸς λάζοιτο ἄν, καὶ οὐ χρὴ ὡς ἂν ἀπὸ ῥήγματος εὐτρεπίζειν. ὁπόταν ἄνθρωπος συντεταμένος ᾖ τοὺς πόδας, καὶ τὰς χεῖρας, μανίην ἑωυτῷ ποιεῖ.

contraria facienda. Si extenuare minimè conducat, tumidum reddere contulerit, crebróque permutare, hoc consilio vsus. Siquis in morbis robusto quidem ægro, debili verò morbo permutaturus est, tunc quidem audacter valentiore, quàm morbus est, medicamento vtendum; vt quanuis quod sanum est vnà cum ægro educatur, nulla inde sit noxia. At vbi morbum valentiorem, ægrum verò debilem nactus fueris, debilibus medicamentis curatio instituenda est, quæ morbo superiora sint, ipsumque abducant, ægrum autem nihil debiliorem efficiant. Gymnastice, & Medicina, contrariæ esse solent; Gymnastice nanque nullis eget permutationibus, sed Medicina. Sano nanque præsentem statum permutare nihil prodest, sed ægroto. Morbi quicunque vlcera sunt, & reliquo corpore supereminent, vnà cum medicamentis, etiam fame curandi sunt. Fluxione ex capite manante, vomitus confert. Morbi vetusti difficiliùs quàm recentes curantur, verùm vetustos morbos primum recentes facere oportet; *vlcus callosum factum, vbi quod durum est medicamento putrefaciente expuleris, demum occludendum. Medicamenta quæ tumefacere maximè solent, ea pura* vlcera *occludunt; quæ vero attenuant, ea purgant. Quod siquis quæ nondum naturâ vigent, occludat, corpus ægrotum nutrit, quod vlcus habuerit. Et si quidem vlcus occludere ac implere opus sit, tumefacere iuuat, vel si carnem in capite* producere *velis. Cibis enim recreata caro, eam quæ à medicamento computruit, propellit, ac simul cum natura debellat. Elatam vero in tumorem & leuem, cibis extenuare oportet. Mœrore confectis & ægrotantibus, strangularique volentibus, mandragoræ radicem manè propinato, minore tamen pondere quàm quod maniam excitet. Conuulsionem hoc modo curare oportet. Ex vtraque lecti parte ignem succendito, & mandragoræ radicem propinato, minore quam quod maniam excitet, pondere, & ad posteriores tendones sacculos calidos admoueto. A conuulsione si febris prehenderit, eodem die cessat, aut postero, aut etiam tertio. Ex rupto febris non vltra tres aut quatuor dies prehendit. Quod si prehendat, ratus quis ex rupto eâ detineri, ab alia quapiam causa corripitur; neque ea veluti ex rupto tractanda. Quum homo distortis pedibus aut manibus fuerit, insaniam sibi inducit.*

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ καύσεως τῶν φλεβῶν, καὶ τοῦ ταύτην ποιεῖν τρόπου, καὶ τῆς χρήσεως, ἣ τὸ αἷμα ἵστησι, καὶ τὸν ῥόον ἀποτρέπει, καὶ τὴν κεφαλαίαν θεραπεύει.

Φλέβα δὲ ὧδε χρὴ καίειν ἐπιτήδειον, ὥστε τὸ νόσημα, ὅ ἂν καὶ ᾖ νοσέων. ἢν κεκαυμένος ᾖ ἄνθρωπος, ῥέῃ δὲ τοῦ αἵματος, ὡς μὴ ἐπικίνδυνον ᾖ τοῦτο αὐτῷ, ἀμφότερα ταῦτα ἔστι ποιέειν. ἢν διακαύσῃς ταύτῃ ἐν τῷ πόνῳ, οὗ εἵνεκα ἐκαίετο, οὐ ξυμφύεται, ὠφέλησε δὲ τῷ ῥόῳ· ἢν γὰρ διακαῇ, οὐ ῥεῖ. ἐπὴν γὰρ διακαῇ, τὸ ἄκρον ἑκάτερον ἀνατρέχει τῆς φλεβός, ᾗ διακαῇ, καὶ συναυαίνεται· ἢν δὲ καταλελειμμένον ᾖ, ὑπὸ τοῦ καταλελειμμένου διαρρέοντος τοῦ ῥεύματος, ὑγραίνεται. ἢν δὲ αἷμα ῥέῃ ἐκ φλεβός, διακαίειν ἐπικαρσίην·

CAPVT XIV.

De vstione venarum, eiusque faciendæ modo ac vsu; quæ sanguinem sistit, fluxionem auertit, & cephalœam curat.

Venam autem sic inurere oportet, vt morbo, quocunque quis ægrotarit, conueniat. Si inustus homo fuerit, fluat autem sanguis, vt ne hoc ipsi periculosum sit, ambo hæc facere licet. Si inusseris quâ parte dolor est, cuius gratiâ vrebatur, non coalescit, verùm ad fluxum contulit. Si enim perusta fuerit, minimè effluit. Tunc enim vtrunque venæ extremum, quâ parte perustum est, recurrit, simulq; exarescit. Quod siquid relictum fuerit, ab ea parte quæ relicta est, profluente fluxione, humectatur. At si sanguis ex vena effluit, eam obliquam perurito.

Quod

Quòd si non cesset ad hæc, superiore & inferiore parte vtrinque incidito, quò sanguinis fluxus auertatur. Interceptum enim facilius est, quàm confertum, medicamento sedare. In capitis dolore sanguinem ex venis detrahito. Quòd si non cesset, sed diuturnus sit, venas inurito, & conualescit. Si verò caput purgaueris, magis affliges.

ἢν δὲ μὴ παύηται πρὸς ταῦτα, ἄνω καὶ κάτω ἑκατέρωθεν διαταμεῖν, ὡς ἀποστραφῇ τὸ αἷμα ῥέον· διαλελημμένον γὰρ φαρμάκῳ ῥᾷον παῦσαι, ἢ τὸ ἀθρόον. ὀδύνης ἐν κεφαλῇ, τοῦ αἵματος ἀφαιρέειν ἀπὸ τῶν φλεβῶν· ἢν δὲ μὴ παύηται, ἀλλὰ πολυχρόνιον ᾖ, διακαῦσαι τὰς φλέβας, καὶ ὑγιὴς γίνεται. ἢν δὲ τὴν κεφαλὴν καθάρῃς, μᾶλλον πονέει.

CAPVT XV.

Artem medicam longam esse ac difficilem, ob varium subiectum, diuersos affectus, & medicamentorum effectus sæpe contrarios.

Medicina vt citò addiscatur fieri nequit, proptereà quòd in ea firma aliqua doctrina tradi non potest. Verbi gratiâ, qui vno modo, quem docent, scribere didicit, omnia nouit; & qui sciunt omnes, eodem modo; ideò quòd idem est, & eodem modo fit, & nunc & non nunc, neque contrario modo fieri potest, sed semper meritò simile est, neque temporis occasione opus est. Ars verò Medica, & nunc, & paulò post, non idem facit, & sibi contraria facit, eaque sibi ipsis contraria. Primùm aluum subducentia non semper hoc faciunt, eaque vtrunque faciunt. Neque fortassis sic se habent aluum subducentia, vt aluum sistentibus sint contraria. Aluo suppressâ, ob vehementem suppressionem corpus tumidum redditur, pituitâ ad ventrem perueniente; sic suppressio alui subductionem facit. Vbi enim pituita ad ventrem peruenerit, euacuatio contingit. Hoc vero modo quæ naturâ aluum subducunt, aluum remorantur, nisi certè aluum subducentia reddideris, exoluatur autem id quod morbum facit & humectetur, postquã exolutum fuerit, sanus euadit. Et sic quæ sistunt, subducentibus aluum remorantur, vicissimq; aluum subducentia sistentibus. Eodem modo se res habet circa *rubicundos & pallidos. Etenim pituitosa & tumefacientia pallidos & decolores reddunt, & attenuantia, bene coloratos. Vtriusque verò remedium est contrarium contrario* adhibitum. *Verbi gratiâ, quũ intumuerit qui pallidus est, exoluitur, nisi attenuans aliquod medicamentum adhibitum fuerit, hîcq; tumenti attenuans profuit. Ex his autem quod aliquando vtilitatẽ percepit, nunc ei qui profuit hîc prodest, siquando ex attenuatione decolor, & ex viridi pallescens extiterit. Si quis enim tumorem inducens medicamentũ exhibuerit, pallor sedatur. Dolor etiã oritur ob frigus & ob calorem, & propter nimiam copiã, & propter paucitatẽ. Et in naturâ perfrigeratis ad cutem corporis partibus, ob nimium calorem dolor suboritur; & in calidis naturâ, ob frigus. Et in siccis quidem naturâ, dum resiccantur.* Quum enim cuiusque natura immutatur & corrumpitur, dolores fiunt, & sanantur dolores contrariis. *Proprius est cuique aliquis morbus. Nam in naturâ calidis ob ipsum frigus malè habẽtibus, calefiunt* dolores & curantur, *reliquaque eadem ratione* se habent. *Alius modus hic est. Per similia morbus oritur, & per similia oblata ex morbis sanantur. Veluti stranguriam & existentem idem facit, & existentem sedat. Tussisque eodẽ modo,*

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Τὴν ἰατρικὴν τέχνην μακρὰν εἶναι καὶ χαλεπήν, διὰ τὸ ὑποκείμενον διάφορον, καὶ τὰ διάφορα παθήματα, καὶ φάρμακα πολλάκις ὑπεναντία ποιοῦντα.

Ἰητρικὴν οὐ δυνατόν ἐστι ταχὺ μαθεῖν, διὰ τόδε, ὅτι ἀδύνατόν ἐστι καθεστηκός τι ἐν αὐτῇ σόφισμα γενέσθαι. οἷον ὁ τὸ γράφειν ἕνα τρόπον μαθὼν, ὃν διδάσκουσι, πάντα ἐπίσταται· καὶ οἱ ἐπιστάμενοι πάντες ὁμοίως διὰ τόδε, ὅτι τὸ αὐτὸ καὶ ὁμοίως ποιεύμενον, νῦν τε καὶ οὐ νῦν, οὐκ ἂν τὸ ὑπεναντίον γένοιτο, ἀλλ' αἰεὶ ἐνδικέως ὅμοιόν ἐστιν, καὶ οὐ δεῖ καιροῦ. ἡ δὲ ἰητρικὴ, νῦν τε καὶ αὐτίκα οὐ τὸ αὐτὸ ποιέει, καὶ πρὸς τὸν αὐτὸν ὑπεναντία ποιέει, καὶ ταῦτα ὑπεναντία σφίσιν ἑωυτοῖσιν. πρῶτον ὑπεκχωρητικὰ οὐκ αἰεὶ ποιέουσιν, καὶ τὰ ὑπεκχωρητικὰ ἀμφότερα ποιέουσιν. τάχα δὲ οὐδ' οὕτως ἔχουσιν τὰ ὑπεκχωρητικὰ τοῖσι στασίμοις, ὡς ὑπεναντία. ἐπιστάσης τῆς κοιλίης, διὰ τὴν λίην στάσιν φλεγμαίνει τὸ σῶμα, ἐς τὴν κοιλίην φλέγματος ἀφικομένου, οὕτως ἡ στάσις ὑπεκχώρησιν ἐποίησεν· ἐπὴν γὰρ τὸ φλέγμα ἐς τὴν κοιλίην ἐσέλθῃ, ἰνηθμὸς γίνεται. ἐν τούτῳ δὲ τὰ ὑπεκχωρητικὰ φύσει στάσιμον ποιέουσιν ἐν τῇ κοιλίῃ· ἢν μὲν μὴ ὑπεκχωρητικὰ ποιέῃς, ἐκλύηται δὲ τὸ νοσεῖν ποιέον καὶ ὑγραίνεται, ἐπὴν ἐκλυθῇ, γίνεται ὑγιής. καὶ οὕτω τά τε στασιμωτέροισιν ὑπεκχωρητικοῖσιν στάσιν ποιέουσι τῆς κοιλίης, καὶ τοῖσι στασίμοισι τὰ ὑπεκχωρητικά. τὸν αὐτὸν δὲ τρόπον, καὶ τοὺς ἐρυθροὺς καὶ τοὺς χλωρούς· καὶ τὰ φλεγματώδεα χλωροὺς ποιέει καὶ ἀχρόους, καὶ τὰ ἰσχναινόμενα εὐχρόους. ἑκατέρου δ' ἐστὶ φάρμακον τὰ ὑπεναντία τῷ ὑπεναντίῳ. αὐτίκα ὅτ' ἂν φλεγμήνῃ χλωρὸς ἐὼν, ἐκλύεται, ἢν μή τι ἰσχναίνῃ φάρμακον προσενεχθὲν, ἐνθάδε τῷ φλεγμαίνοντι τὸ ἰσχναῖνον ὠφέλησεν. τούτων δὲ τὸ ποτὲ ὠφελεύμενον, τῷ ὠφελεῦντι νῦν ὠφελεῖ ἐνταῦθα, ὁπότ' ἂν ὑπὸ ἰσχνότητος ἄχροος καὶ χλωρὸς ᾖ. ἢν γάρ τις φλεγματῶδες προσφέρῃ, παύεται τὸ χλωρόν. ὀδύνη τε γίνεται καὶ διὰ τὸ ψυχρὸν καὶ διὰ τὸ θερμὸν, καὶ διὰ τὸ πλέον λίην καὶ διὰ τὸ ἔλασσον. καὶ ἐν μὲν τοῖσιν ἐψυγμένοισι φύσει τοῖσιν ἐκ τοῦ σώματος πρὸς τὸ δέρμα, διὰ τὸ θερμαινόμενον λίην ὀδύνη γίνεται· ἐν δὲ τοῖσι θερμοῖσι φύσει, διὰ τὸ ψυχρόν· καὶ ἐν μὲν τοῖσι ξηροῖσι φύσει, ὑγραινομένοισι· ἐν δὲ τοῖσι ὑγροῖσι φύσει, ξηραινομένοισι. τὴν γὰρ φύσιν διαλλασσομένοις ἑκάστοισι καὶ διαφθειρομένοις αἱ ὀδύναι γίνονται· ὑγιαίνονταί τε αἱ ὀδύναι τοῖσιν ὑπεναντίοισιν. ἴδιον ἑκάστῳ νόσημά τι ἐστί. τοῖσι θερμοῖσι φύσει, διὰ τόδε τὸ ψυχρὸν νοσέουσι, θερμαίνονται, καὶ τἄλλα τούτων κατὰ λόγον. ἄλλος ὅδε τρόπος. διὰ τὰ ὅμοια νοῦσος γίνεται, καὶ διὰ τὰ ὅμοια προσφερόμενα ἐκ νοσεόντων ὑγιαίνονται· οἷον στραγγουρίην τὸ αὐτὸ ποιέει οὐκ ἐοῦσαν, καὶ ἐοῦσαν τὸ αὐτὸ παύει· καὶ βὴξ κατὰ τὸ αὐτὸ,

ὥσπερ καὶ στραγγουρίη, ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται. Ἄλλος ὅδε τρόπος. Πυρετὸς ὁ διὰ φλεγμασίην γινόμενος, ποτὲ μὲν ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται, ποτὲ δὲ τοῖσιν ὑπεναντίοισιν ἐγένετο. ποτὲ μὲν γὰρ εἴ τις βούλεται λούειν ὕδατι θερμῷ, καὶ ποτὰ πολλὰ διδόναι, ὑγιὴς γίνεται διὰ τὸ φλεγμαῖνον, τοῖσι φλεγμαίνειν ποιέουσι προσφερομένοισιν, ὁ ὢν πυρετὸς γίνεται ὑγιής. καὶ εἴ τις βούλεται φάρμακον πόσαι ὑποχωρητικὸν καὶ ἐμετικὸν, τὸν αὐτὸν τρόπον τοῖσί τε ποιέουσι παύεται, καὶ τοῖσι παύουσι γίνεται. τοῦτο μὲν γὰρ εἴ τις ἐμέοντι ἀνθρώπῳ βούλεται ὕδωρ δοῦναι πίνειν πολὺ, ἐκκλυσθήσεται δι' ἃ ἐμέει σὺν τῷ ἐμέτῳ. οὕτω μὲν διὰ τὸ ἐμέειν, ὁ ἔμετος παύεται. [94] ὧν δὲ διὰ τὸ παύειν, ὅτι κάτω ποιήσει αὐτῷ ἐλθεῖν ἐξ ἐκείνου, ὃ ἐνεὸν ἔμετον ποιέει ἀμφοτέροισι τοῖσιν ὑπεναντίοισι τρόποις, ὑγιὴς γίνεται. καὶ εἰ μὲν οὕτως εἶχε πᾶσι, καθεστήκει ἂν οὕτω, τὰ μὲν τοῖς ὑπεναντίοισιν θεραπεύεσθαι, οἷά τε ἐστὶ καὶ ἀφ' ὅτου ἐγένετο, τὰ δὲ τοῖσιν ὁμοίοισιν οἷά τε ἐστὶ καὶ ἀφ' ὅτου ἐγένετο. τούτου δ' αἴτιόν ἐστιν ἡ τοῦ σώματος ἀσθενείη. τὸ γὰρ σῶμα ὑπὸ μὲν τῶν σιτίων ἴσων ἴσως τρέφεται, ὑπὸ [95] δὲ τοῦ σώματος τὰ σιτία κρατέεται· ἐπὴν δὲ πλέον ἢ ἔλασσον προσενέγκηται, ἢ ὡς ἄλλο μεταλλάξας, [96] κρατέεται, κρατέεται δὲ καὶ τὰ σιτία· καὶ ὁπόταν κρατέηται τὸ σῶμα ὑπὸ τοῦ προσοίσματος, θάλλειν ποιέει ταῦτα, καὶ κρατέει ἅμα τοῦ σώματος, τά τε ὑπεναντία ποιέουσιν αὐτίκα. τὸ λοῦσθαι θερμῷ, ἕως μὲν ἂν τὸ σῶμα κρατέῃ τοῦ προσοίσματος, θάλλειν· ἐπὴν δὲ κρατηθῇ, ἰσχνὸν ποιέει τὸ σῶμα. καὶ τὸ εὐωχέεσθαι ὁμοίως τῷ λοῦσθαι ποιέει· ταῦτα μὲν γὰρ ἕως μὲν ἂν κρατέωνται, θάλλειν ποιέουσιν· ἐπὴν δὲ κρατέωσιν, ὑπεκχωρήσιάς τε ποιέουσιν, καὶ ἀλλοίας κακίας. [97] ὁπότε δὲ ᾧ προσφέρεται, τοῦτο μεταλλάσσεται, ἀνάγκη καὶ τὸ προσφερόμενον μεταστρέπεσθαι. τὸ γὰρ σῶμα μεταστρεπόμενον, νικώμενον καὶ ὀλιγοεργές ἐστιν, καὶ ὑπὸ παντὸς τὰς παλιγκοτίας περιέχει. τοῦτο δὲ ποιέει καὶ τὰ ὑποχωρητικὰ, καὶ τὰ θάλλειν ποιέοντα, ἰσχναίνοντα τὸ σῶμα ποιέουσιν, καὶ τἄλλα πάντα τὰ ὑπεναντία τούτοισι [98] πάσχοντα. ἡ δὲ ἰητρικὴ ὀλιγόκαιρός ἐστιν, καὶ ὃς τοῦτο ἐπίσταται [100] ἐκεῖνο καθέστηκε, καὶ ἐπίσταται [99] τὰ εἴδεα, καὶ τὰ μὴ εἴδεα, [101] ἃ μή ἐστιν ἐν ἰητρικῇ ὁ καιρὸς γνῶναι, ὅτι τὰ [102] ὑποχωρήματα οὐχ ὑποχωρητικὰ γίνεται, καὶ τἄλλα ὅτι ὑπεναντία ἐστὶν, καὶ τὰ ὑπεναντιώτατα οὐχ ὑπεναντιώτατα. ὁ δὲ καιρὸς ὅδ' ἐστὶ, σιτία προσφέρειν, ὅσων μέλλει τὸ σῶμα προσφερόμενον τὸ πλῆθος κρατέειν· ὡς ἢν μὴ οὕτω ποιέῃ, πᾶσα ἀνάγκη τὸ ὑποχωρητικὸν σιτίον προσφερόμενον, ὑποχωρητικὸν εἶναι, καὶ τὸ φλεγματῶδες, φλεγματῶδες· ἢν κρατέῃ οὖν τὸ σῶμα τῶν σιτίων, οὔ τε νοῦσος, οὔ τε ὑπεναντίωσις γίνεται προσφερομένων, καὶ αὐτὸς ὁ καιρός ἐστιν ὃν δεῖ τὸν ἰητρὸν εἰδέναι. ἐπὴν δὲ τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται. [103] καὶ οἱ πρὶν ὑπερπεσεῖν οἴονται ἔχειν καὶ τὸ θερμαίνεσθαι. ἕως μὲν γὰρ ἂν τὸ σῶμα τοῦ προσοίσματος κρατέῃ, τρέφεται τὸ σῶμα· [104] ἐπὴν δὲ τοῦτον τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται, ἰσχναίνεται γάρ. καὶ τἄλλα πάντα δὲ τὰ φλεγμαίνειν ποιεῦντα, ἕως μὲν ἂν κρατέῃ τὸ σῶμα, ἔτι τε πρὸς τὸν καιρὸν, καὶ τὰ κατὰ φύσιν ποιέουσιν ἕκαστον, τὰ φλεγματώδεα φλεγμαίνειν· ἐπὴν δὲ ὑπερβάλλῃ τὸν καιρὸν, τὰ ὑπεναντία γίνεται.

ut & urinæ stillicidium, ab ijsdem fit & sedatur. Alius itidem modus. Febris ob crassitudinem orta, interdum quidem ab ijsdem fit & sedatur, interdum verò à contrarijs facta est. Etenim interdum siquis calidâ lauare velit, & copiosum potum exhibere, sanus euadit, & propter tumefactionem exorta febris, oblatis tumorem inducentibus sanescit. Ac siquis medicamentum aluum subducens aut vomitum mouens propinare velit, ad eundem modum ab ijs quæ excitant sedatur, & à sedantibus excitatur. Etenim siquis vomenti copiosam aquam potui exhibeat, vnà cum vomitu eluentur ea quæ vomitûs causa sunt. Huic quidem per vomitum vomitus sedatur; illi vero per ea quæ sedant, quoniam ipsi per inferiora demittũt quod intus vomitum facit. Sicque vtrisque contrarijs modis homo conualescit. Equidem si in omnibus hoc modo se habeat, constitutum quidẽ sic fuerit, hæc quidẽ contrarijs curari, quæcunque sint, & quacunq; ex causa fiant; illa verò similibus, quæcunq; tandẽ sint, & à quacunque causa fiant. Cuius rei causa existit corporis debilitas. Corpus enim à cibis æqualibus æqualiter nutritur; à corpore verò cibi superantur. Vbi vero plus aut minus ingesserit, aut alia quædam mutatio facta fuerit, superatur, & cibi superantur; quumque superatur corpus ab oblatis, vigorẽ dat illis, ij que simul corpus superant, ac statim contraria efficiunt. Calidâ lauari, dum quidem corpus calidã admotam superat, vigere corpus facit; sin superatũ fuerit, gracile reddit corpus. Et comessatio idem quod balneum efficit. Hæc siquidẽ dum superantur, corporis vigorẽ faciunt; ubi verò superauerint, tũ alui deiectiones, tũ varia vitia adferũt. Quũ verò id cui offertur immutatur, id quod offertur, immutari necesse est. Immutatũ enim corpus, quũ euictũ sit, parũ est efficax, & ex quouis offensiones renouat. Hoc autem efficiunt quæ aluũ subducunt, & quæ vigorẽ inducunt, hæc corpus extenuatũ reddunt, & reliqua omnia quæ his cõtrario modo afficiuntur. At verò ars Medica breuẽ habet occasionẽ, & qui hoc nouit, illud constitutũ habet, & nouit quæ sint rerũ species, & quæ nõ species, ad quas cognoscendas occasio non est in Medicina, nẽpe quod alui subductiones per aluum non secedunt, & reliqua quod cõtrario modo se habẽt, & quod maxime cõtraria, non sunt maxime contraria. Hæc est autem ciborum offerendorum occasio, ut eâ copiâ exhibeantur, quam corpus superare valeat. Quod si contingat, cibum aluum subducentem oblatum, aluum subducere, & corpus tumefacientem tumefacere omninò necesse est. Si igitur cibos corpus superauerit, neque morbus, neque ex his quæ offeruntur contrarietas oritur, eaque est occasio, quã Medicus cognitam habere debet. Vbi verò occasionẽ prætergressus fuerit, cõtrariũ accidit; & antequã eo deueniãt, se incalescere existimãt. Quandiu enim quod offertur, corpus superauerit, id nutritur. Vbi verò hanc occasionẽ prętergressũ fuerit, contrariũ cõtingit, siquidem attenuatur. Sed & reliqua omnia, quæ tumefaciunt, quoad ea corpus superauerit, pretereáque pro occasione oblata fuerint, etiã secundũ suã naturã singula moliũtur, tumefaciẽtia tumefaciũt. At ubi occasionẽ excesserint, cõtraria cõtingũt.

CAP.

CAPVT XVI.

Quid medicamentum; ac de medicamentis blandis ac vehementibus, aluum subducentibus ac sistentibus, eorumque vsu.

Omnia medicamenta sunt, quæ præsentē statum dimouent; vehementiora autē omnia immutant. Licet autē, si quidem velis, medicamento trāsmouere; sin minùs velis, cibo. Ægrotanti vero omnia è præsenti statu dimouere opē fert. Nisi enim quod morbū facit dimoueris, augetur. In morbis debilibus medicamenta naturâ vehementia minimè sunt exhibenda; neq; imbecillitas medicamenti paucitate metiēda est. Sed in valētibus naturâ, valentibus medicamentis vtendū; debilibus verò non valentia medicamenta danda. Neq; medicamentū transmutādū est, sed singulis secundū suam naturā exhibendum; ita vt debilibus quidem, debilia naturâ medicamenta; valentibus verò morbis, valentia naturâ medicamēta exhibeātur. Morbi autem eâ parte cui proximi sunt, educendi; & parte, quâ singulis proximus est exitus, eliciendi. Hæc aluū subducunt, quæcunq; lubricant & incidunt, & quæcunq; in calidis attenuantur (venter enim calidus est) & reliqua quæ salsa sunt, & quæ ex his plurimū habent. Minimè autē aluū subducūt, sed sistunt, quæcunq; flatū exhibent (humida enim dū resiccātur, flatū pariunt) quæq; adstringūt, & quæ calore cōcrescūt, & friabilia & sicca. Quæcunq; autē foris extenuant, ea omnia intrò assumpta tumefaciunt, eadēq; roborant & tumorē inducūt; & quæ aluū subducentia extenuant, eadem calefaciunt. Ad hæc verò etiā acida pituitosa sunt. Quæcunque autē ventrem refrigerant, eadē aluū subducunt, & quæ frigida sunt & humida; quū verò aluū minimè subducūt, calefaciūt. Calida autem in ventrē assumpta, citò etiā refrigerant. Quæ verò aluū non mouent, in ventre calida existunt. Ex his quæ repletionem inducunt, maximè tumefaciunt. Quæ verò plurima assumpta repletionem non faciunt, ea aluum deijciunt.

ΚΕΦΑΛΑΙΟΝ ΙϚʹ.

Τί τὸ φάρμακον· καὶ περὶ φαρμάκων ἀσθενῶν τε καὶ ἰσχυρῶν, καὶ τῶν ὑποχωρητικῶν, καὶ τῶν στασίμων, καὶ περὶ τῆς τούτων χρείας.

Πάντα φάρμακά εἰσι τὰ μετακινέοντα τὸ παρεόν· πάντα δὲ τὰ ἰσχυρότερα μετακινέουσιν. ἔξεστι δὲ, ἢν μὲν βούλῃ, φαρμάκῳ μετακινέειν· ἢν δὲ μὴ βούλῃ, σιτίῳ. ἅπαντα δὲ νοσέοντι μετακινέειν ἐκ τοῦ παρεόντος ἀρήγει· ἢν γὰρ μὴ μετακινήσῃς τὸ νοσέον, αὔξεται. φάρμακα οὐ χρὴ τὰ ἰσχυρὰ φύσει ἐπὶ τῶν ἀσθενέων νοσημάτων διδόναι, ὀλιγότητι τοῦ φαρμάκου ἀσθενὲς ποιεῦντα· ἀλλὰ τοῖσι μὲν ἰσχυροῖσι φύσει, φαρμάκοις ἰσχυροῖσι χρῆσθαι, τοῖς δὴ ἀσθενέσι, φαρμάκοις μὴ ἰσχυροῖσι· μὴ [106] μεταποιεῦντα τὸ φάρμακον, ἀλλὰ κατὰ φύσιν ἑκάστοισιν, τοῖσι μὲν ἀσθενέσι, ἀσθενῆ φάρμακα φύσει· τοῖσι δὲ ἰσχυροῖσι νοσήμασιν, ἰσχυρὰ φύσει τὰ φάρμακα. τὰ δὲ νοσήματα, [107] ᾗ πελασάτω πέφυκεν, ἐξάγειν ταύτῃ δὲ ἐξάγειν, ᾗ ἑκάστῳ ἔξοδος ἐγγυτάτω. τὰ ὑποχωρητικὰ τοιάδε ἐστὶν, ὅσα ὀλισθηρὰ καὶ τμηματώδεα, καὶ ὅσα ἐν τοῖσι θερμοῖσιν λεπτύνονται (ἡ γὰρ κοιλίη θερμή ἐστι) καὶ τἄλλα τὰ ἁλμυρὰ, καὶ ὅσα τῶν τοιούτων πλεῖστον ἔχουσι· τὰ δ' οὐ διαχωρητικὰ, ἀλλὰ στάσιμα, ὅσα φῦσαν παρέχουσιν (τὰ γὰρ ὑγρὰ ξηραινόμενα, φῦσαν ποιέουσι) καὶ τὰ στύφοντα, καὶ τὰ ὑπὸ θερμοῦ πηγνύμενα, καὶ τὰ ψαθυρὰ, καὶ τὰ ξηρά. πάντα δὲ τὰ ἐντὸς φλεγμαίνειν ποιέουσιν προσφερόμενα, ἅσσα τὰ ἐκτὸς ἰσχναίνουσιν, ταῦτα δὲ καὶ ἰσχυτήρια ἐστι καὶ φλεγματώδεα· καὶ τὰ ὑποχωρητικὰ ἰσχναίνοντα, θερμαίνουσι τὰ τοιαῦτα· ἔτι δὲ τὰ ὀξέα καὶ φλεγματώδεα. πάντα δὲ τὰ ψύχοντα τὰ ἐν τῇ κοιλίῃ, τὰ δὲ τοιαῦτα ὑποχωρητικά ἐστι, καὶ τὰ ψυχρὰ καὶ τὰ ὑγρά· ὁπόταν δὲ μὴ ὑποχωρητικὰ ἔωσι, θερμαίνουσιν. ψύχουσι δὲ καὶ τὰ θερμὰ εἰς τὴν κοιλίην προσφερόμενα, [108] καὶ ταχὺ διαχώρησιν δὲ μὴ ποιεύμενα, θερμά ἐστιν ἐν τῇ κοιλίῃ. τούτων ὅσα πλησμονὴν ποιεῖ, μάλιστα φλεγματώδεά ἐστιν· ἃ δὲ πλεῖστα προσφερόμενα, οὐ ποιεῖ πλησμονὴν, διαχωρητικά.

CAPVT XVII.

Artem medendi certam & constantē esse, quā qui nouit, eum fortunâ non indigere, sed & cum fortuna, & citra fortunā, optimè facturū & successu potiturum.

Ars sanè Medica iam mihi tota inuenta esse videtur, quæ sic comparata est, vt singulas & consuetudines, & occasiones doceat. Qui enim sic Medicinā nouit, minimè fortunam expectat, sed & citra fortunam, & cū fortuna, rectè faciet. Cōstituta enim est tota Medicina, eiusq; præceptiones ex quibus constat pulcherrimæ, fortunâ minimū indigere videntur. Sui enim iuris est fortuna, nullius imperio paret, neq; voto illam consequi datur. Scientia verò tum imperio subiacet, tum successu felix est, siquis eâ instructus vti velit. Deinde quâ in re Medicina fortunæ indiget? Si nanq; explorata sint morborū medicamenta, quēadmodū reor, ea medicamēta vt morbis sanitatem adferāt, minime fortunā morantur, si modo medicamenta sint. Quod si cū fortuna ea exhibere iuuat,

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

Τὴν ἰατρικὴν βεβαίαν εἶναι, ἣν ὅστις ἐπίσταται, τοῦτον ἐλάχιστα τῆς τύχης δεῖσθαι, ἀλλὰ καὶ ἄνευ τύχης, καὶ σὺν τύχῃ εὖ ποιήσειν, καὶ εὐτυχήσειν.

Ἰητρικὴ δή μοι δοκεῖ ἤδη ἀνευρῆσθαι ὅλη, ἥτις οὕτως ἔχει, ἥτις διδάσκει ἕκαστα καὶ τὰ ἔθεα, καὶ τοὺς καιρούς. ὃς γὰρ οὕτως ἰητρικὴν ἐπίσταται, ἐλάχιστα τὴν τύχην ἐπιμένει, ἀλλὰ καὶ ἄνευ τύχης, καὶ ξὺν τύχῃ εὖ ποιηθείη ἄν. βέβηκε γὰρ ἰητρικὴ πᾶσα, καὶ φαίνεται τῶν σοφισμάτων τὰ κάλλιστα ἐν αὐτῇ συγκείμενα, ἐλάχιστα τύχης δεῖσθαι. ἡ γὰρ τύχη αὐτοκρατὴς καὶ οὐκ ἄρχεται, οὐδ' ἐπ' εὐχῇ ἐστιν αὐτὴν ἐλθεῖν. ἡ δ' ἐπιστήμη ἄρχεταί τε καὶ εὐτυχής ἐστιν, ὁπόταν βούληται ὁ ἐπιστάμενος χρῆσθαι. ἔπειτα τί καὶ δεῖται ἰητρικὴ τύχης; εἰ μὲν γάρ ἐστι τῶν νοσημάτων φάρμακα σαφῆ, οἶμαι, οὐκ ἐπιμένει τὴν τύχην τὰ φάρμακα, ὑγιᾶ ποιῆσαι τὰ νοσήματα, εἴπερ ἐστὶ τὰ φάρμακα· εἰ δὲ σὺν τῇ τύχῃ διδόναι ὠφελεῖ,

οὐδὲν μᾶλλον τὰ φάρμακα, ἢ καὶ τὰ μὴ φάρμακα A σύν γε τῇ τύχῃ ὑγιᾶ ποιέουσι προσφερόμενα τοῖσι νοσήμασιν. ὅς τις δὲ τὴν τύχην ἐξ ἰητρικῆς, ἢ ἐξ ἄλλου τινὸς ἐξελάσει, φάμενος οὐ τοὺς καλῶς τι πρῆγμα ἐπισταμένους χρῆσθαι τύχῃ, τὸ ὑπεναντίον δοκέει μοι γινώσκειν· ἐμοὶ γὰρ δοκέουσιν μοῦνοι καὶ ἐπιτυγχάνειν καὶ ἀτυχεῖν, οἱ καλῶς τι καὶ κακῶς πρῆξαι ἐπιστάμενοι. ἐπιτυγχάνειν τε γὰρ τουτέστι, τὸ καλῶς ποιέειν, τοῦτο δὲ οἱ ἐπιστάμενοι ποιέουσιν· ἀτυχεῖν δὲ τοῦτ' ἐστιν, ὃ ἤν τις μὴ ἐπίστηται, τοῦτο μὴ καλῶς ποιέῃ. ἀμαθὴς δὲ ἐών, πῶς ἂν ἐπιτύχοιεν; B εἰ γάρ τι καὶ ἐπιτύχοι, οὐκ ἂν ἀξίως λόγου τὴν ἐπιτυχίην ποιήσαιτο· ὁ γὰρ μὴ καλῶς ποιέων οὐκ ἂν ἐπιτύχοι, τἄλλα τὰ εἰκότα μὴ πρήσσων.

non magis medicamenta, quàm non medicamenta, unà cum fortunâ morbis oblata sanitatem restituunt. At quicunq; fortunam ex Medicina, aut alia quapiā arte expellit, negátque eos qui probè aliquid nouerunt, fortunâ uti, is mihi contrarium sentire videtur; mihi enim soli hi vel successu potiri, vel eo frustrari videntur, qui rectè quid, vel malè facere nouerunt. Est enim prosperè succedere, rectè facere, quod faciunt, qui sciunt. At verò successu frustrari est, quum quis quod minimè sciat, id non rectè faciat. Ignaro enim quomodo prospere succedere queat? Quod siquidetiam prosperè succedat, nequaquam cōmemorandum successum habebit. Nam qui non rectè facit, huic ex animi sententia succedere non poterit, quum reliqua quæ sunt consentanea, non faciat.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Ἀπάντων τῶν γυναικείων νοσημάτων αἰτίας εἶναι τὰς ὑστέρας· περὶ τῆς ὑστέρας ἄνω καὶ κάτω μετακινουμένης, καὶ τοῦ ῥόου λίαν ῥέοντος, καὶ τῆς ἀρροίας, αἰτίων καὶ σημείων καὶ θεραπείας.

ΤΑ γυναικεῖα νοσεύματα καλεύμενα. Αἱ ὑστέραι C πάντων τῶν νοσημάτων αἰτίαι εἰσίν· αὗται γὰρ ὅπη ἂν ἐκ τῆς φύσιος μετακινηθέωσι, νούσους παρέχουσιν, ἤν τε [110] προέλθωσιν, ἤν τε παραχωρήσωσιν. καὶ ὅταν μὲν μὴ βάλλουσαι τὸ στόμα αἱ μῆτραι, καὶ μὴ ψαύουσαι τοῦ κρημνοῦ, μετακεκινημέναι ἔωσιν ἔξω, σμικροτάτη νοῦσός ἐστιν· ἐπεὶ δὲ προκινηθέωσιν ἐς τὸ ἔμπροσθεν καὶ ἐμβάλλωσι τὸ στόμα ἐς τὸν κρημνόν, πρῶτον μὲν ψαύσασα πόνον παρέχει, εἶτα ἀποφραχθεῖσα ἡ μήτρη καὶ ἐπιπωμαθεῖσα ὑπὸ τῆς ἐμβλήσεως τῆς ἐς τὸν κρημνόν, οὐ γίνεται ῥόος τὰ καταμήνια. D τοῦτο δὲ [111] συνιστάμενον, οἶδός τε καὶ ὀδύνην παρέχει. καὶ ἢν μὲν κάτω κατελθοῦσα καὶ ἀποστραφεῖσα ἐμβάλλῃ ἐς τὸν βουβῶνα, ὀδύνην παρέξει· ἢν δὲ ἄνω ἐπαναχωρήσασα ἀποστραφῇ καὶ ἀποφραχθῇ, [112] καὶ οὕτω διὰ τὴν ἀραιότητα νοῦσον παρέχει· ὁπόταν δὲ διὰ τοῦτο νοσέῃ, ἐς τὰ ἰσχία καὶ τὴν κεφαλὴν ὀδύνην ποιέει. ὁπόταν δὲ αἱ μῆτραι πληρωθεῖσαι συνοιδήσωσιν, οὐ ῥέει οὐδέν, καὶ πλέαι γίνονται· ἐπὴν δὲ πλέαι γίνωνται), [113] ψαύουσι δὲ τῶν ἰσχίων, ὀδύνας παρέχουσιν καὶ ἐς τὰ ἰσχία καὶ τὸν βουβῶνα, [114] καὶ οἷον σφαῖραι ἐν τῇ γαστρὶ ὑποτρέχουσιν, καὶ τὴν κεφαλὴν πονέουσιν, ποτὲ μὲν E ἐς τὸ ἕτερον μέρος, ποτὲ δὲ ὅλην, οἵη γὰρ καὶ ἡ νοῦσος. ὧδε δὴ ταῦτα θεραπευτέον. ἢν μὲν προέλθῃ μοῦνον καὶ ᾖ ἐγχρίειν, χρῆσθαι ᾧ τινι βούλει τῶν κακόδμων, ἢ κέδρῳ, [115] ἢ μυττωτῷ, ἢ ἄλλῳ τινὶ τῶν βαρυτέρων καὶ κακὸν ὀζομένων, καὶ κάπνιζε, καὶ μὴ πυρία, μηδὲ σιτίῳ μηδὲ ποτῷ οὐρητικῷ χρῆσθαι τοῦτον τὸν χρόνον, μηδὲ λοῦε θερμῷ. ἢν δὲ ἀνακεχωρήκῃ καὶ μὴ ἀπεστραμμένη ᾖ, τοῖσιν εὐόδμοισιν προσθετοῖσιν χρῆσθαι, ὅσα ἀναθερμαίνουσιν ἅμα· ταῦτα δὲ τοιάδε εἰσίν, σμύρνη, ἢ μύρῳ, εἴθ' ἑνὶ ἄλλῳ εὐόδμῳ F καὶ θερμαίνοντι ἅμα. τοιούτοισι προσθετοῖσι χρῆσθαι, καὶ πυριᾶν οἴνῳ κάτωθεν, καὶ θερμῷ ὕδατι λούειν, καὶ διουρητικοῖσι χρῆσθαι. τὸ δὲ δῆλόν ἐστιν, ἢν μὴ [117] ἀποστραφῇ ἀνακεχωρηκυῖα, ῥεῦμα γὰρ γίνεται· ἢν δὲ ἀπεστραμμένη ᾖ, οὐ γίνεται ῥόος τὰ καταμήνια καλεύμενα. τοῦτο δὲ νόσημα πυριῇν πρῶτον τοιῇδε χρὴ ἰᾶσθαι· ἐς οἶνον ἐρινεὰ ἐμβάλλοντα, θερμαίνοντα τοῦτον, περιθέντα σικυώνην περὶ τὸ στόμα τοῦ τεύχεος, ἐν ᾧ ἂν θερμαίνηται), ὧδε ποιῆσαι·

CAPVT XVIII.

Morborum omnium muliebrium causas esse vteros; de vteri sursum ac deorsum oberrantis, eiusque fluxûs immoderati, ac suppressi, causis, signis, & curatione.

MOrbi muliebres vocati. *Morborum omnium vteri causæ sunt. Hi enim quocunque è naturâ dimoti fuerint, morbos afferunt, siue foras processerint, siue intrò cesserint. Et sanè quum vteri non demisso suo osculo, neque pudendi labra attingentes, foras emoti fuerint, leuissimus est morbus. Vbi autem demisso in pudendi labra osculo, in anteriora processerint; primùm quidem ipso contactu dolorem exhibet, deinde obturato vtero & obducto, ex eo quod in pudendi labra se immittit, profluuium menstruum non contingit; quod vbi collectum fuerit, tumorem & dolorem præbet. Ac siquidem inferiora petat, & auersus ad inguina incumbat, dolorem afferet. Quod si sursum se recipiens, auersus & occlusus fuerit, sic quoque propter raritatem morbum adfert; & vbi ex eo ægrotarit, ad coxendices & caput dolorem facit. Quum verò repleti vteri intumuerint, nihil effluit, & pleni euadunt. Quum autem pleni euaserint, coxendices contingunt, & ad coxendices & inguina dolorem adferunt, ac tanquam pilæ in ventre discurrunt, caputque dolore afficiunt, modò quidem alterā parte, modò verò totum, qualis etiam morbus contingit. Hæc sanè sic curanda sunt. Si equidem solùm foras processerit, vt inungere liceat, quocunq; voles ex graueolentium genere vtitor, aut cedro, aut alliario myttoto, aut alio quodā ex grauiter & malè olentibus, & suffito, minimeq; foueto, neq; cibo neq; potu vrinam ciente hoc tempore vtitor, neq; calidā lauato. Quod si sursum ascēderit, miniméque auersus fuerit, bene olentibus appositis medicamentis quæ vnà calefaciant, vtitor, veluti myrrhâ, aut vnguento, aut alio quodam odorato simulq; calefaciente. His subdititijs vtitor; subtérq; ex vino fomentum adhibeto, & aquâ calidâ lauato, vrinámq; ducentia adhibeto. Inde autem constat; si auersus non fuerit, cum se sursum receperit, fluxus cōtingit. Quod si auersus fuerit, fluxus non fit menstruus appellatus. Hic morbus primū huiusmodi fomento curandus. Immissis in vinū ficubus immaturis ipsū calefacito, cucurbitā ad os vasis in quo calefit, ad hūc modū appositā.*

Cucurbita

Cucurbitâ mediâ dissectâ & repurgatâ, summâque eius parte parùm rescissâ, velut in vtriculis fieri assolet, ipsum veluti cooperculo circumtegito, quò odor per angustum immissus, ad vterum perueniat, & aquâ calidâ perfundito, medicamentisque calidis subdititiis vtitor. Ex his autem quæ supra relata sunt, calefaciunt quæ educunt, & quæ sunt huiusmodi; stercus bubulum, fel bubulum, myrrha, alumen, galbanum, & siquid aliud id genus. Harum quamplurimis aluum etiam medicamentis deorsum purgantibus subducito; debilibus quæ vomitum faciunt, vt ne ex superpurgatione euacuatio contingat. Pessos autem subdititios, si valentes desideras, sic conficito. In mel semicoctum ex medicamentis apposititiis præscriptis immitte quæ educere possunt, & quum immiseris, glandulas ad earum instar quæ in sedem immittuntur efformato, easque longas & tenues fingito. Deinde mulieri supinæ, in lectulum à pedibus altius instratum reclinatæ, glandulas apponito, & panniculo illigatum aut alia re consimili calefacito, dum colliquesca. Quod si debiliorem glandulam supponere velis, in linteolum obligato. At si humore plenis vteris osculum intumescat, & mensium suppressionem præbeant, fluxum medicamentis subdititiis procurando sanare oportet, & fomentis (vt scriptum est) sic adhibitis, vt in priore fluxûs suppressione. Quinetiam si anteriorem in partem progressus vterus auersus fuerit, fluxionem concitare, velut in superiore mensium suppressione, oportet. Quum verò profluuium nimium fuerit, neque aquâ calidâ, neque alio quopiam calefacere oportet, neque vrinam cientibus, neque aluum subducentibus cibis vtendum. Lectus à pedibus altior sternendus, vt ne declinatio profluuio faciliorem viam præbeat; simulque adstringentibus pessis subdititiis vtitor. Profluuia verò, quum quidem subitò purgatio processerit, confestim subcruenta fiunt; si verò tardiùs prodierit, purulenta. Et iunioribus fere subcruenta prodeunt; seniores autem, mucosos magis appellatos menses habent.

A σικυωνίην μέσην διαταμὼν, ἐκκενώσας, τὸ ἄκρον ἀποταμὼν σμικρὸν, ὥσπερ τοῖς ἀσκίοισι, τοῦτο περιπωμάσαι, ὅπως ἂν ἡ ὀδμὴ διὰ τοῦ στενοῦ ἰοῦσα πρὸς τὴν μήτρην ἀφίκηται, καὶ θερμῷ ὕδατι αἰονᾶν, καὶ φαρμάκοισι θερμαίνουσι χρῆσθαι προσθετοῖσι. θερμαίνοντα δ' ἐστὶ τὰ ἄγοντα τῶν πρόσθεν· τὰ δὲ τοιάδε· [117] βόλβιτον, χολὴ βοὸς, σμύρνα, στυπτηρίη, χαλβάνη, καὶ ἄλλο, ὃ τοιοῦτόν ἐστι. τούτων ὡς πλείστοισι καὶ ὑποξάγειν ἐλατηρίοισι φαρμάκοισι κάτω· ὅσα ἔμετον B ποιέουσιν, ἀσθενέουσιν, ὅπως μὴ ἐνυθμὸς γίνηται ἐκ τῆς ὑπερινήσιος. τὰ δὲ προσθετὰ, ὧδε χρὴ ποιέειν, ἢν βούλῃ ἰσχυρὰ ποιέειν. μέλι ἡμίεφθον ποιέων, ἐμβαλέων γεγραμμένων προσθετῶν τὴν ἄγειν ποιεόντων, καὶ ἐπὴν ἐμβάλῃς, ποίησον ὥσπερ τὰς βαλάνους τὰς πρὸς τὴν ἕδρην προστιθεμένας, μακρὰς δὲ ποίει καὶ λεπτὰς ταύτας· τὴν δὲ γυναῖκα ὑπτίην κατακλίνας, ἄνω τοὺς πόδας ποιήσας τῆς κλίνης τοὺς πρὸς ποδῶν, ἔπειτα πρόσθες, καὶ θέρμαινε [118] ἐν C ῥάκει ἢ ἄλλῳ τινὶ, ἕως ἂν καταταχῇ. ἢν δὲ ἀσθενέστερον βούλῃ τὸ προσθετὸν προστιθέναι, ἐς ὀθόνιον ἐνδέων. καὶ ἢν ὑγρότητος ἔμπλεαι οὖσαι αἱ μῆτραι τὸ στόμα στενοιδήσωσιν, [119] καὶ ἀρροίην παρέχωσι, ῥόον χρὴ ποιέοντα ἰᾶσθαι προσθετοῖσι φαρμάκοισιν, καὶ πυριῶντα ὡς γέγραπται, οὕτω ποιεῦντα, ὥσπερ [120] καὶ τὴν πρόσθεν ἀρροίην. καὶ εἰ ἐς τὸ ἔμπροσθεν παραχωρέουσα ἀποστραφῇ, ῥόον χρὴ ποιέειν, [121] ὥσπερ ἐπὶ τῆς προτέρης ἀρροίης. ὁπόταν D δὲ ῥόος ᾖ λίην, [140] οὔτε θερμαίνειν χρὴ θερμῷ ὕδατι, οὔτ' ἄλλῳ οὐδενὶ, οὔτε οὐρητικοῖσι χρῆσθαι, οὔτε σιτίοισι διαχωρητικοῖσι. τῆς γε κλίνης τὰ πρὸς ποδῶν ὑψηλότερα ἔστω, ὡς μὴ ἡ κατάκλισις εὔροος ᾖ, καὶ προσθετοῖσιν ἅμα τοῖς στύφουσι χρέω. οἱ δὲ ῥόοι, ὁπόταν μὲν εὐθέως ἴκηται ἡ κάθαρσις, εὐθέως ὑφαίμονες γίνονται· ὁπόταν δ' ἧσσον ἴῃ, πυώδεες· καὶ τῇσι νεωτέρῃσιν ὕφαιμα μᾶλλον, αἱ δὲ πρεσβύτεραι, μυξώδεα μᾶλλον ἔχουσι τὰ καταμήνια κηλιδώματα.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ, ΒΙΒΛΙΑ ϛʹ. ΠΡΩΤΟΝ.

GALENI DE LOCIS AFFECTIS, LIBRI SEX. PRIMUS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Διδάσκει τὴν καθόλου μέθοδον τοῦ διαγινώσκειν τοὺς πεπονθότας τόπους, τοὺς ταῖς αἰσθήσεσι μὴ ὑποπίπτοντας, σὺν πολλοῖς ἅμα παραδείγμασι πεπονθότων τινῶν μορίων.

ARGUMENTUM LIBRI.

Docet Methodum uniuersalem dignoscendi locos affectos, qui sensum effugiunt, unà cum multis exemplis partium quarundam affectarum.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Οἱ πρῶτοι τρόποι, δι᾽ ὧν ὁ πεπονθὼς τόπος ἀόρατος ὢν διαγινώσκεται, καὶ περὶ τῶν ἀχρήστων τῶν παλαιῶν ζητημάτων.

ΤΟΠΟΥΣ ὀνομάζουσι τὰ μόρια τοῦ σώματος, οὐχ οἱ νεώτεροι μόνον, ἀλλὰ καὶ τῶν παλαιῶν ἰατρῶν οὐκ ὀλίγοι, σπουδάζουσί τε διαγινώσκειν τὰ κατ᾽ αὐτοὺς πάθη, διότι καὶ τὴν θεραπείαν ὑπαλλάττεσθαι συμβαίνει κατὰ τὰς διαφορὰς αὐτῶν. ὁπόσον μὲν οὖν τι τὸ πρὸς τὰς ἰάσεις ἐστὶ χρήσιμον ἐκ τῆς τοιαύτης γνώσεως, ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ δηλοῦται· νυνὶ δὲ μόνον, ὅπως ἄν τις διαγινώσκοι τὰ πάσχοντα μόρια, πρόκειται σκοπεῖσθαι. τὰ μὲν οὖν ἐπιπολῆς, ἑτοίμως ὑποπίπτει ταῖς αἰσθήσεσιν, ἅμα ταῖς ἰδέαις τῶν παθῶν· ὅσα δ᾽ ἐν τῷ βάθει κατακέκρυπται, γεγυμνασμένου δεῖται τὸν λογισμὸν ἀνδρός, ἔν τε ταῖς ἐνεργείαις τῶν μορίων καὶ χρείαις, οὐχ ἥκιστα δὲ κἀν τῇ προηγουμένῃ τούτων ἀνατομῇ, ἥ τις ἐδίδαξεν ἡμᾶς ἄλλα τε πολλά, καὶ τῆς οὐσίας ἑκάστου τὴν ἰδιότητα. σῶμα γοῦν τι χονδρῶδές ἐστι κατὰ τὰς τοῦ πνεύμονος τραχείας ἀρτηρίας, ὃ καλοῦσι βρόγχιον, οὗ τὴν ἰδιότητα μόνοις τοῖς τεθεαμένοις ὑπάρχει γινώσκειν. ὅταν μὲν οὖν ποτε τοῦτο μετὰ βηχὸς ἀναπτυσθῇ, μέγιστον ἕλκος ἐξ ἀναβρώσεως ἢ σηπεδόνος, ἐν πνεύμονι λογιζόμεθ᾽ ὑπάρχειν. ἔστι μὲν γὰρ καὶ καθ᾽ ὅλον τὸν τράχηλον, ἐν τῷ μεταξὺ τοῦ φάρυγγός τε καὶ πνεύμονος, ἡ τοιαύτη φύσις τοῦ σώματος· ἀλλ᾽ οὐχ οἷόν τε τηλικαύτην ἕλκωσιν ἐν αὐτῷ γενέσθαι,

CAPUT I.

Primi modi, quibus locus affectus qui sensum latet, dignoscitur, ac de inutilibus veterum quæstionibus.

LOcos nominant partes corporis, non recentiores solùm, sed & veterum medicorum non pauci; ac affectus ipsorum dignoscere student, propterea quòd pro ipsorum differentiis, curationem quoque immutari contingit. At quàm vtilis ad curationem sit huiusmodi notitia, in opere methodi medendi declaratur. Nunc verò, quomodò affectæ partes à quouis possint dignosci, speculari duntaxat propositum est. Igitur partes in superficie constitutæ vnà cum affectuū ideis, facilè sub sensus cadunt. Quæ verò in imo corpore delitescunt, exercitatæ rationis virum desiderant, cum in partium & actionibus & vsu, tum vel maximè in eas præcedente anatome, quæ nos docuit cum alia permulta, tum cuiusque partis essentiæ proprietatem. Corpus igitur quoddam cartilagineum est secundum asperas pulmonis arterias, quod bronchion appellant; cuius proprietatem solis ipsum intuitis cognoscere conceditur. Id si aliquando per tussim eiectum sit, maximum vlcus ab erosione, vel putredine, in pulmone esse existimamus. Est enim & per totum quidem collum, inter guttur & pulmonem media, talis corporis natura; tam grandis tamen vlceratio in ipso haudquaquam fieri potest,

potest; prius enim mors animal occupabit. In pulmone verò fieri potest, quũ hoc viscus & ob humiditatē facilè putrescat, & à vitiosis humoribus promptè erodatur, & bronchia ipsius exigua sint; nequaquam enim vlla pars ipsorum exputrescere potest, sed totum bronchium reiici necesse est, membranosis vinculis, quæ ipsum cum continuis partibus coniungunt, exolutis, quæ sanè ipsis bronchiis multò priùs afficiuntur; hæc enim & cartilaginea, & crassa, & dura sunt; membranæ verò, quæ ipsa colligant, tenues & infirmæ. Quinetiã portionem quandam vasis haud paruam tussiendo reiectam vidimus, & ipsam dissectionis peritis planè demonstrantem se ex pulmone fuisse eductam. Nam quæ ad asperam in collo arteriam *perueniunt* vasa, omnia capillacea sunt. Proinde non solùm essentiæ proprietas, sed magnitudo quoque, sæpenumerò haud obscurè indicat, quis sit affectus locus. Sic igitur qui intestini tunicam per dysenteriam aluo deiectam conspexerit, tum latitudine, tum crassitudine tenuiorum intestinorum *tunicis* maiorem, non abs re coniiciet vlcerationem in crassis intestinis consistere. Ac sanè & in adolescentulo, qui tussiendo tunicam crassam, viscosamque expuerat, coniecimus internum esse gutturis corpus, quod epiglottida constituit. Itaq; sanatus est adolescentulus, non admodum sperantibus nobis; mansit tamen vox vitiata. Præterea substantiæ proprietas à vesicæ vlceribus, ea quæ in renibus consistunt, distinguit, quâ ratione & in aphorismis scripsit Hippocrates; *Quæ cum vrinis excernuntur, laminarum speciem referentia, vesicæ vlcus significant; quæ verò caruncul is similia sunt, renum.* Imò & à rebus in partibus quibusdam contentis, non rarò locus affectus deprehenditur. Itaque Mitylenis adolescens quidam secundum sedem vulneratus est gladio, vulnere satis profundo; ac tribus primis diebus, quum sine cibo & potu permansisset, quarto post curationem cibum sumpsit ac bibit, deinde occidente sole, iterum adhibitâ curatione, heminas vrinæ circiter quatuor per vulnus excreuit, quum priùs ex quo *tempore* vulneratus erat, haud prorsus minxisset; tum verò ab onere, quo in eâ regione quæ circa pubem vocatam est, grauabatur priùs, se perfectè liberatum esse dixit. Itaque in isto constabat vesicam fuisse vulneratam. Constat autem & in eo qui stercus per vulnus excreuit, intestinorum alicui vulnus esse illatum: Quemadmodum si quibusdam cibus egrediatur, ventriculum vulneratum esse declarabit. Iam ortum supra inguina cuidam tuberculum, vt pus excluderet, quum medicus incidisset, stercus subsequutum est, & in colo factus abscessus manifestò apparuit. Eiusdem cum istis generis est & qui vulnerato thorace spiritus efflatur, & sanguis, qui ab arteria effunditur. Quum igitur sæpe vulneratum corpus sensui abditum sit, accurata ex his dignotio percipitur. Nam ex thorace spiritus inter respirandum efflatus, membranam costas succingentem vulneratam esse significat; sanguis saliendo eiaculatus, arteriam; sed hic protinus eo qui ex venis erumpit, & calidior, & tenuior, & flauus magis est. At vt hæc dilucidã habent dignotionem, ad eundẽ modum si aliquando omentum,

φθάσει γὰρ ἀποθανεῖν τὸ ζῶον. ἐν δὲ τῷ πνεύμονι δυνατόν, ὡς ἂν σηπομένου τε τοῦ σπλάγχνου διʼ ὑγρότητα ῥᾳδίως, ὑπό τε μοχθηρῶν χυμῶν ἑτοίμως ἀναβιβρωσκομένου, τῶν τε βρογχίων ἐν αὐτῷ σμικρῶν ὑπαρχόντων· οὐδὲ γὰρ οὐδὲ μόριον αὐτῶν ἀποσαπῆναι δυνατόν, ἀλλʼ ὅλον ἀνενεχθῆναι τὸ βρογχίον ἀναγκαῖόν ἐστιν, τῶν συναπτόντων αὐτὸ τοῖς συνεχέσιν ὑμενωδῶν δεσμῶν ἀπολυθέντων, οἵτινες πάσχουσι πολὺ πρότερον τῶν βρογχίων αὐτῶν· τὰ μὲν γὰρ χονδρώδη τέ ἐστι καὶ σκληρὰ καὶ παχέα, λεπτοὶ δὲ καὶ ἀσθενεῖς οἱ συνδοῦντες ὑμένες αὐτά. καὶ μὴν δὴ καὶ ἀγγείου τι μόριον οὐ σμικρὸν ἀναβηχθὲν ἐθεασάμεθα, σαφῶς ἐνδεικνύμενον καὶ τοῦτο τοῖς ἐμπείροις ἀνατομῆς, ὡς ἐκ τοῦ πνεύμονός ἐστι. τὰ μὲν γὰρ κατὰ τὴν ἐν τῷ τραχήλῳ τραχεῖαν ἀρτηρίαν ἀγγεῖα, τριχοειδῆ πάντʼ ἐστίν, ὥστʼ οὐ μόνον ἡ τῆς οὐσίας ἰδιότης, ἀλλὰ καὶ τὸ μέγεθος ἐνδείκνυται πολλάκις οὐκ ἀσαφῶς, ὁποῖός τίς ἐστιν ὁ πεπονθὼς τόπος. οὕτω γοῦν ἐν δυσεντερίᾳ, θεασάμενός τις ἐντέρου χιτῶνα διαχωρηθέντα, καὶ πλάτει καὶ πάχει μείζονα τῶν ἐν τοῖς λεπτοῖς ἐντέροις, οὐκ ἂν ἀλόγως τεκμήραιτο τὴν ἕλκωσιν ἐν τοῖς παχέσιν ἐντέροις εἶναι. καὶ μὲν δὴ κἀπὶ τοῦ μειρακίου τοῦ μετὰ βηχὸς ἀναπτύσαντός ποτε χιτῶνα παχὺν καὶ γλίσχρον, ἐτεκμηράμεθα τὸ κατὰ τὸν λάρυγγα σῶμα τὸ ἔνδον, ὃ καὶ τὴν ἐπιγλωττίδα συνίστησιν, εἶναι. ἐθεραπεύθη γοῦν οὕτω τὸ μειράκιον, οὐ πάνυ τι προσδοκώντων ἡμῶν, ἐκακώθη μέντοι τὴν φωνήν. ἡ δὲ τῆς οὐσίας ἰδιότης καὶ τὰ κατὰ τοὺς νεφροὺς ἕλκη, τῶν ἐν τῇ κύστει διορίζει, καθότι καὶ Ἱπποκράτης ἔγραψεν ἐν ἀφορισμοῖς· τὰ μὲν πεταλώδη τοῖσιν οὔροισιν ἐμφερόμενα, τῆς κύστεως ἕλκωσιν σημαίνει, τὰ δὲ σαρκώδη, τῶν νεφρῶν. ἀλλὰ κἀκ τῶν περιεχομένων ἔν τισι μορίοις οὐσιῶν, οὐκ ὀλιγάκις ἡμῖν ἔνδειξις γίνεται τοῦ πεπονθότος τόπου. ἐν Μιτυλήνῃ γοῦν οὕτω ἐτρώθη νεανίσκος ὑπὸ ξίφους, ἄχρι βάθους ἱκανοῦ, περὶ τὴν ἕδραν· ἡμερῶν τε τριῶν τῶν πρώτων ἄσιτός τε καὶ ἄποτος μείνας, τὴν τετάρτην μετὰ τὴν θεραπείαν, τραφεὶς καὶ πιών, εἶτʼ αὖθις ἡλίου δύνοντος θεραπευόμενος, ἐξέκρινε διὰ τοῦ τραύματος, οὔρου κοτύλας ὡς τέτταρας, οὐδʼ ὅλως πρότερον οὐρηκὼς ἐξ οὗπερ ἔτυχε τρωθείς· καὶ δὴ καὶ τοῦ βάρους ἀπηλλάχθαι τελέως ἔφη τηνικαῦτα, τοῦ πρότερον ἀνιῶντος αὐτὸν ἐν τῷ κατὰ τὸ καλούμενον ἐφήβαιον χωρίῳ. δῆλον οὖν ἦν ἐπὶ τοῦδε, τὴν κύστιν τετρῶσθαι· δῆλον δὲ κἀπὶ τοῦ κόπρον ἀποκρίνοντος κατὰ τὸ τραῦμα, τετρῶσθαί τι τῶν ἐντέρων· ὥσπερ γε καὶ εἰ τροφὴ [illegible], τὴν γαστέρα τετρῶσθαι δηλώσει. καὶ μὴν καὶ φύματος ἐμφυέντος ὑπεράνω τοῦ βουβῶνος, ὡς ἐκπυῆσαι, τεμόντος τοῦ ἰατροῦ, κόπρος ἐπηκολούθησεν, ἐφάνη τε σαφῶς ἀπόστημα γενόμενον ἐν κώλῳ. τοῦ δὲ αὐτοῦ γένους τούτοις ἐστὶ καὶ τὸ τοῦ θώρακος τρωθέντος ἐκφυσώμενον πνεῦμα, καὶ τὸ τῆς ἀρτηρίας ἐκχεόμενον αἷμα. πολλάκις γοῦν ἀδήλου πρὸς τὴν αἴσθησιν ὄντος τοῦ τετρωμένου σώματος, ἀκριβὴς διάγνωσις ἐκ τούτων γίνεται. τὸ μὲν γὰρ ἐν ταῖς ἀναπνοαῖς τοῦ θώρακος ἐκφυσώμενον πνεῦμα, τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα τετρῶσθαι σημαίνει· τὸ δὲ ἐξακοντιζόμενον αἷμα σφυγμωδῶς, ἀρτηρίαν· εὐθὺς δὲ τοῦτο καὶ θερμότερόν ἐστι καὶ λεπτομερέστερον καὶ ξανθότερον τοῦ κατὰ τὰς φλέβας. ὥσπερ δὲ ταῦτα σαφῆ τὴν διάγνωσιν ἔχει, κατὰ τὸν αὐτὸν τρόπον, ἐὰν ἐπίπλοός ποτε ὀφθῇ προπεσὼν διὰ τραύματος,

ἤ τι τῶν ἐντέρων, ἀναγκαῖόν ἐστι διῃρῆσθαι τὸ περιτόναιον. εἰ δὲ πνεύμονος ὀφθείη τι πέρας λοβοῦ προπεσὸν ἔξω τοῦ τραύματος, ἐνδείκνυται * συντετρῆσθαι τὸν θώρακα. διαφέρει δ' οὐδέν, ἢ τὸν ὑπεζωκότα τετρῆσθαι λέγειν, ἢ συντετρῆσθαι τὸν θώρακα. καὶ μὴν κἀκ τῶν ἐπιφυομένων ἔστιν ὅτε γνωρίζεται ὁ πεπονθὼς τόπος· ἰδιότης μὲν γὰρ τῆς οὐσίας ἐστὶ τῶν ἐπιφυομένων, ὥσπερ τῶν μυκήτων τοῖς ἐν τῇ κεφαλῇ κατάγμασιν, ὅταν ἡ μῆνιγξ ᾖ πεπονθυῖα· ἰδιότης δ' ἑτέρα πάλιν, ὅταν ὀστοῦν πεπόνθῃ κατά τι μόριον. ἐκ τούτου δὲ τοῦ γένους ἐστὶ, καὶ ἡ ἐφελκὶς ὀνομαζομένη· δηλοῖ γὰρ ἡλκῶσθαι τὸ μόριον ἐκεῖνο, καθ' ὅπερ ἂν ἐκκριθεῖσα φαίνηται, μετὰ μὲν τῶν οὔρων ὑπελθοῦσα, τῶν οὐρητικῶν τι· μετὰ δὲ βηχὸς ἀναχθεῖσα, τῶν ἀναπνευστικῶν· εἰ δ' ἐμεθείη, τῶν κατὰ τὸν στόμαχόν τε καὶ γαστέρα· καθάπερ γε καὶ εἰ μετὰ τῶν διαχωρημάτων ὑπέλθοι, τῶν ἐντέρων τινὸς ἕλκωσιν ἐνδείκνυται. ἕτερος δὲ τρόπος ἐστὶ διαγνώσεως ἐκ σημείων τινῶν, ὅταν ἐν ἀλλοτρίᾳ χώρᾳ περιέχηταί τι παρὰ φύσιν, οἷον ἐν νεφροῖς ἢ κύστει, λίθος, πύον ἐν θώρακι· ἐκ τούτου δὲ τοῦ γένους ἐστὶν καὶ θρόμβος αἵματος, ἐν ᾧ περ ἂν ᾖ περιεχόμενος, ἤ τις ἕτερος χυμὸς ἀνιαρὸς ἐν τῷ σώματι τοῦ ζώου γεννηθείς, ἢ ἔξωθεν [10] ἐπεισαχθείς. ὅθεν καὶ ζήτησις, οὐδὲν μὲν εἰς τὰ τῆς ἰατρικῆς τέχνης ἔργα συντελοῦσα, λογικωτέραν δέ τινα θεωρίαν ἔχουσα, πολλοῖς τῶν νεωτέρων ἰατρῶν ἐγένετο, πότερον ἐκ τῶν πεπονθότων τόπων ἐστὶ καὶ τὰ τοιαῦτα τῶν παρὰ φύσιν ἐν ἡμῖν γινομένων, ἢ τόπος μὲν οὐδεὶς πέπονθεν, ἐνοχλεῖται δὲ τὸ ζῶον ὑπὸ τῆς παρὰ φύσιν αἰτίας. ὅτι δ', ὡς ἔφην, ἄχρηστός ἐστιν ἡ τοιαύτη ζήτησις, ἔνεστί σοι γνῶναι ῥᾳδίως, ἐννοήσαντι τὸ χρήσιμον εἰς τὴν τέχνην ἐκ τῶν διαγνώσεων. ὑποκείσθω γοῦν τις ἡμερῶν τριῶν μηδ' ὅλως οὐρηκώς· ἆρ' οὖν οὐκ εὐθέως ζητήσομεν, ἐν τίνι μορίῳ τοῦ σώματός ἐστιν ἡ τοῦ συμπτώματος αἰτία; πότερον ἐν τοῖς νεφροῖς, ἢ τοῖς οὐρητῆρσιν, ἢ κατὰ τὴν κύστιν, ἢ κατὰ τὴν οὐρήθραν; οὐ μὴν ἐν ἥπατί γε, καὶ πνεύμονι, καὶ σπληνί, καὶ γαστρί, καὶ καρδίᾳ, ζητήσομεν αὐτήν, οὐδ' ὅλως ἐν ἄλλῳ μορίῳ, διότι οὐδὲν ἐκείνων ἐστὶν οὐρήσεως ὄργανον. εἰ δέ γ' ἠγνοοῦμεν, ὡς ἐν μὲν τοῖς νεφροῖς πρῶτον ἡ τῶν οὔρων γίνεται διάκρισις, ἐφεξῆς δὲ διὰ τῶν οὐρητήρων ἐπὶ τὴν κύστιν ἀφικνεῖται, κἄπειτ' ἐντεῦθεν ἐκκρίνεται, καθ' ὃν ἐμάθομεν τρόπον ἔμπροσθεν ἐν τοῖς τῶν φυσικῶν ἐνεργειῶν λογισμοῖς, οὐδὲν ἂν τούτων εὑρεῖν ἠδυνήθημεν. οὐ μὴν οὐδ' ἄχρι τοσούτου προελθεῖν ἀρκέσει· σκέψασθαι γὰρ ἄμεινον, ἥτις ** ποτὲ τῶν εἰρημένων αἰτία, δι' ἣν ἴσχεται τὸ οὖρον. ἡ δὲ ὁδὸς τῆς σκέψεως ἥδε. πάντ' ἐπισκέψασθαι χρὴ τά τε παρόντα καὶ τὰ προγεγονότα συμπτώματα, τὰ μὲν παρόντα, θεασάμενον αὐτόν, ὅσα δ' ἔμπροσθεν ἐγένετο, διαπυνθανόμενον, οὐ τοῦ κάμνοντος μόνον, ἀλλὰ καὶ τῶν οἰκείων. ἔστω τοίνυν, ἕνεκα παραδείγματος, ὄγκος μέν τις κατὰ τὸ καλούμενον ἐφήβαιον, ἐν περιγραφῇ, σαφῶς ἐνδεικνύμενος πεπληρῶσθαι τὴν κύστιν· ἐκκρινέσθω δὲ μηδέν· ἆρ' οὐ πρόδηλον, ὡς ἤτοι παραλελύσθαι τὴν ἀποκριτικὴν τῶν οὔρων ἐνέργειαν ἀναγκαῖόν ἐστιν, ἢ τὸν τῆς οὐρήθρας πόρον ἐστεγνῶσθαι; πρῶτον μὲν οὖν ἐπισκεπτέον, εἰ παραλελύσθαι δυνατόν, ἀναμνησθέντας, ὅπως ἡ τῶν οὔρων ἔκκρισις γίνεται τοῖς ὑγιαίνουσιν, ὅταν αὐτοὶ προαιρῶνται· τοῦ μὲν ἐν κύκλῳ περιβεβλημένου

A aut intestinorum aliquod procidere per vulnus videatur, peritonæum diuisum esse necesse est. Si verò pulmonis aliquod fibræ extremum in externum vulnus prolapsum videatur, thoracem confossum esse ostendit; atque nihil refert, siue succingentem membranam vulneratam esse, siue thoracem confossum dicere. Iam verò ex iis etiam rebus quæ adnascuntur, affectus locus quandoque dignoscitur; proprietas enim essentiæ est eorum quæ adnascuntur, quemadmodum fungorum in fracturis capitis, quum meninx fuerit affecta. Atque rursus alia B proprietas conspicitur, quum os partis cuiuspiam affectum sit. Huius generis est ramentum vlceris appellatum, declarat enim vlceratam esse partem, à qua excretum cernatur; cum vrina quidem si eruperit, vrinæ organorum aliquod; at cum tussi eductum, spirabilium; si autem vomitu exclusum sit, gulæ ac ventriculi; quemadmodum, si cum alui excrementis exierit, intestinorum aliquod vlceratum esse indicat. Est præterea ex signis quibusdam alius dignotionis modus, quum videlicet in alieno spatio aliquid præter naturam continetur, vt in re-C nibus aut vesicâ lapis, aut pus in thorace; ex eo autem genere censetur & grumus sanguinis, vbicunque contineatur, aut alius quidam humor molestus in animalis corpore genitus, vel extrinsecus appulsus. Vnde & iuniorum medicorum compluribus orta quæstio est, ad medicæ quidem artis opera nihil conferens, sed logicam magis habens contemplationem quandam, vtrum huiusmodi res in nobis præter naturam genitæ, ex affectis sint locis, an loco nullo affecto, animal à causa præter naturam malè D afficiatur. Sed quòd inutilis (vt dixi) sit huiusmodi quæstio, cognitu facilè tibi est, si consideraueris, quantum dignotiones ad artem conferant. Subiiciamus ergo aliquem tribus diebus nihil vrinæ prorsus excreuisse; nonne protinus, in qua corporis parte sit huiusmodi symptomatis causa, inuestigabimus? an in renibus, aut vreteribus, aut vesica, aut vrethra? neq; enim in hepate, pulmone, liene, ventriculo, corde, aut alia quauis parte ipsam quæremus, quòd nulla ipsarum sit meiendi instrumentum. At si E ignoraremus, vrinę secretionem in renibus primùm fieri; deinde eam per vreteras ad vesicam peruenire, ac demum inde excerni (quemadmodum antea in disputationibus naturalium actionum didicimus) nihil huiusmodi inuenire potuissemus. Verùm nec eousque processisse sufficiet; quin perpendere præstat, quænam sit dictorum causa, ob quam vrina supprimitur. Est autem via contemplationis hæc. Intueri oportet omnia tum præterita, tum præsentia symptomata; præsentia quidem ipsum inspicientem; quæcumque verò antecesserunt, non F solùm à laborante, sed etiam ab ipsius familiaribus, interrogantem. Sit igitur (exempli gratiâ) tumor aliquis in pube quam vocant, euidenter quidem in circunscriptione vesicam impletam esse ostendens; nihil autem excernatur; nõne planè constat, aut expellentem vrinæ actionẽ necessariò resolutã, aut vrethę meatũ esse constipatum? In primis igitur considerare oportet, nũ resoluta esse potuerit *facultas*, memores, quomodo bene valentibus vrinæ fiat excretio, quum ipsi volunt; vbi musculus quidem

quidem ceruicem vesicæ circundans, ab actione quieuerit, ipsa autem vesica suo munere fungatur. Musculi autem actio ad arbitrium nostrum perficitur, at vesicæ actio & inuoluntaria est & naturalis. Nam in commentariis de naturalibus facultatibus declaratum est, in omnibus propemodum corporis partibus esse facultatem excrementorum expultricem, quam habent omnes perpetuò, sed eâ vtuntur, quum ab excrementis vexantur. Eâ ergo facultate excretrice laborante, contingit aliquando vrinæ suppressionem fieri; sed si hominem ita figuraueris, vt decliuis sit ceruix vesicæ, ac manibus tumorem præter naturam compresseris, excernetur vrina; quum autem hæc feceris, si tibi nihil magis oboriatur, à causâ paralyseos creditâ desistere, atq; vrethram constipatam esse suspicari oportet; nam musculus ei circundatus si resoluatur, non suppressæ, sed præter voluntatem emissæ, vrinæ causa est. Itaque quot modis contingat, ceruicis vesicæ meatum, quem vrethram vocant, stipari, deinceps considerandum est. Equidem tres in vniuersum esse censeo; aut quum corpus ipsius in tantum tumorem præter naturam attollitur, vt meatus ab ipso occupetur; aut quum ei quædam moles præter naturam, vel carnosa, vel callosa, innascitur; aut à re quapiam obstruitur meatus. Corpus quidem ipsum ad insignem tumorem attollitur, si vel inflammatione, vel scirrho, vel abscessu, vel alio quouis tumore fuerit affectum; in meatu autem caro quidē orietur, si præcesserit vlcus; alia verò substantia, longo temporis spatio ex crasso, lentoque humore paulatim nasci potest. At obstruetur *meatus*, vel lapide, vel grumo, vel pure, vel crasso lentoque humore. Igitur hæc omnia distinguere oportet, non solùm ex præsentibus symptomatis, sed etiam ex iis, quæ præterierunt. Age enim, subiiciatur puer ægrotus; apparuerint verò anteà calculi signa, vrina aquæ similis, sedimenta in ea sabulosa quædam; ipse insuper assiduè pudendum scalpat, idque vel laxum, vel intentum præter rationem; postea vrina derepente supprimatur; non sine ratione coniecerit quiuis huic calculum in vesicæ ceruicem incidisse. Itaque supino figurato puero, cruribusque reliquo corpore multò sublimioribus redditis, multifariàm ipsum concuties, satagens, vt lapis ex meatu excidat. Quibus peractis, iube vt puer vrinam reddere tentet; quod si res successerit, profluxeritque vrina, simul accuratam causæ dignotionem te habere, & curationem tibi suppetere certò credideris; perseuerante nihilominùs vrinæ suppressione, rursus concuties vehementiùs; si verò concussione factâ adhuc sic permāserit, tum demisso cathetere vocato simul & calculum à vesicæ ceruice repelles, & vrinæ iter præbebis. At nullis calculi signis retentam vrinam præcessisse apparētibus, sed aliquâ sanguinis excretione, par est, grumum vrethram obstruere; at datur etiam, vbi vlcerata est vesica, paulatim *in ipsa* grumū concrescere, non præcedente sanguinis fluore; accidit etiā, vt sanguis ex renibus per vreteras in vesicam defluens, grumū efficiat. Atq; in huiusmodi coniecturis catheter vtilis est, quemadmodum & quum vel pus, vel crassum lentumque humorem meatū intercepisse suspicamur.

τραχήλῳ τῆς κύστεως μυός, παυσαμένου τῆς ἐνεργείας, αὐτῆς δὲ τῆς κύστεως ἐνεργούσης. ἔστι δὲ ἡ μὲν τοῦ μυὸς ἐνέργεια κατὰ τὴν ἡμετέραν γινομένη προαίρεσιν, ἡ δὲ τῆς κύστεως, ἀπροαίρετός τε καὶ φυσική. δέδεικται γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἐν ἅπασι σχεδόν τι τοῖς τοῦ σώματος μορίοις, ἀποκριτικὴν τῶν περιττωμάτων ὑπάρχειν δύναμιν, ἣν ἔχει μὲν ἀεὶ πάντα, χρῆται δ' αὐτῇ, ὅταν ὑπὸ τῶν περιττωμάτων ἀνιαθῇ. ταύτης οὖν παθούσης τῆς ἀποκριτικῆς δυνάμεως, ἐγχωρεῖ ποτε γενέσθαι τὴν ὀνομαζομένην ἰσχουρίαν· ἀλλ' ἐὰν οὕτω σχηματίσῃς τὸν ἄνθρωπον, ὡς κατάρροπον εἶναι τὸν αὐχένα τῆς κύστεως, ἐπιθλίψῃς τε ταῖς χερσὶ τὸν παρὰ φύσιν ὄγκον, ἐκκριθήσεται τὸ οὖρον. εἰ δὲ ταῦτα πράξαντί σοι μηδὲν γίγνοιτο πλέον, ἀφίστασθαι μὲν χρὴ τῆς κατὰ τὴν παράλυσιν αἰτίας, ἐστενῶσθαι δὲ τὴν οὐρήθραν ὑπολαμβάνειν· ὁ γάρ τοι μῦς ὁ περικείμενος αὐτῇ, παραλυθείς, οὐκ ἰσχουρίας, ἀλλ' ἀκουσίου κενώσεως τῶν οὔρων αἴτιος γίνεται. κατὰ πόσους δὴ τρόπους ἐγχωρεῖ στενωθῆναι τὸν πόρον τοῦ τραχήλου τῆς κύστεως, ὃν ὀνομάζουσιν οὐρήθραν, ἐφεξῆς ἂν εἴη σκέπτεσθαι. ἐμοὶ μὲν δοκοῦσι τρεῖς οἱ πάντες εἶναι, ἤτοι τοῦ σώματος αὐτῆς εἰς ὄγκον τινὰ παρὰ φύσιν ἀρθέντος οὕτω μέγαν, ὡς ὑπ' αὐτοῦ καταληφθῆναι τὸν πόρον· ἤ τινος ἐπιτραφέντος αὐτῷ παρὰ φύσιν, ἤτοι σαρκοειδοῦς ἢ πωροειδοῦς σώματος, ἢ καὶ φράξαντός τινος τὸν πόρον. αὐτὸ μὲν δὴ τὸ σῶμα πρὸς ἀξιόλογον ὄγκον[12] ἐπιδίδοται, φλεγμαῖνον, ἢ σκιρρούμενον, ἢ ἀφιστάμενον, ἢ ὁπωσοῦν οἰδισκόμενον· ἐπιτραφήσεται δὲ τῷ πόρῳ, σὰρξ μέν, ἑλκώσεώς τινος προηγησαμένης, ἑτέρα δέ τις οὐσία χρόνῳ πολλῷ κατὰ βραχύ, χυμοῦ παχέος καὶ γλίσχρου γεννήσαντος αὐτήν. ἐμφραχθήσεται δ' ὑπό τε λίθου, καὶ θρόμβου, καὶ πύου, καὶ χυμοῦ παχέος τε καὶ γλίσχρου. ταῦτ' οὖν χρὴ διορίζεσθαι πάντα, μὴ μόνον τὰ παρόντα συμπτώματα θεώμενον, ἀλλὰ καὶ τὰ προηγησάμενα. φέρε γάρ, ὑποκείσθω παιδίον μὲν τὸ κάμνον, ἔμπροσθεν δ' αὐτῷ γεγονέναι τὰ τοῦ λίθου σημεῖα, τὸ μὲν οὖρον ὑδατῶδες, ὑποστάσεις δέ τινες ψαμμώδεις ἐν αὐτῷ, καὶ κνώμενον τὸ αἰδοῖον συνεχῶς, καὶ χαλώμενον ἢ ἐντεινόμενον ἀλόγως, ἔπειτ' ἐξαίφνης[13] ἰσχουρῆσαν· ἐπὶ τούτῳ τις οὐκ ἄνευ λόγου ὑπονοήσειεν, ἐμπεπτωκέναι τῷ τραχήλῳ τῆς κύστεως τὸν λίθον. ὕπτιον τε οὖν[14] σχηματίσας τὸ παιδίον, ὑψηλότερά τε πολλῷ τοῦ λοιποῦ σώματος ἐργασάμενος τὰ σκέλη, διασείσεις πολυειδῶς, ἐπιτεχνώμενος ἐκπεσεῖν τοῦ πόρου τὸν λίθον. ἐπειδὰν δὲ ταῦτα πράξῃς, κέλευε προθυμηθῆναι τὸ παιδίον οὐρῆσαι· κἂν μὲν ὑπακούσῃ τὸ ἔργον, ἐκκριθῇ τε τὸ οὖρον, ἅμα τήν τ' αἰτίας ἀκριβῆ διάγνωσιν ἐσχηκέναι, καὶ τῆς θεραπείας[15] εὐπορηκέναι πεισθήσῃ· μενούσης δὲ ἔτι τῆς ἰσχουρίας, ἐκ δευτέρου διασείσεις σφοδρότερον. εἰ δὲ διασείσαντος καὶ νῦν ἔτι μένοι, διὰ τοῦ καλουμένου καθετῆρος, ἅμα μὲν ἀπώσῃ τὸν λίθον ἐκ τοῦ τραχήλου τῆς κύστεως, ἅμα δὲ ποδηγήσεις τοῖς οὔροις. εἰ δὲ τὰ μὲν λίθου σημεῖα μὴ φαίνοιτο προγεγενῆσθαι τῆς ἰσχουρίας, αἵματος δέ τις ἔκκρισις, εἰκὸς εἶναι θρόμβον ἐμφράττοντα τὴν οὐρήθραν· ἐγχωρεῖ δὲ καὶ τῆς κύστεως ἡλκωμένης, ἔκκρισιν μὲν αἵματος μὴ[16] προηγήσασθαι, κατὰ βραχὺ δὲ συστῆναι θρόμβον· ἐγχωρεῖ δὲ κἀκ τῶν νεφρῶν αἷμα διὰ τῶν οὐρητήρων εἰς τὴν κύστιν ῥυέν, εἰργάσθαι τὸν θρόμβον· ἀλλὰ κἀπὶ τῶν τοιούτων στοχασμῶν ὁ καθετὴρ χρήσιμος, ὥσπερ κἀπειδὰν πύον, ἢ χυμός τις παχὺς καὶ γλίσχρος ὑπονοῆται κατειληφέναι τὸν πόρον.

Εἰς δὲ τὴν τοιαύτην ὑπόνοιαν ἀφιξόμεθα, διὰ τῆς τῶν προγεγενημένων γνώσεως οὕτως. Εἰ μὲν γὰρ ἤτοι κατὰ κύστιν ἢ νεφροὺς εἴη τι προγεγενημένον πάθος, ὡς δεξ αὐτοῦ δύνασθαι προσδέχεσθαι πύον ἠθροῖσθαι τοσοῦτόν τε καὶ τοιοῦτον, ὑφ' ὅσου τε καὶ οἵου φραχθῆναι τὸν πόρον εἰκός ἐστι δυνατὸν εἶναι, στοχάσασθαι, διὰ τὴν αἰτίαν ταύτην ἐπίσχεσθαι τὸ οὖρον. ἢ εἰ καὶ ἀνωτέρω τῶν νεφρῶν ἀπόστημα καθ' ἕτερόν τι μόριον προγεγενημένον εἴη, οὐ ῥᾳδίως εἰκός ἐστι τὸ πύον εἰς νεφροὺς μεταληφθῆναι. μηδενὸς δὲ τοιούτου προηγησαμένου, τὴν δίαιταν ἐξετάσομεν, εἰ ἀργὸς, ἢ διὰ πολλῶν ἐδεσμάτων παχεῖς καὶ γλίσχρους ἐργαζομένων χυμούς· οὕτω δὲ εἰ καὶ σάρκα τινὰ δι' ἕλκωσιν ἐπιπεφυκυῖαν ἡγούμεθα τὸν τράχηλον τῆς κύστεως ἐμφράττειν, ἔκ τε τῶν προηγησαμένων τοῦ ἕλκους σημείων, ἔκ τε τοῦ κενωθῆναι τὸ οὖρον ἐπὶ τῷ καθετῆρι, συλλογιούμεθα. καὶ ποτε καὶ γινόμενον οἶδα τοιοῦτόν τι πάθημα· διεμβαλλομένου γοῦν τοῦ καθετῆρος, ἤλγησεν κατ' ἐκεῖνο τοῦ πόρου τὸ μέρος, ἔνθα καὶ πρότερον ἐτεκμηράμεθα τὴν ἕλκωσιν εἶναι· θλασθείσης δὲ τῆς σαρκὸς ὑπὸ τοῦ καθετῆρος, ἠκολούθησε μὲν μετὰ τὴν τῶν οὔρων ἔκκρισιν αἵματός γε τι καὶ θρύμματα τῆς σαρκός. Ταῦτα μὲν οὖν εἴρηταί μοι, τῆς προκειμένης ἴδια πραγματείας ὄντα, καὶ γέγονεν ἤδη δῆλον ὡς λογικὴ μόνον ἐστὶν ἡ μικρὸν ἔμπροσθεν εἰρημένη ζήτησις, οὐδὲν ἡμᾶς ὠφελοῦσα πρὸς τὰ τῆς τέχνης ἔργα. τὸ γάρ τοι χρήσιμον εἰς ταῦτ' ἐστὶ, γνῶναι τὸν πόρον ἐμπεφραγμένον ὑπὸ θρόμβου τινὸς, εἰ οὕτως ἔτυχεν, ἢ λίθου· τὸ δ' εἴτε πάθος εἶναι λεκτέον τοῦ πόρου τὸ γεγονὸς, εἴτε αἴτιον ἰσχουρίας ἐν τῷ πόρῳ περιέχεσθαι, τῶν ἀχρήστων εἰς τὴν τέχνην ἐστίν. Ἀρχιγένης δ' οὐκ οἶδ' ὅπως ἐν τοῖς τοιούτοις σκέμμασι χρονίζει, μετὰ καὶ τοῦ γράφειν ἀσαφῶς οὕτως ὑπὲρ αὐτῶν, ὡς μηδένα νοῆσαι. Πάλιν οὖν ἀναλαβόντες τὸν λόγον, ἐπὶ τὰ συνεχῆ προέλθωμεν, ὡς ἐκ τῶν προγεγενημένων τε καὶ τῶν νῦν ὄντων συμπτωμάτων, ἡ τῆς ἰσχουρίας αἰτία γνωρίζεται. πληγεὶς γάρ τις ἰσχυρῶς κατὰ τὸ καλούμενον περίναιον, ἐπιγινομένης τῇ πληγῇ φλεγμονῆς, οὔτε οὐρεῖν ἠδύνατο, καὶ προφανῶς ἡ κύστις αὐτοῦ πεπληρωμένη κατὰ περιγραφὴν ἐτέτατο. ἔπειτα τούτῳ καθετῆρα προσφέρειν οὐκ ἐδόκει, παροξυνθησομένης ὑπ' αὐτοῦ τῆς φλεγμονῆς, ἀλλὰ καταντλεῖν ὕδωρ θερμὸν, ἔλαιον παραχέοντας, ἄμεινον ἐφαίνετο· καὶ σχεδὸν ὥραις τρισὶ τοῦτο ποιήσαντες, ἐπεὶ τήν τε τάσιν ἑωρῶμεν ἱκανῶς κεχαλασμένην, τήν τ' ὀδύνην ὡς αὐτὸς ὡμολόγει πρᾳοτέραν γεγενημένην, παρεκελευσάμεθα προθυμηθῆναι περὶ τὴν οὔρησιν· οὕτω τε πράξαντος, ἐπεθλίψαμεν ἠρέμα τὸν ὄγκον τῆς κύστεως εἰς τὸ κάτω βιαζόμενοι, καὶ ταῦτα ποιησάντων, οὔρησεν ὁ νεανίσκος. ἐπὶ μὲν δὴ τῶν τοιούτων, ἐναργῶς ἡμῖν ἡ τῆς ἰσχουρίας αἰτία διαγινώσκεται· κατ' ἔνια δὲ τῶν ἄλλων, οὐκ ἐναργῶς, ἀλλ' ὁ συνήθως ὀνομαζόμενος ὑπὸ πάντων ἤδη χρήσιμος ἡμῖν τεχνικὸς στοχασμὸς, ὃς ἐν τῷ μεταξύ πώς ἐστιν ἀκριβοῦς τε γνώσεως καὶ παντελοῦς ἀγνοίας. ὅθεν οὐδὲ δυνατόν ἐστιν, ἐπὶ πάντων τῶν νοσημάτων ποιήσασθαι τὰς ὑπὸ τῶν ἐμπειρικῶν ὀνομαζομένας παθογνωμονικὰς συνδρομάς, ἀλλ' ὅπερ ὁ Ἐρασίστρατος εἴωθεν λέγειν, ἀληθέστατόν ἐστιν· γεγυμνάσθαι χρὴ τὸν λογισμὸν, ὅς τις μέλλει διαγνώσεσθαι καλῶς, οὐ μόνον τὸ πάθος ὁποῖόν ἐστιν, ἀλλὰ καὶ τὸν πάσχοντα τόπον. ἡ γυ-

A In huiusmodi verò coniecturam, ex præcedentium notitia hoc pacto inducemur. Etenim siue vesica, siue renes antea affectu aliquo laborauerint, per quem tale tantumque pus colligi potuerit, vt par sit ab ipso meatum fuisse obstructum, probabiliter coniicies, hanc ob causam vrinam supprimi; aut si etiam in parte aliqua renibus superiore fuerit abscessus, quo rupto, haud absurdè pus in renes transsumptum esse putaueris. Quòd si nihil huiusmodi præcesserit, victus rationem inquiremus, an in otio B *educatus*, vel multis cibis, crassos, viscososque humores generantibus *fuerit vsus*. Sic etiam, vbi ob carunculam aliquam ab vlcere innatam, vesicæ ceruicem obstructam esse putamus, & ex præcedentibus vlceris signis, & ex eo, quod demisso cathetere vrina vacuetur, intelligemus. Nam & hunc affectum aliquando vidimus; quippe demissus catheter dolorem mouit in ea meatûs parte, vbi & antea vlcus esse coniiciebamus; fractaque sub cathetere carne, sequuta sunt vrinæ excretionem & cruor aliquis & carnis fragmenta. Atque hæc C diximus, vt quæ ad institutum opus propriè pertineant; constatque iam quòd paulo ante citata à nobis quæstio, logica duntaxat sit, quodque nihil ad artis opera conducat. Ad hæc enim vtile fuerit cognoscere meatum esse obstructum à quodam grumo, si ita contigerit, aut lapide; at quęrere, vtrum morbum esse meatûs factum, an causam suppressionis vrinæ in meatu contineri dicendum sit, ad artem inutile. Archigenes autem quomodo in huiusmodi quæstionibus immoretur, me fugit, postquam de iisdem adeò ob- D scurè scripserit, vt intelligatur à nemine. Igitur rursus oratione resumptâ, ad consequętia progrediamur, quomodo tum ex præcedentibus, tum ex præsentibus symptomatis, suppressionis vrinæ causa deprehendatur. Percussus enim vehementer quidam in perinçi vocati regione, subortâ inflammatione percussioni, vrinam reddere non potuit; ac vesica ipsi repleta manifestè secundum circunscriptionem intenta erat. Huic postea, ne irritaretur inflammatio, catheterem adhibere noluimus, sed aquâ calidâ affusâ, oleo perungere satius esse putauimus; quumque fe- E rè tribus horis id fecissemus, quum tensionem abundè laxatam, ac dolorem, vt ipsemet fatebatur, leuiorem factum esse conspiceremus, imperauimus, vt vrinam reddere tentaret: quod quum fecisset, nos vesicæ tumorem ad inferiores partes impellendo sensim pressimus, hisque factis iuuenis vrinam reddidit. Atque in his à nobis causa ischuriæ manifestè deprehenditur; at in aliis quibusdam non manifestè, sed quæ pro consuetu- F dine artificiosa coniectura ab omnibus iam vocatur, nobis vtilis est, quæ inter accuratam notitiam, & vniuersam ignorantiam, media quodammodo existit. Proinde fieri non potest, vt in omnibus morbis dentur, quæ pathognomonicæ syndromæ ab Empiricis nominantur; sed verissimum est id, quod Erasistratus dicere solebat; *Oportet hominem exercitatum ratione esse, quicunque voluerit non solùm affectûs ipsius qualitatem, sed affectum quoque locum, probè dignoscere.* Verùm

exercitatio decenter fiet; non si quæramus an dicere oporteat, vesicæ ceruicem, ob lapidem vel grumum obstructam, affectam esse; an ipsâ non affectâ, actionem læsam esse. Hæc igitur ad artem superuacanea Archigenes quærit; alii verò vltra hæc procedentes, ne læsam quidem esse actionem dicunt; fieri enim ipsam, musculo vesicæ ceruicem constringente laxato, vesicâ autem ipsâ circa vrinam in se contentam contractâ, musculis verò abdominis simul exprimentibus. Quum itaque & vesica illæsam suam functionē habeat, & musculos volūtas prout imperat, moueat, superiores quidem intendens, eum verò, qui ceruicem circundat, laxans, quomodo (inquiunt) rectè poterit aliquis suspicari, læsam esse actionem? Quapropter isti dicere coguntur, ischuriæ affectum fieri, non læsâ, sed impeditâ meiendi actione; tanquam arti medicinæ opem ferant, si vocabulum, lædi, transmutantes, impediri dixerint. Sed huiusmodi quæstiones (vt diximus) logicæ quædam sunt, ac rationem exercent, neque ad affectuum dignotionē, neque ad locorum affectorum inuentionem conferunt. Verùm quæ nuper à nobis prolata est, propositi operis propria est. Intelligitur autem ex ipsâ iam tantum, cognoscere oportere, primùm quidem per anatomen accuratè cuiusque partis substantiam, quæ & qualis sit; deinde verò & actionem, & societatem, quam cum proximis habet partibus, quæ sitûs vocabulo comprehenditur. Quinetiam & partium vsus ad affectorum locorum inuentionem magnoperè conducit; actiones enim motus sunt partium actiui; vsus verò omnibus insunt, etiam nihil agentibus. Ergo quod ad vrinæ redditionem pertinet, excretionis actio fit à vesicæ contractione, concurrente interdum musculorum abdominis auxilio, quum vel admodum pauca continetur vrina, aut vesica ipsa infirma est; reliquæ verò partes omnes vtiles sunt ad actionem. Nisi enim vesica ipsa toto spatio sic figurata fuisset, ac ceruix ipsius tota fuisset perforata, & vreteres obliquè inserti in ipsam fuissent, frustra habuisset contrahendi motum. Ex horum itaque notitia, & affectæ partes, & affectus ipsarum, dignoscuntur, non ex ea quæstione, quâ inuestigatur, vtrùm dicere oporteat, obstructum instrumentum esse affectum, an affectione carere. Consimilis huic est quæstio, & de iis quæ adhuc afficiuntur partibus, sed in se nondum proprium affectum habent; vocant autem proprium affectum, quando separatâ causâ ipsum efficiente, permanet; hac igitur consideratione rursus dicunt nonnulli nequaquam affectum esse caput per eos capitis dolores, qui à bilioso humore in ventriculo contento proueniunt; eo nanque per vomitum eiecto, capitis dolorem protinùs quiescere; vt si post vomitum nihilominùs permanserit, tum dicant affectum esse caput; idque multò magis, quum similia suffusioni symptomata oculis oboriuntur, cumulatis in orificio ventriculi excrementis; hæc enim veluti vmbras quasdam esse affectuum. In omnibus his quæstionibus plurimùm occupati maiores nostri, pauca de affectorum locorum dignotione scripserunt. Nos verò contrariâ incedemus

μνασία δὲ γενήσεται προσηκόντως, οὐκ ἐὰν ζητῶμεν, εἴτε χρὴ φάναι πεπονθέναι τὸν τράχηλον τῆς κύστεως διὰ τὸν ἐμφράξαντα λίθον, ἢ θρόμβον, εἴτε τοῦτον μὲν ὑπάρχειν ἀπαθῆ, τὴν δὲ ἐνέργειαν βεβλάφθαι. ταῦτα μὲν οὖν ὁ Ἀρχιγένης ζητεῖ, περιττὰ πρὸς τὴν τέχνην· ἕτεροι δὲ τούτων ἐπέκεινα προϊόντες, οὐδὲ τὴν ἐνέργειαν βεβλάφθαι φασί· γίνεσθαι γὰρ αὐτήν, ἀνιεμένου μὲν τοῦ σφίγγοντος μυὸς τὸν τράχηλον τῆς κύστεως, περιστελλομένης δὲ τῆς κύστεως τῷ περιεχομένῳ κατ᾽ αὐτὴν οὔρῳ, συνεπιθλιβόντων δὲ τῶν κατ᾽ ἐπιγάστριον μυῶν· ὅταν οὖν ἥ τε κύστις ἀβλαβῆ τὴν ἑαυτῆς ἐνέργειαν ἔχῃ, τούς τε μῦς ἡ προαίρεσις ὡς ἂν ἐθέλῃ παρασκευάζῃ, τοὺς μὲν ἄνωθεν ἐντείνουσα, τὸν δὲ ἐπὶ τῷ τραχήλῳ χαλῶσα, πῶς ἂν ἔτι, φασί, δεόντως τις ὑπολάβοι βεβλάφθαι τὴν ἐνέργειαν; ἀναγκάζονται τοιγαροῦν οὗτοι, τὸ τῆς ἰσχουρίας πάθος, οὐ βεβλαμμένης τῆς οὐρήσεως, ἀλλ᾽ ἐμποδιζομένης, γίνεσθαι λέγειν, ὥσπερ ὠφελοῦντές τι τὴν ἰατρικήν, εἰ τὸ βεβλάφθαι ῥῆμα μεταθέντες, ἐμποδίζεσθαι λέγοιεν. αἱ μὲν δὴ τοιαῦται ζητήσεις, ὡς ἔφην, λογικαί τινές εἰσιν, καὶ γυμνάζουσι τὸν λογισμόν, οὔτ᾽ εἰς τὴν τῶν παθῶν διάγνωσιν, οὔτ᾽ εἰς τὴν τῶν πεπονθότων τόπων εὕρεσιν συντελοῦσι· ἡ δ᾽ ὑφ᾽ ἡμῶν ἀρτίως λεγομένη, τῆς προκειμένης πραγματείας ἐστὶν οἰκεία, καὶ φαίνεται τό γε τοσοῦτον ἤδη κατ᾽ αὐτήν, ὡς χρὴ γιγνώσκειν, πρῶτον μὲν ἐξ ἀνατομῆς ἑκάστου τῶν μορίων ἀκριβῶς τὴν οὐσίαν, ὁποία τίς ἐστιν· ἔπειτα δὲ τὴν ἐνέργειάν τε, καὶ πρὸς τὰ πλησιάζοντα μόρια κοινωνίαν, ὅπερ ἐν τῷ τῆς θέσεως ὀνόματι περιλαμβάνεται. καὶ μὴν καὶ ἡ χρεία τῶν μορίων ἑκάστου μεγάλα συντελεῖ πρὸς τὴν τῶν πεπονθότων τόπων εὕρεσιν· αἱ μὲν γὰρ ἐνέργειαι, κινήσεις εἰσὶ δραστικαὶ τῶν μορίων, αἱ χρεῖαι δ᾽ ἅπασιν ὑπάρχουσι, κἂν μηδὲν ἐνεργῶσιν. ἐπί γέ τοι τῶν κατὰ τὴν οὔρησιν, ἡ μὲν ἐνέργεια τῆς ἐκκρίσεως, τῇ περιστολῇ τῆς κύστεως γίνεται, συνεπιβοηθούντων ἐνίοτε καὶ τῶν καθ᾽ ὑπογάστριον μυῶν, ὅταν ἤτοι παντάπασιν ὀλίγον ᾖ τὸ περιεχόμενον οὖρον, ἢ ἄτονος ἡ κύστις· ἅπαντα δὲ τἄλλα χρήσιμ᾽ ἐστὶν πρὸς τὴν ἐνέργειαν. εἰ μὴ γὰρ ἥ τε κύστις αὐτὴ τὸ κύτος ὅλον οὕτως ἐσχημάτιστο, καὶ ὁ τράχηλος αὐτῆς ἐτέτρητο δι᾽ ὅλου, καὶ ἡ τῶν οὐρητήρων ἔμφυσις εἰς αὐτὴν ἐγίνετο λοξή, μάτην ἂν εἶχε τὴν περισταλτικὴν κίνησιν. ἐξ οὖν τῆς τούτων γνώσεως, ἡ τῶν πεπονθότων μορίων διάγνωσις ἅμα ταῖς [18] κατ᾽ αὐτὰ γίνεται πάθεσιν, οὐκ ἐκ τοῦ ζητεῖν, εἴτε χρὴ πεπονθέναι φάναι τὸ ἐμπεφραγμένον ὄργανον, εἴτ᾽ ἀπαθὲς εἶναι. παραπλήσιον δὲ τούτου ζήτημά ἐστι, καὶ τὸ περὶ πασχόντων μὲν [19] ἔτι μορίων, οὐδέπω δ᾽ ἐχόντων ἐν ἑαυτοῖς διάθεσιν οἰκείαν· οἰκείαν δ᾽ ὀνομάζουσι διάθεσιν, ὅταν τοῦ ποιοῦντος αὐτὴν αἰτίου χωρισθέντος, ἔθ᾽ ὑπομένῃ. κατὰ τοῦτο γοῦν τὸ σκέμμα πάλιν λέγουσιν ἔνιοι, μηδὲν πεπονθέναι τὴν κεφαλὴν ἐν ἐκείναις ταῖς κεφαλαλγίαις, ὅσαι γίγνονται διὰ χολώδη χυμὸν ἐν τῇ γαστρὶ περιεχόμενον· ἐμεθέντος γὰρ αὐτοῦ, παύεσθαι παραχρῆμα τὴν κεφαλαλγίαν, ὡς εἴ γε καὶ μετὰ τὸν ἔμετον ἔτι διαμένοι, τηνικαῦτα πεπονθέναι λέγουσι τὴν κεφαλήν· πολὺ δὲ δὴ μᾶλλον ὅταν ὅμοια τοῖς τῶν ὑποχεομένων συμπτώματα γίνηται κατὰ τοὺς ὀφθαλμούς, ἐφ᾽ ὧν ἀθροίζεταί τι περίττωμα κατὰ τὸ τῆς γαστρὸς στόμα· ταῦτα γὰρ οἷον σκιάς τινας εἶναι παθῶν. ἐν τοῖς τοιούτοις ἅπασι ζητήμασι πλεονάσαντες οἱ πρὸ ἡμῶν, ὀλίγιστα περὶ τῆς τῶν πεπονθότων τόπων ἔγραψαν διαγνώσεως· ἀλλ᾽ ἡμεῖς γε τὴν

ἐναντίαν ὁδὸν ἐκείνοις [20] βαδιούμεθα, γυμνάζοντές τε καὶ ὡς ἂν εἴποι τις τεχνοῦντες τοὺς ἐσπουδακότας διαγνωστικοὺς γενέσθαι τῶν πεπονθότων μορίων. ὥσπερ οὖν ὀλίγον ἔμπροσθεν ὑπέκειτο, διατεταμένης τῆς κύστεως, ἀδυνατῶν ὁ ἄνθρωπος οὐρεῖν, οὕτω νῦν ὑποκείσθω χωρὶς τοῦ κατὰ τὴν κύστιν ὄγκου, γεγενημένη ἡ τῶν οὔρων ἐπίσχεσις. ἀνάγκη δήπου κατὰ τὴν τοιαύτην ἰσχουρίαν, ἤτοι τοὺς οὐρητῆρας ἢ τοὺς νεφροὺς ἐμπεφράχθαι. πάλιν οὖν ἐνταῦθα σκεπτέον ἐστὶ τὰ πρὸ τῆς ἰσχουρίας συμπτώματα, πότερα λιθιώντων [21] τῶν νεφρῶν, ἢ φλεγμαινόντων, ἤ τι ἄλλο κακὸν πασχόντων· ἐπισκεπτέον δὲ καὶ περὶ τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως, ἵνα διορισώμεθα καθ᾽ ὅσον οἷόν τε στοχασμῷ τεχνικῷ, πότερον ἐν τοῖς νεφροῖς αὐτοῖς ἡ ἔμφραξις ἐγένετο διὰ λίθους τινάς, ἢ παχεῖς χυμούς, ἢ κατὰ τοὺς οὐρητῆρας καλουμένους, οἵπερ εἰσὶν οἱ ἀπὸ τῶν νεφρῶν ἐπὶ τὴν κύστιν ἐκτεταμένοι πόροι. τινὰ μὲν γὰρ εἰς ἀκριβῆ διάγνωσιν ἥκει, καθάπερ ὀλίγον ἔμπροσθεν ἐλέγομεν, περὶ τῶν ἐμφανιζόντων τῆς πεπονθυίας οὐσίας τὴν ἰδιότητα· τινὰ δ᾽ ὑποπέπτωκε τεχνικῷ στοχασμῷ, καὶ διὰ ταῦτά γε μακρὸς ὁ λόγος γίγνεται, κἂν ἀποσκευάσηταί τις τοὺς σοφιστάς, ὥσπερ ἀμέλει καὶ νῦν Ἀσκληπιάδου καταπεφρονήσαμεν ἀλλόκοτα γράψαντος, ὡς δι᾽ ἑτέρων ἐξελήλεγκται, περὶ τῆς τῶν οὔρων ἀθροίσεως ἐν κύστει. κατέγνωσαν δ᾽ ἤδη πρὸς ἁπάντων τῶν ἀνατομικῶν καὶ τὰ περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ γεγραμμένα τοῖς ἐν τῇ καρδίᾳ νομίζουσιν ὑπάρχειν αὐτό, καὶ οἵ γε περὶ τὸν Ἀρχιγένην μήτ᾽ ἀποστῆναι φανερῶς τοῦ δόγματος ὑπομένοντες, ἐξελεγχόμενόν τε αὐτὸ διά τε πολλῶν ἄλλων ὁρῶντες, οὐχ ἥκιστα δὲ καὶ κατὰ τὰς θεραπείας τῶν φρενιτικῶν τε καὶ ληθαργικῶν, ἄνω τε καὶ κάτω τοὺς λόγους στρέφουσιν, ἄλλοτ᾽ ἄλλα λέγοντες, εἰ καὶ μηδὲν ὅλως ἀποσαφοῦντες, οἷον ἀμέλει καὶ τὸ τρίτον ἐστὶ περὶ τῶν πεπονθότων τόπων Ἀρχιγένους. ἡμῖν δὲ περὶ μὲν ἡγεμονικοῦ ψυχῆς, ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπὶ πλεῖστον εἴρηται· νυνὶ δ᾽ ὡς ἀποδεδειγμένου, τὴν ἐπίσκεψιν ποιησόμεθα τῶν πεπονθότων μορίων. ὅπερ δέ ἐστι κοινὸν ἐπὶ πάντων τῶν πεπονθότων μορίων καὶ τόπων, οὐκ εἰς λογικὴν ζήτησιν, ἀλλ᾽ ἀναγκαίαν ἐκτεινόμενον, ἤδη δίειμι.

via, exercentes & (vt dixerit quispiam) instruentes studiosos, vt dignotionis partium affectarum peritissimi euadant. Igitur quemadmodum paulò antè propositum erat, quòd distentâ vesicâ homo vrinam reddere non posset, itâ nunc subiiciatur, citra vesicæ tumorem, vrinæ suppressionem factam esse. Ergo necesse est per eiusmodi ischuriam, vel vreteras, vel renes esse obstructos. Quapropter rursus hîc intueri oportet, num antequam supprimeretur vrina aut lapidis, aut inflammationis, aut alterius cuiuspiam mali præcesserint symptomata. Consideranda quoque est vniuersi corporis dispositio, vt possimus (quoad artificiosa coniectura permiserit) distinguere, vtrum in ipsis renibus à lapide, vel crassis humoribus fuerit obstructio, an in vocatis vreteribus, qui meatus sunt à renibus ad vesicam exporrecti. Quædam nanq; ad exquisitam veniunt dignotionem, vt paulò antè dicebamus de ijs quæ affectæ substantiæ proprietatem declarant, quædam verò artificiosæ coniecturæ subiacent, propterea que prolixa euadit oratio, etiam siquis abieget sophistas, quemadmodum & nunc sanè Asclepiadem negligimus, qui de vrinæ in vesica collectione, vt alibi coarguimus, scripsit absurda. Porrò ea etiam quæ de principe animæ facultate scripta sunt ab ijs, qui eam in corde consistere existimant, omnes anatomici iam damnarunt, atque Archigenis sectatores quum ab hac opinione apertè discedere non sustineant, eamque conuinci videant cùm per alia multa, tum maximè in phreniticorum lethargicorumque curationibus, sursum ac deorsum sermones suos volutant, aliâs alia dicentes, quanuis nihil omninò declarent, cuius generis est & tertius Archigenis liber de locis affectis. A nobis verò de principe animæ facultate, in libris de Hippocratis Platonisque placitis copiosissimè dictum est, nunc verò velut hac demonstratâ, affectarum partium contemplationem perficiemus. Quod autem omnibus affectis partibus locisque commune est, id non in logicam, sed necessariam quæstionem porrectum, iam enarrare aggrediar.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τὴν ἐνέργειαν βλάπτεσθαι, ὅτι τὸ μόριον, δι᾽ οὗ αὕτη γίνεται, βέβλαπται· καὶ πόσοι τὸν ἀριθμὸν οἱ πρῶτοι τῶν βλαβῶν τρόποι.

Τῶν κατὰ τὸ σῶμα τοῦ ζώου πασῶν ἐνεργειῶν, ἑκάστης τι μόριον ἴδιόν ἐστιν, δι᾽ οὗ γίνεται, καὶ τοίνυν καὶ βλάπτεσθαι τὴν ἐνέργειαν ἀναγκαῖόν ἐστι, παθόντος κατά τι τοῦ δημιουργοῦντος αὐτήν. πάθος δὲ ποτὲ μὲν οὕτως εὔλυτον πάθος, ὡς εὐθὺς ἅμα τῷ δράσαντι χωρισθέντι πεπαῦσθαι, ποτὲ δ᾽ οὕτως δύσλυτον, ὡς παραμένειν ἐπὶ πλεῖστον· ἔστιν δ᾽ ὅτε καὶ τὸ δρῶν αὐτό, διοδεῦον, οὐκ ἐστηριγμένον ἐν τῷ μορίῳ τὸ πάθος ἐργάζεται, καὶ τοῦτ᾽ εἰκάζει σκιᾷ πάθους ὁ Ἀρχιγένης, ὡς ἐπὶ τῶν ὅμοια τοῖς ὑποχεομένοις φανταζομένων ὀφθαλμῶν, ἐφ᾽ ὧν ἐν τῷ στόματι τῆς γαστρὸς ἤθροισται περίττωμα λεπτομερές· ἀτμῶν γάρ τινων ἐντεῦθεν εἰς τοὺς ὀφθαλμοὺς ἀναφερομένων, περιπίπτουσα τούτοις ἡ ὀπτικὴ δύναμις, ὁμοίως φαντάζεται τῇ κατὰ τοὺς ὑποχεομένους· καὶ μάλιστά γε συμβαίνει τὸ τοιοῦτο, ἐφ᾽ ὧν αὐτό τε τὸ κατὰ τοὺς ὀφθαλμοὺς ὑγρὸν ἀκριβῶς ἐστι καθαρόν, ἥ τ᾽ ὀπτικὴ δύναμις αἰσθητικωτάτη.

CAPVT II.

Actionem lædi, quia pars, quæ editur, est læsa, ac quot sint modi primi læsionum.

Omnium corporis animantis functionum vnicuique pars quædam propria est, per quam editur, ac proinde functionē lędi necesse est, parte ipsam efficiente aliquo modo affectâ. Interdùm verò accidit adeò facilè morbū solui, vt simul atq; efficiēs causa fuerit separata, quāprimum ipse cesset; interdum ita est solutu difficilis, vt diutiùs permaneat, *causa etiam ablata.* Accidit etiam nonnunquam, vt efficiens causa pertransiens, non firmatum in parte faciat morbum, huncque Archigenes cum vmbra affectus cōparat; veluti quum suffusis similia quædam oculi imaginantur, collecto in ore ventriculi tenui excremento; nā inde vaporibus quibusdam in oculos sublatis, in eos videndi facultas incidens, iisdem imaginibus, quibus per suffusiones, afficitur; idque maximè euenire solet in iis, quibus oculorum humor exquisitè purus est, & optica facultas quàm facillimè sentit.

Eandem

Eandem ob causam, vbi sanguinis eruptio, aut vomitus per morbos expectatur, huiusmodi symptomata interdũ apparent, de quibus Hippocrates in prognostico hunc in modum scripsit; *Quicunque verò in non lethali febre dixerit caput dolere, aut ante oculos tenebrosum quiddam obuersari, si cardiogmos accesserit, is bilem euomet.* Ac paulo post; *Quibus verò in huiusmodi febre caput dolentibus, pro tenebris ante oculos apparentibus visus hebetudo contingit, aut vibrantes splendores ipsis obiiciuntur, ac pro cardiogmo, in hypochondria dextra aut sinistra aliquid contenditur, neque cum dolore, neque cum inflammatione, his pro vomitu sanguis è naribus fluxurus expectandus est.* Hæc est verborum Hippocratis series, quibus docuit sæpenumerò contingere, vt ab humoribus in ventriculo collectis, imagines quædam oculis obiiciantur. Quòd si nihil omninò ab humoribus ascenderet ad oculos, nullum huiusmodi symptomatum eueniret; quemadmodum neque si vel ad aurium, vel ad narium meatus, vel etiam ad linguæ corpus, quicquam transferatur. Vnde manifestum est, quod oportet oculos participes fieri affectionis ventriculum infestantis, si videndo debeat animal errare. Ita etiam quum rursus dicit Hippocrates; *Quibus deiectiones biliosæ sunt, surditate superueniente finiuntur; & quibus surditas adest, desinit quum deiectiones sequuntur biliosæ*; quis est adeò demens interpres, vt omittat in huius sermonis enarratione aurium affectum; ac tum dicat nasci surditatem, quum bilis, quę ante per aluum vacuabatur, ad oculos effertur? Igitur semper incipere necessarium est à lęsæ actionis instrumento; deinde quærere, quis sit ipsi læsionis modus; vtrum affectus iam stabilis ac firmus, an qui adhuc quidem fiat, stabilitatem autem nondum sit adeptus; quod si fiat, vtrum causa, quæ morbum efficit, in ipsa parte contineatur, an per ipsam transeat. Etenim arefacto immodicè humore crystalloide, perseuerabit in parte læsio & substantiæ ipsius proprius affectus; si verò crassus humor in pupilla constiterit, substantia quidem nondum læsa est, verùm symptomatis causa in oculo ipso continetur; sed tum per ipsum transit, quum euaporans humor consistit in ventriculo. Tunc autem solùm arbitrari affectam esse partem, quum substantiæ ipsius affectus permanens fuerit, legislatorum est, qui Græcis nominibus propria significata instituunt. Enimuerò vbi vehemens dolor intestinum cruciat, firmato in vna quadam parte dolore, ac tanquam pertundente, quo pacto vel nequaquam affectum esse intestinum, aut affectum in ipso non esse quis dixerit? quanquam interdum huiusmodi dolores, excreto vitreo quodam humore, vel vnico temporis momento finiuntur; non tamen aliud esse quidpiam doloris causam conjectare licet, præter humorem excretum. Quo enim excreto ilicò dolorem sedari sequitur, id omnes homines doloris causam esse credunt, naturali quodam axiomate, quod ex seipso ad huiusmodi causarum dignotionem fidem habere videtur. Id enim, quo nos tangente hic aliquis affectus fit, & quo separato statim cessat, causam esse omnes homines crediderunt. Sic enim & ignem vstionis, & gladium sectionis causam esse credimus; atque vnumquod-

A κατὰ δὲ τὴν αὐτὴν αἰτίαν, ἐπί τε τῶν αἱμοῤῥαγησόντων ἐν νόσοις, ἢ ἐμεσόντων, ἐνίοτε προφαίνεται τὰ τοιαῦτα συμπτώματα, καὶ γράφει γε περὶ αὐτῶν ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ ταυτί· ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φησὶ τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ ὀφθαλμῶν φαίνεσθαι, ἢν καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος παρέσται. καὶ μετ' ὀλίγα πάλιν· οἷσι δ' ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν, ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γένηται, ἢ μαρμαρυγαὶ προφαίνονται, ἀντὶ δὲ τοῦ καρδιώσσειν, ἐν τῷ B ὑποχονδρίῳ ἐπὶ δεξιὰ, ἢ ἐπ' ἀριστερὰ ξυντείνεταί τι, μήτε ξὺν ὀδύνῃ, μήτε ξὺν φλεγμονῇ, αἷμα διὰ ῥινῶν τουτέῳ ῥυῆναι προσδόκιμον ἀντὶ τοῦ ἐμέτου. αὗται μὲν αἱ τοῦ Ἱπποκράτους ῥήσεις, ἐδίδαξε δὲ δι' αὐτῶν, ὡς ἐπὶ χυμοῖς πολλάκις ἠθροισμένοις ἐν τῇ γαστρὶ συμβαίνει τινὰ φαντάσματα γίνεσθαι κατὰ τὴν ὄψιν. ἀλλ' εἴπερ ὅλως ἀπὸ τῶν χυμῶν ἐπὶ τοὺς ὀφθαλμοὺς ἀνεφέρετο μηδὲν, [23] οὐδὲ τῶν τοιούτων συμπτωμάτων ἐγίνετό τι, καθάπερ οὐδ' εἰ πρὸς τοὺς τῶν ὤτων ἀνεφέρετο πόρους, ἢ τοὺς τῆς ῥινὸς, ἢ τὸ τῆς γλώττης C σῶμα. κἀκ τοῦδε δῆλον, ὡς ἀπολαῦσαί τι χρὴ τῆς κατὰ τὴν γαστέρα διαθέσεως τοὺς ὀφθαλμοὺς, εἰ μέλλει παρόψεσθαι τὸ ζῶον. οὕτως δὲ κἀπειδὰν εἴπῃ πάλιν ὁ Ἱπποκράτης· οἷσι χολώδεα διαχωρήματα, κωφώσιος ἐπιγινομένης παύεται, καὶ οἷσι κώφωσις, χολωδέων ἐπιγινομένων παύεται· τίς οὕτω ληρώδης ἐξηγητὴς, ὡς ἐάσας ἐν τῷ λόγῳ τὰ ὦτα παρεῖν, ἐπειδὰν ἐπὶ τοὺς ὀφθαλμοὺς ἀνενεχθῆναι συμβῇ τὴν ἔμπροσθεν ἐκκενουμένην διὰ τῆς κοιλίας χολὴν, τηνικαῦτα φάσκει γίνεσθαι τὴν κώφωσιν; ἀεὶ τοίνυν ἀναγκαῖόν D ἐστιν ἄρχεσθαι μὲν ἀπὸ τοῦ τῆς [24] βεβλαμμένης ἐνεργείας ὀργάνου, ζητεῖν δ' ἐφεξῆς, ὅστις ὁ τρόπος αὐτῷ τῆς βλάβης ἐστὶν, ἆρά γε διάθεσις ἤδη μόνιμος, ἢ γινομένη μὲν ἔτι, τὸ μόνιμον δ' οὔπω προσειληφυῖα· καὶ εἰ γινομένη, πότερον ἐν αὐτῷ τῷ μορίῳ περιεχομένης τῆς ποιούσης τὸ πάθος αἰτίας, ἢ διοδευούσης αὐτό. ξηρανθέντος μὲν γὰρ ἀμέτρως τοῦ κρυσταλλοειδοῦς ὑγροῦ, μόνιμος ἡ βλάβη [25] τῷ μορίῳ, καὶ [26] τὸ πάθος ἴδιον τῆς οὐσίας αὐτοῦ· παχυμεροῦς δὲ ὑγροῦ συνισταμένου κατὰ τὴν κόρην, οὐδέπω μὲν ἡ οὐσία βέβλαπται, τὸ δὲ τοῦ συμπτώ-E ματος αἴτιον ἐν αὐτῷ περιέχεται τῷ ὀφθαλμῷ· διέρχεται δ' αὐτὸν, ὅταν ὁ ἀτμίζων χυμὸς ἐν τῇ γαστρὶ περιέχηται. τὸ δὲ τηνικαῦτα μόνον ἡγεῖσθαι πεπονθέναι τὸ μόριον, ὅταν τῆς οὐσίας αὐτοῦ μόνιμος [27] διάθεσις γένηται, νομοθετούντων ἐστὶν ἴδια σημαινόμενα τῶν Ἑλληνικῶν ὀνομάτων. ἐπὶ μέντοι τῶν ἀλγούντων σφοδρῶς κατ' ἔντερον, ἐστηριγμένῳ δὲ καθ' ἕν τι μέρος τῷ πόνῳ, καὶ οἷον διατιτρῶντι, πῶς ἄν τις ἢ μηδ' ὅλως πεπονθέναι τὸ ἔντερον, ἢ μὴ τὸ πάθος εἶναι κατ' αὐτὸ λέγοι; καίτοι γ' ἐνίοτε μιᾷ καιροῦ ῥοπῇ τὰ τοιαῦτα τῶν ἀλγημάτων ἐπαύσατο, χυμοῦ τινος ὑαλώδους ἐκκριθέντος· οὐ μὴν οὐδ' ἄλλο τι F τὸ τῆς ὀδύνης αἴτιον ὑπολαβεῖν ἐνδέχεται, παρὰ τὸν ἐκκριθέντα χυμόν. ᾧ γὰρ ἐκκριθέντι, παραχρῆμα παύσασθαι τὴν ὀδύνην ἠκολούθησεν, ἅπαντες ἄνθρωποι τοῦτο τῆς ὀδύνης αἴτιον εἶναι πεπιστεύκασι, φυσικοῦ τινος ἀξιώματος ὑπάρχοντος αὐτοῖς ἐξ ἑαυτοῦ πιστοῦ πρὸς τὴν τῶν τοιούτων αἰτίων γνῶσιν. οὗ γάρ τοι ψαύοντος μὲν ἡμῶν γίνεταί τι τὸ πάθος, ἀποχωρήσαντος δὲ, παραχρῆμα παύεται, τοῦτ' αἴτιον εἶναι πεπιστεύκασι πάντες ἄνθρωποι. οὕτως οὖν καὶ τὸ πῦρ τοῦ καίειν ἡμᾶς αἴτιον εἶναι πεπίστευται, καὶ τὸ ξίφος τοῦ τέμνειν, ἕκαστόν τε τῶν

ἄλλων ὡσαύτως. αἴτιον οὖν ἡγητέον εἶναι καὶ τὸν κενωθέντα χυμὸν τοῦ γινομένου πάθους, ἡνίκα ἐν τῷ μορίῳ περιείχετο· πότερον δὲ τῷ ψύχειν σφοδρῶς, ἢ τῷ θερμαίνειν, ἢ ὅλως κατὰ δυσκρασίαν, ἠνώχλει τὸν τόπον, ἢ τῷ διεξέρχεσθαι συνεχῆ σώματα βιαζόμενος ἐπὶ τὴν ἔκκρισιν, ἢ διὰ πνεῦμα φυσῶδες ὑπ' αὐτοῦ γινόμενον, ὡς διατείνεσθαι τὸ περιέχον; ἢ διὰ βιαίαν σφήνωσιν, ἢ τῷ διαβιβρώσκειν καὶ δάκνειν, οὐδέπω δῆλον ἔκ γε τῆς μετὰ τὴν κένωσιν ὠφελείας, ἀλλ' ὅτι μόνον ἐλύπει περιεχόμενος. οὐ μόνον οὖν αἴτιον ἡγητέον εἶναι τὸν τοιοῦτον χυμὸν τῆς ὀδύνης, ἀλλὰ καὶ τὸ μόριον ἐν ᾧ περιείχετο, πάσχον ἐν ἐκείνῳ τῷ χρόνῳ, καθ' ὃν ὠδυνᾶτο διὰ τὸν χυμόν. οὕτω γέ τοι πάσχειν λέγομεν καὶ διά τι τῶν ἔξωθεν προσπιπτόντων, ἤτοι θερμαινόντων ὡς τὸ πῦρ, ἢ ψυχόντων ὡς ἡ χιών, ἢ θλώντων ὡς ὁ λίθος, οὗ χωρισθέντος εὐθὺς πέπαυται τὸ πάθος, οὐδενὸς διὰ τοῦτ' ἐροῦντος ὡς οὐκ ἔπασχεν, ὅτι μηδεμία κατὰ τὸ μόριον ὑπελείπετο διάθεσις. ὡς οὖν οὕτως ἡμῶν ἀεὶ χρησομένων τῷ τοῦ πάθους ὀνόματι καὶ τῷ τοῦ πάσχειν ῥήματι, πρόσεχε τὸν νοῦν τοῖς λεχθησομένοις, ἐπισκοπούμενος ἐν αὐτοῖς τὸ χρήσιμον εἴς τε τὰς προγνώσεις, καὶ τὰς θεραπείας. ἐνίοτε μὲν γὰρ ὑπὸ μὲν αἰτίου τινὸς γίνεται τὸ πάθος, οὐ μὴν ἤδη πως μόνιμον ἔχει τὴν διάθεσιν, εἰ χωρισθείη τὸ αἴτιον· ἐνίοτε δ' ἤδη γέγονεν, ἔτι τε γίνεται· πολλάκις δὲ πέπαυται μὲν γινόμενον, οἰχομένης τῆς αἰτίας, ἤδη δέ ἐστι μόνιμος ἡ διάθεσις. οἷον ἐπὶ δυσεντερίας, ὁ δακνώδης χυμὸς αἴτιός ἐστιν τοῦ πάθους, ἐν ἀρχῇ μὲν ἀποῤῥύπτων τε καὶ ξύων, ἐν χρόνῳ δὲ ἑλκῶν τὸ ἔντερον· εἰ μὲν οὖν πρὶν ἑλκῶσαι παύσεται διεξιών, οὐδέπω δυσεντερία τὸ πάθος ἐστίν· εἰ δ' ἑλκωθῆναι φθάσειεν τὸ ἔντερον, οὐκ ἂν ἔτι συμπαύσαιτο τῷ χυμῷ τὸ γινόμενον πάθος, οὐδὲν ἡμᾶς εἰς τὰ παρόντα τοῦ περὶ μικρὸν λόγου λυποῦντος, ὃν καὶ σωρείτην ὀνομάζουσιν· κοινὴ γὰρ ἡ ἐξ αὐτοῦ πρὸς πολλὰ τῶν κατὰ τὸν βίον ἀπορία, περὶ ὧν εἴρηται καὶ δέδεικται τοῖς πρὸ ἐμοῦ φιλοσόφοις τε καὶ ἰατροῖς· διὸ κἀμοὶ μνημονεύειν αὐτῶν, περιττόν, ἔχοντί γε κατ' αὐτὸ τοῦτο τῆς τέχνης τὸ μέρος ἐπιδεῖξαι τὴν ἀπορίαν. ὅτι μὲν γὰρ ἔν τινι χρόνῳ γίνεται τὰ πάθη, τῶν ὁμολογουμένων ἐστίν· εἰ δ' ὥσπερ ἡ οἰκία καθ' ὃν γίνεται χρόνον, οὐδέπω μέν ἐστιν οἰκία, τὸ δ' ὅλον τοῦτο, γινομένη οἰκία, τὸν αὐτὸν τρόπον ἕκαστον τῶν νοσημάτων ἐν ᾧ γίνεται χρόνῳ, γινόμενον μέν ἐστιν, ὂν δ' οὐδέπω, ζητήσεως ἄξιον· οὐδὲ γὰρ ἡ αὐτὴ φύσις ἐστὶν ἁπάντων τῶν γινομένων, ἀλλ' ὅσα μὲν ὁμοιομερῆ τε ὑπάρχει, καὶ σχῆμα σύμφυτον ἔχει μηδέν, οὐσία τούτων εὐθὺς ἐξ ἀρχῆς ἐστιν ἡ αὐτή· τῶν δὲ ἤτοι πολυειδῶν τὴν μορφήν, ἢ ἀνομοιομερῶν, ἐγχωρεῖ τὴν οὐσίαν ὑστέραν εἶναι τῆς γενέσεως. οὐ γὰρ ἅμα γίνεται τῆς οἰκίας τὰ θεμέλια, καὶ οἱ τοῖχοι, καὶ ἡ ὀροφή, καὶ ὁ κέραμος, αἱ θύραι τε καὶ αἱ θυρίδες, ἐξ ὧν ἁπάντων ὧδέ πως συγκειμένων καὶ εἰς μίαν μορφὴν ἀναγομένων, συνθετός ἐστιν ἡ τῆς οἰκίας οὐσία. τὸ δέ γε θερμὸν νόσημα, καὶ τὸ ψυχρόν, ὑγρόν τε καὶ ξηρόν, εὐθὺς ἐξ ἀρχῆς, ἐπειδὰν πρῶτον ὑπερβάλλῃ τοὺς ὑγιεινοὺς ὅρους τῆς κράσεως τὸ σῶμα, τὴν αὐτὴν ἑαυτοῦ φύσιν ἔχει. καὶ γὰρ εἰ διὰ σμικρότητα πολλάκις ἐκφεύγει τήν θ' ἡμετέραν διάγνωσιν, καὶ τὴν τῶν καμνόντων αἴσθησιν, ἀλλά τό γε εἶδος ἔχει τὸ οἰκεῖον.

ἄλλο πάθος

λ

A que aliorum eodem modo. Ergo & vacuatum humorem eius affectus causam fuisse, qui quo tempore in parte continebatur, fiebat, putandum est; sed an ob id quòd vehementer refrigeraret, aut calefaceret, aut in totum per intemperiem, locum infestaret; an quia per continua corpora transiret, ea ad excretionem vi quadam excitans; aut ob flatulentum spiritum ab eo exortum, qui continentem partem extenderet; aut ob violentam impactionem; an B quia eroderet & morderet; nondum ex vtilitate post euacuationẽ manifestum est; sed solùm quòd, quũ continebatur, molestè læderet. Igitur non solùm putare oportet huiusmodi humorem esse causam doloris, verùm partẽ quoque, in qua continebatur, illo tempore affici, quo ob humoris præsentiam dolore cruciabatur. Sic etiam affici *aliquem* dicimus, quum aliquid extrinsecus incidit, vel calefaciens, vt ignis, vel refrigerans, vt nix, vel contundens, vt lapis, quo separato protinus finitus fuerit affectus; nemine propter hoc dicente, partem non fuisse affectam, quòd in ipsa nulla affectio C relicta sit. Igitur tanquam nobis & nomine affectus, & verbo affici, ad hunc modum vsuris, ita dicendis animum adhibe, in ipsis inspiciens vtilitatem, tum ad prænotiones, tum curationes. Fit enim nonnunquam à causâ quâdam affectus, non tamen, siquâ ratione sit separata causa, is iam permanentem habet dispositionẽ; interdum autem partim iam factus est, partim etiamdum fit; sæpenumerò fieri desiit, abeunte causâ, iam verò perseuerans manet dispositio. Veluti in dysenteria, mordax humor causa est affectûs, vt qui ab initio & abstergit & abradit, D dein temporis tractu vlcerat intestinũ; quod si antequam vlcus induxerit, effluere desinat, affectus ipse nondum dysenteria dicetur; si verò vlcus præoccupet intestinum, non ampliùs factus simul cum humore finitur affectus. Nec officit quicquã nobis in præsentia paulatim progrediens oratio, quam acerualem vocant; communis enim est ex ipsa difficultas ad multa vitæ vtilia, de quibus nobis priores tum medici, tum philosophi loquuti sunt ac demõstrationes fecerũt; proinde mihi superuacaneũ esset ea nũc E recensere, præsertim quum habeam in ipsa hac parte artis, vnde difficultatẽ ostendam. Quòd enim in quodam tempore generentur affectus, omnes concedunt; an verò quemadmodũ, quũ domus fit, nondũ est domus, sed totũ hoc simul, quæ fit domus; eodem etiã pacto vnusquisque morbus quo tẽpore fit, est quidem in fieri, nondũ tamen existit, id quęstione dignum est. Neq; enim omnium quæ fiunt, eadem natura est; sed quæ & similaria sunt, & nullã figuram congenitam habent, eorum substantia protinus ab initio eadẽ est; dissimilaria verò, & quibus varia est forma, essentiã generatione posteriorem habe F re possunt. Nõ enim domûs simul fiunt fundamẽta, parietes, fastigiũ, tegulæ, ianuæ, fenestræ, ex quibus omnibus eo modo compositis, atq; in vnã formã redactis, domûs ipsius substãtia composita est; morbus verò & calidus, & frigidus, & humidus, & siccus, quũ primũ ab initio corpus sanos temperamẽti limites excesserit, eandem sibi ipsi naturã habet. Etenim si is ob paruitatẽ plerunque, & nostrã dignotionẽ & ægrotãtiũ sensũ effugiat, propriã tamen habet speciẽ.

Ita

Ita verò inflammatio quoque, in quacunque animalis parte constiterit, maximâ, vel minimâ, vnus atque idem est affectus, non specie, sed magnitudinis differentiâ varius. At quòd possint aliquæ affectiones in corporibus consistere, quæ ob exiguitatem nondum appareant, argumento est gutta longo temporis tractu saxum excauans, de qua rectè carmen hoc proditum esse creditur,

Gutta cauat lapidem sæpe cadentis aquæ.

Neque tamen vno, vel duobus, vel tribus, vel quatuor aquæ ictibus in saxum incidentibus, quando ne centesimo quidem, sensibilis visa est cauitas; neque etiam fieri potest, vt primo nihil efficiente, alter aliquid faciat, quippe qui habet eandem, quam primus habuit, ad saxum rationem. Ergo si secunda gutta in saxum quippiam effecerit, ipsum à prima nonnihil mutatũ fuisse necesse est, vt non omninò idem, quale ab initio fuerat, permanserit. Etenim si ipsum omnino idem permaneat, atque agens quoque in ipsum causa, aquæ gutta, necesse est, quemadmodum à primo ictu non affectum est, ita neque à secundo; quod si fateare, neque à tertio, nam eadem ratio est; ita verò & de quarto, & quinto, & reliquis deinceps omnibus; etenim quoad eodem modo se habente saxo, eadem quoque causa accesserit, nihil ampliùs efficietur. Quòd si à millesimo ictu sensibilis videatur saxi cauitas, necesse est vnumquemque ictum dicere millesimam partem effecisse apparentis primum sensilis in saxo affectûs. Quum itaque causę agunt in corpus, species affectûs ab initio est eadem, tamen ob exiguitatem non apparet. At verò ita exigui affectus, separatis causis efficientibus, ilicò finiuntur, naturâ ipsos sanante; nam illi soli externo egent auxilio, quos ob magnitudinẽ natura vincere non potest. Igitur hac ratione, quum primùm mordax humor aliquod intestinorum deraserit, quanuis id, quod factum est, nondum videatur, nihilominus affectio ipsa sub dysenteriæ specie comprehenditur. Quemadmodũ igitur natura, parua quædam vlcera quæ nonnunquam eueniunt, citra quodcunque medicamentum sanauit, ita & intestinorum abrasiones. Hac ergo ratione, neque verum est omninò, quod à quibusdam dicitur, nullum per huiusmodi symptomata, relinqui corporum affectum. Quod si verum esset, tamen intestina tum erant affecta, quum ab acrimonia deiectionum corrosis intestinis, dolor notatu dignus percipiebatur. Hoc autem in omni subsequenti oratione tanquam elementum quoddam, à nobis obseruetur; sitque hoc initium methodi, qua inueniri debent sedes affectæ, nullam actionem vnquam lædi, nisi pars quæ ipsam facit, affecta sit; si enim vel dolor, vel tumor præter naturam aliquis in ea sit, omninò aliquâ re affecta est, & magis præterea quum actio læditur. At antea etiam dictum est, quòd ab excretorum naturâ, affectæ sedis coniectura facienda sit. Id verò bifariàm oportere fieri constat, vel ab excretæ substantiæ proprietate, vel ab iis quæ in ipsâ continentur. Similiter diximus ab adnatis interdum rebus, de locis affectis coniecturam sumi posse; sunt autem de symptomatum genere & hæc, permultasque habent inter se differentias, de quibus rursum differetur.

οὕτω δὲ καὶ ἡ φλεγμονὴ, καθ' ὃ, τι περ ἂν εἴη μέρος τοῦ ζώου μέγιστον ἢ σμικρότατον, ἓν καὶ ταὐτόν ἐστι πάθος οὐκ ἠλλαγμένον ταῖς ἰδέαις, ἀλλὰ μεγέθους διαφορᾷ. ὅτι δ' ἐγχωρεῖ τινα παθήματα περὶ τοῖς σώμασιν εἶναι, διὰ σμικρότητα μηδέπω φαινόμενα, τεκμήριον καὶ ἡ κοιλαίνουσα τὴν πέτραν ἐν χρόνῳ πλείονι ῥανὶς, ἐφ' ᾗ καὶ τοῦτο τὸ ἔπος ὀρθῶς εἰρῆσθαι πιστεύεται,

Πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείη.

Καὶ μὴν οὐχ ὑπὸ μιᾶς, ἢ δυοῖν ἢ τριῶν, ἢ τεττάρων πληγῶν τοῦ ὕδατος, εἰς τὴν πέτραν ἐμπεσουσῶν, ὅπου γ' οὐδ' ὑφ' ἑκατὸν αἰσθητή ποτ' ὤφθη κοιλότης, οὔτε δυνατόν ἐστι τῆς μιᾶς τῆς πρώτης μηδὲν ἐργασαμένης, τὴν δευτέραν ἐργάσασθαί τι· τὸν αὐτὸν γὰρ ἕξει πρὸς τὴν πέτραν λόγον, ὃν εἶχεν ἡ πρώτη· δεῖ τοίνυν, εἰ δράσει τι περὶ τὴν πέτραν ἡ δευτέρα ῥανὶς, ὑπηλλάχθαι τι κατὰ τὴν προτέραν, ὡς μὴ πάντη διαμένειν ἔτι τοιαύτην, οἵαπερ ἐξ ἀρχῆς ὑπῆρχεν. εἰ γὰρ αὐτή τε κατὰ πᾶν ἡ αὐτὴ διαμένοι, καὶ τὸ δρῶν εἰς αὐτὴν αἴτιον, ἡ ῥανὶς τοῦ ὕδατος, ἀναγκαῖον αὐτὴν, ὥσπερ ἐπὶ τῆς πρώτης πληγῆς, οὕτω κἀπὶ τῆς δευτέρας ἀπαθῆ διαφυλαχθῆναι· εἰ δὲ τοῦτο, κἀπὶ τῆς τρίτης, ὁ γὰρ αὐτὸς λόγος· οὕτω δὲ κἀπὶ τῆς τετάρτης καὶ πέμπτης καὶ πασῶν τῶν ἐφεξῆς, ἄχρι γὰρ ἂν ὡσαύτως ἐχούσῃ τῇ πέτρᾳ προσπίπτῃ ταὐτὸν αἴτιον, οὐδὲν ἐργάζεται πλέον. εἰ δὲ μετὰ χιλίας πληγὰς αἰσθητὴ ἡ τῆς πέτρας φανείη κοιλότης, ἀναγκαῖόν ἐστιν ἑκάστην πληγὴν φάναι, τὸ χιλιοστὸν (αὐτῆς) μέρος [33] ἐργάσασθαι τοῦ φανέντος πρώτου αἰσθητοῦ πάθους ἐν τῇ πέτρᾳ. καὶ τοίνυν καὶ τῶν αἰτίων τῶν δρώντων εἰς τὸ σῶμα, τὸ μὲν τοῦ πάθους εἶδος ἐξ ἀρχῆς ταὐτὸν, ἀφανὲς δ' ἐστὶ διὰ σμικρότητα. τὰ δ' οὕτω σμικρὰ πάθη, χωρισθέντων τῶν ποιούντων αἰτίων αὐτίκα παύεται, τῆς φύσεως ἰωμένης αὐτά. μόνα γὰρ ἐκεῖνα δεῖται τῆς ἔξωθεν βοηθείας, ὧν διὰ τὸ μέγεθος ἀδυνατεῖ κρατεῖν ἡ φύσις. ὥστε κατὰ τὸν λόγον τοῦτον, ὅταν πρῶτον ὁ δακνώδης χυμὸς ἀποξύσῃ τι τῶν ἐντέρων, εἰ καὶ μηδέπω φαίνεται τὸ γεγενημένον, ἀλλ' ἥγε διάθεσις ἐν τῷ τῆς δυσεντερίας ἐστὶν εἴδει. καθάπερ οὖν ἕλκη πολλάκις γενόμενα σμικρὰ, χωρὶς φαρμάκου παντὸς ἡ φύσις ἐθεράπευσεν, οὕτω καὶ τὰ τῶν ἐντέρων ξύσματα. κατὰ τοῦτον μὲν οὖν τὸν λόγον, οὐδ' ἀληθές ἐστιν ὅλως, ὅ λέγουσί τινες, ὡς οὐδὲν ὑπολείπεται κατὰ τὰ τοιαῦτα συμπτώματα πάθος τοῦ σώματος. [32] εἰ γὰρ καὶ μὴ ἀληθὲς, ἀλλ' ὁπότε γε πόνος ἀξιόλογος ὑπὸ τῆς τῶν διαχωρουμένων δριμύτητος ἀναβιβρωσκομένων τῶν ἐντέρων ἐγίνετο, τηνικαῦτα [33] ἔπασχε τὰ ἔντερα. φυλαττέσθω δὲ τοῦθ' ἡμῖν ὥσπερ τι στοιχεῖον, ἐν ἅπαντι τῷ μετὰ ταῦτα λόγῳ, καὶ γινέσθω τῆς μεθόδου τῶν εὑρεθησομένων [34] πεπονθέναι τόπων ἀρχὴ, τὸ μηδέποτε βλάπτεσθαι μηδεμίαν ἐνέργειαν ἄνευ τοῦ πεπονθέναι τὸ ποιοῦν αὐτὴν μόριον. καὶ γὰρ ἐὰν ὀδύνη τις ἢ κατ' αὐτὸ, πέπονθε πάντως τι, κἂν ὄγκος τις παρὰ φύσιν, ἔτι δὲ μᾶλλον ὅταν ἐνέργεια βλάπτηται. προείρηται δ' ὅτι καὶ τῇ τῶν ἐκκρινομένων φύσει τεκμαρτέον ἐστὶ περὶ τοῦ πεπονθότος τόπου. ὅτι δὲ διττῶς τοῦτο ποιητέον, ἔστι δῆλον, ἢ κατὰ τὴν ἰδιότητα τῆς ἐκκρινομένης οὐσίας, ἢ ἀπὸ τῶν περιεχομένων ἐν αὐτῇ· λέλεκται δ' ὅτι κἀκ τῶν ἐπιφυομένων ἐνίοτε τεκμήρασθαι δυνατόν ἐστι περὶ τῶν πεπονθότων μορίων· ἔστι δὲ ἐκ τοῦ γένους τῶν συμπτωμάτων καὶ ταῦτα, παμπόλλην ἔχοντα πρὸς ἄλληλα διαφορὰν, ὑπὲρ ἧς αὖθις εἰρήσεται.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Εἰς πόσα γένη τὰ πάθη, καὶ τὰς αὐτῶν αἰτίας διορίζειν χρὴ, ὥστε καλῶς γινώσκειν τὸν πεπονθότα τόπον.

Νυνὶ δὲ πάλιν ἐπ' ἀρχὴν ἀνάγωμεν τὸν λόγον, ἐφ' ἑκάστου μορίου ζητοῦντες εὑρεῖν σημεῖα, τὰ μὲν ὡς τῆς ἰδίας οὐσίας αὐτοῦ δηλοῦντα τὰ πάθη, τὰ δ' ὡς ὀργάνου. καθ' ἑκάτερον τε πάλιν ἀφορίζοντές τε καὶ διακρίνοντες ἀπὸ μὲν τῶν γεγενημένων ἤδη παθῶν, τὰ γινόμενα μὲν ἔτι, μόνιμον δ' οὐκ ἔχοντα τὴν κατασκευήν· ἀπὸ δὲ τῶν ἐν αὐτῷ τῷ πεπονθότι περιεχομένων αἰτίων, τὰ διόδῳ μόνον αὐτῷ χρώμενα· πρόδηλον δ' ὅτι καὶ σύνθετοί τινες ἐκ τῶν εἰρημένων ἔσονται τρόποι. διορισώμεθα δὲ καὶ τὰ κατὰ συμπάθειαν ἑτέρου μορίου γινόμενα πάθη, τῶν κατὰ ἰδιοπάθειαν· οἰκειότερον γὰρ ἰδιοπάθειαν ὀνομάζειν, οὐχ ὡς εἰθίσθαι τοῖς ἰατροῖς πρωτοπάθειαν, ἀντιδιαιρουμένης τῆς συμπαθείας τῇ ἰδιοπαθείᾳ. κυρίως οὖν ὀνομάζειν βουλόμενοι, τῇ μὲν πρωτοπαθείᾳ δευτεροπάθειαν ἢ ὑστεροπάθειαν ἀντικεῖσθαι φήσομεν, ἰδιοπάθειαν δὲ τῇ συμπαθείᾳ. καὶ συνελθεῖν γε δυνατὰ πολλάκις εἰς ταὐτὸ, κατὰ συμπάθειάν τε καὶ κατ' ἰδιοπάθειαν ἤδη νοσεῖν, ὅταν τῷ πάσχοντι μορίῳ μόνιμος ἐγγένηται διάθεσις, οὐ γὰρ δὴ πρωτοπαθεῖν αὐτὸ τηνικαῦτα φήσομεν, ἀλλὰ δευτεροπαθεῖν τε καὶ ἰδιοπαθεῖν. ἐναργῶς δὲ τοῦτο φαίνεται κἀπὶ τῶν ἐκτός. ὥσπερ ὅταν ἐφ' ἕλκει γινομένου μεγάλου βουβῶνος ἐν πληθωρικῷ σώματι, τὸ μὲν ἕλκος εἰς οὐλὴν ἀχθῇ, μένῃ δ' ὁ βουβὼν, ἤτοι γ' εἰς φλεγμονὴν ἐκπυϊσκομένην μεταβάλλων, ἢ εἰς σκιρρώδη διάθεσιν, ἣν προσαγορεύουσι χοιράδα. κατὰ πρωτοπάθειαν μὲν οὖν οὐκ ἄν τις φαίη γεγονέναι τὰ τοιαῦτα νοσήματα, προηγησαμένου γ' ἑτέρου πάθους, ἐφ' ᾧ συνέστη· κατὰ συμπάθειαν μέντοι γινόμενα, μεταπεσεῖν εἰς τοιαύτην ἰδιοπάθειαν, ὡς εἰ καὶ πρωτοπάθειά τις αὐτοῖς ἐξ ἀρχῆς συνέπεσεν. Ἀναμνησθῶμεν δ' εἰς τὰ παρόντα χρησίμως καὶ τῶν ἐν τῇ περὶ ἰατρικῶν ὀνομάτων πραγματείᾳ λελεγμένων, ἔνθα περὶ τῶν σημαινομένων ὁ λόγος ἦν, ἃ κακῶς συγχέουσιν οὐκ ὀλίγοι τῶν νεωτέρων ἰατρῶν τε καὶ φιλοσόφων. ἡ μὲν γὰρ κυριωτάτη χρῆσις ἐστὶ τῆς πάθος φωνῆς, ἀντικειμένη τῇ τῆς ἐνεργείας· ἐνεργεῖν μὲν λεγομένου τοῦ τὴν κίνησιν ἔχοντος ἐξ ἑαυτοῦ, πάσχειν δὲ τοῦ τὴν κίνησιν ἔχοντος ἐξ ἑτέρου. κινήσεως δ' οὔσης κατὰ γένος διττῆς, ἀλλοιώσεώς τε καὶ φορᾶς, ὅταν εἰς μόνιμον ἀφίκηται διάθεσιν ἡ ἀλλοίωσις, ὀνομάζεται νόσημα, παρὰ φύσιν οὖσα δηλονότι διάθεσις· καταχρώμενοι δ' ἐνίοτε, καὶ τὴν τοιαύτην διάθεσιν ὀνομάζουσι πάθος. ὥστε ἄν τις ἕπηται τῇ λέξει τῶν Ἑλλήνων, πάσχειν μᾶλλον ἐρεῖ τὰ μόρια, καθ' ἅπερ ἂν ὦσι κινήσεις παρὰ φύσιν, ὡς τά γε διαθέσεις ἔχοντα παρὰ φύσιν, ἐὰν μὲν κυρίως ὀνομάζῃ, νοσεῖν μᾶλλον, ἢ πάσχειν ἐρεῖ, καταχρώμενος δ' οὐ νοσεῖν μόνον, ἀλλὰ καὶ πάσχειν. ὅπερ δ' ἀεὶ λέγων διατελῶ, τοῦτο καὶ νῦν ἐρῶ· κατὰ τὰς ἐπιστημονικὰς διδασκαλίας ἀρκεῖ τοὔνομα μόνον εἰπόντα, καὶ τὸ σημαινόμενον ἐξ αὐτοῦ, καθ' ὃ, τί περ ἂν ὁ διδάσκων ἐθέλῃ, προσέρχεσθαι λοιπὸν ἐπὶ τὴν τῶν πραγμάτων ὑφήγησιν.

CAPVT III.

In quot genera, affectus & ipsorum causæ distinguendæ sint, vt affectus locus rectè intelligatur.

NVnc verò rursus ad principium sermonem reducamus, in singulis partibus studentes inuenire signa indicantia tum eos, qui in ipsarum propria substantia consistunt, affectus, tum illos, qui ipsis vt organis insident. Rursus in vtrisque separemus & discernamus à factis iam affectibus eos, qui etiamdum fiunt, sed permanentem nondum habent dispositionem; item à causis quæ in affectâ parte continentur, eas, quæ eâ tanquam transitu duntaxat vtuntur. Quòd verò ex dictis quidam componantur modi, satis constat. Præterea distinguamus affectus, qui per consensum alterius partis accidunt, à propriis affectibus; nam magis proprium fuerit proprium affectum, quàm (vt medici solent) primarium affectum, nominare, opposito in diuisione affectu per consensum, proprio. Ergo, quum propriè vocabulis vti voluerimus, primario quidem affectui secundarium, aut posteriorem opponemus; ei verò qui per consensum est, proprium. Equidem in idem euenire sæpenumerò potest, & per cõsensum, & propriâ affectione iam ægrotare, quum in affecta *per consensum* parte permanens facta est dispositio; neque enim primariò, sed secundariò & propriè, ipsam tum affici dicemus. Id verò dilucidè & in externis videri potest, vt quum in corpore plethorico, oborto ingenti bubone ab vlcere, vlcus inductum fuerit cicatrice, permaneat autem etiamdum bubo, vel in suppuratam inflammationem transiens, vel in scirrhosum affectum, quem strumam appellant. Nemo igitur primarios dixerit huiusmodi morbos, qui ob alium præcedentem euenerunt; at per consensum factos ad huiusmodi transire idiopathian, perinde ac si protinus ab initio protopathia ipsis accidisset. At in præsentia vtiliter meminerimus eorum, quæ in libro de medicis nominibus diximus, vbi de significatis est sermo, quæ pessimè à recentioribus, tum medicis, tum philosophis confunduntur. Maximè enim proprius vocabuli *affectus* vsus, est contrarius *voci* actionis; agere nempe id dicitur, quod ex se ipso motum obtinet; affici verò, quod motum habet ab alio. Quum itaque duo sint genere motus, alteratio, & latio; vbi ad permanentem affectum alteratio peruenerit, appellatur morbus, si videlicet sit affectus præter naturam; sed abutuntur interdum, & hunc etiam affectum pathos nominant. Quare siquis Græcorum dictionem sequatur, partes potiùs affici dicet, quibus motus insunt præter naturam; vt eas, quæ affectus iam habent præter naturam, si propriè loquatur, ægrotare potiùs, quàm affici, dicet; quod si ab vsu recesserit, non solùm ægrotare, sed & affici. Quod autem semper dicere consueui, nunc quoque dicam; in eis doctrinis, in quibus scientia acquiritur, satis est, si quis vocabulum atque significatum eius pro doctoris voluntate proferens, procedat deinceps ad rerum enarrationẽ.

Ego

Ego verò propterea nunc memini significatorum, quia nonnulli non solum Græcorum vocabulorum significata peruertunt, sed & eos, qui rectè ipsis vtuntur, calumniantur. Tales autem sunt ij, qui dicunt, in læsis actionibus partes interdum non affici, eo quòd nondum permanentem habent affectionem; vt in capitis dolore propter humores in ventriculo contentos oborto. Nam mutatâ ratione, siquis de nominibus certare velit, magis propriè interpretando dicet, affici quidem caput, quum ventriculi consensu afficitur; ægrotare verò, quum proprio affectu laborat; Et ipsum quoque ventriculum, affici quidem, quum à prauis vexatur humoribus; ægrotare verò, quum aut propriâ intemperie, aut ob inflammationem, vel vlcus, vel abscessum, præter naturam afficitur. Quòd siquis omninò voluerit accuratiori quæstione ista disputare more dialectico, interdum simul atque alimenta fuerint corrupta, coctionis quoque actionem læsam esse dicet; interdum hanc quidem illæsam esse, illa verò esse corrupta. Nam corruptionis ciborum tres primæ, ac veluti generalissimæ sunt differentiæ; vna quidem per proprios ventriculi morbos; altera à prauis humoribus in ipso accumulatis; tertia ab alimentorum qualitate. Quæ igitur, suâ naturâ, aut nidorulentam, aut acidam, aut virulentam, aut putridam, aut omninò corruptioni obnoxiam habent, quæque ex præparationis modo ad huiusmodi affectionem aliquam deducta sunt, clarum est ea in ventriculo corrumpi; atque hoc modo inconcocta esse fortasse dicentur. Sed oritur controuersia de affectâ tunc ob hęc concoquendi functione; nonnullis quidem per huiusmodi cruditates eam haudquaquam affici contendentibus; alijs verò affici. Atque inuenitur tertia quædam opinio eorum, qui huiusmodi alimenta ne dicunt quidem incocta esse, sed solùm non concocta esse; tanquam non sit idem per negationem aliquid enunciare, aut per priuantem vocatam à dialecticis dictionem. Idem intellexisse Erasistratum puto, quum acinos, & sesama, & reliqua omnia, quæ omninò imputria & immutata deiiciuntur, nullam dixit indicare in animali factam esse apepsiam, sed hoc ipsum duntaxat, non esse concocta.

ἐγὼ δὲ διὰ τοῦτο νῦν ἐμνημόνευσα τῶν σημαινομένων, ὅτι πρὸς τῷ διαστρέφειν ἔνιοι τὰ πρὸς τῶν Ἑλληνικῶν φωνῶν δηλούμενα, καὶ τοῖς καλῶς χρωμένοις ἐγκαλοῦσι. τοιοῦτοι δ' εἰσὶ καὶ οἱ φάσκοντες ἐν ταῖς βεβλαμμέναις ἐνεργείαις, μηδὲν πάσχειν ἐνίοτε τὰ μέρη, δι' ὅτι μηδέπω διάθεσιν ἔχει μόνιμον, ὥσπερ ἐπὶ κεφαλαλγίας τῆς διὰ τοὺς ἐν τῇ γαστρὶ περιεχομένους χυμοὺς γινομένης. ὑπαλλάξας γὰρ ἄν τις, εἰ βούλοιτο περὶ τῶν ὀνομάτων ἐρίζειν, οἰκειότερον ἑρμηνεύσει, πάσχειν μὲν λέγων τὴν κεφαλὴν, ὅταν συμπαθῇ τῇ γαστρὶ, νοσεῖν δ' ὅταν ἰδιοπαθῇ· καὶ αὐτήν γε τὴν γαστέρα πάσχειν μὲν ὅταν ὑπὸ μοχθηρῶν ἐνοχλῆται χυμῶν, νοσεῖν δ' ὅταν ἤτοι κατὰ δυσκρασίαν ἰδίαν, ἢ διὰ φλεγμονὴν, ἢ ἕλκος, ἢ ἀπόστημα, παρὰ φύσιν ἔχῃ. εἰ δ' ὅλως τις ἐθέλοι τὰ τοιαῦτα διαλεκτικώτερα ἀκριβολογεῖσθαι ζητήσει, ποτὲ μὲν ἅμα τῷ διεφθάρθαι τὰ σιτία καὶ τῆς πέψεως τὴν ἐνέργειαν ἐρεῖ βεβλάφθαι, ποτὲ δ' ἀβλαβῆ μὲν εἶναι ταύτην, διεφθάρθαι δ' ἐκεῖνα. τρεῖς γὰρ αἱ πρῶται καὶ οἷον γενικώταται τῆς διαφθορᾶς τῶν σιτίων ὑπάρχουσιν αἱ διαφοραὶ, μία μὲν ἐπὶ νοσήμασιν ἰδίοις τῆς γαστρὸς, ἑτέρα δὲ ἐπὶ χυμοῖς μοχθηροῖς ἀθροιζομένοις ἐν αὐτῇ, καὶ τρίτη διὰ τὴν τῶν ἐδεσμάτων ποιότητα. τὰ γοῦν ἤτοι φύσει τι κνισῶδες, ἢ ὀξῶδες, ἢ οἷον βρομῶδες, ἢ σηπεδονῶδες, ἢ ὅλως εὔφθαρτον ἔχοντα, καὶ τὰ τῷ τρόπῳ τῆς σκευασίας εἴς τινα τοιαύτην ἠγμένα διάθεσιν, εὔδηλον μὲν ὅτι διαφθείρεται κατὰ τὴν γαστέρα, καὶ κατὰ τοῦτ' ἂν ἠπεπτῆσθαι λέγοιτο. διαφωνεῖται δὲ περὶ τοῦ πεπονθέναι τηνικαῦτα τὴν πεπτικὴν ἐνέργειαν ἐπ' αὐτῶν, ἐνίων μὲν ἀπαθῆ παντάπασιν ἐν ταῖς τοιαύταις ἀπεψίαις εἶναι φασκόντων αὐτὴν, ἐνίων δὲ πεπονθέναι. καὶ μὴν καὶ τρίτη τίς ἐστι δόξα, τῶν μηδ' ἠπεπτῆσθαι τὰ τοιαῦτα λεγόντων, ἀλλὰ μὴ πεπέφθαι μόνον· ὡς οὐ ταυτὸν ὂν ἢ δι' ἀποφάσεώς τι δηλοῦν, ἢ διὰ τῆς καλουμένης ὑπὸ τῶν διαλεκτικῶν στερητικῆς φωνῆς. κατ' αὐτὴν τὴν ἔννοιαν, οἶμαι, καὶ ὁ Ἐρασίστρατος ἔλεγε τὰ γίγαρτα, καὶ τὰ σήσαμα, καὶ πάντα τὰ διαχωρούμενα παντάπασιν ἄσηπτά τε καὶ ἀμετάβλητα, μηδεμίαν ἐνδείκνυσθαι τῷ ζώῳ γεγενημένην ἀπεψίαν, ἀλλ' αὐτὸ δὴ τοῦτο μὴ πεπέφθαι μόνον.

CAPVT IV.

Qua ratiocinatione, affecta sedes ex excrementis deprehendatur.

VErùm neque in his negligentiùs versari decet, sed mentem accuratè adhibentes, quæ ad logicam quæstionem reducuntur, priuatim prætermittere; quæ verò ad affectæ sedis dignotionē conferant, accuratè inspicere; hinc enim & id quod futurum est, prænoscere, & affectum iam factum decenter curare possumus. Itaque sine contentiosis nominibus, ex rebus ipsis vtilitatem consequi licet, hoc modo. Esto suppositum, aliquem manè exurgentem dicere, nidorulentum se ructum emittere, aut quid aliud ouis frictis simile, aut etiam fœtidius, ac putre subolens; illum itaque qui nidorulentum ructum percepit, fateri se à cænâ placentam nidorulentam comedisse, quales

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τίνι λογισμῷ ὁ πεπονθὼς τόπος ἐκ τῶν περιττωμάτων καταλαμβάνεται.

ΟΥκουν ἀμελεῖν οὐδ' ἐν τούτοις προσήκει, ἀλλὰ προσέχοντας τὸν νοῦν ἀκριβῶς, ὅσα μὲν εἰς λογικὴν ἀνάγεται ζήτησιν, ἰδίᾳ καταλιπεῖν· ὅσα δ' εἰς διάγνωσιν τοῦ πεπονθότος, ἀκριβῶς ἐπισκοπεῖσθαι· τὸ γάρ τοι προγινώσκειν μὲν τὸ μέλλον ἔσεσθαι, θεραπεύειν δὲ προσηκόντως τὸ γεγονὸς ἤδη πάθος, ἐντεῦθεν ἡμῖν περιγίνεται. διὸ καὶ χωρὶς τῶν ἀμφισβητουμένων ὀνομάτων ἔνεστι τὸ χρήσιμον ἐκ τῶν πραγμάτων λαμβάνειν ὧδέ πως. ἔστω τινὰ λέγειν, ἕωθεν ἀναστάντα, κνισῶδες ἐρυγγάνειν, ἢ τι ἕτερον οἷον ᾠῶν ταγηνιστῶν, ἢ δυσωδέστερον, καὶ σαπρόν· ὁμολογεῖν δὲ τὸν μὲν τὸ κνισῶδες ἐρυγγάνοντα, μετὰ τὸ δεῖπνον ἐδηδοκέναι πλακοῦντος κνισώδους, ὁποῖός ἐστιν ὁ διὰ

τοῦ ἐλαίου[37] καὶ ἰτρίου σκευαζόμενος. ἕτερον δὲ, πεφωσμένων ᾠῶν, ὁμολογοῦντα καὶ τοῦτον αὐτῶν ἐκείνων ἐρυγγάνειν· ἄλλον δὲ ῥαφανίδων πολλῶν, ὡς ἄν τι δυσῶδες καὶ σαπρὸν ἐρυγγάνειν. ὅτι μὲν οὖν οὐ καλῶς ἐπέφθη τὰ σιτία τούτοις, ὁμολογήσουσι πάντες· αὐτή γε μὴν ἡ γαστὴρ οὐδὲν ἐπ' αὐτῷ πέπονθεν, οὐδὲ κατὰ τὸν ἑαυτῆς λόγον ἐσφάλη περὶ τὴν ἐνέργειαν, ὥσπερ οὐδ' ὅταν ὁλόκληρα τὰ γίγαρτα διαχωρήσῃ τις. εἰ μὲν γὰρ ἐπεφύκει κατὰ τὴν τῶν ἀνθρώπων γαστέρα μεταβάλλειν τὰ γίγαρτα, τότ' ἂν ᾐτιώμεθα τὸ σῶμα τῆς κοιλίας αὐτό, καὶ μοχθηρῶς ἔχειν ἐνομίζομεν· ἐπεὶ δ' οὐ πέφυκεν, ἀλλ' ἔστι τῆς τῶν γιγάρτων οὐσίας σύμπτωμα τὸ μὴ πέττεσθαι, ταῦτα μὲν εἰκότως λεχθήσεται μὴ πεπέφθαι, τὸ δὲ τῆς γαστρὸς σῶμα κατὰ φύσιν ἔχειν, ὅπερ ἐστὶ χρήσιμον ἐγνῶσθαί τε, καὶ διωρίσθαι τοῖς ἰατροῖς. εἴτε δὲ βεβλάφθαι χρὴ φάναι τὴν ἐνέργειαν αὐτῆς ἐν ταῖς τοιαύταις[38] διαχωρήσεσιν, εἴτε μή, περιττῶς ζητεῖται πρός γε τὰ τῆς ἰατρικῆς τέχνης ἔργα. φέρε δὴ πάλιν νῦν ἐρυγγάνειν μέν τινα κνισῶδες, ἐδηδοκέναι δὲ μηδὲν κνισῶδες, ἐπὶ τούτου θερμασίαν τινὰ πυρώδη κατὰ τὴν γαστέρα φήσομεν ὑπάρχειν, εἶθ' ἑξῆς διαιρούμεθα, πότερον ὑπὸ δυσκρασίας τοῦ σώματος τῆς κοιλίας αὐτοῦ τοῦτο γέγονεν, ἢ ξανθῆς χολῆς ἐν αὐτῇ περιεχομένης, ἤτοι κατὰ τὴν ἐντὸς εὐρυχωρίαν, ἢ καὶ ἀναπεπομένης δυσεκκρίτως εἰς τοὺς χιτῶνας αὐτῆς. οὐ μὴν οὐδ' ἐνταῦθα στησόμεθα, ζητήσομεν δ' ἐφεξῆς, εἴθ' ἥπατος κακοπραγοῦντος, ὁ τοιοῦτος ἀθροίζεται χυμός, εἴτ' ἐξ ὅλου καταρρεῖ τοῦ σώματος, εἴτε καὶ κατ' αὐτὴν γεννᾶται τὴν γαστέρα. ταῦτα μὲν γὰρ ἀναγκαιότατα μέν ἐστιν ἐγνῶσθαι, δεῖται δ' ἀνδρὸς γεγυμνασμένου τὸν λογισμὸν ἐν ἐπιστήμῃ τῶν πραγμάτων αὐτῶν, οὐ τῶν δηλούντων ὀνομάτων αὐτά. οὐ γὰρ ὥσπερ ἡ τῆς διαφθορᾶς ἰδέα τὴν ποιήσασαν αἰτίαν ἐνδείκνυται σαφῶς, οὕτω καὶ περὶ τῆς κατ' αὐτὴν γενέσεώς ἐστιν εὑρεῖν ὡρισμένην ἔνδειξιν. εἰ μὲν οὖν κνισοῦται τὰ σιτία κατὰ τὴν γαστέρα, μὴ διὰ τὴν ἑαυτῶν φύσιν, ἀναγκαῖόν ἐστι τὴν ταῦτ' ἐργαζομένην αἰτίαν εἶναι θερμήν· εἰ δ' ὀξύνεται, ψυχράν· οὐ μὴν ἤδη γέ πω δῆλον, εἴτε δυσκρασία τίς ἐστι κατὰ τὸ σῶμα τῆς κοιλίας, εἴτε χυμός τις μοχθηρός· ἀλλὰ διορίσασθαι χρὴ δόντα σιτία τῆς ἐναντιωτάτης φύσεως τῷ τρόπῳ τῆς διαφθορᾶς, ἄρτον μὲν εἰ τύχοι καὶ χόνδρον ἐφ' ὧν κνισοῦται, μέλι δ' ἐφ' ὧν ὀξύνεται· κἄπειτ' ἐπισκοπεῖσθαι τά τ' ἐμούμενα, καὶ τὰ διαχωρούμενα, πότερον ἅμα χυμῷ τινι, τὰ μὲν χολώδει καὶ θερμῷ, τὰ δὲ φλεγματώδει καὶ ψυχρῷ λαμβάνει τὴν κένωσιν, ἢ χωρὶς χυμοῦ τινος βραχεῖάν τινα μεταβολὴν ἐσχηκότα. τῆς κοιλίας μὲν γὰρ αὐτῆς δυσκράτου γεγενημένης κατὰ θερμότητα[39] πυρώδη χωρὶς χυμοῦ, τὸν ἄρτον καὶ τὸν χόνδρον ὄψει διαχωρούμενα βραχυτάτης εἰς αὐτὰ μεταβολῆς γεγενημένης· εἰ δὲ χυμός τις εἴη μοχθηρὸς ὁ φθείρων τὴν τροφήν, αὐτά τε τὰ σιτία δεδευμένα φαίνεται τῷ τοιούτῳ χυμῷ, καὶ σαφέστερον ἠλλοιωμένα κατὰ τὴν ἐνέργειαν αὐτοῦ. πολὺ δὲ δὴ μᾶλλον ἐμέτοις διορίζεται ταῦτα, ῥᾳδίως πεφυκότος ἐμεῖν τοῦ κάμνοντος, ὡς τόν γε μὴ δυνάμενον, ἀναγκάζειν ἐμεῖν, οὐκ ἐπιτήδειον. ἀλλὰ ταῦτα μέν, ὅταν ἐμπλέῃ τῷ κύτει τῆς κοιλίας ὁ λυπῶν χυμός· ἀναπεπομένου δ' εἰς τοὺς χιτῶνας αὐ-

sunt, quæ ex oleo, & itriis præparantur. Alter verò confiteatur fricta oua se ingessisse, atque nunc illorum nidorem eructare. Deinde alius complures radiculas comederit, vt fœtens ac putre aliquid eructet. Igitur cibos in iis non bene fuisse concoctos omnes concedent, quanuis ex hac re ipse ventriculus haudquaquam fuerit affectus; neque etiam, quod ad ipsius rationem pertinet, circa actionem errauerit, vt neque vbi quis integros acinos per aluum deiecerit. Si enim humano ventriculo innatum esset acinos transmutare, accusaremus tum ventriculi corpus, ipsúmque vitiatum esse putaremus; quum verò id suæ actionis non sit, sed acinorum substantiæ symptoma, non concoqui; haud abs re dicetur, hos non esse concoctos, ventriculi verò corpus secundum naturam se habere, quod sanè & nosse, & definire medicis vtile est; sed quærere, an dicendum sit actionem ipsius per huiuscemodi deiectiones fuisse læsam, an cōtrà, ad medicæ artis opera superuacaneum est. Age rursus, nunc quispiam nidorulentum ructum emittat, nihilque nidorulentum comederit, huic igneum quendam calorem in ventriculo esse dicemus, ac deinde rursus distinguemus, vtrum ab intemperie corporis ipsius ventriculi hoc obortum sit; aut à flaua bile, quæ in ipso continetur, aut in interiore spatio, aut in eius tunicas, vt difficilis expurgationis sit, imbibita. Ac ne hîc quidem *consistemus*, sed quæremus deinceps, an iecore malè suam functionem obeunte huiusmodi humor accumuletur; an is ex vniuerso defluat corpore; an etiam in ipsomet generetur ventriculo. Hæc enim sunt cognitu perquàm necessaria, sed viro indigent exercitatæ rationis, qui res ipsas potius, quam nomina, quibus explicantur, scire studuerit. Non enim, quemadmodum corruptionis idea efficientem causam apertè ostendit; sic etiam licet inuenire definitam indicationem eius generationis. Igitur, si in ventriculo cibi in nidorem transeunt, non suaptè naturâ, efficientem causam calidam; si verò acescunt, eam frigidam esse necesse est; nondum tamen iam constat, vtrum intemperies aliqua, an vitiosus quispiam humor, ventriculi corpus obsideat; sed distinguere oportet, datis cibis naturæ maximè contrariæ modo corruptionis, vt pane quidem exempli gratiâ, & alicâ illis quibus in nidorem transmutari cibi consueuerunt; melle autem iis, quibus acescunt; deinde considerare tum quæ vomuntur, tum quæ per aluum deiiciuntur, num humor aliquis, cum illis quidem biliosus & calidus, cum his verò pituitosus ac frigidus, simul excernatur; an nullo vacuato humore, ipsa exiguam quandam mutationem habuerint. Enimuerò, vbi igneo calore ventriculus sine humore intemperatus euasit, panem & alicam deiici videbis, perquam exiguâ in ipsis factâ transmutatione; si verò humor quidam prauus sit, qui cibum corrumpat, videntur cibi in huiusmodi humore submersi, & ab ipsius actione manifestiùs alterati; at hæc multò magis vomitionibus discernuntur, si laborans suapte naturâ facilè vomere possit; nam cogere eum, qui vomere non potest, absurdum est. Atque hæc ita deprehenduntur, quum in spatio ventriculi noxius humor innatat; si verò in tunicas ipsius imbi-

imbibitus sit, nauseæ quidem omnino consequuntur; sitis verò magis in calidioribus, quemadmodum ciborum appetentia in frigidioribus, subsequi solet. Verùm considerare oportet, vtrum haud affectum sit hepar, an affectu quodam laboret; & qualis sit ipsius affectus, vtrum calidus, an frigidus. Eodem modo & de splene. Nam ex horum omnium consideratione, simul cum quotidiana eduliorum, potionúmque experientiâ, exquisitè poterit quis inuenire non solùm locum affectum, sed etiam ipsius affectum. Huius enim notitia est vtilior, quatenus curationis species per ipsam figuratur; nam calidus affectus semper refrigerandus est, quacunq; in regione fuerit; sed quousque, aut quomodo, aut quâ materiâ, refrigerandum, locus affectus commonstrat. Igitur si id ipsum duntaxat fuerit, in ipso ventriculi corpore intemperies quædam, calidam refrigerando, & frigidam calefaciendo, ilicò iuueris hominem; neque nudam duntaxat opinionem, verùm etiam scientiam manifestam, susceptæ habebis coniecturæ, ac magis, si vtrinque ipsam examinaueris, refrigerantibus quidem tum medicamentis, tum victus ratione, videndo hominem iuuari, calefacientibus verò lædi; vel contrà à calefacientibus quidem iuuari, à refrigerantibus autem lædi. Quòd si humor quispiam in ipsis ventriculi tunicis contineatur, nauseæ quidem vexabunt irritæ sine vomitu, quæ conuellant duntaxat, nullum humorem euacuantes, quemadmodum fieri solet, vbi secundum internam spatii latitudinem in ventriculo humor continetur; ructus autem aliis acidi, aliis nidorulenti erunt. Auxiliabuntur autem illis quidem medicamentum ex tribus piperibus, aut aliquod huiusmodi, ex aquâ, vel vino potum; his verò tum absinthium, tum hiera ex aloe, quam nonnulli picram quoque appellant. Igitur, si per primam protinus experientiam, à familiaribus medicamentis in vtroque humore manifestum videatur auxilium, iam habebis & dignotionem scientificam, & curationis methodum, ita vt si in his perseueraueris, hominem sanes. At si à solitis auxiliari medicamentis vtrumque affectum interdum læsio sequatur, deceptum te ipsum circa dignotionem inuenies; nam certissima omnium huiusmodi affectuum notitia ab iis deprehenditur, qui exactè intelligunt, quibus quisque præsidiis ad naturalem statum reduci possit. Sic equidem quosdam colicos vocatos sanaui, dato in potu medicamento ex aloe; sanè coniiciens mordacem humorem in affecti intestini tunicas imbibitum, datoque medicamento, quia sciebam omnino huiusmodi affectum eius ope adiutum iri; quòd auxilium vbi contigit, intelligens rectâ me ductum coniecturâ, plus ipsius exhibui. Sed vnde hanc spem habuerim, præstiterit enarrare. Vidi hominem à calidis tum cibis, tum medicamentis, atque omninò victûs ratione irritari; rursus iuuari ab alimentis boni succi, & contemperantibus nominatis; vd' prætereà ab inedia ipsum lædi; vbi verò doloris speciem percontanti mihi mordacem esse respondit; magis ad spem etiam veræ dignotionis appulsus, ausus sum amarum ei medicamentum exhibere. Postremò conspiciens hominem apertè adiu-

A τῆς, ναυτίαι μὲν πάντως ἕπονται, δίψος δὲ πλέον ἐπὶ ταῖς θερμοτέραις, ὥσπερ ὄρεξις ἡ πρὸς τὰ σιτία ταῖς ψυχροτέραις ἀκολουθεῖν πέφυκεν. ἐπισκέπτεσθαι δὲ χρὴ καὶ εἰ ἀπαθές ἐστι τὸ ἧπαρ, ἢ πέπονθέ τι· καὶ τὸ πάθος ὁποῖον αὐτοῦ, πότερα θερμόν ἐστιν, ἢ ψυχρόν· ὡσαύτως δὲ καὶ περὶ τοῦ σπληνός. ἐκ γὰρ τῆς τῶν τοιούτων ἁπάντων ἐπισκέψεως, ἅμα τῇ τῶν ἐσθιομένων ἢ πινομένων ὁσημέραι πείρᾳ, δυνήσεταί τις ἀκριβῶς εὑρεῖν, οὐ μόνον τὸν πεπονθότα τόπον, ἀλλὰ καὶ τὴν διάθεσιν αὐτοῦ. χρησιμωτέρα γὰρ ἡ ταύτης γνῶσίς ἐστιν, παρ' ὅσον ἡ τῆς θεραπείας ἰδέα κατ' αὐτὴν τυποῦται. τὴν γοῦν

B θερμὴν διάθεσιν ἀεὶ μὲν ψυκτέον, ἐν ὁποίῳ ποτ' ἂν εἴη χωρίῳ· τὸ δὴ ἄχρι πόσου ψυκτέον, ἢ ὅντινα τρόπον, ἢ διά τινος ὕλης, ὁ πεπονθὼς συνενδείκνυται τόπος. εἰ μὲν οὖν αὐτὸ δὴ τοῦτο μόνον εἴη, δυσκρασία τις ἐν τῷ σώματι τῆς γαστρὸς αὐτοῦ, ψύχων μὲν τὴν θερμὴν, θερμαίνων δὲ τὴν ψυχρὰν, ὠφελήσεις αὐτίκα τὸν ἄνθρωπον· ἔσται δέ σοι καὶ τῆς ὑπολήψεως ἣν ἔσχες οὐ ψιλὴ δόξα μόνον, ἀλλ' ἐπιστήμη σαφὴς, καὶ μᾶλλον, ἐὰν ἑκατέρωθεν αὐτὴν βασανίσῃς, ἐπὶ μὲν τοῖς ψύχουσι φαρμάκοις τε καὶ διαιτήμασιν ὠφελούμενον

C ὁρῶν τὸν ἄνθρωπον, ἐπὶ δὲ τοῖς θερμαίνουσι βλαπτόμενον· ἢ τοὐναντίον ἐπὶ μὲν τοῖς θερμαίνουσιν ὠφελούμενον, ἐπὶ δὲ τοῖς ψύχουσι βλαπτόμενον. ἐὰν δὲ χυμός τις ᾖ περιεχόμενος ἐν αὐτοῖς τοῖς χιτῶσι τῆς κοιλίας, αἱ μὲν ναυτίαι χωρὶς ἐμέτου γενήσονται κεναὶ, σπαράττουσαι μόνον, οὐ μὴν ἐκκενοῦσαί γέ τινα χυμὸν, ὡς ἐφ' ὧν ἐν αὐτῷ περιείχετο κύτει τῆς γαστρὸς κατὰ τὴν ἔνδον αὐτῆς εὐρυχωρίαν· αἱ δ' ἐρυγαὶ, τοῖς μὲν ὀξώδεις ἔσονται, τοῖς δὲ κνισώδεις· ὠφελήσει δὲ, τοὺς μὲν τὸ διὰ τριῶν πεπέρεων φάρμακον, ἤ τι τοιοῦτον, δι' ὕδατος,

D ἢ οἴνου ποθέν· τοὺς δ' ἑτέρους, ἀψίνθιόν τε καὶ ἡ διὰ τῆς ἀλόης ἱερὰ, καλοῦσι δ' αὐτὴν ἔνιοι καὶ πικράν. ἐὰν οὖν εὐθέως ἅμα τῇ πρώτῃ πείρᾳ φαίνηται πρὸς τῶν οἰκείων φαρμάκων ἡ ὠφέλεια σαφὴς ἑκατέρων τῶν χυμῶν γεγενημένη, τήν τε διάγνωσιν ἐπιστημονικὴν ἕξεις ἤδη, τήν τε θεραπείας ὑφήγησιν, ὡς ἐπιμένοντα τοῖς αὐτοῖς ἐκθεραπεῦσαι τὸν ἄνθρωπον· ἐὰν δὲ ἐπὶ τοῖς ὠφελεῖν εἰθισμένοις φαρμάκοις ἑκατέραν τὴν διάθεσιν, ἀκολουθήσῃ ποτὲ βλάβη, περὶ τὴν διάγνωσιν εὑρήσεις ἐσφαλμένον

E σ' αὐτόν. ἡ γάρ τοι βεβαιοτάτη γνῶσις ἁπασῶν τῶν τοιούτων διαθέσεων γίνεται τοῖς ἀκριβῶς ἐπισταμένοις, ὑφ' οἵων ἰαμάτων ἑκάστη καθίσταται. ἐγὼ γοῦν ἐνίους τῶν ὀνομαζομένων κωλικῶν ἰασάμην, τῇ πόσει τοῦ διὰ τῆς ἀλόης φαρμάκου, τεκμηράμενος μὲν ἀναπεπόσθαι δακνώδη χυμὸν εἰς τοὺς χιτῶνας τοῦ πεπονθότος ἐντέρου, δοὺς τε τοῦ φαρμάκου, διότι πάντως ἠπιστάμην, ὑπ' αὐτοῦ τὴν τοιαύτην διάθεσιν ὠφεληθησομένην· ὡς δ' ὠφελήθη, γνοὺς ὅτι καλῶς ἐστοχασάμην, πλέον ἐδίδουν αὐτῆς. ἀλλ' ἐκ τίνος γε τὴν ἐλπίδα ταύτην ἔσχον,

F ἄμεινον εἰπεῖν. ἑώρων τὸν ἄνθρωπον, ἐπὶ μὲν τοῖς θερμοῖς ἐδέσμασί τε καὶ φαρμάκοις, καὶ ὅλως διαιτήμασι παροξυνόμενον· ἐπὶ δὲ τοῖς εὐχύμοις τε καὶ κατακεραστικοῖς ὀνομαζομένοις, ὠφελούμενον· ἑώρων δὲ καὶ πρὸς τῆς ἀσιτίας αὐτὸν βλαπτόμενον. ὡς δὲ καὶ πυνθανομένῳ μοι καὶ περὶ τῆς κατὰ τὴν ὀδύνην ἰδέας, ἔφη δακνώδη τινὰ ὑπάρχειν αὐτήν, ἔτι δὲ καὶ μᾶλλον εἰς ἐλπίδα τῆς ἀληθοῦς διαγνώσεως ἀφικόμενος, ἐτόλμησα δοῦναι τοῦ πικροῦ φαρμάκου· θεασάμενός τε προφανῶς ὠφεληθέντα τὸν ἄνθρωπον, ἐπείσθην ἐγνωκέναι

βεβαίως, ἥτις ἐστὶν ἡ διάθεσις. ἕτερον δ' ὑπὸ τῶν εὐπέπτων σιτίων παροξυνόμενον ἀνηρώτησα τὰ προηγησάμενα, πυθόμενός τε, ὅτι μετὰ καθαρτικοῦ φαρμάκου [40] δόσιν εἰς ταύτην ἦλθε τὴν διάθεσιν, αὖθις τε ἐρωτήσας, ὑπὸ τίνος αἰτίας ἐπὶ τὴν τοῦ φαρμάκου χρῆσιν ἧκεν, ἀκούσας τε δι' ἀλγήματα δακνώδη τε καὶ διαβρωτικὰ, πολυχρονίως ἐν τοῖς κατὰ τὴν γαστέρα τόποις διαμένοντα, κεκακῶσθαι τὸ ἔντερον ὑπὸ τοῦ καθαρτικοῦ φαρμάκου στοχασάμενος, ἐν διαθέσει τε γεγονέναι ῥευματικῇ, καὶ δέχεσθαι ῥᾳδίως εἰς ἑαυτὸ τὰ περιττὰ τοῦ ἥπατος, ἐπιδιαφθείρειν τε ταῦτα, τροφὴν ἔδωκα δύσφθαρτόν τε καὶ στύφουσαν· ἐφ' ᾗ τῶν τε δήξεων ἐπαύσατο, καὶ διεχώρησεν οὐκ ἔτι οὐδὲν, ἔμπροσθεν ἀεὶ μετὰ τὰς δήξεις ἐκκρίνων διεφθαρμένα τε ἅμα καὶ ὑγρὰ καὶ δυσώδη. προπεπυσμένος δὲ ὅτι χρόνῳ πλείονι μετὰ τὴν δῆξιν ἡ διέξοδος αὐτῶν ἐγίνετο, τῶν μετεώρων ἐντέρων ἐστοχασάμην εἶναι τὴν διάθεσιν· ὡς ἐφ' ἑτέρου τε ταχείας ἐπὶ τῇ δήξει τῆς ἐκκρίσεως γινομένης, ἐτεκμηράμην εἶναι τῶν κάτω τὴν διάθεσιν. ἐκεῖνον μὲν οὖν ἐνέσει φαρμάκου, τοῦτον δὲ τοῖς εἰρημένοις ἐδέσμασιν ἰασάμην, ἐπιστάμενός τε τοῦτο βεβαίως, ὅτι τὰ μὲν ἐγγὺς τῇ γαστρὶ, τοῖς ἄνωθεν ἐσθιομένοις τε καὶ πινομένοις ἑτοιμότερον ὠφελεῖται, τὰ δὲ οὐ πόρρω τῆς ἕδρας, τοῖς κάτωθεν. οὐχ ἁπλῶς οὖν προσήκει σκοπεῖσθαι τοῦτο μόνον, εἰ ἡ γαστὴρ πέπονθεν, ἤ τι τῶν ἐντέρων, ἀλλὰ καὶ τί τὸ πάθος ἐστί, καὶ [41] διορίσασθαί γε, τίνα μὲν ἴδια τῶν παθῶν ἐστι σημεῖα, τίνα δὲ τῶν πασχόντων μορίων· οἷον ὅτι τὸ μὲν ἀπεψίαν γαστρός ἐστι σύμπτωμα, τὸ δ' ἐπὶ τὸ κνισῶδες, ἢ ὀξῶδες ἐκτρέπεσθαι τὰ [42] ἐδηδεσμένα, τῶν κατ' αὐτὴν αἰτίων τε καὶ παθημάτων. οὕτω δὲ κἀπὶ τῶν κατὰ τὸ ἔντερον ὅ, τε χρόνος τῆς διεξόδου, καὶ τῶν ἐκκρινομένων ἡ ἰδέα, καὶ τῶν συμπτωμάτων ἡ διαφορὰ, μετὰ τῶν προηγησαμένων, καὶ τῶν νῦν εἰς πεῖραν ἀγομένων, ἐνδείξεται συναμφότερον ἅμα, τό, τε πάθος αὐτὸ, καὶ τὸ μόριον, ἐν ᾧ συνέστη. φέρε γὰρ ἐκκρίνεσθαί τινι κατὰ γαστέρα, ποτὲ μὲν ἐφελκίδας, ἢ οἷον ὑμενώδη ξύσματα, ἢ οἷον αἱματῶδές τι, ποτὲ δ' ἅμα ταῦτα πάντα· τὸ μὲν ἡλκῶσθαι τὸ ἔντερον, οὐκ ἂν ἀμφισβητήσειέ τις, εἴτε δὲ ἐν τοῖς λεπτοῖς ἐντέροις ἐστὶν, ἢ ἐν τοῖς παχέσιν ἡ ἕλκωσις, οὐδέπω δῆλον, ἀλλ' ἔκ τε τῆς τῶν ξυσμάτων ἰδέας, ὡς ἔμπροσθεν εἴρηται, κἀκ τοῦ χρόνου τῆς διεξόδου, καὶ τρίτου τοῦ μεμίχθαι τῇ κόπρῳ τὸ μὲν μᾶλλον, αὐτῶν τὸ δὲ ἧττον ἢ καὶ μηδόλως μεμίχθαι, διορισθήσεται. αἱ μὲν γὰρ ἐν τοῖς κατωτάτω μέρεσιν ἑλκώσεις, οὐδ' ὅλως ἔχουσιν ἀναμεμιγμένα τοῖς διαχωρήμασι τὰ τῶν ἑλκῶν [43] γνωρίσματα· ταῖς δ' ὀλίγον ἀνωτέρω, μέμικται μὲν, ἀλλ' ἐπὶ βραχὺ· καθάπερ γε τῶν ἐπὶ πλέον ἀνωτέρω, καὶ ἡ μίξις ἐπὶ πλέον· ἔτι δὲ δὴ μᾶλλον ἐπὶ τῶν ὑψηλοτάτων ἐντέρων, ἀναμέμικται τῇ κόπρῳ τὰ τῆς ἑλκώσεως ἴδια.

tum, quis fuerit affectus certò me deprehendisse putaui. Alterum, quem cibi concoctu faciles irritabant, de præcedentibus interrogaui; respondit is se in hanc deductum affectionem, sumpto purgante medicamento. Rursus quoque interrogans, quam ob causam ad medicamenti vsum venisset, intellexi ob mordaces erodentesque dolores multo tempore in locis ad ventriculum spectantibus perseuerantes; hinc vitiatum fuisse à purgante medicamento intestinum conijciens; ac in rheumaticam deuenisse affectionem, & facilè in se ipsum iecoris excrementa recipere, eaque postea corrumpere, cibum exhibui haud facilè corruptibilem, & adstringentem; vnde & mordaces dolores mitigati sunt, & nihil postea deiecit, quum antea semper, post mordicatitis sensum, corrupta quædam, & liquida, & fœtentia excerneret; quum verò multo post mordicationem tempore eorum deiectionem fieri audiissem, superiorum intestinorum affectum esse conieci; vt in alio quoque, vbi celeriter à mordicatione fieret excretio, iudicaui inferiorum intestinorum affectum esse. Hunc igitur iniecto medicamento, illum verò dictis iam cibis exhibitis, sanaui; quippè certò sciebam, quòd proximæ ventriculo partes, exhibitis supernè tum cibis tum potibus; quæ verò non procul à sede distant, infernè *iniectis medicamentis*, promptiùs adiuuarentur. Non simpliciter itaque hoc solùm considerare conuenit, ventérne affectus sit, aut aliquod intestinorum; sed & quisnam sit affectus, tum quæ signa propria sint affectuum, quæ partium affectarum, distinguere; vt apepsiam, ventriculi esse symptoma; at ciborum ad nidorulentum, vel acidum ructum conuersionem, ad causas & affectus ipsius referendam. Sic autem de intestinis, & tempus exitûs, & excretorum species, atque symptomatum differentia, cum iis quæ præcesserunt, & nunc in experientiam ducuntur, simul vtrumque, affectum ipsum, & partem in qua consistit, ostendent. Pone enim per ventrem cuidam deiici, aliquando quidem ramēta, aut veluti membranarum rasuram, aut veluti cruentum quid, ac aliquando simul hæc omnia; intestinum vlcere affectum nemo dubitauerit; at verò, vtrum in exilibus intestinis, an crassis, vlcus consistat, nondum manifestum est; sed, vt nuper dicebamus, & ex ramentorum specie, & exitûs tempore, & tertiò ex mixtione cum stercore, modò maiore, modò minore, aut etiam nullâ, distinguetur. Nam infimarum partium vlcera nullomodo vlcerum habent notas alui excrementis admixtas; partium verò paulò superiorum vlcera mixtas quidem cum stercore habent notas, sed leuiter duntaxat; quemadmodum, si multò sint superiores, vehementior erit mixtura; præcipuè verò in supremis intestinis, vlceris propria vehementer stercori sunt admixta.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Πέντε κεφάλαια, οἷς τά τε τῶν πεπονθότων μορίων καὶ τὰ τῶν διαθέσεων αὐτῶν περιέχεται γνωρίσματα.

Πολλάκις δὴ ἅμα τόπου τε καὶ διαθέσεως, ἐξ ἑνὸς γνωρίσματός ἐστιν ἡ ἔνδειξις, ἢ τόπου τε ἅμα καὶ

CAPVT V.

Quinque capita, quibus affectæ partes, & affectuum ipsarum notæ continentur.

ATque sæpenumerò ex vno signo simul & loci & affectûs proditio est, aut loci vnà &

& causæ; veluti locorum indicatio & ab actione læsa, & excretis, & situ, & doloris proprietate, & propriis symptomatis sumitur; affectuum verò, & ab excretorum specie, & loci naturâ, & doloris proprietate, & propriis symptomatis. Sanè ab actione læsa affectæ partis significatio datur, hocce modo. Si alicui symptoma quoddam videndi sit actionis, illi oculus necessariò afficitur; verùm an proprio affectu, an per consensum, an vtroque modo, aliâ consideratione inquirendum est. Excretorum specie affecta pars dignoscitur (veluti iam antea dictum est) & per partes ipsius substantiæ, & per contenta in ipsâ. Ac situs quoque ad affectam partem commonstrandam satis est idoneus; itaque durus & circunscriptus in dextri hypochondrii regione tumor, non lienis, sed iecinoris affecti nota est; quemadmodum & sinistri, non hepatis, sed splenis. Ac vbi similiter se habent excreta, situs interdum affectam partem commonstrat. Si enim membranosæ tunicæ portiuncula excernatur, id vlcus esse alicubi ostendit; verùm in quâ sit parte, ex situ discere poteris. Nam si vomendo fuerit reiecta, aut ventriculi aut stomachi; si tussiendo, gutturis, aut asperę arteriæ; si screando, fauciũ; si cum vrinâ, vrethræ ipsius; si à sede, alicuius intestinorum; si per mulieris pudenda, vteri affectum esse significat. Ita verò etiam constat, quod singuli dolores, pro sitûs varietate affectum locum ostendunt (hoc etiam pacto ea, quæ supra proposuimus, distinguere oportet) nam apparentibus per vomitum vlceris signis, animaduertendum est, vtrum in anterioribus hypochondrii partibus, an posterioribus circa metaphrenum, dolor sit aliquis; dignoscetur autem, quòd qui dolor in anterioribus percipitur, ventriculum; qui verò in posterioribus, stomachum occupet. Sed & os ventriculi à spatio ipsius pariter distinguetur, si deuoratis quibusdam acribus, hoc quidem in ore ventriculi, aut parte inferiore mordicationem excitet; illud verò in transitu thoracis; omnia enim hæc situ distinguuntur, quemadmodum alia ex doloris specie. Verùm de doloribus latiùs in secundo libro dicemus. Sed nunc iam tempus est producendi exemplum quoddam indicationis loci affecti ex propriis symptomatis. Itaque supra diximus singula, quæ vlceribus adnascuntur, propriam indicationem habere; hæc verò nunc addantur. Orificio quidem ventriculi affecto, fastidia soboriuntur; per hepatis verò imbecillitatem, loturis carniũ similia per inferiora vacuantur; maxillæ verò rubræ succedunt peripneumonicis. At etiam propria affectuum ipsorum signa in excretis deprehenduntur, vt ramentum, vlceris; arenosa sedimenta, lapidis; cucurbitæ verò seminibus similia excrementa, latorum vermium. Atque à locis ipsis morborũ indicia sumuntur, eò quòd quibusdam solis morbus hic accidat, quibusdam verò solis non eueniat. Nam soli oculi suffusione laborant; lapis in renibus & vesica nascitur, atque (vt nonnulli narrant) etiam in colo; lumbrici in intestinis gignuntur; rursus impossibile est, abscessum cor pati; quemadmodum pulmonem & ligamenta, dolorem. A symptomatum quoque proprietate, affectuum in his indicia oriuntur. Per tabificos morbos vngues

A αἰτίου· εἴη ἐπὶ μὲν τῶν τόπων, ἀπό τε τῆς βεβλαμμένης ἐνεργείας, καὶ τῶν ἐκκρινομένων, καὶ τῆς θέσεως, καὶ τῆς κατὰ τὴν ὀδύνην ἰδιότητος, καὶ τῶν οἰκείων συμπτωμάτων, ἡ ἔνδειξις· ἐπὶ δὲ τῶν παθῶν, ἀπό τε τῆς τῶν ἐκκρινομένων ἰδέας, καὶ τῆς τοῦ τόπου φύσεως, καὶ τῆς κατὰ τὴν ὀδύνην ἰδιότητος, καὶ τῶν οἰκείων συμπτωμάτων. ἀπὸ μὲν οὖν τῆς βεβλαμμένης ἐνεργείας ἔνδειξις τοῦ πεπονθότος μορίου γίνεται, κατὰ τόνδε τὸν τρόπον. εἰ ἔχει σύμπτωμά τι τῆς κατὰ τὸ βλέπειν ἐνεργείας ἐστὶν, ὀφθαλμὸς ἐξ ἀνάγκης ἐκείνῳ πάσχει· πότερον δὲ κατ' ἰδιοπάθειαν, ἢ κατὰ B συμπάθειαν, ἢ κατ' ἄμφω, δεύτερον ἂν εἴη σκέμμα. τῇ δὲ τῶν ἐκκρινομένων ἰδέᾳ διαγινώσκεται τὸ πεπονθὸς μόριον, ὡς ἔμπροσθεν εἴρηται, διά τε τῶν τῆς οὐσίας αὐτοῦ μερῶν, καὶ τῶν περιεχομένων ἐν αὐτῷ. καὶ μὴν καὶ ἡ θέσις ἱκανὴ συνενδείξασθαι τὸ πεπονθὸς μέρος. ὄγκος γοῦν σκληρὸς ἐν περιγραφῇ κατὰ τὸ δεξιὸν ὑποχόνδριον, οὐ σπληνὸς, ἀλλ' ἥπατος γνώρισμά ἐστι πάσχοντος· ὥσπερ γε κατὰ τὸ ἀριστερὸν, οὐχ ἥπατος, ἀλλὰ σπληνός. ὁμοίων τε τῶν ἐκκρινομένων ὄντων, ἡ θέσις ἐνίοτε συνενδείκνυται τὸ πάσχον. εἰ γοῦν ὑμενῶδες χιτῶνος ἐκκριθείη μόριον, ὅτι μὲν ἕλκωσίς C ἐστί που, δηλώσει· τὸ δ' ὁποίου τοῦ μορίου, παρὰ τῆς θέσεως διδαχθήσῃ. τὸ μὲν γὰρ ἐμούμενον, ἤτοι γαστρὸς, ἢ τοῦ στομάχου τὸ πάθος εἶναι σημαίνει· τὸ δὲ ἀναβησσόμενον, ἤτοι τοῦ λάρυγγος, ἢ τῆς τραχείας ἀρτηρίας· τὸ δὲ πτυόμενον μετὰ τοῦ χρέμψασθαι, τῆς φάρυγγος· εἰ δ' οὐρηθείη, τῆς οὐρήθρας αὐτῆς· εἰ δὲ διὰ ἕδρας ἐκκριθείη, τῶν ἐντέρων τινός· εἰ δὲ δι' αἰδοίου γυναικείου, τῶν κατὰ τὴν μήτραν. ὅτι δὲ καὶ τῶν ὀδυνῶν ἑκάστη κατὰ τὴν θέσιν ἐνδείκνυται τὸ πεπονθὸς μόριον, εὔδηλον (οὕτως γέ τοι καὶ τὰ προειρημένα διορίζεται)· σημείων γὰρ φανέντων ἕλκους ἐν ἐμέτοις, σκεπτέον ἐστὶ πότερον ἐν τοῖς D πρόσω μέρεσιν κατὰ τὸ ὑποχόνδριον, ἢ κατὰ τὸ μετάφρενον ὄπισθεν ὀδύνη τίς ἐστιν. διορισθήσεται γὰρ, τῆς μὲν ἔμπροσθεν ὀδύνης, κατὰ τὴν γαστέρα, τῆς δ' ὀπίσω, κατὰ τὸν στόμαχον γινομένης. ἀλλὰ καὶ αὐτῆς τῆς γαστρὸς τὸ στόμα, τοῖς αὐτοῖς ὡσαύτως διορισθήσεται, εἰ τῶν καταπινομένων δριμέων, τὸ μὲν τῷ στόματι τῆς γαστρὸς ἐργάζοιτο τὴν δῆξιν ἢ κατωτέρω, τὸ δὲ ἐν τῇ κατὰ τὸν θώρακα διεξόδῳ· τὰ γὰρ τοιαῦτα πάντα τῇ θέσει διορίζεται, καθάπερ ἄλλα τῇ τῆς ὀδύνης ἰδέᾳ. λεχθήσεται δ' ἐπὶ πλέον ὑπὲρ ἀλγημάτων ἐν τῷ δευτέρῳ γράμματι, νυνὶ δὲ ἤδη καιρὸς εἰπεῖν τι παράδειγμα τῆς ἀπὸ τῶν οἰκείων συμπτωμάτων E ἐνδείξεως τόπου πεπονθότος. ἔμπροσθεν μὲν οὖν ἑκάστου τῶν ἐπιφυομένων τοῖς ἕλκεσιν, ἰδίαν ἔνδειξιν ἐλέγομεν εἶναι, νυνὶ δὲ καὶ τὰ τοιαῦτα προσκείσθω. ἀσώδεις μὲν ἐπὶ στόματι γαστρὸς πάσχοντι γίνονται· πλύμασι δὲ κρεῶν ὅμοια κενοῦνται κάτω, δι' ἀτονίαν ἥπατος· ἐρυθρὰ δὲ τὰ μῆλα γίνονται τοῖς περιπνευμονικοῖς. ἀλλὰ καὶ τῶν παθῶν αὐτῶν ἐν μὲν τοῖς ἐκκρινομένοις ἴδια σημεῖα, τοῦ μὲν ἕλκους, ἐφελκίς· αἱ δὲ ψαμμώδεις ὑποστάσεις, λιθιάσεως· αἱ δὲ τοῖς τῆς κολοκύνθης σπέρμασιν ἐκκρίσεις ὅμοιαι, πλατείας ἕλμινθος. ἀπὸ δὲ τῶν τόπων αὐτῶν ἔνδειξις τοῦ νοσήματος γίνεται, διὰ τὸ, F τινὰς μὲν μόνους πάσχειν ἐκεῖνο τὸ νόσημα, τινὰς δὲ μόνους μὴ πάσχειν· ὑποχέονται μὲν γὰρ οἱ ὀφθαλμοὶ μόνοι, λιθιῶσι δὲ νεφροὶ καὶ κύστις, ὡς δ' ἔνιοί φασι καὶ κῶλον· ἕλμινθες δ' ἐν ἐντέροις γεννῶνται· τὴν καρδίαν δ' αὖ πάλιν ἀδύνατον ἀποστήματι παθεῖν, ὥσπερ ὀδυνηθῆναι πνεύμονά τε καὶ συνδέσμους. ἀπὸ δὲ τῆς τῶν συμπτωμάτων ἰδιότητος ἔνδειξις γίνεται τοῦ πάθους ἐν τοῖσδε, γρυποῦνται μὲν οἱ ὄνυχες ἐπὶ τοῖς φθινώδεσι

νόσοις· ἄλογον δὲ ῥῖγος ἅμα πυρετῷ, σημεῖόν ἐστι φλεγμονῆς μεταβαλλούσης εἰς ἐμπύημα· μελαινομένη δὲ γλῶσσα καυσώδους πυρετοῦ σημεῖον, ὥσπερ γε καὶ ἡ τοῦ χρώματος ἰδιότης ἐν ὅλῳ τῷ σώματι, δι' ἥπαρ μὲν ἑτέρα, διὰ σπλῆνα δ' ἄλλη, μὴ δυναμένη λαθεῖν τὸν ἐπιστήμονα, καθάπερ οὐδ' ἡ δι' αἱμορροΐδας. ἔστι δ' ὀλίγα πάνυ τῶν παθῶν αὐτῶν ἴδια σημεῖα, χωρὶς τοῦ συνενδείκνυσθαι τὸν πεπονθότα τόπον. αἱ μὲν γὰρ τῆς ἐνεργείας βλάβαι, μόνον δηλοῦσι τὸ πεπονθὸς μόριον· αἱ δ' ἐν αὐταῖς διαφοραὶ, τὸ πάθος αὐτοῦ. μόνα τοίνυν ἐκεῖνα τῶν παθῶν ἐστιν ἴδια σημεῖα, τὰ κατά τι συμβεβηκὸς αὐτοῖς ἑπόμενα. (ὅτι μηδενὸς πάθους ἐνίοτε περὶ τὰ τῆς φωνῆς αὐτῆς ἴδια μόρια γεγενημένου, συμβαίνει βλάπτεσθαι τὴν φωνὴν ἀπορίᾳ τῆς ὕλης ἐξ ἧς ἐγίνετο) φανεῖται δέ σοι τοῦτο σαφέστερον, ἐν ὅλῃ τοῦ λόγου τῇ διεξόδῳ· φανεῖται δὲ καὶ τὰ κοινὰ πάθους τε ἅμα καὶ τόπου πάσχοντος, ἢ δυοῖν παθοῖν, ἢ μορίοιν δυοῖν.

adunci euadunt. Sine ratione inuadens rigor vnà cum febre, inflammationis ad suppurationem transeuntis indicium est. Lingua nigricans, ardentis febris signum est, quemadmodum etiam coloris in vniuerso corpore proprietas, alia quidem per hepatis, alia verò per splenis affectus apparet, ita vt doctum *medicum* haudquaquam possit fallere, sicut nec quem hæmorrhoides induxerunt. At pauca sunt admodum ipsorum affectuum propria signa, quæ simul locum affectum non ostendant; etenim actionis læsiones affectam duntaxat partem; earum verò differentiæ, ipsius affectum declarant. Ea ergo sola sunt affectuum propria signa, quę per aliquod accidens ipsos sequuntur. (Quòd nullo interdum affectu in propriis ipsius vocis partibus oborto, vocem materiæ ex qua fit, penuriâ oblædi contingat) Id verò tibi clariùs in vniuerso huius operis discursu patebit; nec non videbuntur communes quoque notæ, quæ simul, & affectum, & sedem affectam, aut duos affectus, aut duas partes affectas, indicare possint.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Τίνι τρόπῳ τὰ κατὰ συμπάθειαν νοσήματα τῶν κατ' ἰδιοπάθειαν διαφέρουσι· καὶ ὅπως τὴν μὲν κίνησιν σώζεσθαι συμβαίνει, τὴν δ' αἴσθησιν ἀπόλλυσθαι· ἢ τῆς αἰσθήσεως σωζομένης τὴν κίνησιν ἐλλείπειν.

ΕΝ δὲ τῷ παρόντι τὸν περὶ τῶν ἰδιοπαθούντων τε καὶ συμπαθούντων λόγον ἔγνωκα προσθεὶς, ἐπ' αὐτοῦ καταπαῦσαι τὸ βιβλίον, ἀναμνήσας πρότερον, ὡς τὴν ὑπὸ τῶν ἄλλων ἰατρῶν ὀνομαζομένην πρωτοπάθειαν, οἰκειότερον ἔφην ἰδιοπάθειαν ὀνομάζεσθαι· διαφέρει γε μὴν οὐδὲν, οὐδ' εἰ πρωτοπάθειάν τις αὐτὴν καλεῖ· βέλτιον γὰρ οὐ περὶ τῶν ὀνομάτων ἐρίζειν, ἀλλὰ τῶν πραγμάτων ἐπίστασθαι τὰς διαφοράς. ὅταν μὲν γὰρ ἐκ τῆς κοιλίας, ἤτοι γε ἀτμῶν μοχθηρῶν, ἢ καὶ τῶν χυμῶν αὐτῶν ἀναφερομένων ἐπὶ τὸν ἐγκέφαλον, ἡ διάνοια βλάπτηται, πρώτως μὲν οὐκ ἄν τις φαίη πάσχειν τὸν ἐγκέφαλον· οὐ μὴν οὐδ' ἀπαθῆ γε παντάπασιν ὑπάρχειν, ἀλλ' ὅ, τι περ ὑπ' αὐτῶν ἐκείνων ὁμολογεῖται, διὰ τοῦ συμπάσχειν ῥήματος ἀληθέστατόν ἐστιν. δηλοῦται γὰρ οὐ τὸ μηδόλως πάσχειν ἐκ τῆς συμπάσχειν φωνῆς, ἀλλὰ τὸ σὺν ἑτέρῳ πάσχειν. ἄμεινον δὲ καὶ σαφέστερον ἐφ' ἑτέρῳ πάσχειν ἂν εἴποι τις τὸ συμπάσχον. ὅπερ οὖν ἔνιοι τῶν ἰατρῶν νενοήκασι μὲν ἀμυδρῶς, ὥσπερ ὀνειρώττοντες, οὐκ εἰρήκασι δὲ σαφῶς, ὅτι μηδὲ ἐγνώκασι, τοῦτ' ἐγώ μοι δοκῶ διδάξειν ἀναγκαιότατον ὂν εἰς τὴν προκειμένην πραγματείαν, ἀρξάμενος ἐντεῦθεν. ἔνιαι τῶν ἐνεργειῶν ἐξ ὕλης ἐπιτηδείου γινόμεναι, παρασκευαζομένην αὐτὴν ὑφ' ἑτέρων μορίων λαμβάνουσιν· εἰκότως οὖν ἐσθ' ὅτε, πάθος ἴδιον οὐδὲν ἐχόντων τῶν οἰκείων τῆς ἐνεργείας ὀργάνων, ἀπόλλυσθαι συμβέβηκεν αὐτὴν ἀπορίᾳ τῆς ὕλης ἐξ ἧς ἐγένετο, καθάπερ ἐπὶ τῆς φωνῆς ἔχει. δέδεικται γὰρ ἐν τοῖς περὶ αὐτῆς λόγοις, ἡ ἐκφύσησις ὕλη μὲν οὖσα τῆς φωνῆς, γινομένη δ' ὑπὸ τῶν μεσοπλευρίων μυῶν, συστελλομένου τοῦ θώρακος· ὅταν οὖν οὗτοι μηκέτ' ἐνεργῶσιν, ἄφωνον γίνεται τὸ ζῶον, οὐδενὸς πάθους ἐνίοτε περὶ τὰ τῆς φωνῆς αὐτῆς ἴδια μόρια γεγενημένου. ταῦτα δ' ἐστὶ συ-

CAPVT VI.

Qua ratione morbi per consensum à propriis discernantur; ac quomodo aliquando deperdatur motus seruato sensu, aut sensus saluo motu.

HVic autem libro in præsentia finem imponere statui, si de propriis affectibus, & iis qui per consensum *eueniunt*, aliquid addidero, admonens in primis, quòd affectus, qui à reliquis medicis primarii vocantur, commodiùs proprios affectus appellauerim; quanquam nihil refert, si quis eos primarios nominare voluerit; nam satius est rerum differentias intelligere, quàm contendere de nominibus. Enimuero quum vel vaporibus vitiosis, vel ipsis quoque humoribus à ventriculo ad cerebrum ascendentibus, mens læditur, primigenio quidem affectu cerebrum tum laborare dicet nemo; non tamen affectûs expers omnino esse, verùm verbo per cõsensum affici, quod ab illis ipsis conceditur, id verissimum est; nam ex voce, per consensum affici, nequaquam partem non penitus affici, sed ipsam cum alia affici, declaratur. At quiuis meliùs clariúsque enarrauerit, si eam partem quæ per consensum afficitur, ob alteram affici dixerit. Igitur, quod multi medicorum veluti somniantes obscurè intellexerunt, atque ipsum, vtpotè non intelligentes, haudquaquam clarè enunciauerunt, id equidem veluti instituto operi perquam necessarium docere aggredior, hinc sumpto initio. Nonnullæ actiones ex idonea materia genitæ, ipsam ab aliis partibus præparatam accipiunt; proindéque decenter interdum, nullo existente in actionis propriis instrumentis affectu proprio, actionem ipsam deperdi contigit, defectu materiæ, ex qua fieri consueuit; vt in voce res sese habet. Nam in libro, quem de ipsa conscripsimus, ostensum est, quòd efflatio materia quidem vocis est, & efficiunt eam contracto thorace intercostales musculi; igitur his nihil agentibus, animal vocis fit orbum, & quidem nullo interdũ in propriis vocis partibus genito affectu. Sunt verò eæ, summatim

tim quidem loquendo totus larynx; si verò particulatim explicare volueris, tres ipsius cartilagines, & qui eas mouent musculi tres, cum neruis à cerebro; ac præterea laryngis ligula, quæ maximè proprium vocis instrumentum est. Etenim quum hæc à musculis moderatè & aperitur & committitur, voces efficit; quanquam eas reddi impossibile est, nisi vehementer foras spiritus feratur; id verò intercostales musculi perficiunt. Ac lapsus quidam ab alto, vt in terram dorsi initium affligeretur, tertio die exiguam admodum vocem emisit; quarto deinde omnino obmutuit, resolutáque simul fuerunt crura, manibus omnino illæsis. Sed neque spirationem amittebat, neque difficulter spirabat. Quum enim tota sub ceruice spinalis medulla esset resoluta, accidit thoraci, vt per septum transuersum, & musculos supernos sex moueretur, quum his nerui ex spinali medulla ceruicis prodeant: at intercostalium musculorum nerui, per quos efflationem fieri diximus, omnes affecti erant. Quum itaque frustra medici negotium facere vellent, cruribus quidem, vtpotè resolutis, gutturi verò, propter vocis affectum, prohibui, atque affecto duntaxat loco curationem adhibui; proinde finitâ tandem spinalis medullæ inflãmatione à septimo die, vox restituta est iuueni & crurum motus. Huiusmodi ergo læsionis speciem, magis propriè quis per consensum euenire dixerit, quam vbi ab humoribus quibusdam in ventriculo contentis capiti dolor accidit. Nam per huiusmodi affectiones, eleuatur ad ipsum aliquid; sed in dictis nuper affectibus nihil noxium ad crura defertur, sed contrà priuantur eâ facultate, quam antea spinalis medulla ipsis suppeditabat. Guttur verò, quum vox ablata est, non omnino priuatur spiritu, nam animal per ipsum etiamnũ expirat; at efflatione priuatur, quæ est multi spiritûs extra animal, per guttur affatim facta emissio. Sed de nominibus contendere cæteris permittamus; nobis enim res, quas illi penitus ignorant, pertractare satis fuerit. Equidem aliter dolet caput, vbi contenti in ventriculo humores eleuantur, qui simul & calefacere & distendere ea quæ sunt in capite possunt; atque aliter suffusorum apparent visa, neque calefactis, neque distentis oculis, sed solo vapore per ipsos transeunte. Præterea aliter cui meatus à cerebro descendens, obstructus est, non videt; aliter ille (quamuis huic quodammodo sit similis) cui propter spinalis medullæ infflammationem resoluta sunt crura; atque aliter is, cui vox aut periit, aut vitiata est. Etenim ad crura facultas quædam citra substantiam descendere prohibita est; ad oculos verò cum substantia; verum ad guttur materiæ peruenientis multitudo prohibita est; qui verò ob intercostalium musculorum perforationem obmutuit, is totam vocis materiam amisit. Sed quemadmodum crura per dictas spinalis medullæ affectiones resoluuntur, ita etiam guttur, vocalibus neruis vel incisis vel laqueo interceptis; vocare autem vocales neruos consueui eos, quos ipse inueni; nam preceptores mei eos duntaxat, qui apud arterias sunt, cognoscebant. Igitur ob horum quoque vitia vox perire solet, quod proprij gutturis nerui, quos recurrentes nominaui, ipsorum substantiæ pars

A γενόντι μὲν εἰπεῖν, ὁ σύμπας λάρυγξ, κατὰ μέρος δ' ἑρμηνευόντων, οἵ τε τρεῖς αὐτοῦ χόνδροι, καὶ οἱ κινοῦντες αὐτοὺς μύες τρεῖς, ἅμα τοῖς ἀπ' ἐγκεφάλου νεύροις· ἔτι τε πρὸς τούτοις ἡ ἔνδον τοῦ λάρυγγος ἐπιγλωττίς, ἥπερ ἐστὶ τὸ κυριώτατον ὄργανον τῆς φωνῆς· αὕτη γὰρ ὑπὸ τῶν μυῶν ἀνοιγομένη τε καὶ συναγομένη μετρίως, ἐργάζεται τὰς φωνάς· ἀλλ' οὐχ οἷόν τε γενέσθαι ταύτας, ἄνευ τοῦ σφοδρῶς ἔξω φέρεσθαι τὸ πνεῦμα· τοῦτο δ' ὑπὸ τῶν μεσοπλευρίων ἐπιτελεῖται μυῶν. καί τις ἀφ' ὑψηλοῦ πεσὼν, ὡς ἐρεῖσαι κατὰ B τῆς γῆς τὴν ἀρχὴν τοῦ μεταφρένου, περὶ μὲν τὴν τρίτην ἡμέραν πάνυ μικρὸν ἐφθέγγετο, τῇ δὲ τετάρτῃ τελέως ἦν ἄφωνος, ἅμα τῷ παραλελύσθαι τὰ σκέλη, μηδὲν τῶν χειρῶν βεβλαμμένων. οὐ μὴν οὔτ' ἄπνους, οὔτε δύσπνους ἐγένετο· παραλυθέντος γὰρ ὅλου τοῦ μετὰ τὸν τράχηλον νωτιαίου, συνέβη τῷ θώρακι, πρός τε τοῦ διαφράγματος ἔτι τε καὶ τῶν ὑψηλῶν μυῶν κινεῖσθαι τῶν ἕξ, ἐπειδὴ τὰ νεῦρα τούτοις ἐκ τοῦ κατὰ τὸν τράχηλόν ἐστι νωτιαίου· τὰ δὲ τῶν μεσοπλευρίων μυῶν νεῦρα πάντ' ἔπαθεν, ὑφ' ὧν ἡ ἐκφύσησις C ἐδείχθη γινομένη. βουλομένων οὖν τῶν ἰατρῶν [45] ἐνοχλῆσαι εἰκῇ, τοῖς μὲν σκέλεσι, διότι παρεῖτο, τῷ δὲ λάρυγγι διὰ τὸ τῆς φωνῆς πάθημα, κωλύσας ἐγὼ, μόνου προνοησάμενος τοῦ πεπονθότος τόπου, καὶ γενομένου τε ἀφλεγμάντου τοῦ νωτιαίου μετὰ τὴν ἑβδόμην ἡμέραν, ἐπανῆλθεν ἥ τε φωνὴ καὶ ἡ τῶν σκελῶν κίνησις τῷ νεανίσκῳ. τὸ μὲν δὴ τοιοῦτον εἶδος [46] τῆς βλάβης, κυριώτερον ἄν τις ὀνομάσειε συμπαθείαν, ἤπερ ὅταν ἐπὶ χυμοῖς τισι κατὰ τὴν γαστέρα περιεχομένοις, ἄλγημα γένηται τῇ κεφαλῇ· ἀναφέρεται γάρ τι πρὸς αὐτὴν ἐν ταῖς τοιαύταις διαθέσεσιν, οὐ μὴν ἐπὶ τὰ σκέλη γε φέρεται τι τῶν βλαπτόντων ἐν ταῖς εἰρημέ- D ναις διαθέσεσιν, ἀλλὰ τοὐναντίον ἀποστερεῖται δυνάμεως ἧς πρότερον αὐτοῖς ἐχορήγει ὁ νωτιαῖος. ὁ δὲ λάρυγξ οὐκ ἀποστερεῖται μὲν εἰς τὸ παντελὲς τοῦ πνεύματος ἐν ταῖς ἀφωνίαις, ἔτι γὰρ ἐκπνεῖ τὸ ζῶον δι' αὐτοῦ· στερεῖται δὲ τῆς ἐκφυσήσεως, ἥτις ἦν ἀθρόα φορὰ τοῦ πνεύματος πολλοῦ διὰ λάρυγγος, ἔξω τοῦ ζώου. περὶ μὲν δὴ τῶν ὀνομάτων, ἑτέροις φιλονεικεῖν ἐπιτρεπτέον· ἡμῖν δ' ἀρκέσει περὶ τῶν πραγμάτων, ὧν ἐκεῖνοι παντάπασιν ἀγνοοῦσι, διελθεῖν· ἄλλως μὲν ἐπὶ τοῖς ἐν γαστρὶ χυμοῖς κεφαλαλγοῦσι, τῶν ἀναφερομένων δηλονότι χυμῶν θερμαινόντων τε ἅμα καὶ διατεινόντων τὰ κατὰ τὴν κεφαλήν· ἄλλως δὲ τὰ τῶν ὑποχεομένων E πάσχουσι φαντάσματα, μήτε θερμαινομένων τῶν ὀφθαλμῶν, μήτε διατεινομένων, ἀλλὰ μόνον ἀτμοῦ διεξιόντος αὐτοῖς· ἔτι τε πρὸς τούτοις ἑτέρως μὲν, ὁ φραχθεὶς τὸν ἀπ' ἐγκεφάλου καθήκοντα πόρον, οὐχ ὁρᾷ, καὶ τούτῳ παραπλησίως μέν πως, ἑτέρως δὲ, ὁ διὰ τὴν τοῦ νωτιαίου φλεγμονὴν [47] παρεθεὶς τὰ σκέλη· καθ' ἕτερον δὲ τρόπον, ὁ τὴν φωνὴν ἀπολέσας, ἢ βλαβείς. εἰς μὲν γὰρ τὰ σκέλη δύναμίς τις ἀφικνεῖσθαι κεκώλυται χωρὶς οὐσίας, εἰς δὲ τοὺς ὀφθαλμοὺς μετ' οὐσίας, εἰς δὲ τὸν λάρυγ- F γα τῆς ἀφικνουμένης ὕλης κεκώλυται τὸ πλῆθος· ἐπὶ δὲ τοῦ διὰ τὴν μεσοπλευρίων μυῶν σύντρησιν ἀφώνου γεγονότος, ἀπόλωλε τελέως ἡ τῆς φωνῆς ὕλη. ὅστις δὲ ὁ τρόπος τοῖς σκέλεσι τῆς παραλύσεως γίνεται κατὰ τὰς εἰρημένας τοῦ νωτιαίου διαθέσεις, ὁ αὐτὸς καὶ τῷ λάρυγγι, τῶν νεύρων τῶν φωνητικῶν τμηθέντων ἢ βρόχῳ διαληφθέντων· ὀνομάζειν δὲ εἴωθα φωνητικὰ νεῦρα τὰ πρὸς ἡμῶν εὑρεθέντα, τῶν διδασκάλων μόνα τὰ παρὰ ταῖς ἀρτηρίαις εἰδότων. ἀκολουθεῖ μὲν οὖν κἀκείνοις ὁμοίως κακωθεῖσιν ἀπώλεια φωνῆς, ὅτι καὶ τὰ τοῦ λάρυγγος ἴδια νεῦρα τὰ παλινδρομοῦντα πρὸς ἐμοῦ κληθέντα, μόρια τῆς οὐσίας αὐτῶν ἐστιν·

εἰς πολλὰ δὲ καὶ ἄλλα μόρια νενεμημένων αὐτῶν, οὐκ ἔχει προσηγορίαν οἰκειοτέραν τῆς τῶν φωνητικῶν, ἐπειδὴ ἴδια τῶν τὴν φωνὴν ῥυθμιζόντων ὀργάνων ἐστίν. ὅ γε μὴν τρόπος τῆς βλάβης τοῖς μυσὶ τοῦ λάρυγγος ὁ αὐτός ἐστιν, εἴτε τὰ παλινδρομοῦντα νεῦρα κακωθείη, [43] εἴτε τὰ παρὰ ταῖς ἀρτηρίαις, ἑκατέρως γὰρ ἀπορροῦσι δυνάμεως ψυχικῆς, ἧς χωρὶς οὐχ οἷόν τε κατὰ προαίρεσιν αὐτοὺς κινεῖσθαι. καὶ μὴν καὶ ἡ τῶν κινούντων τὴν ἐπιγλωττίδα μυῶν τομή, τελέως μὲν ἄφωνον ἐργάζεται τὸ ζῶον· ἀλλ' οὐ κατὰ τὸν αὐτὸν ἀπολύτως τρόπον, οὐ μὴν οὐδὲ παντάπασι διαφερόντως, ἢ εἰς τὰ νεῦρα βλαβείη· τὸ κοινὸν γὰρ τῆς βλάβης ἀμφοῖν ἐστιν, ἐν τῷ στερίσκεσθαι τὴν ἐπιγλωττίδα τῆς πρὸς τὴν κινοῦσαν ἀρχὴν συνεχείας, γίνεταί τε τοῦτο ἐάν τε τοὺς μῦς, ἐάν τε τὰ νεῦρα τέμνῃς, ἢ βρόχῳ διαλαβῇς, ἢ θλάσῃς, ἢ ὁπωσοῦν ἄλλως κακώσῃς. ἐγὼ γοῦν οἶδα καὶ ψυχθέντων ἐπὶ πλέον τῶν παλινδρομούντων νεύρων ἐν χειρουργίᾳ τινὶ κατὰ τράχηλον ἐν χειμῶνι γινομένῃ, κακωθεῖσαν τὴν φωνήν, ὡς ὀλίγου δεῖν ἀπολέσθαι· καὶ συνιέντες γε τοῦτ' αὐτό, θερμαίνουσι φαρμάκοις αὐτὴν ἀνεκαλεσάμεθα, τὴν κατὰ φύσιν κρᾶσιν ἀνακτησάμενοι τοῖς νεύροις. ὥσπερ δὴ ἐπὶ ταῖς τοῦ θώρακος συντρήσεσιν ἀπόλλυται ἡ φωνὴ στερήσει τῆς ὕλης, οὕτω κἂν τὴν τραχεῖαν ἀρτηρίαν ὅλην διατέμῃς· οὐ γὰρ ἔτι παραγίνεται τὸ πνεῦμα πρὸς τὸ τῆς φωνῆς ἴδιον ὄργανον. ἑτέρῳ δὲ τρόπῳ ταὐτὸν ἐργάζεται βρόχος ὅλῳ τῷ τραχήλῳ περιτεθείς· ἀλλ' οὗτος μὲν οὐκ ἄφωνον μόνον ἀποτελεῖ τὸ ζῶον, ἀλλὰ πνίγει, στερίσκων τῆς ἀναπνοῆς· ἡ δὴ ἀρτηρία διαιρεθεῖσα, φωνὴν μὲν βλάπτει, τῆς δ' ἀναπνοῆς οὐκ ἀφαιρεῖται τὸ ζῶον· αἱ δὲ κυνάγχαι καλούμεναι, φλεγμοναὶ τῶν ἔνδον τοῦ λάρυγγος οὖσαι σωμάτων, ἀνάλογον ἀγχόνῃ στερίσκουσι τῆς ἀναπνοῆς, ἐμφράττουσαι τὸν πόρον αὐτῆς, διὸ δὴ καὶ μάλιστα τοῦ τῆς φωνῆς ὀργάνου πάθος ἴδιόν εἰσιν, ἐφεξῆς δὲ τῶν ἔξωθεν αὐτοῦ μυῶν ἡ βλάβη· τῶν δ' ἄλλων ἁπάντων ὧν εἶπον, οὐκ ἴδιον, ἀλλὰ κατὰ συμπάθειαν μᾶλλον. ἐκκόπτων γοῦν τις ἐκ τραχήλου χοιράδας ἐν τῷ βάθει κειμένας, εἶτα [49] δὲ εἰς τὸ μὴ τεμεῖν τι ἀγγεῖον, οὐ [50] τῇ μήλῃ τέμνων τοὺς ὑμένας, ἀλλὰ τοῖς ὄνυξι διασπῶν, ἔλαθεν ὑπ' ἀγνοίας συνδιασπάσας τὰ παλινδρομοῦντα νεῦρα· καὶ οὕτω τῶν μὲν χοιράδων ὑγιὲς ἀπέφηνε τὸ παιδάριον, ἄφωνον δὲ εἰργάσατο. καί τις ἄλλος ἕτερον παῖδα χειρουργῶν, ὁμοίως ἡμίφωνον ἐποίησεν, ἐπὶ θατέρῳ μόνῳ νεύρῳ βλαβέντι· καὶ μέν τοι καὶ θαυμαστὸν ἐδόκει πᾶσιν, ὅτι μήτε τῆς τραχείας ἀρτηρίας, μήτε τοῦ λάρυγγος παθόντων τι, τὴν φωνὴν βλαβῆναι συνέβη· δειχθέντων δ' αὐτοῖς ὑπ' ἐμοῦ τῶν φωνητικῶν νεύρων, ἐπαύσαντο θαυμάζοντες. ἐφ' ὧν οὖν ἤτοι γ' ὕλης ἢ δυνάμεως ἡ χορηγία διαφθείρεται, πιθανῶς ἄν τις λέγοι βεβλάφθαι τὴν ἐνέργειαν, ἀβλαβοῦς φυλαττομένου τοῦ ποιοῦντος αὐτὴν μορίου· τὸ δ' ὑπὸ χυμῶν ἢ ἀτμῶν ἑτέρωθεν ἡκόντων εἰς αὐτό, βλαπτόμενον, οὐκ ἂν εἰκότως ἀπαθὲς εἶναι λέγοιτο· πιθανῶς δ' οὐδὲν ἧττον ἄν τις λέγοι κἀπὶ τῶν γε στερισκομένων ὕλης τινὸς ἢ δυνάμεως, βεβλάφθαι τὸ μόριον, εἴ γε ἐν τῷ παραλαμβάνειν ταῦτα τὴν κατὰ φύσιν εἶχε διοίκησιν. ὥστε κἀκ τῆς τοιαύτης εἰς ἑκάτερον ἐπιχειρήσεως, ἄχρηστος φαίνεται ἡ τῶν λογικῶν προβλημάτων ἡ σκέψις, οὐδὲν οὔτ'

sint; sed quum hi ad multas alias partes distribuantur, nullam habent magis propriam appellationem eâ, quâ vocales appellantur, qui ad instrumenta vocem concinnantia propriè pertinent. At idem est modus læsionis gutturis musculis, siue recurrentes nerui, siue ij, qui secundum arterias sunt, vitientur; vtrinque enim animalis facultas desideratur, sine qua voluntatis imperio moueri illis non contingit. Et quidem musculorum ligulam mouentium incisio animal penitus mutum efficit, sed neque simili omnino modo, neque etiam in totum diuerso, quam si neruos læserit; nam habent vtrique hanc communem læsionem, quod ligula continuitate, quam ad mouens principium habet, priuetur; idque fieri solet, siue neruus, siue musculus incidatur, aut laqueo intercipiatur, aut contundatur, aut quomodolibet aliter vitietur. Equidem vocem vitiatam fuisse memini adeò, vt pene perderetur, refrigeratis vehementer neruis recurrentibus, quum, per hyemem in collo adhibita fuisset quædam chirurgia; quod quum intelligerem, calefacientibus remedijs naturale temperamentum neruis restituens, vocem reuocaui. Cæterum vt ob materiæ priuationem perforato thorace, ita etiam asperâ arteriâ totâ incisâ, vox perit; non enim etiamnum ad proprium vocis organum spiritus accedit. Idem efficit alio modo laqueus toti collo circundatus; verùm hic non solùm mutum reddit animal, sed etiam suffocat, tollendo respirationem. Arteria autem dissecta, vocem quidem lædit, sed animal respiratione non priuat. Angina verò vocata, quum sit internarum gutturis partium inflammatio, strangulationi similiter, respirationem tollit, ipsius meatum obstruendo; iccirco vocalis instrumenti maximè proprius affectus est, ac deinceps externorum ipsius musculorum noxa; cæterarum verò partium omnium, quarum meminimus, non proprius, sed per consensum potiùs affectus est. Quum ergo ex ceruice quidam strumas in profundo sitas excideret, ac deinceps ne secaret aliquod vas, membranas non specillo cæderet, sed vnguibus euelleret, imprudens ob ignorantiam simul recurrentes neruos distraxit; atque hoc pacto puerulum liberauit à strumis, sed mutum reddidit. Quidam alius in alio puero sectionem faciens, ipsum similiter semimutum reddidit, læso videlicet altero duntaxat neruo. Mirabantur verò omnes, quòd neque asperâ arteriâ, neque gutture quicquam affecto, vocem lædi contingeret; at quum vocales neruos illis demonstrassem, admirari desierunt. Quibus igitur partibus vel materiæ vel facultatis suppeditatio corrumpitur, actionem lædi probabiliter aliquis dixerit, parte ipsam faciente nequaquam læsâ: at verò si vel à vaporibus, vel humoribus aliundè ad ipsam venientibus lædatur, eam non rectè dixeris affectam non esse. Neque minus etiam probabiliter quis dixerit, partem vel materiâ vel facultate priuatam læsam esse, si his recipiendis, dispensationem secundum naturam habebat. Proinde ex huiusmodi in vtranque partem argumentatione, logicorum problematum consideratio inutilis apparet, neque ad affectuum dignotionem, neque ad

ad curationem, neque etiam ad futurorum euentuum præsagia, quicquam conferens. Animaduerte ergo, quomodo curationem ex affecti loci notitiâ inuentam, hac consideratione neglectâ, narrabo. Quidam habens medicamentum tribus manûs digitis adhibitum, dixit triginta iam diebus ipsorum sensum se deperdidisse, illæsâ seruatâ motione, nihilque præsidij ab impositis medicamentis percipere. Ego verò id, quod in huiusmodi casibus facere consueui, ne tunc quidem obliuioni tradidi; sed vocatum medicum, qui digitorum eius curationem susceperat, interrogaui, cuiusmodi remedia adhibuisset; quæ quum intelligerem ad hanc rem esse idonea, causam inuestigare cœpi, cur nullum ab ipsis homo præsidium consequutus fuisset, inquirens quæ præcesserant symptomata. Ipso autem dicente, neque inflammationem, neque refrigerationem, neque ictum præcessisse, sed paulatim sensum periisse, captus admiratione, rursus interrogaui, num superiorum partium aliqua icta fuisset; ille respondit, manum quidem non fuisse ictam, sed dorsi initium fuisse. Deinde quomodo & quando id accidisset quum interrogarem, respondit, se quum Romam proficisceretur, à vehiculo decidisse, ac non multò post digitorum incepisse affectum. Quocirca coniecturam feci, in primo delapsu nerui post septimam vertebram prodeuntis, partem quampiam ob ictum inflammatam, scirrhosum induisse affectum. Id verò intellexi, doctus ex anatome, quòd nerui per propriam circunscriptionem, veluti venæ, exoriri videantur, adeò vt vnumquemque eorum exquisitè vnum esse putes, quemadmodum & venam: verùm protinus ab origine multi sunt, simul concreti & communibus inuolucris contenti, quæ à cerebri meningibus exoriuntur. Ergo neruorum, qui à ceruice prodeunt vltimi, humilior pars ad minores peruenit digitos, per cutem dispersa ipsos continentem, ac præterea per medij digiti medietatem; quod etiam cæteros medicos in maximam duxit admirationem, quòd dimidia duntaxat pars videretur affecta; id vero mihi persuasit potissimum, eam tantum nerui partem, quæ in cubito ab ipso egrediens iam propositis digitis finitur, esse affectam. Igitur adhibitum eis medicamentum abiicere iubens, illi præcipuè spinæ parti, quæ affectæ partis initium obtinebat, ipsum adaptaui; secutaque est res (vt aspicientibus videbatur) & admirabilis & inopinata, quòd digiti manus, adhibitis spinæ medicamentis, essent curati. Verùm affectu omninò summoto, orta est inter medicos quæstio, quisnam sit ille neruorum affectus, per quem seruato eorum motu, sensus pereat. Atque ego idipsum dicebam, quod priores iam medici dixerant quidam, quod scilicet sensus patiendo, motus vero faciendo aliquid fit; quapropter, vt quis moueatur, opus est robore; sed vt sentiat, vel minima facultas sufficit. Quumque rectè me hunc dixisse sermonem putarent, quid igitur (inquam) nunquid vidistis aliquandò contrà euenire, vt seruato sensu, motus periret? Tum cæteris omnibus se nunquam

εἰς τὴν διάγνωσιν τῶν παθῶν, οὔτ' εἰς τὴν ἴασιν, οὔτ' εἰς τὴν τῶν ἀποβησομένων πρόγνωσιν, ὠφελοῦσα. φράσαι χρὴ, ὅπως ἐγὼ μηδ' ἁψάμενος αὐτῆς, διηγήσομαι θεραπείαν ἐκ τῆς τοῦ πεπονθότος τόπου γνώσεως εὑρεθεῖσαν. Ἔχων τις ἐπικείμενον φάρμακον τοῖς τρισὶ δακτύλοις τῆς χειρὸς, ἔφασκε τριακοστὴν ἡμέραν ἤδη τὴν αἴσθησιν αὐτῶν ἀπολωλέναι, τῆς κινήσεως ἀβλαβοῦς φυλαττομένης, ὀνίνασθαί τε μηδὲν ὑπὸ τῶν ἐπιτιθεμένων φαρμάκων. ὅπερ οὖν εἴωθα πράττειν ἐπὶ τῶν τοιούτων, οὐδὲ τότε παρέλιπον, ἀλλ' ἠρώτησα [51] καλέσας τὸν προνοούμενον αὐτοῦ τῶν δακτύλων ἰατρὸν, ὁποίοις τισὶ κεχρησάμενος εἴη φαρμάκοις. ὡς δὲ τοῖς προσήκουσιν εὗρον, ἐζήτουν τὴν αἰτίαν τοῦ μηδὲν ὠφελεῖσθαι τὸν ἄνθρωπον, ἠρώτων τε τὰ προηγησάμενα συμπτώματα. τοῦ δὲ μήτε φλεγμονήν τινα, μήτε ψύξιν, μήτε πληγὴν αὐτοῖς προηγήσασθαι [52] φάντος, ἀλλ' ἐκ τοῦ κατὰ βραχὺ τὴν αἴσθησιν ἀπόλλυσθαι, θαυμάζων πάλιν ἠρόμην, εἰ μὴ τῶν ἀνωτέρω τι μορίων ἐπλήγη. τοῦ δὲ κατὰ μὲν τὴν χεῖρα μηδὲν εἰπόντος, ἐν ἀρχῇ δὲ τοῦ μεταφρένου πληγῆναι φάσκοντος, αὖθις ἠρόμην ὅπως τε καὶ ὁπότε [53] ἐπλήγη. καὶ μέντοι καὶ ἀποκριναμένου κατὰ τὴν εἰς Ῥώμην ὁδὸν ἡνίκ' ἐξέπεσε τοῦ ὀχήματος εἶναι τὸν χρόνον οὐ πολὺ πρότερον, ἢ τοὺς δακτύλους ἄρξασθαι πάσχειν, ἐτεκμηράμην ἐν τῇ πρώτῃ τοῦ μετὰ τὸν ἕβδομον σπόνδυλον νεύρου διεκπτώσει, μόριόν τι ἐπὶ τῇ πληγῇ φλεγμῆναν, σκιρρώδη διάθεσιν ἐσχηκέναι. τοῦτο δ' ἐνόησα, μεμαθηκὼς διὰ τῆς ἀνατομῆς, ὅτι τὰ νεῦρα κατὰ περιγραφὴν μὲν ἰδίαν, ὡς αἱ φλέβες, ἐκφυόμενα φαίνονται, καὶ δόξαις ἂν ἓν ἀκριβῶς ἕκαστον αὐτῶν ὑπάρχειν, ὥσπερ καὶ τὴν φλέβα· τὰ δ' ἐπ' εὐθέως ἀπὸ τῆς ἀρχῆς πολλὰ, σφιγγόμενα ἅμα πάντα καὶ συνεχόμενα κοινοῖς περιβλήμασιν ἀπὸ τῶν μηνίγγων ἐκπεφυκόσιν. καὶ τοίνυν τοῦ τελευταίου τῶν ἐκ τοῦ τραχήλου νεύρων, ἡ ταπεινὴ μοῖρα πρὸς τοὺς μικροὺς ἀφικνεῖται δακτύλους, εἰς τὸ περιέχον αὐτοὺς διασπειρομένη δέρμα, καὶ προσέτι τοῦ μέσου δακτύλου τὸ ἥμισυ μέρος· ὅπερ δὴ καὶ θαυμασιώτατον ἐδόκει τοῖς ἰατροῖς, ὅτι τὸ ἥμισυ μόνον ἐφαίνετο πεπονθός· ἐμὲ δ' αὐτὸ τοῦτο προσήγαγε μᾶλλον, ὡς ἐκεῖνο μόνον εἴη τοῦ νεύρου τὸ μέρος πεπονθὸς, ὃ κατὰ τὸν πῆχυν ἀποφυόμενον αὐτοῦ τελευτᾷ πρὸς τοὺς εἰρημένους δακτύλους· ἀπορρῖψαί τε κελεύσας τὸ φάρμακον, ὃ κατ' αὐτῶν ἐπέκειτο, κατ' ἐκεῖνο μάλιστα τῆς ῥάχεως ἐπέθηκα τὸ μέρος, ὃ τὴν ἀρχὴν εἶχε τοῦ πάσχοντος μορίου. καὶ οὕτως συνέβη, καθάπερ ἐδόκει τοῖς ὁρῶσι, [54] θαυμάσιόν τε καὶ παράδοξον, οἱ τῆς χειρὸς δάκτυλοι διὰ τῶν ἐπιτιθεμένων τῇ ῥάχει φαρμάκων θεραπευόμενοι. κἀπειδὴ τελέως ἀπηλλάγη τοῦ πάθους, ζήτησις ἐγένετο τοῖς ἰατροῖς, ἥτις ποτ' ἂν ἡ διάθεσις τῶν νεύρων, ἐν ᾗ τὴν μὲν κίνησιν αὐτῶν σώζεσθαι συμβαίνει, τὴν δ' αἴσθησιν ἀπόλλυσθαι. κἀγὼ τὸ λελεγμένον ἤδη τισὶ τῶν ἔμπροσθεν ἰατρῶν εἶπον, ὡς ἡ μὲν αἴσθησις ἐν τῷ πάσχειν, ἡ δὲ κίνησις ἐν τῷ ποιεῖν τι γίνοιτο· καὶ διὰ τοῦτο ῥώμης μὲν δεῖ τῷ κινήσοντι, τῷ δ' αἰσθησομένῳ καὶ ἡ βραχυτάτη δύναμις ἀρκεῖ. δόξαντος δ' αὖθις ὀρθῶς εἰρῆσθαι τοῦ λόγου, τί οὖν, εἶπον, οὐ καὶ τοὐναντίον ἐθεάσασθέ ποτε, τῆς αἰσθήσεως σωζομένης ἐκλελειπυῖαν τὴν κίνησιν; οἱ μὲν οὖν ἄλλοι σχεδὸν πάντες [illegible]

ἑωρακέναι τοῦτ' ἔφασαν, εἷς δέ τις ὡμολόγει, καὶ τοὔνομά γε τοῦ παθόντος ἔλεγε, καὶ μάρτυρας ἐπηγγέλλετο παρέξειν. δόξαντος δὲ τούτου μάχεσθαι τοῖς εἰρημένοις ἐπὶ τῶν κινουμένων μὲν μορίων, οὐ μὴν αἰσθανομένων· ὅσον μὲν γὰρ ἐπ' ἐκείνῳ τῷ λόγῳ, παντάπασιν ἀδύνατόν ἐστιν ἀπολωλυίας αἰσθήσεως, ἔτι κινεῖσθαι κατὰ προαίρεσιν· αὖθις ἐδέοντό μου τὴν αἰτίαν ἀκοῦσαι τῶν φαινομένων ἀμφοτέρων. ἔστι δὲ σαφὴς τοῖς ἐπισταμένοις ἀνατομὴν νεύρων, οὖσα τοιάδε. ἅπασα μὲν ἡ καθ' ὁρμὴν κίνησις, ὑπὸ μυῶν γίνεται· νεῦρον γὰρ οὐδέν ἐστιν αὐτὸ καθ' ἑαυτὸ χωρὶς μυὸς οὐδεμίαν ἐργαζόμενον ἐν τοῖς τοῦ ζώου μορίοις οὐδαμόθι τοιαύτην ἐνέργειαν, ἀλλὰ διὰ μέσων τῶν μυῶν πάσας τὰς προαιρετικὰς ὀνομαζομένας κινήσεις ἐπιτελεῖ. καθήκουσι δ' εἰς τὰ κινηθησόμενα μόρια, ποτὲ μὲν ἄντικρυς οἱ μύες αὐτοί, ποτὲ δὲ διὰ μέσων τενόντων, οὓς ἀπονευρώσεις ἔνιοι προσαγορεύουσιν· ἐκ τούτου τοῦ γένους εἰσὶ καὶ οἱ τοὺς δακτύλους κινοῦντες τένοντες, ὁμοίως τοῖς τόνοις ὀνομαζομένοις ὑφ' Ἱπποκράτους περιφερεῖς. ἐὰν μὲν οὖν τὰ τῶν μυῶν νεῦρα πάθῃ, τὴν κίνησιν ἀπολλύουσιν οἱ δάκτυλοι· τῶν δ' εἰς τὸ δέρμα παραγινομένων παθόντων, ἡ κατὰ τὴν ἁφὴν αἴσθησις διαφθείρεται· κατὰ δὲ τὰς ὅλων τῶν κώλων παραλύσεις, ὡς ἂν τῆς κοινῆς ἀρχῆς πεπονθυίας, ἀμφότεραι συναπόλλυνται, κινήσεις τε καὶ αἰσθήσεις. καὶ τόν γε πρωτοπαθοῦντα τόπον ἐκ τοῦ πλήθους τῶν βεβλαμμένων νεύρων μόνον ἐστὶν ἐξευρεῖν, ἐάν γέ τις ἀκριβῶς ἴδῃ τὰς κοινὰς αὐτῶν ἀρχάς, ἃς ἐν τῇ τῶν νεύρων ἀνατομῇ διῆλθον, οὐδενὸς τῶν πρὸ ἐμοῦ τὴν ἀνατομὴν ταύτην ἀκριβώσαντος, ἀλλὰ τῶν μὲν μεῖζον, τῶν δ' ἔλαττον σφαλέντων. ὁ δὴ οὖν γεγυμνασμένος ἐν αὐτοῖς μόνος ἀκριβῶς λογίζεσθαι δύναται, κατὰ τίνα σπόνδυλον ὁ νωτιαῖος ἔπαθεν, ἤτοι γε ὅλος, ἢ τὸ ἕτερον αὐτοῦ μέρος· ἔστιν ὅτε γὰρ ἐν τῷ δεξιῷ μόνον αὐτοῦ μορίῳ τὸ πάθος ἐστί, μηδὲν θατέρου παθόντος· ἢ πάλιν τοὐναντίον, ἀπαθὲς μὲν ἔμεινε τοῦτο, μόνον δ' ἔπαθε τὸ εὐώνυμον· καὶ κατὰ τοῦτο, ποτὲ μὲν ἅπαντα τὰ ἐν τοῖς εὐωνύμοις παραλύεται, τῶν δεξιῶν ἀπαθῶν φυλαττομένων, ἐνίοτε δ' ἔμπαλιν, ἔπαθέ τε καὶ παρελύθη τὰ δεξιὰ μέρη μόνον. μηδὲν μέντοι παθόντος αὐτοῦ τοῦ νωτιαίου, μόνης δὲ μιᾶς ἐκφύσεως νεύρου, τῶν μορίων ἐκείνων παρακολουθεῖ παράλυσις, εἰς ἃ τὸ νεῦρον διασπείρεται· καὶ μὴν καὶ δύο, καὶ τρεῖς ἐνίοτε μόναι τῶν ἐκφύσεων ἔπαθον, ἀπαθοῦς τοῦ νωτιαίου φυλαχθέντος. οὕτως γοῦν ἐπεπόνθει καὶ ὁ τἄλλα τῆς χειρὸς ἅπαντα παραλυθείς, ὡς μήτε αἰσθάνεσθαι, μήτε κινεῖσθαι, κατὰ δὲ τοὺς τρεῖς δακτύλους μόνους ἔχων διασωζομένην τὴν αἴσθησιν. ἄλλῳ δ' οὐκ αὐτὴ μόνον, ἀλλὰ καὶ αἱ κινήσεις ἐσώζοντο τῶν μυῶν ἐκείνων, εἰς οὓς ἡ μετὰ τὸν ἕβδομον σπόνδυλον ἔκφυσις διενέμετο. καί τις ἄλλος ἐκ καταπτώσεως σφοδρᾶς, ἐκείνους μόνους τοὺς μῦς παρελύθη τοὺς ἐκ τούτου τοῦ νεύρου λαμβάνοντας μόρια· τῷ δ' αὐτῷ τούτῳ καὶ τοῦ δέρματος ἐκεῖνα μόνα τὴν αἴσθησιν ἀπώλεσεν, ὅσα παρὰ τοῦ λελεγμένου νεύρου τὰς ἀπονεμήσεις ἐλάμβανεν. ὅστις οὖν βούλεται γνωρίζειν, ἐν ποίῳ σπονδύλῳ τὸ πάθος ἐστίν, ἤτοι μόνης τῆς ἐκφύσεως νεύρου τινός, ἢ καὶ τοῦ νωτιαίου μυελοῦ, κατὰ τὴν τῶν νεύρων ἀνατομὴν γυμνασάσθω, μέθοδον

A conspexisse dicentibus, vnus id confitebatur, ac nomine laborantis citato, testes quoque se adhibiturum pollicebatur; quod quum pugnare videretur cum enarratis de partibus, quæ mouentur quidem, non verò sentiunt; etenim quod ad hanc rationem pertinet, fieri haudquaquam potest, vt perdito sensu, motus à voluntatis imperio prodiens seruetur; rursus orabant, vt causam explicarem, quamobrem vtraque appareant. Ea verò plana est iis, qui neruorum dissectionem didicerunt, talisque est. Omnis voluntarius motus à mus-B culis perficitur; nullus enim neruus per se sine musculo vllam huiusmodi in animantis partibus actionem efficit, sed per medios musculos omnes à voluntate prodeuntes motus perficit. Ad partes verò mouendas, musculi ipsi aliquando quidem manifestè perueniunt; aliquando verò per medios tendones, quos aponeuroses aliqui cognominant; atque ex hoc genere sunt tendones, quibus digiti mouentur, similiter ijs, qui toni ab Hippocrate nominatur, rotundi. Si itaque mus-C culorum neruos affici contingat, motus digitorum perit; si verò eos qui ad cutem perueniunt, tangendi sensus corrumpitur; sed vbi tota resoluuntur membra, quum videlicet commune principium affectum est, simul & sensus & motus pereunt. Et locum quidem primariò affectum, ex læsorum neruorum multitudine duntaxat inuenire licet, siquis exquisitè cognouerit communia ipsorum principia, quæ in neruorum dissectione percurrimus, quum nullus ante me huiusmodi dissectionem accuratè tractasset; sed alij plus, alij mi-D nùs, errassent. Igitur solus ille, qui in ipsis fuerit exercitatus, exquisitè cõsiderare poterit, in quâ vertebrâ spinalis medulla sit affecta, siue tota, siue altera eius pars; nam accidit aliquando, vt dextra ipsius pars duntaxat affecta sit, alterâ nequaquam læsâ; aut è contrario, vt illâ manente integrâ, sola sinistra affectum ferat; atque hac ratione interdum tota pars sinistra resoluitur, dextrâ parte manente illæsâ; interdum contra, dextra pars duntaxat & affecta est, & resoluta. Vbi verò non affecta spinalis medulla est, sed tantùm vnus nerui pro-E cessus læsus, earum duntaxat partium resolutio sequitur, in quas neruus ille distribuitur; atque interdum duo, aut tres duntaxat neruorum processus affecti sunt, quum interim spinalis medulla citra affectum seruetur. Sic igitur affectus erat is, qui per reliquas manûs partes omnes ita fuit resolutus, vt neque sentiret, neque moueretur, in solis tribus digitis sensum habuit superstitem. Alteri non solum ipse sensus, sed etiam eorum musculorum, in quos neruorum propago sub septimâ vertebrâ exorta distribuitur, motus seruati F sunt. Atque alius ob casum ab alto vehementem solos eos musculos resolutos habuit, qui huius nerui partes suscipiunt; idem etiam ille in ijs duntaxat cutis partibus sensum amisit, ad quas prædicti nerui distributiones demittuntur. Igitur quisquis scire desiderat, in quâ vertebrâ sit affectus, siue in sola nerui cuiuspiam propagine, siue in spinali quoque medulla, in neruorum dissectione exercitatus sit, communemque habeat methodum, quâ

quâ resolutos musculos, vnà cùm cute, quæ sensum amiserit, obseruet. Nam si spinalis medulla in aliquâ vertebrarum, tota affecta sit, omnes partes inferiores resoluuntur; si verò in altera parte læsa sit, alterâ manente illæsâ, in partibus duntaxat illi è directo respondentibus erit resolutio; si verò nerui radix affecta sit, reliquæ partes omnes affecto loco inferiores nihil afficientur; sed solæ illæ partes resoluentur, in quas singuli nerui distribuuntur. Hæc igitur si accuratè didiceris, resoluta membra, relictâ spinâ, non amplius vexabis; sed huic adhibitis remedijs, partem affectam curabis. Sic etiam, si non circa spinam, sed in regione quapiam illam sequente, neruus affectus sit, ex musculis & cute quærendæ sunt notæ. Cutem quidem facilè cognosces, nam oculis subiicitur; musculi vero ex actionibus deperditis deprehenduntur. Proinde necesse est, circa musculorum sectionem te exercites, & cognoscas, cuius quisque actionis sit instrumentum; sic enim duntaxat discernere poteris, quarum partium actio pereat, nullo morbo corpoream ipsarum substantiam afficiente; in quibus præcedat morbus, vel qui fiat, vel factus. Verùm morborum genera, & differentias omnes in altero libro scriptas didicisti, qui de morborum differentijs inscriptus est, atque similiter in alio symptomatum differentias; at de causis vtrorumque etiam separatim scriptum est, in vno quidem de morborum, in tribus verò de symptomatum; in quibus omnibus exercitari oportet eum, qui facile voluerit inuenire discernereque & causam, & morbũ, & sedem affectam. Etenim fieri non potest, vt omnia per syndromas doceantur, quanuis Empiricorum ea sit opinio; qui verò accuratè & præcedentia, & præsentia cognouerit symptomata, atque sic ad methodi medendi experientiam venerit, inueniet locum affectum simul cum ipso affectu. Atque id maximâ ex parte accidit partibus, quæ in intimo corpore constituuntur, vti paulò ante de ijs, qui sensum vel motum perdunt, demonstrauimus. At nihil deterius fortassis fuerit narrare quædam iam facta, cuiusmodi hæc sunt. Puer annorum ferè sex, inuitus per aluum excrementa deijcere cœpit, resoluto derepente circa sedem musculo; quinetiam seni quondam huiusmodi euenit symptoma; atque rursus alius puer, ætatis ferè annorum quatuordecim, excrementa inuitus per aluum deiecit, infestante simul vesicam dolore, atque alteri vrinâ quoque suppressâ; contra alius vrinam inuitus excreuit; atque alius non solùm vrinam, sed alui quoque excrementa. In huiusmodi omnibus ea quæ præcesserunt, scrutari oportet; prorsus enim vel perfrigeratio quædam, vel ictus in spinâ præcessit; frigus quidem, vni duntaxat affecto musculo nocet; ictus verò, magnâ ex parte pluribus; nam perrarum est, vt ictâ spinâ vnus afficiatur musculus, quoniam nerui ex spinali medullâ orti, in plures musculos diuiduntur. Verùm & ob ictum affecti musculi, obortâ inflammatione neglectâ & in scirrhum coactâ, resolui aliquando ipsum contigit; quanquam id rarò accidet; at verò frigus sæpenumerò vnum lædit musculum, maximè eum qui in superficie sedis est, siue sederit quis super lapidem frigidum, siue in aquâ

A ἔχων ἐν ἅπασι κοινόν, τοὺς παραλυθέντας μῦς ἐπισκοπεῖν ἅμα τῷ τὴν αἴσθησιν ἀπολωλεκότι δέρματι. τοῦ μὲν γὰρ νωτιαίου παθόντος ὅλου κατά τινα σπόνδυλον, ἅπαντα τὰ κάτω μέρη παραλύεται· κατὰ δὲ θάτερον μέρος εἰ βλαβείη, θατέρου μένοντος ἀπαθοῦς, ἐν τοῖς κατ' εὐθὺ μέρεσιν ἡ παράλυσις ἔσται μόνον· εἰ δὲ ῥίζα νεύρου πάθοι, τὰ μὲν ἄλλα τὰ κάτω τοῦ πεπονθότος, οὐδὲν πείσεται· μόνα δ' ἐκεῖνα παραλυθήσεται τὰ μόρια, εἰς ἃ ἕκαστον τῶν νεύρων διασπείρεται. τοῦτ' οὖν ἐὰν ἀκριβῶς μάθῃς, οὐκέτ' ἐνοχλήσεις τοῖς παραλελυμένοις κώλοις, ἀφεὶς τὴν ῥάχιν, ἀλλ' B ἐπ' ἐκείνην ἀφικόμενος, ἐκθεραπεύσεις τὸ πεπονθός. οὕτω δὲ κἂν μὴ κατὰ τὴν ῥάχιν, ἀλλὰ κατά τι τῶν μετὰ ταύτην χωρίων τὸ νεῦρον πάθῃ, γνωριεῖς ἐκ τῶν μυῶν τε καὶ τοῦ δέρματος. τὸ μὲν οὖν δέρμα ῥᾳδίως γνωριεῖς, ὑποπίπτον γε τοῖς ὀφθαλμοῖς· οἱ δὲ μύες, ἐκ τῶν ἀπολωλυιῶν ἐνεργειῶν διαγινώσκονται. χρὴ τοίνυν σε καὶ περὶ τὴν μυῶν ἀνατομὴν γεγυμνάσθαι, καὶ γινώσκειν ἥστινος ἕκαστος ἐνεργείας ἐστὶν ὄργανον· οὕτω γὰρ ὑπάρξει σοι μόνως διακρίνειν δύνασθαι, τίνων μὲν ἀπόλλυται μορίων ἡ ἐνέργεια, μηδενὸς νοσήματος τὴν σωματικὴν οὐσίαν αὐτῶν πασχούσης, τίνων δὲ νόσημα προηγεῖται, γι- C νόμενον, ἢ γεγονός. οἶσθα δὲ τά τε γένη τῶν νοσημάτων καὶ τὰς διαφορὰς ἁπάσας ἐν ἑτέρῳ βιβλίῳ γεγραμμένας, ὃ περὶ τῶν νοσημάτων διαφορᾶς ἐπιγέγραπται, καθάπερ ἐν ἑτέρῳ περὶ τῶν συμπτωμάτων διαφορᾶς· ἀλλὰ καὶ περὶ τῆς τῶν αἰτίων ἑκατέρων ἰδίᾳ γέγραπται, καθ' ἓν μὲν περὶ τῶν νοσημάτων, ἐν τρισὶ δὲ περὶ τῶν συμπτωμάτων· ἐν οἷς ἅπασι γεγυμνάσθαι προσήκει τὸν μέλλοντα ῥᾳδίως εὑρήσειν τε καὶ διακρίνειν αἰτίαν καὶ πάθος καὶ τόπον πεπονθότα. κατὰ συνδρομὰς μὲν γὰρ οὐχ οἷόν τε πάντα διδάξαι, καίτοιγ' ἀξιούντων οὕτω τῶν ἐμπειρικῶν· ἀλλὰ τά τε προηγησάμενα καὶ τὰ D παρόντα συμπτώματα γνοὺς ἀκριβῶς τις, ἐπί τε τὴν διὰ τῆς θεραπευτικῆς μεθόδου πεῖραν ἀφικόμενος, εὑρήσει τὸ πεπονθὸς ἅμα τῇ διαθέσει. καὶ πλεῖστον τοῦτ' ἐστὶν ἐπὶ τῶν ἐν τῷ βάθει τοῦ σώματος τεταγμένων μορίων, ὡς ὀλίγον ἔμπροσθεν ἐπὶ τὴν αἴσθησιν ἢ κίνησιν ἀπολλύντων ἐδείξαμεν. ἴσως μὲν οὐδὲν χεῖρον ἔτι παραγράψαι τινὰ τῶν γεγονότων, ὁποῖα καὶ ταῦτ' ἐστί. παιδίον ὡς ἐτῶν ἓξ ἀκουσίως ἀποπατεῖν ἤρξατο, παραλυθέντος ἐξαίφνης αὐτοῦ τοῦ κατὰ τὴν ἕδραν μυός· ἐγένετο δὲ καὶ γέροντί ποτε τοιοῦτον σύμπτωμα· καί τινι πάλιν ἑτέρῳ παιδίῳ, περὶ τεσσαρεσκαι- E δεκάτην ἡλικίαν, ἀκούσιος ἔκκρισις ἐγένετο διαχωρημάτων, ἅμα τοῖς κατὰ τὴν κύστιν ἀλγήμασι, καὶ ἄλλῳ μετὰ τῆς τῶν οὔρων ἐπισχέσεως· ἄλλῳ δὲ πάλιν ἀκουσίως ἐξεκρίνετο τὰ οὖρα, καὶ ἄλλῳ καὶ ταῦτα καὶ τὰ διαχωρήματα. χρὴ τοίνυν ἐπὶ τῶν τοιούτων ἁπάντων πυνθάνεσθαι τὰ προγεγενημένα, τοὐπίπαν γάρ, ἤτοι ψῦξίς τις, ἢ πληγὴ κατὰ ῥάχιν, αὐτῶν ἡγεῖται· ἡ μὲν ψῦξις, ἕνα μόνον τὸν πεπονθότα βλάπτουσα μῦν, ἡ πληγὴ δὲ πλείους ὡς τὰ πολλά, πάνυ γὰρ ἐστι σπάνιον, ἐπὶ πληγῇ ῥάχεως ἕνα μῦν F παθεῖν, ὡς ἂν τῶν ἐκφυομένων τοῦ νωτιαίου νεύρων εἰς πλείονας μῦς καταχιζομένων. ἀλλὰ καὶ διὰ πληγὴν αὐτοῦ τοῦ πεπονθότος μυός, ἀμεληθείσης ἐνίοτε καὶ σκιρρωθείσης τῆς ἐπιγινομένης φλεγμονῆς, ἠκολούθησε παράλυσις αὐτοῦ· ἔσται δὲ καὶ τοῦτο σπάνιον. ἀλλ' ἥ γε ψῦξις ἔβλαψε πολλάκις ἕνα μῦν, καὶ μάλιστα τὸν ἐπιπολῆς κατὰ τὴν ἕδραν, ἤτοι καθίσαντος ἐπὶ ψυχροῦ λίθου τινός, ἢ ἐν ὕδατι

ψυχρῷ διατρίψαντος ἐπιπλέον. ὁ γοῦν παῖς ὁ βλαβεὶς τήν κύστιν τε καὶ κατὰ τὴν ἕδραν, ἐν ποταμῷ θηρεύων ἰχθῦς, ἔπαθεν οὕτως· ἐνίοις δὲ νηξαμένοις ἐν ὕδατι ψυχρῷ, τὸ τοιοῦτο συνέβη. τοὺς μὲν οὖν οὕτω παθόντας, ἰάσασθαι προσήκει θερμαίνοντα βοηθήματα τοῖς πεπονθόσιν τόποις προσφέροντας. οἷς δὲ τῶν ἀπὸ τοῦ νωτιαίου νεύρων ἔπαθέ τι, τῇ ῥάχει προσακτέον τὰ βοηθήματα. πολλάκις γε μὴν ἐπὶ καταπτώσεσιν ἀφ' ὑψηλοῦ τόπου γινομέναις, ἢ πληγαῖς σφοδραῖς, ἰσχυρῶς παθούσης τῆς ῥάχεως, ἡ φλεγμονὴ μέχρι πλειόνων ἐκταθεῖσα μορίων, οὐ μόνους τοὺς μῦς ἔβλαψεν, ἀλλὰ καὶ τὴν κύστιν· ἐφ' ὧν ἴσχεται τὰ οὖρα, διὰ τὸ τὴν κύστιν αὐτὴν παθεῖν. ἐνίοις δ' οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ διαχωρήματα, τελέως ἐπεσχέθη, παθόντων δηλονότι τῶν ἐντέρων. ὥσπερ γὰρ οἱ μύες εἰς τὰς προαιρετικὰς ἐνεργείας βλάπτουσι παθόντες, οὕτω τὰ ἔντερα καὶ ἡ κύστις εἰς τὰς φυσικάς, ἐπειδὴ περιστελλομένων αὐτῶν ἐκκρίνεται τὰ περιεχόμενα.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Πῶς τὰ φυσικὰ τῶν ψυχικῶν ὀργάνων διαφέρει· καὶ περὶ τοῦ διακρίνειν τὰς ἀμφοτέρων βλάβας.

Καὶ διαφέρει πάμπολυ κατὰ τοῦτο τὰ φυσικὰ τῶν ψυχικῶν ὀργάνων, εἴγε τοῖς μὲν φυσικοῖς ἐδείχθη σύμφυτος ἡ τῆς ἐνεργείας δύναμις οὖσα, τοῖς ψυχικοῖς δὲ ἀπὸ τῆς ἀρχῆς ἐπιρρέειν ὁμοίως ἡλιακῷ φωτί. καθάπερ οὖν ἡ μαγνῆτις λίθος ἐν ἑαυτῇ δύναμιν ἔχει, καθ' ἣν ἕλκει τὸν σίδηρον, οὕτω καὶ τῶν φυσικῶν ὀργάνων ἕκαστον, ὥστε εἴπερ ἦν μόνιμος αὐτῶν ἡ οὐσία, μηδὲν δεῖσθαι μήτ' ἀρτηριῶν μήτε φλεβῶν· ἐπεὶ δὲ καὶ τρέφεσθαι δεῖται, καὶ τὴν συμμετρίαν φυλάττειν τῆς ἐμφύτου θερμασίας, διὰ τοῦτ' αὐτοῖς ἐδέησε φλεβῶν καὶ ἀρτηριῶν. οἱ δὲ μύες ἕνεκα μὲν τοῦ φυλάττεσθαι τὴν οὐσίαν αὐτῶν, ὡσαύτως δέονται φυσικοῖς τοῖς ὀργάνοις, ἀρτηριῶν καὶ φλεβῶν· ὅτι δ' οὐκ ἔχουσι σύμφυτον αἰσθήσεώς τε καὶ κινήσεως ἀρχήν, διὰ τοῦτο τῶν νεύρων ἀεὶ χρῄζουσι, χορηγούντων αὐτοῖς ταῦτα, καθάπερ ὁ ἥλιος τὴν αὐγὴν ἅπασιν, οἷς φωτίζει. καὶ διὰ τοῦτό γε μόνον τοῖς αἰσθανομένοις τε καὶ κινουμένοις μορίοις συμβαίνει, μηδὲν ἐνίοτε βεβλαμμένοις αὐτοῖς, ὅμως ἀπολλύναι τὴν ἐνέργειαν· οὐ μὴν τοῖς φυσικοῖς ὀργάνοις τοῦτό γε συμπίπτειν εἴωθεν, ἀλλ' ἀεὶ τῆς κατὰ τὴν ἐνέργειαν βλάβης αὐτὰ πάσχει πρότερα. καὶ μέντοι καὶ τοῖς ψυχικοῖς ὀργάνοις ἅπασιν ἡ φυσικὴ διοίκησις ὑπάρχει, καὶ χρῄζουσί γε καὶ αὐτὰ τῆς τῶν ἀρτηριῶν καὶ φλεβῶν ἐπικουρίας, φυλάττειν τὴν οὐσίαν αὐτῶν. καὶ χρὴ σκοπεῖσθαί σε μάλιστα καὶ διορίζεσθαι, τίνα μὲν ὡς ψυχικοῖς, τίνα δὲ ὡς φυσικοῖς, συμβαίνει τοῖς ὀργάνοις· οἷον ὅτι τὸ μὲν ἀλλοιοῦσθαι, φέρε εἰπεῖν, ὑπὸ τῶν ὁμιλούντων αὐτοῖς, ὡς φυσικοῖς· τὸ δ' αἰσθάνεσθαι τῆς ἀλλοιώσεως, ὡς ψυχικοῖς. οὕτω γοῦν καὶ κατὰ τοὺς ὀφθαλμοὺς γίνεται πολλάκις. οἱ γὰρ ἀπὸ τῆς γαστρὸς ἀτμοὶ πάντως ἀλλοιοῦσιν αὐτούς, οὐ μὴν αἰσθάνονταί γε τῆς οὕτω μικρᾶς ἀλλοιώσεως ἅπαντες, εἰ μὴ καὶ τὴν αἰσθητικὴν δύναμιν ἔχοιεν ἀκριβῆ· λέγω δὲ ἀκριβῆ, τὴν καὶ τὰ σμικρότατα βλέπουσαν.

frigidâ supra modum fuerit versatus. Igitur puer, cuius & vesica & sedes læsa fuit, quum in fluuio pisces venaretur, sic fuit affectus; nonnullis etiam in aquâ frigidâ natantibus, itidem accidit. Itaque sic affectos curare oportet, calefacientia auxilia locis affectis adhibendo. Quibus verò neruorum à dorsi medulla ortorum quispiam fuerit affectus, spinæ adhibenda sunt remedia. At sæpenumerò vbi casu ex alto aut vehementi fortique ictu spina læsa est, inflammatio ad plures partes extensa, non solùm musculis, sed vesicæ quoque noxam intulit; atque illis ob vesicæ ipsius affectum vrina supprimitur; sunt quibus non solùm vrina, sed alui quoque excrementa penitus retinentur, affectis scilicet intestinis; nam vt musculi affecti actiones voluntarias, ita vesica & intestina naturales actiones lædunt, quòd ipsis contractis, excernantur ea quæ continent.

CAPVT VII.

Quomodo naturalia instrumenta ab animalibus differant; ac de læsionibus vtrorumque discernendis.

Atque hac in re plurimum differunt naturalia ab animalibus instrumentis; siquidem naturalibus innatam actionis facultatem esse, animalibus verò à principio, veluti lumen à sole, defluere ostensum est. Ergo vt magneti lapidi facultas inest, quâ ferrum attrahit, ita naturalium instrumentorum vnicuique; ita vt si permanens esset ipsorum substantia, neque arterijs, neque venis indigerent; verum quia nutrimento egent, seruatâque innati caloris symmetriâ, hanc ob causam & venis indigent & arteriis; musculi verò, vt substantiã suam seruent, peræque ac naturalia instrumenta, venis & arteriis indigent; at quia congenitum sensûs & motûs principium non habent, idcircò neruis semper indigent, qui illis ea suppeditent, quemadmodum sol omnibus rebus, quas illuminat, splendorem. Quamobrem solis partibus sentiendi & mouendi vim habentibus accidit, vt ipsis interdum haudquaquam oblæsis, nihilominus actio pereat; at hoc naturalibus instrumentis accidere non consueuit, sed antequam eorum actio lædatur, semper laborant. Animalibus tamen instrumentis omnibus naturalis dispensatio inest, & arteriarum, venarumque adminiculo indigent ad substantiam suam seruandam. Ideò accuratissimè intueri te ac discernere oportet, quæ vt naturalibus, quæ vt animalibus, organis accidant; vt quod alterari verbi gratiâ à vicinis sibi, vt naturalibus; alterationem verò sentire, vt animalibus, eueniat. Sic igitur oculis quoque sæpenumerò contingit; nam vapores à ventriculo elati ipsos omninò alterant; verùm tam exigua alteratio non ab omnibus sentitur, nisi exquisitam habeant sensificam facultatem; voco autem exquisitam, quæ res cernit etiam minimas.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ ΒΙΒΛΙΟΝ Β'.

GALENI DE LOCIS AFFECTIS, LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἐπὶ τῷ τῶν ἀλγημάτων παραδείγματι διδάσκει τὴν τῆς προκειμένης μεθόδου μελέτην· καὶ πρὸς τὸν Ἀρχιγένην τὸν ἐν τῇ τῶν ἀλγημάτων διαγνώσει ἡμαρτηκότα διαλέγεται.

ARGVMENTVM LIBRI.

Dolorum exemplo docet exercitationem propositæ methodi; ac in Archigenem inuehitur, qui in doloribus dignoscendis aberrauit.

CAPVT I.

Tres modi, quibus vniuersa continetur affectorum locorum dignotio.

SCOPVS est, vt hortatur semper Erasistratus, exercere mentem cum in alijs artis operibus, tum verò in ea, quam nunc proposuimus, affectorum locorum dignotione. Sunt autem circa eam tres exercitationis modi; primus per singulas corporis partes, quas locos nominant; alter secundum causas, & affectus; tertius secundum symptomatum differentias. Igitur à locis sumptus modus huiusmodi est; Affecti cerebri hæc sunt propria symptomata; ventriculi affecti hæc propria; coli affecti hæc; atque in reliquis similiter. Ab affectibus & causis, talis est; Inflammationis propria huiusmodi sunt symptomata; scirrhi, huiusmodi; refrigerationis, hæc; plenitudinis hæc, corruptionis hæc. A symptomatis, hoc doloris genus hosce affectus significat; aut hosce locos; tussis verò hos; ita & vomitus, sanguinis profluuium, fluor alui, conuulsio, rigor, horror, delirium; si enim hæc omnia inter se hoc pacto distinguantur, facilè intelligetur, quid benè, vel malè dictum fuerit. Quod verò sic se res habeat, planè disces, si singula consideraueris.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τρεῖς τρόποι πάσαν τῶν πεπονθότων τόπων τὴν διάγνωσιν περιέχοντες.

A

ΠΡΟΚΕΙΤΑΙ μὲν, ὡς Ἐρασίστρατος ἀεὶ παρακελεύεται, γυμνάζειν τὸν λογισμὸν εἴς τε τἄλλα τῆς τέχνης ἔργα, καὶ τὰ νῦν ἡμῖν προκείμενα περὶ τὰς διαγνώσεις τῶν πεπονθότων τόπων. εἰσὶ δὲ τρεῖς τρόποι γυμνασίου κατ' αὐτά· πρῶτος μὲν ὁ καθ' ἕκαστον τῶν μορίων τοῦ σώματος, ἃ τόπους ὀνομάζουσι· δεύτερος δὲ ὁ κατὰ τὰς αἰτίας τε καὶ διαθέσεις· καὶ τρίτος ὁ κατὰ τὰς τῶν συμπτωμάτων διαφοράς. B ὁ μὲν οὖν κατὰ τοὺς τόπους ἐστὶ τοιόσδε τις· ἐγκεφάλου πάσχοντος ἴδια συμπτώματα ταυτί, γαστρὸς πασχούσης ἴδια ταυτί, κώλου πάσχοντος ἴδια ταυτί, καθ' ἕκαστόν τε τῶν ἄλλων ὁμοίως. ὁ δ' ἀπὸ τῶν διαθέσεών τε καὶ τῶν αἰτίων· φλεγμονῆς μὲν ἴδια ταυτί ἐστι συμπτώματα· σκίρρου δὲ ταῦτα· καὶ ψύξεως μὲν ταῦτα· πλήθους δὲ ταῦτα, καὶ διαφθορᾶς ταυτί. κατὰ δὲ τὰ συμπτώματα· τὸ μὲν ἄλγημα τόδε τῶνδε τῶν διαθέσεών ἐστι δηλωτικόν, ἢ τῶνδε τῶν τόπων· ἡ δὲ βήξ, τῶνδε· καὶ κατὰ τὸν αὐτὸν τρόπον ἔμετος, αἱμορραγία, διάρροια, σπασμός, ῥῖγος, φρίκη, παραφροσύνη. διαιρουμένων γὰρ οὕτως ἀπ' ἀλλήλων ἁπάντων αὐτῶν, εὐφωρότατον ἔσται C τὸ καλῶς καὶ τὸ κακῶς λεγόμενον. ὅτι δ' οὕτως ἔχει ταῦτα, μαθήσῃ σαφῶς ἐφ' ἑκάστου σκοπούμενος.

CAPVT II.

De his quæ Archigenes scripsit, ratus locum affectum ex dolorum specie dignosci posse; cumque malè dixisse stupidum dolorem ad neruos tantum pertinere, ac quid propriè sit stupor.

ITaque primò, quandoquidem in hoc genere copiosior est Archigenes, ex dolorum differentijs locos affectos significari existi-

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν ὑπὸ τοῦ Ἀρχιγένους γεγραμμένων, νομίσαντος τὴν τοῦ πεπονθότος τόπου διάγνωσιν ἐκ τῆς τῶν ἀλγημάτων ἰδέας δύνασθαι γίνεσθαι· καὶ ὅτι κακῶς εἶπε τὸν ναρκώδη πόνον τῶν νεύρων μόνων εἶναι, καὶ τί κυρίως ἡ νάρκη.

ΟἿον εὐθέως, ἐπειδὴ πλεονάζει κατὰ τοῦτο τὸ γένος ὁ Ἀρχιγένης, ἐκ τῆς τῶν ἀλγημάτων διαφορᾶς ἡγεῖ-

μένος δηλοῦσθαι τὰ πεπονθότα μόρια, σκεπτέον ὑπὲρ αὐτῶν ἀκριβῶς. τὸν γοῦν ναρκώδη πόνον ἐπὶ νεύροις γίνεσθαί φησιν, ἁμαρτάνων προφανῶς. ἡ γάρ τοι νάρκη διὰ ψυχρὰν γίνεται διάθεσιν, οὐκ ἐν νεύροις μόνον, ἀλλὰ καὶ φλεψὶ καὶ ἀρτηρίαις, καὶ σαρξὶν, ὑμέσι τε, καὶ χιτῶσι, καὶ δέρματι. εἰ δ' ὅτι πάντα ταῦτα διὰ νεύρων ἔχει τὴν αἴσθησιν, καὶ εἰς νεῦρα τὴν διάθεσιν ἀναφέρει, τί οὐχὶ καὶ τὰς ἄλλας ἁπάσας διαφορὰς τῶν ἀλγημάτων, ἰδίας τῶν νεύρων εἶναί φησιν; ὁ γάρ τοι πόνος αἴσθησίς ἐστιν ἀνιαρὰ, καθάπερ ἡ ἡδονὴ προσηνὴς αἴσθησις. οὐκοῦν ὁ ναρκώδης μόνος ἐν νεύροις ἔχει τὴν γένεσιν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἕκαστος, οὓς αὐτὸς ἔγραψεν ὁ Ἀρχιγένης. ἐὰν δὲ ἀκριβέστερον ἐπισκέπτῃς, οὐδὲ διαφορά τις ἐν πόνοις ὁ ναρκώδης ἐστὶν, ὥσπερ οὐδ' ἐν ἕλκεσι τὸ φλεγμαῖνον, ἀλλὰ μᾶλλον δυοῖν σύνοδος πραγμάτοιν, ὡς ἐπὶ τούτων ἕλκους τε καὶ φλεγμονῆς ἐστιν, οὕτως ἐπ' ἐκείνων πόνου τε καὶ νάρκης. ἡ γάρ τοι νάρκη, ψύξις τίς ἐστιν οὐκ ἀγεννὴς, καὶ διὰ τοῦτο δυσαισθησίαν τε καὶ δυσκινησίαν ἐπιφέρει τοῖς οὕτω διατεθεῖσι σώμασιν, ὥσπερ γε καὶ τὴν τελείαν ἀναισθησίαν τε καὶ ἀκινησίαν, ἡ τελεία κατάψυξις. ὅτι δὲ διαθέσεως ὄνομά ἐστιν ἡ νάρκη, καὶ οὐκ αἰσθήσεως, ἢ πόνου, δεδήλωται καὶ πρὸς Ἱπποκράτους εἰπόντος ὧδε· νάρκη γὰρ μετρίη, ὀδύνης λυτική. γίνεται γὰρ ἡ νάρκη καὶ διὰ ψύξιν, ὡς ὁρᾶται φανερῶς ἐπί τε τῶν ἐν χειμῶνι διὰ κρύους ὁδοιπορησάντων, ἐπί τε τῶν ψυχόντων φαρμάκων, [2] οἷς ἂν τις ἐπὶ πλέον ἔξωθεν χρήσηται, ναρκῶδες ἀποτελεῖται τὸ μόριον, ὥσπερ γε καὶ παντελῶς ἀναίσθητον ἐν ταῖς ἰσχυροτάταις καταψύξεσιν, οὐκ ἐκ φαρμάκου μόνον, ἀλλὰ κἀκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος γινομέναις. οἶδα γοῦν τινας ὅλους τοὺς πόδας οὕτως ψυγέντας, ὡς εἰς ἀναισθησίαν μὲν πρῶτον ἀφικέσθαι, νεκρωθέντας δὲ ἐν ταῖς ἑξῆς ἡμέραις ἀποσαπῆναι. καθάπερ οὖν καὶ ἡ παντελὴς ψύξις ἀναισθησίαν τε καὶ ἀκινησίαν ἐπιφέρει τελείαν, οὕτως καὶ ἡ μετριωτέρα, δυσαισθησίαν τε καὶ δυσκινησίαν· ὀνομάζεται δ' ὡς ἔφην ἡ τοιαύτη ψύξις, νάρκη. καὶ τοίνυν τὸ ναρκῶδες ἄλγημα, διάθεσις ἐργάζεται ψυχρά τε ἅμα καὶ ὀδυνηρὰ, δηλούσης τῆς λέξεως οὐκ ὀδύνης διαφορὰν, ὡς ἔφην, ἀλλ' ὀδύνην ἅμα καὶ ἤτοι διάθεσιν ψυχρὰν ἢ τὴν ὑπ' αὐτῆς γινομένην ἐν τῷ μορίῳ δυσαισθησίαν τε καὶ δυσκινησίαν. ἴσμεν δὲ ὅτι καὶ τοῖς [3] θλιφθεῖσι μορίοις ἰσχυρῶς, ἐγγίνεται νάρκη, καὶ τοῖς ἁψαμένοις τοῦ ζώου τῆς νάρκης ἔτι ζώσης. καὶ ὅσοις γε κατά τι τῶν κώλων ἐγένετο νάρκη, τῶν τε ψαυόντων (τὴν) ἀμυδρὰν ἔχουσι τὴν αἴσθησιν, ἀδυνατοῦσί τε κινεῖσθαι, καὶ εἰ βιάζοιτό τις, ὀδυνῶνται· χωρὶς δὲ τοῦ πρὸς τὰς κινήσεις ἔρχεσθαι, τοῦ μὲν πάθους τῆς νάρκης αἰσθάνονται σαφῶς, οὐ μὴν ὀδυνῶνταί γε. κακῶς οὖν ὁ Ἀρχιγένης νεύρων ἴδιον εἶναί φησι τὸ ναρκῶδες ἄλγημα, διαθέσεως γάρ ἐστιν, οὐ τόπου πεπονθότος, νάρκη γνώρισμα. καὶ τοίνυν μετ' ὀλίγον πάλιν αὐτὸς ὁ Ἀρχιγένης ἰδίαν εἶναι μυῶν αὐτήν φησιν· ἔχει δ' ἑκατέρα τῶν λέξεων οὕτως, ἡ μὲν προτέρα· τὰ δὲ νεῦρα διατείνεταί τε καὶ σκληρύνεται συστρεφόμενα· καὶ ταῦτα μὲν ναρκώδεις ἐπιφέρει τοὺς πόνους καὶ σκληρῶς διατείνοντας. ἡ δὲ ὀλίγον ὕστερον αὐτῆς εἰρημένη ῥῆσίς ἐστιν ἥδε· μύες δὲ σαρκός τε καὶ νεύρου μῖγμα τῶν ἰδιωμάτων, ἀμέλει δὲ καὶ ἀρτηρίας, ἐν τοῖς πόνοις ἀναφέρουσι, [4] σφριγῶντες, ὡς ἂν εἴποι τις, καὶ μετ' εὐρυχωρίας διατεινόμενοι, καὶ ναρκωδῶς σφύζοντες. τούτων τῶν ῥήσεων ἐν μὲν τῇ προτέρᾳ, τὰ

mans, exactè de ijs conſiderandum eſt. Stupidum dolorem in neruis fieri dicit, ſed planè peccat. Nam ſtupor à frigido affectu oritur, non in neruis duntaxat, ſed & in venis, arterijs, carnibus, membranis, tunicis, & cute. Si ob id, quòd hæc omnia per neruos ſenſum habeant, ad neruos affectum refert, cur non & reliquas omnes dolorum differentias propriè ad neruos pertinere dicit? Nam dolor, moleſtus ſenſus eſt; ſicuti voluptas placidus eſt ſenſus. Ergo non ſolùm ſtupidus *dolor* in neruis habet ortum; verùm etiam reliquorum dolorum omnium, quos ipſe Archigenes deſcripſit, vnuſquiſque. Quòd ſi rem accuratiùs inſpexeris, ne doloris quidem ſpecies quædam eſt ſtupidus dolor, vt neque vlceris ſpecies *vlcus* inflammatum; ſed duarum potius rerum, vt in his vlceris & inflammationis, ita in illis doloris & ſtuporis concurſus eſt. Etenim ſtupor refrigeratio inſignis eſt, ac idcircò corporibus ita affectis, & ſenſûs & motûs difficultatem inducit; quemadmodum completa perfrigeratio & ſenſum & motum omnino tollit. Sed quòd ſtupor affectionis ſit nomen, non ſenſus, aut doloris, etiam ab Hippocrate ſic dicente declaratur; *Stupor enim mediocris dolorem ſoluit.* Nam ſtupor etiam ob refrigerationem fit, vt planè videre eſt in his, qui hyeme per frigora proficiſcuntur, atque in refrigerantibus quoque medicamentis, quibus ſi quis extrinſecus immodicè vtatur, pars ipſa ſtupida redditur; quemadmodum & omnino ſenſûs expers in vehementiſſimis perfrigerationibus, non ſolùm à medicamento factis, ſed etiam à circunfuſo nobis aëre. Equidem noui quoſdam adeò refrigeratis vniuerſis pedibus, vt primùm quidem in ſenſûs vacuitatem deuenirent, ſequentibus verò deinde diebus emortui putreſcerent. Ergo vt perfecta refrigeratio & ſenſum penitus aufert & motum, ſic moderatior, & ſenſûs & motûs difficultatem inducit; nominaturque (vt dixi) huiuſmodi refrigeratio, ſtupor. Itaque ſtupidum dolorem affectus efficit frigidus ſimul & dolorificus, indicante nomine, non doloris (vt dixi) differentiam, ſed dolorem ſimul, & vel frigidam affectionem, vel ab ipſa parti inductam ſenſûs & motûs difficultatem. Scimus autem, quòd conſtrictas vehementer partes, atque eos quoque, qui torpedinem animal, dum adhuc viuit, tetigerint, ſtupor obſideat. Et quibus membrum aliquod ſtuporem patitur, ij quicquid tetigerint, obſcuro & hebeti ſenſu percipiunt, neque moueri poſſunt, et ſi cogantur, dolent; at citra hoc quòd moueri tentent, affectum ipſum ſtuporis manifeſtè ſentiunt, ſed nequaquam dolent. Proinde malè Archigenes enunciauit ſtupidum dolorem ad neruos propriè pertinere; ſtupor enim affectûs, non loci affecti indicium eſt; atque adeò paulò poſt rurſus Archigenes propriè ipſum ad muſculos pertinere ait; ac dictio vtraque ſic ſe habet, prior quidem; *Nerui autem contorti diſtenduntur, & indurantur; atque hi quidem ſtupidos inducunt dolores, & durè intendentes.* Quæ verò paulò poſt hāc dictio enarratur, hæc eſt; *Muſculi carnis neruorumque propriæ ſubſtantiæ mixtura, arteriarum quoque, in doloribus* mixtionem *præ ſe ferunt, turgentes (vt ita dixeris) atque diſtenti at ſtupidè pulſantes cum capaci latitudine.* In horum ſermonum priore ner-

uos

uos ait stupidos inferre dolores; in altero verò, musculos stupidè pulsare, stupidum non ad affectus, sed ad partes referens. Sed, vt dicebam, stupor non partis cuiuspiam proprium pathos est, sed affectûs, qui quidem in omnibus corporibus fit, non in omnibus tamē sensiliter apparet, sed in his duntaxat, quæ suos affectus sentire, & pro voluntatis imperio moueri nata sunt. Sed & his, quæ manifestè in musculis apparent, sermo ipsius repugnat; quinetiam indistinctè prolatus est: ac fortasse non intelligit nusquam in corpore carnem ipsam per se inueniri, sed musculorum id quod neruosum est, in plurimis vel capitibus vel extremis partibus esse, vbi etiam tendones inueniuntur; id verò totum, quod in medio continetur, omnes homines carnem nominare, nemine intelligente, nisi quum exquisitè dissecatur, non esse solam carnem, sed cum tenuissimis quibusdam veluti fibris, in quas neruosum genus resolutum est. Voco autem neruosum genus, in vnicam appellationem cogens tum vincula, tum tonos; quippe ex his per carnem dispersis, musculorum ostendimus substantiam consistere; quæ, vt permanere posset, venis indigebat & arterijs.

A νῦν ἐφ᾽ ναρκώδεις ἐπιφέρειν τοὺς πόνους φησίν, ἐν δὲ τῇ δευτέρᾳ, τοὺς μῦς ναρκῶδες σφύζειν, οὐ τοῖς πάθεσιν ἀναφέρων τὸ ναρκῶδες, ἀλλὰ τοῖς μορίοις. ἔστι δ᾽, ὡς εἶπον, οὐ μορίου τινὸς ἴδιον ἡ νάρκη πάθος, ἀλλὰ διαθέσεως, ἅπασι μὲν ἐγγινομένης τοῖς σώμασιν, οὐκ ἐν ἅπασι δ᾽ αἰσθητῶς φαινομένης, ἀλλ᾽ ἐκείνοις μόνοις, ὅσα πέφυκεν αἰσθάνεσθαι τῶν ἐν αὐτοῖς παθῶν, καὶ κινεῖσθαι κατὰ προαίρεσιν. ἀλλὰ καὶ πρὸς τὸ φαινόμενον ἐναργῶς ἐπὶ τῶν μυῶν, ὁ λόγος αὐτοῦ μάχεται, μετὰ τοῦ ἀδιορίστως εἰρῆσθαι. τάχα δὲ καὶ ἀγνοεῖ, ὡς οὐδαμόθι τοῦ σώματος αὐτὴ καθ᾽ ἑαυτήν ἐστι σάρξ, ἀλλὰ τῶν μυῶν
B τὸ μὲν νευρῶδες ἔν τε ταῖς πλείσταις τῶν κεφαλῶν ἢ τελευτῶν ἐστιν, ἐνθάδε καὶ οἱ τένοντες, ὅσον δὲ ἐν τῷ μεταξὺ πολὺ, ἡ πρὸς ἁπάντων ἀνθρώπων ὀνομαζομένη σάρξ ἐστιν, οὐδενὸς εἰδότος ὅτι μὴ ἀκριβῶς ἀνατεμόντων, ὡς οὐκ ἔστι μόνη σάρξ, ἀλλὰ μετά τινων ἰνῶν λεπτοτάτων, εἰς ἃς τὸ νευρῶδες ἐλύθη γένος. ὀνομάζω δὲ γένος νευρῶδες, εἰς μίαν ἄγων προσηγορίαν τούς τε συνδέσμους καὶ τοὺς τόνους· τούτων γὰρ διασπειρομένων τῇ σαρκὶ, τὴν τῶν μυῶν οὐσίαν ἐδείξαμεν συνισταμένην· ἕνεκα δὲ τοῦ διαμένειν αὐτὴν, ἐδεήθη ἀρ-
C τηριῶν τε καὶ φλεβῶν.

CAPVT III.

In quibus partibus Pulsatorius dolor, ac quibus ex causis possit excitari.

Atqui citra dolorem pulsare, ad solas arterias pertinet, animali bene valente; vbi verò ingens oborta est inflammatio, vel erysipelas, vel abscessus, arteriarum pulsum cum dolore sentimus, quum antea per bonam corporis valetudinem, neque cum dolore, neque sine dolore ipsum sentiremus. Etenim res ad hunc modum se habet. Duabus præcipuè occasionibus vehemens dolor inflammatis partibus infertur; quum mouentur, & quum à quibusdam rebus comprimuntur. Inflammato igitur toto musculo, duplici modo, dum attolluntur arteriæ, dolorem sentimus; quod & moueantur, & ab adiacente carne comprimantur, & ipsam comprimant. Atque hic modus est quo partes inflammatæ pulsant, quem vetustissimi solum vocabant pulsum; posteriores verò omnem arteriarum motum sub sensum cadentem, similiter nominauerunt. Non tamen stupidè pulsare, inseparabiliter aut omninò propriè ad musculos affectos pertinet, quod ne pulsare quidem *proprium eorum* omninò sit, quum pulsus (vt priùs dictum est) dolorem prodit. Nam in scirrhis, & œdematis propriè appellatis, atque in intemperiebus quæ sine tumore consistunt, motus arteriarum dolorem haudquaquam excitat; & in inflammatorijs affectibus, non semper cum dolore est, sed quum maiores effecti sunt; quinetiam sine musculo arteria ipsa per se inflammatorium sustinens affectum, cum dolore pulsat; dico autem inflammatorium affectum, vt simul cum inflammatione, & erysipelas & abscessus intelligatur. Huiusmodi igitur affectuum, quum maiores fuerint, pulsus symptoma esse censetur. Quod siquando in ijs pulsus, ipsi scilicet laboranti, stupidus esse videatur (hic enim stuporis affectum sentire potest)

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐν τίσι μορίοις ἡ σφυγματώδης ὀδύνη· καὶ ἀφ᾽ ὧν αἰτιῶν ποιεῖσθαι δύναται.

Καὶ τοίνυν καὶ τὸ σφύζειν ἀνωδύνως, ὑπάρχει μόναις ταῖς ἀρτηρίαις, ὑγιαίνοντος τοῦ ζώου· φλεγμονῆς δὲ μεγάλης γενομένης, ἢ ἐρυσιπέλατος, ἢ ἀποστήματος, αἰσθανόμεθα σὺν ὀδύνῃ τοῦ σφυγμοῦ τῶν ἀρ-
D τηριῶν, ἔμπροσθεν ὅθ᾽ ὑγίαινε τὸ σῶμα μὴ ὅτι μετ᾽ ὀδύνης, ἀλλὰ μηδὲ χωρὶς ταύτης, αἰσθανόμενοι. ἔστι γὰρ δὴ τὸ συμβαῖνον τοιόνδε. τὰ φλεγμαίνοντα μόρια κατὰ δύο τρόπους καιριοὺς ὀδυνᾶται μεγάλως, ὅταν τε πρὸς τὰς κινήσεις ἄγηται, καὶ ὅταν θλίβηται πρός τινων. ἐπειδὰν οὖν ὅλος ὁ μῦς φλεγμαίνῃ, κατὰ διττὸν τρόπον ὀδύνης, αἰσθανόμεθα, διαστελλομένων τῶν ἀρτηριῶν, ὅτι τε κινοῦνται, καὶ ὅτι θλίβουσί τε ἅμα τὴν παρακειμένην σάρκα, καὶ θλίβονται πρὸς αὐτῆς. οὗτος μὲν ὁ τρόπος ἐστὶ τοῦ κα-
E τὰ τὰ φλεγμαίνοντα μόρια σφυγμοῦ, καὶ τοῦτον μόνον ἐκάλουν οἱ παλαιότατοι σφυγμόν, ὕστερον δὲ καὶ πᾶσαν αἰσθητὴν κίνησιν ἀρτηριῶν ὡσαύτως ὠνόμασαν. οὐ μὴν ἀχώριστόν γε μυῶν πασχόντων, ἢ ὅλως ἴδιόν ἐστι τὸ ναρκῶδες σφύζειν, ὅτι μηδὲ τὸ σφύζειν ὅλως, τοῦ σφυγμοῦ δηλοῦντος ὡς εἴρηται τὸ μετ᾽ ὀδύνης· ἔν τε γὰρ τοῖς σκίρροις καὶ τοῖς ἰδίως οἰδήμασιν προσαγορευομένοις, ἔν τε ταῖς χωρὶς ὄγκου δυσκρασίαις, ἀνώδυνός ἐστιν ἡ τῶν ἀρτηριῶν κίνησις· ἔν τε τοῖς φλεγμονώδεσι πάθεσιν, οὐκ ἀεὶ μετ᾽ ὀδύνης, ἀλλ᾽ ὅταν μείζω γένηται· καὶ μὴν καὶ
F χωρὶς μυὸς αὐτὴ καθ᾽ ἑαυτὴν ἡ ἀρτηρία φλεγμονῶδες πάθος παθοῦσα, μετ᾽ ὀδύνης σφύζει· λέγω δὲ δηλονότι φλεγμονῶδες πάθος, ἵνα συνεπινοῆται τῇ φλεγμονῇ τά τ᾽ ἐρυσιπέλατα, καὶ τὰ ἀποστήματα. τῶν οὖν τοιούτων παθῶν μειζόνων γενομένων σύμπτωμά ἐστι τὸ σφύζειν· εἰ δέ γε ναρκώδης ποτ᾽ ἐπ᾽ αὐτῶν ὁ σφυγμὸς φαίνοιτο γενόμενος, αὐτῷ δηλονότι τῷ κάμνοντι, τούτῳ γὰρ δὴ καὶ τὸ τῆς νάρκης πάθος ἐστὶν αἰσθητόν,

ἰστέον εἶναι τὰς τοιαύτας διαθέσεις ἐν τοῖς κατὰ τὸν μῦν νεύροις, ἐπὶ παράλυσιν αὐτῶν ἀφικνουμένων· ἡ μὲν γὰρ ναρκώδης διάθεσις ἐν τῷ μεταξὺ παραλύσεώς τ' ἐστὶ καὶ τῆς ὑγιεινῆς καταστάσεως. ὁ δὲ σὺν ἀλγήματι σφυγμὸς ἕπεται φλεγμονώδεσι πάθεσιν ἀξιολόγοις, ἐπ' αὐτῶν μὲν ἀεὶ τῶν ἀρτηριῶν, ἤδη δὲ καὶ τῶν περιεχόντων αὐτὰς σωμάτων, ὅταν ὑπὸ στενοχωρίας θλίβωσιν αὐτὰ καὶ οἷον πλήττωσι διαστελλόμεναι, τοῦ πάσχοντος μέρους αἰσθάνεσθαι πεφυκότος. οὔτ' οὖν ἐν περιπνευμονίᾳ γενήσεται πόνος σφυγματώδης, οὔτ' ἐν πλευρίτιδι, διὰ τὴν τῶν μορίων φύσιν· ὁ μὲν γὰρ πνεύμων ἀναίσθητος, ἡ πλευρῖτις δὲ νόσημά ἐστι τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ὃς ἐν οἷς μὲν ὁμιλεῖ τοῖς ὀστοῖς, ἐξ ἀνάγκης θλίβεται, τὸ μεταξὺ δὲ πᾶν, ἄθλιπτόν τ' ἐστὶν αὐτοῦ, καὶ μόνον τῷ λόγῳ τῆς φλεγμονῆς ὀδυνώμενον. ἐν τούτῳ δὲ τῷ χωρίῳ καὶ ἀρτηρίαι εἰσὶν αἱ κατὰ τὰ μεσοπλεύρια καλούμενα τεταγμέναι, κατά τε τὰ παχέα καὶ χαλαρὰ μέρη τῶν πλευρῶν, ἐν βάθει τε κείμεναι μᾶλλον, ὡς μὴ ψαύειν τοῦ τὰς πλευρὰς ὑπεζωκότος χιτῶνος. οὔτ' οὖν μετ' ὀδύνης, οὐθ' ὅλως αἰσθητὴ τῷ κάμνοντι τῶν ἀρτηριῶν τούτων ἐν ταῖς πλευρίτισιν ἡ κίνησις ἔσται· φλεγμαινόντων μέντοι ποτὲ τῶν ἐν τοῖς μεσοπλευρίοις μυῶν, ὀδυνηρὰν ἀνάγκη γίνεσθαι τὴν διαστολὴν τῶν ἀρτηριῶν, καὶ διὰ τοῦτο καταφανῆ αὐτῷ τῷ κάμνοντι· καὶ κατὰ τὸ μέγεθος τὸ τῆς φλεγμονῆς, αἰσθήσεται τοῦ κατ' αὐτὴν σφυγμοῦ. καὶ διὰ τοῦτό γε ἐπὶ τοῖς σφοδροτάτοις σφυγμοῖς, ἐκπυΐσκεται τὰ φλεγμαίνοντα μόρια, μεγάλαις φλεγμοναῖς ἑπομένης τῆς ἐκπυήσεως. ἐξ οὖν τῶν εἰρημένων δῆλον ἤδη, ὡς ὁ σφυγμώδης τε καὶ σφυγματώδης ὀνομαζόμενος ὑπὸ τῶν ἰατρῶν πόνος, ἐν πάθεσί τε γίνεται φλεγμονώδεσι, καὶ σώμασιν αἰσθητικοῖς κατὰ μὲν αὐτοπάθειαν, ἢ ἰδιοπάθειαν, ἢ πρωτοπάθειαν ἐν ἀρτηρίαις, ὀνομαζέτω γὰρ ἕκαστος ὡς ἂν ἐθέλῃ· κατὰ δὲ τὴν ἐκ τῆς θλίψεως τῶν ψαυόντων κοινωνίαν, ἐν τοῖς ἄλλοις ἅπασιν αἰσθητικοῖς.

tum scire licet affectum in musculi neruis consistere, ita vt ad paralysin tendant. Nam stupidus affectus inter resolutionem & integram valetudinem medius est. At cum dolore pulsus sequitur inflammatorios affectus notatu dignos, semper quidem in ipsis arterijs, at & in continentibus ipsas partibus, quum ob angustiam ipsas premunt, dum attolluntur, ac veluti percutiunt, modò pars affecta sentire nata sit. Ergo neque in peripneumonia, neque in pleuritide dolor pulsatorius oborietur, ob partium naturam; nam pulmo sensus expers; pleuritis verò membranæ costas succingentis morbus est, quæ vbi ossibus quidem vicina est, necessariò comprimitur; at media ipsius tota pars comprimi non potest, sed inflammationis duntaxat ratione dolet. Atque in hoc spacio arteriæ sunt, quæ per intercostalia vocata spacia, & per crassas laxasque laterum partes extenduntur, ac in profundo magis delitescunt, vt succingentem costas tunicam haudquaquam attingant. Harum igitur arteriarum motus in pleuritide neque cum dolore erit, neque ab ægrotãte omnino percipietur; inflammatis tamen interdum intercostalibus musculis, arteriarum diastolen dolorem inferre necesse est, ac proinde à laborante percipi; atque pro inflammationis magnitudine, sentiet in illa pulsum. Ob hancque causam, vbi vehementissimus fuerit pulsus, suppuratur inflammata pars, consequente suppuratione ingentes inflammationes. Constat igitur ex iam enarratis, quod pulsatorius & pulsatiuus à medicis vocatus dolor, per inflammatorios affectus fiat, atque in corporibus sensu præditis; per se, propriè, primario affectu, in arterijs, nominet enim quisque prout voluerit; in reliquis verò partibus sensibilibus omnibus, eo quòd à vicinorum contactu premantur.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν τῆς ὀδύνης αἰτιῶν, καθ' ἣν οὐ βάρους, καὶ τῆς τάσεως τῶν μορίων αἴσθησις γίνεται.

Οὔκουν οὐδ' ἐν ἥπατι γένοιτ' ἄν ποτε τοιοῦτος σφυγμός, οὐδ' ἐν νεφροῖς, ὅτι μηδ' ἐν ἐκείνοις εἰς ὅλα διασπείρεται τὰ σπλάγχνα τὰ νεῦρα, καθ' ὅ, τι μηδ' ἐν πνεύμονι. καὶ διὰ τοῦτο βάρους αἴσθησις ἐπ' αὐτῶν γίνεται, περιπεσόντων νοσήμασι τοῖς γένους τῶν παρὰ φύσιν ὄγκων· ἐφ' ἑκάστου γάρ τοι τῶν εἰρημένων σπλάγχνων, ὁ περικείμενος ὑμήν, εἰς ὃν διασπείρεται τὸ νεῦρον, αἰσθητικὸς ὑπάρχει· διατεινόμενος οὖν ὑπὸ τοῦ κατὰ τὸ σπλάγχνον ὄγκου, τῷ τῆς ὀδύνης εἴδει τὴν προσηγορίαν περιπεποίηκε. καὶ διὰ τοῦθ' Ἱπποκράτης μὲν πρῶτος ἔγραψεν· καὶ εἰς νεφρὸν ὀδύνη βαρεῖα· μετ' αὐτὸν δ' οὐκ ὀλίγοι τῶν ἀρίστων ἰατρῶν, οὐκ ὀδύνης ὀξείας, ἀλλὰ βάρους αἴσθησιν ἐν ταῖς τῶν εἰρημένων σπλάγχνων φλεγμοναῖς ἔφασαν γίνεσθαι. καὶ μὴν καὶ τοὺς ὑμένας ὡς ἂν οὐκ ἔχοντας ἐν ἑαυτοῖς ἀρτηρίας, εἰκὸς δήπου μὴ σφύζειν, ὥσπερ οὐδὲ τὸ δέρμα, κἂν ἰσχυρῶς φλεγμαίνῃ· κατὰ δὲ τὸν αὐτὸν λόγον οὐδὲ τοὺς ἀδένας, ὅσοι οὐ μετέχουσιν ἀρτηριῶν. ἀλλὰ καθ' ἕνα τρόπον ἀλγήσει τὰ τοιαῦτα μόρια φλεγμαίνοντα, τὸν τῆς τάσεως· ἀχώριστος γὰρ οὗτός ἐστι τῶν αἰσθητικῶν σωμάτων ἁπάντων ἐν ταῖς τοιαύταις διαθέσεσι.

CAPVT IV.

De causis doloris, in quo grauitas, ac partium extensio sentitur.

At verò neq; in hepate, neq; in renibus vnquam huiusmodi pulsus apparet, quoniam nec in illis nerui per tota viscera disperguntur, sicuti nec in pulmone. quocirca grauitatis in ipsis sensus fit, quum tumorum præter naturam genus aliquod ea infestauerit; nã in horum viscerum vnoquoque, circumambiens mẽbrana, per quam neruus dispergitur, sẽsu potitur; quia igitur à tumore, qui est in viscere, ipsa extenditur, doloris speciem appellatione dotauit. Proinde Hippocrates primus scripsit; *In renem dolor grauis*; & post eum optimorum medicorum non pauci, non acuti doloris, sed grauitatis sensum in prædictorum viscerum inflammationibus fieri dixerunt. Quinetiam membranas, vt quibus nullæ insunt arteriæ, non pulsare, rationi consentaneum est; quemadmodum neque cutem, etiamsi vehemens sit inflammatio; atque eadem ratione neque adenes, quibus nullæ sunt arteriæ; sed huiusmodi partes, quum inflammatæ sunt, vnico duntaxat doloris modo vexabuntur, tensionis; nam hic à nullo sentientium corporum in huiusmodi affectibus separari potest.

A

CAPVT V.

De doloribus, qui ex intemperie, tensione, compressione, contusione, vulnere, subita temperamenti alteratione, & continuitatis solutione, acribus, crassis, multis, ac intemperatis humoribus, flatu, lapide, & punctione oriuntur.

CÆteri vero dolores quibusdam partibus insunt, quibusdam non insunt. Igitur meminisse eorum semper oportet, ac cognoscentes singulorum locorum naturam, intueri, quis vnicuique modus doloris peculiariter conueniat, quis verò contrà. Proinde resumentes rursus ipsos, dicamus. Equidē vnus doloris modus est, qui per inæqualem intemperiem in affectâ parte consistit, vel nullâ re ipsam extrinsecus attingente. Alius, qui ob tensionem fit, non amplius soli affectæ parti proprius, sed qui ob vicinas interdum eueniat. Alius qui à tangentibus duntaxat in affecta parte generatur, quum vel compressa, vel contusa, vel à re quapiā superueniente vulnerata dolet. At is doloris modus, qui à motu procedit (quemadmodum paulò antè de arteria dictum est) à re quadam mediâ dolorem efficiente pendet: etenim quæ per se mouetur pars, tenditur, & ad vicinas accedens, comprimitur interdum, & contunditur, & vulneratur; si verò nulli inciderit, eam solâ tensione dolere necesse est; veluti partes omnes quæ ab alijs mouentur, si nihil extrinsecus ipsas tangat, nullo præter eum, qui necessarius est, dolore afficiuntur. Cæterùm alibi me frequenter dixisse memini, primas doloris species duas esse, repentinam temperamenti alterationem, & continuitatis solutionē; quæ cum iam dictis haud pugnant; etenim pars quæ distēditur, aut contunditur, aut vulneratur, dolet ob continuitatis solutionem. Neque enim quum acu quispiam vulneratur, alio affectu laborat, quàm si ab acri humore facta fuisset erosio; at in vtroq; affectu continuum corrumpitur. Igitur non eandem doloris speciem excitant, mordax humor ac multus; sed ille rodendo; hic verò distendendo, flatulenti spiritus exemplo, ac vrinæ in ischuriis. Et in erysipelate, & inflammatione, atque omnino in affectibus inflammatorijs, non solùm, quia distenduntur ob repletionem, laborant, verùm etiam quia intemperie afficiuntur, non exiguam etiam hac ad dolorem inducendum vim habente, vt declarant ij, qui per vehementem hyemem profecti, manus ad ignem affatim calefacere tentant; intolerabilem enim sentiunt dolorem, & maximè in vnguium radicibus. Ac memini mihi ipsi accidisse dolorem vehementissimum, vt mihi viderer in intimo ventre terebro perforari, in eo potissimum spacio, per quod à renibus ad vesicam vreteras scimus extendi. Iniecto deinde rutaceo oleo, quum id paulò pòst excernere tentarem, excreui simul grauissimo cum dolore humorem vitreum à Praxagora appellatum, qui vitro fuso, tum colore, tum consistentiâ, consimilis est; atque id alijs quoque accidere conspexi. Quod verò hic humor sit frigidissimus, iam & à Praxagora dictum est, qui vitrei nomen ipsi imposuit; at manifestè quoque percipitur sensu tactûs, tum ipsorum

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν ὀδυνῶν, τῶν ἐκ δυσκρασίας καὶ τάσεως, καὶ θλίψεως, καὶ θλάσεως, καὶ τρώσεως, καὶ ἀθρόας ἀλλοιώσεως τῆς κράσεως, καὶ συνεχείας λύσεως, καὶ χυμῶν δριμέων, καὶ παχέων, καὶ πολλῶν, καὶ δυσκράτων, καὶ ἐμφυσήματος, καὶ λίθου, καὶ νύγματος γιγνομένων.

ΟΙ δ' ἄλλοι πόνοι, τισὶ μὲν ὑπάρχουσι μορίοις, τισὶ δ' οὔ. μεμνῆσθαι χρὴ αὐτῶν ἀεὶ χρή, καὶ γιγνώσκοντα

B τὴν φύσιν ἑκάστου τῶν τόπων, ἐπισκοπεῖσθαι, τίνας μὲν ἐγχωρεῖ δέξασθαι τρόπους ὀδύνης, τίνας δ' οὔ. λέγωμεν οὖν αὖθις αὐτοὺς ἀναλαβόντες. εἷς μὲν τρόπος ὀδύνης ἐστὶν, ὁ κατὰ τὴν ἀνώμαλον δυσκρασίαν ἐν αὐτῷ τῷ πάσχοντι μορίῳ συνιστάμενος, εἰ καὶ μηδενὸς ψαύοι τοῦ ἔξωθεν· ἕτερος δὲ ὁ κατὰ τὴν τάσιν, οὐκ ἔτ' ἴδιος μόνου τοῦ πάσχοντος, ἀλλ' ἔστιν ὅτε καὶ διὰ τὰ πλησιάζοντα γινόμενος· ἄλλος δὲ ἐκ τῶν ψαυόντων μόνον ὁρμώμενος, ἐν τῷ πάσχειν, ὅταν ἤτοι θλιβόμενον, ἢ θλώμενον, ἢ τιτρωσκόμενον ὑπό τινος τῶν προσπιπτόντων

C ὀδυνᾶται. ὅ γε μὴν ἐκ τοῦ κινεῖσθαι τρόπος τῆς ὀδύνης, διὰ μέσου τινὸς ἑτέρου τὴν ὀδύνην ἐργάζεται, καθάπερ ἐπὶ τῆς ἀρτηρίας ὀλίγῳ πρόσθεν ἐλέγετο· καὶ γὰρ τείνεται τὸ κινούμενον ἐξ αὑτοῦ, καὶ θλίβεταί ποτε καὶ θλᾶταί τε καὶ τιτρώσκεται προσπῖπτον τοῖς πλησιάζουσιν· εἰ δὲ μηδενὶ προσπίπτοι, διὰ τὸ τείνεσθαι μόνον, τὴν ὀδύνην ἐξ ἀνάγκης ἔχει· ὡς τά γ' ὑφ' ἑτέρων ὅλα κινούμενα, μηδενὸς ἔξωθεν αὐτῶν ἐπιψαύοντος, οὐδεμίαν ὀδύνην ἐπικτᾶται παρὰ τὴν ἀναγκαίαν. πολλάκις δὲ ἐν ἑτέροις εἰρηκὼς οἶδα δύο τοὺς πρώτους τρόπους ὀδύνης, ἀθρόαν ἀλλοίωσιν κράσεως, καὶ συνεχείας λύ-

D σιν, οἷς οὐ μάχεται τὰ νῦν εἰρημένα. καὶ γὰρ τὸ τεινόμενον, καὶ τὸ θλιβόμενον, καὶ τὸ θλώμενον, καὶ τὸ τιτρωσκόμενον ὀδυνᾶται, λυομένης τῆς συνεχείας αὐτοῦ. οὐδὲ γὰρ ὅταν ὑπὸ βελόνης τιτρώσκηταί τις, ἕτερον πάθος πάσχει, τοῦ γινομένου κατὰ τὴν ὑπὸ δριμέος χυμοῦ διάβρωσιν· ἐν ἑκατέρῳ γε τῷ πάθει, διαφθείρεται τὸ συνεχές. οὐχ ὡσαύτως οὖν ὅ, τε δακνώδης χυμὸς ὀδύνην ἐργάζεται καὶ ὁ πολύς· ἀλλ' ὁ μὲν τῷ διαβιβρώσκειν, ὁ δὲ τῷ διατείνειν, ὥσπερ καὶ τὸ φυσῶδες πνεῦμα, κἀν ταῖς ἰσχουρίαις τὸ οὖρον. ἐν ἐρυσι-

E πέλασί τε καὶ φλεγμοναῖς καὶ ὅλως τοῖς φλεγμονώδεσι πάθεσιν, οὐ τῷ τείνεσθαι μόνον ἐπὶ τῇ πληρώσει πονοῦσιν, ἀλλὰ καὶ τῇ δυσκρασίᾳ, οὐ σμικρὰν οὐδ' αὐτῆς δύναμιν ἐχούσης πρὸς ὀδύνης γένεσιν, ὡς δηλοῦσιν οἱ ἐξ ὁδοιπορίας ἐν χειμῶνι σφοδρῷ θάλπειν ἀθρόως παρὰ πυρὶ τὰς χεῖρας ἐπιχειρήσαντες· ἀφορήτου γάρ τινος ὀδύνης αἰσθάνονται, καὶ μάλιστα κατὰ τὰς ῥίζας τῶν ὀνύχων. οἶδα δὲ καὶ ἐμαυτῷ ποτε συμβᾶσαν ὀδύνην σφοδροτάτην, ὡς τρυπάνῳ δοκεῖν διατιτρᾶσθαι, κατὰ τὸ βάθος τῆς κοιλίας ἐν

F ἐκείνῳ μάλιστα τῷ χωρίῳ, καθ' ὃ τοὺς ἀπὸ τῶν νεφρῶν ἐπὶ τὴν κύστιν οὐρητῆρας ἐκτεταμένους ἴσμεν. εἶτ' ἐνεθέντος πηγανίνου ἐλαίου, μικρὸν ὕστερον ἀποκρῖναι προθυμηθεὶς αὐτὸ, συνεξέκρινα μετὰ σφοδροτάτης ὀδύνης τὸν ὑαλώδη προσαγορευόμενον ὑπὸ Πραξαγόρου χυμὸν, ὃς ὑάλῳ κεχυμένῃ προσέοικεν τήν τε χροιὰν καὶ τὴν σύστασιν· ἐθεασάμην δὲ αὐτὸ τοῦτο καὶ ἄλλοις συμβάν. ὅτι δὲ ψυχρότατος ὁ χυμὸς οὗτός ἐστιν, εἴρηται μὲν δήπου καὶ Πραξαγόρᾳ τῷ καὶ τοὔνομα κατ' αὐτοῦ θεμένῳ τὸ ὑαλῶδες· φαίνεται δὲ σαφῶς καὶ κατὰ τὴν τῆς ἁφῆς αἴσθησιν,

αὐτῶν τε τῶν ἀποκρινάντων αὐτὸν, καὶ εἴ τις ἅψασθαι βουληθείη παραχρῆμα· καὶ θαυμάσαι γ᾽ ἐστὶ, πῶς ψυχρὸς ὑποπίπτει, μηδὲν ὑπὸ τῆς κατὰ τὴν ἔκπτωσιν βίας θερμαινόμενος. ἐγὼ μὲν οὖν ᾠήθην, λίθον ἐσφηνῶσθαι κατὰ τὸν ἕτερον τῶν οὐρητήρων, οὕτω μοι τὸ τῆς ὀδύνης εἶδος αὐτοῦ, τῷ τιτρᾶσθαι παραπλήσιον ἐφαίνετο· δῆλον δ᾽ ἐγένετο, μετὰ τὴν ἔκκρισιν τοῦ χυμοῦ παυσαμένης τῆς ὀδύνης, ὡς οὔτε λίθος ἦν αἴτιος, οὔθ᾽ ὁ πάσχων τόπος οὐρητὴρ, ἢ νεφρὸς, ἀλλά τι τῶν ἐντέρων, καὶ μᾶλλον ἴσως τῶν παχέων· οὐ γὰρ ὡς διὰ λεπτοῦ σώματος, ἡ διέξοδος αὐτοῦ βραχυχρόνιος ἦν, ἀλλ᾽ ὡς ἐκ βάθους τινὸς φερομένου διὰ παχυτέρου τινὸς ἢ κατὰ τὸν χιτῶνα τῶν λεπτῶν ἐντέρων. ταύτῃ μοι δοκοῦσι καὶ οἱ ἰατροὶ σχεδὸν ἅπαντες ὀνομάσαι τὰ τοιαῦτα τῶν ἀλγημάτων κωλικὰ, καίτοιγ᾽ ὅσον ἐπὶ τῷ χωρίῳ, καθ᾽ ὃ τῆς ὀδύνης αἰσθάνονται, μηδενὸς μᾶλλον ἐνδεικνυμένου τὸ κῶλον, ἢ τι τῶν λεπτῶν ἐντέρων ὀδυνᾶσθαι. τὰ μὲν δὴ τοιαῦτα τῶν ἀλγημάτων, ὡς ὑπὸ τρυπάνου φαίνεται γινόμενα, τῶν καμνόντων αὐτῶν οὕτως ἑρμηνευόντων· ἕτερα δ᾽ ὡς σκόλοπος ἐμπεπηγμένου φαίνεται, παχὺ μὲν ἐνδεικνύμενα καὶ ταῦτα τὸ πάσχον εἶναι σῶμα, διαφέροντα δ᾽ ἀλλήλων, ἤτοι κατὰ τὸ πλῆθος, ἢ τὸ πάχος, ἢ τὴν κίνησιν, ἢ τὴν δύναμιν τῆς ἐργαζομένης τὴν ὀδύνην οὐσίας, εἴτε χυμὸς, εἴτε πνεῦμα φυσῶδες εἴη. τὸ γὰρ ἔλαττον, ἧττον ὀδυνήσει τοῦ πλέονος, ὥσπέρ γε καὶ τὸ λεπτότερον τοῦ παχυτέρου, καὶ τὸ μένον τοῦ κινουμένου, καὶ τὸ τοῦ βιαίου τῆς ψύξεως ἀπολειπόμενον· ἀλλὰ τό γε τῆς ὀδύνης εἶδος ἐντέρου παχέος ἐστὶν, ἄν θ᾽ ὡς ὑπὸ σκόλοπος ἐμπεπηγμένου τις, ἄν θ᾽ ὡς ὑπὸ τρυπάνου διατιτρᾶσθαι νομίζῃ. καὶ διακρῖναί γε ταῦτα τῆς ἀπὸ λίθου σφηνώσεως οὐκ ἔστι, πρὶν περιμεῖναί τι τῶν ἐφεξῆς. οὐ μὴν οὐδὲ βλαπτόμεθά τι πρὸς τὸ πραΰναι τὴν ὀδύνην ἐκ τῆς τοιαύτης ἀγνοίας· κοινὰ γὰρ ἅπαντα τὰ τῆς ὀδύνης ἑκατέρας ἐστὶ βοηθήματα, θάλψις μὲν ἔξωθέν τε καὶ διὰ τῶν ἐνιεμένων τὸ πρῶτον, ἐπὶ ταύταις δὲ, εἰ μὴ πραΰνοιτο, καὶ τῶν ἀνωδύνων τι καλουμένων φαρμάκων, ὁποῖόν ἐστι τὸ τοῦ Φίλωνος. ἀλλ᾽ εἰ μὲν λίθος ὁ τὴν ὀδύνην ἐργαζόμενος εἴη, ποτὲ μὲν αὐτὸς μόνος ἐκκριθεὶς ὀφθήσεται, ποτὲ δὲ καὶ μεθ᾽ αἵματος ἅμ᾽ αὐτῷ συνεξουρηθέντος, ξυσθέντων δηλονότι τῶν σωμάτων ἃ διεξῆλθεν, καὶ μᾶλλον εἰ τραχὺς ἢ ὀξὺς ὁ λίθος εἴη· καὶ μετὰ ταῦθ᾽ ὕστερον ἐπισκεπτομένῳ σοι τὰ οὖρα, ψαμμώδεις ὑποστάσεις εὑρεθήσονται· τοῦ κώλου δ᾽ εἴπερ εἴη τὸ πάθος, οὔτε ψάμμος, οὔτε λίθος, οὔθ᾽ αἷμα, χυμὸς δέ τις, οἷον εἶπον, ἢ τ᾽ ἄλλα γε τὰ κατ᾽ ἔντερον πάσχον ἐπιφαινόμενα συμπτώματα, παραχρῆμα μὲν ἐμφυσήσεις τις, καὶ διάτασις, ἢ πάνυ πολλαὶ φῦσαι, καὶ μᾶλλον ἐξ ὑστέρου, καὶ στρόφοι τινὲς, καὶ διαχωρήματα φυσώδη· γνωρίσεις δ᾽ αὐτὰ τῷ καθ᾽ ὕδατος ἐποχεῖσθαι προσεοικότα βολβίτοις. ἀλλὰ καὶ τὰ τῆς ὀρέξεώς τε καὶ πέψεως χείρω, προηγησάμενά τε καὶ γινόμενα καὶ συνεπόμενα, κατὰ τὴν τῆς συνεχείας κοινωνίαν τῷ πρωτοπαθοῦντι συμπαθούσης τῆς γαστρός. οὐχ ἥκιστα δὲ καὶ προηγεῖται τῶν κωλικῶν ὀνομαζομένων παθῶν, ἀπεψία, καὶ πνευμάτωσις, ἔμετός τε καὶ ναυτίαι μέχρι πολλοῦ παραμένουσαι κεναὶ, καὶ δῆξις τῶν καθ᾽ ὑποχόνδριον, ἄση τε καὶ ἀπορία πολλή.

A qui illum excernunt, tum si quis confestim ipsum tangere voluerit; & dignum vtique admiratione est, quomodo frigidus excidat, ab excretionis violentia minimè calefactus. Equidem putabam lapidem in altero vreterum impactum, adeò erat, vt mihi videbatur, doloris ipsiús species perforanti similis; at post vacuatum humorem dolore sedato, manifestè constabat, neque lapidem fuisse causam, neque vreteras, aut renes fuisse affectos, sed aliquod intestinorum, & fortasse magis crassorum, neque B enim tanquam per tenue corpus, breui temporis spatio pertransibat, sed tanquam à profundo per crassius quoddam corpus, quam sit tenuium intestinorum tunica, ferretur. Ideoque huiusmodi dolores omnes ferè medici colicos nominare mihi videntur; quanquam quod ad regionem attinet, quâ dolor sentitur, nullum indicium sumi potest, quod magis colon, quàm tenue intestinum, dolor afficiat. Huiusmodi sanè dolores perinde ac si terebro partes perforentur, molestare solent, narrantibus C ita infirmis; alii verò veluti palo infixo fieri videntur, qui & ipsi corpus affectum crassum esse significant, differunt autem inter se, aut multitudine, aut crassitudine, aut motu, aut potentiâ rei dolorem facientis, siue ea humor fuerit, siue spiritus flatulentus. Nam paucus multo, & tenuior crassiore, & permanens mobili, minorem dolorem excitare solet, atque qui ad vehementem refrigerandi vim haudquaquam accedit, *vehementissimè refrigerante*; verum doloris genus crassi intestini est, siue palo ibi infixo, siue terebro perforari quis se putauerit. D Atque huiusmodi dolores ab eo, quo lapis impactus est, discerni non possunt, nisi priùs quis accidentia, quæ postea consequuntur, expectauerit. Non tamen ob huiusmodi ignorantiam, quod ad doloris mitigationem attinet, vllum damnum capimus; siquidem vtriusque doloris præsidia omnia communia sunt, calorifica in primis, siue ea extrinsecus adhibeantur, siue iniiciantur; deinde, nisi mitigatus dolor fuerit, eorum medicamentorum, quæ dolorem obtundere possunt, aliquod, cuiusmodi est illud Philonis. Verùm si lapis dolorem excitauerit, ipse interdum solus, interdum vnà cum cruore E excernitur, derasis scilicet corporibus, per quæ transit, maximè si vel asper, vel acutus fuerit lapis; ac si postea vrinas inspexeris, sabulosa sedimenta inuenies. Quòd si in colo affectus constiterit, neque lapis, neque arena, neque cruor, sed humor aliquis, qualis iam dictus est, aut alia, quæ ad affectum intestinum pertinent, symptomata, protinus quidem inflatio quædam, & distentio, vel flatus complures, præsertimque postmodum, & tormina quædam, & F excrementa flatibus plena videbuntur; discernes autem ipsa, quod aquæ innatent, bubulo stercori similia. Quinetiam cibi tum appetentia tum concoctio deterior, tum quæ præcedit morbum, tum quæ comitatur, quæque consequitur; quoniam ventriculus per continuitatis communitatem, simul cum ea parte, quæ primariò laborat, afficitur. Insuper colicos nominatos affectus magna ex parte præcedit & cruditas, & flatus, & vomitus, & nauseæ, quæ multo tempore irritæ permanent, & in hypochondrio mordacitas, & fastidium, & iactatio multa.

Igitur huiusmodi quidem dolorum vehementissimum in crassis intestinis consistere par est; qui verò mitiores sunt, ex duobus alterum, aut in his ipsis, sed à leuiori causa; aut in tenuibus intestinis consistere. Sed qui mordaces sunt, à mordaci humore intestinum erodente fiunt. Vnde dysenteriam semper huiusmodi dolores præcedunt, eam, quæ cum intestinorum vlceratione fit; quam etiam solam tum recentiores medici, tum antiquorum non pauci, dysenteriam nominant; nonnulli enim eorum non solum hanc, sed aliam quoque, quæ cruenta ob excretorum speciem nominatur, dysenteriam appellant; quâ interdum sincerus multusque sanguis, interdum veluti limus & fæx ipsius, non paucâ copiâ excernitur. Verum hæc affectiiecoris symptoma est; ea verò, per quam sincerus multusque sanguis excernitur, vniuersum corpus plerumque euacuat peræque ac hæmorrhoides aut muliebris purgatio. Verùm de his posthac rursus nobis agere licebit; nunc ad dolorum species redeo, eas enim hoc libro persequi potissimùm proposuimus. Igitur iterum incipiamus ab eo quem punctorium vocant, qui circa membranas potissimum consistit, ipsius affectûs veluti radice eo loco fixâ, vbi *membrana* pungi videtur; dolore verò circa locum punctum, ad magnum spatium circulatim se fundente; hoc modo plenitudinis dolorem punctorium esse, vt inflammationis pulsatorium, apud omnes ferè medicos in confesso est.

A Τὰ μὲν οὖν σφοδρότατα τῶν τοιούτων ἀλγημάτων, εἰκὸς ἐστὶ κατὰ τὰ παχύτερα τῶν ἐντέρων. ὅσα δὲ ἐπιεικέστερα, δυοῖν θάτερον, ἢ ἐν τοῖς αὐτοῖς μὲν, ἀλλὰ διὰ μετριωτέραν αἰτίαν, ἢ ἐν τοῖς λεπτοῖς ἐντέροις συνίστασθαι. τὰ δὲ μετὰ δήξεως ἐπὶ χυμῷ δακνώδει γίνεται διαβιβρώσκοντι τὸ ἔντερον· ἀεὶ γοῦν δυσεντερίας προηγεῖται τὰ τοιαῦτα, τῆς γε μεθ' ἑλκώσεως ἐντέρων γινομένης, ἣν καὶ μόνην ὀνομάζουσι δυσεντερίαν οἵ τε νεώτεροι πάντες ἰατροὶ, καὶ τῶν παλαιῶν οὐκ ὀλίγοι· καλοῦσι γὰρ οἱ μέν τινες αὐτῶν οὐ μόνον ταύτην δυσεντερίαν, ἀλλὰ καὶ τὴν ἄλλην, τὴν αἱματώδη προσαγορευομένην διὰ τὸ τῶν ἐκκρίσεων εἶδος, ἐνίοτε μὲν αἵματος ἀκριβοῦς καὶ πολλοῦ διαχωρουμένου, ποτὲ δ' ὥσπερ τινὸς ἰλύος αὐτοῦ καὶ τρυγὸς, οὐκ ὀλίγου τὸ πλῆθος οὐδὲ τούτου. αὕτη μὲν οὖν σύμπτωμά ἐστιν ἥπατος πάσχοντος, ἡ δὲ αἵματος ἀκριβοῦς καὶ πολλοῦ τὸ σύμπαν σῶμα κενοῖ πολλάκις οὕτως ὡς αἱμορροῒς ἢ κάθαρσις γυναικεία. περὶ μὲν δὴ τούτων καὶ αὖθις ἐγχωρεῖ διελθεῖν, ἐπὶ δὲ τὰ τῶν ἀλγημάτων εἴδη πάλιν ἐπάνειμι· τοῦτο γὰρ μάλιστα προὐθέμην ἐν τῷδε τῷ γράμματι διασκέψασθαι. ἀρξώμεθα οὖν αὖθις ἀπὸ τοῦ νυγματώδους ὀνομαζομένου, συνισταμένου τε περὶ τοὺς ὑμένας μάλιστα, τῆς μὲν οἷον ῥίζης τοῦ πάθους κατὰ τὸ νύττεσθαι δοκοῦν ἐρηρεισμένης, ἐκτεινομένης δ' ἐπὶ πλέον ἐν κύκλῳ περὶ τοῦτο τῆς ὀδύνης· οὕτω τοι καὶ τὸ τῆς πληθώρας ἄλγημα, νυγματῶδες εἶναι σχεδὸν ἅπασι τοῖς ἰατροῖς ὡμολόγηται, καθάπερ τὸ τῆς φλεγμονῆς σφυγματῶδες.

CAPVT VI.

Aduersus Archigenem, qui saporum nomina doloribus accommodauit.

NOn tamen dentium stupori simile quid dolor membranosorum corporum habet, vt Archigenes scripsit; scimus enim ori duntaxat, neque toti tamen accidere, sed dentibus gingiuisque, affectum quendam, quem hæmodiam vocamus. Hunc oratione enarrare impossibile est; sed quum quispiam austeros & acidos cibos comederit, ita vt affectus aliquis sequatur in dentibus & gingiuis, eum in omnibus eundem esse credimus; siquidem videmus nos magnâ ex parte similes esse in affectibus habendis, ita vt ab iisdem causis eadem patiamur. Talem itaque dolorem in ore duntaxat fieri scimus. Alios verò quosdam ab Archigene scriptos non solùm dum fiunt, cognosci, sed neque dum proferuntur, intelligi possibile est; qualis est tractorius, austerus, dulcis, leuiter acutus, salsus, tenax, rigidus, astringens. Huiusmodi enim nomina in opere etiam de Pulsibus scripsit, quæ auditores nihilo doctiores reddere possunt, eò quod omnis scientifica doctrina propria desideret nomina. Si enim de saporibus, aut omnino de propriis, quæ linguâ iudicantur, sensilibus disseramus, dicemus vtique austerum, & acerbum, & astringentem, & mordacem, & salsum, & dulcem, & amarum; si verò de iis, quæ tactu iudicantur, humidum corpus, & aridum, & calidum, & frigidum, & asperum, & læue, & molle, & durum, & acutum, & obtusum; vt de iis quæ visu discernuntur, rubrum, flauum, nigrum, album, fuscum,

ΚΕΦΑΛΑΙΟΝ ς.

Πρὸς τὸν Ἀρχιγένη τὸν τὰ χυμῶν ὀνόματα τοῖς ἀλγήμασι προσνενεμηκότα.

D ΟΥ μὴν αἱμωδίᾳ τι προσεοικὸς ὁ πόνος ἔχει τῶν ὑμενωδῶν σωμάτων, ὡς Ἀρχιγένης ἔγραψεν· ἴσμεν γὰρ ὅτι κατὰ τὸ στόμα μόνον, οὐδὲ τοῦτο σύμπαν, ἀλλὰ τοὺς ὀδόντας τε καὶ τὰ οὖλα γίνεταί τι πάθος, ὃ καλοῦμεν αἱμωδίαν, ὃ μηδὲ ἑρμηνεῦσαι λόγῳ δυνατόν ἐστι, ἀλλ' ἐκ τοῦ προηγήσασθαι μὲν ἐδωδὴν ἐδεσμάτων αὐστηρῶν τε καὶ ὀξέων, ἀκολουθῆσαι δέ τι πάθος ἐν τοῖς ὀδοῦσι καὶ τοῖς οὔλοις, ἐπιστεύσαμεν ἅπασι γίνεσθαι ταὐτὸν, ὁρῶντες ἐν τοῖς πλείστοις ὁμοιοπαθεῖς ἡμᾶς ὑπάρχοντας, ὡς ἀπὸ τῶν αὐτῶν αἰτίων πάσχειν τὰ αὐτά. τὸν μὲν οὖν τοιοῦτον πόνον ἐν τῷ στόματι μόνον ἴσμεν γινόμενον, ἄλλους δέ τινας, ὧν Ἀρχιγένης ἔγραψεν, μὴ ὅτι γνωρίσαι γινομένους δυνατὸν, ἀλλὰ μηδὲ νοῆσαι λεγομένους, οἷον τὸν ὁλκιμον, ἢ τὸν αὐστηρὸν, ἢ τὸν γλυκὺν, ἢ τὸν ἠρέμα ὀξὺν, ἢ τὸν ἁλυκὸν, ἢ τὸν γλίσχρον, ἢ ἀτειρὸν, ἢ τὸν στύφοντα· τοιαῦτα γὰρ ὀνόματα καὶ κατὰ τὴν περὶ τῶν σφυγμῶν πραγματείαν ἔγραψεν, οὐδὲν διδάξαι δυνάμενα τὸν ἀκούοντα, διὰ τὸ πᾶσαν ἐπιστημονικὴν διδασκαλίαν ὀνομάτων δεῖσθαι κυρίων· εἰ μὲν περὶ χυμῶν διαλεγοίμεθα, καὶ ὅλως περὶ τῶν τῆς γλώττης ἰδίων αἰσθητῶν, αὐστηρὸν ἡμῶν λεγόντων, καὶ στρυφνὸν, καὶ στύφοντα, καὶ δακνώδη, καὶ ἁλμυρὸν, καὶ γλυκὺν, καὶ πικρόν· εἰ δὲ περὶ τῶν ἁπτῶν, ὑγρὸν σῶμα, καὶ ξηρὸν, καὶ θερμὸν, καὶ ψυχρὸν, καὶ τραχὺ, καὶ λεῖον, καὶ μαλακὸν, καὶ σκληρὸν, ὀξύ τε καὶ ἀμβλύ· καθάπερ γε καὶ εἰ περὶ τῶν ὁρατῶν, ἐρυθρὸν, καὶ ξανθὸν, καὶ μέλαν, καὶ λευκὸν, καὶ φαιὸν,

ἤ τι τοιοῦτον ἕτερον. εἰ δ' ὑπαλλάττοι τις αὐτῶν τὰς προσηγορίας, ἀσύνετα τοῖς ἀκούουσιν ἐρεῖ, καθάπερ ἐπὶ τοῦ στύφοντος, ἢ αὐστηροῦ πόνου. τὸν μὲν γὰρ γλυκὺν οὐδ' ἐπινοῆσαι δυνατὸν, ἀνιῶντος μὲν ἀεὶ τοῦ πόνου τὸν πάσχοντα, πάντων δὲ τῶν γλυκέων [10] ἡδέων ὄντων. ὅτι μὲν οὖν φιλόπονος εἰς τὰ τῆς ἰατρικῆς ἔργα γέγονεν ὁ Ἀρχιγένης, ἀληθέστατόν ἐστιν· ὅπως δὲ εἰς τὰ τοιαῦτα τῶν ὀνομάτων ἐκφέρεται, πολλάκις μὲν ἐσκεψάμην, εὑρεῖν δ' οὐκ ἠδυνήθην.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὥσπερ οὐδεὶς ἕκαστον τῶν ἀλγημάτων ὑπέμεινεν, οὕτω μήθ' ὁ Ἀρχιγένης, μήτ' ἄλλος ἰατρὸς αὐτὰ διδάσκειν δύναται.

ΟΣον οὖν ἐν αὐτοῖς ἐστι σαφὲς, [11] ἐπισκεψώμεθα, καθάπερ ὀλίγον ἔμπροσθεν ἐπὶ τοῦ ναρκώδους πόνου. δίκαιον γάρ ἐστι τὰ μὲν ἀσαφῆ τῶν ὀνομάτων ἐν ἀδήλῳ καταλιπεῖν, ἄχρηστα νομίζοντας, καθάπερ εἰ μηδ' ὅλως ἐγέγραπτο· τὰ δὲ σαφῆ κρίνειν, οὐ τῷ λόγῳ μόνον, ἀλλὰ πολὺ πρότερον ἔτι τῇ πείρᾳ. χαλεπὸν δὲ τὸ τοιοῦτον κριτήριον, ὡς ἂν ἑτέροις πολλάκις ἀναγκαζομένων ἡμῶν πιστεύειν, οὔτε παρακολουθοῦσιν σαφῶς, οἷς πάσχουσι, διὰ μαλακίαν ψυχῆς, οὔτ' εἰ καὶ παρακολουθοῖεν, ἑρμηνεῦσαι δυναμένοις, ἢ τῷ μηδ' ὅλως οἵους τ' εἶναι λόγῳ δηλῶσαι περὶ ὧν πάσχουσιν (οὐ γὰρ μικρᾶς δυνάμεως τὸ τοιοῦτον) ἢ τῷ μηδ' εἶναι ῥητὸν αὐτό. καταλείπεται τοίνυν αὐτὸν πεπονθέναι τὸν μέλλοντα γράψειν ἑκάστου τῶν ἀλγημάτων τὴν ἰδέαν, ἰατρόν τε ὄντα, καὶ ἄλλοις ἑρμηνεῦσαι δυνατὸν, ἑαυτῷ τε παρηκολουθηκότα μετὰ φρονήσεως, ἡνίκ' ἔπασχεν, [12] ἄνευ μαλακίας ψυχῆς. οὐ μὴν ἅπαντά γε τὰ πάθη καθ' ὅλον ἑαυτοῦ τὸν βίον ἔπαθέν τις, εἰ καὶ νοσωδέστατος εἴη. διὸ καὶ θαυμάζω, τὰς ἰδιότητας αὐτῶν ἀναγινώσκων, ὅσας ἔγραψεν ὁ Ἀρχιγένης· ὡς γὰρ αὐτὸς ἅπαντα πεπονθὼς, διηγεῖται, καίτοιγ' οὐ πάνυ τι νοσώδης γενόμενος· εἰ δὲ καὶ καθ' ἕν τι μόριον τοῦ σώματος ἀσθενὴς καὶ νοσώδης ἦν, ἀλλ' οὔπω γε πάντα, καθάπερ οὐδ' ἄλλος τις οὐδεὶς ἀνθρώπων. οὐδὲ γὰρ ἂν εὕροις τὸν αὐτὸν ἄνθρωπον ἅμα τε κεφαλὴν ἀσθενῆ, καὶ θώρακα, καὶ πνεύμονα, καὶ ἧπαρ, καὶ σπλῆνα, καὶ γαστέρα, καὶ νῆστιν, καὶ κῶλον, καὶ κύστιν, ἕκαστόν τε τῶν ἄλλων. ἔοικεν οὖν ἐπινοίαις τισὶν ἰδίαις μᾶλλον λογικαῖς, ἢ τῇ πείρᾳ τῶν πεπονθότων, ὁ Ἀρχιγένης ἀποπιστεῦσαι, διηγουμένων ὡς ἠδύναντο τὰς διαφορὰς τῶν ἀλγημάτων.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι τῶν ῥηθέντων ὑπ' Ἀρχιγένους, ἔνια μὲν ἀληθῶς τε καὶ τελέως εἴρηται, καὶ σαφῶς· ἔνια δ' ἤτοι παντάπασιν ἀσαφῶς, ἢ ἐλλιπῶς, ἢ ἀδιορίστως, ἢ ψευδῶς.

ΙΝ' οὖν τι πλέον ἔχωσι καὶ παρ' ἡμῶν οἱ φιλομαθεῖς, αὐτὰς ῥήσεις αὐτοῦ παραθέμενος, ὅσα μὲν ἀληθῆ τ' ἐστὶν ἅμα καὶ σαφῆ, ταῦτ' ἐκλέξας μόνα, πιστεύειν αὐτοῖς ἀξιώσω τοὺς ἀσκουμένους κατὰ τὴν τέχνην· ὅσα δ' οὐ τοιαῦτα, παρέρχεσθαι συμβουλεύσω. μεμψάμενος οὖν ὁ Ἀρχιγένης τῷ Ἀσκληπιάδῃ, τὸ μὲν πεπονθὸς νεῦρον, ἐν ταῖς ἀρθρίτισιν ἀνώδυνον εἶναι λέγοντι, διότι μηδ' ὅλως αἰσθάνεται, τὴν δ' ἀπαθῆ σάρκα,

aut aliud quidpiam huiuſmodi. Quòd ſi quis appellationes ipſorum permutauerit, quid dicat, auditorum intelliget nemo; veluti de adſtringente, aut auſtero dolore. Nam quid ſit dulcis, ne fingi quidem poteſt; quum dolor ſemper moleſtet laborantem, dulcia quæque iucunda ſint. Igitur quàm veriſſimum eſt Archigenem circa medicæ artis opera fuiſſe ſtudioſum; quo pacto verò in huiuſmodi nomina inciderit, quum ſæpenumerò inueſtigauerim, inuenire non potui.

CAPVT VII.

Singulos dolores, vt nemo pertulit, ſic eos nec Archigenes nec alter medicus docere poteſt.

ITaque quid in ipſis manifeſtum ſit, vt paulò antè in torpido dolore, ſpeculemur. Nam iuſtum eſt, nos obſcura nomina in dubio derelicta, inutilia reputare, perinde ac ſi nunquam ſcripta fuiſſent; quæ verò clara ſunt, iudicare, non ratione duntaxat, ſed multò prius etiam experimento. Quanquã huiuſmodi iudiciũ perdifficile eſt, quod plerunque aliis nos credere oporteat, qui ſuos affectus ob animi mollitiem neque conſequi planè, neque ſi conſequantur, enarrare poſſunt, aut quia oratione, quid patiãtur, declarare omninò nequeunt (nõ enim paruæ facultatis ea res exiſtimatur) aut quia affectus ipſe ineffabilis eſt. Ergo relinquitur, vt qui ſingulorũ dolorum ſpecies ſcripturus eſt, ipſemet paſſus fuerit, ſitq; medicus, & interpretandi aliis facultatem habeat, & prudenter & ſine mollitie obſeruauerit ſuos affectus, dum laboraret. Atqui nemo per totum ætatis ſuæ decurſum omnes affectus ſuſtinuit, etiamſi ægerrimus fuerit. Proinde miror, quum eorum proprietates ab Archigene ſcriptas lego; nam tanquam omnes ipſe perpeſſus, narrat, quanquam non admodum valetudinarius erat; quod ſi etiam vnam aliquam partem infirmam & ægrã habuit, at nondum tamen omnes, vt nec reliquorum mortalium vllus. Neque enim inueneris hominem eundem, qui ſimul & caput habeat infirmum, & thoracem, & pulmonem, & hepar, & lienem, & ventriculum, & ieiunum, & colon, & veſicam, atque reliquas id genus partes. Videtur itaq; Archigenes propriis quibuſdam conceptibus logicis potius crediſſe, quam experientiæ eorum, qui perpeſſi ſunt, qui dolorum differentias vt poterant, enarrarent.

CAPVT VIII.

Quòd, quæ ab Archigene dicta ſunt, eorum quædam verè, abſolutè & clarè; alia omninò obſcurè vel imperfectè, vel indiſtinctè, vel falsò dicta ſint.

VT igitur ſtudioſi aliquid vberiùs à nobis conſequantur, propoſitâ eius oratione ipsâ, electiſque ijs ſolis, quæ vera ſimul ſunt & manifeſta, eos qui in arte exercentur, adhortabor, vt ijs habeant fidem; quæ verò ſecus habent, ea prætereant. Igitur Archigenes, quum reprehendiſſet Aſclepiadem dicentem in arthritidibus neruum affectum citra dolorem eſſe, quod nihil omninò ſentiat; carnem autem,

quanquam

quanquam non affectam, dolere tamen, à parte vicinâ compressam; postea ad verbum ita scribit. *At vasa solidè compressa, capitis dolores sine inflammatione obortos arcent, vt prohibità in ipsa incursione, quod barbaricum vinculum tum maximè perficit. Sideratas verò heterocranias, præcisio eorum, maximè arteriæ, circumscribit. Quæ primò affecta, pulsatorium, & emicantem dolorem inducit, ac rotunda euadit, insigniter subhorrescens, quemadmodum venæ quidem veluti varicosæ fiunt, nerui verò contorti distenduntur ac indurantur. Atque hi quidem stupidos inferunt dolores, & durè distendentes, & profundos, & infixos, & angustiæ plenos, & minimè fusos. Membranæ verò in latum etiam discurrentes, & inæquales ipsos excitant, vt & hæmodiæ simile quidpiam habeant, transmissionis videlicet asperitatem. Dolet verò sæpenumerò hoc modo etiam superficies, & membranæ in media carne contentæ, quæ dilaniantes quoque dolores inferunt. Eos verò, qui à partibus ossa circundantibus dependent, tundentes comperies, ac si in ossibus ipsis consisterent. A venis, graues, & detrahentes, & æqualiter infarcti dolores suscitantur; à carne autem, fusi, & laxiores, quapropter non adeò extendi videntur, sed arbitratur laborans sensum asperis quibusdam rebus impleri. Musculi carnis, neruorumque proprietatum, arteriarum quoque, in doloribus mixtionem præ se ferunt, turgentes (vt ita dixeris) & cum capaci latitudine distenti, & stupidè pulsantes. Ex reliquis verò vlcerosus quidem dolor, & in vlceribus graciliter acutus, & non minimè dulcior, & qui pruriginem inducit, ad superficiem pertinere videtur; punctorius autem ad profundas partes; impingens autem, vicino sinu; stimulans autem, partim eorum, quæ in loco sunt, aliquid affectum esse declarat; partim contrà, vt qui haudquaquam in profundo subsistat; lacerans autem est, qui in sinibus consistit.* Hic est primus Archigenis sermo ex libro primo de locis affectis, quo docere conatur, quomodo ex dolorum differentijs partes affectæ possint inueniri. Igitur rursus ab initio ipsum examinemus, non obiter. *Sideratas* (inquit) *hemicranias, vasorum dissectio circumscribit.* Igitur, quas nominet sideratas, inuentu difficile est; non enim inter omnes conuenit, quid hæc vox, sphacelos, significet. Sunt enim, qui dicunt ipsam, vehementem dolorem declarare; alij tantum inflammationis excessum, vt partem ad corruptionis periculum inducat, quod à nonnullis gangræna appellatur; alij partis affectæ corruptionem ipsam, sphacelon dici volunt; alij conuulsionem; alij non simpliciter conuulsionem, sed neruosorum corporum, quæ inflammatione laborant; nonnulli non eam, quæ fit, conuulsionem, sed quæ ex inflammationis magnitudine expectatur; alij simpliciter vehementem tensionem; alij putredinem. Ergo vocabulum sphacelodes, in iam proposita Archigenis oratione scriptum, ad tantam peruenit obscuritatem, vt nihil significet, quum ipse nusquam medicorum nominum enarrationem scripserit. Per verbum autem, circunscribit, fortassis intelliget quispiam dictum esse ab eo, veluti celeriter, vel ex toto sanat; ac ponamus

τῇ γειτνιάσει θλιβομένην ὀδυνᾶσθαι, μετὰ ταῦτα γράφει κατὰ λέξιν οὕτως. τὰ δ' ἀγγεῖα στερεῶς ἐπιθλιβόμενα, τὰς ἄνευ φλεγμονῆς κεφαλαλγίας ἐπέχει, ὥσπερ ἐμφράξεώς τινος εἰς αὐτὰ κωλυομένης· καὶ ὁ βαρβαρικὸς διάδεσμος, [13] τότε μάλιστα αὐτεῖ. τὰς δὲ σφακελώδεις ἑτεροκρανίας, ἡ διακοπὴ αὐτῶν, καὶ μᾶλλον ἡ τῆς ἀρτηρίας, περιγράφει. ἥτις καὶ σφυγμώδη, καθηγρομένην, καὶ διαΐσσοντα τὸν πόνον ἐμβάλλει, καὶ στρογγύλεται ὑποφρίσσουσα ἐπισήμως, ὥσπερ αἱ μὲν φλέβες εἰσὶ ἀποκιρσοῦνται, τὰ δὲ νεῦρα διατείνεταί τε καὶ σκληρύνεται συστρεφόμενα. καὶ ταῦτα μὲν ναρκώδεις ἐπιφέρει τοὺς πόνους, καὶ σκληρῶς διατείνοντας, καὶ βυθίους, καὶ ἐμπεπηγμένους, καὶ στενοχωρίας πλήρεις, καὶ ἥκιστα κεχυμένους· οἱ δ' ὑμένες καὶ ἐπὶ πλάτος διήκοντας αὐτοὺς παρέχουσιν, καὶ ἀνωμάλους, ὥστε καὶ αἱμωδίᾳ τι προσεοικὸς ἔχειν, τὴν τῆς ἀναδόσεως τραχύτητα. πονεῖ δὲ πολλάκις οὕτω καὶ ἡ ἐπιφάνεια, καὶ οἱ μεταξὺ τῆς σαρκὸς ὑμένες, οἳ καὶ τοὺς διασπῶντας πόνους ἐπιφέρουσι. τοὺς δὲ ἀπὸ τῶν περὶ τὰ ὀστέα, προστυπεῖς εὑρήσεις, ὡς αὐτῶν δοκεῖν τῶν ὀστέων ὄντας. αἱ φλέβες δὲ, βαρεῖς, καὶ καθέλκοντας, καὶ ὁμαλῶς ἐμπεπλασμένους ἐπιφέρουσιν αὐτούς· αἱ δὲ σάρκες, κεχυμένους τε καὶ χαλαρωτέρους, διὸ φαίνονται μηδ' ἐπὶ πολὺ ἐκτεινόμενοι, ὡς ἐμπλεούσης [14] τραχύμασί τισι δοκεῖν τῆς αἰσθήσεως. οἱ μύες δὲ σαρκός τι καὶ νεύρου μίγμα τῶν ἰδιωμάτων, ἀμέλει καὶ τῆς ἀρτηρίας, ἐν τοῖς πόνοις ἀναφέρουσιν, σφριγῶντες ὡς ἂν εἴποι τις, καὶ μετ' εὐρυχωρίας διατεινόμενοι, καὶ ναρκῶδες σφύζοντες. τῶν δ' ἄλλων, ὁ μὲν ἑλκώδης πόνος, καὶ ἐν ἕλκεσιν ὁ ἰσχνῶς ὀξὺς, καὶ οὐχ ἥκιστα ὁ γλυκύτερος, καὶ κνησμοῦ προσαγωγὸς, ἐπιφανείας ἔοικεν ὤν· ὁ δὲ νυγματώδης, τοῦ βάθους· ὁ δὲ ἐνερείδων, κόλπου πλησιάζοντος· ὁ δὲ διακεντῶν, τὰ μὲν πεπονθέναι τι τῶν ἐν τῷ τόπῳ διασαφεῖ, τὰ δὲ μὴ, οὐκ ἐν βάθει τὴν ὑπόστασιν ἔχων· σπαράττων δέ ἐστιν, ὁ ἐν κόλποις συνιστάμενος. αὕτη μὲν ἡ πρώτη ῥῆσίς ἐστιν Ἀρχιγένους, ἐκ τοῦ πρώτου τῶν πεπονθότων τόπων, ἐπιχειροῦντος διδάσκειν, ὅπως ἄν τις εὑρίσκοι τὰ πεπονθότα μέρη, τῇ τῶν πόνων διαφορᾷ προσέχων τὸν νοῦν. ἐπισκεψώμεθα δ' ἀπ' ἀρχῆς αὐτὴν, μὴ παρέργως. τὰς σφακελώδεις, φησὶν, ἑτεροκρανίας, ἡ διακοπὴ τῶν ἀγγείων περιγράφει. τίνας μὲν οὖν λέγει τὰς σφακελώδεις, χαλεπὸν εὑρεῖν, οὐδὲ γὰρ ὡμολόγηται τῆς σφάκελος φωνῆς τὸ σημαινόμενον, ἐνίων μὲν ὀδύνην λεγόντων μεγάλην δηλοῦσθαι, τινῶν δὲ φλεγμονῆς ὑπερβολὴν τηλικαύτην, ὡς ἐπιφέρειν κίνδυνον φθορᾶς τοῦ μέρους, ὅπερ ἔνιοι γάγγραιναν ὀνομάζουσιν· ἐνίων δὲ, τὴν φθορὰν αὐτὴν τοῦ πάσχοντος μορίου, σφάκελον ὀνομάζεσθαι φασκόντων· ἄλλων δὲ σπασμόν· ἄλλων τε οὐχ ἁπλῶς σπασμὸν, ἀλλὰ τὸν ἐπὶ φλεγμονῇ νευρωδῶν σωμάτων· ἐνίων τε οὐ τὸν ἤδη γινόμενον σπασμὸν, ἀλλὰ τὸν προσδοκώμενον ἐπὶ μεγέθει φλεγμονῆς· ἐνίων δ' ἁπλῶς τάσιν ἰσχυράν· ἄλλων δὲ σηπεδόνα. τὸ μὲν δὴ σφακελῶδες ὄνομα, τὸ κατὰ τὴν προγεγραμμένην ῥῆσιν ὑπὸ Ἀρχιγένους εἰρημένον, εἰς τοσοῦτον ἀσαφείας ἥκει, ὡς μηδὲν δηλοῦν, μηδ' ἐξήγησιν ὀνομάτων ἰατρικῶν ἐν ἑτέρᾳ πραγματείᾳ γράψαντος αὐτοῦ. τὸ δὲ περιγράφει, τάχ' ἄν τις ὑπονοήσειεν εἰρῆσθαι, τὸ εἰς τάχεως ἢ παντελῶς ἰᾶται. καὶ κείσθω γ'

οὕτως εἰρῆσθαι. τί γὰρ ἄν τις πάθοι, νοεῖν ὀρεγόμενος ἃ μηδ᾽ ὁ γράψας αὐτὸς ἐσπούδασε νοῆσαι; σφυγματώδη οὖν καὶ διαΐσσοντα τὸν πόνον ἐμβάλλειν φησὶν τὰς ἀρτηρίας, ὅταν αὗται δηλονότι πρωτοπαθῶσι κατὰ τὰς σφακελώδεις ἑτεροκρανίας. τὸν μὲν οὖν σφυγματώδη πόνον ἐξήγημαι πρόσθεν, ὁποῖός τίς ἐστιν, ὄντα καὶ πρὸ τῆς ἐμῆς ἐξηγήσεως ἅπασι τοῖς ἰατροῖς γνώριμον, οἵ γε καὶ σύμπτωμα αὐτὸν εἶναί φασι φλεγμονῶν μεγάλων. ὁ δὲ διαΐσσων πόνος ἐστὶν, ὅταν ὥσπερ ἀπὸ ῥίζης ἀρχόμενος τοῦ πρωτοπαθοῦντος μορίου, φέρηται ταχέως εἰς τὰ παρακείμενα, καὶ συμβαίνει τοῦτο ταῖς σφοδροτάταις, οὐχ ἑτεροκρανίαις μόνον, ὡς Ἀρχιγένης ἐμνημόνευσεν, ἀλλὰ καὶ ταῖς κεφαλαίαις ὀνομαζομέναις. καὶ γὰρ ἐπ᾽ ἐκείνων ἐνίοτε φανερῶς αἱ ἀρτηρίαι πρωτοπαθοῦσαι, τοιοῦτον ἔχουσι τὸν πόνον, οἷον εἶπεν ὁ Ἀρχιγένης, ὥσθ᾽ ὁμολογεῖν ἐνίους, αἰσθάνεσθαι τῶν ἀγγείων αὐτῶν ἀλγούντων, ὅπερ ἑρμηνεῦσαι βουλόμενος, στρογγύλεσθαι τὴν ἀρτηρίαν ὑποφρίττουσαν ἔφη. πότερον οὖν ὥσπερ τὰς ἀρτηρίας ἐν ταῖς σφακελώδεσιν ἑτεροκρανίαις οὕτω πάσχειν ἔφη, κατὰ τὸν αὐτὸν τρόπον ἀκούσει τις αὐτοῦ καὶ περὶ τῶν φλεβῶν, ὡς κατὰ τοῦτο τὸ νόσημα μόνον δεῖ ἀποκιρσουμένων; ἢ κοινὸν σύμπτωμά ἐστι φλεβῶν ὁπωσοῦν πασχουσῶν, ἢ φλεγμαινουσῶν μόνον; καθ᾽ ὅσον μὲν γὰρ συνάπτει τῷ περὶ τῶν ἀρτηριῶν λόγῳ τὸν περὶ τῶν φλεβῶν, ἐπὶ ταὐτοῦ πάθους εἰκὸς [15] ὑπολαμβάνειν ἐστὶ γίγνεσθαι τοὺς [16] λόγους αὐτῷ· καθ᾽ ὅσον δ᾽ ἐφεξῆς ὑπέρ τε τῶν νεύρων γράφει καθόλου, καὶ τινῶν ἄλλων μορίων τοιούτων, μὴ συνάπτων ἑνὶ νοσήματι τὸν ὑπὲρ αὐτῶν λόγον, κατὰ τοσοῦτον αὖ πάλιν [17] ὡσαύτως καὶ αὐτοῖς ὑπονοήσεις λελέχθαι περὶ τῶν φλεβῶν. ἄμεινον δ᾽ ὡς ἐν ἀδήλοις, ἐπὶ μὲν τῆς ἡμικρανίας, ἡγεῖσθαι τῶν φλεβῶν αὐτὸν ἅμα ταῖς ἀρτηρίαις μνημονεύειν· ἁπλῶς δὲ τῶν ἄλλων ὀργάνων, ἄνευ πάθους τινὸς ἀφωρισμένου, κατά τε τὰ νεῦρα καὶ τὰ τούτων ἐφεξῆς, ἐν οἷς πάλιν ἔφη, τὰς φλέβας δὲ βαρεῖς, καὶ καθέλκοντας, καὶ ὁμαλῶς ἐμπεπλασμένους ἐπιφέρειν τοὺς πόνους. ταυτὶ μὲν οὖν ἀμφιβολίαν ἔχει τινά. τὸ δ᾽ ἐφεξῆς εἰρημένον, ἔνθα φησίν· τὰ δὲ νεῦρα διατείνεταί τε καὶ σκληρύνεται συστρεφόμενα· φανερῶς ἀποχωροῦντος μέν ἐστι τῆς τῶν ἑτεροκρανιῶν διαθέσεως, ἀποφαινομένου δὲ καθόλου περὶ νεύρων ὁπωσοῦν πασχόντων. ἔστι δὲ τοῦτο φανερῶς ψεῦδος· οὐ γὰρ ἅπαν πάθος νεύρων, σκληρύνει καὶ συστρέφει τὴν οὐσίαν αὐτῶν, ἀλλ᾽ ἔστιν ἃ καὶ χαλαρὰ ποιεῖ τὰ νεῦρα, καθάπερ ἀτροφία σαφῶς· ἀλλὰ καὶ πολλάκις οὐδεμίαν αἰσθητὴν ἔχοντα διαφορὰν, ἀλλ᾽ ἀκριβῶς ἐοικότα τοῖς ὑγιαίνουσιν, οὔτ᾽ αἰσθήσεως οὔτε κινήσεώς τι χορηγεῖ τοῖς ὑποτεταγμένοις σώμασιν. ἴσως οὖν ἐν μόναις ταῖς φλεγμοναῖς, ἢ τοῖς φλεγμονώδεσι νοσήμασιν, ἢ τοῖς παρὰ φύσιν ὄγκοις πᾶσιν, ἔφη σκληρύνεσθαί τε καὶ συστρέφεσθαι τὰ νεῦρα· καίτοι ἐν τούτοις ἐναργῶς φαινόμενόν ἐστι τὸ τείνεσθαι τὰ νεῦρα, καὶ γὰρ καὶ αὐτοῖς τοῖς κάμνουσι καὶ ἡμῖν τοῖς ὁρῶσιν, αὐτὰ φαίνεται τεινόμενα, διὸ καὶ σπασμοὶ καὶ τέτανοι μὴ θεραπευθεῖσιν αὐτοῖς ἕπονται. καὶ κοινὸν ἔοικε τοῦτ᾽ εἶναι σύμπτωμα τῶν εἰς ὄγκον αἰρομένων ἁπάντων, τὸ τείνεσθαι· τεθεάμεθα γὰρ ἤδη καὶ ἀρτηρίας,

ita dictum esse, nam quid facere possitis, qui intelligere cupit ea, quæ ne is quidem, qui scripsit, intelligi voluit? Deinde pulsatorium & emicantem dolorem arterias inferre dicit, quum ipsæ videlicet per sphacelodes heterocranias, primigeniâ affectione laborant. Itaque qualis sit pulsatorius dolor, superiùs enarrauimus, quanuis ante nostram enarrationem omnibus medicis notus sit, siquidem ingentium inflammationum symptoma ipsum esse perhibent. Emicans autem dolor est, qui à parte primariò affectâ veluti à radice incipiens, celeriter in partes adiacentes transfertur; id verò non solùm in heterocraniis vehementissimis (vt Archigeni placuit) sed in cephalæis quoque vocatis, euenire solet; etenim in his nonnunquam arteriæ primariò affectæ huiusmodi, qualem dixit Archigenes, dolore vexantur, ita vt fateantur nonnulli, vasorum ipsorum se dolorem sentire; quod interpretari volens, arteriam subhorrentem, fieri rotundam dixit. Vtrum igitur veluti per sphacelodes heterocranias arterias ita affici dicit, ad eundem modum de venis eum sensisse existimandum est, quòd per hunc solùm morbum veluti varicosæ fiant? an commune symptoma est venarum quomodolibet affectarum, vel duntaxat inflammatarum? Ex eo enim quod sermoni de arterijs iungit sermonem de venis, par est, vt conijciamus de eodem affectu ipsum fuisse loquutum; ex eo autem quòd mox in vniuersum de neruis atque de alijs huiusmodi partibus scribit, non adaptans vni morbo sermonem de ipsis habitum, rursus putabis ab ipso itidem de venis quoque fuisse dictum. Itaque in hac ambiguitate satius fuerit, vt existimemus in eo sermone, quem de hemicrania conscripsit, simul cum arteriis, ipsarum venarum quoque mentionem fecisse; simpliciter verò reliquorum instrumentorum, sine vllo distincto affectu neque in neruis, neque in ijs, quæ deinceps consequuntur; in quibus rursum dixit, *venas, graues, ac detrahentes, atque æqualiter infarctos dolores inferre.* Hæc igitur nonnihil ambiguitatis continent; quòd verò deinceps sequitur, vbi dicit; *nerui verò distenduntur, & contorti indurantur*; recedit quidem manifestè ab heterocranicâ affectione, loquitur autem in vniuersum de neruis quomodolibet affectis. Id autem planè falsum est; non enim quilibet neruorum affectus, ipsorum substantiam indurat, atque intorquet, sed nonnulli laxiores quoque faciunt neruos, vt atrophia manifestè; quinetiam sæpenumerò nullam sensu perceptibilem habent differentiam, sed exquisitè sanis similes sunt, neque sensum tamen neque motum præstant subiectis corporibus. Itaque in solis fortasse inflammationibus, aut inflammatorijs morbis, aut præter naturam tumoribus omnibus, dixit neruos indurari & contorqueri; at in iis manifestè apparet neruos intendi, nam & ægrotantibus ipsis, & nobis aspicientibus, intendi apparent; quapropter, nisi curentur, & conuulsiones & tetani ipsos sequuntur. Atque omnium, quæ in tumorem attolluntur, commune symptoma esse videtur, vt tendantur; nam & arterias,

&

& venas inflammatione affectas manifestè tendi vidimus; venas quidem, vbi per summa membra ortâ inflammatione, bubo exurgit; plerumque enim totum vas intentum videtur rubere magis & calere, atque maiori dolore, si tangatur, affectum; vt sit manifestum totum inflammari, incipiendo ab ea parte, quæ primariò affecta est, vsque ad alas & inguina. Proinde rectè dixerunt omnes ferè medici, inflammatis partibus accidere, vt rubescant, tendantur, renitantur, intumescant, & doleant; pulsum verò non omnibus, vt diximus, sed iis duntaxat, in quibus arteriæ notatu dignæ sunt, & pars si sensu prædita sit, & notabilis magnitudinis inflammatio; tunc enim pulsatorium dolorem sentiunt laborantes, vel nullo existente sensili vase in affecto corpore. Aliquis quæret ex me fortasse, quæ sint singulorum instrumentorum propria accidentia. Id verò iam anteà, neque semel duntaxat, explicatum est, quòd propriæ actionis læsio, qualicunque sit specie, cuiuslibet partis proprium est symptoma; neque aliud eis ex necessitate symptoma, neque etiam læsionum differentiæ existunt; sed differentiæ quidem variant pro affectûs tum specie tum magnitudine; symptomatis verò ad læsam actionem pertinentis, siue genus, siue species, aut vtcunque nominare volueris, semper manet. Et satius sanè fuisset Archigenem totum methodo complectentem, abundantiùs hæc persequi, quum ab alijs negligentiùs sint tradita, quorum non pauca in plurimis alijs libris conscripsimus; quemadmodum & posthac deinceps dicentur, breuiori quidem compendio ea, quæ exactè alibi fuerunt exarata; longiori verò disputatione hic tractabimus ea, quæ alibi breuiori stylo percurrimus. Nunc verò reliquas dolorum differentias, quarum in præscripto sermone Archigenes mentionem fecit, persequamur. Quòd igitur peccauerit, dicens torpidos dolores neruis euenire, quodque stupor non vnius cuiuspiam partis proprius sit affectus, sed causæ potius ac affectionis, anteà dictum est; quòd verò *dolores durè distendentes* in ipsis fiant, rectè dictum est; quanquàm melius erat, si simpliciter dixisset, *distendentes*, non addendo, durè; nam neruorum dolores vtrinque vehementer distendunt, quia ad vtraque extrema tenduntur, tum id à quo primò incipiunt, tum illud in quod finiuntur, vt chordæ in cithara, quæ sæpenumerò, vbi nimis intenduntur, dirumpi solent; ac propterea citharistę, quum instrumenta sua post vsum reponunt, chordas relaxant. Et sanè quòd ex à contrarijs tum causis, tum affectionibus intendantur, ignorat nemo, siue humidus fuerit ambiēs aër, vt riget ipsas, & impleat, siue vehementer aridus; ab vtraque enim ambientis aëris temperie ad vltimam tensionem perueniunt; vnde non mirum, si rumpantur. Proinde rectè dixit Hippocrates, *neruorum conuulsiones, & à plenitudine, & ab inanitione euenire*, vt pote quę sint immodicæ neruorum tensiones. Sed *profundos esse eorum dolores*, id ab accidentibus, quæ pluribus neruis eueniunt, sumptum est. Etenim, quum venę quidem semper priores in superficie sint, deinde post eas arterię, quibus postea nerui subduntur, idcircò laborantes eorum tensionem in imo sentiunt; quanquam

καὶ φλέβας φλεγμαινούσας, ἐναργῶς τεταμένας· τὰς μὲν ὅταν ἐν ἄκρῳ τῷ κώλῳ φλεγμονῆς γινομένης, ἐπὶ τῶν βουβώνων, οὐκ ὀλιγάκις γὰρ ἐναργῶς ὤφθη τεταμένον ὅλον τὸ ἀγγεῖον ἐρυθρότερόν τε καὶ θερμότερον, ὀδυνηρότερόν τε ψαυόντων γεγονός, ὡς εἶναι πρόδηλον, ὅτι φλεγμαίνει σύμπαν, ἀρξάμενον ἀπὸ τοῦ πρωτοπαθήσαντος μορίου μέχρι τῆς μασχάλης καὶ βουβῶνος. καὶ καλῶς ὑπὸ τῶν ἰατρῶν εἴρηται σχεδὸν ἁπάντων, ἔρευθος, καὶ τάσις, καὶ ἀντιτυπία, καὶ ὄγκος, καὶ ὀδύνη τοῖς φλεγμαίνουσι μέρεσι συμβαίνειν· ὁ σφυγμὸς δ' οὐχ ἅπασιν, ὡς εἴπομεν, ἀλλ' ἐν οἷς ἀρτηρίαι τέ εἰσιν αἰσθηταί, καὶ τὸ μόριον εἰ αἰσθητικὸν ᾖ, ἀξιόλογός τε κατὰ τὸ μέγεθος ἡ φλεγμονή· τηνικαῦτα γὰρ οἱ κάμνοντες αἰσθάνονται σφυγμώδους ὀδύνης, κἂν μηδὲν αἰσθητὸν ἀγγεῖον ᾖ κατ' αὐτὸ πάσχον σῶμα. τάχ' οὖν ἐρήσεταί τις με τὰ καθέκαστον ὄργανον ἴδια συμπτώματα· λέλεκται δ' ἤδη καὶ πρόσθεν καὶ οὐχ ἅπαξ, ὡς ἡ βλάβη τῆς οἰκείας ἐνεργείας, ἴδιον ἑκάστου μορίου σύμπτωμά ἐστιν, ὁποία ποτ' ἂν ᾖ κατ' εἶδος· οὔτε δὴ ἄλλο τι σύμπτωμα ἐξ ἀνάγκης αὐτοῖς, οὔθ' αἱ διαφοραὶ τῆς βλάβης ὑπάρχουσιν, ἀλλὰ κατὰ τὴν ἰδέαν τε, καὶ τὸ μέγεθος τοῦ πάθους, αἱ διαφοραὶ μὲν ἐξαλλάττονται, τὸ δὲ εἶδος, ἢ τὸ γένος, ἢ ὅπως ἂν ἐθέλῃ τις ὀνομάζειν, ἀεὶ διαμένει τοῦ συμπτώματος, ὃ κατὰ τὴν βεβλαμμένην ἐνέργειάν ἐστι. καὶ πλεονάσαι γε κάλλιον ἦν Ἀρχιγένει κατὰ τοῦτο περιλαβόντι μεθόδῳ τὸ σύμπαν, ἐπειδὴ καὶ τοῖς ἄλλοις ἠμέληται· γέγραπται δὴ ὑφ' ἡμῶν, ἐν πολλαῖς ἄλλαις πραγματείαις, οὐκ ὀλίγα τῶν τοιούτων, ὥσπερ ἀμέλει καὶ νῦν εἰρήσεται διὰ τῶν ἐφεξῆς, ὅσα μὲν ἑτέρωθι τελείως ἐξειργασάμεθα, συντομώτερον, ὅσα δὲ διὰ βραχυτέρων ἐν ἄλλοις ἐρρέθη, μακρότερον ἐν τῷ διερχομένων ἡμῶν αὐτά. νυνὶ δὲ τὰς ὑπολοίπους τῶν πόνων διαφορὰς ἐπέλθωμεν, ὅσων ἐμνημόνευσεν ὁ Ἀρχιγένης ἐν τῇ προγεγραμμένῃ ῥήσει. τὸ μὲν δὴ ναρκώδεις γίνεσθαι τοὺς πόνους τοῖς νεύροις, ὅπως ἡμάρτηται, καὶ ὡς οὐκ ἔστι μορίου τινὸς ἴδιον ἡ νάρκη πάθος, ἀλλ' αἰτίας τε καὶ διαθέσεως, ἔμπροσθεν εἴρηται· τὸ δὲ σκληρῶς διατείνοντας ἐπ' αὐτοῖς γίνεσθαι τοὺς πόνους, ὀρθῶς εἴρηται, καὶ κάλλιόν γ' ἂν ἦν τὸ ἁπλῶς εἰρημένον, ἄνευ τοῦ σκληρῶς. διατείνοντες γάρ εἰσιν ἱκανῶς ἑκατέρωσε τῶν νεύρων οἱ πόνοι, διότι καὶ τείνεται πρὸς ἄμφω τὰ πέρατα, τό, τε τῆς πρώτης ἀρχῆς καὶ τὸ τῆς ἐσχάτης τελευτῆς, ὥσπερ ἐν ταῖς κιθάραις αἱ χορδαί, καὶ ῥήγνυνταί γε πολλάκις ἐν αὐταῖς αἱ σφοδρῶς τεταμέναι, καὶ διὰ τοῦτ' ἀποτιθέμενοι, μετὰ τὸ χρήσασθαι τοῖς ὀργάνοις, οἱ κιθαρισταί, τὰς χορδὰς ἀνιᾶσι. καὶ μὲν δὴ καὶ ὅτι τείνονται σαφῶς ὑπὸ τῶν ἐναντίων αἰτίων τε καὶ διαθέσεων, οὐδεὶς ἀγνοεῖ, κἂν ὑγρὸν ᾖ τὸ περιέχον, ὥστε καὶ διαβρέχειν αὐτὰς καὶ πληροῦν, κἂν ξηρὸν ἱκανῶς· εἰς ἐσχάτην γὰρ ἀφικνούμεναι τάσιν ἐν ἑκατέρᾳ κράσει τοῦ περιέχοντος, εἰκότως ῥήγνυνται. καλῶς οὖν ὁ Ἱπποκράτης τοὺς σπασμοὺς τῶν νεύρων ἐπὶ πληρώσει τε καὶ κενώσει γίνεσθαί φησι, τάσεις ἀμέτρους οὔσας δηλονότι τῶν νεύρων. τὸ δὲ βυθίους εἶναι τοὺς πόνους αὐτῶν, ἀπὸ τῶν συμβεβηκότων εἴληπται τοῖς πλείστοις τῶν νεύρων. ἐπειδὴ γὰρ ἀεὶ πρῶται μὲν ἐπιπολῆς εἰσιν αἱ φλέβες, ἐφεξῆς δὲ αὐτῶν αἱ ἀρτηρίαι, καὶ μετὰ ταύτας τὰ νεῦρα, διὰ τοῦτ' ἐν βάθει τῆς τάσεως αὐτῶν οἱ κάμνοντες αἰσθάνονται· τε-

νοντές γε μὴν πολλοί, νευρώδη σώματ᾽ ὄντες, ὑπ᾽ ἐνίων ἄντικρυς ὀνομαζόμενοι νεῦρα, τοὺς πόνους οὐ βυθίους, ἀλλ᾽ ἐπιπολῆς ἔχουσιν, ὅταν καὶ αὐτοὶ τύχωσιν οὕτως τεταμένοι, καθάπερ οἱ τοὺς δακτύλους ἐκτείνοντες· εἰσὶ δὴ ἀμέλει καὶ οἱ κάμπτοντες αὐτοὺς ἐπιπολῆς μὲν, ἀλλ᾽ οὐχ ὁμοίως τοῖς ἐκτείνουσιν." ὁ δὴ Ἀρχιγένης τοὺς πόνους τῶν νεύρων ἐμπεπαρμένους εἶναί φησι, ὑπάρχοντος τοῦ τοιούτου τῆς ὀδύνης εἴδους τῷ κώλῳ μᾶλλον, ὡς ἔμπροσθεν εἶπον· ἐγγίγνεται δὲ καὶ ὠτὶ, μετά τινος σφυγμοῦ, καὶ τῶν ὀδόντων ταῖς μύλαις, ἔστι δ᾽ ὅτε καὶ τοῖς ὀφθαλμοῖς, ἥκιστα δὲ τοῖς νεύροις ἐμπεπαρμένος ὑπάρχει πόνος· ἐκτείνεται γὰρ ἐπὶ πλεῖστον ἑκατέρωσε, μέχρι τῶν ἄνω τε καὶ κάτω τοῦ ζώου μορίων. τὸ δ᾽ ἐφεξῆς εἰρημένον ὑπὸ τοῦ Ἀρχιγένους, ὅτι καὶ στενοχωρίας πλήρεις ἔχει τὰ νεῦρα τοὺς πόνους, κακοζήλως μὲν εἴρηται τῇ λέξει· δηλοῖ δ᾽ οὐδὲν πλέον τοῦ μετ᾽ αὐτὸ, καθ᾽ ὅ φησι, καὶ ἥκιστα κεχυμένους· τῷ γὰρ ὄντι, κεχυμένους ἥκιστα, τουτ᾽ ἔστιν εἰς πλάτος ἐκτεταμένους οὐκ ἔχει τοὺς πόνους τὰ νεῦρα, ἀλλὰ κατὰ περιγραφήν τινα μᾶλλον, ἄνω τε καὶ κάτω τῆς τάσεως αὐτῶν διηκούσης, καὶ μᾶλλόν γ᾽ ἄνω μέχρι τῆς κεφαλῆς· καὶ τότε πρῶτον αὐτοῖς καὶ σπασμοὶ καὶ τέτανοι τοῦ παντὸς ἕπονται σώματος, οὐδενὸς τοιούτου συμβαίνοντος οὐδεμιᾷ τάσει νεύρου, πρὶν ἅψασθαι τῆς κεφαλῆς αὐτῆς. ἐφεξῆς δὲ τοῖς εἰρημένοις, ὁ Ἀρχιγένης ἔγραψε περὶ τῶν ὑμένων, ὅτι μὲν ἐπὶ πλάτος αὐτοῖς διήκουσιν οἱ πόνοι, παθόντων αὐτῶν, ἀληθεύων· ὅτι δ᾽ αἱμωδίᾳ τι προσεοικὸς ἔχουσιν, οὐκ ἔτι ἀληθεύων, ὡς ἔμπροσθεν εἴρηται. τό γε μὴν ἀνωμάλους εἶναι τοὺς πόνους τῶν ὑμένων, οὐ διὰ παντὸς ἀληθές, ὅπου γε τοὐναντίον ἀληθὲς μᾶλλόν ἐστιν· ἐοίκασι γὰρ κατὰ μὲν τὸν αὐτῶν λόγον, ὁμαλεῖς ἐπιφέρειν τοὺς πόνους, ἐπεὶ καὶ τὸ σῶμα πᾶν αὐτῶν ὁμαλές· ἐκ δὲ τῆς πρὸς τὰ πλησιάζοντα κοινωνίας, ἀνωμαλίαν τινὰ ἐπιφέρει ἔστιν ὅτε κατά τι συμβεβηκός. ὅταν γὰρ ἐπὶ τὸ πεπονθὸς αὐτῶν μέρος ἄγηται καὶ τείνηται τὰ πέριξ, ἀνωμαλίαν ἀναγκαῖόν ἐστι γίγνεσθαι τὴν ὀδύνην· ἔνθα μὲν αἰσθητικώτερόν ἐστι τὸ τεινόμενον μόριον, ἐνταῦθα ὀδυνωμένων μᾶλλον, ἔνθα δὲ ἧττον αἰσθητικὸν, ἔλαττον ἀλγούντων· καὶ μὴν κἂν τοῦ ψαύειν ἢ μὴ ψαύειν ὀστοῦ τὸ τεινόμενον, ἡ διαφορὰ τῶν πόνων εἰκότως γίγνεται. κατὰ τοῦτον γοῦν τὸν λόγον, ἀλγοῦσι κατὰ τὴν κλεῖν ἔνιοι τῶν πλευριτικῶν, ἀνατεινομένου πρὸς τοῦτο τὸ χωρίον τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος· ἐνίοτε δ᾽ οὐκ εἰς τὴν κλεῖν, ἀλλ᾽ εἰς τὸ ὑποχόνδριον, ὁ πόνος αὐτῶν διήκει, τῆς αἰσθήσεως γινομένης κατὰ τὸ διάφραγμα κινούμενον ἐξ ἀνάγκης, ὅταν ἀναπνέωσιν οἱ πλευριτικοὶ, μᾶλλον τῶν ἄλλων τοῦ θώρακος μορίων. ἡ γὰρ οἷον ῥίζα τῆς ὀδύνης ὅταν ἐν τῇ πλευρᾷ γίνηται, τοῖς ἐνταῦθα μυσὶν ἀναπνεῖν ὀκνοῦσιν οἱ κάμνοντες, ὥστε μόνῳ τῷ διαφράγματι τὸ τῆς ἀναπνοῆς ἔργον ἡ φύσις ἐπιτρέπει τηνικαῦτα, καθάπερ ἐν ταῖς ἀβιάστοις ἀναπνοαῖς ἐπὶ τῶν ὑγιαινόντων. ὅταν μὲν οὖν ἐν τοῖς κάτω μέρεσι τῶν πλευρῶν ἡ φλεγμονὴ γίνηται, τὸ διάφραγμα τεινόμενον ὀδυνᾶται μᾶλλον· ὅταν δ᾽ ἐν τοῖς ἄνω, κατὰ τὴν κλεῖν ἡ ὀδύνη ἐπισημαίνει· τῷ μὲν τῆς κινήσεως λόγῳ, τὸ διάφραγμα, τῷ δὲ τῆς σκληρότητος, ἡ κλεὶς ἐργαζομένη τὴν ὀδύνην.

A multi tendones (qui neruosa sunt corpora, & à nonnullis planè nerui nominantur) non profundos, sed in superficie, dolores habent, siquando ipsos quoque sic intendi contigerit, vt illos qui digitos extendunt; sunt autem & qui illos incuruant, in superficie quidem, sed non similiter, vt extendentes. Sed Archigenes *neruorum dolores infixos esse dicit*; quum huiusmodi doloris species, vt antea diximus, ad colon magis pertineat; accidit etiam auri cum quadam pulsatione, atque dentibus molaribus, quinetiam quandoq; B oculis; minimè verò neruis infixus dolor euenit; etenim magna ex parte vtrôque extenduntur, & ad supernas, & ad infernas animantis partes. Quod verò deinceps ab Archigene dictum est, *neruos angustiæ plenos habere dolores*, prauâ locutionis imitatione dictum; ac nihil amplius declarat, quam quòd deinceps dicit, *& minimè fusos*. Re verâ enim minimè fusos, hoc est, in latitudinem porrectos, nerui dolores habent, sed magis quodammodo circunscriptos, vtpote perueniente ip- C sorum tensione & ad supernas, & ad infernas partes, magis verò sursùm vsque ad caput; ac tum primùm ipsos vniuersi corporis & conuulsiones, & distentiones comitantur, quum nulli nerui tensioni huiusmodi quicquam accidat, antequàm caput ipsum attingat. Post hæc consequenter scripsit Archigenes de membranis; quòd quidem *in latum discurrant ipsis dolores*, quum afficiuntur, verè dicens, quòd verò *aliquid hæmodiæ simile habeant*, non verè, vt antea dictum est. Neque etiam in totum verum est, *quòd membranarum dolores sint* D *inæquales*, siquidem contrarium magis veritati consentit; nam ex propriâ suâ ratione videntur æquales inducere dolores, quoniam vniuersum ipsarum corpus æquale est; at ob communicationem cum vicinis, inæqualitatem quandam afferunt interdum per accidens. Quum enim ad affectam ipsarum partem ducuntur & tenduntur circumiacentes, inæqualem fieri dolorem necesse est; vbi enim intenta pars acutioris sensûs est, ibi dolore vehementiore cruciantur; vbi verò sensum habet hebetiorem, ibi minùs dolent. Atque ex eo quoque quod quæ tenditur membrana, os ipsum vel attingit, vel non attingit, non abs re dolorum fit differentia. Atque hac ra- E tione nonnulli pleuriticorum iugulum dolent, porrectâ in hunc locum membranâ costas succingente; aliquando tamen non ad iugulum, sed ad hypochondrium dolor eorum transit, cuius sensus est in septo transuerso, vtpote quod necessariò mouetur, quum pleuritici respirant, magis quàm cæteræ thoracis partes. Quum enim veluti radix doloris in latere consistit, tum laborantes musculis qui illic sunt, respirare pigrescunt; quare tum soli septo transuerso natura respirationis officium F committit, quemadmodum in prosperè valentium libera respiratione contingere solet. Igitur, quum in partibus laterum inferioribus oritur inflammatio, septum transuersum intentum magis dolet; quum verò in partibus superioribus, tum iugulum dolor infestat: cæterum septum transuersum, quia mouetur; iugulũ autem, quia durum est, dolorem efficit. Vbi

bi verò ingens in hepate oritur inflammatio; aut scirrhus, dolor qui iugulum in dextrâ parte infestat, cauæ venæ magis, quàm membranarum, tensionem sequitur. Quum autem dixit; *hoc modo sæpenumerò superficiem quoque dolere*, quod est habere ea quæ sunt propria membranarum affectarum, planè declarat, vnde motus dixerit ipsas dolores habere hæmodiæ non dissimiles: Quia enim simul cum hæmodiæ proprietate; stuporis etiam sensus percipitur, perinde ac si ab eadem causa vterque affectus fiat; membrana autem quæ in superficie cuti substrata est, sæpenumerò stupido dolore afficitur, vtpotè quæ ab externis causis frigidis celeriùs noxam subit, idcircò deceptus Archigenes affectionis communitate, cæteras membranas hæmodiæ simile quidpiam *pati* dixit, ac sæpenumerò superficiem quoque, non secundum affectæ partis substantiam facto dolore, sed quod ob substantiam exãguem, & frigidã facilè à frigidis affectibus infestentur, affectus verò ipsos, huiusmodi dolores comitentur; idcircò sæpenumerò dixit fieri huiusmodi dolores, non videlicet per affectæ partis substantiam, sic enim inseparabiles essent, sed per accidens superuenientes. Subtensa igitur cuti membrana, quæ cum ipsâ simul excoriatur, dolores facit tensiuos & torpidos; quæ vero in media sunt carne, veluti diuellentes, sunt enim plurimæ inæquabiliter insitæ, & eam circundantes; quum igitur ex contrarijs insertionibus tendi carnem contingit, huiusmodi dolores euenire necesse est; at à multis exercitationibus, aut tensiui, aut vlcerosi proueniunt dolores; qui totos musculos occupare consueuerunt, inter quorum partes, carnes quoque numerantur; verum de huiusmodi doloribus satis in libris de sanitate tuenda iam dictum est. Sed quod *membranarum, quæ ossibus adiacent, dolores, & profundi sunt*, id est in intimo corpore sensum excitantes, *& ossium ipsorum veluti dolentium inducunt imaginem*, haudquaquam mirandum est. Nam ij à quàm plurimis ostocopi nominantur, & frequentiùs ab exercitationibus oboriuntur, quanuis interdum, vel ob frigus, vel plenitudinem. Insuper venas dixit *graues, & detrahentes, & æquabiliter infarctos inferre dolores*; verùm ab initio, vbi hemicraniæ mentionem fecit, *venas varicosas fieri* ait. Ergo in hoc solo fortassis accipere oportet, ipsum hoc dicere, sciendum tamen proprium arteriæ venæque dolorem, extensi secundum longitudinem corporis, veluti chordæ cuiusdam speciem referre, nullâ vtique profunditate simul apparente. Æquabiliter autem infigi venarum dolores, omnino obscurum est; quippe infigi ad nihil, quod ipsis accidere soleat, referri potest. Deinde de carnibus dicit; *quòd fusos & laxiores inducunt dolores*. At in totum nullus dolor laxus est, eos tamen fortasse, qui minùs intenduntur, laxiores vocitat; quoniam vasorum & membranarum dolores magis intendi videntur. Id enim confitetur eos non adeò extentos conspici, ob hoc quod carneæ musculorum partes breuibus circunscriptionibus continentur. Sed id quod deinceps scribit, *videri tactum veluti asperitatibus quibusdam innatare*, an propriè ad dolores, qui in carnibus consistunt, pertineat, inquirendum est. Nam quod interdum aliquid huiusmodi per ipsarum dolores

ἥπατος δὲ μεγάλως φλεγμαίνοντος, ἢ σκιρρωθέντος, ἡ κατὰ τὴν δεξιὰν κλεῖν ὀδύνη γινομένη, τῇ τάσει τῆς κοίλης φλεβὸς ἕπεται μᾶλλον, ἢ τῇ τῶν ὑμένων. ὅταν δ' εἴπῃ, πονεῖν πολλάκις οὕτω καὶ τὴν ἐπιφάνειαν, ὅπερ ἐστὶν, τὰ τῶν πασχόντων ὑμένων ἔχειν ἴδια, δηλοῖ σαφῶς ὁπόθεν ὁρμηθεὶς αἱμωδίᾳ τι παραπλήσιον ἔφησεν τὰς ὀδύνας ἔχειν αὐτῶν. ἐπεὶ γὰρ ἅμα τῇ τῆς αἱμωδίας ἰδιότητι καὶ ἡ ναρκώδης ἐστὶν αἴσθησις, ὡς ἂν ὑπὸ μιᾶς αἰτίας ἀμφοτέρων γινομένων, ὁ δὲ ἐπιπολῆς ὑμὴν ὁ ὑποτεταμένος τῷ δέρματι πάσχει πολλάκις ὀδύνας ναρκώδεις, ὑπὸ τῶν ἔξωθεν αἰτίων τῶν ψυχρῶν ἑτοιμότερον βλαπτόμενος, διὰ τοῦτο τῇ κοινωνίᾳ τῆς διαθέσεως ἀπατηθεὶς ὁ Ἀρχιγένης, αἱμωδίᾳ τι παραπλήσιον ἔφησεν τοὺς ἄλλους ὑμένας, καὶ τὴν ἐπιφάνειαν πολλάκις, οὐ κατὰ τὴν οὐσίαν αὐτοῦ τοῦ πάσχοντος μορίου γινομένης τῆς ὀδύνης, ἀλλὰ διὰ μὲν τὴν οὐσίαν αὐτῶν, ἄναιμόν τε καὶ ψυχρὰν οὖσαν, εὐκόλως ἁλισκομένων πάθεσι ψυχροῖς, ἑπομένης δὲ τῆς τοιαύτης ὀδύνης τοῖς πάθεσι· διὸ καὶ πολλάκις ἔφη γίνεσθαι τοὺς τοιούτους πόνους, ὡς ἂν οὐ κατὰ τὴν [21] οὐσίαν αὐτοῦ τοῦ πάσχοντος μέρους, ἀχώριστοι γὰρ ἂν οὕτως γε ἦσαν, ἀλλὰ κατά τι συμβεβηκὸς ἐπιγινομένους. ὁ μὲν οὖν ὑπὸ τῷ δέρματι τεταμένος ὑμὴν, ὁ καὶ συναποδερόμενος αὐτῷ, τονώδεις τε καὶ ναρκώδεις ἐπιφέρει τοὺς πόνους· οἱ δὲ μεταξὺ τῆς σαρκὸς, οἷον διασπῶντας, εἰσὶ γὰρ πολλοὶ, καὶ ἀνωμάλως ἐμφυόμενοί τε καὶ περιλαμβάνοντες αὐτήν· ὅταν οὖν ποτε ἐξ ἐναντίων καταφύσεων τείνεσθαι συμβῇ τὴν σάρκα, τοιαύτας ἀναγκαῖόν ἐστιν γίγνεσθαι τὰς ὀδύνας. ἐπί γε μὴν τοῖς πολλοῖς γυμνασίοις, ἤτοι τονώδεις ἢ ἑλκώδεις οἱ πόνοι γίνονται, συνιστάμενοι καθ' ὅλους τοὺς μῦς, ὧν μέρος εἰσὶ καὶ αἱ σάρκες· εἴρηται δὲ περὶ τῶν τοιούτων ἀλγημάτων ἱκανῶς ἐν τοῖς ὑγιεινοῖς. ὅτι δ' οἱ τῶν περικειμένων τοῖς ὀστοῖς ὑμένων πόνοι, βύθιοί τ' εἰσὶν, τοῦτ' ἐστι διὰ βάθους τοῦ σώματος ἐπιφέροντες αἴσθησιν, αὐτῶν τε τῶν ὀστῶν ἐπάγουσιν φαντασίαν ὡς ὀδυνωμένων, οὐδὲν θαυμαστόν. ὀνομάζουσι γοῦν αὐτοὺς ὀστοκόπους οἱ πλεῖστοι, καὶ γίνονται τὰ πολλὰ μὲν ἐπὶ γυμνασίοις, ἔστιν ὅτε δὲ καὶ διὰ ψύξιν, ἢ πλῆθος. τὰς δὲ φλέβας φησὶ βαρεῖς καὶ καθέλκοντας καὶ ὁμαλῶς ἐμπεπλασμένους ἐπιφέρειν τοὺς πόνους· ἐν ἀρχῇ δὲ ὁπότε τῆς ἡμικρανίας ἐμνημόνευσεν, ἀποκιρσοῦσθαι τὰς φλέβας ἔφη, τάχ' οὖν ἐν ἐκείνῳ μόνῳ χρὴ δέξασθαι λέγειν αὐτὸν τοῦτο, γιγνώσκειν γε μέντοι δεῖ, τὸν ἴδιον πόνον ἀρτηρίας καὶ φλεβὸς, κατὰ μῆκος ἐκτεινομένου σώματος, οἷον χορδῆς τινος, ἔμφασιν ἔχειν, οὐ μὴν συνεμφαίνειν γέ τοι [23] βάρος. τὸ δ' ὁμαλῶς ἐμπεπλάσθαι τὸν πόνον τῶν φλεβῶν, ἀσαφὲς ὅλως ἐστὶν, ἐπ' οὐδενὶ τῶν συμβεβηκότων αὐταῖς ἀνενεχθῆναι δυναμένου τοῦ ἐμπεπλάσθαι. περὶ δὲ τῶν σαρκῶν ἐφεξῆς φησιν, ὡς κεχυμένους τε καὶ χαλαρωτέρους ἐπιφέρουσι τοὺς πόνους. ὅλως μὲν οὖν πόνος οὐδεὶς ἐστὶ χαλαρὸς, ἀλλὰ τοὺς ἧττον τεταμένους ἴσως εἴρηκεν χαλαρωτέρους, ἐπειδὴ τεταμένοι μᾶλλόν εἰσιν οἵ τε τῶν ἀγγείων καὶ οἱ τῶν ὑμένων· τοῦτο γὰρ ὁμολογεῖ. καὶ τὸ μὴ ἐπὶ πλέον ἀποτεταμένους αὐτοὺς φαίνεσθαι, διὰ τὸ κατὰ περιγραφὰς βραχείας συγκεῖσθαι τὰ σαρκώδη μόρια τῶν μυῶν. εἰ δὲ καὶ τὸ τούτῳ γεγραμμένον ἐφεξῆς, ὡς ἐννηχομένης τραχύσμασί τισι δοκεῖν [24] τῆς ἁφῆς, ἴδιόν ἐστι τῶν ἐν σαρξὶ πόνων, ἐπισκεπτέον. ὅτι μὲν γὰρ ἐνίοτε τοιοῦτόν τι συμβαίνει κατὰ τοὺς πόνους αὐ-

τῶν, ἀληθές ἐστιν· ἐκ δὲ τοῦ μὴ διαπαντὸς φαίνεσθαι, διαθέσεως μᾶλλον ἐν αὐταῖς γινομένης ὡς τὸ πολὺ μιᾶς τινος, οὐ τῆς οὐσίας αὐτῶν ἴδιον εἶναι δόξει. τὴν διάθεσιν δὲ οὐχ ἁπλῶς ὑποληπτέον εἶναι πάθος φλεγμονῶδες, ἀλλὰ καὶ μετὰ χυμοῦ τραχύνειν πεφυκότος. ἐφεξῆς δὲ περὶ τῶν μυῶν Ἀρχιγένης γράφων, σαρκὸς καὶ νεύρων μῖγμα τῶν ἰδιωμάτων ἀναφέρειν αὐτούς φησιν, ὡς ἂν ἐκ τούτων συγκειμένης τῆς οἰκείας οὐσίας αὐτῶν. τὸ δὲ καὶ ἀρτηρίας, ὅτι διαπεφύκασιν αὐτῶν· ἀλλ᾽ οὕτως καὶ τὰς φλέβας ἐχρῆν εἰρῆσθαι, καὶ τοὺς ὑμένας. τὸ δὲ σφριγῶντες ὄνομα, παρὰ μὲν τοῖς Ἕλλησιν ἐπὶ τῶν εὐεκτικῶς πεπληρωμένων λέγεται, διὸ καὶ κατὰ τῶν νέων αὐτὸ μόνον εἰρήκασι, γέροντος δ᾽ οὐδενός, ὡς ἂν μηδὲ δυναμένου τοῦ σώματος αὐτῶν εὐεκτικὴν δέξασθαι πλήρωσιν· ὅγε μὴν οὖν Ἀρχιγένης ἐπὶ τίνος φέρει τὴν φωνὴν ταύτην, οὐ πάνυ τι ῥᾴδιον εὑρεῖν, μάλισθ᾽ ὅτι συγχεῖ καὶ διαφθείρει πολλαχόθι τὰ σημαινόμενα τῶν Ἑλληνικῶν ὀνομάτων· εἰ δ᾽ ὡς ἄν τις ὑπονοήσειεν ἐπὶ τῶν διὰ πλήρωσιν τεταμένων λέγει τὸ σφριγῶντες, κοινὸν ἂν εἴη πάντων τοῦτο τῶν πεπληρωμένων σωμάτων, οὐκ ἴδιον τῶν μυῶν. τὸ γε μὴν μετ᾽ εὐρυχωρίας αὐτοὺς διατείνεσθαι, λελέχθαι νομίζω πρὸς αὐτοῦ, τῆς ἐν τοῖς νεύροις πληρώσεως ἀφορίζοντος. ὅτι δὲ τὸ σφύζειν ναρκῶδες, οὐκ ὀρθῶς εἴρηται, δεδήλωται πρόσθεν. τῶν δ᾽ ἄλλων φησὶ πόνων, ὁ μὲν ἑλκώδης, ἰσχνῶς ὀξύς ἐστιν· ἀσαφὴς δὴ ἡ λέξις ἥδε, καὶ καθ᾽ ἑαυτὴν ἀδύνατος διδάξαι τι, ταῖς ἄλλαις ὁμοίως ταῖς ἀσαφέσιν, ἅς γε οὐδ᾽ ἐξηγήσασθαι δυνατόν ἐστιν, εἰ μή τις αὐτὸς ἐπιστάμενος τὸ πρᾶγμα, προσαρμόσαι πειραθείη τῇ λέξει. καὶ νῦν γοῦν ἐπιστάμενός τις, ἑλκώδεις κόπους ὀνομάζεσθαι πρός τε τῶν ἰατρῶν καὶ τῶν γυμναστῶν, ὅτ᾽ ἂν ἐν τῷ κινεῖσθαί τις ἢ ψαύειν τῶν κεκοπωμένων μορίων, αἴσθησιν ἴσχῃ τοῖς ἡλκωμένοις μέρεσιν ὁμοίαν, ἐπινοῆσαι δυνήσεται τὸν ἰσχνῶς ὀξὺν πόνον εἰρῆσθαι τοιοῦτόν τινα τὸ εἶδος, οἷος κεντούσης βελόνης ὀξείας γίνεται. δῆλον οὖν ὅτι μηδὲ συνεχής ἐστιν οὗτος, ὥσπερ γε μηδὲ ὁμαλῶς ἐκτεταμένος ἁπάντῃ. τοῦτον οὖν αὐτόν φησι γλυκύτερον εἶναι, δέον ἀσθενέστερον εἰπεῖν, ἢ ἀμβλύτερον, ἢ οὐ σφοδρόν, ἢ ἀνιαρὸν ἧττον, ἤ τι τοιοῦτον· τὸ γὰρ γλυκύτερον οὐδ᾽ ἐφ᾽ ἑνὸς τῶν ἀνιαρῶν λέγεται κυρίως. τὸ δὲ κνησμοῦ προσαγωγός, ἀδιαρθρώτως εἴρηται· διαφέρει γὰρ ἐναργῶς ἡ κνησμώδης αἴσθησίς τε καὶ διάθεσις, τῆς ἑλκώδους· ἀλλ᾽ ἐπεὶ καὶ προηγεῖται πολλάκις ἡ κνησμώδης τῆς ἑλκώδους, ἐκλυομένης τε καὶ παυομένης τῆς ἑλκώδους, εἰς τὴν κνησμώδη μετάπτωσις γίνεται, διὰ τοῦτο συγκεχυμένως τε καὶ ἀδιορίστως ὑπὲρ αὐτῶν ὁ Ἀρχιγένης ἔγραψεν, ὡς ἂν μηδὲ τὰς αἰτίας τῶν διαθέσεων ἀμφοτέρων ἀκριβῶς που διωρικώς. ἀλλ᾽ ἡμεῖς γε τελέως ἐξειργασάμεθα τὸν περὶ τούτων λόγον ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ. ὁ μὲν οὖν ἑλκώδης πόνος, οὐκ ἐν μόνῳ τῷ δέρματι φαίνεται συνιστάμενος, ἀλλὰ καὶ διὰ τοῦ βάθους ἐκτεταμένος ἄχρι τῶν ὀστῶν· ὁ δὲ κνησμώδης ὄντως τῆς ἐπιφανείας μόνης ἐστίν, οὐ πρώτως κατὰ τὸν ἴδιον αὐτῆς λόγον, ἀλλὰ κατὰ συμβεβηκός, ὅτι πυκνότερον τῶν ὑποκειμένων αὐτῷ, τὸ δέρμα ἐστίν. διαθέσεως οὖν ἰδίας ἑκατέρος τῶν πόνων ἐστὶ σύμπτωμα, διὰ δριμύτητας μέν τινας γινόμενοι χυμῶν, ἀλλήλων δὲ διαφέροντες, εἰς

eueniat, verum est; at quia non semper euenit, ad vnam potius quandam affectionem vt plurimum ipsis accidentem, non ad earum substantiam, propriè referendum videbitur; neque simpliciter intelligendum est, eam affectionem esse morbum inflammatorium, sed etiam cum humore aliquo suâ naturâ exasperante. Verum deinceps de musculis scribens Archigenes, eos *carnis neruorumque mixtam proprietatem referre dicit*, tanquam peculiari ipsorum substantiâ ex his consistente. Addit verò arterias, quoniam in ipsis inueniuntur; at hoc pacto venas quoque dicere debuit, atq; membranas. Vocabulum autem, turgẽtes, à Græcis de ijs dicitur, qui cum bono corporis habitu pleni sunt; atque idcircò de iunioribus duntaxat dici consueuit, de senibus verò minimè, quòd non possit ipsorum corpus boni habitûs plenitudinem suscipere; at verò, in quam rem hoc vocabulum Archigenes referre velit, inuenire non est facile, maximè quia confundere multis in locis & corrumpere solet Græcorum nominum significata. Quòd siquis turgentes de ijs dici intellexerit partibus, quæ à plenitudine intenduntur, non propriè ad musculos, sed communiter ad omnia repleta corpora pertinebit. Quum verò eos *capaci cum latitudine extendi* dixit, puto ipsum hanc à neruorum plenitudine voluisse seiungere. *Torpidè autem pulsare*, haudquaquam fuisse rectè dictum, iam antea declaratum est. *Reliquorum verò dolorum, vlcerosus*, inquit, *graciliter acutus est*. Est autem hæc quoq; oratio obscura, neque per se quicquam docere potest, haud aliter, quàm cæteræ obscuræ, quas ne explanare quidem possibile est, nisi quis rem per se intelligens, eam orationi adaptare conetur. Nunc itaque aliquis etiam sciens tum medicos, tum gymnastas, eos dolores vocare vlcerosos, per quos inter mouendum, vel tangendum lassatas partes, sensus excitatur, qualis in vlceratis partibus percipi solet; intelligere poterit per dolorem graciliter acutum, huius quempiam speciei significari, qualis ab acutæ acûs puncturâ fieri consueuit; ergo constat hũc, neq; continuũ esse, neq; æqualiter per omnes partes porrectũ. Hunc itaq; ipsum *dulciorem esse* dicit, quum dicere deberet, imbecilliorem, aut obtusiorem, aut non vehementem, aut minus molestum, aut id genus quippiã; nihil enim quod molestum est, propriè dulcius appellatur. Id autem quod dicit, & *pruriginem inducens*, incompositè dictum est; differt enim manifestè pruriginosus & sensus & affectus ab vlceroso. Verùm, quia crebrò pruriginosa vlcerosam antecedit, atque solutâ quiescenteque vlcerosâ, in pruriginosam transmutatio fit, inde est quòd de ipsis confusè indefinitéque Archigenes scripsit, vt qui neque causas vtrarumque affectionum exactè alicubi tractauerit. Verùm nos eas in opere de sanitate tuenda perfectè enarrauimus. Igitur vlcerosus dolor, non in sola cute consistere videtur, sed per altum ad vsque ossa extendi; pruriginosus autem re vera solius superficiei est, non tamen primariò pro ratione ipsius propria, sed per accidens; quòd densior subiectis sibi partibus, cutis sit. Horum ergo dolorum vterque propriæ affectionis est symptoma, qui fiunt ob acres quosdam humores, atque tantum, quantum affectiones ipsæ,

inter

inter sese differunt. Sed vt dixi, de ipsis in libris de sanitate tuenda definitum est. *Punctorius verò* (inquit) *dolor in profundo est*; non rectè; nam ad membranas, non ad imas partes, propriè pertinet. *Infixus autem* (inquit) *sinu vicino*; quod præter rationem omnino scripsit; nam sinus, cauitas quædam est, quod partes prius coniunctæ ab inuicem seiunctę sint, oborta. Quum itaque fluxione impletur, quia adiacentes partes distenduntur, tensiuum dolorem sentiunt laborantes, non secundum longitudinem latiùs exporrectum, sed proprijs limitibus circũscriptum. Nam excreto quomodolibet è sinu humore, protinus dolor conquiescit; nisi sicui ambientia sinum corpora adeò distendantur dilatenturque, vt inflammatorio affectu torqueantur. Hæc sunt, quæ propriè ad sinus pertinent; quod verò ab Archigene dictum est, aliud ab his est; verùm quid intellexerit, quum ita scriberet, haud facilè inueniri potest. Atque quod deinceps scriptum est, non minorem habet dubitationem. *Nam stimulans* (inquit) *dolor non in imo subsistit.* Hic enim sermo cum eo, quem in initio præmisit, pugnare videtur, quo in hunc modum scripsit; *stimulans autem, partim eorum, quæ in loco sunt, quidpiam affectum esse declarat, partim contrà*; id enim fieri potest, tum in profundo proximè ad ossa, tum in cute atque in medio, huiusmodi dolore omnino ab humore mordaci oriente, qui sensibilium partium aliquam erodit. Quod verò in fine eiusdem orationis sic scriptum est, *lacerans autem est, qui in sinibus consistit*; si lacerans quidem idem significat, quod diuellens, falsum est; nam illi qui in sinu est, id minimè contingere solet. Quod si non hoc, sed aliud quippiam, vnde id potest inueniri? Atque huiuscemodi sunt, quæ in præscripto sermone Archigenes ait.

A ὅσον κἀκεῖναι· διώρισται δ' ὡς ἔφην ὑπὲρ αὐτῶν ἐν τοῖς ὑγιεινοῖς. ὁ δὲ νυγματώδης, φησὶ, πόνος, τοῦ βάθους ἐστὶν· οὐκ ὀρθῶς· ὑμένος γάρ ἐστιν, οὐ βάθους ἴδιος. ὁ δ' ἐνερείδων, ὥς φησι, κόλπου πλησιάζοντος, ἀλόγως πάνυ τοῦτο γράψας· κοιλότης γάρ τίς ἐστιν ὁ κόλπος, ἐκ τοῦ διεστῶσθαι τὰ πλησιάζοντα πρότερον ἀλλήλοις, γεγενημένη. καὶ τοίνυν ὅταν μὲν πληρωθῇ ῥεύματος, ὡς ἂν διατεινομένων τῶν περικειμένων σωμάτων, ὀδύνης αἰσθάνονται τονώδους οἱ κάμνοντες, οὐ κατὰ μῆκος ἐκτεταμένης ἐπὶ πλέον, ἀλλ' ἰδίαν ἐχούσης περιγραφήν. ὅτ' ἂν γὰρ ἐκκενωθῇ πως B ἐκ τοῦ κόλπου τὸ ὑγρὸν, ἀνώδυνοι παραχρῆμα γίνονται, πλὴν εἴ τινι τὰ περιέχοντα σώματα τὸν κόλπον, ἐπὶ πλέον ἐκταθέντα τε καὶ διαταθέντα, φλεγμονώδη διάθεσιν ἔσχεν. ταῦτα μὲν οὖν τὰ τῶν κόλπων ἴδια. τὸ δὲ ὑπ' Ἀρχιγένους εἰρημένον, ἕτερον μέν τι τούτων ἐστὶν, ὁποῖον δέ τι νοήσας ἔγραψεν αὐτὸ, χαλεπὸν εὑρεῖν. καὶ μήν γε καὶ τὸ γεγραμμένον ἐφεξῆς, ἴσην ἔχει τῷδε τὴν ἀπορίαν. ὁ διακεντῶν γάρ, φησι, πόνος οὐκ ἐν βάθει τὴν ὑπόστασιν ἔχει. τοῦτο δὲ μάχεται καὶ αὐτῷ τῷ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἰρημένῳ τόνδε τὸν τρόπον· ὁ δὲ διακεντῶν, τὰ μὲν πεπονθέναι τῶν ἐν C τῷ τόπῳ διασαφεῖ, τὰ δὲ μή· τοῦτο γὰρ ἐγχωρεῖ, καὶ διὰ βάθους ἐγγυτάτω γενέσθαι τῶν ὀστῶν, καὶ κατὰ τὸ δέρμα, κἂν τῷ μεταξὺ, πάντως τοῦ τοιούτου πόνου διὰ δακνώδη χυμὸν [26] γινομένου, διαβιβρώσκοντα τῶν αἰσθητικῶν τι σωμάτων. τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως γεγραμμένον ὡδὶ, σπαράττων δ' ἐστὶν ὁ ἐν κόλποις συνιστάμενος· εἰ μὲν τὸ σπαράττων, τὸ διασπῶν σημαίνει, ψεῦδός ἐστιν, ἥκιστα γὰρ ὑπάρχει τοῦτο τοῖς κατὰ τοὺς κόλπους. εἰ [27] δὲ ἄλλο τι, καὶ μὴ τοῦτο, πόθεν ἄν τις εὑρεῖν αὐτὸ δυνηθείη; τὰ μὲν δὴ τῆς προγεγραμμένης ῥήσεως Ἀρχιγένους τοιαῦτα.

D

CAPVT IX.

Examinat alium Archigenis locum, in quo hepatis, splenis, renum, vesicæ, & vteri dolores traduntur.

AD alium verò transeamus, qui & ipse ex dolorum differentia affectarum partium dignotionem docet; est autem dictio huiusmodi; *Hepatis verò dolor, tractorius, & inhærens, & stupidus est, atque atrociùs vrgens. Splenis autem acutus non est, sed grauitatem simul & distensionem habet, resistenti ad elisionem, atque expressionem aliquam, extrinsecus incumbentem, similis. Renes autem austeros dolores inducunt, & cum permanente strictione pungentes. Vesica vehementer adstringentibus exercetur doloribus, atque tensionibus punctorijs. Vterus autem acutis, emicantibus, pungentibus, distendentibus, torminatim incidentibus; huiusmodi mixtione dolere natus, quamobrem idiomatis quoque ambiguitatem inducit.* In hoc textu iterum Archigenes protinus ab initio, hepatis dolorem tractorium esse dicit. Verum vocabulum, *holcimos*, apud Græcos in vsu non est; proinde quid significet, haud facilè inuenire est; nam vocabulorum significationes ex multo vsu deprehenduntur. Video autem eos, qui illo vtuntur, viscidum per ipsum velle significare, quale viscum est, vt vnâ parte tractâ, possit per ipsam reliqua illi cõtinua simul attrahi. Sic pasta quo-

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ἐξετάζει ἄλλον Ἀρχιγένους τόπον, ἐν ᾧ τὰ ἥπατος, καὶ σπληνὸς, καὶ νεφρῶν, καὶ κύστεως, καὶ μήτρας ἀλγήματα παραδίδοται.

ΜΕταβῶμεν δ' ἐφ' ἑτέραν, διδάσκουσαν καὶ αὐτὴν ἐκ τῆς τῶν πόνων διαφορᾶς, διάγνωσιν τῶν πεπονθότων μορίων· ἔστι δ' ἡ ῥῆσις ἥδε· ὁ δὲ τοῦ ἥπατος, ὁλκιμος, ἐμπεφυκὼς, E καὶ ναρκώδης ἐστὶ, καὶ [28] ἀπειρότερον ἐγκείμενος· ὁ δὲ τοῦ σπληνὸς, οὐκ ὀξὺς, βάρος δ' ἅμα καὶ διάτασιν ἔχει, ἀντεντεινομένῳ πρὸς ἔνθλιψιν καὶ ἀποπίεσίν τινα ἔξωθεν [29] ἐπιχειρουμένην, ἐοικώς. νεφροὶ δὲ αὐστηρούς τε τοὺς πόνους ἐπιφέρουσι, καὶ μετ' ἐμμόνου σφίγξεως ἐπινύσσοντες. κύστις δὲ, στύφουσι σφόδρα χρῆται τοῖς ἀλγήμασι, καὶ συνδιατάσεσι νυγματώδεσιν. ὑστέρα δὲ, ὀξέσι, διαΐσσουσι, νυγματώδεσι, διατείνουσιν, ἐμπίπτουσι στροφωδῶς, τοιούτῳ μίγματι πέφυκε πονεῖν, καθὸ καὶ ἀπορίαν τοῦ ἰδιώματος ἐμποιεῖ. ἐν F ταύτῃ τῇ ῥήσει πάλιν ὁ Ἀρχιγένης εὐθέως κατὰ τὴν ἀρχὴν, ὁλκιμον εἶναί φησι τὸν πόνον τοῦ ἥπατος. ἔστι μὲν οὖν ἀήθες τοὔνομα τοῖς Ἕλλησι τὸ ὁλκιμον, ὡς οὐδὲ τί σημαίνει ῥᾴδιον εὑρεῖν· ἐκ γὰρ πολλῆς χρήσεως, ἡ τῶν σημαινομένων εὕρεσις γίγνεται· τοὺς δ' οὖν χρησαμένους αὐτῷ, τὸ γλίσχρον οἶδα δηλοῦντας, ὃ ὥσπερ ὁ ἰξός ἐστιν, ὥστε μέρους λαμβανόμενον, ἕλκειν δι' αὐτοῦ δύνασθαι τὸ συνεχές. οὕτω

δὲ καὶ τὸ σταὶς ὅλκιμον εἴρηται τὸ τῶν πυρῶν, καὶ μάλιστα τὸ κάλλιστα πεφυραμένον· οὐχ ὅλκιμον δὲ τὸ τῶν κριθῶν, καὶ τὸ τῆς κέγχρου. τό γε μὴν τοῦ ἥπατος ἄλγημα, κατὰ τοῦτο τὸ σημαινόμενον, οὐκ ἄν ποτε γένοιθ' ὅλκιμον, ὥστ' ἄλλο τι ζητητέον ἡμῖν ἐστιν. εἷς μὲν δή τις τῶν πρεσβευόντων τὴν Ἀρχιγένους αἵρεσιν, ὅλκιμον ἔφησεν πόνον εἰρῆσθαι τὸν τοῦ ἥπατος, ἐπειδὰν καθέλκει, φλεγμαῖνόν τε καὶ σκληρούμενον, τὴν κλεῖν· ἕτερος δὲ τὸ χρονίζον· ἄλλος δέ, τὸ μέτριον· εἰσὶ δ' οἳ τὸ βραδύ, τοῦτο δ' εἶναι, τὸ ἀντικείμενον τῷ ὀξεῖ, καί φασι τὸ μὲν κατεπεῖγον καὶ σφοδρόν, ὡς μηδεμίαν ἀνάπαυλαν ποιεῖσθαι, καλεῖν αὐτὸν ὀξύ, τὸ δ' ἐναντίον, ὅπερ ἐστὶ τὸ βραδύ, ὅλκιμον εἰρηκέναι· τινὲς δὲ τὸν βάρους ἔμφασιν ἔχοντα, φασὶν εἰρῆσθαι ὅλκιμον ἤτοι βαρὺν πόνον· ὀνομάζεσθαι γὰρ ἐν τῇ συνηθείᾳ κατὰ τοῦ βάρους, τὴν ὁλκήν. πολλὰ δὲ καὶ ἄλλα διαφόρως ἐξηγούμενοι λέγουσιν οἱ θαυμάζοντες, ἃ μηδεὶς νοεῖ. τὸ μὲν οὖν ὅλκιμον ὄνομα, τὸ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἰρημένον, ὅτι μηδὲν ἡμᾶς διδάσκει, πρόδηλον ἤδη γέγονεν· ἐπισκεψώμεθα δ' ἐφεξῆς, τί ποτ' ἐστὶν ὁ ἐμπεφυκὼς πόνος, ἥπατος ἴδιος εἶναι καὶ αὐτὸς εἰρημένος. ἐμοὶ μὲν δὴ πιθανώτερον εἶναι δοκεῖ, τῷ διαΐσσοντι τὸν ἐμπεφυκότα κατ' ἐναντίωσιν εἰρῆσθαι πρὸς αὐτοῦ· τί γὰρ ἂν ἄλλο τις ὑπολάβοι; καὶ μὴν εἴ τις καὶ ἄλλος πόνος εἰς συμπάθειαν ἄγει πολλὰ τῶν πέριξ σωμάτων, οὕτω καὶ ὁ τοῦ ἥπατος, ὅς γε καὶ μέχρι τῆς κλειδὸς ἐκτείνεται, καὶ δύσπνοιαν ἐπιφέρει πολλάκις, ἐνίοτε δὲ καὶ βῆχα, καὶ δυσεντερίαν, εἴς γε μὴν τὰς νόθας πλευρὰς οὐκ ὀλιγάκις ἐναργῶς διήκει· πῶς ἂν οὖν ἀληθῶς λέγοιτο κατὰ χώραν μένειν; ἆρ' οὖν ἄμεινόν ἐστιν τὸν ἐμπεφυκότα πόνον εἰρῆσθαι δοκεῖν, τὸν οἷον ἐμπεπηγμένον; καὶ μὴν ἥκιστα τοιοῦτός ἐστιν ὁ τοῦ ἥπατος, ὡς ἀρτίως ἐπιδέδεικται. ἐδείχθη δ' ἔμπροσθεν, ὅτι μηδ' ὁ ναρκώδης πόνος ἴδιός ἐστι μορίου τινός, ἀλλὰ διαθέσεως μᾶλλον· εἰ δὲ δὴ καὶ μορίου τινός, οὐδαμῶς ἥπατος, ἀλλ' εἴπερ ἄρα τῶν νευρωδῶν σωμάτων. ὁ δ' ἀτειρὰς ἐγκείμενος μάχεται τῷ ναρκώδει, βίαιός τις ὢν καὶ συνεχής· ἔστι δ' οὐ τοιοῦτος ὁ τοῦ ἥπατος, ἀλλὰ μᾶλλον βαρύς· οὐ μὴν οὐδὲ ὁ βαρὺς ἴδιος ἥπατος ἐξαιρέτως, ἀλλὰ κοινὸς σπληνὶ καὶ νεφροῖς φλεγμαίνουσιν. ὁ δ' Ἀρχιγένης, οὐκ οἶδα πῶς, ἐπὶ μόνου τοῦ σπληνὸς ἐμνημόνευσεν τῆς τοιαύτης ἰδέας τοῦ πόνου, μηδ' Ἱπποκράτους ἀκούσας εἰπόντος, καὶ ἐς νεφρὸν ὀδύνη βαρεῖα. τοῦτο μὲν οὖν ἔλαττον ἁμάρτημα, μέγιστον δέ, ὅπερ εἴωθε ποιεῖν, ὀνόματα γράφων ἑτέρων αἰσθήσεων οἰκεῖα, καθάπερ καὶ νῦν ἐπὶ νεφρῶν μὲν τοὺς αὐστηροὺς πόνους, ἐπὶ κύστεως δέ, τοὺς στύφοντας· ἔστι γὰρ ταῦτα χυμῶν ὀνόματα, δι' ὀργάνου μὲν τῆς γλώττης, αἰσθήσεως δὲ τῆς γευστικῆς, διαγινωσκόμενα. γενικώτερον μὲν οὖν τὸ πρᾶγμα δηλοῦται πρὸς τῆς στύφον φωνῆς, εἰδικώτερον δὲ πρός τε τῆς αὐστηρὸν καὶ στρυφνόν· ἄμφω μὲν γὰρ στύφει, μᾶλλον δὲ τὸ στρυφνόν, οἵα περ ἐστὶν ἡ ὀμφακῖτις ὀνομαζομένη κηκίς· αὐστηραὶ δ' εἰσὶ καὶ ῥοαὶ πολλαὶ καὶ τὰ κυδώνια μῆλα καὶ ἄλλα πάμπολλα τῶν ἐδωδίμων, ἀηδῆ γε μὴν τὰ στρυφνά, μὴ ὅτι τὰ φάρμακα μόνον, καθάπερ ὑποκιστίς, καὶ βαλαύστιον, καὶ κηκίς, καὶ ῥοῦς, ἀλλὰ καὶ τῶν ἐδωδίμων ὅσα τοιαῦτα. διόπερ οὐδὲ νοῆσαι δυνατόν ἐστιν, ὁποῖόν τινα βούλεται τὸν αὐστηρόν, ἢ τὸν στρυφνὸν εἶναι πόνον ὁ Ἀρχιγένης, οὐ μᾶλλον ἢ τὸν κυανοῦν

A que ex frumento, holcima dicitur, maximè si accuratissimè subacta fuerit; ex hordeis verò aut milio, non holcima. At sub hac significatione, hepatis dolor haudquaquam holcimos erit; proinde aliam significationem quærere nos oportet. Itaque vnus ex iis, qui Archigenis sectam colunt, holcimon hepatis dolorem dici asserit, quum induratum & inflammatum, detrahit iugulum; alius, diuturnum; alius mediocrem; sunt qui tardum, esseque eum qui acuto aduersetur; atque vrgentem & adeò vehementem, vt nullam admittat requiem, acutum B ab eo vocari solitum; contrarium verò, nempe tardum, holcimon dixisse. Nonnulli eum dolorem holcimon, vel grauem nominatum dicunt, qui grauitatis speciem refert; dici enim solere de grauitate holcen. Multa insuper & alia variè explicant, qui admirantur ea quæ nemo intelligit. Constat igitur iam vocabulum, holcimon, quod in propositæ orationis initio inuenitur, nihil nos posse docere; deinceps consideremus, quid tandem sit *dolor inhærens*, ipse quoque hepatis proprius esse dictus. Mihi quidem probabilius esse videtur, emicanti do- C lori, inhærentem per contrarietatē oppositum ab ipso. Quid enim aliud coniicere quis possit? Atqui hepatis dolor, si quispiā alius, vicina pleraque corpora ad consensum inducit, quippe qui & ad iugulum vsque porrigitur, & spirandi difficultatem crebrò affert, atque interdum tussim quoque ac dysenteriam, neque rarò manifestè nothas costas infestat; igitur quonam pacto verè dicetur eodem in loco permanere? An igitur satius est putare, inhærentem dolorem eum dixisse, veluti infixum? atqui hepatis D dolor, vt nuper ostendimus, haudquaquam huiusmodi est. Similiter antea declaratum est, ne *torpidum quidem dolorem*, partis cuiusquam proprium esse, sed affectionis potius; quod si etiam partis cuiusdam sit proprius, at sanè nequaquam iecoris, sed certè neruosorum potius corporum. At *atrociter molestans* cum torpido pugnat, vt qui violentus sit atque continuus; sed huiusmodi hepatis dolor non est, sed potius grauis; at *ne grauis quidem* peculiariter proprius hepati est, sed spleni quoque, ac renibus in- E flammatis communis. At Archigenes (haud scio quo pacto) in liene duntaxat istius speciei doloris mentionem fecit, nec audiuit Hippocratem dicentem; *Et in renem dolor grauis*. Verum hoc peccatum exiguum est; at maximum, quod committere solet, nomina scribens cæteris sensibus peculiaria, quemadmodum nunc de renibus quidem austeros dolores, de vesica verò adstringentes; hæc enim saporum sunt nomina, qui linguâ, vt instrumento, & gustandi sensu dignoscuntur. Generalius autem quiddam significatur per vocabulum adstringens, parti- F cularius per austerum & acerbum; quippe ambo adstringunt, sed magis acerbum, qualis est omphacitis vocata galla; austera verò sunt multa mali punici genera, atque cotonea mala, ac alia complura esui apta; at acerba sunt iniucunda, non solum medicamenta, veluti hypocistis, & balaustium, & galla, & rhus, sed etiam inter edulia, quæ sunt huiusmodi. Quapropter excogitari non potest, quem austerum, vel acerbum dolorem dicere voluerit Archigenes, non magis quam cæruleum, aut rubrum,

brum, aut fuscum, aut alium aliquem à coloribus nominatum. Nunc autem quod dicebat doctor quidam ex Archigenis secta, tempus est considerare; censet enim, quum dolorum proprietates Archigenes interpretari voluisset, quæ re verâ ineffabiles sunt, eum in huiusmodi nomina absurda incidisse; non intelligens vnamquamque qualitatum, siue gustabilem, siue tactilem enunciari posse; vbi verò multæ qualitates circa vnam substantiam apparent, ibi & proprietatem fieri contingere, idque maximè in gustu, quum, verbi gratia, & amaritudo, & dulcedo, & austeritas, & acrimonia in vna substantia quædam apparet. Sic enim in gustu proprietas quædam oritur, ineffabilis illa quidem, si quis vnico nomine ipsam explicare tentauerit; sed quæ dici tamen potest, si per singulas qualitates discurrat, eo addito, quod & magis & minùs declarare haud impossibile est. Ita & herbas vniuersas & reliquam quoque materiam enarrauerunt medicorum non pauci, singulas qualitates, quæ enunciatis rebus insunt, explicantes. Ergo Archigenes, si vniuersam substantiæ proprietatem vnico nomine comprehendere volebat, indoctus omninò erat, quod de Archigene nequaquam sentiendũ est; si autem simplices qualitates, ipsæ quidem ineffabiles non sunt, earum verò quantitas exactâ quidẽ mensurâ ineffabilis est, sub latitudine tamen explicari potest. Igitur longiori sermone vti non oportet, quum ea sermonũ species ob oculos iã sit posita, quâ vti debet is, qui quamlibet rerum sensilium interpretari aggreditur. Nam omnium tactilium qualitatum propria habemus nomina, vt & gustabilium; propria quoque visibilium, vt & audibilium; atque omnibus iis Græcorum more vti debemus, & neque adstringentem, neque austerum nominare dolorem, nam hæ saporum propriæ sunt appellationes. Ac plurimi medici ante Archigenem, quum dolorum differentias conscriberent, haudquaquam ausi sunt à consuetudine in nominum vsu recedere, quæ ab ipsis laborantibus audire licet; etenim ita se dolere interdum aiunt, vt acu pungi sibi videantur; ac rursus veluti terebro perforari, & contundi sese, & diuelli, & tendi, & retrahi, & detrahi, & grauitatis cuiusdam sensum percipere, quâ interdum superiacentium partium aliqua suspendi videtur, interdum verò circundantibus incumbere. Igitur huiusmodi omnia intelligi possunt; adstringentes verò, & austeri, & acerbi dolores inter ea quæ non percipiuntur, ac inutilia sunt. Quod intelligere debuit Archigenes, quum docere nos vellet, quomodo locos affectos possimus cognoscere; nam omnis, qui de doloribus habetur sermo, longæ nugæ sunt, nisi ex ijs, quę laborantes ipsi dicunt, eos dignouerimus; ergo si ab ipsis, quomodo doleant, discere oportet; nunquam verò dicunt acerbum, aut austerum, aut atrocem, aut holcimon dolorem, rursus inutilis erit huiusmodi doctrina. Præterea ex eo sermone, quo dicunt Archigenem interpretari velle dolorum proprietates, hæc docendi ratio, tum impossibilis, tum inutilis esse planè videtur. Primùm ipsis authoribus omnis proprietas enunciari non potest; quod si ita sit, omnino fieri non potest, vt docendo tradatur, vt pote quam

A ἢ τὸν ἐρυθρὸν, ἢ φαιὸν, ἢ τινὰ ἄλλον ἀπὸ τῶν χρωμάτων ὀνομαζόμενον. ὅπερ δέ τις ἔλεγεν τῶν Ἀρχιγενείων διδασκάλων, ἐπισκέψασθαι καιρός· ἐδόκει γὰρ αὐτῷ τὰς ἰδιότητας τῶν πόνων ἑρμηνεύειν ὁ Ἀρχιγένης φιλοτιμούμενος ἀῤῥήτους κατά γε τ' ἀληθὲς οὔσας, εἰς τὴν τοιαύτην ἀτοπίαν ἀφικνεῖσθαι τῶν ὀνομάτων· οὐκ εἰδὼς ὅτι μία μὲν ἑκάστη τῶν ποιοτήτων ἐστὶ ῥητὴ, κατά τε τὴν ἁφὴν καὶ τὴν γεῦσιν· ἔνθα δ' ἅμα πολλαὶ ποιότητες ἐμφαίνονται κατὰ μίαν οὐσίαν, ἐνταῦθα καὶ γενέσθαι συμβαίνει τὴν ἰδιότητα, καὶ μάλιστ' ἐπὶ τῆς γεύσεως, ὁπόταν εἰ τύχοι, B καὶ πικρότητός τε καὶ γλυκύτητος, αὐστηρότητός τε καὶ δριμύτητος, ἐμφαίνεταί τι κατὰ μίαν οὐσίαν· ἰδιότης γάρ τις οὕτως γίνεται περὶ τὴν γεῦσιν, ἄῤῥητος μὲν, εἴ τις ἐθέλοι δι' ἑνὸς ὀνόματος αὐτὴν δηλῶσαι· ῥητὴ δ' εἰ καθ' ἑκάστην τῶν ποιοτήτων διέρχοιτο, μετὰ τοῦ καὶ τὸ μᾶλλόν τε καὶ ἧττον οὐκ ἀδύνατον εἶναι προσδηλοῦν. οὕτω δὲ καὶ τὰς βοτάνας ἁπάσας τε καὶ τὴν ἄλλην ὕλην ἐδήλωσαν οὐκ ὀλίγοι τῶν ἰατρῶν, ἐξηγούμενοι τῶν ποιοτήτων ἑκάστην, ὅσαι ταῖς ἑρμηνευομέναις οὐσίαις ὑπάρχουσιν. C ὥστε καὶ ὁ Ἀρχιγένης, εἰ μὲν ἑνὶ περιλαβεῖν ὀνόματι τὴν ὅλην ἰδιότητα τῆς οὐσίας ἐπεχείρει, παντάπασιν ἀμαθὴς ὑπῆρχεν, ὅπερ οὐ προσήκει λέγειν ἐπ' Ἀρχιγένους· εἰ δὲ τὰς ἁπλᾶς ποιότητας, αὗται μὲν οὐκ εἰσὶν ἄῤῥητοι, τὸ δὲ ποσὸν ἐν αὐταῖς, ἄῤῥητον μὲν ἀκριβεῖ μέτρῳ, ῥητὸν δ' ὡς ἐν πλάτει. οὐκοῦν ἔτι χρὴ μηκύνειν, [30] πεφηνυίας σαφῶς τῆς ἰδέας τῶν λόγων, ᾗ χρῆσθαι δεῖ τὸν ἑρμηνεύειν ἐπιχειροῦντα τῶν αἰσθητῶν πραγμάτων ὁποιονοῦν. ἴδια μὲν γὰρ ἔχομεν ἁπασῶν τῶν ἁπτῶν ποιοτήτων ὀνόματα, D καθάπερ γε καὶ τῶν γευστῶν· ἴδια δὲ τῶν ὁρατῶν, ὥσπερ καὶ τῶν ἀκουστῶν, καὶ χρῆσθαι προσήκει πᾶσιν αὐτοῖς, ὡς ἔθος ἐστὶν τοῖς Ἕλλησι, μήτε στύφοντα, μήτ' αὐστηρὸν ὀνομάζοντα πόνον, ἴδιαι γὰρ αὗται χυμῶν προσηγορίαι. καὶ πάμπολλοι [31] πρὸ Ἀρχιγένους ἰατροὶ, τὰς διαφορὰς τῶν πόνων γράψαντες, οὐκ ἐτόλμησαν ἑτέροις ὀνόμασι χρήσασθαι τῶν συνήθων, ἃ καὶ παρ' αὐτῶν τῶν καμνόντων ἐστὶν ἀκοῦσαι· καὶ γὰρ οὕτως ἀλγεῖν ποτε λέγουσιν, ὡς ὑπὸ βελόνης νύττεσθαι δοκεῖν· οὕτως αὖ πάλιν, ὡς ὑπὸ τρυ- E πάνου τιτρᾶσθαι, καὶ θλᾶσθαι δοκεῖν, καὶ διασπᾶσθαι, καὶ [32] τείνεσθαι, καὶ ἀνασπᾶσθαι καὶ κατασπᾶσθαι, καὶ βάρους τινὸς αἴσθησιν ἔχειν, ἐνίοτε μὲν ἐκκρεμαμένου [33] τῶν ὑποκειμένων, ἐνίοτε δ' ἐγκειμένου τοῖς περιέχουσιν. τὰ μὲν οὖν τοιαῦτα πάντα [34] συνετὰ, στύφοντες δὲ καὶ στρυφνοὶ καὶ αὐστηροὶ πόνοι, τῶν ἀσυνέτων τε ἅμα καὶ ἀχρήστων εἰσίν· ὅπερ ἐχρῆν ἐννενοηκέναι τὸν Ἀρχιγένην, διδάσκειν γε βουλόμενον ἡμᾶς διαγνωστικοὺς γίνεσθαι τῶν πεπονθότων τόπων. εἰ μὴ γὰρ ἐξ ὧν οἱ κάμνοντες αὐτοὶ λέγουσι, δια- F γνωσόμεθα, λῆρος ἂν εἴη μακρὸς ὁ περὶ τῶν ἀλγημάτων λόγος· εἰ δὲ παρ' ἐκείνων χρὴ πυνθάνεσθαι, τίνα τρόπον ἀλγοῦσι, λέγουσι δ' οὐδέποτε στρυφνὸν, ἢ αὐστηρὸν, ἢ ἀτεράμνον, ἢ ὁλκιμον πόνον, πάλιν ἄχρηστος τοιαύτη διδασκαλία. καὶ μὲν δὴ καὶ κατ' ἐκεῖνον τὸν λόγον, ἐν ᾧ φασι τὰς ἰδιότητας τῶν πόνων ἐπιχειρεῖν ἑρμηνεύειν τὸν Ἀρχιγένην, τὸ τῆς τοιαύτης διδασκαλίας ἀδύνατόν τε ἅμα καὶ ἄχρηστον ἐμφαίνεται. πρῶτον μὲν, ἄῤῥητός ἐστιν ἡ ἰδιότης πᾶσα κατ' αὐτούς· εἰ δὲ τοῦτο, πάντως δήπου καὶ ἀδύνατον εἰς διδασκαλίαν ἐλθεῖν, ὡς ἂν

μόνοις γινωσκομένην τοῖς αἰσθητῶς αὐτὴν ἐγνωκόσιν. ἔπειτα δὲ καὶ ἄγνωστος ἡμῖν τοῖς μὴ πεπονθόσιν ἐστὶν, εἰ μὴ ἄρα πάντ' ἔπαθεν ὁ Ἀρχιγένης τὰ τοῦ σώματος μόρια. κἂν συγχωρηθῇ δὲ τοῦτο, τίς ἂν πιστεύσειεν, ὅτι καὶ πάντα τὰ πάθη καθ' ἕκαστον μόριον ἔπαθεν εἷς ἄνθρωπος; ὑποκείσθω δ' εἰ βούλει καὶ τοῦτο, καίτοιγ' ἀδύνατόν ἐστιν· ἀλλ' ὅτι γε τὴν μήτραν οὐκ ἔπαθεν ὁ Ἀρχιγένης, ἄντικρυς δῆλον καὶ μὴν, καὶ τὰς κατ' αὐτὴν ἰδιότητας γράφει, μόναις ταῖς πεπονθυίαις γυναιξὶν γινωσκομένας· ὥστε με νὴ τοὺς θεοὺς ἀπορεῖν πολλάκις, ἐκ τίνος ποτὲ λογισμοῦ τὴν ἀλλόκοτον ταύτην ἐπετήδευσεν διδασκαλίαν, ἣν εἰ καὶ ἀληθεύειν τις ὑπόθοιτο, τό γε χρήσιμον οὐχ οἷόν τε συνυποθέσθαι, μηδενὸς τῶν νοσούντων ἑρμηνεύοντος ἃ πάσχει, διὰ τῶν Ἀρχιγενείων ὀνομάτων. ἀσᾶσθαι μὲν γὰρ λέγουσι τὸν στόμαχον ἔνιοι τῶν νοσούντων, ὅπερ ἐστὶν ἡμῖν διὰ τὸ πεπονθέναι [35] σαφῶς δῆλον· ὥσπερ γε καὶ τὸ ἀλύειν, καὶ γὰρ καὶ τοῦτο τῷ πεπονθέναι δῆλον· αὐστηρὸν δὲ πόνον, οὐδ' εἰ πεπονθώς τις εἴη, νοῆσαι δύναται λεγόμενον ὑπ' Ἀρχιγένους, ὡς ἂν οὐκ εἰδὼς καθ' ὅτου ποτὲ πράγματος ἐπιφέρει τοὔνομα. τὸν μὲν γὰρ νυγματώδη καὶ διατείνοντα, καὶ τοὺς ὁμοίως αὐτοῖς λεγομένους, ἔτι δὲ μᾶλλον τὸν σφοδρὸν, καὶ τὸν ἰσχυρὸν, καὶ τὸν βίαιον, καὶ τὸν συνεχῆ, καὶ τὸν διαλείποντα νοοῦμεν ἅπαντες, ὡς ἂν ὑπὸ συνηθῶν τε τῶν ὀνομάτων ἑρμηνευομένους, αὐτούς τε γινομένους ὁσημέραι παμπόλλοις· αὐστηρὸν δὲ καὶ στύφοντα καὶ ἀτειρὸν καὶ ὅλκιμον, οὔτε λέγει τις, οὔτ' ἀκούων ἑτέρου λέγοντος, [36] νοεῖ. χρὴ δὲ καὶ τὸ πάθος εἶναι κοινὸν, καὶ τὴν δηλωτικὴν αὐτοῦ προσηγορίαν, συνήθη τοῖς ἀκούουσιν· ὥσπερ ἐπὶ τοῦ θλίβεσθαι τὸν στόμαχον, ὃ δὴ λέγουσιν πάμπολλοι τῶν ἀνθρώπων· οὕτως γὰρ οἷον ἔξωθέν τινος ἐπικειμένου βαρέος, ἡ αἴσθησις ἡμῖν γίνεται πολλάκις, ἔν τισι διαθέσεσιν τοῦ στόματος τῆς κοιλίας, ὃ δὴ καταχρώμενοι προσαγορεύουσι στόμαχον οὐχ οἱ πολλοὶ τῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ τῶν ἰατρῶν οἱ δοκιμώτατοι. καὶ μὴν καὶ κατὰ δεξιὸν ὑποχόνδριον ἐν τῷ σφοδρότερον ἀναπνεῖν, αἴσθησις ποθ' ἡμῖν βάρους γίνεται, κἀπειδὰν χωρὶς πυρετοῦ συμβῇ τοῦτο, δυοῖν θάτερον, ἢ ἔμφραξίν τινα κατὰ τὸ ἧπαρ, ἢ σκιρρώδη διάθεσιν, ἢ γένεσιν ἀποστήματος εἶναι λογιζόμεθα, καθάπερ ὅταν φλεγμονὴ ᾖ, πυρετὸν ἐξ ἀνάγκης ἕπεσθαι. πάντα μὲν οὖν τὰ τοιαῦτα, καὶ ῥητὰ, καὶ σαφῆ, καὶ γνώριμα πᾶσι τοῖς πρὸ Ἀρχιγένους ἰατροῖς ἐστιν, ἄνευ τῶν ἀλλοκότων ὀνομάτων διδασκόμενα· τῆς δ' Ἀρχιγένους διδασκαλίας ἴδιον ἐξαίρετόν ἐστιν, οὐ πραγμάτων ὑφήγησις καινῶν, ἀλλ' ὀνομάτων οὐδὲν πρᾶγμα δηλούντων· τοιούτων ὀνομάτων καὶ τὴν περὶ τῶν σφυγμῶν ἐπλήρωσε πραγματείαν, οὐδ' αὐτὴν δεομένην μεταφορᾶς ὀνομάτων ἀκύρων, ὡς ἐπεδείξαμεν ἐν τοῖς περὶ σφυγμῶν ὑπομνήμασιν.

A ij duntaxat noſcant, qui ſenſiliter ipſam percepere. Deinde nobis ignota eſt eam non paſſis, niſi fortaſſe Archigenes omnes corporis partes habuerit affectas; quod licet conceſſum ſit, quis tamen crediderit vnum hominem omnes ſingularum partium affectus fuiſſe expertum? Supponatur autem (ſi volueris) hoc quoque, quanquam impoſſibile eſt; at vteri affectus nunquam percepiſſe Archigenem, planè conſtat; nihilominùs huius proprietates conſcribit, quæ à ſolis mulieribus expertis dignoſcuntur; vt admirer (ita me dij ament) ſæpenumerò, ex qua tandem ratiocinatione abſurdam hanc doctrinam collegerit; quam etiamſi quis veram ponat, at vtilitatem ex ea manantem ponere ſimul non poteſt, nullo infirmo ſuos affectus per Archigenica nomina interpretante. Nam nonnulli laborantium faſtidire ſtomachum aiunt, quod nobis qui ita fuerimus affecti, notum eſt; ſicut etiam mœſtitiâ torqueri, etenim etiam hoc manifeſtum, quia paſſi ſumus; at verò auſterum dolorem ab Archigene dictum, etiamſi quis fuerit paſſus, intelligere non poteſt, vt potè neſcius, C cuinam rei nomen hoc adaptauerit. Nam punctorium, & diſtendentem, atque eos, qui ipſis conformiter nominantur, atque etiam magis vehementem, & fortem, & violentum, & continuum, & intermittentem, omnes nouimus, vt qui per nomina conſueta enarrantur, & quotidie plurimis eueniunt; at auſterum, & adſtringentem, & atrocem, & holcimon, nemo profert, neque ſi quis proferat, intelligit. Oportet autem & affectum eſſe communem, & appellationem ipſum declarantem auditoribus conſuetam; vt quum D ſtomachum premi dicimus, quod plurimi dicunt homines. Sic enim ſæpenumero ſenſu afficimur, qualem extrinſecus onus aliquod incumbens inducere poteſt, in nonnullis oris ventriculi affectionibus, quod per abuſionem non ſolùm populares, ſed probatiſſimi quoque medici, ſtomachum appellant. Quin etiam inter vehementer reſpirandum, nonnunquam grauitatem in dextro hypochondrio ſentimus; idque ſi citra febrem eueniat, duorum alterum, aut obſtructione, aut ſcirrhoſa affectione hepar laborare, aut abſceſ- E ſûs generationem imminere conijcimus; veluti, quum inflammatione infeſtatur, febrem comitari neceſſe eſt. Itaque omnia huiuſmodi & dici poſſunt, & manifeſta ſunt, & omnibus medicis Archigene prioribus nota, atque ſine abſurdis illis nominibus doceri poſſunt. Archigenis vero doctrina hoc habet peculiare & proprium, non nouarum rerum, ſed nominum rem nullam declarantium, introductionem. Tractationem de pulſibus, huiuſmodi quoque nominibus impleuit, neque ipſam (vt in commentarijs de pul- F ſibus oſtendimus) impropriorum nominum metaphorâ indigentem.

CAPVT V.

Qua methodo pars affecta, eiusque affectus dignoscatur, ac primigenius affectus ab eo qui per consensum euenit, distinguatur.

EGo verò vellem Archigenem tãtorum medicorum successorem, aliquid perspicuitati doctrinæ addidisse, non eã ita obscurasse, vt ne nos quidem ipsi, qui in artis operibus iã senuimus, dicta ipsius intelligere valeamus. Quod igitur illũ egisse decebat, id nos præstare nitemur, atq; inprimis in vniuersum ostendere methodũ, quâ vsum oportet & ipsum affectos locos inuenire & cæteris viã ostendere. Igitur, vt in priore libro dictũ iam est, methodus huiusmodi est. Quærere primũ oportet, vtrum singulorum locorũ propria signa, quomodò afficiantur, inueniri possint, an per singulos affectus alterentur; deinde vtrum singulorum affectuum propria sint signa, an in quâlibet parte varientur, atque ita oporteat & loci, & affectûs non immemores, deinceps signa dicere; veluti, si velis, pulmonis inflammationis tantam spirandi difficultatem cum angustiâ, vt suffocari videantur, ac ideò recti sedere conentur, quem affectum orthopnœam nominant; quinetiam calidam sentire expirationem, idque magis, si erysipelatodes fuerit inflammatio; quocirca, vbi plurimum efflant, iuuari, ac plurimum aerem frigidum attrahere concupiscere; atque inter tussiendum sputum expuere modò hoc, modò alio colore infectum, vt interdum rubrum, flauum, aut rufum, ac spumosum quoque, & nigrum, & liuidum appareat; insuper grauitatis cuiusdam thoraci incumbentis sensum sæpenumerò percipere, ac dolorem ex imo ad ipsum peruenire, & ad sternum, & ad spinam; præterea acutã esse ipsis febrẽ, pulsum verò habere, qualem in libris de pulsibus diximus. Sic vbi membrana costas succingens inflammata est, acuta febris infestat, cum pulsûs ea, quam in commentariis de pulsibus diximus, proprietate; dolor autem punctorius vnà cum spiritûs difficultate magna ex parte apparet, cum sputo colore infecto, peræque ac in peripneumonicis. Igitur vtrosque affectus spirandi difficultas necessariò comitatur, quod affecta pars spiritûs sit instrumentum; oritur autem febris, & propter affectum ipsum, & propter situm; *nam* & pulmo, & succingens costas membrana prope cor consistunt, inflammatio verò calidus affectus est; sic etiam tussis ipsis, vt spirabilibus, inest; sed quòd aliquid expuatur, id ob affectum fit; ostendimus enim omnem inflammationem ex affluxu fieri sanguinis; quapropter, si biliosior fuerit sanguis, flauum, aut pallidum erit sputum; si pituitosior, spumans & candidum; si magis melancholicus, aut nigrum, aut liuidum; si nihil horum, rubrum. Præterea in pleuritide sæpenumerò magis biliosum; in peripneumonia verò magis pituitosum sputũ sequitur, nam & de hoc nobis declaratum est. Quòd autem inflammatarum partium excrementa per asperam arteriam sursum ferantur, ob situm & conformationem fit; hoc enim emissarium solum habent. Ventriculus verò duos quidem habet meatus, sursum tamen po-

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἡ μέθοδος, καθ' ἣν τὸ πεπονθὸς μόριον, καὶ ἡ αὐτοῦ διάθεσις διαγινώσκεται, καὶ τὰ κατὰ πρωτοπάθειαν συμβεβηκότα τῶν κατὰ συμπάθειαν χωρίζεται.

Ἐγὼ δ' ἠξίουν Ἀρχιγένην μετὰ τοσούτους ἰατροὺς γεγονότα, προσθεῖναί τι τῇ σαφηνείᾳ τῆς διδασκαλίας, οὐκ ἀφελεῖν τοσοῦτον, ὡς μηδ' ἡμᾶς αὐτοὺς νοεῖν ἃ λέγει, γεγηρακότας ἐν τοῖς ἔργοις τῆς τέχνης. ὅπερ οὖν ἐκεῖνον ἐχρῆν πεποιηκέναι, τοῦτ' ἐγὼ πειράσομαι πρᾶξαι, καὶ δεῖξαι μὲν πρότερον ἐν τῷ καθόλου τὴν μέθοδον, ᾗ προσήκει χρώμενον αὐτόν θ' εὑρίσκειν τοὺς πεπονθότας τόπους, ἑτέροις δὲ τὴν ὁδὸν ὑφηγεῖσθαι. μέθοδος μὲν οὖν ἐστιν, ὡς κἀν τῷ πρὸ τούτου λέλεκται βιβλίῳ, τοιάδε. πρότερον ζητῆσαι χρὴ, πότερον ἴδια σημεῖα καθ' ἕκαστον τόπον, ὅπως ἂν πάσχῃ, δυνατὸν εὑρεῖν ἐστιν, ἢ καθ' ἕκαστον τῶν παθῶν ἀλλοιοῦται. δεύτερον ἐπὶ τῷδε, πότερον ἑκάστου τῶν παθῶν ἴδια σημεῖά ἐστιν, ἢ καθ' ἕκαστον μόριον ὑπαλλάττεται, καὶ χρὴ τόπου τε ἅμα καὶ πάθους μνημονεύοντας λέγειν ἐφεξῆς τὰ σημεῖα· καθάπερ εἰ τύχοι φλεγμονῆς τοῦ πνεύμονος, ὅτι δύσπνοια μετὰ στενοχωρήσεως, ὡς πνίγεσθαι δοκεῖν, ἀνακαθίζειν τε διὰ τοῦτ' ἐπιχειρεῖν, ὅπερ ὀρθόπνοιαν ὀνομάζουσιν· ἀλλὰ καὶ ὅτι θερμῆς αἰσθάνονται τῆς ἐκπνοῆς, καὶ μᾶλλον ὅταν ἐρυσιπελατώδης ἡ φλεγμονὴ συστῇ, διόπερ ἐπὶ πλέον ἐκφυσῶντες παρηγοροῦνται, καὶ πλεῖστον ἀέρα ψυχρὸν εἰσπνεῖν ἐπιθυμοῦσιν, ἅμα πτύουσί τε μετὰ βηχὸς κεχρωσμένον τὸ πτύελον ἄλλοτ' ἄλλῳ χρώματι, καὶ γὰρ ἐρυθρὸν ἐνίοτε, καὶ ξανθὸν, καὶ πυρρὸν, ἀφρῶδές τε, καὶ μέλαν, καὶ πελιδνὸν φαίνεται· καὶ μέντοι καὶ βάρους τινὸς ἐγκειμένου τῷ θώρακι πολλάκις αἰσθάνονται, καὶ διήκει εἰς αὐτὸν ἐκ τοῦ βάθους ἄλγημα κατά τε τὸ στέρνον καὶ τὴν ῥάχιν· ἔτι τε πρὸς τούτοις, ὀξέως μὲν πυρέττουσι, σφυγμὸν δὲ ἔχουσιν, ὁποῖον ἐν τοῖς περὶ σφυγμῶν εἴπομεν. οὕτω δὲ κἀπὶ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ἐπειδὰν φλεγμήνῃ, πυρετὸς μὲν ὀξὺς ἅμα τῷ ἰδιώματι τῶν λελεγμένων σφυγμῶν κατὰ τὴν περὶ τῶν σφυγμῶν πραγματείαν, ἄλγημα δὲ νυγματῶδες ἅμα δυσπνοίᾳ καὶ πτυέλῳ κεχρωσμένῳ παραπλησίως τοῖς περιπνευμονικοῖς, ἐπιφαίνεται τὰ πολλά. τὸ μὲν οὖν δυσπνοεῖν ἀμφοτέροις τοῖς πάθεσιν, διὰ τὸ πεπονθὸς μόριον ἀναπνευστικὸν ὑπάρχειν, ἐξ ἀνάγκης ἕπεται· τὸ δὲ πυρέττειν, διά τε τὸ πάθος αὐτὸ καὶ τὴν θέσιν· ἐγγὺς μὲν τῆς καρδίας ὅ τε ὑπεζωκὼς καὶ ὁ πνεύμων, θερμὸν δὲ πάθος ἡ φλεγμονή. οὕτω δὲ καὶ τὸ βήττειν μὲν, ὡς ἀναπνευστικοῖς ὑπάρχει· τὸ δὲ ἀναπτύειν τι, διὰ τὸ πάθος αὐτό· δέδεικται γὰρ ἐξ ἐπιρρόης αἵματος φλεγμονὴ πᾶσα γινομένη, διόπερ ἐὰν μὲν χολωδέστερον ᾖ τὸ αἷμα, ξανθὸν, ἢ ὠχρόν ἐστι τὸ πτυόμενον· ἐὰν δὲ φλεγματικώτερον, ἀφρῶδές τε καὶ λευκόν· ἐὰν δὲ μελαγχολικώτερον, ἤτοι μέλαν, ἢ πελιδνόν· ἐὰν δὲ μηδὲν τούτων, ἐρυθρόν. ἔτι δὲ τῇ μὲν πλευρίτιδι πλεονάκις τὸ χολωδέστερον, τῇ δὲ περιπνευμονίᾳ τὸ φλεγματικώτερον πτύσμα συνέπεται, δέδεικται γὰρ ἡμῖν καὶ περὶ τούτου. τὸ δὲ διὰ τῆς τραχείας ἀρτηρίας ἀναφέρεσθαι τὰ περιττώματα τῶν φλεγμαινόντων μορίων, διά τε τὴν θέσιν αὐτῶν γίνεται καὶ διάπλασιν· ἐκροὴν γὰρ ἔχουσι ταύτην μόνην. γαστρὶ δὲ διττοὶ μὲν πόροι, μᾶλλον δ' ἐπιπολάζει τῇ

καὶ ἐμεῖται τὰ κατ' αὐτὴν μοχθηρά· τὰ δ' ἐκ τῶν ἐντέρων διαχωρεῖται· καθάπερ γε τὰ μὲν ἐκ νεφρῶν καὶ κύστεως, οὐρεῖται, τὰ δ' ἐξ ἐγκεφάλου, διὰ ῥινῶν μὲν μάλιστα, ποτὲ δὲ καὶ διὰ οὐρανίσκου, καὶ ὑπερῴας, καὶ ὤτων ἐκκενοῦται. τὰ γνωρίσματα οὖν τῶν πεπονθότων τόπων ἀπὸ συμπτωμάτων εἰσὶν, ἀπό τε τῆς βεβλαμμένης ἐνεργείας, καὶ τῆς τῶν ἐκκρινομένων ποιότητος, ἔτι δὲ τῶν παρὰ φύσιν ὄγκων, ἢ ἀλγημάτων, ἢ ἀχροίας τινὸς ἑπομένης, ἤτοι δι' ὅλου τοῦ σώματος, ἢ καθ' ἕν τι μόριον, ἢ δύο, μάλιστ' ὀφθαλμούς τε καὶ γλῶτταν· ἔξωθεν δὲ τούτων ἐστὶ τὰ κατὰ τὴν ἰδίως ὀνομασθεῖσαν εἴ τις βούλοιτο συμπάθειαν, ὡς ἐν τῷ πρώτῳ λέλεκται γράμματι. νυνὶ δέ μοι καιρὸς εἶναι δοκεῖ γυμνάσαι τοὺς ἑταίρους, ὧν ἀξιωσάντων γράφεται ταῦτα. γυμνάσιον δ' ἅπαν γίνεται διὰ τῶν κατὰ μέρος ὑπὸ τὴν αὐτὴν μέθοδον ἀγομένων. ἔστι δὲ χρησιμώτατον, ὡς πολλάκις ἐπιδέδεικταί μοι, τὸ τοιοῦτο τῆς διδασκαλίας εἶδος, ὡς αἵ γε μέθοδοι μόναι γνωσθεῖσαι χωρὶς τοῦ πολυειδῶς γυμνάσασθαι κατ' αὐτὰς, ἀδυνατοῦσι τελείους ἐργάσασθαι τοὺς μανθάνοντας. ἄνωθεν μὲν οὖν εἰπόντες τὴν μέθοδον, ἐπὶ τὸ γυμνάσιον ἴωμεν. ἐπισκέπτεσθαι χρὴ πρῶτον μὲν, εἴ τις ἐνέργεια βέβλαπται, σὺν αὐτῇ γὰρ ἀνάγκη πεπονθέναι τὸ τῆς ἐνεργείας ἴδιον ὄργανον. εἶθ' ἑξῆς εἴπερ εὕροις βεβλαμμένην τὴν ἐνέργειαν, ἐπὶ τὸν τρόπον τῆς βλάβης ἀφικόμενος, ἐπισκέπτου, τίνος ἐστὶ πάθους ἴδιον. ἐπὶ τοῖσδε σκόπει τὸ πεπονθὸς μόριον, εἴ τιν' ὄγκον, ἢ ἄλγημα διασημαίνει, μὴ παρέργως, ἀλλὰ μετὰ τοῦ συνεπισκοπεῖσθαι τὸ καθ' ἕκαστον αὐτῶν εἶδος· ἔμαθες γὰρ οὐ μόνον ὄγκων ἰδέας πλείονας, ἀλλὰ καὶ τῶν ἀλγημάτων. εἶτ' ἐπισκόπει τὰ περιττώματα τοῦ πεπονθότος μορίου, διὰ τίνος ἐκκενοῦται πόρου, θεώρει τε μή τι τῆς οὐσίας τοῦ πεπονθότος ἐκκρίνεται μορίου· καὶ μετὰ ταῦτα, πότερον ἄπεπτά ἐστι παντελῶς, ἢ μετρίως πέπεπται τὰ περιττώματα αὐτοῦ· κἄπειτα τίνων μὲν ἐξ αὐτοῦ συναπολαύει τὸ πᾶν σῶμα, τίνων δ' ἐξαιρέτως μόρια ἄττα, τὰ μέν τοι κατὰ τὴν ἐνέργειαν αὐτῶν, τὰ δὲ κατὰ τὴν χρόαν, ἢ σχῆμα. φέρε γάρ τινα καθ' ὃν ἀναπνεῖ καιρὸν, ἀλγεῖν ἐν τῷ κατὰ τὰς νόθας πλευρὰς τόπῳ· μὴ προπετῶς ὑπολάβῃς τοῦτον εἶναι πλευριτικὸν, ἀλλὰ πρῶτον μὲν, εἰ ἀναπτύει τι βήττων, ἄθρει· κεχρωσμένον γὰρ, ὡς εἴρηται, θεασάμενος, ἐρεῖς εἶναι πλευριτικόν. εἰ δὲ μηδ' ὅλως ἀναπτύει βήττων, δύναται μὲν εἶναι καὶ οὕτω πλευριτικὸς, ἄπεπτον δὲ καὶ στερρὰν ἰσχυρῶς ἔχων τὴν φλεγμονὴν, ὡς μηδὲν ἔξω χαλᾶν· ἐγχωρεῖ δὲ καὶ δι' ἥπατος φλεγμονὴν, ἀλγεῖν αὐτὸν ἐν τῷ λεγομένῳ χωρίῳ· τεινομένων γὰρ εἴσω τῶν ἀρτημάτων, οἷς ἤρτηται πρὸς τὰς πλευρὰς ἐνίων τὸ ἧπαρ, εἰς τὸν ὑπεζωκότα συμβαίνει τὴν ὀδύνην ἐξήκειν. ἀλλά γε σφυγμὸς οὐδὲν ὅμοιον ἔχων ἐστὶν ἐπὶ φλεγμοναῖς ἥπατός τε καὶ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, οὐ μὴν οὐδὲ τὰ διὰ τῆς γαστρὸς ἐκκρινόμενα παραπλήσια· πλὴν οὐκ ἀεὶ ταῦτα συνυπάρχει φλεγμοναῖς ἥπατος, ἀλλ' ἐν τοῖς καλουμένοις ἰδίως ἡπατικοῖς πάθεσιν. οὐδὲν οὖν χεῖρον ἐφ' ὧν μηδὲν ἐκκρίνεται γνώρισμα, διὰ τῆς ἁφῆς ἐπισκοπεῖσθαι τὸ δεξιὸν ὑποχόνδριον, κἂν μηδεὶς ὄγκος εὑρίσκοιτο, μηδ' οὕτως ἀφίστασθαι· δύναται γὰρ ἐν τοῖς σιμοῖς ἡ φλεγμονὴ μόνοις εἶναι, δύναται δὲ καὶ κατὰ τὰ κυρτὰ μὲν, ἀλλ' οὐ

A tius feruntur & euomũtur, quæ sunt in ipsomet praua; quæ verò ab intestinis, deijciuntur; vt & quæ à renibus & vesicâ, mictu excernũtur; quæ à cerebro, per nares præcipuè, nonnunquam verò per palatum & aures vacuantur. Indicia igitur locorum affectorum à symptomatis sunt, ab actione læsa, & excrementorum qualitate, & à tumoribus præter naturam, & doloribus, & à colore vitiato quodam sequente vel in vniuerso corpore, vel in vna quapiam parte, vel duabus, maximè in oculis & lingua; ex- B tra horum numerum sunt, quæ colliguntur ex ea, quæ propriè sympatheia, si velis, appellabitur, vt in primo libro iam diximus. At nunc mihi tempus esse videtur, vt amicos, quorum petitioni obtemperans hæc scribo, ad exercitationem inducam. Fit autem exercitatio omnis, quum particularia sub eandem viam & rationem ducuntur. Huiusmodi autem doctrinæ species (vt persæpe ostendimus) est vtilissima, quippe viæ & rationes, vbi solæ sine multiplici secundum ipsas exercitatione cognoscuntur, C haudquaquam possunt perfectos efficere discipulos. Altiùs igitur methodum repetentes, ad exercitationis modum accedamus. In primis quidem intueri oportet, num actio aliqua sit læsa; nam cum ipsa proprium actionis instrumentum affici necesse est. Deinde, si actionem læsam esse perspexeris, ad modum læsionis accedens, considera, ad quam affectionem propriè pertineat. Postea affectam partem nota, an tumore, aut dolore declaret, non perfunctoriè, sed cuiuslibet horum speciem inuestigando; didicisti enim non solum tumorum, verùm etiam dolorum quoque, varias esse species. As- D pice præterea affectæ partis excrementa, per quem meatum vacuentur; ac vide, num aliquid substantiæ affectæ partis excernatur; postea etiam vtrum omnino incocta sint ipsius excrementa, an mediocriter cocta; ac tum, quibus ex ea vniuersum corpus, quibus priuatim quædam partes fruantur; quæ partim ab actione, partim à colore, & figura deprehendes. Esto enim, vt quispiam inter respirandum in notharum costarum loco doleat; noli protinus hunc esse pleuriticum suspicari; sed in primis quidem, an tussiendo aliquid expuat, intuere, nam E si coloratum id, vt dictum est, videris, tum ipsum pleuriticum esse dices. Quòd si tussiendo nihil omnino expuat, fieri potest, vt nihilominus pleuriticus sit ille, sed inflammationem habeat incoctam & strictam admodum, vt nihil foras eijciatur; fieri quoque potest, vt ob hepatis inflammationem dolor in iam dicta sede excitetur; intentis enim intrò vinculis, quibus nonnullorum iecur costis alligatur, contingit dolorem ad succingentem *costas membranam* peruenire. Verum nequaquam si- F milis est pulsus in hepatis, & membranæ costas succingentis inflammatione; ac nec alui quoq; sedimenta similia sunt, quanquam non in qualibet iecoris inflammatione hæc adsunt, sed in affectibus hepaticis propriè nominatis. Igitur in quibus nihil excernitur, à quo indicium sumi possit, satius fuerit hypochondrium dextrum tangere; ac si nullus appareat tumor, ne sic quidem desistere. Nam fieri potest, vt in solâ simâ hepatis parte sit inflammatio; potest etiam in gibbis partibus, sed non omnibus,

nibus, verùm iis duntaxat existere, quæ à nobis costis conteguntur. Itaque laborantem, vt vehementer respiret, monere oportet; deinde interrogare, num grauitatem sentiat, aut suspensam à superioribus, aut incumbentem vicinis. Nonnunquam sanè, quibus illic est tumor præter naturam, ij difficulter spirant ob septi transuersi angustiam, & ab exigua tussi iritantur. Ergo in huiusmodi affectionibus certum ad dignotionem signum est, per omne tempus morbi, pulsus; deinde tractu temporis, reliqua quoq; symptomata. Nam & linguæ, & vniuersi corporis color alteratur in prauis iecoris affectibus; quemadmodum rursus thorace affecto tusses increscunt, atque tempore omnino apparent ea, quæ tussiendo expuuntur. Igitur quemadmodum fieri non potest, vt illæsis omninò spirandi tum partibus, tum instrumentis, difficilis fiat respiratio; accidit autem interdum vt nullo existente in ipsis proprio morbo, sed transuerso septo aut detracto aut oppresso, homo difficulter spiret; ita etiam vsu venit in sede principem in se animæ facultatem continente; nam quum & scientia, & opinio, atque cogitatio omnis in ipsa consistat, si harum aliqua læsa videatur, protinus ipsam quoq; affectu quopiã laborare arbitramur. Nam etiamsi in pleuritide, vel peripneumoniã delirium quoddam incidat, nemo vel à costa, vel à pulmone prouenisse dixerit hoc symptoma; sed vniuersi eam partem, in qua princeps animæ facultas residet, simul affectam esse putant, ac nituntur modum consensûs suis dogmatis conformem ostendere; verùm in aliis affectibus non consentire, sed primigenio ipsam affectu laborare aiunt, vt in lethargo, & phrenitide; at vndiq; affici, vbi propriarum ipsi actionum aliqua læditur; proprias autẽ actiones dico, quas per nullam aliam partem, vt per instrumentum, facit. Nam re verã & videre illam, & audire existimandum est; sed videre oculis, & audire auribus; at vt cogitet, & reminiscatur, & existimet, & eligat, neq; oculis neq; auribus, neque linguâ, neq; aliâ quapiam parte vti. Sed si hæc animæ pars ita est in continente ipsam corpore, vt nos in domo aliquâ, in primis fortasse nullam ei læsionẽ afferri putabimus à loco; quoniã verò ipsam lædi videmus, quomodo lędatur, esset inuestigandũ; si verò vt forma quædã corporis est ab ipso inseparabilis, eam lædi non inficiaremur ob suscipientis ipsã corporis alterationem. At quia de hac re inter philosophos pugna est, & alij eam veluti in domicilio contineri dicunt, alij verò vt formam, quomodo lædatur, inuentu perdifficile est; quòd verò lædatur, experientiâ discere licet. Etenim, vbi fracto capitis ossi terebra admouetur, siquis vehemẽtius premat, protinus sensũ omnem & motum amittũt; tum si inflammatio quædam oriatur, hæc etiam euenire interdum contingit, mentis proinde lęsio perpetuò euenit. Præterea nonnulli ex vehemente capitis vstione delirauerunt; atq; per fortes ictus capiti adactos, sæpenumero caros sequitur; multique alij affectus in capite consistentes, mentẽ apertè lædere videntur, adeò vt etiam populares, quum aut delirare aliquem, aut mentem quomodolibet affici conspiciũt, capiti prospiciendum censeant. Verumenimverò quod principium sensûs & motûs voluntarij verè sedem

πάντα, μόνα δ' ὅσα κατακρύπτουσιν αἱ νόθαι πλευραί. μέγιστον οὖν ἀναπνεῖν ἐν τῷδε κελεύειν τὸν κάμνοντα, καὶ πυνθάνεσθαι μή τινος αἰσθάνεται βάρους, ἤτοι γ' ἐκκρεμαμένου τῶν ὑπερκειμένων, ἢ ἐγκειμένου τοῖς περιέχουσιν· ἔστιν ὅτε γε μήν, οἷς ἐνταυθά ἐστιν ὁ παρὰ φύσιν ὄγκος, οὗτοι δυσπνοοῦσι τῇ στενοχωρίᾳ τῶν φρενῶν, ἐρεθίζονταί γε καὶ πρὸς βραχείας βῆχας. βέβαιον οὖν ἐπὶ τῶν τοιούτων ἐστὶ σημεῖον εἰς διάγνωσιν, ὁ σφυγμὸς μὲν ἐν ἅπαντι τῷ χρόνῳ τοῦ νοσήματος, ἐπὶ προήκοντι δ' αὐτῷ, καὶ τἄλλα συμπτώματα. ἥ τε γὰρ τῆς γλώττης ἀλλοιοῦται χρόα, καὶ ἡ παντὸς τοῦ σώματος, ἐπὶ ταῖς τοῦ ἥπατος κακοπραγίαις· ὥσπερ αὖ πάλιν αἱ βῆχες αὐξάνονται, τῶν κατὰ θώρακα πασχόντων, ἐπιφαίνεταί τε πάντως ἐν τῷ χρόνῳ τὰ μετὰ τῆς βηχὸς ἀναπτυόμενα. καθάπερ οὖν ἡ δύσπνοια χωρὶς μὲν τοῦ πάσχειν τι τῶν ἀναπνευστικῶν μορίων ἢ ὀργάνων ὁπωσοῦν, οὐ δύναται γίνεσθαι, συμβαίνει δ' ἐνίοτε νόσημα μηδὲν ἴδιον ἐν αὐτοῖς ὑπάρχειν, ἀλλ' ἤτοι κατασπωμένου τοῦ διαφράγματος, ἢ θλιβομένου, δυσπνοεῖν τὸν ἄνθρωπον· οὕτως ἔχει κἀπὶ τοῦ τὸ τῆς ψυχῆς ἡγεμονικὸν ἐν ἑαυτῷ περιέχοντος τόπου· κατὰ τοῦτον γὰρ ἐπιστήμης τε καὶ δόξης ἁπάσης τε διανοήσεως συνισταμένης, ὅταν φαίνηταί τι τούτων βεβλαμμένον, εὐθέως ὑπολαμβάνομεν ἔν τινι πάθει κἀκεῖνο ὑπάρχειν, ὅπου γε κἂν ἐν πλευρίτιδι, κἂν ἐν περιπνευμονίᾳ παραφρονήσῃ τις, οὐδεὶς φησὶ διὰ τὴν πλευρὰν, ἢ τὸν πνεύμονα γεγονέναι τὸ σύμπτωμα, πάντες δ' ἡγοῦνται συμπεπονθέναι τὸ μόριον ἐκεῖνο, καθ' ὃ τῆς ψυχῆς ἐστι τὸ ἡγεμονικόν, καὶ ζητοῦσί γε τὸν τρόπον τῆς συμπαθείας ὁμολογοῦντα δεῖξαι τοῖς ἰδίοις δόγμασιν· ἐπ' ἄλλων δὲ παθῶν οὐ συμπαθεῖν, ἀλλὰ πρωτοπαθεῖν φασιν αὐτόν, ὥσπερ ἐν ληθάργῳ καὶ φρενίτιδι· πάντως γε μέντοι πάσχειν, ἔνθα τῶν ἰδίων τις ἐνεργειῶν αὐτοῦ βέβλαπται. λέγω δ' ἰδίας ἐνεργείας, ἃς δι' οὐδενὸς ἄλλου μορίου ποιεῖται, καθάπερ δι' ὀργάνου· κατὰ μὲν γὰρ τὸν ἀληθῆ λόγον, καὶ βλέπειν αὐτὸ τοῦτο καὶ ἀκούειν ὑποληπτέον, ἀλλὰ δι' ὀφθαλμῶν μὲν βλέπειν, δι' ὤτων δ' ἀκούειν· ἐννοεῖν μέντοι καὶ μεμνῆσθαι καὶ λογίζεσθαι καὶ προαιρεῖσθαι, μήτ' ὀφθαλμοῖς ἔτι, μήτ' ὠσί, μήτε γλώττῃ, μήτ' ἄλλῳ τινὶ προσχρώμενον. ἀλλ' εἰ μὲν οὕτως ἐστὶ τὸ μόριον τοῦτο τῆς ψυχῆς ἐν τῷ περιέχοντι σώματι, καθάπερ ἡμεῖς ἐν οἴκῳ τινί, τὴν μὲν ἀρχὴν ἂν ἴσως οὐδ' ὑπονοήσαιμεν αὐτὸ βλάπτεσθαί τι πρὸς τοῦ χωρίου· θεασάμενοι δὲ βλαπτόμενον, ἐζητήσαμεν ἂν ὅπως βλάπτεται· εἰ δ' ὡς εἶδός τι τοῦ σώματός ἐστιν ἀχώριστον αὐτοῦ, συνεχωρήσαμεν ὑπὸ τῆς τοῦ δεδεγμένου σώματος ἀλλοιώσεως βλάπτεσθαι· διαστάντων δὲ τῶν φιλοσόφων περὶ αὐτοῦ, καὶ τῶν μὲν ὡς ἐν οἰκήματι περιέχεσθαι φασκόντων αὐτό, τῶν δ' ὡς εἶδος, ὅπως μὲν βλάπτεται χαλεπὸν εὑρεῖν, ὅτι δὲ βλάπτεται, τῇ πείρᾳ μαθεῖν ἐστι. ἐπί τε γὰρ τῶν ἀνατετρημένων τὸ κατεαγὸς ὀστοῦν τῆς κεφαλῆς, εἴ τις βιαιότερον ἐπιθλίψειεν, ἀναίσθητοί τε παραχρῆμα καὶ ἀκίνητοι γίνονται· καὶ εἰ φλεγμονή τις ἐπιγένοιτο, καὶ ταῦτα μὲν ἔστιν ὅτε συμβαίνει, ἡ τῆς διανοίας οὖν βλάβη γίνεται διὰ παντός. ἐγκαυθέντες δὲ σφοδρῶς τὴν κεφαλὴν, οὐκ ὀλίγοι παρεφρόνησαν· ἰσχυραῖς τε πληγαῖς εἰς αὐτὴν γινομέναις, ἐν τῷ παραχρῆμα πολλάκις ἠκολούθησε κάρος· ἕτερά τε πολλὰ τοιαῦτα παθήματα περὶ τὴν κεφαλὴν συνιστάμενα, σαφῶς φαίνεται βλάπτοντα τὴν διάνοιαν, ὥστε καὶ τοὺς ἰδιώτας, ὅτ' ἂν παραφρονῇ τις, ἢ ὅλως ὁποιοῦν πάσχῃ κατὰ τὴν διάνοιαν, ἀξιοῦν προνοεῖσθαι τῆς κεφαλῆς. ὅτι μὲν οὖν ἀληθέστατόν ἐστι, τὸ κατάρχον αἰσθήσεώς τε

καὶ κινήσεως τῆς καθ' ὁρμὴν, ἐν ἐγκεφάλῳ καθιδρῦσθαι, καὶ ὅτι τούτου σκεπάσματ' εἰσὶν αἱ μήνιγγες, ἐν ἑτέροις ἐπιδέδεικται· νυνὶ δ' ὅπως ἄν τις διορίσαιτο τὰ κατὰ πρωτοπάθειαν αὐτῷ συμβεβηκότα, τῶν κατὰ συμπάθειαν, ἐπισκεπτέον· ἴδιον γὰρ τοῦτο τῆς προκειμένης πραγματείας, ἥ τε χρεία πρόδηλος, εἴ γε πρῶτον ἁπάντων ἐστὶν ὡς πρὸς τὰς ἰάσεις, ἐπίστασθαι, τίνι χρὴ μορίῳ προσφέρειν τὰ βοηθήματα. πρὶν μὲν γὰρ ἰδίαν τινὰ διάθεσιν ἐν ἐγκεφάλῳ γενέσθαι, [42] κατὰ τὸ συμπάσχειν μόνον αὐτοῦ βλαπτομένου, θεραπευθέντος τοῦ πρωτοπαθοῦντος, οὐδὲν ἂν ἔτι καταλείποιτο τούτῳ σύμπτωμα: γινομένης δέ τινος ἐν αὐτῷ μονίμου διαθέσεως ἐκ τῆς συμπαθείας, οὐ τῷ πρωτοπαθήσαντι μόνῳ τὰ βοηθήματα χρὴ προσφέρειν, ἀλλὰ καὶ τῇ κεφαλῇ· δι' αὐτὸ δὲ τοῦτο καὶ τὸ διορίζειν ἀκριβῶς, εἴτ' ἐγκέφαλός ἐστιν ὁ πρωτοπαθῶν, εἴτε μήνιγγες, οὐ μεγάλην ἔχει τὴν χρείαν, ἑκατέρως τῇ κεφαλῇ προσφερομένων τῶν βοηθημάτων. οὔκουν τοῦτο χρὴ μάλιστα σπουδάζειν, ἀλλὰ τὴν οὐσίαν τοῦ νοσήματος εὑρίσκειν, ὁποία τίς ἐστιν. εἰ μὲν γὰρ ὑγρὸν εἴη, ξηραίνειν αὐτὸ [43] προσήκει· εἰ δὲ ξηρὸν, ὑγραίνειν· οὕτω δὲ καὶ τὸ μὲν ψυχρὸν, θερμαίνειν· τὸ δὲ θερμὸν, ψύχειν. ἔτι δὲ καὶ εἰ κατά τινα συζυγίαν πεπόνθοι, διὰ τῆς ἐναντίας συζυγίας αὐτὸ θεραπεύειν προσήκει, τὸ μὲν ξηρὸν καὶ θερμὸν, ὑγραίνοντα καὶ ψύχοντα· τὸ δ' ὑγρὸν καὶ ψυχρὸν, ξηραίνοντα καὶ θερμαίνοντα· κἀπὶ τῶν λοιπῶν δυοῖν συζυγιῶν ἀνάλογον· οὕτω δὲ κἀπὶ τῶν ἄλλων ἁπάντων νοσημάτων πράττειν, ὧν ἑκάστου τὴν ἰδέαν ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ἐδήλωσα γράμματι. παραπλησίας οὖν τῆς θεραπείας γινομένης ἐπὶ τοῖς αὐτοῖς νοσήμασιν ἐγκεφάλῳ τε καὶ μήνιγξι, λογικὴ μᾶλλον ἡ ζήτησίς ἐστιν, ἤπερ εἰς τὰς ἰάσεις χρήσιμος, ἐν ὁποτέρῳ τὸ ἡγεμονικόν: οὐ μὴν εἴ γε κατὰ τὴν καρδίαν ἐστὶν, ἀλλ' ὅλῳ τῷ πράγματι διαφέρουσα. φέρε γὰρ ὑπὸ χολῆς ξανθῆς γίνεσθαι τὴν φρενῖτιν ἐν τῷ σώματι τῆς καρδίας ἀθροισθείσης τε καὶ διασαπείσης, ἆρ' οὐ ληρεῖν ἂν δόξειεν ὁ καταντλεῖν κελεύων ὀξυρροδίνῳ τὴν κεφαλὴν, ἐνὸν, εἴπερ ἴαμα τὸ φάρμακον τοῦτο τῆς τὴν φρενῖτιν ἐργαζομένης αἰτίας ἐστὶ, μὴ κεφαλῆς, ἀλλὰ θώρακος αὐτὸ καταχεῖν, μηδὲ τούτου παντὸς, ἀλλὰ κατ' ἐκείνου μόνου τοῦ μέρους, ἔνθαπερ ἡ καρδία τέτακται; ταῦτα μὲν οὖν καλῶς ἡμῖν προδιώρισται, καὶ τὸ μὴ μόνον ἐπισκοπεῖσθαι τὸν πεπονθότα τόπον, ἀλλὰ καὶ τὴν βλάπτουσαν αἰτίαν αὐτόν. οἷον εὐθέως, ἔστι μὲν δή που καὶ ἡ παραφροσύνη σύμπτωμα τῆς κατὰ τὸν [44] παραφρονοῦντα τόπον ἐνεργείας· ἔστι δὲ καὶ τὸ κῶμα καὶ ὁ κάρος, ἀλλ' ὑπὸ τῆς ἐναντίας αἰτίας γίγνεται. τὰς μὲν γὰρ ἀγρυπνίας τε καὶ παραφροσύνας, θερμὴν τὴν δύναμιν αἴτιον ἐργάζεται· τὰ δ' ὑπνώδη τε καὶ κωματώδη καὶ καρώδη πάθη πάντα, ψυχρᾶς αἰτίας ἐστὶν ἔκγονα. καὶ τοῦτ' ἔνεστί σοι καταμαθεῖν ἐναργῶς ἀπὸ τῶν φαρμάκων πρῶτον. ὅσα μὲν γὰρ αὐτῶν ἐστι ψυχρὰ, ναρκοῖ καὶ καροῖ· τὰ θερμὰ δ' ἔμπαλιν, ἀγρύπνους τε καὶ πολυκινήτους ἐργάζεται. καὶ τί δεῖ μνημονεύειν ἰσχυρῶν φαρμάκων, ὁρῶντας ὁσημέραι, τὰς μὲν θριδακίνας καὶ τὰ τῶν ποτίμων τε καὶ θερμῶν ὑδάτων λουτρὰ, καὶ οἴνου πόσιν ὕδατι μετρίως κραθέντος, ὕπνον ἐργαζόμενα, καθάπερ γε καὶ τἆλλ' ὅσα πέφυκεν ὑγραίνειν τε καὶ ψύχειν· τὰ δ' ἐναντία πάντα, τὰς ἀγρυπνίας; κατὰ τοῦτό γέ τοι, καὶ ἡ λεπτὴ δίαιτα, καὶ ὁ ἄκρατος οἶνος, ἀγρυπνητικά· πολὺ δὲ δὴ μᾶλλον,

in cerebro habeat, & quòd hoc à meningibus contegatur, alibi demonstratum est. Nunc verò, quomodo quis distinguat affectus eius primitiuos ab iis qui per consensum eueniunt, considerandum est; etenim id propositi operis proprium est; & manifesta vtilitas, quum ad curationes primum omnium sit, cuinam parti remedia sint adhibenda, cognouisse. Nam priusquam in cerebro propria sit aliqua affectio, per solum consensum læso ipso, si ea pars quæ primitiuo affectu laborat, fuerit curata, nullum in ipso relinquitur symptoma; quòd si ex consensu aliquis permanens factus in ipso sit affectus, tum non solum parti, quæ primitiuo affectu laborat, sed capiti quoque, remedia adhibere oportet. Ob hoc autem ipsum exactè definire, vtrum cerebrum an membranæ ipsius primitiuè afficiantur, haud magnam vtilitatem afferre potest; vtrobique enim capiti auxilia adhibentur. Igitur huic rei maximè studere non oportet, sed potius qualis morbi essentia sit, inuenire; nam humidum exiccare, aridum humectare, frigidum calefacere, calidum refrigerare opus est; ac si coniugatus fuerit affectus, per contrariam coniugationem ipsum curare conuenit; calidum & siccum, humectando & refrigerando; humidum frigidumque, exiccando & calefaciendo; atque in reliquis duabus coniugationibus ad proportionem; ac in cæteris morbis omnibus ita facere, quorum vniuscuiusque speciem in libro de morborum differentiis persequuti sumus. Quum itaque in cerebro & meningibus ijdem morbi simili curatione indigeant, logica magis, quàm ad curationem vtilis est quæstio, in vtro illorum contineatur princeps animæ facultas; non tamen an in corde sit, sed totâ re differens. Esto enim vt à flaua bile in corde accumulatâ & putredine affectâ phrenitis excitata sit, nonne delirare videbitur is, qui caput oxyrrhodino perfundere iusserit, quum liceat, si hoc præsidio phrenitidis causa sanari possit, non capiti, sed thoraci ipsum adhibere; neque huic vniuerso, sed illi duntaxat eius parti, in qua cor continetur? Hæc igitur rectè à nobis ante definita sunt, atque hoc item, vt non solùm affectum locum, verùmetiam causam ipsum oblædentem, consideremus. Vt exempli gratiâ, delirium est symptoma actionis loci delirantis; est & coma & sopor, sed à contrariis causis oriuntur. Nam vigilias & deliria causa potestate calida efficit; at somnolenti & comatosi & veternosi affectus omnes frigidæ causæ sunt soboles. Atque hoc tibi ex medicamentis primum manifestè discere licet; quæ nanque frigida sunt, stuporem soporemque; calida verò contra, vigilias & varias motiones inducunt. Sed quid opus est vehementia medicamenta memorare, quum quotidie videamus, & lactucas & potabilium calidarumque aquarum balneas, & vini aquâ modicè diluti potionem, somnum inducere, reliquorum medicamentorum exemplo, quæ humectant & refrigerant; his verò contraria omnia, vigilias? Eodem quoque modo tenuis ratio victûs, & vinum meracum, vigilias inducunt; idque multò ma-

gis; quum vinum meracum, aut naturâ fuerit calidum, aut valdè antiquũ, quale apud nostrates Pergami olim accidit; atq; satius est id enarrare. Grammatici erat puer ille; Grammaticus autem singulis diebus balneum petens cum altero puero, hunc inclusũ domi relinquebat, vt rem familiarem seruaret; atque ea, quæ ad victum essent necessaria, præpararet. At quum vehementi aliquando siti cruciaretur, nec esset intus aqua, vinũ antiquum liberaliter potauit; indeq; reliquo tempore vigil permansit; posteà correptus febre, vna cum vigiliis oborto delirio, periit. Atque animantia frigidiora per hyemem ob frigus mortuis similia iacent in latibulis; atq; tum viperas quoq; videre licet, etiamsi in manus sumas, deferasque, haudquam mordere; quum per æstatem tum hoc animal, tum serpentes reliqui omnes, maximè sub caniculæ feruore, quum vehementer æstuant, furentibus similes sint, vt ne exiguo quidem momento quiescere possint. Quod de illis intelligens Nicander, sic de cenchride cecinit,

Ne tu quanquam audax, cenchrino occurrere contra,
Dum furit, insistas.

Verum de his alibi plenius dictum & demonstratum est, quod calida causa motus excitet, atque idcircò vigilias afferat; frigida verò ad motus pigrum reddat animal, somni & comatis effectrix. At qui hæc intelligit, quum per ardentium febrium vigorem hominem viderit & vigilare & delirare, deinde inclinante iã febre, dormire & sapere, in capite nullum propriũ esse affectum, sed ab exurente febris calore deliriũ fieri existimabit. Sic etiam in peripneumonia & pluritide, quum in vigore febrium illarum delirium sequitur, non est capitis proprius affectus; nam affectus proprius ex constantia æstimandus est, vnde si etiam pluritico alicui permanens eueniat delirium, caput ipsi proprium habere morbum existima, vt quanuis lateris morbus quiescat, possit tamẽ capitis permanere. Sæpenumerò enim vidimus bubonẽ ob vlcus obortum, vlcere curato etiamnum superstitem esse. Quum itaque parti alteri primariò laboranti, dum vehemẽter exacerbatur, pars altera secundariò afficitur, sedaturque illius remissione, eam per consensum affici augurare; hæc enim vna coniectura communis est: sed cerebri affectibus, vt dictum, proprium est, si non assiduè delirium permaneat, sed febrium vehementiã sequatur. Atq; eadẽ ratione in accessionum febris insultibus sopore & comate quidam obsidentur, quòd hoc tempore cerebrum vehementer refrigeretur, quòd alioqui paratissimum sit, vt noxam huiusmodi subeat, siue quia intemperiem habeat frigidam, non tamen tantam, vt hæc sola prædictorum symptomatum possit esse causa; sed quum accessio ab initio processerit, frigus adeò increscet, vt cataphoram vel soporem inducat; id verò, vt dixi, oboritur ab intemperie frigida; oboritur & à pituitoso humore in cerebro collecto.

ὅταν ὁ ἄκρατος οἶνος ἢ φύσει θερμὸς, ἢ παλαιὸς ἱκανῶς, οἷόν τι συνέβη καὶ παρ' ἡμῖν ποτε ἐν Περγάμῳ, καὶ κάλλιόν γ' αὐτὸ διηγήσασθαι. γραμματικοῦ μὲν ἦν τὸ παιδάριον ἐκεῖνο· καθ' ἑκάστην δὲ ἡμέραν εἰς τὸ βαλανεῖον ἀπιὼν ὁ γραμματικὸς ἅμ' ἑτέρῳ παιδὶ, κατέλειπεν ἔνδον ἐγκλείων αὐτὸ, χάριν τοῦ φυλάττεσθαί τε τὰ κατὰ τὴν οἰκίαν, καὶ εὐτρεπίζεσθαι τὰ πρὸς τὴν ἐδωδήν. ἀλλὰ διψῆσαν γέ ποτε σφοδρῶς, εἶτ' ἔνδον οὐκ ἔχον ὕδωρ, ἐξέπιεν οἴνου παλαιοῦ δαψιλές· ἐντεῦθέν τε τοῦ λοιποῦ χρόνου παντὸς, ἄγρυπνον ἦν, ὕστερον δὲ ἐπυρέξεν, ὑπό τε τῆς ἀγρυπνίας καὶ τῆς ἐπιγινομένης ἐν αὐτῷ παραφροσύνης διεφθάρη. καὶ τὰ ψυχρότερα δὲ τῶν ζώων, ἐν τῷ χειμῶνι φωλεύει διὰ τὴν ψύξιν, ὅμοια νεκροῖς κείμενα· καὶ τὰς ἐχίδνας ἐστὶν ἰδεῖν τηνικαῦτα μηδ' εἰ ταῖς χερσὶν ἀνελόμενος βαστάζοις, δακνούσας, ὡς ἔν γε τῷ θέρει καὶ τοῦτο τὸ ζῶον, καὶ οἱ ἄλλοι πάντες ὄφεις, μάλιστ' ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ὅταν ἐγκαυθῶσι σφοδρῶς, ἐοίκασιν μαινομένοις, ἡσυχάζειν οὐδ' ἐπὶ βραχὺ δυνάμενοι. τοῦτο γοῦν αὐτὸ θεασάμενος αὐτῶν καὶ ὁ Νίκανδρος, ἔγραψεν περὶ τοῦ κεγχρίνου,

Μὴ σύ γε θαρσαλέος περ ἐὼν, θέλε βήμεναι ἄντην
Μαινομένου κεγχρίνου.

περὶ μὲν δὴ τούτων ἐν ἄλλοις ἐπὶ πλέον εἴρηταί τε καὶ δέδεικται, τὸ μὲν θερμὸν αἴτιον εἰς τὰς κινήσεις ἐπεγεῖρον, ἀγρυπνίας τε διὰ τοῦτο παρέχον· τὸ δὲ ψυχρὸν, ἀργὸν μὲν εἰς τὰς κινήσεις, ὕπνου δὲ καὶ κώματος ἐργαστικόν. ἀλλ' ὅ γε ταῦτα γινώσκων, ὅταν ἄνθρωπον ἴδῃ, κατὰ μὲν τὰς ἀκμὰς τῶν διακαῶν πυρετῶν ἀγρυπνοῦντά τε καὶ παραφρονοῦντα, κατὰ δὲ τὰς παρακμὰς κοιμώμενόν τε καὶ κατανοοῦντα, λογιεῖται τῆς κεφαλῆς μὲν αὐτῆς οὐδεμίαν εἶναι διάθεσιν ἰδίαν, ὑπό τε τῆς κατὰ τὸν πυρετὸν θέρμης ἐκπυρούσης αὐτήν, παραφροσύνην ἐργάζεσθαι. οὕτω δὲ καὶ τὰς κατὰ περιπνευμονίαν καὶ πλευρῖτιν, ὅταν ἐν τοῖς πυρετοῖς αὐτῶν εἰς ἀκμὴν ἥκουσιν ἕπηται παραφροσύνη, τῆς κεφαλῆς αὐτῆς ἴδιον οὐκ ἔστι πάθημα· τῷ μονίμῳ γὰρ ἐχρῆν τεκμαίρεσθαι τὸ τοῦ μέρους ἴδιον πάθος, ὅθεν εἰ καὶ πλευριτικῷ τινι μόνιμος ἐπιγίνηται παραφροσύνη, νοσεῖν ἤδη λογίζου τὴν κεφαλὴν αὐτοῦ νόσον ἰδίαν, ὥστε κἂν καταστῇ τὸ τῆς πλευρᾶς πάθος, ἐνδέχεσθαι μεῖναι τὸ τῆς κεφαλῆς· καὶ γὰρ τοῖς ἐφ' ἕλκεσι βουβῶνα πολλάκις εἴδομεν ἐπιμένοντα ἔτι, θεραπευθέντος τοῦ ἕλκους. ὅταν οὖν ἑτέρου ἑτέρῳ τῷ πρώτως πάσχοντι, παροξυνομένῳ μὲν σφοδρῶς ἐπιγίνηται, παύηται δὲ μειουμένῳ, κατὰ συμπάθειαν αὐτὸ τεκμαίρου πεπονθέναι· κοινὸν μὲν τοῦτο τεκμήριον ἕν· ἴδιον δ' ἐπὶ τῶν κατὰ τὸν ἐγκέφαλον, ὡς εἴρηται, τὸ μὴ παραμένειν ἀεὶ τὴν παραφροσύνην, ἀλλὰ τοῖς μεγέθεσι τῶν πυρετῶν ἕπεσθαι. κατὰ δὲ τὸν αὐτὸν λόγον, ἐν εἰσβολαῖς παροξυσμῶν πυρετοῦ καρώδεις τινὲς ἢ κωματώδεις γίνονται, ψυχομένου σφοδρῶς ἐν ἐκείνῳ τῷ καιρῷ τοῦ ἐγκεφάλου, διὰ τὸ προπαρεσκευάσθαι πως αὐτὸν εἰς ἑτοιμότητα βλάβης τοιαύτης, ἤτοι δυσκρασίαν μὲν ἔχοντα ψυχράν, οὐ μὴν τοσαύτην γε, ὡς ἡ τῶν εἰρημένων συμπτωμάτων αἰτία δύναται γενέσθαι μόνη· προσελθούσης δὲ κατὰ τὴν ἀρχὴν τοῦ παροξυσμοῦ, μέγεθος ἕξει τηλικοῦτον, ὡς καταφορὰν, ἢ κάρον ἐργάζεσθαι· γίνεται μὲν οὖν ὡς ἔφην τοῦτο, κατὰ δυσκρασίαν ψυχράν· γίνεται δὲ καὶ διὰ φλεγματικὸν χυμὸν ἀθροισθέντα κατὰ τὸν ἐγκέφαλον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ, ΒΙΒΛΙΟΝ Γ'.

GALENI DE LOCIS AFFECTIS, LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἐξελέγξας τὰ τῶν παλαιῶν ἁμαρτήματα, τὴν τῶν κατ' ἐγκέφαλον παθῶν διάγνωσιν διδάσκει.

ARGVMENTVM LIBRI.

Reiectis veterum erroribus, affectuum cerebri dignotionem docet.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὅτι τῶν ἐνεργειῶν αἱ βλάβαι τὰ τῶν ἐνεργειῶν ὄργανα πεπονθέναι δηλοῦσιν, ἤτοι πρώτως, ἢ κατὰ συμβεβηκός.

Περὶ τῶν πεπονθότων τόπων, οὕτω γὰρ ὀνομάζουσι τὰ μόρια τοῦ σώματος, ὀλίγοι τε τῶν ἰατρῶν ἐπραγματεύσαντο, πλέον τε παρέλιπον ἀνεξέργαστον, ἢ μετεχειρίσαντο· καταλιπὼν οὖν ἐγὼ τοὺς ἄλλους, Ἀρχιγένους ἐμνημόνευσα μόνου δικαίως ὑπὲρ ἐκείνους ἅπαντας ἐπῃνημένου· λέγοντος δ' αὐτοῦ βλάπτεσθαί τινας ἐνεργείας, ἄνευ τοῦ βλάπτεσθαι τὸ μόριον τοῦ σώματος ἐν ᾧ γίνονται, διορισμοῦ τὸν λόγον ἔφην δεῖσθαι· δύνασθαι γάρ τινα λέγειν ὀρθῶς, εἰ καὶ μὴ μόνιμον ἤδη διάθεσιν ἔχοι τὸ κατὰ συμπάθειαν ἑτέρου βλαπτόμενον, ἀλλ' ὡς αὐτὸς ἔφη, καθάπερ τινὰ σκιάν, ἀλλ' οὖν τὸ πάθος ὑπάρχειν αὐτοῦ. πυρὶ γοῦν οὕτω πλησιάσαντες, ὡς ἐγγὺς μὲν ἥκειν τοῦ καίεσθαι, μὴ μέντοι δὲ καίεσθαι, σφοδρῶς ἀλγοῦμεν, οὐ δήπου μηδὲν πάσχοντος τοῦ θερμαινομένου μέρους. οὕτω δὲ καὶ κρύος ἰσχυρὸν ἐν τῷ περιέχοντι γινόμενον, ἢ ψυχρὸν ὕδωρ ἀκραιφνὲς, ἢ χιὼν περιπεσοῦσα, σφοδρὰν ὀδύνην ἐργάζεται· κἂν ἀποστήσῃς τὸ λυποῦν, εὐθέως σὺν αὐτῷ παύεται τὸ πάθημα. βέλτιον οὖν ἐδόκει λέγειν ὥσπερ καὶ αὐτὸ τοὔνομα ἐνδείκνυται, τὸ πάσχειν ἁμηγέπη τὸ συμπάσχον· οὐ γὰρ τὸ μηδόλως πάσχον, ἀλλὰ τὸ σὺν ἑτέρῳ πάσχον, ὑπὸ τῆς συμπάσχειν ἑρμηνεύεται φωνῆς. ὥσθ' ὅταν ἐπὶ στομαχικαῖς διαθέσεσιν, ὅμοια τοῖς τῶν ὑποχεομένων κατὰ τοὺς ὀφθαλμοὺς γίνηται συμπτώματα, πάσχειν μὲν αὐτοὺς λεκτέον, ἀναφερομένης ἐπὶ τὴν κεφαλὴν ἀναθυμιάσεώς τινος καπνώδους τῶν ἐν τῇ γαστρὶ περιεχομένων χυμῶν· οὐ μὴν ἤδη γέ πω διάθεσιν ἔχειν τοιαύτην, ὡς ἀπελθόντος τοῦ λυποῦντος, ἰδίας ἐπιμελείας δεῖσθαι. τὰ μὲν οὖν τοιαῦτα λογικώτερά πως ἔφην εἶναι· λογικὰ γὰρ ὄντως ἐστὶν, ὅσα τῆς χρείας ἐπέκεινα περιεργαζόμενα, τὴν φύσιν ἀθρεῖ τῶν πραγμάτων, ὁποία τις ὑπάρχει κατὰ τὴν οἰκείαν οὐσίαν. οὕτως γοῦν καὶ Χρύσιππος ὁ φιλόσοφος ἔγραψε περὶ τῶν τῆς ψυχῆς παθῶν ἓν μὲν τὸ θεραπευτικὸν βιβλίον, οὗ μάλιστα χρήζομεν εἰς τὴν ἴασιν αὐτῶν, ἕτερα δὲ τρία λογικὰς ἔχοντα ζητήσεις.

CAPVT I.

Quòd actionum læsiones, affecta esse actionum organa declarent, vel primariò, vel per accidens.

De locis affectis (sic enim nominant corporis partes) pauci medici pertractauerunt, ac plura quàm attigerint, inexarata omiserunt. Itaque cæteris silentio prætermissis, solius Archigenis iure supra illos omnes laudati, meminimus. Diximus autem eum sermonem, quo ipse asserit actiones quasdam lædi, illæsâ eâ corporis parte quâ ipsæ eduntur, distinctione egere; quispiam enim rectè potest eloqui, etiamsi pars per alterius consensum læsa nondum permanentem habeat dispositionem, sed veluti vmbram quandam, vt ipse dicebat, ei hanc ipsam inesse affectionem. Nam si ad ignem ita propiùs accesserimus, vt ferè comburamur, non tamen adhuc comburamur, dolemus vehementer, nō passâ nihil scilicet calefactâ parte. Sic etiam ambiens aër vehementer frigidus, aut aqua exactè frigida, aut nix allapsa, grauem admodum dolorem excitat; at si quod lædit eximas, quamprimū cū eo sedatur affectus. Quamobrē satius videbatur dicere (queādmodū & ipsum indicat nomen) affici quodammodo eam partem, quæ alterius consensu afficitur; neque enim pars, quæ nullo modo afficitur, sed quæ cum alia afficitur, affectæ per consensum vocabulo significatur. Itaque quum in affectibus stomachicis oculi similibus infestantur symptomatis, quales in suffusionibus apparere solent, dicendum est illos affici, elato ad cerebrum ab humoribus in ventriculo contentis fuliginoso quopiam vapore; nondum tamen adeò affici, vt ablatâ re, quæ molestiam infert, propriâ curatione egeant. Verùm huiusmodi disputationem dixi ad logicam potius pertinere; logica enim reuerâ sunt, quęcunque vsum transgressa, qualis sit rerum natura secundum propriam essentiam, indagant. Sic igitur Chrysippus philosophus de animi passionibus scripsit vnum de curandi ratione librum, quo maximè ad earum curationem indigemus; tum tres alios, qui logicas continent quæstiones.

CAPVT

CAPVT II.

Quod scire oporteat distinctiones partium primariò affectu laborantium, ab iis quæ per aliarum consensum læduntur, in actionibus læsis.

QVod autem melius fuerat, & huic nostro instituto commodius, Archigenes non accuratè declarauit; quot sint læsarum actionum modi; sic enim & primariò affectæ corporis partes, aut proprio affectu laborantes, aut quomodocumque quis nominare voluerit, deprehendentur, & curandi ratio abundè nobis suppetet. Ego verò in vocalibus instrumentis id exposui, ac in eo, qui in manu sensum amisit digitorum, ipsis non affectis; quippe inuenta in dorsi initio pars, quæ primò afficiebatur, idoneam curationem ostendit.

ΚΕΦΑΛΑΙΟΝ Β.

Ὅτι χρὴ τοὺς διορισμοὺς ἐπίστασθαι τῶν πρωτοπαθούντων μορίων, ἀπὸ τῶν συμπασχόντων, κατὰ τὰς βεβλαμμένας ἐνεργείας.

ΟΠερ δὴ ἦν ἄμεινόν τε καὶ πολὺ χρησιμώτερον εἰς τὴν προκειμένην πραγματείαν, οὐκ ἀκριβῶς διήρθρωσεν ὁ Ἀρχιγένης, ὁπόσοι τρόποι τῶν βλαπτομένων ἐνεργειῶν εἰσιν. οὕτω γὰρ οἵ τε πρωτοπαθοῦντες, ἢ ἰδιοπαθοῦντες ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, τόποι τοῦ σώματος εὑρεθήσονται, καὶ τῆς ἰάσεως αὐτῶν εὐπορήσομεν. ἐγὼ δ' ἐπί τε τῶν φωνητικῶν ὀργάνων ἐδείκνυον τοῦτο, καὶ τοῦ βλαβέντος εἰς αἴσθησιν τοὺς δακτύλους τῆς χειρὸς, οὐδὲν αὐτοὺς πεπονθότας, ἐφ' οὗ τὸ πρῶτον πάσχον εὑρεθὲν ἐν ἀρχῇ τοῦ μεταφρένου, τὴν προσήκουσαν ἐνεδείξατο θεραπείαν.

CAPVT III.

Quòd partium, quarum actiones ob sympathiam læduntur, aliæ in propriis suis corporibus affectus ipsos habeant, aliæ priuentur aut aliquâ materiâ, aut facultate.

ALio nanque modo eueniunt suffusionis symptomata, affecto ventriculo; alio ei, qui ab alto decidit, nequaquam vocalibus instrumentis affectis, vox læsa est; denique ab his duobus aliâ consensûs specie *laborabat* is, cuius digiti sensum amiserant. Nam oculi *vexabantur*, quòd ascenderet ad eos aliquid; vox autem, quod materia eius esset oblæsa; digitis aderat symptoma, quòd sentiendi facultas ad ipsos non accederet. Proindéque satius sanè fuerit, vocales partes digitosque nullâ prorsus affectione laborare arbitrari, quàm oculos: nam his is ipse affectus est, quòd fumosâ quadam exhalatione repleantur; vocalium verò partium atque digitorum, non quòd veniat ad eos quippiam præter naturam, sed quòd non accedat, quod secundum naturam ad ipsos peruenire solet, actio læditur. Itaque facultas sensitrix digitis non amplius influit, exortu nerui à spinali medullâ læso; guttur, resolutis intercostalibus musculis, efflatum spiritum non amplius recipit; nihilominus in his dici potest hunc ipsum esse affectum, quòd non perueniant ad partes ea, quæ antea, quum secundum naturam se haberent, venire solebant. Etenim fontium affectum haud absurdè quis putauerit, si non perueniat ad ipsos aqua; ac cerealium quoque frugum è terra prodeuntium, squallorem immodicum; & animalium, cibi potionisque penuriam; nam quod alicui ad naturalem eius gubernationem quomodocunque deest, ipsum sanè quispiam affectionem illius meritò putarit. Sed hæc, vt iam dixi, magis ad logicam quæstionem pertinent. Verùm in læsis ac deperditis actionibus necessaria consideratio à plurimis medicis neglecta est. Quum enim duæ trésve fuerint aliquando huiusmodi actiones, accidit interdum, vt vnâ parte affectâ, reliquæ illi consentientes in suis actionibus simul læduntur; interdum verò, vt omnes eodem modo afficiantur. Atque accidit interdum, vt harum aliquæ affectum habeant (vt ita dicam) in

ΚΕΦΑΛΑΙΟΝ Γ.

Ὅτι τῶν μορίων, ὧν αἱ ἐνέργειαι κατὰ συμπάθειαν βλάπτονται, τὰ μὲν ἐν αὐτοῖς τοῖς ἰδίοις σώμασιν ἴσχει τὰς διαθέσεις, τὰ δ' ἐν τῷ στερίσκεσθαί τινος ἢ ὕλης, ἢ δυνάμεως.

ΑΛλῳ μὲν γὰρ τρόπῳ τῆς γαστρὸς πασχούσης, ὑποχύσεως φαίνεται συμπτώματα· καθ' ἕτερον δὲ τρόπον οὐδὲν τῶν φωνητικῶν ὀργάνων πεπονθότων, ὁ καταπεσὼν ἐξ ὑψηλοῦ τὴν φωνὴν ἐβλάβη· καὶ τούτων γ' ἀμφοτέρων κατ' ἄλλο συμπαθείας εἶδος, ὁ τοὺς δακτύλους ἀναισθήτους ἔχων. ἐπὶ μὲν γὰρ τῶν ὀφθαλμῶν, ἀναφερομένου τινὸς ἐπ' αὐτούς· ἐπὶ δὲ τῆς ἀφωνίας, τῷ τὴν ὕλην τῆς φωνῆς βεβλάφθαι· τὸ δὲ κατὰ τοὺς δακτύλους σύμπτωμα, μηκέτ' εἰς αὐτοὺς ἀφικνουμένης τῆς αἰσθητικῆς δυνάμεως ἐγένετο. καὶ βέλτιον ἦν, εἴπερ ἄρα, μηδὲν ὅλως ἡγεῖσθαι πεπονθέναι τὰ φωνητικὰ μόρια καὶ τοὺς δακτύλους, ἤπερ τοὺς ὀφθαλμούς· ἐπ' ἐκείνων μὲν γὰρ αὐτὸ δὴ τοῦτο πάθος ἐστὶν, τὸ πληροῦσθαί τινος ἀναθυμιάσεως καπνώδους· ἐπὶ δὲ τῶν φωνητικῶν τε καὶ τῶν δακτύλων, οὐ τῷ παραγίνεσθαί τι παρὰ φύσιν εἰς αὐτούς, ἀλλὰ τῷ μὴ παραγίνεσθαι τὸ κατὰ φύσιν ἀφικνούμενον, ἐνέργειά τις βλάπτεται. δύναμις μὲν οὖν αἰσθητικὴ τοῖς δακτύλοις οὐκέτ' ἐπιῤῥεῖ, βλαβείσης τῆς κατὰ τὸν νωτιαῖον ἐκφύσεως τοῦ νεύρου· πνεῦμα δ' ἐκφυσώμενον ὁ λάρυγξ οὐκέτι δέχεται, τῶν μεσοπλευρίων μυῶν παραλυθέντων· ἀλλ' ὅμως κἀπὶ τούτων ἐγχωρεῖ λέγειν αὐτὸ τοῦτο πάθος εἶναι, τὸ μὴ παραγίνεσθαι πρὸς τὰ μόρια, τὰ πρότερον ἡνίκ' εἶχε κατὰ φύσιν, ἥκοντα· καὶ γὰρ τῶν κρηνῶν οὐκ ἄν τις ἀλόγως πάθος εἶναι νομίζοι τὸ μηκέθ' ἥκειν ἐπ' αὐτὰς τὸ ὕδωρ· καὶ τῶν ἐκ τῆς γῆς φυομένων δημητρίων φυτῶν, τὸν ἄμετρον αὐχμόν· καὶ τῶν ζώων, ἀπορίαν τροφῆς ἢ ποτοῦ· τὸ γὰρ ἐλλεῖπον ὁπωσοῦν ἑκάστῳ πρὸς τὴν κατὰ φύσιν αὐτοῦ διοίκησιν, εἰκότως ἄν τις πάθος ἐκείνου νομίζοι. ἀλλὰ ταῦτα μὲν ὡς ἔφην, λογικωτέραν ἔχει τὴν ζήτησιν· ἐπὶ δὲ τῶν βεβλαμμένων τε καὶ ἀπολωλυιῶν ἐνεργειῶν ἡ ἀναγκαία σκέψις ἠμέληται τοῖς πλείστοις τῶν ἰατρῶν. δυοῖν γὰρ ἢ καὶ τριῶν ἐνεργειῶν ἔσθ' ὅτε τούτων οὐσῶν, ἐνίοτε μὲν ἑνὸς μορίου πεπονθότος τἄλλα συμπάσχοντα συμβλάπτεται τὰς ἐνεργείας, ἐνίοτε δὲ πάνθ' ὡσαύτως πέπονθεν· ἔστι δ' ὅτε τὰ μὲν αὐτῶν ἔχει διαθέσιν ἐκτικὴν ὡς ἂν

εἴποι τις, τὰ δὲ λοιπὰ, τὴν ὡς ἂν φαίη τις, κατὰ θέσιν. περὶ ὧν εἴρηται μὲν ἤδη κἀν τῷ δευτέρῳ περὶ τῆς τῶν ζώντων ἀνατομῆς, εἴρηται δ' ἔτι καὶ κατὰ τὸν πρὸ τούτου λόγον, εἰρήσεται δὲ καὶ αὖθις, ὡς ἂν καὶ τοῦ μέλλοντος ἡμῖν περαίνεσθαι λόγου χρῄζοντος ἐξ ἀνάγκης τοιούτων διορισμῶν. ὃ δὲ ἐστὶ χρήσιμον οὐδὲν ἧττον ἐν τῷδε τῷ τόπῳ προειρῆσθαι, διὰ τοὺς λόγῳ μὲν ἐπιχειροῦντας ἀποδεικνύειν ἀναγκαίαν τοῖς ἰατροῖς τὴν τῶν πεπονθότων ζήτησιν, ἔργῳ δὲ ἀνατρέποντας, ἤδη σοι δίειμι, προχειρισάμενος ἕν τι πάθος ἕνεκα παραδείγματος, ἔστω δὴ τοῦτο πλευρῖτις· ἐφ' ἧς ὅτι μὲν ἡ πλευρὰ πέπονθεν, ἔνδειξις ἐκ τοῦ κατ' αὐτὴν ἀλγήματος. πότερον δὲ ὁ ὑπεζωκὼς ὀνομαζόμενος εἴθ' ὑμὴν εἴτε χιτὼν, οὐδὲν γὰρ διαφέρει, φλεγμαίνει τοῖς πλευριτικοῖς, ἢ καί τι μόριον ἄλλο κατὰ τὰς πλευρὰς, καὶ πότερον ὁ πνεύμων ἐξ ἀνάγκης καὶ αὐτὸς πέπονθε κατὰ τοὺς λοβοὺς, ἢ παντάπασιν ἀπαθής ἐστιν, οὐκ ἀναγκαῖον ἐπίστασθαί φασιν οἱ τὴν ἐμπειρίαν πρεσβεύοντες· ἑωρακέναι γὰρ ἤδη παμπόλλους πλευριτικοὺς, τοὺς μὲν ἅμα τοῖς διδασκάλοις, τοὺς δὲ ὑφ' ἑαυτῶν μόνων θεραπευθέντας, ὡς Ἱπποκράτης ἔγραψεν ἐν τῷ περὶ διαίτης ὀξέων νοσημάτων· ἀκριβῶς τε γινώσκειν ἤδη, τίνα μὲν αὐτοὺς ὠφελεῖ, τίνα δὲ βλάπτει, καὶ διορισμοὺς ἔχειν ἀναμιμνήσκοντας ἐπὶ σημείων ἐναργῶς φαινομένων, ὧν δεῖ φλέβα τέμνειν, ὧν δὲ μή· καὶ περὶ πυριάσεως δὲ αὐτῶν, ἔτι τε καταπλασμάτων, καὶ διαιτημάτων, ὑπαγωγῆς τε γαστρὸς, αὐτάρκη γνῶσιν ἔχειν ἐκ μακρᾶς πείρας. ὅθεν μὲν οὖν Ἱπποκράτης κινηθεὶς, ἤ τις ἄλλος πρὸ αὐτοῦ, τὴν εὕρεσιν ἐποιήσατο τῶν βοηθημάτων, ἀγνοεῖν ὁμολογοῦσιν· ἑαυτοῖς δὲ ἀρκεῖν φασιν, τοῖς εὑρημένοις χρῆσθαι προσηκόντως, ὡς καὶ τοὺς ἄλλους τεχνίτας ὁρῶμεν· οὔτε γὰρ ὁ χαλκεὺς, οὔθ' ὁ τέκτων, οὔθ' ὁ σκυτοτόμος, ὅπως εὑρέθησαν αὐτῶν αἱ τέχναι ζητοῦσιν, ἀλλ' ἅγε παρὰ τῶν διδασκάλων ἔμαθον, αὐτοί τε χρώμενοι τῇ πείρᾳ δοκιμάσαντες ἐβεβαιώσαντο, ταῦτα πράττοντες εὐδοκιμοῦσιν. ἐγὼ μὲν οὖν, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὅταν ἀκούσω λεγόντων ταῦτα τῶν ἐμπειρικῶν ἰατρῶν, ἡγοῦμαι πάνυ πιθανοὺς εἶναι τοὺς λόγους αὐτῶν, εὑρίσκω τε τὰς πρὸς αὐτοὺς ὑπὸ τῶν δογματικῶν εἰρημένας ἀντιλογίας, οὐ πάνυ τι γενναίας· ὥσπερ δὲ ἐν ἅπασι τοῖς ἄλλοις καθ' ὅλον τὸν βίον ἐμαυτὸν ἀεὶ προπετοῦς συγκαταθέσεως ἐπέχων, οὕτω καὶ περὶ τούτων ἐζήτησα πολλῷ χρόνῳ κατ' αὐτὴν τὴν ἐπὶ τῶν νοσούντων εὕρεσιν τῶν βοηθημάτων, εἴτε προσδέομαί τινος ἐνδείξεως λογικῆς, εἴτ' ἀρκεῖ μοι τὰ διὰ τῆς πείρας ἐγνωσμένα παρά τε τοῖς διδασκάλοις, καὶ κατ' ἐμαυτόν. ἅπερ οὖν ἐκεῖνα βέλτιστα, πολλῷ χρόνῳ ζητήσας, ἐπικαλεσάμενος θεοὺς μάρτυρας, ἀγορεύσω τοῖς ἀληθείας ἐρῶσιν. οὐ γὰρ αἰτίαν ἔχω τοῦ ψεύδεσθαι, καθάπερ οἱ μανθάνοντες αἵρεσιν μίαν, εἶτα πάντη τε καὶ πάντως ἔνδοξοι κατ' αὐτὴν γενέσθαι προῃρημένοι· τούτοις γὰρ ἀναγκαῖόν ἐστι φιλονείκως ἀγωνίζεσθαι περὶ τῆς κατὰ τὴν αἵρεσιν ἀληθείας, ἣν μόνην γινώσκουσιν, ὡς ἂν ἐξ ἄλλης ἀγωγῆς λόγων, ἀδυνατοῦσι πορίζεσθαι δόξαν· ἐγὼ δὲ ἔργῳ δεδειξάμενος ἐν ἐπιδείξεσί τε δημοσίαις, καὶ τῶν βουληθέντων ἥντινα οὖν αἵρεσιν ἐκδιδαχθῆναι πρὸς ἐμοῦ, μηδενὸς ἧττον, ἵνα μή τι μεῖζον εἴπω, γινώσκων ἁπάσας αὐτάς. οὐ μὴν οὐδὲ λόγων αὐτοσχεδίων ἀπορίᾳ, συναγορεύειν ἑλόμενος αἱρέσει μιᾷ, ῥᾳδίως ἂν ὑπό τινος ἐξελεγχθείην· ἔμαθον γὰρ οὐκ ἐξ ὑπομνημάτων αὐτὰς, ὥς τινες, ἀλλὰ παρὰ τοῖς πρωτεύουσι δι-

A habitu, reliquæ verò (vt quispiam dixerit) in dispositione; de quibus secundo libro de viuorum dissectione, atque in eo, qui hunc præcedit, iam diximus, ac nonnihil in sequentibus quoque dicemus, quod videlicet futurus sermo huiusmodi distinctionum indigeat. Quod autem vtile non minus est hîc prædixisse propter eos, qui verbo quidem demonstrare nituntur affectorum locorum inuestigationem medicis esse necessariã, opere verò illam euertunt, iam tibi enarrabo, vno aliquo affectu in exem-
B plum sumpto, sit itaque is pleuritis, in qua latus esse affectum, dolor ipsius declarat; sed vtrum quę succinges appellatur, siue mebrana siue tunica (nihil enim refert) inflammetur in pleuriticis, an alia quędam laterum pars, præterea vtrum pulmo in lobis necessariò afficiatur, an omnino affectionis sit expers, scire non esse necessarium autumant ij, qui experientiam præferunt, multos enim se vidisse iam pleuriticos, tum à præceptoribus, tum à seipsis solis curatos, obseruatis ijs præceptis, quæ ab Hippocrate in libro de ratione victûs in acutis morbis
C præscripta sunt, se iam quid ipsis prosit, quid noceat, probè noscere, & distinctiones habere, quæ ex signis euidenter apparentibus in memoriam reuocent, cui venam secare oporteat, cui non; tum de fomentis ipsorum, cataplasmatis, victus ratione, alui ductione, sufficientem habere notitiam ex lõgã experientiã. Igitur quid vel Hippocratem, vel alium quempiam illo priorem induxerit, vt hæc inueniret auxilia, se fatentur ignorare; sed sibi satis esse proferunt, si inuentis commodè vtantur, vt & alios quoque artifices facere videmus; neque
D enim faber, siue lignarius, siue ærarius, neque cerdo, quo pacto artes suæ fuerint inuentæ, inquirunt; sed quæ à præceptoribus didicerunt, & vsu probarunt ipsi confirmaruntque, ea facientes clarum nomen assequuntur. Equidem, vt verum fatear, quum medicos Empiricos talia proferentes audio, inducor certè vt probabiles putem eorum rationes; videnturque mihi parum valida, quæ Dogmatici contra illos disputarunt; at vt cæteris in rebus omnibus per totam vitam me semper à temerario assensu cohibui, ita & de his in inuestigandis ipsis sin-
E gulorum morborum remediis, diu apud me inquisiui, an logicâ indicatione indigerem, an mihi sufficerent quæ per experientiã à præceptoribus, atque ex me ipso didiceram. Igitur quæ post diuturnam inquisitionem optima iudicati (Deos testes aduoco) veritatis amatoribus enunciabo. Non enim mihi mentiendi causa est, quemadmodũ ijs, qui vni sectæ addicti omnem ex ipsa gloriam quærunt; his enim necesse est contentiosè pro sectæ veritate dimicare, quam vnicam nouerunt, quod ex nullo alio disciplinarum genere gloriã sperare possint. Ego
F verò re ipsa, & publicè, & priuatim apud eos, qui sectam quamlibet à me discere cupiebant, ostendi, in omnium sectarum scientia (ne maius quicquam dixerim) me esse posthabendum nemini. Quòd si vni sectarum patrocinium facere velim, quamuis ex tempore ac pro re nata dicendum fuerit, haud tamen facilè ab aliquo conuinci me rationum penuriâ patiar. Non enim (vt nonnulli faciunt) ex libris eas didici, sed præstantissimis in vnaquaque secta præcep-

toribus

toribus vsus sum. Neque igitur odi Empiricos, quorum sermonibus sum innutritus, neque vllos Dogmaticos, pari enim studio omnibus dedi operam, versatusque sum cum præstantissimis in vnaquaque secta præceptoribus. Itaque innotui Romæ, tum primoribus eius vrbis ciuibus, tum Imperatoribus deinceps omnibus, ob artis opera, non ob sophisticas rationes. Quamobrem nihil prohibet, quò minus de vnaquaque secta verè dicam, quæ sentio. Igitur per artis exercitationem comperi, eam remediorum inuentionem, quæ ex vera indicatione procedit, in iis quæ raro accidunt, empiricæ cognitioni præstare. Vnde multos morbos curaui præsidiis interdum planè contrariis illis, quæ experientiâ cognita sunt, quæ quidem in opere methodi medendi latiùs explico.

A διδασκάλοις καθ' ἑκάστην αἵρεσιν. οὔτ' οὖν πρὸς ἐμπειρικοὺς ἐστί μοί τι μῖσος, ὧν γε τοῖς λόγοις ἐνετράφην, οὔτε πρὸς δογματικῶν τινας ὁμοτίμως τε γὰρ ἐσπούδασα τὰ πάντων ἐκμαθεῖν, ἐφοίτησά τε τοῖς ἐνδοξοτάτοις διδασκάλοις καθ' ἑκάστην αἵρεσιν· ἀπό τε τῶν ἔργων τῆς τέχνης ἐγνώσθην, οὐκ ἀπὸ λόγων σοφιστικῶν, τοῖς τ' ἄλλοις τῶν ἐν ῥώμῃ πρώτων ἀνδρῶν, καὶ πᾶσιν ἐφεξῆς τοῖς αὐτοκράτορσιν· ὡς οὐδὲν ἄν μοι λείποι πρὸς τὸ μὴ οὐ λέγειν ἀληθῶς, ἃ φρονῶ καθ' ἑκάστην αἵρεσιν. εὗρον οὖν ἐπὶ τῶν ἔργων, τὴν διὰ τῆς ἀληθοῦς ἐνδείξεως B εὕρεσιν τῶν βοηθημάτων, ἐν τοῖς σπανίως ἀποβαίνουσιν πλεονεκτοῦσαν τῆς ἐμπειρικῆς γνώσεως· καὶ διὰ τοῦτο τοῖς ἐναντιωτάτοις βοηθήμασιν ἐνίοτε τῶν ἐκ τῆς ἐμπειρίας ἐγνωσμένων, ἐθεράπευσα πολλὰ τῶν παθῶν, ἃ περ ἐπὶ πλέον ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ διέρχομαι.

CAPVT IV.

Quibus præceptis vtendum ad sedem affectam & eius affectionis remedia inuenienda.

NVnc verò sola explicabuntur ea, quæ ad præsentem propositionem vtilia sunt. Nam comperi læsiones actionum, non solum ob similares, à quibus eduntur, ægrotantes, contingere, verùm etiam ob alias partes, quæ actionem non habent, vsum tamen quendam præstant. Sic etiam organicarum partium morbos, actiones lædere deprehendi. Quibus præcognitis, inueni deinceps morbos quosdam continenter plurimis hominibus oboriri, alios verò raro. At empiricam medicinam videbam, non quòd rarò, sed quòd crebrò accidit, in memoriâ & imitatione collocare, quocirca dispositionum raro euenientium non solùm curationem, verùm etiam præuias ipsarum dignotiones negligere. Proinde primùm inuestigaui, quomodo cognoscendæ sint, inuenique earum quasdam scientificam habere dignotionem, nonnullas verò artificiosæ vocatæ coniecturæ subiectas, atque idcircò ipsas etiam magnâ ex parte rectas, eiusmodi enim est artificiosæ coniecturæ vis. Verùm & has, & his priùs affectiones raras, quæ scientificam dignotionem habent, indigere semper inueni affectarum partium dignotione. Ego quidem medicinam hoc pacto professus vsque ad senectutem, nullam in hodiernum vsque diem calumniam subii neque curando, neque præsagiendo, quod celeberrimis multis medicis accidere memini. Quod siquis & ipse gloriam ab artis operibus, non à sophisticis sermonibus, assequi voluerit, is nullo negocio facili compendio colligere poterit ea, quæ per omnem ætatem diligenti inquisitione inueni. Hic igitur sibi persuasum habeat, hac via & ratione medicamenta me inuenisse, quibus morbos raro euenientes curarem, quum antea neque præceptorem vidissem huiusmodi morbos curantem, neque ipse aliquod expertum haberem remediũ. Sint igitur & huius sermonis dii mihi testes. Quæsiui enim perpetuò, cuius loci affecti, aut cuius partis per cõsensum ipsius laborantis esset actionis læsio, quumque partem me inuenisse crederem, tum quæsiui affectum ipsius, atque ex his statim vtrisque totius curationis generis indicationem sumpsi ad remediorum & quantitatem &

ΚΕΦΑΛΑΙΟΝ Δ.

Τίσι παραγγελίαις χρηστέον, πρὸς τὴν τοῦ πεπονθότος τόπου, καὶ τῆς τοῦ αὐτοῦ διαθέσεως βοηθημάτων εὕρεσιν.

C Νυνὶ δ' εἰρήσεται μόνα τὰ πρὸς τὴν ἐνεστῶσαν ὑπόθεσιν χρήσιμα. τὰς γάρ τοι τῶν ἐνεργειῶν βλάβας εὗρον, οὐ μόνον ἐπὶ τοῖς ὁμοιομερέσιν, ὑφ' ὧν γίγνονται, νοσοῦσιν βλαπτομένας, ἀλλὰ κἀπὶ τοῖς ἄλλοις μορίοις, ὧν χρεία μέν τίς ἐστιν, ἐνέργεια δ' οὐκ ἔστιν· εὗρον δὲ καὶ τὰ τῶν ὀργανικῶν μορίων νοσήματα βλάπτοντα τὰς ἐνεργείας· ἐπὶ τούτοις προεγνωσμένοις, ἑξῆς εὗρον ἔνια μὲν νοσήματα συνεχῶς γινόμενα τοῖς πολλοῖς τῶν ἀνθρώπων, ἔνια δὲ σπανίως· τὴν δ' ἐμπειρικὴν ἰατρείαν ἑώρων, οὐ τὸ σπάνιον, ἀλλὰ τὸ πολλάκις ἀποβαῖ- D νον, ἐν μνήμῃ τε καὶ μιμήσει[12] τιθεμένην, καὶ διὰ τοῦτ' ἠμεληκυίας τῶν σπανίων διαθέσεων, οὐ μόνον τὰς θεραπείας, ἀλλὰ καὶ τὰς προηγουμένας αὐτῶν διαγνώσεις. ὅπως οὖν χρὴ διαγιγνώσκειν αὐτὰς πρῶτον ἐζήτησα, καὶ τούτων τινὰς μὲν ἐπιστημονικὴν διάγνωσιν ἐχούσας εὗρον, ἐνίας δ' ὑποπεπτωκυίας τῷ καλουμένῳ τεχνικῷ στοχασμῷ, καὶ διὰ τοῦτο καὶ αὐτὰς ὡς τὸ πολὺ κατορθουμένας, ἡ γὰρ τοῦ τεχνικοῦ στοχασμοῦ δύναμις τοιαύτη τίς ἐστιν· ἀλλὰ καὶ ταύτας καὶ πρὸ τούτων ὅσαι τῶν σπανίων διαθέσεων ἐπιστημονικὴν διάγνωσιν ἔχουσιν, εὗρον ἀεὶ δεομένας τῆς τῶν E πεπονθότων μορίων διαγνώσεως. ἐγὼ μὲν οὕτως ἰατρεύων ἄχρι γήρως, οὐδαμόθι μέχρι σήμερον ἠσχημόνησα κατὰ θεραπείαν, ἢ πρόγνωσιν, ὡς ἄλλους πολλοὺς εἶδον ἐνδοξοτάτους ἰατρούς. εἰ δέ τις ἐθέλει καὶ αὐτὸς ἀπὸ τῶν ἔργων τῆς τέχνης, οὐκ ἀπὸ λόγων σοφιστικῶν ἔνδοξος γενέσθαι, πάρεστι τούτῳ χωρὶς ταλαιπωρίας ἀναλέξασθαι τὰ πρὸς ἡμῶν[13] ηὑρημένα μετὰ πολλῆς ζητήσεως ἐν ὅλῳ τῷ βίῳ. γινωσκέτω τοιγαροῦν ὅτι ἐν τοῖς σπανίοις πάθεσιν, ἐν οἷς οὔτε διδάσκαλον εἶδον ἰασάμενόν τινα τῶν F παθόντων, οὔτ' αὐτὸς ποτε ἐπειράθην βοηθήματος, ὁδῷ τοιαύτῃ με χρησάμενον εἰς τὴν τῶν ἰαμάτων εὕρεσιν. ἔστωσαν οὖν μοι καὶ νῦν θεοὶ τοῦ λόγου μάρτυρες· ἐζήτησα γὰρ ἀεί, τίνος τόπου πεπονθότος, ἢ τίνος αὐτῷ συμπάσχοντος ἡ τῆς ἐνεργείας ἐγένετο βλάβη, καὶ πεισθεὶς ἐμαυτὸν εὑρηκέναι τὸ μόριον, ἐφεξῆς ἐζήτησα τὴν διάθεσιν αὐτοῦ, κἀκ τούτων εὐθὺς ἀμφοτέρων ἔλαβον ἔνδειξιν ὅλου τοῦ τῆς θεραπείας γένους, εἴς τε τὸ ποσὸν, καὶ τὸ ποιὸν τῶν

βοηθημάτων, καὶ τὴν τῶν ἐπιτηδείων ὑλῶν εὕρεσιν, ἐπισκεπτομένους ἅμα τοῖσδε, τήν ἡλικίαν τε καὶ φύσιν τοῦ κάμνοντος, ὥραν τε καὶ χώραν, καὶ τ' ἄλλα ὅσα πολλάκις ἤδη λέλεκται κατὰ τὴν Ἱπποκρατείων βιβλίων ἐξήγησιν. ἀλλ' ὁ πεπονθὼς τόπος, εἴ τι μεμνήμεθα τῶν ἐν τοῖς περὶ τοῦδε δύο βιβλίοις, ἔκ τε τῶν ἐκκρινομένων ἐγνωρίζετο, καὶ τῶν ἐπιτρεφομένων τοῖς πάσχουσι μέρεσι, καὶ τῶν ἐνεργειῶν τῆς βλάβης, ἐν οἷς περιέχεται καὶ τὰ παρὰ φύσιν χρώματά τε καὶ σχήματα· ὄντων τε τῶν ἐκκρινομένων καὶ αὐτῶν τριχῇ τεμνομένων, ἤτοι γὰρ τῶν πεπονθότων τόπων ἐκκρίνεται μέρη, διαλυομένης αὐτῶν ἢ ἀποθρυπτομένης τῆς οὐσίας, ἢ τι τῶν περιεχομένων ἐν αὐτοῖς, ἢ τι τῶν ταῖς νοσώδεσι διαθέσεσιν ἑπομένων, ἢ μόναις, ἢ διὰ παντὸς, ἢ ὡς ἐπὶ τὸ πολύ· τῶν μὲν ἄλλων οὐδὲν εὕρισκον ἐπί τινων παθῶν, μόνη δέ μοι τηνικαῦτα τῆς εὑρέσεως τῶν πεπονθότων μορίων ὁδὸς ὑπελείπετο, ἡ διὰ τῆς βεβλαμμένης ἐνεργείας.

qualitatem, & idoneæ materiæ inuentionem, inspiciens cum prædictis & ætatem, & naturam laborantis, tum anni tempus, & regionem, & id genus alia, quorum in Hippocraticorum librorum enarratione sæpè iam memini. Verùm sedes affecta, si dictorum superioribus duobus libris meminimus, dignoscitur ab excretis, & iis quæ affectis partibus adnascuntur, & actionum læsione, quibus comprehenduntur & colores præter naturam, & figuræ: quumque excreta ipsa trifariàm diuidantur, vel enim affectarum sedium partes, ipsarum substantiâ vel solutâ vel confractâ, excernuntur; vel ea, quæ in ipsis continentur; vel aliquid, quod morbosas affectiones sequitur vel solas, vel semper, vel magnâ ex parte; in quibusdam affectibus nulla alia mihi occurebant, sed sola mihi inuentionis affectarum partium via, quæ per læsam actionem procedit, relinquebatur.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ μνήμης ἀπολωλυίας, καὶ τῶν ἄλλων παθῶν, ὅσα κατὰ τὸ τῆς ψυχῆς ἡγεμονικὸν γίνεται· καὶ ἄτοπον εἶναι τὴν τῆς μνήμης ἀπολωλυίας θεραπείαν τὴν ὑπὸ τοῦ Ἀρχιγένους συγγεγραμμένην.

Εἰς ἀνάγκην οὖν ποτε καταστὰς ἀνακτήσασθαί τινος ἀπολωλυῖαν μνήμην, ἔτι νεώτερος ὤν, οὔτε τῶν διδασκάλων ἑωρακώς τινα θεραπεύοντα τοῦτο τὸ πάθος, οὔτ' ἀνεγνωκὼς παρά τινι τῶν ἀρχαίων τὴν ἴασιν, ἐζήτουν κατ' ἐμαυτὸν πρῶτον μὲν εὑρεῖν, τίς ἂν εἴη ὁ πεπονθὼς τόπος, ᾧ προσάξω τὰ καλούμενα τοπικὰ βοηθήματα, μετὰ τὴν τοῦ παντὸς σώματος ἐπιμέλειαν δηλονότι, κοινὸν γὰρ τοῦτο ἐπὶ πάντων ἐστὶ τῶν παθῶν· εἶθ' ἑξῆς, ἐκ τίνος ὁδοῦ τῶν ἰαμάτων ἕκαστον εὑρήσω. τὸν μὲν δὴ πεπονθότα τόπον ἡγούμην εἶναι τὸν αὐτὸν τῷ τὸ καλούμενον ἡγεμονικὸν ἐν ἑαυτῷ περιέχοντι, τὰ δ' ἰάματα τῇ κατ' αὐτὸν ἐναντία διαθέσει. παυσαμένους τοίνυν ἀξιῶ πάντας, ὅσοι τοῖσδε τοῖς γράμμασιν ὁμιλοῦσι, τῆς ψώρας, ἢ λύττης, ἢ μανίας, ἣν ἔχουσι περὶ τὰς αἱρέσεις, ὡς ἀνθρώποις σώφροσιν ἐπισκέψασθαι τὴν ἀκολουθίαν τῶν ἐφεξῆς εἰρησομένων. ἐν ᾧ γὰρ ἐσκοπούμην ἃ εἴρηκα, πυθόμενος τῷ Ἀρχιγένει τι γεγράφθαι βιβλίον, ἔνθα διδάσκει μνήμης βεβλαμμένης ἀνάκτησιν, εὐθέως περιῆλθον ἁπάσας μὲν τὰς βιβλιοθήκας, ἅπαντας δὲ τοὺς βιβλιοπώλας, ἅπαντας δ' οὓς ᾔδειν ἰατροὺς ἐσπουδακότας περὶ τὰ συγγράμματα τοῦ ἀνδρὸς, εὐπορῆσαι τοῦ βιβλίου προῃρημένος, ὅπως μοί τι συντελέσειεν πρὸς τὴν τῶν βοηθημάτων εὕρεσιν, οὐ τοῦ τόπου τοῦ πεπονθότος· ἄντικρυς γὰρ ἡγούμην ὑπ' αὐτοῦ λελέχθαι τὸν τόπον τοῦτον, οὐκ ἄλλον τινὰ παρὰ τὴν καρδίαν, ἐπειδὴ κατὰ ταύτην ἡ αἵρεσις αὐτοῦ τὸ τῆς ψυχῆς ἡγεμονικὸν εἶναι πεπίστευκεν· ἐζήτουν δ' ἐγνωκέναι, τίνα δυσκρασίαν αὐτῆς αἰτίαν ἡγεῖται εἶναι τοῦ πάθους. οὐδὲ γὰρ ὅτι δυσκρασίαν τινὰ εἶναι νενόμικεν, ἠμφίβαλλον, εἰδὼς τὴν αἵρεσιν τοῦ ἀνδρός· ἀλλ' ἐπειδὴ δυσκρασίας ᾔδειν ὀκτὼ καθ' ἕκαστον μόριον συνισταμένας, τέτταρας μὲν ἁπλᾶς, τέτταρας δὲ συνθέτους, ἐπεθύμουν γνῶναι, τίνα τούτων ὁ Ἀρχιγένης ἀπεφήνατο τῆς βεβλαμμένης ἐνεργείας αἰτίαν εἶναι, πότερα ψύξιν ἢ ὑγρότητα τοῦ κατὰ τὴν καρδίαν πνεύματος, ἢ σύνθετον ἐκ ψύξεώς τε καὶ ὑγρότητος,

CAPVT V.

De memoria deperdita, déque aliis affectibus, qui principi facultati oboriuntur; ac absurdam esse deperditæ memoriæ curationem ab Archigene conscriptam.

IGitur quum deperditam cuiusdam memoriam restituere me aliquando oporteret, essemque adhuc iunior, ac neque præceptorem vnquam vidissem huiusmodi affectionem curantem, neque apud vllum antiquorum curationem legissem; primum quidem apud me ipsum inuestigaui, quænam pars esset affecta, cui topica vocata remedia adhiberem, priùs videlicet vniuersi corporis curatione præmissâ, id enim in omnibus morbis commune est; deinde quâ viâ remedia singula inuenirem. Affectam itaque sedem eam ipsam esse existimaui, qua princeps animæ facultas continetur; medicamenta autem quæ huius sedis affectui essent contraria. Oratos igitur habere velim omnes, qui hos libros legunt, vt pruritum, vel rabiem, vel insaniam, quam de sectis conceperunt, deponant, & vt sapiētes viros decet, dicendorum seriem considerent. Quum enim quæ enarrata sunt, perpenderem, accepi Archigenem librum quendam de oblæsæ memoriæ instauratione edidisse; quocirca omnes bibliothecas ilicò percurri, bibliopolas omnes, atque medicos omnes quoque, quos scriptorum eius viri studiosos esse sciebam, quò eius libri copia mihi fieret, vt mihi quidpiam conferret ad remediorum, non ad loci affecti inuentionem; quòd planè existimarem nullam aliam à corde sedem huic affectioni ipsum destinasse, sectâ ipsius defendente, principem animæ facultatem in ea parte sedem sibi vendicare; at intelligere cupiebam, quam intemperiem eius, affectionis causam esse putaret. Neq; enim dubitabam, quin intemperiem aliquam esse duxisset, viri sectam non ignorans; sed quum scirem octo intemperies in quaque parte consistere, quatuor simplices & quatuor compositas, noscere cupiebam, quam earum Archigenes læsæ actionis causam esse declarasset, frigusne, an humiditatem spiritûs in corde, an compositam ex frigore & humiditate; aut

aut ariditatem cum frigore, putaret huiusmodi posse affectionem producere; etenim manifestum erat, eum in hac re nihil tributurum calori. Quid igitur mihi acciderit, iis qui sectæ insaniã, vt dixi, abiecerint, deinceps narrabo; ipsas primas dictiones adscribens eius libri, in quo Archigenes curationem scripsit deletæ recordationis, siue obliuionis, siue memoriæ deperditæ aut læsæ, vel vtcunque quis supra propositam affectionem nominare voluerit, aut si non affectionem, saltem morbum, aut symptoma, aut infirmitatem; talia nanque sophistæ inquirunt, quæ non modò non parum, sed ne minimum quidem ad curationem conducunt. Verùm quò clariora reddantur ea, quæ posthac dicemus, hoc prædicere necesse est, quum Archigenes vndecim libros epistolarum scripserit, in primo extare ad Marsum epistolam, quâ ipsi consilium dat, quomodo patri memoriam restituat; huius igitur initio post procemium, vbi curationem tractare incipit, ita ad verbum scriptum est; *Detractionẽ igitur sanguinis moderatam & eiusdem iteratam detractionem faciendam nobis incipiente interceptione, mihi persuadeo, nisi imbecillitas quædam obstiterit.* Deinceps rursus; *Puto autem & irrigationibus opportunè vsuros, & fotibus totius corporis, & capitis derasione, & cucurbitularum appositione.* His lectis, obscurâ vertigine conturbatus sum; æqua nanque mihi dicenda est veritas; quomodo verò non essem turbatus, deiectus spe, quam à viro mihi futuram conceperam, qui millies in multis commentariis, affectorum locorum atq; affectûs ipsorum scientiam necessariam ad rectam morborum curationẽ esse dixisset? Enimvero quomodo etiamnum ad hoc erunt vtiles, nisi ab ipsis ad remediorum inuentionem dirigamur? Quâ igitur, ô Archigenes, probabili ratione persuasi, caput aggrediemur, relicto corde, cuius congenitum quoddã opus memoria est, affectus verò actionis eius est deperditio? quam affectionem sanando, cucurbitula capiti adhibita, memoriam reuocabit? qua ratione huiusmodi suades remedia? Ita nunc quoq; inter visitandum ægros, per communes consultationes, video medicos inter se interrogantes, qua ratione hoc potiùs, quam illud remedium adhibere suaserit, ne minimis quidem neglectis, nedum tantis qualis est cucurbitula capiti adhibita. Ego quidem, etiamsi thoraci è regione cordis fuisset adhibita, rationem proferendam non inuenio, qua Marsi patrem iuuare potuisset, præterquam quod proposita iam verborum series non explicat, vtrum concisâ ante scalpello, an integrâ cute, cucurbitulas thoraci aptari voluerit. Cum enim esse posset, si casus ita ferat, frigida aridaque affectio, sanguinis quidem detractio ad extremum ducit periculum; solæ verò cucurbitulæ non alio nomine, quàm caloris excitandi gratiâ, vtiles sunt; cucurbitulæ enim attrahunt ad sese humorem ex imo, quod aridæ affectioni maximè aduersatur. Ignorantibus itaque prorsus nobis, quæ sit affectio, quæ vel caput, vel membranas ipsius afficit, haudquaquam tutum fuerit in exteriores caluariæ partes materiam reuellere. Sic igitur prædicere debuerat, quum frigida, humidaq; capitis affectio sit, ipso hoc modo affecto, curationis summa in calefaciendo, exiccandoque posita est,

ἢ ξηρότητα μετὰ ψύξεως ὑπολαμβάνει δύνασθαι τὸ πάθος ἐργάσασθαι τοῦτο· πρόδηλον γὰρ ἦν, ὅτι τῆς θερμότητος ἀποστήσεται. τί ποθ᾽ οὖν μοι συνέβη, τοῖς ὡς ἔφην ἀποτιθεμένοις τὴν τῆς αἱρέσεως μανίαν, ἐφεξῆς φράσω, παραγράψας αὐτὰς τὰς πρώτας ῥήσεις τοῦ βιβλίου, καθ᾽ ὃ θεραπεύειν ὁ Ἀρχιγένης ἔγραψε τῆς ἐπιλησμοσύνης, ἢ λήθης, ἢ μνήμης ἀπωλείας, ἢ βλάβης, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλει τὸ προκείμενον ἐν τῷ λόγῳ πάθος, ἢ εἰ μὴ πάθος, ἀλλὰ νόσον, ἢ σύμπτωμα, ἢ ἀρρώστημα· ταῦτα γὰρ οἱ σοφισταὶ ζητοῦσιν, μὴ ὅτι μικρὸν, ἀλλὰ μηδὲ τοὐλάχιστον εἰς τὴν θεραπείαν συντελοῦντα. σαφηνείας δὲ ἕνεκα τῶν μελλόντων εἰρήσεσθαι, τοσοῦτον προειπεῖν ἀναγκαῖόν ἐστιν, ἐπὶ βιβλίων Ἀρχιγένους γεγραμμένων ἐπιστολικῶν ἕνδεκα τὸν ἀριθμὸν, ἐν τῷ πρώτῳ γεγράφθαι πρὸς Μάρσον ἐπιστολὴ, δι᾽ ἧς αὐτῷ συμβουλεύει περὶ τοῦ πατρὸς, ὅπως ἀνακτήσηται τὴν μνήμην αὐτοῦ· ἐν ἀρχῇ μὲν οὖν αὐτῆς μετὰ τὸ προοίμιον, ὁπότε τῆς θεραπείας ἄρχεσθαι μέλλει, γέγραπται ταῦτα κατὰ λέξιν· ἀφαίρεσιν μὲν οὖν αἵματος σύμμετρον, καὶ ἐπαφαίρεσιν πεποιῆσθαι ἡμᾶς ἀρχομένης τῆς ἀποθλίψεως πέπεισμαι, εἰ μή τις ἀσθένεια γέγονεν ἐμποδών. εἶτ᾽ ἐφεξῆς πάλιν· οἶμαι δὲ ὅτι καὶ ἐμβρέγμασί τε κατὰ καιρὸν χρήσασθαι, καὶ θάλψεσι μὲν ὅλου τοῦ σώματος, ψιλώσει τε τῆς κεφαλῆς, καὶ σικυῶν προσβολῇ. ταῦτ᾽ ἀναγνοὺς, ἐσκοτοδινίασα, χρὴ γάρ ἴσως εἰπεῖν με τἀληθῆ· πῶς δ᾽ οὐκ ἔμελλον, ἁμαρτὼν τῆς ἐλπίδος ἣν ἤλπισα παρὰ τοῦ ἀνδρὸς ἔσεσθαί μοι, μυριάκις ἐν πολλοῖς συγγράμμασιν τήν τε τῶν πεπονθότων τόπων ἐπιστήμην, καὶ τὴν τῆς διαθέσεως αὐτῶν, ἀναγκαίαν εἶναι φάσκοντος εἰς τὸ καλῶς ἰᾶσθαι τὰς νόσους; πῶς γὰρ ἂν ἔτι χρήσιμοι πρὸς τοῦτο εἶεν, εἰ μὴ τὴν ἀπ᾽ αὐτῶν τις ἔνδειξιν ἐπιδείξειεν ἡγεῖσθαι τῆς τῶν βοηθημάτων εὑρέσεως; ἐκ τίνος, Ἀρχίγενες, λόγου πιθανοῦ πεισθέντες, ἐπὶ τὴν κεφαλὴν ἀφιξόμεθα, τὴν καρδίαν ἀφέντες, ἧς ἓν μέν τι τῶν συμφύτων ἔργων ἐστὶ τὸ μεμνῆσθαι, τὸ πάθος δὲ τῆς ἐνεργείας ἐστὶν ἡ ταύτης ἀπώλεια; τίνα δὲ διάθεσιν ἡ τῇ κεφαλῇ προσφερομένη σικύα θεραπεύουσα, τὴν μνήμην ἀνακαλέσεται; τίνι λόγῳ τὰ βοηθήματα ταῦτα συνεβούλευσας; ὡς ἔγωγε καὶ νῦν θεῶμαι κατὰ τὰς τῶν νοσούντων ἐπισκέψεις τοὺς ἰατροὺς ἐν τῇ κοινολογίᾳ πυνθανομένους ἀλλήλων, κατὰ τίνα λόγον τόδε βοήθημα πρὸ τοῦδε [15] συνεβούλευσεν, ἄχρι καὶ τῶν σμικροτάτων τοῦτο δρῶντας, οὐ τῶν οὕτω μεγάλων ὁποῖόν ἐστι σικύα προσφερομένη τῇ κεφαλῇ. ἐγὼ μὲν οὖν οὐδ᾽ εἰ τῷ θώρακι προσῆγεν, καθ᾽ ὃ μέρος ἡ καρδία τέτακται, λόγον εἰπεῖν εὑρίσκω δι᾽ ὃν ὤνησεν ἄν τι τὸν τοῦ Μάρσου πατέρα, μετὰ τοῦ μηδὲ εἰ τῷ θώρακι προσῆγε, πότερον μετ᾽ ἀμυχῶν τὰς σικύας, ἢ χωρὶς τούτων ἐβούλετο προσβεβλῆσθαι, δεδηλῶσθαι διὰ τῆς ἀρτίως εἰρημένης ῥήσεως. δυναμένης γὰρ εἰ οὕτως ἔτυχεν τῆς διαθέσεως ψυχρᾶς καὶ ξηρᾶς εἶναι, τὸ μὲν αἵματος ἀφελεῖν ἔσχατον κακόν ἐστιν· τὸ δὲ σικύαις μόναις [16] κεχρῆσθαι, χάριν μὲν τοῦ θερμῆναι, χρήσιμον, ἄλλως δ᾽ οὐδαμῶς· ἐπισπῶνται γὰρ ἐκ τοῦ βάθους εἰς αὐτὰς αἱ σικύαι τὴν ὑγρότητα, τοῦτο δ᾽ ἐναντιώτατόν ἐστι διαθέσει ξηρᾷ. μὴ γινωσκόντων οὖν ἡμῶν μηδέπω, τίς ἦν ἡ διάθεσις ἐν τοῖς κατὰ τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας χωρίοις, οὐκ ἀσφαλὲς ἦν ἔξω τοῦ κρανίου ποιεῖσθαι τὴν ἀντίσπασιν. προειρηκέναι τοιγαροῦν ἐχρῆν αὐτὸν ὧδέ πως· ἐπεὶ ψυχρόν ἐστιν καὶ ὑγρὸν τὸ πάθος ἐν τῇ κεφαλῇ, τοιαύτης γινομένης διαθέσεως, εἴη μὲν ἂν ἐν τῷ θερμαίνειν τε καὶ ξηραίνειν

τὸ τῆς θεραπείας κεφάλαιον, ὕλαις δ' ἄν τις εἰς τοῦτο βοηθημάτων χρήσαιτο τοιαῖσδε. μόγις γοῦν ἐπεγείρας ἐμαυτὸν ἐκ τῆς σκοτοδινίας, ἐπὶ τὴν τῶν ἐφεξῆς γεγραμμένων ἀνάγνωσιν ἧκον, ἐνδέχεσθαι νομίζων, εἰ καὶ μὴ κατὰ τάξιν, ἀλλ' οὖν γε παρὰ τάξιν εἰρῆσθαί τινα τοιοῦτον λόγον, οἷον ἄρτι διῆλθον ἐπὶ τοῦ παραδείγματος. καὶ τοίνυν εὗρον ἅπαντα τῶν βοηθημάτων τὸν κατάλογον ἱκανῶς θερμαίνοντά τε καὶ ξηραίνοντα, μέχρι τοῦ καὶ τῷ καλουμένῳ πρὸς αὐτοῦ σιναπισμῷ καὶ ὅλην κεφαλὴν ἐκθερμαίνειν, καὶ τούτῳ γ' αὐτῷ σφοδροτάτῳ· κελεύει γὰρ, ἀρθέντος τοῦ νάπυος, νίτρῳ καταπάσσειν τὴν κεφαλὴν, ἔπειθ' ὕδατι καταντλεῖν θερμῷ, οὗ βοήθημα βιαιότερον οὐδὲν ἂν εὕροις ἄλλο τῶν κατ' ἰατρικήν· ὁμοίαν γὰρ ἔχει τὴν ὀδύνην καυτηρίῳ, πολυχρονιωτέραν δὲ τὴν ἐνέργειαν. ἀμέλει καὶ αὐτὸς ὁ Ἀρχιγένης ἐπιφέρων ἔφη· δυσυπομόνητον μὲν οὖν ἔχει τὴν ὀδύνην, ἀλλ' οὐδενὸς χεῖρόν ἐστι τοῦτο τῶν μεγίστων βοηθημάτων. καὶ μὴν διὰ νάπυος, καὶ [17] καρδάμου, καὶ κόκκου κνιδίου, καὶ σταφίδος ἀγρίας, ἀποφλεγματισμοὺς ποιεῖσθαι συμβουλεύει, καὶ πταρμικοῖς χρῆσθαι κελεύει, καὶ προποτισμοῖς, διὰ τῶν ἱκανῶς θερμαινόντων τε καὶ ξηραινόντων φαρμάκων ἀμφότερα τὰ βοηθήματα ποιούμενος, ὡς εἶναι δῆλον αὐτὸν ὑγρότητα καὶ ψύξιν ἡγούμενον εἶναι τὴν διάθεσιν, ἤτοι κατὰ τὸν ἐγκέφαλον, ἢ τὰς μήνιγγας· οὐ γὰρ δὴ κατά γε τὸ κρανίον ἡ τοιαύτη διάθεσις γινομένη, τῆς μνήμης ἀφαιρήσεται τὸν ἄνθρωπον. ἀλλὰ ταῦτα μὲν εἰρήσθω κατὰ τὸ πάρεργον, ὡς οὐδαμόθι δείξας ὑγρότητι καὶ ψύξει γίνεσθαι τὴν ἐπιλησμοσύνην, ἔπειτα ξηραίνοντα καὶ θερμαίνοντα βοηθήματα προσφέρει· τὸ δὲ τῇ κεφαλῇ τοσαῦτα πράγματα παρέχειν, ἑτέρου πεπονθότος μορίου, πῶς οὐκ ἄν τις ἀγανακτήσειεν; περὶ γοῦν τῆς σικυῶν τῇ κεφαλῇ προσβολῆς, ὧν ἀδιορίστως ἐμνημόνευσεν ἐν ἀρχῇ τοῦ λόγου, μετὰ ταῦτα προελθὼν ἔγραψε σαφέστατα [18] τήνδε τὴν λέξιν· ἐρεθισμούς τε διὰ νάπυος καὶ σικυῶν κούφων, τὰ πολλὰ μὲν ἠπίων, ὁτὲ δὲ καὶ πάνυ εὐτόνων· δυσικώτεροι δ' εἰσὶν αἱ μετ' ἀμυχῶν. ἀλλὰ πάντα τε ταῦτα κατ' οὐδένα λόγον, Ἀρχίγενες γενναιότατε, τῇ κεφαλῇ προσφέρεις, ἐν καρδίᾳ τοῦ πάθους ὄντος. οὐδὲ γὰρ ἐκ πείρας, ἵνα τι καὶ πρὸς τοὺς ἐμπειρικοὺς εἴπω, τῶν τοιούτων εὑρῆσθαί τι δύναται· καυσούμενος μὲν γὰρ ἄνθρωπος ἐν πυρετῷ διακαεῖ, ψυχρὸν ὕδωρ ὑπ' ἀκρασίας προσενεγκάμενος, ὠνήτο μὲν αὐτός ποτε, μιμήσεως δ' ἀρχὴν ἰατροῖς παρέσχεν ἄνευ λογικῆς ἐνδείξεως· ἡ δὲ τῆς σικύας πρόσθεσις οὐδεμίαν ἔχει περίπτωσιν ἡγουμένην, ἀλλ' ἐκ λογικῆς ἐνδείξεως ἅπασα γέγονεν, μήτ' αὐτῆς ποτε δυναμένης τῆς σικύας αὐτομάτως γεννηθῆναι, μήτ' εἰ κἂν τοῦτό τις συγχωρήσειε, κολληθῆναί ποτε τῇ κεφαλῇ κατὰ περίπτωσιν, καὶ μάλιστ' ἐπὶ πάθους σπανίου. τῶν γοῦν καθ' ἡμᾶς ἰατρῶν, ὅσοι γέροντές εἰσι καὶ τριβακοί, [19] πυνθανόμενος, εἴ τινος ἐθεράπευσάν ποτε τοιοῦτο πάθος, ὀλίγου δεῖν ἁπάντων ἤκουσα μηδ' ἐπικεχειρηκέναι λεγόντων, μόνος δ' εἷς ἔφη, τολμῆσαι μὲν ἐπὶ τὴν θεραπείαν ἐλθεῖν, ἀνύσαι δὲ μηδὲν [20] ἐπ' αὐτῇ. πῶς οὖν ἐκ πείρας μιμητικῆς τῶν κατὰ περίπτωσιν ὀφθέντων ἡ τοῦ βοηθήματος ἐγένετο γνῶσις, αὐτοῦ γε τοῦ πάθους σπανίως τινὶ συμβαίνοντος, αὐτομάτως τε τῆς σικύας τῇ κεφαλῇ κολληθῆναι κατὰ περίπτωσιν οὐδέποτε δυναμένης; ψυχροῦ μὲν γὰρ πόσις, ἕκαστόν τε τῶν τοιούτων βοηθημάτων, ὧν ὁσημέραι πεῖραν ἔχομεν ἐπὶ πολλῶν πολλάκις, ἐκ πείρας εὑρῆσθαι δύναται μιμητικῶς· ἡ δὲ τῆς σικύας προσβολὴ μετ'

A hancq; præsidiorum materiam ad hoc adhibere oportet. Quum ergo vix ex obscura me vertigine recollegissem, sequentia legere aggressus sum, inuenire me posse sperans, si non ordine, saltem sine ordine, huiusmodi aliquem sermonem, qualis is erat, quem nuper exempli causâ percurrimus. Deprehendi itaque vniuersum præsidiorum catalogum, vehementer calefacientem & exiccantem, adeò vt totum caput ipso etiam sinapismo à se vocato calefaceret, & eo quidem ipso vehementissimo; nam ablato sinapi, caput nitro conspergere, mox B aquâ calidâ rigare iubet, quo medicamento nullum in arte medicâ violentius inuenies; siquidem dolorem, veluti cauterium excitat, sed diutius durat eius operatio. Itaque Archigenes inferens, inquit; *Igitur toleratu difficilem habet dolorem, sed nulli vel maximorum præsidiorum cedit hoc medicamentum.* Quinetiam ex sinapi, nasturtio, grano cnidio, vua taminea apophlegmatismos fieri consulit, ac sternutamenta mouere, & potiones propinare iubet, ex vehementer calefacientibus & exiccantibus medicamenta vtraque componens; vt facilè C constet ipsum credidisse ad humiditatem & frigiditatem, vel cerebri, vel meningum hanc affectionem pertinere; neque enim huiusmodi affectio, si caluariam tantum affecerit, hominem memoriâ priuabit. Verû hæc obiter dicta sint, quòd quum nusquam demonstrauerit ab humore frigoréque obliuionem fieri, postea calefacientia & exiccantia offerat remedia; caput verò tantis vexari negocijs, aliâ parte affectâ, quis non molestè ferat? Quòd itaque de cucurbitulis ab initio indeterminatè protulit, postea D pergens huiusmodi verborum serie manifestissimè scripsit; *Irritationesque ex sinapi & cucurbitulis leuibus, sæpius quidem blandis, interdum autem admodum validis; efficaciores autem sunt, quæ cum scarificationibus.* Verùm ô generosissimè Archigenes, nullâ ratione capiti ista omnia adhibes, si affectio consistat in corde. Neque enim ab experimento, vt etiam Empiricos alloquamur, talia possunt inueniri. Æstuans enim homo in ardente febre, frigidam aquam per intemperantiam ingessit, & nonnihil præsidij expertus, E medicis imitationis initium sine rationali indicatione aperuit; cucurbitulæ verò admotio nullam occasionem fortuitam ducem habet, sed ex indicatione rationali tota facta est; neque enim sua sponte cucurbitula vnquam gigni, neque etiamsi hoc concedatur, per fortuitam occasionem capiti potuit applicari, præsertim in affectione perrarâ. Interroganti igitur mihi nostræ tempestatis medicos senes, & exercitatos, curasséntne vnquam huiusmodi affectum, omnes pænè responderunt nunquam id se tentasse, vno duntaxat excepto, F qui diceret curationem quidem aliquando se aggressum, nihil verò in ea profecisse. Quo pacto igitur experientiâ eorum, quæ fortuitò accidunt, imitatrice, auxilij cognitio orta est, quum rarò alicui eueniat huiusmodi affectus, neque fieri possit, vt cucurbitula per occasionem capiti adaptetur? Frigidæ enim potio, cæteraque id genus remedia, quorum quotidie crebrum in multis facimus periculum, per experimenta imitando inueniri possunt; sed cucurbitulæ appositio cum concisionibus

nibus, aut sine ipsis, nullam ab experientia occasionem accipere potuit. Non enim quemadmodum in aliis affectionibus locus affectus, etsi non accuratè, ad auxiliorum tamen ipsi oblationē, satis sensibus deprehenditur; sic & in memoria. In alijs dico affectionibus talibus, pleuritide, peripneumonia, nephritide, affectione colicâ, hepaticâ, splenicâ, aut intestini, aut vesicæ, aut vteri affectu, atq; id genus cæterarum partium; in quibus omnibus, & dolores, & ea, quæ per meatus excernuntur, etsi non exactissimè, in latitudine certè, locum affectum declarant. In pleuriticis enim facile est vniuerso lateri admouere quod volueris; similiter ventri in colicâ; quemadmodum, si hepar, aut lien inflammetur, hypochondrijs, atque similiter in cæteris partibus; deperditâ verò memoriâ nullum est affecti loci signum, non tumor præter naturam, non dolor aliquis, non excretio, non aliud quippiam; quemadmodum neque in melancholiâ, phrenitide, maniâ, morbo comitiali, lethargo, sopore, & in ea affectione, quam recentiores medici catochen atque catalepsin appellant. Sed neque in totius corporis conuulsionibus, vel palpitationibus, vel in dimidij corporis paralysi, id quod veluti radix est, vllum signum prodit, vel tumore preter naturam, vel dolore, vel colore mutato à priori, vel aliquo excretorum. Quare neque in his Archigenica remediorum inuentio fieri potest, siquidem nugaces sunt fortuitæ empiricorum occasiones, atque Archigenis sermo nos ducit ad cor. Verùm concedamus ab experientia prædictarum affectionum auxilia prodiisse, nunquid manifestè deprehenditur falsa dogmaticorum virorum arrogantia, ac ne simpliciter quidem, sed dupliciter, atque vtrinque validè? Si enim vsqueadeò vtile sit experimentum, vt non solùm citra rationem inueniat remedia, verum etiam coarguat ipsam tanquam apertè falsam, non solùm ratio inutilis est, sed etiam cum damno a dogmaticis medicis vsurpatur. Satis quidem (vt aiunt) erat reprehensio ab inutilitate ducta; at quum ratio etiam nocere videatur, quod maius argumentum desideras eius vitii? multas scilicet de principe animæ facultate rationes dialectico more disputatas, vnà cum affectorum locorum vsu, quibus indicabatur in animalibus affectibus auxilia cordi adhibenda esse, subitò contempsit Archigenes in curandi ratione exercitatissimus, vt neglectis omnino pectoris partibus capiti cucurbitulas adaptaret; ipsumque haud affectum & incideret & vreret. Num igitur per Iouem, mentitus sum paulò antè, quum dicerem, rationalem viam, quod ad remediorum inuentionem pertinet, omninò prodi ab iis, qui patriam potius, quam sectam suam prodere in animum induxerunt? Nam proditionem esse arbitrantur, si vera dicendo, dissentiendum sit ab iis à quibus ea secta defenditur. Vt verò in his turpem contentionem manifestè declarant; sic etiam haud obscuram dementiam, quum putant omnia sua decreta turbari, si vel vnum quoduis reprehēdatur; alia enim mutuâ consequentiâ cohærent, vt alia contrà inter se pugnant, alia neque consequūntur sese, neque pugnant necessariò, vt hoc ipsum de principatu animæ. Siue enim aliquis in corde, siue in capite, hunc contineri

A ἀμυχῶν, ἢ ἄνευ τούτων, οὐδεμίαν ἐκ πείρας ἀφορμὴν εὑρηκέναι δύναται. οὐδὲ γὰρ ὥσπερ ἐπ' ἄλλων παθῶν πολλάκις ὁ πεπονθὼς τόπος, εἰ καὶ μὴ πρὸς ἀκρίβειαν, ἀλλὰ πρός γε τὴν τῶν βοηθημάτων αὐτοῦ προσφορὰν, αὐτάρκως φαίνεται δι' αἰσθήσεως, οὕτω κἀπὶ τῆς μνήμης. ἄλλων δὲ λέγω παθῶν τῶν τοιῶνδε, πλευρίτιδος, περιπνευμονίας, νεφρίτιδος, κωλικῆς διαθέσεως, ἡπατικῆς, σπληνικῆς, ἢ καὶ ἐντέρων, ἢ κατὰ κύστιν, ἢ μήτραν, ἤ τι τοιοῦτον μόριον ἕτερον, ἐφ' ὧν ἁπάντων αἵ τ' ὀδύναι, καὶ τὰ διὰ τῶν πόρων ἐκκρινόμενα τὸν πεπονθότα τόπον, εἰ καὶ μὴ κατὰ τὸ ἀκριβέστατον, ἀλλ' ἐν πλάτει γε [21] διασημαίνουσι. B κατά τε γὰρ τῆς πλευρᾶς ὅλης ἐν πλευριτικοῖς ἐπιθεῖναι ῥᾴδιόν ἐστιν ὅπερ ἂν βουληθῇς· ἐπί τε τῆς κοιλίας ἐν κωλικοῖς, ὥσπερ καὶ κατὰ τῶν ὑποχονδρίων ἐφ' ἥπατός τε καὶ σπληνὸς φλεγμοναῖς, ὡσαύτως δὲ καὶ τῶν ἄλλων μορίων· ἔνθα δ' ἀπόλωλεν ἡ μνήμη, σημεῖον οὐδέν ἐστι τόπου πεπονθότος, οὐκ ὄγκος παρὰ φύσιν, οὐκ ὀδύνη τις, οὐκ ἔκκρισις, οὐκ ἄλλο οὐδέν· ὥσπερ γε καὶ ἐπὶ μελαγχολίας, καὶ φρενίτιδος, καὶ μανίας, ἐπιληψίας τε, καὶ ληθάργου, καὶ κάρου, καὶ τῆς ὀνομαζομένης ὑπὸ τῶν νεωτέρων ἰατρῶν κατοχῆς τε καὶ καταλήψεως· ἀλλ' οὐδὲ τῶν ὅλου τοῦ σώματος σπασμῶν, ἢ C παλμῶν, ἢ τῆς ἐξ ἡμίσεος αὐτοῦ μέρους παραλύσεως, ἣ δὴ ῥίζα προβάλλει τι σημεῖον, οὔτε δι' ὄγκου παρὰ φύσιν, οὔτε δι' ὀδύνης, οὔτε διὰ χρώματος ἐξηλλαγμένου παρὰ τὸ πρόσθεν, ἢ διά τινος τῶν ἐκκρινομένων· ὥστ' οὐδ' ἐπὶ τούτων ἡ Ἀρχιγενικὴ τῶν βοηθημάτων εὕρεσις δύναται γίνεσθαι, ληρώδους μὲν οὔσης τῆς τῶν ἐμπειρικῶν περιπτώσεως, τοῦ δ' Ἀρχιγένειου λόγου πρὸς τὴν καρδίαν ἡμᾶς [22] ὁδηγοῦντος. ἀλλὰ δῆτα συγκεχωρήσθω τὴν πεῖραν εὑρηκέναι τὰ βοηθήματα τῶν εἰρημένων παθῶν, ἆρ' οὐ φανερὸς ἔλεγχός ἐστι τῆς ψευδοῦς ἀλαζονείας τῶν δογματικῶν ἀνδρῶν, οὐδ' οὗτος ἁπλοῦς, ἀλλὰ διττὸς, D καὶ ἰσχυρὸς ἑκατέρως; εἰ γὰρ οὕτω τὴν πεῖραν οὕτως εἶναι χρήσιμον, ὡς μὴ μόνον εὑρίσκειν ἄνευ λόγου τὰς ἰάσεις, ἀλλὰ καὶ διελέγχειν [23] αὐτὸν, ὡς ἔστι προφανῶς ψευδής, οὐ μόνον ἄχρηστος ὁ λόγος, ἀλλὰ καὶ πρὸς κακοῦ φαίνεται τοῖς δογματικοῖς ἰατροῖς ἐπιτηδευόμενος. ἤρκει μὲν οὖν, ὥς φασι, καὶ ὁ περὶ τῆς ἀχρηστίας ἔλεγχος· ὁπότε δὲ καὶ βλάπτων ὁ λόγος φαίνεται, τί ἂν ἔτι μεῖζον ἔχοι τις εἰπεῖν εἰς τὴν μοχθηρίαν αὐτοῦ; οἱ πολλοὶ γοῦν λόγοι περὶ ψυχῆς ἡγεμονικοῦ διαλεκτικῶς ἐρωτηθέντες, ἅμα τοῖς περὶ τῆς τῶν πεπονθότων τόπων [24] εὐχρηστίας, ἐνδεικνύμενοι τῇ καρδίᾳ προσφέρειν ἐπὶ τῶν ψυχι- E κῶν παθῶν τὰ βοηθήματα, κατεφρονήθησαν ἐξαίφνης ὑπὸ τοῦ τεχνικωτάτου περὶ τὰς θεραπείας Ἀρχιγένους, ὡς ἐᾶσαι μὲν ὅλως τὰ κατὰ τὸν θώρακα μόρια, τὴν κεφαλὴν δὲ σικυάζειν, καὶ κατατέμνειν, καὶ κατακαίειν οὐδὲν πεπονθυῖαν. ἆρ' οὖν ὦ πρὸς Διὸς, ἐψευσάμην, ὀλίγον ἔμπροσθεν εἰπὼν, ἐσχάτην προδοσίαν γίνεσθαι τῆς λογικῆς ὁδοῦ πρὸς τὴν τῶν βοηθημάτων εὕρεσιν, ὑπὸ τῶν τὴν πατρίδα μᾶλλον ἢ δόγμα προδοῦναι πεπεισμένων; προδοσία γὰρ αὐτοῖς εἶναι δοκεῖ τἀληθῆ λέγειν, ὅταν μέλλωσι διαφωνεῖν τοῖς ἀπὸ τῆς F τοιαύτης αἱρέσεως. ὥσπερ δ' ἐνταῦθα φιλονεικίαν αἰσχρὰν ἐπιδείκνυνται προφανῶς, οὕτως ἄνοιαν, ὅταν οἴονται πάντ' ἑαυτῶν σαλεύεσθαι τὰ δόγματα, κἂν ἓν ὁτιοῦν ἐλεγχθῇ· ἔνια μὲν γὰρ ἀλλήλοις ἀκολουθεῖ, καθάπερ γε πάλιν ἕτερα μάχεται, ἔνια δὲ οὔτ' ἀκολουθίαν, οὔτε μάχην ἀναγκαίαν ἔχει, καθάπερ αὐτὸ τοῦτο τὸ περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ· ἐάν τε γὰρ ἐν καρδίᾳ τις, ἐάν τ' ἐν ἐγκεφάλῳ περιέχε-

-σθαι τοῦτό φησι, δυνατόν ἐστιν αὐτῷ καὶ περὶ τῶν φυσικῶν στοιχείων ἣν ἂν ἐθελήσοι δόξαν ἑλομένῳ, μήτε μάχεσθαι τούτῳ, μήτ᾽ ἀκολουθεῖν· καὶ περὶ γενέσεως καὶ φθορᾶς ὁμοίως, ὥσπερ γε καὶ περὶ ψυχῆς οὐσίας, καὶ περὶ θεῶν, καὶ προνοίας, καὶ εἱμαρμένης, καὶ τοῦ γεννητὸν εἶναι τὸν κόσμον, ἢ ἀγέννητον, ἄπειρόν τε τὸ πᾶν, ἢ πεπερασμένον, ἢ πολλοὺς εἶναι κόσμους, ἢ ἀπεριλήπτους κατὰ τὸν ἀριθμὸν, ἢ ἕνα μόνον τοῦτον. οὐδενὶ γὰρ ὧν εἴρηκα δογμάτων, οὔτ᾽ ἀκολουθία τίς ἐστιν, οὔτε μάχη πρὸς τὸ τῆς ψυχῆς ἡγεμονικὸν, ἐάν τε ἐν καρδίᾳ τις, ἐάν τε ἐν ἐγκεφάλῳ φησὶ περιέχεσθαι. προδιδόασιν οὖν ὅλην τὴν δογματικὴν αἵρεσιν οἱ τοιαύτας γράφοντες θεραπείας· περὶ γὰρ ἡγεμονικοῦ ψυχῆς ἀποδείξεων οὐσῶν ἐναργῶν, ὡς ἅπασιν ἀνθρώποις πεπιστεῦσθαι τὸ μόριον ἐν ᾧ κατῴκισται, μόνοις ἰατρῶν τε καὶ φιλοσόφων τοῖς ἀρίστοις οὐ φαίνεται, τοῖς ἐν καρδίᾳ τιθεμένοις αὐτό. τὰς μὲν οὖν ἀποδείξεις ἐν τοῖς ὑπομνήμασιν εἶπον, ἐν οἷς ἔγραψα περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων· ὅτι δὲ καὶ πᾶσιν ἀνθρώποις πεπίστευται, τὸ μὲν λογιζόμενον ἐν ἐγκεφάλῳ καθιδρῦσθαι, τὸ δ᾽ ἀνδρεῖόν τε καὶ θυμοειδὲς ἐν καρδίᾳ, τὸ δ᾽ ἐπιθυμητικὸν ἐν ἥπατι, μαθεῖν ἐστιν ὁσημέραι λεγόντων αὐτῶν ἀκούοντα, πρὸς μὲν τὸν ἀνόητον, ὡς ἐγκέφαλον οὐκ ἔχει· πρὸς δὲ τὸν ἄτολμον καὶ δειλὸν, ὡς ἀκάρδιος εἴη· τοῦ Τιτυοῦ δ᾽ ὑπ᾽ ἀετοῦ τὸ ἧπαρ ἐσθιόμενον, οὐ μόνον ἐν ποιήμασι λεγόντων, ἀλλὰ καὶ πλαττόντων τε καὶ γραφόντων.

asserat, poterit de naturalibus elementis, quamcunque voluerit eligere opinionem, cum priore sententia neque pugnando, neque consequens aliquod adducendo; ac similiter de ortu ac interitu, vt & de animæ essentia, de diis, de prouidentia, de fato; item genitusne sit mundus an ingenitus, finitum vniuersum, an infinitum; præterea an plures sint mundi, an numero incomprehensibiles, an vnus hic duntaxat. Nulli nanq; dictorum placitorum consequentia quædam est aut pugna, quod ad animæ principatum spectat, siue quis in corde, siue in cerebro eum contineri dixerit. Itaque vniuersam sectam dogmaticā produnt, qui huiusmodi scribunt curationes; nam quum de principatu animæ adeò manifestæ sint demonstrationes, vt omnibus hominibus comprobata sit pars, in qua resider, solis tum medicis, tum summis philosophis, qui in corde eum collocant, non apparet. Demonstrationes sanè ipsas in commentarijs, quos de Hippocratis Platonisque decretis edidi, iam dixi; quòd verò rationalem animæ facultatem in cerebro, virilem atque irascibilem in corde, concupiscibilem in iecore sitam esse, neminini non persuasum est, id quotidie discere licet, dicentes audiendo, fatuo quidem, cerebrum ipsum non habere; timido & pusillanimi, cor ei deesse; Tityo verò iecur à vulture erodi, non solùm in poëmatis canentes, verumetiam pingentes & sculpētes.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ὅτι ἡ τῆς μνήμης τε καὶ τῆς συνέσεως βλάβη, καὶ αἱ καταφορικαί τε καὶ ἄγρυπνοι διαθέσεις ἐν τῷ ἐγκεφάλῳ εἰσὶ, καὶ περὶ τοῦ εὑρίσκειν αὐτάς.

Ὥρα τοίνυν ἐπανελθεῖν ἤδη μοι πρὸς τὸ προκείμενον. ὁμολογουμένου μὲν ἅπασι τοῖς ἰατροῖς αὐτοῖς τοῖς ἔργοις, οἷς δρῶσι κατὰ πάντα τὰ τοῦ λογιστικοῦ πάθη, τὴν κεφαλὴν ὑπάρχειν οἶκον αὐτοῦ, προσῆκον ἦν ἐπισκέψασθαι περὶ τοῦ ἑκάστου πάθους διαθέσεως ὁποία τίς ἐστιν, οἷον ἡ τῆς μνήμης βλάβη, ἐπειδὴ προὐθέμην ὑπὲρ αὐτῆς διελθεῖν. ἅμα μὲν γὰρ αὐτὴ φαίνεται πολλάκις γινομένη μετὰ βλάβης τινὸς τοῦ λογισμοῦ, καθάπερ γε καὶ ἡ τοῦ λογισμοῦ βλάβη μετὰ τοῦ καὶ τὴν μνήμην βεβλάφθαι· τῆς μὲν διαθέσεως ἀμφοτέροις τῆς αὐτῆς οὔσης, ἐπιτεταμένης δὲ, ὁπότε τῇ μνήμῃ συναπόλωλεν ὁ λογισμὸς, ὅπερ ὀνομάζεται μώρωσις. ἀπόλλυται δ᾽ ἄμφω ταῦτα καὶ κατὰ τοὺς ληθάργους τε καὶ τὰ καρώδη πάθη πάντα, καὶ τὴν διάθεσιν αὐτῶν ἀναγκαῖον ὑπάρχειν ὁμογενῆ· κατὰ μὲν τὸ πρῶτον γένος, ὅτι δυσκρασία, δέδεικται γὰρ αὕτη τῶν ὁμοιομερῶν μορίων, ἃ πρώτως ἐνεργεῖ, διάθεσις εἶναι κοινή· κατὰ δεύτερον δὲ, ὅτι ψυχρά τίς ἐστιν ἡ δυσκρασία πάντως, αὕτη γὰρ ὁρᾶται ναρκοῦσα τὰς ψυχικὰς ἐνεργείας, ὡς τά γε διὰ κρύος ἀναγκαζόμενα φωλεύειν ζῶα σαφῶς ἐνδείκνυται, καὶ πάντα τὰ ψύχοντα φάρμακα, καὶ τῶν ἐδεσμάτων δὲ τὰ ψυχρὰ, καθάπερ ἡ θριδακίνη καταφορικοὺς ἐργάζεται τοὺς ὕπνους, εἰ πολλὴν αὐτὴν προσενέγκαιτό τις. ἀλλὰ καὶ τὰ βάρη τῆς κεφαλῆς, ὅσα χωρὶς ὀδύνης δακνώδους συνίσταται, πάνθ᾽ ὑπνώδη τε καὶ καταφορικὰ γίνεται, καὶ φαίνεται δι᾽ ἀποφλεγματισμῶν μεγάλως ὀνινάμενα. πρὸς δὲ τούτοις ἐγκαύσεις τε καὶ ψύξεις τῆς κεφαλῆς ἐνδείκνυται ταὐτόν· ἀγρυπνητικαὶ μὲν αἱ ἐγκαύσεις, καταφο-

CAPVT VI.

Memoriæ, & intellectus læsionem, Somnolentas item ac vigiles affectiones, in cerebro esse, ac de ratione ipsarum inueniendarum.

At mihi iam tempus est, redeundi ad propositum. Sanè cum in confesso sit omnibus medicis ex ipsis operibus, quæ in omnibus rationalis facultatis affectionibus faciunt, caput sedem ipsius esse, conueniens erat considerare, qualis in quacunque affectione dispositio sit; verbi gratia, memoriæ læsio, quoniam de ipsa loqui instituimus; ipsa enim sæpè vna cum læsione quadam rationis fieri conspicitur, quemadmodum & rationis læsio vnà cum memoriâ læsâ; vtriusque læsione ab eadem dispositione procedente, quæ intenditur, vbi simul cum memoria ratio quoque deperditur, quæ affectio stultitia nominatur. Ac in lethargo atq; omnibus soporosis affectionibus, vtraque deperditur, atque dispositionem ipsorum eiusdem esse generis necesse est; per primum quidem genus, quoniam intemperies est; iam enim demonstrauimus eam similiarium partium, quæ primò operantur, communem esse affectionem; per secundum verò, quoniam frigida omnino intemperies est; hæc enim animales actiones torpidas efficit, vt animalia, quæ per frigora latere coguntur, manifestè declarant, & refrigerantia medicamenta, ac frigidi cibi; vt lactuca cataphoricos inducit somnos, si multam ipsam sumpserit aliquis. Sed & capitis grauitates, quæ sine mordaci consistunt dolore, somnolentæ & cataphoricæ sunt, quibus apophlegmatismi magnopere opitulari videntur. Ad hæc id demonstrant capitis tum ardor, tum refrigeratio; siquidē ardor vigilias, refrigeratio

refrigeratio soporem inducit. Item biliosi calidique morbi, vigilias, deliria, phrenitidas; contrà pituitosi frigidique veternum & cataphoram efficiunt. Enimverò quòd ad vigilias soporesque per mobos pertinet, calida frigidaque intemperies primam sibi facultatem vendicat; altera verò ab hac, quæ ad humiditatem ariditatemque refertur. Nam balnea quòd caput humectent, omnibus somnos conciliant; & vini modicè diluti potio, & omnes cibi humectantes. Atq; ex ætatibus pueritia, ob humiditatem somnolenta est; senes verò ob ariditatem, vigilijs vexantur. Igitur omnia hæc argumento sint, ad animi ignauiam inducendam, humiditatem præter naturam secundas partes obtinere; frigiditatem verò priores. Proinde humiditas sola abundans longos profundósque somnos, vt & ariditas quoque sola vigilias efficit; de quibus affectionibus ab Hippocrate dictum est; *Somnus & vigilia, vtraque si modum excesserint, malum est.* Si verò frigus cum humiditate multa accesserit, somnolentæ & soporosæ affectiones constituuntur; sine hac verò, memoriæ læsiones ac stultitiæ. At quum non solum in frigiditate humiditatéque, verùm etiam in ariditate & calore, non paruum secundum magis & minus sit discrimen, varietas multiplex contingit causarum animales actiones lædentium. Clarioris autem doctrinæ gratia, rationalis animæ actiones, principales; irrationalis verò, morales vocentur, de quibus differere propositum non est, vt nec de cordis vel iecoris affectibus. Igitur quemadmodum somnus & vigilia modum excedunt, ille ob humiditatem, hæc ob temperamenti siccitatem, ita & in his ipsis maior vel minor, tum somnus tum vigilia, sequitur maiorem vel minorem aut humiditatem aut siccitatem. Quumque bifariàm (vt iam declaratum est) fiant huiusmodi intemperies, duplex quoq; erit vtriusque affectionis modus; vnus quidem in humidis siccisque humoribus; alter verò in corporibus solidis, quum in easdem intemperies solidæ partes cum humoribus inciderint. Præterea vltra iam dictas intemperies contrarias, alia quædam fit mixta ex vtrisque, vt in vigilanti comate, in quo pituitosus, biliosusque humor abundat. Atque in calidi frigidique contrarietate iidem quoque modi, tum simplicium intemperierum, tum ex ambabus mixtæ constituuntur. Pituitæ enim si bilis misceatur (flauam dico) mixta fit ex calido frigidoque affectio. Quòd si & in solidis corporis partibus mixtam ex contrarijs affectionem fieri fateamur; tres ab ipsâ prodibunt ex vtraque oppositione intemperies. Igitur huiusmodi affectus omnes cerebro oboriuntur; inter se autem differunt non solùm mixtionis varietate, aut eo quod magis, minusve intenduntur, tum in simplicibus, tum in mixtis dispositionibus, verùm etiam quòd ventriculi cerebri interdum afficiuntur huiusmodi intemperiebus, interdum vniuersa eius vasa, aut humiditas quæ per corpus cerebri dispersa est, & quarto insuper modo, quum ipsum met corpus cerebri intemperatum est.

A ἔχουσι δ' αἱ ψυχῆς γινόμεναι. καὶ μὲν καὶ τὰ χολώδη τῶν νοσημάτων καὶ θερμὰ, τὰς ἀγρυπνίας καὶ τὰς παραφροσύνας καὶ φρενίτιδας ἐργαζόμενα φαίνεται· τούτοις δ' ἔμπαλιν, τὰ φλεγματικὰ καὶ ψυχρὰ, κωματώδεις τε καὶ καταφοράς. ἡ μὲν δὴ πρώτη δύναμις ἐν τῇ κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν ἐστὶ δυσκρασίᾳ, τῶν ἀγρυπνητικῶν τε καὶ καταφορικῶν νοσημάτων. ἐφεξῆς δ' αὐτῆς, ἡ καθ' ὑγρότητα καὶ ξηρότητα. τά τε γὰρ λουτρὰ πάντας ὑπνώδεις ἐργάζεται, τὴν κεφαλὴν ὑγραίνοντα, καὶ οἴνου πόσις εὔκρατος, καὶ ὑγραίνουσαι τροφαὶ πᾶσαι. καὶ τῶν ἡλικιῶν, ὑπνώδης μὲν ἡ τῶν παι-

B δίων δι' ὑγρότητα· τῶν γερόντων δ' ἀγρυπνητικὴ, διὰ ξηρότητα. ταῦτ' οὖν ἅπαντα τεκμήρια γινέσθω, τοῦ δευτέραν μὲν ἔχειν χώραν εἰς ἀργίαν ψυχῆς τὴν παρὰ φύσιν ὑγρότητα, προτέραν δ' αὐτῆς εἶναι τὴν ψυχρότητα. διὸ καὶ μόνη μὲν ὑγρότης πλεονάζουσα, μακροὺς καὶ βαθεῖς ὕπνους ἐργάζεται, καθάπερ γε καὶ μόνη ξηρότης ἀγρυπνίας, ἐφ' ὧν διαθέσεων εἴρηται πρὸς Ἱπποκράτους· ὕπνος καὶ ἀγρυπνίη ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, μοχθηρόν. εἰ δὲ ψυχρότης μετὰ ὑγρότητος ἱκανῆς προσέλθοι, κατα-

C φορικὰ καὶ καρώδη πάθη συνίσταται· χωρὶς δὲ ταύτης, αἵ τε τῆς μνήμης βλάβαι, καὶ αἵ γε μωρώσεις. οὔσης δὲ πολλῆς διαφορᾶς ἐν τῷ μᾶλλόν τε καὶ ἧττον, οὐ καθ' ὑγρότητα καὶ ψυχρότητα μόνον, ἀλλὰ καὶ κατὰ ξηρότητα καὶ θερμότητα, ποικιλία πολυειδὴς γίνεται τῶν βλαπτόντων τὰς ψυχικὰς ἐνεργείας αἰτίων. ἕνεκα δὲ σαφοῦς διδασκαλίας, αἱ μὲν τοῦ λογιστικοῦ τῆς ψυχῆς ἐνέργειαι καλείσθωσαν ἡγεμονικαί· αἱ δὲ τοῦ ἀλόγου, ἠθικαί· περὶ ὧν οὐ πρόκειται λέγειν, ὥσπερ οὐδὲ περὶ τῶν τῆς καρδίας, ἢ τοῦ ἥπατος παθῶν. ὥσπερ οὖν ὕπνος καὶ ἀγρυπνία μᾶλλον τοῦ με-

D τρίου γίνεται, ὁ μὲν δι' ὑγρότητα, ἡ δὲ διὰ ξηρότητα κράσεως, οὕτως ἐν αὐτοῖς τούτοις τὸ μᾶλλόν τε καὶ ἧττον ἐν ἀγρυπνίαις τε καὶ ὕπνοις, ἕπεται τῷ μᾶλλον καὶ ἧττον ἐν ὑγρότητι καὶ ξηρότητι. καὶ διττῶς γε τῶν τοιούτων δυσκρασιῶν γινομένων, ὡς ἐπιδέδεικται, διττὸς ἔσται τρόπος ἑκάστης διαθέσεως, ὁ μὲν ἕτερος ἐπὶ τοῖς ὑγροῖς τε καὶ ξηροῖς χυμοῖς, ὁ δ' ἕτερος ἐπ' αὐτοῖς τοῖς σώμασιν, ὅτ' ἄν γε εἰς τὰς αὐτὰς ἀφίκηται δυσκρασίας τὰ στερεὰ τοῖς ὑγροῖς. καὶ πρός γε ταῖς εἰρημέναις δυσκρασίαις ἐναντίαις, ἄλλη τις ἐξ ἀμφοῖν γίνεται μικτὴ, καθάπερ ἐν τοῖς ἀγρύπνοις κώμασιν, ἐφ' ὧν φλεγματώδης καὶ χολώδης πλεονάζει χυ-

E μός. οἱ δ' αὐτοὶ τρόποι τῶν θ' ἁπλῶν δυσκρασιῶν καὶ τῆς ἐξ ἀμφοῖν μικτῆς, ἐν τῇ κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν ἐναντιώσει συνίστανται. χολῆς γοῦν, εὔδηλον δ' ὅτι τῆς ξανθῆς λέγω, φλέγματι μεμιγμένης, ἡ κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν ἐπίμικτος γίνεται διάθεσις. εἰ δὲ κἂν τοῖς στερεοῖς μορίοις αὐτοῖς τοῦ σώματος, ἡ ἐκ τῶν ἐναντίων μικτὴ διάθεσις ὁμολογηθείη γίνεσθαι, κατ' ἐκείνην τρεῖς αἱ πρῶται γενήσονται δυσκρασίαι καθ' ἑκατέραν ἀντίθεσιν. ἅπαντα μὲν οὖν τὰ τοιαῦτα πάθη κατὰ τὸν ἐγκέφαλον γίνεται, διαφέρει δ' ἀλλήλων

F οὐ μόνον ταῖς ποικιλίαις τῶν μίξεων, οὐδὲ τῷ μᾶλλόν τε καὶ ἧττον ἔν τε ταῖς ἁπλαῖς διαθέσεσι καὶ ταῖς μικταῖς, ἀλλὰ καὶ τῷ ποτὲ μὲν ἐν ταῖς κοιλίαις τοῦ ἐγκεφάλου συνίστασθαι τὰς δυσκρασίας, ποτὲ δ' ἐν τοῖς καθ' ὅλον αὐτὸν ἀγγείοις, ἢ τὴν παρεσπαρμένην ὑγρότητα τῷ σώματι τοῦ ἐγκεφάλου, καὶ τέταρτον ἐπὶ τούτοις, ὅταν αὐτὸ τὸ σῶμα τοῦ ἐγκεφάλου δύσκρατον γίνηται.

ΚΕΦΑΛΑΙΟΝ Ζ.

Περὶ μωρώσεως, καὶ κάρου, καὶ ληθάργου, καὶ φρενίτιδος, καὶ μανίας.

ΠΑραφυλάττειν οὖν χρὴ τοὺς ὕπνους τῶν ἀπολωλεκότων τὴν μνήμην, ἢ τὴν σύνεσιν (ἀπώλεια γὰρ τῆς συνέσεως ἡ μώρωσίς ἐστι) πότερον ὑπνώδεις ἱκανῶς οἱ κάμνοντές εἰσιν, ἢ μετρίως ὑπνώδεις, ἢ τὴν ἀρχὴν οὐδ' ὑπνώδεις, ἀλλ' ὅσον ἐπὶ τούτῳ κατὰ φύσιν ἔχουσιν· οὕτω γὰρ ἂν ἐξεύροις τὴν ἐπικρατοῦσαν δυσκρασίαν. ἐπιθεωρητέον δὲ καὶ πότερον ἐκκρίνεταί τι διά τε ῥινῶν καὶ στόματος ἐκ τῆς κεφαλῆς καταφερόμενον, ἢ ξηρὰ φαίνεται τὰ χωρία· δυνήσῃ γὰρ κἀκ τούτου στοχάσασθαι τὴν διάθεσιν, ὥσπερ ἐπὶ κατάρρου καὶ κορύζης· καὶ γὰρ ἐπὶ τούτων, ἥ τε ποιότης καὶ ἡ ποσότης τῶν ἐκκρινομένων, μετὰ τοῦ συνεπισκέψασθαι τὰς προηγησαμένας αἰτίας, ἐνδείκνυται τὴν διάθεσιν τῆς κεφαλῆς, ἤτοι θερμὴν οὖσαν, ὡς ἐπὶ ἐγκαύσεως· ἢ ψυχρὰν, ὡς ἐπὶ ψύξεως· ἄνευ γὰρ τοῦ διορίσασθαι ταῦτα πάντα, τὴν προσήκουσαν ἑκάστῃ διαθέσει θεραπείαν ἀδύνατον εὑρεῖν. ἐπὶ γοῦν τῆς ἀπωλείας, ἢ μεγάλως βεβλαμμένης μνήμης, ψυχρὰ μὲν δυσκρασία πάντως ἐστὶ, καὶ θερμαίνειν αὐτὴν προσήκει, οὐ μὴν ἐξ ἀνάγκης γε καὶ ξηραίνειν, ὥσπερ οὐδ' ὑγραίνειν· ἀλλ' εἰ μὲν μεθ' ὑγρότητος εἴη, ξηραίνειν, εἰ δὲ μετὰ ξηρότητος, ὑγραίνειν, εἰ δ' ἐν τῷ μέσῳ τούτων, ἐν ταύτῃ τῇ καταστάσει φυλάττειν. ἐγὼ γοῦν οἶδά τινα καὶ τὴν μνήμην μὲν ὀλίγου δεῖν ἀπολέσαντα, καὶ τὸν λογισμὸν δὲ βλαβέντα, διὰ φιλοπονίαν τε καὶ ἀγρυπνίαν ἐπὶ μαθήμασιν· ἕτερον δ' ἀμπελουργὸν, ἐπὶ τοῖς κατὰ τὴν ἀμπελουργίαν πόνοις, καὶ διαίτῃ λεπτῇ, αὐτὰ τούτῳ παθόντα· καὶ προφανῶς ἑκάτερος αὐτῶν, ὑπὸ μὲν τῶν ξηραινόντων τε καὶ θερμαινόντων ἐβλάπτετο πάντων, ὑπὸ δὲ τῶν ὑγραινόντων ἅμα τῷ θερμαίνειν, ὠφελεῖτο. γίνονται μὲν οὖν καὶ μετὰ πυρετοῦ βλάβαι τῶν ἡγεμονικῶν ἐνεργειῶν, ὡς ἐπὶ φρενίτιδός τε καὶ ληθάργου· γίνονται δὲ καὶ χωρὶς πυρετοῦ, καθάπερ ἐπὶ μανίας τε καὶ μελαγχολίας· ὥσπερ γε καὶ κατὰ συμπάθειάν τε καὶ πρωτοπάθειαν ἐγκεφάλου· τὰ μὲν ἠκριβωμένα τοῖς ἰδίοις συμπτώμασι, καὶ διηνεκῆ, καὶ μὴ προηγησαμένων ἑτέρων γινόμενα, κατὰ πρωτοπάθειαν· τὰ δὲ μήτ' ἠκριβωμένα τοῖς ἰδίοις συμπτώμασι, μήτε παραμένοντα διαπαντὸς, ἐφ' ἑτέροις τε συστάντα, κατὰ συμπάθειαν· μεμνημένων ἡμῶν ὅτι καὶ τῆς συμπαθείας, ἡ μὲν ἐν τῷ γίνεσθαι τὸ εἶναι λαμβάνουσα, συναποκαθίσταται τοῖς ποιοῦσιν αἰτίοις· ἡ δὲ μόνιμον ἤδη τὴν τῶν συμπαθούντων διάθεσιν ἐσχηκυῖα, κἂν τὰ ποιήσαντα παύσηται, παραμένει. τὸ μὲν οὖν ἐγκεφάλῳ πάντα γίνεσθαι τὰ τῶν ἡγεμονικῶν ἐνεργειῶν πάθη, πᾶσι τοῖς ἰατροῖς, ὅσοι γε μὴ διὰ φιλονεικίαν αἱρέσεως ἄλλα μὲν ἐν τῇ ψυχῇ φρονοῦσιν, ἄλλα δὲ λέγουσιν, ὡμολόγηται. τὸ δὲ τῆς δυσκρασίας ὁποία τίς ἐστιν εὑρεῖν, οὐ σμικρὸν ἔργον, ἐν ᾧ χρὴ φιλόπονόν τε καὶ ζητητικὸν εἶναι τὸν ἰατρὸν, οὐκ ἐν τῷ σκοπεῖν ὅπως ἀντείπῃ τοῖς καλῶς εἰρημένοις ὑπὸ τῶν παλαιῶν περὶ ψυχῆς ἡγεμονικοῦ, πράγματος οὕτως ἐναργοῦς, ὡς καὶ τοῖς ἰδιώταις πεπιστεῦσθαι κατὰ τὸν ἐγκέφαλον εἶναι. φιλοσόφοις μὲν οὖν ἐν γωνίᾳ καθημένοις, ἁμαρτάνειν ἐν τῷδε τάχ' ἄν τις συγγνοίη· γεγηρακόσι δ' ἐν τοῖς ἔργοις ἰατρικοῖς, ἀσύγγνωστος ἡ φιλονεικία, τάχα δ' ἀληθέστερόν ἐστιν εἰπεῖν,

CAPVT VII.

De stultitia, caro, lethargo, phrenitide, & mania.

QVibus itaque vel memoria, vel intellectus perijt (nam intellectûs deperditio stultitia est) eorum somnos obseruare oportet, vtrum vehementer somnolenti, an modicè somnolenti sint ægri, an omninò non somnolenti, sed quantum ad hoc pertinet, secundum naturam sese habeant; sic enim exuperantem inuenies intemperiem. Præterea considerandum est, vtrum excernatur quippiam per nares & os à capite defluens, an aridæ partes sint; nam & ex his affectionem coniecturâ assequi poteris, quemadmodum in catarrho & grauedine; siquidem in his qualitas & quantitas excretorum, cum causarum quæ præcesserunt contemplatione, capitis affectionem declarat, siue calida fuerit, vt in vstione; siue frigida, vt in refrigeratione; nisi enim omnia hæc distinxeris, idonea affectioni curatio non potest inueniri. Itaque in deperditâ, aut magnoperè læsâ memoriâ, frigida omninò intemperies est, quocirca calefacere ipsam oportet; non tamen exiccare aut humectare necessarium est; sed si humiditati copuletur, arefacere; si ariditati, madefacere; si inter has medium obtinet, in eo statu seruare. Equidem noui quendam, qui ob laborem in studiis, atque vigilias memoriam pænè amiserat, læsâ etiam ratione; alterum etiam vinitorem, qui ob labores, quos vites colendo subierat, ac tenuem victum, eodem modo affectus est. Atque manifestè eorum vterque exiccantibus, calefacientibusque omnibus lædebatur; humectantibus verò simul & calefacientibus iuuabatur. Læduntur sanè etiam cum febre principes animæ functiones, vt in phrenitide & lethargo; læduntur & sine febre, vt in maniâ & melancholiâ; quemadmodum & per consensum, & primariâ affectione cerebri; quæ proprijs symptomatis exactè dignoscuntur & perpetua sunt, neque aliis præcedentibus superuenerunt, primigeniâ affectione; quæ verò proprijs symptomatis non dignoscuntur, neque perpetuò permanent, atque aliis succedunt, per consensum; in quo latêre nos non debet, eum consensum qui in fieri habet esse, deletis efficientibus causis, simul deleri; qui verò permanentem iam habet dispositionem, quanuis quiescat causa efficiens, ipsum tamen permanere. Igitur quòd in cerebro consistant omnes principum animę actionũ affectus, conceditur ab omnibus medicis, qui non sectæ contentione alia mente concipiunt, alia ore proferunt; at qualis sit intemperies, inuenire, non parui est operis, in quo medicum laboriosum & sagacem esse oportet, non vt quærat quomodo sapientibus antiquis contradicat de animæ principatu, re adeò apertâ, vt eam in cerebro esse etiam idiotis constet. Philosophis fortasse in angulo sedentibus facilius huius erroris quis veniam dederit; medicis verò, qui iam in artis operibus ad senectutem vsque versati sunt, ignosci sua contendendi libido, vel fortasse dicam veriùs, impudentia,

pudentia, non debet; quippe qui vigilantibus omnibus infirmis, & delirantibus & phreniticis, & lethargicis, caput irrigent; quin & Archigenes siquibus læsa memoria est, capiti admouet remedia, etiamque si stultum curare aggrediatur, capiti cuncta adhibebit. Quis verò exercitatus medicus apoplexiam, aut morbum comitialem, aut opisthotonon, aut emprosthotonon, aut tetanon, aliter curat? quis denique dimidiam partem corporis resolutam? Nunquid in conuulsiuis affectibus omnes summam curationis iam ipsâ experientiâ ducti in primis vertebris moliuntur, quemadmodum vbi dimidia quoque vniuersi corporis pars resoluta est, cerebrum autem etiam calefaciunt? quemadmodum apoplecticos quoque curant, vt etiam epilepticos; quum vel ob stomachum vel ob aliquam aliam partem affectio fit, eam maximè & in primis curant, cerebrum verò etiam præparant, vt non facilè afficiatur. Hæc itaque potius inquirenda sunt, non princeps animæ facultas omnibus haud peruersæ mentis apertissima; vt neque neruorum origo, quam non diuinantium more à diis petere, sed ab anatomicis viris discere oportet.

ἀναισχυντία· τῶν τε γὰρ ἀγρυπνούντων[27] πάντων ἀῤῥώστων τὴν κεφαλὴν καταντλοῦσι, τῶν τε παραπαιόντων, καὶ φρενιτιζόντων, καὶ ληθαργικῶν· Ἀρχιγένης δὲ καὶ τῶν τὴν μνήμην βλαβέντων τῇ κεφαλῇ προσφέρει τὰ βοηθήματα, κἂν μωρανθέντα δέ τινα θεραπεύειν ἐπιχειρήσῃ, καὶ τούτου τῇ κεφαλῇ προσοίσει πάντα. τίς δὲ τριβακὸς ἰατρὸς,[28] ἀποπληκτικοὺς, ἢ ἐπιληπτικοὺς, ἢ ὀπισθοτονικοὺς, ἢ ἐμπροσθοτονικοὺς, ἢ τετανικοὺς ἑτέρως ἰᾶται; τίς δὲ παραλυθέντας τὸ τοῦ σώματος ἥμισυ μέρος; ἆρ' οὐχὶ τὴν μὲν σπασμωδῶν παθῶν, ἅπαντες ἤδη κατ' αὐτῆς τῆς πείρας,[29] τὸ κῦρος τῆς θεραπείας κατὰ τοὺς πρώτους ποιοῦνται σπονδύλους, ὥσπερ γε καὶ τῶν παραλελυμένων τὸ ἥμισυ μέρος ὅλου τοῦ σώματος, συνεκθερμαίνουσι δὲ καὶ τὸν ἐγκέφαλον; ὥσπερ καὶ τοὺς ἀποπληκτικοὺς ἰῶνται, καθάπερ γε καὶ τοὺς ἐπιληπτικούς· ὅταν μὲν ἐπὶ στομάχῳ γὰρ τὸ πάθος ἤ τινι τῶν ἄλλων μορίων, ἐκεῖνο μὲν μάλιστα καὶ πρῶτον ἐκθεραπεύουσι, παρασκευάζουσι δὲ καὶ τὸν ἐγκέφαλον εἰς δυσπάθειαν. καὶ χρὴ ταῦτα μᾶλλον ζητεῖν, οὐ περὶ τοῦ σαφέστατα φαινομένου πᾶσι τοῖς ἀδιαστρόφοις τὴν γνώμην, ἡγεμονικοῦ, καθάπερ οὐδὲ περὶ τῆς τῶν νεύρων ἀρχῆς, ἣν οὐ χρὴ προσελθόντας εἰς θεοὺς διὰ μαντείας ἐξευρεῖν, ἀλλὰ παρά τινι τῶν ἀνατομικῶν ἀνδρῶν παιδευθέντας.

CAPVT VIII.

De Neruorum ortu, ac de conuulsione.

NOnnulli enim sibi persuaserunt, neruorum principium cor esse, eò quòd nequeant ligamentum à neruo discernere; ad id conferente etiam homonymiâ, quandoquidem ligamenta multi medici colligantes neruos appellant. Verum ipsis sanè ita nominare liceat, si neruorum meminerint voluntariorum (vt ipsi vocant) quorum principium cerebrum esse dicimus, non ligamentorum; neque enim illi ipsi conuulsionem, aut paralysin, colligantium neruorum, sed voluntariorum affectum esse dicunt. Quum igitur totum corpus conuelli apparet, omnis statim affici putatur eiusmodi pars, quæ vt in arbore caudex ramorum, sic ipsa sit omnium neruorum communis veluti caudex, non paucorum in vna parte, quemadmodum ramus, veluti quando vel crus, vel vna manus fortè conuellitur; totius enim membri conuulsio, neruorum qui ad ipsum perueniunt principium affectum esse declarat, rami cuiuspiam exemplo in arbore; quum autem vniuersum corpus afficitur, communem originem omnium infra faciem neruorum, quæ arboris caudici proportione respondet, affectam esse putandum est, quæ sunt primæ spinalis medullæ partes; proinde exercitatissimi quique medici huic remedia admouent, cordis verò in hac affectione nullam omninò mentionem faciunt. Si verò simul cum vniuerso corpore facies quoque conuulsa videatur, non solùm exortum spinalis medullæ, verùm etiam cerebrum ipsum iam curamus. Etenim labra quoque sæpenumerò conuelli videmus, item oculos, frontis cutem, totas mandibulas, similiter & linguæ radicem: at quia omnes iã dictas partes à musculis ex cerebro neruos suscipientibus moue-

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς ἀρχῆς τῶν νεύρων, καὶ περὶ τοῦ σπασμοῦ.

ΕΝιοι γὰρ ἀναπείθουσιν[30] ἑαυτοὺς, ἀρχὴν εἶναι τῶν νεύρων τὴν καρδίαν, ἐκ τοῦ μὴ δύνασθαι διακρῖναι σύνδεσμον νεύρου, συντελούσης εἰς τοῦτο καὶ τῆς ὁμωνυμίας, ἐπειδὴ πολλοὶ τῶν ἰατρῶν καὶ τοὺς συνδέσμους ὀνομάζουσι νεῦρα συνδετικά. τῆς μὲν οὖν προσηγορίας οὐδεὶς αὐτοῖς φθόνος, εἴ γε μνημονεύωσι τῶν προαιρετικῶν νεύρων, ὡς αὐτοὶ καλοῦσιν, ὧν τὴν ἀρχὴν ἐγκέφαλον εἶναί φαμεν, οὐ τῶν συνδέσμων· οὐδὲ γὰρ οὐδ' αὐτοὶ τῶν συνδετικῶν νεύρων πάθος εἶναί φασι τὸν σπασμὸν, ἢ τὴν παράλυσιν, ἀλλὰ τῶν προαιρετικῶν. ὅταν οὖν ὅλον τὸ σῶμα φαίνηται σπώμενον, ἅπαν μὲν εὐθὺς[31] ὑπονοεῖται πεπονθέναι τὸ τοιοῦτον μέρος, ὃ καθάπερ ἐν δένδρῳ τὸ πρέμνον τῶν κλάδων, οὕτως αὐτὸ κοινὸν τῶν νεύρων ἁπάντων ἐστὶ πρέμνον ἐστὶν, οὐχ ἔστι κλάδος ὀλίγων τινῶν ἐν ἑνὶ μορίῳ, καθάπερ ὅταν ἤτοι σκέλος ἢ μία χεὶρ ἢ τύχῃ σπωμένη. κώλου μὲν γὰρ ὅλου σπασμὸς, τὴν ἀρχὴν τῶν εἰς αὐτὸ καθηκόντων νεύρων ἐνδείκνυται πεπονθέναι, καθάπερ ἐπὶ κλάδου τινὸς ἐν δένδροις· ὅταν δ' ὅλον ἅμα τὸ σῶμα τῷ πάθει, τὴν κοινὴν ἁπάντων ἀρχὴν τῶν κάτω τοῦ προσώπου νεύρων, ἀνάλογον ὥσπερ κατὰ τὸ δένδρον πρέμνῳ, πεπονθέναι χρὴ νομίζειν, ἥτις ἐστὶ τοῦ νωτιαίου μυελοῦ τὰ πρῶτα μέρη. διὸ καὶ τούτῳ τὰ βοηθήματα προσφέρουσιν οἱ τριβακοὶ πάντες ἰατροὶ, τῆς καρδίας οὐδὲ τὴν ἀρχὴν ὅλως ἐν τῷ τοιούτῳ παθήματι μεμνημένοι. εἰ δὲ καὶ τὰ κατὰ πρόσωπον ἅμα τῷ παντὶ σώματι φαίνοιτο σπώμενα, τὸν ἐγκέφαλον αὐτὸν ἤδη θεραπεύομεν,[32] οὐ μόνον τὴν ἔκφυσιν τοῦ νωτιαίου. καὶ γὰρ καὶ χείλη σπώμενα θεώμεθα πολλάκις, καὶ ὀφθαλμοὺς, καὶ τὸ κατὰ μέτωπον δέρμα, καὶ ὅλας τὰς γνάθους, ὥσπερ γε καὶ τὴν ῥίζαν τῆς γλώττης· ἀλλ' ἐπειδὴ ταῦτα πάντα διὰ τῆς ἀνατομῆς ἐμάθομεν ὑπὸ μυῶν κινεῖσθαι, τῶν ἐγκεφ-

φάλου λαμβανόντων νεῦρα, τὸν ἐγκέφαλον ἐπ' αὐτῶν πεπονθέναι πεπείσμεθα· καθάπερ ὅταν ὁρῶμεν ἀπαθῆ μὲν ἐκεῖνα, σπώμενα δὲ τὰ ἄλλα σύμπαντα μόρια, τὴν ἀρχὴν τοῦ νωτιαίου πειθόμεθα πεπονθέναι. ταῦτα μὲν οὖν, ὅπερ ἔφην, ἑτοίμως ἐχρῆν ἡμᾶς μαθόντας ἐπισκοπεῖσθαι τὰς διαθέσεις αὐτῶν· ἔνιοι δὲ τῶν ἰατρῶν τὰς μὲν διαθέσεις οὐδ' ἐπιχειροῦσι ζητεῖν, ἐρίζουσι δὲ περὶ τῶν ἐναργῶς φαινομένων, ἀπολλύντες ἡμῶν τὸν χρόνον, ὃν ἐχρῆν οὐκ εἰς ἀντιλογίαν τῶν ἀναιρούντων τὰ καλῶς ὑπὸ τῶν παλαιῶν ἰατρῶν εἰρημένα, καταναλίσκειν, ἀλλ' εἰς εὕρεσιν ὧν ἐκεῖνοι παρέλιπον, ἤτοι παντάπασιν οὐδὲν ἀποφηνάμενοι περί τινων πραγμάτων, ἢ χωρὶς ἀποδείξεως, ἢ διορισμοῦ προσήκοντος, ἢ ἐλλιπῶς ἀποφηνάμενοι, καθάπερ ὁ Ἱπποκράτης, ὑπὸ πληρώσεως ἢ κενώσεως γίνεσθαι τὸν σπασμὸν εἰπών. ἀληθὴς μὲν γὰρ ὁ λόγος, ἀλλ' ὑπὸ τίνων πεισθεὶς οὕτως ἀπεφήνατο, μόνοις τοῖς συνετοῖς ἀνδράσι καὶ νομίμως μεμαθηκόσι τὰ πρῶτα τῆς ἰατρικῆς δῆλόν ἐστιν, οὐ τοῖς ἐπιτυχοῦσιν. ταῦτα γοῦν αὐτὰ κἀγὼ προμεμαθηκώς, ἐπείσθην ὑφ' ὧν εἶπεν Ἱπποκράτης αἰτίων γίνεσθαι τὸν σπασμόν. εἰ γὰρ ἅπασα μὲν ἡ κατὰ προαίρεσιν κίνησις ὁρᾶται, τῶν μυῶν ἐπισπωμένων εἰς ἃ καταφύονται μέρη, γιγνομένη, τὸ δὲ ἐπισπᾶσθαι, χωρὶς τοῦ πρὸς τὴν ἰδίαν ἀρχὴν ἀνασπᾶσθαι τὸν μῦν οὐχ οἷόν τέ ἐστι γενέσθαι, μόνῳ δὲ τῷ χωρὶς τῆς ἡμετέρας προαιρέσεως γίνεσθαι τὸν σπασμὸν ἐν τοῖς σπωμένοις μέρεσιν, ἡ κίνησις διοίσει τῆς κατὰ φύσιν. ὥσπερ οὖν ἐν τῷ κατὰ φύσιν ἔχειν ἡ κατὰ τὴν ἀρχὴν τῶν νεύρων ἐν ἐγκεφάλῳ τεταγμένη προαίρεσις, ἀρχὴν κινήσεως πρώτοις μὲν τοῖς νεύροις, δι' αὐτῶν δὲ καὶ τοῖς μυσὶν δίδωσιν· οὕτως ἄνευ τῆς ἀρχῆς ταύτης ἐὰν εὕρωμεν ὑπό τινος αἰτίας σπασθῆναι δυνάμενα τὰ νεῦρα, τῆς τῶν σπασμῶν γενέσεως ἐπιστήμην ἕξομεν. ἀνθρώπῳ τοίνυν ἑωρακότι νευρώδη σώματα τὰς ἐν ταῖς λύραις χορδὰς, οὕτω σφοδρῶς τεινομένας πολλάκις ὑπὸ τῆς τοῦ περιέχοντος ἀμέτρου κράσεως, ὡς ῥήγνυσθαι, χαλεπὸν οὐδὲν ἐννοῆσαι τὴν αὐτὴν διάθεσιν ἐν τοῖς τῶν ζώων νεύροις γίνεσθαι. πῶς οὖν ἔχοντος τοῦ ἀέρος αἱ χορδαὶ τείνονταί τε καὶ ῥήγνυνται; ξηροῦ τε πάνυ καὶ λίαν διύγρου γινομένου· τὸ μὲν οὖν ὑγρὸν διαβρέχον αὐτὰς, εἰς ὄγκον αἴρει παρὰ φύσιν, ἐφ' ᾧ τείνονται· τὸ δὲ ξηρὸν, ὥσπερ ὁ ἥλιος ξηραίνων τὰς βύρσας συσπᾷ, καὶ αὐτὰς τὰς χορδὰς οὕτως ἕλκει τε καὶ τείνει. φαίνονται γοῦν καὶ οἱ ἱμάντες, ὅταν ὑπὸ πυρὸς ξηραίνωνται, συσπώμενοί τε καὶ τεινόμενοι. τούτων προεγνωσμένων, οὐδέν ἐστι χαλεπὸν ἐπὶ τῶν σπωμένων ἐξευρεῖν, εἴτε διὰ ξηρότητα τὸ πάθος αὐτοῖς γέγονεν, ὅπερ ἐστὶν ἔνδεια τῆς ὑγρᾶς οὐσίας καὶ κένωσις· εἴτε διὰ πλῆθος ὑγρότητος, ὅπερ ἐστὶν ἐναντίον ἐνδείᾳ πάθος, ὑφ' Ἱπποκράτους ὀνομασμένον πλήρωσις. ἐκ πόνων μὲν γὰρ καὶ ἀγρυπνιῶν, ἐνδείας τε καὶ φροντίδων, καὶ πυρετοῦ ξηροῦ καὶ διακαοῦς, οἷος καὶ ὁ τῶν φρενιτικῶν ἐστιν, ὅταν ὁ σπασμὸς γένηται, ξηρότητά τε καὶ κένωσιν αἰτιάσασθαι χρή· μεθυσκομένῳ δὲ ἀνθρώπῳ καὶ διὰ παντὸς ἐμπιπλαμένῳ καὶ ἀργῶς βιοτεύοντι, τὴν ἐναντίαν διάθεσιν εὔλογόν ἐστι τὸν σπασμὸν ἐργάσασθαι· κενώσει δ' ἐναντίον ἐστὶ, πλήρωσις.

ri, ex anatome didicimus, cerebrum in ipsis credimus esse affectum; vt vbi ipsis illæsis cæteras partes conuelli videmus, dorsalis medullæ initiũ affectũ esse fatemur. Hæc igitur sunt, quæ nos, vt dixi, promptè discere, mox ipsorũ affectiones cõsiderare oportet. Nonnulli verò medici affectiones ipsas ne aggrediuntur quidem disquirere, certant de rebus manifestè apparentibus, iacturamque nostri temporis moliuntur, quod non erat consumendum respondendo ijs, qui recta medicorum veterum decreta euertunt, sed inueniendo potius ea, quæ illi silentio præterierunt, vel nihil omnino disserentes de quibusdam rebus, vel sine demonstratione, vel sine idonea determinatione, vel non satis abundè explicantes; quemadmodum Hippocrates, vbi *conuulsionem, vel à plenitudine, vel à vacuitate fieri dicit*. Etenim verus est sermo, sed quibus rationibus adductus ita pronuntiarit, non quibuslibet, sed doctis duntaxat viris, qui & diligẽter prima medicinæ rudimenta didicerunt, notum est. Hæc igitur ipsa quũm didicissem, facilè mihi persuasi conuulsionem fieri ob eas causas, quæ ab Hippocrate dictæ sunt. Si nanque omnis motus, qui à voluntate procedit, attractis musculis in eas quibus innascuntur partes, fieri videtur; neque potest fieri attractio, nisi ad suam originem retrahatur musculus; conuulsio in conuulsis partibus facta, hac solâ ratione à motu secundum naturam differet, quòd præter voluntatem nostram fiat. Itaque quemadmodum in eo qui secundum naturam habet, voluntas in cerebro ad neruorum ortum ordinata, motûs principium primis dat neruis, ac per ipsos musculis; ita si sine huiusmodi principio inuenerimus, à quâ nerui causâ conuelli possint, ortûs conuulsionum scientiam consequemur. Qui igitur viderit aliquando neruosa corpora, lyræ chordas, ob ambientis aëris immoderatum temperamentum adeò vehementer vt rumpantur intentas, haud difficulter intelliget idem animantium quoque neruis posse contingere. At quomodò affecto aëre tenduntur chordæ & rumpuntur? si vel multum aridus, vel admodum humidus sit; humor nanque madefaciens ipsas, in tumorem præter naturam attollit, vnde tenduntur, siccitas verò, vt Sol tergora arefaciens contrahit, ita chordas & trahit & tendit; sic lora quoque quum ab igne exiccantur, contrahi tendique videntur. His ita præcognitis, haud difficile inuentu fuerit in conuulsis, vtrum ab ariditate, quæ est humidæ substantiæ penuria & vacuatio, an ab humoris plenitudine, quæ penuriæ contraria est, & ab Hippocrate repletio nominata, affectus ipse prodierit. Nam quum conuulsio fit à laboribus, vigilijs, fame, sollicitudine, & aridâ æstuanteque febre, qualem in phreniticis videre est; causam eius ariditatem, & vacuationem oportet arbitrari: at temulento, ac omninò pleno homini, & in otio degenti, contrarium affectum conuulsionis causam esse rationi par est. Atqui euacuationi contraria est repletio.

CAP.

CAPVT IX.

Quòd diuersi humores in cerebro diuersos affectus procreent; de differentijs humorum, ac præsertim melancholici ac pituitosi; ac de epilepsiæ, melancholiæ, phrenitidis, & fracturarum capitis dignotione.

VErùm & epilepsia conuulsio est omnium corporis partium, non continua vt emprosthotonos, & opisthotonos, atque tetanos, sed quæ ex temporum accidit interuallis; neq; solùm hac re, sed mentis quoque ac sensuum oblæsione, à iam dictis conuulsionibus differt; vnde constat in superioribus corporis partibus, cerebro videlicet, huius affectus ortum esse. Quoniam verò & velociter cessat, in ventriculis ipsius potiùs consentaneum est à crasso humore vias spiritûs obstruente hunc affectum procreari, neruorum principio se ipsum quatiente, quò excutiat ea quæ noxia sunt; fortasse uerò & irrigato singulorum neruorum exortu, similiter iis quæ à spinali medulla principium habent conuulsionibus, epilepticorum quoque conuulsio fit. Verùm nequaquam ob siccitatem & vacuationem, sed perpetuò ob humoris crassitiem, affectum fieri, tum ortûs, tum solutionis celeritas demonstrat; nam subitaria meatuum obstructio à crasso viscosove humore fieri potest; vt autem vel cerebrum, vel tenuior ipsius membrana ad tantam perueniat ariditatem, vt corio simile quippiam pati videatur, non sine multo tempore fieri potest. Accedit ad hæc, vt is qui sic laborat, neque videat, neque audiat, neque vllo sensu quicquam percipiat, ac ne intelligat quidem quid fiat, sed cum memoriæ viribus ratio quoque lædatur. Ex his igitur omnibus rationi consentaneum est, in cerebro hunc affectum fieri, impediente humore animalis spiritûs, qui in ventriculis eius est, exitum. Sed quamobrem hic spiritus vocetur animalis, aut quæ sit eius potentia, in commentarijs de Hippocratis Platonisque placitis demonstratum est. Quum enim ea quæ per dissectiones conspiciuntur, obseruaremus, rationi consonum videbatur, animam quidem in cerebri corpore sedem obtinere, atque in ipso & rationem, & sensibilium imaginum memoriā sedere; primum autem ipsius instrumentum, tum in sensibilibus actionibus omnibus, tum in ijs quæ à consilio & voluntate prodeunt, spiritum esse, qui in ipsius ventriculis maximéque in postremo continetur; neque tamen contemnendus est medius ventriculus, tanquam haud nobilissimus; multæ enim rationes & ad hunc nos adducunt, vt & à duobus anterioribus auertunt. Verùm exacta horum notitia ad curationis inuentionem nihil conducit; nam satis est ad probè curādum, nosse locum affectum esse cerebrum; atque in eius ventriculis humorem crassum, vel viscidum coaceruari. Quemadmodum autem hæc ad curationes, quarum gratiā & affectas sedes & earum affectiones inquirimus, sunt vtilia; sic crassorum quoque humorum differentiæ, vtrum pituitosi sint, an melancholici; si tamen in præsentia meminerimus pituitosos quidem omnes nominari, quum simpliciter ita dicimus, in quibus humiditas frigiditasque; melancholicos

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅτι διάφοροι χυμοὶ κατὰ τὸν ἐγκέφαλον διαφόρους διαθέσεις γεννῶσι· περὶ διαφορᾶς τῶν χυμῶν, μάλιστα δὲ τοῦ μελαγχολικοῦ τε καὶ φλεγματώδους· καὶ περὶ τῆς ἐπιληψίας, καὶ μελαγχολίας, καὶ τῆς φρενίτιδος, καὶ τῶν καταγμάτων τῆς κεφαλῆς διαγνώσεως.

ΑΛλὰ καὶ ἡ ἐπιληψία σπασμός ἐστιν ἁπάντων τῶν τοῦ σώματος μορίων, οὐ συνεχὴς ὡς ἐμπροσθότονός τε καὶ ὀπισθότονος καὶ τέτανος, ἀλλ' ἐκ διαστημάτων χρόνου γινόμενος· οὐ μόνον δὲ τούτῳ διενήνοχε τῶν εἰρημένων σπασμῶν, ἀλλὰ καὶ τῇ βλάβῃ τῆς διανοίας καὶ τῶν αἰσθήσεων· ᾧ καὶ δῆλον ὡς ἄνω που κατ' αὐτὸν ἐγκέφαλον, ἡ τούτου τοῦ πάθους ἐστὶ γένεσις. ἐπεὶ δὲ καὶ ταχὺ παύεται, κατὰ τὰς κοιλίας αὐτοῦ μᾶλλον εὔλογόν ἐστιν παχὺν χυμὸν ἐμφράττοντα τὰς διεξόδους τοῦ πνεύματος ἐργάζεσθαι τὸ πάθος, ἑαυτὴν κλονούσης τῆς ἀρχῆς τῶν νεύρων ὑπὲρ τοῦ διώσασθαι τὰ λυποῦντα· τάχα δὲ καὶ διαβρεχομένης τῆς ἐκφύσεως ἑκάστου νεύρου, παραπλησίως τοῖς ἀπὸ τοῦ νωτιαίου τὴν ἀρχὴν ἔχουσι σπασμοῖς, καὶ ὁ τῶν ἐπιληπτικῶν γίνεται. τὸ δ' ἐξαιφνίδιον αὐτοῦ τῆς γενέσεως καὶ τῆς λύσεως ἐνδείκνυται μηδέποτε διὰ ξηρότητά τε καὶ κένωσιν, ἀεὶ δὲ διὰ πάχος χυμοῦ γίνεσθαι τὸ πάθος· ἔμφραξις μὲν γὰρ τῶν πόρων ἐξαίφνης ὑπὸ πάχους ἢ γλίσχρου χυμοῦ γένοιτ' ἄν· εἰς ξηρότητα δὲ τοσαύτην ἐλθεῖν, ὡς βύρσῃ παραπλήσιόν τι παθεῖν, τὸν ἐγκέφαλον ἢ τὴν κατ' αὐτὸν μήνιγγα τὴν λεπτήν, οὐχ οἷόν τε χωρὶς χρόνου πολλοῦ. πρόσεισι δὲ τούτῳ καὶ τὸ μήτ' ὁρᾶν, μήτ' ἀκούειν, μήθ' ὅλως ἐνεργεῖν αἰσθήσει τινί, σὺν τῷ μηδὲ παρακολουθεῖν τὸν κάμνοντα τοῖς γινομένοις, ἀλλὰ τὸν λογισμὸν βεβλάφθαι μετὰ τῆς κατὰ τὴν μνήμην δυνάμεως. ἐκ τούτων οὖν ἁπάντων, εὔλογόν ἐστι κατὰ τὸν ἐγκέφαλον γεγονέναι τὸ πάθος, ἐμποδίζοντος τοῦ χυμοῦ [34] τὰς διεξόδους τοῦ ψυχικοῦ πνεύματος, ὃ κατὰ τὰς κοιλίας ἐστὶν αὐτοῦ. διὰ τί δὴ ὀνομάζεται τοῦτο τὸ πνεῦμα ψυχικόν, ἥτις τε δύναμίς ἐστιν αὐτοῦ, κατὰ τὰ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ὑπομνήματα δέδεικται. τοῖς γὰρ ἐκ τῆς ἀνατομῆς φαινομένοις ἀκολουθοῦσιν ἡμῖν εὔλογον ἐφαίνετο, τὴν μὲν ψυχὴν αὐτὴν ἐν τῷ σώματι τοῦ ἐγκεφάλου κατῳκῆσθαι, καθ' ὃ καὶ τὸ λογίζεσθαι γίνεται, καὶ ἡ τῶν αἰσθητικῶν φαντασιῶν ἀπόκειται μνήμη· τὸ πρῶτον δ' αὐτῆς ὄργανον εἰς ἁπάσας τὰς αἰσθητικάς τε καὶ προαιρετικὰς ἐνεργείας εἶναι, τὸ κατὰ τὰς κοιλίας αὐτοῦ πνεῦμα, καὶ μᾶλλόν γε κατὰ τὴν ὄπισθεν· οὐ μὴν οὐδὲ περὶ τῆς μέσης κοιλίας ἀπογινώσκειν προσήκειν ὡς οὐ κυριωτάτης· πολλὰ γὰρ εὔλογα καὶ πρὸς ταύτην ἡμᾶς ἄγει, καθάπερ γε τῶν ἐμπροσθίων δυοῖν ἀπάγει. εἴς γε μὴν τὴν τῆς θεραπείας εὕρεσιν οὐδὲν ὀνίνησιν ἡ περὶ τούτων ἀκριβὴς γνῶσις· ἱκανὸν γὰρ εἰς τὸ καλῶς θεραπεύειν, ἐπίστασθαι τὸν μὲν πεπονθότα τόπον ἐγκέφαλον εἶναι, χυμὸν δὲ τὸν γλίσχρον, ἢ παχὺν ἐν ταῖς κοιλίαις ἀθροιζόμενον αὐτοῦ. καθάπερ δὲ χρήσιμα ταῦτα πρὸς τὰς ἰάσεις ἐστίν, ὧν ἕνεκα καὶ τοὺς πεπονθότας τόπους καὶ τὰς ἐν αὐτοῖς διαθέσεις ζητοῦμεν; οὕτω καὶ τῶν παχέων χυμῶν αἱ διαφοραί, πότερα φλεγματώδεις εἰσίν, ἢ μελαγχολικοί· μεμνημένων αὖ πάλιν ἡμῶν ἐνταῦθα φλεγματικοὺς μὲν ὀνομάζεσθαι πάντας, ὅταν ἁπλῶς οὕτως λέγωμεν, ἐφ' ὧν ἐπικρατεῖ κατὰ τὴν κρᾶσιν ὑγρότης καὶ ψύξις· μελαγχολικοὺς

δὲ, ἐφ' ὧν ξηρότης τε καὶ ψύξις. ἐπεί τοι διαφοραὶ μεγάλαι κατά τε τοὺς φλεγματικούς εἰσι, καὶ τοὺς μελαγχολικοὺς ἑκατέρων ἴδιαι. τοῦ γοῦν φλέγματος τὸ μὲν ἐφ' ἡμέρᾳ πολλοῖς ἀναχρεμπτομένοις καὶ ἐμοῦσι καὶ ἀπομυττομένοις ἐκκρινόμενον, ἀτμώδους πνεύματος ὑπάρχει μεστόν, ὡς μήτε πρὸς αἴσθησιν ὁμοιομερὲς εἶναι· ἕτερον δέ τι φλέγμα φαίνεται μὲν ὁμοιομερές, ἴσως δ' οὐκ ἔστιν, ἐξ οὗ γένους ἐστὶν ὅ, τ' ἐν τοῖς οὔροις ὑφιστάμενος ὠμὸς χυμός, ὅ θ' ὑπὸ Πραξαγόρου κληθεὶς ὑαλώδης. ἀλλὰ καὶ τὸ μὴ λίαν ὀλίγον μηδ' ὑδατῶδες σίαλον, ἐκ τούτου τοῦ γένους εἶναι φαίνεται. καὶ μέντοι καὶ κατὰ τὴν γευστικὴν αἴσθησιν, οὐ μίαν ἔχον οὐδ' αὐτὸ τὸ σίαλον ποιότητα φαίνεται, μήτοιγε δὴ τὸ σύμπαν φλέγμα· καὶ γὰρ ἁλυκοῦ καὶ ὀξέος[35] καὶ ἁλμυροῦ πολλάκις αἰσθανόμεθα σαφῶς τοῦ κατὰ τὸ στόμα σιάλου, καθάπερ καὶ ἀποίου τε καὶ οἷον ὑδατώδους[36] τὴν γεῦσιν, ὅτ' ἂν ἀμεμπτότατα διάγωμεν. ὡσαύτως δὲ καὶ ὁ μελαγχολικὸς χυμὸς ἐν τῇ συστάσει σαφεῖς ἔχει τὰς διαφοράς, ὁ μὲν οἷον τρὺξ αἵματος, ἐναργῶς φαινόμενος ἱκανῶς παχύς, ὥσπερ ἡ τοῦ οἴνου τρύξ· ὁ δὲ πολλῷ μὲν τούτου λεπτότερος κατὰ τὴν σύστασιν, ὀξὺς δὲ καὶ τοῖς ἐμέσασιν αὐτὸν φαινόμενος καὶ τοῖς ὀσμωμένοις· ἔστι καὶ ξύει τὴν γῆν, ἐξαίρων τε καὶ ζυμῶν, καὶ πομφόλυγας ἐγείρων, οἷαι τοῖς ζέουσι ζωμοῖς ἐφίστανται· ὃν δ' ἔφην ἐοικέναι παχείᾳ τρυγί, τήν τε ζύμωσιν οὐκ ἐργάζεται κατὰ τῆς γῆς ἐκχυθείς, πλὴν εἰ μὴ πάνυ σφόδρα τύχοι τότε κατοπτηθεὶς ἐν διακαεῖ πυρετῷ, καὶ ἥκιστα μετέχει ποιότητος ὀξείας, ἡνίκα καὶ καλεῖν αὐτὸν εἴωθα μελαγχολικὸν χυμὸν ἢ μελαγχολικὸν αἷμα, μέλαιναν γὰρ χολὴν οὐδέπω δικαιῶ τὸν τοιοῦτον ὀνομάζειν. γεννᾶται δ' ὁ χυμὸς οὗτος ἐνίοις πολύς, ἢ διὰ τὴν ἐξ ἀρχῆς κρᾶσιν, ἢ δι' ἔθος ἐδεσμάτων εἰς τοιοῦτον χυμὸν ἐν τῇ κατὰ τὰς φλέβας πέψει μεταβαλλόντων. ὥσπερ δ' ὁ παχὺς χυμὸς τοῦ φλέγματος, οὕτω καὶ οὗτος παχὺς χυμὸς ὁ μελαγχολικὸς ἐπιληψίας ποτ' ἐργάζεται κατὰ τὰς ἐκροὰς τῶν ἐν ἐγκεφάλῳ κοιλιῶν ἰσχόμενος, ἤτοι τῆς μέσης, ἢ τῆς ὄπισθεν· ὅταν δ' ἐν αὐτῷ πλεονάσῃ τῷ τοῦ ἐγκεφάλου σώματι, μελαγχολίαν ἐργάζεται, καθάπερ ὁ ἕτερος χυμὸς τῆς μελαίνης χολῆς, ὁ κατωπτημένης τῆς ξανθῆς χολῆς γενόμενος, τὰς θηριώδεις παραφροσύνας ἀποτελεῖ χωρὶς πυρετοῦ τε καὶ σὺν πυρετῷ, πλεονάζων ἐν τῷ σώματι τοῦ ἐγκεφάλου. καὶ διὰ τοῦτο τῆς φρενίτιδος ἡ μέν τις ἐστὶ μετριωτέρα, τὴν γένεσιν ἐκ τῆς ὠχρᾶς ἔχουσα χολῆς· ἡ δέ τις σφοδροτέρα, τῆς ξανθῆς ἔγγονος ὑπάρχουσα· καί τις ἄλλη θηριώδης τε καὶ μελαγχολικὴ παραφροσύνη γίνεται, κατοπτηθείσης τῆς ξανθῆς χολῆς. ὅσαι δ' ἐν ταῖς ἀκμαῖς τῶν πυρετῶν γίνονται παραφροσύναι, κατὰ συμπάθειαν αὗται τῷ πάσχοντι τὸν ἐγκέφαλον, οὐ κατ' ἰδιοπάθειαν ἔχουσιν· καὶ διὰ τοῦτο παραπαῖσαι μὲν καὶ παραφρονῆσαι καὶ παρακόψαι τούτους, οὐ μόνον οἱ ἰατροὶ λέγουσιν, ἀλλὰ καὶ ἰδιῶται, φρενιτικοὺς δ' οὐκ ὀνομάζουσιν, οὐ γὰρ συναποκαθίστανται ταῖς ἀκμαῖς τῶν πυρετῶν αἱ φρενιτικαὶ παραφροσύναι. καθάπερ οὖν ὁ τῶν φρενιτικῶν πυρετός, ἕν τι τῶν συμπτωμάτων[38] τῆς ἐγκεφάλου διαθέσεώς ἐστιν, οὕτω τῶν διακαῶν πυρετῶν ἡ παραφροσύνη, πολλῶν ἀτμῶν θερμῶν ἀναφερομένων εἰς αὐτόν. παραπλήσια δ' ἐστὶ τῇδε καὶ τὰ ὁμοίως τοῖς ὑποχεομένοις συμπτώματα γένεσιν ἐκ τῆς γαστρὸς ὁρμωμένην διαθέσεως· ἥ τε γὰρ κοιλία τῇ κεφαλῇ, καὶ ἡ κεφαλὴ τῇ κοιλίᾳ

A verò, in quibus ſiccitas atque frigiditas temperamenti dominantur; quanuis magnæ peculiareſque vtrorumque differentiæ, tum pituitoſorum tum melancholicorum humorum inueniantur. Pituita quidem illa, quæ quotidie à multis ſcreantibus, & vomentibus, & emungētibus excernitur, vaporoſo ſpiritu plena eſt, vt ne ad ſenſum quidem ſimilaris ſit. Alia verò pituita ſimilaris quidem videtur, fortaſſe verò non eſt; cuius generis eſt tum crudus humor, B qui in vrinis ſubſiſtit, tum is qui à Praxagora vitreus appellatur; atque ex hoc genere eſſe videtur ſaliua, quæ neque liquida admodum eſt, neque aquoſa. Verùm nec ſaliua vnicâ duntaxat qualitate ſenſum guſtûs afficit, nedum vniuerſa pituita; ſæpenumerò enim acrem, & acidam, & ſalſam in ore ſaliuam manifeſtè deprehendimus, vt & cum ſani maximè degimus, nullâ qualitate infectam ac veluti aquoſam guſtui. Sic & melancholicus humor in ſubſtantia non obſcuras habet differentias; qui veluti fex ſanguinis eſt, admodum craſſus conſpicitur, fæcibus vini conſimilis; alius verò, quam ſupe-C rior, ſubſtantiæ eſt multò tenuioris, atque vomentibus eum & olfacientibus acidus videtur, qui etiam terram radit, attollit, & fermentat, atque ampullas, quales feruentibus iuſculis ſupernatare videmus, excitat; quem verò craſſæ fæci ſimilem eſſe dixi, in terram effuſus non inducit fermentationem, niſi fortè in ardente febre ipſum tunc maximoperè præaſſari contingat, neque vllâ etiam acidâ qualitate participat; quamobrem & ipſum nominare conſueui melancholicum ſuccum, aut melancholicum ſanguinem; hic enim, meo quidem iudicio, non D rectè adhuc atra bilis appellari poteſt. Generatur autem huiuſmodi humor in quibuſdam copioſus, vel à temperie ab initio comparatâ, vel à cibis conſuetis, qui quum in venis concoquuntur, in huiuſmodi humorem transmutari ſolent. Igitur vt craſſus pituitæ ſuccus, ita hic quoque craſſus melancholicus epilepſiam efficit, vbi in meatibus ventriculorum cerebri retinetur, ſiue is medius ſit, ſiue poſtremus; vbi verò in ipſo cerebri corpore abundat, melancholiam efficit; quemadmodum alter atræ bilis ſuccus, qui præaſſatâ flauâ bile naſcitur, fe-E rina deliramenta inducit, modò ſine febre, modò cum febre, in cerebri corpore abundans. Atque hanc ob cauſam phrenitis nonnunquam mitior eſt, quum à pallidâ bile ortum contraxit; interdum vehementior, quum flaua bilis eam peperit; atque inſuper alia nonnunquam deſipientia occurrit ferina & melancholica, flauâ bile præaſſatâ. Quæ autem deliria per febrium vigores accidunt, non propriâ cerebri affectione, ſed per conſenſum fiunt; proinde eos delirare, & deſipere, & vacillare, non ſolùm medici, ſed priuati quoque dicere con-F ſueuerunt; phreniticos verò non nominant; non enim phreniticorum deliria quieſcunt, mitigato febrium vigore. Igitur quemadmodum phreniticorum febris vnum quoddam ſymptomatum eſt cerebri affecti; ſic ardentium febrium delirium, multis elatis ad ipſum vaporibus calidis. Huic autem conſimilis eſt ſimilium ſuffuſionibus ſymptomatum generatio, à ventriculi affectionibus procedens. Nam cerebrum ventriculo, & ventriculus cerebro, ſuas

suas affectiones transmittit, propter neruorum à cerebro ad os ventriculi descendentium magnitudinem, per quos etiam sensus huic parti, quam vlli reliquarum corporis partium, acutior est. Quocirca capitis fracturas, quum ad meninges vsque perueniunt, biliosi vomitus sequuntur; ac dolores capitis, quomodocumque fiant, subuersio stomachi & morsus aliquando; hypochondriacas verò & flatulentas vocatas affectiones, melāncholica tristitia, haud secus quam acutam febrem delirium, & quasdam oris ventriculi affectiones, ea quæ in symptomatis suffusioni similatur affectio. Sic neruosis partibus inflammatis, promptiùs, quam reliquis, delirium superuenit, ascendente ad caput interdum per continuas partes solo calore, interdum verò spiritu vaporoso, vel fumoso, aut fuliginoso.

μεταδίδωσι τοῦ παθήματος, διὰ τὸ μέγεθος τῶν ἐξ ἐγκεφάλου καθηκόντων νεύρων εἰς τὸ στόμα τῆς γαστρός· ὑφ' ὧν καὶ τὸ περιττὸν τῆς αἰσθήσεως παρὰ τὰ ἄλλα μέρη τοῦ σώματος ὑπάρχει τῷ μορίῳ τῷδε. καὶ διὰ τοῦτο τοῖς κατὰ τὴν κεφαλὴν κατάγμασιν, ὅσα πρὸς τὰς μήνιγγας ἐξικνεῖται, χολώδεις ἔμετοι παρακολουθοῦσι· καὶ τοῖς ὁπωσοῦν γινομένοις ἀλγήμασι τῆς κεφαλῆς, ἀνατροπή τε τοῦ στομάχου καὶ δῆξις ἐνίοτε· τοῖς δὲ ὑποχονδριακοῖς καὶ φυσώδεσιν ὀνομαζομένοις πάθεσιν δυσθυμίαι μελαγχολικαί· καὶ γὰρ καὶ τοῦτο τοιοῦτόν ἐστιν, ὁποῖον ἡ τοῖς ὀξέσι πυρετοῖς ἐπιγινομένη παραφροσύνη, καί τισι διαθέσεσι τοῦ στόματος τῆς κοιλίας ἡ τοῖς ὑποχεομένοις ὁμοίων συμπτωμάτων. οὕτω δὲ καὶ τοῖς νευρώδεσι μορίοις φλεγμαίνουσιν ἑτοιμότερον, ἢ τοῖς ἄλλοις, ἐπιγίγνονται παραφροσύναι, ποτὲ μὲν αὐτῆς μόνης τῆς θερμασίας κατὰ τὸ συνεχὲς ἐπὶ τὴν κεφαλὴν ἀνερχομένης, ποτὲ δὲ πνεύματος ἀτμώδους, ἢ καπνώδους, ἢ αἰθαλώδους.

CAPVT X.

De melancholia, eiusque causis, signis, visis, ac remedijs.

QVemadmodum autem in his qui per consensum oriuntur, ita & in illis qui primario affectu contingunt, capitis morbis, non est parua differentia. Igitur crassi humores, qui in ipsa cerebri substantia exuberant, interdū eā vt organicam, interdū vt similarē partem lædūt; meatuum quidē obstructionibus, vt organicā; temperamenti vero alterationibus, vt similarem. Proinde hic sermo in fine sexti libri deuulgaribus morbis scriptus est. *Melancholici, etiam epileptici plerunq; fieri consueuerunt, & epileptici, melancholici. Atq; horum alterum magis accidit, prout vel in hanc, vel in illam partem infirmitas repit; si in corpus, epileptici; si in mentem, melancholici.* Hoc sermone primum quidem declarauit, quòd non semper, sed plerumque horum affectuum alter in alterum transit; quum enim non solum melancholicus humor, verùm etiam pituitosus, morbum comitialem efficiat, is quem melancholicus humor cōstituit, in melancholiam interdum transit; quem verò pituitosus, in aliū quidem affectum, de quo paulò post dicturus sum, permutatur, melancholiam verò haudquaquam efficit. Alterum verò in Hipprocratis sermone continetur, non paruum theorema. Quum enim anima aut sit temperamentum actiuarum qualitatum, aut ab ipsarum temperamento alteretur; bilem, quum cerebrum vt partem organicam lædit, ad cerebri corpus accedere ait, & id per obstructiones fit; quum verò temperamentum mutando, vt similarem oblædit, ad mentem. Verùm hoc quod medici dereliquerunt, definire in primis necessarium esse videtur. Quemadmodum enim in manifestis corporis partibus, interdum omnibus eadem apparet temperies, vt in morbo regio & elephante vocato, & hyderis, & cachexiâ, ad hæc & in hepaticis ac splenicis decolorationibus; interdum verò vnius duntaxat partis, quæ biliosum, aut pituitosum, aut melancholicum humorem suscipit, temperies permutatur; ita etiam cerebrum potest nonnunquam vniuerso in venis sanguine melancholico procreato, ob communem læsionis rationem ipsum quoque lædi; nonnunquam verò permanente citra af-

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῆς μελαγχολίας, καὶ τῶν αὐτῆς αἰτίων τε καὶ σημείων, καὶ φαντασμάτων, καὶ βοηθημάτων.

ΩΣπερ δ' ἐν τοῖς κατὰ συμπάθειαν οὐ σμικρὰ διαφορὰ γίνεται τοῖς πάθεσι τῆς κεφαλῆς, οὕτω καὶ ἐν αὐτοῖς τοῖς κατὰ πρωτοπάθειαν. οἱ γοῦν κατ' αὐτὴν τὴν οὐσίαν τοῦ ἐγκεφάλου πλεονάσαντες παχεῖς χυμοί, ποτὲ μὲν ὡς ὀργανικῷ μορίῳ λυμαίνονται, ποτὲ δὲ, ὡς ὁμοιομερεῖ· κατὰ μὲν τὰς ἐμφράξεις τῶν πόρων, ὡς ὀργανικῷ μορίῳ, κατὰ δὲ τὰς ἀλλοιώσεις τῆς κράσεως, ὡς ὁμοιομερεῖ. καὶ διὰ τοῦτο καὶ ἥδε ἡ λέξις ἐπὶ τῇ τελευτῇ γέγραπται τοῦ ἕκτου τῶν ἐπιδημιῶν· οἱ μελαγχολικοὶ καὶ ἐπιληπτικοὶ εἰώθασι γίνεσθαι ὡς ἐπὶ πολὺ, καὶ οἱ ἐπιληπτικοὶ μελαγχολικοί· τούτων δὲ ἑκάτερον μᾶλλον γίνεται, ἐφ' ὁπότερον ἂν [39] ῥέψῃ τὸ ἀρρώστημα· ἢν μὲν εἰς τὸ σῶμα, ἐπίληπτοι· ἢν δὲ εἰς τὴν διάνοιαν, μελαγχολικοί. κατὰ ταύτην τὴν ῥῆσιν, πρῶτον μὲν ὅτι μὴ διὰ παντὸς, ἀλλ' ὡς τὸ πολὺ, μετάπτωσις εἰς ἄλληλα γίνεται τοῖς πάθεσιν ἐδήλωσεν· οὐ γὰρ ὑπὸ μελαγχολικοῦ χυμοῦ μόνον, ἀλλὰ καὶ φλεγματικοῦ τῆς ἐπιληψίας ἀποτελουμένης, ἡ μὲν ὑπὸ τοῦ μελαγχολικοῦ χυμοῦ γινομένη μεταπίπτει ποτὲ εἰς μελαγχολίαν, ἡ δ' ὑπὸ τοῦ φλεγματικοῦ, πρὸς ἄλλο μέν τι μεθίσταται πάθος, ὑπὲρ οὗ μικρὸν ὕστερον ἐρῶ, μελαγχολίαν δὲ οὐκ ἐργάζεται. δεύτερον δ' ἐπὶ τῷδε [40] θεώρημά τι περιέχεται κατὰ τὸν εἰρημένον ὑφ' Ἱπποκράτους λόγον, οὐ σμικρόν. ἐπεὶ γὰρ ἤτοι κρᾶσίς ἐστιν ἡ ψυχὴ τῶν δραστικῶν ποιοτήτων, ἢ ὑπὸ τῆς κράσεως αὐτῶν ἀλλοιοῦται, τὴν μὲν ὡς ὀργανικῷ μορίῳ, τῷ ἐγκεφάλῳ λυμαινομένην χολὴν, ἐπὶ τὸ σῶμα τετράφθαι φησὶ τοῦ ἐγκεφάλου, γίνεται δὲ τοῦτο κατὰ τὰς ἐμφράξεις· τὴν δ' ὡς ὁμοιομερεῖ τὴν κρᾶσιν ἀδικοῦσαν, ἐπὶ τὴν διάνοιαν. ἀλλ' ἐκεῖνό γε διορίσασθαι πρότερον ἀναγκαῖον εἶναί μοι δοκεῖ τὸ παραλελειμμένον τοῖς ἰατροῖς· ὥσπερ γὰρ ἐν τοῖς φαινομένοις μέρεσι τοῦ σώματος, ἐνίοτε μὲν ἅπασιν ἡ αὐτὴ φαίνεται κρᾶσις, ὡς ἐν ἰκτέροις τε καὶ κατὰ τὸν καλούμενον ἐλέφαντα, καὶ τοὺς ὑδέρους, ἔτι τε καχεξίας, καὶ πρὸς ταύταις ἐν ἡπατικαῖς τε καὶ σπληνικαῖς ἀχροίαις· ἐνίοτε δ' ἕν τι μόριον ἤτοι πικρόχολον ἢ φλεγματικὸν ἢ μελαγχολικὸν ὑποδεξάμενον χυμὸν, αὐτὸ μόνον ἐξαλλάττεται τὴν κρᾶσιν· οὕτως ἐγχωρεῖ καὶ τὸν ἐγκέφαλον, ἐνίοτε μὲν, ἅπαντος τοῦ κατὰ τὰς φλέβας αἵματος μελαγχολικοῦ γινομένου, τῷ κοινῷ λόγῳ τῆς βλάβης καὶ αὐτὸν βλαβῆναι· καθ' ἕτερον δὲ [41] τρόπον ἀπαθοῦς διαμένον-

τος τοῦ καθ' ὅλον τὸν ἄνθρωπον αἵματος, ἀλλοιωθῆναι δὲ κατὰ μόνον τὸν ἐγκέφαλον, καὶ συμβῆναι τοῦτο διττῶς, ἢ ῥυέντος εἰς αὐτὸν ἑτέρωθεν, ἢ γεννηθέντος ἐν ᾧ τόπῳ τοῦ μελαγχολικοῦ χυμοῦ· γεννᾶται δ' ὑπὸ θερμασίας πολλῆς ἐγχωρίου, κατοπτώσης ἤτοι τὴν ξανθὴν χολήν, ἢ τὸ παχύτερόν τε καὶ μελάντερον αἷμα. διαφέρει δ' εἰς τὴν θεραπείαν οὐ σμικρὸν ὁ διορισμὸς οὗτος· ὅτ' ἂν μὲν γὰρ ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχῃ τὸ αἷμα, τὴν ἀρχὴν τῆς θεραπείας ἀπὸ φλεβοτομίας προσήκει ποιεῖσθαι· ὅτ' ἂν δὲ τὸ κατὰ μόνον τὸν ἐγκέφαλον, οὐ χρῄζει φλεβοτομίας ὁ κάμνων, ὅσον γε ἐπὶ τῇ διαθέσει ταύτῃ, κατ' ἄλλο γάρ τι δυνατόν ἐστι χρῄζειν αὐτόν. ἡ δ' οὖν διάγνωσις ἀπὸ τῶνδέ σοι γιγνέσθω, πότερον ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχει χυμόν, ἢ κατὰ μόνον τὸν ἐγκέφαλον ἠθροισταί τις τοιοῦτος, καὶ ἀξιῶ σε πρότερον μὲν ἐπισκέψασθαι τὴν τοῦ σώματος ἕξιν ὁποία τίς ἐστιν, μεμνημένον, ὡς οἱ μὲν ἁπαλοὶ καὶ λευκοὶ καὶ πίονες, ἥκιστα μελαγχολικὸν ἴσχουσι χυμόν· οἱ δ' ἰσχνοὶ καὶ μελάντεροι καὶ δασεῖς καὶ φλέβας εὐρείας ἔχοντες, ἐπιτηδειότατοι πρὸς τὴν τοιούτου χυμοῦ γένεσιν ὑπάρχουσιν, ἔσθ' ὅτε δὲ καὶ οἱ ἐρυθροὶ τὴν χρόαν ἄνθρωποι μεταπίπτουσιν ἀθρόως ἐπὶ τὴν μελαγχολικὴν κρᾶσιν· ἐφεξῆς δ' αὐτῶν οἱ ξανθοί, καὶ μάλιστα ὅταν ἐν ἀγρυπνίαις καὶ πόνοις πλείοσι καὶ φροντίσι καὶ λεπτῇ διαίτῃ προδεδιῃτημένοι τύχωσιν. ὁμογενῆ δὲ τούτοις ἐστὶ καὶ τὰ τοιαῦτα γνωρίσματα· πότερον ἐπέσχηταί τις αἱμορροΐς, ἢ καί τις ἄλλη συνήθης αἵματος κένωσις, ἢ καταμήνια ταῖς γυναιξί· καὶ τούτων ἐφεξῆς ὁποίαις ἐχρήσατο τροφαῖς, ἆρά γε ταῖς μελαγχολικὸν αἷμα γεννώσαις, ἢ ταῖς ἐναντίαις· λέγω δὲ μελαγχολικὸν μὲν αἷμα γεννᾶν, αἰγείων καὶ βοείων ἐδωδὴν κρεῶν, καὶ μᾶλλον ἔτι τῶν τραγείων τε καὶ ταυρείων, ἔτι δὲ μᾶλλον ὀνείων τε καὶ καμηλείων (ἐσθίουσι γὰρ ἔνιοι καὶ τούτων), ὥσπερ γε καὶ ἀλωπέκων τε καὶ κυνῶν· οὐχ ἥκιστα δὲ καὶ ἡ τῶν λαγωῶν ἐδωδὴ τοιοῦτον αἷμα γεννᾷ, καὶ πολὺ μᾶλλον ἡ τῶν ἀγρίων συῶν· καὶ οἱ κοχλίαι δὲ μελαγχολικὸν αἷμα γεννῶσιν, εἴ τις ἐν αὐτοῖς πλεονάσειεν, καὶ πάντα τὰ ταριχευθέντα κρέα τῶν ἐπιγείων ζώων· ἐνύδρων δὲ τά τε τῶν θύννων καὶ φαλαίνης, καὶ φώκης καὶ δελφῖνος, καὶ κυνός, καὶ τῶν κητωδῶν ἁπάντων· τῶν δὲ λαχάνων σχεδὸν ἡ κράμβη μόνη τοιοῦτον αἷμα γεννᾶν πέφυκεν, ὥσπερ γε καὶ τῶν δένδρων οἱ βλαστοὶ δι' ἅλμης καὶ ὀξάλμης συντιθέμενοι, σχίνου λέγω καὶ τερμίνθου καὶ βάτου καὶ κυνοσβάτου· καὶ μέν τοι καὶ τῶν ὀσπρίων, ἥ τε φακὴ μελαγχολικώτατόν ἐστιν ἔδεσμα, καὶ μετὰ ταύτην οἱ πιτυρίται καλούμενοι τῶν ἄρτων, οἵ τε ἐκ τῆς τίφης καὶ τῶν μοχθηρῶν σπερμάτων, οἷς ἀντὶ πυρῶν ἔνια τῶν ἐθνῶν χρῆται, διώρισται δὲ περὶ αὐτῶν ἐν τῷ προτέρῳ τῶν περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων. ἀλλὰ καὶ τῶν οἴνων οἵ τε παχεῖς καὶ μέλανες, ἐπιτηδειότατοι γεννῆσαι τὸν μελαγχολικὸν χυμόν, ἄν τις ἐν αὐτοῖς πλεονάζων ὑπὸ περιστάσεώς τινος ἐν θερμασίᾳ πλείονι τὸ σῶμα σχῇ· καὶ οἱ παλαιοὶ δὲ τυροὶ ῥᾷστοι γεννῆσαι τὸν τοιοῦτον χυμόν, ὅτ' ἂν ἐν τῷ σώματι τύχωσιν ὑπερθερμανθέντες. εἰ μὲν οὖν ἐν τοιαύτῃ διαίτῃ πρὸ τοῦ νοσεῖν ὁ ἄνθρωπος εἴη γεγενημένος, ἔξεστι κἀκ ταύτης στοχάσασθαί τι πλέον· εἰ δ' ἐν εὐχύμοις ἐδέσμασιν, ἐπισκέπτεσθαι περί τε τῶν γυμνασίων αὐτοῦ καὶ λύπης καὶ ἀγρυπνίας καὶ φροντίδος· ἔνιοι δὲ καὶ κατ' αὐτὰ τὰ πυρετώδη νοσήματα, καθότι προείρηται, τὸν μελαγχολικὸν ἴσχουσι γενόμενον χυμόν. εἰς δὲ

A fectionem totius hominis sanguine, solus is, qui in cerebro est, alterari, idque bifariàm accidere, aut aliunde in ipsum defluente, aut in ipso loco genito melancholico humore; gignitur autem à multò eius loci calore, aut flauam bilem, aut crassum, atrumque sanguinem superassante. Atque hæc distinctio non paruum habet in curatione momentum. Quum enim vniuersum corpus sanguinem melancholicum continet, curationis principium à venæ sectione ducere oportet; vbi verò solum cerebrum, infirmus (quod ad hanc affectionem attinet) B sanguinis detractione non indiget, quâ tamen aliam ob causam aliquam indigere potest. Itaque dignotio ab his tibi succurrat, vtrum melancholicum sanguinem vniuersum corpus habeat, an is in cerebro sit accumulatus. In primis corporis habitum, qualis sit, consideres velim; meminerisque quòd molles, & candidi, & obesi nequaquam humorem habent melancholicum; macri vero, & nigri, & hirsuti, & quibus latæ sunt venæ, ad huiusmodi humoris generationem aptissimi sunt; fitque interdum, C vt prærubro colore homines, affatim in melancholicam temperiem decidant; atque post hos flaui, idque maximè quando & vigilijs, & multis laboribus, & sollicitudine, & tenui victu fuerint educati. Huius quoque generis hæ notæ sunt, an hæmorrhois aliqua suppressa sit, aut alia quæpiam consueta sanguinis vacuatio, aut mulieribus menstrua; insuper quibus cibis quis fuerit vsus, vtrum ijs qui suaptè naturâ melancholicum sanguinem procreant, an è diuerso. Dico verò sanguinem melancholicum procreare caprinarum bubularumque carnium D esum, magisque hircinarum & taurinarum, sed maximè asinorum camelorumque (nam & his nonnulli vescuntur) vt etiam vulpinarum, caninarumque; nec verò minimè leporum esus eiusmodi sanguinem generat, & multò magis aprorum; sed limaces quoque melancholicum sanguinem generant, si frequens sit eorum vsus, & omnes terrenorum animalium carnes sale conditæ; aquatilium verò thunni, balænæ, vituli marini, delphini, canis, atque cetaceorum omnium; ex oleribus autem brassica ferè sola E huiusmodi sanguinem gignere consueuit; quẽadmodum & arborum germina, vbi vel muriâ, vel oxhalme condiũtur, lentisci dico, terebinthi, rubi, canis rubi. Leguminum verò omnium maximè lentes melancholica sunt edulia; tum panes furfuracei, & qui ex tipha, atque vitiatis seminibus fiunt, quorum apud quasdam nationes vsus loco frumenti habetur; verum de his in primo libro de alimentorum facultatibus dictum est. Præterea vina crassa nigraque aptissima sunt, vt ex ipsis melancholicus humor fiat, præsertim si quis his vberius vtens, oblatâ F occasione in maiori calore corpus contineat. Vetus denique caseus, vbi forte fortuna in corpore fuerit supercalefactus, facilè huiuscemodi procreat humorem. Igitur si quis antequàm in morbum inciderit, huiusmodi victûs ratione fuerit educatus, maiorem quandam inde licet facere coniecturam; si verò boni succi cibis vsus fuerit, considerare oportet exercitationes ipsius, mæstitiam, vigilias, sollicitudines. Ac nonnulli per febriles (vt dictum est) morbos melancholicum humorem contraxerunt. Atq;

ad efficaciorem dignotionem non parùm confert anni tempus, ac præterita præsensque constitutio, item regio, ac laborantis ætas. His itaque omnibus præmeditatis, quum speraueris in vniuersi corporis venis melancholicum sanguinem contineri, quò certissimam habeas notitiam, cubiti venam seca, præcipuèque mediam, quoniam vtrique communis est, & ei quæ humeralis nominatur, & ei quæ per axillam ad manum fertur. Quòd si tum fluens sanguis non videatur melancholicus, statim supprimatur; si verò talis appareat, vacua quantum pro laborantis corporis habitu satis esse conieceris. Est præterea tertia melancholiæ differentia, morbi comitialis exemplo, quum ortum à ventriculo habuerit; vocitant autem nonnulli medicorum hanc affectionem hypochondriacum flatuosumque morbum. Verùm satis mihi fuerint ea symptomata, quæ à Diocle scripta sunt illi assidere in libro cui titulus est, *affectio, causa, curatio*; in quo Diocles ad verbum ita scripsit. *Sed alius oritur circa ventriculum morbus, qui supradictis dissimilis est, nominaturque ab alijs melancholicus, ab alijs flatuosus; quem sumpto cibo maximè coctu difficili, & caustico, sputum humidum idemque multum comitatur, item ructus acidus, flatus, æstus in hypochondrijs, fluctuatio non ilicò, sed quum retinuerint; interdum ventriculi quoque vehementes dolores, qui nonnullis ad dorsum vsque procedunt; concoctis deinde cibis quiescunt, mox alijs ingestis eadem rursus reuertuntur; quæ interdum ieiunos, interdum etiam à cœna molestant; atque vomentes, euomunt crudos cibos, & phlegmata subamara, & calida, & acida adeò, vt nonnunquam dentes torpedine afficiantur. Atque horum plurima ab ineunte statim ætate eueniunt; vtcunque tamen acciderint, omnibus producuntur.* Hæc præfatus Diocles, mox causam subiungens ita scribit. *Cæterum flatulentos vocatos suspicandum est plus caloris quam decet habere in ijs venis, quæ alimentum à ventriculo excipiunt, sanguinemque ipsis crassiorem factum. Nam constat has venas esse obstructas, quòd alimentum corpori non distribuatur, sed in ventriculo maneat inconfectum, quum antea à meatibus his susciperetur, magnaque ipsius pars in imum vẽtrem excerneretur; tum quòd postero die vomant, vtpotè non digestis per corpus cibis. Sed quòd calor vberior sit, quam qui secundum naturam est, facillimè intelliges tum ab æstu, qui ipsis accidit; tum ab ijs quæ ingeruntur; siquidem iuuari videntur à frigidis cibis, qui calorem refrigerare extinguereque solent.* Deinde alia quoque Diocles iam propositis, in hoc sermone addidit. *Aiunt autem nonnulli os ventriculi, intestinis continuum, in huiusmodi affectibus inflãmari, ac ob inflammationẽ ipsam obstrui, & prohibere, ne alimẽta statuto tempore ad intestina descẽdant; quãobrem diutius, quàm decet, in ventriculo manentia tumores, & æstus, atque cætera prædicta efficiunt.* Hæc quidem Diocles literis prodidit; verùm in hoc symptomatum catalogo præcipua totius concursûs symptomata silentio præteriit, quæ melancholiam, & flatulentam hypochondriacamque affectionem charactere designant; atque hæc omisit (vt puto) quòd ex morbi ipsius nomine manifestè declarentur, quum nos ab Hippocrate didicerimus, *Si metus, & mœstitia longo tempore obsidentia perseuerent, melancholicus est huiuscemodi affectus.* Verum haud absurda quæstio est, quare quum causas aliorum symptomatum

τὴν βεβαιοτέραν διάγνωσιν οὐ σμικρὰ συντελεῖ, καὶ ἡ ὥρα τοῦ ἔτους, καὶ ἡ γεγενημένη τε καὶ οὖσα κατάστασις, ἔτι τε τὸ χωρίον, ἥ τε τοῦ κάμνοντος ἡλικία. ταῦτα πάντα προδιεσκεμμένος, ὅταν μὲν ἐλπίσῃς ἐν ταῖς καθ' ὅλον τὸ σῶμα φλεψὶ μελαγχολικὸν αἷμα περιέχεσθαι, τὴν βεβαιοτάτην ἐπάγαγε διάγνωσιν ἐκ τοῦ τέμνειν τὴν κατ' ἀγκῶνα φλέβα· βέλτιον δὲ τὴν μέσην τέμνειν, ἐπειδὴ κοινὴ πρὸς ἀμφοτέρας ἐστὶ, τήν τε ὠμιαίαν ὀνομαζομένην καὶ τὴν διὰ τῆς μασχάλης ἐπὶ τὴν χεῖρα φερομένην· εἶτα εἰ μὲν μὴ φαίνοιτο μελαγχολικὸν εἶναι τὸ ῥέον, ἐπίσχες αὐτίκα· εἰ δὲ τοιοῦτον φαίνεται, κένωσον ὅσον ἂν ὑπολάβῃς αὐταρκέσειν τῇ τοῦ κάμνοντος ἕξει σώματος. ἔστι δὲ καὶ τρίτη τις διαφορὰ μελαγχολίας, ὥσπερ ὅταν ἐπιληψία τὴν ἀρχὴν ἀπὸ τῆς κοιλίας ἴσχῃ· καλοῦσι δ' ἔνιοι τῶν ἰατρῶν ὑποχονδριακόν τε καὶ φυσῶδες νόσημα τὴν αὐτὴν διάθεσιν. ἀρκέσει δέ μοι παραθέσθαι τὰ ὑπὸ Διοκλέους γεγραμμένα συνεδρεύειν αὐτῷ συμπτώματα, κατὰ τὸ βιβλίον ὃ ἐπιγέγραπται, πάθος, αἰτία, θεραπεία. κατὰ τοῦτο γὰρ ὁ Διοκλῆς ἔγραψεν αὐτοῖς ὀνόμασιν οὕτως. ἄλλο δὲ γίνεται μὲν περὶ τὴν κοιλίαν, ἀνόμοιον δ' ἐστὶ τοῖς προειρημένοις, καλοῦσι δ' αὐτὸ, οἱ μὲν μελαγχολικὸν, οἱ δὲ φυσῶδες. ἕπονται δὲ τούτῳ μετὰ τὰς ἐδωδὰς, καὶ μάλιστα τῶν δυσπέπτων τε καὶ καυστικῶν, πτύσεις ὑγραὶ καὶ πολλαὶ, ὀξυρεγμίαι, πνεύματα, καῦμα περὶ τὰ ὑποχόνδρια, ἐγκλυδάξεις οὐκ εὐθὺς, ἀλλ' ἐπισχοῦσιν· ἐνίοτε δὲ καὶ πόνοι κοιλίας ἰσχυροὶ, διήκοντες ἐνίοις εἰς τὸ μετάφρενον. [44] παραύονται δὲ πεφθέντων τῶν σιτίων, πάλιν τε μετὰ τὸ φαγεῖν τὰ αὐτὰ συμβαίνει, πολλάκις δὲ καὶ νήστεσιν καὶ μετὰ τὸ δεῖπνον ἐνοχλεῖ, καὶ ἐμοῦντες ὠμὰ τὰ σιτία ἐμοῦσι, καὶ φλέγματα ὑπόπικρα καὶ θερμὰ καὶ ὀξέα, ὥστε καὶ τοὺς ὀδόντας αἱμωδιᾶν. καὶ τὰ πολλὰ μὲν γὰρ τούτων εὐθὺς ἐκ νέων, μηκύνει δ' ὅπως ἂν γίνηται, πᾶσι. ταῦτα προειπὼν ὁ Διοκλῆς, ἐφεξῆς αὐτοῖς προσέθηκε τὴν αἰτίαν ὧδέ πως γράψας. τοὺς δὲ φυσώδεας καλουμένους ὑπολαμβάνειν δεῖ πλεῖον ἔχειν τὸ θερμὸν τοῦ προσήκοντος ἐν ταῖς φλεψὶ ταῖς ἐκ τῆς γαστρὸς τὴν τροφὴν δεχομέναις, καὶ τὸ αἷμα πεπαχύνθαι τούτων. δηλοῖ γὰρ ὅτι μέν ἐστιν ἔμφραξις περὶ ταύτας τὰς φλέβας, τὸ μὴ καταδέχεσθαι τὸ σῶμα τὴν τροφὴν, ἀλλ' ἐν τῇ γαστρὶ διαμένειν ἀκατέργαστον, πρότερον τῶν πόρων τούτων ἀναλαμβανόντων, τὰ δὲ πολλὰ ἀποκρινάντων εἰς τὴν κάτω κοιλίαν· καὶ τὸ τῇ δευτεραίᾳ ἐμεῖν αὐτοὺς, οὐχ ὑπαγόντων εἰς τὸ σῶμα τῶν σιτίων. ὅτι δὲ τὸ θερμὸν πλεῖόν ἐστι τοῦ κατὰ φύσιν, μάλιστ' ἄν τις κατανοήσειεν ἔκ τε τοῦ καύματος τοῦ γινομένου αὐτοῖς καὶ τῆς προσφορᾶς· φαίνονται γὰρ ὑπὸ τῶν ψυχρῶν ὠφελούμενοι σιτίων, τὰ δὲ τοιαῦτα τὸ θερμὸν καταψύχειν καὶ [45] μαραίνειν εἴωθεν. ἐφεξῆς δὲ τούτων, καὶ τἄλλα προσέγραψεν ὁ Διοκλῆς ἐν τῇδε τῇ λέξει. λέγουσι δέ τινες ἐπὶ τῶν τοιούτων παθῶν τὸ στόμα τῆς γαστρὸς τὸ συνεχὲς τῷ ἐντέρῳ φλεγμαίνειν, διὰ δὲ τὴν φλεγμονὴν ἐμπεφράχθαι καὶ κωλύειν καταβαίνειν τὰ σιτία εἰς τὸ ἔντερον τοῖς τεταγμένοις χρόνοις· τούτου δὲ γινομένου, πλείονι χρόνῳ τοῦ δέοντος ἐν τῇ γαστρὶ μένοντα, τούς τε ὄγκους παρασκευάζειν, καὶ τὰ καύματα, καὶ τὰ ἄλλα τὰ προειρημένα. ταῦτα μὲν οὖν ὁ Διοκλῆς ἔγραψε, παραλιπὼν ἐν τῷ καταλόγῳ τῶν συμπτωμάτων τὰ κυριώτατα τῆς ὅλης συνδρομῆς, ὅσα τήν τε μελαγχολίαν χαρακτηρίζει, καὶ τὸ φυσῶδες καὶ ὑποχονδριακὸν πάθος· καί μοι δοκεῖ διότι ταῦτα ἐκ τῆς προσηγορίας τοῦ νοσήματος ἐνδεικτικῶς ἐδηλοῦτο, παραλελοιπέναι, μεμαθηκότων γ' ἡμῶν ὑφ' Ἱπποκράτους, ὡς φόβος καὶ δυσθυμίη πολὺν χρόνον ἔχοντα διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτο. διὰ τί δὲ ἐν τῇ τῆς αἰτίας ἀποδόσει, τῶν μὲν ἄλλων

συμπτώματα ἔγραψε τὰς αἰτίας, αὐτοῦ δὲ τοῦ βλάπτεσθαι τὴν διάνοιαν οὐκ ἔγραψεν, ζητῆσαι ἄξιον. εἴτε γὰρ τὸ θερμὸν ἐν ταῖς κατὰ τὴν γαστέρα φλεψὶ πλέον ἐπ' αὐτῶν ἐστιν, εἴτε φλεγμονὴ τῶν κατὰ τὸν [46] πυλωρὸν μερῶν, διὰ τί τούτοις [47] ἀκολουθεῖ τὰ μελαγχολικὰ συμπτώματα, παραλέλειπται. τὸ μὲν γὰρ ἐμπίπλασθαι τὴν γαστέρα φυσώδους πνεύματος, εἶτα ταῖς ἐρυγαῖς αὐτοὺς κουφίζεσθαι, καὶ προσέτι τοῖς εἰρημένοις ὑπὸ τοῦ Διοκλέους ἐμέτοις, εὔδηλόν ἐστι, κἂν ἐκεῖνος μὴ λέγῃ· τὰ δὲ τῆς μελαγχολίας ἴδια, χαλεπὸν ἦν αὐτῷ συλλέξασθαι τῇ κατὰ τὴν γαστέρα λελεγμένῃ διαθέσει. προσθῶμεν οὖν ἡμεῖς τοῦτο, τὴν διάθεσιν [48] τῆς γαστρὸς ὁποία τίς ἐν τοῖς τοιούτοις ἐστὶ πάθεσιν ἑρμηνεύσαντες σαφῶς. ἔοικε μὲν γὰρ εἶναί τις ἐν αὐτῇ φλεγμονή, τὸ δ' ἐν τῷ φλεγμαίνοντι μορίῳ περιεχόμενον αἷμα, παχύτερόν τε καὶ μελαγχολικώτερον ὑπάρχειν. ὥσπερ οὖν ἐπὶ τοὺς ὀφθαλμοὺς ἀναφερομένης ἐκ τῆς γαστρὸς αἰθαλώδους τινὸς, ἢ καπνώδους ἀναθυμιάσεως, ἢ ὅλως ἀτμῶν τινων παχέων, ὅμοια τοῖς ὑποχεομένων γίγνεται συμπτώματα· κατὰ τὸν αὐτὸν λόγον καὶ νῦν ἐπὶ τὸν ἐγκέφαλον ἀναφερομένης τῆς μελαγχολικῆς ἀναθυμιάσεως, οἷον [49] αἰθαλώδους τινὸς, ἢ καπνώδους ἀναθυμιάσεως, τὰ μελαγχολικὰ γενήσεται περὶ τὴν διάνοιαν συμπτώματα. καὶ μὴν καὶ συνεχέστατα θεώμεθα τὴν κεφαλὴν ὀδυνωμένην ἐπὶ τῇ ξανθῇ χολῇ κατὰ τὴν γαστέρα περιεχομένῃ, καθάπερ γε καὶ παραχρῆμα γινομένην ἀνώδυνον, ἐμεθείσης τῆς χολῆς· καὶ τά γε τοιαῦτα τῶν ἀλγημάτων, δακνώδη τέ ἐστιν καὶ διαβρωτικά, καθάπερ ἄλλα μέν τινα μετὰ βάρους, ἄλλα δὲ μετὰ τάσεως ἢ καταφορᾶς ὁρᾶται γινόμενα. συμπεφώνηται δὲ τοῖς ἀρίστοις ἰατροῖς, οὐ ταῦτα μόνον ἀπὸ τῆς γαστρὸς τῇ κεφαλῇ συμπίπτειν, ἀλλὰ καὶ τὴν ἐπιληψίαν. ἀεὶ μὲν οὖν οἱ φόβοι συνεδρεύουσι τοῖς μελαγχολικοῖς, οὐκ ἀεὶ δὲ ταὐτὸν εἶδος τῶν παρὰ φύσιν αὐτοῖς γίγνεται φαντασιῶν, εἴγε ὁ μέν τις ὀστρακοῦς ᾤετο γεγονέναι, καὶ διὰ τοῦτ' ἐξίστατο τοῖς ἀπαντῶσιν, ὅπως μὴ συντριβείη· θεώμενος δέ τις ἄλλος ἀλεκτρυόνας ᾄδοντας, ὥσπερ ἐκεῖνοι τὰς πτέρυγας προσέκρουον πρὸ τῆς ᾠδῆς, οὕτω καὶ αὐτὸς τοὺς βραχίονας [50] προσκρούων τοῖς πλευροῖς, ἐμιμεῖτο τὴν φωνὴν τῶν ζώων. φόβος δ' ἦν ἄλλῳ, μήπως ὁ βαστάζων τὸν κόσμον Ἄτλας ἀποσείσηται κεκμηκὼς αὐτὸν, οὕτως τε καὶ αὐτὸς συντριβείη, καὶ ἡμᾶς αὐτῷ συναπολέσειεν· ἄλλα τε μυρία τοιαῦτα φαντασιοῦνται. διαφέρονται δὲ ἀλλήλων οἱ μελαγχολικοί, τὸ μὲν φοβεῖσθαι καὶ δυσθυμεῖν, καὶ μέμφεσθαι τῇ ζωῇ, καὶ μισεῖν τοὺς ἀνθρώπους, ἅπαντες ἔχοντες, ἀποθανεῖν δ' ἐπιθυμοῦντες οὐ πάντες, ἀλλ' ἔστιν ἐνίοις αὐτῶν αὐτὸ δὴ τοῦτο κεφάλαιον τῆς μελαγχολίας, τὸ περὶ τοῦ θανάτου δέος· ἔνιοι δὲ ἀλλόκοτοι σοι δόξουσιν, ἅμα τε καὶ δεδιέναι τὸν θάνατον, καὶ θανατᾶν. ὥστε ὀρθῶς ἔοικεν ὁ Ἱπποκράτης, εἰς δύο ταῦτα ἀναγαγεῖν τὰ συμπτώματα αὐτῶν πάντα, φόβον καὶ δυσθυμίαν· ἐπί γέ τοι τῇ τοιαύτῃ δυσθυμίᾳ μισοῦσιν πάντας, οὓς ἂν βλέπωσιν, καὶ σκυθρωποὶ διὰ παντός εἰσι, δειμαίνοντες, ὥσπερ ἐν σκότῳ βαθεῖ τά τε παιδία φοβεῖται καὶ τῶν τελείων οἱ ἀπαίδευτοι. καθάπερ γε καὶ τὸ ἔξωθεν σκότος εἰς φόβον ἄγει σχεδὸν ἅπαντας ἀνθρώπους, πλὴν τῶν ἤτοι πάνυ φύσει τολμηρῶν, ἢ πεπαιδευμένων· οὕτως καὶ τῆς μελαίνης χολῆς τὸ χρῶμα παραπλησίως σκότῳ τὸν φρονοῦντα τόπον ἐπισκιάζον, ἐργάζεται τοὺς φόβους. ὅτι γὰρ οἵ τε χυμοὶ καὶ ὅλως ἡ τοῦ σώματος κρᾶσις ἀλλοιοῖ τὰς ἐνεργείας τῆς ψυχῆς, ὡμολόγηται τοῖς ἀρίστοις ἰατροῖς τε καὶ φιλοσόφοις, ἐμοί τε δι' ἑνὸς ὑπομνήματος ἀποδέδεικται, καθ' ὃ ταῖς τοῦ σώματος κράσεσιν ἀκολουθούσας ἀπέδειξα τὰς τῆς ψυχῆς δυνάμεις· ὅθεν οὐδὲ γράψαι τι περὶ μελαγ-

A redderet, quam ob causam mens lædatur, non scripserit; siue enim venarum, quæ ad ventriculum sunt, calor in illis exuperat, siue partes quæ sunt ad pylorum inflammatione laborant, quid causæ sit, cur melancholica comitentur symptomata, dereliquit. Etenim quòd venter flatulento spiritu impleatur, ac deinde ructibus leuetur, ac præterea vomitione à Diocle memoratâ, vel nihil ipso dicente manifestum est; at propria melancholiæ symptomata simul cum dicta ventriculi affectione scribere, arduum ei fuit. Id itaque addamus, ac simul, qualis sit in B huiusmodi affectibus ventriculi dispositio, manifestâ interpretatione enarremus. Videtur enim in ipso quædam inflammatio esse; sanguis autem in parte inflammata contentus, & crassior, & magis melancholicus. Itaque quemadmodum elato ex ventriculo ad oculos fuliginoso quodam aut fumoso halitu, aut crassis omnino vaporibus, similia suffusionis symptomata contingunt; eadem ratione sublatâ ad cerebrum ab atrâ bile euaporatione veluti fuliginosâ fumosâque, melancholica euenient in mente symptomata. Ac certè quàm frequentis-C simè videmus flauâ in ventriculo bile contentâ, caput dolore affici; vt & mox bile per vomitum eiectâ, dolorem sedari. Atque huiusmodi dolores mordaces & erodentes sunt, quemadmodũ alii quidam cum grauitate, alij cum tensione, alij cum cataphora fieri videntur. Atque inter optimos medicos conuenit, non solum hæc, verùm etiam morbum comitialem, capiti à ventriculo procedere. Igitur melancholicis timores semper assident, non autem semper eadem imaginationum præter naturam species ipsis obuersatur. Siquidem alius te-D staceum se factum putauit, atque idcircò occursantibus cedebat, ne confringeretur. Alter gallos cantare conspiciens, vt hi alarum ante cantum, sic ille brachiorum plausu latera quatiens, animantium sonum imitatus est. Fuit item alteri timor, ne Atlas mundum baiulans, grauatus onere, ipsum excuteret, atque sic ipse cõtereretur, ac nos quoque secum perderet; aliaque huiusmodi infinita imaginantur. Differunt autem inter se melancholici; nam omnes timent, mœrent, vitam damnant, odio habent homines; sed non omnes mori cupiunt; imò hoc ipsum nonnullis melancholiæ caput E est, quòd mortem pertimescant; quosdam etiam alieno admodum videbis animo, vt potè qui simul & mortem metuant, & mori cupiant. Proinde rectè videtur Hippocrates omnia ipsorum symptomata in duo hæc coëgisse, metum, & mœstitiam. Mœstitia nimirum eos inducit, vt odio prosequantur omnes, quos viderint, perpetuò mœstitiam præ se ferant, ac terreantur, vt in tenebris profundis pueri, atque ex adultis indocti. Quemadmodum sanè externæ tenebræ omnibus ferè hominibus pa-F uorem inducunt, nisi vel audaces admodùm, vel docti fuerint; sic atræ bilis color, mentis sedem peræquè ac tenebræ obscurans, timorem efficit. Etenim summis, tũ medicis, tum philosophis in confesso est, tũ humores, tum omninò corporis temperamẽtum animæ actiones alterare; quod nos quoque vno cõmentario docuimus, quo demonstratum est, animæ facultates corporis temperaturam sequi. Quocirca humorum

morum vim ignorantes (in quorum numero & Erasistratus est) ne scribere quidem de melancholia quicquam ausi sunt. Sed & in hoc par est admirari, tum communes hominum notiones, tum plurima quoque dogmata, quæ non pauci philosophi, & medici ignorauerunt. Igitur ab omnibus affectus hic melancholia vocitatur, indicante nomine humorem, qui ipsius causa est. Itaque si circa ventriculum prima inceperint symptomata, ipsisque auctis melancholicæ sequantur affectiones, deinde alui deiectionibus, vomitibus, & flatibus per inferiora emissis, ructibusque leuetur homo, hypochondriacum, flatulentumque morbum ipsum nominabimus, symptomata verò ipsius esse dicemus, mæstitiam, & metum; quum autem propria melancholiæ symptomata magna videtur, circa ventriculum verò aut nulla, aut parua, his existimandum primitiuam in cerebro affectionem consistere, ob atram bilem in ipso congestam. Cæterùm quibus signis discernatur, vtrum in solo ipso cerebro, an in vniuerso corpore, huiuscemodi humor contineatur, paulò ante dictum est; moneo autem amicos, qui me curantem viderunt frequentibus balneis, victuque humido bonique succi, nullo alio adhibito præsidio, huiusmodi morbum, vbi nondum ob longum temporis tractum noxius humor multum vacuationi resisteret; quum enim diuturnus iam factus est morbus, maiora prædictis oportet adhibere remedia. Succedit autem huiusmodi melancholia ijs, qui præcesserunt, calidis capitis affectibus, aut ob æstum aut phlegmonosum in ipso factum morbum, aut etiam phrenitidem; succedit verò & sollicitudini, & mœstitiæ cum vigilijs. Verùm satis fuerit hæc de melancholia dixisse.

χολίας ἐτόλμησαν, οἱ τὴν τῶν χυμῶν δύναμιν ἀγνοήσαντες, ὧν εἰσι καὶ οἱ περὶ τὸν Ἐρασίστρατον. ἄξιον δὲ ἐστι κἀν τούτῳ θαυμάσαι τὰς κοινὰς ἐννοίας τῶν ἀνθρώπων, ὥσπερ καὶ τἆλλα πολλὰ δόγματα, περὶ ὧν ἠγνόησαν οὐκ ὀλίγοι φιλοσόφων τε καὶ ἰατρῶν· ἅπαντες γοῦν ὀνομάζουσι τὸ πάθος τοῦτο μελαγχολίαν, ἐνδεικνύμενοι διὰ τῆς προσηγορίας τὸν αἴτιον αὐτοῦ χυμόν. ἐὰν μὲν οὖν ἄρξηταί γε πρῶτα τὰ κατὰ τὴν γαστέρα συμπτώματα, καὶ μείζοσιν αὐτοῖς γινομένοις ἀκολουθήσῃ τὰ μελαγχολικὰ πάθη, κουφίζεταί τε τῇ διαχωρήσει καὶ τοῖς ἐμέτοις, καὶ ταῖς κάτω φύσαις, καὶ ταῖς ἐρυγαῖς ὁ ἄνθρωπος, ὑποχονδριακὸν μὲν ὀνομάσομεν οὕτως γε καὶ φυσῶδες τὸ νόσημα, συμπτώματα δὲ εἶναι φήσομεν αὐτοῦ, τήν τε δυσθυμίαν καὶ τὸν φόβον. ὅταν δὲ τὰ μὲν τῆς μελαγχολίας ἴδια συμπτώματα φαίνεται μεγάλα, κατὰ δὲ τὴν κοιλίαν ἤτοι μηδέν, ἢ σμικρά, τὸν ἐγκέφαλον ἡγητέον ἐπὶ τούτων πρωτοπαθεῖν, ἠθροισμένης ἐν αὐτῷ μελαίνης χολῆς. ἐξ ὧν δὲ χρὴ διορίζεσθαι, πότερον ἐν αὐτῷ μόνῳ τῷ ἐγκεφάλῳ περιέχεται τοιοῦτός τις χυμός, ἢ καθ' ὅλον ἐστὶ τὸ σῶμα, λέλεκται μικρὸν ἔμπροσθεν· ἀναμιμνήσκω δὲ τοὺς ἰδόντας ἑταίρους, διά τε λουτρῶν πολλῶν καὶ διαίτης εὐχύμου τε καὶ ὑγρᾶς τὴν τοιαύτην μελαγχολίαν ἐκθεραπεύοντά με χωρὶς ἑτέρου βοηθήματος, ὅταν γε μήπω διά τε χρόνου μῆκος δυσεκκένωτος ᾖ ὁ λυπῶν χυμός· ὡς ὅταν γε ἤδη κεχρονικὸς ὑπάρχῃ τὸ νόσημα, μειζόνων ἑτέρων ἐπὶ τοῖς εἰρημένοις δεῖται βοηθημάτων. ἐπιγίνεται δὲ ἡ τοιαύτη μελαγχολία, προηγησαμέναις θερμαῖς διαθέσεσι τῆς κεφαλῆς, ἤτοι γε ἐξ ἐγκαύσεως, ἢ φλεγμονώδους ἐν αὐτῇ γενομένου πάθους, ἢ καὶ φρενίτιδος· ἐπιγίνεται δὲ καὶ φροντίσι, καὶ λύπαις μετ' ἀγρυπνιῶν. περὶ μὲν οὖν μελαγχολίας ἱκανὰ καὶ ταῦτα.

CAPVT XI.

De epilepsia triplici, ac de tertiæ speciei cum phalangiorum, pastinacæ marinæ, scorpionis, viperæ, aspidis, draconis ictibus venenosis analogia, & causis à Pelope Galeni præceptore productis.

AT de epilepticis affectibus deinceps, quandoquidem hi quoque interdum ipso capite affecto, interdum aliis consentiente, ortum habent, accuratè distinguendum est. Vt enim triplicem melancholiam, ita epilepsiam quoque tres sortitam differentias, omnes propè medici distinguere neglexerunt. Omnibus itaque commune est, cerebrum affici, vel consistente in ipso affectu, quod plurimis epilepticis accidit; aut à ventriculi ore, quod stomachum vocare solent medici, ad cerebrum per consensum ascendente, quod genus proportione respondet symptomatis, quæ oculis à stomacho adueniunt, veluti in suffusionibus. Fit etiam, sed rarò, tertia morbi comitialis siue speciem, siue genus, siue differentiam nominare velis, quum à parte aliquâ qualibet incipit affectus, qui deinde sentiente ægro ad cerebrum vsque ascendit. Atque hoc primum vidi in puero, qui decimumtertium ferè ætatis annum agebat, quum adolescens essem, cum optimis eius tempestatis medicis, qui conuenerant ad ipsius curatio-

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς τριπλῆς ἐπιληψίας, καὶ περὶ τῆς τοῦ τρίτου εἴδους πρὸς τὰς τῶν φαλαγγίων, καὶ τρυγόνος θαλασσίας, καὶ σκορπίου, καὶ ἐχίδνης, καὶ ἀσπίδος, καὶ δράκοντος, πληγὰς ἰώδεις ἀναλογίας, καὶ τῶν ὑπὸ τοῦ Γαληνοῦ διδασκάλου Πέλοπος εἰρημένων αἰτιῶν.

Περὶ δὲ τῶν ἐπιληπτικῶν παθῶν, ἐπεὶ καὶ ταῦτα γίνεται, ποτὲ μὲν αὐτῆς τῆς κεφαλῆς πασχούσης, ποτὲ δὲ ἄλλοις συμπασχούσης, διοριστέον ἐπιμελῶς· ἠμέληται γὰρ ἅπασι σχεδὸν τοῖς ἰατροῖς, ὥσπερ ὁ τῶν τριῶν μελαγχολιῶν διορισμός, οὕτως καὶ ὁ τῶν ἐπιληψιῶν, τρεῖς ἐχουσῶν διαφοράς. ἁπασῶν μὲν οὖν αὐτῶν κοινόν ἐστι παθεῖν τὸν ἐγκέφαλον, ἤτοι ἐν αὐτῷ τοῦ πάθους συστάντος, ὡς τοῖς πλείστοις γίνεται τῶν ἐπιληπτικῶν, ἢ ἀπὸ τοῦ τῆς γαστρὸς στόματος, ὃ δὴ καὶ στόμαχον εἰώθασι καλεῖν οἱ ἰατροί, κατὰ συμπάθειαν ἀνιόντος ἐπὶ τὸν ἐγκέφαλον, ἀνάλογον τοῖς γινομένοις συμπτώμασιν περὶ τοὺς ὀφθαλμοὺς ἀπὸ τοῦ στομάχου παραπλησίως τοῖς ὑποχεομένοις· ἐν δὲ τῷ σπανίῳ γίνεταί τι καὶ ἕτερον ἐπιληψίας εἴτε εἶδος, εἴτε γένος, εἴτε διαφορὰν ἐθέλεις ὀνομάζειν, ἀπὸ μορίου τινὸς οὗ ἔτυχεν ἀρξαμένου τοῦ πάθους, εἶτ' αἰσθητῶς αὐτῷ τῷ κάμνοντι τὴν ἄνοδον ἐπὶ τὴν κεφαλὴν ποιουμένου. καὶ τοῦτ' ἐθεασάμην ἐπὶ πρώτου μὲν παιδὸς ὡς ἐτῶν τρισκαίδεκα, μειράκιον ὢν αὐτός, ἅμα τοῖς ἀρίστοις ἰατροῖς τοῖς αὐτόθι ἡμῖν, συνελθοῦσιν ἐπὶ τὴν τῆς θεραπείας αὐτοῦ σκέψιν.

ἤκουον οὖν τοῦ παιδὸς διηγουμένου τὴν ἀρχὴν τῆς διαθέσεως αὐτῷ κατὰ τὴν κνήμην γίνεσθαι, κἄπειτ' ἐντεῦθεν ἀνιέναι κατ' εὐθὺ διά τε τοῦ μηροῦ καὶ τῆς ὑπερκειμένης λαγόνος τε καὶ πλευρᾶς, ἐπὶ τὸν τράχηλον ἄχρι τῆς κεφαλῆς, ἐπειδὰν δὲ πρῶτον ἐκείνης ψαύσῃ, μηκέτι παρακολουθεῖν ἑαυτῷ. τὴν μέντοι ποιότητα τοῦ φερομένου πρὸς τὴν κεφαλὴν ἐρωτώμενος ὑπὸ τῶν ἰατρῶν ὁποία τις εἴη, λέγειν οὐκ εἶχεν ὁ παῖς· ἀλλ' ἕτερός γε [52] τις ἐκείνου νεανίσκος, οὐκ ἄφρων, ἀλλ' ἱκανῶς αἰσθάνεσθαι τοῦ γιγνομένου δυνάμενος, ἑρμηνεῦσαί τ' ἑτέρου δυνατώτερος, οἷον αὔραν τινὰ ψυχρὰν ἔφασκεν εἶναι τὴν ἀνερχομένην. ἐδόκει δὴ τῷ διδασκάλῳ Πέλοπι δυοῖν θάτερον, ἤτοι ποιότης ἀναδίδοσθαι ἀλλοιουμένων τῶν μορίων κατὰ τὸ συνεχές, ἢ πνευματική τις οὐσία. θαυμαστὸν δὲ οὐδὲν ἔφασκεν, δύναμιν ἰσχυρὰν ἔχειν τὸν ἐν τῷ πάσχοντι μορίῳ γεννηθέντα παρὰ φύσιν χυμόν, ὁποῖοι τοῖς πονηροῖς θηρίοις εἰσὶν οἱ ἰοί. τίς γὰρ οὐκ ἂν ἠπίστησεν, εἰ μὴ πολλάκις ἑωρῶμεν αὐτὸ γιγνόμενον, ἐπί τε τῶν σκορπίων ἐγχριμψάντων τῷ κέντρῳ, καὶ φαλαγγίων μικροτάτων δακνόντων, μεγάλην καὶ ἐξαίσιόν τινα μεταβολὴν ἴσχειν ὅλον τὸ σῶμα, καίτοι βραχυτάτης οὐσίας εἰς αὐτὸ καταβαλλομένης ὑπὸ τῶν θηρίων; ἐπὶ μὲν οὖν τοῦ δάκνοντος φαλαγγίου, κἂν εἰ μικρὸν εἴη τὸ ζῷον, ὅμως δ' οὖν ἐπινοεῖν ἡμᾶς ἰόν τινα διὰ τοῦ στόματος αὐτοῦ καθιέναι τῷ δηχθέντι σώματι. τὸ δὲ τῆς θαλαττίας τρυγόνος κέντρον, ὥσπερ καὶ τὸ τοῦ χερσαίου σκορπίου, φαίνεται σαφῶς εἰς ὀξύτατον πέρας τελευτῶν, ὃ μηδὲν ἔχει κατὰ τὸ πέρας τρῆμα, δι' οὗ προΐησι τὸν ἰόν· ἀλλ' ὅμως ἀναγκαῖον ἐννοεῖν ἡμᾶς εἶναί τινα οὐσίαν ἤτοι πνευματικήν, ἢ ὑγράν, ἥ τις ὄγκῳ μὲν ἐστὶν ἐλαχίστη, μεγίστη δὲ τῇ δυνάμει. πεπληγὼς γοῦν τις ἔναγχος ὑπὸ σκορπίου, χαλάζαις ἔφη δοκεῖν βάλλεσθαι, καὶ ἦν ὅλος ψυχρός, ἵδρου τε ψυχρόν, ἐσώθη τε μόγις βοηθούμενος. οὔκουν ἀδύνατον ἔφασκεν ὁ Πέλοψ εἶναι καὶ κατὰ τὸ σῶμα τοιαύτην τινὰ οὐσίαν γεννηθῆναι χωρὶς τῆς ἔξωθεν αἰτίας, καὶ ταύτην ὅταν ἐν νευρώδει μορίῳ τὴν σύστασιν σχῇ, κατὰ τὸ συνεχὲς εἰς τὴν ἀρχὴν τῶν νεύρων ἀναπέμπειν τὴν δύναμιν, ἤτοι κατ' ἀλλοίωσιν, ὡς ἔφην, ἢ καί τινος οὐσίας πνευματικῆς ἀναφερομένης, ὥσπερ αὔρας. καὶ γάρ τοι καὶ φαίνονται πολλάκις ἐναργῶς, ὅταν ὁ σκορπίος [53] ἐναπερείσηται τὸ κέντρον εἰς νεῦρον, ἢ ἀρτηρίαν, ἢ φλέβα, σφοδροτάτοις συμπτώμασιν οἱ πληγέντες οὕτως ἁλισκόμενοι. τὸ μὲν οὖν τοῦ σκορπίου κέντρον ἐγχωρεῖ καὶ μέχρι βάθους τοῦ σώματος [54] ἐξικνεῖσθαι, διεξελθὸν ὅλον τὸ δέρμα, τὸ δὲ τῶν μικρῶν φαλαγγίων δῆγμα περὶ τὴν ἐπιφάνειαν μόνην γίνεται τοῦ δέρματος· ὥστε δῆλον ἐκ τοῦδε, καὶ διὰ τοῦ δέρματος ἐνίοτε μόνου τὴν δύναμιν τοῦ ἰοῦ φέρεσθαι πρὸς ὅλον τὸ σῶμα. συνεχές τε γὰρ αὐτῷ τὸ δέρμα πᾶν ὑπάρχει καὶ νευρῶδες· οὔκουν οὐδαμῶς ἀδύνατον εἰς ὅλον αὐτὸ διαδιδομένην ἐν τάχει τὴν ἐκ τοῦ καταβληθέντος ἰοῦ δύναμιν, ἐξ αὐτοῦ πάλιν τοῦδε κατὰ τὴν αὐτοῦ ψαῦσιν, εἰς ἕκαστον τῶν ὑποκειμένων αὐτῷ μεταλαμβάνεσθαι, πάλιν τε ἐξ ἐκείνων εἰς ἄλλα κατὰ συνέχειαν, εἶτ' αὖθις ἐκ τῶν παθόντων εἰς ἄλλα, κἄπειδὰν ἐπί τι τῶν κυρίων μορίων ἀφίκηται, κινδυνεύειν ἀπολέσθαι τὸν ἄνθρωπον. ἐναργοῦσι δ' εἰς τοῦτο μάλιστα μὲν καὶ οἱ τοῖς ὑπερκειμένοις μέρεσι δεσμοὶ προσφερόμενοι, φανερωτάτην ὠφέλειαν ἐνδεικνύμενοι. καὶ

nem. Audiui igitur tum narrantem puerum, affectionis initium in tibia sibi fieri, mox illinc rectà ascendere per femur & illi superposita ilia ac latera, ad ceruicem & caput vsque; quod vbi primum attigisset, se non amplius sibi constare. Interrogatus tamen à medicis, quale esset id, quod ferebatur ad caput, nihil habuit puer, quod responderet. Sed alius quidam ab hoc adolescens compos mentis, quique satis poterat & sentire quod fiebat, & altero disertiùs enarrare, dicebat veluti frigidam quandam auram esse id quod ascendebat. Vnde ex duobus alterum Pelopi præceptori placebat, aut qualitatem quandam, alteratis per continuationem partibus, aut spiritalem substantiam transmitti. Neque mirandum esse dicebat, validam vim esse humori, qui in affecta parte præter naturam genitus fuisset, qualis perniciosarum ferarum venenis inest. Quis enim crederet, nisi sæpè id fieri videremus, vel à scorpionibus infixo aculeo, vel à phalangiorum paruorum morsibus, totum corpus ingenti & inusitatâ mutatione affici, minimam licet quandam substantiam feris in ipsum demittentibus? Quum itaque phalangium aliquem momordit, quanuis paruum sit animal, existimare nos *debemus* venenum ex ipsius ore in morsum corpus descendisse. Porrò pastinacæ marinæ, quemadmodum & terreni scorpionis, aculeus, in partem extremam acutissimam manifestè finitur, vbi nullum foramen est, per quod venenum deiiciat; necesse tamen est, vt cogitemus substantiam quandam esse aut spiritalem, aut humidam, quæ mole minima, facultate maxima sit. Etenim nuper ictus quidam à scorpione, videbatur sibi, vt aiebat, grandine percuti, eratque totus frigidus, cum sudore etiam frigido, tandemque adiutus remediis, vix seruatus est. Itaque Pelops non impossibile esse dicebat, in corpore similem aliquam substantiam generari citra causam externam, quæ vbi neruosam aliquam partem occupasset, per continuas partes vsque ad neruorum principium vim suam transmitteret, siue per alterationem (vt ipse dicebam) siue spiritali essentiâ veluti aurâ ad ipsum elatâ; sæpenumero enim infigente aculeum scorpione, aut in neruum, aut arteriam, aut venam, manifestè videmus ita percussos vehementissimis infestari symptomatis. Atqui scorpionis quidem aculeus totam cutem penetrando, ad profundum vsque potest peruenire; phalangiorum verò paruorum morsus solam afficit cutis superficiem; vnde constat, interdum per solam cutem veneni vim ad totum corpus deferri. Nam tota cutis sibi ipsi continua est, & neruosa; proinde haudquaquam impossibile est, per totam ipsam celeriter distributam immissi veneni vim, inde ex eadem rursus ipsius contactu in singulas subiectarum partium recipi; mox ex illis in alias continuas, atque iterum ex ijs, quæ afficiuntur, in alias, quumquead principum partium aliquam peruenerit, tum mortis peticulum homini instare. Ad hanc rem in primis conferunt vincula superioribus partibus iniecta, à quibus præsentaneum præsidium percipitur. Etenim

in

in viperarum scorpionumque ictibus hæc expertus sum, item aspidum quoque, quod propter imminens subitariæ mortis periculum, magis incredibile est. Attamen quum Alexandriæ essem, rusticus quidam non longè ab vrbe in vno manus digitorum ictus, eius radicē in postbrachiali validissimo vinculo ligauit, accurrensque in vrbem ad familiarem sibi medicum, totum digitum ab ipsa dearticulatione, quæ ad postbrachiale est, abscindendum præbuit, sperans inde nihil se passurum; neque sanè frustratus est sua spe, quippe nihil aliud faciens saluus euasit. Similiter alium noui, qui epoto ex viperis medicamento, rescisso prius digito, à periculo liberatus est. Vidi præterea alterum rusticum, cuius totum digitum vipera momorderat, qui falce, quam tunc fortè habebat (erat enim vinitor) ab vltimo articulo ictâ parte resectâ, deinde inductâ vsitatis medicamentis digito cicatrice, nullo epoto medicamento, sanatus est. Sed puerum quoque, cuius morbus comitialis à tibia oriebatur, medici, qui tunc ad curationem eius conuenerant, sanare aggressi, cum visum ipsis esset vacuato prius vniuerso corpore, medicamentum ex thapsia, aut sinapi, parti adhibere, ligato intereà membro supra eam partem, quæ primario affectu erat obsessa, accessionem reuerti prohibuerunt, quanuis quotidie accederet. Verùm hæc mihi ex abundanti dicta sint, ne quis miretur, quo pacto ab ignobili aliquâ parte tantus morbus ortum habeat. Superest, vt causam inuestigemus, quamobrem in huiusmodi per consensum affectionibus epilepticæ fiant conuulsiones; nam ne Pelops quidem vllam huius rei attulit probabilem rationem, vt neque alius quisquam, cum quo nobis aliqua fuerit consuetudo. Mihi itaque per huiusmodi consensum videnti aliquando hominem laborantem sine vehementi conuulsione concidere, cum breuibus per interualla palpitantibus motibus, probabile visum est, tale quippiam fieri, quale frequentissimè fieri cernimus in stomachi singultibus. Atq; ego ipse singultum ilicò patior, si quando piperis plusculum ingesserim; idque alijs quibusdam non paucis, quibus exquisitus erat oris ventriculi sensus, accidisse vidimus; iam autem supra memoratum est id non solùm medicis, verùm etiam vniuersis hominibus, stomachum appellari. Itaque vidi quum cecidissent qui non ex propria cerebri affectione, sed per consensum, comitiali morbo laborabant, non perpetuam conuulsionem, sed veluti palpitantem per interualla concussionem fieri; proinde existimaui similem aliquem cerebro motum euenire, qualis stomacho interdum à re quapiam oblædente accidit. Etenim quum à ciborum plenitudine grauatur, & ab eorum corruptionibus lancinatur, tum singultu affici conspicitur, atque acrem quoque humorem non singultum modò, verùm etiam conuulsionem, per vniuersum corpus efficere sæpenumerò obseruaui; deinde vomitu eiecto eo, quod mordebat, ilicò quieuit. Nihil igitur mirandum est, si neruorum principium huiuscemodi motu concutiatur, vt à se expellat quicquid fuerit id, quod à parte primò affectâ ad ipsum effertur. Ad hunc modum reliqua quoque symptomata,

A γὰρ ἐπὶ τῶν ἐχιδνῶν ἐπειράθημεν τούτου, καὶ τῶν σκορπίων, ἤδη δὲ καὶ ἀσπίδων, ὃ καὶ μάλιστα ἂν τις ἠπίστησεν διὰ τὸν ἐπικείμενον αὐτίκα θάνατον. ἀλλ' ὅμως ἐπὶ τῆς Ἀλεξανδρείας ὄντος μου, δηχθείς τις ἀγροικος οὐ πόῤῥω τῆς πόλεως, ἕνα τῶν κατὰ τὴν χεῖρα δακτύλων, ἔδησέ τε δεσμῷ σφοδροτάτῳ τὴν πρὸς τῷ μετακαρπίῳ ῥίζαν αὐτοῦ, καὶ δραμὼν ἐπὶ τὴν πόλιν πρὸς ἰατρὸν συνήθη, παρέσχεν ἀποτεμεῖν ὅλον τὸν δάκτυλον ἀπὸ τῆς εἰς τὸ μετακάρπιον διαρθρώσεως, ἐλπίζων ἐκ τούτου μηδὲν πείσεσθαι· καὶ μέντοιγε καὶ προὐχώρησεν αὐτῷ κατὰ τὴν ἐλ-

B πίδα, διεσώθη γὰρ οὐδὲν ἄλλο πραγματευόμενος ἔτι. καθάπερ ἕτερον οἶδα πιόντα τὸ διὰ τῶν ἐχιδνῶν φαρμάκου, μετὰ τὸ τὸν δάκτυλον ἀποτεμεῖν, ὑγιασθέντα· καὶ μέντοιγε καὶ ἄλλον ἐθεασάμην ἀγροικον, ὅλον τὸν δάκτυλον ὑπὸ ἐχίδνης δηχθέντα, δρεπάνῳ μὲν, ὃ τότ' εἶχεν, ἦν γὰρ ἀμπελουργὸς, ἀπὸ τῆς ὑστάτης διαρθρώσεως ἀποτεμόντα τὸ δεδηγμένον μέρος, ἄνευ δὲ πόσεως φαρμάκου διασωθέντα, τοῦ δακτύλου κατουλωθέντος ὑπὸ τῶν συνήθων φαρμάκων. ἀλλὰ καὶ τὸν ἀπὸ τῆς κνήμης ἐπιληπτικὸν

C παῖδα θεραπεύειν ἐπιχειρήσαντες οἱ τότε συναθροισθέντες εἰς τὴν σκέψιν ἰατροὶ, δόξαν αὐτοῖς προκαθήραντας ὅλον τὸ σῶμα προσενεγκεῖν τῷ μέρει τὸ διὰ τῆς θαψίας ἢ νάπυος φάρμακον, ἐν τῷ μεταξὺ δήσαντες τὸ κῶλον ἀνωτέρω τοῦ προτοπαθοῦντος μορίου, διεκώλυσαν γίνεσθαι τὸν παροξυσμὸν, καίτοι γε καθ' ἑκάστην ἡμέραν γινόμενον. ἀλλὰ ταῦτα μὲν ἐκ περιουσίας εἰρήσθω μοι τοῦ μὴ θαυμάζειν ἕνεκα, ὅπως ἀπὸ μορίου τινὸς ἀκύρου γίνεται τηλικοῦτον πάθος. ὑπολείπεται δὴ ἔτι ζητῆσαι τὴν

D αἰτίαν τῶν ἐπὶ ταῖς τοιαύταις συμπαθείαις γινομένων ἐπιληπτικῶν σπασμῶν· οὐδὲ γὰρ ὁ Πέλοψ εἰς τοῦτο πιθανὸν οὐδὲν εἶπεν, ὥσπερ οὐδ' ἄλλος οὐδεὶς ὧν ἐκοινωνήσαμεν. ἐμοὶ γοῦν θεασαμένῳ ποτὲ τὴν ἐπὶ τῇ τοιαύτῃ συμπαθείᾳ κατάπτωσιν τοῦ κάμνοντος ἀνθρώπου χωρὶς σπασμοῦ σφοδροῦ γινομένην, ἐν βραχέσι κατὰ διαλείμματα παλμώδεσι κινήσεσι, πιθανὸν ἐφαίνετο γίνεσθαί τι τοιοῦτον, οἷον ὁρᾶται συνεχέστατα καὶ ἐπὶ τοῦ στομάχου συμβαῖνον ἐν τοῖς λυγμοῖς. ἐγὼ γοῦν αὐτὸς, ὅταν ποτὲ πεπέ-

E ρεως προσενέγκωμαι πλέον, εὐθέως λύζω, καὶ ἄλλοις δέ τισιν οὐκ ὀλίγοις εἶδον τοῦτο συμβαῖνον, οἷς αἰσθητικὸν ἱκανῶς ἦν τὸ τῆς γαστρὸς στόμα· προείρηται δ' ὅτι καὶ τοῦτο συνήθως ὀνομάζουσιν οὐχ οἱ ἰατροὶ μόνον, ἀλλὰ καὶ πάντες ἄνθρωποι, στόμαχον. εἶδον γοῦν ἐν τῇ καταπτώσει τῶν κατὰ συμπάθειαν, οὐκ ἰδιοπαθοῦντος ἐγκεφάλου παθόντων ἐπιληπτικῶν, οἷον παλμώδη τινὰ κλόνον ἐκ διαστημάτων γινόμενον, οὐ συνεχῆ σπασμὸν, ὥστε με τεκμαίρεσθαι παραπλησίαν τινὰ κίνησιν γίνεσθαι κατὰ τὸν ἐγκέφαλον, τῇ κατὰ τὸν στόμαχον ἐπὶ τοῖς ἀνιῶσιν αὐτὸν ἐνίο-

F τε συμπιπτούσῃ. καὶ γὰρ ἐπὶ σιτίων πλήθει βαρυνόμενος, ὥσπερ οὖν καὶ δακνόμενος ἐπὶ ταῖς διαφθοραῖς αὐτῶν, φαίνεται λύζων· καὶ διὰ δριμύν τε χυμὸν, οὐ μόνον λυγμὸν, ἀλλὰ καὶ σπασμὸν εἶδον οὐκ ὀλιγάκις ὅλῳ τῷ σώματι γινόμενον· ἐμεθέντος δὲ τοῦ δάκνοντος, εὐθέως ἐπαύσατο. θαυμαστὸν οὖν οὐδέν ἐστιν, καὶ τὴν ἀρχὴν τῶν νεύρων εἰς τοιαύτην κίνησιν ἀφικνεῖσθαι, διωσασθαι σπευδούσης ὅτι περ ἂν ᾖ τὸ ἐπ' αὐτὴν ἀπὸ τοῦ πρωτοπαθοῦντος μέρους ἀναφερόμενον· οὕτω δέ μοι δοκεῖ καὶ τἄλλα

πάντα τὰ κλονοῦντα τὸ νευρῶδες γένος, ἐπιγίνεσθαι συμπτώματα· τὰ δ' εἰς κατάπτωσιν ἀναίσθητον ἄγοντα, χωρὶς κινήσεως σπασμώδους, ἢ παλμώδους, ἐπὶ καταψύξει γίγνεσθαι σφοδρᾷ· τούτου δὲ γένους ἐστὶ καὶ ὁ λήθαργος. ἡ δ' ἀποπληξία διὰ τὴν ἐξαίφνης γένεσιν, ἐνδείκνυται ψυχρὸν χυμὸν, ἢ παχὺν, ἢ γλίσχρον ἀθρόως πληροῦντα τὰς κυριωτέρας τὰς κατὰ τὸν ἐγκέφαλον κοιλίας, οὐ κατὰ δυσκρασίαν ὅλης τῆς οὐσίας αὐτοῦ γίνεσθαι, καθάπερ ὅ, τε λήθαργος, καὶ ἡ φρενῖτις, αἵ τε μανίαι, καὶ αἱ μελαγχολίαι, καὶ αἱ μωρώσεις, ἀπώλειαί τε τῆς μνήμης, ἀμυδρότης τε τῶν αἰσθήσεων, καὶ τῶν κινήσεων ἐκλύσεις. ἐπὶ δὴ οὖν ἁπάντων τῶν τοιούτων παθῶν, ὁποῖόν ἐστι καὶ τὸ τῆς ἀποπληξίας, τὸ μέγεθος τοῦ κινδύνου τεκμαίρου τῷ μεγέθει τῆς κατὰ τὴν ἀναπνοὴν βλάβης. ὥσπερ γὰρ ἐπὶ τῶν κοιμωμένων ἡ ἀναπνοὴ γὰρ, καίτοι μηδεμίαν ἄλλην ἐνέργειαν ἐνεργούντων τῶν προαιρετικῶν, ἀλλ' ὑπτίων ἐπὶ τῆς κλίνης ἀκινήτων ἀνακειμένων, οὕτως κἀν τοῖς καρώδεσι πάθεσιν ἅπασι μήτ' αἰσθανομένου, μήτε κινουμένου τοῦ σώματος, ὅμως ἡ ἀναπνοὴ μόνη διασώζεται, τῶν κινούντων τὸν θώρακα μυῶν ἔργον οὖσα· τούτου γὰρ ἐπιστήμην ἔχομεν βεβαίαν ἀποδεικτικῷ νόμῳ γεγονυῖαν, ὥσπερ γε καὶ ὅτι τοῖς μυσὶν ἅπασιν ἡ ἀρχὴ τῆς κινήσεως ἀπὸ τῶν ἐμφυομένων αὐτοῖς γίνεται νεύρων· ἡ δ' ἀνατομὴ σαφῶς ἡμᾶς ἐδίδαξεν, ἁπάντων τῶν νεύρων εἶναι τὴν πρώτην ἀρχὴν τὸν ἐγκέφαλον· οὐχ ἁπλῶς δ' εἶπον ἀρχὴν, ἀλλὰ πρώτην, τῷ λόγῳ προσέθηκα, διὰ τὸν νωτιαῖον· ὁρᾶται μὲν γὰρ ἐκφυόμενα τούτου νεῦρα πάμπολλα, τὴν χορηγίαν δ' ὧν ἔχει δυνάμεων, αὐτὸς ὁ ἐγκέφαλος ἐπιπέμπει καὶ τῷ νωτιαίῳ. τὴν τοίνυν ἀναπνοὴν ὅταν ἱκανῶς ἐμποδιζομένην ἴδῃς καὶ μόγις γινομένην, οὐ μικρὸν τεκμαίρου τὴν νοσώδη διάθεσιν ἐν ἐγκεφάλῳ γεγονέναι, κατὰ πάσας τὰς καρώδεις νόσους.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ σκοτώματος, ἢ σκοτοδίνου.

Ταῦτά τε οὖν ἅπαντα σαφῶς τὰ πάθη περὶ τὴν κεφαλὴν γίνεται, καὶ πρὸς ἔτι τὸ καλούμενον σκοτωματικὸν, ὃ δηλονότι κἀξ αὐτῆς τῆς προσηγορίας, ὁποῖόν ἐστι. σκοτοῦνται γὰρ ἐπὶ σμικραῖς προφάσεσιν οἱ πάσχοντες, ὡς καὶ καταπίπτειν ἐνίοτε, μάλιστα μὲν ὅταν αὐτοί ποτε ἐν κύκλῳ περιστραφῶσιν· ὅπερ γὰρ τοῖς ἄλλοις ἐπὶ πολλαῖς περιστροφαῖς συμβαίνει, τοῦτο ἐκείνοις ἐπὶ μιᾶς. κἂν ἕτερον δέ τινα περιστρεφόμενον ἴδωσι, σκοτοῦνται, κἂν τροχὸν, ἤ τι τοιοῦτον περιδινούμενον, αὐτάς τε τὰς καλουμένας δίνας ἐν τοῖς ποταμοῖς. συμβαίνει δὴ αὐτοῖς ταῦτα μᾶλλον, ὅταν ἡλιωθῶσιν, ἤ πως ἄλλως θερμανθῶσι τὴν κεφαλήν. ἔοικεν οὖν ὅπερ ἐν τοῖς ἄλλοις ἐκ τοῦ περιστραφῆναι πολλάκις ἐν κύκλῳ συμβαίνει, τοῦτο ἐκείνοις ἄνευ τοῦ περιστραφῆναι γίγνεσθαι· τοῖς δὲ περιστρεφομένοις πολλάκις ἐν κύκλῳ, ἀνώμαλός τε καὶ ταραχώδης καὶ ἄτακτος κίνησις τῶν τε χυμῶν καὶ τοῦ πνεύματος ὡμολόγηται γίνεσθαι· εὔλογον οὖν τοῖς ἐν τῷ σκοτωματικῷ πάθει καθεστῶσι, τοιοῦτόν τι συμβαίνειν. διὸ καί τινες αὐτῶν ἀρτηριοτμηθέντες ὤνηντο, διαιρουμένων δηλονότι τῶν ὄπισθεν τῶν ὤτων ἀρτηριῶν ὅλων ἄχρι βάθους, ὡς οὐλὴν μεταξὺ γίνεσθαι τῶν δυοῖν μερῶν. ὅτι δὲ οὐ πάντες πρὸς τοῦ βοηθήματος τοῦδε θεραπεύονται, δῆλόν ἐστιν·

quibus neruosum genus concutitur, fieri puto; ea verò, in quibus deperdito sensu quis concidit citra motum conuulsiuum vel palpitantem, à vehementi frigore ortum trahere, cuius generis est lethargus. Apoplexia autem quòd subitò eueniat, frigidum humorem indicat, aut crassum, aut viscidum, qui principaliores cerebri ventriculos affatim implet, non totius substantiæ intemperiem sibi causam esse, veluti lethargo, phrenitidi, maniæ, melancholiæ, stultitiæ, amissæ memoriæ, sensuum hebetationi, resoluto motui. Porrò in omnibus huiuscemodi affectibus, qualis est apoplexia, periculi magnitudinem ex respirationis læsione coniice. Quemadmodum enim dormientes respirant, quanuis nullâ aliâ accidente voluntariâ actione, sed supini in cubili iacentes, ita in soporosis affectibus omnibus, quanuis neque sentiat corpus neque moueatur, tamen sola respiratio seruatur, quæ musculorum pectus mouentium munus est; cuius rei firmam, ac demonstratiuâ lege stabilitam habemus scientiam, quemadmodum etiam, quòd musculis omnibus motûs principium ab insertis ipsis neruis accedit; at ex anatome didicimus, neruos omnes à cerebro primarium sumere initium; neque verò simpliciter initium dixi, sed primarium, spinalis medullæ gratiâ orationi adieci; permulti enim ex ea nerui prodire videntur, vim tamen omnem, quam habet, cerebrum etiam ipsi suppeditat. Quum itaque respirationem vehementer impeditam, difficulterque procedentem videris, non paruam in cerebro morbosam affectionem esse coniice, in omnibus soporiferis morbis.

CAPVT XII.

De Vertigine tenebricosa.

OMnes igitur hi affectus manifestè fiunt in capite, ac præterea vertigo tenebricosa nuncupata, quæ qualis sit etiam ipsa appellatione prodit. Nam à parua occasione obtenebrantur laborantes, adeò vt interdum decidant, maximè quum in orbem rotantur; quod enim cæteris à multis circumuersionibus, id illis ab vna rotatione accidit. Quinetiam obtenebrantur, si alium quempiam, aut rotam, aut id genus aliud quidpiam, aut ipsos quoque quos vocant in fluminibus vortices, circumagi viderint. Hæc autem ipsis accidunt maximè, quum sub Sole æstuauerint, vel aliam ob causam calefacto fuerint capite. Quod itaque aliis, quum in gyrum frequenter vertuntur, accidit, hoc ipsis qui citra circuitionem euenire videtur: at iis qui crebrò in orbem vertuntur, inæqualem, & turbulentum, & inordinatum motum tum humorum, tum spiritûs fieri in confesso est; rationi igitur consonum est, huiusmodi aliquid vertigine affectis itidem euenire. Quamobrem nonnulli horum ab arteriarum sectione præsidium petierunt, totas arterias pone aures ad tantam videlicet altitudinem secantes, vt medius inter duas partes locus cicatrice induceretur. Sed constat non omnes huius auxilij beneficio curari; etenim

etenim aliæ arteriæ iis maiores ād cerebrum ex ipsius basi per retiformem plexum ascendunt, per quas huiusmodi affectionem fieri rationi consentaneum est, elato per ipsas vaporoso calidóque spiritu, atque implente cerebrum; fieri etiam potest, vt inæqualis cerebri intemperies huiusmodi spiritum producat. Sed & hanc affectionem ad cerebrum pertinere, ex ipso obtenebratorum sensu manifestum est. Oritur verò & ipsa, interdum capite primigenio affectu laborante, interdum verò, quum ori ventriculi consentit. Id verò fatebatur & Archigenes, qui libro primo de propriis diuturnarum affectionum signis, ita de tenebricoso hoc affectu scribit; *Is verò quoque bifariàm oritur, aut à capite, aut ab ijs partibus quæ circa hypochondria sunt.* Mox hæc genera eius distinguere aggreditur. Nam vbi ex primaria cerebri affectione obtenebratio dependet, aurium sonos, & capitis dolores, grauitatesque præcedere dicit, item olfactûs, vel alterius alicuius sensûs inde prodeuntis oblæsionem; huic enim sermoni annexuit ipse, inde prodeuntis, eos sensus, vt equidem puto, significare volens, qui à capite initium sumunt; vbi verò ab ore ventriculi tenebricosa vertigo oritur, cordis morsionem, nauseámque præsentiri ait. Verùm vt iam anteà sæpenumerò monui, licet caput per alterius partis consensum quandoque afficiatur, affectio tamen nihilominus ipsi ascribenda est.

CAPVT XIII.

De Cephalæa, hemicrania, & reliquis capitis doloribus.

AT sane de ea, quæ cephalæa à medicis nominatur, nemo dubitauerit, quin capitis sit morbus. Est enim (vt breui quis sermone complexus dixerit) affectus hic dolor capitis diuturnus & solutu difficilis; qui à leuibus causis vehementes habet accessiones, vt neque strepitum, neque vocem vehementiorem, neque luminis splendorem, neque motum tolerare possit *infirmus*; sed tranquillitatem, obscurumque cubiculum quærat, ob dolorum vehementiam. Enimvero nonnulli veluti malleo se percuti arbitrantur; alii caput contundi, distendique sentiunt; non paucis ad oculorum quoque radices dolor extenditur. Atque huiusmodi etiam accessiones, veluti in morbo comitiali, intermissiones habent, interceditque tempus, quo perfectè liberari videntur. Igitur constat hunc morbum facilem habere capitis affectum cephalalgiæ congenerem, verùm per cephalæam affectæ partes multò redduntur quam in cephalalgia, debiliores. At quædam est & inter eos qui dolore capitis afficiuntur, differentia; quum nonnulli caput habeant admodum plenitudini obnoxium, ac vniuersum corporis habitum ipsi implendo idoneum, nonnulli & ipsius capitis partes affici solitas; hisque naturis vitioso victu vtentibus accidit, in cephalæam affectum pro-

A ἕτεραι γὰρ ἀρτηρίαι τούτων πολὺ μείζους ἐπὶ τὸν ἐγκέφαλον ἀναφέρονται κατὰ τὴν βάσιν αὐτοῦ διὰ τοῦ καλουμένου δικτυοειδοῦς πλέγματος, ὑφ' ὧν γίνεσθαι τὸ πάθος εὔλογόν ἐστιν, ἀτμώδους καὶ θερμοῦ πνεύματος δι' αὐτῶν ἀναφερομένου καὶ πληροῦντος τὸν ἐγκέφαλον. ἐγχωρεῖ δὲ καὶ κατ' αὐτὸν τὸν ἐγκέφαλον ἀνώμαλόν τινα δυσκρασίαν γίνεσθαι τοιούτου πνεύματος γεννητικήν. ἀλλ' ὅτι γε καὶ τοῦτο τῆς κεφαλῆς ἐστιν τὸ πάθος, ἐξ αὐτῆς τῶν ἐσκοτωμένων τῆς αἰσθήσεώς ἐστι δῆλον· γίγνεται δὲ καὶ αὐτὸ, ποτὲ μὲν πρωτοπαθούσης τῆς κεφαλῆς, ποτὲ δὲ συμπαθούσης κατὰ τὸ στόμα
B τῆς κοιλίας. ὡμολόγει δὲ τοῦτο καὶ ὁ Ἀρχιγένης, ἐν τῷ πρώτῳ τῶν χρονίων παθογνωμονικῶν γράψας ὧδε περὶ τοῦ σκοτωματικοῦ τούτου πάθους. λαμβάνει δὲ τὴν κατασκευὴν διχόθεν καὶ αὐτὸ, ἤτοι ἀπὸ κεφαλῆς ἢ καὶ τῶν κατὰ τὰ ὑποχόνδρια χωρίων. καὶ μέντοι καὶ διορίζειν αὐτὰ πειρᾶται, τοῖς μὲν ἀπὸ τῆς κεφαλῆς πρωτοπαθούσης σκοτωματικοῖς, ὤτων ἤχους, καὶ κεφαλῆς ὀδύνας, καὶ βάρη προηγεῖσθαι λέγων, ἢ καὶ τῆς ὀσφρήσεως, ἢ τινὸς ἄλλης βλάβην αἰσθήσεως τῶν ἐντεῦθεν· αὐτὸς γὰρ προσέθηκεν τούτῳ τῷ λόγῳ,
C τῶν ἐντεῦθεν, τὰς ἀπὸ τῆς κεφαλῆς ὁρμωμένας ἐμοὶ δοκεῖν, ἐνδείξασθαι βουλόμενος· τοῖς δὲ ἀπὸ τοῦ στόματος τῆς κοιλίας σκοτωματικοῖς, καρδιωγμοὺς καὶ ναυτίας προηγεῖσθαί φησιν. ἀλλ' ὡς εἴρηταί μοι καὶ πρόσθεν ἤδη πολλάκις, εἰ καὶ κατὰ συμπάθειαν ἑτέρου μορίου πάσχει ποθ' ἡ κεφαλή, τὰ γινόμενα γοῦν πάθη ταύτης εἶναι νομιστέον ἐστίν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

D *Περὶ κεφαλαίας καὶ ἡμικρανίας, καὶ τῶν λοιπῶν τῆς κεφαλῆς ἀλγημάτων.*

ΟΥ μὴν οὐδὲ περὶ τῆς ὀνομαζομένης ὑπὸ τῶν ἰατρῶν κεφαλαίας ἀμφισβητήσειεν ἄν τις, ὡς οὐκ ἂν εἴη τῆς κεφαλῆς τὸ νόσημα. ἔστι γὰρ, ὡς ἄν τις συλλαβὼν λόγῳ βραχεῖ εἴποι, τὸ πάθος τοῦτο κεφαλαλγία χρόνιός τε καὶ δύσλυτος, ἐπὶ μικραῖς προφάσεσιν, μεγάλους ἴσχουσα παροξυσμοὺς, ὡς μήτε ψόφων
E ἀνέχεσθαι, μήτε φωνῆς σφοδροτέρας, μήτε λαμπροῦ φωτὸς, μήτε κινήσεως, ἀλλ' ἐν ἡσυχίᾳ καὶ σκότῳ κατακεῖσθαι βούλεσθαι διὰ τὸ μέγεθος τῶν ἀλγημάτων. ἔνιοι μὲν γὰρ κόπτειν, ὡς ὑπὸ σφυρᾶς πλήττεσθαι δοκοῦσιν, ἔνιοι δὲ ὡς θλωμένων ἢ διατεινομένων αἰσθάνονται τῶν κατὰ τὴν κεφαλὴν, οὐκ ὀλίγοις δ' εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν διήκει τὸ ἄλγημα. καὶ μέντοι καὶ διαλείπουσιν οἱ τοιοῦτοι παροξυσμοὶ, καθάπερ καὶ τοῖς ἐπιληπτικοῖς, καί τις χρόνος γίνεται μεταξὺ τελέως ἀμέμπτος. εὔδηλον οὖν ὅτι τὸ νόσημα τοῦτο, τὴν μὲν διάθεσιν ἔχει τῆς κε-
F φαλῆς ὁμογενῆ τοῖς κεφαλαλγικοῖς, ἐπὶ μᾶλλον δὲ ἐκείνων ἀσθενείας ἥκει τὰ κατὰ τὴν κεφαλαίαν πάσχοντα μόρια. διαφορὰ δέ τις ἐστὶν καὶ αὐτῶν τῶν κεφαλαλγικῶν, ἐνίων μὲν τὴν κεφαλὴν εὐπλήρωτον ἐχόντων, ἐπιτήδειον δὲ τὴν ὅλην τοῦ σώματος ἕξιν εἰς τὸ πληροῦν αὐτὴν, ἐνίων δὲ καὶ αὐτὰ τὰ πεφυκότα πάσχειν ἐπιτήδεια. καὶ συμβαίνει γε ταῖς τοιαύταις φύσεσιν κακῶς διαιτωμέναις, εἰς τὸ τῆς κεφαλαίας ἐμπίπτειν πάθος.

οὐκ ἀπεικὸς δέ, τοῖς μὲν τισὶν αὐτῶν τὰς περὶ τὸν ἐγκέφαλον ὀδυνᾶσθαι μήνιγγας, ἐνίοις δὲ τὸ περικράνιον. ἡ διάκρισις δὲ αὐτῶν ἐν τῷ διήκειν, ἢ μὴ διήκειν τὰς ὀδύνας εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν. εὔλογον γάρ, οἷς ἡ διάθεσίς ἐστιν ἔνδον τοῦ κρανίου, τούτοις εἰς τὰς τῶν ὀφθαλμῶν βάσεις ἀφικνεῖσθαι τὸν πόνον, ἐπειδὴ καθήκουσιν εἰς αὐτὰς ἀποφύσεις ἐξ ἐγκεφάλου τε καὶ ἀμφοτέρων τῶν μηνίγγων, ἔτι τε καὶ τῶν ἐν αὐταῖς ἀγγείων. ἀλλὰ καὶ τῶν ὀδυνωμένων τὸ τῆς κεφαλῆς ἥμισυ μέρος, καλουμένων δὲ συνήθως ἡμικρανικῶν, ἐνίοις μὲν ἔξωθεν τοῦ κρανίου τὴν αἴσθησιν τῆς ὀδύνης γίνεσθαι συμβαίνει, τισὶ δὲ εἰς τὸ βάθος τῆς κεφαλῆς διήκουσαν· διορίζει δ' ἑκάτερον μέρος τῆς κεφαλῆς, ἀριστερόν τε καὶ δεξιὸν ἡ κατὰ τὸ μῆκος ἐκτεταμένη ῥαφή, καθ' ἣν ἔνδον τῶν ὀστῶν τῆς κεφαλῆς ἡ μέσον τὸν ἐγκέφαλον διαιροῦσα γραμμὴ τέτακται, πρὸς ἣν ἀνήκει τὸ διάφραγμα τῶν ἐμπροσθίων δυοῖν κοιλιῶν. ἐπιτήδειοι δὲ φύσεις σωμάτων εἰσὶ πληροῦν τὴν κεφαλήν, ἐν αἷς ἀτμῶδες πνεῦμα γεννᾶται θερμόν, ἢ χολώδη περιττώματα κατὰ τὸ στόμα τῆς κοιλίας ἀθροίζεται· γίγνεται δὲ τὰ μὲν ἀπὸ τῶν πνευμάτων ἀλγήματα, τονώδη, καλεῖται δὲ οὕτως οἷς αἴσθησις συνέζευκται τάσεως· τὰ δ' ἀπὸ τῶν χολωδῶν περιττωμάτων, δακνώδη· τὰ δ' ὑπὸ πλήθους γινόμενα, βάρους αἴσθησιν ἔχει, μετὰ μὲν ἐρεύθους καὶ θερμασίας συμβαίνοντα, θερμῶν χυμῶν, ἄνευ δὲ τούτων, οὐ θερμῶν. ἐνίοις δὲ συμβαίνει συνεχῶς ἀλγεῖν τὴν κεφαλὴν ἔκ τε πόσεως οἴνου βραχεῖ πλείονος, ἢ ἀκρατεστέρου ποθέντος, ἔτι τε μᾶλλον εἰ θερμὸς εἴη φύσει· πασῶν τε τῶν θερμῶν ὀσμῶν, ὅσαι στύρακος, ἢ κύφεως, ἢ ὅλως ἀρωμάτων θερμῶν θυμιωμένων, γίγνονται· τινὲς δὲ οὐδὲ τὴν ἀπὸ τοῦ λιβανωτοῦ φέρουσιν ὀσμήν. εὔλογον δὲ καὶ διὰ περιττὴν αἴσθησιν ἐνίοις γίγνεσθαι τὰς ὀδύνας, ὥσπερ ἐπὶ τοῦ στόματος τῆς κοιλίας οὐκ ὀλίγοις· τισὶ μὲν γὰρ οὕτως ἐστὶν αἰσθητικόν, ὡς μήτ' ὄξος φέρειν δριμύ, μήτε νᾶπυ, μήτ' ἄλλο τι τοιοῦτον· ἐνίοις δ' ἐγγὺς ἀναισθησίας ἥκει, φαίνονται γοῦν ἐρυγγάνοντες, ἐμοῦντες, ἔνιοι μὲν δεινῶς ἄτοπα ταῖς ποιότησιν, ὡς ἡμῶν τῶν ὀσμωμένων αὐτά, μηδένα δύνασθαι φέρειν, αὐτοὶ δὲ μηδεμίας ἀξιολόγου δήξεως αἰσθανόμενοι. δυνατὸν οὖν ἐστι καὶ κατὰ τὸν ἐγκέφαλον εἶναι τοιαύτας διαφορὰς τοῖς ἀνθρώποις, ὡς τῶν αὐτῶν ὀσμῶν ἐνίους μὲν ἀλύπως ἀνέχεσθαι, καθάπερ εἰ καὶ μηδ' ὅλως αὐτοῖς ἐπλησίασαν, ἐνίους δὲ ἀνιαρῶς. ἀλλ' ὅτι γε τὰ τοιαῦτα πάθη πάντα τῆς κεφαλῆς ἐστιν, ἐναργῶς φαίνεται.

ruere. Non absurdum autem est, horum quibusdam meningas cerebrum continentes doloribus affici, alijs exteriorem caluariæ membranam. Discrimen autem in eo est positum, quod ad oculorum radices dolores perueniant, aut non perveniant. Siquidem consentaneum est, vt quibus intra caluariam affectus est, ijs ad oculorum vsque basin dolor extendatur; quòd & à cerebro, & ab vtraque meninge, atque à vasis quæ in ipsis continentur, veluti germina quædam illuc deducantur. Sed & eorum quibus dimidia capitis pars dolore infestatur (solent autem vocari hemicranici) alij extra caluariam, alij in capitis intimis partibus, dolorem sentiunt; vtramque autem capitis partem, dextram & sinistram, distinguit sutura per longitudinem ipsius porrecta, sub qua intra capitis ossa, linea medium cerebrum diuidens protenditur, ad quam etiam peruenit anteriorum duorum ventriculorum septum. Ac ea corpora suaptè naturâ idonea sunt, vt ipsis caput impleatur, in quibus vaporosus calidusque spiritus generatur, aut quibus biliosa excrementa cumulantur in ore ventriculi. Ac spiritus quidem dolores inducunt tensiuos, qui idcircò sic vocati sunt, quòd tensionis sensum inducant; biliosa verò excrementa doloribus mordacibus afficiunt. Dolores autem à plenitudine geniti grauitatis sensum afferunt; quibus si rubor accedat atque calor, calidos, sed sine his, non calidos humores *significant*. Nonnullis caput assiduè dolere contingit, vbi vel paulò liberaliùs vinum biberint, vel meracius; idque magis, si naturâ calidum fuerit; præterea calidi odores omnes, quicunque styrace, aut cyphi, aut in totum aromatibus omnibus suffitis fiunt, *capitis dolorem his pariunt*; nonnulli ne thuris quidem odorem ferre possunt. Consentaneum verò est, quibusdam etiam ob sensûs exuperantiam dolores excitari, quemadmodum in ore ventriculi non paucis; sunt enim nonnulli quibus id tam exactè sentit, vt neque acre acetum, neque sinapi, neque aliud huiusmodi ferat; alii verò contrà ipsum penè insensile habent; quippe videntur vel ructare, vel vomere quidam vsqueadeò vitiosis qualitatibus infecta, vt nos ne odorem quidem sustinere possimus, quum tamen ipsi interea nullam alicuius momenti mordacitatem sentiant. Possunt igitur & in cerebro esse eiusmodi differentiæ hominibus, vt eosdem odores aliqui impunè sustineant, perinde ac si omninò ab ipsis distarent; alii eos sine molestia ferre non possint. Sed quod omnes huiusmodi affectiones ad caput pertineant, manifestum est.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ ἀποπληξίας, καὶ παραλύσεως, καὶ σπασμοῦ.

Τό γε μὲν τῆς παραλύσεως νόσημα καὶ τὸ τοῦ δι' ὅλου τοῦ σώματος σπασμοῦ, ἐξ οὗ γένους ἐστὶ καὶ ὁ τέτανος,

CAPVT XIV.

De Apoplexia, paralysi, & conuulsione.

Morbus sanè tum paralyseos, tum per vniuersum corpus conuulsionis (cuius generis est quoque tetanus) sensu, vt prædi-

ctæ

ctæ affectiones, cognosci non potest, sed ratione quæ doceat, est opus. Itaque quum totum corpus in neruorum functionibus læditur, ipsorum principium affectum esse constat; id verò ex sola anatome dignosci potest. Quum igitur omnes pariter nerui, tum sensum, tum motum amiserint, apoplexia affectio appellatur; vbi verò alteri parti, aut dextræ, aut sinistræ, id accidit, paralysis vocatur, eius videlicet partis, in qua consistit, interdum dextræ, interdum sinistræ; quemadmodum si in aliquo membrorum euenerit, illius partis resolutio est; nam & tota manus, & totus crus interdum resoluitur, atque solus in crure pes, & quæ sub genu sunt; ac de tota manu similiter. Sed ex anatome didicimus, omnes animantis partes sub ceruice positas, quæ voluntatis imperio mouentur, neruos habere, qui eas moueant, procedentes ex spinali vocatâ medullâ; atque sæpenumero audistis eam partem interdum spinalem vocari medullam, additâ scilicet medullæ appellatione, interdum verò sine additione, simpliciter spinalem nuncupari. Vidistis etiam in corporis dissectionibus, neruos thoracem mouentes, ex ea spinalis medullæ parte, quæ in ceruice est, ortum ducere; ipsâ verò ex transuerso incisâ, si tota fuerit dissecta, omnes quæ sub ipsa sunt corporis partes sensu motuque priuari, vtpotè suscipiente spinali medullâ à cerebro facultatem tum sentiendi, tum mouendi pro arbitrio. Præterea in anatome vidistis hoc quoque, ob transuersas spinalis medullæ incisiones, ad mediam vsque secundum longitudinem regionem, non omnes inferiores corporis partes, sed eas duntaxat quæ è regione sectionis erant, resolutas, dextras quidem, dextrâ spinalis medullæ parte dissectâ; sinistras verò, reliquâ. Itaque manifestum est, circa primum spinalis medullæ processum factâ aliquâ affectione, per quam cerebri facultas quominùs ad ipsam perueniat, prohibeatur, omnia inferiora membra, demptâ facie, sensu motuque priuatum iri; vbi verò dimidia eius processus pars fuerit affecta, non omnes inferiores partes resolutum iri, sed vel sinistras duntaxat, vel dextras. Videntur autem huiusmodi paralyseon aliquæ faciem quoque infestare, tumque quod resolutum est, ad alteram faciei partem trahitur. Quum igitur ex anatome didiceritis, neruos per faciei partes sparsos à cerebro ipso dimitti, si earum aliqua simul cum toto corpore resoluta sit, scietis paralyseos affectionem in ipso cerebro consistere; vbi verò hæ illæsæ conseruentur, in spinalis medullæ initio. Accidit verò nonnullis faciei partes solas affici, quemadmodum & vnam aliquam partem, vt linguam, oculum genam, labrum; etenim non omnibus ab vno loco principium influit, sed ex diuersis cerebri partibus neruos suscipiunt; id enim apertè in dissectionibus conspicitur. Igitur apoplexia omnes simul animales actiones lædens, nobis cerebrum ipsum affectum esse manifestè declarat. Dignotio verò fit magnitudinis affectûs ex læsionis, quam respirationi infert, vehementiâ; quũ enim naturalem rhythmum plurimùm egreditur, magnam; quum verò paulùm impedimenti est, paruam in cerebro læsionem esse conijcere oportet. Omnium autem pessima respi-

οὐκ ἔθ' ὁμοίως τοῖσδε δι' αἰσθήσεως γνωστόν, ἀλλὰ λόγου δεῖται τοῦ διδάξοντος. ὅταν οὖν ὅλον τὸ σῶμα παραβλάπτηταί ποτ' εἰς τὰ τῶν νεύρων ἔργα, τὴν αὐτῶν ἀρχὴν πεπονθέναι δηλοῖ· ταύτην δ' ἐξ ἀνατομῆς μόνης ἔνεστι γνῶναι. πάντων μὲν οὖν ἅμα τῶν νεύρων ἀπολεσάντων αἴσθησίν τε καὶ κίνησιν, ἀποπληξία τὸ πάθος ὀνομάζεται· κατὰ θάτερον δέ τε μέρος ἤτοι τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν εἰ συμβαίνει τοῦτο, παράλυσις καλεῖται, τοῦ μέρους ἐκείνου δηλονότι καθ' ὃ συνέστη, ποτὲ μὲν τοῦ δεξιοῦ, ποτὲ δὲ θατέρου· καθάπερ εἰ καὶ κατά τι τῶν κώλων γίνοιτο, τοῦ μέρους ἐκείνου παράλυσίς ἐστι· καὶ γὰρ καὶ χεὶρ ὅλη, καὶ σκέλος ὅλον παραλύεταί ποτε, καὶ ποὺς μόνος ἐν σκέλει, καὶ τὰ μετὰ τὸ γόνυ, καὶ κατὰ τὸ τῆς ὅλης χειρὸς κῶλον, ἀνάλογον. ἐμάθομεν δὲ ἐν ταῖς ἀνατομαῖς, ἁπάντων τῶν καθ' ὁρμὴν τοῦ ζώου κινουμένων μορίων, ὅσα κάτω τοῦ τραχήλου, τούτων τὰ κινητικὰ νεῦρα τὴν ἔκφυσιν ἔχειν ἐκ τοῦ καλουμένου νωτιαίου μυελοῦ· καὶ μέντοι καὶ ὅτι ποτὲ μὲν ἅμα τῇ τοῦ μυελοῦ προσηγορίᾳ καλοῦσι τὸ μόριον ἐκεῖνο, νωτιαῖον μυελὸν ὀνομάζοντες, ἔστι δ' ὅτε χωρὶς προσθήκης ἁπλῶς νωτιαῖον, ἀκηκόατε πολλάκις. ἐθεάσασθε δὲ κἀν ταῖς ἀνατομαῖς, τὰ τὸν θώρακα κινοῦντα νεῦρα, ἐκ τοῦ κατὰ τὸν τράχηλον ἐκφυόμενα νωτιαίου, καὶ πρὸς τοῦτο τὰς ἐγκαρσίας τομὰς αὐτοῦ, καθ' ἃς ὅλως διακόπτεται, τὰ κατωτέρω μέρη πάντα τοῦ σώματος ἀναίσθητά τε καὶ ἀκίνητα ποιούσας, ὡς ἂν καὶ αὐτοῦ τοῦ νωτιαίου, τήν τε τῆς αἰσθήσεως καὶ τὴν τῆς καθ' ὁρμὴν κινήσεως δύναμιν ἐξ ἐγκεφάλου λαμβάνοντος. ἀλλὰ καὶ τοῦτο ἔτι κατὰ τὰς ἀνατομὰς ἐθεάσασθε, τὰς ἐγκαρσίας τομὰς τοῦ νωτιαίου, μέχρι τῆς μέσης ἐν αὐτῷ κατὰ τὸ μῆκος χώρας, οὐ πάντα τὰ κάτω παραλυούσας, ἀλλὰ μόνα τὰ κατ' εὐθὺ τῆς τομῆς, δεξιὰ μὲν ἐπὶ τῷ δεξιῷ μέρει τοῦ νωτιαίου τμηθέντος, θάτερα δ' ἐπὶ τῷ λοιπῷ. εὔδηλον οὖν ὅτι κατὰ τὴν πρώτην ἔκφυσιν τοῦ νωτιαίου γινομένης τινὸς διαθέσεως, ὑφ' ἧς εἰς αὐτὸν αἱ παρ' ἐγκεφάλου δυνάμεις ἀφικνεῖσθαι κωλυθήσονται, πάντα τὰ κάτω κῶλα, πλὴν τῶν κατὰ τὸ πρόσωπον, ἀκίνητα ἔσται καὶ ἀναίσθητα· καθάπερ εἰ καὶ τὸ ἥμισυ μέρος πάθοι τῆς ἐκφύσεως, οὐ πάντων ἔσται τῶν κάτω παράλυσις, ἀλλ' ἤτοι τῶν ἀριστερῶν μόνων, ἢ τῶν δεξιῶν. ὁρῶνται δὲ τῶν τοιούτων παραλύσεων ἔνιαι καὶ τὰ κατὰ τὸ πρόσωπον βλάπτουσαι, καὶ παρασπῶσαί γε τὸ παραλυθὲν ἐπὶ θάτερον μέρος τοῦ προσώπου. μεμαθηκότες οὖν ἐν ταῖς ἀνατομαῖς, ἐξ αὐτοῦ τοῦ ἐγκεφάλου τὰ νεῦρα τοῖς κατὰ τὸ πρόσωπον ἐπιπέμπεσθαι μορίοις, ἔνθα μὲν καὶ τούτων τι συμπαραλυθῇ τῷ παντὶ σώματι, κατὰ τὸν ἐγκέφαλον αὐτὸν εἴσεσθε τὴν διάθεσιν εἶναι τῆς παραλύσεως· ἡνίκα δ' ἀπαθῆ διαφυλάττεται ταῦτα, κατὰ τὴν ἀρχὴν τοῦ νωτιαίου. συμβαίνει δ' ἐνίοις μόνα τὰ κατὰ τὸ πρόσωπον πάσχειν, ὥσπερ γε καὶ μόριον ἕν τι, γλῶτταν, ἢ ὀφθαλμόν, ἢ γνάθον, ἢ χεῖλος, ὡς ἂν οὐκ ἐχόντων αὐτῶν ἁπάντων ἕνα τόπον ἀρχῆς, ἀλλ' ἐκ διαφερόντων μορίων ἐγκεφάλου λαμβανόντων τὰ νεῦρα· φαίνεται γὰρ τοῦτο σαφῶς ἐν ταῖς ἀνατομαῖς. ἡ τοίνυν ἀποπληξία πάσας ἅμα τὰς ψυχικὰς ἐνεργείας βλάπτουσα, σαφῶς ἡμῖν ἐνδείκνυται τὸν ἐγκέφαλον αὐτὸν πάσχειν· ἡ διάγνωσις δ' οὖν κατὰ τὸ μέγεθος πάθους, ἐκ τοῦ ποσοῦ τῆς κατὰ τὴν ἀναπνοὴν γίνεται βλάβης· ἐφ' ὧν μὲν γὰρ ἐπὶ πλεῖστον ἐκβέβηκε τὸν κατὰ φύσιν ῥυθμοῦ, μεγάλην ἡγητέον εἶναι τὴν κατὰ τὸν ἐγκέφαλον βλάβην· ἐφ' ὧν δ' ὀλίγον ἐμποδίζεται, βραχεῖαν. ἁπασῶν δὲ χει-

ειν ἀναπνοὴν ἡγητέον εἶναι, τὴν διαλείπουσάν τε καὶ μετὰ βίας μεγάλης γινομένην. καὶ τό γ' ἀποθνήσκειν τοὺς ἀποπληκτικοὺς συμβαίνει, διὰ τὴν ἀπώλειαν τῆς ἀναπνοῆς, ὡς τό γε μὴ κινεῖν τὰ μόρια τοῦ σώματος, εἰς μὲν τὰς κατὰ τὸν βίον πράξεις ἄχρηστον ἀποδείκνυσιν τὸν ἄνθρωπον, οὐ μὴν ὀξὺν ἐπιφέρει τὸν θάνατον. ἴσμεν γοῦν ἤδη τινά, τὰ μὲν ἄλλα πάντα παραλελυμένον, ἐνεργοῦντα δὲ κατὰ φύσιν ἅπασι τοῖς κατὰ τὸ πρόσωπον μέρεσιν· ἐσῴζετο δὲ αὐτῷ δηλονότι καὶ ἡ ἀναπνοή, πῶς γὰρ ἂν ἠδύνατο ζῆν ἐπὶ πλεῖστον, ἀπολωλυίας αὐτῆς; τούτῳ πρωτοπαθεῖν ἐλογιζόμεθα τοῦ νωτιαίου τὸ κατωτέρω βραχεῖ τῆς ἐπὶ τὸ διάφραγμα τῶν νεύρων ἐκφύσεως· ἄδηλον δὲ ὅτι καὶ οὖρα καὶ διαχωρήματα χωρὶς προαιρέσεως ἀπεκρίνετο. καὶ μὴν καὶ ἄλλον ἐκ καταπτώσεως ἐθεασάμεθα, πλὴν τῶν χειρῶν, τὰ κάτω πάντα παραλυθέντα. καθάπερ δὲ παράλυσις ὅταν ἐν ὅλῳ γένηται τῷ σώματι, τῶν κατὰ τὸ πρόσωπον ἀβλαβῶν διαμενόντων, ἐν ἀρχῇ τοῦ νωτιαίου τὸ πάθος εἶναι δηλοῖ· κατὰ τὸν αὐτὸν λόγον, εἰ καὶ σπασμὸς ἐν ὅλῳ τῷ σώματι γένοιτο, τὸν αὐτὸν τόπον τοῦ νωτιαίου πεπονθέναι δηλώσει,[68] τῶν γε κατὰ τὸ πρόσωπον ἀπαθῶν διαμενόντων· εἰ δὲ καὶ ταῦτα πάσχει, κατὰ τὸν ἐγκέφαλον εἶναι τὸ πάθος ἐνδείξεται. μορίου δέ τινος σπωμένου, τὸ κινητικὸν ἐκείνου νεῦρον, ἢ τοὺς μῦς, ἀναγκαῖόν ἐστι πάσχειν. ἐπιστάμενος οὖν τις ἐξ ἀνατομῆς ἀρχὰς τῶν εἰς ἕκαστον μόριον ἀφικνουμένων νεύρων, ἄμεινον ἰάσεται τὰς ἀναισθησίας καὶ ἀκινησίας ἑκάστου μέρους. ἀδιόριστον δὲ τοῦτο καταλειφθὲν ὑφ' Ἡροφίλου τε καὶ Εὐδήμου, τῶν πρώτων μεθ' Ἱπποκράτην, νεύρων ἀνατομὴν ἐπιμελῶς γραψάντων, οὐ σμικρὰν ζήτησιν παρέσχε τοῖς ἰατροῖς, ὅπως ἔνιαι μὲν τῶν παραλύσεων αἴσθησιν μόνην, ἔνιαι δὲ τὴν προαιρετικὴν κίνησιν, ἔνιαι δὲ ἀμφοτέρας διαφθείρουσι. μάλιστα μὲν οὖν ἡ παράλυσις ἐπὶ τῇ τῆς κινήσεως ἀπωλείᾳ λέγεται, τῶν τὴν αἴσθησιν ἀπολωλεκότων μορίων, ἀναισθήτων μὲν εἶναι, παραλελύσθαι δ' οὐ πάνυ τι συνήθως λεγομένων· ἤδη μέντοι τινὲς καὶ τοῦτο τὸ πάθημα, παράλυσιν αἰσθήσεως ὀνομάζουσιν. ἡμεῖς δὲ ὡς ἀεὶ παρακελευόμεθα, συγχωρεῖτε μὲν ὀνομάζειν ἑκάστοις ὡς ἂν ἐθέλωσιν, σκοπὸς δ' ὑμῖν ἔστω, τὸν πεπονθότα τόπον εὑρεῖν, ἅμα δηλονότι τῇ κατ' αὐτὸν διαθέσει· χωρὶς γὰρ τοῦ ταῦτα γνῶναι βεβαίως, ἀδύνατον ἔσται θεραπεύειν ὀρθῶς τὰ βεβλαμμένα κίνησιν, ἢ αἴσθησιν μόρια. Παυσανίας οὖν ἀπὸ τῆς Συρίας σοφιστὴς εἰς Ῥώμην ἀφικόμενός ποτε, τοῖς μικροῖς δύο δακτύλοις[69] τῆς ἀριστερᾶς χειρός, καὶ τοῦ μέσου τὸ ἥμισυ δυσαισθήτοις μὲν εἶχε τὸ[70] πρότερον, ὕστερον δὲ καὶ ἀναισθήτοις, κακῶς[71] θεραπευσάμενος ὑπὸ τῶν ἰατρῶν. ἐπεὶ δὲ ἐγὼ θεασάμενος αὐτὸν ἠρώτων τε τὰ προγεγονότα πάντα, ὅτε αὐτοῖς τε ἤκουσα κατὰ τὴν ὁδὸν τοῦ ὀχήματος ἐκπεσόντα τὸν ἄνδρα, πεπλῆχθαι τὴν ἀρχὴν τοῦ μεταφρένου, καὶ τὸ μὲν πληγὲν μέρος, ἐν τάχει θεραπευθῆναι, κατὰ βραχὺ δὲ αὐξηθῆναι τὴν τῶν δακτύλων βλάβην τῆς αἰσθήσεως· ἃ τοῖς δακτύλοις ἐκεῖνοι προσέφερον φάρμακα, ταῦτ' ἐκέλευσα κατὰ τοῦ πληγέντος τίθεσθαι μορίου, καὶ οὕτως ὁ ἀνὴρ διὰ ταχέων ὑγιάσθη. τὴν ἀρχὴν δὲ[72] οὐδ' ὅτι τῶν μὲν εἰς τὸ δέρμα τῆς ὅλης χειρὸς διασπειρομένων νεύρων, ἐξ ὧν ἔχει τὴν αἴσθησιν, ἴδιαί τινες εἰσὶν αἱ ῥίζαι, τῶν δὲ τοὺς μῦς κινούντων, ἕτεραι, γιγνώσκουσι τοῖς ἰατροῖς. ἴσως δ' ἐπὶ πλέον ἢ προὔκειτο τὸν λόγον ἰόντα, καταπαύειν ἤδη προσήκει.

A ratio putanda est, quæ & intermittitur, & magnâ cum violentiâ trahitur. Et sanè mori contingit apoplecticos ob respirationis iacturam; nam partium corporis immobilitas ad vitæ quidem functiones inutilem reddit hominem, non tamen acutam infert mortem. Itaque nonnunquam vidimus quendam, qui reliquis partibus omnibus resolutis, nullam quæ ad faciei partes pertineret, actionem amisit, seruatâ nimirum ipsi etiam respiratione; quomodò enim viuere diutius potuisset, ipsâ deperditâ? huic B primariò affici putauimus illam spinalis medullæ partem, quæ paulò inferior est processu neruorum ad septum transuersum tendentium; vrinam autem & alui recrementa ipsum præter voluntatis imperium emisisse manifestum est. Quinetiam vidimus alium, cui ex casu omnes inferiores partes, demptis manibus, erant resolutæ. Quemadmodum autem paralysis, quando in toto fit corpore, faciei partibus illæsis, indicat affectum in spinalis medullæ initio esse; eadem ratione, si toti corpori conuulsio acciderit, eundem spinalis medullæ locum affectum esse declarabit, seruatis faciei parti- C bus illæsis; si verò hæ quoque afficiantur, in cerebro affectum esse ostendent. Vbi verò pars aliqua conuulsa est, neruum eius motorem, aut musculum, affici necesse est. Igitur siquis ex anatome neruorum ad singulas partes venientium principia didicerit, melius cuiusque partis sensum & motum deperditum curabit. Verùm hæc indefinita relicta ab Herophilo & Eudemo, qui primi post Hippocratem neruorum anatomen accuratè scripserunt, non mediocrem medicis dubitandi occasionem præ- D buerunt, quo pacto quædam paralyses solum sensum, quædam voluntarium motum, quædam ambo euertant. Itaque paralysis potissimùm dicitur, ob motûs deperditionem; quum vbi partium aliquarum sensus periit, eam partem sensûs expertem esse, resolutam verò, non perinde dicere consueuerint; quamquam nonnulli iá hanc affectionem paralysin sensûs vocitant. Vos verò, vt semper hortamur, cuiq; nominibus pro arbitrio vti permittite, hoc autem sit vobis propositum, affectam sedem, simulque scilicet affectionem eius inuenire; nisi enim hæc accuratè cognoueritis, nequaquam eas partes, quibus vel sensus vel motus læsus est, rectè curabitis. Sanè Pausanias Sy- E rus sophista, quum Romam aliquando venisset, duorum minorum sinistræ manus digitorum, atque medij partis dimidiæ, sensum primò quidem difficilem habebat, posteà malè curantibus medicis, nullum. Quum autem ego illo viso, de omnibus, quæ præcessissent, quærerem, atque inter cætera audiissem ipsum, quum per viam duceretur, vehiculo excidisse, atque in dorsi initio læsum esse; mox partem læsam breui quidem curatam, sed auctum sensim in digitis sensûs vitium; remedia, quæ il- F li digitis admouerant, læsæ parti adhibere iussi, atque sic ille celeriter conualuit. At omnino ne neruis quidem per vniuersæ manus cutem dispersis, à quibus sensum ipsa sortitur, proprias quasdam esse radices; musculos autem mouentibus alias, medici norunt. Verùm latiùs, quàm proposueramus, expatiatam orationem fortasse iam finire decet. Nostra nanque intentio erat,

erat, hoc libro omnes capitis, maximè verò cerebri, affectus inuenire; at quia hoc neruorum est principium, per consequentiam ad neruorum vsque affectus sermo peruenit. Quamobrem huic etiam sermoni fine hîc imposito, de partium capitis affectibus deinceps speculemur, hoc tantum addito, quod &

A προὔκειτο μὲν γὰρ ἐν τῷδε τῷ γράμματι τὰ κατὰ τὴν κεφαλὴν, καὶ μάλιστα τὸν ἐγκέφαλον, εὑρεῖν πάθη πάντα· διότι δ' ἐστὶν οὗτος ἀρχὴ νεύρων, ἐξ ἀκολουθίας ὁ λόγος ἧκεν ἐπὶ τὰ πάθη τῶν νεύρων· ὥστε ἤδη περιγράψαντες καὶ τοῦτον τὸν λόγον ἐνταῦθα, περὶ τῶν ἐν τοῖς κατὰ τὴν κεφαλὴν μορίοις γιγνομένων παθῶν ἐφεξῆς σκεψώμεθα, τοσοῦτον ἔτι προσθέντες, ὡς καὶ

CAPVT XV.

De odoratu.

ODoratûs læsio affectus est, non eorum qui in naribus sunt, meatuum, sed vel anteriorum cerebri ventriculorum in intemperiẽ adductorum, vel eorum meatuum, qui in ossibus sunt ethmoidibus, obstructorum; siquidem odoratorum sensus in prioribus cerebri ventriculis perficitur, elatis ad ipsos per ethmoidis foramina vaporibus; quemadmodum in libro de sensorio olfactûs declaratum est.

B ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῆς ὀσφρήσεως.

ΤΗς ὀσφρήσεως ἡ βλάβη, πάθος ἐστὶν οὐ τῶν κατὰ τὴν ῥῖνα πόρων, ἀλλ' ἤτοι τῶν ἐμπροσθίων τοῦ ἐγκεφάλου κοιλιῶν εἰς δυσκρασίαν ἀχθεισῶν, ἢ τῶν ἐν τοῖς ἠθμοειδέσιν ὀστοῖς πόρων ἐμφραττομένων· ἐπειδή γε καὶ ἡ τῶν ὀσφρητῶν αἴσθησις ἐν ταῖς ἐμπροσθίαις τοῦ ἐγκεφάλου κοιλίαις γίνεται, τῶν ἀτμῶν εἰς αὐτὰς ἀναφερομένων διὰ τῶν ἐν τοῖς ἠθμοειδέσιν τρημάτων, ὡς ἐν τῷ περὶ τοῦ τῆς ὀσφρήσεως ὀργάνου δέδεικται γράμματι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ, ΒΙΒΛΙΟΝ Δ'.

GALENI DE LOCIS AFFECTIS, LIBER QVARTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τῶν μορίων τοῦ προσώπου τῶν τῇ κινήσει, καὶ τῇ ὄψει, καὶ τῇ ἀκοῇ, καὶ τῇ φωνῇ, καὶ τῇ ἀναπνοῇ ὑπηρετούντων τὰ πάθη θηρεύει, καὶ τὴν αὐτῶν διάγνωσιν διδάσκει.

ARGVMENTVM LIBRI.

Partium faciei, motui, visui, auditui, voci, & respirationi inseruientium affectus venatur, eorumque dignotionem docet.

CAPVT I.

Quid superioribus libris docuerit, quidque hoc quarto docturus sit.

VNIVERSALEM quidem methodum, quâ ad locorum affectorum dignotionem vtimur, primis duobus libris, cum multis definitarum partium exemplis, satis perscrutati sumus. Quoniam verò (vt diximus, atque iam in aliis libris sæpe demonstrauimus) circa res particulares exercitari oportet, siquis in artis operibus singula, quæ vniuersali viâ didicit, tutò simul & celeriter exercere voluerit; operæ-pretium facturus mihi videor, si rationales quasdam dignotiones omnium corporis partium, quæ sensum fugiunt, quum quomodolibet afficiuntur, perscripsero, sumpto à capite

C ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐν τοῖς πρώτοις ὑπομνήμασιν ἐδίδαξε, καὶ τί ἐν τῷδε τῷ τετάρτῳ διδάξειν μέλλει.

ΕΝ μὲν τοῖς πρώτοις ὑπομνήμασι δύο τὴν καθόλου μέθοδον, ᾗ χρώμεθα πρὸς τὰς τῶν πεπονθότων τόπων διαγνώσεις, αὐτάρκως ἐπεσκεψάμεθα σὺν πολλοῖς παραδείγμασιν D ὡρισμένων μορίων· ἐπεὶ δὲ, ὡς εἴρηταί μοι καὶ δέδεικται πολλάκις ἤδη δι' ἄλλων ὑπομνημάτων, ἀσκεῖσθαι χρὴ γυμναζόμενον ἐν τοῖς κατὰ μέρος, εἰ μέλλοι τις ἀσφαλῶς τε ἅμα καὶ ταχέως ἐπὶ τῶν ἔργων τῆς τέχνης ἕκαστα πράττειν, ἃ διὰ τῆς καθόλου μεθόδου ἐμάθετο, διὰ τοῦτο καὶ νῦν ἔδοξεν ἄμεινον εἶναι πάντων τῶν ἐν τῷ σώματι μορίων, ὅσα μὴ φαίνεται ταῖς αἰσθήσεσι, λογικὰς διαγνώσεις εἰπεῖν, ὅταν ὁπωσοῦν πάσχωσιν, τὴν ἀρχὴν

ἀπὸ τῆς κεφαλῆς ποιησαμένοις. περὶ μὲν οὖν τῆς γινομένης βλάβης τῇ τε μνήμῃ καὶ τῇ νοήσει, καὶ ταῖς ἄλλαις ἐνεργείαις, ἃς ἡγεμονικὰς εἰώθαμεν ὀνομάζειν, ἐν τῷ τρίτῳ τῶνδε τῶν ὑπομνημάτων διῆλθον, ἅμα τῷ γεγυμνάσθαι κατὰ τὴν μέθοδον ἐν εἴδεσι παθῶν οὐκ ὀλίγοις. εἴρηται γὰρ ἐν αὐτῷ καὶ περὶ παραφροσύνης, τῆς τε ἐν τοῖς φρενιτικοῖς πάθεσιν, καὶ τῆς ἄνευ πυρετῶν, ἣν μανίαν ὀνομάζουσιν· ὡσαύτως δὲ καὶ περὶ ληθάργου τε καὶ κάρου, καὶ τῶν ἐπιληπτικῶν καὶ μελαγχολικῶν καὶ σκοτωματικῶν παθῶν, ὥσπερ γε καὶ περὶ κεφαλαίας τε καὶ ἡμικρανίας, ἀποπληξίας τε, καὶ τῶν ὁμοίων αὐτοῖς.

initio. Igitur de memoriâ & cognitione læsâ, atque reliquis animæ functionibus, quas principes nominare consueuimus, in huius commentationis libro tertio diximus, simul in non paucis affectuum generibus methodicâ exercitatione inductâ. Nam actum est in illo de delirio, tum phrenitidis proprio, tum eo quod citra febrem accidit, quam maniam nominant; similiter de lethargo, sopore, morbo comitiali, melancholiâ, vertigine, quemadmodum & cephalæâ, hemicraniâ, apoplexiâ, & similibus.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν κατὰ τὰ πάθη τῶν ὀφθαλμῶν πεπονθότων μορίων.

ΕΝ δὲ τῷ νῦν ἐνεστῶτι τετάρτῳ τῆς ὅλης ὄντι πραγματείας, ὁ λόγος ἔστω μοι περὶ τῶν κατὰ τὸ πρόσωπον μορίων τῶν ἐν βάθει πεπονθότων, τὴν ἀρχὴν ἀπὸ τῶν ὀφθαλμῶν ποιησαμένῳ. τούτων γὰρ ἐνίοτε μὲν ὁ ἕτερος, ἐνίοτε δὲ ἀμφότεροι παραλύονται τῆς κινήσεως, ἢ αἰσθήσεως, ἢ ἀμφοτέρων· ἐνίοτε δὲ καὶ κατ᾽ αὐτὸν τὸν ἕνα, ποτὲ μὲν τὸ βλέφαρον ἔπαθε μόνον, ἔστι δ᾽ ὅτε καὶ κατ᾽ αὐτὸν τὸν κυρίως ὀνομαζόμενον ὀφθαλμὸν γέγονεν ἢ εἰς αἴσθησιν, ἢ εἰς κίνησιν ἡ βλάβη. ὅτ᾽ ἂν μὲν οὖν μηδενὸς φαινομένου κακοῦ περὶ τὸν ὀφθαλμόν, ἀπολέσθαι τὴν ὀπτικὴν αἴσθησιν συμβῇ, τὸ καθῆκον ἐξ ἐγκεφάλου νεῦρον εἰς αὐτὸν ἔχει τὴν αἰτίαν, ἤτοι φλεγμαῖνον, ἢ σκιρρούμενον, ἢ ὁπωσοῦν ἄλλως ἐξ ἐπιρροῆς ὑγρῶν βλαπτόμενον, ἢ ὁπωσοῦν ἄλλως ἐμφραττομένου πόρου τοῦ κατ᾽ αὐτόν. καὶ ταῦτα μὲν ὡς ὀργανικῷ μορίῳ συμβαίνειν ἀναγκαῖον αὐτῷ, τὰ δ᾽ ὡς ὁμοιομερεῖ κατὰ τὰς ὀκτὼ δυσκρασίας· ἔξωθεν δὲ τούτων, ὅταν ἤτοι μηδ᾽ ὅλως ἢ παντάπασιν ὀλίγον ἐπιπέμπηται τὸ αὐγοειδὲς πνεῦμα παρὰ τῆς κατὰ τὸν ἐγκέφαλον ἀρχῆς. τῆς κινήσεως δὲ ἀπολωλυίας μόνης ὁποτέρου τῶν ὀφθαλμῶν, τὸ κατὰ τὴν δευτέραν συζυγίαν νεῦρον ἀποφυόμενον τοῦ ἐγκεφάλου, πεπονθέναι τι πάθος ἀναγκαῖόν ἐστιν, ὧν διῆλθον ἀρτίως ἐπὶ θατέρου νεύρου τοῦ κατὰ τὴν προτέραν συζυγίαν ἐκφυομένου. ἐπεὶ δὲ ὡς ἐμάθομεν ἐν ταῖς ἀνατομαῖς, ἓξ μέν εἰσιν οἱ τὸν ὀφθαλμὸν αὐτὸν κινοῦντες μύες, ἄλλοι δὲ περιλαμβάνουσι τὴν ῥίζαν τοῦ καθήκοντος εἰς αὐτὸν πόρου (καλοῦσι γὰρ οὕτως οἱ ἀνατομικοὶ τὸ κατὰ τὴν προτέραν συζυγίαν νεῦρον, ὅτι μόνῳ σαφές ἐστιν ἐν αὐτῷ τὸ τρῆμα) συμβαίνει δὲ πολλάκις αὐτὸ μὲν τοῦτο μηδὲν πεπονθέναι, τῶν δὲ μυῶν τινα πάσχειν, ἤτοι κατὰ τὴν οἰκείαν οὐσίαν ὁποιονοῦν πάθος ὧν ἀρτίως εἶπον, ἢ τοῦ νεύρου τοῦ καθήκοντος εἰς αὐτὸν βλαβέντος. εἰς ἕκαστον γάρ τοι τῶν μυῶν τούτων ἀφικνεῖταί τις μοῖρα τοῦ κατὰ τὴν δευτέραν συζυγίαν ἀποφυομένου νεύρου, καθάπερ γε καὶ εἰς τοὺς περιλαμβάνοντας τὸν πόρον μύας, εἴτε δύο χρὴ τούτους, εἴτε τρεῖς, εἴθ᾽ ἕνα λέγειν, οὐδὲν γὰρ διαφέρει πρός γε τὰ παρόντα, γιγνωσκόντων ἡμῶν ὅτι τοῖς μυσὶ τούτοις ἔργον ἐστὶν ἀνασπᾶν τε ἅμα καὶ στηρίζειν τὸν ὀφθαλμόν, ὡς ἂν μὴ περιτρέποιτο κατὰ μηδένα τρόπον τῆς ὁδοιπορίας τὸ μαλακὸν νεῦρον, ὃ δὴ καὶ ὀπτικὸν ὀνομάζεται καὶ πόρος. ἓξ οὖν ὄντων τῶν κινούντων τὸν ὀφθαλμὸν μυῶν, εἰ μὲν ὁ ἀνασπῶν αὐτὸν πάθοι, κατεσπασμένος φαίνεται τηνικαῦτα σύμπας ὁ ὀφθαλμός· εἰ δὲ ὁ κατασπῶν, ἀνεσπασμένος· εἰ δὲ ὁ πρὸς τὸν μικρὸν κανθὸν ἀπάγων, ὡς πρὸς τὸν μείζονα περιεσπασμένος· εἰ δ᾽ ὁ πρὸς τοῦτον, ὡς πρὸς τὸν ἕτερον· εἰ δὲ τῶν περιστρεφόντων μυῶν

CAPVT II.

De affectis partibus in oculorum morbis.

AT in præsenti libro, qui totius commentarii quartus est, de faciei partibus intrinsecus affectis, sermonem faciamus, ducto ab oculis exordio. Horum enim interdum alterius, interdum vtriusque sensus, vel motus, vel vterque resoluitur; nonnunquam etiam & in vno solo, aliquando quidem sola palpebra affecta est; aliquando verò etiam eius partis, quam propriè oculum vocamus, vel sensus, vel motus læditur. Quum igitur nullo in oculo malo apparente, visorium sensum deperdi cõtigerit, descendens à cerebro in ipsum neruus causam in se continet, vel inflammatione, vel scirrho laborans, vel alio quouis modo ex humorum defluxione læsum, aut aliter quomodolibet foramine ipsius obturato. Atque hæc quidem ipsi, vt organicæ parti, accidere necesse est; quæ verò vt similiari, per octo intemperiei differentias; extra hoc autem, quum vel nihil omnino, vel exiguum admodum dilucidi spiritûs à principio, quod in cerebro consistit, immittitur. Si verò vteruis oculorum motum duntaxat amiserit, secundæ coniugationis neruum, qui à cerebro oritur, affectũ esse necesse est aliquo eorum affectuum, quos alteri neruo, qui à prima cõiugatione nascitur, nuper accidere diximus. Quoniam verò (vt ex anatome didicimus) sex sunt musculi oculum ipsum mouẽtes, alij verò descendentis in ipsum meatûs (vocant enim ita dissectores primæ coniugationis neruum, quòd ipsi soli manifestum sit foramen) radicem amplectuntur; accidit sæpe, quanuis ipse haudquaquam afficiatur, vt musculorum aliquis aut in propria substantia, aut in neruo ad ipsum descendente, aliquo nuper dictorũ affectuum læsus sit. Siquidem singulis horum musculorum, pars quædam nerui à secunda coniugatione orti transmittitur, quemadmodum & ijs quoque musculis, qui meatum ipsum comprehendunt, siue ij duo, siue tres, siue vnus duntaxat dicendus sit; id enim in præsentia non refert, modo nouerimus horum musculorum munus esse, vt sursum trahant oculum & firment, ne mollis ille neruus, quem & opticum, & meatum nominant, vllo pacto in itinere peruertatur. Quum itaque sex sint oculum mouentes musculi, si is quidem, qui ipsum sursum attrahit, afficiatur, tum totus oculus delapsus videbitur; si verò qui ipsum deorsum attrahit affectus est, sursum attractus; si minoris anguli musculus ad maiorem; si verò maioris, ad alterum oculus deflectitur; at si voluentium musculorum

culorum quispiam resoluatur, obliqua erit totius oculi peruersio. Cæterùm quum alij, vt dixi, præterea sint musculi mollem neruum circundantes, scire licet ipsorum paralysin totum oculum prociduum efficere. Ac plerique sanè horum, sensim quidem intento molli neruo, sed nequaquam affecto, citra læsionē cernunt; nam si quo modo afficiatur, visum efficit deteriorem; vbi verò adhuc magis ipsius affectus ingrauescit, constat eos nihil omninò visuros. Porrò in oculorum peruersionibus, quæ fit ad alterutrum angulum conuersio, opticam actionem secundum naturam tuetur; quæ verò sursum, aut deorsum, vt etiam obliqua, efficit quæcunque conspiciuntur, duplicia videri. Quoniam verò musculi supernam palpebram mouentes (nam inferior immobilis est) perquàm parui sunt, adeò vt in maioribus quoque animalibus vix manifestè prospiciantur, nihil mirum, si neruorum in ipsos insertio difficulter videatur. Nihilominus, quemadmodum in musculis prædictis, ita & in his quoque necesse est, vt sæpenumerò musculi ipsi peculiarem aliquem affectum subeant eorum quos ad musculos pertinere nouimus; interdum verò neruorum ipsis insertorum aliquis afficiatur. Igitur musculus ipsam sursum attrahens resolutus, laxam efficiet palpebram, adeò vt oculum aperire non possit; detrahentes verò (gemini enim ipsi sunt) oculum claudere non poterūt; quorum si alter duntaxat afficiatur, ad oppositum musculum palpebra deflectetur, vt fracta videatur in fine circa mediam vtriusque lineam; atque ea pars, quæ iuxta musculum affectum est, sursum trahi; altera, quæ iuxta illæsum est, detrahi. Hi sunt partium oculi peculiares affectus, qui latentibus locis insident; alij ex alijs partibus ei per consensum adueniunt. Igitur suffusorum visis similia videntur, oculis non propriâ affectione laborantibus, sed oris ventriculi, aut cerebri consensu. Verùm hæc ipsa ab ijs, quæ à ventre oriuntur, distinguenda sunt, primum quidem ex eo, quòd vel alter duntaxat oculus, vel vterque similiter visis occupetur; siquidem in vniuersum visa ob humorum in ventriculo contentorum vitium oborta, vtrique oculo similiter accidunt; quæ verò per suffusiones, neque incipiunt simul in vtroque, neque similiter apparent. Deinde tempore quoque *distinguuntur*. Si enim tribus, quatuorve, aut etiam pluribus iam mensibus suffusionis apparuerint symptomata, contemplantique tibi pupillas nihil tenebrosum videatur, ab ore ventriculi affectum procedere inuenies; si verò non ita multum tempus intercessit, quæres in primis, vtrum ex quo incepit affectus, singulis diebus perpetuò huiuscemodi apparitio perseuerauerit, nullo interueniente die, qui omni læsione caruerit; an diebus quibusdam intermediis laborans accurate visus sit sibi conualuisse: nam assiduitas suffusionem indicat; intermissio verò, mali à ventriculo suspicionem excitat, idque magis, si perfectè quis concoquens, nullum sibi visum apparere fateatur; multoque magis, si quum apparuerint visa, aliquem in ore ventriculi morsum senserit; adhuc verò magis, si posthæc, vomendo eiectâ re mordente, cessauerint symptomata. Hæc quidem primo statim die, quo videris hominem,

A B C D E F [illegible: handwritten Greek text column with marginal annotations]

τῆς ἀκριβείας ὑπάρξει σοι μαθεῖν, ὅταν, ὡς ἔφην, ἀκριβῶς κατὰ φύσιν ἔχωσιν οἱ ὀφθαλμοί. τῆς δὲ θατέρου κόρης ἀχλυωδεστέρας, ἢ θολωδεστέρας, ἢ συνελόντι φάναι, μὴ καθαρᾶς ἀκριβῶς φαινομένης, ὑποχύσεώς ἐστιν ἀρχή. ἐὰν δέ τινες φύσει τὰς κόρας μὴ πάνυ τι καθαρὰς ἔχωσιν, ἐπισκεπτέον ἐστὶν, εἰ ἀμφότεραι παραπλησίως φαίνονται διακείμεναι, καὶ εἰ πρὸς τούτῳ μηδέπω χρόνος ἱκανὸς ἐπὶ τοῖς τῆς ὑποχύσεως συμπτώμασι παρεληλυθὼς ὑπάρχει. κἂν ταῦθ' οὕτως ἔχῃ, κέλευσον ἀρκεσθῆναι τροφῇ τοῦ συνήθους ἐλάττονι, μηδὲν ἐχούσῃ κακόχυμον. εἶτα κατὰ τὴν ὑστεραίαν εὐπεπτηκότος ἀκριβῶς αὐτοῦ, πυθοῦ περὶ τῶν κατὰ τὴν ὄψιν φαντασμάτων. εἰ μὲν γὰρ ἤτοι μηδ' ὅλως ἢ ἀμυδρῶς φαίνοιτο, στομαχικὸν ἦν τὸ σύμπτωμα. μενόντων δ' ὁμοίων αὐτῶν, οὐ κατὰ συμπάθειαν, ἀλλὰ κατὰ διάθεσιν οἰκείαν εἰδέναι χρὴ ταῦτα συμπίπτοντα τοῖς ὀφθαλμοῖς, ἔτι δὲ μᾶλλον, ἐὰν τοῦ διὰ τῆς ἀλόης φαρμάκου λαβὼν, ὁμοίως ἔχῃ. λέγω δὲ διὰ τῆς ἀλόης, ὃ προσαγορεύουσιν ἔνιοι μὲν ἱερὰν πικρὰν, ἔνιοι δὲ ἁπλῶς πικράν. εἰ γὰρ στομαχικὸν εἴη τὸ σύμπτωμα, θεραπευθήσεται ῥᾷστα διὰ τῆς τοῦ φαρμάκου τούτου πόσεως, ἅμα ταῖς εὐπεψίαις, ὡς συνελθεῖν εἰς ταὐτὸν ἀμφότερα, τήν τε διάγνωσιν τοῦ πεπονθότος τόπου, καὶ τὴν θεραπείαν αὐτοῦ. ἐγὼ δὲ ὡς ἴστε καὶ χωρὶς τοῦ θεάσασθαι τοὺς οὕτω πάσχοντας, ἐθεράπευσα διὰ γραμμάτων ἐνίους ἐν ἄλλοις ὄντας ἔθνεσιν. καὶ γὰρ ἐκ τῆς Ἰβηρίας καὶ τῆς Κελτικῆς καὶ Ἀσίας καὶ Θρᾴκης, καὶ ἄλλων χωρίων ἐπιστειλάντων μοί τινων, εἴ τι πρὸς ἀρχὰς ὑποχύσεως, μήπω μηδεμιᾶς ἐναργῶς φαινομένης βλάβης ἐν τῇ κόρῃ, φάρμακον ἔχοιμι δόκιμον, ἀποστεῖλαι αὐτοῖς, ἠξίωσα δηλωθῆναί μοι πρότερον, εἰ ἐκ τοῦ πολλοῦ χρόνου πάσχουσι, καὶ τἄλλα περὶ ὧν ὀλίγον ἔμπροσθεν εἶπον. εἶτα τοῖς ἐπιστείλασιν, ἓξ μῆνας ἢ ἐνιαυτὸν ἀπὸ τῆς ἀρχῆς γεγονέναι φασκόντων, ἀμφοτέρων ὁμοίως τῶν ὀφθαλμῶν ἐπὶ μὲν ταῖς εὐπεψίαις ἄμεινον ἐχόντων, παροξυνομένων δὲ ἐπὶ ταῖς ἀπεψίαις καὶ ταῖς τοῦ στομάχου δήξεσιν, ἐμεσάντων τε χολῆς καὶ καθισταμένων, οὐδὲν ἔτι περὶ τῆς κόρης ἀξιώσας πυθέσθαι, βεβαίως ἔγνων ὡς οὐκ ἰδιοπάθειαν, ἀλλὰ συμπάθειαν εἶναι τὴν ὀφθαλμῶν ἐπὶ τῇ γαστρί. καὶ πέμψας αὐτοῖς τὴν πικρὰν, ἐκείνους μὲν πρῶτον καὶ μάλιστα, διὰ δ' ἐκείνων δὲ καὶ ἄλλους πολλοὺς τῶν ὁμοεθνῶν αὐτοῖς, ἰασάμην. ὄντες γὰρ αὐτοὶ πάντες οἷς ἔπεμψα πεπαιδευμένοι, μαθόντες δὲ ἐξ ὧν αὐτοῖς ἐπέστειλα τὰς διαγνώσεις τῶν πεπονθότων τόπων, αὐτοί τε τοῦ λοιποῦ ῥᾳδίως ἐγνώριζον αὐτοὺς, ἐθεράπευόν τε τῷ πικρῷ φαρμάκῳ. παραπλήσια δὲ τοῖς τῶν ὑποχεομένων συμπτώμασι γίνεται πολλάκις, ἐγκεφάλου πάσχοντος, ἔν τισι φρενίτιδων εἴτε εἴδεσιν, εἴτε διαφοραῖς ἐθέλοις ὀνομάζειν. εἰσὶ μὲν γὰρ αὐτῆς ἁπλαῖ μὲν δύο, σύνθετος δὲ ἐξ ἀμφοῖν ἡ τρίτη. τινὲς μὲν γὰρ τῶν φρενιτικῶν, οὐδὲν ὅλως σφαλλόμενοι περὶ τὰς αἰσθητικὰς διαγνώσεις τῶν ὁρατῶν, οὐ κατὰ φύσιν ἔχουσι τὰς διανοητικὰς κρίσεις. ἔνιοι δ' ἔμπαλιν οὐδὲν μὲν τῆς διανοίας σφάλλονται, παραφανταστικῶς δὲ κινοῦνται κατὰ τὰς αἰσθήσεις, ἄλλοις δέ τισιν ἀμφότερα βεβλάφθαι συμβέβηκεν. ὁ δὲ τρόπος ἑκατέρας τῆς βλάβης τοιός δ' ἐστί. καταλειφθείς τις ἐπὶ τῆς οἰκίας ἐν Ῥώμῃ μεθ' ἑνὸς ἐριουργοῦ παιδὸς, ἀναστὰς ἀπὸ τῆς κλίνης ἧκεν ἐπὶ τὴν θυρίδα, δι' ἧς οἷόν τ' ἦν ὁρᾶσθαί τε αὐτὸν καὶ ὁρᾶν τοὺς παριόντας. εἶτα τῶν ὑαλίνων σκευῶν ἕκαστον ἐπιδεικνὺς αὐτοῖς, εἰ κελεύοιεν αὐτὸ βάλλειν, ἐπυνθάνετο. τῶν δὲ μετὰ

interrogando discere poteris, quando (vt iam diximus) exquisitè secundum naturam se habuerint oculi. Vbi verò altera pupilla tenebrosior, aut turbidior, aut (vt breuiter dicam) non exactè pura videtur, suffusionis initium est. Si verò quidam suapte naturâ pupillas non admodum puras habuerint, considerandum est, num ambæ similes sint; ad hæc, an non satis multum tēporis à suffusionis symptomatis præterierit; quod si ita est, impera, vt minùs cibi quàm pro consuetudine, ingerat, eumque nihil mali succi habentem. Postero die, vbi probè concoxerit, qualia apparuerint visa interroga; si enim vel omnino nulla, vel debiliora videantur, stomachicum symptoma fuit; at si similia ipsa permanserint, non per consensum, sed ex proprio affectu sciendum est hæc oculos infestare; idque magis, si sumpto ex aloë medicamento, similiter se habeat; voco autem medicamentum ex aloë, quod alij hieram picram; alij simpliciter picram appellant. Si enim symptoma stomachi fuerit, huiusmodi medicamento potui dato facillime curabitur, accedente simul bonâ concoctione; vt in idem conueniant & affectæ sedis dignotio, & ipsius curatio. Ego verò quosdam sic affectos, (vt scitis) non visos, quum in alienis essent terris, per literas curaui. Nam quum nonnulli ex Iberia, Celtica, Asia, Thracia, atque aliis regionibus per epistolas à me petijssent, vt si ad suffusionis initia, nullo adhuc vitio in pupilla apparente, probatum aliquod haberem medicamentum, id eis transmitterem, volui prius certiorem me redderent, num ex multo tempore ita fuissent affecti; præterea de aliis quoque, quorum paulò antè mentionem fecimus; qui quum per epistolas responderent, sex menses, aut annum iam elapsum esse; vtrunque oculum similiter, quum probè concoxissent, melius sese habere; per cruditates, atque stomachi mordicationes, grauius iritari; eductâ verò per vomitum bile, quiescere; nullâ factâ de pupilla quæstione, satis efficaciter me cognoscere putaui non proprio affectu, sed per ventriculi consensum oculos infestari; & missâ ipsis picrâ, ipsos quidem in primis atque præcipuè, per eos autem, alios quoque multos ipsorum conterraneos sanaui. Quum enim omnes, quibus misi, docti essent, affectorumque locorum notas ex literis meis didicissent, eos deinde & facilè ipsi cognouerunt, & amaro medicamento curauerunt. At similia quoque suffusioni symptomata in quibusdam phrenitidis, siue speciebus, siue differentijs volueris nominare, affecto cerebro, sæpenumerò euenire solent, nam simplices quidem duæ sunt, ac ex his tertia cōposita. Quippe phrenitici quidam in rebus sub aspectum cadentibus dignoscendis nihil errātes, à naturali intellectus iudicio aberrant; alij contrà cogitatione quidem falluntur minimè, sensibus tamen difformiter mouentur; sunt præterea qui & sensûs simul & cogitationis vitio laborant. Vtriusque læsionis modus talis est. Romæ quidam domi cum lanifico puero relictus, surgens è cubili venit ad fenestram, per quam & ipse videri, & prætereuntes videre poterat. Deinde vitreorum vasorum vnumquodque illis ostendens, interrogabat imperarentne, vt id proiiceret; illi verò cum ridentes,

ridentes, plaudentesque, vt proiiceret rogarent, ipse deinceps omnia manibus arripiens eiecit; at illi magnis acclamationibus riserunt. postea iuberentne lanificũ quoque proiici, quũ eos interrogasset, atque id illi iussissent, ipse quidem deiecit; illi verò ab alto cadentem videntes, suppresso risu, accurrerunt, & confractum sustulerunt. At contrariam affectionem non solum in aliis, verùm in me ipso, quum adolescens adhuc essem, expertus sum. Quum enim per æstatem ardente febre laborarem, festucas quidem atro colore ex cubili eminere, & floccos similiter in vestibus putabam; quos auferre tentans, nihilque sub digitis eductum inueniens, accuratiùs vehementiusquè id efficere conabar. Audiens autem duos ex amicis, qui tum aderant, inter se dicentes; iam & floccos hic euellit, & festucas colligit; statim intellexi id ipsum quod dicebant, me fecisse. Quum verò sic animo constarem, vt rationalis in me facultas non vacillaret, rectè, inquam, dicitis, proinde ne phrenitis me arripiat, auxilio estote. Illi autem quum idoneis rigationibus caput fouerent, tota die sequentique nocte grauibus insomnijs turbatus sum, vt ad ea & clamarem, & exilirem; verùm postero die mitigata sunt omnia symptomata. Igitur constat, quòd ab vna eademq; causa secundum speciem symptomatum ortus, non autem ab eadem sede primariò affectâ emergit ijs, qui ex cerebro; & per ventriculi consensum, vt dictum est, laborant. Quum enim in cerebro aliquis biliosus humor collectus fuerit vnà cum febre perurente, is afficitur peræque ac ea quæ ad ignem torrentur; oriturque tum fumus quidam, veluti in lucernis ab oleo; qui fumus per vasa ad oculum tendentia delapsus, visorum ipsis causa fit. In dissectionibus enim vidistis arterias, & venas ab ijs vasis, ex quibus choroides membrana contexta est, simul cum neruis ad oculum descendere. Verùm huic sermoni, satis iam definito, finem imponamus; de reliquis deinceps oculorum partibus in vniuersum dicamus, nostri instituti non esse nunc earum partium, quæ manifestè sensu percipiuntur, si à naturali constitutione aberrauerint, notas perscribere; sed illarum, quæ quum affectæ fuerint, sensum latent. Nam quum pupillæ pars aliqua manifestè videtur aut fracta, aut distorta, aut præter naturam vel aucta, vel imminuta, affecta pars nullâ ad sui dignotionem eget sapientiâ, at verò quæ sit dispositio huiusmodi faciens affectum, scire, artis medicæ munus est, ac de iis in libro de causis symptomatum scriptum est; proinde nihil hic iam mihi dicendum est de affectis in oculo partibus, quas sensus consequi potest, vt neque de ipsarum affectibus; nam affectuum quidem nomina vno paruo libro cui titulus est, de dignoscendis oculorum affectibus, perscripta sunt; causæ autem, vt diximus, libro de symptomatum causis enarratæ sunt.

A γέλωτος ἀξιούντων τε βάλλειν, καὶ κροτούντων ταῖς χερσὶν, ὁ μὲν ἔβαλεν ἐφεξῆς ἅπαντα προχειριζόμενος, οἱ δὲ γελῶντες ἐκεκράγεσαν. ὕστερον δέ ποτε πυθόμενος αὐτῶν, εἰ καὶ τὸν ἐριουργὸν κελεύοιεν βληθῆναι, κελευσάντων αὐτῶν, ὁ μὲν ἔβαλεν, οἱ δὲ ἐπεὶ καταφερόμενον ἐξ ὕψους ἐθεάσαντο, γελῶντες μὲν ἐπαύσαντο, πεσόντα δὲ προσδραμόντες ἀνείλοντο συντριβέντα. τὸ δ᾽ ἐναντίον οὐ μόνον ἐπ᾽ ἄλλων, ἀλλὰ καὶ ἐμαυτῷ συμβὰν οἶδα μειρακίῳ τὴν ἡλικίαν ὄντι. πυρέττων γὰρ ἐν θέρει πυρετῷ διακαεῖ, τῆς τε κλίνης ἐξέχειν[15] τινὰ κάρφη, κατὰ τὴν χρόαν ὀρφνώδη, καὶ τῶν ἱματίων ὁμοίας κροκύδας
B ἐνόμιζον. εἶτ᾽ ἀφαιρεῖν μὲν αὐτὰς ἐπεχείρουν, οὐδενὸς δὲ ὑπὸ τῶν δακτύλων ἀναφερομένου, συνεχέστερόν τε καὶ σφοδρότερον ἐπεχείρουν οὕτω πράττων. ἑταίρων δὲ δυοῖν παρόντων ἀκούσας ἀλλήλοιν λεγόντων, ὡς οὗτος ἤδη κροκυδίζει τε καὶ καρφολογεῖ, συνῆκα μὲν ὡς αὐτὸ τοῦτο πεπόνθοιμι τὸ λεγόμενον ὑπ᾽ αὐτῶν· ἀκριβῶς δὲ παρακολουθῶν ἐμαυτῷ μὴ παραπαίοντι κατὰ τὴν λογιστικὴν δύναμιν, ὀρθῶς, ἔφην, λέγετε, καὶ βοηθεῖτέ μοι μὴ φρενιτίσω. τραπομένων δ᾽ αὐτῶν ἐπὶ τὰς προσηκούσας ἐπιβροχὰς τῆς κεφαλῆς, δι᾽ ὅλης τῆς ἡμέρας καὶ νυκτὸς ἐνύπνια μέν μοι ταραχώδη τινὰ
C συνέπεσεν ἄχρι τοῦ[16] βοῆσαί τε καὶ ἀναπηδῆσαι πρὸς ταῦτα, κατέστη δὲ τὰ συμπτώματα πάντα κατὰ τὴν ἑξῆς ἡμέραν. εὔδηλον οὖν ὅτι τῶν συμπτωμάτων ἡ γένεσις, ἐπὶ μὲν αἰτία μιᾷ καὶ τῇ αὐτῇ κατ᾽ εἶδος, οὐκ ἐκ τοῦ αὐτοῦ δὲ πρωτοπαθοῦντος ὁρμᾶται τόπου, τοῖς ἐπ᾽ ἐγκεφάλῳ τε, καὶ γαστρὶ κατὰ συμπάθειαν, ὡς εἴρηται, παρακολουθεῖ. ἂν γὰρ ἀθροισθῇ τις ἐν ἐγκεφάλῳ χολώδης χυμὸς ἅμα πυρετῷ διακαεῖ, παραπλήσιόν τι πάσχει τοῖς ὑπὸ πυρὸς ὀπτωμένοις, καὶ κατὰ τοῦτο λιγνύν τινα γεννᾶν πέφυκεν, ὥσπερ κἀν τοῖς λύχνοις τοὔλαιον· ἥτις λιγνὺς συνδιεκπίπτουσα τοῖς ἐπὶ τὸν ὀφθαλ-
D μὸν ἀφικνουμένοις ἀγγείοις, αἰτία γίνεται τῶν φαντασμάτων αὐτοῖς. ἐθεάσασθε γὰρ ἐν ταῖς ἀνατομαῖς ἅμα τοῖς νεύροις ἐπὶ τὸν ὀφθαλμὸν ἀρτηρίας τε καὶ φλέβας συνδιεκπιπτούσας ἀπὸ τῶν τὴν χοροειδῆ μήνιγγα διαπλεκουσῶν. ἀλλὰ καὶ οὗτος ὁ λόγος ἐνταυθοῖ τελευτάτω, διωρισμένος ἱκανῶς. ἐφεξῆς δὲ περὶ τῶν ἄλλων ἐν ὀφθαλμοῖς μερῶν εἴπωμεν, ἕνα μὲν κοινὸν λόγον, ὡς τὰ φαινόμενα σαφῶς ἡμῖν μόρια μὴ φυλάττοντα τὴν φυσικὴν κατάστασιν, οὐ πρόκειται νῦν διαγιγνώσκειν, ἀλλ᾽ ἐφ᾽ ὧν ἀφανὲς αἰσθήσει τὸ πεπονθός ἐστι μόριον· ὡς ἐφ᾽ ὧν γε φαίνεται σαφῶς ἤτοι διερρω-
E γός τι τῆς κόρης, ἢ περιεσπασμένον, ἢ παρὰ φύσιν ηὐξημένον ἢ μεμειωμένον, αὐτὸ μὲν τὸ πεπονθὸς οὐδεμιᾶς δεῖται σοφίας εἰς διάγνωσιν, ἥτις δὲ ἐστὶν ἡ ποιοῦσα διάθεσις αὐτὸ, τῆς ἰατρικῆς τέχνης ἔργον ἐπίστασθαι, καὶ γέγραπται περὶ αὐτῶν ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις· ὥστ᾽ οὐδὲν ἔτι δέομαι λέγειν ἐν τῷδε περὶ τῶν ἐν ὀφθαλμοῖς πεπονθότων μορίων[17] τῶν αἰσθητῶν, ὥσπερ οὐδὲ περὶ τῶν ἐν αὐτοῖς παθῶν· τὰ μὲν γὰρ ὀνόματα τῶν παθῶν, ἐν ἑνὶ μικρῷ βιβλίῳ γέγραπται, τὴν ἐπιγραφὴν ἔχοντι, τῶν ἐν ὀφθαλμοῖς πα-
F θῶν διάγνωσις· αἱ δ᾽ αἰτίαι, καθάπερ ἔφην, ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις εἴρηνται.

A

ΚΕΦΑΛΑΙΟΝ Γʹ.

Περὶ διαγνώσεως τῶν κατὰ τὴν γλῶτταν παθῶν, καὶ τοῦ κάρου, καὶ τῆς ἐπιληψίας.

Καιρὸς οὖν ἤδη μεταβαίνειν ἐπὶ τὴν γλῶτταν. ἑωρᾶται δὲ ἡμῖν ἐπ' αὐτῆς, ἐνίοτε μὲν ἡ κίνησις, ἐνίοτε δὲ ἡ τῆς γεύσεως αἴσθησις βεβλαμμένη, καί ποτε μὲν σὺν αὐτῇ καὶ ἡ τῆς ἁφῆς. οὐκ ἔστι δ' ἄλλα μὲν ἁφῆς, ἄλλα δὲ γεύσεως νεῦρα, καθάπερ τὰ τῆς κινήσεως· τὰ γὰρ ἀπὸ τῆς τρίτης συζυγίας, οὐ μόνον τῶν ἁπτῶν, ἀλλὰ καὶ τῶν γευστῶν ἐστι διαγνωστικά. πλεονάκις δὲ [19] βλάπτεται τῶν γευστῶν ἡ αἴσθησις, ἤπερ ἡ τῶν ἁπτῶν, καίτοι τῶν αὐτῶν οὖσα νεύρων, ὡς ἂν ἀκριβεστέρας δεομένη διαγνώσεως. παχυμερέστατον μὲν γὰρ τὸ τῆς ἁφῆς αἰσθητήριον, ὥσπερ τὸ τῆς ὄψεως λεπτομερέστατον· δεύτερον δὲ μετὰ τὴν ὄψιν, ἐν λεπτομερείᾳ μὲν τὸ τῆς ἀκοῆς, ἐν παχυμερείᾳ δὲ μετὰ τὴν ἁφὴν, τὸ τῆς γεύσεως, ὥσπερ ἐν μέσῳ τῶν τεττάρων τὸ τῆς ὀσφρήσεως. ἡ δὲ κίνησις τῆς γλώττης, παρὰ τῆς ἑβδόμης ἐστὶ συζυγίας τῶν ἐξ ἐγκεφάλου πεφυκότων νεύρων, ἐγγὺς τῆς κατὰ τὸν νωτιαῖον ἀρχῆς οὖσα. ὅταν μὲν οὖν ἀμφότερα τὰ μέρη τοῦ ἐγκεφάλου τό, τε δεξιὸν, καὶ τὸ ἀριστερὸν κατὰ τοῦτο τὸ χωρίον ᾖ πεπονθότα, τοὺς ἀποπληκτικοὺς ἐπιφέρει κινδύνους, ὅταν δὲ θάτερον μόνον, εἰς παραπληγίαν τελευτᾷ, ποτὲ μὲν τῇ τῆς γλώττης κινήσει μόνῃ λυμαινομένην κατὰ τὸ ἥμισυ μέρος, ἔστι δ' ὅτε καὶ τοῖς κάτω τῆς κεφαλῆς μορίοις ἄλλοτ' ἄλλοις ἐγκατασκήπτουσαν, ποτὲ δὲ καὶ παντὶ θατέρῳ μέρει τοῦ σώματος, ἄχρι ποδῶν ἄκρων. ἡ δ' οὖν γλῶττα πολλάκις ἑωρᾶται βλαπτομένη τὴν εἰρημένην βλάβην μόνη τῶν κατὰ τὸ πρόσωπον μερῶν, μήτε τῆς ἁπτικῆς αἰσθήσεως ἐν αὐτῇ, μήτε τῆς γευστικῆς βεβλαμμένων. καὶ ἡ αἰτία πρόδηλος ὑμῖν ἐστιν ἑωρακόσι τὰς ἐξ ἐγκεφάλου τῶν νεύρων ἀποφύσεις, εἰς μὲν τὸ πρόσωπον ἀπὸ τοῦ [19] προσθίου μέρους αὐτοῦ γινομένας, εἰς δὲ τὰ [20] κάτω μέρη τοῦ προσώπου πάντα τὰ καθ' ὅλον τὸ ζῷον, ἀπὸ θατέρου μέρους τοῦ ὄπισθεν, ἐξ οὗ μέρους ἐστὶ καὶ ἡ συζυγία τῶν ἐπὶ τοὺς τῆς γλώττης μῦς ἀφικνουμένων νεύρων, ὑφ' ὧν αἱ κατὰ προαίρεσιν αὐτῆς γίνονται κινήσεις. ὥστε πάλιν εἰκότως ὅταν τὸ πρόσθιον ἐγκεφάλου πάθῃ μέρος μόνον, ἡ μὲν τῆς γλώττης κίνησις ἀβλαβὴς διασώζεται μόνη, τὰ δ' ἄλλα πάντα τὰ κατὰ τὸ πρόσωπον μόρια τὰς αἰσθητικὰς καὶ προαιρετικὰς κινήσεις ἀπόλλυσι, κατὰ θάτερον δηλονότι μέρος ἤτοι τὸ δεξιὸν ἢ τὸ ἀριστερόν. ἐὰν γὰρ ὅλον ποτὲ πάθῃ τὸ πρόσθιον ἐγκεφάλου, συμπάσχειν μὲν ἀναγκαῖόν ἐστι καὶ τὰ περὶ τὴν ὑψηλοτάτην αὐτοῦ κοιλίαν, βλάπτεσθαι δὲ καὶ τὰς διανοητικὰς αὐτῶν ἐνεργείας· καὶ κεῖται ἀναίσθητος μὲν καὶ ἀκίνητος ὁ οὕτως παθὼν, οὐδὲν δ' εἰς τὴν ἀναπνοὴν βλάπτεται, καὶ καλεῖται τὸ πάθος τοῦτο κάρος, ὥς γε καὶ τὴν ἀναπνοὴν βλάπτον οὕτως ἰσχυρῶς, ὡς μετὰ πολλῆς βίας ἀναπνεῖν μόγις ὁμοίως τοῖς ῥέγχουσιν ἐν ὕπνοις βαθέσιν, ἀποπληξία προσαγορεύεται. καὶ κρίνω καὶ διαδέχεται τὴν μὲν τῆς ἀποπληξίας λύσιν ἡ καλουμένη [21] παραπληγία πάνυ πολλάκις, ἐπὶ δὲ τοῖς κάροις παυομένοις, ὑγεία τοὐπίπαν πολλάκις ἀκολουθεῖν εἴωθεν. γίνεται δὲ κάρος ἐπί τε τοῖς τῶν κροταφιτῶν μυῶν παθέσιν, ὡς Ἱπποκράτης ἐδήλωσεν, κἀν τοῖς ὀξέσι νοσήμασιν, ὡς καὶ τοῦτ' ἔγραψεν ὁ αὐτὸς Ἱπποκράτης· ἐν τῷ μέσῳ δέ πως ἀμφοῖν ἐστι τοῦ τε κάρου καὶ τῆς ἀποπληξίας, ἡ ἐπιληψία, σπασμοὺς μὲν ἐπιφέρουσα παντὸς τοῦ σώματος, οὐ μὴν εἰς παραπληγίαν τελευτῶσα. ψυχρὸς μὲν οὖν [22] καὶ παχὺς

CAPVT III.

De dignotione affectuum linguæ, soporis, & epilepsiæ.

Tempus igitur est, vt ad linguam oratione transeamus. Videmus interdum ipsius motum, interdum gustandi sensum lædi, atque nonnunquam cum eo tactum quoque. Non autem alijs gustus, alijs tactus, neruis vtitur, vt in motu; nerui enim à tertia coniugatione orti non solùm quæ sub tactum cadunt, verùm etiam quæ sub gustum, ea discernunt. Verùm crebrius læditur gustādi, quàm tāgendi sensus, quanuis ijsdem neruis vterque vtatur, quod exactiore iudicio illi opus sit. Tangendi enim sensorium est crassissimum, sicuti cernendi, tenuissimum; auditûs verò sensorium, vt in tenuitate à visu; ita sensorium gustûs in crassitudine, à tactu secundum locum obtinet; vt olfaciendi sensorium in illorum quatuor medio constituitur. Motus autem linguæ est à septimâ neruorum à cerebro ortorum coniugatione, non longè à spinalis medullæ initio. Quum igitur hoc in loco vtraque cerebri pars tam dextra, quàm sinistra afficitur, apoplectica infert pericula, vbi verò altera tantùm, in paraplegiam finit, quæ quidem interdum dimidiæ partis solum linguæ motum euertit; interdum verò partes sub capite constitutas, modò has, modò illas infestat; nonnunquam alterum latus vniuersi corporis vsque ad extremas pedum partes. Igitur ex faciei partibus sola lingua sæpenumerò videtur iam dicta læsione oblędi, quum nulla sit neque in tactu ipsius, neque in gustu læsio. Atque causa haud obscura vobis est, qui vidistis neruorum à cerebro processus, ad faciem quidem à parte eius anteriore; ad partes verò totius animalis sub facie omnes, ab alterâ parte posteriore; à qua etiam eorum neruorum, qui ad linguæ musculos veniunt, coniugatio procedit, quibus ipsa motum ab electione perficit. Itaque rursus non abs re, quum anterior duntaxat cerebri pars afficitur, sola linguæ motio vitio caret; reliquæ verò faciei partes omnes in altera scilicet parte, dextrâ aut sinistrâ, sensum & motum ab electione amittunt. Si enim aliquando sola anterior cerebri pars afficiatur, supremum ipsius ventrem ei consentire necesse est, atque mentis quoque ipsius actiones oblædi. Et qui ita affectus est, neque sensûs neque motûs munere fungitur; respirandi tamen facultas haudquaquam ipsi læditur, vocaturque hic affectus, sopor; vt qui adeo vehementer respirationem lædit, vt magno conatu vix respirare possit, eorum exemplo qui per grauem somnum stertunt, apoplexia nominatur. Ac proinde solutæ apoplexiæ creberrimè succedit vocata paraplegia; sopore verò finito, bona valetudo magna ex parte subsequitur. Fit autem sopor, Hippocrate authore, tum musculis temporum affectis, tum in acutis morbis, vt idem Hippocrates quoque scripsit. Inter vtrumque verò, soporem & apoplexiam, morbus comitialis quodammodò medius est, conuulsionem afferens vniuerso corpori, sed in paraplegiam non desinens. Horum igitur trium morborum

frigidus

frigidus ac crassus, aut omnino viscidus humor causa est; verum in sopore & morbo comitiali, ventres magis, cerebri corpus minus; in apoplexia verò, corpus magis affici solet; & in sopore quidem anterior pars magis; in apoplexia & morbo comitiali vtraque afficitur. In catalepsi verò, & catoche dicta, posteriora cerebri potius afficiuntur. Quum autem osse quopiam terebrâ perforato, medius ventriculus fuerit compressus, sopor hominem occupat sine cõuulsione, & difficili respiratione; quarum hæc quidem apoplexiæ, illa verò epilepsiæ propria est, quemadmodum & catalepsi soporique seruata secundum naturam respiratio; verùm per soporem palpebræ clauduntur, in catalepsi manent apertæ. Quemadmodum autem inter perforandum, quum quis membranam negligenter premens meningophylace nimium cõpresserit, sopor accidit; eodem modò vbi os caluariæ vehementer attritum, ipsius ventriculos cõprimit, maximéque medium, sopor superuenit. Imò etiam vehementes dolores hic affectus sequitur, concidente in ipsis spiritûs animalis robore; voco autem sic (vt scitis) eũ qui est in cerebri ventriculis, primum animæ organum ad sensum & motum in vniuersas corporis partes transmittẽdos. Cerebri affectus, tum quòd iam proposito sermoni familiaritate coniunguntur, tum etiam quod antea non satis declarati fuerunt, operæpretium duximus in præsentia definire. Sed ad linguæ affectus redeo, quorum alii quidem communes sunt, per cõmunicationem quam cum cerebro & neruis habet; alii ipsius duntaxat proprii. Igitur ipsius communicatione cũm cerebro vt per septimam neruorum coniugationẽ motus ipsius lædebatur, ita sensus interturbatur per tertiam; quam neruũ mollẽ dissectores appellãt, quę se inserit dispergitque (vt scitis) in tunicam linguã cõprehendentem, quemadmodũ quę à septima coniugatione oritur, musculis ipsam mouentibus. Proprii autẽ solius linguæ affectus, ab iis qui dictorũ iã supra de oculorũ propriis affectibus meminerint, haud difficulter inuenientur. Etenim musculorum ipsius intẽperies, tãquã similariũ, motũ impediunt, vt ambientis ipsam extrinsecus mẽbranæ intẽperies, tãgendi & gustãdi simul sensũ lædit; tanquã autẽ organicarũ affectionũ, inflãmationes, scirrhi, œdemata, erysipelata, suppurationes; quæ omnia, vtpote quę tum visu, tum tactu discerni queant, ab hisce cõmentariis sunt seiũcta. Nam eas affectas partes considerare proposuimus, quæ neque visu, neq; tactu dignoscere possumus, quibus signis ex indicatione, atq; (vt summatim dicam) rationali viâ inueniri possint.

ἢ πάντως γε γλίσχρος χυμός ἐστιν αἴτιος τῶν τριῶν τούτων νοσημάτων, ἀλλ' ἐν μὲν τοῖς κάροις τε καὶ ταῖς ἐπιληψίαις, αἱ κοιλίαι μὲν μᾶλλον, ἧττον δ' αὐτὸ τὸ σῶμα τοῦ ἐγκεφάλου πάσχειν εἴωθεν, ἐν δὲ ταῖς ἀποπληξίαις μᾶλλον τὸ σῶμα. καὶ κατὰ μὲν τοὺς κάρους τὰ πρόσω μᾶλλον, ἐν δὲ ταῖς ἀποπληξίαις τε καὶ ἐπιληψίαις, ἀμφότερα· κατὰ δὲ τὰς καταλήψεις τε καὶ κατοχὰς ὀνομαζομένας, τὰ ὀπίσω πάσχει μᾶλλον. ὅταν μὲν δ' ἀνατιτραμένου τινὸς ὀστοῦ, ἡ μέση κοιλία[23] θλιφθῇ, κάρος καταλαμβάνει τὸν ἄνθρωπον ἄνευ σπασμοῦ τε καὶ δυσχεροῦς ἀναπνοῆς, ὧν τὸ μὲν ἐπιληψίας, τὸ δὲ τῆς ἀποπληξίας ἐστὶν ἴδιον, ὥσπερ γε καὶ κάρου καὶ καταλήψεως, ἡ κατὰ φύσιν ἀναπνοὴ σωζομένη· ἀλλ' ὁ μὲν κάρος, κεκλεισμένων γίγνεται τῶν βλεφάρων, ἡ κατάληψις δ' ἀνεῳγότων. ὥσπερ δ' ἐν ταῖς ἀνατρήσεσιν ὅταν ἀμελῶς τις πιέζων τῷ μηνιγγοφύλακι, τὴν μήνιγγα θλίψῃ περαιτέρω τοῦ προσήκοντος, ὁ κάρος γίγνεται· κατὰ τὸν αὐτὸν τρόπον, ὅταν ὀστοῦν συντριβὲν σφοδρῶς τοῦ κρανίου θλίβῃ τὰς κοιλίας αὐτοῦ, καὶ μάλιστα τὴν μέσην, ὁ κάρος συμπίπτει· ἕπεται δὲ καὶ σφοδραῖς ὀδύναις τὸ πάθος τοῦτο, καταπίπτοντος ἐν αὐταῖς τοῦ κατὰ τὸ ψυχικὸν πνεῦμα τόνου· καλῶ δ' οὕτως ὡς ἴστε τὸ κατὰ τὰς κοιλίας τοῦ ἐγκεφάλου, πρῶτον ὄργανον ὑπάρχον τῇ ψυχῇ πρὸς τὸ διαπέμπειν εἰς ἅπαντα τὰ μέρη τοῦ σώματος, αἴσθησίν τε καὶ κίνησιν. τὰ μὲν οὖν κατὰ τὸν ἐγκέφαλον, οἰκειότητί τε τοῦ προκειμένου λόγου, καὶ διότι κατὰ τὸν ἔμπροσθεν λόγον ἀδιοριστότερον εἴρηται, διορίσασθαί μοι νῦν ἄμεινον ἔδοξεν· αὖθις δ' ἐπὶ τὰ τῆς γλώττης ἐπάνειμι πάθη, τὰ μὲν κοινὰ διὰ τὴν πρὸς τὸν ἐγκέφαλον καὶ τὰ νεῦρα κοινωνίαν, τὰ δ' ἴδια μόνης αὐτῆς. τῇ μὲν οὖν πρὸς τὸν ἐγκέφαλον αὐτῆς κοινωνίᾳ καθάπερ εἰς τὴν κίνησιν ἐβλάπτετο διὰ τὴν ἑβδόμην συζυγίαν, οὕτως εἰς τὴν αἴσθησιν ἐμποδίζεται διὰ τὴν τρίτην, ἣν ὀνομάζουσι[24] μαλακὸν νεῦρον οἱ ἀνατομικοὶ, καταφυομένην ὡς ἴστε καὶ κατασχιζομένην εἰς τὸν περιλαμβάνοντα τὴν γλῶτταν χιτῶνα, καθάπερ ἡ τῆς ἀπὸ τῆς ζ. συζυγίας εἰς τοὺς κινοῦντας αὐτὴν μῦς. τὰ δ' ἴδια μόνης τῆς γλώττης πάθη τοῖς μεμνημένοις ὅσα περὶ τῶν κατὰ τοὺς ὀφθαλμοὺς ἰδίων ἔμπροσθεν εἶπον, οὐ χαλεπῶς εὑρεθήσεται. καὶ γὰρ ταύτης αἱ μὲν δυσκρασίαι τῶν μυῶν, ὡς ὁμοιομερῶν, ἐμποδίζουσι ταῖς κινήσεσιν, ὥσπερ γε καὶ τοῦ περιέχοντος ἔξωθεν αὐτὴν ὑμένος, ἀμφοτέραις ταῖς αἰσθήσεσιν, ἁπτικῇ τε καὶ γευστικῇ· αἱ δ' ὡς ὀργανικῶν παθῶν φλεγμοναί, καὶ σκίρροι καὶ οἰδήματα καὶ ἐρυσιπέλατα καὶ διαπυήσεις, ἅπερ ἅπαντα τῆς ἐνεστώσης ἀφώρισται πραγματείας, ὁρώμενά τε ἡμῖν καὶ ἁπτομένοις διαγινωσκόμενα· πρόκειται γὰρ, ὅσα μήτ' ὄψει μήθ' ἁφῇ διαγνῶναι δυνάμεθα πάσχοντα μόρια, ταῦτ' ἐπισκέψασθαι, διά τινων σημείων ἐνδεικτικῶς τε καὶ τὸ σύμπαν φάναι, λογικῶς νῦν[25] εὑρεθησόμενα.

CAPVT IV.

De sensus auditus affectibus.

EAdẽ igitur ratione in sẽsu auditus, quicũq; affectus in auriũ oculis obiectã cõcauitate oriũtur, rationali cognitione non indigent; qui verò illæso apparẽte auriũ foramine, sed in audiendi actione læso, simili viã & ratione noscemus. Si solus læditur, sanè neruũ propriũ affectũ esse coniicimus; cũ cæteris verò faciei partibus si afficiatur, in cerebro affectum præter naturam esse, ipso vel vt similari, vel vt organicâ parte, affecto.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν τῆς ἀκουστικῆς αἰσθήσεως παθῶν.

ΚΑτὰ τὸν αὐτὸν οὖν λόγον ἐπὶ τῆς ἀκουστικῆς αἰσθήσεως, ὅσα μὲν ἐν αὐταῖς ταῖς ὁρωμέναις κοιλότησι τῶν ὤτων γίγνεται παθήματα, λογικῆς οὐ δεῖται γνώσεως· ὅσα δ' ἀπαθοῦς φαινομένου τοῦ κατὰ τὰ ὦτα πόρου, βλαπτομένου δὲ κατὰ τὴν ἀκουστικὴν ἐνέργειαν, ὁμοίᾳ μεθόδῳ γνωριοῦμεν· εἰ μὲν μόνη πάσχει, τὸ ἴδιον νεῦρον πεπονθέναι[26] λογιζόμεθα· σὺν δὲ τοῖς ἄλλοις τοῦ προσώπου μορίοις, ἐν ἐγκεφάλῳ τὴν παρὰ φύσιν εἶναι διάθεσιν, ἢ ὡς ὁμοιομεροῦς, ἢ ὡς ὀργανικοῦ μορίου πεπονθότος αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν κατὰ τὸ πρόσωπον παθῶν.

ΚΑὶ τῶν ἄλλων δὲ τόπων ἁπάντων τῶν κατὰ τὸ πρόσωπον οὐ μόνον ἡ κίνησις, ἀλλὰ καὶ ἡ αἴσθησις, ἤτοι τελέως ἀπόλλυται παντάπασιν ἢ βλάπτεται, ποτὲ μὲν αὐτῶν ἰδιοπαθούντων τῶν βεβλαμμένων τὰς ἐνεργείας μορίων, ποτὲ δὲ τῶν ἐξ ἐγκεφάλου φερομένων ἐπ᾽ αὐτὰ νεύρων, ἢ καὶ δι᾽ αὐτὸν τὸν ἐγκέφαλον πάσχοντα· διορίζεται δ᾽ ἀλλήλων ἅπαντα διὰ τῶν ἐξευρημένων αὐτοῖς συμπτωμάτων. ὅτ᾽ ἂν μὲν γὰρ ἕν τι μόριον ἤτοι γε εἰς αἴσθησιν ἢ εἰς κίνησιν ἢ εἰς ἄμφω τύχῃ βλαβὲν, αὐτὸ μόνον ἐκεῖνο τῆς αἰτίας ἔχει[27] τῆς διαθέσεως, ἤτοι γε ἐν τοῖς ἰδίοις μορίοις ὀργανικῶς ἢ κατὰ δυσκρασίαν πάσχουσιν, ἢ ἐν τοῖς εἰς αὐτὰ φερομένοις νεύροις ἀπὸ τῆς τρίτης συζυγίας. ὅταν δὲ ἅμα πλείω πεπόνθῃ μόρια, σκεπτέον, εἴτε ἐκ μιᾶς ἀρχῆς νεύρων, εἴτε ἐκ πλειόνων ἔχει τὴν αἴσθησιν ἢ τὴν κίνησιν ἐν τῇ κατὰ φύσιν διακεῖσθαι. τεθεάμεθα γὰρ ταῦτα διὰ τῶν ἀνατομῶν, τὴν μὲν τρίτης συζυγίας, τοῖς γε κροταφίταις μυσὶν καὶ τοῖς μασσητῆρσιν καὶ τοῖς χείλεσι καὶ τοῖς τῆς ῥινὸς πτερυγίοις, αἴσθησίν τε καὶ κίνησιν παρεχούσης, τῇ δὲ γλώττῃ, τὴν αἴσθησιν μόνην, ὥσπερ γε καὶ τοῖς ἐν τῷ στόματι πᾶσιν· τὴν δὲ δευτέρας τοῖς μυσὶ τῶν ὀφθαλμῶν μόνοις κινήσεως, ὥσπερ γε καὶ τῆς πρώτης τὴν ὀπτικὴν αἴσθησιν αὐτοῖς παρεχούσης. ἐὰν οὖν ποτε τὰ παρὰ τῆς τρίτης συζυγίας νευρούμενα μόρια πάντα φαίνηται βεβλαμμένα κατὰ θάτερον δηλονότι μέρος (ἀεὶ γὰρ χρὴ τούτου μεμνῆσθαι, κἂν μὴ ῥηθῇ ποθ᾽ ὑπ᾽ ἐμοῦ) τὸ πρωτοπαθὲς ἡγεῖσθαι χρὴ οὐ νεῦρον γεγονέναι· καὶ ἄμφω δὲ τὰ μέρη τῆς βλάβης συμβάσης, οὐ τοῦ νεύρου τὸ πάθος ἴδιον, ἀλλὰ οὐ κατὰ τὸν ἐγκέφαλον τόπου περὶ ὅτου ἐστὶν, ὅθεν ἐκφύεται τὰ νεῦρα. πάσχοντι δ᾽ ἐγκεφάλῳ καὶ ἄμφω τὰ μέρη τό, τ᾽ ἀριστερὸν καὶ τὸ δεξιὸν ἐν τῷ κατὰ τρίτην συζυγίαν χωρίῳ, συμπάσχει καὶ τὰ πλησιάζοντα, καὶ διὰ τοῦτο τά τε κατὰ τὴν δευτέραν, καὶ τὴν πρώτην συζυγίαν, βλάπτεται νεῦρα, καὶ τῇ τούτων ἀκολούθῳ βλάβῃ καὶ τὰ κατὰ τοὺς ὀφθαλμοὺς μόρια βλάπτεσθαι πάντα· μόνου δ᾽ ἑνὸς μυὸς ἢ νεύρου παθόντος ὁπωσοῦν, εἴτε κατ᾽ ἰδιοπάθειαν, εἴτε κατὰ συμπάθειαν, ἐπὶ τὸν ἀντικείμενον μῦν[28] ἐπισπᾶται τὸ μόριον, ἐὰν μὲν ὁ τὸ δεξιὸν χεῖλος κινῶν μῦς παραλυθῇ, πρὸς τὴν ἀριστερὰν χώραν ἀπαγομένου τοῦ κατὰ τοῦτο τὸ μέρος χείλους, ὅτ᾽ ἂν δὲ ὁ τὸ ἀριστερὸν, ἐπὶ τὴν δεξιάν. ὡσαύτως δὲ κἀπὶ τῆς γένυος ὅλης, καὶ τῆς ῥινὸς πτερυγίων, καὶ τῆς γνάθου ἑκατέρας, ἃς ἐμάθετε κινουμένας ὑπὸ τοῦ μυώδους πλατύσματος, ἐπὶ[29] τὰ ἐναντία τῷ παραλελυμένῳ συμβαίνει παράγεσθαι τὸ μέρος, οὐκ ἔτ᾽ ἐπὶ τούτου παρὰ τῆς τρίτης συζυγίας τῶν νεύρων ἡκόντων, ἀλλ᾽ ἐκ τῶν κατὰ τὸν τράχηλον σπονδύλων εἰς ἅπαν ὀλίγου δεῖν, ὅτι μὴ κατὰ μέρος τι μικρὸν αὐτοῦ τῶν παρὰ τῆς πέμπτης συζυγίας ἐμφυομένων νεύρων, ἔνθα τὸ πλάτυσμα τὴν ὑψηλοτάτην ἔχει χώραν.

CAPVT V.

De faciei affectibus.

SED & reliquorũ omniũ locorũ qui in facie sunt, non solum motus, verùm etiam sensus, aut perditur omnino, aut læditur, interdũ quidem partibus qui læsas habẽt actiones, proprio affectu laborãtibus, interdum verò neruis, qui ad eas à cerebro deferuntur, aut etiã ipsomet cerebro affecto; hæc autem omnia per copulata ipsis symptomata distinguentur. Quũ enim vna quædam pars in sentiẽdi, aut mouendi, aut vtraq; facultate læditur, ea sola causã affectûs continet; aut suis ipsius partibus, vel organicè, vel per intemperiẽ laborãtibus; aut neruis, qui ad ipsam ex tertia cõiugatione feruntur. At vbi plures simul afficiuntur partes, considerare oportet, vtrum ex vna neruorum origine, aut pluribus, sensum motúmve, quum in naturali sunt habitu, sortiantur. Vidimus enim ex dissectionibus, temporalibus, & mansoriis musculis, item labris, & narium pinnis sensum & motum; linguæ verò, omnibusque oris partibus sensum duntaxat, à tertia neruorum coniugatione procedere; à secunda verò, oculorũ musculis motum, sicuti à prima oculis ipsis cernendi sensum suppeditari. Igitur vbi partes, quibus à tertia coniugatione nerui adueniunt, omnes, sed in alterutra scilicet parte, læsæ videntur (semper enim hoc etiamsi non dicamus, oportet meminisse) neruum ipsum primariò affectũ esse putandum est. Si verò vtranque simul lædi contigerit, non nerui proprius, sed eius in cerebro loci, à quo nerui procedunt, primarius affectus est. Affecto autem in vtraque parte tam dextra quam sinistra cerebro, in spatio tertiæ coniugationis, vicinæ partes per consensum afficiũtur; proinde & secundæ & primæ cõiugationis nerui læduntur, horumque læsionem sequitur, vt oculorum quoq; partes omnes lædantur. Quòd si vnus musculus, vel neruus quoquo modo, siue primario affectu, siue per consensum fuerit affectus, pars in aduersum trahitur musculum; resoluto scilicet musculo dextrum labrum mouente, ipsum ad sinistram deflectitur; at si is qui sinistrum, ad dextram. Similiter & in totâ maxillâ, & narium pinnis, & buccis vtrisque, quas à lato musculo moueri didicistis, in aduersam ei quæ resoluta est, partem deflecti contingit; ad hunc *latum musculum* neruis nõ item à tertia cõiugatione venientibus, sed à vertebris ceruicis in totum ferè eũ, parte quadam ipsius exiguâ exceptâ, in quã nerui à quinta cõiugatione inserũtur, vbi est altissima huius lati musculi regio.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τῶν τοῦ νωτιαίου παθῶν, καὶ τῶν τῆς κυνάγχης γενῶν.

ΜΕτιέναι δ᾽ ἤδη καιρὸς ἐπὶ τὰ τοῦ νωτιαίου πάθη. τὰ τοῦ νωτιαίου μυελοῦ πάθη σύντομον μὲν ἔχει τὴν ἐν τῷ παρόντι διδασκαλίαν, οὐ σύντομον δὲ τὴν ἐπὶ τῶν ἔργων γνῶσιν αὐτῶν. εἰ μὴ γὰρ μνημονεύσει τις ἑκάστην συζυγίαν τῶν ἀπ᾽ αὐτοῦ πεφυκότων νεύρων, εἰς ὅ, τι παραγίνεται μέρος τοῦ σώματος, ἀδύνατον[30] αὐτῷ γνῶναι κατὰ πόσον ἔπαθε σπόνδυλον ὁ νωτιαῖος, ὡς τῷ γε μεμνημένῳ, ῥᾴστη ἡ τοῦ πεπονθότος τόπου γνῶσις. ἀλλὰ καὶ κατὰ τῶν ἄλλων ἁπάντων μορίων διάγνωσιν, ἀνάμνησις ἔσται τῶν ἀπὸ τοῦ νω-

CAPVT VI.

De spinalis medullæ affectibus, ac de generibus anginæ.

SEd iã tempus est, vt ad spinalis medullæ affectus accedamus. Spinalis medullæ affectus, in præsẽti concisam habent doctrinã, at non facilem in ipsis operibus cognitionẽ. Etenim, nisi quis neruorũ ab ipsa procedẽtiũ cõiugationes memoriâ teneat, ad quã corporis partẽ singulę perueniãt, noscere nõ poterit in quota vertebra spinalis medulla sit affecta; vt si illarum meminerit, facilis erit affectæ sedis notitia. Quinetiã ad reliquarum quoq; partium omnium notitiam

tiam

titiam, neruorum, qui à spinali medulla oriuntur, meminisse necesse erit. Veluti statim vbi primæ vertebræ afficiuntur, licet rarò, euenit tamen interdum angina, pueris magis, quam adultis; de qua Hippocrates secundo epidemion ita conscripsit. *Erant anginâ laborantium affectiones huiusmodi. Ceruicis vertebræ intrò conuersæ erant, alijs quidem plus, aliis verò minùs; atque in partibus exterioribus manifesta videbatur in ceruice cauitas; & dolorem laborans, dum in ea parte tangebatur, sentiebat; erat & aliquantò sub eo osse, quod dētem nominant, quod non adeo acutum est, quibusdam verò ob rotunditatem maiorem omnino conspicuum. Fauces nisi cum dente vocato, non inflamābantur, sed subsidebant. Partes quæ submalis erant, tumebant, inflāmatis haud consimiles; neq; vlli bubones erant, sed secundum naturā magis permanebant. Linguam haud facilè cōuoluebant, sed & maior ipsis videbatur atque exerta. Venæ sub lingua manifestæ. Deglutire, nisi admodum molestè, haud poterant, sed si vehementer cogerentur, in nares effluebat, & naribus loquebantur. Spiritus ipsis non admodum elatus. Nonnullis capitis, temporum, atque ceruicis venæ attollebantur; atque horum paululum, quibus dolores recrudescebant, tempora incalescebant, quanuis alias non febricitarent. Plurimi non suffocabantur, nisi quum vel sputum, vel aliud quidpiam deglutire tentarent. Neque subsidebant oculi. Quibus igitur tumor neutram in partem deflectebat, sed rectus erat, nequaquam paraplectici euadebant. Horum si quempiam perijsse mihi constiterit, eum recensebo; quos autem nunc scio, superstites permanserunt. Atque alij quam celerrimè sanitati sunt restituti, alij plurimi quadraginta dies prætererunt, atque horum non pauci febris expertes. Multis etiā in longum valde tempus, pars quædam tumoris protrahebatur; eius rei signum, tum deglutitio tum vox præbebat. Atq; eliquatæ columellæ, exilitatem quandam malam præstabant, quanquā nihil mali habere videbantur. At quibus alterutra pars afficiebatur, ij ea parte, à qua vertebræ inclinatæ erant, paralytici euadebant, atque hæc ipsa versus alteram trahebatur. Hæc autem & in facie, & ore, & septo quod ad gurgulionem est, maximè deprehendebantur; quinetiam inferiores genæ pro ratione mutabantur. Paraplegiæ autem non per totum corpus fiebant, vt ex alijs, sed vsque ad manum, quæ ab anginosa parte erant. Hi & concocta & paucæ molestè expuebant; quibus autē in rectū tumor erat, ij sine labore expuebāt. Quibus verò & cum febre, hi multo magis & difficulter spirabant, & inter loquendum salinam fundebant; & venæ his magis elatæ; et pedes omnium quidem frigidissimi, horum verò maximè. Horum si aliqui non ilicò mortui sunt, hi tamen erigere sese haudquaquam poterant; verùm quos ego noui, omnes obierunt.* Totum hunc textum secundo libro eius commentarij, quem in secundum librum epidemiorum perscripsimus, ad verbum ferè enarrauimus; atque idcirco eum totum hic inseruimus, quod Hippocrates multis ostendat accidisse anginam nobis rarò visam, nullo existente in gutture proprio affectu; quinetiam quòd circa primas oriatur vertebras, à quarū secundâ pars dentiformis vocata procedit, vnde nōnulli ipsam totam vocauere dentem. At nunc sub hac vertebra inquit factam anginam, non æquè acutam, ac quæ circa secundam fit; nam constat spinalis medullæ partes, quò fuerint altiores, eò esse præstantiores; proinde si multò inferior primis duabus vertebris fuerit ipse affectus, eo minorem adhuc inferet noxam.

τιαίου μυελοῦ πεφυκότων νεύρων. εἶτ' εὐθέως [32] ἀπὸ τῶν πρώτων σπονδύλων παθόντων, σπανίως μὲν, ἀλλὰ γοῦν συνάγχη ποτὲ, παιδίοις μᾶλλον ἢ τελείοις, ὑπὲρ ἧς Ἱπποκράτης οὕτως συνέγραψεν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν. [33] ἐπὶ δὲ τῶν κυναγχικῶν παθήματα τοιάδε. τοῦ τραχήλου οἱ σπόνδυλοι εἴσω ἔρρεπον, τοῖσι μὲν ἐπὶ πλέον, τοῖσι δὲ [34] ἐπ' ἔλαττον, καὶ ἔξωθεν ἔκδηλος ἦν κοῖλον ἔχων ὁ τράχηλος, καὶ ἤλγει ἐν ταύτῃ ψαυόμενος. ἦν δὲ καὶ κατωτέρω τινὶ τοῦ ὀδόντος καλεομένου ὀστοῦ, ὃ οὐχ ὁμοίως ὀξύ ἐστιν, ἔστι δ' οἷσι καὶ πάνυ [35] περιφερής, μείζονι περιφερείῃ. ἦν μὴ σὺν τῷ ὀδόντι καλεομένῳ, φάρυγξ οὐ φλεγμαίνουσα, [36] ἐγκειμένη δέ. τὰ ὑπὸ γνάθων, ὀγκηρὰ, οὐ φλεγμαίνουσιν εἴκελα, οὐδὲ βουβῶνες οὐδενὶ ᾤδησαν, [37] ἀλλὰ τῇ φύσει μᾶλλον. καὶ γλῶτται οὐ ῥηϊδίως στρέφοντες, ἀλλὰ μείζων τε αὐτέοις ἐδόκεεν εἶναι καὶ προπετεστέρη. καὶ αἱ ὑπὸ τῆς γλώττης φλέβες [38] ἐμφανέες, καταπίνειν δ' οὐκ ἠδύναντο, ἢ πάνυ χαλεπῶς, ἀλλ' ἐς τὰς ῥῖνας [39] ἐξέφευγεν εἰ πάνυ [40] ἐβιῶντο, καὶ διὰ τῶν ῥινῶν διελέγοντο. πνεῦμα δὲ τούτοισιν οὐ πάνυ μετέωρον. ἔστι δ' οἷσιν καὶ φλέβες αἱ ἐν κροτάφοισιν καὶ ἐν κεφαλῇσι καὶ αὐχένι, ἐπηρμέναι. βραχὺ δέ τι τουτέων τοῖσι [41] παλιγκοτωτάτοισι, κρόταφοι θερμοὶ, εἰ καὶ τὰ ἄλλα μὴ πυρεταίνοιεν. οὐ μὴν πνιγόμενοι οἱ πλεῖστοι, εἰ μὴ καταπίνειν προθυμοῖντο, ἢ τὸ σίαλον, ἢ ἄλλο τι. οὐδὲ οἱ ὀφθαλμοὶ ἐγκαθήμενοι. οἷσι μὲν οὖν ἦν ἐς ὀρθὸν ἐξόγκωμα μὴ ἑτερόρροπον, οἱ τοιοῦτοι παραπληκτικοὶ οὐκ ἐγίνοντο. ἀπολόμενον δὲ εἴ τινα εἶδον, ἀναμνήσομαι· οὓς δὲ νῦν οἶδα, περιεγένοντο. ἦν δὲ τὰ μὲν τάχιστα ῥηΐζοντα, τὰ δὲ πλεῖστα καὶ ἐς τεσσαράκοντα ἡμέρας περιῄει, τούτων δ' οἱ πλεῖστοι καὶ [42] ἀπύρετοι. πολλοὶ δὲ καὶ πάνυ ἐπὶ πουλὺν χρόνον [43] εἶχόν τι μέρος τοῦ ἐξογκώματος, καὶ κατάποσις καὶ φωνὴ ἐνσημαίνουσα. κίονές τε τηκόμενοι μινύθησίν τινα πρῆξιν πονηρὴν, οὐδὲν δοκέοντες κακὸν ἔχειν. οἱ δ' ἑτερόρροπα ἔχοντες, οὗτοι ὁκόθεν αἱ ἐγκλιθείησαν οἱ σπόνδυλοι, ταύτῃ παρελύοντο, τὰ δ' ἐπὶ θάτερα [44] εἵλκετο. ἦν δὲ ταῦτα ἐν προσώπῳ καταφανέα μάλιστα καὶ τῷ στόματι καὶ τῷ κατὰ γαργαρεῶνα διαφράγματι· ἀτὰρ καὶ γνάθοι αἱ κάτω παρηλλάσσοντο κατὰ λόγον. αἱ δὲ παραπληγίαι οὐ διὰ παντὸς τοῦ σώματος ἐγίνοντο, εἴτ' ἐξ ἄλλων, ἀλλὰ μέχρι χειρὸς τὰ ἀπὸ τοῦ κυναγχικοῦ. οὗτοι καὶ πέπονα ἀναπτύοντες [45] βραχὺ μόγις ἤσαν· οἷσι δὲ ἐς ὀρθὸν, [46] ἀπέπτυον· οἷσι δὲ καὶ σὺν πυρετῷ, οὗτοι [47] πολὺ μᾶλλον καὶ δύσπνοοι [48] καὶ διαλεγόμενοι σιαλοχόοι, καὶ φλέβες τούτοισι μᾶλλον ἐπηρμέναι· καὶ πόδες πάντων μὲν ψυχρότατοι, τούτων δὲ μάλιστα· καὶ ὀρθοστατεῖν οὗτοι ἀδυνατώτεροι, καὶ εἴ τινες μὴ αὐτίκα ἔθνησκον· οὓς δὲ ἐγὼ οἶδα, πάντες ἔθνησκον. ταύτην ὅλην τὴν ῥῆσιν ἐξηγησάμενος καθ' ἑκάστην ἤδη λέξιν ἐν τῷ δευτέρῳ τῶν εἰς τὸ δεύτερον τῶν ἐπιδημιῶν ὑπομνημάτων, διὰ τοῦτο δὲ νῦν ὅλην αὐτὴν ἔγραψα, διότι πολλοῖς ὁ Ἱπποκράτης ἐμφαίνει γεγονέναι τὴν σπανίως ἡμῖν ἑωραμένην κυνάγχην, αὐτοῦ τοῦ πάθους ἴδιον ἔχειν τὸν λάρυγγα· καὶ μέντοι καὶ ὅτι κατὰ τοὺς πρώτους γίγνεται σπονδύλους, ὧν ὁ δεύτερος ἔχει τὴν ὀδοντοειδῆ καλουμένην ἀπόφυσιν, ἀφ' ἧς ὅλος ὑπό τινων ὀδοὺς προσηγορεύθη. ἀλλὰ νῦν γε κατωτέρω φησὶν τούτου τοῦ σπονδύλου γεγονέναι τὴν κυνάγχην, οὐχ ὁμοίως ὀξεῖαν οὖσαν τῇ κατὰ τὸν δεύτερον γινομένῃ· πρόδηλον γὰρ ὅτι τὰ ὑψηλότερα τοῦ νωτιαίου μέρη, κυριώτερα τῶν ταπεινοτέρων ἐστί. ἐὰν μὲν οὖν πολὺ κατωτέρω γένηται τῶν πρώτων δύο σπονδύλων ἡ αὐτὴ διάθεσις, ἔτι καὶ μᾶλλον ἧττον ἀκολουθήσει ἡ βλάβη.

μεμαθήκαμεν γὰρ ἡμεῖς ἐκ τῆς ἀνατομῆς, τὰ τοῦ διαφράγματος νεῦρα μετὰ τὸν τέταρτον καὶ πέμπτον σπόνδυλον ἐκφύεσθαι· ἐμάθομεν δὲ κἀν τῇ περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων πραγματείᾳ, τὴν ἀβίαστον ἀναπνοὴν ὑπὸ τοῦ διαφράγματος μόνου γίνεσθαι, προσέρχεσθαι δ᾽ αὐτῇ τὴν τῶν μεσοπλευρίων μυῶν ἐνέργειαν, ὅταν μείζονος εἰσπνοῆς δεηθῶμεν, ὥσπερ γε καὶ τὴν τῶν ὑψηλῶν, ὅταν μεγίστης· οὐ μὴν διὰ μεγάλην ἢ μεγίστην ἀναπνοὴν μόνον ἐνεργεῖν ἡμᾶς τούτοις τοῖς μυσὶν, ἀλλὰ καὶ δι᾽ ἄλλας αἰτίας, ὑπὲρ ὧν ἐπὶ πλέον ἐν τοῖς περὶ δυσπνοίας εἴρηται. νυνὶ δ᾽ ὅσον εἰς τὴν τῶν πεπονθότων τόπων γνῶσιν ἀναγκαῖον ἐπίστασθαι, παρὰ τῆς προγεγραμμένης ῥήσεως ἀρκέσει λαβεῖν, ἐκείνου πρότερον ἀναμνησθέντας, ὃ δηλοῦμεν ἐν τῷ περὶ ἄρθρων, ἐξηγούμενοι τὴν λέξιν, ἔνθα φησί· σπόνδυλοι δὲ οἱ κατὰ ῥάχιν, ὁκόσοι μὲν ὑπὸ νοσημάτων ἐς τὸ κυφὸν ἕλκονται. βούλεται δὲ οὐ μόνον τὴν ἔσω μετάστασιν τῶν σπονδύλων, ἥ τις ὀνομάζεται λόρδωσις, ἀλλὰ καὶ τὴν εἰς τοὐπίσω, ταῖς εἰς τὴν ἔξω χώραν τάσεσιν ἕπεσθαι, ἑλκομένων τῶν νευρωδῶν σωμάτων ὑπὸ τῶν ἐνταῦθα συνισταμένων παρὰ φύσιν ὄγκων. ὅτ᾽ ἂν μὲν οὖν καθ᾽ ἕνα μόνον σπόνδυλον ἡ ὁλκὴ γίνηται, λορδοῦσθαι συμβαίνει κατ᾽ ἐκεῖνο τὸ μέρος τὴν ῥάχιν, ὡσαύτως δὲ κἂν ἐφεξῆς ἀλλήλων ἐπὶ δυοῖν ἢ τριῶν σπονδύλων· ὅτ᾽ ἂν δ᾽ οὖν μεταξὺ τῶν ἑλκομένων σπονδύλων εἷς ἢ καὶ πλείους ἀπαθεῖς διαμένωσι, κυρτοῦσθαι συμβαίνει τούτοις. ἐπειδὰν μέντοι κατὰ θάτερον μέρος, ἤτοι τὸ δεξιὸν, ἢ τὸ ἀριστερὸν ἡ ὁλκὴ γίνηται, πρὸς ἐκεῖνο συμβαίνει σκολιοῦσθαι τὴν ῥάχιν. ἀμφοτέρων οὖν ἐμνημόνευσε κατὰ τὴν προγεγραμμένην ῥῆσιν ὁ Ἱπποκράτης, ἐν μὲν τῷ φάναι, οἷς μὲν οὖν τὸ ὀρθὸν ἐξόγκωμα, τῆς λορδώσεως· ἐν δὲ τῷ, οἱ δὲ ἑτερόῤῥοπα ἔχοντες, τῆς σκολιώσεως. ἀκριβῶς δὲ πάνυ καὶ ὠφελίμως ἡμῖν τοῖς ἀναγνωσομένοις αὐτὰ, προσέγραψεν, ἐπὶ μὲν τῆς λορδώσεως οὐδένα γίνεσθαι παραπληκτικὸν, ὅπερ ἐστὶ, μορίῳ τινὶ παρετόν· ἐπὶ δὲ τῆς σκολιώσεως γίνεσθαι φάσκων ἄχρι χειρὸς, ὅπερ ἐστὶν οὐ κατωτέρω κατὰ τὰς πλευρὰς ἢ ὀσφὺν ἢ τὰ σκέλη. πρῶτον οὖν ἡμᾶς χρὴ τοῦτο γινώσκειν, ὡς ἕτερα μὲν συμπτώματα ἕπεται τοῦ νωτιαίου μυελοῦ παθόντος ἴδιόν τι πάθος, ἤτοι κατὰ δυσκρασίαν μόνην ἢ μετὰ χυμοῦ τινος ἐπιῤῥυέντος, ὡς ἐν ἐρυσιπέλασι καὶ φλεγμοναῖς καὶ σηπεδόσι· ἕτερα δὲ θλιβέντος, ἀπὸ μεταστάσεως ἑνὸς ἢ πλειόνων σπονδύλων. ἔνθα μὲν γὰρ αὐτὸς ὁ νωτιαῖος ἔπαθεν ἴδιόν τι πάθος, ἤτοι κατὰ τὸ ἀριστερὸν ἢ δεξιὸν μέρος δίχα μεταστάσεως σπονδύλων, κατὰ μὲν τὸ ἕτερον αὐτοῦ μέρος μόνον γενομένου τοῦ πάθους, ἀπόλλυται τὰ κάτω μέρη τοῦ σώματος, ὅσα κατ᾽ εὐθὺ τῆς βλάβης, εἰς αἴσθησίν τε καὶ κίνησιν βλάπτεται· ἔνθα δ᾽ ὅλος ἔπαθεν, ἀπόλλυται ὁμοίως τά τε δεξιὰ καὶ τὰ ἀριστερὰ τὰ κάτω τοῦ βλαβέντος μέρους, παραλύεται. κινηθέντος δὲ σπονδύλου πρὸς μὲν τὸ κυφὸν ἢ λορδὸν, ἐγχωρεῖ μὲν καὶ μηδ᾽ ὅλως βλαβῆναι τῶν ὑποκάτω μερῶν μηδὲν εἰς αἴσθησιν ἢ κίνησιν, ἐγχωρεῖ δὲ καὶ βλαβῆναι κατὰ τὸν ἐν τῷ περὶ ἄρθρων εἰρημένον ὑπ᾽ αὐτοῦ διορισμόν. ὅταν μὲν γὰρ ὡς αὐτὸς ὠνόμασεν, γωνιώδης ἡ διαστροφὴ γίνηται τοῦ νωτιαίου, τουτέστι μὴ κατὰ βραχὺ καμφθέντος, ἀλλ᾽ ἀθρόως καθ᾽ ἓν μόριον, οἷον κλάσιν τινὰ λαβόντος, ἀνάγκη βλαβῆναι τὰ κάτω μόρια πάντα·

Nam ex anatome didicimus septi transuersi neruos sub quarta, ac quinta vertebra emergere; praeterea ex commentariis de spirationis causis edocti sumus, liberam respirationem à solo fieri septo transuerso, accedente ad hanc intercostalium quoque musculorum actione, vbi maiori opus est respiratione; vt si vehementissimâ, superiorum quoque; verùm non solum ob magnam, aut maximam respirationem horum musculorum actione nos vti, sed ob alias quoque causas, de quibus latius in libris de spirandi difficultate dictum est. In praesentia verò satis fuerit à praescripto *Hippocratis* sermone tantum accipere, quantum ad affectorum locorum dignotionem necessarium est; si prius meminerimus eius verbi, quod in libro de articulis à nobis explicatum est, enarrantibus textum, vbi inquit; *Vertebrarum autem, quae in spina sunt, quaecunque per morbos in gibbum trahuntur.* Vult nimirum non solùm ad interna vertebrarum luxationem, quam lordosin, vocant, sed eam quoque quâ foras vertebrae labuntur, comitari tensiones quae ad partes fiunt externas, trahentibus qui ibi praeter naturam consistunt tumoribus, neruosa corpora. Igitur vbi vnica duntaxat vertebra, aut etiam duae, aut tres sese deinceps consequentes distrahuntur, ea parte spinam cauari contingit; vbi verò inter distractas vertebras vel vna vel plures illaesae permanserint, sic affectis gibbus accidere solet; at si in alterutram partem, vel dextram, vel sinistram, distrahâtur, ad eam in obliquum torquetur spina. In eo igitur quem praemisimus sermone, vtriusque mentionem fecit Hippocrates, excauationis quidem, cum dixit, *quibus rectus erat tumor*; obliquae verò torsionis, dicens, *quibus verò alterutra pars afficiebatur.* At accuratè admodum atque vtiliter nobis legentibus haec ascripsit, *per excauationem quidem, neminem factum paraplecticum*, hoc est, parte aliquâ resolutum; per obliquam verò torsionem, *ad manus vsque factum esse*, hoc est non ad inferiores partes, vt costas, lumbos, crura. In primis itaque hoc nobis sciendum est, alia quidem sequi symptomata laborante spinali medullâ proprio aliquo affectu, siue ex sola intemperie, siue simul humore quopiam affluente, vt in erysipelate, inflammatione, atque vlcere putri; alia verò contusâ, vnâ vel pluribus vertebris suo loco motis. Vbi enim proprio aliquo affectu spinalis ipsa medulla laborat, siue in dextra siue sinistra parte, citra vertebrarum luxationem, si in altera parte duntaxat afficiatur, omnium inferiorum corporis partium, quae è regione laesionis constituuntur, tam sensus quam motus laeditur; si verò vtraque pars affecta est, omnes partes, tam dextrae, quam sinistrae, ei quae laeditur subiectae, similiter resoluuntur. At luxatâ vel ad gibbum vel ad concauum vertebrâ, fieri potest, vt nulla omnino partium inferiorum, vel ad sensum vel motum oblaedatur; fieri etiam potest, vt laedatur eo modo, qui in libro de articulorum affectibus ab ipso definitus est. Quum enim angulosa (vt ipse nominat) fit spinalis medullae luxatio, id est, quum non paulatim, sed affatim perinde ac si frangeretur, pars aliqua curuatur, subiectas partes omnes laedi necesse est;

paulatim

paulatim verò facta luxatione in orbem, nihil notatu dignum patiuntur partes, quæ commotæ vertebræ supponuntur. Sed in obliquum luxatio lædit omninò partes eas, ad quas nerui ex luxatis vertebris procedentes perueniunt; idq; magis in ceruice, in thorace minùs, sed multò minus in lũbis, accidere solet. Siquidem in ceruice vertebræ inter se connexæ æqualiter vtræque cõferũt foramini, vnde neruus procedit; in thorace autẽ superior magis, inferior minùs; sed in lumbis totus neruus ex superiori excidit vertebra. Quare hic quidem transuersa vertebrarum luxatio, secum trahens & spinalem medullam & neruum, illæsum seruat ipsius secundum naturam ortum; in ceruice verò ex loco medio inter duas vertebras procedentes nerui, per obliquas luxationes in ea quidem processûs parte, ad quam spina ipsa deflectitur, opprimuntur, in alterâ verò tenduntur; ac tensiones quidem, vbi ingens inflammatio accesserit, conuulsio comitatur; compressiones verò, earum partium, ad quas oppressus neruus peruenit, paralysis. Igitur meritò in ea angina, cuius in præmisso sermone historia narrata est, ad manus vsque peruenit paraplegia, vtpote manibus neruos ex fine ceruicis accipientibus; nam sub ceruice thorax est, à cuius vertebris emergentes nerui non ad manus, sed ad spatia intercostalia transmittuntur, paucis quibusdam qui ex primis procedunt, exceptis. Igitur per eas, quas nuper diximus, vertebrarum luxationes, reliquæ faciei partes omnes, neque in sensu, neque in motu interturbantur; buccæ autem duntaxat sine mandibula læduntur, vt quæ à lato musculo mouentur. Constat itaque musculos, qui neruorum suorum initium habent à ceruicis vertebris, lædi pariter, si spinalis medulla, & prouenientes ab ipsa nerui læduntur. Verùm qui, & quot sint huiusmodi musculi, ex neruorum qui à spinali medulla oriuntur dissectione didicistis. Quemadmodum alia quoque cognitu necessaria symptomata, quæ sequũtur, vbi spinæ ipsius vertebræ, vel in gibbum, vel concauum, vel etiam transuersum luxantur, in tertia parte commentariorum in librum de articulis omnia cum demonstrationibus accuratè conscripta habetis, quorum summas nunc vobis commemoro; atque eorum nonnulla iam percurri, quæ verò nondum explicata sunt, vt nihil quicquam hîc orationi *nostræ* desit, narrabimus. Nam vos scire decet vertebras à suo situ luxari, aut ob casum, aut ictum, aut tumorem aliquem præter naturam, neruosa corpora vertebris ipsis atque spinali medullæ connata diuellentem. Hæc genere duo sunt; alia quidem partium secundum naturam, alia verò præter naturam, tumores quidam, quos Hippocrates vno vocabulo comprehendens, cruda tubercula nominauit. Igitur manifestum est, quod in præmissa constitutione, quam libro secundo epidemiorum descripsit, ceruicis vertebris adiacentes musculi afficiebantur; & tuberosus fortasse tumor aliquis accedebat, ob quem concocta nonnullos spuisse dicit, factâ videlicet tuberculorum concoctione. Cur igitur eos anginosos etiam appellauit? an quia spirandi quædam ipsis erat difficultas, citra vllum thoracis & pulmonis affectum? Nam hac in re differt anginosus

A κατὰ βραχὺ δὲ τῆς διαστροφῆς γεγενημένης κυκλοτερῶς, οὐδὲν ἀξιόλογον πάσχει τὰ κάτω τοῦ κινηθέντος σπονδύλου. ἡ δ' εἰς τὸ πλάγιον ἐκτροπὴ βλάπτει πάντως ἐκεῖνα τῶν μορίων, εἰς ἃ παραγίνεται τὰ διὰ τῶν μεταστάντων σπονδύλων ἐκφυόμενα νεῦρα· καὶ μᾶλλον μὲν γὰρ τοῦτο κατὰ τὸν τράχηλον, ἧττον δὲ κατὰ τὸν θώρακα, πολὺ δ' ἧττον ἔτι κατὰ τὴν ὀσφῦν. ἐπὶ μὲν γὰρ τοῦ τραχήλου, τῶν συντιθεμένων ἀλλήλοις σπονδύλων ἑκάτερος ἴσον συντελεῖ τῷ πόρῳ, δι' οὗ τὸ νεῦρον ἐκφύεται· κατὰ δὲ τοὺς τοῦ θώρακος, πλέον μὲν ὁ B ὑψηλότερος, ἧττον δὲ ὁ ταπεινότερος· ἐπὶ δὲ τῆς ὀσφύος, ὅλον τὸ νεῦρον ἐκπίπτει κατὰ τὸν ὑψηλότερον σπόνδυλον. ὥστε ἐνταῦθα μὲν ἡ εἰς τὰ πλάγια ῥοπὴ τῶν σπονδύλων, ἑαυτῇ συναπάγουσα τὸν νωτιαῖον αὐτὸν καὶ τὸ νεῦρον, ἄθλιπτον ἐργάζεται τὴν κατὰ φύσιν ἔκφυσιν αὐτοῦ· κατὰ δὲ τὸν τράχηλον ἐκ τῆς μεταξὺ χώρας τῶν δύο σπονδύλων ἐκφυόμενα τὰ νεῦρα, κατὰ τὰς σκολιώσεις θλίβεται μὲν ἐν ἐκείνοις τοῖς μέρεσι τῆς ἐκφύσεως, εἰς ἃ τὴν διαστροφὴν ἔσχεν ἡ ῥάχις, τείνεται δὲ κατὰ θάτερα· ταῖς μὲν οὖν τάσεσιν, ὅταν ἐπιγίνηται φλεγμονὴ μεγάλη, σπασμὸς ἐπακολουθεῖ· ταῖς δὲ θλί- C ψεσι παράλυσις τῶν μορίων, εἰς ἃ τὸ θλιβόμενον ἀφικνεῖται νεῦρον. εἰκότως οὖν ἐπὶ ταῖς εἰρημέναις κατὰ τὴν προγεγραμμένην ῥῆσιν κυνάγχαις, ἄχρι χειρῶν αἱ παραπληγίαι συνέπεσον, ὡς ἂν ἐκ τοῦ πέρατος τοῦ τραχήλου λαμβανουσῶν τὰ νεῦρα τῶν χειρῶν, μετὰ γὰρ τὸν τράχηλον ὁ θώραξ ἐστίν, οὐκ εἰς τὰς χεῖρας, ἀλλὰ τὰ μεσοπλεύρια, τῶν κατ' αὐτὸν σπονδύλων ἀποφυομένων νεύρων, πλὴν βραχέων τινῶν ἐκ τῶν πρώτων. τὰ μὲν οὖν ἄλλα τὰ κατὰ τὸ πρόσωπον μόρια, παντάπασιν ἀβλαβῆ διαμένει, μήτ' εἰς αἴσθησιν ἐμποδιζόμενα, D μήτε εἰς κίνησιν, ἐπὶ ταῖς εἰρημέναις ἀρτίως τῶν σπονδύλων μεταστάσεσιν· αἱ γνάθοι δὲ μόναι, χωρὶς τῆς γένυος, ὡς ἂν ὑπὸ τοῦ μυώδους πλατύσματος κινούμεναι, βλάπτονται. δῆλον οὖν ὅτι καὶ τῶν μυῶν ὅσοι τὴν ἀρχὴν τῶν εἰς αὐτοὺς διανεμομένων νεύρων ἔχουσιν ἐκ τοῦ κατὰ τὸν τράχηλον νωτιαίου, βλάπτονται καὶ αὐτοὶ κατά τε τὰ τοῦ νωτιαίου πάθη καὶ τῶν ἀπ' αὐτοῦ πεφυκότων νεύρων. ὁπόσοι δ' εἰσὶ καὶ τίνες οἱ μύες οὗτοι, μεμαθήκατε κατὰ τὴν τῶν ἀπὸ νωτιαίου νεύρων ἀνατομήν, ὥσπερ γε καὶ τἄλλα ὅσα χρὴ γιγνώσκειν ἡμᾶς ἑπόμενα συμπτώματα ταῖς τῶν κατὰ ῥάχιν σπονδύλων ἐκκυφώσεσίν τε καὶ λορδώσεσιν, καὶ σκολιώσεσιν, ἐν τῷ τρίτῳ τῶν εἰς τὸ περὶ ἄρθρων ὑπομνήματι γεγραμμένα πάντ' ἀκριβῶς ἔχετε σὺν ταῖς οἰκείαις ἀποδείξεσιν, ὧν ἐγὼ τὰ κεφάλαια νῦν E ὑμᾶς ὑπομιμνήσκω, ὧν ἔνια μὲν ἤδη διῆλθον, ὅσα δ' οὔπω λέλεκται, νῦν ἐρῶ, πρὸς τὸ μηδ' ἐνταῦθά τι λείπειν τῷ λόγῳ. χρὴ γὰρ ὑμᾶς ἐπίστασθαι τοὺς σπονδύλους ἐξίστασθαί ποτε τῆς οἰκείας θέσεως, ἤτοι γ' ἐκ πτώσεως, ἢ πληγῆς, ἤ τινος ὄγκου παρὰ φύσιν, ἐπισπωμένου τὰ συμφυῆ τοῖς σπονδύλοις αὐτοῖς καὶ τῷ νωτιαίῳ νευρώδη σώματα· διττὰ δέ ἐστιν [54] τῷ γένει ταῦτα, τὰ μὲν ἕτερα τῶν κατὰ φύσιν μορίων, τὰ δ' ἕτερα, τῶν παρὰ φύσιν ὄγκοι τινές, οὓς Ἱπποκράτης ἑνὶ περιλαβὼν ὀνόματι, κέκληκεν ἄπεπτα φύματα. δῆλον οὖν ὅτι ἐπὶ τῆς προ- F γεγραμμένης καταστάσεως, ἣν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἔγραψεν, οἵ τε ἐπικείμενοι τοῖς τοῦ τραχήλου σπονδύλοις ἔπαθον μύες, ἴσως δὲ καὶ φυματώδης τις ὄγκος ἐγένετό που, δι' ὃν [55] καὶ πτύσαι φησὶν αὐτοὺς πέπονα, πεφθέντων δηλονότι τῶν φυμάτων. διὰ τί τοίνυν αὐτοὺς ὠνόμασεν καὶ κυναγχικούς; ἢ ὅτι δύσπνοιά τις αὐτοῖς ἦν, ἄνευ τοῦ πεπονθέναι τι τῶν κατὰ τὸν θώρακα καὶ πνεύμονα; ταύτῃ γὰρ διώρισεν ἡ κυναγχικὴ [56] συνδρομὴ

τῆς περιπνευμονικῆς καὶ πλευριτικῆς, καὶ πρὸς τούτῳ γ' ἔτι τῷ τῆς στενοχωρίας αἰσθάνεσθαι κατὰ τὸν λάρυγγα. φαίνεται γοῦν κἀν τῷ προγνωστικῷ καὶ κυνάγχας ὀνομάζων, ἅπαντα τὰ κατὰ τοῦτο τὸ χωρίον γιγνόμενα πάθη δυσκολίαν τῆς ἀναπνοῆς ἐργαζόμενα· φησὶν γὰρ οὕτως· αἱ δὲ κυνάγχαι δεινόταται μέν εἰσι, καὶ τάχιστα ἀναιροῦσιν, ὅσαι μήτ' ἐν τῇ φάρυγγι ἔκδηλόν τι ποιέουσι, μήτ' ἐν τῷ αὐχένι, πλεῖστόν τε πόνον παρέχουσι καὶ ὀρθοπνοίην· αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσιν καὶ δευτεραῖαι καὶ τριταῖαι, καὶ τεταρταῖαι. ὁκόσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται δὲ καὶ ἐρυθήματα ἐν τῇ φάρυγγι ποιέουσιν, αὗται ὀλέθριαι μὲν κάρτα, χρονιώτεραι δὲ ὀλίγον τῶν προσθεν. οἷσι δὲ συνεξερυθαίνει ἡ φάρυγξ καὶ ὁ αὐχὴν, αὗται χρονιώτεραι, καὶ μάλιστα ἐξ αὐτέων περιγίνονται· ἢν ὅ, τε αὐχὴν καὶ τὸ στῆθος ἐρυθήματα ἔχῃ καὶ μὴ παλινδρομήσῃ τὸ ἐρυσίπελας ἔσω. ἐκ τούτων μὲν ἄν τις ἐτεκμήρατο μιᾷ προσηγορίᾳ πάντα κατὰ τοῦτο τὸ χωρίον πάθη τὴν ἀναπνοὴν ὁπωσοῦν βλάπτοντα, κυνάγχας ὀνομάζειν αὐτὸν, οὔπω τῶν ἰατρῶν εἰθισμένων τὸ μέν τι κυνάγχην ὀνομάζειν διὰ τοῦ κ, τὸ δὲ συνάγχην διὰ τοῦ σ, πολὺ δὴ μᾶλλον οὐδὲ παρασυνάγχην τι καλούντων, οὐδὲ παρακυνάγχην· ἡ γὰρ τῶν ὀνομάτων περιεργία, μετὰ τῆς τῶν πραγμάτων ἀμελείας ἤρξατο, καὶ διὰ τοῦτο τέτταρα μὲν ὀνόματα πεποιήκασι, δηλοῦσθαι δ' ὑπ' αὐτῶν εἰπόντες πάθη τέτταρα καὶ γράψαντες, αὐτῶν τὰ γνωρίσματα παραλελοίπασιν. τοῦτο τοίνυν ἐμοὶ [17] προεχειρίσθη ἅμα τῇ κατὰ τὸ δεύτερον ἐπιδημιῶν ῥήσει, τίνα ποτ' ἐστὶ τὰ τέτταρα πάθη· τὸ μὲν ἓν καὶ πρῶτον αὐτῶν, ὅτ' ἂν ἡ φάρυγξ φλεγμαίνῃ, φάρυγγα δ' ὀνομάζω τὴν ἔνδον τοῦ στόματος χώραν, εἰς ἣν ἀνήκει τό, τε τοῦ στομάχου καὶ τὸ τοῦ λάρυγγος πέρας· ἕτερον δὲ δεύτερον, ὅτ' ἂν μήτ' ἄλλο τι τῶν κατὰ στόμα, μήθ' ἡ φάρυγξ, ἀλλὰ μηδὲ τῶν ἔξωθέν τι φαίνεται φλεγμαῖνον, αἴσθησις δὲ πνίξεως εἴη τῷ κάμνοντι κατὰ τὸν λάρυγγα· τρίτον δ' ἐπὶ τούτοις, ὅτ' ἂν ἡ ἐκτὸς χώρα τῆς φάρυγγος φλεγμήνῃ· καὶ τέταρτον ὅτ' ἂν ἡ τοῦ λάρυγγος ἐκτὸς ὁμοίως διατεθῇ τῇ ἐντός. ἀλλ' ἐπὶ τούτοις γε κατὰ τὸν αὐχένα γίνεταί τι πάθος, ὃ παραλελοίπασιν, εἰς τὴν πρόσω χώραν μεθισταμένων τῶν σπονδύλων, ποτὲ μὲν αὐτῶν μόνων τῶν κοινωνούντων αὐτοῖς μυῶν εἰς ὄγκον τινὰ παρὰ φύσιν ἀρθέντων, ἢ τινος φύματος συστάντος· ἐνίοτε δὲ καὶ τοῦ στομάχου συγκακωθέντος αὐτοῖς· ἔστι δ' ὅτε καὶ τῶν συναπτόντων αὐτὸν μυῶν τῷ λάρυγγι, καὶ πρὸς τούτοις γ' ἔτι τῶν ἰδίων αὐτοῦ τοῦ λάρυγγος μυῶν, ὑφ' ὧν ἀνοίγνυται. ταῦτ' οὖν ἅπαντα τὰ πάθη δυσχέρειαν μέν τινα ἐργάζεται κατὰ τὴν ἀναπνοὴν, οὐ μὴν τὸν τοῦ πνιγῆναι κίνδυνον ἐπιφέρει· δυσκόλως δὲ καταπίνουσι, καὶ μέντοι καὶ ἀλγοῦσιν, ὁπότε μᾶλλον ἀνακόπτεται τὸ ποτὸν αὐτοῖς εἰς τὰς ῥῖνας. ἐνίοτε δὲ τῆς φλεγμονῆς αὐτῆς [18] ἐπιβαινούσης, καὶ τὰ περὶ φάρυγγά τε καὶ γλῶτταν αὐτοῖς συνεξαίρεται, καθάπερ αὐτὸς ἔγραψεν· ἀλλ' οὐ δεῖται νῦν ὁ προκείμενος λόγος τῶν τοιούτων συμπαθειῶν τῆς διηγήσεως, ἑτέρων γὰρ ἐνεργειῶν ἀπώλεια γίνεται, τῆς γλώττης παθούσης.

τοι

A concursus à peripneumonico & pleuritico; atque eò præterea quòd angustiæ sensus in gutture est. In prænotionum itaq; libro videtur anginæ nomine appellare omnes affectus huic loco accidentes, qui respirandi difficultatem moliuntur; sic enim loquitur. *Anginæ periculosissimæ sunt, celeriterque enecant, quæcunque neque in faucibus, neque in ceruice quicquam conspicuum reddunt, doloremque plurimum, & orthopnœam exhibent; hæ nanque eodem die, & secundo, & tertio, & quarto iugulant. Quæ verò in reliquis peræque* B *dolorem quoque concitant, sed in tumorem attolluntur, & in faucibus rubores mouent, hæ quidem admodum periculosæ sunt, sed prioribus paulò diuturniores. At quibus & fauces, & ceruicem simul rubor occupat, ipsæ diuturniores sunt, ac maximè ex his euadunt; si rubores simul & ceruicem, & pectus obsideant, neque intrò recurrat erysipelas.* Igitur cuiuis certa coniectura est, vnico vocabulo omnes huiusce loci affectus, respirationem quoquo modo lædentes ipsum anginas nominare, nondum solitis medicis cynanchen C per c, & synanchen per s nominare; tantum abest, vt vel parasynanchen, vel paracynanchen dicerent; nominum enim supervacanea indagatio cum rerum negligentia ortum duxit, proindeque quatuor quidem nomina fecerunt, sed ab ipsis quum quatuor affectus significari dixissent ac scripsissent, notas ipsorum prætermiserunt. Hoc autem à me simul cum secundi epidemiorum textu propositum est; quinam tandem sint hi quatuor affectus; vnus quidem ac primus ipsorum est quum fauces inflammantur, fauces autem nomino inter- D num oris locum, ad quem ascendit, tum gulæ, tum gutturis extremum; alter autem secundus; quum neque fauces, neque reliquæ oris partes, neque etiam externarum partium vlla inflammata conspicitur, laboranti tamen in gutture suffocationis sensus est; tertius deinceps; vbi externus locus faucium inflammatur; ac quartus, vbi gutturis partes tum externæ, tum internæ similiter affectæ sunt. At superest adhuc alius ceruicis affectus, quem silentio prçterierunt, vbi ad anteriores partes vertebræ luxantur, solis interdum musculis, qui E cum ipsis communicant, tumore præter naturam affectis, vel nato ibi aliquo tuberculo; interdum etiam gulâ pariter cum ipsis vitiatâ; nonnunquam musculis quoque ipsam gutturi copulantibus, ac præterea propriis ipsius gutturis musculis, à quibus aperitur. Itaque hi quidem omnes affectus spirandi quandam difficultatem efficiunt, non tamen suffocationis periculum adferunt; at difficulter deglutiunt, atque dolore afficiuntur, ac præcipuè cum potus eis in nares resilit. Accidit etiam F interdum, vt ascendente inflammatione, & lingua & fauces in tumorem attollantur, quemadmodum & ipse tradidit. Verùm huiusce modi copulatorum affectuum enarratione propositus sermo non indiget; nam linguâ affectâ, aliæ actiones deperduntur.

CAPVT

A

CAPVT VII.

De spinalis medullæ affectibus, quibus respiratio læditur, ac partes ex ipsa neruos suscipientes afficiuntur.

AT vbi vnius actionis læsio est, & sedes affectæ plures, nostri nũc instituti est, ex cęterorum symptomatum varietate discernendo eas inuenire. Quippe nullo spirabilium instrumentorum quoquo modo, neq; primariò, neq; per consensum affecto, fieri minimè potest, vt respiratio lædatur. Quum autem plura ipsa sint spirandi instrumenta, ac præterea alter quoque non paucus partium numerus, quibus ipsa consentire consueuerunt, non abs re multis distinctionibus indiget is, qui & primariò affectas sedes, & consentientes passim inuenire conatur. Igitur statim ex sola respirationis specie nonnihil & de affecta sede, & de ipso affectu coniicere licet. Nam videatur laborans inter spirandum totum mouere thoracem, vt in parte quidem anteriore ad iugulum, in vtroque latere ad epomidas, in parte posteriore ad scapulas vsque motus ipsius ascendat; tres ex huiusmodi respiratione affectus significantur; vnus est, flagrans in pulmone atque corde calor; alter, in aliquo spiritalium organorum angustia; tertius est, facultatis musculos thoracis mouentis debilitas. Quum igitur huiuscemodi respirationem conspexeris, in primis pulsus perpendere oportet; hi enim quantus sit calor, indicabunt, sicut in libro de prænotionibus à pulsu scriptum est; deinde exspirationem, an multa, & conferta, & cum efflatione fiat; postremò thoracem in pectore tangere, quem si quis ardentem inuenerit, iam omnes copiosi caloris notas habuerit; quibus ex abundanti accedit faciei oculorumque rubor, capitis ardor, sitis vehemens; linguaarida & aspera, & quòd dicat infirmus sese ardere. Si verò incendii signis modum seruantibus, thorax vehementer dilatetur, angustia quædam est in spirabilibus organis; quare vel pars aliqua ad guttur affecta est; vel multis humoribus pulmo, aut thorax est oppletus; vel aliquod turberculũ in ipsis nascitur, ex quo genere est abscessus vocatus. Atque gutturis affectus, tum primarios, tum eos, quibus per consensum infestatur, iam percurrimus; pulmonis autem thoracisque vitia paulò post accuratiùs persequemur; nam in præsentia spinalis medullæ affectus tractare proposuimus, tum alios, tum qui ei per imbecillitatem vocatam accidunt. Fit autem *spinalis medullæ* imbecillitas; interdum cerebri vitio, vtpote à quo vtramque facultatem & sensitricem, & motricem ipsa accipit; interdum ipsius duntaxat spinalis medullæ primario affectu laborantis ob peculiarem intemperiem, vel toti ipsi, vel diuersis partibus obortam, quæ multis medicis ne in mentem quidem venit, quum tamen creberrimè videant laborantes quosdam adeo exolutos, vt vix digitos manûs possint mouere, quanuis omnibus thoracis partibus respirent, nullo ardente calore ad magnam respirationẽ ipsos cogente. Id verò ob huiusmodi causam eis accidit. Dum quiescit animans, libe-

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Περὶ τῶν τοῦ νωτιαίου παθῶν, τῶν τὴν ἀναπνοὴν βλαπτόντων, καὶ τὰ μόρια τὰ ἐξ αὐτοῦ νεῦρα λαμβάνοντα.

ΕΝθα δ' ἡ βλάβη μιᾶς ἐνεργείας ἐστίν, οἱ πεπονθότες δὲ τόποι πλείους, τῇ ποικιλίᾳ τῶν ἄλλων συμπτωμάτων διοριζομένοις τούτοις ἡμῖν εὑρίσκειν πρόκειται νῦν. ἄνευ μὲν γὰρ τοῦ παθεῖν τι τῶν ἀναπνευστικῶν ὀργάνων ὁπωσοῦν, εἴτε κατὰ πρωτοπάθειαν, εἴτε κατὰ συμπάθειαν, ἀδύνατόν ἐστι βλαβῆναι τὴν ἀναπνοήν. ἐπεὶ δ' αὐτά τε τὰ ἀναπνευστικὰ πλείω τετύχηκεν ὄντα, πρὸς δ' αὐτοῖς ἕτερος ἀριθμὸς οὐκ ὀλίγος ἐστὶ μορίων, οἷς συμπάσχειν πέφυκεν, εἰκότως οἱ διορισμοὶ πολλοὶ γεγόνασιν, οἷς χρώμενος ἄν τις εὑρίσκοι τούς τ' ἰδίᾳ πάσχοντας ἑκάστοτε, καὶ τοὺς συμπάσχοντας αὐτοῖς τόπους. εὐθὺς οὖν ἐξ αὐτοῦ μόνου τοῦ τῆς ἀναπνοῆς εἴδους, ἔνεστι τεκμήρασθαί τι περί τε τοῦ πάσχοντος τόπου καὶ τῆς διαθέσεως αὐτοῦ. φαινέσθω γὰρ ὁ κάμνων ὅλον τὸν θώρακα κινῶν κατὰ τὴν ἀναπνοήν, ὡς ἔμπροσθεν μὲν ἄχρι τῶν κλειδῶν ἀνήκειν αὐτοῦ τὴν κίνησιν, ἑκατέρωθεν δ' ἄχρι τῶν ἐπωμίδων, ὀπίσω δ' ἄχρι τῶν ὠμοπλατῶν· ἔστι ταύτης τῆς ἀναπνοῆς ἔνδειξις γ' διαθέσεων· μιᾶς μὲν, θερμασίας φλογώδους κατά τε τὸν πνεύμονα καὶ τὴν καρδίαν· ἑτέρας δέ, στενοχωρίας κατά τι τῶν ἀναπνευστικῶν ὀργάνων· ἐφ' αἷς τρίτης, ἀρρωστίας τῆς κινούσης δυνάμεως τοὺς μῦς τοῦ θώρακος. ἐπισκέψασθαι τοιγαροῦν χρὴ τοιαύτην ἀναπνοὴν θεασάμενόν τινα, πρῶτον μὲν τοὺς σφυγμούς· ἐνδείξονται γὰρ οὗτοι τὸ πλῆθος τῆς θερμασίας, ὡς ἐν τῇ δι' αὐτῶν προγνώσει γέγραπται· δεύτερον δὲ τὴν ἐκπνοήν, εἰ πολλὴ καὶ ἀθρόα καὶ μετ' ἐκφυσήσεως γίνεται· καὶ τρίτον ἐπὶ τούτοις ἅψασθαι τοῦ θώρακος κατὰ τὸ στέρνον· διακαιόμενον γὰρ εὑρών τις αὐτό, οὕτως ἂν ἔχοι πάντα τὰ γνωρίσματα τοῦ πλήθους τῆς θερμασίας, ἐξ ἐπιμέτρου προσερχομένων αὐτοῖς ἐρυθρότητος προσώπου τε καὶ ὀφθαλμῶν, καὶ κεφαλῆς διακαοῦς, καὶ δίψους ἰσχυροῦ, καὶ γλώττης ξηρᾶς τε καὶ τραχείας, αὐτοῦ τε τοῦ κάμνοντος καίεσθαι λέγοντος. Εἰ δὲ τῶν τῆς φλογώσεως σημείων μετρίων ὑπαρχόντων, ὁ θώραξ ἐπὶ πλέον διαστέλλοιτο, στενοχωρία τίς ἐστιν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις, ὥστε ἤτοι τῶν περὶ τὸν λάρυγγά τι πέπονθεν, ἢ πλήθους ὑγρῶν ὁ πνεύμων ἢ ὁ θώραξ ἐμπέπλησται, ἢ φῦμά τι φύεται κατ' αὐτούς, ἐξ οὗ γένους ἐστὶ τὸ καλούμενον ἀπόστημα. τὰ μὲν οὖν κατὰ τὸν λάρυγγα διήλθομεν, ὅσα κατὰ συμπάθειάν τε καὶ πρωτοπάθειαν πάσχει· τὰ δὲ κατὰ πνεύμονα καὶ θώρακα, μικρὸν ὕστερον ἀκριβέστερον διαιρεθήσεται, πρόκειται γὰρ ἐν τῷ παρόντι τὰ τοῦ νωτιαίου διελθεῖν πάθη, τά τ' ἄλλα, καὶ ὅσα κατὰ τὴν καλουμένην ἀτονίαν πάσχει. γίνεται δὲ ἀτονία, ποτὲ μὲν διὰ τὸν ἐγκέφαλον, ὡς ἀπ' ἐκείνου τὰς δυνάμεις ἀμφοτέρας ἔχοντος αὐτοῦ, τήν τε αἰσθητικὴν καὶ τὴν κινητικήν· ἐνίοτε δὲ καὶ κατ' αὐτὸν μόνον τὸν νωτιαῖον πρωτοπαθοῦντα διά τινα δυσκρασίαν οἰκείαν, ἤτοι καθ' ὅλον αὐτόν, ἢ κατὰ διαφέροντα μόρια γεγενημένην, ἧς οὐδ' εἰς ἔννοιαν οἱ πολλοὶ τῶν ἰατρῶν ἀφικνοῦνται, καίτοι θεώμενοι πολλάκις ἐν νόσοις ἐκλύτους τινὰς αὐτῶν οὕτως ὄντας, ὡς μόγις κινεῖν τοὺς τῆς χειρὸς δακτύλους, ὅμως δ' ἀναπνέοντας ἅπασι τοῖς τοῦ θώρακος μέρεσιν, μηδ' οὔσης μηδὲ διακαοῦς θερμασίας ἀναγκαζούσης αὐτοὺς ἐπὶ μεγάλην ἀναπνοὴν ἀφικνεῖσθαι. συμβαίνει δὲ αὐτοῖς τοῦτο διὰ τοιαύτην αἰτίαν. τὴν ἀβίαστον ἐκπνοὴν·

αἱ φρένες ἐργάζονται μόναι κατ' ἐκείνους τοὺς καιρούς, ἐν οἷς ἡσυχάζει τὸ ζῶον, ἐρρωμέναι· ὁπότ' ἂν δ' ἀρρωστῶσιν αὗται, μόναι μὲν [63] πληρεστάτην τὴν χρείαν τῆς ἀναπνοῆς οὐ δύνανται, βοηθοῦσι δ' οἱ μεσοπλεύριοι μύες αὐταῖς τηνικαῦτα, κἀπειδὰν ἔτι πλέονος εἰσπνοῆς δέηται τὸ ζῶον, οὕτως ἤδη καὶ οἱ ὑψηλοὶ πάντες, ὧν οἱ μέγιστοι τὰς ὠμοπλάτας ἑαυτοῖς συγκινοῦσιν ἐναργῶς. ὅτ' ἂν οὖν ἴδῃς ἄνθρωπον ἅπασι τοῖς τοῦ θώρακος μέρεσιν ἐνεργοῦντα, μὴ μέντοι πυκνὸν εἰσπνέοντα, προσεπισκέψαι τηνικαῦτα τήν τε πηλικότητα τῆς διαστολῆς τοῦ θώρακος, καὶ τὰ τῆς ῥινὸς πτερύγια· ταῦτά τε γὰρ αὐτὸν εὑρήσεις [63] προστέλλοντα, καὶ μικρὰν τὴν διαστολὴν τοῦ θώρακος ἐργαζόμενον, οὐχ ὥσπερ οἱ διὰ πλῆθος θερμασίας ἐν πυρετοῖς καυσώδεσιν ἐρρωμένοι τὴν δύναμιν, ἐπὶ πλεῖστον γὰρ οὗτοι τὸν θώρακα διαστέλλουσιν ὅλον· ἀλλ' οὐδ' ὡς οἱ διὰ στενοχωρίαν τινὰ [63] τῶν ἀναπνευστικῶν ὀργάνων, ὡς ἐν κυνάγχαις τε καὶ ταῖς ἐκ πολλοῦ καὶ ἀθρόου κατάρρου δυσπνοίαις· ἢ καὶ δι' ἀμφότερα, καθάπερ ἐν περιπνευμονίαις, οὗτοι γάρ εἰσιν οἱ μέγιστόν τε καὶ πυκνότατον ἀναπνέοντες. ὥσπερ δὲ δι' ἀρρωστίαν [64] δυνάμεως, ἅπαντα τὰ μέρη τοῦ θώρακος ἀναγκάζονται διαστέλλειν, οὕτω καὶ διὰ μερικὴν ἀτονίαν ἑνὸς ἐξ αὐτῶν μέρους. ὁ γοῦν γυμναστὴς Σεκοῦνδος, ὡς ἂν οἷς ἔπασχεν παρακολουθεῖν δυνάμενος, αἰσθάνεσθαι σαφῶς ἔφη τῆς κατὰ τὰς φρένας ἀτονίας, δι' ἣν ἠναγκάζετο καὶ τοὺς μεσοπλευρίους μῦς ἀεὶ κινεῖν, καί ποτε καὶ τοὺς ὑψηλούς· καί ποτε καὶ περιβαλὼν ζώνην τοῖς κατ' ὑποχόνδρια χωρίοις, ἤρκειτο μόνῃ τῇ διὰ τῶν φρενῶν ἀναπνοῇ, καθ' ὃν ἡσύχαζε δηλονότι χρόνον. εἴτε δὲ αὐτοῦ τοῦ κατὰ τὸ διάφραγμα μυὸς, εἴτε τῶν ἡκόντων εἰς αὐτὸ νεύρων, εἴτ' ἀμφοτέρων ἦν ἀτονία, δύσκολον ἐφαίνετό μοι διακριθῆναι· τὴν δ' αὐτὴν ἀναπνοὴν ἐθεασάμην τινὰ καὶ ἄλλον ἔχοντα, λακτισθέντα μὲν ὑφ' ἵππου ποτὲ κατὰ τῶν ὑποχονδρίων ἰσχυρῶς, ὡς ἀποθανεῖν κινδυνεῦσαι, φλεγμήναντος αὐτῷ τοῦ διαφράγματος [65]. ὡς δ' ἐκ τοῦ κινδύνου τούτου διεσώθη, παραμενάσης ἀεὶ τῆς ἀτονίας αὐτῷ. ἑτέρῳ δὲ ἐκ περιπνευμονίας ἰσχυρᾶς ἀνακομιζομένῳ, δυσαίσθητος ἐκ τῶν ὄπισθέ τε καὶ ἔνδον μερῶν ὁ βραχίων ἐγένετο, καὶ τοῦ πήχεως ὁμοίως τὰ πλεῖστα μέχρι δακτύλων ἄκρων, ὀλίγον δέ τι καὶ πρὸς τὴν κίνησιν ἐβλάβησαν ἔνιοι. τούτῳ τὰ κατὰ τὸ πρῶτον καὶ δεύτερον μεσοπλεύριον νεῦρα βλαβῆναι συνέβη· φέρεται δ' αὐτῶν τὸ μὲν πρῶτον ἀξιόλογον ὑπάρχον τῷ μεγέθει, διὰ βάθους, ἀναμιγνύμενον [68] τῷ μὲν πρὸ αὐτοῦ, καταςχιζόμενον δὲ εἰς μοίρας πολλάς, ἃς ἐν ταῖς ἀνατομαῖς ἐθεασάμεθα, καί τινας αὐτῶν ἄχρι δακτύλων ἄκρων διὰ τῆς ἔνδον χώρας τοῦ πήχεως ἀφικνουμένας· τὸ δὲ δεύτερον νεῦρον λεπτὸν ὂν, οὐδενὶ μιγνύμενον ἑτέρῳ, διὰ τῆς μασχάλης ὑπὸ τῷ δέρματι πρὸς τὸν βραχίονα φέρεται, καταςχιζόμενον εἰς τὸ δέρμα τῆς ἔνδον τε καὶ ὄπισθεν χώρας αὐτοῦ. ταχέως ὁ ἄνθρωπος οὗτος ἐθεραπεύθη, φαρμάκου τεθέντος ἐπὶ τῆς ἐκφύσεως τῶν νεύρων κατὰ τὸ πρῶτόν τε καὶ δεύτερον μεσοπλεύριον· ὥσπερ ἄλλοι τινὲς ἅμα ἄμφω τὰ σκέλη κατὰ βραχὺ παραλυόμενοι, διὰ τῶν κατ' ὀσφὺν ἐπιτεθέντων φαρμάκων ἐκείνῳ τῷ χωρίῳ, καθ' ὃ τὰ τῶν σκελῶν ἀποφύεται νεῦρα τοῦ νωτιαίου μυελοῦ, μηδὲν ἡμῶν ἐπιτεθέντων αὖθις [69] τοῖς παραλελυμένοις σκέλεσι φάρμακον· οὐδὲ γὰρ αὐτῶν ἴδιον ἦν τὸ πάθος, ἀλλὰ

ram expirationem solum septum transuersum, modò valeat, efficit; quum verò infirmum est ipsum, sanè solum spirandi munus perficere non valet, tumque intercostalium musculorum concurrit auxilium; tum si præterea maiori animal inspiratione egeat, & supernorum omnium, quorum maximi scapulas secum manifestè mouent. Quum itaque hominem spirandi opus omnibus thoracis partibus perficere videris, non tamen frequenter inspirantem, tunc quantum thorax dilatetur, perpende, atque narium pinnas; has enim ipsum contrahere comperies, & paruam thoracis facere dilatationem, non quemadmodum in ardentibus febribus ob caloris copiam faciunt ij, qui viribus valent, hi nanque totum thoracem plurimum dilatant; neque etiam vt illi, quibus id euenit ob aliquam spiritalium instrumentorum angustiam, vt in anginis atque dyspnœis, quas fluxio multa & affatim descendens induxit; neque ab vtraque causa, vt in peripneumoniis, nam hoc morbo affecti & maximâ & frequentissimâ respiratione vtuntur. Sed quemadmodum ob virium infirmitatem, ita ob vnius quoque partis imbecillitatem particularem omnes thoracis partes dilatari coguntur. Gymnastes ergo Secundus, vt qui posset, quid pateretur, obseruare, sentire se manifestè septi transuersi dicebat imbecillitatem, ob quam cogebatur intercostales musculos continuò mouere, atque nonnunquam etiam superiores; quondam etiam zonam circundans hypochondriorum partibus, solâ transuersi septi motione sufficienter spirabat, quo tempore scilicet quiescebat. Verùm an ad septi transuersi musculum, an ad neruos in ipsum peruenientes, an ad vtrosque pertineret imbecillitas, mihi quidem explicatu perdifficile videbatur; at eandem respirationem etiam in alio quodam notaui, quem aliquandò equus in hypochondriorum regione calcitrauerat adeò atrociter, vt obortâ in septo transuerso inflammatione, mortis periculum immineret; quumque euasisset ab eo periculo, imbecillitatem tamen semper retinuerat. In alio etiam, qui à vehementi peripneumonia conualescebat, brachij tam posteriores quam internæ partes, & cubiti maxima pars eodem modo ad summos vsque digitos, sensûs difficultate laborauerunt, atque motus quoque aliquorũ nonnihil læsus est. Huic neruos in primo, atque secundo intercostali loco læsos esse accidit, quorum primus insignis magnitudinis, per intimas partes abditus defertur, ei qui ipsum præcedit, admixtus, sed multas in partes diuisus, quas in dissectionibus vidimus, ipsarumque aliquas per interiorem cubiti regionem vsque ad digitorum extrema peruenientes; secundus verò neruus tenuis, nulli alteri admixtus, per axillam sub cute ad brachium fertur, dispersus per cutis eius tam posteriores, quam internas partes. Hic homo celeriter curatus est, admoto neruorum exortui medicamento ad primum ac secundum intercostale spatium; quemadmodum quoque alii nonnulli, quibus vtrunque crus paulatim resoluebatur, admoto lumbis medicamento in eo loco, vnde à spinali medulla cruribus nerui adueniunt, nullo resolutis cruribus medicamento à nobis apposito; neque enim ipsorum, sed medullæ

dullæ proprius erat affectus. Alteri magnâ obortâ suppuratione in alterius natis regione ac primis eius cruris partibus, nerui eius cruris per chirurgiam nudati sunt; tum parte sanatâ, toti membro mouendi difficultas accidit; vnde coniiciens scirrhosum quidpiam concitatæ prius inflammationis in neruorum quodam derelictum, huiusmodi affectui accommodans *curationem*, affecto loco soli idonea medicamenta adhibui, hominemque perfectè sanaui. Vt autem de partibus faciei dictum est, ita & in reliquis quoque omnibus, vnicâ duntaxat pereunte actione, solum musculum ipsam efficientem, aut neruum ipsius, affectum esse putandum est. Si verò plures actiones læsæ sint, si vno in loco, accidit interdum omnes ipsos musculos à communi aliqua causa lædi; fieri etiam potest, vt neruus aliquis musculis illis communis afficiatur. Enimuerò quidam quum in fluuio pisces venans adeò circa sedem & vesicam perfrigeratus fuisset, vt ipsi inuito efflueret & alui excrementum & vrina, per calefacientia remedia affectis musculis admota celeriter sanus euasit. Alius autem eisdem molestatus symptomatis sine manifestâ causâ, læsis circa os sacrum neruis, multo tempore per multa præsidia vix sanatus est. Igitur quod protinus ab initio dicebam, illius nunc quoque mentione factâ ad alia diuertam; si quis ex anatome, ad quam partem descendant singuli nerui à spinali medulla prodeuntes, cognouerit, affectas sedes quam facillimè inueniet. Ex artis autem operibus vos horum examen re ipsâ deprehendistis; nanque sæpenumerò vidistis ex huiusmodi dignotione manifestè iuuari laborantes. Nam non solùm crura & manus temerè ac frustra multi medici totâ die nocteque calefacientibus medicamentis perfricant, negligentes locum, vbi vel spinalis medulla, vel neruus aliquis ex ipsa emergens læditur; verumetiam caput cuiusdam, non ita pridem, impositis medicamentis vehementer calefacientibus, vlcerauerunt, putantes sensum ipsius grauiter læsum hoc pacto se reuocaturos. Atque nos hunc ipsum sanauimus, inuentâ sede affectâ, tum ex reliquis symptomatis, tum ex euidentibus causis, super quibus singulis interrogauimus, quarum vna huiusmodi erat; quum sub multa pluuia ac vento impetuoso ambulasset, pallium circa ceruicem madefactum aiebat adeò, vt vehementi se frigore in ea parte affectum sentiret. Itaque qui sciuisset ex primis spinæ vertebris quatuor neruos ad caput ascendere, à quibus pellis ipsum ambiens sensum accipit, facilè sedem affectam inuenisset, quâ sanatâ, capitis quoque pellis pariter sanata esset, nullâ primariâ affectione laborans; medici verò neque huiusmodi neruos, neque eos qui per singulas cutis partes dispersi sunt, cognoscentes, quum in promptu eis esset minimæ particulæ iuxta nerui initium adhibere remedia, partes illæsas molestant. Ego verò sæpenumerò vos monui, alios quidem in ipsa spinali medulla veluti radicem habere; alios verò velut ex magnis ramis, è spinali medulla exortis, procedere; qui rursus diuisi distribuuntur, alii per valdè multas cutis partes, alii per pauciores; vt mirer anatomicos vi-

A τοῦ μυελοῦ. ἑτέρῳ δὲ μεγάλης ἐκπυήσεως γενομένης, ἔν τε τῷ κατὰ τὴν ἑτέραν τὴν πυγὴν χωρίῳ, καὶ τοῖς πρώτοις μέρεσι τοῦ κατ' αὐτὴν σκέλους, ἐγυμνώθη μὲν ἐν τῇ χειρουργίᾳ τὰ τοῦ σκέλους ἐκείνου νεῦρα, θεραπευθέντος δὲ τοῦ χωρίου, δυσκίνητον ἦν ὅλον τὸ κῶλον· ἐφ' οὗ στοχασάμενος τῆς γενομένης φλεγμονῆς ὑπολελεῖφθαί τι σκιρρῶδες ἔν τινι τῶν νεύρων, ὡς πρὸς τοιαύτην διάθεσιν ἁρμοσάμενος, ἐπὶ τοῦ πεπονθότος μόνου χωρίου ἐπιθεὶς ἐπιτήδεια φάρμακα, τελέως τὸν ἄνθρωπον ἐξιασάμην. B ὥσπερ δὲ ἐπὶ τῶν κατὰ τὸ πρόσωπον εἴρηται μερῶν, οὕτω κἀπὶ τῶν ἄλλων ἁπάντων, ὅταν ἀπόλλυται μία τις ἐνέργεια, τὸν ποιητικὸν αὐτῆς μῦν μόνον, ἢ τὸ νεῦρον αὐτοῦ πεπονθέναι νομιστέον· εἰ δὲ πλείους ἐνέργειαι βλαβεῖεν, εἰ μὲν καθ' ἓν χωρίον, ἐγχωρεῖ καὶ τοὺς μῦς [70] αὐτοὺς πάντας ἔκ τινος αἰτίας βεβλάφθαι κοινῆς, ἐνδέχεται δὲ καὶ κοινόν τι τῶν μυῶν ἐκείνων νεῦρον εἶναι τὸ πεπονθός. ἰχθῦς γοῦν τις ἐν ποταμῷ θηρεύων, καὶ καταψυχθεὶς τὰ περὶ τὴν ἕδραν τε καὶ κύστιν, ὡς χωρὶς προαιρέσεως ἐκκρίνειν αὐτοῦ τό, τ' ἀποπάτημα καὶ τὸ οὖρον, ἐθεραπεύθη [71] ταχέως ὑπὸ τῶν θερμαινόντων φαρμάκων ἐπιτεθέντων τοῖς πεπονθόσι μυσίν· C ἕτερος δ' ἄνευ φανερᾶς αἰτίας τοῖς αὐτοῖς περιπεσὼν συμπτώμασιν, ἐν πολλῷ χρόνῳ διὰ πολλῶν βοηθημάτων μόγις ὑγιάσθη, τῶν καθ' ἱερὸν ὀστοῦν αὐτοῦ [72] παθόντων νεύρων. ὅπερ οὖν ἔφην εὐθέως ἐν ἀρχῇ, τοῦτο καὶ νῦν εἰπὼν, ἐφ' ἕτερόν τι μεταβήσομαι· γινώσκων τις ἐξ ἀνατομῆς ἕκαστον τῶν ἀπὸ τοῦ νωτιαίου νεύρων, εἰς ὅτι παραγίνεται μόριον, ἀκριβῶς διαγνώσεται τοὺς πεπονθότας τόπους. ἔργῳ δ' ὑμεῖς τὴν βάσανον τούτων ἐπὶ τῶν ἔργων τῆς τέχνης εἰλήφατε, πολλάκις ἑωρακότες ὠφέλειαν [73] ἐναργῆ γινομένην τοῖς κάμνουσιν ἐκ τῆς τοιαύτης διαγνώσεως. D οὐ μόνον γὰρ σκέλη καὶ χεῖρας εἰκῆ καὶ μάτην οἱ πολλοὶ τῶν ἰατρῶν [74] διατρίβουσι φαρμάκοις θερμαίνουσι δι' ὅλης ἡμέρας τε καὶ νυκτὸς, ἀμελήσαντες [75] τοῦ τόπου, καθ' ὃν ὁ νωτιαῖος ἤ τι τῶν ἀπ' αὐτοῦ βλάπτεται νεύρων, ἀλλὰ καὶ τὴν κεφαλήν τινος οὐ πρὸ πολλοῦ ἥλκωσαν, ἐπιθέντες φάρμακα τῶν πάνυ θερμαινόντων, ἡγούμενοι δι' αὐτῶν ἀνακαλέσασθαι τὴν αἴσθησιν αὐτῆς ἰσχυρῶς βεβλαμμένην· ὅν τινα καὶ αὐτὸν ἡμεῖς ἰασάμεθα, τὸν πεπονθότα τόπον εὑρόντες ἔκ τε τῶν ἄλλων συμπτωμάτων, καὶ τῶν προκαταρκτικῶν αἰτίων, ἕκαστον ἀνερωτήσαντες, ὧν ἓν ἦν E καὶ τόδε· πάμπολυν ὑετὸν ἔφη σὺν ἀνέμῳ σφοδροτάτῳ γενόμενον, ὁδοιποροῦντος ποτ' αὐτοῦ, διαβρέξαι τὴν ἐφεστρίδα κατὰ τὸν τράχηλον, ὡς αἰσθέσθαι σαφῶς ψύξεως ἐν αὐτῷ γενομένης ἰσχυρᾶς. ἐπιστάμενος οὖν τις ἐκ τῶν πρώτων τοῦ νωτιαίου σπονδύλων ἐπὶ τὴν κεφαλὴν ἀναφερόμενα νεῦρα τέτταρα, δι' ὧν τὴν αἴσθησιν ἔχει τὸ περὶ αὐτὴν δέρμα, ῥᾳδίως ἂν ἔγνω τὸν πεπονθότα τόπον, οὗ θεραπευθέντος, τὸ τῆς κεφαλῆς συνεθεραπεύθη δέρμα, μηδὲν αὐτὸ κατὰ πρωτοπάθειαν πεπονθός· ἀλλ' οὔτε ταῦτα τὰ F νεῦρα γινώσκοντες, οὔτε τὰ καθ' ἕκαστον μέρος ὅλου τοῦ δέρματος, οἱ ἰατροὶ, πρὸν αὐτοῖς ἐλαχίστῳ μορίῳ τῷ κατὰ τὴν ἀρχὴν τοῦ νεύρου προσφέρειν τὰ βοηθήματα, τοῖς οὐδὲν πεπονθόσιν ἐνοχλοῦσιν. ἐγὼ δὲ ὑμῖν ἔδειξα πολλάκις ἔνια μὲν ἐν αὐτῷ τῷ νωτιαίῳ τὴν οἷον ῥίζαν ἔχοντα, τινὰ δ' οἷον ἐκ κλάδων μεγάλων ἀποσχιζόμενα, πεφυκότων ἐκ τοῦ νωτιαίου· καὶ πάλιν αὐτὰ ταῦτα, σχιζόμενά τε καὶ διανεμόμενα, τὰ μὲν εἰς πολὺ πάνυ μέρος τοῦ δέρματος, ἔνια δὲ εἰς ἔλαττον· ὥστε με [76] θαυμάσαι τῶν ἀνατομικῶν

ω

τελέως

ἀνδρῶν ἀγνοησάντων αὐτὰ, καὶ ζητούντων ἐν ταῖς παραλύσεσιν τὴν αἰτίαν, δι' ἣν οὐκ ἀεὶ κίνησίς τε καὶ αἴσθησις ἀπόλλυται τῶν παραλελυμένων μορίων, ἀλλ' ἐνίοτε μὲν ἡ κίνησις, ἐνίοτε δὲ [77] ἡ αἴσθησις, ἐνίοτε δὲ ἥτε κίνησις καὶ ἡ αἴσθησις. οἴονται γὰρ τῶν εἰς τοὺς μῦς διανεμομένων νεύρων τὰ λείψανα διεκπίπτειν ἐπὶ τὸ δέρμα, καὶ διὰ τοῦτο ἐπειδὰν πάθῃ τὸ κατασχιζόμενον εἰς τὸν μῦν νεῦρον, ἐπὶ μὲν ταῖς μεγάλαις αὐτοῦ διαθέσεσιν ἀμφότερα βλάπτεσθαι, τήν τε αἴσθησιν ἅμα καὶ τὴν κίνησιν· ἐπὶ δὲ ταῖς ἐλάττοσιν, διασώζεσθαι μὲν ἔτι τὴν αἴσθησιν, ὡς ἂν οὐκ ἰσχυρᾶς δεομένην δυνάμεως, ἀπόλλυσθαι δὲ τὴν κίνησιν, οὐ δυναμένην γίνεσθαι χωρὶς ῥώμης δυνάμεως. εἷς γάρ τις μῦς ἐνίοτε κινῶν ὅλον τὸ σκέλος, ἢ καὶ τὴν χεῖρα, καὶ διὰ τοῦτο ῥώμης δεόμενος, ἐπειδὰν πάθῃ μηκέτ' ἐνεργεῖν [78] δυνάμενος, ἀκίνητον μὲν ἐργάζεται τὸ κῶλον, ἡ δὲ αἰσθητικὴ δύναμις, διαγνωστικὴ τῶν κατὰ τὸ μόριον οὖσα παθῶν, ἀβλαβὴς αὐτοῦ διαμένει, μὴ δεομένη μεγάλης ἰσχύος· τό, τε γὰρ πάσχειν οὐδὲν ἧττον, ἀλλὰ καὶ μᾶλλον, ὑπάρχει τοῖς ἀσθενέσιν, ἥτε διάγνωσις τοῦ πάθους αὐτάρκως γίνεται καὶ δι' ἀρρώστου δυνάμεως. ἐπὶ μὲν οὖν τῆς τοιαύτης παραλύσεως ὁ λόγος αὐτῶν πιθανός ἐστιν· ἐφ' ἧς δ' ἡ μὲν αἴσθησις ἀπόλωλεν, ἡ δὲ κίνησις σώζεται, τινὲς μὲν οὕτω ματαίους εἰρήκασι λόγους, ὡς ἄμεινον εἶναι σιωπᾶν αὐτούς· ἔνιοι δ' αἰσθανόμενοι τῆς τοῦ ζητήματος ἀπορίας, οὐκ ὤκνησαν εἰπεῖν οὐδέποτ' ὦφθαι τοιοῦτο παραλύσεως εἶδος, ἐν ᾧ τῆς αἰσθήσεως ἀπολωλυίας, ἡ κίνησις σώζεται. τοῖς γὰρ ἀποστᾶσι μὲν τῶν ἔργων τῆς τέχνης, ἀναγορεύσασι δὲ ἑαυτοὺς προστάτας αἱρέσεως, οὐδὲν ἀτόλμητόν ἐστιν, ἀλλ' ἁπλῶς ἑτοίμως ψεύδονται, καὶ γράφουσιν ἔνια μὲν ὡς πολλάκις ἑωρακότες, ὧν οὐδ' ὄναρ οὐδὲν εἶδόν ποτε, πολλὰ δ' οὐδεπώποτ' ὦφθαί φασι τῶν συνεχῶς αὐτοῖς ὁρωμένων.

ros illos non cognouisse, atque in neruorũ resolutione quærere, quã ob causam resolutarum partiũ non sẽper & motus & sensus pereat, sed aliquando motus, aliquãdo sẽsus, aliquando & sensus & motus. Arbitrantur nanque neruorum in musculos distributorum reliquias ad cutem tendere; ob idque, quũ neruus per musculum distributus affectus est, in magnis affectibus ipsius vtrunque, & sensum & motum, simul lædi; in leuibus adhuc seruari quidẽ sensum, vtpote qui non tantum roboris desideret; motum veró, eò quod robustis egeat viribus, perire. Interdum enim vnus musculus vel totum crus, vel manum mouens, ac proinde viribus indigens, si afficiatur, munus suum perficere nequit, membrumque ipsum immobile relinquit; sentiendi verò facultas partium affectiones discernens, illæsa tunc permanet, vt quæ non validis egeat viribus; quippe nihil minus, imo magis etiam, pati possunt partes debiles, dignotioque affectionis sufficienter fit etiam per imbecillas vires. Igitur ratio ipsorum in huiusmodi quidem neruorum paralysi probabilis est; vbi verò deperditâ sentiendi facultate, motus non perit, nonnulli quidem adeò vanas adduxere rationes, vt satius fuisset eos conticescere; nonnulli verò cognitâ quæstionis difficultate, non grauati sunt dicere, huiuscemodi paralysis speciem, qua seruato motu sensus perderetur, neminem vnquam vidisse. Nam qui sibi sectæ alicuius principatum vsurpant, ad artis verò opera non accedunt, nihil non audent, sed quiduis promptè mentiuntur, atque scribunt nonnulla, perinde ac si frequenter conspexerint, quæ ne per somnium quidem vnquam viderunt; plurima nunquam visa esse aiunt, quæ ab ipsis quotidie conspiciuntur.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ αἵματος πτύσεως ἢ ἀναγωγῆς, καὶ περὶ τῶν πεπονθότων κατ' αὐτὴν τόπων, καὶ αἰτιῶν.

ἬΔη μὲν πως ὡμολόγηται τοῖς ἰατροῖς, ἐκ μὲν τοῦ στομάχου καὶ τῆς γαστρὸς ἐμεῖσθαι τὸ αἷμα, μετὰ δὲ βηχὸς ἐκ τῶν ἀναπνευστικῶν ἀνάγεσθαι μορίων· ἐκ δὲ τῶν κατὰ φάρυγγα καὶ γαργαρεῶνα, χρεμπτομένοις, ὥσπερ ἐκ τοῦ στόματος, ἁπλῶς ἀποπτύεσθαι· τεθεάμεθα δὲ πολλάκις, ὅτ' ἂν ἀθροώτερον ἐκ τῆς κεφαλῆς καταφέρηται, καὶ μάλιστα τοῦ γαργαρεῶνος ἔνδον ὡς πρὸς τὴν φάρυγγα, μετὰ βηχὸς αὐτὸ ἀναπτυόμενον· ἐμπῖπτον γὰρ αὐτίκα τῷ λάρυγγι, βῆχα κινεῖ. προσέχειν οὖν δεῖ τούτῳ μάλιστα, μήποτε δόξωμεν ἐκ τῶν ἀναπνευστικῶν ὀργάνων ἀναφέρεσθαι τὸ αἷμα, καθάπερ ἤδη τινὰς ἔγνων ἰατροὺς ὑπολαβόντας ψευδῶς, ἐξ ὧν ἐσφάλησαν αὐτοὶ νομίσαντες οὐκ ὀρθῶς ἀποφήνασθαι πολλοὺς τῶν ἀρίστων ἰατρῶν, χαλεπωτάτην εἶναι τὴν τοιαύτην αἱμορραγίαν, ὡς ἂν τοῦ πνεύμονος ἰσχυρῶς πεπονθότος· οὐδὲ γὰρ μικροῦ τινος ἀγγείου ῥῆξιν εἰκὸς γίνεσθαι κατ' αὐτόν. ἐγχωρεῖ δὲ καὶ κατὰ διάβρωσιν, ἢ ἀνάβρωσιν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, γίνεσθαι πολλάκις αἵματος ἀναφορὰς ἀθρόας μετὰ βηχός· ὅτ' ἂν γὰρ ἐν τοῖς ἔμπροσθεν χρόνοις, ἐκ διαλειμμάτων ὀλίγον ἑκάστοτε μετὰ βηχὸς ἀνεπτυκώς τις αἷμα φαίνηται, μετὰ ταῦτα δὲ ὕστερον αὐτῷ μήτε καταπτώσεως ἐξ ὑψηλοῦ συμπεσούσης, μήτ' ἐν [79] ἀγῶσιν, ἢ παλαίστραις σφο-

CAPVT VIII.

De sanguinis sputo seu eiectione; ac de locis ipsius affectis, & causis.

IAM conuenit quidem inter medicos sanguinem è gula ventriculoque vomitione, ex spiritalibus partibus, tussi; ex faucibus & gurgulione, screatu; vt ex ore simplici expuitione expelli; nos verò cum à capite per gurgulionis præcipuè partes internas ad fauces affatim descendentem, tussiendo educi sæpenumerò conspeximus; nam subitò gutturi irruens, tussim mouet. Quare diligenter aduertere animum oportet, ne aliquando huiusmodi sanguinem ex spiritalibus organis ascendere putemus. Quemadmodum sanè quosdam noui medicos falsò opinatos, ex quibus ipsi decepti sunt credẽtes non rectè multos prẽstantissimos medicos asseruisse, huiusmodi sanguinis eruptionem esse periculosissimam, tanquam pulmone vehementer affecto; neque enim par esse, exiguam in ipso venam diruptam. Fieri quoq; potest, vt vel erosâ, vel exesâ, vel vtcunque nominare volueris, venâ, sanguis affatim tussiendo eiiciatur. Quum enim retroactis temporibus quis ex interuallis quotidie paucum sanguinem tussiendo expuisse cernitur, superuenitque ei postea multi sanguinis inter tussiendum eruptio, neque ab alto delapso, neque in certamine, neque palæstrâ grauiter vulnerato, ne-

que

que etiam sub vllo graui pondere oppresso thorace, reliquum est, ob insignem erosionem plurimum sanguinem tussiendo fuisse reiectum. Atque non pauci sic affecti pulmonis quasdam particulas simul cum sanguine eiecerunt. Quocirca diligenter considerare oportet, an spumosum quippiam simul educatur; id enim efficacissimum est indicium eductionis è pulmone; quemadmodum vbi aut bronchii pars quædam, aut arteriæ, aut venæ tunicæ, aut etiam pulmonis ipsius carnis eiicitur. Nihil autem horum accidit iis, qui ex thorace sanguinem extussiunt; vt nec dolor aliquis iis, qui à pulmone, vtpote qui duos neruos perquam tenues à sexta neruorum à cerebro ortorum coniugatione recipit, per membranam extrinsecus ipsum continentem dispersos, sed per visceris profunditatem non extensos; verùm thoraci (vt scitis) multi ab internis, multi etiam ab externis partibus sunt nerui, quibus facilè dolores percipi possunt. Præterea quia thorax musculis ossibusque abundat; pulmo verò laxus est, atque à compressione, aut contusione tutus, thoracis dolores intensiores sunt, pulmonis remissiores. Quum igitur dolente thoracis parte quàpiam, sanguinem quis tussiendo reiecerit, neque multum, neque rubrum, sed iam nigricantem, grumosumque, huic thorax primariâ affectione infestatur, at sanguis per pulmonem ita educitur, vt in suppuratis affectibus pus, quod inter thoracem & pulmonem sensûs iudicio contineri percipitur. Sic & pleuriticis sputum quouis modo coloratum apparet, idque sequenti quinto libro dicetur. Nunc verò de vlceribus sanguinis reiectioni superuenientibus deinceps dicendum est. Nam in pulmone creberrimè fiunt, ac curationem vt quibusdam videtur nequaquam admittunt, vt alii putant, difficulter admodum sanantur; at in thorace dirupta vasa, à quibus sanguis expuitur, magna ex parte conglutinantur, nunquàm enim huiuscemodi vlcera, vel diuturna, curationi omninò resistunt; quæ verò in pulmone longo iam tempore permanserunt, quanuis aliquando curentur, relinquunt tamen in ipso callosum quid & fistulosum, quod tractu temporis leui occasione excoriatur, atque cum iis quæ inde expuuntur, interdum simul educitur ramentum à medicis vocatum, ac cruoris exigua quædam guttula. Atque hæc etiam vlceribus alio in loco genitis communia sunt; verùm ex gula ventriculoque, vomitu; ex renibus & vesica, cum vrina; ex intestinis verò, deiectione excernuntur; sed ex spiritalibus instrumentis sine tussi expui nõ possunt. Quòd si pluribus deinceps diebus aliquis cruorem & screauerit & emunxerit, citra capitis vel dolorem vel grauitatem, siue præsentem siue præteritam, citraque ictum illic inflictum, huius & totum narium meatum, atque eam oris partem, quà ad nares foramen tendit, accuratè considerare oportet; nam fit aliquando huiusmodi symptoma, hirudine huic loco adhærēte, quæ quidem in dies augetur, vt quanuis primis diebus ob exiguitatem sensum effugiat, tertio tamen quartó ve die facilè cernatur. Eadem ratione ex ventriculo quoque cruor epotâ sanguisugâ nonnunquam euomitur. Sed est huiusmodi cruor tenuis, saniéique speciem refert, siue è

A δρᾶς πλώσεως, ἀλλὰ μηδ' ἐπιπεσόντος τινὸς τῷ θώρακι βάρους, αἷμα βηχὶ πολλὸν αἱμορραγίαν γενέσθαι συμβῇ, κατάλοιπον ἂν εἴη διὰ τὴν ἀνάβρωσιν ἀξιόλογον γενομένην, ἀναβηχθῆναι πλεῖον αἷμα. πολλοὶ δὲ τῶν οὕτως παθόντων, μόρια ἄττα τοῦ πνεύμονος ἅμα τῷ αἵματι συνανήνεγκαν· καὶ διὰ τοῦτο προσήκει παρακολουθεῖν ἐπιμελῶς, εἴ ἀφρῶδές τι συναναπτύεται· καὶ γὰρ καὶ τοῦτο βεβαιότατόν ἐστι γνώρισμα τῆς ἐκ τοῦ πνεύμονος ἀναγωγῆς, ὥσπερ ὅταν ἤτοι βρογχίου τι μέρος, ἢ ἀρτηρίας χιτῶνος, ἢ φλεβός, ἢ καὶ τῆς σαρκὸς αὐτῆς τοῦ πνεύμονος ἀνα-

B φέρηται. τούτων δ' οὐδὲν ἐπιφαίνεται τοῖς ἐκ τοῦ θώρακος ἀναβήττουσιν αἷμα, καθάπερ οὐδὲ ὀδύνη τις τοῖς ἐκ τοῦ πνεύμονος, ὡς ἂν ἐλάχιστα δύο νεῦρα παρὰ τῆς ἕκτης συζυγίας τῶν ἀπ' ἐγκεφάλου λαμβάνοντος, τῷ μὲν ἔξωθεν αὐτὸν ὑμένι περιέχοντι διανεμόμενα, τῷ βάθει δὲ οὐκ ἐπεκτεινόμενα τοῦ σπλάγχνου· τῷ θώρακι δ', ὡς ἴστε, πολλὰ μὲν ἐκ τῶν ἔνδον μερῶν ἐστι νεῦρα, πολλὰ δὲ ἔξωθεν, ἐξ ὧν αἰσθάνεται τάχιστα τῶν ἀνιαρῶν διαθέσεων. ἀλλὰ καὶ διότι μυώδης μὲν ὁ θώραξ ἐστὶ καὶ ὀστώδης,

C ὁ πνεύμων δ' ἄθλιπτός τε καὶ χαῦνος, ἐπιτείνεται μὲν ἡ τοῦ θώρακος, [80] λύεται δ' ἡ τοῦ πνεύμονος ὀδύνη. ὅτ' ἂν οὖν ἀλγήσαντός τινος ἔν τινι μέρει [81] ἐκ τοῦ θώρακος, ἀναβηχθῇ τε μὴ πολύ, μηδ' ἐρυθρόν, ἀλλ' ἤδη μελαινόμενόν τε καὶ θρομβούμενον αἷμα, τούτῳ πρωτοπαθεῖ μὲν ὁ θώραξ, [82] ἀνάγεται δὲ διὰ τοῦ πνεύμονος οὕτως τὸ αἷμα, καθάπερ καὶ τὸ πύον ἐν τοῖς ἐμπυϊκοῖς πάθεσιν, ἐφ' ὧν μεταξὺ θώρακός τε καὶ πνεύμονος αἰσθητῶς περιέχεται. οὕτως δὲ καὶ τὸ κεχρωσμένον ὁπωσοῦν πτύελον ἐν πλευρίτισιν ἐπιφαίνε-

D ται, καὶ κατὰ τὸ μετὰ τοῦτο ὑπόμνημα τὸ πέμπτον [83] εἰρήσεται. νυνὶ δὲ περὶ τῶν ἐπιγινομένων ἑλκώσεων ταῖς τοῦ αἵματος ἀναφοραῖς, ἀκόλουθον εἰπεῖν. ἐν μὲν γὰρ τῷ πνεύμονι καὶ μᾶλλον γίγνεται, καί τισι μὲν ἀθεράπευτα παντάπασιν ἔδοξεν, ἐνίοις δὲ δυσθεράπευτα· κατὰ δὲ τὸν θώρακα, καὶ κολλᾶται τὰ πλεῖστα [84] τῶν ῥαγέντων ἀγγείων, ἐφ' οἷς ἔπτυσεν αἷμα, κἂν εἰ παραμείνειεν μέχρι πλείονος ἡ ἕλκωσις, ἀλλ' οὔτι γε τελέως ἀνίατος γίγνεται· τὰ δὲ ἐν τῷ πνεύμονι χρονίσαντα, κἂν θεραπευθῇ ποτε, καταλείπει τι λείψανον ἐν αὐτῷ τυλῶδές τε καὶ συριγγῶδες, ὃ τοῦ χρόνου προϊόντος

E ἀναφέρεται ῥᾳδίως ἐπὶ βραχείαις προφάσεσι, συναναφέρεται δὲ τοῖς πτυομένοις ἐντεῦθεν ἐνίοτε καὶ ἡ καλουμένη πρὸς τῶν ἰατρῶν ἐφελκίς, καί τις αἵματος βραχὺς σταλαγμός. ἔστι δὲ ταῦτα κοινὰ καὶ τῶν ἐν ἑτέρῳ τόπῳ γινομένων [85] ἑλκῶν, ἀλλὰ τὰ μὲν ἐκ στομάχου καὶ γαστρὸς ἐμεῖται, τὰ δ' ἐκ νεφρῶν καὶ κύστεως οὐρεῖται, τὰ δ' ἐκ τῶν ἐντέρων διαχωρεῖται, τοῖς δ' ἐκ τῶν ἀναπνευστικῶν ὀργάνων ἀδύνατόν ἐστι χωρὶς βηχὸς ἀναπτυσθῆναι. ἐὰν δέ τις ἀναχρέμπτηταί τε καὶ ἀπομύττηταί ποτ' αἷμα πλείοσιν ἐφεξῆς ἡμέραις, μήτε κεφαλῆς ὀδύνης ἢ βάρους, ἤτοι συμπαρόντος, ἢ προηγησαμέ-

F νου, μήτε πληγῆς αὐτόθι γεγενημένης, ἐπισκέψασθαι χρὴ πάντα τοῦτόν τε τῆς ῥινὸς πόρον ἀκριβῶς ὅλον, ἐκσκοπεῖν τε τοῦ στόματος τὸν τόπον, ἔνθα συντέτρηται πρὸς τὴν ῥῖνα· γίνεται γάρ ποτε τοιοῦτο σύμπτωμα, βδέλλης ἐν αὐτῷ χωρίῳ τούτῳ προσπεφυκυίας, ἥτις αὐξάνεται καθ' ἑκάστην ἡμέραν, ὥστ' εἰ καὶ ταῖς πρώταις ἡμέραις ἐλάνθανε διὰ σμικρότητα, μετὰ δὲ τρεῖς γε ἢ τέτταρας ἑτοίμως ὁρᾶσθαι. κατὰ δὲ τὸν αὐτὸν λόγον ἐκ τῆς γαστρὸς ἐμεῖταί ποτε αἷμα, βδέλλης καταποθείσης. ἔστι γε μὴν τὸ τοιοῦτον αἷμα λε-

πλέον καὶ ἰχωροειδές, εἴτε διὰ τῆς ἐκ γαστρὸς, εἴτε τῆς ἐκ ῥινὸς, εἴτε τῆς ἐκ τοῦ στόματος φαίνηται φερόμενον, ὥστε τινὰ θεασάμενον αὐτὸ, καὶ προσέτι τὴν ἕξιν τοῦ ἀνθρώπου κατασκεψάμενον, ἐρωτήσαντά τε περὶ τῶν προηγησαμένων, ἐξ ἁπάντων αὐτῶν στοχάσασθαι τῆς τοῦ πράγματος ἀληθείας. ὑγιαίνοντος γοῦν ποτε ἀμέμπτως ἀνθρώπου, τοιοῦτον αἷμα θεασάμενος ἐμούμενον, ἠξίωσα διηγήσασθαί μοι τὴν δίαιταν ἣν διῃτήσατο ταῖς ἔμπροσθεν ἡμέραις· σὺν τοῖς ἄλλοις οὖν οἷς διηγεῖτο, καὶ τοῦτο κατέλεξεν, ὡς ἔκ τινος κρήνης οὐ πάνυ τι καθαρὸν ὕδωρ ἐχούσης, ἔπιεν ὕδωρ διψήσας νύκτωρ, οἰκέτου τινὸς αὐτῷ κομίσαντος. ὡς δ' ἤκουσα τοῦτο, προσανηρόμην αὐτὸν, εἰ καὶ βδέλλαι ποτ' ὤφθησαν ἐν τῷ κατὰ τὴν κρήνην ὕδατι· καὶ φάντος ἑωρακέναι, δοὺς ἐπιτήδειον φάρμακον, ἐμεθῆναι τὴν βδέλλαν ἐποίησα. ἑτέρου δ' ἀπομυττομένου καὶ πτύοντος αἷμα τοιοῦτο, πυθόμενος ἐν τῇ διηγήσει διατρῖψαι τὸν ἄνθρωπον ἐν λίμνῃ τινὶ κατ' ἀγρὸν ὥρᾳ θέρους, μετά τινων ἑτέρων παίζοντα γυμναστικὰς παιδιὰς, ὁποίας εἰώθασιν οἱ νέοι παίζειν ἐν ὕδατι, καὶ γινώσκων ἐν ἐκείνῳ τῷ ὕδατι βδέλλας γινομένας, ἐξαγαγὼν εἰς αὐγὴν τὸν πάσχοντα, καὶ στρέψας τὸν πόρον τῆς ῥινὸς εὐθὺ τῶν ἡλιακῶν ἀκτίνων, ἐθεασάμην κατ' ἐκεῖνον τὸν τόπον ἐν ᾧ συντέτρηται πρὸς τὴν ἐν τῷ στόματι χώραν ἡ ῥὶς, οὐρὰν βδέλλης, ἐγκατακεκρυμμένης τῷ πόρῳ. βέλτιον οὖν ἔδοξέ μοι καὶ ταῦθ' ὑμῖν ἱστορῆσαι.

ventriculo, siue ex naribus, siue ex ore ferri videatur, vt cùm tale conspexeris, ac præterea hominis consideraueris habitum, superque præteritis eum interrogaueris, ex omnibus rei ipsius veritatem facilè coniicias. Equidem quum viderem hominem integrâ valetudine huiusmodi cruorem euomentem, interrogaui, qua victus ratione antea fuisset vsus; ille verò inter alia quæ narrauit, hoc quoque addidit, se quum nocte quadam sitiret, ex fonte quodam non admodum mundam aquam continente, aquam bibisse à seruo sibi quodam allatam. Quibus auditis, sciscitatus sum, apparuissentne aliquando sanguisugæ in ipso fonte; qui quum se vidisse fateretur, dato idoneo medicamento, hirudinem vomitione eduxi. At quum alius quispiam huiusmodi cruorem emungeret & expueret, ac ipso narrante audirem eum rure, æstatis tempore, in stagno quodam cùm cæteris iuuenibus iuuenili ludo, qualem adolescentes in aqua ludere solent, exercitatum, sciremque in eo stagno sanguisugas esse, duxi laborantem ad splendorem; conuersoque directè ad solis radios narium foramine, in eo loco, vbi nasus ad oris regionem perforatur, hirudinis in meatu latentis caudam conspexi. Has igitur historias vobis narrare operæpretium duxi.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ διαγνώσεως τῶν πεπονθότων ἐν τῇ τῆς φωνῆς καὶ τῆς διαλέκτου βλάβῃ μορίων.

Ὅτι μὲν γὰρ ἐν τοῖς τοιούτοις λόγοις ἀκουστέον ἐστὶ τὴν βλάβην, εἰ καὶ μὴ παντελῶς ἀπολωλὸς εἴη τὸ κατὰ φύσιν ἔργον ἅπαν τοῦ μορίου, πολλάκις εἴρηταί μοι, χεῖρον δ' οὐδὲν ἀναμνησθῆναι καὶ νῦν. ὅτι δ' οὐ ταὐτόν ἐστι φωνὴ καὶ διάλεκτος, ἀλλ' ἡ μὲν φωνὴ, τῶν φωνητικῶν ὀργάνων ἔργον, ἡ διάλεκτος δὲ, τῶν διαλεκτικῶν, ὧν τὸ μὲν κυριώτατόν ἐστιν ἡ γλῶττα, συντελεῖ δ' οὐ σμικρὸν ἥ τε ῥὶς καὶ τὰ χείλη καὶ οἱ ὀδόντες, ἐπισταμένους ὑμᾶς ἀναμιμνήσκω· καθάπερ τε καὶ περὶ τῶν φωνητικῶν ὀργάνων, ὅτι λάρυγξ ἐστὶ καὶ οἱ κινοῦντες αὐτὸν μύες, ὅσα τε τούτοις νεῦρα τὴν ἐξ ἐγκεφάλου παρακομίζει δύναμιν. ἐὰν μὲν οὖν οἱ κλείοντες ἢ οἱ ἀνοίγοντες τὸν λάρυγγα μύες ἀκίνητοι γίνωνται, ἀφωνία παντελὴς καταλήψεται τὸν οὕτω παθόντα· καθάπερ γε κἂν δυσκίνητοί πως, ἤ τινα παλμώδη κίνησιν ἢ τρομώδη λάβωσι, κατὰ τὸ τοῦ πάθους εἶδος ἡ φωνὴ βλαβήσεται παραπλησίως· κἂν σπασμωδῶς ἢ κλονωδῶς κινῶνται. καὶ μέντοι κἂν ἀρρωστήσῃ πως ἡ δύναμις αὐτῶν, ἤτοι δι' οἰκεῖόν τι πάθος, ἢ διά τι τῶν κινούντων αὐτοὺς νεύρων, ἀμυδρὰν καὶ μικρὰν ἐργάσεται τὴν φωνήν. ἐὰν δ' ἄλλος τις τῶν κινούντων τὸν λάρυγγα μυῶν, ὁτιοῦν πάθῃ, βλαβήσεται μέν πως ἡ φωνὴ βλάβην μικρὰν, οὔτε δὲ ἄφωνος ὁ οὕτως παθὼν ἔσται παντάπασιν, οὔτε σμικρόφωνος ἱκανῶς. ὥσπερ δ' οἱ κυριώτατοι μύες τῶν τὸν λάρυγγα κινούντων εἰσὶν οἵ τ' ἀνοίγοντες αὐτὸν καὶ οἱ κλείοντες, οὕτω καὶ τῶν φωνητικῶν νεύρων τὰ παλινδρομοῦντα, μόρια μὲν ὄντα καὶ αὐτὰ τῆς ἕκτης συζυγίας τῶν ἐξ ἐγκεφάλου πεφυκότων νεύρων, ὥσπερ καὶ τἆλλα τὰ εἰς αὐτὸν ἐμφυόμενα. διαφέρει δ' αὐτῶν τούτῳ, ὡς μὴ κατὰ τὸν τράχηλον ἀποσχίζεσθαι τῶν ἐκ τῆς ἕκτης συζυγίας, ἀλλ' ὅταν εἰς τὴν τοῦ θώρακος ἀφίκηται χώραν.

CAPVT IX.

De dignotione partium affectarum in vocis ac loquelæ læsione.

Nimverò quòd his in sermonibus læsionem intelligere oporteat, etiamsi non penitus tota partis actio secundum naturam deperdatur, sæpenumerò iam diximus; nec ab re fuerit, in præsentia monuisse. Præterea (quanuis non ignoretis) monitos vos velim, non eandē esse rem, vocem, & locutionem; sed vocem vocalium instrumentorum opus esse, locutionem verò loquentium, quorum lingua est maximè princeps, non parum autem conferunt & nares & labra, & dentes: sic etiam vocis instrumenta esse guttur, & musculos ipsum mouentes, atque neruos qui à cerebro ipsis facultatem deferunt. Igitur si vel claudentes, vel aperientes guttur musculi immobiles reddantur, qui sic afficitur, mutus euadet omninò; vbi verò vel difficulter mouentur, vel palpitant, aut tremunt, pro affectionis modo vox læditur; similiter, si conuellendo, vel concutiendo moueatur. At verò si imbecillæ fuerint ipsis vires, siue ob suam ipsorum, siue ob neruorum ipsos mouentium affectionem, obscuram & paruam efficient vocem. Quod si alius quispiam ex mouentibus guttur musculis, quoquo modo afficiatur, lædetur quidem vox, sed parua læsione, atque sic affectus neque mutus omninò erit, neque admodum exiguam habebit vocem. Vt autem ex musculis guttur mouentibus præcipui sunt ij qui ipsum aperiunt & claudunt, ita ex vocalibus neruis ij quos recurrentes vocamus; qui & ipsi portiones quidem sunt sextæ coniugationis neruorum qui à cerebro oriuntur, quemadmodum & alij qui in ipsum inseruntur; differunt tamen ab illis, eò quòd non in ceruice à neruis sextæ coniugationis, sed quum ad thoracis regionē peruenerint, propagentur.

Nullus

Nullus itaque tam ineptus chirurgus est, qui ipsam sextam coniugationem totam secet inuitus; at recurrentes nerui, ob imperitiam nonnunquam diuelluntur. Accidit veró interdum in magnis asperæ arteriæ vulneribus, vt vnà cum ipsa, vel alter, vel vterque incidatur; per chirurgiam quoque perfrigerati vocem impediunt, donec calefacti naturalem temperiem recuperauerint. Quinetiam lædi vocem contingit in exilitate & magnitudine non leuiter, quum fauces à suis musculis nequeunt intendi. Item vehementer læditur vox, vbi membrana, quæ faucibus & gutturi communis est, multâ humiditate rigatur. Quod etiam destillationes eadem ratione vocem raucam efficere possint, nemo non intelligit. Vehemens quoque exclamatio similiter vocem afficit, vtpotè quæ similem inflammationi circa iam dictam membranam atque gutturis musculos parit affectum (At quum gutturis interni musculi inflammantur, eum affectum anginam esse constat, quæ simul & vocem & respirationem lædit) & omnes vniuersè præter naturam tumores, siue in spiritalibus viis exoriantur, siue extrinsecus ipsas comprimant. Sic itaque gula quoque inflammatione affecta, vt comprimat asperæ arteriæ tunicam, qua cartilaginum ipsius partes extremæ sigmoides coniunguntur, & respirationem & vocem lædit; *lædit* quoque vertebrarum ceruicis in anteriorem partem luxatio, de quibus iam antea dictum est. Igitur omnes huiusmodi affectus voci adueniunt, propriis ipsius instrumentis familiari aliquo vitio, siue primigeniâ affectione, siue per consensum, laborantibus; nam id ad propositum sermonem nihil conducit. Sunt præterea alii affectus, quum peculiari suâ materiâ priuatur; atque in commentariis de voce dictum iam est, quod propria huius actionis materia, generatim quidem loquendo, est expiratio; secundum speciem verò, atque propriam differentiam, efflatio, quæ quidem est, quum affatim spiritus foras effertur per musculorum intercostalium actionem. Sic autem & per vehementia thoracis vulnera, atque omninò ipsius in altera parte resolutionem, in primis semispirans, per accidens verò semiuocale animal euadit. In apoplexia verò, sopore, morbo comitiali, catoche, communi ratione earum actionum, quæ ab impetu & voluntatis imperio procedunt, vocem lædi contingit, siue spinalis medullæ partes primæ, siue simul cum iis cerebrum quoque afficiatur. His actionibus quinque inter se consequentiâ quadam conuenientibus, expiratione, efflatione citra strepitum, strepenti efflatione, voce, loquelâ; si earum prima lædatur, reliquæ omnes læduntur; vltimâ verò læsâ, reliquæ haudquaquam; at quum secunda, tres reliquæ; quum tertia, duæ vltimæ; quum quarta verò, sola postrema læditur. Etenim si nihil omninò expiret animal, vel ex vtrisque thoracis partibus, vel ex altera duntaxat; si quidem ex vtrisque, celerrimè suffocabitur; si verò ex altera tantum, semispirans atque semiuocale reddetur, perdetque simul reliquarum deinceps duarum actionum partem dimidiam, quarum alteram efflationem citra strepitum, alteram verò

αὐτὴν μὲν οὖν τὴν ἕκτην συζυγίαν ὅλην οὐδεὶς οὕτως ἀφυὴς ἐστὶ χειρουργὸς ὡς ἄκων τέμνειν, τὰ παλινδρομοῦντα δὲ ἐνίοτε διασπῶσιν ὑπ' ἀγνοίας. ἔστι δ' ὅτε καὶ τέμνεται μετὰ τῆς τραχείας ἀρτηρίας, ἢ τὸ ἕτερον αὐτῶν, ἢ ἀμφότερα, κατὰ τὰς μεγάλας τρώσεις αὐτῆς· καὶ ψυχθέντα δὲ ἐν χειρουργίαις, ἐμποδίζει τῷ φωνήματι, μέχρις ἂν ἐκθερμανθέντα τὴν φυσικὴν εὐκρασίαν ἀνακτήσηται. βλάπτεσθαι δ' ἔτι συμβαίνει τὴν φωνὴν εἰς ὀξύτητά τε καὶ μέγεθος οὐκ ἀφανῶς, κἀπειδὰν οἱ τῆς φάρυγγος μύες ἀδυνατῶσι συντείνειν αὐτήν· καὶ μέντοι καὶ διαβρεχθεὶς ὑγρότητι πολλῇ γινόμενος ὁ κοινὸς χιτὼν τῆς φάρυγγος καὶ τοῦ λάρυγγος, ἰσχυρῶς βλάπτει τὴν φωνήν. ὅτι δὲ καὶ οἱ κατάρροι κατὰ τὸν αὐτὸν λόγον βραγχώδη τὴν φωνὴν ἐργάζονται, τῶν πᾶσι γινωσκομένων ἐστί· καθάπερ γε καὶ τὸ πολλὰ βοῆσαι· καὶ γὰρ καὶ τοῦτο φλεγμονῇ τι παραπλήσιον ἐργάζεται πάθημα κατά τε τὸν εἰρημένον χιτῶνα, καὶ τοὺς μῦς τοῦ λάρυγγος (εὔδηλον δ' ὅτι καὶ τῶν ἔνδον τοῦ λάρυγγος μυῶν φλεγμαινόντων, ἡ κυνάγχη τὸ πάθημα γίνεται, τήν τε φωνὴν ἅμα καὶ τὴν ἀναπνοὴν βλάπτουσα) καὶ ὅλως ἅπαντες οἱ παρὰ φύσιν ὄγκοι κατά τε τὰς ὁδοὺς τοῦ πνεύματος γινόμενοι καὶ θλίβοντες ἔξωθεν αὐτάς. οὕτω γοῦν καὶ ὁ στόμαχος φλεγμήνας, εἶτα θλίβων τὸν χιτῶνα τῆς τραχείας ἀρτηρίας, ᾧ συνάπτεται τὰ σιγμοειδῆ πέρατα τῶν κατ' αὐτὴν χόνδρων, εἰς ἀναπνοήν τε καὶ φωνὴν βλάπτει· καὶ ἡ τῶν κατ' αὐχένα σπονδύλων εἰς τὸ πρόσω μετακίνησις, ὑπὲρ ὧν ἔμπροσθεν εἴρηται. ταῦτα μὲν ἅπαντα τὰ πάθη γίνεται τῇ φωνῇ, τῶν ἰδίων αὐτῆς ὀργάνων οἰκείαν τινὰ βλάβην ἐχόντων, εἴτε κατὰ πρωτοπάθειαν, εἴτε κατὰ συμπάθειαν, οὐδὲν γὰρ διαφέρει πρὸς τὸν ἐνεστῶτα λόγον· ἕτερα δὲ πάσχει, τῷ τῆς οἰκείας ὕλης στερίσκεσθαι· δέδεικται δ' ἐν τοῖς περὶ φωνῆς, οἰκεία τῆς ἐνεργείας ταύτης ὕλη, γενικῶς μὲν εἰπεῖν, ἡ ἐκπνοή, κατ' εἶδος δὲ καὶ τὴν οἰκείαν διαφορὰν ἡ ἐκφύσησις, ἥτις ἐστὶν ἀθρόα τοῦ πνεύματος ἔξω φορὰ κατὰ τὴν τῶν μεσοπλευρίων μυῶν ἐνέργειαν γινομένη. οὕτω δὲ καὶ αἱ μεγάλαι τοῦ θώρακος τρώσεις ἢ ὅλως αἱ παραλύσεις θατέρου μέρους αὐτοῦ, πρώτως μὲν ἡμίπνουν, κατὰ συμβεβηκὸς δὲ καὶ ἡμίφωνον ἐργάζεται τὸ ζῷον· ὅσα δ' ἐν ἀποπληξίαις, καὶ κάροις ἐπιληψίαις τε καὶ κατοχαῖς ἡ φωνὴ βλάπτεται, ταῦτα τῷ κοινῷ λόγῳ γίνεται τῶν καθ' ὁρμὴν ἐνεργειῶν, ἤτοι τῶν πρώτων μερῶν τοῦ νωτιαίου παθόντων, ἢ καὶ σὺν αὐτοῖς τοῦ ἐγκεφάλου· συνημμένων δ' ἀλλήλαις τῶν πέντε τούτων ἐνεργειῶν, ἐκπνοῆς, ἐκφυσήσεως ἀψόφου, ψοφώδους ἐκφυσήσεως, φωνῆς, διαλέκτου· τῇ πρώτῃ μὲν εἰρημένῃ συμβλάπτονται πᾶσαι, τῇ δ' ὑστάτῃ τῶν ἄλλων οὐδεμία· τῇ δευτέρᾳ δὲ, αἱ μετ' αὐτὴν τρεῖς, τῇ τρίτῃ δ' ἔσχατα δύο, τῇ τετάρτῃ δὲ ἡ τελευταία μία μόνη. εἰ μὲν γὰρ οὐδ' ὅλως ἐκπνεῖ τὸ ζῷον, ἤτοι κατ' ἄμφω τὰ μέρη τοῦ θώρακος, ἢ κατὰ θάτερον μόνον· εἰ μὲν κατ' ἄμφω, πνιγήσεται διὰ ταχέων· εἰ δὲ κατὰ θάτερον, ἡμίπνουν καὶ ἡμίφωνον ἔσται μετὰ τοῦ καὶ τῶν ἐφεξῆς ἐνεργειῶν αὐτῆς δυοῖν ἀπολωλέναι τὸ ἥμισυ μέρος, ὧν τὴν μὲν ἑτέραν ἄψοφον ἐκφύσησιν ὀνομάζειν εἴωθα, τὴν δὲ ἑτέ-

ρὰν ψοφώδη. εἰ δ' ἡ μὲν ἐκπνοὴ σώζοιτο, διαφθαρείη δὲ ἡ ἐκφύσησις, αἱ λοιπαὶ τρεῖς ἐνέργειαι διαφθείρονται, ψοφώδης ἐκφύσησις καὶ φωνὴ καὶ διάλεκτος· ἀπολομένης δὲ τῆς ψοφώδους ἐκφυσήσεως, καὶ φωνὴ, καὶ διάλεκτος συναπόλλυται· καθάπερ γε καὶ φωνῆς ἀπολομένης, ἡ διάλεκτος. ἐπισταμένοις οὖν ὑμῖν τοὺς τῶν εἰρημένων ἐνεργειῶν δημιουργοὺς μῦς, ὑπάρξει συλλογίζεσθαι, τίνες μὲν ἔπαθον ἐξ αὐτῶν ἴδιόν τι πάθημα, τινῶν δὲ τοὔργον ἐβλάβη κατὰ συμβεβηκός. εἰ δέ τι τῶν ἐν τῇ ἀνατομῇ ὀφθέντων ἐπελάθεσθε, τά τε περὶ τῆς ἀναπνοῆς αἰτίων ὑπομνήματα καὶ τὰ περὶ φωνῆς ὑμᾶς ἀναμνήσει· λέλεκται δὲ περὶ αὐτῶν κἀν τῷ δευτέρῳ περὶ τῆς ἐπὶ τῶν ζώντων ἀνατομῆς. ἐκπνοὴν μὲν γὰρ ἅπαντες οἱ συστέλλοντες τὸν θώρακα μύες· ἐκφύσησιν δὲ, ὅπερ ἐστὶν ἐκπνοὴν σφοδρὰν, οἱ μεσοπλεύριοι μάλιστα· τὴν ψοφώδη δὲ, οἱ τοῦ φάρυγγος· αὐτὴν δὲ τὴν φωνὴν, οἱ τοῦ λάρυγγος ἐργάζονται μύες· ἡ δὲ γλῶττα, διαρθροῦσα τὴν φωνὴν, εἰς τὸ διαλέγεσθαι χρήσιμος ὑπάρχει, συντελούντων δ' εἰς τοῦτο καὶ τῶν ὀδόντων καὶ τῶν χειλῶν, ἔτι τε τῶν κατὰ τὴν ῥῖνα συντρήσεων, οὐρανίσκου τε καὶ γαργαρεῶνος, ἐπὶ τούτοις τε τοῦ συμμέτρου δεσμοῦ τῆς γλώττης αὐτῆς. οἱ μὲν οὖν τραυλοὶ, καὶ ψελλοὶ, καί τι τοιοῦτον κατὰ τὸ διαλέγεσθαι σφαλλόμενοι, τῶν διαλεκτικῶν ὀργάνων ἔχουσί τι βεβλαμμένον, ἢ κατὰ τὴν φυσικὴν διάπλασιν, ἢ μετὰ ταῦθ' ὕστερον· ὥσπερ οἱ τὸν τῆς ῥινὸς πόρον ὑπὸ πολύποδος, ἢ καὶ ἄλλως φραχθέντες, ἢ τινα τῶν προσθίων ὀδόντων ἀπολέσαντες, ἢ χεῖλος κολοβωθέντες· οἱ δ' ἰσχνόφωνοι καλούμενοι ὅπως γίνονται, καὶ τἆλλα ὅσα φωνῆς ἐστιν εἴδη τε καὶ πάθη, βραγχώδεις τε καὶ κλαγγώδεις, καὶ λεπτῆς, καὶ τραχείας, καὶ [91] μελαίνης, ἐν τοῖς περὶ φωνῆς ὑπομνήμασιν αὐτάρκως εἴρηται.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ διαγνώσεως τῶν πεπονθότων τόπων ἐν τῇ δυσπνοίᾳ.

Εἴρηται μὲν ἤδη καὶ πρόσθεν ἱκανῶς περὶ δυσπνοίας, ἡνίκα τὰ τοῦ νωτιαίου πάθη [87] διηρχόμην· ἀναμνήσας δὲ καὶ νῦν αὐτῶν, ὅσον ὑπόλοιπον ἔτι τῆς θεωρίας ταύτης ἐστὶ, προσθήσω. καθόλου μὲν οὖν ὑμᾶς ἀξιῶ πάντων ὧν ἐθεάσασθε κατὰ τὰς ἀνατομὰς μυῶν τῶν κινούντων τὸν θώρακα, πρόχειρον ἔχειν τὴν μνήμην, ἅμα τοῖς εἰς αὐτοὺς ἀφικνουμένοις νεύροις· εἰσελθόντας δὲ πρὸς τὸν δυσπνοοῦντα, πρῶτον μὲν θεάσασθαι πότερον ἅπαντας κινεῖ τοὺς τοῦ θώρακος μῦς, ἢ τοὺς κατὰ τὰ μεσοπλεύρια μόνους χωρὶς τῶν ὑψηλῶν, ἢ καὶ τὰς φρένας ἅμα τοῖς μεσοπλευρίοις. ἐὰν γὰρ εἴδητε πάντας κινουμένους, ἕν τι τῶν τριῶν [88] ἐννοήσαντες ὧν ἐρῶ τῆς τοιαύτης κινήσεως αἰτίων, ἐφεξῆς διορίζεσθαι πειρᾶσθε, τί ποτ' αὐτῶν ἐστι τὸ νῦν ὑπάρχον αἴτιον· ἐὰν δὲ μὴ πάντας, ἐφ' ἕτερον ἀφικνεῖσθε διορισμόν. ὑποκείσθω δή τις ἅπαντας κινῶν τοὺς μῦς, ὡς καὶ τὸ στέρνον ἐξαίρεσθαι σαφῶς ἅμα ταῖς ὠμοπλάταις· ἐπὶ τούτου, τῶν τριῶν τούτων ἀναγκαῖον ἕν γέ τι πάντως ὑπάρχειν, ἤτοι τὴν δύναμιν ἄρρωστον, ἢ στενοχωρίαν τῶν τοῦ πνεύματος ὁδῶν, ἢ θερμασίαν παμπόλλην ἐν καρδίᾳ καὶ πνεύμονι, [89] δυναμένου δηλονότι καὶ δύο αἰτίας ἐξ αὐτῶν ἅμα γίνεσθαι, καὶ τάχα ποτὲ σπανίως καὶ τὰς τρεῖς. ἀλλὰ τῶν μὲν τριῶν ἅμα γινομένων, ὁ κάμνων αὐτίκα τεθνήξεται· τῶν δὲ δύο, δυσκόλως σωθήσεται· μιᾶς δὲ, μετὰ τῶν οἰκείων

strepentem, nominare consueui. Quòd si expiratione seruatâ corrumpatur efflatio, reliquæ tres actiones, strepens efflatio, vox, & loquela simul corrumpentur; sublatâ verò strepente efflatione, & vox & loquela perit; vt voce pereunte, loquela. Quum itaque dictarum actionum opifices musculos cognoueritis, poteritis ratiocinari, qui ex ipsis proprio affectu laborent, & quorum actio læditur per accidẽs. Quòd si quidpiam eorum, quæ ex corporum dissectione vidistis obliuioni tradideritis, admonebunt vos ii, quos de respirationis causis, atque de voce perscripsimus, commentarii; atque de his ipsis in secundo libro de viuorũ dissectione dictum est. Nam expirationem faciunt vniuersi thoracẽ contrahẽtes musculi; efflationem (quæ vehemens expiratio est) intercostales maximè; strepentem efflationem ij, qui in faucibus sunt; vocẽ verò ipsam gutturis musculi efficiũt. Sed lingua articulatim vocem distinguens, loquendi vsum præstat; quam ad rem conferunt quoque dentes, labra, narium foramina, palatum, gurgulio, præterea mediocre linguæ ipsius vinculum. Itaque balbis, blæsisque, atque aliis, qui impeditâ sunt loquelâ, loqutionis instrumentorum aliquod, aut quum natura ipsum formaret, aut postea, læsum esse certum est; veluti quibus, vel polypus, vel aliud quidpiam narium foramina obstruit, aut ex primis dentibus aliquis deperditus est, aut labia mutilata. Verùm quo pacto tenuem obtineant vocem, ac præterea quomodo aliæ vocis tum species, tum affectiones fieri possint, vt rauca, resonans, tenuis, aspera, & obscura, in commentarijs de voce sufficienter diximus.

CAPVT X.

De dignotione partium affectarum in respirandi difficultate.

DE difficili respiratione iam antea, vbi spinalis medullæ affectus percurrimus, multa dicta sunt; quibus nunc in memoriam reuocatis, quæ ad præsentem contemplationem supersunt, subiungam. Itaque in vniuersum expeditè vos meminisse velim musculorum omnium thoracem mouentium, neruorumque, qui ad ipsos perueniunt, quos in corporum dissectione vidistis; tum introeuntes ad hominem difficulter spirantem, in primis considerare, an omnes thoracis musculos moueat, an solos intercostales sine superioribus; atque an simul cum intercostalibus septum transuersum. Nam si conspexeritis omnes moueri, vnam ex tribus, quas dicemus, causis, huiusmodi motionem efficere putate, ac deinde quæ sit illa quæ nunc infestat, perpendite; quòd si non omnes moueantur, aliter definiendum. Subiiciamus igitur aliquem omnes simul mouere musculos, vt pectus vnà cum scapulis manifestè subleuetur. In hoc ex tribus vnum aliquod esse necesse est, aut virium imbecillitatem, aut viarum spiritûs angustiam, aut vehementem in corde & pulmone calorem; quanuis interdum duæ, ac nonnunquam (licet rarò) tres quoque ex iam dictis causis concurrere possint. At tribus quidem simul conuenientibus, quam primùm æger interibit; duabus autem, difficilè seruabitur; vnâ verò, affectus peculiari cum distinctione

distinctione ad mortem aut salutem peruenturus est. Igitur sola facultatis imbecillitas quum adest, propterea ad tria mouentium musculorum genera venit, eosque omnes ad motionem excitat, quòd vnum ipsorum genus vehementer mouere nequeat; quippe si septum transuersum solum sufficienter mouere posset, veluti quum secundum naturam se habebat, neque intercostalibus, neq; superioribus musculis indigeret; quoniam verò imbecilla est, omnes sensim mouet, neque frequentem, neque raram valdè facit eorum actionem. Atque his potissimum notis mens adhibenda est, nam cætera per eas facilè discernuntur. Sanè plurimum aucto in spiritalibus organis calore, omnibus quidem thoracis musculis agit animal, sed & velocem, & frequentem, & vehementem efficit eorum actionem, quum citra virium imbecillitatem calor infestat. At virium imbecillitas, vbi citra flammeum calorem fit, neque velocem, neque frequẽtem valde habet motum, proinde non multum omnes thoracis partes dilatat; quippe cum dyspnœâ, quæ ob nimiam incensionem facta est, vnum solum commune habet, quòd omnes thoracis musculi per ipsam agant. At vbi ob plurimum calorem respiratio difficilis est in magnitudine, frequentia, & celeritate, hoc quoque accedit, quòd calidi feruentisque spiritûs expiratio cum efflatione efficiatur; in virium verò imbecillitate, nullâ ab ore factâ efflatione, spiritus ex solis naribus emittitur, quæ nares per inspirationem etiam pinnas manifestè contrahunt; id & efficax imbecillæ facultatis indicium est. Ob spirabilium verò instrumentorum angustiam totus quidem thorax plurimùm, celeriter, & frequenter dilatatur; sed qui sic laborant, sine efflatione expirationem habent. Quum verò simul incidunt spirabilium organorum & calor & angustia, vt in peripneumonia, tum neque maxima, & frequẽtissima & celerrima respiratio sufficere potest; ob idque se erigunt, sentientes totum thoracem facilius ita dilatari; quippè decumbentibus in sese concidit, eo quòd pectoris partes in spinam declinent, quâ erectâ thorax etiam simul effertur, non amplius se ipsum grauans. Atque ijs similiter respirant quibus asperæ pulmonis arteriæ plurimâ defluxione oppletæ sunt, aut vbi ex proximis locis in ipsas humor aliquis defluxit, vnicâ duntaxat re differentes, quod neque efflent, neque calidum spiritum emittant. Sic etiam ijs quibus inter thoracem pulmonemque pus copiosum collectum est, quos suppuratos vocant, totus thorax attollitur, sed neque calidum expirant neque efflant, nisi adurens febris accesserit; verùm hi celerrimè suffocantur, tum ob hunc affectum, tum quòd vires omnibus suppuratis ex necessitate imbecilliores redditæ sint, at non necessariò in fluxionibus in pulmonem, aut in peripneumoniis, aut asthmate; nam contra, per asthmaticos affectus, crassis, & viscosis humoribus pulmoni impactis, vires robustæ, constantesque permanserunt. Atque si tuberculum coctu difficile aliquando in ipso constiterit, thorax maximè quidem dilatabitur, sed non multum inspirabit aërem, ideoque continenter respirare cogetur citra efflationem; id enim multi caloris proprium est. In eandem

A διορισμῶν εἰς ὄλεθρον ἢ σωτηρίαν τελευτήσει τὸ πάθος. ἡ τοίνυν τῆς δυνάμεως ἀῤῥωστία μόνη γινομένη, διὰ τοῦτ' ἐπὶ τὰ τρία γένη τῶν κινούντων μυῶν ἔρχεται, καὶ πάντας αὐτοὺς ἐπεγείρει πρὸς τὴν κίνησιν, ὅτι σφοδρῶς κινεῖν ἓν ἐξ αὐτῶν γένος ἀδυνατεῖ· ὡς εἴγε τὸ διάφραγμα μόνον ἱκανῶς ἐκίνει, καθάπερ ὅτ' εἶχε κατὰ φύσιν, οὐκ ἂν οὔτε τῶν μεσοπλευρίων, οὔτε τῶν ὑψηλῶν ἐδεήθη μυῶν· ἐπεὶ δ' ἄῤῥωστός ἐστιν, ἅπαντάς τε βραδέως κινεῖ, καὶ πυκνὴν οὐκ ἐργάζεται τὴν ἐνέργειαν αὐτῶν, ὥσπερ οὐδ' ἀραιὰν πάνυ. καὶ τούτοις μάλιστα προσέχετε τὸν νοῦν τοῖς γνωρίσμασι, διορίζεται γὰρ ὑπ' B αὐτῶν ῥᾳδίως τ' ἄλλα. θερμασίας γοῦν πολλῆς ἠθροισμένης ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις, ἅπασι μὲν ἐνεργεῖ τοῖς μυσὶ τοῦ θώρακος τὸ ζῶον, ἀλλὰ καὶ ταχεῖαν αὐτῶν ποιεῖται καὶ πυκνὴν τὴν ἐνέργειαν καὶ σφοδράν, ὅτ' ἂν ἄνευ δυνάμεως ἀῤῥωστίας συμπέσῃ τὰ τῆς θερμασίας· ἡ δ' ἄῤῥωστος δύναμις, οὔτε ταχεῖαν, οὔτε πάνυ πυκνὴν ἔχει τὴν κίνησιν, ὅτ' ἂν ἄνευ θερμασίας ᾖ φλογώδους, ὅθεν οὐδ' ἐπὶ πλεῖστον ἅπαντα διαστέλλει τὰ μέρη τοῦ θώρακος· ὥστε κοινὸν ἓν ἔχει μόνον τῇ κατὰ φλόγωσιν πολλὴν γινομένῃ δυσπνοίᾳ, τὸ τοὺς μῦς ἅπαντας C τοῦ θώρακος ἐνεργεῖν. ἔτι δὲ καὶ τοῦτο πρόσεστι τῇ διὰ θερμασίαν πολλὴν δυσπνοίᾳ κατὰ μέγεθος καὶ πυκνότητα καὶ τάχος γινομένῃ, τὸ μετ' ἐκφυσήσεως γίνεσθαι τὴν ἐκπνοὴν θερμοῦ καὶ ζέοντος πνεύματος· ἐπὶ δὲ τῇ τῆς δυνάμεως ἀῤῥωστίᾳ, χωρὶς ἐκφυσήσεως τῆς διὰ στόματος, ἡ διὰ τῆς ῥινὸς μόνης ἔξοδος γίνεται τοῦ πνεύματος, ἥτις ῥὶς καὶ κατὰ τὰς εἰσπνοὰς ἐναργῶς ἔχει προστελλόμενα τὰ πτερύγια· σημεῖον καὶ τοῦτο μέγα, δυνάμεως ἀῤῥωστούσης. ἐπὶ δὲ ταῖς στενοχωρίαις τῶν ἀναπνευστικῶν ὀργάνων, ὅλος μὲν ὁ θώραξ ἐπὶ πλεῖστον D διαστέλλεται ταχέως καὶ πυκνῶς, τὴν δὲ ἐκπνοὴν χωρὶς ἐκφυσήσεως οἱ κάμνοντες οὕτως ἴσχουσιν. ὅταν δ' ἐς ταὐτὸν ἀφίκηται θερμασία τε καὶ στενοχωρία τῶν ἀναπνευστικῶν ὀργάνων, ὥσπερ ἐν περιπνευμονίαις, οὐδ' ἡ μεγίστη καὶ πυκνοτάτη καὶ ταχίστη τούτοις αὐτάρκης ἀναπνοή, καὶ διὰ τοῦτο καὶ ἀνακαθίζουσιν, αἰσθανόμενοι τοῦ θώρακος ὅλου διϊσταμένου ῥᾷον οὕτως· κατακειμένων μὲν γὰρ αὐτῶν, εἰς ἑαυτὸν συμπίπτει, καταφερομένων τῶν κατὰ τὰ στήθη μερῶν ἐπὶ τὴν ῥάχιν, ἀνατεθείσης δὲ ταύτης ὀρθῆς, συναναφέρεται καὶ ὁ θώραξ ταύτῃ, E μηκέτι βαρύνων ἑαυτόν. ὁμοίως τούτοις ἀναπνέουσι καὶ οἱ τὰς τραχείας ἀρτηρίας τοῦ πνεύμονος ὑπὸ πολλοῦ καταῤῥοῦ πληρωθέντες, ἤ τινος ἐκ τῶν πλησίων χωρίων εἰς αὐτὰς γινομένου ῥεύματος, ἑνὶ μόνῳ διαλλάττοντες, τῷ μήτ' ἐκφυσᾶν, μήτ' ἐκπνεῖν θερμόν. ὡσαύτως δὲ καὶ ὅσοις ἐν τῷ μεταξὺ θώρακός τε καὶ πνεύμονος ἠθροίσθαι πύον δαψιλές, οὓς ὀνομάζουσιν ἐμπύους, ὅλον ἐξαίρουσι τὸν θώρακα, θερμὸν δ' οὐκ ἐκπνέουσιν οὐδ' ἐκφυσῶσι, πλὴν εἰ μὴ πυρετὸς αὐτοῖς προσέλθῃ διακαής· ἀλλ' οὗτοί γε τάχιστα πνίγονται, διά τε τὸ πάθος αὐτό, καὶ ὅτι προκέκμηκεν ἡ δύνα- F μις ἐξ ἀνάγκης ἅπασι τοῖς ἐμπύοις, οὐκ ἐξ ἀνάγκης προκεκμηκυῖα τοῖς εἰς τὸν πνεύμονα ῥεύμασι, ἢ περιπνευμονίαις, ἢ ἄσθμασιν, ἀλλὰ τοὐναντίον ἰσχυρὰ καὶ ἀκμαία καθεστηκυῖα κἂν τοῖς ἀσθματικοῖς παθήμασι, γλίσχρων καὶ παχέων ὑγρῶν ἐμπεπλασμένων τῷ πνεύμονι. κἂν εἰ φῦμα δύσπεπτον ἐν αὐτῷ συστῇ ποτε, συμβαίνει μεγίστην μὲν ἴσχειν διαστολὴν τὸν θώρακα, οὐ πολὺν δὲ εἰσπνεῖσθαι τὸν ἀέρα, καὶ διὰ τοῦτο συνεχῶς ἀναπνεῖν ἀναγκάζεσθαι χωρὶς ἐκφυσήσεως· ἴδιον γὰρ τοῦτο θερμασίας πολλῆς.

καθ' ἕτερον δὲ τρόπον ἐς τοῦτον εἶδος ἀφικνοῦνται δυσπνοίας οἱ κυναγχικοὶ, στενοχωρίας οὔσης, οὐκ ἐν ταῖς ὑποδεχομέναις κοιλότησι τὴν εἰσπνοὴν, ἀλλ' ἐν ταῖς παραπεμπούσαις. ἐφ' ὧν δὲ ἀπόστημα καὶ φλεγμονὴ καὶ πλῆθος ὑγρῶν ἐστιν ἢ ἐν τοῖς κενοῖς τοῦ θώρακος, ἢ κατὰ τὸν πνεύμονα, μενόντων ἀφράκτων τοῦ λάρυγγός τε καὶ τῆς τραχείας ἀρτηρίας, ἐν ταῖς ὑποδεχομέναις δηλονότι κοιλότησι τὸν εἰσπνεόμενον ἀέρα στενοχωρίας γινομένης, ἐξ ἀνάγκης ἀκολουθεῖ μεγάλην μὲν διαστολὴν γίνεσθαι τοῦ θώρακος, ὀλίγον δὲ ἕλκεσθαι τὸ πνεῦμα, καὶ διὰ τοῦτ' ἀναγκάζεσθαι τὸν κάμνοντα ταχέως τε καὶ πυκνῶς ἀναπνεῖν. πρὸ πάντων γὰρ ὑμᾶς μεμνῆσθαι βούλομαι τῆς κατὰ τὴν μεγάλην ἀναπνοὴν διαφορᾶς διττῶς γινομένης, ποτὲ μὲν παρὰ μέγεθος τῆς διαστολῆς τοῦ θώρακος, ποτὲ δὲ παρὰ πλῆθος τῆς εἰσπνεομένης οὐσίας τοῦ πνεύματος. [93] ἴστε δ' ὅτι τῶν τοιούτων ὑμᾶς ἀναμιμνήσκω πολλάκις, ὅσα παραλέλειπται τοῖς πρὸ ἐμοῦ· τὰ γὰρ ὑπὸ τῶν ἔμπροσθεν εἰρημένα, διὰ τὸ πολλοὺς εἶναι τοὺς εἰπόντας αὐτὰ, πρόχειρον ἔχει τὴν μνήμην· ὅσα δὲ μήθ' ὑφ' Ἱπποκράτους διωρίσθη τοῦ κάλλιστα περὶ δυσπνοίας γράψαντος, ἄλλος τε οὐδεὶς τῶν μετ' αὐτὸν ἐξειργάσατο καὶ διωρίσατο τὰ λείποντα, διὰ τοῦτ' ἀναγκαῖόν μοι γίνεται πολλάκις ἀναμιμνήσκειν αὐτῶν. ὅσοι μὲν οὖν ἄνευ φλεγμονῆς, ἢ τινος ὅλως ὄγκου παρὰ φύσιν, ἢ στενοχωρίας ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις, δυσπνοοῦσιν ἐν πυρετοῖς καυσώδεσι, τούτοις ἀνάλογον τῷ μεγέθει τῆς διαστολῆς τοῦ θώρακος αὐξάνεται τὸ πλῆθος τῆς εἰσπνεομένης οὐσίας τοῦ πνεύματος· ἐφ' ὧν δ' ὄγκος ἢ στενοχωρία τις ἐστὶν ἐν τοῖς ἀναπνευστικοῖς ἄνευ [94] θερμασίας φλογώδους, ἡ μὲν διαστολὴ τοῦ θώρακος μεγίστη γίνεται, τὸ δ' εἰσπνεόμενον οὐ μόνον ἀπολείπεται τῆς κατὰ τὴν διαστολὴν ἀναλογίας, ἀλλὰ καὶ τοῦ κατὰ φύσιν ἔλαττον εἰσπνεῖται. χωρὶς δὲ διορισμοῦ μίαν ἐνδείκνυται διάθεσιν ἡ μεγάλη διαστολὴ τοῦ θώρακος ἀραιότητα προσλαβοῦσα. προσέχειν δ' ὑμᾶς χρὴ κἀνταῦθα, μή ποτ' ἐξαπατηθῆτε, τὴν ἁπάντων τῶν μυῶν ἐνεργούντων γινομένην ἀναπνοὴν, ὅτ' ἂν ἐπ' ἀρρωστίᾳ δυνάμεως γίνηται, τὴν αὐτὴν ἡγεῖσθαι τῇ μεγάλῃ· βουληθεὶς γὰρ αὐτὴν ἐγὼ σαφῶς ἑρμηνεῦσαί ποτε, μετέωρον ἐκάλεσα· παρέστη δέ μοι τηνικαῦτα ἐννοῆσαι τὸν Ἱπποκράτην μετέωρον ὀνομάζειν πνεῦμα, τὸ τοῖς μετεώροις μέρεσι τοῦ θώρακος εἰσπνεόμενον, ὥσπερ ὅτ' ἂν εἴπῃ, μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην σημαίνει· εὔδηλος ἐστὶ μέγα λέγων τὸ πολὺ, διττῶς γίνεσθαι δυνάμενον, ἄνευ τε τῆς τῶν μετεώρων μυῶν ἐνεργείας, καὶ σὺν αὐτῇ· πολλάκις γὰρ ἥ τε τῶν μεσοπλευρίων μυῶν ἐνέργεια, καὶ ἡ τῶν φρενῶν, ἐπιπλεῖστον διαστέλλουσαι τὸν θώρακα, τῶν ὑψηλῶν μυῶν οὐ χρῄζουσιν εἰς τὴν τοῦ πολλοῦ πνεύματος εἰσπνοήν. ὅτι δὲ τὸ τοιοῦτον εἶδος τῆς διαστολῆς ἐνδείκνυται παραφροσύνην, ἐν τοῖς περὶ δυσπνοίας ὑπομνήμασι δέδεικται, [95] καθ' ἃ καὶ τῶν ἄλλων ἁπασῶν δυσπνοιῶν αἱ διαθέσεις [95] ἐρρέθησαν. ἀλλὰ νῦν γε καθάπερ τῶν ἄλλων παθῶν, ὅσα προείρηται δι' ἑτέρων πραγματειῶν, δι' ἐπιτομῆς τις ἐνταῦθα λέγεται, κατὰ τὸν αὐτὸν τρόπον καὶ περὶ τῆς ἐν ταῖς δυσπνοίαις διαφορᾶς τὰ μὲν εἴρηται μέχρι δεῦρο, τὰ δ' εἰρήσεται κατὰ τὸν ἐφεξῆς λόγον· ὡς γὰρ ἐπὶ τῆς μεγάλης ἀναπνοῆς, ἡ μέν τις ἐστὶ πυκνὴ, διαφορὰς ἔχουσα πλείους, ἄλλην ἄλλης διαθέσεως ἐνδεικτικὴν, ἡ δέ τις ἀραιὰ μίαν ἐνδεικνυμένη διάθεσιν·

A dyſpnœæ ſpeciem aliâ ratione labuntur ij quoque, quos angina moleſtat, ob anguſtiam, quæ non eſt in cauitatibus inſpirationem ſuſcipientibus, ſed in iis quæ ipſam tranſmittunt. Quibus verò abſceſſus, & inflammatio, atque humorum plenitudo in thoracis, aut pulmonis cauernis conſiſtit, citra obſtructionem manente gutture atque aſperâ arteriâ; in cauitatibus ſcilicet inſpiratum aerem ſuſcipientibus anguſtiâ genitâ, ex neceſſitate ſequitur magna thoracis dilatatio, ſed paucus trahitur ſpiritus; ac proinde laborantem B celeriter & frequenter reſpirare neceſſe eſt. Præ omnibus enim vos meminiſſe velim magnæ reſpirationis geminas eſſe differentias, interdum quidem ob dilatationis thoracis magnitudinem, interdum verò ob inſpirati ſpiritus multam ſubſtantiam. Sciendum autem quòd ſæpenumerò vos admoneo earum rerum, quæ à prioribus omiſſæ ſunt; nam quas ipſi perſequuti ſunt, earum propter ſcriptorum multitudinem facilis atque in promptu eſt memoria; quæ verò ab Hippocrate (quanuis optimè de C dyſpnœa ſcripſerit) non ſunt definita, poſteriorumque nemo explicauit, quæ deſunt, definiitve; idcirco neceſſariũ mihi eſt creberrimè illorum vos admonere. Igitur quicunq; ſine inflãmatione, vel omnino ſine aliquo præter naturam tumore, aut anguſtiâ ſpiritalium inſtrumentorum, per febres ardentes difficulter ſpirant, his inſpirati aeris quantitas magnitudini dilatationis thoracis proportione reſpondet; quibus verò vel tumor vel anguſtia ſine inflãmatorio calore in ſpiritalibus eſt, in his thoracis quidẽ dilatatio maxima eſt; id verò, quod D inſpiratur, non ſolùm dilatationem proportione nõ aſſequitur, verumetiam minùs quam ſecundum naturam, attrahitur. At ſine diſtinctione vnam affectionem oſtendit magna thoracis dilatatio, ſi raritatem ſimul acceperit. Verum animaduertere vos hic oportet, ne aliquando decipiamini, putantes eam reſpirationem, quæ ob viriũ imbecillitatẽ omnibus agentibus muſculis efficitur, eandem eſſe cum magna; quam equidem, quò clarior eſſet interpretatio, aliquando ſublimem vocare volui; & mihi tunc E contigit intelligere, Hippocratem eum ſublimem vocare ſpiritum, qui ſublimioribus thoracis partibus inſpiratur; quemadmodum, quum inquit; *Magnus ſpiritus & ex longis interuallis, delirium declarat*; conſtat eum magnum pro multo dixiſſe, qui bifariã fieri poteſt, vel ſine ſuperiorum muſculorum actione, vel ipſa concurrente; nam plerunque intercoſtales muſculi vnà cum ſepto tranſuerſo, ad maximam thoracis eleuationem, qua multus ſpiritus alliciatur, ſuperiorum muſculorum auxilio non indigent. F Quòd verò huiuſmodi dilatationis ſpecies delirium portendat, in commẽtarijs de dyſpnœa oſtendimus, vbi etiam omnium difficultatũ reſpirationis affectiones declaratæ ſunt. Nunc verò, vt compẽdio quodã hîc explicamus alios affectus, quos in aliis commentarijs iam percurrimus; ita & de dyſpnœæ differentiis, partim quidem dictum eſt, partim verò in ſequentibus dicemus. Nam vt magnarum reſpirationũ alia quidem crebra eſt, cuius ſunt differentiæ complures, quarum aliæ alias affectiones indicant; alia verò rara, vnicam indicans affectionem;

ſic

Sic etiam de exigua dicendum est; nam rara quidem spiritalium instrumentorum refrigerationem; frequens verò non solùm spiritalium, sed eorum quoque quæ cum ipsis mouentur, vt hepatis, ventriculi, lienis, gulæ, laborem indicat. Quum autem plures sint affectiones, quas per vehementiores motus dolor comitatur, ex aliis signis considerandum & definiendum est, siue inflammatio quædam, siue erysipelas, siue vlcus, siue abscessus dolorem efficiat. Quinetiam didicistis, quòd inæqualibus intemperiebus dolores sæpenumerò succedant; similiter spiritûs crudi, flatuosique copiæ, qui arctatus aliquando partes ipsum ambientes distendit, aliquando verò violenter egreditur. Similiter quoque calidi & acris, aut frigidi & lenti humoris abundãtia, si aliquando retentus succus ambientia corpora distendat, aut inde violenter exeat, dolores efficere potest; si grauiùs affecta fuerint instrumenta, in quibus huiusmodi res continentur, etiamsi nõ moueantur; si leuiter, quando mouentur. Verùm in libris de dyspnœa causa explicata est, cur exiguæ spirationis frequens quidem spiritus, motorum per respirationem instrumentorum laborem significet; rarus verò vehementem refrigerationem spiritalium duntaxat, præcipuè pulmonis & cordis. Est etiam alia dyspnœæ species, quum veluti breui quadam quiete intercipitur opus thoracis, nonnunquam inspirando, nonnunquã expirando, siue hoc accidat symptoma ob musculorum thoracis conuulsiuam affectionem, siue ob caloris copiam, coacto laborante continenter vel inspirare vel expirare. Est insuper alius respirationis affectus, quem apnœam nominant, nullâ, vt aspicientibus videtur, factâ respiratione, verum vt rei ipsius natura declarat, eam non fieri incredibile est; nam impossibile videtur, vt animal omni respiratione exactè priuatum adhuc seruari possit; ea tamen animalia, quæ in cauernis latent, thoracem mouere minimè videntur. Proinde duorum alterum conijcere oportet, aut adeò exiguam fieri respirationem, vt sensum effugiat; aut animal tunc respiratione omninò non indigere, sed eam transpirationem, quæ per vniuersum corpus fit, sufficere; hanc enim cor ipsum per arterias efficit; respirationem verò per thoracem, cerebrum. At vero affectio, quæ apnœam facit, quæcunque ea sit, omnibus animalis partibus communis esse videtur; veluti in apoplexia, sopore, morbo comitiali, catalepsi; nam in his omnibus nullus proprius affectus spiritalia instrumenta præ cæteris infestat, non magis, quàm vocis, aut loquutionis, aut progressionis; sed affecto principio, omnia quibus vires suæ, per quas reguntur, ab ipso suppeditari consueuerunt, ei consentire necesse est. Verùm de apnœa particulatim & per se diximus; quamobrem tempus est, vt nunc ad aliquid aliud transeamus.

CAPVT XI.

De affectibus pulmonis.

QVum autem exercitationis via ad affectorum locorum dignotiones duplex sit, altera quidem ab apparentibus symptomatis, al-

A οὕτως ἐπὶ τῆς μικρᾶς, ἡ μὲν ἀραιὰ ψύξιν ἐνδείκνυται τῶν ἀναπνευστικῶν ὀργάνων, ἡ πυκνὴ δὲ πόνον, οὐ μόνον τῶν ἀναπνευστικῶν, ἀλλὰ καὶ τῶν συγκινουμένων αὐτοῖς, ἥπατος δηλονότι, καὶ γαστρὸς, καὶ σπληνὸς, καὶ στομάχου. πλεόνων δ' οὐσῶν διαθέσεων, αἷς ἕπεται πόνος ἐν τῷ κινεῖσθαι σφοδρότερον, ἐπισκεπτέον τε καὶ διοριστέον ἐκ τῶν ἄλλων σημείων, εἴτε φλεγμονή τίς ἐστιν, εἴτ' ἐρυσίπελας, εἴθ' ἕλκος, εἴτ' ἀπόστημα, τὸ τὴν ὀδύνην ἐργαζόμενον. ἐμάθετε δ' ὅτι καὶ δυσκρασίαις ἀνωμάλοις ἀλ-
B γήματα πολλάκις ἐπιγίνεται, καὶ πνεύματος ἀπέπτου τε καὶ φυσώδους πλήθει, ποτὲ μὲν αὐτοῦ τῷ στέγεσθαι κατά τι διατείνοντος τὰ περιέχοντα, ποτὲ δὲ βιαίως διεξιόντος. ὁμοίως δὲ καὶ χυμοῦ πλήθει θερμοῦ καὶ δριμέος, ἢ ψυχροῦ καὶ γλίσχρου, στεγομένου τε κατά τι καὶ μὴ διεξιόντος, ὀδύναι γίνονται· μειζόνως μὲν πεπονθότων τῶν ὀργάνων, ἐν οἷς περιέχεται ταῦτα, κἂν μὴ κινῆται· βραχέως δ' ὅταν κινῆται. εἴρηται δ' ἐν τοῖς περὶ δυσπνοίας ἡ αἰτία, δι' ἣν τοῦ μικροῦ πνεύματος, τὸ μὲν πυκνὸν πνεῦμα, πόνον σημαίνει τῶν κινουμένων ὀργάνων ἐν ταῖς ἀναπνοαῖς· τὸ δ'
C ἀραιὸν ἰσχυρὰν ψύξιν αὐτῶν μόνον τῶν ἀναπνευστικῶν, καὶ τούτων μάλιστα πνεύμονος καὶ καρδίας. ἔστι δὲ καὶ ἄλλο τι δυσπνοίας εἶδος, ὡς εἶναι ἐγκοπτομένης τῆς ἐνεργείας τοῦ θώρακος ἡσυχία βραχεία, ποτὲ μὲν ἐν ταῖς εἰσπνοαῖς, ποτὲ δὲ ἐν ταῖς ἐκπνοαῖς, ἤτοι γ' ἐν σπασμώδει διαθέσει τῶν τοῦ θώρακος μυῶν γινομένου τοῦ τοιούτου συμπτώματος, ἢ διὰ πλῆθος θερμασίας, εἰσπνεῖν, ἢ ἐκπνεῖν ἀναγκαζομένου συνεχέστερον τοῦ κάμνοντος. καὶ μέντοι καὶ ἄλλό τι πάθος ἀναπνοῆς ἐστι, ἣν ἄπνοιαν ὀνομά-
D ζουσιν, ὡς μὲν πρὸς τὴν ὄψιν μηδ' ὅλως γιγνομένης, ὡς δὲ πρὸς τὴν φύσιν ἀπιστουμένης μὴ γίνεσθαι· δοκεῖ γὰρ ἀδύνατον μὲν εἶναι, στερηθὲν ἀκριβῶς ὅλης τῆς ἀναπνοῆς τὸ ζῶον ἔτι διασώζεσθαι, φαίνεται δὲ καὶ τὰ φωλεύοντα, μηδ' ὅλως κινοῦντα τὸν θώρακα: δυοῖν οὖν θάτερον, ἢ βραχεῖαν οὕτω γίνεσθαι τὴν ἀναπνοὴν ὑποληπτέον, ὡς λανθάνειν τὴν αἴσθησιν, ἢ μηδ' ὅλως δεῖσθαι τηνικαῦτα τὸ ζῶον ἀναπνοῆς, ἀλλ' ἀρκεῖσθαι τῇ καθ' ὅλον τὸ σῶμα διαπνοῇ· γίνεται γὰρ αὕτη μὲν ὑπὸ τῆς καρδίας διὰ τῶν ἀρτηριῶν, ἡ δ' ἀναπνοή, διὰ τοῦ θώρακος ὑπὸ τοῦ ἐγκεφάλου. ἥτις δ' ἂν ἡ διάθεσις εἴη ἡ τὴν ἄπνοιαν ἐργαζομένη, κοινὴ φαίνεται εἶναι πάντων
E τῶν τοῦ ζώου μορίων, ὡς ἐν ἀποπληξίαις καὶ κάροις, ἐπιληψίαις τε, καὶ καταλήψεσιν· ἐν τούτοις γὰρ ἅπασιν οὐδὲν ἴδιον ἐξαίρετον πάθημά ἐστι τῶν ἀναπνευστικῶν ὀργάνων, οὐ μᾶλλον ἢ τῶν φωνητικῶν, ἢ διαλεκτικῶν, ἢ βαδιστικῶν· ἀλλὰ τῆς ἀρχῆς παθούσης, ἅπαντα συμπάσχειν ἀναγκαῖον, ὅσοις πρὸς ἐκείνης ἐχορηγεῖτο τὰ τῶν διοικουσῶν αὐτὰ δυνάμεων. εἴρηται δὲ ἡμῖν ἰδίᾳ περὶ ἀπνοίας καθ' αὑτὴν, ὥστε νῦν ἤδη μεταβαίνειν ἐφ' ἕτερόν τι καιρός.

F

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν τοῦ πνεύμονος παθῶν.

ΔΙττῆς δὲ οὔσης ὁδοῦ τοῖς γυμναζομένοις περὶ τὰς διαγνώσεις τῶν πεπονθότων τόπων, ἑτέρας μὲν ἀπὸ τῶν

φαινομένων συμπτωμάτων, ἑτέρας δὲ ἀπὸ τῶν τοῦ σώματος μορίων, ἐάν κατ' ἀμφοτέρας τις γυμνάζηται, δὶς μὲν ἐρεῖ τὰ αὐτὰ, καθ' ἕτερον δὲ καὶ ἕτερον τρόπον. οἷον ἀμέλει ἐπὶ τῶν τοῦ πνεύμονος παθῶν, εἴρηται μέν τι κἀν τῷ περὶ τῶν ἀλγημάτων λόγῳ, λέλεκται δὲ κἀν τῷ περὶ αἵματος ἀναγωγῆς, ὥσπερ κἀν τῷ περὶ δυσπνοίας, εἰρήσεται δὲ καὶ νῦν. ἄλγημα μὲν γὰρ αὐτῷ βίαιον οὐδέποτε συμπίπτει, βάρους δ' αἴσθησις γίνεται, καί τινος ἐνίοτε τάσεως εἰς τὸ στέρνον ἢ τὴν ῥάχιν διηκούσης· ἐνταῦθα γὰρ οἱ περιέχοντες αὐτὸν ὑμένες ἀνήρτηνται. καὶ μέν γε καὶ στενοχωρίας αἰσθάνονται πολλάκις οἱ κάμνοντες, καὶ διὰ τοῦτ' ἀναπνέουσι πυκνὸν καὶ ταχὺ, διαστέλλοντες μὲν ἐπὶ πολὺ τὸν θώρακα, πολὺν δ' οὐκ εἰσπνέοντες ἀέρα. χωρὶς μὲν οὖν πυρετοῦ ταῦτα γινόμενα, φύματα, ἢ γλίσχρων ἢ παχέων χυμῶν, ἢ τινων ἄλλων πολλῶν ἐν αὐτῷ πλῆθος ὑπάρχειν, ἢ περικεχύσθαι τι πύον, ἤ τινα χυμὸν ἄλλον ἢ γλίσχρον, ἢ παχὺν, ἢ πολὺν, ἐνδείκνυται· διορισθήσεται δ' ἀλλήλων ταῦτα, τοῖς προηγησαμένοις συμπτώμασιν. ἐὰν μὲν γὰρ ὑγιαίνων τε καὶ τὰ συνήθη πράττων, οὕτως ἄρξηται δυσπνοεῖν, αὐξάνηταί τε τὸ σύμπτωμα αὐτῷ χωρὶς τοῦ κερχνῶδές τι κατὰ τὴν ἀναπνοὴν ἐμφαίνεσθαι, φύματος ἀπέπτου γένεσιν ἐπισκεπτέον. κερχνώδεις δὲ τῆς ἀναπνοῆς ψοφούσης, ὑγρῶν γλίσχρων ἢ παχέων πλῆθος ἐμπεπλασμένων δυσαπολύτως τοῖς βρογχίοις τοῦ πνεύμονος, ἐνοχλεῖν δηλοῦται· ἐὰν δὲ ἐξαίφνης ἐπὶ στενοχωρίας αἰσθήσει δυσπνοῶσι, ῥεύματος εἰς τὸν πνεύμονα κατασκήψαντος, ἤτοι γ' ἐκ κεφαλῆς, ἢ ἐκ τῶν γειτνιώντων χωρίων, ἔνδειξίς σοι γινέσθω. ὅταν δ' ἤτοι γλίσχρων ὑγρῶν ἢ παχέων ἢ πολλῶν ἐπιρρυέντων τῷ πνεύμονι, δυσπνοεῖν εἴπω τὸν ἄνθρωπον, ἐν τοῖς βρογχίοις τὰ τοιαῦτα περιέχεσθαι νόει· κατασχιζομένης γὰρ εἰς ὅλον τὸ σπλάγχνον, ὥσπερ τῆς λείας ἀρτηρίας, οὕτω καὶ τῆς τραχείας, ἡ τῶν βρογχίων οὐσία καθ' ὅλον ἐστὶ τὸν πνεύμονα· βρογχία δὲ καλοῦσιν οἱ ἀνατομικοὶ τοὺς χόνδρους τῆς τραχείας ἀρτηρίας, σιγμοειδεῖς ὑπάρχοντας τῷ σχήματι. προηγησαμένης δὲ πλευρίτιδος, εἶτα τοῦ μὲν σφοδροῦ τοῦ πυρετοῦ παυσαμένου, βάρους δ' αἰσθήσεως ὑπολειπομένης ἔνδον τῶν πλευρῶν ἐν τῷ βάθει τοῦ θώρακος, ἅμα τῷ καὶ μεταρρεῖν τι φαίνεσθαι κατὰ τὰς ἀθρόας μεταλλαγὰς τῆς κατακλίσεως, καὶ μάλιστα ὅταν ἀπὸ τῆς ἑτέρας πλευρᾶς ἐπὶ τὴν ἑτέραν μετασχηματίζωνται, πύου τινὰ αὐτῷ πλῆθος ἐμφαίνεται, καὶ κλύδωνός γε πολλάκις αἰσθητῶς ἀκούειν ἐστὶν ἐπ' αὐτῶν. ἐνδείκνυται δὲ τοῦτο σὺν τοῖς εἰρημένοις, καὶ τὸ μηδὲν ἀξιόλογον ἀναπτύειν, σφοδρᾶς προηγησαμένης πλευρίτιδος. ἐὰν δὲ ἄλλος τις χυμὸς ὀρρώδης ἢ φλεγματώδης ἐξαίφνης ἄνευ πυρετοῦ ῥυεὶς εἰς τὰ κενὰ τοῦ θώρακος, ἐργάζεται τὴν δύσπνοιαν, ἀναπτύουσι τὰ λεπτὰ, κατ' ἀρχὰς μὲν ὀλίγα σὺν πολλῇ βηχὶ, πεττομένων δὲ αὐτῶν, πλείω καὶ παχύτερα σὺν ἐλάττονι. κατὰ διττὸν γάρ τοι τρόπον ἐπὶ πολλῇ βηχὶ πτύουσιν ὀλίγα, διὰ μὲν πάχος ἢ γλισχρότητα χυμῶν ἕτεροι, διὰ λεπτότητα δ' ἄλλοι· τὸ μὲν γὰρ λεπτὸν ἀναφερόμενον ὑπὸ τοῦ κατὰ τὴν βῆχα πνεύματος, αὐτίκα καταρρεῖ περισχιζόμενον αὐτῷ· τὸ δὲ γλίσχρον ἢ πάνυ παχὺ δυσχερῶς ἀναφέρεται, μήτ' ἀπορρυπτόμενον ἑτοίμως τῶν σωμάτων οἷς ἐμπέπλασται, μήθ' ὑπὸ τῆς τυχούσης βίας τοῦ πνεύματος 97 ὠθεῖσθαι δυνάμενον. εἰ μὴ γὰρ πολύ τε καὶ σφοδρὸν ἀναβηττόμενον εἴη τὸ πνεῦμα, συναναφέρειν οὐδὲν ἑαυτῷ δύναται. ὅσον οὖν δὴ μήθ' ὑγρὸν ἄγαν ἐστὶ καὶ ὑδατῶδες, ἀλλὰ μηδὲ παχὺ λίαν ἢ γλίσχρον,

δυσπνοῶσι

A tera verò à corporis partibus, si quis per vtranque voluerit exercitari, eadem bis dicet, quanuis alio & alio modo. Vt verbi gratia, de pulmonis affectibus dictum est, vbi de dolorum ratione; præterea etiam vbi de sanguinis reiectione, ac de dyspnœa; atque in præsentia quoque dicemus. Etenim ipsi vehemens dolor nunquam accidit, verum & grauitatis sensus, & aliquando tensionis cuiusdam, quæ ad pectus, vel ad spinam peruenit; ibi enim membranæ ipsum
B ambientes suspenduntur. Sæpenumerò etiam angustiâ molestantur laborantes, atque ob hoc crebrò celeriterq; spirant, ac thoracem vehementer attollunt, sed non multum aërem attrahunt. Hæc igitur si citra febrem acciderint, aut crudum tuberculum, aut lentorum, crassorumve, aut quorundam aliorũ humorum plenitudinem in eo existere; aut pus, aut alium quendam humorem vel lentum, vel crassum, vel multum, circa ipsum effusum esse declarant; verùm ea inter se per præterita sympromata discernere licebit. Si nanque aliquis per bonam valetudinem, solitas actiones faciens, sic diffi-
C culter respirare inceperit, augeaturque ipsi symptoma, neque inter respirandum stertere videatur, crudi tuberculi ortum suspicari oportet. Si verò stertendo strepitum fecerit respiratio, lentorum crassorumque humorum pertinaciter impactorum multitudinem, pulmonis bronchia molestare indicium est. Quòd si ilicò ab angustiæ sensu difficulter spirauerint, fluxionem vel à capite, vel à vicinis sedibus in pulmonem irruentem ostendit. Quum autem fluentibus in pulmonem vel lentis, vel crassis, vel multis humoribus, hominem difficulter
D spirare dico, in bronchiis eos contineri intellige; quum enim in totum viscus, vt læuis arteria, ita etiam aspera diuidatur, bronchiorum substantia per totum pulmonem procedit; vocantur autem à dissectoribus bronchia, asperæ arteriæ cartilagines; sigma literæ figuram referentes. At vbi pleuritis præcessit, mox remissâ febris vehementiâ, intra latera grauitas in imo thoracis derelicta sentitur; simulq; affatim decubitu transmutato, maxime quum ab vno latere in aliud conuertuntur, trans fluit aliquid, puris tum multitudo indicatur, atque in iis flu-
E ctuatio sæpenumerò haud obscurè auditur; id autem indicat etiam cum iam propositis, quod vehementi prægressâ pleuritide, nihil effatu dignum penè laborans expuerit. Si verò citra febrem alius quispiam serosus aut pituitosus humor in thoracis spacium subitò defluens, spirandi difficultatem excitat, laborans tenue sputum, idque ab initio quidem exiguum, cum vehementi tussi; vbi verò concoctum est, plus atque crassius, cum mitiore, expuere solet. Nam bifariàm accidit, vt vehementer tussiendo pau-
F ca expuãt; alii ob lentum crassumve humorem, alii ob tenuem; nam tenuis subleuatus à tussis spiritu, diuisus ab ipso circũ refluit; lẽtus verò, aut valdè crassus difficulter effertur, quòd neque facilè à corporibus quibus impactus est, abstergatur, neque etiam à quauis occurrentis spiritûs violentia impellatur; nisi enim spiritus qui tussiendo effertur, & multus & vehemens fuerit, nihil secum educere potest. Igitur *sputum*, quod neque liquidum, aut aquosum admodum est; neque crassum valde aut lentum,

id

id facile excluditur, maximè vbi validæ fuerint vires; etenim sine vehementi thoracis contractione vehementer tussiri non potest; at sine valida tussi crassos lentosque humores efferri impossibile est. Quum verò spirandi difficultati cum angustia & grauitate acuta febris simul accedit, is affectus inflammatio pulmonis est. At si intolerabile fuerit incendium, angustiæ verò grauitatisque sensus minor, erysipelas ipsum vexare censendum est. Extremis autem definitis, nihil arduum erit erysipelas phlegmonodes, aut inflammationem erysipelatodē dignoscere. Sunt & alii pulmoni affectus citra humorum influxum, ob intemperiē vel inæqualē vel æqualē; ac inæqualis quidem tussim excitat; æqualis verò, si moderata sit, rhythmũ respirationis immutat; at vehemens facta, vincente calore, frigidi aëris atque potionis cupiditatem inducit, ac tractu temporis desinit in febrem. Per frigidam autem intemperiem contraria eueniũt, quoad modum seruauerit, calidi aëris, ac calidæ potionis desiderium; si verò modum excesserit, repletur viscus fluxionibus. At de sanguinis ex ipso per tussim reiectione, quæ rupturâ, vel erosione, vel apertione vasorum accidit, antea vbi de sanguinis sputo mentionem fecimus, iam dictum aliquid est; atque nunc quoque pauca quædam dicemus. Sanè ruptiones in ipso deprehenduntur, tum ex multi sanguinis fluxione, tum ex magna, euidenteque aliqua causa, qua prægressâ, subitò aduenerit; voco autem præcedentes causas, casum ex alto, vel in ludo, vel certamine, vel quum alter super alterum ceciderit; quemadmodum & quũ ex inanimatis corporibus aliquod graue, vt vel lapis vel lignum, in thoracem ruerit; nonnullis iracundia cum clamore præcessit; ac quibusdam citharœdis, tragœdisque certantibus, acuta vehemensque vox vasa disrupit, maximè vbi non præmissâ pulmonis per procemia lenitione, violenter clamant. Vt enim luctatoribus, si certamen aggrediantur, musculis priùs neq; calefactis neque per frictiones aut moderatas motiones explanatis, partes quædam rumpuntur atque conuelluntur; eodem modo pulmoni accidere consueuit, quem quidem frictionibus ad vehementes motiones præparare nõ licet, procemia autẽ frictionibus quadã proportione respondent. At citra manifestam externã causam, vt in cæteris corporis partibus, ita in pulmone quoque vas aliquod sanguinis abundantia dirumpit, quum extensioni resistit, aut ob frigus subitum, aut ob innatam intemperiē. Ita Hippocrates, *Venas*, inquit, *rumpit frigidum*, non ipsum per se scilicet rupturas faciens, sed quia venarum tunicas frigiditate sua duras & extendi contumaces reddens, vt rumpantur paratiores efficit; ruptionis verò ipsius causa est, vehemens motus, & humorum abundantia, qui vel per se, vel vnà cum crudo & frigido & flatuoso spiritu venas extendunt. Verum ruptionis ab his haud paruum indicium præbet subita cumulati sanguinis vacuatio. Anastomosin verò, non frigidæ, sed è contrario calidæ dispositiones præcedunt; vbi multis calidis balneis homo vtitur, atque in terra moratur calida, annique simili tempestate, & calidis eduliis & potionibus vtitur. At quæ ab erosione affatim accidunt sanguinis euacuationes, præce-

A εὐπετῶς ἀναφέρεται, καὶ μάλιστα ὅταν ἡ δύναμις ἐρρωμένη τυγχάνῃ· χωρὶς γὰρ τοῦ σφοδρὰν γενέσθαι συστολὴν τοῦ θώρακος, οὐχ οἷόν τε βῆξαι σφοδρῶς· ἄνευ δ' ἰσχυρᾶς βηχὸς, ἀδύνατόν ἐστιν ἀνενεχθῆναι τοῖς παχέσι καὶ γλίσχροις χυμοῖς. ὅταν δὲ τῇ μετὰ στενοχωρίας τε καὶ βάρους δυσπνοίᾳ πυρετὸς ὀξὺς συνεμβάλλῃ, φλεγμονὴ τὸ πάθημά ἐστι τοῦ πνεύμονος. εἰ δὴ ἀφόρητος μὲν ἡ φλόγωσις εἴη, τοῦ βάρους δὲ καὶ τῆς στενοχωρίας ἐλάττων αἴσθησις, ἐρυσιπέλατι κάμνει τὸ σπλάγχνον. ἀφωρισμένων δὲ τῶν ἄκρων, οὐδὲν ἔτι χαλεπὸν, ἤτοι γ' ἐρυσίπελας φλεγμονῶδες, ἢ φλεγμονὴν ἐρυσιπελατώδη διαγνῶναι. B γίνεται δὲ καὶ ἄλλα πάθη τῷ πνεύμονι χωρὶς ἐπιρροῆς χυμῶν, κατὰ δυσκρασίαν ἤτοι γ' ἀνώμαλον ἢ ὁμαλήν. ἡ μὲν οὖν ἀνώμαλος, βῆχα ἐργάζεται· ἡ δ' ὁμαλὴ, μετρία μὲν οὖσα τὸν ῥυθμὸν τῆς ἀναπνοῆς ὑπαλλάττει· γενομένη δ' ἰσχυρὰ, θερμότητος μὲν ἐπικρατούσης, ἐπιθυμίαν ἀέρος καὶ πόματος ἐργάζεται ψυχροῦ, τῷ χρόνῳ δ' εἰς πυρετὸν τελευτᾷ. τῇ ψυχρᾷ δὲ δυσκρασίᾳ τἀναντία συμβαίνει, θερμοῦ μὲν ἀέρος, θερμοῦ δὲ πόματος ἐπιθυμία, μέχρις ἂν εἴη μετρία, μείζονος δὲ γινομένης, ῥευμάτων ἐμπίπλαται τὸ σπλάγχνον. περὶ δὲ τῆς κατὰ ῥῆξιν, C ἢ διάβρωσιν, ἢ ἀναστόμωσιν, ἐξ αὐτοῦ γινομένης αἵματος ἀναβήξεως, εἴρηται μέντοι καὶ πρόσθεν ἐν τῷ περὶ τῆς τοῦ αἵματος πτύσεως λόγῳ, λεχθήσεται δὲ καὶ νῦν ἔτι διὰ βραχέων. αἱ μὲν ῥήξεις αἱ κατ' αὐτὸν, ἔκ τε τοῦ πολὺ φέρεσθαι τὸ αἷμα γνωρίζονται, κἀκ τοῦ μέγα προηγησάμενον αἴτιον αἰσθητὸν, εὐθέως ἐπιγενέσθαι· λέγω δὴ αἴτια προηγησάμενα τὴν ἐξ ὑψηλοῦ πτῶσιν ἢ κατὰ παλαίστραν, ἢ ἐν ἄθλοις, ἢ ἑτέρου τινὸς ἐμπεσόντος ἑτέρῳ, καθάπερ γε ἂν ἐπιπέσῃ τῷ θώρακι βαρὺ σῶμα τῶν ἀψύχων ὁποιονοῦν, οἷον ἤτοι λίθος ἢ ξύλον· ἐνίοις δὲ ὀξυθυμία μετὰ κραυγῆς προηγήσατο, καί τισιν ἑτέροις ἀγωνιζομένοις D κιθαρῳδίαν, ἢ τραγῳδίαν, ἡ ὀξεῖα καὶ μεγάλη φωνὴ διέρρηξεν ἀγγεῖα, καὶ μάλιστα ὅταν ἄνευ τοῦ προμαλάξαι ταῖς ἀναφωνήσεσι τὰ κατὰ τὸν πνεύμονα, βιαίως κραυγάσωσιν. ὡς γὰρ καὶ τοῖς παλαίουσιν, ὅταν ἄνευ τοῦ προθερμανθῆναι καὶ ὁμαλυνθῆναι τρίψεσί τε καὶ μετρίαις κινήσεσι τοὺς μῦς ἐπὶ τὰς ἐνεργείας ἀφικνοῦνται σφοδρὰς, ῥήγματά τε καὶ σπάσματα γίνεται· κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τοῦ πνεύμονος εἴωθε συμπίπτειν, ὃν διὰ τρίψεων μὲν οὐχ οἷόν τε παρασκευάσαι πρὸς τὰς σφοδρὰς κινήσεις, ἀνάλογον δέ τι ταῖς τρίψεσιν αἱ ἀναφωνήσεις ἐργάζονται. [ἄνευ δὲ φανερᾶς ἔξωθεν αἰτίας, πλῆθος αἵ- E ματος ἀναρρήγνυσιν ἀγγεῖον ἐν πνεύμονι, καθάπερ καὶ κατ' ἄλλο τι μόριον τοῦ σώματος, ὅταν δυσεπέκτατον τύχῃ διὰ ψύξιν ὑπάρχον ἢ δυσκρασίαν σύμφυτον. οὕτως καὶ Ἱπποκράτης τὸ ψυχρὸν εἴρηκε φλεβῶν ῥηκτικὸν, οὐκ αὐτὸ δήπου καθ' αὑτὸ τὰς ῥήξεις ἐργαζόμενον, ἀλλ' ὅτι τῇ ψύξει σκληροὺς καὶ δυσεπεκτάτους τοὺς χιτῶνας τῶν ἀγγείων ἐργαζόμενον, ἐπιτήδεια πρὸς ῥῆξιν αὐτὰ παρασκευάζει· τῆς ῥήξεως δὴ αὐτῆς τὸ αἴτιον, ἥ τε σφοδρὰ κίνησίς ἐστι, καὶ τὸ πλῆθος τῶν χυμῶν, αὐτῶν τε καθ' ἑαυτοὺς, καὶ σὺν ἀπέπτῳ καὶ ψυχρῷ καὶ φυσώδει πνεύματι συνδια- F τείνοντι τοῖς χυμοῖς τὰς φλέβας. ἀλλὰ καὶ τῆς ἐπὶ τούτων ῥήξεως οὐ σμικρὸν γνώρισμά ἐστι, κένωσις αἵματος ἐξαίφνης ἀθρόου. [τῆς δ' ἀναστομώσεως, ἔμπαλιν τῶν ψυχρῶν, αἱ θερμαὶ διαθέσεις προηγοῦνται, λουτροῖς τε θερμοῖς πολλοῖς κεχρημένου τοῦ ἀνθρώπου, καὶ κατὰ χώραν ὄντος θερμὴν, ὥραν τε τοῦ ἔτους ὁμοίαν, ἐδέσμασί τε καὶ πόμασι θερμοῖς χρωμένου. αἱ δὴ ἐξ ἀναβρώσεως ἀθρόαι κενώσεις αἵματος,

ἐπί τε παρεγχυμέναις γίνονται βραχείαις πτύσεσι. καὶ τοῖς εἰς τὸν πνεύμονα δριμέσι ῥεύμασιν ἀπὸ τῆς κεφαλῆς ἐπιρρέουσιν· ἐνίοτε δὲ καὶ συναναφέρεταί τι μόριον τοῦ πνεύμονος, ἢ ἐφελκὶς, ὥστε λαθεῖν ἀδύνατον εἶναι τὸ τοιοῦτον πάθημα τοῦ σπλάγχνου. κατὰ δὲ τὴν τραχεῖαν ἀρτηρίαν ἕλκους γινομένου, πρὸς τοῖς ἀναβηττομένοις πυώδεσιν οὖσιν, ἔτι καὶ τοῦ πεπονθότος μέρους ἀλγοῦντος αἴσθησις γίνεται τῷ κάμνοντι· καὶ ἡ βραχύτης δὲ τοῦ κενουμένου, διορίζει τὴν τοιαύτην ἕλκωσιν τῆς ἐν τῷ πνεύμονι, πλεῖον γὰρ ἐπὶ τοῖς ἐν πνεύμονι γεγενημένοις ἕλκεσιν ἀναπτύεται τὸ πύον. ὥσπερ δὲ τοῦ πνεύμονός τι μόριον συναναχθὲν ἐνδείκνυται τὸ σπλάγχνον ἡλκῶσθαι, κατὰ τὸν αὐτὸν τρόπον ἐκ τοῦ λάρυγγος εἴδομεν ἐνίοτε τὸ κατὰ τὴν ἐπιγλωττίδα σῶμα δι' ἕλκωσιν ἀναπτυσθέν, οἷς οὐ μόνον τοῦτο σημεῖον ὑπῆρξε τοῦ τόπου τοῦ πεπονθότος, ἀλλὰ καὶ ἡ κατὰ τὸ χωρίον αἴσθησις τὸ ἡλκωμένον, ὡς κἀπὶ τῆς τραχείας ἀρτηρίας ἐρρέθη· τὰ μὲν γὰρ ἐν τῷ πνεύμονι, χωρὶς ὀδύνης συνίσταται, τὰ δ' ἐν τούτοις τοῖς χωρίοις, ὀδύνην μέν τινα φέρει, βραχεῖαν δὲ ταύτην, ὡς τοῖς φύσει δυσαισθήτοις μηδὲ σαφῶς αἰσθητὴν γίνεσθαι. ταῦτα μὲν οὖν ἅπαντα τὰ μέχρι δεῦρο λελεγμένα πάθη, κατά τε τὸν πνεύμονα καὶ τὰ κενὰ τοῦ θώρακος, ἔτι τε τὴν τραχεῖαν ἀρτηρίαν καὶ λάρυγγα (καὶ γὰρ καὶ τούτων ἐμνημόνευσα τῇ κοινωνίᾳ τοῦ λόγου προαχθεὶς ἐπ' αὐτά) πολλάκις ἑώραταί μοι· ταυτὶ δὲ τὰ νῦν εἰρησόμενα σπανίως. ἐξαίφνης τις ἀνέβηξε χυμὸν ὁμοιότατον ὑγρᾷ χολῇ, τῇ μὲν χρόᾳ, μεταξὺ ξανθῆς τε καὶ ὠχρᾶς, δριμύτητα δ' οὐδεμίαν ἔχοντα· κἀκ τούτου καθ' ἑκάστην ἡμέραν ἀνέπτυεν ἀεὶ πλεῖον· ὕστερον δὲ καὶ πυρετῶν ἐπιγινομένων αὐτῷ λεπτῶν, ἔφθινεν, ὡς καὶ πυώδες ἀναβήττειν. καὶ μετὰ χρόνον ὡς τεττάρων μηνῶν, αἷμα συνανήνεγκεν ὀλίγον σὺν τῷ πύῳ, μετὰ τοῦ συντήκεσθαί γε ὑπὸ πυρετῶν μᾶλλον· εἶτα πλέον αὖθις ἔπτυσεν, εἶθ' ἱκανῶς δαψιλές· ἐφ' ᾧ τῶν τε πυρετῶν αὐξηθέντων, καὶ τῆς δυνάμεως ἐκλυθείσης, ἀπέθανεν ὡσαύτως τοῖς φθόην νοσήσασι. μετὰ τοῦτον ἄλλον ἐθεασάμην ὁμοίῳ τρόπῳ νοσηλευθέντα μησὶν ἕξ, εἶτ' ἄλλον πλείοσιν. ὁ μὲν οὖν πρῶτος ἡμῖν ὀφθεὶς, οὐδὲν ἔχειν ἐδόκει τό γε κατ' ἀρχὰς κακὸν, ὕστερον δὲ δηλονότι μοχθηρῶς ἐφαίνετο διακεῖσθαι· τοῦ δευτέρου δ' ὀφθέντος εὐθὺς ἐξ ἀρχῆς ἔγνωμεν ἐπιμελῶς προνοήσασθαι, καὶ μετ' αὐτὸν ἔτι καὶ μᾶλλον τοῦ τρίτου. ἀλλ' ὅμως, οὐκ ὀλίγα πραγματευσαμένων ἀμφ' αὐτοὺς ἡμῶν, οὔτε τούτων τις, οὔτ' ἄλλος ἐσώθη μετ' αὐτούς· ἀνέπτυσαν δὲ πάντες οὗτοι τελευτῶντες, αὐτοῦ τοῦ πνεύμονος μέρη σεσηπότα, δι' ἃ καὶ σαφῶς ἔγνων ὅμοιόν τι πάθος συμβαίνειν αὐτοῖς τῷ κἀπὶ τῶν ἐκτὸς ὁρωμένων μορίων, ὑγρότητι σηπεδονώδει διαβρεχομένων γινομένων· ἀλλὰ ταῦτα μὲν ἐκκόπτειν ἐγχωρεῖ καὶ πρός γε τούτῳ καὶ καίειν, πνεύμονι δ' οὐδὲν τοιούτων ποιεῖν οἷόν τε, διὸ καὶ πάντες ἀπόλλυνται. τοῦ τελευταίου δ' αὐτῶν ὀφθέντος μοι κηδόμενος, ἐπὶ τὸ ξηραίνειν ἰσχυρῶς τὸ σπλάγχνον ἐτραπόμην, ὀσμαῖς τε καὶ πόμασιν ἐπιτηδείοις εἰς τοῦτο· τὸ μὲν γὰρ καλούμενον ἡδύχρουν ὀσμᾶσθαι δι' ὅλης ἡμέρας ἐκέλευον αὐτῷ, προσφέρεσθαί τε τῇ ῥινὶ συνεχῶς· εἰς ὕπνον δ' ἰόντι ὑπὸ τῶν ἐν Ῥώμῃ σκευαζομένων μύρων πολυτελῶν, ἃ δὴ καλοῦσι φουλίατά τε καὶ σπικάτα, ὑπαλείφειν τινὶ τοὺς κατὰ τὰς ῥῖνας πόρους· ἐδίδουν δὲ καὶ πίνειν αὐτῷ φάρμακα, τήν τε μιθριδάτειον ὀνομαζομένην ἀντίδοτον, ἀμβροσίαν τε, καὶ ἀθανασίαν, καὶ θηριακήν· ἀλλὰ καὶ οὗτος ἐνιαυτῷ ταῦτα πίνων, ὁμοίως τοῖς φθισικοῖς ὕστερον ἀπέθανεν,

A dentibus exiguis sputis, atque acribus in pulmonem à capite fluxionibus superueniunt; nõnunquam verò & pulmonis aliqua pars, au ramentum simul excluditur, vt neminem latere possit hic visceris affectus. Orto verò in aspera arteria vlcere, præter hoc quod sputum purulentum apparet, dolorem quoque in loco affecto laborans sentit; at & vacuati exiguitas ab vlcere, quod in pulmone est, hoc discernit; quippe ab vlceribus pulmonis plus puris reiicitur. Atque vt ex pulmone educta particula, visceris ipsius vlcerationem significat; eodem modo ex gutture vidimus interdum corpusculum ligulæ per vlcerationem excreari. Quibus non solùm hoc signum loci affecti fuit, verùm etiam vlceratæ sedis sensus, veluti de aspera arteria dictum est; etenim pulmonis vlcera sine dolore consistunt; quæ verò in his sedibus oriuntur, dolorem quidem aliquem inducunt, sed eum exiguum; vt siquibus naturâ hebes fuerit sensus, ipsum planè non percipiant. Igitur persæpè vidimus eos, quos huc vsque proposuimus affectus, qui pulmoni, & spacio thoracis, & asperæ arteriæ, & gutturi accidunt (nam & horum, sermonis communitate inducti, mentionem fecimus) qui verò deinceps dicentur, raro. Quidam humorem repentè expuit liquidæ bili perquam similem, colore quidem medium inter flauum ac pallidum, at nulla acredine infectum; atque inde quotidie maiorem eius quãtitatem expuit; deinde leui subortâ febriculâ, tabescebat, adeò vt etiam purulenta screaret. Postea tractu temporis, quatuor videlicet mensium, exiguum cum pure cruorem reiecit, atque sic auctâ febre magis consumebatur; atque iterum plus expuebat, tum multum admodum; ex quo magis increscente febre ac resolutis viribus, eorum qui tabe marcescunt exemplo, mortem obiit. Deinde aliũ vidi, eodem ferè modo sex mensibus, ac alium quoque diutiùs laborantem. Igitur qui primus nobis occurrit, initio quidem nihil mali habere; sed tandem malè affici visus est; alteri verò, quem conspeximus, statim ab initio cognito malo, diligenter succurrere tentauimus, ac multò magis etiam tertio. At quanuis multa circa vtrunque laborauerimus, nihilominus neque horum vllus, neque alius post eos seruatus est; morti autem proximi omnes hi pulmonis ipsius putres quasdam partes expuerunt. Proinde facilè cognoui, simili eos affectu laborare, qualem in partibus externis cernimus, quum à putrefaciente quopiam humore inficiuntur; verùm has & abscindere & vrere possumus, pulmoni verò horum neutrum adhibere licet; quapropter omnes intereunt. At verò postremum quem vidi curans, ad visceris fortem exiccationem me conuerti, odoribus atque potionibus ad id efficacibus. Proinde medicamentum, quod hedychroum vocant, olfacere per totum diem, ac naribus iugiter adhibere iussi; ad somnum verò sese conuertentem narium foramina aliquo preciosorum vnguentorum illinere, qualia Romæ præparari solent, quæ vocant foliata, & spicata; dabam quoque ipsi in potu medicamenta, mithridaticam vocatam compositionem, ambrosiam, athanasiam, theriacam; sed hic etiam per annum hæc bibẽs, tandem similiter vt reliqui tabidi, vitam finiuit, quam

quam fortasse ob iam dictam educationem longiori tempore protraxerat. Præterea alium huiusmodi affectum in pulmone notaui. Quidam diuturna tussi vexatus, & exiguum lentumque expuens, frustum quoddam paruo grandinis grano consimile excreauit, ac deferens illud mihi ostendit, atque rursus non multos post dies aliud. Vnde conieci lentum illum humorem, quem antea expuebat, siccatum induratumque, in huiusmodi substantiam peruenisse. Quamobrem ei medicamenta in potu dedi, quæ asthmaticis auxiliantur; quibus epotis minorem expuebat grandinem, atque per plures quàm antea dies; neque tamen pluribus deinceps annis hoc pati desiit, donec moreretur. Cæterùm grandines magna ex parte erui magnitudinem æquabant, interdum maiores, vt & minores. Atque alios quoque similiter spuentes multos annos viuere vidimus; quorum alij aliam ob causam, alij ob spirabilium organorum affectum mortui sunt; nullus tamen ex his cruorem expuit. Quod verò Antipatro medico accidit, omnes nouerunt, vt qui medicam artem publicè in Romanorum ciuitate professus est. Agebat hic vir ætatem sexaginta quidem annis minorem, sed quinquaginta iam annos excesserat; is correptus aliquando febre quadam ephemerâ ab euidente causa, declinante iam febre, vt quid sibi facto opus esset intelligeret, pulsum ipse suum tangere aggressus est. Quum igitur omnem inæqualitatem in arteriarum motione inueniret, primò quidem territus est; deinde verò quum sese non amplius febrire planè sentiret, ilicò balneũ subiit, quippe laboribus, ac vigiliis corpus fatigauerat; atq; tenui planè victu, donec diem tertium præteriisset, vsus est; quo quum nulla appareret febris, ad solita negocia pertractanda prodiit; atque arteriam in carpo tangens, admiratus est perseuerantem in pulsibus inæqualitatem. Occurrens itaque mihi aliquando, extendit manum ridens, iussitque pulsum tangere. At ego subridens, quid, inquam, sibi vult hoc, quod proponis ænigma? ille iterum ridens obnixè orauit, vt tangerem. Igitur inter tangendum omnigenam in pulsu inueni inæqualitatem, non solum in multarum pulsationum collectione, quam systematicam vocant, verùm etiã in vna arteriæ diastole. Proinde miratus, quomodo adhuc viueret, quum talem haberet pulsum, interrogaui, num difficilis aliqua esset ei respiratio; illo verò nullam se sentire respondente, obseruaui, an aliquando mutaretur, sex mensium spacio assiduè carpi arteriam tangens. Quumque ab initio interrogaret, quænam affectio mihi videretur esse in suo corpore, atque per quem modum talem pulsum facere citra febrem, ad eam quæstionem respondi, in commentariis de pulsibus declarasse me huiusmodi inæqualitatem; nanque ob magnarum in pulmone arteriarum angustiam id euenire puto; angustiæ verò causam (inquiebam) esse visceris inflammationem tibi impossibile est, febricitares enim; relinquitur igitur, vel obstructione ex liquidis & crassis & viscosis humoribus, vel crudi tuberculi ortum, in huiusmodi te affectionem induxisse. Tum ille respondens, oporteret ergò (inquit) me asthmaticâ orthopnœâ laborare. At ego probabi-

A ἴσως εἰς χρόνον πλείονα παραταθεὶς διὰ τὴν εἰρημένην ἀγωγήν. ἕτερον δὲ πάθος εἶδον ἐν πνεύμονι τοιόνδε. βήττων τις ἐκ χρόνου πολλοῦ, καὶ πτύων ὀλίγα καὶ γλίσχρα, [101] χαλαζίῳ μικρῷ παραπλήσιον ἀνέβηξέ τι, καί μοι κομίσας ἔδειξεν αὐτό, καὶ πάλιν ἕτερον ὅμοιον οὐ μετὰ πολλὰς ἡμέρας. ἐδόκει δή μοι ξηραινόμενος ὁ γλίσχρος ἐκεῖνος χυμός, ὃν ἀνέπτυσεν ἔμπροσθεν, εἰς τοιαύτην σύστασιν ἔρχεσθαι· καὶ διὰ τοῦτ' αὐτῷ φάρμακα ἐδίδουν πίνειν, ὁποῖα καὶ τοῖς ἀσθματικοῖς ἁρμόζει· καὶ πίνων γε αὐτά, ἐλάττονα μὲν ἔπτυεν τὰ χαλάζια, καὶ διὰ πλειόνων ἡμερῶν, ἢ πρόσθεν, οὐ μὴν B ἐπαύσατό γε πολλοῖς ἔτεσι πάσχων οὕτως, ἄχρι τῆς τελευτῆς. μεγέθει δ' ἦν τὰ χαλάζια τοῖς καλουμένοις ὀρόβοις ἴσα κατὰ τὸ πλεῖστον, ἔστι δ' ὅτε, καὶ μείζω τούτων, ὥσπέρ γε καὶ μικρότερα. καὶ ἄλλους δέ τινας ὁμοίως ἐκείνῳ πτύοντας ἐθεασάμην ἔτη συχνὰ ζήσαντας, ἐνίους μὲν ἄλλως ἀποθανόντας, ἐνίους δ' ἐκ τῶν ἀναπνευστικῶν ὀργάνων παθόντων· οὐ μὴν αἷμά γέ τις ἐκ τούτων ἔπτυσεν. τὸ δ' Ἀντιπάτρῳ τῷ ἰατρῷ συμβὰν ἅπαντες ἔγνωσαν, ὡς οὐκ ἀφανῶς ἰατρεύοντι κατὰ τὴν ῥωμαίων πόλιν. ἦν μὲν ὁ ἀνὴρ οὗτος ἡλικίαν ἄγων C ἐτῶν ἐλαττόνων μὲν ἢ ἑξήκοντα, πλειόνων δὲ ἢ πεντήκοντα, συνέβη δ' αὐτῷ ποτε πυρέξαντι τῶν ἐφημέρων τινὰ πυρετῶν ἐκ φανερᾶς προφάσεως, ἅψασθαι τῶν ἑαυτοῦ σφυγμῶν ἐν τῇ παρακμῇ τοῦ πυρετοῦ, χάριν τοῦ γνῶναι τί ποιητέον ἐστὶν αὐτῷ. πᾶσαν δ' εὑρὼν ἀνωμαλίαν ἐν τῇ τῶν ἀρτηριῶν κινήσει, κατεπλάγη μὲν τὸ πρῶτον, ὡς δὲ σαφῶς ὕστερον ᾐσθάνετο μηκέτι πυρέττειν ἑαυτόν, ἐλούσατο μὲν εὐθέως· ἐπὶ κόποις τε γὰρ αὐτῷ καὶ ἀγρυπνίαις ἐκεκμήκει τὸ σῶμα· διῃτήθη δὲ πάνυ λεπτῶς ἄχρι τοῦ τὴν τρίτην ἀπὸ D τῆς ἀρχῆς ἡμέραν διελθεῖν· ἐν ᾗ μηδενὸς ἔτι γινομένου πυρετοῦ, προῄει μὲν ἑκάστης ἡμέρας, ὥσπερ καὶ πρόσθεν, ἁπτόμενος δὲ ἑαυτοῦ τῆς κατὰ τὸν καρπὸν ἀρτηρίας, ἐθαύμασε διαμενούσης ἐν τοῖς σφυγμοῖς τῆς ἀνωμαλίας. ἀπαντήσας οὖν μοί ποτε, προὔτεινε τὴν χεῖρα γελῶν, ἐκέλευσέ τε τῶν σφυγμῶν ἅψασθαι. κἀγὼ μειδιάσας, τί τὸ αἴνιγμά ἐστιν, ὃ κελεύεις; ἠρόμην· ὁ δ' αὖθις ὁμοίως γελῶν, ἐδεῖτο πάντως ἅψασθαι. καὶ τοίνυν εὗρον ἁψάμενος, ἀνωμαλίαν κατὰ τὸν σφυγμὸν ἅπασαν, οὐ μόνον ἐν ἀθροίσματι γινομένην, ἣν συστηματικὴν ὀνομάζουσιν, ἀλλὰ καὶ κατὰ μίαν E διαστολὴν τῆς ἀρτηρίας. ἐθαύμαζον οὖν, ὅπως ἔτι ζῇ τοιοῦτον ἔχων σφυγμόν, ἐπυνθανόμην τε μή τις αὐτῷ δυσχέρεια κατὰ τὴν ἀναπνοὴν γίγνοιτο· τοῦ δ' οὐδεμίαν αἰσθητὴν ὁμολογοῦντος, ἐπετήρουν μὲν εἴ τινα μεταβολὴν ἕξοι ποτέ, συνεχῶς ἁπτόμενος τῆς κατὰ τὸν καρπὸν ἀρτηρίας ἐξ μηνῶν που χρόνῳ. πυνθανομένου δ' οὖν αὐτοῦ κατ' ἀρχάς, ἥτις εἶναί μοι δοκεῖ διάθεσις ἐν τῷ σώματι, καὶ κατὰ τίνα τρόπον αὐτὴ τοιοῦτον ἐργάζεσθαι δυναμένη τὸν σφυγμὸν ἄνευ πυρετοῦ, πρὸς τὴν ἐρώτησιν ἀπεκρινάμην, ἐν τῇ περὶ τῶν σφυγμῶν πραγματείᾳ δεδηλῶσθαί μοι περὶ τῆς τοιαύτης ἀνωμα- F λίας· ἡγοῦμαι γὰρ αὐτὴν ἐπὶ στενοχωρίᾳ τῶν ἐν τῷ πνεύμονι μεγάλων ἀρτηριῶν γίγνεσθαι· τὴν στενοχωρίαν δ' ἔφην, ἐπὶ μὲν φλεγμονῇ τοῦ σπλάγχνου, τό γε ἐπὶ σοὶ νῦν, ἀδύνατον ὑπάρχειν, ἐπύρεττες γὰρ ἄν· ἀπολείπεται δ' ἤτοι δι' ἔμφραξιν ὑγρῶν καὶ γλίσχρων καὶ παχέων χυμῶν, ἢ διὰ φύματος ἀπέπτου γένεσιν, εἰς τὴν τοιαύτην ἀφῖχθαί σε διάθεσιν. ὁ δ' [102] ὑπολαβών, ἐχρῆν οὖν, ἔφη, ἀσθματικὴν ὀρθόπνοιαν εἶναί μοι. κἀγὼ πιθανῶς μὲν εἶπον λέγειν αὐτόν,

οὐ μὴν ἀληθῶς· γίγνεσθαι μὲν γὰρ καὶ τὴν τοιαύτην ὀρθόπνοιαν διὰ [103] τοιαύτην αἰτίαν, οὐ μὴν ἐν ταῖς λείαις ἀρτηρίαις, ἀλλ' ἐν ταῖς τραχείαις ἀθροιζομένου τοῦ γλίσχρου καὶ παχέος χυμοῦ. καὶ τοίνυν ἔδοξεν ἡμῖν, τήν τε δίαιταν αὐτοῦ πᾶσαν ὁμοίαν ποιεῖσθαι τοῖς τῶν ἀσθματικῶν, τά τε φάρμακα προσφέρεσθαι, τὴν αὐτὴν ἐκείνοις ἔχοντα δύναμιν. ἓξ δὲ ἐν τῷ μεταξὺ γινομένων, ὡς ἔφην, μηνῶν, ᾔσθετό τινος οὐ μεγάλης δυσπνοίας ἅμα παλμῷ βραχεῖ τῆς καρδίας, τὸ μὲν πρῶτον ἅπαξ, εἶτα δίς που καὶ τρίς, εἶτα καὶ τετράκις τε καὶ πλεονάκις γινομένου, μετὰ τοῦ συναυξάνεσθαι τὴν δύσπνοιαν, ἐφ' ἡμέρας ὡς πεντεκαίδεκα· μεθ' ἃς ἐξαίφνης δυσπνοήσας σφοδρῶς, εἶτ' ἐκλυθεὶς, εὐθέως ἀπέθανεν, ὥσπερ ἄλλοι τινὲς ἐπὶ πάθεσι καρδίας, περὶ ὧν εἰρήσεται κατὰ τὸν ἐφεξῆς λόγον.

A lia dixi ipsum loqui, sed non vera; quippe fieri nonnunquam huiusmodi orthopnœam ob eam causam, non tamen quum in læuibus arteriis, sed in asperis crassus, & lentus humor cumulatur. Proinde omnem victûs rationem asthmaticorum victui similem moliri, & medicamenta eandem ac ipsorum facultatem habentia adhibere iussimus. Deinde sex (vt dixi) mensibus elapsis, leui quadã spirandi difficultate affectus est, accedente simul breui cordis palpitatione, primò quidem semel, deinde bis atque ter, postea quater ac sæpius quoque, auctâ simul spirandi difficultate, ad quindecimum vsq; diem; post quem difficillimâ derepente obortâ respiratione, exolutus statim obiit, aliorum quorundam exemplo, qui cordis affectibus laborant, de quibus posthac sermonem faciemus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ, ΒΙΒΛΙΟΝ Ε'.

GALENI DE LOCIS AFFECTIS, LIBER QVINTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰ τῆς καρδίας, καὶ τοῦ θώρακος, καὶ τοῦ διαφράγματος, καὶ τοῦ στομάχου, καὶ τοῦ τῆς γαστρὸς στόματος, καὶ τοῦ ἥπατος διδάσκεται πάθη.

ARGVMENTVM LIBRI.

Affectus cordis, thoracis, septi transuersi, gulæ, oris ventriculi, & iecoris docentur.

ΠΡΟΟΙΜΙΟΝ.

C ἘΝ τῷ πρὸ τούτου γράμματι περὶ τῶν κατὰ τὸν πνεύμονα παθῶν διεξερχόμενος, ἐμνημόνευσα τῇ κοινωνίᾳ τοῦ λόγου καὶ θώρακος καὶ καρδίας ἐπ' ὀλίγον, ἀναβαλλόμενος εἰς τουτὶ τὸ πέμπτον ὑπόμνημα, τελέως ἀποδοῦσιν ἅπαντα τὸν περὶ αὐτῶν λόγον. ἐπεὶ τοίνυν ἐτελεύτησεν ἡ κατὰ τὸ τέταρτον ὑπόμνημα διδασκαλία εἰς τὰ συμβάντα τῷ Ἀντιπάτρῳ τῷ ἰατρῷ, τὴν μὲν διάθεσιν αὐτοῦ ἐν αὐτῷ τῷ πνεύμονι ἴσχοντος τὴν πρώτην, ἐπιδιαβάντος δὲ τοῦ πάθους ἄχρι τῆς καρδίας, D ἄμεινον εἶναι μοι δοκεῖ περὶ πάντων αὐτῆς τῶν παθῶν διελθεῖν.

PROOEMIVM.

IN præcedenti libro, quũ de pulmonis affectibus ageremus, sermonis communitate, & thoracis, & cordis aliquantulum meminimus; pleniorem verò absolutioremque de ipsis sermonem in quintum hunc librum distulimus. Quoniam verò quartus liber in accidentibus, quæ Antipatro medico euenerunt, finem sortitus est, læso in primis ipsius pulmone, deinde ad cor etiam transeunte affectu, operæpretium me facturum arbitror, si omnes eius affectus percurram.

ΚΕΦΑΛΑΙΟΝ Α.

Περὶ τῶν τῆς καρδίας παθῶν, δι' ὧν ὁ θάνατος εὐθέως συμβαίνει· καὶ περὶ τῆς ἀποπληξίας καὶ συγκοπῆς στομαχικῆς.

ὯΣπερ ἐπὶ τῶν ἄλλων τοῦ ζώου μορίων, οὕτως καὶ ἐπὶ τῆς καρδίας διορίσασθαι χρὴ τινὰ μὲν

CAPVT I.

De cordis affectibus, quibus repentina mors accidit; de apoplexia, & syncope stomachica.

IGitur quemadmodum de cæteris animalis partibus, ita de corde quoque definiendum est,

est, quænam ipsi proprio vel primario vel vtcunque nominare volueris, affectu laboranti fiant symptomata, quænam verò ipso cæteris partibus consentiente. Nititur autem oratio iis, quæ priùs in alijs libris demonstrauimus, vbi declaratum est, innati caloris cor velut fontem esse, neque animal mori omnino posse, nisi afficiatur. Quum itaque tres sint principes partes, quibus gubernatur animal (nam præter cordis principatum, ostensum est & sensum & motum vniuersis corporis partibus à cerebro suppeditari, iecur verò nutricis facultatis esse principium) semper mors immoderatas sequitur cordis intemperies, simul enim cum ipso omnes vitiantur partes. Quum enim (vt ostendimus) ipsæ peculiari cordis temperie actiones suas perficiant, hac pereunte, actiones quoque ipsarum perire necesse est, ac proinde cerebri quoque, & iecoris; non tamen horum temperie deperditâ, cordis simul actionem *perire*. Si enim neq; sensibiles, neque voluntarias actiones animal seruet, imo neq; nutriatur etiamnũ, vt nec latibulis abdita, nihilominus viuere ipsum posse, quoad cor manserit illæsum, quiuis existimauerit. Quin videmus sæpenumerò multis deinceps diebus aliquem neque intelligere, neque sentire, neque moueri, nihilominus viuere, quemadmodum qui ob virium hepatis imbecillitatem non nutritur, diutius sufficere; at si cor respiratione priuetur, ilicò perit. Igitur qui ad respirandi functionem nihil conferre thoracem putant, ij causam reddere nequeunt, cur per vehementem apoplexiam, solâ superioris principii læsione laborantes subitò moriantur. At vobis eam inuenire haud difficile est, vtpote quibus exploratè persuasum est musculos, qui motionis principium à neruis in ipsos à spinali medulla ceruicis delatis suscipiunt, thoracem attollere, qui tum priuantur motrice facultate ex cerebro ipsis influente; vt nisi ad respirationem ambo principia concurrerent, possemus viuere, priuati interdum superno principio. Fortasse igitur ex quibus causam potuimus inuenire, cur affecto cerebro in vehementi apoplexia, cor quoque lædatur, ex iisdem ipsis, secundum alium modum, causam facilè quis inueniet, quamobrem in apoplexia minore, catalepsi, sopore, morbo comitiali, lethargo, animal ita affectum non pereat. Inueniet autem id speculatus in enarratis affectibus, quomodo spirent laborantes; nam videbit & violentam & difficilem respirationem, perinde ac si vinculo quodam constrictus thorax dilatari prohiberetur. Atque huius rei sufficientem fecimus mentionem in libris de musculorum motu; communis enim est hæc quæstio ei quæ de somno fit, in quo omnes musculorum actiones exoluuntur, sola musculorum thoracem mouentium actio seruatur; nunc verò ea duntaxat dixisse satis fuerit; quæ in præsentia proposito nostro conducere videbantur. Nam qua ratione homines per somnum respirant, reliquis licet musculis omnibus quiescentibus, eâdem & per apoplexias non vehementissimas, atque alios ei vicinos affectus; vbi verò apoplexia ita vehemens, aut alter quispiam affectus acciderit, vt musculorum thoracis actio omnino deperdatur, perire simul respirationem necesse est, indeque cordis tem-

A ἰδιοπαθούσης, ἢ πρωτοπαθούσης, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, γίνεται τὰ συμπτώματα, τίνα δὲ ἑτέροις μέρεσι συμπασχούσης. ἔστι δὲ ὁ λόγος ἐπὶ τοῖς προαποδεδειγμένοις ἐν ἑτέραις πραγματείαις, ἐν αἷς ἐδείχθη, τῆς μὲν ἐμφύτου θερμασίας οἷον πηγή τις οὖσα καὶ ἀρχὴ ἡ καρδία, καὶ πάντως χρῆναι παθεῖν αὐτήν, εἰ μέλλοι τεθνήξεσθαι τὸ ζῶον. ἀρχῶν οὖν οὐσῶν τριῶν, αἷς διοικεῖται τὸ ζῶον (πρὸς γὰρ τῇ τῆς καρδίας ἀρχῇ, ὁ μὲν ἐγκέφαλος αἰσθήσεώς τε καὶ κινήσεως ἐδείχθη χορηγὸς εἶναι πᾶσι τοῖς τοῦ ζώου μέρεσι, τὸ δ' ἧπαρ ἀρχὴ τῆς θρεπτικῆς εἶναι δυνάμεως) ὁ μὲν B θάνατος ἀεὶ ταῖς ἀμέτροις τῆς καρδίας ἕπεται δυσκρασίαις, ἅπαντα γὰρ αὐτῇ συγκακοῦται τὰ μόρια. δεδειγμένου δ' ἡμῖν, ἐνεργεῖν αὐτὰ διὰ τὴν οἰκείαν καρδίας εὐκρασίαν, ἀναγκαῖόν ἐστιν ἀπολλυμένης ταύτης συναπόλλυσθαι τὰς ἐνεργείας αὐτῶν, καὶ κατὰ τοῦτο καὶ τὰς ἐγκεφάλου τε καὶ ἥπατος, οὐ μὴν τὰς ἐκείνων γε τὴν τῆς καρδίας. εἰ γὰρ μήτε τὰς αἰσθητικάς τε καὶ προαιρετικὰς ἐνεργείας ἔτι διασώζοι τὸ ζῶον, ἀλλὰ μηδὲ τρέφοιτο, καθάπερ οὐδὲ τὰ φωλεύοντα, δυνατὸν ἄν τις εἶναι νομίσειε ζῆν αὐτό, μέχρι περ ἂν ἡ καρδία μηδὲν ᾖ πεπονθυῖα· C καὶ μέντοι καὶ φαίνεται πολλάκις ἡμερῶν ἐφεξῆς πολλῶν, οὔτε φρονῶν τις οὔτ' αἰσθανόμενος οὔτε κινούμενος, ὅμως ἔτι ζῶν, ὥσπερ γε καὶ δι' ἀρρωστίαν τῆς ἐν ἥπατι δυνάμεως ἄτροφος ἐξαρκεῖν εἰς μακρόν. εἰ δὲ τῆς ἀναπνοῆς στερήσειέ τις τὴν καρδίαν, αὐτίκα διαφθείρεται. ὅσοις οὖν ὁ θώραξ οὐδὲν ὅλως ἐδόκει συντελεῖν εἰς τὴν τῆς ἀναπνοῆς ἐνέργειαν, ἀπορήσουσι τὴν αἰτίαν εὑρεῖν, δι' ἣν ἐν ταῖς ἰσχυραῖς ἀποπληξίαις ἀποθνήσκουσιν εὐθέως οἱ κάμνοντες, ἐπὶ μόνῃ τῇ βλάβῃ τῆς ἄνωθεν ἀρχῆς· ὑμεῖς δὲ οὐκ ἀπορήσετε, πεπεισμένοι D βεβαίως, ὑπὸ μυῶν διαστέλλεσθαι τὸν θώρακα, τὴν ἀρχὴν τῆς κινήσεως ἐχόντων ἐκ τῶν εἰς αὐτοὺς φερομένων νεύρων ἀπὸ τοῦ κατὰ τὸν αὐχένα νωτιαίου, στερουμένων τηνικαῦτα τῆς ἐπιρρεούσης ἐξ ἐγκεφάλου δυνάμεως αὐτοῖς κινητικῆς τῶν μυῶν· ὡς εἴγε μὴ συνήπτοντο διὰ τῆς ἀναπνοῆς αἱ δύο ἀρχαί, δυνατὸν ἂν ἦν ἐστερημένους ἡμᾶς ἐνίοτε τῆς ἄνωθεν ἀρχῆς, ἔτι ζῆν. ἴσως οὖν τις ἐξ ὧν ἡμεῖς εὐπορήκαμεν αἰτίαν, δι' ἣν ἡ καρδία βλάπτεται παθόντος τοῦ ἐγκεφάλου κατὰ τὰς μεγάλας ἀποπληξίας, ἐκ τούτων αὐτῶν εὐπορήσει καθ' ἕτερον τρόπον εὑρεῖν τὴν αἰτίαν, δι' ἣν ἐν ταῖς μικροτέραις ἀποπληξίαις, καταλήψεσί τε, καὶ κάροις, ἐπιληψίαις E τε καὶ ληθάργοις, οὐκ ἀπόλλυται τὸ πάσχον οὕτως ζῶον. εὑρήσει δὲ καὶ τοῦτο θεασάμενος, ὅπως ἀναπνέουσιν ἐν τοῖς εἰρημένοις πάθεσιν οἱ πάσχοντες· ὄψεται γὰρ ὅτι βιαίως τε καὶ μόγις, ὡς ὑπὸ δεσμοῦ τινος εἰργομένου διαστέλλεσθαι τοῦ θώρακος. λέλεκται δὲ ἱκανῶς περὶ τούτου κατὰ τὰ περὶ μυῶν κινήσεως ὑπομνήματα· κοινὸν γάρ ἐστι τὸ ζήτημα τῷ γιγνομένῳ κατὰ τοὺς ὕπνους, ἐν οἷς ἁπασῶν τῶν κατὰ τοὺς μῦς ἐνεργειῶν ἐκλελυμένων, ἡ τῶν τὸν θώρακα κινούντων μόνη σώζεται· νυνὶ δὲ ἀρκεῖ μέχρι τοσούτου προαχθῆναι τὸν F λόγον, ὅσον αὐτοῦ χρήσιμον ἦν εἰς τὰ παρόντα. ᾧ γὰρ λόγῳ κατὰ τοὺς ὕπνους ἀναπνέουσιν οἱ ἄνθρωποι, καίτοι τῶν ἄλλων ἁπάντων μυῶν ἡσυχαζόντων, τούτῳ καὶ κατὰ τὰς ἀποπληξίας, ὅσαι μὴ μέγισται, καὶ κατ' ἄλλα πάθη τὰ ταύτῃ παρακείμενα) μεγάλης δὲ οὕτως γεγενημένης τῆς ἀποπληξίας, ἢ καὶ τινος ἑτέρου πάθους, ὡς τελέως ἀπολέσθαι τὴν ἐνέργειαν τῶν κατὰ τὸν θώρακα μυῶν, ἀναγκαῖόν ἐστιν οὖν διαφθαρῆναι τὴν ἀναπνοήν, ἐφ' ᾗ καὶ τὴν τῆς καρδίας εὐκρασίαν;

ἢ πάλιν ἐξ ἀνάγκης ἕπεται τὸ ζῶον ὅλον ἀπόλλυσθαι. κατὰ τοῦτον μὲν οὖν τὸν λόγον, ἐν ταῖς τῆς ἄνωθεν ἀρχῆς βλάβαις μεγάλαις ἀπόλλυται τὸ ζῶον· καθ' ἕτερον δὲ τρόπον ἐφ' ἥπατι πάσχοντι, διὰ γὰρ ἀτροφίαν νεκροῦται τηνικαῦτα, διὸ καὶ χρόνῳ πλείονι διαρκεῖ τὰ ζῶα κατὰ τὰ τοιαῦτα παθήματα. διὰ μὲν καθ' ἕτερόν τινα τρόπον, ἐπί τε στομαχικαῖς συγκοπαῖς, ἀλγήμασί τε σφοδροῖς, καὶ φόβοις ἰσχυροῖς, ἡδοναῖς τε μεγίσταις, ἀποθνήσκουσί τινες· οἷς γὰρ ἀσθενής ἐστιν ὁ ζωτικὸς τόνος, ἰσχυρά τε πάθη ψυχικὰ πάσχουσιν δι' ἀπαιδευσίας, εὐδιάλυτος τούτοις ἐστὶν ἡ τῆς ψυχῆς οὐσία. τῶν τοιούτων ἔνιοι καὶ διὰ λύπην ἀπέθανον, οὐ μὴν εὐθέως ὥσπερ ἐν τοῖς προειρημένοις· ἀνὴρ δ' οὐδεὶς μεγαλόψυχος οὔτ' ἐπὶ λύπαις, οὔτ' ἐπὶ τοῖς ἄλλοις ὅσα λύπης ἰσχυρότερα, θανάτῳ περιέπεσεν· ὅ, τε γὰρ τόνος τῆς ψυχῆς αὐτοῖς ἰσχυρός ἐστι, τά τε παθήματα σμικρά.

periem, à quâ rursus etiam animal vniuersum necessariò sequitur interire. Hac igitur ratione per magnas superni principij læsiones animal perit; ex iecoris verò affectu aliâ ratione, atrophiâ scilicet tum contabescit, vnde longiore temporis spacio in huiusmodi affectibus vitam protelant animalia. Atque per alium quendam modum in syncopis stomachicis, & vehementibus doloribus, terroribus grauibus, & voluptatibus maximis nonnulli intereunt; etenim quibus vitale robur infirmum est, animi verò affectiones ob imperitiam fortes, his animæ substantia facile dissoluitur; horũ aliqui & ob mœstitiam interierunt, sed non ilicò, vt de superioribus diximus. At vir magnanimus neq; ob mœstitiam, neque ob aliam aliquam animi ægritudinem mœstitiâ fortiorem, vnquam succubuit; vtpote cui animæ robur validum est, affectus verò exiles.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν τῆς καρδίας τε καὶ τοῦ περικαρδίου παθῶν ἰδίων.

Ἴδιον δὲ πάθος ἐν καρδίᾳ γίνεται, κατὰ μὲν ἁπλῆν δυσκρασίαν πολλάκις, εἴτ' ἀνώμαλος εἴθ' ὁμαλὴς εἴη, κατά τε φλεγμονὴν ἢ ἐρυσίπελας ἀρχόμενον γίνεσθαι· διαφθείρεται γὰρ παραυτίκα πρὶν αὐξηθῆναι τὰ πάθη τάδε, τὸ ζῶον. ἕπονται δὲ πάλιν ταῖς τοιαύταις διαθέσεσιν αἱ καρδιακαὶ συγκοπαί, καθάπερ αἱ στομαχικαὶ ταῖς κατὰ τὸ τῆς κοιλίας στόμα, καλοῦσι δὴ ἔνιοι καὶ τοῦτο στόμαχον· ἀλλὰ καὶ αὗται γίνονται δηλονότι συμπασχούσης τῆς καρδίας. αἱ διαθέσεις δὴ ἀμφοτέρων τῶν μορίων, τοῦ τε στόματος τῆς κοιλίας καὶ τῆς καρδίας, ἤτοι διὰ δυσκρασίαν μόνην ἰσχυρὰν, ἢ δι' ὑγρότητα φαρμακώδη, καί ποτε καὶ δι' ἐρυσίπελας εἰώθασι γίνεσθαι, καὶ διὰ φλεγμονὴν, ἤ τινα παρὰ φύσιν ὄγκον ἕτερον τοιοῦτον. αἱ μὲν οὖν μικραὶ τῆς καρδίας δυσκρασίαι, τοὺς σφυγμοὺς ἀλλοιοῦσιν κατὰ τὴν αὐτῶν ἑκάστη φύσιν· εἴρηνται δὴ αὐτῶν αἱ διαγνώσεις ἐν τῇ περὶ σφυγμῶν πραγματείᾳ. ταῖς μεγάλαις δὲ, κατὰ μὲν τὰς ἰδίας τῶν ὁμοιομερῶν δυσκρασίας οὐκ ὀξὺς ὁ θάνατος ἕπεται, κατὰ δὲ τὰς ὀργανικὰς ἐξαιφνίδιος, ἀλλ' ἐπὶ προηγουμένοις σημείοις, ὧν ἓν μέν ἐστι καὶ τὸ πρὸς Ἱπποκράτους εἰρημένον, ὅτι οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς ἄνευ φανερῆς προφάσεως, ἐξαπίνης τελευτῶσιν· ἕτερον δὲ παλμὸς τῆς καρδίας, ἤτοι μόνος γιγνόμενος, ἢ μετά τινος ἐμφάσεως ἐν ὑγρῷ κινουμένης αὐτῆς· καὶ θαυμαστὸν οὐδὲν ἀθροίζεσθαί ποτε πλῆθος ὑγροῦ τοσοῦτον ἐν τῷ περιέχοντι χιτῶνι τὴν καρδίαν, ὡς ἐμποδίζειν αὐτῇ διαστελλομένῃ· καὶ γὰρ ἐπὶ τῶν ἀνατεμνομένων ζώων ἐθεασάμεθα πολλάκις ὑγρὸν οὔρῳ παραπλήσιον ἐν τῷ περικαρδίῳ δαψιλές. εἷς δέ ποτέ τις πίθηκος ἰσχνότερος ἑαυτοῦ γινόμενος, οὐκ ἔφθασεν ἀνατμηθῆναι δι' ἀσχολίας ἡμῶν ἀναγκαίας· ἀποθανόντος δ' αὐτοῦ, τὰ μὲν ἄλλα πάντα μόρια τοῦ σώματος ἦν ἀπαθῆ, ἐπέκειτο δὲ τῷ περικαρδίῳ χιτῶνι παρὰ φύσιν ὄγκος, ὑγρὸν ἐν ἑαυτῷ περιέχων ὅμοιον τῷ κατὰ τὰς ὑδατίδας· ἐπ' ἀλεκτρυόνος δέ ποτε χωρὶς ὑγροῦ, τοιοῦτος σκιρρώδης ὄγκος ἐπέκειτο τῷ περικαρδίῳ, παραπλήσιος ὑμέσι παχέσι πολλοῖς κατ' ἀλλήλων ἐπιβεβλημένοις. εἰκὸς οὖν ἐστι καὶ τοῖς ἀνθρώποις

CAPVT II.

De proprijs cordis, & pericardij affectibus.

At proprius cordis affectus accidit ob simplicem sæpenumerò intemperiem, siue inæqualis, siue æqualis ea fuerit; & ob inflammationem, vel erysipelas, dum fieri incipit; ilicò enim antequàm augeantur huiusmodi affectus, animal corrumpitur. Atque hos affectus rursus cardiacæ syncopæ sequuntur, quẽadmodum stomachicæ eos affectus, quibus os ventriculi (stomachũ nonnulli appellant) infestatur; verùm hæ quoq; consentiente profectò corde eueniunt. Sed vtriusq; partis, tũ oris ventriculi, tum cordis, affectus, aut ob vehementem solam intemperiem, aut ob venenosum humorem, nonnunquam ob erysipelas, aut inflammationem, aut alium quempiam eiusmodi præter naturam tumorem fieri consueuerunt. Igitur exiguæ quidem cordis intemperies pulsus arteriarum pro sua quæque natura variant; ipsorum autẽ notę in opere de pulsibus explicatæ sunt; maiores verò per proprias quidem similarium partium intemperies, subita mors non sequitur; per organicas verò repentina, sed præcedentibus priùs signis, quorum vnum est, quod & ab Hippocrate dictum est; *Qui sæpe & vehementer exoluuntur sine causa manifesta, ij derepente moriuntur*; aliud verò, palpitatio cordis, aut per se eueniens, aut significatione quadam, quòd in humore cor ipsum moueatur; neque mirum, tantam humoris multitudinem cumulari aliquando in ambiente cor tunica, vt ipsum ne attollatur, impediat; etenim in animalibus dissectis vidimus plerunque plurimùm humoris vrinæ speciem referentis, in eo qui ipsum inuoluit panniculo contineri. Ac simia quædã quum emaciari in dies videretur, eam tamen necessarijs nostris negociis impediti secare non potuimus; post mortem verò, reliquis corporis partibus omnibus illæsis, inuentus est in cordis inuolucro tumor præter naturam, humorem in se continens, qualem pustulæ hydatides emittunt. Atque in gallo sine humore aliquando pericardium huiusmodi scirrhoso tumore affectum erat, perinde ac si plures crassæ membranæ inuolutæ altera alteri fuissent. Vnde verisimilis coniectura elicitur, homines etiã similibus

similibus posse affectibus infestari. Inflammato autem manifestè corde, gladiatores vidimus haud aliter, quam qui cardiacâ syncope pereunt, obiisse. Igitur si ad ventrem cordis vulnus aliquando penetrauerit, protinus magno cum sanguinis fluore moriuntur, idque præcipuè, si sinistræ partis venter fuerit vulneratus; si verò non ad ventrem vsque pertingat, sed in cordis substantia consistat vulnus, ex ita affectis aliqui non solum ea die, qua vulnerati fuerunt, sed sequenti quoque nocte viuere potuerunt, inflammationis ratione nimirum extincti; atque ij omnes, quandiu vixerint, mentis compotes sunt; vnde euidens quoque sibi testimonium sumere potest antiqua secta, quæ negat rationalem animæ facultatem in corde consistere. Palpitatio autem visceris huius pluribus integrâ valetudine degentibus, tum adolescentibus, tum adultis, subitò sine alio manifesto symptomate euenire visa est; atque hi omnes sanguinis detractione iuuati sunt. Atque hoc symptomate aliqui planè liberati sunt, qui post venæ sectionem vsi sunt attenuante victu, cum medicamentis similibus; horum verò nonnulli, quibus rursum huiusmodi symptoma obortum erat, simili curatione sospites euaserunt. Ac noui quendam quotannis verno tempore palpitationis symptomate vexatum, qui quum per tres annos à sanguinis detractione se adiutum intelligeret, anno quarto antea quam symptoma ipsum inuaderet, sanguinem misit, idque pluribus deinceps annis faciendo, idonea etiã post sanguinis detractionem cætera adhibuit. At nihilominus hic quoq; ante senectutẽ mortẽ præuentus est, sicut & reliqui omnes, alii quidẽ per acutas febres, alii verò, cum sani degerent, affatim syncope intercepti; vnus etiam vel duo citra syncopen, alia quadam mortis specie perierunt; sic autem affectorum maior pars ætatem agebat, quinquaginta quidem annis inferiorem, sed quæ quadraginta annos excederet. Pericardium sanè tegumentum, quomodocũque affectum sit, inter ignobiles partes numeratur, nisi quando ipso inflammato affectus per consensũ ad cor transcurrat; sed quũ ipse solus afficitur, exemplo reliquarum omnium partiũ, quæ ad custodiam & tegumentum cæterarum nobiliorum factæ sunt, nullum affert periculum. Cæterum nulla à corde spirandi difficultas oritur præter eas, quas in priori libro diximus, quum de dyspnœa sermonem haberemus. Etenim supercalefactum respirationem efficit magnam, & densam, atque celerem, ac calidum insuper spiritum efflat; contrà refrigeratum, exiguam & raram reddit respirationem.

CAPVT III.

De thoracis affectibus; ac in quot absurda inciderit Erasistratus, quum transsumptionis puris & sanguinis ex thoracis spacio in asperam arteriam, rationem reddere conaretur.

HVic quoque parti, vel primariò affectæ, vel aliis consentienti, quemadmodum reliquis omnibus, affectus quidam superueniunt; atque omnes in respirationis læsionem desinunt, nam proprium respirationis hoc organum esse monstratum est. Igitur, vbi dolorificis affectibus molestatur, exiguam densam-

A γίνεσθαί τινα τοιαῦτα. φλεγμαινούσης δὲ φανερῶς καρδίας ἐπὶ μονομάχων, ἐθεασάμεθα θάνατον ὁμοιότατον ἀκολουθήσαντα τοῖς συγκοπτομένοις καρδιακῶς. ἐὰν μὲν οὖν ἄχρι κοιλίας τινὸς τῶν ἐν αὐτῇ τὸ τραῦμα ἀφίκηται, παραχρῆμα τελευτῶσιν αἱμορραγικῶς, καὶ μᾶλλον, ὅταν ἡ ἀριστερὰ κοιλία τύχῃ τρωθεῖσα· μὴ διαφέροντος δὲ τοῦ τραύματος εἰς κοιλίαν, ἀλλ' ἐν τῷ σώματι τῆς καρδίας στηριχθέντος, οὐ μόνον αὐτὴν ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ τρωθέντες ἔτυχον, ἔνιοι διέζησαν, ἀλλὰ καὶ τὴν ἐπιοῦσαν νύκτα, φλεγμονῆς δηλονότι λό-
B γῳ τοῦ θανάτου γινομένου· φρονοῦσί γε μὴν ἅπαντες ἔτι, μέχρι περ ἂν ζῶσιν, μαρτυροῦντος καὶ τούτου τοῦ φαινομένου τῷ παλαιῷ δόγματι περὶ τοῦ τὸ λογιζόμενον τῆς ψυχῆς οὐκ εἶναι κατὰ τὴν καρδίαν. ὁ δὲ παλμὸς τοῦ σπλάγχνου τούτου, πολλοῖς ὑγιαίνουσιν ἀμέμπτως, νεανίσκοις τε καὶ παρακμάζουσιν ὤφθη γινόμενος ἐξαίφνης, ἄνευ φανεροῦ συμπτώματος ἑτέρου, καὶ πάντες οὗτοι φλεβοτομηθέντες ὠνίναντο, καὶ τελέως αὐτῶν ἔνιοι τοῦ συμπτώματος ἀπηλλάγησαν, ἐπὶ τῇ φλεβοτομίᾳ λεπτυνούσῃ διαίτῃ μετὰ φαρμάκων
C ὁμοίων θεραπευθέντες· ἔνιοι δὲ αὐτῶν αὖθις ποτὲ τοῦ συμπτώματος ἐπιφανέντος, ὁμοίως ἐθεραπεύθησαν. οἶδα δέ τινα καὶ κατ' ἐνιαυτὸν, ἦρος ὥρᾳ πάσχοντα τὸ τοῦ παλμοῦ σύμπτωμα· καὶ ἐπὶ τρισὶν ἔτεσιν ἐπειράθη τῆς φλεβοτομίας ὠφελούσης, ἔφθασεν ἐπὶ τοῦ τετάρτου φλεβοτομηθεὶς πρὶν ἁλῶναι τῷ συμπτώματι, καὶ οὕτως ἐθεράπευε κατὰ τὸ ἑξῆς ἐτῶν πλειόνων, μετὰ τοῦ καὶ τἄλλα ποιεῖν ἐπὶ τῇ φλεβοτομίᾳ προσηκόντως· ἀλλ' ὅμως καὶ οὗτος ἀπέθανε πρὶν γηρᾶσαι, καθάπερ καὶ οἱ ἄλλοι πάντες, ἔνιοι μὲν ἐν πυρετοῖς ὀξέσιν ἀθρόως συγκοπέντες, ἔνιοι δὲ καὶ κατὰ τὸν τῆς ὑγείας
D χρόνον, εἷς δέ πού τις ἢ δύο καθ' ἕτερον τρόπον ἀπέθανον χωρὶς συγκοπῆς· οἱ πλείους δὲ τῶν οὕτω παθόντων ἡλικίαν εἶχον ἐτῶν ἐλαττόνων μὲν ἢ πεντήκοντα, πλειόνων δὲ ἢ τεσσαράκοντα. τὸ μέντοι περικάρδιον σκέπασμα, τῶν ἀκύρων ἐστὶ μορίων, ὅπως ἂν πάθῃ, πλὴν εἰ φλεγμαίνοντος αὐτοῦ διαδοθείη κατὰ συμπάθειαν ἡ διάθεσις ἐπὶ τὴν καρδίαν· ἀλλ' ὅταν γε πάσχῃ μόνον, ὁμοίως τοῖς ἄλλοις ἅπασι μορίοις, ὅσα φρουρᾶς ἕνεκα καὶ σκέπης ἑτέρων κυριωτέρων ἐγένετο, κίνδυνον οὐδένα φέρει. δύσπνοιαν δ' οὐδεμίαν
E ἐργάζεται ἄλλην καρδία, παρὰ τὰς εἰρημένας ἐν τῷ πρὸ τούτου γράμματι κατὰ τὸν περὶ τῆς δυσπνοίας λόγον· ἐπὶ μὲν τὸ μέγα καὶ πυκνὸν, ὑπερθερμανθεῖσα, μετὰ τοῦ καὶ θᾶττον γίνεσθαι τὴν ἀναπνοὴν, ἐκφυσᾶσθαί τε θερμὸν πνεῦμα· τὴν δὲ ἐναντίαν αὐτῇ, διὰ ψύξιν, ἐφ' ᾗ μικρὸν καὶ ἀραιὸν γίνεται τὸ πνεῦμα.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

F Περὶ τῶν τοῦ θώρακος παθῶν· καὶ πόσαις ἀτοπίαις περιέπεσεν Ἐρασίστρατος, τῆς τοῦ ἰχῶρός τε καὶ αἵματος μεταλήψεως ἐκ τῶν τοῦ θώρακος κενῶν εἰς τὴν τραχεῖαν ἀρτηρίαν, λόγον ἀποδιδόναι ἐπιχειρῶν.

ΚΑὶ κατὰ τοῦτο τὸ μόριον, ὥσπερ καὶ κατὰ τἄλλα πάντα, τινὰ μὲν ἰδιοπαθοῦντος αὐτοῦ γίνεται, τινὰ δὲ ἑτέροις συμπάσχοντος· ἅπαντα γοῦν ἐξ ἀνάγκης εἰς τὴν τῆς ἀναπνοῆς βλάβην τελευτᾷ, τοῦτο γὰρ ἴδιον ὄργανον ἐδείχθη τῆς ἀναπνοῆς. ὅσα μὲν οὖν ἐν αὐτῷ γίνεται πάθη τῶν ὀδυνηρῶν, μικρὰν καὶ πυ-

κίνησιν ἐργάζεται τὴν ἀναπνοήν, ὡς ἐν τοῖς περὶ δυσπνοίας ὑπομνήμασιν ἐδείχθη, καθάπερ γε καὶ τῶν γειτνιώντων τε καὶ συγκινουμένων. λέλεκται δ' ἔμπροσθεν ἐν τοῖς τοῦ νωτιαίου πάθεσιν, ὅπως ἀναπνοὴ βλάπτεται, μηδὲν αὐτοῦ πεπονθότος ἴδιον πάθημα τοῦ θώρακος, ἀλλ' ἤτοι τινὸς τῶν ἀπὸ τοῦ νωτιαίου νεύρων, ἢ αὐτοῦ τοῦ νωτιαίου. τῶν δ' ἰδίων τοῦ θώρακος παθῶν, ἔνια μὲν ἐν τοῖς μυσὶν αὐτοῦ, τινὰ δὲ κατὰ τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα συνίσταται· περὶ δὲ τῶν κατὰ τὸ δέρμα, καὶ τὰ τῶν πλευρῶν ὀστᾶ, νῦν οὐ πρόκειται λέγειν, αἰσθητὸν ἐχόντων τὸν πεπονθότα τόπον. [7] διττῶν οὖν ὄντων τῶν κατ' αὐτὸν μυῶν, τῶν μὲν ἀναπληρούντων τὰ μεσοπλεύρια καλούμενα, τῶν δ' ἔξωθεν αὐτοῖς ἐπιβεβλημένων, αἱ μὲν τῶν ἔξωθεν ὀδυνηραὶ διαθέσεις, ἑλκωθέντων, ἢ θλασθέντων, ἢ ἀπόστημα σχόντων, ἢ ἐρυσίπελας, ἢ φλεγμονήν, οὐκ ἀσαφῶς διαγινώσκονται τοῖς ἰατροῖς ἐπιβάλλουσι τὰς χεῖρας· αἱ δὲ τῶν μεσοπλευρίων μυῶν φλεγμοναί, καὶ μάλιστα τῶν ἐν βάθει (διφυεῖς γάρ εἰσιν, ὡς ἴστε) τὴν μὲν ἁφὴν [8] ἡμῶν λανθάνουσιν, ὀδυνῶσι δὲ τῶν ἐπιπολῆς μειζόνως, [8] καί τι καὶ τοῦ τὴν φλεγμονὴν ἐργασαμένου ῥεύματος εἴσω διαπέμπουσιν διὰ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ὃς ἐξ ἀνάγκης αὐτοῖς συμφλεγμαίνει, καθάπερ ἐκείνῳ πάλιν, ὅταν αὐτὸς πρωτοπαθῇ κατά τινα καιρὸν ἕτερον, ἡ ἐντὸς μοῖρα τῶν μεσοπλευρίων συμπάσχει. [ἀλλ' ἥ γ' ἀκριβὴς πλευρῖτις ἐν τῇ πρωτοπαθείᾳ τοῦ ὑπεζωκότος γίνεται, διὸ καὶ μέχρι κλειδὸς ἢ ὑποχονδρίων ὁ πόνος ἐξικνεῖται· τῶν μὲν ἄνω μερῶν αὐτοῦ παθόντων, εἰς κλεῖς· τῶν κάτω δὲ, εἰς τὰ ὑποχόνδρια. πυρετὸς δὲ πάντως ἕπεται ταῖς τοιαύταις φλεγμοναῖς σφοδρός, ὡς ἂν ἐγγὺς τῇ καρδίᾳ κειμένου πάσχοντος τόπου, καὶ συμφυοῦς [9] ὑπάρχοντος αὐτῆς τῷ χιτῶνι, καθάπερ γε καὶ ταῖς φρεσίν. ὁ σφυγμὸς δέ σοι μάλιστα ἐνδείξεται, πότερον ὁ ὑπεζωκὼς ὑμὴν μᾶλλον ἢ οἱ ψαύοντες αὐτοῦ πεπόνθασι μύες· ἧττον μὲν γὰρ οἱ μύες, ὁ δ' ὑπεζωκὼς μᾶλλον ἐντείνει τε καὶ σκληρὰν ἀποφαίνει τὴν ἀρτηρίαν, ὡς ἐπί γε τῶν περὶ πνεύμονα παθῶν, οὐδόλως ἡ τοιαύτη φαίνεται σκληρότης. ὁ δ' ἀποχεόμενος εἰς τὰ κενὰ τοῦ θώρακος ἰχώρ, μεταλαμβανόμενος εἰς τὰς τραχείας τοῦ πνεύμονος ἀρτηρίας, ἀναπτύεται μετὰ βηχός, ἐνδεικνύμενος ὁποῖός τίς ἐστιν ὁ τὴν φλεγμονὴν ἐργαζόμενος χυμός, ἆρά γε πικρόχολος ἢ μελαγχολικὸς ἢ φλεγματικὸς ἢ αἱματικός· ὠχρὰ μὲν γὰρ καὶ ξανθὰ πτύουσιν ἐπὶ τῷ πικροχόλῳ, μέλανα δὲ ἐπὶ τῷ μελαγχολικῷ, τὰ δ' ἀφρωδέστερα καὶ λευκανθοῦντα πτύσματα τοῦ φλεγματικοῦ πλεονεκτοῦντος γίγνεται χυμοῦ, καθάπερ γε καὶ τὰ ἐρυθρὰ τοῦ αἱματώδους. ὅτι μὲν οὖν ἐκ τῶν κενῶν τοῦ θώρακος ἀναπτύεταί τι μετὰ βηχός, ἐναργῶς ἐστι γνῶναι κατὰ τὰς διαθέσεις, ἐν αἷς ἔξωθεν ἔσω τὸ ἕλκος διήκει, ἤτοι συντρήσεως μὴ κολληθείσης, [10] ἢ κατὰ ἀπόστημα μέγα κατ' ἄμφω τὰ μέρη ῥαγέν, ἢ τμηθὲν μὲν ὡς ἔξω μόνον ἀνίσχον, εὑρεθέντος δ' ἐπὶ τῇ τομῇ διαβεβρωμένου τοῦ ὑπεζωκότος, ἢ καὶ διὰ σφάκελον ἐκκοπείσης πλευρᾶς, ἤτοι μὴ δυνηθέντων ἀπαθῆ φυλάξαι τὸν ὑπεζωκότα τῶν ἰατρῶν, ἢ διαβεβρωμένον, ἢ διασεσηπότα πως εὑρόντων· ἐν ἁπάσαις γὰρ ταῖς τοιαύταις διαθέσεσιν, ὅταν ἐγχέωμεν εἰς τὰ κενὰ τοῦ θώρακος μελίκρατον, εὐθέως ἀναπτύεται μετὰ βηχός, αὐτοῦ τῷ κάμνοντι διὰ τῆς γεύσεως, ὅτι μελίκρατόν ἐστι, γνωριζόμενον.

A que reddit respirationẽ, vt in cõmẽtariis de difficultate respirationis ostendimus, vt & vicinis quoq; partibus, & iis quę simul mouẽtur, affectis euenit. Diximus autẽ antea in spinalis medullæ affectibus, quomodo respiratio lædatur, thorace proprio affectu nequaquam laborante, sed vel neruo quopiam à spinali medulla procedente, vel spinali medullâ ipsâ. Propriorum verò thoracis affectuum, quidam in ipsius musculis, quidam in membrana costas succingente consistunt; nam de iis affectibus, qui vel in cute, vel in costarum ossibus consistunt, hic agere B non proposuimus, in quibus locus affectus sensibus subiicitur. Quum igitur duplices sint ipsius musculi, eorumque alii spacia intercostalia vocata repleant, alii extrinsecus extendantur; dolorificæ externorum musculorum affectiones, vt vlcera, cõtusiones, abscessus, erysipelas, inflãmatio, haud obscurè à medicis manus adhibentibus dignoscuntur; at intercostaliũ musculorum inflãmationes, eorum maxime qui in C intimo corpore consistunt (bipertiti enim, vt scitis, sunt) tactum nostrum fugiunt, sed grauiori quàm externi, dolore cruciantur; ac aliquid fluxionis, quæ inflammationem induxit, ad interna per membranam costas succingentem transmittunt, quam simul cum ipsis inflammari necesse est; veluti rursus cum ipsâ, vbi aliquando primario affectu infestatur, intercostalium musculorum partes internæ per consensum afficiuntur. Verùm exquisita pleuritis fit, vbi succingẽs costas membrana primario affectu laborat; proinde dolor vel ad iugulum vsque, vel ad hypochondria peruenit; ad iugulum D quidẽ, superioribus eius partibus affectis; ad hypochondria verò, inferioribus. Atq; vehemens febris huiusmodi inflammationem planè sequitur, quia sedes affecta prope cor sita est, & cum panniculo ipsum inuoluente, sicuti cum septo transuerso, cognationem habet. At pulsus tibi potissimum indicabit, afficiaturne magis succingens mẽbrana, an musculi ipsam contingentes; minus enim musculi, succingens verò mẽbrana magis, & tendit, & durã efficit arteriã; in affectibus verò pulmonis nulla penitus apparet huiusmodi diurities. At effusa in thoracis spaciũ sanies, & in asperas pulmonis arterias trãs- E sumpta, tussiendo excreatur, qualis sit, qui inflammationem facit humor, declarans, an videlicet biliosus, an melancholicus, an pituitosus, aut sanguineus; etenim si bilis abundat, pallidum aut flauum; si atra bilis, nigrum; si pituita, spumosum & candicans; si sanguis, rubrum sputum reijcitur. Quòd igitur tussiendo ex thoracis spacio aliquid expuatur, facile intelligitur per affectiones, quibus ab exterioribus ad intima pectoris vlcus penetrat; siue ob vulnus penetrans non conglutinatum; siue ob magnum F abscessum vtrinque eruptum, vel perinde quidem dissectum, ac si externas duntaxat partes afficeret, factâ vero sectione, inuentâ succingente costas membranâ erosâ, aut costâ ob cariem excisâ, aut eò quòd medici succingentem membranam, quam aut erosam, aut putrescentem quodammodo inuenerint, seruare illæsã non potuerunt. In omnibus enim eiusmodi affectibus, si aqua mulsa in thoracis spaciũ infundatur, mox tussiendo expuitur, & laborãs ipse aquã mulsam esse ex sapore deprehendit.

Quò

Quo pacto autem hoc fiat, atque per quos meatus in asperam arteriã ingrediatur, perpendere cuilibet licet, modò caueat errorem illum, in quem nonnulli difficultate pressi in causæ inuestigatione inciderunt, qui quidem fortasse ex thoracis spacio in pulmonem quippiam recipi, impossibile esse sibi persuaserunt, fortassis etiam ita se sentire simulant, ne videantur de re quapiam dubitare. Cæterum credere oportet huiusmodi fieri transsumptionem; nam per vulnera penetrãtia haud obscurè apparet; deinde quo pacto ea fieri possit inuestigare; ita vt quũ inuenerimus, animo simus quietiori; quãdiu nihil nos inuenisse putauerimus, ruditatẽ potius nostrã accusemus, quam veritatem ipsam negemus. Atq; videmus etiã conglutinatis cruentis vulneribus penetrantibus, in sputo notas quasdam fluentis ex vulnere cruoris ad spacium, quod inter pulmonem est, & thoracem; præterea suppurati, in hoc ipso spacio pus continere, & ipsum tussiendo expuere haud obscurè videntur; atqui rationi consentaneũ est, vt eodẽ modo tum cruor, tum pus ex thorace expuatur, quorũ viam inquirens Erasistratus, incredibilia quædam scripsit in eo libro cui titulus de sanguinis eductione est, sub hac verborum serie. *Via autem, per quam incedunt ea, quæ ab ijs sedibus reijciantur, huiusmodi est. Ab arteria spinæ adiacenti, vasa quædam ad vtrunque latus, tam dextrum quam sinistrum, similiter procedunt; hæc in loca vicina multiplici diuisione dispersa, tandem adeò euadunt exigua, vt sensum lateant. Quum itaque sanguis in huiusmodi arterias inciderit, per concauam arteriam nonnunquam ad loca quæ circa pulmonem sunt, atque ad eos nexus, per quos pulmo apud spinam arteriæ coniungitur, ascendit; nam ea, quæ huc inciderint, hac via ad pulmonem ascendere solent; quomodo ex pulmone deinde reiiciantur, antea dictum est.* In his verbis manifestè declarauit Erasistratus, eas arterias quæ à magna arteria ad singula intercostalia thoracis loca procedunt, per ora quæ ad inflammatam partem perueniũt, sanguinem suscipere, ipsumq; ad magnam arteriã, quæ à corde orta per spinam extenditur, referre; atq; ab hac rursus ad ea loca, quę circa pulmonẽ sunt, transitum ait fieri; sed neque modum, quo huiusmodi transitus fiat, neq; viam explicauit, verùm deinceps scribit, *atq; per eos nexus, per quos pulmo arteriæ circa spinam adhæret; fit enim*, inquit, *hac quoque via earum quæ inciderunt, in pulmonem ascensus*; at quomodo, & per quæ cõceptacula, nõdum hîc apposuit. Proinde manet adhuc eadẽ quæstio, nihil planè ad ipsam dissoluẽdam afferẽte Erasistrato; quamuis & in cęteris libris omnibus, & in hoc ipso, de sãguinis eductione perspicuã pollicitus fuerit interpretationẽ. Quocirca multò magis vitiosum quispiam huiusmodi sermonem reputauerit, vtpote qui ipsi quoq; Erasistrato fuerit suspectus. Videtur itaq; ex industria voluisse obscuris vti sermonibus, vt aliquid dixisse videretur, quum nihil diceret; nam in loco ipso, de quo quærebatur, enarrationẽ reliquit; vt qui, quo pacto quidem sanguis ex lateribus ad magnam arteriam perueniat, manifestè declarauerit; at quo pacto rursus ab hac ad eas sedes, quæ circa pulmonem sunt (vt ipse dicebat) ascendat, haudquaquam exposuerit. Constat autem & ex eo, quòd dixit, *loca quæ circa pulmonem sunt*, quum dicere pulmonem

A ὅπως δὲ γίνεται τοῦτο, καὶ διὰ τίνων ὁδῶν εἰς τὴν τραχεῖαν ἀρτηρίαν ἀφικνεῖται, πάρεστι σκοπεῖσθαι τῷ βουληθέντι, φυλαττομένῳ παθεῖν, ὅπερ ἔπαθον ἔνιοι τῶν ἀπορηθέντων ἐν τῇ τῆς αἰτίας εὑρέσει, τάχα μὲν ἑαυτοὺς πείσαντες ἀδύνατον εἶναι τὴν ἐκ τῆς κενῆς τοῦ θώρακος εἰς τὸν πνεύμονα μετάληψιν, ἴσως δὲ καὶ προσποιησάμενοι διὰ τὸ μὴ βούλεσθαι δοκεῖν ἀπορεῖσθαι. χρὴ δ᾽ ὅτι μὲν ἡ μετάληψις γίνεται, πεπεῖσθαι, φαίνεται γὰρ ἐναργῶς ἐπὶ τῶν συντρήσεων· ὅπως δὲ γίνεται, ζητεῖν, ἀγαπῶντας μὲν εἰ εὕροιμεν, ἄχρι δ᾽ ἂν οὐδέπω πεπεικότες ἑαυτοὺς ὦμεν εὑρηκέναι, τὴν ἄγνοιαν ὁμολογοῦντας μᾶλλον, ἢ καταψευδομένους τοῦ γινομένου. φαίνεται δὲ κἀπὶ τῶν ἐναίμως κολλωμένων συντρήσεων, διαπτυόμενά τινα γνωρίσματα τοῦ ῥυέντος αἵματος ἐν τῇ τρώσει εἰς τὸ μεταξὺ θώρακός τε καὶ πνεύμονος χωρίον· ἐναργὴς δ᾽ ἐστὶ κἀπὶ τῶν ἐμπύων, ἥ τ᾽ ἐν τῇ χώρᾳ ταύτῃ τοῦ πύου σύστασις, ἥ τ᾽ ἐξ αὐτοῦ πτύσις ἅμα βηχί. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εὔλογον γίνεσθαι, καὶ τὰς ἐκ τοῦ θώρακος αἵματός τε καὶ πύου πτύσεις, ἐφ᾽ ὧν Ἐρασίστρατος ζητῶν τὰς ὁδοὺς, ἀπίθανα γράφει κατὰ τὸ περὶ τῆς ἀναγωγῆς τοῦ αἵματος βιβλίον ἐν τῇδε τῇ ῥήσει. ἡ δὲ ὁδὸς ἐπὶ τὴν ἀναγωγὴν τοῖς ἀπὸ τούτων τῶν τόπων ἀναφερομένοις τοιαύτη τίς ἐστιν. ἀπὸ τῆς παρὰ τὴν ῥάχιν κειμένης ἀρτηρίας ἀποφύσεις εἰσὶν ἀγγείων παρ᾽ ἑκάστην πλευρὰν, ὁμοίως ἔκ τε τῶν δεξιῶν καὶ τῶν ἀριστερῶν· αὗται δ᾽ εἰς τοὺς πλησίον τόπους ἐπὶ πλεῖον σχιζόμεναι, εἰς ἄδηλα τῇ αἰσθήσει ἀποτελευτῶσιν. ὅταν οὖν γίνεταί τις εἰς ταύτας τὰς ἀρτηρίας παρέμπτωσις αἵματος, κατὰ τὴν κοίλην ἀρτηρίαν ἐνίοτε λαμβάνει τὴν ἀναφορὰν ἐπὶ τοὺς περὶ τὸν πνεύμονα τόπους, καὶ κατὰ τὰς προσφύσεις, αἷς ὁ πνεύμων προσπέφυκε τῇ ἀρτηρίᾳ κατὰ τὴν ῥάχιν· γίνεται γάρ τις καὶ ταύτῃ τῶν παρεμπεπτωκότων ἐπάνοδος εἰς τὸν πνεύμονα. ἐκ δὲ τοῦ πνεύμονος, ὅπως εἰς τὴν ἀναγωγὴν ἐπανέρχεται, πρότερον εἴρηται. ἐν ταύτῃ τῇ ῥήσει σαφῶς ὁ Ἐρασίστρατος ἐδήλωσεν, τὰς ἀπὸ τῆς μεγάλης ἀρτηρίας ἀποπεφυκυίας εἰς ἕκαστον τῶν τοῦ θώρακος μεσοπλευρίων, ὑποδεξαμένας αἷμα διὰ τῶν καθηκόντων στομάτων εἰς τὸ φλεγμαῖνον μέρος, ἐπὶ τὴν μεγάλην ἀρτηρίαν ἀναφέρειν αὐτὸ, τὴν ἀπὸ καρδίας μὲν ἐκπεφυκυῖαν, ἐπιτεταμένην δὲ τῇ ῥάχει· πάλιν δ᾽ ἀπ᾽ αὐτῆς εἰς τοὺς περὶ τὸν πνεύμονα τόπους φησὶ γίνεσθαι τὴν ἀναφορὰν, οὐκέτι προσθεὶς ὅπως γίνεται, καὶ διὰ τίνων ὁδῶν, ἀλλ᾽ ἐφεξῆς γράψας, καὶ κατὰ τὰς προσφύσεις, αἷς ὁ πνεύμων προσπέφυκε τῇ ἀρτηρίᾳ κατὰ τὴν ῥάχιν· γίνεται γάρ τις, φησὶ, καὶ ταύτῃ τῶν παρεμπεπτωκότων ἐπάνοδος εἰς τὸν πνεύμονα· ὅπως δὲ γίνεται καὶ κατὰ τίνας συμφύσεις, οὐκέτι οὐδ᾽ ἐνταῦθα προσέθηκεν. μένει τοίνυν ἔτι τὸ ζητούμενον, οὐδὲν εἰπόντος εἰς αὐτὸ σαφὲς τοῦ Ἐρασιστράτου, καίτοι σαφῶς ἑρμηνεύειν προῃρημένου κατά τε τἆλλα πάντα συγγράμματα, καὶ κατὰ τοῦτ᾽ αὐτὸ, τὸ περὶ τῆς τοῦ αἵματος ἀναγωγῆς. διὸ καὶ μᾶλλον ἄν τις ἡγήσαιτο, μοχθηρὸν εἶναι τὸν λόγον, ὑποπτευθέντα καὶ αὐτῷ τῷ Ἐρασιστράτῳ τοιοῦτον ὑπάρχειν· ἑκὼν γοῦν φαίνεται λέξεσιν ἀσαφέσιν κεχρῆσθαι, χάριν τοῦ δόξαι τι λέγειν, καίτοι λέγων μηδέν· ἐν αὐτῷ γὰρ τῷ τόπῳ τῷ ζητουμένῳ κατέλιπε τὴν διήγησιν, ὅπως μὲν εἰς τὴν μεγάλην ἀρτηρίαν ἐκ τῶν πλευρῶν ἀφικνεῖται τὸ αἷμα, σαφῶς εἰπών, ὅπως δὲ πάλιν ἀπὸ ταύτης εἰς τοὺς περὶ τὸν πνεύμονα τόπους, ὡς αὐτὸς εἶπεν, οὐκέτι προσθείς. ἀλλὰ καὶ κατ᾽ αὐτὸ τοῦτο τὸ φάναι, τοὺς περὶ τὸν πνεύμονα τόπους, ἐνὸν εἰπεῖν τὸν πνεύ-

μονα, δῆλός ἐστιν ἑκὼν ἐπιταράττων τὸν λόγον. καὶ τοῦτο μὲν ἐφεξῆς ἐδήλωσεν εἰπών· ἐκ δὲ τοῦ πνεύμονος ὅπως εἰς τὴν ἀναγωγὴν ἐπανέρχεται, πρότερον εἴρηται· ὡς γὰρ εἰς τὸν πνεύμονα φερομένου παρὰ τῆς μεγάλης ἀρτηρίας αἵματος, οὕτω φαίνεται περὶ τῆς ἐντεῦθεν ἀναγωγῆς ἀναμιμνήσκων ἡμᾶς ὅπως γίνεται. ὅτι μὲν οὖν πρότερον εἴρηται περὶ τῆς ἐκ τοῦ πνεύμονος ἀναπτύσεως, ἐπιστάμεθα, καὶ μέντοι καὶ ὅτι σαφῶς εἴρηται, μαρτυροῦμεν· εὐξαίμεθα δ' ἂν ὁμοίως εἰρῆσθαι καὶ περὶ τῆς εἰς τὸν πνεύμονα μεταλήψεως ἐκ τῆς μεγάλης ἀρτηρίας. ὥσπερ κἀπειδὰν εἴπῃ, καὶ κατὰ τὰς προσφύσεις, αἷς ὁ πνεύμων προσπέφυκε τῇ ἀρτηρίᾳ κατὰ τὴν ῥάχιν, γίνεσθαι τὴν ἐπὶ τὸν πνεύμονα φορὰν τοῦ αἵματος· οὐδὲ γὰρ ἐνταῦθα τίνας λέγει προσφύσεις, ἐδήλωσεν· καὶ γὰρ ἐὰν δι' ὑμένων ἤ τινων ἰνωδῶν σωμάτων γίγνονται, πλέον οὐδὲν ὡς πρὸς τὴν τοῦ περιεχομένου κατὰ τὴν μεγάλην ἀρτηρίαν αἵματος, εἰς τὸν πνεύμονα φοράν· ἐκφύεσθαι γάρ τινα δεῖ τῆς ἀρτηρίας ἀγγεῖα, δι' ὧν εἰς τὸν πνεύμονα παραχυνήσεται τὸ αἷμα, καθάπερ οἱ Ἐρασιστράτειοι λέγουσι διὰ τῆς ἀρτηρίας γίγνεσθαι τοῦτο τῆς ὑποβεβλημένης τῷ πνεύμονι· φαίνεται γὰρ αὐτῆς ἀμυδρὰ πέρατα πρὸς τὴν τραχεῖαν ἀρτηρίαν περαίνοντα, τὴν δ' ἔκφυσιν ἀπὸ τῆς μεγάλης ἀρτηρίας αὐτὴ λαμβάνει πρὶν ἐπιβῆναι τῇ ῥάχει. καί τινα λόγον διπλὸν ἀπ' αὐτῆς τῆς ἀρτηρίας οἱ Ἐρασιστράτειοι πορίζονται, βοηθοῦντες αὐτῷ, νῦν μὲν εἰς τὴν ἀπὸ τοῦ θώρακος ἀναγωγὴν τοῦ αἵματος, ἑτέρωθι δ' εἰς γένεσιν φλεγμονῆς ἐν τῷ πνεύμονι· καὶ γὰρ καὶ περὶ ταύτης αὐτοῖς οἱ ἑτερόδοξοι προὔβαλον, ὡς ἀδυνάτου γίγνεσθαι κατὰ τὰς Ἐρασιστράτου ὑποθέσεις· αὐτὸς γὰρ ἐν τῷ διδάσκειν ὅπως γίνεται φλεγμονή, τὸ παρεμπῖπτον εἰς τὰς ἀρτηρίας αἷμα βούλεται, τῷ παρὰ τῆς καρδίας φερομένῳ πνεύματι συντυγχάνον, ἀνασέλλεσθαί τε καὶ συνελαύνεσθαι πρὸς τὰ πέρατα τῶν ἀρτηριῶν, πλὴν εἴποτέ τινες ἀρτηρίαι τρωθεῖσαι, κενωθέντος ἐξ αὐτῶν κατὰ τὸ τραῦμα τοῦ πνεύματος, ἐκ τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας διαδέξονται τὸ αἷμα. κατὰ τοῦτον οὖν τὸν λόγον, οὐκ ἂν γενέσθαι φασὶ φλεγμονὴν ἐν ταῖς τοῦ πνεύμονος ἀρτηρίαις· εἰ γὰρ καὶ παρεμπέσοι ποτ' αὐταῖς αἷμα, μηδεμίαν ἀπάντησιν αὐτῷ πρὸς τὸ πνεῦμα γίγνεσθαι· κατὰ γάρ τοι μόνας τὰς τοῦ πνεύμονος ἀρτηρίας οὐ βούλεται παρὰ τῆς καρδίας φέρεσθαι τὸ πνεῦμα, καθάπερ εἰς τὰς ἄλλας ἁπάσας, ἀλλ' ἔμπαλιν αὐτὰς χορηγεῖν τῇ καρδίᾳ τοῦ πνεύματος, ὃ διὰ τῆς εἰσπνοῆς τῶν τραχειῶν ἀρτηριῶν αἱ λεῖαι μεταλαμβάνουσιν. τὴν οὖν ἀρτηρίαν ταύτην τὴν ἀπὸ τῆς κατὰ τὴν ῥάχιν ἀρτηρίας μεγάλης εἰς τὸν πνεύμονα φερομένην, φασὶ τήν τε φλεγμονὴν ὑπομένειν κατὰ τὰ πέρατα, καὶ τὴν ἐκ τοῦ θώρακος ἀναγωγὴν ἐργάζεσθαι τοῦ αἵματος. ἀλλὰ τὸν μὲν περὶ τῆς φλεγμονῆς λόγον οὐ νῦν πρόκειται σκοπεῖν· ἡ δὲ μετάληψις τοῦ αἵματος, ἣν ἐκ τῆς μεγάλης ἀρτηρίας εἰς τὸν πνεύμονα γίγνεσθαί φασιν, οὐκ ὀρθῶς φαίνεται λεγομένη. πρῶτον μὲν γὰρ εἰς τὴν μεγάλην ἀρτηρίαν ἐκ τῶν μεσοπλευρίων ἀδύνατον ἐνεχθῆναι τὸ αἷμα, παλινδρομήσει γὰρ αὐτίκα συνελαυνόμενον ὑπὸ τοῦ πνεύματος, ὃ παρὰ τῆς καρδίας διὰ τῆς μεγάλης ἀρτηρίας εἰς ταύτας ἐπιπέμπεται· ἔπειτα δ' εἰ καὶ συγχωρηθείη τοῦτο γίγνεσθαι, καὶ θείημεν εἰς τὴν μεγάλην ἀρτηρίαν αὐτὸ φέρεσθαι, μείζονος ἀτόπου καταλαμβάνοντος τὸν λόγον, ἐξ αὐτῶν τῶν Ἐρασιστρατείων ὑποθέσεων. βούλεται γὰρ εἰς τὴν ἀρτηρίαν ταύτην ἐκθλιβόμενον ὑπὸ τῆς καρδίας τὸ πνεῦμα, διασῶζον τῆς βολῆς τὴν ῥύμην, εἰς ὅλον φέρεσθαι τὸ σῶμα διὰ τῶν ἀπ' ἐκείνης πεφυκυιῶν ἀρτηριῶν·

potuisset, eum haud inuitum sermonis obscuritatem affectasse; id quod postea declarauit, dicens; *ex pulmone autem quomodo ad eductionem ascendat, iam antea dictum est.* Perinde enim ac si in pulmonem ex magna arteria sanguis deferatur, quomodo inde reiiciatur, velle nos admonere videtur. Quòd verò de expuitione quæ ex pulmone fit, prius dictum sit, non ignoramus, ac perspicuam fuisse narrationem testificamur; verùm optaremus, vt de ea quæ ex magna arteria in pulmonem fit, trãssumptione dixisset. Quemadmodum, quum inquit, per eos quoque nexus, per quos pulmo arteriæ apud spinam coniungitur, fieri circa pulmonem sanguinis reiectionem; neque enim hîc, quos nexus dicat, declarauit. Etenim si per membranas, vel per fibrosa quædam corpora fiant, ad sanguinis magnâ contenti arteriâ in pulmones delationem nihil conferunt; quippe necesse est ex arteria oriri vasa quædam, per quæ sanguis in pulmonem transferatur, quemadmodum Erasistrati secta hoc ipsum per arteriam pulmoni substratam fieri autumat. Huius enim arteriæ, extremæ partes exiguæ, ad asperam arteriam transire videntur; atqui ipsa quoque ex magna arteria, antequam ad spinam perueniat, initium sumit. At duplici quadam ratione Erasistrato ab hac arteria auxilium suppeditare conantur sectæ ipsius professores, in præsentia quidem ad sanguinis ex thorace eductionem, alibi verò ad inflammationis in pulmone generationem; etenim hanc quoque obiiciunt eis, qui aliter sentiunt, vt quod eam vt Erasistratus supposuit, fieri sit impossibile. Ipse nanque vbi docet, quomodo fiat inflammatio, vult incidentem in arterias sanguinem, spiritui qui à corde defertur, obuium, ad extremas arteriarum partes repelli & compelli, nisi vbi vulneratæ aliquando quædam arteriæ, vacuato ex ipsis per vulnus spiritu, ex ea quæ ad vacuatum *spiritum* fit sequela, sanguinem suscipiant. Hac itaque ratione, non posse fieri inflammationem in pulmonis arterijs, dicunt; nam etsi aliquando sanguis in eas inciderit, nulli ipsum spiritui occurrere, quòd in solas pulmonis arterias nullum à corde ferri spiritum contendat, vt in reliquas omnes, verùm è contrario ipsas cordi spiritum suppeditare, quem per inspirationem ab asperis læues arteriæ suscipiunt. Hanc igitur arteriam, quæ à maiori arteria spinæ incumbente in pulmonem fertur, inflammationem in extremis partibus sustinere, atque sanguinis è thorace eductionem efficere dicunt. Sed inflammationis rationem hoc in loco tractare non proposuimus. Verùm quam ex magna arteria in pulmonem sanguinis transsumptionem fieri dicunt, haud rectè dici videtur. Primum enim sanguinem ex intercostalibus locis in magnam arteriam transferri impossibile est; nam à spiritu, qui à corde per magnam arteriam ad hæc loca transmittitur, repulsus, ilicò reuertetur; deinde verò si concesserimus ita fieri, ac demus in magnam ipsum arteriam deferri, multo absurdior ex Erasistrati cę sectę fundamentis sermo euadet. Etenim spiritum, seruantem incursionis impetum, à corde in hãc arteriam expressum, ad totum deferri corpus per ortas ab ipso arterias autumat;

ita

ita vt ex vna arteriæ compressione, spiritûs delatio ad extremas vsque pedum partes perueniat, à delationis celeritate vehementissimos ventos superari putans. Quòd igitur tanta vehementia sanguinem in magna arteria contentum, ad quamlibet corporis partem non statim impellat, impossibile est. Hi verò ipsum in vnam arteriam quæ in pulmonem fertur, sermone compellunt, ac si mentem habeat, sciatque, qua via facillimè sit euacuandus. Id ipsum verò rursus pugnat cum præsenti sermone, qui sanguinem quàm celerrimè vacuari per asperam arteriam concedit. Nam si tam facilis est per extremas harum arteriarum partes transitus, vt incidens in eas sanguis, celerrimam habeat vacuationem; fieri non potest, vt is impactus inflammationem excitet; nam impingi, & excidere, inter se sunt contraria. Id verò multò maiori admiratione dignum est, quòd quũ Erasistratus quàm diligentissimè deinceps de puris vacuatione conscribat, siue in pleuriticis, siue in suppuratis fiat, ipse pugnam hãc, quâ duo eius verba tum nobis, tum reliquis hominibus omnibus inter se certare videntur, non intellexerit. Ea facile deprehendetur ascripto eius textu ad verbum sic se habente. *Atq; in his ipsis affectibus, multi interdum puris expurgatio fit; huius causa, vasorum natura est; breuis autem horum enumeratio hæc est. Ingens vena ex corde processus incumbit spinæ, ad quem locum à vertebris septum transuersum nascitur, finem accipiens; ab hoc verò, venæ quæ ad latera extenduntur, atque arterijs adiacent, exortum habent. Igitur quum vlcus vel abscessus his in locis oboritur, copiosioris puris collectionem moliens, id quidem haud facilè ad spacium quod inter latera & pulmonem est, effundi potest, quòd succingens costas membrana neruosa sit, & fortis, ac diuidi contumax; proinde erumpit ad vasa membranæ intrinsecus subiecta. Quum itaque tenuior ac imbecillior vena sit quàm arteria, hæc vasa priùs diuiduntur, quam ipsæ arteriæ; atque per has diuisiones puris fit in venas refusio. Per inferiores igitur sedes puris haud datur exitus, quod ad eas venarum natura non perueniat, sed finem sortiatur, vt dictum est, circa septi transuersi exortum; quum semper autem continuæ sedes repleantur, vt per superiores meatus exitum capiat, necesse est. Perpendenda igitur est actio pulmonis in respiratione, atque tum spiritûs tum humorum & attractio & expulsio, & quod eodem modo puris à costis ad pulmonem fiat ascensus; sed quo modo à pulmone fiat eductio, antea dictum est.* In hoc textu quòd pus in venas transsumptum non possit ad loca septo transuerso inferiora peruenire, rectè ab Erasistrato dictum est, vtpote venâ, quæ octo inferioribus thoracis costis alimentum præbet (non enim omnes alit) ad vsque septum transuersum perueniente; neque enim in præsentia contendere velim, an exigua aliqua eius portio inde exiliat. At quomodò huiusmodi pus expuatur, neutiquam dicere aggressus est, quemadmodum nec sectatorum eius quispiam. Non enim quemadmodum arteriam quandam à magna propagatam in pulmonem ferri affirmant, eadem ratione de vena sententiam tulerint. Etenim arteria, tametsi non manifestè in viscus ipsum ramis distribuitur, ei tamen substerni, atque ad asperam vsque arteriam ramusculos emittere videtur; verùm à magna

A ὡς κατὰ μίαν [15] ἔνθλιψιν τῆς ἀρτηρίας, ἐξικνεῖσθαι μέχρι τῶν κατὰ τοὺς πόδας ἄκρων τὴν φορὰν τοῦ πνεύματος, ὑπὲρ τοὺς σφοδροτάτους ἀνέμους τὸ τῆς φορᾶς τάχος εἶναι βουλόμενος· οὐκουν ἐγχωρεῖ τὴν τοσαύτην σφοδρότητα μὴ οὐκ εὐθέως ὠθεῖν τὸ κατὰ τὴν μεγάλην ἀρτηρίαν αἷμα πανταχόσε τοῦ σώματος. [16] οἱ δὲ εἰς μίαν ἀρτηρίαν αὐτὸ συνελαύνουσι τῷ λόγῳ, τὴν εἰς τὸν πνεύμονα φερομένην, ὥσπερ νοῦν ἔχον, ἐπιστάμενόν τε, δι' ἧς ὁδοῦ κενωθήσεται ῥᾷστα. μάχεται δ' αὖ πάλιν αὐτὸ τοῦτο τῷ νῦν ἐνεστῶτι λόγῳ, κενοῦσθαι τάχιστα [17] συγχωροῦντι τὸ αἷμα διὰ τῆς τραχείας ἀρτηρίας. εἰ γὰρ οὕτως ἐστὶν εὐρέα τὰ πέρατα τῶν ἀρ-
B τηριῶν τούτων, ὡς τὸ παρεμπεσὸν εἰς αὐτὰ αἷμα, ταχίστην ἴσχειν τὴν κένωσιν, οὐκ ἐνδέχεται σφηνωθὲν αὐτὸ, φλεγμονὴν ἐργάσασθαι. τὸ γὰρ σφηνοῦσθαι, τῷ διεκπίπτειν ἐναντίον ἐστί. θαυμάσαι δέ ἐστιν ἔτι μᾶλλον, ὅπως ἐφεξῆς γράφων αὐτὸς Ἐρασίστρατος ἐπιμελέστατα περὶ τῆς τοῦ πύου κενώσεως, ἥν τ' ἐν τοῖς πλευριτικοῖς πάθεσιν, ἥν τ' ἐν τοῖς ἐμπυήμασιν ἴσχει, τὴν μάχην [18] οὐ συνεῖδεν, ἣν ἡμῖν καὶ ἅπασι τοῖς ἄλλοις ἀνθρώποις οἱ δύο λόγοι πρὸς ἀλλήλους ἔχειν φαίνονται. γνωσθήσονται δ' ἐναργῶς, παραγραφείσης αὐτοῦ τῆς ῥήσεως,
C ἐχούσης κατὰ λέξιν οὕτως. ἐν δὲ τοῖς αὐτοῖς τούτοις πάθεσι πύου ἀνακάθαρσις ἐνίοτε [19] πολλοῦ γίνεται. ἡ δ' αἰτία τούτου παρὰ τὴν φύσιν τῶν ἀγγείων γίνεται. ἐπιλογισμὸς δ' αὐτῆς ὅδε. ἐκ τῆς καρδίας ἀπόφυσις φλεβὸς εὐμεγέθης κεῖται παρὰ τὴν ῥάχιν, ἀποτελευτῶσα καθ' ὃν τόπον αἱ φρένες ἐκ τῶν σπονδύλων ἐκπεφύκασιν· ἀπὸ δὲ ταύτης, αἱ παρὰ τὰς πλευρὰς τείνουσαι καὶ ταῖς ἀρτηρίαις [20] παρακείμεναι φλέβες, τὴν ἀπόφυσιν ἔχουσιν. ὅταν οὖν ἕλκωσις ἐν τοῖς τόποις τούτοις, ἢ ἀπόστημα γένηται, πλείονος πύου συναγωγὴν ποιούμενον, εἰς μὲν τὸ μεταξὺ τοῦ πνεύμονος καὶ τῶν πλευρῶν οὐ ῥᾳδίως τὴν ἔκχυσιν λαμβάνει, διὰ
D τὸ τὸν ὑμένα ὑπεζωκότα τὰς πλευρὰς νευρώδη τε καὶ ἰσχυρὸν καὶ δυσδιαίρετον εἶναι· συῤῥήγνυται δ' εἰς τὰ ἐντὸς ἀγγεῖα τοῦ ὑμένος κείμενα. λεπτοτέρας δὲ καὶ ἀσθενεστέρας οὔσης τῆς φλεβὸς ἢ τῆς ἀρτηρίας, πρότερα ταῦτα τὰ ἀγγεῖα, τῶν περὶ τὰς ἀρτηρίας διαιρεῖται· κατὰ δὲ τὰς διαιρέσεις, ἡ ἀνάχυσις τοῦ πύου εἰς τὰς φλέβας γίνεται. ἐπὶ μὲν οὖν τοὺς κάτω τόπους, οὐ γίνεται τοῦ πύου διέξοδος, διὰ τὸ μὴ διϊκνεῖσθαι τὴν φύσιν τῶν φλεβῶν, ἀλλὰ τὴν ἀποτελεύτησιν ἔχειν, καθάπερ εἴρηται, κατὰ τὴν ἔκφυσιν τοῦ διαφράγματος· πληρουμένων δὲ ἀεὶ τῶν συνεχῶν τόπων, τὴν ἐπάνοδον λαμβάνειν ἀναγκαῖον εἰς τοὺς ἐπάνω τόπους. ἐπινοεῖν οὖν δεῖ τὴν γινο-
E μένην κατὰ τὴν ἀναπνοὴν, τοῦ πνεύμονος ἐνέργειαν, καὶ τὴν ὁλκήν τε καὶ δίωσιν τοῦ πνεύματός τε καὶ τῶν ὑγρῶν, καὶ ὅτι κατὰ τοῦτον τὸν τρόπον ἡ τοῦ πύου ἐπάνοδος ἀπὸ τῶν πλευρῶν εἰς τὸν πνεύμονα γίνεται. ἡ δ' ἐκ τοῦ πνεύμονος [21] ἀναγωγὴ, ὃν τρόπον γίνεται, πρότερον εἴρηται. ἐν ταύτῃ τῇ ῥήσει τὸ μὲν μὴ δύνασθαι κατωτέρω τοῦ διαφράγματος ἀφικέσθαι τὸ μεταληφθὲν εἰς τὰς φλέβας πύον, ἀληθῶς εἴρηται τῷ Ἐρασιστράτῳ, τῆς γε τὰς κάτω τοῦ θώρακος ὀκτὼ πλευρὰς (οὐ γὰρ δὴ πάσας γε) τρεφούσης φλεβὸς, ἄχρι τοῦ διαφράγματος ἐρχομένης· οὐ γὰρ χρὴ μικρολογεῖσθαι νῦν, εἰ διεκπίπτει τι μέρος αὐτῆς μικρόν· ὅπως δὲ ἀναπτύεται
F τὸ πύον τοῦτο, τὴν ἀρχὴν οὐδ' ἐπεχείρησεν εἰπεῖν, ὥσπερ οὐδὲ τῶν ἀπ' αὐτοῦ τις. οὐ γὰρ δὴ ὥσπερ ἀρτηρίαν τινά φασιν ἀπὸ τῆς μεγάλης ἀποσχιζομένην, ἐπὶ τὸν πνεύμονα φέρεσθαι, κατὰ τὸν αὐτὸν ἔχουσι λόγον ἀποφαίνεσθαί τι περὶ τῆς φλεβός· ἡ μὲν γὰρ ἀρτηρία φαίνεται, κἂν εἰ μὴ κατασχιζομένη σαφῶς εἰς τὸ σπλάγχνον, ἀλλ' ὑποβεβλημένη γ' αὐτῷ, καὶ μέχρι τῆς τραχείας ἀρτηρίας ἀποφύσεις πέμπουσα· φλέβα δ' οὐδεμίαν

κατά γε

οὔθ' ἡμεῖς εἴδομεν, οὔτ' ἄλλος τις τῶν ἀνατομικῶν ἔγραψεν οὔτ' αὐτὸς ὁ Ἐρασίστρατος ἐτόλμησεν εἰπεῖν, ἐπὶ τὸν πνεύμονα φέρεσθαι ἀπὸ τῆς ἐπὶ τῇ ῥάχει μεγάλης φλεβός· ὡμολόγηται γὰρ ὑπὸ πάντων ἐκ τῆς δεξιᾶς κοιλίας τῆς καρδίας ὁ πνεύμων αἷμα λαμβάνειν δι' ἑνὸς ἀγγείου μόνου. δεήσει τοίνυν γε τὸ παραγιγνόμενον ἐκ τῶν πλευρῶν πύον εἰς τὴν κατὰ ῥάχιν φλέβα, πρότερον μὲν ἐπὶ τὴν καρδίαν ἀφικέσθαι, δεύτερον δὲ εἰς τὴν φλέβα τὴν ἀπ' αὐτῆς εἰς τὸν πνεύμονα φερομένην, εἶτα τὸ τρίτον ἐκ ταύτης εἰς τὰς ἐν ἐκείνῳ τραχείας ἀρτηρίας μεταληφθῆναι, καὶ μετὰ ταῦτα βηχὸς δεηθῆναι δηλονότι τῆς εἰς τὸ στόμα δυνησομένης ἀνάξειν αὐτό. κατὰ τίνα μὲν τρόπον ἡ τοῦ μιχθέντος πύου τῷ αἵματι διάκρισις ἀπ' αὐτοῦ γένοιτο, παρέλιπεν εἰπεῖν, ὥσπερ τι μικρὸν ὂν τοῦτο καὶ τὸ τυχόν, ὑπερβάς, ἀλλ' οὐκ αὐτὸ μάλιστα τὸ συνέχον ὅλον αὐτοῦ τὸν λόγον. οὐδὲ γὰρ τοῦτ' ἔστιν εἰπεῖν, ὡς τὸ περιεχόμενον αἷμα κατὰ τὴν ἐν τῇ ῥάχει φλέβα, πρὸς τὴν καρδίαν ἀναφέρεσθαι πέφυκεν· αὐτὸ γάρ τοι τοὐναντίον ἐστὶν εἰπεῖν, τὸ ἀπὸ τῶν κατὰ τὴν καρδίαν ὠτὸς τοῦ δεξιοῦ τὴν φλέβα ταύτην ἀρχομένην, ἅμα ἑαυτῆς κομίζειν αἷμα, τὰ κατὰ τὰς ὀκτὼ πλευρὰς μόρια πάντα τοῦ θώρακος θρέψον· οὐ γὰρ δὴ τά γε κατὰ τὰς ὑψηλὰς αὐτοῦ τέτταρας, αἱ γὰρ ἐκείνας τρέφουσαι φλέβες, ἀπὸ τῆς εἰς τὰς σφαγὰς ἀναφερομένης πεφύκασιν ἐν τῷ μεταξὺ τόπῳ καρδίας τε καὶ κλειδῶν· ὥστε καὶ τοῦτ' ἄτοπον ἱκανῶς ἕπεται τοῖς Ἐρασιστράτου λόγοις· τὸ γὰρ ἀπὸ τῶν ὑψηλῶν τοῦ θώρακος τεττάρων πλευρῶν πύον ἀναφερόμενον εἰς τὴν κοίλην φλέβα, μάλιστα μὲν ἐπὶ τὰς κατὰ τὸν τράχηλον, ὠμοπλάτας τε καὶ κεφαλὴν καὶ χεῖρας ἀφικνουμένας φλέβας, ἤδη δὲ καὶ τὰς καθ' ὅλον τὸ ζῶον, ἐνεχθήσεται. ταῦτά τε οὖν ἄτοπα τοῖς ὑπ' Ἐρασιστράτου γεγραμμένοις ἕπεται, καὶ πρὸς τούτοις ἔτι τὸ παραλελειμμένον ὑπ' αὐτοῦ κατὰ τὸν λογισμὸν τῆς αἰτίας· εἰπὼν γάρ, εἰς τὸ μεταξὺ πνεύμονός τε καὶ τῶν πλευρῶν οὐ ῥᾳδίως ἔκχυσιν λαμβάνειν τὸ πύον, διὰ τὸ τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα νευρώδη τε καὶ ἰσχυρὸν καὶ δυσδιαίρετον εἶναι, τὸ μὲν ἐκχεῖσθαί ποτε πύον εἰς τὴν χώραν ταύτην οὐκ ἠρνήσατο, προσέθηκε δὲ τῷ λόγῳ τὸ μὴ ῥᾳδίως· ἐχρῆν οὖν καὶ τούτου, τοῦ μὴ ῥᾳδίως μέν, ὅμως δ' οὖν γινομένου ποτέ, τὸν λογισμὸν ἀποδοῦναι, διδάξαντα τὰς ὁδούς, αἷς χρώμενον τὸ πύον ἐπὶ τῶν ἐμπυϊκῶν ἀναπτύεται. καθάπερ γὰρ ἀπολλυμένους εἴδομεν οὐκ ὀλίγους τῶν οὕτως ἐχόντων, οὕτω καὶ σωθέντας ἑτέρους πολλούς, ἐφ' ὧν εἴ τις ἤθροιζε τὸ καθ' ἑκάστην ἡμέραν ἀναβηττόμενον πύον, ἐνίοτε μὲν ἓξ ἢ ὀκτὼ κοτυλῶν, ἐνίοτε δὲ καὶ δέκα, ἐνίοτε δὲ καὶ πλειόνων ἂν εὑρέθη τὸ σύμπαν κεφάλαιον. ἀλλ' ὅπερ ἀεὶ λέγειν εἴωθα, καὶ νῦν ἐρῶ· πολλοὶ τῶν ἰατρῶν ἐναργῶς ὁρωμένων πραγμάτων ἀδυνατοῦντες εἰπεῖν τὰς αἰτίας, οὐδ' εἶναί φασιν αὐτά, καίτοι ὡς ἔφην, ἁπάντων τῶν συντετρημένων τὸν θώρακα, τὸ διὰ τοῦ τραύματος ἐνιέμενον μελίκρατον εὐθέως ἀναβηττόντων· ἀλλὰ καὶ διὰ τῆς ἐναίμου τε καὶ κολλητικῆς ὀνομαζομένης ἀγωγῆς, οὐκ ὀλίγων συντρήσεων θεραπευομένων, ἀναπτύουσιν ἔνιοι πυώδες ἐν ταῖς πρώταις ἡμέραις, ὅτ' ἂν μὴ καλῶς μηδ' ἀκριβῶς ἅπαν ἐκχυθῇ τὸ αἷμα διὰ τοῦ τραύματος, ἐν τῷ κατασείεσθαι τὸν οὕτω τετρωμένον ἄνθρωπον. ἀλλ' ὁ τὰς πλευρὰς ὑπεζωκὼς ὑμὴν ἰσχυρὸς καὶ νευρώδης ἐστὶ καὶ δυσδιαίρετος· εἰ βούλει δέ, πρόσθες τῷ λόγῳ καὶ τὸν ἀμφιεννύντα τὸν πνεύμονα, τὴν αὐτὴν ἔχοντα φύσιν αὐτῷ· καὶ διὰ τοῦτο τὴν εἰς τὰ κενὰ τοῦ θώρακος ἔκχυσιν τῶν ὑγρῶν, ὁ μὲν οὐ μεθίησιν, ὁ δ' οὐ μεταλαμβάνει. λέγε τοίνυν

A vena, quæ ſpinæ incumbit, venam in pulmonem ferri neque nos vnquam vidimus, neque diſſectorum quiſquam ſcripſit, ac ne Eraſiſtratus ipſe affirmare auſus eſt; nam ab omnibus conceditur à dextro cordis ventriculo, per vnum duntaxat vas pulmonem ſanguinem recipere. Oportebit igitur pus, quod à coſtis in venam ſpinæ adiacentem fertur, primùm quidem ad cor peruenire; deinde ad venam quæ ab hoc orta in pulmonem tranſit; poſtea tertiò ex hac in aſperas illius arterias tranſſumi; poſtremò tuſſi indigere, quæ ipſum ſcilicet vſque ad os efferre poſſit. B Quo autem pacto puris ſanguini permixti ab ipſo fiat ſecretio, tanquam exiguum quippiam ac vulgare, non quod vniuerſam ipſius rationem firmet maximè, præteriens dicere neglexit. Nequaquam enim id dicendum eſt, quòd ſanguis in vena quæ circa ſpinam eſt, contentus, ad cor ipſum referri ſoleat; nam è contrario, vena hæc à dextra cordis auricula initium ſumens, ſanguinem ſecum defert, qui omnibus thoracis partibus quæ circa octo coſtas conſiſtunt, alimentum præbeat, non autem illis qui ſunt circa ſuperiores ipſius C quatuor; nam venæ, quæ eas partes nutriunt, à vena ad iugulum aſcendente, medio inter cor & clauiculas loco, exoriuntur; vt hoc quoque non minùs abſurdum ad Eraſiſtrati verba ſequatur; nam pus, quod à ſupernis quatuor thoracis coſtis in cauam venam refertur, maximè quidem ad eas venas ducetur quæ ad ceruicem, & ſcapulas, & caput, & manus, imò potius ad vniuerſas animalis partes perueniunt. Hæc igitur abſurda ad Eraſiſtrati ſcripta ſequi videntur; accedit D ad hæc quòd cauſam in hac perpenſione penitus non attigit; dicens enim *non facilè pus effundi in ſpacium quòd inter coſtas eſt & pulmonem, quia ſuccingens coſtas membrana neruoſa eſt, & fortis, atque diuidi contumax*, pus aliquando in hoc ſpacium effundi non negauit, ſed verbis ſuis, *non facilè*, addidit. Oportebat igitur huiuſce rei, quæ non facilè quidem fit, ſed aliquando tamen fit, rationem reddere, docentem vias quibus ſuppurati pus expuere poſſint. Vt enim ex ita affectis non paucos perire, ita & alios complures ſeruari vidimus; quorum ſiquis per ſin- E gulos dies reiecti puris quantitatem collegerit, interdum ſex aut octo heminas, interdum etiã decem, atque interdum plures, totam ſummam æquare inueniet. Verùm quod creberrimè dicere conſueui, nunc quoque dicam; multi medici rerum, quæ manifeſtè conſpiciuntur, cauſas reddere nequeuntes, eas eſſe omnino negant; quanquam (vt dixi) omnes in thorace vulnerati, iniectam per vulnus aquam mulſam, ilicò per tuſſim expuunt; imò nonnulli etiam remedio cruentis apto & glutinante nominato, haud paucis perforationibus curati, primis F quidem diebus purulenta quædam expuunt, quum haud probè, neque exquiſitè vniuerſus ſanguis per vulnus, concutiendo hominem ſic vulneratum, fuerit effuſus. At membrana coſtas ſuccingens, & valida eſt, & neruoſa, ac diuidi contumax; ſi voles, adde ſermoni etiam membranam pulmonem ambientem, quæ eandem cum illa naturam habet; proindeque humores in vacua thoracis effuſos hæc non tranſmittit, illa non tranſſumit. Itaque dicas etiam

etiam cutem, quæ membranis multò fortior atque crassior est, in fracturis ossium callo obducendis, cruentum humorem, quò minùs per ipsam penetrãdo egrediatur, semper prohibere; quem tamen in nonnullis videmus adeò copiosè effundi, vt totas fascias irriget; quod quum ita fieri videamus, idem haud absurdè per tenues quoque membranas fieri fatendum est. Satius igitur fuisset Erasistratum non de hac re dubitare, sed id potius abundanter intelligere, humorem inter thoracem & pulmonem contentũ, in asperas pulmonis arterias recipi, ad læues autem arterias atque ad venas non peruenire; nam ipso Erasistrato authore tria hæc vasa simul extenduntur, atque simul diuisa terminantur suo extremo quolibet ore, in circunpositam pulmoni membranam. Quum ergo tria hæc ora inter se proxima sint, cur in eorum vnum solum fiat transsumptio, quærere debuit Erasistratus; nã longè præstantius est ea quæ fiunt, quomodo fiant quærere, quàm quòd fiant negare. quanquã neq; dubia neque inuentu difficilis mihi videtur eorum, quæ in thorace continentur, in pulmonem transsumptio, quæ quidem in asperæ arteriæ partibus extremis fieri potest; hæ nanque non eam habent angustiam, quam læuium arteriarum atque venarum partes extremæ; tum quòd magnâ ex parte asperarum arteriarum substantia cartilago sit, quæ concidere omnino non potest; tum quod asperarum arteriarum, quàm duorum vasorum reliquorum, ora multò sint ampliora; quum igitur ipsorum in pulmone diuisiones numero sint æquales, rationi consentaneum est asperæ arteriæ veluti ramos, reliquorum duorum generum partes proportione superare. Id verò manifestè apparet per visceris ipsius dissectionem, nam vicina quæque vasa eandem inter se seruant perpetuò in magnitudinis excessu proportionem, quam ab initio maximæ eorum partes habuerunt. Hæc sunt quæ dicere debuit Erasistratus, ac deinceps vtrum inspirationis, an expirationis, an quietis tempore, pus ex thoracis spacio in pulmonem recipiatur, explicare; ac deinde quum id neque per inspirationem, neque per quietem fieri docuisset, ostendere ipsum expirationis tempore recipi; id nanque facillimum etiam erat demonstrare ei, qui priùs ostendisset, respirationis actionem à thorace fieri, pulmone nullam propriam habente motionem; quippe qui per consequentiam dilatato thorace pariter attollatur; eo verò contracto, ipse spongiarum exemplo, quas manibus exprimimus, in sese subsidat. Sic igitur per magna vulnera penetrantia, fibra ipsius per vulnus procidere videtur; verùm citra vulnus thorax contractus, humorem qui in eo spacio quod inter ipsum & pulmonem est, continetur, in asperas ipsius arterias vehementer comprimendo cogit. Nec credas velim, huic orationi, *vehementer*, frustra fuisse insertum; nisi enim vehementer admodum thorax pulmonem ex omni parte comprimat, humor in asperarum arteriarum ora non recipietur. Quamobrem natura, quò robustior fieret expressio, tussi vocatâ donauit animalia; quæ naturale symptoma est, sternutamento, & singultui, & nauseæ simile, de quibus in libris de causis symptomatum satis dictum est. Verùm quia

καὶ τὸ δέρμα πολὺ τῶν ὑμένων τούτων ἰσχυρότερόν τε καὶ παχύτερον ὑπάρχον, ἐν ταῖς τῶν καταγμάτων πωρώσεσι μή ποτ' ἐπιτρέπειν ἔξω φέρεσθαι δι' ἑαυτοῦ τὸν αἱματώδη χυμὸν, ὃν ὁρῶμεν οὕτω πολὺν ἐπί τινων ἐκχεόμενον, ὡς διαβρέχειν ὅλους τοὺς ἐπιδέσμους· εἰ δὲ τοῦτο φαίνεται γιγνόμενον, οὐδὲν ἔτι θαυμαστὸν οὐδὲ διὰ λεπτῶν ὑμένων γίνεσθαι ταὐτὸν τοῦτο. κάλλιον δ' ἦν οὐ τοῦτ' ἠπορηκέναι τὸν Ἐρασίστρατον, ἀλλ' ἐκείνου μᾶλλον ηὐπορηκέναι τοῦ μεταλαμβάνεσθαι τὸ μεταξὺ θώρακός τε καὶ πνεύμονος ὑγρὸν, εἰς τὰς τραχείας ἀρτηρίας τοῦ πνεύμονος, οὔτε δ' εἰς τὰς λείας, οὔτ' εἰς τὰς φλέβας ἀφικνεῖσθαι· κατὰ γὰρ αὐτὸν τὸν Ἐρασίστρατον, ἀλλήλοις συμπαρεκτείνεται ταῦτα τὰ τρία, καὶ συγκατασχιζόμενα ἀποτελευτᾷ τοῖς ἐσχάτοις ἑαυτῶν στόμασιν εἰς τὸν [23] περικείμενον ὑμένα τῷ πνεύμονι· τί δή ποτ' οὖν ἀλλήλοις παρακειμένων τῶν τριῶν στομάτων, εἰς ἓν αὐτῶν μόνον [24] ἡ μετάληψις γίνεται, τοῦτ' ἐχρῆν ἐζητηκέναι τὸν Ἐρασίστρατον, ἄμεινον γάρ ἐστιν, ὅπως γίνεται τὰ γινόμενα ζητεῖν, ἢ κατασκευάζειν ὅτι μὴ γίγνεται. καίτοι οὐκ ἄπορος οὐδ' δυσεύρετος ἐμοὶ φαίνεται ἡ ἐκ τοῦ θώρακος ἡ μετάληψις εἰς τὸν πνεύμονα, δυναμένη γε κατὰ τὰ τῆς τραχείας ἀρτηρίας πέρατα γίγνεσθαι· ταῦτα γὰρ οὐ τὴν αὐτὴν ἔχει στενότητα τοῖς τῶν λείων τε καὶ φλεβῶν, ὅτι τε τὸ πλεῖστον τῆς οὐσίας τῶν τραχειῶν ἀρτηριῶν χόνδρος ἐστὶν, οὐ δυνάμενος εἰς ἐσχάτην ἀφικνεῖσθαι σύμπτωσιν· ὅτι τε πολὺ μεῖζόν ἐστι τῶν ἑτέρων δυοῖν ἀγγείων, τὸ τῆς τραχείας ἀρτηρίας· σχιζομένων οὖν αὐτῶν κατὰ τὸν πνεύμονα σχίσεις ἰσαρίθμους, εὔλογόν ἐστιν ἀνάλογον ἀεὶ τοὺς τῆς κλάδους τῆς τραχείας ἀρτηρίας, ὑπερέχειν τῶν κατὰ τὰ λοιπὰ δύο γένη μορίων· ἀλλὰ καὶ φαίνεται σαφῶς τοῦτο, καὶ κατὰ τὴν [25] ἀνατομὴν τοῦ σπλάγχνου, τὴν αὐτὴν ἀναλογίαν τῆς κατὰ τὸ μέγεθος ὑπεροχῆς φυλαττόντων ἀεὶ τῶν παρακειμένων ἀλλήλοις ἀγγείων, ἣν ἐξ ἀρχῆς εἶχε τὰ μέγιστα. ταῦτ' ἐχρῆν εἰπόντα τὸν Ἐρασίστρατον, ἐφεξῆς προσθεῖναι τὸν καιρὸν, ἐν ᾧ μεταλαμβάνεται τὸ πύον ἐκ τῶν κενῶν τοῦ θώρακος εἰς τὸν πνεύμονα, πότερον ὁ τῆς εἰσπνοῆς, ἢ ὁ τῆς ἐκπνοῆς, ἢ ὁ τῆς ἡσυχίας ἐστί· εἶτα διδάξαντα μήτε τὸν τῆς εἰσπνοῆς ὄντα, μήτε τὸν τῆς ἡσυχίας, ἑξῆς εἰπεῖν ὅτι κατὰ τὴν ἐκπνοὴν ἡ μετάληψις γίνεται· ῥᾷστον γὰρ ἦν καὶ τοῦτο δεῖξαι, προαποδεδειγμένην ἔχοντα τὴν τῆς ἀναπνοῆς ἐνέργειαν ὑπὸ τοῦ θώρακος γιγνομένην, οὐδεμίαν ἔχοντος ἰδίαν κίνησιν τοῦ πνεύμονος, ἀλλ' ὁπότε μὲν ὁ θώραξ διαστέλλοιτο, τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ συνδιαστελλομένου, κατὰ δὲ τὰς συστολὰς αὐτοῦ συνιζάνοντος εἰς αὐτὸν ὁμοίως τοῖς σπόγγοις, οὓς ταῖς χερσὶ περιλαμβάνοντες θλίβομεν· οὕτως γοῦν φαίνεται παραπίπτων λοβὸς αὐτοῦ διὰ τοῦ τραύματος ἐν ταῖς μεγάλαις συντρήσεσιν. ἀλλὰ πρό γε τοῦ τρωθῆναι, συστελλόμενος ὁ θώραξ, [26] σφοδρῶς ἐνθλίβει τὸ μεταξὺ περιεχόμενον αὐτοῦ τε καὶ τοῦ πνεύμονος ὑγρὸν, εἰς τὰς τραχείας ἀρτηρίας αὐτοῦ. μὴ παρέργως δ' ἀκούσῃς τοῦ, σφοδρῶς, προσκειμένου κατὰ τὸν λόγον· ἐὰν γὰρ μὴ πάνυ σφοδρῶς θλίψῃ τὸν πνεύμονα πανταχόθεν ὁ θώραξ, οὐ μεταληφθήσεται τὸ ὑγρὸν εἰς τὰ τῶν τραχειῶν ἀρτηριῶν στόματα, καὶ τούτου χάριν ὑπὸ τῆς φύσεως ἐδόθη τοῖς ζώοις εἰς τὴν τῆς θλίψεως ῥώμην ἡ καλουμένη βήξ, σύμπτωμα φυσικὸν ὅμοιον πταρμῷ καὶ λυγμῷ καὶ ναυτίᾳ, περὶ ὧν αὐτάρκως ἐν τοῖς περὶ τῶν συμπτωμάτων αἰτίας εἴρηται· πρὸς δὲ

τὴν ἔγερσιν τοῦ φυσικοῦ τούτου συμπτώματος ἰσχύος χρῄζοντες οἱ κάμνοντες, ἀποθνήσκουσιν εἰκότως οὐκ ὀλιγάκις ἐν τοῖς ἐμπυϊκοῖς πάθεσιν, ὡς ἂν προκεκμηκυίας αὐτῶν τῆς δυνάμεως· ἡ γὰρ εὐτονωτάτη τε καὶ ταχίστη συστολὴ τοῦ θώρακος ἐργάζεται βῆχα· οὐ δύναται δ' εὐτόνως, οὔτε ταχέως ἐνεργεῖν ἡ ἀσθενὴς δύναμις. περὶ μὲν οὖν τῆς ἐκ τῶν κενῶν τοῦ θώρακος ἀναπτύσεως, ἀρκεῖ καὶ ταῦτα· πάλιν δ' ἐπὶ τὸν ἐξ ἀρχῆς προκείμενον λόγον ἐπανέλθωμεν. ταῖς κατὰ τὸν ὑπεζωκότα ταῖς πλευραῖς ὑμένα καὶ τοῖς τούτῳ συνεχέσι μυσὶ, φλεγμοναὶ, νόσον ἐργάζονται τὴν καλουμένην πλευρῖτιν, ἧς ἀχώριστα μὲν ἐστὶ συμπτώματα, πυρετὸς ὀξὺς, ὀδύνη ὡς διατεινομένων τῶν τόπων ἢ νυττομένων, πνεῦμα πυκνὸν καὶ μικρὸν, σφυγμὸν μικρὸν σκληρὰν τὴν ἀρτηρίαν ἐμφαίνοντα σύν τινι τάσει, βῆχα μετὰ τὸ πλεῖστον μὲν ἅμα τοῖς κεχρωσμένοις πτύσμασιν, ὀλιγάκις δὲ καὶ χωρὶς τούτων, [27] ἃς ἀπτύστους καὶ ἀπέπτους ὀνομάζουσι πλευρίτιδας, ἤτοι διὰ ταχέων ἀναιρούσας, ἢ χρόνῳ πλείονι λυομένας· ἀλλὰ καὶ τὴν ὀδύνην ὡς τὸ πολὺ μέχρι κλειδὸς ἢ ὑποχονδρίου διήκουσαν ἔχουσιν. ἕτεραι δ' εἰσὶν ὀδύναι πλευρῶν ἅμα πυρετοῖς, ἐφ' ὧν ἐξ ἀνάγκης μὲν γίνεται πυκνὸν καὶ μικρὸν τὸ πνεῦμα, πτύεται δ' οὐδὲν, ὡς ἐοικέναι κατὰ τοῦτο ταῖς ἀπτύστοις πλευρίτισιν· ἀλλὰ καὶ διακρίνονται ῥᾳδίως [28] αὐτῶν, τῷ τε μηδ' ὅλως βήττειν, ὡς ἐπὶ τῶν ἀπτύστων ξηρᾶς τῆς βηχὸς γινομένης, καὶ τῷ μήτε τάσιν ἴσχειν τὸν σφυγμὸν μήθ' ὅλως σκληρότητα, καὶ πρὸς τούτοις ἔτι τὸν πυρετὸν οὐχ ὁμοίως ὀξὺν εἶναι· καὶ ἡ δύσπνοια δ' αὐτοῖς ἧττον ἐνοχλεῖ, τινὲς δὲ καὶ θλιβόντων ἡμῶν τὸν φλεγμαίνοντα τόπον ἔξωθεν, ἀλγοῦσι. ἐπὶ τούτων ἡ μὲν ἀκαθαρσία γίνεται διὰ τῶν πτυσμάτων, ὅτι μηδὲ τὴν ἀρχὴν εἰς τὰ κενὰ τοῦ θώρακος ἀφικνεῖταί τι τῆς τὴν φλεγμονὴν ἐργασαμένης· πεττομένης δ' αὐτῆς, ἐὰν μὴ φθάσῃ διαφορηθῆναι τὸ γινόμενον πύον, ἀποκρύπτεται πρὸς τὸ δέρμα καὶ τέμνεται.

viribus opus est, quibus huiusmodi symptoma naturale excitetur, contingit creberrimè per suppuratos affectus mori laborantes, imbecillioribus ipsorum antea redditis viribus; validissima enim ac celerrima thoracis contractione tussis excitatur; at vires imbecillæ, neque validè neque celeriter agere possunt. Ergo de expuitione, quæ ex spacio thoracis procedit, satis fuerit hæc dixisse; redeamus rursus ad eum quem ab initio proposuimus sermonem. Quæ in succingente costas membrana, ac musculis illi continuis fiunt inflammationes, morbum quem pleuritidem vocant, efficiunt. Huius symptomata inseparabilia sunt, febris acuta, dolor perinde ac si locus vel intendatur vel pungatur, respiratio frequens & exigua, pulsus paruus arteriam duram & quodammodò tensam indicans; tussis plerunque cum sputis coloratis, nonnunquam verò sine his, quas sputi expertes & crudas pleuritides nominant, quæ vel celeriter hominem rapiunt, vel longo temporis spacio soluuntur. At dolor plerunq; ad iugulum, vel ad hypochondria peruenire videtur. Sunt præterea alii laterum cum febre dolores, per quos respirationem frequentem & exiguam reddi necesse est, sed nullum redditur sputum, vt in ea re nihil à pleuritide sputi experte differre videantur. Verùm hi facile ab illis discernuntur, tum quod nulla sit tussis, quum sputi expertes siccâ tussi molestentur, tum quòd neque tensionem neque duritiem vllam referat pulsus, tum quòd non æque acutâ febre laborent, neque etiam adeò difficulter spirant, nonnulli quoque presso à nobis extrinsecus inflammato loco, dolent. Hi per sputum non purgantur, quia ab initio nihil humoris inflammationem excitantis ad thoracis spacium peruenit; at concoctâ inflammatione, nisi pus priùs discutiatur, ad cutem attollitur atque inciditur.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν κατὰ τὰς φρένας παθῶν· καὶ ὅπως αἱ παραφροσύναι αἱ ἐπ' αὐταῖς γινόμεναι, τῶν φρενιτικῶν παραφροσυνῶν διαφέρουσι.

Τὸν δὲ κάτω τοῦ θώρακος ὅρον οἱ μὲν παλαιοὶ πάντες ὠνόμαζον φρένας, εἴθ' ἁπλῶς ἐπελθὸν αὐτοῖς, εἴθ' ὥς τινες οἴονται, διότι φλεγμαίνοντος αὐτοῦ βλάπτονται τὴν φρόνησιν οἱ κάμνοντες· ἀπὸ Πλάτωνος δ' ἤρξατο καλεῖσθαι διάφραγμα, προσαγορεύσαντος μὲν αὐτοῦ φρένας ὁμοίως τοῖς ἄλλοις παλαιοῖς, ἡγουμένου δὲ τὴν τοῦ διαφράγματος ἐν τοῖς ζῴοις χρείαν ἔχειν, ἐπειδὴ τὸ θυμοειδὲς τῆς ψυχῆς ἐν καρδίᾳ περιεχόμενον, ἀπὸ τοῦ καθ' ἧπαρ ἐπιθυμητικοῦ διαφράττοι· τοὐντεῦθεν δὲ ἔθος ἔσχον οἱ ἰατροὶ προσαγορεύειν αὐτὸ διάφραγμα, τῆς ἀρχαίας ἀμελήσαντες προσηγορίας, ὅπερ ἐποίησαν ἀμέλει κἀπὶ τοῦ νωτιαίου· καὶ γὰρ καὶ τούτῳ τῆς οἰκείας οὐσίας ὄνομα, μυελός ἐστιν, ὥσπερ τοῦ νῦν προκειμένου κατὰ τὸν λόγον ὀργάνου, φρένες· ἐκείνῳ τε οὖν προσετέθη διορισμοῦ χάριν, ὁ νωτιαῖος, ὥσπερ καὶ διαυχένιος, καὶ ῥαχίτης, καὶ ψοΐτης, εἶτα μετὰ ταῦτα σχεδὸν ἅπαντες εἰθίσθησαν ὀνομάζειν ἁπλῶς νωτιαῖον· ἐνταῦθά τε πάλιν ἐάσαντες τὸ τῶν φρενῶν ὄνομα, διάφραγμα καλοῦσιν. Ἀριστοτέλης δὲ

CAPVT IV.

De Septi transuersi affectibus; ac quo pacto deliria, quæ ex ipso fiunt, à delirijs phreniticorum distinguantur.

INferiorem autem thoracis terminum prisci omnes phrenas appellauerunt, siue simpliciter ipsis in mentem venerit, siue (vt quidam augurantur) quia eo inflammato ægrotantium mens læditur. A Platone autem diaphragma vocari incepit, qui sanè & ipse alijs veteribus similiter phrenas appellauit, putauit autem in animalibus vsum habere septi, quoniam irascibilem animæ facultatem in corde contentam, à concupiscente quæ in iecore sedem habet, distinguit. Postea medici, neglecto prisco nomine, diaphragma ipsum appellare consueuerunt, quod in dorsali quoque medulla eos fecisse constat; etenim huic quoque propriæ substantiæ nomen, medulla est, quemadmodum organo, cuius nunc mentionem facimus, phrenes; verùm discriminis causâ illi dorsalis, quemadmodum & ceruicalis, & spinalis, atque lumbaris, cognomen additum est; postea ferè omnes simpliciter dorsalem appellare consueuerunt. Atque hîc quoque omisso phrenum nomine, diaphragma vocitant. Aristoteles

ſtoteles autem hanc animalis partem hypozoma nominauit, neſcius & ipſe huic magnam ac perquàm neceſſariam animalibus actionem eſſe; eſt enim reſpirationis organum; igitur meritò, quum afficitur, eã lædit, vt ſupra libro de reſpirandi difficultate dictum eſt, vbi proprios eius affectus vnà cum iis, qui per conſenſum cum ſpinali medulla & neruis ab ea exortis in ipſo fiunt, tradidimus. At verò nunc eos affectus, qui ſuperno conſentiente principio, ei adueniunt, commemoremus. Igitur antequàm aliquis deliret, frequentem, ac exiguum; infeſtante verò iam delirio, variè inæqualem ſpiritum efficit, vt in libris ſpirandi difficultate iam demonſtratum eſt. Atque deliria etiam oriuntur ab ore ventriculi prauè affecto, & febribus ardentibus, & pleuritide, & peripneumonia; ſed quæ ob ſeptũ tranſuerſum fiũt, phreniticorũ deliriis affinia ſũt. In cæteris enim partibus affectis, atque febribus ardẽtibus, delirium ſedatur in ipſorum declinationibus; at phrenitidis propria præcipuaque nota eſt, ne in declinatione quidem febrium delirium quieſcere; neque enim per conſenſum in eo morbo cerebrum afficitur; ſed propriâ primariâque affectione laborat; proinde paulatim fit hic affectus, nec ſubitò delirant vel affatim, vt ex aliis partibus, quarum nuper mentionem feci; ac eius conſtitutionẽ præcedunt ſymptomata nõ pauca, eáque omnia phrenitica ſigna vocantur, & hæc ſcripſerũt omnes, qui me præceſſerunt. Nam interdum vigilias præcedere, ſiue etiam ſomnum manifeſtis imaginibus turbatum, vt & clament nonnulli & exiliãt, videre eſt; interdũ verò irrationalis accedit obliuio, vt laborantes aliqui, quum matellã petierint, meiere tamen negligant; aut quum lotiũ emittunt, matellam ipsã prodere haudquaquã meminerint; interdũ maiori cum tumultu aut temeritate reſpondeant, præſertim vbi aliquis antea fuerit modeſtus. At & hi omnes exiguo vtũtur potu; reſpiratio ipſis rara eſt, & magna; pulſus minores magiſq; neruoſos habent; nõnunquã occiput dolor infeſtat. Quũ verò iã proximè ad phrenitidẽ accedũt, oculi eis vehemẽter ſunt ſqualidi, aut ex altero ipſorum acris lachryma effũditur, ac deinde lippitudo, & venæ ipſorũ ſanguine plenæ; & ſanguis ſtillat è naribus. Quo tẽpore neq; iã planè vt mentis cõpotes reſpondent; floccos auellunt, & feſtucas carpunt; ſqualidioremque febrem habent, quæ non magnas in alterutram partẽ facit mutationes, queadmodũ aliæ quædã vigores quidem grauiſſimos, declinationes verò habẽt mitiores. Quid dicam de lingua ſatis ſalebroſâ, obauditione interdum contingẽte, tum quod interdum mœſti iaceant, vix reſpondẽtes; vel quum pars quædam dolorificum patiatur affectum, etiamſi vehementius aliquis eam tangat, ipſi haudquaquam ſentiant? Sic enim per cerebri affectum paulatim phrenitis euenit; ab aliarum verò partium nullâ perpetuum delirium procedit, dempto ſolo ſepto tranſuerſo, cuius vitio excitatum delirium, parum à continuo diſtat, adeò vt veteres putauerint, hac parte inflammatione affectâ phreniticos fieri, atque ob eandem ſuſpicionem phrenas eam appellauerint, tanquam ſapienti parti conferat quippiam. Verùm delirium, quod ab hoc accidit, à phrenitide diſtinguitur, & ocu-

A ὠνόμαζεν [29] ὑπόζωμα τὸ μόριον τοῦτο τοῦ ζώου, μὴ γινώσκων μηδ᾽ αὐτὸς ἐνέργειαν εἶναι μεγάλην αὐτοῦ, χρησιμωτάτην τοῖς ζώοις· ἔστι γὰρ ἀναπνοῆς ὄργανον· εἰκότως οὖν ἐμποδίζει ταύτην παθόν, ὡς κἀν τῷ περὶ δυσπνοίας λόγῳ πρόσθεν εἴρηται, τοῖς κατὰ συμπάθειαν ἐπὶ τῷ νωτιαίῳ καὶ τοῖς ἀπ᾽ αὐτοῦ νεύροις, γινομένοις ἐν αὐτῷ παθήμασι, συναποδοθέντων καὶ τῶν ἰδίων αὐτοῦ. νυνὶ δὲ καὶ τῶν ἄλλων αὐτοῦ παθημάτων, ὅσα κατὰ συμπάθειαν τῆς ἄνωθεν ἀρχῆς ἐπιφέρει, μνημονεύσωμεν. Πρὶν μὲν οὖν παραφρονεῖν, πυκνὸν καὶ μικρὸν ἐργάζεται τὸ πνεῦμα· παραφρονούντων δ᾽ ἤδη, ποικίλως ἀνώμαλον, ὡς ἐν τοῖς περὶ δυσπνοίας ἐδείχθη. παραφροσύναι μὲν οὖν γίγνονται κἀπὶ τῷ τῆς γαστρὸς στόματι κακοπραγοῦντι, καὶ διακαέσι πυρετοῖς, καὶ πλευρίτισιν, καὶ περιπνευμονίαις· ἀλλ᾽ αἱ διὰ τὰς φρένας, ἐγγὺς τῶν φρενιτικῶν εἰσιν· ἐπὶ μὲν γὰρ τοῖς ἄλλοις μορίοις πάσχουσι, καὶ τοῖς διακαέσι πυρετοῖς, ἐν ταῖς παρακμαῖς αὐτῶν ἡ παραφροσύνη καθίσταται· ταῖς φρενίτισι δ᾽ ἴδιον ἐξαίρετον ὑπάρχει, τὸ μηδ᾽ ἐν ταῖς παρακμαῖς τῶν πυρετῶν παύεσθαι τὴν παραφροσύνην· οὐ γὰρ ἐπὶ συμπαθείᾳ κατ᾽ ἐκείνην τὴν νόσον ὁ ἐγκέφα-

C λος πάσχει, ἀλλὰ κατ᾽ ἰδιοπάθειάν τε καὶ πρωτοπάθειαν κάμνει, καὶ διὰ τοῦτο κατὰ βραχύ τε συνίσταται τοῦτο τὸ πάθος, καὶ οὐκ ἐξαίφνης παρακόπτουσιν ἢ ἀθρόως, ὡς ἐπὶ τοῖς ἄλλοις μορίοις, ὅσα πρόσθεν ἀρτίως· οὐκ ὀλίγα τε συμπτώματα προηγεῖται τῆς κατασκευῆς αὐτοῦ, καὶ καλεῖταί γε πάντα ταῦτα φρενιτικὰ σημεῖα, καὶ γεγράφασιν αὐτὰ πάντες οἱ πρὸ ἐμοῦ. τοῦτο μὲν γὰρ ἀγρυπνίας ἢ καί τινας ὕπνους θορυβώδεις ἐπὶ φαντάσμασιν ἐναργέσιν, ὡς καὶ κεκράξαι ποτὲ καὶ ἀναπηδῆσαι, προηγουμένους ἐστὶν ἰδεῖν· τοῦτο δὴ ἀλόγους

D ἐπιλησμοσύνας, ὡς αἰτήσαντας ἀμίδα τοὺς κάμνοντας οὐκέτ᾽ οὐρεῖν, ἢ οὐρήσαντας ἐπιλαθέσθαι προσδοῦναι τὸ σκεῦος, ἢ θορυβωδέστερον ἢ ὅλως θρασύτερον ἀποκρίνασθαι, καὶ μάλισθ᾽ ὅταν ἔμπροσθεν ᾖ κόσμιος. ἀλλὰ καὶ βραχυπόται πάντες εἰσὶν οὗτοι· καὶ μέγα καὶ ἀραιὸν ἀναπνέουσι· καὶ τοὺς σφυγμοὺς μικροτέρους τε καὶ νευρωδεστέρους ἔχουσι· καί ποτε καὶ τὰ κατ᾽ ἰνίον ὀδυνῶνται. πλησίον δὲ ἤδη τοῦ φρενιτίζειν ὄντες, αὐχμηροὺς ἱκανῶς ἴσχουσι τοὺς ὀφθαλμούς, ἢ τι κατὰ τὸν ἕτερον αὐτῶν δάκρυον ἐκχεό-

E μενον δριμύ, καὶ μετὰ ταῦτα καὶ λήμας, καὶ φλέβας τὰς ἐν αὐτοῖς μεστὰς αἵματος, ἐκ ῥινῶν τε στάξεις αἵματος, ἡνίκ᾽ ἤδη μηδὲ τὰς ἀποκρίσεις ἔμφρονας ἀκριβῶς ποιοῦνται, κροκυδίζουσί τε καὶ καρφολογοῦσι, καὶ πυρετὸν ἴσχουσιν αὐχμωδέστερον οὐ μεγάλας ἐφ᾽ ἑκάτερα μεταβολὰς ποιούμενον, ὥσπερ ἄλλοι τινὲς, ἀκμὰς μὲν σφοδροτάτας ἴσχοντες, ἐπιεικεῖς δὲ τὰς παρακμάς. τί δεῖ λέγειν περὶ γλώττης ἱκανῶς τραχείας, ἢ τοῦ παρακούειν ἐνίοτε, καί ποτε καὶ κατακεῖσθαι σκυθρωποὺς ἀποκρινομένους μόγις, ἢ μέρους τινὸς ὀδυνηρὰν ἔχοντος διάθεσιν, οὐ δὴ ὅλως αἰσθά-

F νεσθαι, κἂν σφοδρότερόν τις αὐτοῦ θίγῃ; κατὰ βραχὺ γὰρ οὕτως ἐπ᾽ ἐγκεφάλῳ πάσχοντι φρενιτίζουσιν, ἐπ᾽ ἄλλῳ δὴ οὐδενὶ μορίῳ τὸ συνεχές ἐστι τῆς παραφροσύνης, ὅτι μὴ διαφράγματι μόνῳ· πλησίον γάρ πως ἥκει τοῦ συνεχοῦς, ὡς δι᾽ αὐτὸ τοῦτο δόξαι δοκεῖν τοῖς παλαιοῖς, ἐπὶ τῷ μορίῳ τούτῳ φλεγμαίνοντι γίγνεσθαι φρενιτικούς, ὀνομάσαι τε φρένας αὐτὸ διὰ τὴν αὐτὴν ὑπόνοιαν, ὡς καὶ τῷ [31] φρονοῦντι μορίῳ συμβαλλόμενόν τι. διορίζεται δ᾽ ἡ ἀπὸ τούτου παραφροσύνη τῆς φρενιτικῆς, τοῖς τε κατὰ τοὺς ὀφθαλμοὺς

συμπτώμασι, καὶ τῆς ἐκ τῶν ῥινῶν αἵματος στάξεσιν, καὶ τῷ τῆς ἀναπνοῆς εἴδει· μέγα μὲν γάρ, καὶ διὰ πολλοῦ χρόνου τὸ πνεῦμα τοῖς ἐπ᾽ ἐγκεφάλῳ φρενιτικοῖς ἐφεξῆς ἐστιν ἀεί· τοῖς δ᾽ ἐπὶ τῶν φρεσίν, ἀνώμαλον, ὡς καὶ μικρὸν ποτε γίνεσθαι, καὶ πυκνόν, αὖθις τέ ποτε μέγα καὶ [30] στεναγματῶδες. ἀρχομένης μέντοι τῆς κατὰ τὸ διάφραγμα φλεγμονῆς, πρὶν παραφρονῆσαι, μικρὸν καὶ πυκνὸν ἀναπνέουσιν, ἔμπαλιν τοῖς ἐπ᾽ ἐγκεφάλῳ, προηγεῖται γὰρ ἐκείνοις μέγα καὶ ἀραιὸν πνεῦμα· καὶ συνελόντι φάναι, τῶν εἰρημένων ἀρτίως προηγεῖσθαι φρενίτιδος, ἤτοι γ᾽ οὐδὲν ἢ [31] μικρὰ συμβαίνει τοῖς ἀρχομένοις φλεγμαίνειν τὸ διάφραγμα· καθάπερ γε πάλιν, ἀνασπᾶσθαι μὲν ὑποχόνδριον ἴδιον αὐτῶν τῶν φρενῶν πασχουσῶν εὐθὺς [32] ἐξ ἀρχῆς, ἐπ᾽ ἐγκεφάλου δ᾽ ἐν τῷ ὕστερον ἐπιγινομένων, ἤδη κατασκευαζομένου τοῦ πάθους καὶ οὐκ ἀρχομένου· καὶ ἡ θερμασία δὲ πλείων ἐστὶ κατά τε τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ἐπὶ τῶν ἐν αὐτῇ τῇ κεφαλῇ τὴν κατασκευὴν ἐχόντων τῆς παραφροσύνης. τὰ δ᾽ ἄλλα τοῦ διαφράγματος πάθη, τά τε κατὰ πρωτοπάθειαν αὐτοῦ γινόμενα καὶ τὰ κατὰ συμπάθειαν, τὰ μὲν οὐκ ἔστι τῆς προκειμένης πραγματείας, ὅσα προδήλως πάσχει κατά τε τἄλλα συμπτώματα, καὶ τὰς ἐν αὐτῷ γινομένας ἀποστάσεις· τὰ δ᾽ ἐν τῷ πρόσθεν εἴρηται λόγῳ.

A lorum symptomatis, & sanguinis à naribus stillis, atque respirationis specie; nam à cerebro phreniticis spiritus magnus est semper & ex longis interuallis; at à septo, inæqualis, vt modò exiguus sit atque frequens, modò magnus & suspiriosus. Incipiente tamen septi transuersi inflammatione, priusquàm delirent, exiguum ac frequentem reddunt spiritum, contra quàm qui ob affectum cerebrum delirant, magna enim prodit his raraque spiratio. Atque vt summatim dicam, eorum symptomatum quæ phrenitidem antecedere diximus, aut B nullum apparet, aut perexiguum in iis, quibus septum transuersum inflammatione laborare incipit; vt rursus sursum reuelli hypochondriũ ilicò ab initio septi transuersi affecti proprium est, in cerebro verò posteriùs accidit, non incipiente affectu, sed quum factus iam fuerit; atque calor quoque circa caput & faciem vehementior est iis, qui ob cerebri vitium delirant. Reliqui septi transuersi affectus, siue primarii sint, siue per consensum, partim ab hoc nostro proposito sunt alieni, nempè qui manifestè apparent, vt tũ alia symptomata, tum abscessus in C ipso exorti; partim verò iam antea dicti sunt.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν κατὰ τὸν στόμαχον παθῶν.

ΤΟ μεταξὺ τῆς τε φάρυγγος καὶ τοῦ στόματος τῆς κοιλίας, ὅπερ οἰσοφάγον [33] ὠνόμαζον οἱ παλαιοί, στόμαχον εἰώθασιν οἱ μετ᾽ Ἀριστοτέλη προσαγορεύειν, αὐτοῦ τοῦ Ἀριστοτέλους οὐκ ἀεὶ τῷ παλαιῷ [34] καλοῦντος ὀνόματι τὸ μόριον τοῦτο τοῦ ζώου. χρεία δ᾽ αὐτοῦ διττή· μία μὲν ὡς ὁδοῦ τῶν καταπινομένων καὶ τῶν ἐμουμένων, ἑτέρα δέ, καθ᾽ ἣν ἐνεργεῖ τι πρὸς ἀμφοτέρας [36] τὰς ὁδούς, τῶν τ᾽ ἐκ τοῦ στόματος εἰς τὴν γαστέρα καταφερομένων, καὶ τῶν ἐξ ἐκείνης ἀναφερομένων εἰς τὸ στόμα· δύο γὰρ ἔχων ἑαυτοῦ μόρια, τοὺς ὀνομαζομένους ὑπὸ τῶν ἀνατομικῶν χιτῶνας, ἕλκει μὲν θατέρῳ τά τε ποτὰ καὶ τὴν τροφὴν εἰς τὴν κοιλίαν, ἐκπέμπει δὲ θατέρῳ κατὰ τοὺς ἐμέτους. εἰκότως οὖν ἐστι δύο γένη τῶν παθῶν αὐτοῦ, τὸ μὲν ἕτερον, ὡς ὁδοῦ τῶν καταπινομένων· τὸ δ᾽ ἕτερον ὡς ὀργάνου τῶν ἐμουμένων τε καὶ καταπινομένων. ὅτι δ᾽ αὐτῶν τούτων τῶν δύο χρειῶν, ἡ ἑτέρα μὲν ἀναγκαία διαπαντός ἐστιν, ἡ δὲ ἑτέρα κατά τινας καιρούς, εὔδηλον παντί. τὸ μὲν οὖν ὡς ὁδοῦ σιτίων γένος ἐν αὐτῷ τῶν συμπτωμάτων ἐστί, ὅταν ὑπό τινος τῶν παρὰ φύσιν ὄγκων στενοχωρία τοῦ κατ᾽ αὐτὸν γίνηται πόρου· τὸ δ᾽ ἕτερον, ὅτ᾽ ἂν αὐτὸς ἀδυνατῇ τὰς ἰδίας ἐνεργείας ἐπιτελεῖν. εἴρηται μὲν οὖν καὶ πρόσθεν, ἡνίκα περὶ κυνάγχης ὁ λόγος ἐγίνετο τῆς ἑπομένης τῇ μεταστάσει τῶν ἐν τῷ τραχήλῳ σπονδύλων, ὡς ἐπίκτητος αὐτῷ στενοχωρία συμπίπτει ὑπ᾽ αὐτῶν θλιβομένῳ· καὶ νῦν δ᾽ ἀναμνησθῶμεν καὶ αὐτὸ τοῦτο, συναναμεμνήσθωσαν δὲ καὶ οἱ τῶν ὑποβεβλημένων αὐτῷ μυῶν ὄγκοι, καθ᾽ ὅντιναοῦν τρόπον γινόμενοι, δεδήλωνται γὰρ ἅπαντες ἐν τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων. ἐφ᾽ ἁπάντων δὲ τούτων κοινὸν ἡ ἐν τῷ καταπίνειν στενοχωρία, τοσαύτη γινομένη πολλάκις, ὡς ἀναπέμπεσθαι τὸ ποτὸν εἰς τὰς ῥῖνας. ὅταν μέντοι φλεγμήνας αὐτός, οἴκοθεν ἔχῃ τὴν στενοχωρίαν, οὐκ ἐκ τῶν γειτνιώντων ἐπίκτητον,

CAPVT V.

De gulæ affectibus.

EAm partem quæ inter fauces & os ventriculi media est, quam veteres œsophagon nominabant, qui post Aristotelem scripserunt, stomachum appellare consueuerunt, ipso Aristotele prisco vocabulo hanc animalis partem non semper nominante. Eius duplex est vsus, vnus quo veluti via est eorum quæ deuorantur & eorum quæ euomuntur, alter quo circa D vtranque viam actionem quandam edit, tum eorum quæ ab ore in ventriculum deferuntur, tum eorum, quæ ab hoc ad os eleuantur. Quum enim geminæ sint ei partes, quas dissectores tunicas appellant, alterâ tum cibum tum potum in ventriculũ trahit, alterâ per vomitus amandat. Proinde rationi consentaneè duo sunt affectuum ipsius genera, alterum vt viæ eorum quæ deglutiuntur, alterum vt instrumenti eorum quæ tum euomuntur, tum deuorantur. Constat verò duorum iam memoratorum vsuum, alterum quidem semper esse necessa- E rium, alterum verò propter occasiones quasdam. Igitur eorum symptomatum, quæ ipsum, tanquam viam ciborum infestant, genus est, quum ob tumorem aliquem præter naturam angustior fit ipsius meatus; alterum quum proprias actiones ipse perficere nequit. Enimuerò iam antea, vbi de angina, quæ vertebrarum ceruicis luxationem sequitur, sermo habebatur, diximus, quòd acquisititia ei angustia accidit, vbi à vertebris ipsis comprimitur; cuius rei nunc quoque admonitum te esse velim, nec F obliuisci quoque tumores eorum musculorum qui gulam inuoluunt, quomodocunque fiant, nam de omnibus in libro de tumoribus præter naturam dictum est. Cæterum in his omnibus communis est tanta sæpenumerò inter deuorandum angustia, vt potus ad nares remittatur. Quum verò inflãmatione affecta ipsa, propriâ angustiâ, non à vicinis partibus acquisitâ, torquetur,

quetur, tum grauiſſimus inter deglutiendum dolor infeſtat, accedente difficili tranſitu; ac præſertim ſi ſupinus, qui laborat, iacens, tranſglutire quippiam conetur. Quocirca ſitum transformare, atque erigere ſeſe ſtudent, ex accidente ipſo edocti faciliorem in hac forma ſibi fieri deglutitionem, adeò vt haud parum ciborum in decliues partes delatio conferre videatur, vtpote quæ poſſit ſæpenumerò vel ſola fieri, ſi ex ore vſque ad gulæ initium facta fuerit expreſſio; à ſupino verò decubitu nullum ſperatur auxilium, quò facilius ad infernas partes ferantur alimenta, ſed à ſola gulæ actione deuorandi munus perficitur; at non latet vos, partium inflammatione affectarum nullam non dolere, quum ſuo munere fungitur; contra vbi quieuerit, dolorem mitigari. Quum autem gula ſentiendi facultate ſit prædita, eâ ipſâ quoque vti licebit partis dote ad affectus eius dignoſcendos, ex ægrotantis interrogatione, quum omnino haud fuerit adeò ſtolidus, vt quid ipſum lædat, narrare non poſſit; nam ſi poſſit animi ſenſa interpretari, gulæ ſenſus maximum præſtabit adiumentum ad affectuum ipſius dignotionem. Etenim imbecillitatem nonnunquam percipere ſe dicunt, vt longo vix temporis ſpacio per gulam tranſeant ea, quæ ingeſta ſunt; aliquando ad primum impetum facilè deſcendant, deinde rurſus arceantur, vt videantur impacta; demum per reſiduum ſpacium immoleſtè, ac facillimè labantur. Horum primum actionis imbecillitatem, alterum, partis cuiuſpiam anguſtiam indicat; vtriuſque differentias ex reliquis ſymptomatis intelligere licet. Nam in imbecillitate, quum ob ſolam intemperiem citra tumorem præter naturam fit, ingeſtorum in tranſitu tarditas æqualis & ſine dolore accidere conſueuit, & in ſupino decubitu augetur, erectâ verò ceruice mitigatur, citra vllum anguſtiæ ſenſum. Vbi verò cum tumore *eſt imbecillitas*, vnam quampiam partem anguſtiorem cæteris efficit, atque per eam tardior eſt tranſitus. Quòd ſi tumor autem phlegmonodes fuerit, aut eryſipelatodes, accedit ei pariter, & dolor, & ſitis, & multi caloris ſenſus, & febris non admodum ardens, quæ ſiti proportione haudquaquam reſpondet. Si verò tumor aliquis ex non calidis fuerit, tum citra febrem, & calorem, & ſitim, deglutitionis inæqualitas eueniet, retentis in parte quapiam alimentis, præſertim ſi maiuſculum, atque ſolidum fuerit id quod deuoratur, acceditque dolor aliquis exiguus. Quum aliquando huiuſcemodi ſymptomata longo temporis tractu apparuiſſent, accedente nonnunquam ephemerâ febre, nonnunquam etiam horrore; quum coniiceremus abſceſſum concoctu difficilem eſſe in gula; accidit procedente tempore, vt laborans ipſe ruptionis ſenſum perciperet, ac ſubinde pus euomeret, non ſolùm eodem, ſed poſtero quoque die, atque tertio; deinde ſuccedebant ei deinceps omnia vlceratæ gulæ ſigna. Etenim ſiue acria, ſiue acida, ſiue ſalſa, ſiue acerba deuoraret, vellicationem, aut aſtrictionem ſentiebat, dolebatque hac in parte, vel nihil deglutiendo, ſed moderatiùs; vehementiorem enim dolorem excitabant mordentia & adſtringentia. Hic ergo longo temporis ſpacio vix ſeruatus eſt, ipſi

A ὀδύνη σφοδρὰ γίνεται καταπινόντων, ἅμα τῇ δυσχερείᾳ τῆς διεξόδου· καὶ μάλιστα ὅταν ὁ κάμνων ὕπτιος κατακείμενος ἐπιχειρῇ καταπίνειν. διὸ καὶ μετασχηματίζεσθαι προθυμοῦνται, καὶ ἀνακαθίζειν, αὐτῷ τῷ συμβαίνοντι διδασκόμενοι, ῥᾷον ἐν τούτῳ τῷ σχήματι καταπίνοντες, ὡς ἂν οὐ μικρὰ συντελούσης τῆς εἰς τὸ κάταντες φορᾶς τῶν σιτίων, καὶ δυναμένης γε πολλάκις καὶ μόνης γίνεσθαι, μετὰ τὴν ἐκ τοῦ στόματος ἔκθλιψιν εἰς τὴν ἀρχὴν τοῦ στομάχου· κατὰ δὲ τὴν ὑπτίαν κατάκλισιν, οὐδεμία βοήθεια πρὸς τὸ κάταντες γίνεται φορᾶς, ἀλλ'
B ὑπὸ μόνης τῆς κατὰ τὸν στόμαχον ἐνεργείας ἐπιτελεῖται τὸ τῆς καταπόσεως ἔργον. ἅπαντα δ' ἴστε τὰ φλεγμαίνοντα μόρια, κατὰ μὲν τὰς ἐνεργείας ὀδυνώμενα, παρηγορούμενα δ' ἐν ταῖς ἡσυχίαις. αἰσθητικοῦ δ' ὄντος τοῦ στομάχου, συγχωρεῖσθαι πάρεστι καὶ τούτῳ τῷ πλεονεκτήματι τοῦ μορίου πρὸς τὴν διάγνωσιν τῶν ἐν αὐτῷ παθῶν, ἐκ τῆς τοῦ κάμνοντος ἀνακρίσεως, ὅταν γε μὴ παντάπασιν ἠλίθιος ὑπάρχων, ἀδυνατεῖ σαφῶς ἑρμηνεύειν ἃ πάσχει· ὡς ἐάν γε δυνατὸς ἑρμηνεύειν ᾖ, μέγιστον πλεονέκτημα πρὸς τὴν διάγνωσιν αὐτοῦ τῶν παθῶν ἐστιν ἡ γινομένη κατὰ τὸν στόμαχον αἴσθησις. ἐνίοτε μὲν γὰρ ἀτονίας αἰ-
C σθάνεσθαί φασιν, ἐν πολλῷ χρόνῳ μόγις διεξερχομένων[37] τὸν στόμαχον τῶν δι' αὐτοῦ φερομένων· ἐνίοτε δὲ κατὰ μὲν τὴν πρώτην ὁρμὴν ἑτοίμως κατιόντων, ἰσχομένων δ' αὖθις, ὡς ἐσφηνῶσθαι δοκεῖν, εἶτα τὸ ὑπόλοιπον τῆς φορᾶς ἀλύπως τε καὶ ῥᾷστα διεξερχομένων. ὁ μὲν οὖν πρότερος τρόπος ἀτονίαν ἐνδείκνυται τῆς ἐνεργείας, ὁ δὲ δεύτερος στενοχωρίαν καθ' ἕν τι μόριον· ἑκατέρου δ' αὐτῶν τὰς διαφορὰς, ἐκ τῶν ἄλλων συμπτωμάτων ἔνεστι γνωρίζειν. [ἐπὶ μὲν γὰρ τῆς ἀτονίας, ὅταν κατὰ δυσκρασίαν μόνην γίνηται χωρὶς ὄγ-
D κου παρὰ φύσιν, ἡ κατὰ τὴν διέξοδον, ὧν καταπίνουσι βραδύτης, ὁμαλὴ καὶ χωρὶς ὀδύνης, ἐπιτεινομένη μὲν ἐν ταῖς ὑπτίαις κατακλίσεσιν, παραμυθουμένη δὲ ἐν τοῖς ὀρθίοις τοῦ τραχήλου σχήμασιν, ἄνευ τῆς κατὰ τὴν στενοχωρίαν αἰσθήσεως εἴωθε συμβαίνειν. [ἡ δὲ σὺν ὄγκῳ τινὶ, στενοχωρίαν τε φέρει καθ' ἕν τι μόριον παρὰ τἄλλα, καθ' ὃ καὶ χρόνιος ἡ διέξοδος γίνεται· κἀπειδὰν ἤτοι φλεγμονώδης, ἢ ἐρυσιπελατώδης ὄγκος ᾖ, καὶ σὺν ὀδύνη καὶ δίψει καὶ θερμασίας πολλῆς αἰσθήσει, μετὰ πυρετῶν οὐ πάνυ τι θερμῶν οὐδὲ κατὰ τὴν ἀναλογίαν τοῦ δίψους· ἐὰν δέ τις τῶν μὴ πάνυ θερμῶν ὄγκων ᾖ, χω-
E ρίς γε πυρετοῦ καὶ θερμασίας καὶ δίψης, τὸ τῆς καταπόσεως ἀνώμαλον γίνεται, καθ' ἕν τι μέρος ἰσχομένων τῶν σιτίων, καὶ μᾶλλον ὅταν ἁδρομερέστερά τε καὶ σκληρότερα καταπίνεται, καὶ σὺν ὀδύνῃ τινὶ βραχείᾳ. [τοιούτων συμπτωμάτων ἐν χρόνῳ πολλῷ γινομένων, καί ποτε καὶ πυρετῶν ἐφημέρων συμπιπτόντων, καὶ φρίκης ἔστιν ὅτε, στοχαζομένοις ἡμῖν ἀπόστημα δύσπεπτον ἐν τῷ στομάχῳ γίνεσθαι, συνέβη τοῦ χρόνου προϊόντος αἴσθησιν αὐτῷ τῷ κάμνοντι γενέσθαι ῥήξεως, ἐφ' ᾗ
F πύον ἤμεσεν, ἔν τε τῷ παραχρῆμα καὶ κατὰ τὴν ὑστεραίαν καὶ τρίτην ἡμέραν, εἶτ' ἠκολούθησεν αὐτῷ τἄλλα πάντα ἐφεξῆς ἡλκωμένου στομάχου σημεῖα. καὶ γὰρ ἐπὶ τοῖς δριμέσι καὶ ὀξέσι καὶ ἁλυκοῖς καὶ στρυφνοῖς καταπινομένοις ᾐσθάνετο δήξεως ἢ στύψεως, ἤλγει τε κατ' ἐκεῖνο τὸ μέρος, εἰ καὶ μηδὲν κατέπινεν, ἀλλὰ μετρίως· ἰσχυροτέραν γὰρ τὰ δάκνοντα καὶ στύφοντα, τὴν τῆς ὀδύνης αἴσθησιν[38] εἰργάζετο. οὗτος μὲν οὖν ἐν πολλῷ χρόνῳ μόγις

[Marginal manuscript notes: τὸν στόμαχον; περὶ ἀτονίας στομάχου; περὶ ὄγκου φλεγμονώδους ἢ ἐρυσιπελατώδους; φ; περὶ ἑλκώσεως στομάχου]

ἐσώθη, συμβαλλούσης αὐτῷ καὶ τῆς ἡλικίας. ὅσοι δὲ πρεσβύτεροι αὐτοῦ, διεφθάρησαν. ἥγε μὴν ὀδύνη πᾶσι τοῖς ἐν στομάχῳ τι πάθος ἀλγεινὸν ἔχουσι, κατὰ τὸ μετάφρενον διαφαίνεται. καὶ ἡ αἰτία πρόδηλος, ἑωρακόσιν ὑμῖν ἐπικείμενον τῇ ῥάχει τὸν στόμαχον. ὅτι δὲ κατὰ τοὺς αὐτοὺς τρόπους καὶ τὴν κατὰ τὸν στόμαχον ἀγγείων ἔμεσιν αἷμα, καθ' ὃν καὶ τῶν ἄλλων ἁπάντων, εὔδηλόν ἐστιν. ἀλλ' αἱ μὲν κατὰ ῥῆξιν αἵματος διαφοραί, σὺν ἀλγήμασι γίγνονται διασημαίνουσαι τὸν τόπον, ἐν ᾧ γέγονεν ἡ ῥῆξις. ὁμοίως δ' αὐταῖς καὶ αἱ κατὰ διάβρωσιν, ἢ ἀνάβρωσιν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι. αἱ δὲ κατ' ἀναστόμωσιν, ἀνώδυνοι τελέως εἰσίν, αὐτῷ τε οὖν τούτῳ διορίζονται τῶν ἑτέρων, καὶ τῷ μήτ' ἐπὶ πληγῇ σφοδρᾷ, μήτ' ἐπὶ καταπτώσει γεγονέναι, καθάπερ αἱ ῥήξεις εἰώθασι γίγνεσθαι. συμβαίνουσι δὲ καὶ χωρὶς προφάσεως τῆς ἔξωθεν, ἐνίοτε ῥήξεις ἀγγείων ὑπὸ πλήθους αἵματος. αἱ δὲ κατὰ διάβρωσιν, ἑλκώσεως προηγησαμένης γίγνονται. τὴν δ' ἕλκωσιν, αἵ τε ῥήξεις τῶν ἀγγείων ποιοῦσιν, καὶ αἱ τῶν κακοήθων χυμῶν ἐπιρροαί, καθάπερ ὁρῶνται κἀπὶ τοῦ δέρματος συμβαίνουσαι πολλάκις.

quoque conferente ætate; eo verò natu maiores, ferè omnes perierunt. Sanè quotquot dolorificum quêpiam in gula habent affectũ, omnes dorsi quoque dolorem sentiunt; cuius rei causa perspicua est vobis, qui gulam spinæ incumbentem vidistis. Conspicuum autem est, quòd ex gulæ vasis modis eisdem, quibus ex reliquis omnibus, sanguis euomatur. At ob ruptũ vas sanguinis reiectiones cum doloribus fiunt, quibus locum rupturæ produnt; nec secus, quæ venæ erosione vel derosione, siue aliter quomodolibet nominare volueris, obortæ sunt; quæ verò prorsus aperto vasis ore, hæ doloris sunt expertes; atque hac re à reliquis distinguuntur, ac præterea quòd neque ictu, neque casu concitatæ sint, veluti rupturæ fieri consueuerunt. Accidunt autem & citra causas externas interdum à plenitudine sanguinis, vasorum ruptiones. Quæ verò ob venæ erosionem fiunt, eas vlcus præcessit; fit autem vlcus, vel rupto vase, vel malignorum humorum affluentiâ; vt in cute quoque sæpenumerò accidere videmus.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τῶν κατὰ τὸ στόμα τῆς κοιλίας παθῶν.

ΤΟ στόμα τῆς κοιλίας οἱ παλαιοὶ καρδίαν ὠνόμαζον, ἀφ' ὧν ἐπιφέρει συμπτωμάτων, ὥς φασιν, οὕτω προσαγορεύσαντες. οὐ γὰρ μόνον ὡς καρδιακαῖς συγκοπαῖς, οὕτω καὶ στομαχικαῖς ἁλίσκονταί τινες, ἀλλὰ καὶ σπασμοῖς, καὶ κάροις, ἐπιληψίαις τε καὶ μελαγχολίαις, ἤδη δὲ καὶ τοῖς τῶν ὑποχεομένων συμπτώμασιν, ὡς ἐν τῷ περὶ τῶν ὀφθαλμῶν λόγῳ πρόσθεν εἴρηται. καὶ ταῦτα πάντα, συμπασχόντων αὐτῷ γίγνεται μορίων ἑτέρων. ἐπεί τοι κατὰ τὸν ἴδιον λόγον ἀνορεξίας τε καὶ διαφθορὰς τῶν ἐπιπολαζόντων ἐργάζεται σιτίων, ὡς τά γ' ἐν τῷ πυθμένι τῆς κοιλίας στηρίζεσθαι πεφυκότα, καὶ μάλιστα ὅταν ᾖ δυσδιάφθαρτα, τοιοῦτον οὐδὲν πάσχει. προσέχειν οὖν ἀκριβῶς χρὴ τοῖς κατὰ συμπάθειαν ἐπ' αὐτῷ γινομένοις παθήμασι, καὶ χωρίζειν αὐτὰ τῶν κατὰ πρωτοπάθειαν ἐκείνοις τοῖς μορίοις γιγνομένων, ὧν τὰς ἐνεργείας λυμαίνεται τὸ τῆς γαστρὸς στόμα πάσχον, ὅπερ ὡς οἱ παλαιοὶ πάντες ὠνόμαζον καρδίαν, οὕτως οἱ νῦν ὀνομάζουσι στόμαχον. ὁ διορισμὸς δὲ ἐκ τῶν προειρημένων μάλιστα γίγνεται κατάδηλος, ἀνδρὶ γεγυμνασμένῳ περὶ τὰς διαγνώσεις. ἰδιότητες γάρ τινες ἄρρητοι προσέρχονται τοῖς ῥητοῖς συμπτώμασιν, αἳ βεβαιοῦσι τὰς διαγνώσεις τῶν πεπονθότων μορίων. ἐκείνας μὲν οὖν ἕκαστος ἑαυτῷ προσεξευρήσει, τὰ δ' οἷον θεμέλια τῆς ὅλης διαγνώσεως, ἐξ ὧν οἱ φιλόπονοι καὶ τὰς ἀδυνάτους ῥηθῆναι τῶν συμπτωμάτων ἰδιότητας αὐτοὺς διδάξουσιν, ἐγὼ διηγήσομαι. νεανίσκος τις ἡλίσκετο τοῖς τῆς ἐπιληψίας πάθεσι, γραμματικός, ἡνίκα μάλιστα σφοδρότερον ἐδίδασκεν, ἢ ἐφρόντισεν, ἢ ἐπιπλέον ἠσίτησεν, ἢ ἐθυμώθη. τούτῳ τὸ στόμα τῆς κοιλίας ὑπενόησα πάσχειν, εὐαίσθητον ὑπάρχον, ἐφ' ᾧ κατὰ συμπάθειαν τὸν ἐγκέφαλον, ὅλον τὸ σῶμα κραδαίνειν σπασμωδῶς. ἐκέλευσα τοιγαροῦν εὐπεψίας μόνης αὐτὸν ἀκριβοῦς προνοεῖσθαι, τρίτης δ' ὥρας ἢ τετάρτης ἄρτον ἐπιμελῶς ἐσκευασμένον προσφέρεσθαι,

CAPVT VI.

De oris ventriculi affectibus.

OS ventriculi veteres cor nominabant, à symptomatis quæ inducit (vt aiunt) sic appellatum; non enim solùm, vt cardiacis syncopis, ita & stomachicis nonnulli corripiuntur, sed etiam conuulsionibus, & sopore, & morbo comitiali, & melancholia, nec non symptomatis, qualia per suffusiones infestant, vt iam antea quum de oculis loqueremur, dictum est. Atque omnes hi affectus, consentientibus ei cæteris partibus fiunt; nam ex propria sui ratione appetentiæ deiectiones, & innatantium ciborum corruptiones facit, quandoquidem, qui in fundo ventriculi suaptè natura firmari solent, præcipueque si non facilè corrumpantur, nihil horum patiuntur. Igitur exactè animum aduertere oportet, vt discernantur affectus, qui ex ipso per consensum eueniunt, ab ijs qui huiusmodi partibus, quarum actiones lædit os ventriculi affectum (quod vt veteres omnes cor appellabant, ita nostrâ tempestate stomachus vocatur) primariò accidere censentur. Sed hæc inter se discernere facile poterit vir assiduâ exercitatione circa dignotiones versatus, ex ijs quæ præcesserunt. Nam proprietates quædam ineffabiles symptomatis enarrandis succedunt, quibus certiores euadunt affectarum partium notæ; sed has quidem vnusquisque per se inuenire poterit; quæ verò tanquam fundamenta vniuersæ dignotionis existunt, ex quibus studiosissimi quique etiam ineffabiles symptomatum proprietates per se discunt, nos explicabimus. Grammaticus quidam iuuenis, quoties nimis vehementer doceret, aut cogitaret, aut diutius inediã sustineret, aut irasceretur, comitiali morbo corripiebatur. Huic suspicatus sũ os ventriculi (vt pote quod facilè sentiret) affici, ac deinde per consensum, cerebrum corpus vniuersum conuulsione concutere. Iussi igitur eum probam cõcoctionem solam accuratè procurare, ac tertiâ vel quartâ horâ panem optimè preparatum sumere, atque hunc quidem

quidem solum, si non sitiret; si sitiret, ex vino diluto albo, atque modicè adstringente; nam huiusmodi vina ventriculum robustum efficiunt, neque tentant caput, vt vehementia. Quum igitur hac victûs ratione vtens, non vt antè afficeretur, exactam tum notitiam habui eorum, quæ priùs solâ coniecturâ consequebar, ac quolibet anno bis aut ter medicamentum amarum ex aloë ei exhibui; quandoquidem & totum ventrem ab excrementis purgat, & ad proprias actiones roborat. Atque ita vir ille plusquam viginti annis, quibus postea superstes permansit, integrâ valetudine vitam exegit; quòd si aliquando ob ingruentia negotia diutiùs à cibo abstinere cogeretur, breuissimâ quadam conuulsione vexabatur. Iam alios quoque vidimus conuulsione comitiali ob oris stomachi vitium correptos, quum aut non probè concoxissent, aut vini meracioris plurimùm potassent, aut veneri intempestiuæ operam dedissent. Quinetiam per febres quosdam conspeximus derepentè conuulsione prehendi, nullo quod eam præsagiret, præcedente indicio, qui bilioso superueniente vomitu, protinus ab omni noxa liberati fuerunt. Atque hoc modo affectorum nonnulli fusca vomuerunt; alij porri succo similia; quidam etiam vitiosorum eduliorum copiâ grauati, soporosi facti sunt, donec ea quæ os ventriculi opprimebant, omnia euomuissent. Atqui horum syptomatum vix vllum crederes à ventriculi ore procedere, quemadmodum nec syncopas quoque, nisi crebrò ita euenire videretur. Nerui enim non pauci ad ipsum ex cerebro perueniunt, non tamen tot, vt per eos tantus sperari possit principii consensus, vt inde conuulsio inferatur; atque magis etiam, cor ipsum tam vehementer ori ventriculi consentire, vt protinus sequatur syncope. Porrò multos non solùm insomnia, & somni tumultuosi molestant, sed amentia quoque, propter vitiosum humorem in ore ventriculi aceruatum. De flatulento verò vocato & hypochondriaco morbo nemo non dixit, quomodo tristitiam, desperationem, mœstitiam inducat, atque vt summatim dicam, ad melancholiæ symptomata nihil reliqui faciat. Atque hi etiam apparent, post cruditates, dictis symptomatis multò vehementiùs infestari; plures ex ipsis splenici quoque sunt; vnde coniiciat quis ex hoc etiam viscere vitiosam saniem in ventriculum irruere. Ergo quæ symptomata vel cerebrum, vel oculos afficiunt, vitiosorum humorum vaporationem sequuntur. At syncope stomachica, ob dolorum proprietatem exolutionem inducit; eius quoque intemperie ad cor fortassis perueniente, vt quum id quoque vehementem intemperiem susceperit, vires celeriter cadere necesse sit. Atque constat etiam picas vocatas mulieribus accidere, vbi hæc pars affecta est; quæ enim, aut canum more, aut nihil omnino, aut malos cibos appetunt, iis hæc omnia appetentiæ instrumento læso accidere certum est; quod os ventriculi esse demonstratum est. Sic etiam nauseæ vocatæ, cardialgiæ, singultus huiusce

A μόνον μὲν εἰ ἄδιψος εἴη, διψῆς δ' αἰσθανόμενον, ἐξ οἴνου κεκραμένου τῶν ἠρέμα συφόντων καὶ λευκῶν· οὗτοι γὰρ καὶ τονοῦσι τὴν γαστέρα, καὶ τὴν κεφαλὴν οὐ πλήττουσιν, ὥσπερ οἱ σφοδροί. ὡς δὲ τοῦτ' αὐτῷ πράττοντι συνέβαινε μηδὲν πάσχειν, ἀκριβῆ τε γνῶσιν εἶχον ὧν ἐστοχαζόμην ἔμπροσθεν, ἐδίδουν τ' αὐτῷ τὸ διὰ τῆς ἀλόης πικρὸν φάρμακον δίς που καὶ τρὶς ἑκάστου ἔτους, ὅπερ καθαίρει τε τῶν περιττωμάτων ὅλην τὴν γαστέρα καὶ ῥώννυσι πρὸς τὰς οἰκείας ἐνεργείας. ἔτεσιν οὖν ὁ ἀνὴρ οἷς ἐπεβίω πλέοσι τῶν εἴκοσι, ὑγιαίνων ἀμέμπτως διετέλεσεν· εἰ δέ που σπανίως
B ὑπὸ περιστάσεως πραγμάτων, ἄσιτος ἠναγκάσθη διατελέσαι, συνέβαινεν ἁλίσκεσθαι βραχυτάτοις αὐτὸν σπασμοῖς. ἐθεασάμην δὲ καὶ ἄλλους ἀπὸ τοῦ στόματος κοιλίας ἐπιληπτικῶς σπωμένους, ὁπότε σφοδρῶς ἠπέπτησαν, ἢ οἴνου πλέονος ἀκρατεστέρου πίνοιεν, ἢ ἀφροδισίοις ἀκαιροτέροις χρήσαιντο. τινὰς δὲ ἐν πυρετοῖς ἐθεασάμην σπασθέντας ἐξαίφνης οὐδενὶ προηγησαμένῳ σημείῳ τῶν προδηλούντων σπασμόν, οἷς ἐπιγινομένου χολώδους ἐμέτου, παραχρῆμα συνέβη πάντων ἀπαλλαγῆναι τῶν ὀχληρῶν. ἔνιοι
C δὲ τῶν οὕτω παθόντων ἤμεσαν φαιά, καί τινες ὅμοια πρασίου χυλῷ, τινὲς δ' ὑπὸ πλήθους ἐδεσμάτων μοχθηρῶν βαρυνόμενοι, καρώδεις ἐγίνοντο, μέχρι τοῦ τὰ θλίβοντα τὸ στόμα τῆς κοιλίας ἐξεμέσαι πάντα. τούτων οὐδὲν ἠλπισεν ἄν τις ἐπὶ στόματι κοιλίας γίνεσθαι, καθάπερ οὐδὲ τὰς συγκοπάς, εἰ μὴ πολλάκις ἑωρᾶτο γινόμενα· νεύρων γὰρ ἔχει πλῆθος ἐξ ἐγκεφάλου καθηκόντων, οὐ μὴν ὥστε προσδοκῆσαι δι' αὐτῶν εἰς τοσοῦτον συμπαθείας ἀφικέσθαι τὴν ἀρχήν, ὡς σπασμοὺς ἐπιφέρειν· ἔτι δὲ μᾶλλον οὐδὲ τὴν καρδίαν εἰς τηλικαύτην ἔρχεσθαι συμπα-
D θειαν πάσχοντι τῷ στόματι τῆς κοιλίας, ὡς ὀξεῖαν ἀκολουθῆσαι συγκοπήν. ἐγίνοντο δὲ πολλοῖς οὐ μόνως ὀνείρατα καὶ ὕπνοι θορυβώδεις, ἀλλὰ καὶ παράνοιαι, διὰ χυμὸν μοχθηρὸν ἐν τῷ στόματι τῆς κοιλίας ἀθροισθέντα. περὶ δὲ τοῦ φυσώδους τε καὶ ὑποχονδριακοῦ καλουμένου νοσήματος, οὐδείς ἐστιν ὃς οὐκ εἴρηκεν, ὅπως δυσθύμους καὶ δυσέλπιδας καὶ σκυθρωποὺς ἀπεργάζεται, καὶ τὸ σύμπαν φάναι, μηδὲν ἀπολειπομένους τῶν μελαγχολικῶν. φαίνονται δὲ καὶ οὗτοι μετὰ τὰς ἀπεψίας σφοδρότε-
E ρον ἁλισκόμενοι τοῖς εἰρημένοις συμπτώμασιν· οἱ πλείους δ' αὐτῶν καὶ σπληνώδεις εἰσίν, ὡς λογίσασθαί τινα, κἀκ τούτου τοῦ σπλάγχνου συρρεῖν εἰς τὴν γαστέρα μοχθηρὸν ἰχῶρα. ὅσα μὲν οὖν κατὰ τὸν ἐγκέφαλον, ἢ τοὺς ὀφθαλμοὺς γίνεται συμπτώματα, [40] μοχθηρῶν ἀναθυμιάσεσιν ἕπεται χυμῶν· αἱ στομαχικαὶ δὲ συγκοπαί, διὰ τὴν ἰδιότητα τῶν κατ' αὐτὸν ἀλγημάτων ἔκλυσιν ἐπιφέρουσιν, ἴσως δὲ καὶ τῆς δυσκρασίας αὐτοῦ διϊκνουμένης εἰς τὴν καρδίαν, ὡς κἀκείνης ἐν δυσκρασίᾳ μεγάλῃ γινομένης ἀθρόαν κατάπτωσιν ἀκολουθῆσαι τῆς
F δυνάμεως. εὔδηλον δ' ὅτι καὶ ταῖς γυναιξὶν αἱ καλούμεναι κίτται γίνονται, τοῦ μορίου τούτου πάσχοντος· ὅσα γὰρ ὀρεγομέναις κυνωδῶς ἢ μηδ' ὅλως ὀρεγομέναις ἢ μοχθηρῶν ἐδεσμάτων ὀρεγομέναις γίνεται, ταῦτα πάντα τοῦ τῆς ὀρέξεως ὀργάνου παθήματά ἐστι, ὃ ἐδείχθη τὸ στόμα τῆς γαστρός· ὡσαύτως δὲ καὶ αἱ καλούμεναι ναυτίαι, τούτου τοῦ μέρους εἰσὶ παθήματα, καθάπερ γε καὶ καρδιαλγίαι, καὶ λύγγες,

τὰς δ' αἰτίας ἁπάντων τῶν τοιούτων παθημάτων, ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις εἴπομεν, ὡς οὐδὲν ἔτι δεῖ διατρίβειν ἐν τῷδε. καὶ γὰρ ὅσαι κατὰ δυσκρασίαν αὐτῷ γίγνονται διαφοραὶ νοσημάτων, ὡς ὁμοιομερεῖ σώματι συμβαίνουσαι, διήλθομεν ἐν ἐκείνοις· ὅσα δ' αὐτῷ συμπίπτειν εἴωθεν ὀργανικὰ νοσήματα, σαφῆ τὴν διάγνωσιν ἔχει, καὶ λαθεῖν ὑμᾶς οὐκ ἂν οὐδὲν αὐτῶν δύναται μεμνημένους τῶν κοινῶν ἐπ' αὐτοῖς σημείων, ἔμπροσθέν τε λελεγμένων ἐν τοῖσδε τοῖς ὑπομνήμασιν, ἐν ἑτέροις τέ τισιν εἰρησομένων. οὔτε γὰρ ἀποστήματα γιγνόμενα κατὰ τὸν τόπον τοῦτον, οὔτε φλεγμονώδεις, ἢ ἐρυσιπελατώδεις ὄγκοι λάθοιεν ἂν ἡμᾶς, ὥστ' οὐδ' ἕλκη· διάγνωσις μὲν γὰρ αὐτῶν κοινὴ τοῖς ἐπὶ τοῦ στομάχου προειρημένοις, ἐναργεστέρα δὲ τοσοῦτον, ὅσον αἰσθητικώτερόν ἐστι τὸ μόριον τοῦτο, καὶ πρόχειρον καὶ σαφῆ τὴν διάγνωσιν ἔχον. ὡσαύτως δὲ καὶ περὶ τῆς τοῦ αἵματος ἐξ αὐτοῦ πτύσεως, ἡ μὲν τῶν σημείων ἰδέα κοινὴ τοῖς ἐπὶ στομάχου προειρημένοις, ἡ διάγνωσις δ' ἐναργεστέρα. [Εἰκὸς μὲν δήπου καὶ τὸ κύτος ὅλον τῆς κοιλίας ἐν ὁμοίᾳ διαθέσει ταῖς ἐπὶ τοῦ στόματος αὐτῆς εἰρημέναις γίγνεσθαι, καὶ τὰ συμπτώματα φέρειν ὅμοια· τῷ δ' εἶναι πολὺ βιαιότερα τὰ κατὰ στόμα, παρορᾶσθαί τε καὶ καταφρονεῖσθαι πρὸς τῶν ἰατρῶν, ὡς οὐδ' ὅλως γιγνόμενα, τὰ κατὰ τὸ κάτω μέρος τῆς γαστρός· ἀλλά τό γε τῆς πέψεως ἔργον ἐν τοῖς μετὰ τὸ στόμα μέρεσι γίγνεσθαι, πάντες ὡμολογήκασιν, ὥστε καὶ τῶν ἀπεψιῶν αἴτιον γίγνεται τοῦτο μὴ καλῶς διακείμενον, ὅτ' αὖ δηλονότι μὴ διὰ τὴν ἐδεσμάτων ἀταξίαν ἢ τὸ πλῆθος ἢ τὴν ποιότητα, συμβῇ τὸν ἄνθρωπον ἀπεπτῆσαι. ὅσα δ' ἄλλα νοσήματα κοινὰ πάντων ἐστὶ τῶν μορίων, ὀργανικά τε καὶ κατὰ μόνην δυσκρασίαν, ἄδηλον ἔχοντα τὸν πεπονθότα τόπον, οὐκ ἔστιν ἴδια τῆς ἐνεστώσης πραγματείας· ἐν αὐτῇ γὰρ ὅσα διαφεύγει μόρια τὴν αἰσθητικὴν γνῶσιν, ὑπέκειτο σκοπεῖσθαι. περὶ δὲ τῶν ἐμούντων ἐξ αὐτῆς αἷμα, διαπεφώνηταί πως, οἰομένων τινῶν ἀδύνατον εἶναι δι' αὐτῆς γενέσθαι κένωσιν αἵματος ἐξ ἥπατος ἢ σπληνὸς ὁρμηθέντος, ὥσπερ οὐδὲ πύου συρραγέντος ἐξ αὐτῶν· ἐμοὶ δ' ἐπὶ τῶν ἔργων ἐξετάσαντι τὴν ἑκατέρων δόξαν, ἐφαίνετο γίγνεσθαί ποτε δι' αὐτῆς κένωσις ἐκ τῶν εἰρημένων σπλάγχνων· ἀλλ' εἰς τὸν περὶ ἐκείνων λόγον ἡ τῶν τοιούτων ἀναβεβλήσθω διδασκαλία, καὶ γὰρ ἐφεξῆς τοῖς εἰρημένοις ἔγνωκα περὶ τῶν καθ' ἧπάρ τε καὶ σπλῆνα διελθεῖν παθῶν.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν κατὰ τὸ ἧπαρ παθῶν, ἐμφράξεως, καὶ φλεγμονῆς, καὶ ἐρυσιπέλατος, καὶ σκίρρου, καὶ ὑδέρου.

ΚΑὶ κατὰ τοῦτο τὸ μόριον ὥσπερ καὶ κατὰ τἆλλα πάντα τὸ διττὸν γένος τῶν νοσημάτων ἐστί, τὸ μὲν ἕτερον ἐπὶ δυσκρασίᾳ μόνῃ, καὶ χωρὶς ὄγκου παρὰ φύσιν· ἅμα δὲ τοῖς ὄγκοις, ἐρυσιπέλατά τε, καὶ φλεγμοναί, καὶ σκίρροι, καὶ πνευματικαὶ διατάσεις, καὶ χυμῶν παχέων ἢ γλίσχρων ἐμφράξεις ἐν τοῖς πέρασι τῶν ἀγγείων γιγνόμεναι, ὅσα τῆς ἐπὶ ταῖς πύλαις αὐτοῦ φλεβὸς ἀφώρμηνται. Ταύταις μὲν οὖν ἕπεται βάρους αἴσθησις, ἐγκειμένου κατὰ τὸ δεξιὸν ὑποχόνδριον·

partis sunt affectus. Verùm omnium harum affectionum causas in libris de symptomatum causis iam diximus, vt nihil nunc opus sit in his immorari. Etenim quæ per intemperiem ipsi vt similari corpori morborum differentiæ adueniant, in illis enarrauimus; qui verò organici morbi ei oboriri consueuerunt, manifestas habent notas, vt vos latere nequeant, si communia eorum signa tum in his antea commentariis prodita, tum in aliis quibusdam enarranda, memoria tenueritis. Neque enim abscessus, neque tumores phlegmonodes, aut erysipelatodes, vt neque vlcera huius loci, nos fugiant; ipsorum enim dignotio prædictis stomachi affectibus communis est, atque illis eò manifestior, quò facilior huic parti sensus est, ac claram promptamque dignotionem habet. Similiter autem vbi ex hac parte sanguis reiicitur, signorum species communis est prædictis stomachi affectibus, verùm dignotio manifestior. Par est quoque scilicet, totum ventriculi spacium simili affectu corripi, quales sunt illi, quos in ipsius ore fieri diximus, atque eadem pati symptomata; quòd verò longè vehementiora sint ea, quæ ipsius orificio contingunt, idcircò à medicis ea quæ in parte ventriculi inferiore eueniunt, perinde ac si omnino non fierent, despici & contemni. At coctionis opus in partibus orificio inferioribus fieri omnes concesserunt, quare hæ non probè dispositæ, cruditatum sunt causa; quum videlicet non ob inordinatam eduliorum ingestionem, aut multitudinem, aut qualitatem hominem non concoquere accidit. Qui verò morbi cæteris partibus sunt communes, tum organici tum per solam intemperiem, sedes affectas manifestas obsidentes, ad præsentem tractatum propriè non pertinent; nam in eo partes, quæ sensûs iudicium effugiunt, considerare propositum est. Sed de sanguinem ex ipso vomentibus, non conuenit planè, quum quidam putent nequaquam fieri posse, vt sanguis vel ab hepate, vel à liene effluens, per ipsum euacuetur, vt neque pus ab ipsis erumpens. Verumenimverò per artis exercitationem vtranque opinionem examinanti mihi, visa est per ipsum fieri nonnunquam euacuatio ex dictis visceribus. Cæterùm differatur huius rei doctrina in eum locum, vbi de ipsis sermonem faciemus; etenim deinceps, & iecoris & lienis affectus percurrere propositum est.

CAPVT VII.

De iecoris affectibus, obstructione, inflammatione, Erysipelate, scirrho, hydrope.

HVic etiam parti, quemadmodum & cæteris omnibus, duplex morborum genus insidet, vnum solâ intemperie citra tumorem præter naturam; cum tumoribus verò inflammationes, erysipelata, scirrhi, flatulentæ distentiones, obstructiones à crassis & lentis humoribus, in extremis vasorum partibus, quæ ex vena ipsius portarum exoriuntur. Has quidem *obstructiones* sequitur grauitatis sensus, dextro hypochondrio incumbentis; quum

quum verò & halituosi spiritus exitum non habentis copia cumulata est, non solùm grauitatis sed tensionis etiam sensus sequitur. Inflammationes verò etiam, quæ citra visceris imbecillitatem nascuntur, si in gibba ipsius parte consistant, præcipuè si grandes fuerint, perfacilè nobis est vel solo tactu dignoscere; at simarum partium inflammationes, aliis potius symptomatis comitantibus, quàm tactu dignoscuntur. Incipiam igitur ab iis quæ in parte gibba oriũtur, si priùs vos admonuero eorum, quos in corporum dissectione conspexistis, musculorum sub cute locatorum, qui octo numero sunt, quatuor cõtenti coniugationibus; earum enim prima ex musculis constat rectis per totum carneis, à sterni locis ad pubis ossa ab anatomicis vocata, descendentibus; at reliquarum trium coniugationum musculi vsque ad rectorum cõtactum, carneâ parte constant; vbi verò primùm illos attigerunt, in deneruationes membranosas degenerant; horum igitur musculorum vna coniugatio, quæ quidẽ reliquis omnibus exterior est, à thorace obliqua deducitur, in anteriores partes & deorsum descendens; altera huic contraria ab infernis exorta partibus, obliquà ad anteriores & superiores ascendit; huic tertia musculorum coniugatio subiicitur, qui transuersum habent situm, atque peritonæo inniruntur. Rectorum ergo musculorum tumores præter naturam, oblongi sunt atque per medium totius ventris extenduntur, vmbilicum quemadmodum ipsum musculorum par, comprehendentes; quapropter meritò haud obscura est eorum dignotio, quos & situs, & figura declarat, accedente ad hæc, quòd ipsi à nullo exteriore musculo conteguntur. Hęc autem obliquis quoque musculis à thorace descendentibus, sunt communia. At multò difficilior est dignotio musculorũ, qui his subiecti sũt; difficillima verò transuersorum. Cõstat autem iecur intra hos sub peritonæo esse positum; quũ itaque tribus contegatur musculis, fieri non potest, vt tactus aliquam ipsius notitiã præstet, nisi vel magna in ipso oriatur inflammatio, vel incumbentes ei musculi extenuati fuerint. Sed iecur affici declarant in dextro hypochondrio grauitas, dolor totum hypochondrium retrahens, atque ipsius doloris vsque ad iugulum extensio (nam & hoc nõnunquam euenit) exigua tussis, linguæ color in primis quidem magis ruber, deinde verò niger euadens, ingens cibi fastidium, sitis inexhausta, vomitus quidam tum sinceræ bilis, tum ouorum luteis similis, ac postea interdum æruginosæ; aluus quoque adstringitur; nisi cum visceris imbecillitate inflammationem excitari contingat. Erysipelatis autem symptomata his etiam similia sunt, & his febris quoque cum vehementissima siti accidit; eas enim febres, quas causos antiqui vocabant, magna ex parte aduenire videmus iecoris aut ventriculi flammeis affectibus. Ex pulmonis enim etiam inflammatione erysipelatode ardentes febres excitantur, quemadmodum & vbi in vniuerso corpore biliosi humores putrescentes ad immoderatum feruorem perueniunt; verùm ob iecur & ventriculum creari consueuerunt vehementissimæ; à quibus partibus eiusmodi febrium magna ex parte in marcorem transmutatio de-

A ὅταν δὲ καὶ πνεύματος ἀτμώδους ἀθροισθῇ πλῆθος οὐκ ἔχοντος διέξοδον, οὐ βάρους μόνον, ἀλλὰ καὶ τάσεως αἴσθησις γίγνεται. καὶ τὰς φλεγμονὰς δὲ, ὅσαι χωρὶς ἀτονίας τοῦ σπλάγχνου γίγνονται, τὰς μὲν ἐν τοῖς κυρτοῖς αὐτοῦ μέρεσι γινομένας, καὶ μάλισθ' ὅταν ὦσι μεγάλαι, ῥᾷστον ἂν ἡμῖν γνωρίζειν ἐστὶ καὶ διὰ μόνης τῆς ἁφῆς· τὰς δ' ἐν τοῖς σιμοῖς, διὰ τῶν ἑπομένων συμπτωμάτων μᾶλλον, ἢ διὰ τῆς ἁφῆς. ἄρξομαι δ' ἀπὸ τῶν κατὰ τὰ κυρτὰ γινομένων, ἀναμνήσας ὑμᾶς πρότερον ὧν ἐν ταῖς B ἀνατομαῖς ἐθεάσασθε [τῶν μετὰ τὸ δέρμα τεταγμένων μυῶν, ὀκτὼ τὸν ἀριθμὸν ὄντων ἐν συζυγίαις τέτταρσιν· ἔστι γὰρ αὐτῶν ἡ μὲν τῶν ὀρθίων μυῶν ὅλων σαρκωδῶν, ἀπὸ τῶν κατὰ τὰ στέρνα τόπων ἐπὶ τὰ καλούμενα πρὸς τῶν ἀνατομικῶν ἥβης ὀστᾶ, καθηκόντων· ἑτέρων δὲ τριῶν ἄχρι τοῦ ψαῦσαι τῶν ὀρθίων, τὸ σαρκῶδες αὐτῶν μέρος ἐχόντων, ὅταν δ' ἅψωνται πρῶτον αὐτῶν, εἰς ἀπονεύρωσιν ὑμενώδη τελευτώντων· ἡ μὲν οὖν μία συζυγία τῶν μυῶν τούτων, ἥπερ καὶ πλέον ἔξωθέν ἐστιν, ἀπὸ τοῦ θώρακος C καταφέρεται λοξὴ πρόσω τε καὶ κάτω φερομένη· δευτέρα δ' ἑτέρα κατὰ τοὐναντίον τῆσδε, κάτωθεν ἐρχομένη πρόσω τε καὶ ἄνω φέρεται λοξή· ταύτῃ δ' ὑποβέβληται τρίτη συζυγία μυῶν ἐγκάρσιον ἐχόντων θέσιν, ἐπιβεβλημένων τῷ περιτοναίῳ. [τῶν μὲν οὖν ὀρθίων μυῶν οἱ παρὰ φύσιν ὄγκοι, παραμήκεις τέ εἰσι καὶ κατὰ τὸ μέσον ὅλης τῆς γαστρὸς ἐκτείνονται, περιλαμβάνοντες τὸν ὀμφαλὸν, ὥσπερ αὐτὸ τὸ ζεῦγος τῶν μυῶν· ὥστ' εἰκότως ἄδηλον ἔχει τοῦτο τὴν διάγνωσιν, ἐλεγχομένην ἔκ τε τῆς θέσεως καὶ τοῦ σχήματος, καὶ προσέτι τοῦ μηδένα μῦν D ἔξωθεν αὐτῶν περικεῖσθαι· κοινὰ δὲ ταῦτ' ἐστὶ καὶ τοῖς ἀπὸ τοῦ θώρακος καταφερομένοις λοξοῖς· οἱ δ' ὑποβεβλημένοι τούτοις, χαλεπωτέραν ἔχουσι τὴν διάγνωσιν, ἁπάντων τε δυσκολωτάτην οἱ ἐγκάρσιοι. τὸ δ' ἧπαρ ἄδηλον ὅτι καὶ τούτων ἔνδον ἐστὶν ὑπὸ τῷ περιτοναίῳ· τριῶν οὖν ἐπιβεβλημένων αὐτῷ μυῶν, ἡ διὰ τῆς ἁφῆς γνῶσις ἀδύνατός ἐστιν, ἄνευ τοῦ μεγάλην αὐτοῦ γενέσθαι τὴν φλεγμονὴν, ἢ λεπτυνθῆναι τοὺς ἐπικειμένους μῦς. [ἀλλὰ τό γε κατὰ τὸ δεξιὸν ὑποχόνδριον βάρος, ἥ τ' ἀνασπῶσα ὀξεπίτηδες ὅλον τὸ ὑποχόνδριον ὀδύνη, τό τ' εἰς τὴν E κλεῖν ἄλγημα διατεῖνον (καὶ γὰρ καὶ τοῦτό ποτε γίγνεται) βηχία τε σμικρὰ, καὶ τὸ τῆς γλώττης χρῶμα κατ' ἀρχὰς μὲν ἐρυθρότερον γιγνόμενον, ὕστερον δὲ καὶ μελαινόμενον, ἀνορεξία σφοδρά τε καὶ δίψος ἄπαυστον, καί τινες ἔμετοι χολῆς ἀκράτου τε καὶ λεκιθώδους, ὕστερον δὲ ποτὲ καὶ ἰώδους, ἐνδείκνυται πεπονθέναι τὸ ἧπαρ· ἐπέχεται δ' αὖθις καὶ ἡ γαστὴρ, ἐάν γε μὴ σὺν ἀτονίᾳ τοῦ σπλάγχνου συμβῇ γίγνεσθαι τὴν φλεγμονήν. ὅμοια δὲ τούτοις ἐστὶ F καὶ τὰ τοῦ ἐρυσιπέλατος συμπτώματα, καὶ πυρετὸς ἅμα δίψει σφοδροτάτῳ γίγνεται τούτοις· τοὺς γὰρ ὑπὸ τῶν παλαιῶν ὀνομαζομένους καύσους ὡς τὸ πολὺ γιγνομένους ὁρῶμεν, ἐπὶ ταῖς τοῦ ἥπατος ἢ κοιλίας φλογώδεσι διαθέσεσι· γίγνονται μὲν γὰρ καυσώδεις πυρετοὶ καὶ δι' ἐρυσιπελατώδη φλεγμονὴν πνεύμονος, ὥσπέρ γε καὶ καθ' ὅλον τὸ σῶμα διὰ σηπεδόνα χυμῶν χολωδῶν εἰς ἀμετρον ζέσιν ἀφικομένων, ἀλλ' οἱ σφοδρότατοι διὰ γαστέρα καὶ ἧπαρ εἰώθασι γίγνεσθαι, ἐφ' οἷς μυρίοις τοὐπίπαν ἡ μετάπτωσις ἐκ τῶν τοιούτων πυρετῶν εἰς μαρασμὸν τελευτᾷ.

περὶ τῶν ὀκτὼ μυῶν

περὶ ὄγκου τῶν ὀρθίων μυῶν

περὶ φλεγμονῆς ἥπατος ... ὄντων

ἐρυθρόν

περὶ τῶν σιμῶν τοῦ ἥπατος

περὶ μὲν οὖν μαρασμοῦ γέγραπται κατὰ μόνας. [αἱ δὲ κατὰ τὰ A σιμὰ μέρη τοῦ ἥπατος γιγνόμεναι φλεγμοναὶ, πλεονεκτοῦσι τῶν ἐν τοῖς κυρτοῖς, ἀνορεξίαις τε καὶ ναυτίαις, ἐμέτοις τε χολώδεσι, καὶ δίψει σφοδρᾷ, καθάπερ αἱ ἐν τοῖς κυρτοῖς τῶν ἐν τοῖς σιμοῖς, τῷ μᾶλλον ὀδυνᾶσθαι κατὰ τὰς εἰρημένας ἀρτίως ἀναπνοὰς, καὶ τῷ βηχία κινεῖν, διατείνεσθαί τε μέχρι τῆς δεξιᾶς κλειδὸς τὴν ὀδύνην, ὡς κατασπᾶσθαι δοκεῖν αὐτήν. αἱ νόθαι δὲ πλευραὶ συναλγοῦσιν 43 ἀμφοτέραις ἐνίοτε, καὶ τοῦτ' αὖθις κοινὸν εἰκότως ἐστὶ, συμβαῖνον οὐ πᾶσι, ὅτι μὴ συνῆπται πᾶσι δι' ὑμένων τὸ B ἧπαρ ταῖς πλευραῖς, ὡς ἔστιν οὐ μόνον ἐπὶ πιθήκων, ἀλλὰ καὶ τῶν ἄλλων ζώων θεάσασθαι· τοῖς μὲν γὰρ φαίνεται συνημμένον, τοῖς δ' οὔ. γίγνεται μὲν οὖν ποτε καὶ τῶν κυρτῶν τοῦ σπλάγχνου μόνον φλεγμονὴ, καθάπερ γε καὶ τῶν σιμῶν. οὐ μὴν συστῆναί γε δύναται κατὰ θάτερον τῶν μερῶν, ἀκριβῶς περιορισθεῖσα, συνεχὴς γάρ ἐστιν ἡ σὰρξ τοῦ σπλάγχνου κατὰ πάντα αὐτοῦ τὰ μόρια. τοῖς μὲν τῇ φύσει λεπτὸν ἔχουσι τὸ ἐπιγάστριον, ὅταν καὶ διὰ τὸ νόσημα γένηται λεπτότερον, ὑποπίπτουσι σαφέστερον αἱ μεγάλαι φλεγμοναὶ C τοῦ ἥπατος, ἴδιον ἔχουσαι παρὰ τοὺς ἐπικειμένους μῦς, τὸ κατὰ περιγραφὴν ἀθρόαν παύεσθαι τὸν ὑποπίπτοντα ταῖς χερσὶν ὄγκον· ἕκαστος γὰρ τῶν μυῶν, ἅτε συνεχὴς ὅλως ὑπάρχων ἑαυτῷ, κατὰ βραχὺ μειούμενον ἔχει τὸν ὄγκον τῆς φλεγμονῆς, τῷ δ' ἥπατι μόνῳ συμβέβηκεν ἀθρόως περιγραφόμενον ἴσχειν αὐτόν. εὔδηλον δ' ὅτι σκιρρούμενον ἐναργεστέραν ἔχει τὴν διάγνωσιν, αὐτοῦ τε τοῦ κατὰ τὸν σκίρρον ὄγκου σκληροτέρου τῶν φλεγμονῶν ὑπάρχοντος, καὶ λεπτυνομένων τῶν ἐπικειμένων σωμάτων ἐν ταῖς τοιαύταις D διαθέσεσι· προϊόντος δὲ τοῦ χρόνου, καίτοι μείζονος γιγνομένου τοῦ κατὰ τὸν σκίρρον ὄγκου, συμβαίνει τὴν διάγνωσιν αὐτοῦ πρός τε τὴν ἁφὴν δυσχερεστέραν γίγνεσθαι, τῷ φθάνειν ἤδη τὴν ἔγχυσιν ὑδερικὴν ἕπεσθαι. [χωρὶς μὲν γὰρ τοῦ παθεῖν τὸ ἧπαρ, οὐκ ἂν γένοιτο τοιοῦτον πάθος, οὐκ ἀεὶ δὲ κατὰ πρωτοπάθειαν αὐτοῦ συνίσταται, κἂν ὅτι μάλιστα διὰ τοῦτο γίγνεται. διότι μὲν γὰρ αὐτὸ τῆς αἱματώσεώς ἐστιν ὄργανον, ἀκόλουθόν ἐστιν ἀποτυγχάνεσθαι τὴν ἐνέργειαν ἐπὶ τῇ τοῦδε τοῦ σπλάγχνου κακώσει· συμβαίνει δ' ὡς ἔφην ἄλλοτ' ἄλλου μέρους ἐν δυσκρασίᾳ πάνυ ψυχρᾷ γιγνομένου, E διαδίδοσθαι τὴν ψύξιν εἰς ἧπαρ. 44 ἐπὶ μὲν οὖν σπληνὶ καὶ κοιλίᾳ καὶ πᾶσι τοῖς ἐντέροις, καὶ μάλιστα τοῖς κατὰ τὴν νῆστιν, αἱ κατὰ τὸ μεσεντέριον ἅπασαι φλέβες ἑκτικὴν δυσκρασίαν παθοῦσαι, συγκαταψύχουσιν ἑαυταῖς ῥᾳδίως τὰς ἐν τοῖς σιμοῖς μέρεσιν τοῦ ἥπατος ἁπάσας φλέβας, ἐξ ὧν καὶ εἰς αὐτὸ τὸ σῶμα τοῦ ἥπατος ὅλον ἡ διάδοσις γίγνεται τῆς δυσκρασίας· ἐπὶ δὲ πνεύμονι, καὶ διαφράγματι, καὶ νεφροῖς, αἱ κατὰ τὰ κυρτὰ τοῦ σπλάγχνου φλέβες εἰς συμπάθειαν ἔρχονται πρότεραι, συν- F διατίθεται δὲ τῷ χρόνῳ δηλονότι καὶ ταύταις ὅλον τὸ σπλάγχνον. ταῦτα μὲν οὕτως ἔχειν ὡς εἴρηται νῦν, οὐδεὶς ἂν ἀμφισβητήσειεν, πλὴν εἴ τις ἐριστικὸς, ἢ παντάπασιν ἀμαθὴς εἴη. [περὶ δὲ τῶν ἐμφράξεων οὐχ ὁμοίως εὔδηλον. ὅτι μὲν γὰρ αἱ κατὰ τὰ σιμὰ τοῦ σπλάγχνου φλέβες, ἀπὸ τῆς ἐπὶ πύλαις πεφυκυῖαι τελευτῶσιν εἰς λεπτότατα πέρατα, σαφῶς φαίνεται, καθάπερ γε καὶ ὅτι πρὸς τὸν αὐτὸν ἀφικνεῖται τόπον ἕτερα πέρατα τῶν ἀπὸ τῆς κοίλης εἰς τὰ κυρτὰ τοῦ σπλάγχνου καταχιζομένων· οὐ μὴν

περὶ ὑδέρου

περὶ ἐμφράξεως τοῦ ἥπατος

κατασχιζομένων

finit. Ac de marcore quidem seorsum scriptum est; quæ verò in simis iecoris partibus oriũtur inflammationes, magis quàm quæ in eius gibbis fiunt, inappetentiam, nauseam, vomitum biliosum, sitim ingentẽ inducunt; vt quæ in gibbis, maiori quàm quæ in simis, inter respirãdum dolore (vt dictum est) laborantẽ afficiunt, magisque tussim excitant, atque dolorem vsq; ad dextræ partis iugulum, adeò vt detrahi videatur, extẽdunt. At vtrique parti nonnunquã nothæ costæ condolent; atque hoc eis commune iure accidit, non omnibus, quòd iecur per membranas non omnibus, costis adhæreat; vt non solùm in simiis, sed in aliis quoque animalibus videre est; etenim aliis quidem coniunctum apparet, aliis minimè. Igitur quemadmodum interdum in gibbis duntaxat, ita & in simis huius visceris partibus, inflammatio oritur; quanuis in neutrâ partium exquisitè distincta possit consistere; nam omnium visceris partium carnes inter sese continuantur. Quibus naturâ abdomen gracile est, quum morbo gracilius efficitur, in iis facile est videre ingentes iecoris inflammationes, quæ propriam hanc à musculis incumbentibus sortiuntur differentiam, quòd tumor, qui manibus percipitur, ad coaceruatam circunscriptionẽ desinat; musculus enim quisque vt totus sibi continuus, inflammationis ipsius tumorẽ qui sensim diminuatur habet; at soli iecori accidit, ipsum collectione circumscriptum habere. Constat autem eum, si scirrhus euadat, euidentiorem sortiri dignotionem, tum quod durior sit scirrhi, quam inflammationis, tumor, tum quod in huiusmodi affectibus extenuentur corpora ei incumbentia. At verò tractu temporis, quanuis maior procreetur scirrhi tumor, dignotionem eius difficiliùs tactu deprehendi contingit, quòd iam effusio hydropica sequatur; nisi enim hepar afficiatur, haudquaquam fieri potest huiusmodi affectus; sed non semper ob primariam eius affectionem excitatur, quanuis prorsus ob hoc fiat. Etenim quia ipsum procreationis sanguinis instrumentum est, consequens est, vitio huius visceris, actionem frustrari; accidit autem (vt dixi) quum aliàs aliam partem frigida admodum intemperies afficit, in hepar frigus propagari. Igitur à liene, vel ventriculo, vel intestinis vniuersis, maximè ieiuno, mesentericæ venæ omnes hecticâ intemperie affectæ facilè vnà refrigerant omnes simarum iecoris partium venas, vnde in hepatis quoque corpus vniuersum intemperiei fit propagatio; at à pulmone, vel septo transuerso, vel renibus, imprimis venæ quæ in visceris huius partibus gibbis consistunt, per consensum afficiuntur, deinde tractu temporis scilicet totum hepar quoque eodem affectu infestatur. Quæ hucusque diximus, ea sic se habere nemo inficiabitur, nisi fortè quis aut naturâ contentiosus, aut omnino fuerit indoctus; de obstructionibus verò non peræquè constat. Etenim quòd simarum visceris partium venæ ab ea quæ in portis est, exortæ, in tenuissimas extremitates finiantur, haud obscurè apparet; vt & quòd ad eundem locum aliæ quoque venarum extremitates, à caua vena in gibbas visceris partes distributarum perueniant; at quomodo per sua orificia ipsæ inter se

se coniungatur, videre nequaquam possumus; neq; tamen dubitat aliquis, sed omnes vno ore enunciant, cibum qui vniuerso corpori distribuitur, per omnes simarum partium venas traiectum, in gibbas partes per dictas extremitates transsumi. Quòd si fateamur, & sanguinis transitum ob tumoris venarum, quæ inflammatione & scirrho occupantur, molem constringi, rationi consentaneum esse videtur (vt nonnullis placuit) vt pars, quæ in sanguine tenuis atque aquosa est, transsumatur, atque vehatur per vniuersum corpus; sincerus autem sanguis, qui propter suam crassitudinem in caua visceris parte remanet, ei morborum plethoricorum causa efficiatur. Perscrutantibus nobis hanc opinionem, videtur partim cum supra dictis consentire, partim nonnihil ab iis quæ apparent differre. Quòd enim aquosa sanguinis pars transsumpta in venam cauam vsquequaque per corpus distribuatur, consequi videtur ad ea quæ prius concessa sunt; quemadmodum & crassiorem sanguinem, in visceris venis præ angustiâ earum retentum, ad intestinum ieiunum, & tenue, & colon, & cæcum, atque rectum retrò ferri, & (vt quispiam dixerit) in ventrem ipsum fortasse; non tamen id accidere videtur, neque in hepatis præter naturam tumoribus, neque etiam in obstructionibus, verùm in omnibus corporis partibus, tum superioribus, tum inferioribus, pituitosus sanguis contineri in ijs morbis, quos & anasarca, & leucophlegmatias, & hyderos nominant; per aluum autem nihil cruentum, neq; in ijs, neque in ascite, neque in tympania excernitur; sed spacium, quod inter peritonæum & partes ei subiacentes est, aquoso humore impletur. Proinde rationi magis consentaneum est, vt ob visceris refrigerationem, cibus qui distribuitur, in sanguinem non transmutetur; sed refrigerentur cum ipso vniuersi corporis venæ; ac maximè; quod nullo plerunque tumore in iecore apparente, effusionibus hydropicis corripiantur, vitio existente vel in liene, vel ieiuno; aut tenui intestino, aut mesaræo, vel pulmone, vel renibus, aut etiam per immoderatam hæmorrhoidis vacuationem; aut ob muliebre profluuium, aut menstruorum suppressionem, aut alium ingentem vteri affectum. Nam per omnes huiuscemodi affectus, viscere nullum præter naturam tumorem habente, hydropicis corripi morbis corpus conspicitur. Id verò præcipuè intelligitur ab iis, qui viderunt, ex intempestiuo aquæ frigidæ potu iecur affatim refrigeratum; vt statim hydropicam effusionem inducat, antequam in scirrhodem tumorem attollatur; sic autem affectis vehemens ciborum appetentia oboritur; nec mirum; nam ob refrigeratum os ventriculi, huiusmodi cupiditates accidere didicimus. Sed de hyderis, vel hydropibus, vel quomodocunque quispiam appellauerit, quantum ad præsens attinet propositum, hæc dixisse satis est.

CAPVT VIII.

De aurigine, & hepatico affectu, eorumque causis.

At vtrum semper in morbo regio locus affectus sit hepar, an etiam alius quidam af-

A ἀλλήλαις συναναστομοῦσθαι αὐτῶν ὁρῶνται, οὐ μὴν οὐδ' ἠμφισβήτησέ τις, ἀλλὰ πάντες ὡς ἐξ ἑνὸς στόματος ἀπεφήναντο, τὴν ἀναδιδομένην τροφὴν εἰς ὅλον τὸ σῶμα, διεξελθοῦσαν πάσας τὰς κατὰ τὰ σιμὰ φλέβας, εἰς τὰς κατὰ τὰ κυρτὰ μεταλαμβάνεσθαι διὰ τῶν εἰρημένων περάτων. ὁμολογουμένου δὴ τούτου, καὶ τῆς τῶν φλεβῶν φλεγμαινουσῶν τε καὶ σκιῤῥουμένων ὄγκου γενομένου στενὴν τὴν διέξοδον τοῦ αἵματος, εὔλογον εἶναι φαίνεται καθάπερ ἔδοξέ τισιν, ὅσον λεπτόν ἐστι καὶ ὑδατῶδες ἐν αἵματι, μεταληφθήσεσθαι, καὶ πάντη τοῦ σώματος ἐνεχθήσεσθαι, τὸ δ' ἀκριβὲς
B αἷμα τὸ διὰ πάχος αὐτοῦ κατὰ τὰ σιμὰ τοῦ σπλάγχνου μένον, αἴτιον αὐτῷ γενήσεσθαι πληθωρικῶν νοσημάτων. διασκεπτομένοις ἡμῖν τὴν δόξαν τήνδε, τὸ μέν τι τοῖς εἰρημένοις ὁμολογεῖν ἔδοξεν, τὸ δέ τι καὶ διαφέρεσθαι τοῖς φαινομένοις. τὸ μὲν γὰρ ὑδατῶδες ἐν αἵματι, μεταληφθὲν εἰς τὴν κοίλην φλέβα, πανταχόσε τοῦ σώματος ἀναδίδοσθαι, τοῖς προωμολογημένοις ἀκόλουθον φαίνεται· καθάπερ γε τὸ τὸ παχύτερον αἷμα, στενούμενον ἐν ταῖς κατὰ τὸ σπλάγχνον φλεψὶν, εἴς τε τὴν νῆστιν καὶ τὸ λεπτὸν ἔντερον, καὶ τὸ
C κῶλον, καὶ τὸ τυφλὸν καὶ τὸ ἀπευθυσμένον ἀντικαταφέρεσθαι, τάχα δ' ἄν τινα φαίη, καὶ εἰς αὐτὴν τὴν γαστέρα· οὐ μὴν φαίνεται τοῦτο γινόμενον, οὔτ' ἐπὶ τοῖς παρὰ φύσιν ὄγκοις τοῦ ἥπατος, οὔτ' ἐπὶ ταῖς ἐμφράξεσιν· ἀλλὰ τὸ μὲν ὅλον ἄνω καὶ κάτω σῶμα, φλεγματικὸν αἷμα περιέχον φαίνεται, κατά τε τοὺς ἀνὰ σάρκα τε καὶ λευκοφλεγματίας καὶ ὑδέρους ὀνομαζομένους· διὰ δὲ τῆς γαστρὸς οὐδὲν αἱματῶδες, οὔτ' ἐν τούτοις, οὔτ' ἐν τοῖς ἀσκίταις τε καὶ τυμπανίαις ἐκκρίνεται, τῆς δ' ὑδατώδους ὑγρότητος ἐμπίπλαται τὸ μεταξὺ τοῦ περιτοναίου καὶ τῶν ὑποκειμένων αὐτῷ
D σωμάτων. εὐλογώτερον οὖν ἐστιν ἐπὶ τῇ ψύξει τοῦ σπλάγχνου μὴ μεταβάλλειν εἰς αἷμα τὴν ἀναδιδομένην τροφὴν, ἀλλὰ καὶ συγκαταψύχεσθαι τὰς ἐν ὅλῳ τῷ σώματι φλέβας, καὶ μάλιστα ὅτι πολλάκις ὄγκου μὲν οὐδενὸς ἐν ἥπατι φαινομένου, ὑδεριῶντες ἁλίσκονται, σπληνὸς κακοπραγοῦντος, ἢ τῶν κατὰ τὴν νῆστίν τε καὶ τὸ λεπτὸν ἔντερον, ἢ μεσάραιον, ἢ πνεύμονα, ἢ νεφρούς, ἢ καὶ διὰ ἀμέτρους αἱμοῤῥοΐδος κενώσεις, ἢ ῥοῦν γυναικεῖον, ἢ καταμηνίων ἐπίσχεσιν, ἤ τινα ἄλλην ἐν ὑστέρᾳ μεγάλην διάθεσιν· ὁρᾶται γὰρ ἐν ἅπασι τοῖς τοιούτοις, οὐδένα παρὰ
E φύσιν ὄγκον ἔχοντος τοῦ σπλάγχνου, τοῖς ὑδερικοῖς ἁλίσκεσθαι νοσήμασι τὸ σῶμα. μάλιστα δ' ἐναργῶς ἐστιν ἰδεῖν τοῦτο τοῖς ἱστορήσασιν ἐπ' ἀκαίρῳ πόσει ψυχροῦ καταψυχθὲν ἀθρόως τὸ ἧπαρ, ὡς εὐθέως ἐργάσασθαι περίχυσιν ὑδερικὴν, πρὶν εἰς ὄγκον ἀρθῆναι σκιῤῥώδη· τοῖς δ' οὕτως παθοῦσιν, ὄρεξις σιτίων ἰσχυρὰ γίνεται· καὶ οὐδὲν θαυμαστόν· ἐμάθομεν γὰρ, ἐπὶ τῷ τῆς γαστρὸς στόματι ψυχομένῳ τὰς τοιαύτας ὀρέξεις συμβαινούσας. ἀλλὰ περὶ μὲν ὑδέρων ἢ ὑδρώπων ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, πρός γε τὴν ἐνεστῶσαν πρόθεσιν ἀρκεῖ καὶ
F ταῦτα.

ΚΕΦΑΛΑΙΟΝ Η.

Περὶ ἰκτέρου, καὶ τοῦ ἡπατικοῦ πάθους, καὶ τῶν αὐτῶν αἰτιῶν.

Πότερον δὲ διαπαντὸς ἐν τοῖς ἰκτέροις ὁ πεπονθὼς τόπος ἧπαρ ἐστὶν, ἢ καί τις ἄλλη διάθεσις

ἐργάζεται τὸ πάθος τοῦτο, μεταβάντες ἤδη σκοπῶμεν. ὁρᾶται γάρ ποτε, μηδὲν ὅλως πεπονθότος τοῦ σπλάγχνου τούτου, χολῆς ὠχρᾶς ἀνάχυσις εἰς τὸ δέρμα γιγνομένη κριτικῶς, ὥσπερ ἄλλα τινὰ τῶν ἀποσκημμάτων. ὁρᾶται δὲ καὶ χωρὶς κρίσεως, ἐκχολούμενον ἐνίοτε τὸ αἷμα κατά τινα διαφθορὰν ἀλλόκοτον, ὁποία καὶ θηρίων δακνόντων γίγνεται. δηχθεὶς γοῦν τις τῶν αὐτοκρατορικῶν οἰκετῶν, οἷς ἔργον ἐστὶν ἐχίδνας θηρεύειν, ἄχρι μέν τινος χρόνου τῶν συνήθων ἑαυτῷ φαρμάκων ἔπινέ τι, μεταβαλλούσης δ' αὐτῷ τῆς χροιᾶς ὅλης, ὡς γενέσθαι πρασοειδῆ, προσελθὼν ἡμῖν ἕκαστά τε διηγήσατο, καὶ πίνων τῆς θηριακῆς ἀντιδότου, τάχιστα τὴν κατὰ φύσιν ἀνεκτήσατο χροιάν. ἐζητημένου δὲ τοῖς ἰατροῖς, εἰ φαρμακείας ἐστὶν ἴδια σημεῖα, διὰ τὸ πολλάκις ἑωρακέναι χωρὶς τῶν θανασίμων φαρμάκων εἰς διαφθορὰν χυμῶν ἀφικνούμενον τὸ σῶμα παραπλησίαν τῇ διὰ τῶν φαρμάκων γιγνομένην, θαυμαστὸν οὐδέν ἐστι καὶ τοιαύτην ποτὲ συμβῆναι τροπὴν τῶν χυμῶν, ὡς [46] ἰκτεριωθῆναι τὸ πᾶν σῶμα. δυνατὸν δὲ καὶ διὰ τὴν αὐτοῦ τοῦ ἥπατος ἀλλοίωσιν τῆς κατὰ φύσιν κράσεως, ἡ τοιαύτη γενέσθαι κακοχυμία, χωρὶς ἐμφράξεως ἢ φλεγμονῆς ἢ σκίρρου· καὶ γὰρ οὖν καὶ φαίνεταί γε σαφῶς, ἐνίοτε μὲν ὅμοιον ὠχρολευκαῖς πόαις ὅλον τὸ σῶμα γιγνόμενον, ἐνίοτε δὲ μολίβδῳ παραπλήσιον ἔχον τὴν χρόαν, ἢ καὶ φαιοτέραν τῆσδε, καί τινας ἄλλας ἀρρήτους ἰδιότητας χρωμάτων, ἐπὶ κακοπραγίαις ἥπατος, ἄνευ τῶν παρὰ φύσιν ὄγκων· ὥσπερ γε καὶ διὰ σπλῆνα τοιαῦται γίγνονται, πολλῷ μελάντεραι τῶν ἐφ' ἥπατι, χαλεπαὶ μὲν ἑρμηνευθῆναι, γνωρισθῆναι δὲ ῥᾷσται τοῖς πολλάκις ἑωρακόσιν. Στησιανὸν γοῦν, ὁπότ' ἐπὶ τῶν διαγνώσεων ἦν, οὐκ οἶδ' ὅπως ἔδοξαν οἱ πλείους τῶν ἐπισκεπτομένων ἰατρῶν ἀπόστασιν ἔχειν ἐν ἥπατι· κἀπειδὴ πλείονι χρόνῳ μηδὲν ἐπεδίδου πρὸς τὸ βέλτιον, ἐκάλεσεν κἀμέ. θεασάμενος οὖν αὐτὸν ἅμα τῷ πρῶτον εἰσελθεῖν εἰς τὸν οἶκον, ἔνθα κατέκειτο, τοῦτο μέν, ἔφην, ἤδη γίγνωσκε, μηδὲν ἐν τῷ σπλάγχνῳ σοι κακὸν εἶναι, τὰ δ' ἄλλα γυμνώσας τὸ ὑποχόνδριον εἴσομαι. καὶ ἦν [47] τούτῳ τῶν ἐν τῷ βάθει μυῶν ἀπόστημα, καὶ συνείλεκτο πύον ἤδη μεταξὺ τῶν τ' ἐγκαρσίων καὶ τῶν κάτωθεν ἄνω φερομένων λοξῶν, οὓς μέσους ἴστε κειμένους τῶν τε τοῦ περιτοναίου ψαυόντων ἐγκαρσίων, καὶ τῶν ἐπιπολῆς ἐπὶ τῷ δέρματι λοξῶν ἄνωθεν κάτω φερομένων. οὕτω δὲ καὶ ἄλλους πολλοὺς ἴστε με σημειωσάμενον, ὡς ἐκ τῆς χροιᾶς ἀποφήνασθαι, ποτὲ μὲν ἧπαρ εἶναι τὸ πάσχον αὐτοῖς, ποτὲ δὲ σπλῆνα, μήτε τῶν προγεγονότων ἀκηκοότα τι, μήτε διὰ τῆς ἁφῆς γνωρίσαντα τὸ πάθημα τῶν σπλάγχνων· διὸ καὶ πολλάκις ἀκούετέ μου καταρωμένου τοῖς [48] πρώτοις τολμήσασιν ἑαυτοὺς προστάτας μὲν ἰατρικῆς θεωρίας ἀποφῆναι, θεραπεύειν δὲ τοὺς νοσοῦντας οὐ βουληθέντας· οἱ πλεῖστοι δὲ τούτων, ἐμπειρικοί τε καὶ μεθοδικοὶ γεγόνασιν, οἷς ἄν τις λέγῃ δυνατὸν εἶναι, διὰ μόνης τῆς χρόας ἐνίοτε διαγνῶναι τὸν πεπονθότα τόπον, ἀνοίξαντες τὸ στόμα, τὴν ἀναίσχυντον αὐτῶν γλῶτταν, ὥσπερ τινὰ κύνα λυττῶντα, τοῖς διαλεγομένοις ἀφιᾶσιν. ἀλλ' οὐ πρὸς ἐκείνους ὁ νῦν ἐνεστηκὼς λόγος, ὡς ἤδη καιρὸς ἐφ' ἕτερον ἰέναι γένος συμπτωμάτων, ἐνδεικνύμενον ἥπατος ἀτονίαν αὐτὴν καθ' ἑαυτὴν μόνην ἄνευ φλεγμονῆς, ὥσπερ γε καὶ μικρὸν ἔμπροσθεν ὁ περὶ τῆς φλεγμονῆς αὐτοῦ λόγος ἐλέχθη μόνος, ἄνευ τῆς κατὰ τὴν

fectus hoc symptoma efficiat, huciam progressi scrutemur. Videmus enim nonnunquam, hoc viscere nequaquam affecto, criticam bilis pallidæ effusionem ad cutem fieri, quemadmodum alios quosdam humorum decubitus. Videmus etiam aliquando citra crisin sanguinem ab extranea quadam corruptione in bilem verti, qualis & ferarum morsu fieri solet. Imperatoriorum sanè seruorum, quibus munus est venandi viperas, quidam morsus, aliquanto tempore medicamenta sibi consueta potabat; sed quum color vniuersus mutaretur ipsi, adeò vt porraceus euaderet, accedens singula nobis enarrauit, & epotâ theriacâ, quàm celerrimè color secundum naturam ei restitutus est. Quia verò medici inuestigare solent, an assumpti veneni propria extent signa, eò quòd sæpenumerò videant citra lethalis veneni potionem humores similiter vt epoto veneno, corrumpi; nõ mirum est, si sic aliquando mutentur humores, vt vniuersum corpus auriginosum euadat. Fieri verò etiam potest, vt iecinoris secundum naturam temperie mutatâ, huiuscemodi vitio afficiantur citra obstructionem, aut inflammationem, aut scirrhum. Nam sanè manifestè quãdoq; videmus, vniuersũ corpus herbiscandenti pallore infectis similari; interdum plumbeum, aut etiam magis fuscum referre colorem; interdum etiam alias quasdam ineffabiles colorum proprietates, iecore suo munere non rectè fungente, sine tumoribus præter naturam. Sic ob splenis quoq; vitia, huiusmodi colores eueniũt, sed multò nigriores quã ab hepate; quos clarâ interpretatione enarrare difficillimũ est, cognoscere facillimum iis, qui illos sæpenumerò cõspexerint. Etenim Stesiano, quum medicorũ iudiciũ subiisset, nescio quo pacto eorum non pauci abscessum in hepate consistere crediderũt; ac posteaquàm longo temporis spatio nihil se in melius proficere sentiret, me quoque vocauit. Igitur simul atque domum, vbi iacebat, fuissem ingressus, aspiciens eum, hoc iam (inquam) scias velim, nullum tibi esse in viscere vitium; cætera, nudato hypochondrio, cognoscam. Huic erat ergo in profundis musculis abscessus, contracto iam pure in medio spacio eorum musculorum, qui per transuersum incedunt, atque illorum, qui obliquè ab infernis sursum tendunt, qui (vt nouistis) medij sunt inter eos, qui transuersi peritonæo incumbunt, & eos, qui sub externa cute obliqui deorsum feruntur. Sic etiam alios complures scitis me notasse, per colorem declarando, modò iecur, modò splenem ipsis esse affectum, nullâ auditâ præteritorum symptomatum narratione, neque etiam per tactum inuestigato viscerum affectu. Proinde sæpenumerò audiuistis me malè imprecantem ijs, qui medicæ speculationis principes se statuunt, ægros curare nolunt; horum plurimi sunt, tũ Empirici tum Methodici; quibus siquis dixerit fieri posse, vt solo colore affecta sedes interdum dignoscatur, illi aperto ore, rabidi canis exẽplo, in colloquẽtes linguã exerũt impudentẽ. Verũ præsens sermo haudquaquam ad illos dirigitur. Quare iam ad aliud symptomatũ genus accedere tempus est, quod iecoris imbecillitatẽ ipsã per se solã sine inflãmatione prodit, quemadmodum & paulò ante de ipsius inflãmatione citra propriæ facultatis imbecil-

imbecillitatẽ, seorsum diximus. Quoniã igitur sanguinis generationem, hepatis munus esse intelligimus, quæ causa hunc generare potest, eam hepatis propriam facultatẽ esse dicemus; propriam autem diximus, propter eas quæ omnibus corporis nostri partibus communes sunt, quas in libris de naturalibus facultatibus percurrimus, attractricem dico, & retentricem, & expultricem; nam quarta generatim alteratrix, speciatim sanguifica est. Porrò omnium facultatum essentiam in peculiaribus partium temperamentis consistere didicistis; proinde quum iecur ad aliquam ex octo intemperiebus labetur, ea accidet facultatibus ipsius noxa, quæ illi intemperiei peculiariter debetur, de quibus generalem scripsimus sermonem tertio libro de symptomatum causis; proprius autem cuiusque secundum speciem partis, communi ad proportionem respondet. Igitur calidæ iecoris intemperies, tum contentos in ipso humores, tum eos qui per mesenterij venas deferuntur, assant & adurunt; frigidæ autem contentos iam in ipso humores, crassos, atque ad fluxum & motum contumaces reddunt; id verò quòd ad ipsum fertur, & pituitosum, & crudum, & semicoctum efficiunt. Sic è reliquis quoque duabus, arida quidem intemperies sicciores crassioresque; humida verò, tenuiores aquosioresque reddit humores. Igitur quum alui deiectiones carnium recens mactatarum loturis similes videritis, efficacissimum hoc vobis signum sit affectionis hepaticæ. Ac nominantur hepaticæ eæ præcipuè, quæ ob imbecillitatem ipsius fiunt; nam iecoris substantiæ huiusmodi proprij sunt affectus; didicistis autem cuiusque primorum corporum substantiam ex quatuor qualitatũ constare tẽperamento. Sic etiam, si fæci sanguinis similia per sedem excremẽta deiici conspiciatis, scite hepatis quoq; affecti notã esse. Itaq; tenue & saniosum excrementum, visceris sanguinem creare nequeuntis; quod fæci assimilatur, id superassantis sanguinem indicium est. Neque verò à memoria vestra decidit, vos sæpe vidisse in primis quidem saniem cruentam, dein tractu temporis crassum ac melancholicum sanguinem, postremò atram quoque bilem sinceram deiici. Incipit enim interdum affectus ob frigidam intemperiem citra febrem, quando tenuis sanies sanguinis excernitur; deinde tractu temporis, dum sanguis in viscere corrumpitur, febris superuenit; quæ tamen ab imperitis valdè negligitur, vt laborantem interdum nequaquam febricitare putent, atque hunc affectum ob inedias accidisse existiment, quas ob inappetentiam ciborum potiùs, quàm ob medicorum præscriptum laborantes ita patiuntur. Itaque quum interea nihil per aluum excernatur, videaturque laborans omnino liber à febre, balneis eum exponunt, ac idoneam victûs rationem præscribere negligunt; quocirca rursus corruptos cibos aluus excernit, quos deinde hepaticorum excrementorum nonnihil sequitur. At nonnulli qui ob frigidam intemperiem laborare inceperunt, non solum perdunt cibi appetentiam, verùmetiam interdum magis, quàm antea, se esurire aiunt. Calidas verò intemperies nunquam comitatur ciborum appetentia, sed ingens cibi fastidium, sitis vehe-

A οἰκείαν δύναμιν ἀῤῥωστίας. [ἐπεὶ τοίνυν ἔργον ἥπατος ἴσμεν αἵματος γένεσιν, ἥτις ἂν αἰτία τοῦτο ποιεῖν πέφυκεν, δύναμιν ἥπατος αὐτὴν ἐροῦμεν ὑπάρχειν ἰδίαν· πρόσκειται δὲ τῷ λόγῳ τὸ ἰδίαν, διὰ τὰς κοινὰς ἁπάντων τῶν ἐν ἡμῖν μορίων, ἃς ἐν τῇ περὶ τῶν φυσικῶν δυνάμεων πραγματείᾳ διῆλθον, ἑλκτικήν τε λέγω, καὶ καθεκτικὴν, καὶ ἀποκριτικήν· ἡ γὰρ τετάρτη ἡ κατὰ τὸ γένος ἀλλοιωτικὴ, κατ' εἶδός ἐστιν ἡ αἱματοποιητική. πασῶν δὲ τῶν δυνάμεων τὰς οὐσίας, ἐν ταῖς τῶν μορίων οἰκείαις [49] κράσεσιν ἐμάθετε ὑπάρχειν· συμβήσεται τοιγαροῦν καὶ κατὰ τὸ B ἧπαρ, ὅταν εἴς τινα τῶν ὀκτὼ δυσκρασιῶν ἀφίκηται, βλάπτεσθαι τὰς δυνάμεις αὐτοῦ βλάβας οἰκείας τῇ δυσκρασίᾳ, περὶ ὧν εἴρηται μὲν ὁ κοινὸς λόγος ἐν τῷ τρίτῳ τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων, ὁ δ' ἴδιος ἑκάστου μορίου κατ' εἶδος, ἀνάλογον [50] τῷ κοινῷ. [κατὰ γοῦν τὸ ἧπαρ, αἱ μὲν θερμαὶ δυσκρασίαι κατοπτῶσι καὶ συγκαίουσι τούς τε προϋπάρχοντας ἐν αὐτῷ χυμοὺς, καὶ τοὺς διὰ τῶν ἐν μεσεντερίῳ φλεβῶν ἀναφερομένους· αἱ δὲ ψυχραὶ παχὺν μὲν καὶ δύσρουν καὶ δυσκίνητον ἐργάζονται τὸν ἤδη C περιεχόμενον ἐν αὐτῷ, φλεγματικὸν δὲ καὶ ὠμὸν καὶ ἡμίπεπτον, τὸ ἀναφερόμενον· οὕτως δὲ καὶ τῶν ἄλλων δυοῖν, ἡ μὲν ξηρὰ δυσκρασία ξηροτέρους καὶ παχυτέρους ἐργάζεται τοὺς χυμοὺς, ἡ δ' ὑγρὰ, [51] λεπτομερεστέρους καὶ ὑδαρεστέρους. [ὅτ' ἂν οὖν ποτ' ἴδητε διαχωρήματα, οἷα νεοσφαγῶν κρεῶν πλύμασιν ἐοικότα, βεβαιότατον γνώρισμα τοῦθ' ὑμῖν ἔστω πάθους ἡπατικοῦ. καλεῖται δ' ἐξαιρέτως ἡπατικὰ τὰ διὰ τὴν ἀῤῥωστίαν αὐτοῦ τῆς δυνάμεως· τῆς γάρτοι τοῦ ἥπατος οὐσίας ἐστὶ ταῦτ' ἴδια παθήματα· D μεμαθήκατε δ' ὡς ἑκάστου τῶν πρώτων σωμάτων ἡ οὐσία, κατὰ τὴν κρᾶσιν ἐστὶ τῶν τεττάρων ποιοτήτων. ὁμοίως δὲ ἂν οἷα αἵματος τρύγα θεάσησθε δι' ἕδρας ἐκκριθεῖσαν, ἡπατικὸν ἴστε καὶ τοῦτ' εἶναι γνώρισμα. τὸ μὲν οὖν λεπτὸν καὶ ἰχωροειδὲς, ἀῤῥωστοῦντος [52] ἐξαιματοῦν ἐστὶ τοῦ σπλάγχνου γνώρισμα· τὸ δ' οἷα τρὺξ, ὑπεροπτῶντος τὸ αἷμα. καὶ μὴν καὶ τοῦτο πολλάκις ἑωρακότες μέμνησθε, κατ' ἀρχὰς μὲν ἰχῶρας αἱματώδεις ἐκκρινομένους, ἐπὶ προήκοντι δὲ τῷ χρόνῳ τὸ παχὺ καὶ μελαγχολικὸν αἷ-E μα, τὰ τελευταῖα δὲ καὶ μέλαιναν ἀκριβῶς χολήν. ἄρχεται μὲν γὰρ ἐνίοτε καὶ χωρὶς πυρετοῦ τὸ κατὰ τὴν ψυχρὰν δυσκρασίαν πάθος, ἡνίκα λεπτὸς ἰχὼρ αἵματος ἐκκρίνεται· προϊόντος δὲ τοῦ χρόνου καὶ διαφθειρομένου τοῦ κατὰ τὸ σπλάγχνον αἵματος, ἐπιγίγνονται πυρετοί· καὶ λίαν γε καταφρονοῦσιν αὐτῶν οἱ ἄπειροι, καί ποτε καὶ τελέως ἀπύρετος αὐτοῖς ἔδοξεν ὁ κάμνων εἶναι, καὶ γεγονέναι τοῦτο λογίζονται διὰ τὰς ἀσιτίας, ἃς διὰ τὴν ἀνορεξίαν μᾶλλον, ἢ τὴν τῶν ἰατρῶν πρόσταξιν, οἱ πάσχοντες οὕτω ποιοῦνται· κατὰ γαστέρα τε οὖν οὐ-F δενὸς ἐκκριθέντος ἐν τῷ μεταξὺ, καὶ τοῦ πυρετοῦ δόξαντος οὐδ' ὅλως εἶναι, λούουσί τε καὶ συγχωροῦσιν ἀμελέστερον διαιτηθῆναι· κοὔτως αὖ πάλιν ἥ τε γαστὴρ ἐκκρίνει διεφθαρμένα τὰ σιτία, καί τι καὶ τῶν ἡπατικῶν ἠκολούθει διαχωρημάτων. ἐνίοις δὲ τῶν κατὰ ψυχρὰν δυσκρασίαν ἀρξαμένων νοσεῖν, οὐ μόνον οὐδὲν ἀπόλλυται τῶν ὀρέξεων, ἀλλὰ καὶ πεινῆν ἐνίοτέ φασι νῦν μᾶλλον ἢ πρόσθεν· οὐ μὴν ταῖς γε θερμαῖς δυσκρασίαις ἕπεταί ποτ' ὄρεξις σιτίων, ἀλλ' ἀνορεξία τε δεινὴ καὶ δίψος καρτερὸν,

καὶ πυρετὸς οὐκ ἀληνὴς, καὶ μοχθηρῶν χυμῶν ἔμετος. ταῦτα μὲν οὖν ἴδια συμπτώματα τῶν ἡπατικῶν ἐστιν· ὀνομάζεσθαι δ' οὕτως ἔφην ἐκείνους, οἷς ἄῤῥωστος ἡ τοῦ σπλάγχνου δύναμίς ἐστιν, ἐφ' ὧν οἱ πλείους [53] τῶν ἰατρῶν ἐξαπατώμενοι, δυσεντερίαν εἶναι νομίζουσι τὸ πάθος· ἕτερα δ' ἐστὶν, ὡς εἴρηται, τὰ τῆς φλεγμονῆς συμπτώματα. καί ποτε συνελθόντων ἀμφοτέρων τῶν παθῶν, ἑκάτερα φαίνεται, καὶ χρὴ προχείρως αὐτῶν ἔχειν τὴν μνήμην· οὕτως γὰρ οὐ μόνον ἐπαινεῖσθαι πρὸς τῶν χρωμένων ἡμῖν, ἀλλὰ καὶ θαυμάζεσθαι γενήσεται, προσεπιθεωροῦσι καὶ τὰ κοινὰ πρὸς ἕτερα πάθη, καθάπερ τὸ ἥκειν εἰς τὰς νόθας πλευρὰς τὸ ἄλγημα, καὶ [54] συγκατασπᾶσθαι δοκεῖν τὴν κλεῖν, ἀναπνεῖν τε μικρὸν, καὶ πυκνόν. ἐγὼ γοῦν, ὁπότε πρῶτον εἰς Ῥώμην ἀνῆλθον, ὑπὸ Γλαύκωνος τοῦ φιλοσόφου μεγάλως ἐθαυμάσθην ἐπὶ τοιᾶδέ τινι διαγνώσει. συντυχὼν γάρ μοι καθ' ὁδὸν, ἔφασκεν ἐν καιρῷ φανῆναι· καὶ οὕτως ἐμβαλὼν τῇ δεξιᾷ τὴν χεῖρα, πλησίον, ἔφη, τοῦ κάμνοντός ἐσμεν, ὃν ἥκω τε θεασάμενος ἄρτι, καὶ παρακαλῶ μετ' ἐμοῦ παραγενέσθαι σε πρὸς αὐτόν· ἔστι δὲ ὁ ἀπὸ τῆς Σικελίας ἰατρὸς, ὃν πρὸ ἡμερῶν ὀλίγων ἐθεάσω συμπεριπατοῦντα σὺν ἐμοί. τί δὲ καὶ τὸ λυποῦν, ἔφην, αὐτόν ἐστιν; ὁ δὲ καὶ μάλα [55] παρατεταγμένως ὡμολόγησεν ἐκ [56] φανερωτάτου, καὶ γὰρ ἦν οἷος μηδὲ κρυψίνους εἶναι, μηδὲ πανοῦργος· ἐπεί μοι, φησιν, ἀπήγγειλαν χθὲς οἱ περὶ Γοργίαν καὶ Ἀπελλᾶν, διαγνώσεις τε καὶ προγνώσεις πεποιῆσθαί σε μαντικῆς μᾶλλον ἢ ἰατρικῆς ἐχομένας, ἐπιθυμῶ πεῖραν αὐτὸς λαβεῖν, οὐ σοῦ τοσοῦτον, ὅσον τῆς κατ' ἰατρικὴν τέχνην, εἰ καὶ τοιαῦτα διαγινώσκειν τε καὶ προγινώσκειν δύναται. ταῦτά τε οὖν ἔλεγε, καὶ ἡμεῖς ἦμεν ἐπὶ τῇ θύρᾳ τοῦ κάμνοντος, ὡς μηδ' ἀμείψασθαί με τῷ λόγῳ δυνηθῆναι τὴν πρόκλησιν αὐτοῦ, μηδ' εἰπεῖν ἅπερ ἴστε λέγοντά με πολλάκις, ὡς ἐνίοτε μὲν ἡμῖν εὐτυχῶς φαίνεταί τινα τῶν βεβαίων σημείων, ἐνίοτε δ' ἀμφίβολα πάντ' ἐστὶ, καὶ διὰ τοῦτο δευτέραν καὶ τρίτην ἐπίσκεψιν ἀναμένομεν. ἀλλά τοι μετὰ τὴν πρώτην εἴσοδον, ἀπήντησέ τις ἡμῖν λεκάνην ἐκ τοῦ κοιτῶνος ἐκκομίζων εἰς τὸν κοπρῶνα, ἔχουσαν ὀῤῥὸν κρεῶν νεοσφαγῶν πλύμα, λεπτὸν αἵματος ἰχῶρα, βεβαιότατον σημεῖον ἥπατος πάσχοντος. ὡς οὖν μηδ' ὅλως ἑωρακὼς αὐτὸ, εἰσῆλθον ἅμα τῷ Γλαύκωνι πρὸς τὸν ἰατρὸν, ἐπιβαλών τε τὴν χεῖρα τῷ καρπῷ, βουλόμενος γνῶναι, πότερον καὶ φλεγμονή τις [57] εἴη κατὰ τὸ σπλάγχνον, ἢ μόνον ἀτονία. ἰατρὸς δὲ [58] ὢν, ὡς ἔφην, ὁ κατακείμενος, ἄρτι πως ἔφη κατακεκλίσθαι μετὰ τὸ διαχωρῆσαι, ὥστε προσλογίζου τι τῇ πυκνότητι τῶν σφυγμῶν καὶ διὰ τὴν ἐξανάστασιν προσγεγονέναι. ὁ μὲν οὖν ταῦτ' ἔλεγεν, ἐγὼ δ' εὗρον φλεγμονῆς ἔμφασιν· εἶτα καὶ θεασάμενος ἐπικείμενον τῇ θυρίδι χυτρίδιον μικρὸν, ὕσσωπον ἔχον ἐν μελικράτῳ προεσκευασμένον, ἐλογισάμην οἴεσθαι τὸν ἰατρὸν ἑαυτὸν εἶναι πλευριτικὸν, ἀλγήματος αὐτῷ κατὰ τὰς νόθας πλευρὰς ὑπάρχοντος, ὃ καὶ ταῖς κατὰ τὸ ἧπαρ φλεγμοναῖς ἐπιγίνεταί ποτε. τούτου τοίνυν αἰσθανόμενον αὐτὸν, ἀναπνέοντά τε πυκνὸν καὶ μικρὸν, ἐρεθιζόμενόν τε βηχίοις μικροῖς, [59] ὑπενόησα νομίζειν ἑαυτὸν εἶναι πλευριτικὸν, καὶ διὰ τοῦτο παρεσκευακέναι τὸ ὕσσωπον ἐν τῷ μελικράτῳ. παρεχούσης οὖν μοι καὶ τῆς τύχης ὁδὸν, ὡς εὐδοκιμήσαιμι παρὰ τῷ Γλαύκωνι, συνιδὼν, ἐπιβάλλω καὶ τὴν ἐμαυτοῦ χεῖρα κατὰ τῶν τοῦ κάμνοντος ἐν τῷ δεξιῷ μέρει νόθων πλευρῶν,

περὶ Γλαύκωνος

πάσχων

A mens, febris insignis, vitiosorum humorum vomitus. Hæc sunt propria hepaticorum symptomata; sic autem nominari iam dixi eos, quibus visceris facultas est imbecillis; qua in re vulgus medicorum errans, hunc affectum putat esse dysenteriam; inflammationem autem alia (vt dictum est) sequuntur symptomata. Quum itaque ambo interdum affectus conueniunt, vtriusque symptomata simul apparent, quorum in promptu memoriam habere oportet; sic enim non solum laudabunt nos, sed admirabuntur etiam ij qui opera nostra indiguerint, B præsertim si symptomata quoque alijs morbis communia insuper prospexerimus, veluti quod dolor ad nothas costas perueniat, iugulum detrahi videatur, respiratio parua reddatur & frequens. Equidem quum primum Romam venissem, magnificè admiratus est me Glauco philosophus ob huiuscemodi quandam dignotionem. Etenim per viam mihi occurrens, opportunè (inquit) aduenisti; iungensque dextram dextræ, proximi sumus (inquit) laboranti, quem nuper vidi, teque oro, vt vnà mecum ad ipsum venias; est autem Siculus medicus, C quem non ita pridem mecum ambulantem vidisti. Ego verò, quid, inquam, molestat ipsum? Tum ille admodum ingenuè, apertè rem declarauit; etenim neque dissimulator, neque vafer erat. Quoniam heri (inquit) Gorgias & Apelas mihi nunciauerunt dignotiones & prænotiones edidisse te, quæ diuinationis sunt potius, quàm medicinæ, cupio equidem periculum facere, non tam tui, quam artis medicæ, num sit ei dignoscendi hæc & prænoscendi facultas. Igitur quum hæc diceret, venimus ad laborantis ostium, vt neque verbo eius prouocationi respondere, neque ea, quæ sæpenumerò me dicere audiuistis, effari possem, quòd D scilicet interdum nobis fœliciter apparent aliqua certa signa; interdum verò omnia sunt ambigua, atque idcircò & alteram & tertiam quoque considerationem expectamus. At in primo statim aditu, obuiam nobis venit quidam peluim à cubiculo ad sterquilinium efferens, continentem tenuem cruoris saniem, carnium nuper mactatarum loturæ similem, euidentissimum affecti iecoris indicium; itaque ac si nullomodo id intellexissem, cum Glaucone ad medicum ingressus sum, admouique manum carpo, quò intelligerem, vtrum etiam inflam- E matio, an sola imbecillitas esset in viscere. Quum verò medicus esset, vt diximus, qui decumbebat, nuper (inquit) à deiectione decubui, itaque perpende pulsuum frequentiam ob surrectionem adauctam esse. Hæc quidem dixit, ego autem deprehendi inflammationis indicium, prospiciensque deinde fenestræ impositum aliquid hyssopi, cum aqua mulsa paratum in ollula, cogitaui medicum se pleuriticum esse putare, dolore nothas costas obsidente, qualis iecoris quoque inflammationibus ali- F quando accidere consueuit. Hunc itaque quòd ipse sentiret, essetque respiratio parua, & crebra, atque exigua tussi irritaretur, pleuriticum arbitrari se cogitaui, quamobrem hyssopum ex aqua mulsa præparasse. Intelligens itaque ego, quòd fortuna viam mihi præberet, qua apud Glauconem clarum nomen adipisci possem, manum meam ad nothas in dextro laborantis latere

latere costas detuli, indicatoque simul loco, dixi eum ibi dolere; quod quum ipse fateretur, Glauco ex solo pulsu existimans me sedis affectæ dignotionem inuenisse, planè admirari me cœpit. Verùm vt vehementiùs stuperet, hæc quoque addidi; quemadmodum hoc in loco dolere te confessus es, ita velim fatearis etiam tussiendi cupiditate vexari te, & ex longis interuallis tussim exiguam, aridam, & qua nihil expuis, te molestare; atque ita me dicente, incepit fortè fortuna huiusmodi quadam tussis specie, qualem dicebam, tussire; vt Glauco vehementer commotus, continere sese non valens, magna voce exclamando, in laudes meas prorumperet. Tum ego, ne putes (inquam) sola hæc ab arte circa ægrotos posse præsagiri; sed alia quoque quæ nunc dicam, quibus & laborans ipse testimonium feret. Hinc rursus incipiens ipsi dixi; quum magnam ducis respirationem, dolor ea parte, quam notaui, vehementiùs scilicet te cruciat, sentisque insidentem hypochondrio dextro grauitatem. His auditis, ne infirmus quidem sese potuit continere, quo minus præ vehementi admiratione vnà cum Glaucone exclamaret. Itaque sentiens ego arridentem mihi tum fortunam, de clauicula quoque, quòd ad inferiora trahi videretur, aliquid efferre volebam; at quia magnas inflammationes, quemadmodum & scirrhum, id comitari sciebam, dicere non audebam, veritus ne laudem, quam antea de me excitaueram, sauciarem. Animum tamen induxi cautò eloqui, atque aspiciēs laborantem, haud ita multo post (inquam) iugulum ad infernas partes detrahi senties, nisi fortasse id iam tibi euenerit. Ac quum hoc quoque fateretur, videns ægrotantem mirificè attonitum, vnam (inquam) addam adhuc prædictis diuinationem; etenim dicam, quam de morbo suo laborans ipse habuerit suspicionem. Tum Glauco ne de hac quidem diuinatione desperare se aiebat; laborans autem incredibili hac pollicitatione in stuporem adductus, acriter me intuēs, quid essem dicturus, attenta mente expectabat. Igitur dicente me, quòd infestantem morbum pleuritidem esse putasset, ille ingenti cum admiratione huius quoque rei se testem exhibuit, vt & qui astabat, & qui paulo antè latus ei oleo tanquam pleuritico fouerat. Atque ex eo tempore Glauco, tum de me, tum de vniuersa arte, optimam concepit opinionem, quum antea nihil magni in arte esse putaret, quòd nunquam cum consummatis in arte viris versatus esset. Hæc ideò apud vos dixi, vt intelligentes symptomata cuilibet morbo propria, & aliis quoque morbis communia; ac præterea quæ ab vtrolibet genere sunt inseparabilia, & quæ magna ex parte, & quæ non certò, aut raro contingunt, si aliquando fortuna huiusmodi vobis occasionem, qualem mihi fuisse oblatam iam dixi, præbeat, ea commodè vti sciatis. Sæpe enim fortuna non contemnendam adipiscendæ laudis ansam suggerit, ea tamen multi ob imperitiam vti nesciunt; sed peritus artis, quum symptomatum aliquod huiusmodi, quod & affectam sedem & affectum ipsum indicet, conspexerit, haud difficulter alia multa prædicenda inueniet, quorum alia necessariò, alia magna ex parte, locum affectum, & morbum

A καὶ δείξας ἅμα τὸν τόπον, ἔφην ἀλγεῖν αὐτὸν ἐνταῦθα. τοῦ δ' ὁμολογήσαντος, ὁ Γλαύκων ἐκ τοῦ σφυγμοῦ μόνου τὴν διάγνωσιν τοῦ πεπονθότος τόπου νομίσας γεγονέναι, καταφανὴς ἦν μοι θαυμάζων. ὅπως οὖν αὐτὸν μᾶλλον ἐκπλήξαιμι, [60] προσετίθην καὶ ταῦτα· καθάπερ, ἔφην, ὡμολόγηκας ἐνταυθοῖ ἀλγεῖν, προσομολόγησον ὅτι καὶ τοῦ βῆξαι γίγνεταί σοι προθυμία, καὶ βήττεις ἐκ διαστημάτων μειζόνων βηχία σμικρὰ ξηρὰ, μηδενὸς ἀναπτυομένου. ταῦτα λέγοντος ἐμοῦ, κατὰ τύχην ἔβηξε τοιοῦτον εἶδος βηχὸς, ὁποῖον B ἔλεγον· ὥστε τὸν Γλαύκωνα [61] μεγάλως θαυμάσαντα, μὴ κατέχειν ἑαυτὸν, ἀλλ' ἐπαινεῖν κεκραγότα μεγάλῃ τῇ φωνῇ. μὴ τοίνυν, ἔφην ἐγὼ, ταῦτα μόνα δόκει τὴν τέχνην ἱκανὴν εἶναι μαντεύεσθαι περὶ τοὺς κάμνοντας, ἀλλὰ καὶ πρὸς αὐτοῖς ἔτι ταυτὶ τὰ νῦν ἐμοὶ λεχθησόμενα, μαρτυρήσει δ' αὐτοῖς ὁ κάμνων αὐτός. ἐντεῦθεν δὲ πάλιν ἀρξάμενος, ἔφην πρὸς αὐτόν· ὅτ' ἂν ἀναπνεύσῃς μεῖζον, αἰσθάνῃ μὲν δήπου καὶ τῆς κατὰ τὸ χωρίον ὀδύνης, ὃ ἔδειξά σοι, σφοδροτέρας γιγνομένης, αἰσθάνῃ δὲ καὶ βάρους ἐγκειμένου κατὰ τὸ δεξιὸν [62] ὑποχόνδριον. ἐπὶ τούτοις οὐδ' αὐτὸς ὁ νοσῶν ἔτι ἡσύχαζεν, ἀλλὰ C θαυμάζων ἐνεκεκράγει μετὰ τοῦ Γλαύκωνος. αἰσθανόμενος οὖν ἐγὼ τῆς κατὰ τὸν καιρὸν ἐκεῖνον εὐτυχίας, ἐτόλμησα μὲν εἰπεῖν τι καὶ περὶ τῆς κλειδὸς, ὡς κατασπωμένης· εἰδὼς δὲ ταῖς μεγάλαις αὐτοῦ φλεγμοναῖς ἑπόμενον, ὥσπερ οὖν καὶ τοῖς σκίρροις, οὐκ ἐθάρρουν εἰπεῖν, εὐλαβούμενος ἀποθραῦσαί τι τῶν ἔμπροσθεν ἐπαίνων· ἐπῆλθεν οὖν μοι μετ' ἀσφαλείας ἀποφήνασθαι, καὶ προσβλέψας τῷ κάμνοντι, τῆς κλειδὸς, ἔφην, ὑποκατασπωμένης αἰσθήσῃ διὰ ταχέος, εἰ μὴ τυγχάνει σοι γεγονὸς ἤδη που τοῦτο. D συνομολογήσαντος δ' αὐτοῦ, θεασάμενος ἐγὼ τὸν [63] κάμνοντα θαυμαστῶς ἐκπεπληγότα, μίαν, εἶπον, ἔτι προσθήσω τοῖς εἰρημένοις μαντείαν· ἐρῶ γὰρ καὶ τὴν τοῦ κάμνοντος ὑπόληψιν, ἣν ἔχει περὶ ὧν πάσχει παθημάτων. ὁ μὲν οὖν Γλαύκων οὐκ ἀπελπίζειν οὐδὲ ταύτης ἔφη τῆς μαντείας, αὐτὸς δ' ὁ νοσῶν ἐπὶ τῷ παραδόξῳ τῆς ὑποσχέσεως ἐκπεπληγὼς, ἐνέβλεπέ μοι δριμὺ, προσέχων τὸν νοῦν τῷ ῥηθησομένῳ· καὶ δὴ καὶ φάντος μου, πλευρῖτιν αὐτὸν οἴεσθαι τὴν ἐνοχλοῦσαν εἶναι νόσον, ὁ μὲν ἐμαρτύρησε θαυμάζων, οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ ὁ παρεστὼς αὐτῷ, καὶ ὁ καταντλήσας ὡς πλευριτικὸν ἐλαίῳ πρὸ βραχέος. ὁ δὲ Γλαύκων ἐξ ἐκείνου περί τε ἡμῶν καὶ ὅλης τῆς ἰατρικῆς εἶχεν ἀξιόλογον ὑπόληψιν, ἔμπροσθεν οὐδὲν μέγα τὴν τέχνην [64] ἔχειν οἰόμενος, ἐκ τοῦ μηδέποτε συντετυχηκέναι παρεσκευασμένοις κατ' αὐτὴν ἀξιολόγοις ἀνδράσιν. εἴρηταί μοι ταῦτα πρὸς ὑμᾶς, ὅπως εἰδότες τά τ' ἴδια πάθους ἑκάστου συμπτώματα, καὶ τὰ κοινὰ πρὸς ἕτερα πάθη, καὶ σὺν αὐτοῖς ἔτι τὰ μὲν ἑκατέρου γένους ἀχώριστα, τὰ δ' ὡς ἐπὶ τὸ πολὺ, τὰ δ' ἀμφιδόξως ἢ σπανίως γιγνόμενα, παρεχούσης τε τῆς τύχης ὑμῖν ἀφορμὴν τοιαύτην, οἵαν ἔφην ἐμαυτῷ γεγενῆσθαί ποτε, δεξιῶς αὐτῇ χρῆσθαι F δύνησθε. πολλάκις γὰρ ἡ μὲν τύχη μεγάλας εὐδοκιμήσεως ἀφορμὰς ὑποβάλλει, χρῆσθαι δ' αὐταῖς οἱ πολλοὶ δι' ἀμαθίαν οὐκ ἴσασιν· ἀλλ' ὁ τεχνίτης ὅτ' ἂν ἓν θεάσηται σύμπτωμα τῶν ἐνδεικνυμένων τό, τε πάθος ἅμα, καὶ τὸν πεπονθότα τόπον, ἑτέρων εὐπορεῖν εἰς πρόρρησιν οὐκ ὀλίγων ἱκανὸς ἔσται, τῶν μὲν ἐξ ἀνάγκης ἑπομένων, τῶν δὲ ὡς τὸ πολὺ, τῷ πεπονθότι τόπῳ καὶ τῷ κατ'

αὐτὸν πάθη. μεμνῆσθαι δ' ὑμᾶς μάλιστα χρὴ τῶν γενικῶν θεωρημάτων, ἃ δὴ καὶ καθόλου προσαγορεύεται, κοινὰ πολλῶν ὄντα τῶν κατὰ μέρος, ἵν' ἐπὶ πάσης ὕλης τῶν κατὰ μέρος πραγμάτων γυμνάζησθε διαγινώσκειν αὐτὰ ταχέως. ἔστι δὲ ὁ κοινὸς λόγος, ὃν ἐρεῖν μέλλω, περὶ τῶν φυσικῶν δυνάμεων, ἃς ἐν ἑκάστῳ μορίῳ προμεμαθήκατε τέτταρας εἶναι κατὰ γένος· ὧν πρώτην μὲν τὴν ἑλκτικὴν ὀνομάζω, τῶν οἰκείων τῷ μορίῳ χυμῶν εἰς θρέψιν, ὀρεκτικήν τε ἅμα καὶ ἐπισπαστικὴν οὖσαν· ἐφεξῆς δ' αὐτῇ δευτέραν, τῶν ἑλχθέντων ἀλλοιωτικήν, καθ' ἣν ὁ ἑλχθεὶς χυμὸς ὁμοιοῦται τῷ τρεφομένῳ μορίῳ· καὶ ταύτης ὑπηρέτιδες ἕτεραι δύο, καθεκτικὴ μέν, ἡνίκα πέττει τὸν ἑλχθέντα χυμόν, εἰς τὴν ἑαυτοῦ φύσιν ἀλλοιοῦν τὸ μόριον· ἀποκριτικὴ δ' ἡνίκα μετὰ τὴν πέψιν ἐκκρίνει τὸ ἄχρηστον, ὃ καλεῖται περίττωμα. ταύτας τὰς δυνάμεις ἐφ' ἑκάστου μορίου πάσχοντος ἀεὶ σκοπεῖσθαι παραινῶ, πῶς ἔχουσιν εὐρωστίας τε καὶ ἀρρωστίας· οἷον ἐπὶ τοῦ ἥπατος, ἐπειδὴ περὶ τούτου πρόκειται λέγειν, ἡ μὲν ἑλκτικὴ δύναμις πάσχουσά πως, τὴν τροφὴν ἐν τῇ γαστρὶ καταλείψει κεχυλωμένην, ὥστε ἐκκρίνεσθαι διὰ τῆς ἕδρας αὐτήν, ἀκριβῶς μὲν πεπεμμένην, ὑγρὰν δὲ καὶ ἀνεξίκμαστον. ἔσται δ' ὑμῖν τοῦτο σημεῖον αὐτῆς πεπονθυίας· ὅσα γὰρ ὑπό τινων ὡς αἰτίων γίγνεται, ταῦτ' ἐστὶν αὐτῶν σημεῖα. [τοῦτο τὸ πάθος ἔνιοι μεσαραίου φασὶν εἶναι, καὶ καλοῦσι τοὺς οὕτω νοσοῦντας, μεσαραϊκούς, ἐπειδὴ διὰ τῶν ἐν τῷ μεσαραίῳ τε καὶ μεσεντερίῳ καλουμένῳ φλεβῶν τῆς ἀναδόσεως γινομένης, ὁρῶσιν ἀποτυγχανομένην αὐτήν· ὅμοια περιπίπτοντες ἀγνοίᾳ τοῖς τὰς χεῖρας ἡγουμένοις πεπονθέναι τῶν συγκοπτομένων ἤτοι στομαχικῶς ἢ καρδιακῶς, ἐπειδὴ δι' αὐτῶν ἐνεργεῖν ὡς ἔμπροσθεν ἀδυνατοῦσιν· αἱ γάρ τοι κατὰ τὸ μεσάραιον φλέβες, οἷον χεῖρές εἰσι τῷ ἥπατι, τὴν ἐκ τῆς κοιλίας τροφὴν ἀναφέρουσαι πρὸς αὐτό. παραπλήσιον δέ τι τούτοις ποιοῦσι καὶ οἱ τῶν παραλελυμένων τὰ σκέλη διά τι πάθος τοῦ κατ' ὀσφὺν νωτιαίου, τοῖς μὲν σκέλεσι προσφέροντες τὰ φάρμακα, τοῦ νωτιαίου δ' ἀμελοῦντες. εἰ μὲν οὖν φλεγμήνοι τὸ μεσεντέριον, ἤ τι τοιοῦτον πάθος ἕτερον εἴη κατ' αὐτό, προσηκόντως ἄν τις ὑπολάβοι τὸ πάθος τοῦτο ἴδιον ὑπάρχειν αὐτοῦ· εἰ δ' ἀρρωστοῦν τὸ ἧπαρ ἀδυνατοίη διὰ τῶν ἐν αὐτῷ φλεβῶν ἕλκειν τὴν τροφήν, οὐ μεσάραιον αὖθις ἐστὶ τὸ τῆς θεραπείας δεόμενον, ἀλλ' ἧπαρ, ὥσπερ οὐδ' αἱ χεῖρες, ἢ τὰ σκέλη τοῖς διά τι πάθος τοῦ νωτιαίου παραλελυμένοις. ἀλλ' ἥγε διάγνωσις ὑμῖν ἔσται τῶν ἤδη φλεγμονῶδες, ἢ ἐρυσιπελατῶδες ἐχόντων πάθος ἐν μεσεντερίῳ, τὰ κάτω διαχωρούμενα κατασκεπτομένοις ἐπιμελῶς. οὐ γὰρ μόνον οἷα τοῖς ἀτονοῦντος ἥπατος ἕλκειν ἐφ' ἑαυτὸ τὴν τροφήν, εἴρηται διαχωρεῖσθαι, τοιαῦτα καὶ τούτοις ἀκριβῶς ἐκκρίνεται, ἀλλὰ φανεῖταί γε ὑμῖν ἐπιμεμίχθαί τις ὡς ἐκ φλεγμονῆς ἰχώρ· ἁπάντων γὰρ τῶν φλεγμαινόντων μορίων, οἷς μηδὲν στέγασμα περίκειται πυκνὸν καὶ παχύ, λεπτοὶ μὲν κατ' ἀρχὰς ἰχῶρες ἀπορρέουσι, πεττομένων δὲ τῶν φλεγμονῶν, παχύτεροι καὶ πυωδέστεροι. ὅτ' ἂν οὖν τι τοιοῦτον τοῖς " ἐγκεχυλωμένοις διαχωρήμασιν ἐμφέρηται, μηδεμιᾶς ἐν ἥπατι φλεγμονῆς οὔσης, ἡγεῖσθαι χρὴ τὸ μεσάραιον αὐτοῖς πεπονθέναι. ὥσπερ δὲ τοῦ μὴ δυναμένου δι' ἀτονίαν ἐπισπᾶσθαι τὸν ἐκ τῆς κοιλίας χυλόν, ἡ ἑλκτικὴ πέπονθε δύναμις, οὕτως τοῦ κατέχειν μὴ δυναμένου, τῆς περισταλτικῆς καὶ καθεκτικῆς δυνάμεώς ἐστιν ἀτονία· καὶ διὰ ταύτην

περὶ τῶν μεσαραϊκῶν φλεβῶν

διάγνωσις

ipsius sequuntur. Verùm meminisse debetis maximè generalium præceptorum, quæ & vniuersalia appellantur, multorum specialium cōmunia, vt illis in qualibet materia rerum particularium continuò dignoscendis vos exerceatis. Est igitur communis sermo, quem dicturus sum, de naturalibus facultatibus, quas in singulis partibus genere quatuor esse didicistis. Primam earum voco attractricem, quæ familiares parti succos, alendi ipsam gratiâ, & appetit & attrahit; altera deinde est, quæ alteratrix dicitur, qua succus attractus similis euadit parti quæ alitur; huius aliæ duæ sunt ministræ, retentrix quidem, quum pars attractum succum coquit, in suam ipsius naturam eum mutans; expultrix verò, quando à coctione, inutile excernit, quòd excrementum vocatur. Has facultates in quâque affecta parte, vtrum validæ sint an infirmæ, consideretis hortor. Vt in hepate (quoniam de hoc dicere instituimus) facultas attractrix, si quomodolibet afficiatur, cibum in ventriculo in succum transmutatum relinquet, vt per sedem exactè quidem confectus, verùm liquidus & haudquaquam exiccatus excernatur. Atq; hoc ipsius affectæ signum vobis erit; nam quæcunq; à quibusdā tanquam causis procedunt, ea sunt ipsorum signa. Hunc affectum nonnulli ad mesaræum pertinere autumant, vocantque sic laborantes mesaraïcos, quòd videant cibum per venas mesaræo & mesenterio vocato intextas distribui non posse, vt solebat; eodem seducti errore, quo ij qui manus eorum, quos syncope vel stomachica vel cardiaca prostrauit, affectas esse arbitrantur; quoniam vt antea, munere suo fungi nequeunt; nam iecur mesaræi venis, veluti manibus è ventriculo ei cibum afferentibus, vtitur. Simile verò quid his moliuntur, qui vbi crura resoluta sunt ob affectum aliquem eam spinalis medullæ partem, quæ in lumbis est, infestantem; neglectâ spinali medullâ, cruribus remedia adhibent. Igitur si mesenterium, vel inflammatione, vel alio eiusmodi affectu laboret, hunc proprium ipsius affectum esse meritò putabit aliquis; si verò iecur ob imbecillitatem per illius venas cibum allicere nequeat, non mesaræo, sed iecori remedia debentur; quemadmodum nec resolutis manibus, vel cruribus ob affectū, qui in spinali medulla consistit. Verùm vbi vel inflammatio, vel erysipelas mesenterium afficit, hæc dignoscetis, si alui excrementa diligenter consideretis. Neque enim solùm, qualia excerni diximus in iecinoris imbecillitate, quum ad sese cibum trahere non potest, talia planè his deiiciuntur; sed apparebit etiam, veluti ab inflammatione, sanies quædam admixta. Nam ab omni parte inflammata, cui densum crassumque tegumentum non incumbit, in primis quidem tenuis sanies defluit; concoctâ deinde inflammatione, crassior & puri similior. Quum ergo nulla existente in iecore inflammatione, huiusmodi quippiam cum excrementis succi speciem consequutis deiicitur, in mesaræo affectum esse censendum est. Quemadmodum autem nequeunte ob imbecillitatem *hepate*, succum à ventriculo attrahere, attractrix facultas afficitur; ita quum retinere nequit, comprehendens continensque facultas infirma est; proinde in primis quidem cruor saniosus

saniosus excernitur, postea verò crassior, & veluti fæculentus. Similiter aliæ quædam eueniunt excretiones, non quidem ob imbecillitatem, sed ob excretricis facultatis robur, plerunque quidem integrâ in omnibus constante valetudine, plenitudinis ratione; plerunque verò parte aliquâ affectâ, per iecur sese expurgante, naturâ factâ robustiore; nam concoctis in ipsa vitiosis humoribus, sequitur secretio, ita vt vtiles retineantur, excernantur inutiles. Atque nõnulli huiusmodi vacuationes nominant cruentas dysenterias, quæ oboriuntur quibusdam vel mutilato aliquo mẽbro, aut vbi quis in exercitatione educatus ad ociũ se conuerterit. Ac visa est quoque mulieribus, suppressis menstruis, huiusmodi per sedem sanguinis vacuatio fieri; vt & nonnullis per vomitum eandem ob causam. Verùm & his quidem sincerus sanguis excernitur, similis ei qui ab hostia interfecta profunditur, modò infernè per aluum, modò per superiores etiam partes; at per erysipelata, & inflammationes, accedente concoctione, vitiosus, cœnosus, & putris. Atque in hepaticis affectibus (quanquam rarò) medicamentorum auxilio robustiore euadente iecore, interdum deiiciuntur excrementa, tum colore, tum odore pessima, expurgante se viscere. Eodẽ modo vrinæ ab his quoque deterrimæ redduntur, quibus imperiti medici nonnunquam decepti laboranti periculum subesse arbitrantur. Etenim qui sine ratiocinatione rudem duntaxat experientiam sibi comparant, eorum quæ rarò eueniunt, experimenta habere non possunt, vt qui eorum, quæ sæpenumerò & eodem modo accidere conspexerunt, sunt memores. Quòd autem procedente morbi tempore cum concoctionis signis huiusmodi fiant euacuationes, non semel duntaxat, imò creberrimè in operum Hippocratis explicationibus didicistis. Quemadmodum igitur, retentrix facultas quum imbecillior est, ac rem quæ ipsam grauat, retinere non valet, facultas expultrix id quod molestat, euacuat; eodem modo infirmâ expultrice, res quædam retinentur, facultate retentrice non admodum grauatâ. Nam in vnoquoque organo aliàs alia facultas, vel fortior fit, vel imbecillior, factâ ad actiones relatione, vniuscuiusq; facultatis notionem nobis sumentibus; nam re vera tota semper pars agit secundum temperamenti, quod ei subinde inest, proprietatem; verum aliquando rem grauantem sustinet, ac longo temporis tractu eam vincit, conficit, alterat, & concoquit; rursus alio tempore rei infestantis vel qualitatem, vel multitudinem non ferens, ad ipsius excretionem insurgit; sicut è contrario, quum interdum admodum molestatur, ipsam rem molestantem deiicere cupiens, viribus grauissimè prostratis, ob imbecillitatem non potest. Quæ omnia in quouis naturali organo perpendere, atque mentem in ipsis dignoscendis exercere debetis. Sic enim inuenietis partium quarundam affectus ab antiquis haudquaquam indagatos, velutine folliculi quidem fel continentis. Si enim (vt demonstrauimus) biliosum humorem ad se trahat, quemadmodum renes sanguinis veluti serum, & splen id, quod vini fæcibus aut amurcæ olei similatur; accidet interdum, vt ob huius vesiculæ imbe-

ἔκκρισις ἐν ἀρχῇ μὲν αἵματος ἰχωροειδοῦς γίγνεται, μετὰ ταῦτα δ' ἤδη καὶ παχυτέρου καὶ οἷον τρυγώδους. οὕτως ἕτεραί τινες ἐκκρίσεις οὐ δι' ἀρρωστίαν, ἀλλὰ διὰ ῥώμην τῆς ἐκκριτικῆς δυνάμεως γίγνονται, πολλάκις μὲν ὑγιαινόντων κατὰ τὰ πάντα, πλήθους λόγῳ, πολλάκις δὲ καὶ τοῦ πεπονθότος δι' ἥπατος ἐκκαθαιρομένου, τῆς φύσεως[67] ἀναρρωννυμένης· πεφθέντων γὰρ ἐν αὐτῷ τῶν μοχθηρῶν χυμῶν, ἕπεται διάκρισις, ὡς τοὺς μὲν χρηστοὺς κατέχεσθαι, τοὺς δὲ φαύλους ἐκκρίνεσθαι. καί τινες ὀνομάζουσι καὶ τὰς τοιαύτας ἐκκρίσεις, αἱματηρὰς δυσεντερίας, γιγνομένας ἐνίοις καὶ τῶν ἀποκοπέντων τι κῶλον, ἢ μετὰ τὸν ἐν γυμνασίοις πολλοῖς βίον, εἰς ἀργὸν μεταστάντων. ὤφθη δέ ποτε καὶ γυναιξὶν ἐκ καταμηνίων ἐπισχέσεως, ἡ τοιαύτη κένωσις αἵματος δι' ἕδρας γιγνομένη, καθάπερ δὴ καὶ δι' ἐμέτων ἐνίαις ἐπὶ ταῖς τοιαύταις. ἀλλὰ καὶ τούτοις μὲν εἰλικρινὲς αἷμα τοῖς τῶν σφαττομένων ἱερείων ὅμοιον[68] γίγνεται, κατά τε τὴν κάτω γαστέρα, καί ποτε καὶ διὰ τῆς ἄνω· μοχθηρὸν δὲ καὶ ἰλυῶδες, ἢ σηπεδονῶδες, ἐπὶ ταῖς ἐρυσιπελατώδεσί τε καὶ φλεγμονώδεσι διαθέσεσι πεττομέναις. σπανίως δέ ποτε καὶ τοῖς ἡπατικοῖς πάθεσιν, ὅταν ὑπὸ τῶν βοηθημάτων τονωθῇ τὸ ἧπαρ, ἐκκρίσεις ἐπιγίγνονται μοχθηρόταται κατά τε τὸ χρῶμα καὶ τὴν ὀσμήν, ἐκκαθαιρομένου τοῦ σπλάγχνου. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὖρά ται τούτοις οὖρα[69] μοχθηρότατα, δυνάμενα[69] σφάλαι[70] τοὺς ἀπείρους ἰατρούς, ὡς ὀλεθρίως ἔχοντος τοῦ κάμνοντος. οἱ γὰρ ἄνευ λογισμοῦ διὰ πείρας μόνης ἄλογον τριβὴν κτώμενοι, τῶν σπανίως γιγνομένων ἀπείρως ἔχουσιν, ὡς αὖ τῶν πλειστάκις καὶ ὡσαύτως ἑωραμένων μνημονευτικοί τινες ὄντες. ὅτι δὲ ἐπὶ προήκοντι τῷ χρόνῳ τοῦ νοσήματος, ἅμα τοῖς τῆς πέψεως σημείοις αἱ τοιαῦται γίγνονται κενώσεις, οὐχ ἅπαξ, ἀλλὰ πολλάκις, ἐν ταῖς ἐξηγήσεσι τῶν Ἱπποκράτους συγγραμμάτων ἐμάθετε. καθάπερ οὖν τῆς καθεκτικῆς δυνάμεως ἀτονούσης ποτέ, καὶ μὴ δυναμένης κατέχειν τὸ βαρῦνον αὐτήν, ἡ ἀποκριτικὴ δύναμις τὸ λυποῦν ἐκκενοῖ, κατὰ τὸν αὐτὸν τρόπον ἀρρωστούσης τῆς ἀποκριτικῆς, κατέχεταί τινα μὴ πάνυ βαρυνομένης τῆς καθεκτικῆς. ἄλλοτε γὰρ ἄλλη δύναμις ἐν ἑκάστῳ τῶν ὀργάνων ἰσχυροτέρα τε καὶ ἀσθενεστέρα γίγνεται, κατὰ τὴν ἐπὶ τὰς ἐνεργείας ἀναφοράν, εἰς ἔννοιαν ἡμῶν ἀφικνουμένων ἑκάστης δυνάμεως· ἐπεί τοι κατά γε τὸ ἀληθές, ὅλον ἀεὶ τὸ μόριον ἐνεργεῖ κατὰ τὴν ἰδιότητα τῆς ὑπαρχούσης ἑκάστοτε[71] κράσεως αὐτῷ· ἀλλ' ἐνίοτε μὲν ὑπομένει βαρυνόμενον, ἐν χρόνῳ τε πλείονι τοῦ λυποῦντος ἐκράτησεν, κατεργασάμενόν τε καὶ ἀλλοιῶσαν καὶ πέψαν αὐτό· καθ' ἕτερον δ' αὖ χρόνον ἤτοι τὴν ποιότητα τοῦ λυποῦντος ἢ τὸ πλῆθος οὐ φέρον, ἐξορμᾷ πρὸς τὴν ἔκκρισιν αὐτοῦ· καθάπερ γε πάλιν ἐνίοτε μεγάλως ἀνιώμενον, ἀπορρίψαι τε τὸ λυποῦν ἐφιέμενον, ὑπ' ἀσθενείας ἀδυνατεῖ, καταπεπτωκὸς εἰς ἐσχάτην ἀτονίαν. ἃ σύμπαντα καθ' ἕκαστον ὄργανον φυσικὸν ἐννοοῦντας ὑμᾶς, γυμνάζειν χρὴ τὸν λογισμὸν εἰς τὴν διάγνωσιν αὐτῶν· εὑρήσετε γὰρ οὕτω σκοποῦντες, ἐνίων μορίων οὐδ' ὅλως ἐζητημένα τὰ πάθη ὑπὸ τῶν παλαιῶν, καθάπερ οὐδὲ τῆς χοληδόχου κύστεως. εἰ γάρ, ὡς ἐδείξαμεν, ἕλκει τὸ χολῶδες ὑγρὸν εἰς ἑαυτήν, ὥσπερ οἱ νεφροὶ μὲν τὸν οἷον ὀρρὸν τοῦ αἵματος, ὁ δὲ σπλὴν τὸ παραπλήσιον, ὅπερ ἐν μὲν τοῖς οἴνοις τρύξ, κατὰ δὲ τοὔλαιον ἀμόργη, γενήσεταί ποτε καὶ δι' ἀτονίαν τῆς κύστεως

ταύτης ἀκάθαρτον αἷμα, καὶ ὡς ἔστιν ἕτερον εἶδος ἰκτέρου γενέσεως ἐπὶ τοῖς εἰρημένοις ἔμπροσθεν ὑπάρχει τρισίν· ἐγχωρεῖ δέ ποτε καὶ πληρωθεῖσαν αὐτὴν, ὥσπερ ἡ οὐροδόχος κύστις οὔρων, μὴ δύνασθαι κενωθῆναι δι' ἔμφραξιν ἢ ἀτονίαν τῆς ἐκκριτικῆς δυνάμεως· ὥσπερ γε καὶ δι' ἔμφραξιν ἢ ἀτονίαν τῶν εἰς ἧπαρ ἀπ' αὐτῆς διεσπαρμένων ἀγγείων, οὐχ ἕλξει ποτὲ τὸν χολώδη χυμόν. ἐπισκέπτεσθαι τοιγαροῦν ἀναγκαιότατόν ἐστιν ἐν τοῖς ἰκτερικοῖς παθήμασι τὴν τῶν διαχωρουμένων ἰδέαν, ἔστι γὰρ ὡς ἡμῖν κἀκ τοῦδε πρὸς τὴν διάγνωσιν ὠφέλεια. ἐγὼ γοῦν ἐννοήσας τοῦτο, τῶν ἰκτεριώντων εὗρον ἐνίοις ἰσχυρῶς κεχρωσμένα τῇ ξανθῇ χολῇ τὰ διαχωρήματα, καθάπερ ἐνίοις τὰ οὖρα, καὶ κατὰ τὸ δέρμα, τινῶν μὲν ἐκκρινόμενον ἐν τοῖς λουτροῖς τὸ πλεῖστον, τινῶν δὲ ἐπεχόμενον τὸ πλεῖστον τῆς ξανθῆς χολῆς, ὀλίγιστον δὲ ἐκκρινόμενον. ἀκριβῶς δὲ αὐτὸ καταμαθεῖν πειρώμενοι, χωρὶς τοῦ προαλείψασθαι τὸν ἄνθρωπον, ἀποστλεγγίζεσθαι τὸν ἱδρῶτα κελεύετε· θεάσεσθε γὰρ οὐ τὸν αὐτὸν ἐπὶ πάντων κατὰ τὸ κοῖλον τῆς στλεγγίδος ἀθροιζόμενον, ἀλλ' ἐπὶ τινῶν μὲν ὑδατωδέστερον, ἐπὶ τινῶν δὲ χολωδέστερον· ὥστε μετὰ τῶν προειρημένων ὑμῖν ἡ διάγνωσις ἔσται σαφεστέρα τοῦ πεπονθότος τόπου, προσλαβοῦσι καὶ τοῦτο τὸ γνώρισμα. πυρέξας γοῦν τις ὀξὺν καὶ χολώδη πυρετὸν, ἑβδομαῖος ἀπηλλάγη τοῦ νοσήματος, χολῆς ξανθῆς παμπόλλης εἰς τὸ δέρμα κατασκηψάσης· ἐπὶ δὲ τὰς ἑξῆς ἡμέρας ὁ ἴκτερος αὐτῷ παρέμενεν. ἐπεσκεψάμεθα τά τε διαχωρήματα καὶ τὰ οὖρα· φαινομένων δ' ἀμφοτέρων κατὰ τὴν φύσιν ἔχειν, καὶ διὰ τοῦτ' ἀπαθὲς εἶναι τὸ σπλάγχνον ἐνδεικνυμένων, εἰς ἔννοιαν ἦλθέ μοι δύνασθαι εἶναι, παχυτέραν τὴν κατασκήψασαν εἰς τὸ δέρμα χολὴν ὑπάρχειν. ἐκ τούτου τοῦ λογισμοῦ προτραπεὶς, καὶ καταμαθὼν ὁποῖός τις ὁ ἱδρὼς ἐστὶ, φανέντος ὑδατώδους, ἔγνων δυσδιαφόρητον εἶναι τὴν χολὴν, ἐκέλευσά τε τῷ κάμνοντι χρῆσθαι θερμοῖς ὕδασιν αὐτοφυέσι διαφορητικοῖς, ἅμα τῷ καὶ τὴν δίαιταν ὑγροτέραν ποιῆσαι, καὶ μετρίως λεπτύνειν πάχος χυμῶν δυναμένην. οὗτος μὲν οὕτως ἀπηλλάγη τοῦ πάθους, ἑνὶ βοηθήματι τῆς τε διαγνώσεως αὐτοῦ βεβαιωθείσης, καὶ τῆς ἰάσεως συντελεσθείσης· ἕτερον δὲ πλῆθος ἐν τῇ στλεγγίδι χολῆς ὁρῶν, ὑπενόησα γεννᾶσθαι πολλὴν ἐν ὅλῳ τῷ σώματι, καὶ τῇ θεραπείᾳ πρὸς τοῦτο ἁρμοττούσῃ χρησάμενος ἰασάμην. ὅσοις δ' ἀπυρέτοις, ἅμα τῷ βάρους τινὸς αἴσθησιν εἶναι κατὰ τὸ δεξιὸν ὑποχόνδριον, ἴκτερος ἐγένετο, τούτοις ἅπασι προσεκφράττων, ὡς ἴστε, τὰς ἐμφράξεις λεπτύνουσιν ἐδέσμασί τε καὶ πόμασι καὶ φαρμάκοις, εἶτα πιεῖν δοὺς χολαγωγὸν φάρμακον, ἰασάμην ἡμέρᾳ μιᾷ τοὺς πλείους αὐτῶν. ἐφ' ὧν δ' οὐδὲν ὤνησε τὸ καθαρτικὸν, αὖθις ἰσχυρότερον ἐκφρακτικὸν ποτίσας, ἐκ δευτέρου πάλιν ἐκάθηρα βιαιότερον, ὡς ἐπὶ τῷ τέλει τῆς καθάρσεως ἅμα δήξει σφοδροτάτῃ τὴν χολὴν ἐκκενωθῆναι κυανίζουσαν μᾶλλον ἢ ξανθήν. ἐπὶ τούτων οὖν ἡγοῦμαι τὴν χοληδόχον κύστιν ὅμοιόν τι πάθημα παθεῖν τῷ τὰ οὖρα ἀθροιζούσῃ γινομένῳ ἐνίοτε· καὶ γὰρ καὶ κατ' αὐτὴν ἀθροίζεταί ποτε τοσοῦτον, ὡς ὑπερδιαταθεῖσαν αὐτὴν ἀδυνατεῖν ἐκκρῖναι τὸ περιεχόμενον. ἀλλ' ἐπὶ μὲν τῆς οὐροδόχου κύστεως, οὐ χεῖρον γὰρ αὐτὴν οὕτως ὀνομάσαι, διττῶς γίνεται τοῦτο· ποτὲ μὲν δι' ἀρρωστίαν τῆς ἀποκριτικῆς δυνάμεως, ἐνίοτε δ' ἤτοι διὰ βαθὺν ὕπνον, ἤ τινα ἀσχολίαν ἐπισχεθέντος

cillitatem impurus fiat sanguis; atque alia hæc est quædã regii morbi species præter eas tres, quas supra proposuimus; nonnunquam ita repleri quoque potest (quemadmodum vrinis vesica vrinæ) vt euacuari non possit, ob obstructionem aut excretricis imbecillitatem; veluti etiam obstructis aut infirmis vasis, quæ ab ipso exorta, ora sua in hepar extendunt, biliosum humorem interdum non attrahet. Proinde excrementorum speciem in morbo regio considerare perquàm necessarium est; nam quædam inde etiam nobis ad dignotionem vtilitas exurgit. Hæc equidem considerans inueni quorundam regio morbo affectorum excrementa, flauâ bile vehementer colorata, quemadmodum & aliis vrinas; item per cutem quoque, nonnullis plurimum flauæ bilis à balneo profundi, aliis plurimùm ipsius retineri, ac perquàm exiguum effundi. Hanc rem si accuratè intelligere volueritis, nullâ prius adhibita vnctione, homini sudorem strigili detergeri iubete, videbitis enim non eundem in omnibus hominibus in strigilis cauitate colligi, verùm in aliis magis aquosum, in aliis magis biliosum. Itaque loci affecti dignotio vobis multò erit dilucidior, si hoc quoque signum adiiciatis. Quidam enim acutâ biliosaque febre laborãs, die septimo multâ flauâ bile ad cutem transmissâ, à morbo liberatus est, mansitque sequentibus deinde diebus auriginosus. Excrementa & vrinas considerauimus, vtrisque verò secundum naturam se habentibus, atq; ob eam causam nullum visceris affectum declarantibus, venit in mentem mihi fieri posse, vt translata in cutem bilis crassior esset, qua ratione promotus, notaui qualisnam esset sudor, illo autem apparente aquoso, conieci bilem esse discussionis difficilis. Præcepi itaque laboranti, vt aquis suaptè naturâ calidis & discutientibus vteretur, ac præterea victum adhiberet humidiorem, quique humorum crassitudinem moderatè posset attenuare. Hic quidem à morbo sic liberatus est, vnico auxilio & dignotione confirmatâ, & curatione absolutâ. Alium multam in strigili bilem relinquere videns, eam plurimam in vniuerso corpore procreari perpendi, & adhibitâ ad id idoneâ curatione sanaui. Quibus verò citra febrem morbus regius accidit, vrgente in dextro hypochondrio grauitatis cuiusdam sensu, iis omnibus aperiens (vt scitis) obstructiones, cibis, & potibus, & medicamentis attenuantibus, deinde medicamentum, quod bilem duceret, exhibens, eorum plurimos vno die sanitati restitui. Qui verò purgatione liberari non potuerunt, iis rursus valenti ad aperiendum datâ potione, medicamentum, quod vehementius purgaret exhibui; ita vt sub fine purgationis cæruleam magis quàm flauam bilem cum acri mordacitate excerneret. In his igitur puto folliculum cholidochum simili quopiam affectu laborare, qualis in vesica vrinæ interdum accidit; etenim adeò multam nonnunquam aceruat, vt nimis intenta nequeat, quod in ipsa continetur, excernere. Verùm in vrinæ receptaculo (neque enim absurdum fuerit vesicam ita nominare) bifariam id fit; interdum ob excretricis facultatis imbecillitatem, interdum vel ob grauem somnum, vel negocia quæpiam, retentâ vltra quàm par est,

est, vrina, quæ deinde vesicam nimis intendens, ipsa ratione vires eius prosternit. At felleus folliculus, vtpotè cui nullum succurrit ab animali facultate præsidium, vnicum habet imbecillitatis principium, veluti cætera quoque naturalia instrumenta, à partis ortum intemperie.

A ἐπὶ πλέον τοῦ οὔρου, κᾀκ τούτου τῆς κύστεως ὑπερδιατα-θείσης, καὶ ταύτην αὐτὴν αἰτίαν ἐχούσης τὴν δύναμιν αὐτῆς ἀῤῥωστῆσαι. κατὰ δὲ τὴν χοληδόχον κύστιν, ὡς ἂν οὐδὲν εἰς τὴν ἀπόκρισιν βοηθουμένην ὑπὸ δυνάμεως ψυχικῆς, ἀρχὴ μία τῆς ἀτονίας ἐστὶν, ὥσπερ κᾀπὶ τῶν ἄλλων ὀργάνων φυσικῶν, ἐκ δυσκρασίας τοῦ μορίου γιγνομένη.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ, ΒΙΒΛΙΟΝ ϛ.

ΔΙΑΓΝΩΣΕΩΣ

GALENI DE LOCIS AFFECTIS, LIBER SEXTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰ πάθη τὰ κατὰ σπλῆνα, καὶ γαστέρα, καὶ ἔντερα, καὶ νεφροὺς, καὶ κύστιν, καὶ μήτρας, καὶ αἰδοῖον πρόκειται διαγινώσκειν.

ARGVMENTVM LIBRI.

Dignoscendi proponuntur affectus lienis, ventriculi, intestinorum, renum, vesicæ, vteri, & colis.

B

CAPVT I.

De Lienis affectibus, ictero ac hydero.

QVæ de iecore priùs dicta sunt, ex his nihil postea vobis arduum erit inuenire signa, quibus lienis affectus dignoscuntur; addito, quòd ipsius inflammationes ob duritiem facilè tangentibus succidant. Quum itaque plurima habeat cum hepate communia, in eo quòd magis & minùs habeat ipsa, differt. Nam color vniuersi corporis, vbi splen imbecillitate affectus est, in atrum magis propendet. Quoniam igitur hoc habet à natura munus, vt melancholicum sanguinem ex hepate ad sese attrahat, quo ipsum ali demonstratum est; attractrice facultate facta ipsi imbecilliore, sanguis ex iecore in vniuersum corpus impurus fertur, quocirca color ipsis laborantibus nigrior euadit. Quinetiam, vt hepar, ex se multoties excrementa reiicit, ita vt vomitionibus cum nauseis, melancholicum sanguinem aliquando excernat, ac per inferiora quoq; aliud tale deiiciat; ac citra huiusmodi euacuationē, animi deiectiones, & mœstitias melancholicas facit; ac nonnunquā ciborum vehementissimas appetentias, præcipuéque quum exquisitè acidum est quod in vētrem fertur excrementum; sæpenumerò autem subuersionem & supina-

ΚΕΦΑΛΑΙΟΝ Α.

Περὶ τῶν κατὰ τὸν σπλῆνα παθῶν, ἰκτέρου καὶ ὑδέρου.

ΕΚ τῶν προειρημένων ἐπὶ τοῦ ἥπατος, οὐδὲν ἔτι χαλεπὸν εὑρίσκειν ὑμᾶς, ἐκ τίνων σημείων ὁ σπλὴν πεπονθὼς διαγινώσκεται, προσθέντας καὶ τὰς φλεγμονὰς αὐτοῦ διὰ σκληρότητα ῥᾳδίως ὑποπίπτειν ἁπτομένοις. ἔχων δὲ τὰ

C πλεῖστα αὐτῶν κοινὰ πρὸς ἧπαρ, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἔχειν αὐτὰ, διαφέρει. τὸ μὲν γὰρ τῆς χρόας ὅλου τοῦ σώματος ἐπὶ τὸ μελάντερον ῥέπει κατὰ τὸ τῆς ἀτονίας αὐτοῦ πάθος. ἐπεὶ δὴ τὴν ἐνέργειαν ἔχει φύσει, τὸ μελαγχολικὸν ἐκ τοῦ ἥπατος ἕλκειν αἷμα εἰς ἑαυτὸν, τούτῳ γὰρ ἐδείχθη τρεφόμενος. τῆς οὖν ἑλκτικῆς αὐτοῦ δυνάμεως ἀτόνου γινομένης, ἀκάθαρτον εἰς ὅλον τὸ σῶμα φέρεται τὸ ἐξ ἥπατος αἷμα, καὶ κατὰ τοῦτο μελάντερον αὐτοῖς γίνεται τὸ χρῶμα. καὶ μέντοι καὶ ἀποκρίνει πολλάκις

D ἐξ ἑαυτοῦ περιττώματα, καθάπερ τὸ ἧπαρ, ὥστε καὶ δι' ἐμέτων ἅμα ναυτίαις ἐκκενοῦσθαί ποτ' αἷμα μελαγχολικὸν, ὑπελθεῖν τε κάτω τοιοῦτον ἄλλο. καὶ χωρὶς δὲ τῆς τοιαύτης κενώσεως, ἀθυμίας τε καὶ δυσθυμίας μελαγχολικὰς ἐργάζεται, καὶ σιτίων ἐνίοτε μὲν ὀρέξεις σφοδροτάτας, καὶ μάλιστα ὅταν ἀκριβῶς ὀξῶδες ᾖ τὸ φερόμενον εἰς τὴν γαστέρα περίττωμα, πολλάκις δ' ἀνατροπήν τε καὶ ὑπτιασμόν,

ὅταν μὲν ἑτέραν τινὰ ἔχῃ διαφθοράν· σκιρρούμενος δ᾽ ὅπως ὑδέρους ἐπιφέρει, συμπαθοῦντος αὐτῷ τοῦ ἥπατος, καὶ ἔμπροσθεν εἴρηται. καὶ μέντοι καὶ παθόντων ποτ᾽ ἀμφοτέρων τῶν σπλάγχνων, ἰκτέρους γιγνομένους ἐθεασάμεθα παρὰ τὸ μελάντερον τῶν συνήθων ῥέποντας, ὡς νομίζειν τὴν ξανθὴν χολὴν ἀσβόλῃ μεμίχθαι· καί τινες τῶν ἰατρῶν, ἀπαθὲς εἶναι τοῖς τοιούτοις τὸ ἧπαρ ὑπολαμβάνοντες, ἀποροῦσιν ὅπως ἐπὶ σπληνὶ γίγνονταί τινες ἴκτεροι, καθάπερ καὶ ὅσοι χωρὶς ἥπατος ἡγοῦνται ὑπεγχύσεσιν ὑδερικαῖς περιπίπτειν τοὺς κάμνοντας ἐπὶ μόνῳ τῷ σπληνὶ σκιρρωθέντι. τὴν δ᾽ αὐτὴν ἀπορίαν ἔχουσι καὶ περὶ τῶν ἐπ᾽ ὀξέσι νοσήμασιν ὑδέρων, ἀφ᾽ ὧν ἐπὶ δυσκρασίᾳ τῇ κατὰ θερμότητα, πολλάκις δὲ καὶ ξηρότητα, τὸ ἧπαρ οὕτως ἔπαθεν ἰσχυρῶς, ὡς μηκέθ᾽ αἱματοῦν τὴν τροφήν. οὐδὲ γὰρ ἐπὶ τούτων ἡγοῦνται πεπονθέναι τὸ σπλάγχνον, ἐθισθέντες ὑπὸ τῶν περὶ τὸν Ἐρασίστρατον, ἀπαθὲς εἶναι νομίζειν ἕκαστον τῶν μορίων, ὅτ᾽ ἂν μήτ᾽ ὄγκος τις εἴη κατ᾽ αὐτό, μήθ᾽ ἕλκος. ἀλλ᾽ ἐκείνοις μὲν συγχωρητέον ἔσται οὕτως ὑπολαμβάνειν, οὐδὲν ἡγουμένοις νόσημα γίγνεσθαι κατὰ δυσκρασίαν· ὅσοι δὲ τῶν ἰατρῶν ἑπόμενοι τοῖς ἐναργῶς φαινομένοις, ἐπὶ τῷ ψυχθῆναί τι μόριον, ὑπολαμβάνουσι γίγνεσθαί τινα συμπτώματα, [1] οὐ θαυμάσαι τούτων ἐστὶ τοὺς ὑδέρους οὐδ᾽ ἐφ᾽ ἑνὶ τόπῳ πεπονθότι συνίστασθαι νομιζόντων; εἰ γὰρ ὅτι μηδεὶς ὄγκος ἐστὶ παρὰ φύσιν ἐν ἥπατι, διὰ τοῦτ᾽ ἀπαθὲς ὑπάρχειν ἡγοῦνται τὸ σπλάγχνον, οὐδ᾽ ἄλλο οὐδὲν ἔσται πεπονθὸς ἐπὶ τῶν ἀθρόον ἀκαίρως ψυχρὸν ὕδωρ μοχθηρὸν πιόντων, εἶθ᾽ ὕδρωπι καταληφθέντων ἐπ᾽ αὐτῷ. βλάπτεται μὲν οὖν τὸ οὕτως παθὲν ψυχρὸν, ἄλλοτ᾽ ἄλλο μόριον τῶν ἔνδον, ἢ μᾶλλον τῶν ἄλλων, ἢ πρῶτον, ὡς ἂν καὶ τύχῃ τι κατ᾽ ἐκεῖνον τὸν χρόνον, ἀσθενέστερον ὑπάρχον· ἀπ᾽ αὐτοῦ δ᾽ εἰς τὸ ἧπαρ ἀνάγκη διαδοθῆναι τὴν ψύξιν, εἰ μέλλοι τις ὑδερικὴ διάθεσις ἀκολουθῆσαι. οὕτως οὖν καὶ διὰ τὸν σπλῆνα γίγνεταί ποθ᾽ ὕδερος, ἢ μετ᾽ ὄγκου ψυχθέντα καθάπερ ἐν τοῖς σκίρροις, ἢ καὶ χωρὶς ὄγκου, καθάπερ ἐν ταῖς ἀθρόαις τε καὶ ἀκαίροις μοχθηροῦ ψυχροῦ πόσεσιν· ὅτι δὲ καὶ μελαγχολικαὶ γίγνονται δυσθυμίαι, διαπέμποντος αὐτοῦ τοιοῦτον περίττωμα τῷ στόματι τῆς γαστρός, ἐν τῷ κατ᾽ ἐκεῖνο λόγῳ πρόσθεν εἴρηται· ὥστ᾽ οὐδὲν ἔτι δεῖ πλείω λέγειν ὑπὲρ αὐτοῦ, τῶν μὲν ὀργανικῶν ἐν αὐτῷ παθῶν οὐ δεομένων λογικῆς διαγνώσεως· τῶν δὲ κατὰ τὴν δυσκρασίαν, ἔκ τε τῶν νῦν εἰρημένων, καὶ τῶν ἔμπροσθεν ἐν τῇ περὶ τῶν κατὰ τὸ ἧπαρ παθῶν διδασκαλίᾳ· τινὰ μὲν γὰρ αὐτῶν ὀνομαστὶ [2] λέλεκται, τινὰ δ᾽ ὁμοίως συνιστάμενα ἐκείνοις καὶ τὴν διάγνωσιν ὁμοίαν αὐτοῖς ἕξει.

tionem, quum aliam quandam habuerit corruptionem. Quo pacto verò scirrho laborans hyderos adferat, consentiente ipsi iecore, etiam antea dictum est. Quinetiam laborante aliquando vtroque viscere, regium morbum euenire conspeximus, nigriore, quàm pro consuetudine, colore, ita vt putaretur flaua bilis fuligini esse permixta. Atque medici quidam iecur nullo affectu tum laborare existimantes, dubitant quomodo à splene morbus regius aliquis nasci possit; quemadmodum & qui à solo liene per scirrhum indurato, citra iecoris vitium, in hydropicas suffusiones ægrotos incidere arbitrantur. Eandem quoque habent dubitationem de hydrope acutos morbos sequente, à quibus iecur ob calidam, & sæpenumerò siccam intemperiem tam grauiter afficitur, vt cibum in sanguinem transmutare nequeat; neq; enim etiam in iis iecur affici existimant, ab Erasistrato acceptâ consuetudine, vt nullam partem affici arbitrentur, nisi vel tumor quispiam, vel vlcus in ipsâ consistat. Verùm illis concedendũ erit ita existimare, nullum ab intemperie morbum arbitrantibus fieri: at medici qui sequuntur ea quæ manifestè apparent, & refrigeratâ parte quapiam symptomata quædam fieri putant, nunquid admiratione digni sunt, qui hydropem consistere posse putent, ne vnico quidem loco affecto? Si enim quòd nullus sit in hepate tumor præter naturam, ob id viscus haudquaquam affectum esse existimant; neque alia pars vlla afficietur in iis qui aquâ frigidâ vitiosâ affatim & intempestiuè epotâ, mox inde hydero corripiuntur. Noxam quidem infert internis partibus aqua sic epota, aliàs aliis, vel præcipuè vel primò, prout aliqua forte fortuna eo tempore reliquis fuerit imbecillior; verùm nisi ad iecur frigus transmittatur, hydericus affectus subsequi non potest. Sic igitur splenis quoque vitio hyderus nonnunquam euenit, aut cum tumore refrigerati, vt in scirrhis; aut citra tumorem, vt in copiosis ac intempestiuis aquæ frigidæ, & prauæ potionibus. Quòd verò melancholica mœstitia, ipso excrementa huiusmodi ad os ventriculi transmittente, proueniat, antea vbi de ipso tractauimus, dictum est; quamobrem de eo etiamnum plura minimè dicenda sunt; quum eius organici affectus rationali dignotione non indigeant; qui verò ab intemperie proficiscuntur, tum ex iis quæ iam diximus, tum ex ea doctrina, quàm supra de iecore proposuimus, *noti sint*; nam eorum quidam nominatim sunt explicati; quidam verò qui similiter vt illi consistunt, similem quoque habebunt dignotionem.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν κατὰ τὴν γαστέρα καὶ τὰ ἔντερα παθῶν, δυσεντερίας, καὶ δυσεντερίας ἡπατικῆς, καὶ τεινεσμοῦ, καὶ τοῦ ἐκ τῆς ἕδρας λίθου, καὶ τοῦ κωλικοῦ τε καὶ νεφριτικοῦ ἀλγήματος, καὶ εἰλεοῦ, καὶ λειεντερίας, καὶ κοιλιακῆς, καὶ δυσουρίας.

Ἤδη καὶ πρόσθεν εἶπόν τι περὶ τῶν κατὰ τὴν γαστέρα παθῶν, εἰς μέγιστα μόρια δύο διελὼν αὐτὴν τῷ λόγῳ, τό, τε πρῶτον ἄνωθεν, ὃ συνεχές ἐστι τῷ στομάχῳ, πολλοῖς νεύροις αἰσθητικοῖς διαπεπλεγμένον, ἕτερον δὲ τούτῳ

CAPVT II.

De ventriculi ac intestinorum affectibus, dysenteriâ, dysenteriâ hepaticâ, tenesmo, lapide ex ano, dolore nephritico & colico, ileo, lienteriâ, cœliacâ, & dysuriâ.

Iam de ventriculi affectibus aliquid dixi, ac in duas maximas ipsum partes secui, primam superiorem, gulæ continuam, ex multis neruis sensificis contextam; alteram huic continuam, quæ ad intestinorum vsque exortum

rum extenditur. At vt vtriusque in animalibus proprius est vsus, ac pro vsûs differentiâ diuersa symptomata; ad eundem modum, quicunque affectus communes sunt similaribus, & organicis partibus, ii etiam his tum inter se, tum cum vniuersis intestinis communes existunt. Verùm symptomatum similitudo non solùm his est inter se, sed etiam partibus, quæ ipsa attingunt, sicut renibus & colo. Horum igitur nonnulla sedem affectam habent cognitu facilem, vt dysenteriæ, & tenesmus; in præsenti oratione autem nomen dysenteriæ propriè audire oportet, vt appellatio intestinorum vlcus significet; neque enim repente fit huiusmodi affectus, vt alter in quo hepar affici diximus, atque proprias habet notas. Etenim ab ipsius initio, bilis satis mordacis excretio fit, quam deinde intestinorum ramenta sequuntur; postea cum ramentis paulum cruoris excernitur, tumq; iam affectus dysenteria est. Quum itaque huiusmodi ramenta sola excernuntur, considerandum est, num pingue quid simul cum ipsis deiiciatur; ita enim in crassis intestinis vlcus constiterit. Vbi verò cruor iam simul excernitur, intueri oportet, vtrum is reliquis *excrementis* sit permixtus, vniuersus vniuersis, an ipsorum alicui parti insideat; etenim, si admixtus fit, in superioribus; si supernatet, in humilioribus intestinis vlcus esse demonstrat. Ac idem quoque in ramentosis excrementis fieri cernitur, verùm minus perspicuè, quam in cruore. Simili etiam ratione, si ramenta excernantur, ipsa, quorum intestinorum sint, declarant, tum ex substantia propria, tum ex modo quo permixta sunt excrementis, vel vni eorum parti insident. Non mediocriter autem conducit ad curationem vlcus nosse, in qua intestinorum parte consistat; nam quæ in superioribus intestinis sunt, epotis medicamentis curantur; quæ verò in inferioribus, clysteribus iniectis iuuantur. Atque huiusmodi dysenteriæ ab hepaticis profluuiis discernuntur, tum quod per initia tenuis sanies sanguinis ab hepate deiiciatur, deinde augescente affectu crassus humor, fæcibus vini similis; tum quòd nihil ramentosum excernatur, sed interdum duorum aut trium dierum interuallo supprimatur euacuatio in hepaticis excretionibus, deinde rursus redeat malum, atque excernantur excrementa prioribus multò deteriora; at non in intestinorum vlceribus fieri sic apparet; nam neque affatim, neque ex longis temporum interuallis deiiciunt. Atque vlcera quæ in recto intestino oriuntur (tenesmum vocant) vehementes tensiones, & promptas deiiciendi cupiditates inuehunt, paucis admodum sequentibus excrementis, quæ quidem ab initio pituitosa & pinguia, progressu verò temporis etiam ramentosa deiiciuntur; sed hæc per totum morbi spatium supernè descendentibus haudquaquam mixta videntur. Scribunt nonnulli, à vehementissimis excernendi conatibus, prægressis doloribus grauissimis, aliquos lapides callosos deiecisse iis qui in vesica nascuntur, similes; quod ipse neque vidi, neque alium qui viderit, vnquam audiui. Sed coli vehementem dolorem sæpenumerò

A συνεχὲς ἄχρι τῆς κατὰ τὸ ἔντερον ἐκφύσεως. ἐστὶ δ' ὥσπερ ἑκατέρου χρεία τοῖς ζώοις ἴδιος, διαλλάττοντα τῇ χρείᾳ τὰ συμπτώματα διαφέρονται κατὰ τὸν αὐτὸν τρόπον. ὥστε κοινὰ πάθη τῶν ὁμοιομερῶν ἐστι καὶ τῶν ὀργανικῶν, ὥσπερ ἐστὶ δήπου τοῖς τούτοις κοινὰ πρὸς ἄλληλά τε καὶ σύμπαντι τῷ ἐντέρῳ. ἡ δὲ τῶν συμπτωμάτων ὁμοιότης οὐ μόνον τούτοις πρὸς ἄλληλά ἐστι, ἀλλὰ καὶ τοῖς ψαύουσιν αὐτῶν, ὥσπερ τοῖς νεφροῖς πρὸς τὸ κῶλον. ἔνια μὲν οὖν τὸ διάγνωσιν ἔχει τὸν πεπονθότα τόπον, ὥσπερ αἱ δυσεντερίαι, καὶ οἱ τεινεσμοί. χρὴ δ' ὑμᾶς ἐν τῷ παρόντι λόγῳ τῆς κυρίως ὀνο-
B μαζομένης δυσεντερίας ἀκούειν, ὡς σημαινούσης τῆς προσηγορίας ἐντέρων ἕλκωσιν· οὔτε γὰρ ἀθρόως γίνεται τὸ πάθος τοῦτο, καθάπερ θάτερον, ἐν ᾧ τὸ ἧπαρ ἔφαμεν πάσχειν, ἴδιά τε γνωρίσματα αὐτῷ σύνεστιν. ἐν ἀρχῇ μὲν οὖν ἔκκρισις χολῆς δακνώδους ἱκανῶς, ἔπειτ' αὐτοῦ γίνεται, μετὰ δὲ ταύτην ἀκολουθεῖ ξύσματα τῶν ἐντέρων· εἶτα τοῖς ξύσμασι συνεκκρίνεταί τι μικρὸν αἵματος, ἡνίκα ἤδη δυσεντερία τὸ πάθος ἐστί. ὁπότε μὲν οὖν μόνα ταῦτα τὰ ξύσματα διαχωρεῖται, προσέχειν χρὴ, μή τι πιμελῶδες
C αὐτοῖς συνεκκρίνεται, τῶν παχέων γὰρ ἂν οὕτως ἐντέρων ἡ ἕλκωσις εἴη. τοῦ δ' αἵματος ἤδη συνεκκρινομένου σκοπεῖσθαι χρὴ, πότερον ἀναμέμικται τοῦτο τοῖς ἄλλοις ὅλον ὅλοις, ἢ καθ' ἕν τι μέρος αὐτῶν ἐποχεῖται· τὸ μὲν γὰρ ἀναμεμιγμένον, ἐν τοῖς ὑψηλοτέροις ἐντέροις ἐνδείκνυται τὴν ἕλκωσιν εἶναι, τὸ δ' ἐποχούμενον, ἐν τοῖς ταπεινοτέροις· ὁρᾶται δὲ τοῦτο κἀπὶ τῶν ξυσματωδῶν ἐκκρίσεων γιγνόμενον, ἀλλ' ἧττον σαφῶς, ἢ ἐπὶ τοῦ αἵματος. ὡσαύτως δὲ κἂν ἐφελκὶς ἐκκρίνηται, δηλώσει ποίων ἐστὶν ἐντέ-
D ρων, ἔξ αὐτῆς τε τῆς οἰκείας οὐσίας, καὶ τοῦ μεμίχθαι τοῖς ἐκκρινομένοις, ἢ καθ' ἕν τι μέρος αὐτῶν ἐποχεῖσθαι. διαφέρει δ' οὐ σμικρὸν εἰς τὴν θεραπείαν ἐγνῶσθαι τὴν ἕλκωσιν, ἐν τίνι μέρει τῶν ἐντέρων ἐστίν· αἱ μὲν γὰρ ἐν τοῖς ὑψηλοτέροις, ὑπὸ τῶν καταπινομένων φαρμάκων ὠφελοῦνται, αἱ δ' ἐν τοῖς ταπεινοτέροις, ὑπὸ τῶν ἐνιεμένων ὠφελοῦνται. διορίζονται δὲ τῶν ἀφ' ἥπατος ἐκκρίσεων αἱ τοιαῦται δυσεντερίαι, τῷ τε λεπτὸν αἵματος ἰχῶρα κατ' ἀρχὰς ἐκκρίνεσθαι ταῖς ἀφ' ἥπατος, εἶτα τοῦ πάθους αὐξανομένου παχὺν χυμὸν οἴνου τρυγὶ παρα-
E πλήσιον· ἔτι τε τῷ μηδὲν ἐπ' αὐτῶν συνεκκρίνεσθαι ξυσματῶδες, ἀλλὰ καὶ διάλειμμα δυοῖν ἡμερῶν ἢ καὶ τριῶν ἐνίοτε γίνεσθαι ταῖς ἡπατικαῖς ἐκκρίσεσιν, εἶτ' αὖθις ἐπανέρχεσθαι τὸ κακὸν, ἐκκρινόντων αὐτῶν πολὺ χείρω τῶν ἔμπροσθεν· οὐ μὴν ἐπί γε τῶν κατ' ἔντερα ἑλκώσεων οὕτω φαίνεται γιγνόμενον, οὔτε γὰρ ἀθρόον, οὔτ' ἐκ διαστημάτων χρόνου μακρῶν ἐκκρίνουσιν. αἱ μέν τοι κατὰ τὸ ἀπευθυσμένον ἑλκώσεις, ἃς τεινεσμοὺς ὀνομάζουσι, σφοδρὰς μὲν ἐντάσεις καὶ προθυμίας ἰσχυρὰς ἐπιφέρουσι, ἐκκρίνουσι δ' ὀλίγα, κατ' ἀρχὰς μὲν φλεγματώδη τε καὶ
F πιμελώδη, προϊόντος δὲ τοῦ χρόνου καὶ ξυσματώδη· πάντα γε μὴν ταῦτα κατὰ πάντα τὸν χρόνον, ἄμικτα τοῖς ἄνωθεν ἀφικνουμένοις φαίνεται. γεγράφασι δέ τινες ἐπὶ σφοδροτάταις ἐκκρίσεων προθυμίαις, ἀλγημάτων ἰσχυρῶν προηγησαμένων, ἐκκρῖναί τινας λίθους πωρώδεις ὁμοίους τοῖς ἐν τῇ κύστει συνισταμένοις, ὅπερ οὔτε εἶδον αὐτὸς, οὔτ' ἄλλου τινὸς ἑωρακότος ἤκουσα. κώλου δ' ἄλγημα σφοδρὸν εἶδον πολλάκις, ὑπὸ τῶν ἰατρῶν

τοῦ κώλου νομιζόμενον, ἀλλὰ νεφρῶν εἶναι, καθάπερ γε καὶ τὸ τῶν νεφρῶν εἰς κῶλον ἀναφερόντων· ἔνιοι δ' αὐτῶν ᾤοντο, μηδὲ γίνεσθαί ποτε κωλικὴν διάθεσιν ἐν τοῖς ἀριστεροῖς μέρεσιν. ἔχει μὲν οὖν τι δυσδιάκριτον ἐν ἀρχῇ τὰ πάθη, καθ' ὃν χρόνον οὐδὲ μεγάλης διαφορᾶς βοηθημάτων χρῄζει· σκοπεῖσθαι μέντοι χρὴ καὶ τότε τὰ πλεονάζοντα συμπτώματα. ναυτίαι γὰρ ἅμα ἐμέτοις γίγνονται πολὺ μείζους τε καὶ συνεχέστεραι τοῖς τὸ κῶλον ἀλγοῦσιν, ἐμεῖταί τι φλεγματώδη καὶ διεφθαρμένα πλείω τούτοις, ἴσχεταί τε τὰ διαχωρήματα μᾶλλον ἅμα τῷ μηδὲ φῦσαν ἐκκρίνεσθαι μήδ' ἐρυγὴν γίγνεσθαι· πολλάκις δὲ καὶ ὥσπερ συμπεριστρεφόμενον ἐστὶν αὐτοῖς τὸ ἄλγημα, καὶ πλέονα τόπον ἐπιλαμβανόμενον· ἐνίοτε δὲ καὶ κατὰ διαφέροντα μόρια σφοδρότερον γινόμενον, ἐρηρεισμένων καθ' ἕνα τόπον ἀεὶ τῶν νεφριτικῶν ἀλγημάτων. ὅταν γε μὴν ὑψηλότερον ὑπάρχῃ τὸ ἄλγημα τῆς θέσεως τῶν νεφρῶν, ἐναργὴς ἡ διάγνωσίς ἐστιν ἐπὶ τῆς τοῦ κώλου πείσεως· εἰ δὲ κατὰ τὴν τῶν νεφρῶν εἴη θέσιν, ἐρηρεισμένον τε καθ' ἕνα τόπον, οὐδὲν εἰς διάγνωσιν ἐκ τούτου λαμβάνειν ἐστί. ἀλλὰ πρὸς οἷς ἄρτι δῆλον, ἐπισκεπτέον ἐστὶ καὶ τὰ οὖρα· πάνυ γὰρ ὑδατώδη καὶ καθαρά τό γε κατ' ἀρχὰς οὐρεῖται τοῖς νεφριτικοῖς, ὥσπερ ἐν ταῖς ἑξῆς ἡμέραις ὑποστάσεις ἴσχοντα τραχείας, εἶτ' ἀκριβῶς ψαμμώδη. κἂν διαχωρήσῃ δέ ποθ' ἡ γαστὴρ ἐπὶ τῶν κωλικῶν, πνευματωδέστερά πως ἐκκρίνεται, καὶ πολλάκις γ' ἐποχεῖται τῷ ὕδατι, τῇ συστάσει παραπλήσια βολβίτοις. ἀλλὰ καὶ παρηγοροῦνται τοῖς χαλαστικοῖς ἐνέμασιν οἱ κωλικοὶ παροξυσμοί, μᾶλλον τῶν νεφριτικῶν· ἔστι δ' ὅτε καὶ χυμοῦ τινος ψυχροῦ συνεκχυθέντος αὐτοῖς, παραχρῆμα παύονται, τοῦ παρηγορικοῦ βοηθήματος, οὐ παρηγορικοῦ μόνου, ἀλλὰ καὶ θεραπευτικοῦ καὶ διαγνωστικοῦ γινομένου. καθάπερ δὲ χυμὸς ψυχρὸς ἐπὶ τούτων ἐκκριθείς, οὕτως ὁ λίθος ἐπὶ τῶν νεφριτικῶν οὐρηθείς, ἀπήλλαξέ θ' ἅμα τῆς ὀδύνης, ἐνεδείξατό τε τὸν πεπονθότα τόπον, ὥστε τοῦ λοιποῦ τῆς δυσπαθείας αὐτῶν προνοεῖσθαι· ὥσπερ γὰρ ἐν ταῖς ὀδύναις ἀμφότερα τὰ μόρια τῶν αὐτῶν δεῖται βοηθημάτων, οὕτως ἐν τῷ μετὰ ταῦτα χρόνῳ διαφερόντων· διὸ καὶ νομίζειν χρὴ βλάβην οὐδεμίαν ἔχειν ἡμᾶς εἰς τὴν θεραπείαν, ἐκ τοῦ δυσδιάκριτον εἶναι τὴν πρώτην εἰσβολὴν αὐτῶν, οὔτε γὰρ δέονται τηνικαῦτα διαφόρων βοηθημάτων, οὔτ' ἔξωθεν, οὔτ' ἔσωθεν, ἀλλ' ἀρκεῖ τὰ παρηγορικὰ μόνον. τεταγμένων δὲ τῶν ἐντέρων ἁπάντων μετὰ τὴν γαστέρα, τῆς μὲν νήστεως ὑψηλοτάτης, ἐφεξῆς δὲ αὐτῆς τοῦ λεπτοῦ καλουμένου, μεθ' ὃ τοῦ μὲν τυφλοῦ πρὸς τὰ κάτω μέρη τὴν ἔκτασιν ἔχοντος, τοῦ δὲ κώλου πρὸς τὴν ἄνω χώραν ἀναφερομένου, μέχρι τοῦ συνηρτῆσθαι πολλάκις ἥπατί τε καὶ σπληνί· θαυμάζειν ἐπῆλθέ μοι, πόθεν ἐπείσθησαν οὐ μόνον οἱ ἰατροὶ σχεδὸν ἅπαντες, ἀλλὰ καὶ οἱ ἰδιῶται, τὰ σφοδρότατα τῶν ἀλγημάτων, ἐν οἷς ἂν τύχῃ μέρεσι γιγνόμενα, τοῦ κώλου νομίζειν εἶναι· φαίνεται μὲν οὖν τοῦτο κἀμοὶ πιθανώτατον ὑπάρχειν, ἀλλὰ καὶ ζητήσαντι τὴν αἰτίαν τοῦ σφοδροῦ τε ἅμα καὶ μονίμου τῆς ὀδύνης, οὐχ ἁπλῶς πεισθέντι τοῖς ἀποφαινομένοις. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν ἐν νεφροῖς καὶ οὐρητῆρσι λίθων ἐσφηνωμένων, ἀλγήματα γίγνεται σφοδρὰ κατὰ τὴν δίοδον, οὕτω κἀπὶ τῶν λεπτῶν ἐντέρων εὐλόγως ἄν τις ὑπολάβῃ, τὰ περιεχόμενα πνεύματα ψυχρὰ καὶ χυμοὺς ὁμοίους αὐτοῖς, ἐργάζεσθαι τὴν ὀδύνην· ἡ γὰρ τοῦ σώματος οὐσία τῶν ἐν τοῖς λεπτοῖς ἐντέροις χιτώνων ἀραιά τε οὖσα καὶ λεπτή, κατέχειν ἐπὶ πλέον οὐ δύναται τὰ τοιαῦτα τῶν αἰτίων·

A cōſpexi, medicis illū non ad colū, ſed ad renes pertinere putantibus; veluti renum quoque cruciatus, ad colum referri. Nonnulli verò ipſorum putarunt in ſiniſtris partibus colicam affectionem nunquam fieri. Igitur ab initio horum affectuum diſtinctio difficilis eſt, quo tempore neque magnam præſidiorum differentiam ipſi requirunt; ſymptomata tamen, quæ hîc exuberant, iam tum diligēter intueri oportet. Nam nauſeæ cum vomitu vrgent multò B grauiores & magis aſſiduæ dolente colo, euomuntque hi plura pituitoſa atque corrupta, ac retinentur magis excrementa, vt ne flatum quidem aut ructum excernant; ſæpenumerò etiam veluti circuire videtur dolor, atque ampliorem locum occupare; nonnunquam verò in diuerſis partibus vehementior fit, quum nephritici dolores eodem in loco ſtabiles iugiter infeſtent. Quum autem dolor fuerit renum ſitu altior, manifeſtum colicæ affectionis indicium eſt; ſi verò in vno loco, vbi renes ponuntur, ſtabilis conſtiterit, nihil ad dignotionem poteſt hinc ſumi. Verùm cum his, quæ modò C percurrimus, vrinę quoque conſiderandæ ſunt; nam nephritici ab initio admodum dilutas puraſque reddunt, quæ deinde ſequentibus diebus aſperum ſedimentum habent, tum omninò arenoſum. Quinetiam in colica, ſiquid ab aluo deiiciatur, id flatuoſum quodammodò eſt, & ſæpenumerò aquæ ſupernatat, ſimilem habens bubulo ſtercori conſiſtentiam. Quinetiam colici cruciatus multò magis, quàm nephritici, laxantibus mitigantur clyſteribus; atque euenit interdum, vt frigido aliquo humore ſimul eiecto, ilicò quieſcant; vt mitigans præſidium, non D mitigans tantùm, ſed etiam curatiuum fiat & diagnoſticum. Atque vt hi frigidum humorem aluo excernente, ita nephritici cū vrina lapide exeunte, & à dolore liberantur, & ſimul locum affectū oſtendunt; itaq; nihil relinquitur, niſi vt prouideatur, ne poſtea tam facilè affici poſſint. Nam vt perſeuerante dolore vtraque pars eiſdem indiget præſidiis, ita tempore ſubſequente diuerſis. Quapropter nullum in curatione augurandum eſt damnum nobis euenire, quod in primo horum morborum inſultu eos difficulter diſcernamus; tunc enim neque externis, ne- E que internis, differentibus egent auxiliis, ſed ſufficiunt ea quæ dolorem leniant. Quum autem omnia inteſtina à ventriculo ordine quodā deſcendāt, omnium ſupremum ieiunum, deinde, quod tenue vocatur, poſtea cæcum ad infernas partes extenſum, colum ad ſuperiores reuertens, donec ſæpenumerò & lieni & iecori attendatur; miratus ſum, quomodo non ſolùm medici ferè omnes, ſed etiam populares, vehementiſſimos quoſque dolores, in quacunque parte euenerint, ad colum referant. Id quidem mihi quoque veriſimile videtur; ſed quum F cauſam quæro, cur tam vehemens tamque perſeuerans ſit dolor, non ſimpliciter huic aſſertioni ſatis credo. Non enim vt in renibus atque vreteribus impacto lapide, ingentes dolores in tranſitu excitantur, ſic & in tenuibus inteſtinis rationi conſentaneum eſt cenſere, frigidos flatus retentos, atque ſimiles iis humores dolorem efficere; nam tenuium inteſtinorum tunicæ rara tenuique ſubſtantia conſtant, vt non ita diu huiuſmodi cauſas continere poſſint.

Ergo

Ergo probabile est frigidum, crassum, & lentum humorem, aut flatulentum spiritum, in corpore crasso densoque genitum, exitum non habentem, dolorem excitare; vehementem quidem geminam ob causam, intemperiem, & corporum quibus continetur tensionem; longum vero, quia difficile vacuatur, corporum ipsum ambientium tum crassitudine, tum spissitudine coërcitus. Atque interdum alii quoque dolores vehementissimi in sublimioribus intestinorum partibus eueniunt, grauiter vomitionibus crucciantes, adeò vt nonnulli sub fine stercus quoq; euomant, à quo affectu vix vnquam aliquis euasit; hunc quidam volulum vocant, nonnulli etiam chordapsum, quum tumor aliquis eminet in tenuium intestinorum regione, vt videatur intestinum ad chordæ similitudinem circunuolutum. Itaque consentaneum visum est medicis antiquioribus, vel ab inflammatione, vel ab obstructione aridi stercoris, huiusmodi tenuium intestinorum affectus oriri. Sunt alia quoque symptomata, quæ meritò omnibus, & intestinis, & ventriculo, simul affectis euenire creduntur, vt quas lienterias, & cœliacas affectiones vocitant, quæ minimè sunt mordaces. Nam mordaces eo ipso quòd mordeant, omnia intestina ad excretionem excitant; at non mordaces intestinorum imbecillitatem sequuntur, quia retinere contenta ne exiguo quidem tempore possunt; ilicò excernentium ea, ac si graue aliquod onus deponerent, vt in stranguriis contingit; hæ nanque etiam conspiciuntur fieri, interdum quum ob acrimoniã & morsum vesica iugiter, quicquid ad eam peruenit, secernit; interdum, quòd molem ipsius, etiamsi exiguam, sustinere nequeat. At à quibus causis intestinorum læuitas proueniat, alibi particulatim scriptum habetis, præter ea, quæ in libris methodi medendi, de naturalibus facultatibus, & de symptomatum causis diximus. Nunc enim non disserimus de causis morbos efficiẽtibus, sed de affectis locis, qui tum tactus, tum visus iudicium effugiunt. At quia ad accuratam horum dignotionem etiam de ipsis affectibus interdum aliquid dicere coactus sum, idcircò de causis quoque ipsos efficientibus mentionem feci. Itaque sermoni de intestinorum affectibus conuenit hic finem imponere; quicunque enim affectus in ipsis consistunt cognitu faciles, ij cum prædictis communes habent notas. Nam abscessuum, inflammationum, scirrhorum, inflationum, erysipelatum indicia omnibus cognita, quum in ventriculi locis apparent, & affectus ipsius, & simul affectæ sedis dignotionem ostendunt, ac de his prioribus libris satis dictum est.

CAPVT III.

De renum affectibus, calculo, abscessu, vlcere, pilis, dracunculis, imbecillitate, diabete, canina appetentia, & ciborum discussione.

QVum derepente nephritis incidit, lapide notatu digno vel in renum, vel in vreterum aliquo impacto, dolor excitatur colico similis; verùm distinguitur nausearum tum multitudine tum magnitudine, cum iis quæ vomitu reiiciuntur, biliosis, & pituitosis, præassumpti

A εὔλογον οὖν ἐστιν ἐν τινὶ πυκνῷ καὶ παχεῖ σώματι γεννηθέντα ψυχρὸν καὶ παχὺν ἢ γλίσχρον χυμὸν, ἢ πνεῦμα φυσῶδες οὐκ ἔχον διέξοδον, ὀδύνην ἐργάζεσθαι, σφοδρὰν μὲν κατ' ἄμφω, διά τε δυσκρασίαν καὶ τάσιν τῶν σωμάτων ἐν οἷς γέγονται· μακρὰν δὲ, τῷ μὴ δύνασθαι κενωθῆναι ῥᾳδίως, εἰργόμενον ὑπό τε τοῦ πάχους καὶ τῆς πυκνότητος τῶν περιεχόντων αὐτὸ σωμάτων. γίγνονται δέ ποτε καὶ ἄλλοι πόνοι σφοδρότατοι κατὰ τὰ μετέωρα μέρη τῶν ἐντέρων, ἰσχυρῶς συναράσσοντες ἐμέτοις, ὡς ἐπὶ τέλει καὶ κόπρον ἐμέσαι τινὰς, ἐξ οὗ πάθους σπανιώτατα τις ἐσώθη, καὶ καλοῦσί τινες B αὐτὸ εἰλεὸν, καθάπερ ἕτεροι χορδαψὸν, ὅταν ὑπεξέχῃ τις ὄγκος ἐν τῇ χώρᾳ τῶν λεπτῶν ἐντέρων, ὡς δοκεῖν εἰς χορδήν τινα περιεστράφθαι τὸ ἔντερον. εὔλογον οὖν ἔδοξε τοῖς πρὸ ἡμῶν ἰατροῖς, ἤτοι διὰ φλεγμονὴν, ἢ ἔμφραξιν κόπρου ξηρᾶς τὰ τοιαῦτα γίγνεσθαι πάθη τῶν λεπτῶν ἐντέρων. ἕτερα μέντοι συμπτώματα πάντων ἅμα πεπονθότων εὐλόγως ἐπιστεύθη γίγνεσθαι, τῶν ἐντέρων τε καὶ τῆς γαστρὸς, ὥσπερ αἵ τε λειεντερίαι καὶ αἱ κοιλιακαὶ καλούμεναι διαθέσεις, ὅσαι μὴ δακνώδεις εἰσίν· αἱ μὲν γὰρ δακνώδεις αὐτῷ τῷ δάκνειν ἐξορμῶσιν ἐπὶ τὴν ἀπόκρισιν ἅπαν τὸ ἔντερον· ὅσαι δ' οὐ δά- C κνουσιν, ἀτονίαις ἐντέρων ἕπονται, διὰ τὸ μὴ δύνασθαι κατέχειν τὰ περιεχόμενα μηδ' ἐπ' ὀλίγον χρόνον, ἐκκρινόντων αὐτὰ παραχρῆμα, καθάπερ ἄχθος τι βαρῦνον ἀποτιθέμενα. ταῖς στραγγουρίαις ἀνάλογον· ὁρᾶν γὰρ κἀκείνας γιγνομένας, ποτὲ μὲν διὰ δριμύτητα καὶ δῆξιν ἀποκρινούσης τῆς κύστεως συνεχῶς τὸ παραγιγνόμενον εἰς αὐτὴν, ἔστι δὲ ὅτε μὴ φερούσης τὸ βάρος αὐτοῦ, κἂν ὀλίγον εἴη. τὰς δ' ἐργαζομένας αἰτίας τὸ λειεντερικὸν πάθος ἑτέρωθι γεγραμμένας ἔχετε κατὰ μέρος, πρὸς ᾧ κἀν τοῖς τῆς θεραπευτικῆς μεθόδου καὶ τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἔτι τε τοῖς τῶν συμπτωμάτων αἰτίοις εἴρηται. νῦν γὰρ οὐ περὶ τῶν τὰς νόσους ἐρ- D γαζομένων αἰτίων ὁ λόγος ἐστὶν, ἀλλὰ περὶ τῶν πεπονθότων τόπων, ὅσοι τὴν διὰ τῆς ἀφῆς τε καὶ τῆς ὄψεως ἐκφεύγουσι γνῶσιν. ἐπεὶ δ' εἰς τὴν τούτων ἀκριβῆ διάγνωσιν ἐνίοτε καὶ περὶ τῶν διαθέσεων αὐτῶν ἠναγκάσθην εἰπεῖν τι, διὰ τοῦτο καὶ περὶ τῶν ἐργαζομένων αὐτὰς αἰτίων ἐπεμνήσθην. ὥστε καταπαύειν ἐνταῦθα προσήκει τὸν περὶ τῶν ἐντέρων λόγον· ὅσα γὰρ ἐναργῶς ἐστι πάθη γνῶναι συνιστάμενα κατ' αὐτὰ, καὶ ταῦτα κοινὰς ἔχει τὰς διαγνώσεις τοῖς προειρημένοις· τὰ γὰρ τῶν ἀποστημάτων, ἢ φλεγμονῶν, ἢ σκίρρων, ἢ πνευματώσεων, ἢ E ἐρυσιπελάτων γνωρίσματα γιγνωσκόμενα πᾶσιν, ὅταν ἐν τοῖς κατὰ τὴν κοιλίαν τόποις ὀφθῇ, καὶ τοῦ πάθους ἅμα καὶ τοῦ πεπονθότος τόπου τὴν διάγνωσιν ἐνδείκνυται, καὶ λέλεκται καὶ περὶ τούτων ἐν τοῖς ἔμπροσθεν λόγοις αὐτάρκως.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν κατὰ τοὺς νεφροὺς παθῶν, λίθου, ἀποστήματος, ἕλκους, τριχῶν, δρακοντίων, ἀτονίας, διαβήτου, κυνώδους ὀρέξεως, καὶ τροφῶν διαφορήσεως.

F ΕΑν μὲν εἰσβάλλῃ ἐξαίφνης νεφρῖτις, ἀξιολόγου λίθου σφηνωθέντος, ἤτοι κατά τινα τῶν νεφρῶν, ἢ τῶν οὐρητήρων, παραπλήσιον ἄλγημα γίγνεται τοῖς κωλικοῖς· διορίζεται δὲ τῷ τε πλήθει καὶ μεγέθει τῶν ναυτιῶν, ἅμα τοῖς ἐμουμένοις χολώδεσί τε καὶ φλεγματώδεσιν οὖσιν,

καί τι καὶ τῆς ἐδηδεσμένης τροφῆς μεμιγμένον ἔχουσι· πολλάκις καὶ τῷ τόπῳ, τῶν ὑψηλῶν μερῶν τοῦ κώλου παθόντων· ἔστι δ' ὅτε καὶ τῷ μὴ καθ' ἕνα τόπον ἐρηρεῖσθαι τὴν ὀδύνην, ἀλλ' ἐνειλεῖσθαί τε καὶ μέχρι πλείονος ἐκτείνεσθαι, καὶ μηδὲ φῦσαν περιΐεσθαι· ταῦτα γὰρ ἅπαντα μόνοις γίγνεται τοῖς κωλικοῖς, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον. ὅταν δ' ἐκ τῶν ὑφισταμένων τοῖς οὔροις, ἢ καί τινος οὐρηθέντος λίθου σαφῶς διορισθείη, ζήτημα οὐκέτ' οὐδὲν ὑπολείπεται. πολλοὶ γὰρ τῶν παθόντων, ὀδύνης μετρίας αἰσθάνονται διὰ βάθος κατὰ τὰς λαγόνας ὑπαρχούσης ἀπ' ἀρχῆς, οὐδέπω ψαμμώδους[13] οὐδενὸς ἐκκρινομένου σαφῶς· ἐφ' ὧν, ὡς ἴστε, διδοὺς τῶν φαρμάκων, ὅσα θρύπτει τοὺς ἐν τοῖς νεφροῖς λίθους, ἅμα τε διάγνωσιν ἀκριβῆ ποιούμενος τοῦ τε πάθους, καὶ τοῦ πάσχοντος τόπου, καὶ θεραπείας ἀρχὴν ἴσχω τὴν αὐτήν. ἐὰν γὰρ εὑρεθῇ τι ψαμμῶδες ἐν τοῖς οὔροις ἐπὶ τῇ πόσει τοῦ φαρμάκου, νεφριτικὸν τότε πάθος ἔγνων ὑπάρχειν, ἐφεξῆς τε δίδωμι τῶν αὐτῶν φαρμάκων, ἅμα τῇ λοιπῇ θεραπείᾳ.[14] διεγνωσμένου δέ, ὅτι πάσχει τις οὕτω νεφρὸς [ἐὰν ἀλγήματα μετὰ φρίκης ἐκ διαλειμμάτων ἀνωμάλως φαίνηται γιγνόμενα, καὶ πυρετοί τινες ἐπ' αὐτοῖς ἄτακτοι, τηνικαῦτα κατακλίνοντες ἐπὶ τὴν γαστέρα τὸν κάμνοντα, καί ποτε καὶ κατὰ θάτερον πλευρόν, ὡς ὑψηλὸν εἶναι τὸ πεπονθὸς μέρος, ἐρωτᾶτε μή τινος βάρους ὥσπερ ἐκκρεμαμένου κατὰ τὸν ἀλγοῦντα νεφρὸν αἰσθάνονται· τούτων γὰρ αὐτοῖς συμβαινόντων, ἀπόστημα χρὴ προσδέχεσθαι συνιστάμενον, ἐφ' ᾧ πεφθέντι, πύον οὐρηθέν, ἅμα τε τῆς ὀδύνης ἀπαλλάττει τὸν κάμνοντα, καὶ κίνδυνον ἑλκώσεως ἐπιφέρει τῷ νεφρῷ, καὶ διὰ τοῦτο πειρᾶσθαι χρὴ παντὶ τρόπῳ τῆς ἐπουλώσεως αὐτοῦ φροντίζειν· ἐὰν μὴ διὰ ταχέων εἰς οὐλὴν ἀχθῇ, δυσθεραπευτότερον γίγνεται. [σημεῖα δὲ τοῦ διαμένειν τὴν ἕλκωσιν ἔν τε τοῖς οὐρουμένοις οὐκ ἀσαφῆ, καὶ τῷ κάμνοντι πολλάκις ὀδύνης αἴσθησις ἐν τῷ κατὰ τὸν πεπονθότα νεφρὸν χωρίῳ· συνεκκρίνεται δ' αὐτοῖς ἐνίοτε καὶ πύον, ὡς ἀφ' ἕλκους, ὀλίγον· ἐφελκὶς δ' ὁμοίως ἐκκρίνεται, [ἔστι δ' ὅτε καὶ αἷμα σημαῖνον ἀναβιβρώσκεσθαι τὸ ἕλκος· ἀλλὰ καὶ ῥηγνυμένου ποτ' ἀγγείου διὰ πλῆθος, ἢ ἐκ καταπτώσεως, ἢ πληγῆς σφοδρᾶς, οὔρησαν αἷμα δαψιλὲς ἔνιοι· καί ποτε καὶ φλεβὸς ἀναστομωθείσης αὐτοῖς, γίγνεται τοῦτο. τῶν δ' ἑλκῶν αὐτῶν τῶν ἐν τοῖς νεφροῖς τεκμήρια βεβαιότατα, τὰ συνεξερχόμενα τοῖς οὔροις σαρκία σμικρά, τῆς τῶν νεφρῶν οὐσίας ὄντα μόρια, κατὰ τὴν ἐπιπλέον ἀνάβρωσιν ἐκ τῆς ἑλκώσεως[15] ἀπορρυπτόμενα. τά γε μὴν ταῖς θριξὶν ὅμοια καὶ ὁ Ἱπποκράτης μὲν εἶδεν τοῖς οὔροις συνεξερχόμενα, καθάπερ αὐτὸς ἐν ἀφορισμοῖς ἔγραψεν, καὶ ἡμεῖς δὲ ἐθεασάμεθα, ποτὲ μὲν σπιθαμιαῖα τὸ μῆκος, ἔστι δ' ὅτε καὶ μείζω, καί ποτε καὶ πάνυ[16] σμικρά, ὥστε με θαυμάζειν, εἰ ἐν τῇ κοιλίᾳ τῶν νεφρῶν συνέστη τηλικαῦτα· καὶ διὰ τοῦτο πιθανώτερον ἐφαίνετό μοι, τὴν γένεσιν αὐτῶν ἐν ταῖς φλεψὶν εἶναι, καθ' ὃν τρόπον ἐν ταῖς κνήμαις ἔν τινι[17] τόπῳ τῆς Ἀραβίας, ὥς φασι, τὰ καλούμενα δρακόντια γίνεται, νευρώδη μὲν τὴν φύσιν, ἕλμινσι δὲ καὶ τῇ χρόᾳ καὶ τῷ πάχει παραπλήσια· λεγόντων μὲν οὖν ἑωρακέναι ταῦτα πολλῶν ἤκουσα, μὴ θεασάμενος δ' αὐτά, οὐκ ἔχω συμβάλλειν οὔτε περὶ τῆς γενέσεως αὐτῶν, οὔτε περὶ τῆς οὐσίας, ἀκριβῶς οὐδέν· ὅπου γε καὶ τὰς οὐρουμένας τρίχας ἰδών, ἐκ μὲν τῆς χρόας τε καὶ συστάσεως ἐπειθόμην τοῖς εἰρηκόσιν αὐτὰς ἐκ παχέος τε καὶ γλίσχρου χυμοῦ θερμανθέντος τε καὶ ξηρανθέντος ἐν ταῖς φλεψὶ συνίστασθαι,

A quoque cibi aliquid admixtum habentibus; sæpenumerò etiam loco, quum superiores coli partes afficiuntur; atque ex eo interdum, quòd non vni loco dolor innitatur, sed reuoluatur, & ad plurimas extendatur partes, ac ne flatus quidem transmittatur; hæc enim omnia colicis duntaxat eueniunt, alia magis, alia minus. Quũ verò ex iis, quæ in vrinis subsident, aut lapide cum vrina excreto, planè discernuntur, nullus relinquitur quæstioni locus. Multi verò laborantes dolorem moderatum profundo ilium B insidentem sentiunt ab initio, quum nondum sabulosũ quippiam manifestè excernatur; quibus (vt scitis) dato medicamento, quod lapides in renibus conterat, simul & affectũ ipsum, & sedem affectam dignosco, atque idem habeo curationis principium. Si enim à medicamenti potione in vrinis sabulosa quædam comperiantur, nephriticum affectum esse cognosco; atque deinceps eadem medicamenta exhibendo, reliquam perficio curationem. Quum autem renem aliquem ita affectum esse dignoueris, C si dolores cum horrore interuallato inæqualique infestare videantur, ac ex his febres quædam inordinatæ; tum pronum in ventrem decumbere iussum, atque interdum in alterum latus, vt sublimis sit affectæ partis situs, laborantem interroga, num circa renem dolentem veluti suspensi cuiusdam ponderis sensum percipiat. Etenim, quum hæc ei acciderint, abscessum colligi coniicere oportet; quo concocto, pus mictum, laborantem à dolore liberat, & vlceris in rene periculum affert; proinde exacto studio laborandum est, vt inducatur cicatrix; quod nisi ilicò contigerit, difficiliorem D reddit curationem. Ac perseuerantis vlceris signa ex vrina haud obscurè deprehenduntur, & laborans creberrimè in affecto rene dolorem sentit; atque interdum cum vrina exiguum pus, veluti ab vlcere, excernitur; similiter ramentũ nonunquã excluditur; ac interdũ sanguis quoque, qui erosi vlceris indiciũ est. At & rupto aliquando vase ob plenitudinem, aut casum, aut vehementem ictum, nonnulli magnã sanguinis copiam meiendo profuderunt; quod aperto etiam interdum venæ alicuius ore fit. E Sed certissima vlceratorum renum coniectura est, si cum vrina exiguæ quædam carunculæ excernantur, renum substantiæ partes, ob vehementem vlceris erosionem auulsæ. Ea verò quæ pilis similia sunt, Hippocrates quoque cum vrinis excerni vidit, quemadmodum ipse in aphorismis scripsit; ac nos etiam vidimus, aliquando semipedis longitudine, interdum etiam longiora; ac nonnunquam etiam admodum exigua, vt mirarer, quomodo in renum ventriculo talia possent consistere; proinde F probabilius mihi videbatur, in venis huiusmodi res procreari, quemadmodum in quodam Arabiæ loco (vt aiunt) in tibijs hominum dracunculi vocati nascuntur, neruosi naturâ, colore crassitudinéque lumbricis similes; multos sane audiui, qui se vidisse eos dicerent, ipse verò quum nunquam viderim, neque de ortu, neque de essentia ipsorum quicquam exactè coniicere possum. At vbi pilos meiendo excretos vidi, tum ex colore, tum ex mole credidi dicentibus, eos ex crasso, lentoque humore calefacto exiccatoque in venis consistere, at longitudi-

nis

nis ipsorum causam non intelligo. Verùm quũ primum eos vidi, curationem medicamentis vrinam cientibus successuram speraui, atq; ita contigit, ac propè omnibus, quibus hic affectus accidit, nephriticum nullũ symptoma neq; antè fuit, neque deinde obortum est, diureticis medicamentis curatis. Verùm etiamsi alia quæpiam humorum vitia à venis per vrinam expurgentur, quemadmodum si puris quoque multa fiat per vrinas excretio, nihil ab ijs vel renes, vel vesicam, vel vreteras meatus lædi cognouimus, sed in hac re cum intestinis conueniunt, quæ in hepaticis affectionibus nihil patiuntur, licet à bile sincera lædantur, veluti vesica quoque, vbi longo tempore acres per ipsam vrinæ transeunt, vlceratur. Est etiam alius renum affectus, quo tenuis sanies sanguinis meijtur, similis excrementis, quæ in hepaticorum affectuum initio excernuntur, nisi quòd paulò magis apparent cruenta; id autem accidit ob aliquam affectionem renibus insidentem ei consimilem, qualem in iecore diximus imbecillitatem esse, tum ob osculorum, aut meatuum, vel vtcunque nominare volueris, per quos ex caua vena in renes vrina percolatur, laxitatem. Atq; renum quoque mihi videtur affectus is esse, quem quidam hydropem matellæ, alij vrinæ profluuium, alij diabetem, alij dipsacon appellant, qui rarissimè gignitur. Equidem eum huc vsq; bis vidi, supra modum sitientibus infirmis, atq; idcircò exuberanter bibẽtibus, celeriterque per vrinam epotũ reddentibus tale, quale biberant. Atq; hic renũ vesicæq; affectus similis est ventriculi intestinorũq; læuitati. Sed de intestinorũ læuitate separatim dictum est, vbi ostendimus, non ventriculum duntaxat, sed vniuersa quoque intestina, ad excretionem tum ciborum tum potuum assumptorum celeriter excitari, adeo vt ne pauxillo quidem tempore citra molestiam ferre possint ipsorum aut põdus, aut qualitatem. At quòd affatim celeriterq; ad vesicã vrina deferatur, id neque ad vẽtriculi, neq; intestini ieiuni, neq; tenuis imbecillitatem, tanquam ad causam, referri potest. Si enim quòd potum sustinere non possint, ad excretionem properant, quid obstat, quominùs per sedem excernatur, vt in læuitatibus intestinorum fieri videtur? neque enim cibus duntaxat celeriter per tam longam intestinorum conuolutionem transiens deiicitur, verum etiã quæ epota fuere. At distributionem à totius ventris partibus ad hepar didicimus, neque per hepatis, neque mesentericarum venarum, aut ventris, vt neque per earum, quæ ab hepate exortæ ad renes tendunt, imbecillitatem fieri. Nam in libris de naturalibus facultatibus nobis ostensum est, iecur ex ventriculo per mesaræi venas, veluti arbores à terra per radices, cibum ad sese allicere; sic etiam ostensum est, renes trahere quod aquosum in sanguine est; non tamen vesicam trahere à renibus, quemadmodum neque intestina à ventriculo, sed renes quidem per vreteras excernendo in vesicam mittere, ventriculum autem in ieiunum per eum processum, quem Herophilus dodecadactylon vocat, à duodecim digitorum longitudine nomen ei imponens. Itaque renum imbecillitas accusari potest, qui continere diutius vrinam non valeant; non verò aliarum par-

A τοῦ μήκους δ' αὐτῶν οὐκ ἐπινοῶ τὴν αἰτίαν. ἀλλὰ τήν γε θεραπείαν, ὁπότε πρῶτον εἶδον, ἤλπισα διὰ τῶν οὐρητικῶν φαρμάκων ἔσεσθαι, καὶ οὕτως ἀπέβη, καὶ σχεδὸν ἅπασιν οἷς συνέβη τὸ πάθημα τοῦτο, νεφριτικὸν οὐδὲν οὔτ' ἔμπροσθεν ἦν, οὔτ' αὖθις ἐπεγίνετο σύμπτωμα, θεραπευθεῖσιν ὑπὸ τῶν οὐρητικῶν φαρμάκων. ἀλλὰ κἂν ἄλλη τις ἐκκαθαίρηται τῶν φλεβῶν δι' οὐρήσεως μοχθηρία χυμῶν, οὐδὲν ὑπ' αὐτῆς εἶδον οὔτε νεφροὺς, οὔτε κύστιν, οὔτε τοὺς οὐρητικοὺς πόρους παθόντας, ὥσπερ οὐδ' εἰ πύον ἐκκρίνοιτό τις πολὺ δι' οὔρων, ἀλλὰ κατά γε τοῦτο, παραπλησίως ἔχει

B ταῦτα τοῖς κατὰ τὰ ἔντερα, πάσχει γὰρ οὐδ' ἐκεῖνά τι κατὰ τὰς ἡπατικὰς διαθέσεις, καίτοι ὑπὸ χολῆς ἀκράτου βλαπτόμενα, καθάπερ αὖ πάλιν ἡ κύστις ὑπὸ δριμέων οὔρων διεξόδου χρόνῳ πολλῷ γινομένης ἑλκοῦται. νεφρῶν γε μήν ἐστι καὶ ἄλλο τι πάθος, ἐφ' οὗ λεπτὸς ἰχὼρ αἵματος οὐρεῖται, τοῖς ἐπὶ τῶν ἡπατικῶν παθῶν ἐν ἀρχῇ γινομένοις διαχωρήμασιν ὅμοιος, πλὴν ὅσον αἱματωδέστερα ὀλίγῳ φαίνεται· συμβαίνει δὲ τοῦτο καὶ διὰ παραπλησίαν μέν τινα διάθεσιν ἐν νε-

C φροῖς γινομένην, οἵαν ἐν ἥπατι τὴν τῆς ἀτονίας ἔφαμεν εἶναι, καὶ δι' εὐρύτητα δὲ τῶν ἐκ τῆς κοίλης φλεβὸς εἰς τοὺς νεφροὺς τὸ οὖρον διηθούντων στομάτων, ἢ πόρων, ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλῃς. ἐμοὶ δὲ δοκοῦσιν οἱ νεφροὶ πεπονθέναι καὶ κατὰ τοῦτο τὸ πάθος, ὅ τινες μὲν ὕδερον εἰς ἀμίδα, τινὲς δὲ διάρροιαν εἰς οὖρα, τινὲς δὲ διαβήτην, ἔνιοι δὲ διψακὸν ὀνομάζουσι, σπανιώτατα γινόμενον· ἐμοὶ γοῦν ὤφθη δὶς ἄχρι δεῦρο, διψώντων μὲν ἀμέτρως τῶν παθόντων, καὶ πινόντων γε δι' αὐτὸ τοῦτο δαψιλῶς, οὐρούντων τε τὸ ποθὲν ἐν τάχει τοιοῦτον, οἷον ἐπόθη. παραπλήσιον δ' αὖ καὶ τοῦτο κατὰ

D νεφροὺς καὶ κύστιν πάθος, οἷον ἐν κοιλίᾳ καὶ ἐντέροις ἡ λειεντερία. περὶ μὲν οὖν λειεντερίας ἰδίᾳ γέγραπται, δεικνύντων ἡμῶν οὐ μόνον τὴν κοιλίαν, ἀλλὰ καὶ πᾶν τὸ ἔντερον ἐπὶ μὲν τὴν ἀπόκρισιν ἐν τάχει παραγίνεσθαι τῶν καταποθέντων σιτίων τε καὶ πομάτων, οὐ δυνάμενα φέρειν οὐδ' ἐπ' ὀλίγον ἀλύπως, ἢ τὸ βάρος αὐτῶν, ἢ τὴν ποιότητα· περὶ δὲ τῆς εἰς τὴν κύστιν ἀθρόας τε καὶ ταχείας φορᾶς, ἀδύνατον ἀτονίαν αἰτιάσασθαι τῆς γαστρὸς, ἢ τῆς νήστεως, ἢ τῶν λεπτῶν ἐντέρων· εἴπερ γὰρ ἀδυνατοῦντα βαστάζειν τὸ ποτὸν, ἐπὶ τὴν

E ἔκκρισιν αὐτοῦ παραγίνεται, τί ἐκώλυεν ἐκκρίνεσθαι διὰ τῆς ἕδρας αὐτὸ, καθάπερ ὁρᾶται γινόμενον ἐπὶ τῶν λειεντερικῶν; οὐ μόνον γὰρ ἐκκρίνεται τὰ σιτία ταχέως διεξερχόμενα τὴν τοσαύτην ἕλικα τῶν ἐντέρων, ἀλλὰ καὶ τὰ ποτά. τὴν δ' εἰς ἧπαρ ἀνάδοσιν, ἀπὸ τῶν καθ' ὅλην τὴν γαστέρα χωρίων, ἐμάθομεν οὔθ' ἥπατος ἀτονίᾳ γινομένην, οὔτε τῶν κατὰ τὸ μεσεντέριον φλεβῶν, οὔτε τῶν κατὰ τὴν κοιλίαν, ὥσπερ οὐδὲ τῶν ἐξ ἥπατος ἐπὶ τοὺς νεφρούς· ἐδείχθη γὰρ ἡμῖν κἀν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἕλκειν μὲν

F εἰς ἑαυτὸ τὸ ἧπαρ ἐκ τῆς κοιλίας τὴν τροφὴν διὰ τῶν ἐν μεσαραίῳ φλεβῶν, ὥσπερ τὰ δένδρα τὴν ἐκ τῆς γῆς ἕλκει διὰ τῶν ῥιζῶν· ἐδείχθησαν δὲ καὶ οἱ νεφροὶ τὸ ὑδατῶδες ἐν αἵματι ἕλκειν, μὴ μέντοι τὴν κύστιν ἕλκειν, ἐκ τῶν νεφρῶν, ὥσπερ μηδ' ἐκ τῆς κοιλίας τὰ ἔντερα· πέμπειν δ' ἐκείνους, εἰς μὲν τὴν κύστιν τοὺς νεφροὺς διὰ τῶν οὐρητήρων, εἰς δὲ τὴν νῆστιν, τὴν κοιλίαν διὰ τῆς ἐκφύσεως, ἣν Ἡρόφιλος ὠνόμασε δωδεκαδάκτυλον, ἀπὸ τοῦ μήκους αὐτῇ τὴν ἐπωνυμίαν θέμενος. ὥστε τῶν μὲν νεφρῶν ἀτονίαν ἄν τις αἰτιάσαιτο, κατέχειν ἐπὶ πλέον ἐν ἑαυτοῖς μὴ δυναμένων τὸ οὖρον· οὐ μὴν τῶν γ' ἄλλων

περὶ ἀτονίας νεφρῶν

περὶ διαβήτου

μορίων, ὅσα διεξέρχεται τὸ ποθέν. ἀλλὰ πάλιν εἰ μέμφοιτό τις ὡς ἀτόνοις τοῖς νεφροῖς, πῶς ἕλκουσιν εἰς αὐτοὺς ταχέως τὸ οὖρον; ἢ δυνατὸν λέγειν, ὥσπερ ἐπὶ τῆς κοιλίας ἐνίοις τῶν λειεντερικῶν ὀρέξεις γίνονται σφοδρόταται, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ νεφρῶν, ὄρεξίν τε ἅμα γίνεσθαι σφοδρὰν, καὶ διὰ τοῦθ' ἕλκειν εἰς ἑαυτοὺς διὰ τῆς κοίλης φλεβὸς τὸ οὖρον, αὐτίκα μέντοι βαρύνεσθαι διὰ τὸ τῆς ὁλκῆς λάβρον; ὥσπερ γε καὶ ἐπὶ τῶν ὀνομαζομένων ὀρέξεων κυνωδῶν, ἐνίους ὁρῶμεν ἐμπιπλαμένους μὲν ἀθρόως, ἐμοῦντας δὲ ὀλίγον ὕστερον, ἢ διαχωροῦντας· οὐ μόνον γὰρ ὁρᾶται τοῦτο παρὰ φύσιν ἐχόντων γιγνόμενον, ἀλλὰ καὶ ζώοις τισὶν ὑγιαίνουσιν ἀμέμπτως, ὡς τοῖς ὀρνιθίοις, ἃ καλοῦσιν ἐν Ἀσίᾳ παρ' ἡμῖν σελευκίδας· ἀκρίδας γὰρ ταῦτα δι' ὅλης ἡμέρας ἀπλήστως ἐσθίοντα, διὰ ταχέως αὐτὰς ἐκκρίνει· καὶ ἄλλοις δὲ ζώοις ὑπάρχειν φαίνεται τὸ τοιοῦτον σύμπτωμα φυσικόν. ὥσπερ οὖν ἐν τῷ στόματι τῆς γαστρὸς ἡ κυνώδης ὄρεξις γιγνομένη, μετὰ τοῦ μὴ φέρειν αὐτὴν τῶν καταποθέντων τὸ βάρος, ἀναγκάζει πολλὰ μὲν καὶ λάβρως προσφέρεσθαι, ταχέως δὲ ἀποκρίνειν αὐτά· κατὰ τὸν αὐτὸν τρόπον ἐν τοῖς νεφροῖς, ἡ τῆς ὀρρώδους ὑγρότητος ὄρεξις, ἅμα τῇ τῆς δυνάμεως αὐτῶν ἀτονίᾳ, τό θ' ὑγρὸν ἕλκειν ἀθρόως ἀναγκάζει, τήν τ' εἰς κύστιν αὐτῶν ἔκκρισιν αὐτίκα ποιεῖσθαι. τί δήποτ' οὖν, φησί τις ἴσως, ἐξαιφνίδιον μὲν ἡ εἰς οὖρα διάρροια γίνεται, λειεντερία δ' οὐχ οὕτως, ὥσπερ οὐδ' ὄρεξις κυνώδης, ἀλλ' ἀριθμῷ πλειόνων ἡμερῶν; ἡ γὰρ ἀρχὴ τοῦ πάθους διώρισται τῆς αὐξήσεως, ἡ τ' αὔξησις τῆς ἀκμῆς. ὅτι ψυχικὸν μὲν ἔργον ἐστὶν ἡ τῆς γαστρὸς ὄρεξις σιτίων τε καὶ ποτῶν, οὐκ ἄνευ τῆς ἡμετέρας αἰσθήσεως γιγνομένη· φυσικὸν δὲ καὶ χωρὶς αἰσθήσεως ἡμετέρας, τὸ τῶν νεφρῶν, ὥστε μηδ' ὅταν εἰς τὴν ἀκμὴν ἀφίκηται, γίνεσθαί τινα αἴσθησιν αὐτοῦ, καθάπερ τῆς κυνώδους ὀρέξεως. εὔλογον οὖν ἐστιν ἄρχεσθαι μὲν αὐτὸ κατὰ βραχὺ, μεῖζόν τε γιγνόμενον, ἕλκειν μὲν τὸ πρῶτον ἐκ τῶν φλεβῶν τὸν ὀρρὸν τοῦ αἵματος οὐκ αἰσθανομένων ἡμῶν, ὁπόταν δὲ τοῦτον ἑλκύσῃ πάντα, καὶ ξηρὸν ἰκμάδος τοιαύτης ἀποφήνῃ τὸ κατὰ τὰς φλέβας αἷμα, τὰ ξηρανθέντα τῶν ἀγγείων ἕλκειν ἐκ τοῦ ἥπατος τὴν ἰκμάδα, κἄπειτ' ἐκεῖνο τὴν ἐκ τῶν ἐντέρων τε καὶ κοιλίας· ἐπειδὰν δὲ ξηρανθῶσιν αἱ κατὰ τὸ στόμα τῆς γαστρὸς φλέβες, ὀρέγεσθαι τηνικαῦτα ποτοῦ τὸν ἄνθρωπον, αἰσθανόμενον τῆς διαθέσεως· εἶτα προσενεγκαμένου τὸ πόμα αὐτοῦ, τὰς καθηκούσας εἰς τὴν γαστέρα φλέβας ἐξ ἥπατος, αὐχμώσας ἀναρπάζειν εὐθέως αὐτὸ πᾶν, ἐξ ἐκείνων τε τὰς ἐφεξῆς, ἄχρις ἂν ἡ μετάληψις ἐπὶ τοὺς νεφροὺς ἀφίκηται. δέδεικται γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, οὐ μόνον τὸ πόμα πανταχόσε τοῦ σώματος, ἀλλὰ καὶ ἡ τροφὴ κατὰ τὴν τῆς ὁλκῆς μετάληψιν φέρεσθαι. κατὰ μὲν οὖν τὸ τάχος τῆς διεξόδου παραπλήσιόν ἐστι τὸ πάθος τοῦτο τῇ λειεντερίᾳ· καὶ μέντοι καὶ καθ' ὅσον ἡ κατὰ τοὺς νεφροὺς διάθεσις ἡ αὐτὴ τῇ κατὰ τὴν κοιλίαν ἐστί· καθόσον δὲ τὸ περὶ τῶν νεφρῶν ἔργον ἅπαν τῆς φορᾶς, ἐνεργειῶν ἐστι φυσικῶν διαδοχὴ, τῆς ἑλκτικῆς δυνάμεως ἐνεργούσης, κατὰ τοσοῦτον διαφέρουσιν ἀλλήλων· καίτοι κἀν ταύταις ἕν τι παραπλήσιόν ἐστιν, ἡ ἐκ τῆς κοίλης φλεβὸς εἰς τοὺς νεφροὺς ὁλκὴ, τῇ πρώτῃ καταπόσει τῶν εἰς τὴν γαστέρα φερομένων ἐκ τοῦ στόματος, ἀλλ' αἱ πρὸ ταύτης ἐνέργειαι, τῆς εἰς οὖρα διαρροίας εἰσὶν ἴδιαι. ὅτι δ' οὐκ ὀρθῶς ἔνιοι τῆς γαστρὸς τι νομίζουσι τὸ τοῦ διαβήτου πάθος ὁμοίως ταῖς

A tium, per quas potus transit. Sed rursus si arguat renes quispiam infirmitatis, quomodo tam celeriter vrinam ad se attrahent? an dicere possumus, quemadmodum in ventriculo quibusdam lientericis vehementissima excitatur ciborum cupiditas, ita in renibus quoque cupiditatem simul oriri vehementem, atque hanc ob causam eos vrinam per cauam venam ad sese trahere, sed ilicò ab attractionis impetu grauari? quemadmodū sanè & in iis qui caninâ vocatâ appetentiâ vexātur, nōnullos videmus affatim impleri, paulò post verò euomere, aut B fluore deiicere; nec enim solū iis qui præter naturā se habent, id accidere solet, verumetiā animalibus quibusdā integrâ valetudine degētibus, vt auiculis, quas nostrates in Asia seleucidas vocant; quippe quæ auidè locustis toto die vescētes, eas celeriter excernunt. Ac aliis quoq; animantibus huiusmodi symptoma naturale videtur. Vt igitur canina cupiditas in ore ventriculi consistens, simul non valente ipso deuoratorum pondus sustinere, multa impetuosè ingerere, atque eadem celeriter excernere cogit; C ita in renibus quoque serosæ humiditatis cupiditas vnà cum virium imbecillitate, humiditatem affatim attrahere cogit, & eius statim in vesicam excretionem fieri. Sed quæres fortasse, quamobrem vrinæ fluor subitò euenit, læuitas intestinorum non item, veluti neque canina cupiditas, sed plurium dierum numero affectus initium ab incremento, incrementum à vigore distinguitur? quoniam ventriculi cupiditas, qua cibum potumque appetit, animale officium est, quo citra sensum nostrum nequaquā fungitur, renum verò desiderium naturale est, D ac sine sensu nostro, vt quum ad statum peruenit, ne sensum quidem moueat, quemadmodum appetentia canina. Quare rationi consentaneum videtur paulatim quidem incipere, & dum maior fit, in primis quidem serum sanguinis trahere ex venis, nihil nobis sentientibus; quem quum totum attraxerit, sanguinemque venarum, huiuscemodi humiditate spoliauerit, exiccata tum vasa humorē trahere ex hepate, deinde hoc ex intestinis, & ventriculo. Quum verò exiccatæ fuerint venæ, quæ in ore ventriculi sunt, tunc potum desiderare hominem, affectum sentientem; deinde exhibitam E potionem venas ex hepate ad ventriculum venientes, aridas, totam statim rapere, atque ex his alias deinceps, donec ad renes perueniat transsumptio. Etenim in libris de naturalibus facultatibus demonstratum est, non solum potionem, verùm etiam cibum, transsumptione per attractionem factâ, per vniuersum corpus deferri. Igitur hic affectus, quòd ad transitûs celeritatem pertinet, similis est intestinorum læuitati; atque etiam quòd renum F affectio, ventriculi affectioni eadem est; verùm tantum inter se differunt, quòd totum ante renes lationis opus naturalium actionum series est, attractrice facultate agente; quanquam vnum quoddam in illis est simile, nimirum ex caua vena ad renes attractio, primæ deglutitioni eorum, quæ ex ore in ventriculum deferuntur; at verò quæ hanc antecedunt actiones vrinæ fluori propriæ sunt. Non rectè autem putare quosdam diabetem affectionem, velut & caninam cupiditatem, ad ventriculum

triculum pertinere, manifestum est ex iis, qui præ nimia siti ventriculum implent, & seruant in ipso potionem longo tempore. Etenim qui in vehementi siti potarunt, his quatuor symptomata succedunt; vnum & quidem primum vomitio; alterum velox per aluum excretio, aut fluore, aut intestinorum læuitate; tertium, quòd potus diutiùs in ventriculo maneat; quartum idipsum, de quo nunc sermo est, siue id aliquis diabetem, siue dipsacon, siue vrinæ fluorem nominare voluerit; neque enim, vt idoneum ei nomen imponamus, sed vt curationis viam tum ex loco affecto, tum ex ipsius affectione inueniamus, scrutamur. Atque alius affectus occurrit, diabeti planè similis, à multis cibis qui neque crudi manent, neque per aluum deiiciuntur, neque plenitudinem efficiunt, neque etiam probè alunt, sed dissipantur scilicet celeriter. Cuius & crebrior est quàm dipsaci euentus, & faciliorem admittit curationem; quoniam priusquàm ad summum peruenerit, cognitus, haud difficulter curatur. Nam vbi alicui duplum consuetorum alimentorum assumenti corpus non alitur, idque citra alui fluorem, hũc affectum non solùm priuati, verùmetiam medici parui pendunt; quum verò ad triplũ deuenit, auxilia adhibentur priusquàm ad quadruplum, aut quintuplum perueniat. Igitur rationi consentaneum est hunc affectum à celeri dissipatione incipere, omnibus partibus attractricem, atque ei coniugatam facultatẽ, quæ propriè appetens vocatur, seruantibus. At verò ingentis sitis citra diabetem causa est vẽtriculus, aut calidâ, aut siccâ, aut vtraq; intẽperie affectus, maximè verò os ipsius; proximè ventriculo hepar, sed maximè pars eius sima, simul cum ea exæstuãtibus nimirũ mesenterio, ieiuno, ipso ventre, stomacho etiam, & pulmone. Atque huius symptomatis velut radix inde plerunque proficiscitur, quòd ab affectu erysipelatode ea incenduntur; quæ magna ex parte marcor sequitur, aliàs alius, veluti quum de eo tractaremus, declaratum est. Hæc itaque propter symptomatum communitatem simul cum renum affectibus dicta sunt. At diabetes proprius ipsorum renum affectus est, qui caninæ in ore ventriculi cupiditati proportione respondet, cum retentricis facultatis imbecillitate; nam si citra vehementem cupiditatem ipsum fieri dicamus, in primis nihil vrinæ, quod consideratione dignum sit, ad renes perueniet; si verò citra retẽtricis facultatis imbecillitatem, non sequetur mictionis celeritas.

CAPVT IV.

De vesicæ affectibus, vrinæ suppressione, stillicidio, calculo, abscessu, grumo, purulentâ mictione.

VEsicæ accidunt symptomata partim cæteris communia, vt omnes ipsius præter naturam tumores, dolores, & quæ hos creant affectiones; partim ipsi soli propria, vt vrinæ suppressiones, & stillicidia, ac alio modo immoderatæ vrinæ excretiones; Verùm hæ (vt in renibus supra dictum est) vesicâ tanquam meatu vtuntur, ipsâ haudquaquam affectâ. At verò stillicidium, quod ob vrinæ acrimoniam fit,

A κυνώδεσιν ὀρέξεσιν, ἔνεστι μαθεῖν ἐκ τῶν ἐπὶ δίψει σφοδρᾷ πιμπλαμένων μὲν τὴν γαστέρα, διαμένον δ' ἐχόντων ἐπὶ πλεῖστον αὐτῇ τὸ ποθέν. τέτταρα γὰρ ταῦτα συμπτώματα διαδέχεται τὴν ἐν τῇ σφοδρᾷ δίψει πόσιν· ἓν μὲν καὶ πρῶτον, ἔμετος· δεύτερον δὲ ἡ διὰ τῆς κάτω γαστρὸς ἔκκρισις ταχεῖα, κατὰ τὰς διαρροίας τε καὶ λειεντερίας· ἄλλο δὲ τρίτον, ἡ ἐπὶ πλεῖστον ἐν τῇ γαστρὶ μονή· καὶ τέταρτον αὐτῶν αὐτὸ δὴ τοῦτο, περὶ οὗ νῦν ὁ λόγος ἐστὶν, εἴτε διαβήτην αὐτό τις, εἴτε διψακὸν, εἴτε διάρροιαν εἰς οὖρα βούλοιτο καλεῖν. οὐ

B γὰρ ὅπως ὄνομα πρέπον αὐτῷ θώμεθα, ζητοῦμεν, ἀλλ' ἵν' εἰς τὴν θεραπείαν εὕρωμεν ἀφορμὰς ἔκ τε τοῦ πεπονθότος τόπου, καὶ τῆς ἐν αὐτῷ διαθέσεως. ἕτερον δὲ ἀκριβῶς ὅμοιον τῷ διαβήτῃ τούτῳ γίνεται πάθος, ἐπὶ σιτίων πλήθει, μήτ' ἀπεπτουμένων, μήθ' ὑποχωρούντων, μήτε πληθώραν ἐργαζομένων, μήτ' εὐτροφίαν, ἀλλὰ δῆλον ὅτι διαφορουμένων ταχέως· οὔτε δὲ οὕτω σπάνιόν ἐστιν, ὡς ὁ διψακὸς, οὔθ' οὕτως ἀνίατον, ἐπεὶ πρὶν τοῦ μέγιστον γενέσθαι γνωριζόμενον, οὐ χαλεπῶς θεραπεύεται. ὅταν μὲν γὰρ ἄχρι τοῦ διπλασίου τῶν εἰθισμένων ἐσθίοντός τινος, ἀτροφῇ τὸ σῶμα χωρὶς

C διαρροίας, ὑπερορᾶται τὸ πάθος οὐ μόνον τοῖς ἰδιώταις, ἀλλὰ καὶ τοῖς ἰατροῖς· ὅταν δ' ἐπὶ τριπλασίοις τοῦτο συμβαίνῃ, βοηθεῖται πρὶν ἐπὶ τὸ τετραπλάσιον ἢ πενταπλάσιον ἀφικέσθαι. τοῦτο δ' αὖ πάλιν τὸ πάθος, εὔλογον ἀπὸ ταχείας διαφορήσεως ἄρχεσθαι, σωζόντων ἁπάντων μορίων τὴν ἑλκτικὴν δύναμιν ἅμα τῇ συνεζευγμένῃ μὲν αὐτῇ, καλουμένῃ δ' ἰδίως ὀρεκτικῇ. τοῦ μέν τοι σφοδροῦ δίψους ἄνευ τοῦ διαβήτου, ἡ γαστήρ ἐστιν αἰτία, πάσχουσα δυσκρασίαν θερμὴν ἢ ξηρὰν, ἢ ἀμφοτέρας ἅμα, καὶ μάλιστ' αὐτῆς τὸ στόμα· δεύτερον δ' ἐπὶ τῇ γαστρὶ τὸ ἧπαρ, καὶ μάλιστ' αὐτοῦ τὰ σιμὰ,

D συνεκπυρουμένων αὐτοῖς δηλονότι τῶν κατὰ μεσεντέριόν τε, καὶ νῆστιν, αὐτήν τε τὴν γαστέρα, καὶ κατὰ τὸν στόμαχον δὲ καὶ πνεύμονα. τοῦ τοιούτου συμπτώματος ἡ οἷον ῥίζα γίνεταί ποτε, δι' ἐρυσιπελατώδη διάθεσιν ἐκπυρωθέντων, οἷς εἰς τοὐπίπαν ἕπεται μαρασμὸς ἄλλοτ' ἄλλος, ὡς ἐν τῷ περὶ αὐτοῦ λόγῳ δεδήλωται. ταῦτα μὲν οὖν τῇ κοινωνίᾳ τῶν συμπτωμάτων, ἅμα τοῖς κατὰ νεφροὺς εἴρηται πάθεσιν· αὐτῶν δὲ τῶν νεφρῶν ἴδιον πάθος ἐστὶν ὁ διαβήτης, ἀνάλογον τῇ κατὰ τὸ στόμα τῆς κοιλίας ὀρέξει κυνώδει, σὺν ἀτονίᾳ τῆς καθεκτικῆς δυνάμεως· ἐάν τε γὰρ ἄνευ σφοδρᾶς ὀρέξεως γίνεσθαι φῶμεν αὐτὸ, τὴν ἀρχὴν οὐδ' ἀφίξεταί ποτ' εἰς τοὺς νεφροὺς ἀξιόλογον οὖρον· ἐὰν δὲ χωρὶς ἀτονίας τῆς καθεκτικῆς δυνάμεως, οὐκ ἀκολουθήσει τὸ τάχος τῆς οὐρήσεως.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν κατὰ τὴν κύστιν παθῶν, ἰσχουρίας, στραγγουρίας, λίθου, ἀποστήματος, θρόμβου, καὶ πυώδους οὐρήσεως.

F ΣΥμπτώματα κατὰ τὴν κύστιν γίνεται, κοινὰ μὲν τοῖς ἄλλοις, οἵ τε παρὰ φύσιν αὐτῆς ὄγκοι πάντες, ὀδύναι τε καὶ τὰ ταύτας ἐργαζόμενα πάθη· τὰ δ' ἴδια μόνης αὐτῆς, ἰσχουρίαι τε καὶ στραγγουρίαι, καὶ κατ' ἄλλον τρόπον αἱ ἄμετροι τῶν οὔρων ἐκκρίσεις. ἀλλ' αὗται μὲν, ὡς ἐν τῷ περὶ τῶν νεφρῶν λόγῳ προείρηται, διόδῳ χρῶνται τῇ κύστει, μηδὲν αὐτῆς πεπονθυίας· τῆς στραγγουρίας δ' ἡ μὲν ἐπὶ δριμύτητι οὔρων γινο-

μένη, σύμπτωμα μὲν ἐστι κύστεως, πάθος δ' οὐκ ἔστιν. ἡ δὲ δι' ἕλκωσιν ἢ ἀτονίαν, ἐπὶ πάθει κύστεως γίγνεται, καθάπερ ἡ διὰ τὴν δριμύτητα, ποτὲ μὲν ἐπὶ νεφρῶν πάθει, ποτὲ δ' ἐπ' ἄλλῳ τινὶ τῶν εἰς οὖρα τὴν ἑαυτῶν κακοχυμίαν, ἢ τὸ πύον, ὅτ' ἂν ἀποστήματι κάμνῃ, διαπέμψαι δυναμένων. γίγνεται δέ ποτε καὶ διὰ τοὺς ἐν ταῖς φλεψὶ χυμοὺς, ἐκκαθαιρομένους διὰ νεφρῶν τε καὶ κύστεως. ἀρρωστοῦσα δὲ κύστις ἐπὶ δυσκρασίᾳ, βλάπτεται τὴν οἰκείαν ἐνέργειαν, ἥτις ἐστὶν ἐκκριτικὴ τῶν οὔρων, ἐφ' ἣν ὁρμᾷ τὸ ζῶον, ὅτ' ἂν ἤτοι βαρύνηται πρὸς πλήθει τῆς περιεχομένης οὐσίας ἡ κύστις, ἢ δακνούσης ἀνιᾶται. ταῦτα δὴ ἀμφότερα τοὺς ἀσθενεῖς μᾶλλον ὀδυνᾷ τῶν ἰσχυρῶν. ἡ δ' ἀσθένεια γίγνεται καὶ δι' ὀργανικὰ μὲν ἐνίοτε πάθη, καὶ διὰ δυσκρασίας τάς τ' ἄλλας, καὶ τὰς συνεχέστατα πολλοῖς συμβαινούσας, ὁπότ' ἂν ψυχῶσιν· ἐναργῶς γὰρ φαίνεται βαρυνομένη τηνικαῦτα, κἂν ὀλίγον ἐν αὐτῇ περιέχηται τὸ ὑγρόν. ὡς οὐρήσεως δ' ὀργάνῳ τῇ κύστει καὶ τὸ τῆς ἰσχουρίας ἕπεται σύμπτωμα, ποτὲ μὲν, ὡς εἴρηται, μὴ δυναμένης περιστέλλεσθαι σφοδρῶς τοῖς ἐν αὐτῇ περιεχομένοις, ὡς ἐκθλίβειν αὐτὰ, ποτὲ δὲ τοῦ κάτω πόρου φραχθέντος ὑπὸ παχέων ὑγρῶν, ἢ λίθου σφηνωθέντος· ἔστι δ' ὅτε καὶ διὰ φλεγμονὴν, ἤ τινα τοιοῦτον ἕτερον ὄγκον, εἰς στενοχωρίαν ἀγαγόντα τὸν πόρον, ἢ καὶ τελέως ἐμφράξαντα. οὐ μὴν ἐπί γε τοῖς ἀπὸ τοῦ νωτιαίου μυελοῦ νεύροις πάσχουσιν, ἢ αὐτοῦ τοῦ νωτιαίου, γίγνεταί τις ἀτονία τῆς κύστεως, δι' ἣν οὔρων ἐπίσχεσις ἀκολουθεῖ, καθάπερ ἔνιοι νομίζουσιν, οἰόμενοι προαιρετικὸν ἔργον εἶναι τὸ τῆς κύστεως, ἐπειδὴ κατέχομέν τε τὸ οὖρον ἄχρι περ ἂν βουλώμεθα, ἐκκρίνομέν τε προελόμενοι. βέλτιον γὰρ ἦν αὐτοὺς ἐγνωκέναι, μὴ τὸ τῆς κύστεως, ἀλλὰ τὸ τῆς οὐρήσεως ἔργον εἶναι προαιρετικὸν, ὥσπερ γε καὶ τὸ τῆς ἀποπατήσεως, οὐ τὸ τῶν ἐντέρων. ἡ μὲν γὰρ κύστις ἐνέργειαν ἔχει μίαν, τὴν περισταλτικήν. ὁ δὲ τὸν οὐρητικὸν πόρον ἐν κύκλῳ περιέχων μῦς, ἐν ἀρχῇ τοῦ τραχήλου τῆς κύστεως τεταγμένος, ὄργανόν ἐστι προαιρετικὸν, ἔργον ἔχων σφίγγειν ἐν κύκλῳ τὸν αὐχένα τῆς κύστεως οὕτως ἀκριβῶς, ὡς μηδὲν εἰς τὸν πόρον αὐτοῦ τῶν ἐκ τῆς κύστεως ὑγρῶν διεξιέναι. τὴν δ' αὐτὴν ἐνέργειάν τε καὶ χρείαν ἔχει καὶ ὁ ἐπὶ τῷ πέρατι τοῦ ἀπευθυσμένου μῦς· καὶ διὰ τοῦτο, παραλυθέντων αὐτῶν, οὔτ' οὖρον ἴσχεται κατὰ τὴν κύστιν, οὔτε κόπρος ἐντὸς τῆς ἕδρας, ἀλλ' ἐκρεῖ κατ' ὀλίγον ἀμφότερα χωρὶς τῆς ἡμετέρας προαιρέσεως. ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων μυῶν ὅπερ ἡ παράλυσις ἀκουσίως, τοῦθ' ἡ προαίρεσις ἡμῶν ἑκουσίως ἐργάζεται, κατὰ τὸν αὐτὸν λόγον ἐπὶ τούτων ἐνεργοῦντες παυόμεθα, βουληθέντες ἐκκρῖναι κόπρον ἢ οὖρον. ὥσπερ δ' ἔνιοι προαιρετικὸν ἔργον ὅλον ᾠήθησαν εἶναι τὸ περὶ τὴν τῶν οὔρων τε καὶ τῆς τροφῆς περιττωμάτων ἀπόκρισιν, οὐκ ὀρθῶς γιγνώσκοντες, οὕτως ἔνιοι πάλιν ἐξ ὑπεναντίου τοῖσδε σύμπαν αὐτὸ φυσικὸν ἔργον εἶναι νομίζοντες, οὐκ ἀληθεύουσιν. ὅλον μὲν γὰρ φυσικόν ἐστιν ἔργον ἡ ἐκ τῆς γαστρὸς εἰς τὴν νῆστιν ἔκθλιψις τῆς τροφῆς, ὅλον δ' αὖ προαιρετικὸν, ἔκτασις καὶ κάμψις ἑκατέρων τε τῶν κώλων, ἑκάστου τε τῶν δακτύλων. γίγνεται γὰρ ἡ μὲν ἐκ τῆς κοιλίας εἰς τὴν νῆστιν φορὰ, καθάπερ γε καὶ ἡ δι' ἐκείνης εἰς τὸ λεπτὸν ἔντερον, ὑπὸ φυσικῆς δυνάμεως μόνης· ἡ δ' ἀποπάτησίς τε καὶ οὔρησις, ἀμφοτέρων τῶν ὀργάνων ἅμα ταῖς οἰκείαις δυνάμεσιν ἐνεργούντων, ἐπιτελεῖται· κατὰ μὲν τὸ ἀπευθυσμένον καὶ τὴν

A symptoma vesicæ est, morbus minimè; quod verò ob vlcus aut imbecillitatem, vesicæ affectui succedit; quemadmodum quod ob acrimoniam, aliquando ob renum vitium, aliquando ob alias partes, quæ cum vrinis humorum suorum vitia, aut pus vbi abscessus aliquis infestauerit, transmittere possunt. Euenit etiam interdum ab humoribus qui in venis sunt, per renes & per vesicam expurgatis. At quum ab intemperie vesica fit imbecillior, læditur propria ipsius actio, quæ est vrinæ excretio, ad quam animal excitatur, quum vel à multitudine B contentæ in se materiæ vesica grauatur, vel à mordacitate molestatur, sed ab horum vtrolibet magis imbecilli, quam robusti, dolent; imbecillitatem verò organici affectus interdum inducunt, item intemperies omnes cùm aliæ, tum maximè illæ, quæ nonnullis sæpe eueniunt, quum frigore corripiuntur; tunc enim planè grauari videtur, vel pauco admodum contento in ipsa humore. Vesicæ etiam vt meiendi organo, ischuriæ symptoma superuenit, interdum quidem (vt dictum est) quum id quod in ipsa continetur, non ita comprehen- C dere valet, vt ipsum exprimat; interdum etiam obstructo inferiori meatu à crassis humoribus, aut impacto lapide; interdum etiam ab inflammatione, vel alio huiusmodi tumore, quo angustior redditur meatus, vel omninò obstruitur. At verò neque neruorum à spinali medulla exortorum, neque etiam spinalis medullæ ipsius affectus, vesicæ aliquā imbecillitatem efficiunt, vt vrina propterea supprimatur, quemadmodum nonnulli putauerunt, credentes vesicæ officium à consilio procedere, quòd vrinam retineamus, quoad voluerimus, atque pro D voluntatis imperio excernamus; satius enim fuisset eos nosse non vesicæ, sed meiendi officium, veluti etiam deiiciendi, non intestinorum munus arbitrarium esse. Nam vesicæ actio vnica est, contractio; at musculus, qui vrinæ meatum in circuitu ambit, in origine ceruicis vesicæ positus, organum est voluntarium, opus habens, vesicę ceruicem ita exactè circunstringere, vt nihil humoris è vesica in meatum eius egredi possit; similem quoque & actionem, & E vsum habet musculus, qui recti intestini partem extremā ambit; proinde ipsis resolutis, neque vrinā vesica, neque stercora aluus retinet, sed præter voluntatem paulatim vtraque effluunt. Quemadmodum autem in reliquis musculis quod à resolutione fit nobis inuitis, id electio nostra haud inuita efficit; ita eadem ratione ab horum actione quiescimus, quum vel stercus, vel vrinam excernere propositum est. Atque vt nonnulli cùm vrinarum, tum cibi excrementorum deiectionem, totam ab electione procedere existimantes, errauerunt, ita rur- F sus alii his è diuerso, totum hoc opus naturale putantes, à veritate delapsi sunt. Etenim cibi à ventriculo in ieiunum expressio, totum naturæ opus est; rursus omnino ab electione pendet, vtrorumque artuum, & cuiuslibet digiti tum extensio tum inflexio. Delatio enim à ventriculo ad ieiunum, & ab hoc in tenue intestinum à sola naturali facultate procedit; at alui deiectio & vrinæ redditio, vtroque organo proprijs suis facultatibus agente perficiuntur; quod ad rectum intestinum, atque vesicam attinet, à naturalibus;

naturalibus; quod ad musculos verò, ab animalibus & voluntariis nominatis. Nam musculi, qui fluores cohibent, tunc quiescunt ab opere; abdominis verò musculi munere suo funguntur, maximè verò ipsorum medii; nonnulli etiam quum difficilè deiiciunt, manibus huiusmodi musculos comprimunt; vt & vbi vrina vel difficulter redditur, vel omninò suppressa est, facere consueuerunt. Quũ itaq; nerui, per quos animalis facultas ad iã dictos musculos peruenit, afficiũtur, aut vbi dorsalis medulla ipsa læsa est, resoluitur musculorũ actio, atq; excernitur & vrina & stercus, laborante inuito. Quũ verò ipsũ vesicæ corpus eo affectu fuerit affectũ, vt quod in ea cõtinetur, exprimere nõ possit, supprimitur vrina; vocaturq; hoc symptoma ipsius, ischuria. Atque accidit interdum propter obtusum ipsius sensum, vrinæ suppressionem fieri citra excretricis facultatis læsionem, si proprii vesicæ nerui afficiantur, neruis musculi ceruicem eius stringentis, munere suo fungentibus, ipsorum facultate seruatã; nam si resoluantur, proprium signum est paralyseos huius musculi, vrinæ præter voluntatem excretio; at hoc eueniente affectu, quum meatus ipsius fuerit obstructus, vterque affectus cognitu difficilis est. Proinde vt exquisitè dignoscantur, non solũ hi, sed reliqui quoque omnes vesicæ affectus, perquã necessarium est præscire præuias causas extrinsecus aduenientes, quas propriè procatarcticas medici vocant; sed multò magis eas, quæ præcesserũt in ipso animalis corpore, affectiones. Igitur cuidam, à casu spinâ luxatâ, accidit vrinæ suppressio, quæ sic fieri cõsueuit, quẽadmodum & ab Hippocrate dictum est; verùm non ilicò suppressa fuit, sed perendie, ob digressarum ad interna vertebrarũ compressionẽ inflammatã vesicã. Itaq; dolebat in eius regione, vel nemine tangente; sed multò magis, siquis manu tangeret. Atque hunc curauimus, inflammationi remedia adhibentes. Rursus alter luxatis ad posteriora vertebris vrinã inuitus profudit citra vesicæ dolorẽ; in quo coniecimus neruum musculi vesicam claudẽtis fuisse affectum, proinde spinalem medullam curauimus. Atque in alio similiter affecto suppressa fuit vrina, torpente quidem ob affectos neruos vesicæ sensu; quum autem inter dormiendum non sentiret homo, vesicã impletã & supra modum extensâ, nihil amplius excernere potuit. Etenim accidit interdum, hanc suppressionis vrinæ causam esse, quemadmodum etiam sanis quibusdam, vel vrgentibus negotiis, vel in concionibus, vel senatu, vel foro, vel conuiuio; retentâ longiori tempore vrinâ, extensâ supra modum vesicâ, vrinam supprimi, contractrice facultate læsâ propter immoderatam tensionem. Quidam etiam quum cecidisset, manente spinâ illæsâ, primùm quidem magnam sanguinis copiam cum vrina emisit, postea verò omnino suppressa est vrina; cui coniecimus concretum esse sanguinis aliquẽ grumũ; quocirca demissâ à nobis per colem fistulâ, paulum vrinæ reddidit; extractâ deinde fistulâ, apparuit in ipsius ore grumi indicium. Præterea ab alijs diuturnis doloribus, vnà cum abscessuum signis infestantibus, finitis his tenue pus cum vrina profluxit, subsequuta vrinæ retentio est, vt coniecerimus à crasso pure meatum obstrui.

κύστιν, ὑπὸ τῶν φυσικῶν, κατὰ δὲ τοὺς μῦς, ὑπὸ τῶν ψυχικῶν τε καὶ προαιρετικῶν ὀνομαζομένων. οἱ μὲν γὰρ σφίγγοντες τὰς ἐκκρίσεις μύες οὐκέτ' ἐνεργοῦσιν, οἱ δὲ καθ' ὑπογάστριον ἐνεργοῦσιν, καὶ μάλιστ' αὐτῶν οἱ μέσοι· συνεπιλαμβάνουσι δ' ἔστιν ὅτε τοῖς μυσὶ τούτοις ἔνιοι τῶν δυσκόλως ἀποπατούντων,[26] καὶ τὴν διὰ τῶν χειρῶν θλῖψιν, καθάπερ γε κἀπὶ τῆς δυσχεροῦς[27] οὐρήσεως καὶ τελέας ἐπισχέσεως εἰώθασι ποιεῖν. ὅταν μὲν οὖν τὰ νεῦρα πάθῃ, δι' ὧν ἡ ψυχικὴ δύναμις ἐπὶ τοὺς εἰρημένους ἀφικνεῖται μῦς, ἢ καὶ τὸν νωτιαῖον αὐτὸν βλαβῆναι συμβῇ, παραλυθέντων τῆς ἐνεργείας τῶν μυῶν, ἀκούσιος ἔκκρισις οὔρου τε καὶ κόπρου γίνεται· ὅταν δ' αὐτὸ τῆς κύστεως τὸ σῶμα τοιοῦτο πάθοι πάθος, ὡς ἀδυνατεῖν ἐκθλίβειν τὸ περιεχόμενον ἐν αὐτῇ, κατέχεται τούτοις τὸ οὖρον, καὶ καλεῖται τὸ σύμπτωμα αὐτῆς ἰσχουρία. συμβαίνει δὲ καὶ διὰ δυσαισθησίαν αὐτῆς γίνεσθαί ποτ' ἐπίσχεσιν οὔρων, οὐ διὰ τὸ πεπονθέναι[28] τὴν ἐκκριτικὴν δύναμιν, ἐὰν τὰ μὲν τῆς κύστεως ἴδια νεῦρα πάθῃ, τὰ δὲ τοῦ σφίγγοντος αὐτῆς τὸν αὐχένα μυὸς ἐνεργῇ, διασώζοντα τὴν ἑαυτῶν δύναμιν· ὡς ἐάν γε παραλυθῇ, σημεῖον ἴδιον τῆς παραλύσεως τούτου τοῦ μυός ἐστιν, ἡ τῶν οὔρων ἀκούσιος ἔκκρισις· ὅταν δὲ τοῦτο γένηται τὸ πάθος, ὅ,τε πόρος αὐτῆς φραχθῇ, χαλεπόν ἐστι διαγνῶναι τὰς διαθέσεις ἀμφοτέρας. οὐ μόνον δὲ εἰς τὴν τούτων, ἀλλὰ καὶ τὴν τῶν ἄλλων ἁπάντων τῶν κατὰ τὴν κύστιν ἀκριβῆ διάγνωσιν, ἀναγκαιότατόν ἐστι προεπίστασθαι τὰ προκατάρχοντα τῶν ἔξωθεν αἰτίων, ἃ καλοῦσιν ἰδίως οἱ ἰατροὶ προκαταρκτικά· πολὺ δὲ μᾶλλον αὐτῶν, τὰ προηγούμενα τὰ κατ' αὐτὸ τὸ σῶμα τοῦ ζῴου παθήματα· λορδωθείσης γοῦν ποτε τῆς ῥάχεως ἐπὶ τῇ καταπτώσει, συνέβη τῶν οὔρων ἐπίσχεσις, εἰωθυίας οὕτω γίνεσθαι, καθάπερ εἴρηται καὶ ὑφ' Ἱπποκράτους· ἐπεσχέθη δ' οὐκ εὐθέως, ἀλλὰ περὶ τὴν τρίτην ἡμέραν, ὑπὸ τῆς τῶν ἔσω μεταστάντων σπονδύλων θλίψεως, φλεγμηνάσης τῆς κύστεως· ἤλγει γοῦν κατὰ τὸ χωρίον αὐτῆς, καὶ χωρὶς μὲν ψαύειν, ἀλλὰ πολὺ μᾶλλον ἐπιβαλλόντων τὰς χεῖρας· ἐθεραπεύσαμεν δ' αὐτὸν ὡς πρὸς φλεγμονὴν[29] ἱστάμενοι. μεταστάντων δ' ὀπίσω τῶν σπονδύλων ἐφ' ἑτέρου, τὸ οὖρον ἀκουσίως ἐξεκρίνετο χωρὶς ὀδύνης τῆς κύστεως· ἐφ' οὗ τὸ νεῦρον τοῦ κλείοντος τὴν κύστιν μυὸς, ἐτεκμηράμεθα πεπονθέναι, καὶ διὰ τοῦτο τὴν θεραπείαν τῷ νωτιαίῳ προσήγομεν. ἐπ' ἄλλου δ' ὁμοίως πεπονθότος ἐπίσχεσις οὔρων ἐγένετο, δυσαισθησίας μὲν ἐπὶ τῇ τῶν νεύρων πείσει καταλαβούσης τὴν κύστιν, ἐν δὲ τοῖς ὕπνοις οὐκ αἰσθανομένου τοῦ ἀνθρώπου, πεπληρωμένης τῆς κύστεως, εἶθ' ὑπερδιαταθείσης αὐτῆς, μηκέτ' ἀποκρίνοντος. συμβαίνει γάρ ποτε καὶ τοῦτο τῆς ἰσχουρίας αἴτιον γενέσθαι, καθάπερ γε καὶ ἄλλοις ὑγιαίνουσιν ἤτοι διὰ περίστασίν τινα πραγμάτων, ἢ ἐν ἐκκλησίαις, ἢ βουλαῖς, ἢ ἐν δικαστηρίοις, ἢ καὶ δειπνοῦσι παρά τινι, κατασχοῦσιν ἐπὶ πλέον τὸ οὖρον, ὑπερδιαταθείσης τῆς κύστεως, ἰσχουρίαν ἀκολουθῆσαι, παθούσης τῆς περισταλτικῆς αὐτῆς δυνάμεως ὑπὸ τῆς ἀμέτρου τάσεως. ἑτέρου δὲ ἐπὶ καταπτώσει[30] τῆς ῥάχεως ἀπαθοῦς διαμενούσης, ἐν μὲν τῷ παραχρῆμα συνέβη συχνὴν οὔρησιν αἵματος γενέσθαι, μετὰ δὲ ταῦτα, τελείαν ἰσχουρίαν·[31] ἐφ' οὗ τε θρομβοῦσθαί τι τοῦ αἵματος ἐτεκμηράμεθα, καὶ διὰ τοῦ καθετῆρος χρησαμένων ἡμῶν, ὀλίγον μὲν οὔρησεν, ἐξαιρεθέντος δὲ τοῦ καθετῆρος, ἐφάνη κατὰ τὸ στόμιον αὐτοῦ γνώρισμα τῆς θρομβώσεως.[32] ἐπ' ἄλλων δὲ χρονίων ἀλγημάτων, ἅμα σημείοις ἀποστημάτων γινομένων, ἐπὶ τῷ λῆξαι ταῦτα, συνεξουρήθη τι πυῶδες λεπτόν, ἐπηκολούθησεν δ' ἐπίσχεσις οὔρων, ὡς τεκμήρασθαι παχὺ πῦον ἐμφράξαι τὸν πό-

ρου. ἐπὶ δὲ τῶν παιδίων λιθιώντων κατὰ κύστιν, ἐθεασάμεθα πολλάκις ἰσχουρίαν γινομένην, ἐφ' ἧ σχηματίσαντες ἀνάῤῥοπον τὸ σῶμα μετὰ κατασείσεως, ἀποκυλισθῆναι τὸν λίθον τοῦ πόρου ἐποιησάμεθα. ἑωρακότας δὲ καὶ τοῦθ' ὑμᾶς, ὃ μέλλω λέγειν, ἀξιῶ μεμνῆσθαι διαπαντός· ἐπὶ ταῖς καλουμέναις θρομβώσεσιν, οὐ μόνον ταῖς κατὰ κύστιν, ἀλλὰ καὶ τούτων ἔτι μᾶλλον, εἰ κατ' ἔντερά τε καὶ γαστέρα καὶ θώρακα γίνοιντο, συμβαίνει λειποψυχεῖν τε καὶ ὠχριᾶν, καὶ μικροὺς καὶ ἀμυδροὺς καὶ πυκνοὺς ἴσχειν τοὺς σφυγμοὺς, ἀλύειν τε καὶ διαλύεσθαι· ταὐτὸ δὲ τοῦτο κἀπὶ τοῖς κατὰ τοὺς μῦς μεγάλοις τραύμασιν ἐπιγίγνεται πολλάκις· ὡς θαυμάσαι τὴν αἰτίαν τινὰ τοῦ συμβαίνοντος, εἰ τὸ πάντων οἰκειότατον ἡμῖν αἷμα, τηλικούτων κακῶν ἐστι γεννητικὸν, ἐκχυθὲν τῶν οἰκείων ἀγγείων· ἀκολουθοῦσι γὰρ αὐτῷ καὶ σηπεδόνες τῶν μορίων καὶ νεκρώσεις. εἶδον δὲ καὶ κατὰ κύστιν ἐνθρομβωθεῖσαν, ἀκολουθήσαντα τὰ αὐτὰ συμπτώματα· προηγεῖτο γὰρ αἵματος οὔρησις αὐτῷ δαψιλοῦς, καὶ ἐκ τούτου συνετεκμηράμην τὴν θρόμβωσιν, ἔδωκά τε φάρμακον πινεῖν λίθου θρυπτικὸν δι' ὀξυμέλιτος, αὐτό τε τὸ ποτὸν ὀξύμελι προσεφερόμην· ἀλλὰ καὶ ταῦτά μου ποιοῦντος, οἱ μὲν ἄλλοι διεφθάρησαν, εἷς δέ τις ἐσώθη, διαλυθέντων αὐτῷ τῶν θρόμβων, εἶτα κατ' ὀλίγον οὐρηθέντων. ὅτι δ' οὐκ ἔστιν αὐτάρκη τὰ κατὰ τὸν ἐνεστῶτα χρόνον συμπτώματα διδάξαι τὸν πεπονθότα τόπον, ἀλλὰ καὶ πολλάκις ἐκ τῶν προγεγονότων ὁ διορισμὸς γίγνεται, τῶν προεωραμένων ὑμῖν ἀναμιμνησκόμενοι γνώσεσθε· πύον γοῦν οὐρησάντων πολλῶν πολλάκις, ἡ τῶν προγεγονότων συμπτωμάτων μνήμη, τόν πεπονθότα τόπον ἐνεδείξατο, τήν τ' ἐν αὐτῷ διάθεσιν ἐδήλωσεν. ὁ μὲν γάρ τις ἠλγήκει πρότερον τὰ κατὰ τὸ χωρίον τῶν νεφρῶν πολλάκις, ἄτακτοί τε φρίκαι ποτὲ καὶ ῥίγη τὰ σμικρὰ σὺν πυρετοῖς ἐγεγόνει· τῷ δὲ κατὰ τὴν τῆς κύστεως θέσιν, ἅμα ταῖς τε φρίκαις καὶ τοῖς πυρετοῖς ἀλγήματα προγεγένητο· τισὶ δὲ κατὰ διάφραγμα καὶ θώρακα, καθάπερ ἑτέροις κατὰ τὸ δεξιὸν ὑποχόνδριον· ἐφ' ὧν ἁπάντων ἐτεκμηράμεθα, κατὰ τὸν ἀλγήσαντα τόπον ἀποστήματος προγενομένου, διὰ νεφρῶν ἐκκαθαρθῆναι τὸ πύον. συνενδείκνυται δὲ τοῖς εἰρημένοις καὶ τὸ ποσὸν τοῦ πύου, καὶ τὸ μεμῖχθαι τοῖς οὔροις αὐτὸ πάνυ, ὥσπερ ἀνατεταραγμένον, ἢ μήπω τοῦτο γεγονέναι, καθάπερ ἐπὶ τῶν ἐντέρων εἴρηται πρόσθεν. ὡς γὰρ ἐν ἐκείνοις, ἐὰν μὲν ἐκ τῶν ὑψηλοτέρων ἐντέρων ᾖ τὰ φερόμενα, μέμικται τοῖς τῆς τροφῆς περιττώμασιν ὁμοίως τοῖς ἀναπεφυραμένοις, ἐὰν δ' ἐκ τῶν κατωτέρω, καθ' ἕν τι μέρος αὐτῶν συνεκκρίνεται· κατὰ τὸν αὐτὸν τρόπον ἤτοι τεθόλωται τὸ οὖρον ἅπαν ὑπὸ τῶν συνεκκρινομένων αὐτῷ πυωδῶν, ἢ κατά τινα μόρια διεσπασμένον ἀνωμάλως ἐμφέρεται· πολλάκις δὲ καὶ μόνον αὐτὸ τὸ πύον ἐκκρίνεται χωρὶς οὔρου. τοῦτο μὲν οὖν ἐναργῶς ἐνδείκνυται κατὰ τὴν κύστιν αὐτὴν γεγονέναι τὴν ἐκπύησιν· τὸ δ' ἀναμεμιγμένον ἀκριβῶς, ἄνωθέν ποθεν ἥκειν· τὸ δὲ μέσην τούτων κατάστασιν ἔχον, ἀπὸ τῶν νεφρῶν. ὁμοίως δὲ κἂν μετὰ τὸ συῤῥαγῆναι τὸ ἀπόστημα, φαίνηταί τι γνώρισμα τῆς ἑλκώσεως ἅμα τῇ τοῦ πεπονθότος τόπου διαγνώσει, καὶ τοῦτο ποτὲ μὲν ἀναμεμιγμένον ἀκριβῶς φαίνεται, ποτὲ δὲ μετρίως, ἢ μηδεμίαν ἐσχηκὸς μίξιν, ἢ ἐποχούμενόν πως, ἢ μόνον διεξερχόμενον· τὸ μὲν ἕλκους γνώρισμά ἐστιν ἴδιον ἡ ἐφελκὶς ὀνομαζομένη, τοῦ πεπονθότος δὲ μέρους, ἡ κατὰ τὴν οὐσίαν ἰδιότης· πεταλώδη μὲν γάρ ἐστι τὰ τῆς κύστεως ἀποῤῥυπτόμενα μόρια, σαρκοειδῆ δὲ,

A Atque in pueris calculo vesicæ laborantibus, vidimus sæpenumerò vrinam supprimi. Eos itaque resupino figurato corpore concussimus, vt à meatu lapis dimoueretur. Quum verò vos id, quod iamiam dicam, videritis, oro vt ipsum tenaci semper memoriâ seruetis; à grumis vocatis, non solùm iis qui in vesica, sed multò magis illis quoque qui in intestinis, ventriculo, atque thorace continentur, animi defectio & pallor sequi solet; pulsus paruus, obscurus, frequens apparet; anxietas & exsolutio; idem hoc B in magnis musculorum vulneribus sæpenumerò accidit, vt mirari aliquis possit, quænam sit huius euentus causa, quod omnium sanguis nobis familiarissimus, ex vasis suis effusus, tantorum malorum author sit; nam & putredo partium, & mortificatio ipsum sequitur. Vidi etiã vesicæ grumo obstructæ eadem euenire symptomata; grumum verò adesse cõiecimus, quòd plurimum antea cruorem cum vrina reddidisset. Itaque medicamentum lapidem conterens ex oxymelite, atque ipsum quoque oxy- C mel per se in potu dedimus; at nihilominus alij quidem perierunt, vno quodam seruato, solutis ipsi grumis, quos postea cum vrina paulatim excreuit. Quod verò non satis sint ad affectæ sedis inuentionem ea duntaxat symptomata quæ in præsentia infestant, sed & ex iis quæ præcesserũt, sæpè definiamus, facilè intelligetis, si eorum quæ vidistis memineritis. Igitur quum multi crebrò pus cum vrina emisissent, præteritorum symptomatum memoria, & sedem affectam nobis ostendit, & affectum in ipso cõsistentem declarauit. Quidam enim prius D in regione renum sæpenumerò doluerat, & cum inordinato horrore, & exiguo rigore, febre correptus erat. Alius circa vesicæ situm simul cum horrore, ac febre dolores præsenserat. Nonnulli circa septum transuersum, & thoracem; vt alij in dextro hypochondrio. Coniecturam itaque fecimus in iis omnibus, pus per renes expurgatum esse, vomicâ in loco dolente eruptâ. Ad indicium autem cum supra propositis nonnihil confert puris quantitas, & quod totum cum vrinis misceatur, veluti confusum, aut contrà, ve- E luti iam anteà de intestinis dictum est. Nam vt in illis, si à superioribus intestinis quidpiam deferatur, id ciborum excrementis peræque admixtũ videtur, ac si cum ipsis subactum fuisset; si verò ab humilioribus, cum vna ipsorum parte excernitur; simili modo vrina aut tota à pure cum ipsa emisso conturbatur, aut per partes quasdam dispersum inæqualiter defertur, plerunque etiam solum pus sine vrina excernitur. Atque hoc sanè haud obscurè in vesica suppurationem consistere indicat; quod verò F exactè commixtum est, à supernis alicunde partibus venire; quod mediam inter hæc conditionem seruauerit, à renibus. Similiter si eruptâ vomicâ, cum affecti loci indiciis, vlceris quoque signum aliquod appareat, hoc aliquãdo quidem exactè commixtum videtur, aliquando mediocriter, vel nullam habens mixtionem, vel quodammodo innatat, vel solum excernitur; & vocatum quidem ramentum, vlceris; substantiæ verò proprietas, affectæ partis proprium indicium est; quippe partes à vesica auulsæ, laminis; à renibus verò, carunculis

carunculis sunt similes. Ita etiam vbi ex sublimioribus pars aliqua affecta est, excrementa cũ vrinis eiecta intueri, & ea suspectarum partium substantiæ comparare oportet. Igitur cum vrina expurgantur gibbæ hepatis partes, atque omnes, quotquot sunt his superiores; per aluum verò pars iecoris sima, intestina, ventriculus, lien. Extra hæc autẽ sunt, quæ raró fiunt, vt quum thorax & pulmo per aluum purgatur; quæ infra septum transuersum positæ sunt partes, interdum per vrinas. Quorum causam quum nonnulli ignorent, neque ea vnquam in ægrotis accidere viderint, non credunt iis, qui viderunt (quod abscessu interdũ in pulmone orto pus expurgari per renes possit) Nos verò pulmonis vomicam per vrinam, thoracis autem per intestina & aluum expurgari vidimus. Ac transitus quidem à pulmone ad renes, planè nullam reuera difficultatem habet; etenim vt à caua vena, ita ex magna quoque arteria, rami descendunt ad renes. Quoniam autem Erasistratus putat solum spiritum in arteriis contineri, hæc quæstio ad eius sectatores pertinet, non ad nos, quum læuis arteria pulmonis, quantum puris ex erupta vomica suscipit, id in sinistrum cordis sinum deferre possit, quod inde in magnam ipsius arteriam incidens, per renes transit in vesicam; hoc tamen non ita euenire solet, pure prius in asperas arterias magna ex parte transsumpto. Itaque quam ob causam pus in pulmone genitum, cum vrinis (licet raró) excernatur, iam dictum est; quod verò per ventrem expellatur, alia quædam rara ex corporum dissectione apparens est causa; nam caua vena, mediante vase quodam, caudici vocato videtur interdum adaptari. Proinde nihil mirum neque impossibile est, & ex partibus septo transuerso superioribus pus in ventrem defluere, & ex iis quæ eidem supponuntur, per renes in vesicam peruenire; nam corporum raras constitutiones, par est rara etiam sequi symptomata.

A τὰ τῶν νεφρῶν. οὕτως δὲ κἂν τῶν ἀνωτέρω τι πεπόνθῃ, τὰ συνεκκρινόμενα τοῖς οὔροις ἐπισκέπτεσθαι χρή, παραβάλλοντας αὐτὰ τῇ τῶν ὑπονοουμένων οὐσίᾳ. δι' οὔρων μὲν οὖν ἐκκαθαίρεται τά τε κυρτὰ μέρη τοῦ ἥπατος, ὅσα τε ἀνωτέρω τούτου τέτακται μόρια σύμπαντα· δι' ἕδρας δὲ, τά τε σιμὰ τοῦ ἥπατος, ἔντερά τε καὶ γαστὴρ, καὶ σπλήν. ἔξωθεν δὲ τούτων ἐστὶν ὅσα σπανίως γίνεται, οἷον διὰ γαστρὸς ἐκκαθαρθέντων τῶν κατὰ θώρακα καὶ πνεύμονα, καὶ δι' οὔρων ἐνίοτε τῶν κάτω τοῦ διαφράγματος· B ὧν ἀγνοοῦντες ἔνιοι τὰς αἰτίας, εἶτ' οὐχ ἑωρακότες ἐπ' ἀρρώστων αὐτὰ γινόμενα, τοῖς ἑωρακόσιν ἀπιστοῦσιν· [37] (ὅτι ἀποστήματός ποτε ἐν πνεύμονι γενομένου, δυνατὸν τὸ πύον διὰ νεφρῶν ἐκκαθαρθῆναι) ἀλλ' ἡμεῖς γε καὶ πνεύμονος ἀπόστημα δι' οὔρων ἐκκαθαρθὲν ἐθεασάμεθα, καὶ θώρακος, διά τε τῶν ἐντέρων καὶ τῆς ἕδρας. ἡ μὲν οὖν ἐκ τοῦ πνεύμονος εἰς τοὺς νεφροὺς φορὰ, τὴν ἀρχὴν οὐδ' ἀπορίαν ἔχει κατά γε τὴν ἀλήθειαν. ὥσπερ γὰρ ἀπὸ τῆς κοίλης φλεβὸς ἀποφύσεις εἰς τοὺς νεφροὺς ἐμβάλλουσιν, οὕτω καὶ τῆς μεγάλης ἀρτηρίας. ἐπεὶ δὲ Ἐρασίστρατος ἡγεῖται [38] πνεύματος μόνου τὰς ἀρτηρίας ὑπάρχειν ἀγγεῖα, [39] τοῖς πεπεισμένοις αὐτῷ τὸ ζήτημα, C οὐχ ἡμῖν γίνεται, τῆς λείας ἀρτηρίας τοῦ πνεύμονος, ὅσον εἰς ἑαυτὴν [40] δέχηται πύον ἐκ τοῦ ῥαγέντος ἀποστήματος, εἰς ἀριστερὰν κοιλίαν τῆς καρδίας κομίσαι δυναμένης, εἶτ' ἐντεῦθεν εἰς τὴν μεγάλην ἀρτηρίαν ἐμπεσόντος αὐτοῦ, διὰ τῶν νεφρῶν εἰς τὴν κύστιν ἐνεχθῆναι τὸ συνωσθέν· οὐ μὴν εἴωθεν οὕτω συμβαίνειν ὡς τὸ πολὺ, φθανούσης τῆς μεταλήψεως εἰς τὰς τραχείας ἀρτηρίας γίνεσθαι. [41] τοῦ μὲν οὖν σπανίως μὲν, ἀλλ' ἕπεσθαί ποτε δι' οὔρων κάθαρσιν, ἐν πνεύμονι πύου γενηθέντος, ἡ αἰτία λέλεκται· τοῦ δὲ καὶ διὰ γαστρὸς, D ἕτερόν τι τῶν ἐξ ἀνατομῆς φαινομένων σπάνιον αἴτιον. ἡ γάρ τοι κοίλη φλὲψ, εὑρίσκεταί ποτε διά τινος ἀγγείου μέσου συναπτομένη τῇ στελεχιαίᾳ καλουμένῃ· διὸ καὶ θαυμαστὸν οὐδὲν, οὐδ' ἀδύνατον, οὔτ' ἐκ τῶν ἄνω τοῦ διαφράγματος μερῶν εἰς τὴν γαστέρα ῥυῆναι τὸ πύον, οὔτ' ἐκ τῶν [42] κάτω διὰ τῶν νεφρῶν, εἰς τὴν κύστιν ἀφικέσθαι· ταῖς γὰρ σπανίαις κατασκευαῖς τῶν σωμάτων, εἰκός ἐστιν ἕπεσθαι σπάνια συμπτώματα.

CAPVT V.

De Vteri affectibus, præsertim de seminis & menstruorum retentione, vteri præfocatione & peruersione, de muliebri profluuio, de magnete, & canum rabie, de veneni assumpti, & grauiditatis signis.

NEque hic disceptandũ est, vtrũ vuluam, an vterum vocare deceat eam partem, quæ mulieribus ad conceptionem à natura data est; vt nec si quis numero plurali vuluas, aut vteros, aut singulari vuluam, aut vterum nominare velit. Etenim satius est in rebus vtilibus tempus collocare, ex quibus vel ad dignotionem, vel prænotionem, vel curationem, fructum aliquem decerpere possimus. Veluti certè & in eo affectu, quem nonnulli vteri suffocationem, alii spirationis ob vterum ablationem vocant; audire enim licet medicos vtraque appellatione vnum quendam affectum explicare. Ego verò quum multas viderim mulieres hystericas (vt & illæ seipsas nominant, & ante has medicæ fœminæ, à quibus & eas verisimile est hoc nomen audiuisse) alias quidem sine sensu immobiles iacentes, cũ obscurissimo minimoque pulsu, vel omnino sine vllo pulsu apparẽtes;

ΚΕΦΑΛΑΙΟΝ Ε'.

E Περὶ τῶν κατὰ τὰς μήτρας παθῶν, καὶ μάλιστα περὶ τῆς τοῦ σπέρματος καὶ τῶν καταμηνίων ἐπισχέσεως, καὶ ὑστερικῆς πνιγὸς, καὶ διαστροφῆς· περὶ τοῦ ῥοῦ γυναικείου· περὶ τοῦ μάγνητος, καὶ τῆς τῶν κυνῶν λύσσης· καὶ περὶ τοῦ δηλητηρίου φαρμάκου ληφθέντος, καὶ τῶν τῆς κυήσεως σημείων.

ΟΥΔ' ἐνταῦθα χρὴ διαφέρεσθαι, πότερον ὑστέραν ἢ μήτραν κλητέον ἐστὶ τὸ πρὸς τὴν κύησιν ὑπὸ τῆς φύσεως δοθὲν ταῖς γυναιξὶ μόριον, ὥσπερ οὐδ' εἰ κατὰ τὸν πληθυντικὸν ὀνομαζόμενον ἀριθμὸν, ὑστέρας ἢ μήτρας, ἢ κατὰ τὸν ἑνικὸν ἐθέλοι τις ὀνομάζειν ὑστέραν καὶ μήτραν. ἄμεινον γὰρ εἰς τὰ χρήσιμα τὸν χρόνον ἀναλίσκειν, ἐξ ὧν εἰς διάγνωσιν ἢ πρόγνωσιν, ἢ θεραπείαν, ὄφελός τι καρπωσόμεθα. F καθάπερ ἀμέλει κἀπὶ τῆς καλουμένης ὑπὸ μέν τινων ὑστερικῆς πνίξεως, ὑπ' ἐνίων δ' ἀπνοίας ὑστερικῆς· ὡς ἕν γάρ τι τὸ πάθος ἑκατέρᾳ τῇ προσηγορίᾳ δηλούντων ἐστὶν ἀκοῦσαι τῶν ἰατρῶν. ἐγὼ δὲ θεασάμενος πολλὰς γυναῖκας ὑστερικὰς (ὡς αὐταί τε σφᾶς αὐτὰς ὀνομάζουσιν, αἵ τ' ἰατρῖναι πρότεραι, παρ' ὧν εἰκός ἐστι κἀκείνας ἀκηκοέναι τοὔνομα) τινὰς μὲν ἀναισθήτους τε ἅμα καὶ ἀκινήτους κειμένας, ἀμυδρότατόν τε καὶ μικρότατον ἐχούσας σφυγμὸν, ἢ καὶ παντελῶς ἀσφύκτους φαινομένας·

ἐνίας δ᾽ αἰσθανομένας τε καὶ κινουμένας καὶ μηδὲν βεβλαμμένας τοῦ λογισμοῦ, λιποθυμούσας τε καὶ μόγις ἀναπνεούσας· ἑτέρας δὲ συνελκομένας τὰ κῶλα· διαφορὰς ὑπολαμβάνω τῶν ὑστερικῶν παθημάτων εἶναι πλείους, ἤτοι κατὰ τὸ μέγεθος τῆς ποιούσης αἰτίας, ἢ κατ᾽ εἴδη τινὰ διαφερούσας ἀλλήλων. ἡ μὲν οὖν πρώτη λελεγμένη διαφορὰ κατὰ τὸ τοῦ Ποντικοῦ Ἡρακλείδου γεγραμμένον βιβλίον, ἀπορίαν ἔχει πολλὴν ὅπως γίγνεται. λέγεται γὰρ ἄπνους τε καὶ ἄσφυκτος ἐκείνη ἡ ἄνθρωπος γεγονέναι, τῶν νεκρῶν ἐνὶ μόνῳ διαλλάττουσα, τῷ βραχεῖαν ἔχειν θερμότητα κατὰ τὰ μέσα μέρη τοῦ σώματος· ἐπιγέγραπται γοῦν τὸ βιβλίον, ἄπνους Ἡρακλείδου· καὶ ζήτησιν ἔφη γεγονέναι τοῖς παροῦσιν ἰατροῖς, εἰ μήπω τέθνηκεν. Ἡρακλείδου δ᾽ αὖθις ὕστερον γεγονότες ἔνιοι, βουλόμενοι διασώζεσθαί τι τῆς ἀναπνοῆς, εἰ καὶ μὴ φαίνοιτο, κτηδόνας ἐρίου διεξαμμένου καταρτᾶν φασὶ χρῆναι πρὸ τῆς ῥινός, εἰς διάγνωσιν ἀκριβῆ τοῦ φέρεσθαί τι πνεῦμα διὰ τῆς ἀναπνοῆς εἴσω τε καὶ αὖθις ἔξω· τινὲς δὲ κατὰ τὸ στόμα τῆς γαστρὸς ἐπιτιθέναι κελεύουσιν λεκάνιον ὕδατος μεστόν, ἀκίνητον γὰρ ἀκριβῶς φυλαχθήσεσθαι τὸ ὑγρόν, εἰ μηδὲν ὅλως σώζοιτο τῆς ἀναπνοῆς. εἰ μὲν οὖν ἀπέθνησκον αἱ οὕτως ἔχουσαι πᾶσαι γυναῖκες, ἁπλοῦν ἂν εἴη τὸ ζήτημα· σωζομένων δὲ ἐνίων, διπλοῦν γίγνεται, τήν τε διάθεσιν ἡμῶν ζητούντων, ὑφ᾽ ἧς ἀπόλλυται τὸ τῆς ἀναπνοῆς ἔργον, ἔτι τε μᾶλλον ὅπως ἔτι ζῶσιν αἱ μηδ᾽ ὅλως ἀναπνέουσαι· πεπίστευται γὰρ ἀχώριστον εἶναι τοῦ ἀναπνεῖν τὸ ζῆν, τοῦ τε ζῆν τὸ ἀναπνεῖν, ὥστε καὶ τὸ ζῶντα πάντως ἀναπνεῖν, καὶ τὸ ἀναπνέοντα πάντως ζῆν. ἢ τοῦτο χαλεπώτερον; οὐκ ἔστι δ᾽ ὄντως χαλεπώτερον, ἀλλὰ θατέρου φωραθῆναι ῥᾷον, εἴ γε καὶ τὰ φωλεύοντα ζῶα νεκροῖς ὅμοια κατὰ τοὺς φωλεοὺς εἰργμένα, τῆς ἀναπνοῆς οὐδὲν ἀποσώζοντα φαίνεται· τούτου γὰρ ἐγνωσμένου καὶ σαφῶς ἐκείνων ὁρωμένων τῶν ζώων ψυχρῶν, ἀποδεδειγμένου δὲ καὶ τοῦ τὴν μεγίστην χρείαν τῆς ἀναπνοῆς εἶναι τὴν σωτηρίαν τῆς ἐμφύτου θερμασίας, δι᾽ ἐμψύξεώς τε καὶ ῥιπίσεως γιγνομένην, οὐδὲν ἔτι δύσκολόν ἐστιν ἐπιλογίσασθαι, τὴν ὑπολειπομένην αὐτοῖς ὀλίγην θερμασίαν, φυλάττεσθαι διὰ τοῦ τῶν ἀρτηριῶν τε καὶ τῆς καρδίας ἔργου, καλουμένου δ᾽ ὑπό τινων ἰατρῶν διαπνοῆς, ὥσπερ τοῦ διὰ θώρακός τε καὶ πνεύμονος, ἀναπνοῆς. ἐγχωρεῖ τοίνυν ἐπὶ τῆς ὑστερικῆς ἀπνοίας, ἐπειδὴ κατέψυκται τὸ πᾶν σῶμα (φαίνεται γὰρ ἐναργῶς τοῦτο) τὴν μὲν διὰ τοῦ στόματος ἀναπνοὴν μηδόλως γίγνεσθαι, τὴν δὲ διὰ τῶν ἀρτηριῶν γίγνεσθαι· δυνατὸν δὲ καὶ γιγνομένην αὐτὴν ἐλαχίστην, λανθάνειν τὴν αἴσθησιν. ἐφεξῆς γοῦν ἡμᾶς διαδέξεται ζήτημα πρὸς τὸ μηδὲν ἔτι τῶν κατὰ τοῦτο τὸ πάθος ἀπορεῖν, ὑπὸ τίνος αἰτίας ψύχεται τὸ σῶμα. τάχα δ᾽ ἂν εὑρεθείη καὶ τοῦτο τὰς προηγουμένας αἰτίας ἐπισκεψαμένων ἡμῶν οὔσας τοιαύτας. ὡμολόγηται τοῦτο τὸ πάθος γίγνεσθαι ταῖς χηρευούσαις ἐπὶ πολύ, καὶ μάλιστα ὅταν ἐν τῷ πρόσθεν χρόνῳ καθαιρόμεναί τε καλῶς, καὶ κυΐσκόμεναι, καὶ τῇ πρὸς τοὺς ἄνδρας συνουσίᾳ χρώμεναι, στερηθῶσιν ἁπάντων αὐτῶν. τί ἂν οὖν τις ἐκ τούτων ἔχει συλλογίσασθαι πιθανώτερον, τοῦ διὰ τὴν ἐπίσχεσιν τῶν καταμηνίων ἢ τοῦ σπέρματος ἐπιγίγνεσθαι ταῖς γυναιξὶ ταύτας τὰς ὑστερικὰς ὀνομαζομένας διαθέσεις, εἴτ᾽ ἄπνοιαί τινες, εἴτε πνίγες, εἴτε καὶ συνολκαί τινες τύχοιεν οὖσαι; καὶ μᾶλλον ἴσως, διὰ τὴν τοῦ σπέρματος ἐπίσχεσιν, ἐπειδὴ τοῦτο μεγάλην τε δύναμιν ἔχει,

νοσῃ
φέρουσαι
ἤδη
τῶν ζώων φωλευόντων
ὠλατον

A alias sentientes quidem, & sese mouentes, atque citra rationis lęsionem, sed animo deficientes, & vix respirantes; alias etiam artus contrahentes; multas esse puto vteri affectuum differentias, vel pro causæ efficientis magnitudine, vel pro specierum quarundam varietate inter se differentes. Igitur prima differentia, cuius Heraclides Ponticus in conscripto libro mentionem fecit, multam exhibet de ortu suo ambiguitatem. Ait enim illam mulierem neque pulsum, neque respirationem habuisse, atque B hoc solùm à mortuis distitisse, quòd exiguum in mediis corporis partibus calorem haberet (est autem libri titulus, Apnous Heraclidis) ac astantes medicos quæsiuisse ait, an nondũ esset mortua. Rursus nonnulli Heraclide posteriores, seruari aliquid respirationis volẽtes, quanuis non appareat, carptæ lanæ flocculos præ naribus suspẽdi iubent, vt exactè dignoscatur, num spiritus aliquis inter respirandum, tum intrò, tum foras rursum feratur. Nonnulli poculum aquæ plenum ori ventriculi imponere præcipiunt, quippe immotum omnino seruatum iri C humorem aiũt, si tota perierit respiratio. Quòd si omnes ita affectæ mulieres interirent, simplex esset quæstio; quum verò nonnullæ seruentur, gemina fit, inuestigantibus nobis tum affectionem, ob quã spirationis munus deperditur, tum vel magis, quomodo viuere possint, quæ nihil omnino respirant. Nã in confesso est, & respirationẽ à vita, & vitam à respiratione separari nõ posse, adeo vt & viuẽs omninò respiret, & respirans omninò viuat. An hæc *quæstio* difficilior est? non tamen reuera difficilior, sed D alterâ facilius deprehendi potest; quippe latebris clusa animalia, mortuis similia, respirationis nihil seruare videntur. Hoc enim cognito, perspectisq; manifestè illis animalibus frigidis, atque eo demonstrato, quòd maximus respirationis vsus sit vt intimus calor, & refrigeratione & vẽtilatione seruetur, non est amplius difficile colligere, exiguũ illum calorem in ipsis relictũ, arteriarum cordisque officio conseruari, quæ à quibusdam medicis transpiratio, veluti quæ à thoracis pulmonisque officio prodit, respiratio vocatur. Itaque pereunte ob vteri affectum E respiratione, quoniam vniuersum corpus refrigeratur (id enim manifestè videtur) fieri potest, vt nulla prodeat ab ore respiratio, quanuis ea quæ in arteriis fit, nequaquam intercipiatur; potest etiam adeò esse exigua, vt sensum omninò effugiat. Ergo vt nihil ad hunc affectum pertinens maneat indiscussum, succedit iterum alia quæstio, quam ob causam corpus refrigeretur. Ea verò fortasse dissolui poterit, si causas quæ præcesserunt, diligenter intueamur; sunt autem huiusmodi. F Conuenit inter omnes hunc affectum magna ex parte viduis euenire, iisque maximè, quæ quum antea probè purgarentur, ac parerent, atque virorum concubitu gauderent, omnibus his fuerint priuatæ. Quid igitur ex hisce probabilius quis concludere possit, quàm ob retenta menstrua, vel semen cohibitum, huiusmodi vterinis vocatis affectibus mulieres cruciari, siue eæ apnoeæ, siue suffocationes, siue etiam contractiones quædam fuerint? & fortasè magis ob seminis retentionem, vtpote quod magnam vim obtineat,

& in mulieribus humidius ac frigidius sit, & excretionem requirat in iis quæ multo semine exuberant, sicuti etiam in viris. Etenim non parua est horum quoque differentia. Sunt enim nonnulli, quos protinus à iuuentute concubitus imbecilliores efficit; alii nisi assiduè coeant, capitis grauitate molestantur, cibos fastidiunt, ac febribus obnoxii fiunt, atque deterior est ipsis appetentia, & concoctio minor; quorum corpus Plato arboribus immodicè fructiferis comparabat. Equidem noui quosdam, quibus huiusmodi erat natura, qui præ pudore à libidinis vsu abstinentes, torpidi, prigrique facti sunt; nõnulli etiam melancholicis similes, præter modum mœsti, ac timidi, cibi etiam tum cupiditate tum concoctione vitiatâ. Noui quendam, qui vxoris mortem lugens, & à concubitu, quo antea creberrimè fuerat vsus, abstinens, cibi appetentiam amiserat, atque ne exiguum quidem si sumpsisset cibũ cõcoquere poterat; si quando verò se ipsum cogendo plus cibi assumpsisset, protinus scilicet ad vomitum excitabatur; mœstus etiam apparebat, non solùm has ob causas, sed etiã (vt melancholici solent) citra manifestã causam; cui omnia quã celerrimè cessarunt, ad pristinã consuetudinẽ reuerso. Hæc ergo consideranti mihi apud me, visa est longè maior ex retento semine, quã menstruis, corporis noxa euenire posse, quibus corporibus ipsum suapte natura deterioris succi est ac copiosius, & qui in ocio degunt, quique, quũ antea nihil ad libidinem reliqui fecissent, affatim continere cœperunt. Perpendi autem in his quoque naturalem excernendi ipsum cupiditatem huius rei causam esse; quum enim & tale, & tantum fuerit, neminem non ad sui excretionem vi quadam stimulat. Ita Diogenem Cynicum constat, virum omnium mortalium, quod ad continentiam ac temperantiam pertinet, constantissimum fuisse; libidini tamen & ipse indulgebat, non à copulata semini, dum effunditur, voluptate, veluti bono aliquo, illectus, sed vt noxam à retento oborientem, euitaret. Eum vt narrant, meretrix adire pollicita quum diutiùs tardaret, ipse manu pudendis admotâ, semen proiecit, ac venientem deinde remisit, inquiens, manus hymenæum celebrando te præuenit. Atque planè constat modestos viros non ob voluptatẽ, sed vt à molestia præseruentur, libidini indulgere, perinde ac si nulla esset ei voluptas cõiugata. Sic etiã reliqua animalia ad coïtũ excitari arbitror, non quòd existiment voluptatem bonum esse, sed vt semen, quod ob retentionem ipsa molestat, excernant, vt & deiiciendi stercoris, excernendæque vrinæ desiderio naturâ moueri consueuerunt. Cogitanti mihi aliquando super hac re, tale quoddam symptoma apparuit in muliere ex longo iam tempore viduâ. Quum enim & aliis malis & neruorum quoque distentione vexaretur, dicente obstetrice vterum esse retractum, remediis ad huiusmodi affectus consuetis vti visum est; quibus adhibitis, partim ob ipsorum calorem, partim etiam, quòd inter curandum manibus tractarentur partes muliebres, obortâ titillatione, cum labore & voluptate (veluti per coïtum) excreuit crassum plurimumque semen; atque ita à molestia liberata est mulier. Proinde mihi visum est, vitia-

A καὶ ταῖς γυναιξὶν ὑγρότερόν τε καὶ ψυχρότερόν ἐστιν, ἀποκρίνεσθαί τε δεῖται ταῖς φύσει πολυσπέρμοις, ὥσπερ καὶ τοῖς ἄῤῥεσι. καὶ γὰρ καὶ τούτων ἔγνωμεν οὐκ ὀλίγην διαφοράν, ἐνίων μὲν εὐθέως ἀπὸ νεότητος ἐπὶ ταῖς συνουσίαις ἀσθενῶν γινομένων· τινῶν δ' εἰ μὴ συνεχῶς χρῷντο, βαρυνομένων τε τὴν κεφαλὴν, ἀσωδῶν τε καὶ πυρετωδῶν γινομένων, καὶ χεῖρον ὀρεγομένων, καὶ ἧττον πεττόντων· ὧν τὸ σῶμα δένδροις ὁ Πλάτων εἴκαζε πολυκαρποτέροις τοῦ συμμέτρου. τοιαύτης γοῦν ἐνίους ὄντας φύσεως, εἶτ' ἐγκρατεῖς ἀφροδισίων χρήσεως [43] ὑπ' αἰσχύνης γινομένους, ναρκώδεις B τε καὶ δυσκινήτους ἔγνωμεν ἀποτελεσθέντας· ἐνίους δὲ καὶ σκυθρωποὺς ἀλόγως, καὶ δυσέλπιδας, ὁμοίως τοῖς μελαγχολικοῖς, ὀρεχθῆναί τε καὶ πέψαι χείρους. οἶδα δέ τινα, διὰ πένθος τῆς γυναικὸς [44] ἀπεχόμενον ἀφροδισίων, οἷς ἔμπροσθεν ἐχρῆτο συνεχῶς, ἀνόρεκτόν τε ἅμα, καὶ εἰ προσενέγκοιτο βραχύ τι, μηδὲ τοῦτο πέττειν δυνάμενον· εἰ δὲ καὶ βραχὺ πλείω ποτὲ λάβοι βιασάμενος ἑαυτὸν, εὐθέως ἐμοῦντα δηλονότι, καὶ δυσθυμούμενον οὐκ ἐπὶ τούτοις μόνον, ἀλλὰ καὶ χωρὶς αἰτίας φανερᾶς ὁμοίως τοῖς μελαγχολικοῖς· ᾧ πάντα C ἐπαύσατο τάχιστα, τὸ ἐξ ἀρχῆς ἔθος ἀναλαβόντι. τὰ τοιαῦτα γοῦν ἀναλογιζομένῳ μοι κατ' ἐμαυτὸν, ἐφαίνετο μείζονα δύναμιν ἔχειν εἰς βλάβην σώματος ἡ τοῦ σπέρματος ἐπίσχεσις, τῆς τῶν καταμηνίων, ἐπ' ἐκείνων τῶν σωμάτων, ἐφ' ὧν αὐτό τε φύσει κακοχυμότερόν ἐστι καὶ πλέον, ὅ, τε βίος ἀργότερος, ἥ τε τῶν ἀφροδισίων χρῆσις ἔμπροσθεν μὲν ἱκανῶς πολλὴ, μετὰ ταῦτα δ' ἄθρόα τις ἀποχὴ τῶν πρόσθεν. ἐνενόησα δὲ τούτοις ἔτι τὴν φυσικὴν ἐπιθυμίαν τῆς ἀποκρίσεως αὐτοῦ αἰτίαν εἶναι· βιάζεται γὰρ ἅπαντας ἀνθρώπους, ὅτ' ἂν ᾖ τοιοῦτό τε καὶ πολὺ, πρὸς τὴν ἔκκρισιν αὐτοῦ. Διογένης οὖν D ὁ κυνικὸς ὡμολόγηται μὲν ἁπάντων ἀνθρώπων καρτερικώτατος γεγονέναι, πρὸς ἅπαν ἔργον ἐγκρατείας τε καὶ καρτερίας δεόμενον· ἀλλ' ὅμως καὶ οὗτος ἀφροδισίοις ἐχρῆτο, τὴν ὄχλησιν τὴν ἐκ τοῦ κατεχομένου σπέρματος ἀποθέσθαι βουλόμενος, οὐχ ὡς ἕτερον ἀγαθόν τι τὴν ἐζευγμένην αὐτοῦ τῇ κενώσει παραγινόμενος ἡδονήν. ἑταίρα γοῦν ποτε συνθέμενος, ὥς φασιν, ὡς πρὸς αὐτὸν ἀφίκηται, βραδυνούσης αὐτῆς, ἀπετρίψατο τὸ σπέρμα προσαπτόμενος τῇ χειρὶ τοῦ αἰδοίου, καὶ μετὰ ταῦτα παραγινομένην ἀπέπεμψεν, εἰπὼν τὴν χεῖρα E φθάσαι τὸν ὑμέναιον ᾆσαι. καὶ δῆλον ἐναργῶς ἐστιν, οὐ διὰ τὴν ἡδονὴν ἔρχεσθαι τοὺς σώφρονας ἐπὶ συνουσίαν, ἀλλὰ τὴν ὄχλησιν ἰάσασθαι βουλομένους, ὡς εἰ καὶ χωρὶς ἡδονῆς ἐγίγνετο. κατὰ τοῦτο δ' ἡγοῦμαι καὶ τἄλλα ζῶα πρὸς ἀφροδισίων ὁμιλίαν ὁρμᾶν, οὐ δόγμα πεποιημένα τὴν ἡδονὴν ἀγαθὸν ὑπάρχειν, ἀλλ' ἐπὶ τὴν ἀπόκρισιν, ὡς ἀνιῶντος ἐν τῷ κατέχεσθαι τοῦ σπέρματος, ἀφικνούμενα, καθάπερ οἶμαι καὶ τὸ ἀποπατεῖν, καὶ τὸ οὐρεῖν, αὖθις ὑπάρχει φύσει. ἐν ταύταις μου ποτὲ ταῖς ἐννοίαις ὄντος, [46] ἐφάνη τοιόνδε σύμβαμα, ἐκ πολλοῦ χρόνου χηρευούσῃ γυναικί. κατεχόντων γὰρ αὐτὴν καὶ ἄλλων μέν τινων ὀχληρῶν, F καὶ νευρικῶν [47] διατάσεων, εἰπούσης δὲ τῆς μαίας ἀνεσπάσθαι τὴν μήτραν, ἔδοξε χρήσασθαι βοηθήμασιν οἷς εἰώθασιν εἰς τὰ τοιαῦτα χρῆσθαι· χρωμένης δ' αὐτῆς, ὑπό τε τῆς ἐξ αὐτῶν θερμασίας, καὶ τῆς κατὰ τὴν θεραπείαν ψαύσεως τῶν γυναικείων τόπων, ἐγένοντο συνολκαὶ μετὰ πόνου τε ἅμα καὶ ἡδονῆς ὅμοιαι ταῖς κατὰ τὰς συνουσίας, ἐφ' αἷς ἐκκριθέντος παχέος τε καὶ πολλοῦ σπέρματος, ἀπηλλάγη τῶν κατεχόντων αὐτὴν ὀχληρῶν ἡ γυνή. διὰ ταῦτα μὲν οὖν, ἔφαινέ μοι μείζονα δύναμιν

ἔχειν εἰς βλάβην τοῦ σώματος ὅλου, τὸ κακοχυμότερον σπέρμα, τῶν καταμηνίων· ὥστε κἂν ἐκεῖνά ποτε γίγνηται ταῖς χηρευούσαις, ἀλλὰ τήν γε τοῦ σπέρματος ἐποχήν, ἀνιαράν τε ἅμα καὶ βλαβερὰν ὑπάρχειν αὐταῖς. οἳ δ' οἴονται μεγάλων συμπτωμάτων ἐν ὅλῳ τῷ σώματι γιγνομένων, ἀπίθανον εἶναι, χυμὸν ὀλίγον ἐν ἑνὶ μορίῳ περιεχόμενον αἴτιον εἶναι, δοκοῦσί μοι λίαν ἀμνήμονες εἶναι τῶν ὁσημέραι γιγνομένων. ἐπὶ γοῦν τοῖς τῶν φαλαγγίων δήγμασιν ὅλον ὁρᾶται πάσχον τὸ σῶμα, μικροῦ τινος ἰοῦ κατὰ βραχυτάτην ὀπὴν ἐνιεμένου. τὸ δὲ τῶν σκορπίων ἐστὶ θαυμασιώτερον, ὅτι καὶ τὰ συμπτώματα διὰ ταχέων ἐπιφέρουσι σφοδρότατα, καὶ τὸ καταβαλλόμενον ἐγχρίμψαντος αὐτοῦ, ἤτοι παντάπασιν ὀλίγιστον ἢ ὅλως οὐδέν ἐστιν, ἀτρήτου γε τοῦ κέντρου φαινομένου· καὶ μὴν ἀναγκαῖον, οὐχ ἁπλῶς ὅτι νένυκταί τις ὥσπερ ὑπὸ βελόνης, εὐθέως ὅλον τὸ σῶμα χαλάζαις βάλλεσθαι δοκεῖν, ἅμα λειποθυμίαις· ἀλλ' ἤτοι γε πνεύματός τινος, ἢ λεπτῆς ὑγρότητος ἐνιεμένης, εὔλογον γίγνεσθαι ταῦτα. τινὲς δὲ ἡγοῦνται καὶ τῷ ψαῦσαι μόνον ἐνίας τῶν οὐσιῶν ἀλλοιοῦν δύνασθαι τὰ πλησιάζοντα, μόνῃ τῇ κατὰ τὴν ποιότητα δυνάμει· ταύτην γὰρ φύσιν κἀπὶ τῆς θαλαττίου νάρκης ὁρᾶσθαι, δύναμιν ἰσχυρὰν οὕτως ἐχούσης, ὡς καὶ διὰ τοῦ τῶν ἁλιέων τριόδοντος διαδιδομένης τῆς ἀλλοιώσεως εἰς τὴν χεῖρα, ναρκώδη παραχρῆμα πᾶσαν αὐτὴν γίγνεσθαι. ταῦτά τε οὖν ἱκανὰ τεκμήρια τοῦ σμικρὰς οὐσίας ἀλλοιώσεις μεγίστας ἐργάζεσθαι μόνῳ τῷ ψαῦσαι, καὶ τὸ κατὰ τὴν Ἡρακλείαν λίθον, ἣν καὶ μαγνῆτιν ὀνομάζουσιν, οὐχ ἥκιστα. τοῦ μὲν γὰρ ψαύσαντος αὐτῆς σιδηρείου κρεμαννυμένου χωρὶς δεσμοῦ, δεύτερον ἄλλο τοῦ ψαύσαντος ψαῦον, ὁμοίως τῷ προτέρῳ πάλιν ἐξ αὐτοῦ κρεμάννυται, κἄπειτ' ἄλλο τρίτον ἐκ τοῦ δευτέρου. φαινομένης δὴ σαφῶς ἰσχυροτάτην ἔχειν τὴν δύναμιν ἐνίας τῶν οὐσιῶν, ὑπόλοιπον ἂν εἴη ζητεῖν, εἰ διαφθορά τις ἐν τοῖς ζώοις δύναται γενέσθαι τηλικαύτη τὸ μέγεθος, ὡς ἰοῦ θηρείου παραπλησίαν ἔχειν ποιότητά τε καὶ δύναμιν. ἢ καὶ τοῦτο κέκριται πρὸς αὐτῶν τῶν ἰατρῶν, οἵ γε τῶν προβλημάτων ἕν τι πεποίηνται, πότερον ἴδια φαρμακείας ἐστὶ σημεῖα, ἢ οὐκ ἔστιν; καὶ οἵ γε κάλλιστα δοκοῦντες εἰρηκέναι περὶ αὐτοῦ, τὰ μὲν αὐτὰ γίγνεσθαι πάθη συγχωροῦσι κατά τε τὰς τῶν θανασίμων φαρμάκων δόσεις, καὶ τὰς ἐκ τοῦ σώματος ἡμῶν ὁρμωμένας διαφθοράς· οὐ μὴν ἀδιακρίτους γε τοὺς εἰληφότας φάρμακα, ἀπὸ τῶν μὴ λαβόντων ὑπάρχειν· ὅταν γὰρ εὔχυμος τὴν φύσιν, διῃτημένος τε κατὰ πάντα τρόπον ὑγιεινῶς, ἐξαιφνίδιος γένηται θάνατος, οἷος ἐπί τινι τῶν δηλητηρίων φαρμάκων, εἶτα πελιδνὸν, ἢ μέλαν, ἢ ποικίλον, ἢ διαρρέον, ἢ σηπεδόνος ἀνιαρᾶς ὄζει τὸ σῶμα, φάρμακον εἰληφέναι τοῦτόν φασιν. εἰ τοίνυν συγχωρεῖται τοιαῦτα πάθη καταλαμβάνειν ἡμᾶς ἐξ ἡμῶν αὐτῶν ἔχοντα τὴν ὁρμὴν τῆς γενέσεως, οἷα γίνεται δηλητηρίου φαρμάκου ληφθέντος, οὐδὲν θαυμαστὸν εἰ σπέρμα κακόχυμον, ἢ καταμήνιον ὁμοίως ἔχον, ἐπισχεθέντα καὶ διασαπέντα, συμπτώματα φέρει χαλεπὰ, τοῖς παθεῖν ἐπιτηδείως ἔχουσι σώμασιν. μαθεῖν γὰρ ἔστι κἀπὶ τῶν κυνῶν, ὅσην ἔχει δύναμιν ἡ πρὸς τὸ παθεῖν ὁτιοῦν ἐπιτηδειότης· οὐδενὸς γοῦν τῶν ἄλλων ζώων ἁλισκομένου λύττῃ, μόνον ἁλίσκεται τοῦτο, καὶ τοσαύτη γε κατ' αὐτὸ γίγνεται διαφθορὰ τῶν χυμῶν, ὥστε τὸ σίαλον αὐτοῦ μόνον ἀνθρωπίνῳ σώματι προσπεσὸν, ἐργάζεσθαι λύτταν. ὡς οὖν ἀπὸ σμικρᾶς ἀρχῆς τῆς κατὰ τὸ σίαλον ποιότητος, αὐξανομένη τις ἐν τῷ σώματι διάθεσις,

to semini maiorem, quàm mẽstruis, esse vim ad læsionem vniuerso corpori inferendam; itaque licet hæc aliquando profluant viduis, suppressum nihilominus semen molestiam noxamque ipsis inferre. Qui verò arbitrantur non probabile, exiguum succum in vna parte contentum, tantorum symptomatũ vniuerso corpori oborientium esse causam, ij omnino mihi immemores esse videntur eorum, quæ quotidie contingunt. Etenim à phalangiorum ictibus totum corpus affici videtur, exiguo veneno per minimum foramen iniecto. Sed maiori admiratione dignus est scorpionis ictus; quòd & breui admodum tempore grauissima inferat symptomata, & id quod inijcitur dum ipse pungit, aut perquã exiguũ sit, aut nihil omnino, nullo apparente foramine in ipsius aculeo. Atqui necessarium est, non simpliciter, quia quis perinde, ac acu, punctus est, vniuersum statim corpus veluti grandine percuti videri, animi simul defectione accedente; sed rationi magis consentaneũ est, vel à spiritu quodam, vel tenui humiditate iniectâ, hæc euenire. Quidam etiam putant res quasdam solo tactu per qualitatis vim, ea quæ eis vicina sunt alterare posse; idque planè videri in marina torpedine, vt cui tam vehemens sit facultas, vt per piscatoris tridentem transmissâ ad manum alteratione, derepente totã reddat torpidam. His argumentis satis deprehenditur paruæ molis res quasdã, solo tactu maximas inducere alterationes; quod in heraclio quoque lapide, quem magnetem nominant, videre est; ferrum enim, quod tetigerit, ei adhæret sine vinculo; deinde si aliud, id quod primò tangit, tetigerit, similiter vt primum, illi inhæret; postea tertium secundo. Quum igitur planè constet rebus quibusdam vehementissimas esse vires, reliquum est vt inuestigemus, an in animantibus corruptio aliqua nasci possit adeò vehemẽs, vt veneni animalis venenati tũ qualitatẽ, tum vires æquet. An id iam à medicis discussũ est, qui hanc proposuere quęstionem, vtrũ propriæ sint notæ veneni, necne? Nam qui optimè videntur hac de re disputasse, eosdem fieri affectus concedunt à lethalis veneni potione, & à corruptione, quæ à corpore ortum habet; discerni tamen posse eos, qui venenum sumpserunt, ab iis qui aliundè affecti sunt. Quũ enim homo sua natura probis humoribus, ac sanorum more educatus, derepente moritur, vt assumpto lethali veneno fit; deinde corpus aut liuens, aut nigricans, aut varium est, aut diffluens, aut putredinem molestam olet, hunc venenum sumpsisse aiunt. Igitur si affectibus nos infestari fateamur, qui ex nobismetipsis accepto suæ originis impetu, similes sint iis, qui pernicioso epoto veneno eueniunt, nihil mirum, si vitiatum semen, aut menstruum huiusmodi, quum retinentur & putrescunt, corporibus vt afficiantur idoneis, grauia inferant symptomata. Nam facilè intelligitur ex canibus, quantam habeat vim afficiendæ rei aptitudo; quum enim reliquorum animalium nullum rabie capiatur, solus canis eo affectu corripitur; atque tanta fit in ipso humorum corruptio, vt sola eius saliua, si humanum corpus contigerit, rabiem excitet. Vt igitur ab exiguo initio, saliuæ qualitate, aucta quædam in corpore affectio, quando ad magni-

magnitudinem notatu dignam peruenerit, discernitur post sex menses, quum nonnunquam ante id tempus nullâ notâ deprehenderetur: sic eodem modo vitioso humore in animalis corpore genito, paulatim tractu temporis principum partium aliqua consentit, à qua vniuersum corpus celeriter alteratur. Quòd autem à priscis iam inde seculis optimo iure creditum fuerit, hysterica dicta symptomata ad vterum tanquam ad radicem pertinere; maximo argumento esse potest, quòd solis viduis, & iis quibus menstrua supprimuntur, huiusmodi affectus oboriantur. Quòd verò ex his ipsis ad hystericorum symptomatum generationem excitandam retentum semen maiorem, menstruũ verò minorem vim obtineat, facilè intelligitur ex iis mulieribus, quibus citra viduitatem, purgationes supprimuntur; quanuis enim quibusdam aliis infestentur symptomatis, quæ posthac dicentur, respiratione tamen non priuantur, neque animi defectione vehementi, neque aliis quoque symptomatis, paulò antè dictis laborant; præterea ex eo quòd viduæ quædam, licet rectè vt antea, aut paulò minus purgentur, nihilominus similibus corripiantur symptomatis. Consentiunt autem hisce ea quoque signa, quæ circa vterum sentiunt medicæ diligenter tangentes; nam ceruix vteri tangentibus inclinata videtur, interdum veluti sursum retractus sit totus, interdum autem veluti sit tractus ad latus. Proinde quidam vterum tanquam animal quoddam esse statuentes prolis creandæ cupidum; priuatum his quæ concupiscit, vniuerso corpori nocere dicunt. Sic igitur scribit Plato. *Quæ pars in mulieribus & vterus, & vulua nominatur, quum sit animal prolis generandæ cupidum, si intempestiuè, diuque infructuosum fuerit, succensens ægrè fert, oberransque per totum corpus, & spiritûs meatum obstruens, respirareque non sinens, in extremam anxietatem deijcit, atque multiplices alios morbos excitat.* Hæc dicente Platone, quidam addiderunt, vterum quum ita per corpus errans, ad septum transuersum peruenerit, respirationem interturbare. Alij errare ipsum, veluti animal, non dicunt, sed vbi suppressa sunt menstrua, exiccatum, ac humectari cupientem, ad viscera vsque ascendere; quum verò ascendendo nonnunquam septum transuersum contingat, idcirco animal respiratione priuari. Ac ij quidem, qui ignorant ea quæ in dissectionibus apparent, quique neque naturales, neque voluntarias actiones vnquam considerauerunt, quanuis ea quæ iam diximus, nulla audiant demonstratione roborari, fieri tamen posse arbitrantur, vt aliquid ex enarratis verum existat; at verò, qui in vtrisque fuerint exercitati, huius rationis infirmitatem etiam me tacente conspiciunt. Nam etiamsi qua pars vteri ascendere videatur, ea perexigua est, neque sufficit ad hoc, vt totum ipsius spacium ne ad ventriculum quidem, ascendisse videatur, nedum vt hunc prætereundo, ad septum transuersum pertingere; at etiamsi attingat, quid momenti habebit id, vt respirationem tollere, aut animi defectionem, aut membrorum contentionem, aut integrum soporem inducere possit? Etenim impletis, ventriculus intumescens planè videtur septum transuersum comprimere

A ἡνίκα εἰς ἀξιόλογον ἀφίκηται μέγεθος, ἐγνώσθη μηνῶν μετὰ ἕξ, ἐνίοτε τοῦ πρόσθεν χρόνου μηδὲν ἔχουσα γνώρισμα, κατὰ τὸν αὐτὸν τρόπον ἀπὸ χυμοῦ τινος ἐν τῷ τοῦ ζώου σώματι γεννηθέντος μοχθηροῦ, κατὰ βραχὺ συμπάσχει τῷ χρόνῳ τῶν κυρίων τι μορίων, ἀφ᾽ ὧν τὸ σύμπαν σῶμα ταχέως ἀλλοιοῦται. ὅτι δὲ τῶν ὑστερικῶν λεγομένων συμπτωμάτων εἰκότως ἐκ παλαιοῦ πεπίστευται κατὰ τὰς μήτρας ἡ οἷον ῥίζωσις εἶναι, τεκμήριον οὐ σμικρόν ἐστι τὸ μόναις ταῖς χηρευούσαις τε καὶ ταῖς τὰς ἐμμηνίους καθάρσεις

B ἐπεχομέναις, τὰ τοιαῦτα γίγνεσθαι παθήματα· ὅτι δὲ τούτων αὐτῶν μείζονα δύναμιν εἰς τὴν τῶν ὑστερικῶν συμπτωμάτων γένεσιν ἔχει τὸ σπέρμα κατεχόμενον, ἐλάττονα δὲ τὸ καταμήνιον, ἐκ τῶν ἄνευ χηρείας ἐπεχομένων τὴν κάθαρσιν ἔνεστι μαθεῖν, ἀλλὰ μὲν ἔνια πασχουσῶν, ἃ μικρὸν ὕστερον εἰρήσεται, μήτε δ᾽ ἀπνοίαις ἐχομένων, μήτε σφοδραῖς λειποψυχίαις, μήτε τοῖς ἄλλοις, ἃ λέλεκται μικρὸν ἔμπροσθεν. ἔτι δὲ κἀκ τοῦ τινὰς τῶν χηρευουσῶν ἀμέμπτως καθαιρομένας, ἢ μὴ πολλῷ ἧττον τοῦ πρόσθεν, ὁμοίως ἁλίσκεσθαι συμπτώμασιν. ὁμολογεῖ δὲ

C τούτοις καὶ τὰ κατὰ τὴν μήτραν φαινόμενα σημεῖα ταῖς ἁπτομέναις ἀκριβῶς ἰατρίναις· ἐνίοτε μὲν γὰρ ὡς ἀνεσπασμένης ὅλης αὐτῆς, ἐνίοτε δ᾽ ὡς περιεσπασμένης, ὁ τράχηλος τοῖς ψαύουσιν ἐγκεκλιμένος φαίνεται. διὸ καὶ τινὲς οἷον ζῶόν τι παιδοποιίας ἐπιθυμητικὸν εἶναι τὴν μήτραν ὑποθέμενοι, στερισκόμενον ὧν ὀρέγεται, παντὶ τῷ σώματι λυμαίνεσθαί φασι. γράφει γοῦν ὁ Πλάτων οὕτως. αἱ δὲ ἐν ταῖς γυναιξὶν μῆτραί τε καὶ ὑστέραι λεγόμεναι δι᾽ αὐτὰ ταῦτα, ζῶον ἐπιθυμητικὸν ἐὸν τῆς παιδοποιίας, ὅτ᾽ ἂν ἄκαρπον παρὰ τὴν ὥραν χρόνον

D πολὺν γίνηται, χαλεπῶς ἀγανακτοῦν φέρει, καὶ πλανώμενον πάντη κατὰ τὸ σῶμα, τὰς τοῦ πνεύματος διεξόδους ἀποφράττον, ἀναπνεῖν οὐκ ἐῶν, εἰς ἀπορίας τὰς ἐσχάτας ἐμβάλλει, καὶ νόσους παντοδαπὰς ἄλλας παρέχει. ταῦτα τοῦ Πλάτωνος εἰπόντος, ἔνιοι προσέθεσαν, ὡς ἐπειδὰν αἱ μῆτραι πλανώμεναι κατὰ τὸ σῶμα τῷ διαφράγματι προσπέσωσιν, ἐμποδίζουσι τὴν ἀναπνοήν· ἔνιοι δὲ πλανᾶσθαι μὲν αὐτὴν ὥσπερ ζῶον, οὔ φασιν, ἐπισχεθέντων δὲ τῶν καταμηνίων ξηραινομένην, ἀνατρέχειν εἰς τὰ σπλάγχνα, ποθοῦσαν

E ὑγρανθῆναι· κἀπειδὰν ποτε κατὰ τὴν ἄνοδον ὁμιλήσῃ τῷ διαφράγματι, στερίσκεσθαι τῆς ἀναπνοῆς τὸ ζῶον. ὅσοι μὲν οὖν ἀγνοοῦσί τε τὰ κατὰ τὰς ἀνατομὰς φαινόμενα, περί τε τῶν φυσικῶν καὶ προαιρετικῶν ἐνεργειῶν οὐδὲν ἐπεσκέψαντο, καίτοι μηδὲν ἀποδεικτικὸν ἀκούοντες ὧν εἶπον, ἐνδέχεσθαι νομίζουσιν εἶναί τι τῶν εἰρημένων ἀληθές· ὅσοι δὲ ἐν ἀμφοτέροις ἐγυμνάσαντο, καθορῶσι καὶ χωρὶς ἐμοῦ τὸ σαθρὸν τοῦ λόγου. εἰ γὰρ καὶ ἀνεσπᾶσθαί τι

F φαίνοιτο μέρος τῆς μήτρας, βραχὺ τοῦτ᾽ ἐστὶ, καὶ οὐχ ἱκανὸν ἐνδείξασθαι τὸ κύτος ὅλον αὐτῆς οὐδ᾽ ἄχρι τῆς γαστρὸς ἀνεσπάσθαι, μή τί γε καὶ ταύτην ὑπερβᾶσαν, ἅψασθαι τῶν φρενῶν. πῶς δ᾽ ἂν, εἴπερ καὶ ἥψατο, τί ἂν δ᾽ εἴη τοῦτο πρὸς ἄπνοιαν, ἢ λειποψυχίαν, ἢ τὰς τῶν κώλων συντάσεις, ἢ κάρον παντελῆ; καὶ τοῖς γοῦν ὑπερεμπλησθεῖσιν, ὁ τῆς γαστρὸς ὄγκος ἐναργῶς φαίνεται θλίβων τὸ διάφραγμα· καὶ διὰ τοῦτο

μὲν ἡ ἀναπνοὴ πυκνοῦται, σύμπτωμα δ' οὐδὲν ἄλλο καταλαμβάνει τὸ ζῷον. ἀλλὰ καὶ κατὰ τὰς κυήσεις ἐπεκτεινόμεναι τοῖς κυουμένοις αἱ μῆτραι, πυκνοτέραν ἐργάζονται τὴν ἀναπνοήν, οὐδὲν δ' οὐδ' αὗται βλάπτουσιν ἄλλο. τὸ δὲ καὶ ξηραινομένας αὐτὰς ἀνατρέχειν ἐπὶ τὰ σπλάγχνα ποθούσας ὑγρανθῆναι, παντάπασιν ἄτοπον. εἰ μὲν γὰρ ἁπλῶς ὑγρότητος αἱ μῆτραι δέονταί ποτε, τὴν κύστιν [18] ὁμιλοῦσαν ἔχουσι καὶ τὸ κάτω μέρος ἅπαν τοῦ παχέος ἐντέρου. εἰ δὲ οὐχ ἁπλῶς ὑγρότητος, ἀλλ' αἱματικῆς ὑγρότητος, ἐπὶ τὸ ἧπαρ ἐχρῆν αὐτὰς, οὐκ ἐπὶ τὰς φρένας φέρεσθαι. τί δὲ καὶ δέονται περιπίπτειν ἔξωθεν ἄλλοις μορίοις, ἔχουσαι περικείμενον ἑαυταῖς στέγασμα πυκνὸν, ὑμενῶδες ἀμφίεσμα; τὰ γὰρ ἕλκοντα πάντα τὰς ἐξ ἐντέρων ὑγρότητας εἰς ἑαυτὰ, διὰ στομάτων παμπόλλων τοῦτο πράττει· πάμπολλα δ' εἰς τὰς μήτρας καθήκει στόματα φλεβῶν, δι' ὧν ἕλκειν ἐκ τῆς κοίλης φλεβὸς αἷμα δυνατόν ἐστιν αὐταῖς, ἐκ τοῦ ἥπατος ἐχούσης ἐπιρρέον αὐτῇ τὸ αἷμα. τίνα δὲ ἄλλον ὀχετὸν ἕτερον εὕροι τις αἵματος ἐξ ἥπατος εἰς μήτρας φερόμενον ἀξιολογώτερον τοῦδε; διὰ τίνος δὲ ὅλως ἄλλου δυνατὸν αὐταῖς, ἐξ ἥπατος ἑλκῦσαί τι; κἂν εἰ μὴ μέγιστος δ' ἦν ὁ τῆς κοίλης φλεβὸς ὀχετὸς, ἀλλά τοι γ' ἄλλος οὐκ ἔστιν· αὕτη γὰρ μία μόνη φλὲψ τοῖς κάτω τοῦ διαφράγματος ἅπασιν, ἐξ ἥπατος ὀχετεύει τὸ αἷμα. παντελῶς οὖν ἄτοπος ὁ λόγος αὐτῶν ἐστι, πρὸς τῷ καὶ ζῷον ἐργάζεσθαι τῷ λόγῳ τὴν μήτραν. ἀλλ' εἰ καὶ τοῦτο συγχωρηθείη, λυπηθήσεται μὲν ἀποστερουμένη τῶν ἰδίων ὀρεκτῶν, ἴσως δὲ καὶ ἀτροφήσει, [49] καθάπερ ἔνιοί φασι τοὺς ἐρῶντας φοίνικας πάσχειν· οὐ μὴν οὔτ' ἐπὶ τὰς φρένας, οὔτ' ἐπ' ἄλλο τι χωρίον ἀφίξεται· πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ ξηρότατόν ἐστι τῇ κράσει τὸ διάφραγμα, δεῖται δὲ ἡ μήτρα κατὰ τοὺς ξηραίνεσθαι φάσκοντας αὐτὴν, ὑγρῶν μορίων κοινωνίας. ἴσως οὖν τις ἡμᾶς ἐρωτήσεται τὴν αἰτίαν, δι' ἣν ἀνασπωμένη τε καὶ περισπωμένη πολλάκις ἡ μήτρα φαίνεται· τοῦτο γὰρ αἱ μαιεύτριαι λέγουσιν, ὥσπερ γε καὶ ἔτι πολλάκις ἐπὶ τῆς οἰκείας ἕδρας μενούσης αὐτῆς, οὐδὲν ἧττον ἐπιλαμβάνει τὰς γυναῖκας ὑστερικὰ συμπτώματα. πειράσομαι δὴ τούτοις εἰπεῖν τὴν αἰτίαν, ἑπόμενος τοῖς ὑφ' Ἱπποκράτους εἰρημένοις. τὰς γάρ τοι τῶν ὑστερῶν ἐντάσεις αἰτίας γίνεσθαί φημι τοῦ καὶ τὸν αὐχένα ταῖς ἁπτομέναις μαίαις ἀνασπᾶσθαί τε καὶ περισπᾶσθαι φαίνεσθαι· συνεπισπᾶσθαι γὰρ ἀναγκαῖόν ἐστι ταῖς μήτραις τὸν αὐχένα. τίς οὖν αἰτία τοῦ τὰς μήτρας ἀνασπᾶσθαί τε καὶ περισπᾶσθαι; τοῦτο γὰρ ἔτι λείπει τῷ λόγῳ· τῶν πρὸς αὐτὰς καθηκόντων ἀγγείων ἡ πλήρωσις ἅμα τοῖς ἀρτήμασιν αὐτῶν· ἀπεδείχθη γὰρ ἡμῖν, ἡνίκα τὸν ἀφορισμὸν ἐξηγούμεθα, καθ' ὅν φησι τὸν σπασμὸν ἀπὸ κενώσεώς τε καὶ πληρώσεως γίνεσθαι, εἰς μὲν τὸ πλάτος τε καὶ τὸ βάθος ἐκτείνεσθαι τὰ τῶν πληρουμένων σώματα, βραχύτερον δὲ ἐργάζεσθαι τὸ μῆκος· ὅσον οὖν βραχύτερον γίνεται, τοσοῦτον ἐπὶ τὴν ἀρχὴν ἀνασπᾶται. καὶ γὰρ οὖν καὶ τοὺς μῦς ὁ Ἐρασίστρατος ἐκ τοῦ πληροῦσθαι πνεύματος εἰς εὖρος ἐπιδιδόντας, ἀφαιρεῖν φησι τοῦ μήκους, καὶ διὰ τοῦτ' ἀνασπᾶσθαι. πόθεν οὖν ἡ πλήρωσις γίνεται τῶν τε φλεβῶν, καὶ τῶν ἀρτημάτων; ἐκ τῆς ἐπισχέσεως δηλονότι τῶν καταμηνίων· ἀφικνεῖται γὰρ αἷμα εἰς τὰς μήτρας, εἴσω δ' οὐκ εἰσδέχεται τὸ αἷμα, ποτὲ μὲν αὐτὸ παχύτερον, ἢ κατὰ τὸ στόμα

primere; atque hanc ob rem respiratio redditur crebrior, sed nullo alio symptomate animal infestatur. Sed & prægnantibus vterus fœtui coextensus facit crebriorem respirationem, sed nihil aliud lædit. Quod autem exiccatus humoris desiderio ad viscera ascendat, id prorsus absurdū. Si enim simpliciter aliquando vterus requirat humorem, vesicam atque crassi intestini partem inferiorem totā sibi proximā habet; si verò non simpliciter humorē, sed sanguineū humorē desiderat, ad hepar potius, quā ad septū transuersum, ipsū moueri oportebat. At verò quid opus est, vt aliis extrinsecus irruat partibus, quum à denso tegumento, membraneo indumento ipsum ambiente contineatur? nam omnes partes quæ ad se se ab intestinis humorem trahunt, per ora quamplurima id efficiunt: atqui ad vterum multa admodum venarum ora perueniunt, per quas ex caua vena, cui ex hepate sanguis influit, sanguinem attrahere potest. Quem verò alium ductum hoc insigniorem quis inuenerit, quo ex hepate in vterum sanguis deferatur, aut per quem alium omnino vterus ex iecore quippiam attrahere possit? At licet hic cauæ venæ riuus non esset maximus, certe non est alius; hæc enim vnica vena partibus sub transuerso septo constitutis omnibus, ex hepate defert sanguinem. Absurda igitur omnino est illorum ratio, cum hoc, quòd vterum esse animal, hac ratione astruant. Sed si hoc quoque ipsis concedatur, lædetur vterus si propriis votis priuetur, ac fortassis alimentis destitutus tabescet, quemadmodum amantes palmas affici nonnulli perhibent; verùm ob hoc neque ad septum transuersum, neque ad alium quemuis locum perueniet. Nam (vt cætera omittamus) perquam aridum est temperamento septum transuersum; at vterus iuxta illorum placita, qui ipsum exiccari dicunt, humidarum partium communicatione indiget. Interrogabit ergo fortasse nos aliquis, quam ob causam sæpe sursum, sæpe in latus trahi vterus videatur? id enim obstetrices aiunt, vt & ipso in sua sede sæpenumerò manente, nihilominus mulieres hystericis symptomatis corripi. Equidē huius rei causam explicare tentabo, ea quæ ab Hippocrate dicta sunt, imitando. Nam vteri tensiones in causa esse dico, cur tangentibus obstetricibus, ceruix modò sursum, modò in latus trahi videatur; nam simul cum vtero ceruicem quoque ipsius retrahi necesse est. Quam ob causam igitur vterus, vel sursum, vel ad latus retrahitur? hoc enim huic sermoni adhuc deest. Ob vasorum ad ipsum peruenientiū plenitudinem vnà cum eorum vinculis; etenim ostendimus in enarratione eius aphorismi, quo inquit *conuulsionem à plenitudine fieri, & euacuatione, plenitudinem* corpora repletorum in latum, & profundum extendere, sed longitudinem abbreuiare; ergo quo efficiuntur breuiora, eo magis ad originem retrahuntur. Nam Erasistratus musculos quoque, si spiritu impleantur, in latitudine augeri, in longitudine verò minui, atque ob id etiam retrahi dicit. Vnde ergo oritur plenitudo tum venarum, tum vinculorum? nempè ex menstruorum retentione. Nam peruenit quidem ad vterum sanguis; sed ad interna ipsius ingredi non potest, aut quia crassior est, quàm vt per ora va-

sorum

sorum possit penetrare, aut quia clausa sunt ipsis ora: itaque abundans in venis eas extendit, atque vicina ipsis vincula madefacit; ad horum autem extensionem per continuitatem vterum retrahi necesse est. Igitur si æqualiter vndique trahatur, recta erit & sine inclinatione ipsius transmutatio; si verò inæqualiter, ad partem vehementiùs trahentem extendetur. Non ergo veluti animal errabundum, aliàs ad alium locum discurrit in mulieribus vterus, sed ab extensione retrahitur. Quòd si dixerit quispiam vteri corpus tum non esse affectum, sed peruersione laborare, quum alias aliorsum trahitur, haud absurda proferet. Nam circa reliquas quoque corporis partes accidit, vt huiusmodi appareant affectus; vt sæpenumerò decipiantur medici, qui peruersam partem, quia vel incuruari, vel extendi non possit, arbitrantur esse affectam. Atque hoc docens Hippocrates libro de articulis, etiam de vteri vocato errore mentionem fecit, ita scribens. *Quibus in posteriorem partem caput femoris exciderit, hoc autem rarò fit, hi crus extendere nequeunt, neque secundum luxatum articulum, neque adeò secundum poplitem; sed ij minimè, quibus ex vetusto idem contigit, & inguinis & poplitis articulum extendunt.* Hoc sermone quanuis poplitis articulus haudquaquam afficiatur, quia tamen cum inguine communicat, ipsum extendi non posse ait. Atque deinceps subiungens, inquit; *Sanè animaduertere hoc quoque oportet, nam & vtile est, & cuius magna sit habenda ratio, quanuis non paucos lateat; ne sanos quidem extendere posse poplitis articulum, non extenso inguinis articulo, nisi sursum admodum leuato pede, ita enim possunt; neque tamen similiter, sed longè maiori cum difficultate, flectere possunt poplitis articulum, nisi simul flectant articulum inguinis.* His dictis, deinceps ait; *Multæ verò & aliæ corporis partes eas habent societates, & secundum neruorum distentiones, & musculorum figuras; quinetiam plurima notatu fortasse digniora, quàm quis putauerit, & secundum intestinorum naturam & vniuersum ventriculum, atque vteri tum errores, tum extensiones.* His verbis Hippocrates de poplitis articulo dicere proposuerat, qui secundum naturam moueri non potest, non ob proprium ipsius affectum, sed ob eam quam cum ischio habet societatem; extensionum autem vteri mentionem fecit, quum ipse non per se transmutatur, sed extenditur à quibusdam aliis, quorum attrahentium sequax est. Igitur vteri peruersiones, eo quem diximus modo suppressa sequuntur menstrua; neque symptomatum animalis corpori oborientium causæ ipsæ sunt; sed communem habent causam, plenitudinem à suppressa menstruorum purgatione; quæ verò citra peruersionem, aut menstruorum retentionem viduas molestant noxæ, hæ ob retentum semen accidunt. Atque his pro multitudinis qualitatisve ratione tum menstruorum tum seminis, aliàs aliæ symptomatum species oriuntur. Etenim quum lædens causa vniuersum corpus refrigerare potest, hæ adeò vehementer refrigerantur, vt neque manifestè respirent, neque pulsum edant; si vel crassa fuerit, vel acris, conuulsiones aderunt; mœrores verò, si atra bilis exuberet, quemadmodum animi quoque defectiones, extensionum vehemētiæ, & refrigerationibus,

A τῶν ἀγγείων γεγονός, ἔστι δὲ ὅτε μυσάντων ἐκείνων· ὥστε ἐν ταῖς φλεψὶ πληθῦνον ἐκείνας τε διατείνειν, διαβρέχειν τε τὰ πλησίον αὐτῶν ἀρτήματα· τῇ δὲ τούτων τάσει κατὰ τὸ συνεχὲς αἱ μῆτραι συνανασπῶνται. ἐὰν μὲν οὖν ἰσορρόπως ἕλκωνται πάντοθεν, ἀπαρέγκλιτος αὐτῶν ἡ μετάστασις γίγνεται· ἐὰν δὲ ἑτερρόπως, πρὸς τὸ μᾶλλον ἕλκον ἐκτείνονται. οὔκουν οὐχ ὡς ζῶον πλανώμενον, ἄλλοτ' εἰς ἄλλον ἀφικνεῖται τόπον ἡ μήτρα ταῖς γυναιξὶν, ἀλλ' ὑπὸ συντάσεως ἀνελκομένη. καὶ λέγων ἄν τις αὐτὸ μὲν τὸ σῶμα τῶν

B ὑστερῶν ἀπαθὲς εἶναι τηνικαῦτα, τὴν διαστροφὴν δὲ πάσχειν αὐτὰς ἑλκομένας ἄλλοτ' ἀλλαχόσε, προσηκόντως ἐρεῖ. συμβαίνει γὰρ καὶ κατ' ἄλλα μόρια τοῦ σώματος ἡ τοιαύτη φαντασία τῶν παθῶν, ὡς πολλάκις ἐξαπατᾶσθαι τοὺς ἰατροὺς, οἰομένους πεπονθέναι τὸ διεστραμμένον, ἢ καμφθῆναι μὴ δυνάμενον ἢ ἐκταθῆναι. καὶ τοῦτο διδάσκων ὁ Ἱπποκράτης ἐν τῷ περὶ ἄρθρων βιβλίῳ, καὶ τῆς κατὰ τὰς μήτρας λεγομένης πλάνης ἐμνημόνευσεν ὧδέ πως γράψας. οἷς δ' ἂν εἰς τοὐπίσω κεφαλὴ μηροῦ ἐκπέσῃ, ὀλίγοισι δ' ἐκπίπτει, οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος, οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν, οὔτε τι κάρτα κατὰ τὴν

C ἰγνύην· ἀλλ' ἥκιστα τῶν ἐκ παλαιῶν οὗτοι ἐκτανύουσι καὶ τὸ κατὰ βουβῶνα, καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. ἐν τούτῳ τῷ λόγῳ, καίτοι μηδέν τι πεπονθὸς τὸ κατὰ τὴν ἰγνύην ἄρθρον, ἐκ τῆς πρὸς τὸ κατὰ τὸν βουβῶνα κοινωνίας ἀδυνατεῖν ἐκτείνεσθαι φησιν. εἶθ' ἑξῆς ἐπιφέρων ἐρεῖ. προσξυνιέναι μὲν καὶ τόδε χρὴ, εὔχρηστον γὰρ καὶ πολλοῦ λόγου ἄξιον, καὶ τοὺς πλείστους λήθει, ὅτι οὐδ' ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκτανύειν τὸ ἄρθρον, ἢν μὴ συνεκτανύσωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον, πλὴν εἰ μὴ πάνυ ἄνω ἄρωσι τὸν πόδα· οὕτως δ' ἂν δύναιντο. οὐ τοί-

D νυν οὐδὲ ξυγκάμπτειν δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτερον, εἰ μὴ συγκάμψωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον. ταῦτα προειπὼν, ἐφεξῆς φησιν. πολλὰ δὲ καὶ ἄλλα κατὰ τὸ σῶμα τοιαύτας ἀδελφίξιας ἔχει, καὶ κατὰ τὰς τῶν νεύρων ξυντάσιας, καὶ κατὰ μυῶν σχήματα· καὶ πλεῖστά τε καὶ πλείστου ἄξια γιγνώσκεσθαι, ἢ ὥς τις οἴεται, καὶ κατὰ τὴν τοῦ ἐντέρου φύσιν καὶ τὴν τῆς ξυμπάσης κοιλίης, καὶ τὰς τῶν ὑστερῶν πλάνας τε καὶ ξυντάσιας. ἐν ταύταις ταῖς λέξεσι προύθετο μὲν εἰπεῖν ὁ Ἱπποκράτης περὶ τοῦ κατὰ τὴν ἰγνύαν ἄρθρου, μὴ δυναμένου κινεῖσθαι κατὰ φύσιν, οὐ τῷ πεπονθέναι τι πάθος ἴδιον, ἀλλὰ τῇ

E κοινωνίᾳ τῇ πρὸς τὸ κατ' ἰσχίον· ἐμνημόνευσε δὲ καὶ τῶν κατὰ τὰς μήτρας συντάσεων, ὅταν αὐτὴ μὲν, ὅσον ἐφ' ἑαυτῇ μὴ μεθίστηται, τεινομένη δ' ὑπό τινων ἑτέρων, ἕπηται τοῖς ἐπισπωμένοις. αἱ μὲν οὖν διαστροφαὶ τῆς μήτρας κατὰ τὸν εἰρημένον τρόπον ἀκολουθοῦσι ταῖς τῶν ἐμμηνίων ἐπισχέσεσιν, οὐκ αὐταὶ τῶν περὶ τὸ σῶμα τοῦ ζώου συμπτωμάτων αἴτιαι γιγνόμεναι, κοινὴν δὲ αἰτίαν αὐτῶν κτώμεναι τὸ πλῆθος τῆς ἐπεσχημένης ἐμμηνίου καθάρσεως· αἱ δ' ἄνευ τῆς διαστροφῆς ἢ καὶ τῆς ἐπισχέσεως τῶν καταμηνίων, ταῖς χηρευούσαις γιγνόμεναι βλάβαι, διὰ τὴν ἐπίσχεσιν τοῦ σπέρματος συμβαίνουσι. παρὰ δὲ τὴν

F ποσότητά τε καὶ ποιότητα τοῦ τε καταμηνίου καὶ τοῦ σπέρματος, ἄλλοτ' ἄλλο συμπτώματος εἶδος αὐταῖς γίγνεται. ψύχειν μὲν γὰρ ὅλον τὸ σῶμα δυναμένου τοῦ λυποῦντος αἰτίου, καταψύχονται σφοδρῶς, ὡς μήτ' ἀναπνεῖν αἰσθητῶς, μήτε σφύζειν· παχέος δ' ὄντος ἢ δριμέος, οἱ σπασμοὶ γίγνονται· δυσθυμίαι δὲ, ὅταν ἡ μελαγχολικώτερον· ὥσπερ γε πάλιν λειποψυχίαι τε τῇ σφοδρότητι τῶν τάσεων ἕπονται, καὶ ταῖς καταψύξεσι, καὶ ταῖς τοῦ

στομάχου κακώσεσιν. εὔδηλον δὴ ὅτι τὸ στόμα τῆς γαστρὸς ἐν τοῖς τοιούτοις λόγοις εἰώθαμεν ὀνομάζειν στόμαχον, ὥσπερ καὶ ταῖς στομαχικαῖς συγκοπαῖς ἅπασι τοῖς ἰατροῖς ἔθος ἐστὶν οὕτω χρῆσθαι τῇ προσηγορίᾳ. ὅσα δὲ ταῖς ἐμμηνίοις καθάρσεσιν ἐπεχομέναις ἀκολουθεῖ συμπτώματα, καὶ γὰρ καὶ περὶ τούτων ὑπεσχόμην εἰπεῖν τι, νῦν ἤδη δίειμι, τὴν ἀρχὴν ἀφ᾽ ὧν Ἱπποκράτης ἐν ἀφορισμοῖς ἔγραψεν, ποιησάμενος, ὧν ἓν καὶ τόδε ἐστίν· ἢν γυνὴ μὴ κύουσα μηδὲ τετοκυῖα γάλα ἔχῃ, τὰ καταμήνια αὐτῆς ἐκλέλοιπεν. αὖθις δὲ τοῦ γάλακτος κατὰ τοὺς τιτθοὺς φαίνεσθαι, τῶν καταμηνίων ἐπεσχημένων καὶ τάδε σημεῖα· βάρους μὲν αἴσθησις ἐν ὅλῳ τῷ σώματι, καὶ ἄση, καὶ ἀνορεξία, καὶ ἀνωμαλία φρικώδης· ἐὰν δὲ χωρὶς φρίκης ἀνωμαλία τις ᾖ, καὶ ἄση, καὶ τινῶν ἀλλοκότων ἐπιθυμία, σκέψασθαι κέλευσον τὴν μαῖαν ἁψαμένην τοῦ τῆς μήτρας αὐχένος· εἰ γὰρ αὖθις σκληρότητος μεμυκὼς ᾖ, κυήσεως ταῦτ᾽ ἐστὶ σημεῖα· τινὲς δὲ αὐτῶν καὶ τὴν τροφὴν ἐμοῦσιν, ἐσθίουσί τε γῆν, ἢ ἄνθρακας ἐσβεσμένους, ἢ τινα τοιαῦτα. τὸ μέντοι μετὰ σκληρότητος μεμυκὸς στόμα τοῦ τῆς μήτρας αὐχένος, πάθος εἶναί τι κατὰ τὴν μήτραν σημαίνει, καὶ χρὴ σκοπεῖσθαι τὴν μαιεύτριαν, ἐς ὅ,τι μέρος περιέσπασταί τε καὶ ἀνέσπασται, κατ᾽ ἐκεῖνο γάρ ἐστιν ὁ πεπονθὼς τόπος τῆς ὑστέρας· ἐνίαις δὲ καὶ διασημαίνει τι κατ᾽ ἐκεῖνο τὸ μέρος ἄλγημα μετὰ βάρους, ἔρχεται δὲ καὶ εἰς ἰσχίον τὸ ἄλγημα, καὶ τὸ κατ᾽ εὐθὺ σκέλος αὐτῶν χωλεύει κατὰ τὴν ὁδοιπορίαν. κἂν πολλῷ χρόνῳ τὰ καταμήνια κρυφθῇ, καὶ μηδεμίαν κένωσιν ὁ ἰατρὸς τῇ γυναικὶ προσαγάγῃ, φαίνεταί τις ἐνίοτε κατὰ τὸν κενεῶνα παρὰ φύσιν ὄγκος, ἐνδεικνύμενος διὰ βάθους εἶναί τι φλεγμαῖνον· ἐνίαις δὲ καὶ φυματώδης ὄγκος ἐγείρεται κατὰ τὸ πέρας τοῦ κενεῶνος, οἷοι καὶ τοῖς ἀνδράσι γίγνονται κατὰ τὸ χωρίον τοῦτο, καί τινι διεπύησε καὶ τομῆς ἐδεήθη. κατὰ τοῦτο γοῦν τὸ μέρος καὶ κῶλον οἴδαμεν ἐκπυήσαντά τε καὶ τμηθέντα, ἐνίοτε μὲν ἀγνοούντων ὃ τέμνουσι, τῶν ἀπειροτέρων ἰατρῶν, ἔστι δ᾽ ὅτε καὶ γιγνωσκόντων· καὶ πάντ᾽ ἰάθη τὰ οὕτως ἐκπυήσαντα κῶλα ῥᾳδίως, αἱ δὲ κατὰ τὴν μήτραν τομαὶ, δυσχερέστερον εἰς σύμφυσιν ἔρχονται. τοιαῦτα μὲν οὖν ἕπεται συμπτώματα ταῖς τῶν καταμηνίων ἐπισχέσεσι, καὶ χωρὶς τούτων ἀλγήματα κατ᾽ ὀσφὺν καὶ τράχηλον καὶ βρέγμα, καὶ τὰς τῶν ὀφθαλμῶν βάσεις, πυρετοί τε καυσώδεις, καὶ οὖρα μελαινόμενα μετ᾽ ἐρυθροῦ τινος ἰχῶρος, ὥσπερ εἰ κρεῶν νεοσφαγῶν πλύμασι μίξαις ἀσβόλην· ἔνιαι δὲ καὶ δυσουροῦσι, καὶ ἰσχουροῦσι. ὅτ᾽ ἂν οὖν τι τοιοῦτον ἴδῃς ἐπὶ γυναικῶν, ὑπόπτευε κατὰ τὰς μήτρας εἶναι τὴν οἷον ῥίζαν αὐτῶν. ἐὰν δὲ καὶ κατ᾽ ἄλλον τινὰ τόπον τοῦ σώματος ἔκκρισις αἵματος ἢ φλεγμονή τις ᾖ, ἢ ἐρυσίπελας γίνηται, πυνθάνεσθαι χρὴ περὶ τῆς ἐμμήνου καθάρσεως· οὐδὲν γὰρ τούτων γίγνεται ταῖς ἀμέμπτως καθαιρομέναις. ταῖς μὲν οὖν ἐπισχέσεσι τῆς ἐμμήνου καθάρσεως, τοιαῦτα τοὐπίπαν ἐπιγίγνεται συμπτώματα· ταῖς δ᾽ ἀμέτροις κενώσεσιν, ἀχροιαι, καὶ ποδῶν οἰδήματα καὶ ὅλον ὑποιδὲς τὸ σῶμα, καὶ μοχθηρῶς πέττειν τὰ σιτία, καὶ φαύλως ὀρέγεσθαι, καὶ πάνθ᾽ ὅσα δι᾽ αἵματος ἄμετρον κένωσιν εἴωθεν ἕπεσθαι συμπτώματα, κἂν ἐξ αἱμορροΐδος, ἢ τινος ἄλλης αἱμορραγίας ἡ κένωσις γίνηται. καὶ χωρὶς δὲ τοῦ πεπονθέναι τὰς μήτρας, ὁ καλούμενος ῥοῦς γυναικεῖος ἔστιν ὅτε συμβαίνει ταῖς γυ-

A & stomachi deprauationibus succedunt. Constat autem, quòd in huiusmodi sermonibus, os ventriculi stomachum solemus appellare, vt & omnibus medicis mos est in syncope stomachicâ huiusmodi vti appellatione. Sed quæ symptomata menstruas purgationes suppressas sequuntur (nam de his quoque nonnihil me dicturum pollicitus sum) nunc enarrare aggredior, sumpto initio ab iis quæ Hippocrates in aphorismis scripsit, quorum id vnum est; *Si mulier neque prægnans neque puerpera lac habeat, ipsius menstrua defecerunt.* At nullo in mam- B mis apparente lacte, menstruorum suppressorum etiam hæc signa sunt; grauitatis sensus in corpore, fastidium, deiecta cibi appetẽtia, horror inæqualis; quòd si citra horrorem inæqualitas aliqua fuerit, & fastidium, & alienorum quorundam cupiditas, iube obstetricem vteri ceruicem tangere: nam si citra duritiem clausa sit, grauiditatis hæc signa sunt; ex iis etiam nõnullæ cibum euomunt, ac terram, aut extinctos carbones, aut quædam huiusmodi edunt. Si verò cũ duritie clausum fuerit os ceruicis vteri, affectum aliquem in vtero esse significat; C oportetque obstetricem speculari, ad quam partem vel declinet, vel retrahatur, nam in ea parte affecta vteri sedes est; atque in quibusdam eius partis dolor cum grauitate apparet; quinetiam in coxam dolor transit, ac crus ipsum, quod è regione est, per incessum claudicat. Quòd si longiori tempore supprimantur menstrua, nullamque medicus mulieri vacuationem promoueat, tumor aliquis præter naturam in ilibus interdum exoritur, ostendens ex internis partibus quampiam esse inflammatam; nonnullis panus in extrema ilium par- D te excitatur, quales tumores viris eodem in loco oriuntur, qui nonnunquam suppurati secari debent. Vidimus in hac parte etiam colum suppuratum sectumque, interdum ignorantibus medicis inexpertis, quid inciderent, interdum intelligentibus quoque. Atque ab huiusmodi tumore suppurato in colo, nemo non facilè sanus euasit, vteri verò sectiones maiori cum difficultate conglutinantur. Huiusmodi ergo symptomata, suppressa menstrua sequuntur, ac præterea lumborum, & colli, & sincipitis dolor, & oculorum baseos, item febres ardentes, & vrinæ nigricantes cum rubra quadã E sanie, perinde ac si carnium recens mactatarum loturis fuliginem miscueris; quibusdam vrina aut difficulter redditur, aut omninò supprimitur. Quum ergo horum aliquod in muliere conspexeris, vterum veluti radicem ipsorum esse coniice. Quòd si per alium etiam quempiam corporis locum sanguis effluxerit, aut inflammatio, aut erysipelas excitetur, an mẽstrua purgentur, interrogare debes; siquidem nihil horum accidit integrè purgatis. Igitur suppressionem menstruæ purgationis huiusmodi plerunque sequuntur symptomata; immoderatas F autem vacuationes decoloratio, pedum œdemata, totum corpus subtumidum, vitiosa ciborum tum concoctio, tum cupiditas, & quæcunque ob immoderatam sanguinis vacuationem, siue ex hæmorrhoide, siue alio quodam sanguinis fluore euenientem, sequi consueuerunt symptomata. Sed accidit interdum fœminis muliebre vocatum profluuium, vel vtero haudquaquam

quaquam affecto, quum vniuersum corpus per ipsum expurgatur, euacuaturque, quemadmodum interdum per renes quoque euacuatur; id verò potissimum fit, si mulieres laxis sint carnibus, & pituitosæ; quas etiam intacto vtero, vniuerso corpori adhibitis remediis, sanauimus. Quod autem excernitur, nonnunquam rubra sanies est, interdum aquosa, aut subpallida; quòd si purus fuerit sanguis, qualis sectâ venâ cernitur, diligenter animaduertere oportet, numquæ erosio sit in vtero; ea verò magna ex parte in ceruice potius, quam alibi contingere solet; discerniturque per excretam saniem, si fuerit profunda; si verò circa os ceruicis constiterit, non solùm per hanc, sed tactu quoque. Atque prægnãtes quoque, quum ora venarum in ceruice aperiuntur, sanguinem excernunt. Si verò mulieri grauidæ, mammæ subitò extenuentur, ipsam abortũ facturam expecta. Atque geminos ferentis, altera mamma extenuata, alterum fœtum aborturum portendit; ac omninò dextra marẽ, sinistra fœminam. Quoniam fœtus mares in parte vteri dextra vt plurimum feruntur, fœminæ in sinistra, atque rarò contrarium accidit, vt animalibus quoque, quæ sua natura geminos gerunt, accidere videmus, vt capris, ouibus, atque aliis quadrupedibus non paucis. Si verò mulier promptè quidem concipiat, sed secundo, aut tertio, aut quarto imprægnationis mense fœtum eijciat, circa vteri acetabula humor ei pituitosus accumulatur; quo venarum arteriarumque in chorio tunica existentium, ad ora vasorum in vterum descendentium, nexus ita debilis fit, vt fœtum ob grauitatem ferre nequeat, sed facilè abrumpatur.

ναιξὶν, ὅλου τοῦ σώματος ἐκκαθαιρομένου τε καὶ κενουμένου δι' αὐτῆς, ὥσπερ ἐνίοτε καὶ διὰ νεφρῶν ἐκκενοῦται· καὶ γίνεται τοῦτο μάλιστα ταῖς ἁπαλοσάρκοις τε καὶ φλεγματώδεσι· ἃς καὶ χωρὶς τοῦ ψαῦσαι τῆς μήτρας, ἰασάμεθα διὰ τῶν τοῦ παντὸς σώματος βοηθημάτων. ἔστι δὲ τὸ κενούμενον, ἐνίοτε μὲν ἐρυθρὸς ἰχώρ, ἔστιν ὅτε δ' ὑδατώδης ἢ ὕπωχρος· εἰ δ' αἷμα καθαρὸν ὡς ἐν φλεβοτομίᾳ φαίνοιτο, προσέχειν ἀκριβῶς, μή τις ἀνάβρωσις γέγονεν ἐν τῇ μήτρᾳ· συμβαίνει δ' ὡς τὸ πολὺ κατὰ τὸν αὐχένα μᾶλλον, ἢ ἀλλαχόθι, τὰς ἀναβρώσεις αὐτῆς γίνεσθαι· διαγινώσκονται δὲ τοῖς φερομένοις ἰχῶρσιν αἱ βυθιώτεραι, κατὰ δὲ τὸ στόμιον τοῦ αὐχένος, οὐ τούτοις μόνον, ἀλλὰ καὶ διὰ τῆς ἀφῆς. ἐκκρίνεται δ' αἷμα καὶ τῶν κυουσῶν ἐνίαις, ἀναστομουμένων τῶν κατὰ τὸν αὐχένα φλεβῶν. εἰ δὲ κυούσης γυναικὸς, ἐξαίφνης ἰσχνοὶ γένοιντο οἱ τιτθοὶ, προσδόκα ταύτην ἐκτρώσειν· δίδυμα δὲ κυούσης ὁ ἕτερος τιτθὸς ἰσχνὸς γινόμενος, ἐκτρωθήσεσθαι σημαίνει τὸ ἕτερον τῶν ἐμβρύων· καὶ τοὐπίπαν τὸ μὲν ἄρρεν ὁ δεξιὸς, τὸ δὲ θῆλυ ὁ ἕτερος· ἐπειδὴ τὰ μὲν ἄρρενα τοὐπίπαν, ἐν τοῖς δεξιοῖς μέρεσι τῶν μητρῶν κυΐσκεται, τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖς, καὶ σπάνιόν ἐστι τὸ ἐναντίον, ὡς κἀπὶ τῶν ἄλλων φαίνεται ζώων, οἷς ἡ φύσις ἐστὶ διδυμοτόκος· αἶγές τε γὰρ πολλαὶ καὶ πρόβατα, τοιαῦτα, καὶ τῶν ἄλλων τετραπόδων ζώων οὐκ ὀλίγα. εἰ δὲ κυΐσκοιτο μὲν ἑτοίμως ἡ γυνὴ, δίμηνον δὲ καὶ τρίμηνον ἢ τετράμηνον ἐκβάλλῃ τὸ κύημα, περὶ τὰς κοτυληδόνας αὐτῇ τῶν μητρῶν ὑγρότης φλεγματώδης ἀθροίζεται, δι' ἣν ἡ τῶν γινομένων ἐν τῷ χορίῳ φλεβῶν τε καὶ ἀρτηριῶν σύμφυσις τοῖς στόμασι τῶν καθηκόντων εἰς τὴν μήτραν ἀγγείων, ἄτονός ἐστι, ὡς μὴ φέρειν τὸ τοῦ κυουμένου βάρος, ἀλλ' ἀπορρήγνυσθαι ῥᾳδίως.

CAPVT VI. — ΚΕΦΑΛΑΙΟΝ ϛ'.

De colis affectibus, vlcere, gonorrhœa, ac priapismo.

Περὶ τῶν κατὰ τὸ αἰδοῖον παθῶν, ἑλκώσεως, γονορροίας, πριαπισμοῦ.

QVemadmodum pauca ex iis quæ per anũ excernuntur, vicinorum ipsi locorum affectorum signa sunt; plurima verò ex iis intestinorum, & ventriculi, & splenis, & iecoris, atque non rarò humorum in vniuerso corpore exuperantium notæ sunt; eodem modo pauca eorum, quæ per colem excernuntur, proprium ipsius affectum ostendunt; sed multa vesicæ, renum, hepatis, splenis, pulmonis, thoracis, atque humorum in vniuerso corpore affectionis signa sunt; verum hæc per alia, quæ vnicuique parti affectæ assidere diximus, distinguũtur. Affectum tamen colem ex his dignosces. Vlceris quidem ipsius manifestum indicium dolor est ipsum obsidens; tum siquid eorum per vrinas excernatur, quæ vlceri assident. Id verò ab eo quod è vesica fertur, discerni potest, quòd ipsum in primo protinùs exitu apparens vrinam præueniat; quòd verò à vesica egreditur, vrinæ admixtum sit; quinetiam assiduè inter meiendum mordacia sunt pudendorum vlcera, præcipuè quum vel crustulâ, vel sordibus solutis, pura fuerint. Multò verò magis & ipsius inflãmationes, & reliqua huiusmodi, citra signum dignoscuntur. Verùm de gonorrhœa, & priapismo fusiùs differere satius fuerit. Ergo gonorrhœa est seminis excretio inuita, quam in-

ὭΣπερ ὀλίγα τῶν διὰ τῆς ἕδρας ἐκκρινομένων, σημεῖα τῶν πλησίων αὐτῆς ἐστι τόπων πεπονθότων, τὰ πλεῖστα δ' αὐτῶν, τῶν ἐντέρων καὶ τῆς γαστρὸς, καὶ τοῦ σπληνὸς, καὶ τοῦ ἥπατος, οὐκ ὀλιγάκις δὲ καὶ τῶν ἐν ὅλῳ τῷ σώματί ἐστι χυμῶν γνωρίσματα· κατὰ τὸν αὐτὸν τρόπον ὀλίγα τῶν κατὰ τὸ αἰδοῖον ἐκκρινομένων ἴδιον αὐτοῦ πάθος ἐνδείκνυται, τὰ πολλὰ δὲ κύστεως καὶ νεφρῶν, ἥπατός τε καὶ σπληνὸς, καὶ πνεύμονος καὶ θώρακος, καὶ τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως τῶν χυμῶν ἐστι σημεῖα· διορίζεται δὲ τοῖς ἄλλοις, ἃ συνεδρεύειν εἴπομεν ἑκάστῳ μορίῳ πάσχοντι. τό γε μὴν αἰδοῖον αὐτὸ πεπονθέναι γνωριεῖς ἐκ τῶνδε. τῆς μὲν ἑλκώσεως αὐτοῦ γνώρισμα σαφὲς, ἡ ὀδύνη κατ' αὐτὸ γινομένη, μετὰ τοῦ κατὰ τὰς οὐρήσεις ἐκκρίνεσθαί τι τῶν συνεδρευόντων τῷ ἕλκει. καὶ διακρίνεταί γε ταῦτα τῶν ἐκ κύστεως φερομένων, τῷ φθάνειν αὐτὰ κατὰ τὴν πρώτην ἔξοδον ἐπιφαίνεσθαι, τὰ δ' ἐκ τῆς κύστεως ἀναμεμίχθαι τοῖς οὔροις· ἀλλὰ καὶ δάκνεται κατὰ τὰς οὐρήσεις[14] συνεχῶς τὰ ἐν τοῖς αἰδοίοις ἕλκη, καὶ μᾶλλον ὅταν ἀπολυθείσης ἐφελκίδος, ἢ ῥύπου, καθαρὰ γένηται· πολὺ δὲ μᾶλλον αἵ τε φλεγμοναὶ καὶ τὰ ἄλλα τὰ τοιαῦτα χωρὶς σημείου διαγινώσκεται. περὶ δὲ γονορροίας τε καὶ πριαπισμοῦ διελθεῖν ἐπὶ πλέον ἄμεινον. ἡ μὲν οὖν γονόρροια, σπέρματος ἀπόκρισις

ἐστὶν ἀκούσιος, ἔξεστι δὲ καὶ ἀπροαίρετον ὀνομάζειν, ὥσπερ καὶ σαφέστερον, ἀπόκρισιν σπέρματος συνεχῶς γιγνομένην, χωρὶς τῆς κατὰ τὸ αἰδοῖον ἐντάσεως. ὁ δὲ πριαπισμὸς, αὔξησις εἰς μῆκός τε καὶ κύκλον ἐστὶν ὅλου τοῦ αἰδοίου, χωρὶς ἀφροδισίου προθυμίας, ἤ τινος θερμασίας ἐπικτήτου, καθάπερ ἐνίοις γίνεται καὶ κοιμωμένοις ὑπτίως· οὕτω γὰρ αὐτὸν ὑπετυπώσαντό τινες, ἔνεστι καὶ συντομώτερον, αὔξησιν μόνιμον τοῦ αἰδοίου, ἢ ἐξοίδησιν μόνιμον· ὠνόμασται δὲ παρωνύμως ἀπὸ τοῦ Πριάπου δηλονότι· καὶ γὰρ ἐκεῖνον ὡς φύσει τοιοῦτον ἔχοντα τὸ αἰδοῖον, οἱ ἄνθρωποι πλάττουσί τε καὶ γράφουσι. τὸ δὲ τῆς γονορροίας ὄνομα, προφανῶς ἐστὶ σύνθετον ἔκ τε τῆς γονῆς, καὶ τοῦ ῥεῖν· ὀνομάζεται γὰρ τὸ σπέρμα, καὶ γονὴ καὶ γόνος. ὥσπερ δὲ καὶ τἄλλα πάντα τὰ ἐκ τοῦ σώματος ἡμῶν ἐκκενούμενα, κατὰ διττὸν τρόπον τοῦτο πάσχει, ποτὲ μὲν ἐκ τῶν περιεχόντων αὐτὰ σωμάτων ἐκκρινόμενα, ποτὲ δὲ αὐτομάτως ἐκρέοντα δι᾽ ἀρρωστίαν τῶν αὐτῶν σωμάτων οὐ κατεχόμενα· οὕτως καὶ τὸ σπέρμα. τῆς μὲν γὰρ φύσεως ἔργον ἐστὶν, ἐπὶ τῶν τοιούτων ἁπάντων, ὥσπερ τὸ ἐκκρίνειν ἐπὶ τοῖς προσήκουσι καιροῖς, οὕτω καὶ τὸ κατέχειν. ἀλλὰ τὸ μὲν ἐκκρίνειν γίγνεται, τοῦ μὲν πόρου τῆς ἐκροῆς ἀνοιγνυμένου, τοῦ δ᾽ ἄλλου κύτους περιστελλομένου τε καὶ ὠθοῦντος ἐπὶ τὸν ἀνεῳγμένον πόρον, ἅπαν τὸ περιεχόμενον ἐν τῇ κοιλότητι· τὸ δὲ κατέχεσθαι, διαμένοντος μὲν ἐν τῷ κεκλεῖσθαι τοῦ πόρου, μηδεμιᾶς δὲ εἰς τὸ περιεχόμενον ἐκ τοῦ περιέχοντος ὤσεως γιγνομένης, ἀλλὰ τοὐναντίον ἅπαν, περιστολῆς τε καὶ κρατήσεως. οὕτως μὲν ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων, αἵ τε ἐκκρίσεις, καὶ αἱ κατοχαὶ γίγνονται τῶν περιεχομένων ὑγρῶν ἐν τοῖς κοίλοις ὀργάνοις· ἐπὶ δὲ τῶν παρὰ φύσιν, αἱ μὲν ἐποχαὶ, δι᾽ ἀρρωστίαν τῆς ἐκκριτικῆς δυνάμεως, αἱ δὲ ἐκκρίσεις, διά τινα τῆς καθεκτικῆς ἀσθένειαν, ἤ τινα διάθεσιν ὁμοίως τῇ κατὰ φύσιν ἐκκριτικῇ κινοῦσαν τὰ μόρια, καθάπερ ἐπ᾽ αὐτῶν τῶν σπερματικῶν, ἐν ἐπιληψίαις τε συμβαίνει καὶ τοῖς ἄλλοις σπασμοῖς, ὁπόταν βιαίως γίγνωνται. ὁρῶμεν δὲ καὶ καθ᾽ ἕτερα μόρια τοὺς σπασμοὺς, οἷον χεῖρας, ἢ πόδας, ἢ δακτύλους, ἐνίοτε μὲν ἅμα τῷ παντὶ σώματι σπωμένῳ γιγνομένους, ἐνίοτε δὲ μόνων πασχόντων. οὐδὲν οὖν ἐστιν ἄλογον, ἐν τοῖς σπερματικοῖς ἀγγείοις ποτὲ μόνοις γίγνεσθαι τοιαύτην διάθεσιν, ὥσπερ γε καὶ τὴν τῆς γονορροίας, ἀνάλογον οὔρων ἐκκρίσεσιν ἀκουσίοις, ὅταν ἡ κατέχουσα δύναμις αὐτὴ παραλυθεῖσα τύχῃ. γονόρροια μὲν οὖν, τῶν σπερματικῶν ὀργάνων ἐστὶ πάθος, οὐ τῶν αἰδοίων, οἷς ὁδῷ χρῆται πρὸς ἔκροιαν ἡ γονή· ὁ πριαπισμὸς δὲ σαφῶς τοῦ αἰδοίου φαίνεται σύμπτωμα, δυνατὸν δ᾽ ἐστὶ καὶ μηδὲν αὐτοῦ πεπονθότος ἴδιον ἐξαίρετον πάθημα, τῶν ἀρτηριῶν εἶναι μόνον, τοιαύτην ἰσχουσῶν διάθεσιν ἐνίοτε παρὰ φύσιν, ὁποία αὐταῖς συμβαίνει, ὅτε ἡ κατὰ φύσιν ἔντασις ἐγίγνετο τοῦ παντὸς αἰδοίου. ὅτι μὲν γὰρ ὑπὸ πνεύματος ἐξοιδίσκεται, πρόδηλόν ἐστι τεκμηριουμένοις τῷ τάχει τῆς ὀγκώσεώς τε καὶ συστολῆς· ὑγρὸν γὰρ οὐδὲν οὕτω ταχεῖαν ἐφ᾽ ἑκάτερα τὴν μεταβολὴν οἷόν τε ἐστὶ ποιεῖσθαι. τούτου δ᾽ οὕτως ἔχοντος, καὶ φαινομένων ἐν ταῖς ἀνατομαῖς ἀρτηριῶν μεγάλων εἰς μικρὸν μόριον τὸ αἰδοῖον ἐμβαλλουσῶν, φαινομένης δὲ καὶ τῆς οὐσίας τοῦ αἰδοίου τοιαύτης, ὁποίαν οὐδὲν ἄλλο μόριον ἔχει (σῶμα γάρ ἐστι νευρῶδες τὴν ἰδέαν, σηραγγῶδες ὅλον, χωρὶς τῆς καλουμένης βαλάνου) τί δὴ ἄλλο

ὁποίας αὐτῷ ἔντασις συμβαινούσης, ἡ κατὰ φύσιν ἔντασις ἐγένετο.

A uoluntariam quoque nominare licet, quemadmodum significantiùs, seminis assiduam excretionem, cole haudquaquam extenso. Priapismus verò est, vniuersi colis in longitudinem, & circulum porrectio, nullo stimulante ad libidinem desiderio, aut ascititio calore, vt quibusdam accidere consueuit supinè decumbentibus; sic enim quidam ipsum descripserunt; at breuiori quoque compendio licet, permanentem colis auctionem, aut permanentem tumorem. Deducta verò denominatio est à Priapo B scilicet; nam illum naturâ huiusmodi colem habentem fingunt atque pingunt homines. Gonorrhœæ autem nomen planè compositum est ex γονῆς, & ῥεῖν *fluere*; etenim semen modò γονὴ, modò γόνος, nominatur. Quemadmodum autẽ alia omnia nostro è corpore duobus modis vacuantur; interdum à continentibus ipsa corporibus excreta; interdum sponte effluentia, quòd ob imbecillitatem ipsorum corporum contineri non possint; ita etiam semen. Nam in omnibus huiusmodi, vt excernere tempesti- C uè, ita continere, naturæ officium est. Verùm excretio fit, aperto quidẽ fluxionis meatu, reliquo verò conceptaculo contracto, & ad apertum iam meatum, quicquid in spacio continetur, propellente; retentio verò, quum clausus permanet meatus, & contentum à continente haudquaquam propellitur, sed contrà per contractionem comprehenditur, & retinetur. Hoc modo contenti in cauis organis humores, in ijs qui secundum naturam se habent & excernuntur, & retinentur; in illis autem, qui præter naturam se habent, retentio quidem ob excretricis facultatis imbecillitatem; excretio verò ob D retentricis facultatis infirmitatem euenit, vel ob affectionem aliquam, quæ haud secus, quàm naturalis ipsa excretrix facultas, partes moueat; vt in seminariis vasis accidit per comitialem morbum, vel alias conuulsiones, quæ violenter irruunt. Cæterùm videmus alias quoque partes, vt manus, aut pedes, aut digitos conuelli, modò simul cum vniuersi corporis conuulsione, modò ipsis solis affectis; proinde haudquaquam absurdum in seminariis vasis solis aliquando huiusmodi affectionem excitari; E quemadmodum & gonorrhœam (quæ inuitæ vrinarum excretioni, proportione respondet) quum retentricem facultatem resolui contigerit. Igitur gonorrhœa spermaticorum vasorum affectio est, non pudendorum, quæ seminis genitalis via sunt, qua excernatur; priapismus verò planè colis est symptoma; fieri potest etiam, vt nullo præcipuo proprioque ipsum affectu infestante, ad arterias solas referatur, quę solæ interdum huiusmodi habeāt præter naturam affectionẽ, qualis ipsis accidit, quũ secun- F dmu naturam totus colis intẽditur. Quod enim à spiritu in tumorẽ attollatur, manifestè patet iis, qui eius tum intumescentis, tum se contrahentis celeritatem perpendunt; nam nullus humor tam subitam in alterutram partem mutationem efficere potest. His sic se habentibus, quum in corporum dissectione magnæ videantur arteriæ in pudendum (exiguam partem) ferri, sitque colis substantia talis, qualem in nulla alia parte videre est (corpus enim neruosum est, atque vndecunque fistulosum, exceptâ eâ parte, quam glandem vocant) quid aliud cogitare

cogitare quis possit, quàm vaporoso spiritu ab arteriis affluente, per extensiones eum in tumorem attolli, ideoque glãdem æqualem semper habere magnitudinem, quia fistulosus in ipsam neruus non ingreditur? Ergo quæ causa est, cur quum libidinis impetu quis stimulatur, aut ob supinum decubitum calefacti sũt lumbi, colis extendatur? hac enim inuẽtâ, priapismi quoque affectionem inuentum nobis iri sperandũ. Quòd enim necessariò princeps causa sit plenitudo, vel arteriarum, vel nerui fistulosi, aut etiã vtriusque, quum ex priore constitutione mutantur, palam constat; at verò, vtrius eorum magis, aut num etiam amborum, deinceps cõsideremus, hinc sermonis nostri sumpto exordio. Natura corporis partes conformans, perficiensque, vt ipsæ citra doctrinã proprias actiones aggrederentur, effecit; cuius rei accuratissimum aliquando fecimus periculum, hœdum ita alendo, vt matrem quæ ipsum in vtero gestauerat, nunquam vidisset. Quum enim grauidas capras dissecarem, dissectorum virorum quæstionibus, quibus fœtûs in vtero formationem speculantur, promotus, inueni generosum fœtum, quem à matre absolutum, vt solemus, abstuli, priusquam ipsam videret; atque in domum quandam, vbi multæ pelues erant, deposui, quarum aliæ vini, aliæ olei, aliæ mellis, aliæ lactis, aut alterius cuiuspiam humoris erãt plenæ; fructuũ non paucæ tum cerealium, tum ab arboribus. Hunc itaque hædum conspeximus, in primis quidem pedibus incedentem, perinde ac si audiuisset sibi incessûs gratiã crura fuisse concessa; deinde excutientem quam à matre contraxerat humiditatem; tertiò postea pede latus scalpentem; eum deinde singula per domum *vasa* olfacere vidimus; ac percepto omnium odore, lac tandem sorbuit; quibus visis omnes exclamauimus, quod Hippocrates dixit, manifestè cernẽtes; *Animalium naturæ non edoctæ*. Sic ergo hædum hunc educatum, non solùm lac, sed multa insuper alia, quæ fortè offerebantur, comesse postea vidimus. At quia non longè aberat vernum æquinoctium, quum eriperetur hœdus à matre, exactis duobus ferè mensibus, tenellos ei fruticum & plantarum ramos obtuli, quorum iterum omnium expertus odorem, alios quidem contempsit, alios verò gustauit, atque sic ad consuetos adultarum quoque caprarum cibos conuersus est. Sed hoc fortasse parui momenti est; illud verò magni, quod folijs, & teneris ramusculis deuoratis bibit, tum paulò post ruminare cœpit; quod rursus omnes videntes exclamauerunt, naturales animalium facultates admirati. Magnum enim erat, quòd impellente fame, per os atque dentes cibum assumpsisset; at illud vehementiùs admirati fuimus, quòd cibum in ventriculo iam contentum, in primis quidem ad os subleuando reduceret, deinde multo tempore mandendo tereret, postremò rursus ipsum deuoraret, non in eundem, sed in alium ventriculum. At multi huiusmodi naturæ munera despiciunt, sola peregrina spectacula admirantes; quanquam quis non miretur, medicos in secandis corporibus peritissimos quærere, à quo musculo articulus hic extendatur, exempli gratia coxæ, aut à quo incuruetur, aut qui sint, qui ipsum in vtranq; partem transuersum abducunt,

A τις ἐννοῆσαι δύναιτο, παρὰ τὸ πληρούμενον ἀτμώδους πνεύματος ἐκ τῶν ἀρτηριῶν ἐπιρρέοντος, τὸ ἐν ταῖς ἐντάσεσιν ὄγκον ἴσχειν, καὶ διὰ τοῦτο τὴν βάλανον ἴσον ἀεὶ τὸ μέγεθος ἔχειν, ὅτι τὸ συριγγῶδες αὐτῇ νεῦρον οὐκ ἐνυπάρχει; τίς οὖν αἰτία τοῦ κατὰ τὰς ἀφροδισίους ὁρμὰς ἐντείνεσθαι τὸ αἰδοῖον; ἢ τίς καὶ κεκμηκόσιν, ὅταν ὕπτιοι κατακείμενοι θερμαίνωσι τὴν ὀσφύν; εὑρεθείσης γὰρ αὐτῆς, ἐλπίς ἐστι καὶ τὴν τοῦ πριαπισμοῦ διάθεσιν εὑρήσειν ἡμᾶς. ὅτι μὲν γὰρ ἤτοι ἐκ τῶν ἀρτηριῶν, ἢ ἐκ τοῦ συριγγώδους νεύρου, τὴν ἀρχηγὸν αἰτίαν, ἢ καὶ συναμφοτέρων μεταβολὴν ἰόντα ἐκ τῆς ἔμπροσθεν καταB στάσεως, ἀναγκαῖόν ἐστι γίγνεσθαι τὴν πλήρωσιν, ἄντικρυς δῆλον· ἐξ ὁποτέρου δὲ αὐτῶν μᾶλλον, ἢ εἰ καὶ ἐξ ἀμφοτέρων, ἐφεξῆς σκοπῶμεν, ἀρχὴν τῷ λόγῳ τὴν δε θέμενοι. τὰ μόρια τοῦ σώματος, ἡ διαπλάσασά τε καὶ τελειώσασα φύσις εἰργάσατο χωρὶς διδασκαλίας ἐπὶ τὴν οἰκείαν ἐνέργειαν ἔρχεσθαι· καὶ βάσανόν γε τούτου μεγίστην ἐποιησάμην ποτὲ θρέψας ἔριφον, ἄνευ τοῦ θεάσασθαί ποτε τὴν κυήσασαν. αἶγας γὰρ ἐγκύμονας ἀνατεμὼν ἕνεκα τῶν ἐζητημένων θεωρημάτων τοῖς ἀνατομικοῖς ἀνδράσι περὶ τῆς κατὰ τὸ κυούμενον οἰκονομίας, εὑρών ποC τε γενναῖον τὸ ἔμβρυον, ἀπέλυσα μὲν τῆς μήτρας, ὥσπερ εἰώθαμεν ἁρπάσας πρὶν θεάσασθαι τὴν κυήσασαν, εἰς οἶκόν μέν τινα κομίσας κατέθηκα, πολλὰ μὲν ἔχοντα λεκάνια, τὸ μὲν οἴνου, τὸ δὲ ἐλαίου, τὸ δὲ μέλιτος, τὸ δὲ γάλακτος, ἢ ἄλλου τινὸς ὑγροῦ πλῆρες, οὐκ ὀλίγα δὲ ἄλλα τῶν δημητρίων καρπῶν, ὥσπερ γε καὶ τῶν ἀκροδρύων. ἐθεασάμεθα δὲ τὸ ἔμβρυον ἐκεῖνο, πρῶτον μὲν βαδίζον τοῖς ποσίν, ὡς περ ἀκηκοὸς, ἕνεκα βαδίσεως ἔχειν τὰ σκέλη· δεύτερον δὲ ἀποσειόμενον τὴν ἐκ τῆς μήτρας ὑγρότητα· καὶ τρίτον ἐπὶ τούτῳ, κνησάμενον ἑνὶ τῶν ποδῶν τὴν D πλευράν· εἶτ᾽ ἐσμώμενον εἴδομεν αὐτὸ τῶν κειμένων κατὰ τὸν οἶκον ἑκάστου. ὡς δὲ πάντων ὠσμᾶτο, τοῦ γάλακτος ἀπερρόφησεν, ἐν ᾧ καὶ ἀνεκεκράγαμεν ἅπαντες, ἐναργῶς ὁρῶντες, ὅπερ Ἱπποκράτης ἔφη· φύσιες ζώων ἀδίδακτοι. καὶ τοίνυν καὶ ἀνεθρέψαμεν ἐκεῖνο τὸ ἐρίφιον, εἴδομέν τε προσφερόμενον ὕστερον οὐ τὸ γάλα μόνον, ἀλλὰ καὶ ἄλλα τινὰ τῶν κειμένων. ὄντος δὲ τοῦ καιροῦ, καθ᾽ ὃν ἐξῃρέθη τῆς μητρὸς ὁ ἔριφος, ἐγγὺς τῆς ἐαρινῆς ἰσημερίας, μετὰ δύο που μῆνας εἰσεκομίσαμεν αὐτῷ μαλακοὺς E ἀκρέμονας θάμνων τε καὶ φυτῶν, ὧν πάλιν καὶ αὐτῶν ὀσμησάμενος ἁπάντων, ἐνίων μὲν εὐθέως ἀπέστη, τινῶν δὲ ἠξίωσε γεύσασθαι, καὶ γευσάμενος ἐπὶ τὴν ἐδωδὴν ἐτράπετο τῶν καὶ ταῖς μεγάλαις αἰξὶ συνήθων ἐδεσμάτων. ἀλλὰ τοῦτο μὲν ἴσως μικρόν· ἐκεῖνο δὲ μέγα. τὰ γὰρ φύλλα καὶ τοὺς μαλακοὺς ἀκρέμονας ἐκ ἀποφαγὼν κατέπιεν, εἶτ᾽ ὀλίγον ὕστερον ἐπὶ τὸ μηρυκάζειν ἧκεν, ὃ πάλιν οἱ θεασάμενοι πάντες, ἀνεβόησαν, ἐκπλαγέντες ἐπὶ ταῖς φυσικαῖς τῶν ζώων δυνάμεσι. μέγα μὲν γὰρ ἦν καὶ τὸ πεινῆσαν, διά τε τοῦ στόματος καὶ τῶν ὀδόντων προσφέρεσθαι τὴν F ἐδωδήν, ἀλλ᾽ ὅτι τὸ καταποθὲν εἰς τὴν γαστέρα, πρῶτον μὲν ἀναφέρειν εἰς τὸ στόμα προσῆκεν, ἔπειτα λεαίνειν ἐν αὐτῷ μασσώμενον ἐν χρόνῳ πολλῷ, καὶ μετὰ ταῦτα καταπίνειν μηκέτι εἰς τὴν αὐτὴν κοιλίαν, ἀλλ᾽ εἰς ἑτέραν, ἱκανῶς ἡμῖν ἐφαίνετο θαυμάσιον εἶναι. περιορῶσι δ᾽ οἱ πολλοὶ τὰ τοιαῦτα τῆς φύσεως ἔργα, μόνα τὰ ξένα θεάματα θαυμάζοντες. ἐπεί τοι πῶς οὐ θαυμαστὸν, τὸ τοὺς μὲν ἀνατομικωτάτους τῶν ἰατρῶν ζητεῖν, ὑπὸ τίνος μὲν μυὸς ἐκτείνεται τόδε τὸ ἄρθρον, οἷον φέρε τὸ κατ᾽ ἰσχίον, ὑπὸ τίνος δὲ κάμπτεται, τίνες δὲ εἰσὶν οἱ ἐφ᾽ ἑκάτερα πρὸς τὸ πλάγιον

γον ἀπάγοντες αὐτό, καὶ τινες οἱ περιστρέφοντες ἑκατέρωσε·
τὸ δ᾽ ἐρίφιον ἣν ἂν ἐθελήσῃ κίνησιν ἑκάστης διαρθρώσεως,
εὐθέως ἐργάζεσθαι, καθάπερ γε καὶ τοὺς ἀνθρώπους αὐτούς,
καίτοι γ᾽ ἀγνοοῦντας ὑπὸ τίνος μυὸς ἑκάστη γίγνεται κίνησις; ἐπὶ
γοῦν τῆς κατὰ τὴν γλῶτταν κινήσεως, ἵν᾽ ὡς ἐν παραδείγμα-
τι ταύτης μνημονεύσω, πῶς οὐκ ἄν τις θαυμάσειεν, τοὺς μὲν
ἀνατομικοὺς διαφωνοῦντας ἀλλήλοις εὑρών, οὐ μόνον περὶ
τὸν ἀριθμὸν τῶν μυῶν, ἀλλὰ καὶ περὶ τὰς ἐνεργείας αὐτῶν,
τὴν δὲ φύσιν εὑρὼν τὰ παιδία δεδιδαχυῖαν, ὅπως μὲν
μιμήσονται τήνδε τὴν φωνήν, ἤ τινα τῶν ἄλλων, ὅπως δὲ
τὴν γλῶτταν κινήσονται, καὶ διὰ τίνων μυῶν ἐργάσονται τὴν
αὐτὴν φωνήν; οὕτω δὲ καὶ περὶ πάσης τῆς ἄλλων φωνῆς τε
καὶ ἀναπνοῆς, καὶ συνελόντι φάναι τῶν προαιρετικῶν ἐνερ-
γειῶν, θαυμάσειεν ἄν τις τὸ τῶν ὀργάνων αὐτοδίδακτον· οὐ
μικρᾶς οὖν οὐδὲ περὶ τούτων τῶν ἐνεργειῶν διαφωνίας
γεγονυίας τοῖς ἀνατομικοῖς ἀνδράσιν, ὅπως τε γίγνονται, καὶ
δι᾽ ὧντινων ἐργαίων, ὅμως ἀναπνεῖ, καὶ φωνεῖ πάντα τὰ
ζῷα μετὰ τὴν πρώτην γένεσιν εὐθέως. οὐδὲν οὖν θαυμα-
στόν ἐστι καὶ τὰ γεννητικὰ μόρια τὰς ἐνεργείας, ὧν χάριν ὑπὸ
τῆς φύσεως ἐγίγνετο, γιγνώσκειν εὐθέως ἐξ ἀρχῆς, ἐπεὶ κατὰ
τί συλλαβοῦσα μὲν ἡ μήτρα τὸ σπέρμα μέμυκεν ἀκριβῶς
ἄχρι τοῦ τελειωθῆναι τὸ ἔμβρυον, ἀνοίγνυσι δὲ ἐπὶ πλεῖστον,
αὐτοῦ τελειωθέντος, ἀνοίξασά τε δι᾽ αὐτὸ τοῦτο τὸ ἔμβρυον
" ἐκκρίνει; καταφρονεῖται δὲ καὶ ταῦτα τῷ συνεχεῖ τῆς
θέας, καὶ προορᾶται τοῖς πολλοῖς, ὡς τὸ μηδὲν εἰθίκασι θαυ-
μάζειν, οὐ τὰ θαυμαστὰ κατ᾽ ἀλήθειαν, ἀλλὰ τὰ σπανίως αὐ-
τοῖς ὁρώμενα. τί γὰρ ἂν εἴη τῇ φύσει θαυμασιώτερον, τοῦ
μησὶν μὲν ὅλοις ἐννέα μεμυκέναι τὸ τῆς μήτρας στόμιον οὕτως
ἀκριβῶς, ὡς μηδὲ πυρῆνα μήλης παραδέχεσθαι, τελειω-
θέντος δὲ τοῦ κυϊσκομένου διάστασιν ἴσχειν τηλικαύτην, ὡς ὅλον
τὸ ζῷον ἐξέρχεσθαι δι᾽ αὐτοῦ; οὐκοῦν ἀπιστεῖ τις αὐτοδίδακτον
εἶναι καὶ τὴν τῶν αἰδοίων δύναμιν, ὥστε τὸ συριγγῶδες ἐκεῖνο σῶ-
μα, τὸ νευρῶδες τὴν ἰδέαν, ὅτ᾽ ἂν ἐπὶ συνουσίαν ὁρμήσῃ τὸ
ζῷον, εὐθέως διΐστασθαι, φυσικὴν ἔχον τὴν διαστέλλουσαν αὐτὸ
δύναμιν, ὥσπερ ἡ καρδία τε καὶ ἀρτηρία, πλὴν ὅτι διὰ παντὸς
ἐκεῖνα μὲν κινεῖται, διότι καὶ τῆς ἐνεργείας αὐτῶν ἀεὶ χρή-
ζομεν· οὐ διαπαντὸς δὲ τὸ συριγγῶδες νεῦρον κινεῖται, ἀλλ᾽ ὅταν
ἡ χρεία καλῇ· διαστελλομένου δὲ αὐτοῦ, τὸ ἐκ τῶν ἀρτηριῶν
ἕπεται πνεῦμα, καθάπερ ὁ πνεύμων τῷ θώρακι, τῇ πρὸς τὸ
κενούμενον ἀκολουθίᾳ. δύναιτο δ᾽ ἄν τις ἴσως καὶ ταῖς ἀρτη-
ρίαις ἀνατιθέναι τὴν δύναμιν τοῦ πληροῦντος πνεύματος τὸ
συριγγῶδες νεῦρον, ὅτ᾽ ἂν ὁρμήσῃ τὸ ζῷον ἐπὶ συνουσίαν·
ἄμεινον δὲ πολὺ τοῦ νεύρου φάναι τὴν ἐνέργειαν εἶναι ταύτην, οὐ
τῶν ἀρτηριῶν, εἴ γε τὰς ἐνεργείας ἐκ τῆς τῶν μορίων οἰκείας οὐσίας,
οὐκ ἐκ τῆς θέσεως εὔλογόν ἐστι γίγνεσθαι, καὶ τήν τε καρδίαν, εἰ
καὶ κατ᾽ ἄλλο τι μέρος ἔκειτο, τὴν αὐτὴν ἐνέργειαν ἔχειν,
ἧπάρ τε καὶ σπλῆνα, καὶ τὰ ἄλλα πάντα. καὶ τὰς ἀρτηρίας οὖν
ἐν ἅπαντι μορίῳ τοῦ σώματος, εὔλογόν ἐστι τὴν αὐτὴν ἐνέρ-
γειαν ἔχειν, ὥσπερ καὶ " φαίνονται· καθ᾽ ἕνα γέ τοι καιρόν, αἱ
καθ᾽ ὅλον τὸ ζῷον ἀρτηρίαι διαστέλλονται παραπλησίως
ἀλλήλαις· " ὡς οὐκ εἰκός ἐστι, τὰς εἰς τὸ αἰδοῖον ἐμφυο-
μένας ἀρτηρίας ἄλλην τινὰ δύναμιν ἐπικτᾶσθαι παρὰ τὴν ἐν
ὅλῳ τῷ σώματι προϋπάρχουσαν αὐταῖς, ἀλλ᾽ εὐρύτερα ἔχειν
τὰ στόματα τῶν ἄλλων ἀρτηριῶν, εὔλογον, εἰς τάχος τῆς πρὸς τὸ
κενούμενον ἀκολουθίας παρεσκευασμένας (ἀεὶ γὰρ ἡ φύσις φαί-
νεται τὸ χρήσιμον ἑκάστῃ τῶν ἐνεργειῶν, πανταχόθεν ἐκπληροῦσα)

A aut qui ipsum vtroq; circunuoluunt; hœdum verò singulos articulos, ad quancunque motionem libitum fuerit, excitare, quemadmodum & homines ipsos, quanuis à quo musculo quisque motus efficiatur, non intelligant? Sed de linguæ motione (vt hanc pro exemplo adducamus) quis non mirabitur, dissectores inter se non solùm de musculorum numero, sed de ipsorum etiam actione pugnantes videns, à natura verò infantes edoctos, quo pacto hanc vocem, aut aliam huiusmodi imitentur; quo pacto B etiam linguam moueant, aut quibus musculis vocem eandem efficiant? Sic etiam in omni reliquorum animalium tum voce, tum respiratione, atque (vt summatim dicamus) voluntariis actionibus, mirabitur quispiam per se nullo docente, instructa instrumenta; de quibus quidem actionibus non mediocris inter dissectores est pugna, quomodo fiant, & quibus organis omnia animalia simul atque genita sunt, & respirent, & vocem edant. Igitur non mirum est genitales partes, eas actiones, quarum gratiâ à natura institutæ sunt, protinus ab initio co- C gnoscere. Etenim quamobrem vterus, quum semen genitale conceperit, donec perfectus fuerit fœtus, exactè clausus permanet; perfecto verò fœtu, plurimum aperitur, ac deinde sic apertus fœtum excludit? Multi autem hæc quod assiduè conspiciantur, & contemnunt, & despiciunt, vt qui nihil, quod re vera sit admirabile, sed ea duntaxat, quæ raró vident, admirari consueuerunt. Quid enim naturâ potest esse admirabilius, quàm quòd nouem perpetuis mensibus claudatur os vteri adeò exactè, vt ne specilli quidem acumen admittat; perfe- D ctò autem fœtu, vsque adeò distendatur, vt totum animal per ipsum egrediatur? Ne igitur dubitet aliquis etiam pudendorum facultatem per se doctam esse, vt fistulosum illud neruosumque corpus, vbi ad coïtum insurgit animal, protinus distendatur, naturali quæ ipsum dilatet præditum facultate, quemadmodum cor & arteria; nisi quod hæc perpetuò mouentur, quòd necessaria sit nobis semper eorum actio; fistulosus verò neruus non semper mouetur, sed quum vsus requirit. Quum verò distenditur, sequitur ex arteriis spiritus, quemadmodũ *sequitur* pulmo thoracem, vacuati cõsecutione. E Verùm posset etiam fortasse replentis fistulosum neruum spiritûs facultas, quum ad coïtum irrumpit animal, ad arterias referri; at multò satius est, huiusmodi actionem ad neruum, non ad arterias referre; siquidem actiones ex propria partium substantia, non ex earum situ prouenire rationi consonum est; & cor, si in alia quapiam parte poneretur, nihilominus actionem suam obtenturum, & iecur & lienem ac reliqua omnia. Vniuersi igitur corporis arterias eandem habere actionem probabile est, quemadmodum & apparent; eodem nempe F tempore omnes totius animalis arteriæ inter sese similiter dilatantur. Itaque haud par est, arterias pudendis innatas aliam aliquam habere facultatem, præter eam quam in toto corpore habent; sed rationi consonum est eas, latiora quàm reliquas arterias, ora sortiri, ad celeritatem sequelæ ad id quod euacuatur, parata (semper enim natura videtur vnicuique actioni id quod vtile est, vndequaq; explere) cæterum

nullam

nullam aliam insuper præcipuam habere actionis facultatem, quum ad pudendum peruenerint. At calefactis lumbis par est, vt & arteriæ calidiores reddantur, & magis pateant ipsarum ora; quamobrem non exiguam tūc spiritûs substantiam in fistulosum neruum effundant, qui paulatim impletum cosem intendit, quod tota ipsius substantia in fistuloso neruo consistat. His itaq; nobis cognitis, ad priapismi affectionem veniamus. Nam ex prius dictis constat vel ob arteriarum ora immodicè patentia, vel flatulentum spiritum in fistuloso neruo ortum, hunc fieri affectum; sed vtrum potius pro causa sit habendum, inquirere oportet. Certè ab vtrisq; fieri mihi videtur, crebrius tamen arteriarum ora patentia sequi; nam facilius est hæc dilatari, quàm flatulentum spiritum in neruo fistuloso generari. Ac mihi videor huiusmodi quidem nerui affectionem semel vidisse, arteriarum verò sæpenumerò; cuius rei coniecturam feci, tum ex ijs quæ præcesserunt, symptomatis, tum ex modo curationis. In illo enim, cui assidua colis palpitatio præcesserat, causa erat spiritus flatulentus, ad quem quum omnem curationem conuertissem, hominem sanaui; quibus verò *supra modum* arteriarum ora patebant, ijs nullum huiusmodi symptoma præcedebat; acciderat autem cuidam, vt longo tempore præter consuetudinem à concubitu abstineret; alteri verò, vt mali succi alimentis acribusque vteretur; alij etiam, vt duobus mensibus præcinctus proficisceretur, quum antea cingi non consueuisset. Coniecimus itaque arteriarum ora nimis patefacta, illis quidem ob humorum vitia, & acrimoniam; his verò ob flatulentum spiritum sine ordine, & violenter cōmotum. Etenim medicamenta excitandæ tentiginis vim obtinentia, tum epota, tum etiam perinæo, lumbisque admota, calida omnia, atque flatulenta sunt; quemadmodum contraria omnia flatus sedāt, & refrigerant potiùs, quàm calefaciunt. Sed aduerte, nec obiter hunc sermonem prætercurre; nam medicamenta, non cibos dixi, quoniam sunt quædam alimenta, quæ plurimum seminis pariunt, & ideò impetum ad libidinem excitant. Hæc ergo sermonem illum, quem nuper dicebamus, probabiliorem reddunt, quòd à concubitu abstinentes, interdum priapismis corripiantur; nam id accidit ijs, qui plurimo semine abundant, simulque præter consuetudinem à coitu abstinent, quum laboribus & exercitationum multitudine sanguinis abundantiam non absumunt; atque ex ijs præcipuè, quicunque à libidinis quidem cogitatione liberi non euaserunt (quemadmodum qui & naturâ casti sunt, & longo tempore in eiusmodi continentiâ sese exercuerunt) ad libidinis autem imaginem perueniunt, tum ob spectacula, quæ illos mouere possunt, tum ob illorum recordationem. Nam horum hominum maximè contraria affectio in pudendis generatur, eorum affectioni, qui nullo pacto libidinis cogitationibns sunt obnoxij. Atque amico cuidam, præter antecedentem consuetudinem à concubitu prorsus abstinere volenti, in tumorem inflatus penis adeò excreuit, vt mihi symptoma declarare cogeretur. Mirari enim se dicebat, quomodo huic athletæ

A δύναμιν δὲ ἐνεργείας ἐξαίρετον οὐδεμίαν ἴσχειν ἑτέραν, ὅταν εἰς τὸ αἰδοῖον ἀφίκωνται. θερμανθείσης μέντοι τῆς ὀσφύος, εὔλογόν ἐστι θερμοτέρας τε γίγνεσθαι τὰς ἀρτηρίας, ἀναστομοῦσθαί τε μᾶλλον· ὥστε καὶ κατὰ τοῦτο παρέχειν πνεύματος οὐκ ὀλίγην οὐσίαν εἰς τὸ συριγγῶδες νεῦρον, ὑφ᾽ οὗ κατ᾽ ὀλίγον πληρουμένου ἐντείνεται τὸ αἰδοῖον, ὡς ἂν ὅλης τῆς οὐσίας αὐτοῦ κατὰ τὸ συριγγῶδες ὑπαρχούσης νεῦρον. τούτων ἡμῖν ἐγνωσμένων, ἐπὶ τὴν τοῦ πριαπισμοῦ διάθεσιν ἔλθωμεν. ὅτι μὲν γὰρ ἤτοι κατὰ τὰ B στόματα τῶν ἀρτηριῶν εὐρυνόμενα γίγνεται τὸ πάθος, ἢ κατὰ τὸ συριγγῶδες νεῦρον ἀτμῶδες πνεῦμα γεννηθέντος ἐκ τῶν προεγνωσμένων φαίνεται· πότερον δ᾽ αὐτῶν μᾶλλον ἄν τις αἰτιάσαιτο, ζητητέον. ἐμοὶ δὴ δοκεῖ, κατ᾽ ἀμφότερα μὲν γίγνεσθαι, πλεονάκις δὲ τοῖς τῶν ἀρτηριῶν στόμασιν εὐρυνομένοις ἕπεσθαι· ῥᾷον γὰρ εὐρυνθῆναι ταῦτα, τὸ πνεῦμα φυσῶδες ἐν τῷ συριγγώδει νεύρῳ γεννηθῆναι· καί μοι δοκῶ τὴν μὲν κατὰ τὸ νεῦρον διάθεσιν ἅπαξ ἑωρακέναι, τὴν δὲ τῶν ἀρτηριῶν πολλάκις. ἐτεκ- C μηράμην δὲ τοῦτο τοῖς τε προηγησαμένοις συμπτώμασι, καὶ τῷ τρόπῳ τῆς θεραπείας. ᾧ μὲν γὰρ οἱ παλμοὶ τοῦ αἰδοίου συνεχεῖς[62] προηγήσαντο, πνεῦμα φυσῶδες ἦν αἴτιον, καὶ πρὸς τοῦτο τὴν θεραπείαν ἅπασαν ἁρμοσάμενος, ἰασάμην τὸν ἄνθρωπον· οἷς δὲ τὰ στόματα τῶν ἀρτηριῶν ηὐρύνθη, τοιοῦτον μὲν οὐδὲν προηγεῖτο σύμπτωμα,[63] συμβεβήκει δὲ τῷ μέν τινι πολλῷ χρόνῳ παρὰ τὸ ἔθος ἀφροδισίων ἀπέχεσθαι, τῷ δὲ κακοχύμων ἐδεσμάτων καὶ δριμέων ἐδωδῇ κεχρῆσθαι, τῷ δέ τινι ζώνῃ ... ὁδοιπορίαν δυοῖν μηνοῖν, ἀήθει ζώνῃ ... τὴν ... ἀνα- D στόμωσιν τῶν ἀρτηριῶν ἐτεκμηράμεθα, τοῖς μὲν διὰ τὴν ἐκ τῆς κακοχυμίας δριμύτητα γεγονέναι, τοῖς δὲ διὰ πνεύματος φυσώδους γένεσιν ἀτάκτως τε καὶ βιαίως[64] κινουμένου· καὶ γάρ τοι καὶ τὰ φάρμακα τὰ τῶν αἰδοίων ἐνταστικὰ, τά τε πινόμενα, καὶ τὰ κατὰ τοῦ περιναίου καὶ τῆς ὀσφύος ἐπιβαλλόμενα, θερμὰ καὶ πνευματώδη πάντ᾽ ἐστίν· ὥσπερ αὖ τὰ ἐναντία πάντα, ἄφυσα, καὶ ψύχοντα μᾶλλον ἢ θερμαίνοντα. προσέχειν δὲ χρὴ τῷ λόγῳ μὴ παρατρέχοντα· φάρμακα γὰρ εἶπον, οὐκ ἐδέσ- E ματα, διότι τῶν ἐδεσμάτων ἔνια μὲν γεννητικὰ πολλοῦ σπέρματος ὄντα, κατὰ τοῦτο καὶ τὰς εἰς τὴν λαγνείαν ὁρμὰς παροξύνει. ταῦτα μὲν οὖν μαρτυρεῖ τῷ λόγῳ, καθ᾽ ὃν ἀρτίως ἐλέγετο, καὶ τοὺς τῶν ἀφροδισίων ἀπεχομένους ἐνίοτε τοῖς πριαπισμοῖς ἁλίσκεσθαι· συμβαίνει γὰρ τοῦτο τοῖς πολυσπέρμοις τε ἅμα, καὶ παρὰ τὸ ἔθος ἀπεχομένοις,[65] ὅτ᾽ ἂν μὴ διαπονῶσι πλήθει γυμνασίων τὴν περιουσίαν τοῦ αἵματος, καὶ μάλιστα ἐξ αὐτῶν ὅσοι τῆς μὲν τῶν ἀφροδισίων ἐννοίας οὐκ ἀπηλλάγησαν, F ὥσπερ οἱ σωφρονικοί τε φύσει, καὶ χρόνῳ πλείονι τὴν τοιαύτην ἐγκράτειαν ἀσκήσαντες, εἰς φαντασίαν δ᾽ αὐτῶν ἀφικνούμενοι, διά τε θεαμάτων ἐξορμᾶν αὐτοὺς δυναμένων, καὶ δι᾽ ἀναμνήσεως αὐτῶν· ἐναντιωτάτη γὰρ ἡ τούτων τῶν ἀνθρώπων διάθεσις ἐν τοῖς αἰδοίοις γίγνεται τῇ τῶν οὐδ᾽ ὅλως εἰς ἔννοιαν ἀφροδισίων ἐρχομένων. καί τινι φίλῳ προελομένῳ παρὰ τὸ πρόσθεν ἔθος ἀπέχεσθαι τελέως ἀφροδισίων, εἰς ὄγκον ἐπεδίδου τὸ αἰδοῖον ἐμφυσώμενον, ὡς ἀναγκασθῆναι ἀνακοινώσασθαί μοι περὶ τοῦ συμπτώματος. ἔφη γὰρ θαυμάζειν, ὅπως τῷδε μὲν τῷ ἀθλητῇ

τὸ

κεχρῆσθαι

πάντων

διὰ πόνων ἢ διὰ ἐκκενώσεως

ῥυσσὸν καὶ προσεσταλμένον ἐστὶ τὸ αἰδοῖον ἐκ τῆς εὐταξίας, ἑαυτῷ δ' ἀφ' οὗ τοῦτ' ἐνεστήσατο, τοὐναντίον συμβαίνει. τότε μὲν οὖν αὐτῷ συνεβούλευσα τὸ ἠθροισμένον ἐκκρῖναι σπέρμα, τοῦ λοιποῦ δὲ καὶ θεαμάτων, καὶ διηγήσεως, καὶ μνήμης ἐπεγείρειν δυναμένης εἰς ἀφροδίσια, παντάπασιν εἴργειν ἑαυτόν. ὅσοι δ' εὐθὺς ἐξ ἀρχῆς ἢ ἀθλοῦντες ἢ φωνασκοῦντες ἄπειροι τῶν ἀφροδισίων διετέλεσαν, εἴρξαντες παντάπασιν ἑαυτοὺς ἁπάσης ἐννοίας τε καὶ φαντασίας τοιαύτης, ἰσχνὰ καὶ ῥυσσὰ τοῖς τῶν γερόντων ὁμοίως αὐτοῖς γίνεται τὰ αἰδοῖα. πρὸς γὰρ τοῖς ἄλλοις κἀκεῖνο συμβαίνει τοῖς ἐν νεότητι κατὰ τὸν πρῶτον χρόνον ἀφροδισίοις πολλοῖς χρησαμένοις, εὐρυνομένων τῶν ἐν τούτοις τοῖς τόποις ἀγγείων, ἑτοιμότερόν τε γίνεσθαι πρὸς αὐτὰ τὸ αἷμα, καὶ τὴν ὀρεκτικὴν δύναμιν τῶν ἀφροδισίων αὐξάνεσθαι, κατὰ τὸν κοινὸν λόγον ἁπασῶν τῶν δυνάμεων, ὃν καὶ Πλάτων ἔγραψε, " τὴν μὲν ἡσυχίαν ἐκλύειν λέγων, τὴν δ' ἐν τοῖς οἰκείοις ἔργοις διατριβὴν αὐξάνειν τὴν ῥώμην. οὕτως μὲν οὖν καὶ οἱ τιτθοὶ, ταῖς μὲν μηδέποτε κυησάσαις προσεσταλμένοι διαμένουσι, ταῖς δὲ μετὰ τὸ κυῆσαι θηλαζούσαις παιδία, μέγιστοι γίγνονται, καὶ διαμένουσί γε γάλα περιέχοντες, ἄχρις ἂν θηλάζωσι, παυομέναις δὲ τοῦ θηλάζειν τὰ παιδία, καὶ ἡ τοῦ γάλακτος ἐν τοῖς τιτθοῖς γένεσις οὐ μετὰ πολὺ παύεται. ταῦτ' οὖν ἡμῖν ἀπόχρη προδιεσκεμμένοις, καὶ πρὸς τὴν θεραπείαν ἀφορμὰς παρέξει, διοριζομένοις τὰς αἰτίας, ὑφ' ὧν ἑκάστῳ τῶν παθόντων τὸ πάθος ἐγένετο· νῦν δ' οὔπω καιρὸς αὐτῶν, ἀλλ' ἤδη τέλος ἐχούσης τῆς προκειμένης πραγματείας, καταπαύσω τὸν λόγον ἐνταῦθα.

τέλος

A ob continentiam rugosus collapsusque penis esset; sibi verò ex quo id instituisset, eueniret contrarium. Tum equidem illi author fui, vt collectum semen excerneret; posteà verò à narrationibus, & spectaculis, & meditationibus libidinem suscitare potentibus, omninò se abstineret. At cantoribus, & athletis, qui iam inde ab initio nullam vitæ partem venereis illecebris contaminauerunt, nullam admittentes huiusmodi vel cogitationem vel imaginationem, ijs pudenda exilia, & rugosa, veluti senibus fiunt. Nam præter cætera ijs, qui pro- B tinùs à prima iuuentute immodicæ libidini sese permiserunt, id etiam euenit, vt horum locorum vasa ampliùs patentia, maiorem ad se sanguinis copiam alliciant, & coeundi cupiditas increscat, communi ratione facultatum omnium, quæ à Platone etiam notata est, quum ait, *ignauiam quidem exoluere, propriarum autem functionum exercitationem robur augere.* Sic mammæ quoque iis, quæ nondum imprægnatæ fuerunt, contractæ permanent; à partu infantulos lactantibus, vastissimæ redduntur, C atque permanent lac emittentes, donec lactant; quum verò lactare desinunt pueros, haud ita multò post lac etiam generari desinit. Igitur omnia hæc si benè considerentur, & causæ ob quas in singulis affectis partibus affectus consistit, definiantur, ad curationis rationem ansam præbebunt. At nondum horum in præsentia tempus est, sed iam hoc opere ad finem perducto, hîc orationi finem imponam.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ, ΒΙΒΛΙΑ ΤΕΣΣΑΡΑ:

ΠΡΩΤΟΝ.

HIPOCRATIS DE MORBIS, LIBRI QVATVOR.

PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ὅσα τὸν ἰατρὸν ἐνθυμεῖσθαι χρὴ, ἐρωτῶντα καὶ ἀποκρινόμενον· αἱ τῶν νοσημάτων αἰτίαι, αἱ ἔσω καὶ ἔξω· οἱ τοῦ θεραπεύειν καιροὶ, καὶ ἀκαιρίαι· τὰ ὀρθῶς τε καὶ μὴ ὀρθῶς γινόμενα, καὶ λεγόμενα· τὰ ἀγαθὰ καὶ τὰ κακὰ αὐτομάτως, ἢ τύχῃ, ἢ ἁμαρτήματι ἐπιγινόμενα· ὁποῖα μόρια διακοπέντα μὴ συμφύεται· οἱ τῆς ἰάσεως καιροὶ, ἡ εὐχειρία· τὰ τοῦ πνεύμονος, καὶ τοῦ θώρακος, καὶ τῆς κοιλίας ἐμπυήματα· τὸ τοῦ πνεύμονος ἐρισίπελας, καὶ τὸ τοῦ πνεύμονος καὶ τοῦ πλευροῦ φῦμα· ὁ πυρετὸς, τὸ ῥῖγος, ἡ φρίκη, καὶ ὁ ἱδρώς· ἡ πλευρῖτις, ἡ περιπνευμονία, ὁ καῦσος, ἡ φρενῖτις, ἡ μελαγχολία, τὸ ὕφαιμον καὶ πελιδνὸν πτύελον.

ARGVMENTVM LIBRI.

Quæ medico animaduertenda sint quæsita, ac responsa. Morborum causæ internæ & externæ. Medendi occasiones, ac intempestiuitates. Rectè ac non rectè dicta, & acta. Bona ac mala sponte, aut sorte, aut errore oborientia. Quæ præcisæ partes non coalescant. Medendi tempora, manuum dexteritas. Pulmonis, thoracis, ac ventriculi suppurata. Pulmonis erysipelas, ac pulmonis & lateris tuberculum. Febris, horror, rigor, sudor. Pleuritis, peripneumonia, febris ardens, phrenitis, melancholia, subcruentum ac liuidum sputum.

A

CAPVT I.

Quæ medenti medico animaduertenda sunt, vt ægrotum ac astantes rectè interroget, eorumque quæstionibus rectè respondeat, & contradicat.

QVi de morborum *curatione tum scitè interrogare, tum interroganti respondere velit, ac rectè cõtraria dicere, hæc eum animaduertere oportet. Primùm quidem, à quibus morbi omnes hominibus oriuntur. Deinde verò qui morbi necessarias habent causas, vt creati aut longi sint, aut breues, aut lethales, aut minimè lethales, aut partem aliquam corporis mutilam, aut non mutilam red-*

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὅσα τὸν ἰατρὸν ἰώμενον ἐνθυμεῖσθαι χρὴ, ὥστε τοὺς νοσοῦντας καὶ τοὺς παρόντας ὀρθῶς ἐρωτᾷν, καὶ τοῖς αὐτῶν ἐρωτήμασιν ὀρθῶς ἀποκρίνεσθαι, καὶ ἀντιλέγειν.

ΟΣ ἂν περὶ ἰήσεως ἐθέλῃ ἐρωτᾷν τε ὀρθῶς, καὶ ἐρωτῶντι ἀποκρίνεσθαι, καὶ ἀντιλέγειν ὀρθῶς, ἐνθυμέεσθαι χρὴ τάδε. Πρῶτον μὲν, ἀφ' ὧν αἱ νοῦσοι γίνονται πᾶσαι τοῖσιν ἀνθρώποισιν. Ἔπειτα δὲ, ὁκόσα ἀνάγκας ἔχει τῶν νοσημάτων, ὡς ὅταν γένηται; εἶναι ἢ μακρὰ, ἢ βραχέα, ἢ θανάσιμα, ἢ μὴ θανάσιμα; ἢ ἔμπηρόν τι τοῦ σώματος

ἀπορέεται, ἢ μὴ ἐμπίπτειν· καὶ ὁκόσα ἐπὴν γένηται, ἐνδοιαστὰ, ἤν τε κακὰ ἀπ' αὐτέων ἀποβαίνῃ, ἤν τε ἀγαθά. Καὶ ἀφ' ὁκοίων νουσημάτων, ἐφ' ὁκοῖα μεταπίπτει. Καὶ ὁκόσα ἐπιτυχίῃ ποιέουσιν οἱ ἰητροὶ θεραπεύοντες τοὺς ἀσθενέοντας. Καὶ ὁκόσα ἀγαθὰ ἢ κακὰ οἱ νοσέοντες ἐν τῇσι νούσοισι πάσχουσι. Καὶ ὁκόσα [2] ἀκαιρείῃ ἢ λέγεται ἢ ποιέεται ὑπὸ τοῦ ἰητροῦ πρὸς τὸν νοσέοντα, ἢ ἀπὸ τοῦ νοσέοντος πρὸς τὸν ἰητρόν. Καὶ ὁκόσα ἀκριβῶς ποιέεται ἐν τῇ τέχνῃ καὶ λέγεται, καὶ ἅ τε ὀρθὰ ἐν αὐτῇ, καὶ ἅ τε μὴ ὀρθά. Καὶ ὅ, τι αὐτῆς ἀρχὴ, ἢ τελευτὴ, ἢ μέσον, ἢ ἄλλο τι ἀποδεδειγμένον τῶν τοιούτων, ὅ, τι καὶ ὀρθῶς ἐστιν ἐν αὐτῇ εἶναι, ἢ μὴ εἶναι. Καὶ τὰ σμικρὰ καὶ τὰ μεγάλα, καὶ τὰ πουλλὰ καὶ τὰ ὀλίγα. καὶ ὅ, τι ἅπαν ἐστὶν ἐν αὐτῇ ἓν καὶ πάντα, καὶ ὅ, τι ἕν. καὶ τὰ δυνατὰ νοῆσαί τε καὶ εἰπεῖν, καὶ εἰ δέῃ, μήτε νοῆσαι, μήτε εἰπεῖν, μήτε ποιῆσαι. Καὶ ὅ, τι εὐχερείῃ ἐν αὐτῇ, καὶ ὅ, τι ἀχερείῃ, καὶ ὅ, τι καιρὸς, καὶ ὅ, τι ἀκαιρείη· καὶ τῶν τεχνέων τῶν ἄλλων ᾗσί τε ἔοικε, καὶ ᾗσιν οὐδὲν ἔοικε. Καὶ τοῦ σώματος, ὅ, τι θερμὸν ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, καὶ ὅ, τι ἰσχυρὸν, ἢ ἀσθενὲς, ἢ πυκνὸν, ἢ ἀραιόν. Καὶ ὁκόσα ἐκ τῶν πολλῶν ὀλίγα γίνεται, ἢ ἐπὶ τὸ κάκιον, ἢ ἐπὶ τὸ ἄμεινον. Καὶ ὅ, τι καλῶς ἢ αἰσχρῶς, ἢ βραδέως ἢ ταχέως, ἢ ὀρθῶς ἢ μὴ ὀρθῶς. Καὶ ὅ, τι κακὸν ἐπὶ κακῷ ἀνάγκη γίνεσθαι. Ταῦτα ἐνθυμηθέντα, διαφυλάσσειν δεῖ ἐν τοῖσι λόγοισιν, ὅ, τι ἂν δή τις τούτων ἁμαρτάνῃ ἢ λέγων, ἢ ἐρωτῶν, ἢ ἀποκρινόμενος· καὶ ἢν πολλὰ ἐόντα, σμικρὰ, καὶ ἢν ἀδύνατα ἐόντα, δυνατὰ φῇ εἶναι, ἢ ὅ, τι ἂν ἄλλο ἁμαρτάνῃ λέγων, ταύτῃ φυλάσσοντα χρὴ ἐπιτίθεσθαι ἐν τῇ ἀντιλογίᾳ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Αἱ τῶν νοσημάτων αἰτίαι, αἱ ἔσω τε καὶ ἔξω· τὰ νοσήματα θανάσιμα, καὶ μὴ θανάσιμα, καὶ ἐνδοιαστὰ, τὰ πηροῦντα, τὰ μακρὰ, τὰ ταχέως κρίνοντα, τὰ μεταπίπτοντα, καὶ τὰ ἐπιγινόμενα τοῖς ἄλλοις ἐξ ἀνάγκης.

Αἱ μὲν οὖν νοῦσοι γίνονται ἅπασαι, τῶν μὲν ἐν τῷ σώματι ἐνεόντων, ἀπό τε χολῆς καὶ φλέγματος· τῶν δὲ ἔξωθεν, ἀπὸ πόνων καὶ τρωμάτων· ἀλλὰ καὶ τοῦ θερμοῦ [3] καὶ ὑπερθερμαίνοντος, καὶ τοῦ ψυχροῦ καὶ ὑπερψύχοντος, καὶ τοῦ ξηροῦ καὶ ὑπερξηραίνοντος, καὶ τοῦ ὑγροῦ καὶ ὑπερυγραίνοντος. Καὶ ἡ μὲν χολὴ καὶ τὸ φλέγμα, γινομένοισί τε συγγίνεται, καὶ ἔστιν ἐν τῷ σώματι, ἢ πλέον, ἢ ἔλασσον· τὰς δὲ νούσους παρέχεται, τὰς μὲν ἀπὸ σιτίων, καὶ ποτῶν, τὰς δὲ ἀπὸ τοῦ θερμοῦ ὑπερθερμαίνοντος, καὶ ἀπὸ τοῦ ψυχροῦ ὑπερψύχοντος. Ἀνάγκη δὲ τὰ τοιάδε ἔχει, ὥστε γίνεσθαι ὁκόταν γίνηται. ἐν μὲν τοῖσι τρώμασι, νεῦρα τὰ παχέα τιτρωσκομένους ἀνάγκη χωλοῦσθαι, καὶ τῶν μυῶν τὰς κεφαλὰς, μάλιστα τῶν ἐν τοῖσι μηροῖσιν. ἀποθνήσκει δὲ, ἤν τις ἐγκέφαλον τρωθῇ, ἢ ῥαχίτην μυελὸν, ἢ ἧπαρ, ἢ φρένας, ἢ κύστιν, ἢ [4] φλέβα αἱμοῤῥόον, ἢ καρδίην· μὴ ἀποθνήσκει δὲ τιτρωσκόμενον, ἐν οἷσι ταῦτα τῶν μελέων μὴ ἐνείη, ἀλλὰ τούτων προσωτάτω ἐστί. Τῶν δὲ νουσημάτων τὰ τοιάδε ἔχει ἀνάγκας, ὥστε ὑπ' αὐτῶν ἀπόλλυσθαι, ὅταν γένωνται· φθίσις, ὕδρωψ ὑποσαρκίδιος, καὶ

dant. Et qui quum orti sunt, ancipites sint, an ab ipsis mala, aut bona procedant. Et à quibus morbis in quosnam transitus fiat. Et quæ Medici ægrotos curantes prospero successu moliuntur. Et quæ ægrotantes in morbis bona aut mala perpetiuntur. Et quæ intempestiuè aut dicuntur aut fiunt à Medico ad ægrum, aut ab ægro ad Medicum. Et quæ in arte accuratè fiunt & dicuntur; & quæ in ipsa recta, & quæ non recta. Et quod eius principium, aut finis, aut medium, aut aliud quid ex his, quod in eâ rectè esse vel non esse demonstratum est. Et parua & magna; & multa & pauca. Et quod totum in ea vnum est & omnia, & quod vnum. Et quæ effici possunt, cùm intelligere, tùm dicere, & si opus sit, neque nosse, neque dicere, neque facere. Et quodcunque in ea facile, & quod arduum; quod opportunitas, & intempestiuitas; & quibus alijs artibus similis sit, & quibus nihil similis. Et corporis quid calidum, aut frigidum, aut siccum, aut humidum; & quodnam robustum, aut debile, aut densum, aut rarum. Et quæ ex multis pauca fiunt, aut in peius aut in melius. Quodque honestè, vel turpiter; vel tardè, vel citò; vel rectè, vel non rectè. Et quod malum malo succedere necesse est. Hæc animo versantem in sermonibus obseruare oportet, in quo quis aut dicendo, aut interrogando, aut respondendo, ab his aberret. Et an quæ multa sunt, pauca, & quæ fieri non possunt, ea fieri posse asserat; & quicquid aliud dicendo peccarit, hoc modo obseruando, contrariâ oratione insectari.

CAPVT II.

Morborum causæ, internæ, externæ; morbi lethales, non lethales, ancipites, mutilantes, longi, breues, qui in alios transeunt, & qui alijs necessariò superueniunt.

Morbi igitur omnes oriuntur, partim quidem ex his quæ in corpore insunt, tum à bile, tum à pituita; partim verò ex his quæ extra obueniunt, tum à laboribus, tum vulneribus; quin & à calido, & re supra modum calefaciente; ac frigido, & re supra modum refrigerante; ac sicco, & re plus æquo resiccante; ac humido, & re plus æquo humectante. Ac bilis quidem & pituita vnà cum nascentibus nascuntur, & corpori aut plus, aut minùs insunt. Morbos autem exhibent, partim quidem à cibis & potibus; partim verò à calido supra modum calefaciente, & frigido supra modum refrigerante. Hæc autem quum fiunt, ipsa oboriri necessitas obtinet. In vulneribus quidem, quibus crassi nerui sauciati sunt, eos claudos fieri necesse est; & quibus musculorum capita, in femoribus præsertim. Moritur autem, si quis vulneratum habet cerebrum, aut spinalem medullam, aut iecur, aut septum transuersum, aut vesicam, aut venam sanguinem effundentem, aut cor. Non autem moritur vulneratus his in partibus, in quibus hæ partes non insunt; sed ab his quàm longissimè absunt. At hi morbi ex necessitate quum procreantur, mortem afferunt; tabes, aqua subter

cutem; mulierem fœtum utero gerentem si pulmonis inflammatio, aut febris ardens, aut pleuritis, aut phrenitis prehenderit, aut si erysipelas in utero oriatur. Ancipites autem, ut enecent, ac minimè, eiusmodi sunt; pulmonis inflammatio, febris ardens, phrenitis, pleuritis, angina, uua, hepatitis, splenitis, nephritis, dysenteria, in muliere cruentum profluuium. Isti verò minimè lethales, nisi quid ipsis accedat; cedmata, melancholia, podagra, ischias, tenesmus, quartana, tertiana, stranguria, lippitudo, lepra, impetigo, arthritis. Multi autem plerunque ab his mutili redduntur; siderantur manibus & pedibus, vocis impotentiâ tenentur, & leuiter resoluuntur ab atra bile; claudi ab ischiade fiunt; oculis & auditione mutilantur, à pituitâ illuc incumbente. Longos autem hos esse necesse est; tabem, dysenteriam, podagram, cedmata, pituitã albam, ischiadem, stranguriam; senibus verò, nephritidem; mulieribus cruentum profluuium; hæmorrhoidas, fistulas. Febris ardens, phrenitis, pulmonum inflammatio, angina, uua, pleuritis, citò decernunt. Hi autem transeunt; ex pleuritide in febrem ardentem; & ex phrenitide in pulmonum inflammationem, ex pulmonis autem inflammatione, febris ardens non fit; tenesmus in dysenteriã; à dysenteria verò lienteria emergit; ex lienteria in hydropem, & ex pituita alba, in hydropem; & ex peripneumonia & pleuritide in thoracis suppuratione. Hæc verò mala malis superuenire necesse est; si rigor corripuerit, calor igneus succedit; ac si neruus præcisus fuerit, conuulsionẽ facit; & ut præcisus minimè coalescit, ita vehementer inflãmatur. Et si cerebrũ tum concussum fuerit, tum alicui ex plaga doluerit, eum ilicò mutum fieri, neq; videre, neq; audire necesse est. Si verò vulneratum fuerit, febrem & bilis vomitum succedere, corporisque partem aliquam sideratam fieri, ac perire. Omentum si exciderit, ipsum putrefieri necesse est. Quod si sanguis ex vulnere, aut vena in superiorem vẽtrem fluxerit, id in pus verti necesse est.

A γυναῖκα ὁκότ᾽ ἂν ἔμβρυον ἔχουσαν περιπνευμονίη, ἢ καῦσος λάβῃ, ἢ πλευρῖτις, ἢ φρενῖτις, ἢ ἐρυσίπελας ἐν τῇσιν ὑστέρῃσι γένηται. Ενδοιαστὰ δὲ τὰ τοιαῦτα ἀπολλῦσαί τε, καὶ μὴ· περιπνευμονίη, καῦσος, φρενῖτις, πλευρῖτις, κυνάγχη, σταφυλὴ, ἡπατῖτις, σπληνῖτις, νεφρῖτις, δυσεντερίη, γυναικὶ ῥόος αἱματώδης. Τάδε δὲ τοιάδε οὐ θανάσιμα, ἢν μή τι αὐτοῖσι προσγένηται· κέδματα, μελαγχολίη, ποδάγρη, ἰσχιὰς, τεινεσμὸς, τεταρταῖος, τριταῖος, στραγγουρίη, ὀφθαλμίη, λέπρη, λειχὴν, ἀρθρῖτις. Εμπηροὶ δὲ πολλάκις ἀπὸ

B τῶνδε γίνονται πουλλοί· ἀπόπληκτοι μὲν χεῖρας καὶ πόδας, καὶ φωνῆς ἀκρατέες, καὶ παραπλῆγες, ὑπὸ μελαίνης χολῆς· χωλοὶ δὲ, ὑπὸ ἰσχιάδων· ὄμματα δὲ πηρωθέντες καὶ ἀκοὴν, ὑπὸ φλέγματος καταστηρίξαντος. Μακρὰ δὲ τάδε ἀνάγκη εἶναι· φθίσιν, δυσεντερίην, ποδάγρην, κέδματα, φλέγμα λευκὸν, ἰσχιάδα, στραγγουρίην· γεραιτέροισι δὲ, νεφρῖτιν· γυναιξὶ δὲ, ῥόον αἱματώδη· αἱμορροΐδας, σύριγγας. Καῦσος, φρενῖτις, περιπνευμονίη, κυνάγχη, σταφυλὴ, πλευρῖτις, ταχέως κρίνει. Μεταπίπτει δὲ τάδε· ἐκ πλευρίτιδος

C εἰς καῦσον· καὶ ἐκ φρενίτιδος ἐς περιπνευμονίην, ἐκ δὲ περιπνευμονίης, καῦσος οὐκ ἂν γένοιτο· ἐς δυσεντερίην, τεινεσμός· ἀπὸ δὲ δυσεντερίης, λειεντερίη· ἐκ δὲ λειεντερίης ἐς ὕδρωπα, καὶ ἐκ λευκοῦ φλέγματος ἐς ὕδρωπα· καὶ ἐκ περιπνευμονίης, καὶ πλευρίτιδος, ἐς ἔμπυον. Τάδε δὲ ἐπὶ κακοῖσιν ἀνάγκη κακὰ γίνεσθαι· ῥῖγος ἢν λάβῃ, πῦρ ἐπιλαμβάνει· καὶ νεῦρον ἢν διακοπῇ, σπασμὸν ποιεῖ, καὶ μήτε συμφῦναι διακοπὲν, φλεγμῆναί τε ἰσχυρῶς· καὶ ἢν ὁ ἐγκέφαλος σεισθῇ τε καὶ πονέσῃ, πληγέντος, ἄφωνον παραχρῆμα γενέσθαι ἀνάγκη, καὶ μήτε ὁρῆν, μήτε ἀκούειν. Ην δὲ τρωθῇ,

D πυρετόν τε ἐπιγενέσθαι, καὶ χολῆς ἔμετον, καὶ ἀπόπληκτόν τι τοῦ σώματος γενέσθαι, καὶ ἀπολέσθαι. Επίπλοον δὲ ἢν ἐκπέσῃ, ἀνάγκη τοῦτο ἀποσαπῆναι· καὶ ἢν αἷμα ἐκ τρώματος ἢ φλεβὸς ῥυῇ ἐς τὴν ἄνω κοιλίην, ἀνάγκη τοῦτο πύος γενέσθαι.

CAPUT III.

Medendi occasiones multæ, variæ, celerrimæ; medendi quoq; intempestiuitates; quæ rectè, & quæ non rectè in medicina ac chirurgia aguntur, ac dicuntur.

Occasiones autem (ut semel dicam) multæ sunt in arte, & variæ, quemadmodum & morbi, & affectiones, eorumque curationes. Ac celerrimæ quidem sunt, quibus aut animo deficientibus opitulari oportet; aut qui neque urinam, neque stercus reddere possunt, aut qui suffocantur, aut mulierem parientem, aut vulneratam liberare, aut quæcunque sunt eiusmodi. Et hæ quidem occasiones celeres, neque confert paulò post; nam plerique paulò posteà moriuntur. Occasio sanè est, quum horum quoddam homo patitur; siquis antequàm animam deserat, iuuetur, id ubi tempore opportuno sumpserit, opitulatur. Est igitur hæc ferè opportunitas etiam in alijs morbis. Semper enim quocunque tempore quis opituletur ex occasione opitulatur.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Οἱ τοῦ θεραπεύειν καιροὶ πολλοὶ, καὶ παντοῖοι, καὶ ὀξύτατοι· καὶ αἱ τοῦ θεραπεύειν ἀκαιρίαι· τὰ ὀρθῶς τε καὶ μὴ ὀρθῶς ἐν τῇ ἰατρικῇ τε καὶ χειρουργίᾳ πρασσόμενα καὶ λεγόμενα.

E Καιροὶ δὲ τὸ μὲν καθάπαξ εἰπεῖν, πολλοί τε εἰσιν ἐπὶ τῇ τέχνῃ καὶ παντοῖοι, ὥσπερ καὶ τὰ νουσήματα, καὶ τὰ παθήματα, καὶ τούτων θεραπεῖαι. Εἰσὶ δὲ ὀξύτατοι μὲν, ὅσοις ἢ ἐκψυχοῦσι δεῖ τι ὠφελῆσαι, ἢ οὐρῆσαι, ἢ ἀποπατῆσαι μὴ δυναμένοισιν, ἢ πνιγομένοισιν, ἢ γυναῖκα τίκτουσαν, ἢ τιτρωσκομένην ἀπαλλάξαι, ἢ ὅσα τοιαῦτά ἐστι· καὶ

F οὗτοι μὲν ὀξέες καὶ οὐκ ἀρκεῖ ὀλίγῳ ὕστερον· ἀπόλλυνται γὰρ οἱ πουλλοὶ ὀλίγῳ ὕστερον. Ο μέντοι καιρός ἐστιν, ἐπὴν πάθῃ τούτων ὅ τι ἂν ἄνθρωπος, ὅ τι ἂν τις πρὸ τοῦ τὴν ψυχὴν μεθεῖναι ὠφεληθῇ, τοῦτο ἐπὴν ἐν καιρῷ λάβῃ, ὠφελεῖται. Εστι μὲν οὖν σχεδόν τι ὁ καιρὸς καὶ ἐν τοῖσιν ἄλλοισι νουσήμασιν· αἰεὶ γὰρ ἐν ᾧ ἄν τις ὠφελήσῃ, ἐν καιρῷ ὠφελήσει.

Ὁκόσα δὲ τῶν νοσημάτων ἢ τρωμάτων μὴ ἐς θάνατον φέρει, ἀλλὰ καίρια ἐστὶν, ὀδύναι τε γίνονται ἐν αὐτέοισιν, ἀλλ᾽ οἷά τέ ἐστιν, ἢν τις ὀρθῶς θεραπεύσῃ, παύσασθαι· τούτοισι δὲ οὐκ ἀρκέουσι γινόμεναι ὠφέλειαι ἀπὸ τοῦ ἰητροῦ, ὅταν γίνωνται· καὶ γὰρ μὴ παρεόντος ἰητροῦ, ἐπαύσαντο ἄν. Ἕτερα δὲ νουσήματά ἐστιν, οἷσι καιρός ἐστι θεραπεύεσθαι τὸ πρωῒ τῆς ἡμέρης, διαφέρει δὲ οὐδὲν ἢ πάνυ πρωῒ, ἢ ὀλίγῳ ὕστερον· ἕτερα δὲ νουσήματά ἐστιν, οἷσι καιρὸς θεραπευθῆναι ἅπαξ τῆς ἡμέρης, καὶ ὁπηνίκα γε οὐδὲν διαφέρει· ἕτερα δὲ, διὰ τρίτης ἢ τετάρτης ἡμέρης· καὶ ἕτερα ἅπαξ τοῦ μηνός· καὶ ἕτερά γε διὰ τριῶν μηνῶν, καὶ τοῦ τρίτου ἱσταμένου, ἢ φθίνοντος, οὐδὲν διαφέρει. τοιοῦτοι δὲ οἱ καιροί εἰσιν, ἐν οἷσι καὶ ἀκρίβειαν οὐκ ἔχουσιν ἄλλην, ἢ ταύτην. Ἀκαιρίη δέ ἐστι τὰ τοιάδε· ὅσα μὲν πρωῒ δεῖ θεραπεύεσθαι, ἢν μεσημβρίῃ θεραπεύεται· ἀκαίρως δὲ ταύτῃ, ἐπεὶ [12] ῥοπὴν ἴσχει ἐς τὸ κάκιον διὰ τὴν μὴ ἐν καιρῷ θεραπείην. ὅσα δὲ ἐς τάχα, ἤν τε μεσημβρίης ἤν τε ὀψὲ, ἤν τε τῆς νυκτὸς θεραπεύηται, ἀκαίρως θεραπεύεται· καὶ ἢν τοῦ ἦρος δέοι θεραπευθῆναι, θεραπεύοιτο δὲ χειμῶνος· ἢ τοῦ μὲν χειμῶνος δέοι, τοῦ θέρεος δὲ θεραπεύηται· ἢ ὅ, τι ἤδη δεῖ θεραπεύεσθαι, τοῦτο δὲ ἀναβάλληται· ἢ ὅ, τι ἀναβάλλεσθαι δεῖ, τοῦτ᾽ ἤδη θεραπεύηται· τὰ τοιαῦτα ἀκαίρως θεραπεύεται. Ὀρθῶς δὲ ἐν αὐτῇ, καὶ οὐκ ὀρθῶς τὰ τοιάδε· οὐκ ὀρθῶς μὲν, τήν τε νοῦσον ἑτέρην ἐοῦσαν, [13] ἑτέρην φανέειν· καὶ μεγάλην ἐοῦσαν, μικρὴν φανέειν· καὶ σμικρὴν ἐοῦσαν, μεγάλην· καὶ περιεσόμενον, μὴ φάναι περιέσεσθαι· καὶ μέλλοντα ἀπολέσθαι, μὴ φάναι ἀπολέσθαι· καὶ ἔμπυον ἐόντα, μὴ γινώσκειν· μηδὲ νούσου μεγάλης ξυμφερομένης ἐν τῷ σώματι, γινώσκειν· καὶ φαρμάκου δεόμενον ἢ πότου, [13] τοῦ δεῖ, μὴ γινώσκειν· καὶ τὰ δυνατὰ, μὴ ἐξιῆσθαι· καὶ τὰ ἀδύνατα, φάναι [14] ἐξιήσεσθαι. ταῦτα μὲν οὖν εἰσι κατὰ γνώμην οὐκ ὀρθῶς, κατὰ δὲ χειρουργίην, τάδε· πῦον ἐν ἕλκει ἐνεὸν, ἢ ἐν φύματι, μὴ γινώσκειν· καὶ τὰ κατήγματα, καὶ τὰ ἐκπτώματα μὴ γινώσκειν· καὶ μηλοῦντα κεφαλὴν, μὴ γινώσκειν εἰ τὸ ὀστέον κατέηγε· μηδ᾽ εἰς κύστιν αὐλίσκον καθιέντα, δύνασθαι καθιέναι, μηδὲ λίθου ἐν κύστει ἐνεόντος, γινώσκειν· μηδ᾽ ἔμπυον ἐόντα, διασείοντα γινώσκειν· καὶ τάμνοντα ἢ καίοντα, ἐκλείπειν ἢ τοῦ βάθεος, ἢ τοῦ μήκεος· ἢ καίειν τε καὶ τάμνειν, ἃ οὐ χρή. καὶ ταῦτα μὲν οὐκ ὀρθῶς. Ὀρθῶς δὲ, τά τε νουσήματα γινώσκειν, ἅ τέ ἐστι καὶ ἀφ᾽ ὅτων· καὶ τὰ μακρὰ αὐτῶν, καὶ τὰ βραχέα· καὶ τὰ θανάσιμα, καὶ τὰ μὴ θανάσιμα, καὶ τὰ μεταπίπτοντα· καὶ τὰ αὐξανόμενα, καὶ τὰ μαραινόμενα· καὶ τὰ μεγάλα, καὶ τὰ σμικρά· καὶ θεραπεύοντα, τὰ μὲν ἀνυστὰ ἐκθεραπεύειν, τὰ δὲ μὴ ἀνυστὰ εἰδέναι, διότι οὐκ ἀνυστὰ, καὶ θεραπεύοντα τοὺς τὰ τοιαῦτα ἔχοντας, ὠφελέειν ἀπὸ τῆς θεραπείης ἐς τὸ ἀνυστόν. Τὰ δὲ προσφερόμενα τοῖσι νοσέουσιν, ὧδε χρὴ φυλάσσειν, τά τε ὀρθῶς καὶ τὰ μὴ ὀρθῶς· ἢν τις ἃ δεῖ ξηραίνειν, ὑγραίνῃ· ἢ παχύνειν δέῃ, μὴ προσφέρῃ ἀφ᾽ ὧν δεῖ παχύνειν· ἢ ἃ δεῖ λεπτύνειν, μὴ λεπτύνῃ· ἢ ψύχειν, μὴ ψύχῃ· ἢ θερμαίνειν, μὴ θερμαίνῃ· ἢ σήπειν, μὴ σήπῃ· καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν λόγον τουτέοισι.

A Quicunque verò morbi, aut vulnera haud ad mortem ferunt, sed periculosa sunt, & dolores in ipsis oboriuntur, possunt tamen, siquis rectè curauerit, sedari. His non conferunt adhibita à Medico remedia, vbi admouentur. Etenim etiam non præsente Medico, cessare possunt. Sunt autem alij morbi, quibus occasio est vt matutino die curentur, nihilque refert, an summo mane, an paulò posterius. Alij vero morbi sunt, quibus semel in die curandi datur occasio, neque refert quo tempore. Alij tertio quoque aut quarto die; alij etiam semel mense; & alij B quidem tertio quoq; mense, neque refert an tertio ineunte, aut desinente curatio fiat. Atque eiusmodi sunt occasiones, in quibus non aliam, quàm hanc exquisitam diligentiam sortiuntur. Hæc autem præter occasionem sunt; quæ quidem mane curari oportebat, si meridie curentur. Intempestiuè autem hac ratione curantur, quandoquidem ad peius propensionem habent ob factam haud opportunè curationem. Quæcunque verò celerius, siue meridie, siue vesperi, siue noctu curantur, intempe- C stiuè curantur; & si vere curari oporteat, hyeme curentur; aut si hyeme oporteat, æstate curentur; aut si quod iam curari oporteat, id ipsum differatur; aut quod differri oportuit, iam curetur; hæc omnia intempestiuam curationem sortiuntur. In arte autem ipsa rectè, & non rectè hæc fiunt. Non rectè quidem, si quum alius morbus existat, alium existere dicas; si quum magnus sit, paruum pronuncies; & si quum paruus sit, magnum; & eum qui superstes futurus est, superstitem futurum ne- D gare; & eum qui periturus est, periturum negare. Et eum qui suppuratus est, non cognoscere; neque nosse si magnus in corpore morbus increscat; & siquis medicamento, aut potione indigeat, vtro opus sit nescire; quæ sanari possunt, non sanare; & quæ non possunt, sanaturum se affirmare. Atque hæc non rectè ex iudicio se habent, ista vero ad chirurgiam. Vlceris aut tuberculi pus non cognoscere; fracturas & luxationes non nosse; capitis os, specillo admoto, fractumne sit, non cognoscere; & fistulam in vesicam immissam demittere non E posse, neque lapidem in vesica cognoscere; & suppuratum existentem ex concussione non nosse; & secando aut vrendo, fundum aut latitudinem non attingere; & vrere aut secare, quæ non oportet; & hæc quidem non rectè. Ista autem rectè; morbos cognoscere, qui sint, & à quibus; & qui ipsorum longi, qui breues; & qui lethales, qui minimè lethales, qui in alios transeunt; qui increscunt, qui emarcescunt; qui magni, qui parui; & inter curandum qui curari possunt, curare, qui non possunt, nosse quamobrem non possint, & dum curantur, qui ita se habent, F curatione quoad eius fieri potest, ijs prodesse. At quæ ægrotantibus offeruntur, ea sic obseruare oportet, rectène an non rectè fiant; siquis quæ siccari oportet, humectet; aut si quæ incrassare oportet, ea non exhibeat à quibus incrassare oportet; aut quæ attenuanda, non attenuet; aut refrigeranda, non refrigeret; aut calefacienda, non calefaciat; aut putrefacienda non putrefaciat; & reliqua secundum eandem his rationem.

CAPVT

CAPVT IV.

Quæ in morbis, tum sponte, bona & mala, iuuantia ac lædentia; tum Medici operâ, per prosperam aut aduersam sortem oboriantur; & oborta mala, medico, non necessitati imputentur.

HÆc autem in morbis, tum bona, tum mala, sponte hominibus contingunt. Febricitanti quidem ac bilioso, bilis suo tempore extrà dispersa, bonum. Sub cutem verò effusa ac dispersa, ægroto toleratu facilior, & medenti curatu promptior; effusa autem ac dispersa, in vnam aliquam corporis partem incumbens, malum. Pleuritide aut peripneumoniâ laboranti, aut suppuratum habenti, aluus perturbata, malum. Febricitanti verò, aut vulnere sauciato aluus resiccata, malum. Subaquoso & lienoso, albâque pituitâ detento, aluus vehementer perturbata, bonum. Si erysipelas foras diffusum, intrò vertatur, malum; si verò intùs effusum, foras vertatur, bonũ. Vehementi alui profluuio detento, succedens vomitus bonum. Mulieri sanguinem vomẽti, menstrua erumpere, bonũ. A fluxione verò vexatæ ad nares aut os fluxionem transire, bonum. Mulieri ex partu conuulsione infestatæ, febrem succedere, bonum. Et tetano, ac conuulsione obsidente, febrem superuenire bonum. Hæc enim eiusmodi ex nulla Medicorum inscitia, neque scientia cõtingunt, & nõ contingunt; sed suâ sponte ac fortuito casu orientia, eadem ratione tum iuuant, tum lædunt. Hæc autem Medici inter curandum bona fœlici successu moliuntur. Si medicamento sursum purgante dato, per superiora & inferiora probè purgent. Et si mulieri dato medicamẽto, quod bilẽ aut pituitam deorsum purget, menses suppressi erumpant. Et sicui lienem suppuratum habenti medicamento exhibito, quod bilem & pituitam deorsum purget, pus ex liene per inferiora expurgarunt, & morbo liberarunt. Sique calculum habenti, exhibito medicamento purgante, calculum in meatum vrinarium medicamẽti vi protruserunt, ita vt cum vrina exeat. Et si ei qui pus in superiore ventre ex tuberculo collectum *habet, quod habeat ignorantes, medicamentum quod pituitam sursum purget, exhibuerint, isq; pus vomitione reiecerit, sanusq; euaserit. Et quum curando eum, qui ex medicamento per superiora purgante supra modũ purgatur, aluo sponte erũpente, à vomitu sanũ reddiderint. At mala hæc aduersâ fortunâ operantur. Si exhibito quod pituitã sursũ educat, medicamento, venã in pectore præ vomitione ruperint, quum nullus anteà manifestus in pectore dolor existeret, & morbus oriatur. Si quoq; mulieri vtero gerẽti, dato medicamẽto sursum purgante, aluus affatim deorsũ erumpat, fœtumque abortione eijciat. Et suppuratum curanti, si aluus profluat, ipsumq; perdat. Sique dum oculos curat ac sublinit, dolores incidunt acutiores, ac si ita contingat, oculi rumpantur & obscurentur, Medicum accusant quod oculos subleuerit. Et si puerperæ in vẽtris dolore aliquid Medicus exhibuerit, & malè habeat, aut etiã pereat,*

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἅτινα ἐν ταῖς νόσοις, καὶ ἀπὸ ταυμάτου, κακά τε καὶ ἀγαθὰ καὶ ὠφελοῦντα καὶ βλάπτοντα· καὶ ἃ διὰ τῆς τοῦ ἰατροῦ ἐργασίας, κατὰ τὴν ἐπιτυχίαν καὶ τὴν ἀποτυχίαν γίνονται· καὶ ἃ κακὰ γενόμενα ἐπὶ τὸν ἰατρὸν, καὶ μὴ ἐπὶ τὴν ἀνάγκην ἀναφέρεται.

ΤΑ δὲ τοιάδε ἀνθρώποισιν ἀπὸ ταὐτομάτου ἐν τῆσι νούσοισι γίνονται, τά τε κακὰ καὶ τὰ ἀγαθά. Πυρέσσοντι μὲν καὶ χολῶντι, ἐν καιρῷ σκεδασθεῖσα ἔξω ἡ χολὴ, ἀγαθόν· ὑπὸ τὸ δέρμα δὲ κεχυμένη, καὶ ἐσκεδασμένη, εὐπετεστέρα ἔχειν τε τῷ ἔχοντι, καὶ τῷ ἰωμένῳ ἰῆσθαι· κεχυμένη δὲ καὶ ἐσκεδασμένη, περὶ ἕν τι τοῦ σώματος περιστρεφοῦσα, κακόν. Κοιλίη ταραχθεῖσα ὑπὸ πλευρίτιδος ἐχομένῳ ἢ περιπνευμονίης, ἢ ἐμπύῳ ἐόντι, κακόν. Πυρέσσοντι δὲ ἢ τρῶμα τετρωμένῳ, κοιλίη ἀποξηρανθεῖσα, κακόν. Ὑφύδρῳ, καὶ σπληνώδει ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ, ταραχθεῖσα ἡ κοιλίη ἰσχυρῶς, ἀγαθόν. Ἐρυσίπελας ἢν ἔξω καταχεχυμένον, ἔσω τράπηται, κακόν· ἢν δ' ἔσω καταχεχυμένον, ἔξω τράπηται, ἀγαθόν. Διαρροίῃ δὲ ἐχομένῳ ἰσχυρῇ, ὁ ἔμετος γενόμενος, ἀγαθόν. Γυναικὶ αἷμα ἐμεούσῃ τὰ καταμήνια ῥαγῆναι, ἀγαθόν. Ὑπὸ ῥόου δὲ πιεζομένῃ, ἐς τὰς ῥῖνας ἢ ἐς τὸ στόμα μεταπεσεῖν τὸν ῥόον, ἀγαθόν. Γυναικὶ ὑπὸ σπασμοῦ πιεζομένῃ ἐκ τόκου, πυρετὸν ἐπιγενέσθαι ἀγαθόν. Καὶ τετάνου ἔχοντος καὶ σπασμοῦ, πῦρ ἐπιγενέσθαι ἀγαθόν. Τὰ γὰρ τοιαῦτα δι' οὐδεμίην οὔτε ἀμαθίην οὔτε σοφίην ἰητρῶν γίνεταί τε, καὶ οὐ γίνεται, ἀλλ' ἀπὸ τοῦ αὐτομάτου καὶ ἐπιτυχίης, γινόμενά τε ὠφελέει, καὶ βλάπτει κατὰ τὸν αὐτὸν λόγον. Ἐπιτυχίῃ δὲ τὰ τοιάδε οἱ ἰητροὶ ποιέουσιν ἐν τῇ θεραπείῃ ἀγαθά. ἄνω φάρμακον δόντες, καθαίρουσι καὶ ἄνω καὶ κάτω καλῶς. Καὶ γυναικὶ φάρμακον δόντες κάτω χολῆς ἢ φλέγματος, ἐπιμήνια οὐ γινόμενα κατέρρηξαν. Καὶ σπλῆνα ἔμπυον ἔχοντι, κάτω φάρμακον δόντες, ὥστε χολὴν καὶ φλέγμα καθῆραι, πύος κάτω ἐκάθηραν ἀπὸ τοῦ σπληνὸς καὶ ἀπήλλαξαν τῆς νούσου. Καὶ λιθιῶντι φάρμακον δόντες, τὸν λίθον ἐς τὸν οὐρητῆρα προσέωσαν ὑπὸ βίης τοῦ φαρμάκου, ὥστε ἐξουρηθῆναι. Καὶ πύον ἔχοντι ἐν τῇ ἄνω κοιλίῃ ἐν φύματι, οὐκ εἰδότες ὅτι ἔχει, δόντες ἄνω φάρμακον, ὅ,τι φλέγμα καθαίρει, ἤμεσε τὸ πύον καὶ ἐγένετο ὑγιής. Καὶ ἐκ φαρμάκου ὑπερκαθαιρόμενον ἄνω, θεραπεύοντες, καταρραγείσης τῆς κοιλίης ἀπὸ ταὐτομάτου, τοῦ ἐμέτου ὑγιᾶ ἐποίησαν. Κακὰ δὲ τάδε ἀπεργάζονται ἀπὸ ἀτυχίης. Φάρμακον δόντες ἄνω χολῆς ἢ φλέγματος, φλέβα ἐν τοῖσι στήθεσιν ἔρρηξαν ὑπὸ τοῦ ἐμέτου, οὐδὲν ἔχοντος πρόσθεν ἄλγημα ἐν τῷ στήθει φανερὸν, καὶ ἐγένετο νοῦσος. Καὶ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἄνω φάρμακον δόντες, κάτω ῥαγεῖσα ἡ κοιλίη, ἐξέτρωσε τὸ ἔμβρυον. Καὶ ἔμπυον θεραπεύοντι, ἡ κοιλίη ῥυεῖσα, διέφθειρε. Καὶ ὀφθαλμοὺς θεραπεύοντι καὶ ὑπαλείφοντι, ὀδύναι ἐνέπεσον ὀξύτεραι, κἢν οὕτω τύχῃ, ῥήγνυνται οἱ ὀφθαλμοὶ καὶ ἀμαυροῦνται, καὶ αἰτιῶνται τὸν ἰητρὸν, ὅτι ὑπήλειψε. Καὶ λεχοῖ ἐπὶ γαστρὸς ὀδύνης, ἢν δῷ τι ὁ ἰητρὸς καὶ κακῶς σχῇ, ἢ καὶ

ἀπόλλυται, ὁ ἰητρὸς αἴτιος. Σχεδὸν δὲ ὅσα ἀναγκαῖα ἔχει ὥστε γίνεσθαι ἐν τοῖσι νοσήμασι καὶ τρώμασι, κακὰ ἐπὶ κακοῖσι, τὸν ἰητρὸν αἰτιῶνται τούτων γινομένων, καὶ τὴν ἀνάγκην τὴν τὰ τοιαῦτα ἀναγκάζουσαν γίνεσθαι, οὐ γινώσκουσιν. καὶ ἢν ἐπὶ πυρέσσοντι ἢ τρῶμα ἔχοντι, ἐσελθὼν καὶ προσενέγκας, ὃ παραυτίκα μὴ ὠφελήσῃ, ἀλλὰ τῇ ὑστεραίῃ κάκιον ἔχῃ, τὸν ἰητρὸν αἰτιῶνται· ἢν δὲ ὠφελήσῃ, τοῦτο δὲ οὐχ ὁμαλῶς ἐπαινέουσι, χρῆναι γὰρ πεπονθέναι αὐτὸν, δοκέουσι. Τὰ δὲ ἕλκεα φλεγμαίνει, καὶ ἐν τῇσι νούσοισιν ἔστιν ὀδύνας ἤδη χρὴ γίνεσθαι αὐτοῖσιν, οὐδὲ τὰ τοιάδε ὥστε μὴ γίνεσθαι.

Medicus author est. Ac ferè in morbis & vulneribus, quæcunque mala malis ex causis necessarijs succedunt, cùm ista contingunt, in Medicum causam conferunt, & necessitatem talia fieri cogentem non agnoscunt. Et si ad febricitantem aut vulneratum ingressus, & oblatis quamprimùm remedijs non iuuet, sed postridie æger peiùs habeat, Medicum criminantur; quòd si opituletur, id tamen non æqualiter laudant, oportere enim ipsum affici existimant. Vlcera verò inflammantur in morbis, & in quibusdam dolores fieri oportet, neque tales esse vt minimè fiant.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὁποῖα μόρια διακοπέντα μὴ συμφύει· καὶ ὅτι οὐκ ἔστι τῆς ἰάσιος ἀρχὴ, οὐδὲ δεύτερον, οὐδὲ μέσον, οὐδὲ τελευτὴ, οὔτε λόγῳ, οὔτε ἔργῳ· ἢ κατά τινα εὐχειρία.

Νεῦρον διακοπὲν οὐ συμφύει, οὐδὲ κύστις, οὐδὲ τῶν ἐντέρων τι τῶν λεπτῶν, οὐδὲ φλὲψ αἱμόρροος, οὐδὲ γνάθου τὸ λεπτὸν, οὐδὲ τὸ ἐπὶ τοῦ αἰδοίου δέρμα. Ἀρχὴ δὲ ἰήσιος ἀποδεδειγμένη μὲν οὐκ ἔστιν, ἥτις ὀρθῶς ἀρχή ἐστι πάσης τῆς τέχνης, οὐδὲ δεύτερον οὐδὲν, οὐδὲ μέσον, οὐδὲ τελευτή· ἀλλὰ ἀρχόμεθά τε αὐτῆς ἄλλοτε λέγοντες, ἄλλοτε ἐργαζόμενοι, καὶ τελευτῶμεν ὡσαύτως. καὶ οὔτε λέγοντες ἀρχόμεθα ἐκ τῶν αὐτῶν λόγων, οὐδ᾽ ἢν δεῖ τὸ αὐτὸν λέγωμεν, οὐδὲ εἰς τοὺς αὐτοὺς τελευτῶμεν· καὶ ἐργαζόμενοι κατὰ τὸν αὐτὸν λόγον, οὔτε ἀρχόμεθα ἐκ τῶν αὐτῶν ἔργων, οὔτε τελευτῶμεν ἐς τὰ αὐτά. Εὐχειρίη δέ ἐστι τὰ τοιάδε· ὅταν τις τάμνων ἢ καίων μήτε νεῦρον[22] τάμνῃ ἢ καύσῃ, μήτε φλέβα· καὶ ἢν ἔμπυον καίῃ, ἐπιτυγχάνῃ τοῦ πύου· καὶ τάμνοντα δὲ, κατὰ τὸν αὐτὸν λόγον. καὶ κατήγματα συντιθέναι ὀρθῶς· καὶ ὅ, τι ἂν τοῦ σώματος ἐκπέσῃ ἐκ τῆς φύσιος, ὀρθῶς ἐς τὴν φύσιν τοῦτο ἀπώσαιεν. λαβεῖν τε ἃ δεῖ ἰσχυρῶς, καὶ λαμβάνοντα δὲ πιέζειν·[23] καὶ ὅσα ἀτρέμα λαβεῖν τε δεῖ, καὶ λαβόντα μὴ πιέζειν· καὶ ἐπιδέοντα στρεβλὰ μὴ ποιέειν ἐξ εὐθέων, μηδὲ πιέζειν ἃ μὴ δεῖ· καὶ ψαύοντα, ὅκου ἂν ψαύῃ, μὴ ὀδύνην παρέχειν ἐκ περιουσίης. Ταῦτα μὲν οὖν ἐστιν εὐχειρίη. Τὸ δὲ τοῖσι δακτύλοισιν εὐσχημόνως λαμβάνειν, ἢ καλῶς, ἢ μὴ καλῶς, ἢ μακροῖσιν, ἢ βραχέσιν, ἢ καλῶς ἐπιδεῖν, καὶ ἐπιδέσιας παντοίας, οὐ περὶ τὴν τέχνην κρίνεται εὐχειρίης πέρι, ἀλλὰ χωρίς.

CAPVT V.

Quæ partes præcisæ non coalescant; curationis neque principium, neq; secundum, neque medium, neque finem, verbo aut opere constitui; in quibus sit manuum dexteritas.

Neruus præcisus non coalescit, neque vesica, neque aliquod ex tenuibus intestinis, neque vena fundens sanguinem, neque tenuis genæ pars, neque pudendi cutis. Principium autem curationis demonstratum quidē non est, quod vniuersæ artis rectè principium sit, neq; vllum secundum, neque medium, neque finis; sed quandoque in eâ à verbis, quandoq; ab opere initium sumimus, eodemque modo finem imponimus. Et neq; dicendo ab ijsdem sermonibus exordimur, neque si de ijsdem loquamur, in eadem desinimus. Ad eandem rationem in opere, neque ab ijsdem operibus initium sumimus, neque in eadem desinimus. Manuum vero dexteritas in his est; quū quis secando, aut vrendo, neque neruum, neque venam secet aut vrat; & si purulentum vrat, pus consequatur; & si secet, eadem ratione. Si fracturas rectè componat; si quæ corporis pars è naturali situ exciderit, ipsam rectè ad naturam compellat. Et quæ vehementer apprehendere oportet, ea apprehendendo premere, & quæ paulatim apprehendenda sunt, apprehendendo non premere; & ex rectis deligando, minimè distorta reddere; neq; premere, quæ non oportet; & in contactu vbicunque contigerit, ex abundanti dolorem non exhibere. Atq; hæc quidē manuū dexteritatis sunt. At digitis decenter, aut probè, aut non probè, aut longis, aut breuibus apprehendere, aut probè deligare, & vniuersas deligaturas facere, non in arte ad manuū dexteritatē pertinere iudicatur, sed separatim.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τοῦ πνεύμονος ἐμπύου ἐκ περιπνευμονίας, καὶ ἀπὸ κεφαλῆς καταρρεύσαντος φλέγματος, καὶ φλεβίου ῥαγέντος, καὶ φλεβὸς κιρσοειδοῦς σπασθέντος, καὶ περὶ τοῦ ἐμπύου θεραπείας καὶ θανάτου.

Ὁκόσοι ἔμπυοι γίνονται τὸν πλεύμονα, ἢ τὴν ἄνω ἢ τὴν κάτω κοιλίην, ἢ φύματα ἴσχουσιν, εἴτε ἐν τῇ ἄνω κοιλίῃ, εἴτε ἐν τῇ κάτω, ἢ ἐν τῷ πλεύμονι, ἢ ἕλκεα ἔνδοθεν, ἢ αἷμα ἐμέουσιν, ἢ πτύουσιν, ἢ ἄλγημά τι ἔχουσιν ἢ ἐν τοῖσι στήθεσιν ἢ ἐν τῷ νώτῳ, ταῦτα πάντα ἴσχουσι, τὰ μὲν ἐν τῷ σώματι ἐνεόντων, ἀπὸ χολῆς καὶ φλέγματος, τὰ δὲ ἔξωθεν, ἀπὸ τοῦ ἠέρος

CAPVT VI.

De pulmone suppurato ex peripneumonia; pituitæ è capite defluxu; venulæ rupturâ; venæ varicosæ contractione, ac de suppurati curatione, ac interitu.

Qui pulmone, aut superiore, aut inferiore ventre suppurati fiunt, aut tubercula, siue in superiore, siue inferiore ventre, aut pulmone habent, aut intùs vlcera, aut sanguinem vomunt, aut spuunt, aut dolorē aliquē habēt vel in pectore, vel in dorso, hæc omnia illis contingunt, ex his quidem quæ in corpore insunt, à bile & pituitâ, ex his verò quæ extrinsecus occurrunt, ab aëre insito

insito calori commixto, quinetiam à laboribus ac vulneribus. Et quicunque pulmone suppurati fiunt, ab his fiunt. Si peripneumonià correptus, diebus principibus non purgetur, sed sputum & pituita in pulmone remaneat, suppuratus fit; qui si confestim curatus fuerit, plerunque effugit; si verò neglectum relinquatur, quod in pulmone est, corrumpitur, quo incumbente ac putrescente, tum corrumpitur, tum vlceratur pulmo, & pus colligit; neque ampliùs intrò ad se effatu memorabile alimentum trahit, neque ab eo quicquam per superiora repurgatur, sed cùm suffocatur, tum semper difficiliùs spirat, & respirando stertit, indeque à superiore pectore respirat, tandem verò sputis obturatur, ac moritur. Fit autem & suppuratus, si ipsi pituita ex capite in pulmonem defluxerit; ac primùm quidem vt plurimùm latenter defluit, tenuemque tussim exhibet, & sputum solito paulò frequentius, calorque tenuis interdum adest. Progressu verò temporis, tum pulmo exasperatur, tum intùs à pituita inhærescente & putrescente exulceratur; pondusque in pectore, & dolorem acutum antè & retrò exhibet; caloresque acutiores in corpus incidunt, & pulmo à calore ad se pituitam ex toto corpore, præcipuéque ex capite trahit; caput verò calefactum è corpore; eamque putrescentem subcrassam expuit; quantò verò longius tempus processerit, tantò sincerum magis pus expuit, & febres acutiores fiunt, tussisque crebra, & vehemens, inedia vexat, ac tandem inferior aluus turbatur; turbatur autem à pituita; pituita verò è capite descendit. Hic quum eò peruenerit, perit, quemadmodum in superioribus dictum est, vbi pulmo purulentus & putridus extiterit, aut venter deorsum eruperit. Ab his præterea purulentus fit pulmo. Quum venularum quædam in eo rupta fuerit; rumpitur autem à laboribus; & quum rupta fuerit, si crassior quidem fuerit venula, plus fundit sanguinis, si verò tenuior, minùs; partimque confestim quidem sanguinem expuit; partim verò, nisi constricta vena fuerit, in pulmonem funditur, in eóque putrescit, quumque putruerit, pus facit. Procedente verò tempore, interdum pus sincerum, interdum subcruentum; quandoque etiam sanguinem; & si vberiùs repleta fuerit venula, ipsa sanguinis copiam confertim à se euomit, pusque crassum ab accedente ac intùs putrescente pituita expuitur. Hic si per morbi initia, antè quàm vena sanguinem fundat & vehementer laxetur, curatione præoccupetur; & priusquàm extenuetur, ac lecto decumbat, & caput corrumpi, reliquumque corpus tabescere incipiat, incolumis ab eiusmodi morbo euadit. At si neglectus fuerit, istáque prehenderint, ita vt his omnibus aut plerisque affectus sit, perit. Perit autem hic aut ex ijs quæ antè dixi, aut ex vomitu, copioso sanguine multoties per vomitum reiecto. At si vena quidem non omninò rupta fuerit, sed tractus in ipsa fiat, fit au-

A ἐπιμιγνυμένῳ τῷ συμφύτῳ θερμῷ· ἀτὰρ καὶ ἀπὸ πόνων, καὶ τρωμάτων. καὶ ὁκόσοι μὲν τὸν πλεύμονα ἔμπυοι γίνονται, ἀπὸ τῶνδε γίνονται. Ἢν περιπλευμονίῃ ληφθεὶς μὴ καθαρθῇ [23] ἐν τῇσι κυρίῃσιν ἡμέρῃσιν, ἀλλ' ὑπολειφθῇ ἐν τῷ πλεύμονι πτύαλόν τε καὶ φλέγμα, ἔμπυος γίνεται· καὶ ἢν μὲν αὐτίκα θεραπευθῇ, διαφεύγει ὡς τὰ πουλλά· ἢν δὲ ἀμεληθῇ, ἐν τῷ πλεύμονι διαφθείρεται, ἐγκείμενόν τε καὶ σηπόμενον, ἑλκοῦταί τε ὁ πλεύμων καὶ B διάπυος γίνεται, καὶ οὐκ ἔτι ἔσω ἕλκει ἐς ἑωυτὸν ὅ,τι καὶ ἄξιον λόγου τῆς τροφῆς, οὔτε τι ἀποκαθαίρεται ἀπ' αὐτοῦ ἄνω οὐδὲν, ἀλλὰ πνίγεταί τε καὶ [24] δυσπνοεῖ ἀεὶ ἐπὶ μᾶλλον, καὶ ῥέγχει ἀναπνέων, καὶ ἀναπνέει αὐτόθεν ἄνωθεν ἐκ τῶν στηθέων, τέλος δὲ, ἀποφράσσεται ὑπὸ τοῦ πτύσματος, καὶ ἀποθνήσκει. γίνεται δὲ καὶ ἔμπυος, καὶ ἢν ἐκ τῆς κεφαλῆς φλέγμα οἱ καταῤῥυῇ ἐς τὸν πλεύμονα· καὶ τὸ μὲν πρῶτον ὡς τὰ πολλὰ λανθάνει καταῤῥέον, καὶ βῆχά τε παρέχει λεπτὴν, καὶ τὸ σίαλον πυκνότερον ὀλίγῳ τοῦ εἰωθότος, καὶ ἄλλοτε θέρμη λεπτή· ὁκόταν δὲ ὁ χρόνος C προΐῃ, τρηχύνεταί τε ὁ πλεύμων, καὶ ἑλκοῦται ἔνδοθεν ὑπὸ τοῦ φλέγματος ἐγκειμένου καὶ σηπομένου, καὶ βάρος παρέχει τοῖσι στήθεσι καὶ ὀδύνην ὀξείην πρόσω καὶ ὀπίσω· θέρμαι τε ὀξύτεραι ἐμπίπτουσιν ἐς τὸ σῶμα, καὶ πλεύμων ἀπὸ τῆς θερμασίης ἄγει ἐς ἑωυτὸν ἐκ παντὸς σώματος φλέγμα, καὶ μάλιστα ἐκ τῆς κεφαλῆς, ἡ δὲ κεφαλὴ θερμαινομένη, ἐκ τοῦ σώματος· καὶ τοῦτο σηπόμενον, πτύει ὑπόπαχυ· ὅσῳ δ' ἂν ὁ χρόνος προΐῃ, εἰλικρινὲς πτύει πύος, καὶ οἱ πυρετοὶ ὀξύτεροι γίνονται, καὶ ἡ βὴξ πυκνὴ καὶ D ἰσχυρὴ, καὶ ἡ ἀσιτίη διακναίει, καὶ τέλος ἡ κοιλίη ἡ κάτω ταράσσεται· ταράσσεται δὲ ὑπὸ τοῦ φλέγματος· τὸ δὲ φλέγμα [25] ἀπὸ τῆς κεφαλῆς καταβαίνει. ἔστι δ' ὅταν ἐς τοῦτο ἀφίκηται, ἀπόλλυται, καθάπερ εἴρηται ἐν τοῖσιν ἔμπροσθεν, διαπύου τοῦ πλεύμονος καὶ σαπροῦ γινομένου, καὶ ἡ τῆς γαστρὸς ῥυείσης τῆς κάτω. Γίνεται δὲ καὶ ἀπὸ τῶνδε ἔμπυος ὁ πλεύμων. ὁκόταν τι τῶν ἐν αὐτῷ φλεβίων ῥαγῇ· ῥήγνυται δὲ ὑπὸ πόνων· καὶ ὅταν ῥαγῇ, αἱμοῤῥοεῖ τὸ φλέβιον, καὶ ἢν μὲν παχύτερον ἔῃ, μᾶλλον, ἢν δὲ λεπτότερον, ἧσσον· καὶ E τὸ μὲν παραυτίκα τοῦ αἵματος πτύει, τὸ δὲ, ἢν [26] μὴ στεγνωθῇ ἡ φλὲψ, χεῖται εἰς τὸν πλεύμονα καὶ σήπεται ἐν αὐτῷ, καὶ ὅταν σαπῇ, πῦον ποιεῖ· προϊόντος δὲ τοῦ χρόνου, ἄλλοτε πῦον εἰλικρινὲς, ἄλλοτε πῦον ὕφαιμον, ἄλλοτε τὸ αἷμα· καὶ ἢν μᾶλλον πληρωθῇ τὸ φλέβιον, ἀπεμεῖ τὸ πλήρωμα ἀφ' ἑωυτοῦ ἀλὲς τοῦ αἵματος, τό, τε πῦον πτύεται παχὺ ὑπὸ τοῦ προσγινομένου καὶ ἐνσηπομένου φλέγματος. ἔστι δ' ἢν καταληφθῇ ἀρχομένου τοῦ νουσήματος, πρὶν ἢ τὴν φλέβα αἱμοῤῥοέειν καὶ χαλᾶν ἰσχυρῶς, πρίν τε λεπτυνθῆναι καὶ κλινοπετέα F γενέσθαι, καὶ τὴν κεφαλὴν ἄρξασθαι φθίνειν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, ὑγιὴς ἐκ τῆς τοιῆσδε νούσου γίνεται· ἢν δ' ἀμεληθῇ, καὶ ταῦτα καταλάβῃ, ὥστε παθέειν ἢ πάντα ἢ τὰ πλεῖστα, ἀπόλλυται. ἀπόλλυται δὲ ἔστιν, ἢ [27] ὑπὸ τῶν αὐτῶν ἃ εἴρηκα ἔμπροσθεν, ἢ ὑπὸ ἐμέτου, αἵματος πουλλοῦ πολλάκις ἐμεομένου. ἢν δὲ τὸ φλέβιον παντάπασι μὲν μὴ διαῤῥαγῇ, [28] σπάδων δ' ἐν αὐτῷ ἐγγένηται, γίνεται δὲ μάλιστα οἷς κιρ-

πος, ὃ καὶ παραυτίκα μὲν ὅταν γένηται, ὀδύνην τινὰ παρέχει λεπτὴν, καὶ βῆχα ξηρήν· ἢν δὲ χρονίσῃ τε καὶ ἀμεληθῇ, διαδιδοῖ αἵματος μὲν πρῶτον ὀλίγον καὶ ὑπομέλαν, ἔπειτα δὲ [28] ἐπὶ πλεῖόν τε καὶ εἰλικρινέστατον, εἶτα πύον, καὶ πάσχει τε ὅσαπερ ἐν τοῖσιν ἔμπροσθεν εἴρηται. συμφέρει δὲ τοῖσι τοιούτοισιν, ἢν κατ' ἀρχὰς λάβῃς θεραπεύειν, [29] ὥστε αἵ τε φλέβες ἐξιέμεναι ἐκ τῶν χειρῶν, καὶ δίαιτα, ὑφ' ἧς ἔσται ξηρότατός τε καὶ ἀναιμότατος. τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ τὰ ἐν τῷ πλευρῷ φλέβια πάσχει, ὅσα ἔσω ἀκρόπλοα [30] εἰσιν. ὁκόταν οὖν πονήσῃ, κιρσώδεά τε γίνεται, καὶ [31] μετέωρα εἴσω· καὶ ἢν μὲν ἀμεληθῇ, τάδε πάσχει, ἐκρήγνυταί τε, καὶ πτύουσί τε ἀπὸ σφέων αἷμα, καὶ ἐνίοτε καὶ ἐμέουσι, καὶ ἔμπυοι γίνονται, καὶ ὡς τὰ πουλλὰ διεφθάρησαν· ἢν δὲ θεραπευθῶσιν ἀρχομένου τοῦ νουσήματος, αὖθις κατὰ χώρην ἱζάνουσιν [32] εἰς τὸ πλευρὸν τὰ φλέβια, καὶ γίνεται ταπεινά. καὶ ὁ μὲν πλεύμων ἀπὸ τούτων ἔμπυος γίνεται, καὶ τὰ ἀπ' αὐτοῦ πάσχουσί τε τὰ τοιαῦτα, καὶ τελευτῶσιν οὕτω.

tem præcipuè velut varix, quod etiam confestim quidem vbi factum fuerit, dolorem quendam tenuem, & tussim siccam exhibet. Si verò diutiùs morata & neglecta fuerit, primùm quidem paucum & subatrum sanguinem transmittit, mox etiam copiosiorem & maximè sincerum, deinde pus, & patitur quæcunque in superioribus dicta sunt. His confert, si circa exordia curandos susceperis, vt & manuum venæ sanguinem emittant, & victûs ratione vtatur, ex qua & siccissimus & maximè exanguis euadat. Ad hunc verò eundem modũ etiã venis in latere, intùs in superficie natantibus accidit. Quũ igitur affectæ fuerint, & varicosæ factæ, & intùs eleuatæ; si quidem neglectæ fuerint, hæc perpetiuntur, & erũpunt, ac expuũt à se sanguinẽ, eumq; interdũ vomunt & suppurati fiunt, ac plerunq; pereunt. Quod si incipiente morbo curentur, rursus venulæ in loco ad latus subsidunt, & humiles fiunt. Et pulmo quidẽ ab his suppuratus redditur, & ab ipso talia perpetiuntur, sicq; moriũtur.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ θώρακος ἐμπυήματος ἀπὸ φλέγματος ἐκ τῆς κεφαλῆς ῥυέντος, καὶ ἀπὸ τῆς πλευρίτιδος, καὶ φλέγματος πρὸς τὸ πλευρὸν προσαγέντος, καὶ ἀπὸ ταλαιπωρίας, καὶ φλεβίου ῥηχθέντος· περὶ τοῦ τῆς κάτω κοιλίας ἐμπυήματος, καὶ τῶν τούτου αἰτίων, φλέγματος καὶ χολῆς μεσηγὺ τῆς σαρκὸς καὶ τοῦ δέρματος συνισταμένων, καὶ τῶν σπασμῶν.

CAPVT VII.

De thoracis empyemate à pituitæ è capite defluxione; à pleuritide; à pituitâ lateri impactâ; à labore, & venâ ruptâ. de ventris inferioris suppurato, eiusque causis, pituitæ & bilis collectione inter cutem & carnem, & conuulsionibus.

Τὴν δὲ ἄνω κοιλίην ἔμπυοι γίνονται πολλαχῶς. καὶ γὰρ ὅταν φλέγμα ῥυῇ ἔκ τε κεφαλῆς ἁλὲς ἀθρόον ἐς τὴν ἄνω κοιλίην, σήπεταί τε καὶ γίνεται πύος· σήπεται δὲ ἐν ἡμέρῃσι μάλιστα μιῇ καὶ εἴκοσι· τοῦτο οὖν διασείεται καὶ ἐκκλυδάζεται τὸ πύος εἰς τὰ πλευρὰ προσπίπτον. τοῦτο ἢν καυθῇ ἢ τμηθῇ, πρὶν χρονίσαι τὸ πύος, ὑγιὴς γίνεται ὡς τὰ πολλά. Γίνονται δὲ κατὰ τὴν ἄνω κοιλίην ἔμπυοι καὶ ἐκ πλευρίτιδος, [33] ὁκόταν ἰσχυρὴ γένηται, καὶ ἐν τῇσι [34] κρισίμοισιν ἡμέρῃσι μήτε σαπῇ μήτε πτυσθῇ, ἀλλ' ἑλκωθῇ τὸ πλευρὸν ὑπὸ τοῦ προσπεπηγότος τε φλέγματος, καὶ χολῆς· καὶ ὁκόταν ἕλκος γένηται, ἀναδιδοῖ ἀπὸ ἑωυτοῦ πύος, καὶ ἐκ τῶν πλησίον χωρίων ὑπὸ θερμασίης ἄγει ἐφ' ἑωυτὸ φλέγμα, καὶ τοῦτο ὁκόταν σαπῇ, πτύεται πύος. ἐνίοτε δὲ καὶ ἐκ τῶν φλεβίων διαδιδοῖ ἐς τὸ ἕλκος αἷμα, καὶ γίνεται σηπόμενον, πύος. τοῦτο ἢν μὲν παραχρῆμα ὑποληφθῇ, ὑγιὴς γίνεται ὡς τὰ πολλά· ἢν δὲ ἀμεληθῇ, διαφθείρεται. Γίνονται δὲ ἔμπυοι καὶ ἢν φλέγμα ἐκ τῆς κεφαλῆς ῥυὲν πρὸς τὸ πλευρὸν προσαγῇ καὶ σαπῇ· τότε γὰρ τὸ πλευρὸν ὡς τὰ πολλὰ καίεται, καὶ πάσχει ὅσαπερ ἐκ πλευρίτιδος, ὅταν ἔμπυος γένηται. γίνονται δὲ καὶ ὁκόταν ὑπὸ ταλαιπωρίης, ἢ ἐκ γυμνασίης, ἢ ἄλλως πως ῥαγῇ ἢ ἔμπροσθεν, ἢ ὄπισθεν· ῥαγῇ δὲ, ὥστε μὴ παραυτίκα πτύσαι αἷμα, ἀλλ' ἐν τῇ σαρκὶ σπάδων γένηται, καὶ ἡ σὰρξ σπασθεῖσα εἰρύσῃ ἰκμάδα ὀλίγην, καὶ γένηται ὑποπέλιδνος, καὶ παραυτίκα μὲν μὴ αἰσθάνηται ὁ παθὼν ὑπὸ ῥώμης καὶ εὐεξίης, εἰ δὲ καὶ αἰσθάνεται, μηδὲν [35] πρῆγμα ἡγήσεται. τοῦτο [36] ὅταν καταλάβῃ, ὥστε αὐτὸν ὑπὸ πυρετῶν ληφθέντα λεπτυνθῆναι, ἢ πε-

At verò multis modis superiore ventre suppurati fiunt. Nam quum pituita multa è capite confertim in superiorem ventrem fluxerit, putrescit & pus procreatur. Putrescit autem maximè diebus vno & viginti. Hoc igitur pus ad latera procedens, concutitur & intus fluctuat. Hic si priusquàm pus diutiùs immoretur, vratur aut secetur, plerunque sanus euadit. Fiunt autem & superiore ventre purulenti ex pleuritide, quum vehemens fuerit, neque diebus iudicatorijs computruerit, neque per sputum reiecta fuerit, sed adhærescente pituitâ & bile latus vlceratum fuerit; quumque vlcus factum fuerit, ex se pus effundit, & de vicinis locis præ calore pituitam ad se adducit, & hæc vbi computruit, pus expuitur. Interdum verò etiam ex venis sanguis se ad vlcus transfundit, & putrefactus, pus procreatur. Hic si quamprimum curandus suscipiatur, plerunque sanus euadit; si verò negligatur, perit. Purulenti quoque etiam fiunt, si pituita è capite in latus defluens, adhæserit ac putruerit; tum enim plerunque latus incenditur, eadémque perpetitur, quæ ex pleuritide, quum purulentus euadit. Fiunt etiam quum præ labore, aut exercitatione, aut quauis aliâ causâ pars anterior aut posterior rupta fuerit; & sic rupta, vt non confestim sanguis expuatur, sed vulsura in carne contingat, quæ diuulsa paucam humiditatem attrahit, & sublliuida euadit; quod quidem statim ita affectus præ robore & bono corporis habitu non sentit, aut si etiam sentiat, nihil molesti esse putat. Hic quum perceperit se, sic febribus detineri vt extenuetur, aut ex

potionibus, aut venere, aut quauis aliâ re; caro vulnerata, aliquantulùm reficcatur, & incalescit, & ex vicinis tum venis, tum carnibus, humiditatem ad se trahit; quumque attraxerit, & tumet & inflammatur, & dolorem tenuem inducit, & tussim raram & siccam primùm; deinde magis ad se adhuc attrahit, vehementioremque dolorem, & tussim frequentiorem infert; & primùm quidem aliquantùm purulentum expuit, interdùm verò subliuidum & subcruentum. Et quò magis tempus procedit, eò vberius ad se trahit & putrefacit; & ipsius carnis quantum per initia liuidum erat, id pus fit, doloremque excitat acutum, & febrem, & tussim tum multam, tum crebram, & pus sincerum per sputum expuit. Quòd si pus in ventre moram traxerit, ab eo totum corpus, præcipuéque partes maximè vicinæ incalescunt; incalescente autem corpore humidum maximè colliquescit; & partim quidem à superioribus partibus in superiorem ventrem præcipuè confluit, pusque creatur, creato iam intus additum; partim verò ad inferiorem ventrem defluit, ab eoque interdum aluus turbatur, & hominem perimit. Cibi enim ingesti, crudi per aluum secedunt, neque corpori ab his alimentum accedit, neque sputi per superiora æquabilis fit expurgatio, quum nimirùm incalescens aluus deorsum omnia ad se deducat. Et à sputo quidem suffocatur, & non repurgatus stertit; ab aluo autem fluente debilis euadit, & plerunque perimitur. In huiusmodi autem morbis hanc fluxionem præcipuè caput excitat, nimirum quum cauum existat, & superiore parte locatum; quum enim ab aluo concalefactum fuerit, tenuissimam pituitam è corpore ad se trahit; quam in se coaceruatam, rursus confertam & crassam, velut dictum est, reddit; & pars quidem ipsius in superiorem ventrem, pars verò in inferiorem defluit. Quum igitur caput fluere, corpusque reliquum non ampliùs æquabiliter colliquescere cœperit, ne vsti quidem superstites euadunt. Ad pus enim quæ affluunt mala, quàm quæ effluunt, magis exuperant; carnesque magis à malis colliquescunt, quàm ab ingestis cibis nutriantur. Hi sunt qui morbis huiusmodi obsidentur, atque ab his nonnulli breui quidem pereunt, quidam vero etiam multum tempus trahunt. Differt enim corpus à corpore, ætas ab ætate, & affectio ab affectione, & anni tempestas ab anni tempestate, in qua ægrotarint. Quidam enim morbos faciliùs tolerant; quidam vero omninò tolerare nequeunt. Non igitur certum tempus in quo pereunt, datur, neque si longum, neque si breue futurum sit. *Neque enim certum hoc tempus est, quod quidam proferunt, quum plerunq; neque hoc ipsum suppuret. Differt enim annus ab anno & anni tempestas à tempestate. At si quis velit rectè de his cognoscere ac dicere, is sic cognoscet, quocūque anni tempore & perire, & superesse, & quæ patiantur, perpeti. At vero inferiore ventre suppurati fiunt, maximè quidē quum pituita aut bilis inter carnē & cutim affatim collecta fuerit; fiunt etiā & à conuulsionibus; quūque venula conuulsa rupta fuerit, sanguis effusus putre-*

σιῶν, ἢ λαγνείης, ἢ ἄλλου του, ἡ σὰρξ ἡ τετρωμένη ὑποξηραίνεταί τε καὶ ὑποθερμαίνεται, καὶ ἕλκει ἰκμάδα ἐς ἑωυτὴν ἀπὸ τῶν πλησίον καὶ φλεβῶν καὶ σαρκῶν· ὅταν δὲ εἰρύσῃ, οἰδίσκεταί τε καὶ φλεγμαίνει, καὶ ὀδύνην παρέχει λεπτὴν, καὶ βῆχα ἀραιήν τε καὶ ξηρὴν τὸ πρῶτον, ἔπειτα ἐπὶ μᾶλλον ἕλκει τε ἐς ἑωυτὴν, καὶ ὀδύνην παρέχει ἰσχυροτέρην, καὶ βῆχα πυκνοτέρην. καὶ πτύει τὸ μὲν πρῶτον, ὑπόπυον, ἐνίοτε δὲ ὑποπέλιδνον καὶ ὕφαιμον· ὅσῳ δὲ ἂν ὁ χρόνος προΐῃ, ἕλκει τε μᾶλλον ἐς ἑωυτὴν καὶ σήπει, καὶ αὐτῆς τῆς σαρκὸς ὅσον πελιδνὸν ἐγένετο τὴν ἀρχὴν, [37] τοῦτο πύος γίνεται, καὶ ὀδύνην παρέχει ὀξείην, καὶ πυρετὸν, καὶ βῆχα πολλήν τε καὶ πυκνὴν, καὶ τὸ πτύσμα εἰλικρινὲς πτύει πύος· ἢν δὲ χρονίσῃ τὸ πύος ἐν τῇ κοιλίῃ, διαθερμαίνεται ὑπ' αὐτοῦ τὸ σῶμα πᾶν, μάλιστα δὲ τὰ ἐγγυτάτω· θερμαινομένου δὲ τοῦ σώματος, μάλιστα ἐκτήκεται τὸ ὑγρόν· καὶ τὸ μὲν ἀπὸ τῶν ἄνω ἐς τὴν ἄνω κοιλίην μάλιστα συῤῥεῖ, καὶ γίνεται πύος πρὸς τῷ ἐνεόντι· τὸ δὲ καὶ ἐς τὴν κάτω κοιλίην ῥεῖ, καὶ ἐνίοτε ταράσσεται ἡ κοιλίη ὑπ' αὐτοῦ, καὶ διέφθειρε τὸν ἄνθρωπον. τά γὰρ ἐσιόντα τῶν σιτίων, διαχωρεῖ ἄπεπτα, καὶ τροφὴ ἀπ' αὐτῶν οὐ γίνεται τῷ σώματι, καὶ ἡ τοῦ πτύσματος ἄνω κάθαρσις οὐχ ὁμαλὴ γίνεται, ἅτε διατεθερμασμένης τῆς κοιλίης, καὶ ἀγούσης πάντα κάτω ἐφ' ἑωυτήν. καὶ ὑπὸ μὲν τοῦ πτύσματος πνίγεταί τε, καὶ ῥέγχει οὐ καθαιρόμενος· ὑπὸ δὲ τῆς γαστρὸς ῥεούσης, ἐξασθενεῖ, καὶ ὡς τὰ πουλλὰ διαφθείρεται. μάλιστα δὲ ἐν τῇσι τοιαύτῃσι τῶν νούσων τὸ ῥεῦμα τοῦτο ἡ κεφαλὴ παρέχει, ἅτε κοίλη ἐοῦσα, καὶ ἄνω [38] ὑπερκειμένη· ὁκόταν γὰρ διαθερμανθῇ ὑπὸ τῆς κοιλίης, ἕλκει ἐς ἑωυτὴν ἐκ τοῦ σώματος τὸ λεπτότατον τοῦ φλέγματος· ὅταν δὲ ἁλισθῇ ἐν αὐτῇ, ἀποδιδοῖ πάλιν ἀλὲς καὶ παχὺ, ὥσπερ εἴρηται, καὶ αὐτοῦ τὸ μὲν ἐς τὴν ἄνω κοιλίην καταῤῥεῖ, τὸ δὲ ἐς τὴν κάτω. ὁκόταν οὖν ἄρξηται ἡ κεφαλὴ ῥεῖν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι οὐκ ἔτι ὁμαλῶς, οὐδὲ καυθέντες περιγίνονται. κρατεῖ γὰρ, πρὸς μὲν τὸ πύος τὰ ἐπιῤῥέοντα κακὰ, [39] ἢ τὰ ἀποῤῥέοντα· αἱ δὲ σάρκες τηκόμεναι μᾶλλον ὑπὸ τῶν κακῶν, ἢ τρεφόμεναι ὑπὸ τῶν εἰσιόντων. οὗτοι ὁκόσοι τοιουτότροπα νουσήματα ἴσχουσι, καὶ ἀπὸ τούτων ἔνιοι μὲν δι' ὀλίγου ἀπόλλυνται, ἔνιοι δὲ πουλὺν χρόνον ἕλκουσι. διαφέρει γὰρ σῶμα σώματος, καὶ ἡλικίη ἡλικίης, καὶ πάθημα παθήματος, καὶ ὥρη ὥρης ἐν ᾗ ἂν νοσέωσι· καὶ οἱ μὲν ταλαιπωρότεροί εἰσιν ἐν τῇσι νούσοισιν, οἱ δὲ παντάπασι ταλαιπωρέειν ἀδύνατοι. οὔκουν ἔστι τὸ ἀκριβὲς τοῦ χρόνου ἐν ᾧ ἀπόλλυνται, οὔτε εἰ πολλὸν, οὔτ' εἰ ὀλίγον. οὔτε γὰρ ἐστὶν ὁ χρόνος ἀκριβὴς ὃν ἔνιοι λέγουσιν, ὡς τὰ πολλὰ οὐδὲ αὐτὸ τοῦτο ἐκπυεῖ. διαφέρει γὰρ καὶ ἔτος ἔτεος, καὶ ὥρη ὥρης· ἀλλ' ἤν τις θέλῃ [40] περὶ αὐτῶν ὀρθῶς γινώσκειν καὶ λέγειν, [41] γνώσεται ὧδε πᾶσαν ὥρην καὶ ἀπολλυμένους καὶ περιγινομένους, καὶ πάσχοντας ἅπερ ἂν πάσχωσι. Τὴν δὲ κάτω κοιλίην ἔμπυοι γίνονται, μάλιστα μὲν, ὅταν φλέγμα, ἢ χολὴ συστῇ ἀλὲς μεσηγὺ τῆς σαρκὸς καὶ τοῦ δέρματος· γίνονται δὲ καὶ ἀπὸ σπασμῶν, καὶ ὅταν φλέβιον σπασθὲν ῥαγῇ, τὸ αἷμα ἐκχυθὲν σήπεται, καὶ ἐμ-

πύῃ. ἢν δὲ ἡ σὰρξ σπασθῇ ἢ φλασθῇ, ἕλκει τε ἐκ τῶν παρ' ἑωυτῇ φλεβίων αἷμα, καὶ τοῦτο σήπεται, καὶ ἐμπύῃ. τούτοισιν ἢν μὲν ἔξω ἀποσημαίνῃ, καὶ πύος ἐξέλθῃ, ὑγιέες γίνονται· ἢν δὲ ἐκραγῇ αὐτόματον ἔσω, ἀπόλλυνται. κεχυμένον δὲ πύος ἐν τῇ κάτω κοιλίῃ, ὥσπερ ἐν τῇ ἄνω εἴρηται ἐγγίνεσθαι, οὐκ ἂν δύναιτο ἐγγενέσθαι, ἀλλ' ὥσπερ καὶ εἴρηται, ἐν χιτῶσί τε καὶ ἐν φύμασιν ἐγγίνεται. καὶ ἢν μὲν ἔνδον ἀποσημαίνῃ, δυσπετὲς γνῶναι· οὔτε γὰρ διασείσαντά ἐστιν εἰδέναι· γινώσκεται δὲ μάλιστα τῇ ὀδύνῃ ἔνθα ἔῃ, καὶ ἢν καταπλάσῃς [42] τῇ κεραμίτιδι, ἢ ἄλλῳ τῳ τοιούτῳ, ἀποξηραίνει δι' ὀλίγου.

scit, & suppuratur. Quod si caro conuulsa aut contusa fuerit, sanguinem ex venis sibi ipsi vicinis trahit, isque putrescit at suppuratur. His siquidem de se foras significationem præbuerit, & pus exierit, sani euadunt; si verò suâ sponte intro proruperit, pereunt. Effusum autem pus in inferiore ventre, generari haudquaquam poterit, velut in superiore ventre fieri dictum est, sed in tunicis & tuberculis innascitur, velut à me dictum est. Et si quidem internas de se notas præbuerit, cognitu difficile est, neq; enim ex concussione cognoscere licet; cognoscitur autem maximè ex dolore vbi fuerit, & si argillam, aut aliud quid huiuscemodi imposueris, breui id resiccat.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς τοῦ ἐν τῷ πνεύμονι ἐρυσιπέλατος γενέσεως, καὶ αἰτιῶν, καὶ σημείων, καὶ θεραπείας· περὶ τοῦ ἐν τῷ πνεύμονί τε καὶ ἐν τῷ πλευρῷ φύματος· περὶ τῶν ῥηγμάτων καὶ τῶν σπασμάτων ἐν τῇ σαρκὶ, καὶ ταῖς φλεψίν.

ΕΡυσίπελας δὲ ἐν τῷ πλεύμονι γίνεται, ὅταν ὑπερξηρανθῇ ὁ πλεύμων· ὑπερξηραίνεται δὲ καὶ ὑπὸ καύματος, καὶ ὑπὸ πυρετῶν, καὶ ὑπὸ ταλαιπωρίης καὶ ἀκρασίης· καὶ ὁκόταν ὑπερξηρανθῇ, ἕλκει τοῦ αἵματος πλεῖστον ἐφ' ἑωυτὸν, μάλιστα μὲν καὶ πλεῖστον ἐκ τῶν μεγάλων φλεβῶν (αὗται γὰρ αὐτῷ ἐγγύταταί εἰσι, καὶ ἐπίκεινται ἐπ' αὐτῷ) ἕλκει δὲ καὶ ἐκ τῶν ἄλλων τῶν πλησίον· ἕλκει δὲ τὸ λεπτότατον καὶ ἀσθενέστατον. ὁκόταν δὲ ἐρύσῃ, πυρετὸς ἀπ' αὐτοῦ γίνεται ὀξὺς, καὶ βὴξ ξηρὴ, καὶ πληθώρη ἐν τοῖσι στήθεσι, καὶ ὀδύνη ὀξείη ἐν τοῖσιν ἔμπροσθεν καὶ ὄπισθεν, μάλιστα δὲ κατὰ τὴν ῥάχιν, ἅτε τῶν φλεβῶν τῶν μεγάλων διαθερμαινομένων· καὶ ἐμέουσιν, ἄλλοτε μὲν ὕφαιμον, ἄλλοτε δὲ πελιδνόν· ἐμέουσι δὲ καὶ φλέγμα καὶ χολήν· καὶ ἐκψύχουσι πυκνά· ἐκψύχουσι δὲ διὰ τοῦ αἵματος τὴν μετάστασιν ἐξαπίνης γινομένην, καὶ μάλιστα διασημαίνει τοῦτο, ὅταν ἐπὶ τοῦ πλεύμονος ἐπιγένηται ἐρυσίπελας, καὶ τοῦ πυρετοῦ ἔῃ συνεχὴς λῆψις. Τούτῳ εἰ μὲν δύο ἢ τριῶν ἢ τεττάρων τὸ πλεῖστον ἡμερέων διαχυθῇ καὶ μεταστῇ τὸ ἔνδον ἐς τὸ ἔξω, ὑγιὴς γίνεται ὡς τὰ πολλά· ἢν δὲ μὴ διαχυθῇ καὶ μεταστῇ, ἐνσήπεταί τε καὶ ἔμπυος γίνεται καὶ ἀπόλλυται· ἀπόλλυται δὲ δι' ὀλίγου, ἅτε τοῦ πλεύμονος ἐμπύου ἐόντος ὅλου καὶ σαπροῦ. ἢν δὲ ἔξω κατακεχυμένον, εἴσω τράπηται, [43] καὶ λάβηται τοῦ πλεύμονος, τούτου οὐδεμίη ἐλπὶς περιγενέσθαι. ὅταν γὰρ προαπεξηρασμένος ὁ πλεύμων [44] εἰρύσῃ ἐς ἑωυτὸν, οὐκ ἂν ἔτι μεταστάίη, ἀλλὰ παραχρῆμα ὑπὸ τοῦ καύματος καὶ τῆς ξηρασίης, οὐκ ἔτι δέχεται οὐδὲν, οὔτε ἄνω ἀναδιδοῖ οὐδὲν, ἀλλὰ διέφθειρε. Φῦμα δὲ γίνεται ἐν τῷ πλεύμονι ὧδε. ὁκόταν φλέγμα ἢ χολὴ συστραφῇ, σήπεται· καὶ ἕως μὲν ἂν ἔτι ὠμότερον ἔῃ, ὀδύνην τε παρέχει λεπτὴν, καὶ βῆχα ξηρήν· ὁκόταν δὲ πεπαίνηται, ὀδύνη γίνεται καὶ πρόσθεν καὶ ὄπισθεν ὀξείη, καὶ θέρμαι λαμβάνουσι, καὶ βὴξ ἰσχυρή. καὶ ἢν μὲν ὅτι τάχιστα πεπανθῇ, καὶ ῥαγῇ, καὶ ἄνω τράπηται τὸ πύον, καὶ διακαθαρθῇ πᾶν, καὶ κοιλίη ἐν ᾗ τὸ πῦον, [45] προσπέσῃ τε καὶ διαξηρανθῇ, ὑγιὴς γίνεται παντελῶς· ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ καὶ ἀνακαθαίρηται, ἀποξηρανθῆναι δὲ παντάπασι μὴ δύνηται,

CAPVT VIII.

De erysipelatis in pulmone ortu, causis, signis, & curatione; de pulmonis, & lateris tuberculo; de ruptionibus, & euulsionibus in carne, & venis.

AT verò erysipelas in pulmone gignitur, quum supra modum is resiccatus fuerit; quod & ab ardore, & à febribus, & nimio labore, & intemperie contingit; & quum maximè resiccatus fuerit, plurimùm sanguinis in sese trahit, maximè quidem ac plurimùm ex magnis venis (hæ nanque ipsi maximè vicinæ sunt, ipsique superincumbunt) trahit autem etiam ex alijs vicinis; sed trahit tenuissimum ac debilissimum. Quum autem traxerit, febris acuta ex ipso oritur, & tussis sicca, plenitudo in pectore, dolor acutus in anterioribus & posterioribus partibus, præcipuè verò ad spinam, nimirùm magnis venis percalescentibus; & interdũ quidem subcruentũ, interdum vero liuidum vomunt; pituitã verò & bilem etiam vomunt; crebróq; animo linquuntur; animo verò linquuntur, ob sanguinis transmutationem derepentè obortam, idq; præcipuè dat signum generati in pulmone erysipelatis, si assidua febris inuasio contigerit. Huic si quidem duobus, aut tribus, aut quatuor ad summũ diebus diffusũ fuerit, quod intus est, & foras trãsierit, plerũq; sanus euadit. Si verò neq; diffusũ neq; trãsmutatũ fuerit, intùs putrescit, & suppuratus euadit, ac perit; perit autẽ breui, quum nimirũ totus pulmo purulentus ac putridus existat. Quòd si extrà diffusum, intrò vertatur, pulmonẽq; prehẽdat, huic spes salutis nulla superest. Quũ enim anteà resiccatus pulmo ad sese traxerit, nõ amplius trãsmittit, sed confestim præ ardore ac siccitate neq; quicquã amplius suscipit, neq; sursũ quicquam distribuit, sed corrumpit. Tuberculũ verò pulmonis sic oritur. Quũ pituita, aut bilis collecta fuerit, putrescit; & quãdiu quidẽ adhuc crudũ fuerit, tum dolorẽ tenuem, tũ tussim siccam excitat; postquã verò muturuerit, anteriore & posteriore parte acutus dolor oritur, calores inuadũt, ac tussis vehemens. Et siquidem pus quam citissimè maturuerit, eruperit, sursum vergat, ac totum expuatur, venterque in quo pus erat, considat ac resiccetur, prorsus sanus euadit. Si verò quàm citissimè ruptum fuerit, maturuerit, ac repurgatum fuerit, neque tamen penitùs resiccari possit,

sed ipsum tuberculum ex se pus effundat, perniciosum id est; & à capite reliquoque corpore pituita ad tuberculum defluens, putrescit ac pus gignitur ac expuitur, quo corruptus perit. Perit autem ex ventris profluuio, ab his quæ antea dicta sunt; ipsoque confabulante, & res omnes æquè vt priori tempore intelligente, resiccatur ac refrigeratur, omnesque corporis venæ contrahuntur, quum nimirum ipsarum sanguis à febre exustus sit; interdum verò tum ex temporis longitudine, & morbi magnitudine, tum etiam ex instantibus ac superuenientibus multis. Quòd si neque sponte, neque à medicamentis multo tempore rumpi possit, dolorum vehementiâ, inediâ, tussi, ac febribus, qui laborat, consumitur, ac plerúnque perit. Si verò iam extenuato & lecto decumbenti pus eruperit, neque sic admodum recreantur, sed eo modo perimuntur. Quòd si quàm citissimè ruptum quidem & maturatum fuerit, magnaque sui parte ad septum transuersum maturatum effundatur, quamprimùm quidem leuiùs habere videtur; progressu tamen temporis, siquidem totum per sputum reiecerit, & venter in quo pus inerat, considat ac resiccetur, sanus euadit. Verum si tum tempus longius, tum ipse debilior fuerit, neque expuere possit, sed per vstionem aut sectionem pus exeat, confestim quidem hoc sanè etiam modo leuius habere videtur; progressu tamen temporis, ab his quæ in priore dicta sunt, perimitur. In latere autem tubercula quidem oriuntur, tum à pituita, tum à bile, eadem ratione quâ in pulmone. A laboribus etiam fiunt, quum vena aliqua diuulsa rupta fuerit, neque tamen penitùs rupta fuerit, sed in ipsâ vulsura facta sit. Siquidem igitur rupta fuerit, confestim sanguis ex vena effusus putrescit & suppuratur. Quòd si vulsura in vena facta sit, hæc quidem per exordia dolorem excitat & pulsat; progressu verò temporis sanguinem ad carnem vena transmittit, & hic in carne putrescens, pus procreatur. Eâdem verò ratione & caro si sanè plus laborarit, plus etiam ad se sanguinis ex maximè vicinis venis trahit, & confestim in pus vertitur. Si verò minus laborarit, & tardiùs trahit, & suppuratur. Quibusdam autem cum imbecilles in carnibus aut venis vulsuræ factæ fuerint, non suppurantur, sed diuturni fiunt dolores, & ruptiones vocantur. Et quæ quidem in carne fiunt, hoc modo fiunt. Quum caro aut diuulsa, aut percussa, aut aliquo modo affecta, dolorem aliquem habuerit, liuida, velut anteà dixi, euadit, non sincero sanguine, sed tenui & aquoso, eóque pauco. Quum verò plus solito resiccata fuerit, tum incalescit, tum dolorem exhibet, & ad se ex venis & carnibus propinquis humiditatem trahit; ac vbi supra modum humectata fuerit, eáque humiditas ab ipsa carne admodum incaluerit, per totum corpus, qualis attracta est, dispergitur. Et magis sanè in venas, quàm in carnes, spargitur, cum hæ magis quàm carnes trahant, quanquam etiam carnes trahunt.

ἀλλ᾽ αὐτὸ ἀφ᾽ ἑωυτοῦ τὸ φῦμα ἀναδιδοῖ τὸ πῦον,[46] ὀλέθριον τοῦτο· καὶ ἀπὸ τῆς κεφαλῆς δὲ καὶ τοῦ ἄλλου σώματος φλέγμα καταρρέον ἐς τὸ φῦμα, σήπεταί τε καὶ πῦον γίνεται καὶ πτύεται, δι᾽ οὗ ἐφθάρη. διαφθείρεται δὲ ὑπὸ γαστρὸς ῥυείσης, ἀφ᾽ ὧνπερ καὶ ἐπὶ τῶν πρόσθεν εἴρηται· λεσχηνευομένου τε αὐτοῦ, καὶ φρονέοντος πάντα χρήματα ὁμαλῶς ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, ἀποξηραίνεταί τε καὶ ἀποψύχεται, καὶ συμμύει τὰ φλέβια τὰ ἐν τῷ σώματι πάντα, ἅτε τοῦ αἵματος ἐξ αὐτέων ἐκκεκαυμένου ὑπὸ πυρετοῦ· ἐνίοτε δὲ ὑπὸ χρόνου τε πλήθεος, καὶ μεγέθεος τῆς νούσου, καὶ τῶν ἐνεόντων κακῶν, καὶ τῶν προσεπιγινομένων. ἢν δὲ μὴ δύνηται πολλοῦ χρόνου ῥαγῆναι, μήτε ἀπὸ ταυτομάτου, μήτε ὑπὸ φαρμάκων, τήκεται ὁ ἀσθενῶν ὑπὸ ὀδυνέων ἰσχυρῶν, καὶ ἀσιτίης, καὶ βηχὸς, καὶ πυρετῶν, καὶ ὡς τὰ πολλὰ διαφθείρεται. ἢν δὲ ἤδη λελεπτυσμένῳ καὶ κλινοπετεῖ ἐόντι ῥαγῇ τὸ πῦον, οὐδ᾽ οὕτω μάλα ἀναφέρουσιν, ἀλλὰ διαφθείρονται τρόπῳ τοιῷδε. ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα, καὶ πεπανθῇ, πεπανθὲν δὲ ἐκχυθῇ ἐπὶ τὰς φρένας τὸ πολλὸν αὐτοῦ, τὸ παραυτίκα δοκεῖ μὲν[47] ῥάων εἶναι, προϊόντος δὲ τοῦ χρόνου, ἢν μὲν ἀναπλύσῃ πᾶν, καὶ ἡ κοιλίη ἐν ᾗ τὸ πύος ἐνῆν, προσπέσῃ τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται. ἢν δὲ ὅ,τε χρόνος πλείων γένηται, καὶ αὐτὸς ἀσθενέστερος, καὶ ἀναπλῦσαι μὴ δύναται, ἀλλὰ καυθῇ, ἢ τμηθῇ, καὶ τὸ πύος ἐξέλθῃ, παραυτίκα μὲν καὶ οὕτω δή τι δοκεῖ[48] ῥάων γεγονέναι, προϊόντος δὲ τοῦ χρόνου, διαφθείρεται ὑπὸ τῶν αὐτῶν, ὑφ᾽ ὧνπερ καὶ ἐν τῇ προτέρῃ εἴρηται. Ἐν δὲ τῷ πλευρῷ, γίνεται μὲν φύματα καὶ ἀπὸ φλέγματος, καὶ ἀπὸ χολῆς, κατὰ τὸν αὐτὸν λόγον τοῖσιν ἐν τῷ πλεύμονι· γίνεται δὲ καὶ ἀπὸ τῶν πόνων, ὁκόταν τι τῶν φλεβίων σπασθὲν ῥαγῇ, μὴ ῥαγῇ δὲ παντελῶς, ἀλλὰ σπάδων ἐν αὐτῷ γένηται. ἢν μὲν οὖν ῥαγῇ, παραυτίκα τὸ αἷμα τὸ ἐκχυθὲν ἐκ τοῦ φλεβίου, σήπεταί τε καὶ ἐκπυεῖ· εἰ δὲ σπάδων ἐν τῷ φλεβίῳ γένηται, τοῦτο κατ᾽ ἀρχὰς μὲν ὀδύνην[49] τε παρέχει καὶ σφύζει, προϊόντος δὲ τοῦ χρόνου, διαδιδοῖ ἡ φλὲψ τοῦ αἵματος ἐς τὴν σάρκα, καὶ τοῦτο σηπόμενον ἐν τῇ σαρκὶ, πύος γίνεται. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ ἡ σὰρξ ἢν μὲν μᾶλλον πονέσῃ,[49] πλέον τε τοῦ αἵματος ἕλκει ἐς ἑωυτὴν ἐκ τῶν ἐγγυτάτω φλεβῶν, καὶ παραχρῆμα[50] ἐκπυεῖ· ἢν δὲ ἧσσον πονέσῃ, σχολαίτερόν τε καὶ ἕλκει καὶ ἐκπυεῖ· ἐνίοισι δὲ ὁκόταν ἀσθενέα γένηται τὰ σπάσματα ἐν τῇσι σαρξὶν, ἢ ἐν τῇσι φλεψὶν, οὐκ ἐκπυΐσκεται, ἀλλὰ γίνεται ἀλγήματα πολυχρόνια, καὶ καλέουσι ῥήγματα. καὶ ὁκόσα μὲν ἐν τῇ σαρκὶ γίνεται, ὧδε γίνεται. ὁκόταν ἡ σὰρξ πονέσῃ τι, ἢ σπασθεῖσα, ἢ πληγεῖσα, ἢ ἄλλό τι παθοῦσα, γίνεται ὥσπερ πρόσθεν, πελιδνὴ, οὐκ εἰλικρινεῖ αἵματι, ἀλλὰ λεπτῷ τε καὶ ὑδαρεῖ, καὶ τούτῳ ὀλίγῳ· ὅταν δὲ ὑπερξηρανθῇ μᾶλλον τοῦ εἰωθότος, διαθερμαίνεταί τε καὶ ὀδύνην παρέχει, καὶ ἕλκει ἐς ἑωυτὴν ἀπὸ τῶν φλεβίων καὶ σαρκῶν τῶν πλησίον, τὸ ὑγρόν· καὶ ὁκόταν ὑπερυγρανθῇ, καὶ τοῦτο αὐτὸ τὸ ὑγρὸν ὑπερθερμανθῇ ὑπ᾽ αὐτῆς τῆς σαρκὸς, σκίδναται ἀνὰ τὸ σῶμα πᾶν, οἷόν περ εἰρύσθη, καὶ μᾶλλον δή τι σκίδναται ἐς τὰς φλέβας, ἢ ἐς τὰς σάρκας· ἕλκουσι γὰρ αἱ φλέβες μᾶλλον τῶν σαρκῶν, ἕλκουσι δὲ καὶ αἱ σάρκες·

ὁκόταν δὲ ἐς πολλὸν ὑγρὸν τὸ ἐν τῷ σώματι, ὀλίγον τὸ ἀπὸ τῆς σαρκὸς ἑλκυσθῇ, ἄδηλον γίνεται καὶ ἀνώδυνον, καὶ αὐτίκα νενοσηκότος, γίνεται ὑγιὲς τῷ χρόνῳ. ἢν δὲ διαθερμανθῇ τε μᾶλλον ἡ σὰρξ, καὶ εἰρύσῃ πλέον τὸ ὑγρὸν, ὀδύνην παρέχει, καὶ ὅπῃ ἂν τοῦ σώματος ἀπ' αὐτῆς ὁρμήσῃ καὶ κατασκηρείξῃ, ὀδύνην παρέχει ὀξείην· καὶ δοκέουσιν ἔνιοι αὐτοῖσι τὸ ῥῆγμα [52] μεθιστάναι, τὸ δὲ οὐκ ἀνυστόν· ἐγγυτάτω δὲ ἕλκεός ἐστιν, ὁκόσα τοιαῦτα, καὶ ἄλλα. τὸ δὲ ἀπὸ τῆς σαρκὸς ὑγρὸν, ἀΐσσει διὰ τῶν φλεβίων· ὅταν δὲ διαθερμανθῇ τε καὶ παχυνθῇ, καὶ γίνηται πλέον, καὶ ὀδύνην παρέχει, ἔστ' ἂν γίνηται ὅμοιον τῷ ἄλλῳ ὑγρῷ κατὰ λεπτότητα καὶ ψυχρότητα. ὁκόσα δὲ ἐν τοῖσι φλεβίοισι γίνεται, αὐτὸ μὲν τὸ φλέβιον ὁκόσον ἐσπάσται, κατὰ χώρην μένει· ὅταν δὲ σπασθῇ (σπᾶται δὲ [52] ὑπὸ τόνου καὶ βίης) γίνεται οἷον κιρσός. διαθερμαίνεται δὲ, καὶ ἕλκει ἐς ἑωυτὸν νοτίδα τινὰ ὑγρήν· ἡ δὲ νοτὶς ἐστὶν ἀπὸ χολῆς καὶ φλέγματος· καὶ ὁκόταν μιχθῇ τό, τε αἷμα καὶ τὸ ὑγρὸν τὸ ἀπὸ τῆς σαρκὸς, παχύνεται τὸ αἷμα καὶ πολλαπλασίως αὐτὸ ἑωυτοῦ, ταύτῃ ᾗ ἂν ἡ φλὲψ τυγχάνῃ ἐσπασμένη, καὶ νοσωδέστερον γίνεται καὶ στασιμώτερόν τι ἐπιπλέον· καὶ ὁκόταν πλέον γίνηται, μεταμέζῃ τὸ πλήρωμα, ᾗ ἂν τύχῃ, καὶ ὀδύνην παρέχει ὀξείην, ὥστε ἐνίοισι δοκέειν τὸ ῥῆγμα ἑωυτοῖσι [51] μεθιστάναι. καὶ ἢν τύχῃ ὥστε ἐς τὸν ὦμον μεθιστάναι, βάρος τε ἐν τῇ χειρὶ παρέχει, καὶ νάρκην καὶ νωθρίην· καὶ ἢν μὲν ἐς τὴν φλέβα σκιμφθῇ, ἢ ἐς τὸν ὦμόν τε καὶ τὸν νῶτον τείνῃ, παύεται ἡ ὀδύνη παραχρῆμα ὡς τὰ πολλά. γίνεται δὲ σπάσματα καὶ ἀπὸ πόνων, καὶ πτωμάτων, καὶ ἀπὸ πληγῆς, καὶ ἤν τις ἄχθος μέζον αἴρηται, καὶ ἀπὸ δρόμων καὶ πάλης, καὶ τῶν τοιούτων πάντων.

A *Quum verò ad copiosam corporis humiditatem pauca à carne attracta fuerit, obscura & doloris expers euadit, & pro morbosâ temporis tractu sanescit. Quòd si caro tum magis incaluerit, tum copiosam humiditatem traxerit, dolorem exhibet, & ad quancunque corporis partem ab ipsa cum impetu delata fuerit ac incubuerit, dolorem acutum excitat; & quidam putant ipsis ruptum transmutatum esse, at id fieri non potest. Sed quæ sunt eiusmodi & alia, vlceri sunt proxima.* B *At humor de carne per venas prorumpit; quumque incaluerit, & crassior copiosiorque euaserit, dolorem exhibet, donec reliquo humori tenuitate & frigiditate similis extiterit. Quæcunque verò in venis fiunt, sic habent; ipsa quidem vena in quantum euellitur, loco manet; quum verò euulsa fuerit (diuellitur autem contentione & violentia) similis fit varici. Percalescit autem, & ad se madorem quendam humidum trahit; mador autem à bile & pituita est;* C *quumque sanguis & humiditas de carne mixta fuerint, crassescit sanguis, ipséque multis modis, quâ parte venam euelli contingit, se ipso morbosior & longè stabilior euadit; quunque copiosior extiterit, plenitudo quocunque tandem contigerit, transfertur, dolorémque acutum adfert, ita vt quibusdam ruptio sibi loco migrasse videatur. Quòd si fortè ad humerum transierit, & grauitatem in manu, & stuporem, ac torporem inducit. Et si in venam irruerit, aut ad humerum & dorsum tendat, confestim plerúnque dolor sedatur.* D *Fiunt etiam euulsiones à laboribus, à casibus, à plaga, & si quis onus maius tollat, & à cursibus, ac lucta, & eiusmodi omnibus.*

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς τῶν ἐμπύων ἀπὸ σαρκὸς ἢ φλεβὸς τρωθείσης, ἢ ῥαγείσης, ἰάσεως, καὶ ὑποστροφῆς, καὶ ἀπωλείας· καὶ ἐν τῇ αὐτῶν θεραπείᾳ ὁποῖα χρὴ ἐπιβλέπειν, γένος, καὶ ἡλικίαν, καὶ ὥραν, καὶ χρόνον, καὶ πάθημα, καὶ σῶμα, καὶ τἄλλα.

Ὁκόσοι δὲ ἀπὸ τρωμάτων ἔμπυοι γίνονται, ἢ ὑπὸ δόρατος, ἢ ἐγχειριδίου, ἢ τοξεύματος ἔσω τρωθῶσι, τέως μὲν ἢν ἔχῃ τὸ ἕλκος ἔξω ἀναπνοὴν διὰ τὸ ἀρχαῖον τρῶμα, ταύτῃ τε τὸ ψυχρὸν ἐπάγεται ἐφ' ἑωυτὸ, καὶ τὸ θερμὸν [53] ἀφ' ἑωυτοῦ ταύτῃ ἀφίησι, καὶ ἀποκαθαίρεται εὐκόλως τὸ πῦον [54] καὶ δὴ ἤν τι ἄλλο. καὶ ἢν μὲν ὑγιανθῇ τό, τε εἴσω καὶ τὸ ἔξω ὁμοῦ, ὑγιὴς γίνεται παντελῶς· ἢν δὲ τὸ μὲν ἔξω ὑγιανθῇ, τὸ δὲ ἔσω μὴ ὑγιανθῇ, ἔμπυος γίνεται. καὶ ἢν ὑγιανθῇ μὲν ὁμοῦ καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ἡ δὲ οὐλὴ ἔσω ἀσθενὴς γίνηται καὶ τρηχείη καὶ πελιδνὴ, ἀνελκοῦται ἐνίοτε, καὶ ὧδε ἔμπυος γίνεται. ἀνελκοῦται δὲ καὶ ἤν τι πονέσῃ πλέον, καὶ ἢν λεπτυνθῇ, καὶ ἢν φλέγμα, ἢ χολὴ πρὸς τῇ οὐλῇ προσπαγῇ, καὶ ἢν νούσῳ ἑτέρῃ ληφθεὶς λεπτυνθῇ. ὅταν δὲ γίνηται ἕλκος, ἤν τε οὕτως, ἤν τε προσυμφυῇ τὸ ἔξω [55] τοῦ ἔσω, ὀδύνην τε παρέχει ὀξείην, καὶ βῆχα, καὶ πυρετόν· καὶ τήν τε ψύξιν ἐπάγεται αὐτὸ ἑωυτῷ τὸ ἕλκος, διὰ τὸ πλέον τε θερμότερον εἶναι· καὶ αὐτὸ ἀφ' ἑωυτοῦ ἀποπνεῖ τὸ θερ-

CAPVT IX.

De suppuratorum ob carnem, aut venam vulneratam, aut ruptã, sanatione, reuersione, interitu; ac in ipsorum curatione quæ animaduertenda sunt, sexus, ætas, tempestas, tempus, affectus, corpus, & alia.

E *Qui autem à vulneribus purulenti fiunt, aut hastâ, aut pugione, aut iaculo intrò vulnerati sunt, quandiu quidem vlcus per antiquum vulnus foras respirationem habuerit, & hac parte frigidum in se attrahit, & calidum à se emittit; tum pus facilè, tum sanè si quid aliud, expurgatur. Et si sanè tum interna pars, tum externa simul sanescant, penitus æger sanus euadit. Sin autẽ externa quidẽ pars sanescat, interna verò minimè, purulentus fit.* F *At sanè si simul tũ interna, tũ externa pars sanatæ sint, cicatrix autẽ intus debilis, aspera, & liuida existat, quãdoq; refricatur vlcus, & sic purulẽtus euadit. Rursus verò etiã exulceratur, siquid plus iusto laborarit & si extenuatus fuerit, & si pituita aut bilis ad cicatricẽ affigatur, & si morbo alio correptus extenuatus fuerit. Quũ autẽ vlcus extiterit, siue hoc modo, siue vbi pars externa priusquã interna coalescat, dolorẽ acutũ, & tussim, & febrẽ inducit; ipsũq; vlcus quũ amplius calidũ existat, sibi ipsi refrigerationẽ inducit, & à se*

calidum

calidum exhalat, pusque expurgatur, & longiore tempore curatur, & tardiùs sanescit; quandoque verò minimè sanescit. Caro etenim vlcusque ab ardore corporis coquitur, & supra modum humectatur, vt neque siccari, neque carnem producere, neque sanescere queat. Verùm procedente tempore moritur, & quæ priùs etiam dicta sunt, eiusmodi patitur. At si contigerit, vt ex crassioribus venis aliqua vulneretur, sanguisque intrò fluat & putrescat, suppuratus fit. Ac siquidem totum hoc pus sputo reiectum sit, & vulnerata vena obturata, vlcusque intùs & foris sanatum fuerit, prorsùs conualescit. Quòd si neque vlcus intùs coalescere possit, neque vena sauciata consolidetur, sed aliàs atque aliàs sanguinem effundat, etiamsi confestim vomatur, & expuatur, aut etiam putrescat, & pus expuatur, plerunque perimitur, aut statim sanguinem vomens, aut posteriori tempore, dum ab ijsdem quæ priùs dicta sunt, perit. At sæpè quibus vena aliqua à vulneribus, aut quibusdam laboribus, aut exercitationibus, aut aliâ quâdam causâ intus sauciatur, quum coaluerit, & sana esse vena videbitur, iterùm alio tempore rumpitur; iterùmque rumpitur ex ijsdem causis, à quibus priùs affectus erat. Quum verò iterùm rupta est, sanguinem effundit, confestimque copiosum sanguinem & crebrò vomentes intereunt, aut subinde recentem sanguinem vomunt; multum autem & crassum pus per totum diem spuentes, eodem aut consimili modo pereunt, velut in alijs morbis dictum est. At verò in his qui eiusmodi aut similibus morbis detinentur, multùm ad faciliorem aut difficiliorem liberationem interest, virne sit, an mulier; iuuenis, an senex; & mulier iuuencula, an vetula; ac præterea quoque quâ anni tempestate ægrotent, & num ex alio morbo aut non ex alio ægrotent. Differt etiam affectus ab affectu, maior à minori, corpus à corpore, & curatio à curatione. His autem ita differentibus, tempus etiam differre necesse est; & in alijs quidem longius fieri, alijs vero breuius; & alios perire, aut non; & alijs quidem morbos perdurare, & majores esse; alijs verò minores, & breuioris temporis; alijs quoque ad senectutem vsque permanere, & commori; alios verò ab ipsis breui interire. Et qui quidem iuniores eas patiuntur affectiones, quæ à laboribus fieri dictæ sunt, ij & plures & vehementiores patiuntur, plusque cæteris dolent, & confestim ijs manifestæ fiunt, vt sanguinem aut spuant, aut vomant. Sed quædam etiam oborientia, propter bonam corporis habitudinem ipsos fugiunt. Seniores verò rarò quidem afficiuntur; quod si afficiantur, debiliùs afficiuntur, quum debiliores existant, ijsque magis impetum remittant affectiones, earúmque maiorem curam habeant. Seniori igitur hæ per initia omninò minùs contingunt, quàm iuniori; quumque factæ fuerint, seniori quidem debiliores, iuniori verò vehementiores existunt. Et iuniori quidem, vt qui corporis vegetas habet vires

A μὲν, καὶ τὸ πῦον ἀποκαθαίρεται, καὶ περισηπεύεταί τε διὰ πλείονος, καὶ [56] βραδιώτερον ὑγιάζεται· ἐνίοτε δὲ οὐδ' ὑγιάζεται· ἡ γὰρ σὰρξ, τό, τε ἕλκος ὑπὸ τοῦ καύματος τοῦ ἐν τῷ σώματι ἕψεται, καὶ ὑπερυγραίνεται, ὥστε μὴ δύνασθαι μήτε ξηρανθῆναι, μήτε σαρκοφυῆσαι, μήτε ὑγιανθῆναι· ἀλλ' ὁκόταν ὁ χρόνος προΐῃ, τελευτᾷ πάσχων τὰ τοιαῦτα, ἃ καὶ ἐν τῇ πρόσθεν εἴρηται. Ἢν δὲ τύχῃ ὥστε τρωθῆναί τι τῶν φλεβίων τῶν παχυτέρων, καὶ ἔσω ῥυῇ τὸ αἷμα καὶ σαπῇ,

B ἔμπυον γίνεται. καὶ ἢν μὲν τοῦτο τὸ πῦον πτυσθῇ πᾶν, καὶ ἡ φλὲψ ἡ τετρωμένη στεγνωθῇ, καὶ τὸ ἕλκος ὑγιανθῇ καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ὑγιὴς γίνεται παντελῶς· ἢν δὲ μὴ δύνηται μήτε τὸ ἕλκος συμφυῆναι τὸ ἔνδον, μήτε ἡ φλὲψ στεγνωθῇ ἡ τετρωμένη, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε ἀναδιδοῖ αἷμα, [75] καὶ ἢν παραυτίκα ἐμέηται, καὶ πτύηται, ἢ καὶ σήπηται, καὶ πῦον πτύηται, διαφθείρεται ὡς τὰ πολλὰ, ἢ παραυτίκα ἐμέων αἷμα, ἢ ὑστέρῳ χρόνῳ, ὑφ' ὧν καὶ ἐν τῇ πρόσθεν εἴρηται διαφθειρόμενος. πολλάκις δὲ ὅσοισι τῶν φλεβίων ἔσω τιτρώσκεται

C ὑπὸ τρωμάτων, ἢ ὑπὸ τινων πόνων, ἢ γυμνασίων, ἢ ὑπ' ἄλλου του, ὁκόταν συμφυῇ καὶ δοκέῃ ὑγιὲς εἶναι τὸ φλέβιον, ἀναῤῥήγνυται ἑτέρῳ χρόνῳ· ἀναῤῥήγνυται δὲ ὑπὸ τῶν αὐτῶν, ὑφ' ὧν περ καὶ πρόσθεν πάσχει. ὁκόταν δὲ ἀναῤῥαγῇ, αἱμόῤῥοοι καὶ παραυτίκα ἀπόλλυνται ἐμέοντες αἷμα πολλόν τε καὶ πολλάκις, ἢ ἄλλοτε μέν τε καὶ ἄλλοτε αἷμα ἐμέουσι πρόσφατον· πῦον δὲ πτύοντες ἀνὰ πᾶσαν ἡμέραν πολλόν τε καὶ παχὺ, διεφθάρησαν τρόπῳ τοιούτῳ, ἢ

D παραπλησίῳ, ὡς καὶ ἐν τῇσιν ἄλλῃσι νούσοισιν εἴρηται. Τοῖσι δὲ ταῦτα τὰ νουσήματα ἔχουσι, καὶ ὅσα τοιαῦτα, διαφέρει ἐς τὸ εὐπετεστέρως τε ἀπαλλάσσειν καὶ δυσαπετεστέρως ἀνήρ τε γὰρ, γυναικὸς νεώτερος, γεραιτέρου· καὶ γυνὴ νεωτέρη, παλαιοτέρης· καὶ προσφύτοισιν, ἥ τε ὥρη τοῦ ἔτεος, ἐν ᾗ ἂν νοσέωσι· καὶ ἢν ἐξ ἑτέρης νούσου νουσήσωσιν, ἢ μὴ ἐξ ἑτέρης. διαφέρει δὲ καὶ πάθημά τε παθήματος, μεῖζόν τε καὶ ἔλασσον, καὶ χρὼς χρωτὸς, καὶ θεραπείη θεραπείης. τούτων δὲ οὕτω διαφερόντων, ἀνάγκη διαφέρειν

E καὶ τὸν χρόνον, καὶ τοῖσι μὲν πλέω γίνεσθαι, τοῖσι δὲ ἐλάσσω τε, καὶ ἀπόλλυσθαι, ἢ μή· καὶ τοῖσι μὲν, παραμόνιμά τε εἶναι, καὶ μέζω, τοῖσι δὲ ἐλάσσω τε καὶ ὀλιγοχρόνια, τοῖσι δὲ παραμένειν ἐς τὸ γῆρας τὰ νουσήματα καὶ συναποθνήσκειν, τοὺς δὲ ἀπόλλυσθαι δι' ὀλίγου ὑπ' αὐτῶν. καὶ ὁκόσοι μὲν νεώτεροι πάσχουσι τούτων, ὅσα εἴρηται ἀπὸ πόνων παθήματα γίνεσθαι, πάσχουσι πλέω τε καὶ ἰσχυρότερα, καὶ ἀλγέουσιν οὗτοι μᾶλλον τῶν ἄλλων, καὶ παραυτίκα [18] ἔκδηλα αὐτοῖσιν, ὥστε ἢ πτύσαι, ἢ αἷμα ἐμέσαι· τὰ δὲ καὶ γενόμενα,

F λανθάνει αὐτοὺς ὑπὸ εὐεξίης τοῦ σώματος. οἱ δὲ γεραίτεροι, πάσχουσι μὲν ὀλιγάκις, καὶ ὅταν πάθωσιν, ἀσθενέστερα πάσχουσιν, ἅτε ἀσθενέστεροι ἐόντες, καὶ ἐπανιοῦσι μᾶλλον, καὶ ἐπιμελέονται μᾶλλον τῶν παθημάτων. γίνεται οὖν τὴν ἀρχὴν, τὸ παράπαν ἧσσον τῷ γεραιτέρῳ ἢ νεωτέρῳ· καὶ ὁκόταν γίνηται, τῷ μὲν γεραιτέρῳ ἀσθενέστερα γίνεται, τῷ δὲ νεωτέρῳ ἰσχυρότερα· καὶ τῷ μὲν νεωτέρῳ, ἅτε τοῦ σώματος τόνον τε ἔχοντος καὶ

ξηρασίην, καὶ τὴν σάρκα πυκνήν τε καὶ ἰσχυρὴν, καὶ πρὸς τοῖσιν ὀστέοισι προσκαθημένην, καὶ περὶ αὐτὴν τοῦ δέρματος περιτεταμένου, ὁκόταν τι πονήσῃ πλέον τοῦ εἰωθότος, μᾶλλον καὶ ἐξαίφνης σπασμοί τε γίνονται ἰσχυροὶ, καὶ ῥήγματα πολλά τε καὶ παντοῖα τῶν φλεβῶν καὶ τῶν σαρκῶν· καὶ τούτων τὰ μὲν παραυτίκα ἔκδηλα γίνονται, τὰ δ' ὑστέρῳ χρόνῳ ἀναφαίνεται. τοῖσι δὲ γεραιτέροισι τόνος ἰσχυρὸς οὐκ ἔνι, αἵ τε σάρκες περὶ τὰ ὀστέα περιῤῥέουσι, καὶ τὸ δέρμα περὶ τὰς σάρκας, καὶ αὐτὴ ἡ σὰρξ ἀραιή τε καὶ ἀσθενὴς, καὶ οὔτε ἂν πάθοι τοιοῦτον ὁμοίως ὡς καὶ ὁ νεώτερος, καὶ ἤν τι πάθῃ, πάγχυ ἀσθενέα τε καὶ παραυτίκα οἱ ἔκδηλα γίνεται. τοσούτῳ μὲν ἐν τῇ ἀρχῇ τῶν παθημάτων, δυσχερέστερον ἀπαλλάσσουσιν οἱ νεώτεροι τῶν γεραιτέρων· ὁκόταν δὲ ἡ νοῦσος ἐμφανὴς γένηται, καὶ ἢ πύος, ἢ αἷμα πτύωσιν, ἢ ἀμφότερα, ὅσοι μὲν νεώτεροί εἰσιν, ἅτε τοῦ σώματος εὐτόνου τε ὄντος καὶ πυκνοῦ, οὐ δύνανται ἀποκαθαίρεσθαι ὁμαλῶς ἀπὸ τῶν ἑλκέων, ὧν ἐν τῇ ἄνω κοιλίῃ τὸ πύον· ὅ, τε γὰρ πλεύμων οὐ κάρτα ἕλκει ἐς τὰς ἀρτηρίας, πυκνότερος ἐών, αἵ τε ἀρτηρίαι λεπταὶ καὶ στεναὶ οὖσαι, οὐκ εἰσδέχονται τὸ πύον, εἰ μὴ ὀλίγον τε καὶ ὀλιγάκις· ὥστε ἀνάγκη τὸ πύος ἐν τῷ θώρακί τε καὶ ἐπὶ τῶν ἑλκέων ἀθροίζεσθαί τε καὶ παχύνεσθαι· τῷ δὲ ἀφηλικεστέρῳ, ὅ, τε πλεύμων ἀραιότερος καὶ κοιλότερος, καὶ αἱ ἀρτηρίαι εὐρύτεραι, ὥστε μὴ ἐγχρονίζειν τὸ πύος ἐν τῇ κοιλίῃ, καὶ ἐπὶ τῶν ἑλκέων, καὶ ὅ, τι ἂν ἐπιγένηται, τοῦτο ἀνάγκη πᾶν ἀνασπᾶσθαι ἄνω ὑπὸ τοῦ πλεύμονος ἐς τὰς ἀρτηρίας, καὶ παραχρῆμα ἐκπτύεσθαι. Τῷ μὲν οὖν νεωτέρῳ, ἅτε τῶν παθημάτων ἰσχυροτέρων ἐόντων, καὶ τῆς καθάρσιος οὐ γινομένης κατὰ λόγον τοῦ πτύσματος, οἵ τε πυρετοὶ ὀξύτεροι καὶ πυκνότεροι γίνονται, καὶ ὀδύναι ἐμπίπτουσιν ὀξεῖαι αὐτοῦ τε τοῦ παθήματος, καὶ τοῦ ἄλλου σώματος, ἅτε τῶν φλεβίων ἐντόνων τε ἐόντων καὶ ἐναίμων· ὅταν δὲ ταῦτα διαθερμανθῇ ὑφ' ἑαυτῶν, ὀδύναι διαΐσσουσιν ἄλλοτε ἄλλῃ τοῦ σώματος, καὶ οὗτοι μὲν διαφθείρονται ὡς τὰ πολλὰ δι' ὀλίγου· τοῖσι δὲ γεραιτέροισιν, ἅτε τῶν παθημάτων ἀσθενεστέρων ἐόντων, καὶ τοῦ πτύσματος ἀπ' αὐτῶν καθαιρομένου, οἵ τε πυρετοὶ λεπτότεροι καὶ ὀλίγοι γίνονται, καὶ ὀδύναι ἔνεισι μὲν, ἔνεισι δὲ λεπταί. καὶ παντάπασι μὲν τῶν παθημάτων τῶν τοιούτων οὐκ ἀπαλλάσσονται οὐδὲ οἱ γεραίτεροι, ἀλλ' ἔχοντες αὐτὰ πουλὺν χρόνον, καταφθείρονται, καὶ ἄλλοτε πύον πτύουσιν, ἄλλοτε αἷμα, ἄλλοτε δὲ οὐδέτερον, τέλος δὲ συναποθνήσκει αὐτοῖσιν. ἀποθνήσκουσι δὲ οὕτως· ὅταν τι αὐτοὺς νόσημα τούτῳ, ᾧ ἂν ἔχωσι, παραπλήσιον καταλάβῃ, ὥστε ἔχειν καὶ τοῦτο, καὶ ὃ ἂν ἔχωσι νούσημα ἰσχυρότερον γίγνεται, καὶ ὡς τὰ πολλὰ διαφθείρονται. ταῦτα δέ ἐστι τὰ μάλιστα ἐξεργαζόμενα τῶν νουσημάτων, πλευρῖτίς τε καὶ περιπλευμονίη.

A *& siccitatem, carnemque densam & validam, & ad ossa adhærescentem, & cutem ei vndique obtentam, siquid plus solito laborarit; vehementes conuulsiones magis & derepente contingunt, multæque & variæ venarum & carnium ruptiones. Atque horum quædam quamprimùm quidem manifesta fiunt, quædam verò posteriori tempore comparent. Senioribus autem vegetum corporis robur non inest, carnesque circum ossa diffluunt, cutísque carnes ambiens, & ipsa caro rara est ac debilis;* B *& neque* senior *eiuscemodi aut similiter, vt iunior afficitur, & siquid patiatur, leuiter patitur, statimque manifestum redditur. Adeò quidem per affectionum exordia difficiliùs iuniores, quàm seniores liberantur. Quum verò morbus conspicuus factus fuerit, & aut pus aut sanguinem, aut vtrumque expuerint, qui quidem iuniores sunt, quum nimirum robustum, ac densum ipsorum sit corpus, non æqualiter ab vlceribus, quæ pus in superiore ventre habent, repurgari* C *possunt. Neque enim pulmo, quum densior existat, admodùm ad arterias trahit; arteriæque tenues & angustæ, pus nisi paucum & rarò non excipiunt; quare pus & in thorace & vlceribus colligi & crassescere necesse fit. Adolescentiori verò pulmo rarior & magis cauus est, arteriæque ampliores, adeò vt pus in ventre & vlceribus diutiùs non immoretur, & quicquid insuper acciderit, id totum à pulmone in arterias sursum attrahi, confestimque expui necesse* D *est. In Iuniore igitur quum affectiones sint vehementiores, & purgatio pro sputi ratione non procedat, febres acutiores & frequentiores oriuntur; doloresque acuti tum ipsius affectûs, tum reliqui corporis incidunt, quum nimirùm venæ robustæ sint & sanguine refertæ. Vbi verò hæc percaluerint, ex ipsis dolores aliàs ad aliam corporis partem peruadunt; & hi quidem plerúnque breui perimuntur. Senioribus verò quum debiliores sint affectiones, & ab his* E *sputum repurgetur, tum febres leniores paucæque oriuntur, tum dolores adsunt quidem, sed exiles adsunt. Et ab huiusmodi quidem affectionibus ne senes quidem prorsus liberantur, sed multo tempore ipsas ferentes, pereunt; interdúmque pus spuunt, interdum sanguinem, quandoque verò neutrum, tandem verò cum his moriuntur. Sic autem moriuntur, quum aliquis morbus huic, quem habent, similis eos prehenderit, ita vt & hoc detineantur, & is quem prius habuerint, vehementior existat, vt pluri-* F *mùm consumpti pereunt. At morbi qui hæc potissimùm efficiunt, sunt pleuritis & pulmonum inflammatio.*

CAPVT

CAPVT X.

De febris, rigoris, horroris, ac sudoris frigidi & calidi, ortu, & causis.

EX his autem febris gignitur. Quum bilis aut pituita incaluerit, ab his reliquum totum corpus calescit, & hoc vocatur febris. Calescit autem bilis & pituita, intùs quidem, à cibis & potibus, à quibus & nutritur & increscit; extrà verò, à laboribus & vulneribus, & à calido supra modum calefaciente, & à frigido plus æquo refrigerante. Incalescit quoque etiam à visu & auditu, ab his autem minimùm. At verò rigor in morbis fit quidem etiam ab externis, ventis, aquâ, & aëre sereno, & alijs id genus. Fit quoque & ab ingestis cibarijs & potibus. Præcipuè autem vehementior fit, quum bilis & pituita, aut ex his alterum, aut vtrunque sanguini permixtum fuerit; magis tamen si sola pituita permixta fuerit; pituita enim naturâ frigidissima est, sanguis verò calidissimus, bilis autem aliquantò sanguine frigidior. Quum igitur hi humores aut ambo, aut alter cum sanguine permixti fuerint, sanguinem congelant; non penitus tamen, neque enim viuere homo posset, si sanguis multò densior & frigidior seipso euaderet. Vbi igitur sanguis refrigeratur, totum corpus reliquum refrigerari necesse est; idque quum huiusmodi euenerit, rigor appellatur. Et siquidem vehemens rigor extiterit, vehementior etiam est tremor. Sanguine enim in se coëunte & congelato, dum venæ contrahuntur, corpus & contrahunt, & tremere faciunt. Quod si minùs sanguinis coitio fiat, rigor appellatur. Horror autem dicitur, quod est debilissimum. At vero quod post rigorem necessariò corripiat febris aut maior, aut minor, sic se res *habet. Quum sanguis percaluerit, ac vim depulerit, rursusque ad suam naturam redierit; quod pituitæ & bilis sanguini permixtum est, simul percalescit, & sanguis ipse se ipso multò calidior euadit. His igitur percalefactis, post rigorem, præ sanguinis caliditate, febrem succedere necesse est. Sudor vero istam ob causam suboritur. Quicunque morbi præcipuis diebus* iudicatoriis *iudicantur, & ignis dimittit, in his quicquid est in sanguine pituitæ & bilis tenuissimum, eliquatur & secernitur, partimque extra corpus succedit, partim verò intus in corpore relinquitur; quod autem à calore attenuatur, vapor fit, & cum spiritu mixtum foras prodit. Hæc quidem sunt eiusmodi, & ab his sudor ortum ducit. Cur autem interdum quidem calidus, interdum verò frigidus sit, ita contingit. Calidus certè ex percalefecto malo, & exusto, attenuatoque, ac debili, neque admodum multo secernitur; eumque ex corpore calidiorem excerni necesse est. Frigidus autem ex malo copiosiore secernitur, & ex eo quod relinquitur, & adhuc inualescente, necdum putrefacto, neque attenuato, neque*

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Η' τοῦ πυρετοῦ, καὶ τοῦ ῥίγεος, καὶ τῆς φρίκης, καὶ τοῦ ἱδρῶτος ψυχροῦ τε καὶ θερμοῦ, γένεσίς τε καὶ αἰτίαι.

ΠΥρετὸς δὲ ἀπὸ τῶνδε γίνεται. Ὁκόταν χολὴ, ἢ φλέγμα θερμανθῇ, θερμαίνεται τὸ ἄλλο πᾶν σῶμα ἀπὸ τούτων, καὶ καλέεται τοῦτο πυρετός. θερμαίνεται δὲ ἡ χολὴ καὶ τὸ φλέγμα, ἔνδοθεν μὲν ἀπὸ σιτίων καὶ ποτῶν, ἀφ' ὧν καὶ τρέφεται, καὶ αὔξεται· ἔξωθεν δὲ, ἀπὸ πόνων καὶ τρωμάτων, καὶ ὑπὸ τοῦ θερμοῦ ὑπερθερμαίνοντος, καὶ ὑπὸ τοῦ ψυχροῦ ὑπερψύχοντος· θερμαίνεται δὲ καὶ ἀπὸ ὄψιος καὶ ἀκοῆς, ἐλάχιστα δὲ ἀπὸ τούτων. Τὸ δὲ ῥῖγος ἐν τῇσι νούσοισι γίνεται μὲν καὶ ἀπὸ τῶν ἔξωθεν, ἀνέμων, καὶ ὕδατος, καὶ αἰθρίης, καὶ ἑτέρων τοιούτων· γίνεται δὲ καὶ ἀπὸ τῶν ἐσιόντων σιτίων καὶ ποτῶν· μάλιστα δὲ καὶ ἰσχυρότερον γίνεται, ὅταν χολὴ καὶ φλέγμα συμμιχθῇ [59] ἐπὶ τῷ αὐτῷ αἵματι, ἢ τὸ ἕτερον, ἢ ἀμφότερα· μᾶλλον δὲ ἢν τὸ φλέγμα μοῦνον ξυμμιχθῇ· [60] ψυχρότατον γὰρ φύσει τὸ φλέγμα, θερμότατον δὲ τὸ αἷμα, ψυχρότερον δέ τι καὶ ἡ χολὴ τοῦ αἵματος. ὅταν οὖν ταῦτα συμμιχθῇ, ἢ ἀμφότερα, ἢ τὸ ἕτερον ἐς τὸ αἷμα, πήγνυσι τὸ αἷμα· οὐ παντάπασι δὲ, οὐδὲ γὰρ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος, εἰ τὸ αἷμα πυκνότερόν τε καὶ ψυχρότερον γένοιτο πολλαπλασίως αὐτὸ ἑωυτοῦ. ψυχομένου οὖν τοῦ αἵματος, ἀνάγκη ψύχεσθαι καὶ τὸ ἄλλο σῶμα πᾶν· καὶ [61] καλέεται ῥῖγος, ὁκόταν τοῦτο τὸ τοιοῦτον γένηται. κἢν μὲν ἰσχυρὸν γένηται ῥῖγος, ἰσχυρότερός ἐστι καὶ ὁ τρόμος· αἱ γὰρ φλέβες συσπῶνται, καὶ συνιόντος καὶ πηγνυμένου τοῦ αἵματος, συσπῶσί τε τὸ σῶμα καὶ τρέμειν ποιέουσιν· ἢν δέ τι ἧσσον ἡ σύνοδος τοῦ αἵματος γένηται, τοῦτο δὲ καλέεται ῥῖγος· φρίκη δὲ λέγεται τὸ ἀσθενέστατον. Ὅτι δὲ μετὰ τὸ ῥῖγος ἀνάγκη πυρετὸν ἐπιλαβεῖν ἢ πλέω ἢ ἐλάσσω, ὧδε ἔχει. ὁκόταν τὸ αἷμα διαθερμαίνηταί τε καὶ ἀπονίηται, καὶ ἀπίῃ πάλιν ἐς τὴν ἑωυτοῦ φύσιν, συνδιαθερμαίνεται καὶ τοῦ φλέγματος καὶ τῆς χολῆς τὸ ἐν τῷ αἵματι συμμεμιγμένον, καὶ γίνεται τὸ αἷμα θερμότερον αὐτὸ ἑωυτοῦ πολλαπλασίως· τούτων οὖν διατεθερμασμένων, ἀνάγκη πυρετὸν ἐπιγενέσθαι ὑπὸ τῆς θερμασίης τοῦ αἵματος, μετὰ ῥῖγος. Ἱδρὼς δὲ γίνεται διὰ τόδε· [62] ὁκόσαι ἂν νοῦσοι κρίνωνται ἐν τῇσι κυρίῃσι τῶν ἡμερέων, καὶ τὸ πῦρ μεθίῃ, ἐκτήκεται ἀπὸ τοῦ ἐν τῷ αἵματι φλέγματος καὶ τῆς χολῆς τὸ λεπτότατον, καὶ ἀποκρίνεται, καὶ χωρέει τὸ μὲν ἔξω τοῦ σώματος, τὸ δὲ ἔνδον καὶ αὐτοῦ ἐν τῷ σώματι ὑπολείπεται· τὸ δὲ ὑπὸ θερμασίης λεπτυνόμενον, ἀτμὸς γίνεται, καὶ σὺν τῷ πνεύματι μισγόμενον ἔξω χωρέει. ἔστι μὲν ταῦτα τοιαῦτα, καὶ ἀπὸ τούτων ἀπογίνεται ὁ ἱδρώς· διότι δὲ ὁτὲ μὲν θερμὸς, ὁτὲ δὲ ψυχρός ἐστιν, οὕτως. θερμὸς μὲν ἀπὸ διατεθερμασμένου τε τοῦ κακοῦ, καὶ ἐκκεκαυμένου, καὶ λελεπτυσμένου, καὶ ἀσθενέος, καὶ οὐ λίην [63] πολλοῦ ἀποκρίνεται, καὶ ἀνάγκη θερμότερον αὐτὸν ἐκκρίνεσθαι ἐκ τοῦ σώματος· ὁ δὲ ψυχρὸς ἀπὸ πλέονος τοῦ κακοῦ ἀποκρινόμενος, τοῦ τε ὑπολειπομένου καὶ ἔτι ἰσχύοντος, καὶ οὔπω [64] σεσηπότος, οὐδὲ λελεπτυσμένου,

ὡς δὲ ἐκκεκαυμένος, ψυχρότερος καὶ παχύτερος καὶ κακωδέστερος ἐκχωρέει. δῆλον δὲ τοῦτο ἐν τῷδε· οἱ ψυχρῷ ἱδρῶτι ἱδρῶντες, μακρὰς νόσους νοσέουσιν ὡς ἐπιτοπουλὺ, ἐπιχώοντος τοῦ κακοῦ τοῦ ἐν τῷ σώματι ὑπολειπομένου· οἱ δὲ θερμῷ ἱδρῶτι ἱδρῶντες, ταχύτερον ἀπαλλάσσονται τοῦ νοσήματος.

exusto, frigidior, crassior & graueolentior prodit. Hocque inde manifestum fit. Qui frigidum sudorem exudant, plerunque longis morbis ægrotant, inualescente malo, quod in corpore relinquitur. Qui verò calidum sudorem emittunt, celeriùs morbis defunguntur.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἡ τῆς πλευρίτιδος καὶ τῆς περιπνευμονίας, τῆς τε σὺν τῷ πτύσματι, καὶ τῆς ἀπτύστου, γένεσις, καὶ αἰτίαι, καὶ τὰ διατεθέντα μόρια, καὶ ἡ θεραπεία· τίνες πλευριτικοὶ καὶ περιπνευμονικοὶ ἀποθνήσκουσιν, ἢ διαφεύγουσιν, ἢ ἔμπυοι γίνονται.

Πλευρῖτις δὲ καὶ περιπνευμονίη γίνονται ὧδε. ἡ μὲν πλευρῖτις, ὁκόταν πόσιες ἀλέες τε καὶ ἰσχυραὶ κάρτα λάβωσι· διαθερμαίνεται γὰρ τὸ σῶμα ἅπαν ὑπὸ τοῦ οἴνου καὶ ὑγραίνεται, μάλιστα δὲ ἥ τε χολὴ καὶ τὸ φλέγμα διαθερμαίνεταί τε καὶ ὑγραίνεται. τούτων δὴ τούτων κεκινημένων τε καὶ ὑγρασμένων, συγκυρήσει ὥστε ῥιγῶσαι μεθύοντα, ἤ τε νήφοντα, ἅτε ἐὸν τὸ πλευρὸν ψιλὸν φύσει σαρκὸς μάλιστα τοῦ σώματος, καὶ οὐκ ἐόντος αὐτῷ ἔσωθεν οὐδενὸς ἀντιπιέζοντος οὐδενὸς, ἀλλὰ κοιλίης, αἰσθάνεται μάλιστα τοῦ ῥίγεος· καὶ ὁκόταν ῥιγώσῃ τε καὶ ψυχθῇ, συνέλκεταί τε καὶ συσπᾶται ἥ τε σὰρξ ἡ ἐπὶ τῇ πλευρῇ, καὶ τὰ φλέβια· καὶ ὅσον τε ἐν αὐτῇ τῇ σαρκὶ ἔνι χολῆς καὶ φλέγματος, ἢ ἐν τοῖσιν ἐν αὐτῇ φλεβίοισι, τὸ πολλὸν, ἢ πᾶν ἀποκρίνεται ἔσω συνωθεόμενον πρὸς τὸ θερμὸν, πυκνουμένης τῆς σαρκὸς ἔξωθεν, καὶ προσπήγνυται πρὸς τῷ πλευρῷ, καὶ ὀδύνην παρέχει ἰσχυρὴν καὶ διαθερμαίνεται, καὶ διὰ τὴν θερμότητα ἕλκει ἐφ᾽ ἑωυτὸ καὶ ἀπὸ τῶν πλησίον φλεβῶν καὶ σαρκῶν, φλέγμα τε καὶ χολήν. γίνεται μὲν οὖν ταῦτα τῷδε τῷ τρόπῳ· ὁκόταν δὲ τὰ πρὸς τὸ πλευρὸν προσπαγέντα σαπῇ καὶ πτυσθῇ, ὑγιέες γίνονται. ἢν δὲ τό, τε ἀρχαῖον πολλὸν προσπαγῇ πρὸς τὸ πλευρὸν, καὶ ἄλλο προσεπιγένηται, αὐτίκα ἀπόλλυνται οὐ δυνάμενοι διαπτύσαι ὑπὸ πλήθεος τοῦ σιάλου· ἢ ἔμπυοι γίνονται, καὶ οἱ μὲν ἀπόλλυνται, οἱ δὲ διαφεύγουσι. διαδηλοῖ δὲ ταῦτα ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν, ἢ ἐννέα, ἢ ἕνδεκα, ἢ τεσσαρεσκαίδεκα· ὀδύνην τε παρέχει ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληΐδα, καὶ ἐς τὴν μασχάλην, διὰ τόδε. ἡ φλὲψ ἡ σπληνῖτις καλεομένη, τείνει ἀπὸ τοῦ σπληνὸς ἐς τὸ πλευρὸν· ἐκ δὲ τοῦ πλευροῦ ἐς τὸν ὦμον, καὶ ἐς τὴν χεῖρα τὴν ἀριστερήν· ἡ δὲ ἡπατῖτις ἐς τὰ δεξιὰ ὡσαύτως· καὶ ὁκόταν ταύτης τὸ ἐπὶ τοῦ πλευροῦ συνειρυσθῇ ὑπὸ τοῦ ῥίγεος, καὶ φρίξῃ τὸ αἷμα τὸ ἐν αὐτῇ, ἔς τε τὴν μασχάλην, καὶ τὴν κληΐδα, καὶ τὸν ὦμον, συνέρχεταί τε καὶ σπᾶται, καὶ ὀδύνην παρέχει. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὰ περὶ τὸν νῶτον χωρία διαθερμαίνεται ὑπὸ τοῦ προσπεπηγότος ὑγροῦ πρὸς τῷ πλευρῷ, φλέγματός τε καὶ χολῆς· παρέχει δὲ ὀδύνην ἐνίοτε καὶ τοῖσι τοῦ πλευροῦ κάτωθεν χωρίοισι· πολλάκις δὲ ἢν ἐς τὰ κάτω ῥέπῃ, ὀδύνην διαδιδοῖ ἐς τὴν κύστιν διὰ τῶν φλεβίων, καὶ οὐρέει πολλόν τε καὶ χολῶδες· νομίζουσι δὲ ταύτης τῆς νούσου τὸ ῥῖγος αἴτιον εἶναι καὶ ἀρχήν. Ἡ δὲ περιπλευμονίη γίνεται, ὁκόταν κεκινημένου καὶ ὑγραινομένου τοῦ φλέγματος καὶ τῆς χολῆς, ἑλκύσῃ ὁ πλεύμων ὑπὸ θερμασίης ἐφ᾽ ἑωυτὸν ἀπὸ τῶν πλησίον χωρίων πρὸς τοῖσιν ὑπάρχουσιν

CAPVT XI.

Pleuritidis ac peripneumoniæ, cum sputo, ac sine sputo, ortus, causæ, partes affectæ, curatio; qui pleuritici, qui peripneumonici intereunt, aut salui, aut suppurati euadunt.

At verò pleuritis & peripneumonia hoc modo oriuntur. Pleuritis quidem, quum cumulatæ & validæ potiones admodum occuparint. A vino enim percalescit totum corpus, ac humectatur; potissimum vero bilis & pituita percalescit ac humectatur. Et his sanè commotis & humectatis, temulentum siue sobrium rigore corripi continget, quum latus corporis præcipuè naturâ carne nudum sit, neque sit quicquam intùs ipsi quod renitatur, præter ventris cauitatem, maximè rigorem sentit. Quumque & riguerit & perfrigeratum fuerit, tum caro quæ est in latere, tum venulæ contrahuntur & conuelluntur; & quantùm in ipsa carne, aut in eius venulis, bilis inest ac pituitæ, id magna ex parte, aut totum intrò ad caliditatem propulsum, carne extrà condensatâ secernitur, & ad latus impingitur, doloremque vehementem excitat & percalescit, propterque calorem ad se ex proximis venis & carnibus pituitam & bilem trahit. Pleuritis *igitur sanè hoc modo fit. Cùm verò quæ ad latus impacta sunt putruerint, & per sputum reiecta fuerint, conualescunt. Quod si & antiquum multum ad latus impactum sit, & aliud insuper accesserit, statim intereunt, quum ob saliuæ copiam expuere nequeant; aut purulenti fiunt, & alij quidem intereunt, alij verò salui euadunt. Hæc autem septem, aut nouem, aut vndecim, aut quatuordecim diebus, de se significationem exhibent; dolorem quoque ad humerum & ad clauiculam & ad axillam ob id excitant. Vena quæ splenitis vocatur, à liene ad latus tendit, à latere verò ad humerum & ad manum sinistram. Iecoraria autem in dextram partem ad eundem modum; quumque eius pars quæ in latere est, à rigore contracta fuerit, sanguisque in ea inhorruerit, alam, & iugulum humerúmque petit, & conuuellit, & dolorem infert. Ad eandem quoque rationem loci circa dorsum ab impacto lateri pituitæ & bilis humore percalescunt; & lateris locis inferioribus quandoque dolorem exhibet; sæpè verò si ad inferiores partes conuertatur, dolorem per venulas ad vesicam transmittit, copiosumque & biliosum æger meiit; huiusque morbi causam & principium rigorem esse existimant. At verò peripneumonia fit, quum commotam & humectatam pituitam & bilem, calore ex vicinis locis pulmo in se traxerit ad ea quæ iam*

in ipso existunt. Totum quidem corpus percalefacit, doloremque præcipuè dorso, costis, humeris, ac spinæ exhibet, quum nimirùm ab his plurimam ad se humiditatem attrahat, hæque partes supra modum resiccantur, nimiumque incalescunt. Quum verò ad se traxerit, tumque bilis, tum pituita sedem in pulmone fixerit, putrescit & suppuratur. Et siquidem præcipuis iudicatorijs diebus, putrefacta per sputum reiecta fuerint, superstes euadit æger. Si verò susceperit quæ per initia obuenerunt, aliáque præterea accesserint, & neque putrefacta per sputum reijciat, præ copia superuenientium plerunque moriuntur. Quòd si ad duos & viginti dies perueniant, febrísque dimittat, neque in his per sputum repurgati fuerint, purulenti fiunt. Fiunt autem ex his maximè, quibus pleuritis & peripneumonia vehementissimæ existunt. Fit autem & peripneumonia, & pleuritis sine sputo, ambæ ex eadem causa, ex siccitate. Siccant verò & calida, vbi supra modum calefaciunt, & frigida quoque, quum supra modum refrigerant. Induratur autem latus, & conuellitur, quæque in eo sunt venulæ, & quantum in eo est pituitæ & bilis, id à calore intus resiccatur, doloremque infert; & à dolore febrem. Huic confert venam pertundere in brachio splenitidem appellatam, aut iecorariam, ad vtram sanè morbus vergit. Sicque lateris & aliarum partium dolor leuior contingit. Vena enim quicquid in ea inest pituitæ & bilis, & ipsius sanguinis morbosi, vnà cum his magna ex parte foras emittit. Pars verò ex carne medicamentis & potionibus diffunditur, & fomentis tepentibus extrinsecùs admotis, adeò vt morbus per totum corpus dispergatur. Vocatur autem hæc pleuritis sputi expers. Peripneumonia verò, quum ipse etiam pulmo supra modum exiccatus fuerit, quumque quod in eo bilis aut pituitæ inest, neque æquabiliter putrefacit, neque per saliuam sursum reijcit, & quod in eo est humiditatis, aut à potu, aut à sorbitione, aut à vicinis locis, id totum & nimiâ siccitate & caliditate exurit. Huic confert potiones bibere, quibus pulmo humectatur & expuit. Nisi enim expuerit, & durior pulmo euadit, simulque arescit, & hominem perimit.

A ἐν ἑωυτῷ· διαθερμαίνει μὲν πᾶν τὸ σῶμα, καὶ ὀδύνην παρέχει, μάλιστα δὲ τῷ τενόντι, καὶ τῇσι πλευρῇσι, καὶ τοῖσιν ὤμοισι, καὶ τῇ ῥάχει, ἅτε ἀπὸ τούτων ἕλκων ἐς ἑωυτὸν τὴν ἰκμάδα τὴν πλείστην, καὶ ὑπεξηραίνονται ταῦτα καὶ ὑπερθερμαίνονται. ὁκόταν δὲ εἰρύσῃ ἐς ἑωυτὸν, καὶ ἕδρην λάβῃ ἥ τε χολὴ καὶ τὸ φλέγμα [67] ἐς τὸν πλεύμονα, σήπεται καὶ ἐμπυοῦται. καὶ ἢν μὲν ἐν τῇσι κυρίῃσι τῶν ἡμερέων σαπέντα πτυσθῇ, περιγίνεται· ἢν δὲ τά τε ἐπελθόντα τὴν ἀρχὴν δέχηται, καὶ προσεπιγίνηται ἕτερα, καὶ μήτε πτύων, μήτε σήπων κρατέῃ, B ὑπὸ πλήθεος τῶν ἐπιγινομένων [68] ἀποθνήσκουσιν ὡς τὰ πολλά. ἢν δὲ περὶ τὰς ἡμέρας [69] διαφεύγωσι τὰς δύο καὶ εἴκοσι, καὶ τὸ πῦρ μεθῇ, καὶ ἐν ταύτῃσι μὴ ἐκπτυσθῇ, ἔμπυοι γίνονται. γίνονται δὲ μάλιστα ἐκ τούτων, οἷσιν ἰσχυρόταται ἥ τε πλευρῖτις καὶ ἡ περιπλευμονίη. Γίνεται δὲ καὶ ἄπτυστος περιπλευμονίη καὶ πλευρῖτις, ἄμφω ὑπὸ τοῦ αὐτοῦ, ὑπὸ ξηρασίης. ξηραίνει δὲ καὶ τὰ θερμὰ, ὅταν ὑπερθερμαίνῃ, καὶ τὰ ψυχρὰ, ὅταν ὑπερψύχῃ· πήγνυται δὲ τὸ πλευρὸν, καὶ τὰ ἐν αὐτῷ τῷ πλευρῷ φλέβια, καὶ σπᾶται, καὶ ὁκόσον C ἐν αὐτῷ ἔνι φλέγματος καὶ χολῆς, τοῦτο ὑπὸ τῆς θερμασίης ἀνέσκληκέ τε καὶ ὀδύνην παρέχει, καὶ ὑπὸ τῆς ὀδύνης πυρετόν. τούτου ξυμφέρει τὴν φλέβα ἀποσχάσαι τὴν ἐν τῇ χειρὶ, τὴν σπληνῖτιν καλεομένην, ἢ τὴν ἡπατῖτιν, καθ' ὁποτέρην ἂν εἴη τὸ νούσημα· καὶ οὕτως ἡ ὀδύνη μαλακωτέρη γίνεται τοῦ πλευροῦ τε καὶ τῶν ἄλλων. ἡ γὰρ φλὲψ, ὅσον ἔνι ἐν αὐτῇ χολῆς καὶ φλέγματος, αὐτοῦ τοῦ αἵματος νενοσηκότος, μετὰ τούτων μεθίει τὸ πουλὺ ἔξω· ὁ δὲ ἐκ τῆς σαρκὸς ὑπό τε φαρμάκων, καὶ ποτῶν διαχέεται, καὶ ὑπὸ χλιασμάτων προστιθεμένων ἔξωθεν, ὥστε τὴν νοῦσον σκίδνασθαι ἀνὰ πᾶν τὸ σῶμα. D καλέεται δὲ αὕτη πλευρῖτις ἄπτυστος. Ἡ δὲ περιπλευμονίη, ὁκόταν ὁ πλεύμων ὑπεξηρανθῇ καὶ αὐτὸς, καὶ ὁκόταν ἐν αὐτῷ ἐνεόν τι χολῆς ἢ φλέγματος, οὔτε σήπει ὁμαλῶς, οὔτε τὸ σίαλον ἀναδιδοῖ, ὅσον τε ἐν αὐτῷ ἐστιν ἰκμάδος, ἢ ἀπὸ ποτοῦ, ἢ ἀπὸ ῥοφήματος, ἢ ἀπὸ τῶν πλησίον χωρίων, τοῦτο πᾶν ἐκκαίει, ὑπὸ τῆς ὑπερξηρασίης τε καὶ θερμασίης. τούτῳ ξυμφέρει πόματα πίνειν, ὑφ' ὧν ὑγραίνεται ὁ πλεύμων, καὶ [70] πτύσκεται· ἢν γὰρ μὴ πτυσθῇ, σκληρότερός τε γίνεται ὁ πλεύμων, E καὶ συναυαίνεται, καὶ τὸν ἄνθρωπον ἀπόλλυσι.

CAPVT XII.

Febris ardentis subiectum, ortus, insultus, causæ, symptomata, in peripneumoniam transitus, pernicies; de phrenitide & melancholia; à sanguine prudentia, à bile delirium.

At verò febris ardens promptiùs biliosos prehendit, corripit etiam pituitosos; corripit autem hoc modo. Quum bilis per corpus commota fuerit, & contigerit, vt venæ & sanguis bilem trahant, eamque copiosissimam ex carnibus & ventriculo trahant. Qui verò priùs inest, vtpote naturâ calidissimus in corpore sanguis existens, quum ex carnibus & ventriculo perca-

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Τὸ τοῦ καύσου ὑποδεκτικὸν, ἡ γένεσις, ἡ εἰσβολὴ, αἱ αἰτίαι, τὰ συμπτώματα, ἡ ἐς τὴν περιπνευμονίαν μετάστασις, τὸ ὀλέθριον· περὶ τῆς φρενίτιδος καὶ τῆς μελαγχολίας· ἀπὸ τοῦ αἵματος ἡ σύνεσις, ἀπὸ τῆς χολῆς ἡ παράνοια.

F Καῦσος δὲ λαμβάνει μὲν μᾶλλον τοὺς χολώδεας, λαμβάνει δὲ καὶ τοὺς φλεγματίας, λαμβάνει δὲ ὧδε. ὁκόταν χολὴ κινηθῇ ἀνὰ τὸ σῶμα καὶ συγκυρήσῃ, ὥστε τὰς φλέβας καὶ τὸ αἷμα εἰρύσαι τῆς χολῆς (εἰρύσαι δὲ τὸ πλεῖστον ἐκ τῶν σαρκῶν, καὶ τῆς κοιλίης) τὸ δὲ πρόσθεν ἐνεὸν, ἅτε καὶ τῇ φύσει θερμότατον ἐὸν ἐν τῷ σώματι τὸ αἷμα, ὁκόταν γοῦν διαθερμανθῇ ἐκ τῶν σαρκῶν

καὶ τῆς κοιλίης παρὰ τῷ ἐνεόντι μᾶλλον ἐπὶ ὑπὸ τῆς χολῆς, διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν· καὶ τὰ μὲν ὑπὸ τῆς πολλῆς ἰκμάδος οὐ δύναται ἀποξηραίνεσθαι παντάπασιν, ἢν δὲ ἀποξηρανθῇ, ἀποθνήσκει ὁ ἄνθρωπος· τὰ δὲ ἐν τοῖσιν ἀκρωτηρίοισι τοῦ σώματος, ἅτε ξηρὰ ἐόντα φύσει, ἀποξηραίνεταί τε, καὶ ἐκκαίεται ἐξ αὐτῶν τὸ ὑγρὸν τὸ πλεῖστον, καὶ εἰ θέλοις ψαύειν, ψυχρά τε εὑρήσεις αὐτὰ καὶ ξηρά. [71] διὰ τοῦτο ὁκόσοι ὑπὸ καύσου ἁλίσκονται, τὰ μὲν εἴσω καίονται ὑπὸ τοῦ πυρὸς, τὰ δὲ ἔξω, ψυχροί εἰσιν· ἥ τε γλῶσσα, καὶ ὁ φάρυγξ τρηχύνεταί τε καὶ αὐαίνεται ὑπὸ τοῦ εἴσω πνεύματος καὶ τῆς θερμότητος. Ὅσον δ᾽ ἂν ἐν τῇ κοιλίῃ καὶ ἐν τῇ κύστει ἐγγίνηται χολῆς, τὸ μὲν ἐν τῇ κοιλίῃ, ἐνίοτε μὲν διαταράσσεται κάτω, τὰ δὲ πολλὰ ἐμέεται ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν, ἢ ἐν τέσσαρσιν, ἢ ἐν πέντε· ἐμέεται δὲ διὰ τόδε. ὁκόταν ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ᾽ ἑωυτὴν, καὶ γίνεται ἔμετος. [72] διὰ τοῦτο δὲ αὐτὸ καὶ ἐς περιπνευμονίην, ἐκ καύσου τε καὶ ἐκ πλευρίτιδος μάλιστα μεθίσταται τὰ νουσήματα. ὁκόταν γὰρ ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ᾽ ἑωυτὴν, καὶ ὑποδέχεται ὁ πλεύμων, καὶ γίνεται περιπλευμονίη, καὶ ὡς τὰ πολλὰ ἀπόλλυνται, ἅτε ἀσθενέες ἤδη ἐόντες, καὶ ἑτέρης νούσου καινῆς ἐπιγενηθείσης, οὐ δυνάμενοι τὰς ἡμέρας διατελέειν, ἄχρις οὗ τὸ σίαλον πεπανθῇ ἐν τῷ πνεύμονι, ἀλλ᾽ ὡς τὰ πολλὰ ἀπόλλυνται ὑπὸ ἀσθενείης, ἔνιοι δὲ περιγίνονται. Ὁκόσοισι δὲ ἐς τὴν κύστιν συρρεῖ τι χολῆς, οὐρέεται παχύ (παχὺ δὲ ὑπὸ φλέγματος) χολώδεες δὲ διαχωρέει, ὑπὸ τοῦ συγκεκαῦσθαι ἐν τῇ κοιλίῃ τὰ ἐνεόντα. Φρενῖτις τε ὧδε ἔχει. [72] τὸ αἷμα τὸ ἐν τῷ ἀνθρώπῳ πλεῖστον ξυμβάλλεται μέρος συνέσιος, ἔνιοι δὲ λέγουσι, τὸ πᾶν. ὁκόταν οὖν χολὴ κινηθεῖσα, ἐς τὰς φλέβας καὶ ἐς τὸ αἷμα εἰσέλθῃ, διεκίνησε καὶ διώρησε τὸ αἷμα ἐκ τῆς εἰωθυίης συστάσιός τε καὶ κινήσιος, καὶ διεθέρμηνε· διαθερμανθὲν δὲ, διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν, καὶ παραφρονέει ὁ ἄνθρωπος, καὶ οὐκ ἐν ἑωυτῷ ἐστιν, ὑπό τε τοῦ πλήθεος τοῦ πυρετοῦ, καὶ τοῦ αἵματος τῆς διουρήσιός τε καὶ κινήσιος γινομένης οὐ τῆς εἰωθυίης. προσεοίκασι δὲ μάλιστα οἱ ὑπὸ τῆς φρενίτιδος ἐχόμενοι τοῖσι μελαγχολῶσι κατὰ τὴν παράνοιαν. οἵ τε γὰρ μελαγχολώδεες, ὁκόταν φθαρῇ τὸ αἷμα ὑπὸ χολῆς καὶ φλέγματος, τὴν νοῦσον ἴσχουσι καὶ παράνοοι γίνονται, ἔνιοι δὲ καὶ μαίνονται· καὶ ἐν τῇ φρενίτιδι ὡσαύτως. οὕτω δὲ ἧσσον ἡ μανίη τε καὶ ἡ παραφρόνησις γίνεται, ὅσωπερ ἡ χολὴ τοῦ φλέγματος ἀσθενεστέρη ἐστίν.

A *luerit, supra eum qui iam inest, ampliùs adhuc à bile, reliquum etiam vniuersum corpus percalefacit. Et quædam sanè partes ob copiosam humiditatem penitùs resiccari nequeunt. Quòd si resiccatæ fuerint, homo perimitur. Quædam verò in summis corporis partibus, nimirùm naturâ siccæ, resiccantur, plurimumque ex ipsis humidum exuritur; ac ipsas si attingere velis, frigidas & siccas comperies. Quapropter qui febre ardente corripiuntur, internis quidem partibus à febre vruntur, externis verò frigidi sunt, linguáque ac fauces ab interno* B *spiritu & calore exasperantur & arefiunt. Quicquid autem bilis in ventriculo & vesicâ gignitur, quod quidem in ventriculo est, interdum quidem per inferiora exturbatur, plerúnque verò primis diebus, aut quatuor, aut quinque euomitur; euomitur autem hanc ob causam. Quum superior ventriculus supra modum incaluerit, ad se trahit, & vomitus excitatur. Ob idque ipsum ex febre ardente & ex pleuritide, in peripneumoniam potissimùm morbi transmutantur. Quum enim superior ven-* C *triculus supra modum incaluerit, ad sese trahit, pulmoque excipit, fitque peripneumonia, ac plerúnque pereunt, quum nimirùm iã debiles existant; alioq; suborto nouo morbo, dies traducere nequeunt, dum sputum in pulmone concoctum fuerit; sed vt plurimùm debilitate pereunt; quidam verò supersunt. Quibus autem in vesicam bilis aliquid confluit, vrina crassa mejitur (crassa autem à pituita) biliosum verò deijcitur, eò quòd exusta sunt quæ in ventre insunt. Phrenitis autem hoc modo se habet. Sanguis qui in homine existit, plurimùm ad prudentiam* D *confert, quidam vero dicunt, totum. Quum igitur bilis commota venas & sanguinem subierit, ex consueta compage & motione sanguinem dimouet, & sero diluit, & percalefacit. Percalefactus autem totum reliquum corpus percalefacit, & homo delirat, neque apud se est, propter febris copiam, & sanguinis serosi insuetam generationem & agitationem. Qui vero phrenitide detinentur, quod ad mentis alienationem, melancholiâ laborantibus sunt assimiles. Melancholiâ enim ve-* E *xati, quum à bile & pituita sanguis corruptus fuerit, morbo corripiuntur, & mente alienantur, quidam etiam insaniunt; & in phrenitide eodem modo. Quò verò bilis pituitâ est imbecillior, eò minor tum insania, tum mentis alienatio contingit.*

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Πόθεν ὕφαιμον καὶ πελιδνὸν ἐν τῇ πλευρίτιδι καὶ περιπνευμονίᾳ τὸ πτύαλον· καὶ τίνες καὶ πόθεν ὑπὸ τούτων τῶν νοσημάτων, ὥσπερ καὶ ὑπὸ τοῦ καύσου, καὶ τῆς φρενίτιδος, ἀποθνήσκουσι.

Ὕφαιμον καὶ πελιδνὸν ἐν τῇ πλευρίτιδι καὶ περιπνευμονίῃ τὸ πτύαλον διὰ τόδε πτύουσι. κατ᾽ ἀρχὰς μὲν ὡς τὸ πουλὺ, οὐδέτερα πτύουσιν, οὔτε πελιδνὸν, οὔτε ὕφαιμον· εἰδέναι δὲ χρὴ τὴν νοῦσον ἰσχυρὴν ἐοῦσαν· ὁκόταν δὲ τὸ σίαλον ὑπόπαχυ ἄρξωνται πτύειν, [73] καὶ καθαίρονται μάλιστα τότε. πτύεται δὲ [74] ἀπὸ διατάσιος τῶν φλεβῶν, τῆς μὲν πλευρίτιδος,

CAPVT XIII.

Vnde subcruentum, & liuidum sputum in pleuritide ac peripneumoniâ; & qui & vnde ex his morbis, vt & causo, & phrenitide, intereant. F

AT in pleuritide & peripneumoniâ, hanc ob causam subcruentum & liuidum sputum expuunt. Per exordia quidem sæpè neutrum expuunt, neque liuidum, neque subcruentum; nosse autem oportet, morbum vehementem existere. Quum verò sputum subcrassum spuere cœperint, tum præcipuè purgantur. Expuitur autem à venarum distensione, in pleuritide

ritide

ritide quidem, ex his quæ sunt in latere; in peripneumonia verò ex his quæ sunt in pulmone, qui caliditatem ad sese trahit. Quòd si ægro abscessus intrò ruptus fuerit, & purulentus euadat, statim primo die sanguinem & pus subcruentum & liuidum cum saliua expuit. Liuidum autem à sanguine fit, si paucus sanguis ad multam saliuam commixtus fuerit, neque confestim spuatur, sed intùs semiputrefactum & effœminatum maneat in corpore. Ex pleuritide autem intereunt, quum circa exordia copiosa quidem pituita & bilis lateri impacta fuerit, multaque ex reliquo corpore præterea affluxerit, quam neque spuendo propter copiam, neque putrefaciendo superarit. Arteriæ autem implentur ab his quæ intùs sunt, pituitâ ac pure; ob idque stertit, crebróque inde respirat; ad extremum autem omnia obturantur; & interit. Eodem ipso modo ex peripneumonia pereunt. Quicunque verò ex febre ardente intereunt, omnes ex siccitate intereunt. Primùm quidem extremæ eorum partes, pedes & manus, resiccantur, deinde verò sicciores. Quum autem penitùs corporis humor exustus & resiccatus fuerit, sanguis quidem penitùs concrescit & perfrigescit; reliquum verò corpus resiccatur, ac sic interit. At ex phrenitide ita perit. In hoc morbo perpetuò delirant, quum nimirùm sanguis corruptus, & extra consuetam agitationem motus sit; quumque desipiant, nihil quicquam effatu dignum eorum quæ offeruntur, accipiunt. Procedente verò tempore marcescunt & consumuntur, tum à febre, tum quòd nihil alantur. Ac primùm quidem extremæ partes imminuuntur & perfrigerantur, deinde etiam proximæ. Ac frigoris & febris & dolorum hoc habet principium. Quum sanguis qui in venis est, à pituita refrigeratus fuerit, confestim in aliam atque aliam partem transit, & conuellitur, ac tremit; ad extremum etiam perfrigerantur omnia, & interit.

ἐκ τῶν ἐν τῷ πλευρῷ· τῆς δὲ περιπνευμονίης, ἐκ τῶν ἐν τῷ πλεύμονι· καὶ θερμασίην ἐπάγει ἐφ' ἑωυτήν. Ἢν δὲ ῥηγματίης εἴη ὁ τὴν νοῦσον ἔχων, καὶ σαβακὸς, ἀπὸ τῆς πρώτης ἡμέρης αἷμα, καὶ ὕφαιμον πύος καὶ πελιδνὸν, σὺν σιάλῳ πτύει. Τὸ δὲ πελιδνὸν, ἀπὸ τοῦ αἵματος γίνεται, ἢν ὀλίγον συμμίσγηται ἐς πουλὺ σίαλον, καὶ μὴ παραυτίκα πτύηται, ἀλλὰ ἐμμένῃ ἡμισαπὲς ἐὸν, καὶ ἐκτεθηλυσμένον ἐν τῷ σώματι. Ἀποθνήσκουσι δὲ, ἀπὸ μὲν τῆς πλευρίτιδος, ὁκόταν πολλὸν μὲν τὴν ἀρχὴν τῷ πλευρῷ προσπαγῇ φλέγμα τε καὶ χολὴ, πολλὸν δὲ προσεπιῤῥυῇ καὶ ἐκ τοῦ ἄλλου σώματος, καὶ μήτε πτύων κρατέῃ ὑπὸ πλήθεος, μήτε σήπων. πιμπλῶνται δὲ αἱ ἀρτηρίαι ὑπὸ τῶν ἐνεόντων, φλέγματός τε καὶ πύου· τοῦτο δὲ ῥέγχει καὶ ἀναπνεῖ πυκνόν τε [25] καὶ αὐτόθεν, τέλος δὲ ἀποφράσσεται πάντα, καὶ ἀποθνήσκει. τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ἐκ περιπλευμονίης ἀπόλλυνται. Ὅσοι δὲ ὑπὸ καύσου ἀποθνήσκουσι, πάντες ὑπὸ ξηρασίης ἀποθνήσκουσιν· ἀποξηραίνεται [76] πρῶτον μὲν αὐτέων τὰ ἀκρωτήρια, πόδες τε καὶ χεῖρες, ἔπειτα δὲ τὰ ἐπιξηρότερα· ὁκόταν δὲ ἐκκαυθῇ καὶ ἀποξηρανθῇ παντάπασι τὸ ὑγρὸν ἐκ τοῦ σώματος, τὸ μὲν αἷμα πήγνυταί τε παντελῶς καὶ ψύχεται, τὸ δὲ ἄλλο σῶμα ἀποξηραίνεται, καὶ οὕτως ἀποθνήσκει. Ὑπὸ δὲ τῆς φρενίτιδος ἀπόλλυται ὧδε. παραφρονέουσιν ἐν τῇ νόσῳ διὰ παντὸς, ἅτε τοῦ αἵματος ἐφθαρμένου τε καὶ ἐκκεκινημένου τὴν εἰωθυῖαν κίνησιν· καὶ ἅτε παραφρονέοντες, οὔτε τι τῶν προσφερομένων δέχονται, ὅ, τι ἄξιον λόγου· ὅταν δὲ περιίῃ ὁ χρόνος, μαραίνονταί τε καὶ μινύθουσιν ὑπό τε τοῦ πυρετοῦ, καὶ ὑπὸ τοῦ μηδὲν τρέφεσθαι. καὶ πρῶτα μὲν τὰ ἐν τοῖσιν ἀκρωτηρίοισι μινύθει τε, καὶ ψύχεται, ἔπειτα δὲ τὰ ἐπ' ἐγγυτάτω. καὶ ψύχεος δὲ καὶ πυρὸς καὶ πόνων ἀρχὴν ταύτην ἴσχει· ὅταν τὸ αἷμα τὸ ἐν τῇσι φλεψὶν ὑπὸ τοῦ φλέγματος ψυχθῇ, μεταπίπτει τε καὶ συσπᾶται ἄλλες ἄλλοτε ἄλλο, καὶ τρέμει· τέλος δὲ ψύχεται πάντα, καὶ ἀποθνήσκει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ, ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

HIPOCRATIS DE MORBIS, LIBER SECVNVDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Πλεῖστα παθημάτων εἴδη διδάσκονται, τῶν ἐν τῷ ὅλῳ σώματι καὶ ἐν διαφόροις μορίοις, τῇ κεφαλῇ, καὶ τῷ ἐγκεφάλῳ, καὶ ταῖς ῥισὶ, καὶ ταῖς ἀκοαῖς, καὶ τοῖς ὀφθαλμοῖς, καὶ τῷ στόματι, καὶ τῷ φάρυγγι, καὶ τῇ καρδίᾳ, καὶ τῷ πνεύμονι, καὶ τῇ τραχείᾳ ἀρτηρίᾳ, καὶ τῷ στήθει, καὶ τῷ νώτῳ, καὶ τῷ ὑπογαστρίῳ, καὶ τῷ ἥπατι, καὶ τῷ σπληνὶ, καὶ τοῖς κώλοις ὑπαρχόντων, σὺν ταῖς αὐτῶν αἰτίαις, καὶ τοῖς σημείοις, καὶ τῇ θεραπείᾳ.

ARGVMENTVM LIBRI.

Plurimæ morborum species docentur, tum vniuerso corpori, tum varijs partibus, capiti, cerebro, naribus, auribus, oculis, ori, faucibus, cordi, pulmonibus, asperæ arteriæ, pectori, dorso, imo ventri, hepati, lieni, & artubus insidentium, cum caussis, signis & curatione.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῆς κατὰ τὴν κεφαλὴν δυσκρασίας θερμῆς μετὰ φλέγματός τε καὶ χολῆς, καὶ τῶν ταύτης συμπτωμάτων καὶ ἐνεργημάτων, οὔρου πολλοῦ, στραγγουρίας, ἀμβλυωπίας, τοῦ σώματος πάχους, καὶ οἰδήματος, καὶ τῆς εὐχροίας, καὶ τῶν ἑλκῶν, καὶ τῆς ἰκτερώδους χροιᾶς, καὶ τῆς δυσουρίας, καὶ τῆς παρανοίας, καὶ τοῦ ὑπερεμέτου τῶν φλεβῶν, καὶ τοῦ χολώδους ἐμέτου, καὶ τοῦ ὤτων ἤχου, καὶ τῆς βαρυηκοΐας, καὶ κεφαλαλγίας, καὶ σκοτοδινίας· καὶ τί τὸ αἷμα.

ΟΥΡΕΕΤΑΙ πολλὸν, ὅταν ὑπερθερμανθῇ ἡ κεφαλή. τήκεται γὰρ ἐν αὐτῇ τὸ φλέγμα· τηκόμενον δὲ, χωρέει τὸ μὲν ἐς τὰς ῥῖνας, τὸ δὲ ἐς τὸ στόμα, τὸ δὲ διὰ τῶν φλεβῶν, αἳ ἄγουσιν ἐς τὸ αἰδοῖον· ὅταν δὲ ἐς τὸ αἰδοῖον ἀφίκηται, οὐρέει, καὶ πάσχει οἷά περ ὑπὸ στραγγουρίης. Ἀμβλυώσσουσι δὲ, ὅταν ἐς τὰ ἐν τοῖσιν ὀφθαλμοῖσι φλέβια ἐσέλθῃ φλέγμα. ὑδαρεστέρη τε γὰρ γίνεται ἡ ὄψις, καὶ θολερωτέρη, καὶ τὸ λαμπρὸν ἐν τῷ ὀφθαλμῷ, οὐχ ὁμοίως λαμπρόν ἐστιν, οὐδὲ καταφαίνεται ἐν αὐτῷ, ἐὰν ἐθέλῃ ὁρᾶν, ὁμοίως ὡς καὶ ὅτε λαμπρὸς καὶ καθαρὸς ἦν. οὗτος ἐν τεσσαράκοντα ἡμέρῃσι μάλιστα ὑγιάζεται. ἢν δὲ χρόνῳ ὕστερον πολλῷ ὑποστρέψῃ ἡ νοῦσος, τὸ δέρμα τῆς κεφαλῆς παχύνεται, καὶ τὸ ἄλλο σῶμα αἴρεται, καὶ παχύνεται, καὶ εὐχροέει. τοῦτο τὸ φλέγμα εἰς τὰς σάρκας τρέπεται, καὶ ὑπὸ τούτου δοκέει παχὺς εἶναι. αἱ γὰρ

CAPVT I.

De capitis intemperie calidâ cum pituita, & bile, eiusque symptomatis ac effectibus, vrinâ copiosâ, stranguriâ, amblyopiâ, corporis crassitudine, œdemate, probo colore, vlceribus, auriginoso colore, dysuriâ, delirio, superuomitu venarum, bilioso vomitu, aurium sonitu, auditûs grauitate, capitis dolore, grauitate, vertigine. Et quid sanguis.

OVum caput immoderatiùs incaluerit, copiosa vrina redditur. Liquatur enim in eo pituita; liquescens autem partim quidem ad nares, partim ad os, partim etiam per venas, quæ ad pudendum ducunt, secedit. Quum autem ad pudendum peruenerit, meijt, & velut vrinæ stillicidio afficitur. Quum verò oculorum venas pituita subierit, oculorum caligine vexantur. Visus enim aquosior & turbidior euadit, neque oculorum splendor similiter splendidus est, neque siquis cernere velit, comparet, vt cum lucidus & purus erat. Hic quadraginta diebus potissimùm sanus euadit. Quod si longo post tempore morbus redeat, cutis capitis crassescit, & corpus reliquum attollitur, crassescit, ac benè coloratur. Hæc pituita ad carnes vertitur, & ab hac æger crassus esse videtur. Carnes enim quum

quum perfusæ, eleuatæ, & rariores extiterint, ex venis sanguinem trahunt, ac propterea bene colorati esse videntur. Alius morbus. *Caput vlceribus impletur, corpus intumescit, & color est auriginosus, & aliâ atque aliâ corporis parte vlcera erumpunt, febris subinde corripit, & ex dorso aqua fluit. Quum huic in capite pituita aliquantùm biliosa innutrita fuerit, vlcera quidem oriuntur, vbi sinciput pituita & bile perfusum fuerit, atque tum pituita tum bilis rara, & accumulata extiterit; hæc enim consistit, putrescit, & exulceratur. Attenuata verò pituita, ad aures transmittitur. In reliquo autem corpore ad eandem rationem quâ in capite, vlcera oriuntur, quacunque in parte putrefactus sanguis & bilis coaceruata fuerint; eâ enim parte caro putrescit & vlceratur, prætereaque aduenientem pituitam & bilem putrefacit, pusque gignitur.* Alius morbus. *Totum caput dolor obsidet, & bilem vomit, difficultate vrinæ premitur, & delirat. Hic quidem dolore vexatur ob immoderatum capitis calorem. Delirat autem, quum sanguis capitis à bile & pituita calefactus fuerit, & plus solito agitatus. Bilem autem vomit, quum nimirùm ipsa in corpore sit agitata. Et caput præ calore ad se trahit, & crassissimum quidem vomit, tenuissimum verò ad se trahit. Vrinam autem reddit in hoc morbo ex ijsdem causis, vt etiam in superiore dictum est.* Alius morbus. *Si circa cerebrum venulæ sanguinem supereuomant, nomen quidem morbo rectum non extat (neque enim fieri potest, vt vena aliqua, siue ex minoribus, siue ex maioribus, supereuomat) superuomitum tamen appellant & dicunt. Quòd si quàm maximè supereuomat, morbus ab eo fieri minimè videtur. Non enim à bono malum oriri potest, neque à malo vtique bonum fiat; neque rursus bonum plus iusto fieri potest. Verùm supereuomere videntur, quum bilis aut pituita venas subierit. Venæ enim attolluntur & pulsant, & dolor toto capite oboritur, auresque sonitum percipiunt, & nihil audiunt. Ac sonitum quidem percipiunt, venis nimirum pulsantibus ac palpitantibus; tunc enim sonitus in capite est. Grauiter verò audiunt, partim quidem ob internum strepitum & sonitum; partim etiam vbi cerebrum & ipsum ambientes venulæ attolluntur; nam immoderatiori calore, vacuam circa aurem partem cerebrum ex se implet; & quum nimirùm par aëris copia non insit, velut priori tempore, neque æqualem sonum exhibeat, ea quæ dicuntur non æqualiter de se significationem præbent, indeque grauis auditus oboritur. Hic, siquidem ei ad nares, aut ad os aqua & pituita erumpat, sanus euadit. Si verò non erumpat, septimo maximè die moritur. At si in capite venæ supereuomuerint, supereuomunt autem ab ijsdem quæ antea dicta sunt; quod verò hoc modo supereuomant, hoc signum est. Quum quis aut manum, aut caput, aut aliam quandam corporis partem ita affectam secuerit, sanguis ater, & turbidus, ac morbosus effluit; quanquam neque sanguinem nomi-*

σάρκες, ἅτε διάβροχοι ἐοῦσαι καὶ ἠρμέναι καὶ ἀραιότεραι, ἕλκουσιν ἐκ τῶν φλεβῶν αἷμα· καὶ διὰ τοῦτο δοκέουσιν εὔχροοι εἶναι. [1] Ἑτέρη νοῦσος. Ἡ κεφαλὴ ἑλκέων καταπίμπλαται, καὶ τὸ σῶμα οἰδέει, καὶ ἡ χροιὴ ἰκτερώδης, καὶ ἄλλοτε ἄλλῃ τοῦ σώματος ἕλκεα ἐκφύει, καὶ πυρετὸς λαμβάνει ἄλλοτε καὶ ἄλλοτε, καὶ ἐκ τοῦ νώτου ὕδωρ ῥέει. τούτῳ ὅταν ἐν τῇ κεφαλῇ φλέγμα ὑπόχολον ἐντραφῇ, τὰ μὲν ἕλκεα γίνεται, ὅταν τὸ βρέγμα διάβροχον γένηται τῷ φλέγματι καὶ τῇ χολῇ, καὶ ἀραιὸν ἐῇ καὶ ἁλὲς τὸ φλέγμα καὶ ἡ χολή· ἵσταται γὰρ τοῦτο καὶ σήπεται καὶ ἑλκοῦται· ἐς δὲ τὰ ὦτα λεπτυνόμενον τὸ φλέγμα διαδιδοῖ. ἐν δὲ τῷ ἄλλῳ σώματι, τά τε ἕλκεα κατὰ τὸν αὐτὸν λόγον τοῖσιν ἐν τῇ κεφαλῇ γίνεται, συναπτομένου [2] τοῦ αἵματος καὶ τῆς χολῆς, ᾗ ἂν τύχῃ ἁλισθέντα· ταύτῃ γὰρ ἡ σὰρξ σήπεται καὶ ἑλκοῦται, καὶ προσκατασήπει τὸ ἐσελθὸν τοῦ φλέγματος καὶ τῆς χολῆς, καὶ γίνεται πῦον. Ἑτέρη νοῦσος. Περιωδυνίη τὴν κεφαλὴν ἴσχει, καὶ ἐμέει χολήν, καὶ δυσουρέει, καὶ παραφρονέει. ἔστι περιωδυνέει μὲν ὑπὸ τῆς ὑπερθερμασίης τῆς κεφαλῆς, παραφρονέει δὲ ὅταν τὸ αἷμα τὸ ἐν τῇ κεφαλῇ ὑπὸ χολῆς ἢ φλέγματος [3] ὑπερθερμανθῇ, καὶ κινηθῇ μᾶλλον τοῦ εἰωθότος· ἐμέει δὲ χολήν, ἅτε κεκινημένης [4] αὐτῆς ἐν τῷ σώματι. καὶ ἡ κεφαλὴ ὑπὸ τῆς θερμασίης ἕλκει ἐφ' ἑωυτήν, καὶ τὸ μὲν παχύτατον ἐμέει, τὸ δὲ λεπτότατον ἕλκει ἐς ἑωυτήν. οὐρέει δὲ καὶ ἐν ταύτῃ ὑπὸ τῶν αὐτῶν, ὡς καὶ ἐν τῇ πρόσθεν εἴρηται. Ἑτέρη νοῦσος. Ἢν περὶ τὸν ἐγκέφαλον φλέβια ὑπερεμέσῃ, τὸ μὲν οὔνομα οὐκ ὀρθὸν τῇ νούσῳ· οὐδὲ γὰρ ἀνυστὸν ὑπερεμέσαι οὐδὲν τῶν φλεβίων οὔτε τῶν ἐλασσόνων, οὔτε τῶν μειζόνων· ὀνομάζουσι δὲ καί φασιν [5] ὑπερέμετον. εἰ δὴ ὡς μάλιστα ὑπερεμέσειε, νοῦσος ὑπ' αὐτοῦ οὐκ ἔοικε γίνεσθαι· ἀπ' ἀγαθοῦ γὰρ κακὸν οὐχ οἷόν τε γενέσθαι, οὐδ' ἀπὸ κακοῦ ἀγαθὸν γένοιτο ἄν, οὐδ' αὖ ἀγαθὸν πλέον τοῦ δέοντος οἷόν τε γενέσθαι· ἀλλ' ὑπερεμέειν δοκέει, ὅταν ἐς τὰς φλέβας χολὴ ἢ φλέγμα ἐσέλθῃ. μετεωρίζονται γὰρ αἱ φλέβες, καὶ σφύζουσι, καὶ ὀδύνη κατὰ πᾶσαν τὴν κεφαλὴν ἐγγίνεται, καὶ τὰ ὦτα ἠχέει καὶ ἀκούει οὐδέν· καὶ ἠχέει μὲν ἅτε τῶν φλεβίων σφυζόντων καὶ παλλομένων, τηνικαῦτα γὰρ ἦχος ἔνεστιν ἐν τῇ κεφαλῇ· βαρυηκοεῖ δέ, τὸ μέν τι ὑπὸ τοῦ ἔσωθεν ψόφου καὶ ἤχου, τὸ δὲ ὅταν ὁ ἐγκέφαλος καὶ τὰ φλέβια τὰ περὶ αὐτὸν ἐπαρθῇ. ὑπὸ γὰρ τῆς ὑπερθερμασίης ἐμπίπλησι τὸ κατὰ τὸ οὖς κενὸν ὁ ἐγκέφαλος ἑωυτοῦ, καὶ ἅτε οὐκ ἐνεόντος τοῦ ἠέρος ἰσοπληθέος, ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, οὐδὲ τὸν ἦχον ἴσον παρέχοντος, οὐκ ἐνσημαίνει οἱ τὰ λεγόμενα ὁμαλῶς, καὶ ἀπὸ τούτου βαρυηκοεῖ. ἔστι, ἢν μὲν ῥαγῇ αὐτῷ ἐς τὰς ῥῖνας, ἢ ἐς τὸ στόμα ὕδωρ καὶ φλέγμα, ὑγιὴς γίνεται· ἢν δὲ μὴ ῥαγῇ, ἑβδομαῖος μάλιστα ἀποθνήσκει. ἢν δὲ ἐν τῇ κεφαλῇ ὑπερεμέσωσι φλέβες, ὑπερεμέουσι δὲ ὑπὸ τῶν αὐτῶν, ἃ καὶ ἐν τῷ πρόσθεν εἴρηται· σημήϊον δὲ ὅτι τοιούτῳ τρόπῳ ὑπερεμέουσι, τόδε. ὅταν τις ἢ χεῖρα τοῦτο παθοῦσαν ἐπιτάμῃ, ἢ κεφαλήν, ἢ ἄλλο τι τοῦ σώματος, τὸ αἷμα μέλαν ῥέει, καὶ θολερόν, καὶ νοσῶδες· καίτοι οὐδὲ αἷμα δίκαιον

εἰπεῖν κατ' ὄνομα, ἀλλ' ἐρυθρὸν καὶ εἰλικρινὲς ῥέῃ. Ὅταν δὲ ὑπερεμέσωσιν ἀπὸ τῶν αὐτῶν, ἴσχει ὀδύνη καὶ σκοτοδινίη, καὶ βάρος ἔχει τὴν κεφαλήν· ὀδύνη μὲν, ὑπὸ τῆς ὑπερθερμασίης τοῦ αἵματος· σκοτοδινίη δὲ, ὅταν ἀλὲς ἐπὶ τὸ πρόσωπον χωρήσῃ τὸ αἷμα· βάρος δὲ, ἅτε τοῦ αἵματος πλείονος ἐόντος ἐν τῇ κεφαλῇ, καὶ [7] θολερωτέρου, καὶ νοσωδεστέρου, [8] ἢ ἔξωθεν.

A ne proferre iustum est, nisi qui ruber & sincerus fluit. Quum autem ab iisdem causis superevomuerint, dolor, tenebricosa vertigo, & grauitas caput occupat; dolor quidem, prae immoderato sanguinis calore; tenebricosa verò vertigo, quum sanguis confertâ copiâ ad faciem processerit; grauitas autem, nimirùm quum copiosior sanguis in capite, & turbidior & morbosior, quàm intus, existat.

B

ΚΕΦΑΛΑΙΟΝ Β'.

Κεφαλῆς παθήματα· σφακελισμὸς ἐγκεφάλου, τερηδὼν, βλητός· καὶ αἱ τῶν παθημάτων αἰτίαι, καὶ τὰ σημεῖα, καὶ τὰ προγνωστικὰ, καὶ τὰ συμπτώματα.

Σφακελισμὸς ἐγκεφάλου. Ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἴσχει ἐκ τῆς κεφαλῆς τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίην φοιτᾷ ἀψυχίη, καὶ ἱδρὼς, καὶ ἄϋπνος τελέθει, καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ· πολλάκις δὲ καὶ αἷμα ἐμέει. σφακελίζεται δὲ ὁ ἐγκέφαλος, τρόπῳ τοιῷδε. ὁκόταν ἢ ὑπερθερμανθῇ ἢ ὑπερψυχθῇ, ἢ χολώδης ἢ φλεγματώδης γένηται μᾶλλον τοῦ εἰωθότος· ὅταν δέ τι τούτων πάθῃ, ὑπερθερμαίνει καὶ τὸν νωτιαῖον μυελὸν, καὶ διαθερμαινόμενος καὶ οὗτος, ὀδύνην τῇ ῥάχει παρέχει. ἀψυχίη δὲ, ὅταν προσίσταται πρὸς τὴν καρδίην φλέγμα ἢ χολή· προσίστασθαι δὲ ἀνάγκη, κεκινημένων καὶ ὑγρασμένων. ἱδρὼς δὲ γίνεται ὑπὸ πόνου. τὸ αἷμα δὲ ἐμέει, ὅταν αἱ φλέβες μὲν ἐν τῇ κεφαλῇ ὑπὸ τοῦ ἐγκεφάλου θερμανθῶσιν, αἱ δὲ παρὰ τὴν ῥάχιν ὑπὸ τῆς ῥάχιος, ἡ δὲ ῥάχις ὑπὸ τοῦ νωτιαίου μυελοῦ, ὁ δὲ μυελὸς ὑπὸ τοῦ ἐγκεφάλου, ὅθεν περ πέφυκεν· ὅταν οὖν θερμανθῶσιν αἱ φλέβες, καὶ τὸ αἷμα [9] ἐν αὐτῇσι ζέσῃ, διαδιδοῦσιν αἱ μὲν ἀπὸ τῆς κεφαλῆς ἐς τὰς ῥῖνας [10] καὶ τὸ στόμα, αἱ δ' ἀπὸ τῆς ῥάχιος αἱμόρροοι, ἐς τὸ σῶμα. οὗτος τριταῖος ἀπόλλυται, ἢ πεμπταῖος ὡς τὰ πολλά. Ἑτέρη νοῦσος. Ἐξαπίνης ὀδύνη λαμβάνει τὴν κεφαλὴν, καὶ παραχρῆμα ἄφωνος γίνεται, καὶ ἀκρατὴς ἑωυτοῦ. οὗτος ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μή μιν πῦρ ἐπιλάβῃ· εἰ γὰρ ἐπιλάβῃ, [11] ὑγιαίνει. πάσχει δὲ ταῦτα, ὅταν αὐτῷ μέλαινα χολὴ ἐν τῇ κεφαλῇ κινηθεῖσα ῥυῇ, καὶ μάλιστα καθ' ὃ τὰ πλεῖστά ἐστι φλέβια, ἐν τῷ τραχήλῳ φημὶ καὶ τοῖς στήθεσιν· ἔπειτα καὶ τῇ ἑξῆς ἀπόπληκτος γίνεται καὶ ἀκρατὴς, ἅτε τοῦ αἵματος ἐψυγμένου· καὶ ἢν κρατήσῃ, ὥστε τὸ αἷμα θερμανθῆναι, ἤν τε ὑπὸ τῶν προσφερομένων, ἤν τε ὑφ' ἑωυτοῦ, μετεωρίζεταί τε καὶ διαχέεται καὶ κινέεται, καὶ τὴν πνοὴν ἐσάγεταί τε καὶ ἀφρέει, καὶ χωρίζεται τῆς χολῆς, καὶ ὑγιὴς γίνεται. ἢν δὲ μὴ κρατήσῃ, ψύχεται μᾶλλον, καὶ ὅταν παντάπασι ψυχθῇ, καὶ ἐκλείπῃ ἐξ αὐτοῦ τὸ θερμὸν, πήγνυται καὶ κινηθῆναι οὐ δύναται, ἀλλὰ ἀποθνήσκει. ἢν δὲ ἐκ θωρηξίων ταῦτα πάθῃ (καὶ γὰρ πάσχει ὑπὸ τῶν αὐτέων) καὶ ἀπόλλυται. Τερηδών. Ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἐκ τοῦ ὀστέου, χρόνῳ δὲ ἀφίσταται τὸ δέρμα ἀπὸ τῆς κεφαλῆς ἄλλῃ καὶ ἄλλῃ. οὗτος δὲ ταῦτα πάσχει [12], ὅτινι ἐν τῇ διπλόῃ τοῦ ὀστέου ὅταν φλέγμα ἐπιγενόμενον ἀποξηρανθῇ· ταύτῃ γὰρ ἀραιόν ἐστι, καὶ ἐκλείπει

CAPVT II.

Morbi capitis; cerebri sideratio, ossis capitis caries, sidere ictus; eorumque affectuum causae, signa, prognostica, symptomata.

Cerebri sideratio. *Si cerebrum sideratum fuerit, dolor ex capite spinam occupat, & ad cor animi deliquium frequens accedit, & sudor* adest, *& fit insomnis, & ex naribus sanguis fluit; plerúnque verò sanguinem vomit. Sideratur autem hoc modo cerebrum.* C *Quum aut immoderatiùs calefactum aut refrigeratum, aut plus solito biliosum aut pituitosum extiterit. Vbi verò horum aliquid perpessum fuerit, spinalem quoque medullam supra modum calefacit; quunque haec percalescit, spinae dolorem inducit. Animi autem deliquium adest, ubi pituita & bilis ad cor consistit; consistere verò his agitatis & humectatis, necesse est. Sudor autem prae dolore fit. Sanguinem verò vomit, quum capitis quidem venae à cerebro calefactae fuerint; quae verò ad spinam sunt, à spina; spina autem, à spinali medulla; & spinalis medulla à cerebro, unde originem ducit.* D *Quum igitur venae incaluerint, & sanguis in his efferbuerit, venae quidem capitis ipsum ad nares & ad os distribuunt; à spina verò ortae sanguinem fundentes, ad corpus. Hic tertio aut plerunque quinto die moritur.* Alius morbus. *Dolor derepentè caput prehendit, statimque vox intercipitur, ac sui impotens fit; hic intra septem dies, nisi eum febris corripuerit, interit; si nanque corripuerit, conualescit. Haec autem patitur, quum ei bilis atra in capite agitata fluxerit, maximéque in partem, in qua plurimae sunt venulae, in ceruicem dico ac pectus.* E *Deinde postridie apoplecticus fit, ac impotens, sanguine nimirùm perfrigerato. Quòd si superior euaserit, ita ut sanguis incalescat, siue ab his quae offeruntur, siue à sese, attollitur, & diffunditur, ac mouetur, spirationemq; inducit, & spumescit, & à bile separatur, & sanus euadit. Si verò minimè superauerit, magis refrigeratur, quumque omninò perfrigeratus fuerit, eumque calor defecerit, congelatur, neque moueri potest, sed moritur.* F *Quòd si ex ebrietatibus his afficiatur (& enim ex his haec contingunt) etiam moritur.* Caries ossis capitis. *Quum in osse caries contigerit, dolor ex osse inuadit. Temporis autem progressu, cutis à capite aliâ atque aliâ parte discedit. Hic autem his afficitur, cui intra duplicatam ossis laminam succedens pituita resiccata fuerit; hac enim parte rarescit, & omnis ab eo humiditas*

umiditas deficit, quumque aridum existat, cutis ab eo discedit. Hic morbus minimè lethalis est. Alius morbus. *Si sidere ictus fiat, anteriorem capitis partem dolet, neque oculis peræquè videt, & sopore detinetur, venæ pulsant, & febris imbecillis detinet, & corporis impotentia. Hic his afficitur, quum capitis venæ calefactæ fuerint, & calefactæ pituitam ad se attraxerint. Morbi igitur principium inde oritur. Ideò verò anterior capitis pars dolet, quòd in eâ venæ sint crassissimæ, & cerebrum ad anteriorem capitis partem magis, quàm posteriorem, situm habeat. Proptereáque oculis non videt,* illuc *procumbente cerebro ac inflammato. Impotentiæ verò ideò corpus obsident. Vbi venæ pituitam ad se traxerint, pituitæ frigiditate sanguinem magis nunc, quàm priori tempore, sisti & perfrigeratum esse necesse est. At dum sanguis non mouetur, fieri non potest quin & corpus quiescat, & sopore detineatur. Quòd si quidem sanguis reliquumque corpus superarit, adeò vt calescat* æger, *euadit. Quòd si pituita superauerit, sanguis magis refrigeratur & congelatur. Et si refrigeratio & congelatio magis increscant, homo prorsus refrigeratus ac congelatus perit.*

A ἐξ αὐτέου ἡ ἰκμὰς πᾶσα· καὶ ἅτε ξηροῦ ἐόντος, ἀφίσταται τὸ δέρμα [13] ἀπ' αὐτοῦ. αὕτη ἡ νοῦσος οὐ θανάσιμός ἐστιν. Ἑτέρη νοῦσος. Ἢν βλητὸς γένηται, ἀλγεῖ τῆς κεφαλῆς τὸ ἔμπροσθεν, καὶ τοῖσιν ὀφθαλμοῖσιν [14] οὐχ ὁμαλῶς ὁρᾷ, καὶ κωμαίνει, καὶ αἱ φλέβες σφύζουσι, καὶ πυρετὸς ἴσχει βληχρὸς, καὶ τοῦ σώματος ἀκρασίη. Ἔστι ταῦτα πάσχει, ὅταν αἱ ἐν τῇ κεφαλῇ φλέβες θερμανθῶσιν, καὶ θερμανθεῖσαι εἰρύσωσι φλέγμα ἐς ἑωυτάς. ἡ μὲν οὖν ἀρχὴ τῆς νούσου ἐκ τούτου γίνεται· B τὸ δὲ ἔμπροσθεν τῆς κεφαλῆς διὰ τόδε ἀλγεῖ, ὅτι αἱ φλέβες ἐν ταύτῃ εἰσὶν αἱ παχύταται, καὶ ὁ ἐγκέφαλος ἐς τὸ πρόσω μᾶλλον κεῖται τῆς κεφαλῆς, ἢ ἐς τοὔπισθεν. καὶ τοῖσιν ὀφθαλμοῖσι διὰ τοῦτο οὐχ ὁρᾷ, προκειμένου τοῦ ἐγκεφάλου καὶ φλεγμαίνοντος. τὸ δὲ σῶμα διὰ τόδε ἀκρασίαι ἴσχουσιν. αἱ φλέβες ἐπὴν ἐς ἑωυτὰς ἐρύσωσι φλέγμα, ἀνάγκη ὑπὸ ψυχρότητος τοῦ φλέγματος, τὸ αἷμα ἑστάναι μᾶλλον νῦν, ἢ ἐν τῷ πρὶν χρόνῳ, καὶ ἐψῦχθαι· μὴ κινουμένου δὲ τοῦ αἵματος, οὐχ οἷόν τε μὴ οὐχὶ καὶ τὸ σῶμα ἀτρεμίζειν καὶ [14] C κεκωμῶσθαι. καὶ ἢν μὲν τὸ αἷμα καὶ τὸ ἄλλο σῶμα κρατήσῃ, ὥστε διαθερμανθῆναι, διαφεύγει· ἢν δὲ τὸ φλέγμα κρατήσῃ, ἐπιψύχεται μᾶλλον τὸ αἷμα καὶ πήγνυται· καὶ ἢν ἐς τοῦτο ἐπιδιδοῖ ψυχόμενον καὶ πηγνύμενον, πήγνυται παντελῶς καὶ ἐμψύχεται ὁ ἄνθρωπος καὶ ἀποθνήσκει.

CAPVT III.

De anginâ, vuâ, tonsillis, ac partibus oris laborantibus; de curgulione rubente, ac nigrescente, tonsillis, & oris partibus affectis.

Angina. *Oritur autem angina, quum pituita in capite agitata, deorsùm confertim fluxerit, & in maxillis ac circa ceruicem constiterit. Hic saliuam deglutire non potest, violenter autem respirat, ac stertit, ac interdùm etiam eum febris detinet. Igitur morbus inde oboritur, & interdùm sub ipsâ linguâ, interdùm paulò supra pectus.* Vua affectus. *Fit autem vua, quum ad curgulionem à capite pituita descenderit, isque pendulus & rubicundus euadit, & successu temporis nigrescit; nigrescit autem hoc modo. Curgulio venosus est & crassus, & vbi inflammatus est, calescit, ac præ calore sanguinem ex vena attrahit, et ab ipso nigrescit. Quare nisi turgentem seces, confestim spiritum efflant* ægri; *vena enim percalefacit, & præ calore circunstantia curgulionem loca implet sanguine, & breui suffocantur.* Tonsillæ. *Tonsillæ autem, & partes sub lingua sitæ, gingiuæ, & lingua, & quæcunque huiusmodi hoc loco consistunt, eæ omnes partes à pituita ægrotant. Pituita autem ex capite descendit. Caput verò ex corpore trahit; trahit autem, vbi percalefactum fuerit; percalescit autem à cibarijs, sole, laboribus, & igne. Quum autem percaluerit, ad se tenuissimum è corpore trahit; vbi verò attraxerit, id rursùm in corpus descendit.*

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς κυνάγχης, καὶ τῆς σταφυλῆς· καὶ τοῦ γαργαρεῶνος, τοῦ τε ἐρυθραινομένου καὶ τοῦ μελαινομένου· καὶ τῶν ἀντιάδων, καὶ τῶν τοῦ στόματος μορίων πεπονθότων.

D [16] Κυνάγχη. Κυνάγχη δὲ γίνεται, ὅταν ἐν τῇ κεφαλῇ φλέγμα κινηθὲν ῥυῇ [17] ἀλὲς κάτω, καὶ στῇ ἐν τῇσι σιαγόσι, καὶ περὶ τὸν τράχηλον. Ἔστι οὔτε τὸ σίαλον δύναται καταπίνειν, ἀναπνεῖ δέ τε βιαίως καὶ ῥέγχει, καὶ ἔστιν ὅτε καὶ πυρετὸς αὐτὸν ἴσχει. τὸ μὲν οὖν νούσημα ἀπὸ τούτου γίνεται, καὶ ἄλλοτε ὑπ' αὐτὴν τὴν γλῶτταν, ἄλλοτε ὑπὲρ τῶν στηθέων ὀλίγον. [18] Σταφυλή. Σταφυλὴ δὲ γίνεται, ὅταν ἐς τὸν γαργαρεῶνα καταβῇ φλέγμα ἀπὸ τῆς κεφαλῆς· καὶ κατακρήμναται καὶ γίνεται ἐρυθρὸς, ἢν δὲ πλείων χρόνος γένηται, μελαίνεται· E μελαίνεται δὲ ὧδε. ἐπίφλεβός ἐστιν ὁ γαργαρεὼν [19] καὶ παχὺς, καὶ ἐπὴν φλεγμήνῃ, θερμαίνεται, καὶ ὑπὸ τῆς θερμασίης ἕλκει καὶ ἐκ τῆς φλεβὸς τοῦ αἵματος, καὶ μελαίνεται ὑπ' αὐτοῦ. διὰ τοῦτο δὲ καὶ ἢν μὴ ὀργῶντα τάμῃς, παραχρῆμα [20] ἀποσφαρθάζουσιν· ἡ γὰρ φλὲψ διαθερμαίνει, καὶ ὑπὸ τῆς θερμασίης ἐμπιπλεῖ τὰ περὶ τὸν γαργαρεῶνα αἵματος, καὶ δι' ὀλίγου ἀποπνίγονται. Ἀντιάδες. Ἀντιάδες δὲ καὶ ὑπογλωσσίδες, καὶ οὖλα, καὶ γλῶσσα, καὶ ὅσα τοιαῦτα ταύτῃ πεφυκότα, ταῦτα πάντα νοσεῖ ἀπὸ τοῦ F φλέγματος. τὸ δὲ φλέγμα ἀπὸ τῆς κεφαλῆς καταβαίνει· ἡ δὲ κεφαλὴ, ἐκ τοῦ σώματος ἕλκει· ἕλκει δὲ, ὅταν διαθερμανθῇ· διαθερμαίνεται δὲ ὑπὸ σιτίων [21] καὶ ἡλίου, καὶ πόνων, καὶ πυρός· ὅταν δὲ διαθερμανθῇ, ἕλκει τὸ λεπτότατον ἐς ἑωυτὴν ἐκ τοῦ σώματος· ὅταν δὲ εἰρύσῃ, καταβαίνει καὶ πάλιν ἐς τὸ σῶμα.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν νοσημάτων τῶν ἀπὸ τῆς κεφαλῆς πλήρεος γινομένων, νάρκης, καὶ πυκνῆς οὐρήσεως, καὶ στραγγουρίας· καὶ περὶ τῆς τούτων θεραπείας διαιτητικῆς τε, καὶ φαρμακευτικῆς, καὶ χειρουργικῆς.

Νοῦσοι αἱ ἀπὸ τῆς κεφαλῆς γινόμεναι. Ὅταν πλήρης γένηται ἡ κεφαλὴ, καὶ τύχῃ ὑπό τινος τούτων διαθερμανθεῖσα, νάρκη ἴσχει τὴν κεφαλὴν, καὶ οὐρεῖ συχνά, καὶ τὰ ἄλλα πάσχει ἅπερ ὑπὸ στραγγουρίης. οὗτος ἡμέρας ἐννέα, ταῦτα πάσχει· καὶ ἢν μὲν ῥαγῇ κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα ὕδωρ καὶ[22] βλέννα,[23] ἀπαλλάττεται τῆς νούσου, καὶ παύεται τῆς στραγγουρίης, οὐρεῖ τε ἀπόνως καὶ πουλὺ καὶ λευκὸν ἐς τὰς εἴκοσιν ἡμέρας, καὶ ἡ ἐκ τῆς κεφαλῆς ὀδύνη ἐκλείπει, καὶ ἐκ τῶν ὀφθαλμῶν ἐσορῶντι[17] κλέπτεταί οἱ ἡ αὐγὴ, καὶ δοκεῖ τὸ ἥμισυ τῶν προσώπων ὁρᾶν. ἔστι τεσσαρακοσταῖος, ὑγιὴς παντελῶς γίνεται· ἐνίοτε δὲ πουλλοῖς ὑπέστρεψεν ἡ νοῦσος ἑβδόμῳ ἔτει, ἢ τεσσαρεσκαιδεκάτῳ· καὶ τὸ δέρμα οἱ παχύνεται τὸ τῆς κεφαλῆς, καὶ ψαυόμενον ὑπείκει, καὶ ἀπ' ὀλίγων σιτίων ἁπαλὸς, καὶ[24] εὔχροος φαίνεται, καὶ ἀκούει οὐκ ὀξέα. ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς ἀρχομένῳ τῆς νούσου, πρόσθεν ἢ ῥαγῆναι κατὰ τὰς ῥῖνας τὸ ὕδωρ καὶ κατὰ τὰ ὦτα, καὶ ἔχει αὐτὸν ἡ περιωδυνίη, ἀποξυρήσαντα χρὴ[25] αὐτοῦ τὴν κεφαλὴν, περιδέοντα περὶ τὸ μέτωπον τὸν ἀσκὸν τὸν σκύτινον, ὕδατος ἐμπιπλάντα ὅσον ἀνέχηται θερμοτάτου, ἐᾶν αὐτὸν χλιαίνεσθαι, καὶ ἐπὴν ἀποψυχθῇ, ἕτερον ἔχειν· ἢν δὲ ἀσθενέῃ, παύεσθαι, καὶ διαλιπὼν, αὖθις ποιεῖν ταῦτα ἐς ἂν χαλάσῃ ἡ περιωδυνίη· καὶ ἢν ἡ κοιλίη μὴ ὑποχωρέῃ, ὑποκλύσαι αὐτὸν, καὶ πιπίσκοντα τῶν οὐρητικῶν, μελίκρητα διδόναι ἐπιπίνειν ὑδαρέα· καὶ θαλπέσθω ὡς μάλιστα,[26] ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης λεπτόν. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, λινόζωστιν ἑψήσας ἐν ὕδατι τρίβων, διηθέων τὸν χυλὸν, συμμίσγειν ἴσον[27] τοῦ ἀπὸ τῆς πτισάνης χυλοῦ καὶ τοῦ ἀπὸ τῆς λινοζώστιος, καὶ μέλι ὀλίγον παραμίσγειν ἐς τὸν χυλόν· τοῦτον ῥοφανέειν τρὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν[28] οἶνον μελιχρὸν, ὑδαρέα, λευκὸν, ὀλίγον, ἐπὶ τῷ ῥοφήματι. ἐπὴν δέ οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας τὰ βλεννώδεα, καὶ οὐρέῃ παχὺ, καὶ τῆς ὀδύνης ἀπηλλαγμένος ἔῃ τῆς κεφαλῆς, τῷ ἀσκῷ μηκέτι χρήσθω, ἀλλὰ λουόμενος πολλῷ καὶ θερμῷ, πινέτω τὰ διουρητικὰ καὶ μελίκρητα ὑδαρέα. καὶ τὰς μὲν πρώτας ἡμέρας κέγχρον λειχέτω, καὶ κολοκύνθην ἐσθιέτω ἢ τεῦτλα τρεῖς ἡμέρας, ἔπειτα σιτίοισι χρήσθω ὡς μαλθακωτάτοισι καὶ διαχωρητικωτάτοισι, προστιθεὶς ὀλίγον ἀεὶ τῶν σιτίων. ἐπὴν δὲ τεσσαράκοντα ἡμέραι διέλθωσι (καθίσταται γὰρ μάλιστα ἡ νοῦσος ἐν τοσούτῳ χρόνῳ) καθήρας αὐτοῦ τὴν κεφαλὴν, πρότερόν οἱ φάρμακον δοὺς κάτω καθαῖρον· ἢν ὥρη ἔῃ τοῦ ἔτεος, ἔπειτα ὀῤῥὸν μεταπίσαι ἑπτὰ ἡμέρας, ἢν καὶ ἀσθενήσῃ, ἐλάσσονας. ἢν δὲ ὑποστρέψῃ ἡ νοῦσος, πυριάσας αὐτὸν ὅλον, ἐς αὔριον[29] δίδου ἐλλέβορον πίνειν, κἄπειτα διαλείπειν ὅσον ἄν σοι δοκέῃ χρόνον, καὶ τότε τὴν κεφαλὴν καθήρας, κατωτερικὸν δοὺς φάρμακον, καῦσον τὴν κεφαλὴν ἐσχάρας ὀκτὼ,

CAPVT IV.

De morbis à capite repleto ortis, torpore, frequenti mictu, stranguriâ; ac de eorum curatione diætetica, pharmaceuticâ, & chirurgicâ.

Qvi morbi à capite oriuntur. *Quum caput repletum fuerit, & ab horum aliquo incaluisse contigerit, torpor caput detinet, & crebrò vrinam reddit, alijsque afficitur quæ ex stranguria contingere solent. Is nouem diebus hæc patitur. Quòd si certè per nares aut aures, aqua & mucus erumpat, à morbo liberatur, stranguria cessat, vrinamque multam & albam ad viginti dies citra laborem reddit, capitis dolor desinit, & intuenti splendor ex oculis ipsi clam subducitur, & dimidiatas* rerum *facies sibi cernere videtur. Hic quadragesimo die prorsus conualescit. Multis tamen quandoque morbus septimo, aut decimoquarto anno reuertitur. Et capitis cutis ei crassescit, & tactui cedit, ac ex paucis cibarijs mollis beneque coloratus apparet, neque acutè audit. Quum sic habentem per morbi initia offenderis, antequam per nares & aures aqua erumpat, eumque intensus dolor detineat, deraso capite, circum frontem scorteum vtriculum, aquâ quàm ferre poterit calidissimâ plenum, alligare oportet, & ipsum tepefieri sinere, vbique refrixerit, alterum adhibere; quòd si debilis euadat, cessare; & intermissione factâ, rursus eadem repetere, quoad vehemens dolor remiserit; si verò aluus non subducatur, eam subluere, & propinatis vrinam ducentibus, aquam mulsam aquosam superbibendam exhibere; & quàm maximè foueatur; succumque ptisanæ tenuem sorbeat. Quòd si venter non subducatur, mercurialem aquâ coctam contundito, succum percolato, eiúsque parem portionem cum ptisanæ succo permisceto, & pauco melle succo admixto, hunc ter die sorbeat, vinúmque mulsum, aquosum, album, modicum, post sorbitionem propinato. At postquam ei per nares mucosa eruperint, & vrinam crassam reddiderit, doloréque capitis liberatus fuerit, vtre ne ampliùs vtatur, sed multâ calidâ lotus, vrinam mouentia, & aquam mulsam aquosam bibat. Et primis quidem diebus milium lingat, & cucurbitam aut betas per triduum edat, deinde cibis quàm mollissimis, & aluum maximè subducentibus vtatur, pauco semper cibo addito. Diebus verò quadraginta elapsis (tanto enim tempore morbus præcipuè circumscribitur) vbi ipsius caput repurgaueris, priùs medicamentum deorsum purgans exhibebis; si anni tempestas permiserit, deinde serum septem diebus propinabis, aut si debilis existat, paucioribus. Quòd si reuertatur morbus, toti corpori fomento adhibito, postridie veratrum potui exhibeto; deinde quantum temporis tibi videbitur intermittito, tuncque capite repurgato, exhibito medicamento deorsum purgante, capiti octo crustas inurito;*

duas quidem ad aures, duas verò in occipitio hinc atque hinc ad inium, duas in naribus iuxta oculorum angulos. Venas autem iuxta aures quoad pulsare cessent, vrito. Ferramentis verò quæ cuneolos faciant, venas transuersas perurito. Atque hæc vbi feceris, sanitas continget.

CAPVT V.

De capitis ac tibiarum vlceribus, ac tumidis carnibus; de capitis dolore cum bilis vomitu, & dysuria, eorumque affectuum curatione.

Alius morbus. *Vlceribus caput impletur, & crura intumescunt, velut ab aquæ potu, & tibiæ* vlceribus *offarciūtur; ac si premas, color est auriginosus, vlceraque aliàs aliâ corporis parte, maximè verò in tibijs erumpunt, & praua aspectu apparent; depositâ verò inflammatione, celeriter sanantur; febrisque subinde corripit; caput autem perpetuò calet, & ex auribus aqua fluit. Quum sic habet, medicamentum ei exhibeto, quod pituitam & bilem sursum purget; siquidem frigus fuerit, vbi prius foueris & calidâ laueris. Deinde trium dierum intermissione factâ, caput purgato; posteáque medicamentum deorsum purgans bibendum dato. Quòd si anni tempus opportunum fuerit, serum deinceps propinato; sin minùs, lac asininum. Post purgationes autem cibis quàm paucissimis, maximéque aluum subducentibus vtatur, neque lauet. Quòd si caput vlceretur, smegmate ex vini fæce vsta parato, glandis putamen leuiter tritum admisceto, nitri pari portione admixtâ, quibus defrictus multâ calidâ lauetur. Caput autem inungatur, baccis lauri tritis, gallis, myrrhâ, thure, argenti flore, adipe suillo, & oleo laurino, quibus commixtis illinito. Post hæc autem vomitionibus ter in mense vtatur, exerceat se, & calidâ lauetur. Quòd si cū hæc feceris, morbus quidem ex reliquo corpore discesserit, in capite autem adhuc ipsi vlcera oriantur, rursus capite purgato, medicamentū deorsum purgans posteà propinato. Deinde caput derasū leuibus incisuris incidito quumque sanguis effluxerit, confricato; mox lanis succidis vino madentibus obuoluito; quūque solueris, spongiâ detergito, nec madefacito; deinde insperso cyparissi puluere, oleo sublinito; laneis autē vinculis, quoad sanus euadat, vtatur.* Alius morbus. *Caput dolor vehemens prehendit, & vbi quis vel paululum agitatur, bilem vomit; interdū verò difficulter vrinam reddit, & mente alienatur; quumq; ad septimum diem peruenerit, quandoq; moritur. Quòd si hunc transmiserit, etiā nono aut vndecimo die, nisi ei per nares, vel aures effluxerit. Si verò eruperit, euadit. Fluit autē aqua aliquātulū biliosa, deinde successu tēporis, putrefacta pus gignitur. Quū igitur ita habuerit, quandiu quidē dolor vehemēs tenuerit, per initia, antequā ex naribus & auribus erūpat, spōgias aquâ calidâ madefactas capiti propiùs admoueto. Si verò his minimè remittat, vtre eo modo quo in priore morbo, vtitor. Aquā autē mulsam aquosā bibat; sin minùs, post*

δύο μὲν παρὰ τὰ ὦτα, δύο δὲ ὄπισθεν τῆς κεφαλῆς ἔνθεν καὶ ἔνθεν ἐν τῇ κοτίδι, δύο ἐν τῇ ῥινὶ παρὰ τοὺς κανθούς. τὰς φλέβας δὲ καίειν τὰς μὲν παρὰ τὰ ὦτα, ἕως ἂν παύσωνται σφύζουσαι. τοῖσι δὲ σιδηρίοισι, σφηνίσκους ποιησάμενος, διακαίειν πλαγίας τὰς φλέβας. ταῦτα ποιήσαντι, ὑγιείη ἐγγίνεται.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ τῶν κατὰ τὴν κεφαλὴν καὶ τὰς κνήμας ἑλκῶν, καὶ τῶν σκελῶν οἰδαλέων· περὶ τῆς περιωδυνίας σὺν χολῆς ἐμέτῳ, καὶ δυσουρίᾳ, καὶ τῆς τούτων τῶν παθημάτων θεραπείας.

Ἄλλη νοῦσος. Ἑλκέων καταπίμπλαται τὴν κεφαλὴν, καὶ τὰ σκέλεα οἰδίσκεται, ὥσπερ ἀπὸ ὑδροποσίης, καὶ ἐν τῇσι κνήμῃσιν ἐμπλάσσεται· καὶ ἢν [10] πιέσῃς, ἡ χροιὴ ἰκτερώδης, καὶ ἐκφύει ἕλκεα ἄλλοτε ἄλλῃ, μάλιστα δὲ περὶ τὰς κνήμας, καὶ φαίνεται πονηρὰ προσιδεῖν· ἀποφλεγμήναντα δὲ ταχέως ὑγιέα γίνονται. καὶ πυρετὸς ἄλλοτε καὶ ἄλλοτε λαμβάνει· ἡ δὲ κεφαλὴ ἀεὶ θερμαίνεται, καὶ ἐκ τῶν ὤτων ὕδωρ ῥέει. ὅταν οὕτως ἔχῃ, φάρμακον εἰ δοῦναι, ὑφ' οὗ φλέγμα καὶ χολὴ καθαρεῖται ἄνω· ἢν μὲν ψῦχος ἔῃ, προπυριάσας καὶ λούσας θερμῷ. ἔπειτα διαλείπων ἡμέρας τρεῖς, τὴν κεφαλὴν καθῆραι· μετὰ δὲ κάτω φάρμακον πίσαι· ἢν δὲ ὥρη ἔῃ, καὶ ὀῤῥὸν μεταπιέτω, εἰ δὲ μὴ, γάλα ὄνου. μετὰ δὲ τὰς καθάρσιας, σιτίοισιν ὡς ἐλαχίστοισι χρήσθω, καὶ διαχωρητικωτάτοισι, καὶ ἀλουτεέτω. Ἢν δὲ ἡ κεφαλὴ ἑλκῶται, τρύγα κατακαίων οἰνηρὴν, σμῆγμα ποιεῖν· σύμμισγε τῆς βαλάνου τὸ ἔκλεμμα, λεῖον τρίβων, λίτρον συμμίσγων ἴσον, ἀποσμήξας τούτοισι, λούσθω πολλῷ θερμῷ. χριέσθω δὲ τὴν κεφαλὴν, δαφνίδας τρίψας, καὶ κηκίδας, καὶ σμύρναν, καὶ λιβανωτὸν, καὶ ἀργυρίου ἄνθος, καὶ ὕειον ἄλειφα, καὶ δάφνινον ἔλαιον, ταῦτα μίξας χρίειν. τὸν δὲ μετὰ ταῦτα χρόνον, ἐμέτοισι χρήσθω [31] τρὶς τοῦ μηνὸς, καὶ γυμναζέσθω, καὶ θερμολουτεέτω. ἢν δέ σοι τάδε ποιέοντι, ἐκ μὲν τοῦ ἄλλου σώματος ἡ νοῦσος ἐξεληλύθῃ, ἐν δὲ τῇ κεφαλῇ ἔτι ἕλκεά οἱ γίνηται, καθήρας τὴν κεφαλὴν αὖθις, φάρμακον κάτω μεταπίσαι. ἔπειτα ξυρήσας τὴν κεφαλὴν, κατατάμνειν τομὰς ἀραιὰς, καὶ ἐπὴν ἀποῤῥυῇ τὸ αἷμα, διατρίψαι· ἔπειτα εἴρια πινόεντα οἴνῳ ῥαίνων, ἐπιδεῖν· καὶ ἐπὴν ἀπολύσῃς, περισπογγίζειν καὶ μὴ βρέχειν· ἔπειτα κυπάρισσον ἐπιπάσσειν, ἐλαίῳ ὑπαλείφων· τοῖσι δὲ εἰρίοισι ἐπιδέσμοισι χρήσθω, ἕως ἂν ὑγιὴς γένηται. Ἄλλη νοῦσος. Περιωδυνίη λαμβάνει τὴν κεφαλὴν, καὶ ἐπὴν κινήσῃ τις ἥκιστα, ἐμέει χολήν· ἐνίοτε δὲ καὶ δυσουρέει καὶ παραφρονέει. ἐπὴν δὲ ἑβδομαῖος γένηται, ἐνίοτε ἀποθνήσκει· [32] ἢν δὲ τὴν ἑβδόμην διέλθῃ, καὶ ἐνναταῖος [33] ἢ ἑνδεκαταῖος, ἢν μὴ οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας ἢ [34] κατὰ τὰ ὦτα. ἢν δὲ ῥαγῇ, ὑπεκφυγγάνει· ῥεῖ δὲ ὑπόχολον ὕδωρ, ἔπειτα τῷ χρόνῳ πύον γίνεται ἐκσαπέν. ὅταν οὖν οὕτως ἔχῃ, ἕως μὲν ἂν ἡ περιωδυνίη ἔχῃ, κατ' ἀρχὰς, πρὶν ῥαγῆναι ἐκ τῶν ῥινῶν καὶ τῶν ὤτων, σπόγγους ἐν ὕδατι θερμῷ βρέχων, ἆσσον προστιθέναι πρὸς τὴν κεφαλήν. ἢν δὲ μὴ τοιούτοισι χαλᾷ, τῷ ἀσκῷ χρῆσθαι τῷ αὐτῷ τρόπῳ, ὥσπερ ἐπὶ τῆς προτέρης. πινέτω δὲ μελίκρητα ὑδαρέα· ἢν δὲ μὴ, ἀπὸ τοῦ μελι-

κρήτου, [35] τὸ ἀπὸ τῶν κριμνῶν ὕδωρ πινέτω· [36] ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ἐπιπινέτω λευκὸν οἶνον ὑδαρέα. ἐπὴν δὲ ῥαγῇ [37] κατὰ τὰ ὦτα, καὶ πυρετὸς ἀνῇ, καὶ ἡ ὀδύνη, σιτίοισι χρήσθω διαχωρητικοῖσιν, ἀρξάμενος ἐξ ὀλίγων, προστιθεὶς ἀεί· καὶ λούσθω θερμῷ κατὰ κεφαλῆς, καὶ τὰ ὦτα διακλύζειν ὕδατι καθαρῷ, καὶ ἐντιθέτω σπογγίας μέλιτι ἐμβάπτων. ἢν δέ τοι μὴ ξηραίνηται οὕτως, ἀλλὰ χρόνιον γίνηται τὸ ῥεῦμα, διακλύσας, ἐμβάλλειν ἀργύρου ἄνθος, σανδαράχην, ψιμμύθιον, ἴσον ἑκάστου, λεῖα τρίβων, ἐμπιπλεὶς τὸ οὖς, σάττειν, καὶ ἢν παραῤῥέῃ, ἐπεμβάλλειν τοῦ φαρμάκου· ἐπὴν δὲ ξηρὸν γίνηται τὸ οὖς, ἐκκαθήρας, ἐκκλύσαι τὸ φάρμακον. ἔπειτα (κωφὸν γὰρ γίνεται τὸ πρῶτον ἀποξηρανθὲν) πυριᾶν [38] αὐτὸν βληχροῖσι πυρίῃσι τὰ ὦτα· καταστήσεται γὰρ οὕτω μόλις καὶ ἐν χρόνῳ. ἀποθνήσκουσι δὲ καὶ ἢν ἐς τὸ οὖς περιωδυνίη γινομένη μὴ ῥαγῇ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν. ἢ τοῦτον λούειν πολλῷ θερμῷ, καὶ σπόγγους ἐν ὕδατι θερμῷ βρέχων, ἐκπιέζων, χλιαροὺς προστιθέναι πρὸς τὸ οὖς. ἢν δὲ μηδὲ οὕτω ῥήγνυται, πυριᾶν αὐτῷ τὸ οὖς· ῥοφήμασι δὲ, καὶ πόμασι τοῖσιν αὐτοῖσι χρῆσθαι, οἷσι περ ἐπὶ τοῖσι πρόσθεν.

mulsam bibat aquã, in qua farina crassior macerata fuerit. Ptisanæ verò succũ sorbeat, & vinum album aquosum superbibat. Vbi autem per aures eruperit, febrisque, & dolor remiserit, cibis vtatur aluum subducentibus, à paucis initio ducto, semper aliquid addendo. Calidâ caput lauet, & aures aquâ limpidâ proluat, spongiamque melle intinctam imponat. Si verò neque sic resiccetur, verùm diuturna fluxio fiat, collutione factâ, argenti florem, sandaracham, cerussam, singula pari portione tenuiter trita immittito, his aures impleto, ac obturato, & si quid præterlabatur, aliquid de medicamento superinijcito. Quum verò auris resiccata fuerit, vbi expurgaueris, medicamentum abluito; deinde (nam primùm auris resiccata obsurdescit) lenibus fomentis aures foueto. Sic enim vix ac longo tempore sedabitur. Moriuntur autem, si etiam vehemens dolor aurem occupet, neque intra septem dies eruperit. Hunc calidâ multâ lauato, & spongias aquâ calidâ imbutas, expressas, tepidas ad aurem apponito. Si verò neque sic erumpat, ei fomentũ ad aurem admoueto. Sorbitionibus autẽ & potionibus ijsdem quibus in superioribus, vtitor.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τοῦ ὕδατος ἐπὶ τῷ ἐγκεφάλῳ συναθροισθέντος, ἢ τοῦ ὑδροκεφάλου· περὶ ῥίγους, καὶ ὀδύνης, καὶ πυρετοῦ διὰ τῆς κεφαλῆς· περὶ ὑπερεμέτου τῶν περὶ τὸν ἐγκέφαλον, καὶ τῶν ἐς τὴν κεφαλὴν φλεβίων· καὶ περὶ τῶν τούτων τῶν παθημάτων αἰτίων τε καὶ σημείων, καὶ θεραπείας.

ΕΤέρη νοῦσος. Ἢν ὕδωρ ἐπὶ τῷ ἐγκεφάλῳ γένηται, ὀδύνη ὀξείη ἴσχει διὰ τοῦ βρέγματος καὶ τῶν κροτάφων ἄλλοτε ἄλλῃ· καὶ ῥῖγος καὶ πυρετὸς ἄλλοτε καὶ ἄλλοτε· καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει καὶ ἀμβλυώσσει, καὶ ἡ κόρη σχίζεται, καὶ δοκέει ἐκ τοῦ ἑνὸς δύο ὁρᾶν· καὶ ἢν ἀναστῇ, σκοτοδινίη μιν λαμβάνει, καὶ τὸν ἄνεμον οὐκ ἀνέχεται, οὐδὲ τὸν ἥλιον, καὶ τὰ ὦτα τέτριγε, καὶ τῷ ψόφῳ ἄχθεται ἀκούων· καὶ ἐμέει σίελα καὶ λάπην, ἐνίοτε δὲ καὶ τὰ σιτία· καὶ τὸ δέρμα λεπτύνεται τῆς κεφαλῆς, καὶ ἥδεται ψαυόμενος. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν διδόναι οἱ πιέειν φάρμακον ἄνω, ὅ, τι φλέγμα ἄξει, καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι· ἔπειτα διαλείπων, φάρμακον πῖσαι κάτω· ἔπειτα σιτίοισιν ἀνακομίζειν αὐτὸν, ὡς ὑποχωρητικωτάτοισιν, ὀλίγα ἀεὶ προστιθείς. ἐπὴν δὲ κατεσθίῃ ἤδη τὰ σιτία ἀρκοῦντα, ἐμέτοισι χρήσθω νῆστις, τῷ φακείῳ συμμίσγων μέλι καὶ ὄξος, λάχανα προστρώγων· καὶ τῇ ἡμέρῃ ταύτῃ ἂν ἐμέσῃ, πρῶτον μὲν κυκεῶνα πινέτω λεπτὸν, ἔπειτα ἐς ἑσπέρην σιτίοισιν ὀλίγοισι χρήσθω, καὶ ἀλουτεέτω, καὶ περιπατείτω ἀπὸ τῶν σιτίων, καὶ ὄρθρου, φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον, καὶ πρὸς πῦρ μὴ προσίτω. καὶ ἢν μὲν τοιαῦτα [39] ποιέοντι ὑγιὴς γίνηται· εἰ δὲ μὴ, προκαθήρας αὐτὸν τοῦ ἦρος πρῶτον μὲν ἐλλεβόρῳ, ἔπειτα καὶ ἐς τὰς ῥῖνας ἐγχέαι φάρμακον, καὶ διαλιπὼν ὀλίγον χρόνον, κάτω καθῆραι· ἔπειτα ἀνακομίσας σιτίοισιν, εἶτα κατατάμνων τὴν κεφαλὴν κατὰ τὸ βρέγμα, τρυπῆσαι πρὸς τὸν ἐγκέφαλον καὶ ἰῆσθαι ὡς πρίσμα. Ἄλλη νοῦσος. Ῥῖγος, ὀδύνη, καὶ πυρετοὶ διὰ τῆς κεφαλῆς,

CAPVT VI.

De aquâ in cerebro collectâ, seu hydrocephalo; de rigore, dolore, & febre per caput; de venarum circa cerebrum, ac venarum in caput superuomitu; ac de eorum affectuum causis, signis, & curatione.

ALius morbus. *Aqua si in cerebro suborta fuerit, dolor acutus sinciput, & tempora, interdumque aliâ capitis parte detinet; subindéque rigor ac febris; oculorum regiones dolor occupat, ijque caligant, pupilla scinditur, & ex vno duo sibi cernere videtur; & si surrexerit, ipsum tenebricosa vertigo prehendit, neq; ventum, neq; solem sustinet; aures tinniunt, auditoque strepitu indignatur; saliuam & pituitam vomit, quandoq; verò etiam cibos; capitis cutis extenuatur, & contactu gaudet. Quum sic habeat, primùm quidem medicamentum sursum purgans, quod pituitam educat, exhibeto, post hæc caput purgato; deinde intermissione factâ, medicamentum deorsum purgans propinato; mox eum cibis quàm maximè aluum subducentibus reficito, sensim semper adijciendo. Vbi verò iam satis ciborum comederit, ieiunus vomitionibus vtatur, lenticulæ decocto melle & aceto admixto, olera comedens; eoque die quo vomuerit, primùm quidem cyceonem liquidum bibat; deinde sub vesperum paucis cibis vtatur, neque lauet; & à cibis deambulet, & manè, ventum & solẽ deuitans, neq; ad ignẽ accedat. Quòd si cùm hæc feceris, sanus euadat,* sat est; *sin minus, vbi eum vere primùm quidem veratro ante purgaueris, deinde etiam in nares medicamentum infundito, & pauco tempore intermisso, deorsum purgato; deinde postquam cibis eum refeceris, demum inciso iuxta sinciput capite, ad cerebrum vsque perforato, & velut sectionem per terebram curato.*
Alius morbus. *Rigor, febris, & dolor caput vexat,*

maximè

maximè verò ad aurem, & tempora, ac sinciput, & oculorum regiones dolet; supercilia incumbere videntur; & caput grauitas detinet, ac si quis eum mouerit, meiet; ac copiosè & facilè meiit; ac dentes torpor, & stupor detinet; venæ attolluntur & in capite pulsant; quietem ferre nequit, sed iactatur & præ dolore mente alienatur. Huic si quidem per nares aut aures eruperit, aqua effluit aliquantum purulenta, & conualescit; sin minus, septem diebus ferè moritur. Hic morbus præcipuè ex febre lypiria fit, quum febre liberatus, neque purgatus, aut cibis se impleuerit, aut inebriatus fuerit, aut in sole laborauerit. Quum sic habuerit, primùm quidem sanguinem è capite vndecunque tibi visum fuerit, mittito; eóque detracto, raso capite, ei refrigerantia admoueto; & si venter non subducatur, subluito. Potui autem ptisanæ succus frigidus exhibendus, & aqua superbibenda. Quod si ad refrigerantia ei non remittat morbus, *mutatione factâ, vtre vtitor, & calefacito. Vbi verò dolor sedatus fuerit, cibis aluum subducentibus vtatur, neque impleatur. Quum autem sedato dolore ad vigesimum diem peruenerit, fomento ipsius capiti adhibito, medicamentum ad nares admoueto, & intermissione trium dierum factâ, medicamentum deorsum purgans propinato.* Alius morbus. *Si venulæ sanguinem circa cerebrum supereuomuerint, & cerebrum calefecerint, febris vehemens ac dolor ad tempora, & sinciput, & posteriorem capitis partem detinet; aures tinniunt, flatibus implentur, nihil audit, æstuat, & præ dolore seipse iactat. Hic quinto, aut sexto die moritur. Quum sic habuerit, caput ipsius calefacito; etenim si per aures, aut nares aqua proruperit, periculum effugit. Si verò sex dies euaserit, eundem victum quemadmodum priore morbo, instituito.* Alius morbus. *Si venæ in caput supereuomuerint, dolor leuis totum caput detinet, & ad ceruicem* pertingit, *interdúmque ad alias capitis partes transmittit; deinde vbi surrexerit, eum tenebricosa vertigo occupat; febris autem non prehendit. Quum igitur sic habuerit, deraso capite, nisi calefactorijs cesserit, à capite frontem quâ capillus desinit, scindito; quum autem secueris, diductâ cute, vbi sanguis defluxerit, tenuissimo sale conspergito. Postquam verò sanguis effluxerit, sectionem duplici filo inuolutam totam ipsam componito; deinde splenium cerâ ac pice illitum, vlceri inferiore parte imponito, lanâ succidâ appositâ deligato, & ad dies septem ne soluito, nisi dolor detineat; qui si detineat, soluito. Aquam autem in quâ farina hordei crassior macerata fuerit, quoad conualuerit, ei bibendam exhibeto; ptisanæ verò succum sorbendum, aquam etiam superbibendam* dato.

A μάλιστα δὲ ἐς τὸ οὖς, καὶ ἐς τοὺς κροτάφους, καὶ ἐς τὸ βρέγμα, καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγεῖ· καὶ αἱ ὀφρύες δοκέουσιν οἱ ἐπικέεσθαι, καὶ τὴν κεφαλὴν βάρος ἔχει· καὶ ἢν τίς μιν κινήσῃ, οὐρήσει, [12] καὶ οὐρέει πουλὺ καὶ ῥηϊδίως· καὶ τοὺς ὀδόντας ναρκῆς καὶ αἱμωδίη ἔχει· καὶ αἱ φλέβες αἴρονται, καὶ σφύζουσι τῇ κεφαλῇ· καὶ οὐκ ἀνέχεται ἠρεμέων, ἀλλ' ἀλύει καὶ ἀλλοφρονέει ὑπὸ τῆς ὀδύνης. τούτῳ ἢν μὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα ῥαγῇ, ὕδρωψ ῥεῖ ὑπόπυος, καὶ ὑγιὴς γίνεται· ἢν δὲ μή, ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν, ὡς τὰ πολλά. αὕτη ἡ νοῦσος γίνεται μάλιστα [43] ἐκ λιπυρίης, ἐπὴν ἀπαλλαχθεὶς τοῦ πυρὸς, ἀκάθαρτος ἐὼν, ἢ σιτίων ἐμπλησθήσεται, ἢ θωρήξεται, ἢ ἐν ἡλίῳ κάμῃ. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν ἀφεῖναι ἀπὸ τῆς κεφαλῆς τοῦ αἵματος, ὁπόθεν ἄν σοι δοκέῃ· ἐπὴν δὲ ἀφῇς, τὴν κεφαλὴν ξυρήσας, ψύγματά οἱ προσφέρειν, καὶ ἢν μὴ ὑποχωρέῃ ἡ γαστὴρ, ὑποκλύσαι· πίνειν δὲ διδόναι τὸν ἀπὸ τῆς πτισάνης χυλὸν ψυχρὸν, καὶ ἐπιπίνειν ὕδωρ. ἢν δέ οἱ πρὸς τὰ ψύγματα μὴ χαλᾷ, μεταβαλὼν, τῷ ἀσκῷ χρῆσθαι καὶ θερμαίνειν· ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, σιτίοισι χρήσθω [44] διαχωρητικοῖσι, καὶ μὴ ἐμπιπλάσθω. ἐπὴν δὲ γένηται εἰκοσταῖος, πεπαυμένης τῆς ὀδύνης, πυριήσας αὐτοῦ τὴν κεφαλὴν, πρὸς τὰς ῥῖνας φάρμακον προσθεῖναι, καὶ διαλιπὼν ἡμέρας τρεῖς, φάρμακον πίσαι κάτω. Ετέρη νοῦσος. Ην ὑπερεμήσωνται τὰ φλέβια [45] τὰ αἱματα τὰ περὶ τὸν ἐγκέφαλον, θερμαίνῃ τὸν ἐγκέφαλον, πυρετὸς ἴσχει ἰσχυρὸς, καὶ ὀδύνη ἐς τοὺς κροτάφους, καὶ τὸ βρέγμα, καὶ ἐς τοὔπισθεν τῆς κεφαλῆς, καὶ τὰ ὦτα ἠχέει, καὶ πνεύματος ἐμπίπλαται, καὶ ἀκούει οὐδὲν, καὶ ἀλύει, καὶ ῥιπτάζει αὐτὸς ἑωυτὸν ὑπὸ τῆς ὀδύνης. οὗτος ἀποθνήσκει πεμπταῖος, ἢ ἑκταῖος. ὅταν οὕτως ἔχῃ, θερμαίνειν αὐτοῦ τὴν κεφαλήν· ἢν γὰρ ῥαγῇ διὰ τῶν ὤτων ἢ τῶν ῥινῶν ὕδωρ, οὗτος ἐκφυγγάνει τὸν ὄλεθρον. ἢν δὲ [46] φύγῃ τὰς ἡμέρας τὰς ἓξ, διαιτᾷν αὐτὸν ὥσπερ τὸν πρότερον. Ετέρη νοῦσος. Ην ὑπερεμήσωσιν αἱ φλέβες [47] ἐς τὴν κεφαλὴν, ὀδύνη ἔχει [48] βραχέη τὴν κεφαλὴν πᾶσαν, καὶ ἐς τὸν τράχηλον, καὶ μεταβάλλει ἄλλοτε ἄλλα τῆς κεφαλῆς· καὶ ἐπειδὰν ἀναστῇ, σκοτοδινίη μιν ἴσχει, πυρετὸς δὲ οὐ λαμβάνει. ὅταν οὖν οὕτως ἔχῃ, ξυρήσας τὴν κεφαλὴν ἢν μὴ τοῖσι χλιάσμασιν ὑπακούῃ, [49] σχάσαι ἀπὸ τῆς κεφαλῆς τὸ μέτωπον, ᾗ ἀπολήγει τὸ δασύ· ἐπὴν δὲ τάμῃς, διαστείλας τὸ δέρμα, ὅταν ἀποῤῥυῇ τὸ αἷμα, ἁλσὶ λεπτοῖσι διαπάσαι· ἐπὴν δέ σοι τὸ αἷμα ἀποῤῥυῇ, συνθεὶς τὴν τομὴν, κρόκῃ διπλῇ κατειλίξαι πᾶσαν αὐτήν· ἔπειτα περιχρίσας τῇ κηρωπίσσῃ σπλήνισκον, ἐπιθεὶς κάτω ἐπὶ τῷ ἕλκει, εἴριον πινόεν ἐπιθεὶς, καταδῆσαι, καὶ μὴ λῦσαι ἄχρις ἑπτὰ [50] ἡμερῶν, ἢν μὴ ὀδύνη ἔχῃ· ἢν δὲ ἔχῃ, ἀπολύσασθαι. διδόναι δὲ ἐς ὃ ἂν ὑγιὴς γένηται, πίνειν μὲν τὸ ἀπὸ τοῦ κρίμνου, ῥοφάνειν δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ἐπιπίνειν ὕδωρ.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ἡ χολῶντος ἐγκεφάλου, ἐγκεφάλου σφακελισθέντος, ἐξαπιναίας τῆς κεφαλῆς ὀδύνης, καὶ τῆς ἐκ θωρήξεως ἀφωνίας, γένεσις, αἰτίαι, συμπτώματα, σημεῖα, προγνωστικὰ, θεραπευτικά.

Ἑτέρη νοῦσος. Ἢν δὲ χολᾷ ὁ ἐγκέφαλος, πυρετὸς ἴσχει βληχρὸς καὶ ῥῖγος, καὶ ὀδύνη διὰ τῆς κεφαλῆς πάσης, μάλιστα δὲ ἐς τοὺς κροτάφους, καὶ ἐς τὸ βρέγμα, καὶ ἐς τὰς χώρας τῶν ὀφθαλμῶν· καὶ αἱ ὀφρύες ἐπικρέμασθαι δοκέουσι, καὶ ἐς τὰ ὦτα ὀδύνη [51] ἐσφοιτᾷ, καὶ ἐνίοτε καὶ κατὰ τὰς ῥῖνας χολὴ ῥεῖ, καὶ ἀμβλυώσσουσι τοῖσιν ὀφθαλμοῖσι· καὶ τοῖσι μὲν πλείστοισιν ἐς τὸ ἥμισυ τῆς κεφαλῆς ἡ ὀδύνη ἐσφοιτᾷ, γίνεται δὲ καὶ ἐν πάσῃ τῇ κεφαλῇ. ὅταν οὕτως ἔχῃ, ψύγματά οἱ προστιθέναι πρὸς τὴν κεφαλήν· καὶ ἐπὴν ἥ τε ὀδύνη [52] καὶ τὸ ῥεῦμα παύηται, σελίνου χυλὸν ἐς τὰς ῥῖνας ἐνστάζειν, [53] καὶ μὴ λουέτω ἕως ἂν ἡ ὀδύνη ἔχῃ· καὶ ῥοφανέτω κέγχρον λεπτὸν, μέλι ὀλίγον παραχέων, καὶ πινέτω ὕδωρ. ἢν δὲ μὴ ὑποχωρέῃ, κράμβας ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφανέτω· ἢν δὲ μὴ, τῆς ἀκτῆς τῶν φύλλων, τὸν αὐτὸν τρόπον· καὶ ἐπήν σοι δοκέῃ καιρὸς εἶναι, σιτία προσφέρειν οἱ ὡς ὑποχωρητικώτατα. καὶ ἢν ἀπηλλαγμένου τοῦ ῥεύματος, καὶ τῆς ὀδύνης, ὑπὲρ τῆς [54] ὀφρύος αὐτῷ βάρος τι [55] γίνηται κατὰ τὸν μυξωτῆρα, ἢν μύξα παχείη ᾖ καὶ σαπρὴ, πυριήσας αὐτὸν ὄξει, καὶ ὕδατι, καὶ ὀριγάνῳ, ἔπειτα λούσας θερμῷ ὕδατι, προσθεῖναι τὸ ἄνθος τοῦ χαλκοῦ καὶ τὴν σμύρναν πρὸς τὰς ῥῖνας. ταῦτα ποιήσας, ὡς τὰ πολλὰ [56] ὑγιῆ δείξεις· ἡ δὲ νοῦσος οὐ θανατώδης. Ἑτέρη νοῦσος. [57] Ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη λαμβάνεται ἐκ τοῦ κοτίδος ἐς τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίην καταφοιτᾷ ψῦχος, καὶ ἱδρὼς ἐξαπίνης καινὸς τελέθει, καὶ διὰ τῶν ῥινῶν αἷμα ῥεῖ, πολλοὶ δὲ καὶ ἐμέουσιν. οὗτος ἐν τρισὶν ἡμέρῃσιν ἀποθνήσκει· ἢν δὲ τὰς ἑπτὰ ἡμέρας ὑπερφύγῃ (οὐχ ὑπερφεύγουσι δὲ [58] οἱ πολλοὶ) ἢν οὖν τὸ αἷμα ἐμέῃ, ἢ ἐκ τῶν ῥινῶν ῥέῃ, μήτε λούειν αὐτὸν θερμῷ, μήτε χλιάσματα προσφέρειν· πίνειν δὲ διδόναι ὄξος λευκὸν, ὑδαρέα κιρνὰς, καὶ ἢν ἀσθενέῃ, τὴν πτισάνης ῥοφάνειν. ἢν δὲ πλέον σοι δοκέῃ τοῦ δικαίου ἐμέειν τὸ αἷμα, ἢ ἐκ τῶν ῥινῶν [59] οἱ ῥέῃ, ἀπὸ μὲν τοῦ ἐμέτου πινέτω ἄλητον σητάνιον ἐπὶ ὕδωρ ἐπιπάσσων· ἢν δὲ ἐκ τῶν ῥινῶν ῥέῃ, καὶ ἀποδείτω τὰς φλέβας τὰς ἐν τοῖσι βραχίοσι καὶ τὰς ἐν τοῖσι κροτάφοισι, σπλῆνας ὑποτιθείς. ἢν δὲ τούτων οἱ μηδὲν ἐπεγένηται, ἀλγέει δὲ τὴν κοτίδα, καὶ τὸν τράχηλον, καὶ τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίην ἴῃ τὸ ψῦχος, χλιαίνειν ἐν τοῖσιν ὀρόβοισι τὰ στέρνα, καὶ τὸ νῶτον, καὶ τὴν κοτίδα, καὶ τὸν τράχηλον. ταῦτα ποιέων, μάλιστα ἂν ὠφελέοις· ἐκφεύγουσι δὲ τὴν τοιαύτην νοῦσον ὀλίγοι. Ἑτέρη νοῦσος. Ἐξαπίνης ὑγιαίνοντα ὀδύνη ἔλαβε τὴν κεφαλὴν, καὶ παραχρῆμα ἄφωνος γίνεται, καὶ ῥέγχει, καὶ τὸ στόμα κέχηνε· καὶ ἤν τις αὐτὸν καλέῃ, ἢ κινήσῃ, στενάζει μοῦνον, συνίει δὲ οὐδέν· καὶ οὐρέει πολὺ, [60] καὶ οὐκ ἐπάγει οὐρέων. οὗτος ἢν μὴ πυρετὸς λάβῃ, ἐν τοῖσιν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει· ἢν δὲ λάβῃ, ὡς τὰ πολλὰ ὑγιὴς γίνεται· ἡ δὲ τοιαύτη νοῦσος πρεσβυτέροισι μάλιστα γίνεται, ἢ νεωτέροισι. τοῦτον, ὅταν οὕτως ἔχῃ, λούειν χρὴ [61] πολλῷ καὶ θερμῷ, καὶ θάλπειν ὡς μάλιστα, καὶ ἐνστάζειν μελίκρητον [62] χλιαίνων ἐς τὸ στόμα. ἢν δὲ ἔμφρων γίνηται καὶ ἐκφύγῃ τὴν νοῦσον, ἀνακομίσας αὐτὸν σι-

CAPVT VII.

Cerebri bile vexati, cerebri siderati, repentini capitis doloris, ac temulentiæ, ortus, causæ, symptomata, signa, prognostica, remedia.

Alius morbus. *Si cerebrum bilis vexet, febris lenis & rigor detinet, dolorque toto capite, maximè verò ad tempora, ad sinciput, & ad oculorum regiones; & supercilia suspendi videntur, & ad aures dolor peruadit, quandoque per nares bilis effluit, oculi caligant; & plerisque quidem ad dimidiam capitis partem dolor peruenit, toto etiam capite oritur. Quum ita habuerit, refrigerantia capiti admoueto; & vbi dolor & fluxio quieuerit, apij succum in nares instillato, neque lauet quandiu dolor detinet; & milium pauco melle affuso sorbeat, & aquam bibat. Quòd si aluus non subducatur, brassicas edat, & succum sorbeat; sin minùs, foliorũ sambuci* succum *eodem modo. Quumque tempestiuum tibi esse videbitur, cibos quàm maximè aluum subducentes ei porrigito. Ac si propulsâ fluxione ac dolore, ipsi ad supercilia iuxta nasum pondus quoddam incumbat, mucusque crassus sit & putridus, fomento ex aceto, aquâ, & origano adhibito, mox calidâ aquâ loto, æris florem & myrrham ad nares admoueto. Hæc vbi feceris, plerúnque sanum efficies; morbus autem minimè est lethalis.* Alius morbus. *Si sideratum cerebrum fuerit, dolor ex occipitio ad spinam tendit, & ad cor frigus permanat, derepente nouus sudor oritur, & per nares sanguis fluit, plerique etiam vomunt. Hic intra tres dies moritur. Quòd si septem dies superauerit (plerique verò minimè superant) si sanguinem vomat, aut ex naribus effluat, neque eum calidâ lauato, neque calefactoria admoueto. Acetum verò album aquâ temperatum potui exhibeto, & si debilis fuerit, ptisanam sorbendam dato. Quòd si plus æquo tibi sanguinem vomere, aut ipsi ex naribus fluere videatur, à vomitu quidem farinam trimestris tritici aquæ inspersam bibat. Si verò è naribus fluat, brachiorum & temporum venas splenijs suppositis deligato. At si horum neutrum ipsi affuerit, occipitium autem, & ceruicem, & spinam dolor vexet, & ad cor frigus procedat, eruo pectus, dorsum, occipitium, & ceruicem calefacito. His factis maximè iuueris. Pauci verò ex hoc morbo euadunt.* Alius morbus. *Derepente sanum capitis dolor prehendit, confestimque obmutescit, & stertit, & os hiat; & si quis eum vocet, aut agitet, solùm ingemiscit, nihil autem intelligit; & copiosè meijt, ac se ad mictum non incitat. Hic, nisi eum febris corripiat, intra septem dies moritur; quòd si corripuerit, plerunque sanus euadit. Huiusmodi autem morbus senioribus contingit magis, quàm iunioribus. Hic quum sic habeat, multâ calidâ lauandus est, & quàm maximè fouendus, eique aqua mulsa tepida in os instillanda. Quòd si mentis compos fiat & morbum effugiat, quũ eum cibis refeceris, & viribus*

ribus valere tibi visus fuerit, immisso in nares medicamento, paucisque intermissis diebus, medicamentum deorsum purgans propinato. Nisi enim purgaueris, metus est ne rursus morbus reuertatur. Ferè autem ex priore minimè euadunt. Alius morbus. *At si quis ex temulentia voce deficiat, siquidem iam confestim eum febris corripiat, conualescit; nisi verò corripuerit, intra tertium diem moritur. Quum autem ita habentem offenderis, multâ calidâ lauato, & spongias calidâ imbutas ad caput admoueto, & in nares cepas detracto cortice immittito. Hic si quidem apertis oculis, & voce recuperatâ ad se redeat, neque nugas loquatur, eo die sopore detentus iacet, postero verò conualescit. Quòd si erectus bilem vomuerit, insanit ac maximè diebus quinque, nisi dormiat, moritur. Hunc igitur hæc facere oportet; multâ calidâ lauare, donec is ad se redeat; deinde copioso oleo illitum, in mollibus stratis, vestimentis contectum recumbere, neque apud eum lucernam ardere, neque loqui. A balneo enim vt plurimùm dormit, & si dormierit, sanus euadit. At postquam ad se redierit, tribus quatuórve primis diebus, milium tenue, aut ptisanæ succum sorbendum, & vinum mellitum bibendum exhibeto; deinde cibis mollissimis, primúmque paucis vtatur.*

A ποίοισιν, [63] ἐπὴν δέ σοι δοκέῃ ἰσχύειν, ἐς τὰς ῥῖνας ἐνθεὶς αὐτῷ φάρμακον, καὶ διαλιπὼν ὀλίγας ἡμέρας, κατωτερικὸν δὸς πίνειν· ἢν γὰρ μὴ καθήρῃς, δεῖμα αὖθις τὴν νοῦσον ὑποστρέψαι. ἐκφυγγάνουσι δὲ οὐ μάλα ἐκ τῆς προτέρης. Ετέρη νοῦσος. Ην δὲ ἐκ θωρήξιος ἄφωνος γένηται, ἢν μὲν αὐτίκα δὴ καὶ παραχρῆμα λάβῃ μιν πυρετὸς, ὑγιὴς γίνεται· ἢν δὲ μὴ λάβῃ, τριταῖος ἀποθνήσκει. [64] ἢν δὲ μὴν οὕτως ἔχοντι ἐπιτύχῃς, λούειν πολλῷ καὶ θερμῷ, καὶ πρὸς B τὴν κεφαλὴν σπόγγους ἐν ὕδατι βάπτων θερμῷ, προστιθέναι, καὶ ἐς τὰς ῥῖνας κρόμμυα ἀπολέπων ἐντιθέναι. ἔστι ἢν μὲν ἀνατείνας τοὺς ὀφθαλμοὺς καὶ φθεγξάμενος παρ' ἑωυτῷ γένηται, καὶ μὴ φλυαρῇ, τὴν μὲν ἡμέρην ταύτην κεῖται κωμαίνων, τῇ δ' ὑστεραίῃ ὑγιὴς γίνεται· ἢν δ' ἀνιστάμενος χολὴν ἐμέῃ, μαίνεται καὶ ἀποθνήσκει μάλιστα ἐν πέντε ἡμέρῃσιν, ἢν μὴ κατακοιμηθῇ. τοῦτον οὖν χρὴ τάδε ποιέειν· λούειν πολλῷ καὶ θερμῷ, ἔστ' ἂν αὐτὸς ἐς ἑωυτὸν παρῇ· ἔπειτα ἀλείψας ἀλείφατι πολλῷ, κατακλῖναι ἐς στρώματα μαλθακῶς, καὶ ἐπιβάλλειν ἱμάτια, καὶ μήτε λύχνον καίειν παρ' αὐτῷ, μήτε φθέγγεσθαι· ὡς C γὰρ ἐπὶ τὸ πολὺ ἐκ τοῦ λουτροῦ κατακοιμᾶται, [65] καὶ ἢν κοιμηθῇ, ὑγιὴς γίνεται. ἐπὴν δὲ παρ' ἑωυτὸν γένηται, τὰς πρώτας ἡμέρας τρεῖς ἢ τέσσαρας, διδόναι κέγχρον λεπτὸν ῥοφάνειν, ἢ πτισσάνης χυλὸν· καὶ οἶνον μελιτώδεα πίνειν· ἔπειτα σιτίοισι χρῆσθαι ὡς μαλθακοῖσι καὶ ὀλίγοισι τὸ πρῶτον.

CAPVT VIII.

Sideratio cerebri, ossis capitis caries, sidere ictus; eorum affectuum symptomata, causæ, signa, auxilia diætetica, pharmaceutica, ac potissimùm chirurgica.

CErebri sideratio. *Si sideratio* cerebrum *inuaserit, dolor paulatim anteriorem maximè capitis partem detinet, & intumescit, & liuescit, febrisq; ac rigor prehendit. Quum sic habuerit, quâ parte tumescit, secare oportet, & os perpurgatum radere, donec ad duplicatam laminam perruperit; deinde vt fracturã curare.* Caries. *Quum caries in osse oborta fuerit, ex ea os dolor corripit; successu verò temporis tenue euadit, ac inflatur, in eóque fractura contingit. Quod si hãc resecueris, os sublatum, asperum, & fuluũ reperies; quibusdam verò etiã ad cerebrum vsq; corrosum. Quum ita habentem offenderis, siquidẽ vltra corrosum fuerit, sinere optimum, & quàm citißimè vlcus curare. Si verò perforatum non fuerit, sed asperum, derasum ad duplicatam vsque laminam, sicuti præcedens curato.* Alius morbus. *Si quis sideratus sit, & capitis anteriore parte doleat, & oculis videre non posit, sed sopor ipsum detineat; etiam si temporum venæ pulsent, & leuis febris, totiusque corporis impotentia detineat, & imminuatur; quum sic habuerit, tum eum multâ calidâ lauato, tum ad caput calefactoria admoueto. A fomentis verò myrrham & æris florem in nares infundito. Ptisanæ succum sorbendum, & aquam bibendam dato. Et siquidem quum hæc feceris meliùs habeat, sat est; sin minùs (hæc enim vnica spes est) ei sinciput scindito; quumque sanguis effluxerit,*

ΚΕΦΑΛΑΙΟΝ Η'.

Σφάκελος ἐγκεφάλου, τερηδὼν, βλητός· καὶ τὰ τούτων τῶν νοσημάτων συμπτώματα, αἰτίαι, σημεῖα, βοηθήματα διαιτητικά τε καὶ φαρμακευτικὰ, μάλιστα δὲ D χειρουργικά.

ΣΦάκελος ἐγκεφάλου. Ην σφάκελος λάβῃ, ἡ ὀδύνη ἴσχει μάλιστα τὸ πρόσθεν τῆς κεφαλῆς ἐκ τοῦ κατὰ μικρὸν, καὶ οἰδέει, καὶ πελιδνὸν γίνεται, καὶ πυρετὸς καὶ ῥῖγος καταλαμβάνει. ὅταν οὕτως ἔχῃ, ταμεῖν χρὴ, [66] ἵν' ὀξοιδέῃ· καὶ ἐκκαθήραντα τὸ ὀστέον, ξύσαι ἕως ἂν ἀφίκηται [67] εἰς τὴν διπλοΐδα, εἶτα ἰῆσθαι ὡς κάτηγμα. Τερηδών. Οταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἀπὸ τούτου [68] τὸ ὀστέον· τῷ δὲ χρόνῳ E λεπτὸν γίνεται, καὶ ἀναφυσᾶται, καὶ γίνεται ἐπ' αὐτῷ κάτηγμα· καὶ ἢν τοῦτο ἀνατάμῃς, εὑρήσεις ἀνατεῖνον ὀστέον, καὶ τρηχὺ, καὶ πυρρὸν, ἐνίοισι δὲ καὶ διαβεβρωμένον πρὸς τὸν ἐγκέφαλον. ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς, ἢν μὲν εἴη πέρην διαβεβρωμένον, ἐᾶν ἄριστον, καὶ ἰῆσθαι ὡς τάχιστα τὸ ἕλκος· ἢν δὲ [69] τετρωμένον μὲν μὴ εἴη, τρηχὺ δὲ, ξύσας [70] μέχρι τῆς διπλοΐδος, ἰῆσθαι ὥσπερ τὴν πρόσθεν. Ετέρη νοῦσος. Ην βλητὸς γένηται, καὶ ἀλγέῃ τὸ πρόσθεν τῆς κεφαλῆς, καὶ τοῖσιν ὀφθαλμοῖσιν [71] οὐ δύνηται ὁρᾶν, ἀλλὰ κῶμά μιν F ἔχῃ· καὶ ἢν αἱ φλέβες ἐν τοῖσι κροτάφοισι σφύζωσι, καὶ πυρετὸς βληχρὸς ἔχῃ, καὶ τοῦ σώματος παντὸς ἀκρασίη, καὶ μινύθῃ· ὅταν οὕτως ἔχῃ, καὶ λούειν αὐτὸν θερμῷ πολλῷ, καὶ χλιάσματα πρὸς τὴν κεφαλὴν προστιθέναι. ἐκ δὲ τῆς πυρίης ἐγχεῖν ἐς τὰς ῥῖνας σμύρναν καὶ ἄνθος χαλκοῦ· ῥοφάνειν δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ πίνειν ὕδωρ. καὶ ἢν μὲν ταῦτα ποιέοντι ῥᾴων γένηται· εἰ δὲ μὴ, ταύτῃ γὰρ μόνη ἐλπὶς, [72] σχίσαι αὐτοῦ τὸ βρέγμα, καὶ ἐπὴν ἀποῤῥυῇ τὸ αἷμα,

συνθεὶς τὰ χείλεα, ἰῆσαι καὶ καταδῆσαι. ἢν δὲ μὴ σχίσῃς, ἀποθνήσκει ὀκτωκαιδεκαταῖος, ἢ εἰκοσταῖος ὡς τὰ πολλά.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν τριῶν κυναγχῶν αἰτίων, καὶ τῆς αὐτῶν θεραπείας.

Κυνάγχη. Πυρετὸς λαμβάνει καὶ ῥῖγος, καὶ ὀδύνη τὴν κεφαλήν, καὶ τὰ σιαγόνια οἰδίσκεται, καὶ τὸ σίαλον χαλεπῶς καταπίνει, ἀποπτύει δὲ καὶ τὰ σίαλα σκληρά [74] κατ᾽ ὀλίγα, καὶ ἐν τῇ φάρυγγι κάτω ῥέγχει. καὶ ἢν καταλαβὼν τὴν γλῶσσαν σκέπτῃ, ὁ μὲν γαργαρεὼν οὐ μέγας, ἀλλὰ λαπαρός· ἡ δὲ φάρυγξ ἔσωθεν σιάλου γλίσχρου ἔμπλεως, καὶ οὐ δύναται ἐκχρέμπτεσθαι· καὶ οὐκ ἀνέχεται [75] κεῖσθαι, ἀλλ᾽ ἢν κατακέηται, πνίγεται. τοῦτον ἢν οὕτως ἐπιτύχῃς ἔχοντα, ποιέειν τάδε. πρῶτον μὲν σικύας [76] προσβάλλειν πρὸς τὸν σπόνδυλον τὸν ἐν τῷ τραχήλῳ τὸν πρῶτον· ἔπειτα περιξυρήσας ἐν τῇ κεφαλῇ, καὶ παρὰ τὸ οὖς τιθέναι ἔνθεν καὶ ἔνθεν· καὶ ἐπὴν [77] ἀποσφίγξῃς τὴν σικύην, ἐᾶν προσκέεσθαι ὡς πλεῖστον χρόνον. ἔπειτα πυριᾶν αὐτὸν ὄξει, καὶ λίτρῳ, καὶ ὀριγάνῳ, καὶ καρδάμου σπέρματι, τρίψας λεῖα, κεράσας τὸ ὄξος ἰσόχοον ὕδατι, καὶ ἄλειφα ὀλίγον ἐπιστάξας, [78] διεῖναι τοῦτο· ἔπειτα ἐς χυτρίδιον ἐγχέας, ἐπιθεὶς ἐπίθημα, κάλαμον ἐνθεῖναι κοῖλον, ἔπειτα ἐπιθεὶς ἐπ᾽ ἄνθρακας, ἀναζέσαι· καὶ ἐπὴν διὰ τοῦ αὐλοῦ τοῦ καλάμου ἡ ἀτμὶς [79] ἀνίῃ, περιχάσκων ἑλκέτω εἴσω τὴν ἀτμίδα, φυλασσόμενος μὴ κατακαύσῃ τὴν φάρυγγα. ἔξωθεν δὲ σπόγγους βάπτων ἐς ὕδωρ θερμὸν, προστιθέσθω πρὸς τὰς γνάθους καὶ τὰ σιαγόνια. ἀναγαργάριστον δὲ αὐτῷ ποιέειν ὀρίγανον, καὶ θύμβραν, καὶ σέλινον, καὶ μίνθην, καὶ λίτρον ὀλίγον, μελίκρητόν τε κεράσας ὑδαρὲς, ὄξος ὀλίγον ἐπιστάξαι· λεῖα τρίψας τὰ φύλλα τῶν προειρημένων βοτανῶν, καὶ τὸ λίτρον [80] τοῦτο διεὶς, χλιήνας ἀναγαργαριζέτω. ἢν δὲ τὸ σίαλον ἴσχηται, μύρτου λαβὼν κλάδον, λεῖον ποιήσας, καὶ τὸ ἄκρον αὐτῆς ἐπικάμψας τὸ ἁπαλὸν, κατειλίξας αὐτὸ ἐν ἐρίῳ μαλθακῷ, καθορῶν εἰς τὴν φάρυγγα, τὸ σίαλον ἐκκαθαίρειν· καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, βάλανον προστιθέναι, ἢ ὑποκλύζειν. ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ὕδωρ ἐπιπινέτω. Εἰ δέ οἱ οἴδημα ἐκφύῃ καὶ οἰδίσκηται πρὸς τὰ στήθεα, καὶ ἐρυθρὸν ἔῃ, καὶ καίηται, ἐλπίδες πλέονες σωτηρίης. ποιέειν δέ οἱ τάδε, ἐπὴν ἔξω τράπηται [81] τὸ φλέγμα· τεῦτλα ἐμβάπτων ἐς ὕδωρ ψυχρὸν, προστιθέναι· ἀναγαργαριζέτω δὲ χλιαροῖσι, καὶ ἀλουτεέτω. ταῦτα ποιέων, μάλιστα ἂν ἐκφυγγάνῃ· ἡ δὲ νοῦσος θανατώδης, καὶ ἐκφυγγάνουσιν ὀλίγιστοι. Ἑτέρη κυνάγχη. Πυρετὸς καὶ ὀδύνη λαμβάνει τὴν κεφαλὴν, καὶ ἡ φάρυγξ φλεγμαίνει καὶ τὰ σιαγόνια, καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται, πτύει δὲ παχὺ καὶ πολλὸν, καὶ φθέγγεται χαλεπῶς. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν σικύην προσβάλλειν, τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ ἄνωθεν εἴπομεν· ἔπειτα προσίσχειν σπόγγον βρέχων ἐν ὕδατι θερμῷ, πρὸς τὸν τράχηλον καὶ τὰ σιαγόνια. ἀναγαργαρίζειν δὲ διδόναι μελίκρητον ὑδαρές· ῥοφάνειν δὲ ἀναγκάζειν τὸν χυλὸν τῆς πτισάνης. [82] ἢν δέ οἱ τοιαῦτα ποιέοντι τὸ σίαλον μὴ ἐξίῃ,

labris compositis curato, & deligato. Quod nisi sciderit, decimo-octauo, aut vigesimo die plerunque moritur.

CAPVT IX.

De trium anginarum caussis, ac curatione.

Angina. *Febris corripit & rigor, & dolor capitis, maxillæ tumescunt, ægrè sputum deglutit, duram saliuam sensim expuit, & in imis faucibus stertit. Ac si apprehensâ linguâ inspexeris, curgulio quidem non magnus, sed mollis est; fauces autem interiores saliuâ viscidâ implentur, neque excreare potest, neque decumbere sustinet; sed si decumbat, suffocatur. Hunc si ita affectum offenderis, hæc facito. Imprimis quidem cucurbitulas ad primam ceruicis vertebram admoueto; deinde capiti præraso ad aurem vtraque ex parte apponito; & vbi scarificaueris, cucurbitulam quàm plurimo tempore adhærere sinito. Deinde suffitum illi ex aceto, nitro, origano, & nasturtij semine parato; quæ leuiter trita, pari aquæ mensurâ ad acetum permixtâ, & pauco oleo instillato, macerato; postea in ollulam infusa, operculo apposito, arundine cauâ inditâ; mox prunis imposita feruefacito; & vbi per arundinis fistulam sursum vapor ascenderit, eum aperto ore intrò trahat, cauens ne fauces adurat. Foris autem spongias aquâ calidâ imbutas ad genas & maxillas apponat. Gurgarismus verò ipsi parandus est ex origano, satureiâ, apio, menthâ, & pauco nitro; aquâque mulsâ aquosâ admixtâ, paucum acetum instillato. Prædictarum herbarum folijs læuigatis ac tritis, nitróque macerato, tepido os colluat. Si verò saliua supprimatur, sumpto myrti surculo, læuigato, & summâ eius parte tenellâ inflexâ, molli lanâ obuolutâ; conspectis faucibus, saliuam expurgato; & si venter non subeat, glandem indito, aut clystere subluito. Ptisanæ autem succum sorbeat, & aquam insuper bibat. Si verò ei tumor enascatur, & ad pectus intumescat, & rubicundus sit, & ardeat, salutis maior spes est. Hæc autem ei facienda sunt, vbi foras inflammatio vertitur. Betas aquâ frigidâ imbutas admoueto; tepidis autem os colluat, & ne lauet. His factis maximè euaserit. Morbus autem lethalis est, & paucissimi euadunt.* Alia angina. *Febris & dolor caput prehendit, fauces & maxillæ inflammantur, neque saliuam deglutire potest, sed crassam & copiosam expuit, & ægrè loquitur. Quum sic habuerit, primùm quidem eo quo supra diximus modo cucurbitulam admoueto; deinde spongiam aquâ calidâ maceratam ceruici & maxillis apponito; aquam autem mulsam aquosam ad os colluendum dato, & ptisanæ succum sorbere cogito. Si verò huic hæc facienti saliua non exierit,*

suffitum

suffitum eodem modo velut in superiore, parato. At si ei ad pectus aut ad ceruicem inflammatio vertatur, betis aut cucurbitis concisis in aquam calidam coniectis, frigidam supersorbeat & bibat, quò faciliùs sputum excreetur. Quum verò tumor in pectore extuberauerit, plures euadunt. At si faucibus & tumoribus sedatis, ad pulmonem morbus versus fuerit; confestim febris & lateris dolor insuper corripit; & vbi hoc contigerit, plerúnque moritur. Quòd si dies quinque effugerit, purulentus euadit, nisi ipsum confestim tussis corripuerit; si verò corripuerit, excreato & repurgato sputo conualescit. Huic, quandiu dolor lateris detinet, latus calefaciendum, & offerenda quæ pulmonis inflammationi conueniunt. Quòd si quinque dies effugerit, & febris remiserit, tussis verò detineat, primis quidem diebus sorbitionibus vtatur. Quum verò cibos sumere occœperit, quàm pinguissimos, & maximè salsos edat. At si tussis non affuerit, verùm purulentum fieri cognoscas, vbi cœnauerit, qúmque dormire volet, allia quàm plurima cruda edat, & vinum vinosum meracius superbibat. Quòd si sic quidem ei pus eruperit, bene habet; *sin minùs, postridie vbi calidâ laueris, suffitum exhibeto, & si eruperit, velut purulentum curato.* Alia angina. *Linguæ pars posterior inflammatur, claustrumque sub gutture, neque saliuam, neque aliud quicquam deglutire potest; sed si coactus fuerit, ei per nares effluit. Quum ita habuerit, mentham viridem, apium, origanum, nitrum, & rhois rubri portionem terito, melle subigito, iisque crassioribus redditis linguam interiore parte, quâ tumet, illinito. Deinde ficus aquâ decoquito, rhois triti paruam portionem hoc ficuum decocto macerato, eóque, si possit, ad gargarizandum vtatur; sin minùs, os colluat. Aquam verò in qua crassiores farinæ maceratæ fuerint, potui exhibeto. Foris autem collo & maxillis cataplasma ex farinâ calidâ in tepido vino & oleo coctâ imponito, & panes calidos admoueto. Vt plurimùm enim locus sub tonsillis ad guttur suppurat. Quòd si suâ quidem sponte eruperit, sanus euadit; si verò non erumpat, vbi digito contigeris an molle sit, acuto ferramento ad digitum alligato, perforato. His factis multi conualescunt. Is verò morbus minimùm lethalis est.*

πυριᾶν τὸν αὐτὸν τρόπον, ὥσπερ ἐν τῇ πρόσθεν. ἢν δὲ οἱ ἐς τὰ στήθεα τράπηται, ἢ ἐς τὸν τράχηλον τὸ φλέγμα, τεῦτλα ἢ κολοκυνθίδας κατατεμὼν, [73] ἐμβαλὼν ἐς ὕδωρ χλιαρὸν, ἐπιρροφανέτω, καὶ πινέτω ψυχρὸν, ὅπως τὸ σίαλον εὐπετέστερον ἀποχρέμπτηται· ὅταν δὲ ἐξοιδήσῃ ἐς τὰ στήθεα, οἱ πλέονες ἐκφύγουσι. ἢν δὲ τῆς φάρυγγος καθεστηκυίης καὶ τῶν οἰδημάτων, [74] στραφῇ ἐς τὸν πλεύμονα ἡ νοῦσος, πυρετὸς εὐθὺς ἐπιλαμβάνει καὶ ὀδύνη τοῦ πλευροῦ, καὶ ὡς ἐπιτοπολὺ ἀπέθανε, ἐπὴν τοῦτο γένηται· ἢν δὲ ὑπερφύγῃ ἡμέρας πέντε, ἔμπυος γίνεται, ἢν μὴ μὶν βὴξ ἐπιλάβῃ αὐτίκα· ἢν δὲ ὑπολάβῃ, ὑποχρεμψάμενος καὶ ἀποκαθαρθεὶς, ὑγιὴς γίνεται. τοῦτον ἕως μὲν ἂν ἡ ὀδύνη τὸ πλευρὸν ἔχῃ, χλιαίνειν τὸ πλευρὸν, καὶ προσφέρειν ὅσα τῇ περιπλευμονίῃ· ἢν δὲ ὑπερφύγῃ τὰς πέντε ἡμέρας, καὶ ὁ πυρετὸς ἀνῇ, ἡ δὲ βὴξ ἔχῃ, τὰς μὲν πρώτας ἡμέρας ῥοφήμασι [75] διαχρῆσθαι· ἐπὴν δὲ τῶν σιτίων ἄρξηται, ὡς λιπαρώτατα καὶ ἁλυκώτατα ἐσθίειν. ἢν δέ τοι βὴξ μὴ ἔῃ, ἀλλὰ [76] γινώσκῃς ἔμπυον γινόμενον, δειπνήσαντα, ἐπὴν μέλλῃ καθεύδειν, σκόροδα ἐσθιέτω ὠμὰ ὡς πλεῖστα, καὶ ἐπιπινέτω οἶνον οἰνώδεα ἀκρητέστερον· καὶ ἢν μὲν οὕτως οἱ ῥαγῇ τὸ πῦον· ἢν δὲ μὴ, τῇ ὑστεραίῃ λούσας θερμῷ θυμιᾶσαι, καὶ ἢν ῥαγῇ, ἰῆσθαι ὥσπερ ἔμπυον. Ἑτέρη κυνάγχη. Φλεγμαίνει τοὔπισθεν τῆς γλώσσης, καὶ τὸ κλεῖθρον τὸ ὑπὸ [77] τὴν βρόγχον, καὶ οὐ δύναται καταπίνειν τὸ σίαλον, οὐδ' ἄλλο οὐδὲν, ἢν δὲ ἀναγκασθῇ, διὰ τῶν ῥινῶν [78] οἱ ῥέει. ὅταν οὕτως ἔχῃ, τρίψας μίνθην χλωρὴν, καὶ σέλινον, καὶ ὀρίγανον, καὶ λίτρον, [79] καὶ τῆς ῥοῦ τῆς ἐρυθρῆς, μέλιτι διεὶς, παχὺ ποιέων, ἐγχρίειν τὴν γλῶσσαν ἔσωθεν ᾗ ἂν οἰδέῃ· ἔπειτα ἀναζέσας σῦκα καὶ ἀποζέσας ἐς ὕδωρ, τρίψας τῆς ῥοῦ ὀλίγην, διεῖναι τῷ συκίῳ τούτῳ, καὶ ἀναγαργαρίζειν ἐὰν δύνηται· ἢν δὲ μὴ, διακλύζεσθαι· πίνειν δὲ διδόναι τὸ ἀπὸ τῶν κριμνῶν ὕδωρ. ἔξωθεν δὲ τὸν αὐχένα καὶ τὰ σιαγόνια καταπλάσσειν ἀλήτῳ, ἐν οἴνῳ καὶ ἐλαίῳ ἕψοντα χλιαρῷ, καὶ ἄρτους προστιθέναι θερμούς. ἀποπυΐσκεται γὰρ ὡς τὰ πολλὰ ἐν τῷ κλείθρῳ· καὶ ἢν μὲν ῥαγῇ αὐτόματον, ὑγιὴς γίνεται· ἢν δὲ μὴ ῥήγνυται, ψηλαφήσας τῷ δακτύλῳ, ἢν μαλθακὸν ἔῃ, σιδήριον ὀξὺ προσδησάμενος πρὸς τὸν δάκτυλον, τρῆσαι. ταῦτα ποιήσαντι, πολλοὶ ὑγιαίνουσιν· ἡ δὲ νοῦσος αὕτη, ἥκιστά ἐστι θανατώδης.

CAPVT X.

De vua, tonsillis, linguæ tuberculo, palati inflammatione, & eorum morborum curatione.

VVa curgulionis affectio. *Si vua in faucibus oriatur, summus curgulio aquâ impletur, eiusque pars extrema rotunda, & pellucida fit, respirationemque intercipit. Quòd si maxillæ vtraque ex parte inflammatæ fuerint, strangulatur. Si verò his non inflammatis, hic morbus per se consistat, minùs moritur. Quum sic habuerit, curgulionem digito apprehensum, & sursum ad palatum appressum, extremâ*

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῆς σταφυλῆς, καὶ τῶν ἀντιάδων, καὶ τῆς ὑπογλωττίδος, καὶ τοῦ κατὰ τὴν ὑπερῴαν φλέγματος καὶ περὶ τῆς τούτων τῶν νοσημάτων θεραπείας.

[80] Σταφυλή. Ἢν σταφυλὶς ἐν τῇ φάρυγγι γένηται, ἐμπίπλαται ἄκρος ὁ γαργαρεὼν ὕδατος, καὶ γίνεται στρογγύλος τὸ ἄκρον καὶ διαφανὴς, καὶ ἐπιλαμβάνει τὴν πνοιήν. καὶ ἢν φλεγμαίνῃ τὰ σιαγόνια ἔνθεν καὶ ἔνθεν, ἀποπνίγεται· ἢν δὲ αὐτὴ [81] ὑφ' ἑωυτῆς γένηται, τούτων μὴ [82] φλεγμαινόντων, ἧσσον ἀποθνήσκει. ὅταν οὕτως ἔχῃ, λαβὼν τῷ δακτύλῳ τὸν γαργαρεῶνα, ἄνω ἐς τὴν ὑπερῴην ἀποπιέσας, διατέμνειν

ἄκρον, ἔπειτα διδόναι ἀναγαργαρίζειν [83] τὸ ἀπὸ τῶν φύλλων· λείχειν δὲ ἄλφιτον [84] ψυχρὸν, καὶ ὕδωρ ἐπιπίνειν, καὶ μὴ λούεσθαι. [69] Ἀντιάδες. Ἢν ἀντιάδες γίνωνται, οἰδέει ὑπὸ τὴν γνάθον ἔνθεν καὶ ἔνθεν, καὶ ψαυόμενον σκληρόν ἐστιν ἔξωθεν, καὶ ὁ γαργαρεὼν ὅλος φλεγμαίνει. ὅταν οὕτως ἔχῃ, καθεὶς τὸν δάκτυλον, διωθέειν τὰς ἀντιάδας· πρὸς δὲ τὸν γαργαρεῶνα προσχρίειν ἄνθος χαλκοῦ ξηρὸν, καὶ ἀναγαργαρίζειν τὸ ἀπὸ τῶν φύλλων [85] εἱληθερές, ἔξωθέν τε καταπλάσσειν, ᾗ ἂν ἀποιδέῃ, ὠμήλυσιν, ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψῶν χλιαρήν. ἐπὴν δέ σοι δοκέωσι τὰ φύματα μαλακὰ εἶναι ἔσωθεν ἀφασσώμενα, ὑποτύψαι μαχαιρίῳ· ἔνια δὲ καὶ αὐτόματα καθίσταται. Ὑπογλωσσίς. Ἢν ὑπογλωσσὶς γίνηται, ἡ γλῶσσα οἰδίσκεται, καὶ τὸ ὑποκάτω, καὶ τὸ ἔξω ψαυόμενον σκληρόν ἐστι, καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται. ὅταν οὕτως ἔχῃ, σπόγγον ἐς ὕδωρ θερμὸν ἐμβάπτων, προστιθέναι, καὶ τὴν ὠμήλυσιν ἑψῶν ἐν οἴνῳ καὶ ἐλαίῳ, καταπλάσσειν ἔξω, ᾗ ἂν ἀποιδέῃ· ἀναγαργαρίζειν δὲ τῷ συκίῳ, καὶ μὴ λούεσθαι. ἐπὴν δὲ διάπυον γίνηται, τάμνειν· ἐνίοτε δὲ αὐτόματον ἐκρήγνυται, καὶ καθίσταται οὐ τμηθέν. ἐπὴν δὲ ἔξω ἀποπυήσῃ, διακαῦσαι. Φλέγμα συστὰν ἐς τὴν ὑπερῴην. Ἢν δὲ φλέγμα συστῇ ἐς τὴν ὑπερῴην, ἀποιδέει καὶ ἐμπυΐσκεται. ὅταν οὕτως ἔχῃ, καίειν τὸ φῦμα· ἐπὴν δὲ ἐξίῃ τὸ πύον, κλύζειν τὸ λοιπὸν, πρῶτον μὲν λίτρῳ καὶ ὕδατι χλιαρῷ, ἔπειτα οἴνῳ· ἐπὴν δὲ ἐκκλύσῃ, σταφίδα τρίψας λευκὴν, ἐξελὼν τὸ γίγαρτον, ἐντιθέναι ἐς τὸ καῦμα. ἐπὴν δὲ ἐκρυῇ, οἴνῳ ἀκρήτῳ χλιαρῷ διακλυζέτω· καὶ ἐπὴν μέλλῃ τι ἐσθίειν ἢ ῥοφάνειν, σπόγγιον ἐντιθέναι. ταῦτα ποιέειν, ἔστ' ἂν ὑγιὴς γένηται.

A parte præcidito; deinde foliorum lactucę decoctum ad gargarizandum dato; & farinam frigidam delingendam, aquamque superbibendam; neque lauet. Tonsillæ. *Si tonsillæ oriantur, sub maxillis ab vtraque parte tumor fit, qui ad contactum foris durus est, & totus curgulio inflammatur. Quum sic habuerit, immisso digito tonsillas protrudito; ad curgulionem verò æris florem siccum illinito, & foliorum decoctum insolatum gargarizandum dato, & extrinsecus, quâ parte tumor est, hordeaceam farinam in vino & oleo* B *coctam in cataplasmate tepidam admoueto. Vbi verò tubercula mollia esse tibi videbuntur, intus contacta, scalpello pertundito. Quædam tamen etiam suâ sponte sedantur.* Ranula. *Si ranula fiat, lingua tumet, parsque sub ipsa, & externa, ad contactum dura est, & saliuam deglutire non potest. Quum sic habuerit, spongiam aquâ calidâ madefactam apponito, & farinam hordeaceam vino & oleo incoctam, parte exteriore quâ tumor est, in cataplasmate admoueto;* C *ficuum decoctum gargarizet, nec lauet. Vbi verò purulentum fuerit, secato. Interdum autem suâ sponte erumpit, & citra sectionem sedatur. Quum verò foras suppurauerit, perurito.* Tuberculum in palato consistens. *Si verò tuberculum in palato constiterit, intumescit & suppurat. Quum sic habuerit, tuberculum vrito; vbi vero pus exierit, reliquum eluito, primùm quidem nitro, & aquâ tepidâ, deindè vino. Postquam autem elueris, vuam albam* D *passam detractis àcinis tritam, in vsturam imponito; quúmque effluxerit, vino meraco tepido colluat; & vbi quid edere aut sorbere volet, spongiam immittito; istáque donec conualescat, facito.*

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν πέντε πολύπων, τοῦ κατακρεμαστοῦ, περιμήκους, μαλθακοῦ· καὶ τοῦ σαρκώδους, σκληροῦ, ῥῖνα ἐμπιπλάντος· καὶ τοῦ περιέχοντος, στρογγύλου, μαλθακοῦ· καὶ τοῦ σκληροῦ· καὶ τοῦ τοῖς καρκινίοις παραπλησίου· καὶ τῆς τούτων θεραπείας.

Πώλυπος. Ἢν πώλυπος γίνηται ἐν τῇ ῥινὶ, ἐκ μέσου [86] τῶν χόνδρων κατακρέμαται, οἷον γαργαρεών· καὶ ἐπὴν ὤσῃ τὴν πνοὴν, προσέρχεται ἔξω, καὶ ἐστὶ μαλθακόν, καὶ ἐπὴν ἀναπνεύσῃ, οἴχεται ὀπίσω· καὶ φθέγγεται σομφὸν, καὶ ἐπὴν καθεύδῃ, ῥέγχει. ὅταν οὕτως ἔχῃ, σπόγγιον κατατάμνων στρογγύλον, καὶ ποιήσας οἷον σπεῖραν, [87] κατειλίξαι λίνῳ Αἰγυπτίῳ καὶ ποιῆσαι σκληρὸν (ἔστω δὲ μέγεθος, ὥστε [88] ἐναρμόζειν ἐς τὸν μυκτῆρα) καὶ δῆσαι τὸ σπόγγιον λίνῳ τετραχθεῖ, μῆκος δὲ ἔστω, ὅσον πυγονιαῖον ἕκαστον. ἔπειτα ποιήσας αὐτῶν μίαν ἀρχὴν, ῥάβδον λαβὼν [89] κασσιτερίνην λεπτὴν ἐκ τοῦ ἑτέρου κύαρ ἔχουσαν, διείρειν ἐς τὸ στόμα τὴν ῥάβδον ἐπὶ τὸ ὀξύ· καὶ ἐπὴν λάβῃ, διέρσας διὰ τοῦ κύαρος τὸ λίνον, ἕλκειν ἔστ' ἂν λάβῃ τὴν ἀρχήν· ἔπειτα χηλὴν ὑποθεὶς ὑπὸ τὸν γαργαρεῶνα, ἀντερείδων ἕλκειν [90] ἔστ' ἂν ἐξειρύσῃς τὸν πώλυπον. ἐπὴν δὲ αὐτὸν ἐκ-

CAPVT XI.

De quinque polypis; pendulo, oblongo, molli; carnoso, duro, nasum implente; pendulo, rotundo, molli; calloso; & cancris paruis simili; eorumque curatione.

E

Polypus. *Si polypus oriatur in naso, ex medijs cartilaginibus velut curgulio dependet; & vbi spiritum expellit, foras progreditur, ac mollis est; vbi verò spiritum attrahit, retrocedit; obscurè loquitur, & quum dormit, stertit. Quum sic habuerit, spongiam rotundam concisam, & velut spiram contortam, lino Ægyptio conuoluito, & duram efficito (sit autem eius magnitudinis, vt naso aptetur) spongiam verò quadruplici lineo filo, quod cubitali sit longitudine* F *vnumquodque, deligato. Deinde eis in vnum principium coactis, sumptáque tenui virgâ stanneâ, quæ alterâ parte acûs foramen habeat, virgam acutâ sui parte in os transmittito; & transmisso per acûs foramen lineo filo, eam apprehensam trahito, donec filorum principium apprehendas. Deinde specillo ad vngulæ similitudinem bisulco, curgulioni subdito, obnixè trahito, donec polypum eduxeris. Quum verò ipsum*

extraxeris,

extraxeris, & sanguis fluere desierit, siccum linamentum specillo obuolutum immittito, & de cætero æris flore cum melle feruefacto, linamentum illitum in nares imponito. Vlcere iam percurato, plumbum ita efformatum vt ad vlcus pertingat, melle illitum, donec conualescat, apponito. Alius Polypus. Nasus carnibus impletur, & ad contactum caro dura apparet, neque naribus respirare potest. Quum sic habuerit, immissâ fistulâ, ferramentis aut tribus aut quatuor inurere oportet. Post verò vstionem, veratrũ nigrum tritum inijcito; & vbi caro computruerit & exciderit, penicilla linea melle cum æris flore illita imponito. Quumq; vlcus percuratũ fuerit, plumbeas laminas melle illitas indito, donec conualescat. Alius polypus. Interiùs caro rotunda, ex cartilagine prominet, ad contactum verò mollis est. Quum sic habuerit, nerueo fune accepto, in eo tenuem laqueum facito, tenui filo conuoluito; deinde alterum principium per laqueum transmittito, maiore laqueo facto; mox principium per virgam stanneam traijcito. Posteà immissum in nares laqueum, per specillum incisum circum polypum extendito; quo obducto, virgam per os traijcito, eamque correptam trahito, specillo instar vngulæ bisulcæ ad eundem modum sub curgulione obfirmato. Vbi verò extraxeris, velut superiorem curato. Alius polypus. Intus circa cartilaginem, durum quid aliquâ ex causâ adnascitur, quod caro esse videtur; si verò ipsum attigeris, sonat velut lapillus. Quum ita habuerit, nasum per scalpellum diuisum expurgato, mox inurito. Atque hoc facto, rursus nasum consuito, & penicillum vnguento melino illitum imponens, vlcus curato; ac vbi circumputruerit, æris florem cum melle illinito, plumbeâ verò laminâ immissâ percurato. Alius polypus. In cartilaginis summâ parte ex obliquo velut cancri parui exoriũtur. Hos autem omnes inurere oportet, inustos verò veratro aspergere. Vbi verò putruerint, æris flore cum melle expurgare, plumbeâ laminâ percurare.

A ἀπάσης, καὶ παύσηται τὸ αἷμα ῥέον, περιθεὶς περὶ τὴν μήλην ξηρὸν ὀθόνιον, μοτῶσαι, καὶ τὸ λοιπὸν ἀναζέσαι τοῦ ἄνθους ἐν μέλιτι, καὶ χρίων τὸν μοτὸν, προστιθέναι ἐς τὴν ῥῖνα· καὶ ἐπὴν ἤδη τὸ ἕλκος ἀλθαίνηται, μόλιβδον ποιησάμενος ὥστε καθίκῃ πρὸς τὸ ἕλκος, τοῦτον μέλιτι χρίων, προστιθέναι ἔστ' ἂν ὑγιὴς γένηται. Ἕτερος πώλυπος. Ἐμπίπλαται ἡ ῥὶς κρέασι, καὶ ψαυόμενον τὸ κρέας, σκληρὸν φαίνεται, καὶ διαπνεῖν οὐ δύναται διὰ τῆς ῥινός. ὅταν οὕτως ἔχῃ, ἐνθέντα χρὴ σύριγγα, καῦσαι σιδηρείοισιν ἢ τρισὶν ἢ τέσσαρσιν· B ἐπὴν δὲ καύσῃς, ἐμβάλλειν τοῦ ἐλλεβόρου τοῦ μέλανος, τρίψας· καὶ ἐπὴν ἐκσαπῇ καὶ ἐκπέσῃ τὸ κρέας, μοτοῖς τοῖς λιναίοις χρίων τῷ μέλιτι, [91] ἐπιτίθει σὺν τῷ ἄνθει. ἐπὴν δὲ ἀλθαίνηται, [92] τοῖς μολίβδοις χρίων τῷ μέλιτι ἐστίθει, ἄχρις ἂν ὑγιὴς γένηται. Ἕτερος πώλυπος. Ἔσωθεν ἐκ τοῦ χόνδρου παρέχει κρέας στρογγύλον, ψαυόμενον δὲ μαλθακόν ἐστι. ὅταν οὕτως ἔχῃ, χορδὴν λαβὼν νευρίνην, βρόχον αὐτῇ σμικρὸν ποιήσας, κατειλίξαι λίνῳ C λεπτῷ· ἔπειτα τὴν ἀρχὴν τὴν ἑτέρην διεῖναι διὰ τοῦ βρόχου, μείζονα ποιήσας τὸν βρόχον· ἔπειτα τὴν ἀρχὴν [93] διεῖραι διὰ τῆς ῥάβδου τῆς κασσιτερίνης. ἔπειτα ἐνθεὶς τὸν βρόχον ἐς τὴν ῥῖνα, τῇ μήλῃ τῇ [94] ἐντετμημένῃ περιτείνας τὸν βρόχον περὶ τὸν πώλυπον· ἐπὴν [95] περικέηται, διείρειν τὴν ῥάβδον ἐς τὸ στόμα, καὶ λαβὼν ἕλκειν τὸν αὐτὸν τρόπον, τῆς χηλῆς ὑπερειδούσης. ἐπὴν δὲ [96] ἐξελκύσῃς, ἰῆσθαι ὥσπερ τὸν πρόσθεν. Ἕτερος πώλυπος. Ἔσωθεν παρὰ τὸν χόνδρον, ἀπό τευ σκληρὸν φύεται, καὶ δοκέει μὲν εἶναι κρέας, ἢν δὲ ψαύσῃς αὐτοῦ, D ψοφέει οἷον λίθος. ὅταν οὕτως ἔχῃ, σχίσαντα τὴν ῥῖνα σμίλῃ ἐκκαθῆραι, ἔπειτα ἐπικαῦσαι· τοῦτο δὲ ποιήσας συρράψαι πάλιν τὴν ῥῖνα, καὶ ἰῆσθαι τὸ ἕλκος· [97] τῷ χρίσματι ἐναλείφων ῥάκος ἐντιθέναι· καὶ ἐπὴν περισαπῇ, ἐγχρίειν τὸ ἄνθος τὸ ἐν τῷ μέλιτι, ἀλθίσκειν δὲ τῷ μολίβδῳ. [98] Ἄλλος πώλυπος. Φύεται ἐκ πλαγίου τοῦ χόνδρου ἐν ἄκρῳ οἷον καρκίνια. πάντα δὲ ταῦτα καίειν χρὴ, ὅταν δὲ καύσῃς, [99] ἐπιπάσαι τοῦ ἐλλεβόρου· ἐπὴν δὲ σαπῇ, καθαίρειν τῷ ἄνθει σὺν τῷ μέλιτι, ἀλθίσκειν δὲ τῷ μολίβδῳ.

E

CAPVT XII.

De ictero sine febre, & ictero cum febre, & eorum curatione.

MOrbus regius. Color fit niger circa faciem, præcipuéque partes in vmbrâ latentes, oculi ex virore pallescunt, lingua inferiore parte, venæque sub lingua crassæ sunt & nigræ, febre caret, vrinam crassam bilosamque reddit. Quum sic habuerit, primùm quidem venas sub lingua secato, deinde vbi multâ calidâ laueris, asphodeli radices quinque pari portione, repurgatas & vino incoctas, apij folijs admixtis quantum manus capere possit, ieiuno bibendas exhibeto. Vini dulcis tres dimidias heminas Æginenses affusas, ad dimidiam heminam superstitem coquito; hoc permixtum ex ijsdem propinato. Postquam verò vrinam reddiderit, cibis aluum subducentibus vtatur; & post cibum, cicer album edat; vinum album, copiosum, aquo-

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ ἰκτέρου ἀπύρου, καὶ ἰκτέρου πυρετώδεος, καὶ τῆς τούτων θεραπείας.

ἼΚτερος. Ἡ χροιὴ μέλαινα γίνεται κατὰ τὸ πρόσωπον, μάλιστα δὲ τὰ ἐσκιασμένα, καὶ οἱ ὀφθαλμοὶ χλωροὶ, καὶ ἡ γλῶσσα κάτωθεν, καὶ αἱ φλέβες αἱ ὑπὸ τῇ γλώσσῃ, παχεῖαι καὶ μέλαιναι, καὶ ἄπυρος γίνεται, καὶ F οὐρέει παχὺ χολῶδες. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ ἀποσχάν· ἔπειτα λούοντα πολλῷ τῷ θερμῷ, διδόναι πίνειν νήστει τοῦ ἀσφοδέλου τὰς ῥίζας, ἀποκαθαίρων, ἕψων ἐν οἴνῳ, ἴσον πέντε ῥίζας, καὶ σέλινα συμμίξας ὅσον χεῖρα πλήρεα τῶν φύλλων· ἐπιχεῖν δὲ οἴνου γλυκέος τρία ἡμικοτύλια Αἰγιναῖα, καὶ λείπειν ἡμικοτύλιον· τοῦτο κιρνὰς, κἀκ τῶν αὐτῶν διδόναι πίνειν. ἐπὴν δὲ οὐρήσῃ, σιτίοισι χρήσθω διαχωρητικοῖσι· καὶ μετὰ τὸ σιτίον, ἐρεβίνθους λευκοὺς τρωγέτω, καὶ πινέτω οἶνον λευκὸν, πολὺν, ὑδαρέα,

καὶ σέλινα τρωγέτω ἐπὶ τοῖς σιτίοις καὶ πράσα. ποιεέτω δὲ ταῦτα [102] ἐν ἑπτὰ ἡμέρῃσι· καὶ ἢν μὲν σοι δοκέῃ ἐν ταύτῃσιν ἡ χροιὴ κεκαθάρθαι ἐπιεικῶς· ἢν δὲ μή, καὶ ἑτέρας τρεῖς ταῦτα ποιεέτω. μετὰ δὲ ἐπισχὼν μίαν ἢ δύο ἡμέρας, προσθεὶς φάρμακον πρὸς τὰς ῥῖνας· μετὰ δὲ φάρμακον πῖσον κάτω, ὑφ' οὗ χολὴν καθαιρεῖται· καὶ ἢν [102] μὴ σπληνώδης ἔῃ, ὄνου γάλα, ἢ ὀῤῥὸν μετάπισον. ταῦτα ποιέων, ὑγιῆ ποιεῖς. Ἕτερος ἴκτερος. Πυρετὸς λαμβάνει βληχρὸς, καὶ τὴν κεφαλὴν βάρος ἔχει· καὶ οἱ πυρετοὶ ἐπαύσαντο ἐνίοισιν, αὐτὸς δὲ γίνεται χλωρὸς, οἵ τε ὀφθαλμοὶ μάλιστα, [102] καὶ ἀσθενεῖ, καὶ ἀχρησίη τοῦ σώματος, καὶ οὐρεῖ παχὺ καὶ χλωρόν. τοῦτον θερμῷ λούειν, καὶ διδόναι πίνειν διουρητικά· ἐπὴν δέ σοι δοκέῃ καθαρώτερος εἶναι, καὶ ἡ χροιὴ βελτίων γένηται, προσθεὶς φάρμακον πρὸς τὰς ῥῖνας, καὶ μετάπισον κάτω. σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρῆσθαι· οἶνον δὲ πινέτω λευκὸν, γλυκὺν, ὑδαρέα. ταῦτα ποιέων ὑγιὴς γίνεται.

sum bibat, apium & porrum in cibo comedat. Hæc autem septem diebus faciat; & si quidem in his color moderatè tibi repurgatus esse videatur, sat est; *sin minùs, alijs tribus eadem faciat. Posteà verò unius aut alterius diei morâ interpositâ, medicamentum ad nares admoueto; deinde medicamentum deorsum purgans, ex quo bilis repurgetur, propinato. Et si quidem lienosus non fuerit, lac asininum aut serum posteà bibendum dato. His factis sanum efficies.* Alius morbus regius. *Febris leuis prehendit, caput grauitas detinet, nonnullis etiam febris cessat; ipse verò ex virore pallidus redditur, præcipuéque oculi; debilis est, corporis adest impotentia, & vrinam crassam ac cum virore pallidam emittit. Hunc calidâ lauato, & vrinas ducentia bibenda dato. Quum autem purior esse tibi visus fuerit, & color melior apparuerit, medicamento naribus admoto, etiam medicamentum deorsum purgans posteà dato. Cibis autem quàm mollissimis vtatur, vinum album, dulce, aquosum bibat. His factis sanus euadit.*

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς τῶν τριῶν πυρετῶν τῶν ἀπὸ τῆς χολῆς γινομένων θεραπείας.

[103] Πυρετοὶ ἀπὸ χολῆς. Ἢν χολᾷ ὁ ἄνθρωπος, πυρετὸς αὐτὸν λαμβάνει καθημερινὸν, καὶ ἀφίει, ἔχει δὲ μάλιστα τὸ μέσον τῆς ἡμέρης· καὶ τὸ στόμα πικρὸν καὶ ὅταν ἄσιτος ᾖ, λυπεῖ αὐτὸν, ἐπὴν δὲ φάγῃ, πνίγεται, καὶ ὑπὸ ὀλίγων τινῶν σιτίων ἐμπίπλαται, καὶ βδελύττεται, καὶ ἐμεσίαι μιν λαμβάνουσιν· καὶ ἐς τὴν [104] ὀσφὺν βάρος ἐμπίπτει, καὶ ἐς τὰ σκέλεα, καὶ ὑπνώττει πολλά. [104] τούτῳ ἢν μετὰ τὸ πῦρ ἐξιδρώσῃ, καὶ ὁ ψυχρὸς καὶ πουλὺς ᾖ, καὶ τοῦ πυρετοῦ μὴ ἀπαλλάσσηται, ἡ νοῦσος χρονίη γίνεται· ἢν δὲ μὴ ἱδρώσῃ, θᾶσσον κρίνεται. ὅταν οὕτως ἔχῃ, ἐπὴν γένηται ἐνναταῖος, φάρμακον διδόναι· ἢν γὰρ αὐτίκα ἀρχομένου τοῦ πυρετοῦ διδοῖς, ἐπὴν καθαρθῇ ἐπελάμβανε πυρετὸς, καὶ αὖθις φαρμάκου δεῖται. ἐπὴν δὲ τὸ μὲν στόμα μὴ πονέῃ, ἐς δὲ [105] νειαίρην γαστέρα στρόφος ἐμπίπτει, φάρμακον πῖσαι κάτω, καὶ μεταπῖσαι γάλα ὄνου, ἢ ὀῤῥὸν, ἢ τῶν χυλῶν τινα· ἢν δὲ ἀσθενὴς ἔῃ, ὑποκλύσαι. πρὸ δὲ τοῦ φαρμάκου τῆς πόσιος, ὃς ἂν πυρεταίνῃ, ἕωθεν μὲν διδόναι μελίκρητον ὑδαρὲς, τὴν δὲ ἄλλην ἡμέρην [106] ἐφ' ἣν ὁ πυρετὸς ἔχει, ὕδωρ ὁπόσον ἂν θέλῃ, διδόναι ψυχρὸν πίνειν· ἐπὴν δὲ ἀνῇ ὁ πυρετὸς, ῥοφᾶν διδόναι πτισάνης χυλὸν, ἢ κέγχρον λεπτὸν, καὶ ἐπιπίνειν οἶνον λευκὸν, [107] ὀσμώδεα, ὑδαρέα. ἢν δὲ [108] ἔμπυρος ἔῃ, καὶ μὴ ἀνῇ μήτε τῆς νυκτὸς μήτε τῆς ἡμέρης, ψαυόμενος δὲ ἢν μὲν τὰ ἄνωθεν ἔχῃ θερμὰ, ἡ κοιλίη δὲ καὶ οἱ πόδες εἰσὶ ψυχροὶ, καὶ ἡ γλῶσσα τρηχείη, τούτῳ μὴ δῷς φάρμακον, ἀλλ' ὑποκλύζειν μαλθακῷ κλύσματι, καὶ διδόναι ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν οἶνον ὑδαρέα· τὸν δὲ ἄλλον χρόνον, πίνειν ὕδωρ ὡς ψυχρότατον. οὗτος ἢν μὲν ἑβδομαῖος ἐξιδρώσῃ, καὶ τὸ πῦρ αὐτὸν μεθῇ· ἢν δὲ μή, τεσσαρεσκαιδεκαταῖος ἀποθνήσκει ὡς τὰ πολλά. Ἄλλος πυρετός. Ἔξωθεν ἀφασσόμενος ἐστὶ βλη-

CAPVT XIII.

De trium febrium à bile ortarum curatione.

FEbres à bile. *Si bile vexetur homo, febris eum quotidie prehendit ac dimittit, detinet autem potissimùm meridie; os amarum est; & cùm sine cibo fuerit, id ipsum lædit; vbi verò comederit, strangulatur, & paucis quibusdam cibis impletur, eos auersatur, & vomitiones ipsum inuadunt; ad lumbos & crura grauitas decumbit, multumque dormit. Huic, si post febrem frigido & copioso sudore exudarit, neque febre liberetur, diuturnus morbus euadit. Si verò minimè sudarit, citiùs iudicatur. Quũ sic habuerit, vbi nonum diẽ attigerit, medicamentum purgãs exhibeto. Si enim statim exordiẽte febre exhibueris, postquã purgatus fuerit, febris repetit, rursusq; medicamento indiget. Quũ verò os minimè laboret, sed ad imum ventrẽ tormina decumbant, medicamentum deorsum purgans propinato, posteáq; lac asininum, aut serum, aut succũ aliquem bibendum dato. Quòd si debilis fuerit, aluum subluito. Verùm ante medicamenti purgantis potionem, si quis febricitet, manè quidẽ aquam mulsam aquosam exhibeto; alio verò die, quo febris detinet, frigidam quantam volet, bibendam dato. Quũ verò febris remiserit, ptisanæ succũ, aut milium tenue sorbendum, & vinum album, odoratum, aquosum superbibendũ dato. Quod si febricitet, neq; noctu, neque interdiu* febris *remiserit, & ad contactum superiores quidem partes calidas habeat, venter autem & pedes frigidi sint, & lingua aspera, huic medicamentum purgans ne dederis, sed mollienti infuso aluum subluito, & ptisanæ succum bis in die frigidum sorbendum dato, & vinum aquosum superbibendum; reliquo verò tempore aquam quam frigidissimam bibendam. Hic si quidem septimo die exudarit, & febris eum dimiserit,* bene habet; *sin minùs, plerúnque decimoquarto die moritur.* Alia febris. *Foris ad contactum* febris

leuis est, intus verò ardet, lingua ipsius est aspera, naribus & ore calidum expirat. Quum verò diem quintũ attigerit, hypochondria dura sunt, dolor adest, & color qualis in ictero detento apparet, vrinamque crassam ac biliosam eijcit. Hunc si quidem septimo die rigor, & vehemens febris prehenderit, ac exudarit, bene habet; *sin minùs, septimo aut nono die meritur. Corripit autem maximè hic morbus, si anni tẽpus minimè squallidũ fuerit. Quum sic habuerit, quotidiè calidâ lauato, aquã mulsam aquosam copiosam propinato; & succum ptisanæ frigidũ bis die sorbendum dato; à sorbitione verò vinum bibat aquosum, albũ, modicum. Quòd si aluus minimè subducatur, clystere proluatur, aut glans indatur. Cibum, quoad febris remiserit, ne exhibeto; vbi verò cessauerit, medicamentum deorsùm purgans bibat. Interdum enim reuertitur morbus, si impurgatus permãserit. Idẽ morbus rursus prehendit, si sanguis supra modũ biliosus fuerit.* Altera febris. *Si tertiana febris detineat, si quidẽ nõ omissis tribus inuasionibus quartâ prehendat, medicamentũ deorsũ purgãs propinato. Quòd si medicamẽto tibi minimè indigere videatur, pẽtaphylli radices acetabuli quãtitate in aqua tritas, bibẽdas dato. Si verò ne sic quidẽ sedetur, vbi multâ calidâ lauerit, trifoliũ & laseris succũ cũ vino pari aquâ admixtâ, propinato, reclinatũq; multis vestimẽtis donec exudet, cõtegito. Postquam verò exudarit, si sitiat, polentã ex aqua bibẽdã dato; vesperi verò miliũ tenue coctũ sorbeat, vinũq; superbibat; cibis verò quã mollissimis vtatur, donec dimittat.*

χρός, ἔσωθεν δὲ καίεται, καὶ ἡ γλῶσσα αὐτοῦ τρηχείη, καὶ πνεῖ διὰ τῶν ῥινῶν καὶ τοῦ στόματος θερμόν. ὅταν δὲ πεμπταῖος γένηται, τὰ ὑποχόνδρια σκληρὰ καὶ ὀδύνη ἔνεστι, καὶ ἡ χροιὴ, οἵη ὑπὸ ἰκτέρου ἐχομένου φαίνεται, καὶ οὐρέει παχὺ καὶ χολῶδες. τοῦτον ἢν μὲν ἑβδομαῖον ὄντα ῥῖγος λάβῃ καὶ πυρετὸς ἰσχυρὸς, καὶ ἐξιδρώσῃ· ἢν δὲ μὴ, ἀποθνήσκει ἑβδομαῖος ἢ ἐναταῖος. λαμβάνει δὲ μάλιστα, ἢν μὴ τὸ ἔτος αὐχμηρὸν γένηται, αὕτη ἡ νοῦσος. ὅταν οὕτως ἔχῃ, λούειν θερμῷ ἑκάστης ἡμέρης, καὶ πίνειν διδόναι μελίκρητον ὑδαρὲς πολλὸν, καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης· ἐπὶ δὲ τῷ ῥοφήματι, πίνειν οἶνον ὑδαρέα, λευκὸν, ὀλίγον. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύσαι, ἢ βάλανον προσθεῖναι. σιτίον δὲ μὴ προσφέρειν, ἕως ἂν ὁ πυρετὸς ἀνῇ· ἐπὴν δὲ παύσηται, φάρμακον πίσαι κάτω. [110] ὑποστρέφει γὰρ ἐνίοτε ἡ νοῦσος, ἢν ἀκάθαρτος διαφέρηται· ἡ νοῦσος αὕτη πάλιν λαμβάνει, ἢν ὑπερχολήσῃ τὸ αἷμα. [111] Ἕτερος πυρετός. Ἢν τριταῖος πυρετὸς ἔχῃ, ἢν μὲν οὖν μὴ παρεὶς τρεῖς λήψιας τῇ τετάρτῃ λάβῃ, φάρμακον πίσαι κάτω. ἢν δέ σοι δοκέῃ φαρμάκου μὴ δεῖσθαι, τρίψας τοῦ πενταφύλλου τὴν ῥίζαν ὅσον ὀξύβαφον ἐν ὕδατι, δοῦναι πιεῖν. ἢν δὲ μηδὲ ἐν τούτῳ παύηται, λούσας αὐτὸν πολλῷ θερμῷ, πίσαι τὸ τρίφυλλον καὶ ὀπὸν σιλφίου ἐν οἴνῳ ἰσοκρατεῖ, καὶ κατακλίνας ἐπιβαλεῖν [112] ἱμάτια ἕως ἱδρώσῃ· ἐπὴν δὲ ἐξιδρώσῃ, ἢν διψῇ, δοῦναι πιεῖν ἄλφιτον καὶ ὕδωρ, ἐς ἑσπέρην δὲ καὶ κέγχρον ἑψήσας λεπτὸν ῥοφησάτω, καὶ οἶνον ἐπιπινέτω· ἕως δ' ἂν διαλείπῃ, καὶ σιτίοις ὡς μαλθακωτάτοισι χρήσθω.

CAPUT XIV.

De febris quartanæ curatione.

FEbris quartana. *Quum febris quartanâ detinet, si quidem ex alio morbo non purgatum prehenderit, medicamentum deorsum purgans propinato; deinde caput repurgato; postea medicamentum deorsum purgans* iterum *dato. Quòd si nec his factis cesset, intermissis duabus post purgationem per inferiora inuasionibus, multâ calidâ ipsum lauato, semen hyoscyami milij magnitudine, mandragoram pari portione,* laseris *succum trium fabarũ quantitate, & trifolij parẽ modũ, ex vino meraco bibendũ exhibeto. Si verò robustus esse, & bene valere sibi videatur, & ex lassitudine ac itinere febris in eo contracta ad quartanã perducta sit, fomentis ipsi admotis, allium melle maceratũ ipsi exhibeto, deinde lentis cremorem, melle & aceto admixto superbibat. Vbi expletus fuerit, vomat; postea calidâ lotus, postquam refrixerit, cyceonem ex aqua bibat; vespere verò cibis mollibus neque multis vtatur. Alterâ autem accessione, vbi calidâ multâ laueris, & vestimentis eũ contexeris quoad exudet, confestim veratri albi radices triũ digitorum longitudine, trifolij drachmæ quantitatem, succi* laseris *duarum fabarum pondus ex vino meraco propinato. Quod si vomitiones ipsum detineant, vomat; sin minùs, eodem modo, post capitis purgationem.*

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῆς τοῦ τεταρταίου πυρετοῦ θεραπείας.

ΠΥρετὸς τεταρταῖος. Τεταρταῖος πυρετὸς ὅταν ἔχῃ, ἢν μὲν ἐξ ἄλλης νούσου λάβῃ ἀκάθαρτον, φάρμακον πίσαι κάτω· ἔπειτα τὴν κεφαλὴν καθῆραι, ἔπειτα φάρμακον πίσαι κάτω. ἢν δὲ μὴ ταῦτα ποιήσαντι παύηται, διαλείπων δύο λήψιας μετὰ τὴν κάτω κάθαρσιν, λούσας αὐτὸν πολλῷ θερμῷ, πίσον τοῦ καρποῦ τοῦ ὑοσκυάμου, ὅσον κέγχρον, καὶ μανδραγόρου ἴσον, καὶ ὀποῦ τρεῖς κυάμους, καὶ τριφύλλου ἴσον ἐν οἴνῳ ἀκρήτῳ πιεῖν. Ἢν δὲ ἐρρωμένος καὶ ὑγιαίνειν δοκέων, ἐκ κόπου ἢ ἐξ ὁδοιπορίης πυρετήνας, καταστῇ αὐτῷ ἐς τεταρταῖον, πυριήσας αὐτὸν, σκόροδα [113] δίδου ἐς μέλι βάπτων, ἔπειτα ἐπιπινέτω φάκιον, μέλι καὶ ὄξος μίξας· ἐπὴν δὲ πλησθῇ, ἐμεσάτω· ἔπειτα λουσάμενος θερμῷ, ἐπὴν ψυχθῇ, πιέτω κυκεῶνα ἐφ' ὕδατι· [114] ἑσπέρης δὲ σιτίοισι μαλθακοῖσι καὶ μὴ πολλοῖσι διαχρήσθω. τῇ δὲ ἑτέρῃ λήψει λούσας θερμῷ πολλῷ, ἱμάτια ἐπιβαλὼν ἕως ἐξιδρώσῃ, πίσαι παραχρῆμα λευκοῦ ἐλλεβόρου τῶν ῥιζέων ὅσον τριῶν δακτύλων μῆκος, καὶ τοῦ τριφύλλου ὅσον [115] δραχμῆς μέγεθος, καὶ ὀποῦ δύο κυάμους ἐν οἴνῳ ἀκρήτῳ· καὶ ἢν ἐμέσαι μὲν ἔχωσιν, ἐμεσάτω· ἢν δὲ μὴ, ὁμοίως, μετὰ τὸ καθῆραι τὴν κεφαλήν.

σιτίοισι δὲ χρήσθω ὡς [116] μαλθακωτάτοισιν καὶ δριμυτάτοισιν· ὅταν δὲ ἡ λῆψις μιν ἔχῃ, μὴ νῆστις ἐὼν τὸ φάρμακον πινέτω.

A Cibis verò quàm mollissimis & acerrimis vtatur. Quum autem ipsum accessio inuaserit, ne ieiunus medicamentum bibat.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῶν τριῶν πλευριτίδων καὶ τῶν ἑκάστης σημείων, καὶ θεραπείας.

[117] Πλευρῖτις. Πλευρῖτις ὅταν λάβῃ, πυρετὸς καὶ ῥῖγος ἔχει, καὶ ὀδύνη διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος, καὶ ὀρθόπνοιη, καὶ βὴξ, καὶ τὸ σίαλον λευκὸν, καὶ ὑπόχολον, καὶ ἀποβήσσεται οὐ ῥηϊδίως, καὶ διὰ τῶν βουβώνων ὀδύνη, καὶ οὐρέει αἱματώδεα. ὅταν οὕτως ἔχῃ, ἢν μὲν τὸ πῦρ ἀνῇ ἑβδομαῖον ἐόντα, ὑγιὴς γίνεται· ἢν δὲ μὴ ἀνῇ, ἀφικνέεται ἡ νοῦσος ἐς τὰς ἕνδεκα ἡμέρας, ἢ τὰς τεσσαρεσκαίδεκα. οἱ μὲν οὖν πολλοὶ ἐν ταύτῃσιν ἀπόλλυνται· ἢν δὲ ὑπερβάλλῃ τὴν τεσσαρεσκαιδεκάτην, ἐκφυγγάνει. Ὅταν οὕτως ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι· πινέτω δὲ καὶ μέλι, ἀναζέσας αὐτὸ, καὶ ἐπιχέας ὄξος ἴσον τῷ μέτρῳ τοῦ μέλιτος, ἔπειτα ὁπόσον ἂν γένηται μέτρον τοῦ ἑφθοῦ μέλιτος καὶ τοῦ ὄξεος, ἐπιχέαι ὕδατος ἑνὸς [118] δέοντος τῶν εἴκοσι· τοῦτο διδόναι πίνειν κατ' ὀλίγον πυκνὰ, καὶ μεταμίσγειν ὕδωρ, ὄξος ὀλίγον παραχέων. ῥοφεέτω δὲ καὶ κέγχρου χυλὸν, μέλι ὀλίγον παραστάζων ψυχρὸν, ὅσον τεταρτημόριον κοτύλης, ἐφ' ἑκατέρῳ σιτίῳ· καὶ πινέτω οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα, ὀλίγον· ὁ δὲ οἶνος ἔστω ὡς μαλθακώτατος, ὀδμὴν μὴ ἔχων. ὅταν δὲ ὁ πυρετὸς ἀφῇ, ἡμέρας μὲν δύο τὸν κέγχρον ῥοφεέτω δὶς τῆς ἡμέρας, καὶ τεῦτλα ἥδιστα ἐσθιέτω· ἔπειτα μετὰ ταῦτα σκύλακα ἢ [119] ὄρνιθα καθεφθὸν ποιήσας, τοῦ ζωμοῦ ῥοφεέτω, καὶ τῶν κρεῶν φαγέτω ὀλίγα. τὸν δὲ λοιπὸν χρόνον μάλιστα, ὅσον ὑπὸ τῆς νούσου [120] ἔχεται, [121] ἀριστιζέσθω μὲν τὸν κέγχρον, ἐς ἑσπέρην δὲ σιτίοισιν ὡς ἐλαχίστοισι χρήσθω καὶ μαλθακωτάτοισιν. Ἑτέρη πλευρῖτις. Πυρετὸς ἔχει, καὶ βὴξ, καὶ ῥῖγος, καὶ ὀδύνη ἐς τὸ πλευρὸν, καὶ ἐς τὴν κληῗδα ἐνίοτε, καὶ τὸ σίαλον πτύει ὑπόχολον καὶ ὕφαιμον. ὅταν τύχῃ ῥηγματίας ὢν, τούτῳ ᾗ ἂν ὀδύνη ἔχῃ, μάλιστα προστιθέναι χλιάσματα, καὶ λούειν θερμῷ, ἢν μὴ πυρετὸς αὐτὸν πολὺς ἔχῃ· ἢν δὲ μὴ, μή. πίνειν δὲ διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων, ἄρτι ὑπόγλυκυ ποιέων, καὶ μεταμίσγειν ὕδωρ. ῥοφάνειν δὲ τὸν χυλὸν τοῦ κέγχρου δὶς τῆς ἡμέρης, καὶ ἐπιπινέτω οἶνον λευκὸν ὑδαρέα· καὶ ἢν ὑπερφύγῃ τὰς τεσσαρεσκαίδεκα ἡμέρας, ὑγιὴς γίνεται. Ἄλλη πλευρῖτις. Πυρετὸς ἴσχει, καὶ βρυγμὸς, καὶ βὴξ ξηρὴ, καὶ ἐκβήσσεται χλωρὰ, ἔστι δ' ὅτε καὶ πελιδνὰ, καὶ τὸ πλευρὸν ὀδύνη λαμβάνει, καὶ τὸ μετάφρενον ὑπέρυθρον γίνεται, χλιαίνεται δὲ τὴν κεφαλὴν, καὶ τὰ στήθεα, ποτὲ δὲ τὴν κοιλίην καὶ τοὺς πόδας καὶ τὰ σκέλεα· καὶ ἀνακαθήμενος, μᾶλλον βήσσει· καὶ ἡ γαστὴρ ταράσσεται, καὶ τὸ ἀποπάτημα πάνυ χλωρὸν καὶ κάκοδμον. οὗτος ἐν εἴκοσιν [122] ἡμέρῃσιν ἀποθνήσκει· ἢν δὲ ταύτας ἐκφύγῃ, ὑγιὴς γίνεται. [123] τοῦτον ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι, διδόναι πίνειν τὸ ἀπὸ τοῦ κρίμνου,

CAPVT XV.

De triplici pleuritide, & cuiusque signis, & curatione.

Pleuritis. *Pleuritis vbi prehenderit, febris, & rigor detinet, & dolor per spinam ad pectus,* B *& orthopnœa, & tussis, & saliua alba, & aliquantulum biliosa, neque facilè extussit, & per inguina dolor est, & vrinam cruentam reddit. Quum sic habuerit, si quidem febris septimo die remiserit, conualescit. Si verò non remiserit, morbus ad vndecimum aut decimumquartum diem peruenit. Itaque multi his* diebus *intereunt. Si verò decimumquartum diem superet, euadit. Quum ita dolor afficit, fomenta calida admoueto. Mel autem* C *etiam bibat, ipsum pari affusâ aceti mensurâ coctum; deinde ad mellis cocti & aceti mensuram, aquæ vndeuigesimam portionem affusam, sensim & crebrò bibendam dato; posteáque pauco affuso aceto, aquam admisceto. Milij quoque succum, pauco melle instillato frigido, quantum heminæ quadrantem, in singulos cibos sorbeat; & vinum album, vinosum, aquosum, modicum bibat. Vinum autem sit quàm mollissimum, & odoris expers. Quum verò febris dimiserit, duobus quidem diebus milium bis die sorbeat, & betas suauissimè apparatas comedat.* D *Post hæc catuli aut auiculæ decoctæ ius sorbeat, & paucas carnes edat. Reliquo verò tempore, præcipuè quandiu à morbo detinebitur, milium in prandio assumat, vesperi autem cibarijs quàm paucissimis & mollissimis vtatur.* Altera pleuritis. *Febris & tussis detinet, & rigor, & lateris dolor, quandoque etiam ad clauiculam, sputum expuit aliquantulum biliosum & subcruentum. Quòd si* ægro *contigerit abscessum ruptum esse, ipsi quâ parte maximè dolor detinet, fomenta calida admoueto, & ni-* E *si multa febris vexet, calidâ lauato; sin minus, minimè. In potu verò dato faui dilutum in aqua maceratı, quoad ipsum subdulce facias, & postea etiam aquam immisceas. Milij autem succum bis die sorbeat, & vinum album aquosum superbibat. Qui si quatuordecim dies effugerit, sanus euadit.* Alia pleuritis. *Febris detinet, & dentium stridor, & tussis sicca; cum virore pallida extussit, quandoque etiam liuida; dolor latus obsidet, & dorsum subru-* F *brum euadit, caput & pectus calescunt, interdumque etiam venter, pedes & crura. Et erectus sedens, magis tussit; aluus turbatur, & alui deiectio ex virore admodùm pallida est, ac graueolens. Hic intra dies viginti moritur; quos si effugerit, conualescit. Huic donec quatuordecim dies præterierint, farinæ hordeaceæ crassioris maceratæ dilutum bibendum exhibeto,*

&

& vinum album, vinosum, aquosum postea bibendum. Ptisanæ succum frigidum bis die sorbeat. Quúmque iam succus decoctus fuerit, pro melle, mali punici succum vinosum ad ptisanæ succum admisceto, neque calidâ multâ lauato. Vbi verò dies quatuordecim præterierint, postea milium in prandio sumat; vesperi autem auicularum carnibus cum iure, & paucis cibis vtatur. At hunc morbum pauci effugiunt.

καὶ [124] μεταπίνειν οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα. ῥοφέειν δὲ τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν, δὶς τῆς ἡμέρης· ἀντὶ δὲ τοῦ μέλιτος, ὑπὸ τὸν χυλὸν μισγέειν ῥοιῆς χυλὸν οἰνώδεα, ὅταν ἤδη ὁ χυλὸς ἑφθὸς ᾖ· καὶ λούειν μὴ πολλῷ. ἐπὴν δὲ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν, ἔπειτα ἀριστιζέσθω τὸν κέγχρον· ἐς ἑσπέρην δὲ τοῖσι κρέασι τοῖσιν ὀρνιθίοισι καὶ τῷ ζωμῷ, καὶ τοῖσι σιτίοισιν ὀλίγοισι χρήσθω. τὴν δὲ τοιαύτην νοῦσον ὀλίγοι ἐκφυγγάνουσιν.

CAPVT XVI.

De peripneumoniæ, & ex peripneumoniâ suppuratorum ortu, signis, & curatione; suppuratorumque sectione, & puris euacuatione.

PVlmonis inflammatio. *Febris ad minimum quatuordecim dies detinet, ad summum autem duodeuiginti; & his diebus vehementer tussit; ac primùm quidem sputum crassum & purum septimo & octauo die excreat; vbi verò febris prehenderit, nono & decimo die subdulce & purulentum, quoad quatuordecim dies præterierint. Quòd si decimo quidem quinto die pulmo resiccatus fuerit, & per tussim reijciat, conualescit; sin minùs, duos de viginti obseruato. Hisque sanè* diebus *si tussis sedata fuerit, euadit; at si non cesset, eum interrogato, num ipsi sputum dulcius videatur. Quòd si affirmauerit, morbus annuus euadit; nam pulmo purulentus redditur. Huic primis quidem diebus vinum dulce, album, aquosum, paulatim crebrò bibendum est. Ptisanæ verò succum, melle admixto, ter die sorbendum dato, quoad dies decem & octo præterierint, & febris cessauerit. Periclitatur autem maximè per dies septem aut quatuordecim. Quum verò octodecim dies superauerit, non amplius moritur, sed pus expuit, pectus dolet, & tussit. Quum sic habuerit, ieiuno cum saluia* decoctum *propinato, iusque fresum multo adipe admixto sorbendum dato, si æstus non fuerit; si verò fuerit, ne sorbeat, sed cibis vtatur salsis, ac pinguibus, & marinis potiùs, quàm carnibus. Quod si tibi ritè purgari videatur, infuso ac fomento vtitor; si quidem pus crassum fuerit, foueto, sed si tenue, infundito. Et cibis quàm maximè adhæreat; acribus, carnibus bubulis, ouillis, & suillis abstineat.* Suppuratus ex peripneumonia. *Quum ex pulmonis inflammatione purulentus extiterit, febris detinet, tussis sicca, difficultas spirandi, pedes tument, & manuum ac pedum vngues contrahuntur. Quum sic habuerit, decimo pòst die à quo purulentus fieri cœperit, huic multâ calidâ loto, ari radicem tritam astragali magnitudine, salis granum, & parum mellis, ex aqua & pauco oleo; extractâ linguâ, tepidum infundito; deinde humerum concutito. Quòd si ex eo quidem pus erumpat,* sat est; *sin minùs, aliud facito. Ciborum acrium & cyclaminis succum exprime (vtriusque acetabulum paruum esto) deinde*

ΚΕΦΑΛΑΙΟΝ Ις'.

Περὶ τῆς περιπνευμονίας, καὶ τῆς τῶν ἐκ περιπνευμονίας ἐμπύων γενέσεως, καὶ σημείων, καὶ θεραπείας· καὶ περὶ τῆς τῶν ἐμπύων τομῆς, καὶ τῆς τοῦ πύου κενώσεως.

ΠΕριπλευμονίη. Πυρετὸς ἴσχει ἡμέρας τεσσαρεσκαίδεκα τὸ ἐλάχιστον, τὸ δὲ μακρότατον δυοῦ δεούσας εἴκοσι· καὶ βήσσει ταύτας τὰς ἡμέρας ἰσχυρῶς, καὶ ἀποχρέμπτεται, τὸ μὲν πρῶτον, σίαλον παχὺ καὶ καθαρὸν ἑβδόμῃ καὶ ὀγδόῃ· ἐπὴν δὲ ὁ πυρετὸς λάβῃ, ἐνάτῃ καὶ δεκάτῃ ὑπόγλυκυ καὶ πυώδες, ἔστ' ἂν αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι. καὶ ἢν μὲν ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρῃ ξηρανθῇ ὁ πλεύμων, καὶ ἐκβήξῃ, ὑγιάζεται· ἢν δὲ μὴ, δυοῦ δεούσαις εἴκοσι προσέχειν. καὶ ἢν μὲν ἐν ταύτῃσι παύσηται τοῦ βήγματος, ἐκφεύγει· ἢν δὲ μὴ παύηται, εἴρεσθαι αὐτὸν, εἰ γλυκύτερον αὐτῷ δοκέει τὸ σίαλον· καὶ ἢν φῇ, ἡ νοῦσος [125] ἐνιαυσίη γίγνεται, ὁ γὰρ πλεύμων ἔμπυος γίγνεται. τούτῳ χρὴ τὰς μὲν πρώτας ἡμέρας οἶνον διδόναι γλυκὺν, λευκὸν, ὑδαρέα, κατ' ὀλίγον πίνειν πυκνά· ῥοφάνειν δὲ τῆς πτισάνης τὸν χυλὸν διδόναι, μέλι παραμίσγων, τρὶς τῆς ἡμέρης, ἔστ' ἂν αἱ ὀκτωκαίδεκα ἡμέραι παρέλθωσι, καὶ ὁ πυρετὸς παύσηται. κινδυνεύει δὲ μάλιστα ἐν τῇσιν ἑπτὰ, ἢ ἐν τῇσι τεσσαρεσκαίδεκα· ἐπὴν δὲ τὰς ὀκτωκαίδεκα ἡμέρας ὑπερβάλλῃ, οὐκ ἔτι ἀποθνήσκει, ἀλλὰ πτύει πύον, καὶ τὰ στήθεα πονέει, καὶ βήσσει. Ὅταν οὕτως ἔχῃ, πιπίσκειν νῆστιν τὸ σὺν [126] τῷ ἐλελισφάκῳ, καὶ ῥοφάνειν ἔτνος, στέαρ συμμίσγων πλέον, ἢν μὴ θάλπος ᾖ· ἢν δὲ ᾖ, μὴ ῥοφανέτω, ἀλλὰ σιτίοισι χρήσθω ἁλυκοῖσι καὶ λιπαροῖσι, καὶ τοῖσι θαλασσίοισι μᾶλλον ἢ κρέασι. καὶ ἢν σοι δοκέῃ καθαίρεσθαι κατὰ λόγον, ἐγχεῖν καὶ πυριᾶν· ἢν μὲν παχὺ ᾖ τὸ πύον, πυριᾶν, ἢν δὲ λεπτὸν, ἐγχεῖν. καὶ τῶν σιτίων ἔχεσθαι ὡς μάλιστα, καὶ τῶν δριμέων ἀπέχεσθαι, καὶ κρεῶν βοείων, καὶ οἰείων καὶ χοιρείων. Ἔμπυος ἐκ περιπλευμονίης. Ὅταν ἐκ περιπλευμονίης ἔμπυος γένηται, πυρετὸς ἴσχει, καὶ βὴξ ξηρὴ, καὶ δυσπνοίη, καὶ οἱ πόδες οἰδέουσι, καὶ οἱ ὄνυχες ἕλκονται τῶν χειρῶν καὶ τῶν ποδῶν. τοῦτον, ὅταν οὕτως ἔχῃ, ἐπὴν δεκαταῖος γένηται, ἀφ' ἧς ἂν ἄρξηται ἔμπυος γίνεσθαι, λούσας πολλῷ θερμῷ, τρίψας ἄρου ῥίζαν ὅσον ἀστράγαλον μέγεθος, καὶ ἁλὸς χόνδρον, καὶ μέλι ὀλίγον, καὶ ὕδωρ, καὶ ἄλειφα ὀλίγον, ἐξειρύσας τὴν γλῶτταν, ἐγχέαι χλιαρόν· ἔπειτα κινῆσαι τὸν ὦμον. καὶ ἢν μὲν ὑπὸ τούτου τὸ πύον ῥαγῇ· εἰ δὲ μὴ, ἕτερον ποιῆσαι. σιτία δριμέα ἐκχυμώσας, καὶ κυκλάμινον (ὅσον ὀξύβαφον [127] τὴν μίξιν, ἑκατέρων ἔστω)

ἔπειτα ὀπὸν σιλφίου τρίψας ὅσον κύαμον, διεῖναι, καὶ συμμίξαι γάλακτος ὅσον ὀξύβαφον αἴγειον ἢ ὄνειον· τοῦτο χλιαρὸν ἐγχεῖν. ἢν δὲ ὑπὸ τούτου μὴ ῥαγῇ, ῥαφανίου φλοιὸν καὶ ἄνθος χαλκοῦ ὅσον τρεῖς κυάμους, τρίψας λεῖον (διπλάσιον δὲ ἔστω τὸ ῥαφανίου) ἐλαίῳ διεῖναι, ὅσον τεταρτημορίῳ κοτύλης· τοῦτο ἐγχεῖν χλιαρόν. καὶ ἢν ῥαγῇ τὸ πύον, σιτίοισιν ὡς ἁλμυρωτάτοισι καὶ λιπαρωτάτοισι[128] χρῆσθαι· καὶ ἢν μὴ ἴῃ τὸ πύον, κατ' ὀλίγον πυριᾶν κατὰ τὸ στόμα σίου χυλῷ, οἴνῳ τορνίῳ, γάλακτι βοείῳ ἢ αἰγείῳ, [129] ἴσον ἑκάστου συμμίξας· ἔστω δὲ ὅσον τρεῖς κοτύλαι· ἔπειτα ἐμβάλλειν ἰπνοῦ ὄστρακα διαφανέας· τοῦτο ἑλκέτω διὰ τοῦ αὐλοῦ, φυλασσόμενος ὅπως μὴ κατακαίηται. Ἐπὴν δὲ καθαρώτερον πτύῃ, ἐγχεῖν αὐτῷ[130] κνίδης σπέρμα, λιβανωτὸν, ὀρίγανον, ἐν οἴνῳ λευκῷ καὶ μέλιτι, καὶ ἐλαίῳ ὀλίγῳ· ἐγχεῖν δὲ διὰ τρίτης ἡμέρης, μετὰ δὲ, βούτυρον,[131] ῥητίνην, ἐν μέλιτι διατήκων· καὶ σιτίοισι μηκέτι χρῆσθαι ἁλμυροῖσι, μηδὲ λιπαροῖσι. πινέτω δὲ νῆστις τὰς ἐν μέσῳ ἡμέρας τῶν ἐγχύτων, ἐλελίσφακον, πήγανον, θύμβρην, ὀρίγανον, ἴσον, ἐν οἴνῳ ἀκρήτῳ, ὅσον ὀξύβαφον, μετὰ πάντων ἐπιπάσσων. ἢν δὲ μὴ ῥαγῇ ὑπὸ τῶν ἐγχύτων, οὐδὲν θαυμαστόν· πολλάκις γὰρ ἐκρήγνυται ἐς τὴν κοιλίην, καὶ αὐτίκα δοκεῖ[132] ῥάων εἶναι, ὅταν ἐκ στενοῦ ἐς εὐρυχωρίην ἔλθῃ. Ἄλλη νοῦσος. Ὁκόταν ὁ χρόνος πλείων γίνηται, ὅ, τε πυρετὸς ἰσχυρὸς καὶ ἡ βὴξ ἐπιλαμβάνει, καὶ τὸ πλευρὸν ὀδυνᾶται, καὶ ἐπὶ μὲν τὸ ὑγιὲς οὐκ ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ἀλγέον μέρος, καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ κοῖλα τῶν ὀμμάτων. τοῦτον, ὅταν ἡμέρη πέμπτη καὶ δεκάτη γίνηται ἀπὸ τῆς ἐκρήξιος, λούσας πολλῷ θερμῷ, καθίσας ἐπὶ ἐφέδρου ὅ, τι μὴ ὑποκινήσει, ἕτερος μὲν τὰς χεῖρας ἐχέτω, σὺ δὲ τὸν ὦμον σείων, ἀκροάζεσθαι,[133] ἐς ὁκότερον ἂν τῶν πλευρέων τὸ πάθος ψοφέῃ· βούλεσθαι δὲ ἐς τὸ ἀριστερὸν κατ' αὐτὸν οὖν τὸν τόπον τομέειν, ἧσσον γὰρ θανατῶδες. ἢν δέ σοι ὑπὸ τοῦ πάχεος καὶ τοῦ πλήθεος μὴ ψοφέῃ, ὥστε[134] καταμαθεῖν αὐτό (ποιεῖ γὰρ τοῦτο ἐνίοτε) ὁκότερον ἂν ἀποιδέῃ τῶν πλευρέων, καὶ ὀδυνᾶται μᾶλλον, τοῦτο τάμνειν ὡς κατωτάτω, ὄπισθεν τοῦ οἰδήματος μᾶλλον ἢ ἔμπροσθεν, ὅκως σοι ἡ ἔξοδος τοῦ πύου εὔροος ᾖ. τάμνειν δὲ μεταξὺ τῶν πλευρέων, στηθοειδεῖ μαχαιρίδι, τὸ πρῶτον δέρμα· ἔπειτα[135] ὀξυβελεῖ ἀποδήσας ῥάκει τὸ ἄκρον τῆς μαχαιρίδος, λιπὼν ὅσον τὸν ὄνυχα τοῦ δακτύλου τοῦ μεγάλου, καθεῖναι ἔσω· ἔπειτα ἀφεὶς τὸ πύον ὅσον ἄν σοι δοκέῃ, μοτοῦν ὠμολίνῳ μοτῷ, λίνον ἐκδήσας· ἀφιέναι δὲ τὸ πύον, ἑκάστης ἡμέρης ἅπαξ. ἐπὴν δὲ γίνηται δεκαταῖος, ἀφεὶς ἅπαν τὸ πύον, ὀθονίῳ μοτοῦν· ἔπειτα ἐγχεῖν οἶνον καὶ ἔλαιον χλιαίνων αὐλίσκῳ, ὡς μήτε ὁ πλεύμων ἐξαπίνης, εἰωθὼς βρέχεσθαι τῷ πύῳ, ἀποξηρανθῇ· ἐξιέναι δὲ τὸ ἔγχυμα, τὸ μὲν ἕωθεν ἐς ἑσπέρην, τὸ δὲ ἐς ἑσπέρην, ἕωθεν. ἐπὴν δὲ τὸ πύον λεπτὸν οἷον ὕδωρ ᾖ, καὶ γλίσχρον τῷ δακτύλῳ ψαυόμενον, καὶ ὀλίγον, ἐντιθέναι μοτὸν κασσιτέρινον κοῖλον· ἐπὴν δὲ παντάπασι ξηρανθῇ ἡ κοιλίη, ἀποτάμνων τοῦ μοτοῦ κατὰ μικρὸν, συμφύειν τὸ ἕλκος, ἔστ' ἂν ἐξέλῃς τὸν μοτόν.

laseris succum fabæ quantitate terito, ac diluito; & lactis caprini aut asinini acetabulum commisceto; hoc tepidum infundito. Si verò ob id non erumpat, raphani corticem, & æris florem trium fabarum quantitate, læuiter terito (sit autem raphani duplum) olei heminæ quadrante diluito; hoc tepidum infundito. Quòd si pus eruperit, cibis quàm salsissimis & maximè pinguibus vtatur. Sed si pus non prodierit, paulatim ad os suffitum adhibeto ex sij succo, vino Tornio, lacte bubulo, aut caprino, pari cuiusque commixtâ mensurâ; sit autem trium heminarum quantitas; deinde furni testas ignitas inijcito; hoc per fistulam trahat, cauendo vt ne aduratur. Vbi verò purius sputum prodierit, vrticæ semen, thus, origanum, ex vino albo, melle, & pauco oleo, tertio quoque die ipsi infundito; posteà verò butyrum, resinam in melle liquefactam; neque ampliùs cibis salsis neque pinguibus vtatur. Intermedijs autem diebus ex infusis ieiunus bibat saluiam, rutam, satureiam, origanum pari portione, ex vino meraco ad acetabuli mensuram, cum omnibus his aspersis. Quòd si ab his infusis non eruperit, nil mirandum; plerúnque enim in ventrem erumpit, confestimque meliùs habere videtur, cum ex angusto in ampliorem regionem venerit. Alius morbus. *Quum longius tempus progressum fuerit, febris vehemens ac tussis prehendit, latus dolet, neque in sanam quidem partem decubitum ferre potest, sed in dolentem, & pedes, & oculorum cauitates intumescunt. Post decimum quintum ab eruptione diem, huic multâ calidâ loto, & in sella stabili collocato, alter quidem manus teneat; tu verò agitato humero, quonam in latere affectio strepitum edat, auscultato; votum autem est, vt in sinistro. Ad hunc igitur locum sectionem adhibeto, minùs enim lethale est. At si præ crassitudine, & copiâ, nullum tibi strepitum ediderit, quo ipsum deprehenderis (hoc nanque fit interdum) vtrum latus intumuerit, ac magis doluerit, hoc infimâ parte sub ipsum tumorem potiùs quàm anteriore secato, quò facilior puri exitus pateat. Primùm autem inter costas cutem scalpello lato secato; deinde scalpello acuto panniculo deligato, cuius extremam partem, vnguis pollicis magnitudine relictam, intrò adigito. Posteà emisso pure quantum visum tibi fuerit, vulnus linamento ex lino crudo, cui filum alligaris, obducito, quotidiè verò pus semel emittito. Postquam autem decimus dies acciderit, toto pure emisso, penicillum ex linteo indito; deinde vinum & oleum tepida per fistulam infundito, ne pulmo pure madescere consuetus, derepente resiccetur. Infusum autem matutinum sub vesperam, at vespertinum manè educito. At vbi pus tenue velut aqua, aut ad digiti contactum glutinosum, ac paucum fuerit, stanneum penicillum cauum indito. Quum verò prorsùs venter resiccatus fuerit, paulatim rejecto penicillo, dum ipsum eximas, vulnus coalescere finito.*

Signum autem, an sit euasurus æger, esto; si pus album ac purum fuerit, fibræque sanguinis insint, vt plurimùm conualescit. At si primo die oui luteo simile defluat, aut postero die crassum defluat, aliquantum ex virore pallidum, & graueolens; vbi pus effluxerit, moriuntur.

A σημήϊον δὲ ἢν μέλλῃ ἐκφεύξεσθαι· ἢν μὲν τὸ πῦον ᾖ λευκὸν, καὶ καθαρὸν, καὶ ἶνες αἵματος ἐνέωσιν, ὡς τὰ πολλὰ ὑγιὴς γίνεται· ἢν δὲ οἷον λεκιθώδες ἀπορρυῇ τῇ πρώτῃ, ἢ τῇ ὑστεραίῃ ἀπορρυῇ παχὺ, ὑπόχλωρον, ὄζον, ἀποθνήσκουσιν ἐπειδὰν ἐκρυῇ τὸ πῦον.

CAPVT XVII.

De tabe ex pulmone affecto, eiusque signis, ac periculosis symptomatis, pilorum defluuio & sputis graueolentibus, ac curatione.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τῆς ἐκ τοῦ πλευμῶντος φθίσεως, καὶ τῶν ταύτης σημείων τε καὶ ἐπικινδύνων συμπτωμάτων, τῆς τριχῶν ῥύσεως καὶ σιάλων βαρυόδμων, καὶ τῆς θεραπείας.

A*Lius morbus. Quum quis pulmonis affectu tabescit, huic sputum crassum, aliquantulum ex virore pallescens, & dulce per tussim reijcitur; & stridor, & dolor pectus, & dorsum occupat, & tenuis sibilus in faucibus editur, fauces que siccescunt; cauitates rubent, vox grauis est, pedes tument; vngues contrahuntur, partes superiores extenuantur, ac imminuuntur; sputum ore contentum excreaturus detestatur; manè & media nocte maximè tussit, tussit & alio tempore;* hicque morbus *iuuenculam mulierem potius, quàm vetulam prehendit. Huic si iam capilli ex capite defluant, caputque velut ex morbo iam nudetur, & super prunas expuenti sputum grauiter oleat, hunc intra breue tempus periturum asserito, & quod enecet, alui profluuium fore. Vbi enim iam pus circa cor putruerit, id prunis impositum nidorem exhalat, & vna incalescens cerebrum salsuginem emittit, quæ aluum ciet; huius rei signum est, quod capilli ex capite defluant. Hunc, quum ita habuerit, ne curato. At si per initia hunc morbum offenderis, lenticulæ cremorem propinato; deinde intermisso vno die, veratrum ita temperatum vt ne inferiorem aluum cieat, exhibeto. Quumque noctu ad os salsugo ipsi deuenit, crebriora ei medicamenta ad nares admoueto. Sed si non fluat, admoueto quidem, sed ex maiore interuallo, & semel in mense, veratro quantum duobus digitis tolli potest, ex vino dulci temperato, insuper epoto. Lenticulæ verò decoctum confestim inde bibendum dato. Medicamenta autem purgantia, nisi eum febres acutiores prehendant, quàm paucissima bibat.* Dracunculi *radicem albam & veratri delingat, non tamen ex melle; sic enim minimè aluum mouebit. Quòd si tormina in aluo inferiore suboriantur, eam primùm quidem ex infuso, in quod coccus* cnidius *commiscetur, subluito. Quòd si neque sic sedentur, lacte asinino cocto purgato, medicamentum autem deorsum purgans ne exhibeto. Si verò ante medicamentum epoto veratro bilem vomat, ipso lentis decocto assumpto vomat. Cibis autem vtatur, si quidem febres acutæ detineant, carnibus ouillis coctis, & volucrium, cucurbitâ, & betis. Iusculum ne sorbeat, neque ad intinctus vtatur. Piscibus autem vtatur scorpijs, & cartilagineis coctis; calidum verò nihil edat; neque lauet, si multa febris detineat; neque oleribus acribus*

B Ἑτέρη νοῦσος. Ὅταν[136] πλευμονῷ, τούτου τὸ σίαλον παχὺ, ὑπόχλωρον, γλυκὺ βήσσεται, καὶ βρυγμὸς, καὶ ὀδύνη ἐς τὸ στέρνον, καὶ τὸ μετάφρενον, καὶ συρίζει ἐν τῇ φάρυγγι λεπτὸν, καὶ ἡ φάρυγξ ξηρὴ γίνεται· καὶ τὰ[137] κοῖλα ἐρυθρὰ, καὶ βαρέη ἡ φωνὴ, καὶ οἱ πόδες οἰδίσκονται· καὶ οἱ ὄνυχες ἕλκονται, καὶ καταλεπτύνονται τὰ ἄνω, καὶ μινύθει· καὶ μυσάττεται τὸ σίαλον, ἐπὴν ἀποχρέμψάμενος ἔχῃ ἐν τῷ στόματι· C καὶ βήσσει τοὺς ὄρθρους, καὶ μεσονυκτίου μάλιστα, βήσσει δὲ καὶ τὸν ἄλλον χρόνον· καὶ λαμβάνει μᾶλλον γυναῖκα νεωτέρην, ἢ πρεσβυτέρην. τούτῳ ἢν μὲν αἱ τρίχες ἤδη ἐκ τῆς κεφαλῆς ῥέωσι, καὶ ψιλῶται ἤδη ἡ κεφαλὴ ὡς ἐκ νούσου, καὶ πτύοντι ἐπ' ἄνθρακας, βαρὺ ὄζῃ τὸ σίαλον, φάναι αὐτὸν ἀποθανέεσθαι ἐντὸς ὀλίγου χρόνου, τὸ δὲ κτεῖνον ἔσεσθαι διάρροιαν. ἐπὴν γὰρ ἤδη τὸ πῦον τὸ περὶ τὴν καρδίην σήπηται, τοῦτο ὄζει κνίσης ἐπὶ τοῖσιν ἄνθραξι, καὶ ξυνθερμαινόμενος ὁ ἐγκέφαλος[138] ῥεῖ ἅλμην, ἣ κινεῖ τὴν κοιλίην· D σημήϊον δὲ τούτου, ῥέουσιν ἐκ τῆς κεφαλῆς τρίχες. τοῦτον μὴ ἰᾶσθαι, ὅταν οὕτως ἔχῃ· ἢν δὲ κατ' ἀρχὰς ἐπιτύχῃς τῇ νόσῳ, φάκιον δὸς πιεῖν· εἶτα διαλιπὼν μίην ἡμέρην, ἐλλέβορον δοῦναι κεκρημένον, ὅκως τὴν κάτω κοιλίην μὴ κινήσῃ· καὶ ἐπὴν ἐς τὸ στόμα τῆς νυκτὸς αὐτῷ φοιτᾷ ἅλμη, πρὸς τὰς ῥῖνας αὐτῷ προσίθει φάρμακα πυκνότερα· ἢν δὲ μὴ ῥέῃ, προσίθει μὲν, διὰ πλέονος δὲ χρόνου, καὶ τοῦ μηνὸς ἅπαξ, προσεπιπίσκοντα ἐλλέβορον, ὅσον τοῖσι δακ- E τύλοισιν δύο ἆραι, ἐν οἴνῳ γλυκεῖ κεκρημένον, φάκιον δὲ αὐτίκα διδοὺς ἐπιπίνειν. φάρμακα δὲ ὡς ἐλάχιστα πινέτω, ἢν μὴ αὐτῷ οἱ πυρετοὶ ὀξύτεροι ἐπιλαμβάνωσι· τὴν ῥίζαν τὴν λευκὴν καὶ τοῦ ἐλλεβόρου λείχειν, ἐν μέλιτι δὲ οὔ· οὕτω γὰρ ἥκιστα τὴν κοιλίην κινήσει. ἢν δὲ στρόφος ἐγγίνηται ἐν τῇ κάτω κοιλίῃ, πρῶτον μὲν κλύσαι ἐκείνῳ, ἐς ὃ ὁ κόκκος συμμίσγεται· ἢν δὲ μηδ' οὕτω παύηται, γάλακτι ὀνείῳ ἑφθῷ κάθηρον, φάρμακον δὲ μὴ δίδου κατωτερικόν. ἢν δὲ πρὸ τοῦ φαρμακίου F προπίνων τὸν ἐλλέβορον χολὴν ἐμέει, αὐτῷ τῷ φακίῳ ἐμεέτω. σιτίοισι δὲ χρήσθω,[139] ἢν μὲν οἱ πυρετοὶ ὀξέες ἔχωσι, κρέασι μηλείοισιν ἑφθοῖσι, καὶ ὀρνιθίοισι, καὶ κολοκύνθῃ, καὶ τεύτλοισι· ζωμὸν δὲ μὴ ῥοφεέτω, μηδὲ βάπτεσθαι. ἰχθύσι δὲ χρήσθω, σκορπίοισι καὶ σελάχεσιν ἑφθοῖσι· θερμὸν δὲ μηδὲν ἐσθιέτω, μὴ δὲ λουέσθω, ἢν ὁ πυρετὸς ἔχῃ πολὺς, μηδὲ λαχάνοισι δριμέσι χρήσθω,

ὅτι μὴ θύμβρῃ ἢ ὀριγάνῳ· οἶνον δὲ λευκὸν πινέτω. ἢν δὲ ἄπυρος ᾖ, θέρμαι δὲ λαμβάνωσιν ἄλλοτε καὶ ἄλλοτε, ἐσθιέτω ἰχθῦς ὡς ἀρίστους καὶ πιοτάτους, καὶ λιπαρὰ καὶ γλυκέα, καὶ ἁλμυρὰ ὡς μάλιστα· καὶ περιπάτοισι χρήσθω, μήτε ἐν ἀνέμῳ, μήτε ἐν ἡλίῳ· καὶ ἐμεέτω ἀπὸ τῶν σιτίων, ὅταν οἱ δοκέῃ καιρὸς εἶναι· καὶ λούσθαι χλιαρῷ, πλὴν τῆς κεφαλῆς. σιτίων δὲ ἄρτος ἀμείνων, ὅσοι μὴ μαζοφάγοι εἰσί, τούτοισι δὲ ἀμφότερα συμμίσγειν.

utatur, exceptâ satureiâ, aut origano; vinum album bibat. At si febris sit expers, calores autem aliàs atque aliàs corripiant, pisces quàm optimos ac pinguissimos edat, & pinguia, & dulcia, & quàm maximè salsa. Deambulationibus vtatur, neque in vento, neque in Sole. Et à cibis, quum tempestiuum visum fuerit, vomat; tepidâque lauet, capite excepto. Ex cibarijs panis melior, ijs qui mazâ non victitant; his verò vtraque commisceto.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῆς φθόης, καὶ περὶ τῆς τῆς σύριγγος τοῦ πνεύμονος ἀφθώδους, καὶ τῆς ἀμφοτέρων διαγνώσεως, καὶ προγνώσεως, καὶ θεραπείας.

Ἑτέρη νοῦσος, ἥ τις καλέεται φθόη. βὴξ ἔχει, καὶ τὸ πτύσμα πολλὸν καὶ ὑγρόν· καὶ ἐνίοτε ῥηϊδίως ἀναβήσσεται καὶ τὸ πῦον, οἷον χάλαζα, καὶ διατριβόμενον ἐν τοῖσι δακτύλοισι, σκληρὸν καὶ κακόδμον γίνεται· ἡ δὲ φωνὴ καθαρὴ, καὶ ἀνώδυνος, καὶ οἱ πυρετοὶ οὐ λαμβάνουσι, θέρμη δὲ ἐνίοτε, ἄλλως τε καὶ ἀσθενής. τοῦτον χρὴ ἐλλέβορον πιπίσκειν καὶ φάκιον, καὶ σιτοχέειν ὡς μάλιστα ἀπεχόμενον τῶν δριμέων, καὶ κρεῶν βοείων, καὶ χοιρείων, καὶ οἰείων· καὶ γυμνάζεσθαι ὀλίγα, καὶ περιπατέειν· καὶ ἀπὸ σιτίων ἐμέτοισι χρῆσθαι, καὶ λαγνείης ἀπέχεσθαι. αὕτη ἡ νοῦσος γίνεται ἑπτὰ ἔτεα ἢ ἐννέα· ἔστι δὲ ἢν ἐξ ἀρχῆς θεραπευθῇ, ὑγιὴς γίνεται. Ἄλλη νοῦσος. Ἢν ἀφθήσῃ ἡ σύριγξ τοῦ πλεύμονος, πυρετὸς ἴσχει βληχρὸς, καὶ ὀδύνη μέσον τὸ στῆθος, καὶ τοῦ σώματος κνησμὸς, καὶ ἡ φωνὴ βραγχώδης, καὶ τὸ σίαλον ὑγρὸν καὶ λεπτὸν πτύει, ἐνίοτε δὲ παχὺ καὶ οἷον πτισάνης χυλόν· καὶ ἐν τῷ στόματι ὀδμὴ οἱ ἐγγίνεται βαρείη, οἵη ἀπὸ ἰχθύων ὠμῶν, καὶ ἄλλοτε καὶ ἄλλοτε ἐν τῷ σιάλῳ ἐμφαίνεται σκληρὰ, οἷα μύκης ἀφ' ἕλκεος· καὶ τὰ ἄνω λεπτύνεται, μάλιστα δὲ ἅπας, καὶ οἱ κύκλοι τοῦ προσώπου ἐρυθριῶσι, καὶ οἱ ὄνυχες τῷ χρόνῳ ἕλκονται καὶ ξηροὶ καὶ χλωροὶ γίνονται. τελευτᾷ δὲ αὐτίκα, ἢν μὴ θεραπευθῇ, αἷμα πτύων καὶ πῦον· ἔπειτα καὶ πυρετοὶ ἰσχυροὶ ἐπιγινόμενοι αὐτὸν ἐκτείνουσιν. ἢν δὲ θεραπευθῇ, [140] ἐκφυγγάνει ἐκ ταύτης τῆς φθίσιος. θεραπεύειν δὲ χρὴ φάκια πιπίσκοντα ἐμέειν· ἢν δέ (σοι καιρὸς δοκέῃ εἶναι), ἐλλέβορον πίνειν, ἢν μὲν δυνατὸς ᾖ ὁ ἄνθρωπος, αὐτόθι· ἢν δὲ μὴ, παραμίσγειν τῷ φακίῳ ἥμισυ πόσιος, διαλείπων ἐν πέμπτῃ ἢ ἐν ἕκτῃ πόσει. τὴν δὲ κάτω κοιλίην μὴ κινέειν φαρμάκῳ, ἢν μὴ οἱ πυρετοὶ λαμβάνωσιν ἰσχυροί· ἢν δὲ μὴ λαμβάνωσι, γάλακτι ὄνου ὑποκαθαίρειν. ἢν δὲ ἀσθενήσῃ ὥστε πίνειν, ὑποκλύσαι· ἧσσον δὲ κεφαλήν· καὶ ἢν μὲν τὸ σίαλον ἐς τὸ στόμα ἴῃ πολλὸν, καὶ ἁλμυρὸν, πρὸς τὰς ῥῖνας προσθεῖναι ὅ, τι χολὴν μὴ ἄξει· ἢν δὲ μὴ ἴῃ τὸ ῥεῦμα ἐς τὸ στόμα, μὴ προστιθέναι πρὸς τὴν κεφαλήν. ἐπὴν δὲ τὸ σίαλον δυσῶδες ᾖ, τὰς μεταξὺ τῶν φακίων ἐγχεῖν ἐς τὸν πλεύμονα φάρμακον· μίην δὲ διαλιπὼν ἐπὴν ἔχῃς ἡμέρην, θυμιᾷν. σιτίοισι δὲ [141] χρῆσθαι, κρέασι μηλείοισι καὶ ὀρνιθίοισι, καὶ ἰχθύσι σελάχεσι,

CAPVT XVIII.

De tabe pulmonis, de aphtis fistulæ pulmonis, vtrarumque dignotione, prognosi, & curatione.

Alius morbus, qui tabes vocatur. *Tussis vexat, & sputum copiosum ac liquidum; interdúmque facilè per tussim reijcitur etiam pus, veluti grando, quod dum digitis conteritur, durum & graueolens existit. Vox autem pura est & doloris expers, neq; febres corripiunt; sed quandoque calor, & alioqui debilis est. Huic veratrum bibendum est & lentis decoctum, & largè cibus sumendus, dum ab acribus, carnibus bubulis, suillis, & ouillis abstineat. Exercitetur modicè & deambulet, & à cibis vomitu vtatur, & à venere abstineat. Morbus hic per septem aut nouẽ annos durat; quod si æger per initia curatus fuerit, sanus euadit.* Alius morbus. *Si pulmonis fistula aphthis laborarit, febris imbecillis detinet, & medium pectus dolor, & corporis pruritus adest, & vox rauca, sputum liquidum ac tenue spuit, interdum etiam crassum, ac velut ptisanæ succum. In ore quoque grauis odor, vt à piscibus crudis oboritur, & aliàs atque aliàs in sputo dura, velut fungi ab vlcere, apparent; superiores partes attenuantur, atque adeò totus, malæ faciei rubent, vngues temporis successu contrahuntur, aridi & ex virore pallescentes euadunt. Quam primùm autem moritur, sanguinem & pus expuens, nisi curetur. Posteà etiam vehementes superuenientes febres ipsum interficiunt. At si curatus fuerit, ex hac tabe saluus euadit. Curare autem oportet, vt epotis lenticulæ decoctis vomat. Quòd si occasio tibi apparuerit, veratrum per se, si quidem homo viribus polleat, propinato; sin minùs, dimidium potionis ad lenticulæ decoctum admisceto, ita vt quintâ aut sextâ potione desinat. Ventrem autem inferiorem, nisi febres vehementes prehenderint, medicamento purgante ne agitato. Quòd si non prehenderint, lacte asinino per inferiora purgato. Si verò adeò debilis sit, vt bibere nequeat,* per clysterem *subluito; caput autem minùs* moueas. *Quòd si sputum quidem copiosum & salsum ad os defluat, naribus quod bilem minimè ducat, apponito. Si verò fluxio ad os non eat, capiti nihil adhibeto. Quum autẽ sputum graueolẽs fuerit, intermedijs inter lenticulæ decoctũ diebus, medicamentũ in pulmones infundito; intermisso verò vno die, suffito. Cibis vtatur, carnibus ouillis & volucrium, piscibus cartilagineis,*

cartilagineis, & scorpijs coctis. Quarto quôque die salsamentum quàm optimum & maximè pingue comedat, in prandio quidem mazam sumat, in cœna verò huic panem admisceat, neque quicquam sorbeat, neque cyceonem bibat, si comedere possit. Opsonia sesamo pro tritico condita, & coriandro & anetho comedat. Lasere ne vtatur, neque vllo alio olere acri, præterquàm origano, aut thymo, aut rutâ. Deambulationibus autem ante & post cibum vtatur, vitato vento & sole; à crapula & venere abstineat; tepidâ lauet, capite excepto, quod quàm rarissimè lauet.

καὶ σκορπίοισιν ἑφθοῖσι· διὰ τετάρτης ἡμέρης, τάριχον ἐσθιέτω ὡς ἄριστον καὶ πιότατον, καὶ ἀριστάτω μὲν μάζαν, δειπνείτω δὲ ταύτῃ συμμίσγων καὶ ἄρτον, καὶ μήτε ῥοφανέτω μηδὲν, μήτε κυκεῶνα πινέτω, ἢν ἐσθίειν δυνατὸς ᾖ. τὰ δὲ ὄψα ἡδύνειν, καὶ ἐσθίειν, σησάμῳ ἀντὶ τοῦ πυροῦ, καὶ κοριάνῳ, καὶ ἀνήθῳ· σιλφίῳ δὲ μηδὲν χρῆσθαι, μηδὲ τινι ἄλλῳ λαχάνῳ δριμεῖ, ὅτι μὴ ὀριγάνῳ, ἢ θύμῳ, ἢ πηγάνῳ. περιπάτοισι δὲ χρήσθω, καὶ πρὸ τοῦ σιτίου, καὶ μετὰ τὸ σιτίον, φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον· θωρηξίων ἀπεχέσθω καὶ ἀφροδισίων· λουέσθω δὲ χλιαρῷ, πλὴν τῆς κεφαλῆς, ταύτην δὲ ὡς διὰ πλείστου χρόνου.

CAPVT XIX.

Tabes dorsalis; eius ortus, causæ, signa, curatio; ac de pulmonis morbo, quo pulmonarij vocantur ægri.

Tabes dorsalis. *Tabes dorsalis à spinali medullâ oritur, maximè verò recentes sponsos, & libidinosos corripit. Febris sunt expertes, bene comedunt, & colliquantur. Quòd si ita affectum perconteris, dicet sibi videri ex superioribus partibus à capite velut formicas in spinam descendere; quumque vrinam aut stercus reddit, ipsi semen genitale copiosum & liquidum prodit, neque genitura intus concipitur, & inter dormiendum, cum vxore dormiat, necne, semen profundit. Quumque tum aliàs, tum præcipuè per locum arduum iter fecerit aut cucurrerit, anhelatio ac imbecillitas ipsum prehendit, & capitis grauitas, & aures sonant. Hic temporis progressu vehementibus febribus correptus, perit ex lipyria febre. Quum ita habuerit, si per exordia curandum susceperis, fomento toti corpori admoto, medicamentum per superiora purgans bibendum dato, posteáq; caput purgato; deinde verò deorsum purgans propinato. At curationem vere maximè aggredi velis. Posteáque serum aut lac asininum propinato. Lac verò bubulum per quadraginta dies bibendum exhibeto. Vesperi autem, quandiu lac potat, alicam sorbendam dato; à cibis autem abstineat. Quum verò à lactis potu cessauerit, mollibus cibis, à paucis initio ducto, eum reficito, & quàm maximè crassum ac pinguem reddito. Per annum crapulâ, venere, & immoderatis exercitationibus abstineat, præterquam deambulationibus, in quibus frigora & solem vitet. Tepidâ autem lauet.* Pulmonis morbus. *Sputum crassum ac fuliginosum tussi reijcitur, color niger est, subturgescit, dolores leues sub pectore & scapulis* detinent, *& vlcera his ægrè sanescunt. Hic morbus superiore minùs periculosus est, & plures euadunt. Hunc veratrum & per se & lentis decocto admixtum bibere oportet; in pulmonem etiam infundere, & suffitibus vti, & liberaliter cibum sumere, dum carnibus bubulis, ouillis, & suillis abstineat, & oleribus acribus, præterquam origano & satureiâ. Deambulationibus vtatur, manè verò ieiunus ad arduum locum iter faciat. Deinde*

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Φθίσις νωτιὰς, καὶ ἡ αὐτῆς γένεσις, καὶ αἰτίαι, καὶ σημεῖα, καὶ θεραπεία· καὶ περὶ τῆς τοῦ πνεύμονος νόσου, καθ' ἣν περιπνευμονικοὶ οἱ νοσοῦντες καλοῦνται.

Φθίσις νωτιάς. Ἡ νωτιὰς φθίσις ἀπὸ τοῦ μυελοῦ γίνεται, λαμβάνει δὲ μάλιστα νεογάμους, καὶ φιλολάγνους· γίνονται δὲ ἄπυροι, καὶ ἐσθίειν ἀγαθοὶ, καὶ τήκονται. καὶ ἢν ἐρωτᾷς αὐτὸν, φήσει[142] οἱ ἄνωθεν ἀπὸ τῆς κεφαλῆς κατὰ τὴν ῥάχιν[143] κατέρχεσθαι δοκεῖν οἷον μύρμηκας· καὶ ἐπὴν οὐρέῃ ἢ ἀποπατέῃ, προέρχεταί οἱ θορὸς πουλὺς καὶ ὑγρὸς, καὶ γονὴ οὐκ ἐγγίνεται,[144] καὶ ὀνειρώσσει, κἂν συγκοιμηθῇ γυναικὶ, κἂν μή. καὶ ὅταν ὁδοιπορήσῃ ἢ δράμῃ, ἄλλως τε καὶ[145] πρὸς αἶπος, ἆσθμά μιν καὶ ἀσθενείη[146] λαμβάνει, καὶ τῆς κεφαλῆς βάρος, καὶ τὰ ὦτα ἠχεῖ. τοῦτον ἐν τῷ χρόνῳ ὅταν ἐπιλάβωσιν πυρετοὶ ἰσχυροὶ, ἀπώλετο[147] ὑπὸ λιπυρίου· ὅταν οὕτως ἔχῃ, ἢν ἐξ ἀρχῆς μεταχειρίσῃ, πυριάσας αὐτὸν ὅλον, φάρμακον δοῦναι πίνειν ἄνω, καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι· μετὰ δὲ, πῖσαι κάτω (ἐγχειρέειν δὲ βούλεσθαι μάλιστα τοῦ ἦρος) καὶ μεταπῖσαι ὀῤῥὸν ἢ γάλα ὄνειον. βόειον δὲ γάλα διδόναι πίνειν τεσσαράκοντα ἡμέρας· ἐς ἑσπέρην δὲ, ἕως γαλακτοποτέοι, χόνδρον διδόναι ῥοφεῖν, σιτίων δὲ ἀπεχέσθω· ἐπὴν δὲ παύσηται γαλακτοποτέων, σιτίοισι διακομίζειν αὐτὸν μαλθακοῖσιν ἐξ ὀλίγου ἀρχόμενος, καὶ[148] παχύνειν ὡς μάλιστα. καὶ ἐνιαυτοῦ θωρηξίων ἀπεχέσθω, καὶ ἀφροδισίων, καὶ ταλαιπωριέων, ὅτι μὴ περιπάτοισι, φυλασσόμενος τὰ ψύχεα, καὶ τὸν ἥλιον. λουέσθω δὲ χλιαρῷ. Πλεύμονος νοῦσος. Τὸ σίαλον παχὺ καὶ[149] λιγνῶδες βήσσεται, καὶ ἡ χροιὴ μέλαινα καὶ ὑποιδαλέη, καὶ ὀδύναι λεπταὶ ὑπὸ τὸ στῆθος καὶ ὑπὸ τὰς ὠμοπλάτας,[150] καὶ δυσελκέες γίνονται· ἧσσον δὲ ἐπικίνδυνος τοῦ ἑτέρου οὗτος, καὶ ἐκφυγγάνουσι πλέονες. Τοῦτον χρὴ ἐλλέβορον πιπίσκειν, καὶ αὐτὸν καὶ τοῖσι φακίοισι μίσγοντα· καὶ ἐγχέειν εἰς τὸν πλεύμονα, καὶ θυμιᾷν· καὶ εὐωχέειν ἀπεχόμενον κρεῶν βοείων, καὶ οἰείων, καὶ χοιρείων, καὶ λαχάνων δριμέων, ὅτι μὴ ὀριγάνῳ ἢ θύμβρῃ. καὶ περιπάτοισι[151] χρήσθω, ἐξ ἠοῦς δὲ[152] πρὸς αἶπος ὁδοιπορέειν νῆστιν· ἔπειτα

πίνειν τῶν φύλλων ἐπ' οἴνῳ ἐπιπάσσοντα κεκρημένῳ. τὸ δὲ λοιπὸν σιτίοισι χρήσθω τοῖσιν εἰρημένοισιν.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Ἀρτηρία τρωθεῖσα, ῥηγματίας πνεύμονος, ἀορτρα τοῦ πνεύμονος σπασθέντα· καὶ τὰ τούτων τῶν παθημάτων σημεῖα, καὶ προγνωστικά, καὶ βοηθήματα.

Ἀρτηρίη τρωθεῖσα. Ἢν τρωθῇ ἡ ἀρτηρίη, βὴξ ἔχει καὶ αἷμα βήσσεται, καὶ λανθάνει ἡ φάρυγξ πιμπλαμένη τοῦ αἵματος, καὶ ἐκβάλλει θρόμβους, καὶ ὀδύνη γίνεται ἐκ τοῦ στήθεος ἐς τὸ μετάφρενον ὀξείη, καὶ τὸ σίαλον γλίσχρον καὶ πολύ, καὶ ἡ φάρυγξ ξηρή, καὶ πυρετὸς καὶ ῥῖγος ἐπιλαμβάνει, [153] καὶ κέρχνεται ἡ φάρυγξ, ὥσπερ ὑπὸ λιπαροῦ. ἔστε μὲν πεντεκαίδεκα ἡμέρας πάσχει τοιαῦτα, μετὰ δὲ, πύον πτύει, καὶ οἷα ἕλκεος [154] κρότωνες, καὶ αὖθις βὴξ, καὶ ἐρράγη οὖν τὸ αἷμα, καὶ μετὰ τὸ πύον παχύτερον πτύει, καὶ ὁ πυρετὸς ἰσχυρότερος γίνεται, καὶ τελευτᾷ ἐς πλεύμονα, καὶ καλέεται ῥηγματίας πλεύμονος. ἢν δὲ μετὰ τὸ πρῶτον αἷμα μὴ πτύσῃ πύον, παυσάμενον χρὴ ταλαιπωρίης καὶ γυμνασίων, καὶ ἐπ' ὄχημα ἀναβαίνειν, σιτίων ἀπεχόμενον καὶ ἁλμυρῶν, καὶ λιπαρῶν, καὶ πιόνων, καὶ λαχάνων δριμέων. καὶ ἐπὴν αὐτὸς ἑωυτῷ δοκέῃ ἄριστα τοῦ σώματος ἔχειν, καύσαι τὰ στήθεα, [155] καὶ τὸ μετάφρενον, ἐν μοίρῃ ἑκάτερον. καὶ ἐπὴν τὰ ἕλκεα ὑγιέα γένηται, ἐνιαυτὸν ἀπεχέσθω θωρηξίων, καὶ μὴ ὑπερπιμπλάσθω, μηδὲ τῇσι χερσὶ ταλαιπωρέειν, μηδὲ ἐπ' ὄχημα ἀναβαίνειν, ἀλλὰ παχύνειν αὐτὸν ὡς μάλιστα τὸ σῶμα.

[156] Ἀορτρα τοῦ πλεύμονος σπασθέντα. Ἐπὴν ἀορτρα σπασθῇ τοῦ πλεύμονος, τὸ πτύσμα λευκὸν πτύει, ἐνίοτε δὲ [158] αἱματῶδες· ἀφρονέει τε καὶ πυρετὸς ἴσχει, καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον καὶ τὸ πλευρὸν, καὶ ἢν στραφῇ, βήσσεται καὶ πταρνύται. τούτῳ ἢ ἂν ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι, καὶ διδόναι προσρροφάνειν κενταύριον καὶ δαῦκον, καὶ ἐλελισφάκου φύλλα τρίβων, καὶ μέλι καὶ ὄξος ἐπιχέων, καὶ ὕδωρ διδόναι καταρροφάνειν. καὶ πτισάνης χυλὸν προσρροφανέτω, καὶ ἐπιπινέτω οἶνον ὑδαρέα. ἐπὴν δὲ τῆς ὀδύνης παύσηται, ἐλελίσφακον κόψας καὶ σήσας, καὶ ὑπερικὸν, καὶ ἐρύσιμον λεῖα, καὶ ἄλφιτον, ἴσον ἑκάστου, ταῦτ' ἐπιβαλὼν ἐπὶ οἶνον κεκρημένον, διδόναι πίνειν νήστει· καὶ ἢν μὴ νῆστις ᾖ, διδόναι δὲ ῥοφάνειν ἔτνος ἄναλτον. ἢν δὲ θάλπος ᾖ, σιτίοισι διαχρήσθω ὡς μαλθακωτάτοισιν, ἀνάλτοισι, καὶ ἀκνίσοισιν, ἐπὴν ἤδη ἐπιεικέως ἔχῃ τὸ σῶμα, καὶ τὸ στῆθος, καὶ τὸν νῶτον. Ἢν δὲ ἀμφότερα σπασθῶσι, βὴξ ἴσχει, καὶ τὸ σίαλον [159] βλέπεται παχὺ καὶ λευκὸν, καὶ ὀδύνη ὀξείη ἴσχει ἐς τὸ στῆθος, καὶ ὑπὸ τὰς ὠμοπλάτας, καὶ τὸ πλευρὸν, καὶ καῦμα ἔχει· καὶ καταπίμπλαται [160] φωδῶν, καὶ ξυσμὴ ἔχει, καὶ οὐκ ἀνέχεται οὔτε καθήμενος, οὔτε κείμενος, οὔτε ἑστηκὼς, ἀλλὰ [161] δυσθενέει. οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει· ἢν δὲ ταύτας ὑπερφύγῃ, ἐλπίδες μὲν οὐ πολλαὶ, κινδυνεύει δὲ καὶ ἐν τῇσιν ἑπτά· ἢν δὲ καὶ ταύτας διαφύγῃ, ὑγιάζεται. τοῦτον, ὅταν οὕτως ἔχῃ, λούειν πολλῷ θερμῷ δὶς τῆς ἡμέ-

A *folia* hortensia condimentis vsurpata *vino temperato aspersa bibat. Cæterùm cibis commemoratis vtatur.*

CAPVT XX.

Arteria vulnerata, pulmonis ruptio, conuulsæ pulmonis fibræ; eorumque affectuum signa, pronostica, remedia.

B ARteria vulnerata. *Si arteria vulnerata fuerit, tussis detinet, sanguis tussi expuitur, fauces latenter sanguine implentur,* sanguinis *grumos reijcit, dolor acutus ex pectore ad dorsum permeat, sputum glutinosum est & copiosum, fauces siccæ, & febris & rigor corripit, fauces exasperantur, velut à pingui. Et hæc ad dies quindecim patitur, postea verò pus expuit, ac veluti vlceris ricinos,* cartilaginea pulmonis bronchia; *ac rursus tussis, & sanè sanguis erumpit, posteáque pus crassius expuit, febris vehementior euadit, & in pulmonem desinit, vocaturque pulmone ruptus.* C *At si post primum sanguinem pus non expuat, à laboribus & exercitijs quiescere oportet, & in vehiculum conscendere, ac cibis abstinere salsis, vnguinosis, pinguibus, & acribus oleribus. Quumque ipse optimè corpore sese habere videbitur, pectus & dorsum, vicissim vtrumque, inurito. Vlceribus curatis, per annum ebrietate abstineat, non impleatur* D *supra modum, neque manibus vehementer laboret, neque vehiculum conscendat, sed quàm maximè crassum corpus ipse reddat.* Fibræ pulmonis conuulsæ. *Quum pulmonis fibræ conuulsæ fuerint, sputum album interdumque cruentum expuit, delirat, & febris tenet, & dolor pectus, & dorsum, & latus, & si se vertat, tussit & sternuit. Huic quâ parte dolor detinet, calentes fotus admoueto; centaurium, daucum, saluiæ folia trita, melle & aceto affuso, ex aqua præ-* E *sorbenda dato. Ptisanæ etiam succum antè sorbeat, & vinum aquosum superbibat. Quum verò dolor quieuerit, saluiam tusam & cribratam, hypericum, & erysimum læuigata, cum polentâ, pari singula portione, vino temperato admixta, ieiuno bibenda exhibeto. At si ieiunus non fuerit, leguminis fresi decoctum salis expers sorbendum dato. Si verò æstus fuerit, cibis quàm mollissimis, insulsis, & minimè nidorosis vtatur, quum iam moderatè corpus, & pectus, & dorsum se habuerit. Quòd si ambæ pulmonis* F *fibræ conuulsæ fuerint, tussis detinet, sputum crassum & album cernitur, dolor vehemens ad pectus, sub scapulis, & ad latus occupat, ardor detinet, & pustulis rubentibus impletur, pruritus vexat, neque sedere, neque iacere, neq; stare sustinet, sed infirmis est viribus. Hic quarto maximè die moritur; quem si effugerit, ne sic quidem spes multa superest, cùm & septimo die periculum iubeat; quem si superauerit, conualescit. Hunc, quum ita habuerit, bis die calidâ multâ lauato;*

quumque

quumque dolor detinet, fotus calentes admoueto; & mel & acetum propinato, succumque ptisanæ sorbendum, & vinum album vinosum superbibendum. Quòd si balneo & tepidis fotibus vexetur, neque ea ferat, sudarij panniculos aquâ intinctos ei admoue & ad pectus & dorsum impone; fauumque ex aqua maceratum frigidissimum propinato, & ptisanæ succum frigidum, aquamque superbibendam dato; & in frigore decumbat. Ista facito; verùm morbus lethalis est.

A ρης· καὶ ὅταν ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι· καὶ διδόναι πίνειν μέλι, καὶ ὄξος ῥοφαίνειν, καὶ χυλὸν πτισάνης, καὶ ἐπιπίνειν οἶνον λευκὸν οἰνώδεα. ἢν δὲ πρὸς τὸ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται, προσφέρειν αὐτῷ ῥάκια ἡμιτύβια, καὶ βάπτων ἐς ὕδωρ, ἐπὶ τὰ στήθεα καὶ τὸν νῶτον ἐπιτιθέναι, καὶ πίνειν διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων ὡς ψυχρότατον, καὶ τὸν χυλὸν ψυχρὸν, καὶ ὕδωρ ἐπιπίνειν· καὶ κεῖσθαι πρὸς τὸ ψῦχος. ταῦτα ποιέειν· ἡ δὲ νοῦσος θανατώδης.

B

CAPVT XXI.

De pulmonis erysipelate, eiusque causis, signis, & curatione.

ERysipelas in pulmone. *Si oriatur in pulmone erysipelas, tussis detinet, & sputum multum ac liquidum expuit, velut ex gutture, sed cruentum non est; dolor dorsum, & ilia, & hypochondria occupat; viscera strepitum edunt, pituitam vomit, ac velut acetum, dentes stupent; febris rigor, ac sitis corripit; quum quid comederit, in visceribus strepitus editur, acidum eructat, venter obstrepit, & corpus torpescit; & quum vomuerit, meliùs habere videtur; vbi verò minimè vomuerit, decedente die tormina & dolor in ventre suboriuntur, & liquidum stercus deijcitur. Hic morbus maximè ex crapula, carnium esu, & aquæ mutatione contingit; atque alijs etiam de causis detinet. Huic medicamentum deorsum purgans propinato, posteáque lac asininum bibat, nisi naturâ lienosus fuerit. Quòd si lienosus fuerit, neq; succis, neq; lacte, neque sero purgato, sed eo quod paucum sumptum multum educat. In omnibus morbis, si aluus non subducatur, eam per infusum subluito, aut glandes supponito. Hoc in morbo frigidæ balneo & exercitatione vtendum, vbi febres remiserint, & corpus ad vota se habere apparuerit. Vere & autumno vomitus excitandus. Alliorum capita & origani pugillum, quantum tribus digitis comprehenditur, vini dulcis duabus heminis affusis, & aceti quàm acerrimi heminâ vnâ, mellisque quartâ* heminæ *parte, coquito, quoad tertia pars relicta fuerit. Deinde vbi hominem exercueris & aquâ tepidâ laueris, hoc calidum bibendum exhibeto; lenticulæ etiam decoctum, melle & aceto admixtis, dum impleatur, propinato; deinde vomat, eóque die polentâ ex aqua epotâ ieiunus permaneat. Ad vesperum verò betam & mazæ parùm comedat, & vinum aquosum bibat. Reliquo tempore à lenticulæ decocto & à cibis vomat. Quòd si sub scapulas dolor secesserit, cucurbitulam affigito, & manuum venas pertundito. Cibis autem vtatur non salsis, neque vnguinosis, neque pinguibus; vescatur acribus, & acidis, frigidisq; omnibus; ac deambulationibus vtatur. His factis, optimâ victûs ratione vsus fuerit, morbusq; in multum tempus protrahetur. Est autem non lethalis, sed consenescentes deserit. Si verò iuniorem aliquem citiùs à morbo liberare voles, vbi ipsum purgaueris, & pectus & dorsum inurito.*

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Περὶ τοῦ ἐν τῷ πνεύμονι ἐρυσιπέλατος, καὶ τῶν τούτου αἰτίων τε καὶ σημείων, καὶ θεραπείας.

ΕΡυσίπελας ἐν πλεύμονι. Ην ἐρυσίπελας ἐν πλεύμονι γένηται, βὴξ ἔχει, καὶ τὸ σίαλον ἀποπτύει πουλὺ καὶ ὑγρὸν, οἷον ἀπὸ βρόγχου, ἔστι δὲ οὐχ αἱματῶδες· καὶ ὀδύνη ἴσχει τὸ μετάφρενον, καὶ τοὺς κενεῶνας, καὶ τὰς λαπάρας· καὶ τὰ σπλάγχνα μύζει, καὶ ἐμέει λάπην, καὶ οἷον ὄξος, καὶ τοὺς ὀδόντας αἱμωδιᾷ, καὶ πυρετὸς καὶ ῥῖγος καὶ δίψα λαμβάνει, καὶ ὅταν τι φάγῃ, ἐπὶ τοῖσι σπλάγχνοισι μύζει, καὶ ἐρεύγεται ὀξὺ, καὶ ἡ κοιλίη [162] τρύζει, καὶ τὸ σῶμα ναρκᾷ· καὶ ὅταν ἐμέσῃ, δοκέει ῥάων εἶναι· ὅταν δὲ μὴ ἐμέσῃ, ἀπιούσης τῆς ἡμέρης, στρόφος καὶ ὀδύνη ἐγγίνεται ἐν τῇ γαστρὶ, καὶ ἀπόπατος ὑγρὸς γινόμενος διεχώρησεν. ἡ δὲ νοῦσος μάλιστα γίνεται ἐκ τῶν θωρηξίων, καὶ ἐκ τῶν κρεοφαγιέων, καὶ ἐξ ὕδατος μεταβολῆς· ἴσχει δὲ καὶ ἄλλως. Τοῦτον φάρμακον πιπίσκειν κάτω, καὶ μεταπιπίσκειν γάλα ὄνου, ἢν μὴ σπληνώδης ᾖ φύσει· ἢν δὲ σπληνώδης ᾖ, μὴ καθαίρειν, μήτε χυλοῖσι, μήτε γάλακτι, μήτε ὀρρῷ, ἀλλ' ὅτι ὀλίγον ἐσελθὸν, πολὺ ἐξάξει· ὑποκλύζειν δὲ τὰς κοιλίας, καὶ βαλάνους προστιθέναι, ἢν μὴ ἡ κοιλίη ὑποχωρέῃ, ἐν πάσῃσι τῇσι νούσοισι. καὶ ψυχρολουτέειν ἐν ταύτῃ τῇ νούσῳ, καὶ γυμνάζεσθαι, ὅταν οἱ πυρετοὶ ἀνῶσι, καὶ δοκέῃ ἐπιεικέως ἔχειν τοῦ σώματος· καὶ τοῦ ἦρος καὶ τοῦ μετοπώρου ἔμετον ἐμποιέειν. σκορόδων δὲ κεφαλὰς, καὶ ὀριγάνου δραχμίδα, ὅσην [163] τρισὶ δακτύλοισι περιλαβεῖν, ἑψεῖν ἐπιχέοντα δύο κοτύλας οἴνου γλυκέος, καὶ κοτύλην ὄξεος ὡς ὀξυτάτου, καὶ μέλιτος ὅσον τεταρτημόριον· ἑψεῖν δὲ, ἕως ἂν ἡ τρίτη μοῖρα λειφθῇ, κἄπειτα [164] γυμνάσας τὸν ἄνθρωπον, καὶ λούσας ὕδατι χλιαρῷ, πῖσαι θερμόν. καὶ πιπίσκειν φάκιον, μέλι καὶ ὄξος συμμίσγων, ἔστ' ἂν ἐμπλησθῇ· ἔπειτα ἐμεέτω, καὶ τὴν ἡμέρην ταύτην πιὼν ἄλφιτον καὶ ὕδωρ, ἐκνηστευέτω· ἐς ἑσπέρην δὲ τεῦτλον φαγέτω, καὶ μάζης μικρὸν, καὶ πινέτω οἶνον ὑδαρέα. ἀνὰ δὲ τὸν ἄλλον χρόνον, ἐμεέτω τοῖσι [165] φακίοισι καὶ ἀπὸ σιτίων. καὶ ἢν ἀφίστηται ἡ ὀδύνη ὑπὸ τὰς ὠμοπλάτας, σικύην προσβάλλειν, καὶ τὰς φλέβας ἀποτύψαι τὰς ἐν τῇσι χερσί· σιτίοισι δὲ χρῆσθαι ἀνάλτοισι, καὶ μὴ λιπαροῖσι, μηδὲ πίοσι· δριμέα δὲ καὶ ὀξέα ἐσθιέτω, καὶ ψυχρὰ πάντα, καὶ περιπάτοισι χρήσθω. ταῦτα ποιέων ἄριστα ἂν διαιτῷτο· καὶ διὰ πλείστου χρόνου ἡ νοῦσος γίνοιτο, ἔστι δὲ οὐ θανατώδης, ἀλλ' ἀπογηράσκοντας ἀπολείπει· Εἰ δὲ βούλοιο [166] νεώτερον ἐόντα θᾶττον ἀπαλλάξαι τῆς νούσου, καθήρας αὐτὸν, καῦσον τά τε στήθεα καὶ τὰ μετάφρενα.

C D E F

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Τὰ τοῦ νωτίου, καὶ τοῦ ἐν τῷ πνεύμονι φύματος σημεῖα, καὶ τὰ θεραπευτικά.

Νωτιάς. Ῥῖγος, καὶ πυρετὸς, καὶ βὴξ, καὶ δύσπνοια λαμβάνει, καὶ τὸ σίαλον πτύει χλωρὸν, ἔστι δ' ὅτε καὶ ὕφαιμον· καὶ πονέει μάλιστα τὸ μετάφρενον, καὶ τοὺς βουβῶνας· καὶ ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ οὐρέει αἱματῶδες, καὶ ἀποθνήσκει ἑβδομαῖος· ἐπὴν δὲ τὰς τεσσαρεσκαίδεκα [167] ἐκφύγῃ, ὑγιὴς γίνεται· ἐκφυγγάνει δ' οὐ μάλα. τούτῳ διδόναι μελίκρητον, ἀναζέσας ἐν καινῇ χύτρῃ, ψύχων, σελίνου φλοιὸν ἀποτέγγων ἢ μαράθρου· τούτῳ διδόναι πίνειν καὶ πτισάνης χυλὸν δὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν οἶνον λευκὸν ὑδαρέα. [168] ἢν αἱ ὀδύνη προσίστηται, χλιαίνειν, καὶ λούειν θερμῷ, ἢν μὴ ὁ πυρετὸς πολὺς ἔχῃ. ἐπὴν δὲ αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν, ἀριστίζεσθαι μὲν τὸν κέγχρον, ἐς ἑσπέραν δὲ κρέα σκυλακείου, [169] ἢ ὀρνίθια ἑφθὰ ἐσθίειν, καὶ τοῦ ζωμοῦ ῥοφάνειν· σιτίοισι δὲ ὡς ἐλαχίστοισι χρῆσθαι τὰς πρώτας ἡμέρας. Φῦμα ἐν τῷ πλεύμονι. Ἐπὴν φῦμα φύῃ ἐν τῷ πλεύμονι, βὴξ ἔχει καὶ ὀρθόπνοιη, καὶ ὀδύνη ἐς τὸ στῆθος ὀξέη, καὶ ἐς τὰ πλευρά· καὶ ἕως μὲν τῶν τεσσαρεσκαίδεκα ἡμερῶν πάσχει, τοῖσι γὰρ πλείστοισι τοσαύτας ἡμέρας μάλιστα φλεγμαίνει τὸ πάθος τοῦ φύματος· καὶ τὴν [170] κεφαλὴν δὲ ἀλγέει καὶ τὰ βλέφαρα, καὶ ὁρῇν οὐ δύναται, καὶ τὸ σῶμα [171] ὑπόπυρρον γίνεται, [172] καὶ φωδῶν ἐμπίπλαται. Τοῦτον λούειν πολλῷ θερμῷ, καὶ μελίκρητον διδόναι πίνειν ὑδαρὲς, καὶ τῆς πτισάνης τὸν χυλὸν ῥοφάνειν, καὶ οἶνον ὑδαρέα ἐπιπίνειν. ἢν δὲ ἡ ὀδύνη πιέζῃ, χλιαίνειν· ἐπὴν δὲ παύσηται, σιτίοισιν ὡς μαλθακωτάτοισι χρῆσθαι. ἢν δὲ ἀπηλλαγμένον τῆς νούσου δύσπνοιη λαμβάνῃ, ἐπὴν πρὸς ὄρθιον χωρίον ἴῃ, ἢ σπεύσῃ τι ἄλλως, φάρμακον διδόναι, ὑφ' οὗ ἡ κοιλίη ἡ κάτω μὴ [173] κινέεται· καὶ ἢν ἅμα τῷ ἐμέσματι πύον ἕπηται, ἢν μὲν τὸ πύον ᾖ λευκὸν, καὶ ἶνες ἐν αὐτῷ ὕφαιμοι ἔωσιν, ἐκφυγγάνει· ἢν δὲ πελιδνὸν, καὶ χλωρὸν, καὶ κάκοδμον, ἀποθνήσκει· καθαίρονται δὲ ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ' ἧς ἂν ῥαγῇ, πολλοῖσι δὲ καὶ ἐνιαυσίη γίνεται ἡ νοῦσος· ποιέειν δὲ χρὴ τοῦτον, ἅπερ τὸν ἔμπυον. ἢν δὲ μὴ ῥαγῇ (ἐνίοισι γὰρ τῷ χρόνῳ ἀφίσταται ὡς τὸ πλευρὸν καὶ ἐξοιδίσκεται) τοῦτον χρὴ, ἢν τοιοῦτον γένηται, τάμνειν ἢ [174] καίειν.

CAPVT XXII.

Dorsalis morbi, & tuberculi pulmonis signa & curatio.

Dorsalis morbus. *Rigor, febris, tussis, & spirandi difficultas prehendit, & sputum cum virore pallidum, interdúmque subcruentum expuit; dolor maximè dorsum & inguina vexat; tertio aut quarto die vrinam cruentam meijt, & septimo die moritur; vbi verò quatuordecim dies effugerit, sanus euadit; quos ferè non effugit. Huic aquam mulsam in olla noua feruefactam, & refrigeratam, in qua apij aut fœniculi cortex maceratus fuerit, bibendam dato; dato & ptisanæ sucum bis die, vinúmq; album aquosum superbibendum. Quà dolor instat, tepentes fotus adhibeto, & nisi multa febris detineat, calidâ lauato. Vbi verò quatuordecim dies præterierint, milium in prandio quidem sumat, ad vesperam autem carnes catulinas, aut volucrium coctas edat, & de iusculo sorbeat; sed cibis quàm paucissimis primis diebus vtatur.* Pulmonis tuberculũ. *Quum in pulmone tuberculũ ex ortũ fuerit, tussis detinet, orthopnœa, dolor acutus pectus & latera occupat; & ad vsq; quatuordecim dies ita afficitur, plerisq; .n. tuberculi affectus tot potissimũ diebus inflãmationẽ concipit. Sed & caput, & palpebras dolor vexat, videre nequit, corpus subfuluum euadit, & pustulis rubentibus impletur. Hunc calidâ multâ lauato, aquam mulsam aquosam propinato, & prisanæ succum sorbendum, vinumque aquosum superbibendum dato. Quòd si dolor vrgeat, tepentes fotus admoueto; vbi verò sedatus fuerit, cibis quam mollissimis vtatur. Quod si morbo liberatum, dum ad locum arrectum pergit, aut aliàs festinat, difficultas spirandi inuadat, medicamentum purgans dato, à quo aluus inferior minimè moueatur. Et si vnà cum vomitu pus sequatur, si sanè pus fuerit album, & in eo fibræ subcruentæ fuerint, effugit; si verò liuidum, cum virore pallidum, & graueolens, moritur. Repurgantur autem in quadraginta diebus, à quo ruptio facta est, multis etiam annuus fit morbus. Huic eadem quæ suppurato, facito. Quòd si non eruperit (quibusdã enim procedente tẽpore ad latus abscedit, & extumescit) vbi hoc contigerit, hunc secato aut inurito.*

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Τὰ τοῦ πνεύμονος πλησθέντος τε καὶ ἐς τὸ πλευρὸν προσπεσόντος σημεῖα, καὶ ἡ θεραπεία.

Πλεύμων πλησθείς. Ἢν πλησθῇ ὁ πλεύμων, βὴξ ἴσχει, καὶ ὀρθόπνοιη, καὶ ἆσθμα, καὶ τὴν γλῶσσαν ἐκβάλλει, καὶ πίμπλαται φωδῶν, καὶ ξυσμὸς ἔχει· καὶ ὀδύνη ὀξείη ἴσχει ἐς τὸ στῆθος καὶ κατὰ τὰς ὠμοπλάτας, καὶ οὐκ ἀνέχεται οὔτε καθήμενος, οὔτ' ἀνακείμενος, οὔτ' ἑστηκὼς, ἀλλὰ δυσθενεῖ. οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει· ἢν δὲ ταύτας ὑπερφύγῃ, ἐλπίδες ὡς τὰ πολλά· κινδυνεύει δὲ πολλάκις καὶ ἐν τῇσιν ἑπτά· ἢν δὲ

CAPVT XXIII.

Pulmonis tum repleti, tum in latus procumbentis signa, & curatio.

Pvlmo repletus. *Si pulmo repletus sit, tussis detinet, orthophnœa, & anhelatio; linguam exerit, pustulis rubentibus impletur, pruritus occupat; dolor acutus pectus & scapulas vexat, neque sedere, neque recumbere, neque stare potest, sed infirmis est viribus. Hic quarto ferè die moritur; quem si superauerit, spes plerúnque datur; sæpè tamen etiam septimo die periclitatur, quem si effugerit, conualescit.*

Hunc, quum sic habuerit, calidâ multâ bis die lauato; quumque dolor detinuerit, tepentes fotus admoueto; & mel cum aceto coctum bibendum, & ptisanæ succum sorbendum, vinumque superbibendum præbeto. Quòd si balneo & fomentis tepentibus vexetur, neque ea ferat, ipsi refrigeratorium apponito, & fauum aquâ maceratum quàm maximè frigidum bibendum dato, & loco frigido decumbat. Hæc faciat, morbus autem grauis & lethalis est. Pulmo in latus decumbens. Si pulmo in latus prociderit, tussis & orthopnœa detinet, sputum album tussi expuitur, dolor pectus & dorsum occupat; & incumbens pulmo propellit, & pondus quoddam lateri incumbere videtur, & dolores acuti pungunt; sanguis velut corium stridet, & respirationem prohibet; in latus quidem affectum decubitum sustinet, in sanum verò minimè, verùm ei pondus quoddam ex latere pendere, & per pectus transpirare videtur. Hunc calidâ multâ bis in die lauato, & aquam mulsam propinato. A balneo vinum album, pauco admixto melle, in quo dauci & centaureæ tritum semen maduerit, tepidum sorbendum dato; & ad latus aquam tepidam in vtriculum, aut vesicam bubulam infusam admoueto, & fasciâ pectus alligato; ac in latus sanum decumbat. Ptisanæ succum tepidum, & vinum aquosum superbibendum dato. Quod si ex vulnere istud fiat, aut purulento secto (fieri nanque hoc solet) vesicam fistulæ alligatam & flatu impletam huic intrò immittito, & penicillum stanneum solidum indito, & vlteriùs protrudito. Hac curatione institutâ, voti maximè compos fies.

A ταύτας [175] παρεκφύγῃ, ὑγιάζεται. τοῦτον, ὅταν οὕτως ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ δὶς τῆς ἡμέρης· καὶ ὅταν ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι, καὶ ἐπιπίνειν διδόναι μέλι καὶ ὄξος ἑφθὸν, καὶ ῥοφάνειν χυλὸν πτισάνης, καὶ ἐπιπίνειν [176] οἶνον. ἢν δὲ πρὸς τὸ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται, προσφέρειν αὐτῷ ψυγμὸν, καὶ πίνειν διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων ὡς ψυχρότατον, καὶ κεῖσθαι πρὸς τὸ ψῦχος. ταῦτα ποιέειν· ἡ δὲ νοῦσος χαλεπὴ καὶ θανατώδης. Ὁ πλεύμων περιπεσὼν ἐς τὸ πλευρόν. Ἢν ὁ πλεύμων πρὸς τὸ πλευρὸν

B περιπέσῃ, βὴξ ἴσχει, καὶ ὀρθόπνοια, καὶ σίαλον βήσσεται λευκὸν, καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον ἴσχει· καὶ ὠθέει προσκείμενος, καὶ δοκέει τι ἐγκέεσθαι βαρὺ ἐν τοῖσι στήθεσι, καὶ κεντέουσιν ὀδύναι ὀξεῖαι· [177] καὶ τρίζει τὸ αἷμα οἷον μάσθλης, καὶ τὴν πνοὴν ἐπέχει· καὶ ἐπὶ μὲν τὸ πονέον ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ὑγιὲς οὔ, ἀλλὰ δοκέει τι αὐτῷ οἷον ἐκκρέμασθαι βαρὺ ἀπὸ τοῦ πλευροῦ, καὶ διαπνέειν δοκέει διὰ τοῦ στήθεος.

C Τοῦτον λούειν θερμῷ πολλῷ δὶς τῆς ἡμέρης, καὶ μελίκρητον πιπίσκειν· καὶ ἐκ τοῦ λουτροῦ, οἶνον λευκὸν, κεραννὺς καὶ μέλι ὀλίγον, καὶ δαύκου καρπὸν τρίψας καὶ τῆς κενταυρείης, διεὶς τούτοισι, διδόναι χλιαρὸν καταρροφέειν· καὶ προστιθέναι πρὸς τὸ πλευρὸν ἐς ἀσκὸν, ἢ ἐς βοείην κύστιν ὕδωρ χλιαρὸν ἐγχέων, καὶ ταινίῃ συνδεῖν τὰ στήθεα, καὶ κεῖσθαι ἐπὶ τὸ ὑγιές· καὶ τὸν χυλὸν διδόναι τῆς πτισάνης χλιαρὸν, καὶ ἐπιπίνειν οἶνον ὑδαρέα. ἢν δὲ ἐκ τρώματος τοῦτο γίνηται, ἢ τμηθέντι ἐμπύῳ (γρ. …) [178] τούτῳ κύστιν πρὸς σύριγγα προσδήσας, ἐμπιπλάναι τῆς φύσης, καὶ εἰσιέναι ἔσω, καὶ

D μοτὸν στερεὸν κασσιτέρινον ἐντιθέναι, καὶ ἀπωθέειν πρόσω. οὕτω διαιτῶν, πάγχυ δ' ἂν μάλιστα.

CAPVT XXIV.

De lateris tuberculo, pulmonis hydero, ac pectore aut dorso rupto, eorûmque affectuum signis & curatione.

LAteris tuberculum. Quum tuberculum lateri oboritur, tussis dura detinet, & dolor, & febris; pondus in latus incumbit, dolor acutus eundem locum semper occupat, sitis vehemens vexat, & calidum potum eructat; & decubitum in latus affectum non sustinet, sed in sanum. Verùm vbi decumbit, velut saxum illi suspensum esse videtur, intumescit, ac rubet, pedésque tument. Hunc secato aut vrito, deinde pus ad decimum vsque diem emittito, & penicillum ex lino crudo imponito. Post decimum diem, vbi totum pus exierit, vinum & oleum, ne derepente siccescat, tepida inijcito, & linamento ex linteolo obducito. Vbi quod infuderis emissum fuerit, aliud infundito, istáque per dies quinq; facito. Quum autem pus tenue velut ptisanæ cremor, & ad manus contactum paucum defluxerit, penicillum stanneum immittito. Atque vbi prorsus resiccatum fuerit, paulatim resecto penicillo, vlcus ad linamentum semper vt coalescat, finito. Hydrops pulmonis. Si hyderus in pulmo-

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ τοῦ πλευροῦ φύματος, καὶ τοῦ πνεύμονος ὑδέρου, καὶ τοῦ στήθους ἢ μεταφρένου ῥαγέντος· καὶ τῶν τούτων τῶν παθημάτων σημειώσεώς τε καὶ θεραπείας.

E TOῦ πλευροῦ φῦμα. Ἐπὴν πλευρῷ φῦμα γένηται, ἡ βὴξ ἴσχει σκληρὴ, καὶ ὀδύνη, καὶ πυρετὸς, καὶ ἔγκειται βαρὺ ἐν τῷ πλευρῷ, καὶ ὀδύνη ὀξείη ἐς τὸ αὐτὸ αἰεὶ χωρίον λαμβάνει, καὶ δίψα ἰσχυρὴ, [179] καὶ ἀποφλύγεται τὸ πόμα θερμόν· καὶ ἐπὶ μὲν τὸ ἀλγέον οὐκ ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ὑγιές· ἀλλ' ἐπὴν κατακλίνῃ, δοκέει οἷον τι λίθος ἐκκρέμασθαι· καὶ ἐξοιδέει καὶ [180] ἐξερεύθει, καὶ οἱ πόδες οἰδέουσιν. Τοῦτον τάμνειν ἢ καίειν, ἔπειτα

F τα ἀφιέναι τὸ πῦον, ἔστ' ἂν γένηται δεκαταῖος, καὶ μοτοῦν ὠμολίνῳ· ἐπὴν δὲ γένηται δεκαταῖος, ἐξιέναι τὸ πῦον πᾶν, ἐσιέναι οἶνον καὶ ἔλαιον χλιήνας, ὡς μὴ ἐξαπίνης ἀποξηρανθῇ, καὶ μοτοῦν ὀθονίῳ· ἐξιεὶς δὲ τὸ ἐγκεχυμένον, ἐγχέειν ἕτερον, ποιέειν δὲ ταῦτα πέντε ἡμέρας. ἐπὴν δὲ τὸ πῦον [181] λεπτὸν ἀποῤῥέῃ, οἷον πτισάνης χυλὸς, καὶ ὀλίγον ἐν τῇ χειρὶ ψαυόμενον, ἢ κασσιτέρινον μοτὸν ἐντιθέναι· καὶ ἐπὴν παντάπασι ξηρανθῇ, ἀποτάμνων τε τοῦ μοτοῦ ὀλίγον, αἰεὶ ξυμφύειν τὸ ἕλκος πρὸς τὸν μοτόν. Ὕδερος πλεύμονος. Ἢν δὲ ὕδερος ἐν τῷ πλεύμονι

γίνηται, πυρετὸς καὶ βὴξ ἴσχει, καὶ ἀναπνέει ἁθρόον, καὶ οἱ πόδες οἰδέουσι, καὶ οἱ ὄνυχες ἕλκονται πάντες, καὶ πάσχει οἷά περ ἔμπυος γινόμενος, βληχρότερον δὲ καὶ πολυχρονιώτερον. καὶ ἢν ἐγχέῃς, ἢ πυριᾷς, ἢ θυμιᾷς, οὐχ ὁμαρτέει πῦον· τούτῳ ἂν γνοίης, ὅτι οὐ πῦον ἀλλὰ ὕδωρ ἐστί· καὶ ἢν πολλὸν χρόνον παρέχων τὸ οὖς ἀκουάζῃ πρὸς τὰ πλευρὰ, [182] ὄζει ἔσωθεν οἷον ὄξος. καὶ ἕως μέν τινος ταῦτα πάσχει, ἔπειτα δὲ ῥήγνυται [183] πρὸς τὴν κοιλίην, καὶ αὐτίκα μὲν δοκέει ὑγιὴς εἶναι καὶ τῆς νούσου ἀπηλλάχθαι, τῷ δὲ χρόνῳ ἡ κοιλίη ἐμπίπραται, καὶ τά τε αὐτὰ κεῖνα πάσχει καὶ μᾶλλον. ἔνιοι δὲ καὶ οἰδίσκονται τὴν γαστέρα, καὶ τὴν ὄσχην, καὶ τὸ πρόσωπον· καὶ ἔνιοι δοκέουσιν εἶναι ἀπὸ τῆς κοιλίης τῆς κάτω, ὁρῶντες τὴν γαστέρα μεγάλην, καὶ τοὺς πόδας οἰδέοντας· οἰδίσκεται γὰρ ταῦτα, ἢν ὑπερβάλλῃς τὸν καιρὸν τῆς τομῆς. τοῦτον χρὴ, ἢν μὲν ἀποιδήσῃ, ἔξω ταμόντα διὰ τῶν πλευρέων, ἰῆσθαι. ἢν δὲ μὴ ἀποιδέῃ, λούσαντα πολλῷ θερμῷ καθίσαι ὥσπερ τοὺς ἐμπύους, καὶ ὅπῃ ἂν ψοφέῃ, ταύτῃ τάμνειν· βούλεσθαι δὲ ὡς κατωτάτω, ὅκως [184] τοι εὔρουν ᾖ. ἐπὴν δὲ τάμῃς, μοτοῦν ὠμολίνῳ· παχὺν καὶ ἐπάκρου ποιήσασθαι τὸν μοτὸν, καὶ ἀφιέναι [185] τοῦ ὕδατος φειδόμενος, ὡς ἐλάχιστα. καὶ ἢν μέν τοι ἐν τῷ μοτῷ πῦον περιγίνηται πεμπταίῳ ἐόντι, ὡς τὰ πολλὰ ἐκφυγγάνει· ἢν δὲ μὴ περιγίνηται, ἐπὴν [186] ἐξαρύσῃς τὸ ὕδωρ, δίψα ἐπιλαμβάνει, καὶ βὴξ, καὶ ἀποθνήσκει. Στῆθος ἢ μετάφρενον ῥαγῆ. [187] Ην τὸ στῆθος ἢ τὸ μετάφρενον ῥαγῇ, ὀδύναι ἴσχουσι τὸ στῆθος καὶ τὸ μετάφρενον διαμπερές, καὶ θέρμη ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει, καὶ τὸ σίαλον ὕφαιμον βήσσεται· τὸ δὲ οἷον θρὶξ διατρέχει διὰ τοῦ σιάλου αἱματώδης· μάλιστα δὲ ταῦτα πάσχει, ἢν τῇσι χερσί τι πονήσῃ, ἢ ἐφ' ἅμαξαν ἐπιβῇ, ἢ ἐφ' ἵππον. τοῦτον καίειν καὶ ἔμπροσθεν καὶ ὄπισθεν, [188] μοιρήσας ἑκάτερον, καὶ οὕτως ὑγιὴς γίνεται· ἐπέχειν δὲ τὸν πόνον ἐνιαυτὸν, καὶ παχύνεσθαι ἐκ τῆς καύσιος.

ne factus fuerit, febris & tussis detinet, confertim respirat, pedes tument, ungues omnes contrahuntur, & iisdem quibus suppuratus afficitur, verùm remissiùs ac diutiùs. Quòd si infusum, aut fomentum, aut suffitum adhibeas, pus non sequitur; indéque cognoueris, non pus, sed aquam intus esse. Si quoque diutiùs aure ad latera admotâ auscultaueris, intrinsecus velut acetum olet. Et aliquandiu his afficitur, sed postea in ventrem erumpit, confestimque sanus & morbo liberatus esse videtur. Verùm procedente tempore venter incenditur, eademque illa & ampliora patitur. Quibusdam etiam venter, & scrotum, ac facies intumescit. Et nonnulli istud ab inferiore aluo prouenire existimant, quum ventrem magnum, & pedes tumere videant. Hæc enim intumescunt, si sectionis tempus præterieris. Hunc quidem, si exteriùs intumuerit, inter costas sectione factâ curare oportet. Si verò minimè intumuerit, multâ calidâ lotum, velut purulentos in sella collocato, & quâ parte strepitum edet, eâ secato; votumque sit, quò sanè facilè effluat, ut quàm infimo loco id fiat. Post sectionem autem, linamentum ex lino crudo imponito; linamentum crassum & in summo acutum facias, & quàm paucissimam aquam parcè emittas. Et si quidem quinto die tibi linamentum pure obductum fuerit, plerúnque euadit; sin verò minimè obductum fuerit, postquã aquam exhauseris, sitis corripit & tussis, ac moritur. Pectus aut dorsum ruptum. *Si pectus aut dorsum ruptum fuerit, dolores pectus ac dorsum per totum obsident, calor aliàs atque aliàs inuadit, sputum subcruentum tussi reiicit, ac per sputum velut capillus cruentus intercurrit. Atque hæc maximè patitur, si manibus quid laborarit, aut in currum, aut equum conscenderit. Hunc antè & retrò urito, ita ut utrinque diuidas, sicque conualescit. Per annum autem à labore se contineat, & ab ustione se incrasset.*

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Περὶ τοῦ καυσώδεος πυρετοῦ, καὶ τοῦ λυγγώδεος καὶ τῶν ἑκατέρου σημείων, καὶ θεραπείας.

ΠΥρετὸς καυσώδης. Πυρετὸς ἴσχει καὶ δίψα ἰσχυρὴ, καὶ ἡ γλῶσσα τρηχείη, καὶ μέλαινα, καὶ χλωρὴ, καὶ ξηρὴ, [189] καὶ ἐξέρυθρος ἰσχυρῶς, καὶ οἱ ὀφθαλμοὶ χλωροὶ, καὶ ἀποπατέει ἐρυθρὸν, καὶ χλωρὸν, καὶ οὐρέει τοιοῦτο, καὶ πτύει πολλόν. πολλάκις δὲ καὶ μεθίσταται ὡς ἐπὶ περιπλευμονίην, καὶ παρακόπτει· τούτῳ ἂν γνοίης ὅτι περιπλευμονίη γίνεται. ἔστι ἢν μὲν γίνηται περιπλευμονικὸς, καὶ τεσσαρεσκαίδεκα ἡμέρας ὑπερφύγῃ, ὑγιὴς γίνεται· ἢν δὲ γένηται ἐν ὀκτωκαίδεκα ἡμέρῃσιν, ἢν μὴ ἀνάκαρτος γινόμενος ἔμπυος γίνηται, τοῦτον χρὴ πίνειν τὸ ἀπὸ τοῦ κρίμνου, καὶ μεταπίνειν ὄξος ὡς εὐωδέστατον λευκὸν, καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης δὶς τῆς ἡμέρης, ἢν δὲ ἀσθενὴς ᾖ, τρὶς, καὶ ἐπιπίνειν οἶνον οἰνώδεα, λευκὸν, ὑδαρέα, καὶ

CAPVT XXV.

De febre tum ardente, tum singultuosâ, earúmque signis & curatione.

FEbris ardens. *Febris & sitis vehemens detinet, lingua est aspera, nigra, ex virore pallida, sicca, & valde rubra, oculi ex virore pallescunt, alui excrementum deiicit rubrum & ex virore pallidum, talemque urinam reddit, & multùm spuit. Plerúnque etiam velut ad pulmonis inflammationem transmutatur, & delirat. Ex eo nempe pulmonis fieri inflammationem cognoueris. Hic si quidem fiat peripneumonicus, & quatuordecim dies superet, conualescit. Si verò octodecim diebus factus fuerit* peripneumonicus, *nisi impurgatus purulentus euadat, hunc aquam in quâ farina crassior macerata fuerit, bibere oportet, posteáque acetum album quam odoratissimum bibere, & ptisanæ succum bis die sorbere, ter verò, si debilis existat; & vinum generosum, album, dilutum superbibere, & quam*

quàm minimum lauare. Si verò purulentus fiat, vt purulentum curato. Febris singultuosa. *Febris vehemens detinet, rigor, tussis, & singultus; sanguinis grumos vnà cum sputo tussiendo reijcit, ac septimo die moritur. Quòd si decem dies effugerit, meliùs habet. Vigesimo autem die suppuratur, primisque diebus pus paucum tussiendo reijcit, deinde copiosius; sed intra quadragesimum diem expurgatur. Huic primis quidem diebus acetum cum melle coctũ propinato, postea acetum & aquam admisceto, quò aquosiorem potionem reddas. Ptisanæ succum pauco admixto melle sorbeat, & vinum album vinosum superbibat. Vbi verò decem dies præterierint, si febris cesset, sputumque purum fuerit, ptisanam integram aut milium sorbeat. Si verò vigesimo die pus expuat, saluiam, rutam, satureiam, origanum, & hypericum, singula æquis portionibus admixta, tusa & cribrata, omnium quantum conchæ paruæ testa capit, bibat; & cum pari polentæ modo, ex vino dulci temperato, ieiuno bibenda dato. Sorbitionibus etiam vtatur, si hyems, aut autumnus, aut ver fuerit; si verò æstas sit, minimè, verùm amygdalas contusas, cucumeris semen torrefactum, sesamum, singula æquis portionibus, in totum verò quantum conchæ testa capit, aquâ heminæ Æginææ mensurâ affusâ, aspersâ farinâ & fauo; id post potionem sorbeat. Cibis autem vtatur pinguibus, & salsis, &* piscibus *marinis potiùs quàm carnibus. Calidâ lauet, caput verò minimè. Hæc si fecerit, morbo liberatur.*

CAPVT XXVI.

De lethargo, & auante, & febre perimente, eorumque morborum signis, & curatione.

MOrbus qui lethargus vocatur. *Tussis detinet, sputum copiosum & liquidũ expuit, & nugatur, quumq; nugari desierit, dormit, & alui excrementum malè olens deijcit. Huic aquam, in qua farina crassior macerata fuerit, propinato; posteàq; vinum album vinosum bibendum exhibeto; ptisanæ succum etiã, mali punici succo admixto sorbeat, vinúmq; album vinosum superbibat; neque lauet. Hic intra dies septem moritur; si verò hos effugerit, sanus euadit.* Alius morbus, qui auante dicitur. *Non inediã, non cibum sũptum ferre potest; sed quũ ieiunus quidẽ est, viscera mussitant, & ventriculi os dolet, & aliàs varia vomit bilẽ, saliuam, pituitã, & acre; & postquã vomuit, aliquãtisper meliùs habere videtur. Vbi autẽ cibũ sumpserit, ructus ei cõtingũt, cũ rubore incẽditur, & sẽper se copiosũ alui recremẽtũ deiecturũ existimat; quũ verò desederit, flatus infra demittitur; caput dolor vexat, ac totũ corpus aliàs aliâ parte velut acus pũgere videtur; crura grauia sunt, ac debilia, tabescitque ac imbecillus euadit. Huic medicamentũ, primũ quidẽ per inferiora purgãs, deinde verò per superiora, propinato, & caput purgato. Cibis abstineat dulcibus, oleosis, & pinguibus, & crapulâ. Vomat autẽ à succis & à cibis; & pro anni tẽpore post exhibitũ*

A λούειν ὡς ἐλάχιστα. ἢν δὲ ἔμπυος γένηται, διαιτᾶν ὡς ἔμπυον. Πυρετὸς λυγγώδης. πυρετὸς ἴσχει ἰσχυρὸς, καὶ ῥῖγος, καὶ βὴξ, καὶ λύγξ, καὶ βήσσει ἅμα τῷ σιάλῳ θρόμβους αἵματος, καὶ ἑβδομαῖος ἀποθνήσκει. ἐὰν δὲ δέκα ἡμέρας ὑπερφύγῃ, ῥάων γίνεται. εἰκοστῇ δὲ ἡμέρῃ ἐμπυΐσκεται, καὶ βήσσει τὰς πρώτας ἡμέρας πύον ὀλίγον, ἔπειτα ἐπιπλέον. καθαίρεται δὲ ἐν τεσσαράκοντα ἡμέρῃσι. Τοῦτον τὰς μὲν πρώτας ἡμέρας πιπίσκειν τὸ ὄξος καὶ τὸ μέλι ἑφθὸν, καὶ μεταμίσγειν ὄξος καὶ ὕδωρ, ὑδαρὲς ποιέων. ῥοφάνειν [190] μὲν χυλὸν πτισάνης μέλι ὀλίγον παραμίσγων, καὶ οἶνον ἐπιπίνειν λευκὸν οἰνώδεα. B ἐπὴν δὲ δέκα ἡμέραι παρέλθωσιν, ἐὰν τὸ πῦρ παύσηται, καὶ τὸ πτύαλον καθαρὸν ᾖ, τὴν πτισάνην ὅλην ῥοφανέτω, ἢ τὸν κέγχρον. ἐὰν δὲ εἰκοσταῖος τὸ πύον πτύσῃ, πινέτω κόψας καὶ σήσας τοῦ ἐλελισφάκου, καὶ πηγάνου, καὶ θύμβρης, καὶ ὀριγάνου, καὶ ὑπερικὸν, ἴσον ἑκάστου ξυμμίσγων, ὅσον σκαφίδα σμικρὴν ξυμπάντων, καὶ ἀλφίτων τὸ αὐτὸ ἐπὶ οἴνῳ γλυκεῖ κεκρημένῳ, νῆστις πίνειν. καὶ ῥοφανέτω ἐὰν χειμὼν ᾖ, ἢ μετόπωρον, C ἢ ἔαρ. ἐὰν δὲ θέρος ᾖ, μὴ, ἀλλ' ἀμυγδάλια τρίβων καὶ σικύου σπέρμα πεφωσμένον, καὶ σήσαμον, ἴσον ἑκάστου, σύμπαν δὲ ὅσον σκαφίδα, ἐπιχέας ὕδατος ὅσον κοτύλην Αἰγιναίαν, ἄλητον ἐπιπάσσων καὶ κηρίον, τοῦτο ῥοφανέτω μετὰ τὸ πόμα. σιτίοισι δὲ χρήσθω λιπαροῖσι, καὶ ἁλμυροῖσι, καὶ θαλασσίοισι μᾶλλον, ἢ κρέασι. λούσθω δὲ θερμῷ, τὴν κεφαλὴν ὡς ἐλάχιστα. ταῦτα ποιέων, ἀπαλλάσσεται τῆς νούσου.

D

ΚΕΦΑΛΑΙΟΝ Κϛ'.

Περὶ τοῦ ληθαργοῦ, καὶ τῆς αὐάντης, καὶ τοῦ φονώδους πυρετοῦ· καὶ τῆς τούτων τῶν παθημάτων σημειώσεώς τε καὶ θεραπείας.

Νοῦσος ἡ καλουμένη λήθαργος. Βὴξ ἴσχει, καὶ τὸ σίαλον πτύει πουλὺ καὶ ὑγρὸν, καὶ φλυηρέει, καὶ ὅταν παύσηται φλυηρέων, [191] εὕδει, καὶ ἀποπατέει κάκοδμον. Τοῦτον πιπίσκειν τὸ ἀπὸ τοῦ κρίμνου, E καὶ μεταπιπίσκειν οἶνον λευκὸν οἰνώδεα· καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης, ξυμμίσγειν δὲ σίδης χυλὸν, καὶ οἶνον ἐπιπίνειν οἰνώδεα λευκόν· καὶ μὴ λούειν. οὗτος ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει· ἐὰν δὲ ταύτας ὑπερφύγῃ, ὑγιὴς γίνεται. Ετέρη νοῦσος ἡ λεγομένη [192] αὐάντη. Οὐκ ἀνέχεται ἄσιτος, οὐδὲ βεβρωκὼς, ἀλλ' ὅταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει, καὶ καρδιώσσει, καὶ ἐμέει ἄλλοτε ἀλλοῖα, καὶ χολὴν, καὶ σίαλα, καὶ λάπην, καὶ δριμύ· καὶ ἐπὴν ἐμέσῃ, ῥάων δοκέει εἶναι ἐπ' ὀλίγον. ἐπὴν δὲ φάγῃ, ἐρύγματά οἱ γίνεται, F καὶ φλογιᾷ, καὶ ἀποπατήσειν αἰεὶ οἴεται πουλύ, ἐπὴν δὲ καθίζηται, φῦσα ὑποχωρέει· καὶ τὴν κεφαλὴν ὀδύνη ἔχει, καὶ τὸ σῶμα πᾶν ὥσπερ [193] ῥαφὶς κεντέειν δοκεῖ ἄλλοτε ἄλλῃ· καὶ τὰ σκέλεα βαρέα, καὶ ἀσθενέα, καὶ μινύθει, καὶ ἀσθενὴς γίνεται. Τοῦτον φάρμακον πιπίσκειν, πρῶτον μὲν κάτω, ἔπειτα δὲ ἄνω, καὶ τὴν κεφαλὴν καθαίρειν· καὶ σιτίων ἀπέχεσθαι γλυκέων, καὶ ἐλαιηρῶν, καὶ πιόνων, καὶ θωρηξίων. ἐμέειν δὲ τοῖσι χυλοῖσι, καὶ ἀπὸ σιτίων· καὶ τῆς ὥρης ὅτου γάλα

ἢ ὀῤῥὸν πιπίσκειν, φάρμακον προσπιπίσαι, ὁκότερόν σοι δοκέῃ μᾶλλον δεῖσθαι. καὶ ψυχρολουτέειν τὸ θέρος καὶ τὸ ἔαρ· τὸ φθινόπωρον δὲ καὶ τὸν χειμῶνα ἀλείμματι χρῆσθαι, καὶ περιπατέειν, καὶ γυμνάζεσθαι ὀλίγα· ἢν δὲ ἀσθενέστερος ᾖ, ὥστε γυμνάζεσθαι, ὁδοιπορίῃ χρῆσθαι. καὶ σιτίοισι ψυχροῖσι καὶ διαχωρητικοῖσι χρήσθω· καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ. ἡ δὲ νοῦσος χρονίη, καὶ ἀπογηράσκοντας ἢν μέλλῃ ἀπολείπειν· ἢν δὲ μὴ, συναποθνήσκει. Πυρετὸς ὁ φονώδης λεγόμενος. Πυρετὸς ἴσχει καὶ ῥῖγος· καὶ αἱ ὀφρύες ἐπικρέμασθαι δοκέουσι, καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ ἐμέει σίαλον θερμὸν, καὶ χολὴν πολλὴν, ἐνίοτε καὶ κάτω ὑποχωρέει· καὶ τοὺς ὀφθαλμοὺς αἱ [194] χῶραι οὐ χωρέουσι, καὶ ὀδύνη ἐς τὸν αὐχένα, καὶ ἐς τοὺς βουβῶνας ἴσχει, καὶ [195] δυσθενέει, καὶ φλυηρέει. οὗτος ἑβδομαῖος, ἢ καὶ πρότερον ἀποθνήσκει· ἢν δὲ ταύτας ὑπεκφύγῃ, ὡς τὰ πολλὰ ὑγιαίνει· ἡ δὲ νοῦσος θανατώδης. Τούτῳ ψύγματα χρὴ προστιθέναι πρὸς τὰ σπλάγχνα, καὶ πρὸς τὴν κεφαλὴν, καὶ πίνειν διδόναι [196] ἐῤῥήξαντα τὰς κάχρυς σὺν τοῖσιν ἀχύροισι, καὶ ἀποβρέχοντα, καὶ ἀπηθέοντα τὸ ὕδωρ, ἐν τούτῳ μελίκρητον ποιέοντα, ὑδαρὲς οὕτω διδόναι. σιτίον δὲ μὴ προσφέρειν, μηδὲ ῥόφημα ἑπτὰ ἡμερέων, ἄχρις ἢν μὴ ἀσθενής τοι δοκέῃ εἶναι· ἢν δὲ ἀσθενὴς ᾖ, χυλὸν πτισάνης ψυχρὸν καὶ λεπτὸν ὀλίγον διδόναι δὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν ὕδωρ. ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσι, καὶ τὸ πῦρ μεθῇ, κέγχρον λείχειν. ἐς ἑσπέρην δὲ κολοκύνθην, ἢ τεῦτλα διδόναι ὀλίγα, καὶ οἶνον λευκὸν ὑδαρέα ἐπιπίνειν, ἔστ' ἂν γένηται ἐναταῖος· ἔπειτα σιτίῳ ὡς ἐλαχίστῳ χρήσθω, ἀριστιζόμενος κέγχρον. λουτρῷ δὲ, ἔστ' ἂν ἡ ὀδύνη ἔχῃ καὶ ὁ πυρετὸς, μὴ χρήσθω· ἐπὴν δὲ παύσηται, λούσθω πολλῷ. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ, ἢ βαλάνους προστιθέναι. ἐπὴν δὲ ἰσχύσῃ, προσθεὶς πρὸς τὰς ῥῖνας φάρμακον μαλθακὸν, τὴν κοιλίην κάτω καθῆραι, ἔπειτα γάλα ὄνου μετάπισον.

lac aut serum asininum, medicamentum, vtro tibi magis opus esse videatur, insuper propinato. Frigidâ, æstate & vere lauet; autumno verò & hyeme vnguento vtatur, & deambulet ac modicè sese exerceat. Quòd si debilior sit, quàm vt exerceri queat, iter conficiat. Cibis frigidis ac deijcientibus vtatur; & si venter non subducatur, emollienti clystere subluito. Hic morbus diuturnus est, qui si discessurus sit, consenescẽtes deserit; sin minùs, ipsis commoritur. Febris perimens dicta. Febris detinet, & rigor; supercilia impendere videntur, caput dolet, saliuam calidam, & bilem copiosam vomit, interdúmque per inferiora deijcit; oculorum loca eos non capiunt, dolor ad ceruicem & inguina irruit, infirmis est viribus, & nugatur. Hic septimo die aut etiam priùs moritur. Si verò hunc effugerit, plerunque conualescit. Morbus autem lethalis est. Huic refrigerantia ad viscera, & caput admouere oportet, & hordea torrefacta vnà cum paleis confracta bibenda exhibere, & ex aquâ in qua macerata fuerint, excolatâ, mulsam conficere, eamque dilutam propinare. Haud cibus autem, neque sorbitio ad vsque septimum diem offerenda, nisi tibi debilis esse videatur. Si verò sit debilis, ptisanæ succus frigidus ac tenuis paucus bis die exhibendus, & aqua superbibenda. At vbi septem dies præterierint, & febris dimiserit, milium delingendum. Sub vesperum cucurbita & betæ paucæ exhibendæ, vinumque album aquosum superbibendum, quoad nonus accesserit dies. Deinde quàm paucissimo cibo vtatur, milio in prandio sumpto. Balneo, quandiu dolor & febris detinent, ne vtatur. Vbi verò cessauerint, multâ lauet. Quòd si venter non deijciat, eum emolliente clystere subluito, aut glandes subdito. At vbi vires valuerint, molli medicamento ad nares admoto, aluum per inferiora purgato, deinde lac asininum propinato.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ τῆς πελίης νόσου καὶ ἐρυγματώδεος· καὶ τῶν ἑκατέρης σημείων καὶ θεραπείας.

Πελίη νοῦσος. Πυρετὸς ἴσχει ξηρὸς, καὶ φρὶξ ἄλλοτε καὶ ἄλλοτε, καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ τὰ σπλάγχνα ὀδύνη ἔχει, καὶ ἐμέει χολήν· καὶ ὅταν ἡ ὀδύνη ἔχῃ, οὐ δύναται [197] ἀνορᾷν, ἀλλὰ βαρύνεται, καὶ ἡ γαστὴρ [198] σκληρὴ γίνεται, καὶ ἡ χροιὴ πελιδνὴ, καὶ τὰ χείλεα, καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ, πελιδνὰ, καὶ ἐξορᾷ ὡς ἀγχόμενος· ἐνίοτε καὶ τὴν χροιὴν μεταβάλλει, καὶ ἐκ πελιδνοῦ ὑπόχλωρος γίνεται. Τοῦτον φάρμακον πιπίσκειν καὶ κάτω καὶ ἄνω, καὶ ὑποκλύζειν, καὶ ἀπὸ τῆς κεφαλῆς ἀποκαθαίρειν· καὶ θερμῷ ὡς ἥκιστα λούειν, ἀλλὰ καὶ ἐπὴν λούηται, [199] εἱληθερέειν, καὶ ὀῤῥὸν τὴν ὥρην, καὶ γάλα ὄνου πιπίσκειν· καὶ σιτίοισιν ὡς μαλθακωτάτοισι χρῆσθαι καὶ ψυχροῖσιν, ἀπεχόμενον τῶν δριμέων καὶ τῶν ἁλμυρῶν, λιπαρωτέροισι δὲ καὶ γλυκυτέροισι καὶ πιοτέροισι χρήσθω. ἡ δὲ νοῦσος ὡς τὰ πολλὰ συναποθνήσκει τῷ κάμνοντι. Νοῦσος ἐρυγματώδης. Ὀδύνη λάζεται ὀξείη,

CAPVT XXVII.

De morbo liuido ac ructuoso, eorumque signis & curatione.

Liuidus morbus. *Febris sicca detinet, subindeque horror, caput dolet, viscera dolor occupat, bilem vomit; qúmque dolor detinet, sursum tueri nequit, sed grauatur, venter durus fit, & color liuidus, labra & oculorum candida liuescunt, ac tanquam qui strangulatur, aspicit; interdum etiam colorem mutat, & ex liuido cum virore aliquantulùm pallescit. Huic medicamentum tum sursum, tum deorsum purgans propinato; aluum subluito, & à capite purgato. Calidâ quàm minimùm lauet, verùm vbi lauerit, apricetur; serum & lac asininum, pro anni tempore bibat; cibis quàm mollissimis & frigidis vtatur, acribus & salsis abstineat; vnguinosa verò & dulcia pinguiaque assumat. Hic autem morbus cum ægro plerunque commoritur.* Morbus ructuosus. *Dolor acutus prehendit, vehementerque*

vehementerq; laborat, seipsum ipse iactat, vociferatur, frequenter eructat, ac vbi eructauerit, melius habere videtur. Sæpe verò paucam bilem euomit, quantum capit *poculi parui mensura, dolor à visceribus ad imum ventrem, & laterum mollitudinem prehendit; qumque id contigerit, meliùs habere videtur: venter inflatur, & durescit, strepitum edit, neque flatus neque stercus deijcitur. Hunc si dolor detinuerit, calidâ multâ lauato, & tepentes fotus admoueto. Quum verò in ventre dolor ac flatus extiterit, aluum clystere subluito, & mercurialis succum coctum cum ptisanæ succo admisceto, & vinum dulce aquosum superbibendum dato. Cibum, quoad dolor remiserit, ne exhibeas; aquam autem ex vinaceis dulcibus per noctem maceratis, sex diebus bibat. Quòd si vinacea non habeat, mel cum aceto coctum* bibat. *At postquam dolorem amouerit, medicamento aluum per inferiora purgato. Cibis vtatur mollibus & aluū subducentibus, & marinis potiùs, quā carnibus; carnibus autem auicularum & oviū coctis; betas etiam & cucurbitam* edat, *reliquis verò abstineat. Hic autem morbus quum iuuenem inuaserit, tempore decedit; si verò seniorem, ad mortem comitatur.*

A καὶ πονέει ἰσχυρῶς, καὶ ῥιπτάζει αὐτὸς ἑωυτὸν, καὶ βοᾷ, καὶ ἐρυγγάνεται θαμινὰ, καὶ ἢν ἀπερυγῇ, δοκέει ῥάων εἶναι. πολλάκις δὲ καὶ χολὴν ἀπεμέει ὀλίγην, ὅσον βρέγμα, καὶ ὀδύνη λαμβάνει ἀπὸ τῶν σπλάγχνων ἐς τὴν νειαίρην γαστέρα καὶ τὴν λαπάρην. καὶ ἐπὴν τοῦτο γένηται, ῥάων δοκέει εἶναι. καὶ ἡ γαστὴρ φυσᾶται, καὶ σκληρὴ γίνεται, καὶ ψοφέει, καὶ ἡ φῦσα οὐ διαχωρέει, οὔτε ὁ ἀπόπατος. Τοῦτον ἢν ὀδύνη ἔχῃ, λούειν πολλῷ θερμῷ, καὶ χλιάσματα προστιθέναι. ὅταν δὲ ἐν τῇ γαστρὶ ἡ ὀδύνη ᾖ καὶ ἡ φῦσα,
B ὑποκλύζειν, καὶ τῆς λινοζώστιος ἑψῶν τὸν χυλὸν, ξυμμίσγειν τῆς πτισάνης τῷ χυλῷ, καὶ ἐπιπίνειν οἶνον γλυκὺν ὑδαρέα. σιτίον δὲ μὴ προσφέρειν ἕως ἂν ἡ ὀδύνη χαλάσῃ, πινέτω δὲ ἓξ ἡμέρας, ἐκ νυκτὸς στέμφυλα βρέχων γλυκέα, τὸ ὕδωρ τὸ ἀπὸ τούτων. ἢν δὲ μὴ ἔχῃ στέμφυλα, μέλι καὶ ὄξος ἑφθόν. ἐπὴν δὲ τῆς ὀδύνης [100] ἀποκινήσῃ, φαρμάκῳ κάτω τὴν κοιλίην καθαίρειν. σιτίοισι δὲ χρήσθω μαλθακοῖσι καὶ ὑποχωρητικοῖσι, καὶ θαλασσίοισι μᾶλλον, ἢ κρέασι. κρέασι δὲ
C ὀρνιθείοισι καὶ μηλείοισιν ἑφθοῖσι. καὶ τεῦτλα καὶ κολοκύνθην, τῶν δ' ἄλλων ἀπέχεσθαι. ἡ δὲ νοῦσος, ὅταν μὲν νέον λάβῃ, χρόνῳ ἐξέρχεται. ἢν δὲ πρεσβύτερον, συναποθνήσκει.

CAPVT XXVIII.

De morbo pituitoso mulieres potiùs, quàm viros obsidente; & pituitâ albâ seu leucophlegmatiâ; & vtriusque signis & curatione.

MOrbus pituitosus. *Virum quidem etiam, mulierem tamen magis inuadit; & hæc quidem crassa est, & bene colorata; sed iter faciens imbecilla redditur, præsertim verò vbi ad arduum locum contendit; febris tenuis, interdumque suffocatio prehendit, & quum ieiuna quidem est, bilem, saliuamque copiosam euomit, & plerúnque vbi cibum sumpsit; cibi tamen nihil. Quum laborarit, dolor modò pectus, modò dorsum occupat, & rubicundis cutis eminentijs velut ab vrtica inustis completur. Huic medicamentum purgans propinato, serum & lac asininum bibat. Quòd si serum potet, quam plurimis antè diebus medicamentum per inferiora purgans bibendum exhibeto; qumque serum bibere desierit, lac asininum posteà bibat; & vbi biberit, cibis quidem abstineat, vinum autem quam suauissimum bibat, vbi purgari desierit. Quum verò à potione cessauerit, milium in prandio sumat; sub vesperum autem cibo quàm mollissimo & paucissimo vtatur, & pinguibus, dulcibus, ac oleosis abstineat; & aliàs atque aliàs, præsertim hyeme, vbi olera antè comederit, ex lenticulæ decocto vomat; calidâ quàm minimùm lauet, sed ad solem apricetur. Hic verò morbus ad mortem comitatur.* Pituita alba. *Totum corpus albo tumore tumet, venter ad contactum crassus est; pedes, coxæ, tibiæ & scrotum tument; respiratio densâ est, vultus rubicundus, os aridum, & sitis detinet; qumque comêdit, spiritus creber incidit.*

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ τοῦ φλεγματώδους νοσήματος, γυναῖκα μᾶλλον ἢ ἄνδρα λαζομένου· καὶ περὶ τοῦ λευκοῦ φλέγματος ἢ λευκοφλεγματίου· καὶ τῆς ἀμφοτέρων σημειώσεώς τε καὶ
D θεραπείας.

NΟῦσος φλεγματώδης. Λάζεται μὲν καὶ ἄνδρα, μᾶλλον δὲ γυναῖκα· καὶ παχείη μέν ἐστι καὶ εὔχρως, ὁδοιπορέουσα δὲ ἀσθενέει, μάλιστα δὲ ἐπὴν πρὸς αἶπος ἴῃ· καὶ πυρετὸς λεπτὸς λαμβάνει, ἐνίοτε καὶ πνῖγμα, καὶ ἀπεμέει μὲν ὅταν ἄσιτος ᾖ, χολὴν καὶ σίαλα πολλὰ, πολλάκις δὲ καὶ ὅταν φάγῃ· τοῦ δὲ σιτίου οὐδέν. καὶ ὅταν πονήσῃ, ὀδυνᾶται καὶ ἄλλοτε ἄλλῃ τὸ στῆθος καὶ τὸ μετάφρενον, καὶ κα-
E ταπίμπλαται [101] πομφῶν ὡς ὑπὸ κνίδης. Τοῦτον, φάρμακον πιπίσκειν, καὶ ὀῤῥὸν καὶ γάλα ὄνου πινέτω. ἢν δὲ ὀῤῥοποτέῃ, προπῖσαι φάρμακον κάτω ὡς πλείστας ἡμέρας· καὶ ἢν ἀπολήγῃ τῆς ὀῤῥοποτίης, μεταπιέτω γάλα ὄνειον, ἐπὴν δὲ πίνῃ, σιτίων μὲν ἀπεχέσθω, οἶνον δὲ πινέτω ὡς ἥδιστον, [102] ἐπ' ἢν παύσηται καθαιρόμενος. ἐπὴν δὲ ἀπολήξῃ τῆς πόσιος, ἀριστιζέτω μὲν κέγχρον, ἑσπέρης δὲ σιτίῳ ὡς μαλθακωτάτῳ χρήσθω, καὶ ἐλαχίστῳ, ἀπεχέ-
F σθω δὲ πιόνων καὶ γλυκέων, καὶ ἐλαιηρῶν. καὶ ἄλλοτε καὶ ἄλλοτε, μάλιστα τοῦ χειμῶνος, ἀπεμεέτω τῷ φακίῳ, λάχανα προτρώγων, καὶ θερμῷ ὡς ἥκιστα λούσθω, ἀλλὰ καὶ [103] εἱληθερεέτω. ἡ δὲ νοῦσος συναποθνήσκει. Φλέγμα λευκόν. Οἰδέει ἅπαν τὸ σῶμα λευκῷ οἰδήματι, καὶ ἡ γαστὴρ παχείη ψαυομένη, καὶ οἱ πόδες καὶ οἱ μηροὶ οἰδέουσι, καὶ αἱ κνῆμαι, καὶ ἡ ὄσχη· καὶ διαπνεῖ ἀθρόον, καὶ τὸ πρόσωπον ἐνερευθὲς, καὶ τὸ στόμα ξηρὸν, καὶ δίψα ἴσχει· καὶ ἐπὴν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει,

ἔστι τῆς αὐτῆς ἡμέρης [104] ποτὲ μὲν ῥάων γίνεται, ποτὲ δὲ κάκιον ἴσχει. [105] Τούτῳ ἢν μὲν ἡ γαστὴρ ταραχθῇ αὐτομάτη ἀρχομένης τῆς νούσου, ἐγγυτάτω ὑγιὴς γίνεται· ἢν δὲ μὴ ταραχθῇ, φάρμακον διδόναι κάτω, ὑφ' οὗ ὕδωρ καθαρεῖται· καὶ θερμῷ μὴ λούειν καὶ πρὸς τὴν αἰθρίην χωρίζειν, [106] καὶ τὴν ὄσχην ἀποτύπτειν, ἐπὴν πιμπρῆται. σιτίοισι δὲ χρήσθω, ἄρτῳ καθαρῷ ψυχρῷ, καὶ τεύτλοις, καὶ ἰχθύσι σκορπίοισιν ἑφθοῖσι· τῷ δὲ ζωμῷ ὡς ἐλαχίστῳ· καὶ ψυχρὰ πάντα, καὶ μὴ [107] γλυκέα, μηδὲ λιπαρά· ἀλλὰ τετριμμένα, καὶ ὀξέα, καὶ δριμέα, πλὴν σκορόδου, ἢ κρομμύου, ἢ πράσου· ὀρίγανον δὲ καὶ θύμβρην πολλὴν ἐσθίειν, καὶ οἶνον ἐπιπίνειν οἰνώδεα, καὶ ὁδοιπορέειν πρὸ τοῦ σιτίου. ἢν δὲ [108] ὑπὸ τοῦ φαρμάκου οἰδίσκεται, κλύζειν, καὶ τῷ σιτίῳ πιέζειν, καὶ περιπάτοισι, καὶ ἀλουσίῃ. φάρμακα δὲ ὡς ἐλάχιστα διδόναι· ἄνω δὲ μηδὲ ἔμπροσθεν, ἢ τὰ οἰδήματα κατέλθοι ἐς τὸ κάτω. ἢν δὲ ἰσχνοῦ ἤδη ἐόντος, πνῖγμα ἐν τοῖσι στήθεσιν ἐγγίνεται, ἐλλέβορον δὸς πίνειν, καὶ τὴν κεφαλὴν καθῆραι, κἄπειτα κάτω πίσαι. ἡ δὲ νοῦσος μάλιστα διαχρίνει ἐν οὐδενί.

Hic eodem die interdùm quidem meliùs, interdùm verò peiùs habet. Huic si venter per morbi initia suâ quidem sponte turbatus fuerit, sanitati est proximus. Quòd si non turbetur, medicamentum deorsum purgans, quo aqua purgetur, exhibeto; calidâ ne lauet; ad sudum deducatur; & scrotum vbi impletum fuerit, secato. In cibis pane puro, frigido vtatur, & betis, piscibusque scorpijs coctis, iure autem quàm paucissimo. Frigida omnia edat, non dulcia, neque pinguia, sed contrita, & acida, & acria, allio excepto, cepâ, & porro. Origanum autem & satureiam copiosam edat, vinumque vinosum superbibat; & ante cibum iter faciat. At si à medicamento tumeat, dysterem iniicito, cibo premito, deambulationibus & illuuie. Medicamenta autem purgantia quàm paucissima exhibeto; minimè verò sursum purgans, priusquam tumores ad inferiora descenderint. Quòd si extenuato iam ipso, in pectore suffocatio oboriatur, veratrum bibendum dato, caput purgato, deinde medicamentum deorsum purgans propinato. Hic verò morbus nullum ferè deserit.

ΚΕΦΑΛΑΙΟΝ ΚΘʹ.

Περὶ τῶν μελαγχολικῶν νοσημάτων, τῆς φροντίδος, νόσου χαλεπῆς· καὶ τῶν τριῶν μελάνων παθημάτων καὶ τῆς τούτων σημειώσεώς τε καὶ θεραπείας.

[109] Φροντίς, νοῦσος χαλεπή. Δοκεῖ ἐν τοῖσι σπλάγχνοισιν εἶναι οἷον ἄκανθα, καὶ κεντεῖν· καὶ ἄση αὐτὸν λάζεται, καὶ τὸ φῶς φεύγει, καὶ τοὺς ἀνθρώπους, καὶ τὸ σκότος φιλεῖ, καὶ φόβος λάζεται· καὶ αἱ φρένες οἰδέουσιν ἐκτὸς, καὶ ἀλγεῖ ψαυόμενος καὶ φοβεῖται, καὶ δείματα ὁρᾷ καὶ ὀνείρατα φοβερὰ, καὶ τοὺς τεθνηκότας ἐνίοτε. καὶ ἡ νοῦσος ἐνίοτε τοὺς πλείστους λαμβάνει τοῦ ἦρος. Τοῦτον ποτίσκειν ἐλλέβορον, καὶ τὴν κεφαλὴν καθαίρειν· καὶ μετὰ τὴν κάθαρσιν τῆς κεφαλῆς, κάτω πίσαι φάρμακον· καὶ μετὰ ταῦτα πίνειν γάλα ὄνου. σιτίοισι δὲ χρήσθω ὡς ἐλαχίστοισιν, ἢν μὴ ἀσθενὴς ᾖ, καὶ ψυχροῖσι, καὶ διαχωρητικοῖσι, καὶ μὴ δριμέσι, μηδὲ ἁλμυροῖσι, μηδὲ λιπαροῖσι, μηδὲ γλυκέσι. μηδὲ [110] θερμολουέσθω, μηδὲ οἶνον πινέτω, ἀλλὰ μάλιστα μὲν ὕδωρ, εἰ δὲ μὴ, οἶνον ὑδαρέα· μηδὲ γυμναζέσθω, μηδὲ περιπατείτω. Ταῦτα ποιέων, ἀπαλλάσσεται τῆς νούσου, χρόνῳ· ἢν δὲ μὴ ἐπιμελήσῃ, ξυναποθνήσκει. Μέλαινα νοῦσος. [111] Μέλαιναν ἐμέει οἷον τρύγα, ὁτὲ μὲν αἱματώδεα, ὁτὲ δὲ οἷον οἶνον τὸν δεύτερον, ὁτὲ δὲ οἷον πολύπου θολὸν, ὁτὲ δὲ δριμὺ οἷον ὄξος, ὁτὲ δὲ σίαλον καὶ λάπην, ὁτὲ δὲ χολὴν χλωρήν. καὶ ὅταν μὲν τὸ μέλαν τὸ αἱματῶδες ἐμέῃ, δοκεῖ οἷον φόνου ὄζειν, καὶ ἡ φάρυγξ καὶ τὸ στόμα καίεται ὑπὸ τοῦ ἐμέσματος, καὶ τοὺς ὀδόντας αἱμωδιᾷ, καὶ τὸ ἔμεσμα τὴν γῆν αἴρει· καὶ ἐπὴν ἀπεμέσῃ, δοκέει ῥάων εἶναι ἐπ' ὀλίγον. καὶ [112] οὐκ ἀνέχεται οὔτ' ἄσιτος ὢν, οὔτε πλέον βεβρωκώς· ἀλλ' ὁκόταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει, καὶ τὰ σίαλα ὀξέα· ὅταν δέ τι φάγῃ, βάρος ἐπὶ τοῖσι σπλάγχνοισι, καὶ τὸ στῆθος καὶ τὸ μετάφρενον δοκεῖ οἷον γραφείοισι κεντεῖσθαι, καὶ τὰ πλευρὰ ἔχει ὀδύνη,

CAPVT XXIX.

De morbis melancholicis, sollicitudine, morbo difficili; & morbis nigris tribus; eorumque curatione.

CVra, molestus morbus. *Viscera veluti spinarum aculeos habere, & his pungi videtur; anxietas ipsum inuadit, lucem & homines fugit, tenebras amat, metus corripit; septum transuersum foris tumet, ad contactũ dolet; terretur, pauores & somnia formidãda cernit, quandoq; & mortuos. Morbus hic interdum plurimos vere prehendit. Veratrum huic propinato, & caput purgato; post capitis purgationẽ, medicamentũ per inferiora purgãs bibendum exhibeto; & posteà lac asininũ bibat. Cibis quã paucissimis, nisi infirmis fuerit viribus, vtatur, & frigidis, ac aluũ subducentibus, nõ acribus, non salsis, nõ pinguibus, neq; dulcibus. Calidâ nõ lauet, neq; vinum bibat, sed aquam quidem maximè, alioqui vinum dilutum; neq; se exerceat, neque deambulet. Hæc si fecerit, temporis successu morbo liberatur; si verò neglexerit, commoritur.* Morbus niger. Bilem *atrã tanquam fæcem vomit, interdùm quidem velut sanguinem, interdũ verò velut vinum secundarium, quandoq; etiam velut polypi atramentum, quandoque acidum tanquam acetum, nonnunquam verò salinam & pituitam, nonnunquam bilem ex viridi pallidam. Et quum nigrũ quidem cruentũ vomuerit, cædem olere videtur; fauces & os vomitu incẽduntur, dentes stupescunt, & quod vomitione reiectũ est, terrã attollit; quũq; vomuerit, paulò meliùs habere videtur. Neq; sine cibo esse, neq; copiosiorẽ cibũ deuoratũ ferre potest. Verũ quũ ieiunus fuerit, viscera mussitant, & salinæ acescunt. Quũ verò quicquã ederit, põdus in visceribus* percipitur, *pectus & dorsũ tanquã stilis pũgi videtur, latera dolor detinet,* febris

febris leuis est, caput dolet, oculis non videt, crura grauantur, color nigricat, & tabescit. Huic medicamentum purgans crebrò propinato, & serum, & lac pro anni tempore, & cibis abstineat dulcibus, oleosis, & pinguibus, vtatúrque quàm frigidissimis ac maximè aluum subducentibus; caput purgato, & post potiones medicamentorum per superiora purgantium, nisi debilis fuerit, sanguinem ex brachijs detrahito. Quòd si aluus non deijciat, emollienti infuso subluito. Crapulâ & venere abstineat; sed si venere vtatur, ieiunus fomentis vtatur, & sole abstineat, neque multùm se exerceat, neque deambulet, neque calidâ lauet, neque acria edat, neque salsa. Hæc facienda, & cum ætate etiam morbus aufugit, aut etiam cum copore senescit. Si verò denigratus sit, commoritur. Alius niger morbus. *Subfuluus, gracilis, & oculis ex virore pallescentibus euadit; tenui est cute, & debilis existit; quóque diutiùs hic morbus detinet, eò magis affligit; & quouis tempore velut stillam modicam vomit, ad duo parua pocula, cibumque frequenter, & cum cibo bilem ac pituitam; post vomitum totum corpus dolet, interdumque etiam priusquàm vomat; horrores leues, & febris detinet, sumptisque dulcibus & oleosis præcipuè vomit. Hunc medicamentis per inferiora & superiora purgare oportet, posteáque lac asininum bibendum exhibere. Cibis vtatur quam mollissimis ac frigidis, piscibusque littoralibus & cartilagineis, betis, cucurbitis, & carnibus contritis. Vinum album, vinosum, dilutius bibat. Vehementiore autem exercitatione in deambulationibus vtatur, neque calidâ lauet, ac sole abstineat. Hæc agenda; verùm lethalis quidem morbus non est, sed consenescit.* Morbus sideratorius. *In reliquis quidem eadem patitur, verùm bilis grumos concretos vomit; eodemque modo per inferiora deijcit, vbi ciborum recrementa excreuerit. Eadem verò facienda, quæ in superiore morbo commemorata sunt; & aluus clystere proluenda.*

καὶ πυρετὸς βληχρός, καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρᾷ, καὶ τὰ σκέλεα βαρέα, καὶ ἡ χροιὴ μέλαινα, καὶ μινύθει. Τοῦτον φάρμακον πιπίσκειν θαμά, καὶ ὀῤῥὸν καὶ γάλα τὴν ὥρην, καὶ σιτίων ἀπέχειν γλυκέων, καὶ λιπαρῶν, καὶ πιόνων, καὶ χρῆσθαι ὡς ψυχροτάτοισι, καὶ ὑποχωρητικωτάτοισι, καὶ τὴν κεφαλὴν καθαίρειν, καὶ μετὰ τὰς φαρμακοποσίας τὰς ἄνω, ἀπὸ τῶν χειρῶν τοῦ αἵματος ἀφιέναι, ἢν μὴ ἀσθενὴς ᾖ· ἢν δὲ ἡ κοιλίη μὴ ὑποχωρέῃ, ὑποκλύζειν μαλθακῷ κλύσματι. καὶ θωρηξίων ἀπέχεσθαι, καὶ λαγνείης· ἢν δὲ λαγνεύῃ, νῆστις πυριᾶσθαι, καὶ τοῦ ἡλίου ἀπέχεσθαι, μηδὲ γυμνάζεσθαι πολλά, μηδὲ περιπατέειν, μηδὲ θερμολουτέειν, μηδὲ δριμέα ἐσθίειν, μηδὲ ἁλυκά. Ταῦτα ποιέειν, καὶ ἅμα τῇ ἡλικίῃ ἀποφεύγει καὶ ἡ νοῦσος, ἢ καὶ καταγηράσκει σὺν τῷ σώματι· ἢν δὲ μελανθῇ, συναποθνήσκει. Ἄλλη μέλαινα νοῦσος. [114] Ὑπόπυρος, καὶ ἰσχνός, καὶ τοὺς ὀφθαλμοὺς ὑπόχλωρος γίνεται· λεπτόδερμος, καὶ ἀσθενὴς τελέθει· ὅσῳ δ' ἂν χρόνος πλείων ᾖ, ἡ νοῦσος μᾶλλον πονέει· καὶ ἐμέει πᾶσαν ὥρην, οἷον σταλαγμὸν ὀλίγον κατὰ δύο βρόχθους, καὶ τὸ σιτίον θαμινά, καὶ σὺν τῷ σιτίῳ χολήν, καὶ φλέγμα· καὶ μετὰ τὴν ἔμεσιν ἀλγέει τὸ σῶμα πᾶν, ἔστι δ' ὅτε καὶ πρὶν ἐμέσαι, καὶ φρῖκαι λεπταὶ καὶ πυρετὸς ἴσχει, καὶ πρὸς τὰ γλυκέα καὶ ἐλαιώδεα μάλιστα ἐμέει. Τοῦτον καθαίρειν χρὴ φαρμάκοισι καὶ κάτω καὶ ἄνω, καὶ μεταπιπίσκειν γάλα ὄνου. καὶ σιτίοισι χρῆσθαι, ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι, καὶ ἰχθύσιν ἀκταίοισι, καὶ σελάχεσι, καὶ τεύτλοισι, καὶ κολοκύντῃσι, καὶ κρέασι τετριμμένοισιν· οἶνον δὲ πίνειν λευκὸν οἰνώδεα, ὑδαρέστερον· ταλαιπωρίῃ δὲ ἐν περιπάτοισι χρῆσθαι, καὶ μὴ θερμολουτέειν, καὶ τοῦ ἡλίου ἀπέχεσθαι. Ταῦτα ποιέειν· ἡ δὲ νοῦσος θανατώδης μὲν οὔ, ξυγκαταγηράσκει δέ. Σφακελώδης. Τὰ μὲν ἄλλα τὰ αὐτὰ πάσχει, ἐμέει δὲ θρόμβους πεπηγότας χολῆς· καὶ κάτω ὁμοίως, ἐπὴν τὰ σιτία ὑποπατήσῃ. Δρᾷν δὲ χρὴ τὰ αὐτὰ ἅπερ ἐπὶ τῆς προτέρης ἐλέχθη, καὶ ὑποκλύζειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ, ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

HIPPOCRATIS DE MORBIS, LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Αἵδε αἱ νόσοι διδάσκονται, οἴδημα ἐγκεφάλου, πλήρωμα ὀδυνῶδες ἐγκεφάλου, βλητὸς, σφακελισμὸς ἐγκεφάλου, λήθαργος, καυσώδης πυρετὸς, ὁ πλεύμων οἰδῶν, κεφαλῆς ὀδύνη, φρενῖτις, κυνάγχη, ἴκτερος, τέτανος, ὀπισθότονος, εἰλεὸς, περιπνευμονία, πλευρῖτις· καὶ τὰ πόματα τὰ ἐν τοῖς καύσοις πίνειν διδόμενα.

ARGVMENTVM LIBRI.

Hi docentur morbi, cerebri tumor, cerebri dolorifica repletio, sidere ictus, sideratio cerebri, lethargus, febris ardens, pulmo tumens, capitis dolor, phrenitis, angina, icterus, tetanus, opisthotonus, conuoluulus, peripneumonia, pleuritis; & potiones in ardente febre exhibendæ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Οἴδημα φλεγμονῶδες τοῦ ἐγκεφάλου, καὶ τὰ τούτου διαγνωστικὰ, καὶ προγνωστικὰ, καὶ ἡ θεραπεία.

ΠΕΡΙ μὲν οὖν πυρετῶν ἁπάντων, εἴρηταί μοι· ἀμφὶ δὲ τῶν λοιπῶν, ἐρέω ἤδη. Οἴδημα ἐγκεφάλου. Ὁκόταν ὁ ἐγκέφαλος οἰδήσῃ ὑπὸ φλεγμασίης, ὀδύνη ἴσχει ἅπασαν τὴν κεφαλὴν, μάλιστα δὲ, ὅπῃ στῇ ἡ φλεγμασίη· ἵσταται δὲ ἐν τῷ κροτάφῳ, καὶ τά τε ὦτα ἠχῆς πλήρεα γίνεται, καὶ ἀμβλύνει ἡ ἀκοὴ, καὶ φλέβες τέτανται, καὶ σφύζουσι, πυρετός τε καὶ ῥῖγος ἐνίοτε ἐπιλαμβάνει, ἥ τε ὀδύνη ἐκλείπει οὐδέ ποτε, ἀλλὰ ποτὲ μὲν ἀνίησι, ποτὲ δὲ μᾶλλον πιέζει, βοᾷ τε, καὶ ἀναΐσσει ὑπὸ τῆς ὀδύνης, καὶ ὁκόταν ἀναΐξῃ, αὖθις σπεύδει ἐπὶ τὴν κλίνην καταπεσεῖν, καὶ ῥιπτάζει ἑωυτόν. οὗτος ἐστὶ μὲν θανατώδης, ὁκόσων δὲ ἡμερέων ἀποθανεῖται, οὐκ ἔχει κρίσιν, ἄλλοι γὰρ ἄλλως ἀπόλλυνται· ὡς μέντοι ἐπὶ τὸ πολὺ, ἐν τῇσιν ἑπτὰ ἡμέρῃσι τελευτῶσιν, εἴκοσι δὲ καὶ μίαν διαφυγόντες, ὑγιέες γίνονται. Χρὴ δὲ ὁκόταν περιωδυνέῃ, ψύχειν τὴν κεφαλὴν, μάλιστα μὲν ξυρήσαντα, ἢ ἐς κύστιν, ἢ ἐς ἔντερα ἐγχέαντα τῶν [a] ψυκτικῶν τι, οἷον χυλὸν στρύχνου, καὶ γῆν κεραμίτιδα· τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν, πρὶν ἢ χλιαρὸν γένηται. καὶ τοῦ αἵματος ἀφαιρέειν, καὶ τὴν κεφαλὴν καθαίρειν σελίνου χυλοῖσι μιγνύντα εὐώδεα. ἀοινέειν δὲ τὸ πάμπαν· ῥοφέειν δὲ πτισάνης χυλὸν, καὶ τὴν κάτω κοιλίην λύειν.

CAPVT I.

Oedema phlegmonodes cerebri, eiusque diagnostica, prognostica, & curatio.

DE febribus quidem vniuersis à me dictum est; de reliquis iam dicam. Cerebri tumor. *Quum cerebrum ab inflammatione tumuerit, dolor totum caput, ac potissimum quâ parte inflãmatio constiterit, occupat. In tẽporibus autem consistit, aures sono implẽtur, auditus hebescit, venæ intenduntur, ac pulsant, & febris & rigor interdùm inuadit, neque vnquam dolor intermittit, sed interdùm quidem remittit, quandoque etiam magis vrget; præ dolore vociferatur, sursumque prosilit; quumque surrexerit, confestim rursus ad lectum delabitur, seque iactat. Hic quidem deploratus est, quot verò diebus interiturus sit, iudicium non habet. Alij enim aliàs pereunt, plerúnque tamen intra septem dies moriuntur; primum autem & vigesimum vbi effugerint, conualescunt. Quum verò dolor vehemens vexarit, refrigerare caput oportet, potissimum quidem rasurâ aut aliquo refrigerantium medicamentorum, in vesicam aut intestina infuso, qualis est solani succus, aut creta figulina; modò quidem id admouere, modò etiam priùs quàm intepescat, auferre. Et sanguinem detrahere* oportet, *& caput purgare, odoratis ad apij succos admixtis. Vino prorsus abstinere; ptisanæ succum sorbere, & inferiorem aluum soluere.*

CAPVT

CAPVT II.

De vehementi capitis dolore ex cerebri plenitudine; eiusque signis & curatione.

PLenitudo cerebri dolorifica. *Quum caput ex cerebri plenitudine vehementer doluerit, non purgatam esse humorum illuuiem indicat; totum caput vehementes dolores occupant, delirat, & septimo die moritur, neque euadit, nisi humor ad aures septimo die erumpat. Sic* enim *tum dolor sedatur, tũ ad mẽtem redit. Copiosus autem & inodorus effluit. Huius magis aures quidem ne priùs quã pus erupisse videris, curato. Quòd si superiorem & inferiorem ventrem purgare voles, seorsum vtrumque soluito. Deinde capiti quàm maximè quidem vniuerso, sed & per aures & nares fomentum admoueto. Ptisanæ succum sorbeat, & vino prorsus abstineat. Vbi pus eruperit, quoad fluxionis copia desierit, sistito. Posteà vino dulci, auc lacte muliebri, aut oleo veteri, ijsque tepidis infusis, aures colluito. Caput crebrò mollibus fomentis & odoratis, quò cerebrum citiùs purgetur, foueto. Hic primis quidem diebus non audit; procedente verò tempore tum fluxio minuitur, tam simul ac fluxio prorsus quiescit, auditio redit, & sibi ipse maximè similis redditur. Vitare autem oportet solem, ventos, ignem, fumum, acrium odores, aliáque huiusmodi; & quiescere, ac molli victûs ratione vti. Aluus inferior ex vasorum vacuatione solutu sit facilis.*

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς περιωδυνίας τῆς κεφαλῆς ὑπὸ πληρώσεως τοῦ ἐγκεφάλου· καὶ τῶν ταύτης σημείων καὶ τῆς θεραπείας.

[3] ΠΛήρωμα ὀδυνῶδες ἐγκεφάλου. Ὁκόταν δὲ περιωδυνέῃ ἡ κεφαλὴ ὑπὸ πληρώσιος τοῦ ἐγκεφάλου, ἀκαθαρσίην σημαίνει· καὶ τὴν κεφαλὴν ὅλην περιωδυνίαι ἴσχουσι καὶ παραφρονέει, καὶ ἀποθνήσκει ἑβδομαῖος, καὶ οὐκ ἂν ἐκφύγῃ, ἢν μὴ ῥαγείη τὸ ὀχεὸν ἑβδομαίῳ κατὰ τὰ οὔατα· οὕτω τε ἡ ὀδύνη παύεται, καὶ ἔμφρων γίνεται· ῥεῖ δὲ πολλὸν καὶ ἄοσμον. τούτου μᾶλλον μὲν μὴ θεραπεύειν τὰ οὔατα, πρὶν ἂν ἐρρωγὸς ἴδῃς τὸ πῦον· ἢν δὲ βούλῃ καθῆραι τὴν ἄνω καὶ τὴν κάτω κοιλίην, λῦσον χωρὶς ἑκατέρην· ἔπειτα πυριᾶν μὲν τὴν κεφαλὴν ὡς μάλιστα, ὅλην τε, καὶ διὰ τῶν οὐάτων, καὶ διὰ τῶν ῥινῶν· ῥοφεῖν δὲ πτισάνης χυλόν, καὶ ἀοινέειν τὸ πάμπαν. ἐπὴν δὲ ῥαγῇ τὸ πῦον, ἐπισχεῖν, ἐς ἂν ἡ πολλὴ τῆς ῥύσιος παύσηται· ἔπειτα κλύζειν τὰ οὔατα οἴνῳ γλυκεῖ, ἢ γάλακτι γυναικείῳ, ἢ ἐλαίῳ παλαιῷ, χλιαροῖσι δὲ κλύζειν· καὶ πυριᾶν τὴν κεφαλὴν θαμινὰ ἐν μαλθακῇσι πυρίῃσι καὶ εὐόδμοισιν, ὡς θᾶσσον καθαίρηται ὁ ἐγκέφαλος. Οὗτος[4] μὲν τά γε πρῶτα οὐκ ἀΐει, περιϊόντος δὲ τοῦ χρόνου ἥ τε ῥύσις ἧσσόν ἐστι, καὶ ἡ ἀκοὴ ἅμα τῇ ῥύσει παντελῶς παυομένῃ παραγίνεται, καὶ ὁμοιοῦται μάλιστα ἑωυτῷ. φυλάττεσθαι δὲ χρὴ ἡλίους, ἀνέμους, πῦρ, καπνόν, δριμέων ὀδμάς, καὶ τὰ τοιαῦτα· καὶ ἡσυχάζειν, διαίτῃ μαλθακῇ[5] χρώμενον· καὶ ὑπὸ [6] κενεαγγέων εὔλυτος ἔστω ἡ κοιλίη ἡ κάτω.

CAPVT III.

De sidere ictorum signis & curatione.

SIdere icti. *Sidere icti esse dicuntur, quum multâ vitiosorum humorum illuuie cerebrum oppletum fuerit; in primis capitis pars anterior ipsis dolorem exhibet; & aliqui quidem ambobus oculis, aliqui verò altero intueri nequeunt; sopor ipsos detinet; mente alienantur; tempora saliunt; & febris leuis, & corporis impotentia occupat. Hic tertio aut quinto die moritur, neque ad septimum peruenit; sed si peruenerit, incolumis euadit. Hunc si curare voles, capiti fomentum admoueto, & sectione factâ respirationem efficito. Sed si dolor detinuerit, sternutationes mouere oportet, & caput leuibus ac odoratis, ventremque inferiorem purgare; vino prorsùs abstinere, & ptisanæ succo vti.*

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς τῶν βλητῶν σημειώσεώς τε καὶ θεραπείας.

ΒΛητοί. Οἱ δὲ βλητοὶ λεγόμενοι εἰσίν, ὁκόταν ὁ ἐγκέφαλος πλησθῇ πολλῆς ἀκαθαρσίης, ὀδύνη παρέχει τὸ πρόσθεν τῆς κεφαλῆς πρῶτον, καὶ ἀναβλέπειν οὐ δύνανται, οἱ μὲν ἀμφοῖν τοῖν ὀφθαλμοῖν, οἱ δὲ θατέρῳ, καὶ κῶμά μιν ἔχει· καὶ ἔκφρονές εἰσι, καὶ οἱ κρόταφοι πηδῶσι, καὶ πυρετὸς λεπτὸς ἔχει, καὶ τοῦ σώματος ἀκρασίη. Οὗτος ἀποθνήσκει τεταρταῖος, ἢ πεμπταῖος,[7] ἐς δὲ τὰς ἑπτὰ οὐκ ἀφικνέεται· ἢν δὲ ἄρα ἀφίκηται, ἐξάντης γίνεται. Τοῦτον ἢν βούλῃ θεραπεύειν, πυριᾶν τὴν κεφαλήν, καὶ ταμὼν, ἀνάπνευσιν ποιέειν. ἢν δὲ[8] ὀδύνη ἔχῃ, καὶ πταρμοὺς ἐμποιέειν χρή, καὶ τὴν κεφαλὴν καθαίρειν κούφοισι καὶ εὐώδεσι, καὶ τὴν κάτω κοιλίην καθαίρειν· ἀοινέειν δὲ τὸ πάμπαν, πτισάνης δὲ χυλῷ χρῆσθαι.

CAPVT IV.

De siderationis cerebri signis, & curatione.

CErebri sideratio. *Quòd si cerebrum sideratum fuerit, caput dolor occupat, & per ceruicem ad spinam peruadit; ipsum inauditio obsidet, frigus in caput irruit, totus tumescit, ac de-*

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν τοῦ σφακελισμοῦ ἐγκεφάλου σημείων καὶ θεραπείας.

ΣΦακελισμὸς ἐγκεφάλου. Ἢν δὲ σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἴσχει τὴν κεφαλήν, καὶ διὰ τοῦ τραχήλου φοιτᾷ ἐς τὴν ῥάχιν· καὶ αὐτὸν ἐπιλαμβάνει ἀνηκουστίη, καὶ ψῦχος ἐπέρχεται ἐπὶ τὴν κεφαλήν, καὶ

οἰδέει ὅλος, καὶ ἐξαίφνης ἄφωνος δείκνυται· καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ, καὶ πελιδνὸς γίνεται. τοῦτον ἢν μὲν ἡ νοῦσος χαλαρῶς λάβῃ, τοῦ αἵματος ἀπελθόντος, ῥαΐζει· ἢν δὲ σφόδρα εἰλημμένος ᾖ, θνήσκει τάχα. Τούτῳ πταρμούς τε ἐμποιέειν διὰ τῶν εὐωδέων, καὶ τὰς κοιλίας ἄμφω καθαίρειν ἐν μέρει, ἢ ἑκατέρην· καὶ τῶν εὐωδέων, κούφας δὲ ὀδμὰς ἐχόντων, τῇσι ῥισὶν ἀείρειν, καὶ ῥόφημα λεπτόν τε καὶ χλιαρὸν· οἰνέειν δὲ τὸ παράπαν.

repente voce captus proditur; ex naribus sanguis fluit, & liuidus euadit. Hunc si morbus leuiter corripuerit, quum sanguis abierit, meliùs habet. Si verò vehementer correptus fuerit, citò moritur. Huic sternutationes per odorata mouendæ, & aluus vtraque per vices purganda, aut altera; odorata leues odores habentia, naribus admouenda; sorbitióque tenuis & tepida exhibenda; vino autem penitùs abstinendum.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν τοῦ ληθάργου σημείων, καὶ τῆς θεραπείας· οἱ ἐκ τοῦ ληθάργου ἔμπυοι.

ΛΗθαργοι. Οἱ δὲ λήθαργοι, στάσις μὲν ἡ αὐτὴ τοῦ κακοῦ τῇ περιπλευμονίῃ· χαλεπωτέρη δὲ, καὶ οὐ πάμπαν ἀπήλλακται ὑγρῆς περιπλευμονίης· βραδυτέρη δὲ πουλὺ ἡ νοῦσος. πάσχει δὲ τάδε. βὴξ καὶ κῶμά μιν ἔχει, καὶ τὸ σίαλον ὑγρὸν καὶ πολὺ ἀνάγει, καὶ ἀδυνατέει σφόδρα, καὶ ὁκόταν μέλλῃ ἀποθανέεσθαι, κάτω ὑποχωρέει ἐπὶ πολὺ καὶ ὑγρόν. Τούτῳ ἐλπὶς μὲν πάνυ βραχεῖα περιγενέσθαι· ὅμως δὲ πτύειν τε ποιέειν ὡς πλεῖστον, καὶ θερμαίνειν, καὶ ἀοινέειν· ἢν δὲ ἐκφύγῃ, ἔμπυος γίνεται.

CAPVT V.

De lethargi signis & curatione; ex lethargo suppurati.

LEthargus. *Lethargi quidem morbi constitutio eadem, quæ & peripneumoniæ; grauior tamen, neque omninò liberatur ab humidâ peripneumoniâ; sed longè tardior morbus est. Hæc autem patitur. Tussis & sopor eum detinet; sputum humidum, & copiosum eijcit; infirmis admodum est viribus, & quum interiturus est, copiosum & liquidum per inferiora deijcit. Huic quidem admodum exigua vitæ spes superest. Efficiendum tamen vt plurimùm spuat, & calefiat, vinóque abstineat. Quòd si effugerit, purulentus efficitur.*

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τοῦ καυσώδεος πυρετοῦ, διαγνώσεώς τε καὶ προγνώσεως, καὶ θεραπείας.

ΚΑυσώδης. Ἡ δὲ καυσώδης λεγομένη, δίψα τε ἔχει πολλὴ καὶ ἡ γλῶσσα πέφρικε· τὸ δὲ χρῶμα αὐτῆς, [10] τὸν μὲν πρῶτον χρόνον, οἷόν περ εἴωθε, ξηρὴ δὲ σφόδρα· περιϊόντος δὲ τοῦ χρόνου, σκληρώεται, καὶ τρηχύνεται, καὶ παχύνεται, καὶ ἐπιμελαίνεται. [11] ἢν μὲν ἐν ἀρχῇ ταῦτα πάθῃ, θᾶσσον αἱ κρίσιες γίνονται· ἢν δὲ ὕστερον, χρονιώτεραι· τῆς δὲ ἀφέσιος, ταῦτα πάντα ἡ γλῶσσα σημαίνει, ἅπερ ἐν τῇ περιπλευμονίῃ. καὶ τὰ οὖρα, χολώδεα μὲν ἢ αἱματώδεα ἐόντα, ἐπίπονα, ξανθὰ δὲ, ἀπονώτερα· καὶ τὸ πτύσμα ὑπὸ θερμασίης καὶ ξηρασίης ξυγκεκαυμένον καὶ παχύ ἐστι. πολλάκις δὲ καὶ ἐς τὴν περιπλευμονίην [12] μεθίσταται· καὶ ἢν μεταστῇ, τάχα ἀποθνήσκει. Τοῦτον δὲ ὧδε χρὴ θεραπεύειν. λούειν θερμῷ δὶς ἢ τρὶς τῆς ἡμέρης ἑκάστης, πλὴν τῆς κεφαλῆς· καὶ ἐν τῇσι κρίσεσιν οὐ χρὴ λούειν. καὶ τὰς μὲν πρώτας τῶν ἡμερέων, ὑποκαθαίρειν καὶ ὑδροποτέειν· καὶ γὰρ ἔμετον ἄγει τὸ ὕδωρ ὡς ἐπιτοπολύ· τὰς δὲ ὑστέρας μετὰ τὴν κάθαρσιν ὑγραίνειν, καὶ ῥοφήμασι χρῆσθαι καὶ οἴνοισι γλυκέσιν. ἢν δὲ μὴ ἐξ ἀρχῆς παραλάβῃς, ἀλλὰ ἤδη τῶν ἐν τῇ γλώσσῃ σημηΐων ἐνεόντων, ἐᾷν χρὴ ἕως ἂν αἱ κρίσιες παρέλθωσιν, καὶ τὰ τῆς γλώσσης σημήϊα ἠπιώτερα γένηται· καὶ μήτε φάρμακον δῷς, μήτε κλύσῃς ἐς κάθαρσιν, πρὶν αἱ κρίσιες παρέλθωσιν.

CAPVT VI.

De febris ardentis dignotione, prænotione, & curatione.

FEbris ardens. *In febre ardente dictâ sitis multa detinet, lingua inhorrescit; eiusque color, primo quidem tempore, qualis esse consueuit, verùm valde sicca est; procedente verò tempore induratur, exasperatur, crassescit, nigrescit. Si sanè per initia hæc contingant, celeriores iudicationes fiunt; si verò posteriùs, tardiores. Remissionis autem eadem omnia signa prodit lingua, quæ in peripneumonia. Et vrinæ biliosæ quidem aut cruentæ, dolorem intensum, flauæ verò remissiorem significant; sputumque præ calore ac siccitate exustum & crassum est. Plerúnque verò & in peripneumoniam transit. Quòd si transierit, celeriter moritur. Hunc autem sic curare oportet. Singulis diebus bis aut ter, capite excepto, calidâ lauato. In crisibus autem lauandum non est. Ac primis quidem diebus per inferiora purgandum, & aqua potui exhibenda. Aqua etenim plerúnque vomitum inducit. Posteris à purgatione* diebus *humectandum, sorbitionibus, vinisque dulcibus vtendum. At si per initia curandum non susceperis, sed signis iam in lingua existentibus, sinere oportet, dum iudicationes præterierint, linguæque signa mitiora euaserint; & neque medicamentum, neque per dysterem infusum, priùs quàm iudicationes præterierint, exhibueris.*

CAPVT VII.

Pulmo ex calore tumens, eiusque dignotio, prænotio, & curatio.

PVlmo ex calore tumens. *Quum pulmo caloris plenus intumuerit, vehemens duráque tussis detinet, & orthophnœa; confertim respirat, crebrò anhelat, tumescit, nares expandit vt equus ex cursu, & linguam frequenter exerit, pectus ei modulari videtur, & grauitas inesse. Quapropter* hanc *pectus capere nequit, sed disrumpitur, & est impotens, dolor acutus occupat; dorsum, pectus & latera velut acus pungunt, eáque ardent, vt qui ad ignem sedeat; in pectore & dorso rubores tanquam ex flamma exoriuntur, ac adeò vehemens morsus & anxietudo inuadit, vt neque stare, neque sedere, neque decumbere queat; sed ita æstuans seipsum iactat, & iamiam mori videtur. Moritur autem maximè quarto aut septimo die, quos si effugerit, vix perit. Hunc si curaueris, aluum inferiorem quàm citissimè per clysterem probè purgare oportet; & è cubitis, nare, linguâ, & quâuis corporis parte sanguinem mittere; & potiones refrigerantes, sorbitionesque eiusdem facultatis exhibere. Vrinam etiam cientia, sed quæ non calefaciant, sæpè danda. Et ad dolores quidem ipsos, quum vehementer irruunt, tepefacientibus leuibus & humidis adhibitis, locum vbicunque dolor fuerit, calefacere & humectare oportet; reliquis verò partibus admotis refrigerantibus, ea quidem modò auferre, modò verò apponere; & quacunque parte ardere videbitur, frigus inducere; & in totum vino abstinere.*

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὁ πλεύμων οἰδῶν ὑπὸ θερμασίας· καὶ ἡ αὐτοῦ διάγνωσίς τε, καὶ πρόγνωσις, καὶ θεραπεία.

Ὁ Πλεύμων οἰδέων ὑπὸ τῆς θερμασίης. Ὁκόταν ὁ πλεύμων οἰδήσῃ ὑπὸ θερμασίης πλησθεὶς, βὴξ ἴσχει ἰσχυρὴ, καὶ σκληρὴ, καὶ ὀρθόπνοιη, καὶ ἀναπνεῖ ἀθρόον, καὶ ἀσθμαίνει πυκνὸν, καὶ οἰδέει, καὶ τοὺς μυκτῆρας ἀναπεπτάμενοισιν ὥσπερ ἵππος ἐκ δρόμου, καὶ τὴν γλῶσσαν θαμινὰ ἐκβάλλει, καὶ τὰ στήθεα αὐτῷ ἀείδειν δοκέει, καὶ βάρος ἐνεῖναι· διὸ χωρέειν οὐ δύναται τὰ στήθεα, ἀλλὰ διαρρήγνυται καὶ ἀδυνατέει, ἥ τε ὀδύνη ὀξείη ἴσχει, καὶ τὸν τένοντα, καὶ τὰ στήθεα, καὶ τὰς πλευρὰς ὡς βελόναι κεντέουσι, καὶ καίεται ταῦτα, ὡς πρὸς πῦρ καθήμενος· καὶ ἐρυθήματα ἐκφύει ἐς τὸ στῆθος καὶ τὸν νῶτον, ὡς φλογοειδέα, καὶ δηγμὸς ἰσχυρὸς ἐμπίπτει καὶ ἀπορίη, ὥστε οὔτε ἑστάναι, οὔτε καθῆσθαι, οὔτε κατακεῖσθαι οἷός τέ ἐστιν, ἀλλ᾽ ὧδε ἀπορέων βληστρίζει ἑωυτὸν, καὶ δοκέει ἤδη ἀποθανεῖσθαι. ἀποθνήσκει δὲ μάλιστα τεταρταῖος ἢ ἑβδομαῖος· ἢν δὲ ταύτας διαφύγῃ, οὐ μάλιστα θνήσκει. Τοῦτον ἢν θεραπεύῃς, χρὴ τὴν κάτω κοιλίην ὡς τάχιστα καθῆραι κλύσματι καλῶς· καὶ ἀπὸ τῶν ἀγκώνων, καὶ τῆς ῥινὸς, καὶ τῆς γλώττης καὶ πάντοθεν τοῦ σώματος αἷμα ἀφιέναι· καὶ πόματα διδόναι ψυκτικὰ, καὶ ῥοφήματα τὰ αὐτὰ δυνάμενα. καὶ τῶν οὐρητικῶν, μὴ θερμαινόντων δὲ, πολλάκις διδόναι. καὶ πρὸς μὲν τὰς ὀδύνας αὐτὰς, ὁκόταν καταιγίζωσι, χλιάσματα κοῦφα καὶ ὑγρὰ χρὴ προσφέροντα, χλιαίνειν καὶ ὑγραίνειν τὸν τόπον οὗ ἂν ᾖ ἡ ὀδύνη· πρὸς δὲ τὰ ἄλλα, ψυκτήρια προσίσχειν, τὰ μὲν ἀφαιρέοντα, τὰ δὲ περιστιθέντα· καὶ ὅκου ἂν [14] καταχέηται, ψῦχος ποιέειν· ἀοινέειν δὲ τὸ πάμπαν.

CAPVT VIII.

De acuto capitis dolore cum vocis interceptione, eiusque dignotione, prænotione & curatione.

CApitis dolor. *Quum autem à capite exortus dolor acutus derepente vocem interceperit, tum aliàs, tum vbi ex ebrietate contigerit; sic affectus septimo die moritur. Minùs tamen tale quid ex ebrietate perpessi, & voce capti permanentes moriuntur. Eodem enim die, aut postero, aut tertio si vox eruperit, conualescunt. Hoc autem ex temulentia nonnulli obeunt, neutrique pereunt. His vehementes sternutationes inducere* oportet, *& dysterem inijcere, qui vehementer bilem educat. Quòd si sensum recuperauerit, thapsiæ succum ex multá aquâ calidâ, quò quàm citissimè reuomat, exhibeto. Deinde extenuato, & per septem dies vino prohibeto. Sanguis etiam è lingua, si venam prehendere possis, detrahendus.*

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς ὀξείας κεφαλῆς ὀδύνης σὺν ἀφωνίᾳ, καὶ τῆς αὐτῆς διαγνώσεώς τε, καὶ προγνώσεως, καὶ θεραπείας.

Κεφαλῆς ὀδύνη. Ὁκόταν δὲ ἀπὸ τῆς κεφαλῆς ἀρξαμένη ἡ ὀδύνη ὀξέη, ἄφωνον ποιήσῃ παραχρῆμα, ἄλλως τε καὶ ἐκ μέθης ὅταν γένηται, ἔστ᾽ ἀποθνήσκει ἑβδομαῖος. ἧσσον δὲ οἱ ἐκ τῆς μέθης τοιοῦτόν τι παθόντες, καὶ ἄφωνοι μείναντες, θνήσκουσιν· ἢν γὰρ ῥήξωσι φωνὴν αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ, ὑγιέες γίνονται· ποιέουσι δὲ οἱ ἐκ τῆς μέθης ἔνιοι τοῦτο, καὶ οὐδέτεροι ἀπόλλυνται. Τούτοισι πταρμούς τε ἐμποιέειν ἰσχυροὺς, καὶ ὑποκλύσαι, ὅ, τι ἂν χολὴν ἄξῃ σφόδρα· καὶ ἢν αἴσθηται, ὀπὸν θαψίης δοῦναι ἐν πολλῷ τῷ ὑγρῷ καὶ θερμῷ, ἵνα ὡς τάχιστα ἀπεμέσῃ. ἔπειτα [15] ἐπισχναίνειν καὶ [15] ἀοινέειν ἑπτὰ ἡμέρας· ἀφαιρέειν δὲ καὶ ἀπὸ τῆς γλώττης αἷμα, ἢν δύνῃ λαβεῖν [16] φλέβα.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς φρενιτίδων διαγνώσεώς τε καὶ θεραπείας.

Φρενίτιδες. Φρενίτιδες δὲ γίνονται καὶ ἐξ ἑτέρων νούσων· πάσχουσι δὲ τάδε. Τὰς φρένας ἀλγέουσιν, ὥστε μὴ ἐάσαι αὐ ἅπτεσθαι, καὶ πῦρ ἔχει, καὶ ἔκφρονές εἰσι, καὶ ἀτενέες βλέπουσι, καὶ τἄλλα παραπλήσια ποιέουσι τοῖσιν ἐν τῇ περιπλευμονίῃ, ὁκόταν οἱ ἐν τῇ περιπλευμονίῃ ἔκφρονες ἔωσι. Τοῦτον χλιαίνειν δεῖ χλιάσμασιν ὑγροῖσι καὶ πόμασι, πλὴν οἴνου. καὶ ἢν μὲν οἷός τε ᾖ, ἀποκαθαίρειν ἄνω, βηχί τε καὶ πτύσει ἀνάγειν χρή, ὥσπερ ἐν τῇ περιπλευμονίῃ. Εἰ δὲ μή, τὴν κάτω κοιλίην παρασκευάζειν, ὅκως ὑποχωρέῃ· ὑγραίνειν δὲ πόμασι, ἀγαθὸν γάρ. ἡ δὲ νοῦσος θανατώδης· ἀποθνήσκουσι γὰρ τεταρταῖοι, ἢ πεμπταῖοι, ἢ ἑβδομαῖοι· ἢν δὲ ἠπίως ληφθῇ, κρίνει ὡς περιπλευμονίη.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Κυνάγχη διττή, κυνάγχη καὶ παρακυνάγχη· καὶ τὰ ἀμφοτέρων σημεῖα, καὶ ἡ θεραπεία.

Κυνάγχη. Ὑπὸ δὲ τῆς κυνάγχης καλεομένης πνίγεται ὁ ἄνθρωπος, καὶ ἐν τῇ φάρυγγι μᾶλλόν οἱ δοκέει ἐνέχεσθαι, καὶ οὔτε τὸ σίαλον καταπίνει, οὔτε ἄλλο οὐδέν· καὶ τὼ ὀφθαλμὼ πονέετόν τε καὶ ἐξέχετον, ὡς ἀπαγχομένοισι, καὶ βλέπει αὐτοῖσιν ἀτενές, καὶ ἐπιστρέφειν οὐχ οἷός τέ ἐστιν αὐτούς· [17] καὶ λύζει, καὶ ἀναΐσσει θαμινά, καὶ τὸ πρόσωπον καὶ ἡ φάρυγξ πίμπραται, ἀτὰρ καὶ ὁ τράχηλος, τοῖσι δὲ ὁρέουσιν οὐδὲν κακὸν ἔχειν δοκέει· καὶ ὁρᾷ καὶ ἀκούει ἀμβλύτερον, καὶ ὑπὸ τοῦ πνιγμοῦ οὐκ ἔννοός ἐστιν, οὔτε ἤν τι λέγῃ, οὔτε ἤν τι ἀκούῃ, ἢ ποιέῃ, ἀλλὰ κεχηνὼς κέεται σιαλοχέων. τοιάδε ποιέων οὖν, ἀποθνήσκει πεμπταῖος, ἢ ἑβδομαῖος, ἢ ἐναταῖος. Παρακυνάγχη. Ὅταν δὲ τούτων ἀπῇ τι τῶν σημείων, χαλαρωτέρην δηλοῖ τὴν νοῦσον, καὶ καλέουσιν αὐτὴν παρακυνάγχην. Τοῦτον φλεβοτομέειν χρή, μάλιστα δὲ [18] ὑπὸ τὸν τιτθόν· συνακολουθέει γὰρ ταύτῃ ἐκ τοῦ πλεύμονος θερμὸν πνεῦμα. χρὴ δὲ καὶ τὰ κάτω καθαίρειν φαρμάκῳ, ἢ κλύσματι, καὶ τοὺς αὐλίσκους προσθεῖναι ἐς τὴν φάρυγγα κατὰ τὰς γνάθους, ὡς [19] ἕλκηται τὸ πνεῦμα ἐς τὸν πλεύμονα· καὶ ποιέειν ὡς τάχιστα πτύσαι, καὶ ἰσχναίνειν τὸν πλεύμονα· καὶ ὑποθυμιᾷν δὴ ὕσσωπον Κιλίκιον, καὶ θεῖον, καὶ ἄσφαλτον, καὶ ἕλκειν διὰ τῶν αὐλίσκων, καὶ διὰ τῶν ῥινῶν, ὡς [20] ἐξίῃ φλέγμα· καὶ τὴν φάρυγγα καὶ τὴν γλῶσσαν διατρίβειν τοῖσι φλέγμα ἄγουσι. καὶ τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ τάμνειν· ἀφιέναι δὲ αἷμα καὶ ἀπὸ τῶν ἀγκώνων, ἢν ἰσχύῃ. ἀοινέειν δὲ, καὶ [22] ῥοφεῖν πτισάνης χυλὸν λεπτόν. ἐπειδὰν δὲ ἀφῇ ἡ νοῦσος, καὶ σιτίων γεύηται, ἐλατηρίῳ νέῳ καθῆραι, ἵνα μὴ ἑτέρῳ κακῷ περιπέσῃ.

CAPVT IX.

De phrenitidum dignotione, & curatione.

Phrenitides. *Phrenitides etiam ex alijs morbis oriuntur; hæc autem patiuntur phrenitici. Septum transuersum adeo dolet, vt ne contingere quidem sinant, febris accedit, mente alienantur, immotis oculis aspiciunt, aliaque similia efficiunt his qui peripneumoniâ laborant, quum hi in peripneumonia mente mouentur. Hunc tepefacientibus humidis contemperare oportet, & potionibus, præter quàm vino; & si quidem fieri poterit, per superiora purgare, & per tussim etiam & sputum, quemadmodum in peripneumonia, educere oportet. Sin minus, aluus inferior, vt deijciat, præparanda, & potionibus humectanda; hoc enim conducit. Hic autem morbus lethalis est; tertio nanque die, aut quinto, aut septimo moriuntur. Si verò leuiter corripuerit, vt peripneumonia iudicat.*

CAPVT X.

Angina duplex, cynanche, & paracynanche, & vtriusque signa & curatio.

Angina. *Ab anginâ vocatâ homo suffocatur, & in faucibus magis vrgeri videtur, neque saliuam, neque aliud quicquam attrahit; oculi affecti sunt, ac velut strangulatis prominent, & per eos contentè intuetur, neque eos conuertere potest, crebrò singultit & exilit, facies & fauces incenduntur, imò etiam collum. Intuentibus verò nihil mali habere videtur; & cernit, & audit obtusiùs, & præ suffocatione non intelligit, neque quid dicat, aut audiat, aut faciat, sed iacet ore hiante saliuam effundens. Hæc quum faciat, quinto, aut septimo, aut nono die moritur.* Paracynanche. *Quum verò horum signorum aliquod abfuerit, leuiorem morbum indicat, eumque paracynanchen vocant. Huic vena, præsertim quidem sub mamma, secanda est; hac enim spiritus ex pulmone calidus concomitatur. Quin & medicamento aut clystere deorsum purgare oportet, fistulæque in fauces ad maxillas intrudendæ, quò spiritus in pulmonem trahatur; efficiendumque, vt quàm citissimè spuat, pulmoque attenuandus. Suffitus quoque ex hyssopo Cilicio, sulphure, & bitumine parandus, & per fistulas attrahendus, perque nares, vt pituita exeat. Fauces & lingua his quæ pituitam ducant, infricanda; venæque sub lingua secandæ. Sanguis etiam ex cubitis mittendus, si vires valeant. Vino abstinendum, & ptisanæ succus liquidus sorbendus. Postquam autem morbus remiserit, cibosque gustauerit, elaterio recenti, ne in aliud malum incidat, purgandum.*

CAPVT XI.

De icteri dignotione, prænotione, & curatione.

MOrbus icterus. *Huiusmodi icterus acutus est, & citò enecat. Color totus malicorium maximè refert, ex viridi pallescens, quales sunt lacerti virides; similéque ferè corpus est. In vrina subsidet, velut eruum fuluum; & febris ac horror leuis detinet. Quandoque etiam vestes ferre non sustinet, sed* ab ijs *mordetur ac raditur. Ieiuno manè viscera plerúnque lacerantur; & siquis eum excitet aut alloquatur, non patitur. Hic ferè intra dies quatuordecim moritur; hos si effugerit, conualescit. Calidâ lauare oportet, & aquam mulsam bibere, cum nucibus Thasijs decorticatis & absinthij comâ, pari portione, & anisi cribrati dimidio, ita vt triobolum ex his ieiunus bibat; rursusque quum cubile petit, hanc aquam mulsam, vinúmque vetus tenue* assumat, *& sorbitionibus vtatur; neque cibis abstineat.*

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τοῦ ἰκτέρου διαγνώσεως, καὶ προγνώσεως, καὶ θεραπείας.

Νόσος ἴκτερος. Ἴκτερος τοιόσδε ἐστὶν ὀξὺς, καὶ διαταχέως ἀποκτείνων. ἡ χροιὴ ὅλη σιδιοειδὴς σφόδρα ἐστὶ, χλωροτέρη, οἷοι οἱ σαῦροι οἱ χλωροί· παρόμοιος δὲ καὶ ὁ χρώς. καὶ ἐν τῷ οὔρῳ ὑφίσταται, οἷον ὀρόβιον πυῤῥόν· καὶ πυρετὸς καὶ φρίκη βληχρὴ ἔχει. ἐνίοτε δὲ καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται καὶ ξύεται· καὶ ἄσιτος ἐὼν τὰ ἑωθινὰ, τὰ σπλάγχνα ἀμύσσεται ὡς ἐπιτοπουλύ· καὶ ὁκόταν ἐγείρῃ τις αὐτὸν, ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. ἔστιν ὡς ἐπιτοπολὺ, ἀποθνήσκει ἐντὸς τεσσαρεσκαίδεκα ἡμερέων· ταύτας δὲ διαφυγὼν, ὑγιὴς γίνεται. Χρὴ δὲ θερμολουτέειν, καὶ πίνειν μελίκρητον, σὺν καρύων θασίων λεπισθέντων καὶ ἀψινθίου κόμης ἴσον, ἀνίσου σεσησμένου ἥμισυ, πίνειν ὁλκῆς τριόβολον νῆστις· καὶ πάλιν ἐς κοίτην τὸ μελίκρητον τοῦτο, καὶ οἶνον παλαιὸν λεπτὸν, καὶ ῥοφήματα· ἀσιτέειν δὲ μή.

CAPVT XII.

De tetano, & opisthotono, & vtriusque dignotione, prænotione, & curatione.

TEtanus. *Quum inuaserint tetani, maxillæ velut ligna rigent, & os aperire nequeunt; oculi illachrymantur ac distorquentur, dorsum riget, crura contrahere non possunt, similiter neque manus; facies rubescit, & vehementer dolet, quúmque moriturus est, potionem, sorbitionem, & pituitam per nares reuomit. Hic tertio, aut quinto, aut septimo aut decimo-quarto die perit; hos si effugerit, conualescit. Huic catapotia ex pipere & veratro nigro de*uoranda *dato, & iusculum gallinaceum pingue & calidum; sternutamentáque vehementia & multa excitato, & fotus adhibeto. Vbi verò non fouebitur, tepefactoria humida & pinguia in vesicis & vtriculis vndique, præsertimque ad dolentes partes admoueto, & calido* oleo *copioso, crebroque illinito.* Opisthotonus. *Quum opisthotonus tenuerit, reliqua quidem plerunque eadem sunt; verùm in posteriora conuellitur, interdúmque vociferatur; vehementes dolores occupant; neque interdum crura adducere, neque manus extendere sinit. Inflexi enim sunt cubiti, digitos in pugnum contractos habet, & pollicem vt plurimùm alijs digitis continet, vociferatur, & quandóque nugatur; neque se continere potest, sed quum dolor detinet, interdum sursùm prosilit; vbi verò dolor remiserit, quietem habet. Interdùm verò simul vt morbo corripiuntur, muti fiunt, aut maniâ & melancholiâ tentantur. Hi voce solutâ, tertio die moriuntur, & per nares reuomunt. Si verò contigerit, vt decimum quartum diem effugerint, conualescunt. Vt superiorem, curato, & si voles ita facito. Post affusam aquam*

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τοῦ τετάνου τε, καὶ ὀπισθοτόνου διαγνώσεως, καὶ προγνώσεως, καὶ θεραπείας.

[23] Τέτανος. Οἱ τέτανοι ὁκόταν ἐπιλάβωσιν, οἱ γένυες πεπήγασιν ὡς ξύλα, καὶ τὸ στόμα διοίγειν οὐ δύνανται· καὶ οἱ ὀφθαλμοὶ δακρύουσί τε καὶ ἰλλαίνονται, καὶ τὸ μετάφρενον πέπηγε, καὶ τὰ σκέλεα οὐ δύνανται συνάγειν, ὁμοίως οὐδὲ τὼ χεῖρε· καὶ τὸ πρόσωπον ἐρυθρὸν, καὶ σφόδρα ὀδυνᾶται, καὶ ὁκόταν ἀποθνήσκειν μέλλῃ, ἀνεμέει διὰ τῶν ῥινῶν καὶ τὸ πόμα, καὶ τὸ ῥόφημα, καὶ τὸ φλέγμα. ἔστι τριταῖος, ἢ πεμπταῖος, ἢ ἑβδομαῖος, ἢ τεσσαρεσκαιδεκαταῖος ἀπόλλυται· ταύτας δὲ διαφυγὼν, ὑγιὴς γίνεται. Τούτῳ διδόναι καταπότια, πέπερι, καὶ ἐλλέβορον μέλανα, καὶ ζωμὸν ὀρνιθείων πίονα, θερμὸν· καὶ πταρμοὺς ἰσχυροὺς, καὶ πολλοὺς ἐμποιέειν, καὶ πυριᾶν· ὁκόταν δὲ μὴ πυριῆται, τὰ χλιάσματα προστιθέναι ὑγρὰ καὶ λιπαρὰ ἐν κύστεσι καὶ ἀσκίοισι πανταχόθεν, μάλιστα δὲ πρὸς [24] τὰ ὀδυνώμενα, καὶ ἀλείφειν θερμῷ, καὶ πολλῷ καὶ πολλάκις.

[25] Ὀπισθότονος. ὁκόταν δὲ ὀπισθότονος ἴσχῃ, τὰ μὲν ἄλλα ὡς ἐπιτοπολὺ τὰ αὐτὰ, σπᾶται δὲ εἰς τοὔπισθεν, καὶ βοᾷ ἐνίοτε, καὶ ὀδύναι ἴσχουσιν ἰσχυραὶ, καὶ συνάγειν ἐνίοτε οὐκ ἐᾷ τὰ σκέλεα, οὐδὲ τὰς χεῖρας ἐκτεῖναι· [26] ξυγκεκαμμένοι γὰρ οἱ ἀγκῶνες [26] γίνονται, καὶ τοὺς δακτύλους πὺξ ἔχει, καὶ τὸν μέγαν δάκτυλον τοῖσιν ἄλλοισι κατέχει ὡς ἐπιτοπουλὺ, καὶ βοᾷ, καὶ φλυαρέει ἐνίοτε· καὶ οὐ δύναται ἑωυτὸν κατέχειν, ἀλλ' ἀναΐσσει ἐνίοτε, ὁκόταν ἡ ὀδύνη ἔχῃ, ὁκόταν δὲ ἀνῇ ἡ ὀδύνη, ἡσυχίην ἔχει. ἐνίοτε δὲ καὶ ἄφωνοι γίνονται ἅμα ἁλισκόμενοι, ἢ μανικοί τε καὶ μελαγχολικοί. οὗτοι τριταῖοι θνήσκουσι, τῆς φωνῆς λυθείσης, καὶ ἀνεμέουσι διὰ τῶν ῥινῶν· [27] εἰ δὲ φθάσουσι φυγεῖν τὰς τεσσαρεσκαίδεκα, ὑγιέες γίνονται. Θεραπεύειν δὲ ὡς τὸν ἄνω· ἢν δὲ βούλῃ, καὶ ὧδε ποιέειν. ὕδωρ ὡς πλεῖστον ψυχρὸν κα-

ταχέως, ἔπειτα ἱμάτια λεπτὰ, καὶ καθαρὰ, καὶ θερμὰ ἐπιβάλλειν· πῦρ δὲ τότε μὴ προσφέρειν. οὕτως χρὴ ποιέειν καὶ τοὺς τετάνους, καὶ τοὺς ὀπισθοτόνους.

A *frigidam plurimam, vestimenta tenuia, pura, & calida superinijcito; tuncque ignem ne adhibeto. Hoc modo & tetani & opisthotoni curandi.*

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς τῶν εἰλεῶν διαγνώσεως καὶ θεραπείας· περὶ τῆς φύσης ἐς τὴν κοιλίαν ἐνέσεως.

ΕΙλεοί. Εἰλεοὶ δὲ γίνονται, τῆς μὲν ἄνω κοιλίης θερμαινομένης, τῆς δὲ κάτω, ψυχομένης· ξυναυαίνεται γὰρ τὸ ἔντερον, καὶ ξυμπιλέεται ὑπὸ τῆς φλεγμασίης, ὥστε μήτε τὸ πνεῦμα, μήτε τὰς τροφὰς διεξιέναι, ἀλλὰ τὴν γαστέρα σκληρὴν εἶναι, καὶ ἐμέειν ἐνίοτε, πρῶτον μὲν φλεγματώδεα, ἔπειτα δὲ χολώδεα, τελευτῶν δὲ κόπρον. καὶ δίψαν ἔχει, καὶ ὀδύνην, μάλιστα μὲν περὶ τὰ ὑποχόνδρια, ἀλγέει δὲ καὶ πᾶσαν τὴν γαστέρα, καὶ πεφύσηται, καὶ λύζει· καὶ πυρετοὶ ἐπιλαμβάνουσι, γίνονται δὲ μάλιστα ἑβδομαῖοι. Τούτους ὧδε χρὴ θεραπεύειν. καθῆραι τὴν ἄνω κοιλίην ὡς τάχιστα, καὶ αἷμα ἀφαιρέειν ἀπὸ τῆς κεφαλῆς καὶ τῶν ἀγκώνων, ἵνα παύσηται ἡ ἄνω κοιλίη θερμαινομένη· καὶ ψύχειν τὰ ἄνω τῶν φρενῶν, πλὴν τῆς καρδίης, τὰ δὲ κάτω θερμαίνειν, ἐν σκάφῃ ὕδατος θερμοῦ καθίζων τὸν ἄνθρωπον, καὶ ἀλείφων ἀεὶ, καὶ χλιάσματα ὑγρὰ προστιθέναι· καὶ βάλανον μέλιτος μόνον ποιέων ὡς δεκαδάκτυλον, ἐξ ἄκρου χολὴν ταύρου ἐς τὸ πρόσθεν ἐπιπλάσσων, προστιθέναι καὶ δὶς καὶ τρὶς, ὡς πάντα τὰ ξυγκεκαυμένα [28] περὶ τὸν ἀρχὸν ἐξαγάγῃς τῆς κόπρου. κἢν μὲν οὕτως ὑπακούῃ, κλύζειν ἐπὶ τούτοισιν· ἢν δὲ μὴ, φύσαν χαλκευτικὴν ἐσιέναι, καὶ φυσᾶν ἐς τὴν κοιλίην, ἵνα διαστήσῃς τήν τε κοιλίην, καὶ τὴν τοῦ ἐντέρου σύστασιν. εἶτα πάλιν ἐξελὼν τὴν φύσαν, κλύσαι· εὐθὺς δὲ ἕτοιμον ἔστω τὸ κλύσμα, μὴ πάνυ τῶν θερμαντικῶν, ἀλλὰ τῶν διαλυόντων τὰς κόπρους καὶ τηκόντων· εἶτα βύσας τὴν ἕδρην σπόγγῳ, καθήσθω ἐν ὕδατι θερμῷ, κατέχων τὸ κλύσμα. καὶ ἢν δέξηται τὸ κλύσμα, καὶ πάλιν μεθῇ, ὑγιὴς γίνεται. ἐν δὲ τῷ πρόσθεν χρόνῳ, μέλι τε ὡς κάλλιστον λειχέτω, [29] καὶ οἶνον αὐγίτην πινέτω [30] ἐγχώριον. Ην δὲ τοῦ εἰλεοῦ ἀφέντος, πυρετὸς αὐτὸν ἐπιλάβῃ, ἀνέλπιστος· ἴσως γὰρ καὶ ἡ κάτω κοιλίη λυθεῖσα, ἀποκτείνειεν ἄν.

CAPVT XIII.

De voluulorum diagnosi, & curatione; de flatus in ventrem per follem immissione.

B VOluuli. *Oriuntur voluuli, quum incalescit venter superior, inferior verò refrigeratur. Resiccatur enim simul intestinum, & constipatur ex inflammatione, ita vt neque flatus neque alimenta pertranseant, sed venter durus sit, & vomat interdùm, in primis quidem pituitosa, deinde verò biliosa, postremùm etiam stercus; sitim patitur, ac dolorem, maximè circa hypochondria, totus etiam venter dolet, & inflatur, & singultit; febres inuadunt, fiuntque maximè septimo die. Hos sic curare oportet. Venter superior quàm citissimè purgandus; sanguis è capite & cubitis detrahendus, vt aluus superior calescere desinat.* C *Partes supra septum transuersum, excepto corde, refrigerandæ; inferiores autem, homine in aquæ calidæ solio collocato, & oleo semper illito, calefaciendæ; & tepentes fotus humidi admouendi. Glans ex solo melle decem digitorum longitudinis constituenda, summâ eius parte anteriore felle taurino illitâ, bis aut ter subijcienda, quò exusta omnia circa rectum intestinum stercora educas. Quòd si sic paruerit, posteà dyster inijciendus; sin minus, folle fabrili indito,* D *in ventrem flatus immittendus, vt tum ventrem, tum intestinum contractum distendas; deinde extracto folle, dyster inijciendus. Sit autem statim paratus dyster, ex non admodum calefacientibus, sed stercora dissoluentibus ac emollientibus. Deinde obturatâ sede spongiâ, in aqua calida desideat, dysma continens. Quòd si clysma receperit, rursusque demiserit, conualescit. Priore autem tempore mel quàm optimum delingat, vinúmque dilucidum vernaculum bibat.* E *At si remisso voluulo, febris eum prehenderit, desperatus est. Fortassis enim etiam soluta aluus inferior interficiet.*

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῆς περιπνευμονίας διαγνώσιός τε, καὶ προγνώσιος, καὶ θεραπείας.

ΠΕριπλευμονίη. Η δὲ περιπλευμονίη τοιάδε ποιέει. πυρετός τε ὀξὺς ἔχει, καὶ τὸ πνεῦμα πυκνὸν καὶ θερμὸν ἀναπνέει, καὶ ἀπορίη, καὶ ἀδυναμίη, καὶ ῥιπτασμὸς, καὶ ὀδύνη ὑπὸ τὴν ὠμοπλάτην, καὶ εἰς τὴν κληΐδα καὶ ἐς τὸν τίτθὸν, καὶ βάρος ἐν τοῖσι στήθεσιν, ἐνίοτε δὲ καὶ [32] παραφροσύνη· ἔστι δ᾽ οἷσιν ἀνώδυνός ἐστιν, ἕως ἂν ἄρξωνται βήσσειν, πολυχρονιωτέρη δὲ καὶ χαλεπωτέρη κείνης. τὸ δὲ σίαλον, [33] λεπτὸν καὶ ἀφρῶδες πτύει τὸ πρῶτον· ἡ δὲ γλῶσσα ξανθὴ, προϊόντος δὲ τοῦ χρόνου μελαίνεται. ἢν μὲν οὖν ἐν ἀρχῇ μελαίνηται, θάσσους [34] αἱ ἀπαλλαγαί· ἢν δὲ ὕστερον, βραδύτεραι. τελευ-

---

CAPVT XIV.

De peripneumoniæ dignotione, prænotione, & curatione.

PVlmonis inflammatio. *Peripneumonia hæc molitur. Febris acuta detinet; spiritum crebrum & calidum respirat; anxietudo, impotentia,* F *iactatio, dolor sub scapulis, ad iugulum & mammam; & in pectore grauitas, interdum etiam delirium; nonnullis verò, donec tussire cœperint, sine dolore est, sed illâ diuturnior est & grauior. Primùm autem sputum tenue & spumosum spuit; lingua flauescit, procedente verò tempore nigrescit. Si igitur circa initia nigrescat, celeriores sunt liberationes; si verò posteà, tardiores. Ad extremum autem*

lingua

lingua dehiscit, & si digitum admoueris, adhærescit. Morbi verò liberationem, quemadmodum & in pleuritide, similiter lingua significat. Hæc autem contingunt diebus vt minimùm quatuordecim, ad summum verò vno & viginti. Et hoc tempore vehementer tussit; simulq; cum tussi purgatur; primùm quidem copiosum & spumosum sputum expuit; *septimo verò & octauo die, quum febris in vigore fuerit, humidáq; peripneumonia extiterit, crassius procedit; sin minùs, minimè. Nono & decimo, aliquantùm cùm virore pallescens & subcruentum. Duodecimo ad decimumquartum vsque, copiosum & purulentum.* Atque hæc fiunt, *in quibus naturæ & corporis affectiones humidæ sunt, quinetiam morbus vehementior est. At quibus natura & morbi constitutio sicca est, in his minùs. Siquidem igitur ad decimumquartum diem resiccatus fuerit, neq; purulentum ampliùs tussi reiecerit, sanus est; sin minùs, decimum octauum & primum ac vigesimum diem animaduerte. Et si quidem tunc quieuerit huiusmodi sputum, euadit; sin minùs, an dulcius sputum sit, ipsum interroga. Quòd si affirmauerit, pulmonem ipsi purulentum esse scito, morbumque annuum fore, nisi per quadraginta dies properans pus sursum eduxerit. At si ingratum sputum esse dixerit, hic morbi status lethalis est. Verùm primis potissimùm diebus istud in his est conspicuum. Nam si putridum & purulentum sputum duobus & viginti diebus expuerit, neque exulceratus fuerit, euadit; sin minùs, minimè. Hæc peripneumonia nullum eorum, quæ pulmoni incidunt, malorum relinquit. Si igitur harum affectionum aliquid abfuerit, nosse oportet quænam ægro sint necessaria, & quænam Medico aggredienda sint. Quòd si pauca ex his signis habeat, non est quod decipiatur, quum hæc peripneumonia minimè exitialis sit, sed leuis. At peripneumoniam ita curare oportet. Neq; tamen peccauerit, si quis etiam pleuritidem & phrenitidem hoc modo curare aggrediatur. Primùm quidem caput leuius reddito, nequid ad pectus defluat. Primis autē diebus sorbitiones sint dulciores. Sic enim maximè quod in se consedit & compactū est, dilueris & agitaueris. Quarto, quinto & sexto die, ne ampliùs dulces sint, sed pingues, quū ad sputum per superiora excreandū conferant. Quòd si pro ratione spuere nequeat, medicamēta quæ sursū educūt, exhibenda. Primis quidem quatuor aut quinque diebus, paulò magis aluū subducere oportet, quò & febres obtusiores sint, & dolores leuiores. Quū autē vacuatus fuerit & corpore debilis, tertio quoq; die aluus subducenda, vt tum corpus robustum euadat, tū superiora loca humoris sint expertia. Nā si multus humor per inferiora secedat à quinto die, mortē adfert. Secedente enim per inferiora humore, superiora siccescūt, neque sputi purgatio per superiora prodit. Inferiorē igitur aluū neq; nimis sisti oportet, vt febres haud acutæ sint; neq; nimis subduci, quò sputū sursū emitti possit, & æger viribus valeat. At sexto, & septimo, ac nono die, iamq; vlterius progresso morbo, medicamenta quæ sursum educant, magis exhibeto.*

A τῶσι δὲ καὶ ῥήγνυται ἡ γλῶσσα, καὶ ἢν [35] προσθῇς τὸν δάκτυλον ἔχεται· τὴν δὲ ἀπάλλαξιν τῆς νούσου σημαίνει ἡ γλῶσσα, ὥσπερ καὶ ἐν τῇ πλευρίτιδι ὁμοίως. Ταῦτα δὲ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα τοὐλάχιστον, τὸ πλεῖστον δὲ εἴκοσι καὶ μίαν· καὶ βήσσει τοῦτον τὸν χρόνον σφόδρα, καὶ καθαίρεται ἅμα τῇ βηχί, τὸ μὲν πρῶτον, πολὺ καὶ ἀφρῶδες σίαλον· ἑβδόμῃ δὲ καὶ ὀγδόῃ, ὁκόταν ὁ πυρετὸς ἐνακμάζῃ, ἢν ὑγρὴ εἴη ἡ περιπλευμονίη, [36] ἴῃ παχύτερον· ἢν δὲ μή, οὔ· ἐνάτῃ δὲ καὶ B δεκάτῃ, ὑπόχλωρον καὶ ὕφαιμον· δωδεκάτῃ δὲ μέχρι τῆς τεσσαρεσκαιδεκάτης πουλὺ καὶ πυῶδες. ὧν καὶ ὑγραί εἰσιν αἵ τε φύσιες καὶ διαθέσιες τοῦ σώματος, αὐτὰρ καὶ ἡ νοῦσος ἰσχυρή· ὧν δὲ ἥ τε φύσις καὶ ἡ κατάστασις τῆς νούσου ξηρή, ἧσσον οὗτοι. ἢν μὲν οὖν τῇ τετάρτῃ καὶ δεκάτῃ ξηρανθῇ, καὶ μηκέτι ἀποβήσσῃ πυῶδες, ὑγιής ἐστιν· ἢν δὲ μή, πρόσεχε ἐς τὰς εἴκοσι δυοῖν [37] δεουσῶν, καὶ τὰς εἴκοσι καὶ μίαν, τὸν νόσον. καὶ ἢν μὲν ἐν ταύτῃσι παύσηται, ἐκφεύγει, τοῦ πτύσματος· ἢν δὲ μή, C ἔρου αὐτόν, εἰ γλυκύτερον τὸ σίαλον· καὶ ἢν φῇ, ἴσθι ὅτι ὁ πλεύμων αὐτῷ ἔμπυός ἐστι, καὶ ἡ νοῦσος καθίσταται ἐνιαυσίη, ἢν μὴ ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσι σπεύδων ἀναγάγῃ τὸ πῦον· ἢν δὲ φῇ ἀηδὲς εἶναι τὸ σίαλον, θανατώδης ἡ στάσις τῆς νούσου. ἀλλ' ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι μάλιστα διάδηλοι· ἢν γὰρ ἐκπτύσῃ τὸ σαπὲν καὶ τὸ πυωθὲν ἐν ἡμέρῃσι δύο καὶ εἴκοσι, καὶ μὴ ἑλκωθῇ, ἐκφεύγει· ἢν δὲ μή, οὔ. Αὕτη ἡ περιπλευμονίη οὐδὲν ἀπολείπει τῶν ἐν τῷ πλεύμονι ἐόντων κακῶν· ἢν οὖν τι τούτων ἀπῇ τῶν κακῶν, εἰδέναι χρὴ ὅσα τε τῷ κάμνοντι D ἔχειν, καὶ τῷ ἰητρῷ μεταχειρίζεσθαι· ἢν δὲ ὀλίγα ἔχῃ τούτων τῶν σημείων, μὴ ἐξαπατάτω, ἐπεὶ οὐκ ὀλέθριος περιπλευμονίη ἐστίν, ἀλλά τις μαλθακή. Θεραπεύειν δὲ χρὴ τὴν περιπλευμονίην οὕτως· οὐ μέντοι ἐξαμαρτήσει καὶ πλευρῖτιν καὶ φρενῖτιν οὕτω μεταχειριζόμενος. [38] ἄρχου τὸ πρῶτον κουφίζειν τὴν κεφαλήν, ἵνα μηδὲν ἐπιῤῥέῃ πρὸς τὸ στῆθος. τὰς δὲ πρώτας ἡμέρας, τὰ ῥοφήματα ἔστω γλυκύτερα· οὕτω γὰρ ἂν μάλιστα τὸ ξυγκαθήμενον καὶ τὸ ξυνεστηκὸς ἀποπλύνοις καὶ κινέοις· τεταρταίοισι δὲ καὶ πεμπταίοισι καὶ E ἑκταίοισι, μηκέτι γλυκύτερα, ἀλλὰ λιπαρά· ἐς γὰρ τὴν ἄνω πτύσιν ὑποχρέμπτεσθαι ξυμφέρει. ἢν δὲ μὴ δύνηται κατὰ λόγον πτύειν, τῶν ἀναγόντων [39] φαρμάκων διδόναι. τὰς δὲ κοιλίας ἐν μὲν τῇσι πρώτῃσι τέσσαρσιν ἢ πέντε, ὑποχωρέειν χρὴ καὶ ὀλίγῳ μᾶλλον, ἵνα οἵ τε πυρετοὶ ἀμβλύτεροι ἔωσι, καὶ τὰ ἀλγήματα κουφότερα· ὁκόταν δὲ κεκενωμένος ᾖ καὶ ἀσθενὴς τὸ σῶμα, τὴν κάτω κοιλίην διὰ τρίτης ὑποκινέειν, ἵνα F τό, τε σῶμα δυνατὸν ᾖ, καὶ τὰ ἄνω χωρία ἄνικμα· ἢν γὰρ κάτω ὑγρὸν πολλὸν ὑποχωρέῃ ἀπὸ τῆς πέμπτης ἡμέρης, θάνατον ποιέει· κάτω γὰρ τοῦ ὑγροῦ ὑποχωρέοντος, τὰ ἄνω ξηραίνεται, καὶ ἡ κάθαρσις τοῦ πτύσματος οὐ χωρέει ἄνω. δεῖ οὖν καὶ τὴν κάτω κοιλίην, μήτε ἱστάναι λίην, ἵνα μὴ ὀξέες ἔωσιν οἱ πυρετοί· μήτε λίην ὑποχωρέειν, ἵνα τὸ σίαλον ἀνιέναι δύνηται, καὶ ἰσχύῃ ὁ κάμνων. Φάρμακα δὲ τῆς ἀναγωγῆς, ἑκταίοισι, καὶ ἑβδομαίοισι, καὶ ἐνναταίοισι καὶ ἔτι προσωτέρω ἐοῦσι τῆς νούσου, μᾶλλον δίδου·

τὸ δὲ φάρμακον ἔστω, ἐλλέβορος λευκὸς, θαψίη, ἐλατήριον νέον, ἴσον ἑκάστου. ἢν δὲ τὸ σίαλον μὴ καθαίρηται εὖ, καὶ τὸ πνεῦμα πυκνὸν ᾖ, καὶ τῆς καθάρσιος μὴ ἐπικρατέῃ, προλέγειν ὅτι ἀνέλπιστός ἐστι τοῦ ζῆν, ἢν μὴ δύνηται τῇ καθάρσει ὑπουργέειν. ποιέειν δὲ καὶ τὰ ἐν τῇ περιπλευμονίῃ, ἢν σοι τὰ τῆς κοιλίης τῆς κάτω καλῶς ὑπουργέῃ· ποιέειν δὲ καὶ ἄλλως. ἀπὸ τῆς πρώτης ἡμέρης ἀρξάμενος, δίδου ἄρου τοῦ μεγάλου κόγχην χημίδα, δαύκου καὶ ἀκαλήφης μίαν, καὶ νάπυος καὶ πηγάνου, ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, καὶ ὀπὸν σιλφίου, ὅσον κύαμον· ταῦτα ἐν ὄξει γλυκεῖ καὶ ὕδατι κεράσας καὶ διηθήσας, δίδου νήστει χλιαρόν. ἐπειδὰν δὲ ἄρχηται καθαρὸν ἐκπτύειν, ἄρου χημίδα, καὶ σήσαμον, καὶ ἀμύγδαλα καθήρας, ἐν ὄξει γλυκεῖ κεκρημένῳ πίνειν. ἢν δὲ μᾶλλον βούλῃ ἄγειν, καππάρεως τῆς ῥίζης φλοιὸν μιγνύναι τούτοισιν.

A Sit autem medicamentum, veratrum album, thapsia, elaterium recens, cuiusque par portio. Quòd si sputum probè non repurgetur, & spiritus densus fuerit, neque purgatio superet, desperatam esse salutem prædicito, nisi purgationi sufficere possit. Facienda verò etiam quæ in peripneumonia fieri debent, si aluus inferior probè suum munus obierit. Aliter etiam curatio facienda. A primo die ducto exordio, dracunculi magni concham maiorem exhibeto, dauci & vrticæ vnam, sinapis & rutæ, quantùm tribus digitis capere possis, & laseris succum, B fabæ quatitatem. Hæc aceto dulci & aquâ teperata & excolata, ieiuno tepida potui præbeto. Postquam autem purum expuere cœperit, dracunculi concham maiorem, & sesamum, & amygdalas purgatas, aceto dulci aquâ diluto propinato. Quod si magis educere voles, radicis capparis corticem his admisceto.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῆς πλευρίτιδος τῆς ὑγρᾶς, χολώδεός τε καὶ αἱματώδεος, καὶ τῆς ξηρᾶς, καὶ τῆς ἐν νώτῳ· ὧν ἐνθάδε τὰ διαγνωστικὰ, καὶ προγνωστικὰ, καὶ φαρμακευτικὰ, καὶ διαιτητικὰ, καὶ χειρουργικὰ παραδίδοται.

ΠΛευρῖτις. Ὁκόταν δὲ πλευρῖτις λάβῃ, τάδε πάσχει. ὀδύνη τὴν πλευρὴν, καὶ πυρετὸς, καὶ φρίκη ἔχει, καὶ ἀναπνεῖ πυκνὸν, καὶ ὀρθόπνοιη ἔχει, καὶ ἀναβήσσει ὑπόχολα οἷον ἀπὸ σιδίου, ἢν μὴ ῥήγματα ἔχῃ· ἢν δὲ ἔχῃ, καὶ αἷμα ἀπὸ τῶν ῥηγμάτων. ἔστι δὲ καὶ αἱματώδης· ἐν δὲ τῇ αἱματώδει ὕφαιμον. ἔστι δὲ ἡ μὲν χολώδης ἠπιωτέρη, ἢν μὴ ῥήγματα ἔχῃ ὁ κάμνων· εἰ δὲ μὴ, ἐπιπονωτέρη μὲν, θανατωδεστέρη δὲ οὔ· ἡ δὲ αἱματώδης ἰσχυρὴ, καὶ ἐπίπονος, καὶ θανατώδης. ὁπόταν οὖν παρεῇ καὶ λὺγξ ἅμα, καὶ αἵματος θρόμβους ἀποβήσσῃ ἅμα τῷ σιάλῳ μέλανας, ἑβδομαῖος ἀποθνήσκει· δέκα δὲ ἡμέρας διαφυγὼν, τῆς μὲν πλευρίτιδος ὑγιὴς γίνεται, εἰκοσταῖος δὲ ἐκπυΐσκεται, καὶ ἀποβήσσει πύον, τελευτῶν δὲ ἀπεμέει, καὶ πάνυ δυσεξάλπατός ἐστι. Ξηραὶ πλευρίτιδες. Εἰσὶ δὲ καὶ ξηραὶ πλευρίτιδες ἄπτυστοι· χαλεπαὶ δὲ αὗται· αἱ δὲ κρίσιες ὅμοιαι τῇσιν ἄλλῃσιν, ὑγρασίης δὲ πλέονος δέονται τῶν ἄλλων ἐν τῷ ποτῷ. αἱ δὲ χολώδεες, καὶ αἱματώδεες κρίνουσιν ἐναταῖαι καὶ ἑνδεκαταῖαι, καὶ οὗτοι ὑγιέες μᾶλλον γίνονται. ἢν δὲ κατ᾽ ἀρχὰς μὲν μαλθακαί τινες ἔχωσιν ὀδύναι, ἀπὸ τῆς πέμπτης δὲ καὶ ἕκτης, ὀξεῖαι, αὗται δὲ τελευτῶσι μέχρι δυοκαιδεκάτης, καὶ οὐ μάλα ἐκφεύγουσι· κίνδυνος δὲ μάλιστα μέχρις ἑβδόμης, ἀτὰρ καὶ ἐς τὴν δυοκαιδεκάτην, μετὰ δὲ ταύτας ὑγιαίνονται. αἱ δὲ ἐξ ἀρχῆς μὲν μαλθακαὶ, ἀπὸ δὲ τῆς ἑβδόμης καὶ ὀγδόης ὀξεῖαι, πρὸς τὰς τεσσαρεσκαίδεκα κρίνουσί τε καὶ ὑγιαίνονται. Πλευρῖτις ἐν νώτῳ. Ἡ δὲ ἐς τὸν νῶτον πλευρῖτις, τοσόνδε διαφέρει τῶν ἄλλων. τὸν νῶτον ὀδυνᾶται ὡς ἐκ πληγῆς, καὶ στένει, καὶ ἀναπνεῖ ἀθρόον, αὐτίκα δὲ πτύει ὀλίγα, καὶ κοπιᾷ τὸ σῶμα· τρίτῃ ἢ τετάρτῃ, οὐρέει ἰχῶρα ὕφαιμον. ἀποθνήσκει δὲ μάλιστα πεμπταῖος, εἰ δὲ μὴ γε, ἑβδομαῖος· ταύτας δὲ διαφυ-

CAPVT XV.

C De pleuritide humidâ, biliosâ, & cruentâ; aridâ; dorsali; quarum hîc diagnostica, prognostica, pharmaceutica, diætetica, & chirurgica traduntur.

PLeuritis. Quum pleuritis corripuerit, hæc contingunt. Dolor latus occupat, febris & horror detinet, crebra est respiratio, orthophnœa vexat, subbiliosa velut punicea per tussim reijcit, nisi ruptiones habuerit; si verò habuerit, etiam sanguinem post ruptiones. Est autē & cruenta pleuritis, in qua subcruenta expuit. Et biliosa quidem mitior est, nisi æger D ruptiones habuerit. Sin minus, molestior quidē, sed non adeò lethalis. Cruenta autē vehemens, & grauis, & lethalis est. Quū igitur affuerit etiam vnà singultus, simulq; cū sputo sanguinis grumos nigros tussi reiecerit, hic septimo die moritur. Si verò decem dies effugerit, à pleuritide conualescit, sed vigesimo suppuratur, & pus per tussim reijcit, tandem verò euomit, neq; adeò facilè curatur. Pleuritides siccæ. Sunt autem & siccæ pleuritides sine sputo; verùm hæ molestæ sunt. E Indicationes alijs similes sunt, copiosiore in potu humectatione, quàm aliæ, opus habent. Biliosæ autem & cruentæ nono & vndecimo die decernunt, ijque magis sanescunt. Quòd si per initia quidam leues dolores detinuerint, post quintum verò & sextum diem acuti, ij ad duodecimum vsq; protrahuntur, neque ferè effugiunt. Periculum autem est maximè ad vsque septimum, imò etiam ad duodecimum, post hæc autem sanantur. Quæ ab initio quidem leues sunt, post septi- F mum autem & octauum acutæ, ad decimum-quartum decernunt & sanescunt. Pleuritis in dorso. Pleuritis ad dorsum hoc ab alijs differt. Dorsum velut ex plaga dolor occupat, ingemiscit, confertim respirat, confestim pauca spuit, & corpus lassum succumbit. Tertio aut quarto die subcruentā saniem meijt, maximè verò quinto die moritur; sin minus, septimo; hos si effugerit, viuit.

Hic

Hic morbus mitis est, minúsque lethalis. Obseruandus tamen ad vsque decimumquartum, posteà verò sanescit. Quibusdam autem pleuriticis purum sputum expuitur, vrina cruenta redditur, qualis succus serosus ex carnibus assatis defluens; dolores verò acuti per spinam ad pectus & inguina perueniunt. Hic si septimum diem effugerit, sanus redditur. Quum verò harum pleuritidum aliquâ laboranti dorsum rubescere contigerit, & humeros incalescere, dumque desidet, pondere grauari, si venter perturbatus ex virore pallida & graueolentia admodum demittat, hic ob ventris deiectionem primo & vigesimo die moritur, quem si effugerit conualescit. At quibus statim expuitiones cuiuslibet sunt generis, & dolores admodum acuti, tertio die moriuntur, quem si effugerint, conualescunt. Qui verò septimo, aut nono, aut decimo die, sanus non fuerit, suppurari incipit. Præstat autem suppurari; minùs enim lethale est, quanuis laboriosum sit. Præter autem commemorata signa, in vnaquaque pleuritide hæc in lingua spectare oportet. Bullâ enim aliquantum liuescente in lingua subortâ, qualis ferro candente in oleum intincto fieri assolet, si quidem per initia aspera fuerit, difficilior morbi liberatio contingit, & diebus quibus oportet, sanguinem tussi reijcere necesse est. At si progresso etiam morbo id contingat, iudicationes quidem ad decimumquartum diem procedent, sed sanguinẽ expuere necesse est. De morbi autem liberatione sic se res habet. Si tertio quidem die maturari & expui cœperit, celeriores sunt liberationes. Si verò posteriùs maturescat, posteriùs etiam iudicationes contingunt, quemadmodum in signis capitis. In omni autem pleuritide, dolores plerúnque magis interdiu quam noctu leuiores fiunt. Sic autem pleuritides curandæ sunt; plerunque velut phrenitis & peripneumonia, præterquam quòd balneis calidis & vino dulci vtendum. Si igitur primo aut postero ab inuasione die ægrum susceperis, si stercus quidem subijt purum, aut leuiter biliosum & paucum, ex infuso thapsiæ aluus subluenda. Quòd si aluus commota, noctu quidem relaxet, postridie verò & dolor, & tormina detineant, rursus subluenda. Si verò æger naturâ biliosus fuerit, & minimè purgatus morbo correptus sit, priusquàm biliosum sputum expuat, medicamento etiam bilem probè purgato. Iam verò biliosa expuenti, medicamentum ne dederis. Si enim dederis, sputum per superiora prodire minimè poterit, sed septimo aut nono die strangulabitur, idque magis si hypochondria doleant. At si præter laterum dolores etiã hypochondria doleant, aluum subluere oportet; & ieiuno potui exhibere aristolochiam, hyssopum, cuminum, laserpitium, peplum album, æris florem, & mel, & acetum, & aquam. Per medicamenta quidem primas curationes ita moliri oportet. Reliqua verò sic se habent. Calidâ multâ pro ægri viribus, præterquàm caput, lauato; quumque iudicationes existunt, partes dolentes humidis fomentis tepefacito, & oleo illinito. Dum verò impetu morbi feruntur, tum ægrũ, tum Medicum à curationibus quiescere oportet, vt ne quid mali induca-

A γὼν [43] ζώει, καὶ ἡ νοῦσος ἠπίη, καὶ ἧσσον θανατώδης. φυλάσσειν δὲ χρὴ μέχρι τῶν τεσσαρεσκαίδεκα, μετὰ δὲ ταῦτα ὑγιὴς γίνεται. Ἐνίοις δὲ τῶν πλευριτικῶν, τὸ μὲν σίαλον καθαρὸν, ἡ δὲ οὔρησις αἱματώδης, οἷον ἀπὸ κρεῶν ὀπτῶν ἰχωρῶδες· ὀδύναι διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος καὶ ἐς τοὺς βουβῶνας τείνουσιν. ἐπὴν τὴν ἑβδόμην διαφυγὼν, ὑγιαίνει. Ὁκόταν δὲ τούτων τῶν πλευριτίδων τινὶ προσγένηται τὸ νῶτον ἐρυθριᾶν, καὶ τοὺς ὤμους θερμαίνεσθαι, καὶ ἀνακαθίζοντα βαρύνεσθαι, καὶ ἡ γαστὴρ ἐκ-
B ταράσσεται χλωρὰ καὶ δυσώδεα σφόδρα· ἐπὴν διὰ τὴν ὑποχώρησιν τῆς γαστρὸς, εἰκοστῇ καὶ μιῇ ἀποθνήσκει, ταύτας δὲ διαφυγὼν, ὑγιαίνει. Οἷσι δὲ αἱ πτύσιες εὐθὺς παντοδαπαί εἰσι, καὶ τὰ ἀλγήματα πάνυ ὀξέα, οὗτοι τριταῖοι θνήσκουσι, ταύτας δὲ διαφυγόντες, [44] ὑγιαίνουσιν. ὁ μὴ γενόμενος δὲ ὑγιὴς τῇ ἑβδόμῃ, ἢ τῇ ἐνάτῃ, ἢ τῇ [45] δεκάτῃ, ἄρχεται ἐμπύσκεσθαι· κρέσσον δὲ ἐμπυῆσαι, ἧσσον γὰρ θανατῶδες, κἂν ἐπίπονον ᾖ. Πρὸς δὲ τοῖσι σημείοισι τοῖσιν εἰρημένοισιν, ἐν ἑκάστῃ τῶν πλευριτίδων καὶ
C τάδε χρὴ σκοπέεσθαι· τὴν γλῶτταν· πομφόλυγες γὰρ ὑποπελίδνου γινομένης [46] ἐπὶ τῆς γλώσσης, οἷα σιδηρίου βαφέντος εἰς ἔλαιον, ἢν μὲν ἐν ἀρχῇ γένοιτο τρηχεῖα, χαλεπωτέρη ἡ ἀπάλλαξις τῆς νούσου, καὶ ἀνάγκη αἷμα ἀποβῆξαι ἐν τῇσιν ἡμέρῃσιν, ἐν ᾗσι δεῖ. Εἰ δὲ καὶ προκεχωρυκίης τῆς νούσου γένοιτο, αἱ μὲν κρίσιες ἐς τὴν τεταρτὴν καὶ δεκάτην ἡμέραν, ἀνάγκη δὲ πτύσαι αἷμα. Ἔχει δὲ οὕτως περὶ τῆς ἀπαλλάξιος. εἰ μὲν τριταίῳ ἄρχοιτο πεπαίνεσθαι καὶ πτύεσθαι, θᾶττους αἱ ἀπαλλάξιες· εἰ δὲ ὕστερον πεπαίνοιτο, ὕστερον καὶ αἱ κρίσιες γίνονται, ὡς
D ἐν τοῖσι τῆς κεφαλῆς σημηΐοισι. Τὰ δὲ ἀλγήματα τὰ ἐν ἁπάσῃσι τῇσι πλευρίτισιν, ὡς ἐπιτοπουλὺ κουφίζει μεθ' ἡμέρην μᾶλλον, ἢ νύκτωρ. Θεραπεύειν δὲ χρὴ τὰς πλευρίτιδας οὕτως· τὰ μὲν πολλὰ ὡς τὴν φρενῖτιν καὶ περιπλευμονίην, πλὴν λουτροῖσι χρῆσθαι θερμοῖσι, καὶ οἴνοισι γλυκέσιν. ἢν μὲν οὖν τῇ πρώτῃ, ἢ τῇ ἐπιούσῃ λάβῃς τῆς ἐπιλήψιος, ἢν μὲν ὑπεληλύθῃ ἡ κόπρος καθαρὴ, ἢ ἀτρέμα χολώδης καὶ ὀλίγη, ὑποκλύσαι θαψίῃ· ἢν δὲ κινηθεῖσα ἡ κοιλίη, τὴν μὲν νύκτα χαλάσῃ, τῇ δὲ
E ὑστεραίῃ ὀδύνη καὶ στρόφος ἔχῃ, πάλιν ὑποκλύσαι. ἢν δὲ ὁ κάμνων χολώδης ᾖ τῇ φύσει, καὶ ληφθῇ τῇ νούσῳ ἀκάθαρτος ἐὼν, πρὶν ἀναπτύεσθαι τὸ σίαλον χολῶδες, καὶ τῷ φαρμάκῳ καθῆραι χολὴν εὖ. ἐκπτύοντι δὲ ἤδη χολώδεα, μὴ δίδου τὸ φάρμακον· ἢν γὰρ δῷς, τὸ πτύσμα οὐ δυνήσεται ἄνω ἀνιέναι, ἀλλ' ἑβδομαῖος ἢ ἐναταῖος ἀποπνιγήσεται, ἢν μᾶλλον καὶ τὰ ὑποχόνδρια ἀλγέῃ. ἢν δὲ πρὸς τῇσιν ἐν τῇσι [48] πλευρῇσιν ὀδύνῃσιν, καὶ τὰ ὑποχόνδρια ἀλγέῃ, ὑπο-
F κλύσαι δεῖ· καὶ πίνειν δοῦναι νήστει ἀριστολοχίαν, καὶ ὕσσωπον, καὶ κύμινον, καὶ σίλφιον, καὶ μήκωνα λευκὴν, καὶ ἄνθος χαλκοῦ, καὶ μέλι, καὶ ὄξος, καὶ ὕδωρ. πρὸς μὲν τὰ φάρμακα οὕτω δεῖ ποιέεσθαι τὰς θεραπείας τὰς πρώτας· τὰ δ' ἄλλα ὧδε ἔχει. λούειν πολλῷ θερμῷ πρὸς τὴν δύναμιν τοῦ κάμνοντος, πλὴν τῆς κεφαλῆς· καὶ ὁκόταν αἱ κρίσιες [49] ὦσι, τὰ ὀδυνώμενα χλιαίνειν ὑγροῖσι πυρίῃσιν, ὑπαλείφων ἐλαίῳ. Ὁκόταν δὲ καταιγίζωσιν αἱ νοῦσοι, ἡσυχάζειν καὶ τὸν κάμνοντα καὶ τὸν ἰητρὸν τῇσι θεραπείῃσιν, ὅκως μὴ κατεργάσηταί τι κακόν.

πτισάνης δὲ χυλὸν καθεφθὸν διδόναι, ὀλίγῳ παχύτερον, μελίκρητον ποιέων· μετὰ δὲ τὰ λουτρὰ, καὶ οἶνον γλυκὺν, καὶ ὑδαρέα προσπίνειν, μὴ ψυχρὸν, ὀλίγον, ἐκ βομβυλίου ἐκ εὐρυστόμου· καὶ ὁκόταν βῆχες [50] ἐπίωσιν, ἐπιπίνειν, καὶ χρέμπτεσθαι ὡς μάλιστα, καὶ τῷ ποτῷ ὑγραίνειν, ἵνα ὁ πλεύμων ὑγρότερος ἐὼν, ῥᾷον καὶ θᾶσσον ἀποδιδῷ τὸ πτύσμα, καὶ ἡ βὴξ ἧσσον πονέῃ. καὶ ῥοιῆς δὲ γλυκείης [51] οἰνώδεος χυλὸν, γάλακτι αἰγείῳ ὀλίγῳ καὶ μέλιτι μιγνὺς, κατὰ μικρὸν πολλάκις δίδου νύκτωρ τε καὶ μεθ' ἡμέρην, καὶ ὕπνον ὡς μάλιστα διακωλύειν, ἵνα κάθαρσις γίνηται θᾶσσόν τε καὶ πλεῖον. τὴν δὲ αἱματώδεα πλευρῖτιν, θεραπεύειν χρὴ [52] οὕτως· μετὰ δὲ τὰς κρίσιας, ἀνακομίζειν σιτίοισι κούφοισι, καὶ ἡσυχάζειν, καὶ φυλάσσεσθαι περιττῶς ἡλίους, ἀνέμους, πλησμονὰς, ὀξέα, ἁλυκὰ, λιπαρὰ, καπνὸν, φύσας τὰς ἐν τῇ κοιλίῃ, πόνους, λαγνείας· ἢν γὰρ ἡ νοῦσος ὑποτροπιάσῃ, θάνατος ἕψεται. Ἐν δὲ τῇσι πτύσεσιν, ἢν ὀδύνη τε ἔχῃ, καὶ μὴ δύνηται ἀποπτύειν, νήστει δίδου ἄνθος χαλκοῦ ὅσον κυτιάδα, καὶ ὀποῦ σιλφίου τούτου τὸ ἥμισυ, καὶ τριφύλλου καρποῦ ὀλίγον, ἐν μέλιτι λείχειν· ἢ πεπέρεως κόκκους πέντε, καὶ ὀποῦ σιλφίου ὅσον κύαμον, καὶ μέλι, καὶ ὄξος, καὶ ὕδωρ πίνειν χλιαρὸν, νήστει δίδου· τοῦτο καὶ τὰς ὀδύνας παύει. ἢν δὲ μὴ δύνηται πτύειν κατὰ λόγον, ἀλλ' ἐνίσχηται ἐν αὐτῷ, καὶ ῥέγχῃ ἐν τοῖσι στήθεσιν, ἄρου τοῦ μεγάλου ῥίζης χηραμίδα, καὶ ἔλαιον σὺν μέλιτι μίξαι, ἐπιρροφεῖν δὲ ὄξος κεκρημένον. Ἄλλο ἰσχυρόν. Ἄνθος χαλκοῦ ὅσον κύαμον, καὶ νίτρον [53] ὀπτὸν διπλάσιον, καὶ ὑσσώπου ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, μέλιτι μίξας, καὶ ὕδωρ καὶ ἔλαιον μικρὸν ἐπιστάξας, χλιήνας ἐν χηραμίδι ἐγχέειν, ἵνα μὴ ἀποπνιγῇ· καὶ ἐν περιπλευμονίῃ ἢν μὴ καθαίρηται, τοῦτο δεῖ ποιέειν. ἢν δὲ μήτε ῥέγχῃ, μήτε πτύῃ ὡς δεῖ, καππάριος καρποῦ ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, καὶ πέπερι, καὶ νίτρον ὀλίγον, καὶ μέλι, καὶ ὄξος, καὶ ὕδωρ μίξας, τοῦτο χλιαρὸν ἐπιρροφεῖν· τῇ δὲ ἄλλῃ ἡμέρῃ, ἐν ὄξει καὶ μέλιτι καὶ ὕδατι ἀναζέσας ἐπιρροφεῖν· τοῦτο καὶ τοῖσι ῥέγχουσι διδόναι, καὶ μὴ δυναμένοισι καθαίρεσθαι. Εἰ δὲ ἰσχυρότερον βούλοιο ποιέειν, ὑσσώπου, καὶ νάπυος, καὶ καρδάμου [54] κόγχην χηραμίδα τρίψας ἐν μέλιτι καὶ ὕδατι, καὶ ἀναζέσας καὶ διηθήσας, ἐπιρροφεῖν χλιαρὸν δίδου. οὕτω ταῦτα τὰ νοσήματα θεραπευθέντα, ὑγιέα γίνονται, ἢν μή τι τοῦ πτύσματος ὑπολειφθὲν ἐν τῷ πλεύμονι πύος γένηται, ἐφ' οὗ βήσσουσι ξηρὰ βηχία, καὶ πῦρ καὶ φρίκη ἴσχει, καὶ ὀρθοπνοίη ἔχει, καὶ πυκνὸν καὶ ἀθρόον ἀναπνεῖ, καὶ ἡ φωνὴ βαρυτέρη ὀλίγῳ, καὶ χροιὴ σὺν τῇ θέρμῃ τὸ πρόσωπον ἴσχει· προϊόντος δὲ τοῦ χρόνου, μᾶλλον καὶ ἡ νοῦσος σάφα δηλοῦται. Τοῦτον εἰ ἐντὸς τῶν δέκα ἡμερῶν λάβῃς, θερμήναντα χρὴ διαίτῃ καὶ λουτρῷ θερμῷ, ἐγχέαι ἐς τὸν πλεύμονα, ὅ,τι πύον ἄξει, καὶ τοῖσιν ἄλλοισι χρῆσθαι τοῖσι τὸ πύον ἄγουσι, καὶ διαιτᾶν ὧδε ὡς ἔμπυον, καὶ τὴν κεφαλὴν ἀποξηραίνειν, ἵνα μὴ ἐπιρρέῃ. ἢν δὲ ὑπὸ τῆς ἐγχύσιος μὴ ἀνάγηται τὸ πύον, ῥήγνυται αὐτὸ ἐκ τοῦ πλεύμονος εἰς τὸν θώρηκα, καὶ μετὰ τὴν ῥῆξιν δοκέει ὑγιὴς εἶναι, ὅτι ἐκ τῆς στενοχωρίης εἰς τὴν εὐρυχωρίην ἦλθε τὸ πύον,

tur. Ptisanæ autem succus coctus exhibendus, paulò crassior admixto melle redditus. Post balnea, vinum dulce & aquosum potui exhibendum, minimè frigidum, paucum, ex angusti oris poculo; quumque tusses inuaserint, superbibendum & quàm maximè excreandum, & potu humectandum, quò pulmo humidior factus faciliùs ac citiùs sputum reddat, & tussis minùs vexet. Et mali punici dulcis vinosi succum, cum lacte caprino pauco & melle mixtũ, noctu & interdiu paulatim sæpè exhibeto, somnúmque quàm maximè prohibeto, quò celerior ac copiosior purgatio contingat. At cruentam pleuritidem sic curare oportet. Post iudicationes autem, vires leuibus cibis reficiendæ, & quiescendum, prætereaque vitandi soles, venti, plenitudines, acida, salsa, pinguia, fumus, ventris flatus, labor, venus. Si enim reuerterit morbus, mors sequetur. In expuitionibus autem si dolor detineat, neque expuere possit, ieiuno æris florem baccæ oleastri magnitudine, succi laseris eius dimidium, seminis trifolij parum, ex melle delingenda exhibeto. Aut piperis grana quinque, & succi laseris fabæ quantitatem, mel, acetum, & aquam, ieiuno tepida propinato. Hoc etiam dolores sedat. Quòd si pro ratione spuere nequeat, sed in ipso sputum *retineatur, & in pectore stertorem edat, radicis dracunculi magni concham maiorem, & oleum cum melle admisceto, & acetum aquâ temperatum insuper sorbendum dato.* Aliud vehemens. *Æris florem fabæ quantitate, nitrum assatum duplâ portione, hyssopi quantùm tribus digitis capitur, melle admixto, aquâ & olei modico instillato, tepefacta per concham maiorem, ne strangulectur, infundito. Id etiam in pulmonis inflammatione, si non purgetur, faciendum. Si verò neque stertat, neque vt decet, spuat, capparis fructûs quantum tribus digitis capitur, piper, nitri modicum, cum melle, aceto & aquâ admixtâ, hoc tepidum sorbendum dato. Postridie verò id ex aceto, melle, & aquâ feruefactum sorbendum; quòd & stertentibus, & ijs qui expurgari nequeunt, exhibendum. At si valentius facere volueris, hyssopi, sinapeos, & nasturtij concham maiorem ex melle & aquâ tritam, feruefactam, & colatam, tepidam sorbendam præbeto. Sic curati hi morbi sanantur; nisi sputi aliquid in pulmone relictum pus fiat, à quo tussis arida excitatur, febris & horror detinet, orthopnœa afficit, frequenter & confertim respirat, vox paulò grauior* redditur, *& color cum calore vultum occupat. Procedente verò tempore etiam magis apertè hic morbus declaratur. Hunc si intra decem dies* curandum *susceperis, postquam victu & balneo calido calefeceris, quod medicamentum pus educat, in pulmonem infundito, & alijs pus ducentibus vtitor, victumque vt suppurato præscribito, & caput, ne quid influat, resiccato. At si per infusum pus minimè educatur, id ex pulmone in thoracem erumpit, postque ruptionem sanus esse videtur, quod pus ex angustiâ in ampliorem locum venerit,*

&

& spiritus quem respiramus, in pulmone sedem habeat. Sed procedente tempore, pure pectus impletur, tusses & febres aliique dolores omnes magis ipsum vexant, morbúsque declaratur. Hunc quindecim post eruptionem diebus sinere oportet, quo pus rursus maturescat; quum nimirum in ampliorem locum pus veniens, tum refrixerit, tum adducto ad se eo, quod in thorace erat, humido, ipsum semiputridum esse necesse sit. Si igitur per hoc tempus suâ sponte expui incipiat, bene habet; *sin minus, medicamentis aut potionibus succurrendum vltimis quindecim diebus, ad corporis instaurationem, antequam magis atteratur, festinando, vt caput purum propter affluxiones tuearis. Si verò non spuatur, sed ad latera* sui *significationem exhibeat, secato aut inurito. At si neque spuatur, neque de se in costis significationem præbeat, ieiunum copiosâ calidâ lotum, & minimè potu vsum, in sella firma collocato; quúmque alter eum ex humeris apprehenderit, tu ipse eum concutito, aurem costis admouens, vt noscas, vtrâ ex parte sui significationem præbeat. Votum autem est, vt id ad sinistra magis contingat; nam dextra vrere aut secare lethale magis est. Quanto enim dextræ partes robustiores sunt, tantò etiam in ipsis vehementiores morbi fiunt. Quòd si propter crassitudinem humor non fluctuet, neque strepitus edatur in pectore, crebrum autem spiritum trahat, pedes intumescant, & tussicula quædam adsit, ne decipiaris, sed probè scias thoracem pure plenum esse. Linteo* itaque *tenui in rubricâ terrâ liquidâ, admodum tritâ, & tepidâ intincto, thoracem in orbem obtegito; quâque parte primùm resiccatum fuerit, eâ sectionem aut vstionem facere oportet, quàm proximè ad septum transuersum, cauendo* tamen *ne ipsum septum attingas. Quòd si voles, vbi rubricam illeueris, peræquè velut in linteo, spectato. Multi autem simul illinant, ne quæ partes primùm illinuntur, resiccentur. Post sectionem verò, aut vstionem, penicillo ex lino crudo vtere, & paulatim pus emitte. Quum verò secare aut vrere voles, notâ impressâ, fac vt eandem figuram seruent inter secandum aut vrendum, ne te cutis figuræ immutatione sursum aut deorsum vergens decipiat. Tusses quoque ex victu vitandæ, ne rursus in pulmonem (quod malum est) pus reuellant, sed sinendum, vt ad sectionem citissimè resiccetur. Posteaquàm verò duodecimum attigerit diem, pus reliquum totum emittito, & penicillo ex linteo apposito, bis die pus educito, superiorémque ventrem victûs ratione quàm maximè resiccato. Atque sic suppurationes, quæ tum ex vulneribus, tum ex peripneumoniâ, & ex magnis defluxionibus, & incumbente in latera pulmone contingunt, spectare & curare oportet.*

καὶ τὸ πνεῦμα ὃ ἀναπνέομεν, ἕδρην ἔχει ἐν τῷ πλεύμονι· προϊόντος δὲ τοῦ χρόνου, τὰ στήθεα πύου πληροῦνται, καὶ βῆχες, καὶ πυρετοὶ, καὶ τἄλλα ἀλγήματα πάντα μᾶλλον πιέζει αὐτὸν, καὶ ἡ νόσος διαδηλοῦται. Τοῦτον μετὰ τὴν ἔκρηξιν ἐᾶσαι δεῖ ἡμέρας πεντεκαίδεκα, ὅκως πάλιν πεπανθῇ τὸ πῦον· ἅτε γὰρ ἐς εὐρυχωρίην ἐλθὸν τὸ πῦον, [15] ἀπέψυξέ τε, καὶ τὸ ὑπάρχον ὑγρὸν ἐν τῷ θώρηκι προσηγάγετο πρὸς ἑωυτὸ, ὥστε αὐτὸ ἡμισαπὲς εἶναι. ἢν μὲν οὖν αὐτόματον ἄρξηται πτύεσθαι ἐν τούτῳ τῷ χρόνῳ· ἢν δὲ μὴ, φαρμάκοισι τιμωρέειν ἢ ποτοῖσιν ἐν τῇσι τελευταίῃσιν ἡμέρῃσι τῶν ἡμερέων τῶν πεντεκαίδεκα· ὅπως δὴ ἀναστῆναι, πρὶν μᾶλλον τρύχεσθαι τὸ σῶμα, φυλάσσειν τὴν κεφαλὴν καθαρὴν, τῶν ἐπιῤῥοέων εἵνεκα. ἢν δὲ μὴ πτύηται, ἀποσημαίνηται δὲ [16] ἐς τὰς πλευρὰς, ταμέειν ἢ καίειν. ἢν δὲ μήτε πτύηται, μήτε ἀποσημαίνηται ἐς τὰς πλευρὰς, λούσας πολλῷ καὶ θερμῷ νῆστιν, καὶ ἄποτον, καθίσας ἐπὶ ἕδρης ἀκινήτου· ἕτερος δὲ τῶν ὤμων ἀναλαβέτω, αὐτὸς δὲ σεῖε τοῦτον, τὸ οὖς προσβάλλων ἐς τὰς πλευρὰς, ἵν' εἰδῇς ὁκοτέρωθεν ἀποσημαίνει· βούλου δὲ μᾶλλον πρὸς τὰ [17] ἀριστερὰ, θανατωδέστερον γὰρ πρὸς τὰ δεξιὰ καίειν ἢ τάμνειν· ὅσῳ γὰρ αὐτὰ ἰσχυρότερα ἐστι τὰ δεξιὰ, τόσῳ καὶ τὰ νουσήματα ἐν αὐτοῖσιν ἰσχυρότερα δείκνυται. ἢν δὲ ὑπὸ πάχεος τὸ ὑγρὸν μὴ κλυδάζηται, μήτε ψόφος ᾖ ἐν τῷ στήθει, πυκνὸν δὲ ἕλκῃ τὸ πνεῦμα, καὶ οἱ πόδες οἰδέωσι, καὶ βηχίον τι προσῇ, μὴ ἐξαπατάτω, ἀλλ' εὖ ἴσθι πλήρη ἐόντα τὸν θώρηκα πύου. ἐς τὴν ἐρετρίαδα γῆν ὑγρὴν, καὶ λίην τετριμμένην καὶ χλιαρὴν, ἐπιβάψας ὀθόνιον λεπτὸν, περικάλυψον κύκλῳ τὸν θώρηκα, καὶ ὅκου ἂν πρῶτον ξηραίνηται, ταύτῃ χρὴ τάμνειν ἢ καίειν, ὡς ἐγγυτάτω τῶν φρενῶν, φυλασσόμενος αὐτὰς τὰς φρένας. ἢν δὲ βούλει, ἀλείφων τῇ ἐρετριάδι, σκόπει ὁμοίως ὡς ἐν τῷ ὀθονίῳ· πολλοὶ δὲ ἅμα ἀλειφόντων, ἵνα μὴ τὰ πρῶτα ἀλειφόμενα ἀποξηραίνηται. μετὰ δὲ τὴν τομὴν, ἢ τὴν καῦσιν, τῷ μοτῷ ἐκ τοῦ ὠμολίνου χρέο, καὶ ἔξιε κατ' ὀλίγον τὸ πῦον. ὁκόταν δὲ μέλλῃς τάμνειν, ἢ καίειν, ὑποσημαινόμενον τὸ αὐτὸ σχῆμα ἔχοντα, ὅπερ ἂν ὁκόταν μέλλῃς τάμνειν ἢ καίειν, ἵνα μὴ ἐξαπατήσῃ ἀνωτέρω γινόμενον ἢ κατωτέρω τὸ δέρμα, ἐν τῇ μεταβολῇ τοῦ σχήματος. τὰς βῆχας φυλάσσειν ἐκ τῆς διαίτης, ὅκως μὴ ἀντισπάσωσι πάλιν ἐς τὸν πλεύμονα τὸ πῦον, κακὸν γὰρ, ἀλλ' ἐὰν κατὰ τὴν τομὴν ὡς τάχιστα ἀποξηραίνεσθαι. ἐπειδὰν δὲ δωδεκαταῖος ᾖ, ἅπαν ἀφιέναι τὸ λοιπὸν πῦον, καὶ ἀπὸ τοῦ ὀθονίου μοτοῦ, καὶ ἀφιέναι δὶς τῆς ἡμέρης τὸ πῦον, καὶ τὴν ἄνω κοιλίην ἐκ τῆς διαίτης ὡς μάλιστα ξηραίνειν. ὧδε χρὴ καὶ τὰς ἐκ τῶν τρωμάτων, καὶ τὰς ἐκ τῆς περιπλευμονίης, καὶ ἐκ καταῤῥόων μεγάλων ἐκπυήσιας, καὶ προσπεσόντος τοῦ πλεύμονος τῇσι πλευρῇσι, σκοπεῖν καὶ θεραπεύειν.

A

ΚΕΦΑΛΑΙΟΝ Ις'.

Ψυκτήρια πόματα ἐν τοῖς καύσοις.

Ψυκτήρια δὲ τάδε δίδου ἐπὶ τοῖσι καύσοισι πίνειν, ὁκόταν βούλῃ. πολλὰ δὲ ἀπεργάζεται· τὰ μὲν γὰρ οὔρησιν ἐμποιέει, τὰ δὲ διαχώρησιν, τὰ δὲ ἀμφω, τὰ δὲ οὐδέτερα, ἀλλὰ ψύχει μοῦνον, ὡς ἄγγος ὕδατος ζέον, εἴ τις ἐπιχέῃ ψυχρὸν ὕδωρ, ἢ ψυχρῷ αὐτὸ τὸ ἄγγος πνεύματι παραστήσαι. δίδου δὲ ἄλλα ἄλλοισιν· οὔτε γὰρ τὰ γλυκέα πᾶσι συμφέρει, οὔτε τὰ στρυφνὰ, οὔτε τὰ αὐτὰ πίνειν δύνανται. α'. [59] Τοῦτο μὲν κηρίων ξηρῶν, ὅσον δύο κοτύλας, βρέχων ὕδατι, καὶ ἀνατρίβων γλιέσθω, ἕως ἂν ὑπόγλυκυ γένηται· εἶτα διηθήσας, σέλινα ἐμβαλὼν, δίδου πίνειν. β'. [60] Τοῦτο δὲ λίνου καρποῦ ὀξύβαφον, ὕδατος κοτύλας δέκα ἐπιχέας, ἕψων ἐν καινῇ χύτρῃ ἐπὶ ἀνθράκων [61] ἐζέσω, ἵνα ἀναπνέῃ, ἕως ἂν ὁ χυλὸς ἀπλομένῳ λιπαρὸς γένηται. γ'. Τοῦτο δὲ μελικρήτου [62] ὑδαρέος καθεψήσας, τὸ ἥμισυ λείπειν, ἔπειτα σέλινα ἐπιβάλλων, τοῦτο ψυχρὸν κατ' ὀλίγον δίδου. δ'. Τοῦτο δὲ κριθὰς Ἀχιλληΐδας κοτύλην αὐήνας, ἄρας τὸν ἀθέρα, καὶ πλύνας εὖ, ἐπιχέας ὕδατος χοέα, ἕψει, καὶ τὸ ἥμισυ ἀπολείπων, ψύχων δίδου πίνειν. ε'. Τοῦτο δὲ Αἰθιοπικοῦ κυμίνου κοτύλης δέκατον μέρος, ἐπιχέας τρία ἡμίχοα, ἕψε, πηλῷ τριχώδεϊ καταλείψας· ἐζέσω, ἕως τρίτον μέρος λείπηται· καὶ ψύχων δίδου τοῦτο πρὸς πάντα καῦσον καὶ λοιπὸν πυρετόν. ς'. Τοῦτο δὲ ὕδωρ οὐράνιον αὐτὸ καθ' αὑτό. ζ'. Τοῦτο δὲ πτισάνης κοτύλη, χοέα ὕδατος ἐπιχέας, λείπειν τὸ ἥμισυ ἕψων, ἔπειτα διηθήσας, σέλινα ἐπιβαλὼν, δίδου ψυχρόν. η'. Τοῦτο δὲ οἱ σταφίδινοι λευκοὶ οἶνοι ὑδαρέες. θ'. Τοῦτο δὲ τρύγες στεμφυλίτιδες σταφιδίται ὑδαρέες. ι'. Τοῦτο δὲ ἀσταφὶς λευκὴ ἄνευ γιγάρτων, κοτύλη, καὶ πενταφύλλου ῥιζέων χειροπληθῆ φλάσας, εἴκοσι κοτύλας ὕδατος ἐπιχέας, ἀφεψήσας, καὶ τὸ ἥμισυ λείπων, δίδου ψυχρὸν κατ' ὀλίγον. ια'. Τοῦτο δὲ κρίμνων κριθέων ἁδρῶν ἡμιχοίνικα, ὕδατος χοέα ἐπιχέας, ὁκόταν ἤδη ἀνοιδέῃ τὰ κρίμνα, τρίβειν τῇσι χερσὶν, ἕως ἂν λευκὸν τὸ ὕδωρ γένηται· καὶ ἀδιάντου δραχμίδα ἐμβαλὼν, ἀπαιθριάσας δίδου. ιβ'. Τοῦτο δὲ ὠῶν τὸ λευκὸν τριῶν ἢ τεττάρων, κατακυκλῶν ἐν ὕδατος χοῒ πινέτω. τοῦτο δὲ ψύχει σφόδρα, καὶ τὴν κοιλίην ὑπάγειν τὸν νοσέοντα προσκατακινεῖ. ιγ'. Τοῦτο δὲ ἡμιχοίνικον καγχρύων εὖ ἀποπλύνας ἐν ὕδατος χοῒ, ζέσας δὶς ἢ τρὶς, ψυχρὸν δίδου. ιδ'. Τοῦτο δὲ πτισάνης χυλὸν, καθαρὸν [63] λευκὸν, καὶ οἶνον γλυκὺν δίδου. [64] τοῦτο οὐκ ἄγει. ιε'. Τοῦτο δὲ σικύου πέπονος ἄνευ τοῦ δέρματος, πάλης ἐφ' ὕδατι. τοῦτο οὐρέεται, καὶ ψύχει, καὶ τὴν δίψαν παύει. ις'. Τοῦτο δὲ ὀρόβους ἐν ὕδατι προεψήσας, εἶτα χύτρην καινὴν ἐν χύτρῃ μείζονι θεὶς πλέῃ ὕδατος, ἐπιχέας ἕτερον ὕδωρ τοῖσιν ὀρόβοισιν ἕψε ὀλίγον χρόνον· εἶτα ἀποχέας τὸ τρίτον μέρος, ἐπειδὰν κατέφθοι ἔωσιν οἱ ὄροβοι, ψύξας δίδου,

B

C

D

E

F

CAPVT XVI.

Refrigeratrices potiones in ardentibus febribus.

Has autem potiones refrigerantes in febribus ardentibus, quum voles, bibendas dato. Multos autem edunt effectus; aliæ siquidem mictionem prouocant, aliæ alui deiectionem, aliæ vtrunque, aliæ neutrum, sed tantùm refrigerant, vt siquis in vas aquæ feruentis frigidam aquam infundat, aut vento frigido vas ipsum exponat. Alia verò alijs dato. Neque enim omnibus dulcia conferunt, neque acerba, neque eadem bibere possunt. I. *Fauorum siccorum heminas duas aquâ maceratas, & contritas, dum aqua gustu subdulcis reddatur, deinde excolatas, iniecto apio, bibendas dato.* II. *Seminis lini acetabulum, aquæ decem heminis affusis, in ollâ nouâ prunis impositâ coquito; ferueat, vt transpiret, quoad succus tactui pinguis euadat.* III. *Aquam mulsam aquosam ad dimidias decoquito, deinde apium inijcito, hoc frigidum paulatim exhibeto.* IV. *Hordeum Achilleum, resiccatum, & demptis aristis, ad heminæ mensuram, & bene lotum, aquæ congio affuso, ad dimidias coquito; refrigeratum potui exhibeto.* V. *Cumini Æthiopici heminæ decimam partem, tribus aquæ semicongijs affusis decoquito, luto piloso ollâ oblitâ; ad tertias feruefactum & refrigeratum hoc, ad omnem febrem ardentem aliamque febrem exhibeto.* VI. *Aqua etiam cælestis per se sola* exhibita prodest. VII. *Ptisanæ heminam, aquæ congio affuso, ad dimidias coquito, deinde colatam, iniecto apio frigidam potui dato.* VIII. *Vina etiam alba ex vuis passis, aquosa* exhiberi possunt. IX. *Vuarum passarum fæces vinaceæ expressæ, dilutæ,* ad idem valent. X. *Vuæ passæ albæ exemptis vinaceis heminam, radicum pantaphylli manipulum contusum, affusis aquæ heminis viginti, ad dimidias decoquito, frigidum paulatim exhibeto.* XI. *Farinæ hordei pleni crassiori ad chœnicem dimidiam, affuso aquæ congio, quum crassiores farinæ partes iam intumuerint, eas manibus terito, quoad aqua alba reddita fuerit; & adianti pugillo iniecto, nocturno sereno expositum præbeto.* XII. *Trium aut quatuor ouorum candidum in aquæ congio subactum bibat. Hoc admodum refrigerat, & ægrum ad aluum subducendam etiam concitat.* XIII. *Hordei torrefacti probè loti chœnicem dimidiam, in aquæ congio bis aut ter feruefactam; frigidam exhibeto.* XIV. *Ptisanæ cremorem coctum tenuem, & vinum dulce dato. Hoc non mouet.* XV. *Cucumeris maturi sine cortice pollinem ex aqua* propinato. *Hoc vrinam mouet, refrigerat & sitim sedat.* XVI. *Eruum in aqua præcoctum, deinde ollæ nouæ in maiore ollâ aquâ plenâ impositum, aliâ eruo affusâ aquâ parum coquito; postea effusam tertiam partem, vbi eruum coctum fuerit,*

refrigeratam

refrigeratum præbeto, ad cyathos singulos insperso cucumeris & *erui polline. Hoc exploratè sitim sedat.* XVII. *Vinum Thasium vetus, aquæ quinque* & *viginti partibus ad vnam vini partem* admixtis, *exhibeto.* XVIII. *Trifolium, cucumeris pollinem, ex aqua, in qua crassiores hordeaceæ farinæ partes maduerint, præbeto.* XIX. *Apij manipulos tres, pulegij pugillos duos, in aceti heminis decem, ad tertias coquito; hoc melle* & *aquâ dilutum aquosum bibat, adianti pugillo iniecto; hoc vrinam ducit* & *aluum soluit.* XX. *Mala odorata dulcia contusa,* & *aquâ macerata; aquam potui exhibeto.* XXI. *Mala cydonia eodem modo* macerata*; si aluus in febre ardente soluta fuerit.* XXII. *At si morbus regius insuper inuaserit, vuæ passæ albæ sine vinaceis, cicerum alborum, vtrorumque heminam dimidiam, hordei Achillei tantundem, cnici tantundem, aquæ heminas decem, apium, mentham, coriandrum, cuiusque parum simul terito, quoad* aqua *leuiter dulcescat; postremò adianti pugillo iniecto, nocturno sereno expositum exhibeto. His etiam similia imitari poteris. Omnia autem nocturno sereno exposita febricitanti exhibeto, bis exceptis, quibus aluus plus æquo est fluida.* XXIII. *Pulegij pugillos tres, apij duplum, vino aquâ temperato coquito,* & *propinato. Hoc vrinam mouet, bilemque per aluum educit.*

A κατὰ κύαθον ἐπιπάσσων τῆς τοῦ σικύου πάλης τὴν ἐκ τῶν ὀρόβων πάλην. τοῦτο δὲ βεβαίως δίψαν παύει. ιζ'. Τοῦτο δὲ Θάσιον οἶνον παλαιὸν, πέντε καὶ εἴκοσιν ὕδατος, καὶ ἕνα οἴνου δίδου. ιη'. Τοῦτο δὲ τρίφυλλον, ἢ σικυῶδες, ἐν ὕδατι καὶ κρίμνα κριθέων βρέχων, δίδου. ιθ'. Τοῦτο δὲ σέλινα, ὅσον τρεῖς τῇ χειρὶ περιλαβεῖν, καὶ γλήχωνος δραχμίδας δύο, ἑψῶν ἐν ὄξεος κοτύλῃσι δέκα, ὡς τρίτον μέρος λείπῃ, τοῦτο μέλιτι καὶ ὕδατι κεραννὺς ὑδαρὲς, πινέτω, B ἀδιάντου δραχμίδα ἐμβάλλων. τοῦτο δὲ οὖρον ἄγει καὶ τὴν κοιλίην λύει. κ'. Τοῦτο δὲ μῆλα εὐώδεα γλυκέα φλάσας, καὶ ἐν ὕδατι ἀποβρέξας, δίδου πίνειν τὸ ὕδωρ. κα'. Τοῦτο δὲ μῆλα κυδώνια ὡσαύτως, ἢν ἡ κοιλίη λελυμένη ᾖ ἐν πυρετῷ καυσώδει. κβ'. Ἰκτέρου δὲ ἐπιλαβόντος, ἀσταφίδος λευκῆς ἄνευ γιγάρτων, καὶ ἐρεβίνθων λευκῶν, ἡμικοτύλιον ἀμφοτέρων, καὶ κριθέων ἀχιλληΐδων ἴσον, καὶ κνίκου ἴσον, ὕδατος κοτύλας δέκα, καὶ σέλινα, καὶ C μίνθην, καὶ κορίανον, ὀλίγον ἑκάστου διατρίβειν, ἕως ἂν ἠρέμα γλυκανθῇ· καὶ ἀδιάντου δραχμίδα ὕστερον ἐμβαλὼν, αἰθριάσας δίδου. Τοῦτο δὲ καὶ τὰ τούτοισιν ὅμοια μιμέεσθαι. πάντα δὲ τῷ πυρέσσοντι ᾐθριασμένα δίδου, πλὴν οἷσιν αἱ κοιλίαι μᾶλλον τοῦ δέοντος ῥέουσιν. κγ'. Τοῦτο δὲ γλήχωνος δραχμίδας τρεῖς, σελίνου διπλάσιον, οἴνῳ κεκρημένῳ ἑψῶν, δίδου. τοῦτο δὲ οὐρεῖται, καὶ διὰ τῆς κοιλίης χολὴν ἄγει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ, ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

HIPPOCRATIS DE MORBIS, LIBER QVARTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Αἱ τέσσαρες τοῦ ὑγροῦ ἰδέαι καταλέγονται, ἡ χολὴ, τὸ φλέγμα, τὸ αἷμα, καὶ τὸ ὕδωρ· καὶ αἱ τούτων ἀρχαὶ, καὶ γένεσις, καὶ αἰτίαι, καὶ ὑποδοχαὶ, καὶ πηγαὶ, καὶ τὰ ἐνεργήματα· καὶ τὰ σιτία, καὶ τὰ ποτά· καὶ τὰ περιττώματα, καὶ αἱ αὐτῶν ὁδοί. περὶ τῶν πυρετῶν διορίζεται, καὶ περὶ τῶν νοσημάτων ἀρχῶν, καὶ αἰτίων, καὶ τῶν ὀδυνῶν, καὶ ἑλμίνθων, καὶ λίθων, καὶ ὕδρωπος.

ARGVMENTVM LIBRI.

Quatuor humorum species narrantur, bilis, pituita, sanguis, & aqua; eorúmque principia, generatio, causa, receptacula, fontes, & effectus; cibaria & potulenta; excrementa & eorum ductus. De febribus disseritur, morborum principijs, causis, doloribus, lumbricis, calculis, hydrope.

A

ΚΕΦΑΛΑΙΟΝ Α'.

Η τοῦ ἀνθρώπου γένεσις· τὸ σπέρμα ἑκατέρου τοῦ γεννήσαντος ἀπὸ πάντων τῶν μελῶν ἐς τὴν γένεσιν ἔρχεσθαι· τέσσαρας τοῦ ὑγροῦ ἰδέας εἶναι, τὴν χολὴν, καὶ τὸ αἷμα, καὶ τὸ φλέγμα, καὶ τὸ ὕδωρ ἢ χολὴν μέλαιναν· καὶ ταύτας ἀπὸ τῶν βρωμάτων καὶ πομάτων γένεσθαι· καὶ τὰς τούτων πέντε εἶναι πηγὰς, τὴν κοιλίαν, καὶ τὴν κεφαλὴν, καὶ τὴν καρδίαν, καὶ τὸν σπλῆνα, καὶ τὸ ἐπὶ τῷ ἥπατι τῆς χολῆς χωρίον· ἡ τῶν μορίων καὶ τῶν φυτῶν ἀναλογία, καὶ ἀμφότερα τὸ συγγενὲς ὑγρὸν ἕλκειν.

B

CAPVT I.

Hominis ortus; semen vtriusque parentis ab omnibus partibus ad generationem procedere; humores corporis quatuor esse, bilem, sanguinem, pituitam, & aquam vel atram bilem; eosque ex edulijs ac potulentis procreari; eorúmque fontes esse quinque, ventriculum, caput, cor, lienem, & fellis in hepate folliculum; partium & plantarum analogia; vtrasque congenerem sibi humorem trahere.

ΤΟΥ ἀνθρώπου ἐς τὴν γένεσιν ἀπὸ πάντων τῶν μελέων τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐλθὸν τὸ σπέρμα, καὶ ἐς τὰς μήτρας τῆς γυναικὸς πεσὸν, ἐπάγη· χρόνου δὲ γινομένου, φύσις ἀνθρωποειδὴς ἐγένετο ἐξ αὐτέου. Ἔχει δ' καὶ ἡ γυνὴ, καὶ ὁ ἀνὴρ [a] τέσσαρας ἰδέας ὑγροῦ ἐν τῷ σώματι, ἀφ' ὧν νοῦσοι γίνονται, ὁκόσα μὴ [a] ἀπὸ βίης νουσήματα γίνονται. αὗται δὲ αἱ ἰδέαι εἰσὶ, φλέγμα, αἷμα, χολὴ, καὶ ὕδρωψ· καὶ ἀπὸ τούτων ἐς τὸ σπέρμα, οὐκ ἐλάχιστον, οὐδὲ ἀσθενέστατον συνέρχεται· καὶ ἐπειδὰν τὸ ζῶον ἐγένετο κατὰ τοὺς τοκῆας, τοσαύτας ἰδέας ὑγροῦ ὑγιηροῦ τε καὶ νοσεροῦ ἔχει ἐν ἑωυτῷ. Ἀποφανέω δὲ ὁκόσα ἐν ἑκάστῃ τουτέων τῶν ἰδεῶν καὶ πλείω καὶ ἐλάσσω ἐν τῷ σώματι γίνεται, καὶ ὑπὸ τούτου νοσέουσι· καὶ ὅ, τι αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσιν ἡμέρῃσι· καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσί· καὶ ὁκοῖα αὐτέων ἑκάστη ἐν τῷ σώματι ἐργασ-

Semen ab omnibus tum viri, tum mulieris partibus, ad hominis generationem veniens, & in mulieris vterum illapsum, concrescit; ex eóque, tempore procedente, natura humanæ formæ compos procreatur. Habet autem tum mulier, tum vir in corpore quatuor humoris species, à quibus morbi oriuntur, qui morbi à nulla C violentia ortum ducunt. Hæ verò sunt species, pituita, sanguis, bilis, & aqua. Ex hisque non minima neque debilissima portio in semen confluit. Quumque animal ex parentibus procreatum est, tot humoris tum sani, tum ægri ideas in se continet. Quæ verò ex vnaquaque harum specierum tum plura, tum pauciora in corpore contingunt, aperiam, & à quo ægrotant; quódq; morbi diebus imparibus iudicantur; & quænam sunt morborum principia; & quænam horum singula in corpore

pore moliuntur, vt morbum inuehant; à quo etiam rigor ipse febrilis contingit, & cur post eum febris adoritur. Ac primùm quánam ratione bilis, sanguis, aqua, & pituita ex cibarijs & potibus copiosiora & pauciora procreentur, demonstrare volo, hoc modo. Ventriculus plenus existens, omnium corpori fons est; vacuus verò factus, ex corpore tabescente haurit. Sunt autem etiam quatuor alij fontes, à quibus horum quisque in corpus procedit. Quum igitur hi fontes à ventriculo acceperint, ipsique quum vacuati fuerint, à corpore hauriunt. Trahit quoque ipsum corpus, quum quid in se ventriculus habuerit. Sanguinis certè fons est cor; pituitæ, caput; aquæ, lien; bilis, locus in iecore. Atque hi sunt quatuor istis humoribus *fontes, præter ventriculum. Ex his autem maximè caui sunt caput & lien. In eo enim amplissimus locus est. Sed de hoc paulò pòst meliùs disseram. Sic autem se res habet. In omnibus cibis ac potibus, & biliosi aliquid, & aquosi, & sanguinei, & pituitosi inest, plus minúsve in hoc vel illo. Quapropter quæ comeduntur ac bibuntur, ad valetudinem inter se differunt. Atque hæc mihi eá de re dicta sunt. Quum homo comederit aut biberit, corpus ad se ex ventriculo commemoratum humorem trahit; & fontes per venas de ventriculo trahunt, similis humor similem, & in corpus distribuunt, quemadmodum & in plantis, similis humor ex terra similem attrahit. Sic enim in se varias & innumeras terra facultates habet. Nam quæcunque in ipsa producuntur,* his *omnibus humorem vnicuique similem præbet, velut & id quod producitur, sibi cognatione similem habet; & trahit vnumquodque ex terra alimentum, quale sanè ipsum est. Nam & rosa talem ex terra humorem trahit, qualis & ipsa facultate est; & allium talem è terra humorem trahit, quale etiam ipsum facultate existit; & cætera omnia quæ producuntur, è terra trahunt pro se singula. Nisi enim id ita se haberet, non nascerentur plantæ suis seminibus similes.*

A μένην τῇ νούσῳ ἐπάγει· καὶ ὑπὸ τοῦ αὐτοῦ ῥῖγος πυρετῶδες γίνεται, καὶ διότι τὸ πῦρ ἐπιπίπτει μετ' αὐτό. Ἐθέλω δὲ ἀποφῆναι πρότερον, πῶς ἡ χολὴ, καὶ τὸ αἷμα, καὶ ὁ ὕδρωψ, καὶ τὸ φλέγμα, πλείονα καὶ ἐλάσσονα γίνεται ἀπὸ τῶν βρωμάτων καὶ τῶν πομάτων, τρόπῳ τοιῷδε. Η κοιλίη τῷ σώματι πάντων πηγή ἐστι πλέη ἐοῦσα, κενεὴ δὲ γινομένη, ἐπαυρίσκεται ἀπὸ τοῦ σώματος τηκομένου. Εἰσὶ δὲ καὶ ἄλλαι πηγαὶ τέσσαρες, ἀφ' ὧν χωρέει τούτων ἕκαστον ἐς τὸ σῶμα· ἐπὴν οὖν αὗται ἀπὸ τῆς κοιλίης λάβωσι, καὶ αὗται ἐπὴν κενωθῶσιν, ἀπὸ τοῦ σώματος ἐπαυρίσκονται·
B ἕλκει δὲ αὐτὸ τὸ σῶμα, ἐπὴν ἡ κοιλίη τι ἔχῃ ἐν ἑωυτῇ. Τῷ μὲν δὴ αἵματι, ἡ καρδίη πηγή ἐστι· τῷ δὲ φλέγματι, ἡ κεφαλή· τῷ δὲ ὕδατι, ὁ σπλήν· τῇ δὲ χολῇ, τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι. αὗται αἱ τέσσαρες τουτέοισίν εἰσι πηγαὶ, ἄνευ τῆς κοιλίης. ἀπὸ τούτων δέ εἰσι κοιλότατα, ἡ κεφαλὴ, καὶ ὁ σπλήν. εὐρυχωρίη γὰρ ἐν αὐτῷ πλείστη ἐστίν· ἀλλὰ περὶ τούτου, ὀλίγον ὕστερον ἀποφανέω κάλλιον. ἔχει δὲ καὶ τόδε οὕτως· ἐν τοῖσι βρωτοῖσι καὶ τοῖσι ποτοῖσιν ἔνεστι πᾶσι καὶ χολῶδές τι, καὶ ὑδρωπῶδες, καὶ
C αἱματῶδες, καὶ φλεγματῶδες, τῇ μὲν πλέον, τῇ δὲ ἔλασσον· διότι καὶ διαφέρει τὰ ἐσθιόμενα καὶ πινόμενα ἀλλήλων ἐς τὴν ὑγιείην. Καὶ ταῦτα μοι ἐς τοῦτο εἴρηται· ἐπὴν δὲ φάγῃ ἢ πίῃ ὁ ἄνθρωπος, ἕλκει τὸ σῶμα ἐς ἑωυτὸ ἐκ τῆς κοιλίης τῆς ἰκμάδος τῆς εἰρημένης, καὶ αἱ πηγαὶ ἕλκουσι διὰ τῶν φλεβῶν ἀπὸ τῆς κοιλίης, ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην, καὶ διαδιδῶσι τῷ σώματι, ὥσπερ ἐπὶ τῶν φυτῶν ἕλκει ἀπὸ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην. ἔχει γὰρ ὧδε ἡ γῆ ἐν ἑωυτῇ δυνάμιας παντοίας καὶ ἀναριθμήτους·
D ὁκόσα γὰρ ἐν αὐτῇ φύεται, πᾶσιν ἰκμάδα παρέχει ὁμοίην ἑκάστῳ, οἵην καὶ αὐτὸ τὸ φυόμενον αὐτῷ ὁμοίην κατὰ ξυγγενὲς ἔχει· καὶ ἕλκει ἕκαστον ἀπὸ τῆς γῆς τροφὴν, οἷόν περ καὶ αὐτό ἐστι. τό, τε γὰρ ῥόδον ἕλκει ἀπὸ τῆς γῆς ἰκμάδα τοιαύτην, οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστί· καὶ τὸ σκόροδον ἕλκει ἀπὸ τῆς γῆς ἰκμάδα τοιαύτην, οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστί· καὶ τἄλλα πάντα φυόμενα ἕλκει ἐκ τῆς γῆς, καθ' ἑωυτὸ ἕκαστον. Εἰ γὰρ μὴ τοῦτο οὕτως εἶχεν, οὐκ ἂν ἐγένετο τὰ φυόμενα ὅμοια τοῖσι σπέρ-
E μασιν.

CAPVT II.

Humoris congeneris exuperantiâ ac penuriâ tum plantas, tum homines ægrotare; ibiq; terræ plantas nasci ac succrescere, vbi ipsæ cognatũ sibi humorem trahere queunt; varias terræ facultates inesse ac humores, quibus diuersæ plantę succrescant; & syluestres plãtas, satiuas ab homine fieri.

CVi verò plantæ in terra cognationis humor multò vberior est, quàm conueniat, ea planta ægrotat; cui verò paucior, quàm opportunum est, ea marcescit. At nisi plantæ ab initio humor insit, quem cognatũ attrahat, nequaquã germinare poterit. Quòd verò planta pullulare ab initio nequeat, nisi humorem secundum naturam habeat, licet intelligere. Ionia nanque regio & Pelopponnesus pro anni *temporibus nõ minimum à sole vritur, ita vt sol è terra nascẽtibus satis esse possit,*

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τῷ τῆς ἰκμάδος συγγενέος πλεονασμῷ τε καὶ ἐνδείᾳ τὰ φυτὰ καὶ τοὺς ἀνθρώπους νοσεῖν· καὶ αὐτόθι τὰ φυτὰ γίνεσθαι καὶ βλαστάνειν, οὗ γῆς τὸ κατὰ συγγένειαν ὑγρὸν ἕλκειν δύναται· διαφόρους τῇ γῇ δυνάμεις ἐνεῖναι, καὶ ἰκμάδας, δι' ἃς διάφορα φυτὰ βλαστάνουσι· καὶ ὑπὸ τῶν ἀνθρώπων τὰ ἄγρια φυτὰ ἡμεροῦσθαι.

F ΟΤῳ δὲ τῶν φυομένων ἐν τῇ γῇ ἰκμὰς κατὰ συγγενείην τοῦ δέοντος πολλῷ πλέων ἐστὶ, νοσέει ἐκεῖνο τὸ φυτόν· ὅτῳ δὲ ἐλάσσων τοῦ καιροῦ, ἐκεῖνο αὐαίνεται· ἢν δὲ ἐξ ἀρχῆς μὴ ἐνῇ ἰκμὰς τῷ φυτῷ, ἣν ἕλκει κατὰ τὸ συγγενὲς, οὐδ' ἂν βλαστῆσαι δύναιτο. παρέχει δὲ νοῆσαι, ὅτι εἰ μὴ ἔχει ἰκμάδα κατὰ φύσιν τὸ φυτὸν, οὐ βλαστάνει τὴν ἀρχήν· ἡ γὰρ Ιωνίη χώρη καὶ ἡ Πελοπόννησος, τοῦ ἡλίου τῶν ὡρέων οὐχ ἥκιστα καίεται, ὥστε δύνασθαι ἐξαρκεῖν τοῖσι φυομένοισι τὸν ἥλιον· ἀλλ' ὅμως οὐ

δυνατὸν, πολλῶν ἤδη πειρησαμένων, οὔτε ἐν Ἰωνίῃ, οὔτε ἐν Πελοποννήσῳ, σίλφιον [10] φῦσαι· ἐν δὲ τῇ Λιβύῃ, αὐτόματον φύεται. οὐ γάρ ἐστιν οὔτε ἐν Ἰωνίῃ οὔτε ἐν Πελοποννήσῳ ἰκμὰς τοιαύτη, ὥστε τρέφειν αὐτό. ὅτι δὲ πολλὰ καὶ ἄλλα ὅσα τοῦ ἡλίου ἐξαρκέοντος αἱ χῶραι οὐ δύνανται τὴν θεραπείην μὴ τρέφειν, ἄλλαι δὲ φύουσιν αὐτόματα, παρέχει καὶ τοῦτο σκέψασθαι ὃ μέλλω ἐρέειν, ὁκόσον χῶρος χώρου κάρτα πλησιάζων διαφέρει ἐς τὴν ἡδονὴν, τοῦ ἡλίου ὁμοίως ἐξαρκέοντος. ἔνθα μὲν γὰρ τῆς γῆς ἰκμάς ἐστιν, ἥτις τὸν οἶνον ἡδὺν παρέξει, ἔνθα δὲ οὔ. ἔστι δὲ καὶ ἄγρια φυόμενα ἐν χωρίῳ οὐκ ὀλίγα, μεταρθέντα δὲ ὁκόσον ὀργυιὴν, οὐκ ἂν εὕροις ἔτι φυόμενα· οὐ γὰρ ἔχει ἡ γῆ μεταρθέντι τοιαύτην ἰκμάδα, οἵην τοῖσιν ἀγρίοισι φυτοῖσιν ἐκείνη παρέχει. ἔστι γὰρ αὐτῇσι τὰ μὲν ἰωδέστερα, τὰ δ' ὑγρότερα, τὰ δὲ γλυκύτερα, τὰ δὲ ξηρότερα, τὰ δὲ τρηχύτερα· ἀλλὰ δὲ μυρία ἄλλως ἔχει, μυρίαι γὰρ ἐν αὐτῇ δυνάμιές εἰσι· καὶ διὰ ταῦτα τὰ γένεα, ἐκ τῆς γῆς πρῶτον οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιον ἔφυ, ὅτι μὴ συγγενές. ἄγρια δέ μοι δοκέει ταῦτα πάντα εἶναι· ἀλλ' ἄνθρωποι δὲ ταῦτα ἡμέρωσαν ἐργαζόμενοι καρποφορέειν κατὰ τὸ σπέρμα ἕκαστον· ἕλκει γὰρ ἐκ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὸ ὁμοῖον, καὶ [11] τούτῳ αὔξεται καὶ τρέφεται, καὶ οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιόν ἐστι τῶν φυομένων, οὔτε ἴσην οὔτε ὁμοίην ἐκ τῆς γῆς ἰκμάδα ἕλκον. ἕλκει δὲ ἕκαστον τῶν φυομένων βρωτῶν τε καὶ ποτῶν ἐν ἑωυτῷ, πολλὰς δυνάμιας ἀπὸ τῆς γῆς· ἐν παντὶ δέ ἐστί τι φλεγματῶδες, καὶ αἱματῶδες. ἀνάγκην οὖν τάδε προσηγαγόμην, ὅτι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν ἐς τὴν κοιλίην χωρεόντων, ἕλκει τὸ σῶμα [12] ἐς αὐτὰς τὰς πηγὰς ἃς ὠνόμασα· ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην, διὰ φλεβῶν.

A neq; tamen fieri potest, etsi multi iã tentarunt, ut in Ionia aut Peloponneso laser producatur, at in Lybia suâ sponte nascitur. Non enim in Ionia, neque in Peloponneso est eiusmodi humor, qui ipsum nutriat. Quòd verò multa etiam alia medicamenta regiones, etiamsi sol sufficiat, alere non possint, aliæ verò sponte producant, id quod dicturus sum considerandum præbet, quantùm locus loco etiam valdè vicino ad vini suauitatem præstet, quanuis sol æqualiter sufficiat. Hic enim terræ humor B est, qui vinum suaue exhibeat; illic verò minimè. Sunt verò & syluestres plantæ non paucæ in loco nascentes, quas ad vlnæ spatium translatas, non amplius produci comperias. Non enim habet terra hæc talem humorem translato, qualem illa syluestribus plantis suppeditabat. In his enim sunt quædam magis virulentæ, quædã humidiores, quædam dulciores, sicciores quædam, asperiores etiam quædam; aliæque innumeræ aliter se habent. Innumeræ enim sunt in ipsâ terrâ facultates. Et propter hec genera, primùm ex terra alterum alteri simi- C le nullum productum est, quod non congener. Sed mihi hæ plantę omnes syluestres esse videntur. Verùm eas homines culturâ satiuas reddiderunt, efficientes quamq; pro suo semine fructũ ferre. Humor enim similis similem ex terra trahit, ex eóque augescit ac nutritur; & plantarũ altera alteri similis nulla est, neq; æqualem, neq; similem ex terra humorẽ trahit. Eorum autem singula, quæ ad cibos aut potiones è terra producũtur, multas ad se è terra facultates trahunt; & in quoq; aliquid pituitosi & san- D guinei inest. Huc igitur ex necessitate adductus sũ, quòd de cibis ac potibus qui in ventriculum veniũt, corpus ad fontes nominatos trahit; similis humor similẽ, per venas.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τὸ φλέγμα ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν φλεγματωδῶν γεννᾶσθαι καὶ ἀπὸ τῆς κεφαλῆς ἕλκεσθαι, καθ' ἣν μένον πλέον, τὴν κεφαλαλγίαν ποιεῖ· καὶ ἐς τὴν κοιλίαν καὶ τὴν κύστιν ἐλθὸν, ὠφελεῖν.

Σημήϊον δὲ ἀποφανέω ἕτερον τόδε, ὅτι ἕλκει ἕκαστον κατὰ τὰ εἰρημένα· καὶ ἅμα φράσω, ὅθεν τὸ φλέγμα γίνεται ἐν τῷ σώματι. ἐπὴν τις φάγῃ τυρὸν ἢ ὅ, τί ἐστι δριμὺ, ἢ ἄλλο τι φάγῃ ἢ πίῃ, ὅ, τί ἐστι φλεγματῶδες, αὐτίκα οἱ ἐπιῤῥέει ἐπὶ τὸ στόμα καὶ τὰς ῥῖνας, καὶ τοῦτο οὕτως γινόμενον πάντες ἑωρῶμεν· τούτῳ δὲ χρὴ ἐλπίσαι, ὅθεν ἐγὼ ἐρέω. φημὶ δὲ ὁκόσον ἐν τῷ βρώματι ἢ πόματι φλεγματῶδες ἔνι, κείνου ἐς τὴν κοιλίην ἐλθόντος, τὸ μὲν σῶμα ἕλκει ἐς ἑωυτὸ, τὸ δὲ ἡ κεφαλὴ κοίλη ἐοῦσα, καὶ ὥσπερ σικύη ἐπικειμένη, ἕλκει τὸ φλέγμα, ἅτε γλίσχρον ἐὸν, ἕπεται δὲ τούτῳ τὸ ἕτερον διὰ τοῦ ἑτέρου ἐς τὴν κεφαλήν. τὸ μὲν νέον φλέγμα [13] τὸ γινόμενον ἐκ βρώματος, μένει ἐν τῇ κεφαλῇ, τὸ δὲ παλαιὸν ὁκόσῳ πλέον τὸ νέον, ὑπ' ἐκείνου βιώμενον ἐξέρχεται· καὶ διὰ τοῦτο ἐπήν τις φάγῃ ἢ πίῃ ὅ, τι φλεγματῶδες, ἀποχρέμπτεται [14] φλέγμα. ἔχει δὲ καὶ τόδε οὕτως· ἢν φαγόντος τι ἢ πιόντος τοῦ ἀνθρώπου, ὅ, τι ἐστὶ φλεγματῶδες, μὴ ἐξέλθοι πάλιν, ἐν ὅσῳ πλέον

CAPVT III.

Quòd pituita à cibis & potibus pituitosis procreetur; à capite trahatur, vbi manens copiosior, capitis dolorem excitat; delapsa in ventriculum & vesicam, iuuet.

E Quòd verò vnumquodque per prædicta trahat, hoc aliud proferam argumentum; simulque aperiam, vnde pituita in corpore gignatur. Quum quis caseum aut aliquid acre comederit, aut aliud quid pituitosum ederit aut biberit, quamprimùm ei ad os & nares accurrit. Atque hoc omnes ita contingere cernimus; idque ex ijs quæ ego referam, credere oportet. Assero autem, quòd quicquid in cibo aut potu pituitosum inest, id vbi in ventriculum venerit, partim corpus ad se tra- F hit, partim verò caput, ut quod cauum sit, & velut cucurbita corpori incumbat, pituitam attrahit, quæ quum viscosa sit, hanc alia ex aliâ ad caput sequitur. Et quæ quidem recens pituita ex cibo gignitur, in capite manet, vetus autem à recente, quum sit copiosior, vi illatâ expellitur. Quapropter vbi quis aliquid pituitosum ederit aut biberit, pituitam excreat. Ita verò hæc se res habet. Quum homo quid pituitosum ederit aut biberit, si quod copiosum existit, rursus non exeat,

exeat, neque per os, neque per nares, id in capite manere, vel ex capite in corpus deferri, & ventriculū petere necesse est, *& ad ventriculum peruenire. Ac optimè quidē cesserit, si ad ventriculū perueniat; cū stercore enim exierit. Siquidem copiosum ac humidū fuerit, stercus humidum reddiderit. Si verò paucum* fuerit, *id non fecerit. Quòd si in capite permanserit, multū dolorē capiti exhibuerit, quum in venis est; si verò paucum, id non fecerit. An copiosum autē aut paucum sit, sui significationem exhibet. At si ad corpus deueniat, illic cum alio humore permiscetur; & si sanè copiosa pituita fuerit, statim corpus grauarit; si verò pauca, non vtiq; grauarit, quum nimirùm corpus magnum sit, nisi aliud ei principiū relinquatur. Succedente verò tempore, si quidē altera pituita accesserit, lædat vtique. Quòd si corpus ad vesicam & ventriculum transmittat, & hæc foras deferant, nihil ex ea mali habuerit. In hac igitur oratione demonstratum est, quomodò caput ex ventriculo pituitam trahat, & simile ad simile veniat; simulque à me commemoratum est, & quomodò & quare copiosior pituita homini ex cibis & potibus gignatur.*

ἐγένετο, μήτε κατὰ τὸ στόμα, μήτε κατὰ τὰς ῥῖνας, ἀνάγκη ἐστὶ μένειν αὐτὸ ἐν τῇ κεφαλῇ, ἢ ἐς τὸ σῶμα κατελθεῖν ἀπὸ τῆς κεφαλῆς, [15] καὶ ἐς τὴν κοιλίην ἀφικέσθαι· καὶ ἄριστον ἂν συμβαίνῃ, εἰ ἐς τὴν κοιλίην ἀφίκοιτο· ἐξέλθοι γὰρ ἂν σὺν τῇ κόπρῳ· εἰ μὲν πολλὸν εἴη καὶ ὑγρὸν, ὑγρὴν ὥστε τὴν κόπρον· εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειεν. εἰ δὲ ἐν τῇ κεφαλῇ μείνειε, πολλὸν ἂν πόνον παρέχοι τῇ κεφαλῇ, ἐν τῇσι φλεψὶν ἐόν· εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειε τοῦτο· ἐπισημαίνοι δ' ἂν, ἢ πλέον ἢ ἔλασσον. ἢν δὲ ἐς τὸ σῶμα ἀφίκηται, κεῖσέ οἱ μέμικται τῇ ἄλλῃ ἰκμάδι. κἢν μὲν πολλὸν ἔῃ τὸ φλέγμα, [16] ἐσάσειεν ἐς τὸ σῶμα αὐτίκα· ἢν δὲ ὀλίγον, οὐκ ἂν ἐσάσειεν, ἅτε μέγα τὸ σῶμα ἐόν, εἰ μή τις οἱ ἀρχὴ ὑπολείποιτο καὶ ἄλλη. χρόνῳ δὲ ἢν μὲν ἕτερον ἐπιγένηται φλέγμα, σινοίατο ἄν· ἢν δὲ τὸ σῶμα τῇ κύστει καὶ τῇ κοιλίῃ διαφέρῃ, καὶ ταῦτα ἔξω διοίσῃ, οὐδὲν ἂν κακὸν ἐξ αὐτέου σχοίη. ἐν τούτῳ μὲν οὖν τῷ λόγῳ ἀποπέφανται, ὅκως ἡ κεφαλὴ ἐκ τῆς κοιλίης φλέγμα ἕλκει, τό, τε ὅμοιον ἔρχεται πρὸς τὸ ὅμοιον· καὶ ἅμα εἴρηταί μοι, ὅκως τε καὶ διότι πλεῖον γίνεται ἀνθρώπῳ ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν.

CAPVT IV.

Bilem copiosiorem à biliosis tum cibis tum potibus procreari, à cysti fellis ad hepar trahi, & remorantem doloris causam esse; esculenta ac potulenta alia aliorum esse medicamenta.

NVnc verò de bile dicturus sum, quomodò & cur copiosior in corpore gignatur; & quomodo folliculus in hepate ipsam trahat. Sic autem se res habet. Quum homo quod amarum est aut alioqui biliosum & leue, comederit aut biberit, tum copiosior bilis in hepate gignitur; ac confestim hepar dolet, quod pueri cor vocant, idque fieri cernimus, & à cibo ac potu factum esse nobis apertum est. Siquidem omnem commemoratum humorem ex cibis corpus ad se attrahit. Folliculus autem in hepate, etiam quicquid illic biliosi inest, ad se trahit. Et si derepentè copiosa bilis extiterit, hepar homini dolet, & copiosior ex ventre gignitur. Hoc enim contingente, vetus bilis propter multitudinem ad ventriculum fertur, & inde tormina in ventriculo oriuntur; & ipsius pars quædā per vesicam quidem, pars verò per ventrē foras procedit, sicque paucissima in homine existit, & dolores cessant. Si verò horū neutrū contingat, primū vetus bilis in corpus procedit; nam in ipsum distribuitur; & si copiosa fuerit, confestim reliquo humori permixta, de se significationem exhibet; sin pauca, minimè vtiq; grauarit, quum corpus magnum sit, nisi aliquod aliud principium suboriatur. At successu temporis, siquidem altera bilis accesserit, plurimùm hominē lædit. Quòd si minimè accesserit, eā corpus percolauerit, ita vt bilis & quæcunq; biliosa sunt, prodeant. Quæ enim eduntur & bibuntur, alia aliorū sunt medicamenta. *Ita sanè etiam quæ lædunt medicamenta, vbi aliud ab alio in ventriculū illapsū est, suā facultate causā*

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὴν χολὴν πλείονα ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν χολωδῶν γεννᾶσθαι· καὶ ἀπὸ τοῦ χωρίου τοῦ ἐπὶ τῷ ἥπατι ἐς αὐτὸ ἕλκεσθαι, καὶ μένουσαν ἀλγήματος αἰτίαν εἶναι· καὶ ἕτερα ἑτέρων τὰ ἐσθιόμενα καὶ πινόμενα φάρμακα ὑπάρχειν.

ΝΥν δὲ ἐρέω περὶ χολῆς, ὅκως τε καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι, καὶ ὅκως ἕλκει τὸ χωρίον αὐτέην τὸ ἐπὶ τοῦ ἥπατος. ἔχει δὲ οὕτως. ἐπὴν φάγῃ καὶ πίῃ ὁ ἄνθρωπος, ὅ, τι ἐστὶ πικρὸν, καὶ ἄλλως χολῶδες, καὶ κοῦφον, πλείων καὶ ἡ χολὴ γίνεται ἐπὶ τῷ ἥπατι· καὶ αὐτίκα ἀλγέει τὸ ἧπαρ, ὅπερ οἱ παῖδες καρδίην καλέουσι, καὶ τοῦτο εἰσείδομεν γινόμενον, καὶ ἐμφανές ἡμῖν ἐστιν, ὅτι ἀπὸ τοῦ βρώματος ἢ τοῦ ποτοῦ ἐγένετο· ἕλκει μὲν γὰρ τὸ σῶμα εἰς ἑωυτὸ ἀπὸ τῶν βρωμάτων τὴν πᾶσαν ἰκμάδα τὴν εἰρημένην· ἕλκει δὲ καὶ τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι ἐς ἑωυτὸ, ὅ, τι ἂν αὐτόθι οἱ χολῶδες ἐνῇ· καὶ ἢν ἐξαπίνης πολλὴ γένηται ἡ χολὴ, ὀδυνᾶται τὸ ἧπαρ ὁ ἄνθρωπος, καὶ ἀπὸ νηδύος πλέων γίνεται. τούτου γὰρ γινομένου, ἔρχεται ἀπὸ τῆς παλαιῆς χολῆς διὰ τὴν πληθὺν ἐς τὴν κοιλίην, καὶ στρόφος ἐκ τούτου τῇ κοιλίῃ γίνεται· καὶ διέρχεται αὐτέης τὸ μὲν κατὰ τὴν κύστιν, τὸ δὲ κατὰ τὴν κοιλίην, καὶ οὕτως ἐλάχιστον ἐς τὸν ἄνθρωπον γίνεται, καὶ παύονται οἱ πόνοι. ἢν δὲ τούτων μηδ' ἕτερον γένηται, χωρέει τὸ πρῶτον ἀπὸ τῆς παλαιῆς ἐς τὸ σῶμα· διαδίδοται γὰρ ἐς αὐτό· κἢν μὲν πουλὺ ἔῃ, αὐτίκα ἐπισημαίνει μιχθεῖσα τῷ ἄλλῳ ὑγρῷ· ἢν δὲ ὀλίγη, οὐκ ἂν ἐσάσειεν, ἅτε μέγα τὸ σῶμα ἐόν, ἢν μή τις καὶ ἄλλη ἀρχὴ ὑπογένηται. χρόνῳ δὲ ἢν μὲν ἑτέρη χολὴ ἐπιγένηται, πλεῖστα [17] σίνεται τὸν ἄνθρωπον· ἢν δὲ μὴ ἐπιγένηται, διηθήσειεν ἂν τὸ σῶμα, ὥστε τὴν χολὴν περιιέναι, ἅσσα [18] τέ ἐστι χολώδεα· ἕτερα γὰρ τῶν ἑτέρων τὰ ἐσθιόμενα καὶ πινόμενα φάρμακά ἐστιν. οὕτω δὴ καὶ τὰ ἄλλα ὁκόσα σινεόμενα φάρμακά ἐστιν, ὑφ' ἑτέρου ἕτερον ἐσιὸν ἐς τὴν κοι-

λίω, τῇ ἑωυτῆς δυνάμει αἰτίω ἔχον, ὃ κρατηθὲν ἔξω, [19] καὶ σινέεται τοῦτο. ἐπὴν δὲ ἐπιγένηται ἄλλη χολὴ ἐν τῷ σώματι ἀπὸ τῶν ἐς τὴν κοιλίην πιπτόντων, νόσος ἐντεῦθεν γίνεται. ἐν τούτῳ δὲ ἐγὼ [20] ἐπεσήμαινον, ὅκως ἡ χολὴ, καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν, καὶ ὅτι ἕλκει ἐς ἑωυτὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι κατὰ τὸ ὅμοιον τὸ χολῶδες ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν.

habet, vt id quod superatum est, foras expellat, *ipsumque lædat. Vbi verò ex his quæ in ventriculum illabuntur, alia bilis corpori accesserit, inde morbus oritur. At hoc in sermone ego demonstraui, quomodo bilis & cur à cibarijs aut potibus copiosior oriatur; quodque folliculus hepatis, quod biliosum est, quia simile, à cibis & potibus ad se trahat.*

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Η τοῦ ὑγροῦ μελαγχολικοῦ (τοῦτο ὕδρωπα καὶ ὕδωρ καλεῖ) πλείονος γένεσις, καὶ αἰτίαι, καὶ τόποι, καὶ παθήματα· ὅθεν οἱ σπληνώδεις, καὶ τὰ κάτω τοῦ σώματος ἐπίπονα.

Νῦν δὲ ἐρέω περὶ ὕδρωπος, ὥς τε καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι, καὶ ὅκως ἕλκει ὁ σπλὴν ἐς ἑωυτόν. φημὶ δὲ ἐπὴν ὁ ἄνθρωπος πίνῃ πλέον, ἕλκειν ἐς ἑωυτὸν ἐκ τῆς κοιλίης τοῦ ὕδατος, καὶ τὸ σῶμα καὶ τὸν σπλῆνα· καὶ ἢν πλέον εἰρύσῃ τοῦ καιροῦ, πονέειν αὐτίκα τὸν ἄνθρωπον· καὶ τοῦτο ἐσαίουσι γινόμενον, ὁκόσοι σπληνώδεες τῶν ἀνθρώπων εἰσίν. ἐπὴν δὲ εἰρύσῃ ὁ σπλὴν, ἄριστα μὲν εἰ ἐν τῇ [21] κύστι διηθείη ἀπὸ τοῦ ὕδατος τὸ παλαιὸν τοῦ ἐνεόντος ἐν τῷ σπληνὶ ἢ τῇ κοιλίῃ, καὶ ταῦτα ἐκδιηθοῖτο· κατὰ τὰ ἄνω γὰρ χωρία οὐκ ἀποκαθαίρεται τὸ ὕδωρ ἀπὸ τοῦ σπληνὸς, ἢν μὴ ὁκόσον δὴ ἐν τοῖς ἀγγείοις ἐνεόν ἐστι τοῖσιν ἀπὸ τοῦ σπληνός· ἀλλ' οἷά ἐστιν ἀποκάθαρσις ἐς τὴν κοιλίην καὶ ἐς τὴν κύστιν· ἢν δὲ ταῦτα μὴ εὔροα ᾖ, μηδὲ διηθῇ ἔξω, ἀπὸ τοῦ σπληνὸς ἔρχεται τὸ ὕδωρ ἐς τὰ κάτω, κἀκεῖθι δὲ μίσγεται τῇ ἄλλῃ ἰκμάδι. κἢν μὲν ὀλίγον ᾖ, οὐκ ἂν ἐσαίνοι, ἀλλὰ διηθεῖν ἂν ἀπὸ τοῦ σώματος ἐς τὴν κύστιν, καὶ ἐς τὴν κοιλίην διὰ φλεβῶν· εἰσὶ γὰρ ἐκ τούτου κατατείνουσαι πολλαὶ, αἳ ἕλκουσιν ἐς ἑωυτὰς ἐκ τῶν [22] κάτωθεν χωρίων, ἐπὴν ξηρότεραι γίνωνται, ἢ πρὶν ἦσαν. ἢν δὲ γένηται ἕτερον ὕδωρ, καὶ ἡ κοιλίη καὶ ἡ κύστις μὴ διηθῇ ἔξω, αἰείρεται ὁ σπλὴν, καὶ τὰ κάτω τοῦ σώματος ἐπίπονα γίνεται. ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι τὸ ὕδωρ πλέον γίνεται ἐν τῷ σώματι ἀπὸ τοῦ ποτοῦ, καὶ ὅκως ὁ σπλὴν ἕλκει.

CAPVT V.

Humoris melancholici (quem hydropem & aquam vocitat) copiosioris ortus, causæ, sedes, affectus; vnde lienosi, & inferiorũ partiũ corporis dolores.

Nunc verò de aqua sum dicturus, quâ ratione, & cur copiosior in corpore oriatur; & quomodò eam ad se lien attrahat. Asseuero autem quum homo amplius biberit, & corpus & lienem aquam ex ventriculo ad se attrahere; & si plus quàm deceat, traxerint, quamprimùm hominem laborare; idque contingere sentiunt, quicunque homines lienosi sunt. At vbi lien traxerit, optimè quidem cesserit, *si vetus aqua quæ in liene aut ventriculo inest, ad vesicam aut ventriculum percoletur, & isthac expellatur. Non enim per superiora loca aqua de liene expurgatur, nisi certè quantùm eius in vasis inest à liene procedentibus; sed in ventriculum & vesicam repurgatio fieri potest. Hæc autem nisi meabilia fuerint, neque* aqua *foras percoletur, aqua de liene ad inferiores partes fertur, illicque alteri humori commiscetur. Et siquidem pauca fuerit, minimè sanè læserit, sed de corpore ad vesicam & ventriculum per venas percolabitur. Multæ nanque sunt ex eo porrectæ, quæ vbi sicciores quàm antea fuerint, ad se ex inferioribus partibus trahunt. Quod si altera aqua procreetur, neque ventriculus, neque vesica foras percolet, lien attollitur, & inferiores corporis partes doloribus afficiuntur. Atque hæc à me dicta sunt, quomodo & cur aqua copiosior ex potu in corpore oriatur, & quânam ratione lien trahat.*

ΚΕΦΑΛΑΙΟΝ ς΄.

Η τοῦ αἵματος πλείονος γένεσις, καὶ αἰτίαι, καὶ παθήματα· καὶ αὐτὸ τῇ καρδίᾳ πόνον μὴ ἐπάγειν, καίτοι ἀπ' αὐτοῦ τὰ πλείω νοσήματα ἐν τῷ σώματι, ὥσπερ καὶ ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν πλεόνων, γίνεται.

Νῦν δὲ ἐρέω περὶ αἵματος, ὅκως τε καὶ διότι πλέον γίνεται ἐν τῷ σώματι. ἐπὴν τι πίῃ ἢ φάγῃ ὁ ἄνθρωπος, ὅ, τι ἐστὶν αἱματῶδες, ἕλκει μὲν καὶ τὸ σῶμα ἅπαν ἐς ἑωυτὸ, ἕλκει δὲ καὶ ἡ καρδίη τὸ αἱματῶδες ἐς ἑωυτήν. καὶ ἐπὴν πλέον εἰρύσῃ, οὐ γίνεταί οἱ τῇ καρδίῃ πόνος· στερεὸν γάρ τι χρῆμα καὶ πυκνόν ἐστιν ἡ καρδίη, καὶ διὰ τοῦτο οὐ πονέει· καὶ ἐξ αὐτῆς παχεῖαι φλέβες τείνουσιν αἱ σφαγίαι καλεόμεναι, ἐς ἃς ταχέως, [23] ἢν πλέον προσγένηται, διαδίδοται τὸ αἱματῶδες, καὶ πιμπλάμεναι κεῖναι, τῇ κεφαλῇ καὶ τῷ

CAPVT VI.

Copiosioris sanguinis ortus, causæ, affectus; nec ab eo doloribus cor affici, quanuis ab eo plures in corpore morbi, vt à cibo, & potu vberiore, procreentur.

Nunc autem de sanguine quomodò & cur is copiosior in corpore gignatur, dicendum est. Quum homo quid sanguineum biberit aut comederit, id totum quidem ad se corpus trahit; trahit autem etiam cor ad se quod sanguineum est; neque vbi copiosius attraxerit, cordi dolor oboritur. Cor enim solida quædam & densa res est, ac propterea dolore non laborat; ex eoque venæ crassæ, iugulares dictæ, procedunt, in quas quod sanguineum est, celeriter distribuitur, si copiosius accesserit; illæque impletæ, capiti &

corpori

corpori breui distribuunt. Et quum quid sanguineum comederit aut biberit, confestim iugulares venæ attolluntur, & facies rubet. Cordi autem & corpori vbi ex cibis ac potibus copiosior quàm par sit, sanguis accesserit, reliquoque humori admixtus fuerit, nisi per ventrem aut vesicam reliquo humori permixtus exierit, corpori dolorem exhibet. At si paucus accedat, vtique corpus minime grauarit; sed tempore ab ipso ad ventriculum aut ad nares transmittitur, quæ foras excolant, nihilque lædunt. Si verò paulatim copiosior euadat, morbosus redditur. At quomodò copiosior sanguis procreetur, à me est expositum. Quum sint quatuor, sanguis, bilis, pituita, & aqua, hæc omnia quomodo, & cur à cibis & potibus copiosiora gignerentur, à me est demonstratum. Quòd autem ex his gignantur, hoc constat argumento. Si homo pauca edat, & pauca bibat, nullum huic morbum inducit. *Atque hæc quidem hactenus mihi dicta sunt. Attigi autem obiter ostendere intelligenti, quomodò hæc pauciora fierent. Verum hæc meliùs paulò pòst declarabo.*

σώματι διδόασιν ἐν τάχει. καὶ ἐπὴν τι φάγῃ ἢ πίῃ, ὅ, τι ἐστὶν αἱματῶδες, αὐτίκα αἱ σφάγιαι φλέβες ἀείρονται, καὶ τὸ πρόσωπον ἐρεύθει. προσγινομένου δὲ τῇ καρδίῃ καὶ τῷ σώματι τοῦ αἵματος πλείονος τοῦ ἱκανοῦ, ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν, καὶ μισγομένου τῷ ἄλλῳ ὑγρῷ, ἢν μὴ ἀπ' αὐτοῦ ἐξέλθῃ κατὰ τὴν κοιλίην ἢ κατὰ τὴν κύστιν μιγὲν τῇ ἄλλῃ ἰκμάδι, ἐν τῷ σώματι πόνον παρέχει· ἢν δὲ ὀλίγον προσγένηται, οὐκ ἐσάσσει ἂν τὸ σῶμα, χρόνῳ δὲ διαδίδοται ἀπ' αὐτοῦ ἐς τὴν κοιλίην ἢ κατὰ τὰς ῥῖνας, τὰ δὲ διηθεῖ ἔξω; καὶ ἀσινέες γίνονται. ἢν δὲ ἐξ ὀλίγου πλέον γένηται, ἐπίνοσον γίνεται. ὅκως δὲ πλέον τὸ αἷμα γίνεται, ἡρμήνευταί μοι. Τέσσαρα ἐόντα, τό τε αἷμα, καὶ ἡ χολὴ, καὶ τὸ φλέγμα, καὶ ὁ ὕδρωψ, ἀποπέφανται ταῦτα πάντα ὅκως τε, καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν. ὅτι δὲ γίνεται ἀπὸ τούτων, [24] σημεῖον τόδε ἐστίν· Εἰ ὁ ἄνθρωπος ὀλίγα ἐσθίει, καὶ ὀλίγα πίνει, οὐδεμίαν τούτῳ νοῦσον ἐπάγει. καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται· προσέψαυσται δέ μοι δηλῶσαι τῷ συνετῷ, καὶ ὅκως ταῦτα ἐλάσσονα γίνεται· δηλώσω δὲ περὶ αὐτοῦ κάλλιον ὀλίγῳ ὕστερον.

CAPVT VI.

Plenos quatuor fontes semper corpori distribuere, vacuos à corpore attrahere, præclarâ comparatione docet; & multiplices venas esse corporis; vnde cibi potusque suauitas, & insuauitas; appetentia, & appetentiæ cessatio.

QVos verò appellaui fontes, hi quum pleni fuerint, semper corpori distribuunt; quum verò vacui, ab ipso circunfunduntur. Sic etiam ventriculus facit; sic enim se res habet, quemadmodum siquis affusâ in tria aut plura vasa ænea aquâ, ea quàm planissimo loco statuat, & quam optimè coaptata disponat, coniunctis ad foramina fistulis, sensimque in vnum vas aquam, donec omnia impleta fuerint, affundat. Ex vno enim in reliqua vasa defluet, quoad cætera etiam impleta fuerint. Plenis verò vasis, siquis ex vno aquam exhauriat, vicissim contrà refluat aqua in vas æneum, & rursus aqua ex vasis vacuabitur, quemadmodum eam exceperunt. Ita sanè & in corpore se res habet. Quum enim cibi & potus in ventriculum deciderint, corpus ex ventriculo haurit, simulque cum fontibus expletur. At vbi ventriculus vacuatur, rursus retrò humor redditur, quemadmodum etiam acceperat, veluti ex aliis vasis in vnum vas. Venæ enim multæ & crebræ, aliæ quidem tenuiores, aliæ crassiores, per totum corpus feruntur. Hæ, quandiu homo viuit, apertæ sunt, & nouum humorem excipiunt & emittunt. Eo mortuo, clauduntur & extenuantur. Quandiu igitur homo viuit, corpus quidem ex ventriculo, siquid in se habuerit, haurit; hauriunt & fontes, & expleti corpori distribuunt. Nisi enim corpus humorem ex ventriculo attraheret, sed soli fontes, neque ad

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Τὰς τέσσαρας πηγὰς πλήρεις μὲν ἀεὶ τῷ σώματι διαδιδόναι, κενὰς δὲ περιίσασθαι ἀπ' αὐτοῦ, καλλίστῃ παραβολῇ διδάσκει, καὶ πολλαπλασίας τὰς φλέβας εἶναι τοῦ σώματος· πόθεν τὸ τοῦ βρώματος καὶ τοῦ ποτοῦ καὶ ἡδὺ καὶ ἀηδὲς, καὶ ὁ ἵμερος καὶ ἡ τοῦ ἱμέρου παῦσις.

ΤΑς δὲ πηγὰς ἃς ὠνόμασα, αὗται τῷ σώματι, ὁκόταν πλήρεες ἔωσιν, ἀεὶ ἐπιδιδόασιν· ὁκόταν δὲ κεναὶ, περιίσανται ἀπ' αὐτοῦ. οὕτω δὲ καὶ ἡ κοιλίη ποιέει· ἔχει γὰρ οὕτως, ὥσπερ εἴ τις εἰς χαλκεῖα τρία ἢ πλείονα ὕδωρ ἐγχέας, καὶ συνθεὶς ὡς ἐπὶ ὁμαλωτάτου χωρίου, καὶ συναρμόσας ὡς κάλλιστα [25] διαθείη, αὐλοὺς ἐναρμόσας ἐς τὰ τρυπήματα, καὶ ἐγχέῃ ἡσυχῇ ἐς ἓν τῶν χαλκείων ὕδωρ, μέχρις οὗ πλησθῇ ἀπὸ τοῦ ὕδατος πάντα· ἀπὸ γὰρ τοῦ ἑνὸς ῥεύσεται ἐς τὰ λοιπὰ χαλκεῖα, μέχρις ὅτου καὶ τὰ ἄλλα πλησθῇ· ἐπὴν δὲ πλήρεα γένηται τὰ χαλκεῖα, ἤν τις ἀπὸ τοῦ ἑνὸς [26] ἀπαρύσῃ τοῦ ὕδατος, ἀνταποδώσει ἐν ὀπίσω ῥέον τὸ ὕδωρ εἰς τὸ χαλκεῖον, καὶ κενεὰ ἔσται τὰ χαλκεῖα πάλιν, ὥσπερ καὶ ἐδέξατο. οὕτω δὴ ἐν τῷ σώματι ἔχει· ἐπὴν γὰρ ἐς κοιλίην πέσῃ τὰ βρώματα καὶ τὰ ποτὰ, ἐπαυρίσκεται τὸ σῶμα ἀπὸ τῆς κοιλίας, καὶ πληροῦται σὺν τῇσι πηγῇσιν· ἐπὴν δὲ ἡ κοιλίη κενῶται, ἀποδίδοται αὖθις ὀπίσω ἡ ἰκμὰς, ὥσπερ καὶ ἐπεδέξατο, ὡς ἐκ τῶν ἄλλων ἐς τὸ ἓν χαλκεῖον. φλέβες τε γάρ εἰσι διὰ παντὸς τοῦ σώματος τείνουσαι, αἱ μὲν λεπτότεραι, αἱ δὲ παχύτεραι, πολλαὶ καὶ πυκναί· αὗται δὲ μέχρις οὗ ἂν ζώῃ ὁ ἄνθρωπος, ἀνεῴγασι, καὶ δέχονται καὶ ἀφιᾶσί τε καὶ νέον ὑγρόν· ἐπὴν δὲ ἀποθάνῃ, συμμύουσι, καὶ γίνονται λεπταί. μέχρι μὲν οὖν ζώῃ ὁ ἄνθρωπος, ἐπαυρίσκεται μὲν τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ἐπὴν τι ἔχῃ ἐν ἑωυτῇ· ἐπαυρίσκονται δὲ αἱ πηγαὶ, καὶ πιμπλάμεναι διαδιδόασι τῷ σώματι. Εἰ γὰρ τὸ σῶμα μὴ ἕλκῃ ἀπὸ τῆς ἰκμάδος τῆς κοιλίης, ἀλλ' αἱ πηγαὶ μόναι, [27]

καὶ ἐς τὸ σῶμα μὴ ἐδίδοσαν, οὐκ ἂν εἶχε τὸ σῶμα τροφὴν ἀρκέουσαν, ἀλλὰ ἐλάσσονα· οὐ γὰρ ἂν ἔτι εἶχεν τῷ σώματι τὴν τροφὴν διεκδιδοῦσαι πηγαί. Αἱ δὲ πηγαὶ αὗται εἰ μὴ ἦσαν, ἐσθίοντες ἂν καὶ πίνοντες οὐκ ἂν διεγινώσκομεν ἀτρεκέως, οὔτε ὅ, τι ἡδύ ἐστιν, οὔτε, ὅ, τι ἀηδὲς, κατὰ ἀνάγκην τοιήνδε, ἣν μέλλω ἐρέειν. Ταῦτα τὰ χωρία, ἅτε μικρότερα ἐόντα, καὶ ἔνδοθεν τοῦ ἄλλου σώματος, [28] ἀεὶ καὶ πρὸ τοῦ ἐσάσαι ἕκαστον, κατὰ τὴν ἑωυτοῦ δύναμιν ἑρμηνεύει τῷ ἄλλῳ σώματι τῶν ἐσθιομένων καὶ πινομένων ὅ, τι τε χολῶδές ἐστι, καὶ ὅ, τι φλεγματῶδες, καὶ ὅ, τι αἱματῶδες, καὶ ὅ, τι ὑδρωπῶδες. τούτων γὰρ ἡμῖν, ὅ, τι ἂν ἑκάστου πλέον τοῦ καιροῦ ᾖ καὶ ἐν τοῖσι ποτοῖσι καὶ ἐν τοῖσι βρωτοῖσιν, κεῖνα οὐχ ἡδέα γίνεται· ἅσσα δὲ χατίζει μάλιστα, κατὰ ταῦτα κεῖνα ἡδέα ἐστίν. ἢν δὲ βρωτῶν καὶ ποτῶν ἐνδεήσεται τῶν πηγέων τις, κατὰ τοῦτο καὶ τὸ σῶμα ἑλκύσει ἀπ' αὐτέων, τέως καὶ τὸ ὑγρὸν ἔλασσον τοῦ καιροῦ γένηται· τότε ἱμείρεται ὁ ἄνθρωπος, ἢ φαγέειν ἢ πιέειν τοιοῦτον, ὅ, τι τὴν μοίρην ἐκείνην ἐπιπλήσει, καὶ ἰσώσει τῇσιν ἄλλῃσι. καὶ διὰ τοῦτο βεβρωκότες πολλὰ ἢ πεπωκότες, ἐστὶν ὅ, τι ἱμειρόμεθα ἢ βρωτοῦ ἢ ποτοῦ, καὶ ἄλλο οὐδὲν ἂν ἡδέως φάγοιμεν, εἰ μὴ ὅ, τι ἱμειρόμεθα· ἐπὴν δὲ φάγωμεν καὶ ἰσωθῇ ἡ ἰκμὰς κατὰ ταῦτα ἀνυστὰ ἐν τῇσι πηγῇσι καὶ ἐν τῷ σώματι, τότε οἱ πέπαυται ὁ ἵμερος. καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται.

A corpus transmitterent, non vtique sufficiens haberet corpus alimentum, sed parcius. Neque enim alimentum amplius haberent, quod in corpus fontes distribuerent. Ac nisi fontes isti adessent, dum comedimus aut bibimus, non vtique certò dignosceremus, quod in cibo & potu suaue esset aut insuaue, hac necessitate, quam dicam, coacti. Hæc nimirum loca B quum minora sint, & intra reliquum corpus, priùs quàm vnumquodque impleatur, suâ ipsius facultate reliquo corpori semper denunciat, quid ex his quæ comeduntur & bibuntur, biliosum, pituitosum, sanguineum & aquosum sit. Ex his enim singulis, quicquid in cibo & potu plus iusto adfuerit, illos nobis insuaues reddit; quæ verò maximum sui desiderium faciunt, eâ ratione suauia sunt. Quod si ex fontibus aliquis cibo aut potu in- C digeat, eâ ratione etiam corpus ab his attrahet, donec humor iusto paucior euadat; tuncque homo aut edere aut bibere desiderat, quod portionem illam expleat, & reliquis æqualem faciat. Eamque ob causam quum multum edimus aut bibimus, interdùm cibum aut potum appetimus, nihilque suauiùs sumimus, quàm quod appetimus. Quum verò comederimus, humorque quoad eius fieri potuerit, in fontibus & corpore adæquatus fuerit, tunc in eo appetentia sedatur. Ac de his quidem hactenus diximus. D

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Τὴν χολὴν ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν ἐς τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι ἀποκρίνεσθαι, καὶ αὐτόθι μόνον τὸν καρδιωγμὸν γίνεσθαι· τὴν καρδίαν μὴ νοσεῖν· τὴν κεφαλὴν καὶ τὸν σπλῆνα μάλιστα ἐπίπονα εἶναι. ὅπως καὶ διὰ τί τὰ ὑγρὰ τὰ βλάπτοντα τὸν ἄνθρωπον ἐλάσσονα γίνεται· καὶ τέσσαρα εἶναι τὰ χωρία, δι' ὧν ἀποκαθαίρεται ὁ ἄνθρωπος.

Ἔχει δὲ καὶ τόδε, ὅτι ἐς μὲν τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι, ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν ἀποκρίνεται ἡ χολὴ μόνον. τὰ γὰρ φλέβια ἀσθενέα καὶ λεπτὰ ὑπάρχοντα, οὐ δύνανται ἑλκύειν τὴν ἄλλην ἰκμάδα παχυτέρην καὶ βαρυτέρην ἐοῦσαν, καὶ ἅμα εὐρυχωρίη οὐκ ἔστι τῇ ἄλλῃ ἰκμάδι, ὥστε ἐν τούτῳ τῷ χωρίῳ εἶναι, συνήθές τέ ἐστι τῇ χολῇ τοῦτο τὸ χωρίον κατὰ φύσιν μάλιστα· καὶ διὰ τοῦτο ἐν αὐτῷ οὐδεμία νοῦσος γίνεται ἄλλη, ἢ ἥν τινα καρδιωγμὸν οἱ ἄνθρωποι καλέουσιν. Ἡ δὲ κεφαλὴ καὶ ἡ καρδίη καὶ ὁ σπλὴν, μετέχουσι τῆς ἰκμάδος πάσης· ἕκαστον, ἢν μή τι νοσέῃ, μετέχει πλείστου κατὰ φύσιν τῆς ἑωυτοῦ τῶν εἰρημένων· ἡ μὲν κεφαλὴ, τοῦ φλέγματος· ἡ δὲ καρδίη, τοῦ αἵματος· ὁ δὲ σπλὴν, τοῦ ὕδατος. ἕλκουσι δὲ καὶ τῆς ἄλλης ἰκμάδος αἱ φλέβες ἐς ἑωυτὰς, εὐρεῖαι, καὶ παχεῖαι, καὶ ἑλικοειδέες ἐοῦσαι· ὡς ἐπὴν ἕλκωσιν, ἕπεσθαι ἑτέρην ἑτέρῳ τῆς ἄλλης ἰκμάδος. καὶ τῇ μὲν καρδίῃ πλησιάζουσιν αἱ σφάγιαι φλέβες, παχεῖαι οὖσαι, ἐς ἃς διαδίδοται ταχέως, ἐπὴν οἱ πλέον τοῦ καιροῦ προσγένηται, αἱ δὲ τῷ ἄλλῳ σώματι ἐκδιδόασι· καὶ ἅμα αὐτὴ ἡ καρδίη στερεὴ καὶ πυκνή ἐστιν, ὥστε μὴ νοσέειν ὑπὸ τῆς ἰκμάδος, [29] καὶ διὰ τοῦτο νόσημα ἐν τῇ καρδίῃ οὐδὲν γίνεται. ἡ δὲ κεφαλὴ

CAPVT VII.

Bilem à cibis & potibus in fellis folliculum secerni, ibique solùm cardiogmum fieri; morbos in corde non generari; caput & lienem morbis esse maximè obnoxia. Quomodo & cur humores hominem lædentes pauciores oriantur; & quatuor esse locos, quibus homo purgatur.

E QVòd autem in folliculum quidem hepatis à cibis & potionibus sola bilis secernatur, ita etiam se res habet. Venulæ enim quum debiles & tenues existant, alium humorem crassiorem & grauiorem attrahere nequeunt; simulque ea non est loci capacitas alteri humori, vt is hoc in folliculo consistat; hicque locus bili naturâ maximè familiaris est. Proptereáque nullus in eo alius oritur morbus, nisi quem cardiogmum homines vocant. At verò caput, cor, F & lien, omnis humoris participes sunt. Vnumquodque, nisi ægrotet, plurimùm eius, qui cuique secundum naturam inesse dictus est, particeps fit; caput quidem pituitæ, cor sanguinis, lien aquæ. Venæ etiam amplæ & crassæ, & clauiculatim reuolutæ ad se alium humorem attrahunt; ita vt vbi traxerint, alium humorem alius sequatur. Et cordi quidem vicinæ sunt iugulares venæ, crassæ, in quas siquid ei plus iusto accesserit, celeriter distribuitur, hæ verò reliquo corpori delegant; simulque cor ipsum solidum & densum existit, adeò vt ab humore non ægrotet; ideòque nullus in corde morbus suboritur. Caput autem

autem & lien, morbis maximè sunt obnoxia. Afficiuntur enim morbis, ab his quæ natura insunt, quum plura quàm opportunum sit, accesserint; afficiuntur quoque & ab aliis humoribus. Venæ enim in ipsis crassæ ac multæ sunt, & ipsa quoque admodùm venosa ac caua sunt, vt amplam capacitatem alteri exhibeant humori excipiendo, qui sensim ad ea procedit, & ei qui à naturâ inest, permiscetur. Quemadmodum in magno vase amplior est capacitas, quàm in paruo; sic & in capite, & liene se res habet. In his enim præcipuè horum locorum ampla est capacitas. Quod si isthic humore venæ expletæ fuerint, in his ab eo morbus oritur. Atque de his nunc hactenus à me dictum est. Quomodo autem horum humorum quisque in corpore parcior gignatur, meliùs demonstrare volo. Quatuor equidem esse humores hominem lædentes demonstraui; quatuor etiam ipsorum esse fontes asseuero, per quos eorum vnumquemque homo repurget; ij verò sunt, os, nares, podex, & vrethra. Et vbi aliquis humor molestus copiosior factus fuerit, si per has vias homo repurgetur, nullus ab eo morbus ipsum vexat. Ac si ventriculus plenus fuerit, liquescente corpore ab humore, ad eum defluit, & per aliquem ex his locis extra fertur; proptereáque parcior in corpore humor gignitur. Corpus enim, quemadmodum à me anteà dictum est, ventriculo, vbi vacuus fuerit, distribuit; & ex eo haurit, vbi plenus fuerit. Atque hæc mihi dicta sunt, quomodo & quare humores homini molesti pauciores fiant.

A καὶ ὁ σπλὴν, μάλιστα ἐπίνοσά ἐστι. νοσέει γὰρ καὶ ἀπὸ τῶν φύσει ἐόντων, ὅταν πλείονα προσγένηται τοῦ καιροῦ· νοσέει δὲ καὶ ἀπὸ τῆς ἄλλης ἰκμάδος· φλέβες γὰρ ἐς αὐτὰ παχεῖαί τε καὶ πολλαί εἰσι, καὶ αὐτὰ φλεβώδεα κάρτα ἐστὶ καὶ ἔγκοιλα, ὥστε εὐρυχωρίην καὶ τῇ ἄλλῃ ἰκμάδι ἐν [30] αὐτοῖσιν εἶναι χωρεούσῃ κατ' ὀλίγον, καὶ μισγομένῃ τῇ φύσει ἐούσῃ, ὥσπερ ἐν ἀγγείῳ μεγάλῳ εὐρυχωρίη ἐστὶ πολλὴ, ἢ ἐν μικρῷ· οὕτω δὲ καὶ ἐν τῇ κεφαλῇ, ἢ ἐν τῷ σπληνὶ ἔχει· εὐρυχωρίη γὰρ τούτων τῶν χωρίων μάλιστα ἐν αὐτοῖσίν ἐστιν· B ἢν δὲ πληθώσιν ἰκμάδος αἱ φλέβες αὐτόθι, ἀπ' ἐκείνης ἐν αὐτοῖσι νοῦσος γίνεται. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται νῦν, ἐθέλω δὲ ἀποφῆναι κάλλιον, ὅκως ἑκάστη ταύτης τῆς ἰκμάδος ἐν τῷ σώματι ἐλάσσων γίνεται. Τέσσαρα μὲν δὴ ὑγρὰ ἐόντα ἀπέδειξα τὸν ἄνθρωπον σινεόμενα, [31] τέσσαρες δέ σφι πηγαὶ λέγω εἶναι, ᾗσιν ἀποκαθαίρεται ὁ ἄνθρωπος τούτων ἕκαστον· ταῦτα δέ ἐστι, τό, τε στόμα, καὶ αἱ ῥῖνες, καὶ ὁ ἀρχὸς, καὶ ἡ οὐρήθρη· καὶ ἐπὴν τις πλείων γένηται C τῆς ἰκμάδος τῆς πονεούσης, ἢν ἀποκαθαίρηται ὁ ἄνθρωπος ταύτῃ, οὐδεμία μιν νοῦσος πιέζει ἀπὸ ταύτης· καὶ ἢν ἡ κοιλίη πλήρης ᾖ, τηκομένου τοῦ σώματος ἀπὸ τῆς ἰκμάδος, καταρρέει ἐς αὐτὴν, καὶ ἔξω ἔρχεται κατά τι τῶν χωρίων τούτων· καὶ διὰ ταῦτα τὸ ὑγρὸν ἔλασσον γίνεται ἐν τῷ σώματι. τὸ γὰρ σῶμα, ὥσπερ μοι καὶ πρότερον εἴρηται, τῇ κοιλίῃ ἐπιδιδοῖ, ἐπὴν κενεὴ ἔῃ· καὶ ἐπαυρίσκεται, ἐπὴν πλήρης ἔῃ, ἀπ' αὐτῆς. ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι ἐλάσσονα γίνεται τὰ πονέοντα D τὸν ἄνθρωπον.

CAPVT VIII.

Quomodo & cur homo sanus degat, ex idoneo tum cibi & potûs, tum humoris, coctionis, distributionis, mansionis, & excretionis tempore; & ex minimè idoneo ægrotet; vnde extenuatio & macies corporis, vnde & plenitudo, calor, dolor, & febris.

Quomodo verò & cur homo sanus degat, dicturus sum. Quum comederit & biberit, humorque ad corpus peruenerit, quo dictum est modo alteri permixtus, tum ei qui in corpore, tum ei qui in fonte est, eo quidem quo accessit, die, in corpore manet; postridiè verò ei alius humor accedit. Atque hi quidem duo dies sunt, & duo in corpore humores. Humorum quidem alteri duo dies sunt; alteri verò vnus. Postridianus certè, vt qui crassus sit, in corpore ipse manet; alter verò à calore coctus diffunditur, & tenuis factus postridiè per omne tempus à recenti protrusus ad ventriculum accedit. Quum autem ad ventriculum peruenerit, cibos loci illius coquit, & de se sanguinem in corpore facit. Remorata verò tempore graueolens redditur. Tertio verò die, vnà cum stercore & vrinâ, copiâ sibi ipsi toti æqualis & consimilis, æquabilique momento foras egreditur. Etiamsi sui ipsius portio quædam fuerit, humor tamen iuxta dictam rationem in corpore manet.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅπως καὶ διὰ τί ὁ ἄνθρωπος ὑγιαίνει, ἐκ τοῦ ἐπιτηδείου χρόνου τῶν τε σιτίων τε καὶ τῶν πομάτων, καὶ τῆς ἰκμάδος πέψιός τε καὶ ἀναδόσεως, καὶ μονῆς, καὶ ἐκκρίσεως· καὶ ἐκ τοῦ ἀνεπιτηδείου νοσεῖ· ὅθεν ἡ τοῦ σώματος λεπτότης καὶ ἀτροφία, καὶ ὅθεν ἡ πληθώρα, καὶ ἡ θέρμη, καὶ ἡ ὀδύνη, καὶ ὁ πυρετός.

E Ὅκως δὲ καὶ διὰ τί ὁ ἄνθρωπος ὑγιαίνῃ, [32] ἐρέω. ἐπὴν φάγῃ, καὶ πίῃ, καὶ ἀφίκηται ἡ ἰκμὰς ἐς τὸ σῶμα, τότε πως ὥσπερ εἴρηται, μιγεῖσα καὶ τῇ ἄλλῃ, καὶ τῇ ἐν τῷ σώματι, καὶ τῇ ἐν τῇ πηγῇ ἐούσῃ, τῇ μὲν ἡμέρῃ ᾗ προσγένηται, μένει ἐν τῷ σώματι, [33] τῇ δὲ ὑστεραίῃ ἄλλη οἱ ἰκμὰς προσγίνεται. αὗται δύο μὲν ἡμέραι εἰσί· δύο δὲ ἰκμάδες ἐν τῷ σώματι· τῇ μὲν ἑτέρῃ τῶν ἰκμάδων δύο ἡμέραι εἰσί· τῇ δὲ ἑτέρῃ, μία. ἡ μὲν δὴ [34] ὑστεραίη μένει αὐτῇ ἐν τῷ σώματι, ἅτε παχεῖα ἐοῦσα· ἡ δὲ ἑτέρη πεφθεῖσα, ὑπὸ τῆς θέρμης διακέχυται, καὶ λεπτὴ γινομένη προσγίνεται F ἐν τῇ ὑστεραίῃ ἡμέρῃ εἰς τὴν κοιλίην, διὰ παντὸς τοῦ χρόνου ἐξωθευμένη ὑπὸ τῆς νέης· ἐλθοῦσα δὲ ἐς τὴν κοιλίην, πέσσει τὰ σιτία ἐν τῷ τόπῳ, καὶ ποιεῖ τὸ αἷμα ἀπ' αὐτῆς ἐν τῷ σώματι· μείνασα δὲ ἐγένετο ὑπὸ τοῦ χρόνου κάκοδμος· τῇ δὲ τρίτῃ ἡμέρῃ [35] ἐξέρχεται σὺν τῇ κόπρῳ καὶ τῷ οὔρῳ, πλῆθος αὐτὴ ἑωυτῇ πάσῃ ἴση τε καὶ παραπλησίη, καὶ ἰσόρροπες· [36] καὶ ἢν ἑωυτῆς μέρος τι εἴη, ὅμως ἡ ἰκμὰς μένει ἐν τῷ σώματι κατὰ λόγον τὸν εἰρημένον.

ἐπιρρέει δὲ καὶ τῇ τρίτῃ ἡμέρῃ τῆς ἰκμάδος ἀπὸ τοῦ σώματος ἐπὶ τὴν κοιλίην, πλεῖον καὶ κακοδμότερον τὸ [37] ἐπιλιπὲς γινόμενον ὑπὸ τῆς ἑτέρης, καὶ καταφέρει τὰ βρώματα πεπεμμένα, καὶ ὅ, τι ἐν τῷ σώματι νοσερόν ἐστι, καὶ αὖθις [38] συνέρχεται. σημαίνει δὲ τὸ οὖρον ἁλμυρὸν ἐόν, ὅτι καὶ καταφέρει ἀπὸ τοῦ σώματος τὸ νοσερόν. τὰ σιτία ἐς δὲ τὴν [39] ὑστεραίην ἀεὶ διαχωρέει, ἡ δὲ ἰκμὰς, ἐς τὴν τρίτην. οὕτως ἡ ὑγιείη συμβαίνει γίνεσθαι· καὶ ταῦτα μὲν εἴρηται, ὅκως τε καὶ διότι ὑγιαίνουσιν οἱ ἄνθρωποι. Ἡ δὲ ἰκμὰς αὕτη, εἰ κατὰ μέρος ἔξω χωρέοι ἐς τὴν ὑστεραίην, τὰ σιτία οὐχ ὁμοίως ἂν ἐκ τῆς κοιλίης κάκοδμα γινόμενα, ἔξω χωρέει, ἀλλ' ὥσπερ ἑφθά, καὶ τὸ οὖρον τῷ ποτῷ παρόμοιον· καὶ τὸ σῶμα [40] ἂν ἐκενοῦτο ἀεί, καὶ ἔχρηζε διὰ παντὸς τοῦ χρόνου ὁ ἄνθρωπος, ἐπὴν ἀποπατήσειε καὶ οὐρήσειεν, αὐτίκα πόσιος καὶ βρώσιος [41] κατὰ τὸ τοῦ ἀποπάτου πλῆθος, εἰ ἔμελλεν ἰσχύειν, ἰκμάδος μὴ ὑπολειπομένης ἐν τῷ σώματι ἀρκεούσης, ἀλλὰ χωρεούσης σὺν τῇ κόπρῳ ἔξω τῇ ὑστεραίῃ, ἢ τῇ αὐτῇ ἡμέρῃ· καὶ εἰ μέν τι ἔφαγεν· εἰ δὲ μή, κενωθεῖσα ἀκικύς τε ἦν [42] οὐδ' ἂν δύναιτο παχυνθῆναι ἡ ἰκμὰς, τῇ ὑστεραίῃ ἔξω χωρέειν· οὐ γὰρ περιλιμπάνεται ἐν τῷ σώματι ἀρκέουσα. νῦν δὲ ἐξαποπατέοντες [43] ἐρρώμεθα, καὶ δύο ἡμερέων μηδὲν φαγόντες, καὶ εἶναι καὶ πρήσσειν τι ὑπομένομεν, καὶ οὐκ ἐξασθενέομεν τελείως ὑπὸ κενώματος ἐν τούτῳ τῷ χρόνῳ· ἡ γὰρ ἰκμὰς ἡ ἐν τῷ σώματι μένουσα, τὴν ἰσχὺν παρέχει. καὶ ταῦτα μὲν εἴρηταί μοι, ὅκως τε καὶ διότι οὐχ οἷόν τε τὴν ἰκμάδα τὴν προσγινομένην ἐν τῷ σώματι, ἐξελθεῖν ἔξω αὐθημερόν, ἀλλ' οὐδὲ τῇ ὑστεραίῃ. Φημὶ δὲ ἤν τε ἐμμένῃ πλείονας τῶν τριῶν ἡμερέων ἡ ἰκμὰς ἐν τῷ σώματι, [44] ἢ ἄλλη προσγίνηται πολλὴ πιμπλαμένη, τῶν φλεβῶν θερμαινομένων καὶ ἱσταμένων, ἐπισημαίνει τῷ ἀνθρώπῳ κακὸν ἢ μεῖζον ἢ ἔλασσον, χειμῶνος μὲν ἔλασσον καὶ ὕστερον, θέρεος δὲ μεῖζον καὶ πρόσθεν. ταῦτα δέ μοι εἴρηται, ὅ, τι συμβαίνει γίνεσθαι, ἢν μένῃ ἡ ἰκμὰς ἐν τῷ σώματι. Εἰ δὲ βρώματα διαχωρέει τὸ σῶμα, οὐκ ἂν ἐπαυρίσκετο ἡμῖν τῆς ἰκμάδος ἐπὶ πλέον, ἀλλ' ἦσαν οἱ ἄνθρωποι λεπτοὶ καὶ ἀσθενέες· νῦν δὲ ἐμμενόντων τῶν βρωμάτων καὶ τῶν ποτῶν, ὁκόσον χρόνον διαμένει, τὸ σῶμα ἐπαυρίσκεται καθ' ἡσυχίαν ἕλκον ἀπὸ τῆς κοιλίης, καὶ πίμπλαται. ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι τὰ βρώματα οὐχ οἷά τέ ἐστιν αὐθημερὸν ἐξιέναι. Ἢν δὲ ἐμμένῃ τὰ σιτία ἐν τῇ κοιλίῃ πλείονα τοῦ δέοντος χρόνου, καὶ ἕτερα εἰς αὐτὰ πίπτῃ, τὸ σῶμα πληρωθείη ἂν καὶ πιεζομένων τῶν φλεβῶν ὑπὸ τῆς πληθώρης, θέρμη ἂν καὶ πόνος τῷ σώματι παραγίνοιτο, θέρεος μὲν θᾶσσον, χειμῶνος δὲ ὕστερον· τοῦ μὲν γὰρ θέρεος τὸν ἄνθρωπον θερμόν ἐστι τὸ περιέχον, καὶ θερμότερον ἕλκει [45] τὸ σῶμα ἐς ἑωυτόν· κἢν ἔτι θερμῆς τῆς κοιλίης ἐούσης, θερμότερον τοῦ καιροῦ τὸ πνεῦμα τῷ ἀνθρώπῳ προσγίνηται, οὐ θαῦμά ἐστι τὸν ἄνθρωπον ἐκ τοῦ τοιούτου πυρετῆναι· χειμῶνος δὲ ψυχρὸν ἕλκοντες τὸ πνεῦμα ἐς ἑωυτόν, μᾶλλον πολλῷ δύναιτ' ἂν τὴν πληθώρην ἀναφέρειν τὸ σῶμα, τοῦ ἀνθρώπου ἀποπατέοντος ὀλίγον. Ταῦτα δέ μοι εἴρηται, ὅ, τι συμβαίνει γίνεσθαι, ἢν μὲν μείνῃ τὰ σιτία πλείονα χρόνον ἐν τῇ κοιλίῃ·

Tertio autem die ex corpore humor ad ventriculum confluit, qui copiosior & graueolentior altero deficiebat, & cibaria concocta defert, & quicquid in corpore morbosum est, ac rursus cum eo confluit. Vrina verò, quæ salsa existit, indicat cibaria è corpore id quod morbosum est, deducere; & semper postridie ipsa per aluum secedunt, humor verò tertio die. Hoc modo contingere sanitas solet. Atque hæc quidem dicta sunt, & qua ratione & cur homines sanitate fruantur. Quòd si humor hic sigillatim postridie foras prodiret, cibaria non similiter graueolentia reddita, sed velut cocta, ex ventriculo foras concederent, vrinaque potui similis redderetur, corpusque semper euacuaretur, omnique tempore homo vbi aluum exonerauerit, aut vrinam reddiderit, statim potu & cibo indigeret, pro deiectionis factæ copiâ, si validus esse deberet, quum humoris non satis in corpore relinquatur, sed postridie aut eodem die, vnà cum stercore foras prodeat. Et si quidem quid comedisset, benè esset; sin minùs, & euacuatus, debilis esset, neque humor incrassari posset, vt postridie foras prodiret; non enim sufficiens in corpore relinquitur. At nunc quum ventrem exoneramus, benè valemus, & biduo nihil edentes; & esse & aliquid facere sustinemus, neque hoc tempore propter vacuationem prorsus debilitamur. Humor enim in corpore relictus, robur præstat. Atque hæc quidem, quomodò & quam ob causam humor ad corpus accedens, non eodem die, sed neque postridiè foras prodire queat, dicta sunt. Id autem affirmo, si plus quam tres dies in corpore humor permaneat, aut alius qui impleat, copiosus accesserit, vbi venæ incaluerint & constiterint, homini maius aut minus malum denunciari, hyeme quidem minus & tardius, æstate verò maius & celerius. Atque hæc quidem contingere solere, si humor in corpore maneat, dicta sunt. Si verò corpus cibos statim per aluum demittat, non vtique quod satis sit humoris nobis suppeteret, sed homines graciles & debiles essent. At nunc quum cibi ac potus tanto tempore in corpore permaneant, corpus ex ventriculo attrahens, sensim haurit & expletur. Istáque à me dicta sunt, quomodò & quam ob causam cibaria eodem die exire non possint. Quòd si cibi in ventriculo plùs quam deceat temporis immorentur, alijque ad eos accedant, corpus vtique implebitur; & compressis à plenitudine venis, calor ac dolor corpori oborientur, æstate quidem citiùs, hyeme verò tardiùs. Æstate enim hominem circumstans aër calidus est, calidioremque ad se corpus attrahit. Ac si calido adhuc existente ventriculo, iusto calidior homini spiritus adiungatur, minimè mirandum est ex eo hominem febricitare. Quum verò spiritum frigidum hyeme ad se attrahat, multò magis corpus plenitudinem perferre queat, homine parùm aluum exonerante. Atque hæc ita contingere, si cibi in ventriculo diutius permaneant, à me dicta sunt.

Quinetiam

Quinetiam leuiter à me demonstratum est, omnem humoris & cibi in tempore, tum longiore, tum breuiore differentiam, in causa esse cur homines ægrotent; quod etiam procedente tempore, pulchrius declarabo.

CAPVT IX.

Quum plus humoris foras abeat, quàm à cibo & potu accesserit, homines attenuari; otiosis cibos insuaues esse, & febres accendi; ex esu bonum habitum conciliari; ex repletione febrem accendi; & per dies morbos iudicari.

At rursus in posterum repetam de sanitate dicturus, quòd hominis corpus ex cibis & potibus humorem hauriat, & sano tum cibi, tum humor, secundum commemoratam rationem foras prodeant; & siquidem plus humoris, quàm ex cibis & potibus adfuerit, foras prodeat, homo extenuatus reddatur. Ob hanc verò causam foras plus prodit, quàm accesserit. Si certè homo quietus degat, neque exerceatur, vitium aliquod ipsi in corpore insidet; verùm præ alia sanitate, quæ multa adest, non admodum lædit. Est autem vitium huiusmodi. Quum quid ex his quatuor, quæ in corpore gignuntur, non ita longè copiosum aduenerit, corpus sensim incalescit, vt non admodum lædatur; in ventriculo liquescit, insuauemque homini cibum facit. Si verò humor alius alio copiosior fuerit, inde febris homini suboritur. Sed de hoc paulò post accuratiùs edisseram. Interdum autem etiamsi cibus suauis existat, homo extenuatur; causa verò eadem est. His autem contingentibus, plus humoris exit, quàm succenturiatur; & propterea in quiete degentem extenuari contingit. Hominum autem laborantium corpus quoque incalescit. Hoc enim ex labore incalescente, & humor in ipso diffunditur, & morbus hic extenuatorius exoritur. Quum autem inutilis fiat humor, *& ad ventriculum & vesicam defluit; hæc autem foras transcolant; pars sanè ipsius per internam* corporis *raritatem foras exhalat, pars autem adhuc intus manens, sudor fit & foras per corpus procedit. Eodem etiam modo iuuenum exercitationes idem quod labor, efficiunt. Quòd si etiam parcior fuerit humor, quàm qui priùs exiuit, neque alius adhuc à potibus ac etiam cibis accedat, homo propterea extenuatur. Parcior autem accedit, siquid aliud comedere non possit, & si pro prioris laboris & exercitationis ratione laborent alij alia, paucior fit. At bonus* corporis *habitus per cibos hanc ob causam accedit. Vbi tempore resiccatus humor fuerit, & in priore labore alius alio priùs exierit, interdum copiosior, & vnus alius alios admodùm superauerit, id plenitudinem facit. Et si quidem à multis valdè superetur, hoc modo febris oboritur. Si verò à paucis, parum* superatur. *Sed & corpus hoc modo perferre potest, quum copiosior in ipsis humiditas*

A καὶ [46] προγέγραπταί μοι ἀποφῆναι ἅπαντα περὶ τῆς ἰκμάδος καὶ τῆς βρώσιος, τοῦ χρόνου τοῦ πλείονος καὶ τοῦ ἐλάσσονος τὸ διαφέρειν, διότι νοσέουσιν οἱ ἄνθρωποι· δηλώσω δὲ περὶ τούτου κάλλιον, τοῦ χρόνου προϊόντος.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

B Ἐπὴν τῆς ἰκμάδος ἔξω χωρῇ πλεῖον, ἢ ὅσον προσεγένετο ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν, τοὺς ἀνθρώπους λεπτοὺς γίνεσθαι· τοῖς ἡσυχάζουσι τὰ σιτία μὴ ἡδέα εἶναι, καὶ τοὺς πυρετοὺς ἀνάπτεσθαι· κατὰ τὴν βρῶσιν εὐεξίην ἐπιγίνεσθαι· ὑπὸ τῆς πληθώρης τὸ πῦρ γίνεσθαι, καὶ κατὰ τὰς ἡμέρας τὰς νόσους κρίνεσθαι.

Ἀναβήσομαι δ' αὖθις ὀπίσω, περὶ τῆς ὑγιείης ἐρέων, ὅτι δὴ τὸ σῶμα τοῦ ἀνθρώπου ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν τῆς ἰκμάδος ἐπαυρίσκεται, καὶ χωρέει ἔξω τῷ ὑγιεῖ κατὰ τὸν εἰρημένον λόγον τά τε βρώματα καὶ ἡ ἰκμάς· καὶ ἢν μὲν ἔξω χωρέῃ τῆς ἰκμάδος πλέον ἢ ὅσον προσεγένετο ἀπὸ τῶν σιτίων καὶ ἀπὸ τῶν ποτῶν, λεπτὸς γίνεται ὁ C ἄνθρωπος. πλείω δὲ χωρέει ἔξωθεν τῆς προσγινομένης, διὰ τόδε. ἢν μὲν δι' ἡσυχίης ᾖ ὁ ἄνθρωπος καὶ μὴ ταλαιπωρέῃ, κακόν τι οἱ ἐν τῷ σώματι ἔνεστιν· ὑπὸ δὲ τῆς ἄλλης ὑγιείης πολλῆς ἐούσης, οὐκ ἐσαίσθει κάρτα· τὸ δὲ κακὸν τοιόνδε ἐστίν. ἐπὴν τούτων τι τῶν τεσσάρων τῶν γινομένων τῷ σώματι, ἐπέλθῃ πλέον τι μὴ πολλῷ, τὸ σῶμα θερμαίνεται καθ' ἡσυχίην, ὡς μὴ ἐσαίσθειν κάρτα· καὶ τήκεται ἐν τῇ κοιλίῃ, καὶ τὸν σῖτον ἀηδέα τῷ ἀνθρώπῳ ποιέει. ἢν δὲ πλέον εἴη ἡ ἰκμὰς D ἡ ἑτέρη τῆς ἑτέρης, πυρετὸς ἐκ τούτου τῷ ἀνθρώπῳ προσγίνεται· ἀλλὰ περὶ τούτου ἀτρεκέστερον ὀλίγῳ ὕστερον ἀποφανέω. ἔστι δ' ὅτε καὶ τοῦ [47] σίτου ἐόντος ἡδέος, λεπτὸς γίνεται ὁ ἄνθρωπος· αἴτιον δὲ τὸ αὐτό. τούτων δὲ γινομένων, ἐξέρχεται τῆς ἰκμάδος πλέον, ἢ καταπίνεται· καὶ διὰ ταῦτα τῷ μὲν ἡσυχάζοντι συμβαίνει λεπτῷ γίνεσθαι. ταλαιπωρεόντων δὲ τῶν ἀνθρώπων, καὶ τὸ σῶμα θερμαίνεται· καὶ γὰρ ἀπὸ τῆς ταλαιπωρίης τούτου θερμαινομένου, καὶ ἡ ἰκμὰς ἐν αὐτῷ διαχέεται, καὶ γίνεται ἡ νοῦσος [48] ἥδε λεπτή· [49] ἀχρεῖος δὲ γινομένη, καταρρέει καὶ E ἐς τὴν κοιλίην, καὶ ἐς τὴν κύστιν· ταῦτα δὲ [50] διηθέει ἔξω· τὸ δὲ [51] δὴ αὐτῆς διατμέει ἔξω διὰ τοῦ ἔνδον ἀραιώματος, τὸ δ' ἔτι καὶ ἐμμένον, ἱδρὼς γινόμενος, ἔξω χωρέει κατὰ τὸ σῶμα· ὡσαύτως δὲ καὶ τὰ γυμνάσια τῶν νέων, τὸ αὐτὸ τῇ ταλαιπωρίῃ [52] προσεργάζεται. ἢν δὲ μὴ, καὶ [53] ἔῃ ἐλάσσων ἡ ἰκμὰς τῆς πρότερον ἐξιούσης, [54] προσγινομένη τε ἔτι ἄλλη ἀπὸ τῶν ποτῶν, καὶ προσέτι ἀπὸ τῶν βρωτῶν, λεπτὸς γίνεται διὰ ταῦτα ὁ ἄνθρωπος. ἐλάσσων δὲ προσγίνεται, ἢν μὴ ἄλλο τι δύνηται ἐσθίειν· καὶ πρὸς μὲν τὸ πονέειν F κατὰ τὴν προτέρην ταλαιπωρίην ἢ γυμνασίην ἄλλοισιν ἄλλα, ἐλάσσων [55] γίνεται. [56] Ἐπιγίνεται δὲ κατὰ τὴν βρῶσιν εὐεξίη, διὰ τόδε. ἐπὴν αὐαίνηται ἐν τῷ τῆς ἰκμάδος χρόνῳ, καὶ ἐν τῇ προτέρῃ ταλαιπωρίῃ [57] ἐξέλθῃ προτέρη ἑτέρη τῆς ἑτέρης ἔστιν ὅτε πλείων, καὶ κρατέῃ μίη ἄλλη τῶν ἄλλων κάρτα, [58] πληθώρη ἐστίν. ἢν μὲν δὴ ὑπὸ πολλῶν κάρτα κρατέηται, πῦρ ἐκ τοῦ τοιούτου τρόπου γίνεται· ἢν δὲ ὑπὸ ὀλίγων, ὀλίγα· καὶ τὸ σῶμα δὲ οὕτως ἀναφέρειν δύναται, τῆς ὑγρότητος πλείονος αὐτοῖσιν ἐούσης

τὴν θέρμην ἀπολύεται. θερμαίνεται γὰρ τὸ σῶμα τῷ πυρὶ, καὶ ἢν μὲν ὀλίγον ἔῃ τὸ λυπέον, τῇ τρίτῃ ἡμέρῃ μεθῆκε τρόπῳ τῷ αὐτῷ, τὰς δὲ δύο ἔχει συνεχέως· ἢν δὲ [59] πλείων, πέμπτῃ ἡμέρῃ, τὰς δὲ τέσσαρας ἔχει κατὰ λόγον. οὕτω τῶν ἡμερέων αἱ νοῦσοι κρίνονται· ἢν δὲ μεθῇ τὸ πῦρ ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, καὶ ὑγιὴς γὰρ ὁ ἄνθρωπος, καὶ θνήσκει· διότι δὲ, ὀλίγον ὕστερον ἀποφανέω.

A insit, quæ calorem dissoluit. Corpus enim à febre incalescit, & si modicum quidem fuerit quod molestum est, tertio die eodem modo dimittit, duobus verò diebus continenter vexat. Si verò copiosius, quinto die, quatuor autem pro ratione habet. Sic morbi per dies iudicantur. At si febris dimiserit diebus imparibus, & sanus homo euadit, & moritur; quam verò ob causam, paulo post declarabo.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

B

Διὰ τί μεθίει τὸ πῦρ καὶ διὰ τί οἱ πυρετοί τε καὶ αἱ νόσοι ἐν ταῖς περιτταῖς ἡμέραις ἀνιᾶσι, καὶ λύονται, καὶ κρίνονται· καὶ τὸ κακὸν ὑγρὸν ταράττεται, καὶ κενοῦται· καὶ ἡ φρίκη γίνεται· καὶ αἱ κρίσεις ὑπάρχουσι.

Νῦν δὲ ἐρέω, διότι μεθίει τὸ πῦρ. Φημὶ δὲ εἶναι τὸ, [60] τι ἂν ἀπὸ τοῦ σώματος πῦρ λάβῃ τοῦ ἀνθρώπου, ἀνάγκην εἶναι τῇ τρίτῃ ἡμέρῃ ἐξιέναι τὴν ἰκμάδα τὴν λυπέουσαν ἀπὸ τοῦ σώματος, ἢ ἐν ἄλλῃ τινὶ τῶν περισσῶν ἡμερέων, κατὰ τὸν πρότερον εἰρημένον λόγον· οὐ γὰρ ἐξέρχεται, πρὶν ἢ οἱ ἑτέρη προσγένηται ἀπὸ τῆς κοιλίης ἀγαθή. τῇ γὰρ μέσῃ καὶ τῇ ὑστεραίῃ, ἕλκει τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ὅ,τι ἂν αὐτῷ ἐς ἑωυτὸ ἀφῇ τῇ προτέρῃ ἡμέρῃ, ἢν μὴ ἡ κοιλίη διηθήσῃ, καὶ ἑτέρην σχῇ ἰκμάδα· καὶ τοῦτο πονηρὸν τῷ ἀνθρώπῳ γίνεται. ἢν δὲ μεθῇ τὸ πῦρ τριταῖον, τῷ αὐτῷ τρόπῳ μεθίει, ὥσπερ καὶ αὐθημερὸν ὡς εἴρηται. καὶ οὕτω μὲν συμβαίνει τὸ πῦρ γινόμενον ἀπὸ τοῦ σώματος, ἐν τῇ τρίτῃ ἡμέρῃ ἀνιέναι· φημὶ δὲ καὶ ἢν πέμπτῃ ἡμέρῃ καὶ ἢν ἑβδόμῃ καὶ ἢν ἐννάτῃ μεθῇ, τρόπῳ τῷ αὐτῷ μεθιέναι, ὥσπερ καὶ τὸ τριταῖον ἐξέρχεται. καὶ γὰρ ἡ τροφὴ τῷ πυρὶ κατὰ τὰ χωρία, ὁκοῖα ὀλίγῳ πρότερον εἴρηκα· [61] ἐπικρατήσαντος γὰρ μᾶλλον τοῦ ὑγροῦ πλείονος ἐόντος, ἀνέθη ὁ ἄνθρωπος. Μεθίει δὲ τὸ πῦρ ἐν τῇσι περισσῇσι διὰ τόδε, ὅτι ἐν τῇσιν [62] ἀρτίοισι τῶν ἡμερέων ἕλκει τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ἐν δὲ τῇσι περισσῇσιν ἀφίει· ἡ δὲ κοιλίη, διηθεῖ ἔξω τῷ ὑγιεῖ. καὶ ἀνάγκην τοιήνδε αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, καὶ ἐν τούτῳ μὲν τῷ λόγῳ ὁ ἄνθρωπος [63] πυρέξας, ὑγιὴς ἐγένετο. Φημὶ δὲ καὶ τὸ πονέεσθαι μάλιστα τοὺς νοσέοντας ἐν τῇσι περισσῇσιν ἡμέρῃσι, διὰ τόδε [64] καὶ κατὰ λόγον γίνεσθαι. ταράσσεται μὲν δὴ ὁ ἄνθρωπος, ὁκόταν πυρεταίνει· σημήϊον δὲ τοῦτο, ὅτι φρίκη διαΐσσει διὰ τοῦ σώματος ἄλλοτε καὶ ἄλλοτε· τοῦτο δὲ οὐκ ἂν ἐγίνετο οὕτως, εἰ μὴ ἐταράσσετο τὸ ὑγρὸν, καὶ [65] ἀπεκρίνετο ἀπ᾽ αὐτοῦ ἢ πλέον, ἢ ἔλασσον, καὶ ἐκράτει ἄλλοτε ἄλλου. μάλιστα δὲ καὶ ταράσσεται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, ὁκόταν νοσέῃ· καὶ ἡ φρίκη δὲ μάλιστα τότε γίνεται. ἔχει γὰρ ὧδε· ἀπὸ τοῦ ὑγροῦ τοῦ πονέοντος, ἐξωθέεταί τι ἐκ τοῦ σώματος, ὑπὸ τῆς νεωτάτης ἰκμάδος [66] νικώμενον, καὶ χωρέει ἐς τὴν κάτω κοιλίην, καὶ ἡ κοιλίη προσσυνθερμαίνεται τοῦ πονέοντος, δεχομένη ἐς ἑωυτὴν μᾶλλον, ἢ τῷ πρὶν χρόνῳ· τοῦτο δὲ [67] γίνεται μάλιστα ἐν τῇ κρίσει τῆς νούσου. καὶ ἢν, καὶ ὀλίγον τὸ σῶμα ἐς τὴν κοιλίην ἀφίῃ, καὶ μὴ πολλὸν ἔῃ τὸ λυπέον τὸν ἄνθρωπον, [68] ἀναφέρει τὴν θέρμην ἡ κοιλίη, καὶ τὸ σῶμα δύναται ἐν τῇ κρίσει, καὶ γίνεται ὑγιὴς ὁ ἄνθρωπος, ἐπὴν ἐξέλθῃ ἡ ἰκμὰς ἡ πονέουσα, καὶ ἢν ἡ τροφὴ τῷ πυρὶ ἐοῦσα, ἐξαναλωθῇ· ἢν δὲ ἡ ὑγιηρὴ ἐπικρατήσῃ, ἐν τούτῳ τῷ λόγῳ νοσήσας ὁ ἄνθρωπος, ὑγιὴς ἐγένετο, δι᾽ αἰτίας τὰς [69] εἰρημένας.

CAPVT X.

Cur febres dimittant, & cur febres, & morbi imparibus diebus remittant, soluantur, iudicentur; humor vitiosus conturbetur, & euacuetur; horror oboriatur; & crises fiant.

NVnc autem dicturus sum, cur febris dimittat. At causam esse affirmo; quæcunque febris hominis corpus prehenderit, tertio die, aut alio quodam impari, humorem molestum è corpore exire secundum commemoratam priùs rationem necesse est. Neque enim C *priùs exit, quàm ei bonus alius ex ventriculo accesserit. Intermedio nanq; & postero die corpus ex vētriculo trahit, quicquid in suum vsum primo die in ipsum demiserit, nisi ventriculus transcolarit, & alium humorem habuerit; quod certè homini malè cesserit. Quòd si febris tertio die dimittat, eodem modo, quo primo etiam ipso die dimittit, vt dictum est. Et sic quidem contingit febrē in corpore excitatam tertio die remittere. Assero autem si quinto die, aut septimo, aut nono dimittat, eodē modo* D *eā dimittere, quo tertio die decedit. Est .n. febri alimetū in locis, quos paulò antè cōmemoraui. Exuperante enim copiosiore humore, homo solutus est. Imparibus autē diebus illam ob causam febris dimittit, quòd paribus diebus corpus ex ventriculo attrahat, imparibus verò dimittat. Ventriculus autem in* homine *sano foras transmittit. Ac propterea necessariò diebus imparibus morbi iudicātur; istâq; ratione homo febricitans, sanus euadit. Istamque ob causam ægrotos assero diebus imparibus maximè* E *laborare, idque ex ratione quadam. Conturbatur equidem homo, quum febricitat, cuius rei signum est quòd horror subindè per totum corpus transcurrat. Hoc autem minimè ita contingeret, nisi humor conturbaretur, & ab ipso copiosior aut parcior secerneretur, & aliàs alium superaret. Maximè verò etiam conturbatur diebus imparibus, quum ægrotat, tuncq; horror præcipuè contingit. Sic enim se res habet. Humoris molesti aliquid à recenti humore superatum, extra corpus propellitur, & ad inferiorem aluum defertur, & aluus vnà cum molesto* F *humore incalescit, in seque magis quàm priore tempore, recipit; hoc autem in morbi iudicatione præcipuè contingit. Quòd si corpus paulatim ad ventrem dimiserit, neque copiosum fuerit quod homini molestum est, ventriculus calorem perfert, corpusque ad iudicationem validum est, & homo conualescit, vbi noxius humor exierit, & is qui febri alimentum suppeditat, consumptus fuerit. Si verò sanus superauerit, hac ratione ægrotus homo propter commemoratas causas, sanus euadit.*

CAPVT

A

CAPVT XI.

Homines diebus imparibus interire, humores conturbari, dolores fieri, medicamenta non exhiberi; vlcera si curentur, magis inflammari; & morbos iudicari. vnde spiritûs graueolentia; quomodo glandularum tumores ab vlceribus fiant, calor & dolor ad vlcera perueniant; & in sanis humorem tertio, stercus secundo die prodire.

B

Nunc verò dicturus sum, cur moriantur homines diebus imparibus. Dico verò; si copiosum fuerit quod in corpore molestum est, plus iusto conturbatur, copiosúmque ac validum ad ventriculum defertur, *eóque corpus, quum calorem perferre non possit, fruitur; spiritûsque graueolentiam fieri necesse est. Quumque corpus præ imbecillitate spiritum, quo quæ in ventriculo sunt, refrigerentur, attrahere nequeat, nimirùm quum omnis humor morbosus existat, quicquid in humore vitalitatis inest, foras exhalat, sicque homo moritur. Non enim alter humor salubris superat, sed totus à morboso copioso existente superatus, & à febre consumptus expirauit. Sic sanè diebus imparibus maximè dolor contingit, idque nemo est qui non nouerit. Quinetiam quod humor iisdem diebus conturbetur, istud signum est. Quicunque iam febre continuâ correpti, diebus paribus medicamentum purgans sumpserunt, ij sanè supra modum nunquam purgati sunt. Qui verò diebus imparibus vehemens medicamentum sumpserunt, ij purgati sunt, sed multi etiam supra modum purgati perierunt. Superiores igitur Medici in hoc maximè peccarunt; nam diebus imparibus medicamenta purgantia exhibebant, & homines interimebant, id ita se habere ignorantes. Humor enim in ægrotantis corpore magis diebus imparibus conturbatur, nimirùm quum corpus ad ventriculum humorem transmittat. Et siquis iam conturbatum medicamento assumpto magis conturbet, non mirum est, ex his hominem perire. Atque vlcera si curentur, his maximè diebus inflammantur. Humor enim quum commouetur, in omnes venas fertur, eásque implet. Et vbi ad vlcus deuenit, morbus. Ac si quidem curetur, pusque ab humore in conturbatione veniente, foras propulsum, exitum habeat; vlcus foras expurgatur. Quòd si curetur, neque exitum habeat, pus illic vnà cum eo qui accessit, permanet, dolorémque exhibet, & carnem vlcus ambientem attollit etiam ab illo. Ac si quidem in cruribus vlcus habuerit, in crurum connexionibus venæ attolluntur; si verò in manibus, venæ quæ sunt in manuum connexionibus, indéque glandularum tumores oriuntur. At quibuscunque hominibus febris incidit, si nullo alio affectu laborent, ea ex pinguiore quam par sit,* humore *incidit, venæque impletæ dolorem & calorem vlceri exhibent. Quod verò incaluit, etiam reliquum corpus calefacit; sicque calor ad vlcera peruenit. Humoris enim agita-*

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Τοὺς ἀνθρώπους ἐν ταῖς περισσαῖς ἡμέραις ἀπόλλυσθαι, καὶ τὰ ὑγρὰ ταράσσεσθαι, καὶ τὰς ὀδύνας γίνεσθαι, καὶ τὰ φάρμακα μὴ παρέχεσθαι, καὶ τὰ ἕλκη, ἢν μελεδαίνηται, φλεγμαίνειν, καὶ τὰ νοσήματα κρίνεσθαι. πόθεν ἡ δυσωδία περὶ τὸ πνεῦμα· πῶς βουβῶνες ἀπὸ τῶν ἑλκῶν γίνονται, καὶ ὁ πόνος καὶ ἡ θέρμη ἐς τὰ ἕλκη παρήκουσι. καὶ τὴν ἰκμάδα τῷ ὑγιεῖ τριταίαν ἐξιέναι, τὴν δὲ κόπρον δευτεραίαν.

C

Νῦν δὲ ἐρέω, διότι θνήσκουσιν ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. φημὶ δέ· ἢν πολλὸν ἔῃ τὸ πονέον ἐν τῷ σώματι, μᾶλλον τοῦ καιροῦ τετάρακται, καὶ ἀλὲς ἰσχυρὸν ἐς τὴν κοιλίην, καὶ μὴ δυνάμενον ἀναφέρειν τὴν θέρμην τὸ σῶμα ἐπαυρίσκεται, καὶ δυσωδίην δεῖ[70] γενέσθαι περὶ τὸ πνεῦμα· καὶ οὐ δυνάμενον τὸ σῶμα ὑπὸ ἀσθενείης, ἅτε τοῦ ὑγροῦ παντὸς νοσεροῦ γινομένου, τὴν πνοὴν ἕλκειν, ὡς διαψύχηται τὰ ἐν τῇ κοιλίῃ, ἐξατμίζει ἔξω τοῦ ὑγροῦ πᾶν τὸ ζωτικὸν, καὶ οὕτω θνήσκει ὁ ἄνθρωπος. οὐ γὰρ ἐπικρατέει ἑτέρη ἡ ὑγιηρὴ ἰκμὰς, ἀλλὰ πᾶσα ὑπὸ τῆς νοσερῆς πολλῆς ἐούσης[71] ἐπαιρομένη, ἐξαναλωμένη ὑπὸ τοῦ πυρὸς διεξήτμησεν. οὕτω δὴ ὦν ἐν τῇσι περισσῇσιν ἡμέρῃσι μάλιστα ὁ πόνος γίνεται· τοῦτο πᾶς οἶδεν ὅς τίς ποτε· καὶ μὴν ὅτι γε τὸ ὑγρὸν τετάρακται ἐν αὐτῇσι τῇσιν ἡμέρῃσι, σημήϊον ἐστι τόδε. ὁκόσοι ἤδη ὑπὸ πυρὸς ξυνεχέος ἐχόμενοι ἐφαρμακεύθησαν ἐν τῇσιν ἀρτίῃσι τῶν ἡμερέων, οὔτι οὐ μὴν ὑπερεκαθάρθησαν· ὁκόσοι δὲ ἐν τῇσι περισσῇσιν ἐφαρμακεύθησαν, ἰσχυρῇ φαρμακείῃ[72] ἐκαθάρθησαν, πολλοὶ δὲ καὶ ἀπώλοντο ὑπερκαθαρθέντες· οἱ γοῦν πρόσθεν ἰητροὶ ἐν τούτῳ μάλιστα ἡμάρτανον, ἐφαρμάκευον γὰρ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι, καὶ ἀπώλλυον τοὺς ἀνθρώπους, οὐ γινώσκοντες ὅτι τοῦθ' οὕτως ἔχει· τὸ γὰρ ὑγρὸν ἐν τῷ σώματι τοῦ νοσέοντος τετάρακται μᾶλλον ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, οἷα τοῦ σώματος ἐς τὴν κοιλίην μεθιέντος τῆς ἰκμάδος· καὶ ἤν τις ἐπιτεταραγμένῳ ἐόντι, ἔτι μᾶλλον ταράξῃ, φάρμακον ἐμβαλὼν, οὐ θαῦμά ἐστιν, ἐκ τῶν τοιούτων ἀπολέσθαι τὸν ἄνθρωπον. καὶ τὰ ἕλκεα ἢν[73] μὲν μελεδαίνηται, φλεγμαίνει μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν· ἔρχεται γὰρ τὸ ὑγρὸν ἐς ἁπάσας τὰς φλέβας, ὁκόταν ταράσσηται, καὶ πληροῖ· ἐπὴν ἔλθῃ ἐς τὸ ἕλκος,[74] ἡ νοῦσος. καὶ ἢν μὲν μελεδαίνηται, καὶ ἔχῃ ἔξοδον τὸ πύος ἐξωθεόμενον ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐλθόντος ἐν τῇ ταραχῇ, ἔξω ἀποκαθαίρεται τὸ ἕλκος·[75] ἢν δὲ μελεδαίνηται οὐκ ἔχον ἔξοδον, τὸ πύος αὐτοῦ καταμένον σὺν τῷ κατελθόντι, πόνον παρέχει, καὶ ἀείρει τὴν σάρκα τὴν περὶ τὸ ἕλκος καὶ ἀπ' ἐκείνου.[76] κἢν μὲν ἐν τοῖσι σκέλεσιν ἔχῃ τὸ ἕλκος, ἀείρονται αἱ φλέβες αἱ ἐν τῇσι προσφύσεσι τῶν σκελέων ἐοῦσαι· ἢν δὲ ἐν τῇσι χερσὶν, αἱ τῶν χειρῶν τῇσι προσφύσεσι ἐοῦσαι, καὶ ἐκ τούτου βουβῶνες γίνονται. ὁκόσοισι δὲ τῶν ἀνθρώπων πῦρ ἐμπίπτει, ἄλλο μηδὲν τοῦ ἀνθρώπου κακὸν ἔχοντος, ἀπὸ τῆς πιοτέρης ἐούσης τοῦ καιροῦ ἐμπίπτει, καὶ πληρούμεναι αἱ φλέβες πόνον καὶ θέρμην τῷ ἕλκει παρέχουσι. τὸ δὲ θερμανθὲν, καὶ τὸ ἄλλο σῶμα θερμαίνει· καὶ ἡ θερμασίη, οὕτως ἐς τὰ ἕλκεα γίνεται· θερμαίνεται γὰρ τὸ σῶμα,

D

E

F

καὶ τὰ ἕλκεα ὑπὸ τῆς κινήσεως τῆς ὑγρῆς, καὶ ἡ ταλαιπωρίη τοιοῦτον ἐργάζεται. ἀποφλεγμαίνει δὲ τὰ ἕλκεα πεμπταῖα, καὶ κατὰ λόγον τούτεων τῶν ἡμερέων, ὡς ἂν καὶ τὰ ἕλκεα μέγεθος ἔχῃ, καὶ τριταῖα, καὶ πεμπταῖα, καὶ ἑβδομαῖα, καὶ ἐναταῖα, καὶ ἑνδεκαταῖα· εἶτα ἀπηρτισμένης τῆς πρώτης περιόδου, πάλιν δευτέρης ἀρχῆς τρίτη, ἥ τις ἐστὶν ἀπὸ τῆς πρώτης [77] τεσσαρεσκαιδεκάτη· τὰ δὲ μέγιστα αὐτῶν τεσσαρεσκαιδεκαταῖα ἀποφλεγμαίνει. οὗτος ὁ λόγος ἐρεῖ τὰ νοσήματα κρίνεσθαι ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, καὶ τὴν ἰκμάδα τοῦ ὑγιέος τριταίην ἐξιέναι, τὴν δὲ κόπρον δευτεραίην· καὶ ταῦτα τριταῖα ἐόντα, [78] ἱστορεῖ ἀλλήλοισιν, ὅτι οὕτως ἔχει. οὕτω δέ μοι ὁ λόγος οὗτος πᾶς ἐκκεκρύφωται.

A tione corpus & vlcera incalescunt; & talia labor efficit. Vlcera autem quinto die inflammari desinunt, & secundum horum dierum rationem, pro vlcerum magnitudine, etiam tertio die, & quinto, & septimo, & nono, & vndecimo. Deinde absoluto primo circuitu, rursus tertio die secundi principij, qui est à primo decimus-quartus. Ex his verò maxima decimoquarto die inflammatione liberantur. Atque hæc oratio declarat morbos diebus imparibus iudicari; & humorem in B sano, tertio die exire, stercus verò secundo. Et ista quæ tertio die contingunt, rem ita se habere mutuum inter se testimoniū præbent. Atque ita tota hæc oratio summatim à me explicata est.

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

Διὰ τί νοσοῦσιν οἱ ἄνθρωποι, τίς ἡ τῆς καθάρσεως χρεία, ἡ τοῦ πυρετοῦ ἐκ τοῦ πληρώματος γένεσις, τῷ πυρὶ πολεμιώτατον τὸ ὑδρωποειδές, τροφὴ δὲ τὸ χολῶδες. διὰ τί τὸ ὕδωρ ῥᾷον ἐξατμίζεται καὶ καταλεπτύνεται τοῦ ἀλείφατος, καὶ πόσαι καὶ τίνες αἱ ἀρχαὶ τῶν νόσων, ὧν μεγίστη ἐστὶν ἡ βία.

CAPVT XII.

Cur homines ægrotent; quæ purgationis necessitas; febris ex repletione ortus, febri inimicissimus aquosus humor, & pabulum biliosus. Cur aqua, quàm oleum facilius exhalet, & attenuetur; C quot & quæ morborum principia, quorum maximum violentia.

Νῦν δὲ ἐθέλω ἀτρεκέστερον εἰπεῖν, διότι νοσέουσιν οἱ ἄνθρωποι· ἐρέω δὲ σὺν τούτῳ τῷ λόγῳ, καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσί, καὶ ὁκοῖα ἑκάστη αὐτέων ἐργάζεται. Φημὶ δέ· ἐὰν μὲν ἐμμείνῃ τὰ σιτία πλείονα τοῦ καιροῦ ἤδη πεπεμμένα ἐόντα, καὶ ὁ ἄνθρωπος μὴ ἀποκαθαίρηται, καὶ ἕτερα σιτία ἐπιπίπτῃ, τὸ σῶμα πληρεύμενον ὑπὸ τῆς ἰκμάδος τῆς προτέρης καὶ τῆς νέης θερμαίνεται, καὶ πῦρ ἐκ τούτου γίνεται τῷ ἀνθρώπῳ. τὸ δὲ πῦρ οὕτως γινόμενον, οὐκ ἄπορον οὐδὲ ἰσχυρόν ἐστιν, ἐν ᾧ ἰκμὰς ἴση ἐνέχεται, κατὰ πλῆθος ἡμέας λυπέουσα ὀλίγῳ πλέον. ἢν γὰρ τοῦθ' οὕτως ἔχῃ, καί τις κάρτα ἰσχύῃ, καὶ τὰ ἐπιτήδεια προσενέγκῃ, ὑγιὴς γίνεται. ἓν δὲ νούσημα μόνον ἀπὸ πάσης τῆς ἰκμάδος, καὶ σημήϊα ἴσχει ἑπτά. (πρῶτον) βήξ τε γὰρ ἴσχει μιν βληχρή, (δεύτερον) καὶ ξηρὴ ἐοῦσα· (τρίτον) γαστήρ τε σκληρὴ γίνεται, ἅτε τοῦ ἀποπάτου ἐόντος ἐντός· (τέταρτον) καὶ τὴν κεφαλὴν βαρέεται (πέμπτον) καὶ ἐξεμεῖ (ἕκτον) καὶ πυρεταίνει· (ἕβδομον) καὶ οὖρον οὐ χρηστῶς διέρχεται. ταῦτα δέ ἐστι τῆς νούσου ταύτης, ἀπὸ πάσης τῆς ἰκμάδος γινομένης, σημήϊα ἑπτά. ἢν δὲ τοῦ ἀποπάτου μὴ διαχωρέοντος, κρατέῃ μία τῶν ἄλλων ἰκμάς, κάλλιον ἐμπολήσει ὁ ἄνθρωπος· καὶ ἤν τις τῷ πυρετῷ γινομένῳ, [81] ἀποστάσης τῆς ἰκμάδος, τὰ ἐπιτήδεια μὴ προσενέγκῃ, περιοίσεται ἡ νοῦσος ὅσῳ δ' ἂν αὐτέη κρατέῃ τῶν ἰκμάδων, τρόπῳ τοιῷδε. θερμαινομένου [82] τοῦ αἵματος, ἐξατμίζει μάλιστα διὰ τοῦτο, τὸ ὑδρωποειδὲς ὅ, τί ἐστι τῷ πυρὶ πολεμιώτατον· καταλείπεται δὲ τὸ λιπαρὸν καὶ κοῦφον, ὅ, τί ἐστι χολῶδες, καὶ τῷ πυρὶ τροφὴ μάλιστά ἐστιν. ἐξατμίζει δὲ τρόπῳ τοιῷδε, ὥσπερ εἴ τις ὕδωρ καὶ ἄλειφα ἐς χαλκεῖον ἐγχέας, ξύλα πουλλὰ [83] ὑποκαίῃ πουλὺν χρόνον· τὸ μὲν δὴ ὕδωρ, πολλῷ ἔλασσον ἔσται, ἐξατμιδωθήσεται γὰρ ἐκ τοῦ χαλκείου· τὸ δὲ ἄλειφα, ὀλίγῳ ἔλασσον· ὅτι τὸ μὲν ὕδωρ, ὑπὸ τῆς ἀραιότητος καταλεπτυνόμενον δύναται ὑπὸ τοῦ πυρὸς, καὶ κοῦφον γινόμενον ἐξατμίζει· τὸ δὲ ἄλειφα, ἅτε συναφὲς ἐὸν, καὶ πυκνὸν, οὐ δύναται καταλεπτύνεσθαι, οὐδὲ ἀτμίζειν ὁμοίως τῷ ὕδατι. οὕτω δὴ

Nunc verò exploratiùs, cur homines ægrotent, referre volo; simulque cum hoc sermone dicam, quæ sint morborum principia, & quæ ipsorum vnumquodque efficiat. At assero; si cibi quidem, quàm deceat, copiosiores iam concocti intus morentur, neque homo repurgetur, & altera cibaria accedant, corpus à priore humore & recenti repletum incalescit, D indeque homini febris oboritur. Verùm sic oborta febris, neque periculosa, neque vehemens est, in qua humor æqualis est, qui copiâ paululùm vberiore nos vexat. Si enim id ita se habuerit, & quis admodum sit robustus, eaque quæ conueniunt adhibuerit, sanus euadit. Vnus autem solus morbus est ab omni humore, & septem signa habet. Primum, eum enim tussis leuis detinet. Secundum, & sicca existens. Tertium, & venter durus redditur, nimirùm stercore intus retento. Quar- E tum, & caput grauatur. Quintum, & vomit. Sextum, & febricitat. Septimum, & neque lotium probè permeat. Hæc sunt huius morbi ex omni humore orti, septem indicia. At si aluo non deijciente, vnus ex reliquis humoribus superet, melius homo negotiabitur. Ac si quis febri oborienti, absistente humore, idonea minimè adhibuerit, circumagetur morbus, quantùm ipse humores superauerit, hoc modo. Incalescente sanguine, per hunc aquosus humor, qui febri est inimicissimus, præcipuè exhalat; relinquitur verò pinguis & F leuis, qui biliosus est, & præcipuum febris alimentum. Hoc autem modo exhalat, quemadmodum si quis affusis in vas æneum aquâ & oleo, ligna multa diuturno tempore succendat; aqua certè longè paucior futura est, ex vase nanque exhalabit; oleum autem paululùm imminuetur; quod aqua quidem propter raritatem ab igne extenuari, & leuis reddita exhalare potest; oleum autem, quòd nimirùm cohæreat & densum sit, attenuari nequit, neque vt aqua exhalare. Ita sanè &

& in homine se res habet. Incalescente nanque corpore, aqua foras exhalat; quòd verò est biliosum, quum cohærens & densum sit, non similiter attenuatum exhalare potest. Verùm attenuatus biliosus humor, corpus magis incalescere efficit. Copiosius enim & melius alimentum bilis febri suppeditat, & in corpore dispersa aut firmata morbum cum prioribus corroborat. Atque ista quidem homini contingere, nisi purgetur aut curetur, dicta sunt. Quòd si horum copia non superet, siue semel multa, siue paulatim colligatur, & reliquum corpus dolore vexet, id dum contingit, præ robore perfert, donec principium quoddam accedat. Sin verò copiosior humor extiterit, neque homo expurgetur, inde morbus hoc modo oritur. Principia à quibus morbi oriuntur, tria sunt. Atque vnum quidem iam à me dictum est, quæque & quanta in corpore efficiat. Ostendi enim quomodò & cur homo, nisi repurgetur, ægrotet. Alterum est, si quæ ex cælo obueniunt, incommoda, & præter victûs rationem sint. Tertium est, siquid violentum inciderit. Violentum autem esse dico, & casum, & vulnus, & percussionem, & immoderatum laborem, & siquid aliud est huiusmodi. At horum principiorum maximum est violentia, si magna fuerit; si verò parua, non maximum. Secundum verò, si homo non expurgetur. Tertium autem, si quæ ex cælo contingunt, fuerint ad sanitatem incommoda. Horum igitur diligens cura habenda est; quum ipsorum singula id quod ego dicturus sum, in corpore efficiant.

A καὶ ἐν τῷ ἀνθρώπῳ ἔχει· ὁ μὲν γὰρ ὕδρωψ, θερμαινομένου τοῦ σώματος, ἐξατμιᾶ ἔξω· τὸ δὲ χολῶδες, ἅτε συναφὲς ἐὸν καὶ πυκνὸν, οὐ δύναται ἀτμιᾶν καταλεπτυνόμενον ὁμοίως. τὸ δὲ χολῶδες καταλεπτυνόμενον, μᾶλλον ποιεῖ θερμαίνεσθαι τὸ σῶμα· πλείων γὰρ καὶ καλλίων τροφὴ τῷ πυρὶ γίνεται ἡ χολὴ, καὶ ῥαγόμενον ἐν τῷ σώματι ἢ στηριξάμενον, τὴν νοῦσον ἐπεκράτυνε πρὸς τὰ [84] πρόσθεν. καὶ ταῦτα μὲν εἴρηται, ὅ, τι πάσχει ὁ ἄνθρωπος, ἢν μὴ καθαίρηται καὶ μελεδαίνηται. ἢν δὲ μὴ αὐτῶν πλῆθος κρατήσῃ, εἴτε ἐς ἅπαξ πολλὴ γινομένη, εἴτε καὶ κατὰ μικρὸν συλλέγηται, καὶ τὸ ἄλλο σῶμα ὀδυνᾶται, τοῦτο γινόμενον B ὑπὸ ἰσχύος ἀναφέρει, μέχρις οὗ ἀρχή τις ἐπιγένηται· [85] καὶ ἢν τὸ πλέον γινόμενον ὑγρὸν, μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος, νοῦσος ἔνθεν γίνεται τρόπῳ τοιῷδε. Ἀρχαί εἰσι τρεῖς, ἀφ' ὧν αἱ νοῦσοι γίνονται· καὶ μία μὲν ἤδη εἴρηταί μοι, ὁκοῖα καὶ ὅσα ἐργάζεται ἐν τῷ σώματι· ἀπέδειξα γὰρ, ὅκως τε καὶ διότι ἢν μὴ ἀποκαθαίρεται ὁ ἄνθρωπος, νοσεῖ· δευτέρα δέ ἐστιν, ἢν συμβῇ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια, καὶ παρὰ δίαιταν εἶναι· τρίτη δέ ἐστιν ἤν τι βίαιον προσπέσῃ· βίαιον C δὲ λέγω εἶναι, καὶ πτῶμα, καὶ τρῶμα, καὶ πληγὴν, καὶ ταλαιπωρίην, καὶ εἴ τι ἄλλο ἐστὶ τοιοῦτον. τούτων δὲ τῶν ἀρχέων μεγίστη ἐστὶ βίη, ἢν μεγάλη ἔῃ· ἢν δὲ [86] μικρὰ, οὐ μεγίστη. δευτέρη δὲ, ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος· τρίτη δὲ, ἢν τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια ἔῃ πρὸς τὴν ὑγείην. τούτων τοιγαροῦν δεῖ φυλακὴν ἔχειν· ἕκαστα δὴ αὐτῶν τοιοῦτον ἐργάζεται ἐν τῷ σώματι, ὁκοῖον ἐγὼ ἐρέω.

D

CAPVT XIII.

Violentiæ effectus, vulnus, vlcus, contusio, tumor, dolor, febris, humoris perturbatio. Lactis & sanguinis comparatio, & partes; quid efficiat humoris perturbatio, exuperantia, plenitudo, purgatio; quod homini alimentum, quæ putrefactionis & mortis causa.

SI equidem vulnus factum sit, carnem dissectam esse manifestum est, vlcusque existit. Hoc autem morbum esse dico. Si verò homine percusso aut lapso aut quid aliud eiusmodi perpesso, contusio facta sit, & tumor oboriatur, sanguis statim vi calefactus, & in venas hiantes concurrens, quum præ copia exitum quò abire possit, non habeat, colligitur, ob idque tumor fit, tandiuque adest, quoad ex locis eo quo dictum est modo, aut per ipsum tumorem repurgatus fuerit, & sanguini cum tempore, vel in pus verso, vel non, exitus siue per manûs operam, siue sine ea, pateat. Quin & immoderatus labor tale quid efficit. Quum enim homines immoderatè laborauerint, quibus sanguinis labor præcipuè contigerit, illic firmatur & incalescit, indéque dolor oboritur. Quòd si ab his quidem superetur, magnâ autem copiâ labor contingat, & aluus ac vesica copiam neutiquam celeriter transcolarint, ex eo sanè febris subорietur; nequaquam verò, si prior humor æqualis

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Τὰ τῆς βίας ἐνεργήματα, τρῶμα, ἕλκος, θλάσμα, οἴδημα, πόνος, πυρετὸς, καὶ ἡ τῆς ἰκμάδος ταραξις. ἡ τοῦ γάλακτος καὶ τοῦ αἵματος ἀναλογία, καὶ τὰ μέρη· τί ἐργάζεται ἡ τοῦ ὑγροῦ ταραχὴ, τί ἡ ὑπερβασις, τὸ πλῆθος, ἡ κάθαρσις. τί τῷ ἀνθρώπῳ τροφή· τίς ἡ τῆς σηπεδόνος καὶ τοῦ θανάτου αἰτία.

E ΗΝ μὲν τρῶμα γένηται, δῆλον ὅτι σὰρξ διεκόπη, καὶ ἕλκος ἐγένετο· τοῦτο δὲ νούσημα ὀνομάζω εἶναι. ἢν δὲ [87] φλάσμα γένηται, πληγέντος, ἢ [88] πεσόντος, ἢ τι ἄλλο τοιοῦτο παθόντος, καὶ οἴδημα γένηται, τὸ αἷμα αὐτίκα θερμανθὲν ὑπὸ τῆς βίης, καὶ ὑποδραμὸν ἐς τὰς φλέβας χασκούσας, οὐκ ἔχον ἔξοδον ὑπὸ πλήθεος ἀπελθεῖν, συνεστράφη· καὶ τὸ οἴδημα διὰ τοῦτο ἐγένετο, καὶ μέχρι τούτου πάρεστι, μέχρις ἀποκαθαρθῇ, καθότι ἀπὸ τῶν χωρίων εἴρηται, ἢ κατ' αὐτὸ τὸ οἴδημα, καὶ εἴτε σὺν χειρουργίῃ, εἴτε καὶ μὴ δίοδος γένηται τῷ αἵματι, ἢ πυωθέντι ὑπὸ χρόνου, ἢ καὶ μή. καὶ ἡ ταλαι- F πωρίη δὲ τοιοῦτον ἐργάζεται· ὁκόταν γὰρ οἱ ἄνθρωποι ταλαιπωρέωσιν, οἷσιν ἂν μάλιστα τοῦ αἵματος ταλαιπωρίη ᾖ, κεῖθι στηρίζεται, καὶ θερμαίνεται, [89] καὶ πόνος ἐκ τοῦ τοιούτου γίνεται. ἢν δὲ [90] κρατηθῇ μὲν τούτων, κάρτα δὲ πλῆθος γένηται [91] ταλαιπωρίη, καὶ ἡ κοιλίη καὶ κύστις μηδαμῶς διηθήσῃ ἐν τάχει τὸ πλῆθος, πῦρ ἐπιπέσοι ἂν [92] ἐκ τούτου· κἢν μὲν ἡ πρόσθεν ἰσάσῃ ἰκμὰς, οὐ-

βιαμῶς. ἢν δὴ ἐν τῇ ταλαιπωρίῃ αὐτέων πλείστη ἐν τῷ σώματι καταμένῃ, κρατέει κείνη. ταῦτα δέ μοι εἴρηται περὶ βίης, ὁκοῖα ἐν τῷ σώματι κατεργάζεται. καὶ αὗται μὲν δύο ἀρχαὶ ἐοῦσαι, ἥ τε βίη, καὶ ἡ πληθώρη, ἢν μὴ ἀποκαθαίρωνται οἱ ἄνθρωποι, θερμαίνουσι τὰ σώματα. Ἡ δὲ ἐκ τοῦ οὐρανοῦ, ἀνεπιτήδειος γινομένη ἐν τῷ ἀνθρώπῳ, ἐκράτησέ τι τοῦ ὑγροῦ, καὶ θερμαίνει ὡς ἐς νόσον, καὶ ψύχει πρότερον, ἢν τύχῃ γινόμενον. ἐρέω δὲ πρότερον περὶ τοῦ ὡς θερμαίνει. Φημὶ οὖν, ἢν ἐν τῷ αὐτῷ ἀνθρώπῳ ἐνέῃ τι νοσηρὸν, ὁκοῖον ἐν τῷ προτέρῳ εἴρηκα, καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια γένηται, καὶ θερμαίνηται ὁ ἄνθρωπος, ταράσσεται τὸ ὑγρὸν πᾶν θερμαινόμενον ἐν τῷ σώματι· τοῦτο δὲ ποιέει βίη. καὶ [93] ἢν μὲν ἀποκαθαίρηται ὁ ἄνθρωπος, τοῦ δὲ ταρασσομένου ἀποκρίνεται ὁκόσον ἂν πλέον ᾖ τοῦ καιροῦ· ἔοικε δὲ τοῦτο, ὥσπερ οἱ Σκύθαι ποιέουσιν, ἐκ τοῦ ἱππείου γάλακτος. ἐγχέοντες γὰρ τὸ γάλα ἐς ξύλα κοῖλα, σείουσι· τὸ δὲ ταρασσόμενον, [94] ἀφρέει καὶ διακρίνεται, καὶ τὸ μὲν πῖον, ὃ βούτυρον καλέουσιν, ἐπιπολῆς διΐσταται, ἐλαφρὸν ἐόν· τὸ δὲ βαρὺ καὶ παχὺ, κάτω ἵσταται, ὃ καὶ ἀποκρίναντες ξηραίνουσιν, ἐπὴν δὲ παγῇ καὶ ξηρανθῇ, ἱππάκην [95] μιν καλέουσιν· ὁ δὲ ὀῤῥὸς τοῦ γάλακτος, ἐν μέσῳ ἐστίν. οὕτως δὲ καὶ ἐν τῷ ἀνθρώπῳ, ταρασσομένου τοῦ ὑγροῦ παντὸς ἐν τῷ σώματι, ἀπὸ τῶν ἀρχῶν διΐσταται, ὧν εἴρηκα, οἱ πάντα· καὶ ἐπιπολῆς μὲν τὸ τῆς χολῆς διΐσταται. κουφότατον γάρ ἐστι· δεύτερον δὲ τὸ τοῦ αἵματος· τρίτον δὲ τὸ τοῦ φλέγματος· βαρύτατον δέ ἐστι τῶν ὑγρῶν τούτων, ὁ ὕδρωψ. τούτων δὲ ὄντων, ὅ, τι ἂν ἐν νούσῳ πλεῖστον ᾖ, ἐν ἀρχῇσι γινομένης τῆς ταραχῆς, ἔρχεται εἰς χωρίον, ἵνα ἂν πλεῖστον εἴη· ἐν δὲ τῇ ταραχῇ εὐρυχωρίης γινομένης, [96] εἰλέεται ἀποκεκριμένον, καὶ θερμαίνει τὸ σῶμα, [97] ἢ στήριξιν ἔχον πῃ τοῦ σώματος σὺν τῷ ἄλλῳ ὑγρῷ τῷ συνεόντι ἐν τῷ ἄλλῳ χωρίῳ, πόνον καὶ θέρμην παρέχει· τὸ δὲ θερμαινόμενον, προσξυνθερμαίνει καὶ τὸ ἄλλο σῶμα, κἀκ τούτου ὁ πυρετὸς γίνεται. καὶ γίνεται μᾶλλον ἀπὸ τῆς χολῆς, καὶ τοῦ φλέγματος, καὶ ἀπὸ τοῦ αἵματος· θερμότατα γάρ ταῦτά ἐστι, καὶ ἢν τι τούτων ἀποστηρίξῃ πῃ τοῦ σώματος, ὡς ἐπὶ τὸ πλεῖστον ὀνομάζεται κεῖθεν τὸ νούσημα, καὶ ἐπωνυμίην ἔχει· ἀπὸ δὲ τοῦ ὕδρωπος οὐ γίνεται πυρετὸς ἰσχυρὸς κάρτα, οὐδὲ πολυχρόνιος, τῷ γὰρ πυρὶ οὐκ ἀγαθὴ τροφὴ ὁ ὕδρωψ ἐστίν. καὶ ταῦτα μὲν ἐς τοῦτο εἴρηται. Πρὶν δὲ ταραχθῆναι, οὐκ ἔχει ἐκχωρέειν τὸ πλεῖον τοῦ ὑγροῦ, ἀλλ᾽ ἄνω καὶ κάτω εἰλέεται μεμιγμένον τῷ ἄλλῳ ὑγρῷ· πάντα γὰρ πλήρεά ἐστιν· ἐν δὲ τῇ ταραχῇ κενοῦται. κενοῦται δέ τι ἕτερον ἑτέρου μᾶλλον· καὶ τὸ πλεῖον ἐὸν, χωρίον κατίσχει· καὶ τὸ μὲν ἀλλότριον, οὐκ ἐπιμίσγεται τῷ ἄλλῳ, ἢν περιστηρίξῃ, πρὶν ἰσωθῇ ἐς δύναμιν. ἔστι δέ μιν ἰσοῦσθαι, καὶ ὃ ἐπ᾽ αὐτοῦ ἐπανέλθοι ἐς τὴν νοῦσον, ἕως [99] οὗ ἀποκαθαρθῇ τὸ χωρίον, ὁποίη ἡ κάθαρσίς ἐστιν. [100] ἢν δὴ πολλὸν ἔῃ τὸ πονέον, ἐπαυρίσκεται καὶ ἐξαναλίσκεται ἐς τὴν νοῦσον καὶ τὸ ἄλλο πρὶν ὑγιηρὸν ἐὸν, καὶ θνήσκει ὁ ἄνθρωπος τρόπῳ τοιῷδε· προσσ-

fuerit. Si verò in ipsorum labore plurimus in corpore permaneat, superat ille. Atque hæc quidem de violentia, quænam in corpore conficiat, dicta sunt. Et hæc quidem duo sunt principia, violentia & plenitudo, quæ nisi homines repurgentur, corpora calefaciunt. Quòd verò è cælo procedit principium, *si homini incommodum fuerit, aliquid humoris superat; & tanquam ad morbum* viam faciens, *calefacit, priúsque, si ita contigerit, refrigerat. Prius autem de eo, prout calefacit, dicturus sum. Dico igitur, si in ipso homine morbosum aliquid insit, quale in priori dixi, & ea quæ ex cælo oriuntur, incommoda fuerint, homoque incalescat, totum corporis humorem incalescentem conturbari; id autem vis præstat. Et si quidem homo repurgetur, conturbati huius* humoris *quantùm plus æquo abundat,* tantùm *secernitur. Id verò rei simile est, quam ex lacte equino Scythæ conficiunt. Lac enim in vasa lignea caua affusum agitant; quod dum conturbatur, spumescit ac separatur; & pingue quidem, quod butyrum vocant, quum leue sit, in summo seponitur; graue verò & crassum subsidet, quòd etiam separantes siccant. Quod cum concretum & siccatum fuerit, hippacen ipsum vocant. Lactis verò serum medium locum habet. Sic etiam in homine, quum conturbatur humor totus in corpore, à principijs, quæ dixi, omnia illi seponuntur; & bilis quidem quum sit leuissima, in superficiem discedit; secundo loco sanguis; tertio pituita. Horum autem humorum grauissimus est aqua. Quum autem hæc ita se habeant, quisquis in morbo plurimus fuerit, dum turbatio in principijs contingit, ad locum fertur in quo plurimus esse possit. Verùm in turbatione amplâ capacitate euadente, secretus voluitur, & corpus calefacit, aut in aliqua corporis parte consistens, unà cùm alio humore qui in alio loco est, dolorem & calorem exhibet. Qui verò incalescit locus, reliquum corpus simul etiam calefacit, ex eóque febris oboritur. Et oboritur magis à bile, & pituita, & sanguine, hæc enim calidissima existunt, & siquid horum in aliquam corporis partem incubuerit, plerúnque morbus inde nominatus est, & cognomen habet. Ab aqua autem neque admodum vehemens, neque diuturna febris oritur; aqua nanque igni haud idoneum est alimentum. Et hæc quidem hactenus dicta sunt. Ante turbationem verò non habet quò secedat humor copiosior, sed alteri humori permixtus sursùm & deorsùm volutatur; omnia nanque plena sunt; in turbatione autem vacuantur. At alterum altero magis euacuatur, quique copiosior est* humor *locum occupat; & alienus alteri non admiscetur, si circùm adhærescat, priusquam* illi *viribus adæquatus fuerit. Potest autem adæquari is, & qui ab ipso ad morbum accedit, quoad locus repurgatus fuerit, qualiscunque sit purgatio. Quòd si copiosus sit is humor qui affligit, & alius qui priùs salubris erat, ad morbum exhauritur & absumitur; eóque modo homo moritur.*

Insuper

Insuper enim exhauritur, si morbo non satis superfuerit alimenti, sed ab humore, qui in loco dolente est, absumitur. Primum propinquum absumit; deinde ulteriora depascitur, donec consumptum fuerit, neque amplius supersit corpori alimentum. Leuis autem humor homini est alimentum. Quemadmodum igitur par est; primùm si maximè incalescat, putredo sensim oboritur; deinde postquam illic alimenti putredini non satis suppetit, in corpus serpit, initio ab eo quod sanum est & propinquum, ducto, quoad totum quod carnosum est, putredinem conceperit. Postquam autem in totum depastum est, putredini alimentum consumitur. Sic sanè etiam in morbo, initio à loco illo ducto, postquam illic non ampliùs satis inest alimenti, ulteriùs depascitur, ab eo quod vicinum est sumpto exordio. Vbi enim ad totum peruenerit, morbo alimentum consumitur, nec alius salubris humor superat; idque si fiat, homo moritur. Quinetiam ubi hic in conturbatione ampliorem locum acceperit, neque firmatus fuerit, sed volutetur, non ampliùs alteri permiscetur, sed in morbum insumitur, nisi repurgetur. Deinde venæ supra modum implentur; valdéq; impletæ nihil ex se dimittunt, priusquã ampla capacitas ipsis contigerit. Quemadmodũ ubi quis vehementer percussus fuerit, sanguis sub vulnus decurrit, venis nimirùm per vulnus euacuatis. Vbi verò carnes tanquã spongia oppletæ fuerint, non ampliùs dimittunt, sed in se retinent, quoad ex ipsis aliquid per locũ vacuatum sit. Quũ enim collectus sanguis fuerit, præ copiâ viã intercipit. Quemadmodum si quis lecythum coriaceum angusti oris, oleo repletum rectâ in os obuertat, id etiamsi fecerit, ex eo oleum prodire non poterit. Oleum enim copiosum & confertim incumbens, viam intercepit. Quòd si quis vas olearium inclinet, tolletur oris interceptio, quâ ex ipsa oleum effluet. Idem etiam effecerit aqua supra mensam effusa. Ita sanè ubi plurimus corporis humor in conturbatione locum occupauerit, & venas impleuerit, non ampliùs ab eis discedit, priusquàm ubi locus vacuus est, morbi alimento consumpto. Atque hæc quidem à me dicta sunt, ubi quid in corpore fuerit, unde morbi oriuntur, alijs etiam redundantibus, & quomodo principia humori calorem & turbationem efficiant, & ad morbum deducant.

παυέσεται γὰρ, ἢν μηκέτι τροφὴ ἀρκέουσα ἔχῃ τὸ νούσημα, ἀλλ' ἐξαναλίσκεται ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐν τῷ ἐπιπόνῳ χωρίῳ ἐόντος. πρῶτον τὸ πλησίον προσλαμβάνει, εἶτα ἐπὶ τῷ προσωτέρω νέμεται, μέχρις ἂν ἐξαναλωθῇ, καὶ μηκέτι ἐνῇ τῷ σώματι τροφή. τροφὴ δὲ ἐστὶν ἀνθρώπῳ, τὸ κοῦφον ὑγρόν.[101] ὥσπερ οὖν χρὴ, τὸ πρῶτον κατὰ μικρὸν σηπεδὼν ἐγένετο, ἢν μάλιστα θερμαίνηται· ἔπειτα ἐπὴν κεῖθι τῇ σηπεδόνι τροφὴ μηκέτι ἀρκέῃ, νέμεται ἀπὸ τοῦ ὑγιέος τοῦ πλησίον ἀρξαμένη πρὸς τὸ σῶμα, μέχρις ἂν ὅλον τὸ σαρκῶδες σαπῇ· ἐπεὶ δὲ ὡς ἐπίπαν νέμηται, ἀναλοῦται ἡ τροφὴ τῇ σηπεδόνι. οὕτω δὴ καὶ τῇ νούσῳ, ἀπὸ τοῦ χωρίου κείνου ἀρξαμένη, ἐπὴν κεῖθι ἡ τροφὴ μηκέτι ἀρκέουσα ἐνῇ, νέμεται ἐς τὸ πρόσω ἀπὸ τοῦ πλησίον ἀρξαμένη. ἐπὴν γὰρ ἐπίπαν ἔλθοι, ἀναλοῦται ἡ τροφὴ τῇ νούσῳ, καὶ ἕτερον ὑγιηρὸν οὐκ ἐπικρατέει· κἢν τοῦτο γένηται, θνήσκει ὁ ἄνθρωπος. ἔτι δὲ ἐν τῇ ταραχῇ, ἐπὴν τοῦτο πλέονος χωρίου λάβηται καὶ μὴ στηρίξῃ, ἀλλὰ εἰλέηται, οὐκ ἔτι τῷ ἄλλῳ μίσγεται, ἀλλ' ἐξαναλίσκεται εἰς τὴν νοῦσον, ἢν μὴ ἀποκαθαίρηται. εἶτα αἱ φλέβες ὑπερπίμπλανται, πλήθουσαι δὲ κάρτα οὐ χαλῶσιν ἐξ αὐτέων, πρὶν εὐρυχωρίη σφιν γένηται· ὥσπερ ἐπὴν τις πληγῇ καρτερῶς, ὑποτρέχει ὑπὸ τὴν πληγὴν αἷμα, ἅτε τῶν φλεβέων κενωθεισέων ὑπὸ τῆς πληγῆς. ἐπὴν δ' αἱ σάρκες πληθῶσιν ὅκως περ σπόγγος, οὐκ ἔτι χαλῶσιν, ἀλλὰ ἔχουσιν ἐν ἑωυτῇσι, μέχρις οὗ κενωθῇ[102] κατὰ χωρίον τι αὐτέων. ἀπολαμβάνει γὰρ, ἐπὴν ξυλλεχθῇ τὸ αἷμα, τὴν ὁδὸν ὑπὸ πλήθεος· ὥσπερ εἴ τις λήκυθον σκυτίνην στενόστομον ἐμπλήσας ἀλείφατος, καταστρέψειεν ἐπὶ τὸ στόμα κατ' ἰθὺ, κἂν τοῦτο ποιήσειεν, οὐ δυνήσεται ἐξ αὐτῆς χωρέειν τὸ ἔλαιον· ἐπιέζει γὰρ τὴν ὁδὸν τὸ ἄλειφαρ, ἅτε πολλὸν καὶ ἀλὲς ἐπικείμενον. ἢν δ' ἐπικλίνῃ τις τὴν λήκυθον, κενεὴ ἔσται ἡ ἀπὸ τοῦ στόματος πνίξ,[103] ἡ ῥεύσεται ἐξ αὐτῆς τὸ ἄλειφαρ. τὸ δ' αὐτὸ ποιήσειε καὶ ἐπὶ τραπέζης ὕδωρ. οὕτω δὴ καὶ ἐπὴν[104] τὸ πλεῖστον ὑγρὸν ἐν τῷ σώματι ὑπὸ τῆς ταραχῆς χωρίου λάβηται, καὶ πλήσῃ τὰς φλέβας, οὐκ ἔτι ἀπέρχεται ἐξ αὐτέων, πρὶν ἢ ὅκου ἐστὶ τὸ χωρίον κενεὸν, τῆς τροφῆς ἐξαναλισκομένης τῇ νούσῳ. καὶ ταῦτα μὲν εἴρηταί μοι, ἐπήν τε ἐν τῷ σώματι ᾖ, ἀφ' ὧν αἱ νοῦσοι γίνονται, πληθυόντων καὶ τῶν ἄλλων, καὶ ὅκως ἐργάζονται αἱ ἀρχαὶ τῆς θέρμης καὶ τῆς ταραχῆς τῷ ὑγρῷ, ὑπάγουσαι ἐς νοῦσον.

CAPVT XIV.

Quomodò à cælo morbi oriantur, se dicturum pollicetur; verùm de solo humore agit, cuius liquatione, concretione, secretione, commixtione, agitatione, & decubitu varij oboriuntur affectus; hinc stercoris exturbatio, & alui tormina; hinc rigor, frigus, inflammatio, febris.

NVnc verò dicturus sum, quænam in corpore efficere soleant, quæ à cælo procedunt, si incommoda fuerint, & quum corporis humorem superarint. Assero autem, partem eius humoris qui est in homine,

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Ὅπως μὲν ἐκ τοῦ οὐρανοῦ τὰ νοσήματα γίνεται, ἀγορεύσειν ὑπισχνεῖται, περὶ δὲ τῆς ἰκμάδος μόνης λέγει, ἧς τῇ τήξει, συγκρίσει, διακρίσει, συμμίξει, ταραχῇ καὶ στηρίξει τὰ ποικίλα παθήματα ἕπεται· ἔνθεν ἡ τῆς κόπρου ἐξώθησις, καὶ οἱ ἐν τῇ κοιλίᾳ στρόφοι· ἔνθεν τὸ ῥῖγος γίνεται, καὶ ὁ κρυμὸς, καὶ ἡ φλεγμονὴ, καὶ ὁ πυρετός.

ΝΥν δὲ ἐρέω τὰ ἐκ τοῦ οὐρανοῦ, ἢν ἀνεπιτήδεια γένηται φυόμενα ἐν τῷ σώματι, τίνα ἐργάζεται, καὶ ὁκότε ἢν κρατέῃ ἐν τῷ σώματι τοῦ ὑγροῦ. φημὶ δὲ, τὸ μέν τοι ξυστρέφεσθαι καὶ παχύνεσθαι τοῦ ἐν τῷ ἀνθρώπῳ

ἰκμάδος ἐπὴν πηχθῇ, ἕως νοῦσον ἀποτέκῃ τό, τε διαθρυώεσθαι καὶ διακρίνεσθαι. ἔοικε καὶ τοῦτο τὸ πάθος γάλακτι· ἐπὴν τις ὀπὸν ἐμβάλῃ ἐς τὸ γάλα, ψῦξις γινομένη ἐπ' αὐτῷ τῷ γάλακτι, συνεπάχυνε τὸ γάλα καὶ ὁμοῦ ἐποίησε, περὶ δὲ τὸ παχυνθὲν ὁ ὀῤῥός ἐστιν· οὕτω δὴ καὶ ἐπὶ τῷ ἀνθρώπῳ τὸ ὑγρὸν, τῆς ἐπὶ νούσου ψύξιος γενομένης, ξυνεστράφη καὶ ξυνεπαχύνθη. [106] περὶ δὲ αὐτὸν τὸν ὑδρωπά ἐστι καὶ τὸ ἄλλο ὑγρόν· ὁκόσῳ δὲ πλεῖον ἐὴ ἐν τῷ ἄλλῳ σώματι, ξυμμέμικται. ἀλλ' ἢν μὲν εἰς τὴν κοιλίην ἔλθῃ, διετάραξε τὴν κόπρον, καὶ στρόφον ἐν τῇ κοιλίῃ ἐποίησε, καὶ διεξῆλθεν ἔξω, οὐδὲν μέγα σίνος παραλαβών. ἢν δὲ μὴ ἐς τὴν κοιλίην ἔλθῃ, στηρίζει τοῦ σώματός πῃ, ἵνα οἱ εὐρυχωρίη πλείστη. εἱλέεται οὖν ἐξ ὑγροῦ ἑαυτῷ εὐρυχωρίην· καὶ τοῦ μὲν ὕδρωπος τὸ ἀποκριθὲν ἀπὸ τῆς συστροφῆς ἔρχεται, ἅτε ψυχρότατον καὶ βαρύτατον ἐὸν ἐν τῷ σώματι, ἐς τὸ κάτω, καὶ περὶ τὰ ὀστέα, καὶ περὶ τὰ νεῦρα [107] εἱλούμενα, ἔτι μᾶλλον τὸ σῶμα ἐς φλεγμονὴν ἄγει. [108] καὶ δηλονότι περὶ τὰ νεῦρα καὶ μάλιστα περὶ τὰ ὀστέα ὁ ὕδρωψ ὁ τὸν χυμὸν ποιέων ἐστί. τὰ γὰρ ὀστώδεα τοῦ σώματος, μάλιστα ῥιγᾷ ὁ ἄνθρωπος· καὶ αἱ τρίχες ὀρθαὶ ἵστανται, ξυστραφείσης τῆς ἐπιδερμίδος, καὶ ξηροτέρης γινομένης, ἢ ἐν τῷ πρὶν χρόνῳ, ἅτε τοῦ ὕδρωπος ἐκλείποντος αὐτόθεν, καὶ περὶ τὰ ὀστέα εἱληθέντος. ἐντεῦθεν δὴ μοῦνον τὸ χωρίον, ὅκου ἐστὶ τὸν πρῶτον χρόνον, οὐ δύναται χυμὸν ποιέειν, ὅθεν καὶ τὸ ῥῖγος γίνεται. Τὸ δὲ ἄλλο ὑγρὸν τὸ ἰσώτατον παχυνθὲν, τὸ ἐν τῷ σώματι παντί ἐστι· τὸ δὲ ὅσῳ πλέον, [109] ἢν μὲν δὴ τύχῃ ἡ κοιλίη πλέη ἐοῦσα καὶ ὀλίγον ᾖ τὸ λυπέον, ἔρχεται ἔστιν ὅτε ἐς τὴν κοιλίην, καὶ σίνος οὐδὲν μέγα ἐποίησε· καὶ ποτὲ μὲν πῦρ οὐκ ἐπήγαγε, ποτὲ δὲ βληχρὸν καὶ [110] ἀσινὲς, καὶ ἐξῆλθε τὸ πονέον ξὺν τῇ κόπρῳ. ἢν δὲ ἡ κοιλίη πλήρης ἐοῦσα, πλεῖον ἔχῃ τὸ λυπέον, κίνδυνός ἐστιν ἐξ αὐτέου νοῦσόν τινα γενέσθαι, ἢν πῃ στηρίξῃ τὸ σινεόμενον, ἢ πρὸς πλευρὸν, ἢ πρὸς σπλάγχνον, ἢ πῃ ἄλλῃ ξυνθερμαίνῃ, ἵνα ξυνταράξῃ πρῶτον ἐκεῖνο. [111] ὁκόσοισι δὲ οὐχὶ κάρτα πρὸς τῆς θέρμης ὑπὸ τοῦ ὕδρωπος νενικημένον, ἅτε περὶ τοῖσιν ὀστέοισιν ἐόντος, καὶ πλησίον τοῦ μυελοῦ· χρόνῳ δὲ μᾶλλον ὅσα εἴη, πρῶτον μὲν αὐτὸ τὸ χωρίον, ἔπειτα τὸ πλησίον αὐτοῦ· καὶ δὴ νέμεται ἐς τὸ προσωτέρω, καὶ ἡ κοιλίη οἱ προσλαμβάνει, θερμὴ ἐοῦσα, ἔπειτα ἐπὶ μᾶλλον θερμαίνει ἥ τε κοιλίη καὶ τὸ σινόμενον. τὸ δὲ ὑγρὸν παχὺ θερμαινόμενον, διαχέεται πρῶτον τὸ πλησίον τοῦ πονέοντος ἐόν· διαχεόμενον δὲ, μίσγεται τῷ πονέοντι ὕδρωπι, εἶτα κενεώτερον ἐγένετο τοῦ σώματος ἐν τῇ ξυστροφῇ, καὶ μέχρι τούτου ῥῖγος ἔχει, μέχρις οὗ ὁ ὕδρωψ τῷ ἄλλῳ ὑγρῷ. καὶ τὸ πῦρ ὧδε γινηθὲν γίνεται· τὰ γὰρ πονέοντα πρὸς τὸ χωρίον στηρίξαντα, θερμαινόμενον τὸ σῶμα, ἀναγκάζει ἐς ἑωυτὸ πῦρ γίνεσθαι· καὶ [112] ὑπὸ τοῦ σινεομένου καὶ ὑπὸ τῆς κοιλίης θερμανθὲν, ἐπικρατέει τοῦ ἄλλου ὕδρωπος. καὶ οὕτω τὸ μὲν πῦρ μετὰ τὸ κρυμὸν, ἢν πῃ τοῦ σώματος [113] στηρίξῃ τὸ ὑγρὸν τὸ πλεῖον· ἢν δὲ εἱλέηται, τρόπῳ τοιῷδε γίνεται.

A *quum liquatus fuerit, concrescere & incrassari, donec morbum pariat; partem verò dilatari & discerni. Hæcque affectio lacti similis est. Quum quis coagulum in lac iniecerit, frigiditas in eo lacte oborta lac incrassat simulque cogit, & quod incrassatum ambit, serum est. Sic sanè & in homine humor, refrigeratione in morbo subortâ, concreuit & incrassatus est. At circum ipsum humorem alius etiam humor* aquosus *est, qui quò copiosior in reliquo corpore fuerit, eò magis commiscetur.* B *Verùm si quidem ad aluum deuenerit, stercus commouet, & in aluo tormina excitat, forásque exit nullâ magnâ illatâ noxiâ. At si ad aluum non deuenerit, ad eam corporis partem adhærescit, in qua plurimam capacitatem adeptus fuerit. Locum igitur amplam sibi nactus, in eo volutatur: & quod quidem aquosi humoris ex concretione secernitur, quum nimirùm in corpore frigidissimum & grauissimum existat, ad inferiora descendit, & circum ossa, & neruos volutatum, adhuc magis corpus ad inflammationem perducit: & circa neruos videlicet,* C *præsertimque circa ossa, aquosus humor humorem faciens existit. Nam circa osseas corporis partes homo maximè riget, capillique eriguntur, cuticulâ contractâ ac sicciore euadente, quàm priori tempore, deficiente nimirùm isthic aquoso humore, & circum ossa obuoluto. Hinc sanè solus locus, ubi primo tempore erat, humorem facere non potest, unde etiam rigor oritur. Reliquus verò humor æquabiliter condensatus, partim in toto corpore est, partim verò quò copiosior fuerit, si* D *quidem contigerit ut aluus plena existat, & quod molestum est paucum sit, interdùm ad aluum defertur, neque magnam noxiam inducit. Et interdùm quidem febrem non infert, interdùm verò debilem & innoxiam, quodque dolorem facit, unà cum stercore foras prodit. Quòd si aluus plena copiosum habeat, quod lædat, periculum est ex eo morbum aliquem oboriri, si quod noxium est, aliquam in partem decumbat, vel ad latus, vel ad viscus, aut aliam quampiam partem simul calefaciat, uti primum illum* humorem *conturbet. Quibus verò non multum à calore ex aquoso humore* E *superatum est, cum nimirùm circa ossa & prope medullam consistat; his procedente tempore, magis affi*ciuntur *quæ* propè *sunt, ac primùm quidem locus ipse, deinde quod ipsi vicinum est; & sanè ulteriùs depascitur, & aluus quum calida existat, eum suscipit, deinde tum aluus, tum lædens humor hunc magis calefacit. Crassus autem humor incalescens primùm is diffunditur qui affligenti vicinus est; diffusus verò lædenti aquoso humori commiscetur, deinde in corporis concus-* F *sione magis vacuatur; & quandiu aquosus humor reliquo humori* permiscetur, *tandiu rigor detinet. Quinetiam febris hoc modo generata fit. Quæ enim molesta sunt, ad locum inhærentia, corpus incalescens in se febrẽ contrahere cogunt; & à lædente, & ab aluo calefactum, reliquũ aquosum humorẽ superat. Atq; ita quidẽ febris post frigus fit, si copiosior humor in aliquã corporis partẽ decubuerit. Quòd si conuoluatur, hoc modo oritur.*

Post

Post frigus febris concitatur, quæ circa aluum tum superiore, tum inferiorem maximè laboribus afficit. Ibi enim amplissima est loci capacitas. Quũ autẽ ea voluitur, primùm incalescunt propinqua, tum viscera, tum quæ in ventre calida sunt; posteà etiam alius humor diffusus calorem excipit, & aquoso humori admiscetur, febrisque post rigorem hîc oritur, quum quod molestum est, minimè conuoluitur, sed ad aliquam corporis partem adhæserit. Atque ista à me dicta sunt, quomodò & quando morbosus rigor fiat; & quomodò, & ex quali necessitate febris post ipsum incidat; & quænam sint morborum principia, quemque morbum eorum vnumquodque corpori inducat, quâque ratione, & cur morbi diebus imparibus iudicentur, & vnde homines sani sint; & vnde ægrotent; tum etiam bilis, tum pituita copiosior & paucior fiat. Multa quoque alia quæ in ipso & naturâ humanâ insunt, quæque hæc exigebat oratio, demonstraui. Et hæc quidem ita commemorata finem habent.

A μετὰ τὸν κρυμὸν τὸ πῦρ εἰλέεται, μάλιστα πονεόμενον περὶ τὴν κοιλίην καὶ τὴν ἄνω καὶ τὴν κάτω· ἔνθεν γὰρ ἡ εὐρυχωρίη πλείστη ἐστίν. εἰλεομένου δὲ αὐτοῦ, πρῶτον τὰ πλησίον θερμαίνεται, τά τε σπλάγχνα, καὶ τὰ ἐν τῇ κοιλίῃ ἐς τὴν θέρμην· ἔπειτα ἐπαυρίσκεται τῆς θέρμης καὶ τὸ ἄλλο ὑγρὸν διακεχυμένον, μίσγεται τῷ ὑδρωπι, καὶ τὸ πῦρ μετὰ τὸ ῥῖγος ἐνθάδε γίνεται, ἐπὴν [114] μὴ εἰλέηται τὸ πονέον, ἀλλὰ στηρίξῃ πρός τι τοῦ σώματος. Ταῦτα δέ μοι εἴρηται, ὅκως τε τὸ ῥῖγος γίνεται τὸ νοσῶδες, καὶ ὁκότε, καὶ ὅκως καὶ ὁποίης ἐξ ἀνάγκης ὁ πυρετὸς μετὰ τοῦτο ἐπεισπίπτει, καὶ αἵτινες αἱ B ἀρχαὶ τῶν νούσων εἰσί, καὶ ὁκοίην ἑκάστη αὐτέων νοῦσον ἐν τῷ σώματι ἐμποιεῖ, καὶ ὅκως τε καὶ διότι ἐν τῇσι περισσῇσιν ἡμέρῃσιν αἱ νοῦσοι κρίνονται, καὶ ὁπόθεν ὑγιαίνουσιν οἱ ἄνθρωποι, καὶ ὑπόθεν νοσέουσι, καὶ ἥ τε χολὴ, καὶ τὸ φλέγμα πλέον καὶ ἔλασσον γίνεται· καὶ τἄλλα ἐν αὐτῷ φύσει ἐόντα ἐν τῇ ἀνθρωπίνῃ, ἀπέδειξα πολλὰ, ὁκόσα καὶ [115] ἀπεδέχετο μου ὁ λόγος· καὶ ταῦτα μὲν εἰρημένα οὕτως τέλος ἔχει.

C

CAPVT XV.

De lumbricis latis ac teretibus; lumbricos teretes parere, latos non parere, sed abrumpi; lumbricorum latorum ortus, species, & signa diagnostica & prognostica.

At nunc de lumbricis latis dicendum. Eos enim in puero, dum adhuc in vtero est, procreari assero. Non enim vbi semel vterum egressus est, tanto tempore stercus in aluo manet, vt ex eo putrefacto & diutiùs permanente, tantæ magnitudinis animal in ea concrescere possit. Homo nanque si sanus futurus sit, hesternum stercus semper cunctis diebus excernit. Tale autem animal, etiamsi per multos dies homo ventrem non exoneret, gigni non possit. Multa enim puero in vtero existenti, hoc modo gignuntur. Vbi ex lacte & sanguine computrescente ac redundante, quòd nimirùm dulce existat, pus æstuosum factum fuerit, illic animal generatur. Teretes verò lumbrici isthic eodem modo nascuntur. Eamque rem ita se habere hoc est indicium. Quum pueri in lucem sunt editi, ipsis mulieres hæc medicamenta cibando exhibent, quò stercus ex intestino exeat, neque aduratur, simulque intestinum dilatetur. Quum cibos in os inseruerunt, multi sanè pueri, tum rotundos, tum latos lumbricos, vnà cùm primo stercore per aluum excreuerunt. Quòd si non excreuerint, etiam in ventribus gignuntur. Et teretes quidem pariunt, lati verò non ampliùs, etsi eos parere dicunt. Quicunque enim homo latum lumbricum habet, quale cucumeris semen aliàs atque aliàs cum stercore deijcit, & sunt homines, qui hoc lumbrici partus esse affirmant. Mihi verò qui talia proferunt, haud rectè dicere videntur. Neque enim ab vno animali tot pulli nasci possunt; neque tanta est in intestino capacitas,

ΚΕΦΑΛΑΙΟΝ ΙΕ.

Περὶ ἑλμίνθων τῶν πλατειῶν τε καὶ στρογγύλων. τὰς στρογγύλας ἕλμινθας τίκτειν, τὰς πλατείας δὲ μὴ τίκτειν, ἀλλὰ ἀπορρήγνυσθαι. ἡ τῶν ἑλμίνθων πλατειῶν γένεσις, τὸ εἶδος, καὶ τὰ σημεῖα διαγνωστικά τε καὶ προγνωστικά.

Νῦν δὲ ἐρέω περὶ ἑλμίνθων τῶν πλατειῶν. γίνεσθαι γάρ φημι ἐν τῷ παιδίῳ, ἐν τῇσι D μήτρῃσιν ἐόντι· οὐ γάρ ἐστιν, ἐπὴν ἅπαξ ἐκ τῶν μητρέων ἐξέλθῃ, χρόνος τῇ κόπρῳ ἐν τῇ κοιλίῃ τοσοῦτος, ὥστε σαπείσης καὶ χρονισάσης, ζῶον παχῦναι ἐν αὐτῇ, ὅ, τι τοσοῦτον μέγεθος γίνεται. ἀποπατέει γὰρ αἰεὶ τὴν ἕωλον κόπρον διὰ πάσας ἡμέρας, ἢν μέλλῃ ὑγιαίνειν ὁ ἄνθρωπος· γίνοιτο δ' ἂν τοιοῦτο ζῶον, οὐδ' ἢν πολλῶν ἡμερέων μὴ [116] ἀποπατήσῃ ἄνθρωπος. πολλὰ γὰρ γίνεται, ἐν τῇσι μήτρῃσιν ἐόντι τῷ παιδίῳ, τρόπῳ τοιῷδε. ἐπὴν γένηται πύος καυσῶδες E ἀπὸ τοῦ γάλακτος καὶ τοῦ αἵματος συσσηπομένου καὶ πλεονάζοντος, ἅτε γλυκέος ἐόντος, ζῶον ἀπογεννᾶται αὐτόθι· γίνονται δὲ καὶ στρογγύλαι ἕλμινθες αὐτοῦ, τρόπῳ τῷ αὐτῷ· σημήϊον δὲ ὅτι τοῦτο οὕτως ἔχει. Ἐπὴν τὰ παιδία γένηται, ψωμίζουσιν αὐτὰ αἱ γυναῖκες τὰ αὐτὰ φάρμακα, ὥστε δὴ κόπρος ἐξέλθῃ ἐκ τοῦ ἐντέρου, καὶ μὴ ξυγκαυθῇ, καὶ ἅμα τὸ ἔντερον εὐρυνθῇ· ἐπὴν ψωμίσωσι, πολλὰ δὴ τῶν παιδίων, καὶ στρογγύλας καὶ πλατείας ἕλμινθας ἀπεπάτησαν ἅμα τῇ κόπρῳ τῇ πρώτῃ· ἢν δὲ μὴ ἀποπατήσῃ, γίνονται F καὶ ἐν τῇσι γαστράσι. καὶ αἱ μὲν στρογγύλαι τίκτουσιν, αἱ δὲ πλατεῖαι οὐκ ἔτι, καίτοι φασὶ τίκτειν αὐτάς· ἀποπατέει γὰρ ὁ ἄνθρωπος ἔχων τὴν ἕλμινθα τὴν πλατεῖαν, ὁκοῖον σικύου σπέρμα, ἄλλοτε καὶ ἄλλοτε σὺν τῇ κόπρῳ, καὶ τοῦτόν εἰσιν οἱ φήσαντες τῶν ἀνθρώπων, τῆς ἕλμινθος τέκνα εἶναι· ἐμοὶ δὲ δοκέουσι λέγειν οὐκ ὀρθῶς οἱ τὰ τοιαῦτα λέγοντες· οὔτε γὰρ ἀφ' ἑνὸς ζώου γένοιτ' ἂν τοσαῦτα νεόσσια, οὔτ' εὐρυχωρίη ἐστὶν ἐν τῷ ἐντέρῳ,

ὡς ἐκτρέφειν τέκνα. [117] τῷ δὲ παιδίῳ αὐξανομένῳ, αὔξεται ἐν τῷ ἐντέρῳ καὶ ἡ ἕλμινς ἀπὸ τῶν ἐς τὴν κοιλίην ἐσιόντων, καὶ γίνεται ἴση τῷ ἐντέρῳ, τοῖσι μὲν ἅμα τῇ ἥβῃ, τοῖσι δὲ ὕστερον, τοῖσι δὲ πρόσθεν ὀλίγῳ. καὶ ἐπὴν ἰσωθῇ τῷ ἐντέρῳ, ὁμοίως ἐπαύξεται, καὶ ὁκόσα ἂν μείζω γένηται, ἀποκρίνεται ἀπὸ τοῦ ἀρχοῦ σὺν τῷ ἀποπάτῳ, καὶ ἐκπίπτει οἷον σικύου σπέρμα, πολλάκις δὲ καὶ μέζω. ἔστι δὲ οἷσιν ὁδοιπορέουσιν, ἢ ταλαιπωρέουσι, καὶ τῆς κοιλίης θερμαινομένης, [118] ἔρχεται ἐς τὸ κάτω καὶ ἐξίσχει ἐκ τοῦ ἀρχοῦ αὐτοῖσιν τὸ πεφυσηκὸς, τοῦτό τε ποιέει, καὶ [119] ἀποπρίεται ἀπὸ τοῦ ἀρχοῦ, ἢ ὀπίσω ἔρχεται. Σημήϊα δέ ἐστιν, ὅτι οὐ τίκτει, ἀλλ' οὕτως ἔχει ὡς ἐγὼ λέγω· ἐπήν τις ἰῆται τὸν ἄνθρωπον τὴν ἕλμινθα, καὶ φάρμακον διδοῖ ἢ ποτὸν, ἢν μὲν τύχῃ ὁ ἄνθρωπος καλῶς παρεσκευασμένος, ἐξέρχεται ὅλη στρογγύλη γενομένη ὥσπερ σφαῖρα, καὶ ὑγιὴς γίνεται ὁ ἄνθρωπος· ἢν δὲ ἐς τὴν φαρμακείην [120] ἔρχηται, καὶ εὐθεῖα ἀπορρήγνυται ἀπὸ τῆς ἕλμινθος, ὁκόσον δύο ἢ τρεῖς πήχεας, ἢ καὶ πλεῖον πολλῷ· καὶ ἐπὴν ἀπορραγῇ, χρόνῳ πολλῷ οὐ γίνεται σὺν τῷ ἀποπάτῳ τὰ σημήϊα, ὕστερον δὲ αὔξεται. Ταῦτα δὲ ἱστόρια ἐστὶν, ὅτι οὐ τίκτει ἡ ἕλμινς, ἀλλὰ περιρρήγνυται. ἔστι δὲ τὸ εἶδος αὐτῆς, ὁκοῖον περ ἐντέρου ξύσμα λευκόν· σημήϊα δὲ ἴσχει· ἀποπατέει τε ἄλλοτε καὶ ἄλλοτε, οἷον σικύου σπέρμα, καὶ ἐπὴν νῆστις ὁ ἄνθρωπος ᾖ, ἀΐσσει πρὸς τὸ ἧπαρ ἄλλοτε καὶ ἄλλοτε, καὶ πόνον παρέχει· καὶ ἔστι μὲν ὅτε πτύαλα ἐπιρρέει τῷ στόματι, ἐπὴν ἀΐξῃ πρὸς τὸ ἧπαρ, ὁτὲ δὲ οὐχί. ἔστι δὲ καὶ οἷσιν ἀναυδίην ἐμβάλλει, ἐπὴν ἰσχυρῶς προσπέσῃ πρὸς τὸ ἧπαρ, καὶ πτύαλά τε πολλὰ ῥέει ἐκ τοῦ στόματος κάρτα, ὀλίγῳ δὲ ὕστερον [121] ἀνίσταται, καὶ στρόφος ἐγγίνεται πολλὸς ἐν τῇ κοιλίῃ ἄλλοτε καὶ ἄλλοτε· ἔστι δ' ὅτε καὶ ἐς τὸ μετάφρενον ὀδύνη ἐμπίπτει, στηρίζει γὰρ καὶ ἐνθάδε· ἔστι δ' ὅτε ταῦτα σημήϊα ἐστὶν ἕλμινθος πλατείης. γίνεται δὲ καὶ τόδε. ὃς ἔχει τοῦτο τὸ θηρίον, ἐν μὲν τῷ ξύμπαντι χρόνῳ [122] δεινόν τι κάρτα οὐκ ἂν γένοιτο, ἐπειδὰν δὲ ἀσθενήσῃ, μόλις ἀναφέρεται· καὶ γὰρ ἡ ἕλμινς μετέχει τι μόριον τῶν εἰσιόντων ἐς τὴν κοιλίην. ἢν μὲν οὖν [123] μελανθῇ κατὰ τρόπον, ὑγιαίνεται· ἢν δὲ μὴ μελανθῇ, αὐτομάτη οὐκ ἐξέρχεται, θάνατον μέντοι οὐκ ἐπάγει, ἀλλὰ ξυγκαταγηράσκει. Ταῦτα δέ μοι εἴρηται περὶ ἕλμινθος πλατείης, ὅθεν γίνεται, καὶ τὰ σημήϊα τοῦ νοσεύματος αὐτῆς.

ut partus educare queat. Increscente autem puero, lumbricus etiam ex his quæ in ventriculum ingesta sunt, in intestino increscit; & his quidem cum pubertate, quibusdam etiam posterius, alijs verò paulò antè, intestino æqualis euadit. Et ubi intestino adæquatus fuerit, similiter increscit, & quò maior euaserit, per rectum intestinum cum stercore excernitur, & velut cucumeris semen excidit, plerúnque etiam maior. Nonnullis verò iter facientibus, aut vehementer laborantibus, & ventre incalescente, deorsùm prodit, ipsisque ex recto intestino inflatus prominet, idque facit, & ex ano resecatur, aut retrocedit. Quòd verò non pariat, sed velut ego dico, se res habeat, hæc signa sunt. Quòd si quis hominem lumbrico laborantem curet, & medicamentum aut potionem dederit, siquidem homo probè præparatus fuerit, totus rotundus ut globus prodit, & homo sanus euadit. Si verò ad medicamentum prodeat, rectus lumbricus duorum aut trium cubitorum longitudine abrumpitur, aut etiam longè maior. Quúmque abruptus fuerit, multo tempore cum stercore signa nulla se produnt, posteà verò increscunt. Atq; hæc argumenta sunt, lumbricum non parere, sed circumcircà abrumpi. Est autem eius species, velut album intestini ramentum. Hæc verò habet signa. Aliàs atque aliàs velut cucumeris semen deijcit; & ubi homo ieiunus fuerit, aliàs atque aliàs ad hepar impetu fertur, & dolorem excitat. Interdùm autem, ubi ad hepar irrumpit, sputa ad os affluunt, interdùm verò minimè. Nonnullis quoque, ubi ad hepar vehementer proruperit, vocis defectionem inducit, & ex ore sputa admodum multa fluunt, quæ paulò post sistuntur, subindéque tormina multa in ventre excitantur. Quandoque etiam ad dorsum dolor incidit; illuc enim etiam incumbit. Interdùm verò ista lumbrici lati signa sunt. Hoc verò etiam contingit. Ei qui hoc animalculum habet, toto quidem tempore nihil valdè metuendum accidit; quum verò debilis extiterit, ægrè reficitur. Lumbricus enim eorum, quæ in ventriculum ingeruntur, partem aliquam assumit. Si igitur ut conuenit curatus fuerit, conualescit; si verò non curetur, suâ sponte foras non prodit; mortem tamen non infert, sed unà consenescit. Atque hæc quidem à me de lumbrico lato dicta sunt, unde ortum ducat, quæque morbi ipsius signa sint.

ΚΕΦΑΛΑΙΟΝ ΙϚʹ.

Περὶ τῆς τοῦ λίθου ἀπὸ τοῦ γάλακτος γενέσεως, καὶ τῶν αὐτοῦ αἰτίων, καὶ σημείων πέντε, καὶ συμπτωμάτων, καὶ τῶν τῆς αὐτοῦ γενέσεως τόπων καὶ τρόπων.

Περὶ δὲ λιθιάδος· ἀρχὴ μὲν ἐγγίνεται ὑπὸ τοῦ γάλακτος τῇ νούσῳ, ἐπὴν τὸ παιδίον θηλάζῃ γάλα μὴ καθαρόν· τὸ δὲ γάλα γίνεται [124] ἐν τῇ τροφῷ οὐ καθαρὸν, ἐπὴν φλεγματώδεσι τροφῇσι, καὶ σιτίοισι, καὶ ποτοῖσι χρῆται μὴ καθαροῖσιν ἡ τροφός. ξυμβάλλεται γὰρ πάντα ἐς τὴν κοιλίην πίπτοντα, [125] ἐπ' αὐτῇ ἐς τὸ γάλα. ἔχει δὲ καὶ τόδε οὕτως. ἢν ἡ τροφὸς μὴ ὑγιηρὴ ἔῃ,

CAPUT XVI.

De calculi ortu ex lacte, causis, signis quinque, symptomatis, & generationis eius locis & modis.

At de calculo iam dicam, cui morbo principium ex lacte oboritur, ubi puer lac impurum ex mamma sugit. Lac autem nutricis impurum redditur, quum pituitosis alimentis, tum cibis, tum potibus impuris ea usa fuerit. Quæ enim in ventriculum incidunt omnia, in eâ lacti conferunt. Sic autem etiam se res habet. Si nutrix minimè sana fuerit,

sed biliosa, aut aquosa, aut sanguinea, aut pituitosa, lac quoque puero prauum generatur. Conferunt enim corpus & ventriculus; plurimùm verò ei ad lac confert, quod ipsa plurimum in se habuerit. Ac puer si de nutrice lac sugat minimè purum, sed (velut dixi) biliosũ, morbosus & debilis euadit; & quandiu lac prauũ & morbosum sugit, in præsentia maximè afficitur. Atque vbi lac minimè purum, sed terreum ac pituitosum suxerit, venásque à ventriculo ad vesicam tendentes amplas & attrahentes puer habuerit; potus autem & lac ex nutrice in pueri ventriculum concedit, quale à ventriculo de lacte trahit, in totum ei simile, quod venæ in ventriculum detrudere potuerint. Et siquid in lacte non purum fuerit, id quo fruitur in vesica lapis fit eo modo, quô in aqua minime purâ, in calice vel vase æneo turbatâ & depositâ, confertim in medio sedimentum consistit. Sic & in vesica contingit, quum vrina impura existit, neque emittitur, nimirùm quum in cauo sit, & maximè coaceruata, præ dolore per mictionem non traijcitur, & à pituitâ crudâ concrescit. Pituita enim sedimento permixta glutinum euadit. Ac primùm parua lanugo accrescit, deinde quod accedit arenosum adiungitur, quum pituita quæ de lacte in vesicâ remanet, pro glutine fit, & increscit; & quicquid humoris quidem in conglutinatione accesserit, per vrinam redditur. Rursus autem sedimentum solidum aut lapidosum efficitur, quemadmodum ferrum ex lapidibus & terrâ, dum simul aduruntur, fit. Ac primâ quidem in ignem iniectione, ad ferri recrementum lapides & terra inter se agglutinantur. Sed vbi secundo ac tertio in ignem coniecta fuerint, recrementum quidem liquescens ex ferro foras prodit, idque fieri oculis cernitur: ferrũ autem in igne relinquitur, & cedente recremento, subsidet, solidumque ac densum redditur. Sic etiam sanè se habet sedimentum in vesica; dum pituita glutinum fit, quod ab vrina liquescit, cũ ea excernitur. Ipsum verò sedimentum subsidet, densatur, ac solidescit velut ferrum. Vbi autem subsederit ac solidatum fuerit, sursùm ac deorsùm in vesica agitatur, vesicamque feriens dolorem exhibet, quumque vehementer feriat, ac vlceret, ab ea aliquid aufert. Quòd verò adijcitur, adhuc magis ei quod decessit arenosam concretionem efficit; & ad hunc modum calculus in vesica ex lacte gignitur. Interdùm verò oritur, si cum adhuc puer existit, ex eo anxietas quædam contingat. Subinde enim vbi vrinam reddiderit, celeriter vrethræ manus inijcit. Quòd si iã adulto puero, calculus gignatur ex terræ esu, non antè ei dolor adest, quã ipse sibi cibum deligat. Et hæc quidem à me de hoc dicta sũt. Hic autẽ morbus quinq; habet signa. Quũ vrinã reddere vult, dolore afficitur; & vrina paulatim, velut vrinæ stillicidio laborãtibus, effluit; interdúmq; subcruenta est, nimirũ vesicâ à calculo exulceratâ; & vesica inflãmatur. Verũ hoc signũ abditũ est, indicio tamẽ est sũma præputij pars. Interdum arenosa per vrinam reddit, verùm ab his quæ ego dicam; interdùm verò duos aut plures calculos per vrinas excernit,

A ἀλλὰ χολώδης, ἢ ὑδρωποειδής, ἢ αἱματώδης, ἢ φλεγματώδης, καὶ γάλα γίνεται πονηρὸν τῷ παιδίῳ· συμβάλλεται γὰρ τὸ σῶμα καὶ ἡ κοιλίη, πλεῖστον δὲ ἀγγεῖα αὐτῇ ἐς τὸ γάλα, ὅ,τι ἂν αὐτὴ πλεῖστον ἔχῃ ἐν ἑωυτῇ. καὶ τὸ παιδίον ἢν θηλάζῃ ἀπὸ τῆς τροφοῦ γάλα μὴ καθαρὸν, ἀλλὰ χολῶδες, ὡς ἔλεξα, ἐπίνοσον γίνεται καὶ ἀσθενὲς, καὶ τὸ παρεὸν μάλιστα λυπέει, μέχρις ἂν θηλάζῃ γάλα πονηρὸν καὶ ἐπίνοσον. καὶ ἐπὴν θηλάζῃ γάλα μὴ καθαρὸν, ἀλλὰ γεῶδες καὶ φλεγματῶδες, καὶ ἔχῃ τὸ παιδίον τὰς φλέβας τὰς ἀπὸ τῆς κοιλίης ἐς τὴν κύστιν τεινούσας, εὐρείας καὶ

B ὁλκούς· χωρέεται δὲ καὶ τὸ ποτὸν καὶ τὸ γάλα ὑπὸ τῆς τροφοῦ ἐς τὴν κοιλίην τοῦ παιδίου,[127] ὁκοῖον ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ γάλακτος, τὸ πᾶν ὁμοίως, ὅ,τι ἂν αἱ φλέβες διωθέειν δυνέωνται ἐς τὴν κοιλίην. καὶ ἤν τι ἐπὶ τῷ γάλακτι μὴ καθαρὸν ᾖ, τὸ ἐπαυρισκόμενον ἐν τῇ κύστει γίνεται λίθος τρόπῳ τοιῷδε, ὥσπερ ἐφ' ὕδατι μὴ καθαρῷ ταραχθέντι ἐν κύλικι, ἢ ἐν χαλκῷ, καὶ καταστάντι, ὑπόσταθμη ἅλις γίνεται ἐν τῷ μέσῳ.[128] οὕτω καὶ ἐν τῇ κύστει ἀπὸ τοῦ οὔρου μὴ καθαροῦ ἐόντος, καὶ οὐκ ἐξουρέεται, ἅτε ἐν τῷ

C κοίλῳ ἐοῦσα, καὶ μάλιστα ἅλις γινομένη, ὑπὸ ὀδύνης οὐ διέρχεται διὰ τῆς οὐρήσιος, πήγνυται τε ὑπὸ τοῦ φλέγματος ὠμοῦ ἐόντος· κόλλα γὰρ γίνεται τῇ ὑποστάθμῃ τὸ φλέγμα μεμιγμένον. καὶ τὸ πρῶτον μικρὴ ἄχνη ἐπιγίνεται, ἔπειτα τὸ ἐπιὸν ψαμμῶδες προσγίνεται, κόλλης γινομένης τοῦ φλέγματος τοῦ ἐν τῇ κύστει ἐνεόντος ἀπὸ τοῦ γάλακτος, καὶ αὔξεται· καὶ ὅ,τι μὲν ἂν ὑγρὸν ἐν τῇ κολλήσει ἐπιγίνηται, ἐξουρέεται αὖθις. δὲ ἡ ὑποστάθμη στερεοῦται ἢ λι-

D θώδης γίνεται, ὥσπερ σίδηρος ἐκ τῶν λίθων καὶ τῆς γῆς συγκαιομένης γίνεται. καὶ ἐν μὲν τῇ πρώτῃ ἐς τὸ πῦρ ἐμβολῇ, κεκόλληνται τῇ σκωρίῃ οἱ λίθοι καὶ ἡ γῆ πρὸς ἄλληλα. καὶ ἐπὴν τὸ δεύτερον καὶ τὸ τρίτον ἐς τὸ πῦρ ἐμβληθῇ, ἡ μὲν σκωρίη ἔξω ἔρχεται τηκομένη[129] ἐκ τοῦ σιδήρου, καὶ ὄψει ὁρᾶται τὸ γινόμενον· ὁ δὲ σίδηρος λιμπάνεται ἐν τῷ πυρὶ καὶ συμπίπτει, προσδιδούσης τῆς σκωρίης, καὶ γίνεται στερεός τε καὶ πυκνός. οὕτω δὴ καὶ ἡ ὑποστάθμη ἐν τῇ κύστει κόλλης γινομένης τοῦ φλέγματος, ἐξουρέεται τηκόμενον[130] ὑπὸ τοῦ οὔρου· αὕτη δὲ συμπίπτει, καὶ πυκνὴ γίνεται, καὶ στερεοῦται ὥσπερ σίδηρος. ἐπὴν δὲ καὶ συμπέσῃ καὶ στερεωθῇ,

E κλονέεται ἐν τῇ κύστει ἄνω καὶ κάτω, καὶ πόνον παρέχει κόπτουσα τὴν κύστιν, καὶ ἀποφέρει τι ἀπ' αὐτῆς ἐπὴν ἰσχυρῶς κόπτῃ καὶ ἑλκῇ. τὸ δὲ ἐπιφερόμενον ἔτι μᾶλλον τῷ ἀπιόντι ψαμμῶδει[131] σύμπηξιν ἐργάζεται· καὶ ὁ λίθος γίνεται τρόπῳ τοιῷδε ἀπὸ τοῦ γάλακτος ἐς τὴν κύστιν. ἔστι δ' ὅτε γίνεται, κἢν τὸ παιδίον ἐόν γε,[132] ἡ ἄσῃ τις ἀπὸ τούτου γίνηται· ἄλλοτε γὰρ καὶ ἄλλοτε[133] ἐπὴν οὐρήσῃ, ταχέως ἐπιλαμβάνεται τῆς οὐρήθρης. ἢν δὲ τοῦ παιδίου ἤδη αὐξανομένου, λίθος γίνηται ἀπὸ[134] γεωφαγίης, ὁ πόνος οὐ πάρεστιν οἱ, πρὶν ἢ σῖτον αὐτὸς ἑωυτῷ αἱρῆται. καὶ

F ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. Σημεῖα δὲ ἡ νοῦσος ἔχει πέντε. ἐπήν τε οὐρῆσαι θέλῃ, πονέεται· καὶ τὸ οὖρον κατ' ὀλίγον ῥέει, ὥσπερ στραγγουριῶσι· καὶ ἔστιν ὕφαιμον, οἷα τῆς κύστιος ἡλκωμένης ὑπὸ τοῦ λίθου· καὶ ἡ κύστις φλεγμαίνει, ἀλλὰ τοῦτο μὲν ἀφανές, σημήϊον δὲ ἀκροποσθίη· ἔστιν ὅτε διουρέεται ψαμμώδεα, ὑπὸ τοιούτων δὲ, οἵων ἐγὼ ἐρέω· διουρέεται δ' ἔστιν ὅτε λίθους δύο ἢ καὶ πλείονας, ἕτεροι

δὲ σμικροὶ τρόπῳ τῷ αὐτῷ, ὥσπερ καὶ τὸν μίαν εἴρηκα. γίνεται δὲ καὶ ὑπὸ τοῦ τοιούτου. ἐπὴν ὁ λίθος συμπαγῇ, καὶ βάθος γένηται ἐς τὴν κύστιν, τῇ ψάμμῳ τῇ γινομένῃ χωρίς· ἐλθούσης δὲ τῆς ψάμμου, ὁ λίθος μὴ προσλάβῃ πρὸς ἑωυτῷ, ἀλλὰ βαρυτέρη καὶ πλείων γένηται, ὥστε μὴ πήγνυσθαι αὐτὴν πρὸς ἑωυτήν, καὶ οὕτως δύο λίθοι γίνονται· γίνονται δὲ καὶ πλείονες τρόπῳ τῷ αὐτῷ, καὶ ξυγκρουομένων πρὸς ἀλλήλους, τῇ κλονήσει περιθραύεται, καὶ διουρέεται τὸ ψαμμῶδες. ἔστι δ' ὅτε καὶ ἐπὴν κατέλθῃ ψάμμος πρὸς τὴν κύστιν, καὶ μὴ προσπαγῇ.

alij autem parui gignuntur eo quo de uno dixi modo. Fiunt etiam ad hunc modum. Quum concretus fuerit calculus, & altè in vesica subsederit, arenáque separata fuerit; & accedentem arenam calculus ad se non adiunxerit; sed grauior & copiosior sit reddita, ita vt ipsa in se non concrescat, etiam sic duo calculi gignuntur; fiunt verò eodem modo plures, quibus inter se collisis, in agitatione arenosum comminuitur, & per vrinam excernitur. Quòd interdum etiam contingit, vbi arena ad vesicam descenderit, neque coaluerit.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Τὸ πινόμενον ἐς τὸν πνεύμονα οὐκ ἔρχεσθαι, ἀλλὰ ἐς τὴν κοιλίαν, καὶ ἐκ ταύτης ἐς τὸ ἄλλο σῶμα πᾶν, ὀκτὼ ἱστορίοις δοκιμάζει.

CAPVT XVII.

Potum non in pulmonem, sed in ventriculum deferri, & ex hoc in vniuersum corpus, octo argumentis probat.

Λέγουσι δέ τινες, ὅτι τὸ πινόμενον ἐς τὸν πλεύμονα ἔρχεται, ἐκ δὲ τούτου ἐς τὸ ἄλλο σῶμα. οὗτοι δὲ οἱ ταῦτα λέγοντες, διαβάλλονται τούτῳ, ᾧ μέλλω ἐρέειν· ὅτι ὁ πλεύμων κοῖλός ἐστι, καὶ πρὸς αὐτῷ ἐστι σύριγξ. ὁ δὲ πλεύμων εἰ μὴ κοῖλος ἦν, καὶ οἱ σύριγξ προσείχετο, οὐκ ἂν ἐφώνεε τὰ ζῶα· [135] φθεγγόμεθα γὰρ ἀπὸ τοῦ πλεύμονος, ὅτι κοῖλός ἐστι, καὶ ἡ σύριγξ [135] πρόσεστι· διαρθροῖ δὲ τὸν φθόγγον, τὰ χείλεα καὶ ἡ γλῶσσα. κάλλιον δέ μοι περὶ τούτου δεδήλωται ἐν τῇ περιπλευμονίῃ. Τοῖσιν οὖν δοκέουσιν ἀνθρώποισιν τὸ ποτὸν ἐς τὸν πλεύμονα φέρεσθαι ἐναντιώσομαι. ἔχει δὲ οὕτως· [136] χωρέει τὸ ποτὸν ἐς τὴν κοιλίην, ἀπὸ δὲ τῆς κοιλίης ἐς τὸ ἄλλο σῶμα ἀπαυείσκεται. νοῆσαι δὲ χρή, ὁκόσα μέλλω ἐρέειν· λέγω δὲ ἱστόρια, ὅτι τὸ ποτὸν οὐ χωρέει ἐς τὸν πλεύμονα, ἀλλὰ ἐς τὴν κοιλίην, τάδε. εἰ γὰρ τὸ ποτὸν χωρέει ἐς τὸν πλεύμονα, ὁκόταν ὁ πλεύμων πληθῇ, οὐκ ἂν ῥηϊδίως τὸν ἄνθρωπον ἀναπνέειν, οὐδὲ φθέγγεσθαι δύνασθαι· οὐ γὰρ ἂν εἴη τὸ ἀντηχέον τῷ πλεύμονι πλήρεϊ ἐόντι. καὶ ἓν μὲν τοῦτο ἱστόριόν ἐστιν. Ἔπειτα εἰ ἐχώρεε τὸ ποτὸν ἐς τὸν πλεύμονα, τὰ σιτία ἂν ἡμῖν ξηρὰ ἐόντα, οὐκ ἂν ὁμοίως ἐπέσσετο. δύο δὲ ἱστόρια ταῦτά ἐστι. Καὶ τὰ φάρμακα δὲ τὰ ὑπήλατα ἐπὴν πίωμεν, χωρέει τῆς κοιλίης ἔξω. ἔχει δὲ καὶ τόδε οὕτως· ὁκόσα φάρμακα καθαρτικά ἐστιν ἢ ἄνω ἢ κάτω, ἢ καὶ ἀμφότερα ταῦτα ποιέει, πάντα καίει κάρτα· καὶ τὰ μὲν ἰσχυρὰ αὐτῶν ἢν τύχῃ ἅψασθαί τι τῶν ἁπαλῶν τοῦ σώματος, ἑλκοῖ· τὰ δὲ μαλακώτερα, ἄραδον ποιέει τοῦ χρωτός, [137] ὅ, τι ἂν ἀλειφθῇ. εἰ δὲ ἔλθοι τι τούτων τῶν φαρμάκων ἐς τὸν πλεύμονα, δοκέει ἄν μοι τι μέγα ποιῆσαι κακόν· τὸ γὰρ φλέγμα τὸ ἀπὸ τῆς κεφαλῆς, ἐν κάρτα ὀλίγῳ χρόνῳ ἑλκοῖ· ἁπαλὸν γὰρ καὶ ἀραιὸν χρῆμά ἐστιν ὁ πλεύμων, καὶ ἢν ἑλκωθῇ, οὐ καλῶς ἕξει κεῖνος ὁ ἄνθρωπος διά γε πουλλά. ἡ δὲ κοιλίη ὑπὸ τοῦ φαρμάκου οὐχ ἑλκοῦται, ὅτι χρῆμά ἐστιν ἰσχυρόν, ὥσπερ δηλαδὴ δέρμα· καὶ τῶν μὲν Λιβύων χρέονται οἱ πλεῖστοι, τῶν κτηνέων τοῖσι μὲν δέρμασιν ἀντὶ ἱματίων, τῇσι δὲ κοιλίῃσιν ἀντὶ θυλάκων, ἰσχυρὸν γὰρ χρῆμα ἡ κοιλίη ἐστίν. Ἔπειτα ἐπὴν ὑπὸ οἴνου μέλανος θωρηχθῶσιν οἱ ἄνθρωποι, ἀποπατέουσι μέλανα.

At quidam dicunt, quod bibitur, id in pulmonem deferri, ex eóque in reliquum corpus. Hi autem, qui hæc dicũt, ex eo quod dicturus sum, falluntur. Quòd pulmo cauus existat, eique insit fistula. Quòd si pulmo cauus non esset, neque ei adnasceretur fistula, animalia nullam vocem ederent. Vocem enim ex pulmone edimus, quòd cauus sit, prætereáque eius fistula. Vocem autem labra & lingua articulatam efficiunt. De hoc autem à me præclariùs dictum est in peripneumonia. His igitur hominibus, qui potum ad pulmonem ferri existimant, reluctabor. Sic autem se res habet. Potus in ventriculum concedit, à ventriculo verò in reliquum corpus exhauritur. Hæc verò argumenta animaduertere oportet, quæ dicturus sum. Sermonis autem argumenta, quod potus in ventriculum, non in pulmonem concedat, hæc sunt. Si enim potus ad pulmonem ferretur, vbi pulmo oppletus esset, homo non faciè respirare, neque loqui posset. Neque enim pulmone pleno, esset quod resonaret. Et hoc quidem vnum est argumentum. Deinde si potus ad pulmonem procederet, cibi in nobis sicci non similiter coquerentur. Hæcque duo sunt argumenta. Sed & medicamenta aluum subducentia vbi potauerimus, extra ventriculum feruntur. Sic autem se res habet. Quæ medicamenta sursùm aut deorsùm, aut vtroque modo purgant, omnia valdè vrunt; & ex his quidem vehementia, si fortè tenellam aliquam corporis partem contigerint, eam vlcerant. Blandiora verò turbationem corporis excitant, quodcunque exercuerint. Quòd si aliquod ex his medicamentis ad pulmonem veniat, magnum aliquod malum mihi excitaturum esse videtur. Pituita enim ex capite veniens, eum paruo admodum tempore exulcerat; tenera nanque & rara res est pulmo; & si exulceratus fuerit, is homo sanè multis de caúsis non bene habebit. Ventriculus autem à medicamento non exulceratur, quod res robusta sit, quemadmodum corium scilicet. Et Libycorum plerique pecorum pellibus pro vestibus, & ventriculis pro loculis vtuntur. Ventriculus enim robusta res est. Præterea vbi homines vino nigro inebriati fuerint, nigra deijciunt.

Hæc

Hæc autem omnia argumenta sunt. Ac vbi allia aut aliud grauis odoris edulium comederimus, vrinam edulium odorantem excernimus. Et hæc quidem argumenta, tum ea quæ dicturus sum, spectanda sunt. Siquis cyceonem biberit, aut farinam coctam, aut aliud quid huiusmodi sorbuerit, idque ad pulmonem perueniat, hunc ne minimùm quidem temporis victurum arbitramur. Vbi enim paucum quid pituitæ ad pulmonem aut eius fistulam venerit, multa & valida tussis conuulsioque oboritur. Si igitur vtique vixerit homo, qui cyceonem biberit, aut farinam coctam sorbuerit; vbi sanè concocta sorbitio fuerit, copiosum & vehementem calorem multúmq; dolorem corpori excitari censeo, ac si probè aluum purgaret, aut ad pulmonem veniret. Hæc autem septem argumenta sunt. Præterea quâ ratione lac pueros enutriret, si ad pulmonem descenderet; hoc autem aliud mihi argumentum. Atque in his ad orationem nullum eiusmodi argumentum adduxissem, nisi adeò multi homines potum ad pulmonem concedere existimarent. Ac necesse est eum qui velit auditorem à pristina sententia deducere, suisque verbis fidem facere, ad ea quæ firmiter in opinione inhærent, multa argumenta adferre. Atque ob id potus non ad pulmonem, sed ad ventriculum fertur, quòd ei annexa sit hominis gula, quæ semper hiat, & ad hanc tendit; simulque pulmonis fistulæ tanquam hederæ folium ita incumbit, vt si ad eum feratur, in deuorando minimè in se demittat. Atque de his hactenus à me dictum est.

Ταῦτα δὲ πολλὰ τὰ ἰσόρια ἐστι. καὶ ἐπὴν σκόροδα φαγώμεν, ἤ τι ἄλλο ὀδμαλέον βρῶμα, διουρέομεν ὀζόμενον τοῦ βρώματος. ταῦτα μὲν τὰ ἰσόρια ἔξεστι σκέψασθαι· δὲ καὶ τόδε ὅ, τι μέλλω ἐρέειν. Εἴ τις κυκεῶνα πινήσῃ, ἢ ἄλητον ἑφθὸν ῥοφοίη, ἤ τι ἄλλο τοιοῦτο, καὶ ἔλθοι ἐς τὸν πλεύμονα τοῦτο, δοκέομεν ἂν αὐτὸν οὐδὲ ζώειν οὐδὲ ὀλίγον χρόνον· ἐπὴν γάρ τι μικρὸν ἔλθῃ ἐς τὸν πλεύμονα φλέγμα, ἢ ἐς τὴν σύριγγα αὐτοῦ, πολλὴ βήξ τε καὶ ἰσχυρὴ γίνεται καὶ σπασμός. Εἰ δὴ οὕτω ἄρα καὶ ζώῃ ὁ ἄνθρωπος, πιὼν τὸν κυκεῶνα, ἢ τὸ ἄλητον ῥοφέων· πεσσουμένου[138] γὰρ τοῦ ῥοφήματος, θέρμην ἂν δοκέω πολλήν τε καὶ ἰσχυρὴν τῷ σώματι γίνεσθαι, καὶ πόνον πολλὸν,[139] ὥστε εἰ ἀποπατοίη κατὰ τρόπον ἢ ἐς τὸν πλεύμονα ἔλθοι. Ταῦτα δὲ ἰσόρια ἑπτά ἐστιν. Ἔπειτα τὸ γάλα πῶς ἂν ἔτρεφε τὰ παιδία, εἴ γε χωρέει πρὸς τὸν πλεύμονα; τοῦτο δὲ ἰσόριον ἄλλο μοι. καὶ ταῦτα, οὐδὲ ἂν ἐπηγαγόμην ἔγωγε τῷ λόγῳ τοιοῦτο ἰσόριον οὐδὲν, εἰ μὴ ὅτι πολλοὶ κάρτα τῶν ἀνθρώπων, τὸ ποτὸν δοκέουσιν ἐς τὸν πλεύμονα χωρέειν, καὶ ἀνάγκη ἐστὶ πρὸς τὰ ἰσχυρῶς δοκέοντα, τὰ πολλὰ ἰσόρια ἐπάγεσθαι, εἰ μέλλει τὸν ἀκούοντα ἐκ τῆς πρὶν γνώμης μεταστρέψαι, τοῖς ἑωυτοῦ τε λόγοισι πείθειν. καὶ διὰ τόδε οὐ χωρέει τὸ ποτὸν ἐς τὸν πλεύμονα, ἀλλ' ἐς τὴν κοιλίην, ὅτι προσαφὴς[140] αὐτῷ ἐστιν ὁ στόμαχος τοῦ ἀνθρώπου ἀεὶ χάσκων, καὶ χωρέει ἐς ἐκεῖνον· καὶ ἅμα ἐπίκειται τῇ σύριγγι τοῦ πλεύμονος, ὥσπερ κισσοῦ φύλλον, ὥστε οὐκ ἂν παραχωρέει ἐν τῇ καταπόσει, εἰ χωρέει ἐς ἑωυτόν. καὶ ταῦτα ἐς τοῦτό μοι εἴρηται.

CAPVT XVIII.

De tribus morborum speciebus ab hydrope seu aquâ factis, eorumque ortu, locis affectis, causis, signis, symptomatis ac prognosticis.

IN ventriculum autem etiam potus fertur, quo quum expletus fuerit, ab eo lien recipit, & ad venas & omentum distribuit, & ad decliue deorsùm, ad scrotum, ad crura, & ad pedes demittit. *Quumque morbus superuenerit multæ aquæ, hæc procedit; & ex ventriculo, vbi homo biberit, semper ad lienem fertur. In hoc autem morbo contingit, vt non aliâ de causâ in ventriculo febris excitetur, quàm quum homo sitierit, vesica verò & ventriculus non rectè transmittant, neque conueniente victûs ratione homo vtatur. Lien verò subægrotans, potum ex ventriculo trahit, morbus autem suboritur, & scrotum pellucidum euadit, & iugulum, ceruix, & pectus extenuantur; nam ab hoc morbo colliquantur, & humor in ventriculum defluit, & inferiora aquæ plena sunt; ventriculus cibum auersatur, ac interdum quidem valdè comprimit, interdùm verò defluit, neque vesica probè transmittit plerúnque; frequens horror corpus peruadit, interdúmque febris prehendit; & quibusdam facies intumescit, quibusdam minimè;*

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῶν τριῶν νοσημάτων ἰδεῶν, τῶν ἀπὸ τοῦ ὕδρωπος ἢ τοῦ ὕδατος γινομένων, καὶ περὶ τῆς αὐτῶν γενέσεως, καὶ τόπων πεπονθότων, καὶ αἰτιῶν, καὶ συμπτωμάτων, καὶ σημείων, καὶ προγνωστικῶν.

ΧΩρέει δὲ καὶ τὸ ποτὸν ἐς τὴν κοιλίην, καὶ ἐπὴν πλησθῇ, ὁ σπλὴν τε ἀπ' αὐτῆς δέχεται καὶ διδοῖ ἐς τὰς φλέβας, καὶ ἐς τὸ ἐπίπλοον, καὶ ἐς τὸ κάταντες, ἔς τε τὴν ὄσχην, καὶ ἐς τὰ σκέλεα, καὶ ἐς τοὺς πόδας· καὶ ἐπὴν νοῦσος ἐπιγένηται τῷ ὕδατι πολλῷ, χωρέει ἀπὸ τῆς κοιλίης, καὶ ἐς τὸν σπλῆνα ἔρχεται ἀεὶ ἀπὸ τοῦ ποτοῦ, ἐπὴν πίῃ ὁ ἄνθρωπος. γίνεται δὲ ἐπὶ τῆς νούσου ταύτης, ὥστε μὴ πυρεταίνειν[141] ἄλλην ἐν τῇ κοιλίῃ, ἢ ὁκόταν ὁ ἄνθρωπος διψῇ,[142] ἡ δὲ κύστις καὶ ἡ κοιλίη μὴ διηθέωσι κατὰ τρόπον, μηδὲ ἐπιτηδείῃ διαίτῃ ὁ ἄνθρωπος χρῆται. ὁ δὲ σπλὴν ὑπονοσέων ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ ποτοῦ· ἡ δὲ νοῦσος γίνεται, καὶ ἡ ὄσχη διαφανὴς γίνεται, καὶ αἱ κλεῖδες καὶ ὁ τράχηλος καὶ τὰ στήθεα καταλεπτύνεται· τήκεται[143] γὰρ ὑπὸ τῆς νούσου ταύτης, καὶ καταρρέει ἐς τὴν κοιλίην· τά τε κάτω, ὕδατος πλέα ἐστι, καὶ ἀσιτέει ἡ κοιλίη καὶ ὅτε μὲν κάρτα στέγει, ὅτε δὲ καταρρέει, ἥ τε κύστις[144] οὐ διηθέει κατὰ τρόπον ὡς ἐπὶ τὸ[145] πλῆθος, φρίκη τε διαΐσσει ἄλλοτε καὶ ἄλλοτε διὰ τοῦ σώματος, καὶ πῦρ ἐστιν ὅτε ἐπιλαμβάνει· καὶ τὸ πρόσωπον, τῶν μὲν οἰδαλέον γίνεται, τῶν δὲ οὔ· ἔστι δὴ οἷσι

καὶ καταῤῥήγνυνται αἱ κνῆμαι, ἐπὴν χρόνιον τὸ νούσημα γένηται, καὶ ῥεῖ[146] αὐτόθεν ὕδωρ· καὶ ἀγρυπνίη ἐπιπίπτει, καὶ ἀδυναμίη τοῦ σώματος, καὶ μάλιστα τῆς ὀσφύος· καὶ ἐπὴν τι φάγῃ, ἢ πίῃ, καὶ ὀλίγῳ πλέον πονέεται ὁ σπλὴν, καὶ τὸ πνεῦμα πυκνὸν αἰεὶ ἀφίει. Ταῦτα δὲ σημήϊα ὕδρωπός εἰσιν· ἔστι δὲ καὶ περὶ τὴν κοιλίην μούνην, ἢ καὶ πυρετὸς λαβόντος, ἢ καὶ οὐχὶ, καὶ ἡ γαστὴρ μεγάλη γίνεται· καὶ τὰ σκέλεα πίμπλαται ὕδατος, τὰ δὲ ἄνω τοῦ σώματος λεπτὰ γὰρ[147] οὕτω οἰηθεῖσι· τὰ δὲ σημήϊα ἅπαντα βληχρότερά ἐστι, καὶ ἅμα καὶ ἐν τοῖσι σκέλεσιν ὕδωρ οὐκ ἐπιγίνεται, καὶ ὁ πόνος τοσούτῳ ἐλάσσων. Περὶ δὲ τὴν κοιλίην μούνην διὰ τόδε ὕδρωψ γίνεται. ἐπὴν γὰρ ἁλὲς ἐπιγένηται, καὶ ὁδὸς ἐν ἀρχῇσι μὴ γίνηται ἐς τὸ κάτω, ἀλλ᾽[148] ἀποβληθῇ ἁλὲς ἐν τοῖσι φλεβίοισιν, ἅτε καὶ ἀναπνοὴν μὴ ἔχον, μήτε ἄνω, μήτε κάτω ἀπόστηριξιν ἔχει. ὥσπερ εἴ τις ἄγγος μέγα μικρόστομον[149] ἀπολαβὼν, καταστρέψειεν ἐν τάχει, εἶτα καθ᾽ ἡσυχίην ἀπὸ τοῦ στόματος ἀφέλοι τὸ ἐπικείμενον, καὶ ἢν τοῦτο ποιήσῃ,[150] τὸ ὕδωρ οὐκ ἂν ῥυείη ἔξω, οὐδὲ γὰρ ἔχει πνοὴν, ἀλλ᾽ ἀποκέκλεισται ἀπὸ τοῦ ἐντὸς πνεύματος· ἐνεὸν γὰρ τὸ πνεῦμα πληροῖ τὸ ἄγγος, καὶ ἀντιστηρίζει τῷ ἔξω πνεύματι, καὶ οὐκ ἔστι τῷ ὕδατι ἐκδρομὴ ὑπὸ τοῦ πνεύματος τοῦ πληρεῦντος τὸ ἄγγος, καὶ ἅμα ἐπικειμένου τοῦ ἠέρος· ἢν δέ τις κλίνειε καθ᾽ ἡσυχίην τὸ ἄγγος, ἢ κατὰ πυθμένα τρήσειεν, ἐξελεύσεται τὸ πνεῦμα ἐκ τοῦ ἄγγεος· ἐξιόντος δὲ τοῦ πνεύματος, χωρέει καὶ τὸ ὕδωρ ἔξω. οὕτω δὴ καὶ τῷ ὕδρωπι· ἢν μὲν διαπνοὴ ἄνω ἢ κάτω διὰ τῶν φλεβίων γένηται ἐν ἀρχῇ τῆς νούσου, ἔρχεται ἐς τὰ σκέλεα καὶ ἐς τοὺς πόδας ὁ ὕδρωψ· ἢν δὲ μὴ, αὐτοῦ μοῦνον εἱλέεται περὶ τὴν κοιλίην. καὶ οὕτω μέν μοι περὶ τούτων εἴρηται. Γίνεται δὲ καὶ τῇσι γυναιξὶν ὁ ὕδρωψ ἐν τῇσι μήτρῃσι, καὶ τὰ ἐν τῇσι κοιλίῃσι, καὶ τὰ ἐν τοῖσι σκέλεσι, καὶ τἄλλα σημήϊα[151] ταῦτα ἴσχει. ἀποπέφανται δέ μοι ἐν τοῖσι γυναικείοισι νουσήμασι περὶ αὐτοῦ. Αὗται αἱ τρεῖς ἰδέαι τῶν νουσημάτων, ἀπὸ τοῦ ὕδρωπος. γίνεται δὲ τὰ νουσήματα πάντα ταχέως χαλεπὰ, καὶ πάντα αὔξεται ταχέως· ἔτι δὲ χαλεπώτερα γίνεται, ἢν ἐξ ἑτέρης νούσου τὸ σῶμα τηχθὲν, ἐς τοῦτο περιέλθῃ. ἢν μὲν οὖν ἐν τάχει περικαταλάβηται τὸ νούσημα τὸν ἄνθρωπον, θνήσκει, ἅτε τῆς[152] νούσου χρονιωτάτης γινομένης· ἐπὴν δὲ καὶ ἡ κοιλίη ὑγρὸς γένηται, κάρτα θνήσκει τάχιστα, ἐπαΐων τε καὶ διαλεγόμενος. Ταῦτα δέ μοι εἴρηται περὶ ὕδρωπος, ὅθεν τε γίνεται, καὶ ὅτι τὰ σημήϊα αὐτοῦ τάδε.

nonnullis verò, vbi morbus diuturnus extiterit, tibiæ rumpuntur, indéque aqua effluit; incidunt & vigiliæ, corporisque imbecillitas, præcipuèque lumborum; & vbi quid comederit, aut biberit, etiam paulò plus lien laborat, crebrumque spiritum semper emittit. Atque ista hydropis signa sunt; sunt etiam circa ventriculum solum, siue febris detinuerit, siue non, & venter magnus euadit; cruráque aquâ implentur, superiores verò corporis partes extenuantur ijs, qui ita affecti existimantur; signa tamen omnia debiliora existunt, simúlque in cruribus aqua minimè suboritur; & tantò minor labor est. At uerò circa ventriculum solùm hydrops istam ob causam exoritur. Etenim vbi aceruatim aqua *accesserit, neque per exordia ad inferiores partes via pateat, sed coaceruata in venis resideat, nimirùm quæ respirationem non habeat, neque sursùm, neque deorsùm firmam sedem habet. Quemadmodum si quis magnum vas angusti oris occlusum subito conuertat, deinde sensim operculum ab ore detrahat; idque vbi fecerit, aqua foras non effluet; quum perspirationem non habeat, sed à spiritu, qui intus est, interclud atur. Spiritus enim internus vas opplet, & externo spiritui obluctatur, neque aquæ excursus datur, quum spiritus vas impleat, simulque aër superincumbat. At si quis vas sensim inclinarit, aut in fundo perforarit, spiritus è vase efferetur; egresso verò spiritu, aqua etiam foras concedit. Ita sanè in hydrope; si quidem sursùm aut deorsùm perspiratio per venas fiat per morbi initia, ad crura & pedes aqua fertur; sin minùs, isthic solùm circa ventriculum volutatur. Ac de his quidem sic à me dictum est. Quinetiam in utero mulieribus hydrops contingit, & in ventre, & in cruribus, reliquaque signa eadem habet. At eâ de re inter morbos muliebres à me dictum est. Atque tres hæ sunt ab hydrope morborum species. Hi autem omnes morbi celeriter difficiles fiunt, celeriterque omnes increscunt. Longè verò grauiores fiunt, si corpus alio morbo tabefactum, ad hunc delapsum fuerit. Si igitur subitò hominem morbus corripuerit, moritur, quum nimirùm morbus* alter *admodum diuturnus extiterit. Quòd si etiam aluus fluida fuerit, admodum celerrimè, tum sentiens, tum loquens, moritur. Atque hæc mihi de hydrope, & eius ortu, & quod ipsius hæc signa sint, dicta sunt.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΠΑΘΩΝ, ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS DE AFFECTIONIBVS, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰ πλεῖστα τῶν μορίων νοσήματα, καὶ οἱ πυρετοὶ, καὶ τὰ ἕλκη, καὶ αἱ αὐτῶν αἰτίαι, καὶ τὰ σημεῖα, καὶ τὰ θεραπευτικὰ διδάσκονται· ἡ δίαιτα τοῖς νοσοῦσι καὶ τοῖς ὑγιάζουσιν ἐπιτήδειος διατάσσεται· αἱ σιτίων τινῶν δυνάμεις τε καὶ διαφοραὶ δηλοῦνται.

ARGVMENTVM LIBRI.

Plurimi partium morbi, febres, & vlcera, eorúmque causæ, signa, & curationes docentur; victus tum ægris, tum conualescentibus idoneus constituitur; alimentorum quorundam facultates & differentiæ explicantur.

A

CAPVT I.

Quæ virum consultum in morbis curandis nosse deceat. Omnium morborum principium ac ortum à bile & pituita esse, & quomodò.

Virum, quicunque mentis sit compos, perpendentem, quòd plurimi ab hominibus æstimanda sit sanitas, nosse oportet à sua ipsius intelligentia in morbis emolumentum consequi. Nosse autem decet tum quæ à Medicis dicuntur, tum quæ suo corpori admouentur, eaque dijudicare. Sed eorum nosse singula, prout priuato consentaneum est. Hæc igitur nouerit maximè, siquis ista percipiat, secteturque. Morbi omnes hominibus à bile & pituita oriuntur. Bilis autem & pituita morbos excitant, quum in corpore supra modum vel resiccantur vel humectantur, vel incalescunt vel refrigerantur. Hæc verò pituitæ & bili contingunt à cibis, à potibus, à laboribus, à vulneribus, odoratu, auditu, visu, rebus venereis, & à calore & à frigore. Eueniunt autem, quum ex his dictis quæque aut non opportuno tempore corpori admouentur, aut insueta, aut copiosiora & valentiora, aut pauciora & imbecilliora. Ab his quidem morbi omnes hominibus oriuntur. Ad hæc autem priuatum nosse oportet, quæ priuatum cognoscere consentaneum est. Quæ verò artifices nosse, adhibere, & pertractare decet, eorum etiam quæ dicuntur & fiunt, fieri potest vt priuatus ex intelligentiâ quâdam coniecturam faciat. Iam igitur, vnde horum quodque nosse oporteat, ego depromam.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τίνα τὸν συνετὸν ἄνδρα ἐπίστασθαι χρὴ ἐν τῷ τὰς νούσους θεραπεύειν. ἁπάντων τῶν νοσημάτων ἀπὸ χολῆς καὶ φλέγματος τὴν ἀρχὴν καὶ τὴν γένεσιν εἶναι, καὶ κατά τινα τρόπον.

ΑΝΔΡΑ χρὴ, ὅστις ἐστὶ συνετὸς, λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιόν ἐστιν ὑγιείη, ἐπίστασθαι ἀπὸ τῆς ἑωυτοῦ γνώμης ἐν τῇσι νούσοισιν ὠφελέεσθαι· ἐπίστασθαι δὲ τὰ ἀπὸ τῶν ἰητρῶν καὶ λεγόμενα καὶ προσφερόμενα πρὸς τὸ σῶμα τὸ ἑωυτοῦ, καὶ διαγινώσκειν· ἐπίστασθαι δὲ τούτων ἕκαστα, ὅσον εἰκὸς ἰδιώτην. ταῦτ' οὖν ἐπίσταιτο ἄν τις μάλιστα, εἰδὼς καὶ ἐπιτηδεύων τάδε. Νουσήματα τοῖσιν ἀνθρώποισι γίνεται ἅπαντα ὑπὸ χολῆς καὶ φλέγματος· ἡ δὲ χολὴ καὶ τὸ φλέγμα τὰς νούσους παρέχει, ὅταν ἐν τῷ σώματι ἢ ὑπερξηραίνηται, ἢ ὑπερυγραίνηται, ἢ ὑπερθερμαίνηται, ἢ ὑπερψύχηται. πάσχει δὲ ταῦτα τὸ φλέγμα καὶ ἡ χολὴ, καὶ ἀπὸ σιτίων, καὶ ἀπὸ ποτῶν, καὶ ἀπὸ πόνων, καὶ ἀπὸ τρωμάτων, καὶ ὀσμῆς, καὶ ἀκοῆς, καὶ ὄψιος, καὶ λαγνείης, καὶ ἀπὸ τοῦ θερμοῦ, καὶ ἀπὸ τοῦ ψυχροῦ· πάσχει δὲ ὅταν τούτων ἕκαστα τῶν εἰρημένων, ἢ μὴ ἐν τῷ δέοντι προσφέρηται τῷ σώματι, ἢ μὴ τὰ εἰωθότα, ἢ πλείω τε καὶ ἰσχυρότερα, ἢ ἐλάσσω τε καὶ ἀσθενέστερα. τὰ μὲν οὖν νουσήματα γίνεται τοῖσιν ἀνθρώποισιν ἅπαντα ἀπὸ τούτων· δεῖ δὲ πρὸς ταῦτα τὸν ἰδιώτην ἐπίστασθαι, ὁκόσα εἰκὸς γινώσκειν ἰδιώτην· ὅσα δὲ τοὺς χειροτέχνας εἰκὸς ἐπίστασθαι καὶ προσφέρειν καὶ διαχειρίζειν, περὶ δὲ τούτων τῶν λεγομένων καὶ τῶν ποιευμένων, οἷόν τε εἶναι τὸν ἰδιώτην γνώμῃ τινὶ ξυμβάλλεσθαι. ἤδη οὖν τούτων ὁπόθεν ἕκαστα δεῖ ἐπίστασθαι, ἐγὼ φράσω.

B

C

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν νοσημάτων τῶν ἀπὸ τῆς κεφαλῆς ἐκ τοῦ φλέγματος φυομένων, τῶν τῆς κεφαλῆς τε καὶ ὤτων ἀλγημάτων, καὶ τῆς φάρυγγος φλεγμονῆς, καὶ τῆς σταφυλῆς, καὶ τῆς ὀδονταλγίας, καὶ τοῦ πολύπου, καὶ τῆς αὐτῶν θεραπείας.

Ἢν ἐς τὴν κεφαλὴν ὀδύναι ἐμπέσωσι, τούτου τὴν κεφαλὴν ξυμφέρει διαθερμαίνειν λούοντα πολλῷ καὶ θερμῷ, καὶ πταρμὸν ποιέοντα, φλέγμα καὶ μύξας ὑπάγειν. καὶ ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκεῖ ταῦτα· ἢν δὲ μὴ ἀπαλλάσσηται, καθῆραι τὴν κεφαλὴν φλέγμα, διαιτᾶν δὲ ῥοφήματι καὶ ποτῷ ὕδατι. οἶνον δὲ μὴ προσφέρειν, ἔστ᾽ ἂν ἡ περιωδυνίη [2] παύσηται· τὸν γὰρ οἶνον ὅταν θερμὴ ἐοῦσα ἡ κεφαλὴ σπάσῃ, ἡ περιωδυνίη ἰσχυροτέρη γίνεται. τὰ δὲ ἀλγήματα ἐπιπίπτει ὑπὸ τοῦ φλέγματος, ὅταν ἐν τῇ κεφαλῇ κινηθὲν ἀθροισθῇ. ἢν δὲ ἄλλοτε καὶ ἄλλοτε ὀδύνη καὶ σκοτοδινίη ἐμπίπτει ἐς τὴν κεφαλὴν, ὠφελεῖ μὲν καὶ ταῦτα προσφερόμενα, ὠφελεῖ δὲ καὶ ἢν αἷμα ἀφαιρεθῇ ἀπὸ τῶν μυκτήρων, ἢ ἀπὸ τῆς φλεβὸς τῆς ἐν τῷ μετώπῳ. ἢν δὲ πουλυχρόνιον καὶ ἰσχυρὸν τὸ νόσημα ἐν τῇ κεφαλῇ γίνεται, καὶ μὴ ἀπαλλάσσηται καθαρθείσης τῆς κεφαλῆς, ἢ σχάσαι δεῖ τούτου τὴν κεφαλὴν, ἢ τὰς φλέβας κύκλῳ ἀποκαῦσαι. τῶν γὰρ λοιπῶν, ἀπὸ τούτων μούνων, ἐλπὶς ὑγιέα γενέσθαι. Τοὺς νοσέοντας χρὴ σκοπεῖν εὐθὺς ἀρχομένους ἐν τῇ καταστάσει τοῦ νοσήματος, ὅτου ἂν δέωνται, καὶ οἵους τε ὄντας φαρμακευθῆναι, καὶ ἄλλο ὅ,τι περ ἄν τις θέλῃ προσενέγκαι· ἢν δὲ τὴν ἀρχὴν παρεὶς, τελευτώσης τῆς νούσου προσφέρῃς, ἐν ἀπειρηκότι ἤδη τῷ σώματι δεδιὼς [3] ἰσχυρόν τι προσενέγκαι, κίνδυνος ἁμαρτάνειν μᾶλλον, ἢ ἐπιτυγχάνειν. Ἢν ἐς τὰ ὦτα ὀδύνη ἐμπέσῃ, λούειν ξυμφέρει πολλῷ καὶ θερμῷ, καὶ πυριῆν τὰ ὦτα. καὶ ἢν μὲν πρὸς ταῦτα περιίσηται τὸ φλέγμα λεπτυνόμενον ἀπὸ τῆς κεφαλῆς, καὶ ἡ ὀδύνη ἀπολείπῃ, ἀρκεῖ ταῦτα· ἢν δὲ μὴ, τῶν λοιπῶν ἄριστον φαρμάκων πῖσαι ἄνω, ὅ,τι φλέγμα καθαίρει· ἢ τὴν κεφαλὴν καθῆραι, ᾧ καθαίρεται τὸ τῆς κεφαλῆς φλέγμα. τὸ δὲ ἄλγημα καὶ οὕτω γίνεται, ὅταν ἔσωθεν πρὸς τὴν ἀκοὴν φλέγμα ἐκ τῆς κεφαλῆς προσπέσῃ. Ἢν δὲ τὰ περὶ τὴν φάρυγγα φλεγμαίνῃ, ἀναγαργαρίζειν χρή· γίνεται δὲ καὶ ταῦτα ἀπὸ φλέγματος. Ἢν δὲ τὰ οὖλα, ἤ τι τῶν ὑπὸ γλώσσῃ φλεγμαίνῃ, [4] διαμασήτοισι χρῆσθαι· ἀπὸ φλέγματος δὲ καὶ ταῦτα γίνεται. Ἢν δὲ ἡ σταφυλὴ κατακρεμασθῇ καὶ πνίγῃ (ἔνιοι δὲ τοῦτο καλέουσι γαργαρεῶνα) παραχρῆμα μὲν τοῖσιν ἀναγαργαλίκτοισι χρῆσθαι, σκευάζων, ὡς γέγραπται ἐν τοῖσι φαρμάκοισιν. ἢν δὲ πρὸς ταῦτα μὴ ἰσχνὴ γίνηται, ὄπισθεν ξυρήσαντα τὴν κεφαλὴν, σικύας προσβάλλειν δύο, καὶ τοῦ αἵματος ἀφαιρέειν ὡς πλεῖστον, καὶ ἀνασπάσαι ὀπίσω τὸ ῥεῦμα τοῦ φλέγματος· ἢν δὲ μὴ τούτοισι καθίσηται, σχάσαντα μαχαιρίῳ, τὸ ὕδωρ [6] ἐξαγαγεῖν. σχάζειν δὲ, ὅταν τὸ ἄκρον ὑπέρυθρον γένηται· ἢν δὲ μὴ τοιοῦτον γινόμενον τμηθῇ, φλεγμαίνειν θέλει, καὶ ἔστιν ὅτε ἐξαπίνης ἔπνιξε. γίνεται δὲ καὶ τοῦτο ὑπὸ φλέγματος, ὅταν ἐκ τῆς κεφαλῆς θαλφθείσης, ἀθρόον καταῤῥυῇ. ὅσα δὲ περὶ

CAPVT II.

De morbis à capite ex pituita ortum ducentibus; doloribus capitis & aurium, faucium inflammatione, vuulâ, dentium doloribus, polypo; & eorum curatione.

SI in caput dolores inciderint, huius ægri caput multa calidæ lotione calefacere confert, & sternutamento excitato pituitam ac mucos subducere. Quibus si dolore liberetur, hæc satis sunt. Si verò non liberetur, caput pituitâ repurgandum, in victu autem sorbitio, & in potu aqua sit. Vinum autem minimè offerendum, quoad dolor sedetur. Vehementior enim dolor euadit, vbi caput calidum existens, vinum attraxerit. Dolores autem ex pituita ingruunt, quum in capite commota, coaceruata fuerit. Quòd si aliàs atque aliàs dolor & tenebricosa vertigo in caput incidat, hæc quidem admota prosunt; iuuat etiam sanguis ex naribus aut ex vena frontis detractus. At si diuturnus & vehemens capitis morbus euadat, neque capite purgato tollatur, aut huius caput scarificare, aut venas in circuitu adurere oportet; ex cæteris enim ab his duntaxat sanum fore spes est. Ægroti statim per initia constitutionis morborum spectandi sunt, quâ re opus habeant, & quales sint vt pharmaco purgentur, aut aliud quodcunque aliquis voluerit, exhibeat. At si omisso principio, ad finem procedente morbo exhibueris, confecto iam corpore, veritus vehemens quiddam adhibere, periculum est ne magis frustreris, quàm successum consequaris. Si dolor ad aures irruerit, multâ calidâ lauare & aures fouere confert: & si quidem adhæc cesserit pituita attenuata e capite, dolorque cessauerit, hæc satis sunt. Sin minus, cæterorum medicamentorum fuerit optimum, propinare, quod sursum pituitam purget; aut caput medicamento, quo capitis pituita purgetur, purgare. Hic verò dolor etiam oboritur, quum intrinsecus ad meatum auditorium pituita ex capite illapsa fuerit. At si fauces inflammatione afficiantur, oris collutionibus vtendum. Hæc autem etiam à pituita oboriuntur. Si verò gingiuæ, aut pars quædam sub lingua inflammatione laboret, mansorijs vtendum. Hæc verò à pituita etiam fiunt. Si vua suspensa fuerit, & suffocarit (curgulionem nonnulli hoc vocant) statim quidem gargarismis apparatis, velut in medicamentis scriptum est, vtendum. Quod si ex his gracilis non euadat, occipitio deraso cucurbitulæ duæ admouendæ, & sanguis plurimus detrahendus, pituitæque fluxus in posteriora reuellendus. Si verò neque his subsidat, scalpello, vt aqua educatur, incidito. Sectio autem facienda est, vbi summa eius pars subrubra extiterit. Ac nisi tunc secetur, inflammari consueuit, interdúmque derepentè suffocat. Hoc verò etiam à pituita fit, vbi calefacto capite, ex eo confertim defluxerit. In dentium autem doloribus,

ribus, si dens quidem erosus fuerit & mobilis, eximendus. Quòd si neque erosus fuerit, neque moueatur, sed dolorem inferat, vstione resiccandus. Prosunt etiam mansorij apophlegmatismi. Dolores autem oriuntur, quum pituita sub dentium radices subierit. Exeduntur autem & eroduntur, partim quidem à pituita, partim verò à cibis, si naturâ debiles fuerint, & cauitatem habeant, ac in gingiuis malè infixi sint. Si polypus in nare innascatur, velut flatulentus tumor, ex naso in obliquum respirans difflatur ac intumescit. Eximitur autem laqueo ad os ex naso pertractus. Quidam etiam medicamentis tabefaciunt. A pituita autem nascitur. Atque hi quidem morbi sunt, qui à capite ortum ducunt, præter oculorum morbos, *de quibus seorsim scribetur.*

ὀδόντας γίνεται ἀλγήματα, ἢν μὲν βεβρωμένος ᾖ, καὶ κινέεται, ἐξαιρέειν· ἢν δὲ μὴ βέβρωται, μηδὲ κινέηται, ὀδύνην δὲ παρέχῃ, καύσαντα ἀποξηρῆναι· ὠφελέει δὲ καὶ τὰ διαμασήματα. αἱ δὲ ὀδύναι γίνονται, ὅταν φλέγμα ὑπέλθῃ ὑπὸ τὰς ῥίζας τῶν ὀδόντων. ἐσθίονται δὲ καὶ βιβρώσκονται, οἱ μὲν ἀπὸ φλέγματος, οἱ δὲ ἀπὸ σιτίων, ἢν φύσει ἀσθενέες ἔωσι, καὶ κοιλίην ἔχοντες, καὶ πεπηγότες ἐν τοῖσιν οὔλοισι κακῶς. Ην δὲ ἐν τῇ ῥινὶ πόλυπος ἐγγένηται, οἷον φρῆγμα, πνέεταί τε καὶ ἀπογκέει ἐκ τοῦ μυκτῆρος εἰς τὸ πλάγιον. ἐξαιρέεται δὲ βρόχῳ διελκόμενος ἐς τὸ στόμα ἐκ τῆς ῥινός· οἱ δὲ καὶ φαρμάκοισιν ἐκσήπονται. φύεται δὲ ὑπὸ φλέγματος. ταῦτα μὲν ὅσα ἀπὸ τῆς κεφαλῆς φύονται νουσήματα, πλὴν ὀφθαλμῶν· ταῦτα δὲ ἰδίως γεγράψεται.

CAPVT III.

De morbis ventris acutis, hyeme vehementissimis, pleuritide, peripneumoniâ, causo, phrenitide; ac alijs leuioribus hyeme in acutos transeuntibus; eorúmque omnium mutatione, causis, signis, & curatione.

ΚΕΦΑΛΑΙΟΝ Γʹ.

Περὶ τῶν κατὰ κοιλίαν νοσημάτων ὀξέων, τῶν ἐν χειμῶνι ἰσχυροτάτων, τῆς πλευρίτιδος, καὶ τῆς περιπνευμονίας, καὶ τοῦ καύσου, καὶ τῆς φρενίτιδος· καὶ ἄλλων κουφοτέρων, τῶν κατὰ χειμῶνα ἐς ὀξέα μεταβαλλομένων· καὶ περὶ τῆς αὐτῶν ἁπάντων μεταβολῆς, καὶ αἰτίων, καὶ σημείων, καὶ θεραπείας.

AT verò in ventris morbis hæc animaduertenda sunt. Pleuritis, peripneumonia, febris ardens, & phrenitis. Hi quidem morbi *acuti vocantur; & maximi quidem & vehementissimi hyeme oriuntur; oriuntur quoque æstate, sed minus & leuiores. Quòd si tibi fortè contigerint, hæc faciens & consulens, maximè voti compos fies.* Pleuritis. *Febris detinet, lateralis dolor, orthopnœa, tussis, & sputum per initia quidem subbiliosum expuit; postquam autem quintum aut sextum diem attigerit, etiam suppurulentum. Huic ad lateris dolorem, quod pituitam & bilem à latere deducat, dandum est; dolor enim sic leuissimus fuerit. Ventrem verò subducente & refrigerante clystere curare oportet. Sic enim is vniuerso morbo maximè confert. Exhibendus etiam potus, & sorbitio, & potiones acidiores propinandæ, quò sputum de latere repurgetur. Quum verò pus repurgari cœperit, quæ latus calefaciunt, conferunt, & exteriore parte lateri admouenda quæ maturent; priùs autem* adhibere non confert, *quòd resiccetur. Oritur autem hic morbus ex potu maximè, quum quis humecto corpore, aut temulentus, aut sobrius riguerit; fit & aliàs. Iudicatur autem hic morbus, breuissimus quidem septimo die, longissimus autem decimo quarto; quo quidem si pus à latere per sputum reiectum & repurgatum fuerit, sanus euadit. Si verò minimè exputum fuerit, purulentus fit, & morbus longus. Iudicari autem in morbis est, quum morbi increscunt, aut exolescunt, aut in alium morbum transeunt, aut desinunt.* Peripneumonia. *Febris detinet, & tussis, & primùm quidem pituitam crassam & puram excreat; sexto verò ac septimo die aliquantulùm biliosum & sublividum; octauo autem & nono, pure permixtum. Huic si*

ΠΕρὶ δὲ τῶν κατὰ κοιλίην νουσημάτων, ἐνθυμέεσθαι χρὴ τάδε. πλευρῖτις, περιπνευμονίη, καῦσος, φρενῖτις· αὗται καλέονται ὀξεῖαι, καὶ γίνονται μὲν μάλιστα καὶ ἰσχυρόταται τοῦ χειμῶνος, γίνονται δὲ, καὶ τοῦ θέρεος, ἧσσον δὲ, καὶ μαλακώτεραι. ἢν δὲ παρατυγχάνῃς, ταῦτα ἂν καὶ ποιέων καὶ ξυμβουλεύων τυγχάνῃς μάλιστα. Πλευρῖτις. Πυρετὸς ἴσχει, καὶ τοῦ πλευροῦ ὀδύνη, καὶ ὀρθοπνοίη, καὶ βὴξ, καὶ τὸ σίαλον κατ᾽ ἀρχὰς μὲν ὑπόχολον πτύει, ἐπειδὰν δὲ πεμπταῖος γένηται ἢ ἑκταῖος, καὶ ὑπόπυον. τούτῳ τοῦ μὲν πλευροῦ τῆς ὀδύνης διδόναι, ὅ, τι ἀποστήσει ἀπὸ τοῦ πλευροῦ τό, τε φλέγμα καὶ τὴν χολήν· ἡ γὰρ ὀδύνη οὕτως ἂν εἴη μαλακωτάτη· τὴν δὲ κοιλίην θεραπεύειν ὑπάγοντι καὶ ψύχοντι κλύσματι, οὕτω γὰρ τῇ νούσῳ τῇ ξυμπάσῃ συμφορώτατα. προσφέρειν δὲ ποτόν τε καὶ ῥόφημα, καὶ τὰ πόματα διδόναι ὀξύτερα, ὡς τὸ σίαλον ἀνακαθαίρηται ἀπὸ τοῦ πλευροῦ. ὅταν δὲ καθαίρεσθαι ἄρξηται τὸ πῦον, θερμαίνοντα ξυμφέρει τὸ πλευρὸν ἔξωθεν, πεπαίνειν τὰ πρὸς τὸ πλευρόν· πρόσθεν δὲ οὐ ξυμφέρει, ξηραίνεται γάρ. γίνεται δὲ ἡ νοῦσος αὕτη, μάλιστα μὲν ἐκ τοῦ πόσιος, ὅταν τις ὑγράζοντος τοῦ σώματος, ἢ μεθύων, ἢ νήφων ῥιγώσῃ· γίνεται δὲ καὶ ἄλλως. κρίνεται δὲ ἡ νοῦσος, ἡ μὲν βραχυτάτη, ἑβδόμῃ· ἡ δὲ μακροτάτη, τεταρτῃ καὶ δεκάτῃ· καὶ ἢν μὲν ἐν ταύτῃ πτυσθῇ καὶ καθαρθῇ τὸ πῦον ἀπὸ τοῦ πλευροῦ, ὑγιὴς γίνεται· ἢν δὲ μὴ πτυσθῇ, ἔμπυος γίνεται, καὶ ἡ νοῦσος μακρή. κρίνεσθαι δέ ἐστιν ἐν τῇσι νούσοισιν, ὅταν αὔξωνται αἱ νοῦσοι, ἢ μαραίνωνται, ἢ μεταπίπτωσιν ἐς ἕτερον νούσημα, ἢ τελευτῶσιν. Περιπλευμονίη. Πυρετὸς ἴσχει, καὶ βὴξ, καὶ ἀποχρέμπτεται, τὸ μὲν πρῶτον φλέγμα παχὺ καὶ καθαρὸν, τῇ ἕκτῃ δὲ καὶ ἑβδόμῃ ὑπόχολον καὶ ὑποπέλιον, ὀγδόῃ δὲ καὶ ἐνάτῃ ὑπόπυον. Τούτῳ ἢν

μὲν ὀδύνη ἐγγένηται ἢ τοῦ νώτου ἢ τῶν πλευρέων, διδόναι ὅπερ ἐν τῇ πλευρίτιδι, τοῦ πλευροῦ τῆς ὀδύνης, ἐν τῇ φαρμακίτιδι γέγραπται. ποτοῖσι δὲ καὶ ῥοφήμασι, καὶ τῆς κοιλίης ἐς τὴν ὑποχώρησιν καὶ ψύξιν, [9] κατὰ ταὐτὰ θεραπεύειν τῇ πλευρίτιδι· ὅκως δὲ τὸ σίαλον ἐκ τοῦ πλεύμονος ἀνακαθᾶραι καὶ τὸ πῦον, διδόναι φάρμακα ποτὰ, οἷσιν ὁ πλεύμων ὑγραίνεται καὶ καθαίρεται τὸ πῦον ἄνω. ἡ δὲ νοῦσος αὕτη γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς φλέγμα ἀθρόον ῥυῇ ἐς τὸν πλεύμονα· ἔστι δ' ὅτε καὶ ἐκ πλευρίτιδος μεθίσταται ἐς περιπλευμονίην καὶ καῦσον. κρίνεται δὲ ἐν ἡμέρῃσιν, ἡ μὲν βραχυτάτη, ἐν τεσσαρεσκαίδεκα· ἡ δὲ μακροτάτη, ἐν δυοῖν δεούσαις εἴκοσι. διαφεύγουσι δὲ ταύτην ὀλίγοι· γίνονται δὲ καὶ ἔμπυοι ἐκ ταύτης τῆς νούσου, ἢν μὴ ἐν τῇσι κρισίμῃσιν ὁ πλεύμων καθαρθῇ. Φρενῖτις ὅταν λάβῃ, πυρετὸς ἴσχει βληχρὸς τὸ πρῶτον, καὶ ὀδύνη πρὸς τὰ ὑποχόνδρια, μᾶλλον δὲ πρὸς τὰ δεξιὰ, ἐς τὸ ἧπαρ. ὅταν δὲ τεταρταῖος γένηται ἢ πεμπταῖος, ὅ, τε πυρετὸς ἰσχυρότερος γίνεται, καὶ αἱ ὀδύναι, καὶ τὸ χρῶμα ὑπόχολον γίνεται, καὶ τοῦ νοῦ παρακοπή. Τούτῳ τῆς μὲν ὀδύνης, ἅπερ ἐν τῇ πλευρίτιδι διδόναι, καὶ χλιαίνειν, ἵν' ἡ ὀδύνη ἔχῃ· καὶ τὴν κοιλίην δὲ θεραπεύειν, καὶ τἄλλα ποιεῖν [10] τὰ αὐτὰ, πλὴν τοῦ ποτοῦ. ποτῷ δὲ χρῆσθαι τῶν ἄλλων ὅτῳ ἂν ἐθέλῃς, πλὴν οἴνου, ἢ ὄξος καὶ μέλι καὶ ὕδωρ διδόναι. οἶνος δὲ οὐ ξυμφέρει τοῦ νοῦ παρακοπέντος, οὔτε [11] ἐν ταύτῃ τῇ νούσῳ, οὔτε ἐν ἑτέρῃσιν ἄλλῃσι. λούειν δὲ πολλῷ καὶ θερμῷ καὶ κατὰ τὴν κεφαλὴν ἐν ταύτῃ τῇ νούσῳ ξυμφέρει· μαλασσομένου γὰρ τοῦ σώματος, καὶ ἱδρὼς μᾶλλον γίνεται, καὶ ἡ κοιλίη καὶ τὸ οὖρον διαχωρεῖ, καὶ αὐτὸς ἑωυτοῦ ἐγκρατέστερος γίνεται. ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς, ὅταν κινηθεῖσα πρὸς τὰ σπλάγχνα καὶ τὰς φρένας προσίζῃ· ἡ δὲ νοῦσος κρίνεται, ἡ μὲν βραχυτάτη ἑβδομαίη, ἡ δὲ μακροτάτη ἑνδεκαταίη· διαφεύγουσι δὲ καὶ ταύτην ὀλίγοι, μεθίσταται δὲ καὶ αὕτη ἐς περιπλευμονίην· καὶ ἢν μεταστῇ, ὀλίγοι διαφεύγουσιν. Καῦσος δὲ ὅταν ἔχῃ, πυρετὸς ἴσχει, καὶ δίψα ἰσχυρὴ, καὶ ἡ γλῶσσα τρηχείη καὶ μέλαινα γίνεται, τοῦ πνεύματος ὑπό γε θερμότητος, καὶ τὸ χρῶμα ὑπόχολον γίνεται, καὶ [12] τὰ πτύαλα χολώδεα· καὶ τὰ μὲν ἔξω ψυχρὸς γίνεται, τὰ δ' ἔσω λίην θερμός. τούτῳ ξυμφέρει ψύγματα προσφέρειν καὶ πρὸς τὴν κοιλίην, καὶ ἔξωθεν πρὸς τὸ σῶμα, φυλασσόμενος μὴ φρίξῃ· καὶ τά τε πόματα καὶ τὰ ῥοφήματα διδόναι πυκνὰ, καὶ κατ' ὀλίγον, ὡς ψυχρότατα. τὴν δὲ κοιλίην θεραπεύειν· κἢν μὲν μὴ ὑποχωρέῃ τὰ ἐνεόντα, κλύσαι, ψύχειν τε κλύσμασιν ὡς ψυχροτάτοισιν, ἢ ὁσημέραι, ἢ διὰ τρίτης. ἡ δὲ νοῦσος αὕτη γίνεται ὑπὸ χολῆς, ὅταν κινηθεῖσα ἐντὸς τοῦ σώματος καταστηρίξῃ. φιλεῖ δὲ καὶ ἐς περιπλευμονίην μεθίστασθαι· κρίνεται δὲ ἡ μὲν βραχυτάτη ἐνάτῃ ἢ δεκάτῃ, ἡ δὲ μακροτάτη τεσσαρεσκαιδεκάτῃ. καὶ ἢν μὲν καταστῇ ἐς περιπλευμονίην, ὀλίγοι διαφεύγουσιν· ἢν δὲ μὴ μεταστῇ, διαφεύγουσι πολλοί. αὗται μὲν οὖν ὀξεῖαι καλέονται, καὶ δεῖ ταύτας οὕτω θεραπεύειν. Ὁκόσοι δὲ ἄλλοι τοῦ χειμῶνος πυρετοὶ γίνονται, εἴτε ἐξ οἴνου, εἴτε ἐκ κόπου, εἴτε ἐξ ἄλλου τινὸς,

A *dorsi aut laterum dolor oboriatur, exhibeto quod in pleuritide ad lateris dolorem in medicamentorum tractatione scriptum est. Potibus autem & sorbitionibus, alui etiam subductione ac refrigeratione, iisdem quibus in pleuritide, curatio facienda est. Vt autem sputum & pus ex pulmonibus sursum educatur, exhibenda sunt in potu medicamenta, quibus pulmo humectatur, & pus per superiora repurgatur. Hic autem morbus oritur, quum pituita ex capite confertim ad pulmonem defluxerit.* B *Interdum verò quum ex pleuritide in peripneumoniam & febrem ardentem transitus fit. Indicatur autem, breuissimus quidem decimoquarto die, longissimus verò duodeuigesimo. Hunc pauci effugiunt; & ex hoc morbo suppurati euadunt, nisi pulmo iudicatoriis diebus purgatus fuerit. Quum phrenitis prehenderit, primùm leuis febris detinet, & dolor circa hypochondria, magis autem dextra ad hepar.* C *Quum autem quartus aut quintus dies accesserit, tum febris vehementior, tum dolores* maiores *fiunt, colórque aliquantulùm biliosus efficitur, & mentis læsio. Huic ad dolorem* eadem *quæ in pleuritide exhibenda sunt, & vbi dolor detinet, tepefacientia admouenda. Sed & aluus curanda, eademque reliqua excepto potu facienda. Potu quouis alio, præterquàm vino vtendum; aut acetum & mel & aqua exhibenda. Vinum autem mente læsâ, neque in hoc morbo, neque in quibusuis aliis confert. In hoc autem morbo etiam caput multâ calidâ lauare confert. Emollito* D *enim corpore, sudor magis quoque oritur, & aluus & vrina secedit, ipséque sui magis compos euadit. Hic morbus oritur à bile commotâ, vbi ad viscera & septum transuersum resederit. Iudicatur autem morbus, breuissimus die septimo, longissimus vndecimo. At hunc & pauci effugiunt; ipséque in pulmonis inflammationem transit, ac si transierit, pauci effugiunt. Quum febris ardens detinet, febris & sitis vehemens afficit; lingua aspera & nigra spiritûs sanè calore redditur, color aliquantulùm biliosus fit, &* E *sputa biliosa. Atque ægro exteriora frigida sunt, interiora verò admodum calent. Huic refrigerantia & aluo, & exteriore corporis parte admouere conuenit, cauendo ne inhorrescat. Potiones quoque & sorbitiones crebræ & paulatim, quam frigidissimæ exhibendæ. Aluus verò curanda; & si quidem quæ in ea continentur, non subeant, subluenda, & per infusa quàm frigidissima, vel quotidie, vel tertio quoque die refrigeranda.* F *Hic autem morbus oritur ex bile commotâ, quum in aliquam interiorem corporis partem incubuerit. Consueuit etiam in pulmonis inflammationem transire. Iudicatur autem, breuissimus quidem nono aut decimo die, longissimus verò, decimo-quarto. Et si quidem in peripneumoniam transierit, pauci effugiunt; si verò non transierit, multi euadunt. Atque hi quidem acuti* morbi *vocantur, eosque sic curare decet. Quæcunque verò aliæ febres hyeme, siue ex vino, siue ex lassitudine, siue ex alia quauis re oriuntur,*

diligenter

diligenter obseruandæ sunt. Interdum enim in acutos morbos transeunt; earúmque transitus fit eiusmodi. Commotis duobus humoribus, tum bile, tum pituitâ, ubi quæ minimè conferunt corpori exhibentur, ipsi in sese collecti, tum bilis tum pituita, in eam corporis partem, quamcunque sors obtulerit, incidunt; fitque aut pleuritis, aut phrenitis, aut peripneumonia. Febres igitur hyeme cauendæ sunt. Sit autem earum præseruatio quies, extenuatio, & ventris euacuatio. Sorbitionibus autem & potionibus immorandum, donec febris imminuta fuerit. Ex morbis acuti propè maximè & interficiunt, & maximos labores excitant, atque tum præseruatione, tum accuratissimâ curatione indigent. Et à medente quidem nullum malum inferri debet (satis enim sunt quæ ab ipsis morbis adsunt) sed bonum quodque pro viribus conciliari. Quòd si probè quidem curante Medico, morbi magnitudine superetur æger, hæc Medici culpa non est. Si verò cùm rectè non curet, neque morbum cognoscat, à morbo superetur, Medici culpa est.

φυλάσσεσθαι χρή· μεθίστανται γὰρ ἐνίοτε ἐς τὰς ὀξείας νούσους, ἡ δὲ μετάστασις αὐτῶν τοιαύτη γίνεται. ὅταν τῶν δύο κεκινημένων τοῦ φλέγματός τε καὶ τῆς χολῆς, μὴ τὰ ξυμφέροντα προσφέρηται τῷ σώματι, συστρεφόμενα αὐτὰ πρὸς ἑωυτά, τό, τε φλέγμα καὶ ἡ χολή, προσπίπτει τοῦ σώματος [13] ὅπου ἂν τύχῃ, καὶ γίνεται ἢ πλευρῖτις, ἢ φρενῖτις, ἢ περιπλευμονίη. φυλάσσεσθαι οὖν χρὴ τοὺς πυρετοὺς τοὺς ἐν χειμῶνι· ἡ δὲ φυλακὴ αὐτῶν ἔστω ἡσυχίη, καὶ ἰσχνασίη, καὶ τῆς κοιλίης κένωσις· ῥοφήμασι δὲ καὶ πόμασι διάγειν, ἕως ἂν ὁ πυρετὸς μειωθῇ. Τῶν νούσων σχεδόν τι μάλιστα αἱ ὀξεῖαι καὶ ἀποκτείνουσι καὶ ἐπιπονώταταί εἰσι, καὶ δεῖ πρὸς αὐτὰς φυλακῆς τε πλείστης, καὶ θεραπείης ἀκριβεστάτης. καὶ ἀπὸ τοῦ θεραπεύοντος κακὸν μὲν μηδὲν προσγίνεσθαι, ἀλλ' ἀρκέειν τὰ ἀπ' αὐτῶν τῶν νουσημάτων ὑπάρχοντα· ἀγαθὸν δὲ ὅ, τι ἂν οἷός τε ᾖ. καὶ ἢν μὲν ὀρθῶς θεραπεύοντος τοῦ ἰητροῦ, ὑπὸ μεγέθους τῆς νούσου κρατέηται ὁ κάμνων, οὐχὶ καὶ αὕτη ἡ ἁμαρτία τοῦ ἰητροῦ ἐστιν· ἢν δὲ μὴ θεραπεύοντος ὀρθῶς, μηδὲ γινώσκοντος, ὑπὸ τῆς νούσου κρατέηται, τοῦ ἰητροῦ.

CAPVT IV.

De æstiuis morbis, doloribus, ac febribus, causo, tertianâ, quartanâ, eorumque symptomatis, caussis, signis, crisibus, & curatione.

Æstate hæc contingunt. Febris vehemens detinet & sitis, quidam bilem vomunt, quibusdam etiam per inferiora secedit. His quodcunque tibi idoneum esse videbitur, potui & sorbitioni exhibeto. Quod si bilis aut pituita circa cor consideat, aquâ frigidâ aut mulsâ epotâ vomendum; & si venter infrà non deijciat, clystere vel glande utendum. Morbus hic ex bile oritur. Liberantur autem maximè septimo vel nono die. Quòd si febre detinente, neque per inferiora, neque per superiora purgentur, dolor autem insit per totum corpus, tertio aut quarto die leui medicamento aut potione per inferiora purgandum; parandæque sorbitiones ex milio aut farinâ, ijs demque potionibus curandum. Hi verò affectus etiam ex bile contingunt. Si verò partes exteriores admodùm igneæ non fuerint, sed interiores, linguáque aspera & nigra reddatur, & pedes summæque manus frigidæ sint; huic medicamentum quidem ne dederis, sed curationem per refrigerantia & ventri & reliquo corpori adhibita facito. Hæc febris ardens nominatur. Iudicatur autem maximè die undecimo & decimoquarto. Quòd si febris prehendat & dimittat, corporis autem grauitas detineat, hunc quidem quandiu febris tenuerit, sorbitionibus ac potionibus curato. Quum verò minimè detinuerit, etiam cibos dato. Sed quam citissimè purgato medicamento, siue sursùm siue deorsùm tibi eo opus esse videatur. Si vero febris quidem non detineat, os tamen amarum habeat, corpus grauetur, cibumque auersetur, medicamentum exhibendum.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν θερινῶν νοσημάτων, καὶ ἀλγημάτων, καὶ πυρετῶν, τοῦ καύσου, καὶ τοῦ τριταίου, καὶ τοῦ τεταρταίου, καὶ τῶν αὐτῶν συμπτωμάτων, καὶ αἰτίων, καὶ σημείων, καὶ κρίσεων, καὶ θεραπείας.

ΤΟῦ δὲ θέρεος τάδε γίνονται. Πυρετὸς ἰσχυρὸς, καὶ δίψα, καὶ ἐμέουσιν ἔνιοι χολὴν, ἐνίοισι δὲ καὶ κάτω διαχωρέει. τούτοισι δὲ πίνειν διδόναι καὶ ῥοφεῖν, ὅ, τι ἄν σοι δοκέῃ ἐπιτήδειον εἶναι. ἢν δὲ προσίστηται πρὸς τὴν καρδίην χολὴ ἢ φλέγμα, ἐπιπίνοντες ὕδωρ ψυχρὸν, ἢ μελίκρητον, ἐμέειν· ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, κλύσματι χρῆσθαι, ἢ βαλάνῳ. ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς· ἀπαλλάσσονται δὲ μάλιστα ἑβδομαῖοι, ἢ ἐναταῖοι. ἢν δὲ τοῦ πυρετοῦ ἔχοντος μὴ καθαίρωνται, μήτε κάτω, μήτε ἄνω, πόνος δὲ ἐνῇ καθ' ἅπαν τὸ σῶμα, ὅταν ᾖ τριταῖος, ἢ τεταρταῖος, φαρμάκῳ ὑποκαθῆραι ἐλαφρῷ κάτω, ἢ πόματι· ποιέειν δὲ ῥόφημα ἀπὸ κέγχρου, ἢ ἀλήτου, καὶ πόμασι τοῖσιν αὐτοῖσι θεραπεύειν. πάσχουσι δὲ καὶ ταῦτα ὑπὸ χολῆς. Ἢν δὲ τὰ μὲν ἔξω μὴ πυρετώδης ᾖ σφόδρα, τὰ δ' ἔσω· καὶ ἡ γλῶσσα τρηχέη καὶ μέλαινα γίνεται, καὶ οἱ πόδες καὶ αἱ χεῖρες ἄκραι ψυχραί· τούτῳ φάρμακον μὲν μὴ διδόναι, θεραπεύειν δὲ προσφέρων ψύγματα, καὶ πρὸς τὴν κοιλίην, καὶ πρὸς τὸ ἄλλο σῶμα. καλέεται δὲ ὁ πυρετὸς καυσώδης ἐστι, [14] κρίνεται δὲ μάλιστα ἑνδεκαταῖος καὶ τεσσαρεσκαιδεκαταῖος. Ἢν δὲ τὸ πῦρ λαμβάνῃ καὶ μεθίῃ, τοῦ δὲ σώματος βάρος αὐτὸν ἔχῃ, τοῦτον ἕως μὲν ἂν τὸ πῦρ ἔχῃ, ῥοφήμασι καὶ πόμασι θεραπεύειν· ὅταν δὲ μὴ ἔχῃ, διδόναι καὶ σιτία· καθῆραι δὲ ὡς τάχιστα φαρμάκῳ, ἤν τε ἄνω δοκέῃ σοι δεῖσθαι, ἤν τε κάτω. Ἢν δὲ πυρετὸς μὲν μὴ ἔχῃ, τὸ δὲ στόμα πικρὸν ἔχῃ, καὶ τὸ σῶμα βαρύνηται, καὶ ἀσιτέῃ, φάρμακον διδόναι·

πάσχει δὲ ταῦτα ὑπὸ χολῆς, ὅταν εἰς τὰς φλέβας καὶ τὰ ἄρθρα κατασκήψῃ. Ὁκόσαι δὲ ἄλλαι ὀδύναι ἐν τῷ θέρει κατὰ κοιλίην γίνονται, ὁκόσαι μὲν πρὸς τὰ ὑποχόνδρια καὶ τὴν καρδίην, μελίκρητον ὑδαρὲς ποιέων ὅσον τρεῖς κοτύλας, ὄξος παραχέας, δὸς πιεῖν χλιαρόν· καὶ ἐπισχὼν ὀλίγον χρόνον, ξυνθαλφθεὶς πυρὶ καὶ ἱματίοισιν, ἐμείτω. ἢν δὲ ἀπεμέσαντι αὖθις προσίστηται, καὶ πνίγῃ, αὖθις ἔμετον ποιείσθω, ἢ λούσας αὐτὸν πολλῷ καὶ θερμῷ, ὑποκλύσαι, καὶ χλιάσματα προστιθέναι ἐὰν ἡ ὀδύνη ἔχῃ· πάσχουσι δὲ ταῦτα μάλιστα ὑπὸ τοῦ φλέγματος, ὅταν κινηθὲν προσπέσῃ πρὸς τὴν καρδίην. διδόναι δὲ τοῖσι τὰ τοιαῦτα ἀλγήματα ἀλγέουσι, καὶ τῶν φαρμάκων ἃ γέγραπται παύοντα τὴν τοιαύτην νοῦσον ἐν τῇ φαρμακίτιδι. ἢν δὲ μεθίστηται ἡ ὀδύνη ἄλλοτε ἄλλῃ τῆς κοιλίης, καὶ ἀπύρετος ᾖ, λούειν πολλῷ καὶ θερμῷ, καὶ πίνειν διδόναι τῆς ὀδύνης εἵνεκα, [15] ἃ ἐν τῇ πλευρίτιδι γέγραπται, ἢ τῶν ἄλλων ὅ,τι ἄν σοι δοκέῃ. ἢν δὲ μὴ ἀπαλλάσσηται τῆς ὀδύνης, ὑποκαθῆραι φαρμάκῳ κάτω· σιτίων δὲ ἀπέχεσθαι, ἕως ἂν ἡ ὀδύνη ἔχῃ. τὰ δὲ τοιαῦτα ἀλγήματα ὅσα οὕτως πλανᾶται, ὑπὸ χολῆς γίνεται· ὅσαι δὲ κάτωθεν τοῦ ὀμφαλοῦ ὀδύναι γίνονται, ὑποκλύσαι μαλακῷ κλύσματι· ἢν δὲ μὴ παύηται, φάρμακον δοῦναι κάτω. ὁκόσαι δὲ ὀδύναι ἐξαπίνης γίνονται ἐν τῷ σώματι ἄνευ πυρετοῦ, ξυμφέρει λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιαίνειν. τὸ γὰρ φλέγμα καὶ ἡ χολὴ, ξυνεστηκότα μὲν, ἰσχυρά γέ ἐστιν, καὶ κρατεῖ καθ' ὁκοῖον ἂν τοῦ σώματος στῇ, καὶ πόνον τε καὶ ὀδύνην ἰσχυρὴν παρέχει· διακεχυμένα δὲ ἀσθενέστερά ἐστι καθ' ὅ ἂν εὔδηλα ᾖ τοῦ σώματος. Τὰ δὲ νουσήματα ὅσα τοῦ θέρεος γίνονται, εἴωθε γίνεσθαι οὕτως. ὅταν τὸ σῶμα ὑπὸ τοῦ ἡλίου θαλφθῇ, ὑγραίνεται· ὑγραινόμενον δὲ, νοσεῖ, ἢ πᾶν, ἢ [16] ἐς ὃ μέρος ἂν κατασκήψῃ τὸ φλέγμα καὶ ἡ χολή. ἢν μὲν οὖν τις αὐτὰ ἀρχόμενα θεραπεύῃ, οὔτε μακρὰ γίνεται, οὔτε ἐπικίνδυνα· ἢν δὲ μὴ θεραπεύῃ, ἢ κακῶς [17] θεραπεύῃ, φιλεῖ καὶ μακρότερα γίνεσθαι, πολλάκις δὲ καὶ κτείνει· καὶ τριταῖοι δὲ καὶ τεταρταῖοι πυρετοὶ, ἐκ τῶν τοιούτων γίνεσθαι πεφύκασιν. αὕτη ἡ κατάστασις τῶν νουσημάτων, μάλιστα μὲν τοῦ θέρεος γίνεται, ἐνίοισι δὲ καὶ τοῦ χειμῶνος. Τριταῖος δὲ πυρετὸς ὅταν ἔχῃ, ἢν μέν σοι δοκέῃ ἀκάθαρτος εἶναι, τῇ τετάρτῃ φάρμακον δοῦναι· ἢν δὲ μή σοι δοκέῃ φαρμάκου δεῖσθαι, διδόναι φάρμακα ποτὰ, οἷσιν ἢ μεταστήσεται ὁ πυρετὸς, ἢ ἀπολείψει· διδόναι δὲ ὥσπερ γέγραπται ἐν τοῖσι φαρμάκοισι. καὶ τῇ μὲν λήψει, ῥοφήματι καὶ ποτῷ διαιτᾶν· ταῖς δὲ διὰ μέσου, σιτίοισι διαχωρητικοῖσι. λαμβάνει δὲ ὡς ἐπὶ τὸ πουλὺ, οὐκ ἐπὶ πλεῖστον· ἢν δὲ μὴ θεραπεύηται, ἐθέλει μεθίστασθαι ἐς τεταρταῖον, καὶ γίνεσθαι πουλυχρόνιος. Ἢν δὲ τεταρταῖος λαμβάνῃ, ἢν μὲν ἀκάθαρτος ᾖ, καθαίρειν πρῶτον μὲν τὴν κεφαλήν· καὶ διαλείπων τρεῖς ἢ τέτταρας ἡμέρας, φάρμακον διδόναι ἄνω κατ' αὐτὴν τὴν λῆψιν· διαλιπὼν δὲ, κάτω δοῦναι ἕτερον ἐν αὐτῇ τῇ λήψει. ἢν δὲ πρὸς ταῦτα μὴ παύηται, διαλιπὼν πάλιν, λούσας πολλῷ καὶ θερμῷ, δοῦναι τῶν φαρμάκων ἃ γέγραπται. [18] ποτήμασι δὲ καὶ ῥοφήμασι

Hæc autem à bile contingunt, quum ad venas & articulos decubuerit. At quicunque alij dolores per æstatem circa ventriculum contingunt, qui quidem ad hypochondria & cor feruntur, *aquā mulsam aquosam paratam ad heminas tres, aceto affuso tepidam propinato; & ubi modico tēpore eam continuerit, & igne & vestibus concalefactus fuerit, vomat. Quod si à vomitu rursus urgeant & strangulent, rursus vomitum cieto; aut multâ calidâ loto aluū subluito, & tepefactoria, quādiu dolor detinuerit, admoueto. Hæc autem præcipuè ex pituita contingunt, quum commota ad cor irruperit. Qui verò huiusmodi doloribus vexantur, his etiam ea medicamēta exhibenda, quæ ad huiusmodi morbum sedandū in medicamentorū tractatione scripta sunt. At si dolor aliàs ad aliam ventris partem citra febrē transierit, multâ calidâ lauandum, & ob dolorem ea potui exhibenda, quæ in pleuritide scripta sunt, aut aliud quodcunque tibi visum fuerit. Quòd si dolore non liberetur, medicamento per inferiora purgandum, cibis verò, quoad dolor tenuerit, abstineat. Huiusmodi autem dolores, qui sic errant, à bile oriuntur. Quicunq; verò dolores infra umbilicum grassantur, in his aluus est emollienti clystere subluenda. Si verò non sedentur, medicamentū deorsum purgans exhibendū. Qui verò dolores derepentè citra febrē corpori accidunt, in his multâ calidâ lauare ac tepefacere cōfert. Pituita nanq; & bilis, coacta quidē vehemētia sunt, & quacunq; corporis parte constiterint, ibi imperiū obtinent, vehementemq; tum laborem, tum dolorē excitant. Diffusa vero, quacunq; corporis parte se prodant, imbecilliora sunt. At verò morbi qui per æstatem contingunt, sic oriri solent. Quū corpus à sole incaluerit, humectatur; humectatum verò ægrotat, aut totum, aut eâ parte in quā pituita & bilis decubuerint. Eos igitur siquis per initia curet, neq; longi, neq; periculosi redduntur; si verò nō curet, aut malè curet, & longiores esse consueuerūt, & plerúnq; interficiunt. Quinetiā ex his tertianæ & quartanæ febres oriri solent. Hæc morborum constitutio potissimùm quidem per æstatem, nonnullis etiam per hyemem contingit. Quum febris tertiana detinuerit, si quidem impurgatus esse tibi videatur, quarto die medicamentum purgans exhibeto. At si medicamento opus esse tibi non videatur, in potu ea medicamenta dāda sunt, quibus febris aut transmutetur, aut desinat. Exhibenda autem quemadmodum in medicamentis scriptū est. Et in accessione quidem, sorbitione, & potu nutriendum; intermedijs autē diebus, cibis aluum subducentibus. Detinet autem vt plurimùm nō diutissimè, nisi verò curetur, in quartanā transire & diuturna esse solet. Si autem quartana prehenderit, siquidem impurgatus fuerit, primum caput purgandum; & tribus aut quatuor interiectis diebus, sub ipsam accessionem medicamentum sursū purgans exhibendū; rursus aliquo interuallo interiecto, alud medicamentū deorsū purgans in ipsa accessione dandū. Quòd si per hæc nō sedetur, rursus intermissis aliquot diebus, multâ calidâ loto, medicamēta quæ scripta sunt, exhibēda. Potionibus autē & sorbitionibus,*

reliquaque

reliquaque victûs ratione, velut in tertiana, vtendum. Hæc autem febris plurimos quidem longo tẽpore inuadit, quosdam verò etiam pauco. Et oritur quidem tum tertiana, tum quartana ex bile & pituita; cur autem tertiana & quartana, alibi à me scriptum est. Harum autem febrium medicamenta hanc habent facultatem, vt his epotis corpus in consueta caliditate & frigiditate suo loco consistat, neque præter naturam incalescat, neque refrigeretur. Exhibenda verò, quemadmodum in medicamentorum tractatu scriptum est.

καὶ τῇ ἄλλῃ διαίτῃ χρῆσθαι, ὥσπερ ἐπὶ τοῦ τριταίου. λαμβάνει δὲ οὕτως ὁ πυρετὸς, τοὺς μὲν πλείστους πουλὺν χρόνον, τοὺς δὲ καὶ ὀλίγον· καὶ γίνεται μὲν, ὅ, τε τριταῖος καὶ τεταρταῖος ἀπὸ χολῆς καὶ φλέγματος· διότι δὲ ὁ τριταῖος καὶ ὁ τεταρταῖος, ἑτέρωθί μοι γέγραπται. δύναμιν δὲ ἔχει τῶν πυρετῶν τὰ φάρμακα τούτων, ὥστε πινόμενα, τὸ σῶμα κατὰ χώρην εἶναι ἐν τῇ εἰωθυίῃ θερμότητί τε καὶ ψυχρότητι, καὶ μήτε θερμαίνεσθαι παρὰ φύσιν, μήτε ψύχεσθαι· διδόναι δὲ, ὡς ἐν τῇ φαρμακίτιδι γέγραπται.

CAPVT V.

De pituita alba, & liene magno, duro, & suppurato, eorumque affectuum causis, in hydropem mutatione, symptomatis, & curatione.

QVum pituita alba detinuerit, totum corpus tumore albo intumescit; eodemque die aliâ corporis *parte meliùs, aliâ deteriùs habere videtur, tumorque aliàs aliâ corporis parte & maior & minor est. Huic medicamenta deorsum purgantia exhibenda, quibus aqua aut pituita purgatur. In victûs autem ratione vtendum cibis & potibus, ac laboribus, ex quibus siccissimus & maximè gracilis euadat. Morbus hic à pituita oritur, quum quis ex diuturnis febribus, pituitâ abundans, minimè purgatus fuerit, & in eius carnes pituita recipiatur. Et hæc quidem licet aliâ pituitâ nihilo albidior sit, cutis tamen color candidior apparet. Sanguis enim pituitæ copiâ aquosior redditur, neq; æquè in eo bonus color inest; proptereàq; candidiores apparent, morbusq; pituita alba vocatur. Si igitur curatus inchoante morbo fuerit, conualescit; sin minùs, in hydropem morbus transit, & hominem perimit. Qui magnum habent lienem, qui quidem biliosi sunt, malè colorati euadunt, prauis vlceribus scatent, ore graueolent, tenuesque sunt, lien durus est, semperque æqualis magnitudinis, cibique non secedunt. Qui verò pituitosi sunt, & hæc minùs patiuntur, & lien aliàs maior, aliàs minor redditur. His confert, si quidem minimè purgati videantur, & caput & reliquum corpus purgare. Quòd si purgatione non egeant, victûs ea ratio instituenda, quæ pituitosis quidem corpus exiccet, & extenuet, cibis, potionibus, vomitionibus, & exercitationibus quàm plurimis, ac deambulationibus. Quinetiam vere per veratrum sursùm purgandum. Biliosis verò confert victûs ratione humectante aluum & vesicam subducere, & è venâ splenicâ crebrò sanguinem mittere; medicamentisq; vrinam cientibus vti, quæ lienem mollire scripta sunt, & pro anni tempore bilem purgare. Ex lienosis autem nonnulli medicamentis epotis minimè iuuantur, & ex reliqua curatione nihilo gracilior etiam lien redditur, sed quæ admouentur, à morbi magnitudine superantur. Progressu verò temporis quibusdam morbus in hydropem degenerat, & contabescunt; quibusdam verò* splen *suppuratur, & vsti consanescunt, quibusdam etiam durus & magnus existens con-*

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τοῦ φλέγματος λευκοῦ, καὶ τοῦ σπληνὸς μεγάλου, καὶ σκληροῦ, καὶ πυϊσκομένου, καὶ τῶν τούτων τῶν παθῶν αἰτιῶν, καὶ τῆς ἐς τὸν ὕδρωπα μεταστάσιος, καὶ τῶν συμπτωμάτων, καὶ τῆς θεραπείας.

Φλέγμα λευκὸν ὅταν ἔχῃ, τὸ σῶμα οἰδέει πᾶν λευκῷ οἰδήματι, καὶ τῆς αὐτῆς ἡμέρης τὸ μὲν δοκέει ῥάων εἶναι, τὸ δὲ φλαυρότερος, καὶ τὸ οἴδημα ἄλλοτε ἄλλῃ τοῦ σώματος μέζον τε καὶ ἔλασσον γίνεται. τούτῳ φάρμακα διδόναι κάτω, ὑφ' ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται· διαιτᾶν δὲ σιτίοισι καὶ ποτοῖσι καὶ πόνοισιν, ὑφ' ὧν ξηρότατος ἔσται καὶ ἰσχνότατος. ἡ δὲ νοῦσος αὕτη γίνεται ἀπὸ φλέγματος, ὅταν τις ἐκ πυρετῶν πολυχρονίων, φλεγματώδης ὢν, ἀκάθαρτος γένηται, τρέπηταί τε τὸ φλέγμα αὐτοῦ ἀνὰ τὰς σάρκας. καὶ λευκότερον μὲν [19] οὐδὲν τοῦτο τοῦ ἄλλου τοῦ φλέγματος, ὁ δὲ χρὼς φαίνεται λευκότερος· τὸ γὰρ αἷμα ὑπὸ πλήθεος τοῦ φλέγματος ὑδαρέστερον γίνεται, καὶ οὐκ ἔνι ὁμοίως ἐν αὐτῷ τὸ εὔχροον, καὶ διὰ τοῦτο λευκότεροί τε φαίνονται, καὶ καλέεται ἡ νοῦσος, φλέγμα λευκόν. ἢν μὲν οὖν θεραπευθῇ ἀρχομένης τῆς νούσου, ὑγιὴς γίνεται· ἢν δὲ μὴ, ἐς ὕδρωπα μεθίσταται ἡ νοῦσος, καὶ διέφθειρε τὸν ἄνθρωπον. Ὁκόσοι δὲ σπλῆνα ἔχουσι μέγαν, ὅσοι μὲν εἰσὶ χολώδεες, κακόχροοί τε γίνονται, καὶ κακελκέες, καὶ δυσώδεες ἐκ τοῦ στόματος, καὶ λεπτοὶ, καὶ ὁ σπλὴν σκληρὸς, καὶ ἀεὶ παραπλήσιος τὸ μέγεθος, καὶ τὰ σιτία οὐ διαχωρέει· ὁκόσοι δὲ φλεγματίαι, ταῦτά τε [20] ἧσσον πάσχουσι, καὶ ὁ σπλὴν ἄλλοτε μείζων γίνεται, ἄλλοτε δὲ ἐλάσσων. τούτοισι ξυμφέρει, ἢν μὲν ἀκάθαρτοι φαίνονται, καθαίρειν καὶ τὴν κεφαλὴν καὶ τὸ ἄλλο σῶμα· ἢν δὲ μὴ δέονται φαρμακείης, διαιτᾶν, [21] τοῖσι μὲν φλεγματώδεσι ξηραίνοντα τὸ σῶμα καὶ ἰσχναίνοντα σιτίοισι καὶ ποτοῖσι, καὶ ἐμέτοισι, καὶ γυμνασίοισιν ὡς πλείστοισι, καὶ περιπάτοισι, καὶ τοῦ ἦρος ἐλλεβόρῳ καθαίρειν ἄνω· ὁκόσοι δὲ χολώδεες, ξυμφέρει διυγραίνοντα τῇ διαίτῃ ὑπάγειν τὴν κοιλίην, καὶ τὴν κύστιν, καὶ τὴν φλέβα τὴν σπληνῖτιν ἀφιέναι πυκνὰ, καὶ τοῖσι διουρητικοῖσι φαρμάκοισι χρῆσθαι, ἃ γέγραπται [22] μαλθάσσειν τὸν σπλῆνα, καὶ καθαίρειν ἔτεος ὥρῃ καὶ τοῦτο χολήν. ἔνιοι δὲ τῶν σπληνιώντων, ὑπὸ μὲν τῶν φαρμάκων πίνοντες οὐκ ὠφελέονται, οὐδὲ ὑπὸ τῆς ἄλλης θεραπείης [23] οὐδὲν ἰσχνότερος γίνεται αὐτῶν ὁ σπλὴν, ἀλλὰ κρατέεται τὰ προσφερόμενα ὑπὸ τοῦ μεγέθεος τῆς νούσου· προϊόντος δὲ τοῦ χρόνου, ἐνίοισι μὲν ἐς ὕδρωπα περιίσταται ἡ νοῦσος, καὶ διεφθάρησαν· ἐνίοισι δὲ καὶ [24] πυΐσκεται, καὶ καυθέντες ὑγιέες γίνονται· ἐνίοισι δὲ, καὶ ξυγκαταγηράσκει, [25] σκληρός τε ὢν καὶ μέγας.

τὸ δὲ νούσημα γίνεται, ὅταν ἐκ πυρετῶν καὶ κακοθεραπείης, χολὴ ἢ φλέγμα ἢ καὶ ἀμφότερα ἐς τὸν σπλῆνα κατασκήψῃ· καὶ πολυχρόνιον μέν ἐστι τὸ πάθος, θανατῶδες δὲ οὔ. τῶν δὲ φαρμάκων ὅσα δίδοται τοῦ σπληνὸς, τὰ μὲν καὶ διὰ τῆς κύστιος καθαίρει, καὶ ποιέει λαπαρώτερον· τὰ δὲ καθαίρει μὲν οὔτε διὰ τῆς κύστιος οὐδέν, ὅ, τι καὶ φανερώτερον, οὔτ' ἄλλῃ οὐδαμῇ· λαπάσσει δὲ τὸν σπλῆνα.

senescit. Oritur autem morbus, quum ex febribus & vitiosâ curatione, bilis aut pituita, aut vtraque ad lienem decubuerint. Et diuturnus quidem affectus est, minimè tamen lethalis. Ex medicamentis autem, quæ ad lienem exhibentur, alia quidem per vesicam purgant, & molliorem efficiunt; alia verò purgant quidem neque per vesicam quicquam, quòd euidens sit, neque per aliam vspiam partem; lienem tamen emolliunt.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τοῦ εἰλεοῦ καὶ τοῦ ὕδερου, καὶ τῶν ἀμφοτέρων αἰτίων καὶ σημείων, καὶ τῆς προγνώσεως, καὶ θεραπείας· καὶ τῆς ἐν τῷ ὕδρωπι χειρουργίας.

CAPVT VI.

De voluulo, & hydero, & vtriusque caussis, prognosi, & curatione, & hydropis chirurgiâ.

Εἰλεὸς ὅταν λάβῃ, ἡ γαστὴρ σκληρὴ γίνεται καὶ διαχωρέει οὐδέν, καὶ ὀδύνη κάτω πᾶσαν τὴν κοιλίην ἔχει, καὶ πυρετὸς, καὶ δίψα. ἐνίοτε δὲ ὑπὸ πόνου ἐμέει καὶ χολήν. τοῦτον χρὴ διυγραίνειν καὶ ἔσωθεν, καὶ ἔξωθεν, λούειν τε πολλῷ καὶ θερμῷ, καὶ πίνειν ὅσα τήν τε κοιλίην κινέει, καὶ τὸ οὖρον ὑπάγει, καὶ ὑποκλύζειν ἢν δέχηται. ἢν δὲ μὴ δέχηται τὸ κλύσμα, αὐλίσκον προσδήσας πρὸς ποδεῶνα ἀσκίου καὶ φυσήσας, ἐνιέναι τὴν φῦσαν πολλήν· καὶ ἐπειδὰν ἀρθῇ τὸ ἔντερον ὑπὸ τῆς φύσης καὶ ἡ γαστὴρ, ἐξελὼν τὸν αὐλίσκον, ἐνιέναι παραχρῆμα κλύσμα. καὶ ἢν δέξηται, ὑποχωρήσει, καὶ ὑγιὴς ἔσται· ἢν δὲ μηδ' οὕτω δέξηται τὸ κλύσμα, ἀποθνήσκει μάλιστα ἑβδομαῖος. ἡ δὲ τοιαύτη νοῦσος γίνεται, ὅταν τῆς κόπρου ξυγκαυθῇ ἀθρόον ἐν τῷ ἐντέρῳ, περὶ τοῦτο περιίσταται φλέγμα· καὶ τὸ ἔντερον ἅτε τούτων ἀθρόων ἐνεσκληκότων, περιοιδέει, καὶ οὔτε τῶν ἄνωθεν πινομένων φαρμάκων δέχεται, ἀλλὰ ἀνεμέει· οὔτε τῶν κάτωθεν προσφερομένων κλυσμάτων δέχεται. ἔστι δὲ τὸ νούσημα ὀξὺ καὶ ἐπικίνδυνον. Ὕδερος δὲ γίνεται τὰ μὲν πλεῖστα, ὅταν τις ἐκ νόσου μακρῆς ἀκάθαρτος διαφέρεται πουλὺν χρόνον· φθείρονται γὰρ αἱ σάρκες, καὶ τήκονται, καὶ γίνονται ὕδωρ. γίνεται δὲ ὕδρωψ καὶ ἀπὸ τοῦ σπληνὸς, ὅταν νοσήσῃ, καὶ ἀπὸ τοῦ ἥπατος, καὶ ἀπὸ τοῦ λευκοῦ φλέγματος, καὶ ἀπὸ δυσεντερίης, καὶ λειεντερίης. καὶ ἢν μὲν ἐξ ἀκαθαρσίης γένηται ὕδρωψ, ἡ μὲν γαστὴρ ὕδατος πίμπλαται, οἱ δὲ πόδες, καὶ αἱ κνῆμαι ἐπαίρονται, οἱ δὲ ὦμοι καὶ αἱ κληῗδες καὶ τὰ στήθεα καὶ οἱ μηροὶ τήκονται. τοῦτον ἢν ἀρχόμενον λάβῃς [26] πρὸ τοῦ ὑπέρυδρον γενέσθαι, φάρμακα πιπίσκειν κάτω ὑφ' ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται, [27] χολὴν δὲ μὴ κινέειν. σιτίοισι δὲ καὶ ποτοῖσι καὶ πόνοισι καὶ περιπάτοισι διαιτᾶν, ὑφ' ὧν ἰσχνὸς καὶ ξηρὸς ἔσται, καὶ αἱ σάρκες ὡς ἰσχυρόταται. ἡ δὲ νοῦσος, θανατώδης, ἄλλως τε καὶ ἢν φθῇ ἡ γαστὴρ μεστωθεῖσα ὕδατος. ὅταν δὲ ἀπὸ σπληνὸς, ἢ ἥπατος, ἢ λευκοῦ φλέγματος, ἢ δυσεντερίης ἐς ὕδρωπα μεταστῇ, θεραπεύειν μὲν τοῖσιν αὐτοῖσι ξυμφέρει, διαφεύγουσι δὲ οὐ μάλα· τῶν γὰρ νουσημάτων ὅ, τι ἂν ἕτερον ἐφ' ἑτέρῳ γένηται, ὡς τὰ πολλὰ ἀποκτείνει. ὅταν γὰρ ἀσθενεῖ τῷ σώματι

Qvum voluulus corripuerit, venter durus redditur, nihilque deijcit, dolorque totam inferiorem aluum detinet, & febris, & sitis. Interdum etiam præ dolore bilem æger vomit. Hunc & intùs & extrà humectare oportet; & multâ calidâ lauare; bibereque quæ & aluum moueant, & vrinam deducant; & aluum subluere, si admittat. Quod si dysterem non admittat, fistulâ propendulo vtriculi petiolo alligatâ & inflatâ, multus flatus immittendus. Quúmque intestinum & venter à flatu eleuata fuerint, exemptâ fistulâ statim dyster inijciendus. Quem si admiserit, aluus deijciet & conualescet. Si verò ne ita quidem dysterem receperit, septimo potissimùm die moritur. Oritur autem eiusmodi morbus, quum stercore aceruatim combusto in intestino, pituita circa hoc colligitur, intestinúmque, his nimirùm confertim induratis, intumescit, nullúmque ex his medicamentis, quæ per superiora bibuntur, recipit, sed vomitione reijcit; neque admota per inferiora infusa recipit. Est autem morbus acutus & periculosus. Hydrops autem plerúnque oritur, quum quis ex morbo longo non purgatus, diuturno tempore moratur. Carnes nanque corrumpuntur, & liquantur, & fit aqua. Sed & fit hydrops à liene, vbi ægrotarit; & ab hepate, & albâ pituitâ, & à dysenteriâ & lienteriâ. Et si quidem hydrops ex purgationis defectu oboriatur, venter aquâ impletur, pedes & tibiæ attolluntur, humeri verò, clauiculæ, pectus, & femora contabescunt. Hunc si incipientem curandum acceperis, priusquàm aquâ exuberante distentus fuerit, medicamenta propina, quibus aqua aut pituita per inferiora purgetur. Bilis verò minimè mouenda. Victûs ratio instituenda in cibis & potibus, laboribus & deambulationibus, à quibus gracilis & siccus reddatur, & carnes quàm robustissimæ. Hic verò morbus cùm aliàs lethalis est, tum si venter aquâ repletus fuerit. At quum à liene, aut hepate, aut albâ pituitâ, aut dysenteriâ in hydropem transierit, per eadem quidem curare confert; neque tamen admodum euadunt. In morbis enim, qui alter alteri succedit, plerúnque interficit. Quum enim corpori

e

à præsenti morbo debilitato, alter morbus accesserit, præ imbecillitate priùs perit, quàm alter qui posterior accessit, morbus desinat. Aqua sanè sic gignitur. Quum carnes pituitâ, tempore, morbo, purgationis penuriâ, prauâ curatione, & febribus corruptæ fuerint, liquescunt & aquam gignunt; neque in se quidem venter aquam distribuit, sed in eius ambitu ipsa consistit. Si igitur à medicamentis, ac reliqua victûs ratione auxilium percipiat, eiusque venter euacuetur, satis est. Sin minùs, sectione factâ aquam educito. Fit autem sectio vel iuxta vmbilicum, vel retrò iuxta ilia. Indè verò pauci etiam euadunt.

A ἐόντι ὑπὸ τῆς προεούσης νούσου, ἑτέρη νοῦσος ἐπιγένηται, προαπόλλυται ὑπὸ ἀσθενείης, πρὶν ἢ τὴν ἑτέρην νοῦσον τὴν ὑστέρην γενομένην, τελευτῆσαι. [28] Τὸ δὴ ὕδωρ γίνεται οὕτως. ἐπειδὰν αἱ σάρκες ὑπὸ φλέγματος, καὶ χρόνου, καὶ νόσου, καὶ ἀκαθαρσίης, καὶ κακοθεραπείης, καὶ πυρετῶν διαφθαρῶσι, τήκονται, καὶ γίνονται ὕδωρ. καὶ ἡ μὲν κοιλίη οὐ μεταδιδοῖ ὕδωρ ἐς ἑωυτὴν, κύκλῳ δὲ περὶ αὐτὴν γίνεται. B καὶ ἢν μὲν οὖν ὑπὸ τῶν φαρμάκων καὶ τῆς ἄλλης διαίτης ὠφελέηται, καὶ ἡ γαστὴρ λαπάσσηται, αὐτοῦ· ἢν δὲ μὴ, ταμὼν ἀφεῖναι τοῦ ὕδατος· τέμνεται δὲ ἢ παρὰ τὸν ὀμφαλὸν, ἢ ὄπισθεν κατὰ τὴν λαγόνα. διαφεύγουσι δὲ καὶ ἐντεῦθεν ὀλίγοι.

CAPVT VII.

De dysenteriæ, lienteriæ, diarrhœæ, tenesmi, choleræ causis, signis, & curatione.

QVum dysenteria detinuerit, dolor totum ventrem occupat, & tormina, bilem pituitamque & sanguinem adustum per aluum deijcit. Huius purgato capite, medicamentum, quod sursùm pituitam purget, propinato; & aluo lacte cocto ablutâ, reliquum corpus curato. Et si quidem febris expers fuerit, aluum vnguinosis, pinguibus, dulcibus, ac liquidis semper subducito, & quæ insunt semper educito; & si dolor detineat, partes sub vmbilico calidâ multâ lauato; potiones, sorbitiones & cibos, prout in medicamentorum tractatione scriptum est, adhibeto. Oritur hic morbus, postquàm bilis & pituita in venas & aluum decubuerint. Ægrotat quidem sanguis, & corruptus secedit; ægrotat quoque intestinum, & raditur, ac exulceratur. Longus autem hic morbus redditur, laboriosus, & lethalis. Ac si quidem robusto adhuc corpore curetur, effugiendi spes est; si verò iam colliquato, ventréque penitus exulcerato, vitæ nulla spes est. Lienteria. Cibi deijciuntur incorrupti, liquidi; dolor non adest; corpus autem extenuatur. Hunc iisdem, quibus dysenteriâ detentos, curato. Hic morbus oboritur, quum ex capite, & superiore ventre in inferiorem ventrem pituitæ defluxus ruerit. Quum autem id fit, cibi ab eo refrigerantur & humectantur, eorúmque incorruptorum celer fit secessus; & corpus liquescit, quum simul cibi non idoneo tempore in ventriculo coquantur, & simul à ventriculo calido præter naturam incalescat. At quum diarrhœa detinet longa, primùm quidem quæ ingeruntur, liquida per aluum secedunt, deinde pituita; & moderatè quidem comedit, verùm à copiosâ alui deiectione debilis ac gracilis redditur. Hunc veratro potui exhibito, & capite pituitâ

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν τῆς δυσεντερίας, καὶ λειεντερίας, καὶ διαῤῥοίας, καὶ τεινεσμοῦ, καὶ χολέρας αἰτιῶν, καὶ σημείων, καὶ θεραπείας.

C ΔΥσεντερίη ὅταν ἔχῃ, ὀδύνη ἔχει κατὰ πᾶσαν τὴν κοιλίην, καὶ στρόφος, καὶ διαχωρέει χολήν τε καὶ φλέγμα, καὶ αἷμα ξυγκεκαυμένον. τούτου καθήρας τὴν κεφαλὴν, φάρμακον πίσαι ἄνω, ὅ, τι φλέγμα καθαίρει· καὶ τὴν κοιλίην γάλακτι ἑφθῷ διανίψας, τὸ ἄλλο σῶμα θεραπεύειν. καὶ ἢν μὲν ἀπύρετος ᾖ, τὴν μὲν κοιλίην λιπαροῖσι, καὶ πίοσι, καὶ γλυκέσι, καὶ ὑγροῖσιν ὑπάγειν αἰεὶ τὰ ἐνεόντα· καὶ λούειν πολλῷ D καὶ θερμῷ τὰ κάτω τοῦ ὀμφαλοῦ, ἢν ὀδύνη ἔχῃ· τὰ δὲ πόματα, καὶ τὰ ῥοφήματα καὶ τὰ σιτία προσφέρειν, κατὰ τὰ γεγραμμένα ἐν τῇ φαρμακίτιδι. ἡ δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα καταστηρίξῃ ἐς τὰς φλέβας καὶ τὴν κοιλίην· νοσέει μὲν τὸ αἷμα, καὶ διαχωρέει ἐφθαρμένον· νοσέει δὲ καὶ τὸ ἔντερον, καὶ ξύεται καὶ ἑλκοῦται. γίνεται δὲ αὕτη ἡ νοῦσος, καὶ μακρὴ, καὶ πολύπονος, καὶ θανατώδης· καὶ ἢν μὲν ἔτι τοῦ σώματος ἰσχύοντος θεραπεύηται, ἐλπὶς διαφυγεῖν· ἢν δὲ ἤδη ἐκτετηκότος, καὶ E τῆς κοιλίης παντάπασιν ἡλκωμένης, ζωῆς οὐδεμία ἐλπίς. Λειεντερίη. Τὰ σιτία διαχωρέει ἄσηπτα, ὑγρά· ὀδύνη δὲ [29] οὐκ ἔνι· λεπτύνεται δὲ καὶ τὸ σῶμα. [30] Τοῦτον θεραπεύειν ἐν τοῖσιν αὐτοῖσι, τοῖς ὑπὸ δυσεντερίης ἐχομένοις· ἡ δὲ νοῦσος γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς, καὶ τῆς ἄνω κοιλίης κατάῤῥοος γένηται τοῦ φλέγματος ἐς τὴν κάτω κοιλίην· ὅταν δὲ τοῦτο, τὰ σιτία ὑπ' αὐτοῦ ψύχεται καὶ ὑγραίνεται, καὶ ἡ ἄφοδος αὐτῶν ἀσήπτων ταχείη γίνεται· F καὶ τὸ σῶμα τήκεται, ἅμα μὲν οὐ πεσσομένων τῶν σιτίων ἐν τῇ κοιλίῃ χρόνον ἱκανὸν, ἅμα δὲ ὑπὸ τῆς κοιλίης θερμῆς ἐούσης παρὰ φύσιν [31] θερμαινόμενον. Διάῤῥοια δὲ ἡ μακρὴ ὅταν ἔχῃ, διαχωρέει πρῶτον μὲν τὰ εἰσιόντα ὑγρὰ, ἔπειτα φλέγμα· καὶ ἐσθίει μὲν ἐπιεικῶς, ὑπὸ δὲ τῆς πολλῆς διαχωρήσιος ἀσθενὴς καὶ λεπτὸς γίνεται. Τοῦτον ἄνω [32] ἀποξηραίνειν, ἐλλέβορον πιπίσκων, καὶ τὴν κεφαλὴν καθαίρων

φλέγμα· διανίψαι δὲ καὶ τὴν κοιλίην γάλακτι ἑφθῷ· A ἔπειτα τἄλλα σιτίοισι καὶ ποτοῖσι θεραπεύειν, ὑφ᾽ ὧν ξηρανεῖται ἡ κοιλίη καὶ τὸ σῶμα πᾶν. ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτῶν γίνεται, ἀφ᾽ ὧν καὶ ἡ λειεντερίη. Αὗται αἱ νοῦσοι ἥτε δυσεντερίη, καὶ ἡ λειεντερίη, καὶ διάῤῥοια, παραπλήσιαι εἰσί· καὶ δεῖ αὐτὰς οὕτως ἰῆσθαι· τὸν μὲν κατάῤῥοον ἀπολαμβάνειν τὸν ἀπὸ τῆς κεφαλῆς καὶ τῆς ἄνω κοιλίης, ἢ ἀποτρέπειν· τοῦ γὰρ νουσήματος ἡ φύσις ἐντεῦθεν γίνεται, καὶ οὐδεὶς οὐδὲν σου μέμψεται τὴν διάνοιαν. σχεδὸν δὲ καὶ τἄλλα νουσή- B ματα ὧδε δεῖ σκοπεῖν, ὁκόθεν ἑκάστῳ ἡ φύσις γίνεται· καὶ οὕτω σκοπῶν καὶ λαμβάνων τὴν ἀρχὴν τῶν νουσημάτων, ἥκιστ᾽ ἂν ἁμαρτάνοις. Τεινεσμὸς ὅταν λάβῃ, διαχωρέει αἷμα καὶ μύξα, καὶ πόνος ἐν τῇ κάτω κοιλίῃ γίνεται, καὶ μάλιστα ὅταν εἰς ἄφοδον ἴζῃ. Τούτῳ ξυμφέρει τὴν κοιλίαν διυγραίνειν, καὶ λιπαίνειν, καὶ [33] λεαίνειν, καὶ ὑπάγειν τὰ ἐνεόντα, καὶ λούειν θερμῷ πλὴν τῆς κεφαλῆς. Φιλέει δὲ ἡ νοῦσος αὕτη τὰ σιτία πλείω C τελέειν· [34] οἱ γὰρ στρόφοι, κενουμένης τῆς κοιλίης ὑπὸ τοῦ αἵματος διεξιόντος, καὶ τῆς μύξης, καὶ προσαποπιπτόντων πρὸς τὸ ἔντερον, γίνονται· ἐνεόντων δὲ τῶν σιτίων, ἧσσον δῆξιν παρέχει τῷ ἐντέρῳ. καὶ γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ὧν καὶ ἡ δυσεντερίη· ἀσθενεστέρη δὲ, καὶ ὀλιγοχρονίη, καὶ οὐ θανατώδης. Ὅταν δὲ ἐξ οἴνου ἢ ὑπὸ εὐωχίης χολέρη λάβῃ ἢ διάῤῥοια· τῇ μὲν διαῤῥοίᾳ ξυμφέρει διανηστεύειν, καὶ ἢν δίψος ἔχῃ, οἶνον διδόναι γλυκὺν, ἢ στέμφυλα γλυκέα· ἐς ἑσπέρην D δὲ διδόναι ταῦτα, ἃ καὶ τοῖσιν ὑπὸ φαρμάκου κεκαθαρμένοισιν. ἢν δὲ μὴ παύηται, ἐθέλῃς δὲ παῦσαι, ἔμετον ἀπὸ σιτίου ἢ φακίου ποιῆσαι, καὶ παραχρῆμα ἀνασπᾶται ἄνω ἡ κάτω ἄφοδος· καὶ ἢν διακλύσῃς χυλῷ φακῶν ἢ ἐρεβίνθων, καὶ οὕτως που παύσεται. Τῇ δὲ χολέρῃ ξυμφέρει, ἢν μὲν ὀδύνην ἔχῃ, διδόναι ἃ γέγραπται ἐν τοῖσι φαρμάκοισι παύοντα τὴν ὀδύνην· τὴν δὲ κοιλίην θεραπεύειν τήν τε ἄνω καὶ τὴν κάτω, διυγραίνον- E τα πόμασι, καὶ μαλάσσοντα τὸ σῶμα λουτροῖσι θερμοῖσι, πλὴν τῆς κεφαλῆς· καὶ ὅ, τε ἔμετος οὕτως εὐπετέστερος γίνεται, καὶ ἢν ἐσίῃ τι ὑγρὸν, καὶ τὰ προσεστηκότα ἄνω ἀπεμέεται, καὶ ἡ κάτω ὑποχώρησις μᾶλλον διαχωρέει· ἢν δὲ [36] κενώσῃ, ἐμέεται βιαίως, καὶ ὑποχωρέει βιαιότερον· ἐς ἑσπέρην δὲ διδόναι καὶ τούτῳ, ὅσαπερ τῷ φαρμακοποτέοντι. γίνεται δὲ καὶ ταῦτα τὰ ἀλγήματα, ὅσα ἐκ ποσίων γίνεται, ἢ ἐξ εὐωχίης, [37] ὅταν τὰ σιτία καὶ τὰ ποτὰ πλέον τοῦ εἰωθότος ἐς τὴν κοιλίην εἰσέλθῃ, καὶ τὰ ἔξωθεν εἰω- F θότα ὑπερθερμαίνῃ τὸ σῶμα, κινέῃ χολὴν καὶ φλέγμα.

A *purgato, supra resiccato; lacte cocto alvum eluito; deinde reliqua curato per cibos & potiones, quibus venter & totum corpus exiccetur. Morbus ab iisdem oritur, a quibus lienteria. Hi morbi, dysenteria, lienteria, ac diarrhœa, sunt consimiles; eosque sic curare oportet, ut defluxionem quidem à capite & superiore ventre intercipias aut auertas; morbi nanque natura inde manat, neque est qui quâ in re sententiam tuam coarguat. At ferè & reliquos morbos sic considerare oportet,* B *unde unicuique natura sit. Quòd quum ita consideraueris, morborúmque principium deprehenderis, minimè aberraueris. Quum tenesmus prehenderit, sanguis & mucus secedunt, dolorque in inferiore aluo oritur, ac maximè ubi ad secessum deuenerit. Huic aluum proluere, lenire, ac detergere conuenit, quæ intus sunt, subducere, & calidâ, excepto capite, lauare. Hic autem morbus plures cibos insumere consueuit. Quum* C *enim euacuatur venter, à sanguine ac muco transeuntibus, & ad intestinum illabentibus tormina fiunt. Intùs autem existentibus cibis, minorem intestino mordacitatem exhibent. Ac fit quidem ex iisdem, à quibus & dysenteria; verùm imbecillior, & breuis, miniméque lethalis. Quum autem ex vino aut ab epulis cholera prehenderit, aut diarrhœa; diarrhœæ quidem ieiunium confert; & si sitis detineat, vinum dulce exhibendum, aut vuarum dulcium retrimenta. Sub vesperam autem ea dan-* D *da, quæ à medicamento purgatis dantur. Quòd si non sedetur, sedare autem velis, vomitum post cibum aut lenticulæ decoctum, excitato; confestimque per inferiora secessus sursùm reuellitur; sique lentium aut cicerum cremore elueris, sic quoque quodammodò sedabitur. At choleræ confert, si quidem dolor detineat, ea dare quæ in medicamentis dolorem sedare scripta sunt. Venter autem tum superior, tum inferior, potionibus humectantibus cu-* E *randus, corpusque excepto capite, balneis calidis emollientibus; sicque facilior vomitus contingit, & siquid humidi subierit, quæ molesta sunt, sursùm reuomuntur, & per inferiora secessus magis prodit. Quòd si vacuus fuerit, violenter euomuntur, & violentiùs secedunt. Sub vesperam autem etiam huic dato, quæ ei qui medicamento purgante usus est, exhibentur. At hi dolores qui ex vini potionibus aut epulis contingunt, oriuntur etiam, quum cibi & potus solito copiosiores in* F *ventriculum subierint, quæque foris corpus supra modum calefacere solent, bilem & pituitam agitant.*

CAPVT

CAPVT VIII.

De stranguriæ, ischiadis, arthritidis, & podagræ caussis, signis, & curatione.

Stranguriæ multi quidem & varij sunt modi. Confert verò, foris quidem corpus balneis calidis emollire; intùs verò humectare, aluum quidem cibis quibus fluida reddatur, vesicam verò potionibus, à quibus vrinæ quamplurimùm profluit. Ex medicamentis autem vrinam cientibus, ea danda sunt, quæ in medicamentorum tractatu dolorem sedare scripta sunt. Morbus verò à pituita oritur. Et quum quidem vesica resiccata, aut refrigerata, aut vacuata fuerit, dolorem exhibet; quum verò humida & plena, aut etiam distenta est, minùs. Hic autem morbus senioribus quidem longior fit; iunioribus verò, breuior, neutris tamen lethalis. Quum ischias fit, dolor coxæ connexionem inuadit, & extremam natem, ac lumbum; tandem verò per totum etiam crus dolor deerrat. Huic confert, quum dolor detinuerit, balneis, linimentis tepentibus, ac fomentis emollire ad quamcunque cruris partem dolor fortè decubuerit, aluumque subducere. Quum autem leuatus dolor fuerit, medicamentum infra purgans exhibere, & post hæc lac asininum coctum potare. Ad dolorem autem dentur quæ scripta sunt in medicamentorum tractatione. Oritur hic morbus quum bilis & pituita ad venam sanguifluam decubuerit, aut ex alio morbo, aut aliàs, quicquid sanguinis à pituita & bile coactum, ægrotarit. Istud enim toto crure per venam sanguifluam vagatur; & vbicunque constiterit, ibi etiam dolor maximè manifestus & molestus contingit, non tamen lethalis. Si verò in vnum aliquem locum decubuerit dolor, & constiterit, neque medicamentis expellatur, vrito quocunque loco dolor forte extiterit; sed eum lino crudo inurito. Arthritis morbus quum detinet, corporis articulos ignis & dolor inuadit. Prehendit etiam acutus, & ad alium atq; alium etiam articulũ vehementiores & leuiores dolores decumbunt. Huic, quâ parte dolor detinet, refrigerantia admouere confert, & quæ in vẽtre sunt, per clysteres & glandẽ subducere; & quicquid tibi profuturũ videbitur, sorbendum & bibendum exhibere. Quum verò dolor adfuerit, medicamentum deorsùm purgans propinato; & post hoc serum coctum aut lac asininum potui exhibeto. Hic morbus ex bile & pituita oritur, quum agitata ad articulos decubuerint. Et breuis quidem & acutus euadit sed minimè lethalis, iunioribus que magis quã senioribus contingere solet. Podagra *Eius modi omnium, qui circa articulos oboriuntur,* affectuum *violentissimus quidem existit, ac diuturnissimus, quique ægerrimè soluitur. Et est hic quidem morbus sanguinis, in venis à bile & pituita corrupti. At quò magis in tenuissimis fuerit venulis, ac in plurimã corporis necessitate constitutis, & in neruis, & ossibus multis ac densis, eo sanè tũ permanentissimus morbus est, tum ægerrimè*

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς στραγγουρίας, καὶ ἰσχιάδος, καὶ ἀρθρίτιδος, καὶ ποδάγρας αἰτίων, καὶ σημείων, καὶ θεραπείας.

Στραγγουρίης τρόποι μὲν πολλοὶ καὶ παντοῖοι. Ξυμφέρει δὲ, ἔξωθεν μὲν τὸ σῶμα μαλθάσσειν λουτροῖσι θερμοῖσιν, ἔσωθεν δὲ διυγραίνειν, τὴν μὲν κοιλίην σιτίοισιν ὑφ' ὧν ὑγρὸς ἔσται, τὴν δὲ κύστιν ποτοῖσιν ὑφ' ὧν τὸ οὖρον ὡς πλεῖστον[38] διαχεῖται· διδόναι δὲ καὶ τῶν διουρητικῶν φαρμάκων, ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι παύοντα τῆς ὀδύνης. ἡ δὲ νοῦσος ὑπὸ τοῦ φλέγματος γίνεται, καὶ ὅταν μὲν ἡ κύστις ξηρανθῇ, ἢ ψυχθῇ, ἢ κενωθῇ, ὀδύνην παρέχει· ὅταν δὲ ὑγρή τε ἔστι, καὶ πλήρης, ἢ καὶ κεχυμένη, ἧσσον. ἡ δὲ νοῦσος τοῖσι μὲν παλαιοτέροισι, μακροτέρη γίνεται· τοῖσι δὲ νεωτέροισι, βραχυτέρη· θανατώδης δὲ οὐδετέροισιν. Ἰσχιὰς δὲ ὅταν γένηται, ὀδύνη λαμβάνει ἐς τὴν περόσφυσιν τοῦ ἰσχίου, καὶ ἐς ἄκρον τὸ πυγαῖον, καὶ ἐς τὸν γλουτόν· τέλος δὲ καὶ διὰ παντὸς τοῦ σκέλεος πλανᾶται ἡ ὀδύνη. Τούτῳ συμφέρει, ὅταν ἡ ὀδύνη ἔχῃ, μαλθάσσειν, καθ' ὁκοῖον ἂν τυγχάνῃ τοῦ σκέλεος στηρίζουσα ἡ ὀδύνη, ἐν λουτροῖσι καὶ χλιάσμασι καὶ πυρίῃσι, καὶ τὴν κοιλίην ὑπάγειν· ὅταν δὲ λωφήσῃ ἡ ὀδύνη, φάρμακον δοῦναι κάτω, καὶ μετὰ ταῦτα πίνειν γάλα ὄνου ἑφθόν· διδόναι δὲ τῆς ὀδύνης ἃ γέγραπται παρὰ τοῖσι φαρμάκοισιν. ἡ δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα ἐς τὴν αἱμόρροον φλέβα κατασκήψῃ, ἢ ἐξ ἑτέρης νούσου, ἢ ἄλλως, ὁκόσον ἂν τοῦ αἵματος ὑπὸ φλέγματος, καὶ χολῆς νοσήσῃ ξυνεστηκός· τοῦτο γὰρ πλανᾶται ἀνὰ τὸ σκέλος διὰ τῆς φλεβὸς τῆς αἱμόρρου, καὶ ὅκου ἂν στῇ, κατὰ τοῦτο καὶ ἡ ὀδύνη ἔνδηλος γίνεται μάλιστα καὶ ἐπίπονος, θανατώδης δὲ οὔ. Εἰ δὲ ἐς ἕν τι χωρίον κατασκήψῃ ἡ ὀδύνη, καὶ στῇ, καὶ τοῖσι φαρμάκοισι μὴ ἐξελαύνηται, καῦσαι καθ' ὁκοῖον ἂν τυγχάνῃ ἐοῦσα ἡ ὀδύνη· καίειν δὲ τῷ ὠμολίνῳ. Ἀρθρῖτις νοῦσος ὅταν ἔχῃ, λαμβάνει πῦρ καὶ ὀδύνη τὰ ἄρθρα τοῦ σώματος· λαμβάνει δὲ καὶ ὀξεῖη, καὶ ἐς ἄλλο τε καὶ ἄλλο τῶν ἄρθρων, ὀξύτεραί τε καὶ μαλακώτεραι κατασκήπτουσιν αἱ ὀδύναι. τούτῳ ξυμφέρει προσφέρειν ᾗ ἂν ἡ ὀδύνη ἔχει, ψύγματα, καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα κλύσμασιν ἢ βαλάνῳ, καὶ[39] ῥοφᾶν διδόναι καὶ πίνειν, ὅ, τι ἂν δοκέῃ σοι ξυνοίσειν. ὅταν δὲ ἡ ὀδύνη[40] ἐνῇ, φάρμακον κάτω πῖσαι, καὶ μετὰ τοῦτον πίνειν ὀῤῥὸν ἑφθὸν,[41] ἢ ὄνου γάλα. ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς καὶ φλέγματος, ὅταν κινηθέντα εἰς τὰ ἄρθρα κατασκήψῃ· καὶ ὀλιγοχρονίη μὲν γίνεται, καὶ ὀξεῖη, θανατώδης δὲ οὔ, νεωτέροισι δὲ εἴωθε μᾶλλον ἢ γεραιτέροισι γίνεσθαι. Ποδάγρη.[42] Βιαιότατον μὲν τῶν τοιούτων ἁπάντων, ὁκόσα περὶ τὰ ἄρθρα, καὶ πουλυχρονιώτατον, καὶ δυσαπαλλακτότατον. καὶ ἔστι μὲν ἡ νοῦσος αὕτη, τοῦ αἵματος ἐφθαρμένου τοῦ ἐν τοῖσι φλεβίοισιν ὑπὸ χολῆς καὶ φλέγματος· ὅσῳ δὲ ἐν λεπτοτάτοισι τοῖσι φλεβίοισι,[43] καὶ ἐν ἀνάγκῃ πεφυκόσι πλείστῃ τοῦ σώματος, καὶ ἐν νεύροισι καὶ ὀστέοισι πολλοῖσί τε καὶ πυκνοῖσι, τοσούτῳ δὴ παραμονιμώτατόν τέ ἐστι τὸ νούσημα, καὶ δυσαπαλλακτότατον,

ξυμφέρει δὲ καὶ ταύτῃ τὰ αὐτὰ, ἃ καὶ τῇ ἀρθρίτιδι, καὶ μακρὴ μὲν καὶ αὕτη ἡ νοῦσος καὶ ἐπίπονος, θανατώδης δὲ οὔ. ἢν δὲ τοῖσι δακτύλοισιν ἡ ὀδύνη ἐγκαταλείπεται, καῦσαι τὰς φλέβας τοῦ δακτύλου ὑπὲρ τοῦ κονδύλου ὀλίγον· καίειν δὲ ὠμολίνῳ.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τοῦ ἰκτέρου καὶ τῶν φυμάτων αἰτίων καὶ τῆς θεραπείας· καὶ περὶ τῶν αἰσχρῶν παθῶν, τῆς λέπρας, καὶ τοῦ κνησμοῦ, καὶ τῆς ψώρας, καὶ τῶν λειχήνων, καὶ τοῦ ἀλφοῦ, καὶ τῆς ἀλωπεκίας καὶ τοῦ κηρίου, καὶ τῶν χοιράδων, καὶ φυγέθλων, καὶ δοθιήνων, καὶ ἀνθράκων.

Τὸν δὲ ἴκτερον ὧδε χρὴ θεραπεύειν. ἔξωθεν μὲν τὸ σῶμα μαλθάσσειν λουτροῖσι θερμοῖσι, τὴν δὲ κοιλίην διυγραίνειν καὶ τὴν κύστιν, καὶ τῶν διουρητικῶν διδόναι, ἃ προγέγραπται. ἢν δὲ ἰσχυρὸς ᾖ, καθήρας τὴν κεφαλὴν, φάρμακόν τι πίσαι κάτω, ὃ χολὴν καθαίρει, ἔπειτα δὲ τοῖσι διουρητικοῖσι χρῆσθαι. ἡ δὲ νοῦσος γίνεται, ὅταν χολὴ κινηθεῖσα ὑπὸ τὸ δέρμα τράπηται. Ταῦτα δὲ ἐπιστάμενος ἀνὴρ ἰδιώτης, οὐκ ἂν ὁμοίως ἐμπίπτοι εἰς ἀμήχανα νουσήματα· καὶ γὰρ νουσήματα εἴωθεν ἀπὸ μικρῶν προφασίων μεγάλα καὶ πολυχρόνια γίνεσθαι. καὶ ὅσα μὲν σιτίων ἢ ποτῶν ἐχόμενά ἐστιν, ἢ ῥοφημάτων, ἢ φαρμάκων, ὅσα ὀδύνης εἵνεκα δίδοται, ἀκίνδυνά ἐστιν ἅπαντα προσφέρειν ἀεὶ, ἐὰν κατὰ τὰ γεγραμμένα προσφέρῃς· ὅσα δὲ καθαίρει τῶν φαρμάκων, χολὴν ἢ φλέγμα, ἐν τούτοισιν οἱ κίνδυνοι γίνονται, καὶ αἱ αἰτίαι τοῖσι θεραπεύουσι· φυλάσσεσθαι οὖν χρὴ ταῦτα μάλιστα. Ταῦτα μὲν ὅσα κατὰ κοιλίην γίνεται νουσήματα, πλὴν περὶ ἐμπύων, καὶ φθινόντων, καὶ τῶν γυναικείων· ταῦτα γὰρ χωρὶς γεγράψεται. Φύματα ὅσα φύεται, πάντα ὑπὸ φλέγματος, ἢ αἵματος φύεται. [44] ὅταν δὲ ὑπὸ τρώματος ἢ πτώματος ἀθροισθῇ, ξυμφέρει δὴ τούτων, τὰ μὲν καταπλάσσοντα καὶ φάρμακα πιπίσκοντα διαχεῖν, τὰ δὲ καταπλάσσοντα πεπαίνειν. Διαχέει μὲν τῶν καταπλασμάτων ὅσα θερμὰ ὄντα ὑγραίνει, καὶ μὴ ἀπάγει ἐς ἑωυτά· πεπαίνει δὲ, ὅσα θερμαίνοντα ξυνάγει. ὅταν δέ τι τμηθῇ, ἢ αὐτόματον ῥαγῇ, φαρμάκῳ ἀνακαθαίρειν τὸ ὑγρόν· ὅταν δὲ πυορροοῦν παύσηται, ὡς ἕλκος ἰᾶσθαι. Λέπρη, καὶ κνησμὸς, καὶ ψώρη, καὶ λειχῆνες, καὶ ἀλφὸς, καὶ ἀλώπεκες, ὑπὸ φλέγματος γίνονται· ἔστι δὲ τὰ τοιαῦτα αἶσχος μᾶλλον, ἢ νουσήματα. Κηρίον, καὶ χοιράδες, καὶ φύγεθλα, καὶ δοθιῆνες, καὶ ἄνθραξ, ὑπὸ φλέγματος φύεται. τούτοισι τοῖσι φαρμάκοισιν, ἀποκαθαίροντας, ὧδε χρῆσθαι. ὅσοι μὲν χολώδεές εἰσι, διδόναι τὰ ὑφ' ὧν χολὴ καθαίρεται· ὅσοι δὲ φλεγματώδεες, τὰ ὑφ' ὧν φλέγμα· ὅσοι δὲ μελαγχολῶσι, τὰ ὑφ' ὧν μέλαινα χολή· τοῖσι δὲ ὑδρωπιῶσι, τὰ ὑφ' ὧν ὕδωρ. ὅσα δὲ δίδοται φάρμακα ποτὰ, καὶ μὴ [45] καθαίρει μήτε χολὴν, μήτε φλέγμα, ὅταν ἐς τὸ σῶμα εἰσέλθῃ, τὴν δύναμιν αὐτὰ παρέχεσθαι δεῖ, ἢ ψύχοντα, ἢ θερμαίνοντα, ἢ ξηραίνοντα, ἢ ὑγραίνοντα, ἢ ξυνάγοντα, ἢ διαχέοντα· ὅσα δὲ ὕπνον ποιέει, ἀτρεμίζειν δεῖ τὸ αἷμα παρέχειν [46] τὸ φάρμακον.

profligatur. Huic autem eadem, quæ & arthritidi, conferunt. Et longus quidem etiam hic morbus est & molestus, minimè tamen lethalis. Quòd si in digitis dolor relinquatur, venas in digito paululùm supra articuli nodum inurito. Vstio autem per linum crudum fiat.

CAPVT IX.

De icteri, & tuberculorum causis & curatione, & de fœdis affectibus, leprâ, prurigine, scabie, impetigine, vitiligine, alopeciâ, fauo, strumis phygethlis, furunculis, & carbunculis.

ICterus autem ita curandus est. Corpus quidem balneis calidis foris emolliendum; aluus verò & vesica humectanda, & ex vrinam cientibus danda quæ ante scripta sunt. Quòd si vehemens fuerit, capite purgato, medicamentum quoddam, quod bilem per inferiora purget, propinato; posteà verò vrinam ducentibus vtendum. Hic autem morbus oritur, quum bilis commota sub cutem fusa fuerit. Hæc autem si vir priuatus nouerit, haud similiter in incurabiles morbos inciderit. Solent enim morbi ex paruis causis externis, magni ac diuturni fieri. Et quæ quidem ad cibos aut potiones spectant, vel sorbitiones, vel medicamenta quæcunque doloris gratiâ exhibentur, ea omnia semper sine periculo exhibentur, si prout præscripta sunt, exhibueris. Quæ verò medicamenta bilem aut pituitam purgant, in his pericula constituuntur, & culpæ medentibus imputantur. Hæc igitur maximè euitare oportet. Atque ij quidem morbi sunt qui circa ventrem oriuntur, suppuratis & tabidis, & muliebribus morbis exceptis. Hi enim seorsim scribentur. Quæ tubercula nascuntur, omnia à pituita aut sanguine nascuntur. Quum autem à vulnere aut casu collecta fuerint, hæc sanè confert partim quidem cataplasmatis inducere, & medicamentis epotis discutere, partim verò cataplasmatis impositis maturare. Ex cataplasmatis autem discutiunt, quæcunque calida humectant, neque ad se trahunt. Maturant autem, quæ calefaciendo cogunt. Quum verò aliquod sectum aut sponte ruptum fuerit, medicamento humorem repurgato; quum autem pus effluere desierit, velut vlcus curato. Lepra, pruritus, scabies, impetigines, vitiligo, & alopeciæ ex pituita oriuntur. Sunt autem ista fœditas potius, quàm morbi. Fauus, strumæ, phygethla, furunculi, & carbunculus, à pituita oriuntur. In his, vt ea repurges, medicamentis ad hunc modum vtendum. Quicunque biliosi quidem sunt, his ea exhibeto, quibus bilis repurgetur; pituitosis verò, à quibus pituita; melancholicis autem, à quibus bilis atra; hydropicis verò, à quibus aqua. Quæ medicamenta potui dantur, neque bilem, neque pituitam purgant, ea quum corpus subierint, facultatem suam exhibere oportet, aut refrigerantia, aut calefacientia, aut siccantia, aut humectantia, aut cogentia, aut diffundentia. Quæ verò somnum conciliant, ea sanguini quietem per medicamentum præbere oportet.

A

CAPVT X.

Quæ apud ægrotum medico animaduertenda ac inquirenda sint; ac de idoneis vulnerato remedijs diæteticis ac pharmaceuticis.

Qvum verò ad ægrotum perueneris, quænam patiatur & quanam ex causa, interrogare, & quot diebus, an etiam venter secedat, & quo victu viuat; imprimisque animaduertere, vtrum morbus à bile aut pituita, aut ab vtrisque ortus sit. Probéque id nosse conuenit, *quod ab horum altero, aut vtroque vt* B *oriatur, necesse sit. Deinde vtrùm siccitate vel humiditate indigeat; aut aliæ quidem corporis partes siccitate, aliæ verò humiditate. Posteà an morbus per superiora, an per inferiora curandus sit, vel per vesicam; & num morbus increscat, aut minuatur; num soluatur, vel in alium transeat. Vulneratos fame conficito, & ex aluo quæ insunt, aut per clysterem, aut per medicamentum deorsum purgans exhibitum subducito, aquam vel acetum potui exhibeto, aut sorbitiones dato. Inflammata* C *cataplasmatis refrigeranda. Sint autem hæc cataplasmata, aut betæ in aqua coctæ, aut apium, aut oleæ folia, aut fici folia, aut rubi, aut quercûs, aut mali punicæ dulcis. Atque his coctis vtendum est; crudis verò rhamni folijs, aut viticis, aut saluiæ, aut Tithymalli; aut pulegium viride, aut porrum, aut apium, aut coriandrum, aut isatidis folia* admoueto. *Quòd si horum nihil habeas, neque vllum aliud cataplasma, polentã aquâ aut vino subactam ex cataplasmate imponito. Tandiu* D *autem cataplasmata hæc iuuant, quãdiu vlcere frigidiora fuerint; quum verò fuerint calidiora aut æquè calida, nocent. Pinguia inflammatis minimè conferunt, neque sordidis, neque putrescentibus. Verùm ad inflammata, frigida conferũt; ad sordida verò & putrescentia, acria, & quæ morsum quendam excitando purgant. Quum verò carnem generare voles, pinguia & calida magis conferunt. Ab his enim caro succrescit.*

E

CAPVT XI.

Sanorum victum ægrotis alterandum esse, & sorbitiones in omnibus morbis exhibendas esse; quæ esculenta & potulenta aluũ subducant & astringant, & vires recreent; quæ purgatis, febricitantibus, & febris expertibus exhibenda; quæ humectent, & exiccent.

Qvibus cibis, aut potionibus in victu per sanitatem homines vtuntur, ex his præsentibus ad ægrotos vti oportet, ita vt eos præpares calidos, frigidos, humidos, siccos; ex frigidis quidem calidos, & calidos ex minimè calidis, & siccos ex non siccis, & reliquos ad F *eundem modum. Neque verò de præsentium facultatibus dubitandum, neque absentia inuestiganda, quæ nullam ægro vtilitatem afferre possunt. Quòd si probè consideraueris, præter hæc, pauca inuenies, quibus apud ægrum vtaris. Sorbitiones autem in omnibus morbis exhibendæ, aut ptisana, aut milium, aut farina, aut alica. Ex his quæ ad alui deiectionẽ exhibueris, tenuia & cocta magis dulcioraque dato, quàm salsiora aut calidiora.*

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τίνα περὶ τῷ νοσοῦντι, τὸν ἰατρὸν ἐνθυμεῖσθαι καὶ ἐπανερωτᾶν χρή· καὶ περὶ τῶν ἐπιτηδείων τοῖς τραυματίαις βοηθημάτων, διαιτητικῶν τε καὶ φαρμακευτικῶν.

Ὅταν δ' ἐπὶ νοσέοντα ἀφίκῃ, ἐπανερωτᾶν χρὴ ἃ πάσχει, καὶ ἐξ ὅτου, καὶ ποσταῖος, καὶ τὴν κοιλίην εἰ διαχωρέει, καὶ δίαιταν ἥν τινα διαιτᾶται· καὶ ἐνθυμέεσθαι, πρῶτα μὲν τὸ νόσημα, πότερον ἀπὸ χολῆς ἢ φλέγματος γεγένηται, ἢ ἀμφότερα, καὶ τοῦτο εὖ εἰδέναι, ὅτι ἀνάγκην ἔχει, ὥστε ὑπὸ τούτων τοῦ ἑτέρου, ἢ ἀμφοτέρων γίνεσθαι· ἔπειτα πότερον ξηρασίης ἢ ὑγρασίης χρῄζει, ἢ τὰ μὲν τοῦ σώματος ξηρασίης, τὰ δὲ ὑγρασίης· ἔπειτα τὴν νοῦσον, εἴτε ἄνω δεῖ θεραπεύειν, εἴτε κάτω, εἴτε διὰ τῆς κύστιος· καὶ εἴτε αὔξεται ἡ νοῦσος, εἴτε μαραίνεται, εἴτε λύεται, εἴτε μεταπίπτει εἰς ἑτέραν νοῦσον. Τοὺς τραυματίας λιμοκτονέειν, καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα, ἢ ὑποκλύζοντα, ἢ φάρμακον κάτω διδόντα, καὶ πίνειν ὕδωρ ἢ ὄξος, ἢ ῥοφεῖν. τὰ φλεγμαίνοντα ψύχειν καταπλάσμασι· τὰ δὲ τοιαῦτα καταπλάσματά ἐστιν, ἢ τεῦτλα ἑφθὰ ἐν ὕδατι, ἢ σέλινον, ἢ ἐλαίης φύλλα, ἢ συκῆς φύλλα, ἢ βάτου, ἢ βαλάνου, ἢ ῥοιῆς γλυκείης· ἑφθοῖσι δὲ τούτοισι χρῆσθαι· ὠμοῖσι δὲ[47] ῥάμνου φύλλοισιν, ἢ ἄγνου, ἢ ἐλελισφάκου, ἢ τιθυμάλλου, ἢ γλήχωνα χλωρὸν, ἢ πράσα, ἢ σέλινα, ἢ κορίανον, ἢ ἰσάτιος φύλλα. ἢν δὲ μηδὲν ἀπὸ τούτων ἔχῃς, μηδὲ ἄλλο τι μηδὲν, κατάπλασμα, ἄλφιτον φυρήσας ὕδατι ἢ οἴνῳ, καταπλάσαι. τοσοῦτον δὲ χρόνον καταπλάσματα ταῦτ' ὠφελέει, ὁκόσον ἂν ψυχρότερα ἡ ἢ τὸ ἕλκος· ὅταν δὲ ἢ θερμότερα, ἢ ὁμοίως θερμὰ, βλάπτει. τὰ λιπαρὰ πρὸς τὰ φλεγμαίνοντα οὐ ξυμφέρει, οὐδὲ πρὸς τὰ ἀκάθαρτα, οὐδὲ πρὸς τὰ σηπόμενα· ἀλλὰ πρὸς μὲν τὰ φλεγμαίνοντα ξυμφέρει τὰ ψυχρὰ, πρὸς δὲ τὰ ἀκάθαρτα καὶ τὰ σηπόμενα, τὰ δριμέα, καὶ ὅσα δῆξιν τινα παρεχόμενα, καθαίρει· ὅταν δὲ σάρκα φῦσαι βούλῃ, τὰ λιπαρὰ καὶ τὰ θερμὰ μᾶλλον ξυμφέρει, πρὸς ταῦτα γὰρ ἡ σὰρξ θάλλει.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὅτι τὴν τῶν ὑγιαινόντων δίαιταν ἀλλοιοῦν χρὴ τοῖς νοσοῦσι· καὶ τὰ ῥοφήματα ἐν ταῖς νόσοις ἁπάσαις διδόναι. τίνα τὰ σιτία καὶ τὰ ποτὰ τὰ διαχωρητικὰ, καὶ στάσιμα, καὶ ἀνακομιστικά. τίνα τοῖς φαρμακοποτοῦσί τε καὶ ἀπύροις προσφέρειν δεῖ. τίνα τὰ ὑγραίνοντα καὶ τὰ ξηραίνοντα.

Ὁκόσοισιν οἱ ἄνθρωποι σιτίοισιν ἢ ποτοῖσιν ὑγιαίνοντες ἐς δίαιταν χρέονται, ἐκ τούτων χρὴ τῶν παρεόντων χρῆσθαι πρὸς τοὺς νοσέοντας, σκευάζοντα θερμὰ καὶ ψυχρὰ, καὶ ὑγρὰ καὶ ξηρὰ· ἐκ μὲν ψυχρῶν θερμὰ, καὶ θερμὰ ἐκ μὴ θερμῶν, καὶ ξηρὰ ἐκ μὴ ξηρῶν, καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν τρόπον. ἀπορέειν δὲ οὐ χρὴ, οὐδὲ τοῖσι παρεοῦσι μὲν μὴ δύνασθαι, τὰ ἀπόντα δὲ ζητέοντα μηδὲν ὠφελέειν τὸν κάμνοντα οἷόν τέ ἐστιν. εὑρήσεις δὲ, ἢν ὀρθῶς σκοπέῃς, ἔξω τουτέων, οἷσι πρὸς τὸν νοσέοντα χρέονται, ὀλίγα. Ῥοφήματα δὲ ἐν τοῖσι νούσοισιν ἁπάσῃσι διδόναι, ἢ πτισάνην, ἢ κέγχρον, ἢ ἄλητον, ἢ χόνδρον. Τούτων ὁκόσα μὲν διδῷς εἰς διαχώρησιν, λεπτὰ διδόναι, καὶ ἑφθότερα, καὶ γλυκύτερα, ἢ ἁλυκώτερα, ἢ θερμότερα·

ὁκόσα δὲ ἐς ἰσχὺν ἢ ἀνακομιδὴν, παχύτερα, λιπαρώτερα, καὶ μετρίως ἑφθά. ποτοῖσι δὲ χρῆσθαι, ἢν μὲν ὑπάγειν ἐθέλῃς τὴν κοιλίην καὶ τὴν κύστιν, γλυκὺν οἶνον, ἢ μελίκρητον· ἢν δὲ στύφειν, αὐστηρὸν, λευκὸν, λεπτὸν, ὑδαρέα· ἢν δὲ ἰσχύειν, αὐστηρὸν, μέλανα· ὁκόσοι τὸν οἶνον πίνουσιν ἀηδέως, τούτοισι διδόναι, ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι ποτὰ σκευαζόμενα. Τοῖσι φαρμακοποτέουσι διδόναι μετὰ τὴν κάθαρσιν, τοῖσι μὲν πυρέσσουσιν, ἢ φακὸν, ἢ κέγχρον λεπτὸν, ἢ πτισάνης χυλόν. διδόναι δὲ πτισάνην μὲν καὶ κέγχρον, ὡς κοῦφα ἐόντα· χόνδρον δὲ, ὡς ἰσχυρότατον πάντων· καὶ ἄλητον, ὡς ἰσχυρότερον τούτων. Φακὸν δὲ εὐώδεα σκευάσαι, καὶ ὀλίγον δεύτερον διδόναι, ὡς καὶ κοῦφον ὂν ῥόφημα καὶ εὐκάρδιον ἄνω· παραμίσγειν δὲ ἢ ἅλας, ἢ μέλι, καὶ κύμινον, καὶ ἔλαιον· τῷ δὲ φακῷ παραμίσγειν ἢ χλόης γλήχωνος καὶ ὄξεος ὀλίγον. τοῖσι δὲ ἀπυρέτοισιν, ἄρτου καθαροῦ τὸ ἔσωθεν ἐντρίψας ἐν ζωμῷ, ἢ μᾶζαν καὶ τέμαχος ἑφθὸν, ἢ κρέας οἰὸς ὡς νεωτάτης, ἢ ὄρνιθος, ἢ σκύλακος ἑφθόν· καὶ τοῖσι πυρέττουσιν, ἢ τεῦτλον, ἢ κολοκύντην, ἢ βλῆτον, καὶ μετὰ τὸ σιτίον, πίνειν οἶνον [48] οἰνώδεα, παλαιὸν, λευκὸν, ὡς ὑδαρέα. οἷσι λούεσθαι μὴ ξυμφέρει, ἀλείφειν οἴνῳ καὶ ἐλαίῳ θερμῷ, καὶ ἐκμάσσειν διὰ τρίτης. Ὅταν κοιλίην ὑγραίνειν ἀπὸ σιτίων ἀσθενέοντος ἐθέλῃς, διδόναι μᾶζαν καὶ ὄψα, θαλασσίων μὲν τεμάχια ἑφθὰ ἐν ὑποτρίμματι, κρέα δὲ οἰὸς ὡς νεωτάτης, ἢ ἐρίφου, ἢ σκύλακος, ἢ ὄρνιθος ἑφθὰ, καὶ τεῦτλα, ἢ βλῆτα, ἢ λάπαθα, ἢ κολοκύντην, ἢν ὥρη ᾖ· λάχανα δὲ σέλινα, καὶ ἄνηθα, καὶ ὤκιμα, καὶ τὸν οἶνον [49] μελιχρὸν, παλαιὸν, λευκὸν, ὑδαρέα. Ὅταν δὲ ξηραίνῃς τὸ σῶμα, διδόναι ἄρτον, καὶ ὄψα ὀπτὰ καὶ ξηρὰ, καὶ θερμότερα ταῦτα πάντα, καὶ κρεῶν τὰ μέλεα ὅσα σαρκώδεα, ἰχθύων τοὺς πετραίους· λάχανα, πήγανον, ἢ θύμον, ἢ ὀρίγανον· τὸν δὲ οἶνον μέλανα αὐστηρόν. σκευάζειν δὲ τὰ ὄψα ἁλσὶ καὶ κυμίνῳ, καὶ τοῖσιν ἄλλοισιν ἀρτύμασιν ὡς ἐλαχίστοισι χρῆσθαι.

A *Quæ verò ad robur aut virium refectionem, craſſiora, pinguiora, & moderatè cocta. Potionibus autem vtendum, ſi quidem aluum & veſicam ſubducere velis, vino dulci, aut aquâ mulsâ; ſi verò aſtringere, auſtero, albo, tenui, aquoſo; ſi roborare, auſtero, nigro. Qui vinum iniucundè bibunt, ijs potiones præparatæ & in medicamentorum tractatione ſcriptæ exhibendæ. His qui medicamentum biberunt, poſt purgationem exhibeto, febricitantibus quidem, aut lenticulam, aut miliũ tenue, aut ptiſanæ cremorẽ. Ptiſana autẽ dãda quidem & mi-* B *lium, vt quæ leuia exiſtunt. Alica verò, velut omnium robuſtiſſima; & farina, velut his valentior. Lenticula autẽ odorata paranda, & pauca ſecũdo loco exhibenda, vt quæ leuis ſit ſorbitio, & ori ventriculi ſuperiori grata. Admiſceatur autem aut ſal, aut mel, & cuminum & oleum. Ad lenticulam verò aut pulegium herbam, aut aceti parùm admiſceto. Febre verò carentibus panis puri medullam iuſculo intritam dato, aut mazam, aut* piſcis *cocti* & ſale conditi *fruſtulum, aut ouiculæ tenerrimæ carnem, aut gallinæ, aut catuli* C *coctam. Et febricitantibus, aut betam, aut cucurbitam, aut blitum, & poſt cibum vinum vinoſum, vetus, album, quàm dilutum propinato. Quibus lauari non confert, ij vino & oleo calido inungantur, & tertio quoque die detergeantur. Cum laborantis aluum cibis humectare velis, mazam & opſonia exhibeto; marinorum quidem* piſcium *fruſtula cocta ex intrito; ouiculæ quàm tenerrimæ carnes, aut hœdi, aut catuli, aut* D *volucris coctas; & betam, aut blitum, aut rumicem, aut cucurbitam ſi anni tempus tulerit. Olera verò apiũ, & anethum, & ocimum, & vinum mellitum, vetus, album, aquoſum. Quum autem corpus ſiccare velis, panem dato, & opſonia aſſa & ſicca, eáque omnia calidiora, & carnium partes carnoſas, piſces ſaxatiles; olera, rutam, aut thymum, aut origanum. Vinum autem nigrum auſterum. Opſonia verò ſale & cumino condito, reliquis verò condimentis quàm minimùm vtitor.*

E

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Πῶς τοὺς ὑγιαζομένους ἀνακομίσαι χρὴ, καὶ ἐν ταῖς νόσοις τὴν συμφέρουσαν ξηρασίαν ἢ ὑγρασίαν ποιῆσαι· τοῖς κάμνουσι τὰ ποθούμενα παρέχειν, ἢν μὴ βλάπτῃ· κατ' ὀλίγον τὰς τῆς διαίτης προσθέσεις τε καὶ ἀφαιρέσεις ποιεῖσθαι· τοῖς τὰ ἱκανὰ σιτία τελοῦσι, τὰ ῥοφήματα μὴ διδόναι· τὰ σιτία, καὶ τὰ φάρμακα τὰ ἐν τῇ τέχνῃ μανθάνειν. τίς δίαιτα τοῖς ἀσθενοῦσιν ἐπιτηδεία.

Ὅταν δὲ ἀνακομίσαι ἐκ νόσου ἐθέλῃς, διδόναι τὰ μὲν ἄλλα ταῦτα, ἃ καὶ ὅταν διυγραίνῃς τὴν κοιλίην, τὰ δὲ κρέα ἀντὶ τῶν γαλαθηνῶν ἰσχυρότερα, καὶ ἀντὶ τῶν κυνείων ὀρνίθια [50] καὶ λαγῷα, καὶ τούτων ἔνια ὀπτὰ καὶ τῶν κρεῶν καὶ τῶν ἰχθύων, καὶ ἐσκευασμένα ὡς ἄριστα. Ὁκόσοισι τῶν νοσημάτων ξηρασίη ξυμφέρει, μονοσιτίη ξυμφέρει, καὶ τὰ σιτία, καὶ τὰ ποτὰ ἐλάσσω τελέειν ἢ ὥστε πλήρη εἶναι, καὶ ταῦτα ἐκπονέειν, καὶ περιπατεῖν, καὶ κοιμᾶσθαι ὡς ἐλάχιστα. ὁκόσοισι δ' αὖ ὑγρασίη ξυμφέρει, μὴ ἀσιτέειν, καὶ τοῦ σι-

CAPVT XII.

Quomodò cõualeſcentes reficiẽdi ſint, & in morbis quæ conferat ſiccitas aut humiditas, conciliãda; ægris optata, ſi non noceant, exhibenda; paulatim victum addendum, aut detrahendum eſſe; copioſos cibos conficientibus, ſorbitiones non exhibendas; alimenta & medicamenta, quæ in arte ſunt, diſcenda. Quis victus imbecillis idoneus.

F *At quũ ex morbo vires reficere volueris, alia quidem eadem, quæ dum aluum humectas, exhibeto. Sed pro lactentibus carnes validiores, & pro catulinis, volucrium & leporinas; & ex his aſſas quaſdam tum carnes, tum piſces, & quàm optimè præparatos. Quibuſcunque morbis ſiccitas confert, ſemel in die cibum capere conducit, & cibos ac potus pauciores quàm vt repleantur, inſumere, eoſque laboribus & deambulationi conficere, & quam minimùm dormire. At quibus humiditas confert, inedia non eſt ferenda, neque cibo*

aut

aut potu indigere debent, *neque laborare, & dormire quantum volent. Quoscunque cibos, aut opsonia, aut potiones, ægrotantes expetunt, ea suppetant, si nullum corpori nocumentum sit adfuturum. Quum cibos aut potiones addere vel detrahere cœperis, paulatim & additiones & detractiones faciendæ. Qui copiosos cibos conficere queunt, ijs sorbitiones ne dederis, cibum enim excludunt; qui verò non possunt, his dato. Siquid verò dare volueris refectionis gratiâ, alicam & ptisanam triticeam dato; hæ nanque sorbitiones valentiores sunt; post cœnam autem exhibendæ. Quæ potui parantur medicamenta & quæ ad vulnera adhibentur, discere oportet,* id enim omnibus medico dignum æstimatur. *Non enim hæc homines ex consilio, sed potiùs ex fortuna inueniunt; neque artifices magis, quàm plebeij. Quæcunque verò in arte Medicâ intelligentiâ discuntur & inueniuntur aut de cibis aut medicamentis, ea ab ijs qui dignoscere possunt quæ in arte sunt, discere oportet, siquid discere velis. Imbecillis post sorbitiones cibum dato, & vinum vinosum superbibendum. Ante cibos autem & potiones, vel sorbitiones, & posteà, quodcunque tandem tibi videbitur. Et cibus & potus imbecillis offerendus, quum ad corpus & animum attenderis. Sic enim maximè profeceris.*

τίου καὶ τοῦ ποτοῦ μὴ ἐνδεᾶ εἶναι), μηδὲ πονέειν, καὶ κοιμᾶσθαι ὁκόσα ἂν ἐθέλῃ. Ὁκόσων ἐπιθυμέουσιν οἱ κάμνοντες ἢ σιτίων ἢ ὄψων ἢ ποτῶν, ὑπαρχέτω ταῦτα, ἢν μὴ μέλλῃ τῷ σώματι βλάβος ἔσεσθαι. Ὁκόταν ἢ σιτίων ἢ ποτῶν προστιθέναι ἄρξῃ, ἢ ἀφαιρέειν, κατ' ὀλίγον χρὴ καὶ τὰς προσθέσιας ποιέεσθαι καὶ τὰς ἀφαιρέσιας. Ὁκόσοι σιτία ἰσχυρὰ οἷοί τέ εἰσι τελέειν, ῥοφήματα μὴ διδόναι, ἀποκλείει γὰρ τὸ σιτίον· ὁκόσοι δὲ μὴ οἷοί τε, τούτοισι διδόναι. Ἐὰν δέ τι διδόναι θέλῃς κομιδῆς ἕνεκα, διδόναι χόνδρον, ἢ πτισάνην πυρίνην· ταῦτα γὰρ τῶν ῥοφημάτων ἰσχυρότερα· διδόναι δὲ μετὰ δεῖπνον. Τὰ φάρμακα ὅσα ποτά, καὶ ὅσα πρὸς τὰ τρώματα προσφέρεται, μανθάνειν χρή, ἄξιον γὰρ ἀπάντων· οὐ γὰρ ἀπὸ γνώμης ταῦτα εὑρίσκουσιν οἱ ἄνθρωποι, ἀλλὰ μᾶλλον ἀπὸ τύχης, οὐδέ τι οἱ χειροτέχναι μᾶλλον, ἢ οἱ ἰδιῶται. Ὅσα δὲ ἐν τῇ τέχνῃ τῇ ἰητρικῇ γνώμῃ μανθάνεται καὶ εὑρίσκεται ἢ περὶ σιτίων ἢ περὶ φαρμάκων, παρὰ τῶν οἵων τε διαγινώσκειν τὰ ἐν τῇ τέχνῃ μανθάνειν χρή, ἢν τι θέλῃς μανθάνειν. Μετὰ τὰ ῥοφήματα διδόναι τὸ σιτίον τοῖσιν ἀσθενέουσιν, ἐπιπίνειν δὲ οἶνον οἰνώδεα· πρὸ δὲ τῶν σιτίων καὶ ποτῶν ἢ ῥοφημάτων, καὶ μετὰ ταῦτα, ὅ, τι ἄν σοι δοκέῃ. Τοῖσιν ἀσθενέουσιν, ἐς ὁρέων τὸ σῶμα καὶ τὴν ψυχήν, προσφέρειν καὶ τὸ σιτίον καὶ τὸ ποτόν· μάλιστα γὰρ ἂν οὕτως ὠφελέῃς.

CAPVT XIII.

Vnde coniiciendæ sint cuiusque cibi facultates; quæ cibaria leuia, & quæ grauia; quæ cibaria & potulenta ad sanitatem, & quæ ad corporis robur optima; quæ ructus acidos, quæ tormina, & quæ flatus concitent; quæ deiectiones, & quæ vrinas promoueant.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Πόθεν τὰς ἑκάστου σιτίου δυνάμιες τεκμαίρεσθαι χρή· τίνα σιτία κοῦφα, καὶ τίνα βαρέα· τίνα σιτία καὶ ποτὰ ἐς τὴν ὑγείαν, καὶ τίνα ἐς τὴν ἰσχὺν ἄριστα· καὶ τίνα τὰς ὀξυρεγμίας, καὶ τὰ στρόφον καὶ φύσαν ποιοῦντα· καὶ τίνα τὰ διαχωρητικά, καὶ τὰ διουρητικά.

Qvam ciborum quisque facultatē habeat, ex ijs, qui manifestam facultatem exhibent, conijcere oportet. Qui aut flatum, aut morsum, aut plenitudinem, aut ructum excitant, aut tormina, aut per aluum secedunt, aut non secedunt, idque manifestò efficiunt, ex his etiam alios considerare oportet. Singula nanque edulia, quâ facultate tum iuuent tum lædant, habent. Verùm alia quidem quæ efficiunt, apertissimè efficiunt, alia verò obscuriùs. Imbecillis cibaria & opsonia conficito & exhibeto, à quibus neque flatus sit, neque ructus acidus, neque tormina, & quæ neque admodum per aluum secedunt, neque admodum exiccentur. Hæc autem sic fiunt. Quæcunque quidem ventriculus superat, quæque corpus recipit, ea neque flatum, neque tormina excitant. At si ventriculus non superet, ab his & flatus, & tormina, cæteráque id genus contingunt. Cibariorum, opsoniorū, & potionum leuissima sunt, quæ moderata aut paulò supra modum in corpus ingesta, neque plenitudinem, neque tormina, neque flatum, neque horum quicquam excitant, & celerrimè concoquuntur, & concocta deijciuntur, & quæ toto die in ventrem ingesta, minimè molesta sunt, etiamsi diu subierint. Gra-

Τῶν σιτίων ἣν δύναμιν ἕκαστα ἔχει, τεκμαίρεσθαι χρὴ ἀπὸ τῶν φανερὰν τὴν δύναμιν παρεχομένων· ὁκόσα ἢ φῦσαν, ἢ δῆξιν, ἢ πλησμονήν, ἢ ἐρυγμὸν παρέχει, ἢ στρόφον, ἢ διαχωρέει, ἢ μὴ διαχωρέει, καὶ φανερὰ ὅτι ταῦτα ἐργάζεται, καὶ ἀπὸ τούτων χρὴ τά τε ἄλλα σκοπεῖν· ἔχει γὰρ ἕκαστα τῶν ἐδεσμάτων, διότι καὶ ὠφελέει καὶ βλάπτει· ἀλλὰ τὰ ἄλλα, τὰ μὲν φανερώτατά ἐστιν ἐργαζόμενα ἃ ἐργάζεται, τά τε ἀμυδρότερα. Τὰ σιτία καὶ τὰ ὄψα σκευάζειν καὶ διδόναι τοῖσιν ἀσθενέουσιν, ὑφ' ὧν μήτε φῦσα ἔσται, μήτε ὀξυρεγμίη, μήτε στρόφος, μήτε λίην διαχωρέει, μήτε λίην ξηραίνεται. Ταῦτα δὲ γίνεται ὧδε· ὅσα μὲν ἡ κοιλίη κρατέει, καὶ τὸ σῶμα αὐτὰ ἀναδέχεται, ταῦτα μὲν οὔτε φῦσαν παρέχεται, οὔτε στρόφον· ἢν δὲ μὴ ἡ κοιλίη κρατέῃ, ἀπὸ τούτων καὶ φῦσα, καὶ στρόφος, καὶ τὰ ἄλλα τὰ τοιαῦτα γίνεται. Κουφότατα τῶν σιτίων καὶ τῶν ὄψων καὶ τῶν ποτῶν, ὅσα μέτρια ἐσιόντα ἐς τὸ σῶμα, ἢ ὀλίγῳ πλέω τῶν μετρίων, μήτε πλήρωσιν παρέχει, μήτε στρόφον, μήτε φῦσαν, μήτε ἄλλο τῶν τοιούτων μηδέν, καὶ πέσσεταί τε τάχιστα, καὶ πεσσόμενα διαχωρέει, καὶ διὰ πᾶσάν τε τὴν ἡμέρην ἐσιόντα ἐς τὴν κοιλίην, ἀλυπότατά ἐστι, καὶ ὅταν διὰ πολλοῦ ἐσέλθῃ. Βα-

ῥέα δὲ, ὅσα μέτρια πληθύμενα ἢ ἐλάσσω τοῦ μετρίων, πλήρωσιν καὶ πόνον παρέχει, καὶ μὴ τελέειν, μηδὲ οἷόν τε ἐσθίειν αὐτὰ, μηδὲ πίνειν, ἀλλὰ πόνον παρέχει. διὰ χρόνου δὲ ἤν τις αὐτὰ ἢ πίνῃ ἢ ἐσθίῃ, καὶ οὕτω πόνον παρέχει, καὶ οὐ διαχωρέει [12] κατὰ λόγον. Ἐς ὑγείην ἄριστα, ὅσα ὀλίγιστα ἐσιόντα, αὐτάρκεά ἐστι καὶ λιμοῦ καὶ δίψης ἄκος εἶναι, καὶ πλεῖστον χρόνον τὸ σῶμα αὐτὰ δέχεται, καὶ διαχωρέει κατὰ λόγον. Ἐς ἰσχὺν δὲ ἄριστα, ὅσα σάρκα φύει πλείστην καὶ πυκνοτάτην, καὶ τὸ αἷμα παχύνει, καὶ διαχωρέει κατὰ λόγον τῶν ἐσιόντων, καὶ τὸ σῶμα πλεῖστον χρόνον ἀναδέχεται. Τὰ λιπαρὰ, καὶ τὰ πίονα, καὶ τὰ τυρώδεα, καὶ μελιτώδεα, καὶ τὰ σησαμόεντα, ὀξυρεγμίην ὡς μάλιστα παρέχει, καὶ χολέρην, καὶ στρόφον, καὶ φῦσαν, καὶ πλησμονήν· ποιέει δὲ τοῦτο αὐτὸ, καὶ ὅταν πλείω [13] τις φάγῃ ἢ πίῃ, ἢ ὅσα σιτία τε πέψαι ἡ κοιλίη. Τοῖσιν ἀσθενέσι, ἢν μὲν κατὰ λόγον τῆς νούσου καὶ τοῦ σώματος διδῷς ἃ ἂν διδῷς, ὑπαναλίσκει ταῦτα τὸ σῶμα, καὶ οὔτε ἐνδεές ἐστιν, οὔτε πλῆρες· ἢν δὲ ἁμαρτάνῃς τοῦ καιροῦ, ἢ ἔπειτα, βλάβος ἐπ' ἀμφότερα. Ὅσα τῶν σιτίων ἢ τῶν ὄψων ἢ τῶν ποτῶν τὸ σῶμα ἀναδέχεται, μάλιστα ἀπὸ τούτων οὔτε στρόφος γίνεται, οὔτε φῦσα, οὔτε ὀξυρεγμίη. ὅταν γὰρ ἐς τὴν κοιλίην ἐσέλθῃ, [14] ἀπ' αὐτοῦ παρὰ τὸ σῶμα τὸ αὐτοῦ ἐπιτήδειον, καὶ ἀσθενέστερον ἤδη τὸ λοιπὸν ἀνάγκη εἶναι, ὥστε στρόφον, ἢ φῦσαν, ἢ ἄλλο τι τῶν τοιούτων ἐν τῇ κοιλίῃ μὴ ποιῆσαι. Τῶν οἴνων καὶ οἱ γλυκέες, καὶ οἱ αὐστηροὶ, καὶ οἱ μελιχροὶ παλαιοὶ, τὴν κοιλίην ὑπάγουσι, μάλιστά τε διουρέονται καὶ τρέφουσι, καὶ οὔτε φῦσαν παρέχουσιν, οὔτε στρόφον, οὔτε πλησμονήν. Κρεῶν τὰ δίεφθα, καὶ τὰ ἔξοπτα, ἀσθενέα μὲν πρὸς τὴν ἰσχὺν ἀμφότερα· ἐς δὲ τὴν διαχώρησιν, τὰ μὲν δίεφθα, ἐπιτήδεια, τὰ δὲ ὀπτὰ, στασιμώτερα· τὰ δὲ μετρίως ἔχοντα καὶ ἑψήσιος, καὶ ὀπτήσιος, μετρίως καὶ ἐς τὴν ἰσχὺν ἔχει, καὶ ἐς τὴν διαχώρησιν· τὰ δὲ ὠμότερα πρὸς μὲν τὴν ἰσχὺν ἐπιτήδεια, πρὸς δὲ τὴν διαχώρησιν, οὔ.

uia verò sunt, quæ moderatè aut infra modum assumpta, plenitudinem & laborem exhibent, & ipsa neque assumere, neque edere, neque bibere quis potest, sed laborem faciunt. At siquis ea per tempus aut biberit, aut comederit, sic quoque laborem exhibent, neque pro ratione per aluum secedunt. Ad sanitatem optima sunt, quæ paucissima assumpta satis sunt, vt & famis & sitis medela sint; & plurimo tempore corpus ipsa recipit, etiamque pro ratione secedunt. Ad robur autem optima, quæ plurimam & densissimam carnem gignunt, sanguinem crassiorem faciunt, & pro ingestorum ratione secedunt, plurimóque tempore in corpore continentur. Pinguia, unguinosa, caseosa, melle & sesamo condita, ructum acidum maximè cient, & choleram, & tormina, & flatum, ac repletionem. Idem etiam euenit, quum quis plura comederit, aut biberit, quàm ventriculus concoquere queat. Imbecillis quæcunque pro morbi & corporis ratione dederis, ea corpus absumit, & neque indigum est, neque plenum. Si verò in temporis occasione, aut posteà erraueris, ad vtrunque noxa consequitur. Quæcunque cibaria, opsonia, aut potus corpus recipit, ab ijs maximè neque tormina, neque flatus, neque ructus acidus contingit. Quum enim ventrem subierint, ex eo corpus, quod sibi idoneum est, trahit; & quod relictum est, iam imbecillius esse necesse est, ita vt tormina, aut flatum, aut aliud quid eiusmodi in ventre non excitet. Vina dulcia, & austera, & mellei coloris vetera, ventrem subducunt, maximèque vrinam mouent, & nutriunt, & neque flatum, neque tormina, neque plenitudinem excitant. Carnes excoctæ & assatæ, imbecilles quidem vtræque ad robur firmandum. Ad alui secessum excoctæ quidem accommodatæ, assæ verò tardiores. Quæ autem moderatam & coctionem & assationem habent, eæ & ad robur, & ad alui secessum moderatè se habent. Crudiores verò, ad robur quidem accommodatæ, ad secessum verò minimè.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῆς τοῦ σιτίου καὶ τοῦ ποτοῦ χρήσεως ὑγιεινῆς τε καὶ νοσώδεος· περὶ τῆς διαίτης ξηραινούσης καὶ ὑγραινούσης, καὶ ἰσχυριζούσης καὶ ἀνακομιζούσης· περὶ τῶν σιτίων ἀσθενῶν καὶ ἰσχυρῶν, καὶ κούφων καὶ βαρέων· καὶ περὶ τῆς διαφορᾶς τῶν ἄρτων καὶ τῶν σαρκῶν καὶ τῶν ἰχθύων.

CAPVT XIV.

De vsu cibi & potûs salubri, & insalubri; de victu exiccante, humectante, roborante, & reficiente; de cibis imbecillis & robustis, leuibus & grauibus; ac de differentijs panis, carnium, ac piscium.

Τῶν σιτίων καὶ τῶν ποτῶν τὰ προσφορώτατα τῷ σώματι, καὶ μάλιστα αὐτάρκεα καὶ ἐς τροφὴν καὶ ἐς ὑγείην, καὶ ἀπὸ τούτων αὐτῶν ὅταν τις αὐτοῖσι μὴ ἐν καιρῷ χρῆται, ἢ πλέοσι τοῦ καιροῦ, αἵ τε νοῦσοι καὶ ἐκ τῶν νούσων οἱ θάνατοι γίνονται. τὰ δ' ἄλλα σιτία καὶ ποτὰ ὅσα μὴ τοιαύτην δύναμιν ἔχει, σμικρὸν μέντοι ὠφελέει, ἢν τις καὶ τὰ πάντα αὐτοῖσιν ἐν καιρῷ χρῆται, σμικρὰ δὲ καὶ βλάπτει· ἐπ' ἀμφότερα δέ ἐστιν ἀσθενέα, ὥστε ἀγαθόν τι ποιῆσαι καὶ ὥστε κακόν.

QVi cibi ac potus corpori commodissimi sunt, & maximè sufficiunt tum ad nutritionem, tum ad sanitatem, ex his ipsis, quum quis non opportunè, aut iusto pluribus vtitur, tum morbi, tum ex morbis mortes contingunt. Reliqui autem cibi ac potus, qui eiusmodi facultatem non habent, parùm quidem iuuant, etiamsiquis his opportunè vtatur, parùm verò etiam nocent. Imbecilli autem in vtramque partem vergunt, vt & boni aliquid, & mali faciant.

faciant. At cibi & potus, qui hanc facultatem habent, hi sunt; panis, maza, carnes, pisces, vinum, & ex his certè alij magis, alij minùs. Qui sicco victu viuunt, his cum cibo potum ne exhibeto, sed multo post cibum tempore interposito. Et sic quidem siccus humor à siccis cibis ortum ducens, corpus siccat. Si verò vnà cum cibo bibat, alimentum humidius redditum, corpus humidius facit. Panis calidus, & carnes calidæ, si per se edantur, siccant. Quòd si cum humido, aut statim à cibo insuper potum exhibueris, non siccant. Panis purus ex farinis ad robur ac refectionem magis confert, quàm qui non est incerniculo perpurgatus, & recens quàm hesternus, & ex farinis recentibus, quàm ex vetustissimis. Polenta ex hordeo decorticato & circumaffusâ aquâ respersо, valentior est, quàm ex macerato, & recens quàm vetustior; & maza antè subacta validior est, quàm non antè subacta. Vinum diffusum, & refrigeratum, ac percolatum, tenuius redditur & imbecillius. Carnes coctæ, si percoctas quidem feceris, imbecilliores sunt & leuiores; assæ verò si exassatæ fuerint, & veteres sale & aceto conditæ, recentibus imbecilliores sunt & leuiores. Imbecilles cibi & leues, ventriculum quidem non lædunt, neque corpus, quia calefacti non intumescunt, neque implent, sed citò emolliuntur, & cocti per aluum secedunt. Humor autem ab ipsis corpori debilis prouenit, neque auget, neque vires effatu dignas exhibet. Robusti autem cibi, quum ventriculum subierint, tum intumescunt, tum plenitudinem excitant, & tardiùs quidem concoquuntur, neque per aluum secedunt; humor autem ab ipsis valentior & incorruptus proueniens, robur multum corpori & incrementum præbet. Carnium corpori leuissimæ, catulinæ, volucrium, & leporinæ coctæ; graues verò bubulæ, & porcinæ moderatiores; coctæ autem & assæ ad flatum aptæ. *Sanis & imbecillis, ouillæ. Suillæ verò & ad bonum habitum & ad robur, laborantibus & exercitatis commodæ sunt, imbecillis verò & priuatis, valentiores. Et ferinæ cicuratis leuiores sunt, quoniàm non similes fructus edunt. Differunt autem & pecorum carnes, & eorum quæ fruges edunt, & eorum quæ non edunt. Neque fruges idem in omnibus faciunt, sed quædam densam & robustam victimæ carnem reddunt, quædam verò, tum raram, tum humidam & imbecillam. Vt omnia verbo comprehendam, pisces & cocti & assati, ipsique per se & cum cæteris cibis sumpti, leue sunt edulium. Ipsi verò inter se sic differunt; & palustres quidem, & pingues, & fluuiatiles grauiores sunt; littorales autem marini, leuiores; elixique assatis leuiores. Ex his cibis, quum aliquem reficere voles, valentes dato; leues verò, quum gracilem & tenuem facere oportuerit.*

ἔστι δὲ τῶν σιτίων καὶ τῶν ποτῶν ἃ τὴν δύναμιν ἔχει ταύτην, τάδε· ἄρτος, μάζα, κρέα, ἰχθύες, οἶνος, τούτων μέν τι τὰ μὲν μᾶλλον, τὰ δὲ ἧσσον. Ὁκόσοι ξηρὴν δίαιταν διαιτῶνται, τούτοισι μὴ ξὺν τῷ σιτίῳ τὸ ποτὸν διδόναι, ἀλλὰ μετὰ τὸ σιτίον, διαλιπὼν πουλὺν χρόνον. καὶ οὕτω μὲν ξηρὴ ἡ ἰκμὰς ἀπὸ ξηρῶν τῶν σιτίων γινομένη, [55] τὸ σῶμα ξηραίνει· ἢν δὲ ἅμα τῷ σιτίῳ πίνῃ, νοτερωτέρη ἡ τροφὴ [56] γινομένη, ὑγρότερον τὸ σῶμα ποιέει. ἄρτος ὁ θερμὸς, καὶ τὰ κρέα τὰ θερμὰ αὐτὰ ἐφ' ἑωυτῶν ἐσθιόμενα, ξηραίνει· ἢν δὲ ξὺν ὑγρῷ διδῷς, ἢ ἐπιπίνῃ παραχρῆμα ἐπὶ τῷ σιτίῳ, οὐ ξηραίνει. Ἄρτος ὁ καθαρὸς τῶν ἀλεύρων, ἐς ἰσχὺν, καὶ κομιδὴν [57] ξυμφορώτερος ἢ ὁ ἀνέρεκτος, καὶ πρόσφατος ἢ ἕωλος, καὶ τῶν ἀλεύρων προσφάτων ἢ [58] παλαιοτάτων. Τὰ ἄλφιτα τῶν κριθέων ἀποβρέχων, περίχυδα ἐπτισμένων, ἰσχυρότερα ἢ βεβρεγμένων, καὶ πρόσφατα ἢ παλαιότερα· καὶ ἡ μάζα προπεφυρημένη ἰσχυροτέρη, ἢ μὴ προπεφυρημένη. Ὁ οἶνος διαχεόμενος, καὶ ἀποψυχόμενος, καὶ διηθούμενος, λεπτότερος γίνεται καὶ ἀσθενέστερος. Τὰ κρέα τὰ μὲν ἑφθὰ, ἢν μὲν διεφθὰ ποιήσῃς, ἀσθενέστερα, καὶ ἐλαφρότερα· τὰ δὲ ὀπτὰ, ἢν ἔξοπτα γίνωνται, καὶ τὰ παλαιὰ ἐξ ὄξους ἢ ἁλῶν, ἀσθενέστερα καὶ [59] ἐλαφρότερα τῶν προσφάτων. Τὰ ἀσθενέα τῶν σιτίων καὶ τὰ κοῦφα, τὴν μὲν κοιλίην οὐ λυπέει οὐδὲ τὸ σῶμα, διότι οὐκ ἀνοιδέει θερμαινόμενα, οὐδὲ πληροῖ, ἀλλὰ λαπάσσεται ταχὺ, καὶ πεσσόμενα διαχωρέει· ἡ δὲ ἰκμὰς ἀπ' αὐτῶν τῷ σώματι ἀσθενὴς γίνεται, καὶ οὔτε αὔξει, οὔτε ἰσχὺν ἀξίην λόγου παρέχει. Τὰ δὲ ἰσχυρὰ τῶν σιτίων, ἀνοιδέει τε ὅταν ἐς τὴν κοιλίην ἐσέλθῃ, καὶ πλήρωσιν παρέχει· καὶ πέσσεται μὲν σχολαίτερον, καὶ οὐ διαχωρέει, ἡ δὲ ἰκμὰς ἀπ' αὐτῶν [60] ἰσχυροτέρη καὶ ἀκήρατος προσγινομένη, ἰσχύν τε παρέχει τῷ σώματι πολλὴν, καὶ αὔξην. Κρεῶν κουφότατα ἐς τὸ σῶμα, κυνέα, καὶ ὀρνίθεια, καὶ λαγῶα ἑφθά· βαρέα δὲ τὰ βόεα, καὶ τὰ χοίρεα μετριώτερα, πρὸς δὲ τὴν φῦσαν καὶ ἑφθὰ καὶ ὀπτά. ὑγιαίνουσι καὶ ἀσθενέουσι τὰ μήλεα· τὰ δὲ ὕεα, εἰς καὶ εὐεξίην μὲν, καὶ ἰσχὺν, πονέουσι καὶ γυμναζομένοισιν ἀγαθά· ἀσθενέουσι δὲ καὶ ἰδιώτῃσιν, ἰσχυρότερα. καὶ τὰ θήρεα τῶν ἡμέρων, κουφότερά ἐστι, διότι καρπὸν οὐχ ὅμοιον ἐσθίει. Διαφέρει δὲ καὶ τὰ κρέα τῶν κτηνέων, καὶ ὁκόσα καρπὸν ἐσθίει, καὶ ὁκόσα μὴ ἐσθίει· καὶ ὁ καρπὸς [61] οὐ τὸ αὐτὸ ἅπασι ποιέει, ἀλλὰ τὸ μὲν πυκνήν τε τὴν σάρκα τοῦ ἱερείου παρέχει καὶ ἰσχυρὴν, τὸ δὲ ἀραιήν τε καὶ ὑγρὴν καὶ ἀσθενέα. Ὡς μὲν τὸ ξύμπαν εἰρῆσθαι, ἰχθύες κοῦφον ἔδεσμα, καὶ ἑφθοὶ καὶ ὀπτοὶ, καὶ αὐτοὶ ἐφ' ἑωυτῶν, καὶ μεθ' ἑτέρων σιτίων· αὐτοὶ δὲ ἐφ' ἑωυτῶν διαφέρουσιν ὧδε· καὶ οἱ μὲν λιμναῖοι, καὶ πίονες, καὶ οἱ ποτάμιοι, βαρύτεροι· οἱ δὲ ἀκταῖοι θαλάσσιοι, κουφότεροι· καὶ διεφθοὶ ὀπτῶν κουφότεροι. [62] Ἀπὸ τούτων τὰ μὲν ἰσχυρὰ διδόναι, ὅταν ἀνακομίσαι τινὰ βούλῃ· τὰ δὲ κοῦφα, ὅταν ἰσχνὸν δέοι καὶ λεπτὸν ποιῆσαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῆς τοῦ λουτροῦ χρήσεως καὶ τῶν λαχάνων τινῶν δυνάμεων, θερμῶν, καὶ ψυχρῶν, καὶ ὑγρῶν, καὶ ξηρῶν· καὶ διουρητικῶν, καὶ ὑποχωρητικῶν, καὶ τὰ καταμήνια κινουσῶν· καὶ στασίμων καὶ εὐκαρδίων, καὶ κομιστικῶν, καὶ λεπτυντικῶν.

ΤΟ λουτρὸν τὸ θερμὸν, τὸ μὲν μέτριον μαλάσσει τὸ σῶμα καὶ αὔξει· τὸ δὲ πλέον τοῦ καιροῦ, τὰ μὲν ξηρὰ τοῦ σώματος διυγραίνει, τὰ δὲ ὑγρὰ ἀποξηραίνει. καὶ τὰ μὲν ξηρὰ ὑγραινόμενα, ἀσθενείην καὶ λειποθυμίην παρέχει· τὰ δὲ ὑγρὰ ξηραινόμενα, ξηρασίην καὶ δίψος. Λαχάνων δὲ τὰ σκόροδα, καὶ ἑφθὰ καὶ ὀπτὰ, καὶ διουρητικὰ καὶ ὑποχωρητικὰ, καὶ πρὸς τὰ γυναικεῖα σύμφορα. Κρόμμυα ἐς τὰ οὖρα ἐπιτήδεια· ὁ γὰρ ὀπὸς δριμύτητά τινα παρέχει, ὥστε διαχωρέειν· τούτοισιν ὧδε χρῆσθαι, ἀλλὰ τοῖσιν ἀσθενέουσι μὴ προσφέρειν. Σέλινα, καὶ ἑφθὰ καὶ ὠμὰ, διουρητικὰ, καὶ μᾶλλον τὰ ἕλεια τῶν ἡμέρων, ἃ καὶ πλέονα ἔχει δύναμιν. Κορίαννον εὐκάρδιον καὶ διαχωρητικὸν, καὶ ἑφθὸν καὶ ὠμόν. Ὤκιμον ὑγρὸν καὶ ψυχρὸν, καὶ εὐκάρδιον. Πράσα, τὰ μὲν ἑφθὰ, διουρητικὰ καὶ διαχωρητικά· τὰ ὠμὰ δὲ, καυματώδεα καὶ φλεγματώδεα. Ῥοιὴ, κομιστικὴ καὶ φλεγματῶδες, καὶ ξὺν μὲν τῷ πυρῆνι στάσιμον, ἄνευ δὲ τοῦ πυρῆνος, διαχωρητικόν. Τὰ θερμὰ τῶν σιτίων, ξηρὰ μὲν ἵστησι, τὸ γὰρ ὑγρὸν τὸ ἐν τῇ κοιλίῃ, ἀναξηραίνει· ὑγρὰ δὲ ὄντα, διυγραίνοντα τῇ θερμότητι, ὑπάγει. Τὰ στρυφνὰ ξηραίνει καὶ συνάγει τὸ σῶμα, εἰσὶ δὲ στάσιμα. Τὰ ὀξέα λεπτύνει, δῆξιν ἐμποιέοντα. Τὰ ἁλμυρὰ διαχωρέει καὶ διουρέεται. Τὰ λιπαρὰ καὶ τὰ πίονα καὶ τὰ γλυκέα, ὑγρασίην μὲν καὶ φλέγμα παρέχει. Κομιστικὰ δὲ κολοκύντη, καὶ τεῦτλα, καὶ βλῖτα, καὶ λάπαθα, καὶ τῇ ὑγρότητι διαχωρητικά. Κράμβη δὲ ἔχει τινὰ δριμύτητα ἐς τὸ διαχωρέειν, καὶ ἅμα εὔχυμος. Τυρὸς, καὶ σήσαμα, καὶ σταφὶς, κομιστικὰ καὶ φλεγματώδεα. Γλυκὺς οἶνος καὶ [63] μελιχρώδης, ἄμφω καὶ κομιστικοὶ, καὶ διουρητικοὶ, καὶ φλεγματώδεες· οἱ δὲ αὐστηροὶ, ἐς ἰσχὺν καὶ ξηρασίην ἐπιτήδειοι· οὐρητικοὶ δὲ [64] καὶ αὐστηροὶ παλαιοὶ, ὅσοι λευκοί τε καὶ λεπτοὶ τυγχάνουσιν. Ἔλαιον, καὶ ὅσα ἐλαιώδη, κομιστικὰ καὶ φλεγματώδεα. Λαχάνων τῶν ἑφθῶν διαχωρέει, ὅσα φύσει ὑγρότατα, ἢ δριμύτατά ἐστιν, ἢ θερμότητα ἔχει· διδόναι δὲ ταῦτα, ξύμφορά ἐστιν εἰς ἄφοδον, χλιαρώτερα καὶ τακερώτερα. Σίκυος πέπων, καὶ διουρητικὸν, καὶ διαχωρητικὸν, καὶ κοῦφον· ὁ δὲ ἕτερος πέπων, ψύξιν τινὰ παρέχει, καὶ δίψαν παύει. Τροφὴ δὲ ἀπὸ οὐδετέρου [65] τούτων οὐ γίνεται, εἰ μὴ λεπτή τις· ἀλλ᾽ οὐδὲ φλαῦρον ἀπ᾽ οὐδετέρου οὐδὲν ἄξιον λόγου. Τὸ μέλι, ξὺν μὲν ἑτέροις ἐσθιόμενον, καὶ τρέφει, καὶ εὔχροιαν παρέχει· αὐτὸ δὲ ἐφ᾽ ἑωυτῷ, λεπτύνει μᾶλλον ἢ κομίζει· καὶ γὰρ διουρέεται καὶ διακαθαίρεται μᾶλλον τοῦ μετρίου. Τὰ διουρητικὰ θερμαινόμενα ἐν τῇ κοιλίῃ, θερμαίνεταί τε ταχὺ, καὶ θερμαινόμενα μαραίνεται καὶ τήκεται, καὶ

CAPVT XV.

De balnei vsu, & quorundam olerum facultatibus, calidis, frigidis, humidis, siccis; vrinas, deiectiones, & menstrua cientibus; astringentibus, stomachicis, reficientibus, & attenuantibus.

Balneum calidum, moderatum quidem corpus emollit & auget; quod verò tempestiuum modum excedit, siccas quidem corporis partes humectat, humidas autem resiccat. Et siccæ quidem humectatæ, imbecillitatem & animi deliquium inducunt; humidæ verò exiccatæ, siccitatem & sitim. Ex oleribus allia, cocta & assata, & vrinam promouent, & per aluum secedunt, & ad menstrua muliebria conferunt. Cæpæ ad vrinas commodæ; succus enim acrimoniam quandam excitat, adeò vt per aluum secedat. His sic vtitor, ne tamen imbecillis exhibeas. Apium, & coctum & crudum, vrinam ciet; ac palustre magis quàm satiuum, quod etiam facultatem habet maiorem. Coriandrum tum coctum, tum crudum, stomacho gratum est, & aluum mouet. Ocimum humidum & frigidum est, ac stomacho gratum. Porra, cocta quidem vrinam & aluum mouent; cruda verò, incendium & inflammationem excitant. Malum punicum reficit & pituitosum est, & cum nucleo quidem aluum sistit; citra nucleum verò, subducit. Cibi calidi, sicci quidem sistunt (quod enim in ventre est humidum, resiccant) humidi verò, caliditate humectantes, subducunt. Acerba corpus siccant & cogunt, sistendique facultatem habent. Acida extenuant & morsum faciunt. Salsa aluum & vrinam cient. Pinguia & vnguinosa, ac dulcia, humiditatem quidem ac pituitam excitant. Reficiunt cucurbita, beta, blitum, & rumex, & humiditate deijciunt. Brassica verò acrimoniam quandam habet, quâ aluum subducit; simulque boni succi est. Caseus, & sesama, & vua passa, vires reficiunt & pituitosa sunt. Vina dulcia & mellis colorem referentia, vtraque & vires reficiunt, & vrinas cient, & pituitosa sunt. Austera verò ad robur & siccitatem commoda. Vrinam verò prouocant etiam austera vetusta, quæ & alba & tenuia existunt. Oleum & quæ oleosa, reficiunt, & pituitosa sunt. Ex oleribus coctis per aluum secedunt, quæ naturâ sunt humidissima, aut acerrima, aut caliditatem habent. Danda autem hæc, vt ad secessum conferant, tepidiora & molliuscula. Cucumis pepo, & vrinam & aluum mouet, ac leuis est. Alter autem pepo, refrigerationem quandam inducit, & sitim sedat. Ab horum neutro alimentum, nisi tenue quoddam, procedit; sed neque malum aliquod effatu dignum ab horum neutro. Mel cum alijs sumptum, & nutrit, & coloris bonitatem facit; per se autem magis attenuat, quàm reficit. Nam supra modum & per vrinas fertur, & expurgatur. Quum vrinam cientia calefiunt in ventre, & citò calefiunt, & calefacta marcescunt & contabescunt, ideóq; celerem

celerem excitant per aluum deiectionem. Cibi ventrem morantes, & calefiunt, citóque calefacti resiccantur & consistunt, ideóque obdurati, minimè secedunt. Quæ aluum subducunt, succosa sunt, & naturâ calida. Quæ verò vrinam cient, sicca & frigida.

CAPVT XVI.

De frumenti & vini differentijs; de cibis robustis ac imbecillis; in morbis consuetum panem exhibendum; vomitum à cibo aut potu vberiore conferre; poma & nuces post cibum obesse. Quòd vinum nocumenta à cibo & potu illata emendet; cur aluus perturbetur, sistatur, deijciat. Quæ cibaria imbecilla. Quando cibandi sunt febre laborantes; quando vinum & mel sunt optima; sanorum victum ægris valentiorem esse.

Frumentum & vinum suapte naturâ tum robore & imbecillitate, tum leuitate & grauitate inter se differunt. Differt etiam locus à locus à loco, ex quo ista proueniant, quum alius aquis probè irrigetur, alius aquis careat, & alius soli probè expositus, & umbrosus, & bonus, & malus; ita ut hæc omnia ad hoc conferant, ut singuli cibi, tum robustiores, tum imbecilliores esse videantur. Qui sanitatis tempore panem edere consueuerunt, his etiam per morbos dandus est. Quum quis cibos aut potiones plures solito sumpserit, nisi pro consuetudine confecerit, statim vomitione reijcere optimum. Poma & nuces ideò post cibum, tum bene valenti, tum debili molestiora sunt, quòd eius quidem, qui cibum sumpsit, corpus ab ipsis humores trahit; si verò ieiunus comederit, plures. Quicunque cibi aut flatum, aut ardorem, aut morsum, aut repletionem excitant, aut tormina, ab eiusmodi liberat vinum merum superbibitum. Quum enim corpus vino calefit, calore eximuntur ea quæ insunt. A cibis & potibus, etiam similibus, interdum quidem aluus perturbatur, interdum verò sistitur, interdum aluus etiam pro ratione deijcit. Cur autē hæc ita se habent? primùm quidem quum aluus humidior existens, quumq; siccior cibum susceperit, corrumpit; deinde quū mutatio contigerit, siue ex frigore ad caliditatē, siue ex caliditate ad frigus, corrumpit; adeò vt aluū ab ijsdē cibis ac potibus propter hæc ipsa & molliorē & duriorē fieri necesse sit. Ex cibis, & potibus, & opsonijs, pane excepto, & mazâ, & carnibus, & piscibus, & vino, & aquâ, reliqua omnia ad incrementū, & robur, & ad sanitatē parua & imbecilla auxilia cōferunt; tenuia etiā & imbecilla ab his mala contingunt. Quoscunque ægrotos febres non cōtinentes detinent; sed intermittentes inuadūt, his post accessionē cibi exhibendi, coniecturâ factâ nequādo à recenti cibo, sed iā concoctis cibis febris ingruat. Vinū & mel optima hominibus cēsentur, si pro naturâ & sanis & debilibus tēpestiuè & moderatè exhibeātur. Est bona quidē ipsa per sese, bona verò etiā permixta, tū alia, tū quæcunq; effatu dignā utilitatem exhibent. Quæ sanis conferunt, ægrotis exhibita, valentiora sunt; eáq; vigore ipsorū detracto exhibenda, alioqui ea corpus non fert, sed magis nocent, quàm iuuent.

τὴν διαχώρησιν διὰ τοῦτο ταχείην παρέχει. Ὅσα δὲ ἱστάσι μὲν τῶν σιτίων, καὶ θερμαίνεται, καὶ ταχέως θερμαινόμενα ξηραίνεται, καὶ συνίσταται, καὶ διὰ τοῦτο περισκληρὰ γενόμενα, οὐ διαχωρεῖ. Τὰ διαχωρητικὰ, ἔγχυλά ἐστι, καὶ φύσει θερμά· τὰ δὲ οὐρητικὰ, ξηρὰ καὶ ψυχρά.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Περὶ τῶν τοῦ σίτου καὶ τοῦ οἴνου διαφορῶν· περὶ τῶν σιτίων ἰσχυρῶν καὶ ἀσθενῶν· ὅτι ἐν ταῖς νόσοις ἀρτοφαγίαν τὴν εἰθισμένην διδόναι χρή· ἔμετος μετὰ τὰ σιτία ἢ τὰ ποτὰ πλείω προσφόρος· ὅτι ἡ ὀπώρα καὶ τὰ ἀκρόδρυα μετὰ τὸ σιτίον λυπηρά. ὅτι οἶνος τὰ ἀπὸ τοῦ σιτίου ἢ τοῦ ποτοῦ λυπηρὰ ἀπαλλάττει· διὰ τί ἡ κοιλία διαταράσσεται, καὶ ἵσταται, καὶ διαχωρεῖ. τίνα σιτία ἀσθενῆ. πότε τοῖς πυρέσσουσι τὰ σιτία διδόναι χρή· πότε ὁ οἶνος καὶ τὸ μέλι κάλλιστα· τὰ τῶν ὑγιαινόντων σιτία τοῖς νοσοῦσιν ἰσχυρότερα εἶναι.

Ὁ σῖτος καὶ ὁ οἶνος, διαφέρουσι μὲν καὶ αὐτοὶ ἑωυτῶν φύσει, ἐς ἰσχὺν καὶ ἀσθένειαν, καὶ κουφότητα καὶ βαρύτητα· διαφέρει δὲ καὶ χώρη χώρης ἐξ ὁκοίης ἂν ᾖ, καὶ εὔυδρος ἐοῦσα καὶ ἄνυδρος, καὶ εὐήλιος καὶ πολύσκιος, καὶ ἀγαθὴ, καὶ φλαύρη· ὥστε ἅπαντα ταῦτα ξυμβάλλεται ἐς τὸ ἰσχυρότερά τε ἕκαστα τῶν σιτίων εἶναι, καὶ ἀσθενέστερα. Ὁκόσοι ὑγιαίνοντες ἀρτοφαγεῖν εἰώθεσαν, ταῦτα διδόναι ἰσχυροῖσι καὶ ἐν τῇσι νούσοισιν. Ὅταν ἢ σιτία ἢ ποτὰ πλείω τοῦ εἰωθότος τις λάβῃ, ἢν μὴ τὰ εἰωθότα τελέσῃ, ἀπεμέσαι παραχρῆμα ἄριστον. Ὀπώρη καὶ ἀκρόδρυα, διὰ τόδε μετὰ τὸ σιτίον λυπηρότερά ἐστι καὶ ὑγιαίνοντι καὶ ἀσθενέοντι, ὅτι βεβρωκότος μὲν, ἀπ' αὐτῶν ἰκμάδας ἕλκει τὸ σῶμα· ἢν δὲ νῆστις ἐσθίῃ, πλείω. Ὅσα τῶν σιτίων ἢ φῦσαν, ἢ καῦμα, ἢ δῆξιν παρέχει, ἢ πλησμονὴν, ἢ στρόφον, οἶνος ἐπιπινόμενος ἄκρητος ἀπαλλάσσει τῶν τοιούτων. τὸ γὰρ σῶμα διαθερμαινόμενον ὑπὸ τοῦ οἴνου, ἀπαλλάσσεται τὰ ἐνεόντα τῇ θερμότητι. Ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν, καὶ τῶν ὁμοίων, ἐνίοτε μὲν διαταράσσεται ἡ κοιλίη, ἐνίοτε δὲ ἵσταται, ἐνίοτε δὲ καὶ κατὰ λόγον διαχωρεῖ. διότι δὲ ταῦτα οὕτως ἔχει; πρῶτον μὲν ἡ κοιλίη, ὅταν ὑγροτέρη ἐοῦσα καὶ ὅταν ξηροτέρη, ὑποδέχηται τὸ σιτίον, διαφθείρει· ἔπειτα ὅταν μεταβολὴ γένηται, εἴτε ἐκ ψύχεος ἐς θάλπος, εἴτε ἐκ θάλπεος ἐς ψῦχος, διαφθείρει· ὥστε ἀνάγκη τὴν κοιλίην, ἀπὸ τῶν σιτίων τῶν αὐτῶν καὶ ποτῶν, δι' αὐτὰ ταῦτα καὶ μαλακωτέρην γίνεσθαι καὶ σκληροτέρην. Τῶν σιτίων καὶ τῶν ποτῶν καὶ τῶν ὄψων, πλὴν ἄρτου, καὶ μάζης, καὶ κρεῶν, καὶ ἰχθύων, καὶ οἴνου, καὶ ὕδατος, τ' ἄλλα πάντα λεπτὰς μὲν καὶ ἀσθενείας καὶ τὰς ὠφελείας παρέχει ἐς τὴν αὔξησιν, καὶ ἐς τὴν ἰσχὺν, καὶ ἐς τὴν ὑγείην, λεπτὰ δὲ καὶ ἀσθενέα καὶ τὰ κακὰ ἀπ' αὐτέων γίνεται. Ὁκόσους τῶν νοσεόντων μὴ ξυνεχέως οἱ πυρετοὶ ἔχουσιν, ἀλλὰ διαλείποντες λαμβάνουσι, τούτοισι τὰ σιτία διδόναι μετὰ τὴν λῆψιν, τεκμαιρόμενος μήπως ἐπὶ νεοβρῶτι ὁ πυρετὸς ἐπιπέσηται, ἀλλ' ἤδη πεπεμμένων τῶν σιτίων. Οἶνος καὶ μέλι κάλλιστα κέκριται ἐν ἀνθρώποισιν, ἢν πρὸς φύσιν καὶ ὑγιαίνουσι, καὶ ἀσθενέουσι σὺν καιρῷ καὶ μετριότητι προσφέρηται. Καὶ ἀγαθὰ μὲν αὐτὰ ἐφ' ἑωυτῶν, ἀγαθὰ δὲ καὶ συμμισγόμενα, τά τε ἄλλα, καὶ ὅσα γε καὶ ἀξίην λόγου ὠφελείην παρέχει. Ὅσα ὑγιαίνουσι ξύμφορα, ταῦτα καὶ νοσέουσι προσφερόμενα, ἰσχυρότερά ἐστι· καὶ δεῖ αὐτῶν ἀφαιρέοντα τὴν ἀκμὴν, διδόναι, ἢ οὐ φέρει αὐτὰ τὸ σῶμα, ἀλλὰ μᾶλλον βλάπτει, ἢ ὠφελεῖ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΩΝ ΕΝΤΟΣ ΠΑΘΩΝ, ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS DE INTERNIS AFFECTIONIBVS, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰ τῶν ἐντὸς μορίων νοσήματα διδάσκει, τῆς τραχείας ἀρτηρίας, τῶν τῆς καρδίας ἀγγείων, τοῦ πνεύμονος, τοῦ νώτου, τοῦ στήθους, καὶ τοῦ πλευροῦ, τοῦ νωτιαίου μυελοῦ, τῶν νεφρῶν, τῶν τοῦ πλευροῦ δεξιοῦ τε καὶ ἀριστεροῦ φλεβῶν, τῆς γαστρὸς καὶ τῶν ἐντέρων, τῶν ἄρθρων, τοῦ δέρματος, καὶ τοῦ παντὸς σώματος· καὶ τὰς τούτων αἰτίας, καὶ τὰ σημεῖα, καὶ τὴν θεραπείαν.

ARGVMENTVM LIBRI.

Internos partium morbos docet, asperæ arteriæ, vasorum cordis, pulmonis, dorsi, pectoris, lateris, spinalis medullæ, renum, venarum dextri & sinistri lateris, abdominis, intestinorum, articulorum, cutis, & vniuersi corporis; eorúmque causas, signa, & curationem.

A

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν τῆς τραχείας ἀρτηρίας ἑλκωθείσης, ἢ τρωθείσης, ἤ τινος τῶν ἀγγείων τοῦ πνεύμονος ῥαγέντος αἰτίων, καὶ σημείων, καὶ προρρήσεως, καὶ θεραπείας· καὶ περὶ τῆς τοῦ ὑγιάζοντος προφυλακῆς.

Ην ἡ τοῦ πλεύμονος ἀρτηρίη ἑλκωθῇ, ἢ τι ῥαγῇ τῶν φλεβίων τῶν λεπτῶν τῶν[1] κατακρεμαμένων ἐς τὸν πλεύμονα, ἢ τῶν συρίγγων τῶν διὰ τοῦ πλεύμονος τεταμένων, καὶ συρραγέωσιν ἐς ἀλλήλας, καὶ αἵματος πλησθῶσι· διασπῶνταί τε καὶ καταῤῥήγνυνται διὰ τάς δε τὰς αἰτίας μάλιστα, διὰ ταλαιπωρίην, διὰ δρόμον, διὰ πτώματα, διὰ πληγὰς, δι' ἐμέτους βιαίους γινομένους, διὰ πυρετούς. τάδε οὖν[2] πάσχει. Ὁ μὲν πρῶτον, βὴξ ἴσχει ξηρή· ἔπειτα ὀλίγῳ ὕστερον, ἀποπτύει ὁτὲ μὲν σίαλον ὕφαιμον, ποτὲ δὲ καθαρόν.[3] οὕτως ἢν μὲν ἐν τάχει παύσηται τῆς νούσου· ἢν δὲ μὴ, προϊόντος τοῦ χρόνου, τὸ αἷμα πλέον χωρέει, ἐνίοτε μὲν καθαρὸν, ἔστι δ' ὅτε καὶ ὑπόσαπρον· πολλάκις δὲ καὶ ἡ φάρυγξ λανθάνει αἵματος πιμπλαμένη, ἔπειτα θρόμβους αἵματος ἐκβράσσει καὶ ὀλίγον καὶ θαμινά· ἐνίοτε δὲ καὶ ὀδμὴ βαρείη ἀπ' αὐτῶν γίνεται, καὶ ἡ φάρυγξ ἔστιν ὅτε τινὸς ἄχνης πίμπλαται. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει, κατ' ἀρχὰς μὲν τῆς νούσου, σφόδρα· προϊούσης δὲ, βληχρότερον, καὶ ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει· καὶ ὀδύνη ἐνίοτε ἔγκειται ἐν τοῖς στήθεσι, καὶ ἐν τῷ μεταφρένῳ, καὶ ἐν τῇσι πλευρῇσι. καὶ ὁκόταν τὸ αἷμα παύσηται πτύων, σίαλον πολλὸν ἀποπτύει ὑγρὸν, ἐνίοτε δὲ καὶ γλίσχρον.

CAPVT I.

De asperæ arteriæ vlceratæ aut sauciatæ, vel alicuius vasorum pulmonis rupti causis, signis, prædictione, curatione, & conualescentis præcautione.

Si pulmonis arteria vlcerata, aut quædam tenuium venularum in pulmonem suspensarum, rupta fuerit; aut fistularum per pulmonem extensarum, & inter se confringantur, & sanguine repleantur; B *his de causis maximè diuelluntur ac perrumpuntur, vehementi exercitatione, cursu, casu, plagis, violentis vomitibus & febribus. Hæc itaque accidunt. Primùm quidem tussis sicca detinet, deinde paulò post sputum subcruentum, interdum verò purum expuit.* Hæc ita fiunt, *si celeriter quidem morbus desinat; sin minùs, procedente tempore, copiosior sanguis, interdum quidem purus, quandoque etiam aliquantulùm putridus procedit. Plerúmque verò fauces etiam latent sanguine repletæ; deinde sanguinis grumos paulatim & crebrò velut violenter expuunt.* C *Quandoque verò etiam ab his grauis odor oritur; & fauces interdum quâdam spumâ implentur. Et rigor ac febris prehendit, per morbi quidem initia vehemens; progressu verò leuior, & aliàs atque aliàs corripit; dolor etiam quandoque pectori, dorso & costis insidet. Quumque sanguinem spuere desierit, sputum copiosum liquidum, interdum etiam viscidum expuit.*

Atque

Atque his ita afficitur, donec dies quatuordecim praeterierint. Post hos verò nisi morbus sedetur, squamulas, quales à pustulis, ab arteria tussiendo auellit, & dolor in pectus, dorsum, & latus irruit, ac hypochondria contingens, tanquam vlcus, dolet. Huic morbo, vt quàm maximè quietem internam habeat, conducit, si ita sit affectus. Siquid enim laborarit, B *tum dolor acutior, tum tussis magis quàm anteà, premit, & rigor & febris magis detinet. Et si sternutauerit, dolor acutus adoritur. Dolet autem & in lecto, quum circumuertitur. Huic cibos quidem eosdem, quos & suppurato, sed hos non multos, offerre oportet. Opsonijs verò his vtatur. Piscibus quidem, squatinâ, aut pagro, aut galeo magno albo, aut alijs similibus, omnibus cum rhoë & origano conditis. Galli autem carnem assam sine sale edat, aut caprae* C *coctam; vinóque vtatur austero quam vetustissimo & suauissimo, nigro; deambulationibus autem moderatis. Atque haec quidem dum febris non detinet,* fieri debent. *Si verò febris detinuerit, sorbitione farinae aut milij vtatur. Si verò cibi exhibeantur, pauci porrigantur, & opsonia per aluum secedentia. Quòd si medicamento tibi vtendum esse videatur, eum grano cnidio, aut tithymalide aliquantulùm purgato; & post purgationem, farinae elixae pinguis heminam absorbendam dato. Deinde quàm maximè re-* D *ficito, quò minimùm tenuis sit. Tenuem enim esse, ad hunc morbum minimè confert. Deambulationes etiam paucae primùm faciendae, vt ne lassitudo succedat. Fomentum autem aliàs atque aliàs admouendum; quâque die admouebitur, sine cibo sit, nisi quòd farinae coctae vncias nouem exsorbeat, aquam verò bibat. Postero die minùs quàm pro consuetudine comedat, vinúmque nigrum, suaue, austerum, paucum bibat; de caetero, bis aut ter die cibi dentur; sic autem ei paulatim exhibeto, donec ventriculum confirmaueris.* E *Ex febribus enim & inediâ, si os quidem appetat, ventriculus verò recipere nolit, vbi confertim receperit, inflammatur. Verùm paulatim exhibere oportet. Quòd si confertim dederis, parúmque laborarit, ventriculus deambulationibus minimè perfrigeratur, densatis nimirùm sensim cibarijs. Itaque febris succedere solet, ac hyeme quidem minùs, aestate verò periculum est* in cibo *delinquere. Hunc quàm maximè reficere oportet, quò quàm crassissimus sit; & deam-* F *bulationibus moderatis vtatur, minúsque solito luctetur. Ac primùm parùm laboret, deinde* paulò *plus; nunquam verò multùm. Haec si fecerit, citissimè conualescet. Quòd si labore attenuetur, remittat & quietem agat. Hic vbi conualuerit, ad ventum ne celeriter currat, neque equum, neque currum conscendat. Vitet etiam tum clamorem, tum excandescentiam. Periculum enim est redire morbum. Verùm haec omnia vitanda sunt. At si cibum auersetur, orobum tostum, cortice repurgato, deinde tribus diebus aquâ maceratum (quotidie aliâ affusâ, aquam effundito)*

A ταῦτα μὲν οὖν οὕτω πάσχει, μέχρι τεσσαρεσκαίδεκα ἡμέραι [4] παρέλθοιεν. μετὰ δὲ ταύτας ἢν μὴ παύσηται τὸ νόσημα, λεπίδας ἀπὸ τῆς ἀρτηρίης ἀποβήσσων ἀποσπᾷ, οἵας περ ἀπὸ φλυκταινίδων, καὶ ὀδύνη ἐμπίπτει [5] ἐς τὰ στήθεα, καὶ ἐς τὸ μετάφρενον, καὶ ἐς τὸ πλευρὸν, καὶ τῶν ὑποχονδρίων ὡς ἕλκος ψαυόμενος ἀλγεῖ. Τούτῳ ξυμφέρει ἡσυχίην ὡς μάλιστα τῷ νο- B σήματι ἔχειν ἔσω, ἢν οὕτως ἔχῃ· ἢν γάρ τι πονήσῃ, ὅ, τε πόνος ὀξύτερος, καὶ ἡ βὴξ μᾶλλον ἢ τὸ πρότερον, πιέζει, καὶ τὸ ῥῖγος καὶ ὁ πυρετὸς μᾶλλον ἔχει. καὶ ἢν πταρῇ, ἡ ὀδύνη ὀξείη προσέβαλεν· ἀλγεῖ δὲ καὶ ἐν τῇ εὐνῇ, ὁκόταν περιστρέφεται. τούτῳ χρὴ προσφέρειν, σιτία μὲν τὰ αὐτὰ, ἃ καὶ τῷ ἐμπύῳ, ταῦτα δὲ οὐ πολλά. τῶν δὲ ὄψων τούτοισι χρέεσθαι· ἰχθύσι μὲν, ῥίνης, ἢ φάγρου, [6] ἢ γαλεοῦ τοῦ μεγάλου τοῦ [8] λευκοῦ, ἢ τῶν ἄλλων τῶν ὁμοίων, πᾶσιν ἐν ῥόῳ καὶ ὀριγάνῳ ἠρ- C τυμένοις· κρέας δὲ ἐσθιέτω ἀλέκτορος, ὀπτὸν, ἄναλτον, ἢ [9] αἰγὸς ἑφθόν· καὶ οἴνῳ αὐστηρῷ ὡς παλαιοτάτῳ, καὶ ἡδίστῳ, μέλανι χρεέσθω, περιπάτοισι δὲ μετρίοισι. πλὴν ταῦτα, πυρετοῦ μὴ ἔχοντος· ἢν δὲ πυρετὸς ἔχῃ, ῥοφήματι ἀλεύρου ἢ κέγχρου χρεέσθω· ἢν δὲ σιτία προσφέρῃς, ὀλίγα προσφερέσθω, καὶ ὄψα τὰ διαχωρητικά. κἢν μὲν φαρμάκου σοι δοκέῃ [10] χρέεσθαι, ὑποκαθῆραι αὐτὸν τῷ κνιδίῳ κόκκῳ, ἢ τῇ τιθυμαλίδι, καὶ μετὰ τὴν κάθαρσιν ἀλεύρου ἑφθοῦ δοῦναι τρυβλίον ἐκροφεῖν λιπαροῦ· εἶτα ἀνακομίζειν ὡς μάλιστα, ὅκως ἂν ἥκιστα D λεπτὸς ᾖ· πρὸς γὰρ τὴν τοιαύτην νοῦσον, οὐ ξυμφέρει λεπτὸν εἶναι. καὶ περιπάτους ὀλίγους τὸ πρῶτον ποιέεσθαι, ὡς μὴ κόπος [11] ἐπιλάβηται· πυριῆν δὲ ἄλλοτε καὶ ἄλλοτε, καὶ ᾗ πυριηθῇ ἡμέρῃ, ἄσιτος ἔστω πλὴν ἀλεύρου ἑφθοῦ, οὗ περ τρυβλίον ἐκροφεέτω, ὕδωρ δὲ πινέτω· τῇ δὲ ὑστεραίῃ, ἔλαττον ἢ ὡς μεμαθήκει φαγέτω, καὶ πινέτω οἶνον μέλανα, ἡδὺν, αὐστηρὸν, ὀλίγον· τὸ δὲ λοιπὸν, δὶς ἢ τρὶς τῆς ἡμέρης τὰ σιτία διδόναι. οὕτω δὲ δίδου τούτῳ κατ' ὀλίγον, μέχρι καταστήσῃς τὴν E κοιλίην· ἐκ γὰρ τῶν πυρετῶν, καὶ τῆς ἀσιτίης, ἢν μὲν τὸ [12] στόμα ζητῇ, ἡ δὲ κοιλίη οὐκ ἐθέλει δέξασθαι, ἀθρόον δεξαμένη, φλεγμαίνει· ἀλλὰ κατ' ὀλίγον διδόναι χρή· ἢν δὲ ἀθρόον δῷς, καὶ ὀλίγα πονήσῃ, τοῖσι περιπάτοισιν οὐ διαψύχεται ἡ κοιλίη, ἅτε ἀτρέμα ξυνεστηκότων τῶν βρωτῶν, [13] διὸ καὶ πυρετὸς φιλέει ἐπιγίνεσθαι, καὶ τοῦ μὲν χειμῶνος ἧσσον, τοῦ δὲ θέρεος κίνδυνος ἐξαμαρτεῖν. Τοῦτον ἀνακομίζειν δεῖ ὡς μάλιστα, ὅκως ἂν ὡς παχύτατος ᾖ· καὶ τοῖσι περι- F πάτοισι μετρίοισι χρεέσθω, καὶ παλαιέτω ἧσσον ἑωυτοῦ· καὶ πονεέτω ὀλίγα τὸ πρῶτον, ἔπειτα δὲ πλείω, πολλὰ δὲ οὐδέποτε. ταῦτα ἢν ποιέῃ, ὑγιὴς ἔσται τάχιστα. ἢν δὲ λεπτὸς γένηται διὰ τὴν ταλαιπωρίην, ἀνιέτω καὶ ἡσυχίην ἐχέτω. ἔπειτα μήτε πρὸς ἄνεμον δραμὴ ὑγιὴς ἐὼν, ὀξέως, μήτε ἐφ' ἵππον, μήτε ἐπὶ ζεῦγος ἀναβῇ· φυλασσέσθω δὲ καὶ βοὴν καὶ ὀξυθυμίην· κίνδυνος γὰρ τὴν νοῦσον πάλιν ἀναλαβεῖν· ἀλλὰ φυλάσσεσθαι χρὴ τούτων ἁπάντων. ἢν δὲ τοῦ σιτίου ἀποκλείσθῃ, ὀρόβους [14] φώσας, τὰ κέλυφα ἀποκαθῆραι· εἶτα βρέξας αὐτοὺς ἐν ὕδατι τρεῖς ἡμέρας (ἐφ' ἑκάστην δὲ ἡμέρην ἀποχέειν τὸ ὕδωρ, καὶ ἄλλο ἐπεγχέειν)

ἔπειτα τῇ τετάρτῃ ἡμέρῃ ἀπηθῆσαι, καὶ ξηρῆναι· εἶτα ἀλέσας λεπτότατα, [15] διασῆσαι· καὶ λίνου καρπὸν φώσας, κόψαι λεῖον· καὶ σήσαμον φώσας, κόψαι λεῖον, καὶ ἄλφιτα ἄναλτα, καθαρά, λεπτά· καὶ τῶν μὲν ὀρόβων καὶ ἀλφίτων, ἴσον ἑκατέρων ἔστω, τοῦ δὲ σησάμου τρίτον μέρος, τοῦ δὲ λίνου ἥμισυ μιῆς μερίδος. Ταῦτα ἐν αἰγείῳ [16] γάλακτι ἑψήσας, ὡς ὑγρότατα ῥοφέειν. μετὰ δὲ ταῦτα, διδόναι αὐτῷ ἐς ἄριστον σιτία καθαρά, καὶ ὄψα ἀπὸ τῶν ἰσχυροτέρων· οἶνον δὲ τὸν αὐτὸν πινέτω. διδόναι δὲ αὐτῷ καὶ τῶν ῥιζέων, τῶν πρὸς ταῦτα τὰ ῥήγματα, τῆς κενταυρείης, ἐπ' οἶνον ἐπιξύων· διδόναι δὲ καὶ τοῦ δρακοντίου, ἐπ' οἶνον ἐπιξύων· [17] διδόναι δὲ καὶ τῆς τοῦ βηχίου ἐν μέλιτι, καὶ τὸ δρακόντιον ξύων, λείχειν. ἢν δὲ τὸ ἕψημα τὸ ἐν τῷ γάλακτι, μὴ φάσκῃ δυνατὸς εἶναι ῥοφέειν, γάλα βόειον ὡς πλεῖστον πινέτω, τρίτον μέρος τοῦ μελικρήτου προσμίσγων. καὶ οὕτω τάχιστα ὑγιὴς ἔσται· ἡ δὲ νοῦσος θεραπείης δέεται πολλῆς, χαλεπὴ γάρ· [18] ἢν γὰρ θεραπευθεὶς ὑγιής τε γένηται, μὴ ἐν φυλακῇ ἔχῃ ἑωυτὸν, τοῖσι πολλοῖσιν ὑποστρεψάσα ἡ νοῦσος, αἰτίη ἀπωλείας ἐγένετο. Οὗτος ἢν μὲν ὑπὸ ταύτης τῆς θεραπείης ὀνηθῇ, ἅλις· ἢν δὲ μή, παχύνας αὐτὸν γάλακτι, καῦσαι τά τε στήθεα καὶ τὸ μετάφρενον· ἢν γὰρ τύχῃς καύσας, ἐλπὶς ἐκφυγέειν τῆς νούσου.

posteà quarto die excolato & resiccato; mox tenuissimè molitum, cribrato. Et lini semen tostum tundito ac terito, sesamúmque etiam tostum, leuissimè tundito; polentámque insulsam, puram, tenuem admisceto. *Sit autem orobi & polentæ vtriusque æqualis portio, sesami verò tertia pars, sed lini partis vnius dimidium. Hæc in caprino lacte cocta, quàm liquidissima sorbeat. Post hæc autem in prandium cibos puros, & ex opsonijs valentiora ei exhibeto; vinum autem idem bibat. Centaurij etiam radices in vinum derasas, ad eiusmodi ruptiones facientes, ei exhibeto. Dracontij etiam radices in vinum erasas dato. Dato & tussilaginis radicem cum melle, & dracontium derasum delingendum. At si in lacte decoctum se sorbere posse neget, lac bubulum quàm plurimum, aquæ mulsæ tertiâ parte admixtâ, bibat. Sicque citissimè conualescet. Hic autem morbus multâ curatione indiget, difficilis enim est; si quis enim curatus & sanus factus fuerit, nisi sui curam habuerit, plerisque reuertens morbus, interitûs causam attulit. Hic si quidem hac curatione sanatus fuerit, satis est. Sin minùs, vbi eum lacte crassiorem reddideris, & in pectore & in dorso inurito. Si enim vstio benè successerit, morbum effugiendi spes est.*

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς τῆς ἀρτηρίας, ἢ τῆς φλεβὸς τῆς ἐν τῷ πνεύμονι ἀποσπάσματος καὶ τῶν αὐτοῦ συμπτωμάτων, καὶ σημείων, καὶ θεραπείας.

Ἢν δὲ ἀρτηρίη ἀποσπασθῇ, ἢ τις τῶν φλεβῶν τῶν τεινουσῶν εἰς τὸν πνεύμονα, τάδε πάσχει. κατ' ἀρχὰς μὲν τῆς νούσου βὴξ ἴσχει ὀξεῖα, καὶ ῥῖγος, καὶ πυρετός· καὶ τὸ σίαλον ἀποπτύει πουλύ τε καὶ λευκὸν καὶ ἀφρῶδες, ἄλλοτε δὲ ὕφαιμον· καὶ ὀδύνη τὴν κεφαλὴν καὶ τὸν τράχηλον ἴσχει. αὕτη ἡ νοῦσος ἰσχυροτέρη τῆς πρόσθεν· καὶ μέχρι μὲν δέκα ἡμερέων τῶν πρώτων, τοιαῦτα πάσχει, ἔπειτα οἱ πολλοὶ τῇ ἑνδεκάτῃ πύα ἀποπτύουσι παχέα βιαίως· [19] ἡμέρῃ δὲ καθαρώτερα ἀποπτύει, ἢν φύξιμος ᾖ, καὶ τῇ ὀδύνῃ ἧσσον πονέει, καὶ ἐν τάχει ὑγιὴς γίνεται. ἢν δὲ μέλλῃ πολυχρόνιος ἡ νοῦσος ἔσεσθαι, τά τε πύα πολλῷ πλείονα ἀποπτύει, καὶ ὁ ἄλλος πόνος ἐν τῷ σώματι, πολλῷ ἔνι πλείων· αἱ δὲ θέρμαι βληχρότεραι ἔχουσιν, ἢ τὸ πρίν. Τοῦτον ἢν λάβῃς κατ' ἀρχὰς, ὑποκαθῆραι κάτω ὀπῷ σκαμμωνίης, ἢν ἀπύρετος ᾖ. μετὰ δὲ τὴν κάθαρσιν, προσφερέσθω ταῦτα ἃ καὶ πρόσθεν, καὶ τὰ ἄλλα τὰ αὐτὰ προσφερέσθω, ἡσυχίην ἔχων ὡς μάλιστα τῷ σώματι, καὶ μαλθακῶς κοιμάσθω. Ταῦτα μὲν κατ' ἀρχὰς ποιεέτω, μέχρι τῶν δέκα ἡμερέων.

CAPVT II.

De arteriæ aut venæ pulmonis diuulsione, eiusque symptomatis, signis, & curatione.

At si arteria aut venarum ad pulmonem tendentium aliqua diuulsa sit, hæc contingunt. Per morbi quidem exordia tussis acuta detinet, & rigor & febris; & sputum tum copiosum, tum album ac spumosum, interdúmque subcruentum expuit; dolorque caput & ceruicem occupat. Hic morbus priore est vehementior; ac decem quidem primis diebus hæc ei contingunt. Deinde plerique vndecimo die pus crassum violenter expuunt. Die verò decimoquarto *puriora expuit, si euasurus sit, & dolore minùs vexatur, breuique sanus euadit. Si verò diuturnus morbus futurus sit, & multò plus puris expuit, & reliquus dolor in corpore longè maior est; sed calores, quàm anteà, leuiores detinent. Hunc si per initia curandum susceperis, scammoniæ succo, si febre careat, per inferiora aliquantulùm purgato. Post purgationem autem eadem, quæ priùs, exhibeantur; & reliqua eadem quieto quàm maximè corpore assumantur, & molliter iacens dormiat. Et hæc quidem decem primis diebus faciat.*

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ ἐμπύου καὶ τοῦ πλευμορρώγεος.

Ἢν δὲ ἔμπυος γένηται, τὰ αὐτὰ ἃ καὶ πρόσθεν, ποιεέτω· ἢν δὲ ὑγιὴς γένηται, τῶν δὲ χρὴ ἀπέχεσθαι σιτίων καὶ

CAPVT III.

De pectoris suppurato, & pulmone rupto.

At si suppuratus extiterit, eadem etiam, quæ priùs, faciat. Si verò sanus euaserit, his cibis & potibus

potibus abstineat oportet, acidis, acribus, salsis & pinguibus. Labore etiam vehementiore, & iisdem quibus prior, abstineat. Hæc si fecerit, citissimè hoc morbo liberabitur. Siquid autem eorum non fecerit, reuertentem morbum rursum periclitabitur, morbusque deteriùs detinebit; nam pleriq; pulmone rupti, quoad interierint, perseuerant. Hunc nisi quis confestim curet, postea reuerso morbo, non erit quo iuuare possis, nisi hæc feceris. Lacte bubulo crassum redditum, in pectore & dorso inurito. Si enim vstio successerit, iuuabis. Hic autem morbus ab iisdem erratis, à quibus etiam prior, oritur.

CAPVT IV.

De pneumonidis causis, signis, & curatione.

PNeumonis autem ab his maximè fit. Quum ad sese pulmo sanguinem aut pituitam salsam traxerit, neque rursus dimiserit, sed ibi collecta & coacta fuerint, ex his tubercula in pulmone gigni solent, & suppurari. Hic hæc patitur per initia & per totum morbum; tussis acuta, sicca, & rigor, & febris detinet; dolor pectori & dorso, interdúmque etiam lateri insidet; & orthopnœa vehemens incidit. Hic ad quatuordecim vsque dies his in affectibus perseuerat; plerúnque etiam plures, quàm quatuordecim dies. Deinde pus erumpit, multúmq; expuit; sæpè verò tanquam aranearum tunicas expuit; crebrò etiam subcruentū. Quòd si pulmo quidem citò repurgatus fuerit, & gracilescat, interitum effugit. Nisi verò aduertat, morbus annum detinet, & mutatur æger & varias subit affectiones. Huic per initia priusquam pus erumpat, hæc adhibere oportet. Quum febris remiserit, multâ calidâ lauet, & sorbitionibus multis vtatur. Ptisanæ cremorem coctum, melle affuso & cocto sorbeat; vinumque dulce album, aut aquam mulsam coctam bibat. Quum verò pus expuere cœperit, eadem quæ prior purulentus bibat; iisdemque cibis, potibus, & opsoniis vtatur; acidis abstineat, acribus, salsis, pinguibus, venere & meri potu, nisi morbo commodum fuerit. Colorem autem inspiciens, quorum tibi indigere videatur, curam habeto. Reliqua autem eadem faciat. Lac bubulum & caprinum, pro tempore etiam bibat, priùs tamen lacte asinino cocto deorsùm purgetur. Bibat autem quotidie manè & lactis equini excolati poculum trium heminarum, si possit. Si igitur ita curatus meliùs habuerit, satis est. Atque si pus in pectus non eruperit, ipse sibi medeatur, corpori quàm maximè quietem concilians, & sibi commoda admouens. Si verò in pectus pus eruperit, quâ parte de se tibi significationem præbere videbitur, illic præcipuè sectione, aut vstione factâ, pus primùm paucum educito; cætera verò eadem facito quæ in priore suppurato scripta sunt.

ποτῶν, ὀξέων, καὶ δριμέων, καὶ ἁλικῶν, καὶ λιπαρῶν· ταλαιπωρίης δὲ ἀπέχεσθαι, καὶ τῶν αὐτῶν ὧν καὶ ὁ πρόσθεν. ταῦτα ἢν ποιέῃ, τάχιστα τῆς νούσου ἀπαλλαγήσεται· ἢν δέ τι [20] τουτέων οὐ ποιήσῃ, κινδυνεύσει πάλιν ὑποστραφείσης, καὶ ἡ νοῦσος κάκιον ἔχει· καὶ γὰρ οἱ πολλοὶ πλευμοῤῥωγέες ἐόντες διατελέουσιν, ἕως ἂν ἀποθάνωσι. Τοῦτον ἢν μὴ παραχρῆμά τις ἰήσηται, ὑποστραφείσης τῆς νούσου, οὐκ ἂν μετὰ ταῦτα ἔχοις ὠφελῆσαι, ἢν μὴ τάδε ποιήσῃς· γάλακτι βοείῳ παχύνας, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον· ἢν γὰρ τύχῃς καύσας, ὠφελήσεις. ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτέων ἁμαρτάδων γίνεται, ὧν καὶ ἡ πρόσθεν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν τῆς πνευμονίδος αἰτίων, καὶ σημείων, καὶ τῆς θεραπείας.

ΠΛευμονὶς δὲ γίνεται ἀπὸ τῶνδε μάλιστα. Ὁκόταν ὁ πλεύμων αἷμα ἑλκύσας ἐφ᾽ ἑωυτὸν, ἢ φλέγμα ἁλμυρὸν, μὴ ἀπῇ πάλιν, ἀλλ᾽ αὐτοῦ ξυστραφῇ καὶ ξυμπαγῇ, ὑπὸ τουτέων φύματα φιλεῖ γίνεσθαι ἐν τῷ πλεύμονι καὶ ἐμπυοῦσθαι. Οὗτος τάδε πάσχει κατ᾽ ἀρχὰς, καὶ διὰ παντὸς τοῦ νουσήματος· βὴξ ὀξείη ξηρὴ ἴσχει, καὶ ῥῖγος, καὶ πυρετός· καὶ ὀδύνη ἐν τοῖσι στήθεσι καὶ ἐν τῷ μεταφρένῳ ἔγκειται, ἐνίοτε δὲ καὶ ἐν τῷ πλευρῷ, καὶ ὀρθοπνοίη σφοδρὴ ἐμπίπτει. Οὗτος μέχρι μὲν τεσσαρεσκαίδεκα ἡμερέων, τοιαῦτα πάσχων διατελέει, πολλάκις δὲ καὶ πλείονας ἢ δεκατέσσαρας ἡμέρας· ἔπειτα ῥήγνυνται πῦα, καὶ ἀποπτύει πολλόν· πολλάκις δὲ ἀποπτύει καὶ οἷον ἀραχνίων χιτῶνας· πολλάκις δὲ καὶ ὕφαιμον. κἢν μὲν ἀποκαθαρθῇ καὶ ἀπισχνωθῇ ἐν τάχει ὁ πλεύμων, ἐκφυγεῖ τὸν ὄλεθρον· [21] ἢν δὲ μὴ προσέχῃ, ἐνιαυτὸν ἴσχει ἡ νοῦσος, καὶ μεταβάλλει, ἄλλοτε ἀλλοῖα πάσχων. Τούτῳ χρὴ κατ᾽ ἀρχὰς μὲν πρὶν ἢ τὰ πῦα ῥαγῆναι, προσφέρειν τάδε. ὁκόταν ἀνῇ ὁ πυρετὸς, λούειν πολλῷ θερμῷ, καὶ ῥοφήμασι πολλοῖς χρέεσθαι· πτισάνης χυλῷ καθέφθῳ μέλι παραχέας, ὁκόταν ἑφθὸν ᾖ, [22] ῥοφείτω· καὶ οἶνον πινέτω γλυκὺν λευκὸν, ἢ μελίκρητον ἑφθόν. ὁκόταν δὲ ἄρξηται πῦα ἀποπτύειν, πινέτω τὰ αὐτὰ, ἃ καὶ ὁ πρόσθεν ἔμπυος, καὶ σιτίοισι, καὶ ποτοῖσι καὶ ὄψοισι τοῖς αὐτοῖς χρεέσθω, ἀπεχόμενος ὀξέων, καὶ δριμέων, καὶ ἁλυκῶν, καὶ λιπαρῶν, καὶ λαγνείης, καὶ θωρηξίων, ἢν μὴ τῇ νούσῳ πρόσφορα ᾖ. ἐς χρῶμα δὲ ὁρέων, μελετᾷν, ὁκοίων δή τινων δοκέει σοι δεῖσθαι· τὰ δ᾽ ἄλλα τὰ αὐτὰ ποιείτω. πινέτω δὲ καὶ γάλα βοὸς καὶ αἰγὸς τὴν ὥρην, πρόσθεν δὲ ὑποκαθαιρέσθω γάλακτι ὀνείῳ ἑφθῷ· πινέτω δὲ καὶ τὸ ἵππειον γάλα [23] σεσησμένον, ἑκάστης ἡμέρης ἕωθεν τρικότυλον κύλικα, ἢν ᾖ δυνατός. ἢν μὲν οὖν οὕτω μελετώμενος [24] ῥηΐσῃ, ἅλις· καὶ ἢν μὴ ῥαγῇ τὰ πῦα ἐς τὰ στήθεα, αὐτὸς ἑωυτὸν θεραπευέτω, ἡσυχίην ἔχων τῷ σώματι ὡς μάλιστα, καὶ τὰ ξύμφορα προσφέρων ἑωυτῷ. ἢν δὲ ῥαγῇ τὰ πῦα ἐς τὰ στήθεα, ὅπη ἄν σοι δοκέῃ ἀποσημαίνειν, ἐκεῖσε μάλιστα ταμὼν ἢ καύσας, ἀφιέναι τοῦ πύου ὀλίγον τὸ πρῶτον· τὰ δ᾽ ἄλλα ποιέειν τὰ αὐτὰ, ἃ καὶ ἐπὶ τοῦ πρόσθεν ἐμπύου γινομένου γεγράφαται.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τοῦ ἐν πλεύμονι κιρσοῦ, καὶ τῶν τούτου αἰτίων, καὶ σημείων, καὶ τῆς θεραπείας.

ΗΝ ἐν πλεύμονι κιρσὸς ἐγγένηται, βὴξ ξηρὴ ἐπιλαμβάνει, καὶ ῥῖγος, καὶ πυρετὸς, κατ' ἀρχὰς μὲν τῆς νούσου πάνυ σφοδρὰ, ἔχει δὲ καὶ ὀρθοπνοίη. καὶ [25] ἐν τῇ κεφαλῇ ἐνέστηκε, καὶ αἱ ὀφρύες δοκέουσιν ἐπικρέμασθαι, καὶ οἴδημα κατέρχεται ἐς τὸ πρόσωπον, καὶ ἐς τὰ στήθεα, καὶ ἐς τοὺς πόδας· πολλάκις δὲ καὶ [26] ἐς τὴν κεφαλὴν ἐρείδει, καὶ ὑπὸ τῆς ὀδύνης, ὅταν ὁ πόνος ἔχῃ, οὐ δύναται ἀνορῆν· τό, τε σῶμα ὕπωχρος, καὶ αἱ φλέβες δι' αὐτοῦ τείνουσιν ἢ φλόγιαι, ἢ μέλαιναι. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καὶ ὁ πόνος μάλιστα πιέζῃ, πρῶτον μὲν αἷμα ἀφαιρέειν, ἔπειτα λούειν πολλῷ καὶ θερμῷ· καὶ ὁκόταν δίψα ἔχῃ, πίνειν διδόναι κυκεῶνα ἐν οἴνῳ μέλανι αὐστηρῷ, ὡς [27] ἡδίστῳ, ἴσον ἴσῳ κεράσας· ψυχρὸν δὲ χρὴ μάλιστα πίνειν. ῥοφήμασι χρέεσθαι, πτισάνης χυλῷ καθέφθῳ, μέλι χρυσὸν παραχέας. ταῦτα χρὴ προσφέρειν, ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων τῇσι τεσσαρεσκαίδεκα. ἢν δὲ ἐπὶ πλέον ἡ νοῦσος ἔχῃ, ὅ, τε πόνος πλείων ᾖ ἐν τῷ σώματι, καὶ ἀδυναμίη ἐνῇ, τούτῳ δὴ οὕτως ἔχοντι ταῦτα προσφέρειν, ἃ καὶ ἐν τῷ [28] πυοῦντι τὸν πλεύμονα, ὁκόταν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν. αὕτη ἡ νοῦσος γίνεται ἀπὸ ταλαιπωρίης καὶ χολῆς μελαίνης.

CAPVT V.

De pulmonis varice, eiusque causis, signis, & curatione.

SI varix in pulmone fiat, per morbi quidem exordia, tussis sicca, rigor & febris vehemens admodùm inuadit; sed & orthopnœa detinet. In capite tumor consistit, & supercilia suspendi videntur, tumorque ad faciem, pectus, & pedes descendit; sæpè verò & in caput decumbit; quùmque labor detinet, præ dolore oculos attollere non potest. Corpus est subpallidum, & venæ per ipsum extenduntur, aut rubræ aut nigræ. Huic, quum sic habeat & dolor maximè vrgeat, primùm quidem sanguinem detrahito; deinde multâ & calidâ lauato; & quum sitis detinet, cyceonem ex vino nigro austero quam suauissimo, æquali aquâ temperatum, potui exhibeto, sed maximè frigidum bibere oportet. Ptisanæ cremore cocto, optimo melle affuso, pro sorbitionibus vtatur. Hæc primis quatuordecim diebus offerenda sunt. Quòd si diutiùs morbus detineat, dolorque maior in corpore, & virium impotentia adsit, huic sanè sic habenti ea exhibeto, quæ & pulmone suppurato, quum quatuordecim dies præterierint. Hic morbus à vehementiore labore & atrâ bile fit.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τοῦ πνεύμονος πλήθους

ΟΚόταν τὰ κοῖλα φλέβια τὰ διέχοντα ἐν τῷ πλεύμονι, πλησθῇ αἵματος ἢ χολῆς μελαίνης, ξυρρήγνυται τὰ φλέβια ἐς ἄλληλα, ἅτε ἐν στενοῖσιν ἐόντα καὶ ἐπειλημμένα, καὶ ἔξοδον οὐκ ἔχοντα, ὀδύνην παρέχει καὶ φῦσαν ἐν τῷ πλεύμονι. αὕτη ἡ νοῦσος χαλεπὴ, καὶ θεραπείης δεομένη πολλῆς· εἰ δὲ μὴ, οὐκ ἐθέλει ἐκλιπεῖν τὸν κάμνοντα, καὶ ὡς τὰ πολλὰ ἐν τοῖσι πολλοῖσι ξυναποθνήσκει.

CAPVT VI.

De pulmonis plenitudine.

QVum venæ cauæ, quæ in pulmonem distribuuntur, sanguine aut bile atrâ repletæ fuerint, venulæ nimirùm in angustijs interceptæ, inter sese rumpuntur, quumque exitum non habeant, dolorem & flatum in pulmone excitant. Hic morbus est difficilis, & multâ curatione indiget. Alioqui ægrum relinquere non potest, & plerúnque in multis commoritur.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν τῆς ἐν πνεύμονι φλεγμονῆς αἰτίων, καὶ σημείων, καὶ τῆς θεραπείας.

ΗΝ φλεγμονὴ ἐν πλεύμονι γένηται· γίνεται δὲ μάλιστα ἀπὸ οἰνοφλυγίης, καὶ γαστριμαργίης ἰχθύων κεφάλων, καὶ ἐγχελύων· ταῦτα γὰρ τὴν πιμελὴν πολεμιωτάτην ἔχει πρὸς τὴν φύσιν τοῦ ἀνθρώπου· ἤδη δὲ τὸ νούσημα ἐγένετο ἀπὸ φλέγματος, ὁκόταν μιγὲν τῷ αἵματι ἐπιρρυῇ ἐπὶ τὸν πλεύμονα· προσπίπτει δὲ καὶ ἐκ κρεοφαγίης, καὶ ἐξ ὕδατος μεταβολῆς. τάδε οὖν πάσχει. βήσσει ἰσχυρῶς, καὶ τὸ σίαλον ἀποπτύει ὑγρὸν καὶ πολλὸν, πολλάκις δὲ καὶ παχὺ καὶ λευκὸν, [31] οἷον ἀπὸ βράγχου· καὶ ὀδύνη πιέζει ὀξείη ἐς τὰ στήθεα, καὶ τὸ μετάφρενον, καὶ τοὺς κενεῶνας, καὶ τὰ πλευρά· καὶ ἐρεύγεται ὀξὺ, καὶ ἐκ τῶν στηθέων καὶ πλευμόνων, οἷον γαστὴρ τρυλλίζει· καὶ ἐμέει λάπην ὀξείην, καὶ τὸ ἔμεσμα ἢν ἐκχέῃς χαμαὶ, ζέει τὴν γῆν ὥσπερ ὄξος ἐπιχέοντι, καὶ τοὺς ὀδόντας αἱμωδιᾷ.

CAPVT VII.

De inflammationis pulmonis causis, signis, & curatione.

SI inflammatio in pulmone oriatur; oritur autem præcipuè à vinolentia, & piscium capitonum & anguillarum ingluuie; hi nanque pinguedinem hominis naturæ inimicissimam habent. Iam verò ortum habuit hic morbus à pituita, quum sanguini permixta ad pulmonem affluxerit. Incidit etiam ex carnis esu, & aquæ mutatione. Hæc igitur patitur. Vehementer tussit, & sputum liquidum & copiosum expuit, plerúnque etiam crassum & album, tanquam à raucedine. Dolor acutus premit pectus, dorsum, ilia, & costas; acidum eructat, & ex pectore ac pulmonibus velut venter obmurmurat; pituitam acidam vomit, sique quod vomitum est, in terram effundas, terram tanquam infusum acetum radit, & dentes stupescunt. Rigor,

gor, febris, & sitis vehemens detinet, & siquid pingue comedere velit, sugit in viscera, & vomitum ciet; & totum corpus torpor occupat. Quum verò euomuerit, paulò melius habere videtur; deinde sub vesperam diei obortam venter strepit, contorquetur, & murmur edit. Huic, quum sic habuerit & tempestiuum esse apparuerit, curationem sic adhibeto. Mel, lac, acetum, & aquam simul mixta & in ollam infusa tepefacito, & origani capitati surculis agitato, tepefactum potui exhibeto; aut apprehensâ linguâ sensim per fistulam infundito; deinde vestibus conuolutum quietem agere iubeto. Postea si ipsi vomitus successerit, promptè vomat; quòd si non successerit, subactâ pennâ vomat; & siquid pituitæ vomuerit, idem per dies quinque facito. Sic enim agens meliùs habebit. Hoc autem exercitatus, si possit, bibat, & calidâ multâ lotus; sin minùs, saltem lotus. Quum verò dies quinque præterierint, manè ieiunus ex aquâ mulsâ, aut mulso, laseris succum orobi quantitate bibat, & allium ac radiculas ieiunus edat, & vinum merum nigrum, aut album austerum insuper sorbeat. Bibat autem & cum cibo & post cibum. Cibis autem siccis & carnibus catulinis coctis vtatur, si rigor & febris non prehenderit. Hic si ex eiusmodi in os infuso aliquantulùm purgetur, sat est; sin minùs, eum sursùm per veratrum purgato. Post purgationem verò, farinæ coctæ melle affuso duas heminas sorbendas dato; vinum autem idem aquosum bibat. At si per initia morbo non affueris, eum lacte crassum redditum, in pectore ac dorso inurito; sic enim præcipuè morbo liberabitur. At nisi vstus fuerit, permanet, neque ferè deserit, sed ad senium vsque perseuerat, plerúnque verò commoritur, nisi primis quadraginta diebus interierit. Verùm quàm maximâ curâ opus est; & serum ac lac bubulum, caprinum, asininum, & equinum, pro tempore bibat. Sic enim facillimè vitam deget. Hic autem morbus difficilis est.

καὶ ῥῖγος καὶ πυρετὸς, καὶ δίψα ἔχει ἰσχυρή· καὶ ἢν τι θέλῃ λιπαρὸν φαγεῖν, μύζει περὶ τὰ σπλάγχνα, καὶ ἔμετον ἄγει, καὶ τὸ σῶμα ἅπαν νάρκη ἔχει. ὁκόταν δὲ ἀπεμέσῃ, ἐπ᾽ ὀλίγον δοκεῖ ῥάων εἶναι, ἔπειτα ἐπειδὰν τῆς ἡμέρης ὀψίτερον γίνηται, βρέμει ἡ κοιλίη, καὶ στρέφει, καὶ βορβορύζει. [33] Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καὶ δοκέῃ καιρὸς εἶναι, προσαίρειν ὧδε [34] μελέτην. μίξας μέλι, καὶ γάλα, καὶ ὄξος, καὶ ὕδωρ, ταῦτα ἐγχέας ἐς χυτρίδα χλιαίνειν, καὶ ὀριγάνου κλωνίοισι τοῦ κεφαλωτοῦ ταράσσειν· ἐπειδὰν δὲ χλιαρὸν ᾖ, δοῦναι πιεῖν, ἢ λαβόμενος τῆς γλώττης, ἐγχέειν ἡσυχῆ διὰ σύριγγος· εἶτα κελεύειν [35] συνειλιχθέντα ἡσυχίην ἔχειν. ἔπειτα ἢν ἔμετος ἐπέλθῃ αὐτῷ, ἐμέειν προθύμως· ἢν δὲ μὴ ἐπέλθῃ, [36] καταματευόμενος πτερῷ, ἐμεέτω· καὶ ἢν τι φλέγματος ἐμέσῃ, ἐπὶ πέντε ἡμέρας τὸ αὐτὸ ποιεέτω· ῥάων γὰρ ἔσται οὕτω ποιέων. πινέτω δὲ τοῦτο γυμνασάμενος, ἢν οἷός τε ᾖ, καὶ λουσάμενος πολλῷ θερμῷ· ἢν δὲ μὴ, ἀλλὰ λουσάμενος. Ὁκόταν δὲ αἱ πέντε ἡμέραι παρέλθωσιν, πρώϊος νῆστις πινέτω [37] ἐν μελικρήτῳ ἢ οἰνομέλιτι ὀπὸν σιλφίου ὁκόσον ὄροβον, καὶ σκόροδον τρωγέτω καὶ ῥαφανίδας νῆστις, καὶ ἄκρητον οἶνον ἐπιρροφανέτω μέλανα, ἢ λευκὸν αὐστηρόν· πινέτω δὲ καὶ ἐπὶ σίτῳ, καὶ μετὰ τὸν σῖτον. σιτίοισι δὲ ξηροῖσι καὶ κρέασι κυνείοισι χρεέσθω ἑφθοῖσιν, ἢν τὸ ῥῖγος καὶ ὁ πυρετὸς μὴ ἐπιλαμβάνῃ. ἔστι ἢν ἀπὸ τοῦ τοιοῦδε ἐγχύματος καθαίρηταί τι· ἢν δὲ μὴ, ἄνω αὐτὸν [37] καθαίρειν ἐλλεβόρῳ· μετὰ δὲ τὴν κάθαρσιν ἀλεύρου ἑφθοῦ διδόναι δύο τρυβλία ἐκροφέειν, μέλι [38] παραχέας, οἶνον δὲ τὸν αὐτὸν πινέτω ὑδαρέα. ἢν δὲ μὴ κατ᾽ ἀρχὰς παραγίνηται τῇ νούσῳ, παχύνας αὐτὸν γάλακτι, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον· οὕτω γὰρ ἂν μάλιστα τῆς νούσου ἀπαλλαγείη· ἢν δὲ μὴ καυθῇ, ξυμπαραμένει καὶ οὐ μάλα ἐκλείπει, ἀλλ᾽ ἕως γήρως προσέχει, πολλάκις δὲ καὶ συναποθνήσκει, ἢν μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι τεσσαράκοντα ἀποθάνῃ. ἀλλὰ χρεία πολλῆς ὅτι μάλιστα μελεδώνης· καὶ ὀρρὸν καὶ γάλα τὴν ὥρην πινέτω βοὸς, καὶ αἰγὸς, καὶ ὀνείου, καὶ ἱππείου· οὕτω γὰρ ἂν ῥήϊστα διάγοι· ἡ δὲ νοῦσος χαλεπή.

CAPVT VIII.

De pulmonis erysipelate, eiusque signis & curatione.

SI pulmo ab erysipelate tumuerit, hic tumor potissimùm à sanguine ortum ducit, quum pulmo in se sanguinem attraxerit, & exceptum continuerit. Hic autem morbus potissimum æstatis tempore contingit. Hæc igitur ab eo patitur. Tussis sicca accidit, rigor, febris, orthopnœa, dolor vehemens in pectore; tanquàm equus à cursu, nares aperit; linguamque, vti canis æstate ardore spiritûs incensus, exerit; tumor pectus occupat, pauca loquitur, ruborem in facie, pruritum in corpore patitur; præ labore decumbere non potest, sed anxius seipsum iactat. Hic sep-

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τοῦ ἐν τῷ πνεύμονι ἐρυσιπέλατος, καὶ τῶν τούτου σημείων καὶ τῆς θεραπείας.

ΕΑν πλεύμων ἀπὸ ἐρυσιπέλατος οἰδήσῃ, τόδε τὸ οἴδημα μάλιστα ἀπὸ αἵματος γίνεται, ὁπόταν ἐς ἑωυτὸν ὁ πλεύμων ἑλκύσῃ αἷμα, καὶ ἔχῃ ἀναλαβών· τὸ δὲ νούσημα θέρεος ἐν ὥρῃ μάλιστα γίνεται· τάδε οὖν ἀπ᾽ αὐτοῦ πάσχει. βὴξ ἐμπίπτει ξηρὴ, καὶ ῥῖγος, καὶ πυρετὸς, καὶ ὀρθοπνοίη, καὶ ὁ πόνος ἰσχυρὸς ἐν τοῖσι στήθεσι· καὶ τὰς ῥῖνας ἀνοίγει, ὡς ἵππος δραμὼν, καὶ τὴν γλῶτταν [39] ἐξαίρει, ὡς κύων θέρεος ὑπὸ τοῦ πνεύματος τοῦ ἐν τῷ καύματι καιόμενος· καὶ οἴδημα κατέχει τὰ στήθεα, καὶ [40] φθέγγεται βραχέως, καὶ ἐρύθημα ἐν τῇ ὄψει, καὶ κνησμὸν φέρει ἐν τῷ σώματι· καὶ ὑπὸ τοῦ πόνου κατακέεσθαι οὐ δύναται, ἀλλ᾽ αὐτὸς ἑωυτὸν ῥίπτει ἀλύων.

ἐστ' ἐν ἑπτὰ ἡμέρῃσι [47] θνήσκει· πλὴν κατ' ἀρχὰς, ὁκόταν ὧδε ἔχῃ, ἰῆσθαι ἐν τούτοισι. ψύχειν μὲν τὸ σῶμα, ἐν ὕδατι ψυχρῷ βάπτων σεῦτλα, [42] καὶ τῷ σώματι ἐπιτιθεὶς, μάλιστα πρὸς πόνον νέον· ἢ ῥάκια βάπτων ἐν ψυχρῷ ὕδατι καὶ ἐκθλίβων, περιτιθέναι. καὶ ἢν μὲν οὕτω ῥηΐσῃ· ἢν δὲ μὴ, κεραμικὴν γῆν ψυχρὴν καταπλάσσειν, καὶ ἐν τῇ αἰθρίῃ κοιμάσθω. οὕτω γὰρ [43] ἂν μελεδώμενος, πολλάκις ἂν φύγῃ τὰς ἑπτὰ ἡμέρας. ὁκόταν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, καὶ ἡ ὀδύνη προσέχῃ, χρίειν ἐλαίῳ τὸ πονέον μέρος ἔσω, καὶ χλιάσματα μάλιστα προστιθέναι τὰ αὐτὰ, ἃ καὶ τῇ πλευρίτιδι. καὶ πίσαι αὐτὸν ἐς ὑποκάθαρσιν τοῦ πεπλίου, καὶ τῆς μηκωνίδος, καὶ τοῦ κόκκου τοῦ κνιδίου· καὶ μετὰ τὴν κάθαρσιν, φακῆς τρυβλίον δοῦναι ῥοφῆσαι, πινέτω δὲ ὕδωρ. τῇ δὲ ὑστεραίῃ, λοῦσαι αὐτὸν πολλῷ καὶ θερμῷ πλὴν τῆς κεφαλῆς, ἔπειτα πίσαι ὀρίγανον ἐν μελικρήτῳ ἀποβρέξας· ποτοῖσι δὲ ὡς θερμοτάτοισι χρεέσθω, σιτία δὲ προσφερέσθω τὰ αὐτὰ ταῦτα, ἃ καὶ ὁ ὑπὸ τῆς πλευρίτιδος ἑαλωκὼς, ἢν μὴ πυρετὸς προσίσχῃ. αὕτη ἡ νοῦσος χαλεπὴ, καὶ παῦροι ἐκφυγγάνουσιν.

tem diebus moritur; per initia tamen, quum sic habuerit, his curetur. Betis aquâ frigidâ irroratis, & corpori admotis, corpus quidem refrigerato, recenti præcipuè dolore; aut lintea aquâ frigidâ intincta & expressa admoueto. Et si quidem sic meliùs habuerit, satis est; sin minùs, terram figulinam frigidam ex cataplasmate imponito, & sub dio dormiat; sic enim curatus, sæpè septem dies effugerit. Quum verò septem dies præterierint, & adhæserit dolor, dolentem intùs partem oleo illinito; eosdémque præcipuè fotus, quos & pleuritidi, admoueto. Et potionem ei ex peplio, & meconide, & grano cnidio, ad purgationem propinato; & à purgatione, lenticulæ heminam sorbendam dato; aquam autem bibat. Postero verò die ipsum multâ calidâ, capite excepto, lauato; deinde origanum aquâ mulsâ maceratum propinato. Potionibus quàm calidissimis vtatur; cibi ijdem, qui pleuritide correpto, exhibeantur, nisi febris detineat. Hic morbus grauis, & pauci euadunt.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς τοῦ στήθους καὶ τοῦ μεταφρένου ἀναρρήξεως, καὶ τῶν ταύτης αἰτίων καὶ σημείων, καὶ θεραπευτικῶν.

ΗΝ τὸ στῆθος καὶ τὸ μετάφρενον ἀναρραγῇ (ἀναρρήγνυται δὲ μάλιστα ὑπὸ ταλαιπωρίης) [44] καὶ τάδε πάσχει. βὴξ ἴσχει ὀξεῖα, καὶ τὸ σίαλον ἐνίοτε ἀποπτύει ὕφαιμον· καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει τὰ πολλά· καὶ ἐν τῷ στήθει, καὶ ἐν τῷ μεταφρένῳ ὀδύνη ὀξεῖα ἔνεστι, καὶ ἐν τῇ πλευρῇ δοκέει οἱ λίθος ἐγκέεσθαι, καὶ [45] κεντέεται ὑπὸ τῆς ὀδύνης διαμπερέως, ὡς εἴ τι βελόνη τις κεντοίη. Τοῦτον, ὁκόταν ὧδε ἔχῃ, παραχρῆμα [46] γάλακτι πιήνας, χρῖσαι τὰ στήθεα, καὶ τὸ μετάφρενον, καὶ οὕτω τάχιστα ὑγιὴς ἔσται. τὸ δὲ λοιπὸν, ἡσυχάζων τῷ σώματι μάλιστα διαιτάσθω· ἢν γάρ τι πονήσῃ ἢ ἐπὶ ἁμάξης ἀναβὰς, ἢ ἐφ' ἵππον, ἢ τοῖς ὤμοισιν ἐν ἄχθει ταλαιπωρήσῃ, κινδυνεύσει πάλιν ὑποτροπιάσαι ἡ νοῦσος· καὶ ἢν γένηται, κίνδυνος διαφθαρῆναι, τὸ γὰρ νόσημα ὑποστραφὲν, μᾶλλον πιέζει ἢ κατ' ἀρχάς. ἢν δὲ μὴ καυθῇ, τοῖσιν αὐτοῖσιν αὐτὸν ἰῆσθαι, οἷσι καὶ τὸν ἔμπυον, ῥοφήμασι, καὶ πόμασι καὶ σιτίοισι. τὸ δὲ ξύμπαν ἡσυχίην ἔχοντα εὐωχέειν τοῖσιν ἐπιτηδείοισιν· ἢν γὰρ οὕτω μελετηθῇ, τάχιστα ὑγιὴς ἔσται· ἡ δὲ νοῦσος χαλεπή.

CAPVT IX.

De pectoris & dorsi ruptione, eiusque causis, signis, & curatione.

SI pectus & dorsum dirupta fuerint (disrumpuntur autem potissimùm vehementi labore) his quoque afficitur. Tussis acuta detinet, interdùm subcruentum sputum expuit; crebrò & rigor & febris inuadit; in pectore & dorso dolor inest acutus, lateri lapis incumbere videtur, & dolore prorsùs stimulatur, ac si acus aliqua pungeret. Huic, cum sic habuerit, confestim lacte pinguefacto, pectus & dorsùm inurito, & sic citissimè sanus erit. De cætero verò quieto maximè corpore viuat. Siquid enim laborarit, aut currum, aut equum ascenderit, aut humeros oneri suppositos fatigarit, periditabitur ne rursùs morbus reuertatur. Quòd si contingat, periculum est ne corrumpatur. Morbus enim reuersus, magis quàm ab initio, lædit. At si vstus non fuerit, ijsdem sorbitionibus, potibus & cibis, quibus suppuratum, curato. Ad summum verò, quietem agens idoneis cibis vescatur. Si enim sic curatus fuerit, citissimè conualescet. Morbus autem grauis est.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τοῦ ἐν πλευρῷ φύματος, καὶ τῶν τούτου σημείων καὶ τῆς θεραπείας.

ΗΝ ἐν πλευρῷ φῦμα φύηται, καὶ ἔμπυος γένηται, τάδε πάσχει. ῥῖγος ἴσχει καὶ πυρετὸς, καὶ βὴξ ξηρὴ πολλὰς ἡμέρας, καὶ ἀλγέει τὸ πλευρόν· καὶ ἐς τὸν τιτθὸν, καὶ ἐς τὴν κληΐδα, καὶ ἐς τὰς ὠμοπλάτας ὀδύνη ἴσχει ἀΐσσουσα. τοῦτον ὅταν οὕτως ἔχῃ, ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι [47] δέκα, ῥοφήμασι χρεέσθω,

CAPVT X.

De lateris tuberculo, eiusque signis & curatione.

SI in latere tuberculum oriatur, & suppuratus fiat æger, hæc patitur. Rigor detinet, & febris, & tussis sicca multos dies; latus dolet, dolorque in mammam, & clauiculam & scapulas impetum faciens obsidet. Hic quum sic habuerit, primis decem diebus sorbitionibus vtatur, ptisanæ

ptisanæ cremore percocto, affuso melle, quum sorbitio cocta fuerit. Vino autem vtatur albo, dulci, aut austero, aut aquoso. Et crebrò vinum sorbentem expuere iubeto; somnúmque, quoad vndecim dies præterierint, prohibeto. Post hos dies, cibis quàm maximè paucis vtatur; carnibus catulinis aut gallinaceis calidis; hæ verò ex iusculo probè apparandæ sunt, & iusculum sorbeat, & sorbitionibus ante cibum vtatur. Neque sitiat, quoad latus suppuratum euaserit. Suppuratur autem maximè diebus quadraginta, aut paulò antè. Id autem dignosces, vbi suppuratum fiat latus; pus enim non expuit, neque euomit. Hunc, quum sic habuerit, vbicunque tumor de se signum ediderit, secato aut vrito; deinde pus paulatim emittito; & postquam exhauseris, linamentum ex lino crudo imponito; quo postridie rursus educto, pus sensim exhaurito; deinde linamentum indito; ac rursus tertio die, cæterisque diebus, bis die, donec exiccatum fuerit, extrahito. Et cibos & opsonia, quum appetiuerit, exhibeto; modicum non multum, siue vinum siue aquam, bibat. Origanum verò tenellum quàm plurimum melle intinctum edat. Quòd si tenellum non habeat, saltem siccum tritum, & melle admixto læuigatum, quàm plurimum exhibeto. Et neque frigeat, balneis lauet, & molliter dormiat. Hunc morbum si sic curaueris, citissimè sanum effeceris. Quum verò sanus euaserit, frigus, calorem & solem vitet; & modicis deambulationibus vtatur post cibum, vt ne corpus lassitudo prehendat. Hæc si fecerit, conualescet. Ex his morbis, quibus vstionem adhibueris, statim post vstionem porra multa tusa vsturis ex cataplasmate imponito, & diem vnum sinito.

A πτισάνης χυλῷ καθέφθῳ, μέλι παραχέων, ὁκόταν ἑφθὸν ᾖ τὸ ῥόφημα· οἴνῳ δὲ χρεέσθω λευκῷ, γλυκεῖ, ἢ αὐστηρῷ, ἢ ὑδαρεῖ, καὶ ῥοφέοντα πλεονάκις τοῦ οἴνου, ἐκπτύειν κέλευε· καὶ τοῦ ὕπνου κωλύειν, ἔστ' ἂν αἱ ἕνδεκα ἡμέραι παρέλθωσιν. μετὰ δὲ ταύτας τὰς ἡμέρας, σιτίοισιν ὀλίγοισιν ὡς μάλιστα χρεέσθω, κρέασι σκυλακείοισιν, ἢ ἀλεκτρυονίοισι θερμοῖσι·[48] διεζωμεῦσθαι δὲ χρὴ καλῶς, καὶ τὸν ζωμὸν ῥοφανέτω, καὶ τοῖσι ῥοφήμασι πρόσθεν χρεέσθω τοῦ σίτου· καὶ μὴ διψήτω, ἕως ἂν ἔμπυον γένηται τὸ πλευρόν. πύσκεται δὲ μάλιστα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἢ ὀλίγῳ πρόσθεν. τοῦτο δὲ γνώσῃ, ὁκόταν ἔμπυον γένηται τὸ πλευρόν· πῦον γὰρ οὐκ[49] ἀποπτύεται, οὐδὲ αἱμέεται. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὅκου ἂν ἀποσημαίνῃ τὸ οἴδημα, ταμεῖν ἢ καίειν· ἔπειτα ἀφιέναι τὸ πῦον κατ' ὀλίγον, καὶ ἐπειδὰν ἀπαρύσῃς, μοτὸν καθιέναι ὠμολίνου· καὶ αὖθις τῇ ὑστεραίῃ ἐξελὼν, ἀπαρύσαι κατ' ὀλίγον τὸ πύος, ἔπειτα μοτῶσαι· καὶ αὖθις τῇ τρίτῃ, καὶ τῇσιν ἄλλῃσιν ἡμέρῃσι, δὶς τῆς ἡμέρης ἀπαρύειν, ἕως ἂν ξηρανθῇ. διδόναι δὲ καὶ τὰ σιτία, καὶ τὰ ὄψα, ὁκόταν προσίηται, καὶ πινέτω ὀλίγον μὴ πολλὸν,[50] ἢν τε οἶνον, ἢν τε ὕδωρ· τρωγέτω δὲ καὶ τὸ ὀρίγανον τὸ ἁπαλὸν ὡς πλεῖστον, ἐς μέλι ἀποβάπτων. ἢν δὲ μὴ ἁπαλὸν ἔχῃ, ἀλλ' αὐτὸ λεπτὸν ποιήσας, ἐς τὸ μέλι τε μίξας, λεῖον διδόναι ὡς πλεῖστον. καὶ μηδὲ ῥιγούτω, καὶ τοῖσι λουτροῖσι λούειν, καὶ μαλθακῶς κοιμάσθω. οὕτω ταύτην τὴν νοῦσον θεραπεύων, τάχιστα ἂν ὑγιέα[51] ποιήσαις. ὁκόταν δὲ ὑγιὴς γένηται, φυλασσέσθω τὸ ψῦχος, τὸ θάλπος,[52] τὸν ἥλιον· καὶ τοῖσι περιπάτοισιν ὀλίγοισι χρεέσθω μετὰ τὸν σῖτον, ὅκως ἂν μὴ κόπος λάβῃ τὸ σῶμα. ταῦτα[53] ποιέων, ὑγιὴς ἔσται. τουτέων τῶν νούσων, ἃς ἂν καύσῃς, ἐπὶ τὰ καύματα[54] πράσα τρίψας πουλλὰ καταπλάσσειν εὐθὺς μετὰ τὴν καῦσιν, καὶ[55] καταλιμπάνειν μίαν ἡμέρην.

B C D

CAPVT XI.

De trium tabis specierum primâ, ex pituitæ à capite in pulmonem defluxione, ortâ, eiusque symptomatis, signis, & euratione.

TRes autem sunt tabis species. Prima ipsa quidem à pituita oritur; quum caput pituitâ plenum ægrotarit, & calor accesserit, in capite pituita computrescit, vt quæ moueri nequeat, vt secedat. Deinde quum crassior euaserit & computruerit, & venulæ supra modum impletæ fuerint, fluxio in pulmonem contingit; quam vbi pulmo susceperit, statim morbo afficitur, cum à pituitâ salsâ & putridâ mordeatur. Hæc igitur patitur. Febris lenta initio inuadit, & rigor; tum pectus tum dorsum laborat; interdùm verò & acuta tussis vrget; & sputum copiosum, & liquidum & salsum expuit. Hæc quidem per morbi exordia patitur; in progressu verò corpus extenuatur, exceptis cruribus. Hæc autem tument, & pedes, & vngues contrahuntur; ab humeris verò tenuis & debilis est; fauces spumâ implentur, & velut per arundinem sibilum reddunt; vehementer sitit per to-

ΚΕΦΑΛΑΙΟΝ ΙΑ.

Περὶ τῆς τῶν τριῶν φθίσεων πρώτης, τῆς ἀπὸ κεφαλῆς ῥεύματος ἐπὶ τὸν πνεύμονα γινομένης, καὶ τῶν ταύτης συμπτωμάτων καὶ σημείων, καὶ θεραπείας.

E

ΤΡεῖς δὲ εἰσὶ φθίσιες. Πρώτη αὕτη μὲν γὰρ ἀπὸ φλέγματος· ἐπὴν ἡ κεφαλὴ φλέγματος πλησθεῖσα νουσήσῃ, καὶ θέρμη ἐγγένηται, σήπεται τὸ φλέγμα ἐν τῇ κεφαλῇ, ἅτε οὐ δυνάμενον κινέεσθαι, ὥστε ὑποχωρῆσαι. ἔπειτα ὁκόταν παχυνθῇ, καὶ συσαπῇ, καὶ ὑπερπλησθῇ τὰ φλέβια, ῥεῦμα ἐπὶ τὸν πλεύμονα ἐγένετο· καὶ ὁ πλεύμων ὁκόταν ἀναλάβῃ, νοσέει παραχρῆμα, ἅτε δακνόμενος ὑπὸ τοῦ φλέγματος, ἁλμυροῦ ἐόντος καὶ σαπροῦ. τάδε οὖν πάσχει. πυρετὸς ἄρχεται βληχρὸς ἐπιλαμβάνειν καὶ ῥῖγος, καὶ πονέει τὰ στήθεα καὶ τὸ μετάφρενον, ἐνίοτε δὲ καὶ βὴξ πιέζει ὀξείη, καὶ ἀποπτύει τὸ σίαλον πουλὺ, καὶ ὑγρὸν, καὶ ἁλμυρόν. ταῦτα μὲν κατ' ἀρχὰς τῆς νούσου πάσχει· προϊούσης δὲ, τότε γυῖον λεπτύνεται, πλὴν τῶν σκελέων· ταῦτα δὲ οἰδέει, καὶ οἱ πόδες, καὶ οἱ ὄνυχες ἕλκονται· ἐκ δὲ τῶν ὤμων λεπτὸς, καὶ ἀσθενής, ὁ φάρυγξ ὡς χνοῦ πίμπλαται, καὶ συρίζει ὡς διὰ καλάμου· καὶ διψῇ ἰσχυρῶς διὰ παντὸς

F

τοῦ νοσήματος· καὶ ἀκρασίη πολλὴ τὸ σῶμα ἔχει. Ἔστι δ' ὁκόταν οὕτως ἔχῃ, ἐνιαυτῷ φθινόμενος[14] φαύλως θνήσκει· μελετᾷν δὲ χρὴ ὡς μάλιστα καὶ ἀνακομίζειν. πρῶτον μὲν πίσαι ἐλλέβορον, κάτω δὲ ὑποκαθῆραι ἐπιθύμῳ, ἢ πεπλίῳ, ἢ τῷ κόκκῳ τῷ κνιδίῳ, ἢ τῇ τιθυμαλλίδι. ταῦτα χρὴ τετράκις τοῦ ἐνιαυτοῦ διδόναι, ἄνω δὶς, κάτω δίς. διδόναι δὲ καὶ ὄνειον γάλα ἑφθὸν ἐς ὑποκάθαρσιν, ἢ βόειον, ἢ αἴγειον· πινέτω δὲ καὶ ὠμὸν τὸ βόειον γάλα, τρίτον μέρος μελικρήτου[15] ξυμμίσγων, πέντε καὶ τεσσαράκοντα ἡμέρας, ξυμπαραμίσγων καὶ τὸ ὀρίγανον· τὴν δὲ κεφαλὴν αὐτοῦ πρόσθεν καθαίρειν, πρὸς τὰς ῥῖνας προστιθεὶς φάρμακον. σιτία δὲ καὶ ὄψα διδόναι, μήτε λιπαρὰ, μήτε κνισώδεα, μήτε λίην δριμέα. Τεκμαιρόμενον δὲ τὸ νούσημα, ταῦτα ποιέειν[16] δεῖ· καὶ περιπάτοισι χρέεσθαι πρὸς τὰ σιτία, τεκμαιρόμενος μὴ ῥιγῷν· τοῦ δὲ χειμῶνος, παρὰ πυρὶ τὴν οἴκησιν ποιεέσθω. οἶνον δὲ πινέτω, αὐστηρὸν, μέλανα, ὡς παλαιότατον καὶ ἥδιστον, ὀλίγον δέ. κἢν δοκέῃ σοι, πρὸ τοῦ φαρμάκου πυριῆσαι, καὶ οὕτω διδόναι τὸ φάρμακον· ἢν δὲ μὴ βούλῃ διδόναι, πυριήσας, ἐμέτον ἐκ τῶν σιτίων καταστῆσαι ποιήσασθαι, ὡς τὸ πρόσθεν γέγραπται. τούτῳ ἢν ξυμφέρωσι, περιπάτοισι χρεέσθω· ἢν δὲ μὴ ξυμφέρωσιν,[17] ἡσυχαζέτω ὡς μάλιστα τῷ σώματι. Ἔστι οὕτω μελετώμενος, ῥήϊστα ἂν διάγειν τῷ[18] νουσήματι· ἡ δὲ νόσος θανασίμη, καὶ παῦροι ταύτην διαφυγγάνουσι.

tum morbum; multáque impotentia corpus occupat. Hic quum sic habuerit, annum contabescens, miser emoritur. At quàm maximè curare oportet, ac vires reficere; primum quidem veratrum propinare, per inferiora autem purgare epithymo, aut peplio, aut grano cnidio, aut tithymalide. Hæc quater in anno exhibenda sunt, bis sursùm, bis deorsùm. Lac etiam asininum coctum ad blandam purgationem, aut bubulum, aut caprinum, exhibendum. Lac etiam bubulum crudum, aquæ mulsæ tertiâ admixtâ parte, bibat, per dies quadraginta quinque, unà etiam admixto origano. Caput autem ipsius, admoto ad nares medicamento, antè purgato. Cibaria verò & opsonia neque pinguia, neque nidorulenta, neque valdè acria exhibeto. Signis autem morbum perpendenti, hæc facienda; & ante cibos deambulationibus utendum, & obseruet ne algeat. Hyeme verò iuxta ignem mansionem faciat. Vinum bibat austerum, nigrum, quàm vetustissimum & suauissimum, sed modicum. Quòd si tibi videatur, ante medicamentum fomentum admoueto, & sic medicamentum exhibeto. Si verò exhibere nolis, admoto fotu, vomitum ex cibis, velut antè scriptum est, promoueto. Deambulationibus, si huic conferant, utatur. At si non conferant, corpore quàm maximè quiescat. Hic ita curatus, per morbum facillimè deget; morbus autem lethalis est, ipsumque pauci effugiunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῆς δευτέρας φθίσεως, τῆς ἐξ αἱμοπτύσεως ἀπ' ἀγγείου ἐκ ταλαιπωρίας ῥαγέντος γενομένης· καὶ τῶν αὐτῆς σημείων, καὶ τῆς θεραπείας.

Φθίσις δευτέρη. γίνεται δὲ ἀπὸ ταλαιπωρίης, τὰ αὐτὰ δὲ πάσχει ὡς ἐπιτοπλεῖστον, ἃ καὶ ὁ πρόσθεν· ἡ δὲ νόσος διαπαύει αὕτη μᾶλλον τῆς προτέρης, καὶ τοῦ θέρεος[19] ἀνίησι. τὸ δὲ σίαλον ἀποπτύει παχύτερον μὲν τῆς πρόσθεν, καὶ βὴξ πιέζει μάλιστα τοὺς γεραιοὺς, καὶ ὁ πόνος ἰσχυρότερος ἐν τοῖσι στήθεσι, καὶ δοκέει οἷον τὸν[20] λίθον ἐν αὐτοῖσιν ἐγκέεσθαι, πονέει δὲ καὶ τὸ μετάφρενον· καὶ ἡ χροιὴ διύγρος αὐτέου ἐστὶ, καὶ ἢν τι πονήσῃ, φῦσα καὶ ἆσθμα ἴσχει. Ἔστι ἐκ ταύτης τῆς νούσου ἐν τρισὶν ἔτεσι μάλιστα θνήσκει· μελετᾷν δὲ χρὴ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. αὕτη ἡ νοῦσος προσίσχει τοῖσι πολλοῖσι μέχρι τριῶν ἐτέων· ἀλλ' ἀποθνήσκουσιν, ἡ γὰρ νοῦσος χαλεπή.

CAPVT XII.

De secundâ tabe, à sanguinis sputo ob vas ex labore ruptum ortâ, eiusque signis, & curatione.

TAbes secunda. Fit autem à vehementi labore. Eadem ut plurimùm, quæ & prior, patitur. Hic verò morbus priore magis intermittit, & per æstatem remittit. Sputum crassius quidem priore expuit, & tussis maximè senes premit; & dolor in pectore vehementior, eique velut lapis incumbere videtur; dolet etiam dorsum; ipsiusque cutis madore colorata est, & siquid laborarit, flatus & anhelatio detinet. Hic ex hoc morbo in tribus annis maximè moritur. Iisdem verò, quibus etiam priorem, curare oportet. Hic morbus multis ad tres annos perseuerat; verùm moriuntur, est enim grauis morbus.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς τρίτης φθίσεως, τῆς ὑπὸ τοῦ Ἱπποκράτους κατάῤῥου καλουμένης, ἀπὸ τοῦ ἐς τὸν νωτιαῖον μυελὸν κατάῤῥου, καὶ τῶν ταύτης σημείων, καὶ τῆς θεραπείας.

Φθίσις τρίτη. ὑπὸ ταύτης τάδε πάσχει. ὁ μυελὸς αὐτέου ὁ νωτιαῖος, αἵματός τε μεστὸς γίνεται. φθίνει δὲ ὁμοίως καὶ ἀπὸ τῶν κοιλῶν φλεβῶν, αὗται δὲ φλέγματος ὑδρωποειδέος ἐμπίπλανται καὶ χολῆς.[21] πάσχουσι δὲ τὰ αὐτὰ, ἀφ' ὁκοτέρων ἂν φθίνῃ· καὶ ὁ ἄνθρωπος

CAPVT XIII.

De tertia tabe (quem spinalem catarrhum vocat Hippocrates) à defluxione in spinalem medullam, eiusque signis, ac curatione.

TAbes tertia. Ab ea hæc contingunt. Eius spinalis medulla sanguine plena fit. Tabescit autem similiter & à venis cauis; hæ verò pituitâ hydropiformi, & bile implentur. Eadem autem patiuntur, à quibuscunque tabes oboriatur. Atque homo statim

statim niger & subtumidus euadit; hypopia sub oculis pallida sunt; venæque per corpus pallidæ distenduntur, quædam verò valde rubræ sunt, maximè tamen manifestæ, quæ sub axillis; pallidá expuit, quumque ipsum inuaserint, suffocatur, interdúmque quum tussire vult, non potest; interdum verò præ suffocatione & tussiendi cupiditate copiosam bilem euomit, quandoque etiam pituitam, plerúnque verò etiam cibos, cùm comederit; quumque vomuerit, leuior esse videtur, deinde rursus pauco interiecto tempore, in iisdem iacet doloribus. Hic acutiùs quàm quum sanus esset, loquitur; & rigor & febris interquiescens, cùm sudore inuadit. Hunc, quum sic habuerit, cibis, sorbitionibus, potionibus, medicamentis, cæterisque omnibus, quibus priores, curato. Hic autem morbus maximè annos nouem vexat; deinde vexat, dum corrumpitur. At pauci ex eo euadunt, grauis enim morbus est. Verùm si velis, sic ipsum curato. Primùm quidem fomentum admoueto, eóque admoto, postridiè aquæ mulsæ semicongium, pauco aceto affuso, potui exhibeto, idque vnico haustu & *spiritu bibere iubeto; deinde multis eum stragulis quàm plurimo tempore conuoluito; at si non perferat, sed vomere velit, euomat; si verò post aliquod tempus vomitus non detineat, aquæ tepidæ magno calice superbibito, pennâ irritatus vomat. Quum autem euomuerit, vt bene habeat, hoc die quietem agat. Quum verò cœnæ tempus fuerit, mazam paucam cœnet & salsamentum & porra pro opsonio habeat; his autem quàm plurimis vescatur, vinúmque dulce bibat. Reliquo verò tempore quotidie statim ab aurora multâ calidâ lauetur, & à balneo ne frigeat, cauendum, verùm decumbens diutissimè dormiat. Quum autem à somno surrexerit, eo die viginti stadia vt minimùm obambulet; reliquis autem diebus, alia quinque superiecta stadia ambulet, quotidie addens, donec ad centum stadia peruenerit. Aluum autem ex die aliquantulùm purgare oportet betæ & brassicæ succis, vtrisque separatim coctis, ita vt vtriusque congio percolato, deinde admixto adipis ouilli ex renibus minæ quadrante, & simul cocto, amborum coctionem diuidas. Quum autē bibiturus est, ad brassicæ quidem succum salem adijcias; ad betæ verò succum mel affundas. Licet autem separatim vtrunque bibere, aut melle ad alterum poculum affuso, bibere; ad alterum verò sale iniecto. Totum autem succum ebibere oportet. Et hæc quidem triginta diebus facere. Secundo verò mense panem edat, & carnes suillas pingues coctas, aliud verò nihil. Vinum autem album austerum bibat; & ante cœnam non minùs quàm triginta stadiorum iter conficiat, post cœnam verò, decem; neque frigeat, verùm vestibus operiatur. Hæc si fecerit, faciliùs morbum feret. At tertio mense cyceonem florulentum bibat, apij radices, anethum, rutam, mentham, coriandrum, papauer tenerum, ocimum, lentem, & mali punici dulcis ac vinosi succum. Esse autem oportet dulcis duplum; esse*

A αὐθὸς μέλας γίνεται καὶ ὑποιδαλέος· τὰ ὑπὸ τοῖς ὀφθαλμοῖς ὑπώπια ὠχρὰ, καὶ αἱ φλέβες αἱ ἐν τῷ σώματι ὠχραὶ διατέτανται, ἔνιαι δὲ σφόδρα ἐρυθραὶ, μάλιστα δὲ δῆλαι αἱ ὑπὸ τῇσι μασχάλῃσι· καὶ [62] ἀποπτύει ὠχρὰ, καὶ ὅταν αὐτέῳ ἐπίῃ, πνίγεται, καὶ βῆξαι οὐ δύναται ἐνίοτε βουλόμενος· ἐνίοτε δὲ ὑπὸ τοῦ πνίγματος καὶ τῆς προθυμίης τοῦ βήσσειν, ἀθρόον ἤμεσε χολὴν, ποτὲ δὲ λάπην, πολλάκις δὲ καὶ τὰ σιτία, ὅταν φάγῃ· καὶ ὁκόταν ἀπεμέσῃ, δοκέει κουφότερος εἶναι, εἶτ' B αὖθις ὀλίγον χρόνον διαλιπὼν, ἐν τοῖσιν αὐτοῖσι πόνοισι κέεται. ἔστι καὶ φθέγγεται ὀξύτερον ἢ ὑγιαίνων, καὶ ῥῖγος καὶ πυρετὸς διαπαύων ἐπιλαμβάνει ἱδρώδης. τοῦτον, ὁκόταν ὧδε ἔχῃ, βρωτοῖσι καὶ ῥοφήμασι, καὶ ποτοῖσι, καὶ φαρμάκοισι, καὶ τοῖσιν ἄλλοισι πᾶσι μετιὴν, ὥσπερ τοὺς πρόσθεν. ἡ δὲ νοῦσος διαφέρει μάλιστα ἐννέα ἔτεα, ἔπειτα διαφέρει φθειρόμενος· παῦροι δὲ φυγγάνουσιν ἐξ αὐτῆς, χαλεπὴ γὰρ ἡ νοῦσος· ἢν δὲ βούλῃ, ὧδε ἰῆσθαι C αὐτόν. πρῶτα μὲν πυριῆσαι, καὶ ὁκόταν πυριηθῇ, τῇ ὑστεραίῃ δοῦναι αὐτῷ πίνειν μελίκρητον ἡμίχουν, καὶ ὄξος παραχέαι ὀλίγον, καὶ κέλευε ἀπνευστὶ τοῦτο πίνειν· ἔπειτα τῶν ἱματίων ἀμφιέσαι αὐτὸν πολλὰ, καὶ ὡς πλεῖστον χρόνον. ἢν δὲ μὴ ἀνέχηται, ἀλλ' ἐξεμέσαι βούληται, ἐξεμεέτω· ἢν δὲ μὴ ἔμετος ἔχῃ, χρόνου ἤδη γινομένου, ἐπιπιὼν ὕδατος χλιαροῦ μεγάλην κύλικα, ἐμεέτω [63] καταματτόμενος πτερῷ· ὁκόταν δὲ ἀπεμέσῃ, ὥστε καλῶς ἔχειν, ἡσυχίην ἐχέτω ταύτην τὴν ἡμέρην· ὁκόταν δὲ ὥρη δείπνου ᾖ, δειπνεέτω μᾶζαν ὀλίγην, καὶ ὄψον ἐχέτω τάριχος καὶ πράσα· ταῦτα δὲ ἐσθιέτω ὡς πλεῖ- D στα, οἶνον δὲ πινέτω γλυκύν. τὸν δὲ λοιπὸν χρόνον, λουέσθω πᾶσαν ἡμέρην ἅμα ἕωθεν θερμῷ πολλῷ, καὶ μετὰ τὸ λουτρὸν, φυλάσσειν χρὴ ὡς μὴ ῥιγώσῃ, ἀλλὰ κατακλιθεὶς εὑδέτω ὡς πλεῖστον χρόνον· ὁκόταν δὲ ἀναστῇ εὕδων, περιελθέτω σταδίους εἴκοσι τὸ βραχύτατον ταύτῃ τῇ ἡμέρῃ· τῇσι δὲ ἄλλῃσιν ἡμέρῃσι, πέντε σταδίους ἄλλους ὑπερβάλλων βαδιζέτω, ἑκάστης ἡμέρης προστιθεὶς, [64] ἄχρις ἂν ἀφίκηται εἰς τοὺς ἑκατὸν σταδίους. τὴν δὲ κοιλίην ὑποκαθαίρειν δεῖ ἐκ τῆς ἡμέρης χυλοῖσι τεύτλων, καὶ ἀπὸ κράμβης· χωρὶς ἑκάτερα ἑψήσας, ἀπηθῆσαι χοέα ἑκατέρου· εἶτα ξυμμίξας, ἅμα E συνεψεῖν [65] τὸ στέαρ οἰὸς τὸ ἀπὸ τῶν νεφρῶν, τεταρτημόριον μνᾶς, ἐν ἀμφοτέροισιν ἑψεῖν διελών· ὁκόταν δὲ μέλλῃ πίεσθαι, πρὸς μὲν τῆς κράμβης τὸν χυλὸν ἅλας παραβάλλειν, πρὸς δὲ τὸν τῶν τευτλίων μέλι παραχέειν. [66] ἐξὸν δὲ χωρὶς ἑκάτερον πίνειν, ἢ μέλι παρεγχέας παρὰ τὴν ἑτέρην κύλικα, πίνειν, παρὰ δὲ τὴν ἑτέρην ἅλας· ἐκπίνειν δὲ χρὴ πάντα τὸν χυλόν. ταῦτα μὲν ποιέειν χρὴ τριήκοντα ἡμέρας· τῷ δὲ δευτέρῳ μηνὶ ἐσθιέτω ἄρτον, καὶ κρέα πίονα ὑὸς ἑφθὰ, ἄλλο δὲ μηδέν· οἶνον δὲ πινέτω λευκὸν, αὐστηρόν· καὶ ὁδὸν ὁδοιπορεέτω, μὴ F ἔλασσον σταδίων τριήκοντα πρὸ τοῦ δείπνου, μετὰ δὲ τὸ δεῖπνον δέκα· καὶ μὴ ῥιγούτω, ἀλλ' ἐσκεπάσθω. Ταῦτα ἢν ποιέῃ, ῥήϊον οἴσει τὴν νοῦσον. τῷ δὲ τρίτῳ μηνὶ, κυκεῶνα [67] ἀνθινὸν πινέτω, σελίνου ῥίζας, καὶ ἄνηθον, καὶ πήγανον, καὶ μίνθην, καὶ κορίανον, καὶ μήκωνας ἁπαλὰς, καὶ ὤκιμον, καὶ φακὸν, καὶ ῥοιῆς γλυκείης καὶ οἰνώδεος χυλόν· ἔστω δὲ χρὴ τῆς γλυκείης, διπλασίας· ἔστω

δὲ χρὴ καὶ τοῦ χυλοῦ ξυναμφοτέρων ἡμικοτύλιον, καὶ οἴνου μέλανος ἡδέος αὐστηροῦ ἡμικοτύλιον, καὶ ὕδατος κοτύλης ἥμισυ. ἔπειτα [68] ἄνθεα ῥίψας λεῖα, δινῶσαι τούτῳ τῷ κεκρημένῳ, καὶ ἐγχέαι ἐς κύλικα· ἔπειτα ἐπιβαλεῖν ἄλευρα ὀρόβων, ὁκόσον ὀξύβαφον, καὶ ἄλφιτον ἴσον, καὶ τυροῦ παλαιοῦ αἰγείου, ξέσας, τὸ ἴσον τοῖσιν ὀρόβοισι. ταῦτα ξυγκυκήσας ἐκπιέτω· ἔπειτα διαλιπὼν ὀλίγον χρόνον, ἀριστάτω ἄρτον, καὶ ὄψον ἐχέτω τέμαχος νάρκης, ἢ ῥίνης, ἢ γαλεοῦ, ἢ βατίδος· καὶ κρέα ὕος ἐσθιέτω ἑφθὰ, καὶ πιαινέτω ἑωυτὸν ἡσυχίην ἄγων ὡς μάλιστα· καὶ πυριῆν διὰ δεκάτης ἡμέρης ἐς ἑωυτὸν ἡσυχῇ. τῷ δὲ τετάρτῳ μηνὶ, πυριῆν διὰ πέμπτης ἡμέρης ἀτρέμα· καὶ ἐσθιέτω ὄψον [69] οὐ πλεῖστον, ὄψῳ δὲ χρεέσθω, [70] τυροῖσι καὶ κρέασιν ὀλίγοισιν οἰὸς ἑφθοῖσιν. ὁδοιπορεέτω δὲ καὶ σταδίους, ὡς πρόσθεν εἴρηται· ἀρξάμενος δὲ τοῦ τετάρτου μηνὸς τῇ πρώτῃ ἡμέρῃ ἀπὸ δέκα σταδίων, βαδιζέτω, καὶ καθ᾽ ἑκάστην προστιθέτω, μέχρις ἂν αὐτῷ ὀγδοήκοντα γένωνται στάδιοι, καὶ περιπατεέτω τῆς ἡμέρης ὀγδοήκοντα σταδίους, [71] πρὸ τοῦ δείπνου τριήκοντα, μετὰ τὸ δεῖπνον εἴκοσιν, ὄρθρου τριάκοντα. τὸ δὲ λοιπὸν τοῦ χρόνου διαιτάσθω μάζῃ καὶ ἄρτον, ἐσθίων ἀμφότερα· καὶ ὄψον ἐχέτω σελάχεα, καὶ κρέα δὲ πάντα ἐσθιέτω, πλὴν βοείων καὶ χοιρείων· ἰχθύων δὲ τῶνδε ἀπεχέσθω, κεστρέος, καὶ ἐγχέλυος, καὶ μελανούρου. ἐσθιέτω δὲ νάρκην, καὶ ῥίνην, καὶ βατίδα, καὶ γαλεὸν, καὶ τρυγόνα, καὶ βατράχους, τῶν δὲ ἄλλων μηδὲν, ἢν δὲ δοκέῃ ἀσινέα εἶναι· καὶ κυκεῶνα, ἐπειδὰν [71] θέλῃ καθευδῆσαι, πινέτω ἀπὸ οἴνου μέλανος, ἡδέος, παλαιοῦ, δικότυλον κύλικα· καὶ μεθ᾽ ἡμέρην, τῷ αὐτῷ οἴνῳ χρεέσθω ἐπὶ τῷ σιτίῳ. καὶ ὁδοιπορεέτω τῆς ἡμέρης ἑκατὸν πεντήκοντα σταδίους, [72] πρὸ τοῦ δείπνου ἐνενήκοντα, μετὰ τὸ δεῖπνον εἴκοσιν, ὄρθρου δὲ τεσσαράκοντα. οὗτος οὕτως θεραπευόμενος, γίνεται ἐν ἐνιαυτῷ ὑγιής.

verò oportet & utriusque succi simul, heminæ dimidium; ac vini nigri suauis, austeri, heminæ dimidium; aquæ etiam, heminæ dimidium; deinde flores leuiter tritos huic permixto infundere, & in calicem effundere; postea farinæ orobi acetabulum inijcere, & polentæ tantundem, caseique caprini veteris rasi parem orobis portionem; hæc commixta ebibat. Posteà pauco tempore interiecto prandeat panem, & opsonium habeat torpedinis frustulum, aut squatinæ, aut galei, aut raiæ; & carnes suillas coctas edat, & quàm maximè quietem agens sese saginet; ac decimo quôque die sibi ipse leuiter fomentum adhibeat. Quarto autem mense, quinto quôque die leuiter foueatur, neque quàm plurimum opsonium edat. Pro opsonio vtatur caseis, & paucis carnibus ouillis coctis. Stadia velut antè dictum est, deambulet. Incipiens autem primo quarti mensis die à decem stadijs, incedat, & quotidie addat, donec stadia octoginta conficiantur; & per diem octoginta stadia obambulet, ante cœnam triginta, post cœnam viginti, manè triginta. Reliquo tempore mazâ & pane victitet, vtraque comedens. Opsonio habeat pisces cartilagineos; & carnes omnes, præter bubulam & porcinam, edat. Piscibus his abstineat; mugile, anguillâ, & melanuro. Torpedinem autem edat, squatinam, raiam, galeum, pastinacam, & ranas; aliorum verò nullum, etiamsi innoxia esse videantur. Cyceonem etiam bibat, quum dormiturus est, vini nigri, suauis, veteris, duarum heminarum calicem; & per diem eodem vino in cibo vtatur. Et per diem centum quinquaginta stadiorum iter conficiat, ante cœnam nonaginta, post cœnam viginti, manè quadraginta. Hic sic curatus, intra annum conualescit.

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Περὶ τῆς τετάρτης φθίσεως, ἢ περὶ τῆς τοῦ κατὰ τὴν ῥάχιν μυελοῦ αὐάνσεως, τῆς ἀπὸ τῶν φλεβίων, εἰς τὸν μυελὸν τεινόντων, ἢ τῆς ἐκ τοῦ ἐγκεφάλου εἰς τὴν ῥάχιν ἐφόδου ἐμφράξεως, ἢ ἀπὸ τῆς λαγνείης γινομένης· καὶ περὶ τῶν ταύτης σημείων καὶ τῆς θεραπείας.

CAPVT XIV.

De quarta tabe, seu de medullæ spinalis ariditate à venarũ in medullam tendentium, aut viæ à cerebro in spinam, obstructione, aut ab actu venereo ortâ; ac de eius signis & curatione.

ΑΥαίνεται μυελὸς ὁ κατὰ τὴν ῥάχιν μάλιστα, ὁκόταν τὰ φλέβια ἀποφραχθῇ τὰ εἰς τὸν μυελὸν τείνοντα, καὶ ἡ ἐκ τοῦ ἐγκεφάλου ἔφοδος. διὰ κάκωσιν δὲ τοῦ σώματος τάδε πάσχει, καὶ νοσέει· αὐαίνεται μάλιστα καὶ ἀπὸ λαγνείης. τάδε οὖν πάσχει. ὀδύνη ὀξείη ἐμπίπτει αὐτῷ ἐς τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τοὺς μύας τῆς ὀσφύος, καὶ ἐς τὰ ἄρθρα τῶν σκελέων, ὥστε ἐνίοτε οὐ δύναται ξυγκάμπτειν· καὶ ἡ κόπρος οὐ διαχωρέει, ἀλλ᾽ ἵσταται· καὶ δυσουρέεται. οὗτος κατ᾽ ἀρχὰς μὲν τῆς νούσου [74] ἡσυχέστερον διάγει· ὁκόσῳ δ᾽ ἂν ὁ χρόνος τῇ νούσῳ ἀπομηκύνηται, πονέει ἅπαντα μᾶλλον, καὶ τὰ σκέλεα οἰδέει ὡς ἀπὸ ὕδερου, καὶ ἕλκεα [75] ἐκφλυνδάνει ἀπὸ τῆς ὀσφύος, καὶ τὰ μὲν ἄλλα ὑγιαίνεται, τὰ δὲ ἄλλα [76] φύεται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καθῆραι τὴν κεφαλὴν [77] τῷ ἱπποφαέως ὀπῷ, ἢ τῷ κνιδίῳ κόκκῳ, πυριήσας πρότερον τὸ σῶμα εὖ.

MEdulla spinalis potissimùm resiccatur, quum venulæ ad medullam tendentes obstructæ fuerint, quique à cerebro est aditus. Ob corporis autem vitium hisce afficitur, & ægrotat. Resiccatur etiam maximè ab immoderata venere. Hæc igitur patitur. Dolor acutus ipsi in caput irruit, in ceruicem, in lumbos, in lumborum musculos, & in crurum articulos, ita vt interdùm flectere nequeat; stercus per aluum non secedit, sed sistitur; & dysuriâ laborat. Hic per morbi quidem exordia quietiùs degit. Quantò autem tempus morbo producitur, tantò magis omnia dolent, & crura velut ab aquâ intercute tument, vlcera ex lumbis erumpunt, & alia quidem sanescunt, alia verò enascuntur. Huic ita habenti, hippophais succo, aut grano cnidio caput purgato, primùm probè admodum foto corpore. Vesperi verò

verò post purgationem, ptisanæ duas heminas melle affuso sorbeat; vinum autem album, molle bibat. Postridie lactis asinini decocti, melle affuso, heminas octo ebibendas ipsi dato. Quòd si asininum non habeas, bubuli aut caprini cocti tres semicongios, affuso melle. Et pro anni tempore, lac bibat, per quinque ac quadraginta dies, cum lacte eruum assumens. Cibis autem & opsonijs quàm maximè aluum subducentibus vtatur. Vinum bibat album, molle, Mendesium. Quum autem crassissimus fuerit, ad eius lumbos ab vtraque vertebrarum parte, quatuor crustas inurito, & ad dorsum vtraque ex parte quindecim, & in ceruice inter tendones, duas. Si enim vstio probè tibi cesserit, sanum reddes. Est autem morbus grauis.

A μάλα. τῆς δὲ ἑσπέρης μετὰ τὴν κάθαρσιν, πτισάνης δύο κοτύλια ῥοφεέτω μέλι παραχέας, οἶνον δὲ λευκὸν πινέτω, μαλθακόν. τῇ δὲ ὑστεραίῃ, ὀνείου γάλακτος διδόναι αὐτῷ ἑφθοῦ, μέλι παραχέας, ὀκτὼ κοτύλας ἐκπιεῖν. ἢν δὲ μὴ ὄνειον ἔχῃς, βόειον ἢ αἴγειον ἑφθὸν, τρία ἡμιχόεα, παραχέας μέλι. καὶ τὴν ὥρην γαλακτοποτεέτω[78] ἐν ὀροβίῳ καὶ γάλακτι, πέντε καὶ τεσσαράκοντα ἡμέρας. σιτίοισι δὲ καὶ ὄψοισι χρεέσθω, ὡς διαχωρητικωτάτοισιν· οἶνον δὲ πινέτω λευκὸν, μαλθακὸν, Μενδήσιον. ὁκόταν δὲ παχύτατος ᾖ, καῦσαι αὐτοῦ ἐς τὴν B ὀσφὺν ἑκατέρωθεν τῶν σπονδύλων, τέσσαρας ἐσχάρας, καὶ ἐς τὸ μετάφρενον δεκαπέντε ἑκατέρωθεν, καὶ ἐς τὸν αὐχένα δύο μεταξὺ τῶν τενόντων. ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις· ἡ δὲ νοῦσος χαλεπή.

CAPVT XV.

De quatuor renum affectibus; ac primùm de renum calculo, eiusque causis, signis, & curatione.

QVatuor, qui à renibus oriuntur, morbi. *A primo æger hæc patitur. Dolor acutus in renem, in lumbos, & in testem ad renis regionem incidit, frequenter vrinam reddit, & paulatim vrina supprimitur, & cum vrinâ arena egreditur; & vbi per vrethram arena exit, vehementem in vrethrâ dolorem exhibet. Quum autem ipsam cum vrina eiecerit, remittit dolor; deinde rursus in ijsdem iacet doloribus. Quum verò vrinam reddit, colem etiam præ dolore fricat. At plerique Medici ignorantes morbum, quum arenam videant, vesicam calculo laborare existimant. Hæc autem minimè, sed ren calculo laborat. Hic morbus à pituita nascitur; quum ren receptam in se pituitam non rursus dimiserit, sed illic in tofum concalluerit, fiunt ex ea calculi parui, velut arena. Hunc, quum sic habuerit, scammoniæ succo, aut radice ipsâ (toti corpori adhibito priùs fomento) per inferiora purgato. Postridiè verò ex cicerum alborum decocto, sale iniecto, ad duos congios potui exhibito, per inferiora purgato. Post hæc potionibus, edulijs, & balneis curato, ijsdem datis medicamentis, quæ in stranguria exhibentur. Quum autem dolor vrget, multâ calidâ lauato, & quâ parte præcipuè dolor est, fotus tepentes admoueto. Quum verò intumuerit & extuberarit, sub hoc tempus iuxta renem secato, & extracto pure, arenam medicamentis vrinam cientibus curato. Si enim sectus fuerit, euadendi spes est; sin minùs, morbus homini commoritur.*

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῶν τεσσάρων νόσων τῶν ἀπὸ τῶν νεφρῶν, καὶ πρώτου περὶ τῆς τῶν νεφρῶν λιθιάσεως, καὶ τῶν ταύτης αἰτίων, καὶ σημείων, καὶ θεραπείας.

C ΑΙ τέσσαρες νοῦσοι αἱ ἀπὸ τῶν νεφρῶν γινόμεναι. Ἀπὸ τῆς προτέρης τάδε πάσχει. ὀδύνη ὀξεῖη ἐμπίπτει ἐς τὸν νεφρὸν, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τὸν ὄρχιν τὸν κατὰ τὸν νεφρὸν, καὶ οὐρέει πυκνὰ, καὶ ἴσχει κατ' ὀλίγον τὸ οὖρον, καὶ ἅμα τῷ οὔρῳ[79] προσέρχεται ψάμμος· καὶ ὁκόταν ἐξίῃ διὰ τῆς οὐρήθρης ἡ ψάμμος, ὀδύνην παρέχει ἰσχυρὴν ἐν τῇ οὐρήθρῃ· ὁκόταν δὲ διεξουρήσῃ, ἡ ὀδύνη ἀνίησιν, ἔπειτα αὖθις ἐν τοῖσιν αὐ- D τοῖσιν ἄλγεσι κέεται· ὁκόταν δὲ οὐρέῃ, καὶ τὸν καυλὸν ὑπὸ τῆς ὀδύνης τρίβει. πολλοὶ δὲ τῶν ἰητρῶν οἱ μὴ συνιέντες τὴν νοῦσον, ὁκόταν ἴδωσι τὴν ψάμμον, δοκέουσι λιθιῆν τὴν κύστιν· καὶ ταύτην μὲν οὔ, τὸν δὲ νεφρὸν λιθιῇ. αὕτη ἡ νοῦσος γίνεται ἀπὸ φλέγματος· ὁκόταν ὁ νεφρὸς ἐς ἑωυτὸν ἀναλαβὼν φλέγμα, μὴ ἀφίῃ πάλιν, ἀλλ' αὐτοῦ ξυμπωρωθῇ, τοῦτο γίνεται λίθοι λεπτοὶ, οἷον ψάμμος. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τῷ ὀπῷ τῆς σκαμμωνίης, ἢ αὐτῇ τῇ ῥίζῃ (πυριῆσαι δὲ πρόσθεν ἅπαν τὸ σῶμα) E ὑποκαθῆραι· τῇ δὲ ὑστεραίῃ τῷ ἀπὸ ἐρεβίνθων λευκῶν χυλῷ ὑποκαθῆραι δύο χοεῦσιν· ἅλας δὲ παρεμβαλὼν, διδόναι πίνειν. μετὰ δὲ ταῦτα ποτοῖσι, καὶ βρωτοῖσι, καὶ λουτροῖσι μελετῆν, διδοὺς τὰ αὐτὰ ἃ καὶ τῷ στραγγουριῶντι δίδοται φάρμακα. ὁκόταν δὲ ἡ ὀδύνη πιέσῃ, λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι ὅπῃ πονέει μάλιστα. ὁκόταν δὲ ἀποιδήσῃ καὶ ἐξαρθῇ, ὑπὸ τοῦτον τὸν χρόνον τάμνειν κατὰ τὸν νεφρὸν, καὶ ἐξελὼν τὸ πύος, τὴν ψάμμον διουρητικοῖσιν ἰῆσθαι· ἢν μὲν γὰρ τμηθῇ, ἐλπὶς ἐκφυγεῖν, ἢν δὲ μὴ, ἡ νοῦσος τῷ ἀνθρώπῳ F συναποθνήσκει.

CAPVT XVI.

De secundo renum morbo, vel ruptione, à labore cum venarum renis ruptione, orto, eiusque signis, & curatione; ex hac nephritide tabes renalis.

SEcundus renum morbus. *Dolores quidem vehementer, vt in priore, vrgent. Oritur autem*

ΚΕΦΑΛΑΙΟΝ Ις'.

Περὶ τῆς δευτέρης νεφρίτιδος, ἢ ῥήξεως, τῆς ἀπὸ ταλαιπωρίας, ὁκόταν ῥαγῇ τὰ φλέβια τῶν νεφρῶν, γενομένης, καὶ τῶν ταύτης σημείων καὶ θεραπευτικῶν· ἐκ ταύτης τῆς νεφρίτιδος ἡ φθίσις ἡ νεφρῖτις.

ΔΕυτέρη νοῦσος νεφρῶν. Αἱ μὲν ὀδύναι ἰσχυρῶς πιέζουσιν, ὡς ἐν τῇ πρόσθεν· γίνεται δὲ τὸ νόσημα

ἀπὸ ταλαιπωρίης, ὁκόταν ῥαγῇ τὰ φλέβια τὰ ἐς τὸν νεφρὸν τείνοντα, ἔπειτα [80] ὁ νεφρὸς αἵματος ἐμπλησθῇ. ἐπὴν ὁκόταν ταῦτα πάθῃ, ἐξουρέει αἷμα τῷ οὔρῳ αἷμα κατ' ἀρχὰς τοῦ νουσήματος, ἔπειτα [82] πῦον, προϊόντος τοῦ χρόνου. ἐπὴν ἣν ἡσυχίην ἔχῃ τῷ σώματι, τάχιστα ὑγιὴς ἔσται· ἢν γάρ τι πονήσῃ, αἱ ὀδύναι πολλῷ μᾶλλον ἕξουσιν. ὁκόταν γοῦν ἔμπυος ᾖ ὁ νεφρὸς, [82] ἀποιδέει παρὰ τὴν ῥάχιν. Τοῦτον, ὅταν οὕτως ἔχῃ, τάμνειν κατὰ τὸ ἀποιδέον, μάλιστα μὲν βαθείην τομὴν κατὰ τὸν νεφρόν· κἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα ποιήσεις· ἢν δὲ ἀμάρτῃς, κίνδυνος ἕλκος ἔμμοτον γενέσθαι. ἢν δὲ ξυμφυῇ τὸ ἕλκος, ἐκπυοῦται ἔσωθεν ἡ κοιλίη ἡ ἀπὸ τοῦ νεφροῦ. κἢν μὲν ῥαγῇ ἔσωθεν καὶ χωρήσῃ κατὰ τὸν ἀρχὸν τὰ πῦα, ἐλπὶς ἐκφυγεῖν· ἢν δὲ ψαύσῃ τοῦ ἑτέρου νεφροῦ, κινδυνεύσει καταφθαρῆναι. μελετῆν δὲ φαρμάκοισι καὶ τοῖσιν αὐτοῖσι πᾶσιν, οἷσι καὶ τὸν πρόσθεν, καὶ τὴν δίαιταν τὴν αὐτὴν ἐχέτω. αὕτη δὲ ἡ νοῦσος χαλεπὴ, καὶ πολλοὶ ἐκ ταύτης τῆς νούσου ἐς φθίσιν νεφρῖτιδα κατέστησαν.

morbus à vehementi labore, quum venulæ ad renem tendentes ruptæ fuerint, deinde ren sanguine repletus extiterit. Quum his æger affectus fuerit, per initia morbi sanguinem unà cum urina reddit, deinde pus progressu temporis. Hic si corpore quieuerit, citissimè conualescet. Siquid enim laborarit, dolores multò magis detinebunt. Quum igitur ren suppuratus fuerit, ad spinam intumescit. Hunc, quum ita habuerit, quâ parte tumor est, altissimâ quidem sectione ad renem secato. Quòd si quidem sectionem assecutus fueris, confestim sanum reddes. At si aberraueris, periculum est vlcus linamentosum fieri. Si verò vlcus coaluerit, renis venter intrò pus colligit. Et si quidem pus intrò rumpatur, & ad intestinum rectum feratur, euadendi spes est. Quòd si alterum renem attigerit, periculum est, ne corruptione pereat. Medicamentis autem & iisdem omnibus, quibus & prior, curetur, eandemque victûs rationem teneat. Hic autem morbus molestus est, ex eôque plures ad renum tabem deueniunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τῆς τρίτης τῶν νεφρῶν νόσου, ἢ τῆς ἑλκώσεως, καὶ τῶν ταύτης σημείων, καὶ θεραπευτικῶν.

ΤΡίτη νοῦσος νεφρῶν. Τὸ μὲν οὖρον περιέρχεται, οἷον ἀπὸ κρεῶν βοείων ὀπτῶν χυλός. γίνεται δὲ τὸ νούσημα ἀπὸ χολῆς μελαίνης, ὁκόταν χολὴ ἐς τὰ φλέβια συῤῥέῃ τὰ τείνοντα ἐς τὸν νεφρόν· καὶ ὁκόταν στῇ, ἑλκοῖ τὰ φλέβια καὶ τὸν νεφρόν· ὑπὸ δὲ τῆς ἑλκώσιος, τοιοῦτον ὑποχωρέει ἅμα τῷ οὔρῳ. αἱ δὲ ὀδύναι ἔχουσιν ἐν τῇ ὀσφύϊ, καὶ ἐν τῇ κύστει, καὶ ἐν τῷ περινέῳ, καὶ ἐν αὐτῷ τῷ νεφρῷ ἐπ' ὀλίγον χρόνον· ἔπειτα ἀνῆκεν ὁ πόνος, καὶ αὖθις ἐπέλαβεν ὀξὺς δι' ὀλίγου, καὶ ἐς τὸ λεπτὸν τῆς γαστρὸς ἔστιν ὅτε ὀδύνη ἐμπίπτει. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὑποκαθῆραι τὴν κοιλίην ἐπιθύμῳ, ἢ τῆς σκαμμωνίης ῥίζῃ· πίνειν διδόναι τὰ αὐτὰ, ἃ καὶ τῷ στραγγουριῶντι· καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ, χλιάσματα προστιθέντα πρὸς τὸ πονέον μάλιστα· καὶ ῥοφήματι χρεέσθω ἀλεύρῳ ἑφθῷ, μέλι παραχέας, καὶ τῇ ἄλλῃ διαίτῃ χρεέσθω ὡς διαχωρητικωτάτῃ, καὶ οἶνον πινέτω λευκὸν μενδαῖον μελίχροον, ἢ ἄλλον λευκὸν τὸν ἥδιστον, καλῶς κεκρημένον (αὕτη ἡ νοῦσος οὐ μάλα ἐκλείπει) καὶ τὴν ὥρην ὀῤῥοποτεέτω καὶ γαλακτοποτεέτω, ἐς κάθαρσιν μὲν τῷ ὀῤῥῷ, τὴν δὲ γαλακτοποσίην ποιεέσθω ἐν ὥρῃ, πέντε καὶ τεσσαράκοντα ἡμέρας. ταῦτ' ἢν οὕτω ποιέῃς, ἐπὶ τὸ κρέσσον διαθήσεις τὴν νοῦσον.

CAPVT XVII.

De tertio renum morbo, vel vlcere, eiusque signis, & curatione.

TErtius renum morbus. *Vrina velut à bubulis carnibus assatis succus, egreditur. Oritur autem morbus ab atra bile, quum bilis ad venulas ad renem tendentes, confluxerit; quumque constiterit, venas renemque exulcerat. Ab exulceratione igitur tale quid cum urina elabitur. Dol res autem in lumbis, vesicâ, interfemineo, & in rene ipso pauco tempore detinent. Deinde remittit dolor, rursúsque ex breui interuallo acutus inuadit, & in tenuem ventris partem nonnunquam dolor incidit. Huic, cum ita habuerit, ventrem epithymo, aut scammoniæ radice suppurgato; eadem quæ strangurià laboranti, potui exhibeto; quumque dolor detinuerit, copiosâ calidâ lauato, fomentis potissimùm loco laboranti admotis; pro sorbitione farinam coctam affuso melle sumat, reliquâque victus ratione quam maximè aluum subducente vtatur; vinúmque bibat album Mendæum, melle permixtum, aut aliud album suauissimum, probè dilutum (hic morbus non ferè deserit) Si anni tempestas ferat, serum bibat & lac bibat; serum quidem ad purgationem; lactis autem potione tempestiuè vtatur, quinque & quadraginta diebus. Hæc si ita feceris, morbum meliore statu constitues.*

A

CAPVT XVIII.

De quarto renum morbo, seu nephritide ex obstructione & venere ortâ, quæ in suppuratum degenerat, eiusque signis, & curatione.

QVartus renum morbus. *Morbus hic à bile & pituita æstatis potissimùm tempore generatur; quinetiam ex venere morbus oritur. Hic his afficitur. Dolores eum ad hypochondrium & ilia premunt, & ad lumbos lumborumque musculos, & cruciatibus afficitur, quibus mulier in partu laborans; neque decubitum in sanam partem ferre potest, sed valdè laborat, & de ilibus quædam velut abrupta suspensa esse videntur. At si pronus iaceat, non dolet. Eius verò pedes & tibiæ semper frigent. Vrina autem ob pituitæ copiam & vrinæ crassitudinem vix egreditur. Et siquidem depositam quoad resederit, pauco tempore sueris, totum sedimentum* crassum *velut farinam videbis. Ac si quidem bilis superauerit, ipsum subfuluum videbis. Si verò ex pituita morbus fuerit, album & crassum erit. Ac primò quidem in annum, aut paulò longius aut breuius tempus, talibus æger affectus perseuerat. At si producatur morbus, tum magis laborat, tum suppurat. Quumque suppuratus factus intumuerit, quâ præcipuè parte intumuerit, id renem secato, & pus emittito; & si quidem sectio prosperè cesserit, statim sanum reddes. Hunc, quum sic habuerit, iisdem omnibus, quibus anteà, curato. Et per morbi exordia purgare oportet, & ante purgationem fouere, & crebris balneis lauare. Inungatur verò & foueatur magis, neque frigeat; à soléque abstineat; neque venere vtatur. Hæc si fecerit, neque citissimè sanescat, haud nouum; morbus enim perdifficilis. At si absque medicamentis curari desideret; per victûs rationem crassum facere oportet, siue hoc morbo, siue superiorum aliquo laboret. Cibis nimirùm, quos comedere consueuit, in decem partes diuisis, deinde parte vnâ subductâ, reliquas comedat. Opsonium autem carnem suillam tritam habeat; & eo die decem stadia obambulet. Sed postero die, & tertio adusque decem dies, parte vnâ additâ minùs edat, & vnoquoque die decem aut plura stadia obambulet. Quum verò ad vltimam cibi portionem peruenerit, ad centum stadia iter faciat, & vnam solam partem edat, eoque die centum stadia deambulet; ante cœnam quadraginta, à cœna verò viginti, manè quadraginta. Vinum Mendæum, album, austerum bibat. Hæc autem per tres menses faciat. Reliquo deinde tempore subductis deambulationibus, plures cibos comedat, additione eodem, quo detraxerat, modo factâ. Deambulationem verò ad decimum vsque diem subducat, deinde quàm maximè quiescat; cibisque puris vescatur, & quàm pinguissimis opsonijs, dulciaque omnia ei conferunt.*

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῆς τετάρτης νόσου τῶν νεφρῶν, ἢ περὶ τῆς νεφρίτιδος τῆς ἐξ ἐμφράξεως καὶ λαγνείας γενομένης, τῆς εἰς μεταπτώσεως ἐμπυημένης, καὶ τῶν αὐτῆς σημείων καὶ θεραπευτικῶν.

TΕτάρτη νοῦσος νεφρῶν. Τὸ μὲν νόσημα γίνεται ἀπὸ χολῆς καὶ φλέγματος, ἐν ὥρῃ δὲ τοῦ θέρεος μάλιστα γίνεται· γίνεται δὲ καὶ ἀπὸ λαγνείης ἡ νοῦσος. Ἴσχει τάδε· πάσχει· ὀδύναι πιέζουσιν αὐτὸν ἐς τὴν λαπάρην, καὶ ἐς τὸν κενεῶνα, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τοὺς μύας τῆς ὀσφύος, καὶ πάσχει ὁκοῖα γυνὴ ὠδίνουσα· καὶ οὐκ ἀνέχεται ἐπὶ τὸ ὑγιὲς κατακεῖσθαι, ἀλλ' ἄγχει πονεῖ, καὶ ὁ κενεὼν δοκεῖ οἱ κατακρέμασθαι ὡς ἀπερρηγμένα· ἐπὴν δὲ τὰ πρηνέα ᾖ κατακέηται, οὐκ ἀλγεῖ. οἱ δὲ πόδες, καὶ αἱ κνῆμαι αὐτοῦ αἰεὶ ψυχρά. τὸ δὲ οὖρον μόλις ὑπεξέρχεται ὑπὸ τῆς φλεγμασίης καὶ παχύτητος τοῦ οὔρου· κἢν μὲν ἐάσῃς αὐτὸ ὀλίγον χρόνον, καταστὰς ἕως ἂν καταστῇ, ὅλη ἡ ὑπόστασις παχεῖα, οἷον περ ἄλευρον· κἢν μὲν χολὴ ἐπικρατέῃ, ὑπόπυρρον ἔσται ὅλον· ἢν δὲ ἀπὸ φλέγματος ἡ νοῦσος ᾖ, λευκὸν καὶ παχύ ἐστι. καὶ τὸ μὲν πρῶτον ἐς ἐνιαυτὸν, ἢ ὀλίγῳ πλέονα, ἢ ὀλίγῳ ἐλάσσονα χρόνον, τοιαῦτα πάσχων διατελεῖ· ἢν δὲ ἐπιμηκύνηται ἡ νόσος, πονέει τε μᾶλλον καὶ ἐμπυοῦται· καὶ ὁκόταν ἔμπυος γενόμενος ἀποιδέῃ, ὅκου ἂν μάλιστα ἀποιδέῃ, ταμεῖν ἐς τοὺς νεφροὺς, καὶ ἀφιέναι τὸ πῦον· καὶ ἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα ποιήσεις. Τοῦτον, ἐχόντων οὕτως ἐκείνοισιν αὐτοῖσι πᾶσι θεραπεύειν, οἷσι καὶ τὸ πρόσθεν, καὶ κατ' ἀρχὰς τῆς νούσου δεῖ τε καθῆραι, καὶ πρὸ τῆς καθάρσιος πυριῆσαι, καὶ τοῖσι λουτροῖσι πυκινὰ λούειν. ἀλειφέσθω δὲ καὶ θαλπέσθω μᾶλλον, μηδὲ ῥιγούτω, καὶ τοῦ ἡλίου ἀπεχέσθω, καὶ μὴ λαγνευέτω. ταῦτα ἢν ποιέῃ, καὶ μὴ τάχιστα ὑγιαίνῃ, οὐ καινόν· ἡ νοῦσος γὰρ ἰσχυρῶς χαλεπή. ἢν δὲ βούληται ἄνευ φαρμάκων ἰῆσθαι, χρὴ παχὺν ποιῆσαι ἀπὸ διαίτης, ἤν τε ταύτην τὴν νοῦσον κάμνοντα, ἤν τε τῶν προτέρων τινά. τὰ σιτία διελὼν, ἃ μεμάθηκεν ἐσθίειν, ἐς δέκα μερίδας, ἔπειτα μίαν ἀφελὼν μερίδα, τὰ λοιπὰ καταφαγέτω. ὄψον δὲ ἐχέτω κρέας ὕος τετριμμένον, καὶ περιπατεέτω δέκα σταδίους ταύτης τῆς ἡμέρης· τῇ δὲ ὑστεραίῃ καὶ τῇ τρίτῃ μέχρι τῶν δέκα ἡμερέων προστιθεὶς μερίδα, ἐλάσσω ἐσθιέτω, καὶ περιπατεέτω δέκα σταδίους ἢ πλείω ἑκάστης ἡμέρης. ὁκόταν δὲ ἐς τὴν ἐσχάτην μερίδα ἀφίκηται τοῦ σιτίου, καὶ ἐς τοὺς ἑκατὸν σταδίους βαδιζέτω, καὶ ἐσθιέτω τὴν μίαν μερίδα μούνην, καὶ ταύτης τῆς ἡμέρης περιπατησάτω τοὺς ἑκατὸν σταδίους, πρὸ τοῦ δείπνου τεσσαράκοντα, μετὰ δὲ τὸ δεῖπνον εἴκοσι, ὄρθρου δὲ τεσσαράκοντα. οἶνον δὲ πινέτω Μενδαῖον, λευκὸν, αὐστηρόν. ταῦτα δὲ ποιεέτω τρεῖς μῆνας· ἔπειτα τὸν λοιπὸν χρόνον ὑποβαίνων τῶν περιπάτων, καὶ τῶν σιτίων πλείω ἐσθιέτω, τὸν αὐτὸν τρόπον, ὥσπερ ἀφῄρεε, οὕτω δὲ προστιθείς. τὸν δὲ περίπατον ἀφαιρείτω μέχρι τῶν δέκα ἡμερέων, ἔπειτα ἡσυχίην ἐχέτω ὡς μάλιστα, καὶ εὐωχεέσθω σιτία τε καθαρὰ, καὶ ὄψα ὡς πιότατα, καὶ τὰ γλυκέα πάντα ξύμφορα αὐτῷ.

λαχάνων δὲ καὶ ὀξέων πάντων ἀπεχέσθω, καὶ τῶν δριμέων, καὶ ὁκόσα φῦσαν παρέχει· λουέσθω τε πολλῷ καὶ θερμῷ, καὶ μὴ ῥιγούτω. Ταῦτ' ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται.

Ab oleribus autem & acidis omnibus abstineat, acribusque & ijs quæ flatum excitant. Calidâ quoque multâ lauet, & non algeat. Hæc si fecerit, citissimè sanus erit.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῆς μεγάλης τῶν κοίλων φλεβῶν νόσου, τῆς τῇ νεφρίτιδι ἐπιγινομένης, ἣ κέδμα παλίνδρομον καλεῖται· καὶ τῶν ταύτης αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

Ἀπὸ δὲ νεφρίτιδος ἐπιλαμβάνει, ἡ δὲ νοῦσος μεγάλη τῶν φλεβῶν τῶν κοίλων, αἳ τείνουσιν ἀπὸ τῆς κεφαλῆς παρὰ τὰς σφαγὰς διὰ τῆς ῥάχιος, ἐς τὸ σφυρὸν τὸ ἐκτὸς τοῦ ποδὸς, καὶ ἐς τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου. τὸ δὲ νούσημα γίνεται μὲν ἀπὸ φλέγματος καὶ χολῆς, ὁκόταν ἐς τὰς φλέβας συῤῥυῇ· αἱ δὲ φλέβες αὗται αἵματος εἰσὶ πλήρεες, ἢν οὖν τι παρέλθοι ἀλλοῖον ἐς αὐτὰς, νοσοῦσι. τάδε οὖν πάσχει. ἢν ἐπὶ τὰ δεξιὰ νοσέῃ, ἄρχεται τὴν ὀδύνην παρέχουσα ἐκ τῆς [94] κοτυληδόνος τοῦ ἰσχίου κατ' ἀρχάς· ὁκόσῳ [95] δὲ πλείων ὁ χρόνος γένηται καὶ ἀπομηκύνηται, ἥ τε ὀδύνη ὀξυτέρη κατέρχεται κατωτέρω, καὶ ὁκόταν ἐς τὸ σφυρὸν ἀφίκηται τὸ ἐκτὸς τοῦ ποδὸς, καὶ τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου, ἄρχεται πάλιν ἐς τὴν κεφαλὴν ἔρχεσθαι· καὶ ὁκόταν [96] ἐς αὐτὴν τὸ ἕλκος στῇ, πιέζει ἰσχυρῶς, καὶ δοκέει ὁ ἄνθρωπος διαῤῥήγνυσθαι τὴν κεφαλὴν, καὶ οἱ ὀφθαλμοὶ φλέγματος πληρεῦνται, καὶ τὸ πᾶν σῶμα. Τοῦτον, ὅταν οὕτως ἔχῃ, ἐλατήριον πίσαι, ἢ θαψίης ῥίζαν, ἢ ἐλλέβορον, ἢ ὀπὸν σκαμμωνίης· μετὰ δὲ τὴν κάθαρσιν ταῦτα προσφέρειν, ἃ καὶ τοῖσι πρόσθεν. ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς θεραπείης παύηται, γάλακτι παχύνας, καῦσαι κάτω τὴν ὠμοπλάτην τὴν δεξιὴν τέσσαρας ἐσχάρας, καὶ ἐς τὴν κοτυληδόνα τοῦ ἰσχίου τοῦ δεξιοῦ τρεῖς, καὶ ὑπὸ τὸν γλουτὸν δύο, καὶ ἐν τῷ μέσῳ τοῦ μηροῦ δύο, καὶ ὑπὲρ τοῦ γούνατος μίαν, καὶ ὑπὲρ τοῦ σφυροῦ μίαν. ἔστι ἢν οὕτω καυθῇ, οὐκ ἀφίησιν οὔτε ἄνω, οὔτε κάτω τὴν νοῦσον διαχωρέειν. ἢν δέ κου ἡ ὀδύνη ὀφθῇ ῥαγεῖσα, ἢν μὲν στηρίξῃ ἐς τὸ σκέλος, πρὶν ἢ καυθῆναι, χωλὸς ἔσται· ἢν δὲ ἐς τὴν κεφαλὴν, κωφὸς ἢ τυφλός· ἢν δὲ ἐς τὴν κύστιν, καὶ προχωρέει ἅμα τῷ οὔρῳ αἵματος μάλιστα τεσσαράκοντα ἡμέρας. ἀλλὰ χρὴ, ἢν ἐς τὴν κύστιν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι· καὶ ἤν κου ἡ ὀδύνη ἀλισθῇ, καῦσαι. καίειν δὲ χρὴ, τὰ μὲν σαρκώδεα σιδηρίοισι, τὰ δὲ ὀστώδεα καὶ νευρώδεα, [98] μύκησι· πλὴν τάδε πρότερον τούτων χρὴ ποιῆσαι. ἢν κατ' ἀρχὰς τῇ νούσῳ παραγένῃ, εἰς μὲν τὸ ποτὸν χρὴ διδόναι οἶνον λευκὸν Μένδαιον, ὑδαρέστερον, ὡς πλεῖστον, μεθ' ἡμέρην, καὶ μεθυσκέσθω ἄχρις ἂν αἱμοῤῥαγήσῃ κατὰ τὰς ῥῖνας· ὁκόταν δὲ ἄρξηται ῥέειν, τὸ ἐλάχιστον ἡμέρας ῥέει δέκα καὶ τρεῖς· ὅταν δὲ αὗται αἱ ἡμέραι διέλθωσι, μηκέτι μεθυσκέσθω, μηδὲ ὅταν ἄρξηται ἅπαξ ῥέειν· πινέτω μέντοι ὀλίγῳ πλείονα τὸν οἶνον ἐπὶ σιτίῳ, [99] ὅκως ἂν ῥέῃ τὸ αἷμα. ἤδη δέ τισι παυσαμένου τοῦ αἵματος, ἐῤῥάγη ἐς τὴν κύστιν καὶ ἐχώρησεν αἷμα καὶ πῦα.

CAPVT XIX.

De magno venarum cauarum morbo nephritidi succedente, qui defluxio recurrens vocatur, eiusque causis, signis, & curatione.

A Nephritide inuadit magnus venarum cauarum morbus, quæ à capite iuxta iugulum per spinam, ad exteriorem pedis malleolum & intermedium magni digiti locum feruntur. Oritur hic morbus à pituita quidem & bile, quum ad venas confluxerint; hæ autem venæ sanguine plenæ sunt; siquid igitur alieni ad eas peruenerit, ægrotant. His igitur afficitur. Si dextrâ parte morbus fit, per exordia ex coxendicis acetabulo dolorem exhibere incipit. Quò autem longius tempus processerit, & productum fuerit, eò dolor acutior ad inferiora descendit, quumque ad malleolum pedis externum, & intermedium magni digiti peruenerit, rursùs ad caput ferri incipit. Quumque in eo vlcus constiterit, vehementer vrget, & homo sibi caput disrumpi arbitratur; oculi pituitâ implentur, totúmque corpus. Huic, quum ita habuerit, elaterium, aut thapsiæ radicem, aut veratrum, aut scammonij succum propinato. Post purgationem verò eadem, quæ superioribus, offerto. Si verò hac curatione non sedetur, vbi lacte crassum reddideris, scapulam dextram inferiorem quatuor crustis inurito, coxendicis dextræ acetabulum tribus, inferiores nates duabus, & medium femur duabus, genu superius vnâ, & malleolum superiore parte, vnâ. Hic si ita vstus fuerit, neque sursùm, neque deorsùm morbum progredi sinit. Si verò aliquam in partem dolor irrumpere visus fuerit, si quidem priusquàm vratur, in crus decubuerit, claudus erit; si in caput, surdus aut cæcus; si verò in vesicam, simul cum vrina aliquid *sanguinis maximè quadraginta dies progreditur; sed si in vesicam* humor *irruperit, eadem medicamenta, quæ & stranguriâ laboranti, exhibenda sunt, & si aliqua in parte dolor coaceruatus fuerit, vrito. Vrendæ verò sunt, carnosæ quidem partes ferramentis; osseæ verò & neruosæ, fungis; sed antè hæc, ista facienda sunt. Si morbi initio accesseris, vinum Mendæum album dilutius quàm plurimum per diem potui exhibere oportet; & inebrietur, quoad sanguis è naribus erumpat. Quum autem fluere cœperit, vt minimùm tredecim diebus fluit. Vbi verò hi dies præterierint, non ampliùs inebrietur, neque vbi semel fluere cœperit. In cibo tamen paulò plus vini bibat, vt sanguis fluat. Iam verò quibusdam sedato sanguine in vesicam irrupit, & sanguis & pus prodijt.*

Si igitur

Si igitur irruperit, eadem medicamenta, quæ & stranguriâ laboranti, exhibeto; & de eodem vino plus propinato. Hic si ita curetur, ciboſque per aluum ſubducentes & opſonia aſſumat, citiſſimè ſanus euadet. Morbus autem grauis eſt.

ἢν δὲ ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι, καὶ ἀπὸ τοῦ αὐτοῦ οἴνου διδόναι πλέον πίνειν. ἔστ' ἂν οὕτω μελετώμενος, καὶ τὰ σιτία προσφερόμενος διαχωρητικὰ, καὶ τὰ ὄψα, τάχιστα ὑγιὴς ἔσται. ἡ δὲ νοῦσος χαλεπή.

CAPVT XX.

De venæ cauæ ſiniſtræ morbo, ſeu defluxione recurrente, eiuſque cauſis, ſignis, & curatione.

ALius à vena ſiniſtra morbus. *In reliquis æger quidem eadem multitudine, quæ etiam prior, patitur; ſed in lienem quamprimùm, & per morbi exordia, dolor acutus decumbit. Et niſi ſtatim animaduertat, priuſquam decubuerit, ſed ad pulmonem* feratur, *lienis capite apprehenſo, quàm citiſſime cruſtis octo inurito; & quocunque alius dolor decubuerit, vrito; ſicque confeſtim ſaneſcet. At niſi vſtus fuerit, ſponte autem ſanus euadat, pleriſque poſt duodecim annos rurſus morbus reuertitur; ac ſi lienem occuparit, multis hydropem facit. Sed confeſtim velut priorem curare, & ſi videatur, ſanè etiam ſimiliter vt priorem inurere oportet, ſi dolor in iiſdem articulis conſtiterit. At niſi ita curatus fuerit, de cætero contabeſcens moritur. Nam morbus grauis eſt.*

ΚΕΦΑΛΑΙΟΝ Κ΄.

Περὶ τῆς τῆς κοίλης φλεβὸς τῆς ἀριστερᾶς νόσου, ἢ τοῦ κεύματος παλινδρόμου, καὶ τῶν ταύτης αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

ΑΛλη ἀπὸ τῆς ἀριστερῆς [100] φλεβός. Τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει, ἃ καὶ ὁ πρόσθεν· ἐς δὲ τὸν σπλῆνα ὀδύνη στηρίζει ὀξεῖα εὐθὺς, καὶ κατ' ἀρχὰς τοῦ νουσήματος. καὶ ἢν μὴ ξυνίῃ παραχρῆμα, πρὶν καταστηρίξῃ, [101] ἀλλ' ἢ ἐς τὸν πνεύμονα, μύκησι καῦσαι ὀκτὼ ἐσχάρας, τὰς κεφαλὰς ἀπολαβὼν τοῦ σπληνὸς, ὡς τάχιστα· καὶ ὅκου ἂν ἄλλη ὀδύνη καταστηρίξῃ, καῦσαι· καὶ οὕτω παραχρῆμα ὑγιὴς ἔσται. ἢν δὲ μὴ καυθῇ, ὑγιὴς δὲ γένηται ἀπὸ ταυτομάτου, τοῖσι πολλοῖσι μετὰ [102] δυοκαίδεκα ἔτη ἡ νοῦσος αὖθις ὑπετροπίασε, καὶ ἢν λάβηται τοῦ σπληνὸς, τοῖσιν πολλοῖσιν ὕδερον ἐποίησεν. ἀλλὰ χρὴ παραχρῆμα θεραπεύειν ὡς τὸν πρόσθεν, καὶ ἢν δοκέῃ, καῦσαι ὥσπερ δὴ καὶ τὸν πρότερον, ἢν ἡ ὀδύνη καθεστήκῃ ἐν τοῖσιν αὐτοῖσιν ἄρθροισιν. ἢν δὲ μὴ οὕτω μελετηθῇ, τὸ λοιπὸν [103] τηκόμενος θνήσκει· ἡ γὰρ νοῦσος χαλεπή.

CAPVT XXI.

De pituitæ, ſiue cacochymiæ, quibuſdam ſpeciebus, ac primum de pituitæ epidemiæ curatione; ficus poſtremos euomi.

DE pituita *autem eaſdem, quas & de bile, habeo ſententias, eiuſque multas eſſe ſpecies aſſero. Et hæc quidem vulgaris eſt; illa verò recentiſſima, cuius etiam facillima eſt curatio. Vomitus enim poſt cibum duobus aut tribus diebus inducere oportet, inſuperque prandere & quieſcere, ſi prioribus diebus ſemel* in die *cibum ſumere & vehementibus laboribus vti conſueuerit. Aliòqui hac victus ratione vtatur. Primùm quū vomitum inducere voluerit, multâ & calidâ lauetur; & mazam melle & oleo ſubactam, & panem exaſſatum heſternum edat; hæc enim magis pituitam trahunt. Opſonijs & oleribus acribus vtatur; pinguia, dulcia & acida, hæc omnia permixta, idonea aſſumantur; & oleribus omnibus viridibus vtatur; inter epulas vinū dulce, paucū crebrò bibat; in fine placentā, mel & ficus comedat; quumq; cœnabit, pocula largè ebibat. Quumque iā oppletus fuerit, paulùm dormiat; deinde experrectus vini aquâ tepidâ temperati magno epoto poculo, vomat; magis enim pituitam & humorem ex carnibus attrahit, corpuſque magis exiccat. Vomat autem, quoad ficus euomuerit, hæ nanque poſtremæ euomuntur. Hæc quidem eo* die *facienda. Poſtero verò die, ſeſe ad cœnam vſq; contineat, & panem cibarium cœnet; opſonium autem ſit ex valentioribus, vinum verò bibat nigrum, auſterum. Hæc igitur epidemiæ pituitæ medela eſt. Quòd ſi comedere & bibere poſſit, cibiſque delecte-*

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Περὶ τινῶν φλέγματος ἢ κακοχυμίας ἰδεῶν, καὶ πρῶτον περὶ τῆς τοῦ ἐπιδημίου φλέγματος θεραπείας· ὅτι τὰ σῦκα ὕστατα ἐξεμεῖται.

ΠΕρὶ δὲ τοῦ φλέγματος τὰς αὐτὰς γνώμας ἔχω, ἃς καὶ περὶ χολῆς, καὶ φημὶ τὰς ἰδέας αὐτοῦ πολλὰς εἶναι. καὶ τὸ μὲν ἐπιδήμιόν ἐστι, τὸ δὲ νεώτατον, οὗ καὶ ἡ ἴησις ῥάστη. ἐμέτους γὰρ δεῖ ποιέεσθαι μετὰ τὸ σιτίον ἡμέρας δύο ἢ τρεῖς, προσαριστῶντα καὶ ἡσυχάζοντα, ἢν εἰώθῃ τὰς πρόσθεν ἡμέρας μονοσιτέειν καὶ ταλαιπωρέειν· ἢν δὲ μὴ, τοιαύτῃ διαίτῃ χρεέσθω. πρῶτον λουέσθω πολλῷ καὶ θερμῷ, ὁκόταν μέλλῃ ἔμετον ποιέεσθαι, καὶ ἐσθιέτω μάζαν [104] ψαιστὴν, καὶ ἄρτον ἐξόπτιον ἕωλον· ἕλκει γὰρ μᾶλλον ταῦτα τὸ φλέγμα. ὄψοισι δὲ χρεέσθω, καὶ λαχάνοισι δριμέσι· καὶ τὰ λιπαρὰ καὶ τὰ γλυκέα καὶ ὀξέα, ταῦτα πάντα ἐπιτήδεια ξυμμεμιγμένα προσφέρεσθαι· καὶ τοῖσι λαχάνοισι πᾶσι χλωροῖσι χρεέσθω· καὶ πινέτω ἐπὶ τῷ σιτίῳ ὀλίγον πυκινὰ οἶνον γλυκὺν, καὶ πλακοῦντος ἐπιφαγέτω ἐπὶ τελευτῆς, καὶ μέλι καὶ σῦκα, καὶ ὁκόταν δειπνήσῃ, πινέτω λαύρως τὰς κύλικας. καὶ ὁκόταν ἤδη πλήρης ᾖ, κατακοιμηθήτω ὀλίγον· εἶτα ἐπεγερθεὶς ἐμεέτω, πιὼν οἴνου μεγάλην κύλικα [105] καὶ χλιαρῷ ὕδατι κεκρημένην· ἕλκει γὰρ μᾶλλον τὸ φλέγμα ἐκ τῶν σαρκῶν, καὶ τὸν χυμὸν, καὶ ξηραίνει μᾶλλον τὸ σῶμα. ἐξεμεέτω δὲ, ἕως ἂν τὰ σῦκα ἐξεμέσῃ· ὕστατα γὰρ ταῦτα ἐξεμέεται. ταῦτα μὲν τῇδε· τῇ δὲ ὑστεραίῃ, συνεχέτω ἑωυτὸν μέχρι δείπνου, καὶ δειπνεέτω [106] ἄρτον αὐτοπυρίτην, [107] τὸ δὲ ὄψον ἔστω ἀπὸ τῶν ἰσχυροτέρων· οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. αὕτη μὲν οὖν τοῦ ἐπιδημίου φλέγματος ἡ ἴησις. Ἢν δὲ δυνατὸς ἐὼν ἐσθίειν καὶ πίνειν, καὶ ἥδεται

τοῖσιν σιτίοισιν, εἶτα τὰ σκέλεα βαρύνοιτο, κἂν ἡ χροιὴ μετηλλαγμένη ἦ, τούτῳ φάναι ἐν τῇ κοιλίῃ τὸ φλέγμα τὸ λυπέον εἶναι. ἀλλὰ χρὴ ὁκόταν οὕτως ἔχῃ, μέλιτι, καὶ οἴνῳ γλυκεῖ, καὶ ἐλαίῳ, καὶ νίτρου ὁκόσον οἷος ἀστράγαλος προσμίξας, κλύζειν· ταῦτα γὰρ τῇ φύσει τοῦ ἀνθρώπου εὐμενέστατα εἰς τὸν κλυσμόν. μέτρον δὲ χρὴ ἑκάστου εἶναι, τοῦ μὲν οἴνου κοτύλην, ἡμικοτύλιον δὲ ἐλαίου, καὶ μέλιτος ἴσον. ἢν δὲ μὴ κλύζειν βούλῃ, διυγρὸν χρὴ τὸν ἄνθρωπον ποιῆσαι, πυριήσαντα ἐν ὑγρῇ τῇ πυρίῃ· τάχα γὰρ ἂν καὶ οὕτως ὑποκενωθῇ ἡ κόπρος. ὑπὸ γὰρ τῆς ὑποξηρασίης τῶν σιτίων, ταῦτα πάσχει. ἢν μὲν οὖν τις ἐσθίῃ τὰ σιτία λίην ἔγχυλα, οὐκ ἂν ἴσως πάσχῃ ταῦτα οὕτω σφόδρα· ἢν δὲ καὶ πάσχοι ποτέ, ὀλίγης ἂν ἰήσεως δέοιτο. τοῦτον οὕτως ἰώμενος, τάχιστα ἂν ὑγιέα ποιήσῃς.

A *tur, deinde crura grauentur, etiam si color immutatus fuerit, pituitam hunc vexantem in ventriculo esse dicendum. Verùm quum sic habuerit, melle, vino dulci, & oleo, nitroque ouilli tali magnitudine, permixtis, ventrem per clysterem subluere oportet. Hæc enim in clystere, hominis naturæ mitissima sunt. Suum autem cuiusque modum esse oportet, vini quidem heminam, olei heminæ dimidium, & mellis tantundem. At si alui infusum nolis, humido fomento admoto, perhumectum* B *hominem reddere oportet. Sic enim fortassis quoq; stercus subduci poterit. Etenim hæc ex ciborum resiccatione ei contingunt. Siquis igitur cibos valdè succulentos comedat, ab his fortasse non ita vehementer afficietur: & si quandoque afficiatur, paruâ curatione indigebit. Hunc ita si curaueris, citissimè sanum reddideris.*

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ τοῦ παλαιοτέρου φλέγματος (ὃ λευκὸν φλέγμα καλεῖται, ἢ λευκοφλεγματίας, ὕδερου εἶδος) καὶ περὶ τῶν τούτου αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

ΗΝ δὲ τύχῃ[108] παλαιότερον ἐὸν φλέγμα (λευκὸν δὲ καλέεται τοῦτο τὸ φλέγμα)[109] πάσχει τάδε. βαρύνει τὸν ἄνθρωπον μᾶλλον, καὶ ἰδέην ἀλλοίην ἔχειν τῆς ἐπιδημίης δοκέει ταὶ ὠχροτέρην· καὶ οἰδέει οἰδήματι πᾶν τὸ σῶμα, καὶ τὸ πρόσωπον ἐρυθρόν, καὶ τὸ στόμα ξηρόν, καὶ δίψα ἐπέχει, καὶ ὁκόταν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει αὐτῷ. ἔστι τῆς αὐτῆς ἡμέρης, ποτὲ μὲν γὰρ ῥάων, ποτὲ δὲ πονέει ἐξαπίνης, καὶ δοκέει ἀποθανέεσθαι. Τούτῳ ἢν μὲν ἡ γαστὴρ[110] αὐτομάτως ταραχθῇ, ἐγγυτάτω ὑγιὴς ἔσται· ἢν δὲ μὴ ταραχθῇ αὐτομάτη ἡ κοιλίη, καθαίρειν δεῖ, διδόντα τοῦ κνεώρου, ἢ τοῦ ἱπποφαέος, ἢ τοῦ κνιδίου κόκκου, ἢ τῆς μαγνησίης λίθου· καὶ μετὰ τὴν κάθαρσιν, φακῆς δίδου τρύβλιον ῥοφέειν ἕν, ἢ δύο (συνεψέσθω δὲ ἐν τῇ φακῇ σκόροδα) καὶ τεύτλου[111] λιπαροῦ ἀνηδύντου τρύβλιον, ἐπὶ ἀλφίτων[112] περιπάσσοντα· πινέτω δὲ οἶνον μέλανα, αὐστηρόν τε καὶ ἰσχυρόν. Τῇ δὲ ὑστεραίῃ περιπατείτω σταδίους εἴκοσι τὸ ἑωθινόν· ἐλθὼν δέ, φαγέτω ἄρτον μικρὸν ἐξόπτον, καὶ ὄψον ἐχέτω σκόροδα ἑφθά, καὶ πινέτω τοῦ αὐτοῦ οἴνου ὀλίγον ἀκρητέστερον, εἶτα βαδιζέτω σταδίους τριήκοντα· καὶ ὁκόταν ὥρη ᾖ, δειπνεέτω ὁκόσον περ καὶ εἰώθει ἀριστῆν. ὄψον δὲ ἐχέτω, μάλιστα μὲν πόδας συὸς καὶ κεφαλάς· εἰ δὲ μή, ἀλεκτρυόνος κρέασιν ἢ ὑός, τετριμμένοισι χρεέσθω· ἰχθύων δέ, σκορπίῳ, ἢ δράκοντι, ἢ κόκκυγι, ἢ καλλιωνύμῳ, ἢ κωβιῷ, ἢ τῶν ἄλλων ἰχθύων, ὁκόσοι τὴν ἴσην δύναμιν ἔχουσι· λαχάνοισι δὲ χρεέσθω, σκορόδοισι μόνοις, καὶ ἄλλων τῶν λαχάνων μηδενί· ταῦτα δὲ ὡς πλεῖστα τρωγέτω, καὶ ὠμά, καὶ ὀπτά, καὶ ἑφθά, αἰεὶ πλείω ἑκάστης ἡμέρης, καὶ ταλαιπωρεέτω πρὸς τὰ σιτία τεκμαιρόμενος, καὶ ἐξ ὀλίγου πλέον. Τοῦτο τὸ νόσημα μάλιστα μὲν τοῦ θέρεος ὥρη ἀπὸ ὑδροποσίης, ἔτι δὲ καὶ ὕπνων πολλῶν· κρίνεται δὲ ἐν τριήκοντα ἡμέρῃσιν, εἰ θανάσιμον, ἢ οὔ. ταῦτα μὲν ποιεέτω, ὁκόταν αἱ τριάκοντα ἡμέραι παρέλθωσιν· ἐν δὲ τῇσι πρώτῃσι τῶν ἡμερέων, ῥοφήμασι διαχρεέσθω, φακῇ ἑφθῇ

CAPVT XXII.

C De vetustiore pituita (quæ alba pituita vel leucophlegmatia vocatur, hydropis species) ac de eius causis, signis, ac curatione.

AT si vetustiorem esse pituitam contigerit (hæc autem pituita alba vocatur) his afficitur. Hominem magis grauat, speciemque ab epidemia diuersam pallidiorem habere videtur; corpus vniuersum laxo tumore tumet; facies rubet; os siccum; sitis detinet; & quum comederit, densus ei spiritus succedit. Hic eodem die interdùm quidem meliùs habet, in- D *terdùm verò derepentè dolet, & mori videtur. Huic si venter quidem sua sponte perturbatus fuerit, sanitati erit proximus. At si aluus sponte turbata non fuerit, cneoro dato, aut hippophae, grano cnidio, vel Magnesio lapide, purgare oportet; & post purgationem, lenticulæ heminam vnam sorbendam vel duas dato (in lenticula autem allium concoquatur) Betæ etiam pinguis non conditæ tryblium, polentâ super aspersâ* dandum. *Vinum autem bibat nigrum, austerum & valens. Postero ve-* E *rò die manè stadia viginti obambulet. At reuersus panem exassatum paruum comedat, & opsonium allium coctum habeat; vinique eiusdem pauculùm meracius bibat; deinde stadia triginta ambulet; quumque tempestiuum fuerit, quantùm prandere consueuerat, cœnet. Pro opsonio potissimùm quidem pedes suillos, aut capita habeat; sin minus, gallinaceis carnibus aut suillis tritis vtatur. Piscibus verò, scorpio, aut dracone, aut cuculo, aut callionymo, aut gobio,* F *aut alijs piscibus æqualem facultatem habentibus. Ex oleribus, allijs solis vtatur, neque olerum vllo alio. Hæc autem quàm plurima comedat, tum cruda, tum assa, & elixa, singulis diebus semper plura; & pro ciborum ratione ex pauco plus laboret. Hic morbus potissimùm per æstatem oritur ex aquæ potu, ad hæc etiam ex multo somno. Iudicatur autem triginta diebus, lethalis sit, nec ne. Transactis autem triginta diebus, hæc quidem faciat. Primis autem diebus sorbitionibus vtatur, lenticulâ co-*

cta,

Eta ab aceto acidiore, & ptisanâ acidâ. Bibat verò aquam mulsam tepidam, modicâ polentâ inspersâ, quò sanè corpus turgeat ad medicamentorum purgantium potionem; & per hosce dies sub dio dormiat. Quòd si visum fuerit sanguinem è lumbis detrahere, cucurbitulam admoueto, & venas in scroto crassissimas concidito. Hic ita curatus citissimè sanus euadet.

[113] ἐπωχεστέρῃ τῷ ὄξει, καὶ πτισάνῃ ὀξείῃ· πινέτω δὲ χλιαρὸν μελίκρητον, ἀλφίτων ἐπιπάσσων ὀλίγα, [114] ἵνα ὀργῶν ὡρμισμένον τὸ σῶμα ᾖ πρὸς τὴν φαρμακοποσίην· καὶ εὑδέτω ὑπαίθριος ταύτας τὰς ἡμέρας. καὶ ἢν σοι δοκέῃ τοῦ αἵματος [115] ἀφελεῖν ἀπὸ τῆς ὀσφύος, σικύην προσβάλλειν, καὶ τὰς ἐν τῇ ὀσχῇ φλέβας σχάσαι τὰς παχυτάτας. οὕτω θεραπευόμενος, τάχιστα ὑγιὴς ἔσται.

CAPVT XXIII.

De hydrope à cacochymia, seu pituita tenui orto, eiusque signis & curatione.

A pituita in hydropem maximè hoc modo deuenitur. Colliquatur pinguedo, & à pituitæ ardore aqua fit. At hoc, quis sanari possit, & quis non, cognosces. Quandiu enim quis in imo ventre pinguedinem habet, curari potest. Sed an pinguedo in imo ventre insit, necne, his potissimùm dignosces. Si sanè febres aduenerint, & erectus stare nequeat, & umbilicus inflatus foras promineat, pinguedinem non ampliùs inesse dicito, cumque sanari non posse. Si verò febris non successerit, & erectus stare queat, & umbilicus foras non promineat, pinguedinem inesse, & curari posse asserito. Huic ventrem siccare confert; & panem quidem cibarium dare, pridianum, calidum. Opsonia verò leporis carnes, canis adulti, & ouis, ac suis maximè assatas, & galli assas calidas, polypos etiam vino nigro austero incoctos edat. Vinum bibat nigrum quàm crassissimum & acerbissimum. Piscibus vtatur gobio, dracone, callionymo, cuculo, scorpio, huiusmodique cæteris, elixis omnibus, pridiè coctis, & frigidis (hi enim potissimum quàm siccissimi sunt) ac in iusculum non immergantur, & insulsi pisces sint. Oleribus autem vtatur, raphanis & apio. Lenticulam verò torreat aceto temperatiorem, ac edat, & interdiu, & à cœna, & manè deambulet; vesperi dormiat, & manè exurgat. Ac si quidem ab his restituatur, satis est; sin minus, ei cneorum aut hippophais succum, aut granum cnidium propinato; & post purgationem duas lenticulæ heminas supersorbeat, & paruum panem comedat. Vinum autem bibat nigrum, acerbum, paucum. Medicamentum autem bis die, quoad mollis sit venter, bibat. Quòd si in scroto & femoribus, ac tibijs tumor constiterit, peracuto scalpello multis & crebris vulnusculis scarificato. Hæc si feceris, citò sanum efficies.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Περὶ ὕδερου τοῦ ἀπὸ τῆς κακοχυμίας ἢ τοῦ λεπτοῦ φλέγματος γενομένου, καὶ τῶν αὐτοῦ σημείων καὶ θεραπευτικῶν.

ΠΕρίσταται ἀπὸ φλέγματος μάλιστα ἐς ὕδερον, τρόπῳ τοιῷδε. ἡ πιμελὴ συντήκεται, καὶ γίνεται ὑπὸ τοῦ καύματος τοῦ ἐν τῷ φλέγματι ἐόντος, ὕδωρ. γνώσῃ δὲ τοῦτο, ὅς τις δυνατός ἐστιν ἰῆσθαι, καὶ ὅστις μή. ἕως γὰρ ἄν τις ἐπὶ τῷ ἤτρῳ ἔχῃ πιμελήν, [116] δυνατόν ἐστιν ἰηθῆναι. γνώσῃ δὲ τούτοισι μάλιστα, εἰ ἔνεστι πιμελὴ ἐπὶ τῷ ἤτρῳ, ἢ οὔ. ἢν μὲν πυρετοὶ ἐπιγίνωνται, καὶ μὴ δύνηται ἀνίστασθαι, καὶ ὁ ὀμφαλὸς ἔξω ἐξίσχῃ πεφυσημένος, φάναι μηκέτι ἐνεῖναι πιμελήν, καὶ μὴ ἰήσιμον εἶναι. [117] ἢν δὲ πυρετὸς μὴ ἐπιγίνηται, καὶ δυνατὸς ᾖ ἀνίστασθαι, καὶ ὁ ὀμφαλὸς μὴ ἐξίσχῃ, φάναι ἐνεῖναι πιμελήν, καὶ ἰήσιμον εἶναι. Τούτῳ ξυμφέρει τὴν κοιλίην ξηραίνειν. διδόναι μὲν ἄρτον αὐτοπυρίτην, [118] ἕωλον, θερμόν· ὄψον δὲ, λαγωοῦ κρέας, καὶ κυνὸς τελείου, καὶ οἰός, καὶ ὑὸς ὡς ὀπτά, καὶ ἀλεκτρυόνος ὀπτὰ θερμά, καὶ πολύποδας ἐσθιέτω ἑφθοὺς ἐν οἴνῳ μέλανι αὐστηρῷ· οἶνον δὲ πινέτω μέλανα ὡς παχύτατον καὶ στρυφνότατον. ἰχθύων δὲ χρεέσθω κωβιῷ, δράκοντι, καλλιωνύμῳ, κόκκυγι, σκορπίῳ, καὶ ἄλλοισι τοῖσι τοιούτοισι, πᾶσιν ἑφθοῖσι, ἑώλοισι, καὶ ψυχροῖσιν (ὡς ξηρότατοι γὰρ οὗτοι μάλιστά εἰσι) καὶ ἐς τὸν ζωμὸν μὴ ἐμβαπτέσθω, καὶ ἄνηστοι ἔστωσαν οἱ ἰχθύες. λαχάνων δὲ χρεέσθω ῥαφανίσι καὶ σελίνοισι. ὀπτήσας δὲ φακὴν τῷ ὄξει ἐπωχεστέρην, καὶ ἐσθιέτω, καὶ περιπατεέτω καθ' ἡμέρην, καὶ μετὰ τὸ δεῖπνον, καὶ ὄρθρου, καὶ [119] ὀψὲ εὑδέτω, καὶ πρωῒ ἐξεγειρέσθω. κἢν μὲν ἀπὸ τούτων καθίστηται, ἅλις· ἢν δὲ μή, πῖσαι αὐτὸν κνέωρον, ἢ ἱπποφαέος [120] τοὺς ὀπούς, ἢ κνίδιον κόκκον· καὶ μετὰ τὴν κάθαρσιν, φακῆς δύο ῥυβλία ἐπιρροφεέτω, καὶ ἄρτον μικρὸν καταφαγέτω· οἶνον δὲ πινέτω μέλανα, στρυφνόν, ὀλίγον. Πινέτω δὲ φάρμακον δὶς τῆς ἡμέρης, ἕως ἂν λαπαρὸς γένηται. ἢν δὲ τὸ οἴδημα καθεστήκῃ ἐν τῇ ὀσχῇ, καὶ τοῖσι μηροῖσι, καὶ τῇσι κνήμῃσι, κατάσχαν χρὴ ὀξυτάτῳ μαχαιρίῳ πολλὰ πυκνά. Ταῦτα ἢν ποιέῃς, ταχὺ ὑγιέα ποιήσεις.

CAPVT XXIV.

De hydero pulmonis aut pectoris, à copioso aquæ potu, aut tuberculo, procreato, eiusque signis & curatione.

HYderus. Hydrops autem ex his oritur. Quum æstatis tẽpore siti premente copiosam aquam biberis (quandoquidẽ indè maximè gigni solet) & pulmo expletus fuerit rursũ in pectus dimittit. Quumq; in pectore extiterit, vehemẽtẽ ardorẽ excitat, ita vt pinguedinẽ, quæ in arterijs inest, liquefaciat. At si semel pinguedo multò magis liquefieri cœperit, hydropem breui efficit.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ ὕδερου τοῦ πνεύμονος ἢ τοῦ στήθους, ἀπὸ πολλῆς ὑδροποσίας, ἢ φύματος, καὶ περὶ τῶν αὐτοῦ σημείων καὶ θεραπευτικῶν.

ΥΔερος. Ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται. ὁκόταν θέρεος ὥρῃ διψήσας, ὕδωρ πουλὺ πίῃς (ἐπειδὰν ἐκ τοῦδε γίνεσθαι φιλέει μάλιστα) καὶ ὁ πνεύμων ἐμπλησθῇ, ἀφίησιν αὖθις ἐς τὰ στήθεα· καὶ ὁκόταν ἐν τοῖσι στήθεσι γένηται, καῦμα παρέχει σφόδρα, ὥστε τήκειν τὴν πιμελὴν τὴν ἐπὶ τῇσιν ἀρτηρίῃσιν ἐνεοῦσαν· καὶ ἢν ἅπαξ ἄρξηται τήκεσθαι τὸ στέαρ πουλὺ πλέον, ἐν ὀλίγῳ χρόνῳ τὸν ὕδερον

ἐποίησε. γίνεται δὲ καὶ ἢν φύματα ἐν τῷ πλεύμονι ἐμφυῇ, καὶ πλησθῇ ὕδατος, καὶ ῥαγῇ ἐς τὰ στήθεα. ὡς δὲ γίνεται καὶ ἀπὸ φυμάτων ὕδερος, τόδε μοι μαρτύριον καὶ ἐν βοῒ, καὶ ἐν κυνὶ, καὶ ἐν ὑΐ· μάλιστα γὰρ τῶνδε τετραπόδων ἐν τούτοισι γίνεται φύματα ἐν τῷ πλεύμονι, ἅπερ 121 ἔχουσιν ὕδωρ· διαταμὼν γὰρ, γνοίης τάχιστα, ῥεύσεται γὰρ ὕδωρ. δοκεῖ δὲ καὶ ἐν ἀνθρώπῳ γίνεσθαι τοιαῦτα πολλῷ μᾶλλον ἢ ἐν προβάτοισιν, ὁκόσῳ καὶ τῇ διαίτῃ ἐπινούσῳ χρεόμεθα μᾶλλον· ἐγένοντο δὲ πολλοὶ καὶ ἔμπυοι, φυμάτων ἐγγενομένων. τάδε οὖν κατ' ἀρχὰς τῷ νουσήματι ἐπιγίνεται· βὴξ ξηρὴ, καὶ ὁ φάρυγξ δοκεῖ κέρχειν, καὶ ῥῖγος καὶ πυρετὸς ἐπιγίνεται, καὶ ὀρθοπνοίη, καὶ ὁ χρὼς ἐποιδαλέος, καὶ οἱ πόδες οἰδέουσι, καὶ οἱ ὄνυχες ἕλκονται· καὶ ἕως μὲν ἂν ἐν τῇ ἄνω κοιλίῃ ὁ ὕδερος, ἔστιν ὁ πόνος ὀξύς· 122 ἐπειδὰν δὲ ἐς τὴν κάτω κοιλίην ἔλθῃ, δοκεῖ ῥάων εἶναι, ἔπειτα πάλιν προϊόντος τοῦ χρόνου, οἷάπερ πρόσθεν πιμπλαμένης τῆς κοιλίης. Ἔστι δὲ ὅτε καὶ ἀποιδεῖ πρὸς τὸ πλευρὸν, καὶ δηλοῖ, ᾗ χρὴ τάμνειν· ἢν δὲ μὴ ἀποδηλοῖ, λούσας πολλῷ καὶ θερμῷ, τῶν ὤμων λαβόμενος σείσῃς, εἶτ' ἀκροᾶσθαι ἐν ὁκοτέρῳ ἂν τῶν πλευρέων μᾶλλον κλύζηται· ξυνεὶς δὲ, τάμνειν τὴν πλευρὴν τὴν τρίτην ἀπὸ τῆς νεάτης, μέχρι τοῦ ὀστέου· εἶτα τρυπῆσαι περίῳ τρυπάνῳ 123 τρυγλητηρείῳ· καὶ ὁκόταν τρυπηθῇ, ἀφεῖναι τοῦ ὕδατος ὀλίγον, καὶ ὁκόταν ἀφῇς, μοτῶσαι ὠμολίνῳ, καὶ ἄνωθεν ἐπιθεῖναι σπόγγον μαλθακὸν, εἶτα καταδῆσαι, ὅπως μὴ ἐκπέσῃ ὁ μοτός. ἀφιέναι δὲ χρὴ δυοκαίδεκα ἡμέρας τὸν ὕδρωπα, ἅπαξ τῆς ἡμέρης· μετὰ δὲ τὰς δυοκαίδεκα ἡμέρας, τῇ τρισκαιδεκάτῃ ἅπαν ἀφιέναι τὸ ὕδωρ· καὶ τὸν λοιπὸν χρόνον, ἢν ὑποτείνηται, ὕδατος ἀφιέναι, καὶ τὴν κοιλίην τοῖσι σιτίοισιν ἀποξηραίνειν. Τάδε δὲ δεῖ μετὰ τὴν τμῆσιν διδόναι. σκευάσας ὀποῦ σιλφίου δραχμῆς σταθμὸν, καὶ ἀριστολοχίης κνῆσαι ὁκόσον ἀστράγαλον 124 ἐλάφου, καὶ φακῶν καὶ ὀρόβων πεφρυγμένων ἄλφιτα καθάρας, ὁκόσον ἡμιχοίνικον ἑκατέρων, 125 ξυμφυρῆσαι ταῦτα μέλιτι καὶ ὄξει· εἶτα πλάσαι κόλλικας ἑξήκοντα, καὶ καθ' ἑκάστης ἡμέρης τρίβων ἕνα, διδόναι οἴνου μέλανος ἡμικοτυλίῳ αὐστηρῷ ὡς ἡδίστῳ, εἶτα διδόναι νήστει πιεῖν· τὴν δὲ ἄλλην δίαιταν καὶ ταλαιπωρίην, τὴν αὐτὴν κελεύειν διαιτεῖσθαι, ἣν καὶ τὸν πρόσθεν χρόνον· καὶ ἢν οἰδήσῃ τὰ αἰδοῖα καὶ τοὺς μηροὺς, θαρσέως κατασχᾶν. τοῦτον ἢν οὕτω μετίῃς, τάχιστα 126 ὑγιῆ ποιήσεις.

Gignitur etiam, ubi tubercula in pulmone exorta fuerint, & aquâ repleta in pectus eruperint. Quòd autem etiam à tuberculis oriatur hydrops, mihi argumento sunt boues, canes, & sues. In his enim quadrupedibus maximè pulmonis tubercula oriuntur, quæ aquam continent. Sectione nanque factâ, citissimè cognoueris; nam aqua effluet. Talia autem multò magis etiam in homine, quàm pecoribus, fieri videntur, quantò morbosâ magis etiam victûs ratione vtimur. Plerique verò exortis tuberculis, purulenti etiam extiterunt. Hæc igitur per initia morbo oboriuntur: tussis sicca, & fauces exasperari videntur; & rigor, & febris succedit, & orthopnœa; corpus extuberat, pedes tument, vngues contrahuntur. & quandiu quidem in superiore ventre hyderus extiterit, extat acutus dolor; quum verò ad inferiorem ventrem deuenerit, meliùs habere videtur, deinde progrediente tempore, impleto ventre, eadem quæ prius patitur. Interdùm verò ad latus intumescit, & quâ parte secandum sit, indicat. Quòd si non indicet, multâ calidâ lotum, humeris comprehensum concutito; deinde, quonam latere magis materia fluctuet, auscultato. Hoc intellecto, tertiam ab vltimâ costam ad os vsque secato; deinde terebrâ acutâ vlteriùs perforato; quumque perforata fuerit, aquæ paucum educito; quúmque eduxeris, lino crudo obtura, & mollem spongiam suprà apponito; deinde ne penicillus decidat, deligato. Per duodecim autem dies, semel die aqua educenda; post duodecim verò dies, decimotertio die tota aqua educenda; & reliquo tempore si ab aqua distentio fiat, exhaurienda, venterque cibis siccis resiccandus. Hæc autem post sectionem exhibenda. Succum laseris drachmæ pondere apparatum, & aristolochiæ tali ceruini magnitudine frustulum derasum, & lentium eruique torrefactorum polentam, vtriusque purgatæ chœnicis dimidium, hæc melle & aceto subigito; deinde sexaginta trochiscis formatis, vnum tritum quotidie, vini nigri austeri quam suauissimi heminæ dimidio maceratum, mox ieiuno potui exhibeto. Reliquam verò victûs rationem & excercitationem eandem, quam & priori tempore, habere iubeto. Et si pudenda ac femora intumuerint, audacter scarificato. Hunc si ita curaueris, citissimè sanum reddes.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Περὶ ὕδερου τοῦ τῇ κατὰ τὸ ἧπαρ φλεγμονῇ οἰδηματώδει ἐπιγινομένου, καὶ τῶν αὐτοῦ σημείων, καὶ θεραπευτικῶν, καὶ τῆς χειρουργίας.

Ὕδερος ἀπὸ τοῦ ἥπατος. Ὁ ἀπὸ τοῦ ἥπατος ὕδερος γίνεται, ὁκόταν ἐς τὸ ἧπαρ φλέγμα ἐπιῤῥύηται, καὶ ἀναλάβῃ τὸ ἧπαρ καὶ ὑγρανθῇ. εὐθὺς οὖν καῦμα τούτῳ παρέχει, καὶ φῦσαν ἐμποιεῖ, ἔπειτα δὲ χρόνῳ, ὕδατος πίμπλαται· κἄπειτα δηγμὸς ἐς τὸ σῶμα ἐμπίπτει, καὶ οἴδημα ἐν τῇσι κνήμῃσι καὶ ἐν τοῖσι ποσὶν ἔνεστι· καὶ τὸ ἧπαρ σκληρὸν καὶ οἰδεῖ, καὶ αἱ κληΐδες λεπτύνονται.

CAPVT XXV.

De hydrope iecoris phlegmonæ œdematosæ succedente, eiusque signis, curatione, & chirurgiâ.

HYdrops ab hepate. *Hydrops ab hepate oritur, quum ad hepar pituita accesserit, eamque hepar exceperit; & humectum fuerit. Quamprimùm igitur ardorem huic præbet, & flatum excitat. Deinde verò tempore, aquâ impletur. Posteáque in corpus morsus incidit, in tibijs & pedibus tumor est; hepar durum* redditur *ac tumet, & claviculæ extenuantur.*

Huic

Huic, quum ita habuerit, per morbi exordia, si hepar doluerit, origanum tritum & laseris succum erui quantitate, in vini albi heminâ dimidiâ macerata, potui exhibeto; & lactis caprini poculum quatuor heminarum, tertiâ aquæ mulsæ admixtâ parte. Primis autem decem diebus cibis abstineat. Hi nanque morbum, lethalis sit, necne, dijudicant. Ptisanæ cremorem melle affuso coctum sorbeat. Vinum verò album Mendæum, aut aliud suauissimum aquosum bibat. Quum autem dies decem præterierint, cibos puros assumat, & pro opsonio galli carnes assas calidas habeat; sed habeat catulinas etiam coctas; pisce verò galeo & torpedine assatis vtatur. Vinum autem idem bibat. Ac si quidem ab his remedijs *desierit, satis est. Sin minùs vbi certè ipse crassissimus euaserit, & hepar maximum, fungis inurito. Sic enim citissimè sanum reddideris. Octo autem crustis inurere oportet.*

Τούτῳ ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τοῦ νοσήματος διδόναι ἢν ἀλγέῃ τὸ ἧπαρ, ὀρίγανον τρίβων, ὀπόν τε σιλφίου, ὁκόσον ὄροβον, διεὶς ἐν οἴνῳ λευκῷ, ἡμικοτυλίῳ, πίνειν· καὶ γάλα αἰγὸς, τρίτον μέρος μελικρήτου παραμίσγων, τετρακότυλον κύλικα. σιτίων δὲ ἀπεχέσθω τὰς πρώτας ἡμέρας δέκα· αὗται γὰρ κρίνουσι τὸ νούσημα, εἰ θανάσιμον ἢ οὔ· ῥοφανέτω δὲ πτισάνης χυλὸν καθεφθὸν, μέλι παραχέων· οἶνον δὲ πινέτω λευκὸν Μένδαιον, ἢ ἄλλον τὸν ἥδιστον, ὑδαρέα. ὁκόταν δὲ αἱ δέκα ἡμέραι παρέλθωσι, σιτία προσφερέσθω καθαρά· καὶ [127] ὄψον ἐχέτω, ἀλεκτρυόνος κρέα ὀπτὰ θερμὰ, ἐχέτω δὲ καὶ σκύλακος ἑφθά· ἰχθύϊ δὲ γαλεῷ καὶ νάρκῃ χρεέσθω ὀπτοῖσιν· οἶνον δὲ τὸν αὐτὸν πινέτω. κἢν μὲν ἀπὸ τούτων παύσηται, ἅλις· ἢν δὲ μὴ, ἐπεὶ γοῦν αὐτὸς ἑωυτοῦ παχύτατος ἔῃ, καὶ τὸ ἧπαρ μέγιστον, καῦσαι μύκησιν· οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσαις· καῦσαι δὲ χρὴ ἐσχάρας ὀκτώ.

CAPVT XXVI.

De hydrope ascite ab hepate aquâ in ventrem erumpente, eiusque curatione.

AT si hydrops suboriatur, & in ventrem erumpat, ijsdem medicamentis, & potibus, & cibis, & exercitationibus, quibus priores, curato; vinum verò austerum nigrum bibat. Quòd si ab hepate decedere tibi videatur, vbi apparuerit, ferramento inurito, & aquam paulatim educito, velutque reliquos priores curato. Si verò ex his non conualescat, tempore contabescens moritur. Morbus enim grauis est, & pauci hunc effugiunt.

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

Περὶ τοῦ ἀσκίτου ὕδερου ἀπὸ τοῦ ἥπατος ὕδατος ἐς τὴν κοιλίαν ῥαγέντος, καὶ τῆς τούτου θεραπείας.

ΗΝ δὲ ὁ ὕδερος ἐγγένηται, καὶ ῥαγῇ ἐς τὴν κοιλίην, τοῖσιν αὐτοῖσιν ἰῆσθαι, οἷσι καὶ τὰ πρόσθεν, φαρμάκοισι, καὶ ποτοῖσι, καὶ βρωτοῖσι, καὶ ταλαιπωρίῃσιν· οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. ἢν δέ σοι δοκέῃ ἀφίστασθαι τοῦ ἥπατος, καῦσαι ὅκου φανῇ, σιδηρίῳ, καὶ ἀφιέναι τοῦ ὕδατος κατ' ὀλίγον, καὶ ἰῆσθαι ὡς καὶ τὰ λοιπὰ πρόσθεν. ἢν δὲ μὴ ἀπὸ τούτων ὑγιὴς γένηται, φθινόμενος θνήσκει χρόνῳ· ἡ γὰρ νοῦσος χαλεπὴ, καὶ παῦροι ταύτην διαφυγγάνουσιν.

CAPVT XXVII.

De lienis inflammatione, & huic succedente hydrope, eiusque causis, signis, & curatione.

HYdrops à liene. *At hydrops à liene hoc modo, & ab hac potissimùm causâ oritur; quum quis ficus virides, & poma multa comederit. Plerique verò iam etiam à multo racemorum cibo & musto copioso, in morbum inciderunt. Siquis igitur in morbum collapsurus est, confestim in doloribus iacet. Acuti nanque dolores in liene consistunt, & ad humerum, clauiculam, mammam ac ilia transeunt; & febres vehementes detinent; venterque etiam si parum quid comederit, impletur, lien attollitur, & dolorem præbet. Hic morbus si diuturnus fuerit, reliquo quidem tempore minùs dolet, quum verò pomorum tempus aderit, eáque comederit, magis quàm antea dolet. Hunc ita habentem per exordia curato, veratro supra exhibito, infra verò cneoro, aut hippopais succo, aut grano cnidio, & lacte asinino ad heminas octo, melle affuso. Quòd si quidem ab his restituatur, satis est. Sin minùs, vbi lien maximus fuerit, & maximè intumuerit, capitibus aprehensis, fungis*

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ τῆς τοῦ σπληνὸς φλεγμονῆς, καὶ τοῦ ταύτῃ ἐπιγινομένου ὕδερου, καὶ τῶν αὐτοῦ αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

ΥΔερος ἀπὸ τοῦ σπληνός. Ὁ δὲ ὕδερος ὁ ἀπὸ τοῦ σπληνὸς, γίνεται τρόπον τοιόνδε, καὶ ἀπὸ [128] τῆς τοιαύτης προφάσιος μάλιστα· [129] ὁκόταν φάγῃ σύκων χλωρῶν καὶ μήλων ὀπώρην πολλήν· [130] πολλοὶ δὲ ἤδη καὶ ἀπὸ τροφῆς βοτρύων πολλῶν, καὶ πολλοῦ γλεύκεος, τὴν νοῦσον ἔλαβον. κἢν μὲν οὖν μέλλῃ ἐς τὸ νούσημα ἐμπεσεῖσθαι, παραχρῆμα ἐν τοῖσι πόνοισίν ἐστιν· ὀδύναι τε γὰρ ὀξεῖαι ἐν τῷ σπληνὶ [131] καθεστᾶσι, μεταπίπτουσι δὲ καὶ ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληῗδα, καὶ ἐς τὸν τίτθον, καὶ ἐς τὴν λαγόνα, καὶ πυρετοὶ ἔχουσιν ἰσχυροὶ, καὶ μικρόν τι κἂν φάγῃ, ἡ γαστὴρ πίμπλαται, καὶ ὁ σπλὴν αἴρεται, καὶ ὀδύνην παρέχει. οὗτος ἢν χρονίσῃ τὸ νούσημα, τὸν μὲν ἄλλον χρόνον ἧσσον πονέει, ὁκόταν δὲ ὀπώρη ᾖ καὶ φάγῃ ταύτην, ἀντὶ τοῦ πρόσθεν [132] μᾶλλον πονέει. Τούτῳ, ὁκόταν ὧδε ἔχῃ, κατ' ἀρχὰς μελετᾷν ἄνω μὲν ἐλλέβορον [133] διδοῦναι, κάτω δὲ κνέωρον, ἢ ἱπποφαέος ὀπὸν, ἢ κνίδιον κόκκον, καὶ γάλα ὄνου, ὀκτὼ κοτύλας, μέλι παραχέαν. κἢν μὲν ἀπὸ τουτέων καθίστηται, ἅλις· ἢν δὲ μὴ, ὁκόταν μέγιστος ᾖ ὁ σπλὴν, καὶ οἰδέῃ μάλιστα, καῦσαι μύκησι τὰς κεφαλὰς ἀπολαβὼν, ἢ σι-

σιδηρίοισι μετὰ φυλακῆς πολλῆς, καὶ τηρήσιος, ὅκως μὴ ὑπὲρ τὴν διακαύσῃς. Ταῦτα δὲ κατ' ἀρχὰς ποιέειν τοῦ νοσήματος, καὶ τήνδε τὴν δίαιταν προσφερέσθω, πυρετοῦ μὴ ἔχοντος· ἄρτῳ μὲν χρεέσθω [134] πυρίνῳ ὀπτῷ, ἢ τῶν σκληρῶν πυρῶν, διπυρίτῃ· ὄψον δὲ ἐχέτω, τάριχος Γαδειρικὸν, ἢ σαπέρδην, καὶ κρέας τετριμμένον οἰὸς, καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα ἐσθιέτω· καὶ πινέτω οἶνον αὐστηρὸν Κῷον μελάντατον· τῶν δὲ γλυκέων ἀπεχέσθω. ἢν δὲ ἐξανίσταται [135] καὶ δύνηται, παλαιέτω ἐπ' ἄκρων τῶν ὤμων, καὶ ταλαιπωρεέτω περιόδοισι [136] πολλοῖς δι' ἡμέρης, καὶ σιτεέσθω [136] ἅπερ εἴρηται. ἢν δὲ ὕδερος γένηται, ἰῆσθαι κατὰ ταὐτὰ καὶ τοῖσιν αὐτοῖσιν, οἷς καὶ τοὺς πρόσθεν.

inurito, aut ferramentis, cum multa cautione, & obseruatione, ne vlteriùs peruras. Hæc per morbi exordia facito, istámque victûs rationem adhibeto; si febris non detineat; pane quidem vtatur triticeo tosto, aut ex duro tritico, bis cocto. Opsonium salsamentum Gaditanum, aut saperdam habeat, & carnem ouillam tritam, acida & salsa omnia comedat; vinúmque austerum Coum quàm nigerrimum bibat. Dulcibus verò abstineat. Quòd si exurgat validusque sit, summis humeris luctetur, & interdiu multis circuitibus exerceatur, ac ea quæ dicta sunt, in cibum sumat. Quòd si procreetur hydrops, per eadem & iisdem, quibus etiam priores, curato.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ ὕδερου τοῦ ἀπὸ τῆς ὁδοιπορείας τε καὶ τοῦ ὕδατος στασίμου πόματος γενομένου, καὶ τῶν τούτου σημείων καὶ θεραπευτικῶν.

ΚΑθολικὸς ὕδερος. Ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται. θέρεος ὥρῃ, ἢν ὁδοιπορέων ὁδὸν μακρὴν, ἐπιτύχῃ ὀμβρείῳ ὕδατι καὶ στασίμῳ, καὶ πίῃ αὐτοῦ [138] ἐπισπάδην, πολλόν· ἢν οὖν αἱ σάρκες ἀναπίωσι καὶ ἐμίσχωσιν ἐν ἑωυτῇσι τὸ ὕδωρ, ὑποχώρησις δὲ μὴ γένηται μηδαμῇ, τάδε πάσχει. ἢν μὲν ἡ ἐν τῇ σαρκὶ, καῦμα παρέχει ἔντε τῇ κοιλίῃ καὶ ἐν τῷ σώματι, ὥστε τὸ στέαρ τὸ ἐπιὸν τῇ κοιλίῃ, τήκεται. ἔπειτα τέως μὲν ἢν βαδίζῃ, οὐδὲν δοκέει κακὸν ἔχειν· ὁκόταν δὲ παύσηται βαδίζων, καὶ ὁ ἥλιος δύνῃ, παραχρῆμα τὸν πόνον παρέχει πουλύν. περιϊούσης δὲ τῆς νούσου, λεπτύνεται σφόδρα· ἢν δὲ καὶ ἀσιτίη ἐπιγένηται, πολλῷ πλέον λεπτύνεται. ἢν δὲ τὰ σιτία μὲν ἐσθίειν [139] δύνηται, ταλαιπωρέειν δὲ [140] ἀδυνάτως ἔχῃ καὶ ἐπὶ πλέον σίνηται, τοῖσι πολλοῖσι τουτέων καὶ οἴδημα καθίσταται ἐς ὅλον τὸ σῶμα. καὶ τῷ μὲν λεπτῷ, ἡ χροιὴ πελίη γὰρ, καὶ ἡ γαστὴρ μεγάλη, καὶ δίψα ἔχει ἰσχυρὴ, καὶ τὰ σπλάγχνα αὐτέου ξηραίνεται ὑπὸ τῆς θέρμης· τοῦ δὲ χρόνου περιϊόντος, ἐς μὲν τὸ ἐσθίειν πρόθυμος ἐὴ, καὶ ἐσθίει ὅ τι περ αὐτὶς διδῷη, καὶ πίνει, καὶ ἀλγέει οὐδέν. ἢν δὲ τὸ οἴδημα κατέχῃ, ἡ χροιὴ γὰρ τουτέῳ ὠχρὴ, καὶ διὰ τοῦ σώματος φλέβες διατέτανται μέλαιναι πυκναὶ, θυμαίνει δὲ καὶ λυπέεται ἐπὶ παντὶ, οὐδενὸς νεωτέρου ἐόντος· ἡ δὲ γαστὴρ [141] δίϋδρος καὶ μεγάλη, ὥσπερ [141] λαμπτὴρ, καὶ τοῦ χρόνου περιϊόντος τὰ σιτία οὐ προσίεται, ἀλλὰ δοκέει αὐτὰ ὄζειν σικύου ἀγρίου ὑπὸ τῆς βδελυρίης. Τούτῳ, ὁκόταν οὕτως ἔχῃ, διδόναι τοῦ κνεώρου, ἢ τοῦ ἱπποφαέως τὸν ὀπὸν, ἢ τὸν κνίδιον κόκκον· ταῦτα δὲ τὰ φάρμακα, οὕτω διδόναι χρή· τὸ μὲν κνέωρον δι' ἕκτης ἡμέρης, τὸν δὲ τοῦ ἱπποφαέως ὀπὸν δι' ὀγδόης, τὸν δὲ κνίδιον κόκκον διὰ δεκάτης ἡμέρης· διδόναι δὲ αὐτὰ χρὴ, ἕως ἂν ἐκκαθαρθῇ, καὶ λαπαρὸς γένηται. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, σιτέεσθαι τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸ πρόσθεν· μάλιστα δὲ τοῦ ὕδατος τοῦ αὐτοῦ πίνειν διδόναι ὑπὸ τοῦ καὶ τὸ νούσημα ἔλαβεν, ὡς πλεῖστον, ὅκως ταράξῃ αὐτέου τὴν κοιλίην καὶ ὑποχωρήσῃ σφόδρα· οὕτως γὰρ μάλιστα ὑγιέα ποιήσεις. ἢν δέ τοι δοκέῃ καὶ

CAPVT XXVIII.

De hydrope vniuersali ab itinere, & aquæ statariæ potu orto, eiusque signis ac curatione.

HYderus vniuersalis. *Hic hyderus ab his oritur. Quum quis per æstatis tempus ex longo viæ itinere in aquam pluuiam & statariam inciderit, eámque auide copiosam biberit. Si igitur carnes aquam ebiberint & in se continuerint, nusquam autem secessus fiat, hæc contingunt. Si sanè in carne fuerit, ardorem ventri & corpori exhibet, proindéque pinguedo ventrem ambiens colliquescit. Hic interea sanè si incedat, nihil mali habere videtur; quum autem ab incessu cessarit, solque occiderit, confestim multum laborem exhibet. Progrediente verò morbo, admodum extenuatur; sique etiam cibi inappetentia succedat, multò magis extenuatur. Quòd si cibos quidem edere possit, exerceri autem nequeat, ampliùs etiam lædatur, horum plerique tumor etiam toto corpore excitatur. Et extenuato quidem color liuidus fit, & venter magnus, sitis vehemens detinet, eiusque viscera præ calore febrili resiccantur. Temporis verò progressu ad edendum quidem promptus existit, & quicquid quis exhibuerit, comedit, & bibit, nihilque dolet. Quòd si œdema detineat, ei color pallidus existit, venæque nigræ crebræ per corpus distenduntur; ex re quauis irascitur & tristitiâ afficitur, quanuis noui nihil accedat; venter autem perhumidus & magnus, ac pellucet velut laterna; procedentéque tempore cibos non admittit, sed videntur ipsi cucumerem agrestem olere præ fastidio. Huic, quum sic habuerit, cneori, aut hippophais succum, aut granum cnidium exhibeto. Hæc verò medicamenta sic exhibere oportet. Cneorum quidem sexto die, hippophais verò succum octauo, & granum cnidium decimo. Eaque dare oportet, quoad expurgetur & vacuatione mollis sit. Intermediis verò diebus eadem, quæ prior, in cibo sumat. Potissimùm verò eius aquæ, ex qua morbus corripuit, quamplurimùm propinato, quò eius ventrem turbet, & multùm deiiciat. Sic enim maximè sanum facies. Quòd si tibi videatur crebrò etiam*

clystere

clystere opus esse, ex cneoro trito ad dimidiam heminam, mellis tertiâ heminæ parte admixtâ, & betæ succo ad quartam heminæ partem diluto, deinde sic clystere subluito; & lactis asinini cocti postero die affuso melle octo heminas exhibeto, aut iniecto sale propinato. Post purgationem iisdem, quibus etiam prior, utatur; eodemque modò deambulationibus. Sic curatus, breui hoc morbo liberabitur, intra tertium aut sextum mensem. Quòd si negligentia aliqua contigerit, neque ex tempore curatus fuerit, citò moritur. Extenuatus quoque iisdem ad curationem uti debet. Priùs autem eius corpus fomentis præhumectare oportet, quò magis medicamentis obsequatur. Verùm cito curatio adhibenda; sin minùs, plerisque morbus consenescit. Ex his autem clysteres parandi sunt, utricunque morborum mederi *volueris. Accipe vini albi heminas duas, mellis heminam dimidiam, olei heminam dimidiam, nitri Ægyptij torrefacti quadrantem; & succi foliorum cucumeris agrestis tusorum & expressorum heminam. His omnibus mixtis, in ollulam quandam infusis & feruefactis, sic per infusum subluito.*

A κλύζειν θαμινά, τοῦ κνεώρου τρίψας, ἥμισύ τε ποιήσας, μέλιτος παραμίξας τρίτον μέρος κοτύλης, διῆσαι, καὶ τευτλίου [143] τέταρτον κοτύλης, ἔπειθ' οὕτω κλύζειν· καὶ ὀνείου γάλακτος ἑφθοῦ τῇ ὑστεραίῃ δοῦναι ὀκτὼ κοτύλας μέλι παραχέων, ἢ ἅλας παραβαλών, πίνειν. καὶ μετὰ τὴν κάθαρσιν, τοῖσιν αὐτοῖσι χρεέσθω, οἷσι καὶ ὁ πρόσθεν· καὶ τὰς μεταξὺ τῶν ἡμερέων, σιτίοισι καὶ ποτοῖσι τοῖσιν αὐτοῖσι χρεέσθω, καὶ τοῖσι περιπάτοισιν ὁμοίως. [144] Οὕτω θεραπευόμενος, ἐν τάχει τῆς νούσου ἀπαλλαγήσεται, B τρίμηνος ἢ ἑξάμηνος· ἢν δὲ ἀμελείη τις ἐγγένηται, καὶ μὴ παραχρῆμα μελετηθῇ, ἐν τάχει ἀποθνήσκει. καὶ τὸν καταλεπτυνόμενον τοῖσιν αὐτοῖσι χρῆσθαι πρὸς ἴησιν· προϋγρῆναι δὲ χρὴ πρότερον αὐτοῦ τὸ σῶμα πυριήσαντα, ὅκως [145] ἂν μᾶλλον τῶν φαρμάκων ὑπακούῃ. ἀλλὰ χρὴ παραχρῆμα μελετᾶν· ἢν δὲ μή, τοῖσι πολλοῖσι ξυγγηράσκει ἡ νοῦσος. κλύζειν δὲ χρὴ καὶ τοῖσδε, ὁκοτέρην ἂν βούλῃ τῶν νούσων. οἴνου λευκοῦ δύο κοτύλας λαβών, καὶ μέλιτος ἡμικοτύλιον, καὶ C ἐλαίου ἡμικοτύλιον, νίτρου τεταρτημόριον Αἰγυπτίου [146] ὀπτοῦ, σικύου ἀγρίου τῶν φύλλων, κόψας καὶ ἐκπιέσας, τοῦ χυλοῦ κοτύλην· ταῦτα μίξας πάντα, ἔς τι χυτρίδιον ἐγχέαι, καὶ ἐπιζέσας οὕτω κλύζειν.

CAPVT XXIX.

De morbo hepatico ab atra bile, seu de hepatis inflammatione scirrhosa, eiusque causis, signis, & curatione.

MOrbus hepaticus. *Hic morbus oritur ab atra bile, quum ad hepar confluxerit. Adoritur autem potissimùm autumno, in anni mutationibus. His igitur afficitur æger. Dolor ipsi acutus ad hepar irruit; & sub postremas costas, & ad humerum, & ad iugulum, & sub mammam, vehemensque suffocatio detinet. Interdùm etiam bilem liuidam euomit; & rigor, & febris primis diebus imbecillior tenet; dum tangitur, hepar dolet, illius color est subliuidus; eúmque cibi, quos antea comedebat, strangulant, & in ventrem irruentes incendunt & tormina excitant. Hæc quidem per exordia patitur. At procedente morbo, tum febres remittunt, tum à paucis cibis impletur. In hepate verò solus dolor relinquitur; isque interdum quidem vehemens, interdum minor & interquiescens. Quandoque verò acutus inuadit; ac sæpe derepente æger animam efflauit. Huic confert, quum dolor detinet, tum alia, tum sanè fomenta eadem quæ pleuritidi, admouere. Quum autem dolor remiserit, ipsum multâ calidâ lauato, & aquam mulsam & vinum album dulce, aut austerum, utruncunque conduxerit, propinato, easdémque sorbitiones quas pleuritide correpto. Ad dolorem autem hæc potui exhibenda. Oui gallinacei cocti liquorem tritum, succi solani heminæ dimidium, tum aquæ mulsæ semiheminæ dimidium, hæc commixta potui exhibeto, & dolorem sedabunt. Quotidie autem exhibenda, quoad cessauerit dolor. Laseris etiam succum*

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Περὶ τῆς ἡπατίτιδος τῆς ἀπὸ χολῆς μελαίνης, ἢ περὶ φλεγμονῆς τοῦ ἥπατος σκιρρώδους, καὶ τῶν ταύτης αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

D ΝΟσος ἡπατῖτις. Ἡ δὲ νοῦσος γίνεται ἀπὸ χολῆς μελαίνης, ὁκόταν ἐπιῤῥυῇ ἐς τὸ ἧπαρ· προσπίπτει δὲ μάλιστα μετοπώρου, ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ. τάδε οὖν πάσχει. ἐς τὸ ἧπαρ ὀδύνη ὀξείη ἐμπίπτει αὐτῷ, καὶ ὑπὸ τὰς νεάτας πλευράς, καὶ ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληῗδα, καὶ ὑπὸ τὸν τιτθόν, καὶ πνῖξ ἔχει ἰσχυρή· καὶ ἐνίοτε ἀπεμεῖ πελιδνὴν χολήν· καὶ ῥῖγος, καὶ πυρετὸς τὰς πρώτας ἡμέρας βληχρότερος ἔχει, καὶ ψαυόμενος ἀλγέει τὸ ἧπαρ, καὶ ἡ χροιὴ ὑπόπελιδνος αὐτέου· καὶ τὰ σιτία ἃ πρόσθεν [146] ἐβεβρώκει, πνίγει αὐτόν, καὶ προσπίπτοντα E καίει, καὶ στρέφει τὴν κοιλίην. ταῦτα μὲν πάσχει κατ' ἀρχάς· τῆς δὲ νούσου προϊούσης, οἵ τε πυρετοὶ ἀφιᾶσι, καὶ ἀπ' ὀλίγων σιτίων πίμπλαται, [147] ἐν δὲ τῷ ἥπατι ἡ ὀδύνη μούνη λείπεται, καὶ αὐτὴ ποτὲ μὲν ἰσχυρή, ποτὲ [148] δὲ ἥσσων διαπαύουσα· ἐνίοτε δὲ ὀξείη λαμβάνει, καὶ πολλάκις ἐξαπίνης ἀφῆκε τὴν ψυχήν. Τούτῳ ξυμφέρει, ὁκόταν μὲν ἡ ὀδύνη ἔχῃ, τά τε ἄλλα καὶ μὴν καὶ τὰ χλιάσματα προστιθέναι ταὐτά, ἃ καὶ τῇ πλευρίτιδι· ὁκόταν δὲ ἀνῇ ὁ πόνος, λούειν αὐτὸν πολλῷ καὶ F θερμῷ, μελίκρητόν τε διδόναι πίνειν, καὶ οἶνον λευκὸν γλυκὺν ἢ αὐστηρόν, ὁκότερον ἂν ξυμφέρῃ, καὶ ῥοφήματα ταὐτά, ἃ καὶ τῷ ὑπὸ πλευρίτιδος ἑαλωκότι. Ὑπὲρ δὲ τῆς ὀδύνης τάδε χρὴ διδόναι πίνειν· ἀλεκτορίδος ᾠοῦ ἑφθοῦ [149] τὸ ὑγρὸν τρίψας, παραχέας τε στρύχνου χυλοῦ [150] ἡμικοτύλιον, καὶ μελίκρητον ἐν ὕδατι πεποιημένον, ἥμισυ ἡμικοτύλιον, τούτοισι διείς, διδόναι πίνειν, καὶ παύσει τὴν ὀδύνην· διδόναι δὲ καὶ ἑκάστης ἡμέρης, ἕως ἂν ἡ ὀδύνη παύσηται. πινέτω δὲ καὶ σιλφίου ὀπόν, ὁκόσον

ὄροβον, καὶ ὀρίγανον τρίβων διδόναι οἴνῳ λευκῷ, καὶ οὕτως πίνειν νῆστις· ἐπιπινέτω δὲ καὶ τὰ ἐν τῇ πλευρίτιδι διδόμενα φάρμακα εἵνεκα τῆς ὀδύνης· πινέτω δὲ καὶ γάλα αἰγὸς, τρίτον μέρος μέλιτος παραμίσγων, τοῦ δὲ γάλακτος ἔστωσαν τέσσαρες κοτύλαι· τοῦτο ἕωθεν πινέτω, ὁκόταν τἄλλα μὴ πίνῃ· σιτίων δὲ ἀπεχέσθω, ἕως ἂν κριθῇ ἡ νοῦσος· κρίνεται δὲ μάλιστα ἐν ἑπτὰ ἡμέρῃσι, ταύτῃσι γὰρ δηλοῦται, εἰ θανάσιμος, ἢ οὔ. ἢν δὲ καὶ πνίγμα [151] προσίστηται, τάδε χρὴ διδόναι, ὅκως ἂν ἀπεμέσῃ· μέλι καὶ ὕδωρ, ὄξος, ἅλας· ταῦτα μίξας ἐγχέαι ἐς χυτρίδιον καινὸν, εἶτα χλιαίνειν, καὶ ταράσσειν ὀριγάνου κλωνίοισι τῆς κεφαλοειδέος ξὺν τῷ καρπῷ, ὁκόταν δὲ χλιανθῇ, ἐκπιεῖν διδόναι χλιαρόν· εἶτα περιβαλὼν ἱμάτια, ἐὰν περιστείλας, ἕως ἂν ἱδρώσῃ μάλιστα. καὶ ὁκόταν ἔμετος αὐτὸν ἔχῃ, ἐμεέτω προθύμως, καταματτευόμενος πτερῷ· ἢν δὲ μὴ δύνηται ἐμέσαι, ἐπιπιὼν μελικρήτου χλιαροῦ κύλικα δικότυλον, οὕτως ἐμεέτω· καὶ ἢν τι ἀπεμέσῃ χολῆς ἢ φλέγματος, αὖθις τὸ αὐτὸ χρὴ ποιέειν ἐπὶ τέσσαρας ὥρας, ὠφελήσει γάρ. μετὰ δὲ τῆς νούσου τὴν κρίσιν, μεγετὴν, σιτία ὀλίγα διδοὺς καθαρά· κἢν μὲν ἄρτον φιλέῃ ἐσθίειν, ἄρτον θερμὸν ὡς μάλιστα καθαρὸν ἐσθιέτω· ἢν δὲ μάζην, ἄπτιστον ἐσθιέτω, πρότερον προφυρήσας. ὄψον δὲ ἐχέτω, κρέα σκυλακίου ἑφθὰ, ἢ πελειάδος, ἢ ἀλεκτορίδος νεοσσοῦ, ἑφθοῖσι πᾶσιν· ἰχθύων δὲ, γαλεῷ, νάρκῃ, τρυγόνι τε, καὶ βατίσι τῇσι μικρῇσι, πᾶσι ἑφθοῖσι. λουέσθω δὲ καὶ ἡμέρης ἑκάστης, καὶ τὸ ψῦχος φυλασσέσθω, καὶ περιπατεέτω ὀλίγα, τέως ἂν ἀσφαλείῃ ᾖ. ταῦτα δὴ ἢν φυλάσσηται, οὐχ ὑποτροπιάσαι τὴν νοῦσον δέος πάλιν· καὶ γὰρ ἡ τοιαύτη νοῦσος, χαλεπή ἐστιν καὶ χρονίη.

orobi quantitate; & origanum tritũ vino albo dilutum, eodem modo ieiunus bibat. Medicamenta verò etiam, quæ in pleuritide doloris gratiâ exhibentur, superbibat. Sed & lac caprinum, tertiâ mellis parte admixtâ, bibat; sint autem lactis heminæ quatuor. Hoc manè bibat, quum alia non biberit. A cibis autem abstineat, quoad morbus iudicatus fuerit; iudicatur verò maximè diebus septem. In his enim lethalis sit, necne, manifestè deprehenditur. Quòd si etiam strangulatus urgeat, hæc uti reuomat, exhibere oportet; mel, aquam, acetum & sales; hæc mixta in ollulam nouam affusa, postea tepefacta, & origani capitati ramulis cum semine agitata, tepida ebibenda dato. Deinde vestibus obuolutum, donec maximè exudet, finito; quúmque vomitus prehenderit, leui pennâ proritatus alacriter vomat. At si vomere nequeat, aquæ mulsæ tepidæ duarum heminarum poculo insuper epoto, sic vomat. Et siquid bilis aut pituitæ euomuerit, rursus idem post horas quatuor faciendum; proferit nanque. Post morbi autem iudicationem, paucis cibis puris exhibitis curato. Et si quidem panem edere consueuerit, panem calidum & quàm maximè purum edat. Si verò mazam, vino dulci *non subactam comedat, antea tamen sapâ subactam. Pro opsonio carnes catelli elixas habeat, aut columbi, aut pulli gallinacei, ijsque omnibus elixis vtatur. Piscibus verò, galeo, torpedine, pastinacâ, & paruulis batidibus, omnibus elixis. Lauet autem singulis diebus, frigus vitet, & parùm obambulet, quoad in tuto sit. Hæc sanè si obseruentur, haud metus est, rursus morbum reuerti. Huiusmodi enim morbus molestus est ac diuturnus.*

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Περὶ τῆς ἡπατίτιδος νόσου, ἢ τοῦ ἥπατος ἐρυσιπέλατος, ἢ φλεγμονῆς ἐρυσιπελατώδους, καὶ τῶν ταύτης αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

CAPVT XXX.

De hepatico morbo, seu hepatis erysipelate, aut phlegmone erysipelatosâ, eiusque caussis, signis, & curatione.

Ἄλλη ἡπατῖτις. Αἱ μὲν ὀδύναι πιέζουσι κατὰ ταὐτὰ ἐς τὸ ἧπαρ· καὶ ἡ χροιὴ διαφέρει τῆς πρόσθεν, σιδηρώδης γάρ ἐστιν. ἐν δὲ τῷ καιρῷ τοῦ θέρεος μάλιστα ἡ νοῦσος ἐμπίπτει· [152] γίνεται δὲ ἀπὸ κρεωφαγίης βοείων κρεῶν, καὶ ἐξ οἰνοφλυγίης· ταῦτα γὰρ πάντα τῇ τοιαύτῃ τοῦ ἔτεος ὥρῃ, πολεμιώτατά ἐστι ἥπατι, καὶ χολὴν μάλιστα προσιστᾶσι πρὸς τὸ ἧπαρ. Τάδε οὖν πάσχει. ὀδύναι ὀξεῖαι ἐπιπίπτουσι, καὶ οὐκ ἐκλείπουσιν οὐδεμίην ὥρην, ἀλλ' αἰεὶ μᾶλλον πιέζουσιν. ἔστι δ' ὅτε καὶ ἐμέει χολὴν ὠχρήν· καὶ ὁκόταν ἐμέσῃ, ἐπ' ὀλίγον δοκέει ῥάων εἶναι. ἢν δὲ μὴ ἀπεμέσῃ, ἐς τοὺς ὀφθαλμοὺς ἡ χολὴ καθίσταται, καὶ ὠχροὶ γίνονται σφόδρα, καὶ οἱ πόδες οἰδέουσι. ταῦτα πάσχει, ποτὲ μὲν σφόδρα, ποτὲ δὲ ἧσσον· ὁκόταν δὲ αἱ ἡμέραι παρέλθωσιν, ἐν ᾗσι κρίνεται τὸ νούσημα, ὅ, τε πόνος ἐλαττόνως ἔχῃ, ἢν ἀναμάρτητος ᾖ, διαιτεῖν χρὴ τοιαύτῃ διαίτῃ, ᾗ καὶ πρόσθεν· ἢν γὰρ μεθυσθῇ παρὰ καιρὸν, ἢ λαγνεύσῃ, ἢ ἄλλο τι ποιήσῃ μὴ ἐπιτήδειον, τὸ ἧπαρ παραχρῆμα γίνεται σκληρὸν αὐτέῳ, καὶ οἰδέει, καὶ σφύζει ὑπὸ τῆς ὀδύνης, καὶ ἤν τι σπεύσῃ, πονέει ἐξαπίνης

Alius hepaticus morbus. *Dolores quidem eodem modo ad hepar vrgent; & color à priore differt, malicorio nanque est similis. Oritur autẽ potissimùm morbus æstatis tẽpore. Oritur verò à carnis bubulæ esu, & ebrietate. Hæc enim omnia isto anni tẽpore iecori sunt inimicissima, & bilem maximè ad hepar astruunt. His igitur afficitur. Dolores acuti ingruunt, neque horâ vllâ deserunt, sed semper magis vrgent. Interdũ etiam bilem pallidã vomit; & ubi vomuerit, paulò meliusculè habere videtur. Quòd si non euomuerit, bilis ad oculos decumbit, & admodum pallidi fiunt, pedesque tument. Hæc interdum quidem vehementer, interdũ verò leuiùs patitur. Quum autem dies præterierint, in quibus morbus iudicatur, si nihil deliquerit, dolor minùs detinet, eandẽ quam priùs, victûs rationẽ instituere oportet. Nam si intẽpestiuè inebriatus fuerit, aut venere usus fuerit, aut quid aliud minimè commodũ fecerit, ipsi confestim hepar durum euadit, & tumet, & præ dolore pulsat, ac siquâ in re festinarit, derepentè hepar totumque*

totumque corpus dolet. Huic, quum sic habuerit, primique dies praeterierint, fomentum admoueto; deinde scammonio subpurgato. Quòd si venter incensus fuerit, dystere proluendus qui probè ducat, ex iisdem quibus & in prioribus usus es. Ac post clysterem lacte asinino cocto subpurgato ad heminas octo, melle autem affuso propina. Lactis etiam caprini poculum quatuor heminarum mensurâ, aquae mulsae triente commixto, manè exhibeto. Lactis quoque caprini cocti heminas duas dato, aquae mulsae tertiâ parte admixtâ, aut solo melle affuso. Lac etiam equinum eodem, quo asininum, modo exhibeto. Quòd si his curatus morbus cessverit, satis est. Sin minùs, internam dextri cubiti venam secato, & sanguinem emittito. Si verò tibi non videatur venasecanda, *lacte asinino aut bubulo purgandus est; ac lactis bubuli crudi heminas duas, tertiâ mulsae parte admixtâ, singulis diebus ad dies decem exhibeto; deinde diis duodecim diebus, aquae mulsae sextante affuso, potui exhibeto. De caetero verò, lac ipsum ad duas heminas, donec pinguior euaserit, exhibendum. At si neque sic sedetur, quum hepar maximum fuerit, maximéque prominuerit, inurere oportet. Vre autem buxeis fusis oleo feruente intinctis, eosque donec rectè habuerit, ustioque perfecta fuerit, admoueto. Aut fungis octo crustas inurito. Si enim ustio successerit, sanum reddes, ac reliquo tempore faciliùs deget. At si ustio minimè successerit, de caetero per alia remedia non conualescens, contabescit & moritur.*

A τὸ ἧπαρ καὶ τὸ σῶμα ἅπαν. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ καὶ αἱ πρῶται ἡμέραι παρέλθωσι, πυριῆσαι· εἶτα ὑποκαθῆραι τῷ σκαμμωνίῳ. ἢν δὲ ἡ κοιλίη ξυγκεκαυμένη ᾖ, κλύσαι[153] ἐν τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τοὺς πρόσθεν, ὅ,τι ἄξει καλῶς· καὶ μετὰ τὸν κλυσμὸν, ὀνείῳ γάλακτι ἑφθῷ ὑποκαθῆραι, ὀκτὼ κοτύλῃσι· μέλι δὲ παραχέων, διδόναι πίνειν. διδόναι δὲ καὶ τὸ αἴγειον γάλα, τρίτον μέρος μελικρήτου παραμίσγων τὸ ἑωθινὸν, τετρακότυλον κύλικα· διδόναι δὲ καὶ ἑφθοῦ τοῦ αἰγείου δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων, ἢ αὐτὸ μόνον μέλι παραχέων· διδόναι δὲ καὶ τὸ ἵππειον γάλα τὸν αὐτὸν τρόπον τῷ ὀνείῳ. κἢν μὲν ὑπὸ τούτων μετωμένη ἡ νοῦσος ἐξέλθῃ, ἅλις· ἢν δὲ μὴ, τάμνειν τὴν τοῦ δεξιοῦ ἀγκῶνος τὴν εἴσω φλέβα, καὶ ἀφιέναι τοῦ αἵματος. ἢν δέ σοι μὴ δοκέῃ, ὀνείῳ γάλακτι ὑποκαθῆραι[154] ἢ βοείῳ, καὶ γάλακτος ὠμοῦ διδόναι δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων ἑκάστης ἡμέρης, ἐπὶ ἡμέρας δέκα· εἶτα ἄλλας δώδεκα, ἕκτον μέρος τοῦ μελικρήτου παραχέων, πίνειν διδόναι· τὸ δὲ γάλα αὐτὸ τὸ λοιπὸν διδόναι, ἕως ἂν ἀναπιανθῇ, δύο κοτύλας. ἢν δὲ μηδὲ οὕτω C παύηται, καῦσαι χρὴ, ὁκόταν μέγιστον τὸ ἧπαρ γένηται, καὶ ἐξεστήκῃ μάλιστα·[155] καῦσαι δὲ ἐν πυξίνοισιν ἀτράκτοισι, βάπτων ἐς ἔλαιον ζέον, προστιθέναι δὲ ἕως ἄν σοι δοκέῃ καλῶς ἔχειν, καὶ κεκαῦσθαι· ἢ μύκησιν ὀκτὼ ἐσχάρας καῦσαι. ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις, καὶ τὸν λοιπὸν χρόνον ῥᾷον διάξει· ἢν δὲ μὴ τύχῃ καυθεὶς, ὑπὸ τῶν ἄλλων λοιπὸν ὑγιὴς μὴ γινόμενος, φθειρόμενος ἀποθνήσκει.

CAPVT XXXI.

De tertia hepatitide ex bilis translatione ab hepate ad cerebrum, eiusque signis, & curatione.

A Lia hepatitis. *Caetera quidem multitudine eadem, quae prioribus, contingunt, color verò niger est. Bilis autem hepatis, pituitâ & sanguine referta, velut ratiocinamur, erumpit; quumque eruperit, citissimè insanit, indignatur, & stulta loquitur, & ut canis latrat; huius ungues puniceo sunt colore; oculis cernere non potest; pili capitis erecti stant; & febris acuta inuadit. Huic eadem, quae prioribus, adhibere oportet; plerique verò intra undecim dies moriuntur, paucique euadunt.*

ΚΕΦΑΛΑΙΟΝ ΛΑ΄.

D Περὶ τῆς τρίτης ἡπατίτιδος ἐκ χολῆς ἀπὸ τοῦ ἥπατος ἐς τὸν ἐγκέφαλον μεταστάσεως, καὶ τῶν αὐτῆς σημείων καὶ τῶν θεραπευτικῶν.

Ἡπατῖτις ἄλλη. Τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει τῇσι πρόσθεν· ἡ δὲ χροιὴ μέλαινα. τοῦ δὲ ἥπατος ἡ χολὴ, φλέγματος καὶ αἵματος πλησθεῖσα, ὡς λογιζόμεθα, διαρρήγνυται· καὶ ὁκόταν[156] διαρραγῇ, τάχιστα μαίνεται, καὶ ἀγανακτεῖ, καὶ διαλέγεται ἀσύνετα, καὶ ὑλακτεῖ ὡς κύων, καὶ οἱ ὄνυχες φοινίκεοί εἰσιν αὐτοῦ· καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύναται E ὁρῆν, καὶ τρίχες αἱ ἐν τῇ κεφαλῇ ὀρθαὶ ἵστανται, καὶ πυρετὸς ὀξὺς ἐπιλαμβάνει. Τούτῳ χρὴ προσφέρειν τὰ αὐτὰ, ἃ καὶ τοῖσι πρόσθεν· οἱ δὲ πολλοὶ ἀποθνήσκουσιν ἐν τῇσιν ἕνδεκα ἡμέρῃσι, παῦροι δὲ διαφυγγάνουσιν.

CAPVT XXXII.

De primo lienis morbo, seu lienis intemperie calidâ cum bile, aut phlegmone erysipelatosâ; eiusque symptomatis, signis, & curatione.

L Ienis morbus primus. *Gignitur autem eiusmodi morbus, bile solis calore commotâ, quum bilem ad se lien traxerit. Haec igitur patitur. Febris acuta per initia succedit; progrediente verò morbo remittit, praeterquam circa lienem ipsum; semper autem hic calor afficit, dolorque acutus per interual-*

ΚΕΦΑΛΑΙΟΝ ΛΒ΄.

Περὶ τῆς πρώτης τοῦ σπληνὸς νόσου, ἢ περὶ τῆς τοῦ σπληνὸς δυσκρασίας θερμῆς μετὰ χολῆς, ἢ περὶ φλεγμονῆς ἐρυσιπελατώδους· καὶ τῶν αὐτῆς συμπτωμάτων, καὶ σημείων, καὶ θεραπευτικῶν.

F Σπληνὸς νοῦσος πρώτη. Γίνεται δὲ ἡ τοιαύτη νοῦσος, διὰ θερμασίην τοῦ ἡλίου χολῆς κινηθείσης, ὁκόταν ἑλκύσῃ ἐφ᾽ ἑωυτὸν χολὴν ὁ σπλήν. τάδε οὖν πάσχει. πυρετὸς ὀξὺς ἐπιγίνεται κατ᾽ ἀρχάς· προϊούσης δὲ τῆς νούσου ἀφίησι, πλὴν κατ᾽ αὐτὸν τὸν σπλῆνα· ταύτῃ δὲ αἰεὶ θέρμην ἔχει, καὶ ὀδύνη ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτει

ὀξεῖν, καὶ ἐς τὴν λαπάρην, καὶ ἐς τὴν κοιλίην. τὰ δὲ σιτία κατ' ἀρχὰς [157] προσίεται μὲν, διαχωρέει δὲ οὐ μάλα. προϊούσης δὲ τῆς νούσου, ἥ τε χροιὴ ὠχρὴ γίνεται, καὶ ὀδύνη ἰσχυρὴ ἐμπίπτει, καὶ αἱ κληῗδες λεπτύνονται, καὶ τὰ σιτία [157] οὐχ ὁμοίως προσίεται, ὥσπερ κατ' ἀρχὰς, καὶ ἀπὸ ὀλίγου πίμπλαται. ὁ δὲ σπλὴν ἄλλοτε καὶ ἄλλοτε μέγας τῆς αὐτῆς ἡμέρης, καὶ ἄλλοτε ἐλάσσων γίνεται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πῖσαι ἐλλέβορον [158] κάτω, ὑποκαθῆραί τε τῷ κνιδίῳ κόκκῳ ἐς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν, φακῆς δοῦναι [159] τρύβλιον ῥοφέειν ὀξυτέρης, καὶ τεύτλων τρύβλιον λιπαρῶν, ἄλφιτα ἐπιπάσας. τῇ δὲ ὑστεραίῃ καὶ τῇ τρίτῃ, ἄρτον μικρὸν δοῦναι· ὄψῳ δὲ φακῇ χρεέσθω, καὶ ὑὸς κρέας ἐν τῇ φακῇ ἑφθὸν τετριμμένον· οἶνον δὲ πινέτω αὐστηρὸν, μέλανα, ἀκρητέστερον κατ' ὀλίγον· καὶ ἡσυχίην ἐχέτω ταύτας τὰς ἡμέρας, πλὴν ἔνδον ὀλίγα περιπατεέτω ἐν τῇ σκιῇ. τὸν δὲ λοιπὸν χρόνον τάδε χρὴ προσφέρεσθαι· σιτίον μὲν ἄρτον αὐτοπυρίτην, ὄψον δὲ ἐχέτω κρέας κυνὸς μέζονος, ἢ αἰγὸς, ἢ οἰὸς τετριμμένον, καὶ τάριχος Γαδειρικὸν, ἢ σαπέρδην, καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα προσφερέσθω, καὶ τὰ στρυφνά· πινέτω δὲ οἶνον Κῷον ὑπόστρυφνον ὡς μελάντατον· τῶν δὲ γλυκέων καὶ λιπαρῶν ἀπεχέσθω, καὶ κνισωδέων, καὶ σίλφιον μὴ προσφερέσθω, μηδὲ σκόροδα, μηδὲ κρέας χοίρεον, μηδὲ κεστρέα, μηδὲ νεαρὸν, μηδὲ τάριχος, μήτε ἔγχελυν, μήτε λάχανον μηδὲν ἑφθὸν ἄνευ ὄξεος. τρωξίμων δὲ, ῥαφανίδι χρεέσθω καὶ σελίνῳ, ἐς ὄξος βάπτων, καὶ οἴνῳ ἄλφιτα φυρῶν ἐσθιέτω, καὶ τοῦ οἴνου ῥοφεέτω ἄκρητον. ἢν δὲ βούληται, καὶ τὸν ἄρτον ἐς τὸν οἶνον ἐνθρυπτόμενος, ἐσθιέτω θερμόν· διδόναι δὲ καὶ ἰχθύων, σκορπίον, δράκοντα, κόκκυγα, κωβιὸν, καλλιώνυμον, τούτους ἑφθοὺς καὶ ψυχροὺς διδόναι. Διδόναι δὲ καὶ ἃ μέλλει τὸν σπλῆνα λεπτύνειν, ἑκάστης ἡμέρης, ἀσφοδέλου τοῦ καρποῦ, ἢ ἰξοῦ τὰ φύλλα, [160] ἢ αἰγὸς κέρας, ἄγνου καρπὸν, ἢ πήγανον, ἢ ἡδυόσμου ῥίζαν· τούτων τρίβων ὅ,τι ἂν βούλῃ, διδόναι [161] ἐν οἴνῳ αὐστηρῷ, νήστει. ἢν δὲ δυνατὸς ᾖ, ἀναγκάζειν αὐτὸν πρίειν ξύλα τριήκοντα ἡμέρας· καὶ ἀπ' ἄκρων τῶν ὤμων παλαιέτω καὶ περιπατεέτω δι' ἡμέρης· καὶ ὄψιος εὑδέτω, πρώϊος δὲ ἐγρέσθω· καὶ διαιτάσθω ἃ προείρηται. Ἢν δὲ μὴ ὑπὸ τούτων ῥηΐσῃ, καῦσαι τὸν σπλῆνα μύκησι, δέκα ἐσχάρας μεγάλας, ὁκόταν μέγιστος ᾖ ὁ σπλὴν καὶ ἐξηρμένος μάλιστα. ἢν γὰρ τύχῃς καύσας ὡς δεῖ, ὑγιέα ποιήσεις, πλὴν οὐκ ἐν τάχει. ἡ δὲ νοῦσος δέεται θεραπείης· χαλεπὴ γὰρ καὶ χρόνιος, ἢν μὴ παραχρῆμα μελετηθῇ.

la tum in ilia tum in ventrem incidit. Cibos autem per exordia quidem admittit, non autem admodum demittit. Procedente verò morbo, color pallidus euadit, dolor vehemens ingruit, & iugula extenuantur, neque cibos velut per initia facilè admittit, & paucis impletur. Lien autem interdùm eodem die magnus, & interdùm minor euadit. Huic, quum sic habuerit, veratrum deorsùm purgans propinato, tum grano cnidio subter purgato. Post purgationem autem vesperi lenticulæ acidioris heminam sorbendam exhibeto, & betarum pinguium heminam, polentâ inspersâ. Postero verò & tertio die, paruum panem dato; pro opsonio, lenticulâ vtatur; & carne suillâ contusâ cum lenticula coctâ. Vinum austerum, nigrum, paulò meracius bibat; & per hosce dies quietem agat, nisi quòd intùs in vmbra paululùm obambulet. Reliquo verò tempore hæc exhibere oportet; in cibo quidem panem cibarium; pro opsonio carnem canis maiusculi, aut capræ, aut ouiculæ tusam habeat, & salsamentum Gaditanum, aut saperdam, acidaque & salsa omnia, acerbáque exhibeantur. Vinum Coum, subastringens, quàm nigerrimum bibat; dulcibus, pinguibus, & nidorulentis abstineat; laser minimè exhibeatur, neque allia, neque caro porcina, neque mugil, neque recens, neque sale conditus, neque anguilla, neque olus vllum coctum sine aceto. Ex crudis edulijs, radiculâ & apio aceto intinctis vtatur; polentam edat vino subactam; & vinum meracum sorbeat. Quòd si velit, panem etiam in vino intritum, calidum comedat. Ex piscibus verò scorpium, draconem, cuculum, gobium, callionymum, eosque elixos & frigidos exhibeto. Danda etiam singulis diebus, quæ lienem attenuare valent, asphodeli semen, visci folia, aut fœnum græcum, aut viticis semen, aut rutam, aut menthæ radicem. Ex his quod volueris, tritum, ex vino austero, ieiuno exhibeto. Quòd si validus fuerit, triginta diebus ipsum ligna secare cogito. Summis quoque humeris luctetur, interdiù obambulet; vesperi dormiat, manè verò surgat, & quæ dicta sunt his vescatur. At si ne his quidem meliusculè habeat, lienem fungis, quum maximus lien & sublatus maximè fuerit, decem magnis crustis inurito. Si enim, vt decet, vstio successerit, sanum reddes, non tamen breui. Hic autem morbus curatione indiget; grauis enim est & diuturnus, nisi confestim curatio adhibita fuerit.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ τῆς δευτέρας τοῦ σπληνὸς νόσου, ἢ τοῦ σπληνὸς σκιρρώδεος φλεγμονῆς, καὶ τῶν ταύτης συμπτωμάτων, καὶ σημείων, καὶ θεραπευτικῶν.

Ἄλλη νοῦσος σπληνός. Γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ἀφ' ὧν καὶ ἡ πρόσθεν· πάσχει δὲ ὑπὸ τούτου τοῦ νοσήματος, τάδε. ἡ γαστὴρ φυσᾶται, μετὰ δὲ καὶ ὁ σπλὴν οἰδέει, καὶ σκληρός ἐστι, καὶ ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν ἐς τὸν σπλῆνα. ἡ δὲ χροιὴ τρέπεται, καὶ ὁρᾶται μέλας, ἐπίχλωρος [162] σιδιοειδής, καὶ ἐκ τῶν ὤτων κακὸν ὄζει, καὶ τὰ οὖλα κακὸν ὄζει, καὶ τὰ ἀπὸ τῶν ὀδόντων ἀφίσταται·

CAPVT XXXIII.

De secundo lienis morbo, aut lienis phlegmone scirrhosâ, ac eius symptomatis, signis, & curatione.

Alius lienis morbus. *Ab ijsdem quidem, à quibus & prior, oritur. His igitur ab hoc morbo afficitur. Venter inflatur; posteà verò lien tumet, durus est, & dolores acuti in lienem incidunt. Color autem immutatur, & niger cernitur, pallidus malicorij instar; ex aure malè olet; & gingiuæ malè olent, eæque à dentibus decedunt;*

&

& in tibijs vlcera, qualia pustulæ nocturnæ, erumpunt; membra extenuantur; neque stercus per aluum deijcitur. Hunc, quum ita habuerit, ijsdem medicamentis, ac edulijs, & potu, exercitationéque, ac reliquis omnibus curato; quumque fæces non deijciantur, his aluum subluito. Mellis heminæ dimidium, & nitri Ægyptij ouilli tali quantitatem, hæc ex betarum coctarum decocto ad quatuor heminas terito & diluito, deinde hoc infuso subluito. Quòd si his morbus non sedetur, eius lienem velut prioris, inurito; & si vstio successerit, sanum efficies.

καὶ ἐκ τῶν κνημέων ἕλκεα ἐκρήγνυται, ὁκοῖά περ ἐπινυκτίδες, τὰ δὲ γυῖα λεπτύνεται, καὶ ἡ κόπρος οὐχ ὑποχωρέει. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, μελέτην τοῖσιν αὐτοῖσι φαρμάκοισι καὶ ἐδέσμασι, καὶ ποτῷ, καὶ ταλαιπωρίῃσι, καὶ τοῖσιν ἄλλοισι πᾶσι. [163] καὶ κλύζειν, ὁκόταν μὴ θέλῃ ἡ κόπρος διαχωρέειν, ἐν τούτοισι· μέλιτος ἡμικοτύλιον, καὶ νίτρου Αἰγυπτίου ὁκόσον ἀστράγαλον οἰὸς, ταῦτα τρίψας διεῖναι ἀπὸ τεύτλων ἑφθῶν ὕδατι, τέσσαρσι κοτύλῃσιν· εἶτα οὕτω κλύζειν. ἢν δὲ μὴ ὑπὸ τούτων ἡ νοῦσος καθίστηται, καῦσαι αὐτοῦ τὸν σπλῆνα ὡς τὸν πρόσθεν· καὶ ἢν τύχῃς καύσας, ὑγιέα ποιήσεις.

CAPVT XXXIV.

De tertio lienis morbo, aut inflammatione à peculiari plethora, eiusque symptomatis, signis, & curatione.

ALius lienis morbus. *Quauis quidem anni tempestate, sed maximè vernâ atque à sanguine oritur. Quum enim sanguine lien repletus fuerit, in ventrem erumpit; & in lienem dolores acuti, in mammam, iugulum, humerum, & sub scapulam irruunt. Color autem corporis, plumbeus, liuentia vlcuscula in tibijs sortitur, & ex ijs magna vlcera oriuntur. Et quæ primùm per inferiora secedunt, cruenta sunt & æruginosa; venter durus obrepit, & lien tanquam lapis existit. Hic morbus superioribus magis lethalis est, ex eôque pauci euadunt. Hunc, quum ita affectus fuerit, ijsdem quibus priorem curato, sed medicamentum sursum purgans ne dederis. Deorsùm verò cocco cnidio purgato. Postero die quoque lactis equini cocti heminas octo, melle affuso* exhibeto. *Sin minùs, lacti bubulo aut caprino cocto ad duos congios, mel in altero poculo* miscere, *& alternatim bibere oportet. Sub vesperum post purgationem eadem, quæ priori, exhibeto post medicamentum; sique visum fuerit, sanguinem ex interiore sinistri cubiti vena detrahito. Per reliquos autem dies ieiuno singulis diebus lactis bubuli quatuor heminas, tertiâ muriæ parte admixtâ, exhibeto. Cibis autem, potibus, & reliquis alijs, ijsdem quibus priorem, curato. Tum hic, tum superiores, venere & vinolentiâ abstineant. Quòd si tibi visum fuerit, etiam cùm crassissimus & maximus lien extiterit, inurito. Et si opportunè vstio successerit, sanum efficies. At si sub hac curatione non conualescat, tempore contabescens moritur; nam admodum grauis est morbus.*

ΚΕΦΑΛΑΙΟΝ ΛΔʹ.

Περὶ τῆς τρίτης τοῦ σπληνὸς νόσου, ἢ τῆς φλεγμονῆς τῆς ἀπὸ τῆς ἰδίας πληθώρας γινομένης, καὶ τῶν αὐτῆς συμπτωμάτων, καὶ σημείων, καὶ θεραπευτικῶν.

ΑΛλη νόσος σπληνός. Γίνεται μὲν τοῦ ἔτεος, ἔαρος ὥρῃ μάλιστα, ἀπὸ δὲ αἵματος. ὁκόταν γὰρ ἐμπλησθῇ ὁ σπλὴν αἵματος, ἐκρήγνυται ἐς τὴν κοιλίην· καὶ ὀδύναι ὀξεῖαι ἐς τὸν σπλῆνα ἐμπίπτουσι, καὶ ἐς τὸν τιτθὸν, καὶ ἐς τὴν κληῖδα, καὶ ἐς τὸν ὦμον, καὶ ὑπὸ τὴν ὠμοπλάτην· ἡ δὲ χροιὴ τοῦ γυίου, μολιβδώδης, καὶ ἀμυχαὶ ἐν τῇσι κνήμῃσι λαμβάνει, καὶ ἕλκεα μεγάλα γίνεται ἐξ αὐτέων. καὶ τὰ κάτω ὑποχωρέοντα ἅμα [164] τῷ πρώτῳ, αἱματώδεα καὶ ἰώδεα· [165] καὶ ὑπέρχεται ἡ γαστὴρ σκληρὴ, καὶ ὁ σπλὴν καθάπερ λίθος ἐστίν. ἔστι τῶν πρόσθεν θανατωδεστέρη, καὶ ἐξ αὐτέου παῦροι διαφυγγάνουσι. Τοῦτον, ὁκόταν ὧδε ἔχῃ, τοῖσιν αὐτοῖσι θεράπευε, οἷσι καὶ τὸν ἔμπροσθεν, πλὴν ἄνω φάρμακον μὴ δῷς, κάτω δὲ τοῦ κόκκου τοῦ κνιδίου δοῦναι· τῇ ὑστεραίῃ καὶ ἱππείου γάλακτος ἑφθοῦ ὀκτὼ κοτύλας, μέλι παραχέων· εἰ δὲ μὴ, βοείῳ ἢ αἰγείῳ ἑφθῷ, δύο χοῦσι, μέλι παρὰ τὴν ἑτέρην κύλικα, ἐναλλὰξ δὲ πίνειν χρή. ἐς δὲ τὴν ἑσπέρην διδόναι μετὰ τὴν κάθαρσιν ταῦτα, ἃ καὶ τῷ πρόσθεν, μετὰ τὸ φάρμακον· καὶ ἢν δοκέῃ, τοῦ αἵματος ἀφελεῖν ἀπὸ τοῦ ἀγκῶνος τοῦ ἀριστεροῦ τῆς εἴσω φλεβός. τὰς δὲ λοιπὰς τῶν ἡμερέων διδόναι νήστει ἑκάστης ἡμέρης βοείου γάλακτος τέσσαρας κοτύλας, τρίτον μέρος ἅλμης παραμίσγων. σιτίοισι δὲ, καὶ ποτοῖσι, καὶ τοῖσι ἄλλοισι, τοῖσι αὐτοῖσι θεραπεύειν, [166] οἷσι καὶ τὸν πρόσθεν· ἀπέχεσθαι δὲ λαγνείης [167] καὶ οἰνοφλυγίης καὶ τοῦτον, καὶ τοὺς πρόσθεν. Καὶ ἤν τοι δοκέῃ, καὶ καῦσαι ὁκόταν παχύτατος καὶ μέγιστος ὁ σπλὴν γένηται. καὶ ἢν τύχῃς καύσας τοῦ καιροῦ, ὑγιέα ποιήσεις· ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς ἰήσιος ὑγιὴς γένηται, φθινόμενος χρόνῳ θνήσκει· ἡ γὰρ νοῦσος λίην ἐστὶ χαλεπή.

CAPVT XXXV.

De quarto lienis morbo, vel œdemate à pituitâ orto, eiusque signis, & curatione.

ALius lienis morbus. *Hic etiam morbus vere potissimùm contingit, quum lien in se pituitam exceperit, quamprimúmque magnus & durus extiterit, deinde rursus subsidit. Et quum quidem sublatus fuerit, dolores acuti incidunt; quum verò mollis fuerit, sine dolore est. Quumq; morbus inueterauerit,*

ΚΕΦΑΛΑΙΟΝ ΛΕʹ.

Περὶ τῆς τετάρτης τοῦ σπληνὸς νόσου, ἢ τοῦ οἰδήματος τοῦ ἀπὸ τοῦ φλέγματος γενομένου, καὶ τῶν αὐτοῦ σημείων καὶ θεραπευτικῶν.

ΑΛλη νοῦσος σπληνός. Γίνεται καὶ αὕτη ἡ νοῦσος ἔαρος μάλιστα· ὁκόταν φλέγμα ἀναλάβῃ ὁ σπλὴν ἐς ἑωυτὸν, καὶ μέγας παραχρῆμα γίνεται καὶ σκληρὸς, εἶτ' αὖθις καθίσταται· καὶ ὅταν μὲν [168] ἐξηρμένος ᾖ, ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν· ὁκόταν δὲ λεπτὸς ᾖ, ἀνώδυνός ἐστι· καὶ ὁκόταν χρόνος γένηται τῇ νούσῳ, ἀμαυρ-

τέρη δοκέει, καὶ ἐπιδημίσεται), καὶ ταχέως καθίσταται. Οὗτος ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τοῦ νοσήματος, τὰ σιτία οὐ δύναται προσίεσθαι, καὶ ταχέως καταλεπτύνεται, καὶ ἀχροίην ἔχει τὸ σῶμα πουλλήν. Τὸ δὲ νόσημα, ἢν μὴ παραχρῆμα θεραπευθῇ, ἢ αὐτόματον καταστῇ, διαλιπὼν πέντε μῆνας ἢ ἕξ, αὖθις ἐπιδημίσεται), διαλιμπάνει δὲ μάλιστα τὸν χειμῶνα. Τοῦτον κατ' ἀρχὰς ἢν λάβῃς, καῦσον δέκα ἐσχάρας ἐς τὸν σπλῆνα, καὶ παραυτίκα ὑγιέα ποιήσεις· ἢν δὲ μὴ καύσῃς, τοῖσιν αὐτοῖσι φαρμάκοισιν ἰῆσθαι, οἷσι καὶ τοὺς πρόσθεν, καὶ ἐδέσμασι καὶ ποτοῖσι, καὶ ταλαιπωρίῃσιν· οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσῃς. Τούτου δὲ ἡ χροιὴ γίνεται ἔκλευκος, ὑπώχρος, καὶ αὐχμηρή.

A obscurior esse videtur, & assurgit, celeriterque deprimitur. Hic quum sic habuerit, per morbi exordia cibos assumere non potest, citò extenuatur, magnâque intemperie corpus afficitur. Morbus autem nisi statim curatus, aut sua sponte sedatus fuerit, quinque aut sex intermissis mensibus rursus assurgit, per hyemem autem præcipuè intermittit. Hunc si per exordia curandum sumpseris, decem crustis ad lienem inurito, statimque sanum reddes. Quòd si non usseris, iisdem medicamentis, & edulijs, & potibus, ac laboribus, quibus superiores, curato. Sic enim celerrimè sanum reddideris. B Huius autem color exalbidus, suppallidus, & squallidus existit.

ΚΕΦΑΛΑΙΟΝ Λϛ'.

Περὶ τῆς πέμπτης τοῦ σπληνὸς νόσου, τῆς φλεγμονῆς ἐς σκίρρον μεταβαλλομένης, καὶ τῶν ταύτης αἰτίων καὶ θεραπευτικῶν.

Ἄλλη νοῦσος σπληνός. γίνεται μετοπώρου μάλιστα ἀπὸ χολῆς μελαίνης· γίνεται δὲ ἀπὸ λαχανοφαγίης ζωξίμων πολλῶν, καὶ ὑδροποσίης. πάσχει οὖν τάδε, ὁκόταν τὸ νόσημα λάβῃ· ἀλγέει τὸν σπλῆνα σφόδρα, καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει, καὶ ἀσιτίη ἔχει αὐτόν, τό, τε γυῖον ξυμπίπτει ταχέως. ὁ δὲ σπλὴν, μέγας μὲν πάνυ οὐ γίνεται, σκληρὸς δὲ, καὶ παραπίπτει παρὰ τὰ σπλάγχνα, καὶ μυζέει προσκείμενος. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσιν ἰῆσθαι καὶ φαρμάκοισιν καὶ βρωτοῖσι καὶ ταλαιπωρίῃσιν, οἷσιν ἂν καὶ τοὺς πρόσθεν· καὶ ἢν σοι παρέξῃ, καῦσαι αὐτὸν, τρόπον ὅν περ καὶ τοὺς ἄλλους. Αὕτη ἡ νοῦσος τοῖσι πολλοῖσιν, ἢν παραχρῆμα μελετηθῇ, ἐν τάχει ἐξέρχεται.

CAPVT XXXVI.

De quinto lienis morbo, inflammatione in scirrhum mutatâ, eiusque causis, & curatione.

Alius lienis morbus. Ab atra bile potissimùm autumno oritur. Fit autem ex olerum esu, qui crudi comeduntur, & aquæ potu. His igitur afficitur, C ubi morbus prehenderit; lien valdè dolet, & rigor & febris inuadit, cibi inappetentia detinet, totumque corpus celeriter concidit. Lien autem magnus quidem admodum non euadit, sed durus, & ad viscera prolabitur, adiacensque humores sugit. Hunc, quum ita habuerit, iisdem tum medicamentis, tum edulijs, tum laboribus, quibus etiam superiores, curato. Ac si se ipsum dederit, eum quo alios modo inurito. Hic morbus in plerisque si confestim curatus fuerit, citò decedit.

D

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Περὶ τοῦ πρώτου ἰκτέρου, ἀπὸ χολῆς τοῦ θέρους κινηθείσης γινομένου, καὶ τῶν αὐτοῦ σημείων, καὶ θεραπευτικῶν

Ἴκτεροι τέσσαρες. Ὁ μὲν τοῦ θέρεος μάλιστα ἐπιλαμβάνει, χολῆς κινηθείσης· ἵσταται οὖν ἡ χολὴ ὑπὸ τῷ δέρματι καὶ ἐν τῇ κεφαλῇ, ὡς εὐθὺς ἀλλοχροέει τὸ σῶμα, καὶ γίνεται ὠχρὸν ὁκοῖον περ σίδιον. καὶ οἱ ὀφθαλμοὶ ὠχροὶ, καὶ ἐν τῇ κεφαλῇ ὑπὸ τὰς τρίχας, οἷον φλοιὸς ὕπεστι· καὶ ῥῖγος, καὶ πυρετὸς ἐπιλαμβάνει· καὶ οὐρέει ὠχρὸν τὸ οὖρον, καὶ ὑφίσταται ὑπ' αὐτῷ παχὺ ὕπωχρον. καὶ τὸ ἕωθεν ἕως ἂν νῆστις ᾖ, περὶ τὴν καρδίην καὶ περὶ τὰ σπλάγχνα μύζει· καὶ ὁκόταν τις αὐτῷ προσφθέγξηται ἢ ἐρωτήσῃ, [169] ἀσᾶταί τε καὶ λυπέεται, καὶ οὐκ ἀνέχεται ἀκροώμενος. ὁ δὲ ἀπόπατος προϊὼν, ὠχρόλευκος, καὶ κάκοδμος. Οὗτος ὁκόταν ὧδε ἔχῃ, θνήσκει μάλιστα ἐν τῇσι τεσσαρεσκαίδεκα ἡμέρῃσιν· ἢν δὲ ταύτας διαφύγῃ, ὑγιαίνεται. Μελετᾷν δὲ αὐτὸν χρὴ, ὧδε. ὁκόταν ὁ πυρετὸς ἀνῇ, λούειν πολλῷ καὶ θερμῷ, πίνειν τε διδόναι μελίκρητον, καὶ ῥοφήμασι διαχρεέσθω, πτισάνης χυλῷ, μέλι παραχέων (καὶ μὴ συνεψεῖν τὸ μέλι) ἕως ἂν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν· αὗται γὰρ κρίνουσιν, ἢν θανάσιμον ᾖ οὔ. μετὰ δὲ ταῦτα, λούειν δὶς τῆς ἡμέρης, καὶ διαχέειν τὸ πρῶτον ὀλίγοισιν, ἅσσα ἂν μάλιστα προσίηται, ἔπειτα πλείω μέντοι διδόναι· πινέτω δὲ οἶνον λευκὸν ὡς πλεῖστον δι' ἡμέρης, καὶ ἢν σοι δοκέῃ προϊόντος τοῦ χρόνου ὠχρὸς εἶναι καὶ [170] ἀσθενής,

CAPVT XXXVII.

De ictero primo, à bile æstate commotâ orto; eiusque signis & curatione.

Icteri quatuor. Primus quidem æstate maximè corripit, à bile commotâ. Bilis igitur sub cute & in capite cogitur, proindéque statim corpus colorem immutat, pallidumque ceu malicorium euadit; oculi pallidi sunt, & sub pilis capitis velut cortex subest; & rigor & febris prehendit; E vrinam meijt pallidam, in eâque crassum suppallidum subsidet; manè quandiu iejunus fuerit, ad cor & viscera strepitus editur; & siquis eum alloquatur aut interroget, ægrè fert, ac tristatur, neque audire sustinet. Stercus autem progrediens, ex pallido albicat, & male olet. Hic quum ita habuerit, intra dies quatuordecim potissimùm moritur. Si verò hos effugerit, conualescit. Eum autem ita curare oportet. Quum febris remiserit, multâ calidâ loto, aquam mulsam F propinato, & sorbitionibus vtatur, ptisanæ cremore melle affuso (atque mel ne concoquas) quoad quatuordecim dies præterierint; hi nanque lethalis sit, necne, decernunt. Posteà autem bis die lauato, & in cibo exhibeto primùm pauca, quæcunque maximè admiserit, deinde tamen plura porrigito. Vinum album quamplurimum interdiù bibat, & si procedente tempore pallidus ac imbecillus tibi videatur,

à cibis vomitum fieri, velut in superioribus morbis habetur, iubeto. Quòd si his quidem sedetur, satis est; sin minùs, veratrum propinato. Post eiusmodi verò purgationem, vesperi mazam mollem aut panis medullam comedat. Pro opsonio pullum edat gallinaceum percoctum, cum cœpa, coriandro, caseo, sale, sesamo, & vuâ passâ albâ probè elixum. Vinum autem album, austerum, quam vetustissimum bibat. Aluumque inferiorem subpurgato. Postero die, cicerum alborum cremore, melle affuso, vtatur, eiusmodique succi heminas duas ebibat. Tertio verò die, singulis diebus hanc aquam ex his decoctam bibere incipiat. Fœniculi radices tenues, quantùm pugillo aut tribus digitis comprehenditur, in duos aquæ congios immittito, & coquito, dum dimidium remaneat. Et cicerum alborum chœnicem in duobus aquæ *congijs, de quo dimidium bibat. Hæc quum remanserint, colata sub dio exponito, & ambobus permixtis, vinum hac aquâ diluat, & bibat; & aquam ipsam solam, si velit, quàm plurimam potet, nec aliam aquam bibat. Quòd si potum istum auersetur, hunc ita paratum exhibeto. Caricarum albarum chœnicem duobus congijs decoctum colato, & sub dio exponito; deinde aquam hanc solam, si velit, aut vino mixtam bibat; eam verò non confertim multam bibat, sed per interualla dimidiam heminam, vtne alui profluuium ei superueniat; paucóq; interposito tempore, bibat. Optima verò & hæc quotidie ieiuno potui exhibita, trita & vini albi veteris heminâ diluta; apij semen, cucumeris semen, fœniculi semen, cuminum Æthiopicum, adiantum, coriandrum herba, vuæ passæ albæ. Hæc & illa si biberit, iuuabitur, celerriméque sanus euadet.*

ἔμετον κελεύειν ποιέεσθαι ἀπὸ τῶν σιτίων, ὡς ἐν τῇσιν ἄνω νούσοισιν ἔχει. καὶ ἢν μὲν ἀπὸ τούτων παύσηται, ἅλις· ἢν δὲ μή, ἐλλέβορον πῖσαι. μετὰ δὲ τὴν τοιαύτην κάθαρσιν, ἑσπέρην φαγέτω μάζαν μαλθακήν, ἢ ἄρτου τὸ ἐντός. ὄψον δὲ ἐσθιέτω, νεοσσὸν ἀλεκτορίδος διεφθόν, ζωμευμένον κρομμύῳ, καὶ κοριάνῳ, καὶ τυρῷ, καὶ ἁλί, καὶ σησάμῳ, καὶ σταφίδι λευκῇ. οἶνον δὲ πινέτω λευκόν, αὐστηρόν, ὡς παλαιότατον. τὴν δὲ κάτω κοιλίην ὑποκαθῆραι. τῇ δὲ ὑστεραίῃ, χυλῷ ἀπ' ἐρεβίνθων λευκῶν, μέλι δὲ χρὴ τῷ χυλῷ παραχέαι, τούτῳ δὲ χρεέσθω, καὶ [171] ἐκπιέτω δύο κοτύλας τοῦ τοιούτου χυλοῦ. τῇ δὲ τρίτῃ ἀρξάμενος, [172] ἀφ' ἑκάστης ἡμέρης πινέτω τόδε τὸ ὕδωρ, ἀπὸ τῶνδε ἑψήσας· μαράθρου ῥίζας λεπτάς, πλῆθος ὁκόσον τρισὶ δακτύλοισι περιλαβεῖν ἢ δραχμίδα, ἐμβάλλειν καὶ ἕψειν ἐν δύο χοεῦσιν ὕδατος, ἕψειν δὲ ἕως ἂν λειφθῇ τὸ ἥμισυ· καὶ ἐρεβίνθων λευκῶν χοίνικα ἐν δυσὶ χοεῦσι, καὶ τούτου δὲ πιέτω τὸ ἥμισυ. ταῦτα ὁκόταν λειφθῇ, διηθήσας ἐξαιθριάσαι, καὶ ἀμφότερα μίξας, τούτῳ τῷ ὕδατι καὶ τὸν οἶνον [173] κρήσας, πινέτω, καὶ αὐτὸ τὸ ὕδωρ μοῦνον ἢν βούληται, πινέτω ὡς πλεῖστον, καὶ ἄλλο ὕδωρ μὴ πινέτω. ἢν δὲ τοῦτο τὸ πότον μὴ προσίηται, τόδε σκευάσας οὕτω διδόναι. ἰσχάδων λευκῶν χοίνικα ἑψήσας ἐν δυσὶ χοεῦσι, διηθῆσαι καὶ ἐξαιθριάσαι· ἔπειτα τὸ ὕδωρ τοῦτο πινέτω, ἤν τε ψιλὸν αὐτὸ βούληται, ἤν τε σὺν τῷ οἴνῳ κιρνάς· πινέτω δὲ μὴ ἀθρόον πουλύ, ἀλλὰ κατὰ φοράν, ἡμικοτύλιον, ὅκως μὴ διάῤῥοια αὐτῷ ἐπιγένηται· καὶ διαλιπὼν χρόνον ὀλίγον, πινέτω. ἀγαθὰ δὲ καὶ τάδε διδόναι πίνειν νήστει ἑκάστης ἡμέρης, τρίβοντα λεῖα καὶ διέντα κοτύλῃ οἴνου παλαιοῦ λευκοῦ, σελίνου καρπόν, σικύου σπέρμα, μαράθρου καρπόν, Αἰθιοπικὸν κύμινον, ἀδίαντον, κορίον τὴν ποίην, ἀσταφίδας λευκάς. ταῦτα πίνων κἀκεῖνα, ὠφεληθήσεται, καὶ τάχιστα ὑγιὴς γενήσεται.

CAPVT XXXVIII.

De ictero secundo, hyeme tum ab ebrietate & rigore, tum à bile per suppressionem coaceruatâ orto, eiusque causis signis, & curatione.

ALius icterus. Hic hyemis tempore ex temulentia & rigore inuadit. Primùm autem inuadere incipit rigor; deinde etiam febris detinet; & corporis humidum sub cute concrescit. Ex his autem rem se ita habere proditur. Eius corpus liuidum est, & subdurum, & quæ venæ per corpus distenduntur, sunt pallidæ, maiores & crassiores quàm anteà; quædam etiam subnigræ subtenduntur. Ex his aliquam siquis secet, sanguis defluet pallidus, si pallidæ sint venæ; si nigræ fuerint, niger sanguis defluet. Et vestem corpori adiacentem præ pruritu ferre non potest; hic ad eundum & ambulandum promptus est, sed præ imbecillitate eius crura titubant, & vehementer sitit. Hic morbus superiore non minùs lethalis est, in longius autem tempus progreditur, nisi primis diebus septem sanescat. Quòd si morbus producatur & ad octauum aut nonum diem extendatur, in morbum incidit, morbusque & dolor magis vrget, neque exurgere po-

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

Περὶ τοῦ δευτέρου ἰκτέρου τοῦ κατὰ χειμῶνα, ἐκ μέθης καὶ ῥίγεος, καὶ χολῆς διὰ τὴν ἐπίσχεσιν συναθροισθείσης, καὶ τῶν τούτου αἰτίων καὶ σημείων, καὶ θεραπευτικῶν.

ΑΛλος ἴκτερος. Οὗτος [175] ἐπιλαμβάνει χειμῶνος ἐν ὥρῃ, ἐκ μέθης καὶ ῥίγεος· ἄρχεται δὲ τὸ πρῶτον ῥῖγος ἐπιλαμβάνειν, ἔπειτα καὶ πυρετὸς κατέχει· τὸ δὲ ὑγρὸν τὸ ἐν τῷ σώματι, πήγνυται ἐν τῷ δέρματι· ἐν τοῖσι δὲ [176] δείκνυται, ὅτι οὕτως ἔχει. πελιδνόν ἐστιν αὐτοῦ τὸ σῶμα, καὶ ὑπόσκληρον· καὶ αἱ φλέβες διὰ τοῦ σώματος τετάνυνται ὠχραί, μείζονες δὲ καὶ παχύτεραι ἢ πρόσθεν εἰσί· τετάνυνταί τε ὑπομέλαιναι καὶ ἄλλαι φλέβες. καὶ ἢν [177] τάμῃ τις τινα αὐτῶν, [178] ῥεύσει ἐξελεύσεται τὸ αἷμα ὠχρόν, ἐάνπερ ὠχραὶ ἔωσιν αἱ φλέβες· ἢν δὲ μέλαιναι ἔωσι, μέλαν τὸ αἷμα ῥεύσεται. καὶ τὸ ἱμάτιον πρὸς τῷ χρώματι προσκείμενον, οὐκ ἀνέχεται ὑπὸ τοῦ κνησμοῦ· ἔστι δὲ πρόθυμός ἐστι πρὸς τὸ πορεύεσθαι, καὶ φοιτῆν, ἀλλ' ὑπὸ τῆς ἀσθενείης αὐτοῦ τὰ σκέλεα ὑποφέρεται· καὶ διψῇ σφόδρα. αὕτη ἡ νοῦσος, [179] οὐ πῶ ἧσσον τῆς προτέρης θανασίμη, περιέρχεται δὲ πλείω χρόνον, ἢν μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν [180] ἑπτὰ ὑγιὴς γένηται· ἢν δὲ ἡ νοῦσος ἀπομηκύνηται, καὶ γένηται ὄγδοος ἢ ἔνατος, συμπίπτει εἰς νοῦσον, καὶ ἡ νοῦσος καὶ ἡ ἀλγηδὼν πιέζει μᾶλλον, καὶ ἀνίστασθαι οὐ δύναται, καὶ οἱ

πολλοὶ ἐν τούτῳ τῷ χρόνῳ παραχρῆμα φθίνονται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς μὲν τῆς νούσου ἢν παραλήψηται, ὁκόταν ἤδη αἱ ἑπτὰ ἡμέραι παρέλθωσιν, ἐλλέβορον πίσαι, τὴν δὲ κάτω κοιλίην χυλῷ ὑποκαθῆραι, ὡς ἐν τοῖς πρόσθεν, καὶ τἄλλα τὰ αὐτὰ διδόναι φάρμακα· διδόναι δὲ καὶ κανθαρίδας, ἄνευ πτερῶν καὶ κεφαλῆς, τέσσαρας τρίβων, καὶ διεὶς οἴνῳ λευκῷ ἡμικοτυλίῳ, ἤδη δὲ καὶ μέλι παραχέαι ὀλίγον, εἶτα οὕτω διδόναι πίνειν· τοῦτο πινέτω δὶς ἢ τρὶς τῆς ἡμέρης. Προϊούσης δὲ τῆς νούσου, λουτροῖσι καὶ πυριήμασι θεραπεύειν. ἐσθιέτω δὲ ὅσα προσίεται· οἶνον δὲ πινέτω λευκὸν, αὐστηρὸν, καὶ τἄλλα τὰ αὐτὰ προσφερέσθω, ἃ καὶ τῇ πρόσθεν. αὕτη ἡ νοῦσος, χρονίη καὶ χαλεπὴ, ἢν μὴ κατ' ἀρχὰς καλῶς μεταχειρισθῇ.

test, & plerique intra hoc tempus confestim tabescunt. Huic, quum sic habuerit, si ad eum initio morbi accesseris, ubi septem iam dies præterierint, veratrum propinato. Inferiorem verò aluum cicerum alborum *succo, velut in superiore, subpurgato, aliáque eadem medicamenta exhibeto. Cantharidas etiam sine alis & capite tritas quatuor, & ex vini albi heminâ dimidiâ dilutas exhibeto; iam verò etiam pauco melle affuso, mox ita propinato; idque bis aut ter in die bibat. Procedente autem morbo, balneis & fomentis curato. Quæcunque verò expetit, edat; vinum album, austerum bibat; reliquaque eadem offerantur, quæ & priori. Hic morbus, nisi probè per initia curatus fuerit, diuturnus est & molestus.*

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

Περὶ τοῦ τρίτου ἰκτέρου τοῦ ἐπιδημίου, ἀφ' ἥπατος ἐμφράξεως ἐκ πλησμονῆς καὶ μέθης γινομένου, καὶ τῶν τούτου σημείων καὶ θεραπευτικῶν.

Ἄλλος ἴκτερος. Ἐπιδήμιος ἐστὶ καλέεται, διότι πᾶσαν ὥρην ἐπιλαμβάνει· γίνεται δὲ ἀπὸ πλησμονῆς μάλιστα καὶ μέθης, καὶ ἐπειδὰν ῥιγώσῃ. Αὐτίκα ὡς οὖν τὸ σῶμα ἀλλοιοῦται, καὶ γίνεται ὠχρὸν, καὶ οἱ ὀφθαλμοὶ σφόδρα ὠχροί· καὶ ὑπὸ τὰς τρίχας καὶ ὑπὸ τοὺς ὄνυχας ἡ νοῦσος ὑπέρχεται, καὶ ῥῖγος καὶ πυρετὸς βληχρὸς ἔχει, καὶ ἀσθενεῖ τὸ σῶμα, καὶ ἐν τῇ κεφαλῇ ὀδύνη ἔχει, καὶ οὐρεῖ ὠχρὸν καὶ παχύ. ἐστὶ ὁ ἴκτερος ἧσσον θανατώδης τῶν πρόσθεν, καὶ θεραπεύεται μεταχειρισμένος ἐν τάχει. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, σχάσαι αὐτοῦ τοὺς ἀγκῶνας, καὶ ἀφαιρέειν τοῦ αἵματος· ἔπειτα πυριήσας, πίσαι ἐλατήριον· κάτω δὲ αὖθις ὑποκαθῆραι τῇ τρίτῃ, ὀνείῳ γάλακτι. τὰ δὲ ἄλλα ῥοφήματά τε καὶ πόματα καὶ ἐδέσματα, τὰ αὐτὰ διδόναι, ἃ καὶ τῷ πρόσθεν· καὶ καθαίρειν αὐτοῦ τὴν κεφαλὴν θαμινά, καὶ ἀπὸ χαλκείου πίνειν, καὶ λούειν αὐτὸν πολλῷ καὶ θερμῷ· καὶ ξύων τὴν σάρκα, ἐν οἴνῳ λευκῷ διδόναι πίνειν· καὶ ἐς τὰ ἄλλα πάντα τοῖσιν αὐτοῖσιν χρεέσθω, καὶ ἐν τάχει ὑγιὴς ἔσται.

CAPVT XXXIX.

De tertio ictero epidemio, ab hepatis obstructione ex satietate & ebrietate, orto, eiusque signis & curatione.

Alius icterus. *Hic popularis vocatur, quòd omni tempestate prehendat. A satietate autem & temulentia potissimùm oritur, & postquàm riguerit. Quamprimùm sanè corpus immutatur, & pallidum euadit, & oculi admodùm pallidi; sub capillos & vngues illabitur morbus; & rigor & febris leuis detinet, corpus debilitatur, caput dolor occupat, pallidamque & crassam vrinam reddit. Hic icterus superioribus minùs lethalis est, & curatus breui sanatur. Huic, quum sic habuerit, cubiti venas incidito, & sanguinem detrahito. Deinde fotu admoto, veratrum propinato. Tertio verò die, asinino lacte rursùs deorsùm aliquantùm purgato. Reliquas autem sorbitiones, potus, & cibos eosdem quos priori exhibeto, eius caput crebrò purgato, & à fotu bibat, eumque multâ calidâ lauato; & quum carnes scalpseris, ex vino albo propinato; & ad reliqua omnia ijsdem vtatur, & breui conualescet.*

ΚΕΦΑΛΑΙΟΝ Μ'.

Περὶ τοῦ τετάρτου ἰκτέρου τοῦ χειμερινοῦ τοῦ ἀπὸ φλέγματος γινομένου· καὶ τῶν αὐτοῦ σημείων, καὶ θεραπευτικῶν.

Ἄλλος ἴκτερος. Γίνεται μὲν ἀπὸ φλέγματος, ἐπὶ δὲ χειμῶνος μάλιστα ἐπιλαμβάνει· καὶ ἡ χροιὴ αὐτέου λευκή, καὶ τὰ στήθεα αὐτέου πλήρεα γίνεται φλέγματος, καὶ πτύει τὸ σίαλον, καὶ ὁκόταν ἀποχρέμπτηται, λυγμὸς αὐτῷ γίνεται, καὶ οὐρεῖ λευκὸν καὶ παχύ, καὶ ὑπ' αὐτοῦ ὑφίσταται, οἷον ἄλευρον. οὗτος ὁ ἴκτερος οὐκ ἐστὶ θανατώδης, καὶ ἐν τάχει ὑγιαίνεται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πίσαι κνίδιον κόκκον, καὶ μετὰ τὴν κάθαρσιν, πτισάνης χυλὸν, μέλι παραχέας, διδόναι ἐκροφέειν τέσσαρας κοτύλας· τὴν δὲ ἄνω κοιλίην ἐμετοποιεύμενος, κάθαρσιν παρεχέτω ὡς ἐν τοῖσι πρόσθεν· οὕτω γὰρ ἂν ῥήϊστα τὸ φλέγμα ἀπάγοι τοῦ πλεύμονος καὶ τῆς ἀρτηρίης· καὶ ἀναγαργαρισμὸν σκευάζειν αὐτῷ θαμινά. ἐστὶ ἐνίοτε καὶ πυρεταίνει βληχρῷ πυρετῷ, καὶ φρίκη λεπτὴ ἐπιγίνεται. καὶ τἄλλα μεταχειρίζεσθαι ὥσπερ καὶ τοὺς πρόσθεν ἰκτέρους, καὶ φαρμάκοισι,

CAPVT XL.

De quarto ictero, hyberno, à pituita orto; eiusque signis, & curatione.

Alius icterus. *A pituita quidem oritur, præcipuéque per hyemem prehendit. Huius color albus est; eiusque pectus pituitâ plenum est, & saliuam expuit; quumque excreat, ei singultus contingit; & vrinam albam & crassam reddit, in cuius imo velut farina subsidet. Hic icterus minimè est lethalis, breuique sanescit. Huic, quum ita habuerit, granum cnidium propinato; postque purgationem, cremoris ptisanæ quatuor heminas, affuso melle sorbendas exhibeto. Ventrem verò superiorem per vomitum, velut in superioribus, purgato. Sic enim facillimè pituitam ex pulmone & arterijs eduxerit. Et gargarismum ei frequenter apparato. Hic aliquando leui febre febricitat, & horror tenuis oboritur. De cæteris, ijsdem quibus superiores icteros, tum medicamentis,*

tum

tum fomentis, tum balneis, edulijs, potibus, ac sorbitionibus curato. Sic enim potissimùm sanum efficies.

CAPVT XLI.

De typho primo, à bile per corpus commota cum sentiendi, mouendique impotentia; eiusque symptomatis, & curatione.

QVi morbus typhus vocatur. *Typhus quidem appellatur hic morbus, inuadit autem æstatis tempore, quum canis sidus oritur, bile per corpus agitatâ. Statim igitur eum febres vehementes corripiunt, & acutus ardor, & à grauitate imbecillitas, crurùmque ac manuum impotentia, quæ nullum ei vsum præstant; venter perturbatur, & quæ deijciuntur, grauiter olent, vehementiaque tormina succedunt. His etiam afficitur; si quis eum erigere velit, rectus stare nequit, neq; oculis intueri præ ardore; & si quis ipsum interroget, præ dolore respondere non potest. Quum verò interiturus est, tum acutiùs cernit, tum audacter loquitur; & potum & cibum postulat, & si quis cibum exhibuerit, breui etiam, nisi euomuerit, animam concedit. Huic hic morbus septem aut quatuordecim diebus iudicatur. Multi verò etiam ad viginti quatuor percurrunt. Hos igitur si præterierit, conualescet; his enim diebus, lethalis sit, necne, declaratur. Hunc ita habentem ita curato. Primis diebus balneo quidem abstineat, vino autem & oleo tepido in cubili illinito; cibis abstineat; sorbitiones autem tenues & frigidas exhibeto. Vinum autem, si ipsi conferat, nigrum, austerum bibat; sin minùs, album, aquosum austerum. Quòd si vehemens sitis ex ardore vrgeat, vbi confertim potum multum exhibueris, vomere iubeto, idque bis aut ter facito. Quumque ardor tenuerit, attrita lintea frigidæ immersa, quâ præcipuè parte ardere se dixerit, admoueto. At si horror corpus detinuerit, refrigerantia remittito. Hic quum laborauerit, maximè periclitabitur, ne ex huiusmodi dolore derepentè animam emittat. Verùm ei ad dolorem eadem medicamenta, quæ pleuritide laboranti, studiosè exhibenda sunt. Quum verò surrexerit, cibo, potu, & balneis quàm citissimè recreandus est. Morbus enim grauis est, paucique euadunt.*

CAPVT XLII.

De typho secundo, à superflua corporis humiditate, eiusque causis, signis, & curatione.

ALius Typhus. *Morbus quidem omni anni tempestate inuadit. Ob corporis autem humiditatem oritur, quum cibos humidos & copiosum potũ carnes exsorbuerint, & madentes extiterint; ab his potissimũ morbus generatur. Per exordia igitur febris tertiana aut quartana exoriri incipit, dolor vehemens capiti insidet, & interdùm in corpore, sed intermittit; & saliuã euomit, crebrò ructat, & oculorũ regiones dolet; vultus vt apua exalbescit, ad pedes tumor delabitur,*

καὶ πυρίῃσι, καὶ λουτροῖσι, καὶ ἐδέσμασι, καὶ ποτοῖσι, καὶ ῥοφήμασιν· οὕτω γὰρ ὡς μάλιστα ὑγιέα ποιήσεις.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Περὶ τοῦ πρώτου τύφου τοῦ ἀπὸ τῆς χολῆς ἀνὰ τὸ σῶμα κινηθείσης μετὰ τῆς τοῦ αἰσθητικοῦ, καὶ τοῦ κινητικοῦ ἀκρασίας· καὶ τῶν αὐτοῦ συμπτωμάτων, καὶ θεραπευτικῶν.

ΝΟύσημα, ὅπερ καλεῖται τύφος. Τύφος μὲν τοῦτο τὸ νούσημα καλέεται, ἐπιλαμβάνει δὲ θέρεος ἐν ὥρῃ, ὁκόταν ὁ κύων τὸ ἄστρον ἐπιτέλλῃ, χολῆς κινηθείσης ἀνὰ τὸ σῶμα. εὐθέως οὖν αὐτὸν πυρετοὶ ἔχουσιν ἰσχυροὶ, καὶ καῦμα ὀξὺ, καὶ ἀπὸ τοῦ βάρεος ἀσθενείη, καὶ ἀχρησίη τῶν σκελέων καὶ τῶν χειρῶν, ἀχρεῖα γὰρ μάλιστα γίνεταί οἱ· καὶ ἡ γαστὴρ ταράσσεται, καὶ τὰ ὑποχωρέοντα δυσώδεα, καὶ στρόφος ἰσχυρὸς ἐπιγίνεται. ταῦτά τε πάσχει· καὶ ἢν τις ἀναστῆσαι θέλῃ αὐτὸν, οὐ δύναται ὀρθοῦσθαι, οὐδὲ τοῖσιν ὀφθαλμοῖσιν ἀναορῆν δύναται ὑπὸ τοῦ καύματος, καὶ ἤν τις αὐτὸν ἐρωτᾷ, ὑπὸ τοῦ πόνου οὐ δύναται ἀποκρίνασθαι. ὁκόταν δὲ μέλλῃ ἀποθνήσκειν, ὀξύτερά τε ὁρῇ, καὶ φθέγγεται θαρσαλέως· καὶ πιεῖν καὶ φαγεῖν αἰτεῖ· καὶ ἢν δῷ τις καταφαγεῖν, ἐν τάχει μεθίει καὶ τὴν ψυχὴν, ἢν μὴ ἐξεμέσῃ. τούτῳ ἡ νοῦσος αὕτη κρίνεται ἐν ἑπτὰ ἡμέρῃσιν ἢ δεκατέσσαρσι· πολλοὶ δὲ διαπτέχουσι καὶ ἐς τὰς εἰκοσιτέσσαρας· ἢν γοῦν ταύτας διέλθῃ, ὑγιὴς ἔσται[184] καὶ γὰρ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι δηλοῦται, εἰ θανάσιμος, ἢ οὔ. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὧδε ἰῆσθαι. ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων, λουτροῦ μὲν ἀπέχεσθαι, ἀλείφειν δὲ οἴνῳ καὶ ἐλαίῳ χλιαίνων ἐς κοίτην· καὶ σιτίων ἀπέχεσθαι, ῥοφήματα δὲ λεπτὰ [185] καὶ ψυχρὰ διδόναι. οἶνον δὲ πινέτω μέλανα, αὐστηρὸν, ἢν ξυμφέρῃ αὐτῷ· ἢν δὲ μὴ, λευκὸν,[186] ὑδαρὸν, αὐστηρόν· ἢν δὲ δίψα ἰσχυρὴ πιέζῃ ὑπὸ τοῦ καύματος, ἀθρόον διδοὺς πίνειν, κέλευε ἐξεμέειν, ταῦτα δὶς ἢ τρὶς ποιήσας. καὶ ὁκόταν τὸ καῦμα ἔχῃ, ῥάκεα βάπτων ὕδατι ψυχρῷ, προστιθέναι ᾗ ἂν μάλιστα φῇ καίεσθαι· ἢν δὲ φρίκη ἔχῃ τὸ σῶμα, ἀνιέναι τὰ ψύγματα. οὗτος ὁκόταν πονῇ, μάλιστα ἀπὸ τῆς τοιαύτης ὀδύνης ἐξαίφνης κινδυνεύσει [187] καταλιπὼν τὴν ψυχήν· ἀλλὰ διδόναι χρὴ αὐτῷ τῆς ὀδύνης τὰ φάρμακα μετὰ σπουδῆς τὰ αὐτὰ, ἃ καὶ τῷ ὑπὸ τῆς πλευρίτιδος ἐχομένῳ. ὁκόταν δὲ ἐξαναστῇ, ἀνακομίζειν σιτίῳ, καὶ ποτῷ, καὶ λουτροῖσιν ὡς τάχιστα· ἡ γὰρ νοῦσος χαλεπὴ, καὶ παῦροι [188] διαφεύγουσιν.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

Περὶ τοῦ δευτέρου τύφου τοῦ δι' ὑγρασίαν τοῦ σώματος γινομένου, καὶ τῶν τούτου αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

ΑΛλος τύφος. Ἐπιλαμβάνει μὲν τὸ νούσημα πάσην ὥρην· γίνεται δὲ δι' ὑγρασίην τοῦ σώματος, ὁκόταν τὰ σιτία ὑγρὰ ἐόντα καὶ τὸ ποτὸν πουλὺ αἱ σάρκες ἀναπίωσι, καὶ πλαδαραὶ γίνωνται· ἀπὸ τούτων τὸ νούσημα γίνεται μάλιστα. ἄρχεται οὖν ὁ πυρετὸς τριταῖος ἢ τεταρταῖος κατ' ἀρχὰς γινόμενος, καὶ πόνος ἰσχυρὸς ἐν τῇ κεφαλῇ ἐνίσταται, ἐνίοτε δὲ καὶ ἐν τῷ σώματι διαλείπων, καὶ ἐμέει σίαλον, καὶ ἐρεύγεται πυκνὰ, καὶ ἀλγέει τὰς [189] χώρας τῶν ὀφθαλμῶν, καὶ τὸ πρόσωπον ἀφύει, καὶ ἐς τοὺς πόδας οἴδημα κατέρχεται,

ἐνίοτε δὲ καὶ ὅλον τὸ σῶμα ἀποιδεῖ, καὶ ἐς τὰ στήθεα, καὶ ἐς τὸ μετάφρενον ἐνίοτε ἡ ὀδύνη τρέχει, καὶ ἡ γαστὴρ τετάρακται· καὶ τοῖσιν ὀφθαλμοῖσιν [190] ἐξορῆται ἰσχυρῶς, καὶ τὸ σίαλον ἀποπτύει πολλὸν καὶ ἀφρῶδες, καὶ ἐν τῇ φάρυγγι δοκεῖ ἐνέχεσθαι, καὶ κέρχει αὐτὸν, πολλάκις δὲ καὶ φλεγμαίνει ὁ φάρυγξ. [191] Οὗτος, ὁκόταν οὕτως ἔχῃ, καὶ οὕτως ὁ πόνος πιέζῃ, καὶ ὀρθόπνοια ἰσχυρὴ ἐμπέσῃ, [192] ἔστιν ὅτε καὶ πολλάκις ἐξαπίνης ὑπὸ τοῦ πόνου τὴν ψυχὴν ἀφῆκεν ἐν ἑπτὰ ἡμέρῃσιν, ἢ ἐν δεκατέσσαρσι· πολλοὶ δὲ διαφέρουσι [193] καὶ ἕως τῶν εἰκοσιτεσσάρων ἡμερέων. πολλάκις δὲ καὶ ἐξαπίνης ἡ νοῦσος ἀνῆκε, καὶ δοκεῖ ὑγιὴς εἶναι, ἀλλὰ φυλάσσεσθαι χρὴ, ἄχρις ἂν αἱ τέσσαρες καὶ εἴκοσιν ἡμέραι παρέλθωσιν· ἢν γὰρ ταύτας διαφύγῃ, οὐ μάλα θνήσκει. Τούτῳ, ὁκόταν ὧδε ἔχῃ, ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων χρὴ ῥοφήματα διδόναι, ἄλητον κάθεφθον, μέλι λεπτὸν παραχέων· πίνειν δὲ διδόναι μέλανα οἶνον κατ' ὀλίγον, ὅκως ἂν βούληται κεκρημένον. σιτία δὲ μὴ προσφέρειν, πρὶν ἂν αἱ ἡμέραι παρέλθωσι· πολύποδας δὲ ἐν οἴνῳ ἑφθοὺς διδόναι ἐσθίειν, καὶ τὸν ζωμὸν ῥοφάνειν, καὶ ῥαφανίδας τρώγειν πολλάς. καὶ καρδάμου καρπὸν φώσας, ἀλέσαι καὶ σῆσαι λεπτὰ, εἶτα πινέτω, οἶνον μέλανα ἐπιβάλλων στρυφνὸν, καὶ ἄλφιτα λεπτὰ ὀλίγα διδόναι πίνειν ἕωθεν. λουτροῦ δὲ ἀπεχέσθω, μέχρις ἂν αἱ ἡμέραι παρέλθωσιν· οἴνῳ δὲ καὶ ἐλαίῳ χλιήνας, ἀλείφειν ἐς κοίτην, καὶ ἐκμάσσειν· καὶ γλυκυσίδης καρποῦ δέκα κόκκους ἑψῶν ἐν οἴνῳ μέλανι, διδόναι πίνειν· καὶ γογγυλίδας διέφθους ποιέων, ῥοφανέτω τοῦ χυλοῦ, ἀρτύσας τυρῷ ἀνάλτῳ, καὶ μήκωνι, καὶ ἁλὶ, καὶ ἐλαίῳ, καὶ σιλφίῳ, καὶ ὄξει. ἢν δὲ καὶ φάρμακον βούλῃ πίσαι, τοῦ κνιδίου κόκκου πίσαι, καὶ μετὰ τὴν κάθαρσιν, ἀλεύρου ἑφθοῦ καὶ λιπαροῦ δοῦναι [194] δύο τρυβλία ἐκροφέειν, οἶνον δὲ πινέτω τὸν αὐτόν. καὶ τῶν φαρμάκων, καὶ ῥοφημάτων, καὶ ποτῶν ὅ,τι ἂν διδῷς, ὀνήσει, ἤν τε καθ' ἓν, ἤν τε κατὰ πλείω προσφέρῃς· καὶ οὕτω τάχιστα ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος χαλεπὴ, καὶ παῦροι διαφυγγάνουσιν.

A *interdùm verò etiam totum corpus tumet; & ad pectus & dorsum aliquando dolor excurrit; venter turbatur; oculis vehementer prospectat; sputum copiosum & spumosum expuit, quod faucibus adhærescere videtur, ipsasque exasperat, plerúnque verò etiam fauces inflammantur. Hic quum sic habuerit, sicque dolor presserit, eique vehemens orthopnœa inciderit, interdum, frequenterque, derepente intra septem aut quatuordecim dies animam* B *emittit. Plerique verò etiam ad vigesimum quartum perdurant. Sæpè quoque derepentè morbus remittit, & sanus esse videtur. Verùm diligenter cauere oportet, quoad quatuor & viginti dies præterierint; hos enim si effugerit, vix moritur. Huic, quum ita habuerit, primis diebus sorbitio, farina elixa, tenui melle affuso, exhibenda est. Vinum verò nigrum paulatim potui dandum, prout* C *voluerit temperatum. At cibos, priusquàm hi dies præterierint, ne porrigito. Polypos ex vino coctos edendos dato; & ius sorbendum, radiculasque multas comedendas. Et nasturtij semen tostum, molitum, & tenuiter cribratum, deinde vino nigro acerbo iniecto bibat, polentámque tenuem, paucam, mane bibendam dato. Balneo abstineat; quoad hi dies præterierint. Vino & oleo tepefactis, in cubili illine & absterge. Ac pæoniæ seminis grana decem ex vino nigro decocta potui exhibeto. Et raporum probè decoctorum iusculum sorbeat, caseo insulso conditum, papauere, sale, oleo, lasere, & aceto.* D *Quòd si medicamentum propinare velis, granum cnidium propinato. Et post purgationem, farinæ coctæ & pinguis duas heminas sorbendas dato, idémque vinum bibat. Ac medicamenta, sorbitiones, & potiones, quascunque dederis, siue singula per se, siue plura simul exhibueris, profuerint; sicque citissimè sanum reddideris. Morbus autem grauis est, paucique effugiunt.*

E

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

Περὶ τοῦ τρίτου τύφου τοῦ ἀπὸ χολῆς σαπείσης καὶ τῷ αἵματι ἀναμεμιγμένης, καὶ ἐς τὰς φλέβας καὶ τὰ ἄρθρα καταστηριζομένης, γινομένου, ὅθεν ἡ δυσκινησία· καὶ περὶ τῶν τούτου αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

Ἄλλος τῦφος. Γίνεται μὲν καὶ οὗτος διὰ τόδε· ὁκόταν ἡ χολὴ σαπεῖσα μιγῇ τῷ αἵματι ἀνὰ τὰς φλέβας καὶ τὰ ἄρθρα, ὁκόταν τὸ αἷμα στῇ· ἐνίσταται δὲ μάλιστα ἐν τοῖσιν ἄρθροισι, καταστηρίζεται δὲ ἐνίοτε καὶ εἰς τὸ ἄλλο πᾶν σῶμα, καὶ ὀδύνας παρέχει ὀξείας. καὶ οἱ πολλοὶ ἐκ τῆς τοιαύτης νούσου, χωλοὶ γίνονται, ὁκόταν ἀποληφθεῖσα ἐν τοῖσιν ἄρθροισιν ἡ χολὴ πωρωθῇ· ἡ δὲ ὀδύνη διαλείπουσα ἐπιλαμβάνει καὶ διὰ τριῶν ἡμερέων, καὶ διὰ τεσσάρων. Τοῦτον, ὁκόταν ὧδε ἔχῃ, μελετᾶν οὕτως. τῆς ὀδύνης ἐπικρατούσης ἐν τῷ σώματι, χλιάσματα χρὴ ποιέειν καὶ προστιθέναι, ἐλαίῳ ὑπαλείψας.

CAPVT XLIII.

De tertio typho ex bilis putrentis, sanguini permixtæ, in venas & articulos decubitu, orto, vnde motionis difficultas; ac de eius caussis, signis, & curatione.

ALius Typhus. *Hic quidem hanc ob causam gignitur; quum bilis putrefacta sanguini per venas & articulos permixta fuerit, quum sanguis steterit;* F *in articulis autem præcipuè consistit; quandóque etiam in reliquum corpus vniuersum decumbit, doloresque acutos exhibet. Plerique etiam ex huiusmodi morbo claudi euadunt; quum bilis in articulis intercepta, in tofum obduruerit; dolor verò intermittens, per tres & quatuor dies inuadit. Hunc, quum ita affectus fuerit, sic curato. Dolore in corpore exuperante, fotus tepentes oleo priùs illito parare & admouere oportet. Quum*

Quum autem remiserit, veratrum ipsi exhibeto, fotu prius vniuerso corpori admoto. Postero autem die serum lactis caprini decoctum ad duos congios potui exhibeto, ad alterum congium melle affuso, ad alterum verò sale iniecto; deinde vicissim alternatis poculis, totum ebibat. Sub vesperum verò post purgationem, lenticulæ heminam sorbeat, & betarum pinguium heminam, polentâ aspersâ, bibat. Pulli gallinacei carnem, aut columbæ, aut turturis, aut ouiculæ, aut suis, pinguem edat. Veratrum autem sexto quôque die exhibeto. Et sicubi in articulis tumor exoriatur, nec abscedere queat, admotâ cucurbitulâ sanguinem detrahito, compunctis ferri cuspide triangulari vicinis genu partibus, & genibus in quibus tumor extiterit, nullo tamen alio articulo compuncto. Intermediis autem diebus cibum sumat, panem quidem maximè assatum, mazam autem quàm maximè melle & oleo subactam. Sed opsonia quàm maximè assa habeat, volucrium verò carnes insulsas; sin minùs, etiam cum iure coctas, absque caseo tamen, sesamo, & sale. At piscibus vtatur maximè carnosis, assis tamen, ad eundem modum, quo carnes, coctis, origano conspersis & oleo subunctis. Vinum autem si conferat, album bibat; quòd si non conferat, nigrum; & per circuitus interdiù post cœnam & manè se exerceat. Serum autem & lac pro tempore, semper bibat. Quòd si tibi visum fuerit, etiam asininum lac decoctum exhibeto. Et si sanus euaserit, à frigore & æstu sibi caueat; neque cibis admodùm repleatur; periculum enim est, ne rursus morbus reuertatur. Sic igitur curatus hic morbus, sex mensibus sanatur. Tot enim mensium interuallis, lethalis sit, necne, iudicatur; qui etiamsi confestim curetur, molestus tamen est, & plerisque commoritur.

ὁκόταν δὲ λωφῇ, δοῦναι αὐτῷ ἐλλέβορον, πυριήσας πρόσθεν ἅπαν τὸ σῶμα. τῇ δὲ ὑστεραίῃ ὀῤῥὸν αἰγὸς ἑψήσας, δοῦναι πίνειν, δύο χοέας, παρὰ τὸν ἕτερον χοέα, μέλι παραχέας, παρὰ δὲ τὸν ἕτερον, ἅλας παραβαλών· εἶτα κύλικα παρὰ κύλικα παραλλάσσων, πινέτω ἕως ἂν ἐκπίῃ ἅπαν. εἰς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν, φακῆς τρύβλιον ῥοφεέτω, καὶ τεύτλων τρύβλιον λιπαρῶν, ἄλφιτα παραπάσας, ἐκπιέτω· καὶ νεοσσοῦ ἀλεκτορίδος κρέας, ἢ πελειάδος, ἢ τρυγόνος, ἢ οἶος, ἢ ὑὸς πίον τρωγέτω· τὸν δὲ ἐλλέβορον, δι' ἕκτης ἡμέρης διδόναι. καὶ ἢν κου τῶν ἄρθρων ἀποιδίσκεται καὶ μὴ θέλῃ ἀφίστασθαι, σικύην προσβαλὼν, ἀφαιρέειν τοῦ αἵματος, κατακεντῶν ἀκίδι τριγώνῳ ἐς τὰ γουνάτα, καὶ ἐν τοῖσι γούνασιν ἐν οἷς τὸ οἴδημα, τῶν δὲ ἄλλων ἄρθρων μηδὲν κεντειώσῃς. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, σιτίων προσφερέσθω, ἄρτον μὲν ὡς ὀπτότατον, [195] μάζαν δὲ φαιστὴν ὡς μάλιστα· ὄψα δὲ ἐχέτω ὡς μάλιστα μὲν ὀπτὰ, ὀρνίθια δὲ, ἄναλτα· εἰ δὲ μὴ, καὶ ἑφθὰ, ἐζωμευμένα, πλὴν ἄνευ τυροῦ, καὶ σησάμου, καὶ ἁλός. ἰχθύσι δὲ χρεέσθω τοῖσι σαρκωδεστάτοισι, ὀπτοῖσι δὲ, τὸν [196] ἴσον τρόπον τοῖς κρέασιν ἑψῶν, δι' ὀριγάνου πάσας, ἐλαίῳ αὐτὰ ὑποχρίσας. οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ· ἢν δὲ οὐ ξυμφέρῃ, μέλανα. καὶ ἐν περιόδοισι ταλαιπωρεέτω δι' ἡμέρης, καὶ μετὰ τὸ δεῖπνον, καὶ ὄρθριος· ὀῤῥὸν δὲ καὶ γάλα τὸν ὥρην πινέτω ἀεί· ἢν δὲ σοι δοκέῃ, καὶ ὄνου γάλα διδόναι ἀφεψήσας. καὶ ἢν ὑγιὴς γένηται, ἐν φυλακῇ αὐτὸν εἶναι τοῦ ψύχεος, καὶ τοῦ πνίγεος, καὶ σιτίων μὴ λίην ἐμπιπλάσθω· κίνδυνος γὰρ αὖθις ὑποτροπιάσαι τὴν νοῦσον. αὕτη τοιγαροῦν ἡ νοῦσος, οὕτω θεραπευομένη, ἐν ἓξ μησὶν ὑγιὴς γίνεται· ἐν γὰρ τοῦ τοσούτων μηνῶν τῷ διαστήματι κρίνεται, ἤν τε θανάσιμος, ἤν τε μή· ἢν καὶ παραχρῆμα θεραπεύηται, πλὴν ἡ νοῦσος χαλεπὴ, καὶ τοῖσι πλείστοισι συναποθνήσκει.

CAPVT XLIV.

De quarto typho ex superflua humiditate à fructuum aut placentæ esu genitâ, facto, eiusque signis, prognosticis, & curatione.

ALius Typhus. *Oritur quidem hic morbus fructuum fugacium tempore, quum quis se omni genere fructuum expleuerit. Plerisque verò inde etiam eiusmodi morbus oritur; ex inexplebili placentarum ex sesamo, aliorúmque ex melle dulciariorum esu. Mel enim coctum ventriculo ardorem excitat, eique adhæret; deinde quum in ventriculo coctum fuerit, efferuescit; ventérque derepentè attollitur, incenditur, & disrumpi videtur. Deinde verò diarrhœa derepentè succedit; quumque semel aluus fluere cœperit, multos dies purgatur, multique post hanc purgationem sani euadunt. Quum igitur sponte purgari cessauerit, lentium cremoris, iniecto sale, tres semicongios ipsum ebibere cogito. Post succi autem purgationem, sub vesperum, lenticulæ frigidæ insulsæ heminam, multo lasere incocto sorbeat, & betæ non conditæ, pinguis, polentâ aspersâ, heminam.*

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

Περὶ τοῦ τετάρτου τύφου τοῦ ἀπὸ πλάδου ἐξ ὀπώρας ἢ πλακοῦντος βρώσεως, πεποιημένου, καὶ τῶν αὐτοῦ σημείων, καὶ προγνωστικῶν, καὶ θεραπευτικῶν.

ΑΛλος τύφος. Γίνεται μὲν τὸ νούσημα ἐν ὀπώρης [197] καιρῷ, ὁκόταν τις πληρωθῇ παντοίης ὀπώρης· τοῖσι δὲ πολλοῖσι καὶ ἀπὸ τῶνδε ἐγένετο ἡ τοιάδε νοῦσος· φαγόντες πλακοῦντος, καὶ σησάμης καὶ τῶν ἄλλων μελιτωθέντων ἀπλήστως. τὸ γὰρ μέλι τὸ ἑφθὸν, καυματῶδές ἐστι, καὶ προσπλάσσεται τῇ κοιλίῃ· ἔπειτα ὁκόταν κατεψηθῇ ἐν τῇ κοιλίῃ, ἀναζέεται, καὶ ἐξαπίνης ἡ γαστὴρ ἀείρεται, καὶ πίμπραται, καὶ δοκέει διαῤῥήγνυσθαι. ἔπειτα δὲ ἐξαπίνης διάῤῥοια ἐπεγένετο· καὶ ὁκόταν ἅπαξ ἄρξηται χωρέειν, πολλὰς ἡμέρας καθαίρεται, καὶ πολλοὶ μετὰ ταύτην τὴν κάθαρσιν ὑγιέες ἐγένοντο. Ὁκόταν οὖν παύσηται αὐτόματος καθαιρόμενος, φακῶν χυμοῦ ἀναγκάσαι αὐτὸν ἐκπιεῖν τρία ἡμίχοα, ἅλας παραβάλλων· μετὰ δὲ τὴν κάθαρσιν τοῦ χυμοῦ, ἐς ἑσπέρην, φακῆς τρύβλιον ῥοφεέτω ψυχρῆς ἀνάλτου (σίλφιον δὲ ἐπεξέσθω πουλὺ) καὶ τεύτλου τρύβλιον ἀνηδύντου, λιπαροῦ, ἄλφιτα παραπάσσων.

οἶνον δὲ πινέτω μέλανα, αὐστηρὸν, κατ' ὀλίγον. τὸ δὲ λοιπὸν τοῦ χρόνου, τὰ αὐτὰ ποιεέτω, καὶ σιτία προσφερέσθω, ἄρτον ἔξοπτον, μάζαν τε ψαιστὴν ὡς μάλιστα. τὰς δὲ πρώτας τῶν ἡμερέων, ἄλευρον φαγέτω καθεφθὸν, ἀποψύχων, καὶ μέλι παραχέων· οἶνον δὲ πινέτω μέλανα,[198] στρυφνόν· ἕως ἂν καταστῇ ἡ νοῦσος, ταῦτα προσφερέσθω. Ὁ δὲ ὑπὸ τῆς ὀπώρης ληφθεὶς τῇ νούσῳ, φῦσαν παρέχει, καὶ στρόφον, καὶ ὀδύνην· καὶ τὰ σιτία οὐκ ἐθέλει διαχωρέειν, καὶ ἡ γαστὴρ μεγάλη καὶ σκληρὴ αὐτοῦ ἐστι, καὶ ῥῖγος, καὶ πυρετὸς ἔχει. τούτῳ ἢν μὲν αὐτομάτη ταραχθῇ ἡ κοιλίη, ἐν εἴκοσιν ἡμέρῃσι τὸ ἐλάχιστον καθαίρεται, καὶ ὁκόταν παύσηται καθαιρόμενος, ὑγιὴς παραχρῆμα ἔσται. Ἢν δὲ μὴ καθαρθῇ, καθαίρειν αὐτὸν τῷ ἱπποφαέος ὀπῷ, ἢ τῷ κνιδίῳ κόκκῳ· ἐς ἑσπέρην δὲ ταῦτα διδόναι καὶ τῷ αὐτομάτως καθαιρομένῳ. τῇ δ' ὑστεραίῃ, ἢν μὲν πυρετὸς ἔχῃ, ἡσυχίην ἐχέτω· διδόναι δὲ αὐτῷ πίνειν τοῦ αὐτοῦ οἴνου, ὡς ἐν ψυχροτάτῳ ὕδατι· ἢν δὲ μὴ ἔχῃ πυρετὸς, διαιτήσθω δίαιταν μὴ ὑγρὴν, ἀλλ' ἰσχυροτέρην, καὶ περιπατεέτω, πρὸς τὰ σιτία τεκμαιρόμενος. ἀπὸ τουτέου τοῦ νοσήματος, πολλοῖσιν ἤδη ὕδερος ἐξεγένετο· καὶ ἢν δοκέῃ σοι κλύζειν, τοῖσιν αὐτοῖσι κλύσον, οἷσι καὶ τὸν ὑδεριῶντα. ἢν δὲ βούλῃ, τοῖσδε κλύζειν. ἐν μελικρήτου κοτύλῃ[199] τρίψας θαψίης ἐγξύσαι, εἶτα οὕτως ἐγκλύσαι. οὗτος οὕτω θεραπευόμενος, τάχιστα ὑγιὴς ἔσται.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

Περὶ τοῦ πέμπτου τύφου, τοῦ ἀπὸ πλάδου ἐν τῷ σώματι σαπέντος, καὶ ἀπὸ τῆς μελαίνης χολῆς γινομένου· καὶ τῶν αὐτοῦ αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

Ἄλλος τύφος. Γίνεται μὲν τὸ νόσημα, ὁκόταν τὸ ὑγρὸν τὸ ἐν τῷ σώματι σαπῇ, καὶ ἀναξηρανθῇ μᾶλλον τοῦ καιροῦ. γίνεται γὰρ οὖν τὴν εἰδέην, ὁκόταν τὸ νόσημα ἔχηται, δίυγρος, ὕπωχρος, διαφανὴς, κύστει ἔοικεν οὔρῳ, πλὴν οὐκ οἰδέει, ἀλλὰ λεπτὸς καὶ σκελιφρὸς ἐστι καὶ ἀσθενής· μάλιστα δὲ τοῦ σώματος λεπτύνεται τὰς κληῖδας, καὶ τὸ πρόσωπον ἰσχυρῶς κάτισχνος, καὶ οἱ ὀφθαλμοὶ ἔγκοιλοι σφόδρα. ταῦτα μὲν ὑπὸ τοῦ νοσήματος πάσχει, ἢν δὲ ἡ χροιὴ τοῦ σώματος μέλαινα ᾖ, τάδε αἴτια ἐστιν. ἐς τὰ φλέβια καὶ ἐς τὸ δέρμα ὁκόταν χολὴ μέλαινα ὑπέλθοι, καὶ ἐπὶ τούτοισιν ὁκόταν θέρμη ἐπιγένηται, ἀνάγκη ὑπὸ τοῦ θερμοῦ[200] ξυγκαίεσθαί τε καὶ ἀναξηραίνεσθαι τὰ φλέβια,[201] ὥστε τὸ αἷμα ἐκχωρέειν κατὰ τὰ φλέβια. τάδε οὖν πάσχει ἐστί. λεπτὸς γὰρ καὶ κάτισχνος ἰσχυρῶς, καὶ τοῖσιν ὀφθαλμοῖσιν ἀραιὰ σκαρδαμύσσει, καὶ τὰς μυίας ἀπὸ τοῦ ἱματίου θηρεύει, καὶ βάρος τῶν σιτίων μᾶλλόν ἐστιν ἢ ὑγιαίνων, καὶ λύχνου ἀπεσβεσμένου τῇ ὀσμῇ ἥδεται, καὶ ἐξονειρώσσει θαμινὰ, πολλάκις δὲ καὶ βαδίζοντι αὐτῷ ἐξέρχεται ἡ γονή. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην τῷ μέλανι ἐλλεβόρῳ, τὴν ἄνω δηλονότι· τὴν δὲ κάτω, ὀπῷ σκαμμωνίης. μετὰ δὲ τὴν κάθαρσιν, τὰ αὐτὰ διδόναι, ἃ καὶ τοῖσιν ἄλλοισι, καὶ ὀῤῥὸν, καὶ γάλα βοὸς, ἢ αἰγὸς διδόναι τὴν ὥρην· διδόναι δὲ καὶ ὄνειον γάλα, ἀφεψῶν, ἐς ὑποκάθαρσιν. οὗτος οὕτω μελετώμενος, μά-

Vinum nigrum austerum paulatim bibat. Reliquo autem tempore eadem faciat, & cibos assumat, panem exassatum, & mazam quàm maximè melle & oleo subactam. Primis autem diebus farinam coctam & melle affuso refrigeratam comedat. Vinum bibat nigrum, acerbum. Quoad sedatus fuerit morbus, hæc assumat. Qui verò à fugacium fructuum esu morbo correptus est, flatum exhibet, tormina, & dolorem; neque cibaria deijci queunt, venterque ei magnus & durus est, & rigor, & febris detinet. Huic si sponte quidem venter turbatus fuerit, viginti (vt minimum) diebus purgatur, quumque purgatio cessauerit, confestim sanus euadet. At si minimè purgatus fuerit, eum hippophais succo, aut grano cnidio purgato. Sub vesperum autem eadem etiam ei, qui sponte purgatur, exhibeto. Postridie verò si febris detineat, quietem agat; eique vinum idem ex aquâ frigidissimâ bibendum dato. Quòd si febris minimè detineat, victu vtatur non humido, sed valentiore; & ciborum ratione habitâ, deambulet. Ab hoc morbo plerisque iam hydrops obortus est. Et si clystere opus esse tibi visum fuerit, ijsdem quibus in hydropico, aluum subluito. Quòd si volueris, ex his clysterem parato. Thapsiam herbam in aqua mulsæ hemina deradito, deinde sic paratum clysterem inijcito. Hic ita curatus, citissimè sanus euadet.

CAPVT XLV.

De quinto typho, à corporis putrente humiditate, & ab atra bile genito; eiusque causis, signis, & curatione.

ALius Typhus. *Gignitur quidem hic morbus, quum corporis humores putruerint, & plus æquo resiccati fuerint. Quum igitur morbo prehenditur, fit specie humidus, suppallidus, pellucidus, & vesicæ vrinæ similis apparet; sed non tumet; verùm tenuis est, aridus, ac debilis. Maximè verò corporis, clauiculis extenuatur; & vultu vehementer gracilis est; oculique admodùm caui. Hæc quidem à morbo patitur, quòd si corporis color niger extiterit, hæc causæ sunt. Quum in venas & cutem bilis atra subierit, quumque his calor superuenerit, venulas à calore exuri & siccari necesse est, ac proinde sanguinem per venulas excedere. Hic igitur afficitur his. Tenuis & vehementer gracilis euadit; oculis rarò nictatur, & muscas à stragulis venatur; cibis magis grauatur, quàm quum sanus est; lychni extincti odore gaudet; frequenter exonirogmum patitur, plerúnque & inter eundum ei semen effunditur. Huic, quùm sic habuerit, ventrem, superiorem videlicet, veratro nigro purgato; inferiorem verò scammonij succo. At post purgationem, eadem quæ & cæteris dato, & serum, lacque bubulum, aut caprinum, tempore exhibeto. Lac etiam asininum decoctum ad purgationem dato. Hic ita curatus, intra biennium* maximè

maximè sanus euadit. Cibos quos velit, accipiat; quàm plurimùm comedat, & pro ciborum ratione obambulet. Hic morbus viginti annis maiorem prehendit; quumque prehenderit, nisi per exordia morbi curatus fuerit, non deserit, nisi viginti anni præterierint; sed perseuerat; deinde nonnullis curantibus decedit. Grauis autem morbus est.

CAPVT XLVI.

De ileo primo, laxo, à crassis, lentis, & frigidis humoribus, citra inflammationem, & deiectionum suppressionem, tenuia intestina non omninò obstruentibus, orto; eiusque causis, signis, & curatione.

ILei. *Conuoluuli appellantur hi morbi, ab his autem potissimùm oriuntur; siquis calidâ & humidâ victûs ratione per hyemem vtatur, neque ciborum ratione factâ obambulationibus se exerceat; verùm cibis expletus perpetuò dormiat; deinde derepentè longum iter per frigus conficere cogatur; posteà sub ossibus riguerit. His igitur afficitur. Flatus in vniuerso corpore oboritur, eius color fit plumbeus, & perpetuò riget, adeò vt calida ei affusa, minimè calida esse videatur. Corpus autem eius dum lauatur, à calidâ desquamatur, præsertim verò scrotum; sique digito corporis partem aliquam comprimas, impressionem facies, & tibi vestigium apparebit, quemadmodum in farinâ aquâ subactâ; maximè autem in pedibus cauitas imprimitur. Eius autem crura grauantur, & si deambulet, tremunt; sique per arduum locum iter faciat, vehementer spirat, vlnæ suspendi videntur, sitis per noctem detinet, ciboscque quoscunque comedit, crudos deijcit. Huic ita affecto, fotu ipsi admoto, cneorum, aut hippophais succum, aut granum cnidium propinato. Post purgationem autem eadem, quæ & superioribus, dato. At postridiè lactis asinini cocti congium, sale iniecto, bis ebibendum dato. Sub vesperum autem panem in cœna sumat, opsonium habeat ouiculæ carnes elixas, & polypos in vino nigro elixos, iusculumque sorbeat, lenticulamque sic apparatam habeat. Lenticulæ heminæ coctæ, probè tritæ, posteà farinam commisceto, & laser derasum & salem inijcito, acetum infundito, & ad hæc allia simul coquito; deinde aquâ affusâ, bis aut ter feruefactâ, simul ipsa rudiculâ agitato, postea detractâ* rudiculâ, *elixetur* sorbitio; *sit autem non valdè crassa, cuiq; boni odoris gratiâ pulegium* simul *coctum iniectum sit. Interiectis autem diebus sexto quôq; die vomitus excitet; per interualla tamē ante vomitū & medicamenti potionem fomentū admouere oportet. Tertio quôq; die balneū, si cōferat, adhibeatur; sin minùs, inungatur; & si possit, pro ciborum ratione deambulationibus vtatur; & sambuci folia, conyzæque semper tenellæ decocta, edenda dato. Sic enim curatus facillimè deget, morbusq; post annū deseret. Multis verò iam sanatis, post bienniū morbus reuersus est. Verū si redeat, eādē curatione curare oportet.*

λιστα ἐν δυσὶν ἔτεσιν ὑγιὴς γίνεται. σιτία δὲ ἃ βούλεται, προσφερέσθω· εὐωχεέσθω δ᾽ ὡς μάλιστα, καὶ περιπατεέτω πρὸς τὰ σιτία τεκμαιρόμενος. Αὕτη ἡ νοῦσος λαμβάνει πρεσβύτερον εἰκοσαέτεος· ὁκόταν δὲ λάβῃ, ἢν μὴ κατ᾽ ἀρχὰς τοῦ νοσήματος μεταχειρισθῇ, οὐκ ἐκλείπει, εἰ μὴ εἴκοσιν ἔτεα παρέλθῃ, ἀλλὰ προσέχει· ἔπειτα ἐνίοισι μεταχειριζομένοισιν ἐξέρχεται. ἡ νοῦσος δὲ χαλεπή.

ΚΕΦΑΛΑΙΟΝ Μϛ'.

Περὶ τοῦ πρώτου εἰλεοῦ, τοῦ λαπαροῦ, τοῦ ἀπὸ τῶν ὑγρῶν παχέων, καὶ γλίσχρων, καὶ ψυχρῶν χωρὶς φλεγμονῆς, καὶ διαχωρημάτων ἐπισχέσεως, τὰ λεπτὰ ἔντερα μὴ παντελῶς ἐμφραττόντων γινομένου· καὶ τῶν αὐτοῦ αἰτίων καὶ σημείων, καὶ θεραπευτικῶν.

ΕΙλεοί. Εἰλεοὶ δὲ τάδε τὰ νουσήματα καλέεται, γίνεται δὲ ἀπὸ τῶνδε μάλιστα· ἢν τοῦ χειμῶνος θερμῇ τῇ διαίτῃ καὶ ὑγρῇ χρέεται, καὶ μήτε περιόδοισι ταλαιπωρέῃ πρὸς τὰ σιτία τεκμαιρόμενος, πιμπλάμενος δὲ εὕδῃ ἀεί· εἶτα ἐξαπίνης ἀναγκασθῇ βαδίσαι μακρὴν ὁδὸν, ψύχεος ἐόντος· εἶτα ῥιγώσῃ ὑπὸ τὰ ὀστέα. Τάδε οὖν πάσχει· φῦσα ἐγγίνεται ἐν τῷ σώματι πάντῃ, καὶ ἡ χροιὴ αὐτέου γίνεται μολιβδοειδής, ῥιγοῖ αἰεί, ὥστε οἱ θερμὸν καταχυθὲν, οὐ δοκέεται θερμὸν εἶναι. Τὸ δὲ σῶμα λουόμενον αὐτοῦ, λεπίζεται ἀπὸ τοῦ θερμοῦ, μάλιστα δὲ ἡ ὄσχη· καὶ ἢν τῷ δακτύλῳ τοῦ σώματος ὑποπιέζῃς, [201] ἐνθλάσῃς, καὶ σημανέεταί τοι ὥσπερ ἐν σταιτί· μάλιστα δὲ ἐν τοῖσι [202] ποσὶν ἐνθλᾶται. Τὰ δὲ σκέλεα βαρέα αὐτοῦ, καὶ ἢν περιφοιτήσῃ, τρέμει· καὶ ἢν [203] πρὸς αἶπος βαδίζῃ, πνευστιᾷ σφόδρα, καὶ αἱ ὠλέναι δοκέουσιν ἀποκρέμασθαι, καὶ δίψη ἔχει τὰς νύκτας, τὰ δὲ σιτία ὠμὰ διαχωρέει ἅσσα καταφάγῃ. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πυριήσας αὐτὸν, κνεώρου διδόναι πίνειν, ἢ τοῦ ἱπποφαέος ὀπὸν, ἢ τοῦ κνιδίου κόκκου· μετὰ δὲ τὴν κάθαρσιν, ταῦτα διδόναι ἃ καὶ τοῖσι πρόσθεν· τῇ δὲ ὑστεραίῃ, ὀνείου γάλακτος ἑφθοῦ [204] χοέα διδόναι δὶς ἐκπιεῖν, ἅλας παραβάλλων· ἐς ἑσπέρην δὲ δειπνεέτω ἄρτον, ὄψον δὲ ἐχέτω οἰὸς κρέα ἑφθὰ καὶ πουλύποδας ἑφθοὺς ἐν οἴνῳ μέλανι, καὶ τὸν ζωμὸν ῥοφανέτω, καὶ φακῆν ἐχέτω ὧδε ἐσκευασμένην· κοτύλην φακοῦ ἑψήσας, τρῖψαι λίην, ἔπειτα ἄλευρον παραμίξαι, καὶ σίλφιον ἐπιξέσαι, καὶ ἅλας ἐμβαλεῖν, καὶ ὄξος ἐπιχέαι, καὶ σκόροδα πρὸς τούτοις [205] συνεψεῖν· ἔπειτα ὕδωρ ἐπιχέας, ζέσαι δὶς ἢ τρὶς· καὶ τορυνᾶν ἅμα αὖθις· ἔπειτα ἀφελὼν, [166] ἑψήσθω· ἔστω δὲ μὴ λίην παχείη, ἐμβεβλήσθω δὲ καὶ ἡ γλήχων ἑψομένη, τῆς εὐωδίης εἵνεκα. Τὰς δὲ μεταξὺ τῶν ἡμερέων, ἐμέτους ποιεέσθω δι᾽ ἕκτης ἡμέρης· πυριῆσθαι δὲ χρὴ ἄλλοτε καὶ ἄλλοτε πρὸ τοῦ ἐμέτου καὶ τῆς φαρμακοποσίης· καὶ διὰ τρίτης ἡμέρης λουέσθω, ἢν συμφέρῃ· εἰ δὲ μὴ, ἀλειφέσθω, καὶ περιπατεέτω ἢν δυνατὸς ᾖ, πρὸς τὰ σιτία τεκμαιρόμενος· καὶ ἀκτῆς φύλλα, καὶ κονύζης τῆς αἰεὶ ἁπαλῆς ἑψῶν, διδόναι ἐσθίειν· οὕτω γὰρ ἂν μεταχειριζόμενος, ῥήϊστα διάγοι, καὶ ἡ νοῦσος ἐκλείπῃ ἂν ἐνιαυσιαίη. Πολλοῖσι δὲ ἤδη ὑγιέσι γινομένοισι, διὰ δύο ἐτέων ἡ νοῦσος ὑπετροπίασεν· ἀλλὰ χρὴ, ἢν ὑποτροπιάσῃ, τὴν αὐτὴν ἴησιν ἰῆσθαι.

ἢν δὲ τρίτον ὑποτροπιάσῃ, οἴδημα μὲν οὐκ ἐπιγίνεται, λεπτὸς δὲ γίνεται καὶ κάτισχνος, ἄρχεται δὲ λεπτύνεσθαι ἀπὸ τοῦ προσώπου, καὶ τὴν χροιὴν ἔκλευκος γίνεται μᾶλλον ἢ τὸ πρόσθεν. τούτῳ ὕδερος ἐνίοτε ἐγγίνεται ἐν τῇ κοιλίῃ· ἢν οὖν ἐγγένηται, τάμνειν αὐτὸν οὐ χρή, ἀποθανέεται γάρ· θεραπεύειν δὲ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν ἀπὸ σπληνὸς ὑδεριῶντα. Τοῦτον μάλιστα μὲν κατ' ἀρχὰς βούλεσθαι μελετᾶν, καὶ οὕτω ταχέως ὑγιέα ποιήσῃς· ἡ δὲ νοῦσος δέεται μελέτης πολλῆς, χαλεπὴ γάρ.

Quòd si tertiò reuertatur, tumor quidem non succedit, tenuis tamen & gracilis euadit, & facies extenuari incipit, coloréque exalbido magis, quàm priùs, existit. Huic interdum hydrops in ventre suboritur. Si igitur exortus fuerit, eum minimè secare oportet, moritur enim; sed iisdem remediis curare, quibus à liene hydrope laborantem. Hunc maximè quidem per initia curare tibi statuendum est, sicque celeriter sanum reddes. Morbus autem, cum grauis sit, multâ cautione indiget.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

Περὶ τοῦ δευτέρου εἰλεοῦ, τοῦ ἰκτερώδους καὶ χολώδους, ἀπὸ χολῆς πολλῆς ἀθροισμοῦ τὰ λεπτὰ ἔντερα ἐμφράττοντος γινομένου· καὶ τῶν τούτου αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

ΑΛλος Εἰλεὸς ἰκτερώδης. Ἐπιλαμβάνει μάλιστα μὲν θέρεος ὥρῃ ἐν ἑλώδεσι χωρίοισιν ἐστὶ μᾶλλον δὲ ἀπὸ ὑδροποσίης·[206] πολλοὶ δὲ ἤδη τῷ τοιούτῳ συνεσχέθησαν καὶ ὑπὸ τὸν ἥλιον εἰληθέντες, τὴν κεφαλὴν ἀλγήσαντες. ἀλλὰ παραπλήσια τοῖσι πρόσθεν πάσχουσι, πλὴν τῆς χροιῆς· καὶ γὰρ ἐστὶ ὠχρὸς γίνεται, οἷον σίδιον, καὶ οἱ ὀφθαλμοὶ ἔστιν ὅτε ἰκτέρου πίμπλανται. Τοῦτον ὁκόταν οὕτως ἔχῃ, θεραπεύειν χρὴ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. διδόναι καὶ τὸ ἀπ' ἐρεβίνθων λευκῶν ὕδωρ ἑψῶν πίνειν, καὶ ἐν τῷ οἴνῳ διακιρνᾶν καὶ διδόναι, καὶ τὴν κεφαλὴν αὐτέου καθαίρειν[207] τῷ τετραγώνῳ. ἐστὶ ἧσσον τοῦ προτέρου θανατώδης· καλέεται δὲ Εἰλεὸς ἰκτερώδης.

CAPVT XLVII.

De secundo ileo icterico & bilioso, ex multi humoris biliosi collectione tenuia intestina obstruente facto, eiusque causis signis & curatione.

ALius ileus auriginosus. *Hic maximè æstatis tempore, in palustribus locis inuadit; ex aquæ autem potione magis. Plerique verò sub sole versati etiam, capite dolentes, eiusmodi iam* morbo *detenti sunt. Verùm prioribus similia patiuntur, colore excepto. Etenim hic fit pallidus vt malicorium, & oculi interdùm auriginoso colore implentur. Hunc, quum sic habuerit, iisdem quibus superiorem, curare oportet. Cicerum etiam alborum aqua decocta potui exhibenda, & vino permiscenda & propinanda est, eiusque caput* medicamento *tetragono purgandum. Hic superiore minùs lethalis; conuolulus autem auriginosus nuncupatur.*

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

Περὶ τοῦ τρίτου εἰλεοῦ τοῦ αἱματίτου, ἢ μετὰ αἱμορραγίας, καὶ τῶν τούτου αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

ΕΙλεὸς αἱματίτης. Τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτὰ τοῖσι πρόσθεν, ἄρχεται δὲ μετοπώρου γίνεσθαι τὸ νούσημα. τάδε ἐν τῷ νουσήματι προσγίνεται. ἐκ τοῦ στόματος κακὸν ὄζει ἀπὸ τῶν ὀδόντων, καὶ τὰ οὖλα ἀφίσταται, καὶ ἀπὸ τῶν ῥινῶν αἷμα ῥέει· ἐνίοτε δὲ καὶ ἐκ τῶν σκελέων ἕλκεα ἐκφλυνδάνει, καὶ τὰ μὲν ὑγιαίνεται, τὰ δὲ ἄλλα προσγίνεται· καὶ ἡ χροιὴ μέλαινα, καὶ λεπτόδερμος· περιφοιτῆν δὲ καὶ ταλαιπωρέειν[208] πρόθυμος. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τούτοισιν ἰῆσθαι, οἷσι καὶ τοὺς πρόσθεν, καὶ κλύζειν τοῖσδε. σικύου τοῦ ἀγρίου πέντε φύλλα τρίψαι λεῖα, καὶ παραμίξαι μέλιτος ἡμικοτύλιον, καὶ ἁλῶν δραξάμενος τῇ μιῇ χειρί, καὶ ἐλαίου ἡμικοτύλιον, καὶ ἀπὸ τεύτλων ἑφθῶν τοῦ χυλοῦ τέσσαρας κοτύλας. διδόναι δὲ ἐς ὑποκάθαρσιν ὀνείου γάλακτος ἑφθοῦ κοτύλας ὀκτὼ, μέλι παραχέων· πινέτω δὲ καὶ βόειον τὴν ὥρην, τεσσαράκοντα ἡμέρας. πινέτω δὲ καὶ τὸ ἕωθεν τοῦ βοείου γάλακτος δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγοντας[209] καὶ μεταξὺ τῶν ἡμερέων. Αὕτη ἡ νοῦσος δέεται πολλῆς ἰήσιος· εἰ δὲ μή, οὐκ ἐξέρχεται, ἀλλὰ ξυναποθνήσκει τῷ ἀνθρώπῳ· καλέεται[210] δὲ Εἰλεὸς αἱματίτης.

CAPVT XLVIII.

De tertio ileo hæmatite, vel cum hæmorrhagia, eiusque causis, signis, ac curatione.

ILeus sanguineus. *Cætera quidem copiâ eadem, quæ prioribus, contingunt. Morbus autem autumno oriri incipit, in eóque morbo hæc accedunt. Ore malè olet à dentibus, & gingiuæ abscedunt, & ex naribus sanguis effluit. Interdùm verò ex cruribus vlcera erumpunt, & hæc quidem sanescunt, alia verò exoriuntur; color niger est, cutis tenuis; ad deambulationem & exercitationem* haud *promptus est. Hunc, quum ita habuerit, iisdem quibus superiores curato, & ex his aluum subluito. Cucumeris agrestis folia quinque tenuiter terito, & mellis heminam dimidiam admisceto, & salis pugillum, itémque olei heminam dimidiam, & betarum coctarum succi heminas quatuor. Dato etiam ad purgationem per inferiora lactis asinini cocti heminas octo, melle affuso; &* lac *bubulum, si tempus ferat, quadraginta diebus bibat. Manè quoque lactis bubuli heminas duas bibat, tertiâ aquæ mulsæ parte etiam interpositis diebus admixtâ. Hic morbus multâ curatione indiget, alioqui non decedit, sed cum homine commoritur. Vocatur autem conuolulus sanguineus.*

CAPVT XLIX.

De primo pachyſmo, aut craſsâ ventris mole ex pituita & bilis collectione, vel defluxione, ortâ; eiuſque cauſis, ſignis, & curatione.

MOrbi, qui craſsi vocantur. *Ex craſsis morbis nuncupatis, hæc præcipuè oriuntur. Quum pituita & bilis in corpore mixta fuerint, in ventrem defluunt, quumq; in ventre coaceruata fuerint, attolluntur, ſurſumq; ac deorsùm velut vnda decurrunt; rigor & febris prehendit, dolor in capite conſiſtit, quumq; ad viſcera dolor peruenerit, ſuffocationem excitat. Interdũ pituitam acidam, quandoq; etiam ſalſam vomit; quumque euomuerit, os ei amarum videtur. Latera rubores occupant; pituitâ nanq; in ventre exiſtente, ſanguis calore coaceruatus ad latera procidit; & in lateribus rubores excitat, coſtaſque calor maximè vexat, ipſique dorſum incuruatur. Quumque maximè doleat, corporis contactum non ſuſtinet; dolet enim tanquam ab vlcere, carnes præ dolore palpitant, teſtes contrahuntur, & ad ſedem ac veſicam calor quidam & dolor irrumpit, craſſamque vrinam, qualem hydrope laborantes, reddit; capilli ex capite defluunt, pedes ſemper frigidi ſunt, dolor maximè latera, dorſum, & ceruicem premit, eique ad cutem aliquid adrepere videtur. Morbus autem interdùm quidem vrget, interdùm verò remittit. At procedente morbo, aſsiduè magis vrget, cutiſque capitis craſſa & rubra eſt. Hic ad ſex quidem annos hoc modo affectus perdurat; deinde ſudor copioſus & graueolens effunditur; crebrò verò per ſomnum ſemen effundit, illiuſque ſemen genitale ſubcruentum prodit & ſubliuidum. Hic morbus ex ſolis calore, & aquæ potione oritur. Hunc igitur, quum ſic habuerit, cneoro exhibito ſubpurgato, aut grano cnidio, aut hippophais ſucco. Poſt purgationem autem eadem quæ & alijs exhibeto. Poſtridiè verò lactis etiam aſinini cocti octo heminas, melle affuſo potui dato. Primis autem diebus eadem, quæ hydrope detentus, in cibo accipiat; & ſi poſsit, obambulationibus ſe exerceat. Quòd ſi non poſsit ob febres, neque cibos comedere queat, lenticulæ ſorbitione vtatur, & in potu vino nigro quàm maximè auſtero. Hic morbus autumno præcipuè & autumnalium fructuum tempore inuadit. Hic ſi quidem intra ſex annos curatus fuerit,* bene eſt; *ſin minùs, ad vſque decem annos perſeuerat; pleriſque verò, niſi quamprimùm curatus fuerit, commoritur.*

ΚΕΦΑΛΑΙΟΝ ΜΘ'.

Περὶ τοῦ πρώτου παχυσμοῦ, ἢ πάχεος τῆς κοιλίας ὄγκου, τοῦ ἀπὸ χολῆς καὶ φλέγματος συναθροισμοῦ ἢ ῥεύματος, γινομένου· καὶ τῶν τούτου αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

ΤΑ παχέα καλούμενα νοσήματα. Ἐκ δὲ τῶν παχέων καλουμένων νουσημάτων, τάδε μάλιστα γίνεται. ὁκόταν φλέγμα καὶ χολὴ μιχθῇ κατὰ τὸ σῶμα, ῥεῖ ἐς τὴν κοιλίην, καὶ ὁκόταν ἀλισθῇ ἐν τῇ κοιλίῃ, ἀείρεται, ἄνω τε καὶ κάτω ἀναβρέχει, ὥσπερ κῦμα· καὶ ῥῖγος, καὶ πυρετὸς ἐπιλαμβάνει, καὶ ἐν τῇ κεφαλῇ ἡ ὀδύνη καθέστηκε, καὶ ὁκόταν πρὸς τὰ σπλάγχνα ἡ ὀδύνη καταστῇ, πνῖγμα παρέχει. ἐνίοτε δὲ ἐμεῖ λάπην ὀξείην, ἐνίοτε δὲ καὶ ἁλμυρήν· καὶ ὁκόταν ἀπεμέσῃ, πικρὸν τὸ στόμα δοκεῖ αὐτῷ εἶναι. ἐν δὲ τῇσι πλευρῇσιν ἐρυθήματα κατέχεται, ἅτε γὰρ τοῦ φλέγματος ἐν τῇ κοιλίῃ ἐόντος, τὸ αἷμα ὑπὸ θερμασίης ἀλισθὲν, προσέπεσεν ἐς τὰ πλευρὰ, καὶ ἐρυθήματα παρέχει ἐν τῇσι πλευρῇσι, καὶ θερμασίη ἔχει μάλιστα τὰς πλευρὰς, καὶ τὸ μετάφρενον αὐτοῦ ἔγκυρτον γίνεται· καὶ ὁκόταν πονῇ μάλιστα, οὐκ ἀνέχεται ψαυόμενος τοῦ σώματος, ἀλγεῖ γὰρ[212] ὁκοῖόν περ ἕλκος, καὶ αἱ σάρκες πάλλονται ὑπὸ τῆς ἀλγηδόνος, καὶ οἱ ὄρχιες ἕλκονται, καὶ ἐς τὴν καθέδρην, καὶ ἐς τὴν κύστιν θέρμη τις καὶ ὀδύνη ἐμπίπτει, καὶ οὐρεῖ παχὺ ὁκοῖόν περ ὑδρωπες· καὶ ἐκ τῆς κεφαλῆς αἱ τρίχες ῥέουσι,[213] καὶ οἱ πόδες ἀεὶ ψυχροὶ, καὶ ἡ ὀδύνη πιέζει μάλιστα τὰς πλευρὰς, καὶ τὸ μετάφρενον, καὶ τὸν τράχηλον, πρὸς δὲ τῷ δέρματι δοκεῖ[214] οἵ τι προσέρπειν. ἡ δὲ νοῦσος ὁτὲ μὲν πιέζει, ὁτὲ δὲ ἀνίησι· προϊούσης δὲ τῆς νούσου, συνεχέστερον πιέζει, καὶ τῆς κεφαλῆς τὸ δέρμα παχὺ καὶ ἐρυθρόν ἐστι. ἔστι μέχρι μὲν ἓξ ἐτέων, τοιαῦτα πάσχων διατελεῖ· ἔπειτα ἱδρώς τε πουλὺς καταχέεται καὶ κάκοδμος γίνεται, πολλάκις δὲ[215] καὶ ὀνειρώσσει, τὸ δὲ λάγνευμα τούτου ὕφαιμον προέρχεται, ὑποπέλιδνον. τοῦτο τὸ νούσημα γίνεται διὰ θερμασίην τοῦ ἡλίου καὶ ὑδροποσίην. Τοῦτον τοίνυν, ὁκόταν οὕτως ἔχῃ, τοῦ κνεώρου διδοὺς ὑποκαθαίρειν, ἢ τοῦ κνιδίου κόκκου, ἢ τοῦ ἱπποφαέος.[216] μετὰ τὴν κάθαρσιν τὰ αὐτὰ προσφέρειν, ἃ καὶ τοῖσιν ἄλλοισιν· τῇ δὲ ὑστεραίῃ δίδου πίνειν καὶ γάλα ὄνειον ἑψήσας, ὀκτὼ κοτύλας, μέλι παραχέων. τὰς δὲ πρώτας ἡμέρας, σιτεέσθω τὰ αὐτὰ, ἃ καὶ ὅστις ὑπὸ ὕδερου ἑάλω, καὶ πονεέτω περιόδοισιν, ἢν δυνατὸς ᾖ· ἢν δὲ ἀδύνατος ᾖ ὑπὸ τοῦ πυρετοῦ, καὶ ἐσθίειν μὴ δύνηται τὰ σιτία, χρεέσθω ῥοφήματι φακῇ, ποτῷ δὲ οἴνῳ μέλανι ὡς αὐστηροτάτῳ. Αὕτη ἡ νοῦσος ἐπιλαμβάνει μάλιστα μετοπώρου, καὶ ὀπώρης ἐούσης. ἔστι ἢν μὲν ἰηθῇ ἐν τοῖς ἓξ ἔτεσιν· εἰ δὲ μὴ, προσέχει καὶ ἄχρι τῶν δέκα ἐνιαυτῶν, πολλοῖσι δὲ καὶ ξυναποθνήσκει, ἢν μὴ παραχρῆμα μελετηθῇ.

CAPVT L.

De ſecundo pachyſmo, aut craſsâ hepatis mole à bile, quæ iecoris inflammatio eſt; eiuſque cauſis, ſignis, & curatione.

ALius morbus craſſus. *Craſsi autem huiuſmodi morbi à bile fiunt, quum bilis ad hepar con-*

ΚΕΦΑΛΑΙΟΝ Ν'.

Περὶ τοῦ δευτέρου παχυσμοῦ ἢ τοῦ πάχεος ἥπατος ὄγκου ἀπὸ τῆς χολῆς, ἥτις ἥπατος ἐστὶ φλεγμονή· καὶ τῶν αὐτοῦ αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

ΑΛλο παχύ. Τὰ δὲ τοιάδε παχέα τῶν νουσημάτων γίνεται ἀπὸ χολῆς, ὁκόταν χολὴ ἐπὶ τὸ ἧπαρ ἐπιρ-

ῥυῇ, καὶ κατὰ τὴν κεφαλὴν καταστῇ. τάδε οὖν πάσχει. τὸ ἧπαρ οἰδέει καὶ ἀναπτύσσεται πρὸς τὰς φρένας ὑπὸ τοῦ οἰδήματος, καὶ εὐθὺς ἐς τὴν κεφαλὴν ὀδύνη ἐμπίπτει, μάλιστα δὲ ἐς τοὺς κροτάφους, καὶ τοῖσιν ὠσὶν οὐκ ὀξὺ ἀκούει, πολλάκις δὲ καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρᾷ, καὶ φρίκη, καὶ πυρετὸς ἐπιλαμβάνει. ταῦτα μὲν κατ᾿ ἀρχὰς τοῦ νουσήματος αὐτῷ γίνεται, διαλιμπάνοντα, ὁτὲ μὲν σφόδρα, ὁτὲ δὲ ἧσσον· ὁκόσῳ δ᾿ ἂν ὁ χρόνος τῇ νούσῳ προΐῃ, ὅ, τε πόνος πλείων ἐν τῷ σώματι, καὶ αἱ κόραι σκίδνανται τῶν ὀφθαλμῶν, καὶ σκιαυγέει, καὶ ἢν προσφέρῃς τὸν δάκτυλον πρὸς τοὺς ὀφθαλμοὺς, οὐκ αἰσθήσεται, διὰ τὸ μὴ ὁρῆν· τούτῳ δ᾿ ἂν γνοίης ὅτι οὐχ ὁρῇ, ὅτι οὐ σκαρδαμύσσει προσφερομένου τοῦ δακτύλου· καὶ τὰς κροκίδας ἀφαιρέει τοῦ ἱματίου, ἢν ἐπιίδῃ, δοκέων φθεῖρας αὐτὰς [217] εἶναι. καὶ ὁκόταν τὸ ἧπαρ μᾶλλον ἀναπλυγῇ πρὸς τὰς φρένας, παραφρονέει, καὶ προφαίνεσθαί οἱ δοκέει πρὸ τῶν ὀφθαλμῶν ἑρπετὰ, καὶ [218] ἄλλοια παντοδαπὰ θηρία, καὶ ὁπλῖται μαχόμενοι, καὶ αὐτὸς ἐν αὐτοῖς δοκέει μάχεσθαι, καὶ τοιαῦτα λέγει, ὡς ὁρέων μάχας καὶ πολέμους, καὶ ἐπέρχεται, καὶ ἀπειλέει ἢν μή τις αὐτὸν ἐῇ ἐξιέναι· κἂν ἀναστῇ, οὐ δύναται αἴρειν τὰ σκέλεα, ἀλλὰ καταπίπτει, καὶ οἱ πόδες αὐτοῦ αἰεὶ ψυχροί. καὶ ὁκόταν καθεύδῃ, ἀναΐσσει ἀπὸ τοῦ ὕπνου, καὶ φοβέεται ὁκόταν ἐνύπνια ἴδῃ φοβερά· [219] τῷδε δὲ γινώσκομεν, ὅτι ἀπὸ ἐνυπνίων ἀΐσσει· φοβέεται, καὶ ὁκόταν ἔννοος γένηται, ἀφηγεῖται τὰ ἐνύπνια, ὁκοῖα καὶ τῷ σώματι ἐποίει, καὶ τῇ γλώσσῃ ἔλεγε. ταῦτα μὲν οὕτω πάσχει· ἔστι δ᾿ ὅτε καὶ κέεται ἄφωνος ὅλην τὴν ἡμέρην καὶ τὴν νύκτα, ἀναπνέων πολλὸν τὸ πνεῦμα ἀθρόον· ὁκόταν δὲ παύσηται παραφρονέων, εὐθὺς παραχρῆμα ἔννοος γίνεται· καὶ ἢν ἐρωτᾷ τις αὐτὸν, εὐθὺς ἀποκρίνεται, καὶ γινώσκει πάντα λεγόμενα· εἶτ᾿ αὖθις ὕστερον ὀλίγῳ χρόνῳ ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. αὕτη ἡ νοῦσος προσπίπτει μάλιστα [220] ἐν ἀλλοδημίῃ, καὶ ἤν κου ἐρήμην ὁδὸν βαδίζῃ, καὶ ὁ φόβος αὐτὸν λάβῃ ἐκ φάσματος· λαμβάνει δὲ καὶ ἄλλως. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πῖσαι τοῦ μέλανος ἐλλεβόρου πέντε ὀβολοὺς στήσας, διδόναι δὲ ἐν οἴνῳ γλυκεῖ· ἢ κλύζειν αὐτὸν ἐν τούτοισι· νίτρου Αἰγυπτίου, ὁκόσον ἀστράγαλον οἴιος, τοῦτο τρίψαι λεῖον, καὶ παραμίξαι μέλιτος καλλίστου, ἡμικοτύλιον δὲ, ἑψήσας, ἐν θυείῃ, καὶ ἡμικοτύλιον ἐλαίου, καὶ ἀπὸ τεύτλων ἑφθῶν ὕδατος τέσσαρας κοτύλας [221] ἐξαιθριάσας· ἢν δὲ βούλῃ, ἀντὶ τεύτλου ὄνειον γάλα ἑψήσας, παραμίξαι· ταῦτα μίξας κλύζειν, ἤν τε πυρετὸς ἔχῃ, ἤν τε μή. ῥοφήμασι δὲ χρεέσθω, πτισάνῃ καθεφθῷ, μέλι παραχέων. πινέτω δὲ καὶ μέλι, καὶ ὕδωρ, καὶ ὄξος, συγκεράσας ἅμα, ἕως ἂν κριθῇ ἡ νοῦσος. κρίνεται δὲ ἐν δεκατέσσαρσιν ἡμέρῃσι τὸ μακρότατον, ἤν τε θανάσιμος, ἤν τε οὔ. Πουλλοῖσι δὲ ἤδη [222] ἡ τοιαύτη νοῦσος πεπαυμένη, πάλιν ὑποτροπίασεν. ἢν οὖν ὑποτροπιάσῃ, κίνδυνος αὐτὸν διαφθαρῆναι· κρίνεται δὲ ἡ νοῦσος ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν θανάσιμος, ἢ οὔ· ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα θνήσκει, ἀλλὰ τοῖσι πουλλοῖσι μελεδαινομένη ἐξέρχεται. ὁκόταν δὲ παύσηται ἡ νοῦσος, διαίτῃ χρεέσθω καλῇ, ἡσύχως προσάγων, ὁκόσα ἂν ἡ κοιλίη προσδέξηται, καὶ μὴ ξυγκαυθῇ, μήτε διάρροια ἐπιγίνηται·

A *fluxerit, & in capite sedem habuerit. His igitur afficitur. Iecur tumet, & prae tumore ad septum transuersum expanditur, statimque dolor in caput, praecipuè verò in tempora irruit, neque auribus acutè audit, saepè verò & oculis non videt, horrorque & febris inuadit. Haec quidem per morbi initia ipsi contingunt, & interdùm valdè quidem, interdùm etiam minùs intermittunt; quò verò tempus longiùs morbo processerit, eò & labor corporis maior, oculorum pupil-* B *lae dissipantur, & caecutit, sique digitum ad oculos admoueris, non percipit, quòd non videat; hoc autem cognoueris, quòd non videat, quòd admoto digito non nictetur; & floccos ex vestibus auellit, siquos videat, pediculos esse ratus; quumque hepar ad septum transuersum magis expassum fuerit, delirat, eique ante oculos reptilia & cuiusuis generis variae ferae apparere videntur, & milites pugnantes cum quibus ipse pugnare videtur, & tanquam pugnas* C *& bella videat, talia loquitur; irruit, & nisi quis eum exire sinat, minatur, sique surrexerit, crura attollere non potest, sed decidit. Eius pedes semper sunt frigidi; quum dormit, à somno exilit, & terretur quum insomnia horrenda viderit. Eum autem à somnijs exilire, ex eo cognoscimus; terretur, & quum ad mentem redierit, insomnia enarrat, quae corpore gessit, & quae linguâ loquutus est. Haec quidem sic patitur. Interdùm verò per totum diem ac noctem voce captus iacet, multum spiritum confertum respirans.* D *Quum autem delirare desierit, statim è vestigio ad mentem redit; & siquis eum roget, rectè respondet, & quae dicuntur omnia cognoscit ac intelligit; deinde rursùs paulò pòst, in ijsdem doloribus decumbit. Hic morbus maximè per peregrinationem accidit, & sicubi desertas vias peragrantem ipsum ex viso spectro terror corripuerit. Sed & alio modo prehendit. Huic, quum sic habuerit, veratri nigri pondus obolorum quinque propinato, sed ex vino dulci propinato. Aut ei ex his clysterem injicito. Nitri Aegyptij* E *tali ouilli quantitatem leuiter terito, & mellis optimi decocti heminam dimidiam in pila admisceto, & olei heminam dimidiam, & ex betis coctis aquae quatuor heminas, per noctem sub dio expositas; quòd si velis, pro betae* decocto *lac asininum coctum admisceto; eáque permixta, febris detineat necne, per infusum immittito. Sorbitionibus, hordeato elixato, melle affuso, vtatur. Mel autem, & aquam & acetum simul permixta bibat, quoad morbus iudicatus fuerit.* F *Iudicatur autem quatuordecim ad summum diebus, lethalis sit necne. Multis verò iam sedatus eiusmodi morbus, rursùs reuertitur. Si igitur redierit, periculum est, ne aeger contabescens pereat. Iudicatur autem morbus septem diebus, lethalis sit necne; sed si hos effugerit, ferè non moritur, sed in multis curatus decedit. Quum verò cessauerit morbus, optimâ victus ratione vtatur, sensim adijciens quae ventriculus suscipiat, vt non exurantur, neque alui profluuium superueniat.*

Vtranque

Vtrunque enim periculosum esse videtur. Lauetur autem quotidie, & post cibos moderatè obambulet; vestem leuem ac mollem induat; lac & serum, pro anni tempore, per dies quinque & quadraginta bibat. Hæc si fecerit, citissimè sanus euadet. Morbus autem grauis est, multâque curâ indiget.

ἀμφότερα γὰρ δοκέει κινδυνώδεα εἶναι. λουέσθω δὲ ἑκάστης ἡμέρης, καὶ περιπατεέτω μετὰ τὰ σιτία, ὀλίγα· ἐσθῆτα δὲ ἐνειέσθω κούφην, καὶ μαλθακήν· γαλακτοπιέτω τὴν ὥρην, καὶ ὀῤῥοποτεέτω, πέντε καὶ τεσσαράκοντα ἡμέρας. Ταῦτα ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται· ἡ δὲ νοῦσος χαλεπὴ, καὶ δέεται μελέτης πολλῆς.

CAPVT LI.

De tertio pachysmo, seu crasso crurum tumore à pituita putri orto; eiusque signis, & curatione.

ALius crassus morbus. *Fit autem à pituitâ putrefactâ. Ex eo verò, vnde oritur, putridum esse manifestum est; eructat* enim *ab hoc, quod odorem habet, qualem qui radiculas ederit. Eiusmodi morbus à cruribus oriri incipit, deinde ab his ad ventrem ascendit; quumque in ventre constiterit, rursùs ad viscera recurrit; & vbi in his constiterit, strepit, & vomitum ciet, simul pituitam acidam subputrem euomit; quam quum vomuerit, sibi non constat æger, deinde anxietudo est circa viscera, interdúmque acutus dolor repentè capiti adhæescit; & auribus acutè audire non potest, neque oculis præ grauitate videre, sudor etiam multus, graueolens effunditur, præsertim quum dolor detinet, morbique remissionem facit. Color autem ipsius auriginosus ostenditur. Hic morbus priore paulò minùs lethalis est. Huic, quum ita habuerit, ventrem inferiorem per hippophaes purgato, superiorem verò per veratrum; caputque stibio purgato; quumque per veratrum purgatus fuerit, postridiè lacte asinino cocto purgato; tertio autem die caprino cocto; eodemque sanè modò quarto & quinto. At reliquis viginti diebus lac bubulum crudum, siue etiam caprinum dato, tertiâ aquæ mulsæ parte admixtâ. Sed lactis congium potui exhibeto. Post inferiorem autem purgationem, eadem quæ hydero detentis, medicamenta porrigito. Reliquo tempore quum lac bibit, cœnet panem exassatum; opsonium verò habeat, ex piscibus quidem scorpium, aut callionymum, aut cuculum, aut squatinæ frustum cum condimentis coctum; ex carnibus verò ouillas, aut pulli gallinacei, eásque coctas. Vinum bibat album, si conferat; sin minùs, nigrum austerum; deinde obambulet, postquam comederit, vt ne rigeat. Huic igitur prædictos cibos, si conferant, exhibeto; si verò non conferant, sorbitiones ptisanæ & milij. In hoc morbo si triginta dies æger prætererit, sanus euadit. Hi enim, lethalis sit necne, decernunt. Est autem grauis morbus.*

ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

Περὶ τοῦ τρίτου παχυσμοῦ, ἢ τοῦ παχέος τῶν σκελῶν οἰδήματος, τοῦ ἀπὸ φλέγματος σαπέντος γινομένου· καὶ τῶν τούτου σημείων καὶ θεραπευτικῶν.

[223] ΕΤερον παχύ. Γίνεται δὲ ἀπὸ φλέγματος σαπέντος, τῷδε δὲ δῆλον ὅθεν γίνεται, ὅτι σαπρόν ἐστιν· [224] ἐρεύγεται ἀπὸ τοῦ τοιοῦδε ἔχον τὴν ὀσμὴν, ὁκοῖον τις ῥαφανίδας φαγών. ἄρχεται δὲ γίνεσθαι τὸ τοιοῦτον νόσημα, ἀπὸ τῶν σκελέων, εἶτ᾽ ἀπὸ τούτων ἀνέρπει ἐς τὴν κοιλίην· καὶ ὁκόταν ἐν τῇ κοιλίῃ στῇ, αὖθις ἀνατρέχει πρὸς τὰ σπλάγχνα· καὶ ὁκόταν ἐπὶ τούτοισι στῇ, μύζει καὶ ἔμετον ἄγει, ἅμα λάπην ἐμέει ὀξείην ὑπόσαπρον· καὶ ὁκόταν ἀπεμέσῃ, οὐκ ἔχει ἑωυτὸν, ἔπειτα ἀπορίη πρὸς τοῖσι σπλάγχνοισιν, ἐνίοτε δὲ καὶ ἐς τὴν κεφαλὴν ἐξαπίνης ὀδύνη στηρίζει ὀξείη, καὶ τοῖσιν ὠσὶν ὀξέως ἀκούειν οὐ δύναται, οὐδὲ τοῖσιν ὀφθαλμοῖσιν ὁρῆν, ὑπὸ τοῦ βάρεος. ἱδρώς τε πουλλὸς καταχέεται, κάκοδμος, καὶ μάλιστα ὅταν ἡ ὀδύνη ἔχῃ, καὶ ποιεῖ λωφᾷν τῆς νούσου. ἡ δὲ χροιὴ αὐτοῦ, ἰκτερώδης δείκνυται. αὕτη ἡ νοῦσος τῆς προτέρης ἧσσον μικρῷ θανατώδης. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην, κάτω μὲν τῷ [225] ἱπποφεῷ, ἄνω δὲ τῷ ἐλλεβόρῳ, καὶ τὴν κεφαλὴν καθαίρειν τῷ τετραγώνῳ. καὶ ὁκόταν ὑπὸ τοῦ ἐλλεβόρου κεκαθαρμένος ᾖ, τῇ ὑστεραίῃ ὀνείῳ ἑφθῷ γάλακτι ὑποκαθαίρειν, τῇ δὲ τρίτῃ, αἰγείῳ ἑφθῷ, ὡσαύτως δὴ καὶ τῇ τετάρτῃ καὶ τῇ πέμπτῃ· εἴκοσι δὲ ἄλλας ἡμέρας διδόναι ὠμὸν γάλα βόειον, εἴτε καὶ αἴγειον, τρίτον μέρος μελικρήτου παραμίσγων· πινέτω δὲ τοῦ γάλακτος χοέα. μετὰ δὲ τὴν κάθαρσιν τὴν κάτω, τῶν φαρμάκων τὰ αὐτὰ προσφέρειν, ἃ καὶ τοῖσιν ὑπὸ ὕδρου κατεχομένοισι. Τὸν δὲ λοιπὸν χρόνον ὁκόταν τὸ γάλα πίνῃ, δειπνεέτω ἄρτον ἐξοπτόν· ὄψον δὲ ἐχέτω, ἐν ἰχθύσι μὲν σκορπίον, ἢ καλλιώνυμον, ἢ κόκκυγα, ἢ ῥίνης τέμαχος ἑφθὸν ἐν ἀρτύμασιν· ἐν κρέασι δὲ, οἰὸς, ἢ ἀλεκτρυόνος νεοσσοὺς, ταῦτα ἑφθά. οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ· ἢν δὲ μὴ, μέλανα αὐστηρόν· εἶτα περιπατεέτω μετὰ τὸ φαγεῖν, ὅκως ἂν μὴ ῥιγώσῃ. τούτῳ ἢν μὲν οὕτω ξυμφέρῃ, τὰ σιτία διδόναι ἃ εἴρηται· ἢν δὲ μὴ ξυμφέρῃ, ῥοφήματα διδόναι πτισάνης ἢ κέγχρου. Ταύτῃ τῇ νούσῳ ἢν τριήκοντα ἡμέρας παρέλθῃ ὁ νοσέων, ὑγιαίνεται· αὗται γὰρ κρίνουσιν, ἢν θανάσιμος, ἢ μή. ἡ δὲ νοῦσος χαλεπή.

ΚΕΦΑΛΑΙΟΝ ΝΒʹ.

Περὶ τοῦ τετάρτου παχυσμοῦ τοῦ ἀπὸ φλέγματος ἐν τῇ κοιλίᾳ ξυνισταμένου, καὶ τῆς αὐτοῦ θεραπείας.

Ἄλλο παχύ. Γίνεται τὸ νούσημα ὑπὸ φλέγματος λευκοῦ· ξυνίσταται δὲ ἐν τῇ κοιλίῃ, ὁκόταν πουλυχρόνιοι κατάσχωσι τὸ σῶμα πυρετοί. ἄρχεται δὲ τὸ νούσημα [226] ἐκ τοῦ προσώπου γίνεσθαι, καὶ οἰδέει τὸ πρόσωπον· εἶτα κατέρχεται ἐς τὴν κοιλίην, καὶ ὁκόταν ᾖ ἐν αὐτῇ, αἴρει μεγάλην τὴν γαστέρα, καὶ τὸ σῶμα κοπιᾷ ὡς ὑπὸ ταλαιπωρίης, καὶ ἐς τὴν κοιλίην βάρος ἐνῇ, καὶ πόνος ἰσχυρὸς, καὶ οἱ πόδες οἰδέουσι. καὶ ἢν χυθῇ ὑετὸς ἐπὶ τῆς γῆς, τῆς κόνιος ὀδμώμενος οὐκ ἀνέχεται· ἢν δὲ ἐστηκὼς τύχῃ ἐν τῷ ὑετῷ, καὶ ὀδμηθῇ τῆς γῆς, ἐξαπίνης πίπτει. Αὕτη ἡ νοῦσος [227] διαπαύουσα, τῆς προτέρης πλείονα χρόνον ἐπιλαμβάνει, καὶ χρονιωτέρη ἀπαλλάσσεται. μελετᾶν δὲ χρὴ ταύτην ἐν τοῖσιν αὐτοῖσιν, οἷσιν καὶ τὸν ὑδεριῶντα, ἤγουν πυρίῃσι, καὶ φαρμάκοισι, καὶ ἐδέσμασι, καὶ ταλαιπωρίῃσιν. αὕτη ἡ νοῦσος ἐπικρατέει μάλιστα ἓξ ἔτεα· εἶτα ἐξέρχεται μελετωμένη καλῶς ἐν χρόνῳ, ἤν γε καὶ μὴ κατ' ἀρχὰς ἰηθῇ. αὕτη ἡ νοῦσος χαλεπὴ, καὶ δέεται μελέτης πουλλῆς.

CAPVT LII.

De quarto pachyſmo ex albâ pituitâ in aluo collectâ, eiuſque curatione.

Alius craſſus morbus. *Hic morbus à pituita alba fit; in ventre verò colligitur, vbi febres diuturnæ corpus occuparint. Hic morbus initium ſumit à facie, & facies tumet; deinde ad ventrem deſcendit, quò quum peruenerit, ventrem in magnitudinem attollit, corpuſque velut ab exercitatione feſſum, ſuccumbit, in ventre pondus eſt, & dolor vehemens, & pedes intumeſcunt. Quòd ſi pluuia in terram effuſa fuerit, pulueris odorem non ſuſtinet. Si verò in pluuia fortè conſtiterit, & terræ odorem ſenſerit, derepentè concidit. Hic morbus quum intermittit, diuturniori tempore quàm prior occupat, & tardius ſoluitur. Eum autem iiſdem quibus & hydropicum, curare oportet, fomentis videlicet, medicamentis, cibariis, & exercitationibus. Hic morbus per ſex annos maximè detinet; deindè probè curatus tempore decedit, etiamſi per exordia curatus non fuerit. Hic morbus moleſtus, multámque curam poſtulat.*

ΚΕΦΑΛΑΙΟΝ ΝΓʹ.

Περὶ τῆς τετραπλασίας ἰσχιάδος, τῆς ἀναξηρᾶς, καὶ τῆς χολώδους, καὶ τῆς φλεγματώδους, καὶ τῆς αἱματώδους, καὶ τῶν ἑκάστης αἰτιῶν, καὶ σημείων, καὶ θεραπευτικῶν.

Περὶ ἰσχιάδος. Ἰσχιὰς δὲ ἀπὸ τῶνδε τῶν ἀφορμῶν γίνεται μάλιστα τοῖσι πουλλοῖσιν· ἢν ἔλθῃ ἐν τῷ ἡλίῳ πουλὺν χρόνον, καὶ τὰ ἰσχία διαθερμανθῇ, καὶ τὸ ὑγρὸν ἀναξηρανθῇ ὑπὸ τοῦ καύματος τὸ ἐνεὸν ἐν τοῖσιν ἄρθροισιν. ὡς δὲ ἀναξηραίνεται, [229] καὶ πήγνυται, τόδε δέ μοι τεκμήριον· ὁ γὰρ νοσέων στρέφεσθαι, ἢ κινέειν τὰ ἄρθρα οὐ δύναται ὑπὸ τῆς ἐν αὐτοῖσιν ἀλγηδόνος, καὶ τοὺς ξυμπεπηγέναι [228] τοὺς δακτύλους. ἀλγέει δὲ μάλιστα τὴν ὀσφὺν, καὶ τοὺς σπονδύλους τοὺς ἐκ πλαγίων τῶν ἰσχίων, καὶ τὰ γούνατα· ἵσταται δὲ ἡ ὀδύνη ἐν τοῖσι βουβῶσι πλεῖστον χρόνον ἅμα καὶ τοῖσιν ἰσχίοισιν, ὀξεῖα καὶ καυματώδης. κἤν τις αὐτὸν [230] ἀνάσχῃ, ἢ μετακινέῃ, ὑπὸ τῆς ἀλγηδόνος οἰμώζει ὁκόσον ἂν μέγιστον δύνηται. ἐνίοτε δὲ καὶ σπασμὸς ἐπιγίνεται, καὶ ῥῖγος, καὶ πυρετός. γίνεται δὲ καὶ ἀπὸ χολῆς καὶ φλέγματος, γίνεται δὲ καὶ ἀπὸ αἵματος· ὀδύνη παραπλήσιος ὡς ὑπὸ πάντων τῶν νουσημάτων, καὶ ῥῖγος καὶ πυρετὸς ἐνίοτε ἐπιλαμβάνει βληχρός. Ἀλλὰ χρὴ ὧδε μελετᾶν τὸν ἀπὸ τοῦ ἡλίου [231] ταύτην τὴν νοῦσον λαβόντα. ὑγραίνειν αὐτοῦ τὸ σῶμα τῇ πυρίῃσι, καὶ ἀπὸ τῶν σιτίων, καὶ ἀπὸ τῶν ποτῶν, καὶ τῶν ἄλλων τῶν διδομένων διδόναι χλιαρὰ καὶ ὑγρὰ, ταῦτα δὲ πάντα ἑφθά. σιτίῳ δὲ καὶ μάζῃ χρεέσθω μαλθακῇ, ἀπείστῳ· οἶνον δὲ πινέτω λευκὸν, ὑδαρέα· καὶ τῷ σώματι ἡσυχίην ἐχέτω, ἢν καὶ [232] δύναται ἀνίστασθαι, πλὴν ὀλίγα περιπατεέτω ἑκάστης ἡμέρης, καὶ μὴ ῥιγούτω, καὶ λουέσθω μὴ πολλῷ. καὶ ὁκόταν οἱ δοκέῃ καλῶς ἔχειν, καὶ ὑγρὸς εἶναι τῷ σώματι,

CAPVT LIII.

De quadruplici iſchiade, aridâ, bilioſâ, pituitoſâ, & ſanguineâ, ac de cuiuſque cauſis, ſignis, & curatione.

De iſchiade. *Iſchias autem ab his cauſis potiſſimùm multis oritur; ſi quis per multum tempus in ſole iter fecerit, & coxendices incaluerint, & qui humor articulis ineſt, ab æſtu reſiccatus fuerit. Quòd autem reſiccetur & dureſcat, id certum mihi ſignum eſt. Æger enim articulos, præ dolore qui in eis eſt, vertere aut mouere non poteſt, & eò quòd digiti rigidi non moueantur. Dolor lumbos potiſſimùm obſidet, & vertebras, quæ ad coxendices obliquè ſitæ ſunt, & genua. In inguinibus autem, ſimúlque coxendicibus, dolor acutus plurimo tempore inſiſtit; & ſi quis eum erigat, aut tranſmoueat, præ dolore quantum poteſt plurimùm eiulat. Interdùm verò & conuulſio, & rigor, & febris ſuperuenit. Fit autem & à bile & pituita, oritur quoque etiam à ſanguine; dolor conſimilis, velut ab omnibus morbis, rigórque, & febris lenis interdùm prehendit. Sed eum qui hoc morbo à ſole correptus eſt, hoc modo curare oportet. Corpus eius admoto fotu humectandum, & cibi ac potus, & quæ cætera exhibentur, tepida ac humida, eáque omnia cocta exhibenda. Pane autem, ac mazâ vtatur molli, non ſubactâ. Vinum bibat album, aquoſum; & corpore quietem agat, etiamſi exurgere queat; parùm tamen quotidiè obambulet; neque frigeat; neque multùm lauet. Quumque tibi probè habere, corpuſque humectum eſſe videbitur,*

leni

leni fomento multùm foueto; magis enim relaxat, & quod in articulis compactum est, perhumectat. Postero deinde die granum cnidium propinato. Quòd si non iuuerit, hæc per clysterem huic inijcere oportet; cumini triti heminam dimidiam, colocynthida non dissectam, paruam & rotundam, in pila contusam, & tenuissimè tritam, & nitri Ægyptij rubri, tosti & leuigati minæ quadrantem, hæc in ollam conijcito, & olei heminam affundito, mellis heminam dimidiam, vini albi, & succi betæ heminam; hæc quoad probam crassitudinem habere tibi videantur, coquito. Deinde his per linteum excolatis, mellis Attici heminam admisceto, nisi mel simul coquere velis. Quòd si Atticum non habeas, mellis optimi cocti heminam in pila admisceto. Si verò infusum crassius fuerit, de eodem vino habitâ crassitudinis ratione affundito; eóque clystere aluum subluito. Deinde sinere oportet ad tres dies vsque purgari. Quòd si pluribus diebus purgetur, lactis bubuli aut caprini heminas tres ebibendas dato, posteà betas pingues insulsas, condimentis aspersis, comedendas præbeto. Ex hoc morbo multi claudi euadunt. At verò si à bile morbus fiat, veratrum deorsum purgans aut scammonij succum ei propinato. Post eiusmodi verò purgationem, succi ptisanæ melle affuso heminas duas sorbendas dato. Postero autem aut tertio die, admoto fotu, lacte asinino cocto subpurgato. Sub vesperum betæ pinguis heminas duas, polentâ aspersâ, comedat. Vinum album, aquosum, dulce, & nunc, & post medicamenti purgationem bibat. Si verò à pituita ægrotet, ei granum cnidium, aut hippophaem, post admotum fotum propinato. Post purgationem autem easdem sorbitiones, & potus, & lactis potionem exhibere oportet. Interiectis verò diebus quàm leuissimo victu vtatur. Et si quidem ab his iuuetur, sat est; sin minùs, ipsum multis & altis crustis, in osseis quidem partibus per fungos, in carnosis verò per fermenta, inurito. At si à sanguine ægrotarit, admoto fotu, & cucurbitulam admoueto, & venas in poplite secato. Si verò tibi videatur, granum quoque cnidium ei propinato. Quàm siccissimâ autem victûs ratione vtatur. Vinum quidem potiùs ne bibat; sed si sanè bibere velit, quàm minimum & dilutissimum dato; & modicum obambulare iubeto; aut si possit, plurimùm. A pituita etiam ægrotanti eadem facere confert. Quòd si stare nequeat, eum crebèrrimè in lecto circumferre oportet, quacunque ex causâ ægrotet, & per omnia similiter, vt ne intùs cartilago coalescat. Si verò coaluerit, & articuli rigidi fuerint, omninò hominem claudum fieri necesse est. Et si à sanguine ægrotanti velis enemate aluum subluere, quò pituitam & sanguinem à coxendicibus reuoces, ex his infusum parare oportet. Salis pugillo trito olei heminam, & de hordei decocto heminas duas admisceto; deinde sic infusum inijcito. Sic curatum citissimè sanum reddideris. Morbus autem molestus admodum ac diuturnus est.

πυριῆσαι σφόδρα βληχρῇ τῇ πυρίῃ· μᾶλλον γὰρ ἀνίησι, καὶ ἀναχαλᾷ τὸ συμπεπηγὸς ἐκ τῶν ἄρθρων. Εἶτα τῇ ὑστεραίῃ πίσαι τοῦ κνιδίου κόκκου· ἢν δὲ μὴ ὠφελήσῃ, [233] κλύσαι τούτοισι χρὴ αὐτόν. τρίβειν κυμίνου ἡμικοτύλιον, σικύην ἄτμητον, τὴν μικρὴν καὶ στρογγύλην, ξυγκόψας ἐν τῷ ὅλμῳ, καὶ σήσας ὡς λεπτότατον, νίτρου ἐρυθροῦ Αἰγυπτίου τεταρτημόριον μνᾶς, ὀπτήσας, τρίψας τε λεῖον, ταῦτα ἐμβάλλειν ἐς χυτρίδα, καὶ ἐγχέαι ἐλαίου κοτύλην, μέλιτος ἡμικοτύλιον, οἴνου λευκοῦ κοτύλην καὶ σευτλίου χυλοῦ. ταῦτα ἑψῆν ἕως ἄν σοι δοκέῃ καλῶς ἔχειν τοῦ πάχεος. Εἶτα διηθήσας δι' ὀθονίου, παραμίξαι αὐτοῖσι μέλιτος Ἀττικοῦ κοτύλην, ἢν μὴ βούλῃ ξυνεψεῖν τὸ μέλι· ἢν δὲ μὴ ἔχῃς Ἀττικὸν, κοτύλην τοῦ καλλίστου παραμίξας, ἑψῆσαι ἐν θυείῃ· ἢν δὲ τὸ κλύσμα παχύτερον ᾖ, παραχέαι οἴνου τοῦ αὐτοῦ, πρὸς τὸ πάχος τεκμαιρόμενος· ἐν τούτῳ κλύζειν. [234] Εἶτα ἐᾷν χρὴ μέχρι τριῶν ἡμερέων καθαίρεσθαι· ἢν δὲ πλείονας ἡμέρας καθαίρηται, τοῦ βοείου ἢ τοῦ αἰγείου γάλακτος τρεῖς κοτύλας δοῦναι ἐκπιεῖν, Εἶτα τεῦτλα λιπαρὰ παρείπασα; ἐν ἀρτύμασιν ἄναλτα, δοῦναι ἐσθίειν. ἐκ ταύτης οὖν τῆς νούσου, [235] πουλλοὶ χωλοὶ ἐγένοντο. Ἢν δὲ ἀπὸ χολῆς ἡ νοῦσος γένηται, πίσαι αὐτὸν ἐλλέβορον κάτω, ἢ ὀπὸν σκαμμωνίης· μετὰ δὲ τὴν τοιαύτην κάθαρσιν, πτισάνης χυλὸν, μέλι παραχέων, δύο τρυβλία δοῦναι ἐκροφέειν· τῇ δὲ ὑστεραίῃ ἢ τῇ τρίτῃ πυριήσας, γάλακτι ὀνείῳ ἑφθῷ ὑποκαθῆραι· ἐς ἑσπέρην δὲ τεύτλου λιπαροῦ δύο τρυβλία [236] ἐμφαγέτω ἄλφιτα παραπάσας· οἶνον δὲ πινέτω λευκὸν, ὑδαρέα, γλυκὺν, καὶ νῦν καὶ μετὰ τὴν τοῦ φαρμάκου κάθαρσιν. Ἢν δὲ ἀπὸ φλέγματος νοσέῃ, πίσαι αὐτὸν τοῦ κνιδίου κόκκου ἢ τοῦ ἱπποφέως, πυριήσας· μετὰ δὲ τὴν κάθαρσιν, τὰ αὐτὰ χρὴ προσφέρειν καὶ ῥοφήματα καὶ ποτὰ, καὶ γαλακτοποσίην. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, διαίτῃ χρεέσθω ὡς κουφοτάτῃ. καὶ ἢν μὲν ἀπὸ τούτων ὠφελῆται· ἢν δὲ μὴ, καῦσαι αὐτὸν, τὰ μὲν ὀστώδεα μύκησι, τὰ δὲ σαρκώδεα σιδηρείοισι, πολλὰς ἐσχάρας καὶ βαθείας. Ἢν δὲ ὑφ' αἵματος νοσέῃ, πυριῆσαι, καὶ σικύην προσβάλλειν, καὶ φλεβοτομέειν τὰς ἐν τῇσιν ἰγνύησι φλέβας· ἢν δέ σοι δοκέῃ, καὶ τοῦ κνιδίου κόκκου πίσαι αὐτόν. διαίτῃ δὲ χρεέσθω ὡς ξηροτάτῃ· οἶνον δὲ μᾶλλον μὲν μὴ πινέτω, ἢν δὲ ἄρα καὶ πίνειν θέλῃ, ὡς ἐλάχιστον καὶ ὑδαρέστερον δίδου· καὶ περιπατεῖν ὀλίγα κέλευε, ἢν δὲ δυνατὸς ᾖ, πλεῖστα. Ξυμφέρει δὲ καὶ τῷ ἀπὸ τοῦ φλέγματος νοσέοντι, τὰ τοιαῦτα ποιέειν. ἢν δὲ μὴ δύνηται ἵστασθαι, ἐν τῇ κλίνῃ χρὴ περιφέρειν ὡς πυκνότατα, ἀφ' οὗ ἂν νοσέῃ, καὶ ἅπαντα ὁμοίως, ὅκως ἂν ἐντὸς μὴ ξυμφυῇ ὁ χόνδρος· ἢν δὲ ξυμφυῇ καὶ τὰ ἄρθρα ξυμπαγῇ, πᾶσα ἀνάγκη χωλὸν γενέσθαι τὸν ἄνθρωπον. Καὶ ἢν βούλῃ κλύσαι τὸν ἀπὸ τοῦ αἵματος νοσέοντα, ὥστε αἷμα ἀπάγειν καὶ φλέγμα ἀπὸ τῶν ἰσχίων, τοῖσιδε δὲ δεῖ κλύζειν· ἅλος δραχμίδα τρίψας, παραμίξαι ἐλαίου κοτύλην, καὶ ἀπὸ κριθέων ἑφθῶν δύο κοτύλας· Εἶτα οὕτω κλύζειν τοῦτον. οὕτω μελετῶν, τάχιστα ὑγιέα ποιήσεις· ἡ δὲ νοῦσος χαλεπὴ λίην ἐστὶ, καὶ χρονίη.

A

ΚΕΦΑΛΑΙΟΝ ΝΔ'.

Περὶ τοῦ τετάνου, καὶ τῶν τούτου αἰτίων, καὶ σημείων καὶ θεραπευτικῶν.

Τέτανοι τρεῖς. Ἢν μὲν ἐπὶ τρώματι τέτανος γένηται, πάσχει τάδε. αἱ γένυες πήγνυνται, καὶ τὸ στόμα διαίρειν οὐ δύναται, καὶ οἱ ὀφθαλμοὶ δακρύουσι καὶ ἕλκονται, καὶ τὸ μετάφρενον πέπηγε, καὶ τὰ σκέλεα οὐ δύναται ξυγκάμπτειν, οὐδὲ τὰς χεῖρας, οὐδὲ τὴν ῥάχιν· ὁκόταν δὲ θανατώδης ᾖ, τὸ ποτὸν, καὶ τὰ βρώματα, ἃ πρότερον ἐβεβρώκει, διὰ τὰς ῥῖνας ἀνέρχεται ἐνίοτε. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πυριᾶν δεῖ, καὶ ἀλείψαντα λιπαρῶς, πρὸς τὸ πῦρ ἔκαθεν θάλπειν, καὶ χλιάσματα προστιθέναι, ὑπαλείψας τὸ σῶμα. καὶ ἀψίνθιον, ἢ φύλλα δάφνης, ἢ τοῦ ὑοσκυάμου τὸν καρπὸν τρίψας, καὶ λιβανωτόν· εἶτα οἴνῳ λευκῷ δεύσας, ἐγχέαι εἰς χυτρίδα καινήν· εἶτα ἐπιχέαι ἔλαιον ἴσον τῷ οἴνῳ, καὶ θερμήνας, ἀλείψαι πολλῷ θερμῷ τὸ σῶμα καὶ τὴν κεφαλήν. ἔπειτα κατακλίνας [237] ἐμβάτην ἄνω τὴν σάρκα ποιήσαντα, καὶ ἀμφιέσαι ἱμάτια [238] λευκὰ μαλθακὰ καθαρὰ, ὅκως ἂν ἐξιδρώσῃ σφόδρα. μελίκρητον δὲ χλιαρὸν διδόναι, ἢν μὲν δύνηται τοῦτο πίνειν, κατὰ στόμα· ἢν δὲ μὴ δύνηται, ἐγχέειν κατὰ τὰς ῥῖνας. διδόναι δὲ οἶνον λευκὸν πίνειν, ὡς ἥδιστον καὶ πλεῖστον. ταῦτα χρὴ ποιέειν ἑκάστης ἡμέρης, ἕως ἂν ὑγιὴς γένηται· ἡ δὲ νοῦσος χαλεπὴ, καὶ δέεται μελέτης παραχρῆμα.

CAPVT LIV.

De tetano, eiusque causis, signis, & curatione.

Tetani tres. *Si tetanus ob vulnus fiat, his afficitur. Maxillæ rigent, os diducere nequit, oculi lachrymantur & contrahuntur, dorsum rigidum est, neque crura, neque manus, neque spinam inflectere potest. Quum verò lethalis fuerit, potus* B *& cibi, quos antè deuorauit, interdùm per nares redeunt. Hunc, quum sic habuerit, fouere oportet, & pingui inunctum eminùs ad ignem calefacere, & fomenta tepida, inuncto corpore, admouere. Et absinthium, aut lauri folia, aut hyoscyami semen tritum, & thus; deinde vino albo macerata, in ollam nouam infundito; deinde vino par oleum affundito; quibus calefactis, multo calido corpus & caput vngito. Posteà reclinatum, perfusione per car-* C *nem factâ, vestibus albis, mollibus & puris contegito, vt vehementer exudet. Aquam mulsam tepidam, si eam quidem bibere possit, per os exhibeto; si verò non possit, per nares infundito. Vinum denique album, quamsuauissimum & copiosissimum potui dato. Hæc quotidie facienda sunt, donec sanus euadat. Morbus autem grauis est, & citâ curatione indiget.*

D

ΚΕΦΑΛΑΙΟΝ ΝΕ'.

Περὶ ὀπισθοτόνου, καὶ τῶν τούτου σημείων καὶ θεραπευτικῶν.

Ὀπισθότονος. Ὁ δὲ ὀπισθότονος, τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτά, γίνεται δὲ ὁκόταν τοὺς ἐν τῷ αὐχένι τένοντας τοὺς ὄπισθεν νοσήσῃ. νοσέει δὲ ἢ ὑπὸ κυνάγχης, ἢ ὑπὸ σταφυλῆς, ἢ ὑπὸ τῶν ἀμφιβραγχίων ἐμπύων γινομένων· ἐνίοτε δὲ καὶ ἀπὸ τῆς κεφαλῆς, πυρετῶν ἐπιγινομένων, σπασμὸς ἐπιγίνεται, ἤδη δὲ καὶ ὑπὸ τρωμάτων. οὗτος ἕλκεται ἐς τοὔπισθεν, καὶ ὑπὸ τῆς ὀδύνης τὸ μετάφρενον καὶ τὰ στήθεα ἔχεται, καὶ οἰμώζει. οὗτος σπᾶται σφόδρα, ὥστε μόλις μὲν κατέχουσιν οἱ παρεόντες, ὡς μὴ ἐκ τῆς κλίνης ἐκπίπτειν· οὗτος πολλάκις μὲν τῆς ἡμέρης πονέει, πολλάκις δὲ κουφότερον διάγει. τούτῳ οὕτως ἔχοντι, ταῦτα χρὴ προσφέρειν, ἃ καὶ τῷ πρόσθεν· ἡ δὲ νοῦσος προσίσχει τὸ μακρότατον, ἄχρι τεσσαράκοντα ἡμερέων· ἢν δὲ ταύτας διαφύγῃ, ὑγιαίνεται.

CAPVT LV.

De opisthotono, eiusque signis, & curatione.

Opisthotonus. *Opisthotono alia quidem eadem oboriuntur, fit autem quum posterioribus ceruicis tendonibus ægrotauerit. Ægrotat autem aut ab anginâ, aut ab vuâ, aut locis ad tonsillas suppuratis; interdùm verò etiam à capite, febribus obortis, conuulsio succedit; quinetiam & à vulne-* E *ribus. Hic in posteriora trahitur, & præ dolore, quo circa dorsum & pectus detinetur, lamentatur. Hic vehementer conuellitur, vix vt quidem astantes eum contineant, ne è cubili excidat. Hic sæpiùs quidem interdiù laborat, frequenter etiam leuiùs degit. Huic sic affecto, eadem quæ priori, sunt exhibenda. Hic verò morbus vt longissimè ad dies quadraginta detinet, quos si effugerit, conualescit.*

F

ΚΕΦΑΛΑΙΟΝ Νϛ'.

Περὶ τετάνου τοῦ ἀπὸ προκαταρκτικοῦ μάλιστα γινομένου, καὶ τῶν τούτου σημείων καὶ θεραπευτικῶν.

Ἄλλος τέτανος. Ὁ δὲ τέτανος ἧττον θανατώδης, ἢ οἱ πρόσθεν, γίνεται δὲ ἀπὸ τῶν αὐτῶν· πουλλοὶ δὲ καὶ πεσόντες ἐς τὰ ὄπισθεν, ἔλαβον τὸ νούσημα. πάσχει οὖν τάδε. σπᾶται ὅλον τὸ σῶμα,

CAPVT LVI.

De tetano ab exteriore causa potissimùm facto, eiusque signis, & curatione.

Alius tetanus. *Hic tetanus minùs, quàm priores, lethalis est. Ab ijsdem autem oritur. Plerique verò & ex casu in posteriora, in hunc morbum inciderunt. His igitur afficitur æger. Corpus totum conuellitur;*

conuellitur; interdùm verò ad quancunque corporis partem sorte contigerit, ea conuellitur. Et primùm quidem circumobambulat, deinde successu temporis, in lectum decidit, rursúsque dolor & conuulsio remittit; quumque surrexerit, si fortè paucos dies huc & illuc oberrarit, posteà rursus iisdem vexatur doloribus. Atque hæc patitur, multóque tempore has subit mutationes. Si quid comederit, id non nisi ægrè & exustum per inferiora secedit; sed ad pectus cibus defertur, & suffocationem excitat. Hunc si eodem quo priores modo curaueris, citissimè sanum reddideris. Infusum autem ex ptisanæ coctæ cremore cum melle, in aluum iniicito.

ἐνίοτε δὲ καὶ ὅπῃ ἂν τύχῃ τοῦ σώματος, σπᾶται. περιφοιτᾷ μὲν πρῶτον, ἔπειτα τοῦ χρόνου προϊόντος, ἐς τὴν κλίνην πίπτει, καὶ αὖθις ἀνῆκεν ὁ πόνος καὶ ὁ σπασμός· καὶ ἀναστὰς, ἢν ἴσως περιέλθῃ ὀλίγας ἡμέρας, ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. ταῦτα πάσχει καὶ μεταβάλλει συχνὸν χρόνον· καὶ ἢν τι φάγῃ, οὐ διαχωρέει κάτω, ἢν μὴ μόλις, καὶ ταῦτα ξυγκεκαυμένα, ἀλλ' ἐν τοῖσι στήθεσιν ἔρχεται τὸ σιτίον, καὶ πνῖγα παρέχει. Τοῦτον τοῖσιν αὐτοῖσι θεραπεύων, οἷσι καὶ τοὺς πρόσθεν, τάχιστα ὑγιέα ποιήσεις· κλύζειν δὲ ἐν πτισάνῃ ἑφθῇ τῇ λεπτῇ, καὶ μέλιτι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΠΑΡΘΕΝΙΩΝ, ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS DE VIRGINVM AFFECTIBVS, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἅπαντα ταῖς παρθένοις παρανδρουμέναις ἐπιγίνεται παθήματα, ἐπιληπτικὰ, ἀποπληκτικὰ, δείματα, φαντάσματα ἢ δαίμονες, παραφρονητικὰ, μώρωσις, καὶ νάρκη καὶ τὰ τούτων θεραπευτικά.

ARGVMENTVM LIBRI.

Quæ virginibus viro maturis oboriuntur affectiones, epilepsiæ, apoplexiæ, terrores, spectra seu dæmones, deliria, stupores, torpores, & earum curatio.

Exordium mihi tractationis eorum, quæ perpetua sunt in medicina. Non enim possibile est morborum naturam cognoscere (quod quidem artis est inuenire) nisi naturam singularium in principio, ex quo discreta sunt, cognoscat. Imprimis de morbo sacro appellato, de attonitis, de terroribus, quibus adeò vehementer homines expauescunt, vt desipiant, & interdum quidem noctu, quandóque verò interdiù, vtroque etiam quandóque tempore, quosdam dæmonas sibi infestos videre se existiment. Deinde ab huiusmodi spectris iam strangulati sunt multi, at mulieres plures quàm viri; muliebris nanque natura animi magis est demissi & pusilli. At virgines, quibus viro maturis nuptiarum tempus instat, istud sub mensium descensum magis experiuntur, quum anteà his malis non admodùm afficerentur. Posteà enim sanguis in vteros confluit, velut effluxurus. Quum igitur osculum exitûs minimè fuerit apertum, copiosior autem sanguis tum ob cibos tum ob corporis incrementum affluat, tunc

ΑΡΧΗ μοι [1] τῆς ξυνθέσιος τῶν αἰειγενέων ἰητρικῆς· οὐ γὰρ δυνατὸν τῶν νουσημάτων τὴν φύσιν γνῶναι (ὅπερ ἐστὶ τῆς τέχνης ἐξευρεῖν) ἢν μὴ γνῷ τὴν ἐν τῷ ἀμερεῖ κατὰ τὴν ἀρχὴν ἐξ ἧς διεκρίθη. Πρῶτον περὶ τῆς ἱερῆς νόσου καλεομένης, καὶ περὶ τῶν ἀποπλήκτων, καὶ περὶ τῶν δειμάτων, ὁκόσα φοβεῦνται οἱ ἄνθρωποι ἰσχυρῶς, ὥστε παραφρονέειν, καὶ ὁρῆν δοκέειν δαίμονάς τινας ἐφ' ἑωυτῶν δυσμενέας, ὁκότε μὲν νυκτὸς, ὁκότε δὲ ἡμέρης, ὁκότε δὲ ἀμφοτέρῃσι τῇσιν ὥρῃσιν· ἔπειτα ἀπὸ τῆς τοιαύτης ὄψιος, πολλοὶ ἤδη ἀπηγχονίσθησαν, πλέονες δὲ γυναῖκες, ἢ ἄνδρες· ἀθυμοτέρη γὰρ καὶ [2] ὀλιγωτέρη φύσις ἡ γυναικείη. Αἱ δὲ παρθένοι, ὁκόσῃσιν [3] ὥρη γάμου, παρανδρούμεναι, τοῦτο μᾶλλον πάσχουσιν ἅμα τῇ καθόδῳ τῶν ἐπιμηνίων, πρότερον οὐ μάλα ταῦτα κακοπαθέουσαι. ὕστερον γὰρ τὸ αἷμα [4] ξυλλείβεται ἐς τὰς μήτρας, ὡς ἀπορρευσόμενον· ὁκόταν οὖν τὸ στόμα τῆς ἐξόδου μὴ ᾖ ἀνεστομωμένον, τὸ δὲ αἷμα πλέον ἐπιρρέῃ διά τε σιτία καὶ τὴν αὔξησιν τοῦ σώματος,

τηνικαῦτα οὐκ ἔχον τὸ αἷμα ἔκροιαν, ἀναΐσσει ὑπὸ πλήθεος ἐς τὴν καρδίην, καὶ ἐς τὴν διάφραξιν· ὁκόταν οὖν ταῦτα πληρωθέωσιν, ἐμωρώθη ἡ καρδίη, εἶτα ἐκ τῆς μωρώσιος νάρκη, εἶτ' ἐκ τῆς νάρκης παράνοια ἔλαβεν. ὥσπερ ὁκόταν καθημένου πουλὺν χρόνον, τὸ ἐκ τῶν ἰσχίων καὶ μηρῶν αἷμα ἀποπιεχθὲν ἐς τὰς κνήμας καὶ τοὺς πόδας, νάρκην παρέσχῃ· ὑπὸ δὲ τῆς νάρκης ἀκρατέες οἱ πόδες ἐς ὁδοιπορίην γίνονται, ἔστ' ἂν ἀναχωρήσῃ τὸ αἷμα ἐς ἑωυτό· ἀναχωρέει δὲ τάχιστα, ὁκόταν στῇ ἐν ὕδατι ψυχρῷ, τέγγεται δὲ ἄνω τῶν σφυρῶν. αὕτη μὲν οὖν ἡ νάρκη, εὐλώϊος· ταχὺ γὰρ παλίρροος διὰ τὴν ἰθύτητα τῶν φλεβῶν, καὶ ὁ τόπος τοῦ σώματος οὐκ ἐπίκαιρος. ἐκ δὲ τῆς καρδίης, καὶ τῶν φρενῶν, βραδέως παλίρροος· ἐπικάρσιαι γὰρ αἱ φλέβες, καὶ ὁ τόπος ἐπίκαιρος, ἔστε παραφροσύνην καὶ μανίην ἕτοιμος. ὁκόταν δὲ πληρωθέωσι ταῦτα τὰ μέρεα, καὶ φρίκη ξὺν πυρετῷ ἀναΐσσει, πλανήτας τοὺς πυρετοὺς καλέουσιν. Ἐχόντων δὲ τουτέων ὧδε, ὑπὸ μὲν τῆς ὀξυφλεγμασίης, μαίνεται· ὑπὸ δὲ τῆς σηπεδόνος, φωνέει· ὑπὸ δὲ τοῦ ζοφεροῦ, φοβέεται καὶ δέδοικεν· ὑπὸ δὲ τῆς περὶ τὴν καρδίην πιέξιος, ἀγχόνας κραίνουσιν· ὑπὸ δὲ τῆς κακίης τοῦ αἵματος, ἀλύων καὶ ἀδημονέων ὁ θυμὸς κακὸν ἐφέλκεται· ἕτερα δὲ καὶ φοβερὰ ὀνομάζει, καὶ κελεύουσιν ἅλλεσθαι καὶ καταπίπτειν ἐς τὰ φρέατα, καὶ ἄγχεσθαι, ἅτε ἀμείνονά τε ἐόντα καὶ χρείην ἔχοντα παντοίην. ὁκότε δὲ ἄνευ φαντασμάτων, ἡδονή τις, ἀφ' ἧς ἐρᾷ τοῦ θανάτου ὥσπερ τινὸς ἀγαθοῦ. Φρονησάσης δὲ τῆς ἀνθρώπου, τῇ Ἀρτέμιδι αἱ γυναῖκες ἄλλα τε πολλά, ἀλλὰ δὴ καὶ τὰ πολυτελέστατα τῶν ἱματίων καθιεροῦσι τῶν γυναικείων, κελευόντων τῶν μάντεων ἐξαπατεόμεναι· ἡ δὲ τῆς ἀπαλλαγῆς θεραπεία, ὁκόταν τι μὴ ἐμποδίζῃ τοῦ αἵματος τὴν ἀπόρρυσιν. κελεύω δὴ ἔγωγε τὰς παρθένους, ὁκόταν τὸ τοιοῦτον πάσχωσιν, ὡς τάχιστα ξυνοικῆσαι ἀνδράσιν. ἢν γὰρ κυήσωσιν, ὑγιέες γίνονται· εἰ δὲ μὴ ἔη αὐτέων, ἅμα τῇ ἥβῃ ἢ ὀλίγον ὕστερον ἁλώσεται, εἴπερ μὴ ἀνδρωθῶσι· τῶν δὲ ἀνδρωμένων γυναικῶν, αἱ στεῖραι μᾶλλον ταῦτα πάσχουσιν.

A *sanguis effluuium non habens, præ copia ad cor & septum transuersum resilit. Quum igitur hæc repleta fuerint, cor obstupescit; deinde ex stupore torpor, & ex torpore dementia inuadit. Quemadmodum quum diuturno tempore sedentis ex coxis ac femoribus in tibias & pedes depressas sanguis, torporem adfert; à torpore pedes ad incedendum impotentes redduntur, donec sanguis ad sese reuerterit. Reuertitur autem celerrimè quum steterit in aqua frigida; ultra malleolos autem irriget. Hic igitur torpor facilè repellitur.* B *Citò enim propter venarum rectitudinem refluit, locusque hic corporis haud primarius. At ex corde & septo transuerso tardè recurrit. Venæ enim obliquæ sunt, & locus præcipuus, & ad delirium ac insaniam opportunus. Quum autem hæ partes oppletæ fuerint, & horror cum febre irruit, febres erraticas appellant. His autem ita se habentibus, ob acutam quidem inflammationem, insanit; ob putredinem, clamat; ob caliginem, terretur & timet; ob oppressionem verò circa cor, strangulationem parant; ob sanguinis autem vitium, animus mœrens & anxius malum contrahit.* C *Sed & alium horridè appellat; & in puteos prosilire ac incidere, seseque strangulare iubent, tanquam hæc & præstantiora sint, & omnem utilitatem excedant. Interdùm verò sine spectris, voluptas quædam adest, ex qua mortem tanquam bonum aliquod expetit. Redeunte autem ad mentem homine, mulieres cùm alia multa, tum verò etiam pretiosissimas vestes muliebres Dianæ consecrant, à vatibus id iubentibus deceptæ.* D *Cæterùm huius mali propulsandi curatio est, quum nihil sanguinis effluxum impedit. Ego verò impero, virgines his pathematis affectas quàm citissimè cum viris coniungi. Si enim conceperint, sanæ euadunt. Nisi verò ipsis hæc affuerint, unà cum pubertate, aut paulò pòst corripientur, nisi viro iungantur. At ex mulieribus viro iunctis, sterilibus ista magis contingunt.*

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΗΣ ΦΥΣΙΟΣ, ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS DE NATVRA MVLIEBRI, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἱπποκράτης διὰ βραχέων τὴν γυναικείαν φύσιν καὶ κρᾶσιν ἐκ τῆς τοῦ σώματος καταστάσεως καὶ τῶν ἡλικιῶν θεωρήσας, πάσας τὰς τῶν γυναικῶν νόσους σχεδὸν, καὶ τὰς αὐτῶν αἰτίας, καὶ τὴν διάγνωσιν, καὶ θεραπείαν διδάσκει· καὶ πλεῖστα εἰς τὴν πολυτοκίαν, καὶ τὸ κύημα, καὶ τὰ δεύτερα, καὶ τὰ λόχια, ταῖς μήτραις πασχούσαις ἐπιτήδεια βοηθήματα παραδίδωσι.

ARGVMENTVM LIBRI.

Paucis mulierum naturam ac temperamentum ex corporis habitu ac ætatibus speculatus Hippocrates, omnes ipsarum propè morbos, eorúmque causas, dignotionem, curationemque docet; ac plurima ad fœcunditatem, fœtum, menstrua, secundas, & lochia, remedia affectis vteris idonea præscribit.

A

CAPVT I.

Procemio libri, numen, naturam, & colores, morborum muliebrium causas esse docet, in quorum curatione habenda est dignotio temperamenti, coloris, tempestatis anni, ætatis, & regionis; sed à dijs exordiendum esse.

DE muliebri natura ac morbis hæc dico, maximè quidem in hominibus causam esse diuinum numen; deinde verò mulierum naturas, & colores. Nam admodum albæ, humidiores sunt, & fluidiores; nigræ verò, duriores & adstrictiores. At fuluæ, medium quid inter vtrasque habent. Sic autem in ætatibus contingit; iuuenes quidem humidiores sunt, & plerúnque copioso sanguine scatent; seniores verò, sicciores, paucique sanguinis; mediæ, medium quid inter vtrasque sortiuntur. Eum autem, qui ista probè tractare vult, primùm quidem à dijs exordiri oportet; posteà tum mulierum naturas dignoscere, tum ætates, & anni tempestates, locáque vbicunque fuerit. Frigida nanque loca fluxionibus ciendis, calida verò & sicca sistendis opportuna sunt. Docendi autem initium mihi ab humido secundum naturam ducendum est.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἐν τῷ τοῦ βιβλίου προοιμίῳ διδάσκει τὸ θεῖον, καὶ τὰς φύσεις, καὶ τὰς χροιὰς, τῶν γυναικείων νοσημάτων τὰς αἰτίας εἶναι· καὶ ὅτι ἐν τῇ αὐτῶν θεραπείᾳ διαγινώσκειν χρὴ τὰς φύσεις τῶν γυναικῶν, καὶ τὰς χροιὰς, καὶ τὰς ὥρας, καὶ τὰς ἡλικίας, καὶ τοὺς τόπους, πρῶτον δὲ ἐκ τῶν θείων ἄρχεσθαι.

B

ΠΕΡΙ δὲ τῆς γυναικείης φύσιος καὶ νοσημάτων, τάδε λέγω· μάλιστα μὲν τὸ θεῖον ἐν τοῖσιν ἀνθρώποισιν αἴτιον εἶναι· ἔπειτα αἱ φύσιες τῶν γυναικῶν, καὶ χροιαί. αἱ μὲν γὰρ ὑπέρλευκοι, ὑγρότεραί τε καὶ ῥοωδέστεραι· αἱ δὲ μέλαιναι, σκληρότεραι καὶ στρυφνότεραι· αἱ δὲ οἰνωπαὶ, μέσον τι ἀμφοτέρων ἔχουσιν. Οὕτω δὲ καὶ περὶ τῶν ἡλικιῶν ξυμβαίνει· αἱ μὲν νέαι, ὑγρότεραι, καὶ πολύαιμοι ὡς ἐπιτοπουλύ· αἱ δὲ πρεσβύτιδες, ξηρότεραι καὶ ὀλίγαιμοι· αἱ δὲ μέσαι, μέσον τι ἀμφοτέρων ἔχουσιν. Δεῖ δὲ τὸν ὀρθῶς ταῦτα χειρίζοντα, πρῶτον μὲν ἐκ τῶν θείων ἄρχεσθαι, ἔπειτα διαγινώσκειν τάς τε φύσιας τῶν γυναικῶν, καὶ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τοὺς τόπους οὗ ἂν ᾖ. οἱ μὲν γὰρ τῶν τόπων ψυχροὶ, ῥοώδεες· οἱ δέ γε θερμοὶ, ξηροὶ καὶ στάσιμοί εἰσιν. ἄρχομαι δὲ διδάσκειν ἀπὸ τοῦ ὑγροῦ κατὰ φύσιν.

C

A

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τοῦ ἐν τῇ μήτρᾳ ὕδερου, καὶ τῶν αὐτοῦ αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

ΗΝ ὕδερος ἐν τῇσι μήτρῃσιν ἐγγίνηται, τὰ ἐπιμήνια ἐλάσσω καὶ κακίω γίνηται, ἔπειτα ἐξαπίνης ἐκλείπει, καὶ ἡ γαστὴρ ἐπανοιδέει, καὶ οἱ μαζοὶ ξηροὶ γίνονται, καὶ τἄλλα πονηρῶς ἔχει, καὶ δοκέει ἐν γαστρὶ ἔχειν· καὶ τουτέοισι γνώσῃ, ὅτι ὑδεραίνει. σημαίνει δὲ καὶ ἐν τῷ στόματι τῶν ὑστερέων, [3] ψαυόντι γὰρ ἰσχνὸν φαίνεται· καὶ πῦρ καὶ ὕδωρ αὐτὴν λαμβάνει, ὁκόσῳ δ' ἂν ὁ χρόνος πλείων γίνηται, ὀδύνη τὴν νειαιρὴν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας ἴσχει. Αὕτη ἡ νοῦσος ἐκ τρωσμοῦ μάλιστα γίνεται, προσγίνεται δὲ καὶ ἐξ ἄλλων. Ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ἢν αὖ ἡ ὀδύνη μὴ ἔχῃ. Φάρμακον χρὴ πίσαι κάτω· μετὰ δὲ τὸ φάρμακον, πυριῆν ἐν τῷ βολβίτῳ τὰς ὑστέρας, ἔπειτα προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι· διαλιπὼν ἡμέρας τρεῖς, τὸ ξὺν τῇ χολῇ· μίαν δὲ διαλιπὼν, τρεῖς ἡμέρας κλυσάτω ἐν τῷ ὄξει. καὶ ἢν μὲν ἡ γαστὴρ γένηται λαπαρὴ, καὶ οἱ πυρετοὶ πεπαυμένοι ἔωσι, καὶ τὰ ἐπιμήνια γίνηται, τῷ ἀνδρὶ ξυγκοιμάσθω· ἢν δὲ μὴ, αὖθις τὰ αὐτὰ ποιέειν, ἔστ' ἂν γίνηται τὰ ἐπιμήνια, καὶ ἐνίοις προσθετοῖς χρήσθω· μεταξὺ δὲ ἡμέρας πινέτω τοῦ κρηθμοῦ τὸν φλοιὸν, καὶ γλυκυσίδης τοὺς μέλανας κόκκους, καὶ τῆς ἀκτῆς τὸν καρπὸν, ἐν οἴνῳ νῆστις, καὶ τὴν λινόζωστιν ἐσθιέτω ὡς πλείστην, καὶ σκόροδα ἑφθὰ καὶ ὠμά· καὶ σιτίοισι μαλθακοῖσι, καὶ τοῖσι πολύποσι, καὶ τοῖσιν ἄλλοισι [4] μαλθακοῖσιν χρήσθω· ἢν δὲ τέκῃ, ὑγιὴς γίνεται.

CAPVT II.

De hydero vteri, eiusque causis, signis, & curatione.

SI hydrops in vteris oboriatur, menses pauciores ac deteriores fiunt; deinde derepentè deficiunt, venter intumescit, mammæ siccæ euadunt, & in reliquis malè habet, sibique vtero gestare videtur; ac ex his quidem eam hydrope laborare cognosces. Sed & in B vterorum osculo significat, tangentibus enim gracile apparet; & febris & aqua ipsam corripit; quóque longius tempus processerit, dolor imum ventrem, lumbos, & ilia detinet. Hic morbus ex abortu maximè oritur; & ex alijs etiam accidit. Quum sic habuerit, calidâ lauare, & tepentes fotus admouere oportet, quoad dolor non amplius detineat. Medicamentum deorsùm purgans propinandum. Post medicamentum verò, vteris fomentum ex stercore bubulo admoueto; deinde quod ex cantharide paratur, in subdititio C apponito; tribus diebus intermissis, id quod ex felle conficitur. Vno verò die intermisso, per tres dies infusum ex aceto adhibeat. Et si quidem venter mollis euadat, & febres cessauerint, ac menses suboriantur, cum viro coniungatur. Sin minùs, eadem rursus facito, quoad menses decurrant, & quibusdam subdititijs vtatur. Intermedijs autem diebus crethmi corticem, & pæoniæ grana nigra, & sambuci fructum ex vino ieiuna bibat; & quàm plurimam mercurialem edat, alliaque cocta & cruda; ac cibis D mollibus, & polypis, alijsque mollibus vtatur. Quòd si pepererit, conualescit.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς ὑστερικῆς πνιγὸς ἀπὸ τῆς πρὸς ἧπαρ τῆς ὑστέρας ἀναβάσεως, καὶ τῶν αὐτῆς σημείων, καὶ θεραπευτικῶν.

ΗΝ αἱ μῆτραι πρὸς τὸ ἧπαρ ἔλθωσιν, ἄφωνος ἐξαπίνης γίνεται, καὶ τοὺς ὀδόντας ξυνερείδει, καὶ ἡ χροιὴ [5] μέλαινα γίνεται· ἐξαπίνης δὲ ταῦτα πάσχει, ὑγιὴς ἐοῦσα. Γίνεται δὲ τὸ τοιοῦτον πάθος παρθένοισι μάλιστα παλαιῇσιν ἐοῦσῃσι, καὶ χήρῃσιν, αἳ νέαι ἐοῦσαι καὶ τοκῆσαι χηρεύουσιν. ὁκόταν ὧδε ἔχῃ, τῇ χειρὶ προωσάσα κάτω, [6] ὑπὸ τοῦ ἥπατος ἀποδῆσαι ταινίῃ, [7] ἢ ὑπὸ τὰ ὑποχόνδρια, [8] καὶ τὸ στόμα διαχανὼν οἶνον εὐωδέστατον ἐγχέαι· καὶ προσέχειν τὰς ῥῖνας, καὶ ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ὑστέρας τὰ εὐώδεα. ἐπὴν δὲ [9] καταφρονήσῃ, πίσαι φάρμακον κάτω, καὶ μεταπίσαι γάλα ὄνου· ἔπειτα πυριῆσαι τὰς ὑστέρας εὐώδεσι, καὶ προστιθέναι τὰ ξὺν τῇ βουπρήστει· τῇ δὲ ὑστεραίῃ, νέτωπον. διαλιπὼν δὲ δύο ἡμέρας, [10] κλύσαι τὰς ὑστέρας εὐώδεσι· τῇ δὲ ὑστεραίῃ, προσθεῖναι τὴν γλήχωνα· διαλιπὼν δὲ μίαν ἡμέρην, θυμιῆσαι τοῖσιν ἀρώμασι. ταῦτα ποιέειν [11] τὴν χήρην· τὴν δὲ παρθένον πείθειν συνοικῆσαι ἀνδρὶ, πρὸς δὲ τὰς ὑστέρας προσφέρειν μηδὲν,

CAPVT III.

De hysterica suffocatione ab ascensu vteri ad hepar, eiusque signis, & curatione.

SI vteri ad hepar processerint, derepentè vox deficit, dentes collidit, & color niger euadit. Hæc autem derepentè, cùm sana est, contingunt. Hic E verò affectus virginibus maximè vetulis oboritur, & viduis, quæ iuuenes sunt, & pepererunt, ac viduæ manent. Quum sic habuerit, manu propulsione deorsùm factâ, sub hepate & hypochondrijs fasciâ deligato, oréque diducto vinum odoratissimum infundito. Graueolentia quoque naribus admoueto ac suffito, subter vteros verò odorata. Vbi ad se redierit, medicamentum deorsùm purgans propinato; posteáque lac asininum bibendum dato. Deinde vte- F ros odoratis foueto, & medicamenta cum bupresti parata apponito; postridie verò netopum. Intermissis autem duobus diebus, vteros odoratis proluito; & postridiè pulegium subdito. Intermisso verò die vno, suffitum ex aromatibus parato. Atque hæc viduam facere decet; virginem autem viro coniungi persuadeto, vteris verò nihil adhibeto,

neque

neque medicamentum bibendum dato, sed conyzam & castorium ex vino ieiunæ exhibeto; neque caput odoratis vngatur, neque ea olfaciat.

CAPVT IV.

De vteri procidentia, eiusque causis, signis, & curatione.

SI vteri prociderint, & foras prodierint, ignis pudenda præcipuè & sedem occupat; ac vrina paulatim stillat, ac mordet. His afficitur, si recens à partu cum viro concubuerit. Quum autem sic habuerit, myrti baccas & loti ramenta in aqua decoque, eamque sub dio *expone, & imum ventrem eo decocto quàm frigidissimo, pudendaque perfundito, & leuiter trita ex cataplasmate apponito. Deinde vbi aquam biberit, lenticulam, mel, & acetum; vomat, quoad vteri subleuati fuerint. Et lecto à pedibus sublimiori facto iaceat, pudendisque suffitum ex graueolentibus admoueat, naribus verò ex odoratis. Cibis autem quàm mollissimis ac frigidis vtatur; & vinum aquosum non album bibat; non lauet, neque cum viro dormiat.*

CAPVT V.

De vteri eruptione, eiusque signis & curatione.

AT verò si penitùs ex pudendis exciderint, velut scrotum propendent, & dolor imum ventrem & lumbos prehendit, & quum labor extiterit, ad locum suum redire nolunt. Morbus autem inuadit, quum partui vicina vteris laborarit, aut puerperij purgamentis euntibus, viro condormierit. Quum sic habuerit, refrigerantia pudendis admouenda sunt, & quod foris est, vino nigro, in quo malum punicum coxerit, repurgatum & ablutum, intrò retrudendum; deinde mel ac resina mixta infundenda; supináque sursùm sublatis & extentis pedibus iaceat, posteà impositas spongias ex lumbis deligato. Quum verò ita habuerit, à cibis quidem abstineat; potu autem quampaucissimo vtatur, quoad septem dies præterierint. Et si quidem sic intrò redierint, satis est; *sin minùs, summis* vteris *derasis, & calefactis, ablutis & illitis, alligatâque ad scalam muliere, scalam ad caput concutito, & manu vteros intrò trudito; posteà eius cruribus alternatim simul colligatis, sic per diem & noctem finito, & paucum ptisanæ succum frigidum, nihilque aliud exhibeto. Postero autem die reclinatæ, coxendici cucurbitulam quàm maximam admoueto, multoque tempore trahere finito. At postquàm detraxeris, cutem ne pertundito, sed recumbere finito, nihilque aliud quam succum exhibeto, quoad dies septem præterierint. Quòd si sitiuerit, aquam frigidam quàm paucissimam dato. At vbi dies septem præterierint, cibis*

A μηδὲ τὸ φάρμακον πίνειν· κόνυζαν δὲ καὶ καστόριον διδόναι ἐν οἴνῳ νήστει· καὶ τὴν κεφαλὴν μὴ ἀλείφεσθω ποὶν εὐώδεσι, μηδὲ ὀσφραινέσθω.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς μήτρας προπτώσεως, καὶ τῶν ταύτης αἰτίων καὶ σημείων, καὶ θεραπευτικῶν.

ΗΝ προσέλθωσιν αἱ μῆτραι καὶ ἐξέλθωσιν ἔξω, πῦρ ἔχει μάλιστα τὰ αἰδοῖα καὶ τὴν B ἕδρην, καὶ τὸ οὖρον στάζει κατ' ὀλίγον, καὶ δάκνεται. Ταῦτα πάσχει, ἢν ἐκ τόκου [13] ἐοῦσα τῷ ἀνδρὶ μὴ ξυγκοιμηθῇ. Ὁκόταν δὲ οὕτως ἔχῃ, μύρτα καὶ λωτοῦ πρίσματα ἑψήσας ἐν ὕδατι, καταθεὶς, τὴν νείαιραν προσχείσθω, καὶ ὡς ψυχρότατον πρὸς τὰ αἰδοῖα, καὶ τρίβων λεῖα προσπλάσσειν. ἔπειτα πίνουσα ὕδωρ, φακὸν, καὶ μέλι, καὶ ὄξος, ἕως ἂν μεταρθῶσιν αἱ ὑστέραι, ἐμείτω· καὶ τὴν κλίνην πρὸς ποδῶν ὑψηλοτέρην κεῖσθαι, καὶ ὑποθυμιῆν, ὑπὸ τὰ αἰδοῖα τὰ κακώδεα, καὶ ὑπὸ τὰς ῥῖνας τὰ εὐώδεα. Σιτίοισι δὲ C χρήσθω ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι, καὶ τὸν οἶνον ὑδαρέα πινέτω, μὴ λευκόν. μὴ λουέσθω δὲ, μηδὲ μετ' ἀνδρὸς συγκοιμάσθω.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς μήτρας ἐκπτώσεως, καὶ τῶν ταύτης σημείων καὶ θεραπευτικῶν.

ΗΝ δὲ παντάπασιν ἐκ τῶν αἰδοίων ἐκπέσωσιν, ἐκκρέμαται ὥσπερ ὄσχη, καὶ ὀδύνη λαμβάνει D τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ ὁκόταν ὁ πόνος ἐγγένηται, οὐ θέλουσιν ἐς χώρην ἰέναι. ἡ δὲ νοῦσος λαμβάνει, ὅταν [14] ἐκ τόκου ἐοῦσα πονήσῃ τὰς ὑστέρας, ἢ τῷ ἀνδρὶ ἐν τῷ λοχίῳ συγκοιμηθῇ. Ὁκόταν δὲ οὕτως ἔχῃ, ψύγματα χρὴ προστιθέναι πρὸς τὰ αἰδοῖα, καὶ τὸ ἔξω ἐὸν ἀποκαθήρας, σιδίῳ ἐν οἴνῳ μέλανι ἑψήσας, τούτῳ περιπλύνας, εἴσω ἀπωθέειν· εἶτα μέλι καὶ ῥητίνην μίξας, ἐγχεῖν. καὶ κατακείσθω ὑπτίη, ἄνω τοὺς πόδας ἔχουσα E ἐκτεταμένη, ἔπειτα σπόγγους ἐπιθεὶς, ἀναδῆσαι ἐκ τῶν ἰξύων. ὁκόταν δὲ οὕτως ἔχῃ, σιτίων μὲν ἀπεχέσθω, ποτῷ δὲ ὡς ἐλαχίστῳ χρήσθω, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. Καὶ ἢν μὲν οὕτως ἐθέλωσιν εἰσιέναι· ἢν δὲ μὴ, [15] ἄκρας περιξέσας καὶ θερμήνας, περιπλύνας τε καὶ χρίσας, καὶ δήσας τὴν γυναῖκα πρὸς κλίμακα, κρούειν τὴν κλίμακα κατὰ κεφαλῆς, καὶ τῇ χειρὶ ἐσωθεῖν τὰς ὑστέρας· ἔπειτα ξυνδῆσαι αὐτῆς τὰ σκέλεα ἀπαλλὰξ, F καὶ ἐᾶν ἡμέρην καὶ νύκτα οὕτω, καὶ διδόναι ὀλίγον χυλὸν πτισάνης ψυχρὸν, ἄλλο δὲ μηδέν. τῇ δὲ αὔριον κατακλίνας, ἐπὶ τὸ ἰσχίον σικύην προσβάλλειν ὡς μεγίστην, καὶ ἐᾶν χρόνον πουλὺν ἕλκειν· ἐπὴν δὲ ἀφέλῃς, μὴ ἀποσχάζειν, ἀλλὰ κατακλίνας, ἔα, καὶ μὴ πρόσφερε ἄλλο, ἢ τὸν χυλὸν, ἕως αἱ ἑπτὰ ἡμέραι παρέλθωσιν· ἢν δὲ διψῇ, ὕδωρ δίδου ψυχρὸν ὡς ἐλάχιστον. ἐπὴν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, σιτίοισιν

ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρεέσθω. ἢν δὲ ἀποπατῆσαι θέλῃ, ἀνακειμένη ἀποπατείτω, ἕως ἂν τεσσαράκοντα ἡμέραι παρέλθωσιν· ἔπειτα ἀνιστάτω, καὶ περιχωρείτω ὡς ἐλάχιστα, καὶ μὴ λουέσθω, [16] μηδὲ ὑποθυμιήσθω τοῖσι κακώδεσι, καὶ ἐσθιέτω ὀλίγα.

A quam mollissimis & paucissimis vtatur. Quod si aluum deijcere velit, decumbens deijciat, quoad dies quadraginta præterierint. Posteà surgat & quàm paucissimè ambulet, neque lauetur, nec suffitum ex graueolentibus adhibeat, & parùm comedat.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῆς μήτρας τῷ ἰσχίῳ προσκειμένης ἅψεως, ἐξ ἧς ἄτεκνος γίγνεται, καὶ τῶν αὐτῆς σημείων καὶ θεραπευτικῶν.

CAPVT VI.

De vteri in coxendicem procumbentis annexu, vnde sterilitas accidit, & eius signis, & curatione.

B

Ην αἱ μῆτραι ἅψωνται, προσκέωνται· καὶ ἢν ἅψῃ, ὄψει σκληρὸν ὑπὸ τὸν κενεῶνα· καὶ ὀδύνη λαμβάνει τὴν νειαίραν γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας, καὶ ἐς τὸ σκέλος ὀδύνη ἐμπίπτει, καὶ ἐκτείνειν οὐ δύνανται· πολλάκις δὲ καὶ ἐκπυΐσκονται ἔμμοτοι γινόμεναι, καὶ ῥεόμεναι ἀποθνήσκουσιν, ἢν μὴ καύσῃς, ἢ τάμῃς. Ὁκόταν δὲ ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω, καὶ λοῦσαι πολλῷ θερμῷ, καὶ πυριῆν· καὶ ὁκόταν νεόλουτος ᾖ, ἢ νεοπυρίητος, κελεύειν [17] παραφάσσουσαν ἀφέλκειν τὸ στόμα τῶν ὑστερέων, καὶ ὑποθυμιῆν καλωνίην σμύρνην, ῥόδινον [18] περιχέων. πινέτω δὲ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, τοῦ καστορείου ξυμμίσγων, ἐν οἴνῳ εὐώδει· καὶ κατακείσθω ἐπὶ τοῦ ὑγιέος ἰσχίου, καὶ προσθέσθω βάκκαριν, ἢ λευκὸν ἔλαιον, πρὸς τὸ ὑγιὲς ἰσχίον· καὶ ἐσθιέτω σκόροδα πλεῖστα, καὶ ὠμὰ, καὶ ἑφθὰ, καὶ τὸν χυλὸν ῥοφείτω, καὶ σιτίοισι μαλθακοῖσι χρήσθω. ἐπὴν δὲ ἡ ὀδύνη παύσηται, [19] ἅπαξ ἐούσης ἐπὶ τὸ ὑγιὲς ἰσχίον· ἔπειτα πυριῆν τῷ οὔρῳ, [20] περιπάσσοντα τῆς δάφνης, καὶ ἐκ τῆς πυρίης προστιθέναι τὴν κυκλάμινον· τῇ δὲ ὑστεραίῃ λουσαμένη, ὑποθυμιήσθω τοῖσιν ἀρώμασι. μάλιστα δὲ ἐκ ταύτης ἄτεκνοι γίνονται.

VTeri si adhæserint, incumbunt; & si attigeris, locum durum sub ilibus deprehendes; dolor imum ventrem inuadit, & ilia, & lumbos, dolorque in crus incidit, neque id extendere potest. Plerúnque verò pus colligunt, & linamentosæ factæ, ac pure fluentes, nisi vsseris, aut secueris, pereunt. Quum autem sic habuerit, medicamentum deorsùm purgans propinato; multâque calidâ lauato, & foueto; quumque recens lota, aut fota fuerit, iubeto vt quæ admotâ manu eam contrectarit, os vteri detrahat, ac myrrham caloniam affuso rosaceo suffiat. Bibat autem pœoniæ grana nigra quinque ex vino odorato, castorio admixto; & in sanam coxam recumbat, eique baccarim, aut oleum album admoueat; allia plurima, tum cruda, tum cocta edat; succum sorbeat, cibisque mollibus vtatur. Postquàm autem dolor sedatus fuerit, in sanam coxam abduces; deinde ex vrina, lauro aspersâ, fomentum parato, & à fomento cyclaminum apponito. Postero verò die lotæ suffitum ex aromatis admoueto. Præcipuè autem ex hoc morbo infœcundæ redduntur.

C

D

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ ἀποπλιχθέντος τοῦ τῆς μήτρας στόματος, τοῦ τῆς ἀφορίας αἰτίου, καὶ τῶν τούτου σημείων καὶ θεραπευτικῶν.

CAPVT VII.

De complicato vteri osculo, sterilitatis causâ; eiusque signis & curatione.

Ην ἀποπλιχθῇ τὸ στόμα τῶν μητρέων, τὰ ἐπιμήνια οὐκ ἐγγίνεται· ἢν δὲ ἐγγένηται, ὀλίγα καὶ πονηρά. καὶ τῷ ἀνδρὶ ὁκόταν ξυνίῃ, ἀλγέει· καὶ ὀδύνη τὴν νειαίραν γαστέρα ἴσχει, καὶ τὰς ἰξύας· [21] καὶ ἢν ἀφάσσῃ [22] τῷ δακτύλῳ, καὶ σκέπτηται τὸ στόμα, [23] οὐ δῆλόν ἐστιν. Ὁκόταν ὧδε ἔχῃ, πυριῆσθαι τῷ ἀνθρωπίνῳ οὔρῳ· ἐπὴν δὲ πυριήσηται, λουσάσθω ἀπὸ τοῦ φακοῦ. ἔπειτα λουσαμένη, πυριήσθω τῷ Αἰγυπτίῳ μύρῳ τὰς ὑστέρας· καὶ ἢν ἐς τὰς ῥῖνας ἀνέλθῃ ἡ ὀδμὴ, ἐλπὶς αὐτὴν ὑγιέα γενέσθαι. καὶ ὁκόταν μέλλῃ καθεύδειν, προσθέσθω τὸ Αἰγύπτιον ἔλαιον ἐν εἰρίῳ, τῇ δὲ αὔριον σκέψασθαι, ἤν τι μᾶλλον ὀρθῶνται· ἔπειτα πυριῆν εὐώδεσι, καὶ προστιθέναι ἃ μὴ δήξηται καθαρτήρια, καὶ μετακλύζειν μετὰ τὰ πρόσθετα, ἴσον τὸ ὄξος μίσγων. ὅταν δὲ τὰ ἐπιμήνια ἐγγένηται, ἐκνηστεύσασα καὶ ἀλουτήσασα, καὶ θυμιησαμένη, τῷ ἀνδρὶ συνιέσθω. μάλιστα δὲ ἐκ ταύτης τῆς νόσου, ἄφοροι γίνονται.

SI vterorum os complicatum fuerit, menses non prodeunt. Si verò prodeant, pauci ac praui sunt. Et vbi cum viro coit, dolet; dolorque imum ventrem & lumbos detinet. Quòd si digito contrectet, & perquirat osculum, non comparet. Quum sic habuerit, vrinâ humanâ foueatur, & à fotu lenticulæ decocto lauetur; & postquam lota fuerit, vnguento Ægyptio vteri foueantur. Quòd si ad nares odor peruenerit, eam sanam fore spes est. Quumque dormire voluerit, oleum Ægyptium ex lana subdat; postero verò die, num magis directi fuerint, considerato; posteà odoratis foueto, & purgantia quæ minimè mordeant, subter apponito; postque subdititia, æquali aceti parte admixtâ, eluito. Quum verò menses prodierint, ieiuna, & illota, & suffita, virum adeat. Ex hoc autem potissimùm morbo steriles euadunt.

E

F

CAPVT

CAPVT VIII.

De vteri in coxendicem decursu, eiusque curatione.

Si uteri ad coxendicem decurrerint, tum menses non prodeunt, tum dolor ad imum ventrem & ilia peruenit; ac si digito contigeris, os in coxendice deprehendes. Quum ita habuerit, calidâ lauato, & allia quàm plurima comedenda dato, & lac ouillum purum bibat. Et postquàm purum comederit, deinde fomento admoto, medicamentum deorsùm purgans exhibeto. Postquàm autem purgata fuerit, rursus vteros ex fœniculo & absinthio commixtus foueto. Vbi verò recens fota fuerit, os digito abstrahito, posteà scillam apponito; post hoc autem intermissione factâ, cum narcissino. Quod si tibi perpurgata videatur, netopum subter apponito; posteróque die vnguentum rosaceum. Primo autem mensium die à subdititijs cessato; postridiè verò vbi defecerint, incipito. In mensibus autem, si quidem sanguis erumpat, satis est; *sin minùs, cantharidas quatuor, resectis pedibus, alis, & capite, bibat; pæoniæque nigra grana quinque, & sepiæ oua, linique semen ex vino. Quod si dolor, sique vrinæ stillicidium detinuerit, in calida desideat; & aquam mulsam aquosam bibat. Si verò sub primùm* diem *purgata non fuerit, rursus bibat quoad* purgatio *adsit. Quum autem adfuerit, ieiuna virum adeat. In purgatione verò mercurialem edat, & polypos coctos, cibisque mollibus vtatur. Morbo autem liberabitur, vbi conceperit.*

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς μήτρας πρὸς τὸ ἰσχίον καταδρομῆς, καὶ τῆς ταύτης θεραπείας.

Ἢν αἱ μῆτραι πρὸς τὸ ἰσχίον διαθέωσι, τά τε ἐπιμήνια οὐκ ἐγγίνεται, καὶ ὀδύνη ἐς νειαίρην γαστέρα φοιτᾷ, καὶ ἐς τὸν κενεῶνα, καὶ ἢν ἀφῇς τῷ δακτύλῳ, ὄψει τὸ στόμα [24] ἐν τῷ ἰσχίῳ. Ὅταν ὧδε ἔχῃ, λούειν θερμῷ, καὶ σκόροδα διδόναι ἐσθίειν ὡς πλεῖστα, καὶ γάλα οἴειον πινέτω ἄκρητον. καὶ ἐπειδὰν δὲ καταρροφήσῃ ἄκρητον, ἔπειτα πυριήσας, δοῦναι φάρμακον κάτω. ἐπειδὰν δὲ καθαρθῇ, αὖθις πυριῆν τὰς ὑστέρας, τὸ μάραθον καὶ τὸ ἀψίνθιον συμμίσγοντας· ἐπὴν δὲ νεοπυρίητος ᾖ, ἀφέλκειν τὸ στόμα τῷ δακτύλῳ, ἔπειτα προσθεῖναι τὴν σκίλλαν· μετὰ δὲ τοῦτο, ξὺν τῷ ναρκισσίνῳ, διαλιπών. ἢν δέ σοι δοκέῃ κεκαθάρθαι, νέτωπον προσθέσθαι, τῇ δ' ὑστεραίῃ ῥόδινον μύρον. παύσασθαι δὲ τοῦ προστιθέναι τῇ προτέρῃ τῶν ἐπιμηνίων· ἄρχεσθαι δὲ τῇ αὔριον, ἐπὴν ἀπολίπῃ. Ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν, ἢν μὲν τὸ αἷμα καταρραγῇ· εἰ δὲ μή, πινέτω κανθαρίδας τέσσαρας, ἀποκόψασα τοὺς πόδας, καὶ τὰ πτερά, καὶ τὴν κεφαλήν· καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, καὶ σηπίης ὠά· [25] σπέρμα λίνου ἐν οἴνῳ. καὶ ἢν ὀδύνη ἔχῃ, καὶ ἢν στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω, καὶ πινέτω μελίκρητον ὑδαρές. ἢν δὲ μὴ καθαρθῇ ὑπὸ τοῦ προτέρου, αὖθις πινέτω, ἔστ' ἂν γένηται· ἐπὴν δὲ γένηται, ἀσιτήσασα ξυνευνέσθω τῷ ἀνδρί. ἐν δὲ τῇ καθάρσει τὴν λινόζωστιν ἐσθιέτω, καὶ πουλύποδας ἑφθούς, καὶ σιτίοισι μαλθακοῖσι χρεέσθω. Τῆς δὲ νούσου ἀπαλλάσσεται, ἢν ἐν γαστρὶ σχῇ.

CAPVT IX.

A partu non purgatæ mulieris pathemata, & curatio.

Si ex partu minimè purgata fuerit, venter & crura tument; & rigor & dolor imum ventrem & lumbos occupat, quandoque etiam ad viscera progreditur, & animo deficit. His per morbi exordia afficitur; procedente verò tempore, caua faciei partes multùm rubescunt. Quum igitur ita habuerit, fotu vteris admoto, cyclaminum apponito. Bibat autem quod cum tæda conficitur medicamentum, *quoad fluxus commotus fuerit. Vterorum autem ori pingue anserinum, myrrham & resinam tepidam illinito; & quàm maximè incedat. Ante cibum quoque mercurialem coctam, allia, & porrum edat; & brassicæ succum sorbeto; cibisque mollibus vtatur, marinis autem potiùs; & calidâ lauet. Pinguibus verò & dulcibus abstineat, quoad conualescat.*

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Τὰ τῆς γυναικὸς τῆς ἐκ τόκου μὴ καθαρθείσης παθήματα, καὶ ἡ θεραπεία.

Ἢν ἐκ τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ καὶ τὰ σκέλεα, καὶ ῥῖγος καὶ ὀδύνη τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας ἔχει, ἔστι δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα ἀνέρχεται καὶ λειποψυχέει. ταῦτα πάσχει ἀρχομένης τῆς νόσου· ὁκόταν δὲ χρόνος ἐγγένηται, τὰ κοῖλα τοῦ προσώπου ἐξερυθριᾷ. Ὁκόταν οὖν ὧδε ἔχῃ, πυριήσας τὰς ὑστέρας, προσθεῖναι τὴν κυκλάμινον· πινέτω δὲ τὸ ξὺν τῇ δᾳδί, ἔστ' ἂν τὸ ῥεῦμα κινηθῇ. ἀλείφειν δὲ ἐς τὸ στόμα τῶν ὑστερέων, [26] ἔλαιον χλωρόν, καὶ σμύρναν, καὶ ῥητίνην χλιαρήν, καὶ ἐμπλαζέσθω ὡς μάλιστα. καὶ πρὸ τοῦ σιτίου, ἐσθιέτω ἕψουσα τὴν λινόζωστιν, καὶ σκόροδα, καὶ πράσα, καὶ κράμβης τὸν χυλὸν ῥοφείτω· καὶ σιτίοισι μαλθακοῖσι χρήσθω, θαλασσίοισι δὲ μᾶλλον· καὶ λουέσθω θερμῷ. τῶν δὲ λιπαρῶν καὶ τῶν γλυκέων ἀπεχέσθω, ἕως ἂν ὑγιὴς γένηται.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ μητρῶν φλέγματος πληθεισῶν, καὶ τῆς αὐτῶν θεραπείας.

Ἢν αἱ μῆτραι [27] φλεγμήνασαι πληθῶσι, φῦσα ἐγγίνεται, καὶ τὰ ἐπιμήνια λευκὰ [28] ἀφέρχεται, φλεγματώδεα· ἔστι δ' ὅτε καὶ αἷμα λεπτὸν, ὑμένων ἔμπλεον· καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, καὶ ὠχρὴ, καὶ λεπτὴ γίνεται. ἐρέσθαι οὖν χρὴ αὐτὴν, τὸ ῥέον ἢν [29] δάκνῃ τε καὶ ἐξελκοῖ· καὶ ἢν μὴ δάκνηται, ἀπὸ τοῦ ἐγκεφάλου [30] φάναι εἶναι τὸ ῥεῦμα· [31] ἢν δὲ δάκνῃ, ἀπὸ τῆς κοιλίης. Ἢν μὲν οὖν ἀπὸ τῆς κοιλίης ᾖ, ἐμείτω ἀπὸ τοῦ φακίου· ἔπειτα ἐλλεβόρῳ καθῆραι· ἔπειτα ἐς τὰς ῥῖνας ἐνθεῖναι. ἐπὴν δέ σοι ἡ ἄνω κοιλίη κεκαθάρθαι δοκῇ, φάρμακον πῖσαι κάτω. σιτίων δὲ ἀπεχέσθω λιπαρῶν καὶ γλυκέων· τὰ δὲ δριμέα προσφέρειν, ὡς σύμφορα, [32] ἢν μὴ τὰ αἰδοῖα ἡλκωμένα [33] ᾖ· ψυχρὰ δὲ ἀμείνω. καὶ λουέσθω ὀλίγον, [34] πλὴν μὴ θερμῷ, μηδὲ τὴν κεφαλήν. πινέτω δὲ νῆστις ὑπερικὸν, λίνου σπέρμα, ἐλελίσφακον, ἐν οἴνῳ ὑδαρεῖ. Ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, κλύσαι τῷ χυλῷ τῶν ὀλύνθων· καὶ μετακλύζειν τοῖσι στρυφνοῖσιν. ἡ δὲ νοῦσος χαλεπή.

CAPVT X.

De vteris pituitâ repletis, eorumque curatione.

Si vteri pituitâ repleti fuerint, flatus intùs oritur, & menses albi pituitosi prodeunt; interdùm verò etiam sanguis tenuis, pelliculis plenus; neque præ humiditate cum viro vult congredi, pallidáque & gracilis euadit. Interrogare igitur eam oportet, num quod defluit mordeat & exulceret. Atque si non mordeat, à cerebro defluere asserito; si verò mordeat, à ventriculo. Si igitur à ventriculo fuerit, post lenticulæ decoctum vomat; deinde veratro purgato; posteà in nares indito. Vbi verò superior ventriculus tibi purgatus videbitur, medicamentum deorsùm purgans propinato. Cibis pinguibus & dulcibus abstineat; acres verò exhibeto, vt qui conferant, nisi pudenda exulcerata fuerint; præstant autem frigidi. Parùm lauetur, non tamen calidâ, neque caput. Ieiuna verò hypericum, lini semen, saluiam ex vino aquoso bibat. Vbi autem fluxus cessarit, grossorum succo eluito, deinde acerbis colluito. Morbus autem grauis est.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς μήτρας φλεγμονῆς, καὶ τῶν ταύτης σημείων καὶ θεραπευτικῶν.

Ἢν αἱ μῆτραι φλεγμήνωσι, τὰ ἐμμήνια οὐ γίνεται παντάπασιν, ἢ πονηρὰ καὶ ὀλίγα· καὶ ὁκόταν νῆστις ᾖ, ἔμετος αὐτὴν λαμβάνει· ὁκόταν δέ τι φάγῃ, ἐμέει τὰ σιτία. καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ λειποψυχίη ἴσχει· ἡ δὲ γαστὴρ, ὁτὲ μὲν σκληρὴ, ὁτὲ δὲ μαλθακή ἐστι, καὶ φυσᾶται, καὶ μεγάλη [35] γίνεται, καὶ δοκέει ἐν γαστρὶ ἔχειν, ἢν δὲ [36] ἀφασσήσῃ, κενεὸν γίνεται τὸ πλήρωμα. Ταύτῃ μέχρι μὲν τῶν δέκα μηνῶν, τὸ οἴδημα κατ' ὀλίγον αὔξεται, [37] οἷον περ τῇ ἐν γαστρὶ ἐχούσῃ· ἐπὴν δὲ οἱ δέκα μῆνες παρέλθωσιν, ἐμπίπλαται ἡ γαστὴρ ὕδατος, καὶ ὁ ὀμφαλὸς ἐξίσχει, καὶ ἢν ἐσαφάσσῃς τὸν δάκτυλον, εὑρήσεις τὸ στόμα ἰσχνὸν, καὶ ξυμπεπτωκὸς τῆς μήτρης. καὶ ὅπου φαίη τὰ ἐπιμήνια, ὀλίγα καὶ πονηρὰ, καὶ τὰς κληῖδας καὶ τὸν τράχηλον λεπτύνεται, καὶ οἱ πόδες οἰδέουσιν. Ὁκόταν οὖν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω, καὶ προστιθέναι πρὸς τὰς ὑστέρας, ὁκόσα καθαίρει μὴ δάκνοντα· καὶ μετὰ τὴν πρόσθεσιν, κλύζειν τὰς ὑστέρας, ἴσον τὸ ὄξος μίσγων ὀξύτατον· καὶ τὴν λινόζωσιν ἐσθιέτω· καὶ τὸν χυλὸν, ἐπιβάλλουσα ἄλητον, καὶ ὁκόταν ἑφθὸν ᾖ, ῥοφείτω. ἡ δὲ νοῦσος ἐπικίνδυνός ἐστιν.

CAPVT XI.

De vteri inflammatione, eiusque signis, & curatione.

Si vteri inflammatione laborent, menses prorsùs non eunt, aut praui & pauci; quumque ieiuna fuerit, eam vomitus prehendit; vbi verò quid ederit, cibos vomit. Dolorq; imum ventrem & lumbos detinet, animique deliquium occupat. Venter autem interdùm quidem durus, interdùm autem mollis est, flatu distenditur, & magnus euadit, seque vtero gestare existimat. Quòd si tetigeris, vacua redditur plenitudo. Huic velut vterum gestanti, tumor paulatim ad decem vsque menses increscit. Quum verò præteriernt decem menses, venter aquâ impletur, & vmbilicus prominet. Et si digitum admoueris, os vteri gracile & collapsum comperies. Ac vbi menses apparuerint, pauci & praui prodeunt, *ceruix & clauiculæ extenuantur, & pedes tumescunt. Quum igitur sic habuerit, medicamentum deorsùm purgans propinato, & ad vteros quæ purgent, neq; mordeant, apponito. Atq; post appositionem, vteros æquali aceti acerrimi portione admixtâ eluito; mercurialem edat, succumque eius farinâ iniectâ, quum decocta fuerit, sorbeat. Hic autem morbus periculosus est.*

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τοῦ ἐν τῇ μήτρᾳ ἐρυσιπέλατος· καὶ τῶν αὐτοῦ σημείων καὶ θεραπευτικῶν.

Ἢν ἐρυσίπελας δὲ ἐν τῇσι μήτρῃσιν ἐγγίνηται, οἴδημα γίνεται ἀπὸ τῶν ποδῶν ἀρξάμενον, καὶ ἐς τὰ σκέλεα καὶ ὀσφῦν· ὅσῳ δ' ἂν πλείων ὁ χρόνος ἐγγίνηται, οἰδεῖ καὶ ἡ γαστὴρ, καὶ ῥῖγος καὶ πυρετὸς λαμβάνει, καὶ ἀσθένεια· ὑπὸ δὲ τῆς ὀδύνης, οὐ δύναται ἡσυχάζειν, ἀλλὰ ῥιπτεῖ ἑωυτήν.

CAPVT XII.

De vteri erysipelate, eiusque signis, & curatione.

Si erysipelas in vteris suboriatur, tumor à pedibus exorsus, ad crura & lumbos fertur; quò verò longius tempus processerit, venter etiam tumet, & rigor, & febris, & imbecillitas prehendit, neque præ dolore quiescere potest, sed seipsam iactat.

Dolor autem ab imo ventre ad lumbos ascendit; deinde sursùm accedit ad hypochondria, pectus, & caput; seque mori putat. Quum autem remiserit, manus, interdúmque etiam inguina, crura, & poplites torpor inuadit, ac liuida fit; & exiguo quandoque tempore meliusculè sibi habere videtur; deinde rursus ijsdem afficitur; corpus pustulis refertum est, in facie rubores exoriuntur, vehemens sitis detinet, & fauces arescunt. Hic morbus si prægnanti oboriatur, perit; alioqui curata sanescit. Quum igitur sic habuerit, si dolor detineat, refrigerantia porrigere, ventremque turbare oportet. Quod si in vtero habeat, cibis & potionibus vtatur, quibus fœtus minimè pereat. Si verò aluus non deijciat, clystere subluito. Verùm si in vtero non habeat, medicamentum purgans potui dato; ac cibis quàm paucissimis, mollissimis & frigidis vtatur; mercurialem & sambucum comedat; & neque salsa, neque pinguia, neque acria velut origanum, aut thymum, aut rutam. Postquam verò febris & strangulatio dimiserit, tumorque minimè substiterit, medicamentum vehementius deorsùm purgans posteà propinato. Hunc autem morbum paucæ effugiunt.

CAPVT XIII.

De vteri præter naturam hiantis causis, signis, & curatione.

SI vteri præter naturam hiant, & menses quàm deceat copiosiores, & glutinosiores, & frequentes prodeunt, neque genitura intùs manet. Quòd si digito contigeris, os dehiscens comperies, & febris, & rigor, & dolor imum ventrem, & lumbos corripit. Hic morbus ex fluxu sanguineo prehendit, exoritur autē quum menses derepentè suppressi eruperint. Quū dolor maximè detinuerit, tepefactoria apponito, ac vbi remiserit, vteros foueto, & medicamentū deorsū purgās propinato, & quæ minimè mordeant subdito; & acerbis post subdititia colluito, & quā minimū lauato. Cibis autē quam siccissimis vtatur. His verò nisi conualescat, medicamentū, quo per superiora & inferiora purgetur, propinato. Quum menses commoti fuerint, quumque cessarint, eandem victûs rationem adhibeto. Hic autem morbus lethalis est.

CAPVT XIV.

De vteri ad medium lumborum processu, eiusque signis, & curatione.

SI vteri ad medium lumborum fuerint, dolor imum ventrem, deinde crura detinet; quumque aluum exonerat, acutiores dolores suboriuntur, stercusque vi progreditur, vrina stillat, & animo linquitur. Cum sic habuerit, alligatâ vesicæ fistulâ, vteros sufflato, & fomentum admoueto, aut calidâ multâ lauato; subter pudenda, graueolentia suffito, subter nares verò bene odorata. Quum autem dolor cessarit, lenticulæ decocto priùs potui exhibito, medicamentum sursùm purgans, à quo ventriculus moueatur, propinato.

ἡ δὲ ὀδύνη ἀνέρχεται ἐκ τῆς νειαίρης γαστρὸς, ἐς τὰς ἰξύας· ἔπειτα ἄνω ἔρχεται ὑπὸ τὰ ὑποχόνδρια, καὶ τὰ στήθεα, καὶ τὴν κεφαλὴν, καὶ δοκέει ἀποθανέεσθαι· ὁκόταν δὲ ἀνῇ, νάρκη λαμβάνει τὰς χεῖρας, ἔστι δὲ ὅτε καὶ τοὺς βουβῶνας, καὶ τὰ σκέλεα, καὶ τὰς ἰγνύας, καὶ πελιὸς γίνεται. καὶ ὀλίγον ποτὲ χρόνον, ῥάων δοκέει εἶναι, ἔπειτα αὖθις τὰ αὐτὰ πάσχει· καὶ ὁ χρὼς φλυκταινέων καταπίμπλαται, καὶ τὸ πρόσωπον ἐρυθήματα φύει, καὶ δίψα ἔχει ἰσχυρὴ, καὶ ὁ φάρυγξ ξηρός. αὕτη ἡ νοῦσος ἐπὴν κυοφορεούσῃ ἐγγίνηται, ἀποθνήσκει· ἢν δὲ μὴ, μελεδαινομένη ὑγιαίνει. Ὁκόταν οὖν ὧδε ἔχῃ, προσφέρειν δεῖ ἢν ὁ πόνος ἔχῃ, ψύγματα, καὶ τὴν γαστέρα ταράσσειν. καὶ ἢν μὲν ἐν γαστρὶ ἔχῃ, σιτίοισιν καὶ ποτοῖσι χρῆσθαι, ὅκως τὸ ἔμβρυον μὴ διαφθείρηται· ἢν δὲ μὴ ὑποχωρέῃ, κλύζειν· ἢν δὲ μὴ ἔχῃ ἐν γαστρὶ, φάρμακον δοῦναι πίνειν, καὶ ὡς ἐλαχίστοισι σιτίοισι χρῆσθαι μαλθακωτάτοισι, καὶ ψυχροῖσι, καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ τὴν ἀκτῆν, καὶ μήτε ἁλυκὰ, μήτε λιπαρὰ, μήτε δριμέα, οἷον ὀρίγανον, ἢ θύμον, ἢ πήγανον. ἐπὴν δὲ τὸ πῦρ ἀφῇ καὶ τὸ πνῖγμα, καὶ μὴ καταστῇ τὸ οἴδημα, φάρμακον ἰσχυρότερον μεταπίσαι κάτω. τὴν δὲ νοῦσον ταύτην ὀλίγαι διαφεύγουσιν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῶν τῆς μήτρας παρὰ φύσιν χαινούσης αἰτίων καὶ σημείων, καὶ θεραπευτικῶν.

ΗΝ αἱ μῆτραι παρὰ φύσιν χάνωσι, καὶ τὰ ἐπιμήνια πλέω τοῦ δέοντος ἔρχεται καὶ γλισχρότερα καὶ πυκνὰ, καὶ ἡ γονὴ οὐκ ἐμμένει· καὶ ἢν ἅψῃ τῷ δακτύλῳ, εὑρήσεις κεχηνὸς τὸ στόμα· καὶ πῦρ, καὶ ῥῖγος, καὶ ὀδύνη λαμβάνει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας. αὕτη ἡ νοῦσος λαμβάνει ἐκ ῥόου αἱματώδεος, γίνεται δὲ ὁκόταν τὰ καταμήνια ἐξαπίνης ἰσχόμενα ῥαγῇ. Κἂν ἡ ὀδύνη μάλιστα ἔχῃ, χλιάσματα προστιθέναι, καὶ ὁκόταν ἀνῇ, πυριῆν τὰς ὑστέρας, καὶ πίσαι φάρμακον κάτω, καὶ προστιθέναι ὁκόσα μὴ δήξηται, καὶ κλύζειν μετὰ τὰ προσθετὰ ἐν στρυφνοῖσι, καὶ λούεσθαι ὡς ἥκιστα· σιτίοισι δὲ ὡς ξηροτάτοισι χρέεσθαι. ἢν δὲ ταῦτα παθοῦσα ὑγιὴς μὴ γίνηται, φάρμακον πίσαι, ὑφ' οὗ ἄνω καὶ κάτω καθαίρηται· ὁκόταν τὰ ἐπιμήνια κινέηται, καὶ ὁκόταν παύηται, διαίτα τὸν αὐτὸν τρόπον· ἡ δὲ νοῦσος, θανατώδης.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τοῦ τῆς μήτρας ἐς τὸ μέσον τῶν ἰξύων προβήματος, καὶ τῶν τούτου σημείων, καὶ θεραπευτικῶν.

ΗΝ αἱ μῆτραι ἐς τὸ μέσον τῶν ἰξύων ὦσιν, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα καὶ τὰ σκέλεα ὕστερον· καὶ ὁκόταν ἀποπατήσῃ, ὀδύναι ἐγγίνονται ὀξύτεραι, καὶ ὁ ἀπόπατος προσέρχεται ὑπὸ βίης, καὶ τὸ οὖρον στάζει, καὶ λειποψυχέει. Ὁκόταν ὧδε ἔχῃ, αὐλίσκον προσδήσας πρὸς κύστιν, φυσῆσαι τὰς ὑστέρας, καὶ πυριῆσαι, ἢ λοῦσαι πολλῷ θερμῷ, καὶ ὑποθυμιῆν ὑπὸ τὰ αἰδοῖα, τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. ὁκόταν δὲ ἡ ὀδύνη παύσηται, φακῖον προπίσας, φάρμακον πίσαι ἄνω, ὑφ' οὗ ἡ κοιλίη κινηθήσεται.

ἐπὴν δὲ αἱ ὑστέραι καταστῶσιν ἐς χώρην, φάρμακον πίσαι κάτω, καὶ γάλα μεταπίσαι. ἔπειτα πυριήσας τὰς ὑστέρας οἴνῳ, τὰ σὺν τῇ δάφνῃ ἐμβαλεῖν, καὶ προστιθέναι, ἃ μὴ δήξηται, ξυμμίσγων τὸ ὄξος· ἔπειτα ὑποθυμιῆν τοῖσιν ἀρώμασιν. ἄτοκοι δὲ καὶ χωλαὶ ἐκ ταύτης τῆς νούσου γίνονται.

A *At postquàm uteri ad suam sedem redierint, medicamentum deorsùm purgans bibendum dato, posteà etiam lac propinato. Deinde fomento ex vino ad uteros admoto, medicamenta ex lauro parata immittito, & quæ non mordeant, admixto aceto, apponito; posteà aromata suffito. Steriles autem & claudæ ex hoc morbo fiunt.*

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

B

Περὶ τῶν τοῦ λευκοῦ ῥοῦ σημείων καὶ θεραπευτικῶν.

Ὁκόταν δὲ λευκὸς ὁ ῥοῦς ἐγγένηται, οἷον ὄνου οὖρον φαίνεται, καὶ ὀδύνη ἔχει τὴν νειαίραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ οἰδήματα τῶν τε σκελέων καὶ τῶν χειρῶν, καὶ τὰ κοῖλα αἴρεται, καὶ οἱ ὀφθαλμοὶ ὑγροί, καὶ ἡ χροιὴ ἰκτερώδης καὶ λευκὴ γίνεται· καὶ ὁκόταν πορεύηται, ἀσθμαίνει. ἡ δὲ νοῦσος γίνεται, ἢν φύσει ἐοῦσα φλεγματώδης, πυρεταίνῃ, καὶ χολὴ κινηθεῖσα μὴ καθαρθῇ· ἢν μὲν οὖν ἡ κοιλίη ὀξέη, διάρροιαι γίνονται· ἢν δὲ ἐπὶ τὰς ὑστέρας τράπηται, ῥόος γίνεται. C Ταύτην ἐπὴν διάρροια ἔχῃ, τρίβων μήκωνος λευκῆς τὸ λέπυρον, τὸ ἶσον τῆς πυῤῥᾶς, καὶ ἀκάνθης τὸν καρπὸν τρίβων ἐν οἴνῳ κεκρημένῳ, ἄλφιτα ἐπιβαλὼν[46] ποταίνια, πινέτω· ἢν δὲ θέλῃς, σίδην ἐς σποδὸν ἐγκρύψασα, ἐν οἴνῳ πινέτω, καὶ ἄλφιτον ἶσον καὶ ἄλητον ἐπιβαλών· ὡς ἥκιστα δὲ λουέσθω, σιτίοισι δὲ χρήσθω ὡς ξηροτάτοισι καὶ ψυχροῖσι. ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, φάρμακον πίσαι, ὑφ' οὗ τὰ ἄνω καθαίρεται· καὶ γάλα ὄνειον πινέτω. D ἐπὴν δὲ τὰ κάτω καθαρθῇ, βόειον γάλα πινέτω ἐπὶ τεσσαράκοντα ἡμέρας, ἢν δύνηται, καὶ ἐξαιθριάσας ἄκρητον,[47] οἴνου μίσγων ὕδατι τὸ τέταρτον μέρος· ἑσπέρης δὲ ἐπὴν ἐκπίῃ, ῥοφείτω χόνδρον. ἐπὴν δὲ γένηται δεκαταίη, ἀφαιρέειν τοῦ γάλακτος τὴν δεκάτην μοίρην καὶ τοῦ ὕδατος· ὅσον δὲ ἀφέλῃς, τοσοῦτον χλιεροῦ ἄρτι ἠμελγμένου πινέτω, τὴν μοῖραν· τὴν δὲ αὔριον, δύο μοίρας, ὡς ἐν τῇσι δέκα μοίρῃσιν εἶναι ἀντὶ ὀλίγου κεκρημένου ἄκρητον· καὶ ἐπὶ τέσσαρας ἡμέρας πίνειν ἀφαιρέων τὸ δέκατον μέρος, καὶ τοῦ ῥοφήματος[48] προστίθεσθαι πλεῖον. E ἐπὴν δὲ γένηται τεσσαρεσκαιδεκαταίη πίνουσα τὴν δεκάτην μοῖραν τοῦ γάλακτος, ὑποχέων τρίτην ὕδατος μοῖραν, πινέτω δέκα ἡμέρας, καὶ σιτίοισι χρήσθω· καὶ οὕτως γίνονται αἱ ξύμπασαι ἡμέραι,[49] μ'.

CAPVT XV.

De albi fluoris signis & curatione.

Qvum fluor albus subortus fuerit, urina qualis asini apparet; & dolor imum ventrem, lumbos ac ilia detinet; crurum ac manuum adsunt *tumores & caua eleuantur, & oculi humescunt, color auriginosus & albus redditur; quumque dambulat, anhelat. Hic morbus oritur, si ubi naturâ pituitosa est, febricitarit, bilisque commota minimè purgata fuerit. Si igitur ventriculus acuerit, alui profluuia contingunt; quod si ad uteros vertatur, fluor oritur. Hanc ubi alui profluuium detinuerit, papaueris albi & rubri æquali pondere corticem tritum, & spinæ fructum tritum ex vino diluto, polentâ recenti inspersâ, bibat. Quòd si velis, mali punici putamen cinere contectum, pari polentæ & farinæ portione iniectâ, ex vino bibat; quàm minimùm verò lauetur. Cibis autem quàm siccissimis ac frigidis utatur. At ubi fluxus cessauerit, medicamentum quo superiora purgentur, propinato; & lac asininum bibat. Quum verò deorsùm purgata fuerit, lac bubulum ad quadraginta dies, si possit, bibat, nec separatum, cœlo sereno expositum, vini quartâ portione ad aquam admixtâ. Sub vesperam autem, ubi ebiberit, alicam sorbeat. Vbi verò ad diem decimum peruenerit, lactis & aquæ decimam partem subtrahito. Quantùm autem subtraxeris, tantam recenter mulcti tepidi portionem bibat; postero verò die duas portiones, ut in decem portionibus pro modico diluto sit meracum; & ad dies quatuor bibat, decimâ parte subtractâ, & ampliore sorbitione adhibitâ. Quum autem decimam lactis portionem quatuordecim diebus biberit, tertiam aquæ partem affusam ad decem dies bibat, & cibis utatur. Sicque dies exeunt in totum quadraginta.*

ΚΕΦΑΛΑΙΟΝ Ις'.

Περὶ γυναικὸς τῷ λευκῷ ῥόῳ νοσούσης, καὶ διὰ τὸ κύημα ὥριον μὴ φέρειν, ἀτόκου· καὶ τῶν αὐτῆς σημείων καὶ θεραπευτικῶν.

F

[50] Ἐπὴν διαβάλλῃ τοὺς τόκους φύσει ἄτοκος ἐοῦσα, τὸ μὲν πρῶτον ὑπολείπει τὰ ἐμμήνια, καὶ γίνεται ἐλάσσω, καὶ τὸν χρόνον ὑπερβάλλει ἐν ᾧ[51] ἐγένετο πρόσθεν· ἔπειτα ἐξαπίνης ἐγένετο πολλά, καὶ καθαρά, καὶ ἰσχυρά. καὶ ἢν μὲν οἱ ἅπαξ γενόμενα, εἴη τὸ λοιπὸν κατὰ λόγον, ἐν γαστρὶ ἴσχει· ἢν δὲ μή, τὸ πρῶτον γίνεται, καὶ δεύτερον, καὶ τρίτον τοῦ μηνός,

CAPVT XVI.

De muliere albo fluore laborante, & quòd maturum fœtum non perferat, sterili; eiusque signis, & curatione.

Qvum naturâ sterilis existens partus eijcit, primùm quidem menses deficiunt, & pauciores contingunt, tempusque quo priùs apparebant, exuperant, deinde derepentè copiosi, puri, & vehementes decurrunt. Et si quidem ei semel defluxerint, deinceps pro ratione in ventre habet; sin minùs, primò, secundò, ac tertiò in mense decurrunt; posteà

posteà per se fluor desinet; pallidáque & gracilis euadit. Quæ quum ita sint, medicamentum sursùm & deorsum purgans propinandum; & lac asininum, aut serum posteà bibendum; deinde post hæc admoto fomento, vteri medicamento, quod minimè mordeat, purgandi, posteà aceto colluendi; deinde suffitus ex aromatis parandi. Hæc autem facito, vt primo mensium die facta sint, & vt neque illota, neque sine cibo maneat, cyceonem insulsum crassum vbi biberit; suffitum ex aromatis, asperso netopo & vnguento rosaceo, sibi paret, deinde viro copuletur.

CAPVT XVII.

De acetabulis pituitâ obductis, vnde abortus, eorumque dignotione, & curatione.

SI acetabula pituitâ obducta fuerint, menses quidem probè succedunt, & vtero gerit; fœtum autem, vbi robustior fuerit, corrumpit; non enim detinere potest, sed abrumpitur. Hoc autem modo noueris. Humida fit, & mucosum glutinosúmque defluit, neque mordet. Et vbi à fluxu purgari desierit, cum mensibus per duos aut tres dies muci ex vteris procedunt. Hanc grossorum decocto colluere oportet; & vbi bis aut ter acerbis posteà collueris, deinceps medicamentum, quo pituita purgetur, in subdititio apponito, mollia fomenta admoueto; & post subdititia, pari aceti portione aquæ *admixtâ, eluito; & euntibus mensibus suffitum ex aromatis parato. Deinde impasta & illota, cum viro dormiat.*

CAPVT XVIII.

De menstruorum sursùm aut deorsùm delatorum occultatione vel retentione, eiusque signis, & curatione.

QVum menses latuerint, dolor imum ventrem detinet; eiq; pondus incumbere videtur, lumbi & ilia dolent. Quum verò ad hypochondria irruperint, suffocant; quumq; frequenter acida euomuerit, modico tẽpore meliùs habet; dolor verò ad caput & ceruicẽ fertur. Vbi igitur aduenturi sunt, si impetũ fecerint, tepefacientia apponito, & graueolentia suffito, infrà verò odorata, castoriuq; & conyzã potui exhibeto. Quũ autẽ ad inferiora processerint, *infra graueolentia suffito; sub nares autẽ benè olentia. At vbi dolores sedati fuerint, medicamẽtũ potui dato; posteáq; lac asininũ propinato; deinde succũ à quo vomat, dato, & naribus admoueto. Vbi verò purgaueris, fomento ad vteros ex his quæ cũ lauro conficiuntur, admoto, medicamentũ ex narcisso apparatum apponito. Tribus autẽ diebus fomentis intermissis, quod ex cantharide conficitur medicamentũ apponito; postero verò die adipẽ anserinũ. Deinde tribus intermissis diebus, collutione cum aceto paratâ eluito. In purgationibus autem, mercurialem ante cibos edat; cibisque mollissimus vtatur; & acria comedat; bisque die calidâ lauet. Quod si his factis menses decenti tempore non profluant, cantharidas propinato; & vbi prodierint, ieiuna, illota, & suffita cum viro dormiat.*

ἔπειτα τελευτήσει ἐξ ἑωυτῆς ὁ ῥόος, ὠχρή τε καὶ λεπτὴ γίνεται. Ὁκόταν ὧδε γίνηται, φάρμακον ἄνω χρὴ πιπίσκειν καὶ ἄνω καὶ κάτω, καὶ γάλα μεταπιπίσκειν ὄνειον, ἢ ὀῤῥόν· ἔπειτα μετὰ ταῦτα πυριήσαντα, καθῆραι τὰς ὑστέρας φαρμάκῳ ὃ μὴ δήξεται, ἔπειτα κλύσαι σὺν τῷ ὄξει, ἔπειτα ὑποθυμιῆσαι τοῖσιν ἀρώμασι. ποιέειν δὲ ταῦτα, ὅκως τῇ προτέρῃ τῶν ἐπιμηνίων ἡ[52] πεποιημένα, καὶ μὴ γίνηται ἀλουτοῦσα, ἀσιτοῦσα, κυκεῶνα ἄναλτον παχὺν πίνουσα· καὶ ὑποθυμιάσθω τοῖσιν ἀρώμασι, νέτωπον περιχέασα καὶ μύρον ῥόδινον, ἔπειτα τῷ ἀνδρὶ ξυνίτω.

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

Περὶ τῶν κοτυληδόνων φλέγματος περιπλέων, ὅθεν ἐκτρωσμὸς γίνεται, καὶ τῆς τούτων διαγνώσεως καὶ θεραπείας.

ΗΝ αἱ κοτυληδόνες φλέγματος περίπλεαι γίνωνται, τὰ μὲν ἐπιμήνια[53] καλῶς ἐπιγίνονται, καὶ ἐν γαστρὶ ἴσχει· διαφθείρει δὲ, ἐπὴν ἰσχυρότερον τὸ ἔμβρυον γένηται· οὐ γὰρ δύναται ἴσχειν, ἀλλ' ἀποῤῥήγνυται. γνοίης δὲ ὧδε· ὑγρὴ γίνεται, καὶ ἀποῤῥέει μυξῶδες, καὶ γλίσχρον, καὶ οὐ δάκνει· καὶ τοῖσιν ἐμμηνίοισιν, ἐπὴν παύσηται τοῦ ῥεύματος καθαιρομένη, καὶ δύο ἡμερέων ἢ τριῶν μύξαι ἔρχονται ἀπὸ τῶν ὑστερέων. Ταύτην δεῖ κλύσαι τῷ ἀπὸ τῶν ὀλύνθων· καὶ δὶς ἢ τρὶς μετακλύσας στρυφνοῖσι, τὸ λοιπὸν προστιθέναι, ὑφ' οὗ καθαίρεται φλέγμα, καὶ τὰ μαλθακὰ πυριῆν· καὶ κλύζειν μετὰ τὰ προσθετὰ, ἴσον τὸ ὄξος μίσγων, καὶ ὑποθυμιῆν ἐν τοῖσιν ἐπιμηνίοισι τοῖσιν ἀρώμασι. ἔπειτα δὲ ἀσιτέουσα, καὶ ἀλουτέουσα,[64] συνευναζέσθω τῷ ἀνδρί.

ΚΕΦΑΛΑΙΟΝ ΙΗʹ.

Περὶ τῆς τῶν ἐπιμηνίων τῶν ἄνω καὶ κάτω φερομένων κρύψεως ἢ ἐπισχέσεως, καὶ τῶν αὐτῆς σημείων καὶ θεραπευτικῶν.

[65] ΟΚόταν τὰ ἐπιμήνια κρυφθῇ, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ δοκέει ἐπικεῖσθαί οἱ βάρος, καὶ τὰς ἰξύας πονέει, καὶ τοὺς κενεῶνας· ὁκόταν δὲ πρὸς τὰ ὑποχόνδρια προσπέσωσι, πνίγουσι, καὶ ἐπὴν πυκνὰ ὀξέα ἀπεμέσῃ, ῥάων γίνεται ὀλίγον χρόνον· ἡ δὲ ὀδύνη, καὶ ἐς τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον φοιτᾷ. ἐπὴν οὖν μέλλῃ, ἢν προσεστήκῃ, χλιάσματα προστιθέναι, καὶ ὑποθυμιῆν κακώδεα, κάτω δὲ εὐώδεα, καὶ πίνειν διδόναι τὸν κάστορα, καὶ τὴν κόνυζαν· ἐπὴν δὲ κάτω, ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα· ἐπὴν δὲ παύσωνται αἱ ὀδύναι, φάρμακον διδόναι πίνειν, καὶ μεταπιπίσκειν γάλα ὄνου· ἔπειτα διδόναι χυμὸν, ἀφ' οὗ ἐμεῖται, καὶ πρὸς τὰς ῥῖνας προστιθέναι. ἐπὴν δὲ καθάρῃς, πυριήσας τὰς ὑστέρας τοῖσι ξὺν τῇ δάφνῃ, προσθεῖναι τὸ ξὺν τῷ ναρκίσσῳ· τρεῖς δὲ διαλιπὼν πυρίας, προσθεῖναι τὸ ξὺν τῇ κανθαρείδι, τῇ δὲ ὑστεραίῃ στέαρ χήνειον· ἔπειτα διαλιπὼν τρεῖς ἡμέρας, κλύσαι τῷ ξὺν τῷ ὄξει. Ἐν δὲ τοῖσι καθαρμοῖσι, ἐσθιέτω τὴν λινόζωστιν πρὸ τῶν σιτίων, καὶ σιτίοισι μαλθακωτάτοισι χρήσθω, καὶ δριμέα τρωγέτω, καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης. Ἢν δὲ μὴ γίνηται τὰ ἐπιμήνια, ταῦτα ποιησάντα ἐν τῷ δέοντι χρόνῳ, πίσαι κανθαρείδας· καὶ ἐπὴν γένηται, νηστεύσασα καὶ ἀλουτήσασα, καὶ ὑποθυμιήσασα, συνευνάσθω τῷ ἀνδρί.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῆς ἀφόρου, τῆς διὰ τὴν ὑστέρην λεπτοτέρην ἐκτιτρωσκούσης, ἢ διὰ τὴν ὑστέρην παχυτέρην, ἢ πρὸς τὸ ἰσχίον ἀπεστραμμένην, ἢ διὰ τὸ τῆς ὑστέρης στόμα σκληρότερον ἢ τὸν αὐχένα μὴ κυισκούσης σημείων καὶ θεραπευτικῶν.

Ὁκόταν ἐν γαστρὶ ἔχουσα διαφθείρῃ τὸ ἔμβρυον μηνιαῖον[56] ἢ διμηνιαῖον, καὶ ἐκφέρειν μὴ δύνηται, καὶ λεπτὴ παρὰ φύσιν γίνηται, ταύτην χρὴ καθήραντα τὰς ὑστέρας,[57] τὸ στόμα παχύνειν. οὐ γὰρ δυνήσεται πρότερον διενέγκαι, ἕως ἂν αὐτῆς παχεῖαι γένωνται αἱ ὑστέραι, καὶ ἰσχύσωσιν. Ην δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί. τὸ γὰρ ἐπίπλοον ἐπικείμενον πουλὺ παχὺ, ἀποπιέζει τὰς ὑστέρας, καὶ τὴν γονὴν οὐκ[58] εἰσδέχεται. Ταύτην χρὴ λεπτύνοντα, φάρμακον πίσαι κάτω, καὶ πρὸς τὰς ὑστέρας προσθεῖναι, ὅ, τι καθαίρεται αὐτὰς,[59] καὶ φύσας οὐκ ἐμποιεῖ. Ην δὲ στόμα τῶν ὑστερέων σκληρὸν γένηται, ἢ ὁ αὐχὴν, τὸν δάκτυλον[60] παρεσάγων γνώσῃ· καὶ ἐπὴν πρὸς τὸ ἰσχίον ἔωσιν ἀπεστραμμέναι. ὅταν ὧδε ἔχῃ, μηδὲν προσφέρειν δριμύ· ἢν γὰρ ἐξελκώσῃς τὸ στόμα, ἐπὴν φλεγμήνῃ, κίνδυνος τὸ πάμπαν ἄτοκον γενέσθαι. ἀλλὰ προστιθέναι ἃ μὴ δάκνει, ὑφ' ὧν καθαίρηται.

CAPVT XIX.

De sterilis ob vterum tenuiorem abortientis, aut ob vterum crassiorem, aut ad coxendicem obuersum, aut ob vteri osculum, collumue durius non concipientis signis, & curatione.

Qvum quæ in vtero habet, fœtum menstruum aut bimestrem perdiderit, & perferre nequeat, gracilisque præter naturam extiterit, huic vteri osculum purgantem crassius reddere oportet; non enim priùs fœtum perferre poterit, quàm ipsius vteri crassi & validi redditi fuerint. Quòd si præter naturam crassior euaserit, vtero non concipit. Omentum enim crassius incumbens, vteros comprimit, neque genituram suscipere sinit. Huic, vbi attenuaueris, medicamentum deorsum purgans propinare oportet, & ad vteros quod eos purget & flatus non excitet, subter apponere. At si vterorum osculum durum extiterit, aut ceruix, quod immisso digito deprehendes; itemque si in coxendicem obuersi fuerint. Quum sic habuerint, nihil acre adhibeto. Si enim os exulceraris, vbi inflammatum fuerit, periculum est, ne penitùs sterilis euadat. Verùm quæ non mordeant, ex quibus purgetur, subter apponito.

B

C

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τῆς γυναικὸς διὰ κακοχυμίαν χολώδη, καὶ φλεγματώδη, ἢ δι' ἀρροίαν, ἢ διὰ τῆς ὑστέρης ὑγρότερον τὸ στόμα, ἢ σκιρρῶδες, τεκεῖν μὴ δυναμένης σημείων καὶ θεραπευτικῶν.

Ην γυναῖκα μὴ δυναμένην τεκεῖν, ἐθέλῃς καθῆραι, καὶ ᾖ χολώδης ἢ φλεγματώδης.[61] γνώσῃ δὲ τούτων ὁκότερον, ἢν ψάμμον ὑποβάλλων, ἐπὴν τὰ ἐπιμήνια γένωνται, ἐν τῷ ἡλίῳ ἐπιχέας τὸ αἷμα ἐάσῃς ξηρανθῆναι· καὶ ἢν μὲν χολώδης ᾖ, ἐπάνω τῆς ψάμμου ἔσται τὸ αἷμα ὠχρὸν, ἢν δὲ φλεγματώδης, οἷον[62] μύξα. καὶ δὴ ὁκότερον ἂν εἴη,[63] καθήρας κάτω, περὶ τὰς ὑστέρας ἐπιθεῖναι προσθετά. Ην τὰ ἐπιμήνια παντάπασι μὴ γίνωνται, ἢν μὲν ὑπὸ πόνου ᾖ, πρῶτον μὲν τὴν κοιλίην καθῆραι κάτω, ἔπειτα προσθεῖναι, ὑφ' οὗ αἷμα καθαίρεται ἐκ τῶν ὑστερέων· ἔπειτα διαλιπὼν ἡμέρην μίην, ἢ δύο,[64] ὑφ' οὗ αἷμα καθαίρεται, προσθεῖναι· τὸν δὲ ἄλλον χρόνον, τὸν φλοιὸν πινέτω τοῦ κρηθμοῦ ἐν οἴνῳ τρίψασα. Ην ὑγρότερον τοῦ καιροῦ τὸ στόμα τῶν ὑστερέων ᾖ, προστιθέναι τὰ δριμέα, ὅκως δηχθῇ, καὶ φλεγμήνασα σκληρὸν λίην γένηται· ἢν δὲ σκιρρωθῇ, τὰ δριμέα προσφέρειν, δάκνοντα γὰρ διαχεῖ τὸν[65] ἰχῶρα· ἔπειτα μαλθακὰ προστιθέναι. Εἰς δὲ τἄλλα νουσήματα, οὐχ ἥκιστα προστιθέναι.

CAPVT XX.

De mulieris ob cacochymiam biliosam ac pituitosam, ob menstrua non fluentia, aut ob vteri osculum humidius, aut durius parere nequeuntis caussis signis, & curatione.

Si mulierem parere nequeuntem purgare velis, & biliosa aut pituitosa fuerit. Vtrum autem horum sit, cognosces; si supposita arena, dum menses eunt, in sole sanguinem effusum siccari permittas. Et si quidem biliosa fuerit, sanguis pallidus supra arenam extabit; si verò pituitosa, velut mucus. At certè vtrumlibet fuerit, vbi per inferiora purgaueris, ad vteros subdititia adhibeto. Si menses prorsus non eant, si quidem ex dolore contingat, primum quidem ventrem deorsum purgato; deinde medicamentum, *à quo sanguis ex vteris purgetur, apponito. Posteà intermisso vno aut altero die,* medicamentum, *ex quo sanguis purgetur, apponito. Reliquo verò tempore crethmi corticem ex vino tritum bibat. Si vterorum osculum humidius, quàm deceat, fuerit, acria quo mordeatur, & inflammatum admodum durum fiat, subter apponito; quòd si induratum fuerit, acria adhibeto, nam mordentia, duritiem diffundunt; posteà mollia subter apponito. Quinetiam ad alios morbos non minùs apponito.*

D

E

F

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τῆς κατασκηνίξεως τῆς ὑστέρης ἐν τῇ λεχοῖ ἐς τὸ ἰσχίον θεραπείας.

Ην δὲ τὸ ἰσχίον λεχοῖ κατασκηνίξωσιν αἵ τε ὑστέραι εἰς τὸν κενεῶνα, προστιθέναι χρὴ πρὸς τὸ ὑγιὲς

CAPVT XXI.

De incubitûs vteri puerperæ in coxendicem curatione.

Si puerperæ vteri ad coxendicem aut ad ilia incubuerint, sanæ coxendici oleum Ægyptium album,

album, aut Baccarinum vnguentum *admouere oportet, & in sanam coxendicem decumbat. Pœoniæ grana nigra quinque, sambuci fructum ad conchæ maioris mensuram, & castorij fabæ quantitatem ex vino bibat, mox lota suffiatur: potibus & cibis mollibus vtatur; mercuriali & acribus omnibus, præter raphanum & cepas.*

ἰσχίον, ἔλαιον Αἰγύπτιον λευκὸν, ἢ βακκάρειον, καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακείσθω. καὶ πινέτω γλυκυσίδης κόκκους τοὺς μέλανας πέντε, ἀκτῆς καρπὸν ὅσον χημίδα, καὶ [66] καστορίου ὅσον κύαμον ἐν οἴνῳ, ἔπειτα λουσαμένη θυμιάσθω· καὶ τοῖσι ποτοῖσι, καὶ σιτίοισι χρήσθω μαλθακοῖσι, καὶ λινοζώστει, καὶ τοῖσι δριμέσι πᾶσι χωρὶς ῥαφάνου καὶ κρομμύων.

CAPVT XXII.

De suffocationis vteri curationis.

QVum suffocarint vteri, graueolentia omnia suffire oportet naribus, *bitumen scilicet, sulphur, cornu, lucernæ funiculum, phocæ oleum, castorium; pudendis verò odorata.*

ΚΕΦΑΛΑΙΟΝ ΚΒ′.

Περὶ τῆς τοῦ πνιγμοῦ ὑστερικοῦ θεραπείας.

ὉΚόταν πνίγωσιν αἱ ὑστέραι, ὑποθυμιῆν χρὴ τὰ κακώδεα πάντα, ἤγουν ἄσφαλτον, θεῖον, κέρας, ἐλλύχνιον, φώκης ἔλαιον, καστόριον· ὑπὸ δὲ τὰ αἰδοῖα, τὰ εὐώδεα.

CAPVT XXIII.

De vteri puerperæ inflammatione, eiusque curatione.

AT si puerperæ vteri inflammati fuerint, incenditur, & suffocatio detinet. Quum autem sic habuerit, muscum marinum tenuem tritum, in linteolo extentum ex cataplasmate admoueto; deinde farinam hordeaceam crudam, cinerem sarmentium, & lini semen, aceto & oleo affuso coquito, donec velut farinæ subactæ massa formetur; posteà, quàm calidissimam ferre possit, imo ventri ex cataplasmate admouenda.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ′.

Περὶ τῆς ὑστέρας ἐν τῇ λεχοῖ φλεγμονῆς καὶ τῆς ταύτης θεραπείας.

ἮΝ δὲ λεχοῖ αἱ ὑστέραι φλεγμαίνωσι, [67] πιμπρᾶται, καὶ πνὶξ ἔχει. ὁκόταν δὲ ὧδε ἔχῃ, παρατείνας ὀθόνιον, βρύα θαλάσσια λεπτὰ καταπλάσσειν· ἔπειτα ὠμήλυσιν, καὶ σποδὸν κληματίνην, καὶ λίνου σπέρμα, ὄξος καὶ ἔλαιον ἐπιχέας, ἕψειν ἕως ἂν οἷον περ σταὶς γένηται· ἔπειτα καταπλάσαι, ἣν θερμοτέρῳ δύνηται ἀνέχεσθαι, τὴν νειαιρὰν γαστέρα.

CAPVT XXIV.

De vteri coalitu, eiusque curatione.

QVòd si coaluerint, lentem ac multam mentham in aceto coquito, vt vaporem in os trahat, ac nares admoueat; & graueolentia suffito; mercurialem comedat; & ex succo farinam coctam sorbeat. Quàm citissimè & priusquàm dolor detineat, medicamenta exhibere oportet, quæ vterorum dolorem sedent; & cibos sumat aluum subducentes. At si venter incalescat, clystere subluito.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ′.

Περὶ τῆς ὑστέρας πήξεως, καὶ τῆς αὐτῆς θεραπείας.

[68] ἮΝ δὲ πεπήγωσι, φακοῦ ἑψήσας ἐν ὄξει καὶ ἡδυόσμῳ πολλῷ, ἕλκειν τὴν ἀτμίδα ἐς τὸ στόμα, καὶ τὰς ῥῖνας προσίσχειν, καὶ κακώδεα ὑποθυμιῆν· καὶ λινόζωστιν ἐσθίειν, καὶ ἐν τῷ χυλῷ ἄλητον ἑφθὸν ῥοφείτω. [69] ὅτι ἂν τάχιστα, καὶ πρὶν ἢ τὴν ὀδύνην ἔχειν, πρότερον χρὴ διδόναι τῶν φαρμάκων ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης, καὶ σιτία διαχωρητικὰ προσφερέσθω. ἢν δὲ ἡ γαστὴρ θερμαίνηται, ὑποκλύσαι.

CAPVT XXV.

De inflammationis vterorum ex partu curatione.

SI vteri ex partu inflammati fuerint, solani succum in pudenda infundito; & vbi hic calidus euaserit, alium affundito. Si verò hic non fuerit, lentisci, aut rhamni, aut betæ, aut cucurbitæ succum expressum infundito, & quod in ipsius est medio tenerrimum, derasum, in longitudinem indito; demùm cerussam aquâ subactam, lanâ exceptam subdito; sin horruerit, detrahito.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ′.

Περὶ τῆς ἐκ τόκου τῶν μητρῶν φλεγμονῆς θεραπείας.

ἮΝ δὲ ἐκ τόκου φλεγμαίνωσιν αἱ μῆτραι, στρύχνου χυλὸν ἐγχέαι ἐς τὰ αἰδοῖα, καὶ ἐπὴν οὗτος θερμὸς γένηται, ἕτερον ἐγχεῖν· ἢν δὲ μὴ ᾖ, σχίνου, ἢ ῥάμνου, ἢ τεύτλου, ἢ κολοκύντης χυλὸν ἐκπιέσας, ἔγχεον, [70] καὶ αὐτῆς τὸ ἐν μέσῳ τὸ ἁπαλώτατον περιξύσας, μακρὸν ἔνθες. ὕστερον ὕδατι [71] ψιμύθιον τρίβων, ἐν εἰρίῳ ἀναστογγίζων, προσθεὶς· ἢν δὲ φρίσσῃ, ἀφαιρέειν.

ΚΕΦΑΛΑΙΟΝ Κϛʹ.

Περὶ τῆς γυναικὸς ἀπὸ ὑστερῶν ἀσθενοῦς καὶ ἀπὸ τῆς χολῆς πνιγομένης θεραπείας.

ΗΝ γυνὴ ἀσθενέῃ ἀπὸ ὑστερέων, καὶ χολαὶ αὐτὴν πνίγωσι, καὶ δέῃ αὐτὴν καθῆραι κούφως, καὶ τῆς ὀδύνης παύσασθαι· πευκεδάνου ὀπὸν, ὅσον τρεῖς κυάθους, δίδου πίνειν.

CAPVT XXVI.

De mulieris ab vtero debilis, & à bile suffocatæ curatione.

SI mulier ab vtero debilis sit, & bilis ipsam suffocet, eámque leuiter purgare opus sit, ac dolorem sedare; peucedani succum, ad tres cyathos, potui exhibeto.

ΚΕΦΑΛΑΙΟΝ ΚΖʹ.

Περὶ τῆς ὑστέρας ἐν τῇ ὀσφύϊ, ἢ ἐν τῷ κενεῶνι οὔσης, θεραπείας.

ΗΝ δὲ ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ὦσιν ἢ ἐν τῷ κενεῶνι, ἢν θέλῃς μετακινῆσαι, τρίψας θεῖον καὶ ἄσφαλτον, μέλι ἑφθὸν [73] παραχέας, καὶ ποιήσας βάλανον παχείην, ἐς ἕδρην ἔνθες· καὶ ἐκ τῶν ὑστερέων ἢν ξηραὶ γίνωνται, ταῦτα προσθεῖναι ὡς τάχιστα.

CAPVT XXVII.

De vteri lumbis aut ilibus incumbentis curatione.

SI in lumbis aut ilibus vteri extiterint, si emouere velis, sulphur & bitumen tritum, affuso melle cocto, in glandulam crassam efformato, & in sedem indito; & si vteri sicci euaserint, hæc quàm celerrimè in subdititio apponito.

ΚΕΦΑΛΑΙΟΝ ΚΗʹ.

Περὶ τῶν τῆς ὑστέρας καρκινοῦσθαι ἀρχομένης σημείων καὶ θεραπευτικῶν.

ΓΥναικὶ ὅταν ὑστέραι σκληραὶ γίνωνται, καὶ εἰς τὰ αἰδοῖα ἐξίσχωσι, καὶ οἱ βουβῶνες σκληροὶ γίνωνται, καὶ καῦμα ἐν τοῖσιν αἰδοίοισιν ἐνῇ, καρκινοῦσθαι ἄρχεται. ὅταν οὕτως ἔχῃ, [75] σικύης χρὴ τὸ ἔσω τρίψαι [76] τὸ ξηρὸν ὕδατος κοτύλην ἐπιχέας, ἐνιεὶς ἐς τὴν ἕδρην, [77] ἐᾶν καθαίρεσθαι μέχρις ἂν καθαρθῇ. Ὁκόταν δὲ γυναικὶ [78] δῷς φάρμακον, παράμισγε τῷ φαρμάκῳ, ὅσα ὑστέρας καθαίρει, καὶ ὅσα ἐλαύνει.

CAPVT XXVIII.

De cancri vteri incipientis signis & curatione.

QVum mulieri vteri duri euadunt, & ad pudenda prominent, inguináque indurantur, & ardor in pudendis inest, cancri dantur exordia. Quum sic habuerit, cucumeris agrestis interiorem partem aridam terere oportet, & aquæ heminâ affusâ, in sedem immittere, ac donec purgata sit, purgari sinere. Quum verò mulieri medicamentum exhibueris, quæ vteros purgant, quæque impellunt, admisceto.

ΚΕΦΑΛΑΙΟΝ ΚΘʹ.

Ἕτερα ποτὰ, καὶ προσθετὰ, δυνάμενα χορίον ἐξάγειν καὶ τὰ ἐπιμήνια κατασπᾶσθαι.

αʹ. Ποτόν.

ΚΑνθαρίδας εʹ, ἀποτίλας τὰ πτερὰ, καὶ τοὺς πόδας, καὶ τὴν κεφαλήν· ἔπειτα τριβόλους παραθαλασσίους σὺν τῇ ῥίζῃ τρίψας, ὅσον κόγχην· καὶ τοῦ ἀνθέμου [79] τοῦ χλωροῦ τὸ εἴσω ξηρὸν, τρίψας ὅσον κόγχην, καὶ σελίνου σπέρμα ἴσον, καὶ [80] σηπίης ὠὰ ιεʹ, ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ δίδου πιεῖν· καὶ ἐπὴν ἡ ὀδύνη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω, καὶ μελίκρητον ὑδαρέα πινέτω.

βʹ. Ἕτερον ποτόν.

[81] Βατραχίου τῶν φύλλων, καὶ τοῦ ἄνθεος τετριμμένου ὅσον στατῆρα Αἰγιναῖον, ἐν οἴνῳ γλυκεῖ πιεῖν. ἐπὴν δὲ ἡ ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους, καὶ ἀσταφίδας ἑψήσας ἐν ὕδατι, καὶ ψύξας, [82] διδόναι πιεῖν· καὶ ὁκόταν ἡ στραγγουρίη ἔχῃ, ἐν ὕδατι χλιερῷ καθεζέσθω.

γʹ. Ἕτερον ποτόν.

Ἀδιάντου ὅσον στατῆρα Αἰγιναῖον, ἐν οἴνῳ λευκῷ,

CAPVT XXIX.

Potiones aliæ, & subdititia, quæ secundas educere & menses detrahere valent.

1. Potio.

CAntharidas quinque, euulsis alis, pedibus & capite; deinde tribulos maritimos cum radice tritos ad conchæ mensuram; & anthemi lutei interiorem partem tritam, quantùm concha capit; seminis apij æqualem portionem, & sepiæ oua quindecim, ex vino dulci temperato potui exhibeto; quumque dolor detinuerit, in aqua calida desideat, & mulsam aquosam bibat.

2. Potio altera.

Foliorum ranunculi & floris triti, stateris Æginæi pondus ex vino dulci bibat. Et vbi dolor detinuerit, cicer album & vuas passas in aqua decoctas, refrigeratas potui exhibeto; quumque stranguria vexauerit, in aqua tepida desideat.

3. Alia potio.

Adiantum stateris Æginæi pondere, ex vino albo, æquali

æquali aquæ portione temperato, propinato.

4. Alia potio.

Violæ albæ semen, quantum tribus digitis capere possis, ex vino albo eodem modo temperato, bibendum dato.

5. Alia potio.

Violæ nigræ radice ex vino maceratâ, ad eundem modum vtatur.

6. Alia potio.

Crinanthemum quod in domibus nascitur, ad eundem modum misceto, ac propinato.

7. Alia potio.

Anchusæ folia ad pugillos duos, in vino pari aquâ temperato decocta, bibenda dato.

8. Alia potio.

Chamæleontis radicem derasam, velut in veratri potione, ex vino albo aquâ temperato decoctam, propinato

9. Alia potio.

Brassicæ & porri succum, vtrique laseris succo ad tres obolos admixto, vini albi æquali admixtâ portione, bibendum dato.

10. Alia potio.

Oliuas albas, priusquàm oleum insit, abrasas siccato; deinde tusas & cribratas, in vinum iniectas, bibendas exhibeto. Hoc & menses detrahit, & secundas eijcit.

11. Alia potio, cum fotu subdititio.

Dictamnum Creticum oboli pondere, ex aqua potui exhibeto; quo epoto si secundas eijcere non potes, sambuci succum coctum pro fotu inijcito, & cantharidem subter apponito. Hoc etiam fœtum expellit. Quum autem morsum intulerit, auferat, & vnguento rosaceo illitum apponito, quoad liberata fuerit.

12. Alia potio.

Populi nigræ Creticæ grana nouem trita, ex vino bibenda dato; eo etiam abluatur, si difficulter pariat.

13. Alia potio.

Conyzam quantùm manus capit, leuiter tritam, porri succo macerato, ne topo quantùm conchæ maioris testa capit, admixto, hæc ex vino bibenda dato.

14. Alia potio.

Menses detrahit. Peucedanum, & panacem, pæoniæque radicem, ex vino potui dato.

A ἴσον ἴσῳ κεράσας, δίδου πίνειν.

δ'. Ἕτερον ποτόν.

Λευκοΐου καρπὸν ὅσον ἐν τοῖς τρισὶ δακτύλοις λαβὼν, ἐν οἴνῳ λευκῷ τὸν αὐτὸν τρόπον κεράσας, δοῦναι πίνειν.

ε'. Ἕτερον ποτόν.

Λευκοΐου ῥίζην τοῦ μέλανος ἐν οἴνῳ δεὶς, τὸν αὐτὸν B τρόπον χρήσθω.

ς'. Ἕτερον ποτόν.

Κρινάνθεμον τὸ ἐπὶ τῶν οἰκιῶν φυόμενον, τὸν αὐτὸν τρόπον μίξαι καὶ πίσαι.

ζ'. Ἕτερον ποτόν.

Τῆς ἀγχούσης τὰ φύλλα, δύο δραχμίδας ἐν οἴνῳ C ἑφθῷ, κεράσας ὕδατι ἴσως, πίσαι.

η'. Ἕτερον ποτόν.

Χαμαιλέοντος τὴν ῥίζαν ξύσας ὡς ἐλλεβόρου πόσιν, ἐν οἴνῳ [83] ἑφθῷ, κεράσας ὕδατι, πίσαι.

θ'. Ἕτερον ποτόν.

Κράμβης καὶ πράσου, χυλὸν ἑκατέρου, μίξας τὸν ὀπὸν σιλφίου ὅσον τριώβολον, [84] οἴνῳ ἴσῳ μίξας λευκῷ, πίσαι.

D ι'. Ἕτερον ποτόν.

[85] Ἐλαίης λευκῆς πρόσθεν, ἢ ἔλαιον ἐνῆ, καταξύσας, ξήρανον· ἔπειτα κόψας, καὶ σήσας, ἐν οἴνῳ ἐπιβαλὼν, διδόναι πίνειν. τοῦτο καὶ ἐπιμήνια καταστᾷ καὶ χορίον ἐξελάσει.

ια'. Ἕτερον ποτὸν, μετὰ πυρίας προσθετῆς.

Δικτάμνου κρητικοῦ ὅσον ὀβολὸν, ἐν ὕδατι πιεῖν· χορίον ἢν μὴ δύνασαι ἐκβαλεῖν πιπίσκων, [86] πυριήσας τῆς ἀκτῆς τῷ χυλῷ ἑφθῷ, ἐμβαλὼν καὶ E τὴν κανθαρίδα, προσθεῖναι. τοῦτο καὶ τὸ ἔμβρυον ἐξελαύνει. ὁκόταν δὲ δάκνῃ, ἀφαιρουμένη, ῥόδινον μύρον ἐμβάπτουσα προσθέσθω, [87] ἐς ὃ ἂν ἀποφύγῃ.

ιβ'. Ἕτερον ποτόν.

Αἰγείρου Κρητικοῦ κόκκους ἐννέα τρίψας, ἐν οἴνῳ διδόναι πίνειν· τουτέῳ δὲ καὶ ἀπολούσασθαι, ἢν δυστοκέῃ.

ιγ'. Ἕτερον ποτόν.

F Κονύζης [88] ὅσον χεὶρ λείης δεῦσαι πράσου χυλῷ, καὶ νέτωπον ξυμμίξας ὅσον κογχαμίδα, ταῦτα ἐν οἴνῳ δίδου πίνειν.

ιδ'. Ἕτερον ποτόν.

Ἐπιμήνια καταστᾷ. Πευκέδανον [89] καὶ πάνακες, καὶ γλυκυσίδης ῥίζαν, ἐν οἴνῳ δίδου πίνειν.

ιε΄. Ἕτερον ποτόν.

Ἔμβρυον ἐκβάλλει τεθνεὸς καὶ τὰ ὕστερα. Τοῦ ἴου καὶ τῆς ἀνδράχνης τὸν καρπὸν, ταῦτα διακόψας καὶ μίξας, δίδου ἐν οἴνῳ λευκῷ παλαιῷ.

15. Alia potio.

Fœtum mortuum & secundas eijcit. Violæ & portulacæ semen, hæc contusa & mixta, ex vino albo vetusto exhibeto.

ιϛ΄. Ἕτερον ποτόν.

Ἐπιμήνια καταστᾷ. Λευκοΐου ὁ καρπὸς, ὅσον τρισὶ δακτύλοις ἐπιλαμβανόμενος, καὶ αἰγὸς σπυράθους ὅσον πέντε ἢ ἕξ, ταῦτα ξυμμίξας οἴνῳ εὐωδεστάτῳ, προπυριάσας, ἐς ὕδωρ καὶ ἔλαιον τὴν πυρίην ἐμβαλών· πυρίην δὲ ἐπὶ δίφρου· ἐπὴν δὲ πυριήσῃς, δοῦναι πιεῖν, καὶ ὡς τάχιστα λούσαντα κατακλῖναι. δοῦναι δὲ φαγεῖν κράμβην, καὶ τοῦ χυλοῦ ῥοφεῖν.

16. Alia potio.

Menses detrahit. Violæ albæ semen, quantùm tribus digitis comprehenditur, & stercoris caprini globuli quinque aut sex; hæc vino odoratissimo permisceto, & bibenda dato, *fomento priùs ex aqua & oleo immisso. In sedili autem fomentum admoueto. Quum autem foueris, potui exhibeto, & quàm citissimè lotam in cubili reclinato. Brassicam autem edendam, & succum sorbendum dato.*

ιζ΄. Ἕτερον ποτόν.

Λευκοΐου τὸν καρπὸν ὅσον τοῖς τρισὶ δακτύλοις, ἐν οἴνῳ δοῦναι πιεῖν, καὶ καθήσθω ἐν ὕδατι θερμῷ. Ἢν δὲ μὴ ἔχῃ, μαράθου ῥίζας κλάσας, ἐν μελικρήτῳ χλιαρῷ ἀποβρέχων, δίδου.

17. Alia potio.

Violæ albæ semen, quantùm tribus digitis capitur, ex vino propinato, & in aqua calida desideat. Quòd si non habeat, fœniculi radices contusas, aquâ mulsâ tepidâ maceratas exhibeto.

ιη΄. Ἕτερον ποτόν.

Μελίης ὅσον κόκκους δέκα ἐν οἴνῳ δοῦναι πιεῖν. τοῦτο ἀγαθὸν ἐπὶ παντὸς ἀλγήματος ὑστερέων, καὶ σφόδρα διουρητικόν.

18. Alia potio.

Fraxini grana decem ex vino propinato. Hoc vtile ad omnem vterorum dolorem, & valde vrinam mouet.

ιθ΄. Ἕτερον ποτόν.

Ὀπὸν σιλφίου ὅσον ὄροβον, καὶ καρδάμου καρπὸν, τρίψας λεῖα καὶ ξυμμίξας, ἐν οἴνῳ ἢ ἐν κυνὸς γάλακτι δίδου πιεῖν. τοῦτο καὶ ἔμβρυον ἐξελαύνει.

19. Alia potio.

Laseris succum orobi quantitate, & nasturtij semen tenuiter trita & permixta, ex vino aut lacte canino potui exhibeto. Hoc etiam fœtum eijcit.

κ΄. Ἕτερον ποτόν.

Ἐκβόλιον. Βατράχιον καὶ ἐλατηρίου μικρὸν μίξας ἐν ὄξει, εὔκρατον πίσαι.

20. Alia potio.

Fœtum eiicit. Ranunculum & elaterij parùm, aceto mixtum & bene temperatum, propinato.

κα΄. Τοπικόν.

Ἐπὶ τοῦ αὐτοῦ. Κράμβης καυλὸν ἁπαλὸν, τὸ ἄκρον χρίσας νετώπῳ, τρῖψαι.

21. Topicum.

Ad idem. Brassicæ caulem tenerum, in extremitate netopo illitum, affricato.

κβ΄. Ἕτερον ποτόν.

Ἢν τὰ ἐπιμήνια μὴ γίνηται. [90] Τερμίνθου καρπὸν τρίψας, ἐν οἴνῳ καὶ ὕδατι διεὶς καὶ διηθήσας, διδόναι νήστει πιεῖν, καὶ θερμῷ λουέσθω.

22. Alia potio.

Si menses non prodeant. Terebinthi fructum tritum, vino & aquâ maceratum, & percolatum, ieiunæ bibendum dato, & calidâ lauetur.

κγ΄. Ἕτερον ποτόν.

Ἐμμήνια κινεῖν. [91] Φοινικικοὺς κόκκους ἐν οἴνῳ νήστει διδόναι πίνειν.

23. Alia potio.

Ad menses mouendos. Purpurea pæoniæ *grana ieiunæ ex vino potui exhibeto.*

κδ΄. Ἕτερον ποτὸν τῶν λοχείων καθαρτικόν.

[92] Λοχεῖα καθαίρειν. Μαράθου καρπὸν καὶ κρήθμου τὸν φλοιὸν, καὶ λιβανωτὸν ἐν οἴνῳ διδόναι πίνειν.

24. Alia potio lochia purgans.

Ad puerperij purgamenta. Fœniculi semen, & crethmi corticem, & thus ex vino bibenda dato.

κε΄. Ἕτερον ποτόν.

[93] Δᾷδα ὡς πιοτάτην ἐν οἴνῳ ἑψήσας, καὶ γλυκυσίδης κόκκους πέντε τρίψας ἐν οἴνῳ, ὅσον τεταρτημόριον κοτύλης, δοῦναι πιεῖν.

25. Alia potio.

Tedam quàm pinguissimam in vino coctam, & pæoniæ grana quinque ex vino trita, in heminæ quadrante potui dato.

26. Alia potio.

26. Alia potio.

Mercurialis semen & folia ex vino potui exhibeto.

27. Alia potio.

Pœoniæ grana nigra quinque, & sepiæ oua ex vino propinato.

28. Alia potio.

Ad omnem puerperam. Oleum ad irionem & polentam affusum, aut coctum sorbeat, & cibis quammollissimis vtatur.

29. Pessarium.

Scammonium ex lacte muliebri tritum, lanâ exceptum apponito.

30. Aliud.

Mercurialis folia trita, in linteo subter apponito.

31. Aliud.

Artemisiam herbam tritam & rosaceo vnguento imbutam subdito.

32. Aliud.

Albam radicem tritam, vnguento rosaceo subactam, apponito.

33. Aliud.

Pœoniæ radicem, *melle, vnguento rosaceo, & Ægyptio subactam, ex lana subdito.*

34. Aliud.

Farinam non lotam ad eundem modum apponito. Lolij & tritici farinam simul melle subactam, ex lana subdito.

35. Aliud.

Menses & puerperia purgans, etiam aquas educit. Radicem struthij leuiter tritam, quantùm tribus digitis capitur, melle subactam supponito. Nascitur autem in Andri littoribus.

36. Aliud pessarium vteros purgans.

Vteros repurgans. Mercurialis contusæ, & cucumeris agrestis modicum ex vino tritum, ea melle subacta subter apponito.

37. Alia potio.

Leporis pilos vstos, ex vino tritos, melle cocto & aquâ subactos potui exhibeto, & calidâ lauet.

38. Alia potio.

Partum purgat. Farinam crassiorem extractam ad dimidij hemichœnicis mensuram, in aquæ quatuor

κϛ΄. Ετερον ποτόν.

Λινοζώστιος τὸν καρπὸν καὶ τὰ φύλλα ἐν οἴνῳ δοδῦναι πιεῖν.

κζ΄. Ετερον ποτόν.

Γλυκυσίδης τοὺς μέλανας κόκκους ὅσον πέντε, καὶ ὠὰ σηπίων δοῦναι πίνειν ἐν οἴνῳ.

κη΄. Ετερον ποτόν.

Λεχοῖ πάσῃ. Εἰς ἐρύσιμον καὶ ἄλφιτον, ἔλαιον παραχέας, ἢ ἑφθὸν ῥοφείτω, καὶ σιτίοισιν ὡς μαλακωτάτοισι χρήσθω.

κθ΄. Πρόσθετον.

Σκαμμωνίην τρίψας ἐν γάλακτι γυναικείῳ, ἐν ἐρίῳ ἀναστογγίσας προσθεῖναι.

λ΄. Ετερον.

Λινοζώστιος φύλλα τρίψας, ἐν ῥάκει προσθεῖναι.

λα΄. Ετερον.

Τὴν ποίην τῆς ἀρτεμισίην τρίψας, καὶ μύρῳ ῥοδίνῳ δεύσας, προσθεῖναι.

λβ΄. Ετερον.

Τὴν λευκὴν ῥίζαν λείην κόψας, ῥοδίνῳ μύρῳ δεύσας, προσθεῖναι.

λγ΄. Ετερον.

Τῆς γλυκυσίδης μέλιτι δεύσας καὶ μύρῳ ῥοδίνῳ [95] καὶ Αἰγυπτίῳ, ἐν ἐρίῳ προσθεῖναι.

λδ΄. Ετερον.

Αλητον ἄπλυτον τὸν αὐτὸν τρόπον προστιθέναι. Αἰρων ἄλευρον, καὶ πύρινα, ἅμα μέλιτι φυρήσας ἐν ἐρίῳ προστιθέναι.

λε΄. Ετερον.

Καθαρτήριον ἐπιμηνίων καὶ λοχείων, καὶ ὕδωρ ἄγει. Στρουθίου ῥίζης λείου κεκομμένου, ὅσον τοῖσι τρισὶ δακτύλοισι, μέλιτι δεύσας προσθεῖναι. φύεται δὲ ἐν Ανδρῳ ἐν τοῖς αἰγιαλοῖς.

λϛ΄. Ετερον πρόσθετον ἀποκαθαρτήριον τῶν ὑστερῶν.

Υστέρας ἀποκαθῆραι. Λινοζώστιος κεκομμένης καὶ σικύης ὀλίγον τρίψας ἐν οἴνῳ, καὶ μέλιτι δεύσας, προστιθέναι.

λζ΄. Ετερον ποτόν.

Λαγωοῦ θρίχας κατακαύσας, καὶ τρίψας ἐν οἴνῳ, καὶ μέλιτι δεύσας ἑφθῷ καὶ ὕδατι, δοῦναι πιεῖν· καὶ ἐν ὕδατι θερμῷ λουέσθω.

λη΄. Ετερον ποτόν.

Τόκου καθαρτήριον. [96] Κρίμνον ἐξερύσας, ὅσον ἥμισυ ἡμιχοινικίου, ἕψειν ἐν ὕδατος κοτύλαις τέ-

σαρσιν· ὁκότ' ἂν δὲ ζέσῃ, δοῦναι δὶς ἢ τρὶς ῥοφῆσαι.

λθ'. Ἕτερον ποτόν.

[37] Λοχεῖα καθῆραι. Τῆς [38] ἀκτῆς τὰ φύλλα ἑψήσας, ἐπιχέας ἔλαιον, δοῦναι πιεῖν· ἐσθιέτω δὲ καὶ κράμβας ἑφθὰς καὶ πράσα.

μ'. Ἕτερον ποτόν.

Καθαρτήριον ὑστερέων. Τοῦ ῥοῦ τὰ φύλλα καὶ τὸν καρπὸν ἐν οἴνῳ πιεῖν δοῦναι· καὶ ἐρύσιμον λεῖον ποιήσας ἐν οἴνῳ, καὶ ἄλφιτα ἐπιβάλλων, δοῦναι πιεῖν.

μα'. Ἕτερον προσθετόν.

Μίσυος ὅσον δύο ὀβολοὺς, τρίψας ἐν οἴνῳ, καὶ φυρήσας, προσθεῖναι.

μβ'. Ἕτερον προσθετόν.

Λίνου καρπὸν τρίψας, ἐν οἴνῳ φυρήσας, προσθεῖναι.

μγ'. Ἕτερον ποτόν.

Τριφύλλου τὸν καρπὸν ἐν οἴνῳ πιεῖν δοῦναι. Ἐὰν δὲ ἐς τὴν ὀσφὺν ὑστέραι [39] στηρίξωσιν, ἐσθιέτω πολύποδας ἑφθοὺς, καὶ ὀπτούς· καὶ οἶνον πινέτω μέλανα εὐώδεα, ἄκρητον, ὡς πλεῖστον.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Ἕτερα ποτὰ, προσθετὰ, καὶ καθαρτήρια.

α'. Ποτὸν, ὃ ῥοῦν ἵστησι γυναικεῖον.

Ῥοῦ τὴν ἐρυθρὴν, καὶ γίγαρτα ἑψήσας ἐν ὕδατι, τοῦ σιταλίου ἐμβάλλων ἐπὶ τὸ ὕδωρ, δίδου πίνειν.

β'. Ἕτερον ποτόν.

Ἄλευρον ἐφ' ὕδωρ ἐμβαλὼν, δίδου πιεῖν.

γ'. Ἕτερον ποτόν.

Μόρα τὰ ἀπὸ τοῦ βάτου ξηρήνας, καὶ τρίψας λεῖα, καὶ ἄλφιτα ποταίνια ἀναμίξας, ὅσον ὀξύβαφον ἀμφοτέρων, ἐν οἴνῳ εὐώδεϊ καὶ ὑδαρεῖ πινέτω.

δ'. Ἕτερον ποτόν.

Τὴν γῆν τὴν μέλαιναν τὴν σαμίην ἐν ὕδατι τρίψας, ὅσον ἀστράγαλον, δίδου πιεῖν.

ε'. Ἕτερον ποτόν.

Ὑποκυστίδος ἐν οἴνῳ διδόναι πιεῖν.

ϛ'. Ἕτερον ποτόν.

Σίδας οἰνώδεας ἐκχυλώσας, ἄλφιτα φυρήσας τῷ χυλῷ ξήρανον, ἔπειτα τρίψας ἐν οἴνῳ λεῖον, δίδου πιεῖν.

heminis coquito; vbi verò efferbuerit, bis aut ter sorbendam dato.

39. Alia potio.

Lochia purgat. Sambuci folia cocta, affuso oleo bibenda exhibeto; brassicas etiam coctas & porra edat.

40. Alia potio.

Vteros purgans. Rhois folia & fructum ex vino bibendum dato; & irionem ex vino tritum, polentâ iniectâ, propinato.

41. Aliud pessarium.

Misyos obolos duos ex vino tritos & subactos subdito.

42. Aliud pessarium.

Lini semen tritum, ex vino subactum subdito.

43. Alia potio.

Trifolij semen ex vino propinato. Si verò vteri ad lumbos incubuerint, polypos coctos & assos edat, & vinum nigrum odoratum, merum, quàm plurimum bibat.

CAPVT XXX.

Aliæ potiones, medicamenta subditia, & purgantia.

1. Potio muliebre profluuium sistens.

Rhoem rubram & vinacea ex aqua coquito, sitaniâ farina *in aquam iniectâ, bibendam dato.*

2. Alia potio.

Farinam in aquam iniectam bibendam exhibeto.

3. Alia potio.

Mora rubi siccata, & leuiter trita, ac recenti polentâ admixtâ, quantùm amborum acetabulum, ex vino odorato aquoso bibat.

4. Alia potio.

Terram nigram Samiam ex aqua tritam, astragali quantitate, bibendam porrigito.

5. Alia potio.

Hypocystidem ex vino præbeto.

6. Alia potio.

Mala punica vinosa exugito, & polentam succo subactam siccato, deinde tenuiter tritam ex vino bibendam dato.

7. Alia potio.

A

7. Alia potio.

Myrti nigræ fructum tritum, aquâ maceratum, polentâ immissâ, bibendum exhibeto.

8. Alia potio.

Mali punici dulcis assati drachmam tritam ex vino propinato.

9. Alia potio.

Triticum & hordea trita & torrefacta, ac in farinam redacta, ex vino nigro bibenda dato.

B

10. Alia potio.

Mali punici dulcis interiorem partem, pari aquæ portione admixtâ, potui exhibeto.

11. Alia potio.

Cicutæ quantum tribus digitis capitur, ex aqua bibendum dato.

C

12. Alia potio.

Farinæ sitaniæ & gipsi pares portiones ex aqua mixtas bibendas dato.

13. Alia potio.

Mali punici dulcis corticem & malicoria ex vino propinato.

14. Alia potio.

Si sanguis ex uteris effluat. Viticis folia ex vino nigro potui dato.

D

15. Alia potio.

Ad fluorem & dolorem. Rorismarini radicem ex vino propinato.

ζ. Ἕτερον ποτόν.

Μύρτων μελαίνων τὸν καρπὸν τρίψας, διεὶς ἐν ὕδατι, ἄλφιτα [100] ἐπιπάσσων, δίδου πίνειν.

η΄. Ἕτερον ποτόν.

Ῥοιὴν γλυκείην ὀπτήσας, ὁλκὴν τρίψας ἐν οἴνῳ, δίδου πίνειν.

θ΄. Ἕτερον ποτόν.

[101] Πυροὺς καὶ κάχρυας τρίψας, φρύξας τε, καὶ ἄλητα ποιήσας, ἐν οἴνῳ μέλανι δίδου πιεῖν.

ι΄. Ἕτερον ποτόν.

Ῥοιῆς γλυκείης τὰ εἴσω ξυμμίξας ἴσῳ ὕδατι, δίδου πίνειν.

ια΄. Ἕτερον ποτόν.

Κώνειον ὅσον τρισὶ δακτύλοισιν, ἐν ὕδατι δίδου πίνειν.

ιβ΄. Ἕτερον ποτόν.

Ἀλήτου σητανίου καὶ γύψου τὸ ἴσον, μίξας ἐν ὕδατι, δίδου πίνειν.

ιγ΄. Ἕτερον ποτόν.

Ῥοιῆς γλυκείης τὸν φλοιὸν καὶ σίδια, ἐν οἴνῳ δίδου πίνειν.

ιδ΄. Ἕτερον ποτόν.

Ἢν αἷμα ἐξ ὑστερέων ῥέῃ. Ἄγνου φύλλα ἐν οἴνῳ δίδου πιεῖν μέλανι.

ιε΄. Ἕτερον ποτόν.

Ῥόου καὶ ὀδύνης. [102] Κάχρυος ῥίζαν ἐν οἴνῳ διδόναι πίνειν.

CAPVT XXXI.

Vterorum aliæ potiones, quæ menstrua ducunt ferè omnes.

E

CEdri fructus, seseli, cuminum Æthiopicum, casiæ fructum, iuniperi baccas, milium, echinos paruos, melanthium, dauci radicem & semen; aromata verò, thymum, thymbram, ericen, hypericum, papauer album, crethmi radices & semen, maluæ radices, mercurialis semen & folia, urticæ semen, saluiam, populum nigram, dictamnum, pseudodictamnum, amomum, cardamomum, helenium, aristolochiam, castoreum, adiantum, dracontium, peucedanum, rutæ folia & semen, apij semen, fœniculi semen, hipposelini & semen & radices, hippomarathri semen & radices, struthij semen & radices, hyssopum Cilicium, erysimum, pæoniam, panacem; horum quodcunque volueris aut mixtum, aut per se ex aqua vel vino decoctum, ut volueris, propinato.

F

ΚΕΦΑΛΑΙΟΝ ΛΑ΄.

Ἕτερα ποτὰ ὑστερέων, σχεδὸν ἅπαντα τῶν καταμηνίων ἑλκτικά.

ΚΕδρίδας, σέσελι, κύμινον Αἰθιοπικὸν, κασσίης καρπὸν, ἀρκευθίδας, [103] κεγχρίδας, [104] ἐχινίδας, μελάνθιον, δαύκου ῥίζαν καὶ τὸν καρπόν· ἀρώματα δὲ, θύμον, θύμβρην, ἐρείκην, ὑπερικὸν, μήκωνα λευκὴν, κρηθμοῦ ῥίζας καὶ τὸν καρπὸν, μαλάχης ῥίζας, λινοζώστιος καρπὸν καὶ τὰ φύλλα, κνίδης καρπὸν, ἐλελίσφακον, αἴγειρον, δίκταμνον, ψευδοδίκταμνον, ἄμωμον, καρδάμωμον, ἑλένιον, ἀριστολόχιον, καστόριον, ἀδίαντον, δρακόντιον, πευκέδανον, πηγάνου φύλλα καὶ τὸν καρπὸν, σελίνου καρπὸν, μαράθρου καρπὸν, ἱπποσελίνου καὶ τὸν καρπὸν καὶ τὰς ῥίζας, ἱππομαράθρου καρπὸν καὶ τὰς ῥίζας, στρουθίου τὸν καρπὸν καὶ τὰς ῥίζας, ὕσσωπον Κιλίκιον, ἐρύσιμον, γλυκυσίδην, πάνακες, ὅ,τι ἂν τούτων βούλῃ, καὶ ξυμμίσγων, καὶ αὐτὸ καθ' ἑαυτὸ ἀφεψῶν ἐν ὕδατι, ἢ ἐν οἴνῳ, ὡς ἂν βούλῃ, δίδου πίνειν.

A

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Ἀγαθὰ καὶ καθαρτικὰ, καὶ τὰς ὀδύνας παύοντα.

α'.

Τῆς μαλάχης δίδου [105] ἐν ὕδατι τὴν ῥίζαν.

B

β'. Ἕτερον.

Γλυκυσίδης καρπὸν, καὶ κέδρινον ὀλίγον ξυμμίσγων, ἐν οἴνῳ δίδου πίνειν· καὶ παύσεις ὑστερέων ὀδύνας.

γ'. Ἕτερον.

Ὅταν αἱ ὕστεραι πνίγωσιν. Καστόριον καὶ κόνυζαν ἐν οἴνῳ λευκῷ δίδου πίνειν. Ἢν δὲ προσστῇ ἡ πρὸς τῇ ῥινὶ, κόκκου τὸ εἴσω τὸ λευκὸν μέλιτι μίξας, ἀλείφειν τὴν ῥῖνα.

C

δ'. Ἕτερον παῦον ὀδύνας.

Μαλάχης τὴν ῥίζαν, καὶ μαράθρου φλοιὸν καὶ κρηθμοῦ, ἐν ὕδατι δοῦναι πιεῖν.

ε'. Ἕτερον.

Ἀστέρας θαλασσίους τοὺς μέλανας, καὶ κράμβην μίξας, ἐν οἴνῳ εὐώδει δοῦναι πιεῖν.

ϛ'. Ἕτερον.

D

Σμύρναν ὅσον τριώβολον, κόριον ὀλίγον, ῥητίνην, γλυκυσίδης ῥίζαν, κύμινον Αἰθιοπικόν· ταῦτα λεῖα τρίψας, ἐν οἴνῳ λευκῷ διέντα, δίδου πίνειν, ἀκροχλιαρὸν ποιήσας.

ζ'. Ἕτερον.

Ὑστέρας ἐλαύνει. [106] Τοῦ κροτωνοειδέος τὴν ῥίζαν δίδου πίνειν.

η'. Ἕτερον.

Ἢν πρὸς τὴν καρδίαν προσπεσοῦσαι αἱ ὕστεραι πνίγωσιν. Ἄγνου τὸν καρπὸν, καὶ γλυκυσίδης, δίδου ἐν οἴνῳ πίνειν.

E

θ'. Προσθετὰ δριμέα αἷμα ἄγοντα.

Κανθαρίδας πέντε ξυμμίξας τῷ λιβανωτῷ καὶ τῇ σμύρνῃ, τὸ μέγεθος ποίει ὅσον κηκίδα, μακρὸν ποιήσας, καὶ [107] περιθεὶς εἰρίῳ, περιελίξας τε ὀθονίῳ λευκῷ, βρέξας μύρῳ Αἰγυπτίῳ λευκῷ ἢ ῥοδίνῳ, προστίθει.

ι'. Ἕτερον.

Βουπρῆστιν, ἢν μὲν μικρὴ ᾖ, ὅλην, ἢν δὲ μεγάλη, τὸ ἥμισυ, ξύμμισγε πρὸς τοῖς ῥηθεῖσι, καὶ τὸν αὐτὸν τρόπον προστίθει. Ἢν δὲ μαλακωτέροισιν ἐθέλωσι χρῆσθαι, τὰς βουπρήστιδας ἔμβαλλε ἐς οἶνον, κύμινον Αἰθιοπικὸν παρεμβάλλων, καὶ σέσελι καὶ ἄνισον, ἀναζέσαι. [108] ἔστω δὲ καὶ βουπρήστιας ξυμμίξας [109] ὀξύβαφον ἐλαίου, τῶν ἄλλων ἁπάντων ἴσον ἑκάστου. [110] μίξαι δὲ σμύρναν, λιβανωτὸν ὀλίγον. τούτου λαβὼν ὅσον [111] δραχμίδα, προσθεῖναι, ὥσπερ ἐν τῷ πρόσθεν προσθήματι.

F

CAPVT XXXII.

Medicamenta optima & vteros purgantia & dolores sedantia.

1.

Maluæ radicem ex aqua dato.

2. Aliud.

Pœoniæ semen & parum cedrini olei admixtum ex vino propinato; & vterorum dolores sedabis.

3. Aliud.

Quum vteri suffocarint. Castorium & conyzam ex vino albo bibenda dato. Quòd si ad nares proruperint, grani cnidij teneriorem partem albam, admixto melle, naribus illine.

4. Aliud dolores sedans.

Maluæ radicem, & fœniculi crethmique corticem ex aqua propinato.

5. Aliud.

Stellas marinas nigras & brassicam mixtas, ex vino odorato propinato.

6. Aliud.

Myrrhæ obolos tres, coriandri parùm, resinam, pæoniæ radicem, cuminum Æthiopicum; hæc læuiter trita, vino albo macerata, summè tepida propinato.

7. Aliud.

Vteros propellit. Ricini radicem potui exhibeto.

8. Aliud.

Si vteri ad cor irruentes strangularint. Viticis & pæoniæ semen ex vino bibendum dato.

9. Pessaria acria sanguinem cientia.

Cantharidas quinque thuri & myrrhæ admixtas in glandulam longam gallæ magnitudine efformato, & lanâ obuolutam, albóque linteo circunductam, vnguentóque Ægyptio albo aut rosaceo imbutam, subdito.

10. Aliud.

Buprestin integram, si parua fuerit, si magna, dimidiam, ad prædicta admisceto, & ad eundem modum subdito. Quòd si mollioribus vti velint, buprestidibus in vinum iniectis, cuminum Æthiopicum, seseli & anisum addito ac feruefacito. Ad decem autem buprestes olei acetabulum admisceto, reliquorum omnium singulorum par sit modus. Myrrham quoque admisceto & thuris parum. Ex eo pugillo accepto, velut prius subdititium, supponito.

11. Aliud.

11. Aliud.

Melanthium cum melle tritum, & ex vino subactũ, in glandulam efformato, velut in priore subdititio.

ια΄. Ἕτερον.

[111] Τοῦ μελανθίου τρίψας μέλιτι, δεύσας τε ἐν οἴνῳ, βάλανον ποιήσας, πρὸς τῷ προτέρῳ προσθέτω.

12. Aliud.

Aparinẽ ad eundẽ modum apparatã subter apponito.

ιβ΄. Ἕτερον.

Φιλίσιον, τὸν αὐτὸν τρόπον ποιέων, προστίθει.

13. Aliud.

Telephij semen eodem modo apparatum subdito.

ιγ΄. Ἕτερον.

Τηλεφίου καρπὸν τὸν ἴσον τρόπον ποιέων, προστίθει.

14. Aliud.

Anemones folijs tritis & linteo exceptis, paucâ myrrhâ admixtâ, ad eundem modum vtitor.

ιδ΄. Ἕτερον.

Ἀνεμώνης φύλλα τρίψας, ἐνθείς τε εἰς ῥάκος, καὶ σμύρνης μικρὸν ξυμμίσγειν, καὶ τὸν αὐτὸν τρόπον [112] χρῆσθαι.

15. Aliud.

Sanguinem ducit. Glandem Ægyptiam tritam, & susinum vnguentum quod est in terra Ægyptia, aquâ dissolutum, & lanâ conuolutum subter apponito.

ιε΄. Ἕτερον.

Ἄγει αἷμα. Βάλανον Αἰγυπτίην τρίψας, καὶ σούσινον, ὅ ἐστιν ἐν τῇ γῇ Αἰγυπτίῃ, ὕδατι διείς, εἰρίῳ ἑλίξας, προστίθει.

16. Aliud bilem purgans.

Cucumeris agrestis medullam læuiter tritam, melle subactam, in glandem efformatam, supponito.

ιϛ΄. Ἕτερον χολὴν καθαῖρον.

Σικύης ἐντεριώνην λείην τρίψας, μέλιτι φυρήσας, βάλανον ποιέων προστίθει.

17. Aliud.

Colocynthidis syluestris interiorẽ partem læuigatam, melle subactam, ad eundem modum supponito.

ιζ΄. Ἕτερον.

Κολοκυνθίδος ἀγρίης τὸ εἴσω [114] λεῖον ποιήσας, μέλιτι φυρήσας, τὸν αὐτὸν τρόπον προστίθει.

18. Aliud.

Elaterij potiones quatuor, adipe anserino & caprillo admixto, dimidiam glandulam formato, & ex linteo subdito.

ιη΄. Ἕτερον.

Ἐλατηρίου πόσιας τέσσαρας, ξυμμίσγων στέαρ χήνειον καὶ αἴγειον, [115] καὶ ἡμισυβάλανον ποιέων, προστίθει ἐν τῷ ῥάκει.

19. Aliud.

Thlaspi tritum, melle subactum, subter apponito.

ιθ΄. Ἕτερον.

[116] Θλάσπιν ποιέων, μέλιτι φυρέων, προστίθει.

20. Aliud.

Fici folia pinguiora derasa, admixtis duabus elaterij potionibus, & nitri quantùm elaterij, melle subactum subdito.

κ΄. Ἕτερον.

Συκοφυλλίου τὸ πῖον ξύσας, καὶ ξυμμίξας πόσιας ἐλατηρίου δύο, καὶ νίτρου ὅσον τὸ ἐλατήριον μέλιτι δεύσας, προστίθει.

21. Aliud.

Si vterus pituitâ laboret. Nitrũ rubrum, fici interiorẽ pinguedinem, singulorum æqualem portionem læuigatam, ad gallę magnitudinẽ efformatam subter apponito.

κα΄. Ἕτερον.

Ἢν φλεγμαίνῃ. Νίτρον ἐρυθρὸν, σύκου τὸ εἴσω τὸ πῖον, ἴσον ἑκάστου, τρίψας λεῖα, ὅσον κηκῖδα ποιήσας, προστίθει.

22. Aliud.

Cumini folia ex vino trita, in linteo subdito.

κβ΄. Ἕτερον.

Κυμίνου φύλλα ἐν οἴνῳ τρίψας, ἐν ῥάκει προστίθει.

23. Aliud.

Radicem albam tenuiter tritam, melle affuso feruefactam, in glandis formam subter apponito.

κγ΄. Ἕτερον.

Τὴν λευκὴν ῥίζαν τρίψας λείην, μέλι ἐπιχέας, καὶ ἀναζέσας, βάλανον ποιήσας, προστίθει.

24. Aliud.

Laseris succum & ficum mixta, in glandis formam subdito.

κδ΄. Ἕτερον.

Ὀπὸν σιλφίου, καὶ σῦκον μίξας, βάλανον ποιέων, προστίθει.

A

κε΄. Ετερον.

Συκῆς σπέρμα τρίψας, τὸν αὐτὸν τρόπον.

25. Aliud.

Cucumeris agrestis semen tritum, eodem modo.

κϛ΄. Ετερον.

Χολὴν ταύρου, καὶ νίτρον ἐρυθρὸν, νέτωπον, κυκλάμινον, τρίψας τουτέων ὅσον κηκίδα, τῆς κυκλαμίνου δὲ πλεῖστον, μέλιτι ξυμμίξας, προστίθει.

26. Aliud.

Fel tauri, nitrum rubrum, netopum, cyclaminum; horum tritorum quantum gallæ magnitudinem, cyclamini verò maximam portionem, melle admixto, subdito.

κζ΄. Ετερον.

B

Τοῦ[117] κρομμύου τὴν κεφαλὴν καθάρας ἐν ὕδατι τρίψας, ἐς ῥάκος ἀποδήσας, προσθεῖναι.

27. Aliud.

Cæpæ caput purgatum, ex aqua tritum, in linteo ligatum subdito.

κη΄. Ετερον.

Σμύρνην, ἅλας, κύμινον, χολὴν ταύρου, μέλιτι ταῦτα φυρήσας, ἐνθέντα πρὸς ῥάκος προσθεῖναι.

28. Aliud.

Myrrham, salem, cuminum, fel tauri, hæc melle subacta, linteo imposita supponito.

κθ΄. Ετερον.

Κόκκους ἐκλέξας ὡς τριάκοντα, καὶ τρίμματα Ινδικοῦ φαρμάκου τοῦ τῶν ὀφθαλμῶν, ὃ καλεῖται πέπερι, καὶ τῶν στρογγύλων ἕτερα· ταῦτα τὰ τρία τρίβων, ἐν οἴνῳ παλαιῷ λεῖα διεὶς, γλυκεῖ ἐλαίῳ ἀναφυρέων, περὶ τὸ εἴριον περιθεὶς· προσθέσθω, καὶ διανιζέσθω οὔρῳ.

29. Aliud.

C

Grana delecta ferè triginta, & pulueres, Indici medicamenti oculorum, quod piper vocatur, & de rotundis alios pulueres; *hæc tria tenuiter trita, ex vino veteri macerata, oleo dulci subacta, lanâ excepta subdat, & lotio abluatur.*

λ΄. Ετερον.

Τιθυμάλλου ὀπὸν μέλιτι φυρήσας, ἐς ῥάκος ἐνθεὶς, προστιθέναι.

30. Aliud.

Tithymali succum melle subactum, linteo exceptum apponito.

λα΄. Ετερον.

Σκίλλης ῥίζαν ὅσον ἑξαδάκτυλον, κατειλίξας τοῖς δύο δακτύλοις εἰρίῳ, πρόσθες.

31. Aliud.

D

Scillæ radicem longitudinis sex digitorum, ad duos digitos lanâ conuolutam, subdito.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ΄.

Ετερα[119] μαλθακτικὰ, ὑφ' ὧν καθαίρεται ὕδωρ, καὶ αἷμα, ἐπιμήνιά τε ἄγονται, ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσεται.

CAPVT XXXIII.

Emollientia alia, à quibus purgatur aqua & sanguis, ac menses nisi diuturni fuerint ducuntur, & os vteri emollitur.

α΄.

Ναρκίσσινον, κύμινον Αἰθιοπικὸν, λιβανωτὸν, ἀψίνθιον, κύπειρον, τῶν μὲν ἄλλων ἴσον ἑκάστου, τοῦ δὲ ναρκισσίνου μοίρας τέσσαρας, ἐπ' ὀθόνιον ὠμόλινον ξυμμίξας ταῦτα, τρίψας, καὶ ποιήσας βάλανον, προστίθει.

E

1.

Narcissinum, cuminum Æthiopicum, thus, absinthium, cyperum, aliorum quidem singulorum pares portiones, narcissini autem partes quatuor, ex linteo lini crudi, mixtas & tritas, in glandem efformatas subter apponito.

β΄. Ετερον.

Κυκλαμίνου μέγεθος ὅσον ἀστραγάλου, καὶ ἄνθος χαλκοῦ ὅσον κύαμον τρίψας, καὶ μέλιτι δεύσας, καλῶς ποιήσας βάλανον, προστιθέναι.

2. Aliud.

Cyclaminum tali magnitudine, & æris florem fabæ quantitate, trita & melle subacta, in glandem probè efformata subter apponito.

F

γ΄. Ετερον.

Γλήχωνα, σμύρναν, λιβανωτὸν, ὑὸς χολὴν, μέλιτι φυρήσας, καὶ ποιήσας βάλανον, προστιθέναι.

3. Aliud.

Pulegium, myrrham, thus, fel suis, melle subacta & in glandis formam redacta subdito.

δ΄. Ετερα στρυφνά.

Ῥοῦν οἴνῳ μέλανι φυρήσας, προσθεῖναι.

4. Alia acerba.

Rhoem vino nigro subactam supponito.

5. Aliud.

5. Aliud.

Cnicum eodem modo apparatum subdito.

6. Aliud.

Loti ramenta eodem modo apparato.

7. Aliud.

Rhoem melle admixto, subdito.

8. Alia emollientia.

Sulphur, adipem, oui vitellum, farinam, melle subigito, & hæc tepefacito, quod destillat lanâ exceptum *subdito.*

9. Aliud.

Anseris pinguedinem, & adipem ouillum, ceram albam, resinam, vnguentum rosaceum, tenui concerpto linteo excepta *supponito.*

10. Aliud.

Cerui medullam & adipem liquefacta, in lana subdito.

11. Aliud.

Adipem ouillum aut caprinum, & oui candidum vnguento rosaceo subactum, lanâ exceptum, supponito.

12. Clysteres vterini.

Grossos hybernas in aquam iniectas lento igne coquito, deinde percolato, & affuso oleo, colluito. Posteà malicorio, gallâ, & loti ramentis in vino acerbo coctis colluito, percolatum infundito.

13. Alius.

Fæcem vini vstam in aquam inijcito, deinde aquâ colluito; posteà verò malicorio, myrti baccis, rhois folijs ex vino decoctis perluito.

14. Alius.

Lentisci, saluiæ, hyperici folijs in vino nigro decoctis vtitor.

15. Alius.

Siquid in vteris exulceratum fuerit. Butyrum, thus, myrrham, resinam paucam, his colluere oportet.

16. Alius.

Porra in aqua vbi decoxeris, aquâ percolatâ, vino admixto colluito.

17. Alius.

Sambuci fructum, anisum, thus, myrrham, vinum, horum succo colluito.

18. Alius.

Brassicâ in aqua coctâ in brassica cremore mercu-

A

ε. Ἕτερον.

Κνίκον τὸν αὐτὸν τρόπον ποιήσας, προστιθεῖ.

ϛ'. Ἕτερον.

Λωτοῦ πρίσματα τὸν αὐτὸν τρόπον ποιεῖν.

ζ. Ἕτερον.

B Ῥοῦ μέλιτι μίξας, προσθεῖναι.

η'. Ἕτερα μαλθακτήρια.

Θεῖον, στέαρ, ᾠοῦ λέκιθον, ἄλητον, μέλιτι φυρήσας, ταῦτα διαχλιαίνων, τὸ ἀποστάζον εἰρίῳ προσθετέον.

θ'. Ἕτερον.

Χηνὸς ἔλαιον, καὶ στέαρ μήλειον, κηρὸν λευκὸν, C ῥητίνην, μύρον ῥόδινον, ῥάκει καὶ καταπλάσας λεπτὸν, προστιθεῖ.

ι. Ἕτερον.

Ἐλάφου μυελὸν καὶ στέαρ τήξας, ἐν εἰρίῳ προσθετέον.

ια'. Ἕτερον.

Στέαρ οἶος, ἢ αἰγὸς, καὶ ᾠοῦ τὸ λευκὸν, ῥοδίνῳ μύρῳ ἀναφυρήσας, εἰρίῳ ἀναπσπογγίσας προσθετέον.

ιβ'. Κλυσμοί.

D Ὀλύνθους τοὺς χειμερινοὺς ἐμβαλὼν ἕψειν ἐν ὕδατι, ὑποκαίων ἡσυχῇ, ἔπειτα ἀποχέας, ἔλαιόν τε ἐπιχέων, κλύζειν. Μετακλύζειν δὲ σιδίοισι, καὶ κηκίδι, καὶ λωτοῦ πρίσμασιν ἐν οἴνῳ ἑψῶν στρυφνῷ, ἀποχέων δὲ κλύζειν.

ιγ'. Ἕτερος.

Τρύγα κατακαίων, ἐς ὕδωρ βάλλε, ἔπειτα τῷ ὕδατι κλύζειν· μετακλύζειν δὲ σιδίοις, μύρτοις, ῥοῦ φύλλοις, ἀφεψῶν ἐν οἴνῳ.

ιδ'. Ἕτερος.

E ‴ Σχίνου φύλλα, ἐλελισφάκου, ὑπερικοῦ, ἑψήσας ἐν οἴνῳ μέλανι.

ιε'. Ἕτερος.

Ἢν ἑλκωθῇ δέ τι τῶν μητρέων· βούτυρον, λιβανωτὸν, σμύρναν, ῥητίνην ὀλίγην; ‴ τουτέοισι χρὴ κλύζειν.

ιϛ'. Ἕτερος.

‴ Πράσα ἑψήσας ἐν ὕδατι, ἀποχέων δὲ ὕδωρ, F οἴνῳ μίξας κλύζε.

ιζ. Ἕτερος.

Ἀκτῆς καρπὸν, ἄνισον, λιβανωτὸν, σμύρναν, οἶνον, τῷ χυμῷ τούτων κλύζειν.

ιη'. Ἕτερος.

Κράμβην ἑψήσας ἐν ὕδατι, ἐν τῷ χυμῷ τῆς

κεάμβης ἕψε τὴν λινόζωσιν, παρεμβάλλων λίνου σπέρμα μικρὸν, ἔπειτα ἀποχέας, κλύζε.

ιθʹ. Ἕτερος.

Σμύρνης ὅσον ὀξύβαφον, λιβανωτὸν, σέσελι, ἄνισον, λίνου σπέρμα, νέτωπον, ῥητίνην, μέλι, χηνὸς ἔλαιον, ὄξος λευκὸν, τὸ Αἰγύπτιον, τούτων ἑκάστου τὸ ἴσον τρίψας, διεῖναι οἴνου λευκοῦ κοτύλαις δυσὶ, ἔπειτα χλιαρῶς κλύζειν.

κʹ. Ἕτερος.

Λινόζωσιν ἐν ὕδατι ἑψήσας, ἀπηθήσας, σμύρνης ὀξύβαφον, λιβανωτοῦ, νετώπου, ἴσον ἑκάστου μίξας, χλιαρῶς κλύζειν.

καʹ. Ἕτερος.

Ἐλελίσφακον καὶ ὑπερικὸν ἐν ὕδατι κλύζε.

κβʹ. Ἕτερος.

Ἀκτῆς καρπὸν, δαφνίδας, ἑκατέρου τὸ ἴσον ἐν οἴνῳ ἕψε, ἔπειτα τῷ οἴνῳ κλύζε.

κγʹ. Ἕτερος.

Γλήχωνα ἐν ὕδατι ἑψήσας, ἔλαιον παραχέας μετὰ ὕδατος, κλύσον.

κδʹ. Ἕτερος.

Χηνὸς ἔλαιον, ῥητίνην ξυντήξας, κλύσον.

κεʹ. Ἕτερος.

Βούτυρον, κέδρινον ἔλαιον παραμίξας ὀλίγον, μέλιτι διατήξας, κλύσαι τούτοις χλιαρῶς.

κϛʹ. Ἕτερος.

Κύπειρον, σχοῖνον, κάλαμον ταῦτα ἴσα τῇ σμύρνῃ μίγνυται· σισύμβριον οἴνῳ ἑφθὸν, κλύζειν.

κζʹ. Ἕτερος.

Σελίνου καρπὸν, ἀνίσου, σεσέλιος σπέρμα, μελάνθιον, οἴνῳ ἑψήσας, κλύζειν.

κηʹ. Ἕτερος.

Κέδρον κρητικὴν ἐν οἴνῳ ἑψήσας, κλύζε.

κθʹ. Ἕτερος.

Ἐχέτρωσιν καὶ σμύρναν διεὶς ἐν ὕδατι, κλύζε.

λʹ. Ἕτερος.

Ἀργυρίου ἄνθος, ἐν οἴνῳ καὶ ὕδατι κλύσαι.

λαʹ. Ἕτερος.

Ἐλατηρίου δὲ δύο πόσιας, ὕδατι διεὶς, κλύσαι.

λβʹ. Ἕτερος.

Κολοκυνθίδας ἀγρίας δύο, ἐν οἴνῳ ἢ γάλακτι ἑφθοῦ ἀποβρέξας, δὲ τέσσαρας κοτύλας ἀπηθήσας, κλύζε.

rialem coquito, pauco lini semine iniecto, posteà percolato colluito.

19. Alius.

Myrrhæ acetabuli quantitatem, thus, seseli, anisum, lini semen, netopum, resinam, mel, anseris oleum, acetum album, vnguentum *Ægyptium, horum singulorum parem portionem tritam vini albi heminis duabus macerato, deinde tepidè colluito.*

20. Alius.

Mercurialem in aqua decoctam percola, myrrhæ acetabulum, thuris, netopi, singulorum æqualem portionem admisceto, tepidè colluito.

21. Alius.

Saluiam & hypericum ex aqua decoquito, *& colluito.*

22. Alius.

Sambuci fructum, lauri baccas, vtriusque parem portionem in vino coquito, deinde vinum infundito.

23. Alius.

Pulegij in aqua decoctum, oleo ad aquam affuso, inijcito.

24. Alius.

Anseris pinguedinem & resinam liquefactam clystere inijce.

25. Alius.

Butyrum, pauco cedrino oleo admixto, quum melle liquefeceris, his tepidis colluito.

26. Alius.

Cyperum, iuncum odoratum, calamum aromaticum; hæc pari portione myrrhæ miscentur, cum quibus & *sisymbrium; his in vino coctis colluito.*

27. Alius.

Apij semen, anisi, seseleos semen, melanthium, in vino coquito, ac colluito.

28. Alius.

Cedrum Creticam in vino decoctam inijcito.

29. Alius.

Bryoniam albam & myrrham aqua macerata infundito.

30. Alius.

Argenti florem in vino & aqua inijce.

31. Alius.

Elaterij potiones duas aquâ maceratas infundito.

32. Alius.

Colocynthidas agrestes duas in vini aut lactis cocti heminis quatuor maceratas & percolatas infundito.

33. Aliud.

33. Alius.

Cucumeris agrestis medullam interiorem palmi parui magnitudine in aquæ heminis quatuor decoctam, melle & oleo affuso infundito.

34. Alius.

Radicis thapsiæ potiones duas, & mel, & oleum aquæ duabus heminis macerato, & colluito.

35. Alius.

Veratri duas potiones ex duabus aquæ heminis maceratas, tepidè infundito.

36. Alius.

Thlaspeos acetabulum melle admixto, duabus aquæ heminis macerato, ac tepidè infundito.

37. Alius.

Cucumeris agrestis parui palmi mensuram, in aquæ heminis quinque decoctam oleo admixto infundito.

38. Alius.

Grana cnidia ferè sexaginta, melle & oleo macerata infundito.

39. Alius.

Si naturâ pituitosa fuerit. Cneori portionem tritam in aquæ mulsæ hemina Æginæa macerato; hoc colluito.

40. Alius.

Si verò biliosa fuerit. Daphnes potionem odoratæ, drachmæ quantitatem, scammoniæ potionem tritam, aquâ mulsâ, aut aquæ vuæ passæ heminâ Atticâ macerato.

41. Alius.

Daphnoidis potionem ad eundem modum accommodato, *si biliosa fuerit, eâ colluito. Si verò pituitosa fuerit, grana selecta, & succi tithymali potionem infundito. Eodem modo etiam cneoro & peplo, & vtrisque ad eundem modum vti oportet. Collutionis autem copia amplior non sit, quàm duarum heminarum.*

CAPVT XXXIV.

Suffitus autem sunt hæc contusa.

1. Suffitus.

G*Allam suffito.*

2. Alter.

Et loti ramenta, oleæ folijs siccis contusis admixta & oleo subacta, suffito.

3. Alter.

In prunas substratas immissis hordei paleis humidis, suffitum parato.

λγ΄. Ἕτερος.

Σικύης ἐντεριώνην ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι κοτύλαις τέσσαρσι, μέλι καὶ ἔλαιον ἐπιχέας, κλύσαι.

λδ΄. Ἕτερος.

Τῆς θαψίης ῥίζης ὅσον δύο πόσιας, καὶ μέλι, καὶ ἔλαιον διεὶς ὕδατος κοτύλησι δυσὶ, κλύσαι.

λε΄. Ἕτερος.

Ἐλλεβόρου ὅσον δύο πόσιας ἐν ὕδατος κοτύλησι δυσὶ, κλύσαι χλιαρῶς.

λϛ΄. Ἕτερος.

Θλάσπιος ὅσον ὀξύβαφον μέλιτι παραμίξας, ὕδατος διεὶς ὅσον δύο κοτύλαις, κλύσαι χλιαρῶς.

λζ΄. Ἕτερος.

Σικύης ὅσον παλαιστὴ, ἑψήσας ἐν ὕδατος κοτύλησι πέντε, ἔλαιον παραμίξας, κλύσαι.

λη΄. Ἕτερος.

Κόκκους κνιδίους ὅσον ἑξήκοντα, μέλι, ἔλαιον ὑποδιεὶς κλύσαι.

λθ΄. Ἕτερος.

Ἢν φύσει φλεγματώδης ᾖ. Κνεώρου ποσὸν τρίψας, διεῖναι μελικρήτου κοτύλῃ [126] Αἰγινῇ, τουτέῳ κλύσαι.

μ΄. Ἕτερος.

Ἢν δὲ χολώδης ᾖ, τῆς δάφνης ὅσον πόσιν, τῆς [127] εὐώδεος ὅσον δραχμὴν, σκαμμωνίης ὅσον πόσιν, τρίψας διεῖναι μελικρήτῳ ἢ ἀπὸ σταφίδος ὕδατι, ὅσον κοτύλῃ ἀττικῇ.

μα΄. Ἕτερος.

Δαφνοειδέος πόσιν κατὰ τὸν αὐτὸν λόγον, ἢν φύσει ᾖ χολώδης, τουτέῳ κλύσαι. ἢν δὲ φλεγματώδης, κόκκους [128] ἐκλελεγμένους, καὶ τοῦ τιθυμάλλου ὀποῦ ὅσον πόσιν, κλύζειν. ὡσαύτως καὶ κνεωρείου καὶ μηκωνίου, ὡσαύτως ἑκατέρου τουτέων, χρῆσθαι χρή. κλύζε δὲ κλυσμῷ μὴ πλέον ἢ δυσὶ κοτύλαις. [129]

ΚΕΦΑΛΑΙΟΝ ΛΔ΄.

Ὑποθυμιήσεις δέ ἐστι κεκομμένα ταῦτα.

α΄. Ὑποθυμίασις.

ΚΗκίδα θυμιῆν.

β΄. Ἑτέρα.

Καὶ πρίσματα λωτοῦ, ἐλαίης φύλλοις ξηροῖς κεκομμένοις μίξας, καὶ φυρήσας ἐλαίῳ, ὑποθυμιῆν. [130]

γ΄. Ἑτέρα.

Ἄνθρακας ὑποβαλὼν, κριθῶν ἄχυρα νοτερὰ ὑποβάλλων ὑποθυμιῆν.

A

δ'. Ἑτέρα.

Ἀπ' ἀμφορέως ἐλαιηροῦ τὸ ἐπίθεμα, τὴν στοιβὴν ὑποκαίων, πρίσματος κυπαρίσσου ὑποβάλλων, θυμιῆν.

4. Alter.

Super oleariæ amphoræ operculo stœben succenduo, iniectis cupressi ramentis, suffitum parato.

ε'. Ἑτέρα.

Σκαμμωνίην, σμύρνην, λιβανωτὸν, μύρον περιχέας, ὑποθυμιῆν.

5. Alter.

Scammonium, myrrham, thus, affuso vnguento, suffito.

ς'. Ἑτέρα.

Ἄσφαλτον, κριθῶν ἄχυρα ξυμμίξας, ὑποθυμιῆν· ἔλαιον φώκης ἀναδεύσας, ὑποθυμιῆν.

6. Alter.

Bitumen admixtis hordei paleis suffito; aut *vituli marini oleum admixtum suffito.*

B

ζ'. Ἑτέρα.

Μελίην, κυπαρίσσου πρίσματα, κυπείρου ῥίζαν, μύρον ῥόδινον δεύσας, θυμιῆν.

7. Alter.

Fraxinum, cupressi ramenta, cyperi radicem, vnguento rosaceo subacta suffito.

η'. Ἑτέρα.

Κάλαμον, κύπειρον, βρυωνίην, βρύον, σελίνου σπέρμασιν ἀνήσσω μίξας ὁμοῦ, καὶ μύρῳ ῥοδίνῳ δεύσας, ὑποθυμιῆν.

8. Alter.

Calamum, cyperum, bryoniam, muscum quercinum, *admixto simul aniso & apij semine, vnguentóque rosaceo subacta, suffito.*

C

θ'. Ἑτέρα.

Ῥητίνην αὔην ἐπὶ σποδὸν ἐπιβάλλων, ὑποθυμιῆν.

9. Alter.

Resinam siccam in cinerem calidum iniectam suffito.

ι'. Ἑτέρα.

Κιννάμωμον, σμύρναν, κασίην, ἴσον ἑκάστου.

10. Alter.

Cinnamomum, myrrham, casiam, æquis singula portionibus admisceto.

ια'. Ἑτέρα.

Κρόκον, μίσγοντα σμύρναν, τὸ βρύον ἴσον τῷ κρόκῳ.

11. Alter.

D

Crocum admixtâ myrrhâ, & muscum æquali croci portione subigito.

ιβ'. Ἑτέρα.

Κάλαμον, κνέωρον, κρόκον, ῥόδων φύλλα ἐρυθρὰ τὰ ἡδὺ ὄζοντα τρίψας καὶ ξηρήνας ξυμμίσγειν τῷ κρόκῳ, καὶ στύρακα ἥμισυ τοῦ κρόκου· ταῦτα λεῖα ξυμμίξας, καὶ ξηρήνας, μέλιτι ἑφθῷ δεύσας ὡς ἐλαχίστῳ· τουτέων δὲ πάντων ξυμμεμιγμένων, ἔστω ἡ θυμίησις, ὀβολὸς Ἀττικὸς σταθμός. Ταῦτα θυμιῆν ἐπὶ βολβίτου· τὸ δὲ βόλβιτον πλάσσειν, οἷον ὀξύβαφον ἐλαιηρὸν, τὸν πυθμένα δὲ ἐχέτω λεπτὸν, ἔστω δὲ ξηρόν· τὸ πῦρ δὲ ἔστω κληματίνον, ἐφ' οὗ τὸ βόλβιτον κείσεται, ἐν τῷ ἐκείνῳ περιβᾶσα θυμιήσθω.

12. Alter.

Calamum, cneorum, crocum, rosarum folia rubra suaue olentia siccata & trita, croco admisceto, & styracem dimidiâ croci portione. Hæc læuigata, mixta & siccata, melle quàm paucissimo cocto subigenda. Ex his omnibus commixtis suffitus esto oboli Attici pondere.

E

Suffiantur autem super stercore bubulo. Stercus autem bubulum in acetabuli olearij formam effingito, quod fundum tenue habeat siccumque sit. Ignis autem sit sarmentitius, in quo stercus iaceat. Illi insistens mulier suffiatur.

ιγ'. Ἑτέρα.

Χαλβάνην, ῥητίνην, μάνναν, μύρῳ ῥοδίνῳ δεύσας, ὑποθυμιῆν.

13. Alter.

Galbanum, resinam, mannam, vnguento rosaceo subacta suffito.

F

ιδ'. Ἑτέρα.

Πάνακες καὶ κυπαρίσσου πρίσματα δεύσας μύρῳ Αἰγυπτίῳ λευκῷ, θυμιῆν.

14. Alter.

Panacis & cupressi ramenta vnguento Ægyptio albo subacta suffito.

ιε'. Ἑτέρα.

Κιννάμωμον, καὶ νάρδον, καὶ σμύρναν μύρῳ ῥοδίνῳ δεύσας ὑποθυμιῆν.

15. Alter.

Cinnamomum, nardum, & myrrham, vnguento rosaceo imbuta suffito.

16. Alter.

16. Alter.

Violæ albæ semen, cedri ramenta & galbanum melle subacta suffito.

17. Alter.

Caprini stercoris pilulas, & leporis pilos, vituli marini pinguedine subacta suffito.

18. Alter.

Coaguli vituli marini pelliculam tenuiter contusam, spongiam, muscum arboreum, *simul tenuiter trita & mixta, vituli marini oleo subacta, suffito.*

19. Alter.

Stercoris caprini globulos, vituli marini pulmonem, & cedri ramenta suffito.

20. Alter.

Stercus bubulum, cedri ramenta, & bitumen suffito.

21. Alter.

Spinæ Ægyptiæ fructum, cedri ramenta, & myrti siccæ folia; hæc tenuiter trita, & oleo balsamino subacta suffito.

22. Alter.

Aromatibus in vnguentum immissis suffitum parato.

23. Alter.

Vinacea tenuiter contusa, cedri baccas, resinam pineam simul mixta, & passo subacta, suffito.

CAPVT XXXV.

Fomenta.

1.

Stercus bubulum contusum ac cribratum, aceti dimidiam portionem, immissâ decocti erui dimidiâ portione, leuiter foueto. Post admotum fotum, lenticulæ decoctum bibendum dato, farinam sorbendam ac reuomendam exhibeto, ac vinum superbibendum. Postero verò die granum cnidium deuorandum dato; sequenti die, quod vrinam cieat; quale hoc. *Ciceris albi partes duas tritas, vuæ passæ tertiam partem, aquâ ad dimidias affusâ decoquito; deinde percolatum per noctem sub dio reponito, postridiè bibendum exhibeto. De cætero saluiam, lini semen, polentâ his ambobus admixtâ, bis die ex vini aquâ temperati quatuor heminis dato.*

2. Aliud fomentum.

Olei dimidias heminas tres, sambuci folia quantùm manus plena capit; hæc cocta in craterem calidũ effundito, muliere vestibus circumtectâ, in sedili collocatâ, testis calidis immissis fomentum adhibeto.

ιϛʹ. Ἑτέρα.

Λευκοΐου τὸν καρπὸν, κέδρου πρίσματα, καὶ χαλβάνῃ μέλιτι ἀναφυρήσας, ὑποθυμιῆν.

ιζʹ. Ἑτέρα.

Αἰγὸς σπυράθους, καὶ λαγωοῦ τρίχας, ἐλαίῳ φώκης δεύσας, ὑποθυμιῆν.

ιηʹ. Ἑτέρα.

Φώκης τῆς πιτύης τὸ δέρμα κόψας λεῖον, καὶ σπόγγον καὶ βρύα ὁμοῦ λεῖα[132] μίξας, τῷ ἐλαίῳ τῆς φώκης διαποιήσας, ὑποθυμιῆν.

ιθʹ. Ἑτέρα.

Αἰγὸς σπυράθους, καὶ φώκης[133] τὸν πνεύμονα, καὶ [133] κέδρου πρίσματα ὑποθυμιῆν.

κʹ. Ἑτέρα.

Βόλβιτον, κέδρου πρίσματα, καὶ ἄσφαλτον ὑποθυμιῆν.

καʹ. Ἑτέρα.

Ἀκάνθης Αἰγυπτίης καρπὸν, καὶ κέδρου πρίσματα, καὶ μυρσίνης φύλλα ξηρῆς, ταῦτα ποιήσας λεῖα, μύρῳ τε ὀποβαλσάμῳ δεύσας, ὑποθυμιῆν.

κβʹ. Ἑτέρα.

Ἀρώματα ἐς μύρον ἐμβαλλόμενα ὑποθυμιῆν.

κγʹ. Ἑτέρα.

Γίγαρτα κόψας λεῖα, καὶ κεδρίδας, καὶ ῥητίνην πιτυΐνην ὁμοῦ μίξας, γλυκεῖ ἑφθῷ δεύσας, ὑποθυμιῆν.

ΚΕΦΑΛΑΙΟΝ ΛΕʹ.

Πυριήσιες.

αʹ.

Βόλβιτον κεκομμένον, καὶ σεσησμένον, ὄξεος τὸ ἥμισυ, τοῦ ὀρόβου τὸ ἥμισυ ἐμβαλών, πυριῆν βληχρῶς· ἐπὴν δὲ πυριήσῃς, φάκιον πίνειν, καὶ ῥοφεῖν[134] καὶ ἀπεμεῖν διδῶναι ἄλητον, καὶ ἐπιπίνειν οἶνον. τῇ δ᾽ ὑστεραίῃ, κόκκον διδῶναι καταπότον· τῇ δὲ ἑτέρῃ διουρητικόν· ἐρεβίνθους λευκοὺς δύο τρίψας, τῆς δὲ σταφίδος τρίτον, ἐπιχέας ἥμισυ ὕδατος, ἀνέψειν ἔπειτα ἀποχέας, ἐς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ διδῶναι[135] πίνειν· καὶ τὸ λοιπὸν ἐλελίσφακον καὶ τοῦ λίνου σπέρμα, τουτέοις ἀμφοτέροις μίξας καὶ ἄλφιτον, διδόναι δὶς τῆς ἡμέρης ἐν οἴνῳ κεκρημένῳ, κοτύλῃσι τέσσαρσιν.

βʹ. Ἑτέρα πυρίασις.

Ἐλαίου τρία ἡμικοτύλια, ἀκτῆς φύλλα ὅσον χεῖρα πλείην, ταῦτα ἕψειν. ἐγχέας[136] ἐς κρατῆρα θερμὸν, πυριῆν ὀστράκοις θερμοῖς[137] ἐπὶ δίφρου τὴν γυναῖκα ἐπικαθίσας, περικαλύψας τοῖς ἱματίοις.

A

γ'. Ἑτέρα πυρίασις.

Τῆς ἀκτῆς φύλλα ὅσον χεῖρα πλείω, καὶ τῆς μυρσίνης τὸ ἴσον ἐμβάλλων ἐς ὕδωρ, ἑψήσας καὶ ἀποχέας τὸ ὕδωρ, ἐμβάλλων κριθῶν ἄχυρα, ἑψήσας ἔμβαλλε εἰς ῥάκος, ἔπειτα τούτῳ πυρίην, ὡς ἂν δύνηται [138] θερμότητα ἀνέχεσθαι μάλιστα.

3. Aliud fomentum.

Sambuci folia quantùm manus plena capit, & myrti æqualem mensuram in aquam iniectam decoquito; & in percolatam aquam hordei paleas immissas, decoctas in linteum immittito, deinde ex eo fomentum quàm maximè calidum ferre poterit, admoueto.

δ'. Ἑτέρα.

Ὄξος, ἔλαιον, ὕδωρ, μέλι κεράσας, ταῦτα ἀνάζεσον σφόδρα, ἔπειτα λαβὼν κύστιν χωρέουσαν ὡσεὶ χοέα, ἢ ἀσκίον ὡς λεπτοδέρματον, ἐγχέας, καὶ περιελίξας ῥάκει ἐρείῳ, πυρίην. ὁκόταν δ' [139] χλιαρὸν τὸ ῥάκος γένηται, ἕτερον περιελίσσειν.

4. Aliud.

B

Acetum, oleum, aquam, melle admixto, hæc valdè decoquito; deinde vesicâ sumptâ congium capiente, aut vtriculo ex tenui corio, infundito, & tenui panno laneo ad fomentum conuoluito. Quum verò tepidus pannus fuerit, alium conuoluito.

ε'. Ἑτέρα.

Τῆς πίτυος τὸν φλοιὸν, καὶ τοῦ ῥοῦ τὰ φύλλα [140] ἐμβάλλων, ἑψήσας ἰσχυρῶς, ἀποχέας τε τὸ ὕδωρ, καὶ κριθῶν ἄχυρον ἕψε, ἔλαιον ἐπιχέας. ὁκόταν δὲ συνεψήσῃς, ἐμβαλὼν εἰς ῥάκος, πυρία.

5. Aliud.

Pini corticem, & rhois folia in aquam *iniecta vehementer decoquito, in aquâ diffusâ hordei paleas oleo affuso coquito. Quum verò simul coxeris, & in pannum inieceris, pro fotu admoueto.*

C

ς'. Ἑτέρα.

Λωτοῦ πρίσματα καὶ κυπαρίσσου, ὕδωρ ἐπιχέας καὶ ἔλαιον, ἕψε, ἕως ἂν ξυνεψήσῃς· ἔπειτα ἐμβαλὼν εἰς ῥάκος, πυρία.

6. Aliud.

Loti & cupressi ramenta affusâ aquâ & oleo coquito, quoad simul coxeris; deinde his panno exceptis foueto.

ζ'. Ἑτέρα.

Ἀρώματα ἐς τὸ ὕδωρ ἐμβαλλόμενα ἑψήσας, ὅσον χοίνικα, καὶ τῷ ὕδατι πίτυρα πύρινα ἑψήσας.

7. Aliud.

Aromata in aquæ chœnicem iniecta coquito, & in aqua furfures triticeos coquito, & foueto.

D

η'. Ἑτέρα.

Τὸν αὐτὸν τρόπον κηκίδα κόψας, καὶ ῥάμνου τὸν φλοιὸν ἐφεψήσας ἰσχυρῶς, πίτυρα πύρινα φύρησον τῷ ὕδατι, καὶ παράμιξον ἔλαιον· ἔπειτα ἡμίοπτον ποιήσας ἄρτον ὅσον διχοίνικα, ἐνδήσας ἐς ῥάκος, πυρία.

8. Aliud.

Ad eundem modum gallam contusam & rhamni corticem vehementer in aquâ coquito; & triticeos furfures, oleo admixto, aquâ subigito; deinde semiassum panē duas chœnices pendentem conficito, & in panno ligatum pro fotu admoueto.

θ'. Ἑτέρα.

Κράμβην καὶ πράσα ἀφεψῶν, τῷ χυμῷ ποίησον τὸν ἴσον τρόπον.

9. Aliud.

E

Brassicam & porra decoquito, & cum succo eodem modo fomentum facito.

ι'. Ἑτέρα.

Κριθῶν ἄχυρα συνεψῶν, ἔλαιον ἐπιχέας, ἐς ῥάκος ἐνδέων, πυρία.

10. Aliud.

Hordei paleas oleo affuso simul coquito, in panno ligato, & ad fomentum admoueto.

ια'. Ἑτέρα.

Στρύχνον, καὶ τῆς ἐλαίης τὰ φύλλα ἐφεψῶν, τὸν αὐτὸν ποίει τρόπον. Καὶ ταῦτα δὴ, ἢν μὲν βούλῃ ὑγρῇσι χρῆσθαι, πυρία, ὡς γέγραπται· ἢν δὲ βούλῃ ξηροῖς, ἄρτους ποιέων καὶ ὀπτοὺς καὶ ἡμιόπτους, πυρία. πυρία δὲ καὶ ὀστράκοις εἰς ῥάκος ἐνειλίσσων, καὶ αὐτοῖς τοῖς ῥάκεσι θερμαινῶν, τοῖς φακοῖς τοῖς ὀστρακίνοις τὸ ὕδωρ ἐγχέων ζεστόν· προσίστη δὲ πρὸς τοὺς πόδας.

11. Aliud.

Solanum & oleæ folia decoquito, & eodem modo fotum *facito. Atque hæc sanè, si humidis quidem vti volueris, velut scripta sunt, fomenta adhibenda. Si verò siccis* vti *volueris, panes parato & assatos & semiassatos, quibus foueto. Sed & testaceis calidis panno inuolutis foueto & pannis ipsis calefactis & lenticulis vasis testaceis, aquâ feruente infusâ; pedibus autē admoueto.*

F

ιβ'. Ἑτέρα.

Τῆς ἴρεως τὴν ῥίζαν κόπτων, καὶ ἀφεψῶν, τὸν αὐτὸν τρόπον πυρία.

12. Aliud.

Iridis radicem tusam, decoctam, eodem modo pro fotu admoueto.

CAPVT XXXVI.

De vteri hydero cum grauiditate fœtum corrumpente, ac eius signis & curatione.

Si aqua in vteris suborta fuerit, menses pauciores, deteriores, & longiore tempore fluunt; & interdùm duobus mensibus, aut paulò plùs vtero gerit; quum autem hoc tempus accesserit, & fœtum corrumpit, multáque aqua in ea gignitur. Huic lac bibendum dare oportet, & peplum *mecona* dictum *propinare, quoad fœtus moueri incipiat. Plerúnque tamen ante hoc* tempus *corrumpitur, ac abortu extruditur, & sanguis ex vteris effluit. Hæc autem non magis ex labore, quàm aliter ei contingunt. Quòd autem hydrops in vteris insit, id deprehendes, si leuiter immisso digito contrectaris. Os enim ipsorum gracile, & præ humoris copia euanescens comperies. Quòd si ei non per initia, sed quum iã mouetur, fœtus corrũpatur & suffocetur, & venter imus intumescit, & ad contactum velut ex vlcere dolet, febris & dentiũ fremitus eã prehendit, dolorque acutus & vehemens ipsa pudenda, imum ventrem, ilia, ceneonas, & lumbos detinet. Quũ sic habuerit, ipsam calidâ lauare oportet. Et quâ parte dolor prehenderit, ex tepefactorijs quod maximè recipiat, admouere tentato, & medicamentũ deorsũ purgans potui exhibeto. Tẽpore autem, quantũ satis videbitur, interposito, & fomẽto adhibito, cyclaminis aliquantulũ panno inditum & ligatum, melléque subactum ad os vterorũ apponito. Et cupressi ramenta aquâ macerata ad eundem modũ subdito. Id autẽ breuiore aut longiore tẽpore sinendũ, quantò magis mordet & vlcerat, & per specillum stanneũ paratũ, & digitum similiter immittendũ. Potiones experimẽto facto quascunq; admiserit propinato, & hoc opportuno præsertim tẽpore cum viro dormiat. Nam si geniturã conceperit, & prægnãs facta fuerit, ac pepererit, expurgantur cum ipso puerperij purgamento & quæ priùs in ea suberant. Atq; ad hunc modum maximè sana euadet.*

CAPVT XXXVII.

De vterorum induratorum ac scirrhosorum signis & curatione.

Si vteri indurati fuerint, os asperum redditur, & menses delitescunt; & quum apparuerint, velut arena sunt, *eóque tempore genitura non fit. Si verò etiam digito contigeris, os vterorum asperum comperies. Quum sic habuerit, cyclaminum & salem tritum, & ficum crudam permixtam, hæc melle subacta apponito; & post fomentum admotum, purgatorijs eluito. Mercurialem autem & brassicas coctas comedat, & succum sorbeat, calidâque lauet. Si vteri scirrho tumuerint, menses absconduntur, & eorum osculum clauditur, neque concipit. Quum sic habuerit, si digito contigeris, os asperum deprehendes, neque digitum intromittit, &*

ΚΕΦΑΛΑΙΟΝ Λϛʹ.

Περὶ τοῦ ἐν τῇ μήτρῃ ὕδρου μετὰ κυήσεως τοῦ τὸ κύημα διαφθειρούσης, καὶ τῶν αὐτοῦ σημείων καὶ τῆς θεραπείας.

Ἢν ὕδωρ ἐγγένηται ἐν τῇσι μήτρῃσι, τὰ ἐπιμήνια ἐλάσσω γίνεται, καὶ κακίω, καὶ διὰ πλέονος χρόνου·[142] καὶ κυΐσκεται ἑκάστοτε, ἤτοι δίμηνον ἢ μικρῷ πλέον· ἐπειδὰν δὲ ἐπῇ ὁ χρόνος γένηται, καὶ διαφθείρει, καὶ ὕδωρ ἐν αὐτῇ γίνεται πουλύ. Ταύτην δὲ χρὴ γαλακτοποτέειν, καὶ τὴν μηκώνων πίνειν, ἕως ἂν κινέεσθαι ἄρχεται τὸ ἔμβρυον· ὡς ἐπιτοπουλὺ δὲ πρὸ τουτέου διαφθείρεται, καὶ ἐξαμβλοῦται, καὶ αἵματος ῥέουσιν αἱ μῆτραι· ταῦτα δὲ πάσχει οὐδὲν τι μᾶλλον ἐκ πόνου, ἢ ἄλλως. Τοῦτο δ' ἂν γνοίης, ὅτι ὕδρωψ ἔνεστιν, ἀφάσσων τῷ δακτύλῳ· ὄψει γὰρ τὸ στόμα αὐτέων ἰσχνὸν καὶ ἀφανιζόμενον ὑπὸ πλήθεος ὑγρασίης· ἢν δὲ αὐτῇ μὴ κατ' ἀρχὰς ἀλλ' ἤδη κινούμενον[143] διαφθείρηταί τε καὶ ἀποπνίγηται, ἥ τε γαστὴρ ἡ νειαίρα ἐπανοιδέει, καὶ ἀλγέει ἁπτομένη, ὥσπερ ἕλκεος, καὶ πυρετὸς αὐτὴν καὶ βρυγμὸς λαμβάνει, καὶ ὀδύνη ἔχει ἐς αὐτά τε τὰ αἰδοῖα, καὶ τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὴν ὀσφὺν ὀξέα τε καὶ ἀπερχνή. Ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν θερμῷ· καὶ ὅπῃ ἂν ὀδύνη λαμβάνῃ, τοῖς χλιάσμασι πειρώμενος ὅ,τι μάλιστα προσδέχηται, προστιθέναι, καὶ φάρμακον πῖσαι καθαρτήριον κάτω. διαλιπὼν δὲ χρόνον, ὅσον ἂν δοκέῃ σοι καιρὸς εἶναι,[144] καὶ πυριήσας, προστιθέναι τῆς κυκλαμίνου ἀποδήσας ὅσον τε, ἐνθεὶς ἐς ῥάκος, καὶ τῷ μέλιτι δεύων, προστιθέναι πρὸς τὸ στόμα τῶν ὑστερέων· καὶ τῆς κυπαρίσσου καταξύσας, καὶ τέγξας ἐν ὕδατι, προστιθέναι ὡσαύτως· ἐλάσσω δὲ χρόνον καὶ διὰ πλείονος τοῦτο, ὅσῳ μᾶλλον δάκνει καὶ ἐξελκοῖ, καὶ μήλην ποιησάμενος κασσιτερίνην, καθιέναι, καὶ τῷ δακτύλῳ ὡσαύτως. καὶ τῶν ποτημάτων πειρώμενος ὅ,τι ἂν προσδέχηται, πιπίσκειν, καὶ ξυγκοιμάσθω τῷ ἀνδρὶ ὡς μάλιστα τῶν καιρῶν παριόντων· ἢν γὰρ ξυλλάβῃ τὴν γονὴν, καὶ κυήσῃ, καὶ τέκῃ, ὑπεκκαθαίρεται καὶ τὰ πρόσθεν[145] ὑπ' αὐτοῖς ξὺν αὐτοῖς, καὶ ὧδε ἂν μάλιστα ὑγιὴς γένοιτο.

ΚΕΦΑΛΑΙΟΝ ΛΖʹ.

Περὶ τῶν τῆς ὑστέρης ἐσκιρρωμένης σημείων τε καὶ θεραπευτικῶν.

Ἢν σκιρρωθῶσιν αἱ μῆτραι, τό, τε στόμα τρηχὺ γίνεται, καὶ τὰ ἐμμήνια κρύπτεται· ὁκόταν δὲ προφανῇ, ὥσπερ ψάμμος, καὶ ἡ γονὴ[146] οὐ γίνεται τουτέου τοῦ χρόνου· ἢν δὲ καὶ ἐσαφάσῃς τὸν δάκτυλον, τρηχὺ τὸ στόμα εὑρήσεις τῶν μητρέων. Ὁκόταν ὧδε ἔχῃ, τῆς κυκλαμίνου χρὴ τρίψαντα καὶ[147] ἁλὸς, καὶ σύκου ὠμοῦ μίσγοντα, καὶ ἀναποιοῦντα μέλιτι, προστιθέναι· καὶ πυριήσαντα, κλύσαι τοῖσι καθαρτηρίοισιν. ἐσθιέτω δὲ τὴν λινόζωστιν, καὶ κράμβας ἑφθὰς, καὶ τὸν χυλὸν ῥοφείτω, καὶ θερμῷ λουέσθω. Ἢν[148] σκιρρωθέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια κρύπτεται, καὶ τὸ στόμα αὐτέων ξυμμύει, καὶ οὐ κυΐσκεται. Ὅταν ὧδε ἔχῃ, ἢν ἐσαφάσῃς τῷ δακτύλῳ, ὄψει τὸ στόμα τρηχὺ, καὶ τὸν δάκτυλον οὐκ ἐσίησι,

καὶ πυρετὸς αὐτὴν λαμβάνει καὶ βρυγμός, καὶ ὀδύνη ἔχει τὴν νείαιραν γαστέρα, καὶ τὸν κενεῶνα, καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα ἢν ἐν αὐτῇ διαφθαρὲν σαπῇ τὸ ἔμβρυον· ἔστι δ' ἧσι καὶ ἐκ τόκου γίνεται, πολλάκις δὲ καὶ ἄλλως. Ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν πολλῷ καὶ θερμῷ, καὶ πυριῆν. ὅταν δὲ νεόλουτος ἢ [149] νεοπυρίητος ᾖ, τὴν μήλην καθεὶς, διαστομοῦν καὶ εὐθύνειν τὸ στόμα αὐτέων, καὶ τῷ δακτύλῳ ὡσαύτως, καὶ προστιθέναι ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται· καὶ τὰ ποτήματα ὡσαύτως πιπίσκειν, καὶ θεραπεύειν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρότερον.

febris & dentium strider eam prehendit, dolor imum ventrem detinet, mollitudinem, & lumbos. His autem afficitur, si corruptus in ea fœtus computruerit. Quibusdam verò etiam ex partu, & plerúnque aliter contingit. Quum sic habuerit, ipsam multâ calidâ lauare, eiq; fomentũ admouere oportet. Quum autẽ recens lota aut fota fuerit, per specillũ immissũ os vterorũ aperito ac dilatato, quod per digitũ similiter facito, & subdititia medicamenta, velut in priore scriptũ est, admoueto; potiones eodẽ modo propinato, eodémq; modo velut priorẽ curato.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

Περὶ τῆς τῶν μητρέων πρὸς τὰς πλευρὰς προσπτώσεως, καὶ τῶν αὐτῆς σημείων τε καὶ θεραπευτικῶν.

ΗΝ αἱ μῆτραι πρὸς τὰς πλευρὰς προσπέσωσι, βὴξ ἔχει καὶ ὀδύνη· ὑπὸ τὸ πλευρὸν, οἷον σφαῖρα, καὶ ἁπτομένη πονέει ὥσπερ ἕλκος, καὶ καταφθίνει, καὶ δοκέει περιπλευμονίη εἶναι· καὶ σπᾶται, καὶ [150] φυγὴ γίνεται· καὶ τὰ ἐπιμήνια ὅλως οὐ προφαίνεται, ἐνίῃσι δὲ προφανέντα οἴχεται, τότε δὲ γινόμενα ἀσθενέα τε καὶ ὀλίγα, ἢ κακίω, ἢ πρὸ τοῦ, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου. Ὁπόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω ἐλατήριον, καὶ πίσας, αὐτὴν πολλῷ καὶ θερμῷ λούειν, καὶ τῶν χλιασμάτων ὅ, τι ἂν μάλιστα προσδέχηται, προσίσχειν, καὶ προστιθέναι, ὑφ' ὧν καθαίρεται τὸ αἷμα. καὶ λίνου σπέρμα φώξας καὶ κόψας, καὶ σήσας, καὶ τῶν μηκώνων τῶν λευκῶν, καὶ ἐλελισφάκου σὺν ἀλφίτοις λεπτοῖς, καὶ τυρὸν αἴγειον, περιξέσας τὸν ῥύπον καὶ τὴν ἅλμην, ταῦτα μίσγειν· τοῦ τυροῦ δύο, ἓν δὲ τῶν ἄλλων· [152] τῶν δὲ ἀλφίτων ἑώλων ἀνάλτων· νῆστις δίδου πίνειν ἐν οἴνῳ. ἑσπέρης δὲ [153] κυκεῶνα παχὺ, μέλι ἐπιχέων, δίδου, καὶ τῶν πομάτων ὅ, τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν. καὶ [154] πυριῆν πυκνά, τῷ θερμῷ δὲ αἰονᾶν, τῇ κηρωτῇ ἡσυχῇ μαλάσσοντα ἀπωθέειν ἀπὸ τοῦ πλευροῦ, καὶ ἀναδεῖν τὸ πλευρὸν ταινίῃ πλατείῃ· καὶ γαλακτοποτεῖν τὸ βόειον γάλα ὅτι πλεῖστον ἐφ' ἡμέρας τεσσαράκοντα· σιτίοισι δὲ χρήσθω ὡς μαλθακωτάτοισιν. ἡ δὲ νοῦσος, ἐπερχὴ τε καὶ θανατώδης, [155] καὶ ὀλίγαι καὶ μελεδαινόμεναι διαφεύγουσιν αὐτήν.

CAPVT XXXVIII.

De incursione vteri ad latus, eiusque signis & curatione.

SI vteri ad latera procubuerint, tussis & dolor detinet; sub costis velut pila sentitur, & ad contactum dolor velut ab vlcere, & contabescit, & peripneumonia esse videtur; conuellitur, & gibbosa euadit; menses omninò non apparent, quibusdam verò priùs apparentes euanescunt, túmque euntes debiles, ac pauci, aut deteriores sunt quàm anteà, neque eo tempore genitura intus generatur. Quum sic habuerit, medicamentum deorsùm purgans propinare oportet, & post potionem ipsam ægram calidâ multâ lauare, & tepefactoria quæ maximè admittat, admouere, & à quibus sanguis purgatur, ea apponere. Lini semen tostum, tusum, & cribratum, papauer album, & saluiam cum tenui polenta, caseum caprinum sorde & muriâ derasâ, hæc misceto, ut casei partes sint duæ, reliquorum verò una; & cum polentâ vetere insulsâ; in vino ieiunæ bibenda dato. Sub vesperum autem cyceonem crassum melle affuso exhibeto, & ex potibus quem præcipuè admiserit propinato, & crebrò foueto. Calidâ autem perfundito, & cerato leuiter emolliendo à latere retrudito, latus fasciâ latâ deligato, & lac bubulum quamplurimum ad dies quadraginta potui exhibeto; cibis verò quàm mollissimis vtatur. Hic morbus vehemens est & lethalis, paucæque, etiam curatæ, eum effugiunt.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

Περὶ τῆς τοῦ στόματος τῆς μήτρας ξυμμύσεως, καὶ τῶν ταύτης σημείων καὶ θεραπευτικῶν.

ΗΝ τὸ στόμα ξυμμύσῃ, γίνεται ἰσχυρὸν, ὥσπερ ἐρινεὸν, καὶ ἢν ἐσαφάσῃς τῷ δακτύλῳ, ὄψει σκληρὸν καὶ ξυνεστραμμένον, καὶ τὸν δάκτυλον οὐκ ἐσίησι, καὶ τὰ ἐπιμήνια ἀποκεκρύφαται, καὶ τὴν γονὴν οὐ δέχεται τουτέου τοῦ χρόνου, καὶ ὀδύνη ἔχει τὴν νείαιραν γαστέρα, καὶ τὴν ὀσφὺν, καὶ τὸν κενεῶνα· ἔστι δ' ὅτε καὶ ἄνω προσίσταται, καὶ πνίγει. Ὁκόταν οὖν ὧδε ἔχῃ, φάρμακον πίσαι κάτω, καὶ λούειν πολλῷ καὶ θερμῷ, καὶ προστιθέναι ἅσσα μαλθάσσει τὸ στόμα· καὶ τὴν μήλην καθιέναι, καὶ διαστομοῦν, καὶ τὸν δάκτυλον ὡσαύτως, [156] καὶ αἰονῆν. ὁκόταν οὖν μαλθακὸν ᾖ, προστιθέναι ὁκόσα καθαίρει αἷμα, καὶ τὰ ποτήματα διδόναι πειρώμενος ὅ, τι ἂν προσδέχηται, καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφείτω.

CAPVT XXXIX.

De oris vteri occlusione, eiusque signis & curatione.

SI vteri osculum conniueat, durum velut caprifici fructus euadit, & si digito contrectaris, durum & conuersum comperies, neque digitum intromittit, menses delitescunt, genituram per hoc tempus non recipit, dolor imum ventrem, lumbos & ceneonem detinet; interdùm verò ad superiora instat & suffocat. Quum igitur sic habuerit, medicamentum deorsùm purgans propinato, copiosâ calidâ lauato, & quæ os emolliant apponito; immissoque specillo aperito, quod per digitum eodem modo facito, & aquâ perfundito. Quum autem molle fuerit, quæ sanguinem purgant, apponito; potiones, experimento facto quancunque admiserit, exhibeto; brassicam comedat, & eius succum sorbeat.

CAPVT

CAPVT XL.
De obliquitatis vterorum signis & curatione.

SI vteri transuersi fuerint, eorum quoque os obliquatum redditur, & menses interdum ei delitescunt, interdum verò vbi anteà comparuerint euanescunt, neque similes existunt, sed deteriores & quàm anteà pauciores, neque per id tempus genitura intùs manet, dolor imum ventrem, ilia, lumbos, & coxam detinet, eamque contrahit. Quum sic habuerit, medicamentum deorsùm purgans potui exhibendum, & calidâ lauandum, fomentumq; admouendum. Quum autem recens fota & lota fuerit, mulier *digito contrectans os vterorũ dirigat & emendet, & suffitus ex odoratis adhibeatur. Et ex potionibus, quam maximè experimento facto admittet, exhibeto. Cibis autem mollibus vtatur, & allia cocta & cruda comedat, viro condormiat, & in sanam coxam decumbat, alteri autem fomentum adhibeatur. Morbus autem ægrè expellitur.*

ΚΕΦΑΛΑΙΟΝ Μ′.
Περὶ τῶν τῆς παραλοξότητος τῶν μητρέων σημείων καὶ θεραπευτικῶν.

ΗΝ παραλοξαίνωνται αἱ μῆτραι, καὶ τὸ στόμα αὐτέων λοξὸν γίνεται, καὶ τὰ ἐπιμήνια αὐτῇ τοτὲ μὲν κρύπτεται, τοτὲ δὲ προφαινόμενα οἴχεται, καὶ οὐχ ὅμοια γίνεται, ἀλλὰ κακίω τε καὶ ἐλάσσω, ἢ πρὸ τοῦ, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου, καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τὴν ὀσφύν, καὶ τὸ ἰσχίον, καὶ [157] ἐφέλκει αὐτό. Ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον, καὶ λούειν θερμῷ, καὶ πυριῆν. ὁκόταν δὲ νεοπυρίητος ἢ νεόλουτος ᾖ, τὸν δάκτυλον [158] ἐσαφάσσουσα, ἀπορθούτω καὶ παραϊθυνέτω τὸ στόμα τῶν μητρέων, καὶ ὑποθυμιήσθω τὰ εὐώδεα, καὶ τῶν ποτημάτων δίδου πειρώμενος, ὅ, τι ἂν μάλιστα προσδέχηται· σιτίοισι δὲ χρήσθω μαλθακοῖσι, καὶ σκόροδα ἐσθιέτω ἑφθὰ καὶ ὠμὰ, καὶ τῷ ἀνδρὶ συγκοιμάσθω· καὶ ἐπὶ τοῦ ὑγιέος ἰσχίου κατακείσθω, τὸ δὲ ἕτερον πυριήσθω. ἡ δὲ νοῦσος, [159] δυσαπάλλακτος.

CAPVT XLI.
De vteri inflatione, eiusque signis, & curatione.

SI vteri inflati fuerint, venter attollitur ac inflatur, pedes & cauæ faciei partes tument, color deformis existit, menses non oriuntur, semen per hoc tempus non generatur; debilis est & anxietate premitur, quumque surrexerit aut progressa fuerit, orthopnœa eam detinet; quicquid comederit aut biberit, eam molestat, gemit, & ægrè vomit magis, quàm priùs quàm comedat, plerúnque etiam præfocatur. Quum sic habuerit, medicamentum deorsùm purgans propinato, calidâ lauato, & fomentum adhibeto. Interiecto verò tempore aliquo, ex quibus purgetur & concitetur, subter apponito. Creberrimè verò totũ corpus foueto, tunc autẽ subter pudenda suffitum ex odoratis, ad nares verò ex graueolentibus, admoueto. Potiones quæ vteros purgent ac agitent, exhibeto; mercurialem edat, & lac bibat, velut in latus allapsu dictum est. Morbus autem diuturnus est.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ′.
Περὶ τῆς μήτρας φυσήσεως καὶ τῶν ταύτης σημείων καὶ θεραπευτικῶν.

[160] ΗΝ φυσηθῶσιν αἱ μῆτραι, ἥ τε γαστὴρ αἴρεται καὶ φυσᾶται, καὶ οἱ πόδες οἰδέουσι, καὶ τὰ κοῖλα τοῦ προσώπου, ἡ χροιὴ δὲ ἀειδὴς γίνεται, καὶ τὰ ἐπιμήνια οὐ γίνεται, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου, καὶ [161] ἀσθενεῖ, καὶ ἀλύει, καὶ ὁκόταν ἀνίστηται ἢ προσέλθῃ, ἐς τὴν ὀρθόπνοιαν αὐτὴν ἴσχει· καὶ ὅ, τι ἂν φάγῃ, ἢ πίῃ, λυπεῖ αὐτὴν, καὶ στένει τε καὶ [162] δυσημεῖ μᾶλλον, ἢ πρὶν φαγεῖν, πολλάκις δὲ καὶ πνίγεται. Ὁκόταν ὧδε ἔχῃ, φάρμακον πίσαι κάτω, καὶ τῷ θερμῷ λούειν, καὶ πυριῆν· διαλιπὼν δὲ χρόνον τινὰ, προστιθέναι ὑφ' ὧν καθαρθείη, καὶ [163] δηχθήσεται· πυριῆν δὲ ὡς πυκνότατα τὸ ὅλον σῶμα· τότε δὲ ὑπὸ τὰ αἰδοῖα ὑποθυμιήσθω τὰ εὐώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ κακώδεα. καὶ ποτήματα δίδου, [164] ὅσα καθαίρει ὑστέρας καὶ ἐλαύνει, καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ τὸ γάλα πινέτω, ὥσπερ ἐπὶ τοῦ πλευροῦ εἴρηται. ἡ δὲ νοῦσος, [165] χρονίη.

CAPVT XLII.
De grumi sanguinis in vtero signis ac curatione.

ALia curatio. *Si vteri sanguinis grumis affecti fuerint, eorum os tanquam orobis plenum existit, & si attrectaris, ita se habere comperies; menses non eunt, neque genitura retinetur quandiù sic habuerit. Quum igitur sic habuerit, cyclaminum detracto cortice, allium, sales, ficum & mellis parum, hæc trita & simul mixta & in glandulam efformata, ad vterorum os apponito, & ex alijs vterorum subdititijs, ea quæ conueniunt, nempe quæ acria sunt, rodunt, & à quibus sanguis purgatur. Potiones quæ vteros purgent exhibeto, & omnibus derasis conuolutâ* circa digitum *vesicæ cute aut pelliculâ, os vterorum deradito.*

ΚΕΦΑΛΑΙΟΝ ΜΒ′.
Περὶ τῶν τοῦ ἐν τῇ μήτρᾳ θρόμβου σημείων τε καὶ θεραπευτικῶν.

ΑΛλη θεραπεία. Ην θρομβωθῶσιν αἱ μῆτραι, τὸ στόμα αὐτέων γίνεται οἷον ὀρόβων μεστὸν, καὶ ἢν ἐσαφάσσῃς, εὑρήσεις ὧδε ἔχον· καὶ τὰ ἐπιμήνια οὐ γίνεται, οὐδὲ ἡ γονὴ κατέχεται τέως ἂν ὧδε ἔχῃ. Ὁκόταν οὖν ὧδε ἔχῃ, τοῦ κυκλαμίνου τὸν φλοιὸν περιλεπίσαντα, καὶ σκόροδον, καὶ ἅλας, καὶ σῦκον, καὶ μέλι ὀλίγον, ταῦτα τρίψας καὶ ξυμμίξας, ποιήσας βάλανον, προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων, καὶ τῶν ἄλλων προσθετῶν τῶν μητρέων τὰ προσήκοντα, ὁκόσα δηλαδὴ δριμέα ἐστὶ, καὶ ἐσθίει, καὶ ὑφ' ὧν καθαίρεται αἷμα. καὶ τῶν ποτημάτων διδόναι, ὅσα ὑστέρας καθαίρει, [167] καὶ περιξύσας πάντα, καὶ περιελίξας κύστιος δέρμα ἢ ὑμένα, διαξύειν τὸ στόμα τῶν μητρέων.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

Περὶ τῆς τῶν μητρέων περιστροφῆς, καὶ τῶν αὐτῆς σημείων καὶ θεραπευτικῶν.

Ἢν περιστραφῶσιν αἱ μῆτραι, τά τε ἐπιμήνια οὐ χωρεῖ, καὶ ἡ γονὴ οὐκ ἐσγίνεται, καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ ἢν ἐπαφάσσῃ τῷ δακτύλῳ, οὐκ ἂν δύναιτο τοῦ στόματος θιγεῖν τῶν μητρέων, ἀλλ' ἀνακεχώρηκεν ἰσχυρῶς. Ὁκόταν οὕτως ἔχῃ, φάρμακον χρὴ πῖσαι, ὑφ' οὗ καθαίρηται ἄνω καὶ κάτω, κάτω δὲ μᾶλλον· καὶ πυριῆν τό, τε [168] στόμα καὶ τὰς μήτρας ὡς μάλιστα, καὶ λούειν τῷ θερμῷ δὶς τῆς ἡμέρης· καὶ τῶν ποτημάτων, ὅ, τι ἂν μάλιστα προσδέχηται, πειρώμενος δίδου, καὶ ξυνευδέτω τῷ ἀνδρὶ ὡς πυκνότατα, καὶ τὴν κράμβην ἐσθιέτω.

CAPVT XLIII.

De vteri obtortione, eiusque signis & curatione.

SI vteri obortifuerint, menses non eunt, neque genitura intus gignitur, dolor imum ventrem, lumbos, & ceneonas detinet, & siquis digito immisso contrectarit, os vterorum, quum valdè recesserit, contingere nequeat. Quum sic habuerit, medicamentum ex quo sursum ac deorsum, magis tamen deorsum purgetur, exhibendum; & os, & vteri quàm maximè souendi, bisque die calidâ lauandum, potiones quas maximè recipere expertus fueris, exhibeto; quàm frequentissimè cum viro dormiat, & brassicam comedat.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

Περὶ τῆς τῶν μητρέων ἀποπλανήσεως καὶ τῶν ταύτης σημείων καὶ θεραπευτικῶν.

Ἢν μὴ κατὰ χώρην μένωσι κινηθεῖσαι αἱ μῆτραι, ἔνθα δὲ προσαπίπλωσιν, ὀδύνας παρέχουσι, καὶ ἀφανέες γίνονται, ὁτὲ δὲ [170] ἐξίσχουσιν ὥσπερ ἕδρη· ὁκόταν μὲν ὑπτίη κατακειμένη τύχῃ, [171] κατὰ χώρην μένουσιν· ὅταν δὲ ἀναστῇ ἢ ἐπικύψῃ, ἢ ἄλλο τι κινηθῇ, ἐξέρχονται· πολλάκις δὲ καὶ ἡσυχίην ἔχουσι. Ταύτην χρὴ ὡς ὅτι μάλιστα ἡσυχάζειν καὶ μὴ κινεῖσθαι, καὶ τὴν κλίνην κεῖσθαι πρὸς ποδῶν ὑψηλοτέρην, καὶ τοῖσιν αὐτέοισι χρῆσθαι, ὥσπερ ἐν τοῖσιν ἐπάνω, καὶ τοῖς στρυφνοῖσιν αἰονᾷν, καὶ ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. [172] καὶ ῥοιὴν διὰ τοῦ ὀμφαλοῦ τρήσαντα μέσην, πίσσαν χλιήναντα ἐν οἴνῳ, ἥτις ἂν μάλιστα ἁρμόζῃ, καὶ μὴ [172] πιέζου λίην, προστιθεὶς ὡς προσωτάτω· ὁκόταν δέ τι προσθῇς, ἐκ τῆς ὀσφύος ἐπαναδῆσαι ταινίῃ πλατείῃ ἀναλαβών, ὡς ἂν μὴ ἐξολισθάνῃ, ἀλλὰ μένῃ καὶ ποιέῃ τὸ [173] δέον. Καὶ τῶν μηκώνων, ξὺν τῷ [174] τυρῷ καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν, ὥσπερ ἐν τῇ πρὸς τὸ πλευρὸν προσπτώσει γέγραπται. Τῶν ποτημάτων πειρώμενος ὅ, τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν· σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρήσθω, καὶ μετὰ ἀνδρὸς ὡς ὅτι μάλιστα κοιμάσθω.

CAPVT XLIV.

De vterorum aberratione, eiusque signis & curatione.

SI vteri moti suo loco minimè maneant, quò verò prolabuntur, dolores afferunt, inconspicui existunt, interdum verò velut sedes extrà prominent. Quum quidem supinam decumbere contigerit, suo loco manent; quum verò exurrexerit, aut prona incubuerit, aut aliquantum mota fuerit, extrà prodeunt; plerunque etiam quietem habent. Hanc quàm maximè quiescere, minimeque moueri oportet; lectumque ad pedes altiorem sternere, & iisdem velut in superioribus, vti, & acerbis perfundere, suffitum ex graueolentibus subter adhibere, naribus verò ex odoratis. Et malum punicum in medio per vmbilicum perforatum, & picem quæ maximè conueniat, in vino tepefactam, neq; admodùm expressam, quàm penitissimè supponito. Quū verò aliquid supposueris, fasciâ latâ exceptum, ex lumbis ne elabatur deligato, sed vt intus maneat, & quod conuenit efficiat; & peplū cum caseo & polēta propinato, velut in vteri ad latus prolapsu scriptū est. Ex potionibus, expertus quā maximè suscipiat, bibendā exhibeto. Cibis verò quàm mollissimis vtatur, & quàm maximè cū viro dormiat.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

Περὶ τῆς τῶν μητρέων ἀναχάσμης, καὶ τῶν ταύτης σημείων καὶ συμπτωμάτων, καὶ θεραπευτικῶν.

Ἢν ἀναχανῇ τὸ στόμα τῶν μητρέων μᾶλλον ἢ ὡς πέφυκε, τά τε ἐπιμήνια χωρεῖ πλείω, καὶ κακίω, καὶ ὑγρότερα, καὶ διὰ πλέονος χρόνου, καὶ ἡ γονὴ αὐτῆς οὐχ ἅπτεται, οὐδὲ ἐμμένει, ἀλλὰ πάλιν ἐκχεῖται ἔξω, καὶ ἢν ἐπαφάσσῃς τῷ δακτύλῳ τὸ στόμα τῶν μητρέων, εὑρήσεις ἀνακεχηνός· καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐπιμηνίων, καὶ πυρετός, καὶ ῥῖγος· καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα, μάλιστα μέν, ἤν τι ἐν αὐτῇ χυθῇ, καὶ διαφθαρὲν σαπῇ· πάσχουσι δὲ καὶ ἐκ τόκων, αἱ δὲ

CAPVT XLV.

De vterorum hiatu aut laxatione, eiusque signis, symptomatis, ac curatione.

SI vteri plus solito hiarint, menses tum copiosiores, tum deteriores, & humidiores, & per longius tempus eunt, neque genitura eam attingit, neque intus manet, sed contrà foras effunditur, & si digito immisso vterorum os contrectaris, dehiscens deprehendes; & imbecillitas propter menses eam prehendit, febrisque & rigor; dolor imum ventrem, ceneonas & lumbos detinet. Hæc autem maximè patitur, siquid in ea fusum fuerit, & corruptum computruerit; patiuntur etiam ex partu, &

& aliæ alio modo. Quum igitur ita habuerit, medicamentum quo sursum purgetur, propinare oportet, & quum dolor detinuerit, tepefactoria admouere, & calidâ lauare; intermissoque tempore ex infuso colluere, quemadmodum in superiore scriptum est, & potiones quas maximè suscipiat exhibere, ac in suffitu quæ siccant apponere, polypos etiam & mercurialem edat.

A καὶ ἄλλως. Ὁκότεν γοῦν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν, ὑφ' οὗ ἄνω καθαίρεται, καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ, τὰ χλιάσματα προστιθέναι,[175] καὶ τῷ θερμῷ λούειν,[176] καὶ διαλιπὼν κλύζειν, ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται, καὶ τὰ πόματα διδόναι, ὅ, τι ἂν μάλιστα προσδέχηται, καὶ ὑποθυμιῆν, ὁκόσα ξηραίνει, καὶ τὰς πολύποδας ἐσθιέτω καὶ τὴν λινόζωσιν.

CAPVT XLVI.

De vterorum læuitate, eiusque signis, symptomatis, ac curatione.

SI vteri læues & lubrici extiterint, & menses copiosiores, & deteriores, humidiores, & crebriores contingunt, genitura intus non manet, sed contrà extra fertur, sique digito contigeris, os læue deprehendes; imbecillitas eam propter menses, & febris, & rigor inuadit, & dolor ad imum ventrem, lumbos, & ceneones, maximè quidem siquid in ea corruptum computruerit, & ex partu, & aliàs. Quum sic habuerit, vbi dolor detinuerit, curare oportet, velut in superiore scriptum est.

B

ΚΕΦΑΛΑΙΟΝ Μϛ'.

Περὶ τῆς τῶν μητρῶν λειότητος καὶ τῶν αὐτῆς σημείων, καὶ συμπτωμάτων, καὶ θεραπευτικῶν.

ΗΝ λειανθέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια πλείω γίνεται, καὶ κακίω, καὶ ὑγρότερα, καὶ πυκνότερα, καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλὰ πάλιν ἐξέρχεται, καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, εὑρήσεις τὸ στόμα λεῖον· καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐμμηνίων, καὶ πυρετὸς, καὶ ῥῖγος· καὶ ὀδύνη ἐς τὴν νειαίραν γαστέρα, καὶ
C τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, μάλιστα μὲν ἤν τι ἐν αὐτῇ διαφθαρὲν σαπῇ, καὶ ἐκ τόκου, καὶ ἄλλως. Ὁτέων ὧδε ἔχῃ, θεραπεύειν χρὴ, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται.

CAPVT XLVII.

De vterorum ad ventrem procumbentium signis & curatione.

SI vteri ad ventrem procumbant, dolor acutus & vehemens coxendicem, lumbos, ac ilia detinet, crusque claudicat. Quum sic habuerit, medicamentum deorsùm purgans potui exhibendum; postridiè verò suffitus admouendus. Hordei chœnices duas, oleæ folia tenuiter concisa, gallam contusam & cribratam, hyoscyami tertiam chœnicis partem, hæc mixta & oleo ad dimidiam heminam in olla subacta, per dies quatuor ter die ad suffitum adhibeto. Noctu verò lac bubulum, mel & aquam bibat, & calidâ lauet.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

Περὶ τῶν μητρῶν κατὰ γαστέρα νευουσῶν σημείων τε καὶ θεραπευτικῶν.

D ΗΝ αἱ μῆτραι[177] κατὰ γαστέρα νεύωσι, τὸ ἰσχίον ὀδύνη ἔχει ὀξείη τε καὶ ἀπερχὴ, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὸ σκέλος ἐπισκάζει. Ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον· τῇ δὲ ὑστεραίῃ ὑποθυμιῆν. τῶν τε κριθέων χοίνικας δύο, καὶ ἐλαίης φύλλα κατακνήσας[178] πυκνὰ, καὶ κηκίδα κατακόψας καὶ σήσας, καὶ ὑοσκυάμου τριταῖα χοίνικος, ταῦτα μίξας καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον[179] ἐν χύτρῃ, ὑποθυμία ἐπὶ τέσσαρας ἡμέρας τρὶς τῆς ἡμέρης· τῆς δὲ νυκτὸς, γάλα βοὸς, καὶ μέλι καὶ ὕδωρ πινέτω, καὶ θερμῷ λουέσθω.

E

CAPVT XLVIII.

De vterorum tum ad caput, tum ad crura ac pedes conuersione, & vtriusque signis & curatione.

SI vteri ad caput conuersi fuerint, istud erit indicio; nasi venas & sub oculis dolere existimat. Hanc multâ calidâ lauare oportet etiam in capite, lauro & myrto in aqua decoctis; & vnguento rosaceo caput illinatur, subter odorata suffiantur; & brassicam edat, succumque insuper sorbeat. Si ad crura & pedes conuersi fuerint, inde cognosces; magnis pedum digitis sub vnguibus conuellitur, & crura ac femora dolor detinet. Quum sic habuerit, eam calidâ multâ lauare oportet, & fomentum quod maximè susceperit admouere, subter graueolentia suffire, ac vnguento rosaceo illinere.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

Περὶ τῆς τῶν ὑστερῶν ἐς τὴν κεφαλήν τε καὶ τὰ σκέλη καὶ τοὺς πόδας τροπῆς, καὶ τῶν σημείων καὶ θεραπευτικῶν.

ΗΝ ἐς τὴν κεφαλὴν τράπωσιν αἱ ὑστέραι, σημεῖον τόδε· τὰς φλέβας τὰς ἐν ῥινὶ, τάς τε ὑπὸ τοῖς ὀφθαλμοῖς ἀλγεῖν[180] δοκεῖ. Ταύτην χρὴ λούειν
F θερμῷ πολλῷ καὶ κατὰ τῆς κεφαλῆς, δάφνην τε καὶ μυρσίνην ἑψήσας ἐν τῷ ὕδατι καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν ἐγχριέσθω, καὶ[181] ἐπιθυμιήσθω τὰ εὐώδεα· καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ἐπιρροφείτω. Ἢν ἐς τὰ σκέλεα καὶ τοὺς πόδας τράπωσι, γνώσῃ ἐν τῷδε· τοὺς μεγάλους δακτύλους τῶν ποδῶν σπᾶται ὑπὸ τοὺς ὄνυχας, καὶ ὀδύνη ἴσχει τὰ σκέλεα καὶ τοὺς μηρούς. Ὁκόταν ὧδε ἔχῃ, χρὴ λούειν αὐτὴν πολλῷ καὶ θερμῷ,[182] καὶ πυριῆν, ὅ, τι ἂν μάλιστα προσδέχηται, καὶ ὑποθυμιῆν τὰ κακώδεα, καὶ τῷ μύρῳ τῷ ῥοδίνῳ ἀλείφεσθαι.

A

ΚΕΦΑΛΑΙΟΝ ΜΘʹ.

Περὶ τῆς ἐξ ὑστέρας ἀλγήματος ἀσιτίας, καὶ τῶν ταύτης σημείων καὶ θεραπευτικῶν.

ΗΝ γυνὴ ὑστέρας ἀλγέῃ ἀσιτέουσα, καὶ πυρετὸς αὐτὴν καὶ ῥῖγος λαμβάνῃ, μήκωνος λευκῆς, ὅσον πεμπτημόριον ἡμιχοινικίου,[183] καὶ κνιδίου καρποῦ τὸ ἴσον, καὶ τυροῦ αἰγείου ὅσον ἡμιχοίνικα ξύσας, ὁμοῦ τε μαλθάξας σὺν οἴνῳ παλαιῷ, ἔπειτα ἑψήσας, διδόναι ῥοφάνειν.

CAPVT XLIX.

De cibi fastidio ex vteri dolore, eiusque signis & curatione.

SI mulier cibum auersans vtero doleat, & febris ipsam & rigor prehendat, pepli albi quintam dimidiæ chœnicis partem, seminis vrticæ tantundem, & casei caprini derasi chœnicis dimidium, hæc vino veteri simul emollita, deinde cocta, sorbenda dato.

B

ΚΕΦΑΛΑΙΟΝ Νʹ.

Περὶ τῶν τοῦ ἐκ τόκου ῥοῦ σημείων καὶ θεραπευτικῶν.

[186] ΗΝ ἐκ τόκου ῥοῦς λαμβάνῃ, καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μὴ ἐμμένῃ, ἀσταφίδος χρὴ μελαίνης καὶ ῥοιῆς γλυκείης τὰ εἴσω τρίψαντα, καὶ ἐρίφου πυτίην διεὶς οἴνῳ μέλανι, χρέο· τυρὸν ἐπιξύσας αἴγειον, καὶ ἄλφιτα πυρῶν πεφωσμένα ἐπιβάλλων, κεράσας εὔκρατον, δὸς πίνειν.

CAPVT L.

De fluxus ex partu signis & curatione.

SI ex partu fluxus prehendat, cibique in ventre minimè maneant, vuæ passæ nigræ & mali punici dulcis interiora trita, & hœdi coagulum vino nigro macerato, & vtitor; & caseo caprino deraso, triticique polentâ torrefactâ iniectâ & probè temperatâ, potui exhibeto.

C

ΚΕΦΑΛΑΙΟΝ ΝΑʹ.

Περὶ αἵματος ἐμέτου ἐκ τόκου καὶ τῶν αὐτοῦ σημείων καὶ θεραπευτικῶν.

ΗΝ αἷμα ἐμέῃ ἐκ τόκου,[184] τοῦ ἥπατος ἡ σύριγξ τέτρωται, καὶ ὀδύνη ἐς τὰ σπλάγχνα φοιτᾷ καὶ καρδίην, καὶ σπᾶται. Ταύτην χρὴ λούειν πολλῷ καὶ θερμῷ, καὶ τῶν χλιασμάτων, ὅ, τι ἂν μάλιστα προσδέχηται, προστιθέναι, πιπίσκειν ὄνου γάλα ἐπὶ ἡμέρας πέντε· μετὰ δὲ ταῦτα μεταπιπίσκειν βοὸς μελαίνης,[185] ἀσιτέουσαν ἐπὶ ἡμέρας τεσσαράκοντα, ἐς δὲ ἑσπέρην, σήσαμον τετριμμένον πιπίσκειν. ἡ δὲ νοῦσος ἐπικίνδυνος.

CAPVT LI.

De sanguinis ex partu vomitu, eiusque signis & curatione.

SI ex partu sanguinem vomat, hepatis fistula sauciata est, dolor ad viscera & cor procedit, & conuellitur. Hanc calidâ copiosâ lauare oportet, & ex tepefactorijs quod maximè suscipiet, admouere; & lac asininum ad dies quinque potui exhibere; post hæc verò D *lac vaccæ nigræ à cibis abstinenti ad dies quadraginta propinare; sub vesperum autem, sesamum tritum bibat. Hic verò morbus periculosus est.*

ΚΕΦΑΛΑΙΟΝ ΝΒʹ.

Ἵνα γυνὴ διὰ παλαιοῦ μὴ κεκυηκυῖα, κυΐσκηται.

ΗΝ γυνὴ διὰ παλαιοῦ μὴ κυΐσκηται, τῶν ἐπιμηνίων ἐμφαινομένων, ὁκόταν ἢ τριταίη ἢ τεταρταίη, στυπτηρίην λείην τρίψας, διεὶς μύρῳ, εἰρίῳ ἀναπολίζων προσθέτω, καὶ ἐχέτω κείμενον ἡμέρας τρεῖς· τῇ δὲ τρίτῃ, ξύσας βοὸς χολήν, καὶ ἐν ῥάκει ἐπιθεὶς, διεὶς ἐλαίῳ τὸ ξύσμα, καὶ ἀναδεύσας, προσθέτω· καὶ ἐχέτω ἡμέρας τρεῖς,[186] τῇ δὲ ἑτέρῃ ἀνδρὶ ξυνελθέτω.

CAPVT LII.

Vt quæ mulier diu non concepit, concipiat.

SI mulier diu non conceperit, mensibus apparentibus, tertio vel quarto die, alumen tenuiter tritum, E *vnguento subactum, lanâ exceptum supponito, & tribus diebus positum teneat. Tertio die, fel bubulum derasum, & linteo impositum, vbi ramentum oleo madefeceris ac subegeris, supponito; & tribus diebus positum detineat; altero verò die cum viro coeat.*

ΚΕΦΑΛΑΙΟΝ ΝΓʹ.

Ὑστερῶν πάσης νόσου θεραπευτικόν.

ΛΙνον τὸ σχιστὸν, σὺν ταύτης τῆς καλάμης ὅσον δραχμίδα κόψας λεπτὰ, καταβρέξας τε ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα, ἔπειτα ἀπηθήσας, χλιαίνων ἐν χυτριδίῳ, εἴριον ὡς μαλθακώτατον ἐμβάπτων, τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν.

CAPVT LIII.

Medicamentum omnem vterorum morbū curans.

LInum scissum, cum calamis ferè pugillum tenuiter tusum, per noctem vino albo suauissimo F *maceratum, posteà excolatum, in ollula tepefacito; in eo lanam quàm mollissimam intingito, & partim supponito, partim detrahito.*

ΚΕΦΑΛΑΙΟΝ ΝΔʹ.

Πρὸς ὑστερῶν κάθαρσιν.

ΗΝ βούλῃ ὑστέρας καθῆραι, πρῶτον μὲν χρὴ ὑποθυμιῆσαι κριθαῖς ἐν ἐλαίῳ δεδευμέναις ἐπ' αἰ-

CAPVT LIV.

Ad vterorum repurgationem.

SI vteros purgare voles, primùm quidem ex hordeo oleo madefacto prunis imposito suffitum adhibere

oportet;

oportet. Postero verò die carnem ouillam decoquere in hordei decocto per noctem sub dio expositam. Hordei decoctum congij mensuram esse oportet, valdéque decoquere. Quum decocta fuerint, exactè tepida edat, & iusculum insuper sorbeat. Postridiè verò thus & pulegium leuiter tritum, melle subactum, lanâ exceptum, triduo supponito.

A θράκων· τῇ δὲ ὑστεραίῃ ὄϊος χρὴ κρέας ἑψεῖν κριθιδίῳ ἐξηθριασμένον·[187] τὸ δὲ κρίθιον ἔστω, ὅσον χοέα, καὶ καθεψεῖν σφόδρα· ἐπειδὰν δὲ ἑφθὰ ᾖ, ἀκροχλίαρα κατεσθιέτω, καὶ τὸν ζωμὸν ἐπιῤῥοφείτω. τῇ δ' ὑστεραίῃ λιβανωτὸν καὶ γλήχωνα λεῖον ποιήσας, ἀναδεύσας μέλιτι, εἰρίῳ ἀναπολίζων, προστιθεὶ ἐπὶ τρεῖς ἡμέρας.

CAPVT LV.

De vteri ad sedem conuersione, eiusque signis & curatione.

SI autem vteri ad sedem conuersi fuerint & alui excrementa secedere prohibeant, dolores lumbos, imum ventrem, & ilia detinent. Quum sic habuerit, eam calidâ lauare oportet, lumbos fouere, & graueolentia suffire, & quae vteros purgent & pellant, supponere, & quod maximè admiserit, potui exhibere.

ΚΕΦΑΛΑΙΟΝ ΝΕ'.

B Περὶ τῆς ἐς τὴν ἕδραν τῆς ὑστέρας τροπῆς, καὶ τῶν αὐτῆς σημείων καὶ θεραπευτικῶν.

ΗΝ δὲ ἐς τὴν ἕδρην τράπωσι, καὶ τὰ ὑποχωρήματα κωλύωσιν ὑποχωρέειν, ὀδύναι ἴσχουσι τήν τε ὀσφὺν, καὶ τὴν νείαιραν γαστέρα, καὶ τὰς ἴξυας. Ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν τῷ θερμῷ, καὶ πυριῆν τὴν ὀσφὺν, καὶ ὑποθυμιῆν τὰ κακώδεα, καὶ προστιθέναι ὁκόσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας, καὶ πιπίσκειν ὅ, τι ἂν μάλιστα προσδέχηται.

C

CAPVT LVI.

Ad os vteri vlceratum, aut inflammatum, pessus.

SI os vteri vlceratum, aut inflammatum fuerit; myrrham, adipem anserinum, ceram albam, & thus, in leporis pilis, qui sub ventre sunt, mixta & trita, in lanâ quammollissimâ subdito.

ΚΕΦΑΛΑΙΟΝ Νς'.

Πρὸς τὸ στόμα τῆς ὑστέρας ἡλκωμένον ἢ φλεγμαῖνον, προσθετόν.

ΗΝ ἑλκωθῇ τὸ στόμα, ἢ φλεγμήνῃ, σμύρναν, καὶ στέαρ χηνὸς, καὶ κηρὸν λευκὸν, καὶ λιβανωτὸν ἐν λαγωοῦ θριξὶ τῇσιν ὑπὸ τὴν γαστέρα μίξας, καὶ λεῖα ποιήσας, ἐν εἰρίῳ ὡς μαλθακωτάτῳ προστιθέσθω.

D

CAPVT LVII.

Ad secundas excludendas, potus.

SI secundae deuolui nequeant, protinùs quidem cibo abstinendum. Viticis autem folia tenuiter trita ex vino & melle, oleo affuso tepefacta, heminae mensurâ potui exhibeto.

ΚΕΦΑΛΑΙΟΝ ΝΖ'.

Ἐς ὑστέρων ἀπόλυσιν ποτόν.

ΗΝ τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, παραχρῆμα μὲν χρὴ ἀσιτέειν· ἄγνου δὲ πέταλα λεῖα τρίψαντα ἐν οἴνῳ καὶ μέλιτι, ἔλαιον ἐπιχέας, διαχλιήνας, δίδου πιεῖν, ὅσον κοτύλην.

CAPVT LVIII.

Ad inflammatos vteros, sorbitio.

SI vteri inflammati fuerint, sambuci folijs quàm tenerrimis in tritici setanij farinâ crassiore decoctis, summè tepidum sorbendum dato.

E

ΚΕΦΑΛΑΙΟΝ ΝΗ'.

Πρὸς τὰς ὑστέρας φλεγμαινούσας, ῥόφημα.

ΗΝ φλεγμαίνωσιν αἱ ὑστέραι, τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κέμμοις ἑψήσας σητανίοις, ἀκροχλίαρον δίδου ῥοφεῖν.

CAPVT LIX.

Ad vteros transmotos seu oberrantes, topicum & potus.

SI vteri transmoti fuerint, hederam quam siccissimam, tenuissimè tritam, linteo illigatam admoueto, & pingue aliud nihil adhibeto. Potui autem exhibeto triticum tenerum, papauer assatum, saluiam, cyperum, & anisum. Haec tenuiter trita, vino macerata, cum hordei furfuribus bis die exhibeto, vtrâque vice dimidiam heminam.

ΚΕΦΑΛΑΙΟΝ ΝΘ'.

Πρὸς μετακινηθείσας τὰς ὑστέρας, τοπικὸν καὶ ποτόν.

F ΗΝ μετακινηθῶσιν αἱ μῆτραι, κισσὸν ὡς ξηρότατον τρίψας, καὶ λειότατον δήσας ἐς ὀθόνιον, προσίσχειν, καὶ λιπαρὸν προσφέρειν ἄλλο μηδέν. πίνειν δὲ διδόναι πυροὺς προσκωνίας,[188] καὶ μήκωνα ὀπτὴν, καὶ ἐλελίσφακον, καὶ κύπειρον, καὶ ἄνισον· ταῦτα τρίψας λεῖα, δεὶς οἴνῳ, καὶ τῶν[189] κυρηβίων τῶν ἀπὸ τῶν κριθῶν, διδόναι δὶς τῆς ἡμέρης ἐφ' ἑκάτερον ἡμικοτύλιον.

ΚΕΦΑΛΑΙΟΝ Ξ'.

Πρὸς τὰ ἐπιμήνια τὰ ἐν τῷ καθεστηκότι χρόνῳ μὴ γινόμενα.

ΗΝ τὰ ἐπιμήνια μὴ γίνηται ἐν τῷ καθεστηκότι χρόνῳ, κράμβης πέταλα καὶ πήγανον τρίψας λεῖα, ἔπειτα ἄχυρα ἀπὸ τῶν κριθῶν ὅσον χοίνικα, βρέξας ὡς ἂν τέγγηται, ἐξαιθρίασον· ἕωθεν δὲ [191] ποιήσας ὅσον κοτύλην, διεῖναι τὴν κράμβην καὶ τὸ πήγανον, ἔλαιον αὖθις ἐπιχέας καὶ ἀναταράξας, δοῦναι πίνειν. ἔπειτα πουλύποδα πνίξας ἐν οἴνῳ λευκῷ, δὸς φαγεῖν, καὶ τὸν οἶνον ἐκπίνειν· ἢν δὲ βούλῃ, τῶν ἰχθύων ἑψῶν τῶν εὐωδεστάτων, διδόναι ἐσθίειν, καὶ τὸν ζωμὸν ῥοφάνειν.

CAPVT LX.

Ad menstrua stato tempore non prodeuntia.

SI menses constituto tempore non eant, brassicæ folia & rutam tenuiter trita, deinde hordei paleas chœnicis mensurâ maceratas, quoad emollitæ fuerint, per noctem sub dio exponito. Manè verò in heminæ mensura, brassicam & rutam macerato, oleo affuso & permixto, potui exhibeto; deinde polypum in vino albo suffocatum comedendum, & vinum ebibendum dato. Quòd si voles, pisces odoratissimos coctos comedendos & ius sorbendum exhibeto.

ΚΕΦΑΛΑΙΟΝ ΞΑ'.

Πρὸς τὰς τῶν αἰδοίων ἄφθας.

ΗΝ ἀφθήσῃ τὰ αἰδοῖα, [192] μύρτα ἑψήσας ἐν οἴνῳ, διακλυζέσθω αἰδοῖα. ἔπειτα ῥοιῆς γλυκείης σίδια ἑψήσας ἐν οἴνῳ, καὶ σμύρνης καὶ ῥητίνης ὁμοῦ μίξας, διεὶς οἴνῳ, ὀθόνιον ἐμβάπτων, προστιθέναι.

CAPVT LXI.

Aduersus pudendorum aphthas.

SI vlcusculis feruidis pudenda laborauerint, myrti baccis in vino decoctis pudenda collue. Deinde mali punici dulcis putamina vino decocta, myrrhâ & resinâ simul admixtâ, vino macerata, linteum imbutum supponito.

ΚΕΦΑΛΑΙΟΝ ΞΒ'.

Στραγγουριώσης γυναικὸς θεραπευτικόν.

ΗΝ στραγγουρίη λάβῃ, τῆς σικύης ἀποταμὼν τὸ στόμα καὶ τὸν πυθμένα, ἐπιθεὶς ἀνθρακιὴν, περίθες τὴν σικύην, [193] τῆς σμύρνης ἐπὶ τὸ πῦρ ἐπιπάσας, καὶ περικαθίσας ἐπὶ τὴν σικύην, καὶ ἐνθέσθω ἐς τὸ αἰδοῖον τὸ ἄκρον τῆς σικύης, ὡς ἐσωτάτω, ὅκως ἂν ἡ ἀτμὶς ὡς πλείστη ἐς τὰ αἰδοῖα ἀποπέμπηται· καὶ τῶν οὐρητικῶν ποτημάτων διδόναι νήστει.

CAPVT LXII.

Ad mulieris stranguriam curandam.

SI stranguria inuaserit, cucurbitam ore & fundo dissecto, prunis subditis circumpositam, myrrhâ in ignem inspersâ, & muliere *super cucurbitam collocatâ, cucurbitæ summum in pudendum quàm penitissimè immittito, quò plurimus vapor ad pudenda deferatur; & potiones vrinam cientes ieiunæ exhibeto.*

ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

Ῥόφημα τῆς ὑστέρας ἐς τὴν καρδίαν προσισταμένης πνιγὸς θεραπευτικόν.

ΗΝ δὲ ἐς τὴν καρδίην [194] προσϊστάμεναι πνίγωσιν αἱ ὑστέραι, καὶ μὴ ἀφιστῶνται, πράσου καρπὸν τρίψας καὶ γλήχωνος, διεὶς ὕδατος κυάθοις τρισὶ, καὶ ὄξεος λευκοῦ κυάθῳ, καὶ μέλιτος τρίτῳ μέρει κυάθου, χλιαίνων, νήστει δίδου ῥοφάνειν.

CAPVT LXIII.

Sorbitio vteri ad cor prorumpentis suffocationem curans.

SI ad cor prorumpentes vteri suffocent, neque decedant, porri & pulegij semen tritum & tribus aquæ cyathis maceratum, aceti albi cyatho addito, & mellis tertiâ cyathi parte, tepidum ieiunæ sorbendum dato.

ΚΕΦΑΛΑΙΟΝ ΞΔ'.

Ῥίγεος ἐκ τόκου ἢ τρωσμοῦ λαμβάνοντος θεραπευτικόν.

ΗΝ ἐκ τόκου ἢ τρωσμοῦ ῥῖγος λαμβάνῃ, ἀρκεύθου τὸν καρπὸν καὶ ἐλελίσφακον ὁμοῦ τρίψας, διεὶς ἐς ὄξεος λευκοῦ κύαθον, ἐπιχέας τε ἐπὶ οἴνου λευκοῦ κεκρημένου κύλικα, κατελίξας, ἔασον κεῖσθαι, ἕωθεν δὲ ἀπηθήσας, χλιήνας πίνειν δίδου.

CAPVT LXIV.

Rigoris ex partu aut abortu oborientis remedium.

SI ex partu aut abortione rigor inuadat, iuniperi fructum & saluiam simul trita, aceti albi cyatho macerata, affuso vini albi diluti poculo, inuoluta & residere permissa, manè verò colata & tepida, bibenda dato.

CAPVT

CAPVT LXV.

Ad vteros inflatos & vterorum flatus, sorbitio.

SI vteri inflati fuerint, sique flatus in vtero gignatur, dolorque fuerit, saluiam & cyperum tusa per noctem macerato; manè percolatum, purum cremorem *in ollam diffusum, triticeâ farinâ crassiore iniectâ, & aceti albi cyatho, laseris succo ad cyathi mensuram affuso, mixtum & crudiùs decoctum, sorbendum dato.*

ΚΕΦΑΛΑΙΟΝ ΞΕ′.

Πρὸς τὰς ἀνεμωθείσας μήτρας καὶ τοὺς αὐτῶν ἀνέμους, ῥόφημα.

Ἢν[195] ἀνεμωθῶσιν αἱ μῆτραι, καὶ ἢν ἄνεμος ἐγγίνηται τῇ νηδύϊ, καὶ πόνος ᾖ, ἐλελίσφακον καὶ κύπερον κόψας, τέγξαι τὴν νύκτα· ἕωθεν ἀπηθήσας, τὸ καθαρὸν εἰς χύτραν ἐγχέας, κρίμνα πύρινα ἐμβαλὼν, καὶ ὄξος λευκὸν ὅσον κύαθον, ἐπιχέας ὀπὸν σιλφίου[196] ὅσον κύαθον, ἐμβαλὼν καὶ ἑψήσας ἐνωμότερον, δίδου ῥοφάνειν.

CAPVT LXVI.

De curatione columellæ & graueolentiæ pudendorum muliebrium.

SI in pudendis grauis odor, & columella innata fuerit, dolorque detineat, dolorem quidem sedabit apij semen ex vino ieiunæ datum, grauem autem odorem anisum eodem modo exhibitum. At columellam præcidere oportet.

ΚΕΦΑΛΑΙΟΝ Ξϛ′.

Περὶ τῆς ἐν τοῖς γυναικείοις αἰδοίοις δυσοσμίας καὶ κίονος θεραπείας.

Ἢν ἐν τοῖς αἰδοίοισι δυσοσμίη ᾖ,[197] καὶ κίων ἐγγίνηται, καὶ ὀδύνη ἔχῃ, τὴν μὲν ὀδύνην παύσει σελίνου καρπὸς ἐν οἴνῳ διδόμενος νήστει, τὴν δὲ δυσοσμίην, ἄνισον τὸν αὐτὸν τρόπον διδόμενον· τὸν δὲ κίονα χρὴ ἀποτάμνειν.

CAPVT LXVII.

Ad pudendi muliebris vlcus & pruritum, remedium.

SI vlcera in pudendis innascantur, & pruritus corripiat, oleæ, hederæ, rubi, & mali punici dulcis folia tenuiter trita, vino veteri macerato; deinde carnem recentem folijs obductam apponito, & per noctem teneat. Eâ verò mane exemptâ, myrto in vino decoctâ, vino pudenda colluat.

ΚΕΦΑΛΑΙΟΝ ΞΖ′.

Ἕλκεος ἐν γυναικείῳ αἰδοίῳ καὶ ξυσμοῦ θεραπεία.

Ἢν ἕλκεα ἐγγίνηται ἐν τοῖσιν αἰδοίοισι, καὶ[198] ξυσμὸς λαμβάνῃ, ἐλαίης φύλλα καὶ κισσοῦ, καὶ βάτου, καὶ ῥοιῆς γλυκείης τρίψας λεῖα, ἐν οἴνῳ τε διεὶς παλαιῷ, ἔπειτα λαβὼν[199] σάρκα ποταινίην περιθεῖναι, καὶ καταπλάσαι τοῖσι φύλλοισι, καὶ ἐχέτω τὴν νύκτα· ἕωθεν δὲ ἐξελομένη, μυρσίνην ἐν οἴνῳ ἀφεψοῦσα, τῷ οἴνῳ διακλυζέσθω τὰ αἰδοῖα.

CAPVT LXVIII.

De muliere geniturам non recipiente, eiusque causis, & per pessarium curatione.

SI geniturам non recipiat, mensibus secundum naturam prodeuntibus, membrana ori vteri prætenditur, quod etiam alijs ex causis contingit. Id autem cognosces, si digito ad attrectandum immisso obicem attigeris. Hæc in pessarium subdant oportet; resinam & æris florem melle subigito, & eo linteum conspurcatum quàm penitissimè subdito, filo in summo alligato. Quum itaque hoc exilierit, myrto in vino decoctâ, eo vino tepido colluatur.

ΚΕΦΑΛΑΙΟΝ ΞΗ′.

Περὶ γυναικὸς τὴν γονὴν μὴ δεχομένης, καὶ τῶν αὐτῆς αἰτίων, καὶ προσθέτων θεραπευτικῶν.

Ἢν τὴν γονὴν μὴ δέχηται, τῶν γυναικείων κατὰ φύσιν γινομένων, ἡ μῆνιγξ ἐπίπροσθεν τούτου [illegible], γίνεται δὲ καὶ ἐξ ἄλλων. γνώσῃ δὲ τόδε· ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ἅψῃ τοῦ προβλήματος. Ταῦτα χρὴ πρόσθεμα ποιησάμενα, ῥητίνην καὶ ἄνθος χαλκοῦ, μέλιτι διεὶς, ὀθόνιον ἀρδαλώσας, προσθεῖναι ὡς ἐσωτάτω, ῥάμμα ἐνδήσας ἀπὸ τοῦ ἄκρου. ὁκόταν γοῦν[201] ἐξάλληται, τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν, τῷ οἴνῳ χλιαρῷ κλυζέσθω.

CAPVT LXIX.

Ad mulierem asthmaticam seu anhelam, potio.

SI mulierem anhelationes inuadant, sulphuris fabæ quantitatem, nasturtium pari portione, rutam, & cuminum Æthiopicum, hæc tenuiter trita, vino macerata, ieiunæ potui exhibeto. Cibis autem abstinendum, & non crebrò edendum.

ΚΕΦΑΛΑΙΟΝ ΞΘ′.

Πρὸς γυναῖκα ἀσθματικήν, ποτόν.

Ἢν ἄσθματα λαμβάνῃ γυναῖκα, θείου ὅσον κύαμον, καὶ καρδάμου τὸ ἴσον, καὶ πήγανον, καὶ κυμίνου Αἰθιοπικοῦ, ταῦτα τρίψας λεῖα, καὶ διεὶς ἐν οἴνῳ, πίνειν διδόναι νήστει. δεῖ δὲ καὶ τῶν σιτίων ἀπέχεσθαι, καὶ μὴ πυκνὰ ἐσθίειν.

A

ΚΕΦΑΛΑΙΟΝ Ο'.

Περὶ τῆς τικτούσης ἐξανεμωθείσης θεραπείας.

ΗΝ τίκτουσα ἐξανεμωθῇ, ἧπαρ οἰὸς, ἢ αἰγὸς ἐς τέφρην ἐγκρύψας, διδόναι ἐσθίειν, ζωρότερον ἐπὶ τέσσαρας ἡμέρας, καὶ οἶνον πινέτω παλαιόν. Ἢν τὰς ἰξύας ἀλγέῃ, ἄννησον καὶ κύμινον αἰθιοπικὸν πινέτω, καὶ θερμῷ λουέσθω, καὶ [202] ἀπόθερμον πινέτω.

CAPVT LXX.

De parientis ventis inflatæ curatione.

SI quæ parit inflata fuerit, ouillum aut caprinum iecur cinere obrutum edendum dato, meracius ad dies quatuor, & vinum vetus bibat. Si lumbis doleat, anisum & cuminum Æthiopicum bibat, calidâ lauet, & à balneo bibat.

B

ΚΕΦΑΛΑΙΟΝ ΟΑ'.

Πρόσθεμα τῶν ἐπιμηνίων κινητικόν.

ΗΝ τὰ ἐπιμήνια [203] γίνηται, ὄστρακον παχὺ κατακαύσας, καὶ λεῖον τρίψας, καὶ ὀρίγανον ἑψήσας ἐν χηνὸς ἐλαίῳ λεῖον ποιῆσαι, καὶ συμμίξας τῷ ὀστράκῳ ἐν ὀθονίῳ, χλιαρὸν προστιθέσθω.

CAPVT LXXI.

Pessarium menses excitans.

SI menses non prodeant, testam crassam vstam tenuiter tritam, & origanum anseris pingui decoctum ac læuigatum, testæ in linteo commixtum, tepidum subter apponito.

C

ΚΕΦΑΛΑΙΟΝ ΟΒ'.

Πρὸς τὰ ἐπιμήνια διὰ τὴν ξύμμυσιν μὴ φαινόμενα, πρόσθετον.

ΗΝ ξυμμύσωσιν αἱ μῆτραι, καὶ τὰ ἐπιμήνια μὴ φαίνηται, κολοκυντίδα ἀγρίην, καὶ φύλλον, κύμινον Αἰθιοπικὸν, νίτρον, ἅλας Θηβαϊκὸν, καὶ [204] νέβρειον, καὶ ἄλευρον, καὶ σμύρναν, καὶ ῥητίνην, ἄπλυτα ξέσας ταῦτα, ὁμοῦ τε μίξας λεῖα, ποιῶν βάλανον, προστιθέσθω.

CAPVT LXXII.

Ad menses suppressos ab occlusione vteri, suppositorium.

SI vteri conclusi fuerint, neque menses prodeant, colocynthida agrestem, silphij semen, cuminum Æthiopicum, nitrum, salem Thebaicum, adipem ceruinum, farinam, myrrham, resinam, omnia feruefacta, simul mixta ac trita, in glandem formata, subter apponito.

D

ΚΕΦΑΛΑΙΟΝ ΟΓ'.

Πρὸς τὴν πνῖγα τὴν διὰ τὴν ὑστέραν πρὸς τὰ σπλάγχνα τραπεῖσαν, βοήθημα.

ΗΝ πρὸς τὰ σπλάγχνα τραπεῖσαι πνίγωσιν, οἶνον κέδρινον, καὶ κύμινον Αἰθιοπικὸν πινέτω, καὶ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω.

CAPVT LXXIII.

Ad suffocationem ob vterum ad viscera conuersum, remedium.

SI vteri ad viscera versi strangularint, vinum cedrinum & cuminum Æthiopicum bibat, calidâ lauet, & à balneo bibat.

E

ΚΕΦΑΛΑΙΟΝ ΟΔ'.

Πρόσθετον, τὸ μὲν τὰ ἐπιμήνια κινοῦν, τὸ δὲ κατέχον.

ΗΝ τὰ ἐπιμήνια μὴ γίνηται, χηνὸς ἔλαιον, καὶ νέτωπον, καὶ ῥητίνην ξυμμίσγουσα ἡ γυνὴ, προστιθέσθω, ἐρίῳ ἀναςπογγίζουσα. Ἢν δὲ μᾶλλον τοῦ προσήκοντος ἔρχωνται, σούσινον καὶ βάτου γλῶσσαν ἐν ἐρίῳ προστιθέσθω.

CAPVT LXXIV.

Quod menses excitat, & quod retardat, suppositorium.

SI menses non prodeant, anseris adipem, netopum, resinam, simul mixta, lanâ excepta mulier subter apponat. Si verò plus quàm conueniat prodeant, susinum & raiæ linguam in vellere subter apponat.

F

ΚΕΦΑΛΑΙΟΝ ΟΕ'.

Πρὸς τὴν τῆς ὑστέρας μετακινηθείσης πρόσπτωσιν, ὑποθυμίασις.

ΗΝ μετακινηθεῖσαι προσπέσωσί που αἱ ὑστέραι, κριθὰς πτίσας λείας ξὺν τοῖς ἀχύροις [205] πρόσβαλλε, καὶ ἐλάφου κέρας οἴνῳ δεύσας, ὑποθυμιῆν τὰς ὑστέρας.

CAPVT LXXV.

Ad vteri transmoti procubitum, suffitus.

SI commoti vteri aliquam in partem procubuerint, hordeum decorticatum tritum cum paleis, in vinum coniectum, cum cornu ceruino vino subactum, vtero ad suffitum adhibeto.

CAPVT

A

CAPVT LXXVI.

Ad secundas excludendas, potio.

SI secundis liberari nequeat, fœniculum ex vino, & oleo, & melle feruefactum potui exhibeto.

CAPVT LXXVII.

B

Ad menses euellendos, medicamentum.

SI menses non compareant, eosque euellere velis, triticeam farinam crassiùs molitam & hordeum oleo affuso coquito, deinde comedendum dato.

CAPVT LXXVIII.

Ad vteros inflammatos, medicamentum.

SI vteri inflammati fuerint, vmbilici veneris folia & porrum cum triticea farina crassiùs molitâ, oleo affuso decocta, edenda dato.

C

CAPVT LXXIX.

Ad vteros aliquam in partem procumbentes, pessarium.

SI vteri moti aliquam in partem procubuerint, doloremque exhibuerint, oleæ scabiem, lauri & cupressi ramenta aquâ decocta, linteo excepta, subter apponito.

D

CAPVT LXXX.

Vteri dolentis curatio.

SI vterus doleat, dolorque ad vesicam fuerit, porri semen ex aqua tritum, ieiunæ potui exhibeto, & tepefactoria admoueto.

CAPVT LXXXI.

E

De prominentium vterorum & fluoris muliebris curatione.

SI vteri promineant, eos aquâ tepidâ lotos, oleo & vino illitos, rursùs intromittito, ex lumbis religato, & graueolentia suffito. Quòd si vrinam reddere nequeat, post calidæ balneum & fotum, cupressi ramenta ad suffitum admoueto, & potiones vrinam ducentes potui exhibeto. Si fluor muliebris *contingat, suffitu ex acerbis admoto, stercus asininum derasum, lanæ illigatum subdito. Sit autem stercus asininum siccum.*

F

CAPVT LXXXII.

Vlcerum in pudendis exortorum remedia.

SI in pudendis vlcera exorta sint, adipem bubulum illinito & apponito, & myrto ex vino decoctâ colluito.

ΚΕΦΑΛΑΙΟΝ ΟϚ'.

Πρὸς ὑστέρων ἐκβολὴν, ποτόν.

[206] ΗΝ τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, μαράθου ἐν οἴνῳ καὶ ἐλαίῳ, καὶ μέλιτι ἀναζέσαντα δοῦναι πιεῖν.

ΚΕΦΑΛΑΙΟΝ ΟΖ'.

Πρὸς τὸ τὰ ἐπιμήνια κατασπᾶν, φάρμακον.

ΗΝ τὰ ἐπιμήνια μὴ φαίνηται, καὶ βούλῃ αὐτὰ κατασπᾶν, πυρῶν κρίμνα καὶ κριθὰς ἕψειν, ἔλαιον ἐπιχέαντα, εἶτα διδόναι ἐσθίειν.

ΚΕΦΑΛΑΙΟΝ ΟΗ'.

Πρὸς τὰς μήτρας φλεγμαινούσας, φάρμακον.

ΗΝ φλεγμαίνωσιν αἱ μῆτραι, κοτυληδόνος φύλλα καὶ πράσα κρίμνοις ἑψῶν πυρίνοις, ἔλαιον ἐπιχέων, δίδου ἐσθίειν.

ΚΕΦΑΛΑΙΟΝ ΟΘ'.

Πρὸς τὰς μήτρας που προπετούσας, πρόσθετον.

ΗΝ κινηθεῖσαί που προπέσωσι, καὶ ὀδύνην παρέχωσιν, ἐλαίας ψώρην, καὶ δάφνης καὶ κυπαρίσσου πρίσματα ἑψήσας ἐν ὕδατι, ἐς ὀθόνιον ἐμβαλὼν, προστίθει.

ΚΕΦΑΛΑΙΟΝ Π'.

Τῆς ὑστέρας ἀλγούσης θεραπεία.

ΗΝ ὑστέρα ἀλγέῃ, καὶ πρὸς τὴν κύστιν ἡ ὀδύνη, πράσου καρπὸν τρίψας ἐν ὕδατι, πιεῖν διδόναι νήστιδι, καὶ χλιάσματα προστιθέναι.

ΚΕΦΑΛΑΙΟΝ ΠΑ'.

Περὶ τῆς τῶν μητρέων προεχουσῶν καὶ τοῦ γυναικείου ῥοῦ θεραπείας.

ΗΝ αἱ μῆτραι [208] προέχωσι, περινίψας αὐτὰς ἐν ὕδατι χλιαρῷ, καὶ ἀλείψας ἐλαίῳ καὶ οἴνῳ, πάλιν ἐνθεῖναι, καὶ ἀναδῆσαι ἐκ τῶν ἰξύων, καὶ ὑποθυμιῆν τὰ κακώδεα. καὶ ἢν μὴ δύνηται οὐρέειν, λούσας θερμῷ καὶ πυριήσας, ὑποθυμιήσας κυπαρίσσου πρίσματα, καὶ τῶν οὐρητικῶν πομάτων διδόναι πίνειν. Ην ῥόος γίνηται, ὑποθυμιήσας στρυφνοῖσιν, ὀνίδα περιξέσας, ἐνδήσας εἰρίῳ προστίθει. ἡ δὲ ὀνὶς ἔστω ξηρή.

ΚΕΦΑΛΑΙΟΝ ΠΒ'.

Τῶν ἐν τοῖς αἰδοίοις ἑλκῶν θεραπευτικά.

ΗΝ ἐν τοῖσιν αἰδοίοισιν ἕλκεα γίνηται, βόειον στέαρ ἐπαλείφειν καὶ προστιθέναι, καὶ τῆς μυρσίνης ἐν οἴνῳ ἀφεψῶν, διακλύσαι.

A

ΚΕΦΑΛΑΙΟΝ ΠΓ'.

Τοῦ στόματος τῆς μήτρας ἐκ τόκου ἑλκωθέντος θεραπεία.

ΗΝ ἐκ τόκου τὸ στόμα ἑλκωθῇ, ῥόδων ἄνθος τρίψας λεῖον, οἴνῳ δεύσας, ἐν λαγωοῖσι θριξὶ προστιθέναι, καὶ διακλυζέσθω τοῖσι στρυφνοῖσι.

CAPVT LXXXIII.

Oris vteri ex partu vlcerati curatio.

SI ex partu os vteri *exulceratum fuerit, rosarum florem tenuiter tritum, vino maceratum, ex leporinis pilis subter apponito, & acerbis colluito.*

ΚΕΦΑΛΑΙΟΝ ΠΔ'.

Περὶ τῆς μήτρας ἀλγούσης θεραπείας.

B

ΗΝ τὰς ὑστέρας ἀλγέῃ, σκορόδων μόλυζαν, καὶ νίτρον ὀπτὸν, καὶ κύμινον, λεῖα ποιήσας, μέλιτι δεύων, προστιθέτω, καὶ τῷ θερμῷ λουέσθω, καὶ ὑπόθερμον πινέτω.

CAPVT LXXXIV.

De curatione vteri dolentis.

S*I vteros dolor detineat, allij caput integrum, nitrum tostum, cuminum, hæc leuiter trita, melle subacta, subter apponito, calidâ lauet, & subcalidam bibat.*

ΚΕΦΑΛΑΙΟΝ ΠΕ'.

Τῶν αἰδοίων ἀφθησάντων θεραπεία.

C

ΗΝ ἀφθήσῃ τὰ αἰδοῖα, στέαρ βοὸς, καὶ βούτυρον, καὶ χηνὸς ἔλαιον, καὶ σούσινον μίξας, διαχρίειν τὰ αἰδοῖα τούτοισι, καὶ διακλυζέσθω χλιαρῷ ὕδατι.

CAPVT LXXXV.

Pudendorum aphthis laborantium curatio.

S*I pudenda aphthis laborent, adipem bubulum, butyrum, anserinum adipem, & susinum permisceto, his pudenda inungito, & aquâ tepidâ colluito.*

ΚΕΦΑΛΑΙΟΝ Πς'.

Πνιγὸς ἐξ ὑστέρας ἀναβάσιος θεραπεία.

D

ΗΝ προσιστάμεναι πνίγωσιν, ἐλλύχνιον χλιήνας, ἀποσβέσας, ὑπίσχειν ὑπὸ τὴν ῥῖνα, ὅκως ἂν τὸν καπνὸν ἕλκῃ· ἔπειτα σμύρναν διεὶς μύρῳ, εἰρίῳ [209] ἀναδεύσας προστιθέτω· καὶ πίνειν δίδου ῥητίνην, ἐλαίῳ διέντα.

CAPVT LXXXVI.

Curatio suffocationis ab vteri ascensu.

S*I ascendentes* vteri *suffocent, ellychnium accensum, extinctum ad nares admoueto, quò fumum attrahat, & myrrham vnguento subactam, lanâ exceptam subter apponito; & resinam oleo dilutam bibendam dato.*

ΚΕΦΑΛΑΙΟΝ ΠΖ'.

Πρὸς χορίον μὴ ὑποχωροῦν, βοηθήματα.

E

ΗΝ τὸ χορίον μὴ ὑποχωρέῃ, κόνυζαν τρίψας, ἐν εἰρίῳ ποιήσας πρόσθεμα, προστιθέναι, καὶ τὴν [210] ἴγνυν οἴνῳ διατρίψας δοῦναι πίνειν.

CAPVT LXXXVII.

Ad secundas non secedentes, remedia.

S*I secundæ non secedant, conyzam tritam, lanâ exceptam, & in pessum formatam apponito, & in pila ex vino tritam potui exhibeto.*

ΚΕΦΑΛΑΙΟΝ ΠΗ'.

Τοῦ τῆς κεφαλῆς, καὶ τῆς νειαίρας γαστρὸς, καὶ τῶν ἰξύων ἀλγήματος θεραπεία.

F

ΗΝ τὴν κεφαλὴν ἀλγέῃ, καὶ τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, χολὴ ἐν τῇσι μήτρῃσιν ἐστί. Ταύτῃ γοῦν χρὴ δοῦναι φάρμακον, ὃ καθαίρειν ἄνω τε καὶ κάτω δύναται, καὶ λούειν θερμῷ, καὶ προστιθέναι, ὅσα χολὴν καθαίρει· καὶ ἄνισον, καὶ μελάνθιον διεὶς οἴνῳ, δίδου πίνειν.

CAPVT LXXXVIII.

Curatio doloris capitis, imi ventris, & lumborum.

S*I caput, venter imus, & lumbi doleant, bilis in vteris est. Huic igitur medicamentum, quod sursùm & deorsùm purgare potest, exhibere oportet, calidâ lauare, & quæ bilem purgent in subdititio apponere. Anisum & melanthium vino maceratum, bibendum præbeto.*

ΚΕΦΑΛΑΙΟΝ ΠΘ'.

Πρὸς τὸν ῥοῦν γυναικεῖον, βοηθήματα.

ΗΝ ῥόος ἐγγίνηται, καρκίνους ποταμίους ἀποπνίξας ἐν οἴνῳ, τὸν οἶνον διδόναι πίνειν, καὶ

CAPVT LXXXIX.

Ad fluorem muliebrem, remedia.

S*I fluor* muliebris *obortus fuerit, cancris fluuialibus ex vino suffocatis, vinum potui exhibeto;*

quæque

quæque ſiccant, ad ſuffitum & ſubdititium apponito. Si fluor obortus fuerit, porri pugillum ex vino tritum bibendum dato; ſiccis & acerbis vtatur. Si fluor obortus ſit, muli ſtercus vſtum, tenuiter tuſum & cribratum, ex vino maceratum bibat; reliquis ad eundem modum vtatur. Si fluor muliebris obortus iam diuturnus fuerit, ſpongiam vſtam, tenuiter tritam, vino odoro maceratam propinato; & ſuffitu adhibito reſiccato, quodque reſtringat, in ſubdititio apponito.

A ὑποθυμιῆν ὅσα ξηραίνει, καὶ προστιθέναι. Ην ῥοῦς ἐπιγένηται, τῶν πράσων ὅσον δεσμίδα τρίψας ἐν οἴνῳ, δίδου πίνειν· καὶ τοῖσι ξηροῖσι καὶ τοῖσι στρυφνοῖσι χρήσθω. Ην ῥοῦς ἐπιγένηται, [212] ἡμιονίου κόπρον κατακαύσας, καὶ τρίψας λείην, διασήσας τε, διεὶς οἴνῳ, πιπισκέτω· τοῖσι δὲ ἄλλοισι τὸν αὐτὸν τρόπον χρήσθω. Ην ῥοῦς ἐπιγένηται, καὶ πολυχρόνιος ἤδη ᾖ, [212] σπόγγον κατακαύσας, καὶ τρίψας λεῖον, οἴνῳ διεὶς εὐώδει, πῖσον· καὶ ὑποθυμιήσας, ξήραινε, καὶ προστίθει ὅ, τι ἂν ἀποστύφῃ.

B

CAPVT XC.

Vterorum purgatoria.

SI vteros purgare velis, nitrum, cuminum, allium, ficus, hæc tenuiter trita, melle ſubacta ſubter apponito, calidâ lauetur, & à balneo bibat.

ΚΕΦΑΛΑΙΟΝ ϟ'.

Τῶν ὑστερῶν καθαρτήρια.

ΗΝ καθῆραι τὰς ὑστέρας βούλῃ, νίτρον, κύμινον, σκόροδον καὶ σῦκα, λεῖα ποιήσας, μέλιτι δεύσας προστίθει, καὶ θερμῷ λουέσθω, καὶ [213] ἀπόθερμον πινέτω.

C

CAPVT XCI.

Ad vteri dolorem, remedia.

SI vteri dolor vexet, cyclamini radicem ex vino albo ieiunæ propinato, calidâ lauetur, & à balneo bibat.

ΚΕΦΑΛΑΙΟΝ ϟΑ'.

Πρὸς τὸ τῆς ὑστέρας ἄλγημα, ἀνώδυνα.

ΗΝ ἀλγέῃ τὰς ὑστέρας, κυκλαμίνου τὴν ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν, καὶ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω.

CAPVT XCII.

Ad lactis ſuppreſſionem remedia, lac excitantia.

SI lac extinctum fuerit, cætera quidem eodem modo curato; potui autem exhibeto fœniculi ſemen, & radices decorticatas, ſimulque butyrum decoquito. Quum verò cocta fuerint, refrigerata potui exhibeto. Optimum & hippomarathrum, & hippoſelinum ſimul cocta. Si lac ſuppreſſum fuerit, porrum tritum, aquâ maceratum, potui dato, calidâ lauet, porrum & braſſicam & ſimul decocta cytiſi folia edat, ſuccúmque ſorbeat. Si lac extinctum fuerit, porrum tritum, aquâ maceratum, bibendum dato; calidâ lauet, ſaluiâ decoctâ, & iniectis cedri aut iuniperi baccis, ſucco diffuſo, vinum affundat, bibat; ad reliqua iniectam farinam & bulbum, pauco oleo affuſo edat. Acribus, acidis, ſalſis, & omnibus oleribus crudis abſtineat; naſturtium tamen ex vino potum prodeſt, lac enim purgat. Calidâ lauet, & à balneo bibat.

ΚΕΦΑΛΑΙΟΝ ϟΒ'.

Πρὸς τὴν τοῦ γάλακτος ἀπόσβεσιν γαλακτοποιητικὰ βοηθήματα.

D

ΗΝ γάλα ἀποσβεσθῇ, τὰ μὲν ἄλλα τὸν αὐτὸν τρόπον θεράπευε, πιπίσκειν δὲ δίδου τὸν καρπὸν τοῦ μαράθρου, καὶ τὰς [214] ῥίζας ἐκλελεπισμένας, καὶ βούτυρον ἑψήσας ὁμοῦ· ὁκόταν δὲ ἑφθὰ ᾖ, ψύξας δὸς πιεῖν. Ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον, καὶ τὸ ἱπποσέλινον συνεψόμενα. Ην γάλα ἀποσβεσθῇ, πράσα τρίψας, διεὶς ὕδατι, δοῦναι πιεῖν· καὶ θερμῷ λουέσθω, καὶ τὰ πράσα, καὶ τὴν κράμβην ἐσθιέτω συνεψοῦσα τοῦ κυτίσου τὰ

E φύλλα, καὶ τὸν χυλὸν ῥοφείτω. Ην γάλα ἀποσβεσθῇ, πράσα τρίψας, διεὶς ὕδατι, δοῦναι πιεῖν· καὶ θερμῷ λουέσθω, τὸ ἐλελίσφακον ἑψοῦσα, καὶ τῶν κεδρίνων, ἢ τῶν ἀρκευθίδων παρεμβάλλουσα, ἀποχέουσα τὸν χυμὸν, καὶ οἶνον ἐπιχέουσα, πινέτω· ἐς τὰ λοιπὰ ἄλευρον ἐμβάλλουσα, καὶ βολβὸν, καὶ ἐλαίου μικρὸν ἐπιχέουσα, ἐσθιέτω. καὶ τῶν δριμέων, καὶ τῶν ὀξέων, καὶ ἁλμυρῶν, καὶ ὠμῶν λαχάνων πάντων ἀπεχέσθω· τὸ δὲ κάρδαμον ἐν οἴνῳ πινόμενον, ἀγαθὸν, καὶ γὰρ τὸ γάλα καθαίρει. καὶ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω.

F

CAPVT XCIII.

Ad conceptionem ac grauiditatem, remedia.

SI velis mulierem concipere, ipſam & vteros purgato, deinde anethum ieiunæ comedendum dato, vinumque merum ſuperbibendum, & nitrum rubrum, cuminum, reſinam, melle ſubacta in linteo ſubter ap-

ΚΕΦΑΛΑΙΟΝ ϟΓ'.

Πρὸς τὴν σύλληψιν καὶ τὴν κύησιν, βοηθήματα.

ΗΝ βούλῃ γυναῖκα κυῆσαι, καθήρας αὐτὴν καὶ τὰς μήτρας, ἔπειτα δίδου τὸ [215] ἄνηθον ἐσθίειν νήστει, καὶ οἶνον ἐπιπίνειν ἄκρητον, καὶ προστιθέναι νίτρον ἐρυθρὸν, κύμινον, καὶ ῥητίνην, μέλιτι δεύσας, ἐν ὀθονίῳ

προσθέτες· καὶ ὁκόταν τὸ ὕδωρ ἀποῤῥυῇ, τοὺς μέλανας πεσσοὺς προστιθέσθω μαλθακτήριον, καὶ τῷ ἀνδρὶ [216] ξυνευνάτω. Ην βούλῃ ἔγκυον ποιῆσαι γυναῖκα, καθήρας αὐτὴν καὶ τὰς μήτρας, προστιθέναι τῇσι μήτρῃσι ῥάκος, καταξηράνας, ὡς λεπτότατον, καὶ μέλιτι δεύσας, καὶ βαλάνους ποιήσας, ἀποβάπτων ἐς ὀπὸν συκῆς, [217] προστιθέναι, μέχρις ἂν στομωθῇ, ἔπειτα δὲ μᾶλλον εἰσωθεῖν· ἐπειδὰν δὲ ἀποῤῥυῇ τὸ ὕδωρ, διακλυζομένη οἴνῳ καὶ ἐλαίῳ, συνευδέτω τῷ ἀνδρί· πινέτω δὲ καὶ ὁκόταν μέλλῃ καθεύδειν, βλήχωνα ἐπὶ κεδρίνῳ οἴνῳ.

A *ponito; quumque aqua defluxerit, pessos nigros qui emolliant supponito, & cum viro dormiat. Si velis grauidam mulierem facere, ubi ipsam uteróſque purgaueris, linteum detritum quàm tenuissimum, resiccatum in pesso adhibeto, & melle subactum in glandulas efformatum, fici succo imbutum, quoad os apertum fuerit, subter apponito, deinde magis intrò pellito. Vbi autem aqua defluxerit, & vino & oleo colluta fuerit, cum viro dormiat; quumque dormire volet, pulegium ex vino cedrino bibat.* B

ΚΕΦΑΛΑΙΟΝ ϟΔ'.

Φθόρια τοῦ ἐμβρύου φάρμακα.

Εκβόλιον ἐμβρύου [218] καὶ μητρέων. Σικύου ἀγρίου τὸν ὀπὸν, ὅσον πόσιν, ἐς μάζαν [219] ἐμπάσασαν προσθεῖναι, προνῆστιν οὖσαν ἐπὶ δύο ἡμέρας. Ετερον. Σταφίδος ἀγρίης ὅσον δύο δραχμίδας δρεὶς ἐν μελικρήτῳ, δοῦναι πιεῖν.

CAPVT XCIV.

Medicamenta quibus fœtus ab vtero eijcitur.

Medicamentum fœtum ex vteris eijciens. *Cucumeris agrestis succum potionis quantitate, in mazam efformatum supponat, quum anteà per duos dies ieiunauerit.* Aliud. *Vuæ taminiæ agrestis pugillos duos aquâ mulsâ maceratos potui exhibeto.* C

ΚΕΦΑΛΑΙΟΝ ϟΕ'.

Προσθετὰ τῆς εὐτοκίας πειρατήρια.

Πειρητήριον. Μώλυζαν σκορόδου [220] ἀπεζεσμένας, προσθεῖναι πρὸς τὰς μήτρας. τῇ δ' ὑστεραίῃ, τὸν δάκτυλον διξόσαι καὶ ἐσαφάσσουσα, σκοπείτω· [221] καὶ ἢν μὲν ὄζῃ τὸ στόμα, εὖ ἔχει, εἰ δ' οὔ, πάλιν προστιθέσθω. Ετερον πειρητήριον. Νέτωπον ὀλίγον ἐν εἰρίῳ εἱλίξας προσθεῖναι, καὶ ὁρῆν ὅθεν ἂν τοῦ στόματος ὄζῃ.

CAPVT XCV.

Pessaria fœcunditatem explorantia.

Foecunditatis exploratorium. *Allium caput integrum habens decoctum vteris supponito; postridie verò immisso digito tactu consideret, & si quidem os deprehendat, benè se res habet, sin minùs, rursus subter apponat.* D Aliud conceptionis experimentum. *Netopum paucum lanâ inuolutum supponat, & videat an per os oleat.*

ΚΕΦΑΛΑΙΟΝ ϟϚ'.

Προσθετὰ τῶν ἐμβρύων, καὶ ἐπιμηνίων, καὶ ὑστέρων, καὶ λοχίων ἑλκτικά.

α'. Πρόσθετον.

Σκορπίου θαλασσίου τὴν χολὴν ἐς εἴριον ἐνελίξας καὶ ξηρήνας ἐν σκιᾷ, προστίθει. E

β'. Ετερον.

Γλήχωνα ξηρὸν λεῖον ποιήσας, μέλιτι δεύσας, προστιθέναι ἐν εἰρίῳ.

γ'. Ετερον.

Σικύου σπέρμα καὶ ὄστρακον κατακνήσας, οἴνῳ τε δεύσας ἐν λαγωῆσι θριξὶν, ἐν εἰρίῳ προστίθει. F

δ'. Ετερον.

Στυπτηρίην Αἰγυπτίην εἰρίῳ κατελίξας, προστίθει.

ε'. Ετερον.

[22] Κανθαρίδας οἴνῳ δεύσας ἐν εἰρίῳ προστίθει.

CAPVT XCVI.

Pessaria menses, fœtus, secundas, lochia educentia.

1. Pessarium.

Scorpij marini fel in lana conuolutum, & in umbra siccatum subdito.

2. Alterum.

Pulegium siccum tenuiter tritum, melle subactum, in lana subdito.

3. Alterum.

Cucumeris agrestis semen & testam vino subactam cum pilis leporinis, in lana subdito.

4. Aliud.

Alumen Ægyptium lanâ inuolutum subdito.

5. Alterum.

Cantharidas vino maceratas in lana subdito.

6. Alterum.

6. Alterum.

Artemisiam herbam vino maceratam subter apponito.

7. Alterum.

Melanthium ex vino albo tritum, in lana apponito.

8. Alterum.

Recens enixa. Vnguentum rosaceum & ceram, in lana subter apponito.

9. Alterum.

Bolbium ex tritico, tritum, vino subactum, in lana subdito.

10. Alterum.

Vini albi veteris fæcem vstam, vino albo subactam, tritam, in lana apponito.

11. Alterum.

Galbanum, netopum, misy, vnguento rosaceo excepta, in linteo subdito.

12. Alterum.

Elaterij ferè duas potiones, & fauum vino subactum, in linteo subdito.

13. Alterum.

Butyrum & alumen melle subacta, in linteo supponito.

14. Alterum.

Scammoniæ succum & adipem cum maza permixtum, vino subactum, in linteo apponito.

A

ϛ'. Ἕτερον.

Τὴν ἀρτεμισίην ποίην οἴνῳ διεὶς, προστίθει.

ζ'. Ἕτερον.

Μελάνθιον τρίψας [222] ἐν οἴνῳ λευκῷ, ἐν εἰρίῳ προστίθει.

η'. Ἕτερον.

B Νεοτόκῳ. Ῥόδινον μύρον καὶ κηρὸν, ἐν εἰρίῳ προστίθει.

θ'. Ἕτερον.

Βόλβιτον τὸ ἐκ τῶν πυρῶν τρίψας, ἐν οἴνῳ διεὶς, ἐν εἰρίῳ προστίθει.

ι'. Ἕτερον.

Οἴνου λευκοῦ παλαιοῦ τὴν τρύγα κατακαύσας, [223] καὶ καταδιεὶς ἐν οἴνῳ λευκῷ, καὶ τρίψας, ἐν εἰρίῳ C προστίθει.

ια'. Ἕτερον.

Χαλβάνην, καὶ νέτωπον, καὶ μίσυ ἐν ῥοδίνῳ μύρῳ, ἐν ὀθονίῳ προστίθει.

ιβ'. Ἕτερον.

Ἐλατηρίου ὡς δύο πόσιας καὶ κηρίον ἐν οἴνῳ, ἐν ὀθονίῳ προστίθει.

ιγ'. Ἕτερον.

Βούτυρον καὶ στυπτηρίην μέλιτι διεὶς, ἐν ὀθονίῳ D προστίθει.

ιδ'. Ἕτερον.

Ὀπὸν σκαμμωνίης καὶ στέαρ ἐν μάζῃ συναναμίξας, οἴνῳ διεὶς, ἐν ὀθονίῳ προστίθει.

CAPVT XCVII.

Potio quæ conceptionem prohibet.

SI mulier concipere nolit, misyos fabæ quantitatem aquâ maceratam potui exhibeto, & per annum non concipiet.

ΚΕΦΑΛΑΙΟΝ ϞΖ'.

Κυήσεως κωλυτικὸν ποτόν.

ΗΝ μὴ θέλῃ κυΐσκεσθαι, μίσυος ὅσον κύαμον διεὶς ὕδατι, δίδου πίνειν, καὶ ἐνιαυτὸν [226] οὐ E κυΐσκεται.

CAPVT XCVIII.

De grauidæ exploratione, pudendorum aphthis, & virginis calculo.

SI periculum facere velis in muliere, prægnans sit necne, terrâ erythræâ oculos illine; sique medicamentum intrò subierit, prægnans est, sin minùs, minimè. Si prægnantis pudenda aphthis laborarint, amygdalis tenuiter tritis, & medullâ bouis aquâ decoctâ, modicâ farinâ iniectâ pudenda illine, & aquâ, in qua myrti baccæ coctæ fuerint, collue. Si virgo calculo laborarit, radicis Æthiopicæ folium ex vino vetere drachmæ pondere decem diebus exhibeto, deinde ex aqua percolatum diebus viginti, bisque die multâ calidâ lauet.

ΚΕΦΑΛΑΙΟΝ ϞΗ'.

Περὶ τῆς παιδιούσης πειρατηρίου, καὶ τῶν αἰδοίων ἀφθῶν, καὶ τῆς παρθένου λιθιώσης.

ΗΝ βούλῃ γυναικὸς ἐμπειρηθῆναι, εἰ ἔστι παιδιοῦσα, εἴτε καὶ μὴ, τῇ ἐρυθρᾷ λίθῳ τοὺς ὀφθαλμοὺς ὑπαλεῖψαι· καὶ ἢν μὲν ἐσέλθῃ τὸ φάρμακον, παιδιοῦσα γίνεται, ἢν δὲ μὴ, οὔ. Ἢν [227] παιδιούσῃ ἀφθαὶ τὰ F αἰδοῖα, ἀμύγδαλα λεῖα τρίψας, καὶ βοὸς μυελὸν ἐν ὕδατι ἑψῶν, καὶ ἄλητον ἐμβαλὼν μικρὸν, διαχρίειν τὰ αἰδοῖα, καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων. Ἢν παρθένος λιθιήσῃ, τῆς φύλλα διδόναι τῆς Αἰθιοπικῆς ῥίζης ἐν σταθμῷ, ἐν οἴνῳ παλαιῷ, διδοὺς ἐπὶ ἡμέρας δέκα, τὸ δὲ λοιπὸν ἠθῶν ἐν ὕδατι ἐπὶ εἴκοσιν ἡμέρας, καὶ λούειν δὶς τῆς ἡμέρης πολλῷ καὶ θερμῷ.

ΚΕΦΑΛΑΙΟΝ ϞΘʹ.

Πρὸς ῥοῦν γυναικεῖον, καταπλάσματα.

Καταπλάσματα. αʹ.

Σκόροδον, ἀνδράχνην, σέλινον, [228] λωτοῦ καὶ κέδρου πρίσματα, λεῖα ὁμοῦ μίξας, δεὶς μελικρήτῳ, κατάπλασμα ποιέων, κατάπλασσε.

βʹ. Ἕτερον.

Βάτου φύλλα, μυρσίνης φύλλα, ὁμοῦ λεῖα δεὶς μελικρήτῳ, ξυμφυρήσας ἀλφίτοις, κατάπλασσε.

γʹ. Ἕτερον.

Ἀκτῆς φύλλα, μυρσίνης φύλλα, [229] τερμίνθου τὰ ἁπαλώτατα, τὸν αὐτὸν τρόπον κατάπλασσε.

δʹ. Ἕτερον.

Λωτοῦ πρίσματα, [230] συκαμίνου φύλλα ὁμοῦ λεῖα μίξας, δεὶς ὕδατι ἀσταφίδος, κατάπλασσε.

CAPVT IC.

Ad fluorem muliebrem, cataplasmata.

Cataplasmata. 1.

Allium, portulacam, apium, loti & cedri ramenta, trita simul mixta, aquâ mulsâ macerata, in cataplasma formata, imponito.

2. Alterum.

Rubi folia, myrti folia simul trita, aquâ mulsâ macerata, cũ polentâ subacta, in cataplasmate admoueto.

3. Alterum.

Sambuci folia, myrti folia, terebinthi tenerrima germina, *ad eundem modum ex cataplasmate imponito.*

4. Alterum.

Loti ramenta, mori folia trita, simul mixta, uuæ passæ aquâ macerata, ex cataplasmate imponito.

ΚΕΦΑΛΑΙΟΝ Ρʹ.

Εἰς ῥοῦν γυναικεῖον, ὑποθυμιάσεις.

Ὑποθυμιήσιες. αʹ.

[231] Οἰὸς στέαρ, ἢ αἰγὸς, ξηρὸν κόψας, καὶ κριθὰς [232] πεφωσμένας καὶ ἐρηριγμένας ἐν ἐλαίῳ δεύσας, ὑποθυμία.

βʹ. Ἑτέρα.

Ἐλάφου κέρας, [233] καὶ ἐλαίας τὰς μήπω ἐχούσας ἔλαιον, ὁμοῦ λεῖα μίξας, θυμία.

γʹ. Ἑτέρα.

Ῥοῦν τὴν ἐρυθρὴν, καὶ ἄλφιτα πεφωσμένα ἐλαίῳ δεύσας, ὑποθυμία.

δʹ. Ἑτέρα.

[234] Ἄλφιτον καὶ βόλβιτον καὶ ἄχυρα ἐλαίῳ δεύσας, ὑποθυμία.

εʹ. Ἑτέρα.

Λωτοῦ πρίσματα, καὶ ῥοὸς φύλλα, καὶ κυπαρίσσου ξηρῆς πρίσματα, οἴνῳ μέλανι δεύσας αὐστηρῷ, ὑποθυμιῆν.

ϛʹ. Ἑτέρα.

Χαλβάνην, μάνναν, ῥητίνην, [235] μύρῳ δεύσας, ὑποθυμιῆν.

ζʹ. Ἑτέρα.

Αἰγὸς κέρας, καὶ κηκίδα, καὶ [236] στέαρ ὑὸς, καὶ κεδρίαν ὑποθυμία.

ηʹ. Ἑτέρα.

Ὄνων τὴν ἐπὶ τοῖσι ποσὶ γῆν ξύσας, καὶ ὀνίδας οἴνῳ μέλανι δεύσας, ὑποθυμιῆν.

CAPVT C.

Ad fluores muliebres, suffitus.

Suffitus. 1.

Ovis aut capræ pingue siccum ac tusum, & hordeum tostum ac confractum, oleo subactum, suffito.

2. Alter.

Cerui cornu & oliuas oleum nondum habentes, trita simul mixta, suffito.

3. Alter.

Rhoem rubrum & polentam tostam oleo subactam suffito.

4. Alter.

Polentam, stercus bubulum, & hordei paleas, oleo subacta, suffitu adhibeto.

5. Alter.

Loti ramenta, rhois folia, cupressi siccæ ramenta, vino nigro austero macerata suffito.

6. Alter.

Galbanum, mannam, resinam, unguento subacta suffito.

7. Alter.

Capræ cornu, gallam, suillum adipem, & cedriam suffito.

8. Alter.

Terram à pedibus asinorum derasam, & stercus asininum, vino nigro macerata suffito.

CAPVT CI.

Ad fluores mulierum, vterini clysteres, astringentes & emollientes.

Collutiones. 1.

MYrti folia, lauri, & hederæ in aqua coquito, quâ tepidâ colluito.

2. Alia.

Rhois, mali punici, & rubi folia in aqua mulsa decoquito; colatâ colluito.

3. Alia.

Sambuci & lentisci folijs aquâ decoctis, aquam percolatam, summè tepidam infundito.

4. Alia.

Fœniculi & brassicæ radice tusâ, in aqua decoctâ, affuso oleo, deinde excolatâ, colluito.

5. Alia.

OEnanthen, cyperum, & vuas passas in aqua mulsa vbi decoxeris, colluito.

6. Alia.

Emolliente aliquo in aqua decocto, diffusâ aquâ, summè tepido colluito.

7. Alia.

Cupressi ramenta, & amaracum passo aquâ temperato vbi decoxeris, colluito.

8. Alia.

Serpillum & violæ albæ radicem, cum in aqua mulsa decoxeris, colluito.

9. Alia.

Hypericum, lentiscum, cedri baccas aquâ decoquito, summè tepido colluito.

10. Alia.

Fauum, butyrum, resinam & anseris adipem aquâ vbi decoxeris, colluito.

ΚΕΦΑΛΑΙΟΝ ΡΑ'.

Εἰς τὸν ῥοῦν γυναικεῖον κλυσμοί, στυπτικοί τε καὶ μαλακτικοί.

Κλυσμοί. α'.

ΜΥρσίνης φύλλα καὶ δάφνης καὶ κισσοῦ ἐν ὕδατι χλιαρῷ κλύζειν.

β'. Ἕτερος.

Ῥοῦ φύλλα, καὶ [236] ῥοιῆς, καὶ βάτου, ἐν μελικρήτῳ ἀφεψῶν, ἀποχέων κλύζειν.

γ'. Ἕτερος.

Τῆς ἀκτῆς τὰ φύλλα [237] καὶ τῆς σχίνου ἀφεψῶν ὕδατι, ἀποχέας, ἀκροχλιάρως κλύζειν.

δ'. Ἕτερος.

Μαράθου ῥίζας κόψας, ἐν ὕδατι ἀφεψῶν, καὶ κράμβης, ἐπιχέας ἔλαιον, ἔπειτα ἀποχέας, κλύζειν.

ε'. Ἕτερος.

Οἰνάνθην, καὶ κύπερον, καὶ ἀσταφίδας ἀφεψῶν ἐν μελικρήτῳ, κλύζειν.

ϛ'. Ἕτερος.

[238] Μάλαγμά τι ἐν ὕδατι ζέσας, ἀποχέας τὸ ὕδωρ, ἀκροχλίαρον κλύζειν.

ζ'. Ἕτερος.

Κυπαρίσσου πρίσματα [239] καὶ ἀμάρακον ἐν γλυκεῖ κεκρημένῳ ὕδατι ἀφεψῶν, κλύζειν.

η'. Ἕτερος.

Ἕρπυλλον καὶ λευκοΐου τὴν ῥίζαν ἀφεψῶν ἐν μελικρήτῳ, κλύζειν.

θ'. Ἕτερος.

Ὑπερικόν, καὶ σχῖνον, καὶ κεδρίδας ἐν ὕδατι ἀφεψῶν, ἀκροχλίαρον κλύζειν.

ι'. Ἕτερος.

Κηρίον, καὶ βούτυρον, καὶ ῥητίνην, καὶ χηνὸς ἔλαιον ἐν ὕδατι ἀφεψῶν, κλύζειν.

CAPVT CII.

Ad fluores muliebres, fotus.

Fotus. 1.

LOlium tostum & molitum in posca meraciore decoquito; postquam autem coxeris, linteo ligatum fotui admoueto.

2. Alius.

Lentem tostam, decorticatam, in farinam crassiorem redactam & in grumos collectam, aquâ decoctam, in linteo ligatam apponito.

3. Alius.

Eruum eodem modo apparatum in fotu admoueto.

ΚΕΦΑΛΑΙΟΝ ΡΒ'.

Ῥόου γυναικείου πυριάσεις.

Πυριάσεις. α'.

ΑἼρας φώξας, καὶ [240] καταλέσας, ἕψε ἐν ὀξυκράτῳ ἀκρατεστέρῳ· ὁκόταν δὲ ἑψήσῃς, ἐνδήσας εἰς ὀθόνιον, πυριῆν.

β'. Ἑτέρα.

Φακοὺς φώξας καὶ [241] περιπτίσας, καὶ ποιήσας ἄλευρον χονδρῶδες, ὕδατι ἀφεψήσας, ἐνδήσας εἰς ὀθόνιον, προσθεῖναι.

γ'. Ἑτέρα.

Ὀρόβοις τὸν αὐτὸν τρόπον ποιέων, πυριῆν.

δ'. Ἑτέρα.

Ἀγαθὸν δὲ καὶ ὁ ἐλελίσφακος τὸν αὐτὸν τρόπον γινόμενος.

ε'. Ἑτέρα.

Ἐλελίσφακον καὶ ὑπερικὸν ἀφεψῶν ἐν ὕδατι, ἐν δὲ τῷ ἀφεψήματι ἄχυρα κριθῶν [243] ἑψήσας, ἐς ὀθόνιον πυρία.

ς'. Ἑτέρα.

Λωτοῦ πρίσματα καὶ κυπαρίσσου ἀφεψῶν ἐν ἀσταφίδος ἀποβρέγματι, ἐνδήσας ἐς ὀθόνιον, πυρία.

ζ'. Ἑτέρα.

Ἐλαίης φύλλα, καὶ μυρσίνης, καὶ κισσοῦ, καὶ δάφνης ἑψῶν ἐν ὕδατι, ἀποχέας δὲ τὸ ἀφέψημα, ἕψε ἐν αὐτέῳ ἄχυρα κριθῶν, ἔπειτα ἐνδήσας ἐς ὀθόνιον, πυρία.

η'. Ἑτέρα.

Κυπαρίσσου πρίσματα, καὶ κέδρου, καὶ πίτυρα [244] κριθῶν, ὁμοῦ μίξας, ἐν ἀποβρέγματι ἀσταφίδος φυρήσας, καὶ ποιήσας ἄρτον, ὀπτήσας, θερμὸν [245] ἐς ῥάκος ἐνδήσας, πυρία.

θ'. Ἑτέρα.

Λευκοΐου τὸν καρπὸν ἢ τὰς ῥίζας ἀφεψήσας ὕδατι, καὶ τῷ ὕδατι φυρήσας πίτυρα [246] πυρῶν, ἄρτον ποιήσας, θερμὸν ἐς ῥάκος ἐνελίξας, πυρία.

ι'. Ἑτέρα.

Τὸν ἕρπυλλον ἐν ὕδατι ἀφεψήσας, τῷ ἀφεψήματι πίτυρα πύρινα ἐμβαλὼν, τὸν αὐτὸν τρόπον πυρία.

ια'. Ἑτέρα.

Σπόγγους θερμαίνων καὶ προστιθεὶς, καὶ εἰρίοισι μαλθακοῖσι, καὶ ῥάκεσιν ἐρίοισιν, καὶ ὀστρακίοισιν ἀγγείοισιν ὕδωρ ἐπιχέων, καὶ θυλακίοισι τὸν αὐτὸν τρόπον καὶ τὸ ἀφέψημα ἐγχέων, πυριῆν.

ΚΕΦΑΛΑΙΟΝ ΡΓ'.

Καθαρτήριον, δι' οὗ γυνὴ μὴ δυναμένη τεκεῖν κυΐσκεται· καὶ τὰ τῆς χολώδεος τε καὶ φλεγματώδεος σημεῖα.

Καθαρτήριον. Ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν, κυῆσαι θέλῃς ποιῆσαι, σκέψασθαι χρὴ ἐν τοῖσι καταμηνίοισιν, ἤν τε χολώδης, ἤν τε φλεγματώδης ᾖ. γνώσῃ δὲ τόδε πρότερον· ψάμμον ἐμβαλὼν εἰς τὸν ἥλιον λεπτὴν, ξηρὴν, ὁκόταν τὰ καταμήνια χωρέωνται, ἐν τῷ ἡλίῳ ἀποχέας τοῦ αἵματος, ἐᾷ ξηρανθῆναι· καὶ ἢν μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα, χλωρὸν γίνεται· ἢν δὲ φλεγματώδης, οἷον μύξα. Τουτέων οὖν ὁκότερον ἂν ᾖ, καθήρας τὴν κοιλίην, ἤν τε ἄνω, ἤν τε κάτω δοκέῃ σοι δεῖσθαι, εἶτα διαλιπὼν ἡμέρας ὀλίγας, τὰς ὑστέρας καθαίρειν.

4. Alius.

Valet etiam saluia ad eundem modum apparata.

5. Alius.

Saluiam & hypericum in aquâ coquito, & hordei paleis in decocto coctis, & linteo exceptis, foueto.

6. Alius.

Loti & cupressi ramenta, vuæ passæ diluto decocta, ex linteo ligata fotui admoueto.

7. Alius.

Oleæ, myrti, hederæ, & lauri folia, aquâ decocta, & in ipso diluto colato hordei paleas decoctas, deinde in linteo ligatas, fotui adhibeto.

8. Alius.

Cupressi & cedri ramenta, ac hordei furfures, simul mixta, & vuæ passæ diluto subacta, in pastillum efformato, hunc assatum, calidum in linteo ligatum, ad fotum admoueto.

9. Alius.

Violæ albæ semen aut radices aquâ decoctas, ex aqua tritici furfures subactos in pastillum redigito, calidum linteo inuolutum ad fotum adhibeto.

10. Alius.

Serpillum in aqua decoctum, furfuribus triticeis in dilutum iniectis, eodem modo foueto.

11. Alius.

Spongijs calidis admotis, lanis mollibus, pannis laneis, & vasis testaceis aquâ infusâ, vtriculisque ad eundem modum diluto infuso, ad fotum vtitor.

CAPVT CIII.

Purgatio, quâ mulier, quæ parere non potuit, concipiat; & signa biliosæ & pituitosæ mulieris.

Medicamentum purgans. *Si mulierem parere nequeuntem concipere facere velis, in mensibus explorandum est, biliosáne an pituitosa sit. Hoc sic prius cognoueris. Arenam tenuem & siccam soli exponito; quum menses iam fluant, in sole sanguinem effusum siccari sinito. Ac si biliosa fuerit, in arena siccatus sanguis, pallidus redditur; sin pituitosa, velut mucus. Vtrum igitur horum contingat, ventrem, siue per superiora, siue per inferiora purgatione indigere tibi visum fuerit, purgato; deinde paucis interiectis diebus, vteros purgato.*

CAPVT

A

CAPVT CIV.

Fotus vterorum, emollientes, & conceptionem iuuantes, & os vteri exulceratum curantes.

VTerorum fotus. *Si duri fuerint vteri, neque concipiat, vini quàm suauissimi pari aquâ temperati tria semicongia Attica, radicum fœniculi, & seminis fœniculi quartam partem; vnguentique rosacei dimidiam heminam. Hæc in ollam nouam vino affuso fundens, ollæ operculum perforato, & arundine imposità fotum adhibeto. Arundinem cum operculo tollito; nisi enim cum operculo abstuleris, exuretur. Post adhibitum fotum, scillam velut infrà scriptum est, subter apponito; tandiúque apponito, quoad os vteri molle & latum esse dicat. Quòd si exulceratum fuerit, & pustulæ in purgatione exortæ fuerint, si quidem summa labra exulcerentur, anisum & adipem anserinum cum oleo rosaceo tritum, lanâ inuolutum, carnis bubulæ frustulum pedis pollice crassius, & longitudinis sex digitorum, medicamento illitum, lanâ conuolutum, & medicamento lanâ excepto, eius extremo quod foras spectare debet, filo alligato, quod carnis est reliquum, in vteros, quâ parte vlcus est, immittito.*

CAPVT CV.

Menstruorum non decurrentium purgatoria muliebria.

MEnses purgantia. *Si purgatio non prodeat, cucumeris agrestis interiorem partem trium obolorum pondere, artemisiam herbam, thuris obolum tritum, melle admisto, lanâ inuolutum, ad os vteri per diem quinquies hoc faciens apponito.* Aliud. *Vitis pampinum viridem ex melle tritum, lanâ inuolutum, ad eundem modum subter apponito.* Aliud *Cupressi fructum, cucumeris agrestis interiorem partem, & thus ex eodem melle tritum, lanâ conuolutum, ad eundem modum subter apponito.* Aliud. *Cupressi fructum & thus ex eodem melle tritum, lanâ conuolutum, subter apponito.* Aliud. *Abrotonum trium obolorum pondere ex melle tritum, lanâ conuolutum subdito.* Aliud. *Elaterij obolum, & myrrhæ obolum ex melle tritum, lanâ inuolutum subdito.*

CAPVT CVI.

Medicamenta ad conceptionem idonea, purgantia, emollientia, aperientia, & menstrua prouocantia, & sistentia.

PVrgatorium, si mulier non concipiat. *Tauri vrinam ad tres heminas collectam sumito, deinde artemisiam herbam, aut parthenium, aut adiantum, & laurum viridem, & cedri ramenta, tenuiter contusa omnia simul misceto. Deinde effossâ scrobe, & accensis carbonibus ollâ impositâ, vrinam tauri in-*

ΚΕΦΑΛΑΙΟΝ ΡΔ'.

Ὑστερῶν πυρίαι μαλακτικαὶ, τὸ κύημα ὠφελοῦσαι, καὶ τὸ στόμα τῆς μήτρας ἡλκωμένον θεραπεύουσαι.

ΥΣτερέων πυρίαι. Ἢν [247] σκληραὶ ἔωσιν αἱ ὑστέραι, καὶ μὴ κυΐσκηται, οἴνου ὡς ἡδίστου [248] ἴσον ἴσῳ κεράσας, ὅσον τρία ἡμίχοα Ἀττικὰ, καὶ μαράθου ῥίζας, καὶ τοῦ καρποῦ τοῦ μαράθου τεταρτημόριον, καὶ ῥοδίνου ἀλείμματος ἡμικοτύλιον, ταῦτα [249] ἐγχέας ἐς ἐχῖνον καινὸν, καὶ τὸν οἶνον ἐπιχέας, τοῦ δὲ ἐχίνου τρυπήσας τὸ ἐπίθεμα, καὶ ἐνθέντα κάλαμον, πυριῆν· τὸν δὲ κάλαμον σὺν τῷ ἐπιθέματι ἀφαιρέεσθαι, ἢν γὰρ αὐτὸν τοῦ ἐπιθέματος [250] ἀφαιρέῃς, κατακαυθήσεται. ἐπὴν δὲ πυριήσηται, τὴν σκίλλαν προστιθέσθω, ὡς κάτω γέγραπται· προστιθέσθω δὲ, ἔστ' ἂν φῇ μαλακὸν εἶναι τὸ στόμα, καὶ εὐρύ. Καὶ ἢν μὲν ἑλκωθῇ, καὶ φλυκταῖναι ἔωσιν ἐν τῇ καθάρσει, ἢν μὲν ἄκρα τὰ χείλεα ἑλκωθῇ, ἄνισον καὶ χηνὸς στέαρ ἔλαιον ἐν ῥοδίνῳ ἐλαίῳ τρίψας, ἐς εἴριον ἐνελίξας,

C σάρκα βοὸς λαβὼν παχυτέρην τοῦ μεγάλου δακτύλου ποδὸς, μῆκος δὲ ἓξ δακτύλων, χρίσας τῷ φαρμάκῳ, περιελίξας τῷ εἰρίῳ, τὸ φάρμακον ἀναστομώσας, τὸ ἔσχατον τῆς σαρκὸς ὃ μέλλει ἔξω εἶναι, λίνῳ δήσας, [251] ἔνθες τὸ ψιλὸν τῆς σαρκὸς ἐς τὰς μήτρας, οὗ ἂν τὸ ἕλκος.

ΚΕΦΑΛΑΙΟΝ ΡΕ'.

Τῆς μὴ χωρούσης καθάρσεως καθαρτήρια γυναικεῖα.

D

[252] ΓΥναικεῖα καθαρτήρια. Ἢν μὴ προβαίνηται ἡ κάθαρσις, λαβὼν σικύης ἐντεριώνην ὅσον τριώβολον, καὶ ἀρτεμισίην ποίην, καὶ λιβανωτοῦ ὀβολὸν τρίψας, ἐν μέλιτι μίξας, ἐς εἴριον ἐνελίξας, [252] πρόσθες πρὸς τὸ στόμα τῆς μήτρης, τῆς ἡμέρας πεντάκις τοῦτο ποιῶν. Ἕτερον. Τὸ ἀμπέλιον τρίβων χλωρὸν ἐν μέλιτι, καὶ ἐς εἴριον ἐνελίξας, προστιθέναι τὸν αὐτὸν τρόπον. Ἕτερον. Τῆς κυπαρίσσου τὸν καρπὸν, καὶ σικύης ἐντεριώνης, καὶ λιβανωτὸν τρίψας ἐν τῷ αὐτῷ τε μέλιτι, ἐνελίξας ἐν εἰρίῳ, πρόσθες τὸν αὐτὸν τρόπον. Ἕτερον. Τῆς κυπαρίσσου τὸν καρπὸν, καὶ λιβανωτὸν τρίψας ἐν τῷ αὐτῷ τε μέλιτι, ἐνελίξας ἐν εἰρίῳ, πρόσθες. Ἕτερον. Ἀβρότονον ὅσον τριώβολον τρίψας ἐν μέλιτι, ἐς εἴριον ἐνελίξας, προστίθει. Ἕτερον. Ἐλατηρίου ὀβολὸν, καὶ σμύρνης ὀβολὸν τρίψας καὶ μέλιτι, ἐς εἴριον ἐνελίξας, προστίθει.

ΚΕΦΑΛΑΙΟΝ Ρϛ'.

F Φάρμακα εἰς κύησιν ἐπιτήδεια, καθαρτήρια, μαλθακτικὰ, ἀναστομωτήρια, καὶ κατασπαστικὰ, καὶ στατικά.

ΗΝ γυνὴ μὴ κυΐσκηται, καθαρτήριον. Ταύρου οὖρον ξυλλέξαι ὅσον τρεῖς κοτύλας, ἔπειτα λαβὼν ἀρτεμισίην ποίην, ἢ παρθένιον, ἢ ἀδίαντον, καὶ δάφνην χλωρὴν καὶ κέδρου πρίσματα, [254] κόψον λεῖα ὁμοῦ· εἶτα ὀρύξας βόθρον, ἐγκαύσας τε ἄνθρακας, καὶ ἐπιθεὶς χύτραν, ἐγχέαι τὸ οὖρον τοῦ ταύρου, καὶ

ἔμβαλλε τὰ κεκομμένα ἐν ὅλμῳ. ἔπειτα περιθεὶς δίφρον, ἐπίθες τῆς ἀρτεμισίης ποίης, ἢ ὕσσωπον, ἢ ὀρίγανον· εἶτα ἐπικαθίσας τὴν γυναῖκα, πυρίησον ἕως ἂν ἱδρώσῃ. ὅταν δὲ ἱδρώσῃ, λοῦσαι θερμῷ, ἐς δὲ τὸ λουτρὸν ἐμβάλλειν τὴν ἀρτεμισίην καὶ δαφνίνην. εἶτα προσθετὸν αὐτῇ ποιῆσαι ἢ ἀρτεμισίην, ἢ βόλβιον ἐν οἴνῳ λευκῷ τρίψας, ἐρίῳ ἐνελίξας, προστιθέτω. ταῦτα ποιεῖν ἐφ' ἡμέρας τρεῖς, εἶτα κοιμάσθω παρὰ ἀνδρί.

Προσθετὸν κυητήριον.

Ἐκ νίτρου καὶ λιβανωτοῦ βάλανον ποιήσας ἐν μέλιτι, πρόσθες.

Προσθετὸν καθαρτήριον μαλθακτικόν.

Ἰσχάδα λαβὼν, ἕψησας, ἕως ἂν τὰς κεγχραμίδας ἀποβάλλῃ· τοῦτο ἀποπιέσας, ὡς λειότατον, προσθέσθω ἐν ἐρίῳ καὶ ῥοδίνῳ μύρῳ.

Ἕτερον δριμύτερον.

Κράμβης, πηγάνου, ἑκάτερον ἴσον τρίψας, χρῶ τὸν αὐτὸν τρόπον.

Ἕτερον προσθετὸν μαλθακόν τε καὶ καθαρτήριον.

Χηνὸς μυελὸν, ἢ βοὸς, ἢ ἐλάφου, ὅσον κύαμον, παραχέοντα μύρου ῥοδίνου, καὶ γάλα γυναικὸς, τρίβειν ὥσπερ τὸ μαλθακὸν φάρμακον τρίβεται, εἶτα ὑπαλείφειν ἐκ τούτου τὸ στόμα τῆς μήτρης.

Ἕτερον χλιαρὸν καθαρτήριον.

Χηνὸς μυελὸν ὅσον κάρυον, ῥητίνης σχινίνης, ἢ τερεβινθίνης, ὅσον κάρυον, ταῦτα τήξας ἐν μύρῳ ῥοδίνῳ ἐπὶ πυρὸς μαλθακοῦ, καὶ ποιήσας ὥσπερ κηρωτὴν, εἶτα τουτέῳ χλιαρῷ ἐναλείφειν τὸ στόμα τῆς μήτρης, καὶ τὸν κτένα καταβρέχειν.

Κατασπαστικὸν καθάρσιος καὶ στατικόν.

Γλυκυσίδης κόκκους τοὺς μέλανας ἢ ἐρυθροὺς τρεῖς ἢ τέσσαρας, τουτέους τρίβοντας ἐν οἴνῳ, δοῦναι πιεῖν. Ἢν δὲ μᾶλλον κατασπάσαι θέλῃς, τῶν μελάνων κόκκων τῆς γλυκυσίδης τρίψας, τὸν αὐτὸν τρόπον δὸς πιεῖν.

Ἕτερον καθαρτήριον καὶ κατασπαστικόν.

Δαφνίδας εἴκοσι τὰς πλείστας, καὶ σεσέλιος ἥμισυ ὀξυβάφου, τρίψας μετὰ οἴνου, πινέτω. Ἕτερον. Ταύρου χολὴν ὅσον τρία ἡμιωβόλια Ἀττικὰ τρίψας, ἐν οἴνῳ δοῦναι πιεῖν νήστει, καὶ περιπλάσσων καταπότια δίδου. Προσθετὸν καθαρτικόν. Ἄλευρον σιτάνιον, σμύρνης ὅσον τριώβολον, κρόκου τὸ ἴσον, καστορίου ὀβολὸν, ταῦτα τρίψαντα, μύρῳ ῥοδίνῳ προστιθέσθω.

fundito, immissis ijs quæ in pila sunt contusa. Posteà circumpositâ sellâ, artemisiam herbam, aut hyssopum, aut origanum imponito; deinde mulierem collocatam, donec sudet, foueto. Vbi verò sudarit, balneo calido artemisiâ & lauro iniectâ lauet. Deinde subdititium ipsi medicamentum apponito; aut artemisiam, aut bulbulum ex vino albo tritum, lanâ conuolutum in subditio apponat. Hæc per tres dies faciat, posteà cum viro dormiat.

Subdititium medicamentum ad conceptum faciens.

Ex nitro & thure cum melle glandulam confectam subter apponito.

Subdititium purgans & emolliens.

Caricam sumptam coquito, donec grana interiora deponat; id expressum, læuissimè tritum, in vellere cum unguento rosaceo subdito.

Aliud acrius.

Brassicæ, rutæ, æqualibus utriusque portionibus tritis ad eundem modum utitor.

Subdititium aliud tum emolliens, tum purgans.

Anseris medullam, aut bouis, aut cerui, fabæ quantitate, unguento rosaceo affuso, & lacte muliebri, terito, velut medicamentum emolliens teritur, deinde eo os uteri linito.

Aliud tepidum purgatorium.

Anseris medullam nucis quantitate, resinæ lentiscinæ aut terebinthinæ, nucis magnitudinem. His lento igne ex unguento rosaceo liquefactis, velut ceratum conficito, deinde eo tepido uteri os inungito, & pectinem perfundito.

Purgationem deorsùm detrahens & sistens.

Pæoniæ grana nigra aut rubra tria vel quatuor, ex vino trita potui præbeto. Si verò magis detrahere velis, pæoniæ grana nigra trita ad eundem modum bibenda exhibeto.

Aliud purgans & detrahens.

Lauri baccas viginti ad summum, & seseleos acetabuli dimidium, tritum ex vino bibat. Alterum, Tauri fel trium dimidiorum obolorum Atticorum pondere, ex vino tritum, ieiunæ bibendum dato, & catapotia efformata exhibeto. Pessarium purgans. Farinam sitaniam, myrrhæ obolos tres, croci tantundem, castorij obolum, hæc trita cum unguento rosato in subditio apponito.

Aliud purgans.

A

Aliud purgans.

Vrticæ semen & maluæ succum cum anseris adipe tritum subdat. Si non purgata fuerit ex partu, farinæ pollinem, quantum tribus digitis apprehenditur, melle affuso decoctum, ventri ex cataplasmate imponito, & bibendum exhibeto.

Vteros aperiens, idem etiam purgans.

Cantharidas quinque aceto albo affuso terito, neque liquidum admodum facito, sed vt pastillus effingi possit; ficus autem albæ pinguis sine granulis & pelle, duplum ad cantharidas admisceto, tenuiter tritum, & lanâ tenui conuolutum, subter apponat.

B

Purgatorium.

Si ex partu minimè purgata fuerit, trifolium ex vino albo potui exhibeto; hoc etiam menses erumpere facit, & fœtum eijcit.

C

Vteros purgans.

Quum puero immortuo sanguis remanserit, colocynthida syluestrem tritam ex melle delingat, aut subdat.

Sanguinem purgans.

Sanguinem ex vteris expelles, violæ albæ semen tenuiter tritum, vino maceratum, si bibendum exhibueris.

D

Sanguinem eodem modo ex vteris expelles.

Rhois semen, quum rubrum fuerit, ad grana triginta viridia trita, & rosas caninas rubras, rubro selecto, ipsas tritas potui ex vino exhibeto, quum sanguis eruperit.

Subdititium purgans.

Si menses non appareant, styracem, & origanum tenuiter terito, & adipe anserino affuso commisceto, posteà subter apponito.

E

Subdititium purgans, quod vteros purgat & euacuat.

Absinthij radicem tenuiter tritam, melle admixto, cum oleo subter apponito.

F

CAPVT CVII.

Subdititia vteros purgantia, aperientia, & aquam ducentia.

SCillæ frustum sex digitorum longitudine sumito, parui verò digiti crassitudine, cuius duos digitos circumradito & læuigato, reliquo lanæ sordidæ inuoluto, eâ parte, quæ derasa est, ad os vterorum appositâ, per diem & noctem sinito.

Ἕτερον καθαρτήριον.

Κνίδης καρπὸν καὶ μαλάχης χυλὸν, ἐν στέατι χηνὸς τρίψαντα, προσθεῖναι. Ἢν μὴ καθαρθῇ ἐκ τόκου, τῆς πάλης ὅσον τοῖς τρισὶ δακτύλοις ἑψήσας, μέλιτι ἐγχέαι, καὶ συμπλάσαι[257] τὴν κοιλίην, καὶ δοῦναι πιεῖν.

Ὑστέρας ἀναστομωτήριον τὸ αὐτὸ καὶ καθαρτικόν.

Κανθαρίδας τρίβε πέντε, ὄξος λευκὸν παραχέων, καὶ μὴ ὑγρὸν πάνυ ποίει, ἀλλ᾽ ὡς ἐκμάσσεσθαι[254] δάκτυλον· λαβὼν δὲ σύκου λευκοῦ πίονος, ἄνευ τῶν κεγχραμίδων καὶ τοῦ δέρματος, διπλάσιον ξυμμίξας μέρος τῆς κανθαρίδος,[259] τρίβιον ποιήσας, ἐρίῳ λεπτῷ κατελίξασα προσθέσθω.

Καθαρτήριον.

Ἢν ἐκ τόκου μὴ καθαρθῇ, τοῦ τριφύλλου ἐν οἴνῳ λευκῷ πίνειν· τοῦτο δὲ καὶ τὰ καταμήνια καταρρήγνυσι, καὶ ἔμβρυον ἐκβάλλει.

Μητρέων καθαρτήριον.

Ὁκόταν παιδίου ἐναποθανόντος αἷμα ἐμμείνῃ, κολοκυνθίδα ἀγρίην τρίψας ἐν μέλιτι, λειχέτω, ἢ προσθέτω.

Αἵματος καθαρτικόν.

Αἷμα ἐξελάσεις ἐκ μητρέων· λευκοίου καρπὸν τρίβων λεῖον, οἴνῳ διεὶς, διδόναι πίνειν.

Αἷμα ὡσαύτως ἐξελάσεις ἐκ μητρέων.

Ῥοῦ τὸν καρπὸν, ὁκόταν ἐρυθρὸς ᾖ, τρίβων κόκκους ὅσον τριήκοντα χλωροὺς, καὶ κυνόρροδα ἐρυθρὰ, παραλέγων τὸ ἐρυθρὸν, αὐτὰ τρίβων, διδόναι πίνειν ἐν οἴνῳ, ὅταν τὸ αἷμα ῥαγῇ.

Προσθετὸν καθαρτήριον.

Ἢν τὰ γυναικεῖα μὴ φαίνηται, στύρακα, καὶ ὀρίγανον τρίψας λεῖα καὶ ξυμμίξας, ἐπιχέων καὶ χηνὸς ἔλαιον, ἔπειτα προστιθέσθω.

Προσθετὸν καθαρτικὸν, ὥστε μήτρας ἐκκαθαίρειν, καὶ κενοῦν.

Ἀψινθίου ῥίζαν τρίψας λείην, καὶ παραμίξας μέλι, προσθεῖναι σὺν ἐλαίῳ.

ΚΕΦΑΛΑΙΟΝ ΡΖ'.

Προσθετὰ ὑστερέων καθαρτικὰ, ἀναστομωτήρια, καὶ ὕδωρ ἄγοντα.

ΣΚίλλας ὅσον ἑξαδάκτυλον τὸ μῆκος, πάχεος δὲ ὡς ὁ μικρὸς δάκτυλος, τουτέου περιξύσας ὅσον δύο δακτύλους, λεῖον ποιήσας, κατελίξας τὸ λοιπὸν ἐν ἐρίῳ ῥυπαρῷ· καὶ τὸ μὲν ἀπεξεσμένον πρὸς τὸ στόμα τῶν ὑστερέων ἐᾶν προσκέεσθαι ἡμέραν καὶ εὐφρόνην·

λουσαμένη δὲ καὶ ἀφαιρεομένη, διανιζέσθω ὕδατι εὐώδει. Ἕτερον. Καθαρτικὸν μαλθακὸν, ὅπερ ὕδωρ ἄγει καὶ φλέγματα, χλωρά τε καὶ ὕφαιμα καταμήνια καθαίρει, ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσει. Μύρον ναρκίσσινον, κύμινον ὃ ἐσθίομεν, σμύρναν τε καὶ λιβανωτὸν, ἀψίνθιον, [160] κυπαρίσσινον, ἅλας, ῥόδινον ἄλειφα, τῶν μὲν ἄλλων χοῦν ἑκάστων, τοῦ δὲ ναρκισσίνου τέσσαρας μοίρας, ἐπὶ ὀθόνιον ὠμόλινον [161] ξυμμίξας ἅπαντα, καὶ ποιήσας βάλανον. Ἢ περὶ τὸ πτερὸν ῥάκος λεπτὸν περιθεὶς, καταδῆσαι, καὶ ἐμβάψαι ἐς ἄλειφα λευκὸν Αἰγύπτιον, προσθεῖναι, καὶ ἐᾶν ὅλην ἡμέραν προσκεῖσθαι. Εἶτα λουσαμένη καὶ ἀφαιρευμένη, διανιζέσθω ἐν ὕδατι εὐώδει.

At vbi lauerit & detraxerit, aquâ odoratâ perluatur. Aliud. Purgans & emolliens, quòd aquam & pituitam ducit, mensesque pallidos & subcruentos deturbat, nisi diuturni fuerint, & os emollit. Vnguentum narcissinum, cuminum, quod edimus; myrrham, thus, absinthium, cupressum, salem, oleum rosaceum reliquorum quidem singulorum congium vnum, narcissini verò partes quatuor, hæc omnia permixta, tenuissimo linteo excepta, in glandulam efformato. Aut pennam tenui panno circundatam & deligatam, ac oleo albo Ægyptio intinctam, subdito & per totum diem appositam sinito. Deinde vbi lauerit & detraxerit, aquâ odoratâ perluatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΩΝ, ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

HIPPOCRATIS DE MVLIERVM MORBIS, LIBER PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩΙ ΒΙΒΛΙΩι.

Ενταῦθα τὰ γυναικεῖα νοσήματα τὰ εἰς τὴν σύλληψιν, καὶ τὴν κύησιν, καὶ τὸ ἔμβρυον, καὶ τὸν τόκον, καὶ τὴν γαλάκτωσιν, καὶ τὴν μήτραν ἀναφερόμενα, καὶ τὰ τούτων διαγνωστικὰ, καὶ θεραπευτικὰ παραδίδοται.

ARGVMENTVM LIBRI.

Hic morbi mulierum ad conceptionem, grauiditatem, embryonem, partum, lactationem, & vterum pertinentes, eorumque dignotio & curatio docetur.

C

ΚΕΦΑΛΑΙΟΝ Α'.

Γυναῖκα ἄτοκον, τῆς τετοκυίας χαλεπώτερόν τε καὶ θᾶσσον ἀπὸ τῶν καταμηνίων νοσεῖν.

Τὰ δὲ ἀμφὶ γυναικείων νούσων, ὧδέ φημι· γυναῖκα ἄτοκον ἐοῦσαν, ἢ τετοκυῖαν, χαλεπώτερον καὶ θᾶσσον ἀπὸ τῶν καταμηνίων νοσέειν. ὁκόταν γὰρ τέκῃ, εὐροώτερά οἱ τὰ φλέβιά ἐστιν ἐς τὰ καταμήνια· εὔροα δέ σφιν ποιέει ἡ λοχίη, κάθαρσίς τις ἐοῦσα· καὶ ἢν καταρραγῇ, τοῦ σώματος τὰ πλησιάζοντα μάλιστα τῆς τε κοιλίης καὶ τῶν μαζῶν, καταρρήγνυται· καταρρήγνυται δὲ καὶ τὸ ἄλλο σῶμα· ὅπου δὲ γὰρ, εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παιδίου τοῦ ἐν τόκῳ. καταρραγέντος δὲ τοῦ σώματος, ἀνάγκη τὰς φλέβας μᾶλλον στομοῦσθαι καὶ εὐροωτέρας γίνεσθαι ἐς τὰ καταμήνια, καὶ τὰς μήτρας μᾶλλον στομοῦσθαι, οἷα τοῦ παιδίου χωρήσαντος διὰ σφέων, καὶ βίην καὶ πόνον παρασχόντος. καὶ τουτέων ὧδε ἐχόντων,

D E

CAPVT I.

Mulierem quæ non peperit, grauiùs ac celeriùs à menstruis, quàm quæ peperit, ægrotare.

De mulierum morbis sic enuncio; mulierum quæ non peperit grauiùs & celeriùs à mensibus, quàm partum expertam ægrotare. Quum enim peperit, ei venulæ ad menstrua sunt fluidiores. Fluidas autem ipsas facit lochia, quæ purgatio quædam est. Hæc si proruperit, vicinæ maximè corporis partes tum ventri tum mammis, prorumpunt. Prorumpit autem & reliquum corpus; vnde verò id contingat à nobis in pueri natura in partu dictum est. Prorumpente verò corpore, venas magis aperiri, & ad menstrua ampliores & fluidiores fieri necesse est, vterosque magis patêre, nimirùm puero per eos egresso, qui & vim & dolorem induxit. His ita constitutis,

quum

quum mulier puerperij purgamenta experta fuerit, minus laboriose menstruis purgatur. Quod si mulieri quæ iam peperit, affectio aliqua oboriatur, ita vt procedentes menses probè repurgari nequeant, ea faciliùs quàm si haud peperisset, laborem feret. Assueti nanque sunt vteri, & corpus vt impleatur idoneum, nimirùm vtero gerenti, simulque magna est in corpore amplitudo. Maior autem fit etiam viæ amplitudo sanguini, vbi peperit, prorumpente nimirùm corpore; & corpus in amplitudine existens, minus dolore vexatur, nisi venæ supra modum impleantur, & nimiùm doleant. At verò partum non expertæ, quum corpus ad repletionem insuetum sit, & validius, solidius, & densius existat, quàm quum lochia experta sit, vterique osculum minùs pateat; molestiùs menses prodeunt, pluresque affectiones accidunt, vt proindè menses obstruantur, quum partum non experta sit. Atque hoc modo se res habet, vt & priùs à nobis dictum est.

A τὰ καταμήνια ἀπραγματώτερον [3] καθαίρεται ἡ γυνή, ἐπὴν λοχίων ἔμπειρος γένηται. Εἰ δὲ καί τι πάθημα τῇ γυναικὶ γένοιτο τῇ ἤδη τετοκυίῃ, ὥστε τὰ καταμήνια μὴ δύνασθαι ἐλθόντα εὖ καθαρθῆναι, ῥηϊτέρως τὸν πόνον οἴσει, ἢ εἰ ἄτοκος ἦ. ἠθάδες γὰρ αἱ μῆτραι, καὶ τὸ σῶμα ἐπιτήδειον πληροῦσθαι, ἅτε ἐν γαστρὶ ἐχούσῃ, καὶ ἅμα εὐρυχωρίη πολλή ἐστιν ἐν τῷ σώματι. πλείων δὲ ἡ εὐρυχωρίη γίνεται [4] καὶ τῷ αἵματι, ἐπὴν τέκῃ, οἷα τοῦ σώ- B ματος καταῤῥαγέντος· καὶ ἐν εὐρυχωρίῃ ἐὸν [5] τὸ σῶμα, ἀπονώτερον γίνεται, ἢν μὴ ὑπερπιμπλῶνται αἱ φλέβες, καὶ ὑπερπονέωσιν. Ἀτόκῳ δὲ ἐούσῃ, τοῦ τε σώματος οὐ ξυνήθεος ἐόντος, ἐπὴν πληρωθῇ, [6] καὶ ἰσχυροτέρου τε καὶ στερεωτέρου καὶ πυκνοτέρου ἐόντος, [7] ἢ ἐπὴν λοχίων ἔμπειρος γένοιτο, καὶ τῶν μητρέων [8] ἀναστομωτέρων ἐουσῶν, τὰ ἐπιμήνια ἐπιπονωτέρως χωρέει, καὶ τὰ παθήματα παραπίπτει πλείονα, ὥστε διὰ τοῦτο τὰ καταμήνια ἀποφράσσεσθαι, ἐπὴν ἄτοκος ἦ. ἔχει δὲ ὧδε [9] ὥς μοι καὶ πρὶν εἴρηται.

C

CAPVT II.

Mulierem rarioris ac mollioris carnis, calidioris & copiosioris sanguinis, & parcioris exercitationis, quàm virum, esse docet; ac proinde ipsam calidiorem frequentiùs in plenitudinem, calorem, ac dolorem incidere.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τὴν γυναῖκα ἀραιοσαρκοτέραν, καὶ ἁπαλωτέραν, ἢ τὸν ἄνδρα, καὶ θερμότερον καὶ εὐπορώτερον τὸ αἷμα ἔχειν, καὶ ἔλασσον ταλαιπωρεῖν διδάσκει· διὸ καὶ αὐτὴν θερμοτέραν οὖσαν, θᾶσσον εἰς πληθώραν, καὶ θερμότητα, καὶ πόνον περιπίπτειν.

Dico mulierem rarioris & mollioris carnis esse, quàm virum. Atque quum id ita se habeat, mulieris corpus & celeriùs & magis humorem à ventre trahit, quàm viri. Siquis etenim super aquam, & per locum aquaticum duobus diebus & duabus noctibus lanas puras posuerit, & vestimentum purum & contextum æquali ad lanas pondere, ijs sublatis & appensis, multò grauiores lanas quàm vestimentum comperiet. Hoc autem fit, quòd ab aqua, quæ in vase lati oris est, sursùm aliquid decedat, lanæque vt quæ raræ sunt & molles, eius quod secedit, maiorem portionem excipiant. Vestimentum autem, vt quod plenum est & densè contextum, explebitur, haud multùm aquæ decedentis excipiens. Sic sanè mulier quum rarior sit, ampliorem à ventre corpori humorem & citiùs quàm vir attrahet; & tanquam molli carne præditæ mulieri vbi sanguine corpus expletum fuerit, nisi ab ipso decesserit, carnibus impletis & calefactis dolor oboritur. Calidiorem enim sanguinem mulier habet, ideóque viro calidior est. Si verò plus accedens sanguinis secedat, neque dolor, neque calor à sanguine oritur. Vir autem quum carnis solidioris quàm mulier sit, neque superiore ventre ita sanguine supra modum impletur, vt nisi aliquid sanguinis singulis mensibus decedat, dolorem suboriri necesse sit; trahitque quantùm sanguinis satis esse possit ad nutritionem; & quum corpus ipsi non sit molle, neque nimiùm dolore vexatur, neque vt mulier ex plenitudine supra modum incalescit.

Φημὶ τὴν γυναῖκα ἀραιοσαρκοτέρην, καὶ ἁπαλωτέρην εἶναι, ἢ τὸν ἄνδρα. καὶ τούτου δὲ ὧδε D ἔχοντος, ἀπὸ τῆς κοιλίης ἕλκει τὴν ἰκμάδα καὶ τάχιον καὶ μᾶλλον τὸ σῶμα τῆς γυναικὸς, ἢ τοῦ ἀνδρός. καὶ γὰρ εἴ τις ὑπὲρ ὕδατος, καὶ διὰ χωρίου ὑδρηλοῦ δύο ἡμέρας καὶ δύο εὐφρόνας θείη εἴρια καθαρὰ, καὶ εἷμα καθαρὸν καὶ [10] βεβυσμένον [11] εὐστάθμως ἴσον τοῖσιν εἰρίοισιν, ἀνελὼν εὑρήσει στήσας, πολλὸν βαρύτερα τὰ εἴρια ἢ τὸ εἷμα. ὅτι δὲ τοῦτο γίνεται, αἰεὶ ἀποχωρέει ἐς τὸ ἄνεκας ἀπὸ ὕδατος ἐν ἀγγείῳ εὐρυστόμῳ ἐόντος, καὶ τὰ μὲν εἴρια, ἅτε ἀραιά τε καὶ μαλθακὰ ἐόντα, ἀναδέξεται τοῦ ἀποχωρέοντος πλέον· τὸ δὲ εἷμα ἅτε E πλῆρες ἐὸν καὶ βεβυσμένον, ἀποπληρώσεται, τὸ πολλὸν οὐκ ἐπιδεξάμενον τοῦ ἀποχωρέοντος. Οὕτω δὴ καὶ ἡ γυνὴ, ἅτε ἀραιοτέρη ἐοῦσα, [12] εἵλκυσε πλείονα ἀπὸ τῆς κοιλίης τῷ σώματι τὴν ἰκμάδα, καὶ θᾶσσον, ἢ ὁ ἀνήρ· καὶ ἅτε ἁπαλοσάρκῳ ἐούσῃ τῇ γυναικὶ ἐπὴν πλησθῇ τοῦ αἵματος τὸ σῶμα, ἢν μὴ ὑποχωρήσῃ ἀπ᾽ αὐτέου, πληρευμένων τῶν σαρκῶν καὶ θερμαινομένων, πόνος γίνεται· θερμότερον γὰρ τὸ αἷμα ἔχει ἡ γυνὴ, καὶ διὰ τοῦτο θερμοτέρη ἐστὶ F τοῦ ἀνδρός. ἢν δὲ τὸ πλέον ἐπιγινόμενον ἀποχωρέῃ, οὐ γίνεται ὁ πόνος, καὶ ἡ θέρμη ὑπὸ τοῦ αἵματος. Ὁ δὲ ἀνὴρ στερεοσαρκότερος ἐὼν τῆς γυναικὸς, οὔτε ὑπερπίμπλαται τοῦ αἵματος ἐς τὸ ἄνω τῆς κοιλίης τόσον, ὥστε ἢν μὴ ἀποχωρέῃ τι τοῦ αἵματος καθ᾽ ἕκαστον μῆνα, πόνον [13] χρὴ ἔσεσθαι· ἕλκει τε ὁκόσον ἐς τροφὴν τοῦ [14] αἵματος, τό, τε σῶμά οἱ οὐχ ἁπαλὸν ἐὸν, οὐχ ὑπερπονέει, οὐδ᾽ ὑπερθερμαίνεται ὑπὸ πληθώρης ὡς τῇ γυναικί. μέγα

δὲ ξυμβάλλεται ἐς τοῦτο τῷ ἀνδρὶ, ὅτι ταλαιπωρέει μᾶλλον τῆς γυναικός· ἡ γὰρ ταλαιπωρίη, ἀπάγει τι τῆς ἰκμάδος.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς τῶν καταμηνίων κατακρύψιος ἢ ἀποκρύψιος ἐν γυναικὶ ἀτόκῳ τε καὶ μήπω ἀνδρὶ μιγείσῃ καὶ τῶν αὐτῆς αἰτίων, τῆς μήτρας μύσεως, καὶ λειώσεως, καὶ συστροφῆς, καὶ στενοχωρίας, καὶ τοῦ πρόσω τοῦ αἰδοίου κεῖσθαι· καὶ τῶν συμπτωμάτων τῶν τοῖς πρώτοις ἐπιμηνίοις, καὶ τριταίοις, καὶ τεταρταίοις, καὶ πεμπταίοις, καὶ ἑκταίοις γινομένων.

Ἐπὴν δὲ γυναικὶ ἀτόκῳ ἐούσῃ κρυφθῇ τὰ ἐπιμήνια, καὶ μὴ δύνηται ὁδὸν ἔξω εὑρεῖν, ἡ νοῦσος γίνεται. Τοῦτο δὲ ξυμβαίνει, ἢν τῶν μητρέων τὸ στόμα μεμύκῃ, ἢ λειωθῇ, ἢ ξυστραφῇ τι τοῦ αἰδοίου· ἢν γὰρ τουτέων τι ᾖ, οὐ δυνήσεται ἔξοδον εὑρεῖν τὰ ἐπιμήνια, πρὶν ἂν αἱ μῆτραι ἐς τὴν φύσιν τὴν ὑγιηρὴν μεταστέωσι. γίνεται δὲ τὸ νούσημα τοῦτο μάλιστα ταύτῃσιν, αἵτινες [15] στενοχώρους τὰς μήτρας ἔχουσιν, ἢ τὸν αὐχένα πρόσω τοῦ αἰδοίου κείμενον. ἢν γὰρ τουτέων θάτερον ᾖ, καὶ μὴ μίσγηται ἡ γυνὴ τῷ ἀνδρὶ, καὶ κενωθῇ ἡ κοιλίη μᾶλλον τοῦ καιροῦ, ὑπὸ τουτέου τοῦ παθήματος στρέφονται αἱ μῆτραι. οὔτε γὰρ ἰκμαλέαι εἰσὶ [16] κατὰ σφέας, οἷα μὴ λαγνευομένης, εὐρυχωρίη τε σφίσιν ἐστὶν, ἅτε τῆς κοιλίης κενωτέρης ἐούσης· ὥστε στρέφεσθαι, ἅτε ξηροτέρης καὶ κουφοτέρης ἐούσης τοῦ καιροῦ. καὶ ἔστιν ὅτε στρεφομένων σφέων τυγχάνει τὸ στόμα [17] παραστρέφειν, ἅτε τοῦ αὐχένος πρόσω τοῦ αἰδοίου κειμένου· ἢν γὰρ ἰκμαλέαι ἔωσιν αἱ μῆτραι [18] ἀπὸ λαγνείης, καὶ ἡ κοιλία μὴ κενῶται, οὐ ῥηϊδίως στρέφονται. τοῦτ' οὖν αἴτιον γίνεται ὥστε αὐτὰς ξυμμύειν, οἷα μὴ λαγνευομένης τῆς γυναικός. Ἐν δὲ τοῖσι τριταίοισιν, ἄριστα μὲν πείσεται, ἢν οἱ κατελθόντα ἐξαγάγῃ τὰ προϋπάρχοντα· εἰ δὲ μὴ, πείσεται τάδε ἡ γυνή. πνίξ τέ οἱ ἄλλοτε καὶ ἄλλοτε ξυμπεσεῖται, καὶ πῦρ λήψεται ἄλλοτε καὶ ἄλλοτε, καὶ φρίκη, καὶ ὀσφύος ἄλγημα. Ταῦτα πείσεται ἐν τοῖσι τριταίοισιν ἐπιμηνίοισιν, ἢν μή οἱ ἐξίῃ. Ἐν δὲ τοῖσι τεταρταίοισιν, ἢν μή οἱ ἐξιόντα τοῖσί τε προτέροισιν ἔξοδον ποιήσῃ, καὶ τότε μὲν τρίτα πονήματα πάντα μᾶλλον πονήσει, καὶ μάλιστα ἐν τῷ χρόνῳ τῶν καταμηνίων· ἔπειτα ἧσσον, πολλάκις δὲ [19] καὶ δοκέει ἄπονος εἶναι. ἔσται δὲ ἐπὶ τοῖσι τεταρταίοισι, καὶ τάδε τὰ σημεῖα· οὐρήσει τε πολὺ, παχὺ, ἄλλοτε καὶ ἄλλοτε, καὶ ἡ γαστὴρ αὐτῆς σκληρὴ ἔσται καὶ μείζων ἢ τοπρόσθεν, καὶ βρύξει τοὺς ὀδόντας, καὶ ἀσιτήσει, καὶ ἀγρυπνήσει. τοιαῦτα πείσεται ἐπὶ τοῖσι τεταρταίοισι καταμηνίοισι· μελεδαινομένη δὲ, καὶ ἐν τουτέοισιν ὑγιαίνει. Καὶ ἐν τοῖσι πεμπταίοισιν, ἢν μή οἱ πουλλὰ τὰ ἐπιμήνια κατίῃ, καὶ ὁ πόνος ἰσχυρότερος προσαπτέει. Ἐν δὲ τοῖσιν ἑκταίοισιν, ἤδη ἀνίητος ἔσται, καὶ κατὰ μὲν πρότερα σημεῖα μᾶλλον πονήσει, [20] ἔπειτα δὲ ἐπ' αὐτοῖσι καὶ τάδε· ἀλύξει τε, καὶ ῥίψει ἑωυτὴν ἄλλοτε καὶ ἄλλοτε, καὶ λειποθυμήσει, καὶ ἐμέσει φλέγμα, καὶ δίψα ἰσχυρή μιν λήψεται, ἅτε καιομένης τῆς κοιλίης ὑπὸ τῶν μητρέων ἐουσέων πληρέων αἵματος, καὶ ψαυομένη ἀλγήσει, καὶ μάλιστα τὸ ἦτρον,

Ad id autem multùm viro confert, quòd magis quàm mulier, laboribus sese exerceat. Labores enim nonnihil humoris deducunt.

CAPVT III.

De menstruorum occultatione seu suppressione in muliere neque partum, neque venerem expertâ; eiusque tum causis, vteri præclusione, distortione, & contractione, angustiâ, vltra pudendum situ; tum symptomatis, quæ primis mensibus, tertijs, quartis, quintis, & sextis oboriuntur.

Postquàm igitur mulieri quæ non peperit, menses delituerint, neque foras exitum inuenire queant, morbus oritur. Id autem accidit, si vterorum os præclusum, aut distortum fuerit, aut pudendi pars aliqua conuersa. Siquid enim horum fuerit, menses exitum inuenire non poterunt, priusquàm vteri ad sanam naturam redierint. Hic verò morbus ijs potissimùm contingit, quæ angustos habent vteros, aut ceruicem vltra pudendum sitam. Horum enim alterum si fuerit, neque mulier viro misceatur, venterque plus iusto vacuetur, ex hac affectione vteri distorquentur. Neque enim vteri *in se sunt humidi, muliere nimirum non coeunte; & amplitudo ipsis spatiosa est, quum venter magis vacuus existat; quare peruertuntur, quum* aluus *quàm conueniat siccior & leuior sit. Dumque interdùm ipsi peruertuntur, eorum osculum distorqueri contingit, quum ceruix extra pudendum sita sit. Si enim à coitu humidi fuerint vteri, & aluus non vacuetur, non facilè peruertuntur. Hæc igitur causa est, cur ipsi præcludantur, nimirùm muliere non coeunte. Tertijs autem mensibus optimè afficietur, si ei decurrentes menses ea, quæ prius inerant, eduxerint; sin minùs, hæc mulier patietur. Suffocatio aliàs atque aliàs ipsam adorietur, febrisque, ac horror, & lumborum dolor, multoties corripiet. Hæc patietur tertijs mensibus, nisi ipsi prodierint. In quartis verò, nisi progressi* menses *prioribus exitum fecerint, etiam tunc tertij mensis laboribus omnibus magis vexabitur, maximéque mensium tempore; posteà minùs, plerúnque verò etiam doloris expers esse videtur. Erunt autem in quartis etiam hæc signa. Vrinam copiosam & crassam plerúnque excernet; venter ipsius durus erit, maiorque quàm anteà; dentibus stridebit; cibos auersabitur; & vigilabit. Hæc patietur, quartis in mensibus. Si verò curetur, etiam in his conualescit. Ac in quintis, nisi ei copiosi menses descenderint, etiam vehementior dolor accidit. In sextis verò iam incurabilis erit, & iuxta quidem priora signa magis laborabit; deinde verò ad hæc ista accedent. Anxia erit & aliàs atque aliàs seipsam iactabit, animo deficiet, pituitam vomet, vehemens eam sitis corripiet, incenso nimirum ventre ab vteris sanguine plenis; ad contactum, maximéque circa pubem dolebit, plerúnque etiam acutè*

acutè febricitabit; vteri frequenter murmurabunt, agitato nimirùm & permeante in eis sanguine, neque pro more aluus deijciet, neque vesica vrinam percolabit. Quum mulieri *vteri ad stomachum qui neruosus est irruerint, & in ventrem prociderint, spinam & totum dorsum dolet, lingua eius frænatur, eámque obscuram habet, & animi* adest *deliquium, nonnullis etiam vox deficit, stomachus mordetur, flaua bilis exit, spiritus collidens est, anxia est, seipsam iactat, & incenditur. Quum verò transmutati fuerint, & vesica tenuem ex vteris sanguinem trahet, tunc vrina rubra funditur; & reliquum quidem corpus dolor obsidet, potissimúmque ceruicem, spinam, lumbos ac inguina. Ipsique eò appulsæ, tum venter attollitur, tum crura & tibiæ ac pedes supra modum intumescunt, & mors instat. Et in ea quidem ita finiunt menstrua sex menses abdita.*

καὶ πυρέξει ἄλλοτε καὶ ἄλλοτε ὀξέως, καὶ βορβορύζουσιν αἱ μῆτραι ἄλλοτε καὶ ἄλλοτε, ἅτε τοῦ αἵματος ἐγκλονευμένου [21] καὶ διαχωρέοντος ἐν αὐτῇσι, καὶ ἡ κοιλίη οὐ διαχωρήσει κατὰ τρόπον, οὔτε ἡ κύστις διηθήσει τὸ οὖρον. ἐπὴν αἱ μῆτραι προσπέσωσι πρὸς τὸν στόμαχον νευρώδεα ἐόντα, καὶ [22] ἐς τὴν κοιλίην ἐμβάλλωσιν, ἀλγέει τὴν ῥάχιν, καὶ τὸ νῶτον πᾶν, καὶ τὴν γλῶσσαν αὐτῆς χαλινοῦται, καὶ ἀσαφῆ ταύτην ἔχει, καὶ λειποθυμίη, ἔστι δ᾽ ᾗσι καὶ ἀφωνίη, καὶ δάκνεται τὸν στόμαχον, καὶ ξανθὴ ἡ χολὴ ἔξεισι, καὶ πνεῦμα προσπταῖον, καὶ ἀλύει, καὶ ῥιπτεῖ ἑωυτὴν, καὶ ἐμπίπραται. ἐπὴν δὲ μεταστέωσι, καὶ εἰρύσει ἡ κύστις τὸ λεπτὸν τοῦ αἵματος τοῦ ἀπὸ τῶν μητρέων, τότε τὸ οὖρον διουρέεται ἐρυθρὸν, [24] καὶ πονέει μὲν τὸ ἄλλο σῶμα, μάλιστα δὲ τὸν τράχηλον, καὶ τὴν ῥάχιν, καὶ τὴν ὀσφὺν, τούς τε βουβῶνας· καὶ ἐς τοῦτο ἐλθούσῃ αὐτῇ, ἥ τε γαστὴρ αἴρεται, καὶ τὰ σκέλεα ὑπὸ τὸ χρεὼν διοιδίσκεται, καὶ αἱ κνῆμαι, καὶ οἱ πόδες, καὶ ὁ θάνατος ἔπεισι. καὶ περὶ μὲν ταύτης οὕτω τελευτᾷ ἐς ἓξ μῆνας τὰ ἐπιμήνια ἀδηλεύμενα.

CAPVT IV.

De symptomatis menstruorum suppressioni succedentibus, tabis symptomatis similibus; menstruis in pulmone, vtero, & inguine suppuratis; febre, vlceribus, & sterilitate.

Atque etiam hæc oboriuntur. Quibusdam mulieribus quum bimestres menses copiosi in vteris extiterint, vbi intercepti fuerint, ad pulmonem feruntur; his omnia contingunt, quæ in tabe dicta sunt, neque inde superesse potest. Sed & ista oboriuntur. Sunt quibus menses purulenti euadunt, vbi duobus aut tribus mensibus moram fecerint. Id verò maximè accidit, si à febre exusti fuerint. Signa verò sunt, si purulenti fuerint; dolores enim ad imum ventrem irruunt, & pulsationes vehementes, neque contactum sustinet. Quòd si meliùs habitura sit, menses ei per pudendum erumpunt, pusque & sanguis fertur. Graueolens autem per septem, aut octo, aut nouem dies fertur. Priori verò tempore, vt anteà dictum est, laborat. Quũ autem repurgata fuerit, optimum quidem est, si non oboriantur vlcera. Quòd si vlcera remaneant, maiore opus erit curatione, quò vlcera non putrescant & graueolentia reddantur. Infœcũda autem erit, etiamsi meliusculè habeat, si magna in vteris orta vlcera fuerint. Quòd si ei per pudendum non prodeant, futurum est vt menses in pus versi supra inguina per lateris mollitudinem citra tuberculũ erumpant, perrupto nimirùm hac parte *pure, & per eam purulẽta grauis odoris procedent. Quod si accidat, minimè superstes manet mulier; si verò etiam supersit, perpetuò erit infœcũda. Hac enim parte viã factã in posterum ei menses foras prodeũt; nam hunc in locum vterorũ osculum procubuit. Id autem etiam accidit.*

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν συμπτωμάτων τῶν τῇ καταμηνίων ἀποκρύψει ἐπιγινομένων, τοῖς τῆς φθινάδος συμπτώμασιν ὁμοίων· καταμηνίων ἐν τῷ πνεύμονι, καὶ ἐν τῇ μήτρᾳ, καὶ ὑπὸ τοῦ βουβῶνος διαπύων· καὶ τοῦ πυρετοῦ, καὶ τῶν ἑλκῶν, καὶ τῆς ἀφορίας.

Γίνεται δὲ καὶ ταῦτα. Ἔστιν ᾗσι τῶν γυναικῶν [25] ἐπὴν δίμηνα ἢ τὰ καταμήνια ἐν τῇσι μήτρῃσι πολλὰ ἐόντα, ἔρχεται ἐς πλεύμονα, [26] ἐπὴν ἀπολειφθῇ, καὶ πάσχει πάντα, ἅπερ ἐν φθινάδι εἴρηται, καὶ οὐχ οἵη τέ ἐστι περιεῖναι. Γίνεται δὲ καὶ τάδε. ἔστιν ᾗσι διάπυα γίνονται τὰ ἐπιμήνια χρονίσαντα, ἐπὴν γένηται δίμηνα ἢ τρίμηνα· τοῦτο δὲ μάλιστα γίνεται, ἢν ξυγκαῇ ὑπὸ τοῦ πυρός. σημεῖα δέ ἐστιν, ἢν διάπυα ᾖ· ὀδύναι γὰρ ἐμπίπτουσιν εἰς τὸ ἦτρον ἰσχυραὶ καὶ [27] σφύξιες, καὶ ψαυομένη οὐκ ἀνέχεται, καὶ ἢν μέλλῃ βελτιόνως ἔχειν, ῥήγνυται αὐτῇ τὰ ἐπιμήνια κατὰ τὸ αἰδοῖον, καὶ χωρέει πῦον καὶ αἷμα· [28] ὀζόμενον δὲ χωρέει ἐπὶ ἡμέρας ἑπτὰ, ἢ ὀκτὼ, ἢ ἐννέα· ἐν δὲ τῷ πρὶν χρόνῳ πονέεται, ὡς εἴρηται ἔμπροσθεν. Ἐπὴν δὲ ἀποκαθαρθῇ, ἄριστον μὲν ἢν μὴ γένοιτο ἕλκεα· ἢν δὲ ὑπολείπηται ἕλκεα, πλείονος δεήσει θεραπείης, ὅκως τὰ ἕλκεα μὴ μυδήσῃ, καὶ κάκοδμα γένηται· ἄφορος δὲ ἔσται καὶ ἢν ῥαΐσῃ, ἢν μεγάλα ᾖ τὰ ἕλκεα γενόμενα ἐν τῇσι μήτρῃσιν. Ἢν δὲ μή οἱ τὰ κατὰ τὸ αἰδοῖον χωρήσῃ, τὰ ἐπιμήνια διάπυα γενόμενα ἐς τὰ ὑπὸ τοῦ βουβῶνος ξυμβήσεται κατὰ τὴν λαπάρην ῥαγῆναι ἄτερ φύματος, ἅτε τοῦ πύου [29] διαρραγέντος, καὶ κείνῃ χωρήσει πυώδεα ὀδμαλέα· καὶ ἢν τοῦτο γένηται, οὐ περιγίνεται ἡ γυνή· ἢν δὲ καὶ περιγένηται, ἀεὶ ἄφορος ἔσται· ταύτῃ γάρ οἱ τὸ λοιπὸν ἡ ὁδὸς γίνεσθαι τοῖσιν ἐπιμηνίοισιν ἔξω, τὸ γὰρ στόμα τῶν μητρέων πρὸς τοῦτο τὸ χωρίον προσπέπτωκε. γίνεσθαι δὲ καὶ τόδε.

A

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς τοῦ φύματος μεγάλου ἀκεφάλου ὑπὲρ τοῦ βουβῶνος γενέσεως ἐκ τῶν καταμηνίων ἐπισχεθέντων, μὴ διαπύων ὄντων, πρὸς τὴν λαπάρην προσπεσόντων, καὶ τῆς τούτου θεραπείας· καὶ περὶ τῆς ὁδοῦ τοῖς καταμηνίοις διαπύοις ταύτῃ γενομένης· καὶ τῶν τούτων κινδύνων.

Ἔστιν ᾗσιν ἐπὴν δίμηνα, ἢ τρίμηνα, ἢ χρονιώτερα ᾖ τὰ ἐπιμήνια, καὶ προσπέσῃ πρὸς τὴν λαπάρην, μὴ διαπύων τῶν καταμηνίων ἐόντων, ὡς φῦμα γὰρ ὑπὲρ τοῦ βουβῶνος, ἀκέφαλον, μέγα, ἐρυθρόν· καὶ τῶν ἰητρῶν πολλοὶ ἤδη οὐκ εἰδότες τοῦτο οἷόν ἐστιν, ἔταμον, καὶ ἐς κίνδυνον ἤγαγον οὕτως. Τὸ δὲ ὡς φῦμα γινόμενον, γίνεται τρόπῳ τοιῷδε. ἐπαυξίσκεται τοῦ αἵματος ἡ σὰρξ, ἅτε προσκειμένου τοῦ στόματος τῶν μητρέων τῇ λαπάρῃ,[30] καὶ πίμπλαται ἀπ' αὐτέου, καὶ ἐξίσταται ἅτε πληρευμένη τοῦ αἵματος ἡ σάρξ· καὶ ἔστιν ὅτε, ἢν μεταστῇ τὸ στόμα τῶν μητρέων, καὶ γένηται κατὰ τὸ αἰδοῖον, καὶ[31] χωρέουσι διὰ τοῦ αἰδοίου τὰ καταμήνια, καθίσταται τὸ ἐξέρσεν κατὰ τὴν λαπάρην· διαδιδοῖ γὰρ ἐς τὰς μήτρας, αἱ δὲ ἔξω ἐχάλασαν. Ἢν δὲ μὴ[32] τραφῇ κατὰ τὸ αἰδοῖον τὸ στόμα τῶν μητρέων, διαπύεται κατὰ τὴν λαπάρην, καὶ ταύτῃ ὁδὸς γίνεται τοῖσι καταμηνίοισι, καὶ οἱ κίνδυνοι οἱ αὐτοί εἰσιν, οἳ καὶ πρόσθεν εἴρηνται. Τρέπεται δὲ καὶ ἐς ἔμετον, ἔστιν ᾗσι καὶ κατὰ τὴν ἕδρην, ὥσπερ μοι εἴρηται ἐν τῇσι παρθενίῃσι νούσοισι, καὶ σημεῖα, καὶ πόνους τοὺς αὐτοὺς δείκνυσι τοῖσι κεῖθι εἰρημένοισιν.[33] ἧσσον δὲ ταύτην τὴν ὁδὸν ποιέεται τὰ ἐπιμήνια τῇσι γυναιξὶν, ἢ τῇσι παρθένοισιν.

CAPVT V.

De tuberculi magni citra caput, ſupra inguen exortu ex menſtruis ſuppreſſis nec ſuppuratis, ad lateris mollitudinem delatis, eiuſque curatione; ac de via menſtruis ſuppuratis illac patente, eorumque periculis.

B *Nonnullis quum bimeſtres, aut trimeſtres, aut diuturniores menſes extiterint, & ad lateris mollitudinem irruperint, minimè purulentis menſibus, ſupra inguina velut tuberculum exoritur ſine capite, magnum & rubrum; quod plerique Medici olim quid eſſet ignorantes, diſſecuerunt, ſicque* mulieres *in periculum duxerunt. Quod verò vt tuberculum ortum eſt, hoc modo ſuboritur. Quum vterorum oſculum lateris mollitudini adiaceat, caro ſanguine, fruitur ab eóque impletur, & oppleta ſanguine* in molem *aſſurgit.* C *Quandoque etiam ſi vterorum oſculum tranſmotum fuerit, & ad pudendum conuerſum, & per pudendum menſes prodierint, ſubſidet id quod ad lateris mollitudinem* in tumorem *emerſit. In vteros enim diſtribuitur, hi verò foras laxantur. Si verò os vterorum ad pudendum non conuerſum fuerit, circa lateris mollitudinem pus colligit, eáque parte menſibus via patet, & eadē pericula ſunt, quæ priùs enarrata. Vertuntur etiā ad vomitū* menſes, *& quibuſdā ad ſedem, quemadmodum à me in virginum Morbis dictū eſt, & ſigna & labores eoſdē produnt, qui illic dicti ſunt.* D *Hanc autem viā minus mulieribus quā virginibus menſtrua efficiūt.*

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τῶν τῆς κατακρύψεως τῶν καταμηνίων αἰτίων τε καὶ συμπτωμάτων, καὶ θεραπείας· τὰ ἀποκρυφθέντα καταμήνια τὸ κύημα ὑποκρίνεσθαι· τὰ ἀπιόντα σεσηπότα, σαρκία δοκεῖσθαι· τὰ διαπύοντα ὑπὲρ τοῦ βουβῶνος ἐκρήγνυσθαι, ἐν ταῖς μήτραις καὶ τῷ βουβῶνι ἕλκη ποιεῖν, καὶ τὴν ἀφορίαν καὶ θάνατον ἐπάγειν.

Ὁκόταν τὰ ἐπιμήνια κρυφθῇ, ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ δοκέει τι ἐγκεῖσθαι βάρος, καὶ τὰς ἰξύας ἐκπάγλως πονέει, καὶ τοὺς κενεῶνας· ἢν δὲ τὰ ἐπιμήνια παντάπασι μὴ ἐχωρέοντα, γίνεται ὑπὸ νόσου ἢ παχέα, καὶ γλίσχρα, ἢ κολλώδεα. Χρὴ οὖν πρῶτον τὴν κοιλίην καθῆραι, ἄνω τε καὶ κάτω· ἔπειτα τὰς ὑστέρας προσθέτῳ ἀφ' οὗ αἷμα καθαίρεται,[34] καὶ διαλείπειν, καὶ πῖσαι ὑφ' οὗ αἷμα ἴῃ· πινέτω δὲ καὶ κρηθμὸν ἐν οἴνῳ τῷ ἀπὸ δᾳδός. Ἢν δέ οἱ ῥόος μὴ γίνηται, ἔσται ὥστε δοκέειν ἐγκύμονα εἶναι, καὶ μισγομένην ἀνδρὶ ἀλγέειν, ὥστε δοκέειν[35] ἐγκεῖσθαί τι· καὶ βρῖθος ἐν τῇ γαστρὶ[36] ἐγγίνεσθαι, καὶ ἡ γαστὴρ προέχει,[37] καὶ ἱμείρεται ἠδελφισμένως ὡς ἐν γαστρὶ ἔχουσα, καὶ καρδιώσσει, ἐπὴν αἱ ἡμέραι[38] πεντήκοντα μάλιστα ἔωσι, καὶ πόνος ἔχει ἄλλοτε καὶ ἄλλοτε τῆς γαστρὸς[39] τὸ κατὰ τὸν ὀμφαλὸν, τόν τε τράχηλον, καὶ τοὺς βουβῶνας, καὶ τὴν ὀσφύν. καὶ ἐπὴν μῆνες δύο ἢ τρεῖς γένωνται, ἔστιν ὅτε ἐρράγη οἱ κατὰ τὸ

CAPVT VI.

De ſuppreſſionis menſtruorum cauſis, ſymptomatis, & curatione; ſuppreſſa mēſtrua grauiditatem mentiri; prodeuntia putrida, carunculas apparere; purulenta ſupra inguen erumpere; in vteris & inguine vlcera creare; & ſterilitatem ac mortem inducere.

E *Qvum menſes delituerint, dolor infimum ventrem detinebit, & pondus quoddam incumbere videtur, & lumbos & laterum mollitudinem vehementer dolet. Si verò menſes omninò non prodeant, pro morbo craſſi, lenti, & glutinoſi redduntur. Imprimis igitur ventrē ſurſùm ac deorſū purgare oportet; deinde vteros* medicamēto *ſubdititio, à quo ſanguis purgatur, & interquieſcere, ac bibendū dare* aliquod medicamentū, *à quo ſāguis prodeat.* F *Bibat autē & crethmū ex vino tædaceo. Si verò fluor ei non prodeat, continget, vt prægnās eſſe videatur, & in viri congreſſu doleat, vt putet quid incūbere; & pondus aliquod in ventre ineſt, venter prominet, & deſiderijs afficitur, ac ſi vterū geſtaret; ſtomachi morſu afficitur, quū maximè quinquaginta dies præterierint, ventrē aliàs atq; aliàs dolor detinet circa vmbilicū, & ceruicē, & inguina, ac lūbos. Et poſtquā duo aut tres menſes præterierint, interdū ei per pudendū*

menſtrua

menstrua confertim erumpunt, & quae prodeunt ut carunculae esse videntur, velut ex fœtûs corruptione, & nigra sunt. Quibusdam verò vlcera quoquè in vteris oriuntur, tumque diligenter animum ad curam intendere oportebit. Plerisque etiam contingit, vt se sex mensibus, aut etiam paulò breuiore tempore vterum gestare existiment, venter prominet, reliquáque ei euenire videntur, quae vtero gerenti. Posteà quibusdam ineunte quinto aut sexto mense suppurati menses *supra inguen eruperunt, eâque sibi viam fecerunt. Quibusdam autem vlcera in vteris oriuntur, etiam infrà sub inguine, & de vita* mulier *periclitabitur; at si etiam euaserit, sterilis erit. Sunt quibus etiam per pudendum erumpunt, & putrefacti ac purulenti ipsi prodeunt, ab ijsque vlcera in vteris oriuntur, & periclitabitur. Atque oportet vt ne inueterascant vlcera, diligenter mederi. Haec autem etiamsi curata fuerit, sterilis manebit. Quòd si menses ei non eruperint sex mensibus coërciti, vniuersa patietur, quae partum non experta, quum menses viam inuenire nequeunt. Ac si quidem curata fuerit, conualescet; sin minùs, ad octo etiam menses perdurans, moritur. Multis verò contingit, si pituitosi menses diuturno tempore prodeant, etiam pauciores esse sanis. Sana autem euadit, si conuenienti ordine curetur.*

A αἰδοῖον τὰ καταμήνια ἀθρόα, καὶ δοκέει ὥσπερ [40] σαρκία εἶναι τὰ ἀπιόντα ὡς ἐκ διαφθορῆς, καὶ μέλανα. Ἔστι δ' ἧσι καὶ ἕλκεα γὰρ ἐν τῇσι μήτρῃσι, καὶ δεήσεται προσέχειν τῇ μελέτῃ. πολλῇσι δὲ συμβαίνει, ὥστε δοκέειν ἓξ μῆνας ἔχειν ἐν γαστρὶ, ἢ καὶ [41] ὀλίγῳ ἐλάσσονα χρόνον, καὶ ἡ γαστὴρ προέκειται, καὶ τ' ἄλλα οἱ δοκέει γίνεσθαι ὥστε ἐν γαστρὶ ἐχούσῃ· ἔπειτα ἔστιν ἧσι B [42] διαπυόντα ἐῤῥάγη ὑπὲρ τοῦ βουβῶνος ἅμα τῷ πέμπτῳ ἢ ἕκτῳ μηνὶ, καὶ ὁδὸν [43] ταύτῃ ἐποιήσατο. Ἔστι δὲ καὶ ἧσιν ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι [44] καὶ κάτω ὑπὲρ τοῦ βουβῶνος, καὶ κινδυνεύσει ἀποθανεῖν· ἢν δὲ καὶ περιγένηται, ἄφορος ἔσται. ἔστι δὲ ἧσι καὶ κατὰ τὸ αἰδοῖον ῥήγνυται, καὶ χωρέει αὐτέῃ σεσηπότα καὶ πυώδεα, καὶ ἀπὸ τουτέων ἕλκεα ἐγγίνεται ἐν τῇσι μήτρῃσι, καὶ κινδυνεύσει· καὶ χρὴ, ὅκως μὴ τὰ ἕλκεα παλαιὰ γένηται, ἰητρεύειν προσέχοντα. ἄφορος C δὲ καὶ αὕτη γίνεται, ἤν γε καὶ ἰηθῇ. ἢν δὲ μὴ οἱ ῥαγῇ τὰ καταμήνια διενεχθέντα ἓξ μῆνας, πείσεται πάντα ἅπερ τῇ ἀτόκῳ τὰ καταμήνια ὁδὸν οὐ δυνάμενα εὑρεῖν. καὶ ἢν μὲν θεραπευθῇ, ὑγιὴς ἔσται· ἢν δὲ μὴ, [45] διαρκέσασα καὶ ἐς ὀκτὼ μῆνας, θνήσκει. πολλῇσι δὲ γίνεται, ἢν τὰ καταμήνια φλεγματώδεα [46] χωρέοντα ἐπὶ πολλὸν χρόνον, καὶ ἐλάσσονα εἶναι τῶν ὑγιηρῶν· ὑγιὴς δὲ γίνεται ἐν κόσμῳ τῷ προσήκοντι ἰηθεῖσα.

D

CAPVT VII.

De prodeuntium sed pauciorum mensium causis, & symptomatis grauissimis, sterilitatem, claudicationem, & mortem inducentibus.

QVòd si menses mulieri quidem prodeant, verùm pauciores quàm conueniat ferantur, vteri nimirum osculo paulùm à pudendo deflectente, aut citò concidente, adeò vt prodeant quidem, ab ipsis autem transitus quos pertranseunt obturentur, vbi in vteros descenderint; moderati sanè paulatim prodeunt, sanguine tandem semper ad osculum incumbente. At posteaquàm dies, quibus purgari assueuit, praeterierint, sanguisque relictus in vteris coërcitus fuerit, neque alij subeuntes menses conclusum sanguinem expulerint, verùm paulatim semper grauant, primisque duobus aut tribus mensibus non admodùm prodeunt. At vbi plures menses extiterint, adhuc magis laborabit, neque quandiù sic habuerit, vtero gestat, eamque febris lenta prehendet, ijs potissimum diebus quibus purgari assueuerat. Ipsam autem intermedio etiam tempore febricitare, & horrescere, & cardiogmo vexari vero est simile, & ad copiam singulis diebus addere. Dolet etiam aliàs atque aliàs corpus, maximéque lumbos, & spinam, & inguina, manuumque & pedum articulos. Neq; haec simul dolent, sed vicissim quocunque secretus sanguis, qui vteris inesse nequit, impetum fecerit, & quà corporis parte decubuerit, tumor existit; tum & articulorum corporis vehemens oboritur conuulsio, ex alijsque praedictis signis aliud aliàs ei interdùm apparet.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν χωρούντων μὲν, ἐλασσόνων δὲ, καταμηνίων αἰτίων, καὶ συμπτωμάτων χαλεπωτάτων, τὴν ἀφορίαν, καὶ χώλευμα, καὶ θάνατον ἐπιφερόντων.

ΗΝ δὲ τὰ ἐπιμήνια γυναικὶ χωρέῃ μὲν, ἐλάσσονα δὲ τοῦ δέοντος χωρέῃ, ἅτε τοῦ στόματος τῶν μητρέων [47] παρακεκλιμένου ὀλίγον τοῦ αἰδοίου, [48] ἢ θερμεῖ μεμυκότος ἐς τοῦτο, ὥστε χωρέειν μὲν, [49] ἀποφράσσεσθαι δὲ ἀπ' αὐ- E τέων καὶ αἱ δίοδοι ἃς περαιοῦσιν, ἐπὴν κατέλθῃ ἐς τὰς μήτρας· [50] τὰ μέτρια τελείως, τοῦ αἵματος ἐπικειμένου τῷ στόματι αἰεὶ, προσέρχεται [51] δὴ καὶ ὀλίγον. καὶ ἐπὴν αἱ ἡμέραι παρέλθωσιν, ᾗσι καθαίρεσθαι μεμαθήκει, καὶ εἰρχθῇ τὸ αἷμα ἐν τῇσι μήτρῃσι τὸ ὑπολειφθὲν, καὶ ἕτερα [52] ὑποκατιόντα ἐπιμήνια μὴ ἐξωθῇ τὸ ἐρχθὲν αἷμα, [53] ἀλλ' αἰεὶ βαρύνει κατ' ὀλίγον, ἔς τε τοὺς πρώτους μῆνας, ἢ ἐπὶ δύο, ἢ ἐπὶ τρεῖς μὴ ἐσίῃ κάρτα. ἐπὴν δὲ οἱ μῆνες πλέονες γένωνται, ἔτι μᾶλλον πονήσεται, καὶ οὐκ F ἴσχει ἐν γαστρὶ, μέχρις ἂν οὕτως ἔχῃ· καὶ πῦρ λήψεταί μιν μάλιστα τὰς ἡμέρας, [54] ἐν τῇσιν καθαίρεσθαι μεμαθήκει, ἠπεδανόν· εἰκὸς δέ ἐστι καὶ ἐν τῷ μεταξὺ χρόνῳ πυρεταίνειν, καὶ φρίσσειν, καὶ καρδιώσσειν, [55] καὶ ἀνάγειν ἐπὶ τὸ πλῆθος ἀνὰ πᾶσαν ἡμέρην. καὶ ἀλγέει ἄλλοτε καὶ ἄλλοτε τὸ σῶμα, καὶ μάλιστα τὴν ὀσφὺν, καὶ τὴν ῥάχιν, καὶ τοὺς βουβῶνας, τά τε ἄρθρα τῶν χειρῶν καὶ τῶν [56] ποδῶν· ταῦτα δὲ οὐχ ὁμοῦ ἀλγέει, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε, ὅπῃ ἂν βρίσῃ τὸ αἷμα τὸ ἀποκεκριμένον καὶ μὴ δυνάμενον [57] εἶναι ἐν τῇσι μήτρῃσι, καὶ ὅπῃ ἂν στηρίξῃ τοῦ σώματος, οἴδημά ἐστιν· ὅτε γὰρ καὶ σπασμὸς ἰσχυρὸς τῶν ἄρθρων τοῦ σώματος, καὶ τῶν ἄλλων σημείων τῶν προειρημένων φαίνεταί οἱ ἄλλοτε ἄλλο ἔστιν ὅτε.

Αὕτη ἣν μὲν θεραπευθῇ κατὰ τρόπον, ὑγιὴς ἔσται· εἰ δὲ μὴ, ἡ νόσος ἑπτάμηνος ἢ καὶ χρονιωτέρη γινομένη [58] θανατώδης εἴη ἄν, ἢ χωλώσειεν, [59] ἢ ἀκρατέα τινὰ τῶν μερέων ποιήσειεν, ἢν ὑπὸ ῥίγεος καὶ ἀσιτίης τὸ αἷμα ἔνθα ἂν ἐπέλθῃ, πῆξιν ἴσχῃ περὶ τὰ νεῦρα. τοῦτο δὲ τὸ νόσημα τῇσι μᾶλλον τῇσιν ἀνάνδροισιν. [60] Ην δὲ μὴ ἐμπειροτόκῳ ταῦτα τὰ νοσήματα ἐμπέσῃ τὰ εἰρημένα, ἢ ἃ μέλλει εἰρήσεσθαι, πουλυχρονιώτερα ἔσται, καὶ ἧσσον ἐπίπονα. τὰ δὲ σημεῖα ταῦτα καὶ τελευταὶ αἱ [61] αὐταὶ γίνονται τῇ τε [62] ἀτόκῳ, καὶ τῇ λοχείων ἐμπείρῳ, ἢν μὴ θεραπεύωνται. χρὴ δὲ αὐτίκα τὴν θεραπείην ποιέεσθαι· εἰ δὲ μὴ, ἐπιφαίνεται αὐτίκα τὰ νουσήματα.

Hæc si quidem decenti modo curata fuerit, conualescet: Sin minus, morbus septimestris, aut etiam diuturnior factus lethalis euaserit, aut claudam reddiderit, aut aliquas partes impotentes effecerit, si sanguis præ rigore & cibi fastidio quemcunque in locum irruperit, circa neruos concretionẽ habuerit. Hic verò morbus orbis viro magis contingit. At si huiusmodi morbi iam narrati, aut de quibus dicetur, in partum non expertam inciderint, diuturniores erunt minúsq; molesti. Eadem autem signa, ijdemq; exitus contingunt, tum ei quæ non peperit, tum ei quæ puerperia experta est, nisi curentur. Quamprimùm verò curationem moliri oportet; sin minùs, statim se morbi produnt.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Αἱ τῶν ἐπιμηνίων πλειόνων τοῦ δέοντος καὶ παχυτέρων χωρεόντων αἰτίαι, καὶ τὰ σημεῖα, καὶ τὰ συμπτώματα.

ΗΝ δὲ τὰ ἐπιμήνια πλείονα τοῦ δέοντος χωρέῃ, καὶ παχύτερα, οἷα τοῦ σώματος φύσει τε εὐρέος ἐόντος, καὶ τοῦ [63] στόματος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου, καὶ ἐπὶ τουτέοισιν ἀνδρί τε ξυνίῃ πολλὰ, καὶ εὐωχέηται, ἐσάπαξ ποτὲ [64] πολλὰ κατελθόντα καὶ χωρέοντα εὐρύνει, ἐπὴν ῥυῇ μᾶλλον τὸ στόμα τῶν μητρέων βιασάμενα· [65] καὶ ἐπὶ τουτέοισι μὴ ἐπιπέσῃ κενεαγγείη, ἀλλ' αὖθις πολλὰ [66] ἢν ἀλέα, καὶ τὸ στόμα εὐρὺ ποιέῃ καὶ τὸ σῶμα, ἅτε εὐωχευμένης, μισγομένης τε καὶ συνεούσης ἀνδρὶ, εὔροον ἐπὶ τὰς μήτρας, [67] καὶ ἀλέα ἐπιφέρηται, ἄχροος τε ἔσται μέχρις ἂν οὕτως ἔχῃ, καὶ ἢν ὕστερόν τι νόσημα ἢ πάθημα ἐπιπέσῃ ὥστε τρυχωθῆναι τὸ σῶμα, ὁμοίως αἵ τε μῆτραι κατὰ τὸ εἰωθὸς εὐρύστομοί εἰσι, καὶ τὸ σῶμα εὔροον ἐς αὐτάς ἐστιν. καὶ μετὰ ταῦτα πῦρ ἔχῃ, καὶ ἀσιτέῃ, [69] καὶ ἀλύῃ, καὶ λεπτὴ, καὶ ἀμενηνὴ, καὶ τὴν ὀσφὺν ἐκ τῶν ἐπιμηνίων πονήσει, καὶ τοῦ χρόνου προϊόντος ἢν μὴ θεραπευθῇ, πάντα μὲν μᾶλλον πονήσει ἐν τῷ μεταξὺ χρόνῳ, καί οἱ ἔσται κίνδυνος ἄφορόν τε γενέσθαι, ἢ τρυχωθεῖσαν ὑπὸ χρόνου τε καὶ τῆς νόσου, ἤν τι οἱ ξυμπέσῃ καὶ ἄλλο νόσημα, ἐπὶ τουτέῳ θανεῖν αὐτήν. Χωρέει δὲ τὰ καταμήνια [70] παχύτερα καὶ πλεῖστα τῶν ἡμερέων τῇσιν ἐν μέσῳ· ἀρχόμενα δὲ καὶ τελευτῶντα, ἐλάσσονα καὶ λεπτότερα.

CAPVT VIII.

De mensium, quàm deceat, copiosiorum & crassiorum prodeuntium causis, signis, symptomatis.

AT verò si menses copiosiores quam oporteat, & crassiores prodeant, cum nimirùm corpus naturâ meabile, & vterorum os prope pudendum situm sit, adhæc etiam frequenti cum viro coitu vtatur, & liberaliter epuletur, semel omninò aliquando copiosi delati & cumulatè prodeuntes, vterorum os suo impetu magis dilatant. Quòd si *adhæc non accidat vasorum depletio, sed rursùs multa accesserint, & os amplum faciunt; & corpus,* muliere *nimirum lautè epulante, venerem appetente, virique consuetudine fruente,* quum *ad vterum meabile sit, & conferta deferantur; decolor erit quoad sic affecta fuerit, & si posteà morbus aut affectio aliqua inciderit, quâ corpus conficiatur, similiter & vteri pro consuetudine os amplũ habent, corpusq; ad eos meabile est. Posteáque febris detinet, cibos auersatur, & anxia est, tenuis, ac debilis; & lumborum ex mensibus dolor aderit, temporéque procedente nisi curata fuerit, intermedio tempore omnia eam magis affligent; & huic periculum erit, ne sterilis reddatur, aut tempore & morbo confecta, si quis alius morbus contingat, ex eo moriatur. Prodeunt autem menses crassiores & copiosiores in intermedijs diebus; pauciores verò & tenuiores, quum incipiunt vel desinunt.*

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Τὸ τῶν μετρίων ἐν γυναικὶ ὑγιαινούσῃ καταμηνίων μέτρον, καὶ ὁ χρόνος, καὶ ἡ ποιότης. τὰς γυναῖκας τῇ μὲν τῶν καταμηνίων χωρεόντων πολυχρονιότητι τε καὶ πλήθει λεπτὰς γίνεσθαι, καὶ ἀμαλδύνεσθαι· τῇ δὲ βραχύτητι, καὶ ὀλιγότητι παχείας καὶ εὐχρόους, ἀνδρικάς τε καὶ ἀτόκους εἶναι, καὶ μὴ κυΐσκεσθαι.

ΜΕτρια δ' ἐστὶ πάσῃ γυναικὶ χωρέειν, ἢν ὑγιαίνῃ, τὰ ἐπιμήνια ἐλθόντα, ὅσον κοτύλαι δύο Ἀττικαὶ, ἢ ὀλίγῳ πλέονα, ἢ ἐλάσσονα, ταῦτα δὲ ἐφ' ἡμέρας δύο ἢ τρεῖς· ὁ δὲ πλείων χρόνος ἢ ἐλάσσων, ἐπίνοσος καὶ ἄφορος ἐστι. τεκμαίρεσθαι δὲ χρὴ ἐς τὸ σῶμα τῆς γυναικὸς ὁρέοντα, καὶ ἐρωτᾷν [71] πρὸς τὸ πρότερον ξυμβαλλόμενον, εἴτε ἐπίνοσος [72] ἀεὶ ζῇ, εἴτε μή. ἢν γὰρ ἐλάσσονας ἢ πλέονας ἡμέρας [73] τοῦ συνήθεος φοιτᾷ, ἢ αὐτὰ ἐλάσσονα, ἢ πλείονα εἴη, ἐπίνοσά ἐστιν, ἢν μὴ φύσις αὐτῇ νοσηρὴ καὶ ἄφορος ᾖ. ἢν δὲ οὕτω ᾖ, καὶ μεθίστηται ἐπὶ τὸ ὑγιηρότερον, ἄμεινον.

CAPVT IX.

Mensium sanæ mulieris moderatorum mensura, tempus, & qualitas; mulieres mensium prodeuntium diuturnitate & vbertate tenues & macilentas; breuitate & paucitate crassas, bene coloratas & viriles fieri, nec parere, nec concipere.

AT omni mulieri si sana sit, prodeuntes menses moderati sunt, qui ad duarum Atticarum heminarũ mẽsurã, aut paulò plures, aut pauciores, idq; ad biduũ vel triduũ manãt. Longius autẽ tẽpus aut breuius, morbosũ aut sterile est. Coijcere verò oportet, mulieris corpus intuẽtẽ, & collatione ad priora factâ interrogare, nũ morbosa, necne, sẽper viuat. Si enim paucioribus aut pluribus solito diebus aduenerint, aut ipsi parciores aut copiosiores fuerint morbosi sũt, nisi natura morbosa & sterilis ipsa sit. Si verò id fuerit, & ad salubriorẽ statũ permutetur, satius est.

Prodit

Prodit autem sanguis qualis è victima, citóque concrescit, si mulier sana sit. At quibus à natura inest, vt pluribus quàm quatuor diebus purgentur, & admodùm copiosi menses ferantur, eæ tenues redduntur, earúmque fœtus tenues sunt, & marcescunt. Quibus verò parcior, quàm tribus diebus, purgatio contingit, aut pauci menses prodeunt, eæ crassæ sunt, bene coloratæ, viriles que; ac partûs immemores hæ, neque concipiunt.

χωρέει δὲ αἷμα οἷον ἀπὸ ἱερείου, καὶ [74] ταχὺ πήγνυται, ἢν ὑγιαίνῃ ἡ γυνή. ᾗσι δὲ ἐν φύσει ἐστὶ πλέονα καθαίρεσθαι τεσσάρων ἡμερέων, καὶ πολλὰ κάρτα χωρέει τὰ ἐπιμήνια, αὗται λεπταὶ γίνονται, καὶ τὰ ἔμβρυα αὐτέων, λεπτὰ, καὶ ἀμαλδύνεται. ᾗσι δὲ τεσσάρων ἡμερέων ἔλασσον ἡ κάθαρσις γίνεται, ἢ ὀλίγα χωρέει, αὗται παχεῖαι, καὶ εὔχροοι, ἀνδρικαί τε· οὐ μνησιτόκοι εἰσὶν αἵδε, οὐδὲ κυΐσκονται.

CAPVT X.

De repentinæ suffocationis hystericæ causis & signis; quibus potissimùm hæc accidat; ac de vteri ascensu & descensu, & vtriusque symptomatis.

ATsi repentè suffocatio accesserit; his autem potissimùm contingit, quæ viris non copulantur, & senioribus potiùs quàm iunioribus; earum enim vteri leuiores existunt. Id verò tum maximè contingit, quum magna vasorum euacuatio, aut solito vehementior labor accesserit. Vehementi labore resiccati vteri conuertuntur, quum sint vacui ac leues. Amplus enim his locus est, quò conuertantur, vacuo nimirùm existente ventre. Dum autem conuertuntur, iecur appetunt, ei adhærescunt, & ad hypochondria impetum faciunt. Labore nanque plùs quàm par est, resiccati, sursùm ad humorem currunt ac feruntur. Iecur autem humidum est. Quum autem hepar appetiuerint, suffocationem faciunt derepentè, perspirationem circa ventrem intercipientes; interdùm etiam simul atque vteri hepar appetere cœperint, pituita à capite, velut suffocatæ, ad hypochondria defluit; nonnunquam etiam vnà cum pituitæ defluxu, ab hepate in locum suum feruntur, suffocatioque cessat. Descendunt autem, humore attracto, eôque grauati. Stridor autem ab ipsis concitatur, vbi ad suam sedem feruntur; quò quum venerint, post illa interdum venter humidior quàm superiori tempore, redditur. Laxat enim iam caput in ventrem pituitam. Vbi verò circa hepar & hypochondria vteri fuerint, strangulant, oculorum alba sursùm conuertit, & frigida redditur; sunt autem & quæ liuidæ fiunt; quædam etiam dentibus strident; saliua in os confluit, & similes ijs fiunt, qui morbo Herculeo detinentur. Quòd si vteri circa hepar ac hypochondria diutiùs immorentur, mulier suffocatur. Interdum etiam, vbi mulier vasorum vacuationem passa fuerit, ac præterea laborarit, vteri conuersi, ad vesicæ osculum procumbunt, & stranguriam inducunt. Nullum autem aliud habet malum, & curata breui conualescit; nonnunquam etiam sponte. Quibusdam verò ex labore aut inedia, ad lumbos & coxas irruentes, dolores excitant.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῆς ἐξαπιναίας ὑστερικῆς πνιγὸς αἰτίων τε καὶ σημείων· καὶ ᾗσιν αὕτη μάλιστα γίνεται. καὶ περὶ τῆς μητρέας ἀναβάσεώς τε καὶ καταβάσεως, καὶ τῶν ἀμφοτέρων συμπτωμάτων.

ΗΝ δὲ πνὶξ προσῇ ἐξαπίνης, γίνεται δὲ μάλιστα τῇσι μὴ ξυνιούσῃσιν ἀνδράσι, καὶ τῇσι γεραιτέρῃσι μᾶλλον, ἢ τῇσι νεωτέρῃσι, κουφότεραι γὰρ αἱ μῆτραι σφέων εἰσί· γίνεται δὲ μάλιστα [75] τότε, ἐπὴν κενεαγγήσῃ, καὶ ταλαιπωρήσῃ [76] πλείονα τοῦ μετρίου. ἀναυανθεῖσαι αἱ μῆτραι ὑπὸ τῆς ταλαιπωρίης, στρέφονται, ἅτε κεναὶ ἐοῦσαι καὶ κοῦφαι· εὐρυχωρίη γάρ σφιν ἐστὶν, ὥστε στρέφεσθαι, ἅτε τῆς κοιλίης κενεῆς ἐούσης. στρεφόμεναι δὲ, ἐπιβάλλουσι τῷ ἥπατι, καὶ ὁμοῦ γίνονται, καὶ ἐς τὰ ὑποχόνδρια ἐμβάλλουσι· θέουσι γὰρ καὶ ἔρχονται ἄνω πρὸς τὴν ἰκμάδα, ἅτε ὑπὸ τῆς ταλαιπωρίης ξηρανθεῖσαι μᾶλλον τοῦ καιροῦ· τὸ δὲ ἧπαρ ἰκμαλέον ἐστίν. Ἐπὴν δὲ ἐπιβάλλωσι τῷ ἥπατι, πνῖγα ποιέουσιν ἐξαπίνης ἐπιλαμβανόμεναι τῆς διαπνοῆς [77] τῆς περὶ τὴν κοιλίην· καὶ ἅμα τε ἄρχονται ἔστιν ὅτε προσβάλλειν πρὸς τὸ ἧπαρ, καὶ ἀπὸ τῆς κεφαλῆς φλέγμα καταρρέει ἐς τὰ ὑποχόνδρια, οἷα πνιγομένης· καὶ ἔστιν ὅτε ἅμα τῇ καταρρύσει τοῦ φλέγματος, ἔρχονται ἐς χώρην ἀπὸ τοῦ ἥπατος, καὶ παύεται ἡ πνίξ. κατέρχονται δὲ καθέλκουσαι ἰκμάδα καὶ βαρυνθεῖσαι· τρυσμὸς δὲ ἀπ' αὐτέων γίνεται, ἐπὴν χωρέωσιν ἐς ἕδρην τὴν σφῶν αὐτέων· ἐπὴν δὲ ἔλθωσιν, ἔστιν ὅτε ἡ γαστὴρ μετ' ἐκεῖνα ὑγροτέρη γίνεται, ἢ ἐν τῷ πρὶν χρόνῳ· χαλᾷ γὰρ ἤδη ἡ κεφαλὴ τοῦ φλέγματος ἐς τὴν κοιλίην. Ἐπὴν δὲ πρὸς τῷ ἥπατι ἔωσιν αἱ μῆτραι καὶ τοῖσιν ὑποχονδρίοισιν, πνίγουσι, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἀναβάλλει, καὶ ψυχρὴ γίνεται· εἰσὶ δὲ αἳ καὶ πελιδναὶ γίνονται· ἡ δὲ καὶ τοὺς ὀδόντας βρύχει· καὶ σίαλα ἐπὶ στόμα ῥέει, καὶ ἐοίκασι τοῖσιν ὑπὸ τῆς Ἡρακλείης νόσου συνεχομένοισιν. ἢν δὲ χρονίσωσι αἱ μῆτραι πρὸς τῷ ἥπατι καὶ τοῖσιν ὑποχονδρίοισιν, ἀποπνίγεται ἡ γυνή. Ἔστι δ' ὅτε ἐπὴν κενεαγγήσῃ ἡ γυνὴ καὶ ἐπιταλαιπωρήσῃ, αἱ μῆτραι στρεφόμεναι, πρὸς τῆς κύστιος τὸν στόμαχον προσπίπτουσι, καὶ στραγγουρίην ποιέουσιν· ἄλλο δὲ οὐδὲν κακὸν ἴσχει, καὶ ἐν τάχει ὑγιαίνει θεραπευομένη, ἔστι δ' ὅτε καὶ αὐτομάτη, ἔστι δ' ᾗσιν ἐκ ταλαιπωρίης ἢ ἀσιτίης, πρὸς ὀσφὺν ἢ πρὸς ἰσχία προσπεσοῦσαι, πόνους παρέχουσιν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τοῦ ῥοῦ τῶν ἐν γυναικὶ νοσούσῃ καταμηνίων χολωδῶν, τῶν πυκνοτέρων καὶ ἐλασσόνων· καὶ τῶν τούτου σημείων, καὶ χαλεπωτάτων, εἰ μὴ θεραπεύηται, συμπτωμάτων.

Ἢν δὲ γυνὴ τὸ σῶμα φλαύρως ἔχῃ, καὶ ἴῃ χολώδεα [79] τὰ καταμήνια, εὔγνωστά ἐστι τῷδε· μέλανά ἐστι κάρτα, ἔστι δ' ὅτε μέλανα ἢ λαμπρὰ, καὶ κατ' ὀλίγιστα ἔρχεται, [80] καὶ τάχιστα πήγνυται, καὶ ὁ γόνος ἀμαλδύνεται ἀμφοῖν, τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος, καὶ οὐκ ἴσχει ἐν γαστρί. καὶ ἀρχομένης μὲν τῆς νόσου, καθαίρεται τὰς ἡμέρας ἃς μεμαθήκει, οὐ πλέονας· προϊόντων δὲ τῶν ἐπιμηνίων, πλείονας ἡμέρας καθαίρεται, καὶ ἐλάσσονα τὰ καταμήνια καθ' ἑκάστην ἡμέρην φαίνεται. πυρετοί τε ἐπιγίνονται [81] πλανῆται, ὀξέες, ξὺν φρίκῃ, καὶ ἀσιτίη, ἄλλοτε καὶ ἄλλοτε καὶ καρδιωγμὸς, καὶ πονήσει μάλιστα ἐπὴν πλησιάζωνται τὰ καταμήνια αὐτέῃ· ἐπὴν δὲ ἀποκαθαρθῇ, καὶ ῥηΐσει ἐπ' ὀλίγον χρόνον πρὸς τὰ [82] πρόσθεν, ἔπειτα δὲ αὖθις ἐς τὠυτὸ καταστήσεται. Μελεδαινομένη δὲ ἐν τάχει ὑγιαίνει· ἢν δὲ μὴ θεραπεύηται, καὶ ὁ χρόνος προΐῃ, πάντα μιν μᾶλλον πονήσει τὰ πρόσθεν εἰρημένα, καὶ ὀδύνη λήψεται, τοτὲ μὲν τῆς γαστρὸς τὸ κάτω τοῦ ὀμφαλοῦ, τοτὲ δὲ τοὺς βουβῶνας, τοτὲ δὲ τὴν ὀσφύν τε καὶ κοχώνην, τοτὲ δὲ τὸν αὐχένα· τοτὲ δὲ πνὶξ προσπεσεῖται ἰσχυρὴ, καὶ περὶ τοὺς ὀφθαλμοὺς ζόφος ἔσται οἱ καὶ δῖνος, οἷα τῆς καθάρσιος [83] ἄνω στελλομένης, καὶ ἀνιούσης. ἢν γὰρ τὸ σῶμα φλαύρως ἔχῃ, γυναικὶ τὰ καταμήνια ἐλάσσω γίνεται· καὶ ἧσιν ἂν τὸ σῶμα ἔμπλεον ᾖ, τὰ καταμήνια ταύτῃσι πλείονά ἐστι. Τῇ δὲ χολώδεϊ τὰ καταμήνια ἢν ἔρχηται, ὀλιγοψυχίη ἐμπίπτει, καὶ ἀποσιτίη ἄλλοτε καὶ ἄλλοτε, καὶ ἀλυσμὸς, καὶ ἀγρυπνίη, καὶ ἐρυγγάνει θαμινὰ, καὶ οὐκ ἐθέλει περιπατέειν, καὶ ἀθυμέει, καὶ ἐμβλέπειν οὐ δοκέει, καὶ δέδιεν. καὶ ἢν μελεδαίνηται, ἐκ τουτέων ὑγιὴς ἔσται· ἢν δὲ ὁ χρόνος προΐῃ, ἔτι μᾶλλον πονήσει. ξυμβαίη δ' ἂν ἄριστα, ἢν ἔμετος χολώδης ἐπιγίνηται, ἢν ἡ κοιλίη ταραχθῇ μὴ ἰσχυρῶς, καὶ ὑπίῃ χολώδεα, καὶ ῥόος ἐπιγίνηται αὐτῇ μὴ ἰσχυρός. ἢν μὲν γάρ τι τουτέων ἐπιπέσῃ ἰσχυρὸν ἐπὶ σῶμα τετρυχωμένον, κινδυνεύσει· ἢν δὲ ἠρεμέως ἀποκαθαίρηται τοῦ χολώδεός τι, ἢ πᾶν τὸ λυπέον, ὑγιὴς γίνεται. ἢν δὲ μήτε μελεδαίνηται, μήτε μηδὲν τουτέων γίνηται, θνήσκει ἡ γυνή· ὡς δὲ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει ῥόον ἐμπίπτειν χολώδεα ἐκ τοιουτέου νοσήματος. [84] ἢν ῥόος γίνηται, κατὰ μὲν πρῶτα, ὀλίγα οἱ τὰ φαινόμενα ἔσται· [85] ἀνὰ πάσας δὲ τὰς ἡμέρας ὡς ἐπίπαν, πλέονα ξυμβαίνει· ὁκόταν δὲ ὁ χρόνος προΐῃ, ὡς ἐπιτοπλέον καὶ ἡ νοῦσος ὀξείη γίνηται, καὶ αἱ μῆτραι δάκνονται ὑπὸ τῆς καθάρσιος τοῦ χολώδεος χωρεούσης, καὶ ἑλκοῦνται. ἔτι δὲ καὶ ἐν τούτῳ [86] ὑγιαίνει μελεδαινομένη, ἢν οἱ ἐρχθῇ ὁ ῥόος. ἢν δὲ φλεγμαίνωσιν αἱ μῆτραι ὑπὸ τῶν ἑλκέων, ἔτι ὀξυτέρη ἡ νοῦσος ἔσται, καὶ πολλά τε, καὶ ὀδμαλέα, καὶ πυώδεα ἐλεύσεται ἀπ' αὐτέων τῶν μητρέων ἤδη ἀπιόντα, καὶ ἑκάστοτε οἷον ἀπὸ [87] κρεῶν, καὶ τὰ πρότερον εἰρημένα ἅπαντά μιν μᾶλλον πονήσει,

CAPVT XI.

De mensium in ægrota muliere biliosorum, copiosiorum, ac parciorum, fluxu; eiusque signis, & grauissimis, si curata non fuerit, symptomatis.

At si mulier corpore malè habuerit, & menses biliosi prodierint, ex hoc facilè dignoscuntur. Admodùm nigri sunt, interdùm verò nigri aut splendidi; paucissimique feruntur, & citissimè concrescunt; ambórumque semen, tum maris, tum fœminæ languidum euanescit, neque vtero gestat. Atque morbo quidem exordiente, purgatur diebus quibus consueuit, non pluribus. Procedentibus autē mensibus, pluribus diebus purgatur, & singulis diebus pauciores menses apparent. Febres quoq; erraticæ acutæ succedunt, cum horrore & cibi fastidio, interdū & cardiogmus, tuncq; maximè vexabitur, vbi ei in propinquo menses fuerint. Postquam autē repurgata fuerit, & paulò melius habebit quā antea; posteà rursus ad eundē relabetur statum. Breui tamen conualescit, si accuratè curetur. At si non curetur, procedatque tempus, eam commemorata omnia valdè affligent, & dolor modò quidem ventris partem vmbilico inferiorem inuadet, modò verò inguina, quandoque etiam lumbos, & coxendicis commissuram ad sedem, quandoque verò ceruicem. Interdùm quoque vehemens continget strangulatus, & antè oculos ei caligo obuersabitur, & vertigo, velut purgatione sursùm missâ & resiliente. Si nanque corpus malè habuerit, mulieri pauciores menses contingunt; & quibus corpus plenum fuerit, his copiosiores menses feruntur. Biliosæ verò si menses prodeant, animi deiectio incidit, & multoties cibi fastidium, anxietas, insomnia, frequens ructus, obambulare recusat, animum despondet, neque videre videtur, & metuit. Quòd si curetur, ex his conualescet. At si tempus processerit, magis etiamnùm laborabit. Optimè autem cum ea agetur, si biliosa succedat vomitio, si aluus non vehementer turbetur, & biliosa subeant, ac fluor non vehemens ei superueniat. Horum enim siquid vehemens in corpus confectum inciderit, periclitabitur. Quòd si biliosi humoris aliquid, aut id totum quod molestum est, sensim repurgetur, sana euadit. Si verò neque curetur, neque horum quicquam contingat, mulier moritur. Plerúnque tamen ex hoc morbo contingit, fluorem biliosum incidere. Quod si fluor eueniat, primis quidem diebus ei pauca apparebunt; per omnes autem dies omninò copiosiora contingunt. Quum verò tempus processerit, ferè semper acutus morbus fit, biliosâque purgatione prodeunte vteri mordentur & vlcerantur. Sed & in hoc etiamnùm curata conualescit, si ei fluor coërceatur. At si ab vlceribus vteri inflammentur, etiamnùm acutior morbus erit, & copiosa, & graueolentia, ac purulenta prodibunt ab ipsis vteris egressa, & frequenter tanquàm à carnibus effluent, omniaque priùs commemorata eam magis affligent,

efferatáque

efferatáq; magis vlcera reddentur, donec eam euincant. Quòd si etiam curetur, sterilis erit propter cicatrices.

CAPVT XII.

De mensium mulieris ægrotantis pituitosorum dignotione, causis, & grauissimis, si probè curata non fuerit, symptomatis; ac maximè de fluxu sanioso terram abradente, & vteros exulcerante.

Atsi mulier malè habuerit corpore, & pituitosi menses prodierint; dignoscentur autem si pituitosi prodeant, pelliculosi enim ei apparent, & velut aranearum telæ distenduntur ac subalbicant. Id autem contingit, si corpus & caput pituitâ oppleta fuerint, neq; ea per nares, neq; per sedem, neq; per vrinæ meatum subpurgetur, sed in mensibus, & sanguinis perturbatione, vnà cum purgatione foras exeat. Atque si hæc ita se habeant, ad duos aut tres quidem menses nihil ægrotat; longiore autem temporis progressu, nisi curetur, magis laborabit, & febris erratica prehendet, cibi fastidio multoties & oris ventriculi morsu vexabitur, maximéque affligetur quum menses propè accesserint. Quum autem repurgata fuerit, pauco tempore, habitâ superiorum ratione, meliusculè habebit, posteà ad eundem statum redit. Quòd si minimè curetur, sed tempus procedat, omnia contingent, quæ cui biliosi menses ferebantur, quoad ei fluxus reprimatur. Huic verò etiam accidit fluxum pituitosum oboriri, aut alia quæ paulò post explicabo. Quòd si fluxus succedat, semper quotidie decurrunt nunc quidem conferta, nunc verò pauca. Quandoque verò velut à carnibus aqua prodit, quandoque velut sanies; in eóque multi sanguinis grumi insunt, & tanquam acetum terram abradit, & quacúnque mulierem contigerit, mordet, vterosque exulcerat. Quò quum deuenerit, cæteris quidem velut prior afficitur, minùs tamen quàm illi, caput dolebit, neque huic vlcera contingunt tam turpia, neque tam magna, neque purulenta, neque tam graueolentia, verùm huic minùs. Si verò curetur conualescit, etiamsi morbus processerit, neque ferè moritur. Verùm sic affecta fœcunda esse nequit.

CAPVT XIII.

De conceptionis prohibitæ & seminis effluentis causis, signis & curatione; de non concipientis affectionibus, prauis humoribus, & menstrui suppressione, quæ purgatione, sanguinis detractione & diætâ percurantur.

At quæcunque nuptæ in vtero gestare nequeunt, interrogandæ sunt, an illis menses prodeant, necne, & an purulenti sint, aut frigidi. Si quidem igitur respóderit, interrogetur, an protinùs genitura effluat; an postridiè, an perendiè, aut sexto aut septimo die. Itaq; si quamprimũ post coitũ abire responderit, vteri osculũ rectum non est, sed distortum, neque genituram capit. Quòd si dixerit postero die, aut tertio, aut quarto, vterus perhumectus est, ac genitura eluitur. Sin sexto & septimo, genitura computrescit, putrefactáque exilit.

καὶ τὰ ἕλκεα ἔτι μᾶλλον ἀγριώτερα ἔσται μέχρι μιν [88] ἐκπορνικῇ. Εἰ δὲ καὶ ἰηθῇ, ἄφορος ἔσται ἀπὸ τῶν οὐλέων.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Περὶ τῶν ἐν τῇ γυναικὶ φλαύρως ἐχούσῃ καταμηνίων φλεγματωδῶν διαγνώσεως, καὶ τῶν αἰτίων, καὶ χαλεπωτάτων, εἰ μὴ καλῶς θεραπεύηται, συμπτωμάτων, καὶ περὶ τοῦ ῥοῦ μάλιστα ἰχωρώδεος τοῦ τὴν γῆν ξύοντος, καὶ τὰς μήτρας ἑλκοῦντος.

Ἢν δὲ γυνὴ τὸ σῶμα φλαύρως [89] ἔχῃ, καὶ ἢν φλεγματώδεα τὰ ἐπιμήνια χωρήσῃ, [90] γνωστὸν δέ ἐστιν ἢν χωρέῃ φλεγματώδεα, ὑμενώδεά τε γὰρ φαίνεταί οἱ καὶ ὥσπερ ἀράχνια διατείνεται, καὶ ὑπόλευκά ἐστι. τοῦτο δὲ γίνεται, ἢν οἱ τὸ σῶμα καὶ ἡ κεφαλὴ φλέγματος πεπληρωμένα ᾖ, καὶ τοῦτο μὴ ὑποκαθαίρηται, μήτε κατὰ τὰς ῥῖνας μήτε κατὰ τὴν ἕδρην, μήτε κατ' οὐρήθρην, ἀλλ' ἐν τοῖσι καταμηνίοισι, καὶ ἐν τῷ ταράχῳ τοῦ αἵματος σὺν τῇ καθάρσει ἔξω [91] ἥκῃ. καὶ ἢν ταῦτα ὧδε ἔχῃ, ἐπὶ μὲν δύο ἢ τρεῖς μῆνας οὐδὲν νοσεῖ, ἐπὴν δὲ ὁ χρόνος πλείων γένηται, καὶ μὴ μελεδαίνηται, μᾶλλον πονήσει, καὶ πυρετὸς ἐπιλήψεται [92] πλάνος, καὶ ἀσιτήσει ἄλλοτε καὶ ἄλλοτε, καὶ καρδιώξει, καὶ πονήσει μάλιστα [93] ἐπὴν πλησιάζῃ τὰ ἐπιμήνια, ὁκόταν δὲ ἀποκαθαρθῇ, [94] ῥηΐων ἀπὸ ὀλίγων χρόνων πρὸς τὰ πρόσθεν, ἔπειτα ἐς τὸ αὐτὸ καθίσταται· καὶ ἢν μὴ μελεδαίνηται, ἀλλὰ χρόνος προΐῃ, γενήσεται πάνθ' ὅσα τῇ χολώδεα ἐχώρεε τὰ καταμήνια, ἄχρις οὗ ὁ ῥόος οἱ [95] ἴσχετο. [96] Ἕπεται δὲ ταύτῃ καὶ ῥόον φλεγματώδεα γίνεσθαι, ἢ ἄλλα ἅσσα ἐγὼ ἐρέω ὀλίγῳ ὕστερον· καὶ ἢν ῥόος προσεπιγένηται, αἰεὶ πορβύεται ἀνὰ πάσας τὰς ἡμέρας, ὁτὲ μὲν ἀθρόα, ὁτὲ δὲ ὀλίγα· καὶ ἔστιν ὅτε οἱ ἀπὸ κρεῶν ὕδωρ χωρέει, ὁτὲ δέ οἱ ἰχὼρ καὶ ἐν αὐτέῳ θρόμβοι πολλοὶ αἵματος ἐγγίνονται, καὶ ξύει τὴν γῆν [97] ὡς ὄξος, καὶ δάκνει τῆς γυναικὸς οἷ ἂν ἐπιψαύσῃ, καὶ ἑλκοῖ τὰς μήτρας. καὶ ἐλθοῦσα ἐς τοῦτο, τὰ μὲν ἄλλα [98] πάσχει ταὐτὰ ὡς ἡ προτέρη, ἧσσον δὲ τὴν κεφαλὴν ἐκείνης πονήσει, καὶ τὰ ἕλκεα οὔτε [99] δυσώδεα, οὔτε μεγάλα, οὔτε πυώδεα, οὔτε ὀδυναλέα ὁμοίως κείνῃ γίνεται, ἀλλὰ ταύτῃ ἧσσον. ἐπιμελεδαινομένη δὲ ὑγιαίνει καὶ προεληλυθυίης τῆς νούσου, καὶ οὐ μάλα ἀποθνήσκει. φορὸς δὲ οὐ δύναται εἶναι ὧδε [100] ἔχουσα.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Περὶ τῶν τῆς κυήσεως κωλυομένης, καὶ τῆς γονῆς ἐκρεούσης αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν. περὶ τῶν τῆς μὴ κυϊσκομένης παθημάτων, τῆς κακοχυμίας, καὶ τῆς καταμηνίων ἐπισχέσεως ἃ διὰ τῆς καθάρσεως, καὶ φλεβοτομίας, καὶ διαίτης θεραπεύεται.

Ὁκόσαι δὲ ξυνοικέουσαι οὐ δύνανται ἐν γαστρὶ ἔχειν, πυθέσθαι χρή, εἴ σφιν [101] ἐπιγίνηται τὰ καταμήνια, ἢ οὔ, καὶ γὰρ πυώδεα, ἢ ψυχρά. ἢν μὲν οὖν φῇ, εἰ αὐτίκα ἄπεισιν ἡ γονὴ ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ, ἢ τῇ ἕκτῃ, ἢ τῇ ἑβδόμῃ. ἢν μὲν οὖν φῇ αὐτίκα ἀπιέναι, ὅταν εὐνασθῇ, τὸ στόμα οὐκ ὀρθόν ἐστι τῆς μήτρης, ἀλλ' ἰδνοῦται, καὶ οὐ λάζυται τὴν γονήν· ἢν δὲ φῇ δευτεραίη, ἢ τριταίη, ἢ τεταρταίη, ἡ ὑστέρη διυγρασμένη ἐστί, καὶ ἡ γονὴ ἐκπλύνεται· ἢν δὲ ἑκταίη, καὶ ἑβδομαίη, ἡ γονὴ κατασήπεται, καὶ κατασαπεῖσα δὲ ἀπέρχεται.

Τοῦ μὲν οὖν ἀρχὴν μὴ προσδέχεσθαι τὴν γονὴν, τῆς ὑστέρης τὸ στόμα θεραπευτέον πρῶτον, ὅκως ὀρθὸν ἔσται· τοῦ δὲ καταπλύνεσθαι δευτεραίη, καὶ τριταίη, ἡ ὑστέρη καὶ κεφαλή· τοῦ δὲ κατασήπεσθαί τε καὶ ἀπέρχεσθαι, ἡ ὑστέρη καὶ τὸ σῶμα ἅπαν ἔνυγρον ὄν. Τουτέων ἕκαστα γινώσκειν ὧδε χρὴ, ὁκοίης δὲ χρῄζει καθάρσιος, γνώσεται ὧδε. ὅταν τὰ ἐπιμήνια γίνηται, ῥάκος πτύξας ὅσον σπιθαμῆς, ἐπιπολυνύσαι [120] ἐπὶ σποδιὴν λεπτὴν, κἄπειτα ποιέειν ἐπὶ τούτῳ ὡς ἐπιῤῥυῇ τὰ ἀπιόντα· εἶναι δὲ δύο τὰ πτυχία, χωρὶς ἐφ' ἑκάτερα, τὸ μὲν ἡμέρην τε καὶ νύκτωρ· καὶ τὰ μὲν ἡμερήσια πλύνειν χρὴ τῇ ὑστεραίῃ, τὰ δὲ νύκτωρ, ὁκόταν αὐτέοισιν ἡμέρη καὶ νύκτωρ γένηται ἐπὶ τῇσι σποδιῇσι κειμένοισιν. ἐν δὲ τῇ πλύσει σκέπτεσθαι, ὁκοῖα ἄσσα γίνεται τὰ ῥάκεα πλυθέντα, ὅταν ἐν ἡλίῳ τέρσηται, κράτιστον δὲ ἐν σκιαίῳ χωρίῳ· ἢν μὲν οὖν φλέγμα ᾖ τὸ κωλῦον, μυξώδεα τὰ ῥάκεα ἔσται· ἢν δὲ δι' ἅλμην τε καὶ χολὴν, πυῤῥά τε καὶ ὑποπέλιδνα. Ταῦτ' οὖν ἐσιδὼν, καὶ γνώμῃ σκεθρῇ βασανίσας, [103] ὅλον τε τὸ σῶμα ἀθρέειν, ἤν τε πολλῆς καθάρσιος δοκέῃ δεῖσθαι, ἤν τε μὴ, ἀποσκεψάμενος ἐς τὴν χροιὴν, καὶ τὴν ἡλικίην, καὶ ῥώμην, καὶ ὥρην, καὶ οἵῃ διαίτῃ χρέονται. [104] Ἰητρεύειν δὲ καὶ τὸ σώματος παντὸς προνοέεσθαι, καὶ τὰς ὑστέρας, καὶ τὸ στόμα ἰῆσθαι· καὶ ἢν [105] μεμυκὸς ᾖ, ἀναστομῶσαι· ἢν δὲ λοξωθέωσιν, ἐξιθύνειν χρή· ἢν δὲ ὑγραὶ ἔωσιν, αὐαίνειν, καὶ τἄλλα δρᾷν ἐναντίον. σχεδὸν δὲ πάσῃσιν ἡ πολλὴ θεραπείη ἡ αὐτή ἐστι, πλὴν τοῦ κατασπάσαι [107] τὰ ἐμμήνια· ὅσῃσι γὰρ γίνεται, οὐδὲν δεῖ ταύτῃσι κατασπᾶν, [107] ἀλλ' ὅ, τι κακὸν ἐν τοῖσιν ἐπιμηνίοισιν ἔνι, τοῦτο ἀφαιρέειν χρὴ, ὅταν φλεγματώδεά τε, καὶ ὑμενώδεα, [108] καὶ ἰχωροειδέα καὶ λεπτὰ ἢ λευκὰ, καὶ θρομβοειδέα, καὶ ὅταν μέλανά τε, καὶ ἀνθρακώδεα, ἢ ζοφοειδέα, ἢ δριμέα, ἁλμυρὰ, θολερὰ, πυώδεα. αὗται πᾶσαι αἱ προφάσιες ὑπεξαιρετέαι, κωλύουσι γὰρ λαμβάνειν ἐν γαστρί. Ὁκόσα μὲν οὖν φλεγματώδεα καὶ ὑμενοειδέα τῶν ἐπιμηνίων ἐστὶ, καὶ αὗται σαρκώδεές εἰσι, καὶ ταύτῃσι [109] τὸ στόμα ἔξυγρον, καὶ πτύελον πουλὺ καὶ γλίσχρον· καὶ ἢν ὀξέος γεύσηται, ἢ δριμέος, τὸ πτύελον ἐν τῷ στόματι [110] πλαδωδέστερόν τε ἔσται καὶ ἀνάλητον, καὶ πρὸς πᾶν ὅ, τι ἂν φάγωσιν ἢ πίωσιν, ὄχλος, καὶ προσίσταται αὐτέοισι καὶ ἀείρεται καὶ ἡ κοιλίη, καὶ ναυσίη καὶ ἀλυσμὸς πουλύς· ἀπό τε κεφαλῆς ῥεῦμα καταῤῥέει, καὶ πάντα ἐπιπλάσσεται, καὶ πολλὴν ὑγρασίην ἐπάγεται, καὶ τὰ ὑποφθάλμια πελιδνὰ καὶ πεφυσημένα. Ταύτας χρὴ ὅλας πυριῆν, καὶ πυκνὰ ἐμέειν, καὶ ἀπὸ σιτίων, καὶ ἀπὸ νηστείης. μαλάσσειν δὲ τὴν κάτω κοιλίην, φαρμάκοισι δὲ πάμπαν κούφοισιν, ὁκόσα ἥκιστα χολὴν ἄγει, καὶ μονοσιτέειν, καὶ γυμνάζεσθαι συχνὰ, καὶ ὡς ξηροτάτῃ τροφῇ διαιτᾶσθαι, καὶ ποτῷ ἐλαχίστῳ ἀκρητεστέρῳ· κοιλίην δὲ εὔλυτον ἄμεινον διαφυλάσσεσθαι. Τὰς δὲ ὑστέρας χρὴ, ἢν μὴ πρὸς ταύτην τὴν δίαιτην ἐνακούωσι, καθαίρειν φαρμάκοισιν ἀδήκτοισι, προσθετοῖσιν· προπυριῆν δὲ πρὸ τῶν καθαρσίων αἰεὶ, πρότερον μὲν τῇ πυρίῃ τῇ ἐκ τῶν μαράθρων, ἔπειτα τῇ ἐκ τῶν θυμιαμάτων·

Si igitur per initia genitura non excipiatur, imprimis os uteri curandum est, ut rectum sit. Si verò postero & tertio die eluatur, uterus & caput curanda sunt. *At si computrescat & abeat, & uterus & corpus uniuersum humore madens* curandum. *Hæc singula sic dignoscere oportet; quâ verò purgatione opus habeat, dignoscetur hoc modo. Quum menses prodeunt, linteum attritum palmi magnitudine complicatum, in tenui cinere expandito, deinde ut in hoc defluant, quæ decurrunt, curato. Sint autem lintea duo, seorsim utrunque, diurnum & nocturnum. Et diurnum quidem postero die eluere oportet; nocturnum verò, ubi per diem & noctem in cinere iacuerit. In lotura autem considerandum, qualia sint lintea lota, ubi in sole siccata fuerint; in umbratili tamen loco ea resiccari optimum. Si igitur pituita impedimento fuerit, mucosa erunt lintea. Si verò propter salsuginem & bilem* impedimentum *sit, tum fulua, tum subliuida erunt. Quibus perspectis & accuratâ mentis acie exploratis, uniuersum quoque corpus inspicito, multâne purgatione indigere videatur, necne, ad colorem intentus, ætatem, virium robur, anni tempestatem, & victûs rationem quâ utuntur. Curatio verò fit tum uniuerso corpori prospicere, tum uteris & osculo mederi. Si hoc occlusum fuerit, aperiendum; si* vteri *distorti fuerint, dirigere oportet; si autem humidi fuerint, resiccare; & cætera quoque facere contraria. At omnibus propemodum vulgaris curatio eadem est, exceptâ menstruorum detractione. Quibus enim prodeunt, iis nihil detrahendum; sed quicquid inest in mensibus vitij, id auferendum quum pituitosi, & pelliculosi sunt, & saniosi, tenues aut albi, & grumosi; & quum nigri sunt, ac carbunculosi, aut caliginosi, aut acres, salsi, returbidi, purulenti; hæ omnes causæ tollendæ; nam uteri conceptum prohibent. Quibus igitur pituitosi & membranosi menses sunt, hæ carnosæ sunt, hisque os valdè humidum est, sputum copiosum & glutinosum. Siquid vel acidum, vel acre degustarint, oris saliua liquidior & insulsa erit, & ad omnia quæ ederint, aut biberint, turbatio* consequitur, *his venter supprimitur & attollitur, nausea* adest, *& multa iactatio; à capite fluxio defluit, & omnia obducit, copiosumque adducit humorem, & partes sub oculis liuidæ sunt ac inflatæ. Has totas fouere oportet, & frequenter vomere tum à cibis, tum ieiunas; quinetiam infernam aluum mollire, sed leuibus omninò medicamentis, quæ minimè bilem ducant; & semel in die cibum sumere, frequenterque exerceri; & siccissimo uti cibo, & potu parcissimo meraciore. Præstiterit autem aluum seruari quæ facilè soluatur. Verùm uteros, si huic victûs rationi non cesserint, medicamentis subdititiis minimè mordacibus purgare oportet. Fomentum tamen semper purgationibus præmittendum est, prius quidem fomentum ex fœniculis, deinde quod fit ex suffi-*

mentis

mentis. Fotus autem & subdititia facienda sunt, eâ consideratione adhibitâ, vt omnia fiant, & pro ratione adhibeantur quo tempore menses prodeunt. Si igitur puri, sinceri & cruenti prodeant, tum ita virum adeat incipientibus mensibus; præstiterit tamen his desinentibus, & adhuc euntibus potiùs, quàm penitùs cessantibus. Quum autem virum aditura est, suffitum aliquem subeat ex suffimentis adstringentibus, idque per ollæ operculum & arundinem, asperso in cinerem calidum medicamento. Quo asperso, operculum & arundinem circumponito, eamque sedentem suffito. Quumque suffitum ipsam capere opus fuerit, plumbeâ fistulâ vtendum; quò adaperto osculo suffitus excipiatur. Deinde quum surrexerit, rursus in lecto plumbea fistula subdatur, quâ deinde subtractâ cum viro congrediatur. Quòd si quæ à viro emittuntur, non sint ei manifesta; cruribus distentis & alternatim positis, quiescat. Ieiuna autem esse debet eo ipso die, nisi cyceonem insulsum ex aqua sumere velit. Hunc autem tunc bibat, quum suffiri volet. Si verò vbi cum viro coiuit, postridiè genituram continuerit, neque altero die exciderit, à cibis & balneis arcenda, polentam autem insulsam ex aqua bis terque die bibat. Atque hæc victûs ratio per sex dies, aut quod præstiterit, septem sit, si quæ à viro excepit in congressu, non exciderint; totóque tempore illota maneat, & studiosè motum vitet. At si deambulare velit, loco æquali ac plano, non accliui, neque decliui, obambulet. Supra mollia etiam desideat, si conceperit; reliquam verò victûs rationem eandem ad dies triginta obseruet. Balneo autem abstineat; aut siquando lotione opus fuerit, paucâ eâque non admodùm calidâ vtatur, caput tamen ne madefaciat. In cibo panibus vtatur, & mazâ, si velit. Ex carnibus, palumbo & similibus; ex marinis, quæ aluum sistant. Prohibeatur autem ab oleribus acribus. Vino vtatur nigro; & carnibus assis potiùs quàm elixis, tum cicuribus, tum ferinis. Atque ista quidem, si conceperit, ita facienda sunt. Si verò non conceperit, sed secundo aut tertio die, quæ viri sunt, nimio humore diffluentia foras prodeant, vteros humidiores esse constat, quos exposito modo curare oportet, dum sicciores euadant. Quum verò sicci esse videbuntur, hac arte curandi. Optimum est emolliens medicamentum, posteriore & anteriore parte adhibitum, *donec ipsi ad pristinam naturam redeant. Tum rursùs virum adeat, quum non ampliùs multi, sed pauci & benè colorati menses* feruntur, *& venere turget. In alijs quoque diebus viro copulari oportet, si vteri optimè habuerint. Quum autem prædictis diebus viri complexum experta fuerit, si commodè apparati vteri fuerint, & decem aut duodecim diebus genituram continuerint, tum ne virum adeat.*

τὰς δὲ πυρίας ποιέεσθαι καὶ τὰς προσθέσιας, τεκμαιρόμενος ὅκως ἅπαντα [111] πεποιήσεται, καὶ κατὰ τρόπον ἔσται, ἐν ᾧ χρόνῳ τὰ ἐπιμήνια εἴη. ἢν μὲν οὖν καθαρά τε, καὶ ἀκραιφνέα, καὶ ἔναιμα γίνηται, οὕτως ἴτω παρὰ τὸν ἄνδρα ἐν ἀρχομένοισι τοῖσιν ἐπιμηνίοισιν· ἄριστον δὲ ἐν ἀπολείπουσι, καὶ ἐπιόντων μᾶλλον, ἢ ἀφανέων. Ὅταν δὲ μέλλῃ ἰέναι παρὰ τὸν ἄνδρα, ὑποθυμιήσθω τι τῶν ὑποθυμιαμάτων τῶν στυπτικῶν, θυμιήσθω δὲ διὰ τοῦ χωνείου καὶ τοῦ καλάμου, ἐπὶ σποδιὴν θερμὴν ἐπιπάσσουσα τὸ φάρμακον. ὅταν δὲ ἐπιπάσῃ, καὶ τὸ χωνεῖον περιθεῖναι καὶ τὸν κάλαμον, καθεζομένην πυριῆσθαι. ὁκόταν δὲ δέῃ αὐτὴν θυμιῆσθαι, τῷ μολυβδίῳ [112] χρῆσθαι, ὡς ἀνεῳγμένῳ τῷ στόματι θυμιῆται· εἶτα ὅταν ἀνίστηται, πάλιν ἐν τῇ κλίνῃ προστιθέσθω τὸ μολύβδιον, εἶτα ὑφελομένη, τηνικαῦτα ξυνευναζέσθω τῷ ἀνδρί· καὶ ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς μὴ δῆλά οἱ ᾖ, ἐκτείνασα τὰ σκέλεα καὶ ἐπαλλάξασα, ἠρεμείτω. νηστείη δὲ ὄφελος ἐν ταύτῃ τῇ ἡμέρῃ, πλὴν κυκεῶνα, ἢν ἐθέλῃ, ἄναλτον [113] ἐφ' ὕδατι· τοῦτο δὲ πιεῖν τότε, ὁκόταν μέλλῃ θυμιῆσθαι. Ἢν δὲ ξυγγενομένη τῷ ἀνδρὶ κατάσχῃ τῇ ὑστεραίῃ τὴν γονὴν, καὶ μηδὲ ἐς τὴν ἑτέρην ἀπίοι ἡμέρην, σιτίων μὲν εἴργεσθαι καὶ λουτρῶν, πίνειν δὲ ἄλφιτον ἐν ὕδατι ἄναλτον καὶ δὶς καὶ τρὶς τῆς ἡμέρης. αὕτη δὲ ἡ δίαιτα ἔστω ἡμέρας ἕξ, ἄμεινον δὲ καὶ ἑπτά, ἢν μὴ ἀπίῃ τὰ τοῦ ἀνδρὸς, ὅταν ξυγγένηται· ἀλουτείτω δὲ πάντα τὸν χρόνον, καὶ ἀκινητεῖν ἐπιτηδευέτω· ἢν δὲ βούληται περιπατεῖν, περιπατείτω ἐν ὁμαλῷ χωρίῳ, καὶ λείῳ, πρὸς ἀνάντες δὲ μηδαμῶς, μηδὲ κάταντες. καθέζεσθαι δὲ ἐπὶ μαλθακὰ, ἢν ξυλλάβῃ· τὴν δ' ἄλλην δίαιταν τὴν αὐτὴν ποιέεσθαι, μέχρις ἡμερέων τριήκοντα· ἀλουτεέτω δὲ, ἢ καὶ ὅτε δέοι λουθῆναι, ὀλίγῳ καὶ μὴ λίην θερμῷ, τὴν δὲ κεφαλὴν μὴ βρέχειν. σιτίοισι δὲ χρεέσθω καὶ ἄρτοισι, καὶ μάζῃ, ἤν γε βούληται· κρεῶν δὲ, φάσσῃ, καὶ τοῖσι παραπλησίοισι· θαλασσίων δὲ, ὁκόσα κοιλίην ἵστησιν· εἴργεσθαι δὲ λαχάνων δριμέων. οἴνῳ δὲ μέλανι χρεέσθω, κρέασι δὲ ὀπτοῖσι μᾶλλον ἢ ἑφθοῖσι, καὶ τῶν ἡμερείων καὶ τῶν θηρείων. Καὶ [114] ταῦτα μὲν, ἢν ξυλλάβῃ, οὕτως χρὴ ποιεῖν· ἢν δέ γε μὴ ξυλλάβῃ, ἀλλ' οἴχεται δευτεραῖα ἢ τριταῖα τὰ τοῦ ἀνδρὸς, ῥεόμενα παμπόλλῳ ὑγρασίῃ, δῆλον ὅτι ὑγρότεραί εἰσιν αἱ ὑστέραι. θεραπεύειν οὖν χρὴ κατὰ τὸν ὑφηγημένον τρόπον, μέχρις ἂν ξηραὶ γίνωνται. ὁκόταν δὲ δοκέωσι ξηραὶ εἶναι, ἰητρεύεσθαι οὕτως. ἄριστον φάρμακον μαλθακτήριόν μιν κατόπιν τε καὶ ἐς τοὔμπροσθεν, ἄχρις ἂν αὗται κατὰ φύσιν γίνωνται. καὶ αὖθις ἴτω παρὰ τὸν ἄνδρα, ὅταν τὰ ἐπιμήνια μηκέτι πολλὰ, [115] ἀλλ' ὀλίγα καὶ εὔχροα, καὶ ὀργᾷ. καὶ ἐν τῇσιν ἄλλῃσιν ἡμέρῃσιν, ἱμείρεσθαι χρὴ τοῦ ἀνδρὸς, ἢν ἄριστα ἔχωσιν αἱ ὑστέραι· ὅταν δὲ ξυγγένηται ἐν τῇσιν ἡμέρῃσι τῇσιν εἰρημένῃσιν, ἢν εὐτρεπισθῶσιν αἱ ὑστέραι, ἢν κατάσχῃ τε τὴν γονὴν ἡμερέων δέκα ἢ δυοκαίδεκα, μὴ ἰέναι ὡς τὸν ἄνδρα.

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Περὶ τῆς γυναικὸς ὑγιεῖ μήτρᾳ μὴ συλλαμβανούσης αἰτίων, τῆς μήτρας ἀσθενείας, καὶ τῆς ἀτροφίας, καὶ καχεξίας, καὶ τῶν σημείων, καὶ θεραπευτικῶν.

ΗΝ δὲ μὴ ξυλλάβῃ, ὑγιέες δὲ ἔωσιν αἱ μῆτραι (γίνεται γὰρ δὴ καὶ τοῦτο πολλῇσιν, ἐπειδὰν ἀχνοναὶ αἱ μῆτραι ἐοῦσαι ἄτροφοι ὑπὸ πάθεος γίνονται, ἢ ὑπὸ φαρμακείης τε καὶ πυρίης πολλῆς) οὐ δύνανται φέρειν τὴν γονὴν, πρὶν ἢ ἐθάδες γίνονται καὶ ἰσχύωσιν. Γνωστὸν δὲ τοῖσιδ' ἐστὶν ὧδε. ὁκόταν ἀπίῃ οἱ· ἄπεισι δὲ δευτεραίη ἢ καὶ τριταίη, καὶ ἔτι ἀνώτερω, ἀπέρχεται δὲ παχέα τε καὶ ξυνεστεῶτα οἷον βλένναι, ἢν μὴ κακόν τι ᾖ, καὶ διὰ νοῦσον ἑτέρην ὑστερέων ἡ γονὴ ἀπαλλάσσηται· ὅταν οὖν τοιαῦτα φαίνηται, θεραπείης μὲν ἀπέχειν ὑστερέων, τοῦ δ' ἄλλου σώματος ἐπιμελείην ἔχειν, ὡς καὶ εὐεξίη τοιαύτη οἱ ᾖ, ὡς ξυνεσταλμένον τε ἅμα τὸ σῶμα εἴη καὶ εὔογκον. λουτροῖσιν ὀλίγοισιν, πλείοσι δὲ πόνοισι πρηέσι, δριμέων καὶ ἁλμυρῶν εἴργεσθαι. ἐμέτοισι χρῆσθαι πρὸ τῶν ἡμερέων, ὧν μεμάθηκει τὰ ἐπιμήνια γίνεσθαι, καὶ αὖθις λιμοκτονέεσθαι, καὶ τ' ἄλλα ἐπιτελεῖν, ὅσα εἴρηται. αὕτη μὲν θεραπείη ἀμφὶ τῆσδε.

CAPVT XIV.

De mulieris sano vtero non concipientis causis, vteri debilitate, macie, & malo corporis habitu; signis, & curatione.

AT si non conceperit, vteri autem sani sint (id enim & plerisque contingit, quum imbecilli vteri ex affectione aliqua macilenti sunt, aut propter frequens medicamentum, aut fotum) genituram ferre nequeunt, priusquàm assueti sint, ac corroborati. Hoc autem quibusdam ita cognoscitur. Quum mulieri genitura exciderit, secundo autẽ, aut tertio die, aut etiam tardiùs excidunt; sed & crassa & velut mucus compacta exeunt, nisi vitium aliquod subsit, & propter alium vteri morbum genitura dimittatur. Quum igitur talia apparuerint, vteros quidem curare non satis est, sed reliqui corporis cura habenda est, quò bonus huiusmodi habitus ipsi sit, vt corpus sit compactum & simul iustâ mole præditum. Balneis paucis, sed multis & placidis laboribus vtatur, ab acribus & salsis arceatur. Vomitionibus vtatur ante dies, quibus menses fieri consueuerunt, & rursùs inediâ maceretur, & quæ dicta sunt cætera perficiat. Ea quidem curatio de his agitur.

ΚΕΦΑΛΑΙΟΝ ΙΕʹ.

Περὶ τῆς συλλήψεως διὰ τὴν γονὴν αὐτίκα μετὰ τὴν συνουσίαν διαῤῥέουσαν κωλυομένης, ἐκ τοῦ τὸ τῆς μήτρας στόμα κατακεκλεῖσθαι, καὶ τῆς θεραπείας.

ΟΣῃσι δὲ ὅταν ξυγγίνωνται, αὐτίκα διαῤῥέει τὰ ἀπὸ τοῦ ἀνδρὸς, ταύτῃσι τὸ στόμα τῶν ὑστερέων πρόφασις. θεραπεύειν δὲ δεῖ οὕτως. ἢν μὲν σφόδρα μεμυκὸς ᾖ, ἀναστομῶσαι τοῖσι δᾳδίοισι, καὶ τοῖσιν μολυβδίοισι, πυριῆν δὲ μαλθακῇ πυρίῃ τῇ ἐκ τοῦ μαράθρου, καὶ καθαίρειν προσθέτοισιν οἷα λεπτύνει τὰς ὑστέρας, καὶ ἐς ἰθὺ καθίστησι. μετὰ δὲ τὰς καθάρσιάς τε καὶ πυρίας [116] κλύζειν τοῖσδε, ὅσα ἐναντία τῇ προφάσει.

CAPVT XV.

De conceptione ob semen statim à coitu effluens prohibitâ, ex vteri osculo concluso, ac curatione.

AT quibus statim vbi coiuerint, effluunt quæ à viro immissa sunt, his vterorum osculum in causa est; curare verò sic oportet. Si quidem admodùm occlusum sit, fistulis tædaceis ac plumbeis aperiendum; molli quoque fotu ex fœniculo fouendum; subdititijs etiam medicamentis purgandum, quæ vteros attenuent, & directos constituant. Post purgationes autem & fotus, infundenda quæ causæ sunt contraria.

ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

Περὶ τοῦ στόματος τῆς μήτρας ἀπεστραμμένου καὶ προσπεπτωκότος πρὸς τὸ ἰσχίον, τὴν σύλληψιν κωλύοντος, καὶ τῆς θεραπείας.

ΟΣῃσι δὲ τὸ στόμα ἀπεστραμμένον ἐστὶ καὶ προσπεπτωκὸς πρὸς τὸ ἰσχίον (γίνεται γὰρ καὶ τοιαῦτα, διακωλύοντα τὴν ὑστέρην τὴν γονὴν προσδέχεσθαι. ὅταν οὖν τι τοιοῦτον ξυμβῇ, πυριῆν χρὴ τῇσιν εὐώδεσι πυρίῃσι· μετὰ δὲ τὴν πυρίην, [117] παραψησαμένην τῷ δακτύλῳ, ἀποσπᾷν τοῦ ἰσχίου· ὅταν δὲ ἀποστήσῃ, ἐξορθοῦν τοῖσι δᾳδίοισι καὶ τῷ μολιβδίῳ κατὰ τὸν ἔμπροσθεν λόγον. ὅταν δὲ ἐξωρθωμέναι τε καὶ ἀνεστομωμέναι γίνωνται, προσθέτοισι μαλακοῖσι καθαίρειν, καὶ τ' ἄλλα ποιέειν κατὰ τὸν ὑφηγημένον λόγον.

CAPVT XVI.

De vteri ore distorto ac prolapso in coxam, conceptionis prohibitæ causâ, eiusque curatione.

QVibus verò os distortum & in coxendicem prolapsum est; talia nanque oboriuntur etiam, vterum prohibentia genituram suscipere. Quum igitur tale quid contigerit, fomentis odoratis fouendum. Post fotum autem digito auulsum à coxa detrahito. Quum autem abductum fuerit, tædaceis & plumbeis fistulis iuxta priorem rationem dirigendum. Quum autem directi & aperti fuerint vteri, *emollientibus subdititijs medicamentis repurgandi, reliquáque præscripto modo facienda.*

A

CAPVT XVII.

De oris vteri magis quàm deceat aperti, aut crassi ac pinguis vt non concipiat, curatione.

QVum autem vteri plus æquo aperti fuerint, purgatione indigent. Post purgationes autem operæpretium est collutionibus & suffitibus vti. Si verò propiores sint, quam deceat, vomitionibus & suffitibus graueolentibus vteri indigent, quoad in suum locum redeant. Præscriptâ quoque victûs ratione vtendum. At si osculum præpingue sit & crassum, & proptereà non concipiat, sinapi coctum ieiuna edat, & merum superbibat. Nitrum etiam rubrum, cuminum ac resinam supponat. Præstiterit autem nitrum vino diluere, vnà cum resina, cumino, & vnguento albo. Aut cornu cerui vrito & hordeaceæ farinæ crudæ duplum cum vino admisceto, & per quatuor dies potui dato. Quòd si his non leuetur, porris decoctis insideat; aut fagum contritam apponat; & allia recentia comedat, & aquâ mulsâ superbibitâ vomat.

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

Περὶ τῆς τοῦ στόματος τῆς ὑστέρας μᾶλλον τοῦ δέοντος ἀνεσπασμένου, ἢ πιμελώδεος καὶ παχέος ὡς μὴ κυΐσκεσθαι, θεραπείας.

ΟΤαν δ' ἀνεστομωμέναι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι ἔωσι, καθάρσιος δέονται· μετὰ δὲ τὰς καθάρσιας, κλυσμὸν ἀξιοῦν καὶ θυμιαμάτων. Ην δὲ ἐγγύτερον ἔωσι τοῦ δέοντος, ἐμέτων δέονται αἱ ὑστέραι καὶ

B

πυρίης δυσώδεος, μέχρις ὅτου ἐς χώρην ἔλθωσι, τῇ διαίτῃ δὲ τῇ ὑφηγημένῃ χρῆσθαι. Ην δὲ τὸ στόμα πιμελῶδες ᾖ καὶ παχὺ, καὶ διὰ τοῦτο μὴ κυΐσκηται, νᾶπυ ἑφθὸν ἐσθίειν νῆστιν, καὶ ἄκρητον ἐπιπίνειν. προσθετὸν δὲ, νίτρον ἐρυθρὸν, καὶ κύμινον, καὶ ῥητίνην· ἄριστον δὲ οἴνῳ [119] νίτρον ξυμμίσγειν, καὶ ῥητίνῃ ἅμα καὶ κυμίνῳ καὶ μύρῳ λευκῷ. ἢ ἐλάφου κέρας καῦσαι, καὶ μίξαι ὠμήλυσιν διπλῆν ἐν οἴνῳ [120] καὶ ἡμέρας τέσσαρας πινέτω. ἢν δὲ μὴ ῥαΐζῃ, πράσα ἕψειν, καὶ ἀμφικαθέζεσθαι· ἢ φηγὸν τρίβουσα προστιθέσθω· σκόροδά τε τρωγέτω νεαρὰ, καὶ μελίκρητον ἐπιπίνουσα ἐμεέτω.

C

CAPVT XVIII.

De conceptione prohibitâ ob seminis remorantis putredinem & graueolentiam, eiusque curatione.

QVibus autem genitura *in vtero immoratur, ibique putrescit, & molestiam excitat, his atriplicis agrestis semen vel succum, cum melle vel cumino delingendum dato. Quum verò* à viro immissa *graueolentia fuerint, non concipit. Portulacam igitur cum anserino adipe permisceto & apponito. At quibus à viro immissa, sexto vel septimo die putrefacta effluunt, his ab vtrisque contingere est verosimile. Si humoris biliosi & salsuginosi affluxus* sit, *ita curare, per veratrum aut scammonium aut peplium, oportet. Hæc enim tum sursùm, tum deorsùm pituitam bilemque purgant, flatusque deducunt. Ante purgationes tamen fotibus ex suffimentis vtendum; vbi autem fotus admoueris, per subdititia purgato, eodem quo in superioribus modo. At post subdititia & purgationes, emollientibus vtitor; & in subdititio mercurialẽ, artemisiam herbam, & anemonen, veratrumq; album aut nigrum* apponito. *Atque hæc quidem medicamenta his ita conducunt.*

ΚΕΦΑΛΑΙΟΝ ΙΗʹ.

Περὶ τῆς συλλήψιος κωλυομένης διὰ τὴν τῆς ἐμμενούσης γονῆς σηπεδόνα καὶ δυσωδίαν, καὶ τῆς ταύτης θεραπείας.

ΟΣῃσι δὲ ἐμμένει, καὶ ἐνσήπεται, καὶ ὄχλον ποιέει, ἀνδραφάξιος ἀγρίης καρπὸν ἢ χυλὸν ξὺν μέλιτι, ἢ ξὺν κυμίνῳ ἐλλικτὸν διδόναι. Οταν δὲ

D

δύσοδμα εἴη, οὐ κυΐσκεται. ἀνδράχνην οὖν, καὶ χηνὸς ἔλαιον μίσγειν καὶ προστιθέναι. Οκόσῃσι δὲ ἑκταῖα καὶ ἑβδομαῖα τὰ ἀπὸ τοῦ ἀνδρὸς κατασηπόμενα χωρέει, ταύτῃσιν εἰκὸς γίνεσθαι ἀπ' ἀμφοῖν. ἢν ἐπιῤῥοὴ χολῆς καὶ ἅλμης, θεραπεύειν χρὴ ὧδε· ἐλλεβόρῳ ἢ σκαμμωνίῃ καὶ πεπλίῳ· καθαίρουσι γὰρ ταῦτα ἄνω τε καὶ κάτω φλέγμα καὶ χολὴν, καὶ φύσας ἄγει. πρὸ δὲ τῶν καθαρσίων τῇσι πυρίῃσι χρῆσθαι ἐκ τῶν θυμιαμάτων· ὅταν δὲ πυριήσῃς, καθαίρειν προσθέτοισι τὸν αὐτὸν τρόπον ὡς ἐν τοῖσι πρόσθεν. Καὶ μετὰ τὰς

E

προσθέσιας καὶ καθάρσιας, τοῖσι μαλθακτηρίοισι χρέο, καὶ τὸ ἐκ τῆς λινοζώστιος πρόσθετον, καὶ ἀρτεμισίης ποίης, καὶ ἀνεμώνης, καὶ ἐλλεβόρου λευκοῦ ἢ μέλανος. τὰ μὲν τῶν φαρμακειῶν, ταύτῃσιν ὧδε χρή.

CAPVT XIX.

De mulieris ficcioris, aut humidioris & carnosioris; pituitosæ aut biliosæ; etiam oris vteri callosi, curatione diætetica potissimùm, in qua morborum vires, & causæ, & partes affectæ considerandæ sunt; ac de veneris tempore ac vtilitate.

VIctûs verò ratio, habitâ totius corporis mulieris ratione, instituenda, siue illa siccior, siue

ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

F

Περὶ τῆς γυναικὸς αὐχμηροτέρας, ἢ ὑγροτέρας καὶ σαρκωδεστέρας, καὶ τῆς φλεγματώδεος ἢ χολώδεος, καὶ τοῦ στόματος τῆς ὑστέρας σκιῤῥώδεος, θεραπείας τῆς διαιτητικῆς μάλιστα, ἐν ᾗ καὶ τὰς τῶν νοσημάτων δυνάμεις σκέπτεσθαι χρὴ καὶ τὰς αἰτίας, τὰ μόρια πεπονθότα· καὶ περὶ τοῦ τῆς συνουσίας καιροῦ καὶ χρείας.

ΤΗν δὲ δίαιταν, ἀποσκεπτόμενον τῆς ἀνθρώπου ἐς τὸ ὅλον [121] σῶμα, ποιέειν, ἤν τε αὐχμη-

ρωτέρη δοκέῃ εἶναι, ἤν τε σαρκωδεστέρη. κἢν μὲν αὐχμηροτέρη ᾖ, λουτροῖσι πλείοσι, καὶ ἑφθοῖσι πᾶσι τοῖς ὄψοισιν, εἴτε θαλασσίοισιν, εἴτε κρέασιν, οἴνῳ δὲ ὑδαρεῖ, λαχάνοισί τε ἑφθοῖσι, καὶ λιπαροῖσι πᾶσι καὶ γλυκέσι· ταῦτα γὰρ ὡς ἐπὶ τὸ πουλὺ ποιέει ὑγρηδόνα εἶναι καὶ ἐν τῷ ἄλλῳ σώματι, καὶ ἐν τῇσιν ὑστέρῃσιν. Ἢν δὲ ὑγροτέρη ᾖ, δέονται αἱ τοιαῦται ὑστέραι τούτων οὐδὲν, ἀλλὰ τἀναντία, οὐ χρὴ ψαύεσθαι, οὐδὲ κλύζεσθαι νεοχμῶς, οὐδὲ θυμιῆσθαι, πρὸς γὰρ τὸ κινδυνεῦον φιλέει ἰέναι. καὶ ἢν ἐξυγρανθῶσι μᾶλλον τῆς φύσιος, χρὴ δὴ ξηραίνειν καὶ θυμιῆν. ἢν δὲ χολώδεα ἴῃ ἐπὶ σφέας, ὅ, τι χολὴν καθαίρει, διδόναι· ἢν δὲ ἁλμυρώδεα, γάλα ὄνειον, καὶ οἶνον, καὶ τἄλλα ἀλεξιτήρια. Χρὴ δὲ σκεψάμενον τῶν νοσημάτων τὰς δυνάμιας, καὶ ὑφηγεύμενον τὰς προφάσιας, ὡς χρὴ, ἐξ ὧν αἱ νοῦσοι γίνονται, ἐπὶ τὰ ἄλλα ἰέναι ὧδε, καὶ τὰ ἀμφὶ τὰ χωρία ἰῆσθαι. ὅσαι μὲν διὰ τῶν στομάτων προφανέων τὴν αἰτίην κωλύονται μὴ ἴσχειν ἐν γαστρὶ, τούτων εὐπρεπίζειν τὰ στόματα, ὡς εὐκρινέα ᾖ· ὁκόταν δὲ ἡ ὑγρηδὼν εἴργῃ, ταύτην ἐσορᾷν ὡς μὴ διακωλύῃ, σκεπτόμενον ἐς ὅλα τὰ πρήγματα τῶν γυναικῶν, ἤν τε ἐξ ἅπαντος τοῦ σώματος δοκέῃ τι κινέεσθαι, ἤν τε ἀπ' αὐτέων τῶν ὑστερέων, ἤν τε ἀπ' ἄμφω. Τὰς δὲ ὑστέρας ὧδε μελεδαίνειν, ὅκως μήτε ὑγραὶ ἔωσι, μήτε λίην αὐαίνουσαι, ἀλλὰ τὰς μὲν ξηροτέρας εὐχύλως, ὅσῳ καὶ αὐχμηρότεραί εἰσι, τοιαύτῃ ἰκμάδι ὡς πιαλέαι μᾶλλον ἔσονται, ἢ ἰσχναλέαι· τὰς δὲ ἐξυγρασμένας καὶ διαβρόχους ξηραίνειν, ὑπολειπόμενον ἐνίκμους εἶναι, καὶ μὴ λίην ἀνεξηράνθαι· αἱ γὰρ ὑπερβολαὶ τουτέων [124] πάνυ φυλακτέαι. Λαμβάνειν δὲ ἐν γαστρὶ, οὔτε τὴν ὑγρηδόνα ἔχουσαν, ἀτὰρ οὐδὲ τὴν αὐαινομένην, ἢν μὴ ᾖ ἐν τῇ ἀρχαίῃ φύσει τουτέων τι. ἰέναι δὲ χρὴ παρὰ τὸν ἄνδρα, ὅταν τὰ ὑπὸ τῆς θεραπείης καλῶς ἔχῃ, ληγόντων ἢ ἀρχομένων τῶν ἐπιμηνίων· ἄριστον δὲ καὶ ἐπὴν παύσηται· μάλιστα δὲ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι πειρηθῆναι, ἢν δύνηται κυΐσκεσθαι, αὗται γὰρ κυριώταται. Ἢν δὲ μὴ αὐτίκα ξυλλάβῃ, τἄλλα δὲ καλῶς ἔχῃ, οὐδὲν τὸ κωλύον, ἐν τῇσιν ἄλλῃσι τῶν ἡμερέων ξυνιέναι ἀνδρί· προθυμίην γὰρ σφίσι ποιέει ἡ μελέτη καὶ ἀναχαλᾶται τὰ φλέβια· καὶ ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς ἀπιόντα ὁμορροθῇ κατ' ἴξιν τῷ ἀπὸ τῆς γυναικὸς, ταχύτερον κυήσει· καὶ γὰρ τόδε αἴτιόν ἐστιν, ἧσιν ἤν τε αὐτίκα, ἤν τε ἐν ὑστέρῳ χρόνῳ ἀπίῃ. Ταῦτα μὲν ἀμφὶ τούτων λέλεκται. Ἢν δὲ ὑγρότερον ᾖ τὸ στόμα τῶν ὑστερέων, οὐ δύνανται εἰρύσαι τὸν γόνον. προσθέτοισι δὲ χρέεσθαι δριμέσι· δηχθεὶς γὰρ καὶ φλεγμήνας ὁ στόμαχος στεῤῥὸς ἐστὶν ὅτε γίνεται, κατὰ δέ τι ἠδέλφισται. Καὶ ἢν [126] σκυρωθῶσιν, ἄρδον, τὰ δριμέα τε προσιθέναι ἃ δήξονται· τὰ γὰρ [127] λεπτὰ καὶ πυρώδεα ἐόντα, τὸν σκύρον διαχέει. ἢν δὲ λαπαχθῇ ὁ σκύρος, μαλθακοῖσιν ἰῆσθαι, καὶ ὅ, τι μὴ δήξηται.

carnosior videatur. Et quidem si aridior fuerit, pluribus balneis, opsonijs omnibus elixis, tum marinis, tum carnibus, vino etiam aquoso, oleribus coctis, & pinguibus quibusque ac dulcibus vtatur. Hæc enim plerúnque humiditatem tum reliquo corpori, tum vteris conciliant. Sin verò humidior fuerit, sic affecti vteri horum nullo indigent, sed contrà neque hæc attrectare, neque recenter lauare, neque suffire oportet, quum hæc quidem periculum creare soleant. Et si humidiores naturâ extiterint, siccare sanè & suffire oportebit. Quòd si biliosa ad eos confluant, medicamentum quod bilem purget, exhibendum. Sin autem salsuginosa, lac asininum, & vinum, aliáque præsidia. Oportet autem consideratis morborum viribus, & explicatis vt decet causis, ex quibus morbi oriuntur, ad reliqua hac viâ procedere, & eos qui sunt in locis curare. Et quæ quidem ob osculorum patentium causam prohibentur, ne vtero concipiant, earum oscula rectè apparare oportet, vt probè sint explicata. Quum verò humiditas prohibuerit, hanc inspicere oportet, vt ne impediat, mulierum rebus omnibus diligenter expensis, siue quid ex toto corpore agitari videatur, siue ex ipsis vteris, siue ab vtrisque. Vteros autem sic curare oportet, vt neque humidi sint, neque admodùm exarescant. Sed sicciores quidem eò magis succo bono, quò aridiores existunt; vt eiusmodi humore pingues potiùs, quàm macilenti, euadant. Humore vero exuberantes & madidi, eatenùs siccandi, vt humidi relinquantur, neque nimis resiccentur; horum enim exuperantia valde vitanda est. Concipit autem in vtero ea, quæ neque humiditate redundat, neque etiam exarescit, nisi horum aliquid ex prisca natura insit. Ad virum autem eam accedere oportet, quum à curatione bellè habuerit, desinentibus aut inchoantibus mensibus; præstiterit tamen etiam vbi desierint. Atque his potissimùm diebus experiendum est, an concipere possit; hi nanque sunt opportunissimi. Quòd si non statim conceperit, & cætera bellè habeant, nihil vetat alijs etiam diebus cum viro congredi. Hæc enim exercitatio propensionem ipsis inducit, venulæque laxantur. Ac si quæ à viro prodeunt, vnà cum eo quod à muliere emittitur, rectà concurrerint, citiùs concipiet. Hæc enim ea causa est, quibus vel statim, vel longo pòst tempore genitura effluit. Ac de his quidem hæc dicta sint. Si verò humidius vterorum os fuerit, attrahere genituram non possunt. Subdititijs autem acribus vtendum. Commorsus enim & inflammatus stomachus, interdùm durus redditur, quadamtenùs verò cum eo cognationem habet. Quòd si in callum obduruerint, præstiterit acria apponere, quæ mordeant; nam quæ tenuia sunt & ignea, callum liquant. At si callus emollitus fuerit, emollientibus curato, quæ minimè mordeant.

CAPVT

A

CAPVT XX.

De diu non concipientis, suppressis menstruis, ac de semen non excipientis, profluentibus menstruis, & obturantis membranæ curatione.

QVòd si diu non concipiat, non apparentibus mensibus, tertio aut quarto die alumen tenuiter tritum, vnguento dilutum, & lanâ exceptum subdito, quod per triduum contineat. Quarto verò die fel bubulum aridum oleo feruefactum, eóque tenuem lanuginem imbutam subdito, ac triduo contineat; sed postridiè eximat, & cum viro coeat. Si mulier genituram non recipiat, mensibus secundum naturam prodeuntibus, membrana prætenditur, quod etiam ex aliis causis oritur. Cognosces autem, quum digito obicem contigeris. Subdititium conficito; resinam, & æris florem cum melle subacta in linteolo quàm penitissimè apponito, filo eius extremitati alligato. Quòd quum extraxeris, myrtum in vino coquat, ac vino tepido perluatur. Præstiterit autem membranam demoliri.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τῆς διὰ πολλοῦ μὴ κυϊσκούσης, τῶν καταμηνίων μὴ φαινομένων, καὶ περὶ τῆς τὴν γονὴν μὴ δεχομένης, τῶν γυναικείων ἐρχομένων, καὶ τοῦ ὑμένος ἐμφράττοντος θεραπείας.

ΗΝ δὲ διὰ [128] πολλοῦ μὴ κυΐσκηται, τῶν καταμηνίων μὴ φαινομένων, ὅταν ἢ τριταίη, ἢ τεταρταίη, στυπτηρίην λείην τρίψας, διεὶς μύρῳ, εἰρίῳ ἀναστομίζων προσθεῖναι, καὶ ἐχέτω ἡμέρας τρεῖς· τῇ δὲ τετάρτῃ, χολὴν βοὸς αὐὴν ἐν ἐλαίῳ διαζέσας, καὶ ἄχνην ἀναδεύσας, προσθέτω, καὶ ἐχέτω ἐπὶ ἡμέρας τρεῖς, τῇ δὲ ἑτεραίῃ ἐξελέσθω, καὶ τῷ ἀνδρὶ ξυνίτω. Ην γονὴν μὴ δέχηται ἡ γυνὴ, τῶν γυναικείων κατὰ φύσιν [129] ἐρχομένων, ἡ μῆνιγξ ἐπιπροσθεν ἔσται· γίνεται δὲ καὶ ἐξ ἄλλων [130] γνώσῃ δὲ τῷ δακτύλῳ ἅψῃ τοῦ προβλήματος. πρόσθεμα δὲ ποιῆσαι ῥητίνην καὶ ἄνθος χαλκοῦ [131] ἐν μέλιτι, εἰς ὀθόνιον ἀρδαλώσας πρόσθες, ῥάμμα ἐκδήσας ἐκ τοῦ ἄκρου, ὡς ἐσωτάτω. ὅταν δὲ ἐξελκύσῃς, τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν, τῷ οἴνῳ χλιαρῷ διανιζέσθω. [132] περιελεῖν δὲ τὸν χιτῶνα ἄμεινον.

B

C

CAPVT XXI.

De abortionis, quæ tertio & quarto mense accidit, causis, symptomatis & curatione; ac de intereuntis fœtûs signis.

AT verò nonnullæ mulieres facilè vtero concipiunt, gestare verò nequeunt, sed fœtus ipsis statim aut sub tertium aut quartum mensem perduntur, nullâ causâ accedente, neque cibo minimè idoneo; & hæc dicta causa est, ac maximè quum vteri incrementum fœtui subduxerunt, aut ipsis aluus vehementer conturbatur; eo tempore quo fœtus perdunt, imbecillitas, febris vehemens, cibique fastidium accidit. Est autem & hæc causa; si vteri aut naturâ, aut vlceribus in his subortis læues fuerint. Si nanque læues fuerint, interdùm fœtum continentes membranæ, minùs quàm conueniat adhærent, vteris nimirùm humore tepentibus. Nouerit autem hæc singula quisque, si hæc sedulò quæsierit. De læuore autem constabit, si mulier alia vteros, dum vacui sunt, contigerit; non enim alio tempore commodè manifestum fit. Quod si iis menses eant, confertim prodeunt. Quibusdam ipsarum contingit, vt fœtus edant. Si verò curetur, spes partûs adest. At de his sic se res habet.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τῆς τοῦ ἐκτρώσεως ἅμα τῷ τρίτῳ μηνὶ ἢ τῷ τετάρτῳ γινομένης αἰτίων, καὶ συμπτωμάτων καὶ θεραπευτικῶν· καὶ περὶ τῶν τοῦ παιδίου φθειρομένου σημείων.

D

ΕΙσὶ δὲ γυναῖκες, αἵτινες λαμβάνουσι μὲν ῥηϊδίως ἐν γαστρὶ, ἐξενεγκεῖν δὲ οὐ δύνανται, ἀλλὰ σφέων τὰ παιδία διαφθείρονται ἅμα τῷ τρίτῳ μηνὶ, ἢ τῷ τετάρτῳ, οὐδὲ μιῆς αἰτίης ἐπιγινομένης, οὐδὲ βορῆς ἀνεπιτηδείου.[133] καὶ τοῦτό ἐστιν αἴτιον τὸ εἰρημένον, καὶ μάλιστα ἐπὴν ἀπομινυθέωσι τῆς αὐξήσιος τῷ ἐμβρύῳ αἱ μῆτραι, ἢ ἡ κοιλίη σφιν ταράσσηται· ἀσθενίη, καὶ πυρετὸς σφοδρὸς καὶ ἀσιτίη ἐμπίπτει τῷ χρόνῳ τούτῳ, ᾧ ἂν τὰ παιδία φθείρωσιν. Εστι δὲ καὶ τόδε αἴτιον· ἢν αἱ μῆτραι ἔωσι λεῖαι ἢ φύσει, ἢ ἑλκέων ἐν αὐτῇσιν ἐγγινομένων. ἢν γὰρ λεῖαι ἔωσιν, ἔστιν [134] ὅτε περιέχοντες αὐτὸ ὑμένες ἧσσον ἢ ὡς δεῖ ἐχόμενοί εἰσιν,[135] ἢ τῶν μητρέων ἀλέων ἐουσέων. Εἰδείη δ' ἄν τις τούτων ἕκαστα, εἰ ἐρωτῴη ἀτρεκέως ταῦτα.[136] περὶ δὲ τῆς λειότητος, εἰ ἑτέρη γυνὴ ψαύσειε τῶν μητρέων κενεῶν ἐουσέων, οὐ γὰρ ἁρμόζει, δῆλον γίνεται· ἢν δὲ ἴωσι τὰ καταμήνια ταύτῃσιν, ἀλέα ἔρχεται. ἔστιν αὐτέων ᾗσι γίνεται, ὥστε ἐκφέρειν τὰ ἔμβρυα. μελεδαινομένῃ δὲ, ἐλπίδες ἔνδοι τόκου. ἀμφὶ δὲ τῶνδε, ὧδε ἔχει.

E

F

CAPVT XXII.

De conceptionis prohibitæ causis, bile & pituitâ, continuo genituræ defluxu, & vteri laxitate; signis; & curatione, quâ infœcunda fœcunda fit.

SI mulierem parere nequeuntem, puerperam fieri velis, menses spectandi sunt, an pituitosi, an biliosi; sic

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ τῶν τῆς κυήσεως κωλυομένης αἰτίων, χολῆς τε καὶ φλέγματος, καὶ γονορροίας συνεχοῦς, καὶ τῆς μήτρας χαλάσεως καὶ τῶν σημείων· καὶ τῶν θεραπευτικῶν, ὡς ἡ γυνὴ εὔτοκος γίνεται.

ΗΝ γυναῖκα μὴ δυναμένην, τοκήσεσθαι ἐθέλῃς θεῖναι, χρὴ τοῖσιν ἐπιμηνίοισι σκέψασθαι, ἢν

τε φλεγματώδεα, ἤν τε χολώδεα ᾖ. γνώσῃ δὲ τῷδε. ψάμμον ὑποβάλλων λεπτὴν καὶ ξηρὴν, ὅταν οἱ τὰ ἐπιμήνια ᾖ, ἐν τῷ ἡλίῳ ἐπιχέαι τοῦ αἵματος, καὶ [137] ἐᾶν ξηρανθῆναι· καὶ ἢν μὲν χολώδης ᾖ, ἐν τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν ἔσται· ἢν δὲ φλεγματώδης ᾖ, οἷον μύξαι. τούτων ὁκότερον ἂν ᾖ, καθῆραι τὴν κοιλίην, ἤν τε ἄνω δέῃ, ἤν τε κάτω· ἔπειτα τὰς ὑστέρας καθαίρειν. Ἢν δὲ θέλῃς ξυλλαβεῖν, τοῦ κισσοῦ ἑπτὰ κόκκους, [138] ἢ τῶν φύλλων κατὰ μῆνα πίνειν ἐν οἴνῳ παλαιῷ, παυομένων τῶν ἐπιμηνίων. ἑψήσας καὶ [139] σίδην ἐν οἴνῳ εὐώδει ἀκρήτῳ, καὶ βάλανον ἐκ τούτου ποιήσας, προσθεῖναι ἐς τε μεσημβρίην. ἢ στυπτηρίην Αἰγυπτίην τρίψας λείην, ἐς εἴριον ἐνδήσας προστίθεσθαι. ἦμος δ' ἥλιος δύνῃ, εἶτα [140] ἀφελκομένη, διανιζέσθω οἴνῳ εὐώδει. ποιέειν δὲ ταῦτα, παυομένων ἐπιμηνίων. Ἔχει δὲ καὶ τόδε οὕτως. ἐπὴν ἀποκαθαρθῶσιν αἱ γυναῖκες, μάλιστα ἐν γαστρὶ λαμβάνουσιν, ἱμερωθεῖσαι, καὶ ὁ γόνος σφίσι ῥώννυται, ἢν μισγέωσιν ὅτε χρὴ, καὶ ὁ τοῦ ἀνδρὸς ῥηϊδίως μίσγεται, [141] καὶ ἢν ἐπικρατήσῃ, τῷδε ἠδέλφισται. τότε γὰρ μάλιστα τὸ στόμα τῶν μητρέων κέχηνε, [142] καὶ τέτανός ἐστι, καὶ μετὰ τὰς καθάρσιας καὶ αἱ φλέβες τὴν γονὴν σπῶσιν. ἐν δὲ τῷ πρὶν χρόνῳ, τό, τε στόμα τῶν μητρέων μέμυκε, καὶ μᾶλλον αἱ φλέβες πλέαι αἵματος ἐοῦσαι, οὐχ ὁμοίως σπῶσι τὴν γονήν. [143] Ἢν δὲ γόνος ἀπορρέῃ διιπετὴς, καὶ ἡ γυνὴ τῷ ἀνδρὶ οὐ ξυμμίσγεσθαι φιλῇ, καὶ ξυνεοῦσα οὐ κυΐσκηται, [144] καὶ ἡ ὀσφὺς, καὶ τὰ ἰσχία πόνους παρέχωσι, καὶ μιν πῦρ ἔχῃ βληχρὸν, καὶ ἀδυναμίη, καὶ ἀψυχίη ἐπιλάβηται, καὶ ἔστιν ὅτε αἱ ὑστέραι ἐν τῇ σφέων αὐτέων μὴ ἔωσιν ἕδρῃ. ἢν μὲν οὖν ὑπὸ πλησμονῆς ῥέῃ, ἐᾶν ἄριστον· ἢν δὲ ὑστέρη χαλάσῃ, δίαιτα χόνδρος, κρέας ὕειον, ἢ φάσσης, ἢ οἶνος μέλας· ποτήματα δὲ ὅσα πρὸς ῥόον γεγράφεται.

A *autem nosces. Arenâ tenui & siccâ, dum menses feruntur, suppositâ, in sole sanguinis aliquid infundito, & siccari permittito. Quòd si quidem biliosa fuerit, siccatus in arena sanguis pallidus erit; si verò pituitosa, tanquam mucus. Horum vtruncúnque fuerit, ventrem purgato, siue sursùm opus fuerit, siue deorsùm; posteà vteros purgato. Si verò concipere velis, hederæ grana septem, aut foliorum* succum *singulis mensibus, desinentibus menstruis, ex vino veteri potui dato.* B *Et malicorium in vino odorato meraco coquito, & glandem ex eo efformatam ad meridiem vsque subdito. Aut alumen Ægyptium tenuiter tritum, lanæ illigatum supponito. Quum autem sol occiderit, eo mox detracto, vino odorato perluatur. Hæc autem cessantibus mensibus facienda. Sed & hæc sic se res habet. Quum repurgatæ mulieres fuerint, tum potissimùm in vtero concipiunt, viri congressu potitæ, & genitura ipsis robur acquirit, si quando oportet, coiuerint, virique* semen *facilè commiscetur,* C *& si præualuerit, cum eo sociatur. Tunc enim maximè vterorum os hiat, ac distentum est, etiamque post purgationes venæ genituram attrahunt. At priori tempore tum os vterorum conniuet, & venæ sanguine pleniores quum sint, genituram non æquè trahunt. Quòd si genitura continuo cursu defluat, neque mulier viro misceri appetit, & si misceatur non concipit; & si lumbi, & coxendices doloribus vexentur, eamque febris lenta detineat, viriumque debilitas & animi deliquium succedat, interdùm & vteri sua in sede non* D *sunt. Si igitur præ plenitudine defluat, eam sinere optimum. Si verò vterus laxetur, victûs ratio sit alica, caro suilla, aut palumbi, & vinum nigrum. Potiones autem, quæ aduersus profluuium describentur.*

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Περὶ τῶν καταμηνίων τῶν κατὰ μῆνα ἕκαστον τῇ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ χωρούντων, καὶ τῶν τούτων αἰτίων καὶ συμπτωμάτων τῇ τε ἐγκύμονι καὶ τῷ ἐμβρύῳ ἐπικινδύνων, καὶ τῶν θεραπειῶν.

ΝΥν δὲ ἐρέω ἀμφὶ νουσημάτων τῶν ἐν γαστρὶ ἐχουσέων. Φημὶ τῇ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ δίμηνον, ἢ τρίμηνον, καὶ περαιτέρω, ἢν τὰ ἐπιμήνια παραχωρέῃ [145] αὐτίκα κατὰ μῆνα ἕκαστον, ἀνάγκη λεπτήν τέ μιν γίνεσθαι, καὶ ἀσθενέα. ἔστι δ' ὅτε καὶ πῦρ ἐπιλαμβάνει τὰς ἡμέρας, ἕως ἂν χωρέῃ τὰ ἐπιμήνια· καὶ ἐπὴν χωρέῃ, καὶ μετὰ τὴν χώρησιν χλωρὴ γίνεται, καὶ χωρέῃ δὲ ὀλίγα. Ταύτῃσι κεχήνασιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ, παραμεθιᾶσί τε τῆς αὔξης τοῦ ἐμβρύου. κατέρχεται γὰρ, ἐπὴν ἐν γαστρὶ ἔχῃ ἡ γυνὴ, ἀπὸ παντὸς τοῦ σώματος αἷμα ἐπὶ τὰς μήτρας κατ' ὀλίγον, καὶ περιϊστάμενον κύκλῳ περὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν, αὔξει κεῖνο. ἢν δὲ χάνωσιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ, [146] παραμεθιᾶσι τοῦ αἵματος κατὰ μῆνα, ὥσπερ εἴωθε χωρέειν, καὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν, λεπτόν τε καὶ ἀσθενὲς γίνεται. [147] Μελεδαινομένης δὲ τῆς γυναικὸς, ἄμεινον τό, τε

CAPVT XXIII.

De grauidæ menstruis singulis mensibus prodeuntibus, eorumque caussis, ac symptomatis tum fœtui, tum fœtæ periculosis, ac curatione.

E

N*Vnc verò dicam de prægnantium morbis. Pronuncio, mulieri fœtum bimestrem aut trimestrem, aut grandiorem vtero gerenti si menses quamprimùm singulis mensibus prodeant, eam tum tenuem tum debilem reddi necessum esse. Interdùm etiam his diebus quandiù menses prodierint, febris corripit. Quumque fluunt, & vbi effluxerint, pallescit, quantumuis parcè fluant.* F *His vteri plus æquo dehiscunt, & incrementum fœtûs dimittunt. Vbi enim mulier vterum gerit, paulatim à toto corpore sanguis in vteros defertur, & in orbem id quod in vteris est circumsistens, ipsum auget. Si autem vteri plus æquo dehiscant, sanguinem singulis mensibus, sicut prodire consueuit, effluere sinunt, & quod in vteris continetur, tenue & debile fit. Verùm si curetur mulier, tum fœtus, tum*

ipsa

ipsa mulier melius habet. Si verò non curetur, fœtus corrumpitur. Sed & ipsa periclitatur, ne diuturno morbo afficiatur, si ei plùs quàm deceat purgatio prodeat post corruptionem; periculum etiam imminebit, vteris nimirùm magis apertis.

A ἔμβρυον καὶ αὐτὴ ἡ γυνή· ἢν δὲ μὴ μελεδαίνηται, φθείρεται τὸ ἔμβρυον. κινδυνεύει δὲ καὶ αὐτὴ τὸ νόσημα χρόνιον ἔχειν, ἢν οἱ ἡ κάθαρσις πλεῖον τοῦ δέοντος χωρέῃ μετὰ τὴν διαφθορὴν, οἷα τῶν μητρέων μᾶλλον ἐστομωμένων, καὶ κίνδυνος ἔσται.

CAPVT XXIV.

De pituitoso grauidæ capite, ac periculosis eius symptomatis; ac de multis abortionis seu corruptionis fœtûs causis ac periculis.

ΚΕΦΑΛΑΙΟΝ ΚΔʹ.

Περὶ τῆς κεφαλῆς φλεγματώδεος, γυναικὸς ἐν γαστρὶ ἐχούσης, καὶ τῶν ἐπικινδύνων ταύτης συμπτωμάτων· καὶ περὶ τῶν πολλῶν τῆς ἐξαμβλώσεως ἢ φθορᾶς αἰτίων τε καὶ κινδύνων.

B

SI verò mulieri vtero gerenti caput pituitosum fuerit, pituita acris in ventrem fertur, & à capite in ventrem cum impetu decidit, eamque febris lenta inuadit, quibusdam etiam palpitationes, quæ aliquantulùm exoluuntur; vbi increscunt, acutæ sunt. Quòd si etiam appetentiæ deiectio & imbecillitas detineat, periculum est, ne breui fœtus corrumpatur, ipsáque nisi sedulò curetur, periclitabitur; vbi autem euaserit, nimirùm cùm aluus sit fluida, eam statim comprimere oportet. Multa quoque sunt alia, in quibus fœtus corrumpuntur, pericula. Si enim mulier vtero gerens ægrotarit, ac inualida sit, & onus vi sustulerit, aut plagam acceperit, aut saltarit, aut inediâ laborarit, aut animo defecerit, si copiosius aut parcius alimentum sumpserit, aut metuerit, & conturbata fuerit, aut vociferata sit, aut intemperanter vixerit. Etenim tum cibus, tum potus copiosus corruptionis fœtûs causa est. Sed & ipsi vteri naturas habent quibus abortionem faciunt, quum flatulenti, densi, magni, parui existunt, alijsque similibus afficiuntur.

ΗΝ δὲ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἡ κεφαλὴ φλεγματώδης ᾖ, [148] καταβαίνει τὸ φλέγμα δριμὺ ἐς τὴν κοιλίην, καὶ καταῤῥήσσει ἀπὸ τῆς κεφαλῆς ἐς τὴν κοιλίην, καὶ πῦρ ἐπιλαμβάνει αὐτὴν βληχρὸν, καὶ παλμοὶ ἔστιν ᾗσιν, ἀσθενέες ὑπεκλυόμενοι, ἐπιδιδόντες ὀξέες. ἢν δὲ καὶ ἀσιτίην ἔχῃ καὶ ἀδυναμίην, κίνδυνος ἐν τάχει φθαρῆναι τὸ ἔμβρυον, καὶ αὐτὴ ἐν κινδύνῳ ἔσται [149] ἀπενηνεγμένη, ἢν μὴ μελεδαίνηται· C ἐπὴν δὲ ἀποφύγῃ, ἅτε τῆς κοιλίης ὑγρῆς ἐούσης, αὐτίκα δεῖ καταλαμβάνειν. Πολλοὶ δὲ καὶ ἄλλοι εἰσὶ κίνδυνοι, ἐν οἷσι τὰ ἔμβρυα φθείρονται. καὶ γὰρ ἢν ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νοσήσῃ, καὶ ἀσθενήσῃ, [150] καὶ ἄχθος βιήσηται, ἢ πληγῇ, ἢ πηδήσῃ, ἢ ἀσιτήσῃ, ἢ λειποθυμίῃ ἔχηται, ἢ πλέονα ἢ ὀλίγην τροφὴν λαμβάνῃ, ἢ δειδίσσηται, [151] καὶ θορυβῆται, καὶ κεκράγῃ, ἢ ἀκρατήσῃ· καὶ γὰρ [152] καὶ τροφὴ αἰτίη φθορῆς, καὶ πόμα πουλύ. Καὶ αὐταὶ δὲ αἱ μῆτραι ἔχουσι φύσιας ᾗσιν ἐξαμβλέεται, ὅσαι D πνευματώδεες, πυκναὶ, μεγάλαι, μικραὶ, καὶ ἄλλα ὅσα ἔοικεν.

CAPVT XXV.

Ventris & lumborum in grauidis dolorem abortionis causam esse, vt & acrium ac amarorum esum; abortus faciles; ad quos vitandos summâ curâ ac scientiâ multâ opus esse.

ΚΕΦΑΛΑΙΟΝ ΚΕʹ.

Τὸν τῆς κοιλίας τε καὶ τῆς ὀσφύος ἐν ταῖς γυναιξὶ πόνον ἐξαμβλώσεως αἰτίαν εἶναι, ὥσπερ καὶ τῶν δριμέων τε καὶ πικρῶν ἐδωδήν· τὰ ἐξαμβλώματα ῥᾳδίως γίνεσθαι, ἐς ὧν ἐκφυγὴν φυλακῆς καὶ ἐπιστήμης δεῖν πολλῆς.

SI mulier vtero gerens ventrem aut lumbos doleat, metuendum est ne abortione fœtum excludat, ruptis membranis ipsum continentibus. Sunt autem quæ si acre quiddam aut amarum præter consuetudinem ederint aut biberint, fœtus perdunt, tenello adhuc puello intùs existente. Siquid enim puero præter consuetudinem accidat, atque si paruulus adhuc fuerit, moritur. Et si (quemadmodum diximus) eiusmodi ederit aut biberit mulier, tenello adhuc existente puerulo, vt ventrem ei exturbari necesse sit. Fluxionem enim ex aluo prodeuntem vteri sentiunt. Quòd si mulier plùs æquo laborarit, eique venter coarctetur aut magnus fiat, sic quoque fœtus corrumpitur, quum nimirùm labore incaluerit, & à ventre comprimatur. Plerúnque enim quum admodùm sunt exigui, imbecilles existunt. Quin & grandiusculi fœtus etiam corrumpuntur; quare mulieres mirari non oportet, quod nolentes fœtum corrumpant. Nam cautione ac scientiâ multâ opus est, vt in vteris fœtum perferant, & enutriant, eóq; in partu liberentur.

E ΗΝ γυνὴ ἐν γαστρὶ ἔχουσα, τὴν κοιλίην ἢ τὴν ὀσφὺν πονέῃ, ὀῤῥωδέειν χρὴ τὸ ἔμβρυον ἀμβλῶσαι, ῥαγέντων τῶν ὑμένων, οἳ αὐτὸ περιέχουσιν. Εἰσὶ δὲ αἳ διαφθείρουσι τὰ ἔμβρυα, ἢν δριμύ τι ἢ πικρὸν φάγωσι παρὰ τὸ ἔθος ἢ πίωσι, νηπίου τοῦ παιδίου ἔσω ἐόντος. ἢν γὰρ τῷ παιδίῳ παρὰ τὸ ἔθος τι γίνηται, καὶ ἢν σμικρὸν ἔτι ᾖ, θνήσκει· καὶ ἢν τοιαῦτα φάγῃ [153] ἢ πίῃ, ὥσπερ εἴπομεν, ὥστε οἱ ἀνάγκη ταραχθῆναι τὴν κοιλίην, νηπίου ἐόντος τοῦ παιδίου· ἐπαΐουσι γὰρ αἱ μῆτραι τοῦ ῥεύματος χωρέοντος ἐκ τῆς κοιλίης. Καὶ ἢν ταλαι- F πωρήσῃ ἡ γυνὴ πλέονα τοῦ καιροῦ, [154] καί οἱ ἡ κοιλίη ἐρχθῇ, ἢ καὶ μεγάλη γένηται, ἀπογίνεται καὶ οὕτως τὸ παιδίον, οἷα [155] θερμανθὲν ὑπὸ τῆς ταλαιπωρίης, καὶ πιεζόμενον ὑπὸ τῆς κοιλίης· κάρτα γὰρ τὰ πολλὰ σμικρὰ ἐόντα, ἔστιν ἄγυια, τὰ δὲ καὶ μεγάλα φθείρεται παιδία. ὥστε οὐ χρὴ θαυμάζειν τὰς γυναῖκας, ὅτι διαφθείρουσιν [156] ἄκουσαι· φυλακῆς γὰρ καὶ ἐπιστήμης πολλῆς δεῖ ἐς τὸ διενεγκεῖν καὶ ἐκθρέψαι τὸ παιδίον ἐν τῇσι μήτρῃσι, καὶ ἀποφυγεῖν [157] αὐτῷ ἐν τῷ τόκῳ.

A

ΚΕΦΑΛΑΙΟΝ ΚϚʹ.

Περὶ τῶν τῆς γυναικὸς τὸ σῶμα φλαύρως ἐχούσης καὶ χολώδεος καὶ ἰκτερώδεος συμπτωμάτων, τῶν τῷ παιδίῳ τε καὶ τῇ ἐγκύῳ ἐπικινδύνων, καὶ τῶν λοχείων ἰόντων καὶ κρυφθέντων, καὶ τῶν ταύτης θεραπευτικῶν.

Εἰ δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα τὸ σῶμα φλαύρως ἔχοι, καὶ εἴη χολώδης, καὶ ἐπίπονος, καὶ πυρεταίνοι ἄλλοτε καὶ ἄλλοτε, καὶ τὸ στόμα ἐκπικράζοιτο, καὶ χλωρὴ γλῶσσα, ὄμματα ἰκτερώδεα, ὄνυχες χολώδεες, οὖρον δριμὺ, ἄλλως τε καὶ εἰ πυρεταίνῃ, ἄλλοτε καὶ ἄλλοτε ταῦτα ξυμβήσεται· ἐπὴν δὲ συμβῇ οἱ καὶ τὴν κάθαρσιν χολώδεα εἶναι, πᾶσα ἐλπὶς καὶ τὰ παιδία ἀσθενέα ἔσεσθαι· ἢν δὲ χολώδεα ὑποχωρέῃ[158] (κάρτα δὲ γὰρ τοῦτο) ῥηΐτερον διάξει· καὶ ἢν χολώδεα τὰ λοχεῖα, ἢ μέλανα ἔῃ κάρτα,[159] καὶ ἐπιπολὺ λίπος ἐπιγίνεται, καὶ ἔρχεται κατ' ὀλίγον, καὶ οὐ ταχὺ πήγνυται, καὶ τὸν μὲν πρῶτον χρόνον ῥηϊτέρως οἴσει, ἔπειτα χαλεπώτερον, καὶ ἐπικαθαίρεται ἐλάσσονα τοῦ δέοντος· ἢν γὰρ τὸ σῶμα φλαύρως ἔχῃ, καὶ τὰ λοχεῖα οἱ ἐλάσσονα χωρήσει πονηρότερα. πείσεται δὲ ταῦτα πάντα,[160] καὶ ἢν τὰ καταμήνια χωρέηται χολώδεα, ἐλάσσονα δὲ χρόνον νοσήσει, καὶ κινδύνους ἐς τοὺς αὐτοὺς[161] ἥξει ἡ νοῦσος, καὶ σημήϊα, καὶ μεταλλαγάς·[162] ἢ γὰρ ἔμετος ταύτῃσι χολώδης ἢ κατὰ τὴν κοιλίην κάθαρσις ἐπὶ ταύτῃ γίνεται, καὶ ἑλκοῦνται αἱ μῆτραι, φυλακῆς δὲ πολλῆς δέεται ἡ γυνή. ὅταν οὖν τοιοῦτόν τι[163] γίνηται, ὅκως μὴ θάνηται, ἄφορος ἔσται· ἢν δὲ μηδὲν τουτέων γίνηται, καὶ μὴ μελεδαίνηται, ἀλλά οἱ τὰ λοχεῖα κρυφθῇ, θνήσκει ἐν τριήκοντα καὶ μιῇ ἡμέρῃ ὡς ἐπιτοπολύ. Ταύτῃ φάρμακον πίσαι χολαγόν· καὶ ἄνισον ἀρήγει, καὶ ὅσα ἐς οὔρησιν. ἐμέειν δὲ, καὶ ἱδρῶτας ἄγειν, καὶ τὴν κοιλίην κλύζειν χυλῷ πτισάνης, καὶ μέλιτι, καὶ ᾠοῖσι, καὶ μαλάχης ὕδατι.

B

CAPVT XXVI.

De prægnantis malè habentis corpore, biliosæ, ac ictericæ symptomatis, fœtui & fœtæ periculosis, lochiis fluentibus & suppressis, eiusque curatione.

Si verò mulier vtero gerens corpore malè habeat, fueritque biliosa, & lassitudine diuexetur, & aliàs atque aliàs febricitet, os amarescat, lingua ex virore sit pallida, oculi auriginosi, vngues biliosi; acris vrina, maximè si febricitet, aliàs atque aliàs ei continget; vbi verò & biliosam ei purgationem esse obtigerit, planè metuendum est, fœtus etiam imbecillos fore. Si verò biliosa per aluum egerat (id autem maximè contingit) meliusculè deget. Ac si lochia biliosa, aut atra sint admodùm, ferè pinguedo succedit, paulatimque feruntur, neque citò concrescunt, tumque primo quidem tempore faciliùs feret, posteà molestiùs, minúsque quàm deceat, purgatur. Si enim corpus malè habuerit, etiam ei parciora & deteriora puerperia C *prodibunt. Hæc autem omnia patietur, etiamsi menses prodeant biliosi; verùm pauciori tempore ægrotabit, ad eadémque pericula, signa, & transmutationes morbus deueniet. Aut enim ijs vomitio biliosa, aut per aluum purgatio in hoc morbo fit, vterique exulcerantur. Multâ autem curâ mulier indiget. Quum igitur tale quid factum fuerit, vt ne moriatur, sterilis erit. Si verò nihil horum contigerit, neque curetur, sed puerperia ipsi delituerint, vno & triginta diebus vt plurimùm moritur. Huic medicamentum, quod bilem ducat, propinato. Auxiliatur & anisum, & quæcunque ad vrinam ciendam* præscribuntur. *Vomat autem, & sudores eliciantur, aluusque ptisanæ cremore, melle, ouis, & maluæ decocto eluatur.* D

ΚΕΦΑΛΑΙΟΝ ΚΖʹ.

Τὸ τῶν μαζῶν, καὶ τῆς γαστρὸς τῇ ἐν γαστρὶ ἐχούσῃ πλήρωμα ἐξαπίνης συμπίπτον, καὶ ἐπιφαινόμενα τὰ ἐπιμήνια ἐκτρωσμοῦ ἢ ἐμβρύου ἀπεθανόντος ἢ νοσώδεος εἶναι σημεῖα.

[164] Ἢν ἐν γαστρὶ ἐχούσῃσι περὶ τὸν ἕβδομον ἢ ὄγδοον μῆνα ἐξαπίνης τὸ πλήρωμα τῶν μαζῶν καὶ τῆς γαστρὸς ξυμπίπτῃ, καὶ οἱ μαζοὶ ἰσχναίνωνται, καὶ τὸ γάλα οὐ φαίνεται, φάναι τὸ παιδίον ἢ τεθνηκὸς εἶναι, ἢ ζώειν τε καὶ εἶναι ἀπεδανόν. ἢν γὰρ ἔχωσιν ἐν γαστρὶ, καὶ ἐπιφαίνεται τὰ ἐπιμήνια, καὶ τιτρωσμοὶ γίνονται, ἢν πλείονα ἢ καὶ κάκοδμα, ἢ νοσώδεα τὰ ἔμβρυα γίνεται.

CAPVT XXVII.

Plenitudinem mammarũ ac ventris in grauida derepentè concidentẽ, & menstrua apparentia, abortionis, aut fœtûs imbecillis aut ægrotãtis esse signa.

E

Quibus vterum gerentibus ad septimum aut octauum mensem, mammarum ventrisque plenitudo derepentè concidit, mammæque extenuantur, & lac non apparet, puerum aut interijsse, aut viuere & debilem esse asserendum. Si enim vterum gestent, & menses appareant, aut abortiones fiunt, si copiosi & graueolentes fuerint, aut morbosi fœtus redduntur.

ΚΕΦΑΛΑΙΟΝ ΚΗʹ.

F

Περὶ τῶν τῆς ἐν γαστρὶ ἐχούσης φλεγματώδεος καὶ τετοκυίας συμπτωμάτων, καὶ σημείων, καὶ θεραπείας διὰ τῶν καθαρτικῶν φλεγμαγωγῶν.

Ἢν γυνὴ ἐν γαστρὶ ἔχουσα φλεγματώδης ᾖ, καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ πυρεταίνει ἄλλοτε καὶ ἄλλοτε, καὶ ἐν τῇ κεφαλῇ εἰλέεται τὸ φλέγμα, καὶ βάρος ἔχει καὶ ψῦξιν, καὶ ἐς τὸ σῶμα διαχωρέει, καὶ ἐς τὰς φλέβας, ὅταν ἡ

CAPVT XXVIII.

De prægnantis pituitosæ ac puerperæ symptomatis, signis, & curatione per purgantia pituitam.

Si mulier vtero gerens pituitosa fuerit, caput dolet, ac multoties febricitat; pituita in capite voluitur, & grauitatem habet ac frigus, in corpus secedit & venas, quum caput repletum fuerit.

fuerit. Plumbo etiam colore fit similis, & vomit pituitam, lingua alba, vrina vulgò exalbescit, frigida est, perturbatio, difficilis motus. Vbi verò pepererit, ipsi purgatio pituitosa procedet, & membranea apparebit, & velut araneorum telæ distentæ in hac erunt, iisdemque quidem omnibus afficietur, quibus ea cui menstrua pituitosa ferebantur, verùm parciori tempore ægrotabit, morbusque eadem pericula, signa & transmutationes habebit. Ipsi enim vomitum pituitosum fieri continget, & affectiones eædem illi succedent. Eodem namque modo puerperij purgamenta & menses pituitosi dependent, breuiori tamen, quàm menses, tempore. Ac nisi ea purgatio, quæ diù moram traxit, eruperit, intra quinque & quadraginta dies moritur, etiamsi puerperij purgatio pituitosa ei prodierit. At curata mulier conualescet, sed per initia inflabitur, si sana euaserit, nam grauis futurus est hic morbus. Huic medicamentum, quod pituitam educat, exhibendum, & lac caprinum coctum cum melle mixtum. Si verò multoties non cedat, nasturtium exhibendum, aut carthamum, aut cneorum, aut polypodium, aut serum, aut ex salibus compositum medicamentum, & quæcunque pituitam laxant & educunt.

A κεφαλὴ ἢ πλήρης. γίνεται δὲ καὶ μολίβδῳ τὴν χροιὴν ἴκελος, καὶ ἐμέει φλέγμα, γλῶσσα λευκή, καὶ οὔρησις [166] κοινὴ ἔκλευκος, ψυχρή, ταραξις, δυσκινησίη. ἐπὴν δὲ τέκῃ, χωρήσει οἱ ἡ κάθαρσις φλεγματώδης, καὶ φανεῖται [167] ὑμενώδεες, καὶ ὥσπερ ἀράχνια διατεταμένα ἐν ταύτῃ ἔσται, καὶ πείσεται μὲν ταῦτα πάντα καὶ ἢ τὰ καταμήνια ἐχώρεε τὰ φλεγματώδεα, ἐλάσσονα δὲ χρόνον νοσήσει, καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἕξει, καὶ σημεῖα, καὶ μεταλλαγάς. ξυμβήσεται γὰρ αὐτῇ ἐμέειν γίνεσθαι φλεγματώδεα, καὶ παθήματα ὅμοια κείνῃ B [169] χωρήσαντα· ἐξήρτηται γὰρ τῷ αὐτέῳ τρόπῳ τὰ λοχεῖα καὶ τὰ καταμήνια τὰ φλεγματώδεα, ἐλάσσονα δὲ χρόνον [170] μὲν τῶν καταμηνίων· καὶ ἢν μὴ ῥαγῇ αὐτῇ ἡ κάθαρσις χρονισθεῖσα, θνήσκει ἐν πέντε καὶ τεσσαράκοντα ἡμέρῃσι, [171] καὶ ἢν οἱ φλεγματώδης ἡ λοχίη κάθαρσις χωρήσει. μελεδαινομένη δὲ ἡ γυνή, ὑγιὴς ἔσται, καὶ φυσηθήσεται ἐξ ἀρχῆς, [172] ἢν ὑγιανθῇ· χαλεπὸν γὰρ τοῦτο ἔσται τὸ νόσημα. C Ταύτῃ χρὴ διδόναι φάρμακον, ὅ, τι φλέγμα ἄγει, καὶ μίσγειν γάλα ἑφθὸν αἴγειον ξὺν μέλιτι· ἢν δὲ πολλάκις μὴ ἐσακούῃ, κάρδαμον, ἢ κνῆκον, ἢ κνέωρον, ἢ πολυπόδιον, ἢ ὀῤῥόν, [173] ἢ τὸ ἀπὸ ἁλῶν ξυντιθέμενον διδόναι, καὶ ὅσα φλέγμα χαλᾷ καὶ ἀνάγει.

CAPVT XXIX.

De prægnantis lienosæ à pituita factæ menstruis, lochijs, ac periculis; ad grauidam tumentem, & grauidam bile vexatam, remedia.

AT si mulier vtero gerens sub commemoratis affectionibus lienosa fuerit, in hoc morbo menstrua aquæ similia & pituitosa dimittit, & lochia procedent aquis similia, & interdum quidem copiosa, interdùm verò pauca venient, & quemadmodùm à carnibus aqua, fiunt, ac si quis carnes cruentas abluat; quandoque verò paulò crassiora, neque concrescunt. Eademque patietur omnia, ac cui aquosi menses prodeunt, eademque pericula & mutationes morbus habebit. Continget enim ipsi fluorem aquosum oboriri, aut purgationem occultari, & ad ventrem, & crura, aut ad pectus aut aliquam harum partium conuerti, eademque pericula imminebunt, quæ priùs dicta sunt. Si grauida intumescat, vrticæ semen quàmplurimum, & mel, & vinum odoratum dilutum bis die in potu exhibendum. Si prægnantem bilis vexet, ptisanæ succum dato, rhoë rubro aut mori arboris fructu asperso, frigidum autem sorbeat, & conquiescet.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

D Περὶ τῆς ἐν γαστρὶ ἐχούσης, σπληνώδεος ἀπὸ φλέγματος πεποιημένης, καταμηνίων, καὶ λοχείων, καὶ κινδύνων. τὰ πρὸς τὴν κύουσαν οἰδαίνουσαν, καὶ τὴν κύουσαν ὑπὸ χολῆς ἐνοχλουμένην, βοηθήματα.

ΗΝ δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα, σπληνώδης ᾖ ὑπὸ παθημάτων ὧν εἴρηται, ἐν τῇ νούσῳ τὰ καταμηνίων τὰ ὑδρωπώδεα καὶ φλεγματώδεα ἀφίησι, καὶ τὰ λοχεῖα χωρήσει ὑδρωπώδεα, καὶ ἐλεύσεται ὁτὲ μὲν πολλά, ὁτὲ δὲ ὀλίγα, καὶ γίνεται μὲν ὥσπερ ἀπὸ κρεῶν ὕδωρ, ὡς εἴ τις κρέα αἱματώδεα ἀποπλύνοι· ὁτὲ δὲ ὀλίγῳ παχύτερον, καὶ οὐ πήγνυται. καὶ πείσεται ταῦτα E πάντα, [174] καὶ εἰ τὰ καταμήνια τὰ ὑδατώδεα χωρέει, καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἕξει, καὶ μεταλλαγάς. ξυμβήσεται γὰρ οἱ ῥόον γίνεσθαι ὑδατώδεα, ἢ κρυφθῆναι τὴν κάθαρσιν, καὶ τραπέσθαι ἐς τὴν κοιλίην, καὶ τὰ σκέλεα, ἢ ἐς τὸ στέρνον, ἤ τι τούτων· καὶ κίνδυνοι ἔσονται οἱ αὐτοί, οἳ καὶ πρόσθεν εἴρηνται. Ἢν κύουσα οἰδέῃ, κνίδης καρπὸν ὡς πλεῖστον, καὶ μέλι, καὶ οἶνον κεκρημένον εὐώδεα διδόναι ποτὸν δὶς τῆς ἡμέρης. Ἢν κυούσῃ χολὴ λυπέῃ, F πτισάνης χυλὸν δίδου, ῥόον ἐπιπάσσων τὸν ἐρυθρόν, ἢ τὸ ἐκ τῆς συκαμίνου· ψυχρὸν δὲ ῥοφεέτω καὶ καταστήσεται.

CAPVT XXX.

De prægnantis suffocatione, eiusque causis, ac symptomatis; eiusque ac fœtûs periculis.

SI suffocatio derepentè mulieri vtero gerenti accidat, accidit autem id potissimùm, vbi mulier laborauerit

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Περὶ τῆς κυούσης πνιγός, καὶ τῶν ταύτης αἰτίων καὶ συμπτωμάτων· καὶ τῶν αὐτῆς τε καὶ τοῦ ἐμβρύου κινδύνων.

ΗΝ δὲ πνὶξ προσπέσῃ ἐξαπίνης γυναικὶ ἐχούσῃ ἐν γαστρί, γίνεται δὲ τοῦτο μάλιστα ἐπὴν ἡ γυνὴ τα-

λαιπωρέῃ καὶ ἀσιτήσῃ, θερμανθεισέων τῶν μητρέων ὑπὸ τῆς ταλαιπωρίης, καὶ ἐλάσσονος τῆς ἰκμάδος γινομένης τῷ ἐμβρύῳ· καὶ ἅτε τῆς μήτρης κενεωτέρης [175] τὴν κοιλίην τοῦ χωρίου ἐούσης, ἰθὺ τὸ ἔμβρυον πρὸς τὸ ἧπαρ καὶ τὰ ὑποχόνδρια, ἅτε ἰκμαλέα ἐόντα, καὶ πνῖγα [176] ποιήσει ἰσχυρὴν ἐξαπίνης· [177] ἐπιλαμβάνεται γὰρ τὸν διάπνοον τὸν ἀμφὶ τὴν κοιλίην, καὶ ἀναυδίην ἴσχει τὴν γυναῖκα, καὶ τὰ λευκὰ ἀναβάλλει τῶν ὀφθαλμῶν, καὶ τἄλλα πάσχει πάντα, [178] ὅσα περ εἴρηται, [179] ἢν ἄνευ ἐφόδου τὰς μήτρας πνιγείη. καὶ ἅμα τε ἄρχεται ἡ πνὶξ γίνεσθαι τῇ ἐν γαστρὶ ἐχούσῃ γυναικὶ, καὶ ἀπὸ τῆς κεφαλῆς καταῤῥεῖ φλέγμα εἰς τὰ ὑποχόνδρια, οἷα τοῦ σώματος μὴ δυναμένου τὴν ἀναπνοὴν ἕλκειν. Καὶ ἢν μὲν ἅμα τοῦ φλέγματος τῇ κατελεύσει, ἴῃ τὸ ἔμβρυον ἐς χώρην τὴν ἑωυτοῦ, [180] ὅλην τὴν ἰκμάδα ἑλκύσαν, καὶ κατενεχθὲν ὑπὸ τοῦ φλέγματος, ὑγιὴς γίνεται ἡ γυνή· τρυσμὸς δὲ γίνεται, [181] λιπόντος τοῦ ἐμβρύου τὴν χώρην τὴν ἑωυτοῦ, καὶ ἡ γαστὴρ ὑγρὴ γίνεται ὡς ἐπὶ τὸ πλέον, τῆς γυναικός. Ην δὲ μὴ ἴῃ τὸ ἔμβρυον ἐν τάχει ἐς χώρην τὴν ἑωυτοῦ, δύο γὰρ ἤδη τὰ πονέοντα τὸ ἔμβρυον, τὸ φλέγμα τὸ κατελθὸν ἀπὸ τῆς κεφαλῆς (βαρύνει τε γὰρ καὶ ψύχει [182] ἐπιμένον) καὶ ἡ ἀηθείη τοῦ χωρίου· καὶ κινδυνεύσει, [183] ἢν γε μή τις ἐν τάχει ἐπιτηδειοτέρως διαιτῴη, ἀποπνιγείη γὰρ ἂν ἡ γυνή. καὶ τὰ μὲν ἀμφὶ τούτων ὧδε ἔχει.

A *& cibis abstinuerit, vteris per laborem calefactis, & pauciore fœtui accedente humore. Quumque vterus suâ cauitate plus æquo inanis existat, fœtus ad hepar & hypochondria nimirùm humore scatentia rectà fertur, vehementemque derepentè suffocationem afferet. Perspirationem enim circa ventrem intercipit, & loquendi impotentia mulierem detinet, oculorum partes albas sursùm conuertit; reli-* B *quaque vniuersa* patitur, *quæ commemorata sunt, siquæ non prægnans vteri strangulatu laborauerit. Et simul atque mulieri vtero habenti suffocatio fieri incipit, pituita etiam in hypochondria à capite defluit, corpore nimirùm respirationem ducere non valente. Quòd si vnà cum pituitæ descensu, fœtus à pituita delatus, & secum attracto toto humore in suum locum redierit, mulier conualescit. Excitatur autem stridor, dum fœtus locum suum deserit; mulierisque venter sæpiusculè fluidus redditur.* C *Sed si breui ad suum locum fœtus non veniat, tum duo oriuntur quæ fœtui molestiam afferunt, pituita à capite delapsa (etenim grauat, & permanens refrigerat) & loci insolentia; tumque periclitabitur, & mulier suffocabitur, nisi quis breui commodiorem victûs rationem adhibuerit. Ac de his quidem sic res habet.*

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Αἱ δυστοκίαι, ὅταν τὸ παιδίον πλάγιον ἢ ἐπὶ πόδας ἔρχεται· αἱ τούτων αἰτίαι· εὐτοκία ἐπὶ κεφαλήν.

ΗΝ δὲ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὁ χρόνος ἤδη τοῦ τόκου παρῇ, καὶ ὠδῖνας ἔχῃ, καὶ ἐπὶ πολλὸν χρόνον ἀποφυγεῖν ἡ γυνὴ τοῦ παιδίου μὴ οἵη τε ᾖ, ὡς ἐπίπαν ἔρχεται πλάγιον, ἢ ἐπὶ πόδας. χρεῶδες δ' ἐπὶ κεφαλὴν χωρέειν· καὶ ἢν πλάγιον [185] ἴῃ, χαλεπὸν γὰρ τὸ πάθημα. ὡς γὰρ εἴ τις ἐς λήκυθον μικρόστομον πυρῆνα ἐμβάλλοι, οὐκ εὐφυὲς ἐξελεῖν πλαγιούμενον· οὕτω δὴ καὶ τῇ γυναικὶ χαλεπὸν πάθημα, τὸ ἔμβρυον ἐπειδὰν λοξωθῇ, καὶ γὰρ χαλεπὸν ἐξελθεῖν. [186] χαλεπὸν δὲ καὶ ἢν ἐπὶ πόδας χωρήσῃ, καὶ πολλάκις ἢ αἱ μητέρες ἀπώλοντο, ἢ τὰ παιδία, ἢ καὶ ἄμφω. Εστι δὲ καὶ τόδε μέγα αἴτιον τοῦ μὴ ῥηϊδίως ἀπιέναι, ἢν νεκρὸν, ἢ ἀπόπληκτον, [187] ἢ διπλόον ᾖ.

CAPVT XXXI.

D Partus difficilis, quum fœtus aut transuersarius, aut in pedes exit; eorum causæ; partus facilis in caput.

SI verò mulieri vterum gerenti iam partûs tempus affuerit, ac partûs dolor detinuerit, diuturnoque tempore mulier fœtum edere non potuerit, is transuersus, aut in pedes omninò exit. In caput autem prodire perutile. Quòd si transuersus exeat, grauis euadit affectio. Vt enim siquis in lecythum angusti oris, oliuæ nucleum immittat, hunc transuersa- E *rium educere non facile est; sic sanè etiam mulieri grauis est affectio, vbi fœtus transuersarius fuerit; etenim ipsum exire perarduum. Graue verò etiam est, si in pedes prodierit, & plerunque aut matres, aut puelli, aut ambo etiam pereunt. Est autem & hæc magna causa, cur non facilè exeat; si mortuus, aut sideratus, aut duplicatus* fœtus *fuerit.*

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Περὶ τῆς ἐν γαστρὶ ἐχούσης χλωρᾶς, καὶ τῶν αὐτῆς αἰτιῶν καὶ τῶν περὶ τὸν τόκον καὶ μετὰ τὸν τόκον συμπτωμάτων.

ΕΠὴν ἐν γαστρὶ ἡ γυνὴ ἔχῃ, χλωρὴ γίνεται πᾶσα, ὅτι αὐτέης τοῦ αἵματος αἰεὶ τὸ ἀκραιφνὲς καθ' ἡμέρην ὑπολείβεται ἐκ τοῦ σώματος, καὶ κατέρχεται ἐπὶ τὸ ἔμβρυον, καὶ αὔξησις γίνεται· καὶ ἐλάσσονος τοῦ αἵματος ἐόντος ἐν τῷ σώματι, ἀνάγκη εἶναι χλωρὴν, καὶ ἱμείρεσθαι

CAPVT XXXII.

F De prægnante cum virore pallidâ, eiusque causis, & ante partum & in partu symptomatis.

QVum vterum gestat mulier, tota fit cum virore pallida, quòd purus ipsius sanguis semper quotidie è corpore destillet, & ad fœtum feratur, eique incrementum accedat; quumque paucior in corpore sanguis existat, eam pallidam esse necesse

necesse est, semperque alienos cibos appetere, & ventrem sanguinea subire. Debilior etiam redditur, quod sanguis imminuatur. Assero autem mulierem, ubi pariet, crebrum spiritum emittere; sique purgatio incipiat, venter plenus est, & calore vexatur. Tum verò potissimum crebrò respirat, ubi partui proxima est, tumque maximè lumbis dolet, nam & lumbi à fœtu percutiuntur. Toto verò intermedio tempore oris ventriculi dolore sæpenumerò premitur, quum nimirùm venter, ac præcipuè uterus, fœtum undique complectatur.

ἀλλοκότων ἀεὶ βρωμάτων, καὶ ἐπὶ κοιλίην αἱματώδεα [188] ἰέναι· καὶ ἀσθενεστέρη γίνεται, ὅτι τὸ αἷμα μινύθει. [189] Φημὶ δὲ γυναῖκα, ἢν [190] ἐπιτεύξῃ, πνεῦμα πυκνὸν ἀφιέναι· καὶ ἢν ἡ κάθαρσις ἄρχηται, ἡ κοιλίη πλήρης ἐστὶ, καὶ θέρμῃ πιεζομένη. μάλιστα δὲ ἀναπνέει πυκινὸν, ἐπὴν τόκου πελάζῃ, καὶ τὴν ὀσφὺν τότε μάλιστα πονέεται, φλᾶται γὰρ καὶ ἡ ὀσφὺς ὑπὸ τοῦ ἐμβρύου· καρδιώσσει δὲ ἐν τῷ μεταξὺ σύμπαντι χρόνῳ ἄλλοτε καὶ ἄλλοτε, ἅτε τῆς κοιλίης περιστελλομένης ἀμφὶ τὸ ἔμβρυον, μάλιστα δὲ τῆς ὑστέρης.

CAPVT XXXIII.

Ad puerperæ vterum inflatum, lumborum dolorem, asthma, copiosiorem purgationem, aut ariditatem, difficilem partum, tumores & pudendorum apthas, remedia.

ATsi puerperæ uterus infletur, ovis aut capræ iecur cineribus tectum, deinde coctum, sumendum, & vinum vetus meracius, si nihil prohibeat, per dies quatuor bibendum, si longiùs absit à partu. Si verò lumbos doleat, anisum, & cuminum Æthiopicum bibat, & calidâ lavet. Si verò asthma prehendat, sulphuris fabæ quantitatem, cardamomi, rutæ, & cumini Æthiopici tantundem, hæc trita, vino macerata, ieiunæ potui exhibeto, & cibis frequentibus abstineat. Si in partu purgatio copiosa decurrat, uterus contrahitur, & vesica, & intestinum, neque stercus, neque vrinam continent, sed emittunt. Oua igitur sorbenda dato, & panem subcineritium edendum; & quæ scripta sunt reliqua. Si quæ in partu est, sicca fuerit, ac ægrè humectetur, oleum bibat, & locos oleo calido, & maluæ aquâ perfundat, & cerato liquido illinat, adipe etiam anserino cum oleo infuso. At si parere nequeat, resinam aut cuminum, aut pini corticem suffito. Atque ita suffito; quicunque autem in partu, aut ex partu uteri tumores contingunt, eos, uti Medici faciunt, constringere non oportet; verùm præstantissima medicamenta exhibere, cumini Æthiopici quantùm tribus digitis continetur, anisi & seseleos quantum quinq; aut sex, radicis pæoniæ, aut etiam seminis, conchę maioris dimidium. Hæc ex vino albo grati odoris ieiunæ præcipuè exhibeto. Aut dauci Æthiopici radicem, seseli, pæoniæ radicem, ad eundem modum. Aut hipposelini, aut dauci Æthiopici semen eodem modo. Aut crethmi radicem. Aut cumini Æthiopici quatuor Atticorum obolorum pondus. Aut piper, anisum, daucum, pæoniæ Atticæ radicem; hæc ex vino albo *trita propinato; aut myrtidani duos aut tres surculos, & cuminum Æthiopicum, & pæoniæ radicem; aut etiam lini semen similiter, quod etiam tussientibus pueris in cibo exhibent, cum oui assati luteo cum sesamo torrefacto. Si puerperæ pudenda aphthis laborent, amygdalas tritas & medullam bubulam aquâ decoquito, paucaque farinâ iniectâ pudenda illinito, & myrtillorum aquâ eluito.*

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Πρὸς τὴν τεκούσης ὑστέραν ἐξανεμωθεῖσαν, καὶ τὰς ἰξύας ἀλγούσας, καὶ ἆσθμα, καὶ πολλὴν κάθαρσιν, ἢ ξηρότητα, καὶ δυστοκίαν, καὶ οἰδήματα, καὶ τὰς τῶν αἰδοίων ἄφθας βοηθήματα.

ΚΑὶ ἢν τεκούσης ὑστέρη ἐξανεμωθῇ, ἧπαρ οἰὸς ἢ αἰγὸς, ἐς τέφρην κρύψαι, καὶ μετέπειτα ἑψεῖν, καὶ λαμβάνειν, καὶ οἶνον ἢν μή τι κωλύῃ, πίνειν ζωρότερον παλαιὸν ἐπὶ τέσσαρας ἡμέρας, ἢν προσωτέρω ᾖ ἀπὸ τῆς τέξιος. Ἢν δὲ τὰς ἰξύας ἀλγέῃ, ἄννησον καὶ κύμινον Αἰθιοπικὸν πινέτω, καὶ τῷ θερμῷ λουέσθω. Ἢν δ' ἆσθμα λάζηται, θείου ὅσον κύαμον, καὶ καρδαμώμου ἴσον, καὶ πηγάνου, καὶ κυμίνου Αἰθιοπικοῦ, ταῦτα τρίψας, καὶ διεὶς οἴνῳ, δίδου πίνειν νήστει, καὶ σιτίων ἀπεχέσθω πυκινά. Ἢν ἐν τόκῳ κάθαρσις ἴῃ πολλὴ, ἡ ὑστέρη [191] ξυνέλκεται, καὶ ἡ κύστις, καὶ ἔντερον, καὶ οὔτε τὸ κόπριον κατέχουσι, καὶ τὸ οὖρον, προΐενται δέ. [192] ᾠὰ ῥοφέειν δίδου, καὶ ἄρτον ἐγκρυφίην τρώγειν, καὶ ἄσσα λοιπὰ γέγραπται. Ἢν δὲ ἡ ἐν τόκῳ οὖσα, ξηρὴ καὶ δύσικμος, ἔλαιον πίνειν, καὶ [193] καταιονᾷν τὰ χωρία ἔλαιον θερμὸν, μαλάχης ὕδωρ, κηρωτῇ ὑγρῇ διαχρίειν, καὶ ἔγχυτον χηνὸς ἄλειφα ξὺν ἐλαίῳ. Ἢν δὲ μὴ δύναιτο τίκτειν, ὑποθυμία ῥητίνην, ἢ κύμινον, ἢ πίτυος φλοιόν. καὶ τούτῳ ὑποθυμία· ἄσσα δὲ οἰδήματα γίνεται ὑστερικὰ ἐν τόκῳ, ἢ ἐκ τόκου, οὐ χρὴ στύφειν, οἷα οἱ ἰητροὶ ποιέουσι· τὰ δὲ φάρμακα ἄριστα προσφέρειν, κύμινον Αἰθιοπικὸν, ὅσον τρισὶ δακτύλοισι, καὶ τοῦ ἀννήσου, καὶ τοῦ σεσέλιος πέντε, ἢ ἕξ, γλυκυσίδης χηραμίδος ἥμισυ, τῆς ῥίζης ἢ καὶ τοῦ σπέρματος· ταῦτα ἐν οἴνῳ λευκῷ ἡδυόδμῳ μάλιστα νήστει διδόναι. ἢ δαύκου ῥίζαν Αἰθιοπικοῦ, σέσελι, γλυκυσίδης ῥίζαν τὸν αὐτὸν τρόπον· ἢ ἱπποσελίνου, ἢ δαύκου Αἰθιοπικοῦ καρπὸν ὡσαύτως· ἢ κρήθμου ῥίζαν, ἢ κυμίνου Αἰθιοπικοῦ Ἀττικὸν τετρώβολον· ἢ πέπερι, ἄννησον, δαῦκος, Ἀττικῆς γλυκυσίδης ῥίζα, ταῦτα ἐν οἴνῳ τρίβειν, καὶ διδόναι πίνειν· ἢ μυρτιδάνου κλωνία δύο, ἢ τρία, καὶ κύμινον Αἰθιοπικὸν, γλυκυσίδης ῥίζαν, ἢ καὶ λίνου σπέρμα ὁμοίως, ὃ καὶ παιδία βήσσοντα ψωμίζουσι ξὺν ᾠῷ ὀπτῷ λεκίθῳ, ξὺν σησάμῳ πεφρυγμένῳ. [195] Ἢν παιδίου ἀφθᾷ τὰ αἰδοῖα, ἀμύγδαλα τρίψας, καὶ βοὸς μυελὸν ἐν ὕδατι ἕψειν, καὶ ἄλητον ἐμβαλὼν σμικρὸν, διαχρίειν τὰ αἰδοῖα, καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Περὶ τῶν τῆς ἐπισχέσεως τῶν λοχείων καὶ τῶν ἐπιμηνίων, καὶ τῆς ὑστέρας σκληρᾶς αἰτίων, καὶ σημείων, καὶ συμπτωμάτων, καὶ θεραπείας.

Νῦν δὲ ἐρέω ἀμφὶ λοχείων, καὶ τῶν μετὰ τὸν [196] τόκον ἰόντων. Ὅταν γυνὴ, ἢ τὰ λοχεῖα μὴ καθαρθῇ, ἢ τὰ ἐπιμήνια μὴ ἴῃ, ἢ ὑστέρη σκληρὴ ᾖ, ἡ ὀδύνη ἔχει τὴν ὀσφὺν, καὶ τοὺς μὲν κενεῶνας, καὶ βουβῶνας, καὶ μηροὺς, καὶ πόδας ἀλγεῖ πικρῶς, καὶ ἡ γαστὴρ ἐπαίρεται, καὶ φρίκη διὰ τοῦ σώματος διαΐσσουσιν, ἐκ δὲ τῶν τοιουτέων πυρετοὶ γίνονται ὀξέες. Ταύτην τὴν οὕτως ἔχουσαν, ἢν μὲν ἄπυρος ᾖ, διαπαντὸς λούειν, λιπαίνειν δὲ καὶ τὴν κεφαλὴν ἐλαίῳ ἀνηθίνῳ. ἕψειν δὲ μαλάχην, ἢ ἔλαιον κύπρινον ἐς ὕδωρ ἐγχέειν, καὶ ἐγκαθίζεσθαι παρηγορικῶς. ἐν πάσῃσι δὲ τῇσι νούσοισιν, ἐφ' ὧν πυρίη ἀρήγει, ἄμεινον ὕστερον χρίεσθαι καὶ λίπα. Ἢν δὲ πῦρ ἔχῃ, λουτρῶν ἀπέχεσθαι, πυρίῃσι δὲ καὶ χλιάσμασι τὴν νειέραν γαστέρα καὶ τὴν ὀσφὺν θεραπεύειν· διδόναι δὲ πίνειν τῶν φαρμάκων τῶν ὑστερικῶν, παραμίσγοντα ἢ τῆς σηπίης τῶν ὠῶν, ἢ τοῦ [197] κάστορος. μετὰ δὲ τοῦτο ῥοφέειν διδόναι ἄλητον ξὺν πηγάνῳ ἑφθὸν, ἢ πτισάνης χυλόν.

CAPVT XXXIV.

De suppressionis lochiorum ac menstruorum, duritieique vteri causis, signis, symptomatis ac curatione.

Nunc verò de puerperij purgamentis, & his quæ post partum prodeunt, dicturus sum. Quum mulieri aut lochia non expurgata fuerint, aut menses non prodierint, aut indurverit vterus, lumbos dolor obsidet, & laterum quidem inanites, inguina, & femora, & pedes acerbè dolent, venter attollitur, & horrores corpus percurrunt, ex his verò febres acutæ oriuntur. Hanc, quum sic habuerit, si quidem febris expers sit, balneis curato; caput autem oleo anethino illinito. Maluæ autem decoctum, aut in aquam eius affusum oleum cyprinum, ad insessum doloris leniendi gratiâ adhibeto. In omnibus autem morbis, in quibus fotus conducit, præstiterit post fotum pingui aliquo perungi. At si febris detineat, à balneis abstinendum, fotibus autem & tepefacientibus imus venter & lumbi curandi. Medicamenta autem vterina potui sunt exhibenda, admixtis aut sepiæ ouis aut castorio. Deinde farinam cum ruta coctam, aut ptisanæ succum sorbendum dato.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Τὸ ὑγρὸν ὡς χρὴ μὴ ἰὸν μετὰ τοῦ παιδίου ἐν τῷ τόκῳ, εἰς μὲν τὴν κεφαλὴν φερόμενον κεφαλαλγίαν, εἰς δὲ τὴν κοιλίαν, διάῤῥοιαν, εἰς δὲ τὴν ὑστέραν ῥᾳοτέραν τὴν ἔξοδον τῷ παιδίῳ ποιεῖν.

Ἢν δὲ γυναικὶ μετὰ τοῦ παιδίου ἐν τῷ τόκῳ [198] μὴ ἴῃ τὸ ὑγρὸν ὡς χρὴ, ἀλλὰ μὴν, ἢν μὲν ἐν τῇ κεφαλῇ ἔχῃ τὸ ὑγρὸν ὑπὸ θέρμης εἰρυσθὲν, ἐν τόκῳ καὶ πρὶν ὀλίγον, κεφαλαλγήσει. Ἢν δὲ ἐς τὴν κοιλίην ἔλθῃ ἅλες, ἐπειδὰν σύθῃ, ταράξει αὐτὴν, καὶ οὐχὶ πόῤῥω· τιμωρέειν δὲ, ὡς μὴ [200] ἐκ τούτου διάῤῥοια ἐπιγινομένη σώματι φλαύρως ἔχοντι, πονήσῃ μιν. Ἢν δὲ ἀπὸ κεφαλῆς ἐλθὸν τὸ ῥεῦμα, ἐς τὴν λοχείην κάθαρσιν τραπῇ, καὶ πολλὰ σύθῃ, ῥηΐζει ἢν ᾖ πλέον τοῦ μετρίου, [201] μεγεθαίνειν. Ἢν δὲ ἐς τὴν κοιλίην, ῥηϊτέρη ἂν ἡ ἔξοδος τῷ παιδίῳ γένοιτο.

CAPVT XXXV.

Aquas in partu vnà cum puero non vt decet effluentes, in caput raptas cephalalgiam, in ventrem diarrhœam, in vterum faciliorem fœtui exitum efficere.

Si verò mulieri vnà cum puero in partu aquæ vt decet, non effluant, sed si quidem in capite has aquas calore attractas habeat, in partu & paulò antè caput ei dolebit. Quòd si cumulatè in ventrem fluxerint, vbi commotæ fuerint, ipsum conturbabunt, nihilque vlterius. Succurrendum autem, vt ne corpori his aquis malè affecto succedens alui profluuium, ipsam doloribus vexet. Quòd si à capite delata fluxio, ad puerperij purgationem se conuertat, multúmque commoueatur, meliùs habet. Si verò plus æquo, curam adhibeto. Sin ad ventrem se conuertat, facilior vtique puello exitus patuerit.

ΚΕΦΑΛΑΙΟΝ Λϛ'.

Περὶ τῶν τῆς ὀλίγης λοχείας καθάρσεως συμπτωμάτων.

Εἰ δὲ ἡ κάθαρσις τῇ γυναικὶ ὀλίγη χωρέοι, πόνος λάζηται ἰσχυρὸς ἰξύας τε καὶ τὸν ἀμφὶ τὰ αἰδοῖα πάντα χῶρον, καὶ οἰδέει, καὶ οἱ μηροὶ πίμπρανται· καὶ ἐκ τοῦ στόματος, καὶ ἐκ τῶν ῥινέων, ῥέει φλέγμα ἰσχυρῶς ὑδαρὲς, καὶ ἀλγέει κεφαλὴν, καὶ πῦρ ἔχει καὶ φρίκη, [202] καὶ οἰδέει, καὶ οἱ ὀδόντες βρύχουσι, καὶ ἡ γαστὴρ οἱ στεγνὴ ἔσται καὶ ἡ κύστις, καὶ τὰ ὄμματα διαδινέει, καὶ ζοφώδεα ὁρῇ.

CAPVT XXXVI.

De modicæ lochiorum purgationis symptomatis.

At si modica purgatio mulieri prodierit, vehemens dolor lumbos occupat, omnemque circa pudenda locum, & intumescit, femoraque incenduntur; ex ore & naribus pituita valdè aquosa fluit, caput dolet, febris & horror detinet, tumet, dentes fremunt, venter & vesica ei constringentur, oculos obuertit, & caliginosa cernit.

A

CAPVT XXXVII.

De non copiosa lochiorum purgatione, eiusque causis, symptomatis, ac periculis, & curatione; ac de purgationis eruptione.

Qvum mulieri à partu purgatio fluit, non copiosè procedit, inflammatis nimirùm vteris, eorumque osculo concluso. Vteri autem stomachus in sese vndique concidit, post pueri discessum. Siquid enim horum adfuerit, ei purgatio non procedet. Si verò ei non procedat purgatio, accidet eam febrire & horrore detineri, & ventrem magnum esse; quòd si eam attigeris, totum corpus dolere, maximéque si quis ventrem attigerit; ac multoties stomachi morsu vexatur, lumbos dolet, cibi fastidium adest, vigilia, & punctio. Deinde quinto aut septimo die quandóque venter turbatur, & nigra, & admodùm graueolentia aliàs atque aliàs secedunt, & vrina qualis asinina redditur. *Quæ si secesserint, melius illi esse videtur, & curata breui conualescit; sin minùs, periclitabitur vehementi alui profluuio ipsi succedente, & puerperij purgamenta supprimentur. At si venter ei non turbetur, neque purgatio sponte prodeat, neque ei citò idonea exhibeantur* remedia, *tempus autem progrediatur, multis commemoratis laborabit, ad hæcque periclitabitur, ne velut plumbum liuescat, & in hydropem incidat, eique vmbilicus ab vteris sublatus prominebit, & nigrior ambientibus partibus euadet. Et hæc vbi euenerint, superesse mulier non poterit. Intereunt autem aliæ alio tempore, prout corpus & affectio se habet. Verùm vnum ac vigesimum diem non excedunt; frequentiùs ita accidit. At si illi vel medicamentis, vel sponte purgatio eruperit, id etenim accidit, si vteri à sanguine derepentè confertim delato coacti os relaxarint; si inquam eruperit, graueolentia & purulenta repurgantur, interdúmque etiam nigra; tumque melius erit, & adhibitâ curâ conualescet.*

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Περὶ τῆς καθάρσεως τῶν λοχείων οὐκ εὐμαρέως χωρεόντων, καὶ τῶν αὐτῆς αἰτίων καὶ συμπτωμάτων καὶ κινδύνων καὶ θεραπευτικῶν· καὶ περὶ τῆς ἐκρήξεως τῆς καθάρσεως.

Γυναικὶ δὲ ἐκ τόκου ἐούσῃ κάθαρσις ἐπὴν ἴῃ, οὐκ ἐλευθέρως χωρέει, οἷα τῶν μητρέων ἐν φλεγμονῇ γινομένων, καὶ τοῦ στόματος σφέων μύσαντος· περιίζ-
B
νουται δὲ ὁ στόμαχος τοῦ αἰδοίου, μετὰ τὸ παιδίον ποιήσασθαι τὴν ἐκχώρησιν. [203] ἢν γὰρ τούτων τι ᾖ, οὐ χωρήσει οἱ ἡ κάθαρσις. ἢν δὲ μὴ χωρέῃ οἱ ἡ κάθαρσις, ξυμβήσεται ὥστε μιν πυρεταίνειν καὶ φρίκην ἔχειν, καὶ τὴν γαστέρα μεγάλην εἶναι· ἢν δὲ ψαύσῃ αὐτῆς, ἀλγέειν πᾶν τὸ σῶμα, μάλιστα δὲ ἤν τις τῆς γαστρὸς ψαύσῃ, καὶ καρδιώσσει ἄλλοτε καὶ ἄλλοτε, καὶ ὀσφὺν πονέει, καὶ ἀσιτίη, καὶ ἀγρυπνίη, [204] καὶ νυγ-
C
μός. ἔπειτα ἡμέρῃ πέμπτῃ ἢ ἑβδόμῃ, ἔστιν ὅτε ἡ κοιλίη ταράσσεται, καὶ ὑποχωρέει μέλανα καὶ κάκοδμα κάρτα ἄλλοτε καὶ ἄλλοτε, καὶ ὡς ὄνου οὐρέει. καὶ ἢν ὑπέλθοι, δοκέει οἱ ῥηΐτερον εἶναι, καὶ μελεδαινομένη, ἐν τάχει ὑγιὴς γίνεται· ἢν δὲ μὴ, κινδυνεύσει διαρῥοίης αὐτῇ ἰσχυρῆς [205] ἐπιπεσούσης, καὶ τὰ λοχεῖα οἱ κρύπτεται. Ἢν δὲ ἡ κοιλίη οἱ μὴ ταράσσηται, μηδὲ ἡ κάθαρσις χωρέῃ αὐτομάτη, μηδέ οἱ προσφέρηται ἐν τάχει τὰ ἐπιτήδεια, ὁ δὲ χρόνος περιΐῃ, πονήσει πολλὰ τὰ προειρημένα, [206] καὶ ἐπὶ τουτέοισι κινδυνεύσει πελιδνὴ γενέσθαι ὡς ὁ μόλιβδος, καὶ ὑδερωθῆναι, καὶ ὁ
D
ὀμφαλὸς ἐκστήσεται αὐτῇ ἀειρόμενος ὑπὸ τῶν μητρέων, καὶ ἔσται μελάντερος τῶν πέριξ· καὶ ἐπὴν ταῦτα γένηται, οὐχ οἵη τε ἐστὶ περιγενέσθαι ἡ γυνή. θνήσκουσι δὲ ἄλλαι ἄλλῳ χρόνῳ, ὅκως τε καὶ τὰ τοῦ σώματος ἔχωσι, καὶ τὰ τῆς πάθης· μιῆς δὲ καὶ εἴκοσι ἡμερέων οὐχ ὑπερβάλλουσιν, ὡς ἐπὶ τὸ πλεῖον οὕτω ξυμβαίνει. Ἢν δέ οἱ ῥαγῇ κάθαρσις εἴτε καὶ ὑπὸ φαρμάκων, εἴτε καὶ αὐτομάτη, γίνεται γὰρ καὶ τοῦτο, ἢν χαλάσωσι τὸ στόμα αἱ μῆτραι [207] ἢ βιασθεῖσαι ὑπὸ τοῦ αἵματος ἀλέως ἐξαπίνης κατελθόντος· καὶ ἢν ῥαγῇ, ἀποκαθαίρεται δυσώδεα, καὶ πυώδεα, ἔστι δ' ὅτε
E
καὶ μέλανα· καὶ ῥηΐτερον ἔσται, καὶ μελεδανθεῖσα ὑγιαίνεται.

CAPVT XXXVIII.

De vterorum vlceribus ex lochijs putrefactis, ortis, eorumque causis, signis, prognosticis, & curatione.

Vlcera autem in vteris etiam oriuntur, putrefactis nimirùm puerperij purgamentis. Quæ si obóriantur, maiore curâ opus erit, ne illi vlcera magna & putrescentia fiant. Periculum est autem, ne aut moriatur, aut sterilis fiat. Si verò vlcera vteris *insint, hæc signa sunt. Quum procedit purgatio, velut spina vterum peruadere videtur, eam febris corripit, ventremque potissimùm inuadit. At contacta infra vmbilicum dolet; ac si vlcus purum neruosum contigeris.*

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

Περὶ τῶν ἑλκῶν ἐν ταῖς μήτραις ἐκ τῶν λοχείων σαπέντων γενομένων, καὶ τῶν τούτων αἰτίων, καὶ σημείων, καὶ προγνωστικῶν, καὶ θεραπείας.

Γίνεται δὲ καὶ ἕλκεα ἐν τῇσι μήτρῃσιν, οἷα τῶν λοχείων σαπέντων· ἢν γὰρ ἐγγένηται, πλείονος μελε-
F
δώνης δεήσεται, ὅκως μή οἱ τὰ ἕλκεα μεγάλα καὶ σηπεδονώδεα ἔσται· κίνδυνος δὲ ἢ θανεῖν, ἢ ἄφορον γενέσθαι. σημήϊα δὲ ταῦτα γίνεται, ἢν ἕλκεα ἐνῇ. ἐπὴν χωρέῃ ἡ κάθαρσις, δοκέει ὡς [208] ἄκανθα διὰ τῶν μητρέων ἰέναι καὶ πῦρ μιν λάζεται, [209] μάλιστα τὴν κοιλίην ἐπιλαμβάνει· ἀλγέει δὲ ἐπαφωμένη τὸ κάτω τοῦ ὀμφαλοῦ; ὡς ἕλκεος καθαροῦ νευρώδεος εἴ τι ψαύσεις,

ἔπειτα ὀδύναι ἰσχυραὶ ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτουσιν ἐς τὰς μήτρας· καὶ πυρετὸς ἔστι δ' ὅτε πρὸς χεῖρα βληχρός· καὶ ἄλλοτε καὶ ἄλλοτε ἀπὸ κακοήθεα χωρέει τὰ λοχεῖα πυώδεα, δύσοδμα. ταῦτα σημεῖά ἐστιν, ἢν ἕλκεα ἐν τῇσι μήτρῃσι ᾖ, καὶ δέεται πολλῆς μελεδώνης. ταύτης μὲν νῦν ἀμφὶ τῆς νούσου, τόσαι τελευταί εἰσιν.

Deinde vehementes in vteros dolores subinde incidunt; interdúmque febris ad manum mitis; & quandóque secedunt lochia maligna, purulenta & graueolentia. Hæc signa sunt, si vlcera in vteris fuerint, multâque curâ indigent. Atque huius quidem morbi tot sunt exitus.

ΚΕΦΑΛΑΙΟΝ ΛΘʹ.

Περὶ τῆς καθάρσεως τῶν λοχείων τὰς πρώτας τρεῖς ἢ τέσσαρας ἡμέρας χωρούντων ἀπωλείας, καὶ τῶν αὐτῆς σημείων καὶ θεραπευτικῶν.

Ἢν δὲ ἡ κάθαρσις ἡ λοχείη, τὰς μὲν πρώτας ἡμέρας τρεῖς ἢ τέσσαρας χωρήσῃ, ἔπειτα ἀπόλωλεν ἐξαπίνης [211] ταύτῃ, πάσχει παθήματα τῇ προτέρῃ ἀδελφεά, ἧσσον δέ· καὶ ἢν μεταπέσῃ ἡ νοῦσος, ἐς τωὐτὸ [212] μεταπεσεῖται, χρονίη δὲ καὶ βληχροτέρη ἔσται τῆς προτέρης. διαιτεομένη δὲ ἡ γυνὴ περιγίνεται, ἢν [213] ἄρμοι μελεδαίνηται. ἀμφὶ δὲ τῆς νούσου ταύτης ὧδε ἔχει.

CAPVT XXXIX.

De purgationis lochiorum, quæ tribus aut quatuor primis diebus profluebant, perditione, eiusque signis, & curatione.

At si puerperij purgatio primis quidem tribus aut quatuor diebus prodierit, deinde ei derepentè perdatur, consimiles priori subit affectiones, sed minùs; ac si transmutetur morbus, in idem transmutabitur; diuturnus autem & priore lenior erit. Si verò curetur victûs ratione mulier, superest, si citò curetur. Ac de hoc morbo sic se res habet.

ΚΕΦΑΛΑΙΟΝ Μʹ.

Περὶ γυναικὸς ἐκ τόκου μὴ καθαρθείσης, καὶ τῶν ταύτης παθημάτων, καὶ αἰτίων, καὶ σημείων, καὶ συμπτωμάτων, καὶ θεραπευτικῶν.

Ἢν δὲ ἐκ τοῦ τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ, καὶ ὁ σπλὴν, καὶ τὰ σκέλεα, καὶ πῦρ ἔχει, καὶ ῥῖγος λαμβάνει, καὶ ὀδύναι ἀΐσσουσι πρὸς τὰς ἰξύας, ἔστι δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα, [214] καὶ ἀποψύχεται, καὶ πῦρ ἔχει· σφυγμοὶ βληχροί, ἔστι δ' ὅτε καὶ ὀξέες, ἄλλοτ' ἀειρόμενοι, ἄλλοτε ἐλλείποντες. ταῦτα πάσχει ἀρχομένης τῆς νούσου, καὶ ὧδε ἔχει· ἢν δὲ προΐῃ τοῦ χρόνου, τὰ κοῖλα τοῦ προσώπου ἐρυθρὰ γίνεται. ὅταν ὧδε ἔχῃ, διδόναι κοῦφα σιτία· κἢν ὀργᾷ, φάρμακον πίσαι κάτω, ἢν μὲν χολώδης ᾖ, ὅ, τι χολὴν καθαίρει, ἢν δὲ φλεγματώδης, ὅ, τι φλέγμα. μετὰ δὲ τοῦτο, [215] πυριῆσθαι τὰς ὑστέρας εὐώδεσι, καὶ προσθεῖναι μαλθακτήριον τὴν ἡμέρην. ἢν δὲ στερρὸν ᾖ τὸ στόμα, πυριῆν [216] ἅπασαν ἡμέρην, καὶ τὰ μαλθακτήρια προστιθέναι· ἔπειτα λοῦσαι θερμῷ ὕδατι, [217] καὶ τιθέναι τοὺς μολίβδους. μετέπειτα δὲ ἁλὸς χόνδρους, καὶ σμύρνην ἐς πτύχιον ἀποδήσας, καὶ τὴν πίσσαν τὴν ἑφθὴν ἐν εἰρίῳ, ἡδύσματα ξυμμίξας, ἴσον ἑκάστου ποιέων τὸν κηκῖδι σμικρῇ, προσκείσθω δὲ ἡμέρην καὶ εὐφρόνην. μετὰ δὲ τοῦτο [218] καταλιπεῖν ἡμέρας τρεῖς, καὶ πυριῆσθαι τοῖσιν αὐτέοισιν. προστιθέναι δὲ [219] καὶ κόκκους [220] ἐκλέψας ὅσον δύο πόσιας, καὶ πεπέρεως τρίψας λεῖα, παραμίξας ἔλαιον Αἰγύπτιον λευκὸν καὶ μέλι ὡς κάλλιστον· τοῦτο ἐμπλάσας ἐν εἰρίῳ, καὶ περιελίξας [221] περὶ πτερὸν, προσθεῖναι ἡμέρην ἅπασαν καὶ εὐφρόνην. καὶ ἢν σοι δοκέῃ κεκαθάρθαι, ἄμεινον ἐᾶν· ἢν δὲ δοκέῃ δέεσθαι καθάρσιος, δύο ἡμέρας διαλιπεῖν, καὶ αὖθις τὸ ἐξ τῇ σικύῃ ἡμέρην καὶ εὐφρόνην προσθεῖναι· κἄπειτα τὸ νέτωπον, καὶ ῥόδινον ἔλαιον ὡς εὐωδέστατον, καὶ ἐλάφου στέαρ τήξας, εἰρίῳ προ-

CAPVT XL.

De muliere ex partu non purgatâ, eiusque affectibus, causis, signis, symptomatis, & curatione.

Si verò ex partu non fuerit purgata, venter tumet & lien, & crura; febris detinet, rigor corripit, dolores ad lumbos irruunt, interdúmque etiam ad viscera, & perfrigeratur, febrísque detinet; pulsus debiles sunt, interdum verò etiam acuti, modò elati, modò deficientes. Hæc ineunte morbo patitur, & sic se habet; procedente autem tempore, cauæ faciei partes rubescunt. Quum ita habuerit, cibos leues exhibeto. Et si turgeat, medicamentum deorsùm purgans propinato; si biliosa quidem fuerit, quod bilem purget; sin autem pituitosa, quod pituitam. Post hoc autem vteros odoratis foueto, & interdiù emolliens subdito. At si durum fuerit osculum, per totum diem fouendum, & emollientia supponenda; deinde calidâ aquâ lauandum, & fistulæ plumbeæ imponendæ. Posteà verò salis grana & myrrham in penicillo illigatam, & picem coctam lanâ exceptam, admixtis aromatis, parem cuiusque portionem paruæ gallæ æqualem efformato, & per diem & noctem supponito. Deinde verò intermissis tribus diebus, etiam ijsdem foueto. Supponito autem & grana cnidia decorticata, quantum ad duas potiones satis erit, *& piperis* grana *tenuissimè trita, oleo Ægyptio albo & melle quàm optimo admixto. Hoc lanâ obductum & circum pennam inuolutum, toto die ac nocte supponito. Et si tibi purgata esse videatur, sinere præstiterit. Si verò purgatione indigere videatur, duobus intermissis diebus, rursùs medicamentum ex cucumere syluestri per diem & noctem supponito. Deinde netopum & oleum rosaceum odoratissimum, & cerui adipem liquatum, per*

A per diem vnum in lana subijcito, & calidâ copiosâ quàm blandissimè fieri poterit, lauato. Statim verò vbi purgatorijs & calidâ circum partes affectas expurgata fuerit, anserino adipe & myrrhâ ac resinâ tepidâ, vterorum osculum illinat & foueat. Postero verò die, vino & oleo narcissino vteros eluat. Quòd si narcissinum desit, vino solo. Hæc autem vno die ante mensium decursum tibi facienda. Vbi autem menses decurrerint, primis quidem diebus melanthium Cyprium tritum affuso salis grano, hoc lanâ exceptum in corpore paulùm contineat, B & vinum merum odoratum ieiuna insuper sorbeat. Quum autem menses cessauerint per diem supposito medicamento quod ex pulegio conficitur, virum adeat, & si vtero conceperit, conualescit. Cibis autem in purgatione vtatur. Ad hæc mercurialem incoquere prodest, & porra, allia, & brassicam admiscere & granum cnidium. Iusculum ad tres digitos sorbeat; opsonijs marinis potiùs, quàm carnibus vtatur; dulcibus autem & oleosis abstineat. Ieiunæ C autem semper bibendum quod ex tæda paratur, donec purgetur; idque profluentibus mensibus multùm bibat.

A στῆναι μίαν ἡμέρην, καὶ λούειν πολλῷ τῷ θερμῷ, ὡς οἷόν τε ᾖ εὐμενέως. καθαρτηρίοισι δὲ αὐτίκα καὶ θερμῷ καθηραμένη τὰ ἀμφιπονεύμενα χωρία, ἀναλειφέσθω τὸ στόμα τῶν μητρέων χηνείῳ στέατι, καὶ σμύρνῃ, καὶ ῥητίνῃ χλιαρῇ, καὶ θάλπειν· κλυζέτω δὲ τὰς ὑστέρας τῷ οἴνῳ καὶ τῷ ναρκισσίνῳ ἐλαίῳ, τῇ ὑστεραίῃ· ἢν δὲ μὴ ᾖ ναρκίσσινον, οἴνῳ μούνῳ. Ταῦτα ὅκως σοι πρὸ τῶν ἐπιμηνίων ἡμέρῃ μιῇ πρόσθεν ποιήσηται· ἐπὴν δὲ τὰ ἐπιμήνια γίνηται, [223] τὰς μὲν ἐν ἀρχῇ ἡμέρας τρίψασα μελάνθιον τὸ Κύπριον, καὶ ἁλὸς χόνδρον ἐπιχέασα, B εἰρίῳ ἀναφορύξαι τοῦτο· [224] ἐν τῷ σώματι ἐχέτω ἐπ' ὀλίγον, καὶ νῆστις οἶνον ἄκρητον εὐώδεα ἐπιρροφεέτω. ἐπὴν δὲ παύσηται τὰ ἐπιμήνια, τὴν ἡμέρην τὸ ξὺν τῇ γληχῶνι προσθεῖσα, [225] καὶ πρὸς τὸν ἄνδρα ἴτω, κἢν ἐν γαστρὶ σχῇ, ὑγιὴς γίνεται. σιτίοισι δὲ χρέεσθω ἐν τῇ καθάρσει. [226] πρὸς τούτοις ἀρήγει ἑψεῖν τὴν λινόζωστιν, καὶ συμμίσγειν πράσα, σκόροδα, καὶ κράμβην, καὶ κόκκωνά τε· καὶ τὸν χυλὸν ῥοφείτω [227] τοῖσι δακτύλοισι· καὶ ὄψοισι θαλασσίοισι μᾶλλον, ἢ κρέασι χρήσθω, [228] τῶν δὲ C γλυκέων εἰργέσθω, καὶ ἐλαιηρῶν. πίνειν δὲ αἰεὶ νῆστιν τὸ ἀπὸ τῆς δαιδὸς, ἔστ' ἂν καθαίρηται· ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν, μάλα πινέτω.

CAPVT XLI.

De paululùm parciore, quàm oporteat, lochiorum purgatione; eiusque causis, signis, symptomatis, & curatione.

ATsi mulieri paulò parciora quàm oporteat puerperij purgamenta prodierint, tanquàm angustiore vterorum osculo, ijsque peruersis, aut aliquâ pudendi parte ab inflammatione valdè conclusâ, mulier acutè febricitat, cardiogmo vexatur, totum corpus dolet, non quiescit, ad brachiorum, crurum & lumborum articulos dolor ingruit; & locum circa ceruicem, & spinam & inguina dolebit, & nonnullæ corporis partes ad motum impotentes reddentur. Deinde remissa febris, & horror admodùm manifestus. Vomunt autem & pituitosa, amara, & acria. Atque de ea sic habet; & continget, si curetur, ipsam conualescere; sin minus, claudam, & corporis partes ad motum impotentes fieri. Hic autem morbus non admodum sterilis.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Περὶ τῆς ὀλίγῳ ἐλάσσονος τοῦ δέοντος τῶν λοχείων καθάρσεως, καὶ τῶν αὐτῆς αἰτίων, καὶ σημείων, καὶ συμπτωμάτων, καὶ θεραπευτικῶν.

D ΗΝ δὲ ὀλίγῳ ἐλάσσονα τοῦ δέοντος χωρήσῃ γυναικὶ τὰ λοχεῖα, διὰ τῶν μητρέων στενοστόμων ἐουσέων καὶ περιεστραμμένων, ἢ τοῦ αἰδοίου ἤ τι μεμυκὸς κάρτα ὑπὸ φλεγμασίης, ἡ γυνὴ πυρεταίνει ὀξέως, καὶ καρδιώσσει, καὶ ἀλγέει τὸ σῶμα πᾶν, καὶ σφαδάζει, καὶ ἐς [229] τὰ ἄρθρα τῶν χειρέων καὶ τῶν σκελέων καὶ τῆς ὀσφύος ἡ ὀδύνη φοιτᾷ, καὶ τὸν ἀμφὶ τὴν δειρὴν τόπον καὶ ῥάχιν καὶ βουβῶνας ἀλγήσει, καὶ ἀκρατέα τινὰ τῶν μελέων τοῦ σώματος γενήσεται· ἔπειτα πῦρ [230] ἠρεμαῖον, φρίκη πάνυ φανερή· ἐμέουσι δὲ καὶ φλεγματώδεα, E πικρά, δριμέα. καὶ ἀμφὶ τῆσδε ὧδε ἔχει, καὶ οἱ ξυμβήσεται, ἢν [231] μελεδαίνηται, ὑγιέα γενέσθαι· ἢν δὲ μή, [232] χωλήν, καὶ ἀκρατέα τῶν μελέων γίνεσθαι τοῦ σώματος· [233] ἄφορος δὲ ἡ νοῦσος οὐ πάνυ.

CAPVT XLII.

De vterorum in partu tum vlceribus, tum inflammationibus, cum lochiorum retentione; ac de eorum causis, signis, symptomatis, ac curatione.

SI vlcerati quidem vteri fuerint, neq; puerperij purgamenta, vt decet, adfuerint, omnibus partibus dolebit; & nisi magna vlcera fuerint, curata breui, sanitatem recipit. Vlceribus autem vterorum accuratè curatio facienda est; quippe quum in molli parte, & bene sensili existant, & in neruosa cauitate; multæ autē cum ea partes societatem habent, sinciput, stomachus; mens percellitur, deprauatur, nec facilè intelligere solet. At si ipsi vteri an-

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

Περὶ τῶν ἐν τόκῳ μητρέων ἑλκωθεισῶν τε καὶ φλεχθεισῶν σὺν τῇ τῶν λοχείων ἐπισχέσει καὶ περὶ τῶν τούτων αἰτίων, καὶ σημείων, καὶ συμπτωμάτων, καὶ θεραπευτικῶν.

F ΗΝ μὲν αἱ μῆτραι ἑλκωθῶσι, καὶ τὰ λοχεῖα μὴ παρῇ ὡς χρή, πάντα πονήσει· καὶ ἢν μὴ μεγάλα ᾖ τὰ ἕλκεα, μελεδαινομένη ἐν τάχει, ὑγιαίνει. χρὴ δὲ τὴν μὲν μελέτην ἀτρεκέως ποιέεσθαι ἑλκέων τῶν ἐν τῇσι μήτρῃσιν· ἅτε γὰρ ἐν ἁπαλῷ ἐόντα, καὶ εὐεπαισθήτῳ, καὶ νευρώδει τῇ κοιλίῃ· πολλὰ δὲ τὰ κοινωνέοντα, βρέγμα, στόμαχος· γνώμη [233] ἀΐσσεται, καὶ κακοῦ ἐστὶ, καὶ οὐ ῥηϊδίως ἐθέλει ξυνιέναι. ἢν δὲ οἱ αἱ μῆτραι στενόστομοι

ἠγνοίατο, καὶ μὴ παραχαλάσωσι τὴν λοχείην κάθαρσιν, φλεγμαίνουσιν· ἣν μὴ μεθαλδήσκηται ἐν τάχει, πάντα μιν μᾶλλον πονήσει, καὶ ὀδμὴ πονηρὴ, καὶ οἰδίσκεται ἡ ἔξοδος. καὶ ἢν μὴ φλεγμαίνωσιν αἱ μῆτραι, αὐτόματον ἔξεισι κακὸν ὀζόμενον καὶ πελιδνὸν ἐὸν, ἢ μέλαν ἐὸν θρομβῶδες, καὶ ἡ γυνὴ καθαίρεται τὰ λοχεῖα· ἔστι δ' ὅτε οὐκ ἔξεισιν, ἀλλὰ τῇ γυναικὶ θάνατον σημαίνει, ἢν μήτις ἐν τάχει φλέβα τέμῃ, ἢ τὴν κοιλίην μαλθάξειεν· ἄμεινον δὲ καὶ κλύσμα ποιῆσαι, ἢν δ' εὐέμετος ᾖ, καὶ ἐς ἔμετον ἄγειν· κρέσσον δὲ διουρέειν, [234] καὶ ἰδίειν. τούτων δὲ καιρὸς ὅτε δέοι, ἄριστος.

A gusti osculi fuerint, neq; puerperiorum purgationem emiserint, inflammantur; quæ nisi breui curetur, omnia eam magis affligent, & teter odor, exitusq; intumescit. Quòd si uteri inflammati non fuerint, suâ sponte malum exit graueolens & liuidum, aut nigrum & grumosum existit, & mulier à lochijs purgatur. Interdum verò minimè exeunt, verùm id mulieri mortem portendit, nisi B quis celeriter venam secuerit, aut aluum emolliat. Præstat etiam clysterem inijcere. Quòd si facilè vomuerit, etiam vomitus ciendus. Satius etiam, vrinam ciere & sudorem prouocare. Atq; horum, quū opus fuerit, occasio optima est.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

Περὶ τῆς πλείονος τῶν λοχείων καθάρσεως, καὶ τῶν αὐτῆς αἰτίων, καὶ σημείων, καὶ συμπτωμάτων.

ΗΝ δὲ ἐκ τόκου γυνὴ καθαρθῇ ὀλίγῳ πλέονα ὧν χρὴ (γίνεται γὰρ καὶ τοῦτο, εἴ αἵ τε μῆτραι εὐρύστομοι ἠγνοίατο, καὶ τῶν φλεβῶν τινες καταρραγέωσιν, αἳ τείνουσιν ὑπὸ τὰς μήτρας, ὑπὸ βίης τῆς ἐξόδου τοῦ ἐμβρύου) πυρετὸς καὶ ῥῖγος ἔξει αὐτὴν λεπτὸς, θέρμη τε ἀνὰ πᾶν τὸ σῶμα, ἔστι δ' ὅτε καὶ φρίκη καὶ ἀσιτίη, καὶ βδελύξεται πάμπαν, καὶ λεπτὴ ἔσται, καὶ ἀσθενὴς, καὶ χλωρὴ, καὶ οἰδαλέος, καὶ ἀσιτεῖ, ἢν δέ τι φάγῃ ἢ πίῃ, οὐ πέσσεται· ἐνίησι δὲ καὶ κοιλίη καὶ κύστις καταρρήγνυται, καὶ φρίκη ἔχει μᾶλλον. ἀμφὶ δὲ ταύτης, ὧδε ἔχει.

CAPVT XLIII.

De ampliore lochiorum purgatione, eiusque causis, signis, ac symptomatis.

C QVòd si mulier à partu paulò ampliùs quàm par sit, purgata fuerit (id enim etiam contingit, si uteri lato ore fuerint, aut ex venis ad uterum tendentibus, quædam ex violento fœtûs egressu perruptæ fuerint) eam leuis febris & rigor prehendit, calorque toto corpore, nonnunquàm etiam horror & cibi fastidium, & in totum execrabitur, & tenuis erit, & debilis, & pallida, & tumida, & cibos auersatur; siquid verò edat aut bibat, non coquitur. Quibusdam autem etiam aluus & vesica erumpit, & horror magis detinet. Ac de his sic D se res habet.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

Περὶ τῆς ἑλκώσεως καὶ παραστρέψεως τοῦ γυναικὸς αἰδοίου ἐν τόκῳ, τῆς συμφράξεως καὶ λοχείων ἐπισχέσεως αἰτίας γινομένης καὶ τῆς θεραπείας.

ΗΝ δὲ ἐκ τόκου ἐούσης, συμφραχθῇ τι τοῦ αἰδοίου (ἤδη δὲ τοῦτο εἶδον) ἢν ἑλκωθῇ τὸ στόμα τοῦ αἰδοίου, καὶ ἐπειδὰν ἑλκωθῇ ἐν τόκῳ βιασθὲν ὑπὸ τῆς ἐξόδου τοῦ παιδίου, ἐγένετο ἴκελόν τι ἄφθῃ, καὶ ἐφλέγμαινε κάρτα, καὶ τὰ χείλεα ὑπὸ τῆς φλεγμονῆς συνέπεσε πρὸς ἄλληλα, καὶ ἐλάβετο ἀλλήλων, ἅτε ἡλκωμένα ἐόντα· καὶ ψῦξις δὲ γίνεται, καὶ [235] μεμύκει ἀμφω τὰ χείλεα, [236] ξυνδήσασα τὸ τῆς καθάρσιος ἀπολελειμμένης. Εἰ δὲ ἐχώρεεν ἡ κάθαρσις, οὐκ ἂν ἐμυκώθη [237] τὰ ἕλκεα· νῦν δὲ ἐπιρρεῖ, καὶ παχύνεται ἀλλοκότῳ σαρκί. Καὶ ἰῆσθαι οὕτω ὡς τὰ ἐν τῷ ἄλλῳ σώματι, καὶ ἐς ὠτειλὰς ἄγειν· τὸ δὲ χωρίον λεῖον ἔστω καὶ [238] ὁμόχροον, εἰ φροντίς. ἔπασχε δὲ ταῦτα ἡ γυνὴ ἃ πάσχουσιν αἱ μῆτραι οὐκ ἀποκαθαιρόμεναι τὰ λοχεῖα, καὶ ἐπὶ τουτέοισιν ἤλγει τὸ αἰδοῖον, καὶ [239] ψηλαφῶσα ἔγνω, ὅτι ξυνεπέφρακτο, καὶ ἔφρασε, καὶ μεθεραπευομένη ἀπεκαθήρατό τε, καὶ ὑγιὴς ἐγένετο, καὶ φορός. Εἰ δὲ μὴ ἐμεθεδεύθη, μηδὲ οἱ ἡ κάθαρσις ἐρράγη αὐτόματη, τὸ ἕλκος μέζον ἐποίησε, καὶ μὴ ἀνιέντος τοῦ κακοῦ ἐκινδύνευσεν ἐς τὸ καρκινωθῆναι τὰ ἕλκεα.

CAPVT XLIV.

De exulceratione & collisione pudendi puerperæ, obstructionis & lochiorum suppressionis causâ; & curatione.

SI verò puerperæ aliqua pudendi pars obturata fuerit (iam verò & id vidi) si os pudendi vlceratum E sit, & vbi in partu per vim egresso puero exulceratum fuerit, contingit quid aphthæ simile, valdéque inflammatur, & labra ex inflammatione, quum nimirùm exulcerata sint, in sese concidunt, mutuóque cohærent. Sed & frigus fit, & ambo labra occlusa sunt, quæ purgationis reliquias constringunt. Quòd si purgatio prodiret, vlcera non vtique coalescerent. At nunc affluit, & alienâ carne crassescunt. Ea igitur, velut quæ in reliquo sunt corpore, sananda, & ad cicatrices perducenda. Locus au- F tem læuis sit, & æquabilis, si cura adhibeatur. Iisdem autem afficiebatur mulier, quibus vteri afficiuntur, qui à puerperij purgamentis minimè repurgantur, & ad hæc dolebat pudendum, quod tactu nouit ac denunciauit obstructum esse, & curata repurgata est, sanaque ac fœcunda euasit. Quòd si non curata fuisset, neque ei suâ sponte purgatio erupisset, vlcus maius fecisset, & malo non remittente, periclitata fuisset ne vlcera in cancrum verterent,

CAPVT XLV.

De suppressâ lochiorum purgatione sursùm ad pulmonem, thoracem, & caput raptâ; ac de eius causis, signis, ac ijsdem affectionibus quas patitur virgo, cuius primi menses sursùm refluxerunt.

SI verò mulieri puerperij purgatio ad caput irruat, thoracemque ac pulmonem (id enim contingit) plerúnque statim moriuntur, si detineatur. At si per os & nares probè prodeat, indemnis euadit. Quòd si morbus paulò diuturnior reddatur, eadem sanè patietur mulier quæ de virgine dicta sunt, cui primùm menses comparentes, sursùm impetu prosilierunt. Sed mulier diuturniori tempore superstes erit, quàm virgo, eique leuiores erunt affectiones, quoad pulmo purulentus euadat. Si verò per os non prodeat puerperij purgatio, sed cum impetu delata sursùm vertatur, puerperia delitescent, neque pro ratione procedent, tussis & asthmata eam corripient, oppletoque à sanguine pulmone, latus & dorsum valdè dolebit. Quumque tussit, siccum per tussim reijcitur; aliàs verò spumosum expuitur. At progressu temporis sputum subnigrum & turbidum apparet, pectora calor magis quàm reliquum corpus detinet, nimirùm sanguine ipsa calefaciente; mulier etiam febricitat, eique aluus erit astricta; cibum auersabitur, vigilabit, & fastidiet; neque supererit, sed vt plurimùm intra vnum & vigesimum diem morietur. Quòd si purgatio impetu sursùm delata per os non exeat, neque ad pulmonem vertatur, ei ad faciem puerperia diuertent, quæ admodum rubicunda erit, & caput graue, neque id citra dolores mouere poterit, oculi etiam valdè rubicundi erunt, & ex ipsis sanguis tenuis effluet. Est vbi etiam nonnullis sanguis ex naribus profluit, qui si effundatur, hoc modo diuturnior morbus euadit. Neque hoc in morbo acutè aures audiunt; cardiogmo vexabitur, eructabit, mente alienabitur, & delirationes furiosæ existunt. Quibusdam verò peruersorum oculorum ferocitas adest, & cæteris omnibus laborabit, ac si ad pulmonem (vt dictum est) purgatio diuertat; verùm non tussiet, neque talia expuet, neque dorsum similiter dolebit. At curata conualescit, non autem multa spes est eam superesse. Ac si fortè superfit, surditas aut in totum cæcitas succedet. Ac de hoc morbo ita finitur oratio.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

Περὶ τῆς λοχείας καθάρσιος ἐπισχεθείσης, ἐς τὴν κεφαλὴν, θώρηκά τε, καὶ πνεύμονα ὁρμηθείσης· καὶ περὶ τῆς αὐτῆς αἰτίων, καὶ σημείων, καὶ τῶν αὐτῶν παθημάτων, ὁποῖα τῇ παρθένῳ ἐπιγίνεται, ἧς τὰ φαινόμενα πρῶτα ὤρουσεν ἄνω.

ΕΙ δ' ὁρμηθείη γυναικὶ λοχείη κάθαρσις ὡς ἐς κεφαλὴν, θώρηκά τε, καὶ πλεύμονα (γίνεται γὰρ τοῦτο) καὶ ἀποθνήσκουσι πολλάκις αὐτίκα, ἢν ἴσχηται· εἰ δὲ χωρέοι κατὰ τὸ στόμα, ἢ [240] ῥῖνα καλῶς, ἐξάντης γίνεται. εἰ δὲ ὀλιγοχρονίη νοῦσος χρονιωτέρη γίνοιτο, καὶ πάσχει ἂν ἡ γυνὴ ὁκοῖα εἴρηται ἀμφὶ τῆς παρθένου, [241] ἧς τὰ ἐπιφαινόμενα πρῶτα ὤρουσεν ἄνω· ἡ δὲ γυνὴ πλέονα χρόνον περιέσται τῆς παρθένου, καὶ βληχρότερα τὰ παθήματα ἔσται οἱ, μέχρις οὗ ὁ πλεύμων διάπυος [242] γένηται. ἢν δὲ μὴ χωρέῃ ἡ λοχείη κάθαρσις κατὰ τὸ στόμα, ἀλλ' ἄνω ὁρμηθεῖσα τράπηται, κεκρύψεται τὰ λοχεῖα, καὶ οὐ χωρήσει κατά γε δίκην, καὶ βὴξ ὑπολήψεται καὶ ἄσθματα, καὶ πληρευμένου τοῦ πλεύμονος ὑπὸ τοῦ αἵματος, πονήσει τὸ πλευρὸν κάρτα καὶ τὸ μετάφρενον· καὶ ὅταν βήξῃ, ξηρὸν ἀποβήσσεται, ἄλλοτε δὲ ἀφρῶδες [244] πτύεται. τοῦ δὲ χρόνου προϊόντος, πτύαλον ἐπιφαίνεται ὑπόμελαν ἐὸν καὶ θολερὸν, καὶ τὰ στήθεα πῦρ ἔχει, τοῦ ἄλλου σώματος [245] πολλὸν, οἷα τοῦ αἵματος θερμήναντος [246] αὐτό· καὶ πυρεταίνει ἡ γυνὴ, καὶ ἡ γαστήρ οἱ στεγνὴ ἔσται, καὶ ἀσιτήσει, καὶ ἀγρυπνήσει, καὶ βδελύξεται, καὶ οὐ περιγίνεται, ἀλλὰ θνήσκει ἐν μιῇ καὶ εἴκοσιν ἡμέρῃσιν ὡς τὰ πολλά. ἢν δέ οἱ ἡ κάθαρσις ἀνορμήσασα κατὰ τὸ στόμα μὴ ἔλθῃ, [247] μηδὲ εἰς τὸν πλεύμονα τράπηται, τρέψεταί οἱ ἐς τὸ πρόσωπον τὰ λοχεῖα, καὶ ἔσται ἐρυθρὸν κάρτα, καὶ ἡ κεφαλὴ βαρείη, οὐδὲ κινῆσαι αὐτὴν ἔσται πόνων ἄτερ· καὶ οἱ ὀφθαλμοὶ ἐρυθροὶ κάρτα ἔσονται, καὶ ἐκ σφῶν αἷμα ῥεύσεται λεπτόν· καὶ ἐκ τῶν ῥινῶν ἔστιν ᾗσιν αἷμα ῥεῖ, καὶ ἢν τοῦτο ἴῃ, ὧδε χρονιωτέρη ἡ νοῦσος γίνεται· τοῖσί τε οὔασιν οὐκ ὀξέως ἐστὶ τὸ ἀκούειν ἐν τῇ νούσῳ, καὶ καρδιώξει, καὶ ἐρεύξεται, καὶ ἀλλοφρονήσει, καὶ παράνοιαι γίνονται μανιώδεες· ἔστι δ' ᾗσι θράσος ὀμμάτων ἰλλωδέων, καὶ τ' ἄλλα πάντα ποιήσει, ὅκως καὶ ἐς τὸν πλεύμονα, ὡς εἴρηται, ἢν ἡ κάθαρσις τράπηται, πλὴν οὐ βήξει, οὐδὲ πτύσεται τοιαῦτα, οὐδὲ τὸ μετάφρενον ἀλγήσει ὁμοίως. [248] μελεδαινομένη δὲ ὑγιαίνει, οὐ πολλαὶ δὲ ἐλπίδες εἰσὶ περιγενέσθαι· ἢν δὲ ἄρα καὶ περιγένηται, κώφωσις ἔσται οἱ ἢ τύφλωσις τὸ ἐπίπαν. ἀμφὶ τῆσδε τῆς νούσου ὧδε [249] τελευτῇ.

CAPVT XLVI.

De alui profluuio lienterico à partu corripiente, eiusque curatione.

SI à partu profluuium corripiat, neque cibaria in ventre maneant, vuam passam nigram, & mali punici dulcis granula terere oportet, ijsque ex vino nigro dilutis vtitor, caseo caprino deraso, & polentâ triticeâ torrefactâ aspersâ, hæc probè temperata exhibeto.

ΚΕΦΑΛΑΙΟΝ ΜϚ'.

Περὶ τοῦ λειεντερικοῦ ῥόου τοῦ ἐκ τόκου λαμβάνοντος, καὶ τῆς τούτου θεραπείας.

ΗΝ ἐκ τόκου ῥόος λαμβάνῃ, καὶ τὰ σιτία ἐν τῇ γαστρὶ [250] οὐ μείνῃ, ἀσταφίδα χρὴ μέλαιναν, καὶ ῥοιῆς γλυκείης τὰ ἔνδον τρίψαι, [251] οἴνῳ διεὶς ἐν μέλανι χρῶ, τυρὸν ἐπιξύσας αἴγεον, καὶ ἄλφιτα πύρινα πεφρυγμένα [252] ἐπιπάσαι, καὶ εὔκρητον δίδου.

ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

Περὶ τῆς ἐμέτου αἵματος ἐκ τόκου αἰτίων, καὶ τῆς θεραπείας.

ΗΝ δὲ αἷμα ἐκ τόκου ἐμέσῃ, τοῦ [253] ἥπατος ἡ σύριγξ τέτρωται, καὶ ὀδύνη πρὸς τὰ σπλάγχνα φοιτᾷ, καὶ τῆς καρδίης σπασμός. Ταύτην χρὴ λούειν πολλῷ θερμῷ, καὶ τῶν χλιασμάτων, ἃ μάλιστα προσδέχεται, προστιθέναι, καὶ πιπίσκειν ὄνου γάλα ἑπτὰ ἡμέρας ἢ πέντε. μετὰ δὲ ταῦτα πιπίσκειν βοὸς μελαίνης γάλα ἀσιτεύουσαν, εἰ οἵη τε εἴη, ἡμέρας μ'. ἐς δὲ τὴν ἑσπέρην, σήσαμον τετριμμένον πιπίσκειν. ἡ δὲ νοῦσος, κινδυνώδης.

CAPVT XLVII.

De vomitionis sanguinis ex partu causis, & curatione

QVòd si à partu sanguinem vomat, hepatis fistula perforata est, & dolor ad viscera procedit, corque conuellitur. Hanc calidâ copiosâ lauare oportet, & quæ maximè suscipiet tepefacientia adhibere, lacque asininum diebus septem aut quinque propinare. Post hæc autem lac vaccæ nigræ, ieiunæ, si ferre possit, ad dies quadraginta propinandum; vesperi autem sesamum tritum bibat. Hic verò morbus periculosus.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

Περὶ τῆς σβέσεως γάλακτος αἰτίων καὶ θεραπευτικῶν· καὶ περὶ τῶν γάλακτος εὐπορίαν καὶ ἐπίδοσιν ποιούντων.

ΤΟ δὲ γάλα ὅκως γίνεται, εἴρηταί μοι ἐν τῇ [254] γενέσει τοῦ παιδίου τῇ ἐν τόκῳ, καὶ τἄλλα παραπλησίως. Ἢν γάλα σβεσθῇ, πράσα τρίψας, διεὶς τῷ ὕδατι, δίδου πίνειν, καὶ ἐν θερμῷ λουέσθω, καὶ εἰς βρῶσιν πράσα καὶ κράμβην ἐσθιέτω· συνεψεῖν δὲ καὶ κυτίσου φύλλα, καὶ τοῦ χυλοῦ ῥοφεέτω. πιπίσκειν δὲ καὶ τοῦ χυλοῦ τοῦ μαράθρου, καὶ τοῦ ἀπὸ τῶν μαραθρείων ῥιζῶν, καὶ κριθὰς ἐπτισμένας καὶ βούτυρον ἑψήσας ὁμοῦ, καὶ ψύξας, δίδου πίνειν. ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον, καὶ τὸ ἱπποσέλινον, καὶ κύτισος· ὁμοῦ ταῦτα πάντα γάλα πουλὺ ποιεῖ, καὶ [255] αὔξει. Σκύρειαι αἶγες, τυροὶ δὲ μάλιστα, ἀγαθόν. ἀλλὰ καὶ τὸν ἐλελίσφακον ἑψεῖν. ἢ ἀπὸ τῶν ἀρκευθίδων, ἢ κεδρίδων ἀποχέουσα τὸν χυλὸν, καὶ οἶνον ἐπιχέουσα, πινέτω, καὶ ἐς τὰ λοιπὰ ἔλαιον ἐπιχέουσα ἐσθιέτω. καὶ τῶν δριμέων, καὶ τῶν ἁλμυρῶν, καὶ ὀξέων, καὶ ὠμῶν λαχάνων πάντων εἰργέσθω. τὸ δὲ κάρδαμον ἐν οἴνῳ πινόμενον, ἀγαθὸν, καὶ γὰρ τὸ γάλα καθαίρει. καὶ τῷ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω. καὶ ἄγνου καρπὸν ἐν οἴνῳ διδόναι πίνειν. καὶ ὁ χυλὸς τῶν τεύτλων γάλα πουλὺ ποιεῖ πινόμενος· καὶ σησάμου ἀπ' αὐτοῦ, καὶ κριθέων τριμηνιαίων ἐμβαλὼν ἐς θυίαν, τρίψας πάντα, δι' ὀθονίου τὸν χυλὸν ἐπιχέας καὶ ἐκχυλίσας, παραμίξας δὲ καὶ μέλι ἢ ἀμαμηλίδας, εἶτα ἐπ' οἴνῳ μέλανι διδόναι πίνειν.

CAPVT XLVIII.

De extinctionis lactis causis, ac remedijs; ac de ijs quæ lactis copiam & incrementum faciunt.

AT quo modo lac generetur, à me dictum est in puelli generatione ex partu, aliáque similiter. Si lac extinctum fuerit, porra trita & aquâ macerata bibenda dato; calidâ lauet, & in cibo porra & brassicam comedat. Sed & cytisi folia incoquito, & succum sorbeat. Quin & fœniculi necnon radicum fœniculi succum propinato; & hordeum decorticatum unà cum butyro coctum & refrigeratum, potui dato. Bonum est & hippomarathrum, & hipposelinum, & cytisus; hæc simul omnia lac copiosum efficiunt & augent. Capræ Scyriæ, præcipuè verò casei, ad id conducunt. Sed & saluiam coquat. Aut ex iuniperi baccis, aut cedri fructu expressum succum, vino affuso bibat, & reliqua affuso oleo edat. Ab acribus, salsis, acidis, & omnibus oleribus crudis arceatur. Cardamum tamen ex vino potum ad id valet, lac enim purgat. Calidâ lauet, & à balneo bibat. Viticis etiam semen ex vino potui dato. Quin & betæ succus propinatus lac copiosum facit; post eum sesamum, & hordeum trimestre in pilam coniectum, trita omnia, succo per linteolum transcolato & expresso, melle admixto aut amamelide, deinde ex vino nigro bibenda dato.

ΚΕΦΑΛΑΙΟΝ ΜΘ'.

Περὶ τῶν ὑστέρων τῆς τεκούσης μετὰ τὸν τόκον χρονιζόντων, καὶ τῶν βοηθημάτων τῶν ταῦτα ἀπολυόντων.

[256] ΟΤαν γυνὴ τέκῃ, καὶ τῶν ὑστέρων μὴ ἀπαλλαγῇ, διδόναι ἄμεινον, ὑφ' ὧν μάλιστα καθαίρεται τὰ λοχεῖα, σκόροδα ἑφθὰ ἢ ὀπτὰ, ἐν οἴνῳ καὶ ἐλαίῳ μετὰ πουλυποδίων καὶ σηπιδίων· ἐπ' ἀνθράκων δὲ ὅ, τι ἂν βούληται τουτέων. κάστορα δὲ, ἢ νάρδον πινέτω· πίνειν δὲ καὶ πήγανον ἐν οἴνῳ μέλανι γλυκεῖ νῆστις, ἢ ἄνευ οἴνου· ἢν δὲ μὴ γλυκὺς ὁ οἶνος ᾖ, ἄμεινον μέλι παραμίσγειν. κράμβην ἑφθὴν ὁμοῦ πηγάνῳ καὶ λινοζώστει, καὶ τῶν σπερματίων τι πίνειν τῶν ὑστερικῶν.

CAPVT XLIX.

De secundis puerperæ à partu remorantibus, & remedijs eas excludentibus.

QVum mulier pepererit, neque secundis fuerit liberata, ea dare præstiterit, à quibus lochia potissimùm expurgantur, allia cocta aut assa, ex vino & oleo, cum paruis polypis & sepiolis; in prunis verò quicquid istorum voluerit. Castorium autem aut nardum bibat. Rutam etiam ieiuna ex vino nigro dulci bibat, aut sine vino. Quòd si vinum dulce desit, mel admiscere commodius. Brassicam vnà cum ruta & mercuriali decoctam assumat, & ex seminibus vtero dicatis aliquod bibat

CAPVT

CAPVT L.

De lochijs in grumos concretis, & eorum curatione.

AT si puerperia in grumos concreuerint, & dolor in infimo ventre obortus sit, porra cocta exhibeto, quæcunque syluestria & satiua erunt, pinguia autem omnia facito. Tertio verò etiam quóque die dementiore cœlo lauandum (ijs enim frigus est inimicum) Post balneum autem inungere præstat, neque multâ calidâ vti.

ΚΕΦΑΛΑΙΟΝ Ν'.

Περὶ τῶν θρομβωθέντων λοχείων, καὶ τῆς αὐτῶν θεραπείας.

Ἢν δὲ θρομβωθῇ, καὶ πόνος ἐν νειαίρῃ τῇ γαστρὶ γένηται, διδόναι πράσα ἑφθά, καὶ ὅσα ἄγρια καὶ ἥμερα, λιπαρὰ δὲ ποιέειν ἅπαντα. λούεσθαι δὲ καὶ διὰ τρίτης ἡμέρης ἐν εὐδίῃ (τὸ γὰρ ψῦχος ταύτῃσιν ἐναντίον) καὶ μετὰ τὸ λουτρὸν ὑπαλείφειν ἄμεινον, μὴ πολλῷ θερμῷ χρῆσθαι.

CAPVT LI.

De secundis statim à partu non prodeuntibus, ac de iis in vtero relictis, earumque causis, symptomatis & remediis; deque vmbilico postremò ex vteris exeunte.

QVum secundæ statim à partu non secesserint, imi ventris dolores in laterum inanitate suboriuntur, & rigores, ac febres. Quòd si secundæ discesserint, mulier etiam sanescit. Plerúnque verò putrescunt; sexto tamen aut septimo die, aut etiam posteriùs discedunt. Huic medicamenta, quæ præscribam, exhibere oportet, & spiritum continere. Omnium autem præstantissimum nouimus artemisiam herbam, & dictamnum, ac albæ violæ flores; & laseris succus ad fabæ Græcæ quantitatem ex aqua potus optimus est. Quòd si his secundæ excludi nequeant, cibis abstinendum. Deinde agni casti folia ex vino & melle trita, & affuso oleo tepefacta, ad heminæ mensuram potui exhibeto, & foras prodibunt. At si mulieri in vteris partûs inuolucrum relictum fuerit, id ita contingit. Si per vim abruptus vmbilicus fuerit, aut si per imperitiam vmbilicum secantis, priusquàm fœtus inuolucrum ex vteris prodierit, sectus fuerit, vterique secundas, nimirùm lubricas & madentes, sursùm attrahunt, & in se ipsis complectuntur. Fœtus enim inuolucrum ex puelli vmbilico protenditur, & ex vteris postremus exit vmbilicus. Si enim prior exiret, non vtique per ipsum ad puellum alimentum permearet, quòd ex eo propendeat.

ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

Περὶ ὑστέρου μετὰ τὸν τόκον δυσαπολύτου, καὶ περὶ χορίου ἐν ταῖς μήτραις ἐλλειφθέντος, καὶ τῶν αὐτοῦ αἰτίων, καὶ συμπτωμάτων, καὶ θεραπευτικῶν· καὶ περὶ τοῦ ὀμφαλοῦ τοῦ ὕστατα ἐκ τῶν μητρῶν ἐξερχομένου.

Ὅταν τὰ ὕστερα μὴ αὐτίκα ἀπίῃ μετὰ τὸν τόκον, τῆς νειαίρης γαστρὸς γίνονται πόνοι ἐν κενεῶσι, καὶ ῥίγεα, καὶ πυρετοί· κἢν ἀπαλλάσσηται τὰ ὕστερα, ὑγιαίνει καὶ ἡ γυνή· σήπεται δὲ πουλύ· ἀπαλλάσσεται δὲ ἑκταίη, ἢ ἑβδομαίη, ἢ καὶ ἀνωτέρω. [237] Ἐπὶ τῇ τοιαύτῃ χρὴ διδόναι φάρμακα, ὧν ἂν ἐγὼ γράψω, καὶ πνεῦμα κατέχειν· ἄριστον δὲ πάντων οἶδα, ἀρτεμισίην βοτάνην, καὶ δίκταμνον, λευκοΐου ἄνθος· καὶ ὀπὸν σιλφίου κράτιστον ἐν ὕδατι πινόμενον, ὅσον κύαμος Ἑλληνικός. καὶ ἢν τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, ἀσιτέειν· κἄπειτα πέταλα τῆς ἄγνου τρίψας ἐν οἴνῳ καὶ μέλιτι, καὶ ἔλαιον ἐπιχέας, χλιήνας, δίδου πίνειν ὅσον κοτύλην, καὶ ἐξίασιν. Ἢν δὲ γυναικὶ τὸ χορίον ἐλλειφθῇ ἐν τῇσι μήτρῃσι, τοῦτο δὲ ὧδε γίνεται· ἢν ῥαγῇ βίῃ ὁ ὀμφαλὸς, ἢ ἀμαθίῃ ἀποτάμῃ ἡ ὀμφαλητόμος, τὸν ὀμφαλὸν τοῦ παιδίου πρόσθεν ταμοῦσα, πρὶν ἢ τὸ χορίον ἐξιέναι ἐκ τῶν μητρέων, αἱ μῆτραί τε [239] ἀνασπῶσι τὸ ὕστερον ἄνω, ἅτε ὀλισθηρὸν ἐὸν, καὶ χεόμενον, καὶ κατίσχουσι ἐν ἑωυτῇσι. τέταται γὰρ τὸ χορίον ἐκ τοῦ ὀμφαλοῦ τοῦ παιδίου, καὶ ὕστερος ἔξεισιν ὁ ὀμφαλὸς ἐκ τῶν μητρέων· ἢν γὰρ πρότερος ἐξίοι, δι' αὐτοῦ οὐκ ἂν διέλθοι τῷ παιδίῳ ἡ τροφὴ, ὅτι ἐξήρτηται ἐξ αὐτέου.

CAPVT LII.

De secundarum, quæ post abortionem fœtûs menstrui aut bimestris vix excernuntur, curatione.

QVum verò in vtero gerens fœtum menstruum aut bimestrem corruperit, secundæque foras prodire nequeant, ipsa autem tenuis sit, huius corpus tunc purgare & opimum reddere oportet. Non enim priùs putrefacti fœtus exeunt, nisi vteri robusti & benè compacti fuerint.

ΚΕΦΑΛΑΙΟΝ ΝΒ'.

Περὶ τῆς τῶν ὑστέρων δυσεκκρίτων μετὰ τὴν τοῦ μηνιαίου ἢ διμηνιαίου ἐμβρύου ἄμβλωσιν, θεραπείας.

Ὅταν δὲ ἐν γαστρὶ ἔχουσα φθείρῃ τὸ ἔμβρυον μηνιαῖον ἢ διμηνιαῖον, καὶ τὰ ὕστερα ἐξιέναι μὴ δύνηται, ἢ δὲ λεπτὴ, ταύτης χρὴ τηνικαῦτα καθῆραι τὸ σῶμα καὶ πιῆναι. οὐ γὰρ πρότερον ἔξεισι τὰ ἔμβρυα σαπέντα, ἢν μὴ ἰσχυραὶ αἱ μῆτραι ἔωσι, καὶ εὐπαγέες.

A

ΚΕΦΑΛΑΙΟΝ ΝΓ'.

Περὶ τοῦ χορίου ἐλλειφθέντος, καὶ τῶν αὐτοῦ συμπτωμάτων· καὶ διὰ τὸ στενόστομον τῆς μήτρας τὸ χορίον κατέχεσθαι καὶ ἐλάσσονα τὴν τῶν λοχείων κάθαρσιν γίνεσθαι.

Ἢν γυναικὶ τὸ χορίον ἐλλειφθῇ, [260] ἢν μὴ εὐρύστομοι αἱ μῆτραι ἔωσιν, χωρέει ἡ κάθαρσις ἔλασσον τοῦ καιροῦ, καὶ ἡ γαστὴρ σκληρὴ γίνεται καὶ μεγάλη, καὶ ψύξις ἔχει, καὶ πυρετὸς ὀξύς, καὶ πόνος καθ᾽ ἅπαν τὸ σῶμα, γαστρὸς δὲ τὸ κατώτερον τοῦ ὀμφαλοῦ, καὶ βρῖθος γίνεται ἐν τῇσι μήτρῃσι καὶ στροφή, [261] ἕως ἐμβρύου ἐόντος. καὶ μελεδανθεῖσα ἐκβάλλει τὸ χορίον ἐν τάχει σεσηπός, καὶ ὑγιαίνεται.

CAPVT LIII.

De secundis relictis, earumque symptomatis; ac ob oris vteri angustiam tum secundas retineri, tum pauciorem lochiorum purgationem fieri.

Si mulieri secundæ relictæ fuerint, nisi vteri amplo ore fuerint, parcior quàm conueniat, purgatio prodit, venter durus & magnus euadit; frigus detinet, & febris acuta, & dolor totum corpus, præcipuè *verò ventris partem vmbilico inferiorem, pondusque in vteris, ac tormina, ac si fœtus existat, sentiuntur. Et curata secundas breui putrefactas eiicit, sanaque euadit.*

B

ΚΕΦΑΛΑΙΟΝ ΝΔ'.

Περὶ τῶν ὑστερῶν, καὶ τῶν τούτων στομάτων ἑλκωδῶν ἐκ τόκου καὶ φλεγμονωδῶν, καὶ τῶν τῆς ἕδρας ἀλγημάτων, καὶ τῶν αὐτῶν αἰτίων καὶ συμπτωμάτων, καὶ θεραπευτικῶν.

Ἢν ἐκ τόκου ἡ μήτρη ἑλκωθῇ, ῥόδων [262] ἄνθη ἰῆσθαι, διακλυζέσθω δὲ καὶ στρυφνοῖσιν. ἢν δὲ ἑλκωθῇ τὸ στόμα, καὶ φλεγμαίνῃ, σμύρναν, καὶ στέαρ [262] χήνειον, καὶ κηρὸν λευκόν, καὶ λιβανωτόν, λαγῴῃσι θριξὶ τῇσιν ὑπὸ γαστέρα μίσγειν, καὶ προστιθέναι ἐν εἰρίῳ λεῖα ποιοῦντα. Ἢν ἐκ τόκου φλεγμαίνωσιν αἱ ὑστέραι, πυρετὸς ἴσχει τὸ σῶμα βληχρός, καὶ ἀχλύς· ἐκ δὲ τῆς κοιλίης οὐδέποτε ἐκλείπει τὸ πῦρ, καὶ διψῇ, καὶ τὰ ἰσχία ἀλγέει, καὶ οἰδέει τὴν γαστέρα τὴν νειαίρην ἰσχυρῶς, καὶ ἡ κοιλίη ταράσσεται, ὑποχώρημα δὲ κακόν, καὶ ὀζόμενον, καὶ λάζεται τὸ πῦρ σφοδρόν, καὶ ἀσιτίη ἔχει, καὶ κατὰ τὸ βρέγμα ὀδύνη, καὶ οὐ δύναται εἰρύσαι τῆς κοιλίης ὁ στόμαχος ποτὰ καὶ σιτία, καὶ ἀδυνατέει πέσσειν· καὶ ἢν μὴ θεραπεύωνται εὐθέως, αἱ πλεῖσται θνήσκουσιν· ἡ κοιλίη δὲ αἰτίη. Τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κριμνοῖσιν ἑψήσας σιτανίοισιν, ἄκρως χλιαρὸν ῥοφέειν, διδόναι τε καὶ μελίκρητον καὶ οἶνον ὑδαρέα· καὶ τὸ ἦτρον καταπλάσσειν τοῖσι ψυκτικοῖσι, σιτίον δὲ ὡς ἐλάχιστον [263] ἐσθίειν, καὶ τὴν γαστέρα ἵστασθαι, καὶ τὴν κεφαλὴν ἰῆσθαι· ὑποχόνδριον δὲ καταπλάσσειν καὶ τὸν μητρέων τόπον. Ὁκόταν ἀλγέῃ τὴν ἕδρην, ἢ ἄλλο τι, ἀρκεύθου καρπόν, ἢ [264] λίνου σπέρμα, καὶ κνίδης τρίβειν, καὶ διδόναι πίνειν. Ἢν ἐκ τόκου ἀλγέῃ, ῥητίνην τερεβινθίνην, καὶ μέλι, καὶ οἶνον χλιαρὸν διδόναι ῥοφέειν· καὶ ἢν φλεγμαίνωσιν αἱ μῆτραι, τοῦτο παύσει. [265] Ἢν δὲ μὴ ἀλγέῃ τι τῶν μητρέων τόπον, ἀμυγδάλας τρίψας πικράς, ἐλαίης τε τὰ ἁπαλὰ φύλλα, καὶ κύμινον, καὶ δάφνης καρπὸν ἢ τὰ φύλλα, καὶ ἄννησον, καὶ ἐρύσιμον, καὶ ὀρίγανον καὶ νίτρον, ταῦτα μίξας, καὶ τρίψας λεῖα, κολλούρια ποιέειν [266] μητρέων. Ἢν φλεγμαίνωσιν, καὶ ὀδύνη ἔχῃ, ῥόδων φύλλα, κιννάμωμον, καὶ κασίην τρίψας ἐν ταὐτῷ λεῖα, [267] ἐπίχει νέτωπον, καὶ ποιήσας φθοΐσκους ὅσον δραχμιαίους, ὀστράκινον χυτρίδιον καινὸν διάπυρον ποιήσας, περικαθίσας, καὶ περιστείλας ἱματίοισι, θυμιῆν ἐς τὰς μήτρας. τοῦτο ὀδύνας παύσει.

CAPVT LIV.

De vteris, eorumque osculis ex partu vlceratis, ac inflammatis; de sedis doloribus; eorumque caussis, symptomatis & curatione.

C

Si ex partu vlceratus fuerit vterus, rosarum floribus medendum; quinetiam adstringentium decocto colluendus. At si os vlceratum ac inflammatum fuerit, myrrham, adipem anserinum, ceram albam, thus, cum pilis leporinis, qui sub ventre sunt, mixta, & leuiter trita, in lana subdito. Si ex partu vteri inflammati fuerint, febris leuis corpus detinet, & oculorum caligo; ex ventre verò incendium nunquam desinit, sitit, & coxendices dolet, imus venter vehementer intumescit, & aluus turbatur, deiectio mala est, graueolens; vehemens febris inuadit, cibi fastidium detinet, & ad sinciput dolor pertingit, *neque ventriculi stomachus potus & cibos attrahere, neque etiam coquere potest. Ac nisi statim curentur, plurimæ intereunt; venter autem in causa est. Sambuci folia quàm tenerrima, in farina crassiore tritici sitanij cocta, perquàm tepida sorbeat; aquam etiam mulsam, vinumque aquosum dato. Imo ventri cataplasmata refrigerantia admouenda, & cibos quàm paucissimos edat, ventrem sistat & capiti medeatur. Hypochondrijs quoque & vterorum sedi cataplasmata admouenda. Quum sedes aut alia quædam pars doluerit, iuniperi baccas, aut lini & vrticæ semen terito, & potui dato. Si ex partu doleat, resinam terebinthinam, mel, & vinum tepidum sorbenda dato. Quòd si vteri inflammati fuerint, id sedabit. Quòd si nullâ vteri parte doleat, amygdalas amaras terito, & oleæ tenera folia, & cuminum, & lauri baccas vel folia, & anisum, & erysimum, & origanum, ac nitrum; ex his mixtis & ad læuorem tritis, vterorum collyria conficito. At si inflammati fuerint & dolor detinuerit, ad rosarum folia, cinnamomum, cassiam, in vnum ad læuorem trita, netopum affundito; & pastillis drachmæ vnius pondere confectis, ollæ fictili recenti igne candenti superinsidente muliere, & vestimentis contectâ, in vterum suffitum immittito. Hoc dolores sedabit.*

D

E

F

CAPVT

A

CAPVT LV.

De vteri ex partu doloribus, eorumque symptomatis ac remedijs.

SI verò vteri ex partu laborauerint, febris leuis detinet, interiore autem parte imus venter accensus est, interdúmque ad coxam vsque intumescit, dolor etiam imum ventrem & laterum mollitudinem occupat, & dicctiones biliosæ sunt & graueolentes; ac nisi aluus sistatur, derepente perit. Quum igitur sic habuerit, aluum refrigerare oportet, cauendo ne horrescat. Bibat autem, nisi sistatur, farinæ crassioris decoctum, panis farinam comedat. Mali autem punici vinosi succum aquâ dilutum sorbeat. At farinam lentium vitello asperge; cui decocto, lentem, cuminum, salem, oleum, & acetum misce; hanc frigidam sorbitionem dato, & lenticulam aceto conditam, vinum Pramnium generosum superbibendo. Alijs autem cibis abstinendum, quoad febris soluta sit. Si verò visum fuerit, etiam lauet. At si imbecilla fuerit, polentam bibendam dato; si autem debilior, ex aqua frigida. Cibus offerendus leuis, qui minimè vacuet, vbi febris remiserit. Hic autem morbus acutus est & lethalis.

ΚΕΦΑΛΑΙΟΝ ΝΕ'.

Περὶ τῶν τῆς ὑστέρας ἐκ τόκου πόνων, καὶ τῶν αὐτῶν συμπτωμάτων καὶ βοηθημάτων.

ΗΝ δὲ ἐκ τόκου αἱ ὑστέραι πονήσωσι, βληχρὸν ἔχει τὸ πῦρ, ἔνδοθεν δὲ ἡ κοιλίη ἡ νειαίρη περιφλεγεθής ἐστι, καὶ ἐς τὸ ἰσχίον ἐνίοτε ἀποιδέει, καὶ ὀδύνην ἴσχει τὴν νειαίρην γαστέρα, καὶ ἐς τοὺς κενεῶνας, καὶ τὰ

B

ὑποχωρέοντα χολώδεα καὶ κάκοδμα, καὶ ἢν μὴ σταθῇ ἡ κοιλίη, ἐξαίφνης θνήσκει. Ὅταν οὖν ὧδε ἔχῃ, χρὴ ψύχειν τὴν κοιλίην, φυλασσόμενον ὅκως μὴ φρίξῃ. πινέτω δὲ ἢν μὴ ἵστηται, τὸ ἀπὸ τοῦ[268] κρίμνου, τρωγέτω[269] ἄρτον ἄλητον· ῥοφέειν δὲ σίδης οἰνώδεος τὸν χυλὸν, κεράσας ὕδατι· ἐπίπασσε δὲ[270] λεκίθῳ φακὸν,[271] καὶ τούτῳ ἕψει μίσγων φακὸν, καὶ κύμινον, καὶ ἅλας, καὶ ἔλαιον, καὶ ὄξος· τοῦτο διδόναι ῥόφημα ψυ-

C

χρὸν, καὶ φακὴν ὀξείην,[272] καὶ ἐπιπίνων οἶνον οἰνώδεα Πράμνιον· τῶν δὲ ἄλλων σιτίων ἀπέχεσθαι χρὴ, ἔστ' ἂν ὁ πυρετὸς λυθῇ. Ἢν δὲ δοκέῃ, καὶ λουέσθω· ἢν δὲ ἀσθενῶς ἔχῃ, πίνειν δίδου[273] τὰ ἄλφιτα, ἢν δὲ ἀκιδνοτέρη ᾖ, ἐν ὕδατι ψυχρῷ. σιτίον δὲ προσφέρεσθαι κοῦφον, ὅ, τι μὴ[274] ἰνήσεται, ὅταν τὸ πῦρ μεθῇ. ἡ δὲ νοῦσος, ὀξείη τε καὶ θανατώδης.

CAPVT LVI.

De vteri puerperæ inflammatione sine & cum lochiorum retentione; tumore, distentione; eorumque caussis, symptomatis, & remedijs.

D

AT si puerperæ vteri inflammatione laborent, venter incenditur & magnus fit, & suffocatio ad hypochondria detinet. Quum sic affecta fuerit, muscum marinum, quem in pisces inijciunt, in pila contusum, farinâ hordeaceâ crudâ admixtâ, sarmentitio cinere, & lini semine tosto, ex cataplasmate admoueto. His autem agitatis, & aceto oleoque subactis, velut cyceonem crassum conficito, eáque donec velut in farinæ massam coëant coquito. Hoc quàm calidissimum in cataplasmate apponito, & si opus fuerit, insidere facito. Si puerperæ vteri inflammati fuerint, tumescunt; quumque lochia intus manserint, clam distenduntur, quod accidit, quum frigore densati fuerint. Hos quidem, si perfrigescant, calefacito. At si conflagrarint, & frigus dimiserit, medicamentum subdititium quod inflammationi aduersetur, formandum, simúlque lauandum & fotu vtendum, & medicamenta quæ describam adhibenda, vaporque in os & nares attrahendus. Si verò suffocent, lentes in aceto & sale, & cum origano multo decoquito, & attractionem facito. Mercurialem etiam edat, & in eius succo coctam farinam sorbeat. Quàm celerrimè autem, & priusquàm dolor detineat, medicamenta dato, quæ vterorum dolores sedent, & cibos aluum subducentes assumat; & si venter inflammetur, quàm citissimè dystere subluendus.

ΚΕΦΑΛΑΙΟΝ Νϛ'.

Περὶ τῆς ὑστέρας φλεγμονῆς, ἄνευ τε καὶ μετὰ λοχείων ἐπισχέσεως καὶ οἰδήματος, καὶ τάσεως, καὶ πνιγός· καὶ τῶν αὐτῶν αἰτίων, καὶ συμπτωμάτων, καὶ θεραπευτικῶν.

ΗΝ δὲ φλεγμαίνωσιν αἱ ὑστέραι λεχοῖ,[275] πίμπλαται ἡ κοιλίη, καὶ μεγάλη γίνεται, καὶ πρὸς τὰ ὑποχόνδρια πνῖξ ἔχει. ὅταν ὧδε ἔχῃ, καταπλάσσειν βρύῳ τῷ θαλασσίῳ, καὶ ὃ ἐπὶ τοὺς ἰχθύας ἐπιβάλλουσι· κόψαι δὲ ἐν ὅλμῳ, καὶ ξυμμίσγειν ὠμήλυσιν, καὶ σποδιὴν κληματίνην, καὶ λίνον φώξαντα· βάψαι δὲ ταῦτα καὶ ἀναφορύξαι[276] ὄξει καὶ ἐλαίῳ, ποιέειν δὲ οἷον κυκεῶνα παχύν· ταῦτα ἕψειν, ὡς οἷον σταὶς γένηται, καὶ τούτῳ καταπλάσσειν ὡς θερμοτάτῳ, καὶ

E

ἢν χρήζῃ[277] ἐγκαθίζεσθαι. Ἢν δὲ λεχοῖ φλεγμαίνωσιν αἱ ὑστέραι, οἰδέουσι· καὶ ὁκόταν τὰ λοχεῖα ἐμμείνῃ, κρύβδην τείνονται·[278] γίνονται δὲ ἐπὴν πυκνωθῶσιν ὑπὸ ψύχεος. Ταύτῃσιν, ἢν μὲν ἐπιψύχωνται, ἀλεαίνειν· ἢν δὲ[279] περιφλεγέες ἔωσιν, καὶ τὸ ψῦχος ἀφῇ, πρόσθετον ποιέειν, ὅ, τι φλεγμασίῃ ἐναντιοῦται, καὶ λούειν ἅμα καὶ πυριῇν, καὶ φάρμακα προσάγειν, ὧν ἂν ἐγὼ γράψω, ἕλκειν τε ἀτμίδα ἐς[280] τὸ στόμα καὶ ἐς τὰς ῥῖνας. Ἢν δὲ πνίγωσι, φακοὺς ἕψειν ἐν ὄξει,[281] καὶ

F

ἁλὶ, καὶ ὀριγάνῳ πολλῷ, καὶ ὁλκὴν ποιέεσθαι· καὶ τὴν λινόζωστιν[281] ἐσθιέτω, καὶ ἐν τῷ χυλῷ[282] λεπτὸν ἄλητον ῥοφεέτω.[283] ὅτι ἂν τάχιστά τε, καὶ πρὶν τὴν ὀδύνην ἔχειν, πρότερον διδόναι τῶν φαρμάκων, ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης, καὶ σιτία διαχωρητικὰ προσφερέσθω· καὶ ἢν ἡ γαστὴρ[284] φλεγμαίνηται, ὑποκλύζειν ὅτι τάχος.

ΚΕΦΑΛΑΙΟΝ ΝΖʹ.

Περὶ τῶν μητρῶν φλέγματος ἐμπλησθεισῶν, τῶν τ' ἄνευ ἑλκώσεων, καὶ τῶν ἡλκωμένων· καὶ τῶν τούτων αἰτίων, καὶ συμπτωμάτων καὶ θεραπευτικῶν.

ΗΝ αἱ μῆτραι φλέγματος ἐμπλησθῶσι, φῦσαι ἐγγίνονται ἐν τῇσιν ὑστέρῃσι, καὶ ἐπιμήνια προέρχεται ἐλάσσονα, λευκὰ, φλεγματώδεα· ἔστι δ' ὅτε αἷμα λεπτὸν, ἀκραιφνὲς, ὑμένων ἀνάπλεον· καὶ ἔστιν ᾗσιν κυρκανᾶται, καὶ τρὶς τοῦ μηνὸς ἐπιφαίνεται, καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, οὐδ' ὀργᾷ τοῦτο δρᾷν, καὶ λεπτὴ γίνεται· ὀδυνῆται δὲ τὴν νειαίρην γαστέρα, τὰς ἰξύας, καὶ τοὺς βουβῶνας. καὶ εἰ δάκνοι τὸ ῥέον, καὶ ἑλκοῖ[285] τὰ ἀμφίδεα, χρόνιον φαίναι τὸ ῥεῦμα, καὶ ἢν μὴ πολὺ εἴη. Φάκιον ξὺν ἐλλεβόρῳ δοῦναι ἐμέσαι· ἔπειτα ἐς τὰς ῥῖνας ἐγχέαι, καὶ φάρμακον πίσαι κάτω, σιτίων δὲ εἰργέσθω δριμέων. ἢν δὲ βαρύνηται, καὶ ψύχηται καὶ νάρκη ἔχῃ, γάλα διδόναι, καὶ οἶνον εὐώδεα. πινέτω δὲ νῆστις ὑπερικὸν,[286] λίνου σπέρμα, ἐλελίσφακον ἐν οἴνῳ εὐώδει ὑδαρεῖ, καὶ κλύσαι τὰς ὑστέρας τῷ ξὺν τῇ τρυγί. καὶ ἢν ἑλκωθέωσι ἔωσι, διαλιπόντα ἡμέρας δύο, ἢ τρεῖς, κλύσαι τρὶς ξὺν τῷ κόκκῳ, μετὰ δὲ τοῦτο, στρυφνοῖσι· ἢν δὲ ἑλκωθέωσι ἔωσι, νίπτεσθαι τῷ ἀπὸ τῆς μυρσίνης, καὶ δάφνης ἀφεψήματι, καὶ ἐγχριέσθω τῷ ξὺν τῷ ἀργυρέῳ ἄνθει. ἡ δὲ νοῦσος χαλεπὴ, καὶ ὀλίγαι ἐκφεύγουσι.

CAPVT LVII.

De vteris pituitâ inebriatis, citra vlcera & vlceratis; eorúmque causis, symptomatis, ac remedijs.

SI vteri pituitâ impleti fuerint, flatus in vteris suboriuntur, & menses prodeunt pauciores, albi, pituitosi; interdúmque sanguis tenuis, purus, membranis plenus; nonnullis etiam conturbatur, terque mense comparet, neque præ humiditate cum viro misceri vult, neque ad id faciendum incitatur, & extenuatur. Dolet autem imum ventrem, lumbos & inguina. Quòd si quod effluit mordeat, & osculi vteri labra vlceret, diuturnam fore fluxionem asserendum, tum si minimè copiosa fuerit. Lenticulæ decoctum cum veratro, vt vomat, exhibeto. Deinde in nares infundito, & medicamentum deorsùm purgans propinato, & cibis acribus abstineat. Quòd si grauetur & frigeat, & torpor detineat, lac & vinum odoratum dato. Hypericum autem, lini semen, & saluiam, ex vino odorato aquoso ieiuna bibat, & vteros vino *vnà cum fæce eluat. Quòd si vlcerati fuerint, duobus aut tribus diebus intermissis, ter ex grani Cnidij decocto colluito, post hæc verò ex adstringentibus. Si verò* adhuc *vlcerati fuerint, myrti & lauri decocto abluito, & medicamento ex argenti flore illinatur. Grauis autem hic morbus est, paucæque ex eo euadunt.*

ΚΕΦΑΛΑΙΟΝ ΝΗʹ.

Περὶ τῶν κοτυληδόνων φλέγματος περιπλέων, καὶ τῶν αὐτῶν σημείων, καὶ συμπτωμάτων, καὶ θεραπευτικῶν.

ΗΝ δὲ κοτυληδόνες φλέγματος περίπλεαι ἔωσι, τὰ ἐπιμήνια γίνονται ἐλάσσονα, καὶ ἢν ἐν γαστρὶ ἴσχῃ, διαφθείρει, ἐπειδὰν ἰσχυρότερον τὸ ἔμβρυον γένηται· οὐ γὰρ ῥώννυται, ἀλλ' ἀπορρεῖ. γνοίης δ' ἂν τῷδε· ὑγρὴ γίνεται, καὶ τὸ ἀπορρέον μυξῶδες καὶ γλίσχρον, οἷα ἀπὸ κοιλίης φέρεται, καὶ οὐ δάκνει· καὶ ἐν τοῖσιν ἐπιμηνίοισιν ἐπὴν παύσηται τοῦ αἵματος καθαιρομένη, καὶ δύο ἡμέρας καὶ τρεῖς βλένναι ἴασιν ἐκ τῶν ὑστερέων, καὶ φρίκη ἔχει, καὶ θέρμη οὐκ ὀξεῖα, πλὴν οὐκ ἐκλείπει. Ταύτην κλύσαι[287] ἀπὸ τῶν ὀλύνθων, ἀφ' ὧν ὕδωρ ἅπαν καθαίρεται, καὶ δὶς καὶ τρίς· ἐπὴν δὲ καθαρθῇ, στρυφνοῖσι τὸ λοιπὸν χρήσθω. προσθεῖναι δὲ τὰ μαλθακὰ, ὑφ' ὧν καθαίρεται φλέγμα, καὶ πυριῆν τὰς ὑστέρας τῷ ξὺν τῇ δάφνῃ, καὶ κλύζειν τῷ ξὺν τῷ ὄξει, καὶ θυμιῆν, ἐπὴν παύσηται τὰ ἐπιμήνια, τοῖσιν ἀρώμασι. κἄπειτ' ἀσιτεῖν χρὴ, καὶ ἀλουτεῖν· ξυνίτω δὲ τῷ ἀνδρὶ, καὶ σιτία καὶ οἶνον ὀλίγα λαμβανέτω, καὶ ἀλεαινέτω, καὶ[288] εἰρινικὰ ἀμφὶ τὰ σκέλεα ἑλίσσειν, καὶ ἐλαίῳ ἀλείφειν.

CAPVT LVIII.

De acetabulis pituitâ oppletis, eorúmque signis, symptomatis, & curatione.

SI vteri acetabula pituitâ oppleta fuerint, menses pauciores contingunt; & si vterum gestet, vbi fœtus robustior euaserit, eum corrumpit. Non enim roboratur, sed elabitur. Hinc autem cognoueris; humida redditur, quodque effluit, mucosum & viscidum fit, qualia ex aluo feruntur, nec mordet; & in mensibus, vbi sanguine purgari desierit, per duos aut tres dies mucus ex vtero effluit, horrorque & calor minimè acutus detinet, præterquàm quòd non deserit. Hanc grossorum succo, à quibus omnis aqua depurgatur, bis vel ter colluito. Postquàm autem purgata fuerit, deinceps adstringentibus vtatur. Mollia subditia medicamenta, à quibus pituita purgatur, supponito, & vteros lauri decocto foueto, decoctóque cum aceto colluito, & cùm menses cessarint, suffitum ex aromatis formato. Posteà cibo & balneo abstinendum. Mulier *autem virum adeat, & cibos vinumque parcè assumat, calidè degat, laneis tegumentis crura obuoluat, oleóque illinat.*

A

CAPVT LIX.

De hydrope vteri, eiusque signis, symptomatis, & curatione.

SI hydrops in uteris nascatur, menses pauciores & praui oboriuntur, & ante tempus deficiunt; venter imus intumescit, & mammæ solidæ flaccescunt, lac prauum, & in reliquis malè habet, uteróque gestare uidetur. Atque ex his quidem aquam esse intercutem cognosces. Quin & in uterorum ore sui notas edit. Ad tactum enim gracile & humidum apparet, rigorque & febris inuadit. Quóque longius tempus processerit, dolor imum uentrem, lumbos, laterum inanitates & inguina occupat. Hic morbus ex abortu fit, & alijs de causis, quumque menses delituerint. Hanc copiosâ calidâ lauato, & si dolor detineat, tepefacientia admoueto. Vbi autem quieuerit, medicamentum deorsùm purgans propinandum, & uteri medicamento ex stercore bubulo fouendi; deinde medicamentum ex cantharide apponendum, & biduum aut triduum intermittendum, & si robur adsit, netopo vteri colluendi. Quòd si venter mollis reddatur, febres cessent, & pro ratione menses procedant, cum viro etiam dormiat, & in subdititijs maneat, & die intermisso crethmi corticem, & pæoniæ grana nigra quinque, sambucique fructum ex vino ieiuna bibat, mercurialem quamplurimam, alliáque cruda & cocta comedat; ad somnum mollibus, & polypis, cæterisque mollibus vtatur, & opsonijs marinis potiùs, quàm carnibus. Quòd si pepererit, conualescit.

ΚΕΦΑΛΑΙΟΝ ΝΘ΄.

Περὶ ὕδερου ἐν μήτρᾳ, καὶ τῶν αὐτοῦ σημείων, καὶ συμπτωμάτων, καὶ θεραπευτικῶν.

ΗΝ δὲ ὕδερος ἐν τῇσι μήτρῃσιν ἐγγίνηται, τὰ ἐπιμήνια ἐλάσσονα καὶ πονηρὰ γίνεται, καὶ προαπολείπει· καὶ ἡ νειέρη γαστὴρ οἰδέει, καὶ οἱ μαζοὶ [289] στερροὶ καὶ μαλθακοὶ, καὶ τὸ γάλα πονηρὸν, καὶ τ' ἄλλα πονηρῶς ἔχει, καὶ δοκέει ἐν γαστρὶ ἔχειν. καὶ ἐν τούτοισι γνώσῃ ὅτι ὕδερός ἐστι, σημαίνει δὲ καὶ ἐν τῷ στόματι τῇσιν ὑστέρῃσιν· ψαυόσῃ γὰρ ἰσχνὸν, καὶ ὑγρὸν φαίνεται, καὶ ῥῖγος, καὶ πῦρ λαμβάνει. ὅσῳ δ' ἂν ὁ χρόνος [290] πλείων γίνηται, ὀδύνη ἔχει τὴν νειέρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τοὺς βουβῶνας. αὕτη ἡ νόσος ἐκ τρωσμοῦ γίνεται, καὶ ἐξ ἄλλων δὲ προφασίων, καὶ ὅταν τὰ ἐπιμήνια κρυφθῇ. Λούειν χρὴ πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι ἢν ἡ ὀδύνη ἔχῃ· ἐπὴν δὲ παύσηται, φάρμακον χρὴ πίσαι κάτω, καὶ πυριῆσαι τῷ ξὺν τῷ βολίτῳ τὰς ὑστέρας, ἔπειτα προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι, καὶ διαλείπειν δύο ἡμέρας ἢ τρεῖς, καὶ ἢν ῥώμη ἐνῇ, νετώπῳ κλύσαι. καὶ ἢν ἡ γαστὴρ λαπαρὴ γένηται, καὶ οἱ πυρετοὶ παύονται, καὶ τὰ καταμήνια προχωρέει κατὰ λόγον, καὶ τῷ ἀνδρὶ ξυγκοιμάσθω, καὶ ἐν τοῖσι προσθέτοισι μενέτω, καὶ μεσηγὺς ἡμέρης πινέτω κρήθμου φλοιὸν, γλυκυσίδης τοὺς μέλανας κόκκους πέντε, καὶ ἀκτῆς καρπὸν ἐν οἴνῳ νῆστις, καὶ τὴν λινόζωσιν ἐσθιέτω ὡς πλείστην, καὶ σκόροδα ὠμὰ καὶ ἑφθὰ, καὶ τοῖσι μαλθακοῖσι πρὸς ὕπνον χρήσθω, καὶ [291] πολύποσι, καὶ τοῖσι ἄλλοισι μαλθακοῖσι, καὶ ὄψοισι θαλασσίοισι μᾶλλον, ἢ κρέασι. καὶ ἢν τέκῃ, ὑγιαίνει.

B

C

D

CAPVT LX.

De hyprope vteri in grauida, etiam cum abortione, eiusque dignotione, symptomatis ac curatione.

SI hydrops in uteris oriatur, menses pautiores ac deteriores contingunt, & diuturniori tempore, iustoque parciores, aut paulò copiosiores eunt; venter, & supra pubem locus, tibiæ, & lumbi intumescunt. Vbi autem diuturnum tempus processerit, & uterum gestarit, fœtum perdit, & eijcit, unáque cum eo aqua effunditur, & mulier plerúnque moritur. Sanguis autem corrumpitur, & aquosus fit. Huic, quoad fætus moueri possit, lac & pepli albi infusum potui exhibeto. Vt plurimũ autem ante hoc tempus corrumpitur, & abortione reijcitur, vterique sanguine & aquâ diffluunt. Hæc autem nihilo frequentiùs ex labore, quàm alijs de causis, contingunt. Hydropem autem esse dignoueris, si digiti contactu, ipsorum os gracile & humore redundans deprehenderis. Quòd si in ipsa fœtus non circa initia, sed iam bimestris, tum corrumpatur, tum suffocetur, venter imus intumescit, & ad contactum velut vlcus dolet, febris magna ipsam & dentium fremitus inuadit, & dolor vehemens pudendũ, & imum ventrem, & ilia; idemq; acutus & impetuosus laterũ inanitates & lumbos occupat.

ΚΕΦΑΛΑΙΟΝ Ξ΄.

Περὶ τοῦ ὕδρωπος ὑστερικοῦ ἐν τῇ κυούσῃ, καὶ μετὰ ἐξαμβλώσεως, καὶ τῆς αὐτοῦ διαγνώσεως, καὶ τῶν συμπτωμάτων, καὶ τῆς θεραπείας.

ΗΝ ὕδρωψ γένηται ἐν τῇσι μήτρῃσι, τὰ ἐπιμήνια ἐλάσσω γίνεται, καὶ κακίω, καὶ διὰ πλείονος χρόνου, καὶ χωρῶ ἐλάσσονα, ἢ μικρῷ πλείονα [293] ἴῃ, καὶ οἰδέει ἡ κοιλίη, καὶ τὸ ἐπιπέτειον, καὶ αἱ κνῆμαι, καὶ ἡ ὀσφύς. ἐπειδὰν δὲ συχνὸς χρόνος γένηται, καὶ ἐν γαστρὶ ἔχῃ, διαφθείρει, καὶ ἐκβάλλει, καὶ ὕδωρ ξὺν αὐτῷ χέεται, καὶ ἡ γυνὴ θνήσκει ὡς ἐπὶ τὸ πολύ· τὸ δὲ αἷμα φθείρεται, καὶ ὑδεροῦται. Ταύτην γάλακτι ποτίζειν, καὶ μηκώνων πίνειν ἕως ἂν τὸ ἔμβρυον κινέεσθαι δύνηται· [294] ἐπὶ δὲ πρὸ τούτου, ὡς ἐπὶ τὸ πολὺ διαφθείρεται, καὶ ἐξαμβλοῦται, καὶ αἵματος καὶ ὕδατος ῥέουσιν αἱ μῆτραι. ταῦτα δὲ πάσχει οὐδέν τι μᾶλλον ἐκ πόνου, ἢ ἄλλως. τοῦτο δ' ἂν γνοίης ὅτι ὕδρωψ ἐστὶν, εἰ ἀφάσσων τῷ δακτύλῳ εὕροις τὸ στόμα αὐτῶν ἰσχνὸν, καὶ περίπλεον ὑγρασίης. Ην δὲ ἐν αὐτῇ τὸ ἔμβρυον μὴ κατ' ἀρχὰς, ἀλλ' ἤδη διμηνον διαφθείρεταί τε, καὶ ἀποπνίγεται, ἥ τε γαστὴρ ἡ νειέρη ἐπαροιδέει, καὶ ἀπτομένη ἀλγέει ὡς ἕλκος, καὶ πυρετὸς μέγας αὐτὴν, καὶ βρυγμὸς λαμβάνει, καὶ ὀδύνη ἰσχυρὴ τὸ αἰδοῖον, καὶ τὴν νειέρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας καὶ τὴν ὀσφὺν ὀξέα τε καὶ σπερχνή.

E

F

Ὅταν οὕτως ἔχῃ, λούειν τε αὐτὴν θερμῷ, ἢν ὀδύνην ἔχῃ, καὶ χλιάσματα προσάγειν, πειρεόμενον ὅ, τι ἂν μάλιστα προσδέχηται, καὶ φάρμακον καθαρτήριον κάτω. διαλιπεῖν δὲ χρόνον, ὅσον [295] αὐτῇ δοκέῃ ἱκανὸς εἶ(ναι), καὶ κλύσαι, καὶ πυριῆσαι, καὶ τὴν κυκλάμινον ἐς ῥάκος μέλιτι δεύσας, προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων, καὶ τῆς κυπαρίσσου καταξύσας, καὶ τέγξας ἐν ὕδατι, προσθεῖναι ὡσαύτως. ἐλάσσονι δὲ χρόνῳ καὶ διὰ πλείονος τοῦτο, ὅσῳ μᾶλλον δάκνει [296] καὶ ξαίνει. καὶ μήλην ποιησάμενος κασσιτερίνην ἐγκαθιέναι, καὶ τῷ δακτύλῳ ὡσαύτως. καὶ τὰ ποτήματα ὅ, τι ἂν μάλιστα προσίηται, πιπίσκειν· καὶ ξυγκοιμάσθω τῷ ἀνδρὶ ὡς μάλιστα τὸν καιρὸν παρεόντων· ἢν γὰρ συλλάβῃ τὴν γονήν, καὶ [297] κυήσῃ, ὑποκαθαίρεται καὶ τὰ πρόσθεν, ὑπιόντα ξὺν αὐτοῖσι, καὶ οὕτως ἂν μάλιστα ὑγιὴς γένοιτο.

A *Quum ita affecta fuerit, si dolor adsit, eam calidâ lauato, & tepefacientia admoueto, periculo facto quodnam maximè ipsa admittat, medicamentúmque deorsùm purgans* exhibeto. *Intermissione autem temporis, quanta ei satis esse videbitur, factâ, etiam colluito & foueto, & cyclaminum melle subactum, ac linteo exceptum vterorum ori subdito, & cupressi ramenta aquâ madefacta eodem modo supponito. Idque quò plus mordet aut vellicat, breuiore, aut longiore tempore faciendum. Et* B *paratum specillum stanneum digitumque eodem modo intromittito. Potiones etiam, quascumque maximè approbat, propinato, & opportunitate maximè captatâ cum viro dormiat. Si enim genituram conceperit & prægnans fuerit, quæ etiam intus inerant, vna cum ipsis delata, per inferiora expurgabuntur, eâque præcipuè ratione conualescere poterit.*

ΚΕΦΑΛΑΙΟΝ ΞΑ'.

Περὶ τῆς ἐξ ὕδρωπος ὑστερικοῦ ἀπὸ σπληνὸς ὑδατώδεος καὶ μεγάλου γινομένου διαγνώσεως, καὶ τῶν συμπτωμάτων, καὶ ὅταν μήτε ῥόος, μήτε τὰ καταμήνια ἀποῤῥέωσι. καὶ ὅπως ὁ σπλὴν ὀγκοῦται κατὰ τοὺς πυρετούς, καὶ ὑδατώδης γίνεται, καὶ τὴν τῶν γυναικείων νοσημάτων διαγνωστικὴν τοῖς ἰατροῖς ἀναγκαίαν εἶναι.

CAPVT LXI.

C De hydropis vterini ex liene magno & aquoso orti dignotione & symptomatis, etiam quum neque fluor neque menstrua profluant; quomodò lien per febres tumeat, & aquosus fiat, & morborum muliebrium diagnosticen medicis necessariam esse.

ΗΝ δὲ γυνὴ ὑδρωπιήσῃ, [298] οἱ αὐτοῦ σπληνὸς ὑδατώδεος καὶ μεγάλου ἐόντος, γίνεται ὁ σπλὴν ὑδατώδης ἀπὸ τοῦδε τοῦ παθήματος· ἐπὴν τὸ πῦρ ἔχῃ, καὶ μὴ ἀφίῃ τὴν ἄνθρωπον, καὶ δίψα μιν λαμβάνῃ καρτερή, καὶ πίνῃ, καὶ μὴ ἀπεμέσῃ· τὸ μὲν γὰρ ἐς τὴν κύστιν διελθὸν διουρέεται· τὸ λοιπὸν δὲ ὁ σπλὴν [299] λαμβάνει, διασπῶν ἀπὸ τῆς κοιλίης πρὸς ἑωυτὸν, ἅτε ἀραιὸς ὢν καὶ σπογγοειδής, κείμενός τε κατὰ τὴν κοιλίην. καὶ τούτων οὕτως ἐχόντων μὴ ἱδρώσῃ, μηδὲ ἡ κοιλίη χαλᾶται, αἴρεται ὁ σπλὴν ὑπὸ τούτου, καὶ μᾶλλον ἢν ὕδωρ ᾖ τὸ ποτόν· καί μιν ἤν τις ἐπαφήσαιτο, μαλθακὸς ὡς χνοῦς ἐστιν, ἔστι δ' ὅτε ἀντιτυπεόμενος. ἀερθεὶς δὲ καὶ πιμπλάμενος, ἐνδιδοῖ κατὰ τὰς φλέβας τῷ σώματι, καὶ μάλιστα ἐς τὸ ἐπίπλοον, καὶ τοῖσιν ἀμφὶ τὴν κοιλίην ἐοῦσι χωρίοισι, καὶ τοῖσι σκέλεσι· ἕτερον γὰρ ἑτέρῳ διενδιδοῖ ἐν τῷ σώματι, ἐπὴν πλέον ἑκάστῳ τοῦ καιροῦ ᾖ, καὶ μὴ δύνηται κατέχειν. ἐπιγίνεται δὲ [301] ἀπὸ τοῦ ὕδρωψ αἰεί, ἐπὴν μάθῃ ὁ σπλὴν ἕλκειν ἐς ἑωυτὸν, φύσει ἀραιὸς ὢν καὶ μανός. γίνεται δὲ [302] αἷς ἀρχὴ αὕτη τῆς νούσου καὶ ἄτερ πυρετοῦ, ἢν καῦμά τι τῇ κοιλίῃ ἐνστῇ, οἷα [303] φλέγματος ἐς αὐτὴν κατιόντος, καὶ ἢν ἡ ἄνθρωπος τὴν δίψαν μὴ κατέχῃ, μηδ' ἡ κύστις μηδ' ἡ κοιλίη διιθέωσιν οὖρόν τε καὶ κόπρον κατά τε δίκην, μηδ' ἐπιτηδείῃ διαίτῃ χρέηται ἡ ἄνθρωπος. ἢν δὲ ὑδρωπώδης ᾖ, ἔρχεται τὰ καταμήνια πολλὰ ἐξαπίνης· ὁτὲ δὲ ὀλίγα· καὶ γίνονται, ὁτὲ μὲν ὡς ἀπὸ κρεῶν ὕδωρ, ὡς εἴ τις αἱματώδεα ἀποπλύνειεν, ὁτὲ δὲ ὀλίγῳ ἰσχυρότερα, καὶ οὐ πήγνυται· καὶ ἆσθμά μιν λαμβάνει, πρὶν ἢ τὰ καταμήνια χωρέειν, καὶ ὀδύνη ἐν τῷ σπληνί, καὶ μᾶλλον ἐπὴν τι γλυκὺ φάγῃ, καὶ ἡ γαστὴρ ἐξαίρεται, καὶ μεγάλη ἔσται· καὶ ἐπὴν πλέονα τοῦ μέτρου φάγῃ,

SI verò ex aquoso & magno liene existente mulier hydrope laborarit, lien aquosus ex hac affectione euadit; quum vehemens febris hominem detinuerit, neque dimiserit, sitisque valida corripuerit, & biberit, ne- D *que reuomuerit. Quod enim ad vesicam defertur, per vrinam redditur; reliquum verò lien ex ventre ad sese raptum suscipit, quum sit rarus & spongiæ similis, & propè ventrem situs. Hisque ita se habentibus, si neque exudarit, neque aluus laxetur, ex eo splen attollitur, idque magis si aqua epota fuerit. Ac si quis ipsum attrectet, mollis est velut lanæ tomentum, interdúmque etiam renitens. Sublatus autem & oppletus, per venas in corpus trans-* E *mittit, præcipuéque in omentum & partes ventrem ambientes, & crura. In corpore enim vbi in vnaquaque parte plùs quàm par sit, aut quam continere possit, affuerit, altera ad alteram transmittit. Ex eo verò semper hydrops subsequitur, vbi lien naturâ rarus & laxus, ad sese trahere consueuerit. Quibusdam autem hoc morbi principium etiam citra febrem oritur, si incendium quoddam in ventre constiterit, velut pituitâ in ventrem delatâ; & si sitim mulier minimè temperet, neque vesica, neque aluus, tum vrinam, tum* F *stercus, vt æquum est, transmiserint, neque idoneâ vtatur homo victûs ratione. Quòd si hydropica fuerit, copiosi menses derepentè, quandoque etiam pauci prodeunt; & nonnunquam velut aqua ex carnibus, fiunt, vt si quis cruentas* carnes *abluerit; interdùm etiam paulò vehementiores, neque concrescunt; eam quoque asthma priùs quàm menses prodeant, inuadit, & splenis dolor, & magis siquid dulce ederit, venterque attollitur & magnus fit. Ac vbi plus solito comederit,* dolet

dolet ventrem, dolet & plerúnque lumbos, ipsamque febris paulatim occupat. Cumque repurgata fuerit, optimè pro superiorum ratione sibi habere videtur; posteà in eundem relabitur statum. Quòd si, vt oportet, curetur, conualescet; alioqui & fluor apparet, & continuò per totum tempus velut sanies quædam sensim profluet, tumque diligentiore curâ opus est. Si verò fluor non succedat, sed vteri à prioribus menses non laxarint, tunc & venter ei magnus erit, & pondus tanquam prægnanti inerit, & in eius ventre velut puer moueri videbitur, vteris nimirùm aquâ oppletis, & aquâ agitatâ. Aliàs enim atque aliàs in ijs aqua tanquam in vtre fluctuat, & pars sub vmbilico ad contactum dolet; clauiculæ, thorax, facies, atque oculi attenuantur, & papillæ attolluntur. Nonnullis quidem venter & crura aquâ replentur; quibusdam verò horum alterum. Quòd si ambo impleta fuerint, nulla spes est hominem superesse. Si verò horum alterum, modica spes est, si curetur, neque admodum fuerit extenuata. Diuturnus autem est hic morbus. At omnia his quæ nondùm pepererunt, magis contingunt, plerúnque etiam eueniunt partum expertis. Sunt autem (vt dictum est) periculosa, & plerúnque acuta & grauia, & intellectu difficilia, propterea quòd mulieres morborum sunt participes, interdúmque se ægrotare ipsæ nesciunt, priusquàm seniores effectæ, morbos à menstruis prouenientes expertæ fuerint. Tum verò & necessitas, & tempus eis morborum causam declarat. Atque his interdùm accidit non intelligentibus, quibus ex causis ægrotent, immedicabiles morbos euadere, priusquàm Medicus ab ægrotante rectè didicerit, vnde morbo laboret. Eas etenim, etiamsi cognoscant, enunciare pudet, turpeque sibi id esse ob imperitiam ac ignorantiam putant. Sed & Medici simul hallucinantur, quum morbi causam non exploratè inquirant, sed tanquam viriles morbos curent, & multas noui ab eiusmodi affectionibus interemptas. Verùm causa quamprimùm accuratè quærenda est. Multum enim muliebrium morborum & virilium curatio discrepat.

πονῆ τε τὴν γαστέρα, καὶ τὴν ὀσφὺν ἀλγέει ἄλλοτε καὶ ἄλλοτε, καὶ πῦρ μιν ἐπιλαμβάνει δι' ὀλίγου· ἐπὴν δὲ ἀποκαθαρθῇ, ῥήϊον δοκέει πρὸς τὰ πρόσθεν, ἔπειτα ἐς τὸ αὐτὸ καθίσταται. καὶ ἢν μὲν θεραπεύηται, ὡς χρὴ, ὑγιὴς ἔσται· ἢν δὲ μὴ, καὶ ὁ ῥόος ἐπιφαίνεται, καὶ διὰ παντὸς τοῦ χρόνου αἰεὶ ῥεύσεται κατ' ὀλίγον οἷον ἰχὼρ, ἐπιμελείης πλείονος δέεται. ἢν δὲ μὴ ῥόος ἐπιγένηται, ἀλλ' αἱ μῆτραι ὑπὸ τῶν πρόσθεν μὴ χαλάσωσι τὰ ἐπιμήνια, ἥ τε γαστὴρ οἱ μεγάλη ἔσται, καὶ βρῖθος[304] ἐνείη ὡς τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ δοκέει περὶ παιδίον ἐν τῇ γαστρὶ αὐτῆς κινέεσθαι, ἅτε τῶν μητρέων ὕδατος οὐσέων πεπληρωμένων, καὶ τοῦ ὕδατος κινουμένου· ἄλλοτε γὰρ καὶ ἄλλοτε κλυδάζεται αὐτῇσι τὸ ὕδωρ ὡς ἐν ἀσκῷ, καὶ ἀλγεῖ ψαυομένη τὸ κάτω τοῦ ὀμφαλοῦ, καὶ αἱ κληΐδες, καὶ ὁ θώρηξ, καὶ τὸ πρόσωπον, καὶ τὰ ὄμματα καταλεπτύνεται, καὶ αἱ θηλαὶ αἴρονται· ἔστι δὲ ᾗσι μὲν ἥ τε κοιλίη, καὶ τὰ σκέλεα πλήθει ὕδατος· ᾗσι δὲ ἐς θάτερον τουτέων. καὶ ἢν μὲν ἄμφω πλησθῇ, οὐδεμία ἐλπὶς περιγενέσθαι τὴν ἄνθρωπον· ἔστι δὲ, ἢν θάτερον τούτων, ἐλπίδες ὀλίγαι, ἢν θεραπεύηται καὶ μὴ λίην τετρυχωμένη ᾖ. χρονίη δὲ αὕτη ἡ νοῦσος. γίνεται δὲ πάντα μᾶλλον μὲν τῇσιν ἀτόκοισιν, γίνεται δὲ πολλάκις καὶ τῇσι τετοκυίῃσιν. ἐπικίνδυνα δέ ἐστιν, ὡς εἴρηται, καὶ τὰ πουλὺ ὀξέα, καὶ μεγάλα, καὶ χαλεπὰ ξυνιέναι, διὰ τὸ θ' ὅτι αἱ γυναῖκες μετέχουσι τῶν νούσων, καὶ ἔσθ' ὅτε οὐδ' αὐταὶ ἴσασιν ὅτι νοσέουσιν, πρὶν ἢν ἔμπειροι νούσων γένωνται ἀπὸ καταμηνίων, καὶ ἔωσι γεραίτεραι·[306] τότε δὲ σφέας ἥ τε ἀνάγκη, καὶ ὁ χρόνος διδάσκει τὸ αἴτιον τῶν νούσων. καὶ ἔστιν ὅτε τῇσι μὴ γινωσκούσῃσιν ὑφ' ὅτου νοσεῦσι, φθάνει τὰ νοσήματα[307] ἀνίητα γινόμενα, πρὶν ἂν διδαχθῆναι τὸν ἰητρὸν ὀρθῶς ὑπὸ τῆς νοσεούσης, ὑφ' ὅτου νοσέει. καὶ γὰρ αἰδέονται φράζειν, κἢν εἰδῶσι, καί σφιν δοκέουσιν αἰσχρὸν εἶναι ὑπὸ ἀπειρίης καὶ ἀνεπιστημοσύνης. ἅμα δὲ καὶ οἱ ἰητροὶ ἁμαρτάνουσιν οὐκ ἀτρεκέως πυνθανόμενοι τὴν πρόφασιν τῆς νούσου, ἀλλ' ὡς τὰ ἀνδρικὰ νοσήματα ἰώμενοι, καὶ πολλὰς εἶδον διεφθαρμένας ἤδη ὑπὸ τῶν τοιούτων παθημάτων. ἀλλὰ χρὴ ἀνερωτᾷν αὐτίκα ἀτρεκέως τὸ αἴτιον· διαφέρει γὰρ ἡ ἴησις πολλὸν, τῶν γυναικείων νοσημάτων, καὶ τῶν[308] ἀνδρώων.

CAPVT LXII.

De vterorum, in puerperis ex abortu & fluoris & menstruorum suppressione vlceratorum, signis, causis, curatione, & collutione.

SI verò vteri vlcerati fuerint, cum pure sanguis expurgatur, grauis odor oboritur, & dolor acutus lumbos, inguina & imum ventrem inuadit, dolorque sursum ad laterum mollitudinem, costas, & scapulas procedit, interdúmque ad iugulum peruenit & mordetur, & vehementer caput dolet, ac delirat. Tempore verò, tota intumescit, eamque debilitas, animi deliquium, febris leuis & perfrigeratio occupat. Tument autem maximè crura. Morbus

ΚΕΦΑΛΑΙΟΝ ΞΒʹ.

Περὶ τῶν ἐν ταῖς παιδοτόκοις ἐκ τρωσμοῦ καὶ τῆς τοῦ ῥοῦ καὶ τῶν καταμηνίων ἐπισχέσιος ἑλκωθεισῶν μητρέων αἰτίων, σημείων, καὶ θεραπείας, καὶ διακλύσεως.

ΗΝ δὲ αἱ μῆτραι ἑλκωθῶσιν, αἷμα καὶ πῦα καθαίρεται, καὶ ὀσμὴ βαρεῖα γίνεται, καὶ ὀδύνη ὀξεῖα λαμβάνει ἐς τὰς ἰξύας, καὶ ἐς τοὺς βουβῶνας, καὶ ἐς τὴν νείαιραν γαστέρα, καὶ ἄνω φοιτᾷ ἡ ὀδύνη ἐς τοὺς κενεῶνας, καὶ ἐς τὰς πλευρὰς, καὶ ἐς τὰς ὠμοπλάτας, ἐνίοτε δὲ καὶ ἐς τὰς κληΐδας ἀφικνέεται, καὶ δάκνεται, καὶ κεφαλὴν ἀλγέει σφοδρῶς, καὶ παραφρονέει· τῷ δὲ χρόνῳ οἰδίσκεται πᾶσα, καὶ ἀσθενείη μιν λαμβάνει, καὶ ἀψυχίη, καὶ πυρετὸς λεπτὸς, καὶ περίψυξις· οἰδίσκεται δὲ μάλιστα τὰ σκέλεα. Ἡ

δὲ νοῦσος λαμβάνει ἐκ τρωσμοῦ, ἥτις ἂν [310] διαφθαρέντος τοῦ παιδίου ἐγκατασαπὲν μὴ [311] ἐγκαθαρθῇ, καὶ τὸ σῶμα πᾶν πῦρ ἔχει· λαμβάνει δὲ καὶ ἐκ τῶν ῥόων, καὶ ἢν ἐπὶ σφέας δριμέα αὖ [312] ᾖ, καὶ χολώδεα δάκνῃ. Ἢν οὕτως ἐχούσῃ ἐπιτυγχάνῃς, ἐπὴν μὲν αἱ ὀδύναι ἔχωσι, λούειν τε πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ· καὶ ἢν μὲν ἄνω αἱ ὀδύναι ἔωσι, καὶ ἰσχυρὴ ἐστιν ἡ γυνὴ, πυριήσασθαι ὅλην, καὶ φάρμακον διδόναι κάτω πίνειν, καὶ ἐπὴν ὥρη ᾖ τοῦ ἔτεος, ὀῤῥὸν ἀφεψῶν, διδόναι ἐπιπίνειν ἡμέρας πέντε, ἢν δυνατὴ ᾖ· ἢν δὲ μὴ ᾖ ὀῤῥὸς, ὄνου γάλα ἑψεῖν, καὶ διδόναι πίνειν ἡμέρας τρεῖς ἢ τέσσαρας. μετὰ δὲ τὴν γαλακτοποσίην, [314] ὕδασιν ἀνακομίσαι αὐτὴν, καὶ σιτίοισιν ἐπιτηδείοισι, κρέασι μηλείοισιν ἁπαλοῖσι νέοισι, καὶ ὀρνιθείοισι, καὶ τευτλίῳ, καὶ κολοκύντῃ· ἀπεχέσθω δὲ τῶν ἁλμυρῶν, καὶ δριμέων, καὶ τῶν θαλασσίων πάντων, καὶ κρεῶν χοιρείων, καὶ βοείων, καὶ αἰγείων, ἄρτους δὲ ἐσθιέτω. ἢν δὲ ἀψυχίαι ἔχωσι, καὶ μὴ ἰσχύῃ, καὶ περιψύχηται, ῥόφημα λαμβάνειν. Εἰσὶ δέ τινες, οἳ ταύτῃσι κεφαλὴν ἀλγεούσῃσι, πιπίσκουσι γάλα, ὅτι κεφαλὴν [315] ἀλγοῦσιν· οἱ δὲ ὕδωρ, ὅτι λειποθυμοῦσι· τοὐναντία δὲ εἶμαι, εἰ κεφαλὴν ἀλγέουσι, καὶ φρενῶν εἴη ἅψις, [316] ἁρμόσσον ὕδωρ· ὅτε δὲ δάκνεται, καὶ δριμέα ἐστὶ, γάλα ταύτῃσιν εὐμενές. ἐπὴν δὲ σοι δοκέῃ ἰσχύειν, κλύζειν τὰς ὑστέρας, πρῶτα μὲν τῷ ἀπὸ τῆς τρυγὸς, μετὰ δὲ ταῦτα διαλιπὼν ἡμέρας τρεῖς ἢ τέσσαρας, κλύζειν τῷ σὺν τῷ κραμβίῳ χλιηρῷ, καὶ αὖθις διαλιπὼν ἡμέρας τρεῖς, κλύσαι τῷ σὺν τῷ πικερίῳ. καὶ ἢν ταῦτα ποιησαμένῃ ὑγιάζωνται αἱ ὑστέραι, κλύσαι τῷ ξὺν τῷ σιδίῳ· ἐπὶ δὲ τὰ ἕλκεα ἐπαλείφειν ἀργύρεον ἄνθος, καὶ κηκίδα, καὶ σμύρνην, καὶ λιβανωτὸν, καὶ τοῦ Αἰγυπτίου ἀκάνθου τὸν καρπὸν, καὶ οἰνάνθην τὴν ἀγρίην, καὶ χρυσόκολλαν, καὶ λεπίδα, καὶ λωτοῦ πρίσματα, καὶ κρόκον, καὶ στυπτηρίην Αἰγυπτίην κατακεκαυμένην. τούτων ἓν ἔστω ἴσον ἑκάστου· τὴν δὲ στυπτηρίην, καὶ τὴν κηκίδα, καὶ τὸν κρόκον ποιῆσαι μίαν μοῖραν πάντων. τρίψας δὲ, καὶ ξυμμίξας πάντα λεῖα, διεῖναι ἐν οἴνῳ λευκῷ γλυκεῖ, ἔπειτα ἑψεῖν, ἔστ᾽ ἂν παχὺ γένηται οἷον τὸ μέλι· τούτῳ δὲ ἐπαλείφειν δὶς τῆς ἡμέρης διδόναι, καταντλέων ὕδατι χλιαρῷ, ἑψεῖν δὲ ἐν τῷ ὕδατι καὶ [317] κισσὸν, καὶ ἐλελίσφακον. καὶ ἐπὴν σοι δοκέῃ ταῦτα ποιέοντι ῥᾷον εἶναι, προπίνειν γάλα ἑφθὸν αἴγειον μίαν ἡμέρην, ἔπειτα διδόναι γάλα βόειον, τὸν αὐτὸν τρόπον ὡς ἐπὶ τοῖσι προτέροισι. μετὰ δὲ τὴν γαλακτοποσίην, παχῦναι σιτίοισιν ὡς μάλιστα, καὶ ποιέειν ὅκως ἐν τῇ γαστρὶ ἔχῃ· ὑγιὴς γὰρ [318] γίνεται· ὡς δὲ τὰ πολλὰ ἐκ τῆς νούσου ταύτης ἐκφθίνουσι, καὶ ἄτοκοι γίνονται· τῇσι δὲ γεραιτέρῃσιν, οὐ [319] πάνυ τι. πίνειν δὲ μετ᾽ αὐτὰ φάρμακα, λίνου σπέρμα ἀποπεφωσμένον, καὶ σήσαμον, καὶ κνίδης καρπὸν, καὶ γλυκυσίδης ῥίζαν τὴν πικρὴν τρίβων ἐν οἴνῳ εὐώδει μέλανι κεκρημένῳ.

hic ex abortu prehendit, siqua corrupto ac intùs putrefacto puello, non expurgata fuerit, totúmque corpus incendium occupat. Inuadit etiam ex fluoribus, si in eis acria fuerint, & biliosa mordeant. Si ita se habere offenderis, quum dolores quidem detinent, multâ eâque calidâ lauare oportet, & tepefacientia, quâ parte dolor detinet, admouere. Quòd si dolores supernè fuerint, validáque sit mulier, totam foueto, eique medicamentum deorsùm purgans bibendum dato; & vbi anni tempestas fuerit, serum lactis decoctum quinque diebus, si ferre possit, superbibendum dato. Si verò serum desit, lac asininum coctum per tres aut quatuor dies potui præbeto. Post lactis autem potum, eam aquis & cibis idoneis reficito, carnibus ouillis tenellis iuuenibus, & auiculis, betâque & cucurbitâ. Abstineat autem à salsis, acribus, & marinis omnibus, à porcinis carnibus, bubulis, & caprinis. Panes autem comedat. Quòd si animi deliquia detineant, neque sit valida, & perfrigeretur, sorbitionem assumat. Nonnulli verò sunt, qui his capite dolentibus lac propinant, quod capitis dolore vexentur; quidam verò aquam, quòd animo linquantur. Ego verò contrà, si capite doleant & mentis læsio adsit, conuenire aquam existimo. Quum verò mordetur, & acria sunt, his lac prodesse. Quum autem tibi validior esse videbitur, vteros colluito, primùm quidem medicamento *ex vini fæce; post hæc tribus aut quatuor intermissis diebus, brassicæ decocto tepido colluito; ac rursus tribus intermissis diebus, decocto cum butyro. Quòd si quum hæc feceris vteri sanescant, medicamento quod ex malicorio paratur, colluito. Vlcera autem argenti flore, gallâ, myrrhâ, thure, spinæ Ægyptiæ fructu, œnanthe syluestri, chrysocollâ, squamâ æris, loti ramento, croco, & alumine Ægyptio vsto illinito. Horum singulorum vna sit æqualis portio, alumen autem, & galla, & crocus, omnium vnam portionem æquent. Trita verò & ad læuorem permixta omnia, vino albo dulci diluito, deinde quoad mellis crassitudo fiat, decoquito. Hoc vt illinatur bis quotidie exhibendum, vbi priùs aquâ tepidâ lota fuerit. Coquantur autem in aqua & hedera, & saluia. Et vbi hæc facienti tibi meliùs habere visa fuerit, die vno lac caprillum coctum præbibendum dato; deinde lac bubulum eodem quo in superioribus modo exhibeto. Post lactis autem potum, cibis quàm maximè incrassandum, & vt vtero gestet procurandum; sana enim euadet. Plerunque autem ex hoc morbo euadunt, & steriles redduntur. Hæc verò senioribus rarò accidunt. Posteà medicamenta, lini semen torrefactum, sesamum, vrticæ semen, pæoniæ radicem amaram, trita ex vino odorato nigro temperato bibat.*

CAPVT

CAPVT LXIII.

De vteris ex partu, aut abortu, aut sponte exulceratis, vnde fluit sanguis, pus, & sanies; eorumque causis, signis, symptomatis, & curatione.

SI uteri ulcerati fuerint, sanguisque & pus & sanies effluat (hic enim morbus ex uteris putrescentibus oritur) venter imus intumescit, & extenuatur, contactuque velut ulceratus dolet; febris & dentium fremitus eam detinet, dolorque acutus & assiduus ad pudenda, pubem, infimum ventrem, lateris mollitudinem, & lumbos vrget. Morbus autem præcipuè quidem ex partu inuadit, siquid in ipsis dilaniatum computruerit, itemque ex abortu, & aliàs suâ sponte. Has si offenderis, aquâ multâ calidâ lauato; & quâ parte dolor detinuerit, eiusmodi tepefactoria, & spongiam ex aqua calida supponito; acribus & acerbis vitatis eluito, emollientioribus admixtis prout opportunum tibi videbitur. Et lini semen & sambuci fructum tundito, melle admixto, ac medicamentum comparato, eoque vtitor. Atque calidâ lauato, & sumptâ spongiâ, aut lanâ molli, aquâ calente imbutâ, pudenda & ulcera repurgato. Deinde vino meraco rursùs imbutâ spongiâ aut lanâ, ad eundem modum vtitor. Posteà hoc medicamento, quoties tempestiuum esse tibi videbitur, inungito. Deinde resinâ & adipe suillo simul mixtis, hoc medicamento sæpè interdiu & noctu inungito. Post hæc autem lini semen torrefactum, contusum, & cribratum, papaueris albi semen & polentam tusam & cribratam, & casei caprilli assati, sorde & salsugine derasâ, amarum cum polentæ polline permisceto. Deinde vnam medicamenti portionem & casei & polentæ, sub auroram ieiunæ, ex vino austero diluto propinato; vesperi verò admixtum cyceonem crassum exhibeto, & muliebrem potionem quamcunque maximè lubens admiserit, propinato. Et hæc quidem quoad copiosior sanguis effluxerit, & acuti dolores detinuerint, paucoque tempore intermiserint, facito. Postquàm autem vlcus imminutum fuerit, & dolores leues longioréque tempore occupauerint, medicamenta à quibus deorsùm potiùs quàm sursùm purgari debeat, propinato, intermisso tanto tempore, quantum opportunum esse videatur. Mulierque in alto procumbens lenibus fomentis fouenda est, si occasio vbique esse apparuerit. Hæc si fecerit, sana euadit. Hic autem morbus lentior est & lethalis, & paucæ ipsum effugiunt.

ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

Περὶ μητρέων ἐκ τόκου, ἢ ἐκ τρωσμοῦ, ἢ ἀπ' αὐτομάτου ἑλκωθεισῶν (ὅθεν αἷμα, καὶ πῦον ῥεῖ καὶ ἰχώρ) καὶ τῶν αὐτῶν αἰτίων, καὶ σημείων, καὶ συμπτωμάτων, καὶ θεραπευτικῶν.

ΗΝ αἱ μῆτραι ἑλκωθέωσιν, καὶ αἷμα καὶ πῦον ῥέοι καὶ ἰχώρ (σηπομένων γὰρ τῶν μητρέων νόσημα ἀπ' αὐτέων γίνεται) καὶ ἡ γαστὴρ ἡ νειέρη ἐπαίρεται, καὶ λεπτὴ γίνεται, καὶ ἀλγέει ψαυομένη, ὡς ἕλκος· καὶ πῦρ ἔχει καὶ [320] βρυγμὸς αὐτήν, καὶ ὀδύνη ὀξεῖα καὶ ἀτερχὴς ἔς τε τὰ αἰδοῖα, καὶ ἐς τὸ ἐπίσειον, καὶ ἐς τὴν γαστέρα τὴν νειαίρην, καὶ ἐς τὸν κενεῶνα, καὶ ἐς τὰς ἰξύας. ἡ δὲ νοῦσος λαμβάνει, μάλιστα μὲν ἐκ τόκου, ἢν ἐν αὐτῇσί τι [321] διακνηθὲν σαπῇ, καὶ ἐκ τρωσμοῦ, καὶ ἄλλως ἀπὸ ταὐτομάτου. Ταύτῃσιν δὲ ἢν ἐπιτυγχάνῃς, λούειν ἐν ὕδατι πολλῷ καὶ θερμῷ, καὶ ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, τοιαῦτα τὰ χλιάσματα προστιθέναι, καὶ σπόγγον ἐξ ὕδατος θερμοῦ· καὶ κλύζειν, τὰ δριμέα καὶ τὰ στρυφνὰ ἀπεχόμενον, τῶν δὲ μαλακωτέρων διαμίσγε, ὅκως δοκέῃ καιρὸς εἶναι· τοῦ τε λίνου τὸν καρπὸν κόψας, καὶ τῆς ἀκτῆς, συμμίξας δὲ ἐν μέλιτι, καὶ ποιήσας φάρμακον, τούτῳ χρῶ. λοῦσον δὲ ὕδατι θερμῷ, καὶ λαβὼν σπόγγον ἢ ἔριον μαλθακὸν, βάπτων ἐς θερμὸν ὕδωρ, διακάθαιρε τά τε αἰδοῖα καὶ τὰ ἕλκεα· εἶτα ἐς οἶνον ἄκρητον ἐμβάπτων πάλιν τὸν σπόγγον ἢ τὸ ἔριον, τὸν αὐτὸν τρόπον χρῶ· ἔπειτα τῷ φαρμάκῳ τούτῳ ἐνάλειφε, ὁσάκις ἂν δοκέῃ καιρὸς εἶναι. ἔπειτα ῥητίνην καὶ στέαρ ὕειον μίξας ὁμοῦ, τῷ φαρμάκῳ [322] διαλείφειν πολλάκις μὲν ἡμέρην, καὶ τῆς νυκτός. μετὰ δὲ ταῦτα, λίνου σπέρμα φώξας καὶ κόψας, καὶ σήσας, μήκωνα λευκὴν κόψας ἐν ἀλφίτοισι, καὶ σήσας, καὶ τυρὸν αἴγειον ὀπτὸν περιξύσας τὸν ῥύπον καὶ τὴν ἅλμην, καὶ τὸ [323] πικρὸν συμμίξας καὶ πάλην ἀλφίτου· εἶτα ἓν τοῦ φαρμάκου μέρος, καὶ τοῦ τυροῦ, καὶ τοῦ ἀλφίτου, τοῦτο διδόναι πίνειν ἐξ ἠοῦς νήστει, ἐν οἴνῳ αὐστηρῷ κεκρημένῳ· ἐς δὲ τὴν ἑσπέρην μίσγων καὶ παχὺν κυκεῶνα διδόναι, [324] τὸ γυναικεῖον ὅ, τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν. καὶ μέχρι μὲν ἂν τὸ αἷμα πολὺ ῥέῃ καὶ ὀδύναι ὀξεῖαι ἔχωσι, καὶ ὀλίγον χρόνον διαλίπωσι, ταῦτα ποιέειν. ἐπὴν δὲ τὸ ἕλκος ἔλασσον ᾖ, καὶ ὀδύναι βληχραὶ προσλαμβάνωσι καὶ διὰ πλέονος χρόνου, φάρμακα πιπίσκειν, ὑφ' ὧν μέλλει καθαίρεσθαι κάτω μᾶλλον, ἢ ἄνω, διαλείπειν χρόνον, ὁκόσον ἂν δοκέῃ ἐπίκαιρος εἶναι· καὶ πυριῆν βληχρῇσι πυρίῃσι, ἀνακαθίζοντα ὑψόθι, ἢν δοκέῃ ἑκάστοτε καιρὸς εἶναι. Ταῦτα ποιέουσα ὑγιὴς γίνεται. ἡ δὲ νοῦσος βληχροτέρη καὶ θανατώδης, καὶ διαφυγγάνουσιν αὐτὴν παῦραι.

CAPVT LXIV.

Vterorum vehementer vlceratorum signa & curatio; de polycarpo, & polycnemo.

AT si vteri vehementer vlcerati fuerint, sanguis & pus expurgatur, & grauis odor oritur. Cumq;

ΚΕΦΑΛΑΙΟΝ ΞΔ'.

Τὰ τῶν μητρέων σφοδρῶς ἑλκωθεισῶν σημεῖα, καὶ θεραπευτικά· καὶ περὶ τοῦ πολυκάρπου καὶ τοῦ πολυκνήμου.

ΗΝ δὲ ἑλκωθῶσι σφοδρῶς, αἷμα καὶ πῦον καθαίρεται, καὶ ὀδύνη γίνεται βαρέα· καὶ ὁκόταν ἡ

ὀδύνη προσλάβῃ ὡς ὑπὸ ὠδῖνος, τὰ περὶ τὸν ῥόον γίνεται· καὶ ὁκόταν ὁ χρόνος ᾖ, τὰ σκέλεα καὶ οἱ πόδες οἰδέουσι. καὶ ἰῶνται τοῦτο οἱ ἰητροὶ ὡς ὕδρωπα, τὸ δὲ οὐκ ἔστι τοιοῦτον. Ταύτην ἢν λάβῃς, λούειν πρῶτα θερμῷ, καὶ χλιαίνειν, καὶ κλύζειν δριμέσι, καὶ μαλθακοῖσι καὶ στρυφνοῖσιν, ὕδατί τε καὶ οἴνῳ. καὶ πολύκαρπον, καὶ πολύκνημον, καὶ μετὰ μέλιτος ἑψῶν ὁμοῦ· εἶτα εἴριον εἰς τοῦτο βάπτων, διαχρίειν τὰ αἰδοῖα, καὶ ῥητίνην, καὶ μέλι, καὶ συὸς ἔλαιον ἐγχρίειν· καὶ πιπίσκειν λίνου καρπὸν, καὶ σήσαμον φώξας, καὶ βούτυρον, καὶ τυρὸν αἴγειον, καὶ ἄλφιτον ἐν ἅπασι· πιπίσκειν ἐν οἴνῳ νῆστιν· ἐφ' ἑσπέρην δὲ μέλι τι ἐπιχέων πουλύ. καὶ ἕως μὲν ἂν τὸ αἷμα καθαίρηται, καὶ ὀδύναι ὀξεῖαι ἔχωσι, καὶ ὀλίγον χρόνον διαλίπωσι, τοῦτο ποιέειν· ὅταν δέ οἱ ἔλασσον ἴῃ, καὶ ὀδύναι βληχρότεραι ἴσχωσι διὰ πλείονος χρόνου, φάρμακον πιπίσκειν κάτω, καὶ διαλιπεῖν. Ταῦτα ποιεῦσα, ὑγιὴς γίνεται· γονὴ δὲ οὐκ ἔνι.

dolor prehenderit, ut à partûs cruciatu, fluxus oboritur; & quum tempus affuerit, crura & pedes intumescunt. Ac huic morbo medici, tanquam hydropi medentur. Verùm hic talis non est. Hanc si curandam susceperis, imprimis calidâ lauato, & calefacito; acribusque, & emollientibus, ac adstringentibus ex aqua & vino colluito. Tum polycarpum & polycnemum cum melle coquito; deinde lanâ his imbutâ pudenda perlinenda; & resinâ cũ melle & adipe suillo illinenda. Propinandũ etiam lini semen & sesamum torrefactum, & butyrum cũ caseo caprillo, & polenta omnibus admixta ieiunæ ex vino propinanda; ad vesperum autem magna mellis copia affundẽda. Istaq; quoad sanguis purgetur, & dolores acuti detinuerint & modico tẽpore intermiserint, usurpanda. Quũ verò parciùs ipsi prodierit, & dolores leuiores diutiùs detinuerint, medicamentũ deorsùm purgans propinandũ, ac sinendũ. His factis conualescit; generatio tamen nõ adest.

ΚΕΦΑΛΑΙΟΝ ΞΕ'.

Αἱ τῶν ἐν μήτραις ἑλκωμάτων ἀπὸ τρωσμοῦ αἰτίαι, καὶ τὰ συμπτώματα, καὶ τὰ θεραπευτικά· καὶ σημεῖα, οἷς τὰ ἑλκώματα, εἰ ἀπὸ τῶν ὑστερῶν, ἢ ἐξ ἅπαντος τοῦ σώματος γίνεται, διαγινώσκεται.

ΟΣα δὲ [325] ἑλκώματα γίνεται ἐν τῇσιν ὑστέρῃσιν ἀπὸ τρωσμοῦ, ἢ ὑπ' ἄλλου τινὸς, ταῦτα χρὴ, ἀποσκεπτόμενον εἰς τὸ ὅλον σῶμα, θεραπεύειν πάντα, [326] ὁκοίης ἂν δοκέῃ δέεσθαι θεραπείης· ἤν τε τοι δοκέῃ ἐξ ἅπαντος τοῦ σώματος ὁ ἄνθρωπος θεραπευτέη εἶναι, ἤν τε ἀπ' αὐτέων. γνώσῃ δὲ εἰ ἀπ' αὐτέων τῶν ὑστερέων ἐστί· τὰ μὲν ἀπ' αὐτῶν, τῶν ἑλκωμάτων τὴν κάθαρσιν παρέχει πυοειδέα τε καὶ ξυνεστηκυῖαν, τὰ δὲ μὴ ἀπ' αὐτέων, λεπτήν τε καὶ ἰχωροειδέα. Ὅσα μὲν οὖν ἐστι λεπτὰ τῶν ῥευμάτων, ταύτας μὲν χρὴ [327] θεραπεύειν ἐν φαρμάκῳ, καὶ διδόναι καὶ ἄνω καὶ κάτω· πρῶτον δὲ ἄνω. καὶ ἢν μὲν μετὰ τὴν φαρμακείην τὰ ῥεύματα ἐλάσσω γίνεται, καὶ εὐπετέστερα ᾖ, διαλείποντα, αὖθις φαρμακεύειν τὸν αὐτὸν τρόπον. μετὰ δὲ τὴν φαρμακείην διαιτᾶν διαίτῃ, ἐν ὁποίῃ ἂν εἴη μάλιστα ξηροτάτη ἡ ἄνθρωπος. ἔσται δὲ, ἢν αὐτὴν πυριῇς διὰ ἡμέρης τρίτης ἢ τετάρτης, ὅλον τὸ σῶμα, καὶ ἐμέτους ποιέῃς ἐκ τῶν πυριῶν εὐθύς· μετὰ δὲ τοὺς ἐμέτους καὶ τὰς πυρίας, διαιτῆν ἀλουσίῃσί τε καὶ ὑδροποσίῃσι, καὶ ἀρτοσιτίῃσιν, ὄψῳ δὲ μηδενὶ, ἀλλ' ἢ οἴνῳ ἀκρήτῳ μέλανι, λαχάνῳ δὲ μηδενί. ὅταν τὸν ἔμετον παρασκευάζῃς, τότε [328] χρείην ἔχῃς λαχάνων πολλῶν καὶ δριμέων ἐμπιπλάναι, καὶ σιτίων πολλῶν, καὶ ὄψου ὁκοίου ἂν βούλωνται, καὶ οἴνου πολλοῦ ἐμπιπλάναι ὑδαρέος, καὶ λούειν ἐκ τῶν πυριῶν πολλῷ θερμῷ. αὕτη μὲν θεραπείη τῶν τοιούτων ῥευμάτων· ἄμεινον δὲ ἄμφω φαρμακεύειν, καὶ ἐμέειν, καὶ ἄνω ἕλκειν· δίαιτα δὲ ξηραντικὴ κρέσσων καὶ ἀλουσίη. Τὰς δὲ ὑστέρας χρὴ θεραπεύειν ὧδε. πρῶτα μὲν πυριᾶν ὕδατι ἀκτῆς ἀφεψῶντα τὰ φύλλα· ἔπειτα μετὰ τὴν πυρίην, κλύζειν ἐκ τῆς ἰλύος τῷ σμήγματι, ἢν μὲν σηπεδὼν ἐν τοῖς ἕλκεσιν ᾖ, καὶ τὰ ἀπιόντα δυσώδεα, ἀκρητεστέρῳ τῷ σμήγματι· ἢν δὲ μηδὲν τοιοῦτον,

CAPVT LXV.

Vterorum ex abortu vlceratorum causæ, symptomata, & curatio; signa quoque, quibus vlcera an ab ipsis sint vteris, aut ab vniuerso corpore, dignoscuntur.

QVæ in vteris vlcerationes ex abortu aut alia de causa oriuntur, eæ omnes quocumque curationis genere opus esse videatur, habitâ totius corporis ratione curandæ sunt; siue ex vniuerso mulieris corpore petendam esse curationem existimaueris; siue ex ipsis vteris. An verò ab ipsis sint uteris, hoc pacto dignosces. Quæ enim ab ipsis vlcerationes sunt, purulentam & cõpactam purgationem exhibent; quæ verò non ab ipsis, tenuẽ & saniosam. Quæ igitur fluxiones sunt tenues, eas quidem medicamento curare oportet, & exhibere quod sursùm ac deorsũ purget, imprimis verò sursùm. Quòd si post medicationẽ fluxiones pauciores & mitiores fuerint, intermissione factâ, rursùs eodem modo purgandum. Post purgationem autem eam victûs rationem præscribito, ex qua siccissima mulier euadat. Euadet autem, si tertio vel quarto quoque die toti corpori fotus adhibueris, & à fotibus statim vomitiones citaueris. Post vomitiones autem & fotus, victûs rationem instituito ex illotione, aquæ potu, & panis esu, opsonio verò nullo, præterquàm vino nigro meraco, olere etiam nullo. Quum verò vomitionem paras, tum vsus tibi est ut multis & acribus oleribus impleas, multis etiam cibis & opsonio quodcunq; libuerit; nesnon etiam vino aquoso copioso impleas; & à fotu multâ calidâ lauet. Atq; hæc quidem curatio huiusmodi fluxionum. Præstat tamen in vtrisque medicamentis purgantibus uti, vomitiones ciere & sursùm trahere. Melior quoque desiccans victûs ratio, ac illotio. Vteros verò curare sic oportet: primum quidem sambuci folijs in aqua coctis fouere; deinde post fotum smegmate ex vini fæce colluere, si putredo quidem in vlceribus fuerit, & quæ abeunt graueolentia, smegmate meraciore; sin autem nihil tale, dilutiore.

dilutiore. A smegmate verò, aquâ, in quâ aquâ cocta sit myrtus & saluia; posteà verò, vino mero, albo, tepido colluere. Quum autem à collutionibus iam mordetur, tum pura iam sunt vlcera. Fæce igitur aquosiore, & vino nigro colluere oportet. Post vinum, adipem suillum recentem liquefacito, anseris pinguedinem, si adsit, admisceto, sin minus, aliam quandam, præcipuéque gallinaceam, aut si non adfuerit, *vetustum oleum; eoq; tepido colluito. Post hæc autem vinum per alterum clysterem ad os* vteri *infundito. Quòd si vlceratum fuerit, penicillos ex emollientibus factos subdito. At si admoti ardorem excitarint, mulieri detrahere iussæ, ei vt aquâ tepidâ lauet, quali colluebatur, imperato. At si ad hanc victûs rationem fluxiones minimè discedant, pauciores tamen sint & vehementer mordeant, quæque effluunt biliosa fuerint & salsa, neque interiora tantùm, sed exteriora vlcerent, commutatâ victus ratione, toto corpore humectanda erit, quò fluxiones quàm dilutissimæ & quàm minimum mordaces euadant, balneis multis calidis, mazâ, oleribus coctis, pinguibus omnibus, piscibus cartilagineis cùm cepis & coriandro in muria dulci coctis; diligenter autem coquendi sunt, coctis carnibus omnibus, exceptâ bubulâ & caprinâ. His enim cum anetho & fœniculo percoctis* vti licet; *vino mellito, fuluo, aquoso, vberiore lactis potu cum vino dulci. Cætera verò de collutionibus, iuxta commemoratam rationem facienda. Ea quidem nunc est exposita huiusmodi* fluxionum *curatio. In quibus autem purulenta & compacta defluunt, in his quidem vniuersum corpus nullo modo mouere oportet, sed colluere, & ex his totam curationem moliri. Colluere autem oportet iisdem qui prius dicti sunt, clysteribus, eodem modo. Describentur tamen etiam aliæ collutiones.* Vlcerum curatio. *Ceruinum adipem recentem subdito. Colluere tamen quamprimùm vino siræo* seu *sapâ oportet. Optimum etiam cerussam affundere, si vlcera adsint, & narcissinum oleum. Cibis etiam mollissimis & minimè acribus vtendum. Si verò sordida fuerint & serpant, proximumque locum mordeant, purgato, carnemque nouam producito, eámque ad cicatricem perducito (facilè enim relaxantur, & ad malignitatem deueniunt) crebróque lauato.*

CAPVT LXVI.

Vterorum ex abortu vulnera; aut à medicamentis, vel ex partu, vel à fœtu corrupto vlcera; eorumque causæ, symptomata, remedia.

AT si mulier ex abortu vulnus accipiat, aut ex acribus subdititiis medicamentis exulcerentur vteri (qualia multa mulieres semper dum sibi medentur, faciunt) fœtusque corruptus fuerit, neque mulier expurgetur, verùm ei vteri vehementer inflammati fuerint, & conniueant, neq; purgationem, nisi priùs emisso *sanguine qui est in fœtu, effluere sinant. Hæc si quidem curetur breui, conualescet, verùm sterilis erit. Quòd si ei sponte lochia eruperint, vlceraq; curata fuerint, sic quoque sterilis*

A ὑδαρεστέρῳ· μετὰ δὲ τὴν ἰλὺν, ὕδατι· ἐν δὲ τῷ ὕδατι ἐναφεψεῖν μυρσίνην καὶ ἐλελίσφακον· μετὰ δὲ τοῦτο, οἴνῳ κλύζειν [329] ἀκρήτῳ, λευκῷ, χλιαρῷ· ὁκόταν δὲ δάκνηται ἤδη ὑπὸ τῶν κλυσμάτων, τότε ἤδη καθαρά ἐστι τὰ ἕλκεα. κλύζειν οὖν χρὴ ὑδαρεστέρῃ τῇ ἰλύϊ, καὶ οἴνῳ μέλανι· μετὰ δὲ τὸν οἶνον, πιμελὴν ὑὸς τήξαντα νεαρὴν, ἔλαιον παραμίξαντα, ἢν μὲν ᾖ, χηνὸς, ἢν δὲ μὴ, ἄλλου του, μάλιστα ὄρνιθος, εἰ δὲ μὴ, τὸ ἐκ τῶν ἐλαιῶν παλαιὸν τούτῳ χλιαρῷ κλύζειν. μετὰ δὲ τὸν οἶνον ἐς ἕτερον κλυστῆρα ἐγχέαντα ἐς τὸ στόμα. [330] καὶ ἢν μὴ ἑλκώμενα,

B μοτοὺς ποιοῦντας τῶν μαλθακτηρίων, προστιθέναι· καὶ ἢν καῦμα παρέχωσι προσκείμενοι, ἀφελομένην τὴν γυναῖκα, κελεύειν αὐτὴν νίψασθαι ὕδατι χλιαρῷ τοιούτῳ οἵῳπερ ἐκλύζετο. Ην δὲ πρὸς τὴν δίαιταν τήνδε τὰ ῥεύματα μὴ ἀπαλλάσσηται, ἐλάσσω δὲ γένηται, καὶ δάκνηται σφοδρῶς, καὶ τὰ ἀπορρέοντα χολή τε εἴη καὶ ἅλμη, καὶ μὴ μόνον τὰ ἔνδον, ἀλλὰ καὶ τὰ ἔξω ἑλκοῖ, μεταβάλλειν χρὴ τὴν δίαιταν, καὶ ἐξυγραίνειν πᾶσαν, ὅκως τὰ ῥεύματα ὡς ὑδαρέστατα ἔσται καὶ ἥκιστα δηκτικά,

C λουτροῖσι θερμοῖσι πουλλοῖσι, μάζῃ, λαχάνοισιν ἑφθοῖσι, πᾶσι λιπαροῖσιν, ἰχθύσι τοῖσι σελάχεσιν, ἐν κρομμύοισι καὶ κοριάνοισιν ἕψοντα ἐν ἅλμῃ γλυκείῃ· ἕψειν δὲ [331] λιπαρῶς κρέασιν ἑφθοῖσι πᾶσι, πλὴν βοὸς καὶ αἰγός· τούτοισι γὰρ διέφθοισιν ἐν ἀνήθοισι καὶ μαράθοισιν, οἴνῳ μελιχρόῳ, κιρρῷ, ὑδαρεῖ, πλείονι γαλακτοποσίῃ μετ' οἴνου γλυκέος. τὰ δ' ἄλλα περὶ τῶν κλυσμάτων ποιέειν κατὰ τὸν ὑφηγημένον λόγον. Αὕτη μὲν νῦν περὶ τῶν τοιούτων ἡ θεραπείη· ὅσα δὲ πυώδεά τε καὶ ξυνεστεῶτα

D ἄπεισι, τούτων τὸ μὲν ὅλον σῶμα οὐδὲν δεῖ κινέειν, κλύζειν δὲ, καὶ ἀπὸ τούτων τὴν θεραπείην πᾶσαν ποιέεσθαι. κλύζειν δὲ τοῖσιν αὐτέοισι κλύσμασιν, οἷς πρόσθεν εἴρηται, τὸν αὐτὸν τρόπον· γεγράψεται δὲ καὶ ἄλλα κλύσματα. Ελκῶν ἴησις. Ελάφου στέαρ χλωρὸν προσθετόν. κλύζειν δὲ χρὴ αὐτίκα [332] οἴνῳ Σιραίῳ· κράτιστον δὲ ψιμμυθίῳ ἢν ἕλκεα ᾖ, καὶ ἐλαίῳ ναρκισσίνῳ· σιτίοισι δὲ μαλθακωτάτοισι χρῆσθαι, καὶ μὴ δριμέσιν. ἢν δὲ ῥερυπωμένα ᾖ, καὶ νενέμηνται, [333] καὶ τὸν πελας ὥστε τὼ

E χωρίον διακναίῃ, καθαίρειν, καὶ νέαν σάρκα φῦσαι, καὶ ἐς ὠτειλὰς ἄγειν τὴν σάρκα (ῥηϊδίως γὰρ [334] ἀναχαλᾶται, καὶ κακοήθεα γίνεται) καὶ λούειν συχνῶς.

ΚΕΦΑΛΑΙΟΝ Ξϛʹ.

Τὰ ἐκ τρωσμοῦ τῶν μητρῶν τραύματα· ἢ τὰ ἀπὸ τῶν προσθέτων δριμέων, ἢ ἐκ τόκου, ἢ διὰ τὸ ἔμβρυον φθαρὲν ἑλκώματα· καὶ αἱ τούτων αἰτίαι, καὶ τὰ συμπτώματα, καὶ τὰ θεραπευτικά.

F ΗΝ δὲ γυνὴ ἐκ τρωσμοῦ τρῶμα λαμβάνῃ, ἢ προσθέτοισι δριμέσιν ἑλκωθῇ τὰς μήτρας (οἷα πολλὰ γυναῖκες ἀεὶ δρῶσί τε, [336] καὶ ἰητρεύουσι) καὶ τὸ ἔμβρυον φθαρῇ, καὶ μὴ καθαίρηται ἡ γυνὴ, ἀλλά οἱ αἱ μῆτραι φλεγμαίνωσιν ἰσχυρῶς, καὶ μεμύκωσι, καὶ τὴν κάθαρσιν οὐχ οἷαί τε ὦσι παραμεθιέναι, εἰ μὴ τὸ πρότερον αἷμα τὸ ἐκ τοῦ ἐμβρύου· αὕτη ἢν μὲν ἰητρεύηται ἐν τάχει, ὑγιὴς ἔσται, ἄφορος δέ. ἢν δέ οἱ ῥαγῇ αὐτόματα τὰ λοχεῖα, καὶ τὰ ἕλκεα ὑγιανθῇ, καὶ ὧδε ἄφορος ἔσται.

ἢν δέ οἱ ἡ μὲν κάθαρσις γένηται, τὰ δὲ ἕλκεα μὴ μελεδαίνηται, κίνδυνος σηπεδονώδεα εἶναι· ἢν δέ οἱ κάθαρσις ἢ τετρυχωμένη, θνήσκει. Κἢν ἐν τῷ τόκῳ κάρτα ἑλκωθέωσι καὶ αἱ μῆτραι, τοῦ ἐμβρύου μὴ κατὰ φύσιν ἐόντος, πείσονται τὰ αὐτὰ τῇ ἐκ διαφθορῆς ἑλκωθείσῃ τὰς μήτρας· καὶ μεταλλαγαὶ, καὶ τελευταὶ τὰς αὐτὰς ἡ νοῦσος ἴσχει, ἤν τε ἐκ διαφθορῆς, ἤν τε ἐκ τόκου αἱ μῆτραι ἑλκωθῶσι· καὶ εἰ τὰ λοχεῖα πάντα παρείησαν, ἧσσον πονήσῃ, ἢν μὴ μεγάλα ἕλκεα εἴη· καὶ μελεδαινομένη ἐν τάχει ὑγιαίνει. Χρὴ δὲ τὴν μελεδώνην προσέχειν ἐν τάχει, ἢν ἕλκεα ἐν τῇ μήτρῃ ἐνῇ· ἅτε γὰρ ἐόντα ἐν ἁπαλῷ, ταχὺ αὔξεται, καὶ σαπρὰ ταχὺ γίνεται. ἰῆσθαι δὲ τὰ ἕλκεα, ὡς καὶ τὰ ἐν ἄλλῳ σώματι· ἀφλέγμαντα χρὴ ποιέειν, καὶ ἀνακαθαίρειν, καὶ ἀναπιμπλάναι, καὶ ἐς ὠτειλὰς ἄγειν. διδόναι δὲ ὕδωρ εἰς πόσιν, οἶνον δὲ μή· σιτία παῦρα, πολλὰ δὲ μή.

erit. Si verò ei quidem purgatio cōtingat, vlcera verò minimè sedulò curentur, periculū est ne putredinosa existāt. At si ei iā morbo attrite purgatio prodierit, moritur. Quin & si in partu, fœtu non secundū naturam prodeunte, uteri etiam vehementer exulcerati fuerint, eadem patientur quæ illa cui ex fœtûs corruptione uteri vlcerati fuerint. Siq; ex fœtûs corruptione aut ex partu uteri vlcerati fuerint, easdem cōmutationes eosdemq; exitus morbus habet. Ac si omnia lochia emiserint, minor labor erit, nisi grādia vlcera fuerint. Atque si curetur breui, conualescit. At cura citò adhibenda est, si vlcera in utero fuerint. Nimirùm enim tenero in loco sunt, celeriter increscunt, breuiq; putrescunt. Vlcera verò curanda sunt, vt & quæ in reliquo sunt corpore, studendo vt inflammatio arceatur, repurgentur, impleantur, & ad cicatricē perducantur. Aqua autē potui danda est, vinū minimè; cibiq; pauci, nō multi.

ΚΕΦΑΛΑΙΟΝ ΞΖ'.

Περὶ βοηθημάτων τῶν τοῦ ἐμβρύου ἐν τῇ μήτρᾳ κατὰ τὸν τρωσμὸν ἔτι ζῶντος, καὶ διαμένοντος ἀπόλυσιν ποιούντων.

Ὁκόσα δὲ τρωσμῶν γινομένων, μὴ ἀπαλλάσσεσθαι δύναται, μειζόνων ὅλων τε ἢ τῶν μελέων τῶν ἐμβρύων ἐόντων, ἢ ἐλασσόνων καὶ πλαγίων καὶ ἀδυνάτων, τὰ τοιαῦτα ἢν μὲν κατὰ φύσιν εἴη, διδόναι τῶν φαρμάκων τι, [337] ὧν ἐγὼ φράσω, προλούοντα θερμῷ παμπόλλῳ. κἢν ἐθέλοντα προϊέναι μὴ εὐλύτως ἀπίῃ, κατὰ φύσιν ἐόντα, τῇσι τοιαύτῃσι τοῦ πταρμικοῦ προσφέρειν. ἐπιλαμβάνειν δὲ τοὺς μυκτῆρας, καὶ πτάρνυσθαι, καὶ στόμα πιέζειν, ὅκως ὁ πταρμὸς ὡς ὅτι μάλιστα ἐνεργήσῃ. χρῆσθαι δὲ καὶ σεισμοῖσι, σείοις δ' ἂν ὧδε. κλίνην λαβεῖν ὑψηλὴν ῥωμαλέην, καὶ ὑποστορέσαντα ἀνακλίνειν τὴν γυναῖκα ὑπτίην, τὰ δὲ στήθεα καὶ τὰς μασχάλας καὶ τὰς χεῖρας [338] προσκαταλαμβάνειν ταινίῃ ἢ ἱμάντι πλατεῖ μαλθακῷ πρὸς τὴν κλίνην, καὶ ζωννύειν· καὶ τὰ σκέλεα ξυγκάμψαι, καὶ κατέχειν τοῖν σφυροῖν. ὅταν δὲ εὐτρεπίσῃς, φρυγανῶν φάκελον μαλθακῶν, ἤ τι τῷδε ἐοικὸς εὐτρεπίζειν, ὅσον τὴν κλίνην οὐ περιόψεται ἐπὶ τὴν γῆν ῥιπτουμένην, [339] ὥστε ψαῦσαι τοῖσι πρὸς κεφαλὴν ποσὶ τῆς γῆς. καὶ κελεύειν αὐτὴν λαβέσθαι τῇσι χερσὶ τῆς κλίνης, καὶ μετέωρον πρὸς κεφαλὴν τὴν κλίνην ἔχειν, ὡς κατάῤῥοπος ᾖ ἐπὶ πόδας, φυλασσόμενος ὅκως μὴ προπετὴς ἔσται ἡ ἄνθρωπος. ὅταν δὲ ταῦτα ἐνεργῆται, καὶ μετάρσιος ᾖ ἡ κλίνη, ἐκ τῶν ὄπισθεν ὑποθεῖναι τὰ φρύγανα, κατορθοῦσθαι δὲ ὡς μάλιστα, [340] ὅκως δὲ οἱ πόδες μὴ ψαύωσι τῆς γῆς, ῥιπτουμένης τῆς κλίνης, καὶ τῶν φρυγάνων ἔσωθεν ἔσονται. αἴρειν δὲ ἐξ ἑκατέρου τοῦ ποδὸς ἄνδρα τῇδε καὶ τῇδε, ὡς κατ' ἰθὺ πέσηται ἡ κλίνη, ὁμαλῶς καὶ ἴσως, καὶ μὴ σπασμὸς ᾖ. σείειν δὲ ἅμα τῇ ὠδῖνι μάλιστα· καὶ ἢν μὲν ἀπαλλάσσηται, αὐτίκα πεπαῦσθαι· εἰ δὲ μὴ, διαλείποντα σείειν, καὶ αἰωρέειν ἐπὶ κλίνης φερομένην. Ταῦτα μὲν οὖν οὕτως ποιέεσθαι, ἢν ὀρθά τε καὶ κατὰ φύσιν ἀπαλλάσσηται· χρὴ δὲ κηρωτῇ ὑγρῇ προσχρίειν, ἐπὶ πάντων δὲ τῶν ἀμφὶ τὴν ὑστέρην τοιῶνδε παθέων ἄριστον τόδε· καὶ

CAPVT LXVII.

De remediis, fœtûs in abortu adhuc viui, in vtero remorantis, exclusionem promouentibus.

QVI verò fœtus *per abortiones liberari nequeunt, quòd iij toti, aut eorum partes maiores existant; aut minores & transuersi & imbecilles; si quidem hi secundum naturam* positi *fuerint, vbi priùs calidâ multâ laueris, ex his quæ recensebo, medicamentum aliquod exhibeto. Quòd si prodire volentes non facilè soluti abeant, quum siti sint secundum naturam, iis sternutatorium adhibeto. Naribus autem apprehensis, & ore compresso sternutandum, quò quàm maximè fieri poterit, efficax sternutatio reddatur. Concussionibus etiam vtendum, sic autem concussiones parandæ. Lecto alto, firmo, & substrato, mulierem supinam reclinato. Pectus autem & axillas, & manus, fasciâ aut loro lato & molli velut cingulo comprehensa, ad lectum alligato; & crura recuruata malleolis* vinculis iniectis *contineto. Quum autem apparaueris, mollium virgultorum aridorum fascē, aut aliquid huic persimile, tam bellè disponito, vt lectum in terram proiectum non sinat pedibus, qui ad caput sunt, terram attingere. Tum eam manibus lectum apprehendere iubeto, & lectum à capite sublimem habere, vt in pedes propendeat, eâ cautione adhibitâ, vt ne mulier præceps feratur. Hæc autem vbi facta fuerint, & lectus sublimis extiterit, à posteriore parte virgulta arida ponenda, & quàm maximè dirigenda, vt dum lectus proiicitur, pedes terram minimè attingant, sed intra virgulta arida contineantur. Ab vtroq; verò pede hinc & illinc vir vnus eā attollat, vt lectus rectà decidat, plano & æquabili momento, neq; contractio sit. Concutiendū autem maximè simul ac partûs dolores vrgent. Quòd si* fœtus *quidē decesserit, statim cessandū; alioqui per interualla concutienda, & suspensa in lecto continenda. Hæc igitur ita facienda, vbi rectè & secundum naturam discedunt. Cerato autem liquido priùs illinere oportet; id autem in omnibus eiusmodi circa vterum affectionibus est optimum; & maluæ*

maluæ aquam affundere, ac fœnigræci, aut potiùs ptisanæ triticeæ cremorem. Fouere etiam sedem & pudendum ad inguina vsque oportet, & insidere, vbi partûs dolores maximè vexant, nihilque aliud animo versare. Eam verò, quæ medetur, oscula emollientibus aperire oportet, idque sensim facere; vmbilicum verò vnà cum fœtu extrahere.

A μαλάχης ὕδωρ καταιονᾷν, καὶ βουκέρας, ἢ πτισάνης πυρίνης μᾶλλον [340] χυλός. χρὴ δὲ ἄχρι βουβῶνος, ἕδρην καὶ αἰδοῖον πυριῆν, καὶ ἐνίζεσθαι δὲ, ὅταν αἱ ὠδῖνες σφόδρα ὀχλέωσι μάλιστα, καὶ μηδὲν ἐν νόῳ ἕτερον ἔχειν. τὴν δὲ ἰητρεύουσαν τὰ στόματα μαλθακοῖσιν ἐξανοίγειν, καὶ ἠρέμα τοῦτο δρᾷν· ὀμφαλὸν δὲ ξυνεφέλκεσθαι τῷ ἐμβρύῳ.

CAPVT LXVIII.

Ad fœtûs, tum viui tum mortui, duplicati & complicati, & in vteri osculum incumbentis, exclusionem, remedia chirurgica.

Qui duplicati fœtus *complicantur & in vterorum osculum incumbunt, eos siue viuos, siue mortuos, retrò protrusos, iterùm vertere* oportet, *vt in caput prodeant secundum naturam. Quum autem retrudere aut vertere voles, supinæ reclinatæ molle quiddam coxis substernere oportet, atque etiam lecti pedibus aliquid supponere, quò altiores à pedibus decumbentis esse queant. Sed & coxæ capite sint altiores, nullum verò capiti ceruical subsit. Ad ea prospiciendum; quum verò retrusus fuerit fœtus, & huc & illuc circumagatur, sublatis lapidibus pedibus lecti suppositis, & eo quod coxis subditum fuerat, & lectum & coxas in pristinum statum restituito, capitique puluinar supponito. Atque talia hoc modo curato.*

ΚΕΦΑΛΑΙΟΝ ΞΗ'.

B

Πρὸς τὴν τοῦ ἐμβρύου ζῶντός τε καὶ τεθνεῶτος, καὶ διπτύχου καὶ πτυσσομένου, καὶ ἐν τῷ τῶν ὑστερῶν στόματι ἐγκειμένου ἀπόλυσιν, βοηθήματα χειρουργικά.

Ὅσα δὲ δίπτυχα πτύσσεται, καὶ ἔγκειται ἐν τῷ στόματι τῶν ὑστερέων, ταῦτα δὲ ἤν τε ζώοντα, ἤν τε τεθνεῶτα ᾖ, παρωσάμενα ὀπίσω, πάλιν στρέφειν, ὅκως κατὰ φύσιν ἴῃ ἐπὶ κεφαλήν. ὅταν δὲ ἀπωθέειν βούλῃ ἢ στρέφειν, ἀνακλίνοντα χρὴ ὑπτίην, ὑπὸ τὰ ἰσχία ὑποστορέσαι τι μαλθακὸν, καὶ ὑπὸ τοὺς πόδας τῆς

C κλίνης, ὅκως ὑψηλότεροι ἔσονται οἱ πρὸς ποδῶν πόδες, συχνὸν ὑποτιθέναι χρή τι· καὶ ἀνωτέρω δὲ τὰ ἰσχία τῆς κεφαλῆς ἔστω, προσκεφάλαιον δὲ μηδὲν ὑπέστω τῇ κεφαλῇ. προμηθεόμενος ταῦτα· ὅταν δὲ ἀπωσθῇ τὸ ἔμβρυον, καὶ περιδινῆται τῇδε καὶ τῇδε, καὶ κατὰ φύσιν καθίστασθαι καὶ τὴν κλίνην καὶ τὰ ἰσχία, ὑπεξελὼν τὰ ὑπὸ τοὺς πόδας τῆς κλίνης, καὶ τοὺς λίθους, καὶ τὸ ὑπὸ τῶν ἰσχίων, πρὸς κεφαλὴν δὲ ὑποθεῖναι ὑποκεφάλαιον. τὰ τοιαῦτα τούτῳ τῷ τρόπῳ θεραπεύειν.

D

CAPVT LXIX.

De extractione fœtûs tum viui, tum mortui, in partu manum aut crus præmittentis, per chirurgiam.

At verò qui viui fœtus manum, aut crus, aut vtrumque foras præmittunt, eos oportet quam celerrimè quum exitum significarint, prædicto modo intrò retrudere, & in caput vertere, & ad viam reducere; & quicunque fœtus complicantur, & ad lateris mollitudinem, aut in coxam prociderunt, eos dirigere ac vertere oportet, & in aquam calidam sedentem collocare, donec recreetur. Quibus verò fœtibus mortuis aut crus, aut manus foras prominet, hæc quidem optimum fuerit, intrò si fieri possit, retrudere, & has vtrasque partes in caput vertere. Si verò fieri non possit, sed intumescant, ad hunc modum secato. Caput gladiolo dissectum piestro vt ne vulneretur comminuito, & ossicula per ossium volsellam extrahito; aut embryulco ad claiculam, vti firmiter adhæreat, immisso, non confestim, sed paulatim, remittendo, & rursus adurgẽdo extrahito. Quũ verò hæc foras extraxeris, & in humeris hæserit, vtrasq; manus cũ humeris ad ipsos articulos secato. Quumq; hæc abstuleris, si fieri quidẽ possit vt exeant, reliqua eti àpròptè extrahito. Quòd si nihil cedat, pectus totum ad iugulũ vsq; dissecato; verũ caueto, ne ad ventrẽ secueris & aliquã intestini partẽ denudes. Excidit enim venter & intestina

ΚΕΦΑΛΑΙΟΝ ΞΘ'.

Περὶ τῆς ἐμβρυουλκίας ζῶντός τε καὶ τεθνεῶτος, τοῦ ἐν τόκῳ τὴν χεῖρα ἢ τὸ σκέλος ἔξω προβαλλομένου, κατὰ χειρουργίαν.

Ὅσα δὲ ζῶντα τῶν ἐμβρύων, τὴν χεῖρα ἢ τὸ σκέλος ἔξω προβάλλεται, ἢ καὶ ἄμφω, ταῦτα χρὴ ὅταν τάχιστα προσημαίνῃ τὴν ἔξοδον, εἴσω ἀπωθέειν τῷ

E προειρημένῳ τρόπῳ, καὶ στρέφειν ἐπὶ κεφαλὴν, καὶ ἐς ὁδὸν ἄγειν· [341] καὶ ὅσα πτύσσεται τῶν ἐμβρύων, πεπτωκότα ἢ ἐς τὸν κενεῶνα, ἢ ἐς ἰσχίον ἐν τῷ τόκῳ, χρὴ ταῦτα ἀπορθοῦσθαι, καὶ στρέφειν, καὶ προσκαθίζεσθαι ἐς ὕδωρ θερμὸν, ἄχρις ἂν ἰαίνηται. Ὁκόσα δὲ τεθνεῶτα τῶν ἐμβρύων, ἢ τὸ σκέλος, ἢ τὴν χεῖρα ἔξω ἔχει, ταῦτα ἄριστον μὲν, ἢν οἷόν τε, ἀπώσασθαι εἴσω, καὶ ἄμφω ταῦτα ἐπὶ κεφαλὴν στρέφειν· εἰ δὲ μὴ οἷόν τε ᾖ, ἀνοιδίσκηται δὲ, ταμνέειν τῷδε τῷ τρόπῳ. σχίσαντα τὴν κεφαλὴν μαχαιρίῳ, ξυμφλάσαι, ἵνα μὴ θραύσῃ, τῷ πιέστρῳ, καὶ τὰ ὀστέα ἕλκειν [342] ὥστε

F ὀλίγῳ· ἢ τῷ ἑλκυστῆρι παρὰ τὴν κληΐδα καταθέντα, ὡς ἂν ἔχηται, ἕλκειν μὴ κατὰ πουλὺ, ἀλλὰ καὶ ὀλίγον, ἐξανιέντα, καὶ αὖθις βιώμενον. ὅταν δὲ ταῦτα ἔξω εἰρύσῃς, ἐν δὲ τοῖσιν ὤμοισιν ἐνῇ, ταμνέειν τὰς χεῖρας ἄμφω ἐν φύσιν ἄρθροισι μετὰ τῶν ὤμων· καὶ ὅταν ταῦτα κομίσῃς, ἢν μὲν οἷόν τε ᾖ ἰέναι, καὶ τἄλλα εὐπετῶς ἕλκειν· ἢν δὲ μηδὲν ἀκούσῃ, τὸ στῆθος παρὰ μέχρι τῶν σφαγέων σχίζειν· φυλάσσεσθαι δὲ, ὡς μὴ κατὰ τὴν γαστέρα τάμῃς καὶ ψιλώσῃς τι [343] τοῦ ἐμβρύου· ἔξεισι γὰρ ἡ γαστὴρ καὶ τὰ ἔντερα

καὶ κόπρος. ἢν δέ τι τούτων ἐκπέσῃ, πρῆγμα χαλεπώτερον ἤδη γίνεται. ξυμφλάσαι δὲ τὰ πλευρὰ, καὶ τὰς ὠμοπλάτας ξυνάγειν, καὶ ῥηϊδίως μετὰ ταῦτα χωρήσει τὸ λοιπὸν ἔμβρυον, ἢν μὴ ἤδη οἰδαλέον ᾖ τὴν κοιλίην. ἢν γὰρ ᾖ τι τοιοῦτον, ἄμεινον τὴν γαστέρα τοῦ ἐμβρύου τρῆσαι ἀτρεμέως, ἔξεισι γὰρ φῦσα μόνον ἀπὸ τῆς γαστρὸς, καὶ εὐπετέως οὕτω χωρήσει. ἢν δὲ ἐκπεπτώκῃ ἡ χεὶρ ἢ τὸ σκέλος, τεθνεῶτος τοῦ ἐμβρύου, ἢν μὲν δυνατὸν ᾖ εἴσω ἀπῶσαι ἄμφω, καὶ εὐτρεπίσαι τὸ ἔμβρυον, ταῦτα ἄριστα. εἰ δὲ μὴ οἷόν τε ᾖ τοῦτο ποιῆσαι, ἀποταμεῖν ὅ, τι ἂν ἔξω ᾖ, ὡς ἂν δύνηται ἀνωτάτω, καὶ τοὐπίλοιπον ἐσμασάμενος προσῶσαι, καὶ στρέψαι τὸ ἔμβρυον ἐπὶ κεφαλήν. ὅταν δὲ στρέφειν ἢ κατατέμνειν μέλλῃς τὸ παιδίον, τὰς ἰδίας χεῖρας χρὴ ἀπονυχίσασθαι· τὸ δὲ μαχαίριον ᾧ ἂν κατατάμνῃς, καμπυλώτερον ἔστω, ἢ εὐθύτερον· καὶ τοῦτο κατὰ κεφαλὴν ἀμφικαλύπτειν, τῷ λιχανῷ δακτύλῳ [344] ἐσματευμένον, καὶ ὁδηγεῦντα, καὶ ὀρρωδέοντα, ὅπως μὴ ψαύσῃς τῆς ὑστέρης.

& stercus. Et si quid horum excidat, magis negotium facessit. Costas autem contundito, & scapulas conducito; posteáque reliquus fœtus facilè prodibit, nisi iam ventrem tumidum habuerit. Siquid enim eiusmodi euenerit, fœtûs ventrem leuiter perforare præstiterit. Flatus enim tantùm ex ventre erumpit, atque ita facilè prodibit. At si mortui fœtûs brachium aut crus foras exciderit, vtraque si possint intrò retrudi, & fœtus rectè constitui, hæc optima. Si verò fieri nequeat vt hoc facias, quicquid foris fuerit, quantùm possis penitissimè resecato, & reliquum intrò immissum protrudito, & fœtum in caput vertito. Quum autem puellum vertere aut excindere voles, vngues è tuis manibus resecato. Gladiolus autem quo excindas, incuruus sit potiùs quàm rectus; ac huius caput circumtegito, digito indice leniter pertractando, eumque præmittendo, veritus ne vterum attingas.

ΚΕΦΑΛΑΙΟΝ Ο'.

Περὶ τῆς μύλης κυήσεως, καὶ τῶν αὐτῆς αἰτίων, καὶ σημείων, καὶ τῆς μονῆς, καὶ ἀπολύσεως, καὶ θεραπείας.

ΠΕρὶ δὲ μύλης κυήσιος, τόδε αἴτιον. Ἐπὴν πολλὰ τὰ ἐπιμήνια ἐόντα, γονὴν ὀλίγην καὶ νοσώδη ξυλλάβωσιν, οὔτε κύημα ἰθαγενὲς γίνεται· καὶ ἡ γαστὴρ πλήρης, ὥσπερ κυούσης, κινέεται δὲ οὐδὲν ἐν τῇ γαστρὶ, οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσι ἐγγίνεται, [345] σφριγᾷ δὲ τὸ στῆθος. αὕτη οὖν δύο ἔτεα, πολλάκις δὲ καὶ τρία, οὕτως ἔχει, καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται (οὐδὲ γὰρ οἵη τέ ἐστι περιγίνεσθαι) ἢν δὲ πολλαὶ, ῥήγνυται αὐτέῃ κατὰ τὸ αἰδοῖον, αἷμά τε πολὺ καὶ σαρκῶδες· καὶ ἢν μετριάζῃ, σώζεται, ἢν δὲ μὴ, ὑπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. τὸ μὲν νούσημα τοιοῦτόν ἐστι, κρίνεσθαι δὲ χρὴ τῷ πληρώματι, καὶ ὅτι οὐ κινέεται ἐν τῇ γαστρί. τὸ μὲν γὰρ ἄρσεν τρίμηνον, τὸ δὲ θῆλυ τετράμηνον τὴν κίνησιν ἔχει· ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος μὴ κινέηται, δηλονότι τοῦτό ἐστι. ἔστι δὲ τόδε τεκμήριον μέγα· ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται. ταύτην μάλιστα μὲν ἰῆσθαι· καὶ πρῶτα μὲν πυρίησον ὅλον τὸ σῶμα, ἔπειτα κατὰ τὴν ἕδρην κλύσον, ὅκως αἷμα καταρραγῇ πουλύ· καὶ γὰρ ἴσως ἂν κινήσαις τὸ ἔμβρυον δοκέον εἶναι τὸ ξυνεστηκὸς, διαθερμανθείσης τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου. κλύζειν δὲ καὶ κατὰ τὰς μήτρας, ὅκως ἂν αἷμα ἀγάγῃς· εἰ δὲ μὴ, προσθέτοισι χρῆσθαι τοῖσιν ἀπὸ τῆς βουπρήστιος ἰσχυροτάτοισι, καὶ πιπίσκειν τὸ δίκταμνον τὸ Κρητικὸν ἐν οἴνῳ· εἰ δὲ μὴ, καὶ τὸν καστόρειον ὄρχιν. καὶ ὄπισθεν αὐτῇ σικύην προσβάλλειν πρὸς τοὺς κενεῶνας, καὶ ἀφαιρέειν ὅτι πλεῖστον αἷμα· προσέβαλλε δὲ καὶ ὅτι μάλιστα τεκμηράμενος τὰ κατ᾽ αὐτάς.

CAPVT LXX.

De molæ conceptu, causis, signis, mansione, exclusione, curatione.

AT molæ conceptûs hæc causa est. Quum copiosi menses extiterint, & paucum ac morbosum semen conceperint, tum minimè genuinus conceptus gignitur; tum venter, tanquam vtero gerentis, impletur, nihil autem in ventre mouetur, neque in mammis lac generatur, pectus verò turgescit. Hæc igitur biennium, sæpè etiam triennium, sic affecta est. Et si quidem vna caro nascatur, mulier perit (neque enim superesse potest) Sin verò multæ, copiosus ei sanguis & carnosus per pudendum erumpit. Quòd si id moderatè fiat, seruatur; alioqui profluuio correpta perit. Atque ea quidem est huius morbi conditio. Discernere autem oportet plenitudine, quodque in ventre non moueatur. Mas enim tertio mense, fœmina verò quarto motionem habet. Vbi igitur elapso tempore non mouetur, profectò mola est. Est & huius rei magnum argumentum, quòd lac in mammis non gignatur. Hanc potissimùm quidem curato, imprimisque totum corpus foueto, deinde in sedem clysterem inijce, quò copiosus sanguis erumpat. Fortassis enim muliere à medicamento concalefactâ, quod compactum, fœtus esse putatur, commoueris. Quin & clystere vteros eluito, quò sanguinem educas. Sin minùs, subdititijs vehementissimis ex bupresti vtitor; & dictamnum Creticum ex vino propinato; sin minùs, etiam castoris testem. Eique cucurbitulam parte posticâ ad laterum inanitatem admoueto, copiosissimumque sanguinem detrahito. Verùm hæc facito, ab ipsis sumptis quàm maximè indicationibus.

CAPVT LXXI.

A lochiis morbos acutos oriri primiparis periculosiores; de lochiorum sanæ mulieris quantitate, qualitate, tempore; eosdem tum partum, tum abortum facienti, ex lochiis affectus accidere.

Atque hactenùs quidem de morbis à lochijs obortis dictum est. In ijs autem non parua sunt pericula. Acuti enim sunt, & citò transmutantur, grauiúsque affliguntur primiparæ, quàm quæ iam partum expertæ sunt. Prodeunt autem lochia sanæ mulieri satis abundè, primùm Atticæ heminæ & dimidiæ mensurâ, aut paulò copiosiora; deinde ad huius rationem pauciora, quoad desinant. Prodeunt autem velut sanguis è victima, si sana sit mulier (vt diximus) & sana futura sit, citóque concrescunt & expurgantur. Post partum quoque mulieri sanæ plerunque contingit, vt post puellæ partum diuturnissima purgatio fiat per duos & quadraginta dies; periculi tamen expers est, quæ diebus quinque & viginti purgatur; post autem pueri partum, diebus triginta, diuturnior fit purgatio, etsi extra periculum est quæ fit diebus viginti. Ac in his quæ fœtus corrumpunt, pro horum dierum ratione purgatio contingit, & iunioribus quæ abortionem faciunt, paucioribus diebus, senioribus verò, pluribus. Eædem autem sunt ex lochijs affectiones, tum ei quæ fœtum corrupit, tum ei quæ peperit, si menstruum fœtum corruperit, periclitantur tamen magis quæ fœtum corrumpunt. Abortiones enim grauiores sunt quàm partus. Non enim citra violentiam abortus contingit, siue medicamento, siue potione, vel cibo, vel subdititiis, vel re aliâ quapiam contingat. *Violentia autem malum est. Hoc enim casu periculum est vteros vlcerari, aut inflammari. Hoc autem est periculosum.*

ΚΕΦΑΛΑΙΟΝ ΟΑ'.

Τὰ ὀξέα νοσήματα ἀπὸ λοχείων γίνεσθαι ταῖς πρωτοτόκοις χαλεπώτερα· περὶ τοῦ ἐν τῇ ὑγιηρᾷ γυναικὶ τῶν λοχείων μέτρου, καὶ ποιότητος, καὶ χρόνου· ὅτι τὰ αὐτὰ ἐκ λοχείων τῇ φθειρούσῃ τὸ ἔμβρυον καὶ τῇ τεκούσῃ παθήματα γίνεται.

Καὶ τοσοῦτον μὲν περὶ τῶν νοσημάτων τῶν ἀπὸ λοχείων γινομένων εἴρηται. εἰσὶ δὲ οἱ κίνδυνοι ἐν αὐτοῖσιν οὐ σμικροί· ὀξέα γάρ ἐστι καὶ ταχὺ μεταλλάσσοντα, καὶ μᾶλλον πονοῦνται αἱ πρωτοτόκοι, ἢ αἵτινές εἰσιν ἔμπειροι τόκων. Χωρέει δὲ τὰ λοχεῖα τῇ ὑγιηρῇ γυναικὶ ἱκανὸν, ὅσον Ἀττικὴ κοτύλη καὶ ἡμίσεια τὸ πρῶτον, ἢ ὀλίγῳ πλέονα· ἔπειτα ἐπὶ ἐλάσσονα κατὰ λόγον τούτου, μέχρις ἂν παύσηται. χωρέει δὲ οἷον αἷμα ἀπὸ ἱερείων, ἢν ὑγιηρὴ, ὡς ἔφην, ἡ γυνὴ ᾖ, καὶ μέλλῃ ὑγιαίνειν, καὶ ταχὺ πήγνυται, καὶ καθαίρεται. καὶ μετὰ τὸν τόκον, ὡς ἐπὶ τὸ πλέον τῇ ὑγιηρῇ ξυμβαίνει, ἐπὶ μὲν τῇ κούρῃ, ἡμέρας τεσσαράκοντα καὶ δύο τὴν χρονιωτάτην κάθαρσιν, ἀκινδύνως δέ ἐστι καὶ εἴκοσιν πρὸς ταῖς πέντε ἡμέραις καθαιρομένη· ἐπὶ δὲ τοῦ κούρου ἡμέρας τριήκοντα ἡ κάθαρσις γὰρ ἡ χρονιωτέρη, ἀκίνδυνος δέ ἐστι καὶ εἴκοσιν ἡμέρας γινομένη. καὶ τῶν διαφθειρουσῶν τὰ ἔμβρυα κατὰ λόγον ἡ κάθαρσις γὰρ τούτων τῶν ἡμερέων, καὶ ἐπὶ τῇσιν νεωτέρῃσι φθείρουσιν ἐλάσσονας ἡμέρας, ἐπὶ δὲ τῇσι γεραιτέρῃσι πλέονας. παθήματα δὲ ταὐτά ἐστι περὶ λοχείων,[348] φθαρείσῃ τε τὸ ἔμβρυον, καὶ τεκούσῃ, ἢν μηνιαῖον φθείρῃ τὸ παιδίον, καὶ κινδυνεύουσιν αἱ φθείρουσαι μᾶλλον· αἱ γὰρ φθοραὶ, τῶν τόκων χαλεπώτεραί εἰσιν. οὐ γάρ ἐστιν οὐ βιαίως φθαρῆναι τὸ ἔμβρυον, ἢ φαρμάκῳ, ἢ ποτῷ, ἢ βρωτῷ, ἢ προσθέτοισιν, ἢ ἄλλῳ τινί· βίη δὲ πονηρόν ἐστιν· ἐν γὰρ τῷ τοιούτῳ κίνδυνός ἐστι τὰς μήτρας ἑλκωθῆναι, ἢ φλεγμῆναι, τοῦτο δέ ἐστιν ἐπικίνδυνον.

CAPVT LXXII.

De lactis generatione, ac penuriâ, & vtriusque caussis.

Lac autem quomodò gignatur, à nobis dictum in libro de puelli natura in partu. Vbi autem prægnans est mulier, menses ferè non prodeunt, præterquàm nonnullis pauci. Qui nanque humor ex cibis ac potibus est dulcissimus, ad mammas vertitur, ac exugitur. Reliquumque corpus magis vacuari, minúsque sanguine plenum fieri necesse est. Atque hoc ita contingit. Sunt autem quæ naturâ lac non habent, & quibus lac ante tempus deficit. Eæ verò naturâ solidæ sunt & densæ carnis, ideóque quum via densa sit, non à ventre ad mammas satis humoris defertur.

ΚΕΦΑΛΑΙΟΝ ΟΒ'.

Περὶ τῆς τοῦ γάλακτος γενέσεως καὶ τῆς ἀπορείας, καὶ τῶν ἀμφοτέρων αἰτίων.

Τὸ δὲ γάλα ὅκως γίνεται, εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παιδίου τοῦ ἐν τόκῳ. Ἐπὴν δὲ κύσκηται ἡ γυνὴ, καταμήνια οὐ μάλα χωρέει, πλὴν ἔστιν ᾗσιν ὀλίγα· τρέπεται γὰρ ἐς τοὺς μαζοὺς τὸ γλυκύτατον τοῦ ὑγροῦ ἀπό τε τῶν σιτίων καὶ τῶν ποτῶν, καὶ ἐκθηλάζεται· καὶ ἀνάγκη ἐστὶ καὶ τὸ ἄλλο σῶμα κεκενῶσθαι μᾶλλον, καὶ ἧσσον πλῆρες γίνεται τοῦ αἵματος. τοῦτο οὕτως γίνεται. εἰσὶ δὲ αἵ τινες φύσει ἀγάλακτοί εἰσι, καὶ σφέας ἐπιλείπει τὸ γάλα πρὸ τοῦ καιροῦ. αὗται δὲ φύσει στερραί εἰσι, καὶ πυκνόσαρκοι, καὶ διὰ τοῦτο οὐ διέρχεται ἐπὶ τοὺς μαζοὺς ἀρκέουσα ἰκμὰς ἀπὸ τῆς κοιλίης, πυκνῆς τῆς ὁδοῦ ἐούσης.

ΚΕΦΑΛΑΙΟΝ ΟΓ'.

Περὶ τῶν προσθέτων τῶν μαλθακῶν τε καὶ θερμαινόντων, τὰ καταμήνια καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα κατασπώντων.

Ἐπιμήνια κατασπᾶται. Ἐλατηρίου δύο πόσιας, ξυμμισγέσθω δὲ καὶ στέαρ οἶος ἀπὸ τῶν νεφρῶν, ὅσον τὸ ἐλατήριον· μὴ διαθρύπτεσθαι, ποιέειν δὲ δύο πρόσθετα. Ἢ μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίψας, ὕδατι φορύξαι, καὶ πρόσθετα δύο ποιῆσαι. προστιθέναι δὲ ταῦτα, πρὸ τῶν ἡμερῶν, ἧσι μέλλει ἐπέρχεσθαι· ποιέει δὲ μὴ ἐξερχόμενα, ῥίγεα καὶ πυρετούς. Μαλθακὰ, ὑφ' ὧν καθαίρεται ὕδωρ [350] καὶ ψάμμος, καὶ ἄλλα ἐπιμήνια, ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσει. [352] Νάρκισσον, σμύρναν, κύμινον, καὶ λιβανωτὸν, ἀψίνθιον, κύπειρον, ἴσον ἑκάστου· ναρκίσσου δὲ μόνον μοίρας τέσσαρας, ἐπικτένιον ὠμοῦ λίνου· ξυμμίξας ταῦτα, τρίβειν ὀριγάνου ἑψημένου σὺν ὕδατι, καὶ ποιέειν βάλανον, καὶ προστιθέναι. Ἢ καὶ κυκλαμίνου μίσγειν ὅσον ἀστράγαλον, καὶ ἄνθος χαλκοῦ, [353] ὅσον κύαμον τρίψας, μέλιτι δεῦσαι· καὶ ποιῆσαι βάλανον, καὶ προστιθέναι. Ἢ γλήχωνα, ἢ σμύρναν, λιβανωτὸν, ὑὸς χολήν τε, καὶ βοὸς ἐν μέλιτι ἀναταράσσειν, καὶ ἀναπλάττειν βάλανον. Ἢν τὰ ἐπιμήνια μὴ ἴῃ. Χηνὸς ἔλαιον, καὶ νέτωπον, καὶ ῥητίνην ξυμμίσγουσα, προστίθει τῷ ἐρίῳ ἀναλαμβάνουσα. Πρόσθετον καθαρτικὸν μαλθακόν. Ἰσχάδα λαβὼν, δίεφθον ποιέειν, καὶ ἀποπιέσας, τρίβειν ὡς λειότατον, εἶτα πρόσθες ἐν ἐρίῳ καὶ ῥοδίνῳ μύρῳ. Ἢ δὲ δριμὺ κράμβης, πηγάνου, ἑκατέρου ἥμισυ τρίψας, τὸν αὐτὸν τρόπον χρέο. [355] Καθαρτικόν. Χηνὸς μυελὸν, ἢ βοὸς, ἢ ἐλάφου, ὅσον κύαμον, παραχέοντα [356] μύρον ῥόδινον καὶ γάλα γυναικὸς, τρίβειν ὡς φάρμακον τρίβεται, εἶτα ἐν τούτῳ ἀλείφειν τὸ στόμα τῆς μήτρης. [357] Ἕτερον πρόσθετον μαλθακόν. Χηνὸς μυελὸν, ὅσον κάρυον, κηρὸν ὅσον κύαμον, ῥητίνης σχινίνης, ἢ τερεβινθίνης ὅσον κύαμον, ταῦτα τήξας σὺν μύρῳ ῥοδίνῳ ἐπὶ πυρὸς μαλθακοῦ, ποίησον ὡς κηρωτήν· εἶτα τούτῳ χλιερῷ ἐναλείφειν τὸ στόμα τῆς μήτρης, καὶ τὸν κτένα καταβρέχειν. Ἕτερον καθαρτικόν. Ἄλευρον σητάνιον, σμύρνης τριώβολον, κρόκου δὲ ἴσον, καστορίου ὀβολὸν, ταῦτα τρίψας μύρῳ ἰρίνῳ, προστιθέσθω. Ἢ κνίδης καρπὸν, καὶ μαλάχης χυλὸν, καὶ χηνὸς στέαρ ἅμα συμμίξαντα προσθεῖναι. Πρόσθετον ἄλλο καθαρτικὸν, ἢν τὰ γυναικεῖα μὴ φαίνωνται. Στύρακα καὶ ὀρίγανον τρίψας λεῖον καὶ συμμίξας, ἐπίχεαι χηνὸς ἔλαιον, καὶ προστίθει. Ἕτερον καθαρτικὸν πρόσθετον, ὥστε μήτρας ἐκκαθαίρειν, καὶ αἷμα ἐκκενοῦν. Ἀψινθίου ῥίζαν τρίψας λείην, μέλιτι καὶ ἐλαίῳ χηνὸς μίξας, προστίθει. Ἕτερον πρόσθετον καθαρτικόν. Βουπρήστιος ἀφελεῖν κεφαλὴν, καὶ πόδας, καὶ πτερὰ, τὰ δ' ἄλλα αὐτοῦ τρίβειν, καὶ ξυμμίσγειν [358] τοῦ σύκου τὸ ἔνδον· διπλάσιον δὲ τοῦ σύκου τὸ πῖον ἔστω. τοῦτο φυσᾷ τὰς ὑστέρας, τοῦτο καὶ τοῖς [359] ἀπαυδήσασι ἄριστον. Ἢ λινοζώστιος τὰ φύλλα λεῖα, πρόσθετα ποιέειν. τοῦτο λεπτὴν ἀλλὰ χολώδεα κάθαρσιν. Καὶ ἡ ἀρτεμισίη ποιέει ὡς ἡ λινόζωστις, καὶ καθαίρει κρεῖττον. Ἐλλέβορος μέλας ἐν ὕδατι λεῖος. ἀλλὰ καὶ οὗτος, οἷον ἀπὸ κρεῶν ὕδωρ.

CAPVT LXXIII.

De subditiis medicamentis emollientibus, calefacientibus, menstrua, aquas, & sanguinem euocantibus.

HOc menses detrahit. *Elaterij duas potiones sumito; cui ouillus adeps ex renibus admisceatur, pari cum elaterio portione; minimè conterito; duas glandes subdititias parato.* Aut melanthium ex tritico, *terito, aquâ subigito, & glandes duas subdititias conficito. Has autem ante dies quibus prodire debent, supponito. Si enim non prodeat, rigores & febres excitant.* Emollientia, à quibus aqua & arena purgatur; menses etiā, nisi diutiùs restiterint, educunt, & vteri osculum emolliunt. *Narcissi, myrrhæ, cumini, thuris, absinthij, cyperi, singulorum æquales portiones, narcissi verò solùm quadruplum, lini crudi lanuginem pectini insidentem; commisceto hæc, cum aqua origani cocti terito, ac glandē effingito & supponito.* Aut etiam *cyclaminū ad astragali magnitudinem admisceto, & æris florem ad fabæ quantitatem tritum melle excipito, glandem efformato & suponito.* Aut *pulegium, vel myrrham, thus, suillum fel & bubulū cum melle agitatum in glandulam effingito.* Si menses non eant. *Anseris adipem, netopū, resinā, simul permixta & lana excepta, subdito.* Medicamentum subdititium purgans & emolliēs. *Caricas percoctas & expressas læuissimè terito, deinde in lana cum vnguento rosaceo subdito.* Aut *acris brassicæ, & rutę, vtriusq; dimidio trito ad eundē modum vtaris.* Purgans. *Anseris, aut bouis, aut cerui medullæ ad fabæ magnitudinem, vnguentum rosaceū & lac muliebre affundito, in medicamenti formam terito, vteri osculum inungito.* Aliud subdititium emolliens. *Anseris medullam nucis quantitate, ceram fabæ magnitudine, resinæ lētiscinæ & terebinthinæ fabæ magnitudinem. His cum vnguento rosaceo lento igne liquatis, velut ceratū conficito; deinde ex eo tepido os vteri inungito, pubem perfundito.* Aliud purgans. *Farinā sitaniā, myrrhæ obolos tres, croci tantūdē, castorij obolum, hæc ex vnguento irino trita subdito.* Aut *vrticæ semen, & maluæ succum cū adipe anserino simul permixta supponito.* Aliud subdititiū purgās, si menses non appareant. *Ad styracem & origanū tenuiter trita & permixta, anseris adipē affundito, & supponito.* Aliud subdititium purgans, quod tū vteros purgat, tū sanguinē vacuat. *Absinthij radicem tenuiter tritam, cum melle & anserino adipe admixtam, in pesso apponito.* Aliud subdititium purgans. *Detractis à bupresti capite, pedibus & alis, quod est reliquum terito, & ficus interiorem partem admisceto. Sit autem duplum quod in ficu pingue est. Hoc vteros inflat; hoc viribus defectis est optimum.* Aut *mercurialis folia trita subdito. Hoc tenuem biliosam purgationem ducit. Etiam artemisia vt mercurialis agit, & efficacius purgat. Veratrum nigrum ex aqua tritum, etiam aquam velut à carnibus educit.*

Et

Et verò alumen & resina hoc idem efficit. Cyperus, absinthium, aristolochia, cuminum, sal, mel; hæc omnia simul trita subdito. Veratrum etiam ex vino dulci, cum farina lolij & tritici, melle subactum, in lana subdatur. Medicamenta subdititia, vbi quæ deuorantur, minimè purgarint. *Mercurialem, myrrham, violam albam, cepam acerrimam, melanthium, & mentham, si sufferat, commixta apponito.* Subdititia medicamenta acria sanguinem ducentia. *Cantharidas quinque, exceptis pedibus & capite, & myrrham & thus simul commisceto, melle his addito; deinde oleo rosaceo aut Ægyptio intinctum, per diem supponat, & vbi mordeat, detrahendum; rursusque in lac muliebre & unguentum Ægyptium immergendum; hoc autem per noctem supponendum, & aquâ odoratâ perluendum, & adeps supponendus. Conuenit & buprestis, si parua fuerit, sine alis pedibus & capite; si verò magna sit, non erunt hæc admiscenda, quæ cantharidibus, sed per se ponenda, & similiter admouenda. Quòd si leuiore opus fuerit, ad buprestim vinum admisceto, & cuminum Æthiopicum, tum vuam passam, tum anisi & seseleos pollinem, ex vino feruefacto, affusoque, tenuiter tritum, in pastillos drachmales efformato; & hos, myrrhâ & thure admixtis, apponito. Eodem autem modo, quo cum cantharidibus, faciendum. Melanthium ex tritico tritum, ac melle subactum apponito. Aut hoc ipsum melanthium cum melle tritum velut glandem efformato, circum pennam verò obducito.* Subdititium efficax. *Mandragoræ & cucurbitæ sylvestris succum cum lacte muliebri subdito; aut vini albi veteris fæcem siccam, vstam, & vino restinctam. Cucurbitam etiam agrestem, mercurialem, nitrum, & erysimum. Citiùs detrahit & mandragoræ radix, cantharis, serpillum, lauri baccæ, vnguentum irinum, laurinum. Tithymali succum permisceto ac agitato, & visco detracto ad orobi magnitudinem exhibeto. Ex his subdititium conficito optimum. Quòd si copiosiùs profluat, vino proluatur. Aut æs vstum dilutum, tepidum, lanâ exceptum, subdito.*

A Καὶ στυπτηρίη δὲ, καὶ ἡ ῥητίνη, τὸ αὐτὸ δρᾷ. Κύπερος, ἀψίνθιον, ἀριστολοχία, κύμινον, ἅλες, μέλι· ταῦτα πάντα ἐν τῷ αὐτῷ τρίβειν, καὶ προστιθέναι. Καὶ ἐλλέβορος ἐν οἴνῳ γλυκεῖ μετὰ ἀλεύρου αἰρῶν καὶ πυρίνων, μέλιτι φυρηθεὶς, ἐν ἐρίῳ προστιθέσθω. Προσθετὰ, ἢν μὴ [360] τὰ καταπότα καθαίρῃ. Λινόζωστιν, σμύρναν, λευκόϊον, κρόμμυον ὡς δριμύτατον, καὶ μελάνθιον, καὶ τὸ ἡδύοσμον, ἢν ὑποφέρῃ, [361] συμμίξας προστίθει. Προσθετὰ δριμέα ἄγοντα αἷμα. Κανθαρίδας πέντε πλὴν τῶν ποδῶν, καὶ τῆς κεφαλῆς, καὶ σμύρναν, καὶ λιβανωτὸν ἅμα συμμίσγειν, καὶ μέλι μετ' αὐτῶν· ἔπειτα βάψας ἐς ἄλειφα ῥόδινον, B ἢ Αἰγύπτιον, προσθέσθω τὴν ἡμέραν· καὶ ἐπὴν δάκνηται, ἀφαιρέεσθαι, καὶ βαπτίζειν πάλιν ἐς γάλα γυναικὸς, καὶ μύρον Αἰγύπτιον· προστίθεσθαι δὲ τοῦτο ἐς νύκτα, καὶ διανίζεσθαι ἐν ὕδατι εὐώδει, προστιθέναι δὲ στέαρ. Ἁρμόζοι δ' ἂν βούπρηστις, ἢν μὲν σμικρὴ ᾖ, ἄνευ πτερῶν, καὶ ποδῶν, καὶ κεφαλῆς· [363] ἢν δὲ μεγάλη ᾖ, μὴ συμμίσγειν ταῦτα ἃ καὶ τῇσι κανθαρίσιν, ἀλλὰ μόνον τιθέναι, καὶ προστιθέναι ὁμοίως. Ἢν C δὲ μαλθακωτέρου δέηται, τῇ βουπρήστει μῖξαι οἶνον καὶ κύμινον Αἰθιοπικὸν, ἀσταφίδα τε καὶ πάλην σεσέλιος, καὶ ἀννήσου, καὶ ἀναζέσαι τὸν οἶνον, ἀποχέας δὲ, τρίψαι λεῖον, καὶ [364] πλάσαι φθοΐσκους ὅσον δραχμιαίους· τούτων προστιθέναι, σμύρναν καὶ λιβανωτὸν μίσγοντα, ποιέειν δὲ τὸν αὐτὸν τρόπον, ὅνπερ ἐπὶ τῇσι κανθαρίσι. Μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίβοντα λεῖον, μέλιτι φυρῶντα, προστιθέναι. Ἢ αὐτὸ τοῦτο τὸ μελάνθιον τρίβοντα μετὰ τοῦ μέλιτος, ποιέειν οἷον βάλανον· πτερῷ δὲ περίπλασσε. Πρόσθετον ἐνεργόν. Ὀπὸν μανδραγόρου, καὶ κολοκύντης ἀγρίης ξὺν γάλακτι D γυναικείῳ πρόσθες. ἢ τρύγα ξηρὴν ἐξ οἴνου παλαιοῦ λευκοῦ, καίειν, καὶ οἴνῳ σβέσαι· καὶ κολοκύντην ἀγρίην, λινόζωστιν, νίτρον, καὶ ἐρύσιμον. θᾶσσον κατασπᾷ καὶ μανδραγόρου ῥίζα, κανθαρὶς, ἕρπυλλος, δάφνης καρπὸς, μύρον ἴρινον, δάφνινον. Τιθυμάλου τὸν ὀπὸν μίσγειν, καὶ ἀνακινεῖν, καὶ τὸν ἰξὸν ἀφαιρέειν, καὶ διδόναι ὅσον ὄροβον, καὶ πρόσθετον ποιῆσαι ἄριστον. Εἰ δὲ πλέον ἴοι, οἴνῳ προσκλυζέσθω· ἢ ὀπτοῦ χαλκοῦ ἐκλυθεὶς, χλιερὸν ἀναλαμβάνειν ἐρίῳ, καὶ προστιθέναι. E

CAPVT LXXIV.

De medicamentis in muliere, quæ antè non concepit, conceptum promouentibus.

Conceptum promouens. *Cedriæ acetabulum, adipis bubuli tenuiter triti drachmas quatuor, ex his simul contritis pessos efformatos ieiunæ subdito, & decumbens ieiuna toto die permaneat. Bis autem supponantur, manè & vesperi, post menses, & post cœnam lauet, & cum viro dormiat.* Aut *melanthium contusum, linteo illigatum, anserino adipe iniecto, supponendum dato.* Aliud conceptum promouens. *Quò mulierem cures, vt in vtero concipiat, vrinam veterem sumito, & ferri scoriam, quæ in duo fragmenta diuidi possit. Postea muliere in sella collocatâ, toto corpore & capite circumtecto,*

ΚΕΦΑΛΑΙΟΝ ΟΔ'.

Περὶ τῶν ἐν γυναικὶ μὴ πρόσθεν τετοκυίᾳ κυητηρίων.

F Κυητήριον. Κεδρίης ἐμβάφιον, στέατος βοείου δραχμὰς τέσσαρας, λεῖα τρίψας, καὶ ἐς τὸ αὐτὸ τρίψας, πεσσοὺς ποιέων, προστιθέναι νήστει, καὶ προσκειμένη ἐγκρατευέτω τὴν ἡμέρην. προστιθέσθω δὲ δὶς, πρωῒ καὶ δείλης, μετὰ τὰ καταμήνια· καὶ μετὰ τὸ δεῖπνον λουέσθω, καὶ κοιμάσθω σὺν τῷ ἀνδρί. Ἢ μελάνθιον φλάσαι, καὶ ἐς ῥάκος ἐνδῆσαι, καὶ χήνειον ἔλαιον ἐμβάλλειν, καὶ διδόναι προσθέσθαι. Ἕτερον κυητήριον. Γυναῖκα θεραπεῦσαι, ὥστε [365] ξυλλαβεῖν ἐν γαστρί. Οὖρον λαβὼν παλαιὸν, καὶ σιδήρου σκωρίην ὅσον διπλᾶ ἐς τὰ θρύμματα· ἔπειτα καθίσας τὴν γυναῖκα ἐπὶ δίφρου, συγκαλύψας μὲν καὶ τὸ σῶμα καὶ τὴν κεφαλὴν,

ὑποθεῖσαν ἐς πόδας πύελον, ἐμβάλλειν κατὰ τρία διάπυρα τὰ τῆς σκωρίης θρύμματα (ἔστω δὲ τὸ παλαιὸν τοῦτο οὖρον, ὅσον χοῦς) καὶ ἐν τούτοις πυριᾶν αὐτὴν, ὅσον πεντήκοντα πυριάς. ἐπὴν δὲ πυριήσῃς, σμῆχε τὴν κεφαλὴν [366] τῷ οὔρῳ, ἕως ἂν πυριηθῇ, ἐναποσβεννύων πάλιν τοὺς λίθους, [367] καὶ τὴν πυρίην πάλιν θερμαίνων. μετὰ δὲ ταῦτα, λοῦε κατὰ κεφαλῆς ὡς [368] πλεῖστον, ἑψῶν δὲ ἐν τῷ ὕδατι πόλιον, καὶ τῆς ἄγνου ὡς πλεῖστα. ταῦτα δὲ ποίεε ἡμέρας ἑπτά. Τρὶς δὲ ὑποθυμιῆν τούτων ἑκάστην πυρίην πρὸ τοῦ σμήχεσθαι. χριέσθω δὲ ἐκ τοῦ λουτροῦ, ἐλαίῳ δαφνίνῳ. μετὰ δὲ τὸ δεῖπνον, φαγοῦσα κρόμμυα, ἐμβάπτουσα ἐς μέλι, καὶ μελίκρητον χλιαρὸν ὅσον κοτύλας τέσσαρας πιοῦσα, ἔπειτα ἐπὴν φάγῃ, σμικρὸν ἐπισχοῦσα, ἀπεμεέτω· καὶ ἀνακλιθεῖσα ὑπτίη, τοῦ πηγάνου ἐχέτω καὶ ἐν τοῖσιν ὠσὶ καὶ ἐν τῇσι ῥισί· καὶ ἄρτον ζυμίτην, ὅσον ἕκτον μέρος χοίνικος, ἐς ζωμὸν ἐνθρύψαι ὄρνιθος, ἔχοντα σελίνου ὅσον χήμην, προσφερέσθω, καὶ πάλιν δίδου τὸ ἴσον ἐπὶ τῷ δείπνῳ, τὸ αὐτὸ δὲ ποίεε τὰς ἑπτὰ ἡμέρας. Ἔπειτα δὲ τὴν κοιλίην κλύζε ἡμέρας ἑπτά· ἔστω δὲ κλύσμα, ῥητίνης δραχμαὶ τέσσαρες, μέλιτος ὀξύβαφον, [369] τῶν πλατέων ἔλαιον ἴσον, [370] πιτύρων σιταλμίων χυλὸς, νίτρου ἀφρὸς, ὠὰ λεπτά· ἔστω δὲ τὸ κλύσμα, κοτύλαι ὀκτὼ, τούτων αἱ τρεῖς πτισάνης χυλοῦ. κλυζέτω δὲ πλαγίην, καὶ λοῦε ὀλίγον. προστιθέσθω δὲ βαλάνους ἑπτὰ τῆς ἡμέρης, κατεχέτω δὲ, ἐς ἂν κατατακῇ· ἔστωσαν δὲ λιβανώτου, νίτρου, χαλβάνης, μέλιτος ἑφθοῦ. σιτίοισι δὲ χρήσθω τοῖς αὐτοῖς. ὑποθυμία δὲ ὄνου τρίχας λευκοῦ, καὶ λύκου κόπρον· ἐπίβαλλε δὲ ὡς πλεῖστον ἐπὶ ἀνθρακιὴν, καὶ περικαθίσας αὐτὴν, καὶ περιστείλας, θυμία, φυλασσόμενος μὴ κατακαύσῃς.

A & pelui ad pedes suppositâ, tria circiter scoriæ fragmenta candentia inijcito (Sit autem hæc vetus urina congij mensura) & in his eam foueto triginta fomentis. Postquam fomentum admoueris, sero caput expurgato, quoad fotus admotus fuerit, lapidibus iterùm extinctis, calefactoque fotu. Post hæc autem caput plurimùm lauato aquâ, in qua polium & viticis quamplurima folia decoxeris; hæc autem diebus sep- B tem facito. Ter autem in singula hæc fomenta suffitus admouendus, priusquàm caput detergeatur. A balneo verò inungatur oleo laurino. Post cœnam autem ubi cepas melle intinctas comederit, & mulsam tepidam ad quatuor heminas biberit; deinde ubi comederit, paulúmque continuerit, vomat, supinaque reclinata rutam in auribus & naribus contineat. Panem quoque fermentatum ad sextam chœnicis partem, ex iure galli gallinacei, quod apij chemam habeat, contritum, in C cibum offerto; & tantúndem in cœna dato; idemque per septem dies facito. Deinde verò aluum clystere per dies septem eluito. Constet autem clyster ex drachmis quatuor resinæ, mellis acetabulo, Platæensium oleo pari mensurâ, furfurum tritici sitanij cremore, nitri spumâ, & ouis tenuibus. Sit autem clyster heminæ octo, ex his tres cremoris ptisanæ. In latus autem decumbenti clysterem inijce, parúmque lauato. Septem verò glandes die subdito, easque quoad colliquescant contineat. Constent autem thure, nitro, galbano, & melle cocto. Cibo verò eodem utatur. Suffitus autem ex asi- D ni albi pilis & lupi stercore adhibeto; ex quibus magnam copiam in prunas inijcito, & muliere in sella collocatâ & circumtectâ, suffitum adhibeto; eâ cautione ut ne aduras.

ΚΕΦΑΛΑΙΟΝ ΟΕ'.

Περὶ τῶν κυητηρίων ἐν ταῖς γυναιξὶ ταῖς πρόσθεν μὲν τετοκυίαις, ἔπειτα δὲ τίκτειν μὴ δυναμέναις.

Ἣν δὲ γυνὴ μὴ δύνηται τίκτειν πρόσθεν [371] τίκτουσα, νίτρον, καὶ ῥητίνην, καὶ σμύρναν, καὶ κύμινον Αἰθιοπικὸν, καὶ μύρον τρίβειν ἐν ταὐτῷ, καὶ προστίθεσθαι. Ἢ γλήχωνα ξηρὴν ἐν ὀθονίῳ προστιθέσθω· πινέτω δὲ τὴν γλήχωνα, ἐπὴν εὕδειν μέλλῃ. Ἕτερον κυητήριον. Διαιτᾶν δεῖ τὴν γυναῖκα, ἥτις δέεται κυήσιος, καὶ διδόναι αὐτῇ [372] ἅπερ δέχοιτο, καὶ ἐσθίειν καὶ πίνειν. τῷ δὲ ἀνδρὶ τῆς γυναικὸς, τὰ ἄλλα πλὴν σκορόδου, καὶ κρομμύων, καὶ ἔτνεος, καὶ ὀποῦ σιλφίου, καὶ ὅσα φυσητικὰ, τούτων δὲ ἀπεχέσθω. [373] Ὁμοίως ἔγχυτον κυητήριον, εἰ μὴ κυΐσκεται. Γάλα γυναικὸς κουροτρόφου, σίδης νεαρῆς τοὺς κόκκους τρίψας, καὶ ἐκπιέσας τὸν χυλὸν, καὶ χελώνης θαλασσίης τὸν περίνεον κατακαύσας, τρίψας, ἐγχέαι εἰς τὸ αἰδοῖον. Ὁμοίως ἔγχυτον κυητήριον μὴ κυούσῃ. Γάλα καὶ ῥητίνην, καὶ σίδης γλυκείης χυλὸν, ταῦτα ξὺν μέλιτι μίξας ἐγχεῖν πάντα. Κυητήριον. Βολβοῦ τοῦ λευκοῦ καρπὸν, ἢ τὸ ἄνθος τρίψας ξὺν μέλιτι, ἐν εἰρίῳ ἑλίξασα, προσθέσθω πρὸς τὴν μήτρην ἡμέρας τρεῖς·

CAPVT LXXV.

De medicamentis ad conceptionem, in mulieribus quæ antè pepererunt ac posteà concipere nequeũt.

E Si verò mulier quæ priùs peperit, parere nequeat; nitrum, resinam, myrrham, cuminum Æthiopicum, & unguentum simul trita in pesso supponito. Aut pulegium siccum in linteo supponito. Sed & pulegium bibat, quum dormire volet. Aliud ad conceptum. Mulieri quæ conceptionem desiderat, victûs ratio præscribenda, ipsique cibi & potus, quos admiserit, concedendi. Mulieris autem viro cætera dato, præter allia, cepas, legumina fresa, laseris succum, & quæ flatum gignunt. Ab his verò abstineat. Infusum similiter conceptum iuuans, si non concipiat. Lac mu- F lieris marem lactantis, mali punici recentis grana trita, & expressum succum, & testudinis marinæ perineum adustum, tritum, in pudendum infundito. Aliud infusum similiter non concipienti. Lac, resinam, & dulcis mali punici succũ, hæc cũ melle permixta omnia infundito. Conceptũ inducẽs. Bulbi albi semen aut florẽ ex melle tritũ, & lanæ inuolutum ad vterum per triduũ supponat.

supponat. Quarto verò die maluam agrestem lato folio cum lacte muliebri tritam & lana conuolutam supponat, deinde cum viro dormiat. Præsorbeat autem pulegium cum farina coctum, & pulegium tenue ex vino bibat. Quòd si hoc non auscultet, conyzæ odoratæ contusæ succum expressum, & vino mixtum ieiuna bibat. Aliud conceptum iuuans. *Asparagi semen eodem modo ex vino bibat.* Aliud ad conceptum. *Secundas mulieris, & vermium carnium capita contrita, & alumen Ægyptium anserino adipe dilutum, in lana ad vteri osculum supponat.* Aliud ad idem. *Æruginem, æris florem, vtriusque semiobolum, thuris masculi, aluminis scissilis, fructus vitis agrestis, gallæ, myrrhæ, malicorij, resinæ, polij, singulorum obolum ex melle tritum per triduum bis die supponat. Quòd si fortassis acrius fuerit, anserinum adipem, & nitrum tostum admisceto, vinúmque eius robore vitato exhibeto.* Aliud conceptum iuuans. *Vermis ex carnibus, qui caudam habeat, tres aut quatuor partes sumito, & origanum ex rosaceo vnguento tenuiter tritum, ad vteri os apponito.* Aliud ad conceptum. *Portulacam tritam cum adipe anserino, myrrhâ, porri semine, & felle bubulo, lanâ conuolutam ad vteri os apponito.*

τῇ δὲ τετάρτῃ, μαλάχην ἀγρίην τὴν πλατύφυλλον τρίψασα, μίξαι γυναικὸς γάλακτι, καὶ εἰς εἴριον ἑλίξασα, προσθέσθω, εἶτα κοιμάσθω μετ᾽ ἀνδρός. προσροφεέτω δὲ γλήχωνα ἐπ᾽ ἀλφίτοισιν ἑφθήν, καὶ πινέτω γλήχωνα ἐν οἴνῳ [374] λεπτήν. ἢν δὲ τούτου μὴ ἐσακούῃ, λαβὼν κόνυζαν εὔοδμον, ξυγκόψας, καὶ ἐκθλίψας τὸν χυλόν, καὶ μίξας οἴνῳ, πινέτω νῆστις. Ἕτερον κυητήριον. Ἀσπαράγου καρπὸν πινέτω ὁμοίως ἐν οἴνῳ. Ἕτερον κυητήριον. Χορίον γυναικός, καὶ τῶν εὐλέων τὰς κεφαλὰς τρίψας, δεῖς στυπτηρίην Αἰγυπτίην ἐν χηνὸς στέατι, ἐν εἰρίῳ προστιθέσθω πρὸς τὸ στόμα τῆς μήτρης. Ἕτερον ἐπὶ τῷ αὐτῷ. Ἰόν, χαλκοῦ ἄνθος, ἡμιωβόλιον ἑκατέρου, λιβανωτοῦ ἄρσενος, στυπτηρίης σχιστῆς, οἰνάνθης ἀμπέλου, κηκῖδα, σμύρναν, σίδιον, ῥητίνην, πόλιον, ἀνὰ ὀβολὸν ἑκάστου, ἐν μέλιτι τρίψας, προσθέσθω ἐπὶ τρισὶν ἡμέραις [375] δὶς τῆς ἡμέρας. ἢν δ᾽ ἴσως δριμύτερον ᾖ, παραμίσγειν χηνὸς στέαρ, καὶ νίτρον ὀπτόν, διδόναι δὲ οἶνον, φυλάσσοντα τὸ ἐν αὐτῷ μένος. Ἕτερον κυητήριον. Εὐλὴν ἥτις ἔχει τὴν κέρκον, λαβὼν ἀπ᾽ αὐτῆς τρεῖς ἢ τέσσαρας μοίρας, καὶ ὀρίγανον λεπτὴν τρίψας ἐν ῥοδίνῳ μύρῳ, προσθέτω πρὸς [376] τὸ στόμα τῆς μήτρης. Ἕτερον κυητήριον. Ἀνδράχνην τρίψας μετὰ στέατος χηνὸς καὶ σμύρνης, καὶ πράσου σπέρματος, καὶ βοὸς χολῆς ἐν εἰρίῳ ἐνελίξας, τιθέναι [376] πρὸς τὸ στόμα τῆς μήτρης.

CAPVT LXXVI.

De remedijs mulieri parere nequeunti, quæ priùs peperit, & cui multa profluunt menstrua, idoneis, fœcunditatem instaurantibus.

SI menses quidem copiosi sint, neque tamen concipiat, floris æris obolos duos, & aluminis scissilis tantundem, ex melle leuissimè trita, deinde lanâ excepta, vbi mulier lanam in linteo filo deligarit, sibi penitissimè subdat, sic tamen vt filum foras emineat. Deinde quum probè purgata fuerit, abstrahat, & vino odorato, in quo myrti folia decoxeris, proluatur, & virum adeat. Subdititium ad conceptum. *Mel, myrrham, myricæ fructum, resinam liquidam, anserinum adipem, omnia simul trita, lanæ inuoluta subijcito.* Subdititium ad conceptum, quod vterum, si quando conniueat, neque concipere queat, valdè aperire potest, & aquas expurgare. *Accipe anchusam paruam, lentiscum, cuminum, cyperum, cucumerem agrestem, nitrum rubrum, sal Ægyptium, & anchusam magnam. Hæc omnia leuissimè trita, linteo cernito, mel sumito, lento igne decoquito, & vbi deferbuerit, ceram & resinam admisceto. Deinde commixtis omnibus oleum affundito, & ab igne detractum, tepidum, lanâ in orbem conuolutâ exceptum, quoad purgata fueris, in vterum subdito.* Aliud conceptum promouens. *Si velis mulierem concipere, præter purgatoria, quibus vtitur, etiam ad virum accedere oportet. Et decem lauri baccas nigras, thuris pugillos tres, & cumini pusillum, ex melle trita,*

ΚΕΦΑΛΑΙΟΝ Ος'.

Περὶ τῶν κυητηρίων τῇ γυναικὶ πρόσθεν μὲν τετοκυίᾳ, καὶ πολλὰ καταμήνια ἐχούσῃ, κύειν δὲ μὴ δυναμένῃ, ἐπιτηδείων, τὴν εὐτοκίαν ἀναλαμβανόντων.

ΗΝ τὰ μὲν καταμήνια γίνονται πολλά, [377] οὐ συλλαμβάνῃ δέ, χαλκοῦ ἄνθος ὀβολοὺς δύο, καὶ στυπτηρίης σχιστῆς ὡσαύτως, τρίψας λεῖα ἐν μέλιτι, εἶτα ἐν εἰρίῳ ἀνασπογγίσας, ἐνδήσασα ἡ γυνὴ τὸ εἴριον [378] ἐς ὀθόνιον λίνῳ, προσθέτω ἕως ἔσω αὐτῆς, τὸ δὲ λίνον ὑπερεχέτω. εἶθ᾽ ὅταν καλῶς καθαρθῇ, ἀφελέτω, καὶ οἶνον ἀναζέσας εὐώδεα, μυρσίνης φύλλα ἐμβαλών, τούτῳ προσκλυσάσθω, καὶ ἴτω πρὸς τὸν ἄνδρα. Κυητήριον προσθετόν. Μέλι, σμύρναν, μυρίκης τὸν καρπόν, ῥητίνην ὑγρήν, χηνὸς ἄλειφα, τρίψας ἅπαντα, ταῦτα ἐν εἰρίῳ ἐνελίξασα, προστιθέσθω. Κυητήριον προσθετόν, σφόδρα [379] ἀναστομῶσαι μήτρην δυνάμενον, ὅταν μεμύκῃ, καὶ μὴ δύνηται κυῆσαι, καὶ ὕδωρ ἐκκαθῆραι. Λαβὼν ἄγχουσαν τὴν μικρήν, καὶ σχῖνον, καὶ κύμινον, καὶ κύπειρον, καὶ ἀγρίην κολοκύντην, καὶ νίτρον ἐρυθρόν, καὶ ἅλας Αἰγύπτιον, καὶ ἀγχουσάδα τὴν μεγάλην· ταῦτα πάντα λεῖα ποιήσας, δι᾽ ὀθονίου διηθῆσαι· λαβὼν δὲ μέλι, ἕψησον ἐπὶ πυρὶ μαλθακῷ, ἐπειδὰν δὲ ζέσῃ, παραμίξον κηρόν, ῥητίνην· ἔπειτα ξυμμίξας πάντα, ἔλαιον ἐπιχέας καὶ ἀφελών, χλιαρὰς, εἴριον [380] ἐγκυλίσαντα ἐνελίξας, προστιθέτω τῇ μήτρῃ, μέχρις ἂν καθαρθῇ. Ἕτερον κυητήριον. Ἢν γυναῖκα βούλῃ κυῆσαι, καὶ τοῖσι καθαρτηρίοισιν ἥτις χρῆται, καὶ δεῖ πρὸς τὸν ἄνδρα ἰέναι, καὶ δαφνίδας μέλανας δέκα, λιβανωτοῦ δὲ δραχμίδας τρεῖς, καὶ κύμινον ὀλίγον, τρίψας ἐν μέλιτι,

ἐς εἴριον πινῶδες ἐγκυλίων, ἅπαξ τῆς ἡμέρης τῇ αὐτῇ προστιθέσθω, καὶ ἀφαιρείσθω ἅπαξ ἕως ἡμερῶν τεσσάρων, καὶ ἔπειτα ἀσιτείτω τὰς [381] αὐτὰς ἡμέρας. Ἀτόκιον. Ἢν μὴ δέῃ κυΐσκεσθαι, μίσυος ὅσον κύαμον διεὶς ὕδατι, πίνειν διδόναι, καὶ ἐνιαυτὸν, ὡς ἔπος εἰπεῖν, οὐ κυήσεται.

lanâ succidâ conuoluta, semel die ei subdito; semel autem auferat per quatuor dies, & posteà per eos dies cibo sibi temperet. Conceptum præpediens. *Si concipere non oporteat, misy fabæ quantitatem aquâ dilutam potui dato, & per annum, vt verbo dicam, non concipiet.*

ΚΕΦΑΛΑΙΟΝ ΟΖ′.

Δυστοκούσῃ γυναικὶ ὠκυτόκια, προσφερόμενά τε καὶ προσθετά.

[382] Ὠκυτόκια δυστοκούσῃ. Δάφνης ῥίζαν ξύσας, ἢ τοὺς κόκκους, ὅσον ἥμισυ ὀξυβάφου, ἐφ' ὕδατι δὸς πιεῖν, θερμήνας. Ὠκυτόκιον. Δικτάμνου ὅσον δύο ὀβολοὺς τρίψας ἐν ὕδατι θερμῷ, πινέτω. Ἢ ἀβροτόνου δραχμὴν, [383] καὶ κεδρίδας, καὶ ἄννησον, ἐντρίψας ἐν γλυκέος οἴνου κυάθῳ, παραχέας ὕδατος, παλαιοῦ κύαθον δὸς πιεῖν. τοῦτο καλὸν δίδοται, ἢν πρὸ τῶν ὠδίνων δοθῇ. Ἢ δικτάμνου ὀβολὸν, σμύρνης ὀβολὸν, ἀννήσου δύο ὀβολοὺς, νίτρου ὀβολὸν, ταῦτα τρίψας διὰ γλυκέος οἴνου, ἐπιχέας κύαθον, [384] καὶ ὕδατος θερμοῦ κυάθους δύο, δὸς πιεῖν, εἶτα λοῦσον θερμῷ. Ὠκυτόκιον. Ῥητίνην τερμινθίνην, μέλι, ἔλαιον διπλάσιον τούτων, οἶνον εὐώδεα ὡς ἥδιστον, ταῦτα συμμίξας, χλιήνας, διδόναι ἐκπιεῖν πλεονάκις· [345] καταστῆσαι δὲ χρὴ καὶ τὰς μήτρας, ἢν φλεγμαίνωσιν. Ἕτερον ὠκυτόκιον. Τοῦ σικύου τοῦ ἀγρίου, [386] ὅστις ἂν ᾖ λευκὸς, τὸν καρπὸν ἐμπλάσας κηρῷ, εἶτα εἰρίῳ ἐνελίξας φοινικῷ, περίαψον περὶ τὴν ὀσφύν. [387] Ἢν δὲ ἡ κύουσα πουλὺν χρόνον ἐπέχηται, καὶ μὴ δύνηται τεκεῖν, ἀλλ' ὀδυνᾷ πλείους ἡμέρας, [388] νέη δὲ ᾖ καὶ ἀκμάζῃ, καὶ πουλύαιμος, τάμνειν χρὴ τὰς ἐν τοῖσι σφυροῖσι φλέβας, καὶ ἀφαιρέειν τοῦ αἵματος, πρὸς τὴν δύναμιν ὁρῶν· καὶ μετὰ ταῦτα, λοῦσαι θερμῷ διὰ φλοιοῦ δάφνης. Πιεῖν δὲ δοῦναι ἄγνου καρπὸν, καὶ δίκταμνον Κρητικὸν, ἴσον ἑκατέρου ἐν οἴνῳ λευκῷ ἢ ἐν ὕδατι. προσθετὸν δὲ ποιήσας πρόσθες [389] χαλβάνην, καὶ δαφνίδας, καὶ ῥόδινον [390] ἔλαιον, ἐν εἰρίῳ ἐνελίξας. Ὠκυτόκιον. Τῆς δρυοπτέριος τὴν ῥίζαν τρίψας ἐν οἴνῳ, δὸς πιεῖν· καὶ ἀδίαντον τρίψας, ἐν ἐλαίῳ διεὶς, ἀλείφειν [391] ἐν οἴνῳ ἀκρήτῳ.

CAPVT LXXVII.

Ægrè parienti medicamenta, quæ tum sumpta, tum admota partum accelerant.

QVæ ægrè parienti partum accelerant. *Lauri radicem derasam, aut baccas ad dimidium acetabulum calefactas ex aqua potui exhibeto.* Partum accelerans. *Dictamnum ad duos obolos tritum ex aqua calida bibat. Aut abrotoni drachmã, & cedri baccas, & anisum, ex vini dulcis veteris cyatho trita, affuso aquæ cyatho, potui exhibeto. Hoc bonũ est, si ante partûs dolores datum fuerit. Aut dictamni obolũ, myrrhæ obolum, anisi obolos duos, nitri obolum; hæc ex vino dulci trita, affuso cyatho, & aquæ calidæ cyathis duobus, potui exhibeto, deinde calidâ lauato.* Partum facilem reddens. *Resinam terebinthinam, mel, oleum ad duplam horum portionem, vinũ odoratũ quàm suauissimum; hæc simul mixta, tepida, crebrò bibenda dato. Sed vteri si inflãmati fuerint, sibi restituendi sunt.* Aliud partum accelerans. *Cucumeris agrestis, quicunque albus fuerit, fructum cerâ obductum, deinde lanâ puniceâ conuolutum, ad lumbos alligato. Quòd si prægnans diuturno tempore immoretur & parere nequeat, sed pluribus diebus partûs doloribus discrucietur; sit autem iuuenis & ætate florens, multóque sanguine redundet, venas in malleolis secare oportet, & virium habitâ ratione sanguinem detrahere; & posteà calente corticis lauri decocto lauare. Viticis autem semen & dictamnum Creticum, vtrunque pari portione, ex vino albo aut aqua potui exhibeto. Subditium verò medicamentum parato; galbanum, lauri baccas, & oleum rosaceum, lanâ inuoluta in pesso subdito.* Partum accelerans. *Filicis quernæ radicem ex vino tritam propinato; & adiantum tritum, oleo dilutum, cum vino mero inungendum.*

ΚΕΦΑΛΑΙΟΝ ΟΗ′.

Περὶ τῶν ἀμεινόνων φαρμάκων τῇ λεχοῖ τὰ λόχια καθαιρόντων.

Λεχοῖ τὰ λοχεῖα καθαίρει ἄμεινον. Χελώνης θαλασσίης ἧπαρ χλωρὸν ἔτι ζώσης, ἐν γάλακτι γυναικείῳ τρίβειν, καὶ ἰρίνῳ μύρῳ καὶ οἴνῳ ἀναδεῦσαι, καὶ προστιθέναι. Ἢ λινόζωστιν τρίψας ἐν εἰρίῳ πρόσθες. Ἢ ἀρτεμισίην τρίβων ὁμοίως ἐν εἰρίῳ προστιθέναι. Καὶ λινοζώστιος, καὶ σικύης ὀλίγον τρίψας, ἐν οἴνῳ τε καὶ μέλιτι δεύσας προστιθέναι. [392] Ἐκ τόκου καθαρτήριον λοχείων. Πυροὺς τριμηνιαίους ἐρείκειν, ὅσον ἥμισυ χοίνικος, ἑψῆσαι ἐν ὕδατι κοτύλῃσι τέσσαρσιν· ὅταν δὲ ζέσῃ δὶς ἢ τρὶς διδοῦναι ῥοφῆσαι. Ἕτερον. Τῆς ἀκτῆς τὰ φύλλα ἑψήσας ἐν ὕδατι, ἐπιχέαι, καὶ πίνειν. τρωγέτω δὲ καὶ κράμβας ἑφθὰς, καὶ πράσα, καὶ μάραθον, καὶ ἄννησον, που-

CAPVT LXXVIII.

De medicamentis præstantioribus, lochia puerperæ purgantibus.

MEdicamentum puerperæ lochia melius repurgans. *Testudinis marinæ adhuc viuentis iecur recens, in lacte muliebri tritũ, vnguento irino & vino subactũ subdito. Aut mercurialẽ tritam in lana subdito. Aut artemisiam tritam similiter in lana supponito. Aut mercurialis & cucumeris agrestis modicũ tritũ, vino & melle subactũ, in pesso admoueto.* Lochia ex partu expurgans. *Triticũ trimestre detracto cortice fractũ ad dimidiã chœnicẽ in aquæ heminis quatuor coquito; quum autẽ deferbuerit, bis aut ter in sorbitione exhibeto.* Aliud. *Sambuci folijs in aqua decoctis, aquâ in potũ fundito, ac propinato. Brassicas etiã coctas edat, porra, fœniculum, anisum,*

anisum, polypos, & carabos. Aut rhois folia, & erysimū ex vino, polentā aspersā in potum dato. Aut misy, duorū obolorum pondus, tritum, ex vino maceratum, subdito.

λύποδας, καὶ καράβους. Ἢ τοῦ ῥοῦ τὰ φύλλα, καὶ ἐρύσιμον ἐν οἴνῳ, [393] ἄλφιτα παλύνων, δοῦναι πίνειν. [394] Ἢ μίσυ, ὅσον δύο ὀβολούς, τρίψας ἐν οἴνῳ, φρύξας προστιθέναι.

CAPVT LXXIX.

Quæ purgationem tum menstruorum, tum lochiorum, etiam aquarum, promouent remedia.

HOc menses & lochia precipuè expurgat, aquam etiam & alia educit. *Struthij radicem læuiter contusam, ad pugillum vnum, melle subactam supponito. Producitur autem præcipuè in Andri insulæ littoribus.* Aliud quod similiter purgat. *Erysimum in aqua coquito, & vbi efferbuerit, oleum affundito & refrigerato, ex eóque suffitum adhibeto. Conducit etiam succum* adhibere, *& mollibus cibis vti.* Lochia purgat. *Erysimum leniter terito, & corticem flatu expellito; quum autem purum feceris, ad læuorem terito, & instillatâ aquâ salem & oleum admisceto, & farinâ aspersâ decoquito, & sorbendum dato. Si menstrua purgatio deorsùm non feratur, aut puerperialis substiterit. Cucumeris agrestis interiorem partem ad tres obolos sumito, artemisiæ herbæ & thuris obolum, hæc trita, & melle admixto lanâ inuoluta ad vteri osculum apponito, idque noctu semper & interdiù per dies quinque facito.* Aut *vitis pampinum recentem tritum, cum melle mixtum, lanâ inuolutum, eodem modo supponito.* Aut *cupressi fructum & thus tritum, simulque rosaceo & melle subactum, lanâ conuolutum subdito.* Aut *abrotoni drachmam, & cucumeris agrestis interiorem partem oboli pondere, trita, & thus cum melle, lanâ conuoluta in pesso subijcito.* Aut *elaterij obolum, & myrrhæ* tantúndem, *ex melle trita, lanâ conuoluta apponat.* Aut *cupressi fructum, & cucumeris agrestis interiorem partem, & thus, cum melle mixta, lanâ obuoluta subdat.*

ΚΕΦΑΛΑΙΟΝ ΟΘ'.

Τὰ τὴν τῶν καταμηνίων τε καὶ λοχείων καὶ τοῦ ὕδατος κάθαρσιν ποιοῦντα φάρμακα.

ΚΑθαρτήριον ἐπιμηνίων, καὶ λοχείων μάλιστα, καὶ ὕδωρ ἄγει, καὶ τὰ ἄλλα. Στρουθίου ῥίζαν λείως κεκομμένου, ὅσον τοῖσι τρισὶ δακτύλοισιν, ἐν μέλιτι δεύσας, προσθεῖναι. Φύεται δέ, οἶδα τὸ ἐν Ἄνδρῳ ἐν τοῖσιν αἰγιαλοῖσιν. Ἕτερον καθαρτήριον ὁμοίως. Ἐρύσιμον ἕψειν ἐν ὕδατι, καὶ ἐπιχέειν ἔλαιον ὅταν ἀναβλύῃ, [394] καὶ ψύχειν, καὶ ὑποθυμιῆν· ἀγαθὸν δὲ καὶ τὸν χυλόν· καὶ σιτίοισι μαλθακοῖσι [395] χρῆσθαι. Λοχεῖα καθαίρει. Ἐρύσιμον τρίβε ἡσύχως, καὶ ἀναφυσᾶν θέλε τὸ κέλυφος· ὅταν δὲ καθαρὸν ποιήσῃς, τρίβειν λείως, καὶ ὕδωρ παραστάζειν, καὶ ἅλας, καὶ ἔλαιον μίσγειν, ὅταν [396] ἐπιπάσῃς ἄλητα, ἕψε, καὶ ῥοφείτω. Ἢν μὴ κατίῃ κάθαρσις, ἢ λοχεῖα μὴ γίνηται, λαβὼν σικύης ἐντεριώνης ὅσον τριώβολον, καὶ ἀρτεμισίης ποίης, καὶ λιβανωτοῦ ὅσον ὀβολόν, τρίψας καὶ ἐν μέλιτι μίξας, ἐς εἴριον ἐνελίξας, πρόσθες πρὸς τὸ στόμα τῆς μήτρης, νυκτὸς ἀεὶ καὶ ἡμέρης ἄχρις ἡμερῶν πέντε τοῦτο ποιέειν. Ἢ τὸ ἀμπέλιον τρίβειν χλωρόν, καὶ μέλιτι μίσγων, ἐς εἴριον ἐνελίξας, προστιθέναι τὸν αὐτὸν τρόπον. Ἢ τῆς κυπαρίσσου τὸν καρπόν, καὶ λιβανωτὸν τρίψας, ἐν τῷ αὐτῷ ῥοδίνῳ διεὶς καὶ μέλιτι, ἐς εἴριον ἐνελίξας, προστιθέσθω. Ἢ ἀβρότονον ὅσον δραχμήν, καὶ σικύης ἐντεριώνης ὅσον ὀβολὸν τρίψας, καὶ λίβανον ἐν μέλιτι, ἐς εἴριον ἐνελίξας προστιθέναι. Ἢ ἐλατηρίου ὀβολόν, καὶ σμύρνης, τρίψας ἐν μέλιτι, ἐς εἴριον ἐνελίξας προστιθέσθω. Ἢ κυπαρίσσου καρπὸν καὶ σικύης ἐντεριώνης, καὶ λιβανωτόν, μέλιτι μίξας, ἐν εἰρίῳ προστιθέσθω.

CAPVT LXXX.

Medicamenta tum lochiorum, tum menstruorum purgationem, & fœtûs ac sanguinis relicti post fœtum exclusionem promouentia.

MEdicamentum purgans, si ex partu non purgetur. *Trifolium ex vino albo potui exhibendum. Idem etiam subditum menses erumpere efficit, & fœtum expellit.* Vteros purgans, quum mortuo puero sanguis intùs remanserit. *Cucumerem agrestem tritū ex melle delingat, aut apponat.* Ad omnē puerperii purgationem, si non probè prodeat. *Erysimum affusâ polentâ & oleo coquito, vbi decoctum fuerit, sorbeat, & cibis quàm mollissimis vtatur.* Aut *scammonium ex lacte muliebri tritum, ac lanâ exceptum, subdito.* Aut *glycyrrhizam melle subactā cum vnguēto rosaceo aut Ægyptio, in vellere supponat.* Aut *farinā lotam similiter apponat. Bibat autem crethmi semē, & seseleos, acrutę semē, aut succū, ita vt vtriusq; obolos duos simul tritos ex vino meraco exhibeas, si non febricitet.*

ΚΕΦΑΛΑΙΟΝ Π'.

Φάρμακα τὴν τῶν λοχείων τε καὶ τῶν καταμηνίων κάθαρσιν, καὶ τὴν τοῦ ἐμβρύου τε καὶ τοῦ αἵματος μετὰ τὸ παιδίον ἐμμένοντος ἔκλυσιν κινοῦντα.

ΚΑθαρτήριον, ἢν ἐκ τόκου μὴ καθαρθῇ. Τοῦ τριφύλλου ἐν οἴνῳ λευκῷ πίνειν· καὶ τὰ καταμήνια καταρρήγνυσι τὸ αὐτὸ καὶ προσθετόν, καὶ ἔμβρυον ἐκβάλλει. Μητρέων καθαρτικόν, ὅταν τοῦ παιδίου ἀποθανόντος αἷμα ἐμμείνῃ. Κολοκυντίδα ἀγρίην τρίψας, ἐν μέλιτι λειχέτω, ἢ προστιθέσθω. Λοχείης πάσης, ἢν μὴ καλῶς ἴῃ. Ἐρύσιμον ἕψειν, καὶ ἄλφιτον καὶ ἔλαιον ἐπιχέας, ἔπειτα ἢν ἑφθόν, ῥοφεέτω, καὶ σιτίοισιν ὡς μαλθακωτάτοισι χρεέσθω. Ἢ σκαμμωνίην τρίψας ἐν γάλακτι γυναικείῳ, εἰρίῳ ἀνασπογγίσας, προσθεῖναι. [397] Ἢ τῆς γλυκυρρίζης μέλιτι δεύσας καὶ ῥοδίνῳ μύρῳ ἢ Αἰγυπτίῳ, ἐν εἰρίῳ προσθέσθω. [398] Ἢ ἄλητον πλυτὸν ὁμοίως προστιθέσθω. πινέτω δὲ κρήθμου καρπόν, καὶ σεσέλιος, πηγάνου καρπόν, [402] ὀπόν, ἑκάστου ὀβολοὺς δύο τρίβειν ὁμοῦ, καὶ ἐν ἀκρήτῳ ἢν μὴ πυρεταίνῃ, διδόναι.

A

ΚΕΦΑΛΑΙΟΝ ΠΑʹ.

Φάρμακα τῶν δευτέρων καὶ ἐμβρύων ἀπολελειμμένων τε καὶ ἀποπλήκτων ἐκβόλια, μηναγωγά τε καὶ εὐτοκίας πειρατήρια.

ΠΡοσθετὸν ἐκβάλλον χορίον [399] ἀπολελειμμένον. Τῆς ἀκτῆς τὸ φύλλον προσπυριῶν δὲ, καὶ προστιθέναι τὸ ξὺν τῇ κανθαρίδι. τοῦτο καὶ ὅσα ἠπεδανὰ ἰᾶται· ἢν δὲ ἀμύσσηται, καὶ δάκνῃ, αὐτίκα ἀφαιρέειν, καὶ ἐς ῥόδινον εἴριον ἀποβάπτουσα, προσθέσθω. Προσθετὸν δυνάμενον χορίον ἐξαγαγεῖν, καὶ ἐπιμήνια καταστάσαι, καὶ ἔμβρυον ἀπόπληκτον. Κανθαρίδας πέντε, ἀποτίλας τὰ πτερὰ, καὶ τὰ σκέλεα, καὶ τὴν κεφαλὴν, εἶτα τρίβολον θαλάσσιον κόψας σὺν τῇ ῥίζῃ καὶ τοῖσι φύλλοισιν, ὅσον κόγχην, [400] καὶ τὸ ἀνθέμιον, καὶ σελίνου σπέρμα τὸ ἴσον, καὶ σηπίης ὠὰ πεντεκαίδεκα, ἐπ' οἴνῳ γλυκεῖ κεχρημένῳ, [401] προσθεῖναι· καὶ ἐπὴν ὀδύνην ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω, καὶ μελίκρητον ὑδαρὲς πινέτω, καὶ οἶνον γλυκύν· [404] καὶ τοῦ τετριμμένου ὅσον στατῆρα Αἰγιναῖον ἐν οἴνῳ πίνειν γλυκεῖ. ἐπὴν δὲ ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους, καὶ σταφίδας ἑψήσας ἐν ὕδατι, ψύξαι, καὶ διδόναι πίνειν, ὅταν ἡ στραγγουρίη ἔχῃ, καὶ ἐν ὕδατι χλιαρῷ ἐγκαθήσθω. Ἐκβόλιον ὑστέρων. Σικύου ἀγρίου τὸν ὀπὸν [405] ὡς μαζίον ἐμπλάσασα, προστιθέναι, προνηστεύσασα ἐπὶ δύο ἡμέρας. οὐκ ἂν εὕροις τούτου ἄμεινον. Πειρητήριον. Μώλυζαν [406] σκορόδου ἀποζέσας, προσθεῖναι ὥρην. Ἕτερον πειρητήριον. Νέτωπον ὀλίγον εἰρίῳ ἐνελίξας, προσθεῖναι, καὶ ὁρῆν, εἰ διὰ τοῦ στόματος ὄζηται.

CAPVT LXXXI.

Medicamenta, quæ eijciunt ſecundas ac fœtus tum relictos, tum ſideratos; menſes purgant, & fœcunditatem explorant.

SVbdititium ſecundas relictas eiiciens. *Priùs autem ex decocto foliorum ſambuci fomentum admoueto, & ſubdititium ex cantharide ſubijcito. Hoc debilibus medetur. Quòd ſi vellicet ac mordeat, eo confeſtim ablato, lanam roſaceo intinctam ſubdat.* Subdititium quod ſecundas educere valet, ac menſes, fœtumque ſideratum detrahere. *Cantharidas quinque, alis auulſis, cruribus & capite; deinde tribulum marinum cum radice & folijs contuſum ad conchæ menſuram, & chamæmeli, & ſeminis apij tantúndem, & ſepiæ oua quindecim, ex vino dulci diluto, in peſſo ſubdito. Quumque dolor detinuerit, in aquâ calidâ deſideat, & aquam mulſam aquoſam & vinum dulce bibat. Quinetiam eius contriti ſtaterem Æginenſem ex vino dulci propinato. Quòd ſi dolor detinuerit, cicera alba, & vuas paſſas in aqua coquito, refrigerato, ac potui dato; vbi ſtranguria vexarit, etiam in aqua tepida deſideat.* Hoc ſecundas expellit. *Cucumeris agreſtis ſuccum in mazam ſubactum apponito, vbi priùs biduum ieiunarit. Hoc non inueneris præſtantius.* Ad explorandam fœcunditatem. *Allij caput decoctum, per horam ſubdito.* Aliud fœcunditatem explorans. *Netopi modicum lanâ conuolutum ſubdito, & videto an per os oleat.*

ΚΕΦΑΛΑΙΟΝ ΠΒʹ.

Προσθετὰ τῶν χορίων καταστατικά.

ΠΡόσθετα. Σκορπίου θαλασσίου τὴν χολὴν ἐν εἰρίῳ θεὶς, καὶ ξηράνας ἐν σκιῇ, προσθεῖναι. Ἢ γλήχωνα ξηράνας, καὶ ἐν μέλιτι δεύσας, ἐν εἰρίῳ προστιθέναι. Ἢ ἄνθος χαλκοῦ ἐν μέλιτι, ἐς ὀθόνιον ἐνδήσας, προσθεῖναι. Ἢ σικύου σπέρμα, [407] καὶ ὄστρακον κατακαύσας, ἐν οἴνῳ τε δεύσας, ἐν λαγῳῇσι θριξὶν καὶ εἰρίῳ προστιθέναι. Ἄλλο προσθετόν. Στυπτηρίην Αἰγυπτίην ἐν εἰρίῳ κατελίξας, προσθεῖναι. Ἢ κανθαρίδας τρίψας, οἴνῳ τε δεύσας, [408] προσθεῖναι. Ἢ τὴν ἀρτεμισίην ποίην οἴνῳ δεύσας, προσθεῖναι. Ἢ μελάνθιον τρίψας ἐν οἴνῳ, ἐν εἰρίῳ προσθεῖναι. Ἢ βόλβιον τὸ ἐκ τῶν πυρῶν τρίψας, ἐν οἴνῳ τε δεύσας, [409] προσθεῖναι. Ἢ οἴνου παλαιοῦ λευκοῦ τὴν τρύγα κατακαῦσαι, καὶ κατασβέσαι οἴνῳ λευκῷ, καὶ τρίψαι, καὶ προσθεῖναι ἐν ὀθονίῳ. Ἢ χαλβάνην καὶ νέτωπον, καὶ μίσυ, ἐν ῥοδίνῳ μύρῳ ἐν ὀθονίῳ. Ἄλλο προσθετόν. Ἐλατηρίου δύο πόσιας, καὶ κηρίον ἐν οἴνῳ δι' ὀθονίου προσθεῖναι. Ἢ βούτυρον καὶ στυπτηρίην μέλιτι δεύσας, ὁμοίως. Ἢ ὀπὸν σκαμμωνίης, καὶ στέαρ ἐν μάζῃ ξυμμίξας, οἴνῳ τε δεύσας, [410] δι' ὀθονίου προσάγειν.

CAPVT LXXXII.

Peſſaria ſecundas euocantia.

SVbdititia medicamenta. *Fel ſcorpij marini lanâ exceptum, & in vmbra ſiccatum, ſubdito.* Aut *pulegium ſiccatum & melle ſubactum, in lana ſubdito.* Aut *æris florem cum melle, linteo illigatum, ſubdito.* Aut *cucumeris agreſtis ſemen, & teſtam combuſtam, vino imbutam, in pilis leporis & lana ſupponito.* Aliud ſubdititium. *Alumen Ægyptium lanâ inuolutum, apponito.* Aut *cantharidas tritas, vinóque ſubactas ſupponito.* Aut *artemiſiam herbam vino maceratam apponito.* Aut *melanthium ex vino contritum, in lanâ ſubdito.* Aut *bulbulum ex tritico, tritum, vinoque maceratum ſupponito.* Aut *vini albi veteris fæcem combuſtam, vinoque albo extinctam, & tritam, in linteo ſupponito.* Aut *galbanum & netopum, & miſy ex vnguento roſaceo in linteo* ſubdito. Aliud ſubdititium. *Elaterij duas potiones, & fauum ex vino in linteo ſubbdito.* Aut *butyrum & alumen melle ſubactum, eodem modo.* Aut *ſcammonij ſuccum & adipem in mazam commixta, vinóque ſubacta, ex linteo introducito.*

CAPVT

A

CAPVT LXXXIII.

Potiones, quibus fœtus & secundæ remorantes, etiam lochia & menstrua educuntur.

POtiones quæ secundas vtero detentas educendi vim habent. *Colocynthidis agrestis partem interiorem ex lacte muliebri tritam, in linteo subdito.* Ad idem. *Silphium fabæ quantitate ex vino propinato.* Aliud fœtum etiam excludens. *Mulierem sub axillis comprehensam vehementer concutito; in potu verò, agni casti folia ex vino dato, aut dictamni Cretici obolum ex aqua tritum exhibeto.* Aut *conyzæ fœtidæ manipulum porri succo dilutum, netopo ad plenæ chemæ mensuram addito, hæc leuiter trita ex vino propinato.* Aut *tedam pinguissimam vino dulci ad tres cyathos affuso decoquito, addito galbano ad tres obolos & myrrhâ; decoctum, vbi crassitudinem acceperit, tepidum potui exhibeto.* Aut *porri succum & myrrham, cum vino dulci simul* dato. Aut *portulacæ semen terito; ex vino autem albo veteri exhibeto.* Aut *populi nigræ Creticæ grana nouem trita, ex vino* nigro *bibat.* Aut *ranunculi herbæ folia, & floris triti drachmæ Æginensis pondus, ex vino dulci bibat.* Quòd *si secunda adhuc intus adhæserit, exuuiarum anguis obolum ex vino tritum propinato.* Aut *apij radicem, & myrti baccas decoctas, per dies quatuor potet.* Aut *cuminum Æthiopicum & castorium oboli pondere, & cãtharidis parùm, hæc ex vino bibenda dato.* Aut *fœniculi radicem ex vino cum oleo & melle feruefactam, propinato. Si secunda non decedat, conyzam tritam in lana subijcito, bibere autem præstat.* Aut *conyzæ quantùm manus capit, porri succo, & netopo conchæ maioris quantitate admixto, hæc ex vino bibat.* Hoc secundam educit, menses euocat, & fœtum imperfectum extrahit. *Cantharidas quinque, alis, cruribus, & capite auulsis, deinde tribuli marini cum radice & folijs contusi conchæ quantitatem, & chamæmelum recens tritum, æquali copiâ, apij semen, & oua sepiæ quindecim, hæc omnia ex vino dulci diluto permixta, quum dolor detinuerit, potui exhibenda. Quinetiam in aqua calida desideat, aquam verò mulsam dilutam, & vinum dulce album bibat.* Secundam expellere valet. *Holoconitidos dulcis radix (est autem vt bulbus, parua, velut oliua) hanc ex vino tritam potui exhibeto; quæ si exigua quidem fuerit, duæ exhibendæ, sin maiuscula, vna satis est. Ex seminibus autem cuminum Æthiopicum, & seseli Massiliense admisceto.* Aut *folium Libycum, siccum, ad dimidiam chœnicem ex vini cyathis tribus decoquito, ex eo ad dimidias decocto bibat.* Aliud. *Viticis semen, seseleos æqualem portionem, & myrrham, simul trita ex aqua potui exhibeto.* Fœtus expellentia. *Agnum album recentem acetabuli quantitate, ex vino albo grati odoris leuiter tritum potui exhibeto.* Aliud. *Castorij aut sagapeni obolum, bituminis drachmam vnam,*

ΚΕΦΑΛΑΙΟΝ ΠΓ'.

Ποτὰ τὰ τὸ χορίον τε καὶ τὸ παιδίον, καὶ τὰ λοχεῖα, καὶ τὰ καταμήνια ἐπισχεθέντα ἐξαγαγεῖν δυνάμενα.

ΠΟτὰ δυνάμενα χορίον τι κρατηθὲν ἐν τῇ μήτρῃ ἐξαγαγεῖν. Κολοκυνθίδος ἀγρίης τρίψας τὸ ἔνδον ἐν γάλακτι γυναικείῳ, ἐν ὀθονίῳ προστιθέσθω.[412] Ἐπὶ τοῦ αὐτοῦ. Σίλφιον ὅσον κύαμον ἐν οἴνῳ διδόναι πίνειν. Ἕτερον ἐκβόλιον. Ὑπὸ τὰς μασχάλας λαβὼν, σείειν ἰσχυρῶς· ποτὰ δὲ διδόναι, ἄγνου πέταλα ἐν οἴνῳ, ἢ δίκταμνον Κρητικὸν ὅσον ὀβολὸν ἐν ὕδατι τρίβειν, καὶ διδόναι. Ἢ κονύζης τῆς δυσόσμου, ὅσον χεῖρα πλείω, διεῖναι πράσου χυλῷ, καὶ νέτωπον[413] ὅσον χήμην ἁδρὴν, ταῦτα ἐν οἴνῳ δοῦναι πιεῖν, τρίψαντα λεῖα. Ἢ δᾷδα πιοτάτην ξὺν γλυκεῖ οἴνῳ ἕψειν, ἐπιχέας ὅσον τρεῖς κυάθους, καὶ χαλβάνην ὅσον τριώβολον, καὶ σμύρνην ἑψήσας, ἐπειδὰν παχὺ γένηται, δὸς πιεῖν χλιαρόν.[414] Ἢ πράσου χυλὸν, καὶ σμύρνην, καὶ οἶνον γλυκὺν ὁμοῦ. Ἢ ἀνδράχνης καρπὸν λέαινε, δίδου δὲ ἐν οἴνῳ λευκῷ παλαιῷ. Ἢ αἰγείρου Κρητικῆς κόκκους ἐννέα τρίψας, ἐν οἴνῳ πινέτω. Ἢ βατραχίου βοτάνης ἐκ τῶν φύλλων, καὶ τοῦ ἄνθεος τετριμμένου, ὅσον δραχμὴν Αἰγιναίην, ἐν οἴνῳ πίνειν γλυκεῖ. Ἢν δὲ ἔτι ἐνέχηται τὸ χορίον, λεβηρίδος ὅσον ὀβολὸν τρίβειν ἐν οἴνῳ, καὶ πίσαι. Ἢ σελίνου ῥίζαν, καὶ μύρτα ἑψέτω, πίνειν δὲ ἡμέρας τέσσαρας. Ἢ κύμινον Αἰθιοπικὸν, καὶ τὸ καστόριον, ὁκόσον ὀβολὸν, καὶ κανθαρίδος μικρὸν, ταῦτα ἐν οἴνῳ διδόναι πίνειν. Ἢ μαράθου ῥίζαν ἐν οἴνῳ καὶ ἐλαίῳ καὶ μέλιτι ἀναζέσαντα, πιπίσκειν. Ἢν δὲ χορίον μὴ ὑποχωρέῃ, κόνυζαν τρίψας, ἐν εἰρίῳ προσθέτω· πίνειν δὲ ἄμεινον. Ἢ κονύζης ὅσον χανδάνει ἡ χεὶρ, πράσου τε χυλὸν, καὶ νέτωπον ξυμμίξαι ὅσον χηραμίδα, ταῦτα ἐν οἴνῳ πινέτω. Χορίον ἐξάγει, καὶ ἐπιμήνια καταστᾷ, καὶ τὸ ἔμβρυον ἡμίεργον ἕλκει. Κανθαρίδας πέντε, ἀποτίλας τὰ πτερὰ, καὶ τὰ σκέλεα, καὶ τὴν κεφαλὴν, εἶτα τρίβολον τὸν παραθαλάσσιον κόψας ξὺν τῇ ῥίζῃ καὶ τοῖσι φύλλοισιν, ὅσον κόγχην, καὶ τὸ ἀνθέμιον τὸ χλωρὸν τρίψον, ἴσον πλῆθος, καὶ σελίνου σπέρμα, καὶ σηπίης ᾠὰ πεντεκαίδεκα, ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ ταῦτα ὁμοῦ, καὶ ἐπειδὰν ὀδύνη ἔχῃ, πίνειν· καὶ ἐν ὕδατι θερμῷ ἐγκαθιζέσθω, πινέτω δὲ μελίκρητον ὑδαρὲς, καὶ γλυκὺν οἶνον λευκόν. Ὑστέρην δύναται ἐκβάλλειν. Ὁλοκωνίτιδος τῆς γλυκείης ῥίζαν (ἔστι δὲ, ὡς βολβὸς, σμικρὸν δὲ ὡς ἐλαίη) ταύτην τρίβειν ἐν οἴνῳ, καὶ διδόναι πίνειν· ἢν μὲν ᾖ σμικρὰ, δύο, ἢν δὲ μείζω, μία ἀρκεῖ. παραμίσγειν δὲ τῶν σπερμάτων, κύμινον Αἰθιοπικὸν, καὶ σέσελι Μασσαλιωτικόν. Ἢ φύλλον τὸ Λιβυκὸν, ξηρὸν, ἡμιχοίνικον σὺν οἴνου κοτύλῃσι τρισὶν ἕψειν, καὶ ἄγειν ἐς τὸ ἥμισυ, καὶ ἀπὸ τούτου πινέτω.[415] Ἄλλο. Λύγου καρπὸν, σεσέλιος ἴσον,[416] σμύρνης, τρίβειν ὁμοῦ, καὶ σὺν ὕδατι διδόναι πίνειν.[417] Ἐκβόλια. Ἀγνοῦ λευκῆς νέης ὅσον ὀξύβαφον, ἐν οἴνῳ λευκῷ εὐώδει δὸς πιεῖν, τρίψας λεῖον. Ἕτερον. Καστορίου, ἢ σαγαπηνοῦ ὀβολὸν, ἀσφάλτου δραχμὴν μίαν,

νίτρου δύο, πάντα τρίψας ἐν γλυκεῖ οἴνῳ, καὶ ἐλαίου ὅσον ἡμικοτύλιον, δὸς πιεῖν νήστει ὀβολοὺς δύο, καὶ λοῦσον θερμῷ καλῶς. Ἄλλο ὁμοίως ἔχον. Ἐχίνους θαλασσίους τρεῖς τρίψας ὅλους λείους ἐν οἴνῳ εὐώδει, δὸς πιεῖν. Ἄλλο. Μίνθης δεσμίδα μικρὴν, καὶ πηγάνου, καὶ κοριάνου, καὶ κέδρου, ἢ κυπαρίσσου σπέρμα, ἐν οἴνῳ εὐώδει δὸς πιεῖν. Καὶ τῶν ἐχίνων, ἢν ἔχῃ, ῥοφεέτω ἐπὶ τὸ πλεῖστον ὡσαύτως ἔπειτα λοῦσον θερμῷ. Ἄλλο ὁμοίως. Ἄννησον, κεδρίδας, σελίνου καρπὸν, Αἰθιοπικὸν κύμινον, σέσελι, ἑκάστου ἥμισυ ὀξυβάφου, δὸς ἐκπιεῖν, οἴνῳ λευκῷ τρίψας λεῖον. Ἄλλο ὁμοίως. Δικτάμνου δεσμίδα, καὶ δαύκου καρποῦ δραχμὰς δύο, καὶ μελανθίου ἴσον ἐν οἴνῳ λευκῷ, τρίψας λεῖον, δὸς πιεῖν, καὶ λοῦσον θερμῷ πολλῷ. διδόναι δὲ πρὸς τὴν ἰσχὺν [418] τοῦ νοσήματος. Ἄλλο. Χαλβάνην ὅσον ἐλαίην τρίψας ἐν κεδρίνῳ ἐλαίῳ, προσθέσθω. τοῦτο δύναται διαφθείρειν, καὶ ἐκβάλλειν [419] τὸ χορίον. Ἄλλο ἐκβόλιον ἔγχυτον ὑστερέων. Ὅταν σαπῇ νεκρωθὲν ὑπὸ ψύχεος, ὅταν ἄνεμος ψυχρὸς ᾖ, κρόκον τρίψας λεῖον, ὅσον δραχμὴν ὁλκὴν, ἐν στέατι χηνὸς ἐγχέαι, καὶ ἐᾶν ὡς πλεῖστον χρόνον. Ποτὸν συμβάλλον πρὸς τόδε καλῶς. [420] Κόνυζαν τὴν ἡδύοσμον τρίψας λείην, ἐν οἴνῳ εὐώδει, ἢ ἐν συρμαίῃ δοῦναι πιεῖν, καὶ λούειν θερμῷ. Ἄλλο ὁμοίως ποτὸν τοῦ παιδίου καὶ τῶν ἐνόντων κακῶν. Ἰὸν χαλκοῦ ξυντρίψας ξὺν μέλιτι, καὶ συρμαίῃ, δὸς πιεῖν.

nitri duas, hæc omnia ex vino dulci trita, *&* olei heminâ dimidiâ, ieiunæ ad duos obolos bibenda exhibeto, *&* calidâ probè lauato. Aliud easdem habens vires. *Echinos marinos tres integros ex vino grati odoris leuiter tritos, potui dato.* Aliud. *Menthæ paruum fasciculum, rutæ, coriandri, & cedri aut cupressi semen, ex vino odorato potui exhibeto. Et ex herinaceis si habuerit, plurimùm sorbeat; ad eundem deinde modum calidâ lauet.* Aliud eodem modo. *Anisum, cedri baccas, apij semen, cuminum Æthiopicum, seseli, cuiusque acetabuli dimidium, ex vino albo leuiter tritum bibendum dato.* Aliud similiter faciens. *Dictamni fasciculum, seminis dauci drachmas duas, & melanthij tantundem, ex vino albo leuiter tritum potui exhibeto, & calidâ multâ lauato. Danda autem hæc ad vim morbi.* Aliud. *Galbanũ oliuæ magnitudine ex oleo cedrino tritũ subdito. Hoc fœtũ perdere, & secundas morantes detrahere valet.* Aliud quod vteris infusũ secundas eiicit. *Quũ fœtus ex frigore mortuus cõputruerit, vbi vẽtus frigidus fuerit, crocũ leuiter tritũ drachmę põdere, ex anserino adipe in vterũ infundito, ibiq; diutissimè sinito.* Potio ad id probè conducens. *Conyzã suaueolentẽ leuiter tritã, ex vino odorato aut syrmæa potui exhibeto, & calidâ lauato.* Alia similis potio ad puerum & vitia intus existentia. *Æruginẽ tritã cum melle & syrmæa potui exhibeto.*

ΚΕΦΑΛΑΙΟΝ ΓΔ'.

Ἄλλα πρόσθετά τε καὶ θυμιάματα τοῦ παιδίου ἀποθανόντος καὶ τοῦ τῆς ὑστέρας αἵματος ἐκβόλια.

Ἄλλο πρόσθετον ἐκβόλιον, ἢν ἀποθνήσκῃ. Χαλκοῦ ῥινήματα ἐνθεὶς ἐς ὀθόνιον μαλθακὸν, πρόσθες πρὸς τὸ στόμα τῶν μητρέων, καὶ ὠφελήσεις. Ἐκβόλιον πρόσθετον, ἢν ἐναποθνήσκῃ. Ὄστρακον νέον, καὶ στέαρ χήνειον τρίψασα, προσθέσθω. Ἄλλο πρόσθετον. Νίτρον ἑψήσας ξὺν ῥητίνῃ, καὶ ποιήσας βάλανον, βάψας ἐς ὄρνιθος στέαρ, προσθεῖναι. Ἄλλο πρόσθετον. Χάριεν τὸ ἐπονομαζόμενον, τούτου ῥίζαν πρὸς τὸν ὀμφαλὸν πρόσθες μὴ πουλὺν χρόνον. Ἄλλο. Ἀγρίην κολοκύντην, καὶ μυῶν ἀπόπατον τρίψας λεῖα, προστιθέναι. Ἄλλο ἐπίδετον. Ῥητίνην καὶ στέαρ ὄρνιθος τρίψας ἅμα καὶ μίξας, ἐπιδησάσθω ἐπὶ τὸν ὀμφαλὸν, καὶ τὴν γαστέρα. Ἄλλο πρόσθετον. Τοῦ κισσοῦ τοῦ λευκοῦ τὸν καρπὸν, καὶ κέδρου πρίσμα τρίψασα, καὶ βαλάνια ποιήσασα, προστιθέσθω. Ἄλλο. Χελώνης θαλασσίης τὸν ἐγκέφαλον, καὶ Αἰγύπτιον κρόκον, καὶ ἅλας Αἰγύπτιον, τρίψας καὶ ξυμμίξας, ποιεῖν βαλάνους, καὶ προστιθέσθω. Ἐκβόλιον θυμίαμα, δυνάμενον καὶ αἷμα γαστρὸς ἐξελαύνειν. Ἰτέης φύλλα ἐπὶ πῦρ ἐπιθεὶς, θυμιῆν, καὶ περικαθίσας τὴν γυναῖκα, ἐᾶν ἄχρις ἂν ὁ καπνὸς ἐς τὴν μήτρην εἰσίῃ.

CAPVT LXXXIV.

Alia subdititia ac suffimenta fœtum mortuum & vteri sanguinem educentia.

Aliud subdititium fœtum mortuum expellens. *Æris ramenta molli linteo excepta, ad os vteri apponito, & iuuabis.* Aliud pessarium, fœtum, si interierit, excludens. *Testam recentem cum adipe anserino tritam sibi supponat.* Aliud subdititium. *Nitrum cum resina decoctum, in glandem efformatum, gallinaceo adipe intinctum, subdito.* Aliud subdititium. *Charien nuncupatur* herba; *huius radicem non longo tempore ad vmbilicũ admoueto.* Aliud. *Cucurbitam agrestem, & murium stercus, leuiter contrita apponito.* Aliud quod alligatur. *Resinam & gallinaceum adipem simul trita & mixta ad vmbilicum & ventrem alliget.* Aliud subdititium. *Hederæ albæ fructum, & cedri scobem tritam & in glandulas efformatam sibi supponat.* Aliud. *Testudinis marinæ cerebrum cum croco Ægyptio, & sale Ægyptio tritum & commixtum in glandes formatum supponat.* Suffitus fœtum eiicere & ventris sanguinem educere valens. *Salicis folia in ignem coniecta suffito, & circumlocatam mulierem sinito, quoad fumus ad vterum penetrarit.*

ΚΕΦΑΛΑΙΟΝ ΠΕ'.

Πόματα, καὶ πρόσθετα, καὶ ἔγχυτα τικτούσῃ γυναικὶ βοηθητικὰ, καὶ ἐκβόλια τοῦ παιδίου θανόντος ἢ ἀκινήτου.

Περὶ ἰάσιος ἐκτρωσμοῦ. Ὅταν ἡ γυνὴ ἐκτρώσῃ, καὶ τὸ παιδίον μὴ ἐξίῃ, ἤν τε σαπῇ, καὶ οἰδήσῃ,

CAPVT LXXXV.

Pocula, subdititia, infusa parientem mulierem iuuãtia, fœtum mortuũ aut immobilem expellentia.

De abortûs curatione. *Quum mulier abortionem fecerit, neque puer exierit, siue computruerit, ac intumuerit,*

ac intumuerit, siue aliud quid tale subierit; porri & apij succum ex vtrisque collectum, & per linteum expressum, olei rosacei heminam, adipis anserini quadrantem, resinæ obolos tres in oleo liquatos, hæc omnia, *muliere ad pedes altiore factâ, in vterum infundito, ac decumbens quàm diutissimè detineat; deinde per quatuor dies in sella collocato, & puer putrefactus foras prodit. Sin minùs, salem Ægyptium sumito, & cucurbitam agrestem viridem, ex melle commixtam & tritam, edendam præbeto; & postquàm ederit, in hanc & illam partem commoueatur.* Fœtum eiiciens. *Salem Ægyptium, & muscerdam, cucurbitam agrestem, mellis semicocti quadrante affuso, resinæ drachmam vnam accipe, & in mel immitte & cucurbitam & muscerdam; omnibusque probè contritis, glandes efformatas ad vterum, quandiù tempestiuum videbitur, apponito.* Aliud fœtum excutiens, quod puerum sideratum eiicit. *Helxinen ex vino tritam propinato.* Alia potio eiectoria, quæ puellum sugillatum extrudit. *Radices veratri nigri tenues tritas, quantùm tribus digitis comprehendere potes, & myrrhæ fabæ quantitatem, ex vino dulci propinato.* Eiectorium. *Coriandrum cum radice & netopum subdat ac deambulet.* Infusum ad fœtum, quod puellum mortuum eiicit. *Crocum tritum affuso adipe anserino, & excolatum in vterum infundito, & quàm plurimum tempus relinquito.* Ad fœtum immobilē corrumpendum & eiiciendum. *Aluminis scissilis drachmam vnam, myrrhæ tantúndem, veratri nigri obolos tres, ex vino nigro tenuiter trita in glandulas efformato, & propiùs supponito, quoad paulatim exolutus fuerit.*

ἢ ἄλλό τι πάθη τοιοῦτον, πράσα καὶ σέλινα, ἐκθλίψας τὸν χυλὸν διὰ ῥάκεος ἀμφοτέρων, ἐπισυνάξας, καὶ κοτύλην ῥοδίνου ἐλαίου, καὶ στέαρ χηνὸς ὅσον τεταρτημόριον, ῥητίνης τε ὀβολοὺς τρεῖς καταντήξας ἐν ἐλαίῳ, καὶ ποιήσας πρὸς ποδῶν ὑψηλοτέρην, ἔγχεον ἐς τὰς μήτρας, καὶ ἐχέτω κειμένη χρόνον ὅτι πλεῖστον· ἔπειτα κάθισον ἡμέρας τέσσαρας, [422] καὶ ἐξέρχεται τὸ ἀποσαπὲν παιδίον. Ην δὲ μὴ, λαβὼν ἅλας Αἰγύπτιον, καὶ κολοκυνθίδα ἀγρίην χλωρὴν, μέλιτι μίξας, καὶ τρίψας, δοῦναι φαγεῖν· καὶ ἐπὴν φάγῃ, κινεέσθω τῇδε καὶ τῇδε. Εκβόλιον προσθετόν. Αλας Αἰγύπτιον, καὶ μυόχοδα, καὶ ἀγρίην κολοκυνθίδα, καὶ μέλιτος ὅσον τεταρτημόριον ἐπιχεῖν ἡμίεφθον, λαβὼν ῥητίνης δραχμὴν μίην, ἔμβαλε ἐς τὸ μέλι καὶ τὴν κολοκυνθίδα, καὶ τὰ μυόχοδα· συντρίψασα πάντα καλῶς, καὶ ποιήσασα βαλάνους, πρὸς τὴν μήτρην προσθέσθω, ἕως ἂν δοκέῃ καιρὸς εἶναι. [422] Ετερον ἐκβόλιον, ὃ τὸ παιδίον βλητὸν γενόμενον ἐκβάλλει. Ελξίνην ἐν οἴνῳ τρίψας πότισον. Ετερον ποτὸν [423] ἐκβολῆς, ὃ τὸ παιδίον ἐκβάλλει πελιδνόν. Τοῦ ἐκτόμου τὰς ῥίζας τρίψας λεπτὰς, καὶ τοῖσι τρισὶ δακτύλοισι, καὶ σμύρνης ὅσον κύαμον ἄρας, ἐν οἴνῳ [424] γλυκεῖ πίπισκε. Εκβόλιον. Κορίανον σὺν τῇ ῥίζῃ, καὶ νέτωπον προσθεμένη, περιπατείτω. Εγχυτον ἐμβρύου, ἢν ἀποθάνῃ παιδίον, ὥστε ἐκβάλλειν. Κρόκον τρίψας, ἐπίχεε χηνὸς ἔλαιον, καὶ διηθήσας, ἔγχεε ἐς τὰς μήτρας, καὶ [425] καταλιμπάνε ὡς πλεῖστον χρόνον. Εμβρυον ἀκίνητον φθεῖραι καὶ ἐκβάλλειν. Στυπτηρίης σχιστῆς δραχμὴν μίαν, σμύρνης ἴσον, ἐλλεβόρου μέλανος τριώβολον, τρίψας λεῖα ἐν οἴνῳ μέλανι, βαλάνια ποιέειν, καὶ προστιθέναι ἀγχοτάτω, ἄχρις ἂν κατ' ὀλίγον ἀπολυθῇ.

CAPVT LXXXVI.

De vterinis clysteribus, enatum in vtero vlcus expurgantibus.

COllutiones vteros purgantes, si ex partu aut inflammatione exulcerati fuerint. *Grossos hybernas, affusâ aquâ decoctas, excolato & deponito; deinde oleum tepidum affundito & permisceto. Duabus autem ad summum heminis colluito. Omnes verò collutiones his non ampliores infundantur. Malicorium & mannam in vino nigro austero coquito, deinde vino effuso, ex eo colluito.* Alia collutio. *Vstam vini fæcem liquefacito, & cum aquâ eâ colluito. Deinde malicorium, myrti baccas, iuncum odoratum & lentes in vino decoquito, vino diffuso, eo colluito.* Alia collutio. *Butyrum, thus, resinam, cum melle simul liquefacito, vinóque affuso, tepido colluito.* Aut *sambuci fructum in aqua decoquito, & aquâ percolatâ, apium, myrrham, anisum, thus simul terito, vinóque odorato pari cum aqua mensurâ affuso, & per linteum excolato, tepido eluito.* Aliud. *Brassicam, mercurialem, lini semen, & ipsum linum viride in aqua decoquito, eâque percolatâ eluito. Foliorum myrti acetabulum, myrrham, anisum, mel, resinam, vnguentum Ægyptium,*

ΚΕΦΑΛΑΙΟΝ Πς'.

Περὶ τῶν ὑστερικῶν κλυσμῶν τῶν ἕλκος ἐν τῇ ὑστέρᾳ ἐγγενόμενον ἐκκαθαιρόντων.

ΚΛυσμοὶ καθαρτικοὶ μητρέων, ἢν ἐκ τόκου ἑλκωθῶσι, ἢ φλεγμασίης. Ολύνθους χειμερινοὺς, ὕδωρ ἐπιχέας καὶ ζέσας, ἀφεῖναι καὶ καταστῆναι· εἶτα ἔλαιον ἐπιχέαι χλιερὸν καὶ μίξαι. κλύσαι δὲ δύο κοτύλῃσι τὸ πλεῖστον. πάντα δὲ τὰ κλύσματα [426] μὴ πλέω τούτων κλύζειν. Καὶ σιδίοισι καὶ μάννῃ, ἐν οἴνῳ μέλανι αὐστηρῷ ἑψημένῳ, εἶτα ἀποχέας τὸν οἶνον, τούτῳ κλύζε. Αλλος κλυσμός. Τρύγα οἴνου κατακαύσας, τῆξον, καὶ ἐν ὕδατι τούτῳ κλύσον· εἶτα σίδια, μύρτα, σχοῖνον εὐώδεα, φακοὺς, ἑψήσας ἐν οἴνῳ, ἀποχέας τὸν οἶνον, κλύζε. Αλλος κλυσμός. Βούτυρον, λιβανωτὸν, ῥητίνην, μέλιτι [427] τήξας ἐν τῷ αὐτῷ, οἰνόν τε ἐπιχέας, κλύζε χλιερῷ. Η ἀκτῆς καρπὸν ἑψήσας ἐν ὕδατι, ἀποχέας τὸ ὕδωρ, τρίψας ἐν τῷ αὐτῷ σέλινον, σμύρνην, ἄννησον, λιβανωτὸν, ἐπιχέας τε καὶ οἶνον ὡς εὐώδεα, ἴσον τῷ ὕδατι, διηθήσας τε δι' ὀθονίου, χλιήνας κλύσαι. Αλλο. Κράμβην, καὶ λινόζωστιν, καὶ λίνου σπέρμα, καὶ χλωρὸν τὸ λίνον ἑψήσας ἐν ὕδατι, ἀπηθήσας, κλύσαι τῷ ὕδατι. Μυρσίνης τῶν φύλλων ὀξύβαφον, σμύρνης, ἀννήσου· μέλι, ῥητίνην, μύρον Αἰγύπτιον,

τρίψας πάντα, καὶ ἑνώσας, ἐπιχέας τε οἴνου λευκοῦ ὡς δυωδεκάτου κοτύλας δύο, διηθήσας, χλιηνάς, κλύσον αὐτῷ. Η δάφνης καρπὸν, καὶ γλήχωνα ἑψήσας ἐν ὕδατι, μύρον τε ῥόδινον ἐπιχέας, τούτῳ κλύζε χλιηνάς. Η χηνὸς στέαρ τῇ ῥητίνῃ μίξας, ἐπιχέας [428] τε πρὸς τοῦτο οἶνον, καὶ χλιηνάς, κλύσαι. [429] Αλλο. Βούτυρον, καὶ κέδρινον ἔλαιον, ἐν μέλιτι ὀλίγῳ χλιήνας, κλύσον αὐτῷ. [430] Η δάφνης καρπὸν, ἢ βαλανον μέλι, βούτυρον, σχοῖνον, κάλαμον εὐώδεα, βρύον θαλάσσιον, καὶ ἑψῆσαι ἐν οἴνῳ, εἶτα ἀπηθῆσαι, καὶ οὕτω κλύσαι. Η σελίνου καρπὸν, [431] σεσέλιος, σμύρναν, ἄννησον, μελάνθιον, ἐν οἴνῳ, ἀπηθήσας τὸν οἶνον κλύσαι. Η κέδρον ἑψήσας ἐν οἴνῳ, κλύσαι τῷ οἴνῳ. Η κισσὸν ἑψήσας ἐν ὕδατι, κλύσαι τῷ ὕδατι. [432] Η ἐλατήριον, ἢ κέστρον δύο πόσιας, ἑψεῖν ἐν ὕδατι, καὶ ὅσον δύο κοτυλέων κλύσαι χλιηρῶς. Η σικύης ἐντεριώνης ὅσον δάκτυλον ἑψήσας ἐν κοτύλῃσι δύο ὕδατος, ἐπὶ δὲ ὕδωρ ἐπιχέας μέλι καὶ ἔλαιον, τούτῳ κλύσαι. Η θαψίης ῥίζης ὅσον δύο πόσιας τρίψας λεῖον, ἐπιχέας τε μέλι καὶ ἔλαιον, διεὶς ὕδατι χλιηρῷ ὅσον δυσὶ κοτύλῃσι, κλύσαι. Η ἐλλεβόρου μέλανος, ὅσον δύο πόσιας διεὶς οἴνῳ γλυκεῖ καὶ ὕδατι, κλύζειν. Η κόκκους κνιδίους ὅσον ἑξήκοντα τρίψας λείους, ἐπιχέας τε μέλι, καὶ ἔλαιον, καὶ ὕδωρ, κλύσαι.

tritis omnibus & vnitis, vinique albi quàm odoratissimi heminis duabus affusis, percolato tepido eluito. Aut *lauri baccis, & pulegio in aqua decocto, & vnguento rosaceo affuso, eo tepido eluito.* Aut *anserino adipe resinæ permixto, & ad hoc affuso vino, tepido colluito.* Aliud. *Butyrum & oleum cedrinum, in pauco melle tepefacito, ex eo eluito.* Aut *lauri baccis, aut melle, butyro, iunco & calamo odorato, muscoque marino in vinum coniectis & decoctis, deinde percolatis, sic quoque eluito.* Aut *apij semen, seseli, myrrham, anisum, melanthium, in vino* coquito, *vinum percolatum infundito.* Aut *cedro in vino decocto, vino eluito.* Aut *hederâ in aqua decoctâ, aquâ eluito.* Aut *elaterij, aut betonicæ duas potiones, in aqua coquito, & decocti duas heminas tepidè infundito.* Aut *cucumeris agrestis interiore parte ad digiti magnitudinem in aquæ duabus heminis decoctâ, affuso ad aquam melle & oleo, ex eo colluito.* Aut *radice thapsiæ, quantùm ad duas potiones satis est, læuiter tritâ, & affuso melle ac oleo, aquæ duabus heminis diluto, tepido colluito.* Aut *veratro nigro quantùm ad duas potiones satis sit, vino dulci & aquâ dissoluto, colluito.* Aut *granis cnidijs circiter sexaginta læuiter tritis, affuso melle, oleo, & aquâ, colluito.*

ΚΕΦΑΛΑΙΟΝ ΠΖ'.

Περὶ κλυσμῶν ὑστερικῶν ἢν ἕλκη ᾖ καθαρὰ, ἢ καὶ ἀκάθαρτα, ἢ παλαιὰ, ἢ μετὰ τρώσεως.

ΚΛυσμὸς κρατυντήριος, ἢν ἕλκη ᾖ καθαρά. Ολύνθους χειμερινοὺς τρίβειν, καὶ ἐπιχέειν ὕδωρ, βρέξον δὲ ὅλην τὴν ἡμέραν, καὶ ἔλαιον ἐπίχεε, καὶ κλύσαι. Η σιδίοισι, καὶ λωτοῦ πρίσμασιν· ἐν οἴνῳ μέλανι ἑψεῖν. Οταν δὲ ἀκάθαρτα ᾖ, καὶ φέρηται, τρύγα καίειν, οἴνῳ καὶ ὕδατι κλύζειν. Η σιδίῳ, ῥόῳ βυρσοδεψικῇ, μυρσίνης φύλλοισι καὶ βάτου, ἐν οἴνῳ μέλανι ἑψεῖν καὶ κλύζειν. Κλύσματα πρὸς τὰ παλαιὰ ἕλκη. Χυλῷ κράμβης ἑψημένης κλύζειν. Καὶ λινόζωσιν ὁμοίως, καὶ νίτρον παραμίσγειν ἐρυθρὸν ὀλίγον· σμύρνης ὀξύβαφον, λιβανωτὸν, σέσελι, ἄννησον, σελίνου σπέρμα, νέτωπον, ῥητίνην, μέλι, χήνειον στέαρ, ὄξος τὸ λευκὸν, μύρον τὸ λευκὸν Αἰγύπτιον· ταῦτα πάντα ὁμοῦ τρίβειν [433] λεῖα, εἶτα οἴνῳ διεὶς λευκῷ κοτύλῃσι δυσὶ, χλιηρῶς κλύζειν. Η λινόζωσιν ἑψεῖν ἐν ὕδατι καὶ ἀπηθεῖν· ἢ σμύρνης ὀξύβαφον, λιβανωτὸν, σέσελι, νέτωπον, ἶσον ἑκάστου, χλιηρῶς κλύζειν. Η ἐλελίσφακον, καὶ ὑπερικὸν ἐν ὕδατι ἑψήσας, κλύζειν τῷ ὕδατι. Η ἀκτῆς καρπὸν καὶ δαφνίδας, ἑκατέρων ἐξ ἴσου ἕψε ἐν οἴνῳ, εἶτα τῷ οἴνῳ κλύζε. Η γλήχωνος τῷ ὕδατι κλύσον. Η χηνὸς ἔλαιον ἐν ῥητίνῃ τήξας, ὁμοίως κέδρινον ἔλαιον παραχέας ὀλίγον, καὶ μέλιτι διατήξας, κλύζειν χλιηρῶς. Η ἀργύρου ἄνθος ἐν οἴνῳ καὶ μέλιτι καὶ κηρῷ τηκτὸν, καὶ κύπειρον, καὶ σχοῖνον, καὶ κάλαμον (ἅτινα δὴ καὶ ἐς μύρον μίσγεται) [432] καὶ ἶριν, βρύον, ἐν οἴνῳ ἑψῶν, κλύζειν. Η σελίνου καρπὸν, ἄννησον, σέσελι, σμύρναν, μελάνθιον, ἐν οἴνῳ ἑψῆσαι, κλύζειν.

CAPVT LXXXVII.

De collutionibus vterinis, quum vlcera pura, aut impura, aut vetera fuerint, aut cum vulnere.

COllutio corroborans, si vlcera pura fuerint. *Grossos hybernas terito, & aquam affundito, & per diem totam macerato, & oleo affuso colluito.* Aut *malicorio & loti arboris ramentis in vino nigro decoctis.* Quum *autem impura fuerint, &* ex iis sordes *ferentur, fæce vini vstâ ex vino & aqua colluito.* Aut *malicorio, rhoë coriariâ, myrti & rubi folijs in vino nigro decoctis colluito.* Collutiones ad vetera vlcera. *Brassicæ succo cocto eluito.* Et *mercurialem similiter, & paucum nitrum rubrum admisceto, myrrhæ acetabulum, thus, seseli, anisum, apij semen, netopum, resinam, mel, adipem anserinum, acetum album, & vnguentum album Ægyptium. Hæc omnia simul læuiter terito, deinde vini albi duabus heminis diluito, tepidè colluito.* Aut *mercurialem in aqua decoquito & percolato; aut myrrhæ acetabulum, thus, seseli, netopum, cuiusque pari portione* additâ, *tepido colluito.* Aut *saluiâ & hyperico in aqua coctis, eâ aquâ colluito.* Aut *sambuci fructum & lauri baccas, vtrorumque pares portiones in vino coquito, deinde vino colluito.* Aut *pulegij decocto eluito.* Aut *adipe anserino cum resina liquato, similiterque cedrini olei modico affuso, & cum melle dissoluto, tepido colluito.* Aut *argenti florem vino, melle, & cerâ liquatum, cyperum, iuncum odoratum, & calamum (quæ sane etiam vnguento admiscentur) & iridem, ac muscum in vino decoquito, & colluito.* Aut *apij semen, anisum, seseli, myrrham, melanthium in vino decoquito, ac infundito.*

Aut

Aut *creticam cedrum in vino decoquito, decocto abluito.* Aut *hederam Creticam in aqua* decoquito. Hæc facienda si vulnus adfuerit, *& myrrhâ aquâ dissolutâ colluito.* Aut *elaterij potiones duas ex aqua infundito.* Aut *cucurbitas agrestes duas in vino aut lacte cocto ad quatuor heminas maceratas, percolatas infundito.* Aut *cucumeris agrestis parte interiore, palmæ magnitudine in aquæ heminis quatuor decoctâ, melle & oleo affuso, opus istud efficito.* Aut *thapsiæ radice quantùm ad duas potiones satis sit, vino dulci cum aquæ duabus heminis maceratâ, tepidè colluito.* Aut *veratri quantùm ad duas potiones satis sit, in vini dulcis heminis duabus diluito.* Aut *Thlaspeos acetabulo vnà cum melle admixto, ex aquæ heminis duabus diluito, tepido vtitor.* Aut *cucumeris agrestis palmi magnitudine, & cneori quantùm vnicâ potione satis sit, in aquæ heminis quinque decoctis, melle & oleo affuso colluito.* Aut *granis cnidiis circiter sexaginta, ex melle & oleo cum aqua dilutis, perluito.*

A Η κέδρον Κρητικὴν ἐν οἴνῳ ἑψεῖν, [433] καὶ κλύζειν ἐν ὕδατι. Καὶ κιττὸν Κρητικὸν ἐν ὕδατι. Ταῦτα δρᾷν [434] εἰ ἕλκη ἔχωσιν, καὶ σμύρναν διεὶς ἐν ὕδατι κλύσαι. Η ἐλατηρίου ὅσον δύο πόσιας ἐν ὕδατι κλύσαι. Η κολοκυντίδας ἀγρίας δύο ἐν οἴνῳ ἢ ἐν γάλακτι ἑφθῷ ἀποβρέξας ὅσον τέσσαρας κοτύλας, καὶ ἀπηθεῖν, καὶ κλύζειν. Η σικύης ἐντεριώνην, ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι, κοτύλησι τέσσαρσι, μέλι τε καὶ ἔλαιον ἐπιχέαντα, [435] ἐνεργεῖν. Η τῆς θαψίης ῥίζης ὅσον δύο [436] πόσιας ἐν οἴνῳ γλυκεῖ διεὶς σὺν ὕδατος κοτύλησι δύο, κλύσαι χλιαρῶς. Η ἐλλέβορον ὅσον δύο πόσιας ἐν οἴνῳ γλυκεῖ διεὶς ὡσεὶ δύο κοτύλησιν. Η θλάσπιος ὅσον ὀξύβαφον μέλιτι παραμίξας, ὕδατι διεὶς ὅσον δύο κοτύλησι, χρῶ χλιαρῷ. Η σικύης ὅσον παλαιστὴν, καὶ κνεώρου ὅσον μίαν πόσιν ἑψήσας ὕδατος κοτύλησι πέντε, μέλι παραχέας καὶ ἔλαιον, κλύσαι. Η κόκκους κνιδίους ὅσον ἑξήκοντα εἰς μέλι, ἢ εἰς ἔλαιον σὺν ὕδατι διεὶς, κλύσαι.

C

CAPVT LXXXVIII.

De medicamentis ex partu diarrhœæ, sanguinis vomitioni, sedis dolori, vteri inflammationi, claudicationi, mentis deiectioni ex hyoscyami potu, & horrori medentibus.

SI *ex partu alui profluuio correpta fuerit, vuam passam nigram bibat, & mali punici dulcis interiorem partem, hœdique coagulum; hæc vino nigro diluta, & caseo caprino, polentáque triticeá conspersa, potui exhibeto. Triticum autem leuiter torrefacito.* At si ex partu sanguinem vomat, *huic hepatis fistula vulnerata est. Hæc lac asininum bibat, deinde bubulum (si facilè sit) per dies quadraginta, & sesamum tritum, quoad benè habeat. Lac autem ieiuna bibat.* Si ex partu sedem doleat, *iuniperi baccas & lini radicem decoquito,* decoctum *quatuor diebus bibendum dato. Lactucæ etiam semen cum anserino adipe tritum comedat. Si ex partu vteri inflammati fuerint, solani succum, aut betæ, aut rhamni infundito. Si ex partu crus claudum ab vteris factum fuerit, neque recta stare queat, hyoscyami semen conchæ maioris mensuram, ex vino nigro tribus diebus bibat. Qui verò bibit, mente percellitur; eius solutio, lactis asinini poculum potui datum, deinde medicamentum à quo pituita purgatur. Suffitus autem fiat per triduum ex sandaracha, cerato, & pilis leporis.* De inflammatione ex partu. *Si ex partu vteri inflammati fuerint, solani succum intra pudenda infundito. Aut apij, aut rhamni, aut betæ, aut cucurbitæ succum ipsum expressum.* Aut *sambuci partem mediam tenerrimam in longitudinem derasam, indito.* Aut *absinthium ex aqua tritum, & lanâ exceptum; si verò inhorruerit, auferto.* Aut *vmbilici veneris folia, & porra ex crassiore tritici farina decoquito, oleoque insuper affuso exhibeto.*

ΚΕΦΑΛΑΙΟΝ ΠΗ'.

Περὶ τῶν φαρμάκων τῶν τὴν ἐκ τόκου διάῤῥοιαν, καὶ τὸν αἵματος ἔμετον, καὶ τὸ ἕδρας ἄλγημα, καὶ τὴν ὑστέρας φλεγμονὴν, καὶ τὴν χώλωσιν, καὶ τὴν παραφορὰν ἐκ τοῦ ὑοσκυάμου πόματος, καὶ τὴν φρίκην θεραπευόντων.

ΗΝ ἐκ τόκου διάῤῥοια ληφθῇ, πινέτω ἀσταφίδα μέλαιναν, [437] καὶ σίδια γλυκείης ῥοιῆς τὸ ἔνδοθεν, καὶ πιτύην ἐρίφου· ταῦτα διεὶς οἴνῳ μέ-D λανι, καὶ τυρὸν αἴγειον, καὶ ἄλφιτα πύρινα [438] ἐπιπλάσσειν, καὶ διδόναι πίνειν. τοὺς πυροὺς δὲ ἐπ' ὀλίγον φῶξαι. Ην δὲ ἐκ τόκου αἷμα ἐμέῃ, ταύτῃ ἡ σύριγξ τοῦ ἥπατος τέτρωται. αὕτη πινέτω γάλα ὄνου, ἔπειτα βοὸς, [439] εἰ εὔπορες, τεσσαράκοντα ἡμέρας, καὶ σήσαμον τετριμμένον, ἄχρις ἂν εὖ ἔχῃ· πινέτω τὸ γάλα νῆστις. Ην ἐκ τόκου τὴν ἕδρην ἀλγέῃ, ἀρκεύθου καρπὸν, [440] λίνου ῥίζαν ἑψεῖν, καὶ πίνειν ἡμέρας τέσσαρας. καὶ θρίδακος σπέρμα τρίψας σὺν χηνείῳ ἀλείφα-E τι, ἐσθίειν. Ην δὲ ἐκ τόκου αἱ μῆτραι φλεγμαίνωσιν, στρύχνου χυλὸν ἐγχέειν, ἢ τεύτλου, ἢ ῥάμνου. Ην ἐκ τόκου τὸ σκέλος ὑπὸ ὑστερέων χωλωθῇ, ἀνίστασθαι δὲ μὴ δύνηται, πίνειν [441] ὑοσκυάμου καρπὸν, ὅσον χηραμίδα, ἐν οἴνῳ μέλανι, ἡμέρας τρεῖς. παραφέρεται δὲ ὁ πίνων· λύσις, γάλακτος ὀνείου πίσαι ὅσον κύλικα, ἔπειτα τοῦ φαρμάκου, ὑφ' οὗ τὸ φλέγμα καθαίρεται. σανδαράχῃ δὲ καὶ κηρωτῇ, καὶ λαγωοῦ θριξὶ, θυμιῆσθω τρεῖς ἡμέρας. Περὶ φλεγμονῆς ἐκ τόκου. Ην ἐκ τόκου φλεγμήνωσιν αἱ ὑστέραι, στρύχνου χυλὸν F ἐγχέαι αἰδοίων ἔσω. [442] Η σελίνου, ἢ ῥάμνου, ἢ τεύτλου, ἢ κολοκύντης χυλὸν, ἐκπιέσας [443] αὐτόν. [444] Η ἀκτῆς τὸ μέσον, καὶ ἁπαλώτατον, περιξέσας μακρὸν, ἔνθες. Η ἀψινθίου ἐν ὕδατι τρίβειν, ἐρίῳ δὲ ἀνασπογγίσας· ἢν δὲ φρίξῃ, ἀφαιρέειν. Η κοτυληδόνος φύλλα, καὶ πράσα ἑψεῖν ἐν πυρῶν κριμνοῖσιν, ἔλαιον ἐπ' αὖθις χέας [445] δίδου.

ΚΕΦΑΛΑΙΟΝ ΓΘ'.

Περὶ τῶν φαρμάκων τῶν τε χολῆς, καὶ τῶν χολῆς ἅμα καὶ φλέγματος, καθαρτικῶν ἐκ μήτρας.

446 Χολῆς καθαρτικὰ ἐκ μήτρης. Σικύης τὴν ἐντεριώνην λείην τρίψας, καὶ μέλιτι φυρήσας, βάλανον ποιέων, προστίθει. Φάρμακον δὲ χρὴ διδόναι, καὶ ἄνω καὶ κάτω καθαίρειν, καὶ λούειν τῷ θερμῷ· προστιθέναι δὲ ἄννησον, ἢ μελάνθιον· ἢ κολοκυνθίδος ἀγρίης τὸ ἔνδον λεῖον ποιέειν, καὶ μέλιτι φυρῆν, καὶ προστιθέναι. Η ἐλατηρίου ὅσον πόσιας τέσσαρας, ξυμμίξας στέαρ χήνειον ἢ αἴγειον, 447 βάλανον ὑπομηκεστέρην προστιθέναι. Η νίτρον, καὶ κύμινον, καὶ σκόροδον, καὶ σῦκον, λεῖα πάντα ποιήσας, καὶ μέλιτι δεύσας, προστίθεσθαι. θερμῷ δὲ λουέσθω, καὶ ἀπὸ λουτροῦ πινέτω. Η θλάσπιν λείην ποιέων, καὶ μέλιτι φυρῶν, προστιθέναι. Η σύκου παλαιοῦ τὸ πῖον ξύσας, ξυμμίσγειν πόσιας ἐλατηρίου δύο, καὶ νίτρον ὅσον τὸ ἐλατήριον μέλιτι δεύσας, προστίθει. Η πευκεδανοῦ ὁκόσον τρεῖς κυάθους, δίδου πίνειν· καὶ ἄννησον, καὶ μελάνθιον διεὶς ἐν οἴνῳ, δίδου πίνειν. Η ἐλατηρίου πόσιας τέσσαρας, μίξας στέατι μηλείῳ προστιθέτω· ἀφελομένη δὲ διακλυζέσθω ὕδατι εὐώδει, ἠρέμα στύφοντι. Η ἐλατηρίου πόσιας τρεῖς, ξὺν μηλείῳ στέατι, βάλανον περὶ πτερὸν ποιέειν· ἣν δὲ ἀφέληται, διακλυζέσθω ὕδατι εὖ ἱκανῷ. 448 Η θλάσπιος ὅσον πόσιν, ξὺν μέλιτι δίδου.

Κλυσμὸς ἢν χολώδης ᾖ. Ἐλατηρίου ὅσον δύο πόσιας ὕδατι διεὶς, ἐπιχέαι ἔλαιον ναρκίσσινον, καὶ κλύζειν χλιηρῷ. Η κολοκυνθίδας ἀγρίας δύο ἀποβρέξας 449 ἐν οἰνογάλακτι ἑφθῷ, ὅσον τέσσαρας κοτύλας, τὴν μὲν μίαν ἀπηθέειν, καὶ ξυμμίσγειν ἔλαιον ναρκίσσινον, καὶ κλύζειν.

450 Ἄλλος κλυσμὸς χολώδης καὶ φλεγματώδης. Σικύης ἐντεριώνης ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι ποτοῦ τέσσαρσι κοτύλῃσι, καὶ μέλι μίξας καὶ ἔλαιον ἄνθινον, κλύζειν. Φλέγμα καὶ χολὴν καθαίρειν. Κόκκους κνιδίους ἑξήκοντα, μέλι τε καὶ ἔλαιον ἄνθινον μίξας, κλύζειν ἐν ὕδατι. Η κνῆστρον ἑψήσας ἐν ὕδατι ποτοῦ ἐν πέντε κοτύλῃσιν, ἀποχέας δύο κοτύλας, συμμίξαι μέλι καὶ ἔλαιον ἄνθινον σὺν ναρκισσίνῳ, καὶ κλύσαι. Κλυσμοὶ καθαρτήριοι. Ὄλυνθοι χειμερινοὶ καυθέντες, καὶ βραχέντες ἐν ὕδατι, ἀποχέοντα τὸ ὕδωρ, ἔλαιον ξυμμίσγειν, καὶ κλύζειν· καὶ μετακλύζειν σιδίοισι, κηκίδι, λωτοῦ πρίσμασιν, ἐν οἴνῳ δὲ μέλανι χρὴ ἑψεῖν. Η τρύγα καίων, χρῆσθαι σὺν ὕδατι. μετακλύζειν δὲ τούτοισι· τοῖσι τῆς μυρσίνης φύλλοισι, καὶ ῥόῳ τῇ βυρσοδεψικῇ ἑψεῖν δὲ οἴνῳ μέλανι εὐώδει. μετακλύζειν δὲ 451 σχοίνου φύλλα, καὶ ὑπερικὸν, καὶ ἐλελίσφακον, ἑψήσαντα σὺν οἴνῳ μέλανι εὐώδει. Η κράμβης ὕδατι· κἂν τῷδε ἑψεῖν λινόζωστιν, νίτρου ἐρυθροῦ ὀλίγον, καὶ κλύζειν. Η ἐλατηρίου ὅσον πόσις, σὺν ναρκισσίνῳ ἐλαίῳ, ἢ ἀνθίνῳ, καὶ κλύσαι χλιηρῶς. Ην δὲ χολώδης ᾖ, κολοκυνθίδας δύο ἀποβρέξαι ἐν γάλακτι ὀνείῳ ἑφθῷ, ὅσον τέσσαρσι κοτύλῃσι, καὶ 452 ἀποβρέξαντα κλύσαι, ξυμμίξαι τε ἔλαιον ναρκίσσινον, ἢ ἄνθινον. Η τὸ διὰ τῆς σικύης ἐντεριώνης, ὅσον παλαιστὴν, ἑψεῖν ἐν ὕδατι ποτοῦ, τέσσαρσι κοτύλῃσι, καὶ μέλι παραχέαι καὶ ἔλαιον ἄνθινον. ἔστι ὁ κλυσμὸς φλεγματώδει καὶ χολώδει ξυμφέρει.

CAPVT LXXXIX.

De medicamentis ex vtero bilem, etiam de alijs bilem & pituitam simùl, purgantibus.

QVæ bilem ex vtero purgant. *Cucumeris agrestis partem internam leuiter tritam, melle subactam, & in glandem efformatam subdito. Medicamentum autem dare oportet, quòd & sursum & deorsũ purget, & calidâ lauare; anisum verò aut melanthium apponere; aut colocynthidos agrestis interiorem partem læuigatam & melle subactam apponito.* Aut *elaterij quatuor potiones, adipe anserino aut caprillo admixto, in oblongiorem glandem efformatum supponito.* Aut *nitrum, cuminum, allium, ficum, omnia leuiter trita, & melle subacta apponito. Calidâ autem lauet, & à balneo bibat.* Aut *thlaspim leuiter tritam, melle subactã apponito.* Aut *veteris ficûs abrasam pinguedinem, elaterij duabus potionibus admixtis, & par elaterio nitrum melle subactum apponito.* Aut *peucedani tres cyathos potui exhibeto. Et anisum & melanthium vino macerata bibenda dato.* Aut *elaterij potiones quatuor, ouillo adipe admixto, sibi supponat; quod vbi detraxerit, aquâ odoratâ eluatur, quæ leuiter adstringat.* Aut *elaterij tres potiones, cum adipe ouillo, circum pennam in glandem efformato, eáque detractâ, aquâ sufficienti eluatur.* Aut *thlaspeos potionem cum melle dato.* Collutio, si biliosa fuerit. *Elaterio ad duas potiones aquâ macerato, oleum narcissinum affundito, & tepido colluito.* Aut *colocynthidas agrestes duas in œnogalactis cocti quatuor heminis macerato, vnam quidem percolato, & admixto oleo narcissino colluito.* Alia collutio biliosa & pituitosa. *Cucumeris interiorem partem palmi magnitudine in aquæ potabilis quatuor heminis coquito, melle & oleo anthino admixto, colluito.* Pituitam & bilem purgans. *Grana cnidia sexaginta, melle & oleo anthino admixto, ex aqua colluito.* Aut *cnestro in quinque aquæ potabilis heminis decocto, duabus percolatis, melle & oleo anthino cum narcissino admixto, colluito.* Collutiones purgantes. *Grossis hybernis vstis & aquâ maceratis, ad aquam excolatam oleo admixto, colluito. Postea malicorio, gallâ, loti ramentis perluito; quæ in vino nigro decoquere oportet.* Aut *vini fæce vstâ & aquâ vtitor. Et posteà his colluito; myrti folijs, & rhoë coriariâ in vino nigro odorato decoctis. Posteà etiam lentisci folijs, hyperico, saluiâ in vino nigro odorato decoctis colluito.* Aut *brassicam aquâ decoquito, simulque mercurialem, & nitri rubri exiguum, & perluito.* Aut *elaterij potionem, cum oleo narcissino aut anthino tepidam infundito.* Quòd si biliosa fuerit, *colocynthidas duas in lactis asinini decocti quatuor heminis macerato, deinde oleo narcissino & anthino admixto colluito.* Aut *cucumeris agrestis interiorem partem palmi magnitudine, in aquæ potabilis heminis quatuor decoquito, mel & oleum anthinum affundito. Hæc collutio pituitosæ & biliosæ contulerit.*

CAPVT

A

CAPVT XC.

De clysteribus ac pessariis pituitam ex vtero educentibus.

COllutio pituitam trahens. *Granum cnidium cum mandragoræ decocto terito; ex eo enim copiosa & varia fit purgatio. Aut allij caput integrum, nitrum, ficûs interiorem partem pinguem, hæc æquis portionibus leuiter trita,* in glandem *gallæ magnitudine efformata, supponito.* Aut *cumini folia ex vino trita in lana subdito.* Aut *terræ albæ potionem.* Aut *radicem albam leuiter tritam, & melle affuso feruefactam, in glandemque efformatam supponito.* Aut *cum laseris succo ficus emollitas, & in glandem efformatas. Bonum autem & cucumeris agrestis semen eodem modo tritum.* Aut *fel tauri, nitrum rubrum, netopum, cyclaminum, horum gallæ magnitudinem, cyclamini verò maiorem portionem, hæc melle admixto, quæ curatur, sibi supponat.* Subdititium. *Cyclamini caput purgatum ex aqua terito, tenui lanugine exceptum subdito.* Aut *myrrham, salem, cuminum, fel tauri, cum melle eodem modo.* Aut *grana tria decorticata Indici medicamenti oculorum, quod piper vocatur, & rotundi tria; hæc leuiter trita, & vino veteri tepido diluta, circum volucris pennam in glandis formam obducito, huncque in modum intromittito.* Aut *tithymalli succum melle subactum.* Aut *scillæ radicem longitudine sex digitorum, duobus digitis lanâ conuolutis, subdito.* Aut *ipsam scillam sine radice tritam, eodem modo lanâ conuoluito, deinde supponito.*

ΚΕΦΑΛΑΙΟΝ ϟ'.

Περὶ τῶν κλυσμάτων τε καὶ προσθέτων τῶν χολὴν καὶ φλέγμα ἐκ τῆς μήτρας ἑλκόντων.

ΚΛύσμα ἕλκον φλέγμα. Κόκκον τρίβειν, τοῦ μανδραγόρου ξὺν ὕδατι· κάθαρσις γὰρ παμπόλλη τε καὶ παντοίη ἀπὸ τούτου γίνεται. Ἢ σκορόδου μώλυζαν, νίτρον, σύκου τὸ ἔνδον τὸ πῖον, ἴσον, τρίψας λεῖα, ὁκόσον κηκῖδα ποιέειν τὸ μέγεθος, καὶ προστιθέναι. Ἢ κυμίνου φύλλα ἐν οἴνῳ τρίψας, ἐρίῳ πρόσθες. Ἢ γῆς λευκῆς ὅσον πόσιν. Ἢ λευκὴν ῥίζαν τρίβειν λείην, B [453] καὶ μέλι ἐπιχέας, καὶ ἀναζέσας, βάλανόν τε ποιήσας, προστίθει. Ἢ ὀπὸν σιλφίου μετὰ σύκων μαλάσσειν, καὶ βάλανον ποιέειν. Ἀγαθὸν δὲ καὶ σικύης σπέρμα, τρίβειν ὁμοίως. Ἢ χολὴ ταύρου, καὶ νίτρον ἐρυθρὸν, καὶ νέτωπον, κυκλάμινον, τούτων ὅσον κηκῖδα, τῆς δὲ κυκλαμίνου πλείονα μοῖραν, μέλιτι ξυμμίξασα ἡ θεραπευομένη, προστιθέσθω. Προσθετόν. [454] Κυκλαμίνου τὴν κεφαλὴν καθαίρειν ὕδατι, τρίψαι, C καὶ εἰς ἄχνην ἀναφορύξαντα προστιθέναι. Ἢ σμύρναν, ἅλας, κύμινον, χολὴν ταύρου, ξὺν μέλιτι ὁμοίως. [455] Ἢ κόκκους ἐκλέψας ὅσον τρεῖς Ἰνδικοῦ φαρμάκου τοῦ τῶν ὀφθαλμῶν, ὃ καλέεται πέπερι, καὶ τοῦ στρογγύλου τρία, ταῦτα δὲ λεῖα τρίβειν, καὶ οἴνῳ παλαιῷ χλιηρῷ διεὶς, βαλάνιον περὶ πτερὸν ὄρνιθος τιθέναι, καὶ ὧδε προσάγειν. Ἢ τιθυμάλλου ὀπὸν μέλιτι ἀναδεύσας. Ἢ σκίλλης ῥίζην ὅσον ἑξαδάκτυλον, ἑλίξας τοὺς δύο δακτύλους ἐν ἐρίῳ, πρόσθες. Ἢ αὐτὴν τὴν σκίλλην ἄνευ ῥίζης τρίβειν, καὶ ὡσαύτως ἑλίσσειν ἐρίῳ, εἶτα προστιθέναι.

D

CAPVT XCI.

De medicamentis tum ex vtero tum ex aliis partibus bilem ac pituitam purgantibus; ac de bilis ac pituitæ signis.

COllutio, si mulier pituitosa fuerit. *Veratri duas potiones in vini duabus heminis diluito, & permixta infundito. Si purgatione opus habuerit, porrum incoquere oportet, aut sambuci fructum, aut anisum, thus, myrrham, vinum; his omnibus tritis, ex eorum decocto colluito.* Aut *brassicâ in aqua decoctâ, in eius succo mercurialem incoquito, & pauco percolato eluito.* Aut *cnestri potionem melle dilutam immittito. Spectandi autem menses sunt, num biliosi, aut pituitosi fuerint. Aut arenam, tenuem, siccam, loco soli exposito substernito, & quum menses prodierint, sanguinem affundito, & resiccari sinito. Et si quidem biliosi fuerint, sanguis in arena siccatus pallidus euadit; sin pituitosi, velut muci conspiciuntur. Si igitur pituitosi fuerint, cnestri idoneam potionem cum aquæ mulsæ hemina dilutio, & infundito.*

ΚΕΦΑΛΑΙΟΝ ϟΑ'.

Περὶ φαρμάκων τῶν ἐκ τῆς μήτρας τε καὶ τῶν ἄλλων μορίων χολαγωγῶν καὶ φλεγμαγωγῶν καὶ περὶ τῶν χολῆς καὶ φλέγματος σημείων.

ΚΛυσμὸς, ἢν φλεγματώδης γυνὴ ᾖ. Ἐλλεβόρου δύο πόσιας ἐν οἴνῳ διιέναι γλυκεῖ, ὅσον δύο κο- E τύλας, καὶ κλύζειν μίσγοντα. Ἢν καθάρσιος δέηται, πράσα δεῖ ἑψεῖν, ἢ ἀκτῆς καρπὸν, ἢ ἄννησον, λιβανωτὸν, σμύρνην, οἶνον· ταῦτα πάντα τρίβειν, καὶ τῷ χυλῷ τουτέων κλύζειν. ἢ κράμβην ἑψήσας ἐν ὕδατι, ἐν τῷ χυλῷ ταύτης ἕψει τὴν λινόζωστιν, [456] καὶ σμικρὸν ἀποχέας, ἀπόκλυζε. Ἢ κνήστρου πόσιν ἐν μέλιτι διεὶς, ἐνιέναι. σκέπτεσθαι δὲ χρὴ τὰ ἐπιμήνια, ἤν τε χολώδεα ἤν τε φλεγματώδεα ᾖ. ἢ ψάμμον ἐς τὸν ἥλιον ὑποβάλλειν λεπτὴν, ξηρὴν, καὶ ὅταν τὰ καταμήνια ἴῃ, τοῦ F αἵματος ἐπιχέαι, καὶ ἐᾶν ξηρανθῆναι· καὶ ἢν μὲν χολώδεα ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίνεται· ἢν δὲ φλεγματώδεα, οἷον μύξαι ὁρῶνται. ἢν οὖν φλεγματώδεα ᾖ, κνήστρου ὅσον πόσιν διιέναι, καὶ σὺν μελικρήτου κοτύλῃ κλύσαι.

A

ΚΕΦΑΛΑΙΟΝ ϟΒ΄.

Περὶ τῶν καθαρτικῶν τῶν μαλθακῶν, τῶν ὕδωρ, καὶ δέρματα, καὶ ἰχῶρα ὕφαιμον, καὶ μύξας, καὶ τὰ καταμήνια ἀγόντων.

Καθαρτικὸν μαλθακόν· ὕδωρ ἄγει καὶ [457] δέρματα, καὶ ἰχῶρα ὕφαιμον, καὶ καταμήνια καταστᾷ ἢν καὶ μὴ πολυχρόνια ᾖ, καὶ ὑστερέων στόμα μαλθάσσει. Μύρον ναρκίσσινον, καὶ κύμινον ὃ ἐσθίεται, σμύρνην τε καὶ λιβανωτὸν, ἀψίνθιον, κύπειρον, ῥόδινον ἄλειφα, ἄλφιτα, τούτων δὲ ἴσον τῶν ἄλλων ἑκάστου, τοῦ δὲ ναρκισσίνου τέσσαρας μερίδας· ἐπικτένιον ὠμοῦ λίνου ξυμμίξας, πάντα τρίψον, καὶ ποίησον βάλανον, περὶ πτερῷ ῥάκος λεπτὸν περιθείς· καταδῆσαι· καὶ ἐμβάψαι ἐς ἄλειφα λευκὸν Αἰγύπτιον, καὶ προστιθέναι, καὶ ἐᾶν ὅλην τὴν ἡμέρην. λουσαμένη δὲ καὶ ἀφαιρεομένη, διανιζέσθω τῷ ὕδατι τῷ εὐώδει. Ἕτερον καθαρτικόν· ὕδωρ ἄγει, καὶ δέρματα, καὶ μύξας, καὶ ἰχῶρα ὕφαιμον. Σμύρνην, ἅλας, κύμινον, χολὴν ταύρου, ταῦτα συμμίξας, καὶ μέλιτι φυρήσας, καὶ ἐς ῥάκος ἐνθεὶς, προσθεῖναι, ἡμέρην δὲ ὅλην ἐντίθεσθαι· εἶτα λουσαμένη καὶ ἀφελομένη, διανιζέσθω ὕδατι τῷ εὐώδει. Ἄλλο. Ἅλας, κύμινον, χολὴν ταύρου, μέλιτι ἀναφυρέειν, καὶ προστίθεσθαι, καὶ σίλφιον τῷ σύκῳ μίξαι, καὶ προστίθεσθαι, εἶτα διανίψαι μύρῳ ῥοδίνῳ. Ἢ κόκκους ἐκλέψαντα, ποσί τε τρίψαντα, καὶ βάλανον ποιέειν. Ἢ σκόροδον, καὶ νίτρον ἐρυθρὸν καὶ σῦκον, τούτων ἑκάστου ἴσον μίξας μέλιτι, δοῦναι προστίθεσθαι· κἀπειδὰν ἀφέληται, ἐλάφου στέαρ προστίθεσθαι, τήξας ἐν οἴνῳ. Ἢ πεπέρεως κόκκους πέντε, σὺν ἐλατηρίῳ ὀλίγῳ, παραστάζειν δὲ γυναικὸς γάλα, ἐν ἐρίῳ, ἐς μύρον [460] ἀποβάψας, προστιθέναι δὲ, καὶ ἀφελεῖν ὡσαύτως. Ἢ σύκου τὸ πιότατον ξὺν ἐλατηρίου πόσει, καὶ νίτρου ἐρυθροῦ τὸ ἴσον, καὶ μέλιτος ἴσον, ὡσαύτως. Ἢ χολὴν ταύρου, καὶ νίτρον ἐρυθρὸν, νέτωπον, κυκλάμινον ἴσον, ὡσαύτως, κηκίδα ἐν μέλιτι. Ἢ χολὴν ταύρου, ἐς Αἰγύπτιον ἔλαιον βάψασα, προστιθέσθω· καὶ ἀφελομένη, ῥοδίνῳ. Ἢ σικύης τῆς μακρῆς τὴν ἐντεριώνην, τὸ σπέρμα ἐξελὼν, σὺν γάλακτι γυναικὸς κουροτρόφου, καὶ σμύρναν ἄκρητον, καὶ μέλι ὀλίγον, καὶ μύρον Αἰγύπτιον, τρίβειν καὶ προστιθέναι. Ἢ τὴν ἐντεριώνην σικύης αὐηνῆναι, κόψαι δὲ ἄνευ τοῦ σπέρματος, καὶ μέλι ἐμβάλλειν, καὶ ἀναζέσαι, καὶ βάλανον ποιέειν εὐμήκεα, καὶ βάπτειν ἐς ἔλαιον λευκόν. Ἢ τὴν ἀγρίην κολοκύντην ὡσαύτως· [461] καὶ ἐλατηρίου τρεῖς πόσιας ἐν σταιτὶ τρίβειν, καὶ βάλανον ποιέειν. [462] Ἄλλο ὁμοίως. Κόκκους ἐκλέψας τρεῖς, ὅσον πόσιν ἑψήσας, καὶ μέλι περιχέαι καὶ προσθέσθαι, ἢ ῥόδινον ἄλειφα. Ὅσαι δὲ βάλανον προστίθενται, ἐμπήξαντα χρὴ πρότερον ἐς τὴν βάλανον, ἔπειτα ῥάκος περιθεῖναι λεπτὸν ἐν ἐρίῳ· βάψασα ἄλειφα Αἰγύπτιον, προστίθεσθαι. ἄγει δὲ μάλιστα, καὶ δέρματα [463] ἀφαιρεῦνται.

CAPVT XCII.

De medicamentis emollientibus, aquas, pelliculas, mucos, subcruentam saniem, & menstrua purgantibus.

HOc emolliens purgat, aquam & pelliculas educit, & subcruentam saniem; menses etiam detrahit, nisi diuturniores fuerint, & vterorum osculum emollit. *Vnguentum narcissinum, cuminum esculentum, myrrham, thus, absinthium, cyperum, vnguentum rosaceum, polentam, horum cuiusque pares portiones, narcissini verò portiones quatuor. Hæc omnia terito, admixtâ tenui lini crudi lanugine, quæ pectini adhærescit; & tenui linteo circum pennam inuoluto, deligato, in glandem effingito, & in oleum album Ægyptium intinctum supponito, & totâ die sinito. Vbi verò lauerit & detraxerit, aquâ grati odoris perluatur.* Aliud purgans medicamentum, aquam educit, & pelliculas, mucos, & subcruétam saniem. *Myrrham, salem, cuminum, fel tauri, hæc simul mixta & melle subacta, tenui linteo imposita, subiicito, totumque diem intùs sinito; deinde vbi lauerit, eo ablato, aquâ odoratâ perluatur.* Aliud. *Salem, cuminum, fel tauri melle subigito & subdito. Et silphium ficui misceto & supponito; deinde vnguento rosaceo perfundito.* Aut *grana cnidia decorticata, & ad potionem trita, in glandem singito.* Aut *allium, nitrum rubrum, & ficum, cuiusque pares portiones, melle admixto subdenda dato. Et vbi detraxerit, ceruinum adipem vino liquatum supponito.* Aut *piperis grana quinque, cum pauco elaterio, muliebri lacte paulatim instillato, in lanâ vnguento intinctâ subijcito, eodemque modo detrahito.* Aut *partem ficûs pinguissimam, & elaterium ad potionem, & nitri rubri cum melle æqualem portionem eodem modo.* Aut *fel tauri, nitrum rubrum, netopum, cyclaminum, æqualibus portionibus, ex melle veluti gallæ magnitudinem* fingito. Aut *fel tauri oleo Ægyptio intinctum supponat, quo detracto, rosaceo* illinatur. Aut *cucumeris agrestis longi exempto semine interiorem partem, ex lacte mulieris masculum alentis, & myrrham puram, mellis exiguum, & vnguentum Ægyptium, terito & supponito.* Aut *cucumeris agrestis partem interiorem desiccatam, absque semine contundito, & iniecto melle decoquito, & glandem oblongam effingito, oleoque albo intingito.* Aut *cucurbitam syluestrem eodem modo, & elaterij tres potiones, cum farina aquâ subacta terito, & glandem efformato.* Aliud similiter. *Tria grana cnidia decorticata ad potionem vnam cocta, affuso melle supponito, aut vnguento rosaceo* perfundito. *Quæcunque autem glandem subdunt, eas priùs in glandem cogere, deinde tenue linteum lanæ obducere oportet, & vnguento Ægyptio glandem intinctam subdere. Hæc autem præcipuè pelliculas educunt & auferunt.*

CAPVT

A

CAPVT XCIII.

De pessariis, vehementer aquas, mucos, & pelliculas educentibus.

SVbdititia vehementer purgantia, quæ magis quàm superiora, aquas, mucos, & pelliculas educere queunt. *Piperis grana maiuscula quatuor, aut etiam parua, si opus videatur, elaterij potioni admixta, leuiter terito, & lacte muliebri instillato, cum pauco melle subacta; hæc ex lana molli pura, circum pennam linteo tenui conuoluto, capito, & vnguento albo Ægyptio intincta supponito. Per diem autem adhæreant, deinde vbi detracta fuerint, ceruinum adipem subdat.*

ΚΕΦΑΛΑΙΟΝ ϞΓ'.

Περὶ προσθέτων καθαρτικῶν, ἰσχυρῶς ὕδωρ, καὶ μύξας καὶ δέρματα ἄγειν δυναμένων.

ΠΡοσθετὰ καθαρτικὰ ἰσχυρά, ὕδωρ ἄγειν[464] δυνάμενα, καὶ μύξας, καὶ δέρματα μᾶλλον τῶν πρόσθεν. Τοῦ πεπέρεως κόκκους τέσσαρας τῶν μεγίστων, ἢ καὶ τῶν μικρῶν εἰ δέοι, ἐλατηρίου πόσει συμμίξας, τρίβε λεῖα, παραστάζων γυναικὸς γάλα, καὶ μέλιτι ὀλίγῳ ἀναφυρήσας· τοῦτο ἐς εἴριον μαλθακὸν καθαρὸν, περὶ πτερὸν περιελίξας ῥάκεα, καὶ καταλαβὼν προστιθέναι, ἐς λευκὸν ἄλειφα Αἰγύπτιον βάπτων. προσκείσθω δὲ ἡμέρην, καὶ ἐπειδὰν ἀφέληται, προστιθέσθω τὸ στέαρ τοῦ ἐλάφου.

C

CAPVT XCIV.

Subdititia, quæ similiter purgant, secundas eiicere valent, menses detrahere, & fœtum sideratum foras propellere.

C*Antharidas quinque alis auulsis, cruribus, & capite; deinde tribulum maritimum, cum radicibus & folijs tundito, & viridem exteriorem partem, cum pari seminis apij mole terito, additis sepiæ ouis quindecim, ex vino dulci dilutis. In aqua calida desideat, & aquam mulsam aquosam bibat, vinúmque dulce. Et intriti stateris Æginensis pondus ex vino dulci bibat. Vbi verò dolor detinuerit, cicerum alborum, & passularum ex aqua decoctum, refrigeratum propinato. Quum stranguria prehenderit, in aqua calida desideat, & vinum dulce bibat.*

ΚΕΦΑΛΑΙΟΝ ϞΔ'.

Προσθετὰ ὁμοίως καθαρτικὰ, χορία δυνάμενα ἐκβαλεῖν, καὶ καταμήνια κατασπᾶν, καὶ ἔμβρυον ἀπόπληκτον ὑπεξαγαγεῖν.

ΚΑνθαρίδας πέντε, ἀποτίλας καὶ τὰ πτερὰ, καὶ τὰ σκέλεα, καὶ τὴν κεφαλὴν, εἶτα τρίβολον τὸν θαλάσσιον κόψας τῇσι ῥίζῃσι, καὶ τοῖσι φύλλοισι, καὶ τὸ χλωρὸν τὸ ἔξω τρίψας, ἴσον ὄγκον καὶ σελίνου σπέρματος, καὶ σηπίης ὠὰ πεντεκαίδεκα ἐν οἴνῳ γλυκεῖ κεχρημένῳ. καὶ ἐν ὕδατι θερμῷ·[466] καθιζέσθω, καὶ μελίκρητον ὑδαρὲς πινέτω, καὶ οἶνον γλυκὺν,[467] καὶ τοῦ τετριμμένου ὅσον στατῆρα Αἰγιναῖον ἐν οἴνῳ γλυκεῖ πινέτω. Επὴν δὲ ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους, καὶ ἀσταφίδας ἑψήσας ἐν ὕδατι, καὶ ψύξας, διδόναι πιεῖν. ὅταν ἡ στραγγουρίη ἔχῃ, ἐν ὕδατι χλιαρῷ καθήσθω, καὶ οἶνον πινέτω γλυκύν.

E

CAPVT XCV.

De pessis, fomentis, infusis, linimentis, & potionibus vteros purgantibus, emollientibus, aperientibus, menstrua & lochia educentibus.

SVbdititia purgantia, si potiones non purgent. *Mercurialem cum myrrha tritam in pesso supponito.* Aliud, quod in omni morbo aperire & purgare potest. *Myrrhâ modicâ, saluiâ, & aniso contritis vtitor.* Purgatorium quod infœcundam purgare valet. *Si vteri osculum rectè habuerit, fotum ex stercore bubulo sicco tuso & excusso ad quatuor chœnicas exhibeto, aceti autem heminas decem* addito, *& vrinæ bubulæ tantúndem, & marinæ salsuginis heminas viginti. Hoc multo tempore leniter foueto. Deinde lota, lenticulæ decocto epoto, & melle cum aceto mixto ebibito, vomat. Et farinam sorbendam dato, vinumque vetus sereno cælo per noctem expositum superbibendũ dato. Cibũ verò eo die non gustet. Postero autem die granũ cnidium deuorandũ exhibeto; & tertio die diureticum dato, passulas & cicera alba ad duas chœnices, affusis aquæ*

ΚΕΦΑΛΑΙΟΝ ϞΕ'.

Περὶ τῶν προσθέτων, καὶ πυριῶν, καὶ ἐγχύτων, καὶ καταχρίστων, καὶ ποτῶν, τῶν τὰς ὑστέρας καθαρτικῶν καὶ μαλθακτηρίων, καὶ ἀναστομωτικῶν, καὶ τὰ καταμήνια καὶ λοχεῖα ἀγόντων.

ΠΡοσθετὰ καθαρτικὰ, ἢν μὴ ποτὰ καθαίρῃ. Λινόζωσιν τρίψας καὶ σμύρναν, προστιθέναι. Αλλο πάσης νόσου, δυνάμενον καὶ ἀναστομῶσαι καὶ καθῆραι. Σμύρναν ὀλίγην καὶ ἐλελίσφακον καὶ ἄννησον τρίψας, χρῶ.[467] Καθαρτικὸν δυνάμενον ἄτοκον καθῆραι. Ην τὸ στόμα τῆς μήτρης[468] ὀρθῶς ἔχῃ, πυριῆν, βόλβιτον ξηρὸν κόψας καὶ διασήσας, τέσσαρας χοίνικας· ὄξεος δὲ κοτύλας δέκα, καὶ οὔρου βοείου ἕτερον τοσοῦτον, καὶ θαλάσσης ἅλμης κοτύλας εἴκοσι· πυριῆν δὲ[469] βληχροῖσι πουλὺν χρόνον, εἶτα λουσαμένη, φάκιον πιοῦσα, καὶ μέλι καὶ ὄξος μεμιγμένον πιοῦσα, ἐμεσάτω. καὶ ῥοφεῖν ἄλευρον δοῦναι, καὶ ἐπιπιεῖν οἶνον εὐώδεα παλαιὸν ἐξῃθριασμένον· σίτου δὲ μὴ γευέσθω τῇ τοιαύτῃ ἡμέρῃ. τῇ δὲ δευτέρῃ, κόκκον δοῦναι καταπότον· τῇ δὲ τρίτῃ, δοῦναι διουρητικὸν, ἀσταφίδας καὶ ἐρεβίνθους λευκοὺς,[470] δύο χοίνικας, καὶ ἐπιχέαι ὕδα-

τοις τρία ἡμιχόεα· ἔπειτα ἀποχέας, πρὸς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ πίνειν· καὶ τοῖσι προσθέτοισι χρέεσθαι. Ἔγχυτον καθαρτικὸν καταμηνίων. Βόλβιτον πλάσαι [471] ὅσον σκαφίδα, φυρῆν δὲ καὶ ξυμμίσγειν τῆς κυπαρίσσου τὰ πρίσματα, ξηραίνειν δὲ ἐν τῷ ἡλίῳ, καὶ ἐς τοῦτο τὰ θυμιήματα ἐμβάλλειν. Ἐς ὅμοιον πάθος. Ἢν τὰ καταμήνια [472] ἴῃ, ἀκάνθης λευκῆς τὰ φύλλα τρίψας καὶ ἐξηθήσας, καὶ ἐπιχλιήνας, ἐγχέειν. Κατάχριστον καθαρτικὸν, ὥστε μήτρας καθαίρειν. Πράσου σπέρμα, καὶ καρδαμώμου τρίψας, ἐν οἴνῳ τε διεὶς καὶ γάλακτι ἑφθῷ, διαχρίειν τὴν νειαίρην γαστέρα. Κατάχριστον μαλθακτήριον· ὕδωρ δὲ ἄγει καὶ μύξας, καὶ δέρματα, καὶ λοχεῖα φέρει, καὶ οὐχ ἑλκοῖ. Σμύρνης ὡς ἀρίστης ἥμισυ, καὶ ἁλὸς χόνδρον ὁμοίως, πίσσαν ἡδυντὴν, φλάσας, μίξας τελέα· ἔστω δὲ τὸ τῆς σμύρνης τὸ ἥμισυ τοῦ ἁλὸς καὶ τῆς πίσσης. ἐμβάλλειν ἐς ῥάκος τῆς πεφλασμένης, μέγεθος ὅσον κηκίδα μεγάλην· δύο δὲ ἔστω, ὡς τὸ μὲν ἡμέρας ἔχῃ, τὸ δὲ εὐφρόνης, ἔστ' ἂν καταταχῇ. λουέσθω δὲ θερμῷ, εἶτα ἀφαιρέουσα, διανιζέσθω ὕδατι εὐώδει. Καθαρτικὸν, ἄτοκον καθῆραι, ἢν τὸ στόμα ὀρθῶς ἔχῃ. Ἢν ἄτοκον θεραπεύῃς, βόλβιτον αὖον ἡλίου, διασήσας ὅσον τέσσαρας χοίνικας Ἀττικὰς, ὄξεος δὲ κοτύλας δέκα, καὶ ὀροβίου χοίνικα, καὶ θαλάσσης κοτύλας εἴκοσι, πυριῆσαι ἀλέα πουλὺν χρόνον· ἔπειτα φακίον ποιῆσαι, καὶ μέλι καὶ ὄξος μίξαι, καὶ ἐμεέτω, καὶ ῥοφεέτω ἄλευρον, καὶ ἐπιπινέτω οἶνον εὐώδεα. σίτου δὲ μὴ ἁπτέσθω ταύτῃ τῇ ἡμέρῃ· τῇ δ' ὑστεραίῃ, κόκκον διδόναι κατάποτον· τῇ δὲ τρίτῃ διουρητικὸν, ἐὰν δὲ βούλῃ, λευκὴν σταφίδα, καὶ ἐρεβίνθους λευκοὺς δύο χοίνικας, ἐπιχέας ὕδατος τρία ἡμιχόεα, ἀφελεῖν δὲ τὸ ἥμισυ, εἶτα ἐς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ πίνειν ἐκ τούτου κατ' ὀλίγον, καὶ τοῖσι προσθέτοισι χρέεσθαι.

tribus semicongijs. Deinde percolatum sereno cœlo per noctem exponito, & postero die bibendum dato, & subdititijs vtitor. Medicamentum quod infusum menses purgat. *Stercus bubulum in conchæ maioris formam effingito, cupressi ramenta subigito & commisceto, sole siccato, in id suffimenta inijcito.* Ad similē affectionem. *Si menses* non *prodeant, spinæ albæ contrita folia & percolata, ac tepida infundito.* Linimentum purgans, quod vteros purgat. *Porri & cardamomi semen tritum, vino & lacte cocto maceratum, imo ventri illinito.* Emolliēs linimentum; aquam autem, mucos, & pelliculas educit, & lochia deturbat, nec exulcerat. *Myrrhæ quàm optimæ partē dimidiā, & salis granum similiter, & picem aromatibus conditā, hæc leuiter contusa commisceto. Sit autem myrrha ad salem & picem dimidia; hanc contusam in tenue linteum ad gallæ magnæ quantitatem inijcito. Sint autē duo lintea, vt vnum interdiu, alterum noctu contineat, quoad colliquescat. Calidâ autem lauetur, deinde vbi detraxerit, perluatur aquâ odoratâ.* Medicamentum infœcundam purgans, si os bene habeat. *Si infœcundam cures, stercus bubulum sole exiccatum, & excussum ad quatuor chœnicas Atticas, adiectis aceti heminis decem, erui farinæ chœnice, & aquæ marinæ heminis viginti, hæc tepida diuturno tempore in fotu adhibeto; deinde lenticulæ decocto propinato, & melle ac aceto admixto, vomat; farinam sorbeat, & vinum odoratum superbibat. Cibo autem eo die abstineat; postero autem die grana cnidia deuoranda dato; tertio verò die medicamentum vrinam ciens. Si verò voles, vinum album & cicera alba ad duas chœnices, affusis tribus aquæ semicongijs. Ex eo detracto dimidio, reliquum cælo sereno noctu exponendum, & sequenti die paulatim bibendum, & subdititijs vtendum.*

ΚΕΦΑΛΑΙΟΝ ϟϛ'.

Περὶ φαρμάκων τῶν πρὸς τὴν κύησιν, καὶ τὴν μήτρας μύσιν, καὶ τῶν καταμηνίων ἐπίσχεσιν ἐπιτηδείων.

Ἢν βούλῃ γυναῖκα κυῆσαι, καθῆραι αὐτὴν καὶ τὰς μήτρας· ἔπειτα δίδου [474] ἄλητον ἐσθίειν νῆστι, καὶ οἶνον ἐπιπίνειν ἄκρητον, καὶ προστιθέναι νίτρον ἐρυθρὸν, καὶ κύμινον καὶ ῥητίνην μέλιτι δεύσας, ἐν ὀθονίῳ προσθεῖς· καὶ ὅταν τὸ ὕδωρ ἀπορρυῇ, τοὺς μέλανας πεσσοὺς προστιθέσθω μαλθακτήριον, καὶ τῷ ἀνδρὶ συνευνάσθω. Ἢν δὲ τὸ στόμα [475] μεμύκῃ, προστιθέσθω καὶ ὀπὸν συκῆς, μέχρις ἐὰν ἀναστομωθῇ, καὶ ὕδατι αὐτίκα ἀπονίζεσθαι. ἴρηκος δὲ ἄφοδον τρίβειν ἐν οἴνῳ γλυκεῖ, καὶ πίνειν νῆστιν, καὶ τηνικαῦτα συνευνάζεσθαι τῷ ἀνδρί. Ἢ [477] ὁκόταν τὰ καταμήνια παύηται, χηνὸς ἢ ἀλώπεκος ἄφοδον ἐν ῥοδίνῳ μύρῳ τρίβειν, καὶ τὸ αἰδοῖον χρίεσθαι καὶ συνευνάζεσθαι.

CAPVT XCVI.

De medicamentis ad conceptionem, vteri occlusionem, menstruorum suppressionem, vtilibus.

SI velis mulierem concipere, *ipsam & vteros purgato; deinde ieiunæ farinam edendam, & vinum meracum superbibendum dato, nitrúmque rubrum subdito; & cuminum, ac resinam melle subactam ex linteo supponito. Quúmque aqua effluxerit, subdititios talos nigros ad emolliendum subijcito, & viro condormiat.* Quòd si os conniueat, *fici quoque succum subdito, quoad reseratum fuerit, & protinùs aquâ eluatur. Accipitris vero stercus ex vino dulci tritum ieiuna bibat, tum viro condormiat.* Aut vbi menstrua desierint, *anseris aut vulpis stercore in rosaceo vnguento trito, pudendum illinat, & viro condormiat.*

CAPVT

CAPVT XCVII.

De medicamentis vterorum ac pudendorum muliebrium vlcera acria, inflammata, mordentia, ac sordida sanantibus.

SI vlcera acria fuerint, sique inflammata, hac collutione vtitor. *Anserinum adipem & resinam misce, ijs aquâ tepidâ dilutis colluito.* Aut melle *cum butyro mixto, liquefacto colluito.* Aut *bryoniæ albæ radicis derasæ conchæ minoris quantitatem, & myrrham ac mel eodẽ modo, his ex vino nigro odorato solutis & tepidis colluito.* Si in purgatione summa labra exulcerata & pustulis referta fuerint, *carnem bubulam* sumito, *butyrum, aut anserinum adipem, anisum, aut granum cnidium, aut spodium Cyprium; his omnibus tritis carnem obductam subdito.* Si vlcera fiant ac mordeant, *carnem bubulã adipe oblinito, & carnẽ supponito. Ac si sordida fuerint, eluito, & fomentũ ex fici radice adhibeto, deinde etiam pinguedinis aliquid ex vino dulci bibat.* Si in pudendis vlcera oriantur, *bubulo adipe linito; & myrtum in vino coquito, vino colluat; aut oleæ & rubi, & mali punici folijs* decoctis. *Sit autem vinũ Pramnium. Atque hæc ita facienda sunt. Et Perseæ, arboris videlicet, folia læuiter terito, & pudendis admoueto.* Aut *anethi & apij semen contritum illinito.*

ΚΕΦΑΛΑΙΟΝ ϞΖʹ.

Περὶ τῶν φαρμάκων τῶν τὰ τῶν μητρῶν καὶ αἰδοίων γυναικείων ἕλκη δριμέα, καὶ φλεγμαίνοντα, καὶ δακνώδη, καὶ ῥυπαρὰ θεραπευόντων.

ΗΝ ἕλκεα ᾖ δριμέα, καὶ ἢν φλεγμαίνῃ, χρῆ τῷδε κλυσμῷ. χηνὸς ἔλαιον καὶ ῥητίνην μίσγε, καὶ διεὶς ὕδατι χλιαρῷ, κλύσαι. Ἢ μέλιτι βούτυρον μίξας, τῆξαι καὶ κλύσαι. Ἢ ἐχεβρώσιος ξύσαι ὅσον σκαφίδα μικρὴν, καὶ σμύρνην, καὶ μέλιτος ὁμοίως, ταῦτα διεῖναι ἐν οἴνῳ μέλανι εὐώδει, καὶ κλύζειν χλιαρῷ. Ἢν ἑλκωθῇ ἢ φλυκταινῶν ἀνάπλεα ᾖ ἐν τῇ καθάρσει ἄκρα τὰ χείλεα, σάρκα βοὸς, ἢ πικέριον, ἢ χηνὸς ἄλειφα, καὶ ἄννησον, ἢ [478] κόκκον, ἢ σποδὸν Κυπρίην, τρίψαι ταῦτα πάντα, καὶ περιαλείψαι τὴν σάρκα, καὶ προστιθέναι. Ἢν ἕλκεα γένηται καὶ [479] ὀδαξᾶται, βοὸς σάρκα, στέαρ ἐπαλείφειν, καὶ τὴν σάρκα προστιθέναι. καὶ ἐγκλύζειν ἢν ῥυπαρὰ ᾖ, καὶ πυριῆν [480] συκῆς ἀπὸ ῥίζης, καὶ μετέπειτα καὶ πίους ἐν γλυκεῖ πινέτω. Ἢν ἐν τοῖσιν αἰδοίοισι τὰ ἕλκεα γένηται, βόειον στέαρ ἐπαλείφειν, καὶ μυρσίνην ἐν οἴνῳ καθεψῶν, διακλυζέτω τῷ οἴνῳ· ἢ ἐλαίας φύλλα, καὶ βάτου καὶ ῥοιῆς· καὶ οἶνος [481] ἔστω Πράμνιος. ταῦτα δὲ οὕτως ποιέειν. Καὶ περσέης φύλλα, τοῦ δένδρου δηλαδὴ, λεῖα τρίψαι, καὶ πρὸς τὰ αἰδοῖα τιθέναι. Ἢ ἀνήθου καρπὸν καὶ σελίνου τρίψας, ἐπίχριε.

CAPVT XCVIII.

Remedia pudendorum muliebrium aphthis, ac pudendorum & vterorum vlceribus, & stranguriæ medentia.

SI pudenda aphthis laborarint, quomodo curare oportet? *Carnem bubulam longitudine paruorum duorum palmorum, & crassitudine manubrij, ad vesperam vsque subdito, sub noctem tollito. Postero verò die rursus ad meridiem vsque subdito, & vinum dulce, cui mel admixtum sit, insuper bibat.* Collutio si vlcerati fuerint vteri, & si stranguria prehenderit. *Porrum, sambuci fructum, seseli, anisum, thus, myrrham, & vinum æquali ad horum succum mensurâ. His mixtis & feruefactis, ac modicè refrigeratis colluito.* Aut *mel, butyrum, medullam & ceram intromittito, & illinito.* Ad vlcera, quæ in pudendo sunt & enascuntur. *Oleæ, rubi, hederæ, & mali punici dulcis folia, læuiter trita, vino veteri diluta, in lanâ noctu pudendis apponito, & pro cataplasmate admoueto. Quum verò dies illuxerit, detrahito, & myrti baccis vino decoctis colluat.* Aut *anserino adipe & resinâ liquefactis colluito.* Aut *etiam butyro & cedrino oleo cum pauco melle admixto, colluito.* Hæc vterorum vlcera exiccant. *Argenti florem ex vino terito, & colluito.* Aut *butyro cum melle colluito.* Aut *bryoniam albam, myrrham, & mel, vino diluito, vino verò nigro, tepido; postridiè colluito.* Aut *lẽtisci folijs in aqua decoctis, ex ea posteà colluito.*

ΚΕΦΑΛΑΙΟΝ ϞΗʹ.

Τὰ τὰς τῶν αἰδοίων τῶν γυναικείων ἄφθας, καὶ τὰ ἐν αἰδοίῳ, καὶ μήτραις ἕλκη, καὶ τὴν στραγγουρίαν θεραπεύοντα βοηθήματα.

ΗΝ ἀφθήσῃ τὰ αἰδοῖα [482] πῶς δεῖ ἰᾶσθαι; Σάρκα βοὸς ὡσεὶ δύο παλαιστῶν τὸ μῆκος, πάχος δὲ ὡσεὶ στειλαιὸς, προστιθέσθω μέχρις ἑσπέρης, τὴν δὲ νύκτα ἀφαιρέειν· τῇ δ' ὑστεραίῃ πάλιν προστίθεσθαι μέχρι μεσημβρίης, καὶ ἐπιπινέτω οἶνον γλυκὺν, μέλιτι τὸν οἶνον ξυμμίσγουσα. Κλύσμα ἢν ἡλκωμέναι ἔωσιν αἱ μῆτραι, καὶ ἢν στραγγουρίη ἐπιλάβῃ. Πράσα, ἀκτῆς καρπὸν, σέσελι, ἄννησον, λιβανωτὸν, σμύρναν, καὶ οἶνον ἴσον τῷ χυλῷ τούτων· μίξας ταῦτα καὶ ἀναζέσας, ψύχειν μετρίως, καὶ κλύζειν. Ἢ μέλι, βούτυρον, [483] μυελὸν, καὶ κηρὸν ἐνιέναι, καὶ χρῆσθαι. Ἅσσα ἐν αἰδοίῳ ἕλκεα ἔνι καὶ φύεται. Φύλλα ἐλαίης, καὶ βάτου, καὶ κισσοῦ, καὶ ῥοιῆς γλυκείης, τρίβειν λεῖα· διεὶς δὲ οἴνῳ παλαιῷ, εἰρίῳ προστίθεσθαι τῇ νυκτὶ πρὸς τὰ αἰδοῖα, καὶ καταπλάσσειν ἐν τούτοισιν. ὅταν δὲ ἡμέρη γένηται, εἰρύσαι, ἀφεψεῖν δὲ μύρτα ἐν οἴνῳ, καὶ διακλύζεσθαι. Ἢ χηνὸς ἔλαιον, καὶ ῥητίνην τῆξαι, καὶ κλύσαι. Ἢ βούτυρον, καὶ κέδριον ἔλαιον μέλιτι παραμίσγειν μικρὸν, καὶ κλύζειν. [484] Ἕλκεα ἐν μήτρῃσιν ἀποξηραίνει. Ἀργύρου ἄνθος ἐν οἴνῳ τρίψαι, καὶ κλύσαι. Ἢ βούτυρον μετὰ μέλιτος κλύσαι. Ἢ ἐχέτρωσιν, καὶ σμύρνην, καὶ μέλι οἴνῳ διιέναι, οἴνῳ δὲ μέλανι χλιαρῷ, καὶ κλύζειν τῇ ὑστεραίῃ. Ἢ σχίνου φύλλα ἑψήσας ἐν ὕδατι, τούτῳ μετακλύζειν.

Ἄλλο, ἢν ἑλκωθῇ τὸ στόμα τῶν μητρέων. Βούτυρον, λιβανωτὸς, σμύρνη, ῥητίνη, μυελὸς ἐλάφου, τουτέοισι κλύζειν. Ἢ φακὴν[486] ἕψειν ἐν ὕδατι, καὶ ἀποχέας τὸ ὕδωρ, ἐν τούτῳ κλύζειν. Ὅταν δὲ ὕδωρ ἐκ τῶν ὑστερέων ῥέῃ, καὶ ἕλκεα ᾖ, καὶ δάκνηται, χηνὸς στέαρ, καὶ ᾠὸν διαχρίεσθαι. Ἢ οἶος στέαρ, ἢ συὸς, καὶ φακὸν ἐν οἴνῳ ἕψειν, καὶ κεκρημένον τῷ ὕδατι, τουτέῳ κλύζειν. τὰ δὲ ἐν τῷ αἰδοίῳ ἕλκεα ἐν τούτῳ καταιονᾶν· ἐπιπάσσειν δὲ μάνναν, βάτον, πίτυος φλοιὸν, καὶ τῷ ὕδατι τούτων νιψάσθω.

Aliud, si vterorum os vlceratum fuerit. *Butyrum, thus, myrrha, resina, medulla cerui, ex his colluito.* Aut *lenticulam in aqua decoquito, & cum aquâ percolatâ colluito. Quum verò aqua ex vteris fluxerit, & vlcera fuerint, & lancinarint, anserino adipe & ouo illinito.* Aut *ouillum adipem & suillum, & lentem ex vino coquito, & hoc pari aquâ temperatum infundito. Sed & quæ vlcera in pudendo sunt, eo perfundenda. Mannam thuris, rubum, & pini corticem macerato, & horum aquâ perluatur.*

ΚΕΦΑΛΑΙΟΝ ϞΘ'.

Περὶ τῶν διεκβολίων τοῦ ἐμβρύου ἀποθανόντος.

Διεκβόλιον, ἢν ἀποθάνῃ τὸ ἔμβρυον. Χαλβάνης ὅσον ἐλαίην ἐνελίξας ἐς ὀθόνιον, κέδρινον ἐμβάψασα, προστιθέσθω πρὸς τὸ στόμα τῆς μήτρης. Ἕτερον. Κάλαμον εὐώδεα, καὶ σικύης ἐντεριώνην τρίψαι ἐν χηνείῳ στέατι· ἐπίδησον δὲ τὸν ὀμφαλὸν, καὶ τὸ ἦτρον, καὶ σμικρὸν ἀπ' αὐτέου ἐνστάξασα ἐς εἴριον, προστιθέσθω πρὸς τὸ στόμα τῆς μήτρης, καὶ ἐκ τούτου κατ' ὀλίγον ἕλκεται. Ἄλλο. Ἐρυθρεδανὸν κόψας, καὶ κέδρου πρίσματα, ὕδωρ τε ἐπιχέας, τίθει ἐς τὴν αἰθρίην, εἶτα περὶ δὸς πρὸς τὰς ἀλγηδόνας. Ἄλλο. Σιλφίου ὁκόσον δραχμὴν μίαν, καὶ πράσου χυλὸν ὁκόσον ὀξύβαφον,[487] παραμίξας κέδρινον ἔλαιον ἥμισυ κυάθου μικρὸν, δὸς πιεῖν. Ἄλλο. Ταύρου χολὴν ὅσον ὀβολὸν ἢ ἡμιωβόλιον τρίβων ἐν οἴνῳ, δός· ἢ σταιτὶ περιπλάσας,[488] ὢν πάλιν, καταπιεῖν δίδου. Ἄλλο. Καρκίνους ποταμίους πέντε, καὶ λαπάθου, καὶ πηγάνου ῥίζαν, καὶ αἴθαλον ἀπὸ τοῦ ἰπνοῦ, τρίψασα ὁμοῦ πάντα, καὶ ἑνώσασα ἐν μελικρήτῳ, ὑπαίθριον θεῖσα, πινέτω νῆστις[489] ἐκ τρίτου. Ἄλλο. Σικύης ἐντεριώνην τρίψας λείην ἐν κεδρίνῃ πίσσῃ, ἐς εἴριον ἐνελίξας, προσδήσας πρὸς τὸ πτερὸν λίνῳ, προσθέσθω[490] δὲ ἴσον. τοῦ δὲ πτεροῦ τὸ σκληρὸν, προσεχέτω μικρὸν ἔξω ἐκ τοῦ εἰρίου· ὅταν δὲ αἷμα φαίνηται, ἀφελέσθω. Ἄλλο. Ἐλλεβόρου μέλανος λαβὼν ῥαβδίον ὅσον ἓξ δακτύλων, περιείλιξον ἐν εἰρίῳ, τὸ δὲ ἄκρον ἔα ψιλὸν εἶναι, εἶτα προσθέσθω εἴσω ὅτι μάλιστα· ὅταν δὲ αἱματωθῇ τὸ ἄκρον, ἀφελέσθω. Ἄλλο. Ἐλλέβορον μέλανα, καὶ κανθαρίδας, καὶ κόνυζαν τρίψας ἐν ὕδατι, καὶ ποιήσας βάλανον μαλθακὸν, ὅσον ἑξαδάκτυλον, ξήρανον· κἀπειδὰν σκληρὸν γένηται, εἰρίῳ περιελίξασα προσθέσθω. τὸ δὲ ἄκρον κέδρῳ χρισάτω, καὶ ἔστω ψιλόν· ὅταν δὲ αἷμα φαίνηται, ἀφελέσθω. Ἐκβόλιον. Ἢν ἔμβρυον τεθνεὸς ἔνδον ᾖ, ἢ ἀπόπληκτον, βατράχιον, καὶ ἐλατήριον μικρὸν μίξαι ἐν ὄξει ἀκρήτῳ, καὶ δοῦναι πιεῖν. Ἢ κράμβης ἁπαλὸς καυλὸς, κατὰ τὸ ἄκρον νετώπῳ χριόμενος, ἐμβαλέσθω.

CAPVT XCIX.

De medicamentis fœtum mortuum expellentibus.

Expulsorium fœtûs, si interierit. *Galbanum oliuæ magnitudine, linteo inuolutum, oleo cedrino intinctum, ad os vteri apponito.* Aliud. *Calamum odoratum, & cucumeris agrestis medullam ex adipe anserino terito; vmbilicum verò & imum ventrem obligato; & ex eo exiguo in lanam instillato, ad vterorum os apponat; & ab eo paulatim detrahitur.* Aliud. *Rubiam tusam, & cedri ramenta, aquâ affusâ cœlo sereno noctu exponito, deinde sub auroram ad dolores exhibeto.* Aliud. *Laseris drachmam vnam, & succi porri acetabulum, cedrini olei dimidio cyatho paruo admixto, potui exhibeto.* Aliud. *Fel tauri oboli aut dimidij oboli pondere, ex vino tritum exhibeto; aut farinâ aquâ maceratâ obductum deuorandum dato.* Aliud. *Cancros fluuiatiles quinque, lapathi, & rutæ radicem, & furni fuliginem, omnia simul trita, & aquâ mulsâ vnita, & cœlo sereno per noctem exposita, ieiuna tertio quoque die bibat.* Aliud. *Cucumeris agrestis medullam læuiter tritam in cedrina pice, lanâ inuolutam, filo circum pennam deligato, æqualiter verò subdat. Pars autem pennæ dura, foris ex lana paulùm extet, vbi verò sanguis apparuerit, detrahatur.* Aliud. *Veratri nigri surculum sex digitos longum, lanâ obuolutum, ita vt eius extremum nudum relinquatur; deinde intrò quàm penitissimè sibi supponat. Quum verò extremum cruentum fuerit, detrahatur.* Aliud. *Veratrum nigrum, cantharidas, & conyzam ex aqua terito, & in glandem mollem sex ferè digitos longam efformatum exiccato; & vbi indurverit, lanâ obuolutam supponat. Extremum verò cedriâ illinatur, sitque nudum; quumque sanguis apparuerit, detrahatur.* Expulsorium. *Si fœtus intùs mortuus aut sideratus fuerit, ranunculum & elaterij exiguum, ex aceto meraciore commixtum, potui dato.* Aut *brassicæ tener cauliculus, extremâ parte netopo illitus, intromittatur.*

A

CAPVT C.

In fine libri primi de morbis mulierum notha hæc adiuncta sunt. Remedia pueri tussim, & aluum & vomitum soluentia, lac procreantia, purgantia, septica, cathæretica; anginæ, podagricis doloribus & ambustis medentia; ocularia ad albuginem & lachrymas; pilos euellentia, lienteriam, coryzam, & dysenteriam sanantia; phlegmagoga, & cholagoga.

B

TVssis infantuli remedium. *Thapsiam cum polenta in os indito.* Aliud. *Oui assati exemptum luteum tritum, cum sesamo albo tosto, sale, & melle delingendum præbeto.* Ad pueri aluum soluendam. *Lanam illotam melle tinctam indito. Quòd si adultior iam fuerit, ceparum interiores partes ex melle tritas indito.* Si lac desit; *farinam sitaniam elotam, melle & oleo admixto, tepidam sorbeat.* Puerorum anhelitum sedat *thus ex vino dulci, & balnei abstinentia.* Purgatorium. *Glandulas conficito ex mellis hemina, anisi acetabulo, bituminis drachmis duabus, felle bubulo, myrrhæ drachmis tribus, elaterij potione. Hæc, admixto anserino adipe, æneo vase coquito; & vbi vti voles, glandes adipe anserino molli illinito, lanâ verò ouillâ vtitor, oleo autem lentiscino, cui cinnabarim admiscere poteris.* Vomitum tollit. *Ocymi succus ex vino albo.* Aliud. *Farinæ setaneæ exsuccatæ aqua, aut mali punici dulcis & acidi expressus succus, posteà melle admixto.* Septicum sic conficitur. *Veratrum nigrum, sandaracham, æris squamam, singula æquali portione seorsùm terito. Quum autem læuiter tritum fuerit, ad vnam partem duplâ calce admixtâ, cedrino oleo subactâ, illinito.* Exurens medicamentum ad hunc modum paratur. *Æris flos sincerè combustus, quoad ruber euadat, eo læuiter trito vtitor.* Nigrum medicamentum. *Squamam æris, æris florem, utrúmque seorsim terito; quum autem læuiter triueris, sic permisceto. Duo aut tria medicamenti genera conficito, vnum quidem vehementissimum, quod æris florem & squamæ tertiam habet partem; alterum quod quartam habet partem; tertium verò, quod quintam. Hoc medicamentum ad omnia adaptatur.* Illitus ad anginam. *Roris marini semen, staphis agria, absinthium, elaterium, mel.* In podagricis doloribus. *Tumores abscedentes nitro leuiter trito, aquâ subacto, velut cataplasmate obducito, tribus diebus ne lauato. Quum verò laueris, rursùs nitro crudo rubro, cum pauco melle trito, eo velut semper vtendum. Ac tantúndem temporis in ollam nitrum tritum conijce, deinde alumen; posteà litu facto, noctu ac interdiù suppone, immissâ in sedem glande ex vua passa, leui, ac aridâ, sedem illinito.* Igne ambusta illine *portulacâ cum farinæ massa aquâ subactâ, & lactucæ rubræ drachmâ vnâ.* Id dolorem omnem tollit *ex aqua semioboli Attici pondere.* Ocularia medicamenta. *Æs vstum, ærugo, fel capræ,*

ΚΕΦΑΛΑΙΟΝ Ρ'.

Νόθα τῇ τελευτῇ τοῦ α', περὶ γυναικείων βιβλίου πρόσκειται τάδε. βοηθήματα τοῦ παιδίου βῆχα, καὶ τὴν κοιλίαν, καὶ ἔμετον λύοντα, γάλακτος γεννητικά, καθαρτήρια, σηπτικά, καθαιρετικά, τῆς συνάγχης, καὶ τῶν ποδαλγικῶν ὀδυνημάτων, καὶ τῶν πυρικαύτων θεραπευτικά, ὀφθαλμικὰ πρὸς ἄργεμον καὶ δάκρυα, τριχῶν ψιλωτικά, τῆς λειεντερίας καὶ τῆς κορύζης καὶ τῆς δυσεντερίας θεραπευτικά, φλεγμαγωγὰ καὶ χολαγωγά.

[491] Βηχὸς παιδίου. Θαψίην ἐπ' ἀλφίτοις ψωμίζειν. Ετερον. Ὠὸν ὀπτήσαντα, τὴν λέκιθον ἐξελόντα τρίψαι, καὶ σήσαμον λευκὸν πεφρυγμένον, καὶ ἅλας, ἐν μέλιτι ἐκλείχειν. Τὴν κοιλίην λῦσαι τοῦ παιδίου. Εἴριον ἄπλυτον ἐς μέλι βάψας, ἐντιθέναι. ἐὰν δὲ γεραίτερον ᾖ, [492] κρομμύων τὰ ἔξωθεν τρίψας, ἐντιθέναι. Ἐὰν δὲ γάλα μὴ ᾖ, σητάνιον ἄλευρον ἐκπλύνας, μέλι καὶ ἔλαιον μίξας χλιαρῷ, [493] ῥοφῆσαι. Ἄσθματος παιδίου. Λιβανωτὸν ἐν οἴνῳ γλυκεῖ, ἀλουσίη. Καθαρτήριον. Βαλανίδας ποιέειν· κοτύλην μέλιτος, ἀνίσου ὀξύβαφον, ἀσφάλτου δύο δραχμάς, χολὴν βοός, σμύρνης τρεῖς δραχμάς, πόσιν ἐλατηρίου· ἕψειν ἐν χαλκῷ, μίσγειν ἔλαιον χηνός· καὶ ὅταν μέλλῃ χρῆσθαι, ἀλείφειν τὰς βαλανίους [494] τῷ χηνείῳ μαλακῷ, εἰρίῳ δὲ χρῆσθαι τῷ οἰέῳ, ἐλαίῳ δὲ σχινίνῳ· τούτῳ μίσγειν κινναβάρι. Ἔμετον λύει. Ὠκίμου χυλὸς ἐν οἴνῳ λευκῷ. Ἕτερον. Ἀλήτου σητανίου κεχυλισμένου τὸ ὕδωρ, ἢ ῥοιὰς γλυκείας καὶ ὀξείας ἀποχυλώσας, εἶτα μέλιτι μίξας. Τὸ σηπτικὸν ὧδε ποιέεται. Ἐλλέβορος μέλας, σανδαράκη, λεπὶς χαλκοῦ, ἴσον ἑκάστου τρίβειν χωρίς. ὅταν δὲ λεῖον ᾖ, παραμίξαι μιᾶς μερίδος διπλάσιον τίτανον, ἀναδεύσας κεδρίνῳ, χριέτω. [495] Ὀπτὸν φάρμακον ὧδε ποιέεται. Ἄνθος κεκαυμένον καθαρῶς, ἄχρις οὗ φοινικοῦν γένηται, τρίψας λεῖον, τούτῳ χρῶ. Τὸ μέλαν φάρμακον. Λεπίς, ἄνθος, χωρὶς τρίβειν ἑκάτερον· ὅταν δὲ λεῖον τρίβῃς, οὕτω μίσγε· ποιέειν δύο ἢ τρία εἴδη τοῦ φαρμάκου, τὸ μὲν ἰσχυρότατον, τὸ ἄνθος, τριτημόριον τῆς λεπίδος· τὸ δὲ δεύτερον, τεταρτημόριον· τὸ δὲ τρίτον, πεντημόριον. τοῦτο τὸ φάρμακον ἐπὶ πᾶν ἁρμόζει. Διάλειπτον πρὸς τὴν συνάγχην. Κάχρυα, σταφὶς ἀγρία, ἀψίνθιον, ἐλατήριον, μέλι. Ἐν τοῖς ποδαλγικοῖς ὀδυνήμασιν. Τὰ ἀφιστάμενα καταπλάσσειν [496] ὕδατι φύροντα λεῖον, καὶ μὴ λούειν τριῶν ἡμερέων. ὅταν δὲ λούσῃς, αὖθις νίτρον ὠμὸν τοῦ ἐρυθροῦ τρίψαντα, καὶ μέλι ὀλίγον, τούτῳ ὥσπερ αἰεὶ χρέεσθαι, καὶ τὸν ἴσον χρόνον ἐς χύτραν ἐμβάλλειν λείους, εἶτα στυπτηρίην, εἶτα καταλείψας ὑποκεῖν νύκτα καὶ ἡμέρην· τὴν ἕδρην ἐμβαλεῖν ἀσταφίδι λείῃ τετριμμένῃ, ξηρῇ, ἐναλείφοντι τὴν ἕδρην. Τὰ πεπυρωμένα διαχρίειν. Ἀνδράχνην ἐν σταιτί, θρίδακος τῆς ἐρυθρῆς ὁπόσον ὁλκήν· λύει πᾶσαν ἐν ὕδατι, σταθμὸς ἡμιωβόλιον Ἀττικόν. Ὀφθαλμικά. Χαλκός, ἰός, χολὴ αἰγός,

C D E F

σμύρνα, ταῦτα λύεται πάντα· ὁμοῦ τρίψας λεῖα, οἴνῳ διιέναι λευκῷ, ἔπειτα ἐς κάλαμον ἐμβαλὼν, ξηρῷ χρῆσθαι. Ἔμπαστον. Μίσυ κατασκευάσας, τρῖβε ἐν ἴγδῃ, ξυμμίσγειν δὲ αὐτῷ σποδὸν χρυσῖτιν πεπλυμένην· ἔστω δὲ τῆς σποδοῦ τρία, τοῦ μίσυος ἕν. τὸ μίσυ κατάκαιε ἐς μᾶζαν, φυλασσόμενος, ὅκως μὴ ἐκρυῇ· ὀπτώμενον γὰρ ἐξυγραίνεται. ὅταν δὲ καλῶς ὀπτὸν ᾖ, φοινίκεον γίγνεται. Ἔμπαστον. Ψιμμύθιον τὸν αὐτὸν τρόπον μισγόμενον τῷ μίσυϊ ὠπτημένῳ, ὥσπερ ἐν τῇ χρυσίτιδι σποδῷ, τὸ μίσυ γίγνεται. Ἕτερον ἔμπαστον ἰσχυρότερον τούτου. Σποδὸς Κυπρία ἐκ τοῦ ἀσβόλου πεπλυμένη, καὶ ψιμμύθιον, καὶ μίσυ ὀπτόν· εἶναι δὲ δύο μοίρας τῆς σποδοῦ, τοῦ ψιμμυθίου ἕν, μίσυος ἕν. ὑγρὸν ἀνεμώνης, τὰ φύλλα κόψαντα, ἐκπιέσαι, καὶ ἐς τὸν ἥλιον θεῖναι ἐν χαλκῷ ἐρυθρῷ κατακαλύψαντα, ὅκως μηδὲν ἐμπέσηται· ὅταν δὲ παχὺ ᾖ, διαπλάσσειν φθοῖς, εἶτα ξηραίνειν. ὅταν δὲ ξηρανθῇ, κατακαίειν ὡς δυνατὸν μάλιστα, εἶτα ἐπειδὰν ψυχθῇ, τρίβειν λεῖα, καὶ μίσγειν σποδῷ πεπλυμένῃ τῇ ἐκ τοῦ ἀσβόλου ἴσον· εἶτα παραστάζων νέτωπον, μικρὸν τρίβειν, εἶτα μέλιτι διιέναι, εἶτα ξηρήνας, ἐς χαλκῆν κυλίδα· τουτέῳ χρῶ. Ξηρὸν μαλακόν. Σποδὸς Κυπρία, χαλκῖτις ἄπλυτος λεῖα τετριμμένη, καὶ ἄνθος χαλκοῦ, [497] ταῦτα ἴσα μίσγειν, καὶ τρίβειν λεῖα. Ἕτερον ξηρόν. Σποδὸς Κυπρία, χαλκῖτις διατετριμμένη, καὶ σποδὸς χρυσῖτις ἄπλυτος, [498] ἐναφεψεῖται τὸ χρυσίον, ταύτας ἀλλήλαις διατρίβειν. Ἕτερον ξηρόν. Σποδὸς πεπλυμένη, [499] χρυσῖτις, καὶ ἀφρὸς χαλκοῦ, ἴσα λεῖα. Ἕτερον. Ὀμφακος χυλὸς, καὶ σποδὸς Κυπρία. τὴν ὄμφακα ἀκμάζουσαν, χρὴ ἐκπιέσαι τὸν χυλὸν δι' ὀθονίου ἐς χαλκεῖον ἐρυθρὸν, καὶ μίξαι ὄξεος τρίτον μέρος λευκοῦ ὡς ὀξυτάτου, καὶ οὕτως καθεψεῖν ἐν τῷ ἡλίῳ, καὶ ἀναταράσσειν πεντάκις τῆς ἡμέρης· ὅταν δὲ παχὺς γένηται ὁ χυλὸς, σποδὸν τῆς Κυπρίης τῆς χαλκίτιδος λείην ἐμβάλλειν, καὶ ἀναμίξαι. ὅταν δὲ ἑκταῖος ἢ ἑβδομαῖος ᾖ ὁ χυλὸς ἐν τῷ ἡλίῳ κείμενος, ἐς κοτύλην Ἀττικὴν τοῦ χυλοῦ τῆς σποδοῦ δραχμὰς ὀκτώ. ἐὰν δὲ βούλῃ δριμύτερον εἶναι, ἐλάττω τὴν σποδόν· ἢν δὲ μαλθακώτερον, πλέω. μετὰ δὲ ταῦτα ξηραίνειν, ἄχρις οὗ δυνατὸν διαπλάσαι φθοῖς· εἶτα ἐγξηραίνειν, κρεμάσας ἄνω ὑπὲρ καπνοῦ, καὶ οὕτως ξηραίνειν, μέχρις οὗ ὀστρακῶδες γένηται, ὥστε τριβόμενον [501] μὴ ξυστρέφεσθαι, εἶθ' οὕτως χρῶ· κείσθω δὲ, ὅκου ἰκμάδα μὴ ἕξει. Ἕτερον ξηρόν. Σποδὸς, χαλκῖτις ὄξει πεφυρμένη λευκῷ, εἶτα φθοῖς ποιήσας, ξήραινε δέ· ὅταν δὲ ξηρανθῇ, λεῖον τρίβειν, ὑπαλείφειν ὀφθαλμὸν μὲν ὡς κάλλιστον, καὶ οἶνον παλαιὸν γλυκὺν ἑψεῖν ὁμοῦ. Πρὸς ἄργημον. Αἰγείρου δάκρυον, γάλα γυναικεῖον μίξας, χρῶ. Ἐὰν ὀφθαλμὸς δακρύῃ, καὶ ὀδύνην ἔχῃ. Ῥοιῆς γλυκείης τὸν χυλὸν ἐκπιέσας, ἐν χαλκείῳ ἑψεῖν, καὶ μέλαν ὥσπερ πίσσαν, ἐὰν θέρος ᾖ, ἐς τὸν ἥλιον τιθέναι, εἶτα ὑγρῷ ὑπαλείφειν. Ἐὰν δὲ δακρύῃ καὶ γλαμυρὸς ᾖ ὁ ὀφθαλμός. Ὅταν ἡ σταφυλὴ ᾖ λευκὴ, πέπειρος ἰσχυρῶς καὶ ἰσχνὴ ἐπὶ τῇ ἀμπέλῳ ᾖ, δρέψας [502] ἐξωθῆσαι, εἶτα ξηραίνειν ἐν τῷ ἡλίῳ· ὅταν δὲ ξηρὸν ᾖ, ἀποξέσαι, μίξας ἰοῦ ἡμιωβόλιον Ἀττικῷ σταθμῷ· εἶτα τούτῳ ὑπαλείφειν.

A *myrrha, hæc omnia soluuntur; simul trita, læuigata, vino albo diluito, deinde in arundinem coniecta, sicca ad vsum adhibeto.* Puluisculum. *Misy præparatum in pila terito, chrysitidis cinerem lotum ipsi admisceto. Sint autem cineris partes tres, & misyos vna. Misy in maza comburito, eâ cautione ne effluat; liquescit enim, dum torretur. Quum autem probè vstum est, punicei fit coloris.* Puluisculum. *Cerussa eodem* B *modo cum misy vsto admiscetur, velut fit in chrysitidis cinere, & in misy transit.* Aliud puluisculum isto vehementius. *Spodium Cyprium ex fuligine lotum, cerussa, & misy vstum; spodij autem ad cerussam duas partes esse oportet, & misyos vnam. Foliorum anemones contusorum succum exprimito, & ad solem in æris rubri vase cooperto, ne quid incidat, exponito. Quum verò crassum euaserit, pastillos formato, deinde siccato. Quum verò desiccatum fuerit,* C *quàm maximè poteris vrito, deinde refrigeratum leuiter terito, & ad parem spodij ex fuligine loti portionem admisceto; deinde netopo instillato paulum terito, mox melle diluito, posteà resiccatum in capsula ærea ad vsum reponito.* Aridum molle. *Spodium Cyprium, chalcitis illota leuiter trita, flos æris, hæc æquali portione misceto, & leuiter terito.* Aridum aliud. *Spodium Cyprium, chalcitis leuiter trita, & cinis chrysitidis illotus, auro incocto, hæc inter se diligenter terito.* Aliud aridum. *Spodium vstum, chrysitis, & æris spuma æqualibus portionibus læuigata.* D Aliud. *Vuæ acerbæ succus, & spodium Cyprium. Vuam immaturam adultam* sumito, *& succum per linteum in vas æris rubri exprimito, aceti albi acerrimi tertiâ parte admixtâ, sicque in sole decoquito: & quinquies die versato. Quum verò crassus succus euaserit, chalcitidis cypriæ cinerem leuiter tritum inijcito & permisceto. Quumque sex vel septem diebus succus in Sole positus fuerit, ad succi heminam Atticam, cineris drachmas octo* iniicito. *Quòd si acrius esse voles, cineris minùs; sin lenius, plus* adiicito. *Posteà hæc resiccato, quoad pastilli formari* E *queant; deinde ad fumum ex alto suspensum tandiù resiccato, quoad testaceum euadat, ne quum teritur in sese coeat, mox sic vtitor. Loco verò minimè humido reponito.* Aliud aridum. *Spodium, chalcitis aceto albo subacta; deinde pastillos confectos resiccato; quumque resiccatum fuerit, leuiter terito; eo quidem oculum illinere optimum, vinumque vetus dulce simul incoquito.* Ad albuginem. *Populi nigræ lachrymam, lac muliebre, his permixtis vtitor.* Si oculus lachrymetur, & dolorem habeat. *Mali punici dulcis expres-* F *sum succum in vase æreo coquito, & nigrum velut picem* reddito *æstate Soli expositum, deinde liquido sublinito.* Si lachrymetur ac lippus oculus fuerit. *Quum vua alba valdè matura & gracilis in vite fuerit, decerptam exprimito & excolato; deinde in Sole siccato. Quum siccum fuerit, deradito, æruginis semioboli Attici pondus admisceto, posteà eo sublinito.*

Puluisculus

Puluisculus inspergendus. *Plumbum & spodium æquis portionibus, myrrhæ decima pars, papaueris succi exiguum, vinum vetus, aridis tritis vtitor.* Alius. *Scilla, spodij tertia pars, cerussæ tertia pars, chartæ combustæ* tertia, *myrrhæ pars decima.* Si voles pilos è corpore euellere. *Vitis lachrymâ cum oleo inungito. Quòd si &* oculũ depilare *voles, vbi decerpseris, inungito, & cũ tenui cuticulâ discedet, ruberque & boni coloris erit.* Ad lęuitatem intestinorum. *Lentes & triticũ setanium ad duas chœnices aquâ macerato; deinde quum hæc mollia euaserint, vt edi possint, in pila aut mortario valdè læuigato; posteà aquæ heminis sex affusis, vehementer agitato; quumq;* purgamenta *discesserint, in ollã effundito, melle pauco affuso coquito; vbi vehementer coctũ fuerit, torrefactũ edendum dato. Quòd si sitiat, vinũ quàm vetustissimũ bibat; eo vtatur, quoad conualescat.* Si quis grauedine detineatur, *myrrhã læuiter tritam, melle admixto, linteo excipito, nares confricato.* Alui infusũ pituitã educẽs. *Thapsiæ potionẽ, aut vuæ passæ grana quadraginta, aut grani cnidij, aut cnestri potionẽ; mellis autem semiheminam admisceto; aut olei tantũdem aquâ marinâ diluito, in qua furfures aut ptisana decocta fuerit, quoad pinguis euaserit.* Aut *adipem betæ succo liquato, & nitri drachmas decẽ admisceto, aut salis acetabulum plenum in aquam marinã* immittito. Si verò bilem educere velis, *succi laseris potionẽ, elaterij sesquidrachmam, colocynthidis drachmæ pondus terito, & ijsdem quibus priùs diluito.* Si verò vehementiùs ducere velis, *cucumeris agrestis interiorem partem, ad drachmæ quadrantem, aquæ dimidiâ heminâ maceratam in aluum infundito; & si in exitu mordeat, posteà ptisanæ cremore colluito,* Aliud. *In lacte asinino cocto, aut in succi betæ tribus heminis, cucumeris agrestis interiorem partem macerato, sale admixto, melle & oleo, posteà verò ptisanæ cremore colluito.* Aliud. *Colocynthidis drachmam tritã, & priùs lacte asinino maceratam, hæc eadem misceto.* Aliud. *Cucumeris agrestis interioris partis drachmam, elaterij potionem, salis pugillum, mel, oleum, aquâ marinâ diluito.* At si stercus educere velis, *nullum medicamentum propinato, verùm alijs vtitor.* Ad dysenteriam, infusum. *Mali punici dulcis cortices in vino plurimùm decoquito, quoad dimidium remanserit, olei heminæ quadrãte admixto, vtriusq; alterâ, & thuris drachmæ quadrãte.* Aliud. *Vnguenti rosacei heminæ dimidium, ptisanæ cremor, aqua marina cocta.* Aliud. *Veratri duas potiones tritas aquæ heminâ dimidiâ diluito, olei æquali portione* admixtâ, *decocto in scaphulam effuso colluito.* Potio. *Mala cydonia cõcisa aquâ macerari sinito, quumq; aqua odorem habuerit, potui exhibeto.* Alia. *Ptisanæ lomentum in aquæ congium immissum decoquito, dum pingue euadat.* Alia. *Mala concisa siccata, fauum mellis aquâ macerato, simul terito; vbi subdulcis fuerit, percolato, & apij folia immittito.* Alia. *Vuam passam albam in aquam immissam, calaminthem, aut fauum mellis in aqua subdulci conterito.*

A Παραπαστόν. Μόλιβος καὶ σποδὸς ἴσα, σμύρνης δέκατον μέρος, ὀποῦ μήκωνος σμικρόν, οἶνος παλαιός, ξηρὰ τρίψας, χρῶ. [503] Ετερον. Σκίλλα καὶ σποδοῦ τρίτον μέρος, καὶ ψιμυθίου τρίτον μέρος, χάρτου κεκαυμένου, μέρος δέκατον σμύρνης. Εἰ βούλει ἐκ τοῦ σώματος τρίχας ἀπελάσαι. Δακρύῳ ἀμπέλου ἀλείφειν ἐλαίῳ. Εἰ δὲ καὶ τὸν ὀφθαλμὸν βούλῃ, ἀποδρέψας ἀλείφειν, καὶ ἄπεισι σὺν λεπτῷ δέρματι, καὶ ἔσται ἐρυθρὸς καὶ εὔχροος. Λειεντερίης. Φακοὺς, πυροὺς σητανίους ὅσον δύο χοίνικας, βρέξας, ἐπειδὰν μαλθακοὶ ὦσιν B [504] διατρωγόμενοι, ἰσχυρῶς ποιῆσαι λείους ἐν ὅλμῳ ἢ ἐν θυίᾳ· ἔπειτα ἐπιχέαι ὕδατος κοτύλας ἕξ, καὶ ἀνακινῆσαι ἰσχυρῶς· [505] ὅτι δ' ἂν ἀπέλθῃ, ἐγχέας ἐς χύτραν, ἕψειν, μέλι ὀλίγον παραχέας· ἐπειδὰν ἑφθὸν ἰσχυρῶς γένηται, φρύξας διδόναι ἐσθίειν τούτου. ἐὰν δὲ διψῇ, οἶνον πινέτω ὡς παλαιότατον· τουτέῳ χρήσθω, ἄχρις ἂν ὑγιὴς γένηται. Εἰ δ' ἂν δὲ κόρυζαν ἔχῃ, σμύρναν τρίψας λεῖα, καὶ μέλι μίξας, ὀθόνιον ποιήσας, τὰς ῥῖνας τρίβειν. Κλυσμὸς φλέγμα ἄγων. Θαψίης πόσιν, ἢ ἀσταφίδος C ὅσον τεσσαράκοντα κόκκους, ἢ κνιδίου πόσιν, ἢ κνήστρου, μίσγειν δὲ μέλιτος ἡμικοτύλιον, ἐλαίου ἴσον διιέναι θαλάσσῃ, πίτυρα ἀφεψήσας ἢ πτισάνην, μέχρις οὗ λιπαρὰ γένηται. Η σέατος ἢ τεύτλου χυλῷ, παραμίσγειν δὲ νίτρου ὅσον δέκα δραχμὰς, ἢ ἁλὸς ὀξυβάφιον πλεῖον ἐς θάλασσαν. Εἰ δὲ θέλῃς χολὴν ἄγειν, ὀποῦ πόσιν, ἐλατηρίου ὁλκὴν καὶ ἥμισυ, κολοκυνθίδος τρίψαι δραχμὴν σταθμὸν, διιέναι τοῖς αὐτοῖς οἷς καὶ πρότερον. Εἰ δ' ἂν δὲ σφοδρότερον θέλῃς ἄγειν, σικύος ἐντεριώνην, D τέταρτον δραχμῆς ἀποβρέξας ἐν ὕδατος ἡμικοτυλίῳ, τουτέῳ κλύσαι, καὶ ἐὰν ἐξελθὼν δάκνῃ, μετακλύσαι πτισάνης χυλῷ. Ετερον. Γάλακτι ἑφθῷ ὀνείῳ, ἢ ἐν τεύτλου χυλῷ τρισὶ κοτύλαις, ἐναποβρέχειν τὴν ἐντεριώνην, παραμίσγειν ἅλας, καὶ μέλι, καὶ ἔλαιον, μετακλύζειν δὲ πτισάνης χυλῷ. Ετερον. Κολοκυνθίδος δραχμὴν τρίψας, καὶ προβρέξας ἐν γάλακτι ὀνείῳ, μίσγειν τὰ αὐτά. Ετερον. Εντεριώνης δραχμὴν, ἐλατηρίου πόσιν, [506] σολόμης ὅσον τοῖς τρισὶ δακτύλοις, E μέλι, ἔλαιον, διιέναι θαλάσσῃ. Εἰ δ' ἂν δὲ κόπριον θέλῃς ἀγαγεῖν, μηδὲν πίνειν φάρμακον, τοῖσι δὲ ἄλλοισι χρῶ. Δυσεντερίης κλυσμός. Εν οἴνῳ σίδια ῥοιῆς γλυκείης ἑψήσας ὡς πλεῖστα, ἕψειν δὲ, μέχρις οὗ τὸ ἥμισυ λειφθῇ, μίσγειν δὲ ἔλαιον τεταρτημόριον κοτύλης, [507] ἑκατέρου τὴν ἑτέρην, λιβανωτοῦ τέταρτον δραχμῆς. Ετερον. Μύρου ῥοδίνου ἡμικοτύλιον, πτισάνης χυλὸς, θάλασσα ἑφθή. Ετερον. Ελλεβόρου δύο πόσιας τρίψας, ὕδατος διεὶς ἡμικοτύλιον, ἐλαίου ἴσον, κλύζειν χυλῷ, ἐγχέας ἐς σκαφίδα. Ποτόν. Μῆλα κυδώνια καταταμεῖν, καὶ ἐᾶν F ἐμβρέχεσθαι· ἐπειδὰν δὲ τὸ ὕδωρ τὴν ὀσμὴν ἔχῃ, διδόναι πίνειν. Ετερον. Πτισάνης λέκυθον ἐμβαλὼν [508] ἐς χοέα ὕδατος, ἕψε, μέχρι λιπαρὸς γένηται. [509] Ετερον. Ψύξας δὲ τὰ μῆλα τὰ κατατετμημένα, κηρίον, καταβρέξαι δὲ ἐν ὕδατι, καὶ ἅμα τρίβειν· ὅταν ὑπόγλυκυ ᾖ, καὶ διηθήσας, ἐμβάλλειν σελίνου φύλλα. Ετερον. Ασταφίδα λευκὴν ἐς ὕδωρ ἐμβαλὼν, καλαμίνθην, ἢ κηρίον, ἀνατρίβειν ἐς ὕδωρ ὑπόγλυκυ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΩΝ, ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

HIPPOCRATIS DE MVLIERVM MORBIS, LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Περὶ τῶν ἐν μήτραις παθημάτων διαλέγεται, περὶ τῶν ῥῶν, περὶ τῆς ἀποπλανήσεως, περὶ νοσημάτων τῶν ἐκ τόκου, περὶ φλεγμονῆς, περὶ φυσῶν, ὑδέρου, πνιγὸς, καὶ περὶ τῆς τούτων τῶν νοσημάτων θεραπείας.

ARGVMENTVM LIBRI.

De vterorum affectibus agit, de fluxionibus, de aberratione, de morbis ex partu, inflammatione, flatibus, hydero, suffocatione; ac de ipsorum morborum curatione.

A

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τοῦ γυναικείου ῥοῦ, λευκοῦ, πυῤῥοῦ, καὶ ἐρυθροῦ· καὶ περὶ τῶν τούτων, μάλιστα δὲ τῶν ἐρυθρῶν, αἰτίων, καὶ σημείων, καὶ συμπτωμάτων, καὶ προγνωστικῶν, καὶ τῆς θεραπείας διαιτητικῆς τε, καὶ φαρμακευτικῆς, καὶ χειρουργικῆς.

Ρ ΟΟΣ λευκὸς ἐν τῇσι γεραιτέρῃσι τῶν γυναικῶν μᾶλλον γίνεται, ἢ ἐν τῇσι νεωτέρῃσι· ῥόος πυῤῥὸς ἐν ἀμφοτέρῃσι· ῥόος ἐρυθρὸς ἐν τῇσι νεωτέρῃσι. καὶ ῥόος ἐρυθρὸς μὲν γίνεται ἐκ πυρετοῦ, μᾶλλον δὲ ἐκ τρωσμοῦ, γίνεται δὲ καὶ ἐξ ἀπολήψιος ἐπιμηνίων, ὅταν ἀποκλεισθέντα ἐξαπίνης καταῤῥαγῇ. γίνεται δὲ καὶ ἐκ τόκων καὶ ἐκ πυρετῶν; αἷμα τε ῥεῖ πάμπολυ, καὶ θρόμβοι ἐκπίπτουσι, καὶ ὀδύνη γίνεται τῶν κληΐδων καὶ τῶν τενόντων, καὶ νάρκη τοῦ σώματος, ἀπόψυξίς τε τῶν σκελέων· ἐνίοτε δὲ καὶ ῥὶς ἐκχεῖ ἐς τοὺς ὀδόντας, ἢν πλέον ᾖ τὸ αἷμα ἀπιὸν, καὶ ἱδρὼς καταχεῖται πουλύς. [1] πρὸς δὲ τούτοις, καρδιωγμοί τε γίνονται, καὶ περιψύξιες, καὶ πυρετοὶ ἀκρητόχολοι, [2] καὶ κνησμώδεες, καὶ τῆς αὐτῆς ἡμέρης πολλάκις ῥιγέουσι, καὶ αὖθις ἱδροῦσι· καὶ ἄλλοτε μὲν ἀπὸ τῶν ἄνω χωρίων σπασμοὶ γίνονται σφίσιν, ἄλλοτε δὲ ἀπὸ τῶν κάτω, καὶ ἐς τοὺς βουβῶνας ὀδύναι αἱ ὀξέαι ἐμπίπτουσι, καὶ ἰσχυραὶ, φοιτέουσαι ὥσπερ ὠδῖνες. ἐνίοτε δὲ καὶ στραγγουρίη, καὶ τὸ στόμα ξηρὸν, καὶ δίψα πιέζει, καὶ ἡ γλῶσσα τρηχεῖα, καὶ οἱ δάκτυλοι ξυνέλκονται τῶν ποδῶν οἱ μεγάλοι,

CAPVT I.

De muliebri fluore, albo, fuluo, ac rubro; ac de eorum, potissimúmque rubrorum, causis, signis, symptomatis, prognosticis, & curatione diætetica, pharmaceutica, & chirurgica.

FLVOR *albus senioribus mulieribus magis, quàm iunioribus, contingit; fluor fuluus, vtrisque; ruber, iunioribus. Et fluor quidem ruber ex febre oritur,* B *magis verò ex abortione; fit quoque ex mensium suppressione, quum disclusi derepentè proruperint. Contingit verò etiam ex partu, & febribus, & sanguis magnâ copiâ profluit, grumi* sanguinis *excidunt, dolor clauicularum ac tendonum suboritur, & corporis torpor, crurum perfrigeratio. Interdùm verò, si copiosior sanguis effluxerit, nasus etiam in dentes effundit, sudorque* C *multus diffunditur. Ad hæc & cardiogmi, & perfrictiones oboriuntur, & febres merè biliosæ, & pruriginosæ; eodem die sæpè rigent, rursúmque sudant; quandoque etiam ex superioribus locis, quandoque verò ex inferioribus, eis conuulsiones suboriuntur, doloresque acuti & vehementes, parturientibus non absimiles, ad inguina veniunt. Interdùm verò stranguria* detinet, *os siccum est, sitis vrget, lingua aspera, magni pedum digiti contrahuntur, & ad suras*

suras femora semper contendit, lumborum ingentes dolores adsunt, & manuum ad motum impotentia. His ita contingentibus, tum à clauiculis ad iugula, ad malas & linguam tetani fieri consueuerunt. Et ex his paulò post in posteriora à tendinibus iuxta spinam ad lumbos tendunt, sicque per violentiam pereunt. Inchoantibus igitur fluoribus ad hunc modum victûs rationem denunciare oportet. Manè quidem medicamentum ex his, quæ ego describam, quo potissimùm opus esse videatur, ad fluores potui dato; dato verò ter aut quater; & si copiosus sanguis feratur, victûs rationem instituito, si quidem sine febre fuerint, ex cibarijs; si verò febricitarint, ex sorbitionibus. Ex sorbitionibus autem maximè idoneæ sunt hæ; panicum, lenticula, farina setania cocta, alica decocta sorbilis, zea percocta. Ex potionibus verò, polentæ pollen ex aqua, & ramenta ex panibus contusa, & tenuis ex hordeo recenti farina aquâ macerata, quæ etiam insulsa delingenda. Ex cibarijs verò, panis exassatus in cinere; pro opsonio autem, leporis caro, columbi ac palumbis, tum elixa, tum assata; hœdina caro assata, nullo pipere condita, aceto intincta; capræ aut bouis hepar in cinere assatum; oui tenue aut vitellus, caseus insulsus. Olus nullum neque coctum, neque crudum gustandum; balneis abstinendum; manus ambæ vinculis ex lanâ succidâ intortâ deligandæ, ita vt laqueum ad superiores cubitorum & poplitum partes supra genua inijcias. Et sublatis mammis cucurbitulas interdùm quidem dextrâ, interdùm etiam sinistrâ parte admoueto. Quòd si ad cucurbitulæ admotionem suboriatur spirandi difficultas, cucurbitulam detrahito, sanguinemque ne educito. Verùm subdititijs ijs vtitor, quæ describam, ad sanguinem sistendum accomodatis.

καὶ ἐς τὰς γαστροκνημίας ἀεὶ τὼ μηρὼ[3] ξυντιταίνῃ, καὶ τῆς ὀσφύος περιωδυνίαι, καὶ τῶν χειρέων ἀκρασίη. ὁκόταν δὲ τοιαῦτα γίνηται, τότε καὶ τέτανοι φιλέουσι γίνεσθαι ἀπὸ τῶν κληΐδων κατὰ τὰς[4] σφαγὰς, ἐς τὰς γνάθους καὶ τὴν γλῶσσαν· ἐκ δὲ τῶν τοιουτέων ὀλίγῳ ὕστερον ὄπισθεν ἀπὸ τῶν τενόντων κατὰ τὴν ῥάχιν ἐς ὀσφὺν, καὶ ὧδε ἀπόλλυνται κατὰ βίην. Προλέγειν οὖν δεῖ ἀρχομένων τῶν ῥόων, διαιτῆν τόνδε τὸν τρόπον. πρωῒ μὲν διδόναι πρὸς τοὺς ῥόους φάρμακον πίνειν, ὧν ἂν ἐγὼ γράφω, ὃ ἂν δοκέῃ δεῖσθαι μάλιστα, διδόναι δὲ καὶ τρὶς καὶ τετράκις· καὶ ἢν πουλὺ ἀπίῃ τὸ αἷμα, διαιτῆν οὕτω· ἢν μὲν ἀπύρετοι ἔωσι, σιτίοισιν· ἢν δὲ πυρεταίνωσι, ῥοφήμασιν. ἔστι δὲ τῶν μὲν ῥοφημάτων τάδε ἐπιτηδειότατα, ἔλυμος, φακὴ, ἄλητον ἑφθὸν σητάνιον, χόνδρος κάθεφθος ῥοφητὸς, ζειὰ κάθεφθος· τῶν δὲ πομάτων, πάλη ἀλφίτου ἐφ' ὕδατι, καὶ τὰ[5] ξύσματα ἀπὸ τῶν ἄρτων κεκομμένα, καὶ ἄλφιτα[6] πρόσκωνια λεπτὰ, βεβρεγμένα ἐν ὕδατι, ἃ καὶ ἐκλείχειν ἄναλτα· τῶν δὲ σιτίων, ἄρτος ἐξοπτὸς ἐν σποδιῇ· ὄψον δὲ, λαγωοῦ κρέας, πελειάδος, φάσσης, καὶ ἑφθὰ καὶ ὀπτὰ, ἐρίφου τε κρέας ὀπτὸν, μηδενὶ πεπέρει πεποιημένον, ἐς ὄξος ἐμβάπτων, ἧπάρ τε ἐν σποδιῇ ὀπτὸν αἰγὸς ἢ βοὸς, ᾠοῦ τὸ[7] λεπτὸν ἢ ὁ λέκιθος, τυρὸς ἄναλτος. λαχάνων δὲ μηδὲ τινος γεύεσθαι μήτε ἑφθῶν, μήτε ὠμῶν· καὶ λουτρῶν ἀπέχεσθαι· καὶ ἐπιδεῖν τὼ χεῖρε, εἰρίῳ ῥερυπωμένῳ στρέψαντα, καὶ[8] παχετὸν ποιήσαντα ὑπὲρ τῶν ἀγκώνων καὶ τῶν ἰγνύων ὑπὲρ τῶν γουνάτων. [9] καὶ σικύας ἀείρειν, ἐπάρας μαζοὺς, ὑπ' αὐτέους, ἄλλοτε μὲν ἐς τὰ δεξιὰ, ἄλλοτε δὲ ἐς τὰ λαιά. ἢν δὲ δύσπνοια γίνηται πρὸς τὴν πρόσβλησιν τῆς σικύης, ἀφαιρεῖν τὴν σικύην, αἷμα δὲ μὴ ἀπάγειν, προσθέτοισι δὲ χρῆσθαι, οἵοισιν ἂν ἐγὼ γράψω, τῶν στασίμων τοῦ αἵματος, προσθετὰ ποιέοντα τῇσι τοιαύτῃσι.

CAPVT II.

De superstitis ex fluoribus mulieris symptomatis, & curatione, in qua natura mulierum, colores, ætates, tempora, locos, & ventos considerare oportet.

QVòd si ex his fluoribus supersit, copioso abeunte sanguine, tum color apuæ similis, tum facies subtumida est; & sub oculis œdemata, crura turgida, vterus humidus, semperq; præter modum apertus est, & aquosa effluunt, velut à carnibus crudis succus. His si vires validæ fuerint, ieiunis vomitiones ciere oportet, & à vomitionibus prandiũ exhibere. His paucus potus confert, vinum nigrum meracius, balnei abstinentia, aut frigidæ balneũ, deambulationes, semel die cibus, omnia siccantia. Quod si per hæc non restituantur vteri, neque concidant, neque à fluxionibus liberentur, adhibitâ virium corporis ratione, si robusta sit, veratrum dare oportet. Si verò non paruerit, caput purgandum; & post purgationem cætera victûs ratione eodem modo curanda sunt, ac in sterilibus. Explorandæ verò etiam sunt mulierum tum naturæ, tum colores, tum ætates, & anni tempestates, & loca, & venti. Aliæ nanque frigidæ, aliæ humidæ ac fluidæ; aliæ verò calidæ quidem, sed sicciores & stabiles sunt.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν τῆς περιγενομένης ἐκ τῶν ῥόων γυναικὸς συμπτωμάτων, καὶ τῆς θεραπείας, ἐν ᾗ σκεπτέον τὰς φύσεις τῶν γυναικῶν, καὶ τὰς χροιὰς, καὶ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τοὺς τόπους, καὶ τὰ πνεύματα.

ΗΝ μὲν περιγένηται ἐκ τῶν ῥόων, ἀπιόντος πολλοῦ αἵματος, τό, τε χρῶμα ἀφυῶδες, καὶ τὸ πρόσωπον μετάρσιον, καὶ ἐν τοῖσιν ὑποφθαλμίοισιν οἰδήματα, καὶ τὰ σκέλεα ἐπηρμένα, καὶ ἡ ὑστέρη ὑγρὴ, καὶ αἰεὶ[10] ἐσομένη παρὰ λόγον, καὶ τὰ ἀπιόντα ὑδαρέα, οἷον ἀπὸ κρεῶν ὠμῶν χυμός. Τῇσι τοιαύτῃσι χρὴ, ὅταν ἰσχύῃ, καὶ ἐμέτους ποιέειν νηστείας, καὶ μετὰ τοὺς ἐμέτους, ἄριστον διδόναι. Ταύτῃσι συμφέρει ἡ ὀλιγοποσίη, οἶνος μέλας ἀκρητέστερος, ἀλουσίη, ἢ ψυχρολουσίη, περίπατοι, μονοσιτίη, πᾶσα ξηρασίη. ἢν δὲ πρὸς ταῦτα μὴ[12] καθιστέωνται μηδὲ ξυμπίπτωσιν αἱ ὑστέραι, μηδὲ τῶν ῥευμάτων ἀπαλλάσσωνται, ἀποσκεπτόμενον χρὴ ἐς τὴν δύναμιν τοῦ σώματος, καὶ ἢν ᾖ δυνατὴ, ἐλλεβορίζειν· ἢν δὲ μὴ ἐπακούσῃ, τὴν κεφαλὴν καθαίρειν· καθήραντα δὲ, τὰ λοιπὰ διαίτῃ θεραπεύειν τὸν αὐτὸν τρόπον καὶ περὶ τὰς ἀτέκνους. Σκεπτέον δὲ καὶ τὰς φύσιας τῶν γυναικῶν, καὶ τὰς χροιὰς, καὶ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τοὺς τόπους, καὶ τὰ πνεύματα. αἱ μὲν γὰρ ψυχραὶ, αἱ δὲ ὑγραὶ, καὶ ῥοώδεες· αἱ δὲ θερμαὶ μὲν, ξηρότεραι δὲ καὶ στάσιμοι εἰσιν.

αἱ μὲν γὰρ ὑπέρλευκοι, ὑγρότεραί τε καὶ ῥοωδέστεραι· αἱ δὲ μέλαιναι, ξηρότεραί τε καὶ στρυφνότεραι· αἱ δὲ οἰνωποὶ, μεσηγύ τι ἀμφοῖν ἔχουσι. Καὶ ἀμφὶ τὴν ἡλικίαν ὡσαύτως ξυμβαίνει. αἱ μὲν γὰρ νέαι ὑγρότεραι καὶ πολύαιμοι [12] ὁμοίως ἐπιτοπολύ· αἱ δὲ πρεσβύτεραι, ξηρότεραι καὶ ὀλίγαιμοι· αἱ δὲ μέσαι, μέσον τι ἀμφοῖν ἔχουσιν, [13] ἴσαι νῦν ἐοῦσαι. δεῖ δὲ τὸν ὀρθῶς ταῦτα διαχειριούμενον, διαγινώσκειν ἑκάστοτε τὰς φύσιας τῶν γυναικῶν, καὶ τοὺς καιροὺς, καὶ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τοὺς τόπους, καὶ τὰ πνεύματα.

Nam ſupra modum albæ, tum humidiores tum fluxionibus opportuniores exiſtunt; nigræ verò, ſicciores & adſtrictiores. Fuluæ autem medium quiddam inter vtraſque obtinent. Ita quoque in ætatibus contingit. Iuuenculæ enim humidiores ſunt, ac plerúnque ſimiliter copioſo ſanguine præditæ. Vetulæ verò, ſicciores, paucum habent ſanguinem. Mediæ verò medium quiddam inter vtraſque habent, ætatem mediam ſortitæ. Eum autem qui hæc rectè tractare volet, mulierum naturas, & temporum opportunitates, & ætates, & anni tempeſtates, loca, & ventos, ſemper dignoſcere oportet.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν τοῦ ἐν μήτραις ῥοῦ αἰτίων, καὶ σημείων, καὶ τῆς θεραπείας.

Ἢν ῥόος ἐν τῇσι μήτρῃσιν [14] ἐγγένηται, αἷμα ῥέει πολλὸν, καὶ θρόμβοι πεπηγότες ἐκπίπτουσι, καὶ ἡ ὀδύνη ἴσχει ἐς τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὴν νειαίρην γαστέρα, καὶ σκληρή ἐστι, καὶ ψηλαφωμένη ἀλγέει, καὶ ῥῖγος, καὶ πυρετὸς ὀξὺς λαμβάνει, καὶ ἀσθενείη ἐγγίνεται, καὶ πάντα πλὴν ὤμων καὶ ὠμοπλατέων ἀλγέει, [15] καὶ θέρμη ἔχει, καὶ ἐρύθημα, καὶ τὰ φλέβια σκληρὰ ἀντιτυπεόμενα. ἡ δὲ νοῦσος γίνεται μάλιστα ἐκ τρωσμῶν, γίνεται δὲ καὶ ὁκόταν τὰ ἐπιμήνια μὴ γινόμενα ἀπὸ πολλοῦ χρόνου, ἐξαπίνης καταρραγῇ. Ταύτῃ, ὁκόταν ὧδε ἔχῃ, ὀλύνθους [16] ξηρὴν κόψας καὶ διασήσας, ἐς ὀθόνιον ἐνδήσας, καὶ προσθέσθω· καὶ ἐπὶ τὴν νειαίρην γαστέρα ψύγματα ἐπιτιθέναι, φυλασσόμενος μὴ φρίξῃ. ἐπειδὰν δὲ τὸ ῥεῦμα στῇ, ἀγριελαίης φύλλα ἑψήσας ἐν ὄξει [17] ὀξυτάτῳ, διανιψάσθω τὰ αἰδοῖα. πινέτω δὲ γίγαρτα, [18] καὶ ῥοιὴν τὴν ἐρυθρὴν ἑψήσας ἐν ὕδατι ὡς ὀξυτάτῳ, ἀπονιψάσθω τὰ αἰδοῖα, ὅσον ἡμικοτύλιον. Ἡ μόρα τὰ ἀπὸ τῆς βάτου τὰ ἐρυθρὰ [19] ξηράνας καὶ τρίψας λεῖα, μετ᾽ ἀλήτου σητανίου μίσγων ἴσον ἴσῳ, νήστει διδόναι πίνειν· ἢν δὲ θέλῃς ἰσχυρότερον, [20] σητανίου ξυμμίξας δύο μοίρας ἀλήτου, [21] ἐπιβαλὼν, πίσαι, καὶ μὴ λουέσθω· σιτίοισι δὲ χρήσθω ξηροῖσι, καὶ οἴνῳ μέλανι [22] οἰνώδει. Ἢν δὲ οἰδέῃ, πεπαυμένου ἤδη τοῦ ῥόου, [23] φάρμακον πίσαι κάτω· μετὰ δὲ τὸ φάρμακον, τὰς ὑστέρας κλύσαι τῷ ἀπὸ τῶν ὀλύνθων, καὶ μετακλύζειν στρυφνοῖσιν. ἢν ταῦτα [24] παθοῦσα ὑγρανθῇ, θυμιήσθω ἕως ἂν ἀποξηρανθῇ.

CAPVT III.

De fluoris in vteris cauſis, ſignis, & curatione.

Si fluor in vteris obortus fuerit, copioſus ſanguis fluit, & grumi concreti excidunt, dolor ad lumbos, laterum inanitates, & imum ventrem detinet, qui durus eſt & contactus dolet, & rigor & febris acuta prehendit, imbecillitas oboritur, omnia præter humeros ac ſcapulas dolent, calor & rubor detinet, venæque duræ ſunt renitentes. Hic morbus ex abortionibus præcipuè oritur. Quinetiam contingit, quum menſes diuturno tempore retenti derepentè affatim proruperint. Huic ita habenti groſſum ſiccam, contuſam, & cribratam, in linteo ligatam apponito; & imo ventri refrigerantia admoueto, cauens ne horreſcat. Poſtquàm autem fluxus conſtiterit, oleæ ſylueſtris folijs in acerrimo aceto decoctis, pudenda perluat. Bibat autem vinacea, aut rhoë rubro in aquæ acidiſſimæ heminâ dimidiâ decocto, pudenda abluat. Aut *mora rubi rubra, ſiccata & tenuiter trita, cum farina ſetanea, æquali portione mixta, ieiunæ potui dato. Quòd ſi vehementius voles, ſetaneæ farinæ duas partes iniectas & admixtas propinato, neque lauet. Cibis autem vtatur ſiccis, & vino nigro vinoſo. Si verò intumuerit, ſedato iam fluore, medicamentum deorſum purgans propinato. A medicamento verò vteros groſſorum decocto colluito, ac acerba infundito. Si his affecta, humecta fuerit, ſuffitum quoad exſiccet, adhibeto.*

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς τοῦ ἐρυθροῦ ῥοῦ ποιότητος, καὶ τῶν αἰτίων, καὶ σημείων, καὶ συμπτωμάτων, καὶ προγνωστικῶν, καὶ θεραπευτικῶν.

Ῥόος ἐρυθρός. Ῥέει τοιόνδε οἷον αἷμα νεοσφαγὲς, καὶ θρόμβια [25] διαλείποντα· ἄλλοτε δὲ καὶ ῥόον ἐρυθρὸν [26] ἐκβράσσει, καὶ γαστὴρ ἡ νειαίρη ἐπαίρεται, καὶ [27] λεπτύνεται, καὶ [28] ἀνεμοῦται, καὶ σκληρύνεται, καὶ ἀλγέει ψαυομένη ὡς ἕλκεος, καὶ πῦρ ἔχει καὶ βρυγμὸς, ὀδύνη τε ἐς τὰ αὐτὰ τὰ αἰδοῖα, καὶ τὸ [29] ἐπίσιον, καὶ ἐς τὸν κενεῶνα, καὶ τὰς ἰξύας, καὶ τένοντα, καὶ κοιλίην, καὶ στῆθος, καὶ τὰς ὠμοπλάτας καὶ ἄλλα πάντα ἀλγέει, καὶ ἀδυναμίη, [31] καὶ ὀλιγοψυχίη ἔχει, καὶ ὁ χρὼς τρέπεται.

CAPVT IV.

De fluoris rubri qualitate, cauſis, ſignis, ſymptomatis, prognoſticis, & curatione.

Fluor ruber. *Qualis ſanguis recenter iugulatæ victimæ, talis fluit, & grumi intercidentes; quandóque verò etiam fluorem rubrum eijcit, venter imus attollitur, attenuatur, inflatur, indureſcit, ad contactum velut vlcere præſente dolet, febris detinet & dentium fremitus, dolor & ad ipſa pudenda, & pubem, & lateris inanitatem, lumbos, tendinem, ventrem, pectus, & ſcapulas, reliquáque omnia dolent, impotentia & animi demiſſio detinet, & color mutatur.*

Hæc per morbi initia inuadunt. Quòd si hæc omnia producantur, longè magis debilitatur, & manifestus est morbus, cauæ partes attolluntur, & pedes intumescunt. Hic autem morbus ex partu præcipuè prehendit, siquid in ipsa vellicatum non exierit, sed intùs computruerit, fœtusque exasperatus fuerit. In hanc si circa initia incideris, quum dolor adfuerit, spongiam madefactam admoueto; & linteum rarum, molle, derasum, aquâ frigidâ imbutum ventri injcito, frigidâque aquâ perfundito, lectumque à pedibus altiorem facito, ac ita sternito. Medicamentumque aliquod muliebre, facto eius periculo quodnam lubentiùs assumat, propinato. Apij semen torreto, tundito, & cribrato, & irionem similiter, & peplij semen cum polenta cribratum, & vrticæ semen similiter, & oleastri scabiem, gallam, rutam, origanum, pulegium cum polenta cribratum ac subactum, & farinam crassam torreto, & farinam triticeam commolitam, caseumque caprinum abrasis sordibus, aliorum quidem singulorum parem portionem misceto, origani verò, & rutæ, & scabiei, & gallæ dimidium; hæc manè ieiunæ ante motum potui dato. Miscenda autem sunt ad vsum, si acria prodeant, & in cyceone danda. Sit autem medicamenti pars vna, casei vna, polentæ vna. Sub vesperam autem melle admixto potui exhibenda. Et hæc quidem facienda, quoad morbi excordia fuerint, & multus sanguis prodierit, & pauco tempore intermiserit, acutique dolores tenuerint. Sin verò parcior sanguis & breuiore tempore fluxerit, quæ sanè deorsùm aut sursùm educant, propinato, pudendáque lenibus fomentis, prout semper occasio tulerit, foueto. Et zeam vnà cùm cortice contusam, & caprifici grossos siccatas, tusas & cribratas, & oleæ folia similiter, singulorum æquales partes ex cataplasmate admoueto; lacque bubulum, aut coctum, aut crudum propinato, vt opportunum esse videbitur, ad id quod probè habet, attendendo. Atque languidus & lethalis hic morbus esse videtur, paucæque ex eo euadunt.

A καταρχὰς τῆς νόσου τάδε ἐπιλαμβάνει. ἢν δὲ μηκύνῃ ταῦτα πάντα, ἐπὶ μᾶλλον ἀσθενεῖ, καὶ δῆλος ἡ νοῦσος, καὶ τὰ κοῖλα ἐπαείρεται, καὶ οἱ πόδες οἰδέουσι. ἡ δὲ νοῦσος λάζεται ἐκ τόκου μάλιστα, ἢν τι ἐν αὐτῇ διαφθαρὲν μὴ ἴῃ, ἀλλ' ἐνσαπῇ, [33] καὶ τρηχυνθῇ τὸ ἔμβρυον. Ταύτην κατ' ἀρχὰς ἢν ἐπιτυγχάνῃς, σπόγγον κατατέγγοντα, προστιθέναι ὁκόταν ἡ ὀδύνη, καὶ ὀθόνιον λεῖον μαλθακὸν [33] καθεψῶν, ὕδατι τέγγοντα ψυχρῷ, ἐπὶ γαστέρα ἐπιβάλλειν, καὶ ὕδατι ψυχρῷ καταχεῖν, καὶ τὴν κλίνην ἀπὸ ποδῶν ὑψηλοτέρην εἶναι, καὶ στορέσαι B ὧδε. καὶ τῶν γυναικείων πειρώμενος, ὅ, τι [34] ἂν μᾶλλον προσίηται, πιπίσκειν. τοῦ σελίνου τὸν καρπὸν φῶξαι, καὶ σῆσαι, καὶ κόψαι, καὶ ἐρύσιμον ὡσαύτως, καὶ μήκωνος καρπὸν σὺν ἀλφίτοισι σῆσαι, καὶ κνίδης καρπὸν ὡσαύτως, καὶ τῆς ψώρας ἀγριελαίης, καὶ κηκίδα, καὶ πήγανον, καὶ ὀρίγανον, καὶ γλήχωνα ἐν ἀλφίτοις σῆσαι καὶ φυρῆσαι, καὶ κρίμνα ἐπ' ἀλφίτων ἁδρὰ φῶξαι, καὶ πύρινα καταλέσαι, καὶ τυρὸν αἴγειον, περιξέσαντα τὸ αἶχος, καὶ τῶν μὲν ἄλλων ἴσον ἑκάστου μίσγειν, ὀριγάνου δὲ, καὶ πηγάνου, C καὶ ψώρας, καὶ κηκίδος ἥμισυ. Ταῦτα πίνειν νῆστιν πρωῒ πρὸ τῆς κινήσιος. κιρνᾶσθαι δὲ χρὴ ἐς χρῆσιν, ἢν δριμέα ἴοι, καὶ κυκεῶνα διδόναι. ἓν μὲν τοῦ φαρμάκου μέρος ἔστω, ἓν δὲ τοῦ τυροῦ, ἓν δὲ τῶν ἀλφίτων. ἐς ἑσπέρην δὲ τοῦ μέλιτος ξυμμίσγοντα πιπίσκειν. καὶ ἄχρι μὲν ἂν ἀρχὰς ἔχηται τῇ νούσῳ, καὶ τὸ αἷμα συχνὸν ἴῃ, καὶ [35] διαλεῖπον ὀλίγον χρόνον, καὶ ὀδύναι ὀξεῖαι ἴσχωσι, ταῦτα χρὴ ποιεῖν. ἢν δὲ τὸ αἷμα ἔλασσον ῥυῇ, καὶ δι' ἐλάσσονος χρόνου, πιπίσκειν D ἃ δὴ κάτω ὑποχωρεῖ ἢ ἄνω, καὶ πυριῆν τὰ αἰδοῖα βληχροῖσι πυριήμασιν, ὡς ἂν δοκέῃ ἑκάστοτε καιρὸς εἶναι. καὶ ζειὰς ἐρείξαντα ξὺν τοῖσι κελύφεσι, καὶ ὀλύνθους [36] ἐρινεοὺς αὐήναντα κόψαι, καὶ σῆσαι, καὶ ἐλαίης φύλλα ὁμοίως, ἴσον ἑκάστου καταπλάσσειν. καὶ γάλα πιπίσκειν βόειον, ἢ ἑφθὸν, ἢ ὠμόν. καὶ πρὸς τὸ ὀρθῶς ἔχον ὁρᾷν, ὡς ἂν καιρὸς δοκέῃ εἶναι. καὶ ἡ νόσος δοκεῖ βληχρὴ εἶναι καὶ θανατώδης, ὀλίγαι δὲ τῆς τοιαύτης νούσου διαφεύγουσιν.

E

CAPVT V.

De sanguinis tum ab articulis, tum ex lumbis & coxendice fluentis, à fluore discrepantis, causis, differentiis & curatione; de doliis oleariis, sordibus officinæ fullonum, & serpentis semine.

Qvum mulieri sanguis fluat ab articulis, ex partu aut labore corruptæ; hunc fluorem esse muliebrem quidam Medici existimant, verùm aliud est. Hoc quidem ex articulis aliud defluit, & ex lumbis, & coxendice, glutinosum simul cum sanguine; quod verò ex vteris & cauitate venarum, purus sanguis. Hanc per inferiora suffire oportet. Zeæ contusæ semisextarium pauco aceto subigito, vt ne penitùs vteros humectes, etiam sulphuris semiobolum ad zeas contritas admixtum, & aceto subactum, per noctem ponito. Manè verò accenso multo igne, obturamenta doliorum oleariorum, admixtis fullonijs sordibus, & serpentis semine, im-

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τοῦ αἵματος ἀπὸ τῶν ἄρθρων τε καὶ τῆς ὀσφύος, καὶ τοῦ ἰσχίου ῥέοντος, τοῦ ῥοῦ διαφέροντος, αἰτίων, καὶ διαφορῶν, καὶ θεραπείας· περὶ ἐλαιηρῶν κεραμίων, καὶ τοῦ κναφείου καθαρμάτων, καὶ τοῦ ὄφεως καρποῦ.

Ὁκόταν [37] γυναικὶ αἷμα ῥέῃ ἀπὸ τῶν ἄρθρων, ἐξ ὑπὸ τόκου διεφθορυίῃ, ἢ ἀπὸ τοῦ πόνου, οἴονται δὲ ἔνιοι τοῦτο τῶν ἰητρῶν, ῥόον εἶναι, τὸ δ' ἐστὶν ἑτεροῖον. τοῦτο μὲν F ἐκ τῶν ἄρθρων ἐστὶν ἑτεροῖον, καὶ ἐκ τῆς ὀσφύος καὶ ἰσχίου, κολλῶδες ὁμοῦ τῷ αἵματι· κεῖνο δὲ ἀπὸ ὑστερέων καὶ κοίλων φλεβῶν, καθαρὸν αἷμα. Ταύτην χρὴ ὑποθυμιῆν. ζειὰς [38] καταρρήξαντα, ἐς ἡμιέκτον, ὄξει φυρῆσαι ὀλίγῳ, ὅκως μὴ [39] κατὰ πᾶν ὑγραίνῃς τὰς μήτρας, καὶ τοῦ θείου ὁκόσον ἡμιωβόλιον μίξας πρὸς τὰς ζειὰς τετριμμένας, καὶ τῷ ὄξει φυρήσας, τὴν νύκτα τιθέναι. [40] πρωῒ δὲ πῦρ πολλὸν κατακαύσας, ἐπιτιθέναι βύσματα ἀπὸ ἐλαιηρῶν κεραμίων, καὶ ἀπὸ τοῦ κνάφου τῶν κναφέων ξύμμισγε καθάρσεων, καὶ τοῦ καρποῦ τοῦ

ὄφιος· ἀφαιρέειν δὲ τὸ πολλὸν τοῦ πυρὸς, [41] καὶ καίειν, καπνιᾶν δὲ μάλιστα· δίφρον δὲ χρὴ ὀπήεντα εἶναι, καὶ ἀμφιέζεσθαι τὴν γυναῖκα περιστείλαντα ἱματίοισιν, ὡς μὴ διαπνέῃ· ἐπὶ δὲ τὸ πῦρ ἐπιπάσσειν τὸ ξὺν τῷ ὄξει, καὶ τοῦ καρποῦ τοῦ ὄφιος· καὶ σμύρνα δὲ μισγομένη, ἐνεργόν, καὶ παύει τὰ αἰδοῖα τὸ θυμιητὸν αἱμάσσεσθαι. ἢν δὲ ἅλις ἔχῃ, ἐρυσίμου καρπὸν πεφωσμένον τρίψαι, καὶ ἐν οἴνῳ διδόναι.

A ponito. Ablato verò multo igne, excitato potissimùm fumo vrito. Sellam autem pertusam esse oportet, & mulierẽ vestibus circumtectã, ne quid perspiret, considere. Medicamẽtũ verò cũ aceto paratũ, & serpentis semen, in ignẽ inspergito. Sed & myrrha admixta efficax est, quæ etiã suffita cruentationẽ pudendorũ sedat. Quòd si satis habuerit, erysimi semen torrefactum, tritum ex vino exhibeto.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τοῦ τοῦ πυῤῥοῦ ῥοῦ αἰτίων, καὶ σημείων, καὶ συμπτωμάτων, καὶ προγνωστικῶν κινδυνωδῶν, καὶ τῆς θεραπείας τῆς διαιτητικῆς μάλιστα.

Ῥόος πυῤῥὸς ῥέει, οἷον ἐξ ᾠοῦ εἰδεχθέος, πουλύ τε καὶ δυσῶδες, καὶ φλεγμαίνουσιν αἱ ὑστέραι, καὶ ὀδύνη ἐκ τῆς ὀσφύος καὶ τῶν βουβώνων, καὶ τὰ ἐξερχόμενα πολλά, καὶ ἢν μὴ ἀπαλλάσσηται, ταχὺ ῥέοντα. [42] ἀλλ' εἰ καὶ χρόνος ἐγγίνηται, τὰ λείποντα σήπει, ὡς οἷόν τε μάλιστα· ῥιγέει γάρ, καὶ οἷον ἀπὸ κρεῶν ὀπτῶν, χυμὸς ἐπιῤῥέει· ἅμα δὲ τουτέοισι, πυρετοὶ ἰσχυροί, καὶ ῥίγεα. ἐκ δὲ τῶν τοιούτων ῥόων, αἱ μὲν πολλαὶ ἀπόλλυνται, ὀλίγαι δὲ διαφεύγουσι. Κἢν μὲν ἐν ἀρχῇ παραλάβῃς, θεραπεύειν ὧδε χρή. ἢν μὲν ἀπύρετοι ἔωσι, καὶ ἰσχύωσιν, ἐλλεβορίζειν· ὅταν δὲ γένηται διαλιπόντα ἡμέρας τρεῖς ἢ τέσσαρας, κάτω πίσαι φάρμακον. μετὰ δὲ τὴν κάθαρσιν, διαιτᾶν ὀφείλεις ὧδε, ὅκως τὰ ῥεύματα ὑδαρέα ἔσται, [43] καὶ λεπτά· πρωῒ μὲν νήστει διδόναι τῶν φαρμάκων, ἢ πίνειν ἐπ' οἶνον ἐπιπάσσων, ὧν ἂν ἐγὼ γράψω πρὸς ῥόον· μετὰ δὲ τὸ φάρμακον, ἐν τῇ ἄλλῃ διαίτῃ θεραπεύειν. Τὰς δὲ ὑστέρας θεραπεύειν [44] ὧδε. ἢν μὲν φλεγμαίνωσι, καὶ ξυμμεμύκωσι, πυριῇν χρὴ μαλθακῇσι τῇσι πυρίῃσι, μέχρις οὗ τὸ στόμα τῶν μητρέων μαλθακὸν γένηται· μετὰ δὲ τὰς πυρίας, κλύζειν τῶν κλυσμάτων ὁκοίοισιν ἂν δοκέῃ δεῖσθαι, ἤν τε καθαρτικωτέροισιν, ἤν τε μαλθακωτέροισι· μετὰ δὲ τοὺς κλυσμοὺς, μαλθακτήρια προστιθέναι. ἢν δὲ μὴ εὔλυτον τὸ στόμα γένηται, πυριῇν, καὶ μαλθάσσειν προσθέτοισιν, ὧν ἂν ἐγὼ γράψω, μέχρις ἂν ἀναστομωθῇ. Ἢν δὲ μὴ πρὸς ταῦτα παύηται τὰ ῥεύματα, καθαίρειν τὴν κεφαλὴν, καὶ οὕτως διαιτῆν. ἢν μὲν ἄπυρος ᾖ, ὄνου γάλα πίνειν, λαχάνοισιν ἑφθοῖσι καὶ ἡμέροισι, καὶ ἀγρίοισι, πλὴν σκορόδου, καὶ πράσου, καὶ κράμβης, καὶ ῥαφάνου τῆς μακρῆς· θαλασσίων δὲ, βάτῳ τῷ λείῳ, σκορπίῳ, γόγγρῳ, νάρκῃ, ἐγχέλυϊ, ψήττῃ, κωβιῷ· ἕψειν δὲ χρὴ ἐν κρομμύοισι, καὶ κοριάννοισιν, ἐν ἅλμῃ γλυκείῃ καὶ λιπαρῇ, δίεφθα· κρεῶν δὲ, μάλιστα μὲν συός, δεύτερον δὲ [45] ἀρνὸς ἢ οἰός, ἑφθοῖσι μᾶλλον ἢ ὀπτοῖσι, καὶ τοῖσι ζωμοῖσιν· οἴνῳ λευκῷ μελιχρῷ, ἢ ὑδαρεῖ· λουτροῖσιν ἄνευ τῆς κεφαλῆς, μὴ λίην θερμοῖσι μηδὲ πολλοῖσιν. Ἢν δὲ πρὸς ταύτην τὴν δίαιταν, τῆς μὲν ἑλκώσιος καὶ τῆς φλεγμασίης ἀπαλλάσσωνται, ὑγραὶ δὲ ὦσιν αἱ μῆτραι, ἀντὶ μὲν λουτρῶν ἀλουσίῃσιν, ἀντὶ δὲ κιῤῥῶν οἴνων μέλασιν, ἀντὶ δὲ ὑδαρεστέρων ἀκρητεστέροισιν, ἀντὶ δὲ ἀλφίτων ἄρτοισι, ἀντὶ δὲ ἰχθύων κρέασιν ὀπτοῖσι, καὶ σιτίοισι πᾶσι τοῖσι ξηραντικοῖσιν, οἷσι περ ἐπὶ τῇσι διαῤῥοίῃσι χρεόμεθα. κλυσμῶν ἀπηλλάχθαι πάντων, πλὴν οἴνου καὶ ὕδατος· θυμιῆσθαι δὲ τοῖσι στυπτικοῖσιν.

CAPVT VI.

B De fluoris fului causis, signis, symptomatis, prognosticis periculosis, & curatione, præsertim diætetica.

Fvluus fluor copiosus & graueolens tanquàm ex ouo deformi effluit, vteri inflammantur, dolor ex lumbis & inguinibus emergit, quæ prodeunt copiosa sunt, & nisi liberetur, celeriter fluentia. Quin & si tempus accedat, quæ restant quàm maximè putrefacit. Riget enim & tanquàm carnium assatarum succus effluit; & vnà cum his febres vehementes & rigores corripiunt. Ex huiusmodi fluoribus multæ pereunt, paucæ verò effugiunt. C Et si quidem initio curandam susceperis, sic curare oportet. Si febris expertes fuerint, ac robustæ, veratrum dandum; ac intermissis tribus aut quatuor diebus, medicamentum deorsùm purgans exhibendum. Post purgationem autem hæc victûs ratio institui debet, vt quæ fluunt aquosa sint & lænia. Manè quidem ieiunæ medicamentum aliquod ex his quæ ad fluorem describam, exhibendum, aut vino inspersum bibendum. Post autem medicamentum, aliã victus ratione curandum. Vteri verò sic D curandi. Siquidem inflammati fuerint aut conclusi, fomentis emollientibus quoad vterorum os molle euadat, fouere oportet. A fomentis, collutiones quibus opus esse videbitur, siue magis purgantibus, siue magis emollientibus, infundendæ. Post collutiones, emollientia subdenda. Quòd si os non facilè soluatur, subdititijs, quæ ego describam, fouendum ac emolliendum, quoad apertum sit. Quòd si ex his fluxiones minimè sedentur, caput purgandum, sicque victûs ratio instituenda. Si quidem febris expers sit, lac asininum bibendum, ole- E ribus coctis & domesticis & agrestibus vtendum, allio excepto, porro, brassicâ & raphano longo. Ex marinis autem raiâ læui, scorpio, congro, torpedine, anguilla, passere, gobio. Incoquendi autem sunt cum cæpis & coriandro, in muria dulci & pingui, & probè coquendi. Carnibus autem vtendum, suillis maximè, deinde verò agninis aut ouillis, elixis potiùs quàm assis, & ipsarũ iusculis. Vino albo, mellito, aut aquoso. Balneis, excepto capite, non admodùm calidis, neq; multis. Quòd si sub F hac victûs ratione ab vlceratione quidẽ & inflãmatione liberẽtur, sed vteri humecti fuerint, pro balneis, his abstinendum, pro vinis fuluis, nigris vtendum, & pro dilutioribus, meracioribus; pro polenta, panibus, pro piscibus, carnibus assatis cibisq; omnibus desiccantibus, quibus in alui profluuijs vtimur. Collutionibus omnibus, preterquã vino & aquâ, abstinendũ. Suffitus autẽ ex adstringẽtibus parandi,

parãdi. Optimũ est, ut cõcipiat. Quòd si iuuencula fuerit, frequẽtes vomitus ieiunæ prouocandi, deinde paulũ prãdendũ. Atq; ista victûs ratio his fluoribus est accõmodata.

CAPVT VII.

De fluoris albi signis, symptomatis, & curatione.

FLuor albus. *Fluit album, velut asini vrina; faciei sunt tumores, & partes sub oculis vtrisque tument, oculi hydropici ac non admodùm conspicui, splendor abest, gramiosi oculi ac caligantes, cutis apuosa & pustulosa, venter imus in tumorem sublatus, in maxillis* pustulæ *paulatim excitantur rubentes, paruæ, aquosæ, & malignæ, & in cruribus œdemata, quæ si digito presseris, nota inducitur, velut in crudo pane; os saliuâ impletur; cardiogmi percipiuntur quum ieiunæ fuerint, aut etiam veluti aquam acidam vomuerint. Quòd si ad accliuem locum processerint, frequens spiratio & suffocatio celeriùs corripit, crurum perfrictio, & genuum impotentia, in ore apthæ, uterus præter modum dehiscit, & in osculum grauis tanquam plumbum procidit; dolores per femora se extendunt; & inferiores omnes partes, ab imo ventre inchoantes, ad pedes vsque perfrigerantur, plantæ torpescunt, neque incedere possunt. Has à morbis liberare perarduum. Nam & ætate prouectæ sunt, & morbi consenescunt, nisi secunda aliqua fortuna sponte contingens solutionem afferat. Hæ quum redundarint, medicamentis bilem non purgantibus exhauriendæ. Sed vrinas cientia potui data his conducunt, & capitis purgationes, balnei abstinentia, epithymum album epotum, obambulationes, & omnis victûs ratio desiccans. Quæ quum fecerint, non prorsùs quidem conualescunt, faciliùs tamen degunt.*

CAPVT VIII.

De fluoris albi alterius signis, symptomatis, & curatione.

FLuoris albi curatio. *Album & subluteum purgatur, quumque non fluat, mordet, & lancinat, vterum exulcerat, febris acuta detinet, calor multus, sitis, & insomnia, & mente alienantur. Quum quid festinanter egerit, ipsam asthma aut anhelatio detinet, & membra soluuntur. Huic papauer album propinare conuenit, & vrticæ semen; præstat etiam mali punici dulcis radicem & folia, & rhoëm, & gallam; hæc ex vino acerbo propinanda, & mali punici succum, admixto caseo caprino. Zeas & grossos hybernas, oleæ folia, & eiusdem scabiem subter suffito; & cortices cucumeris agrestis ad tertiam partem; reliqua verò æquali portione. Sorbeat etiam olera cocta & ex amygdalis & sesamo sorbitiones; gestetur & vehatur, neque quiescat.*

ἄριστον δὲ ἐν γαστρὶ ἔχειν· ἢν δέ τις νεᾶνις ἦ, ἐμέτους νηστείας πυκνὰ δὲ ἐπεμέειν, καὶ μετέπειτα ἀριστίζεσθαι μικρόν. αὕτη ῥόων τῶνδε τυγχάνει δίαιτα.

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Περὶ τῶν τοῦ λευκοῦ ῥοῦ σημείων, καὶ συμπτωμάτων, καὶ τῆς θεραπείας.

ΡΟος λευκός. Ῥέει λευκὸν, ὡς ὄνου οὖρον, καὶ ἐν τῷ προσώπῳ οἰδήματα, καὶ τὰ ὑποφθάλμια οἰδέει ἄμφω, ὑδρωποειδέα τε καὶ οὐ πάνυ εὐειδέα τὰ τῶν ὀφθαλμῶν, καὶ τὸ λαμπρὸν ἄπεστι, καὶ[47] γλαμυροὶ οἱ ὀφθαλμοὶ, καὶ ἀμβλυώσσοντες, καὶ τὸ χρῶμα ἀφυῶδες, καὶ φλυκταινοειδὲς, καὶ ἡ γαστὴρ ἐπανοιδέουσα ἡ νειαίρη, καὶ ἐν τῇσι γνάθοισι κατὰ μικρὸν ἐρυθροειδέα τε, καὶ σμικρὰ, καὶ ὑδαρέα, καὶ πονηρὰ, καὶ ἐν τοῖσι σκέλεσιν οἰδήματα, καὶ ἢν πιέζῃς τῷ δακτύλῳ, ἐμπλάσσεται ὥσπερ ἐν σταιτὶ, καὶ τὸ στόμα σιέλου ἐμπίπλαται, καρδιωγμοί τε ὁκόταν νήστιες ἔωσιν, ἢ καὶ ἐμέωσιν ὕδωρ οἷον ὀξύ. καὶ ἢν προσάντεα πορευθῇ, θᾶσσον ἆσθμα ἔχει, καὶ πνὶξ, καὶ σκελέων ἀπόψυξις, καὶ γουνάτων ἀκρασίη, καὶ ἐν τῷ στόματι ἄφθαι, καὶ ὑστέρη παρὰ λόγον διεστόμωται, καὶ ἐμπέπτωκεν ἐν τῷ στόματι βαρείη ὥσπερ μόλιβδος· καὶ διὰ τῶν μηρῶν διατείνουσιν ὀδύναι, καὶ ἀποψύχεται πάντα τὰ κάτω, τὰ ἀπὸ νειαίρης γαστρὸς ἀρξάμενα, ἄχρι ποδῶν, καὶ τὰ θέναρα ναρκῶσι, ἐπιβαίνειν οὐ δύνανται. τὰς τοιαύτας χαλεπὸν ἀπαλλάσσειν τῆς νούσου· αἵ τε γὰρ ἡλικίαι προβεβήκασιν, οἵ τε κάματοι ξυγκαταγηράσκουσιν, ἢν μή τι εὐτύχημα τοῦ αὐτομάτου λύσιν γενόμενον. Ταύτῃσι χρὴ ἀπαρύσαι, ὅταν πλεονάζῃ, φαρμάκοισιν ὅσα χολὴν ξανθὴν μὴ καθαίρει, ἀλλὰ τὰ οὐρητικὰ ταύτῃσι ξυμφέρει πινόμενα, καὶ κεφαλῆς καθάρσιες, καὶ ἀλουσίαι, καὶ τὸ λευκὸν ἐπίθυμον πίνειν, καὶ περίπατοι, καὶ πᾶσα ξηρασίη ἐν τῇ διαίτῃ. ταῦτα δρῶσαι, ὑγιέες μὲν παντελῶς οὐ γίνονται, εὐπετέστερον δὲ διάγουσι.

ΚΕΦΑΛΑΙΟΝ Ηʹ.

Περὶ τῶν τοῦ ῥοῦ λευκοῦ ἑτέρου σημείων καὶ συμπτωμάτων, καὶ τῆς θεραπείας.

ΡΟου λευκοῦ θεραπείη. Καθαίρεται λευκὸν ὑπόχλωρον, καὶ ὅταν[48] οὐ ῥέῃ, δάκνει καὶ ἀμύσσει, καὶ ἑλκοῖ τὴν ὑστέρην, καὶ πυρετὸς ἔχει ὀξὺς, καὶ θέρμη πολλὴ, δίψα, ἀγρυπνίη, καὶ ἔκφρονες γίνονται· καὶ ὅταν σπουδάσῃ, ἆσθμα μιν ἔχει, καὶ τὰ γυῖα λύονται. Ταύτην δέον μήκωνα πιπίσκειν λευκὴν, καὶ κνίδης καρπὸν, ἄμεινον καὶ ῥοιῆς γλυκείης ῥίζαν καὶ φύλλα, καὶ ῥόον, καὶ κηκίδα· ταῦτα ἐν οἴνῳ στρυφνῷ διδόναι πιπίσκειν, καὶ ῥοιῆς χυλὸν, καὶ ξυμμίσγειν τυρὸν αἴγειον. ὑποκάπνιζε δὲ ζειὰς, καὶ ὀλύνθους χειμερινοὺς, καὶ ἐλαίης πέταλα, καὶ ψώρας τῆς αὐτῆς,[49] καὶ σικύης λέμματα τὸ τρίτον μέρος, τὰ δ᾽ ἄλλα ἴσα· καὶ τῶν ἑψάνων ῥοφεῖν, καὶ τὰ διὰ ἀμυγδάλων καὶ σησάμου ῥοφήματα, καὶ αἰωρέεσθαι, καὶ ὀχέεσθαι, καὶ μὴ ἠρεμεῖν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν τοῦ ἄλλου ῥοῦ λευκοῦ συμπτωμάτων, καὶ τῆς θεραπείας, οὗ ἡ ὑποστροφὴ θανάσιμος.

Ῥόος ἄλλος. Καταῤῥέεται ὁκοῖον προβείου οὖρον πολὺ, χροιὴ λευκὴ, καὶ οἰδέει πᾶσα, καὶ ἐν τῇσι κνήμῃσι[50] πέμφοι ἀνίσχανται, καὶ ἢν ἐπαφήσῃ τῷ δακτύλῳ, τῇσι κνήμῃσι καὶ τοῖσι ποσὶν ἐμπλάσσεται βοθροειδέα, καὶ ἢν τι φάγῃ, ἐμπίπλαται καὶ φλεγμαίνει, καὶ ἐπειδὰν ὁδοιπορήσῃ καὶ ἔργον τι δράσῃ, ἆσθμά μιν λαμβάνει καὶ πόνος, καὶ ἡ χροιὴ λευκὴ ἐνίοτε ὑπόχλωρος. Ταύτῃ, ἢν ἰσχύῃ καὶ ἢν νέη καὶ τἄλλα φαίνηται, κατ' ἀρχὰς δίδου ἄνω φάρμακον καὶ κάτω, καὶ τὴν κεφαλὴν κάθαιρε, ἢν φλεγματώδης ἐστὶ, δι' ὧν φλέγμα καθαίρεται· ἢν δὲ χολώδης, δι' ὧν χολή. καὶ ἢν ὥρη ᾖ τοῦ ἔτεος, καὶ μὴ φύσει ἐστὶ σπληνώδης, καὶ ἢν τι τῶν εἰρημένων[51] ᾖ, ὀῤῥὸν διδόναι (ἀφεψεῖν δὲ, καὶ πίνειν ὡς πλεῖστον χρόνον) καὶ ἐς ἑσπέρην οἶνον γλυκὺν ὑδαρέα, ἢν δέῃ· σίτου δὲ μὴ ἁπτέσθω. ἢν δὲ ἀσθενὴς ᾖ, ῥοφήματι ὡς ἐλαχίστῳ, καὶ ἀλουτείτω· ἐπειδὰν δέ σοι καιρὸς δοκέῃ εἶναι, τῆς πόσιος παυέσθω, καὶ μετὰ τὴν κάθαρσιν σιτίοισι χρεέσθω, ἀπεχομένη λιπαρῶν, καὶ δριμέων, καὶ γλυκέων, καὶ ἁλμυρῶν, καὶ λαχάνων δριμέων. χρήσθω δὲ ἰχθύσι πετραίοισι, καὶ κρέασι μηλείοισιν, ἢ ὀρνιθίοισιν, ἢ λαγῴοισιν, ἄρτῳ σιτώδει, ἢ ἐρικτοῖσι· καὶ λαχάνοισιν ἑφθοῖσι χρεέσθω, καὶ ἀγρίοισι τρωκτοῖσι, καὶ ἡμέροισιν ἄτερ δριμέων, καὶ περιπατείτω πρωῒ, καὶ ἀπὸ τοῦ σίτου. ἐπὴν δέ σοι δοκέῃ ταῦτα ποιεούσῃ[52] ξηροτέρη εἶναι, κλύζειν τὰς ὑστέρας τῇ τρυγί· τρεῖς δὲ ἢ τέσσαρας ἡμέρας διαλιπὼν, μετέπειτα στρυφνοῖσι κλύσαι, καὶ ἐπισχόντα, ἢν μὲν ᾖ ξηρὴ, ἡσυχίαν ἄγειν· καὶ ἢν φύσει ᾖ χολώδης ἢ φλεγματώδης, ὑπὸ δὲ τῆς διαίτης καὶ τῆς φαρμακοποσίης λεπτυνθεῖσα, ἢν μὴ δύνηται ἀναλαμβάνεσθαι, γάλα πινέτω τεσσαράκοντα ἡμέρας βόειον, θερμὸν ἀπὸ βοός· τὴν δέ γε φλεγματώδεα ἄμεινον σιτίοισιν ὡς ἐλαχίστοισι χρέεσθαι, ἕως ἂν γαλακτοποτέῃ, ἔστω δὲ μέτρον, ὅσον ἓξ κοτύλαι Ἀττικαί. ἄρχεσθαι δὲ ἀπὸ δύο, καὶ προστιθέτω κοτύλην ἑκάστης ἡμέρας, ἄχρις ἂν ἓξ γένωνται, κἄπειτα κατ' ὀλίγον ἐπὶ τὸ ἔλασσον· καὶ μετὰ τὴν γαλακτοποσίην, ἀνακόμιζε σιτίοισι, καὶ διαίτῃ. καὶ μετὰ τὴν τοῦ γάλακτος πόσιν, πινέτω πρωῒ νῆστις ἀδίαντον ξηρήνας κοψάτω καὶ[53] διασήσας δι' ἄκρης σήρης, τοῦτο διδόναι ἐν οἴνῳ μέλανι εὐώδει κεκρημένῳ. Ἢν δὲ ὑποστρέφῃ ἡ νοῦσος, πυριῆσαι αὐτὴν ὅλην, καὶ αὖθις φαρμάκοισι καθῆραι κάτω· καὶ μετὰ τοῦτο κλύσαι τὰς ὑστέρας, ἢν μὲν φύσει ᾖ φλεγματώδης, τῷ κόκκῳ τῷ κνιδίῳ, ἢ τῇ ῥίζῃ τῆς θαψίης· ἢν δὲ χολώδης ᾖ, τῆς σκαμμωνίης τῷ ὀπῷ, ἢ κολοκυνθίδι τῇ ἀγρίῃ· ἐμβαλὼν γὰρ ἀπ' αὐτέης, καὶ δύο κοτύλας ἐπιχέας ὕδατος, ἀφεψεῖν, καὶ τὸ ἥμισυ, τουτέῳ συμμίσγειν μέλι καὶ ἔλαιον ναρκίσσινον ἢ ἄνθινον· ἔστω δὲ τοῦ μὲν μέλιτος, τεταρτημόριον κοτύλης, τοῦ δὲ ἐλαίου, μέτρον ἡμιόλιον καὶ τοῦ μέλιτος· μετακλύζειν δὲ τῷ μέλιτι, καὶ τῷ οἴνῳ, καὶ τῷ ἐλαίῳ μούνῳ, καὶ θυμιῆσθαι, καὶ ἐπισχεῖν ἡμέρας τρεῖς ἢ τέσσαρας, ἀδίαντον δὲ πινέτω. καὶ ἢν

CAPVT IX.

De alterius fluoris albi symptomatis & curatione, cuius reuersio lethalis.

Alius fluor. *Copiosum effluit, quale ouillum lotium, color est albus, totáque tumet, in tibijs tumores rubicundi cutis eminent, sique digito attigeris, in tibijs & pedibus fossularum vestigia inducuntur, & siquid ederit, impletur, ac incenditur; quumque iter fecerit, & opus aliquod obierit, spiratio dolorque ipsam prehendit, colorque interdum albus & suppallidus. Huic, si vires valeant, iuuenis sit, cæteráque compareant, per initia medicamentum sursùm & deorsùm purgans exhibeto, caputque per ea quæ pituitam purgant, si pituitosa sit, purgato, si verò biliosa, per ea quæ bilem. Et si anni tempus ferat, neque naturâ lienosa fuerit, & siquid ex dictis affuerit, serum dato (decoquat autem & quamplurimo tempore potet) & sub vesperam vinum dulce aquosum, si opus sit; cibum verò ne attingat. Si verò imbecilla fuerit, quampaucissimam sorbitionem assumat, neque lauet. Vbi autem tibi opportunum esse videbitur, à potu cesset; & post purgationem cibis vtatur, à pinguibus sibi temperans, acribus, dulcibus, salsis, & oleribus acribus. Piscibus vtatur saxatilibus, & carnibus ouillis, gallinaceis, & leporinis, pane frumentaceo, aut hordeo freso; oleribus etiam coctis vtatur, & agrestibus esui aptis, & domesticis, acribus exceptis, manéque & à cibo obambulet. Vbi verò tibi his factis siccior esse visa fuerit, vteros fæce vini colluito; tribusque aut quatuor intermissis diebus, posteà acerbis eluito, & morâ iniectâ, si quidem sicca fuerit, quiescito. Quòd si naturâ biliosa aut pituitosa fuerit, ex victûs verò ratione & potione medicamentorum attenuata, vires colligere nequeat, lac bubulum per quadraginta dies calidum ex vacca potet. Pituitosam tamen præstiterit cibis quam paucissimis vti, quandiù lac biberit. Sit autem mensura sex heminarum Atticarum. Initium autem à duabus faciendum, & singulis diebus vnam addat, donec sex fiant; ac inde paulatim ad minorem quantitatem descendat. Et post lactis potum, cibis & victûs ratione reficito; & post lactis potionem, manè ieiuna adiantum siccum tusum, cribro excussorio transmissum bibat, ex vino nigro odorato temperato exhibitum. At si morbus reuertatur, hanc totam foueto, rursúsque medicamentis per inferiora purgato; posteáque vteros colluito; si quidem naturâ pituitosa fuerit, per granum cnidium, aut thapsiæ radicem; si verò biliosa, per scammoniæ succum, & colocynthidem agrestem. Hanc enim in vas coniectam, duabus aquæ heminis affusis decoquito; huius decocti dimidio, mel, & oleum narcissinum, vel anthinum admisceto. Sit autem mellis heminæ quadrans; olei verò mensura ad mel sesquialtera. Posteà autem, melle, & vino, & oleo solo colluito, suffitumque adhibeto, & tribus aut quatuor diebus quiescat. Adiantũ autem bibat.*

Quòd si utero conceperit, morbus reuertitur, & si morbus redeat, mulier perit. Quum autem seniores hic morbus inuaserit, uteri computrescunt, paucæque admodùm euadunt.

CAPVT X.

De alterius fluoris albi lutei symptomatis, & curatione.

FLuor alius. *Purgatur uelut ex ouo crudo luteum subalbidum, ulceratque pudendum; pedes ac tibiæ tument, cauæ oculorum partes in tumorem attolluntur, oculi humidi sunt & gramiosi, sique incedat, anhelatio eam inuadit, & imbecillitas contingit. Quòd si euaserit, morbus pituitosus fuerit, nisique repurgata fuerit, bile uehementer commotâ febricitat. Seniores autem hic morbus, quàm iuniores, magis inuadit. Quum autem sic habuerit, si quidem admodùm intumuerit, medicamentum deorsùm purgans potui exhibeto, quod pituitæ & bili medeatur. At si non ualdè intumescat, eámque pituita urgeat, medicamentum sursùm purgans exhibeto; & si quidem ualida fuerit, ueratro purgetur, sin minùs, medicamento quod bilem & pituitam educat. Post medicamẽta uerò plurimis diebus serum coctum cum pauco sale potui dato; & mentham insuper edat. Vesperi uerò cibum ne attingat, sed paucum sorbeat, & uinum dulce, si opus sit, superbibat. Quòd si non adfuerit, serum & lac asininum decoquito, & quatuor diebus exhibeto. Vesperi uerò eadem facito, si febris per noctem non detineat. At si naturâ lienosa, aut flatuosa exanguis fuerit, neq; serum, neq; lac bibat; alioqui medicamentis deorsùm purgato, & ubi opportunum tibi fore uidebitur, uteros colluito, primùm quidem bis aut ter medicamento ex uini fæce; post hoc autem scammoniæ succo, dulci uino ad heminam Atticam affuso, & olei heminæ quadrante, maximè quidem narcissini. Postridiè uerò uini heminâ colluito, adiecto mellis quadrante, & resinæ tertiâ mellis parte, oleũ uerò melli sit æquale. Quòd si quæ à collutione secedunt, pituitosa prodierint, etiam rursus colluito, tribus aut quatuor diebus interpositis; posteà granum cnidium detracto cortice, ad duas potiones infundito, & iisdem colluito. At si granum cnidium non affuerit, thapsiæ radicis potionem unam infundito, & posteà iisdem colluito. Postquam autem quæ secedunt, his collutionibus expurgata fuerint, & siquid cruentum, uelut ab ulcere, contigerit, acerbis deinde colluito. Posteáque si ipsa interrogata, os uterorum durum esse, ac dolore detineri dixerit, eodem modo eo quod cum butyro paratur colluito, quoad uteri resiccati fuerint, & sana esse uideatur. Intermediis autẽ collutionum diebus, sambuci fructũ bibat, & leporis coagulũ, pepli corticẽ, urticæ semen, mali punici dulcis corticem, tritis cuiusque æqualibus partibus. Polentam autẽ admixtã & adiantũ, ex uino odorato ieiuna bibat. Cibis utatur mollibus, neq; salsis, neq; acribus. Carnes piscibus meliores, uolucriũ uidelicet aut leporinæ; & calidâ non multâ lauet. Nisi uerò fluor cessauerit, sed relinquatur, & uteri humectentur,*

A ἐν γαστρὶ λάβηται, ὑποστρέφει, καὶ ὑποστρεφομένης τῆς νούσου, ἀπόλλυται. [55] Ὁκόταν γεραιτέρας λαμβάνει ἡ νόσος αὕτη, καὶ κατασήπονται αἱ ὑστέραι, ἐκφεύγουσι δὲ πάνυ ὀλίγαι.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῶν τοῦ ἄλλου ῥοῦ τοῦ χλωροῦ ὑπολεύκου συμπτωμάτων καὶ τῆς θεραπείας.

B ΡΟος ἄλλος. Καθαίρεται οἷον ἀπὸ ᾠοῦ ὠμοῦ, χλωρὸν ὑπόλευκον, καὶ ἑλκοῖ τὸ αἰδοῖον, καὶ οἰδίσκεται τούς τε πόδας, καὶ τὰς κνήμας, καὶ τὰ κοῖλα τῶν ὀφθαλμῶν ἐπανοιδέει, καὶ οἱ ὀφθαλμοὶ ὑγροὶ, [56] γλαμυροὶ, καὶ ἢν βαδίζῃ, ἆσθμά μιν λαμβάνει, καὶ ἀσθενείη γίνεται. ἢν δὲ φύγῃ, ἡ νόσος φλεγματώδης ἢ, καὶ ἢν μὴ καθαρθῇ, πυρεταίνει λαύρως χολῆς κινηθείσης. γεραιτέρας δὲ ἡ νόσος αὕτη λαμβάνει μᾶλλον, ἢ νεωτέρας. Ὁκόταν δὲ ὧδε ἔχῃ, ἢν μὲν ἀνοιδήσῃ σφόδρα, διδόναι κάτω φάρμακον πίνειν, ὅ, τι φλέγμα καὶ χολὴν ἰῆται· ἢν δὲ μὴ ἰσχυρῶς οἰδέῃ, καὶ τὸ φλέγμα αὐτὴν πιέζῃ, ἄνω δοῦναι φάρμακον· καὶ ἢν μὲν ᾖ δυνατὴ, ἐλλεβόρῳ καθαιρέσθω· ἢν δὲ μὴ, ὅ, τι χολὴν καὶ φλέγμα ἄγει. μετὰ δὲ φάρμακα ὀῤῥὸν ἑφθὸν διδόναι πίνειν ὡς πλείστας ἡμέρας, ξὺν ἁλὶ ὀλίγῳ, ἐπιτρωγέτω δὲ ἡδύοσμον. ἑσπέρην δὲ σίτου μὴ ἁπτέσθω, ῥοφεέτω δὲ ὀλίγον, καὶ ἐπιπινέτω οἶνον γλυκὺν ἢν χρῄζῃ· ἢν δὲ μὴ παρῇ, ὀῤῥὸν, γάλα τε ὄνειον ἀφεψῆσαι, καὶ διδόναι τέσσαρας ἡμέρας, ἑσπέρην δὲ ταῦτα ποιέειν, ἢν μὴ πῦρ ἔχῃ νύκτωρ. Ἢν δὲ ἡ φύσις σπληνώδης, ἢ πνευματώδης λείφαιμος, μήτε ὀῤῥὸν, μήτε γάλα πινέτω· ἢν δὲ μὴ, κάτω τε ἐλκεῖσι καθαίρειν, καὶ ἐπειδάν τοι δοκέῃ καιρὸς εἶναι, κλύσαι τὰς μήτρας, πρῶτον μὲν τῷ ἀπὸ τῆς τρυγὸς δὶς, ἢ τρὶς, μετὰ δὲ τοῦτο, τῷ ὀποῦ τῆς σκαμμωνίης, οἶνον δὲ ἐπιχέαι γλυκὺν, ὅσον κοτύλην Ἀττικὴν, καὶ ἐλαίου τέταρτον μέρος κοτύλης, μάλιστα μὲν ναρκισσίνου. μετακλύσαι δὲ τῇ ὑστεραίῃ οἴνῳ κοτύλῃ, καὶ μέλιτι τετάρτῳ κοτύλης, καὶ ῥητίνης τρίτην μοῖραν μέλιτος, ἔλαιον δὲ ἴσον μέλιτι. ἢν δὲ τὰ ἀπὸ τοῦ κλυσμοῦ ἀποχωρέοντα, ᾖ φλεγματώδεα, κλύσαι καὶ

E αὖθις, ἐπισχόντα ἡμέρας τρεῖς ἢ τέσσαρας, ἔπειτα ἐκλέψαι τοῦ κόκκου δύο πόσιας, [57] κλύζειν δὲ τοῖσιν αὐτέοισιν· ἢν δὲ μὴ παρῇ κόκκος, τῇ ῥίζῃ τῆς θαψίης πόσιν μίαν, καὶ μετακλύζειν τοῖσιν αὐτέοισιν. ἐπὴν δὲ καθαρθῇ τὰ ὑποχωρέοντα, πρὸς τουτέοις τοὺς κλυσμοὺς, καὶ ἢν γίνηταί τι αἱματῶδες, οἷον ἀφ' ἕλκεος, μετακλύζειν τοῖσι στρυφνοῖσι. καὶ ἢν μετὰ ταῦτα αὐτὴ ἐρωτηθεῖσα φῇ τὸ στόμα τῶν ὑστερέων σκληρὸν εἶναι, καὶ ὀδύνην ἔχειν, κλύζειν τὸν αὐτὸν τρόπον τῷ ξὺν τῷ πικερίῳ, ἔστ' ἂν ἀποξηρανθῶσιν

F αἱ ὑστέραι καὶ δοκέῃ ὑγιὴς εἶναι. Τὰς δὲ μεταξὺ ἡμέρας τῶν κλυσμῶν, πινέτω ἀκτῆς καρπὸν, καὶ λαγωοῦ πιτύην, καὶ μήκωνος τὸ κέλυφος, καὶ κνίδης καρπὸν, ῥοιῆς τε γλυκείης τὸν φλοιὸν, τρίβων ἴσον ἑκάστου. ἄλφιτον δὲ ξυμμίσγειν, καὶ ἀδίαντον, ἐν οἴνῳ μέλανι εὐώδει, νῆστις· σιτίοισι δὲ χρεέσθω μαλθακοῖσι, μὴ ἁλμυροῖσι, μηδὲ δριμέσι· κρέα δὲ ἀμείνω ἰχθύων, ἤγουν ὀρνίθεια ἢ λαγῷα· καὶ λουέσθω θερμῷ μὴ πολλῷ. ἢν δὲ μὴ λωφήσῃ ὁ ῥόος, ἀλλ' ὑπολείπηται, καὶ ὑγραίνωνται αἱ ὑστέραι,

θυμιῆσαι τῷ ξὺν τῷ σιδίῳ, καὶ ἔπειτα παρὰ τὸν ἄνδρα ἴτω, κἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. αἱ δὲ γεραίτεραι οὐ δύνανται ἀναφέρειν, ἀλλ' ἀπόλλυνται ὑπὸ ἀσθενείης.

medicamento ex malicorio suffito; posteaque virum adeat; & si vtero conceperit, conualescit. At seniores se recolligere non possunt, sed præ imbecillitate pereunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν τοῦ ἄλλου ῥοῦ τοῦ ὑποχλώρου καὶ γλισχροῦ συμπτωμάτων, καὶ αἰτίων.

Ῥοῦς ἄλλος. Ῥέει ὑπόχλωρον οἷον ἐξ ᾠοῦ, καὶ γλίσχρον, καὶ ἡ γαστὴρ ἀνίσταται ἡ νειέρη, καὶ σκληρὴ γίνεται, καὶ ἢν ψαύσῃς, ἀλγέει, καὶ βρύχει, πῦρ ἔχει, καὶ ὀδύνη ἐς τὸ ὀπίσθεν, καὶ ἐς τὰ αἰδοῖα, καὶ ἐς τὴν νειαίρην γαστέρα, καὶ ἐς τὰς ἰξύας, καὶ λειποθυμίη, ἀλυσμοί τε, καὶ περιψύξιες, καὶ ἱδρὼς πουλύς, σφυγμοὶ πρὸς χεῖρα ψαίροντες, βληχροί, ἐκλείποντες, καὶ αὐτίκα ὄλλυνται. ἢν δὲ περιῇ, καὶ ἡ χροιή οἱ τρέπεται, καὶ γίνεται οἷον τὸ κηρίον, καὶ ὁ χρὼς τῷ δακτύλῳ πιεζόμενος μαλθάσσεται, καὶ ἐμπλάσσεται, οἷον τὸ ἐν σταιτί, καὶ οἰδέουσιν οἱ πόδες, καὶ τὰ σκέλεα. Ἡ δὲ νοῦσος γίνεται μάλιστα, ἢν ἐν αὐτῇσί τι διακναισθῇ, ἢ ἐνσαπῇ ἐν τῷ τόκῳ· αἱ δ' ἀφηλικέστεραι μᾶλλον πάσχουσιν· οὐ πάνυ δὲ ἡ τοιαύτη νοῦσος ἐστὶν εὐήθης.

CAPVT XI.

De alterius fluoris sublutei & glutinosi symptomatis & causis.

Alius fluor. *Fluit subluteum & glutinosum velut ex ouo, venterque imus intumescit, durusque euadit, & si tetigeris, dolet, dentibus stridet, febris detinet, dolor ad pubem, pudenda, imum ventrem, & lumbos irruit; animi deliquium* adest, *anxietudines, perfrictiones, & sudor copiosus, pulsus ad manum leniter ferientes, languidi, deficientes, confestimque pereunt. Quòd si superstes euaserit, color ei immutatur, & velut fauus existit, cutisq; corporis digito pressa emollitur, in eáque nota infigitur, velut in massa, pedesque & crura tumescunt. Morbus autem contingit præcipuè, siquid his in partu vellicatum fuerit, aut intùs computruerit. Seniores verò magis afficiuntur; neque huiusmodi morbus admodùm mitis est.*

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῶν τοῦ ῥοῦ λυθρώδεος αἰτίων καὶ συμπτωμάτων, καὶ τῆς θεραπείας.

Ἄλλος ῥόος. Καθαίρεται οἷον ἀπὸ κρεῶν ὀπτῶν χυμός, καὶ ἑλκοῦται τὸ αἰδοῖον, καὶ ὅπη ἂν ἄλλη τοῦ χρωτὸς ἐπιστάξῃ· καὶ ῥῖγος, καὶ πῦρ ὀξύ, πυκινόν, μέγα, καὶ φρίκη ὁμοῦ λάζεται, ὀδύναι δὲ ἐν πᾶσι τοῖσι ῥόοισιν οἷαι. αὕτη πᾶσα ἀνοιδίσκεται, καὶ τὸ κάτω τοῦ ὀμφαλοῦ, καὶ τὰ σκέλεα, καὶ ἡ χροιὴ ἰκτεριώδης γίνεται. ὁ δὲ τοιοῦτος ῥόος γίνεται ἀπὸ τοῦδε· ἐπειδὰν τὸ αἷμα ἐξαρθὲν ὑπόχολον γένηται, καὶ μὴ καθαρθῇ. Ὁκόταν ὧδε ἔχῃ, φάρμακον δεῖ πίνειν, ἢν μὲν ἰσχυρὴ ᾖ, ἐξ ἐλλεβόρου· ἢν δὲ ἀσθενής, ῥίζαν τε, καὶ ἐλατήριον, καὶ ὑστέρῳ χρόνῳ γάλα αἰγός, ἢ κάτω φαρμακεύειν, ὅ, τι χολὴν καὶ φλέγμα καθαίρει· κλύσαι δὲ τὰς ὑστέρας τῷ ξὺν τῷ κραμβίῳ· πίνειν δὲ ἐλελίσφακον, ὑπερικόν, λίνου σπέρμα, ἑκάστου ἐν οἴνῳ μέλανι αὐστηρῷ· νήστει δὲ διδόναι πίνειν. ἢν δὲ ἡλκωμένον ᾖ τὸ αἰδοῖον, μετακλύσαι τῷ πικερίῳ, ἔπειτα φάρμακον πίσαι, καὶ ἐπιχρίειν τὰ ἕλκεα, πικερίῳ, ῥητίνῃ, σμύρνῃ, ἀργύρου ἄνθος· διανιζέσθω δὲ ὕδατι ἀπὸ μυρσίνης καὶ ἐλελισφάκου χλιερῷ. σιτίοισι δὲ χρήσθω, μήθ' ἁλμυροῖσι, μήτε δριμέσιν, ὡς μὴ δακνῶδες τὸ οὖρον γένηται, καὶ τῶν θαλασσίων εἴργεσθαι, καὶ κρεῶν βοείων, καὶ οἴων, καὶ χοιρείων, τοῖς δὲ ἄλλοισι κρέασι χρέεσθαι ἑφθοῖσι· καὶ σιτείσθω ἄρτον, καὶ οἶνον εὐώδεα παλαιὸν πινέτω μέλανα. ἢν δὲ ταῦτα ποιέῃ, καὶ μὴ ὑγιὴς γίνηται, πυριῆσαι ὅλην, καὶ φάρμακον δοῦναι τῇ ὑστεραίῃ ἄνω, ἔπειτα διαλιπὼν αὖθις, κάτω. καὶ ἢν μὲν μείνῃ ὁ ῥόος μετὰ τὰ φάρμακα, ἀφεψήσας ὀῤῥόν, νέμειν ἑκάστης ἡμέρης πίνειν, ἑσπέρην δὲ ῥοφήμασιν, οἴνῳ δὲ γλυκεῖ λευκῷ. ἢν δὲ μὴ

CAPVT XII.

De fluoris saniosi causis, symptomatis, & curatione.

Alius fluor. *Qualis ex assatis carnibus humor purgatur, & pudendum vlceratur, & quæcunque alia corporis pars, in quam instillarit; & rigor, febris acuta, crebra, magna, simulque horror corripit. Dolores autem quales in omnibus fluoribus. Hæc tota intumescit & partibus vmbilico inferioribus, & cruribus; colorque auriginosus euadit. Huiusmodi autem fluor ex eo contingit, quum sanguis vitiatus aliquantùm biliosus extiterit, neque purgatus fuerit. Quum sic habuerit, medicamentum bibendum, si quidem valida fuerit, ex veratro; si verò debilis, ex radice & elaterio; & postremò lac caprinum, aut medicamentum quod deorsùm bilem & pituitam purget, exhibeto. Vteros autem medicamento ex brassicæ succo colluito. Saluiam autem bibat, hypericum, lini semen, singula ex vino nigro austero; hæc ieiunæ bibenda præbeto. Si verò vlceratum pudendũ fuerit, posteà butyro colluito; deinde medicamentum purgans potui dato; vlceráq; butyro, resinâ, myrrhâ, & argenti flore linito; myrti autem & saluiæ ex aqua decocto tepido perluatur. Cibis autẽ vtatur neq; salsis, neq; acribus, vt ne mordax vrina reddatur, & marinis abstineat, carnibus bubulis, ouillis, porcinis; reliquis verò carnibus coctis vtatur. Vescatur pane, & vinũ odoratũ, vetus, nigrũ bibat. Si verò hæc fecerit, neq; cõualescat, totã foueto, & postero die medicamentũ sursũ purgãs exhibeto; deinde ex intermissione rursùs deorsũ purgãs. Et si quidẽ fluor perseueret post medicamenta, decoctũ serũ quotidie potui præbeto, sub vesperã verò sorbitionibus vtatur; vino verò dulci, albo. Quòd si serum*

si serum desit, lac asininum coctum diebus quatuor bibat; vesperi autem ijsdem vtatur. Post hæc autem lac bubulum calidum per dies quadraginta bibat, & per diem nihil (vt ita dicam) edat. Id enim est optimum; ab huiusmodi enim lacte purgatur, nutritur, fluorq; obtunditur. Vesperi cœnet auicularum carnem assam paucam, & panis subcinericij parùm. Vinum verò nigrum, vetus, vinosum superbibat, quandiu lac biberit, si copiosa prodierint, & acrimonia vexarit. Quòd si his factis conceperit, conualescit. Quæ verò seniores sunt, his interdùm morbus reuertitur, ac pereunt; iuuenculis autem minimè lethalis est.

A ἢ ὀῤῥὸς, γάλα ὄνου ἑφθὸν πινέτω ἐπὶ τέσσαρας ἡμέρας, ἑσπέρης δὲ τοῖσιν αὐτέοισι χρήσθω· μετέπειτα δὲ πινέτω ἐπὶ τεσσαράκοντα ἡμέρας, γάλα βοὸς θερμὸν, καὶ τῆς ἡμέρης μηδὲν ἐσθιέτω, ὡς ἔπος εἰπεῖν, ἄριστον γὰρ τοῦτο· καὶ γὰρ καθαίρεται, καὶ τρέφεται, καὶ ἀμβλύνεται ὑπὸ τοῦ τοιοῦδε γάλακτος. ἑσπέρης δὲ δειπνείτω κρέας ὄρνιθος ὀπτὸν ὀλίγον, καὶ ἄρτον μικρὸν B ἐγκρυφίην. ἐπιπινέτω δὲ οἶνον μέλανα παλαιὸν οἰνώδεα, ἔστ᾽ ἂν τὸ γάλα πίνῃ, ἢν πολλὰ ἴῃ, καὶ ταράσσηται τὸ δριμύ. καὶ ἢν ταῦτα ποιήσασα ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. ὅσαι δὲ γεραίτεραί εἰσιν, ἐνίοτε ὑποστρέφει ἡ νοῦσος, καὶ ἀπόλλυνται, τῇσι δὲ νέῃσιν οὐ θανατώδης.

CAPVT XIII.

De saniosi fluoris causis, ac curatione diuturnâ.

C

DIuturna autem est saniosi fluoris curatio; is autem subcruentus fluit, qualis ex assatis carnibus succus; ac velut muria mordet, pudenda rodit & exulcerat, vterus in ambitu exulceratur, & circum femora, aliasque partes. Quum in vestimenta destillarit, ea inficiuntur, nec nisi ægrè eluuntur; vĕter attollitur, & durus euadit, contactus dolet, calor pudenda occupat; ad sedem dolor est, ad imum ventrem & laterum inanitates, coxēdices & lumbos; debilitas adest; & color velut auriginosus, mutatur. Si verò tempus & morbus producatur, hæc omnia multò magis inuadunt; oculorum cauitates attolluntur; pedes & crura à lumbis intumescunt. Hic autem morbus corripit, quum quid in abortione aut partu de fœtu dilaceratum fuerit. Fomenta autem admouenda, & suffitus adhibendi, propinandáque omnia quæ fluxum reprimunt, & lac asininum, aliaque porrigenda, & vomitus si opus sit ciendus. Si verò febris expers fuerit, aut debilis detinuerit, fotus siccus melior est.

ΚΕΦΑΛΑΙΟΝ ΙΓʹ.

Περὶ τῶν τοῦ ἰχωροειδέος ῥόου αἰτιῶν, καὶ τῆς χρονίας θεραπείας.

XΡονίη δὲ τοῦ ἰχωροειδέος ῥόου ἡ θεραπείη· ὁ δὲ τοιοῦτος ῥέει ὕφαιμος, οἷον ἀπὸ κρεῶν ὀπτῶν χυμὸς, καὶ δάκνει ὡς ἅλμη, καὶ ἐσθίει, καὶ ἐξελκοῖ τὰ αἰδοῖα, καὶ ἡ ὑστέρη ἀνελκοῦται κατὰ τὰ πέριξ, καὶ τοὺς μηρούς, καὶ τὰ ἄλλα. ἐπειδὰν ἐπιστάξῃ ἐπὶ τὰ ἱμάτια, βάπτεται, καὶ δυσέκπλυτα ἐμμένει, καὶ ἡ γαστὴρ ἐπαίρεται, καὶ σκληρὴ γίνεται, καὶ ἀλγέει ἢν ψαύσῃ, καὶ θέρμη ἔχει εἰς τὰ αἰδοῖα, καὶ ὀδύνη ἐς τὴν ἕδρην, καὶ D ἐς τὴν νειαίρην γαστέρα, καὶ κενεῶνας, καὶ ἰσχία, καὶ ἰξύας· ἀδυναμίη· καὶ ἡ χροιὴ τρέπεται ὡς ἰκτερώδης. ἢν δὲ ὁ χρόνος μηκύνῃ καὶ ἡ νοῦσος, ταῦτα πάντα πολὺ μᾶλλον ἐπιλαμβάνει, καὶ τὰ κοῖλα ἐπαείρεται· καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ σκέλεα ἀπὸ τῶν ἰξύων. ἡ δὲ νοῦσος λάζεται, ἐπὴν [62] διαφθαρῇ τι τοῦ ἐμβρύου, ἢ ἐκτρώσῃ, ἢ ἐν τόκῳ. Χρὴ δὲ πυριῆν, καὶ θυμιῆν, καὶ πιπίσκειν ταῦτα πάντα καὶ ἴσχει τὸν ῥόον, καὶ ὄνειον γάλα καὶ τὰ ἄλλα προσάγειν, καὶ ἐμέειν ἢν δέῃ· ἢν δὲ ἄπυρος ᾖ, καὶ [63] βληχρὸς ἔχῃ, ἄμεινον ξηρὴ πυρίη.

E

CAPVT XIV.

De vteri ad caput, & cor conuersione, & ascensu, vnde suffocatio hysterica, & vtriusque causis, & curatione.

QVum vteri ad caput conuersi fuerint, eâque in parte suffocatio desinit, caput grauat. Verùm alijs aliâ quâpiam parte signum habetur. Hoc autem signum est. Narium venas, & quæ sub oculis sunt partes, dolere narrant, & sopor detinet, & spumescit quum meliusculè habuerit. Hanc copiosâ calidâ lauare oportet, si verò non auscultet, frigidâ, & circa caput lauri & myrti ex aqua decoctũ refrigeratum apponendum; caputq; vnguento rosaceo illinatur; & subter suffitus ex odoratis admoueatur; naribus verò ex graueolentibus; brassicam edat, succũque sorbeat. Si verò vteri ad cor procedentes suffocent, & sursùm impulsus aër violenter feratur, anxia est, & vomit. Quibusdam autem statim tractus vterus deorsùm cedit, & flatus exit. Hæc quidem spumosa vomit, huic verò quies contingit. At quibus non decedunt, por-

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Περὶ τῆς ὑστέρας τροπῆς ἐς τὴν κεφαλὴν, καὶ τὴν καρδίαν, καὶ ἀναβάσεως, ὅθεν ὁ πνιγμὸς ὑστερικὸς, καὶ τῶν ἀμφοτέρων αἰτίων, καὶ τῆς θεραπείας.

[64] ΟΚόταν ἐς τὴν κεφαλὴν τράπωσιν αἱ ὑστέραι, καὶ τῇδε λήγῃ ὁ πνιγμὸς, κεφαλὴν βαρύνει· ἄλλῃσι δὲ ἄλλῃ πῃ τεκμήριον ἴσχεται. σημήϊον δὲ τόδε. Τὰς F φλέβας τὰς ἐν τῇ ῥινὶ, καὶ τὰ ὑπὸ τοῖσιν ὀφθαλμοῖσιν, ἀλγέειν φασὶ, καὶ κῶμα ἴσχει, καὶ ἀφρίζει ὅταν ῥάϊσῃ. Ταύτην χρὴ λούειν πολλῷ καὶ θερμῷ, ἢν δὲ μὴ ἐπακούῃ, ψυχρῷ, καὶ κατὰ κεφαλῆς, δάφνην τε καὶ μυρσίνην ἀφεψῶν ἐν τῷ ὕδατι καὶ ψύχων, καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν [65] χριέσθω, καὶ ὑποθυμιήσθω τὰ εὐώδεα, τὰ δὲ κακώδεα ὑπὸ τὰς ῥῖνας· καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφεέτω. Ην δὲ πρὸς τὴν καρδίαν προσιστάμεναι πνίγωσιν αἱ ὑστέραι, [66] καὶ ἀνάσσυτος ἴῃ ὁ ἀὴρ βιώμενος, ἀλησθύει καὶ ἐμέει· καὶ ἔστιν ᾗσιν αὐτίκα ἑλκυσθεῖσα κάτω χωρέει, καὶ φῦσα ἔξεισιν· ἡ μὲν ἐμέει ἀφρώδεα, ἡ δὲ παῦλα γίνεται. ᾗσι δὲ οὐκ ἀφίστανται,

προσφέρειν τὸν καρπὸν καὶ μήκωνα τρίψας, διεὶς ὕδατος κυάθοις τρισὶ, δίδου πίνειν. καὶ ὄξεος λευκοῦ ἀρήγει πόσις κύαθος. ἢ ἀρκεύθου καρπὸν, καὶ ἐλελίσφακον, ὄξος πρὸς τοῖς εἴδεσιν, ἢ οἶνον· ἀλεαίνεσθαι δὲ χρή. ἢ ἄλειφα χηνὸς, κηρωτὴν ἐρρητινωμένην καὶ πίσσαν ἐν αὐτέῳ τῆξαι, καὶ προσθετὰ ποιέειν.

ri semen & papauer trita, tribus aquæ cyathis diluta potui dato. Auxiliatur & aceti albi cyathus potui datus. Aut iuniperi semen, & saluia, aceto aut vino ad has species admixto, calefieri autem oportet. Aut anserinum adipem, ceratum resinatum & picem simul calefacere, & glandulas subdititias conficere.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῶν τῆς ὑστέρας πρὸς τὰ ὑποχόνδρια προσπεσούσης καὶ πνιγούσης σημείων, καὶ τῆς θεραπείας.

Ὅταν δὲ ὡς πρὸς τὰ ὑποχόνδρια προσπέσωσι, πνίγουσιν. ἐπὴν ἐνθάδε [67] τὸ στερεὸν ᾖ τοῦ πάθεος, καὶ ἐπιλαμβάνῃ ἔμετος πυρώδης δριμὺς, καὶ ῥᾷον γίνεται ὀλίγον χρόνον, καὶ ἐς τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον ὀδύνη διαμπερής. Χλιάσματα προσιστέναι, ἢν ἄνω πνίγωσιν, ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν τὰ κάκοδμα ἐκ προσαγωγῆς (ἢν γὰρ ἀθρόως [68] ἵστωνται αἱ ὑστέραι ἐς τὰ κάτω, καὶ ὄχλος γίνεται) εὔοδμα δὲ κάτω, καὶ πίνειν διδόναι τὸ καστόρειον καὶ τὴν κόνυζαν. ἐπὴν δὲ κάτω ἑλκυσθῶσιν, ὑποθυμιῆν τὰ [69] εἰδεχθέα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. Ἢν δὲ αἱ ὀδύναι παύσωνται, φάρμακον πίσαι κάτω, καὶ μεταπιπίσκειν γάλα ὄνου, ἢ ὀῤῥὸν, ἢν μὴ σπληνώδης ᾖ ἀπὸ γενέσιος, ἢ λείφαιμος, ἢ ἄχροος, ἢ τὰ οὔατα ἠχώδεα ἔχῃ, διὰ συγγενείην ἧσιν ἐθάδες ἀπὸ νεότητος αἱ νοῦσοι. τὴν δὲ ἄνω κοιλίην μὴ κινέειν, [70] ἀμβλυώσσουσι γὰρ, ἢ ἀμφὶ τὴν φάρυγγα ὄχλοι, καὶ τἄλλα· διδόναι δὲ πτισάνης χυλόν. ἢν σφόδρα δὲ καὶ εὐεμὴς ᾖ, καὶ ἐμεέτω· κλυσμὸς δὲ ἄριστος ὁ διὰ ναρκίσσου, προσθετὸν τὸ διὰ κανθαρίδων.

CAPVT XV.

De vteri ad hypochondria allapsi ac strangulantis signis, & curatione.

Qvum autem ad hypochondria allapsi fuerint, suffocant. Vbi verò hîc affectus firmus fuerit, & vomitus feruidus acris prehendit, & pauco tempore leuior fit, dolorque ad caput & collum in totum penetrat. Tepefactoria admoueto, si suprà strangularint; sub naribus verò, sensim progrediendo, graueolentia suffito (si enim vteri confertim ad inferiora consistant, etiam turbatio oritur) infrà verò odorata, & castorium ac conyzam potui dato. Vbi autem deorsùm tracti fuerint, abhorrenda in suffitu subter suffito, naribus verò odorata. At si dolores cessarint, medicamentum deorsùm purgans propinato; posteaque lac asininum, aut serum bibendum præbeto, nisi ab ortu lienosa fuerit, aut exanguis, aut decolor, aut aures tinnientes habuerit, quibus cognatione à iuuentute morbi consueti sint. Superiorem autem ventrem ne moueto; cæcutiunt enim, aut circa fauces molestiæ aliáque adsunt; ptisanæ verò succum exhibeto. Quòd si prompta sit ad vomitionem, etiam vomat. Collutio autem ex narcisso optima; subdititium verò ex cantharidibus paratum.

ΚΕΦΑΛΑΙΟΝ Ις'.

Περὶ τῶν τῆς ὑστέρας πρὸς τὰ ὑποχόνδρια προσισταμένης καὶ τῆς ἐντεῦθεν πνιγὸς γενομένης σημείων, καὶ συμπτωμάτων, καὶ τῆς θεραπείας.

Ἢν προσστῶσιν αἱ ὑστέραι πρὸς τὰ ὑποχόνδρια, πνίγεται ὡς ὑπὸ ἐλλεβόρου, καὶ ὀρθόπνοια γίνεται, καὶ καρδιωγμοὶ σθεναροί· αἱ δὲ καὶ ἐμέουσιν ἐνίοτε σίαλον ὀξὺ, καὶ τὸ στόμα ὕδατος ἐμπέπλησται, καὶ τὰ σκέλεα ἀποψύχονται αἱ τοιαῦται, κἂν μὴ ταχὺ ἀφιστῶνται ἀπὸ τῶν ὑποχονδρίων, ἄναυδοι γίνονται, καὶ τὰ ἀμφὶ τὴν κεφαλὴν καὶ τὴν γλῶσσαν νάρκη ἔχει. Πρὸς μὲν τὰς ὑστέρας προσθεῖναι εἴριον, πρὸς τὸν αὐλὸν ὡς ἔνι μάλιστα, τῷ πτερῷ περιελίξας, βάψαι [71] ἢ λευκῷ ἢ Αἰγυπτίῳ ἢ μυρσίνῳ ἢ βακχαρίνῳ ἢ ἀμαρακίνῳ· ἐς δὲ τὰς ῥῖνας, τοῦ φαρμάκου τοῦ μέλανος τοῦ τῆς κεφαλῆς, λαβόντα τῇ μήλῃ ἐμπλάσσειν· ἢν δὲ μὴ ᾖ τοῦτο, τῷ ὀπῷ διαλεῖψαι τὰς ῥῖνας, ἢ πτερὸν ὄξει βάψαι, [72] καὶ καθῆραι· διαλεῖψαι δὲ τὰς ῥῖνας, ἢ τοῦ πταρμικοῦ προσθεῖναι. ὅταν δὲ [73] κλυσθῇ τὸ στόμα, [74] καὶ ἡ ἐν αὐλὴν, διδόναι πίνειν τοῦ καστορίου ἐν οἴνῳ· τὰς δὲ ῥῖνας διαλεῖψαι, ἐλαίῳ φώκης. τὸ δὲ εἴριον ἐὰν προσκέεσθαι, μέχρις οὗ καταστέωσιν, ὅταν δὲ παύσηται, ἀφελέσθαι χρή. ἢν δὲ ἀφαιρεθέντος, αὖθις ἀναχωρήσωσι, τὸ εἴριον αὖθις

CAPVT XVI.

De vteri ad hypochondria insistentis, ac inde ortæ suffocationis signis, symptomatis, & curatione.

Si vteri ad hypochondria constiterint, suffocatur velut à veratro, & erectâ ceruice spirat, & vehementes cardiogmi fiunt; quædam etiam saliuam acidam interdùm vomunt, & os aquâ impletur, cruráque his perfrigescunt, & nisi breui vteri ab hypochondrijs discesserint, voce deficiunt, partesque circa caput & linguam torpor detinet. Ad vteros quidem lanam quàm penitissimè foramini apponito, eamque pennæ circumuolutam, aut vnguento albo, aut Ægyptio, aut myrteo, aut bacchario, aut amaracino intingito. Naribus verò medicamentum nigrum, ad caput paratum, specillo exceptum obducito. Quòd si id desit, laseris succo nares linito; aut pennâ aceto intinctâ, purgato nares & illinito, aut sternutatorium apponito. Quum autem ablutum fuerit osculum, & interior via, castorium ex vino potui dato; nares verò phocæ adipe illinito. Lanam autem in subdititio appositam, quoad restituti fuerint, finito; vbi autem affectus quieuerit, detrahere oportet. Quòd si eâ detractâ rursus reuerterit, eodem rursus modo lanam

lanam apponito, naribus verò suffitum adhibeto, capræ nigro aut ceruino cornu deraso cineri calido insperso, vt fumo potissimùm excitato, nidorem per nares sursum, quoad eius fieri maximè poterit, attrahat. Suffito etiam phocæ adipem, prunis testæ impositus, capite obuelato, & supereminente, vt odor penitissimè penetret, & instillato adipe, ipsa occluso ore sursùm nidorem maximè attrahat. Atque hæc facienda, si vteri ad superiora ferantur.

προσθεῖναι τὸν αὐτὸν τρόπον, ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν, κέρας μέλαν αἰγὸς ἢ ἐλάφου κνήσας, ἐπιπάσσων ἐπὶ σποδιὴν θερμὴν, ὅκως μάλιστα θυμιήσηται, καὶ εἰρυσάτω τὴν ὀδμὴν ἄνω διὰ τῶν ῥινῶν, ὡς ἂν δύνηται μάλιστα. θυμιῆν φώκης ἔλαιον, ἐπ' ὄστρακον ἐπιτιθέντα ἐπ' ἄνθρακας, περικαλύψαι, καὶ τὴν κεφαλὴν ὑποφέρειν, ὡς μάλιστα ἡ ὀσμὴ ἐσίῃ, καὶ ἐπιστάζειν τοῦ λίπεος, καὶ ἄνω ἑλκέτω τὴν ὀδμὴν, τὸ δὲ στόμα ξυμμεμυκέναι. ἢν ἄνω προσπίπτωσι, ταῦτα χρὴ ποιέειν.

CAPVT XVI.

De vteri ad hepar conuersi signis, symptomatis, & curatione.

SI vteri ad hepar conuersi fuerint, derepentè mulier voce destituitur, & dentes consertos habet, & color liuidus euadit. Derepentè autem his afficitur, quum sana existit. Contingit autem præcipuè vetulis virginibus, & viduis, quæ etiam partum expertæ viduæ permanent. Contingit verò maximè infœcundis omninò, & ijs quæ ex partu steriles existunt. Non enim puerperij purgatio fertur, neque intumescit vterus, neque mollitur, neque vomunt. Quum sic habuerit, tumorem ab hepate manu leniter deorsùm repellito; fasciâ hypochondria deligato, & osculum aperito. Vinum autem quàm odoratissimum dilutum infundito; quum oportuerit etiam, naribus fœtida suffitu admoueto, ad vteros verò odorata, & suffimenta. Ac vbi sanaueris, medicamentum deorsùm purgans potui exhibendum, quod bilem purget, si quidem biliosa fuerit; si verò pituitosa, quod pituitam. Deinde lac asininum decoctum propinandum; vterus odoratis fouendus; & medicamentum quod cum bupresti conficitur, apponendum, postridiè verò netopum. Ac rursus duobus intermissis diebus, vterus odoratis colluendus; deinde vnius diei intermissione factâ, aromata ad suffitum adhibenda. Hæc viduæ facienda. Optimum est autem vtero concipere. Virginem verò viro coniungi adhortare. Naribus nihil adhibendum, neque medicamentum ieiunæ bibendum. Castorium & conyzam ex vino quàm odoratissimo diebus viginti bibat; neque caput odorato inungat, neque odorati aliquid olfaciat.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Περὶ τῶν τῆς μήτρας πρὸς τὸ ἧπαρ τραπείσης σημείων, καὶ συμπτωμάτων, καὶ τῆς θεραπείας.

ΗΝ αἱ μῆτραι πρὸς τὸ ἧπαρ τράπωσιν, ἄφωνος ἡ γυνὴ ἐξαπίνης γίνεται, καὶ τοὺς ὀδόντας[75] ξυνερήρεισται, καὶ ἡ χροιὴ πελιδνὴ γίνεται· ἐξαπίνης δὲ ταῦτα πάσχει, ὑγιὴς ἐοῦσα. γίνεται δὲ μάλιστα παρθένοισι παλαιῇσι, καὶ χήρῃσιν, ὁκόσαι καὶ τοκήεσσαι χηρεύουσι· γίνεται δὲ μάλιστα τῇσιν ἀφόροισι πάμπαν, καὶ στείρῃσιν, αἳ ἐκ τῶν τόκων εἰσίν· οὐ γὰρ γίνεται ἡ λοχείη κάθαρσις, καὶ οὐκ οἰδίσκεται ἡ ὑστέρη, οὐδὲ μαλθάσσεται, οὐδὲ ἐμέουσιν. Ὅταν ὧδε ἔχῃ, τῇ χειρὶ ἀπώσασθαι ἀπὸ τοῦ ἥπατος πρηγορικῶς τὸ οἶδος ἐς τὸ κάτω, καὶ ἀποδῆσαι ταινίῃ τὰ ὑποχόνδρια, καὶ τὸ στόμα διανοίγειν. οἶνον δὲ ὡς εὐωδέστατον κεκρημένον ἐγχέειν·[76] ὅτε χρὴ, καὶ προσίσχειν πρὸς τὰς ῥῖνας τὰ κάκοδμα καὶ ὑποθυμιῆν, πρὸς δὲ τὰς ὑστέρας τὰ εὐώδεα καὶ ὅσα θυμιητά. καὶ ἐπὴν ἰήσῃ, φάρμακον πίσαι κάτω χρὴ, ἢν μὲν χολώδης ᾖ, ὅ, τι χολὴν καθαίρει, ἢν δὲ φλεγματώδης, ὅ, τι φλέγμα· κἄπειτα πιπίσκειν γάλα ὄνου ἑφθὸν, καὶ τὰς ὑστέρας πυριῆσαι εὐώδεσι, καὶ προστίθεσθαι τὸ ξὺν τῇ βουπρήστει, τῇ δὲ ὑστεραίῃ νέτωπον. διαλιπὼν δὲ πάλιν ἡμέρας δύο, κλύσαι τὰς ὑστέρας εὐώδεσιν· ἔπειτα διαλιπὼν μίαν ἡμέρην, θυμιῆσαι τοῖσιν ἀρώμασιν. ταῦτα ποιέειν τὴν χήρην, ἄριστον δὲ ἐν γαστρὶ ἔχειν· τὴν δὲ παρθένον πείθειν ξυνοικέειν ἀνδρὶ,[77] πρὸς δὲ τὰς ῥῖνας μηδὲν αἴρειν, μηδὲ τὸ φάρμακον πίνειν νῆστιν, τὸν κάστορα καὶ κόνυζαν δὲ ἐν οἴνῳ ὡς[78] εὐωδεστάτῳ πίνειν ἐς εἴκοσιν ἡμέρας, καὶ τὴν κεφαλὴν μὴ ἀλείφεσθαι εὐώδει, μηδ' ὀσφραίνεσθαί τινι τῶν εὐωδέων.

CAPVT XVII.

De vteri ad latus inflammatione, eiusque signis, symptomatis, & curatione.

SI verò vteri ad latus inflammati fuerint, si tetigeris, durum apparet; & quum ad hypochondria irruerint, strangulant, pituitam acidam vomit, quæ dentes stupere efficit. Postquàm vomuerit, meliusculè habere videtur. Quum verò deorsùm irruerint, de ventre aliàs aliò discedunt; præcipuè verò quandoque ad laterum inanitates incidunt, & ad vesicam, stranguriaque prehendit; & ad sedem, & cacare videtur; mensesque solito prius aut posterius oboriuntur, aut huic non apparent. In hoc

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τῆς παρὰ τὸ πλευρὸν τῆς ὑστέρας φλεγμονῆς, καὶ τῶν ταύτης σημείων, καὶ συμπτωμάτων, καὶ θεραπείας.

ΗΝ δὲ αἱ μῆτραι φλεγμήνωσι παρὰ τὸ πλευρὸν, ἢν ψαύσῃς, σκληρὸν φαίνεται, καὶ ὅταν προσπέσωσι τὰ ὑποχόνδρια, πνίγουσι, καὶ ἐμέει φλέγμα ὀξὺ, καὶ τοὺς ὀδόντας[74] αἱμωδέειν ποιέει, ἐπειδὰν ἐμέσῃ, ῥᾷον ἔχειν δοκέει. ὅταν δὲ κάτω ὁρμήσωσιν, ἀφίστανται ἀπὸ τῆς γαστρὸς ἄλλοτε ἄλλῃ, μάλιστα δὲ ἐς τοὺς κενεῶνας ἔστιν ὅτε ἐμπίπτουσι, καὶ ἐς τὴν κύστιν, καὶ στραγγουρίη ἐπιλαμβάνει, καὶ ἐς τὴν ἕδρην, καὶ δοκέει ἀποπατεῖν, καὶ τὰ ἐπιμήνια πρότερον ἢ ὕστερον τοῦ μεμαθηκότος γίνεται, ἢ οὐκ ἐπιφαίνεται.

Ταύτῃ αὐτίκα ταύτης τῆς νούσου, ἢν τὰ ἄνω πνίγωσι, χλιάσματα προστιθέναι, καὶ ὑποθυμιῆν τὰ κάκοδμα πρὸς τὰς ῥῖνας, πρὸς δὲ τὰς ὑστέρας τὰ εὐώδεα, καὶ πίνειν κόνυζαν τὴν θήλειαν, καὶ κάστορα ἐν οἴνῳ νῆστιν. ἐπὴν δὲ τῇ φύσει καθιστέωσι, θυμιῆσαι ἠρεμέως, πινέτω δὲ διουρητικά. ταῦτα ποιέειν, ἕως ἂν αἱ ὀδύναι ἔχωσιν· ἐπὴν δὲ παύσωνται, πυριήσας ὅλην, ἔπειτα πῖσαι φάρμακον κάτω, ἢν μὲν χολώδης ᾖ, ὅ, τι χολὴν καθαίρει, ἢν δὲ φλεγματώδης, ὅ, τι φλέγμα ἄγει, καὶ πιπίσκειν γάλα ὄνειον, ἢ ὀῤῥὸν αἴγειον ἑφθὸν (ἢν δὲ σπληνώδης ᾖ, μὴ πιπίσκειν τὸ γάλα μηδὲ τὸ ὀῤῥὸν) καὶ ἐν τοῖσι καθαρμοῖσι, σιτίοισι χρέεσθαι μαλθακοῖσι καὶ [80] ὑποχωρητικοῖσιν, ἰχθύες δὲ ἀμείνους κρεῶν· καὶ πυριῆν τὰς ὑστέρας, ἢ καθαίρειν προσθετοῖσι, καὶ κλύσαι αὐτάς· καὶ ὑποθυμιησαμένη, παρὰ τὸν ἄνδρα ἴτω. λύσις δὲ τῆς νόσου, ἐπὴν λάβῃ ἐν γαστρί.

A *morbo statim, si sursùm strangularint, tepefacientia ei admouenda, & naribus suffitus ex graueolentibus adhibendus, vtero verò ex odoratis; & conyza fœmina cum castorio ex vino ieiunæ bibenda. Vbi autem ad pristinam naturam redierint, placidè suffitus adhibendi, bibat autem vrinam cientia. Ea faciat, quandiu dolores detinuerint. Vbi autem cessarint, totam foueto; deinde si quidem biliosa fuerit,* B *medicamentum deorsùm purgans, quod bilem ducat, potui dato; si verò pituitosa, quod pituitam ducat; & lac asininum, aut serum caprinum decoctum propinato (At si lienosa fuerit, neque lac, neque serum propinato) Et in purgationibus, cibis mollibus & aluum subducentibus vtatur, pisces autem carnibus sunt meliores; vterosque foueto, aut subditițijs purgato, ipsosque colluito; & vbi suffitum admouerit, virum adeat. Solutio autem morbi* contingit, *vbi vtero conceperit.* C

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῶν μητρῶν πρὸς τὰς πλευρὰς προσπιπτουσῶν σημείων, καὶ θεραπευτικῶν.

ΗΝ αἱ μῆτραι πρὸς τὰς πλευρὰς προσπέσωσιν, βὴξ ἴσχει καὶ ὀδύνη ἐπὶ τὸ πλευρόν, καὶ προσίσταται σκληρὴ ὡς σφαῖρα, καὶ ἁπτομένη πονέει ὡς ἀπὸ ἕλκεος, καὶ καταφθίνει, καὶ δοκέει οἱ περιπλευμονίη εἶναι, καὶ εἰρύεται, καὶ κυφὴ γίνεται, καὶ τὰ ἐπιμήνια οὐ φαίνεται, ἐνίῃσι δὲ καὶ ἀπόλλυται προφανέντα, τότε δὲ γινόμενα, ἀσθενέα καὶ ὀλίγα καὶ κακίονα, καὶ ἡ γονὴ οὐ γίνεται τουτέου τοῦ χρόνου. Ὅταν ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω ἐλατήριον, καὶ λούειν πολλῷ θερμῷ, καὶ τῶν χλιασμάτων ἃ ἂν προσδέχηται, προσίσχειν, καὶ προστιθέναι ὑφ' ὧν καθαίρεται τὸ αἷμα. καὶ λίνου σπέρμα φῶσαι, κόψαι, καὶ σῆσαι, καὶ μήκων ὁ λευκὸς ὠφελέουσι καὶ ἐλελίσφακος σὺν ἀλφίτοισι λεπτοῖσι, καὶ τυρὸν αἴγειον, ἐπιξύσας τὴν ἅλμην. ταῦτα μίσγε, [81] μίαν μοῖραν τυροῦ, καὶ τῶν ἀνάλτων ἀλφίτων μοῖραν, καὶ νῆστιν πίνειν δίδου ἐν οἴνῳ. ὅταν δὲ ἑσπέριος ᾖ, κυκεῶνα παχὺν, μέλι ἐπιχέων, δίδου πίνειν, [82] καὶ τῶν πομάτων ἃ δεῖται πιπίσκειν, καὶ πυριῆν πυκνὰ, καὶ τῷ θερμῷ καταιονᾶν, καὶ τῇ [83] κηρωτῇ ἡσύχως καὶ μαλθακῶς καὶ ὁμαλῶς ἀπωθέειν ἀπὸ τοῦ πλευροῦ τὰς μήτρας, καὶ ἀναδεῖν τὸ [84] πλευρὸν ταινίῃ πλατείῃ, καὶ γαλακτοποτέειν βόειον γάλα ὡς πλεῖστον ἐπὶ ἡμέρας τεσσαράκοντα· σιτίοισι δὲ χρῆσθαι ὡς μαλθακωτάτοισιν. Ἡ δὲ νοῦσος σπερχνή τε καὶ θανατώδης, καὶ ὀλίγαι φεύγουσιν ὧδε μελεδαινόμεναι.

CAPVT XVIII.

De vterorum lateribus incumbentium signis, & curationibus.

SI *vteri in latera incubuerint, tussis, & ad latus dolor detinet, durusque* vterus *tanquam pila insistit; & contactus dolet velut ab vlcere, & contabescit; apparetque esse velut peripneumonia, contrahitur, & gibba fit, menses non comparent, quibusdam etiam vbi comparuerint, disperduntur. Tunc autem si prodeant,* D *imbecilli, pauci, & deteriores sunt, neque hoc tempore fit genitura. Quum sic habuerit, medicamentum deorsùm purgans propinandum, multâ calidâ lauet, tepefacientia quæ lubens suscipit admoueto, eáque ex quibus sanguis purgetur subdito. Lini semen torrefactum, tusum, cribratum, papauer album prosunt, & saluia cum tenui polentâ, & caseus caprinus muriâ derasâ. Hæc misce, vt casei pars sit vna, & polentæ insulsæ pars vna, ac ieiunæ ex vino potui dato. Quum autem vespera aduenerit, cyceona crassum affuso melle potui exhibeto, & potiones quibus opus* E *erit propinato, crebrò foueto, calidâ perfundito; ac per ceratum vteros leniter, molliter, & æqualiter à latere depellito; latus fasciâ latâ deligato, & lac bubulum quamplurimum per dies quadraginta potui exhibeto. Cibis autem quàm mollissimis vtatur. Morbus hic vehemens est, & lethalis, paucæque sic curatæ euadunt.*

F

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῶν ὑστερῶν ἐνουσῶν ἐν τῇ ὀσφύϊ, ἢ ἐν τῷ κενεῶνι, ἢ ἐς τὸ μεσηγὺ τῶν ἰξύων, καὶ τῶν τῆς ἔνθεν γενομένης πνιγὸς συμπτωμάτων, καὶ σημείων, καὶ θεραπευτικῶν.

ΗΝ δὲ ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ἐνῶσιν, ἢ ἐν τῷ κενεῶνι, καὶ ἴῃ πνεῦμα μετάρσιον, καὶ πνῖγος ἔχῃ, καὶ ἆσθμα.

CAPVT XIX.

De vterorum in lumbos, aut ilia, aut ad intermediam lumborum partem decumbentium, ac inde ortæ suffocationis symptomatis, signis, & curationibus.

AT *si vteri in lumbos & lateris inanitatē decubuerint, ieritque sublimis spiritus, suffocatio detineat,* crebraque

crebráque eam anhelatio corripiat, neque moueri vult; sulphur tritum, aut bitumen, aut cicutam, aut myrrham, melle cocto affuso excipito, glandulam longam ac crassam effingito, & in sedem indito. Si vteri ad medios lumbos sese conuoluerint, imum ventrem dolor detinet, crura contrahuntur, coxendicum iuncturæ ad sedem dolent, quumque aluum exonerat, dolores acuti detinent, præ violentia exiguum stercus prodit, vrina stridet, & animi abiectio inuadit. Quum sic habuerit, alligare vesicæ fistulam, & oleum calidum in vteros infundere oportet; fomentum admouere, aut multâ calidâ aquâ lauare; in oleum & aquam desidere; & suffire pudendis graueolentia, naribus verò odorata. Postquàm autem dolor quieuerit, medicamentum sursùm purgans exhibendum, inferiorem verò aluum agitare non oportet. Quum autem vteri consederint, medicamentum deorsùm purgans bibendum dato, & lac asininum, nisi lienosa fuerit. Deinde fomenta admoueto, vteros perfundito, & quod cum lauro paratur subdititium medicamentum purgans, quod non mordeat, in pesso apponito. Posteà aromatis suffita, virum adeat. Quòd si in vtero conceperit, conualescit. Verùm pleræque infœcundæ & cruribus captæ plerúnque redduntur.

A μιν λάζηται πυκινὸν, καὶ οὐκ ἐθέλει κινέεσθαι· τρίψας θεῖον, ἢ ἄσφαλτον, ἢ κώνειον, ἢ σμύρναν, μέλι ἑφθὸν παραχέας, ποιέειν δὲ βάλανον μακρὴν, παχείην, καὶ ἐντιθέναι ἐς τὴν ἕδρην. Ἢν αἱ μῆτραι εἰλέωσι σφέας ἐς τὸ μεσηγὺ τῶν ἰξύων, ὀδύνη ἔχει καὶ τὴν νειαίρην γαστέρα, καὶ τὰ σκέλεα εἰρύαται, καὶ τὰς κοτύλας ἀλγέει, καὶ ὁκόταν ἀποπατήσῃ, ὀδύναι ἴσχουσιν ὀξεῖαι, καὶ ὁ ἀπόπατος προέρχεται ὑπὸ βίης σμικρὸς, καὶ τὸ οὖρον[85] τρύζει τε καὶ ὀλιγοψυχίη λαμβάνει. Ὁκόταν ὧδε ἔχῃ, χρὴ προσδῆσαι τῇ κύστει αὐ-

B λίσκον, καὶ ἐγκλύζειν ἔλαιον θερμὸν ἐς τὰς ὑστέρας, καὶ πυριῇν, ἢ λοῦσαι πολλῷ καὶ θερμῷ ὕδατι, καὶ ἐς ἔλαιον καὶ ἐς ὕδωρ καθίζειν, ὑποθυμιῇν δὲ ὑπὸ τὰ αἰδοῖα, κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας, εὐώδεα. ἐπὴν δὲ ἡ ὀδύνη παύσηται, φάρμακον[86] διδόναι ἄνω, τὴν δὲ κάτω κοιλίην οὐ χρὴ ταράσσειν. ἐπὴν δὲ αἱ ὑστέραι καταστέωσι, φάρμακον πίσαι κάτω, γάλα ὄνου, ἢν μὴ σπληνώδης ᾖ· ἔπειτα πυριῆσαι, καὶ καταιονᾶν τὰς ὑστέρας, [87] τὸ ξὺν τῇ δάφνῃ προσιθεὶς

C πρόσθετον καθαρτήριον, ὃ μὴ δήξηται. κἄπειτα θυμιωμένη τοῖσι ἀρώμασι, παρὰ τὸν ἄνδρα ἴτω· καὶ ἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται, ἄτοκοι δὲ πολλαὶ καὶ πηροὶ τὰ σκέλεα πολλάκις γίνονται.

CAPVT XX.

De osculi vteri aliorsùm propendentis, & in coxendicem procidentis [vnde sterilitas] etiam obuersionis & occlusionis causis, signis, & curatione; de mammarum tuberculis & cancris occultis.

AT quibus osculum aliò inclinat, & in coxendicem incumbit (hæc enim etiam fiunt, vterumque purgari, & genituram suscipere, liberosque procreare prohibent) hanc odoratis fouere oportet; & post fomentum, digito reuellere & à coxendice abducere; posteáque tedulis & plumbeâ fistulâ dirigere. Neque enim celeriter cogetur, vt dictum est. Quum autem ad naturalem statum redierit, & vteri aperti fuerint, per subdititia mollia purgato, reliquaque conuenienter facito. Quibuscunque vteri in coxam incidunt, nisi celeriter decedant, rursusque suo loco restituantur, ad coxam resiccantur. Os autem obuersum esse & in superioribus detineri necesse est. Quumque obuersum fuerit, conclusum esse; ex auersione autem & conclusione durum effici, vterique os conniuere & læsum esse. At conclusi vteri menses ad mammas remittunt, & ad pectus ascendere cogunt, venter imus attollitur, & inexpertæ in vtero se habere arbitrantur; eadem nanque qualia prægnantes ad septem aut octo vsque menses patiuntur, venterque pro temporis ratione increscit, pectus attollitur, lacque procreari videtur. Quum autem hoc tempus præterierit, & mammæ extenuantur, & minores euadunt, idemque venter patitur, & lac abditum effugit. Quumque ad tempus peruenerit, in quo se parituram existimabat, venter euanescit & con-

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τοῦ τῆς ὑστέρας στόματος ἑτέρωσε κλινομένου, καὶ τῷ ἰσχίῳ προσπίπτοντος (ὅθεν ἀφορία γίνεται) καὶ τῆς ἀποστρέψεως, καὶ

D συμμύσεως αἰτίων, καὶ συμπτωμάτων, καὶ σημείων, καὶ θεραπευτικῶν. περὶ τῶν ἐν τοῖς τιτθοῖς φυματίων, καὶ καρκίνων κρυπτῶν.

ΟΚόσῃσι δὲ τὸ στόμα κλίνεται ἑτέρωσε, καὶ προσπίπτει τῷ ἰσχίῳ (γίνεται γὰρ καὶ τοιαῦτα, διακωλύοντα τὰς ὑστέρας καθαίρεσθαι, καὶ τὴν γονὴν δέχεσθαι, καὶ μὴ παιδοποιέειν) ταύτην πυριῇν χρὴ τοῖσιν εὐώδεσι, καὶ μετὰ τὴν πυρίην,[88] παρασπασαμένην τῷ δακτύλῳ, ἀποστῆσαι ἀπὸ τοῦ ἰσχίου, κἄπειτα ἐξιθύνειν τοῖσι δαϊδίοισί τε καὶ τῷ μολίβδῳ· οὐ γὰρ [89] βιῆσαι ταχέως ὡς εἴρηται. ὅταν δὲ κατὰ φύσιν ᾖ, καὶ ἀνεστο-

E μωμέναι γίνονται, προσθέτοισι μαλθακοῖσι καθαίρειν, καὶ τὰ ἄλλα προσηκόντως ποιέειν. Ὁκόσῃσιν αἱ ὑστέραι προσπίπτουσι πρὸς τὸ ἰσχίον, ἢν μὴ ταχέως ἀφιστέωνται, καὶ πάλιν ἐς χώρην καθιστέωνται, προσαυαίνονται πρὸς τῷ ἰσχίῳ. ἀνάγκη δὲ τὸ στόμα ἀπεστράφθαι, καὶ ἀνωτέρω[90] ἴσχεσθαι· ὅταν δὲ ἀποστραφῇ, ξυμμύσαι· ἐκ δὲ τοῦ ἀπεστράφθαι τε καὶ ξυμμύσαι, σκληρὸν γενέσθαι, καὶ ξυμμύειν, καὶ πεπηρωμένον τὸ στόμα τῶν ὑστερέων εἶναι. ἀποκλεισθέντων δὲ, ἐπαναπέμπειν τὰ ἐπιμήνια ἐς τοὺς μαζοὺς, καὶ βεβιασμένας[91] τοῦ στήθεος ποιέει· καὶ ἡ γαστὴρ ἡ νειαίρη ἐπῆρται, καὶ

F δοκέουσιν αἱ ἄπειροι ἐν γαστρὶ ἔχειν, πάσχουσι γὰρ τὰ τοιαῦτα, οἷά περ αἱ κύουσαι, μέχρι μηνῶν ἑπτὰ ἢ ὀκτὼ, ἥ τε κοιλίη ἐπιδιδοῖ κατὰ λόγον τοῦ χρόνου, καὶ τὰ στήθεα ἐπαίρεται, καὶ γάλα δοκέει ἐγγίνεσθαι. ὁκόταν δὲ ἐπὶ ὁ χρόνος ὑπερπέσῃ, οἵ τε τιτθοὶ συνισχναίνονται, καὶ ἐλάσσους γίνονται, καὶ ἡ κοιλίη τὸ αὐτὸ πάσχει, καὶ τὸ γάλα ἀποδέδρηκεν ἄδηλον· καὶ ἡ κοιλίη, ἐπὶ ἐκεῖνον τὸν χρόνον ἐν ᾧ ἐδόκεε τίκτειν, ἐπειδὰν ἔλθῃ, ἀποδέδρηκέ τε καὶ ξυμπίπτει.

[92] Τοιούτων δὲ γινομένων, αἱ ὑστέραι ἰσχυρῶς ἐς ὀλίγον χρόνον συνέρχονται, καὶ τὸ στόμα αὐτέων ἐξευρεῖν οὐχ οἷόν τε, οὕτω πάντα ξυμφρύονταί τε καὶ ξυναυαίνονται. καὶ ἐν τοῖσι τιτθοῖσι φυμάτια γίνονται σκληρὰ, τὰ μὲν μέζω, τὰ δὲ ἐλάσσω· ταῦτα δὲ οὐ γίνονται ἔμπυα, ἀλλ' αἰεὶ [93] σκληρότερα γίνονται, εἶτα ἐξ αὐτέων φύονται καρκῖνοι κρυπτοί. μελλόντων δὲ καρκίνων ἔσεσθαι, πρότερον τὰ στόματα ἐκπικραίνονται, καὶ ὅ, τι ἂν φάγωσι, πάντα δοκέουσι πικρὰ εἶναι, καὶ ἤν τις πλείω δῷ, ἀναίνονται λαβεῖν. καὶ χερεῖα δρῶσι, παραφέρονται δὲ τῇ γνώμῃ, καὶ ὀφθαλμοὶ σκληροὶ καὶ βλέπουσιν οὐκ ὀξέα· καὶ ἐκ τῶν τιτθῶν εἰς τὰς σφαγὰς ὀδύναι διαΐσσουσι καὶ ὑπὸ τὰς ὠμοπλάτας, καὶ δίψα ἴσχει, καὶ αἱ θηλαὶ καρφαλέαι, καὶ αὗται πᾶν τὸ σῶμα λελεπτυσμέναι εἰσὶ, καὶ αἱ ῥῖνες ξηραί τε καὶ ἐμπεπλασμέναι εἰσὶν, οὐκ ἀειρόμεναι, πνεῦμα μινυθῶδες, καὶ οὐκ ὀδμῶνται οὐδὲν, καὶ ἐν τοῖσιν ὠσὶ πόνος μὲν οὐκ ἐγγίνεται, πῶρος δὲ ἐνίοτε. ὁκόταν οὖν [94] ἐς τοῦτον προΐωσι τοῦ χρόνου, οὐ δύνανται ὑγιέες γενέσθαι, ἀλλ' ἀπόλλυνται ἐκ τουτέων τῶν νουσημάτων. ἢν δὲ πρότερον ἢ ἐς τοῦτον ἀφικέσθαι, θεραπευθῇ, καὶ λυθῇ τὰ ἐπιμήνια, ὑγιὴς γίνεται. Θεραπεύειν δὲ τὰς [95] τοιάσδε ὧδε χρή. πρῶτον καὶ ἁπάντων, ἢν ἔτι ἰσχυρὴν ἐοῦσαν λαμβάνῃς, ἀποσκεψάμενος εἰς τὸ ἄλλο σῶμα, φαρμακεύειν, ὁκοίης ἂν τινος δοκέῃ δεῖσθαι καθάρσιος· ὁκόταν δὲ καταστήσῃς τὸ σῶμα, οὕτως ἰέναι ἐς τὴν τῶν ὑστερέων θεραπείην. ἢν δὲ μηδὲν δοκέῃ τὸ πᾶν σῶμα κινητέον εἶναι, μηδὲ αἱ προφάσιες ἐντεῦθεν ὡρμῆσθαι, ἀλλ' αἱ ὑστέραι [97] ἐφ' ἑωυτῶν τὸ νόσημα ἔχωσι, τῆς θεραπείης ἐνάρχεσθαι ὧδε. πυριῆν πρῶτον τὰς ὑστέρας ὧδε. χύτρινον ὅσον δύο [98] ἑκταίας χωρέοντα, κάνεον ἐπιθεῖναι, καὶ ξυναρτῆσαι, ὅκως παραπνεύσηται μηδέν· ἔπειτα δὲ κόψαι τοῦ κανείου τὸν πυθμένα, καὶ ποιῆσαι ὀπήν· ἐς τὴν ὀπὴν ἐνθεῖναι κάλαμον, μῆκος ὅσον πηχυαῖον, ἐνηρμόσθαι δὲ χρὴ τὸν κάλαμον τῷ κανείῳ καλῶς, ὅκως μὴ παραπνεύσηται [99] μηδαμῶς· ὁκόταν δὲ ταῦτα σκευάσῃς, ἐπίθες τὸ κάνεον ἐπὶ τὸν χύτρινον, περιπλάσας πηλῷ. ὅταν δὲ ταῦτα ποιήσῃς, βόθρον ὄρυξον, ὅσον δύο ποδῶν βάθος, μῆκος δὲ, ὅσον [100] χωρέειν τὸν χύτρινον· ἔπειτα χρὴ ἐγκαίειν ξύλοις, ἕως τὸν βόθρον διάπυρον ποιήσῃς· ὅταν δὲ διάπυρος γένηται, ἐξελεῖν χρὴ τὰ ξύλα, καὶ τῶν ἀνθράκων οἳ δὴ ἁδρότατοι ἔσονται καὶ διάπυροι, τὴν δὲ σποδιὴν καὶ τὴν μαρίλην ἐν τῷ βόθρῳ καταλιπεῖν. ὁκόταν δὲ ὁ χύτρινος ζέσῃ, καὶ ἡ ἀτμὶς ἐπανίῃ, ἢν μὲν ᾖ λίην θερμὴ ἡ πνοὴ, ἐπισχεῖν· εἰ δὲ μὴ, καθίζεσθαι ἐπὶ τὸ ἄκρον τοῦ καλάμου, καὶ ἐνθέσθαι ἐς τὸν στόμαχον, ἔπειτα πυριῆσαι. ἢν δὲ ψύχηται, ἄνθρακας διαπύρους παραβάλλειν, φυλασσόμενος, [101] ἵνα μὴ ὀξείην ποιήσῃς τὴν πυρίην· ἢν δὲ παραβαλλομένων τῶν ἀνθράκων, ὀξείη γένηται ἡ πυρίη μᾶλλον τοῦ δέοντος, ἀφαιρέειν τῶν ἀνθράκων. τὴν δὲ πυρίην χρὴ κατασκευάζειν ἐν εὐδίῃσιν, ἔχευ ἀνέμους μὴ προσπνεύσῃ, μηδὲ περιψύξῃ· ἀμφικεκαλύφθαι δὲ χρὴ ἀμφιέσμασιν. ἐς δὲ τὸν χύτρινον χρὴ βάλλειν σκόροδα τῶν αὔων, καὶ πλείονα μὲν καταθρύπτειν τῶν [102] κατακεκαυμένων· καὶ ὕδωρ ἐπιχέαι, ὥστε αὐτὰ καταβρέξαι, καὶ ὑπερέχειν τὸ ὕδωρ τουτέων ὅσον τρεῖς δακτύλους,

A *cidit.* His contingentibus, vteri pauco tempore vehementer contrahuntur, eorumque osculum deprehendi non potest, adeò omnia in se contrahuntur ac resiccantur, & in mammis tubercula dura exoriuntur, quædam quidem maiora, quædam verò minora. Hæc autem minimè suppurant, sed semper duriora fiunt, ex his deinde occulti cancri nascuntur. Orturis B autem cancris, priùs os amarescit, & quæ comederint omnia amara esse videntur. Ac siquis plura dederit, sumere renuunt. Et cohibenda faciunt, mente alienantur; oculi duri sunt, neque acutè cernunt; ex mammis dolores ad iugulum & scapulas perrumpunt, sitis detinet, papillæ aridæ sunt; ipsæque toto corpore attenuatæ sunt, nares siccæ & obductæ, neque eleuantur; spiritus est imminutus, & nihil odorantur; in auribus dolor quidem nullus, sed interdum callosa C concretio innascitur. Quum igitur huc vsque temporis processerint, conualescere nequeunt, verum ex eiusmodi morbis pereunt. Si autem priùs quàm huc peruenerint, curentur, & menses soluti fuerint, sanescunt. Eas autem sic curare oportet. Primùm quidem omnium, si adhuc validam curandam susceperis, habitâ reliqui corporis consideratione, quacunque tandem purgatione indigere videatur, medicamentum purgans exhibeto. Sic autem, constituto corpore, ad D vterorum curationem accedito. Si verò totum corpus minimè agitandum videatur, neque causæ inde excitari, sed vteri per se morbum habeant, ad hunc modum curam auspicari oportet. Imprimis vteri sic fouendi. Ollam duas sextulas capientem sumito, operculum imponito, & ne quid expiret, accommodato; deinde operculi fundo pertuso, & foramine facto, in foramen arundinem cubitali longitudine indito. Probè autem operculo adaptatam esse arundinem oportet, vt nihil omninò transpiret. E Quum autem hæc paraueris, operculum luto obductum ollæ imponito. Quum autem hæc feceris, scrobem duorum pedum altitudine, eâ verò magnitudine quæ ollam capiat, effodito. Deinde ligna incendere oportet, quoad fossam ignitam totam reddideris. Quum autem ignita fuerit, ligna & prunas, videlicet crassissimas & accensas, subducere oportet; cinerem verò & fauillam in scrobe relinquere. Quum autem olla efferbuerit, vaporque sursùm processerit, F si quidem admodùm calidus sit halitus, abstineat; sin minùs, summæ arundinis parti insideat, ipsámque in vteri stomachum indat, posteà fomentum admoueat. Quòd si refrixerit, prunas accensas admoueto, cauendo, vt ne acutum fomentum efficias. Si verò admotis prunis, plus æquo acutum fomentum reddatur, prunas detrahito. Fomentum autem sereno cœlo apparare oportet, vbi ventus non spiret, neque refrigeret; ipsam autem indumentis obtectam esse oportet. In ollam autem allia sicca injicienda, eáque magis comminuta, quàm contusa, & aqua quæ tribus digitis excedat, vt macerentur, affundenda,

vituliquę

vitulique marini oleum infundendum. Sicque calefacere, & fomentum longo tempore admouere oportet. Post fomentum autem, si valida fuerit, totum quidem corpus ad voluptatem lauet, ampliùs autem lumbos & partes vmbilico inferiores. In cœna autem maza, panis, & allia cocta exhibenda. Postridiè verò, si quidem à fomento exoluta fuerit, is dies intermittendus; alioqui rursus fomentum adhibendum. Admoto fotu osculum contingere iubeto, vt consideret, si possit, num fomentum ipsum vteros flatu compleuerit. Impleti enim flatu vteri, osculum valdè obuersum & in coxam incumbens, velut directum magis restituunt, & aperiuntur. Tanquàm igitur tale sit fomentum, & hæc efficere possit, sic fouere oportet. Vbi autem fomentum admouebis, allia immittenda, & vituli marini oleum affundendum; hæc autem facienda quoad vteri inflati, osculumque sursùm validè tractum esse videatur. Ex hoc enim fotu hæc contingent. Post fomenta, eadem quæ priùs quàm foueretur, diæta seruanda.

A καὶ ἐπιχεῖν φώκης ἔλαιον, καὶ οὕτως θερμαίνειν· πυριῆν δὲ χρὴ πουλὺν χρόνον. μετὰ δὲ τὴν πυρίην, ἢν ᾖ δυνατὴ, λουσάσθω, τὸ μὲν οὖν ὅλον σῶμα πρὸς ἡδονὴν, τὴν δὲ ὀσφὺν καὶ τὰ κάτω τοῦ ὀμφαλοῦ, πλέον· δειπνεῖν δὲ δοῦναι μάζαν, ἄρτον, καὶ σκόροδα ἑφθά. τῇ δὲ ὑστεραίῃ, ἢν μὲν διαλελυμένη ᾖ πρὸς τὴν πυρίην, διαλιπεῖν τὴν ἡμέρην ταύτην· ἢν δὲ μὴ, πυριῆν ὀπίσω. πυριωμένη δὲ ἢν δύνηται σκέψασθαι, κελεύειν ψαῦσαι τοῦ στόματος, ἢν ἡ πυρίη B αὐτέη φύσης ἐμπιπλᾷ τὰς ὑστέρας· ἐμπιπλάμεναι δὲ φύσης, τὸ στόμα ἐκ τοῦ λίην ἀπεστράφθαι καὶ προσπεπτωκέναι πρὸς τῷ ἰσχίῳ, ὡς ὀρθὸν μᾶλλον καθεστᾶσι, καὶ ἀναστομοῦνται. ὡς οὖν τοιαύτης ἐούσης τῆς πυρίης, καὶ ταῦτα ποιέειν δυναμένης, οὕτω πυριῆν δεῖ· ὅταν δὲ πυριήσῃς, ἐμβάλλειν χρὴ τῶν σκορόδων, καὶ τῆς φώκης τοῦ ἐλαίου ἐπιχέειν· δρῆν δὲ ταῦτα ἄχρις ἂν δοκέωσιν αἱ ὑστέραι πεφυσῆσθαι, καὶ τὸ στόμα ἄνω εἰλκύσθαι ἰσχυρῶς, πρὸς γὰρ τὴν πυρίην ταύτην C τοιάδε ἔσται. διαιτῆν δὲ μετὰ τὰς πυρίας, ὡς ὅτε τὸ πρότερον πυριῆτο.

CAPVT XXI.

De vterorum concitatorum ac solutilium curatione.

QVum autem concitati & solutiles vteri fuerint, fœniculi radicibus foueto; & aliam ollam eodem modo apparato. Radices autem fœniculi probè lotas contundito & in ollam mittito, & aquâ affusâ fomentum eodem modo admoue. Post hæc lauato, & sub vesperam mazam cœnet. Quòd si panem velit, bulbulos & sepiolas paruas, hæc vino & oleo incoquito, & esui præbeto. Inter fouendum, osculum contingere tentandum, aut per fomentum vteri proximè adducendi. His ad dies quinque vel sex fomentum admouere oportet, hominis habitâ ratione. Et si quidem exoluatur, aut debilis reddatur, quantùm opus est temporis interponere; alioqui si non exoluatur, per totum diem fomentum adhibere. Post fomenta verò, subdititia ex albicante tedâ pinguissimâ supponere tentandum (Sit autem ex oleo illitio) hæc autem sex digitorum longitudine quidem parato, quinque verò vel sex numero; sed formâ in acutum tendente. Sit autem alterum altero paulò breuius; crassitudo verò quantùm digiti indicis, forma autem digito similis in summo tenuissima, sensim ad crassitudinem ducta. Læuissima autem & rotundissima conficito, cauendo ne vlla sit fissura. Id autem supponendum primùm, quod tenuissimum est; quo subdito, quiescat, obseruans ne excidat. Ac primùm summam partem supponito, deinde semper magis; simulque tedulam obtorqueat, & circunquaque intrò trudat; quumque parum admiserit, in eo paruo se contineat, cauendo ne excidat; deinde rursus eodem modo protrudat, quoad vterorum osculum ad quatuor digitos intrò subierit. Quum autem hoc admiserit, alterum posteà, simul ac priùs appositum abstu-

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τῆς τῶν ὑστερῶν ἀνακινηθεισῶν καὶ εὐλύτων θεραπείας.

ΟΚόταν δὲ ἀνακινηθῶσιν αἱ ὑστέραι, καὶ εὔλυτοι γίνωνται, πυριῆν μαράθου ῥίζῃσιν, ἕτερόν τε χύτρον κατασκευάσαι τὸν αὐτὸν τρόπον. τὰς δὲ ῥίζας τοῦ D μαράθου ἀμφιπλύσαντα [104] φλάσαι, καὶ ἐς τὸν χύτρινον ἐμβάλλειν, καὶ ἐπιχέας ὕδωρ, τὸν αὐτὸν τρόπον πυριῆν. μετὰ δὲ ταῦτα, λούειν, καὶ ἐς ἑσπέρην δειπνεῖν μάζαν· ἢν δὲ ἄρτον βούληται, καὶ [105] βολβίδια, καὶ σηπίδια τῶν σμικρῶν, ἐν οἴνῳ ἕψειν καὶ ἐν ἐλαίῳ, καὶ παρέχειν ἐσθίειν. ἐν δὲ τῇ πυρίῃ πειρῆσθαι τοῦ στόματος ψαύειν, [106] ἢ πυρίῃ ἄγειν τὰς ὑστέρας ἄγχιστα. ταύτας χρὴ πυριῆν ἐφ' ἡμέρας πέντε ἢ ἕξ, σκεπτόμενον ἐς τὴν ἄνθρωπον· κἢν μὲν διαλύηται, καὶ ἀσθενὴς γένηται, διαλαμβάνειν ἐς ὅσον δεῖ χρόνον· ἢν δὲ μὴ διαλύηται, E πυριῆν ἀνὰ πᾶσαν ἡμέρην. μετὰ δὲ τὰς πυρίας πειρῆσθαι προστιθέναι τῶν προσθέτων τῆς πιάλου δᾳδὸς [107] πιοτάτης (χρῖσμα δὲ, λίπα ἔστω) ποιέειν δὲ, μῆκος μὲν δακτύλων ἕξ, πλῆθος δὲ πέντε ἢ ἕξ, εἶδος ἐξουρα· ἔστω δὲ θάτερον θατέρου σμικρῷ [108] βραχύτερον· τὸ δὲ παχύτερον ἔστω ὁκόσον δάκτυλος ὁ λιχανός, καὶ τὸ εἶδος ὅμοιον τῷ δακτύλῳ, ἐξ ἄκρου λεπτότατον, [109] ἀνηγμένον δὲ παχύτερον. ποιέειν δὲ ὡς λειότατόν τε F καὶ στρογγυλώτατον, φυλασσόμενον δὲ, ὅκως σχινδαλμὸς μηδεὶς [110] ἔσται. προστιθέναι δὲ πρῶτον τὸ λεπτότατον· ὅταν προσθῆται, ἀναπαυέσθω, ὅκως μὴ ἐκπέσῃ, φυλάσσουσα· προστιθέτω δὲ πρῶτον τὸ ἄκρον, εἶτα καὶ ἀεὶ μᾶλλον, ὁμοῦ τε ἐπιστρέφειν καὶ ἀπωθέειν κυκλόσε τὸ δᾳδίον· καὶ ὁκόταν σμικρὸν προσδέξηται, ἐπισχεῖν ἐν τῷ σμικρῷ τουτέῳ, φυλάσσουσα ὡς μὴ [111] ἐκπέσῃ· εἶτα αὖθις ἀπωθέειν ἐς τὸν αὐτὸν τρόπον, ἄχρις οὗ τεσσάρων δακτύλων τὸ εἴσω τοῦ στόματος τῶν ὑστερέων γένηται. ὅταν δὲ τοῦτο [112] προσδέξηται, τὸ μετὰ τοῦτο προστιθέναι, ὁμοῦ

τὸ προσκείμενον ἀφαιρέουσα, ὅκως πρὶν [113] ξυμπεσεῖν τὸ στόμα, προσκείσεται ἔτι ὀρθοῦ ἐόντος καὶ ἀνεῳγμένου· οὕτως δὲ τοῦτο ἔσται, ἢν τὸ μὲν ἐξαιρέηται, τὸ δὲ προστιθῆται. χρὴ δὲ καὶ μόλυβδον ἴκελον ἐξελάσαντα ποιῆσαι τὸ εἶδος τῷ δαϊδίῳ τῷ παχυτάτῳ, κοῖλον δὲ ὅκως ξυνέξῃ· τοῦ δὲ μολύβδου εἶναι τὸ εὖρος ἐληλασμένον οἷον ἐπὶ τὰ ἕλκεα ἐξελαύνεται, ὅκως τὸ στόμα τοῦ μοτοῦ λεῖον ἔσται, καὶ μὴ ξύσῃ. ποίει δὲ ταῦτα, ὡς καὶ τὰ τῶν δαϊδίων· ὁκόταν δὲ ποιηθῇ ὁ μοτὸς ὁ μολύβδινος, στέατος αὐτὸν ἐμπλῆσαι οἰὸς τετριμμένου· ὁκόταν δὲ παρεσκευασμένος ᾖ, τὸ μὲν δαΐδιον ὑφελεῖν, τὸ δὲ μολύβδιον ἐνθεῖναι, ἢν δὲ τὸ μολύβδιον [114] κλύσμα περιέχῃ προστεθέν, τὸ μὲν μολύβδιον ἀφαιρέειν, τὴν δὲ δαΐδα ὀπίσω προστιθέναι· καὶ τὸ μολύβδιον ἀποβάψαι ἐς ὕδωρ ψυχρόν, ἔπειτα ὀπίσω προστιθέναι, τὴν δὲ δαΐδα ἀφελεῖν. προσκεῖσθαι δὲ χρὴ ἀεί τι· τὴν ἡμέρην ἄμεινον τὴν δαΐδα ἔχειν, νύκτωρ δὲ τὸ μολύβδιον. ἢν δ' ἀναστῆναι θέλῃ, φυλασσομένη τοῦτο δράτω, ὅκως ὁ μοτὸς ἀτρεμέῃ· ἢν δὲ μή, αὐτίκα κατόπιν προστιθέναι. ἢν δὲ τῶν δαϊδίων ὧν πρόσκειται, μηδὲν προσδέχηται, λεπτότερον ποιέειν, μέχρις οὗ προσδέχηται, ἐκ τουτέων εἰς ἐκεῖνα καθιστάναι, καὶ [115] εὐπιθῆσαι.

lerit, ut osculo adhuc recto & aperto existēte, antequàm subsidat, apponatur. Id autem ita continget, si hoc quidem detrahatur, illud verò supponatur. Oportet autem & plumbum simile formâ crassissimæ tedæ efformatum ducere, idque cauum, ut contineat; & plumbi capacitatem fabricatam esse, ut quæ ad ulcera impellitur, quò penicilli os læue sit ac minimè vulneret. Hæc autem velut tedaceos pessos formato. Quum autem efformatum fuerit penicillum plumbeum, adipe ouillo trito ipsum impleto; atque ubi præparatus fuerit, tedaceam quidem glandulam subducito, plumbeam autem imponito. Quòd si suppositum plumbum molestiam exhibeat, plumbum quidem eximendum, teda verò rursus apponenda; & plumbum in aquam frigidam immergito, deinde rursus apponito, ac tedam detrahito. Semper autem aliquid admouere oportet, & interdiù quidem tedam continere præstat, noctu verò plumbum. At si surgere velit, id cautione faciat, quò penicillus quiescat; alioqui statim pòst supponendus. Si verò ex tedis appositis nullam suscipiat, tenuiorem quoad admittat efficito, & ex his ad illa reducito, & uteros obsequi efficito.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ τοῦ στόματος τῆς ὑστέρας κατακεκλεισμένου διὰ φλεγμονὴν, ἢ σκληρότητα, καὶ μὴ δυναμένου ἀνοίγεσθαι, μηδὲ ἀγχοῦ προσιέναι, θεραπείας διαιτητικῆς καὶ φαρμακευτικῆς, μάλιστα δὲ διὰ τῶν πυριῶν καὶ θυμιαμάτων μαλακτικῶν τε καὶ ἀναστομωτικῶν τῆς ὑστέρας.

ΗΝ δὲ τὸ στόμα μηδὲ δύνηται ἀνοίγεσθαι, μηδὲ ὑστέραι ἀγχοῦ προσίωσιν, αὖθις ἐπαναχωρεῖν ἐπὶ τὴν ἀρχαίην ἰητρείην, ἀπὸ δὲ τῆς προτέρης ἐπὶ τὴν δευτέρην, μέχρις ὅτου μαλθαχθῶσι, καὶ πελασταὶ προσίωσι. κἀπειδὰν ἀναστομωθῶσι, προστιθέναι πρόσθετα ποιήσαντα· εἶναι δὲ τὸ μέγεθος, ὅσον ἐλαίη· τούτων δὲ τὸ ἕτερον προσκεῖσθαι, μέχρις ὅτου ἐκτακῇ, κἄπειτα θάτερον προστιθέναι. ὁκόταν δὲ προστίθεσθαι μέλλῃς, [116] ἄψαι τὸ πρόσθετον τὸ ἐκ τῆς ῥητίνης (ἀφίστησι γὰρ ἀπὸ τοῦ στόματος τῶν ὑστερέων) ἐς ἔλαιον ῥόδινον, ἢ ἴρινον· πρὶν δὲ τὸ μολύβδινον προσκεῖσθαι χρή, ὅκως ἐν ὀρθῷ τῷ στόματι [117] ἐνειρύηται εἰς τὸ εἴσω τοῦ σώματος· ἔπειτα μαλθακτήρια προστιθέναι. λούεσθαι δὲ θερμῷ καὶ πρὸ τῶν προσθετῶν, καὶ ὕστερον· καὶ δεῖπνον διδόναι τῶν θαλασσίων τι τῶν εἰρημένων· διδόναι δὲ ὅταν ἡμέραι γένωνται δύο ἢ τρεῖς ἀπὸ προσθέσιος, σκεψάμενος ἢν μὲν τὸ στόμα καλῶς ἔχῃ τῶν ὑστερέων, καὶ καθαρὸν ᾖ, παύεσθαι τουτέου τοῦ προσθετοῦ, μετὰ δὲ τοῦτο μαλθακτήρια. ὅταν δὲ ἀποφλεγμήνῃ τὸ στόμα τῶν ὑστερέων, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον τὰ φάρμακα, καὶ τὰ ἄλλα ποιέειν κατὰ τὸν ὑφηγημένον τρόπον. ὅταν δὲ καλῶς ἔχῃ τὸ [118] σῶμα, ἀναφυσῆν ὡς εἴρηται· καὶ τὸ στόμα δὲ ἀναφυσῆν δεῖ καὶ τὰς ὑστέρας ὧδε. πρόσθετον ποιήσαντα ξὺν τῷ σύκῳ, προσθεῖναι· ποιέειν δὲ δύο καὶ ταῦτα· πρὸ δὲ τοῦ προσθεῖναι, πυριῆσαι καὶ τῇ πυριῇ τῇ ἐκ τοῦ μαράθου τῇ πρόσθεν εἰρημένῃ,

CAPVT XXII.

De osculi uteri occlusi ob duritiem aut inflammationem, aperiri nequeuntis, neque propè accedentis curatione diætetica & pharmaceuticâ, potissimùm verò fotibus ac suffitibus uteri osculum emollientibus & aperientibus.

QVòd si neque osculum aperiri possit, neque uteri propè accedant, rursùs ad pristinam curationem reuertendum, à prima ad secundam, quoad emolliantur, & proximè accedant. Atque ubi aperti fuerint, subdititia facta apponito. Sint autem oliuæ magnitudine; atque horum alterum apponendum, quoad colliquefiat, deinde alterum supponendum. Quum verò subdere voles, subdititium ex resina paratum, oleo rosaceo aut irino intingito (discedit enim ab ore uterorum) At priùs plumbum apponi oportet, ut recto ore in interiorem corporis partem attrahatur. Deinde emollientia admouenda. At & ante subdititia & post, calidâ lauet. Et in cœna aliquid ex commemoratis marinis exhibendum; exhibendum autem duobus aut tribus post appositionem diebus; consideratione adhibitâ, an uterorum osculum benè habeat, purumque sit. Túmque ab huiusmodi subdititio quiescendum, post hoc verò, emollientia admouenda. Quum autem rursùm os uterorum inflammatum fuerit, rursùs eodem modo medicamenta apponenda, reliquáque eodem dicto modo facienda. Quum verò corpus probè habuerit, velut dictum est inflandum. Quinetiam os & uteros sic inflare oportet. Subdititium ex ficu factum apponito. Duo autem & eadem facito; & antequàm subdas, fomentum ex fœniculo priùs commemoratum admoueto.

moueto. Post fomentum postero die medicamentum supponito. Quum autem supponere velis, ubi prae omnibus subditijs lauerit, sic supponito. Postero autem die emollientia conferunt, quandiu inflammati fuerint. Post inflammationem autem, reliqua prædictâ ratione facito, eademque ex hoc subdititio, quæ de priore facito. Sique semel quidem in mense appositum abundè esse videatur, vteris inflatis, quiescendum. Sed si quædam opus habuerit rursùs, eodem quo priùs modo supponendum. Post hæc autem quum rectè tibi habere *& tempestiuum esse videbitur, fomentum ex aromatis præparato. Apparatur autem hoc modo. Cyperum tusum præparato, scaphulæ mensurâ, & calami odorati tantúndem, & iunci odorati & cardamomi tantúndem, & cumini Æthiopici, anisi, rutæ siccæ, hyperici, & seminis fœniculi. Quum autem hæc præparaueris, vini austeri albi odoratissimi heminas sex in ollam effundito, contusorum quadrantem aspergito ac permisceto; deinde vnguentum Ægyptium quàm optimum ad trium obolorum pondus affundito, aut amaracinum, aut irinum exquisitum. Quo affuso, agitato, & molli fomento plurimo tempore foueto. Ante fomentum autem lauet, & duobus aut tribus diebus foueto. Quum foueri desierit, operculum aliquod fomento imponere oportet, vt ne transpiret; posteà verò tedaceis & plumbeis pessulis vtitor. Quum autem duobus aut tribus diebus fomentum admoueris, duobus aut tribus alijs intermittito. Intermedijs verò diebus bis die lauato. Porrum edat coctum & crudum, raphanos, nasturtium, allia assa & cocta; potus sit meracior, & priùs commemoratis* piscibus *marinis vtatur. Vbi intermissi dies præterierint, fouere oportet, modicâ de singulis contusis quantitate ad prius fomentum inspersâ; & vino si opus esse videatur, ac oleo affuso, hoc fotu vti. At postquam tibi à fomentis benè habere videatur, & osculum molle, ac vt oportet apertum esse, vterique propè* accedere; *post fomentum postero die medicamentum ex myrrha confectum supponendum (sint autem subdititia duo) post purgationem verò postridiè emollientia subdito, quoad vteri inflammatione liberati fuerint; post hoc autem tedaceis & plumbeis pessulis vtendum. Posteà autem diebus intermissis, quotquot decere censueris, factâ inflammationis vterorum ratione, & virium corporis coniecturâ adhibitâ, rursùs velut scriptum est, fomentum admouendum; si quidem priùs fomentum adhuc satis esse videatur, coniectis ad hoc, vt priùs, suffimentis, vinóque & oleo affuso. Sin verò illud fomentum inutile esse videatur, aliud ex integro apparandum. Oportet autem in vnaquaque appositione medicamentum renouare, quoad subcruenta purgentur; si verò purgata fuerint, quiescat. Diæta hoc modo instituenda. Interroganda est, quibus diebus ei menses prodierint; à quibus initio ducto, hæc victûs ratio præscribenda. Primùm quidem copiosâ calidâ lauetur, capite excepto. Quum autem ces-*

A μετὰ δὲ τὴν πυρίην τῇ ὑστεραίῃ προστιθέναι τὸ φάρμακον. ὅταν δὲ μέλλῃ προστιθέναι, πρὸ πάντων τῶν προσθετῶν λούσαντα, οὕτω προστιθέναι. τῇ δ' ὑστεραίῃ ἡμέρῃ, μαλθακτήρια ἀρήγει, ἄχρις ἂν φλεγμαίνωσιν. μετὰ δὲ τὴν φλεγμασίην, ποιέειν τὰ ἄλλα κατὰ τὸν ἔμπροσθεν λόγον· ποιέειν δὲ καὶ περὶ τοῦ προσθέτου τούτου τοιαῦτα, οἷάπερ καὶ περὶ τοῦ προτέρου. κἢν μὲν μηνὶ ἅπαξ προστεθὲν, ἀρκέοντος δοκέῃ εἶναι, φυσῆσαι τὰς ὑστέρας, καὶ πεπαῦσθαι· ἢν δέ τις χρηίζῃ αὖθις, προστιθέναι τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ πρότερον. μετὰ δὲ ταῦτα ὅταν καλῶς B δοκέῃ σοι, καὶ καιρὸς εἶναι, τὴν πυρίην κατασκευάζειν τὴν ἐκ τῶν θυμιαμάτων. σκευάζεται δὲ τόνδε τὸν τρόπον. κύπειρον κόψαντα, καταστῆσαι ὅσον σκαφίδα, καὶ κάλαμον μυρεψικὸν, ἕτερον τοσοῦτον, καὶ σχοίνου τῆς μυρεψικῆς ἴσον, καρδάμου τε ἴσον, καὶ κυμίνου Αἰθιοπικοῦ, καὶ ἀνήσου, καὶ πηγάνου ξηροῦ, καὶ ὑπερικοῦ καὶ μαράθρου σπέρμα. ὅταν δὲ ταῦτα παρασκευάσῃς, ἐγχέας εἰς τὸν χύτρινον οἴνου αὐστηροῦ κοτύλας ἓξ ὡς εὐωδεστάτου λευκοῦ, ἐπιπάσσαι τῶν κεκομμένων ὅσον τεταρτημόριον, καὶ ἀναταράξαι· εἶτα ἐπιχέαι, ὅσον τριώβολον ὁλκὴν, μύρον C Αἰγύπτιον ὡς βέλτιστον, ἢ ἀμαράκινον, ἢ ἴρινον ἄκρον· ὅταν δὲ ἐπιχέῃς, ἀναταράξαι πυρίην μαλθακὴν τῇ πυρίῃ πλεῖστον χρόνον· λούειν δὲ πρὸ τῆς πυρίης, καὶ πυριῆν ἡμέρας δύο ἢ τρεῖς. ὅταν δὲ παύσηται πυριωμένη, ἐπίθεμά τι χρὴ ἐπικεῖσθαι ἐπὶ τῇ πυρίῃ, ὅκως μὴ ἀποπνέῃ· μετὰ δὲ τοῖσι δᾳδίοισι καὶ τοῖσι μολυβδίοισι χρέο. ὅταν δὲ πυριήσῃς ἡμέρας δύο ἢ τρεῖς, ἑτέρας διαλιπεῖν δύο ἢ τρεῖς· τὰς δὲ μεταξὺ ἡμέρας, λούειν δὶς τῆς ἡμέρης, ἐσθίειν δὲ πράσα ἑφθὰ καὶ ὠμὰ, καὶ ῥαφανίδας, καὶ κάρδαμα, καὶ σκόροδα ὀπτὰ καὶ ἑφθά· καὶ τὸ πόμα ἀκρητέστερον, καὶ τοῖσι θαλασσίοισι τοῖσι προειρημένοισι χρέεσθαι. ὅταν δὲ D ἡμέραι διαλελειμμέναι παρέλθωσι, πυριῆν χρὴ, ἐπιπάσαντα ὀλίγιστα ἑκάστου τῶν κεκομμένων εἰς τὴν ὑπάρχουσαν πυρίην, καὶ οἶνον ἐπιχέαι, ἢν δοκέῃ δεῖσθαι, καὶ ἔλαιον, καὶ τούτῳ πυριῆσθαι. Ὁκόταν δέ σοι δοκέῃ καλῶς ἔχειν τῆς πυρίης, καὶ τὸ στόμα μαλθακὸν εἶναι, καὶ ἀνεστομωμένον ὡς χρὴ, καὶ αὗται αἱ ὑστέραι ἐγγὺς, μετὰ τὴν πυρίην τῇ ὑστεραίῃ ἡμέρῃ προστιθέναι τὸ φάρμακον τὸ ξὺν τῇ σμύρνῃ (πρόσθετα δὲ εἶναι δύο) μετὰ δὲ τὴν κάθαρσιν τῇ ὑστεραίῃ ἡμέρῃ τὰ μαλθακτήρια προστιθέναι, καὶ μέχρις E ὅτου ἀποφλεγμήνωσιν αἱ ὑστέραι, μετὰ δὲ τοῦτο τοῖσι δᾳδίοισι καὶ μολυβδίοισι χρῆσθαι. μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας ὡς ἂν δοκέῃς εἶναι, τὰς φλεγμασίας ἀποσκεπτόμενον τῶν ὑστερέων, καὶ τὴν δύναμιν τεκμαιρόμενον τοῦ σώματος, αὖθις ἀναπυριῆν ὡς γέγραπται· ἢν μὲν δοκέῃ ἔτι ὑπάρχουσα πυρίη ἱκανὴ εἶναι, ἐς ταύτην ἐμβαλὼν τῶν θυμιαμάτων, ὥσπερ τὸ πρότερον, καὶ οἶνον ἐπιχέων καὶ ἔλαιον· ἢν δοκέῃ δὲ αὕτη ἄχρηστος εἶναι ἡ πυρίη, ἑτέρην ἐξ ἀρχῆς κατα- F σκευάζειν. δεῖ δὲ νεοχμὸν ποιέειν τὸ φάρμακον ἐφ' ἑκάστῃ προσθέσει, μέχρις ὅτου ὕφαιμα καθαίρηται· ἢν δὲ τοιαῦτα καθαρθῇ, πεπαύσθω. Διαιτῆν δὲ τῷδε τῷ τρόπῳ· ἀνερωτᾶν δὲ ἐν ὁκοίῃσιν ἡμέρῃσιν αὐτῇ ἐγένετο τὰ καταμήνια, ἀπὸ τουτέων ἀρξάμενος διαιτῆν τῇδε τῇ διαίτῃ. πρῶτον μὲν λουέσθω πολλῷ θερμῷ, πλὴν τῆς κεφαλῆς· ὅταν δὲ παυση-

ται, δοῦναι τυρὸν δριμὺν, καὶ πήγανον οἴνῳ διέντα μέλανι ἴσον ἴσῳ κεκρημένον· ἔπειτα αὐτὸν ἄλφιτα ἐπιπάσσοντα, δοῦναι πίνειν ἐκ τοῦ λουτροῦ εὐθέως, εἶτα ἄριστον δοῦναι ἐν καιρῷ. ἐσθίειν δὲ μάζαν ἢ ἄρτον, καὶ πράσα ἑφθὰ ἢ ὠμὰ, καὶ τῶν ὁμοιοτρόπων δριμέων πάντων τῶν προγεγραμμένων, καὶ ἔτνος ἄλλοτε, τὸν δὲ ἀφρὸν μὴ ἀφαιρέειν, καὶ σίλφιον πουλὺ ῥινῶντα, σκόροδα ἐγκαθεψῶντα πολλά. ὄψοισι δὲ χρῆσθαι τῶν ἰχθύων τοῖσι σελάχεσι πᾶσιν ἑφθοῖσι, [123] ὀξυγλύκεσι, [124] βολβιδίοισι, πολυποδίοισιν ἐν οἴνῳ καὶ ἐλαίῳ. [125] φύλλον ἀποτετριμμένον πίνειν· καὶ ἐσθίειν ὡς πλεῖστα καὶ ἐπ᾽ ἀρίστῳ, καὶ ἐπὶ δείπνῳ, λούεσθαι δὲ μετὰ τὸ δεῖπνον, ὅταν μέλλῃ ἀναπαύεσθαι. ταύτῃ τῇ διαίτῃ μέχρι ἡμερῶν πέντε ἢ ἓξ χρεέσθω· μετὰ δὲ ταύτας τὰς ἡμέρας πρωῒ μὲν διδόναι νήστει ἀκτῆς καρπὸν ὅσον πυρῆνας ἓξ ἐν οἴνῳ ἀκρήτῳ, καὶ σηπίης ᾠὰ ὅσον δέκα ἢ δυοκαίδεκα. ταῦτα τρίψαντα ὁμοῦ λεῖα, πρωῒ διδόναι νήστει πίνειν. μετὰ δὲ τοῦτο τὸ φάρμακον, διδόναι τὴν πόσιν, ἐπιγενομένην δὲ λούεσθαι· πίνειν δὲ τὸ πήγανον καὶ τὸν τυρόν. οὕτως ἀριστᾶν τὸν προγεγραμμένον τρόπον· δειπνεῖν δὲ ὀψιαίτερον· λούεσθαι δὲ αἰεὶ τῆς ἡμέρης δὶς αὐτήν. ἡ δὲ δίαιτα ἴτω μέχρις ἡμερῶν τρισκαίδεκα, ἢ τεσσαρεσκαίδεκα· ὅταν δὲ αὗται αἱ ἡμέραι παρέλθωσι, καταπότια ποιέειν ἐκ τοῦ ὀποῦ τοῦ σιλφίου ὅσον κύαμον, καὶ διδόναι τοῦτο πρῶτον, μετὰ δὲ τοῦτο, ἄλλα τὰ προγεγραμμένα ποιέειν. ὅταν δὲ ἡμέραι γένωνται πέντε καὶ εἴκοσι ἐν ταύτῃ τῇ διαίτῃ, τὰ μὲν ἄλλα ποιέειν κατὰ ταῦτα· πρὸ δὲ τοῦ ἀρίστου, ὅταν μέλλῃ ἀριστᾶν, περιτρίψαι σκορόδου [127] ἄγλιθας δ᾽ ἢ τέσσαρας, καὶ τυρὸν δριμὺν ὅσον ἀστράγαλον, καὶ ἄλφιτα παραμίξαι ὀλίγα καὶ ποιέειν μαγίδα, καὶ ταύτην πρῶτον καταφαγεῖν· πρὸ δὲ τοῦ δείπνου, ἄκρητον ἐπιῤῥοφέειν, καὶ οὕτω σιτεῖσθαι· τὰ δ᾽ ἄλλα, τὴν αὐτὴν διαιτᾶν δίαιταν. ὅταν δὲ ἐννέα ἡμέραι γένωνται καὶ [128] ἐκλίποι ἐς τὸν χρόνον, διδόναι τοῦτο πρῶτον, καὶ μετὰ τῶν ᾠῶν καὶ τῆς ἀκτῆς, κύμινον Αἰθιοπικὸν, καὶ τοῦ κάστορος ὅσον ὀβολόν. ὅταν δὲ ἡμέραι λοιπαὶ δύο ἔωσι, τουτέων μὲν ἀπαλλαγῆναι πάντων τῶν πομάτων καὶ τῶν καταποτίων, τὸ δὲ ξὺν τῷ δᾳδίῳ φάρμακον διδόναι λουσαμένῃ νήστει. μετὰ δὲ τὴν πόσιν τοῦ φαρμάκου, διδόναι λινόζωστιν καὶ κράμβην ὁμοῦ ἑψῶντα ἐν ὕδατι, [129] ἡδύναντα ἐν ὀξυγλύκει, καὶ ἁλσὶ, καὶ σιλφίῳ, καὶ ἐλαίῳ. ἐπὶ τῷ ἀρίστῳ ταῦτα δίδου τρώγειν, καὶ τῶν χυλῶν ῥοφέειν, καὶ τὸ πόμα ἀκρητέστερον πίνειν· ὄψοισι δὲ χρῆσθαι, πολυποδίῳ ἑφθῷ, ἢ σηπιδίοισι· ταῦτα μὲν ἐπὶ τῷ ἀρίστῳ. [130] ἐπὶ δὲ τῷ δείπνῳ, κρέας αἰγὸς, ἢ οἰὸς, ἢ ἀρνὸς διεφθὰ, καὶ πράσα, καὶ τῶν ἄλλων δριμέων, ὅ, τι ἂν βούληται· λουσάσθω δὲ ἀπὸ τοῦ δείπνου. αὕτη ἡ δίαιτα τὰς δύο ἡμέρας [131] τὰς ὑστέρας. ἢν δὲ πρὸς τὴν δίαιταν ταύτην μὴ καταστασθῇ τὰ ἐπιμήνια, τὸν ἐπιόντα μῆνα, τὴν αὐτὴν δίαιταν ἐξ ἀρχῆς διαιτῆν ἄχρι τῶν ὑστάτων δύο ἡμερέων· ταύτας δὲ τὰς δύο, τῇ προτέρῃ ἡμέρῃ τῆς ὑστάτης προσθετὰ ποιήσας, προσθεῖναι κατὰ τὸν ἔμπροσθεν λόγον, φαρμάκου τοῦ [132] ἐν τῷ ὕδατι ποιευμένου· προστιθέσθω δὲ προλούσας. σκέψασθαι δὲ χρὴ καὶ τὰς ὑστερέων ὅκως ἔχουσι, καὶ αἰεὶ [133] περὶ πάντα τὸν χρόνον ὅκως καλῶς ἕξουσι, καὶ τὸ στόμα ὀρθόν τε καὶ ἐστο-

A *sauerit, caseum acrem & rutam vino nigro æquali aquâ temperato diluito; deinde polentâ aspersâ, confestim à balneo potui exhibeto; posteà prandium suo tempore præbeto. Mazam autem aut panem edat, & porra cocta aut cruda, & priùs descripta omnia id genus acria, interdúmque leguminis fresi decoctum spumâ non detractâ, cum multâ laseris scobe, & alijs multis incoctis. Pro opsonijs autem vtatur piscibus* B *cartilagineis omnibus cum aceto mulso coctis, bolbidijs & paruis polypis, ex vino & oleo coctis. Laseris semen contritum bibendum, & quamplurimùm in prandio & cœna edendum. Post cœnam cùm quiescere volet, lauandum. Hac victûs ratione vtatur ad dies quinque vel sex, post quos manè quidem ieiunæ sambuci fructum ad baccas sex ex vino meraco exhibeto, & sepiæ oua decem aut duodecim. Hæc simul læuiter trita, manè ieiunæ potui præbeto. Post* C *hoc medicamentum, potionem exhibeto, & immorata lauet; rutam autem bibat & caseum. Sic eo quo præscriptum est modo prandeat. Tardiùs verò cœnet; semperque bis die ipsa lauetur. Hæc autem victûs ratio ad dies tredecim vel quatuordecim procedat. His verò diebus elapsis, catapotia ex laseris succo fabæ magnitudine formato, eáque primùm dato, posteáque cætera præscripta facito. Quum autem dies transacti fuerint quinque & viginti in hac victûs ratione, cætera quidem eodem modo facito. At ante prandium, quum prandere volet, quatuor ferè allij nu-* D *deos, & caseum acrem astragali magnitudine antè terito, & modicâ polentâ admixtâ massam efformato, eamque primùm edendam dato; antè cœnam verò meracum absorbeat, sicque cibum capiat. In reliquis eandem victûs rationem seruet. Nouem autem diebus interiectis & mensibus tempore non euntibus, hoc primùm dato, & cum ouis & sambuco, cuminum Æthiopicum, & castorij obolum. Quum verò duo reliqui dies fuerint, ab his quidem omnibus potionibus & catapotijs liberetur; sed medicamentum cum teda præparatum lotæ ieiunæ exhibeatur. Post autem me-* E *dicamenti potionem, mercurialem & brassicam simul ex aqua cocta dato, aceto mulso, sale, lasere & oleo condita. Hæc in prandio edenda præbeto, & succos sorbendos, & potum meraciorem bibendum. Pro opsonijs polypodio cocto, aut sepiolis vtendum; & hæc quidem in prandio. In cœna verò carnem caprillam, aut ouillam, aut agninam coctam, & porra, aliáque acria quæcunque voluerit, assumat. A cœna autem lauet; hæcque victûs ratio postremus duobus diebus fit. Quòd* F *si istâ victûs ratione menses detracti non fuerint, sequenti mense eadem victûs ratio ab initio ad duos vsque prostremos dies instituenda. Quorum duorum posteriorum dierum priore, subdititia iuxta superiorem rationem parata supponenda, medicamento ex aqua confecto; priùs tamen lota supponat. Verum explorandi sunt & vteri quomodo se habeant, & vt semper omni tempore benè habeant, & osculum rectum apertumque fit,*

sit; & si ita apparuerint, ante subdititiorum appositionem fomentum admouendum. Quòd si menses eruperint, si quidem copiosi fuerint, balneis paucioribus, reliquâque victûs ratione ac curatione vtendum; si verò pauciores, pluribus. Quòd si præsignificati eant, eâdem rusùs victûs ratione vtendum, & curandum quoad menses apparuerint. Quum verò semel processerint, his vtero concipere optimum. Atque hæc est omnium huiusmodi morborum curatio.

CAPVT XXIII.

De vterorum ex humorum vitio, & ex partu coxam attingentium incubitu, eiusque signis, & curatione.

Si vteri coxam contingant, in eamque procumbant, dura versus ilia euadit, imi ventris dolor est, & ad ipsam lateris mollitudinem, lumbos, & crura dolor incidit ac extenditur, suppurant, linamentis indigent, pereuntque nisi quid seces aut vras. Quum sic habuerit, medicamentum deorsùm purgans propinandum, & copiosâ calidâ lauandum, & vteri fouendi, vrinâque vetus infundenda & feruefacienda, & supra peluis cauitatem mulier vestibus contecta, vt nequid exhalet, collocanda. Vbi autem vrina refrixerit, massæ ignitæ in vrinam iniiciendæ, & fomentum adhibendum, quoad se obtusè cernere, & animo deficere dicat. Calidâ autem aquâ lauandum, postéaque digito contactum osculum ad sanam coxam trahendum, & noctu emollientia apponenda. Vbi autem directum esse dixerit, facto ex odoratis priùs fotu rursus emollientia quædam supponito. Imò etiam per tres dies pessulos plumbeos, quotidiè vnum. Post hos verò bryoniam albam aut scillam per tres dies. Sed posteà consideratis mensibus, disce an biliosi sint, aut pituitosi, num etiam sanguis corruptus sit, & si sanguis ei purgandus sit, quodcunque maximè tibi opus esse videbitur, supponendum, posteáque his colluendum. Subdititiia autem apponenda, quoad purus sanguis educatur, eáque triduo peragenda; ceruinum autem adipem liquatum, molli lanâ eo imbutâ apponat; deinde pulegium subdat per diem, & aromatis suffita sic virum adeat. Quòd si ex partu morbus ortus sit, ex vrinæ fomento prorsùs purgata, quamprimùm ad odorata veniat, ac deinde lota, oleum album Ægyptium ad sanam coxam apponat, & in eam decumbat. At si ne his quidem vteri transmutentur, ieiuna pæoniæ grana nigra quinque ex vino odorato bibat, & in cibo allia cruda, & assata & elixâ comedat. Opsonijs verò quàm paucissimis vtatur. Quòd nisi conualescat, ea sicuti de priore dictum est, purganda. Ex hoc morbo, nisi statim in vtero concipiant, infœcundæ redduntur. Si verò sic se habeant, & menses non prodeant, neque febris succedat, medicamentis primùm per superiora maximè purganda; si verò debilis sit, per inferiora. Et si

A μεμυωμένον εἴη, καὶ [133] ἢν δοκέωσι, πρὸ τῆς προσθέσιος [133] προπυριηθῆναι. ἢν δὲ καὶ καταῤῥαγῇ τὰ ἐπιμήνια, ἢν μὲν συχνὰ, ἐλάττοσι τοῖσι λουτροῖσι κεχρῆσθαι, καὶ τῇ ἄλλῃ διαίτῃ τε καὶ θεραπείῃ· ἢν δὲ ἐλάσσω, πλείοσιν. ἢν δὲ προσημήναντα ἴῃ, αὖθις διαίτῃ τῇ αὐτέῃ χρῆσθαι, καὶ θεραπεύειν, ἄχρις ὅτου ἂν φανῇ τὰ ἐπιμήνια. ὅταν δὲ ἅπαξ ἔλθῃ, τῇσι τοιαύτῃσιν ἄριστον ἐν γαστρὶ λαμβάνειν. Αὕτη πασέων τῶν ὁμοιοτρόπων νούσων ἡ θεραπείη.

B

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Περὶ τῆς τῶν ὑστερῶν ἐκ κακοχυμίας καὶ τόκου τοῦ ἰσχίου ψαυσασῶν ἐνστηρίξεως, καὶ τῶν αὐτῆς σημείων καὶ τῆς θεραπείας.

ΗΝ αἱ μῆτραι ψαύσωσι τοῦ ἰσχίου καὶ προσκέωνται, [134] στεῤῥὸν γίνεται ἐπὶ τὸν κενεῶνα, καὶ ὀδύνη τῆς νειέρης γαστρὸς, καὶ ἐς αὐτὸν τὸν κενεῶνα καὶ ἐς τὰς ἰξύας καὶ ἐς τὰ σκέλεα ἡ ὀδύνη ἐμπίπτει καὶ τιταίνεται, καὶ ἐκπύσκονται καὶ ἔμμοτοι γίνονται, [135] καὶ ὄλλυνται, ἢν μή τι τάμῃς ἢ καύσῃς. Ὅταν οὕτως ἔχῃ, φάρμακον πιπίσαι κάτω, καὶ λούειν πολλῷ θερμῷ, καὶ πυριῇν τὰς ὑστέρας, ἐγχέαι τε καὶ οὖρον παλαιὸν καὶ ἀναζέειν, καὶ ἐς τὰ κοῖλα τῆς πυέλου [136] αὐτίκα θίζεσθαι, περικαλύψας εἵματι τὴν γυναῖκα, ὡς μὴ διαπνέῃ. ἐπειδὰν δὲ ἀποψύχηται τὸ οὖρον, ἐμβάλλειν μύδρους διαπύρους ἐς τὸ οὖρον, καὶ πυριῇν μέχρις οὗ φῇ ἀμαυρὰ βλέπειν, καὶ λειποθυμέειν. λοῦσαι δὲ θερμῷ ὕδατι, κἄπειτα ἀψαμένην τῷ δακτύλῳ, ἕλκειν τὸ στόμα τῶν ὑστερέων πρὸς τὸ ὑγιὲς ἰσχίον, καὶ τὰς νύκτας προστιθέναι μαλθακτήρια. ἐπὴν δὲ φῇ καὶ ἰθὺ εἶναι, προπυριήσας τοῖσιν εὐώδεσιν, αὖθις προστιθέναι τινὰ μαλθακτήρια. ἀλλὰ καὶ τοὺς μολύβδους ἡμέρας τρεῖς, ἕνα καθ' ἑκάστην ἡμέρην· μετὰ δὲ ταύτας, τὴν ἐχέτρωσιν, ἢ τὴν σκίλλην, τρεῖς ἡμέρας· μετὰ δὲ τοῦτο, σκεψάμενος ἐν τοῖσιν ἐπιμηνίοισι μάνθανε, ἤν τε χολώδεα ᾖ, ἤν τε φλεγματώδεα, ἤν τε αἷμα διεφθορὸς ᾖ, καὶ ἢν δέῃ αὐτὴν αἷμα καθῆραι, προστιθέναι ὅτου ἄν τοι δοκέῃ μάλιστα δεῖσθαι, καὶ μετακλύζειν τοιουτέοισι. προστιθέναι δὲ τὰ πρόσθετα, ἐς ἂν αἷμα καθαρὸν [137] ἀνάγηται, καὶ ταῦτα ἐνεργεῖν τρεῖς ἡμέρας· ἐλάφου δὲ στέαρ προστιθέσθω τηκτὸν, ἐμβάπτων μαλθακὸν εἴριον, ἔπειτα γλήχωνα τὴν ἡμέρην, θυμιωμένη τοῖσιν ἀρώμασι, καὶ οὕτω παρὰ τὸν ἄνδρα ἴτω. Ἢν δὲ ἐκ τόκου ἡ νοῦσος γίνηται, κεκαθαρμένης πάντα ἐκ τῆς πυριῆς τοῦ οὔρου, αὐτίκα ἰέναι ἐς τὰ εὐώδεα, κἄπειτα λουσαμένην, ἄλειφα λευκὸν Αἰγύπτιον προστιθέσθω πρὸς τὸ ὑγιὲς ἰσχίον, καὶ κατακείσθω ἐπὶ τοῦτο. [138] ἢν δὲ μηδὲ πρὸς ταῦτα μεταστέωσιν αἱ ὑστέραι, πινέτω νῆστις τῆς γλυκυσίδης κόκκους τοὺς μέλανας πέντε ἐν οἴνῳ εὐώδει, καὶ ἐπὶ τῷ σίτῳ τρωγέτω σκόροδα ὠμὰ καὶ ὀπτὰ καὶ ἑφθά· ὄψοισι δὲ χρήσθω ὡς ἐλαχίστοισιν. ἢν μὴ γίνηται ὑγιὴς, ὡσαύτως καὶ καθαίρειν αὐτὴν ὡς ἐπὶ τῆς πρόσθεν. ἐπὶ δὲ ταύτης τῆς νούσου, ἢν μὴ αὐτίκα σχοῖεν ἐν γαστρὶ, ἄτοκοι γίνονται. ἢν δὲ ὧδε ἔχωσι, καὶ τὰ ἐπιμήνια μὴ γίνηται, μηδὲ πῦρ ἐπιλάβῃ, φαρμάκοισι πρότερον καθαίρειν, ἄνω μάλιστα, ἢν δὲ ἀσθενὴς ᾖ, κάτω.

καὶ μετὰ τὴν φαρμακοποσίην, ἢν τοι δοκέῃ [139] φλεγματώδης εἶναι, ἐμεέτω νῆστις τε καὶ ξὺν τῷ σιτίῳ· καὶ ὡς τὰ πολλὰ ὑγιὴς ἔσται.

post medicamenti potionem tibi pituitosa esse videatur, ieiuna, & cum cibo vomat; & vt plurimùm conualescet.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ τῶν τῆς ὑστέρας πρὸς τὸ ἰσχίον φερομένης σημείων τε καὶ συμπτωμάτων, καὶ θεραπευτικῶν.

Ἢν δὲ αἱ μῆτραι πρὸς τὸ ἰσχίον ὀλισθῶσι, τὰ ἐπιμήνια παχέα ἐόντα, οὐ γίνεται· ὀδύνη δὲ ἐς τὴν νειαίρην γαστέρα ἀφικνέεται, ἀφικνέεται δὲ καὶ ἐς τὸν κενεῶνα, καὶ δάκνεται. Ὅταν ὧδε ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ, καὶ διδόναι σκόροδα τρώγειν ὡς πλεῖστα· καὶ γάλα πίνειν ἱκνεομένως, ἔπειτα οἶνον ἄκρητον· καὶ πυριῆσαι ὅλην, καὶ φάρμακον διδόναι ἄνω, ἢν δὲ ἀσθενεστέρη ᾖ, κάτω. ἢν δὲ ἰηθῇ, πυριῆν τὰς ὑστέρας μαράθρῳ, ξυμμίσγεται δὲ καὶ ἀψίνθιον. ἐπὴν δὲ νεοπυρίητος ᾖ, ἀφέλκειν τὸ στόμα τῷ δακτύλῳ ἠρέμα τῶν ὑστερέων πρὸς τὸ ὑγιὲς ἰσχίον, [140] προσηγορικῶς μαλθάσσοντα τὸ σῶμά τε καὶ τὰ ἀμφιπονεόμενα, καὶ προσθεῖναί τι μαλθακτήριον· μετὰ δὲ, μολύβδους, καὶ αὐτίκα σκίλλας, [141] εἶτε ναρκίσσινον, μίαν ἡμέρην διαλιπών. ἐπὴν δέ τοι δοκέῃ καθαρή τις εἶναι, τὸ νέτωπον προσθέσθω ἐν εἰρίῳ· τῇ δὲ ὑστεραίῃ, ἔλαιον ῥόδινον. τῶν ἐπιμηνίων δὲ ἰόντων, ἄμεινον μὴ προστίθεσθαι· ἢν δὲ μὴ ἴωσι, κανθαρίδας τέσσαρας, ἀπτέρους καὶ ἄποδας, ἄτερ κεφαλῆς· καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, σηπίης ὠὰ, σελίνου σπέρμα ὀλίγον ἐν οἴνῳ· καὶ ἢν ὀδύνη ἐνῇ, καὶ στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ ἐγκαθήσθω, καὶ πινέτω μελίκρητον ὑδαρές. ἢν δὲ μὴ καθαίρηται, αὖθις τὸ φάρμακον πινέτω· ἢν δὲ εἴη, ἀσιτήσασα πινέτω, καὶ ξυνίτω τῷ ἀνδρί. ἢν δὲ μὴ γίνηται, διδόναι ὅ, τι κατασπάσει, ὁρέων πρὸς τὴν δύναμιν τῆς γυναικός· καὶ τότε ἀσφαλὲς φοιτᾶν πρὸς τὸν ἄνδρα, ἢν γὰρ ἴσχῃ ἐν γαστρὶ, ὑγιὴς γίνεται. ἐν δὲ τῇ καθάρσει, ἢν ἴῃ πολλὴ, λινόζωστιν ἐσθιέτω, καὶ πόδας οἷος ἑφθοὺς ἁπαλοὺς, καὶ σιτίοισι μαλθακοῖσι χρεέσθω.

CAPVT XXIV.

De vterorum ad coxam decurrentium signis, symptomatis, & curatione.

Si vteri ad coxam decurrant, menses crassi, non eunt; dolor ad imum ventrem procedit, procedit verò & ad ilia, morsumque percipit. Quum sic habuerit, copiosâ & calidâ lauato, eique allia plurima edenda dato, & lac abundè bibat, deinde vinum merum; totam foueto, & medicamentum sursùm purgans exhibeto; si verò debilis sit, infrà. Quòd si curata fuerit, vteros foueto fœniculo, & absinthium admisceto. Quum autem recens fota fuerit, os vterorum *sensim digito in sanam coxam retrahito, tum corpus, tum in ambitu affectas partes emollientibus leniendo, & subdititium aliquod emolliens apponito; posteà verò plumbeos pessos; & mox scillam; deinde intermisso vno die, narcissinum. Quum verò pura esse tibi visa fuerit, netopum in lana supponat, postridiè verò oleum rosaceum. At prodeuntibus mensibus, non subdere præstiterit. Si non prodeant, cantharidas quatuor, sine alis, pedibus, & capite; pæoniæ grana nigra quinque, sepiæ oua, & seminis apij parùm ex vino* bibat. *Et si dolor adfuerit, stranguriaque detinuerit, in aqua calida desideat, aquamque mulsam aquosam bibat. Quòd si non purgetur, rursus medicamentum bibat. Si verò prodeat, bibat, & ieiuna virum adeat. Sed si non prodeat, mulieris vires spectando, dato quod detrahat, tuncque ad virum accedere tutum est. Si enim in vtero concipiat, conualescit. In purgatione verò, si multa prodeat, mercurialem edat & polypos teneros coctos, cibisque mollibus vtatur.*

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Περὶ τῆς ὑστέρας τῇ λεχοῖ ἐς τὸ ἰσχίον, ἢ τὸν κενεῶνα κατασκηριζούσης θεραπείας.

Ἢν ἐς τὸ ἰσχίον αἱ ὑστέραι, ἢ εἰς τὸν κενεῶνα κατασκηρίξωσι λεχοῖ, προστιθέναι ἐς θάτερον ἰσχίον Αἰγύπτιον ἔλαιον λευκὸν ἢ ῥόδινον, ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον ἄμεινον κατακεῖσθαι. πίνειν δὲ γλυκυσίδης κόκκους [142] τέσσαρας τοὺς μέλανας, καὶ ἀκτῆς καρπὸν ἐν τοῖσι δᾳσὶν ὅσον χηραμίδα, καὶ καστόρεος ὡς κύαμον, καὶ σιτίοισι χρῆσθω μαλθακοῖσι. λινόζωστις δὲ ἂν ἁρμόζοι πρὸ τοῦ σιτίου ἑφθὴ ὡς κράμβη, ῥοφεέτω δὲ καὶ τοῦ ὕδατος· καὶ τὰ δριμέα τρωγέτω, πλὴν ῥαφανίδος, καὶ κρομμύου, καὶ καρδάμου· ἄριστον δὲ θριδακίνη.

CAPVT XXV.

De vteri puerperæ in coxam, aut ilia incumbentis curatione.

Si vteri puerperæ in coxam aut lateris inanitatem incubuerint, ad alteram coxam oleum Ægyptium album rosaceum apponendum; in sanam autem coxam decumbere præstat. Bibat verò pœoniæ grana nigra quatuor, & sambuci fructum in tedis, cheramidem, & castorium fabæ magnitudine; cibisque mollibus vtatur. Ante cibum conueniet mercurialis cocta velut brassica, ius autem sorbeat, & acria comedat, exceptis raphano, cepâ & nasturtio. Optima etiam est lactuca.

CAPVT

A

CAPVT XXVI.

De vterorum erroribus morborum causis, in vesicam, inguina, pubem, ilia, hypochondria, aut sedem irruentium; & horum symptomatis, signis, & curatione.

AT quoscunque ab vteris morbos oboriri contingit, dico verò quum vteri è loco moti fuerint, aliàs aliò irruunt. Quocunque autem irruerint, eò acerbi dolores incumbunt. Quòd siquis vesicam contingat, dolorem excitant, neque vrinam recipiunt, neque ad se genituram trahunt, vtraque dolent, ac nisi celeres solutiones contingant, tandem vteri in locis ad quæ decubuerint, suppurant. Quod contingit in laterum inanitatibus, & in inguinibus, & supra pectinem. Sic autem per initia, quum dolor detinuerit; curare oportet. Tepefacientia admouere, & in aquâ calidâ morari (in ea enim desidere bonum est) aut spongijs ex aquâ calidâ expressis fouere, aut medicamenta vteris idonea bibere. At si his non soluatur, medicamento deorsùm aut sursùm purgandum, si opus fuerit, vtro tandem indigere contigerit; istud hoc modo dignosces. Si enim ad inguina, pectinem, & vesicam irruerint, eæ per superiora purgatione indigent; si verò ad lateris inanitates & hypochondria, medicamento per inferiora purgante. Huiusmodi autem morbi omnes senioribus potiùs quàm iunioribus, in mensium defectibus oboriuntur. Accidunt etiam iuuenculis, vbi viduæ multo tempore permanserint. Quòd si ad sedem vteri *vertant, alui deiectiones prohibentur, & dolores lumbos, & imum ventrem, ac podicem detinent. Quum sic habuerit, ipsam calidâ lauare oportet, & lumbis fomentum admouere, posteáque subter graueolentia suffire, & subdere quæ vteros tum purgant, tum impellunt, & ex conferentibus, quæ potissimùm admiserit, propinare.*

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

Περὶ τῶν ἐν ταῖς ὑστέραις κινήσεων τῶν νοσημάτων αἰτίων, τῶν ἐς τὴν κύστιν, καὶ τοὺς βουβῶνας, καὶ τὸν κτένα, καὶ τοὺς κενεῶνας, καὶ τὰ ὑποχόνδρια, ἢ τὴν ἕδραν προσπιπτόντων, καὶ τῶν τούτων συμπτωμάτων, καὶ σημείων, καὶ θεραπευτικῶν.

B

ΟΚόσα δὲ ἀπὸ τῶν ὑστερέων ξυμβαίνει γίνεσθαι νοσήματα, λέγω δὲ ὁκόταν αἱ ὑστέραι ἐκ χώρης κινηθῶσι, προσπίπτουσιν ἄλλοτε ἄλλῃ· ὅκου δ' ἂν προσπέσωσιν, ὀδυνήματα κατασκηρίζουσιν ὀδυνηρὰ, καὶ ἢν ἅψωνταί τι τῆς κύστιος, ὀδύνην παρέχουσι, καὶ τὸ οὖρον οὐ δέχονται, οὐδὲ τὸν γόνον ἐπὶ σφέας ἕλκουσι, καὶ ἄμφω ἀλγεῖ, κἢν μὴ ταχεῖαι λύσιες γίνονται, διαπυΐσκονται αἱ ὑστέραι ὕστερον κατὰ τὰ αὐτὰ χωρία, ἢν πρὸς αὐτὰ τράπωσι· γίνεται δὲ κατὰ κενεῶνάς τε καὶ βουβῶνας, καὶ ὑπὲρ τοῦ κτενός. Χρὴ δὲ ἐν ἀρχῇσιν, ὅταν ἡ ὀδύνη ἔχῃ, ὧδε θεραπεύειν. καὶ χλιάσματα προστιθέναι, καὶ ἐν ὕδατι θερμῷ εἶναι (ἀγαθὸν γὰρ καὶ ἐν τούτῳ) ἢ σπόγγοισιν ἐν ὕδατι θερμῷ ἐκπιεζομένοισι πυριῆν, καὶ πίνειν τῶν ὑστερικῶν φαρμάκων. ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, φαρμακεύειν κάτω καὶ ἄνω, ἢν δέῃ, ὁκοτέρου ἂν δέηται δεῖσθαι· τοῦτο δὲ διαγνώσῃ τῷδε τῷ τρόπῳ· ἢν μὲν ἐς τοὺς βουβῶνας, καὶ κτένα, καὶ κύστιν [146] ἐγχρίμψῃ, αὗται χρήζουσιν ἄνω φαρμακείης· ἢν δὲ ἐς τοὺς κενεῶνάς τε καὶ τὰ ὑποχόνδρια, αὗται δέονται κατωτερικοῦ φαρμάκου. Τὰ δὲ νουσήματα πάντα τὰ τοιουτότροπα, γεραιτέρῃσι [144] μάλιστα γίνεται, ἢ νεωτέρῃσι, πρὸς τὰς ἀπολείψιας τῶν ἐπιμηνίων· γίνεται δὲ καὶ νέῃσιν ἐούσῃσιν, ὁκόταν χηρεύωσι πουλὺν χρόνον. Ἢν δὲ ἐς τὴν ἕδρην τράπωνται, τὰ ὑποχωρήματα [145] κωλύονται, καὶ ὀδύναι ἴσχουσι τήν τε ὀσφὺν, καὶ τὴν νειαίρην γαστέρα, καὶ τὸν ἀρχόν. ὅταν ὧδε ἔχῃ, λούειν χρὴ μὲν τῷ θερμῷ, καὶ πυριῆν τὴν ὀσφὺν, καὶ ὑποθυμιῆν τὸ κατόπιν κακώδεσι, καὶ προστιθέναι ἅσσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας, καὶ πιπίσκειν ὅ, τι ἂν προσδέχηται τῶν ξυμφερόντων μάλιστα.

C

D

E

CAPVT XXVII.

De vterorum in inguina, ac vreteres incumbentium signis, & curatione, ac vteros à quacunque occasione promoueri.

AT si ad inguina & vreteras decumbant, dolores vehementes oriuntur, in cruribus torpor, & vreter obstruitur, neque vrinam emittit. Sic autem curanda est. Naribus quidem benè olentia & vnguenta admouenda, graueolentia autem vtero suffitibus supponenda. Omnis autem occasio vteros commouere potest, siquid vitij habeant. Etenim vel à pedum ac lumborum frigore, & à saltatione, terrorè, lignorum sectione, cursu ad accliuem ac decliuem locum, & ab alijs multis concitantur. *Hæc proindè spectanda sunt, ad totum corpus prospiciendo, quum præsentes morbi soluti fuerint. Eiusmodi enim omnibus magis aut minùs ægrotare necesse est. Et postquàm efful-*

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ τῶν τῆς ὑστέρης ἐς τοὺς βουβῶνας, καὶ οὐρητῆρας ἐγκειμένης σημείων, καὶ τῆς θεραπείας καὶ ὅτι ἅπασα πρόφασις τὰς ὑστέρας παροτρύνει.

ΗΝ δὲ κατακέωνται ἐς τοὺς βουβῶνάς τε καὶ οὐρητῆρας, ὀδύναι γίνονται ἰσχυραὶ, καὶ νάρκη ἐν τοῖσι σκέλεσι, καὶ ὁ οὐρητὴρ ἀποφράσσεται, καὶ τὸ οὖρον οὐ μεθίησι. θεραπεύειν δὲ χρὴ ὧδε. πρὸς μὲν τὰς ῥῖνας προστιθέναι τὰ εὐώδεα, καὶ μύρα, πρὸς δὲ τὰς ὑστέρας τὰ δυσώδεα θυμιᾷν. Ἅπασα δὲ πρόφασις ἱκανὴ τὰς ὑστέρας παροξῦναι, ἢν ἔχωσί τι φλαῦρον· καὶ γὰρ ἀπὸ ῥίγεος τῶν ποδῶν καὶ ὀσφύος, καὶ ἀπὸ τοῦ ὀρχεῖσθαι, καὶ πτίσσαι, καὶ [147] κεάσαι, καὶ δραμεῖν πρὸς ἄναντες χωρίον καὶ πρὸς κάταντες, καὶ ἀπ' ἄλλων ἱκανῶν. Ταῦτ' οὖν χρὴ σκέπτεσθαι ἐς ὅλον τὸ σῶμα καθορέοντα, ὅταν παρεόντα λυθῇ νουσήματα· τὰ γὰρ τοιάδε πάντα, ἀνάγκη ἐστὶ τῷ πλέονι, ἢ τῷ ἐλάσσονι νοσεῖν, καὶ ἐπειδὰν ἐκλάμψῃ, μάλιστα

F

ταύτῃ τὰ ἐξαπιναῖα δηλοῖ τῆς νουσήματος. ὁκόταν οὖν ταῦτα [148] λυθῇ, ἀνωτέρω χρὴ λαμβάνεσθαι ἐκ τοῦ παντὸς ἀνθρώπου. ὁκόσαι ἀποψύξιες σκελέων ἢ ναρκώσιες ψύξει γίνονται καὶ ἐν νούσοισιν ὑστερικοῖσι, ταῦτα πάντα [149] μετάρσιοι τὰς ὑστέρας. ἐν τοῖσι τοιούτοισι καταχεῖν χρὴ θερμὸν ὕδωρ κατὰ τὰς ὑστέρας τῶν πέριξ χωρίων, καὶ ἐκθερμαίνειν αὐτὰς καὶ τὰ σκέλεα, ὅταν προπεπτωκυῖαι ἔωσιν.

A serint, hac maximè parte derepentè morbi se produnt. Quum igitur hæc soluta fuerint, altiùs ex toto homine coniectura capienda est. Quæ crurum perfrictiones aut torpores à frigore in vterorum morbis oboriuntur, eæ omnes vteros in altum subleuant. In his, vbi prolapsi fuerint, aquam calidam ad vteros & ambientia loca affundere, eosque ac crura excalefacere oportet.

B

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ τῶν ὑστερῶν ἐκ τόκου κατὰ τὰ δεξιὰ ἢ τὰ ἀριστερὰ, καὶ τὸ ἰσχίον περιστραφεισῶν, σημείων καὶ τῆς θεραπείας.

Ἢν περιστραφῶσιν αἱ μῆτραι ἐκ τόκου κατὰ δεξιὰ, τά τε λοχεῖα οὐ γίνονται, καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὸ δεξιὸν σκέλος βαρύνεται, καὶ νάρκη ἔχει· καὶ οὐ [150] τεθραμμένη καὶ οὐκ ἂν δύναιτο τοῦ στόματος θιγεῖν τῶν μητρέων, ἀλλ' εὑρήσει λείας τε καὶ ὁμαλὰς ἰσχυρῶς. Ὅταν δὲ ὧδε ἔχῃ, φάρμακον πίσαι ὑφ' οὗ καθαίρηται καὶ ἄνω καὶ κάτω, κάτω δὲ μᾶλλον, καὶ πυριῆν ὅλον τὸ σῶμα καὶ τὰς ὑστέρας μάλιστα προσηνέως, καὶ λούειν τῷ θερμῷ δὶς τῆς ἡμέρης, [151] καὶ τῶν ποτημάτων ὅ, τι μάλιστα ἂν προσδέξηται πειρώμενος, καὶ τῷ ἀνδρὶ ξυνευδέτω θαμινὰ, καὶ τὴν κράμβην ἐσθιέτω. Ἢν αἱ ὑστέραι κατὰ τὰ ἀριστερὰ κλιθῶσιν ἢ τὸ ἰσχίον, ὀδύνη ἴσχει ὀξείη τε καὶ ἀπερχὴ τάς τε ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὸ σκέλος, καὶ ἐπισκάζει. Ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον, τῇ δὲ ὑστεραίῃ ὑποθυμιῆν. τῶν δὲ κριθέων χοίνικας δύο, καὶ ἐλαίης φύλλα κατακόψαι σμικρὰ, καὶ κηκίδα κατακόψαι καὶ κατασῆσαι, καὶ ὑοσκυάμου τρίτον χοίνικος, ταῦτα μίξας καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον ἐν χύτρῃ καινῇ, ὑποθυμιᾷν τέσσαρας ἡμέρας· τῆς δὲ νυκτὸς γάλα βοὸς, καὶ μέλι, καὶ ὕδωρ πινέτω, καὶ τῷ θερμῷ λουέσθω.

CAPVT XXVIII.

De vterorum ex partu in dextram vel sinistram partem ac coxam obuersorum signis, & curatione.

C

SI ex partu vteri in dextram obuersi fuerint, puerperij purgamenta non eunt, dolor imum ventrem, lumbos, & ilia detinet; crus dextrum grauatur; & torpor occupat, neque etiam inclinata mulier vterorum os contingere poterit, sed læues & vehementer planos deprehendet. Quum ita habuerit, medicamentum quo sursùm & deorsùm, magis tamen deorsùm purgetur, propinato, totumque corpus ac præsertim vteros leniter foueto; bis die calidâ lauato; potionum quamcunque periculo facto lubentiùs assumpserit, exhibeto; frequenter cum viro dormiat, & brassicam edat. Si vteri in sinistram partem aut coxam declinarint, dolor acutus & vehemens lumbos, ac ilia, crusque detinet, & claudicat. Quum sic habuerit, medicamentum infrà pur-

D gans potui dare oportet; posteróque die suffitum admouere. Hordei chœnices duas, & oleæ folia minutim concisa, gallam contusam & cribratam, hyoscyami tertiam chœnicis partem; hæc mixta & cum olei hemina dimidia in olla noua agitata per dies quatuor ad suffitum subter adhibeto; noctu verò lac bubulum, mel, & aquam bibat; & calidâ lauet.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Περὶ τῆς τῶν ὑστερῶν καὶ στομάτων παραλόξου τε καὶ δοχμίου θέσεως, καὶ τῶν σημείων αὐτῆς καὶ συμπτωμάτων, καὶ τῆς θεραπείας.

Ἢν παραλοξαίνωνται αἱ μῆτραι καὶ δοχμαὶ ἔωσι, καὶ τὸ στόμα, [152] ἐφ' ὧν τὰ ἐπιμήνια αὐτῇ τὰ μὲν κρύπτονται, τὰ δὲ προφανέντα [153] οἴχονται, καὶ οὐχ ὅμοια γίνονται, ἀλλὰ κακοήθεα, καὶ ἐλάσσονα ἢ πρὸ τοῦ, καὶ ἡ γονὴ οὐκ ἐγγίνηται ἐν τούτῳ τῷ χρόνῳ, [154] καὶ ἡ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τὸ ἰσχίον, καὶ ἐφέλκεται αὐτό. Ὅταν οὕτως ἔχῃ, [155] φάρμακον χρὴ πίνειν, καὶ λούειν θερμῷ, καὶ πυριῆν. ὁκόταν δὲ νεοπυρίητος ἦ καὶ νεόλουτος, τὸν δάκτυλον [156] παραφράξασα, ἀπορθούτω καὶ προσευθυνέτω τὸ στόμα τῶν μητρέων, καὶ ὑποθυμιήσθω τὰ εὐώδεα, καὶ τῶν ποτημάτων δίδου, ὅ, τι ἂν μάλιστα προσδέχηται, πειρεόμενος. σιτίοισι δὲ χρήσθω μαλθακοῖσι, καὶ σκόροδα ἐσθιέτω, καὶ ὠμὰ, καὶ ἑφθὰ, καὶ τῷ ἀνδρὶ ξυνευδέτω, καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακείσθω, ἐπὶ θάτερον καὶ πυριήσθω· ἡ δὲ νοῦσος δυσαπάλλακτος.

CAPVT XXIX.

E De vterorum ac osculorum transuerso ac obliquo situ positorum symptomatis, signis, & curatione.

SI vteri transuersi & obliquati fuerint, eorumque osculum, huic menses partim quidem delitescunt, partim etiam antea comparentes pereunt, nec similes prodeunt, sed praui, & pauciores quàm anteà, neque hoc tempore genitura intùs creatur, dolorque imum ventrem, lumbos, & coxam detinet, eáque attrahitur. Quum sic habuerit, medicamentum bibere oportet, calidâ lauare, & fotum admouere. Vbi verò

F recens fota, ac lota fuerit, digito obsepto mulier os vterorum corrigat ac dirigat, & suffitum ex odoratis adhibeat: potionum quoque dato quamcunque maximè pro experientiâ assumpserit. Cibis autem vtatur mollibus, alliaque edat & cruda & cocta, viro condormiat, & in sanam coxam decumbat, & alteri fomentum admoueat. Hic autem morbus ægrè cedit.

A

CAPVT XXX.

De vterorum proximè accedentium, & extra naturam progredientium signis, & curationibus.

Quòd si vteri proximè accedant, crebrò vomendum; vteris verò suffitus ex graueolentibus adhibendus, donec in pristinum locum collocati fuerint. Victûs autem ratione minimè emolliente vtatur. Si vteri extra naturam processerint, pudendum imúmque ventrem igneus calor detinet, vrina crebrò paulatimque stillat, pudendumque vehementer mordetur. Hæc autem patitur, si recens à partu cum viro dormierit. Quum igitur ita habuerit, myrti baccas, & loti ramenta in aqua coquito, & aquam sub dio per noctem exponito, sicque quàm frigidissimâ pudendum perfundito, & leuiter trita admoueto. Deinde lentium decocto cũ melle & aceto epoto, vomat quoad vteri sursùm retrahantur. Lectum quoque à pedibus altiorem facere oportet; & pudendum graueolentibus suffire, nares verò odoratis. Cibis vtatur quàm mollissimis ac frigidis, vinúmq; albũ aquosum bibat, neque lauet, neque cum viro congrediatur.

B

C

CAPVT XXXI.

De vterorum procidentia, eiusque causis signis, & curatione.

Si vteri prorsùs ex pudendis exciderint, penduli sunt velut scrotum, dolorque imum ventrem, lumbos, & inguina prehendit; quumque tempus processerit, in pristinum locum redire nolunt. Prehendit autem morbus, quum recens à partu laborarit, aut adeò fatigata fuerit, vt vteros contactu læserit, aut in puerperij purgatione cum viro coierit. Quum sic habuerit, refrigeratoria lenientia pudendis admouere oportet, & quod extrà est repurgatum, malicorio in vino nigro cocto abluere & intrò protrudere; deinde mel & resinam liquefactam, pari vtriusque portione, in pudendum infundere. Supina etiam pedibus altioribus extentis decumbat, postea admotas spongias ex lumbis religato. Quandiu autem sic habuerit, cibis quidem abstineat, potu verò vtatur quampaucissimo, donec septem dies præterierint. Ac si sic quidem obaudire ac redire voluerint, satis sit. Sin minùs, extremas vteri oras derasas & ablutas, picato cerato illinito. Deinde pedibus ad scalam alligatis, capite deorsùm collocato, manu intrò retrudito; posteà lauato, eiusque cruribus alternatim colligatis, sic per noctem ac diem sinito & paucum ptisanæ succum frigidum dato, aliud autem nihil. Postero die reclinatæ ad coxam cucurbitam quàm maximam affigito, & multo tempore trahere sinito, & vbi detraxeris, ne scarificato, sed reclinatam sinito, nihilque præter ptisanę succum exhibeto, donec septem dies præterierint. Quòd si sitis detineat, paucissimam aquam bibat. Vbi autem dies septem præterierint, cibis quàm mollissimis & paucissimis vtatur.

D

E

F

ΚΕΦΑΛΑΙΟΝ Λ′.

Περὶ τῆς ὑστέρας ἄγχιστα οὔσης, καὶ ἐξωτέρω τῆς φύσεως προσιούσης σημείων, καὶ θεραπειῶν.

Ἢν δὲ ἄγχιστα ἔωσιν, ἐμέειν θαμινά· τὰς δὲ ὑστέρας πυριῆσαι τοῖσι δυσόδμοισι, μέχρις ἂν ἐς χώρην ἱδρυνθῶσιν· διαίτῃσι δὲ χρήσθω μὴ λαπακτικῇσιν. Ἢν αἱ μῆτραι προσίωσιν ἐξωτέρω τῆς φύσιος, πυρετὸς ἔχει τὸ αἰδοῖον καὶ τὴν νειαίρην γαστέρα, καὶ τὸ οὖρον στάζει θαμινὰ καὶ κατ' ὀλίγον, [157] καὶ δάκνεται σφοδρῶς τὸ αἰδοῖον. πάσχει δὲ, ἢν ἐκ τόκου ἐοῦσα τῷ ἀνδρὶ συνευνάζηται. Ὅταν οὖν ὧδε ἔχῃ, μύρτα καὶ λωτοῦ ξύσματα ἑψῆσαι ἐν ὕδατι, καὶ θεῖναι τὸ ὕδωρ ἐς τὴν αἰθρίην· προσκλύζειν δὲ ὧδε, ὡς ψυχρότατον ᾖ τὸ αἰδοῖον, καὶ τρίβων λείως προσπλάσσειν. ἔπειτα πίνουσα ὕδωρ φακῶν σὺν μέλιτι καὶ ὄξει, ἐμεέτω, ἕως ἂν αἱ ὑστέραι [158] ἀνελκυσθῶσι. καὶ τὴν κλισίην ὑψηλὴν χρὴ ποιέειν τὰ ἀπὸ τῶν ποδῶν, καὶ τὸ αἰδοῖον ὑποθυμιῆν τὰ κακώδεα, τὰς δέ γε ῥῖνας τὰ εὐώδεα. σιτίοισι δὲ χρεέσθω ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι, καὶ τὸν οἶνον ὑδαρέα λευκὸν πινέτω, καὶ μὴ λουέσθω, μηδὲ τῷ ἀνδρὶ ξυνερχέσθω.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ′.

Περὶ τῆς τῶν ὑστερῶν ἐκπτώσεως, καὶ τῶν ταύτης αἰτίων, καὶ σημείων, καὶ τῆς θεραπείας.

Ἢν παντάπασιν ἐκ τοῦ αἰδοίου ἐκπέσωσιν αἱ μῆτραι, ἐκκρέμανται οἷον ὄσχη, καὶ ὀδύνη λάζεται ἐς τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς βουβῶνας· καὶ ὁκόταν ἐπιγένηται χρόνος, οὐκ ἐθέλουσιν ἐς τὴν ἑαυτῶν χώρην ἰέναι. ἡ δὲ νοῦσος λαμβάνει, ὁκόταν ἐκ τόκου ἐοῦσα πονήσῃ, ἢ ταλαιπωρήσῃ, ὥστε ψαίρειν τὰς ὑστέρας, ἢ τῷ ἀνδρὶ συνίῃ ἐν τῇ λοχίῃ καθάρσει. Ὅταν ὧδε ἔχῃ, ψύγματα χρὴ προστιθέναι παρηγορικὰ πρὸς τὸ αἰδοῖον, καὶ τὸ ἔξω ἐὸν ἀποκαθήρας, σιδίῳ ἐν οἴνῳ μέλανι ἑψήσας, τουτέῳ περιπλῦναι, καὶ ἔσω ἀπωθέειν· ἔπειτα καὶ μέλι καὶ ῥητίνην ξυντῆξαι, ἴσον ἑκατέρου, καὶ ἐγχέειν ἐς τὸ αἰδοῖον. καὶ κατακείσθω ὑπτίη, ἄνω τοὺς πόδας ἔχουσα ἐκτεταμένους· κἄπειτα σπόγγους προσθεῖσα, ἀναδῆσαι ἐκ τῶν ἰξύων. ἔστ' ἂν δ' οὕτως ἔχῃ, σιτίων μὲν ἀπεχέσθω, ποτῷ δὲ ὡς ἐλαχίστῳ χρήσθω, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι, καὶ ἢν μὲν οὕτως ἐθέλωσιν ἐπακούειν καὶ ἀπιέναι, ἅλις ἔστω· ἢν δὲ μὴ, ἄκρα περιξέσας τὰ [159] χείλεα τῆς ὑστέρης, καὶ ἀμφιπλύνας, χρῖσαι τῇ πισσηρῇ. ἔπειτα πρὸς κλίμακα δῆσαι τοὺς πόδας, τὴν δὲ κεφαλὴν κάτω ἔχειν, καὶ τῇ χειρὶ ἔσω ἀπωθέειν· ἔπειτα λούειν, καὶ ξυνδῆσαι αὐτῆς τὰ σκέλεα ἐναλλὰξ, καὶ ἐᾷν νύκτα καὶ ἡμέρην οὕτως, καὶ διδόναι ὀλίγον χυλὸν πτισάνης ψυχρὸν, ἄλλο δὲ μηδέν. τῇ δὲ ὑστεραίῃ κατακλίνας, ἐπὶ τὸ ἰσχίον σικύην προσβάλλειν ὡς μεγίστην, καὶ ἐᾷν ἕλκειν πουλὺν χρόνον, καὶ ἐπὴν ἀφέλῃς, [160] μὴ ἀποσχάσῃς, ἀλλὰ κατακλίνας ἔα, καὶ μὴ προσφέρε μηδὲν, ἀλλ' ἢ τὸν χυλὸν, ἕως ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν. ἢν δὲ δίψα ἔχῃ, ὕδωρ ἐλάχιστον πινέτω. ἐπὴν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, σιτίοισιν ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρεέ-

θω. ὁκότων δὲ ἀποπατῆσαι θέλῃ, ἀνακειμένη ἀποπατείτω, ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι γένωνται· ἔπειτα κλυζέσθω χλιηροῖσι πυρίῃσιν, ἄμεινον δὲ θερμῷ, ὡς ἐξ ἡλίου, περιπατείτω ὡς ἐλάχιστα, καὶ μὴ λουέσθω. κοιλίην δὲ μὴ λύσῃς, σιτίοισι δὲ ὀλιγίστοισι χρεέσθω, μήτε δριμέσι, μήτε ἁλμυροῖσι, καὶ θυμιήσθω τὸ αἰδοῖον τοῖσι κακώδεσι· καὶ ἐπειδὰν ἄρξηται περιπατεῖν, τὴν σφενδόνην [161] φορείτω.

Quum verò aluum exonerare voluerit, recumbens deijciat, dum dies quatuordecim præterierint. Posteà tepidis fomentis colluatur, præstat autem vt calidâ velut ex sole vtatur, & quamminimum ambulet, neque lauet. Aluum ne solueris; cibis autem paucissimis vtatur, neque acribus, neque salsis; & pudendis suffitum ex graueolentibus admoueat; quumque obambulare cœperit, subligaculum gestet.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Περὶ τοῦ στόματος τῶν μητρέων ἔξω τοῦ αἰδοίου ἐκπεσόντος, καὶ τῶν αὐτοῦ αἰτίων, καὶ προγνωστικῶν, καὶ θεραπευτικῶν.

ΗΝ δὲ ἔξω τοῦ αἰδοίου τὸ στόμα τῶν μητρέων ἐκπέσῃ, οἷα τοῦ αὐχένος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου, καὶ εὐρέος ἐόντος· γίνεται δὲ τοῦτο μᾶλλον τῇσιν ἀτόκοισι, μάλιστα δὲ γίνεται ἐκ ταλαιπωρίης, ἐπὴν ταλαιπωρήσῃ ἡ γυνὴ, καὶ αἱ μῆτραι θερμανθῶσι καὶ ἱδρώσωσιν, ἐκτρέπεται τὸ στόμα αὐτέων διὰ τοῦ αὐχένος, ἅτε ἐν τῷ ὑγροτέρῳ, καὶ ὀλισθηροτέρῳ, καὶ θερμοτέρῳ χωρίῳ γινόμενον, ἢ ἐν τῷ πρὶν χρόνῳ· καὶ ἐπὴν τοῦτο γένηται, ἰθύουσιν ἔξω πρὸς τὸ ψῦχος, καὶ σφέων τὸ στόμα ἔρχεται ἐκτραπέν. καὶ ἢν μὲν ἐν τάχει θεραπευθῇ, ὑγιὴς γίνεται, ἄφορος δὲ παντάπασι καταλιμπάνεται· ἢν δὲ μὴ ἐν τάχει, ἔξω αἰεὶ ἔσται οἱ σκληρὸν τὸ στόμα, καὶ ῥεύσεται αὐτόθεν ἰχὼρ ἄλλοτε καὶ ἄλλοτε γλίσχρος καὶ κάκοδμος· καὶ ἢν τὰ ἐπιμήνια χωρήσῃ, ἢν ἔτι ἐν τῇ ἡλικίῃ ᾖ, ἐν εὐνῇ ἔστω. χρόνου δὲ γινομένου, ἡ τοιήδε νοῦσος ἀνίητος γίνεται, καὶ ξυγκαταγηράσκουσιν ἔξω τὰς μήτρας ἔχουσαι.

CAPVT XXXII.

De osculis vterorum extra pudenda procidentibus, eorumque causis, prognosticis, & curatione.

AT si vterorum os extra pudenda prociderit, quum nimirùm vterorum ceruix prope pudenda sita & ampla sit; id autem magis infœcundis contingit, præcipuéque ex defatigatione oritur, vbi plurimùm laborarit mulier, & vteri calefacti exudarint; ipsorumque os per ceruicem euertitur, quòd nimirùm loco humidiore, lubriciore, & calidiore quàm priori tempore existat. Et vbi hoc contigerit, vteri rectà foras ad frigus feruntur, eorúmque osculum euersum prodit. Si quidem breui curata fuerit, conualescit, sed penitùs infœcunda relinquitur. Si verò non breui, ei osculum durum semper extrà erit, indéque aliàs atque aliàs sanies glutinosa & graueolens fluet. Quòd si menses prodierint, si adhuc eius ea ætatis fuerit, lecto decumbat. Huiusmodi autem morbus temporis progressu incurabilis redditur, & foris pendulos vteros habentes consenescunt.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ τῶν τῆς ὑστέρας ἐξισχομένης καὶ φυσωμένης, καὶ τοῦ στόματος ἐπιπτυχθέντος σημείων, καὶ θεραπειῶν.

ΗΝ δὲ αἱ μῆτραι ἐξίσχωσι, περιπλύνας αὐτὰς ὕδατι χλιηρῷ, καὶ ἀλείψας ἐλαίῳ καὶ οἴνῳ, πάλιν ἐνθεῖναι καὶ ἀναδῆσαι, καὶ ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. Ἢν δὲ πλείονα χρόνον αἱ ὑστέραι ἐξίσχωσι, καὶ περιψύχωνται ναρκωδέως, καταχέειν ὕδωρ θερμὸν πουλὺ, ὅκως [162] διαθερμανθῶσιν. ἢν δὲ ἤδη φυσέωνται, καὶ ὄξος μίσγοντες ξὺν ὕδατι, πυρίην ἢ δάφνης ἢ μυρσίνης ὕδωρ, καὶ ἠρέμα πιέζειν, καὶ κηρωτῇ μύρῳ χρίειν ἢν ἐσαχθῇ· ἢν δὲ μὴ, περικλύσαι τῷ ὕδατι, καὶ ὄξεος ὀλίγον χλιήνας καταχέαι, εἶτα [164] ἀλείφειν. ὁκόταν δὲ ξυντακέωσι, περιπλύνας, ὡς λέλεκται, ἐνθεῖναι, καὶ τ' ἄλλα ποιέειν τὰ προειρημένα· ἔλαιον δὲ μὴ προσφέρειν μηδ' ἄλλο τι πῖον, μηδὲ λίπα ἔχον. Ἢν ἀποπτυχθῇ τι τοῦ στόματος τῆς ὑστέρης, τὰ ἐπιμήνια οὐ γίνονται, ἢ ὀλίγα, καὶ πονηρά, καὶ ἀλγεινά· καὶ ὁκόταν τῷ ἀνδρὶ ξυνεύδῃ, ἀλγέει, καὶ ὅ, τι ἂν ὁ ἀνὴρ μεθίῃ ἐκ συνουσίης, ἔξεισι, καὶ οὐ θέλει ψαύεσθαι, οὐδὲ ἕλκει τὴν γονήν. καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τὸ στόμα τῶν ὑστερέων [164] δῆλον ψηλαφῶσι. Ὅταν οὕτως ὧδε ἔχῃ, πυριῆσαι οὔρῳ παλαιῷ· ἔπειτα ἐμεσάτω ἀπὸ φακίου, συμμίξασα μέλι καὶ ὄξος, ἔπειτα λουέσθω ὕδατι θερμῷ.

CAPVT XXXIII.

De vterorum extrà prominentium, & inflatorum, & osculorum complicatorum signis, & curationibus.

AT si vteri extrà promineant, eos aquâ tepidâ ablutos, & oleo ac vino illitos, rursus intrò reposito ac religato; ac suffitũ ex graueolentibus subter admoueto, naribus verò ex odoratis. Sed si diuturno tẽpore foras promineant vteri, & stupidè perfrigescant, copiosam calidã, vt refoueantur, affundito. Quòd si iam inflentur, etiã aceto aquæ commixto (quæ aut lauri aut myrti decoctũ sit) foueto, placidéq; retrudito, & si obaudierit, cerato vnguẽto linito; sin minùs, aquâ perluito, pauco aceto tepido affuso, deinde inungito. Vbi contabuerint, ablutos, vt dictum est, intrò reponito, reliquaque priùs commemorata facito. Neque oleum autem neque aliud quid pingue, neque quod pinguedinem habeat, adhibendum. Siquid osculorum vteri complicatum fuerit, menses non oriuntur, aut pauci, & praui, ac dolorifici; quumque viro condormierit, dolet, & quicquid ex congressu vir emiserit, exit, neque attingi desiderat, neque genituram attrahit. Dolor imum ventrem & lumbos detinet, & vterorum os manifestè contrectatur. Quum igitur sic habuerit, vrinâ veteri foueto; deinde lenticulæ decocto, admixto melle & aceto, vomat; mox aquâ calidâ lauet.

Posteà

Posteà in phialam argenteam aut æneam oleo Ægyptio & sale infuso, obuelata mulier circum phialam consideat; & si quidem olei odor per os subierit, ipsam parituram affirmato, posteróque die sanam fore; quòd si odor subierit, bene sperare iubeto, ac vbi dormire volet, oleum Ægyptium ex lana supponat. Postridiè verò prospiciat, siquid vterorum os magis directum sit; quòd si esse affirmet, per triduum odoratis foueto, & subdititia quæ non mordeant supponito, purgatóque, & posteà ex odoratis & emollientibus totidem quot anteà diebus colluito. Quum autem menses prodierint, ieiuna & illota aromatis suffita virum adeat. At pleræque ex huiusmodi morbo, nisi curatæ sint, infœcundæ redduntur.

ἔπειτα ἐγχέασα ἐς φιάλην ἀργυρέην ἢ χαλκέην, ἔλαιον λευκὸν Αἰγύπτιον καὶ ἅλας, καλυψαμένην δὲ καθέζεσθαι ἀμφὶ τὴν φιάλην· κἢν μὲν ἴῃ ὀδμὴ αὐτῇ διὰ τοῦ στόματος ἐλαίου, φάναι αὐτὴν τέξεσθαι,[165] καὶ τῇ ὑστεραίῃ ὑγιέα ἔσεσθαι. ἢν δὲ ἴῃ ὀδμή, θαρσύνειν, κἀπειδὰν μέλλῃ εὕδειν, προστιθέσθω τὸ Αἰγύπτιον ἔλαιον ἐν εἰρίῳ· τῇ δὲ ὑστεραίῃ σκεψάσθω ἤν τι μᾶλλον κατ' ἰθὺ[166] ᾖ τὸ στόμα τῶν ὑστερέων· καὶ ἢν φῇ εἶναι, πυριῆσαι εὐώδεσιν ἡμέρας τρεῖς, καὶ προστιθέναι πρόσθετα ὁποῖα μὴ ἀναδήξηται, καθαίρειν δέ, καὶ μετακλύζειν εὐώδεσι καὶ μαλθακοῖσιν, ἴσας ἡμέρας[167] τῇσι πρόσθεν. ὁκόταν δὲ τὰ ἐπιμήνια γένηται, νηστεύσασα, καὶ ἀλουτήσασα παρὰ τὸν ἄνδρα ἴτω, θυμιησαμένη τοῖσιν ἀρώμασιν. Ἄτοκοι δὲ πολλαὶ καὶ ἐκ ταύτης τῆς νούσου γίνονται, ἢν μὴ[168] μελεδανθῇ.

CAPVT XXXIV.

De vteris vlceratis foras maximè prodeuntibus, ac vteris oberrantibus, & pudendis angustis, eorumque curationibus.

Si vteri vlcerati fuerint, & eminùs maximè foras prodierint, manibus oleo pingui illitis intrò reponito, & myrrhæ sinceræ tres pilulas deuorandas exhibeto, & laurum viridem tritam vino dissolutam bibat; sicque sana redditur. Si pudenda angusta fuerint, subdititium imponito. Anisi & apij semen leuiter tritum, pudendis subdito. Si suo loco non maneant vteri, sed modò quidem huc, modo verò illuc eant, ita vt dolores excitent, neq; verò compareant, interdùm autem velut sedes extra procidunt, & vbi quidem supina fuerit, loco manent; vbi verò steterit, aut ex somno surrexerit, aut prona incubuerit, aut alio quodam modo se mouerit, exiliunt, plerunq; verò etiã quietẽ agenti. Hanc quàm maximè quiescere ac placidã esse, minimeq; moueri oportet, lectúmq; à pedibus altiorẽ sternere, & vomitionibus vti. Sursùm enim reuellendum. Acerbis quoq; sunt perfundendi, & graueolentia subter suffienda, naribus verò odorata. Et malum punicum medium ex vmbilico perforatum, quodcunque maximè conuenerit, vino tepefactum, nisi quid prohibuerit, quàm penitissimè subdendum; deinde latâ fasciâ deligandum ac retinendum ne elabatur, sed maneat, & quod opus est faciat; & papaueris portio cum caseo & polenta propinanda, quemadmodùm in procidentia scriptum est. Potionum etiam periculo facto quancunque maximè admiserit, potui dato. Cibis autem quàm mollissimis vtatur, neq; viro condormiat, quoad se in locum suum receperint.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Περὶ τῶν ὑστερέων ἡλκωμένων καὶ πρόσω χωρησασῶν ἐξωτάτω, καὶ τῶν ὑστερέων περιφερομένων, καὶ τῶν αἰδοίων ἐξούρων, καὶ τῶν τούτων θεραπειῶν.

Ἢν ἑλκωθῶσιν αἱ μῆτραι, καὶ πρόσω χωρήσωσιν ἐξωτάτω, ἐλαίῳ χρίων λίπα τὰς χεῖρας, ἐντιθέναι, καὶ δίδου καταπότιον σμύρνης ἀκρήτου τρεῖς καταπίνειν σφαιρίδας, καὶ πινέτω δάφνην χλωρὴν τετριμμένην, οἴνῳ διείς, καὶ ὑγιὴς οὕτω γίνεται.[169] Ἢν ἔξουρα ᾖ τὰ αἰδοῖα, πρόσθετον τίθει. ἀνήσου καρπὸν καὶ σελίνου τρίψας λεῖα, πρόσθες πρὸς τὰ αἰδοῖα. Ἢν μὴ κατὰ χώρην μένωσιν, ἀλλ' ὁτὲ μὲν ἔνθα, ὁτὲ δὲ ἔνθα ἴωσιν, ὡς ὀδύνας παρέχειν, αἳ δὲ ἀφανέες γίνονται, τοτὲ δὲ ἐξίσχουσιν ὡς ἕδρη, καὶ ὁκόταν μὲν ὑπτίη ᾖ, κατὰ χώρην μένουσιν· ὁκόταν δὲ ἀναστῇ, ἢ ἐξ ὕπνου ἐγείρηται, ἢ ἐπικύψῃ,[170] ἢ ἄλλο τι ποιήσῃ κίνημα, ἐξέρχονται, πολλάκις δὲ καὶ ἡσυχίαν ἐχούσῃ. ταύτην χρὴ ὡς μάλιστα ἠρεμέειν τε καὶ ἀτρεμέειν, καὶ μὴ κινέεσθαι, καὶ τὸν κλισμὸν κεῖσθαι πρὸς ποδῶν ὑψηλότερον, καὶ τοῖσιν ἐμέτοισι χρέεσθαι.[171] χρὴ γὰρ ἀντισπάσαι ἄνεκας. καὶ τοῖσι δὲ στρυφνοῖσιν ἀπαιονᾶν, καὶ ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. καὶ τὴν ῥοιὴν διὰ τοῦ ὀμφαλοῦ τρήσαντα[172] μέσην, ἐν οἴνῳ χλιήναντα, ἥ τις ἂν ἁρμόζῃ μάλιστα, καὶ μή τι κωλύει, προσθεῖναι ὡς ἐσωτάτω· εἶτ' ἀναδῆσαι ταινίῃ πλατέῃ καὶ ἀναλαμβάνειν ὡς μὴ ὀλισθάνοι, ἀλλὰ μένοι, καὶ ποιέειν τὸ δέον. καὶ τὴν μήκωνα ξὺν τῷ τυρῷ καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν, καθάπερ ἐν τῇ προσπτώσει γέγραπται. καὶ τῶν ποτημάτων πειρώμενος ὅ, τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν· σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρήσθω, καὶ μετὰ τοῦ ἀνδρὸς μὴ συνευδέτω, ἄχρις οὗ κατὰ χώρην[173] οἰητέη.

CAPVT XXXV.

De vterorum prolapsorum & ad crura ac pedes conuersorum signis, vt & hîc aphoniæ curatione.

Si vteri exciderint, hederam siccissimam tenuiter tritam, linteo ligatam admoueto, & nihil pingue adhibeto. Potui verò exhibeto triticum priùs tusum, & papauer album, saluiam, cyperum, & anisum; hæc leuiter trita, ex vino macerata,

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Περὶ τῶν ὑστερέων ἐκπεσουσῶν, καὶ ἐς τὰ σκέλη καὶ τοὺς πόδας τραπεισῶν σημείων, ὡς καὶ τῆς ἐνταῦθα ἀφωνίας θεραπείας.

Ἢν αἱ μῆτραι ἐκπέσωσι, κισσὸν ὡς ξηρότατον τρίψας λεῖον, ἐνδήσας τε εἰς ὀθόνιον, προσίσχειν, καὶ λιπαρὸν προσφέρειν μηδέν. πίνειν δὲ διδόναι πυροὺς[174] προκόψας, καὶ μήκωνα λευκήν, καὶ ἐλελίσφακον, καὶ κύπειρον, καὶ ἄνισον· ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ,

καὶ τῶν κυρηβίων τῶν ἀπὸ τῶν κριθέων, διδόναι δὶς τῆς ἡμέρης, [175] ἐφ᾽ ἑκάτερον ἡμικοτύλιον. Ἢν ἐς τὰ σκέλεα [176] καὶ πόδας τράπωνται, γνώσῃ ὧδε. οἱ μεγάλοι δάκτυλοι τοῖν ποδοῖν σπῶνται ὑπὸ τοὺς ὄνυχας, καὶ ὀδύνη ἔχει τὰ σκέλεα καὶ τοὺς μηροὺς, καὶ ἔγκειται, καὶ θλίβει τὰ ἀμφὶ τὸν μηρὸν νεῦρα. Ὅταν οὕτως ἔχῃ, λούειν χρὴ πολλῷ καὶ θερμῷ θαμινὰ, καὶ πυριῆν ἢν δύνηται, καὶ ὑποθυμιῆν τὰ κακώδεα, [177] καὶ τοὺς μηροὺς τῷ ῥοδίνῳ ἀλειφέσθω λίπα. Ἢν δὲ ἄναυδος γένηται ἐξαπίνης, τὰ σκέλεα ψυχρὰ εὑρήσεις ἂν, καὶ τὰ γούνατα, καὶ τὰς χεῖρας, καὶ ἢν ψαύσῃς τῆς ὑστέρης, οὐκ ἐν κόσμῳ ἐστὶ, καὶ ἡ καρδίη πάλλεται, καὶ βρύχει, καὶ ἱδρὼς πουλὺς, καὶ τἆλλα ὅσα οἱ ὑπὸ ἱερῆς νόσου ἐπίληπτοι πάσχουσι, καὶ ἐῶσα ἀπ᾽ οὔατος δρῶσι. Ταύτῃσι καταχεῖν ὕδωρ ψυχρὸν χρὴ πουλὺ κατὰ τῶν σκελῶν τε, καὶ ὡς τἆλλα ποιέειν, καθὰ πρόσθεν εἴρηται.

cum hordei furfuribus, bis die potui exhibeto, vtraque potione dimidiam heminam. Si ad crura & pedes se vertant, sic nosces. Magni pedum digiti sub vnguibus conuelluntur, & dolor crura ac femora detinet, & in femoris neruos incumbit & premit. Quum sic habuerit, copiosâ calidâ crebrò lauanda; & si ferre possit fouenda, & suffitus ex graueolentibus subter adhibendus, femoraque oleo rosaceo inungat. Quòd si voce deficiat derepentè, crura, genua, & manus frigidas deprehendes; & si vterum contigeris, suo loco non est, cor palpitat, dentibus fremit, sudor copiosus erumpit, *& alia quæ morbo comitiali correpti patiuntur, & auribus exudant. His copiosa frigida cruribus affundenda, reliquáque velut priùs dictum est, facienda.*

ΚΕΦΑΛΑΙΟΝ Λϛʹ.

Περὶ τῶν τῆς ὑστέρας κινηθείσης, καὶ προσπεσούσης που καὶ ὀδύνην παρεχούσης αἰτίων, καὶ τῆς θεραπείας.

Ἢν κινηθεῖσαί που προσπέσωσι, καὶ ὀδύνην παρέχωσιν, ἐλαίης ψώρην, καὶ δάφνης καὶ κυπαρίσσου πρίσμα ἑψήσας ἐν ὕδατι, ἐς εἴριον ἐμβαλὼν προστίθει. Ὁκόταν δὲ γυνὴ ἐκ τόκου ἐοῦσα φορτίον ἄρηται μεῖζόν τι τῆς φύσιος, [178] ἢ πτίσσῃ, ἢ κεάσῃ ξύλα, ἢ δράμῃ, ἢ ἄλλα τινὰ τοιάδε δράσῃ, αἱ ὑστέραι ἐκπίπτουσιν πρὸς ταῦτα μάλιστα, ἐνίοτε δὲ πρὸς πταρμόν· οὐ γὰρ βιᾶται, ἢν βίῃ πταρνυμένη μὴ ἐπιλάβηται τῆς ῥινός. Περικλύζειν χρὴ τὰς ὑστέρας ὕδατι χλιαρῷ, ἔπειτα τεύτλου χυλῷ ἀποζέσαντα ὁμοίως, εἶτα ἀκρήτῳ οἴνῳ μέλανι. ἢν δὲ μὴ ἐσακούῃ, μαλθακτήρια ποιέειν χρή· ταῦτα δὲ ποιέειν χρὴ πρότερον, ἢ ψυχθῆναι, καὶ ἐνθεῖναι εἴσω πρηγεικῶς, εἶτα ἐκτείνειν τὰ σκέλεα καὶ ὑπαλλάξαι, καὶ ὑπὸ τὰ αὐτὰ ὑποτιθέναι τι μαλθακόν. [179] ὑπὸ τοῦδε εἴργεσθαι χρὴ τὰς τοιαύτας ὡς μάλιστα, καὶ τὴν κοιλίην χρὴ φυλάσσειν, ὅκως μὴ ἐκταραχθῇ, πρὸς δὲ τὴν ῥῖνα τῶν εὐωδέων διδόναι. Τὰς τοιαύτας χρὴ ἐξ ὑστέρου, ἢν μὴ ἀτρεμίζωσιν, ἀλλὰ κινέωνται, ἐλλεβορίζειν· ἢν δὲ μὴ ἐξαρκέωσι, καὶ ἐμέτους ποιέειν, καὶ ἀλουτέειν, σιγῆν τε καὶ ἠρεμέειν.

CAPVT XXXVI.

De vterorum concitatorum, & aliquam in partẽ allapsorum, dolorémq; excitantiũ, causis, & curatione.

Si commoti vteri *aliquorsum prociderint, & dolorem excitent, oleæ scabiem, lauri & cupressi scobem in aqua coctam, lanâ exceptam, subdito. Quum verò mulier recens à partu onus aliquod pro natura maius sustulerit, aut timuerit, aut ligna secuerit, aut cucurrerit, aut alia quædam eiusmodi fecerit, vteri ob hæc plerúnque excidunt; interdùm verò ad sternutationem. Non enim violatur, si per vim sternutans nares non apprehenderit. Vteros aquâ tepidâ proluere oportet, posteà betæ succo feruefacto eodem modo, deinde vino meraco nigro. At si his non cedant, emollientia facere oportet; ea verò priùs quàm refrigerentur facere oportet, & leniter intrò reponere, cruráque inter se alternata extendere, & ijs molle aliquid subdere. Eæ à potu præcipuè arcendæ, cauendumque ne venter exturbetur, & naribus odorata adhibenda. Posteà si non quiescant, sed moueantur, has veratro purgare oportet; ac nisi satis sit, vomitiones ciere, minimè lauare, silere, & quiescere.*

ΚΕΦΑΛΑΙΟΝ ΛΖʹ.

Περὶ τῶν τῆς ὑστέρας φυσηθείσης σημείων, καὶ συμπτωμάτων, καὶ τῆς θεραπείας.

Ἢν [180] ἀγγειαθῶσιν αἱ μῆτραι, ἡ γαστὴρ αἴρεται, καὶ φυσᾶται, καὶ σμαραγεῖ, καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ κοῖλα τοῦ προσώπου, καὶ ἡ χροιὴ [181] ἀηδὴς γίνεται, καὶ τὰ ἐπιμήνια κρύπτεται, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται ἐν τούτῳ τῷ χρόνῳ, καὶ ἀσθμαίνει, ἀφρίζει τε, καὶ ἀλύει, καὶ ὅταν ἐγείρηται ἐξ ὕπνου, ὀρθοπνοίη μιν ἔχει, καὶ ὅ, τι ἂν φάγῃ ἢ πίῃ, λυπέει αὐτὴν, καὶ στένει, καὶ ἀθυμέει μᾶλλον, ἢ πρὶν φαγεῖν, καὶ πνίγεται, καὶ τὰ νεῦρα ἕλκεται, καὶ αἱ μῆτραι, καὶ αἱ κύστιες ἀλγέουσι, καὶ οὐκ ἔστι ψαῦσαι τῇ χειρὶ, οὐδὲ τὸ οὖρον προΐεται, οὐδὲ τὴν γονὴν δέχονται. Ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω, θερμῷ λούειν, καὶ καθίννυσθαι θαμινὰ ὅλον τὸ σῶμα,

CAPVT XXXVII.

De vterorum inflatorum signis, symptomatis, & curatione.

Si vteri inflati fuerint, venter attollitur, inflatur, resonat, pedes & faciei cauitates tumẽt, color deformis fit, menses delitescunt, neq; eo tẽpore genitura intùs generatur; anhelat, spumat, & anxia est, quumq; somno expergiscitur, orthopnœa ipsã detinet, & quicquid ederit aut biberit, eam molestat, gemit, & animo magis decidit quàm priusquàm edat, & suffocatur, nerui contrahuntur, vteri & vesicæ dolent, neque manûs contactum admittunt, neque vrinã profundunt, neq; genituram recipiũt. Quũ sic habuerit, medicamẽtũ deorsũ purgãs propinare oportet, calidã lauare, crebroq; toto corpore insidere,

interdumque

interdúmque ad umbilicum vsque fouere; intermissione verò factâ, ea à quibus repurgetur, neque mordeatur, in subdititio apponere. Suffitus ex odoratis pudendis adhibeatur, naribus verò ex graueolentibus. Potiones quoque dato, quæ vteros purgant, eosque ad locum impellunt; mercurialem comedat, posteáque lac bibat, velut de latere scriptum est. Morbus autem diuturnus non est.

CAPVT XXXVIII.

De vterorum scirrho affectorum causis, signis, & curatione.

SI indurauerint vteri, tum os asperum redditur, tum menses occultantur; quum verò eunt, asperi tanquam arena apparent. Quòd si etiam digito attingatur, vteri os asperum deprehendes, velut callus semper adnascitur. Quum sic habuerit, cylaminum tritum, salem, ficum simul miscere oportet, & melle glandulas efformare, ac subdere, & fomento adhibito purgantibus colluere. Mercurialem autem & brassicam coctam edat, & succum sorbeat, ac porrum, calidâque lauetur. Si vteri scirrho affecti sint, tum menses occultantur, tum eorum os conniuet, neque concipit, & velut aliud quid est. Quòd si contigeris, tanquam saxum illic esse videtur, os asperum est, & multis donatum radicibus, non læue aspectu, neq; digitum admittit, siquis ipsum inspiciat. Febris cum perfrictione inuadit, & fremitus, dolorq; vteros, imum ventrem, laterum inanitates & lumbos detinet. Hæc autem patitur, si corrupti menses computruerint; interdùm verò ex partu frigore, aut prauâ victûs ratione, & aliter. Medicamentum igitur propinandum, multâque aquâ calidâ lauandum, & oleo vtendum, fomentumque admouendum. Quum autem recens lota aut fota fuerit, immisso specillo eorum os aperiendum & diducendum, quod & digito similiter faciendum, emollientiáque vt dictum est, apponenda, & potiones similiter propinandæ, eodemque modo curandum.

CAPVT XXXIX.

De vterorum obduratorum causis, signis, & curatione.

AT si obdurverint vteri, vterorum os durum redditur, & conclusum est, neque menses prodeunt, sed pauciores & deteriores sunt, febris & rigor inuadit, dolor ad imum ventrem, lumbos & lateris inanitates irruit. Quum sic habuerit, copiosâ calidâ lauato, & tepefactoria apponito, si dolor detineat, & vteros multo tempore leniter aquâ decocti cucumeris agrestis foueto; deinde emollientia supponito, eaque tribus diebus facito. Quòd si ipsius contactu vterorum os molle appareat, ex crudo lino tria linamenta suppuratoria indito, primum quidem tenue, alterum verò paulò crassius; crassissimum autem parui sit digiti crassitudine, ac digitorum quinque longitudine, quæ adipe anserino illita supponito, & glan-

ἔστι δ᾽ ὅτε καὶ ἄχρις ὀμφαλοῦ πυριῆν· διαλιπὼν δὲ, προστιθέναι τὰ ὑφ᾽ ὧν καθαρθήσεται, καὶ μὴ δηχθήσεται. ὑποθυμιήσθω δὲ τὰ εὐώδεα ὑπὸ τὰ αἰδοῖα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ κάκοδμα· καὶ ποτήματα διδοῦν, ἃ καθαίρουσιν ὑστέρας, καὶ ἐλαύνουσιν ἐς χώρην· καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ τὸ γάλα μεταπινέτω, ὡς ἐπὶ τοῦ πλευροῦ γέγραπται. ἡ δὲ νοῦσος οὐ χρονίη.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ.

Περὶ τῶν ὑστερῶν σκιρρωθεισῶν αἰτίων καὶ σημείων, καὶ τῆς θεραπείας.

ἪΝ σκιρρωθῶσιν αἱ μῆτραι, τό τε στόμα τρηχύνεται, καὶ τὰ ἐπιμήνια κρύπτεται, ὁκόταν δὲ ἴῃ, ὡς ψάμμος φαίνεται τρηχεῖα· ἢν δὲ καθάψηται τῷ δακτύλῳ, τρηχὺ τὸ στόμα εὑρήσεις τῆς μήτρης, ὡς πῶρος προσφύεται αἰεί. ὅταν ὧδε ἔχῃ, τὸν κυκλάμινον χρὴ τρίψαντα, καὶ ἅλας, καὶ σῦκον ὁμοῦ μίσγειν, καὶ ἀναποιέειν μέλιτι βαλανίδας καὶ προστιθέναι, καὶ πυριήσαντα, κλύσαι τοῖσι καθαίρουσιν. ἐσθιέτω δὲ τὴν λινόζωστιν, καὶ κράμβην ἑφθὴν, καὶ τὸν χυλὸν ῥοφεέτω, καὶ πράσον, καὶ θερμῷ λουέσθω. Ἢν αἱ μῆτραι σκιρρωθῶσι, τά τε ἐπιμήνια ἐπιλυγίζονται, καὶ τὸ στόμα αὐτέων ξυμμύει, καὶ οὐ κυΐσκεται, καὶ ὡς ἕτερόν ἐστι, καὶ ἢν ψαύσῃς, ὡς λίθος δοκέει κεῖθι εἶναι, καὶ τὸ στόμα τρηχὺ, καὶ πολύρριζον, καὶ οὐ λεῖον [183] εἰδεῖν, καὶ τὸν δάκτυλον οὐκ ἐσίη, ὅς μιν καθορῇ· καὶ πῦρ λαμβάνει περίψυχρον, καὶ βρυγμὸς, καὶ τὰς μήτρας ὀδύνη ἔχει, καὶ τὴν νειαίρην γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα, ἢν οἱ διαφθαρέντα τὰ ἐπιμήνια σαπῇ· ἔστι δ᾽ ὅτε καὶ ἐκ τόκου, καὶ ψύχεος, ἢ πονηρῆς διαίτης, καὶ ἄλλως. Φάρμακον οὖν χρὴ πιπίσκειν, καὶ λούειν θερμῷ πολλῷ τε ὕδατι, καὶ ἐλαίῳ χρέεσθαι, καὶ πυριῆν. ὁκόταν δὲ νεόλουτος, ἢ νεοπυρίητος ᾖ, τὴν μήλην καθεὶς, ἀνασομοῦν καὶ ἀναρύσαι τὸ στόμα αὐτέων, καὶ τῷ δακτύλῳ ὁμοίως, καὶ προστιθέναι μαλθακτήρια ὡς εἴρηται, καὶ τῶν ποτημάτων ὡσαύτως πιπίσκειν καὶ θεραπεύειν.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

Περὶ τῆς ὑστέρας σκληρωθείσης αἰτίων, καὶ σημείων, καὶ τῆς θεραπείας.

ἪΝ δὲ σκληρωθῶσιν αἱ μῆτραι, τὸ στόμα σκληρὸν γίνεται τῶν ὑστερέων, καὶ ξυμμέμυκε, καὶ τὰ ἐπιμήνια οὐ γίνεται, ἀλλ᾽ ἐλάσσω καὶ κακίω, καὶ ὀδύνη ἐμπίπτει, καὶ πῦρ, καὶ ῥῖγος λαμβάνει ἀμφὶ τὴν νειαίρην γαστέρα, καὶ τὴν ὀσφὺν, καὶ τοὺς κενεῶνας. Ὅταν δὲ ὧδε ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ καὶ χλιάσματα προστιθέναι, ἢν ὀδύνη ἔχῃ, καὶ πυριῆν τὰς ὑστέρας βληχρῶς πουλὺν χρόνον τῷ ἀπὸ τοῦ σικύου τοῦ ἀγρίου ὕδατι, ἔπειτα προστιθέσθω μαλθακτήρια. τρεῖς ἡμέρας ταῦτα ποιέειν. καὶ ἢν ψαυούσῃ αὐτῇ, μαλθακὸν τὸ στόμα τῶν ὑστερέων φαίνηται, μοτοῦν ὠμολίνῳ καθετηρίῳ τοὺς ἐμπυοῦς μοτοὺς τρεῖς, τὸν μὲν πρῶτον, λεπτὸν, τὸν δὲ δεύτερον ὀλίγον παχύτερον· ὁ δὲ παχύτατος ἔστω τῷ μεγέθει, ὅσον ὁ σμικρὸς δάκτυλος, μῆκος δὲ πέντε δακτύλων, χρίων χηνείῳ ἀλείφατι· προστιθέναι δὲ προ-

πυριήσας τοῖσιν εὐώδεσι, καὶ βάλανον μαλθακτικήν. [184] ἢ νίτρου ὅσον ἐπαλείφοντα, ὡς μὴ τρώσῃ (οὐ γὰρ κεντεῖν δεῖ) καὶ προσκείσθω δύο ἡμέρας· ἀφίσταται δὲ οἷον λοπὸς καὶ δέρμα παχύ· διαλιπὼν δὲ τρεῖς ἡμέρας, τὴν κυκλάμινον τὸ ξὺν τῷ ναρκισσίνῳ. ἢν δὲ ταῦτα μὴ καθαίρῃ, κατὰ νόον πουλὺν [185] προστιθέναι τέως τὸ ξὺν τῇ βουπρήστει· προσκείσθω δὲ τὴν ἡμέρην, καὶ ἐπὴν δάκνῃ ἰσχυρῶς, ἕλκειν τὴν βάλανον καὶ διανίζεσθαι τὸ αἰδοῖον ὕδατι θερμῷ, καὶ ἐν ἐλαίῳ [146] δίζεσθαι. τῇ δὲ ὑστεραίῃ λουσαμένη, ἐλάφου στέαρ τήξασα, καὶ εἰς εἴριον μαλθακὸν ἀναφυρήσασα, προστιθέσθω. καὶ ἢν τοι δοκέῃ ἔτι καθάρσιος δεῖσθαι, διαλιπὼν τρεῖς ἡμέρας, προστιθέναι τὸ ξὺν τῷ ναρκισσίνῳ, τῇ δὲ ὑστεραίῃ τὸ νέτωπον· ἔπειτα πάλιν διαλιπὼν τρεῖς ἡμέρας, κλύσαι τὰς ὑστέρας εὐώδεσι καὶ λιπαροῖσι, τῇ δὲ ὑστεραίῃ, τὴν γλήχωνα προστιθέναι μίαν ἡμέρην, τῇ δὲ ἑπομένῃ, πυριῆν τοῖσιν ἀρώμασι. σιτίοισι δὲ δριμέσι χρήσθω, καὶ τοῖσι θαλασσίοισιν, ἢ κρέασιν. ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν, πινέτω τὸ καστόριον, καὶ ἀσιτεύσασα ἀλουτείτω θυμιωμένη, καὶ τὸν κυκεῶνα πίνουσα, παρὰ τὸν ἄνδρα ἠκέτω.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

Περὶ τῶν τοῦ στόματος ὑστερῶν τὴν γονὴν μὴ ἐνδεχομένου, ἀλλὰ σκληρυνομένου καὶ συμμύοντος, σημείων καὶ θεραπευτικῶν.

Ἢν δὲ μὴ ἐνδέχηται τὸ στόμα τῶν ὑστερέων τὴν γονὴν, ἀλλὰ [187] στερεῶδες ᾖ, καὶ συμμεμυκὸς, προστιθέσθω μολύβδιον, ὡς εἴρηται, τρεῖς ἡμέρας λουσαμένη θερμῷ, καὶ μαλθακτηρίοισι χρεέσθω, καὶ ἀνακεέσθω ὑπτίη, καὶ ἐφ' ὕδωρ θερμὸν [188] ἰζέσθω, καὶ εἰρίον ἐς μύρον ἀποβάπτουσα, προστιθέσθω, καὶ τὴν νύκτα προστιθέναι δεῖ μᾶλλον. παρατιθέναι δὲ [189] παρὰ τὰ ἰσχία εἵματα εἰρίνεα, ἢ μαλθακὰ λίνεα, ὡς μὴ περιῤῥεπὲς ᾖ τὸ σῶμα. προσθέτοισι μαλθακοῖσι, σμύρναν πιοτάτην, καὶ πίσσαν, καὶ κηρὸν, καὶ στέαρ χηνός· ἔστω δὲ τῆς σμύρνης μὲν τὸ ἥμισυ, τῶν δ' ἄλλων διπλάσιον, ἐν εἰρίῳ δὲ προστίθεσθαι· ἔστω δὲ δύο, προσκείσθω δὲ λουσαμένη τὴν ἡμέρην τὸ ἓν, τὸ δὲ ἕτερον ἐς τὴν νύκτα [190] ἔστ' ἂν μαλθακὸν, καὶ ἐπειδὰν τοῦτο ὑφέλῃ, τῷ εὐώδει ὕδατι περινιζέσθω. [191] ἢ ἐκλέψας κόκκους πεντεκαίδεκα, ἔστω [192] καὶ Ἰνδικοῦ ποσὸν ἢν δοκέῃ εἶναι, ἐν γάλακτι γυναικὸς κουροτρόφου, καὶ τρίβειν· παραμίσγειν δὲ καὶ ἐλάφου μυελὸν, καὶ τἄλλα ὁκόσα εἴρηται, καὶ μέλιτι ὀλίγῳ μίσγειν. τὸ δὲ εἴριον μαλθακὸν καθαρὸν ἔστω, καὶ πρὸς τὴν ἡμέρην προστιθέσθω· ἢν δὲ βούλῃ ἰσχυρότερον ποιέειν, σμύρνης σμικρόν τι παραμίσγειν. ἄριστον δὲ ὠοῦ τὸ λευκὸν, καὶ αἰγὸς στέαρ, καὶ μέλι, καὶ ἔλαιον ῥόδινον τουτέοισιν ἀναφυρῆν· [193] ἔλαιον δὲ παραχλιαίνειν παρὰ τὸ πῦρ, καὶ τὸ ἀποστάζον εἰρίῳ ξυλλέγειν, καὶ προστιθέναι. [194] ἢ στέαρ ἐρυθρὸν χηνὸς τὸ ἡδὺ, καὶ μύρον ῥόδινον, ταῦτα ξυμμίσγειν, καὶ προστιθέναι ἐς εἴριον ἀναδεύσασα. ἄμεινον δὲ χηνὸς ἔλαιον, οἴος στέαρ, κηρὸς λευκὸς, ῥητίνη, νέτωπον, ἔλαιον ῥόδινον, ταῦτα ὁμοῦ τῆξαι καὶ μῖξαι, λουσαμένη δὲ προστιθέσθω χλιαρὰ εἴσω πρὸς τὸ στόμα τῶν ὑστερέων. ἢ ἐλάφου μυελὸν, καὶ στέαρ χηνὸς τήξας, ῥοδίνῳ ἢ ἰρίνῳ ἐλαίῳ ἀναφυρῆν, εἴριον δὲ μαλθακὸν ἄγαν προστιθέναι.

dem emollientem indito, fomento priùs ex odoratis adhibito. Aut nitri tantillo illinito, vt ne vulneret (non enim pungere oportet) & per duos dies apponatur; decedit autem velut cortex & cutis crassa. Tribus autem intermissis diebus, cyclaminum cum narcissino subdito. Quòd si ista non purgarint, tum multâ mentis speculatione, medicamentum cum bupresti paratum supponito, & per diem appositum maneat; & vbi vehementer momorderit, glandem extrahito, pudendum aquâ calidâ perluito, & in oleo exploretur. Postridiè verò lotæ cerui adeps liquatus, & lanâ exceptus apponatur; & si tibi adhuc purgatione indigere videatur, tribus intermissis diebus, supponito quod cum narcissino, postridiè verò netopum. Deinde rursus tribus intermissis diebus, vteros odoratis & pinguibus colluito; postridiè verò pulegium vno die subdito; & sequenti die cum aromatis foueto ac suffito. Cibis autem acribus vtatur, & marinis piscibus, aut carnibus. In mensibus autem castorium bibat, & ieiuna, illota, suffita, & epoto cyceone, ad virum accedat.

CAPVT XL.

De oris vterorum semen non excipientis, sed obdurescentis, & occlusi signis, & curatione.

At si vterorum os genituram non suscipiat, sed duriusculum fuerit & occlusum, post calidæ balneum, per tres dies glandulam plumbeam, vt dictum est, subdat, emollientibus vtatur, supina decumbat, in aquam calidâ insideat, & lanam vnguento imbutam apponat, quæ noctu potiùs apponenda est. Ad coxas vestes laneas aut molles lineas apponito, ne corpus in alterutram partem dilabatur. In mollibus subdititijs, myrrham pinguissimam, picem, ceram, & adipem anserinum apponat. Sit autem myrrhæ quidem pars dimidia, reliquorum verò dupla, in lanâ autem supponito. Duo verò sint subdititia, quorum vnum per diem lota subdet; alterum verò per noctem, quoad emollitum sit, quod vbi subduxerit, aquâ odoratâ circumabluatur. Aut grana cnidia quindecim cortice detracto sumito, sit & Indici medicamenti aliquantulùm, in lacte mulieris masculum lactantis, si ita visum fuerit, tritum; admiscenda autem cerui medulla, & quæ dicta sunt, cum pauco melle mixta. Sit etiam lana mollis pura, & ad diem supponatur. Quòd si vehementius parare voles, myrrhæ pusillum quid admisceto. Optimum autem oui candidum, adipem caprinum, mel & oleum rosaceum his permisceri. Oleum autem ad ignem tepefacito, & quod destillat, lanâ exceptum supponito. Aut anserinum adipem rubrum suauiter conditum, & vnguentum rosaceum, hæc permixta & lanâ excepta supponito. Optimus autem est anserinus adeps & ouillus, cera alba, resina, netopum, oleum rosaceum, hæc simul liquato & misceto. A balneo autem tepida intrò ad vterorum os apponat. Aut cerui medullam, & anserinum adipem liquatum, rosaceo aut irino oleo subactum, ex lanâ autem admodum molli supponito.

CAPVT

A

CAPVT XLI.

De vterorum obduratorum, & ad pudenda prodeuntium signis, & curatione.

MVlieri quum vteri duri extiterint, & ad pudenda excesserint, inguina indurescunt, in pudendis ardor est, omniaque ad cancrum vergunt. Quum igitur B *sic habuerit, cucumeris agrestis interiorem partem, & fauum terere oportet, & affusâ aqua heminâ, in sedem immittere, vt purgetur. Si vterorum os prae siccitate induruerit, aut ceruix, & morbus formatus fuerit, digiti contactu cognosces. Ac si ad coxam deuoluti sint, acre nihil adhibeto. Periculum enim est, si vlceretur, aut inflammetur, ne penitùs infœcunda reddatur. Verùm quae non mordent, à quibus purgetur, apponito. Quum autem duri fuerint vteri, eâque parte dolor adfuerit, subdita* C *velut cerui medullam, aut anserinum adipem, aut suillum, & vnguentum irinum cum melle, aut oui luteum ex cera alba emollitum ex cataplasmate imponito; & hordeaceam aut triticeam farinam cum aqua & ruta coquito.*

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Περὶ τῶν τῆς ὑστέρας σκληρᾶς γενομένης, καὶ ἐς τὰ αἰδοῖα ἐξιούσης σημείων καὶ θεραπευτικῶν.

Γυναικὶ ὁπόταν αἱ ὑστέραι σκληραὶ γένωνται, καὶ ἐς τὰ αἰδοῖα ἐξίωσι, καὶ οἱ βουβῶνες σκληροὶ γίνονται, καὶ καῦμα ἐν τοῖσιν αἰδοίοισιν ἐνῇ, [195] καὶ καρκινοῦται πάντα. ὅταν οὖν ὧδε ἔχῃ, σικύου χρὴ τὸ ἔνδον τρῖψαι, καὶ κηρίον, ὕδατος κοτύλην ἐπιχέαι, ἐνεῖναι ἐς τὴν ἕδρην, καὶ καθαίρεται. Ἢν δὲ στόμα τῶν ὑστερέων σκληρὸν γένηται ὑπὸ ξηρασίης, καὶ ἐν σχήματι ἡ νοῦσος, ἢ ὁ αὐχὴν, τῷ δακτύλῳ γνώσῃ περιψαύσας. καὶ ἢν εἰς τὸ ἰσχίον εἰλυθῶσι, μὴ προσφέρειν δριμὺ μηδέν· ἢν γὰρ ἑλκωθῇ, ἢ φλεγμήνῃ, κίνδυνος δὲ πάμπαν ἄτοκον γενέσθαι· προστιθέναι δὲ, ἅσσα μὴ δάξεται, ὑφ' ὧν καθαρεῖται. ὅταν δὲ σκληραὶ ἔωσιν αἱ ὑστέραι, καὶ τῇδε [197] ἀλγέωσι, προσθετὰ τιθέναι, οἷον ἐλάφου μυελὸν, ἢ χηνὸς στέαρ, ἢ ὕειον, καὶ ἴρινον μύρον σὺν μέλιτι, μαλθάσσειν ᾠοῦ δὲ πυῤῥὸν καὶ κηροῦ λευκοῦ ὡς ἐπίπλασμα· καὶ κρίθινον, ἢ πύρινον ἄλητον σὺν ὕδατι καὶ πηγάνῳ ἑψεῖν.

CAPVT XLII.

De vterorum occlusorum & conniuentium signis, & curationibus.

D

SI vteri conclusi fuerint, ipsorum ora dura evadunt, neque ampliùs genituram recipiunt, sed inde vbi cum viro concubuerit ac crura mouerit, secedit; dolores imum ventrem, lumbos, & inguina detinent, & menses nullo modo prodeunt, quod si prodeant, pauci, praui, & decolores. Quum sic habuerit, multâ calidâ lauato. Post balneum verò, castorium cum paeoniae radice, ex vino nigro odorato permixta exhibere oportet. Cibis autem velut puerpera vtatur; quod si menses conspicui fiant, die vno inter- E *iecto, totam foueto, & medicamentum potui exhibeto, si assuefactae fuerint, sursum aut deorsùm purgans, si indigere videatur. Lac igitur asininum aut serum exhibeto; leniter foueto; emollientia vtero, cyclaminum & narcissinum adhibeto. Cucumerum autem agrestium paruorum medullam, semine detracto concisam, lacte mulieris masculum lactantis affuso terito, myrrhâ sincerâ admixtâ, & melle quàm optimo, & oleo albo Aegyptio; hoc medicamento non* F *liquido, sed sicco confecto, lanam mollem puram obducito; & oleo albo Aegyptio intinctam post balneum subter apponat. Subligetur autem, & sub tecto maneat, quum purgatur. Vbi autem tibi satis esse videbitur, quiescat; sin minùs, rursùs aliud imponito. Posteà verò obuolutam lanam mollem rotundam faciat & netopo iniecto, die vnâ subter apponito, postero autem die, oleum rosaceum in lana; deinde rursùs ceruinum adipem liquatum, etiam ipsum in lana. Lauetur autem calidâ aquâ semper ante subdititia, & longo tempore odoratis leniter foueatur. Posteà verò*

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

Περὶ τῶν τῆς ὑστέρας συμμυούσης σημείων καὶ θεραπειῶν.

Ἢν αἱ μῆτραι ξυμμύωσι, τὰ στόματα σκληρὰ γίνονται σφέων, καὶ τὴν γονὴν οὐκ [198] ἔτι δέχονται, ἀλλ' αὐτόθεν ἐπὴν ξυνευνηθῇ τῷ ἀνδρὶ κινέουσα τὰ σκέλεα, χωρέει, καὶ ὀδύναι τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς βουβῶνας ἔχουσι, καὶ τὰ ἐπιμήνια παντάπασιν οὐ γίνεται, ἢν δὲ γίνηται, ὀλίγα, καὶ πονηρὰ, καὶ ἄχροα. Ὅταν ὧδε ἔχῃ, λούειν πολλῷ θερμῷ· μετὰ δὲ τὸ λουτρὸν, διδόναι τοῦ καστορέου σὺν τῇ γλυκυσίδῃ τῆς ῥίζης, ξυμμίσγειν χρὴ ἐν οἴνῳ μέλανι εὐώδει· σιτίοισι διαιτήσθω, ὡς ἡ λεχώ. καὶ ἢν δῆλα ᾖ τὰ ἐπιμήνια, ἐπισχεῖν μίαν ἡμέρην, καὶ πυριῆν ὅλην, καὶ φάρμακον διδόναι ποτὸν, ἢν δὲ ἐθάδες ἔωσιν, ἄνω ἢν δοκῇ δεῖσθαι, ἢ κάτω. γάλα οὖν ὄνου, ἢ ὀῤῥὸν προσφέρειν, καὶ πυριῆσθαι βληχρῶς, καὶ μαλθακτήρια ὑστέρῃ προσφέρειν, καὶ κυκλάμινον, καὶ ναρκίσσινον. σικύων δὲ τῶν σμικρῶν λαβεῖν τὴν ἐντεριώνην, καὶ κατακνήσας, ἐξελὼν τὸ σπέρμα, περιστάζων γάλα γυναικὸς κουροτρόφου, τρίβειν, παραμιγνύων σμύρνην ἄκρητον, καὶ μέλι ὡς κάλλιστον, καὶ ἔλαιον λευκὸν Αἰγύπτιον, καὶ ποιεῖν μὴ ὑγρὸν, ἀλλὰ ξηρὸν, τοῦτ' ἐμπλάσαι εἰς εἴριον μαλθακὸν καθαρὸν, καὶ ἐμβαψάτω ἐν λευκῷ ἐλαίῳ Αἰγυπτίῳ, καὶ λουσαμένη προστιθέσθω. ὑποδείσθω δὲ καὶ ἐν σκέπῃ [199] ἤτω, ὅταν καθαίρηται. ἐπὴν δέ σοι δοκέῃ ἀρκούντως ἔχειν, παύσασθαι· ἢν δὲ μὴ, αὖθις τιθέναι ἕτερον. μετὰ δὲ τοῦτο ἀμφιελίξασα ἐς εἴριον μαλθακὸν, στρογγύλον δὲ ποιέειν, καὶ νέτωπον ἐμβάλλειν, καὶ προστιθέναι μίαν ἡμέρην· τῇ δ' ὑστεραίῃ, ἔλαιον ῥόδινον ἐν εἰρίῳ, εἶτα πάλιν ἐλάφου στέαρ τήξας καὶ αὐτὸ ἐν εἰρίῳ· λουέσθω δὲ ἐν θερμῷ ὕδατι, αἰεὶ πρὸ τῶν προσθέτων, καὶ πυριάσθω εὐώδμοισι βληχρῶς [200] πλεῖστον χρόνον. μετὰ δὲ,

μίαν διαλιπὼν ἡμέρην, κλύσαι, ἢν μὲν φλεγματώδης, τῷ ξὺν τῷ κόκκῳ, ἢν δὲ χολώδης, τῷ ἀπὸ τῆς σκαμμωνίης· μετακλύζειν δὲ καὶ ἐπὶ τουτέοισιν ἀμφοτέροισι, τῇ ὑστεραίῃ τῷ ναρκισσίνῳ σὺν οἴνῳ γλυκεῖ· ἢν δὲ μὴ ᾖ ναρκίσσινον, [201] ἀνθίνῳ, ἢ ἰρίνῳ ὡς καλλίστῳ· ἔστω δὲ τοῦ ἐλαίου τρίτη μοῖρα τοῦ οἴνου· ἔπειτα διαλιποῦσα δύο ἡμέρας, προσθέσθω τὸ ξὺν τῇ γλήχωνι, ἡμέραν μίαν. ἢν δὲ γένηται τὰ ἐπιμήνια, πινέτω νῆστις τὸ κάστορα τρεῖς ἡμέρας σὺν οἴνῳ εὐώδει λευκῷ. ἐπὴν δὲ ἀπολήγῃ τὰ ἐμμήνια καὶ παραμόνιμα ᾖ, λουέσθω, καὶ διαινιζομένη ὕδατι ψυχρῷ, κυκεῶνα πινέτω ἄναλτον, σίτου δὲ μὴ ἁπτέσθω· ξυνευνέτω δὲ τῷ ἀνδρὶ, δύο ἡμέρας ἢ τρεῖς. ὁκόσον δ' ἂν χρόνον καθαίρηται, τὴν λινόζωσιν ἕψουσα ἐν ὕδατι, κἀπειδὰν ἑφθὴ γένηται, ἐκθλίψαι· ὑποτρίβειν δὲ σκόροδα, καὶ κύμινον, καὶ ἅλας, καὶ ἔλαιον ἀνακυκᾶν ἐν ταυτέοισι, καὶ ὀλίγον ἐπιχέαντα τοῦ χυλοῦ, ἀναζέσαι· τοῦτο πρὸ τῶν σιτίων ἐσθίειν. σκόροδα δὲ ἑφθὰ καὶ ὀπτὰ λαμβάνειν ὡς πλεῖστα· ἢν δὲ ἡ λινόζωσις μὴ ἁπαλὴ ᾖ, λείην ξυνεψεῖν χρὴ κράμβῃ, καὶ ἡδύνειν, καὶ προσιώνες εἶναι. καὶ ἢν ἐν γαστρὶ λάβῃ, ὑγιὴς γίνεται, καὶ πάντα οἱ κατὰ κόσμον ἴῃ.

die uno interposito, si quidem pituitosa fuerit, medicamento *ex grano cnidio colluito; si verò biliosa, cum scammoniâ parato. Post hæc autem vtraque, postridiè narcissino cum vino dulci colluito. Quòd si narcissinum desit, anthino aut irino præstantissimo. Sit autem olei pars ad vinum tertia. Deinde duobus intermissis diebus, medicamentum cum pulegio apparatum, vno die supponat. Si verò menses prodierint, ieiuna tribus diebus castorium cum vino albo odorato bibat. Vbi autem menses desierint ac diù constiterint, lauet, & aquâ frigidâ perfusa, cyceonem insulsum bibat. Cibum non attingat; cum viro duobus aut tribus diebus dormiat. Quo autem tempore purgatur, mercurialem aquâ coquito; vbi cocta fuerit, exprimat; allium, cuminum, & salem leuiter tritum, & oleum cum his permisceto, & pauco affuso decocto feruefacito; hoc ante cibos edat. Allia cocta & assata quamplurima sumat. Quòd si mercurialis minimè tenera fuerit, leuiter trita, cum brassica, vt mitescat, coquenda & condienda; & si concipiat, conualescit, omniáque ipsi ordine procedent.*

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

Περὶ τῶν τοῦ στόματος τῶν μητρῶν κατακεκλεισμένου ἢ συμμύοντος σημείων καὶ θεραπευτικῶν.

ΗΝ δὲ τὸ στόμα τῶν μητρέων ξυμμύσῃ, γίνεται ἰσχυρὸν ὡς ἐρινεὸν· κἢν ἐπαφήσῃ τῷ δακτύλῳ, ὄψει σκληρόν τε, καὶ ξυναλεόμενον, καὶ τὸν δάκτυλον οὐκ ἐσίησι, καὶ τὰ ἐπιμήνια κέκρυπται, καὶ τὴν γονὴν οὐ δέχεται τουτέου τοῦ χρόνου, καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὴν ὀσφὺν, καὶ τοὺς κενεῶνας, ἔστι δ' ὅτε καὶ ἄνω προσίσταται, καὶ πνίγει. Ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω, καὶ λούειν πολλῷ θερμῷ, προστιθέναι ἅσσα μαλθάσσει τὸ στόμα, [203] καὶ ὑπαλιπτρὸν καθιέναι καὶ ἀναστομοῦν, [204] τόν τε δάκτυλον, καὶ ὡσαύτως λειοῦν. ὅταν δὲ μαλθακὸν ᾖ, προστιθέναι ἅσσα καθαίρει αἷμα, καὶ τῶν ποτημάτων διδόναι, καὶ πειρηθῆναι παρέχειν καὶ ὅ, τι ἂν ἄλλο προσδέχηται, τὴν κράμβην δὲ ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφεέτω. Ἢν αἱ μῆτραι ξυμμύωσι, καὶ τὰ ἐπιμήνια μὴ φαίνηται, κολοκυνθίδα ἀγρίην [205] καὶ φύλλον, καὶ κύμινον Αἰθιοπικὸν, καὶ νίτρον, καὶ ἅλας Θηβαϊκὸν, [206] καὶ Νεφείδιον, καὶ ἄλευρον, καὶ σμύρναν, καὶ ῥητίνην, ζέσας πάντα ὁμοῦ, καὶ μίξας λεῖα, καὶ ποιήσας βάλανον, προστιθεῖ.

CAPVT XLIII.

De oris vterorum occlusi conniuentisue signis, & curatione.

AT si vterorum os conniueat, durum velut caprificus euadit; & si digito contigeris, durum ac conuolutum deprehendes, digitum non intromittit, menses delitescunt, neque hoc tempore genituram recipit; dolor imum ventrem, lumbos, & laterum inanitates detinet, interdùm verò & sursùm instat & suffocat. Quum sic habuerit, medicamentum deorsùm purgans propinare oportet, copiosâ calidâ lauare, quæ os emolliunt apponere, & demisso specillo linitorio aperire, digitoque similiter leue reddere. Quum verò molle fuerit, quæ sanguinem purgant, apponito; potiones & quodcunque aliud lubenter admittat, exhibere tentato; brassicam etiam edat, & succum sorbeat. Si vteri occludantur, & menses non appareant, colocynthidem agrestem, silphij semen, cuminum Æthiopicum, nitrum, salem Thebaïcum, ac Nephridium, farinam, myrrham, resinam, hæc omnia simul feruefacta, læuigata, permixta, & in glandem efformata supponito.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

Περὶ τῶν τῆς ὑστέρας θρομβωθείσης σημείων καὶ τῆς θεραπείας.

ΗΝ [207] θρομβωθῶσιν αἱ μῆτραι, τὸ στόμα αὐτέων γίνεται οἷον ὀρόβων μεστὸν, καὶ ἢν ἐπαφήσῃ, ὄψει οὕτως ἔχον, καὶ τὰ ἐπιμήνια οὐ γίνονται, οὐδὲ ἡ γονὴ ἐμμένει, [207] τέως ἂν ὧδε ἔχῃ. Τῆς κυκλαμίνου τὸ φλοιὸν περιλέψας, καὶ σκόροδα, καὶ ἅλας, καὶ σῦκον, καὶ μέλι ὀλίγον, ταῦτα τρίψαι, καὶ συμμίξαι, καὶ ποιῆσαι

CAPVT XLIV.

De vterorum grumosorum signis, & curatione.

SI grumosi vteri facti fuerint, eorum os velut eruis plenum fit, & si contigeris, ita se habere deprehendes, menses non eunt, neque quoad ita habuerit, genitura intus manet. Cyclaminum cortice detracto, allia, salem, ficum, mel paucum, hæc trita & simul mixta in glandem efformato, & ad os

uterorum apponito, aliáque subdititia, quæ acria sunt & rodunt, quibusque sanguis purgatur; & potiones, quæ uteros purgent, exhibeto.

βάλανον, καὶ προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων, καὶ τῶν ἄλλων προσθετῶν, ὅσα δριμέα τέ ἐστι καὶ κατέσθει, καὶ ὑφ' ὧν καθαίρεται αἷμα· καὶ τῶν πομάτων ἅσσα ὑστέρας καθαίρει, διδόναι.

CAPVT XLV.

De uterorum præter naturam hiantium causis, signis, & curatione.

SI præter naturam uteri dehiscant, menses copiosi prodeunt, glutinosi & crebri; genitura intus non manet, os dehiscit, neque genituram attrahere valet, & febris & rigor inferiorem ventrem & lumbos inuadit. Morbus autem ex profluxu sanguineo prehendit; contingit etiam, ubi menses suppressi derepentè affatim eruperint. Victûs igitur ratio anteà dicta est. Curatio autem subdititijs instituenda, per initia quidem purgantibus simul & emollientibus; deinde paulatim adstringentibus; partesque infra umbilicum per spongias ex myrti aut rubi aquâ fouendæ, aut oleæ foliorum decocto, aut rosarum, aut œnanthes, aut vitis.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

Περὶ τῶν τῆς ὑστέρης χανούσης παρὰ φύσιν αἰτίων, καὶ σημείων, καὶ θεραπειῶν.

ΗΝ παρὰ φύσιν αἱ μῆτραι χάνωσι, τὰ ἐπιμήνια χωρέει πλείονα, καὶ γλίσχρα, καὶ θαμινά, ἡ γονὴ οὐκ ἐμμένει, καὶ τὸ στόμα κεχηνός ἐστι, καὶ οὐχ οἷόν τε [209] εἰρύσαι τὴν γονήν, καὶ πῦρ καὶ ῥῖγος λαμβάνει τὴν κάτω κοιλίην, καὶ τὰς ἰξύας. ἡ δὲ νοῦσος [210] λάζεται ἐκ ῥόου αἱματώδεος, γίνονται δὲ καὶ ὁκόταν τὰ ἐπιμήνια ἐξαπίνης ἰσχόμενα ῥαγῇ. Ἡ δίαιτα μὲν πρόσθεν εἴρηται. χρὴ δὲ προσθέτοισι θεραπεύειν, ἐν ἀρχῇ μὲν, καθαρτηρίοισιν ἅμα καὶ μαλθακτηρίοισιν, ἔπειτα ἠρέμα στύφουσι, καὶ πυριῆν τὰ κάτω τοῦ ὀμφαλοῦ πυελίῃ μυρσίνης ὕδατι ἢ βάτου, ἢ [211] ἐλαιῶν φύλλοις, ἑναφεψῶν, ἢ ῥόδων, ἢ οἰνάνθης, ἢ ἀμπέλου.

CAPVT XLVI.

De oris uterorum ampliùs quàm in mensibus dehiscentis signis, symptomatis, & curatione.

SI uterorum os plùs quàm in mensibus consueuit, dehiscat, hoc modo menses copiosiores & deteriores omnes, liquidiores & diuturniore tempore prodeunt, neque genitura attingit, neque manet, sed contrà foras exit; & si permanserit, os diductum comperiet, & imbecillitas propter menses occupat, leuis est ac debilis uterus, & ultrà procedit. Vires autem laxantur, & febris lenta, & rigor, dolorque imum ventrem, laterum inanitates & lumbos occupat. His autem præcipuè afficitur, siquid in ea corruptum computruerit, & condensatum fuerit; quædam etiam ex partu afficiuntur, aliæ etiam alio modo. Quum igitur sic habuerit, medicamentum potui exhibere oportet, & faciliùs iudicatione soluetur; & si dolor detineat, tepefacientia admouere, frigidâ lauare, & intermissione factâ colluere, potionesque quascunque præcipuè admiserit exhibere, & quæcunque siccant, in suffitu admouere. Polypos & mercurialem edat.

ΚΕΦΑΛΑΙΟΝ Μς'.

Περὶ τοῦ τοῦ στόματος μητρέων μᾶλλον ἢ ὡς ἐν τοῖς ἐπιμηνίοις ἀναχανόντος σημείων καὶ συμπτωμάτων, καὶ τῆς θεραπείας.

ΗΝ τὸ στόμα τῶν μητρέων ἀναχάνῃ μᾶλλον, ἢ ὡς πέφυκεν ἐν τοῖς ἐπιμηνίοις, οὕτω [212] γίνηται τὰ ἐπιμήνια πλείω καὶ κακίω πάντα, καὶ ὑγρότερα, καὶ διὰ πλείονος χρόνου· καὶ ἡ γονὴ οὐχ ἅπτεται, οὐδὲ μένει, ἀλλὰ πάλιν ἔξεισιν· κἢν ἐπιμείνῃ, τὸ στόμα εὑρήσει [213] διαπεπταμένον, καὶ ἀδυναμίη ἴσχει ὑπὸ τῶν ἐμμηνίων, καὶ κοῦφός ἐστι καὶ ἄτονος, καὶ πρόσω χωρέει· τὰ δὲ κάρτεα χαλᾶται, καὶ πῦρ βληχρὸν, καὶ ῥῖγος, καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα μάλιστα, ἤν τι ἐν αὐτῇ διαφθαρὲν σαπῇ, καὶ παγῇ· πάσχουσι δὲ καὶ ἐκ τόκων ἔνιαι, αἱ δὲ καὶ ἄλλως. Ὅταν μὲν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν, καὶ κρισιμωτέρη ἔσται· κἢν ὀδύνη ἔχῃ, τῶν χλιασμάτων προστιθέναι, καὶ [214] τῷ ψυχρῷ λούειν, καὶ διαλείποντα κλύζειν, καὶ τῶν πομάτων διδόναι, ὅ, τι ἂν μάλιστα προσδέχηται, καὶ ὑποθυμιῆν, ὁκόσα ξηραίνει· καὶ πουλύποδας ἐσθιέτω, καὶ τὴν λινόζωσιν.

CAPVT XLVII.

De uterorum non ut decet occlusorum, etiam patentiorum, curatione.

AT nisi uteri ut oportet occlusi fuerint, in aqua in qua cocta sit myrtus, aut lentiscus, aut vitis aut oleæ folia, aut rosarum, desideat. Victûs autem ratio, quæ dicta est in fluore rubro, imperāda. *Optimū autem ipsi auxilium est sitis, frequentes vomitus, & balneorum*

ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

Περὶ τῆς ὑστερέων μὴ ὡς χρὴ μεμυκυιῶν, καὶ ἀναστομωθεισῶν μᾶλλον τοῦ δέοντος, θεραπείας.

ΗΝ δὲ μὴ μεμύκωσιν αἱ μῆτραι ὡς χρὴ, καθίζειν αὐτὰς ἐν ὕδατι, μυρσίνης ἑναφεψημένης, ἢ σχίνου, ἢ ἀμπέλου, ἢ ἐλαίης φύλλοισιν, ἢ ῥόδων. δίαιτα δὲ, ἣ λέλεκται ἐπὶ τοῦ ἐρυθροῦ ῥόου· ἄριστον δὲ οἱ βοηθήματα, δίψα, ἔμετοι θαμέες, καὶ λουτρῶν εἴρξις.

Ὁκόταν ἀνεστομωθῶσι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι, καὶ μὴ μεμύκωσι, καὶ καθάρσιος [215] δέονται, καὶ κλυσμῶν, καὶ θυμιαμάτων. Ἢν δὲ [216] λειωθῶσι, τὰ ἐπιμήνια πλείω γίνεται, καὶ κακίω, καὶ ὑγρότερα, καὶ πυκνὰ, καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλ' ἢν καὶ ἴῃ, οἴχεται· καὶ τὸ στόμα ἐπαφώμενος τῷ δακτύλῳ ὄψει λεῖον, καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐμμηνίων, καὶ πυρετὸς καὶ ῥῖγος ἴσχει, ὀδύνη τε ἐς τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, μάλιστα δὲ ἤν τι ἐν ἑωυτῇ διαφθαρὲν σαπῇ καὶ ἐκ τόκου, καὶ ἄλλως. Ὅταν οὖν οὕτως ἔχῃ, θεραπεύειν χρὴ, ὅκου ἂν ὀδύνη ἔχῃ, ὡς ἐπὶ τῶν πρόσθεν γέγραπται.

prohibitiones. Quum vteri plus æquo aperti, & minimè occlusi fuerint, & purgatione indigent, & collutionibus, & suffitibus. Quòd si læues fuerint, menses copiosiores, deteriores, liquidiores, & crebri decurrunt, genitura intùs non manet, sed quum effluxerit, discedit, & si digito os attrectaris, læue deprehendes. Imbecillitas eam præ mensibus inuadit, & febris & rigor detinet, dolor etiam imum ventrem, lumbos, & laterum inanitates occupat, præsertim si quid in ea corruptum computruerit, & ex partu, atque alio modo. Quum igitur ita habuerit, curatio quacunque parte dolor detinet, quæ in superioribus scripta est, adhibenda.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

Περὶ τῶν τῆς φλεγμονῆς τῶν μητρῶν σημείων καὶ τῆς θεραπείας.

Ἢν αἱ μῆτραι φλεγμήνωσι, τὰ ἐπιμήνια [217] ἐπιλυγίζονται, καὶ ὁ τράχηλος ξυναραχνοῦται, καὶ πυρετὸς ὀξὺς καὶ γνώμης ἀπολλύμενος, καὶ πονηρὰ καὶ ὀλίγα οἱ ἐπιφαίνεται, καὶ ὁκόταν νῆστις ᾖ, ἔμετός τις αὐτὴν ἐπέρχεται, ὁκόταν τέ τι φάγῃ, ταῦτα ἐμεῖ, καὶ ὀδύνη τὴν νειαίρην γαστέρα ἴσχει, καὶ τὰς ἰξύας, καὶ ἀποψυχεῖ, [219] καὶ περίψυξις δι' ὅλου τοῦ σώματος. ἡ δὲ γαστὴρ τοτὲ μὲν [220] σκληρὴ, τοτὲ δὲ μαλθακὴ, καὶ ἐμπιπρᾶται, καὶ αἴρεται, καὶ δοκεῖ ἐν γαστρὶ ἔχειν· ἔστι δ' ὅτε κενεὸν φαίνεται τὸ πλήρωμα τῆς γαστρὸς, καὶ ἐμπίπλαται ἡ κοιλίη ὕδατος, καὶ ὁ ὀμφαλὸς ἐξίσχει, καὶ τὸ στόμα ἰσχνὸν, καὶ ἐξαπίνης ἐφάνη τὰ ἐπιμήνια [221] τρύζοντα καὶ ὀλίγα καὶ πονηρὰ, καὶ λεπτύνεται τὰς κληῗδας καὶ τὴν δειρὴν, καὶ οἱ πόδες οἰδίσκονται καὶ αἱ πέζαι μάλιστα. Ὅταν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω, καὶ προσθέτοισι [222] πυριῆσθαι τὰς ὑστέρας ὡς εὐώδεσι· τὰς ἡμέρας, τοῖσι μολυβδίοισι, καὶ λοῦσαι θερμῷ ὕδατι πρὸ τῆς προσθέσιος μὴ δάκνοντι, καὶ μετὰ τὴν πρόσθεσιν κλύζειν· δύο πόσιας κνήστρου ἑψῆσαι κοτύλῃ ὕδατος, καὶ ἀποχέαντα τὸ ὕδωρ, κλύσαι κοτύλῃ [223] ὕδατος, ξυμμίξαντα καὶ ἐλαίου ναρκισσίνου ἢ ἀνθινοῦ. μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας τρεῖς, εἶτα κλύσαι τῷ ξὺν τῷ ὄξει, καὶ πρὸ τοῦ σίτου τὴν λινόζωστιν ἑψοῦσα σὺν οἴνῳ ποσῷ, ἐσθιέτω ὡς κράμβην, καὶ τὸν χυλὸν ῥοφεέτω. ἢν δὲ ἐπιμένοι, φάρμακα πιπίσκειν, ὑφ' ὧν ὕδωρ καθαίρεται τὰς ὑστέρας. σιτίοισι δὲ χρεέσθω ἄρτοισι, καὶ λαχάνοισιν ἑφθοῖσι, τακεροῖσι· θαλασσίοισι δὲ μᾶλλον, ἢ κρέασιν, ἢ ἀκρωκωλίοισιν ἑφθοῖσι τακεροῖσι· καὶ ταλαιπωρέειν ὡς πλεῖστα καὶ πρὸ τοῦ σίτου καὶ μετὰ τὸν σῖτον· καὶ λουέσθω ὡς ἐλάχιστα ψυχρῷ· καὶ γλυκέων, καὶ λιπαρῶν παντοίων εἰργέσθω. τὰς δὲ διὰ μέσου τῶν καθαρσίων, ἀδίαντον πινέτω [223] ἐν ὄξει κεκρημένῳ νῆστις. Ἡ δὲ νόσος θανατώδης, ἐκφυγεῖν δὲ ὀλίγαι δύνανται.

CAPVT XLVIII.

De vterorum inflammationis signis, & curatione.

SI vteri inflammatione laborarint, menses occultantur, & ceruix tenuibus veluti aranearum telis implicatur, febris acuta est & mentem percellens, menses ei pauci & praui comparent, quumque ieiuna fuerit, vomitus quidam ei aduenit; quum autem aliquid comederit, ea euomit; dolor imum ventrem & lumbos detinet, animo deficit, & per totum corpus perfrigeratur. Venter autem nunc quidem durus, nunc verò mollis est, & inflatur ac tollitur, vteroque gestare se existimat. Quandóque verò ventris moles inanis videtur, aluusque aquâ impletur, vmbilicus prominet, os extenuatur, derepentè menses cum stridore pauci & praui comparent, circa clauiculas & ceruicem extenuatur, & pedes præsertimque plantæ intumescunt. Quum sic habuerit, medicamentum deorsùm purgans propinandum; subdititia & odoratissima fomenta vteris admouenda. Per diem pessuli plumbei supponendi, & antè appositionem decocto calido minimè mordente lauandum, & post appositionem hac collutione vtendum. Cnestri potiones duas aquæ heminâ decoquito, decocto percolato admixtâ olei narcissini aut anthini heminâ, colluito. Post hæc tribus diebus intermissis, deinde eo quod cum aceto paratur colluito, & ante cibum mercurialem cum pauco vino decoctam, velut brassicam, comedat, & succum sorbeat. Quòd si perseueret, medicamenta ex quibus aqua ex vteris purgetur, potui exhibenda. Cibis vtatur panibus & oleribus coctis, mollibus; marinis autem potiùs quàm carnibus, aut extremis partibus coctis molliculis. Quamplurimùm laboret antè & post cibum; frigidâ quamminimùm lauetur; & à dulcibus & pinguibus quibusque arceatur. Diebus autem inter purgationes medijs adiantum ex aceto aquâ temperato ieiuna bibat. Morbus hic lethalis est, paucæque effugere possunt.

A

CAPVT XLIX.

De alterius vterorum inflammationis signis, symptomatis, & curatione.

SI ex vteri inflammatione non concipiant, menses occultantur; quumque ieiuna fuerit, vomit; quum verò comederit, dolor imum ventrem & lumbos detinet; totus venter modò quidem durior, modò verò mollis redditur, neque admodùm considet. Aluus magna euadit, neque purgatur, sibique prægnans esse videtur, & eodem modo quo prægnantes afficitur; & si ventrem attigeris, leuem tumorem velut vtris deprehendes; quumque partûs tempus instare visum fuerit, vteri concidunt, & menses pauci & deteriores decurrunt. Huic medicamentum deorsùm purgans propinandum, & quæ purgent, apponenda; purgata verò, sana fit.

ΚΕΦΑΛΑΙΟΝ ΜΘ'.

Περὶ τῶν τῆς ἑτέρας τῶν μητρῶν φλεγμονῆς σημείων καὶ συμπτωμάτων, καὶ τῆς θεραπείας.

ΗΝ[226] μὴ ἐν γαστρὶ ἔχωσι φλεγμασίης μητρέων, τὰ ἐπιμήνια ἐπιλυγίζονται· καὶ ὁκόταν ἄσιτος ᾖ, ἐμεῖ, ὁκόταν δὲ βεβρώκῃ, ὀδύνη[224] ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας· καὶ ὅλη ἡ κοιλίη, ὁτὲ μὲν σκληροτέρη, ὁτὲ δὲ μαλθακὴ γίνεται, καὶ καθίσταται δὲ οὐ πάνυ. κοιλίη μεγάλη γίνεται, καὶ οὐ καθαίρεται, καί οἱ δοκέει κύειν, καὶ πάσχει ὁκόσα περ καὶ αἱ ἐγκύμονες, κἂν θιγγάνῃς τῆς κοιλίης, κοῦφον τὸ οἴδημα γνοίης ὡς ἀσκοῦ, καὶ ὁκόταν δοκέῃ τόκου ὥρη εἶναι, αἱ μῆτραι ξυμπίπτουσι, καὶ τὰ ἐπιμήνια ὀλίγα καὶ κακίονα. Ταύτην φάρμακον χρὴ πιπίσκειν κάτω, καὶ προστιθέναι τὴν καθαρτικήν· καθαρθεῖσα δὲ, ὑγιὴς γίνεται.

B

CAPVT L.

De tertiæ vterorum inflammationis & corruptionis symptomatis, & curatione.

SI inflammatus fuerit vterus, vellicatur; quòd si quid corruptum fuerit & recruduerit, febris corripit acuta & magna, horrorque durus partes circa pudenda; ferociter afficitur, mordetur, & concitatur. Ac si quis digito contigerit, rursùs peius habet, & pungitur, caput & sinciput dolet, tum caligo, tum frontis sudor adest, extrema perfrigerantur ac tremunt, interdùm etiam sopor occupat, neque audire potest, neque aliquid vterus efficit; multum est cibi fastidium, neque stomachus, neque ventriculus omninò cibum attrahit; vociferatur, prosilit, dolet pubem, inguina, & lumbos, & occultos pudendi locos, celeriterque intereunt. Quòd si dolores summam debilitatem inducant, velut spongijs calidis ex aqua & oleo expressis fotus adhibendi, & mollia subdititia supponenda, ex medullâ ceruinâ, adipe anserino, cerâ albâ, & oui luteo, aut ceratum picatum cum resina subdendum. Vino autem aut lacte caprino purgandum, aut iure gallinaceo. Vinum autem non bibat, & ptisanæ cremorem sorbeat.

ΚΕΦΑΛΑΙΟΝ Ν'.

C

Περὶ τῶν τῆς τρίτης τῶν μητρῶν φλεγμονῆς καὶ σφακελισμοῦ συμπτωμάτων, καὶ τῆς θεραπείας.

ΗΝ[227] φλεγμαίνηται ἡ μήτρη, ψαύεται. ἢν δέ τι σφακελίζῃ καὶ παλιγκοταίνῃ, πῦρ ἔχει ὀξὺ, καὶ[228] μέγα, καὶ φρίκη σκληρὴ τὰ ἀμφὶ τὰ αἰδοῖα, ἐκπάγλως τε αἰσθάνεται, καὶ δάκνεται, καὶ ὁρμᾷ· καὶ εἴ τις ἐπαφήσει τῷ δακτύλῳ, καὶ αὖθις κάκιον ἴσχει καὶ[229] ὀδάξεται, καὶ τὴν κεφαλὴν ἀλγέει καὶ τὸ βρέγμα, καὶ ἀχλὺς, καὶ ἱδρὼς μετωπιδαῖος, τὰ ἄκρεα ψύχονται καὶ τρεμαίνουσι, καὶ κῶμα ἔχει ἄλλοτε, καὶ ἐσακούειν οὐκ ἐθέλει, [230] οὐδὲ ἡ ὑστέρη ἐνεργεῖ· ἀσιτίη πολλὴ, καὶ στόμαχος οὐ

D

πάμπαν[231] εἰρύαται τὴν τροφὴν καὶ ἡ κοιλίη, καὶ βοᾷ, καὶ ἀναΐσσει,[232] καὶ ὀδυνᾶται τό, τε ἦτρον, καὶ τοὺς βουβῶνας, καὶ τὰς ἰξύας,[233] καὶ παραφύσιας, καὶ ταχὺ θνήσκουσιν. Ἢν δὲ αἱ ὀδύναι καταγνῶσιν, ὡς σπόγγοισι θερμοῖσιν ἐξ ὕδατος καὶ ἐλαίου ἐκπεπιεσμένοισι πυριῆσαι, καὶ προσθέτοισι μαλθακοῖσι· μυελὸν ἐλάφου, καὶ χηνὸς ἄλειφα, καὶ κηρὸν λευκὸν, καὶ ὠοῦ τὸ πυῤῥὸν, ἢ κηρωτὴν τὴν πισσηρὴν προστιθέναι ξὺν ῥητίνῃ. καθαίρειν δὲ οἴνῳ ἢ γάλακτι αἰγείῳ, ἢ ζωμῷ ὄρνιθος. οἶνον δὲ

E

μὴ πίνειν, καὶ πτισάνης χυλὸν ῥοφεέτω.

CAPVT LI.

De dolorum & pustularum vteri signis, & curatione.

AD vterorum dolores infusum. *Si dolor solùm vrgens & violentus fuerit, caligo quædam vteris inest, neque spiritus exit, sed illic vitium manet. Sic igitur curare oportet. Atriplicis agrestis semen, & betas simul tritas, læuigatas, tepidas in vteros infundito.* Aliud vterorum dolores sedans. *Vini suauissimi æquali aquâ temperati tres semicongios Atticos, radicum fœnicudi & seminis trientem, olei rosacei heminam dimidiam. His in ollam nouam iniectis, & vino affuso, posteà fotum admoueto. Scillam autem*

ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

Περὶ τῶν τῆς μήτρας ὀδύνης καὶ τῶν φλυκταινῶν σημείων τε καὶ θεραπευτικῶν.

ΜΗτρέων ὀδύνης ἔγχυτον. Ἢν ὀδύνη μοῦνον ᾖ ὑπερχὴ καὶ βίαιος,[234] ἀχλὺς ἐν τῇσι μήτρῃσιν ἔνι, καὶ οὐκ ἔξεισι τὸ πνεῦμα, ἀλλ' αὐτόθι μένει κακόν. Δεῖ οὖν οὕτως θεραπεύειν. ἀνδραφάξιος ἀγρίης καρπὸν, καὶ τεῦτλα τρίψας ὁμοῦ λεῖα, χλιήνας τε, ἔγχεον εἰς τὰς μήτρας. Ὑστερέων ὀδύνας παῦον. Οἴνου ὡς ἡδίστου ἴσον ἴσῳ κεράσας, τρία ἡμίχοα Ἀττικὰ, μαράθου ῥίζας, καὶ τοῦ καρποῦ[235] τεταρτημόριον, καὶ ῥοδίνου ἐλαίου ἡμικοτύλιον· ταῦτα ἐμβάλλειν ἐς ἔχινον καινὸν, καὶ οἶνον ἐπιχέαι, εἶτα πυριῆσαι· προστιθέναι δὲ

F

καὶ σκίλλην, ἔστ' ἂν τὸ στόμα μαλθακὸν ᾖ[236] καὶ φορακώδες. Καὶ ὅταν ἐν καθάρσει φλύκταιναι ἀνὰ τὸ στόμα τῆς ὑστέρης φύσωσιν, οὕτω θεραπεύειν. σάρκα βοὸς,[237] ἢ πικερίῳ, χηνείῳ στέατι καὶ ἀννήσῳ, τρίψαι λείως[238] τὴν σάρκα, καὶ ἐς τὸ αἰδοῖον ἐντιθέναι.

etiam apposito, quoad os molle & apertum fuerit. Quumque in purgatione pustulæ circa os vteri innatæ fuerint, sic curato. Carnem bubulam aut butyro, aut adipe anserino & aniso læuiter tritis illitam, in pudendum indito.

ΚΕΦΑΛΑΙΟΝ ΝΒ'.

Περὶ τῶν τοῦ κατὰ τὰς μήτρας ἐρυσιπέλατος σημείων διαγνωστικῶν τε καὶ προγνωστικῶν, καὶ τῆς θεραπείας.

ΗΝ ἐρυσίπελας ἔχῃ τὰς μήτρας, οἰδεῖ τοὺς πόδας, καὶ τοὺς μαζοὺς, καὶ τὸ σῶμα, καὶ πόνος αὐτὴν κατέχει, καὶ ὀρθόπνοια γίνεται, καὶ ἀλγεῖ τοὺς κενεῶνας καὶ τὸ ὑπογάστριον καὶ τὰ στέρνα καὶ τὴν κεφαλὴν, τρόμος τε ἔχει καὶ τὰς χεῖρας νάρκη, καὶ τοὺς βουβῶνας καὶ τὰς ἰγνύας τρέμει· ἐνίοτε δὲ καὶ ἐν τῇσιν ἰγνύῃσι καὶ πελιδναὶ γίνονται, καὶ κουφίζει ὀλίγον χρόνον καὶ ἡ χροιή· μάλιστα δὲ καὶ οἱ μαζοὶ ἀείρονται κατὰ τὴν ὁμοεθνίην. ἀλλὰ γὰρ οὐ πάνυ τι ἀλγεῖ, καὶ πῦρ καὶ ῥῖγος λαμβάνει, καὶ ἐρυθρὸν τὸ πρόσωπον γίνεται, καὶ δίψα ἰσχυρὴ, καὶ τὸ ἧπαρ ξηραίνεται. Ταῦτα ἢν ἐγκύμονι περιπέσῃ, θνήσκει, καὶ οὐκ ἂν δυνήσεται διαφυγεῖν. Ην ἐρυσίπελας ἐν τῇσι μήτρῃσι γένηται, οἰδήματα γίνεται πελιδνότατα ἀπὸ τῶν ποδῶν ἀρξάμενα, καὶ ἐς τὰ σκέλεα πάντα καὶ ἐς τὴν ὀσφύν· ὅσῳ δ' ἂν ὁ χρόνος πλείων γένηται, καὶ ὁ θώρηξ ἐπαίρει, καὶ οἰδίσκεται, καὶ περιψύχεται πᾶσα, καὶ πῦρ ἔχει μέγα, καὶ ῥῖγος ἐπιλαμβάνει, καὶ πνεῦμα πυκνὸν, καὶ λειποθυμίη, καὶ ἀσθενείη, καὶ ὀδύνη παντὸς τοῦ σώματος, δυσθυμεῖ τε καὶ αἰολᾶται τῇ γνώμῃ· καὶ τὸ πάθος ἀνέρχεται ἐκ τῆς κάτω κοιλίης ἐς τὰς ἰξύας καὶ ἐς τὰ νῶτα, καὶ τὰ ὑποχόνδρια, καὶ τὰ στέρνα, καὶ τὸν τράχηλον, καὶ τὴν κεφαλὴν, καὶ τὸν στόμαχον, καὶ δοκεῖ θανεῖσθαι. ὁκόταν δὲ λύηται ἡ ὀδύνη,[239] νάρκη ἔχει τὰς ἰξύας, καὶ τοὺς βουβῶνας, καὶ τὰ σκέλεα, καὶ ἐν τῇσιν ἰγνύῃσι πέλια γίνεται, καὶ ὀλίγον χρόνον δοκεῖ ῥάων εἶναι, ἔπειτα αὖθις πονέεται, καὶ ὁ χρὼς φλυκταινῶν καταπίμπλαται, καὶ τὸ πρόσωπον ἐρυθήματα λάζεται προφανέα καὶ δηλεόμενα, καὶ ὁ φάρυγξ αὖος, ἡ γλῶσσα τρηχείη. Αὕτη ἡ νοῦσος ἢν ἐγκύμονα σχοίη, κτείνει·[240] ἢν δὲ μὴ, ἰητρείην χρὴ προσάγειν· ὄνου γάλα πιπίσκειν, καὶ καθαίρειν. ἢν δὲ μὴ λύηται ὧδε, ψύχειν τὴν κοιλίην ἐν μαλθακοῖσι ψύγμασι, καὶ προσθέτοισι μὴ περισκελέσι, καὶ καθῆραι κούφοις ἐκ τοῦ κατ' ὀλίγον, καὶ ἐμέειν. ἀγαθὸν δὲ ἀκτῆς φύλλα λαμβάνειν ἑφθὰ, ξὺν ὀριγάνῳ, ἢ θύμῳ, ἢ πηγάνῳ· ἢν δὲ τὸ πῦρ μεθίηται, καὶ οἶνον καὶ σιτία διδόναι γλυκέα·[241] πλὴν οὖν ἀλλὰ παῦροι θεραπεύονται.

CAPVT LII.

De erysipelatis vteros occupantis signis diagnosticis & prognosticis, & curatione.

SI erysipelas vteros occupet, pedes, mammæ, & corpus intumescunt, dolor ipsam detinet, orthopnœa oboritur, ad laterum mollitudinem dolor est, ad ventris partem inferiorem, pectus, & caput; tremor & torpor manus detinet, inguina & poplites tremunt. Quandoque verò in inguinibus liuidæ euadunt, & pauco tempore etiam alleuat hic color. Præcipuè verò mammæ cognatione quâdam attolluntur. Verumtamen non admodum dolet, febris & rigor inuadit, vultus rubet, sitis vehemens vrget, & hepar resiccatur. Hæc si in prægnantem incidant, perit, neque effugere poterit. Si erysipelas in vteris ortum sit, tumores maximè liuidi à pedibus adusque crura tota & lumbos exoriuntur. Quò autem longiùs tempus processerit, etiam thorax patitur, & intumescit, tota perfrigeratur, febris magna detinet, rigor opprimit, densusque spiritus, animi deliquium, imbecillitas, totius corporis dolor, animum despondet, & mente turbatur. Affectio ex inferiore ventre ascendit ad lumbos, dorsum, hypochondria, pectus, ceruicem, caput, stomachum, & moritura videtur. Quum autem dolor solutus fuerit, torpor lumbos, inguina, & crura occupat, liuores in poplitibus oriuntur, & pauco tempore meliùs habere viderur, deinde rursus affligitur; corpus pustulis impletur; faciem apparentes & manifesti rubores inuadunt; fauces siccæ, & lingua aspera. Hic morbus si prægnantes inuaserit, interficit. Sin minus, medelam adhibere, & lac asininum propinare, purgaréque oportet. Si verò sic non soluatur, ventrem mollibus refrigerantibus refrigerare, & subditítijs minimè grauibus, & leuibus paulatim purgare, & vomere oportet. Confert autem sambuci folia cocta cum origano, aut thymo, aut rutâ sumere. Si verò febris dimiserit, etiam vinum & cibos dulces exhibere; paucæ tamen curantur.

ΚΕΦΑΛΑΙΟΝ ΝΓ'.

Περὶ τῶν τοῦ ὕδέρου ἐν ταῖς μήτραις σημείων διαγνωστικῶν τε καὶ προγνωστικῶν, καὶ τῶν θεραπευτικῶν.

[242] ΥΔερος δὲ γίνεται ἐν τῇσι μήτρῃσι. τὰ ἐπιμήνια χωρεῖ[243] ἀσώδεα, καὶ ὑδατώδεα, καὶ οὐ πάνυ αἱματώδεα· οἰδεῖ καὶ ἡ ὑστέρη, καὶ φλέβες, καὶ ὅσα ἄγχιστα, καὶ κυΐσκεται· ἔπειτα πνίγεται, καὶ οἱ

CAPVT LIII.

De hyderi vterorum signis diagnosticis, prognosticis, & curatione.

SI hydrops in vteris oriatur, menses fastidiosi, aquosi, neque admodùm cruenti prodeunt; vterus etiam intumescit, & venæ, & vicinæ partes, prægnans euadit; deinde suffocatur, mammæ defluunt, imus

imus venter durus est, tumetque, ac totus circumambiens locus, doletque si quis eum attigerit; febris & dentium stridor detinet, dolorque vehemens lateris inanitates & lumbos occupat; in somnis semen effundit, & peiùs habet. Hanc calidâ lauare, & tepefactoria apponere oportet, medicamentum autem potui exhibere, & lenibus fouere; & cyclamini obolos tres in linteo deligatos apponat, & cupressi aquâ macerati succum, & cantharidas tritas modico tempore supponat; id per multum tempus efficax est. Subdititium. *Cumini chemæ mensura, & vua passa alba.* Aliud. *Vrticæ semen, ari radix, horum quod lubet leniter subdito. Vbi expurgaris, colluatur, eoque detracto pudenda colluito, simulque viro* condormiat. *Quòd si fœtum maturum perferat, tota expurgatur, & sana redditur.*

A μυξοὶ ῥέουσι, καὶ ἡ νείρη γαστὴρ σκληρή ἐστι καὶ οἰδέει, καὶ πᾶς ὁ ἀμφὶ περὶξ χῶρος, καὶ ἀλγέει ἐὰν τις αὐτῆς ψαύσῃ· πυρετός τε καὶ βρυγμὸς ἴσχει, καὶ ὀδύνη ἰσχυρὴ ἐς τοὺς κενεῶνας, καὶ ἐς τὰς ἰξύας, καὶ ἐξονειρώσσει, καὶ κάκιον ἴσχει. Ταύτην λούειν [244] δὴ θερμῷ καὶ χλιαίνειν, φάρμακον δὲ πιπίσκειν, καὶ πυριῆν βληχροῖσι, καὶ κυκλάμινον τριώβολον ἐν ὀθονίῳ προστιθέσθω ἀποδήσασα, καὶ κυπαρίσσου χυλὸν βρέχειν ἐν ὕδατι, καὶ κανθαρίδας τρίβουσα, [245] προστιθέναι ὀλίγον χρόνον· καὶ διὰ πλείονος ἐνεργεῖ. [246] Πρόσθετον. Ὅσον χημῶν κύμινον, ἀσταφὶς λευκή. [247] Ἄλλο. Κνίδης καρπὸς, ἄρου ῥίζα, τουτέων ὁ βούλει ἐπιεικέως προστιθέναι· ἐπειδὰν ἐκκαθάρῃς, κλυζέσθω· καὶ ἀφαιρέειν, καὶ ἐγκλύζειν τὰ αἰδοῖα, καὶ ξυγκοιμάσθω ἅμα· καὶ ἐὰν διενέγκῃ τὸ ἔμβρυον, ἐκκαθαίρεται πᾶσα, καὶ ὑγιὴς γίνεται. B

CAPVT LIV.

De alterius hydropis vterorum signis diagnosticis, prognosticis, & curatione.

Alius similis vterorum hydrops. Subcruentum quoddam fluit saniosum, & purgatur, pudendáque ac ambientes partes vehementer mordet, & tanquam muria vlcerat, & quocunque distillarit, vlcerat, & color est aurigínosus. In reliquis autem copia velut in alijs fluxionibus purgatur. Morbus autem lentus est, & aliàs lethalis euadit, si vteri exeant. Hanc velut quæ fluore albo detinetur, curato, lac asininum propinato, gracilem reddito, & per priùs commemorata medicamenta medelam adhibeto. Hyderi eclegmata. *Si aqua ex vteris fluat, sulphur & anserinum adipem delingat.*

ΚΕΦΑΛΑΙΟΝ ΝΔ'.

Περὶ τῶν τοῦ ἑτέρου ὕδέρου τῶν μητρέων σημείων διαγνωστικῶν, καὶ προγνωστικῶν, καὶ τῶν θεραπευτικῶν.

C Ἄλλος ὁμοίως ὕδερος μητρέων. Ὕφαιμόν τι ῥέει ἰχωροειδὲς, καὶ καθαίρεται, καὶ δάκνει σφόδρα, καὶ ἑλκοῖ ὥσπερ ἅλμη τὰ αἰδοῖα καὶ τὰ περὶξ, καὶ ὅκου ἂν ἐπιστάξῃ, ἑλκοῖ, καὶ ἡ χροιὴ [249] ἰκτερώδης· τὰ δὲ ἄλλα καθαίρεται πλῆθος, ὥσπερ ἐν τοῖσιν ἄλλοισιν ῥόοισιν. ἡ δὲ νοῦσος βληχροτέρη τε, καὶ ἄλλως θανατώδης γίνεται, [250] ἐὰν ἐξέλθωσιν αἱ μῆτραι. Ταύτην θεραπεύειν, ὡς τὴν ὑπὸ λευκοῦ ῥόου ἐχομένην, καὶ γάλα ὄνειον πιπίσκειν, καὶ ἰσχναίνειν, καὶ ἰῆσθαι φαρμάκοισι τοῖσι προειρημένοισι. Ὕδέρου [251] ἐκλικτά. Ἢν ὕδωρ ἐκ τῶν μητρέων ῥέῃ, θεῖον, χηνὸς ἄλειφα λείχειν. D

CAPVT LV.

De flatûs vterorum signis diagnosticis, & curatione.

Si ventus intra vteros fuerit, flatus exit cum stridore, tota intumescit, & febris ardorque detinet. Ad hæc præ dolore vehementer exilit, neque virum admittit, & coitum valdè auersatur, neque se erigere potest, eique velut pondus quoddam vteris incumbit, caput dolet, anxia & voce defecta est. Quòd si dolor vrgeat, vociferatur, dolet omnia, & lumbos, & pubem, & sedem; lotium supprimitur, venter suffocatur, mori exoptat, hypochondrium contenditur, stomachus mordetur, os amarescit, acida & sincera vomit, frequenter eructat, & meliùs habet; sin minùs, intumescit, & si contrectaris, & renititur, & dolet. Proinde vterum aquâ mulsâ, aceto mulso, & oleo colluere oportet; cumínúmque tritum, aut anisum, & lini folia trita, & gallinaceum stercus cum ouis, ex aqua infundere. Subdititijs autem & potionibus, quas describam, vtitor. Insidendum autem in oleo calido, iniectis aromatis, iunci odorati flore, aut in lauri decocto, aut aquâ marinâ. Optimum autem mollibus collutionibus ventrem purgare,

ΚΕΦΑΛΑΙΟΝ ΝΕ'.

Περὶ τῶν τοῦ ἐν ταῖς μήτραις ἀνέμου σημείων διαγνωστικῶν, καὶ τῶν θεραπευτικῶν.

Ἢν ἄνεμος ἐν τῇσι μήτρῃσιν ἐνῇ, φῦσα ἔξεισι καὶ ψόφος, καὶ [252] οἰδέει πᾶσα, καὶ πῦρ ἔχει καὶ καῦμα. πρὸς τοῖς δ' ἐξαΐσσει σφόδρα ὑπὸ τῆς ὀδύνης, καὶ τὸν ἄνδρα οὐ προσίεται, καὶ σφόδρα ἄχθεται τῇ λαγνείῃ, καὶ ὀρθοῦσθαι ἀδυνατεῖ, E καὶ ὡς βάρεα μὴν κέαται ἐν τῇσι μήτρῃσι, καὶ κεφαλὴν ἀλγέει, καὶ ἀλύει, καὶ ἄναυδός ἐστιν. ἐὰν δὲ ἡ ὀδύνη προσῇ, βοᾷ τε καὶ ἀλγέει πάντα, καὶ ἰξύας, [253] καὶ ἐπίσιον, καὶ τὴν ἕδρην· καὶ τὸ οὖρον εἴργεται, καὶ ἡ κοιλίη πνίγεται, καὶ θανεῖν ἐρᾷ, καὶ ὑποχόνδριον τιταίνεται, καὶ στόμαχος [254] δάκνεται, καὶ τὸ στόμα πικρὸν, [255] καὶ ἐμέει ὀξέα, καὶ ἄκρητα, ἐρεύγεται θαμινὰ, καὶ ῥᾴζει· ἐὰν δὲ μὴ, ἀνοιδίσκεται, καὶ ἐὰν ἐπαφήσῃ, καὶ ἀντιτυπέει καὶ ἀλγέει. Κλύζειν οὖν χρὴ τὰς μήτρας μελικρήτῳ, καὶ ὀξυμέλιτι, καὶ ἐλαίῳ· κύμινόν τε τρίβων, ἢ ἄννησον, καὶ λίνου πέταλα τρίβειν, καὶ F ὄρνιθος [256] ἀπόπατον ξὺν ὠοῖς, καὶ ἐν ὕδατι ἐνιέναι· προσθέτοισι δὲ οἷς ἂν ἐγὼ γράφω, καὶ πωτήμασι χρέεσθω. [257] καθίζειν δὲ ἐν ἐλαίῳ θερμῷ, καὶ ἀρώματα ἐμβάλλειν σχοίνου ἄνθος, ἢ ἐν ὕδατι δάφνης, ἢ θαλάσσης. ἄριστον δὲ καθαίρειν κλυσμοῖσι μαλθακοῖσι τὴν κοιλίην,

ἢ βάλανον προστιθέναι, [258] ὡς νηπίῳ κοιλίη λύεται, εἴριον ἄπλυτον ξὺν μέλιτι· [259] ἢν δὲ γεραιτέρη ᾖ, κρόμμυον ἐς ἔλαιον ἢ ἐς μέλι, καὶ προστιθέναι· ἢ ταύρου χολὴν, ἢ νίτρον ξὺν μέλιτι· ἢ ῥοιῆς ὀξείης [260] χοίνικα, ξὺν μέλιτι καὶ ἀλήτῳ κριθίνῳ.

A aut glandem ex lana illota cum melle supponere, velut infanti venter soluitur. Qui si adultior fuerit, cepam oleo aut melle intinctam supponito; aut tauri fel, aut nitrum cum melle; aut mali punici acidi nucleum, melle, & hordeaceâ farinâ admixtâ.

ΚΕΦΑΛΑΙΟΝ Νϛʹ.

Περὶ τῆς μύλης τῆς ἀπὸ πάχεος γονῆς ἐμφυομένης, καὶ τοῦ ἀνέμου, καὶ τῆς γονῆς ἐν τῇ μήτρᾳ ἐνεχομένης σημείων τε καὶ θεραπευτικῶν· καὶ ὅτι αἱ γυναῖκες λεπτυνόμεναι ἐκτιτρώσκουσι.

[261] Εἰ δὲ μύλη ἐμφύεται ὑπὸ πάχεος γονῆς ἐνεχομένης, θύμβραν λειώσας ἐν ὄξει καὶ ὕδατι, τοῦτο διδοὺ πίνειν ἔνυγρον· ἢ ὑοσκυάμου τὸν καρπὸν λεῖον καὶ κλύζειν ἅλμῃ καὶ ὀπῷ καὶ ὄξει, ἢν δέῃ, ξὺν ὕδατι· κράτιστον μελίκρητον ἐνιέναι ξὺν ὕδατι φακῶν, ἢ ὀρόβων, ἢ ἴου ἄνθεος. Ἢν δὲ καθαρθῇ, οἷα τὰ πυρίφλεγέθεα, μυρσίνην ἕψειν καὶ διανίζεσθαι, σμύρναν καὶ νέτωπον σὺν εἰρίῳ προστίθεσθαι. Ἢν ἄνεμος ἐνῇ ἐν τῇσι μήτρῃσι, καὶ δάκνῃ, καὶ τῇδε διεξιὼν πῦρ ποιέει, καὶ οἰδέει καύματι, καὶ ὀδυνᾷ, καὶ τὸν ἄνδρα ἀπαναίνεται, καὶ ἄχθεται σφόδρα τῇ συνουσίῃ, καὶ τείνεται, καὶ οἰδέει τὸ ἦτρον, καὶ οὐ δύναται ὀρθοῦσθαι, ἢ ἰθύνεσθαι. ὅταν οὕτως εὕρῃς, γνῶθι ὅτι ἄνεμος καὶ γονή ἐστιν ἐν τῇσι μήτρῃσι, καὶ ἡ γυνὴ διὰ τοῦτο νῦν κάμνει. Λαβὼν μέλι, κηρὸν, καὶ λίνου πέταλα τρίψας λεῖα, ὄρνιθος στέαρ, οἴνῳ εὐώδει χλιήνας, ἔγχεον ἐς τὰς μήτρας κλυστῆρι. [262] πινέτω δὲ λίνου πέταλα, ἢ τὸν καρπὸν τρίψαι, καὶ ἐς εἴριον [263] ἐνελίξαι πρὸς τὸ στόμα τῆς μήτρης· [264] εἰ δὲ μὴ, ἐνεργεῖ χρῆσθαι· ἴρινον καὶ κρόκον, καὶ λίνου πέταλα, ὄρνιθος στέαρ, τρίψας λεῖα, διεὶς τε γάλακτι γυναικείῳ, ἀποσπογγίσας ἄχνῃ ἀπὸ ὀθονίων λεπτῶν, ἐνδῆσαι· προστιθέσθω [265] δὲ πρὸς τὸ στόμα τῆς ὑστέρης. κἢν [266] ἀποφύηται πιμελὴ σαρκοειδεστέρη, τηκεδόνα ἐντιθέναι, καὶ λεπτύνειν μέσως· αἱ γὰρ λίην λεπτυνόμεναι, ἀραιαί εἰσι, καὶ ἐκτιτρώσκουσιν.

CAPVT LVI.

De molæ à crasso semine ortæ, flatûs etiam, ac geniturae in vtero retentæ signis, & curatione; & attenuatas mulieres abortire.

Si mola ex crassa genitura intus retenta generatur, thymbram ex aceto & aqua tritam, id liquidum potui dato; aut hyoscyami semen tritum; & ex muria, laseris succo, & aceto colluito, si opus sit, cum aqua. Optimum autem, aquam mulsam cum lentium, aut erui, aut violæ floris aquâ infundere. Si verò qualia igne perusta, purgata fuerit, myrtum coquito ac perluito, myrrham & netopum in lana apponito. Si ventus in vteris C *fuerit, ac momorderit, & quà transit calorem igneum excitet, prae ardore intumescit, dolet, virum auersatur, & coitu admodum grauatur, imus venter tenditur ac intumescit, neque stare recta, neque erigi potest. Quum ita inueneris, ventum & genituram in vteris esse scito, eamque ob causam mulierem nunc ægrotare. Accipe mel, ceram, lini folia tenuiter trita, & adipem gallinaceum, hæc ex vino odorato tepefacta, in vteros per dysterem injicito. Lini folia bibat, aut semen tritum, lanâ inuolutum ad os vteri apponat. Sin minùs, efficaciore vtere.* D *Irinum & crocum, lini folia, adipem gallinaceum, tenuiter trita, lacte muliebri diluta, derasâ ex tenuibus linteis lanugine excepta & illigata, ad os vterorum apponito. Quòd si carnosior pinguedo enascatur, quod tabefaciat imponito, & modicè extenuato. Quæ enim admodùm extenuantur, raræ sunt, & abortiunt.*

ΚΕΦΑΛΑΙΟΝ ΝΖʹ.

Περὶ τῆς ὑστέρας τὴν γονὴν οὐ δεχομένης, ἀλλὰ ἀφιείσης, καὶ θερμὸν οὐκ ἐχούσης θεραπείας.

Εἰ δὲ οὐ δέχεται ἡ ὑστέρη, ἀλλὰ ἀφίησι, καὶ θερμὸν οὐκ ἔχει ἐν ἑωυτῇ, ὄργανον χρὴ μηχανοποιέεσθαι, ἐφ' ὃ ἑζομένη εἰσέλθῃ ἀτμὸς εἰς τὰς μήτρας· ἀμφὶ δὲ τούτῳ εἵματα κυκλόσε τιθέναι· ὑποθυμιῆν δὲ κασίην, κιννάμωμον, σμύρνην, ἴσον ἑκάστου, ἐν οἴνῳ τε φυρῆν σιραίῳ τούτων, καὶ ἐπιβάλλειν· ὀλίγον τε λούεσθαι, ὀλίγα σιτέεσθαι. Ἀρήγει δὲ καὶ πρόσθετον τοιόνδε· σμύρναν ἁπαλὴν ξὺν μέλιτι· ἔστω δὲ προμήκης ὡς βάλανος, καὶ ταῦτα ποιέειν πλειστάκις πρὸς τὴν δύναμιν ὁρέων. Καὶ οἱ ἐν σίτῳ πελεκῖνοι τριπτοὶ ξὺν σμύρνῃ ὠφελέουσιν. Ἕψειν δὲ μέλι, σὺν τῇσι δᾳσὶν ἀνακυκᾶν, καὶ ὅσον Αἰγύπτιον κύαμον προστιθέναι· καὶ ταύρου χολὴν, καὶ ῥοᾶς ἐρυθρῆς ἴσον. Κονύζη ποίη, ὅμοιον δέ ἐστι σελίνῳ οὔλῳ, φύεται δὲ ἄγχιστα θαλάσσης ἐν χωρίοισι ψαμμώδεσιν, ὀσμὴ δὲ τούτου δύσοιστος· τοῦτο σὺν μέλιτι καὶ οἴνῳ προσθές. Ἢ βόλβιον, ἐν πυροῖς δὲ φύεται, Αἰγυπτίοισι δὲ μάλιστα, δριμὺ, ὅμοιον κυμίνῳ Αἰθιοπικῷ·

CAPVT LVII.

De vteri semen non excipientis, sed emittentis, neque calorem habentis curatione.

At si vterus semen *non recipit, sed emittit, neque calorem in se habet, instrumentum fabricandum, cui quum insederit, vapor in vterum ingrediatur; circum quod in ambitu vestes imponendæ. Suffire autem* oportet *casiam, cinnamomum, myrrham, æquali horum cuiusque portione, sapâ subacta ac* prunis *iniecta; modicè etiam lauandum, modicéque cibandum. Auxiliatur & subdititium huiusmodi. Myrrham tenellam cum melle;* F *sit autem oblonga vt glandula; & sæpiùs hæc, virium ratione habitâ, facito. Iuuant etiam pelecini in tritico nascentes, cum myrrha triti. Mel coctum cum tedis agitatum ad fabæ Ægyptiæ quantitatẽ apponito; & fel tauri, & rhoës rubri parem portionem. Conyza herba apio crispo similis est; propè mare verò in locis arenosis nascitur, huius autem odor intolerabilis; hanc cum melle & vino subdito. Aut bolbium, quod in triticis præcipuè Ægyptijs cernitur, acre, cumino Æthiopico simile;*

hoc

hoc, allium, & nitrum simul permixta supponito; prius tamen lauetur.

τοῦτο, σκόροδον, νίτρον, ἐν τῷ αὐτῷ προστίθει· προλουέσθω δέ.

CAPVT LVIII.

De atræ bilis, & flauæ, & pituitæ in vtero stabulantis signis diagnosticis, & curatione.

Qvum mulier caput, sinciput, & ceruicem dolet, & vertigo ob oculos versatur, terretur, & mœsta est, & vrinæ nigræ, similiaque ex vtero feruntur, & anxietas & animi mœror detinet, bilis atra in vteris inest. Curato autem; cucumeris agrestis partem interiorem vetustam & anniculam, fel taurinum, æris florem cum bacchare terito, subdititia formato, medicamentum propinato, & lauato. At qvum mulier vteros mordeatur, doleatque, & lancinetur, bilem flauam mictu reddat, vterus dehiscat, & oculi quales ictericorum sint, bilem in vteris inesse scito. Totum igitur corpus, tum etiam ipsos vteros subdititijs medicamentis quæ educant, expurgare optimum. Vbi perfrigeratur vterus, & pondus incumbere videtur, color minimè splendescit, condensatus est vterus; qvum sic habuerit, eo quod pituitam ducit purgare, & extenuare oportet, crebróque vomere.

ΚΕΦΑΛΑΙΟΝ ΝΗ'.

Περὶ τῶν τῆς μελαίνης χολῆς, καὶ τῆς ξανθῆς, καὶ τοῦ φλέγματος ἐν τῇ μήτρᾳ ἐνόντος σημείων διαγνωστικῶν, καὶ τῆς θεραπείας.

Ὅταν γυνὴ τὴν κεφαλὴν ἀλγέῃ, τὸ βρέγμα τε καὶ τὸν τράχηλον, καὶ ἰλίγγια περὶ τὴν ὀμμάτων, καὶ [267] φοβέηται, καὶ στυγνὴ ᾖ, καὶ οὖρα μέλανα, καὶ δι' ὑστέρης ὅμοια, καὶ ἄσην ἔχῃ, καὶ δυσθυμέῃ, μέλαινα χολὴ ἐν τῇσι μήτρῃσιν ἔνι. Θεραπευέσθω δὲ· ἐντεριώνην παλαιὴν, ἐνιαυσίην, ταύρου χολὴν, ἄνθος χαλκοῦ τρίβειν ξὺν βάκχαρι, καὶ προσθετὰ ποιεῖν, καὶ φάρμακον πιπίσκειν, καὶ λούειν. Ὁκόταν δὲ δάκνηται τὰς μήτρας γυνὴ καὶ ἀλγέῃ, καὶ ἀδάξηται, καὶ χολὴν οὐρέῃ ξανθὴν, καὶ ἡ μήτρη χάνῃ, οἷα καὶ οἱ ὀφθαλμοὶ ἰκτερώδεες, ἴσθι ὅτι χολὴ ἐν τῇσιν μήτρῃσιν ἔνι. ἄριστον χρὴ ἐκκαθαίρειν τό, τε πᾶν σῶμα, καὶ αὐτὰς προσθέτοισιν, ἃ χολὴν ἄγει. [268] Ὁκόταν δὲ ψύχεται ὑστέρη, καὶ βάρος δοκέῃ ἐγκεῖσθαι, καὶ τὸ χρῶμα οὐ λαμπρὸν, καὶ πέπηγεν ἡ ὑστέρη, ὅταν οὕτως ἔχῃ, καθαίρειν ὅ, τι φλέγμα ἄγει, καὶ λεπτύνειν χρὴ, καὶ πυκνὰ ἐμέειν.

CAPVT LIX.

De oris mulieris ac gingiuarum fœtore, eiusque curatione per purgantia, dentifricium, ac indicum medicamentum.

Qvum mulieri os malè oluerit, gingiuæque nigræ & prauæ fuerint, leporis caput & mures tres seorsim vrito, duorum murium ventrem eximito, iecur & renes minimè, & in pila lapidea marmor aut lapidem album terito & cribrato, deinde cuiusque parem portionem misceto, & dentes confricato. Oris autem partes etiam confricare oportet, deinde quoque lanâ maximè succidâ, & aquâ colluere. Lanâ verò succidâ melle imbutâ, dentes & gingiuas, partesque internas & externas confricet. Anisum autem tritum & anethi semen, & myrrham duorum obolorum pondere, vini albi meri dimidiâ heminâ diluito, hoc colluat, & diutiùs ore contineat; hoc autem crebrò faciendum, ieiunæque & à cibo os colluendum. Optimum est pauco cibo vti, & valentissimos cibos sumere oportet. Hoc medicamentum dentes purgat, eosque bene olentes reddit. Vocatur autem Indicum medicamentum.

ΚΕΦΑΛΑΙΟΝ ΝΘ'.

Περὶ τῆς τοῦ στόματος γυναικείου, καὶ τῶν οὔλων δυσωδίας, καὶ τῆς διὰ τῶν καθαρτικῶν τε καὶ ὀδοντοτρίμματος, καὶ τοῦ Ἰνδικοῦ φαρμάκου θεραπείας.

Ὅταν γυναικὶ ὄζῃ κακὸν ἐκ τοῦ στόματος, καὶ τὰ οὖλα μέλανα ᾖ καὶ πονηρὰ, κεφαλὴν λαγωοῦ καὶ μύας τρεῖς κατακαίειν χωρὶς, καὶ τῶν δύο μυῶν ἐξελεῖν τὴν κοιλίην, ἧπαρ δὲ καὶ νεφροὺς μή, καὶ ἐν θυίῃ λιθίνῃ τρίβειν μάρμαρον ἢ λίθον λευκὴν, καὶ διασήσαι, ἔπειτα μίσγειν ἴσον ἑκάστου καὶ τοὺς ὀδόντας τρίβειν. χρὴ δὲ καὶ τὰ ἐν τῷ στόματι [269] χωρία, κἄπειτα ἐρίῳ πινώδεστάτῳ τρίβειν, καὶ διακλύζεσθαι ὕδατι· βάπτουσα δὲ τὸ πινῶδες ἔριον ἐν μέλιτι, ἀνατριβέτω τοὺς ὀδόντας καὶ τὰ οὖλα, καὶ τὰ ἔνδον καὶ τὰ ἔξω. τρίβειν τε ἄννησον, καὶ ἀνήθου καρπὸν, καὶ σμύρνην ὁλκῆς ὀβολοὺς δύο, διιέναι οἴνῳ λευκῷ ἀκρήτῳ ἡμικοτυλίῳ, ἐν τούτῳ διακλυζέσθω, καὶ ἐν τῷ στόματι πουλὺν κατεχέτω χρόνον· θαμινὰ δὲ τοῦτο δρᾶν, καὶ [270] ἀναγαργαλίζεσθαι νῆστιν καὶ μετὰ τὸ ἐσθίειν· ἄριστον δὲ ὀλιγοσιτίη, κράτιστα χρὴ προσφέρεσθαι. τοῦτο τὸ φάρμακον ὀδόντας καθαίρει, καὶ εὐώδεας ποιεῖ· καλεῖται δὲ Ἰνδικὸν φάρμακον.

CAPVT LX.

De asperarum mammarnm, ac de ascaridum in pudendo muliebri aut sede ortorum curatione.

Qvum mulieri mamma aspera redditur, stybis semen aut rubi ex aqua & oleo coctum, mammis in cataplasmate obducito, & betæ folia supponito, deinde ex linteo velut pileum consuito eâ magnitudine vt mammam capiat, ac sic

ΚΕΦΑΛΑΙΟΝ Ξ'.

Περὶ τῆς τῶν μαζῶν τραχέων· καὶ τῶν ἀσκαρίδων ἐν τῷ ἀρχῷ γυναικείῳ ἢ ἐν τῷ αἰδοίῳ γενομένων θεραπείας.

Ὁκόταν γυναικὶ ὁ μαζὸς [271] τρηχὺς γίνηται, [272] στύβης καρπὸν, ἢ βάτου [273] ἑψῆν σὺν ὕδατι καὶ ἐλαίῳ, καὶ τοὺς μαζοὺς καταπλάσσειν, καὶ τεύτλου φύλλα [274] ἐπιῤῥιπτεῖν, ἔπειτα ῥάψαι ἐς ῥάκος, ὡς κυρβασίην, τεκμηράμενος ὅσον τὸν μαζὸν ἐκχωρήσῃ, καὶ οὕτως

ἐντιθέναι τὸ πτίλον. [275] ἢν δὲ διαπυήσῃ, τάμνειν, καὶ ἐρείῳ ῥερυπωμένῳ μοτῶσαι, καὶ ἐπιβάλλειν τὸ αὐτὸ μετέπειτα φακῷ ἑφθῷ ξὺν ἀλφίτῳ μίξαι, καὶ καταπλάσσειν. Επὴν γυναικὸς ἐν τῷ αἰδοίῳ, ἢ ἐν τῷ ἀρχῷ ἀσκαρίδες γίνωνται, λύγου καρπὸς μίσγεται ἢ φύλλα, καὶ βοὸς χολὴ παραμίσγεται ὅσον ὀβολός· κεδρίνῳ δὲ ἐλαίῳ φυρῆν, καὶ ἐρείῳ πινόεντι [276] εὐειρωτάτῳ ἀναλαβεῖν· ἐντιθέσθω δὲ διὰ τρίτης, νύκτα καὶ ἡμέρην· τῇ δὲ ὑστεραίῃ ἀφελομένη, λουέσθω θερμῷ, καὶ σκόροδα ἑφθὰ καὶ ὠμὰ ἐσθιέτω, καὶ αἱ ἀσκαρίδες ἐξίασι καὶ θνήσκουσιν· ἅλμῃ δὲ κλύζειν χρή.

mammam immittito. Si verò suppuret, incidito, & linamentum ex lana succida immittito, eandemque superponito. Postea lenticulam coctam cum polenta mixtam ex cataplasmate admoueto. Vbi in mulieris pudendo, aut recto intestino ascarides suboriuntur, viticis semen, aut folia cum fellis bubuli obolo permiscentur. Cedrino verò oleo subacta, & lanâ succidâ bene carminatâ excepta, tertio quoque die per noctem & diem imponat. Postero verò die vbi detraxerit, calidâ lauet, & allijs coctis & crudis vescatur, & ascarides exeunt ac moriuntur. Muriâ autem colluere oportet.

ΚΕΦΑΛΑΙΟΝ ΞΑ'.

Τὰ τὸ πρόσωπον ἀγλαΐζοντα, καὶ πρὸς τοὺς φακούς, καὶ τὴν τοῦ προσώπου ἐκ κονιορτοῦ λύπην, καὶ τὰς ῥυτίδας, καὶ τριχῶν ῥύσιν, καὶ φαλακρότητα, καὶ μάδησιν, καὶ τὰς ἐφηλίδας, καὶ λειχῆνας, καὶ φλυκταίνας, βοηθήματα.

CAPVT LXI.

Ad faciem decorandam, ad lentigines, faciei læsionem ex puluere, rugas, capillorum defluuium, caluitiem, cutis glabritiem, ephelidas, impetigines, & pustulas, remedia.

ΠΡόσωπον ἀγλαΐζει. Ἧπαρ ταύρου τρίβειν ξὺν ἐλαίῳ, ἀλείφειν δὲ σὺν ἀκρήτῳ οἴνῳ· [277] χολὴ δὲ χλωροῦ φθείρει· ἀλλὰ καὶ ὁ χυλὸς τῆς πτισάνης ὁμοίως λαμπρυνεῖ, καὶ ὠὸν τὸ λευκόν, καὶ ἄλητον θέρμων καὶ ὀρόβων καὶ σύκων καταπλαττόμενα, καὶ κράμβης ῥίζα καὶ σπέρμα, ταῦτα καὶ φακοὺς αἱρεῖ, καὶ ἀλκυόνιον. Καὶ κονιορτὸς ἢν λυπῇ τὸ πρόσωπον, κηρωτῇ ὑγρῇ διὰ ῥοδίνου ὑποχρίειν, καὶ ὕδωρ ψυχρὸν προσχέειν. Καὶ ῥυτίδας ἐκτείνει. Ἐν θυίῃ λιθίνῃ μολύβδαιναν τρίβειν, μηνιαῖον ὕδωρ παραχέοντα, πλάσαι κυκλίσκους· κἀπειδὰν ξηρανθῶσιν, ἐλαίῳ διεὶς, χρῖε τὸ τὰς ῥυτίδας φέρον πρόσωπον. Ἢν δὲ ῥέωσιν αἱ τρίχες, λάδανον μετὰ ῥοδίνου [279] ἢ ἀνθίνου μύρου τρίβε, καὶ μετ᾽ οἴνου ἐγχριέσθω. Ἢ τὴν σμηκτρίδα γῆν ξὺν οἴνῳ, ἢ ῥοδίνῳ, [281] ἢ ὀμφακίνῳ, ἢ ἀκακίῃ. Καὶ ἢν μαδήσῃ, κύμινον ἔμπλασσε, ἢ πελιάδων κόπρον, ἢ ῥαφάνου τριπτήν, [280] ἢ κρομμύῳ τριπτῷ, ἢ τεύτλῳ, ἢ κνίδῃ. Τὰς δ᾽ ἐφηλίδας λεγομένας αἱρεῖ ὀρόβιον, τεύτλου τε χυλός, ὠὸν τὸ λευκόν, πτισάνη, ἢ σικύου ἀγρίου ῥίζη ξηρή, μετ᾽ οἴνου τρυγὸς τριφθεῖσα, ἐπαλειφομένη· ἢ συκῆς φύλλα [282] προστιθέμενα· ἢ σησάμῳ τριπτῷ σμήχεσθαι, ἢ ἀμυγδάλαις πικραῖς· κνίδης τε σπέρμα, σκορόδων κέλυφος ἐπιδεόμενον, λεπίδιον. Λειχῆνας ἐξάγει πάντας ὄξος, μάννα, κίσσηρις, θεῖον μετ᾽ ὄξους, κάρδαμον ἄγριον καὲν καὶ σποδωθέν, ἐχίδνης λεβηρίς, καὶ λαπάθου ἀγρίου ῥίζα· τρίβειν δὲ μετ᾽ ὄξους οἰνώδεος. Ἢν δὲ φλυκταινοῦνται, καὶ λιθαργύρου χρέο.

FAciem decorant. Hepar tauri cum oleo terito, cum vino autem mero illinito. Fel autem flauum corrumpit. Sed & ptisanæ cremor similiter faciem illustrat, *& ouorum candidum, & lupinorum & orobi farina, cum ficubus in cataplasmate imposita. Brassicæ etiam radix & semen; hæc etiam lentigines tollunt, itemque alcyonium. Quòd si puluis faciem læserit, cerato liquido ex rosaceo parato inungito, & aquam frigidam affundito.* Hoc rugas curat. *Plumbaginem in pila lapidea terito, & affusâ aquâ menstruâ pastillos conficito; & vbi siccati fuerint, & oleo dissoluti, faciem rugas ferentẽ inungito.* At si capilli defluant, *ladanum cum rosaceo aut anthino vnguento terito, & cum vino illinat. Aut terram cimoliã cum vino, aut rosaceo, aut omphacino, aut acacia. Quòd si glabra fuerit, cuminum, aut stercus columbinũ, aut raphanum tritum impone; aut cum cepa confricet, aut beta, aut vrtica. Maculas ephelidas appellatas erui decoctũ tollit, betæ ius, ouorũ candidum, ptisana, aut cucumeris agrestis radix sicca, cum vini fæce trita & illita; aut mori folia admota. Aut sesamo trito, aut amygdalis amaris defricari. Aut vrticæ semen, aut allij cortex illigatus, & lepidium.* Impetigines omnes aufert. *Acetum, thuris pollen, pumex, sulphur cum aceto, cardamum agreste vstum & in cinerem redactum, viperæ exuuium, rumicis agrestis radix; hæc cum aceto vinoso terito. Quòd si pustulæ emergant, etiam lithargyro vtitor.*

ΚΕΦΑΛΑΙΟΝ ΞΒ'.

Περὶ ποτῶν τοῦ ῥόου ἐρυθροῦ ἀγαθῶν.

CAPVT LXII.

De potionibus ad rubrum fluorem idoneis.

ΡΟου ἐρυθροῦ ποτὸν ἀγαθόν. Ἐλάφου κέρας κατακαύσας, ὠμηλύσει κριθῶν ξυμμίξαι διπλασίῃ· ἐπὶ οἶνον πράμνιον ἐπιπάσσουσα πινέτω, καὶ ἵσταται. Ἕτερον ὁμοίως ποτόν. Ἀδιάντου ῥίζαν τρίψας, καὶ ἐρεβίνθους φώξας, [283] καὶ λέκιθον, πίνειν ἐν μέλιτι ὡς ποτὸν διδόναι. Ἢ ἀλήτου σητανίου ὀξύβαφον, κόμμεως λευκοῦ ἥμισυ, μάννης τρίτον μέρος, καὶ σχοίνου ὀλίγον, ἢ πίτυος, ἢ κυπαρίσσου, διεὶς ὕδατι, δίδου πίνειν, πινέτω δὲ τῆς ἡμέρης.

POtio ad fluorem rubrum vtilis. *Cornu cerui vstum duplo farinæ hordeaceæ crudæ commisceto, eamque ad vinum pramnium aspersam bibat, & sistitur.* Alia similis potio. *Adianti radicem tritam, & cicer tostum, ac lentium farinam, ex melle bibenda vt potum exhibeto.* Aut *farinæ setaneæ acetabulum, gummi albi dimidiam partem, thuris pollinis tertiam, iunci odorati modicum, aut pini, aut cupressi purùm, hæc aquâ diluta potui exhibeto; de die autem bibat.*

Aut

Aut cornu cerui vrito, & cum farinâ hordeaceâ crudâ & cedri baccis quinque terito; vinum nigrum austerum tedaceum admiscetur. Aut *mali punici dulcis assati succum cum vino nigro potet.* Aut *cupressi baccæ tres aut quatuor, myrti baccæ nigræ, aut simul, aut per sese, considerato corporis muliebris robore; cum vino autem potio fiat.* Aut *castorij obolum cum vino austero nigro terat ac bibat.*

A Ἢ ἐλάφου κέρας κατακαίειν, τρίβειν τε καὶ ὠμῇ ἀλφίτῳ σὺν κεδρίσι πέντε· οἶνος σὺν τῇσι δαισὶν αὐστηρὸς μέλας μίγνυται. Ἢ ῥοιὴν γλυκεῖαν, ὀπτήσας τὸν χυλὸν, ξὺν οἴνῳ μέλανι πίνειν. Ἢ κυπαρίσσου καρπὸν ὅσον τρία ἢ τέσσαρα, καὶ μύρτα μέλανα, καὶ ὁμοῦ, καὶ αὐτὰ καθ' ἑαυτὰ, πρὸς ἰσχὺν τοῦ σώματος ὁρέων τῆς γυναικός· ξὺν οἴνῳ δὲ ἡ πόσις γινέσθω. Ἢ καστορίου ὀβολὸν ἐν οἴνῳ B τρίβειν αὐστηρῷ μέλανι, καὶ πιπίσκειν.

CAPVT LXIII.

Ad fluorem muliebrem & omnes morbos vterinos, ac sanguinis profluuium, potiones.

POtio ad fluorem, & quemuis vteri morbum. *Pœoniæ semen, rhoïs radices, cuminum Æthiopicum, & melanthium ex vino albo exhibeto.* Aut *ferulam derasam acetabuli quantitate, & porri succum ex vino albo aquâ temperato; id etiam fluentem ex naribus sanguinem sedat.* Aut *malum punicum in vino nigro coquito, & detracto cortice, quod intus est tritum cum polentæ polline ex vino nigro potui exhibeto.* Aut *linum, aut erysimum tostum, oleæ viridis folia, nigram* aspalathi *radicem, papauer maturum plenum; hæc simul trita ex eodem vino aquâ temperato bibenda dato.* Aut *coagulum asininum, mali punici dulcis radicem, gallam, æquis portionibus omnia, & mali punici dulcis succum ex vino bibendum dato.* Aut *lapathi semen cum gallæ parte exteriore circumrasâ, hæc simul terito, deinde cyceonem* confectum porrigito. *Si sanguis copiosus ex vteris fluat, viticis folia ex vino nigro* exhibeto. *Acerba vino nigro commixta, profluuium sistunt.*

ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

Πρὸς τὸν γυναικὸς ῥόον, καὶ πάσας νόσους ὑστερικὰς, καὶ αἱμορραγίαν, ποτήματα.

ΡΟου καὶ πάσης νόσου ποτὸν, ὅσαι ἀπὸ τῶν ὑστερέων γίνονται. Γλυκυσίδης καρπὸν, [284] καὶ τοῦ ῥοῦ τὰς ῥίζας, κύμινον Αἰθιοπικὸν, καὶ μελάνθιον, [285] ἐν οἴνῳ C λευκῷ διδόναι. Ἢ νάρθηκα ξύσας, ὅσον ὀξύβαφον, [286] καὶ πράσου χυλὸν, ἐν οἴνῳ λευκῷ κεκρημένῳ· τοῦτο καὶ ἐκ ῥινῶν αἷμα ῥέον παύει. Ἢ σίδην ἑψῆσαι ἐν οἴνῳ μέλανι, καὶ περιλέψαι, καὶ τὰ ἔνδον τρίβειν· ἐν οἴνῳ μέλανι ξὺν πάλῃ ἀλφίτου πιεῖν. Ἢ λίνου, ἢ ἐρυσίμου φῶξαι, καὶ ἐλαίης φύλλα χλωρῆς, καὶ μέλαιναν ῥίζαν, μήκωνα ἁδρὰν, ταῦτα τρίψας, ἐν τῷ αὐτῷ οἴνῳ κεκρημένῳ δίδου πίνειν. Ἢ τάμισον ὄνου, καὶ σίδης γλυκείης ῥίζαν, καὶ κηκίδα, ἐξ ἴσου D πάντα, καὶ ῥοιῆς γλυκείης χυλὸν, ξὺν οἴνῳ πίνειν. Ἢ λαπάθου καρπὸν, ξὺν τῷ τῆς κηκῖδος ἔξω περιεξυσμένῳ, ταῦτα τρίβειν ἅμα, καὶ μετέπειτα κυκεῶνα. Ἢν αἷμα ῥέῃ λάβρον ἐξ ὑστερέων, ἄγνου φύλλα ξὺν οἴνῳ μέλανι. Τὰ στρυφνὰ ῥόον ἵστησιν, οἴνῳ μέλανι μιγνύμενα.

CAPVT LXIV.

Ad fluorem muliebrem ac dolorem, potiones & cataplasmata.

AD fluorem & dolorem. *Canchryos radicē ex vino nigro bibendam dato. Quòd si copiosior fuerit, terebinthi fructus tritus* prodest; *ex vino & aquâ diluere & bibere oportet. Si fluor contingat, cancris fluuialibus ex vino suffocatis, vinum cum aqua potui exhibeto. Quòd si adhuc fluxus feratur, pomalum torrefactū & tritū ex vino, aut porri succum exhibeto. Si verò multus fluor decurrat, muli stercus vstum & læuigatum ex vino exhibeto. At si diuturnus fluor detinuerit, spongia vsta confert; eam spongiam tenuiter tritam ex vino odorato exhibeto.* Ad fluores cataplasma. *Allia, portulacam, apium, loti & cedri ramenta, læuigata simul admisceto; ex his aquâ mulsâ dissolutis cataplasma efficito.* Aut *rubi, rhamni, & oleæ folia tenuiter trita simul misceto, aquâ mulsâ diluito, & cum polenta ex cataplasmate admoueto.* Aut *sambuci & myrti folia ex cataplasmate adhibeto. Aut loti ramenta, mori & rosæ folia cum vua passa.*

ΚΕΦΑΛΑΙΟΝ ΞΔ'.

Πρὸς ῥόον γυναικὸς, καὶ ὀδύνην, ποτὰ καὶ καταπλάσματα.

E [287] ΡΟου καὶ ὀδύνης. κάγχρυος ῥίζαν ἐν [288] οἴνῳ μέλανι πίνειν. Ἢν δὲ πλέον ᾖ, τερμίνθου καρπὸς τριβόμενος· χρὴ δὲ οἴνῳ καὶ ὕδατι διιέναι, καὶ πίνειν. Ἢν ῥόος γίνηται, καρκίνους ποταμίους ἀποπνίξας ἐν οἴνῳ, πίνειν διδόναι τοῦ τοιούτου οἴνου μεθ' ὕδατος. [289] Ἢν δ' ἔτι φέρηται ὁ ῥόος, [290] προμηλὸν φώξας, καὶ τρίψας, ἐν οἴνῳ δίδου, ἢ πράσων χυλόν. Ἢν δὲ πουλὺς κατέρχηται ὁ ῥόος, ἡμιόνου ὀνίδα κατακαίειν, καὶ λειῶσαι, καὶ ξὺν οἴνῳ διδόναι. Ἢν δὲ πολυχρόνιος ὁ F ῥόος γίνηται, σπόγγος κατακαεὶς ἀρήγει· τρίβειν δὲ λεῖον τὸν σπόγγον, καὶ σὺν οἴνῳ διδόναι εὐώδει. Κατάπλασμα ῥόων. Σκόροδα, καὶ ἀνδράχνην, καὶ σέλινον, καὶ λωτοῦ πρίσματα καὶ κέδρου, λεῖα ὁμοῦ μίξαι, διεὶς δὲ ἐν μελικρήτῳ, κατάπλασμα ποιέειν. Ἢ βάτου φύλλα καὶ ῥάμνου καὶ ἐλαίης, ὁμοῦ λεῖα μίξαι, καὶ διεῖναι ἐν μελικρήτῳ, καὶ σὺν ἀλφίτοισι καταπλάσσειν. Ἢ ἀκτῆς, καὶ μυρσίνης φύλλα κατάπλασσε. Ἢ λωτοῦ πρίσματα, καὶ συκαμίνου φύλλα καὶ ῥόδων, σὺν ἀσταφίδι.

A

ΚΕΦΑΛΑΙΟΝ ΞΕ'.

Πρὸς τοὺς ῥοῦς, πυρίαι.

Πυριήσιες ῥόων. Αἰρῶν ἄλευρα πεφωσμένα, ἕψε ἐν ὀξυκρήτῳ ἀκρητεστέρῳ, καὶ ἐς ὀθόνιον ἐγχέων πυρία. Ἢ φακοὺς φώξας καὶ περιπτίσας, ποιέειν ἄλευρα χονδρότερα, καὶ ἐν ὕδατι ἑψεῖν, καὶ ὁμοίως καταπλάσσειν. Ἢ ὀρόβους ὡσαύτως. Ἀγαθὸν δὲ καὶ ἐλελίσφακον. Ἢ ἄχυρα κριθῶν, ἐν ἀφεψήματι ἐλελισφάκου καὶ ὑπερικοῦ ἑψεῖν, καὶ καταπλάσσειν. Λωτοῦ πρίσματα καὶ κυπαρίσσου ἐναφεψῶν ἐν ἀσταφίδος ἀποβρέγματι, ἐς ὀθόνιον ἐπιχέων, πυριῆν. Ἢ ἐλαίης φύλλα, ἢ κισσοῦ, ἢ μυρσίνης, ἐν ἀφεψήματι, καὶ μετὰ τούτων, κριθῶν ἄχυρα ἑψεῖν. Ἢ ἀρωματίτῃ ὕδατι [291] συνεψεῖν πίτυρα πύρινα. Ἢ ἀσταφίδος ἀποβρέγματι πίτυρα πυρῶν ἑψεῖν. Ἢ λευκοΐου καρπὸν, ἢ τὰς ῥίζας ἀφεψεῖν, καὶ τῷ ὕδατι ξὺν πιτύροισι πυρίνοισιν ἐπιῤῥίπτειν. Ἢ τῷ ἀφεψήματι πίτυρα πυρῶν, τοῦτο ποιήσασα, θερμῷ ἐνελιξαμένη εἰρίῳ, πυριήσθω. Ἢ τῷ τοῦ ἑρπύλλου ἑψήματι, καὶ πίτυρα τὸν αὐτὸν τρόπον. Πυριῆν δὲ καὶ σπόγγοισι θερμοῖσι, καὶ εἰρίοισι μαλθακοῖσιν, ἢν περιωδυνέῃ, καὶ τοῖσιν ὀστρακίνοισιν ἀγγείοισιν, ὕδατος ἐγχέων, ἢ ἐν κύστεσιν ἐλαίῳ θερμῷ.

CAPVT LXV.

Ad fluores muliebres, fotus.

Fotus ad fluores. *Loliaceam farinam tostam, poscâ meraciore coctam, & linteo illitam in fotu adhibeto.* Aut *lentes torrefactas ac decorticatas in crassiorem instar alicæ farinam redigito, & in aqua coquito, ac similiter ex cataplasmate adhibeto.* Aut *eruum eodem modo. Confert etiam saluia. Aut hordei paleas,* B *in saluiæ aut hyperici decocto coquito, & ex cataplasmate imponito. Loti & cupressi ramenta, ex vuæ passæ infuso decocta, linteo inducta, in fomento adhibeto.* Aut *oleæ, aut hederæ, aut myrti folia ex decocto* admoueto, *& cum his hordei paleas coquito.* Aut *in aromatum aqua simul furfures triticeos coquito.* Aut *vuæ passæ cremore triticeos furfures coquito.* Aut *violæ albæ semen aut radices coquito, in aquam* decocti *furfures triticeos inijcito. Aut ex decocto furfurum triticeorum calido, lanâ conuolutâ calidâ foueatur.* Aut *in serpilli de-* C *coctum furfuribus ad eundem modum* iniectis. *Fotus verò, si dolor vrgeat, etiam ex spongijs calidis, & lanis mollibus adhibendus, aut ex vasis testaceis & vesicis aquâ affusâ & oleo calido plenis.*

ΚΕΦΑΛΑΙΟΝ ΞϚ'.

Πρὸς τοὺς ῥοῦς, κλυσμοί.

Κλυσμοὶ ῥόων. Μυρσίνης φύλλα καὶ δάφνης, καὶ κισσοῦ, ἐν ὕδατι ἀφεψεῖν, τουτέῳ κλύζε χλιηρῷ. Ἀκτῆς φύλλα, [292] καὶ σχοίνου ἀφεψεῖν ἐν ὕδατι, ἀποχέας, [293] ἀκροχλιηρῷ κλύζειν. Ἢ οἰνάνθην, καὶ κύπερον, καὶ ἀσταφίδα ἀφεψεῖν ἐν μελικρήτῳ, καὶ κλύζειν. Ἢ τήλεος ὕδατι, ἢ βάτου ἀφέψημα, ἢ ἐλαίης χλωρῆς, ἢ κυπαρίσσου, ἢ ἑρπύλλου, ἢ ῥοῆς, ἢ λευκοΐου ῥίζης, ἢ σχοίνου ἀκροχλιηρόν. Ἢ τὸ διὰ βουτύρου, καὶ ῥητίνης, καὶ χηνείου ἐλαίου. Ἢ τὸ διὰ μυελοῦ, καὶ στέατος ὑείου.

CAPVT LXVI.

Ad fluores muliebres, clysteres.

Collutiones ad fluores. *Myrti, lauri & hederæ folia in aqua decoquito, hac tepidâ colluito. Sambuci & lentisci folia aquâ decoquito, percolatâ summè tepidâ colluito.* Aut *œnanthen, cyperum, vuam passam aquâ mulsâ decoquito, &* D *colluito. Aut fœnigræci aquam, vel rubi decoctum, vel oleæ viridis, vel cupressi, vel serpilli, vel mali punici, vel radicis violæ albæ, vel lentisci, summè tepidum* infundito. Vel *id quod ex butyro, resinâ & adipe anserino paratur. Aut quod ex suilla medulla & adipe est paratum.*

ΚΕΦΑΛΑΙΟΝ ΞΖ'.

Πρὸς τοὺς γυναικὸς ῥοῦς ὑποθυμιάσεις.

Ὑποθυμιήσιες ῥόων. Κριθὰς πεφωσμένας ἐς ἄνθρακας, ὑποθυμιῆν. Ἢ ἐλάφου κέρας σὺν ἐλαίῃσιν ὀμφακίτισιν. Ἢ ῥόον τὴν ἐρυθρὴν, καὶ ἄλφιτα πεφωσμένα, ξὺν ἐλαίῳ καὶ οἴνῳ διπλασίῳ. Ἢ ἄχυρα κριθῶν, καὶ βόλβιτον ὁμοίως. Ἢ λωτοῦ πρίσματα, ἢ ῥόον, ἢ κυπάρισσον, σὺν οἴνῳ μέλανι αὐστηρῷ, ξηρὴν ὑποθυμιῆν. Ἢ χαλβάνην, ἢ μάνναν, ἢ ῥητίνην, οἴνῳ [295] δεῦσαι, ἢ αἰγὸς κέρας, ἢ κηκίδας, καὶ ὁ ῥόος ἵσταται. Ἕτερα θυμιητά. Ὀρύξαι χρὴ βόθρον, καὶ φῶξαι ὅσον δύο χοίνικας Ἀττικὰς γιγάρτων, τῆς σποδιῆς ἐπιβαλεῖν ἐπὶ τὸν βόθρον, οἴνῳ τε ἐπιψεκάσαι εὐώδει, καὶ ἀμφικαθεζομένη, κατειλίξασα ἑαυτὴν, θυμιήσθω. Ἢ τὸ λεγόμενον οἰσύπην αἰγὸς, ξηρὰ κόψαι, καὶ φῶξαι, σὺν κριθῶν

CAPVT LXVII.

E

Ad fluores muliebres, suffitus.

Suffitus ad fluores. *Hordeum tostum prunis impositum suffito.* Aut *cerui cornu cum oliuis immaturis.* Aut *rhoëm rubrum, & polentam torrefactam, cum oleo & vino duplo.* Aut *paleas hordei, & stercus bubulum eodem modo.* Aut *loti ramenta, aut rhoëm, aut cupressum siccam, ex vino nigro austero suffito.* Aut *galbanum, aut thuris pollinem, aut* F *resinam vino subigito; aut ceruinum cornu, aut gallam, & sistitur fluor.* Alia ad suffitum materia. *Scrobem effodere oportet, & vinaceorum duas chœnices Atticas torrefacere, cinerem in scrobem inijcere, & vino odorato asperso irrigare, &* mulier *sese vestibus conuoluens, circumsedeat & suffitum adhibeat.* Aut *capræ œsypum dictam, siccam, tusam & tostam, cum*

hordeo

hordeo freso, oleo subactam suffito. Aut hordeum multum, aut eius paleas in prunas iniectas, aut cupressi ramenta unguento respersa, suffitu adhibeto. Aut cicutam, aut myrrham, aut thus affuso unguento suffito. Aut bitumen & hordei paleas eodem modo. Aut cupressi radicem oleo rosaceo perfusam suffito. Aut calamo, iunco odorato, cypero, apij semine, aniso, oleum rosaceum affusum suffito. Similiter verò resinam prunis *iniicito; &* cinnamomum, *& myrrham, cum rubi aut rosarum folijs aut menthæ, pusillo croco addito & styrace. Hæc omnia simul terito, ac suffito oboli Attici pondere in cinere sarmentitio, aut in stercore bubulo ad instar acetabuli efformato. Sit autem ignis ex vitis sarmentis. Mulier autem priusquàm odor sit, superponenda est, quandoquidem si odor fuerit, præstat non suffire.*

ἐρίγματι, ἐλαίῳ φυρήσασα, θυμιῆν. [297] Ἢ ἄνθρακας [298] πλῆθος κριθέων, ἢ ἄχυρα προβάλλων, ἢ πρίσματα κυπαρίσσου, μύρῳ δεύων, θυμιῆν. [299] Ἢ κώνειον, ἢ σμύρναν, ἢ λιβανωτὸν, τὸ μύρον περιχέων, θυμιῆν. Ἢ ἄσφαλτον, καὶ κριθῶν ἄχυρα ὁμοίως. [300] Ἢ κυπαρίσσου ῥίζαν ἐν ἀλείφατι ῥοδίνῳ περιχέας, θυμιῆν. Ἢ καλάμῳ, σχοίνῳ, κυπείρῳ, σελίνου σπέρματι, ἀννήσῳ, ῥόδινον ἔλαιον [301] περιχέας. Ὁμοίως δὲ καὶ ῥητίνην προβάλλειν, καὶ κιννάμωμον, καὶ σμύρναν, ξὺν βάτων φύλλοις, ἢ ῥόδων φύλλοις, [302] ἢ ἡδυόσμοις, ξὺν ποσῷ κρόκῳ καὶ στύρακι. Ταῦτα πάντα ἐν τῷ αὐτῷ τρίβειν, καὶ θυμιῆν ὀβολῷ Ἀττικῷ σταθμῷ, ἐπὶ σποδιῇ οἰναρέῃ, ἢ ἐπὶ [303] βολβίτου πλασσοῦ ὡς ἐμβάφιον· τὸ δὲ πῦρ κληματινὸν ἔστω. ἐπιτιθέναι δὲ ἤδη πρότερον ὡς μὴ ὀδμὴ ᾖ, ἐπεὶ εἰ ὀδμὴ ἔσται, ἄμεινον μὴ θυμιῆν.

CAPVT LXVIII.

Ad fluorem rubrum, subdititia.

SVbdititia ad fluorem rubrum. *Myrrha & bolbium cum melle tritum, optimum subdititium.* Aut *rosæ in aqua coctæ, quas sanè tenuiter tritas ex unguento rosaceo, & lanâ inuolutas, apponito. Aut loti florem in aqua coquito, deinde ex unguento rosaceo terito, & in lanâ ad os uteri admoueto. Aut cyperum, irim, anisum, æquis portionibus singula, ex unguento rosaceo trita, intro in os uteri iniicito. Aut myrti nigræ folijs ex vino albo pini corticem admisceto, & similiter facito. Aut cupressi fructum, & thus, parem cuiusque portionem, ex unguento simul terito & subdito. Si* fluorem exiccare oportuerit. *Calaminthem in vino nigro coquito, & maceratam ex linteo imponito. Aut hyoscyami folia, & cicutam simul coquito; similiter porra, maluam, ceram & adipem anserinum admisceto, deinde tepida ad pudenda subdito. Aut vinum merum cum resina & malicorio cocto terito, & similiter supponito. Aut cnicum ex vino tritum subdito. Aut loti scobem similiter. Aut lentisci folia, aut rhoëm melle cocto permixtum subdito. Quòd si non cesset, susinum, aut blitum herbam linguæ similem, ex lanâ in subdititium efformato.*

ΚΕΦΑΛΑΙΟΝ ΞΗ'.

Πρὸς ῥοῦν ἐρυθρὸν, προσθετά.

ΡΟῦ ἐρυθροῦ προσθετά. Σμύρνα καὶ βολβίον ξὺν μέλιτι τριφθὲν, πρόσθετον ἄριστον. Ἢ ῥόδα ἑψητὰ ἐν ὕδατι, ἃ δὴ καὶ τρίψας λεῖα ἐν μύρῳ ῥοδίνῳ, ἐν εἰρίῳ ἑλίξας προσθεῖναι. Ἢ τοῦ λωτοῦ τὸ ἄνθος ἑψῆσαι ἐν ὕδατι, κἄπειτα τρίβειν ἐν ῥοδίνῳ μύρῳ, καὶ ἐν εἰρίῳ πρὸς τὸ στόμα τῆς ὑστέρης προσάγειν. Ἢ κύπειρον, καὶ ἶριν, καὶ ἄννησον, ἴσον ἑκάστου ἐν μύρῳ ῥοδίνῳ λεῖον, [304] βάλλειν ἐς τὸ στόμα εἴσω. Ἢ μυρσίνης φύλλα μελαίνης ἐν οἴνῳ λευκῷ, πίτυος φλοιὸν παραμίσγειν, καὶ ὁμοίως ποιεῖν. Ἢ κυπαρίσσου καρπὸν, καὶ λιβανωτὸν, ἴσον ἑκατέρου, τρίβειν ὁμοῦ ἐν μύρῳ, καὶ προστιθέναι. Ἢν ξηρῆναι δέῃ ῥόον. Καλαμίνθην ἐν οἴνῳ μέλανι ἑψεῖν, καὶ ἐς ὀθόνιον [305] βρέξαντα, ἐπιτιθέναι. Ἢ ὑοσκυάμου τῶν φύλλων, καὶ κώνειον ἅμα ἑψεῖν· [306] ὡσαύτως πράσα, καὶ μαλάχην, καὶ κηρὸν, καὶ χηνὸς ἄλειφα μίξαι, εἶτα χλιερὸν προστιθέναι πρὸς τὰ αἰδοῖα. Ἢ οἶνον ἄκρητον ξὺν ῥητίνῃ καὶ σιδίῳ ἑφθῷ τρίβειν, καὶ προστιθέναι ὁμοίως. Ἢ κνῆκον σὺν οἴνῳ τρίβων προστίθει. Ἢ λωτοῦ τὸ πρίσμα ὁμοίως. Ἢ [307] σχίνου φύλλα, ἢ ῥόον μέλιτι καθέφθῳ μίξας, πρόσθες. [308] Ἢν δὲ μὴ λήγῃ, σούσινον, ἢ βλῆτον τὴν βοτάνην ὡς γλῶσσαν ἐοῦσαν, ἐν εἰρίῳ ποιεῖν πρόσθετον.

CAPVT LXIX.

Ad aquæ fluorem, subdititia, ac infusa; & ad fluorem album, potiones.

AD aquæ profluuium subdititium & infusum. *Si mulieri aqua ex pudendis fluat, resinam siccam, myricæ folia, lini semen ex vino terito, ex adipe gallinaceo permisceto, & in pudenda per dysterem infundito. Aut farinæ purissimæ concham maiorem, aut amylum in lanâ ad os uteri apponito.* Aliud simile infusum. *Quum aqua ex pudendis fluxerit, myricæ folia, thus, & resinam, ex anserino adipe trita, in pudenda per dysterem iniicito.* Si ex fluore aquoso pubes doleat. *Viticis semen ex melle terito, & pubem cataplas-*

ΚΕΦΑΛΑΙΟΝ ΞΘ'.

Πρὸς τὸν ὕδατος ῥόον, προσθετὰ καὶ ἔγχυτα· καὶ πρὸς τὸν ῥόον λευκὸν, ποτά.

[309] ΡΟῦ ὕδατος πρόσθετον καὶ ἔγχυτον. Ἢν γυναικὶ ὕδωρ ῥέῃ ἐκ τῶν αἰδοίων, λαβὼν ῥητίνην ξηρὴν, καὶ μυρίκης πέταλα, καὶ λίνου καρπὸν, τρίψαι ἐν οἴνῳ, καὶ μίξαι ἐν ὄρνιθος στέατι, καὶ ἐγχέαι ἐς τὰ αἰδοῖα κλυστῆρι. Ἢ ἀλεύρου χοιράμιδα ὡς καθαρωτάτου, ἢ [310] ἄμυλον ἐν εἰρίῳ προστιθέναι πρὸς τὸ στόμα. Ἄλλο ἔγχυτον ὁμοίως. Ὁκόταν ὕδωρ ἐκ τῶν αἰδοίων ῥέῃ, μυρίκης πέταλα, καὶ [311] λιβανωτοῦ καρπὸν ἐν χηνὸς στέατι τρίψας, καὶ ῥητίνην, ἐς τὰ αἰδοῖα κλυστῆρι [312] ἐνεῖναι. Ἢν ὑπὸ ῥόου ὑδατώδεος τὸ ἥβιον ἀλγέῃ. Ἄγνου καρπὸν τρίψαι ἐν μέλιτι, καὶ κατα-

πλάττειν τὸ ἦτρον καλῶς. Ἢν ῥόος αἱματώδης, ἢ λευκὸς, ἢ ὁποῖος. Θεῖον καὶ μανδραγόρου τὸ ἄκρητον, ἀναλαβόντα εἰρίῳ προσθεῖναι, καὶ ὑπτίη εὑδέτω, καὶ ἀκίνητος μενέτω. Ἢ σίδια ξηρὰ τρίβειν ἐν οἴνῳ Πραμνίῳ, καὶ διδόναι πίνειν. Ῥοῦ λευκοῦ ποτόν. Κισσοῦ λευκοῦ τὸ σπέρμα, καὶ πίτυος φλοιὸν ἐν οἴνῳ αὐστηρῷ παρέχειν. Ἢ ἐλάφου κέρας κατακαῦσαι μοῖραν, ὠμηλύσιος δὲ δύο μοίρας, καὶ κεδρίδας πέντε, τρίβειν ὕδατι, καὶ πίνειν.

mate probè obducito. Si fluor sanguineus, aut albus, aut qualiscunque fuerit. *Sulphur & mandragoram ex vino meraco tritam, lanâ exceptam subdito; & supina dormiat, immotaque maneat.* Aut *mali corium siccum ex vino Pramnio tritum potui exhibeto.* Ad fluorem album potus. *Hederæ albæ semen, & pini corticem ex vino austero exhibeto.* Aut *cornu cerui usti partem vnam, farinæ verò hordeaceæ crudæ partes duas, cedri baccas quinque, ex aqua terito, & bibat.*

ΚΕΦΑΛΑΙΟΝ Ο'.

Πρὸς τὰ ποικίλα τῆς ὑστέρης παθήματα, τὰς πνιγὰς τοῖς σημείοις δηλουμένας, καὶ περιπλανήσεις τὰς κάτω καὶ ἄνω, καὶ τὰ ἑπόμενα συμπτώματα, ποτὰ, καὶ θυμιάματα.

Ὅταν πνίγηται ὑπὸ ὑστερῶν. Καστόριον καὶ κόνυζαν ἐν οἴνῳ χωρὶς, καὶ ἐν ταὐτῷ πινέτω ἑκάτερον. Ἢ ἀσφάλτου ὅσον τριώβολον. Ἢ φώκης στέαρ, ὅσον δὶς τῷ δακτύλῳ λαβεῖν. Ἢ ῥίζης γλυκυσίδης ὅσον ἥμισυ πόσιος, ἐν οἴνῳ εὐώδει διδόναι πίνειν. Ὅταν δὲ πνίγωσι, καὶ ὁμοῦ βήσσῃ, σανδαράχης ὅσον ὀβολὸν, καὶ θείου ἀπύρου ἴσον, καὶ ἀμύγδαλα πικρὰ καθήραντα συμμίσγειν τρία ἢ τέσσαρα, καὶ διδόναι ἐν οἴνῳ εὐώδει. Ἢν δέ γε προσίσχωσιν αἱ ὑστέραι, κριθὰς τρίψας λεπτὰ ξὺν τοῖσι [313] ἀλεύροισι, καὶ κέρας ἐλάφου, ἐλαίῳ δεύσας ὑποθυμιήσθω. Ὅταν δὲ ἄνω ᾖ, καὶ θλίβηται καρδία καὶ στόμαχος, καὶ ὑπομένωσι, σμύρνην, ἢ ῥητίνην, ἢ νέτωπον, ἢ καστόριον, [314] ἢ ὀπὸν σιλφίου πίσαι. Ὅταν ὑστέρα πνίγῃ, πνεῦμα δὲ [315] σεύηται ἀλὲς ἄνω, καὶ βάρος ἔχῃ, καὶ γνώμη καταπλὴξ, καὶ ἀναυδίη, περίψυξις, πνεῦμα προσπταῖον, [316] ὄμματα ἀμαλδύνεται. Τὴν κεφαλὴν ξυρῆν ὅτι [317] τάχιστα, καὶ ταινίῃ ἀποδιωθεῖν, ὑπὲρ ὀμφαλὸν δὲ, εἰ δεῖ. διδόναι δὲ καστόριον, καὶ κόνυζαν, καὶ πηγάνου ὕδωρ, κύμινον Αἰθιοπικὸν, ῥαφάνου σπέρμα, θεῖον, σμύρνην· πρὸς δὲ τὰς ῥῖνας, τὰ κάκοσμα, εὔοσμα δὲ ἐς τὰς ὑστέρας. ἢν δὲ ἀνέχηται, καὶ [318] κόκκου τὸ ἔνδον τὸ λευκὸν μέλιτι δεύσας καὶ μίξας, ἀλείφειν τὴν ῥῖνα· ἢ σχῖνον λεπτὴν, [319] ἢν δάκνηται. Ὅταν δὲ ὀδύνην ἔχῃ καὶ πνίγηται, μαλάχης ῥίζαν, ἢ ὀξύμελι, ἢ φλοιὸν μαράθου, καὶ κρηθμὸν ἐν ὕδατι διδόναι πίνειν· ἄριστον δὲ ἐρυγγάνειν, καὶ διανακαθίζειν· ἢ ἐλλέβορον, καὶ πταρμὸν ποιέειν, καὶ προσίσχειν πρὸς τὰς ῥῖνας.

CAPVT LXX.

Ad varios vteri affectus, suffocationes signis proditas, & oberrationes deorsùm & sursùm, & sequentia symptomata, potiones & suffitus.

Q*Vum ab vteris strangulatur. Castorium & conyzam ex vino per se, & simul vtrumque bibat.* Aut *bituminis trium obolorum pondus.* Aut *phocæ adipis quantùm bis digito capi potest.* Aut *radicis pæoniæ dimidiam potionem, ex vino odorato potui dato. Quum verò suffocarint* vteri, *simulque tussierit; sandarachæ obolum, sulphuris viui tantùndem, & amygdalas amaras repurgatas tres vel quatuor commisceto, & ex vino odorato exhibeto. Si verò adhæserint vteri, hordeum tenuiter tritum cum paleis, & cornu cerui, oleo subactum suffito. Quum verò sursùm fuerint, & cor & stomachus opprimatur, ac substiterint, myrrham, aut resinam, aut netopum, aut castorium, aut laseris succum propinato.* Quum *vterus strangularit, spiritus autem aceruatim sursùm proruperit, & grauitas detinuerit, & mens attonita fuerit, & sermo defecerit, perfrigeratio adest, & spiritus offendens, & oculi hebescunt. Caput quàm citissimè radito, fasciâ supra vmbilicum, si opus fuerit, impositâ retrudito. Castorium autem & conyzam, rutæ aquam, cuminum Æthiopicum, raphani semen, sulphur, myrrham exhibeto. Ad nares quidem graueolentia; ad* vteros *verò suauiter olentia* admoueto. *Quòd si sustinuerit, etiam grani cnidij partem interiorem albam melle subactam & permixtam naribus illinito. Aut schinum tenuem,* scillæ speciem, *si mordeat. At quum dolor detinuerit & suffocet, maluæ radicem, aut acetum mulsum, aut fœniculi corticem, & crethmum ex aqua bibendum dato. Præstat autem ructum ciere, erectam sedere, aut veratro naribus admoto sternutamentum excitare.*

ΚΕΦΑΛΑΙΟΝ ΟΑ'.

Περὶ τῆς τῆς ὑστέρης ὑπὸ τὰς φρένας καὶ ἐς τὴν ὀσφὺν, καὶ τὰ σπλάγχνα καταστηριζούσης, καὶ τὴν καρδίαν πνιγούσης, σημείων καὶ θεραπευτικῶν.

Ἢν δὲ ὑπὸ τὰς φρένας δοκέωσιν ἵζεσθαι, ἐξαπίνης ἄφωνος γίγνεται, ὑποχόνδρια σκληρὰ, καὶ πνίγεται, καὶ τοὺς ὀδόντας συνερείδει, καὶ οὐχ ὑπακούει καλεομένη. Δεῖ οὖν ὑποθυμιῆν ὑπὸ τὰς ῥῖνας, εἴριον κατακαίων, ἄσφαλτον ἐς πῦρ ἐμβάλλων, καὶ καστόριον, καὶ θεῖον, καὶ πίσσαν. βουβῶνας δὲ, καὶ μηροὺς, μύρῳ

CAPVT LXXI.

De vteri in septum transuersum, lumbos, ac viscera incumbentis, & cor suffocantis, signis & curatione.

S*I verò sub septo transuerso sedere videantur, derepentè vox deficit, hypochondria dura sunt, strangulatur, dentes conserit, & vocata non audit. Naribus igitur oportet lanam succensam ad suffitum adhibere, bitumine in ignem immisso, & castorio, & sulphure, & pice. Inguina verò & femora interiore parte suauissimo*

vnguento

vnguento illinere. Aut stellas marinas nigras & brassicam ex vino odorato mixtam bibat. Aut myrrhæ tres obolos, coriandri parùm, resinam, pæoniæ radicem, cuminum Æthiopicum; hæc ex vino albo trita, & aquâ, aut aquâ mulsâ diluta, summè tepida potui exhibeto. Auxiliatur & peucedanum, aristolochia, cæpæ lachryma, panaces ex vino aut aquâ summè tepidâ datum. Vteros in pristinum locum reducit ricini radix pota, aut cuminum Æthiopicum, aut apium, aut fœniculi & anisi semen, piper, aut myrrha, aut papaueris succus epotus. Si cor suffocatur ab vtero, opprimitur, & difficilis ac crebra spiratio detinet; viticis & pæoniæ semen ex vino bibere oportet, aut abrotonum, & panaces, & ammoniacum, aut rutam, aut somniferi papaueris succum. Si igitur rursus eodem modo habeat, melanthium læuiter terito, melle subigito, & velut glandulam efformatam, pennâ conuolutam apponito. Aut philistium similiter supponito. Aut telephium, aut anemones folia trita, in linteum detritum indita, & paucâ myrrhâ admixtâ. Si vteri in lumbos incubuerint, neque suffocatio caput attigerit, Polypos coctos edat, & vinum nigrum odoratum, meracum quàm plurimum bibat. Quando verò tanquam ad viscera versi strangularint, vinum cedrinum, & vinum Æthiopicum bibat, calidâ lauet, & odoratos fotus admoueat.

ἔνδοθεν εὐωδεστάτῳ χρίειν. Ἢ ἀστέρας τοὺς θαλαττίους τοὺς μέλανας, καὶ κράμβην μίξας εὐώδει οἴνῳ, πινέτω. Ἢ σμύρνης τριώβολον, κορίαννον ὀλίγον, ῥητίνην, γλυκυσίδης ῥίζαν, κύμινον Αἰθιοπικόν· ταῦτα τρίψας ἐν οἴνῳ λευκῷ, καὶ ὕδατι ἢ μελικρήτῳ διέντα, πίνειν ἀκροχλίερον. Βοηθεῖ δὲ καὶ τὸ πευκέδανον, ἀριστολοχία, κρομμύου δάκρυον, πάνακες ἐν οἴνῳ ἢ ὕδατι, ἀκροχλίερον διδόμενον. Ὑστέρας ἐς χώρην ἄγει τοῦ κρότωνος ῥίζα πινομένη, ἢ κύμινον Αἰθιοπικὸν, ἢ σέλινον, ἢ μαράθρου σπέρμα καὶ ἀνήσου, πέπερι, ἢ σμύρνα, καὶ ὀπὸς μήκωνος πινόμενος. Ἢν ἡ καρδία πνίγεται ὑπὸ ὑστέρης, [321] ἀναθλίβεται, καὶ πνεῦμα ἔχει, καὶ ἄσθμα· δεῖ τὸν καρπὸν τοῦ ἄγνου, καὶ γλυκυσίδης ἐν οἴνῳ πίνειν, ἢ ἀβρότονον, καὶ πάνακες, καὶ ἀμμωνιακὸν, ἢ πήγανον, ἢ ὑπνωτικὸν μηκώνιον. Πάλιν οὖν εἰ ὁμοίως ἔχει, μελάνθιον τρίβειν λεῖον, καὶ μέλιτι δεύειν, καὶ ποιεῖν οἷον βάλανον, καὶ πρὸς τὸ πτερὸν προστιθέναι. Ἢ φιλίστιον ὁμοίως προστίθει. Ἢ τηλέφιον, ἢ ἀνεμώνης φύλλα τρίψας, [322] ἔνθες ἐς ῥύχινον, καὶ σμύρνην μικρὴν ξυμμίσγειν. Ἢν ἐς τὴν ὀσφὺν αἱ ὑστέραι κατασκήψωσι, μὴ ἅψηται δὲ τῆς κεφαλῆς ἡ πνὶξ, ἐσθιέτω πολύποδας ἑφθοὺς, καὶ οἶνον πινέτω μέλανα εὐώδη ἄκρητον ὡς πλεῖστον. Ὅταν δὲ ὡς πρὸς τὰ σπλάγχνα τραπεῖσαι πνίγωσιν, οἶνον κέδρινον, [323] καὶ οἶνον Αἰθιοπικὸν πινέτω, καὶ θερμῷ λουέσθω, καὶ πυριάσθω τὰ εὐώδεα.

CAPVT LXXII.

De vterorum flatulentorum, transmotorum, & ascensu strangulantium curatione.

SI vteri inflati fuerint, aromata omnia in vnguentum inijciantur, & laurus, & myrtus, & saluia, & cedri ac cupressi ramenta. Hæc tusa & læuigata cribrato, & in vinum odoratum inspergito, & oleum rosaceum affundito. Quum verò transmoti vteri oppresserint, hordeum cum furfuribus, & myricam & cornu ceruinum ex vino subacta ad suffitum adhibeto. Quum sursum procedentes strangulant, succensum funiculum lucernarium sub naribus extinguito, quò fuligo & nidor intrò penetret; picemque & castorium, peucedanum & myrrham, vnguento irino diluta, & subacta apponat; resinam verò oleo dissolutam bibat. Si valdè strangularint, potio exhibenda. *Aut testudinis marinæ obolos tres, ex vini albi hemina aut cyathis tribus propinato. Aut cedrino oleo in lucernam infuso lucernam accendito, & extinctam naribus admoueto.* Aut cœnum quàm fœtidissimum eodem modo. Aut lanam succensam mulieris naribus ad suffitum adhibeto. *Aut bituminis modicum ex vino albo tritum bibat. Aut erysimi conchæ testam, & castorium ex vino albo potui dato, & lauet. Si verò etiam tussiat, sandarachæ obolum, sulphuris viui obolos duos, amygdalas amaras depurgatas tres aut quatuor, & castorij obolum ex vino odorato permisceto, & potui exhibeto.*

ΚΕΦΑΛΑΙΟΝ ΟΒ'.

Περὶ τῆς τῶν ὑστερῶν ἀνεμωθεισῶν, καὶ μετακινηθεισῶν, καὶ τῇ ἀναβάσει πνιγουσῶν θεραπείας.

ΗΝ ἀνεμωθῶσιν αἱ ὑστέραι, ἡδύσματα πάντα ἐς τὸ μύρον ἐμβάλλεται, καὶ δάφνη, καὶ μυρσίνη, καὶ ἐλελίσφακος, κέδρου τε πρίσματα, καὶ κυπαρίσσου· ταῦτα κόψαι, καὶ καταστῆσαι λεῖα, καὶ ἐπ' οἶνον εὐώδεα ἐπιπάσσειν, καὶ ἐπιχέαι ῥόδινον ἔλαιον. Ὅταν δὲ μετακινηθεῖσαι θλίβωσιν αἱ ὑστέραι, κριθὰς ξὺν τοῖς κυρηβίοισι, [324] καὶ πρέμαλον, ἐλάφου κέρας οἴνῳ δεύσας, ὑποθυμιῆν. Ὅταν προσιστάμεναι πνίγωσιν, ἐλλύχνιον ἀνάψαι, καὶ ἀποσβέσαι ὑπὸ τὰς ῥῖνας· λιγνὺς καὶ αἰθαλὸς εἴσω· καὶ πίσσαν καὶ καστόριον, καὶ πευκέδανον, καὶ σμύρναν διεὶς μύρῳ [324] ἰρίνῳ, ἀναδεύσασα προστιθέσθω· πίνειν δὲ ῥητίνην ἐλαίῳ διέντα. Ἢν πνίγωσι λίην, διδόναι ποτόν· ἢ χελώνης θαλασσίης ὅσον τριώβολον τρίψας ἐν οἴνῳ λευκῷ, κοτύλην ἢ κυάθους τρεῖς πίνειν. [325] Ἢ κέδρον εἰς λύχνον ἐπιχέας, ἅψαι τὸν λύχνον, καὶ ἐὰν ἀποσβεσθῇ, πρὸς τὰς ῥῖνας πρόσαγε. Ἢ βόρβορον ὡς δυσωδέστατον ὁμοίως. Ἢ εἴριον κατακαύσας ὑπὸ τὰς ῥῖνας ὑποθυμιῆν τῆς γυναικός. Ἢ ἀσφάλτου ὀλίγον τρίψας, ἐν οἴνῳ λευκῷ πινέτω. Ἢ ἐρυσίμου κόγχην, καὶ καστορίου ἐν οἴνῳ λευκῷ δὸς πίνειν, καὶ λοῦσον. Ἢν δὲ καὶ βήσσῃ, σανδαράχης ὀβολὸν, θείου δύο ὀβολοὺς ἀπύρου, ἀμύγδαλα πικρὰ ἀποκαθήρας τρία ἢ τέσσαρα, καὶ καστορίου ὀβολὸν μίσγειν σὺν οἴνῳ εὐώδει, καὶ πίνειν δίδου.

ΚΕΦΑΛΑΙΟΝ ΟΓ'.

Περὶ τῶν τῆς ὑστέρας πνιγούσης καὶ πνίγματι τὴν καρδίαν βλαπτούσης, καὶ ἄχρις ἥπατος ἀνιούσης, καὶ ἐς τοὺς βουβῶνας ἐγκειμένης, συμπτωμάτων, καὶ θεραπευτικῶν.

Ἢν δὲ πνίγωσιν αἱ ὑστέραι, καὶ τῆς καρδίας ψαύσῃ τὸ πνῖγμα, καὶ μεμύκῃ τὸ στόμα, ὄξος θερμὸν διδόναι ῥοφεῖν, πασσαλίσκῳ ἢ κερκίδι διοίγε, καὶ οἶνον ὁμοίως ἄνοδμον, καὶ σὺν ὀξυμέλιτι. Ἢν λίην δὲ πνίγωσι, καὶ ἄφωνος ᾖ, κρόμμυον ἐν οἴνῳ χλιερῷ τρίψας, ἐνστάζειν ἐς τὰς ῥῖνας, καὶ ἀνεγείρειν. Ἢν δὲ ἄχρις ἥπατος ἀνίωσι, καὶ πνίγεται, ἄφωνος γίνεται, καὶ οὐδὲν ὁρᾷ, καὶ τοὺς ὀδόντας συνερείδει, καὶ σκληρὴ γίνεται, καὶ οὐδὲν φρονέει, καὶ ἀναπνεῖ πυκνά, καὶ οὐχ ὑπακούει. Ταύτην ὑπὸ τὰ ὑποχόνδρια λαβὼν[326] τῇσι χερσὶ, χρίειν θαμινάκις, καὶ τοὺς ὀδόντας διαγαγὼν πασσάλῳ, οἶνον ἄκρητον χλιερὸν ἐγχέειν, ἢν μή τι κωλύοι, καὶ αὐτίκα ῥαΐζῃ ὡς τὰ πολλά. Ἐὰν ἐγκέωνται ἐς τοὺς βουβῶνας, καὶ ἐρείδωσιν, αἰγὸς σπυράθους, καὶ λαγωοῦ τρίχας ἐλαίῳ φώκης δεύσας, ὑποθυμιᾷν.[328] Ἢ τοῦ κυτίσου τὸν καρπὸν, ἢ τὰ φύλλα[329] αὐαίνειν, ἢ τὸν φλοιὸν, καὶ δρυὸς φύλλα, καὶ ῥητίνην μίξας, ἐλαίῳ δεύειν, καὶ ὑποθυμιῆν. Ἢ φώκης τῆς πιτύης τὸ δέρμα κόψας λεῖον, καὶ σπόγγον, καὶ βρύα λεῖα μίσγειν τῷ ἐλαίῳ τῆς φώκης, καὶ ὑποθυμιῆν. Ἢ αἰγὸς τοὺς σπυράθους, καὶ φώκης πνεύμονα, καὶ κέδρου πρίσματα, ὑποθυμιῆν δὲ καὶ βόλβιτον, ἢ κεράτων ξύσματα βοὸς, καὶ ἄσφαλτον, ἢ ἀκάνθης Αἰγυπτίης καρπὸν, καὶ κέδρου πρίσματα, καὶ μυρσίνης φύλλα ξηρὰ, μύρῳ μαλθακῷ ταῦτα δεύσας, ὑποθυμιῆν· ἀρώματα δὲ συχνὰ ἐς τὸ μύρον ἐμβάλλειν. Ἢ γίγαρτα κόψας λεῖα,[330] καὶ κεδρίαν, καὶ ῥητίνην πιτυΐνην ὁμοῦ μίξας, γλυκεῖ ἑφθῷ δεύσας, ὑποθυμιῆν.

CAPVT LXXIII.

De vteri strangulantis & suffocatione cor lædentis, ad hepar ascendentis, & ad inguina incumbentis symptomatis, & curatione.

QVòd si *vteri strangulent, & strangulatus cor contigerit, osque occlusum fuerit, acetum calidum sorbendum dato,* osque *paxillo aut radio aperito, & vinum inodorum eodem modo infundito, & cum aceto mulso. Si verò valdè strangularint, & voce capta fuerit, cæpâ ex vino tepido tritâ, in nares instillatâ eam excitato.* Quòd *si ad hepar vsque ascenderint, strangulatur, vox deficit, nihilque videt, dentes conserit, dura redditur, nihil agnoscit, crebrò respirat, neque audit. Hanc manibus sub hypochondrijs apprehensam crebrò illinito, & dentibus paxillo diductis, vinum meracum tepidum, nisi quid prohibuerit, infundito, & plerúnque statim conualescit. Si verò ad inguina incumbant, & adhærescant, caprini stercoris globulos, & leporis pilos vituli marini adipe subactos, ad suffitum admoueto.* Aut *cytisi fructum, aut folia sicca, aut corticem, & quercûs folia admixtâ resinâ, oleo subigito, ac suffito.* Aut *coaguli phocæ pellem leuiter tusam, spongiam & muscum læuigata, vituli marini adipi permixta, ad suffitum admoueto.* Aut *stercoris caprini globulos, vituli marini pulmonem, & cedri ramenta* suffito. *Sed & stercus bubulum suffito.* Aut *cornuum bubulorum scobem, & bitumen, aut spinæ Ægyptiæ fructum, & cedri ramenta, & myrti folia sicca, hæc molli vnguento subacta, in suffitu adhibeto. Aromata verò multa in vnguentum inijcito.* Aut *vuarum retrimenta leuiter tusa, cedriam, & resinam pineam simul mixta, passo cocto diluta ad suffitum admoueto.*

ΚΕΦΑΛΑΙΟΝ ΟΔ'.

Πυριάσιες, ὡς ὑστέραι ἐς τὴν ἰδίαν θέσιν ἀπίωσιν, κἢν προΐσχωσιν ἔξω.

Πυριήσιες, ὡς ἀπίωσιν. Βολβίτου[331] κεκαυμένου, καὶ ὄξεος ἥμισυ, καὶ ὀροβίου θαλάσσης ἢ ὕδατος, ὁμοίως, πυρία τὰς ῥῖνας· πυριῆν δὲ βληχρῶς, καὶ φακῶν πίνειν, ἀπεμέειν δὲ, καὶ ῥοφέειν διδόναι ἄλητον, καὶ ἐπὶ τὸν οἶνον. Τῇ δ᾽ ὑστεραίῃ, κόκκος ἔσω καππότω· καὶ οὐρητικὸν δὲ ἀσταφίδα, καὶ ἐρεβίνθους δύο τρίψας, σαφίδος τῆς ἀρίστης ἐπιχέας χόα ἕψε, ἔπειτα ἀποχέας, πρὸς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ πίνειν· καὶ τὸ λοιπὸν, ἐλελίσφακον, καὶ λίνου σπέρμα, καὶ ἄλφιτον διδόναι δὶς τῆς ἡμέρης ἐν οἴνῳ κεκρημένῳ κοτύλας τέσσαρας. Ἢ ἐλαίου[332] ἡμικοτύλιον, ἀκτῆς φύλλα χεῖρα πλείην, ταῦτα ἕψειν, καὶ πυριῆν θερμῷ ἢ ὀστράκοισι θερμοῖσιν, ἐπὶ δίφρου καθίζεσθαι, ἀμφικαλύπτειν δὲ εἵμασιν. Ἢ τῆς ἀκτῆς τὰ φύλλα σὺν μυρσίνῃ ἕψειν, καὶ κριθῶν ἄχυρα ἕψειν, καὶ ἢν

CAPVT LXXIV.

Fotus, vt vteri in proprium situm redeant, etiam extra prominentes.

FOtus, vt recedant. *Stercus bubulum vstum, aceti dimidium, & erui ex aquâ marinâ aut dulci decocti similiter* dimidium, *suffitu naribus admoueto; sed leuiter foueto, & lenticulæ decocto epoto, vomitum cieto, & farinam sorbendam, insuperque vinum bibendum dato. Postridiè granum cnidium deuoret; & quod vrinam cieat; vuam passam, & cicerum tritorum partes duas, vuæ passæ optimæ affusum aquæ congium coquito; deinde effusum cœlo sereno exponito; postridiè bibendum exhibeto; ac de cætero saluiam, lini semen & polentam bis die ex vini diluti heminis quatuor dato.* Aut *olei heminam dimidiam, sambuci folia manum plenam, hæc coquito, & calidè foueto; aut testis calidis iniectis, muliere in sella sedere iussâ, & vestibus circumtectâ.* Aut *sambuci folia cum myrto coquito, & hordei paleas, & si perferre*

perferre possit, acetum, oleum, mel, aquam, hæc temperata & permixta, valdè feruefacta in vesicam infundito. Aut *pini corticem, malique punici folia in aquam iniecta, vehementer decoquito, & in aquam hordei paleas iniectas oleo affuso decoquito. Aut loti & cupressi ramenta affusâ aquâ & oleo probè admodum coquito, & foueto.* Aut *cum aromatibus vnguentum infundito, gallam inijcito, & rhamni corticem, & polentam triticeam cum aqua. Quòd si vteri foras promineant, & ligamenta vocata laxentur, myrti baccas, loti ramenta, rubi & oleæ folia simul coquito, & summè tepido foueto; aut vino cum his & graueolentibus eodem modo. Exteriora verò oui candido oblinito; quum perfrixerint, & liuida fuerint, aquâ calidâ fo*ueto.

A οἷά τε ἐστὶν ὑποφέρειν, ὄξος, ἔλαιον, μέλι, ὕδωρ, ταῦτα κεράσας καὶ ἀναμίξας, ἀναζέσας σφόδρα, ἐς κύστιν ἐγχέαι. Καὶ τῆς πίτυος τὸν φλοιὸν, καὶ τῆς ῥοιῆς τὰ φύλλα ἐμβάλλειν ἐς ὕδωρ, ἀφεψεῖν δὲ ἰσχυρῶς, καὶ ἐμβάλλειν ἐς τὸ ὕδωρ, καὶ κριθῶν ἄχυρα ἑψεῖν, ἔλαιον ἐπιχέοντα. Η λωτοῦ πρίσματα καὶ κυπαρίσσου, ὕδωρ ἐπιχέας καὶ ἔλαιον, ἕψε εὖ μάλα, καὶ πυρία. Η σὺν ἀρώμασι μύρον ἐγχέειν, καὶ κηκίδα ἐμβάλλειν, καὶ ῥάμνου B φλοιὸν, καὶ πύρινα ἄλφιτα ξὺν ὕδατι. Ην δὲ προΐσχωσιν ἔξω τὰ ὑστέρα, καὶ τὰ καλεόμενα [333] ὄχοι χαλῶνται, μύρτα, λωτοῦ πρίσματα, βάτου καὶ ἐλαίης φύλλα ἅμα ἕψειν, καὶ πυριῆν ἀκροχλιαρῶς· ἢ οἴνῳ μετὰ τουτέων καὶ κακωδέων, ὁμοίως. περιχρίειν δὲ τῷ λευκῷ τοῦ ὠοῦ τὰ ἔξω· ὅταν ψύχηται, καὶ πελιδνὰ ἔωσιν, ὕδατι [334] θερμῷ.

CAPVT LXXV.

Subdititia vteros duriores emollientia; alia aquam, mucos, & pelliculas educentia.

VTeri mollimenta. Ouillum adipem, oui luteum, mel, oleum rosaceum; his farinam subactam lento igne tepefacito; quod distillat, molli lanâ excipito, & apponito. Aut ouillum adipem aromatibus conditum, nitrum rubrum, aut anserinum adipem, oleum rosaceum, hæc liquata & cum lana subacta supponito. Anserinum adipem aut ouillum, ceram albam, netopum, oleum rosaceum, hæc quàm optimè simul permixta, & tenuibus concerptis panniculis excepta, *confestim vbi lota fuerit, tepida ad os vteri apponat. Aut cerui medullam & adipem oleo rosaco liquatum, molli lanâ exceptum supponat.* Subdititia mollia, quæ aquam, mucos & pelliculas educunt, neque vlcerant. *Myrrham quàm optimam, salis granum, & picem aromatibus conditam, leuiter terito & apponito.* Subdititium aliud. *Grana cnidia triginta detracto cortice, Indicum (quod Persæ piper vocant, & quod in eo est rotundum, myrtidanum appellant) cum lacte muliebri simul terito, & melle diluito, deinde molli & purâ lanâ exceptum, & circum pennam conuolutum supponito, & per diem sinito. Quòd si validius facere voles, paulùm myrrhæ admisceto, tertiam videlicet partem, & lanam mollem puram, semisuccidam.*

ΚΕΦΑΛΑΙΟΝ ΟΕ'.

C Πρόσθετα τῆς ὑστέρας σκληροτέρας μαλθακτήρια· ἄλλα τὸ ὕδωρ, καὶ τὰς μύξας, καὶ δέρματα ἄγοντα.

ΜΑλθακτήρια ὑστέρης. Οἴος στέαρ, ὠοῦ λέκιθος, μέλι, ἔλαιον ῥόδινον· τουτέοις ἀναφυρήσας ἄλητα, διαχλιαίνειν ἐν πυρὶ μαλθακῷ. τὸ ἀποσταζόμενον ἐς ἔριον ἀναμαλάσσειν, καὶ προστιθέναι. Η στέαρ οἴος ἡδὺ, νίτρον ἐρυθρὸν, ἢ χηνὸς ἄλειφα, ῥόδινον ἔλαιον, ξυντήξας, καὶ ἐς εἴριον ἀναφυρήσας, προσθεῖναι. Χηνὸς ἄλειφα, ἢ μήλειον στέαρ, κηρὸν λευκὸν, D νέτωπον, ῥόδινον ἔλαιον, ὡς ἄριστα ταῦτα ἀναμὶξ ποιέειν, καὶ ῥάκεα [336] ἐγκατίλλειν λεπτὰ, καὶ αὐτίκα λουσαμένη, προστιθέσθω χλιαρὰ πρὸς τὸ στόμα. Η ἐλάφου μυελὸν [337] καὶ στέαρ τῆξαι ἐν ῥοδίνῳ ἐλαίῳ, ἀναφορύξασα εἴριον μαλθακὸν, προστιθέσθω. Μαλθακὰ προσθετά· ὕδωρ [338] ἄγει καὶ μύξας καὶ δέρματα, καὶ οὐχ ἑλκοῖ. Σμύρναν ὡς ἀρίστην, καὶ ἁλὸς χόνδρον, καὶ πίσσαν ἡδυσμένην, τρίβειν λεῖα, καὶ τιθέναι. Ετερον πρόσθετον. Εκλέψας κόκκους τριήκοντα, [339] τὸ Ινδικὸν (ὃ καλέουσιν οἱ Πέρσαι πέπερι, καὶ ἐν τουτέῳ ἔνι στρογγύλον, ὃ καλοῦσι μυρτίδανον) ξὺν γάλακτι γυναικείῳ ὁμοῦ τρίβειν, E καὶ μέλιτι διιέναι, ἔπειτα εἴριον μαλθακὸν, καὶ καθαρὸν ἀναφυρήσας, περὶ πτερὸν περιελίξας, προσθεῖναι, καὶ τὴν ἡμέρην ἐῆν. ἢν δὲ ἰσχυρότερον βούλῃ ποιῆσαι, σμύρναν ὀλίγην παραμίσγειν, ὅσον τριτημόριον, καὶ εἴριον μαλθακὸν καθαρὸν, [340] ἡμίρυπον.

CAPVT LXXVI.

Vteros emollientia, & ex his saniem cruentam & quemcunque humorem educentia.

EX vteris educunt, osque molliunt. *Narcissus, cuminum, myrrha, thus, absinthium, cyperus, hæc ipsa per se, & cum oleo rosaceo, aut albo, aut Ægyptio; lotæ autem supponantur.* Aliud, quod cruentam saniem educere potest. *Myrrham cum tedis misceto, salem, cuminum, fel tauri, mel, in lana supponito. Et cumini folia similiter*

ΚΕΦΑΛΑΙΟΝ Ος'.

F Τὰ τὰς ὑστέρας μαλθάσσοντα, καὶ ἐξ αὐτῶν ἅπαντα χυμὸν καὶ ἰχῶρα ὕφαιμον ἄγοντα.

ΑΓει ἐξ ὑστερέων, καὶ τὸ στόμα μαλθάσσει. [341] Νάρκισσος, κύμινον, σμύρνα, λιβανωτὸς, ἀψίνθιον, κύπειρος, αὐτὰ ταῦτα καθ᾽ ἑαυτὰ καὶ ξὺν ῥοδίνῳ ἐλαίῳ, [342] ἢ λευκῷ, ἢ Αἰγυπτίῳ· προστιθέσθω δὲ λουσαμένη. Ιχῶρα ὕφαιμον δυνάμενον ἄγειν. Σὺν τοῖς [343] δᾳσὶ μίσγειν σμύρναν, ἅλας, κύμινον, χολὴν ταυρείην, μέλι, ἐν εἰρίῳ προστιθέναι· καὶ κυμίνου φύλλα, ἢ δελφισ-

τρίψας ἐν οἴνῳ. Ἢ ὀπὸν σιλφίου σύκῳ μίσγειν, καὶ βάλανον ποιήσαντα προσθεῖναι· τὸ δ' αὐτὸ ποιεῖ καὶ [344] συκῆς ῥίζα σὺν μέλιτι· καὶ μετέπειτα χρίειν ῥοδίνῳ. Ἐνεργεῖ δὲ καὶ σκορόδου μώλυζα, νίτρου ἐρυθροῦ, σύκου πίονος ἴσον, [345] μίσγειν δὲ κηκίδα μικρὴν, καὶ βάλανον ποιέειν, καὶ ἐμβάπτειν ἔς τι τῶν ὑγρῶν, καὶ προσθεῖναι· κἄπειτα λουσαμένη, ἐλάφου στέαρ ἐν ἐρίῳ ἐχέτω. Αἱματώδεα πάντα μᾶλλον τῶν πρόσθεν ἄγειν δύναται, καὶ μαλθάσσειν. Πέπερι, ἐλατήριον, ξυμμίσγειν δὲ καὶ γυναικὸς γάλα, καὶ τρίβειν σὺν τοῖσδε καὶ μέλι, καὶ ἄλειφα λευκὸν, ἐλάφου τε στέαρ ξυγχεομένη. Σφόδρα δὲ ἄγει παντοῖα. Σύκου δὲ πῖαρ, ἐλατηρίου δύο πόσιας, [346] νίτρον ἐρυθρὸν, ὅσον τὸ ἐλατήριον, μέλιτος ὀλίγον, ἐν ῥάκει ἢ ἐν ἐρίῳ, βάλανον ποιέειν. [347] Ἕτερον. Νέτωπον, χολὴν ταύρου, νίτρον, κυκλάμινον, κηκίδα, τρίβειν σὺν μέλιτι· μετέπειτα δὲ καὶ λουσαμένη, στέαρ ἐχέτω. Ἢ γλήχωνα καὶ χολὴν ταύρου [348] τρίψασαν περιπλάσσειν πτερῷ, καὶ ἐς ἄλειφα ἐμβάψας Αἰγύπτιον, προσθεῖναι. Ἢ κυκλάμινον ὅσον ἀστράγαλον σὺν χαλκοῦ ἄνθει. Ἢ ἀνεμώνης κεφαλὴν τρίψας σὺν ἀλήτῳ, πτερῷ περιπλάσσειν, [349] ἐς λευκὸν ἔλαιον ἐμβάπτεσθαι. [350] Ἄγει πάντα. Σικύου ἐντεριώνης τῆς μακρῆς, ἑλὼν τὸ σπέρμα, σὺν γάλακτι, καὶ σμύρνην σὺν ἀδόλοισιν ἄκρητον, [351] τὸ μέλι τι ποσὸν, Αἰγύπτιον ἔλαιον, ἐρίῳ μαλθακῷ [352] ἀναφορῦξαι. Ἢ τὴν ἐντεριώνην τῆς σικύης ξηραίνειν, καὶ μέλι [353] περιχέαι, καὶ τρίβειν, καὶ βάλανον ποιέειν· ἐπὴν δὲ λούσηται, στέαρ προστιθέσθω, ἢ ἐλατηρίου τρεῖς πόσιας ἐν ὕδατι. Μαλθακτήρια. Ὠοῦ τὸ λευκὸν, ἄλητον, [354] μέλι, κηρὸν λευκὸν, ταῦτα ὁμοῦ χλιαίνειν, καὶ τὸ ἀποστάζον, [355] ἐρίῳ ἀναλαβοῦσα, προσθέσθω. Ἢ χηνὸς ἄλειφα, κηρὸν λευκὸν, ῥητίνην, μύρον ῥόδινον, μυελὸν ἐλάφου τήκειν· ἢ στέαρ οἴιος, ἢ αἰγὸς, ὠοῦ τὸ λευκὸν, ῥόδινον μύρον, ἢ βάλανον ποιέειν, ἢ ἐρίῳ ἀναλαμβάνειν. Πυρίαι, δι' ὧν ὑστέραι καθαίρονται, ἢν σκληραὶ ἔωσιν. Οἶνον χρὴ ὡς ἥδιστον ἴσον ἴσῳ κεράσαι ὡς τρία ἡμιχόεα Ἀττικὰ, καὶ μαράθου ῥίζαν, καὶ τοῦ καρποῦ τεταρτημόριον, καὶ ῥοδίνου ἀλείφατος ἡμικοτύλιον, ἐς ἐχῖνον ἐᾶσαι, οὗ τὸ ἐπίθεμα ὀπὴν ἔχει, καὶ ἐπιχέαι τὸν οἶνον, καὶ ἐνθέντα κάλαμον, πυριῆσαι, καὶ μετέπειτα τὴν σκίλλαν προστίθεσθαι.

ex vino trita. Aut laseris succum cum ficu misceto, & glandem formatam subdito. Idem facit mori radix cum melle; postéaque rosaceo illinito. Efficax est & allij caput integrum, nitrum rubrum, & ficus pinguis æquali portione; paruam autem gallam misceto, glandem conficito, & liquore aliquo intinctam subdito. Deinde lota, adipem ceruinum in lana subditum teneat. Aliud, quod cruenta omnia magis quàm priora educere, & emollire potest. *Piper, elaterium, & lac muliebre misceto, & cum his mel, oleum album, & adipem ceruinum terito, linteo attrito excepta subdat.* Hoc quosuis humores potenter educit. *Fici pingue, elaterij duas potiones, nitrum rubrum elaterij quantitate, mellis parùm, linteo aut lanâ exceptum, glandem conficito.* Aliud. *Netopum, fel tauri, nitrum, cyclaminum, gallam, cum melle terito. Posteà verò etiam lota, adipem ceruinum* in subdititio *teneat.* Aut *pulegium, & fel tauri tritum circum pennam obducito, & oleo Ægyptio imbutum supponito.* Aut *cyclaminum tali quantitate cum æris flore.* Aut *anemones caput cum farina tritum, circum pennam obductum, oleo albo intingito.* Omnia educit. *Cucumeris agrestis oblongi interiorem partem, detracto semine, ex lacte* tritam, *vnà cum his myrrham sinceram, mellis aliquantulùm, & oleum Ægyptium, molli lanâ excipito.* Aut *interiorem cucumeris agrestis partem siccato, & affuso melle terito, glandem conficito. Cùm autem lauerit, adipem subdat, aut elaterij potiones tres ex aqua.* Mollimenta. *Oui candidum, farinam, mel, ceram albam; hæc simul tepefacito, & quod distillat, lanâ exceptum subdito. Aut adipem anserinum, ceram albam, resinam, vnguentum rosaceum, cerui medullam liquato; aut ouis aut capræ adipem, oui candidum, vnguentum rosaceum, aut in glandem formato, aut lanâ excipito.* Fotus, quibus vteri purgantur, si duri fuerint. *Vinum quàm suauissimum ad tres semicongios Atticos pari aquâ temperare oportet, fœniculi radicem, & seminis quadrantem, rosacei olei heminam dimidiam in ollam mittere, cuius operculum foramen habeat, & vinum superfundere, & calamo imposito fouere, posteáque scillam apponere.*

ΚΕΦΑΛΑΙΟΝ ΟΖ'.

Πρὸς τὰς ὀδύνας ἐξαπιναίους, καὶ τὰς ἀψυχίας, ὑποθυμιάματα, καὶ χρίσματα, καὶ ποτά.

Ἢν ὀδύναι καταπίζωσιν ἐξαπιναῖοι, καὶ ἀψυχίαι ἔωσι· ῥόδων φύλλα, κιννάμωμον, σμύρνην καθαρὴν, νέτωπον, ὀποῦ μήκωνος, τούτων φθοΐσκους ποιήσας ὅσον δραχμιαίους, ἐπιθεὶς ἐπὶ τρύφος [356] ἀμφορέως διαφανὲς, ἢ χρῶ ὑποθυμιήματι. Ἢ στύρακος [357] ὅσον ἐμβάλλουσιν ἐς τοὔλαιον, ὡς ἐπὶ τῆς προτέρης χρῆσθαι. Ἅπαντα ὁκόσα ἐς τὰ μύρα ἐμβάλλεται, κόψαι καὶ κατασῆσαι, ἐπιβάλλειν δὲ ἐπὶ τὸν βόλβιτον τὸν στύρακα, καὶ περιχρίειν νετώπῳ. Ῥόδινον ἔλαιον ὡς ἄριστον, καὶ Αἰγύπτιον λευκὸν, θυμιᾶ τοῦτο-

CAPVT LXXVII.

Ad repentinos dolores, & animi deliquia, suffitus, linimenta, potiones.

Si dolores repentini irruant, & animi deliquia adsint. Rosarum folia, cinnamomum, myrrham puram, netopum, papaueris succum, hæc in pastillos drachmales formato, amphoræ frusto candenti imponito, aut ad suffitum vtitor. Ant styracis paululùm in oleum inijcito, velut in priore vtitor. Quæ in vnguenta inijciuntur omnia, tundenda & cribranda; styrax autem in stercus bubulum immittenda, & netopo illinendum. Oleum rosaceum quàm optimum, & Ægyptium album, id post purgationes

purgationes suffito. Aut *lauri, myrti folia,* & *cyperi fructum tundito, cum vnguento Ægyptio albo & netopo permisceto, in stercore bubulo ad suffitum adhibeto. Confert autem & thuris pollen, cupressi ramenta, & cyperi radix tusa. Iuncum etiam odoratum aromaticum, cardamum & irim cribrato; his omnibus affuso oleo rosaceo & netopo permixtis, ex tritícea farina crassiore vtitor.* Aut *resinam ex recenter compacto fictili suffito, castorio aut aliquo ex aromatibus iniecto. Caput autem oleo rosaceo perfundito, & in aures oleum myrtinum aut melinum* immittito. Aut *cicer album & vuas passas decoctas potui dato, & in aqua calida desideat. Et oliuas albas, priùs quàm oleum dimittant, concidito & siccato, ex vino odorato terito, & acetabulum Atticum exhibeto. Aut cantharidum ventres, aut adiantum, & nitrum rubrum Ægyptium, ferulæ radicem, & apij semen leuiter contusum, hæc exhibeto.*

μετὰ τὰς καθάρσιας. Ἢ δάφνης καὶ μυρσίνης φύλλα κόψαι, [359] καὶ κυπέρου καρπὸν, ἐργάσασθαι Αἰγυπτίῳ λευκῷ μύρῳ, καὶ νετώπῳ, καὶ ἐπὶ βολβίτῳ θυμιᾶν. Ἀρήγει δὲ καὶ μάννα, κυπαρίσσου πρίσματα, καὶ κυπέρεως ῥίζα κοπεῖσα. Σῆσαι δὲ καὶ σχοῖνον τὸν εὔοσμον, ἡδύοσμον, καὶ κάρδαμον, καὶ ἶριν, ταῦτα πάντα μίσγειν, ἐπιχέαι δ' αὖθις ῥόδινον ἔλαιον, καὶ νέτωπον, καὶ χρέο ἐν [360] κριμνοῖσι πυρίνοισιν. Ἢ ῥητίνην ἐπὶ [361] νεοπήκτου κεραμίδος θυμιᾷ, ἐπιβαλὼν καστόριον, ἤ τι τῶν ἀρωμάτων· τὴν δὲ κεφαλὴν τέγγειν ἐλαίῳ ῥοδίνῳ, ἐς δὲ τὰ ὦτα, μύρσινον ἢ μήλινον. Ἢ λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας, διδοῦ πίνειν, καὶ ἐν ὕδατι θερμῷ καθέζεσθαι. [362] Καὶ ἐλαίας λευκῆς πρὶν δὴ ἔλαιον ἀφιέναι, κατακνῆσαι, καὶ αὐῆναι, καὶ εἰς οἶνον τρίβειν εὐώδεα, καὶ ἐμβάφιον Ἀττικὸν διδόναι. Ἢ κανθαρίδων τὰς γαστέρας, ἢ ἀδίαντον, καὶ νίτρον ἐρυθρὸν Αἰγύπτιον, ῥίζαν νάρθηκος, καὶ σελίνου σπέρμα λεῖον, ταῦτα διδόναι.

CAPVT LXXVIII.

Ad stranguriam, ad vterorum dolorem, flatum, morbumque omnem, remedia.

SI verò stranguria inuaserit, in aqua desideat, & *vinum dulce bibat, si maximè stranguletur ex vterorum dolore. Vinum etiam quàm suauissimum æquali aquâ temperatum, ad tres semicongios Atticos, radicum fœniculi & seminis trientem, & olei rosacei heminam dimidiam; hæc in ollam magnam nouam coniecta, vino affuso, foueto. Et scillam apponito, dum os molle & amplum esse fateatur; & si exulceratum fuerit, & pustulæ in ipso vbique fuerint, præstat ex adipe anserino cum thure curare.* Ad vterorum dolorem. *Peucedanum, aristolochiam, panaces, hæc simul ex vino dulci mixta & tepefacta propinato, & papauer album & vrticæ semen sorbeat.* Alius fotus, aut suffitus. *Si dolor detineat,* suffitu adhibeto *mali punici dulcis corticem, loti ramenta, oleæ folia sicca contusa, hæc oleo permiscere oportet, & in stercus bubulum ignitum inijcere. Aut galbanum, myrrham, thus, oleum album Ægyptium in vitis sarmenta.* Alius ex bitumine fotus, vehementior. *Bitumen, xanthij radicem, leporis pilos, aut rutam, coriandrum siccum, hæc omnia trita, & in pastillos formata, suffitu admoueto. Aut ad picem, sandaracham leuiter tusam, & cupressi ramenta permisceto, affusoque vnguento pastillos conficito, in ignem coniectos suffito. Aut cornu caprini scobem oleo agitatam ex igne suffito. Aut in effossam scrobem torrefactorum vinaceorum cinere iniecto, & vino odorato madefacto, circùm assidenti mulieri fomentum facito. Sint autem vinaceorum partes duæ, ipsæque quàm maximè siccæ. Si vterus ad vesicam vsque doleat, porri semen ex aqua tritum bibendum.* Aut *cyclamini radix ex vino albo ieiunæ propinanda, & calidâ lauet, & à balneo ieiuna bibat, & tepefactoria subdito.* Aut *allij caput vnicum, nitrum torrefactum,*

ΚΕΦΑΛΑΙΟΝ ΟΗ'.

Πρὸς τὴν στραγγουρίαν, καὶ τὴν ἐν ὑστέρῃ ὀδύνην, καὶ ἄνεμον, καὶ πᾶσαν νόσον, βοηθήματα.

ΗΝ δὲ ἐπιλάβῃ στραγγουρεῖν, ἐν ὕδατι καθιζέσθω, καὶ γλυκὺν πινέτω, [363] ἢν μάλιστα πνίγεται ἐν ὀδύνῃ ὑστερέων· οἶνόν τε ὡς ἥδιστον ἴσον ἴσῳ κεράσας, ὡς τρία ἡμίχοα Ἀττικά, καὶ μαράθου ῥίζας, καὶ τοῦ καρποῦ τετρημόριον, καὶ ῥοδίνου ἐλαίου ἡμικοτύλιον, ταῦτα [364] ἐμβάλλειν ἐς χύτρην καινὸν, καὶ τὸν οἶνον ἐπιχέοντα, πυριᾶν· καὶ τὴν σκίλλαν προστιθέναι, ἐς ἂν φῇ τὸ στόμα μαλθακὸν εἶναι [365] καὶ εὐρὺ· καὶ ἢν ἑλκωθῇ, καὶ φλυκτίδες πανταχοῦ αὐτοῦ ἔωσιν, ἄμεινον στέατος [366] χηνείου ἀλείφατι σὺν λιβανωτῷ θεραπεύειν. Ὑπὸ ὑστερέων ὀδύνης. Πευκέδανον, ἀριστολοχίαν, πάνακες, ταῦτα ὁμοῦ μίξαι ἐν γλυκεῖ οἴνῳ, καὶ χλιήναντα πίσαι, καὶ μήκωνος λευκῆς ῥοφέειν, [367] καὶ κνίδης σπέρμα. Ἄλλη πυρίη, ἢ θυμίη. Ἢν ὀδύνη ἔχῃ, σίδια ῥοιῆς γλυκείης, λωτοῦ πρίσματα, ἐλαίης φύλλα ξηρὰ κεκομμένα, ταῦτα ἐλαίῳ ἐργάσασθαι χρή, καὶ ἐπὶ βόλβιτον πεπυρωμένον ἐπιρρίπτειν. Ἢ χαλβάνην, σμύρνην, λιβανωτὸν, [368] ἔλαιον λευκὸν Αἰγύπτιον ἐπὶ οἰναρίδων. Ἑτέρη πυρίη ἡ δι' ἀσφάλτου, στερεωτέρη. Ἀσφάλτου, [369] ῥίζης ξανθίης, λαγωοῦ τρίχας, ἢ πήγανον, κόριον ξηρὸν, ταῦτα τρίψας πάντα, φθοΐδας πλασάμενον, θυμιῆν. Ἢ ἐπὶ πίσσης, σανδαράχην κόψας λείην, μίξαι πρίσματα κυπαρίσσου, καὶ μύρον ἐπιχέας, φθοΐδας ποιεῖν, καὶ ἐπὶ πυρὶ θυμιῆν. Ἢ αἰγὸς κέρας καταπρίσας, ἐλαίῳ ἀνακυκᾶν, ἐπὶ πυρὶ θυμιῆν. Ἢ ὀρύξας βόθρον, γίγαρτα φρύγειν, καὶ τὴν σποδιὴν ἐμβάλλειν ἐς τὸν βόθρον, καὶ οἴνῳ εὐώδει νοτίσας τὰ γίγαρτα, περικαθεζομένην πυριῆσθαι. ἔστωσαν δὲ τῶν γιγάρτων [371] δύο μοῖραι, καὶ αὗται δὲ αὖαι ὡς τὰ μάλιστα. Ἢν δὲ ὑστέρη ἀλγέῃ ἄχρι κύστιος, πράσου καρπὸν σὺν ὕδατι τριπτὸν πίνειν. Ἢ κυκλαμίνου ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν, καὶ θερμῷ λουέσθω, καὶ [372] ἀπὸ θερμῶν πινέτω νῆστις, καὶ χλιάσματα προστιθέναι. Ἢ σκορόδου μώλυζαν, καὶ νίτρον ὀπτὸν,

καὶ κυμίνῳ, λεῖα ποιήσας, [373] μέλιτι δεύων, προστιθέναι· καὶ ἐν θερμῷ λουέσθω, [374] καὶ θερμὸν πινέτω. Ὑστερέων πάσης νούσου θεραπευτικόν. Λίνου δὲ σχιστὸν αὐτῇ τῇ καλάμῃ, ὅσον δραχμὴν κόψας λεπτὰ, καταβρέξαι ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα, ἔπειτα ἀπηθήσας, διαχλιήνας τε, [375] ἐν ἐρίῳ ὡς μαλθακωτάτῳ ἐμβάπτειν, καὶ τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν. Βοηθεῖ δὲ καὶ κρόκος, ἔτι τε σμύρνα, κάρυα ποντικὰ, [376] λευκόν τε καθαρὸν ἐν χηνὸς στέατι καὶ μύρῳ ἰρίνῳ προστιθέναι. Ἢν περιωδυνίη ἔχῃ ἐκ προσθέτων καθαιρομένην, [377] μυρσίνης ἐμβάφιον, λιβανωτὸν ἴσον, μελάνθιον, κύπειρον, σέσελι, ἄνησον, [378] λίνον, νέτωπον, μέλι, ῥητίνην, χηνὸς στέαρ, [379] ὄξος, λευκὸν μύρον Αἰγύπτιον, ἴσον ἑκάστου τρίβειν ἐν οἴνῳ λευκῷ γλυκεῖ δύο κοτύλησι, καὶ κλύζειν χλιεροῖσι κλυσμοῖσιν. Κλυσμὸς, ἢν ὀδύνη ἔχῃ σφοδρά. Κανθαρίδες, κύπειρος, κάλαμος, σχοῖνος, καὶ ἶρις· ταῦτα ἐν οἴνῳ μέλανι ἕψων, χρέο. Ἕτερος κλυσμὸς, ἢν περιωδυνίη καὶ στραγγουρίη ἔχῃ. Πράσου χυλὸν, ἀκτῆς καρπὸν, σέσελι, ἄνησον, λιβανωτὸν, σμύρναν, οἶνον, χύλωσον καὶ μίξον καὶ κλύσαι. Ἢ σμύρνης ὀξύβαφον, λιβανωτοῦ ἴσον, [380] μελανθίου τοῦ κυπρίου ἴσον, σέσελι, ἄνησον, σελίνου σπέρμα, νέτωπον, μέλι, ῥητίνην, χηνὸς στέαρ, [381] ὄξος λευκὸν, μύρον Αἰγύπτιον, τούτων ἴσον ἑκάστου διεῖναι οἴνῳ λευκῷ γλυκεῖ, καὶ κλύζειν. Ἢ λινοζώστιος ὕδωρ ἀφεψήσας σὺν [382] σμύρνῃ, λιβανωτῷ, νετώπῳ. Ἢ ἐλελίσφακον, ὑπερικὸν, ἕψειν ἐν ὕδατι, καὶ κλύζειν. [383] Ἢ λίνου καρπὸν, ἄνησον, μελάνθιον, σέσελι, σμύρναν, κασίης καρπὸν, ἐν οἴνῳ ἕψειν, καὶ κλύζειν. Ἕτερος κλυσμὸς, ἢν ὀδύνη ἴσχῃ σφοδρὴ μετὰ κάθαρσιν. Ἀκτῆς καρπὸν, καὶ δαφνίδας ἕψειν ἐν οἴνῳ μέλανι, καὶ κλύσαι. Ἢ ἀκτὴν ἑψήσας ἐν ὕδατι, ἀποχέειν τὸ ὕδωρ, οἶνον δὲ γλυκὺν παραχέας, κλύσαι. Κἢν μετὰ κλυσμὸν ὀδύνη ἐγγένηται, ἕψειν [384] τὰ θυώματα, ἐς τὸ μύρον ἐμβάλλονται, καὶ ἀποχέαι τοῦ ὕδατος δύο κοτύλας, μίξαι δὲ ἔλαιον χηνὸς, καὶ ῥόδινον, καὶ κλύζειν χλιαρῷ. Πλέον δὲ κλύσμα δύο κοτύλαι μηδενὶ, ὡς ἔπος εἰπεῖν. Ἢ λινόζωστιν ἕψειν ὕδατι, καὶ μίξαι χυλὸν μυρσίνης, ἢ λιβανωτὸν, νέτωπον ἴσον, καὶ κλύσαι χλιαρῷ. Ἢν δὲ ἀλγέῃ τὰς ὑστέρας, κυκλαμίνου ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν, καὶ τῷ θερμῷ λούεσθαι, καὶ ἀπόθερμον πινέτω.

A *cuminum, hæc læuigata, melle subacta apponito. Calidâ lauet, & calidam bibat.* Ad omnem vterorum morbum curandum. *Linum scissum cum ipso culmo, ad pugillum vnum tenuiter tusum, vino albo quàm suauissimo per noctem macerato, deinde percolato, & tepefacto lanam mollissimam imbuito, & partim subdito, partim extrahito. Iuuat etiam crocum ac myrrham, & nuces ponticas purâ & albâ* lanâ exceptas, *ex anserino adipe & vnguento irino subdere.* B *Si vehemens dolor subditi(j)s purgatam afficiat, myrrhæ acetabulum, thuris tantúndem, melanthium, cyperum, seseli, anisum, linum, netopum, mel, resinam, anserinum adipem, acetum, album vnguentum Ægyptium, singula pari portione ex vino albo dulci ad duas heminas terito, tepidis infusis colluito.* Clysmus, si vehemens dolor detinuerit. *Cantharides, cyperus, calamus, iuncus odoratus, & iris; his ex vino nigro decoctis vtere.* Collutio alia, si vehemens dolor, & stranguria detineat. C *Porri succum, sambuci fructum, seseli, anisum, thus, myrrham, vinum, infundito & misceto ac colluito.* Aut *myrrhæ acetabulum, thuris æqualem portionem, melanthij cyprij tantúndem, seseli, anisum, apij semen, netopum, mel, resinam, anseris adipem, acetum album, vnguentũ Ægyptium, horũ singulorum pares portiones vino albo dulci diluito, & infundito.* Aut *mercurialis aquã decoctã cum myrrha, thure, & netopo.* Aut *saluiam, hypericũ, in aqua decoquito, & colluito.* Aut *lini semen, anisum, melanthiũ, seseli, myrrham, cassiæ fructum in vino* D *coquito & infundito.* Alia collutio, si dolor post purgationẽ vehemens fuerit. *Sãbuci fructum, & lauri baccas ex vino nigro coquito, & colluito.* Aut *sambucũ in aqua coctam, aquâ effusâ, & vino dulci affuso, colluito. Quòd si post collutionem successerit dolor, aromata quæ in vnguentum inijciuntur, coquito, & de aqua duas heminas excolato, adipem autem anserinum & oleum rosaceum misceto, eóque tepido colluito. Infusum autem in nemine (quod semel dictum sit) duarum heminarum modum excedat.* Aut *mercurialem in aqua coqui-* E *to, & myrti succum admisceto, aut thus, & netopum æquali portione, & tepido colluito. At si vteros doleat, cyclamini radicem ex vino albo ieiunæ propinato, & calidâ lauet, & à balneo bibat.*

ΚΕΦΑΛΑΙΟΝ ΟΘ'.

Περὶ τῶν τοῦ γυναικείου αἰδοίου ἀφθῶν, καὶ ἑλκῶν, καὶ κίονος, καὶ τῆς στραγγουρίας, καὶ ὑστέρας ἀνέμου, καὶ τῆς αὐτῶν θεραπείας.

ἮΝ ἀφθῇ τὰ αἰδοῖα, [385] μύρον θερμὸν ξὺν οἴνῳ κλύζεσθαι, καὶ μελίλωτον προστιθέναι, καὶ γλυκυσίδης ἐν οἴνῳ ἑψημένης τρίπτης προστιθέσθω. Καὶ σμύρναν, καὶ ῥητίνην ὁμοῦ μίξας, καὶ διεὶς ἐν οἴνῳ, ὀθόνιον ἐμβάπτων προστιθέναι. Καὶ στραγγουρίη ἢν λάβῃ, πυρίην καὶ [386] χρίειν τὸ ἦτρον· ἐγκαθίζεσθαι δὲ ἐν ῥόδων ἀφεψήματι, ἢ βάτου, ἢ μυρσίνης, ἢ ἐλαίης, ἢ ἑλίκων ἀμπέλου, ἢ ἀρκευθίδων, ἢ ἐλελισφάκου.

CAPVT LXXIX.

F De pudendi muliebris aphthis, vlceribus, columellâ, vrinæ stillicidio, vteri flatu, & eorum curatione.

SI pudenda aphthis laborarint, myrti baccis cum vino decoctis, calido colluendum, & melilotus apponenda, & pæoniam tritam ex vino coctam supponat. Et myrrham ac resinam simul mixtam, vino subactam, ex linteo imbuto subdito. Et si stranguria prehenderit, pubes fouenda, & illinenda. Desidendum autem in rosarum decocto, aut rubi, aut myrti, aut oleæ, vel capreolorum vitis, vel iuniperi baccarum, vel saluiæ. At

At si ventus in vtero innascatur, & continuus dolor suboriatur, neque flatus exeat, cuminum supponat. Saluiam, cyperum tusum, per totam noctem maceratum, manè percolatum, quod lucidum est, in vas effundito. Triticeam farinam crassiorem vino albo subigito, & laseris succi cyathum, simul mixta coquito, & subcrudum sorbendum dato. Si columella in pudendis suborta sit, dolor detinet; dolori medetur apij semen, hedera; aut mali punici dulcis triti ex vino veteri decoctum, cum recentis carnis frustulo folijs obducto supponito. Quæ per totam noctem subdita habeat, deinde vbi detraxerit, vino colluatur.

A Ην δὲ ἄνεμος ἐγγένηται ἐν τῇ μήτρῃ, πόνος τε ἐγγίνεται ἀτερχὸς, καὶ φῦσα οὐκ ἔξεισιν, κύμινον προστιθέσθω. Ελελίσφακον, καὶ κύπειρον κόψας, καὶ τέγξας τὴν νύκτα ὅλην, ἕωθεν ἀπηθήσας, ὃ διαφανές τε ἐς ἄγγος ἐγχέαι. Κρίμνα πόλινα ἐν οἴνῳ λευκῷ φορύξαι, καὶ ὀπὸν σιλφίου [87] ὡς κύαθον ἐς κρίμμα ἑψεῖν, καὶ ἐνωμότερον δίδου ῥοφέειν. Ην κιὼν ἐν τοῖσιν αἰδοίοισιν ἐγγένηται, ὀδύνη ἴσχει, καὶ τὸ μὲν ὀδύνης σελίνου καρπὸς ἀλέξημα, καὶ κισσός· καὶ ῥοιῆς γλυκείης τετριμμένης, ἐν οἴνῳ παλαιῷ ξὺν ταπεινῇ σαρκὶ περιστέλλειν, καὶ ἐπιπλάσαι τὰ φύλλα· τὴν δὲ νύκτα ὅλην ἐχέτω κείμενα, κἄπειτα ἀφελομένη, ἐν οἴνῳ διακλυζέσθω.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΦΟΡΩΝ, ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS DE INFOECVNDIS, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Η τῶν γυναικῶν ἀφορία· ἢ τῶν καταμηνίων ἐπίσχεσις, μειονεξία, καὶ αἱμορραγία· εἰ ἄρρεν τὸ ἐν τῇ ὑστέρᾳ, ἢ θῆλυ παιδίον· ἢ τῆς ἀφροδισιασμοῦ εὐκαιρία· ἡ μύλη, ἡ τῆς γονῆς ἔκπλωσις, καὶ ἡ τῆς ὑστέρας πρόπτωσις, καὶ αἱ τούτων αἰτίαι, καὶ σημεῖα, καὶ θεραπευτικὰ παραδίδοται.

F

ARGVMENTVM LIBRI.

Infœcunditas mulierum; menstruorum suppressio, imminutio, immoderatio; fœtus in vtero an masculus, vel fœmineus; amplexus venerei opportunitas; mola, genituræ elapsus, & vteri prolapsus; eorúmque causæ, signa, & curationes docentur.

B

CAPVT I.

Cur sterilescant mulieres, nec pariant, tres causas statuit, oris vteri à pudendo auersionem, peruersionem, & occlusionem.

DE his, quæ mulieribus in singulis affectionibus accidunt, priùs quidem dictum est. Nunc autem quas ob causas mulieres prorsus sint steriles, aut quamobrem antequam curentur, non pariant, enunciabo. Hanc autem causam esse assero; si vterorum os à pudendo penitùs auersum fuerit, non concipiunt; non enim vteri genituram excipiunt, sed statim foras prodit. Hoc etiam contingit, si os vterorum preter naturam paulùm à pudendo distortum sit. Quòd si prorsus occlusum fuerit vterorum os, neq; sic excipiunt; neq; si plusquàm oporteat, recenter occlusum fuerit. Quæ verò commemorata sunt singula, hæc patent.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Διότι αἱ γυναῖκες ἄφοροι, καὶ οὐ τίκτουσι, τρεῖς αἰτίας τίθησι, τὴν τοῦ στόματος τῆς ὑστέρας ἀπὸ τοῦ αἰδοίου ἀποστροφὴν, καὶ διαστροφὴν, καὶ μύσιν.

ΠΕΡΙ μὲν τῶν γινομένων τῇσι γυναιξὶν ἐφ' ἑκάστοισι τῶν παθημάτων, πρότερον εἴρηται· νυνὶ δὲ ἀποφαίνω, δι' ἃς αἰτίας ἄφοροι γυναῖκες τὸ παράπαν, καὶ διότι οὐ τίκτουσι, πρὶν ἰηθῶσι. Φημὶ δὲ C τοῦτο αἴτιον εἶναι· ἢν ἀποστραφῇ τὸ στόμα τῶν μητρέων παντάπασιν ἀπὸ τοῦ αἰδοίου, οὐ κυΐσκουσιν· οὐ γὰρ δέχονται αἱ μῆτραι τὴν γονὴν, ἀλλ' ἔξω αὐτίκα ἔρχεται· γίνεται δὲ τοῦτο καὶ ἢν ὀλίγον διαστραφῇ τὸ στόμα τῶν ὑστερέων ἀπὸ τοῦ αἰδοίου παρὰ φύσιν. καὶ ἢν μεμύκῃ τὸ στόμα τῶν μητρέων πάμπαν, οὐδ' οὕτως δέχονται, [2] οὐδ' ἢν ἄρμοι μεμύκῃ μᾶλλον ἢ δεῖ. δῆλον δὲ τουτέων ἕκαστόν ἐστι τῶν εἰρημένων.

Ην μὲν γὰρ ἀπεστραμμένον ᾖ πάμπαν, ἢ μεμυκὸς, τὰ καταμήνια οὐκ ἔρχεται τὸ παράπαν, ἢ ἔρχεται βιαίως ξὺν νούσῳ, ἢν βιάσηται τὸ αἷμα [3] τὰς μήτρας στραφῆναι κατ' ἦθος. κἢν ἀποκαθαρθῇ ἡ γυνὴ, ἔστιν ὅτε αὐτῆς ἀποστρέφεται τὸ στόμα τῶν μητρέων ἀπὸ τοῦ αἰδοίου. ἢν δὲ ὀλίγον ᾖ παρακεκλιμένον, ἢ ἄρτι μεμύκῃ, χωρεῖ μὲν τὰ καταμήνια, χωρεῖ δὲ βιαίως, καὶ κατ' ὀλίγον ἐπὶ πολλὰς ἡμέρας. Ταῦτα δὲ πάντα δῆλα γίνεται, εἰ οὕτως ἔχει, ψηλαφώσῃ γυναικὶ, καὶ ἢν τούτων τι ᾖ, μελεδανθεῖσα ἡ γυνὴ φορὸς γίνεται, ἔστι δὲ καὶ ὅτε αὐτομάτη. τούτων δὲ ἕκαστον [4] διότι γίνεται, εἰρήσεται. εἴρηται δὲ ἐν τοῖσι γυναικείοισι νοσήμασιν.

A *Etenim si prorsus auersum aut occlusum fuerit, menses non omninò, aut violenter & cum morbo prodeunt, si sanguis coegerit vteros pro more conuerti. Quòd si mulier repurgata fuerit, interdum & vterorum os à pudendo auertitur. Quòd si paulum distortum, aut derepentè occlusum fuerit, menses quidem prodeunt, prodeunt autem violenter, & paulatim per multos dies. Hæc autem omnia si ita se habeant, tangenti mulieri manifesta sunt; & siquid horum contigerit, curata mulier fœcunda redditur, idque etiam quandóque sponte. Hæc* B *autem singula cur contingant, dicetur, in morbis verò muliebribus dictum est.*

ΚΕΦΑΛΑΙΟΝ Β'.

Δύο τῆς κυήσεως κωλυθείσης, καὶ δὴ καὶ ἀφορίας αἰτίαι, ἡ τῆς ὑστέρας λειότης καὶ τὸ ἕλκος, καὶ τὰ τούτων διαγνωστικὰ, καὶ προγνωστικά.

HN δὲ λεῖαι ἔωσιν αἱ μῆτραι (γίνεται δὲ τοῦτο καὶ φύσει ἐνίῃσι) καὶ ἢν ἕλκεα ἐγγινόμενα μεγάλας οὐλὰς ἐγκαταλίπῃ, καὶ ἢν λεῖαι ἔωσιν, οὐ λαμβάνει ἡ γυνὴ ἐν γαστρί. τὴν γὰρ γονὴν δέχονται μὲν αἱ μῆτραι, ἢν μή τι αἴτιον ἄλλο ᾖ, ξυλλαμβάνουσιν δὲ οὔ, ἀλλὰ τὸν σπόρον ἔξω χαλῶσι. δῆλον δὲ μάλιστά ἐστι ψηλαφώσῃ, καὶ εἰρομένῃ εἴποτε ἐν τῇσι μήτρῃσιν ἕλκεά οἱ ἐγένοντο. τὰ δὲ καταμήνια ὑγιηρῶς μὲν ἐν τουτέῳ τῷ νοσήματι χωρεῖ, ἀνίκητος δὲ γίνεται ὡς ἐπὶ πλέον ἡ τοιαύτη. Γίνεται δὲ καὶ τοῦτο αἴτιον τοῦ μὴ συλλαμβάνειν ἐν γαστρί. ἢν ἕλκος γένηται ἐν τῇσι μήτρῃσιν ὑπὸ παθήματος τούτων τῶν εἰρημένων, καὶ μὴ ταχὺ ὑγιανθῇ, [5] ἀλλὰ μολυνθῇ. παραμένει γὰρ τὸ ἕλκος ἐπὶ πουλὺν χρόνον, ὥσπερ καὶ τὸ ἐν ὠτὶ ἐόν, καὶ ὄζει πονηρὸν ἡ γυνὴ, καὶ ἔστιν ὅτε ἰχὼρ ῥέει αὐτῇ ἐκ τοῦ αἰδοίου κάκοδμος, καὶ μέχρις ἂν ἔχῃ τὸ ἕλκος, οὐ λαμβάνει ἐν γαστρὶ, οὐ γὰρ συλλαμβάνουσιν αἱ μῆτραι τὴν γονήν. [6] Ταύτῃ τὰ καταμήνια χωρεῖ ὑγιηρῶς· ἐν ψηλαφήσει δὲ μάλιστα γίνεται δῆλον καὶ ἐρωτήσει, περὶ τῶν εἰρημένων. Μελεδανθεῖσα δὲ φορὸς γίνεται, ὀλίγαι δὲ ἐλπίδες εἰσίν.

CAPVT II.

Duæ conceptionis prohibitæ, ac proinde infœcunditatis causæ, vteri læuitas, & vlcus, earumque diagnostica, & prognostica.

SI vteri læues fuerint (id autem quibusdam naturâ contingit) & si innata vlcera magnas cicatrices intùs reliquerint, ac læues vteri *fuerint, mulier vtero non* C *concipit. Genituram enim vteri quidem excipiunt, nisi alia quædam causa obsistat, non tamen concipiunt, sed semen foras demittunt. Hoc autem potissimũ contrectanti manifestum est, & interrogatæ num aliquando in vteris ipsi vlcera oborta fuerint. Menses verò hoc in morbo rectè quidem prodeunt, sed vt plurimùm eiusmodi* mulier *incurabilis existit. Hæc quoque causa est, cur vtero nõ concipiat. Si vlcus ex aliqua harum commemoratarum affectionum in vteris obortum fuerit, neque breui sanescat, sed sordidum extiterit. Longo enim tempore vlcus permanet, velut quod in aure existit, & praue olet mulier;* D *eique interdùm ex pudendis sanies graueolens effluit; & quandiù vlcus detinuerit, vtero non concipit, quòd vteri genituram non retineant. Huic menses vt sanis prodeunt. Ex contactu autẽ & interrogatione maximè de prædictis constat. Verum curata fœcunda euadit, sed parua spes est.*

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Η τρίτη καὶ τετάρτη τῆς κυήσεως κωλυθείσης αἰτία, τῶν καταμηνίων ἐλλειφθέν τι ἐν τῇ μήτρᾳ, καὶ τὸ τῆς μήτρας χάσμα ἀνεῳγμένον.

HN δὲ τῶν καταμηνίων ἐλλειφθέν τι ἐν τῇσι μήτρῃσιν ἔκρηξιν ἔχῃ, θερμανθὲν δὲ, καὶ αὖθις ψυχωθὲν περὶ τὸ στόμα, ἢ ὀλίγον ἐνδοτέρω, οὐδ' οὕτω λαμβάνει ἐν γαστρί· ἔρυμα γὰρ τοῦτο ἐπικείμενον, οὐ παρίησι τὴν γονὴν ἰέναι, ὅκου δεῖ. καὶ ἢν μὲν ἐν ἀρχῇ μελεδαίνηται, ὑγιαίνει, καὶ φορὸς γίνεται· ἢν δὲ χρόνος ἐγγένηται, ἄφορος μένει. δῆλον δὲ τὸ πάθημα [7] ψηλαφήσει μάλιστά ἐστι· σκληρὸν γάρ τι ἐγγίνεται. Καὶ ἢν χάσκωσι μᾶλλον τοῦ καιροῦ αἱ μῆτραι, οὐδὲ οὕτω κυΐσκεται· οὐ γὰρ ξυλλαμβάνουσιν αἱ μῆτραι τὴν γονήν. δῆλον δὲ ἔσται καὶ τοῦτο ψηλαφήσει, καὶ τὰ καταμήνια ἔρχεται ἀλέα, καὶ ἐπ' ὀλίγας ἡμέρας. γίνεται δὲ καὶ φύσει τὸ πάθημα τοῦτο, καὶ ὑπὸ νοσημάτων τῶν εἰρημένων· κἢν μὲν φύσει ᾖ, ἀνίητος ἡ νοῦσος· ἢν δὲ μὴ, οὐχ ὑγιηρὰ χωρέει τὰ καταμήνια, οἷα τῆς γυναικὸς μὴ ὑγιηρῆς ἐούσης, οὐδὲ οὕτω κυΐσκεται·

CAPVT III.

Tertia & quarta conceptionis prohibitæ causa, menstrui segmentum in vtero relictum, & vteri patentior hiatus.

E *AT si ex mensibus aliquid in vteris relictum ruptionem fecerit, quod circa osculum, aut paulò interiùs calefactum fuerit, rursusque perfrixerit, neque sic vtero concipit. Hoc enim incumbens septum, genituram, quò oportet, peruenire non permittit. Quod si per initia quidem curetur, conualescit, & fœcunda redditur; si verò tempus accesserit, infœcunda manet. Ex contactu autem potissimùm affectio patet. Durum enim quiddam innascitur. Et si plùs æquo vteri dehiscant, neque sic con-* F *cipit. Non enim semen vteri concipiunt. Sed & hoc quoque contactu manifestum fiet, mensesque aceruatim & paucis diebus prodeũt. Hęc affectio verò & naturâ & ex relatis morbis contingit. Et si quidem à natura fuerit, incurabilis est morbus; sin minùs, mẽses minimè sani prodeunt, quũ nimirùm mulier sana non sit; neq; sic concipit.*

Non

Non enim à sanguine morboso concrescit; verùm sanguis morbosus ex corpore delatus, genituram serosam efficit; serosa verò facta genitura, tempore modico aut multo, vnà cum sanie foras egreditur. Id autem ex mulieris corpore & mensibus patet. Prodibunt enim ipsi menses, quales dicti sunt, siue biliosa, siue pituitosa, siue aquosa fuerit. Breui autem curata, fœcunda euadit; alioqui minimè.

οὐ γὰρ πήγνυται ὑπὸ τοῦ αἵματος νοσεροῦ ἐόντος, ἀλλὰ διαφθείρει τὴν γονὴν τὸ αἷμα τὸ κακὸν ἀπὸ τοῦ σώματος νοσερὸν ἐόν· διαφθαρεῖσα δὲ ἡ γονὴ, ἐξέρχεται ἔξω τῷ χρόνῳ ἢ ὀλίγῳ ἢ πολλῷ, ξὺν ἰχῶρι. δῆλον δὲ ἐστι τῷ σώματι τῆς γυναικὸς, καὶ τοῖσι καταμηνίοισι· χωρήσει γὰρ τὰ καταμήνια αὐτῇ, οἷα εἴρηται, ἤν τε χολώδης, ἤν τε φλεγματώδης, ἤν τε ὑδρωποειδὴς εἴη. Ἐν τάχει δὲ μελεδανθεῖσα, ἔφορος γίνεται· ἢν δὲ μὴ, οὔ.

CAPVT IV.

Aliæ conceptionis prohibitæ causæ, menstruorum suppressio, paucitas, & redundantia.

SI verò mulieri menses penitùs non prodeant, aut ab omnibus commemoratis, etiam sic non concipit. Etenim venæ sanguine plenæ genituram non excipiunt, & in vteris aliquid inueterati sanguinis inesse necesse est, quod genitutam nutriri prohibet. Quòd si pauciores quàm deceat, menses prodeant, neque sic concipit; causæ verò in priore morbo proditæ sunt, id verò & ex interrogatione patet. Quòd si quidem naturâ pauci menses prodeant, incurabilis existit. Si verò ex aliqua commemoratarum affectionum, curata, breui fœcunda futura est. Et si plures quàm deceat, mulieri menses prodeant, neque sic vtero concipit. Vteri nanque, euacuato sanguine, præ imbecillitate genituram non concipiunt. Si verò etiam conceperint, copiosus sanguis ad mulieris vteros derepentè delapsus, genituram suffocat. Id autem etiam ex mensibus, qui copiosi prodibunt, manifestum est. Quòd si naturâ copiosos menses mulier demittat, infœcunda redditur. At si non naturâ, sed ab aliqua ex commemoratis affectione, curata breui, fœcunda erit.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἄλλαι τῆς κυήσεως κωλυθείσης αἰτίαι, ἡ τῶν καταμηνίων ἀπόκρυψις, καὶ ὀλιγότης, καὶ πλεονασμός.

ΗΝ δὲ γυναικὶ μὴ χωρέῃ τὰ καταμήνια πάμπαν, ἢ ὑπὸ [8] πάντων τῶν εἰρημένων, καὶ οὕτως οὐ ξυλλαμβάνει. αἱ γὰρ φλέβες τοῦ αἵματος πλήρεες ἐοῦσαι, τὴν γονὴν οὐ δέχονται, καὶ ἐν τῇσι μήτρῃσι αἵματος ἐνεῖναί τι χρονίου πᾶσα μηχανὴ, ὅ, τι ἀποκωλύει τὴν γονὴν τρέφεσθαι. Ἢν δὲ ἐλάσσω τὰ καταμήνια χωρέῃ τοῦ δέοντος, οὐδὲ οὕτω κυΐσκεται· αἴτια δὲ τὰ ἐν τῇ προτέρῃ νούσῳ προειρημένα· δῆλον δὲ καὶ τοῦτο ἐν τῇ ἐρωτήσει. κἢν μὲν φύσει ὀλίγα χωρέῃ τὰ καταμήνια, ἀνίητος γίνεται· ἢν δὲ ὑπὸ παθήματος τουτέων τινὸς τῶν εἰρημένων, μελεδανθεῖσα, ἐν τάχει φορὸς [9] ἔσται. Καὶ ἢν πλείονα τοῦ δέοντος χωρέῃ τῇ γυναικὶ τὰ καταμήνια, οὐδ' οὕτως ἐν γαστρὶ λαμβάνει. αἱ γὰρ μῆτραι, κεκενωμένου τοῦ αἵματος, [10] οὐ ξυλλαμβάνουσι τὴν γονὴν ὑπὸ ἀσθενείης· ἢν δὲ ἄρα καὶ ξυλλάβωσιν, κατελθὸν τὸ αἷμα πολλὸν ἐξαπίνης ἐπὶ τὰς μήτρας τῆς γυναικὸς, ἀποπνίγει τὴν γονήν. δῆλον δὲ καὶ τόδε τοῖσιν ἐπιμηνίοισιν, ὁκόσα πολλὰ χωρήσει· καὶ ἢν μὲν φύσει ἡ γυνὴ πολλὰ χαλᾷ τὰ καταμήνια, ἄφορος γίνεται· ἢν δὲ μὴ φύσει, ἀλλ' ὑπὸ παθήματός τινος τῶν εἰρημένων, μελεδανθεῖσα ἐν τάχει, φορὸς ἔσται.

CAPVT V.

Aliæ prohibitæ conceptionis causæ, oris vteri à pudendo procidentia, indecens menstruorum profluuium, vteri auersio, & occlusio.

SI vterorum quoque os extra pudendum exciderit, neque sic vtero concipit. Os enim durum efficitur, neque genituram excipit, ac tumet, itáque prorsus infœcunda redditur. Cur autem hæc affectio oboriatur, manifestum est. Si menses quoque minimè vt conuenit, prodeant, sed deorsùm ad sedem cum impetu ferantur, neque sic vtero concipit. Os enim vterorum à pudendo auersum aut occlusum esse patet. Quòd si osculum in sedem obuersum, aut occlusum fuerit, curata, fœcunda redditur. Vtrumque verò ex interrogatione, & responsione manifestum fit. Si enim menses semper sic fuerint, his morbum causam esse manifestum est. Atque tot talesque causæ in mulieribus sunt, ob quas, priusquam curentur, non pariunt, & quibus prorsus sterilescunt. Ac proinde mirari

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἄλλαι κωλυθείσης τῆς κυήσεως αἰτίαι, ἡ τῆς ὑστέρας ἐκ τοῦ αἰδοίου ἔκπτωσις, καὶ οὐ προσήκουσα τῶν καταμηνίων καταῤῥοὴ, καὶ τῆς ὑστέρας ἀποστροφὴ, καὶ μύσις.

ΚΑὶ ἢν τὸ στόμα τῶν μητρέων ἐκπέσῃ τοῦ αἰδοίου, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί. τό, τε γὰρ στόμα σκληρὸν γίνεται, καὶ οὐ δέχεται τὴν γονὴν, καὶ οἰδέει, καὶ ταύτῃ ἄφορος γίνεται τὸ πάμπαν· δῆλον δὲ τὸ πάθημα τοῦτο [11] διότι γίγνεται. Καὶ ἢν μὴ χωρέῃ τὰ καταμήνια κατὰ τὸ προσῆκον, ἀλλὰ κάτω [12] ὁρμῇ ἐς τὴν ἕδρην, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί· δῆλον γὰρ ὅτι τὸ στόμα τῶν μητρέων ἐκτέτραπται ἀπὸ τοῦ αἰδοίου, ἢ μέμυκε. καὶ ἢν μὲν κατὰ τὴν ἕδρην ᾖ ἐστραμμένον τὸ στόμα, ἢ μέμυκε, μελεδανθεῖσα, φορὸς γίνεται. δῆλον δὲ ἑκάτερόν ἐστι τῇ ἐρωτήσει καὶ ἀποκρίσει· ἢν γὰρ τὰ καταμήνια ἑκάστοτε ὧδε [13] εἴη, ἡ νοῦσος ταύτῃσι δῆλον ὅτι αἰτίη ἐστί. Τοσαῦτα, καὶ τὰ τοιαῦτα τῇσι γυναιξίν ἐστι, δι' ἃ οὐ τίκτουσι, πρὶν ἂν ἰηθῶσι, καὶ δι' ὅσα ἄφοροι γίνονται τὸ πάμπαν· ὥστε

θαυμάζειν τὰς γυναῖκας οὐ χρὴ, [13] ὅτι εἰσὶ μὲν, οὐ τίκτουσι δὲ πολλάκις.

mulieres non oportet, quum sint quidem, non tamen sæpe pariant.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῶν τῆς γυναικὸς κυησούσης δοκιμασιῶν, καὶ τῶν τῆς κυούσης σημείων διαγνωστικῶν.

Πειρητήρια δι' ὧν δηλοῦται ἡ γυνὴ, εἰ κυήσει. Γυναῖκα ἢν θέλῃς γνῶναι [14] εἰ κύει, σικύωνον ποιῆσαι, ἢ βούτυρον, καὶ γάλα γυναικὸς κουροτρόφου διδόναι [16] πίνειν. καὶ ἢν ἐρυγγάνηται, κυήσει· εἰ δὲ μὴ, οὔ. Ἄλλο. Νέτωπον ὀλίγον προστίθεσθαι ἐν εἰρίῳ ἀνελίξασα, κἄπειτα ἕωθεν σκέψασθαι ἢν ὄζῃ διὰ τοῦ στόματος τὸ ἐπιτεθέν· κἢν μὲν ὄζῃ, κυήσει· ἢν δὲ μὴ, οὔ. Ἕτερον πειρητήριον ἐπὶ τοῦ αὐτοῦ. Ἥτινι ἂν γυναικὶ ἀπὸ τῶν προσθέτων μὴ λίην ἰσχυρῶν ἐόντων ἢν ὀδύναι ἐς τὰ ἄρθρα ἀφίκωνται, καὶ βρυγμὸς ἔχῃ, καὶ σκοτοδινῆται, καὶ χασμῆται, ἐλπὶς αὐτῇ κυῆσαι μᾶλλον, ἢ ἥτις τούτων μηδὲν πάσχει. Ἄλλο. Μώλυζαν σκορόδου, περικαθήραντα τὴν κεφαλὴν, ἀποκνίσαντα, προσθεῖναι πρὸς τὴν ὑστέρην, καὶ ὁρῆν τῇ ὑστεραίῃ, ἢν ὄζῃ διὰ στόματος· καὶ ἢν ὄζῃ, κυήσει· ἢν δὲ μὴ, οὔ. Ἢν θέλῃ γνῶναι ἡ γυνὴ εἰ κυήσει, πινέτω ἄννησον τετριμμένον ἐν ὕδατι ὡς λεπτότατον, καὶ εὑδέτω· καὶ ἢν μὲν κνησμὸς αὐτὴν λαμβάνῃ περὶ τὸν ὀμφαλὸν, κυήσει· ἢν δὲ μὴ, οὔ. Κύουσαν γυναῖκα ἢν μὴ ἄλλως γινώσκῃς, ἐν τούτῳ γνώσῃ· ὁρῶνται οἱ ὀφθαλμοὶ εἱλκυσμένοι καὶ κοιλότεροι, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν οὐκ ἔχει τὴν φύσιν τῆς λευκότητος, ἀλλὰ πελιδνότερα φαίνονται. Ὁκόσαι ἐν γαστρὶ ἔχουσιν, ἔφηλιν ἐπὶ τοῦ προσώπου ἴσχουσι, καὶ ἀρχόμεναι συλλαμβάνειν, μισοῖνοι γίνονται, καὶ κακόσιτοι, καὶ καρδιωγμοῦ μεσταὶ, καὶ πτυαλίζουσιν. [17] Μίλτον καὶ ἄννησον τρίψαι ὡς λεπτότατα, εἶτα ἐν ὕδατι διεῖναι, καὶ δοῦναι, καὶ ἐᾶσαι ὑπνῶσαι· καὶ ἢν μὲν στρόφος γίνηταί οἱ περὶ τὸν ὀμφαλὸν, κύει· ἢν δὲ μὴ γίνηται, οὐ κύει. πάντων δὲ τουτέων ὕστερον, πινέτω ἄλητον καὶ μέλι καὶ ὀρίγανον ἐν οἴνῳ καὶ ἐλαίῳ.

CAPVT VI.

De mulieris concepturæ explorationibus, & grauidæ signis diagnosticis.

Tentamenta, quibus exploratur mulier, si conceptura sit. *Si nosse velis, an mulier conceptura sit, sicyonium oleum, aut butyrum, & lac mulieris puerum lactantis potui dato; & si eructauerit, concipiet; sin minus, minimè.* Aliud. *Netopum modicum lanâ conuolutum subdito, deinde manè spectato, num quod subditum est, per os oleat; quòd si quidem oleat, concipiet; sin minus, non.* Aliud experimentum ad idem. *Sicui mulieri à pessarijs non admodùm vehementibus dolores ad articulos peruenerint, & dentium stridor detinuerit, tenebricosâ vertigine laborauerit, & oscitauerit, huic concipiendi maior spes adest, quàm cui nihil horum contingit.* Aliud. *Allij caput integrum, capite depurgato & deraso, in vterum subdito; & postridiè spectato, an per os oleat; quòd si oluerit, concipiet, sin minùs, minimè. Si mulier nosse velit an conceptura sit, anisum ex aqua quàm tenuissimè tritum bibat, & dormiat; quòd si quidem pruritus circa vmbilicum eam corripiat, concipiet; sin minùs, minimè. Prægnantem mulierem si non alio, hocce cognosces. Oculi ei contracti, & magis caui cernuntur; & oculorum candidum albedinis naturam non habet, sed liuidius apparet. Quæ vtero gerunt, in facie ephelidem habent, & vbi concipere cœperunt, vinum odio habent, cibos auersantur, cardiogmo vexantur, ac saliuant. Minium & anisum tenuissimè tritum, deinde aquâ diluito, ac exhibeto, & dormire sinito; & si ei tormina circa vmbilicum suboriantur, prægnans est; sin minùs, minimè. Post hæc autem omnia, farinam, mel, & origanum ex vino & oleo bibat.*

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Πότερον ἡ ἐν γαστρὶ ἔχουσα ἄρρεν ἢ θῆλυ ἔχει, διάγνωσις.

[18] Ὅσαι ἐν γαστρὶ ἔχουσαι ἔφηλιν ἐπὶ τοῦ προσώπου ἴσχουσιν, θῆλυ κύουσιν· ὅσαι δὲ εὔχροοι διαμένουσι, ἄρρεν ὡς ἐπιτοπουλὺ κύουσιν. Ἢν αἱ θηλαὶ ἄνω ἔωσιν ἐστραμμέναι, ἄρσεν κύει· ἢν δὲ κάτω, θῆλυ. Λαβὼν τοῦ γάλακτος, φυρῆσαι ἄλητον, καὶ ποιῆσαι ἀρτίσκον, καὶ ὀπτῆσαι ἐπὶ πυρὸς μαλθακοῦ· καὶ ἢν μὲν κατακαυθῇ, ἄρρεν κύει· ἢν δὲ διαχάνῃ, θῆλυ. τὸ αὐτὸ τοῦτο [20] ἐπιτυλίξας ἐν φύλλοισιν, ὀπτᾶν· καὶ ἢν μὲν πήγνυται, ἄρρεν κύει· ἢν δὲ διαχυθῇ, θῆλυ.

CAPVT VII.

Vtrum masculum, aut fœmellam gestet grauida, dignotio.

Quæ vtero gerentes maculam solarem in facie habent, fœmellam gestant; quæ verò bene coloratæ permanent, marem plerùnque gestant. Si papillæ sursùm conuersæ fuerint, marem gestat; si deorsùm, fœminam. Sumptam lactis portionem cum farina subigito, & pastillum formato, & lento igne torrefacito; & si quidem exuratur, marem gestat; si verò dehiscat, fœmellam. Hoc idem ipsum super folia emulctum inspicito, & si quidem cogatur, masculum gestat; si verò diffundatur, fœmellam.

CAPVT

A

CAPVT VIII.

De mulieris quæ ob duritiem vteri à callo aut occlusione contractam, aut ob læuitatem, asperitatem, distortionem, aut deprauatum situm, aut pinguedinem, aut osculi læsionem, non concepit; aut quæ concepit, partum tamen non experta est, ac proindè infœcunda, curationibus.

CVrationes conceptionem explorantes, & liberorum procreationem, siqua indigeat, & liberis careat, aut iam prægnans fuerit, nunc autem non pariat. *Quum vteri stomachus totus, aut extremâ sui parte durus, aut occlusus & non rectus fuerit, sed in alteram coxam auersus, aut in rectum intestinum procubuerit, aut sese contraxerit, aut stomachi labrum in se reductum fuerit. Vndecunque igitur asper & callosus fuerit (fit autem tum ab occlusione, tum à callo durus) his menses non apparent, aut multò pauciores, aut quàm deceat deteriores apparent, & per longius tempus effluunt. Et menses quidem pro corporis valetudine & vterorum exitu inueniuntur; & pro consito ac iusto modo; & à calore & humiditate menstruorum, & stomacho non admodum læso. Rursus autem genituram non excipit ob læsionem, quæcunque ipsam à stomacho malè affecto excipi prohibuerit. Huic post fotum vniuerso corpori admotum, pharmacum bibendum dare oportet, ac primùm corporis purgationem moliri, siue sursùm & deorsùm, siue deorsùm solùm. Et si sursùm purgans medicamentum dederis, ante purgationem fomentum non admouendum, sed posteà. At fomento admoto deinceps medicamentum deorsùm purgans potui dato. Quòd si sursùm purgante medicamento minimè opus esse videatur, fomento antè admoto, deorsùm purgans bibendum dato. Quum autem corpus benè habere visum fuerit, posteà fotum admouere, ac in eo, quod conferre visum fuerit, vteros ipsos crebrò insidere oportet. In fotus autem cupressi ramenta, & lauri folia tusa injcito; & copiosâ calidâ sæpè lauato. Quum verò recens lota & fota fuerit, os vteri specillo stanneo aut plumbeo dilatato, simulque si opus fuerit digito, à tenui auspicatus; deinde crassiore, si admiserit, quoad probè habere videatur. Specillum autem emolliente, quodcunque conducere videbitur, dissoluto, & liquido reddito, intingito. Specilla lata posteriore parte conficito, deinde paruulis lignis oblongis accommodatis sic vtitor. Hoc verò tempore tedam pinguissimam in tenuia frustula concisam, ex vino albo dulci quàm suauissimo decoctam bibat; & apij semen contusum, & cumini Æthiopici semen, & thus quàm optimum. Ex hoc moderatâ quantitate bibat per quot dies bellè habere visa fuerit; & catellos pingues percoctos edat, & polypum ex vino dulcissimo coctum, ac de iusculo bibat; brassicam quoque coctam, vinúmque album superbibat; cœnâ abstineat, & bis die lauet. Per hoc tempus cibis abstineat; posteà si per stomachum processerit, & quandam foras purgationem ostenderit, vno aut altero die potionem aliquam bibat,*

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς γυναικὸς τῆς διὰ τὴν σκληρότητα τὴν ἀπὸ πωρώσεως ἢ ξυμμύσεως, ἢ διὰ λειότητα, ἢ τραχύτητα, ἢ διαστροφὴν, ἢ διεστραμμένην θέσιν, ἢ πιμελὴν, ἢ τοῦ στόματος βλάβην, μὴ κυούσης· ἢ κυούσης μὲν, ἀτεκνούσης δὲ, καὶ οὕτως ἀφόρου, θεραπειῶν.

ΘΕραπεῖαι κυήσιος πειρητήριοι καὶ παιδογονίης, ἥτις δεῖται, καὶ ἄτεκνος ἐοῦσα, καὶ ἤδη κύουσα, ἐοῦσα δὲ [21] ἀτεκνοῦσα. Ἐπὴν ὁ στόμαχος σκληρὸς ᾖ ὅλος, ἢ ἄκρος, καὶ ξυμμεμύκῃ, καὶ μὴ ὀρθὸς ᾖ, ἀλλὰ παρὰ τὸ ἰσχίον ἀπεστραμμένος τὸ ἕτερον, ἢ ἐς τὸν ἀρχὸν κεκύφῃ, ἢ ἀνεσπάκῃ ἑωυτὸν, ἢ τὸ χεῖλος ἐπιβάλλῃ τοῦ στομάχου ἐφ' ἑωυτό· ὁπόθεν οὖν ἢ τρηχὸς ᾖ, ἢ πεπωρωμένος (σκληρὸς δὲ γίνεται καὶ ἀπὸ ξυμμύσιος, καὶ ἀπὸ πωρώσιος) ταύτῃσι τὰ ἐπιμήνια οὐ φαίνεται, καὶ φαίνεται πολλῷ ἐλάσσονα, ἢ κακίονα τοῦ δέοντος, καὶ διὰ πλείονος χρόνου ἐπιφαίνεται. τὰ μὲν ἐπιμήνια καθ' ὑγείην τοῦ σώματος, καὶ τῶν μητρέων τὴν ἔξοδον, εὑρίσκεται, κατά τε τὸ σύμφυτον καὶ τὸ δίκαιον, καὶ ἀπὸ θέρμης καὶ ὑγρότητος τῶν ἐπιμηνίων, καὶ τοῦ στομάχου οὐ κάρτα βεβλαμμένου. τὴν δὲ γονὴν πάλιν οὐ δέχεται διὰ τὴν βλάβην, ἥτις ἂν κωλύῃ ἀπὸ τοῦ στομάχου μὴ καλῶς ἔχοντος τοῦ δέχεσθαι. Ταύτην χρὴ πυριήσαντα τὸ σῶμα ὅλον, πίσαι δοῦναι φάρμακον, καὶ κάθαρσιν ποιήσασθαι τοῦ σώματος πρῶτον, ἤν τε ἄνω [22] καὶ κάτω, ἤν τε κάτω μοῦνον. καὶ ἢν μὲν ἄνω διδῷς τὸ φάρμακον, μὴ πυριῆν πρότερον τῆς καθάρσιος, ἀλλ' ὕστερον· πυριήσας δὲ, μεταπίσαι κάτω· ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνωτερικοῦ, προπυριήσας, κάτω πίσαι. ὅταν δὲ δοκῇ καλῶς ἔχειν τὸ σῶμα, μετὰ τοῦτο πυριῆν, ἐγκαθίζων τὰς μήτρας αὐτὰς πυκνὰ, ἐν ὅτῳ ἂν δοκέῃ ξυμφέρειν· ἐπιβάλλειν δὲ ἐς τὰ πυριήματα, κυπαρίσσου πρίσματα, δάφνης φύλλα κεκομμένα· καὶ λούειν πολλῷ καὶ θερμῷ πολλάκις. ὁκόταν δὲ νεόλουτος καὶ νεοπυρίητος ᾖ, ἀνευρύνειν στόμα τῆς μήτρης μήλῃ κασσιτερίνῃ, καὶ ἀνορθοῦν [23] ὁμοῦ, ἐὰν δέηται, [24] ἢ μολυβδίνῃ, ἀρξαμένης ἐκ λεπτῆς, εἶτα παχυτέρῃ, ἢν παραδέχηται, ἕως ἂν δοκεῖ καλῶς ἔχειν. βάπτειν δὲ καὶ τὴν μήλην ἐν τῷ μαλθακτηρίῳ διειμένῳ, ὅ, τι δοκέει ξυνοίσειν, ὑγρὸν ποιήσας. τὰς δὲ μήλας ποιέειν ὄπισθεν πλατείας, εἶτα [25] περὶ ξυλαρίοισι μακροῖσι περιαρμόσαι, καὶ οὕτως χρῆσθαι. τὸν δὲ χρόνον τοῦτον ἑψοῦσα ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ γλυκεῖ δᾷδα, πινέτω ὡς πιοτάτην, καταξίσασα λεπτά· καὶ σελίνου καρπὸν κόψασα, καὶ κυμίνου Αἰθιοπικοῦ [26] καρπὸν, καὶ λιβανωτὸν ὡς κάλλιστον· τούτου πινέτω νῆστις ὁκόσον δοκέῃ μέτριον εἶναι πλῆθος, ἡμέρας ὁκόσας ἂν δοκέῃ καλῶς ἔχειν, καὶ ἐσθιέτω σκυλάκια στεατώδεα διεφθὰ, καὶ πολύποδα ἐν οἴνῳ ἑφθὸν γλυκυτάτῳ, καὶ τοῦ ζωμοῦ πινέτω, καὶ κράμβην ἑφθὴν, καὶ οἶνον λευκὸν ἐπιπινέτω· καὶ μὴ δειπνείτω, καὶ λουέσθω δὶς τῆς ἡμέρης. σιτίων δὲ ἀπεχέσθω τοῦτον τὸν χρόνον· μετὰ δὲ, ἢν μὲν προχωρήσῃ κατὰ τὸν στόμαχον, καὶ φαίνῃ τινὰ κάθαρσιν ἔξω, πίνειν τέ τι τοῦ πόματος ἡμέρην μίαν ἢ δύο, καὶ

τῇσι μήλῃσι παύσασθαι χρεόμενον, καὶ πειρᾶσθαι καθαίρειν τὰς μήτρας προσθέτοισι καὶ φαρμάκοισιν. Ἢν τινι δὲ τοῦ στομάχου ὀρθοῦ καὶ μαλθακοῦ καὶ ὑγιέος καὶ καλῶς ἔχοντος καὶ ἐν τῷ δέοντι κειμένου, τὰ ἐπιμήνια μὴ φαίνηται πάμπαν, ἢ ἐλάσσονα καὶ διὰ πλείονος χρόνου καὶ μὴ ὑγιηρά, τὴν νοῦσον ἀνευρὼν ἣν τινα ἔχουσιν αἱ μῆτραι, ἤν τε καὶ τὸ σῶμα ξυμβάλληταί τι, ἐξευρὼν τὸ αἴτιον ἀπὸ ὅτευ οὐ κυΐσκεται· ὅτε μὲν οὕτως ἔχει, τὴν ἴησιν ποιέεσθαι, προσφέρων τὸ δέον. ἢν δὲ ἔχηται τὴν ἴησιν, ἀρχόμενος ἐξ ἰσχυρῶν, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι· τελευτᾶν δὲ [27] μαλθακώτερα, ὡς ἂν δοκέῃ καλῶς ἔχειν καθάρσιος ἡ μήτρα, καὶ ὁ στόμαχος καθεστάναι ὀρθῶς ἔχων ἐν τῷ ἐξαρκέοντι κείμενος. ἢν δὲ ἀπὸ φαρμάκου καὶ ἀπὸ τοῦ ποτοῦ μὴ προχωρήσῃ, μηδὲ πινούσης χρόνου τὸ μέτριον, [28] τούτου μὲν παύεσθαι τοῦ πόματος· ὅταν δὲ καλῶς ἔχῃ τοῦ ἀπὸ τῶν μηλέων ἔργου, μαλθάξαι τὸ στόμα τοῦ στομάχου, καὶ ποιῆσαι ὅκως ἀναχάσκηται ἐς ὁδὸν τῷ προσθετῷ, ἀπό τε τῶν θυμιητῶν φαρμάκων καὶ μαλθακτηρίων. ὁκόταν δὲ δοκέῃ καλῶς ἔχειν μαλθάξιος καὶ θυμιήσιος, προστιθεὶς φάρμακα, κάθαρσιν ποιέεσθαι τῆς μήτρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν, ἀρχόμενος ἐκ μαλθακῶν ἐς ἰσχυρότερα, τελευτᾶν δὲ αὖθις ἐς μαλθακὰ εὐώδεα. τῶν γὰρ ἰσχυρῶν φαρμάκων τὰ πλεῖστα ἑλκοῖ τὸν στόμαχον, [29] καὶ εἴργει τὸν καθεστάναι ὀρθὸν καὶ καλῶς ἔχοντα πρὸς τὴν γονῆς τὴν ὑποδοχήν, καὶ τὴν μήτρην ξηρὴν ποιέει. Ἢν δέ τις γυνὴ δοκέῃ τὰς μήτρας ὑπὸ πιμελῆς βεβλάφθαι ἐς τὴν κύησιν, λεπτύνειν ὡς μάλιστα καὶ ἰσχναίνειν πρὸς τοῖσιν ἄλλοισιν.

à specillorum vsu desistito, & vteros subditi tijs & medicamentis purgare tentato. Cui verò stomacho recto, & molli, & sano, benéque habente, & conuenienti loco sito, menses omninò non apparuerint, aut paucio-res, & longiore tempore, miniméque sani, morbum perscrutatus quo vteri laborant, & an corpus etiam aliquid conferat, comperies causam à qua non concipit. Quum sic quidem se habet, curationem, quod deceat adhibendo, moliri oportet. Quòd si curationem recipiat, incipiens à vehementibus, prout opportunum videbitur, & in leuiora desinens, quoad vterus benè à purgatione habere, & stomachus rectè constitutus, & idoneo loco situs esse videatur. Quòd si à medicamento & potione non processerit, neque si moderato tempore biberit, hac potione supersedeat. Quum verò ex specillorum vsu benè habuerit, os stomachi emollito, & vt dehiscat, viamque subditìtio præbeat, per medicamenta tum ad suffitum, tum ad emolliendum accommodata efficito. Quum autem ex emollitione & suffitu benè habere videbitur, suppositis medicamentis, vteri purgationem quoad belle habere videatur efficito, ducto à blandis ad vehementiora exordio, rursus autem in lenia odorata desinens. Medicamentorum enim vehementium pleráque stomachum exulcerant, & ne rectus consistat, & ad genituram excipiendam benè habeat, prohibent, vterumque siccum reddunt. Siqua verò mulier vteros ad conceptum à pinguedine oblæsos sibi esse viderit, eam quàm maximè extenuato, & præter alia gracilem reddito.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν βοηθημάτων τῶν πρὸς τὴν κύησιν τὸν ἄνδρα καὶ τὴν γυναῖκα παρασκευαζόντων, ὥρας ἐαρινῆς καὶ ἐπιτηδείας, καὶ διαίτης, καὶ φαρμάκων, καὶ τῆς τοῦ σώματος καταστάσεως· καὶ περὶ τῆς γυναικὸς ἄνοσον ὑστέραν ἐχούσης σημείων, καὶ τῶν ὑστέρας πεπονθυίας τὴν γονὴν μὴ κατεχούσης θεραπευτικῶν.

ΩΡη δὲ ἐαρινὴ, [30] κρατίστη κυήσιος. Ὁ δ' ἀνὴρ μὴ [31] μεθυσκέτω, μηδὲ οἶνον λευκὸν πινέτω, [32] ἀλλ' ὡς ἰσχυρότερον, καὶ ἀκρητέστερον· καὶ σιτία σιτείσθω ἰσχυρότατα, καὶ μὴ θερμολουτείτω, καὶ ἰσχυέτω, καὶ ὑγιαινέτω, καὶ σιτίων ἀπεχέσθω τῶν μὴ ξυμφερόντων τῷ πρήγματι. [33] Ὅτῳ δὲ δοκέῃ ἡ γυνὴ ἐκκεκαθάρθαι, καὶ τὸν στόμαχον καλῶς ἔχειν τῆς μήτρης, λουσάσθω καὶ σμηξάσθω τὴν κεφαλὴν, καὶ μὴ [34] ἀλείφηται μηδέν· ἔπειτα ὀθόνιον ἄνοδμον περιθεῖσα περὶ τὰς τρίχας πεπλυμένον, κεκρυφάλῳ πεπλυμένῳ [35] μηδενὸς ὄζοντος καταδῆσαι, τὸ ὀθόνιον ὑποθεῖσα πρῶτον· ἔπειτα ἀναπαύεσθαι προσθεμένη χαλβάνην πρὸς τὸν στόμαχον, θερμήνασα πρὸς πῦρ, ἢ ἥλιον, καὶ μαλθάξασα εὖ· ἔπειτα πρωῒ ἀπολύσασα [36] τὸν κεκρύφαλον καὶ [37] τὰ ὀθόνια, ὀσφραίνεσθαι παρεχέτω τινὶ ἑωυτῆς τὴν κεφαλήν· καὶ ὄζει, ἢν καλῶς ἔχῃ τῆς καθάρσιος· εἰ δὲ μή, οὐκ ὄζει· ἄσιτος δὲ ταῦτα ποιείτω. ἢν δὲ μὴ τεκούσῃ προσθῇς, οὐδέποτε ὄζει, οὔτε καθαιρομένη, οὔτε ἄλλως· οὐδ' ἢν κυούσῃ προσθῇς, οὐδ' οὕτως ὀζέσει· ἥτις δὲ κυΐσκεται [38] πολλά, καὶ ἐπικύμων ἐστί, καὶ ὑγιαίνει, ἢν

CAPVT IX.

De remedijs ad conceptionem virum & mulierem præparantibus, vernâ ac idoneâ tempestate, victu, medicamentis, corporis statu; ac de mulieris sano vtero præditæ signis, & malè affecti vteri semen non retinentis curationibus.

VErnum autem tempus ad conceptum præstantissimum. Vir verò minimè inebrietur, neque vinum album, sed valentissimum & meracius bibat; cibos edat valentissimos, neque calidâ lauet; viribus valeat, & sanus sit, & cibis ad hanc rem minimè conducentibus abstineat. At cui mulier expurgata esse videbitur, & vteri stomachus benè habere, caput lauet ac fricet, nullóque modo prorsus illinatur; deinde linteo inodoro loto capillis circumposito, reticulo loto nihil olente deliget, primùm subdito linteo; posteà galbano ad ignem aut solem calefacto, & probè emollito, ad stomachum subdito quiescat. Deinde manè soluto reticulo ac linteo, caput suum olfaciendum alicui præbeat; & si probè purgata fuerit, olet; alioqui non olet. Hæc autem ieiuna faciat. Quòd si non parienti subdideris, nunquam olet, neque purgata, neque aliàs; neque si prægnanti supposueris, sic olebit. Quæ verò crebrò concipit, & fœcunda ac sana est, si

etiam

etiam non purgatæ subdideris, ipsi vertex olebit, nihilque aliud. Quum verò benè habere cognoueris, ad virum adeat iubeto. Et mulier quidem cibis abstineat; vir autem haud sit temulentus, sed frigidâ lotus, & qui paucos & conferentes cibos ederit. Quòd si mulier se genituram concepisse nouerit, primo tempore ne virum adeat, sed quiescat. Noscet autem; si vir se emisisse dixerit, mulier verò propter siccitatem ignoret. Quod si rursus eodem die vterus genituram reddiderit, humidus erit; & si humidus fuerit, rursus cum viro misceatur, quoad concipiat. Alia curatio. *Vbi vniuersum corpus foueris, quod sursùm & deorsùm purget propinato, deindè lacte asinino posteà epoto, vteros duobus diebus per fistulam vrinâ muliebri putridâ, nitro immisso, foueto; tertio verò, vrinâ bubulâ; quarto autem & quinto* die, *semen fœniculi tritum, sambuci folia, laurum, & cupressi ramenta, hæc aquâ affusâ coquito. Post fomentum verò vbi copiosâ calidâ lauerit, statim à fotu adipem aromatibus cõditum sub noctem subdere oportet. Posteà verò hæc inter se mixta præparato, myrrhâ stacten, butyrum, anserinum adipem, cerui medullam, resinam, netopum, hæc singula æquis portionibus cõmixtis liquata, ex lanâ Misiâ molli optimè carminatâ subter apponito; posteà quinque plumbeis penicillis ad octo digitorum longitudinem ductis, vterum dilatato; primus tenuis esto, secundus verò crassior, reliquique alter altero crassior. Aperiuntur verò per quinque dies, & semper vbi lota fuerit supponat, & ne decidant, ex lumbis deliget, & penicillos semper altiùs intrudat, postremum verò quàm penitissimè. Vbi autem aperuerit, purgans medicamentum subdito, cantharidas quinque tritas, & colocynthidis longæ interiorem partem spongiosam, & myrrham. Hæc ex melle cocto subacta, & in glandulam ducta, lanâ parte summâ exceptâ conuoluta, deinde oleo suauissimo intincta, supponito. Hoc etiam purgatorio vtendum; felle tauri, æris flore vsto, nitro, & myrrhâ; hæc modico melle diluta, ex tenui linteo deligata, & linteo supernâ parte medicamento obducto, supponito. Vtendum etiam bupresti cum myrrha, & elaterio cum melle cocto, & cantharidibus cum elaterio & myrrha. Postquàm purgata fuerit, postridiè cum lauerit, vterum colluito. Cuminum Æthiopicum tritum, melanthium, resinam, oleum, mel, & vinum dulce, hæc mixta & tepefacta collutione adhibeto. Vbi collueris, eámque erexeris, obambulare iubeto, quò collutio concutiatur. Crocum, myrrham, thus; singula pari portione sicca, lineo linteo deligata subdito, & admixto anserino adipe, linteum oblinito; hoc per dies septem supponito; octauo verò suffitum adhibeto ex myrrha, bitumine, & hordeo, oleo odorato subactis, & in lenem ignem coniectis; per fistulam suffito. At postquam suffitum feceris, postridiè castoris testem ex vino albo affuso tritum, lanâ obuolutum, & specillo obductum, sub noctem supponito. Quem quum manè subtraxerit, & emollita fuerit, ad virum accedat; & vbi cordormierit, quiescat; sique primò non conceperit, rursùs eodem*

A προσθῆς, μηδὲ καθήρῃς, [39] ὄζεσαι αὐτὴ τῆς κορυφῆς, ἄλλο δὲ οὔ. ὅταν δὲ γνῷς καλῶς ἔχειν, παρὰ τὸν ἄνδρα κέλευε ἰέναι· καὶ ἡ μὲν γυνὴ ἄσιτος [40] ἔστω· ὁ δ' ἀνὴρ ἀθώρηκτος, ψυχρῷ δὲ λελουμένος, καὶ εὐωχημένος σιτία ὀλίγα, ξύμφορα. Καὶ ἡ γυνὴ ἢν γνῷ ξυλλαβοῦσα τὴν γονὴν, μὴ ἔλθῃ παρὰ τὸν ἄνδρα τὸν πρῶτον χρόνον, ἀλλ' ἡσυχαζέτω. γνώσεται δὲ ἢν μὲν ὁ ἀνὴρ φῇ [41] ἀφιέναι, ἡ δὲ γυνὴ ἀγνοῇ ὑπὸ ξηρότητος. ἢν δὲ ἀποδῷ πάλιν ἡ μήτρη τὴν γονὴν τῆς αὐτῆς ἡμέρης, ἔσται ὑγρή· καὶ ἢν ᾖ ὑγρὴ, αὖθις μισγέσθω τῷ ἀνδρὶ, μέχρις ἂν ξυλλάβῃ.

B Ἄλλη θεραπείη. Πυριήσας τὸ σῶμα ὅλον, πίσαι καθῆραι ἄνω καὶ κάτω· εἶτα ὄνειον γάλα μεταπίσαντα, πυριῆν τὰς μήτρας δι' αὐλοῦ, δύο ἡμέρας, οὔρῳ γυναικείῳ σαπρῷ, καὶ λίτρον ἐμβάλλειν· τῇ δὲ τρίτῃ, βοείῳ οὔρῳ· τῇ δὲ τετάρτῃ καὶ πέμπτῃ, τρίψας μαράθρου σπέρμα, καὶ ἀκτῆς φύλλα, καὶ δάφνην, κυπαρίσσου πρίσματα, ταῦτα ἑψῆσαι, ὕδωρ ἐπιχέαντα. δεῖ δὲ μετὰ τὴν πυρίησιν, λουσαμένην πολλῷ θερμῷ, προστιθέναι στέαρ ἡδυντὸν ἐκ τῆς πυρίης εὐθὺς καὶ ἐς νύκτα. μετὰ δὲ, σκευάζειν, ξυμμίσγειν σμύρναν στακτὴν, καὶ βούτυρον, καὶ χηνὸς ἄλειφα, καὶ ἐλάφου μυελὸν, καὶ ῥητίνην, καὶ νέτωπον, τουτέων ἴσον ἑκάστου ξυμμίξαντα, καὶ διατήξαντα, προστιθέναι ἐν εἰρίῳ C Μιλησίῳ μαλθακῷ ὡς εὐεργοτάτῳ· μετὰ δὲ ἀναστομοῦν τὴν μήτρην μολυβδίοις ἐληλασμένοις ὀκτωδακτύλοισι πέντε· τὸ πρῶτον ἔστω λεπτὸν, τὸ δὲ δεύτερον παχύτερον, καὶ τἄλλα θάτερον θατέρου παχύτερον. ἀναστομοῦνται δὲ πέντε ἡμέρας; αἰεὶ δὲ λουσαμένη προστιθέσθω, καὶ ἀναδείσθω ἐκ τῆς ὀσφύος, ὡς μὴ πίπτῃ, καὶ ὠθείτω τὰ μολύβδια αἰεὶ ἀνωτέρω, τὸ δὲ τελευταῖον ὡς ἀνωτάτω· ἐπὴν δὲ D ἀναστομώσῃ, προσθεῖναι καθαρτικὸν, τρίψας κανθαρίδας πέντε, καὶ σικυώνης μακρῆς σπόγγον, καὶ σμύρναν· ταῦτα μέλιτι ἑφθῷ φορύξαντα, καὶ φυρήσαντα βάλανον, εἰρίῳ κατειλίξαι, πλὴν τοῦ ἄκρου, ἔπειτα εἰς ἄλειφα βάψαντα ὡς ἥδιστον, προσθεῖναι. Χρῆσθαι δὲ καθαρτικῷ καὶ τούτῳ· τῇ χολῇ τοῦ ταύρου, καὶ ἄνθει ὀπτῷ, καὶ λίτρῳ, καὶ σμύρνῃ, μέλιτι ὀλίγῳ διέντα, ὀθόνιον λεπτὸν ἀποδήσαντα, καὶ ἄνω τὸ ὀθόνιον περιελίξαντα τῷ φαρμάκῳ, προστιθέναι. Χρῆσθαι δὲ καὶ βουπρήστει ξὺν τῇ σμύρνῃ, E καὶ ἐλατηρίῳ ξὺν τῷ μέλιτι ἑφθῷ, καὶ τῇσι κανθαρίσι ξὺν τῷ ἐλατηρίῳ τε, καὶ τῇ σμύρνῃ. Ἐπὴν δὲ καθαρθῇ, τῇ ὑστεραίῃ λούσαντα, κλύσαι τὰς μήτρας. κύμινον Αἰθιοπικὸν τρίψας, καὶ μελάνθιον, καὶ ῥητίνην, καὶ ἄλειφα, καὶ μέλι καὶ οἶνον γλυκὺν, ταῦτα μίξας καὶ διαχλιήνας, κλύσαι· ἐπὴν δὲ κλύσῃς, ἀναστήσας, περιιέναι κελεύειν, ὅκως τὸ κλύσμα διασείηται. Προσθεῖναι δὲ κρόκον, καὶ σμύρναν, καὶ λιβανωτὸν; ἐν ῥάκει λιναίῳ ἀποδέοντα ξηρὸν, ἴσον ἑκάστου ξυμμίσγοντα, χηνός τε ἄλειφα, περιχρίοντα τὸ F ῥάκος. τοῦτο δὲ προστιθέναι, ἑπτὰ ἡμέρας· τῇ δὲ ὀγδόῃ, θυμιῆσαι σμύρνῃ καὶ ἀσφάλτῳ, καὶ κριθῇ, εὐώδει ἀλείφατι πεφυρημένα, ἐπὶ μαλθακὸν ἐπιβαλὼν πῦρ, θυμιῆν δι' αὐλοῦ. ἐπὴν δὲ θυμιήσῃς, τῇ ὑστεραίῃ τρίψαι κάστορος ὄρχιν, οἶνον λευκὸν παραχέων, καὶ αὐτὸν [43] μήλῃ ἀμφιπλάσας, καὶ εἰρίῳ κατελίξας, προσθεῖναι ἐς νύκτα· ὄρθρου δὲ ἀφελομένη καὶ διαμαλαξαμένη, ἴτω παρὰ τὸν ἄνδρα, καὶ ξυγκοιμηθεῖσα, ἀτρεμείτω· καὶ ἢν μὴ ἐπὶ τοῦ πρώτου κυήσῃ, αὖθις προσθεμένη αὐτὸ τοῦτο,

παρὰ τὸν ἄνδρα ἐλθέτω. ἄρχεσθαι δὲ χρὴ φαρμακεύοντα, ἐπειδὰν ἔλθῃ τὰ καταμήνια· ληγόντων δὲ χρὴ τὸ κυητήριον προστιθέναι, ξυγκοιμᾶσθαι· τὸ δὲ πρόσθεν χρόνου μήτε ἡ γυνὴ ἴτω ἄσσον τοῦ ἀνδρὸς, μήθ' ὁ ἀνὴρ παρὰ τὴν γυναῖκα.

subdito, virum adeat. At quum menses prodierint, curationem his medicamentis auspicari oportet; desinentibus verò, conceptorio apposito, viro condormiendum. Ante hoc tempus, neque mulier ad virum, neque vir ad mulierem accedat.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῆς τῆς γυναικὸς μὴ κυϊσκούσης μὲν, εἰωθυίας δὲ πρότερον κυΐσκεσθαι, αἰτίων καὶ τῆς θεραπείας· καὶ πῦον τὸ ἐν ταῖς μήτραις πόθεν; περὶ τῶν προσθέτων, καὶ κλυστήρων ὑστερικῶν, εἰς τὴν κύησιν ἐπιτηδείων.

Ὅταν δὲ ἡ γυνὴ μὴ κυΐσκηται εἰωθυῖα πρότερον κυΐσκεσθαι, τοῦ ἀνδρὸς δὲ τὴν γονὴν ἐσδέχωνται αἱ μῆτραι ἐς ἑωυτὰς, ἀνάγκη [44] πάγχυ βρέχειν τὴν γυναῖκα ταύτην. ἐνίοτε μὲν γὰρ ἐν τῇσι μήτρῃσι τὸ πῦον ἐγγίνεται, τὸ δὲ πῦον τὸ ἐν τῇσι μήτρῃσιν ὑπὸ φυμάτων γίνεται. διὰ δὴ τοῦτο ἡ γονὴ τοῦ ἀνδρὸς, ὅταν μίσγηται, οὐχ ἅπτεται τῆς μήτρης, ἵνα δὴ πήγνυσθαι τὴν γονὴν τοῦ ἀνδρός· τὸ γὰρ πῦον ἀμαυροῖ, ὥστε μὴ προσφέρεσθαι· [45] τέθνηκε γὰρ τὸ πῦον, καὶ σήπει τὴν γονήν. διὰ δὴ τό, τε πῦον ἐκκαθῆραι τῶν μητρέων, καὶ τὸ φῦμα τὸ ἐν τῇ [46] δελφύϊ καταστῆσαι, ὅκως τὸ λοιπὸν μὴ κωλύῃ τὴν γονὴν πήγνυσθαι καὶ [47] προσφέρεσθαι. ταχύνειν δὲ χρὴ ἐκκαθαίροντα, πρὶν ἢ πωρωθῆναι τὸ πῦον ἐν τῇσι μήτρῃσι· [48] κλύσαι δὲ χρὴ τὰς μήτρας ὧδε· ἵππειον γάλα ἑψήσας, διεὶς διὰ [49] κείρης ὡς λεπτοτάτης καὶ καθαρωτάτης, τούτῳ κλύζειν, κλυστῆρα ἐπιτήδειον ποιησάμενος. τὸ μὲν ἄκρον τοῦ κλυστῆρος λεῖον ἔστω οἷόν περ μήλης, ἀργύρεον, [50] καὶ περὶ αὐτὰ τετρυπήσθω τοῦ κλυστῆρος ἀπόλειπον ὀλίγον τὸ τρῆμα· εἰ δὲ καὶ τὰς ἄλλας ἐκτρήσιας, διαλειπέτω δὲ ἴσον ἑκάστη ἔνθεν καὶ ἔνθεν, ἐκ τοῦ πλαγίου τοῦ κλυστῆρος ἑκάστης ἴσον, καὶ μὴ μεγάλας, ἀλλὰ στενά. τοῦ μὲν κλυστῆρος [51] ἡ κορυφὴ στερεὴ ἔστω, τὸ δὲ ἄλλο πᾶν κοῖλον ἔστω, ὡς αὐλίσκος· δῆσαι δὲ χρὴ κύστιν συὸς θηλείης, ταύτην δὲ ἑψήσας εὖ μάλα· ἐπὴν δὲ προσδήσῃς, ἐγχέας τὸ γάλα ἐς τὴν κύστιν, ἐς τὰς [53] μήτρας ἐνθεὶς ῥάκος λεπτῆς ὀθόνης, ὅκως μὴ τὸ γάλα ῥέῃ. ἐπειδὰν δὲ [54] κλύσῃς τὴν κύστιν, ἀποδῆσαι καὶ δοῦναι τῇ γυναικὶ αὐτῇ, ἣν μέλλῃς κλύζειν. κείνη δὲ ἐξελοῦσα τὸ [55] κλύσμα, ἐς τὴν μήτρην ἐνθέσθω. [56] αὐτὴ δὲ εἰδήσει ὅκου δεῖ. ἔπειτά σε πιέζειν τῇ χειρὶ τὴν κύστιν, ἔστ' ἂν τὸ πῦον ἐκρυῇ πᾶν ἔξω· δῆλον δὲ τοῦτο ἔσται, ὅταν μηκέτι ἐξίῃ τὸ πῦον ἅμα τῷ γάλακτι· δῆλον γὰρ ὅτι οὐκέτι ἔνεστι, τότε χρὴ παύσασθαι καὶ μετὰ τοῦτο. ἐπὴν [57] δὲ ψυχθῇ ὀλίγον, ὀλίγον χρόνον σικυώνης ξηρῆς πεφυκυίας τὴν πυθμένα ἀποτρήσας, καὶ τῆς κορυφῆς τὸ ἄκρον ὡς ἂν τετρημένον ᾖ, τὸ δὲ ὅμοιον ποιήσας. [58] τὸ ἄλλο, πλὴν τὸ ἄκρον, καθάπερ τοῦ κλυστῆρος, τὸν αὐτὸν τρόπον· πάχος δὲ λεπτότερον ὀλίγον, ὡς ἀνδρὸς αἰδοῖόν ἐστιν. τοῦτο περιθεῖναι [59] ἐς τεῦχος, οἶνον ἐμπλήσας τὸ τεῦχος· ὁ δὲ οἶνος ἔστω αἰθοσμίας ὡς εὐωδέστατος, [60] καὶ ξηρότατος, καὶ παλαιότατος· ἔπειτα λίθον μέλανα διαφανῆ ἐμβάλλειν εἰς τὸν οἶνον. ἔπειτα περιθεῖναι σικυώνην ποιήσας χαλκοῦ λευκοῦ, καὶ ἡ γυνὴ ἀμφικαθεζέσθω περὶ τὴν βάλανον τῆς σικύης, τὸ αἰδοῖον ποιήσασα οἷόν περ δεῖ· ὅκως δὲ ὑπερέξαι τὴν χαλκῆν καὶ ἔξωθεν σικυώνην δύο δακτύλοιν, ἔσω.

CAPVT X.

De mulieris non concipientis, sed priùs concipere solitæ, causis & curatione; & pus in vteris vnde? de pessarijs, ac clysteribus vterinis ad conceptum idoneis.

Qvum autem mulier priùs concipere solita, non conceperit, uteris viri genituram in sese recipientibus, hanc mulierem prorsus sero diluere necesse est. Interdùm siquidem pus intra uteros gignitur; pus autem à tuberculis in utero suboritur. Ob id sanè viri genitura in congressu uterum non attingit, quò viri genitura coalescat. Pus enim, ut ne adhærescat, eam retundit; nam pus genituram enecat, & corrumpit. Ac proindè pus ex uteris expurgare oportet, & uteri tuberculum tollere, ut ne in posterum genituram concrescere aut adferri prohibeat. Expurgatio igitur, priusquàm pus in uteris occalluerit, acceleranda est; & uteri hoc modo colluendi. Lac equinum coctum per sacculum tenuissimum & purissimum transmissum infundito, idoneo clystere facto. Clysteris quidem summa pars læuis esto, velut specilli, argentea, supra quam interiecto paruo spatio foramen perforetur. Sint autem & alia foramina, hinc & inde singula æqualiter inter se distantia, ex obliqua clysteris parte æqualia singula, non magna, sed angusta. Clysteris quidem summus apex solidus esto, at reliquum totum cauum sit velut fistula; cui suis fœminæ vesica aquâ calidâ probè emollita & madefacta alliganda. Vbi eam alligaris, infuso in vesicam lacte, in foramina tenue linteum immittito, ne lac effluat. Postquàm occluseris vesicam, alligatam mulieri ipsi, quam clystere lauturus es, dato. Illa verò detracto obturamento, in uterum indat. Noscet autem ipsa, ubi indere oporteat. Deinde vesicam manu comprimito, quoad totum pus foras effluxerit. Id autem manifestum erit, ubi pus non ampliùs cum lacte exierit; patet enim, cùm nullum ampliùs inest, tunc desistere oportere. Vbi igitur paululum recreata fuerit, cucurbitæ siccæ modico tempore fundum perforato, & verticis summum ut sit perforatum, quod reliquum est simile clysteri, summo excepto, efficito, eodemque modo vtitor. *Sit autem crassitudine paulò minori, quàm viri pudendum. Hoc in vas imponito, vase vino impleto. Sit autem vinum quàm suauissimum, fragrantissimum, siccissimum, & vetustissimum. Deinde lapidem nigrum pellucidum in vinum injicito. Posteà cucurbitam ex ære albo factam circumponito, & mulier circum cucurbitæ glandem, pudendo qualiter oportet composito, insideat, ita ut cucurbitam æream & externam duobus digitis supereminеat.*

A

CAPVT XI.

De mulieris genituram excipere nequeuntis ob membranam vtero adhærentem, curatione per subdititia, potiones, suffitus, pessaria.

Quam mulier genituram excipere non potest, membranam vterorum osculo adnatam esse omninò necesse est. Aeris florem, fel tauri, & serpentis adipem, hæc omnia simul commiscere oportet; medicamento lanâ excepto, & linteo byssino inuoluto, linteo melle sublito, pessarium oliuæ maximæ crassitudine conficito; mox per totam noctem in pudendum subdito, supina autem iaceat; & per diem auferat, & quàm plurimo myrti decocto calido lauet. Deinde quotidiè per singulas noctes supponat, posteà verò cum viro congrediatur. Curatio alia. *Foliorum marrubij plenæ manus mensuram, in vas Atticum inijcito, aquæ potabilis heminis quatuor Atticis affusis. Ex eo prasio nouem diebus præmacerato, per alios nouem dies ieiuna & lota singulis diebus duos cyathos bibat, passi albi æquali portione admixtâ. Quum autem triduum potauerit, immissis in ignem cicutæ folijs, per nouem dies suffiatur, & post suffitum lauet, atque sic rursus ex eo bibat. Quum verò triduum fomentum admouerit, marrubium ipsum tenuiter tritum quotidiè tribus diebus subdat, & mercurialem leuiter ex melle Attico tritam, bis die. Præmacerentur autem in congio fæcis vini albi & hippomarathri & fœniculi radix, tedæ quàm pinguissimæ rami, rubiæ quadrans, fœniculi semen, & verbenæ radices multæ; eáque non minus quàm nouem diebus præmacerentur. Post hæc autem capite loto, meri macerati heminam per diem in balneo bibat, posteáque reclinata seipsam calefaciat. Indéque post potum tertio quoque die, quod ex felle componitur, per diem ad sex dies supponito. Quum verò iam probè purgata ad virum accedere vult, hyoscyami folijs & radicibus in aqua decoctis, maximè calidis, tribus diebus ad noctem foueatur, & post balneum virum adeat. Post hoc fomentum, etiam cerui pudendum siccum suffito; quumque siccum esse videris, id ex vino albo aquâ temperato derasum per triduum potui dato; quumque* partûs *dolores detinuerint, propinato; hoc enim partum accelerat.* Alia curatio. *Fel tauri & alumen Melinum feruefacito, cerui verò cornu vstum tenuiter terito, his commixtis in glandulas, paratis vtitor.* Aliud quod curat. *Cuminum in vino nigro coctum, tenuiter tritum, in glandem efformatum, ad noctem subdito. Post hæc autem, vini albi fæcem vrito, id videlicet quod in fæce est tenuissimum; vbi vsseris, pennâ auferto, deinde in linteo illigatum sub noctem supponito, & porra cocta edat. Post hoc autem, tragium tritum & melle subactum sub*

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς γυναικὸς μὴ δυναμένης γονὴν δέχεσθαι διὰ τὴν μήνιγγα ἐπιπεφυκυῖαν τῇ μήτρῃ, θεραπεία διὰ προσθέτων, καὶ ποτῶν, καὶ ὑποθυμιαμάτων, καὶ πεσσῶν.

Ὅταν μὴ δύνηται ἡ γυνὴ γονὴν δέχεσθαι, πᾶσα ἀνάγκη μήνιγγα ἐπιπεφυκέναι ἐν τῷ στόματι τῶν μητρέων. δεῖ δὲ ἰὸν χαλκοῦ, καὶ χολὴν[61] ταύρου, καὶ ὄφιος στέαρ, ταῦτα ξυμμίξαι ὁμοῦ· εἶτα εἴριον λαβὼν, ἀναδεῦσαι τῷ φαρμάκῳ, καὶ ἐνελίξαι ἐς ὀθόνιον βύσσινον μέλιτι ὑποχρίσας τὸ ὀθόνιον, καὶ ποιῆσαι πρόσθετον ὅσον ἐλαίην τὴν μεγίστην· εἶτα προστιθέναι πρὸς τὸ αἰδοῖον νύκτα ὅλην, ὑπτίη δὲ κείσθω· τὴν δὲ ἡμέρην ἀφαιρείσθω, καὶ λουέσθω θερμῷ ὕδατι ἀπὸ μυρσίνης ὡς πλείστῳ· ἔπειτα δι' ἡμέρης προστιθέσθω ἐν ἑκάστῃ νυκτὶ, μετὰ δὲ συνέστω. Ἄλλη θεραπείη. Πρασίου τῶν φύλλων λαβόντα πλῆθος, ὥστε τὴν χεῖρα εὖ ἐμπλῆσαι, ἐμβαλεῖν ἐς ἀγγεῖον Ἀττικὸν, καὶ ἐπιχέαι ὕδατος ποτοῦ κοτύλας Ἀττικὰς[62] τέσσαρας· καὶ[63] προβρέξαντας ἐννέα ἡμέρας, πίνειν ἑτέρας ἐννέα ἡμέρας νῆστιν, λουσαμένην, δύο κυάθους τῆς ἡμέρης ἀπὸ τοῦ πρασίου, γλυκέος λευκοῦ ἴσον μίσγουσα. ὅταν δὲ ἔσται τριταίη πίνουσα, πυριήσθω[64] κωνείου φύλλοισιν, ἐπὶ πῦρ ἐπιβάλλων, ἐννέα ἡμέρας, καὶ μετὰ τὴν πυρίην λουέσθω, καὶ οὕτω πίνειν αὖθις τούτων. ὅταν δὲ τὰς τρεῖς πυριημένη ἦ, προστιθέσθω τοῦ πρασίου αὐτοῦ τετριμμένου λείου δι' ἡμέρης ἐπὶ τρεῖς ἡμέρας, λινόζωστιν λείην τετριμμένην ἐν μέλιτι Ἀττικῷ δὶς τῆς ἡμέρης· προβρεχέσθω δὲ ἐν οἴνου λευκοῦ[65] τρυγὶ καὶ ἱππομαράθρου καὶ μαράθρου ῥίζα, καὶ δᾳδὸς ὡς πιοτάτης ὄζοι, καὶ ἐρυθεδάνου τεταρτημόριον, καὶ μαράθρου σπέρμα, καὶ περιστερεῶνος ῥίζαι πολλαί· προβρεχέσθω δὲ ἡμέρας μὴ ἐλάσσω τῶν ἐννέα. πίνειν δὲ μετὰ ταῦτα λουσαμένην κατὰ κεφαλῆς, κοτύλην τῆς ἡμέρης ἀκρήτου βεβρεγμένου, ἐν τῷ λουτρῷ ἐοῦσαν, καὶ μετὰ ταῦτα κατακλιθεῖσαν ἐκθερμαίνειν ἑωυτήν· καὶ προστίθεσθαι ἐν τῷ διὰ τρίτης μετὰ τὸ ποτὸν, τὸ ἐκ τῆς χολῆς δι' ἡμέρης ἐπὶ ἡμέρας ἕξ.[66] ὅταν δὲ μέλλῃ ἤδη προσιέναι, καλῶς καθάρσιος ἔχουσα, ὑοσκυάμου φύλλα καὶ ῥίζας ἀναζέσας ἐν ὕδατι, πυριήσθω τούτοισιν ὡς θερμοτάτοισιν ἐπὶ τρεῖς ἡμέρας ἐς νύκτας, καὶ λουσαμένη παρὰ τὸν ἄνδρα ἴτω. μετὰ δὲ ταύτην τὴν πυρίησιν, καὶ ἐλάφου αἰδοῖον αὖον ὑποθυμιῆσαι, καὶ ὅταν ἴδῃς ἔχειν αὖον, τούτου ἐπ' οἶνον λευκὸν κεχρημένον ἐπιξύων, ἐπὶ τρεῖς ἡμέρας διδόναι πίνειν, καὶ ὅταν ὀδύνην ἔχῃ, διδόναι πίνειν, καὶ γὰρ ὠκυτόκιόν ἐστι τοῦτο. Ἄλλη θεραπείη. Χολὴν ταύρου ἀναζέσαι, καὶ στυπτηρίην Μηλίην, ἐλάφου δὲ κέρας κατακαύσας τρίψαι λεῖον, καὶ ξυμμίξας, βαλανίοις χρῆσθαι. Ἕτερον θεραπευτικόν. Κύμινον ἐν οἴνῳ μέλανι ἑψήσας, τρίψας λεῖον, βάλανον ποιῆσαι, καὶ ἐς νύκτα προσθεῖναι. μετὰ δὲ ταῦτα, κατακαύσας τρύγα οἴνου λευκοῦ, τὸ[67] λεπτότατον δηλονότι τῆς τρυγός· ἐπειδὰν κατακαύσῃς, ἀφαιρέειν τοῦτο ἐν πτερῷ, ἔπειτα ἐς ὀθόνιον ἀποδήσας, προσθεῖναι ἐς νύκτα, καὶ πράσα ἑφθὰ ἐσθιέτω. μετὰ δὲ τοῦτο, τράγιον τρίβων καὶ μέλιτι δεύσας

προσθεῖναι ἐς νύκτα· μετὰ δὲ, τράγου καρπὸν λεῖον τρίψας, ἐν οἴνῳ λευκῷ διεὶς, δᾳδία ἐπιξύων, διδόναι πίνειν· μετὰ δὲ, ὀρίγανον διὰ δευτέρης ὑποθυμιῆν, καὶ οὕτω πρὸς τὸν ἄνδρα ἴτω.

noctem supponat. Deinde tragij fructum leuiter tritum vino albo dilutum, tedæ scobe adiectâ, potui dato. Postea origanum alternis suffito, sicque ad virum accedat.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῆς γυναικὸς διὰ τὴν χολὴν ἢ τὸ φλέγμα τεκεῖν, καὶ κυΐσκεσθαι, καὶ τῷ ἀνδρὶ συζεύγνυσθαι μὴ δυναμένης, θεραπείας· καὶ τῆς χολῆς καὶ τοῦ φλέγματος σημείων.

ἌΛλη θεραπείη ἐπὶ γυναῖκα μὴ δυναμένην τεκεῖν. Ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν, τοκέα ἐθέλῃς ποιῆσαι, σκέψασθαι χρὴ ἐν τοῖσιν ἐπιμηνίοισιν, εἴ τε χολώδης, εἴτε φλεγματώδης εἴη· γνώσῃ δὲ τῶνδε ὁπότερον μᾶλλον· ψάμμον ὑποβαλὼν λεπτὴν καὶ ξηρὴν, ὅταν οἱ τὰ ἐπιμήνια ἴῃ, ἐν τῷ ἡλίῳ ἐπιχέαι ἀπὸ τοῦ αἵματος· καὶ ἢν μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίνεται· ἢν δὲ φλεγματώδης ᾖ, οἷον μύξαι. Τούτων ὁπότερον ἂν ᾖ, καθήρας τὴν κοιλίην, ἤν τε ἄνω, ἤν τε κάτω δοκέῃ σοι δεῖν, ἔπειτα διαλιπὼν ἡμέρας[68] τινὰς, τὰς ὑστέρας καθαίρειν· καὶ ἢν ὑγρότερον τὸ στόμα τῶν ὑστερῶν ᾖ, προστιθέναι τὰ δριμέα, ὅκως δηχθὲν καὶ φλεγμῆναν τὸ στόμα τῶν ὑστερέων, σκληρὸν γένηται. Ἢν δὲ γυνὴ μὴ πυρέσσῃ τὰ ἔνδοθεν, μηδὲ κυΐσκηται ὑπὸ τῶν ὑστερέων, μηδὲ ἀνδρὶ μίσγεσθαι δύνηται, ἀλλ' ὑπνώσσῃ τε καὶ ἀσιτέῃ· μέλιτι μίξας οἶνον, ἐγχεέσθω ἐς τὰ αἰδοῖα, καὶ σμύρνην ὑποθυμιήσθω· ἐς δὲ τὴν ἕδρην βαλάνους προστιθέσθω, μίσγουσα χηνὸς ἄλειφα[69] καὶ εἴσω ἐγχεῖν ἐς τὸ αἰδοῖον, εἶτα καὶ κλύζειν ἔλαιον, ἐν μέλιτι ἴσον μίξας.

CAPVT XII.

De mulieris ob bilem aut pituitam parere, & concipere, & viro copulari nequeuntis, curatione; ac bilis ac pituitæ signis.

CVratio alia ad mulierem parere nequeuntem. *Si mulierem parere nequeuntem, puerperam efficere velis, ex mensibus spectare oportet, an biliosa, aut pituitosa fuerit. Vtrum autem horum magis fuerit, nosces; quum ipsi menses prodeunt, substratâ tenui & siccâ arenâ, in Sole sanguinis aliquid affundito. Et si quidem biliosa fuerit, sanguis in arena siccatus pallidus redditur; si verò pituitosa, velut mucus. Horum vtrumlibet contigerit, ventrem siue sursùm, siue deorsùm tibi opus esse videatur, purgato. Deinde intermissis aliquot diebus, vteros purgato. Et si humidius vterorum os fuerit, acria subdito, quò morsum & inflammatum os vterorum, durum euadat. Si mulier partibus internis non febriat, neque vterorum vitio concipiat, neque cum viro congredi queat, verum & dormiat, & cibos auersetur; vinum melle mixtum in pudenda infundatur, & myrrham suffito; in sedem verò glandes subdito,* vinum *cum adipe anserino mixtum intrò in pudendum infundito; deinde etiam oleo, pari mellis portione admixtâ, colluito.*

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς γυναικὸς διὰ τὴν τῆς ὑστέρας ἰσχνότητα, ἢ παχύτητα, ἢ σκληρότητα, ἢ ἕλκωσιν φλεγμαινούσας ἀφόρου, θεραπείας.

ἪΝ αἱ μῆτραι γυναικὶ ἰσχνωθῶσι, καὶ τρηχύνηται τὸ στόμα αὐτέων καὶ ξυμμεμύκῃ, καὶ τὰ ἐπιμήνια αὐτῇ μὴ φαίνηται, μηδὲ κυΐσκηται, ἀλλὰ πυρετὸς λαμβάνει μαλθακὸς, καὶ ὀδύναι αὐτέῃ ἐμπίπτουσιν ἐς τὰς ἰξύας καὶ τὴν νειαιρὴν γαστέρα· ἡ δὲ νοῦσος αὕτη γίνεται μάλιστα, ὅταν τι τῶν ἐν αὐτῇ διαφθείρῃ, γίνεται δὲ καὶ ἐκ τόκου. Ταύτην χρὴ λούειν θερμῷ καὶ πυριῆν. ὅταν δὲ λελουμένη, καὶ πεπυριημένη ᾖ, τῇ μήλῃ διευρῦναι τὸ στόμα τῶν μητρέων, καὶ προστιθέσθω σμύρναν τρίψασα, καὶ νετώπου τὸ ἴσον· ἢ μύρον, ἢ ῥόδινον ἐν ῥάκει, καὶ μολύβδου προστιθέσθω, ποιήσαντα ὡς βάλανον καταξύοντα, καὶ καταλείφειν βοὸς χολῇ[72] (καὶ γνώσεται ἐν τέσσαρσιν ἡμέραις τὰς ἀγόνους) καὶ πυριῆν καὶ φαρμακεύειν. Ἢν δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί. τὸ γὰρ ἐπίπλοον ἐπικείμενον παχὺ καὶ πουλὺ, ἀποπιέζει τὸ στόμα τῶν μητρέων, καὶ τὴν γονὴν οὐ δέχονται. Ταύτην χρὴ λεπτύναντα, φάρμακον πίσαι κάτω, καὶ πρὸς τὰς ὑστέρας προσθεῖναι ὃ καθαίρει τε καὶ φῦσαν ἐμποιέει. Ἢν δὲ στόμα τῶν μητρέων σκληρὸν γένηται, ἢ ὁ αὐχὴν, τῷ δακτύλῳ γνώσεται ψαύουσα, κἢν πρὸς τὸ ἰσχίον ἀπεστραμμέναι

CAPVT XIII.

De mulieris ob vteri gracilitatem, aut crassitudinem, aut duritiem, aut exulcerationem inflammatam infœcundæ, curatione.

SI mulieri vteri gracilescant, eorumq; os exasperetur & occludatur, neque menses ipsi compareant, neque concipiat, verùm febris lenta inuadit, & dolores ipsi in lumbos & imum ventrem incidunt. Hic autem morbus maximè ipsi oboritur, quum quid in ipsa corruptum fuerit. Fit quoque etiam ex partu. Hanc calidâ lauare & fouere oportet. Quum autem lota, & fota fuerit, specillo os vterorum dilatato, & myrrham tritam cum pari netopo subdito; aut vnguentum, aut oleum rosaceum in linteo, & plumbum ad instar glandis acutum redditum, & felle bubulo illitum supponat (& quatuor diebus infœcundas cognosces) fouendum etiam, & purgandum. Quòd si præter naturam crassa euaserit, vtero non concipit. Omentum enim crassum & copiosum incumbens, os vterorum comprimit, neque genituram recipiunt. Huic extenuandæ medicamentum deorsùm purgans propinare oportet, & ad vteros quod & purgat & flatum inducit, apponere. Si vterorum os durum reddatur, aut ceruix, id ex digiti contactu dignoscetur, & si in coxendicem obuersi vteri

fuerint. Quum sic habuerit, acre nihil adhibendum. Si enim os uterorum exulceratum fuerit, quum inflammatũ fuerit, periculum est ne prorsus sterilis fiat. Verùm ea supponenda, quæ minimè mordeãt, quibus pituita purgatur.

CAPVT XIV.

Ad fœcunditatem conciliandam, post menstruorum profluuiũ, caput primùm, deinde vniuersum corpus purgandum; tertiò fotus vtero admouendi; catulinum fotum citra purgationem etiam admouendum.

QVum mulieri menses contigerint & præterierint, primùm quidem caput purgare oportet, deinde siue bis siue semel opus fuerit, veratrum exhibere; posteà fomentum adhibere, fotorio ex cucurbita parato; sic autem facto. In echinum vas aquam marinam infundito, & porris iniectis, cucurbitæ fistulam imponito, luto quàm optimo, nequid transpiret, illinito; deinde per sellam crectam quadrangularem, fistulam transmittito, vt duobus digitis sedem exuperet; mox prunis accensis substratis in desidendo caueat, ne quum desidet, & quum exurgit, comburatur, sed fotorio adhuc frigido desideat, & exurgat dum fistula refrixerit. In hoc autem fomento maximam diei partem commorandum, eiusmodique fomento ad dies quinque vtendum. Decem verò diebus *pro porris allia in suffitu adhibeto, eorumque fasciculum contusum in aquam marinam immittito. At reliquis posteà diebus, ipsâ aquâ marinâ solâ foueatur, vt ne vlteriùs in tota curatione progrediatur. Quum verò curationem missam facere voles, hunc postremum fotum* adhibeto. *Catulum recentissimum dissectum & exenteratum aromatum omnis generis fragrantissimorum ac siccissimorum contusis speciebus impleto, & quàm maximè aromatis refercito. Subditis autem lignis, catulo in echinum imposito, vinum odoratissimum affundito, & per fistulam fomentum adhibeto, & quantùm per vires licebit, per totum diem hoc fomento foueto, ac eam interrogato, num aromatum odor per os olere videatur. Non enim exiguum hoc signum est ei quæ curatur, ad conceptionem. Subditijs verò vtitor; croci quantùm voles, myrrhæ duarum fabarum quantitatem, salem plurimum, horum habitâ ratione, permisceto, & fel taurinum duarum fabarum quantitate. Quòd si mitiore vti voles, fellis minùs; si verò valentiore, plùs permisceto. Hæc tenuiter trita, melle instillato terito, quoad quod teritur tale euadat, vt* pastillum *digito efformare possis. Quò verò plus triueris, eò siccius, glutinosius, & melius euadet. Vbi autem glande crassius efformaueris, & summam partem acutam, & medium crassius, ac deinde ita ductum quò in vterum subdatur, in hoc duos origani surculos læues factos infigito; sint autem sex digitorum longitudinis; posteà lanâ mollissimâ surculos inuoluito; ac deinceps supernè filo tenui obducito, & filum surculos ferè quatuor digitorum longitudine excedat.*

A ἔωσιν. ὅταν οὕτως ἔχῃ, μὴ προσφέρειν μηδὲν δριμύ· ἢν γὰρ ἑλκώσῃ τὸ στόμα τῶν ὑστερέων, ὅταν φλεγμαίνῃ, [72] οὐ πάμπαν κίνδυνος ἄτοκον γενέσθαι· ἀλλὰ προστίθεσθαι ἃ μὴ δάκνει, ὑφ' ὧν φλέγμα καθαίρεται.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Πρὸς τὸ εὐτοκίαν παρασκευάσασθαι, μετὰ τὴν τῶν καταμηνίων ῥοὴν, τὴν κεφαλὴν πρῶτον, ἔπειτα ὅλον τὸ σῶμα καθῆραι χρή· τρίτον καὶ τὰ πυριάματα τῇ ὑστέρᾳ προστιθέναι· καὶ τὸ σκυμνικὸν δὲ πυρίαμα ἄνευ καθάρσεως προστιθέναι.

B [73] Ὅταν γυναικὶ τὰ καταμήνια γένηται καὶ παρέλθῃ, πρῶτα μὲν χρὴ κεφαλὴν καθῆραι, ἔπειτα ἐλλεβορίσαι, ἤν τε ἅπαξ, ἤν τε δὶς δέῃ· μετὰ δὲ, πυριῆσαι, πυριητήριον κατασκευάσας τὸ ἐκ τῆς σικύης· οὕτω δὲ πεποιημένον. ἐγχέας εἰς ἐχῖνον [74] θαλάσσης, καὶ πράσα ἐμβαλὼν, ἐπιθεῖναι τὸν αὐλὸν τῆς σικύης, περιαλεῖψαι πηλῷ ὡς βελτίστῳ, ὅκως μὴ διαπνέῃ. εἶτα διὰ χοινοτόνου δίφρου τετραγώνου διεῖναι τὸν αὐλὸν, ὅκως ὑπερέξῃ δύο δακτύλους τοῦ [75] τόνου· εἶτα ὑποκαίειν ἄνθρακι, C καὶ τὰς καθέδρας φυλάσσειν, ὅταν δὲ καθίζηται καὶ ὁκόταν ἀνίστηται, ὅκως μὴ κατακαυθῇ, ἀλλὰ καθίζειν ἔτι ψυχροῦ ἐόντος τοῦ πυριητηρίου, καὶ ἀνίστασθαι ἕως ἂν καταψυχθῆναι τὸν αὐλόν. ἐπὶ δὲ τῇ πυριῇ τὴν διατριβὴν ὅτι πλεῖστον τῆς ἡμέρης μέρος ποιέεσθαι, καὶ τῇ μὲν τοιαύτῃ πυριῇ ἐπὶ πέντε ἡμέρας χρῆσθαι· δέκα δ' ἀντὶ τῶν πράσων, τῶν σκορόδων [76] τάδε πυρία, καὶ ταύτην τὴν δέσμην κατακόψας, ἐς τὴν θάλασσαν ἐμβάλλειν· μετὰ δὲ, τὰς λοιπὰς τῶν ἡμερέων, αὐτῇ τῇ θαλάττῃ μόνῃ πυριήσθω, ὅκως πρόσω μὴ προΐσιν ἐν πάσῃ τῇ θεραπείῃ· D τὴν τελευταίαν δὲ πυρίην, ὅταν μέλλῃς ἀφιέναι τῆς θεραπείης, σκυλάκιον ὅτι νεώτατον ἀνασχίσας, ἀρωμάτων παντοδαπῶν εἴδη ὅτι εὐωδεστάτων καὶ ξηροτάτων κόψας, τὰ ἐντοσθίδια ἐξελὼν τοῦ σκυλακίου, ἐμπλῆσαι, καὶ σάξαι ὅτι μάλιστα τῶν ἀρωμάτων. ξυλήφια δὲ ὑποθεὶς, ἐς τὸν ἐχῖνον ἐνθεὶς τὸ σκυλάκιον, οἶνον ὡς εὐωδέστατον ἐπιχέαι, καὶ πυριῆν διὰ τοῦ αὐλοῦ, καὶ ὅκως κατὰ δύναμιν εἴη, ὅλην τὴν ἡμέρην E ἐπὶ ταύτης τῆς πυρίης πυριῆσαί τε, καὶ ἐρωτᾷν αὐτὴν, ἢν ἡ ὀδμὴ διὰ τοῦ στόματος δοκέῃ ὄζειν τῶν ἀρωμάτων· σημεῖον γὰρ οὐ μικρὸν ἐς ξύλληψιν τῇ θεραπευομένῃ. προσθέτοισι δὲ χρέο· κρόκου ὅσον ἂν βούλῃ, καὶ σμύρνης ὅσον δύο κυάμους, καὶ ἅλας συχνὸν παράμισγε, πρὸς ταῦτα τεκμαιρόμενος, καὶ ταύρου χολῆς ὅσον δύο κυάμους· ἢν δὲ πρηϋτέρῳ βούλῃ χρῆσθαι, ἔλασσον μίσγειν τῆς χολῆς, ἢν δὲ ἰσχυροτέρῳ, πλέον. ταῦτα τρίψας λεῖα, καὶ μέλιτος παραστάξας, τρῖβε ἄχρις [77] ἄν σοι τριβόμενον γένηται, F ὥστε [78] δακτύλῳ ἐκμάξαι· ὅσῳ δ' ἂν πλείονα χρόνον τρίβῃς, τοσοῦτον ξηρότερον καὶ γλισχρότερον, καὶ [78] βέλτιον ἔσται. ποιήσας δὲ παχύτερον ἢ βάλανον, καὶ τὸ ἄκρον ὀξὺ, ἐκ τοῦ μέσου παχύτερον, ἔπειτα δὲ ἀγόμενον ὅκως πρὸς τὴν ὑστέρην προστεθῇ, ἐς τοῦτο ἔμπηξον ξυλήφια ὀριγάνου δύο, ποιήσας λεῖα· ἔστω δὲ ἑξαδάκτυλα· εἶτα κατέλιξον τὰ [80] ξυλήφια εἰρίῳ ὡς μαλθακωτάτῳ, ἔπειτα ἄνωθεν ῥάμματι [81] κατέλιξον λεπτῷ, καὶ ὑπερεχέτω τὸ ῥάμμα ὅσον τέσσαρας δακτύλους τῶν ξυληφίων.

περιθεμένη δὲ, καὶ καθαρὴν ἑαυτὴν ποιήσασα ὅτι μάλιστα, προσθέσθω ἐς τὸ στόμα, ῥάκος ὑποβαλλομένη ὑπὸ τὰ ἰσχία, καὶ τὴν νύκτα [82] προσκείσθω. ἔσται δὲ αὕτη ἡ κάθαρσις, ὑδατώδης. τῇ δευτεραίῃ ἀναστᾶσα, λουσάσθω, καὶ ἐπὶ τῆς πυρίης μὴ καθίσῃ ταύτῃ τῇ ἡμέρῃ. ὅταν δὲ πυριῆται καὶ ἀναστῇ ἀπὸ τῆς πυρίης, κηρωτὴ ἔστω πεποιημένη ἀπὸ τῆς πρώτης ἡμέρης ὡς καλλίστη, καὶ ξυμμίξαι μάλιστα μὲν ἐλάφου μυελὸν, εἰ δὲ μὴ, χηνὸς στέαρ. καὶ ὅταν ἀναστῇ ἀπὸ τῆς πυρίης, ἑκάστης ἡμέρης περιχεαμένη, καὶ καθαρὴν ἑωυτὴν ποιήσασα [83] ἐς τὴν κοιλίην, τῇ κηρωτῇ ἀλειφέτω τὴν ὑστέρην ἑκάστης ἡμέρης. τὰ μὲν ἄλλα ταῦτα πάντα ξύμμισγε τοῖσιν ἔμπροσθεν ἐκτὸς τῆς χολῆς, ὀρίγανον δὲ τρίβων ὡς λειοτάτης, ξύμμισγε ἐς τὴν βάλανον, καὶ προστιθέσθω. Αλλο. Τὰ μὲν ἄλλα ταῦτα καὶ τὸν αὐτὸν τρόπον πεποιημένα, ἀντὶ δὲ τῆς ὀριγάνου ἀψίνθιον συμμίξας, καὶ κατὰ τὸν αὐτὸν τρόπον ποιήσας, προστιθέσθω. Αλλο. Ἐκ τῶν πυρῶν ἐκλέξας τὸ μελάνθιον, τρίψας τε λεῖον ἰσχυρῶς, καὶ μέλι παραμίξας, καὶ σφαιροειδὲς ποιήσας, προστιθέσθω· πλὴν πυρετώδες ἐμποιέει, καὶ τὸ ἄρθρον οἰδέει, καὶ δηκτικὸν ἰσχυρῶς ἐστὶ τοῦτο. Αλλο. Μέλι ἑψήσας, καὶ ἐλλεβόρου κούφας τοῦ μέλανος [84] τὸ λεπτόν· ἢν πλέον, ἰσχυρῶς δηκτικὸν ἔσται· ἔστι δὲ πυρετῶδες καὶ τοῦτο. Αλλο. Τὸν αὐτὸν τρόπον τοῦτον ἑψήσας μέλι, ξυμμίξας τε ἐλατηρίου ὅσον πόσιν, ἑψεῖν, καὶ ποιήσας βάλανον, τὸν αὐτὸν τρόπον διδόναι προστίθεσθαι· καὶ τοῦτο πυρετῶδες, ἄγει δὲ καὶ αἷμα, ἔνια δὲ τούτων καὶ δέρματα. Αλλο. Ἢν δὲ βούλοιο, καὶ τὸ δρακόντιον ξύων (ἔστι δὲ πρηΰ) ἐν μέλιτι ἑφθῷ ἢ ὠμῷ, καὶ τοῦτο σφαιροειδὲς ποιέειν ὅσον κηκῖδα μεγάλην.

Vbi autem sese perfuderit, & mundam quàm maximè reddiderit, hoc subdito coxis linteo, in os vterorum subdat, & per noctem maneat. Ipsa autem purgatio aquosa erit. Postridiè vbi surrexerit, lauet, neque eo die supra fomentum desideat. Quum autem fotum adhibuerit, & ex fotu surrexerit, ceratum sit primo die quàm optimè paratum, cui potissimùm cerui medullam, sin minus, anserinum adipem admisceto. Quumque à fotu surrexerit, singulis diebus vbi se perfuderit, & mundam circa ventrem reddiderit, cerato quotidiè ventrem illinat. Hæc quidem omnia superioribus, felle dempto, commisceto; origanum verò tenuissimè tritum ad glandem permisceto, quam supponat. Aliud. *Reliqua quidem eodem modo parata, verùm pro origano absinthium admisceto, & eodem modo efformata supponat.* Aliud. *Melanthium ex tritico delectum, tenuiter tritum probè, & melle permixtum, in pilam formatum supponat; nisi quod febres excitat, & articulum tumefacit, ac valdè mordax hoc est.* Aliud. *Mel & veratri nigri tenues* radices *contusas coquito. Hoc si copiosum fuerit, vehementer mordax erit, sed id quoque febriculosum est.* Aliud. *Ad eundem modum melli cocto elaterij quantùm potione vnâ satis sit, admixtum coquito, & glandem confectam eodem modo subdendā dato; hoc etiam febrem excitat, sanguinem verò etiam educit; horum etiam quædam pelliculas.* Aliud. *Quòd si volueris, dracontium etiam derasum (quod mite est) cum melle cocto aut crudo* permisceto, *& in pilam velut gallam magnam conficito.*

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Πρὸς τὰς ὅλου τοῦ σώματος καὶ τῆς κεφαλῆς καθάρσεις, καὶ τὰς τῆς ὑστέρας πυρίας, καὶ τὰ πρόσθετα, ἰατροῦ φυσικοῦ δεῖν, ὃς ἵνα τὴν κύησιν κωλυθεῖσαν θεραπεύσῃ, τὰς αἰτίας ἀφαιρέσει καὶ τὴν ἰσχὺν διασώσει, καὶ μηδὲν εἰκῇ ποιήσει. παράδειγμα γυναικὸς θεραπευθείσης τῷ ῥοῦν ἐρυθρὸν παθούσης, ἣ τῷ ἀποζέματι χρησαμένη ἐκύησεν καὶ ἔτεκεν ἄρρεν.

Πειρῶ δὲ φυσικὸς εἶναι, πρὸς τὴν τοῦ ἀνθρώπου τὴν ἕξιν καὶ τὴν ἰσχὺν ὁρᾶν· τούτων γὰρ οὐδεὶς ἄσταθμος ἐστιν· ἀλλ' ἐξ αὐτέων τουτέων τεκμηράμενος, πειρῶ ὅλου τοῦ σώματος, κεφαλῆς καθάρσεσι, φαρμακείῃσι, καὶ πυρίῃσι τῆς ὑστέρης, καὶ προσθέτοισι χρῆσθαι. στοιχεῖα δέ σοι ταῦτά ἐστιν. ἡ δὲ θεραπεία τουτέων ἐστὶν ἐν μέρει ἑκάστῳ, καὶ ὅ, τι ἂν μὴ ποιῇς τούτων, αἰεὶ ἐπὶ τῆς πυρίης διατελεέτω· αὕτη γάρ ἐστιν ἡ μαλθάσσουσα, καὶ ἄγουσα τοὺς ἰχῶρας. ὅταν δὲ καταπαύσῃς τῆς θεραπείης, λειπόντων τῶν κατὰ φύσιν, χρὴ αἷμα ἀφαιρέειν ἀπὸ τῆς χειρὸς, ἢν μὲν ἰσχύῃ, ἀπ' ἀμφοτέρων τῶν βραχιόνων, ἢν δὲ ἀσθενεστέρη ᾖ, ἀπὸ τοῦ ἑτέρου [85] οὐκ ἀπόχρη. διαίτῃ οἵῃ χρῆσθαι δεῖ ἐν τῇσι θεραπείῃσι ταύτῃσιν, ἑτέρωθί μοι δεδήλωται.
[86] Ἀποθυμιῆν ἢν βούλῃ, τὰς αἴρας ἐκ τῶν κριθῶν ἐκλέξας, ἀλέσας λεπτὰ, καὶ κληματίνον πῦρ ποιήσας ὅτι μαλθακώτατον, ἔπειτα ἐμβαλὼν ἐς ῥυβλίον, ἔνθες ἐς ἡμίεκτον, καὶ ῥάκεα περιθεὶς ἵνα μαλθακῶς κάθηται, καθίζεσθαι αὐτὴν κελεύειν ἐπὶ τῷ ἡμιέκτῳ, ὅτι μάλιστα διαβᾶσαν τὰ σκέλεα. ἡ δὲ θεραπείη, ἢν μὲν ἱκανή σοι δοκῇ εἶναι ἐν τετραμήνῳ· εἰ δὲ μὴ, πρὸς ταῦτα σκέπτου, καὶ ὅκως πρὸς ἄνδρα μὴ πρόσεισιν ἐν ᾧ θεραπεύεται χρόνῳ.

CAPVT XV.

Ad corporis & capitis purgationes, & vteri fotus ac subdititia, medico physico opus esse, qui vt conceptionem prohibitam curet, causas tollat, vires tueatur, & nequid temerè moliatur. Exemplum curatæ mulieris fluore rubro laborantis, quæ potione vsa concepit, peperitque marem.

Da verò operam vt sis physicus, ad hominis habitum & robur respiciendo; horum enim nullus non perpendit. Proindè ex his ipsis consideratis, totius corporis, & capitis purgationibus, medicationibus, vteri fomentis, & subdititijs vti conare. Hæc autem tibi sunt elementa. Horum autem curatio cuique peculiaris est. Et quodcunque horum non feceris, semper in fotu perseuerandum; hic enim emollit & serosos humores educit. Vbi verò ab hac curatione cessaris, his quæ secundum naturam sunt, deficientibus, sanguinem è manu detrahere oportet, si quidem valida fuerit, ex vtroque brachio; si verò debilior sit, ex altero satis est. Quâ autem victûs ratione in his curationibus vtendum sit, aliàs à me declaratum est. Suffire si velis, lolium de tritico lectum, tenuiter molitum, igne sarmentitio mollissimo excitato, deinde in catinum coniectum, in ollam dimidiati sextarij imponito, & linteis mollibus circumpositis quò molliter sedeat, eam quàm maximè diductis cruribus ollæ insidere iubeto. Hæc autem curatio, si tibi quidem satis fecerit quadrimestri spatio, benè est; sin minus, ad hæc attendito, vt ne quo tempore curatur, ad virum accedat.

Sub

Sub his curationibus ieiunæ tedam ex aqua maceratam cyathi mensurâ exhibeto, & fistulam stanneam continenter habeat. Vmbilicos veneris ex aqua decoctos, sale & cumino simul incocto, tepidum sorbendum dato. Lati fœminas, parui verò & conclusi mares procreare videntur. Conceptorium. Summitatem melanthij mulieri ex vino nigro acerbo dato. Mulierem iuuenculam fluor ruber infestabat, & medicamentis sumptis capite purgato, venâ sectâ, nihil proficiebat. Hæc autem ei causa esse videbatur, vt ne conciperet. Ei autem radicum aspalathi decoctum ex vino albo manè & ante cœnam exhibebam, fluorque cessauit, neque tardè concepit, & marem peperit. Erat autem coloris candicantis, & corpulenta.

A Ἐν δὲ τῇσι θεραπείῃσι διδόναι δᾷδα ἐν ὕδατι καταβρέχων, νήστει ὅσον κύαθον, καὶ τὸν κασσιτέρινον ξυνεχῶς ἐχέτω. διδόναι δὲ κοτυληδόνας ἐν ὕδατι ἑφθῶν, ἅλας, κύμινον συνεψῶν, καὶ χλιηρὸν ῥοφεῖν. Αἱ πλατεῖαι θηλυγόνοι δοκέουσιν εἶναι, αἱ δὲ σμικραὶ καὶ συμμεμυκυῖαι, ἀρσενογόνοι. Ἐγκυητήριον. Ἄκρον μελανθίου γυναικὶ διδόναι ἐν οἴνῳ μέλανι τρυφερῷ. Γυναικὶ νέᾳ οὔσῃ ῥόος ἐρυθρὸς ἐνοχλεῖ, καὶ B φαρμακευομένῃ, κεφαλὴν καθαιρομένῃ, φλεβοτομουμένῃ οὐδὲν ὠφελεῖ· δοκεῖ δὲ τοῦτο οἱ αἴτιον εἶναι, ὥστε μὴ ξυλλαμβάνειν. ἐδίδουν δὲ αὐτῇ ἀσπαλάθου τῶν ῥιζῶν ἐν οἴνῳ λευκῷ ἀποζεόμενον πρωῒ καὶ πρὸ δείπνου, ὅ, τε ῥόος ἐπαύσατο, καὶ οὐ βραδέως ἐκύησεν, ἔτεκεν ἄρσεν. ἦν δὲ χρῶμα, λευκόχρως, εὔσαρκος.

CAPVT XVI.

De molæ causis, signis, gestationis tempore, & curatione; de motionis fœtûs masculi & fœminæ tempore.

DE mola. *Molæ conceptûs hæc causa est. Vbi copiosa menstrua paucam & morbosam genituram conceperint, neque genuinus fœtus gignitur, venterque quemadmodùm grauidæ plenus est; nihil verò in ventre mouetur, neque lac in mammis procreatur; ipsi tamen mammæ turgent. Hæc biennium, sæpè etiam triennium sic habet. Et si vna quidem caro fuerit, mulier (quum superesse non possit) perit; sin multæ, ei per pudendum erūpit sanguis copiosus & carnosus; sique moderatè contingat, seruatur; sin minùs, profluuio correpta perit. Hic quidem morbus est eiusmodi. Iudicari autem debet plenitudinis mole, quodque in ventre non moueatur. Mas enim trimestris, fœmina quadrimestris motionem habet. Vbi igitur transacto hoc tempore non mouetur, hic certè morbus est. Cuius rei magnum hoc est indicium, quòd in mammis lac non procreetur. Hanc maximè quidem ne curato; aut certè cũ prædictione curaueris. Ac primũ quidem mulierẽ toto corpore foueto, deinde per sedem, vti perpurgetur, dysterẽ inijcito. Frequenti enim collutione, concalefactâ à medicamento muliere, id quod cõcreuit, & fœtus esse putatur, fortè commoueris. Quinetiam vteros, quò sanguinem educas, eluito; sin minùs, subdititijs ex bupresti velut vehementissimis vtendum; & dictamnum Creticum ex vino bibat; sin minùs, castoris testem; eique posteriùs ad ilia cucurbitulam admoueto, plurimumque sanguinem detrahito; sed & quàm maximè initâ purgationis consideratione, ad vteros admoueto.*

ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

C Περὶ τῶν τῆς μύλης αἰτίων, καὶ σημείων, καὶ τοῦ τῆς φορῆς χρόνου, καὶ τῶν θεραπευτικῶν· καὶ περὶ τοῦ τῆς τοῦ ἐμβρύου κινήσεως, ἄρσενός τε καὶ θήλεος, χρόνου.

ΠΕρὶ μύλης. Περὶ δὲ μύλης κυήσιος, τόδε αἴτιον. ἐπὴν πολλὰ τὰ ἐπιμήνια ἐόντα, γονὴν ὀλίγην καὶ νοσώδεα ξυλλάβωσιν, οὔτε κύημα ἰθαγενὲς γίνεται, ἥτε γαστὴρ πλήρης, ὥσπερ κυούσης, κινεῖται δὲ οὐδὲν ἐν τῇ γαστρὶ, οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται, σφριγᾷ δὲ οἱ τιτθοὶ αὐτῇ· καὶ δύο ἔτεα, πολλάκις δὲ καὶ τρία οὕτως ἔχει. καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται, D οὐ γὰρ οἵη τέ ἐστι περιγενέσθαι· ἢν δὲ πολλαὶ, ῥήγνυται αὐτέῃ κατὰ τὸ αἰδοῖον, αἷμά τε πολὺ καὶ σαρκῶδες· καὶ ἢν μὲν μετριάσῃ, σώζεται· ἢν δὲ μὴ, ὑπὸ ῥόου ἁλοῦσα, ἀπόλλυται. τὸ μὲν νόσημα τοιοῦτόν ἐστι, κρίνεσθαι δὲ χρὴ τῷ πληρώματι, καὶ ὅτι οὐ κινεῖται ἐν τῇ γαστρί. τὸ μὲν γὰρ ἄρσεν τρίμηνον, τὸ δέ γε θῆλυ τετράμηνον τὴν κίνησιν ἔχει· ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος μὴ κινῆται, δηλονότι τοῦτό ἐστι. τὸ δέ τι τεκμήριον μέγα· ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται. Ταύτην μάλιστα μὲν μὴ ἰᾶσθαι, εἰ δὲ μὴ, E προειπόντα ἰᾶσθαι. καὶ πρῶτα μὲν πυριῆσαι τὴν γυναῖκα ὅλον τὸ σῶμα, ἔπειτα κατὰ τὴν ἕδρην κλύσαι ὅπως ἐξυπερῆται· πολλοὶ γὰρ ἴσως κλύσασμα κινήσειε τὸ ἔμβρυον τὸ δοκέον εἶναι τὸ ξυνεστηκὸς, διαθερμανθείσης τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου. κλύζειν δὲ καὶ κατὰ τὰς μήτρας, ὅκως αἷμα ἀγάγῃ· ἢν δὲ μὴ, προσθέτοισι χρῆσθαι τοῖσιν ἀπὸ τῆς βουπρήστιος, ὡς ἰσχυροτάτοισι, καὶ πιπίσκειν τὸ δίκταμνον τὸ Κρητικὸν ἐν οἴνῳ· εἰ δὲ μὴ, καὶ τὸν καστόρειον ὄρχιν, καὶ ὄπισθεν αὐτῆς σικύην προσβάλλειν πρὸς τοὺς κενεῶ- F νας, καὶ ἀφαιρέειν ὅτι πλεῖστον· προσβάλλε δὲ ὅτι μάλιστα καθάρσιος τεκμηράμενος, πρὸς τὰς μήτρας.

CAPVT XVII.

Ad purgationis muliebris penuriam, moderationem, ac dolorificam vexationem sine & cum suffocatione, ex aluo remoratâ, flatu concluso, fœtûs corruptione, vteri vlcere, & osculi asperitate obortam, remedia hysterica.

QVum vteri purgationes siue ex partu siue etiã aliàs nõ procedũt, tedã pinguissimã tenuiter contusã

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

Πρὸς τὴν τῆς καθάρσεως γυναικείας ἀπορίαν, καὶ μετριότητα, καὶ ὀδυνώδη ὄχλησιν ἄνευ τε καὶ μετὰ πνιγμοῦ, ἐκ γαστρὸς ἱσταμένης, ἢ φύσης ἀποκεκλεισμένης, ἢ φθορᾶς, ἢ ὑστέρας ἕλκεος, ἢ τῆς τοῦ στόματος τραχύτητος ἐπιγενομένην, βοηθήματα ὑστερικά.

ΟΤαν γὰρ μὴ γίνηται, ἤν τε ἐκ τόκου, ἤν τε καὶ ἄλλως, δᾷδα ὡς πιοτάτην κόψαντα λεπτήν,

ἕψειν ἐν οἴνῳ λευκῷ, καὶ ἀποχρῆναι ὡς τρεῖς κυάθοισι· ἢ γλυκυσίδης κόκκοι τέσσαρες, κυμίνου Αἰθιοπικοῦ σμικρὸν, καὶ σεσέλιος πλέον, ἢ κεδρίδας. ἢν δὲ πνιγμοὶ ἔωσι, καστορίου σμικρόν. Ἢν δὲ ἐκ τόκου καθάρσιος γινομένης μετρίης, ἡ γαστὴρ μένῃ, ἢ καὶ φῦσα ἀποκεκλεισμένη, καὶ ὀδυνώδης γένηται, ἤν τε ξὺν πυρετῷ, ἤν τε ἄνευ πυρετοῦ, ὀποῦ σκαμμωνίης πέμπτον μέρος πόσιος, ἢ σεσέλιος, ἢ ἄλλου τινὸς τῶν εὐωδέων, καὶ πήγανον ἐν οἴνῳ λευκῷ· ἢν δὲ μὴ βούληται πίνειν, πρὸς τὴν ἕδρην ἄλειμμα ποιέειν, οἷον ἐκ χολῆς ταυρείης, καὶ μέλιτος, καὶ λίτρου. Ἢν δὴ ἐκ διαφθορῆς καθάρσιος ὀδυνώδης ᾖ, καὶ τῶν εὐωδέων διδομένων μηδὲν ὑπακούῃ, καὶ πυρετοῦ ἐόντος, γάλακτος αἰγείου δύο κοτύλας ἀφεψεῖν, εἶτα ψυχθέντος [97] τὴν ὑγρὴν ἀφελεῖν, [98] διηθήσας, μελικρήτου ὅσον τρίτον μέρος μίξαι, ὅκως γλυκύτερον ἔσται· πίνειν δὲ τρὶς νῆστιν. ἢν δὲ μὴ παύηται ἡ ὀδύνη, μηδὲ ἡ κοιλίη ὑποχωρήσῃ, ἐς τὴν δείλην ἐν σκάφῃ ἐς θερμὸν ὕδωρ ἐγκαθιζέσθω· ὅταν δὲ διαπυριηθῇ, ἐξαναστᾶσαν κλύζειν ἐν οἴνῳ αὐστηρῷ μέλανι διεὶς καὶ ὕδατι ἅπαξ ἐλαίου ἥμισυ, τὸ ὕδωρ χλιαρῶς κλύζειν, καὶ ἐπικοιμηθήτω. Προσθετὸν ὑστερέων, ἢν ξυμμεμύκῃ, ἢ σκληρὸν ᾖ τὸ στόμα. Σῦκον λευκὸν ἐκκαθήρας, καὶ λίτρον Αἰγύπτιον τὸ καθαρώτατον μίξας λεῖον τετριμμένον, προσθετὸν ποιῆσαι ὅσον κηκίδα μὴ μεγάλην· ἐν εἰρίῳ μαλθακῷ ἐς ἴρινον μύρον βάψασα, προσθέσθω ἤν τε τρεῖς, ἤν τε πλείους ἡμέρας δοκέῃ. πυρίησις μετὰ τοῦτο ξυμφέρει ἐν εὐώδει· μετὰ δὲ, μαλθακόν τι δεῖ προσθετὸν, ὅ, τι ἰχῶρα ὑδαρέα ἄξει μάλιστα· μετὰ δὲ, λινόζωστις ἢν ᾖ ἁπαλὴ, μύρῳ ῥοδίνῳ χρῆσθαι ἐν ὀθονίῳ ἐς ἡμέρην καὶ νύκτα. Ἐπὶ τοῦ αὐτοῦ. Χολὴν ταύρου καὶ ἅλας ἀναζέσαι, καὶ θεῖον παραμίσγειν· [99] πρὸς μακρὸν μῆκος μέγα [100] σπεῖρην ψιλὴν προστίθεσθαι ἐπὶ δύο ἡμέρας καὶ νύκτας πρὸς αὐτὰς τὰς ὑστέρας, πάλιν λινόζωστιν. μετὰ τοῦτο ἐπιπάσσειν σμύρνην ἄκρητον μίξας, διεῖναι ῥοδίνῳ [101] ἄκρῳ καὶ μύρῳ ἰρίνῳ, διαχρίεσθαι τὸ στόμα ὡς ἐσωτάτω. Θεραπεία ἐπὶ τοῦ αὐτοῦ νοσήματος. Ἶριν εὐώδεα κόψας καὶ διασήσας χωρὶς, κυπέρου ἴσον, καὶ [102] ἔσμαγμα ὅσον μαγίδα, οἴνῳ ἀνθοσμίῃ διεῖναι· εἶτα ἀλειμματῶδες ποιέειν, καὶ [103] ἐς σπλῆνας ἀλείψας μῆκος σπιθαμῆς, ἐς σμικρὴν σπυΐδα ἐνθεὶς, ὅκως μὴ διαπνέῃ, προσθέσθω. Ἢν δὲ ἑλκωθῶσιν αἱ μῆτραι, ἢ τρηχυνθῇ τὸ στόμα, ἢ ὑπὸ προσθέτου τινὸς δηχθῶσιν, ἐν εἰρίῳ χρίσαι στέαρ, καὶ ῥόδινον ἀλεῖψαι, καὶ κηροῦ μικρόν.

vino albo coquito, atque tres ferè cyathi sufficiant. Aut, pæoniæ grana quatuor, cumini Æthiopici parùm, & seseli copiosius, aut cedri baccas. Si verò suffocationes adfuerint, castorij parùm. At si ex partu moderatâ purgatione contingente, venter maneat, aut etiam flatus conclusus, & dolor excitetur, siue cum febre, siue citra febrem, succi scammoniæ potionis quintam partem, aut seseli, aut aliud quoddam ex odoratis, & rutam ex vino albo bibat. *Quòd si bibere nolit, ad sedem vnguentum conficito, quale est ex felle taurino, melle, & nitro. Si verò ex purgationis corruptione dolore vexetur, neque is exhibitis odoratis cedat, & febris adsit, lactis caprini heminas duas decoquito, deinde eo refrigerato, pinguedinem detrahito, & percolato aquæ mulsæ trientem, quò dulcius euadat, admisceto. Ter autem ieiunæ bibendum. Quòd si dolor non sedetur, neque venter subducatur, sub vesperum in calidæ solium desideat. Quum autem perfota fuerit, & surrexerit, ex vino nigro austero aquâ diluto, & aquæ portioni olei dimidiâ parte additâ, tepidè colluito, ex eòque dormiat.* Quod vteris subditur, si os clausum aut durum fuerit. *Ficum albam expurgatam, & nitrum Ægyptium purissimum tenuissimè tritum admixtum, in pessum subdititium gallæ non magnæ magnitudine effingito, quem ex lana molli vnguento irino imbutâ, tribus vel pluribus vt visum fuerit diebus supponat. Post hunc, fomentum ex odoratis confert; deinde verò molli aliquo subdititio opus est, quod potissimùm saniosa educat. Posteà etiam mercuriali, si tenera fuerit, ex vnguento rosaceo in linteo per diem & noctem vtendum.* Ad idem. *Fel taurinū & salem feruefacito, sulphur* tritum *admisceto, in oblongam spiræ magnitudinem conuolutum, nudum ad dies duos & noctes in vteros ipsos indito, ac rursus mercurialem. Post hoc myrrham electam aspergito, rosaceo optimo admixto diluito, & vnguento irino, quàm penitissimè os illinat.* Eiusdem morbi curatio. *Iridem odoratam tusam & seorsim cribratam, cyperi tantúndem & croci recrementum massæ manualis magnitudine, vino odorato diluito; deinde linimentum conficito, quo splenia palmi magnitudine illita, paruâ pyxide reposita ne transpiret, subdat. Si verò vlcerati vteri, aut os exasperatum, aut ex subdititio aliquo commorsi fuerint, lanam adipe linito, rosaceo & paucâ cerâ inungito.*

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῆς ἰσχούσης ἐν γαστρὶ, τὸ ἔμβρυον μηνιαῖον, ἢ δίμηνον διαφθειρούσης, θεραπείας· καὶ περὶ τῶν ἐν τῇ μήτρᾳ φῦσαν ποιούντων.

ΟΤαν ἴσχουσα ἐν γαστρὶ διαφθείρῃ τὸ δὲ ἔμβρυον μηνιαῖον, καὶ ἐκφέρειν εἰς τέλος μὴ δύνηται, καὶ λεπτὴ παρὰ φύσιν γίνηται, ταύτην χρὴ καθήραντα τὰς ὑστέρας, καὶ αὐτὴν [104] φαρμακεύειν, καὶ παχύνειν· οὐ γὰρ δυνήσεται ἐκφέρειν ἐς τέλος, ἔστ' ἂν ἑωυτήν τε ἀναλάβῃ καὶ αἱ ὑστέραι [105] ἰσχύωσιν. Ἢν δὲ κυΐσκηται μὲν, διαφθείρῃ δὲ δίμηνα τὰ παιδία ἐς ἀκριβὲς τὸν αὐτὸν χρόνον, καὶ μήτε πρότερον μήθ' ὕστερον, καὶ οὕτω πάθῃ δὶς ἢ τρὶς κατὰ ταῦτα·

CAPVT XVIII.

De grauidæ fætum menstruum, aut bimestrem corrumpentis curatione; ac de vterum inflantibus.

QVum prægnans fœtum menstruum corruperit, & ad finem perferre nequeat, & præter naturam tenuis euaserit, huic vteros purgare oportet, eamque medicamentis curare & crassam reddere. Non enim ad extremum gestare poterit, quoad vires receperit, & vteri validiores fuerint. Si verò concipiat quidem, sed fœtus bimestres eodem exactè tempore corrumpat, neque prius neque posterius, idq; ei bis vel ter eodem modo contingat;

aut

aut etiam si longioris temporis fœtum eodem modo corrumpat; huius vteri, fœtu in eis augescente, & bimestre aut trimestre spatium excedente, in maiorem molem non crescunt. Sed hic quidem augescit, vteri verò nihil increscunt, propterea sanè multæ eodem tempore fœtum corrumpunt. Huic vterum colluere, & subdititijs quàm maximè aut hisce medicamentis inflare oportet. Colocynthidis medullam interiorem contusam & cribratam, & laseris modicum, cum paulò ampliore melle & magis cocto admisceto. Hoc eâ crassitudine reddito, quam stomachus ad vteri os admittere queat, specillum obductum penitiùs, donec ad internum vterum penetrarit, protrudito. Quum autem medicamentum colliquefactum fuerit, specillum educito, rursus elaterium sic paratum, & ex colocynthide syluestri confectum medicamentum, *velut priùs subdito. Eo verò tempore allium quàm plurimum comedat, & laseris caulem, reliquáque victûs ratione vtatur, quæ flatum maximè in vtero excitare possit. Tertio autem quoque die, quoad benè habere videatur, subdititium apponat. Interdùm etiam ex maiore interuallo, ad summum verò, vti lubens admiserit. At intermediis diebus, mollibus vtatur. Quum verò per emollientia os vteri præparauerit, mensesque comparuerint, paulò remorata, vbi iam sicca fuerit, viro copuletur. In vtero autem quum flatum excitare voles, allij caput vnicum, & laseris succum ad subdititia admisceto.*

CAPVT XIX.

De mulieris prægnantis decimum mensem perficere nequeuntis, sed fœtum corrumpentis; etiam de genituram continentis, nec prægnantis tamen, causis, & curatione.

AC siqua prægnans decẽ menses perficere nequeat, sed fœtum corrumpat, idque plerúnque patiatur, huius ex vtero aquas purgato, eique medicamenta quibus aqua purgatur, exhibeto. At si quæ genituram continet, non concipiat (quod plurimis contingit, vteri stomacho præter naturam dehiscente) menses copiosiores & humidiores quàm conueniat, defluunt, vt proinde quod à muliere prodit, ad liberorum procreationem non conferat, sed aduenientem viri genituram corrumpat. Hæc autem tum corpore tum vteris ægrotantibus, eueniunt. Verùm huic deorsùm medicamenta purgantia per interualla exhibere, & totũ corpus, vterosq; aceto & aquâ marinâ fouere oportet, specillis ignitis immissis. In fomentum autem injicienda cupressi ramenta, & lauri viridis folia contusa, ipsiusq; polycnemi folia. Adhibendum autẽ fomentũ quo tẽpore opportunum esse videatur; post hoc verò lauet. Et aceto loti scobem incoquito, & rosaceũ, & ipsa polycnemi folia. Ad finem autem suffitus fiat ex verbasci folijs contusis, ac loti ramentis. Anteà verò priùsquàm lauet, suffitus ex myrrha & thure adhibendus, tritis vtriusque æquis partibus, & myrti ac lauri folijs. His commixtis & in lentum ignem coniectis, suffitum recenti à fomento bis die adhibeto; fomentum autẽ recenter lotæ admoueto,

ἢ καὶ πλείονα χρόνον κυΐσκουσα κατὰ τὸν αὐτὸν τρόπον[106] τοῦτο διαφθείρῃ· ταύτης αἱ μῆτραι οὐκ ἐπιδιδόασιν ἐπὶ τὸ μεῖζον, τοῦ παιδίου ἐν αὐτῇσιν αὐξανομένου, καὶ ὑπερβάλλοντος ἐκ τοῦ διμήνου ἢ τριμήνου εἰς τὸ πλέον· ἀλλὰ τὸ μὲν αὔξεται, αἱ δὲ μῆτραι οὐδὲν ἐπιδιδοῦσι, διὸ δὴ τοῦτο διαφθείρουσιν αἱ πολλαὶ ἐς τὸν αὐτὸν χρόνον. Ταύτην χρὴ κλύσαι τὴν μήτρην, διαφυσῆσαι ὡς μάλιστα προσθέτοισιν, ἢ φαρμάκοισι τοῖσδε. τῆς σικυώνης τὴν ἐντεριώνην κόψαντα διασῆσαι, καὶ σίλφιον ὀλίγον,[107] διαμίξαι ὀλίγα ἐν πλείονι καὶ καθεφθοτέρῳ τῷ μέλιτι. τοῦτο περιπλάσαι περὶ μήλην, ποιέοντα τὸ πάχος ὅσον μέλλει διαδέξασθαι ὁ στόμαχος πρὸς τὸ στόμα τῆς μήτρης· καὶ ὦσαι πόρρω, ἕως ἂν περιήσῃ ἐς τὸ ἔξω τῆς μήτρης. ὅταν δὲ ἀποτακῇ τὸ φάρμακον, ἐξελεῖν τὴν μήλην, καὶ πάλιν οὕτω τὸ ἐλατήριον, καὶ τῆς κολοκυντίδος τῆς ἀγρίης, ποιέων ὡσαύτως τῷ προτέρῳ, προστιθέναι. ἐσθιέτω δὲ τοῦτον τὸν χρόνον σκόροδα ὡς πλεῖστα, καὶ καυλὸν σιλφίου, καὶ τῇ ἄλλῃ διαίτῃ χρήσθω, ὁκοίη ἂν μέλλοι φῦσαν ἐμποιῆσαι μάλιστα ἐν τῇ κοιλίῃ. προστιθέσθω δὲ τὸ πρόσθετον διὰ τρίτης ἡμέρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν, ἐνίοτε δὲ καὶ διὰ πλείονος, τὸ δὲ ὅλον, ὅκως ἂν προσίηται. τὰς δὲ μεταξὺ ἡμέρας, μαλθακοῖσι χρήσθω· ὅταν δὲ καταστήσῃ τοῖσι μαλθακτηρίοισι τὸ στόμα τῆς μήτρης, καὶ φαίνηται τὰ ἐπιμήνια, ἐπιμείνασα, ὅταν ξηρὴ ἤδη ᾖ, μιγνύσθω τῷ ἀνδρί. ποιέειν δὲ φῦσαν ἐν τῇ μήτρῃ· ὅταν δὲ βούλῃ, σκορόδου μώλυζαν, καὶ ὀπὸν σιλφίου παραμιγνύναι πρὸς τὰ πρόσθετα.

ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

Περὶ τῆς γυναικὸς ἰσχούσης μὲν ἐν γαστρὶ, διατελεῖν δὲ τοὺς δέκα μῆνας μὴ δυναμένης, ἀλλὰ διαφθειρούσης, ἔτι τῆς τὴν γονὴν κατεχούσης μὲν, μὴ κυούσης δὲ, αἰτίων καὶ θεραπειῶν.

ΚΑὶ ἥτις ἂν μὴ δύνηται διατελεῖν τοὺς δέκα μῆνας κύουσα, ἀλλὰ διαφθείρῃ, καὶ τοῦτο πάσχῃ πλεονάκις, ταύτης τῆς μήτρης καθαίρειν ὕδωρ, καὶ αὐτὴν φαρμακεύειν ὅκως ὕδωρ καθαίρηται. Ἢν δὲ κατέχουσα τὴν γονὴν μὴ κυΐσκηται (συμβαίνει δὲ τοῦτο πλείστῃσι, τοῦ στομάχου χάσκοντος τῆς μήτρης παρὰ φύσιν) τὰ ἐπιμήνια πλείω γίνεται τοῦ προσήκοντος καὶ ὑγρότερα, ὥστε τὸ ἀπὸ τῆς γυναικὸς μὴ ξυλλαμβάνεσθαι πρὸς τὴν τέκνωσιν, τήν τε τοῦ ἀνδρὸς γονὴν ἐπιοῦσαν διαφθείρεσθαι. γίνεται δὲ ταῦτα, τοῦ τε σώματος καὶ τῶν μητρέων νοσεόντων. Ἀλλὰ δεῖ ταύτῃ κατωτερικὰ διδόναι, διαλείποντα, καὶ πυριῆν ὅλον τὸ σῶμα καὶ τὰς μήτρας ὄξει καὶ θαλάσσῃ,[108] μήλας διαπύρους ἐμβάλλοντα· ἐμβάλλειν δὲ ἐς τὸ πυρίημα κυπαρίσσου πρίσματα, καὶ δάφνης φύλλα κόψας χλωρῆς, καὶ πολυκνήμου αὐτοῦ φύλλα. πυριῆν δὲ ὁκοῖον ἂν δοκέῃ καιρὸς εἶναι χρόνον, μετὰ δὲ τοῦτον λουέσθω· καὶ ὄξει ἐνεψεῖν λωτοῦ τορνεύματα,[109] καὶ ῥόδινον, καὶ πολυκνήμου αὐτοῦ τὰ φύλλα· ἐπὶ τελευτῆς δὲ, θυμιῆν φλόμου φύλλα κόψας, καὶ λωτοῦ τορνεύματα. ἔμπροσθεν δὲ πρὶν ἐκλούσασθαι, θυμιῆσαι σμύρνῃ καὶ λιβανωτῷ, τρίψας ἴσον ἑκατέρου, καὶ μυρσίνης καὶ δάφνης φύλλα ταῦτα ἀναμίξας καὶ ἐπιβαλὼν ἐπὶ μαλθακὸν πῦρ, θυμιῆν νεοπυρίητον ἐοῦσαν δὶς τῆς ἡμέρης· πυριῆν νεόλουτον ἐοῦσαν,

καὶ τῆς θυμιήσεως ὕστερον λουέσθω, καὶ τὸν στόμαχον καθιστάναι ἐς τὴν ἀρχαίην φύσιν. καὶ ἢν ἐξαρκέουσα ᾖ, πρόσθεν δὲ τούτων πάντων τάμνειν τὴν ἐν τῇ χειρὶ φλέβα τῇ ἀριστερῇ, καὶ οὕτω τἄλλα ποιέειν. Ἢν δὲ ὁ στόμαχος οὕτως ἔχῃ, τὰ δ' ἐπιμήνια μὴ ἴῃ, ἢ [110] φλαύρως, ἢ ἐπὶ τοὔλαττον, πρὸς πλείονα κάθαρσιν τρέπεσθαι [111] τοῖσιν ἄλλοισιν ἅπασι, καὶ οὕτως θεραπεύειν, καὶ προστιθέναι ἢν δέῃ καὶ ἐκ τῶν πρόσθεν, λούων καὶ θυμιῶν καὶ ξηραίνων.

& post suffitum lauet, stomachumque pristinæ suæ naturæ restituito. Quòd si vires sufficiant, ante hæc omnia venam in manu sinistra secato, sicque cætera facito. Si verò stomachus ita habeat, menses autem minimè, aut vitiosè, aut parciùs decurrant, hunc cum reliquis omnibus ad ampliorem purgationem conuertito, sicque curato, & subdititia, si opus sit, apponito ex his quæ anteà dicta sunt, lauando, suffitum adhibendo, & siccando.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τῆς γυναικὸς ἀκουσίως ἐκτιτρωσκούσης θεραπείας.

Ἢν δὲ γυνὴ ἐκτιτρώσκῃ ἀέκουσα, καὶ μὴ θέλῃ ἐκβάλλειν, πυροὺς πεφρυγμένους, καὶ κατεληλασμένους, καὶ σταφίδα κεκομμένην λευκήν, μελικρήτῳ γλυκερῷ ταῦτα διεὶς, ἐλαίου σμικρὸν παραχέων, νῆστιν πίνειν διδόναι· μετὰ δὲ, ῥαφανίου σπέρμα τρίψας, καὶ ὄξος καὶ χηνὸς στέαρ, ταῦτα μίξας [113] ἐσθιέτω, καὶ προστιθέσθω δάφνης φύλλα τρίβουσα· μετὰ δὲ, πινέτω ὀρίγανον, καὶ γλήχωνα, καὶ ἄλφιτον ἐν ὕδατι, ἐπιπάσσουσα δάφνης φύλλα κεκομμένα καὶ τετριμμένα λεῖα, κόμμι παραμίξας καὶ διεὶς ὕδατι, πίνειν διδόναι. [114] Ἄλλο. Οἰὸς στέαρ, καὶ χηνὸς ἄλειφα, καὶ μέλι, ἐς τὸ αὐτὸ μίξας καὶ τρίψας, ἐλλικτὸν διδόναι. Ἄλλο. Σταφυλῖνον τρίβων ὡς λειότατον, καὶ γάλακτος ὑποστάσει ἐν τούτῳ μίξας, καὶ χηνὸς στέαρ τήξας, ταῦτα ἀνεψήσας, διδόναι ῥοφεῖν. Ἄλλο. Ὀριγάνου τρίψας φύλλα ὡς λειότατα, ἢν μὲν ἔχῃ, χλωρῆς· εἰ δὲ μή, ξηρῆς, διεὶς ἐν ὕδατι πίνειν διδόναι. Ἄλλο. Δάφνης καρπὸν τρίψας ὡς λειότατον, καὶ ὑὸς θηλείης στέαρ τήξας, καὶ μέλιτι ταῦτα ὁμοῦ πάντα μίξας καὶ τρίψας, ἐλλικτὸν διδόναι. Ἄλλο. Σταφυλῖνον τρίβων ὡς λειότατον, ἐν οἴνῳ διεὶς κεκρημένῳ, πίνειν διδόναι.

CAPVT XX.

De mulieris inuitè abortientis curatione.

At si mulier inuita abortum faciat, neque eijcere velit, triticum tostum & molitum, vuam passam albam contusam, hæc aquâ mulsâ dulci diluta, pauco oleo affuso, ieiunæ potui dato. Posteà verò raphani semen tritum, acetum, & adipem anserinum, hæc mixta comedat, & lauri folia trita subdito. Deinde origanum, & pulegium, & polentam ex aqua bibat, lauri folijs contusis & tenuiter tritis, gummi admixto, inspersis; hæc aquâ diluta potui exhibeto. Aliud. *Ouis pingue, & anserinum adipem, & mel, hæc simul mixta & trita delingenda exhibeto.* Aliud. *Pastinacæ semen læuissime tritum, & lactis sedimentum simul mixtum, anserinumque adipem liquatum, hæc decocta sorbenda dato.* Aliud. *Origani folia læuissimè trita viridia, si habeas; sin minùs, sicca, aquâ dissoluta potui dato.* Aliud. *Lauri fructum quàm læuissimè tritum, & suis fœminæ adipem cum melle liquatum, hæc omnia simul mixta & trita, delingenda præbeto.* Aliud. *Pastinacæ semen læuissimè tritum, ex vino aquâ temperato dilutum, bibendum dato.*

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τῶν ὑστερῶν τὴν γονὴν μὴ κατεχουσῶν αἰτίων καὶ θεραπευτικῶν.

Ἢν αἱ μῆτραι μὴ κατέχωσι τὴν γονήν, μόλυβδον καὶ λίθον ἥτις τὸν σίδηρον ἁρπάζει, ταῦτα τρίψας λεῖα, ἐς ῥάκος ἀποδήσας, καὶ ἐς γάλα γυναικὸς ἐμβάψας, προσθέτῳ χρήσθω. Ἄλλο. Χαλκοῦ ἄνθος τρίψας, μέλιτι δεῦσαι, καὶ προστιθέναι τοῦτο. Ὅταν αἱ μῆτραι τοῦ ἀνδρὸς τὴν γονὴν ἐξερεύγωνται τριταίη ἡμέρῃ, πᾶσα ἀνάγκη τῆς γυναικὸς, ἢν ταῦτα πάσχῃ, πώρου πεπληρωμένας εἶναι τὰς μήτρας, καὶ οὐ δύναται τοῦ ἀνδρὸς ἡ γονὴ ἐμμένειν ἐν τῇσι μήτρῃσιν, ἀλλ' ἀποκλείεται, καὶ διὰ τούτων οὐ δύναται [115] κυῆσαι, ἕως ἂν ὁ πῶρος ἐνῇ ἐν τῇσι μήτρῃσι. Τοῦ δὲ πώρου ἥδε ἡ ἐξέλασις. πτερὰ λαβὼν ὡς ἐλάχιστα καὶ μαλθακώτατα, ξυνδήσας ὁμοῦ, τούτοισιν ἐπαλείφειν τὰς μήτρας, ὥς τοὺς ὀφθαλμοὺς ἐπαλείφουσιν, ὁμαλώσας τὰ πτερά, [116] ἅμματι ὡς λεπτοτάτῳ καταδήσας [117] τὰ ἄκρα, εἶτα ῥοδίνῳ πολλῷ χρίσας αὐτά, ὑπτίην ἀνακλίνας, ὑπὸ τὴν ὀσφὺν μέσην ὑποθεῖναι προσκεφάλαιον, [118] ὑποθεῖναι τὴν μήλην, τὰ σκέλεα τολμύσας τῆς γυναικὸς, καὶ [119] διασείσας τὸ μὲν ἔνθεν, τὸ δ' ἔνθεν, ἀναστρέφειν

CAPVT XXI.

De vterorum genituram non retinentium causis, & curatione.

Si vteri genituram non retineant, plumbum, & lapidem qui ferrum attrahit, his tenuiter tritis, in linteo ligatis, muliebri lacte intinctis, in subdititio vtitor. Aliud. *Aeris florem tritum, melle subactum, hoc etiam subdito. Quum vteri viri genituram tertio die foras eructant, mulieris vteros, vbi hæc contingunt, callosâ duritie repletos esse omninò necesse est, neque viri genitura in vteris manere potest, sed excluditur, hasque ob causas quandiù callus in vteris fuerit, concipere nequit. At calli sic fit eductio. Pennas minutissimas & mollissimas sumito, his simul colligatis vteros illinito, quemadmodùm oculos illinunt, pennis exæquatis, & extremâ parte filo tenuissimo inter se colligatis, deinde copioso rosaceo inunctis, supinæ mulieri redinatæ, ad medios lumbos puluinari substrato, specillum submittito, mulieris cruribus distentis, & huc & illuc diductis, specillum sursùm*

sursùm ac deorsùm, donec callus promineat, obuertito. Quem quum in vteri osculo conspexeris, si ad coxendicem non adhæreat, sed vltrò sequatur, id omnium optimum. Itaque si in vteri osculo inhæreat, volsellâ tenuissimâ prehensum, vt leniter & citra vim extrahas prospicito, & post hæc cum viro dormiat.

A ἄνω καὶ κάτω τῇ μήλῃ, ἕως ἂν προκύψῃ ἡ ἐπὶ τῆ ἰξύος ἐν τῷ στόματι τῆς μήτρης, ἣν μὲν μὴ προσίσχηται ἐν τῷ ἰσχίῳ, καὶ ἐθέλῃ ἐπακολουθῆσαι, πάντων ἄριστον τοῦτο. [120] ἣν δὲ ἐνδέχηται ἐν τῷ στόματι τῆς μήτρης, χαλίδι ὡς λεπτοτάτῃ περιμηθευόμενος, ἐξελκύσαι ἡσυχῇ καὶ μὴ βιαίως, καὶ μετὰ ταῦτα ξυγκοιμάσθω τῷ ἀνδρί.

CAPVT XXII.

De prægnantis, cui menses compareant, ac de vteri extra pudenda procidentis, & post coitum imo ventre dolentis, causis, & curatione.

SI prægnanti menses *appareant, stercus asininum siccum, minium, sepiæ testam, tenuiter trita, in linteo ligata supponito.* Aliud. *Pæoniæ semina nigra trita ex vino aquâ temperato propinato. At si in coitu imum ventrem doleat, sanguisque recens ipsi appareat, linum tusum, muscum tenerum, & anserinum adipem, hæc mixta vino albo aquoso diluta, potui exhibeto. Si vteri extra naturam processerint, calor igneus præcipuè quidem pudenda & sedem detinet, vrináque paulatim stridet, & pudenda mordet. Hæc patitur ob hunc affectum, si recens à partu cum viro dormiat. Quum sic habuerit, myrti baccis, & loti ramentis ex aqua coctis, eam sereno cælo per noctem expositam, quam frigidissimam in pudenda profundat, & leuiter trita apponat. Deinde lentium decocto epoto, melle & aceto admixto, vomat quoad vteri reuulsi fuerint, & lecto à pedibus excitato iaceat. Pudendis suffitu graueolentia, naribus verò odorata subiicito. Cibis perquàm mollibus & frigidis vtatur, & vinum aquosum album bibat, neque lauet, neque cum viro dormiat.*

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ τῆς κυούσης ᾗ ἐπιφαίνονται τὰ καταμήνια, καὶ τῆς ὑστέρας ἔξω τῆς φύσεως προελθούσης, καὶ τῆς μετὰ συνουσίαν ἀλγούσης τὴν νείαιραν γαστέρα, αἰτίων τε καὶ θεραπευτικῶν.

B

Ἢν κυούσῃ ἐπιφαίνηται, ὀνίδα ξηρὴν, μίλτον, ὄστρακον σηπίης τρίψας λεῖα, ἐς ῥάκος ἀποδήσας προστιθέναι. Ἄλλο. Γλυκυσίδης τοὺς μέλανας [121] καρποὺς τρίβων, ἐν οἴνῳ διδόναι πιεῖν κεκρημένῳ. Ἢν δὲ συνοῦσα, ἀλγέῃ τὴν νείαιραν γαστέρα, καὶ αἷμά οἱ φαίνηται νεαρὸν, λίνον κόψας, καὶ βρύον ἁπαλὸν, καὶ χήνειον ἔλαιον, ταῦτα μίξας, [122] οἴνῳ λευκῷ ὑδαρεῖ διεὶς, διδόναι πίνειν.

C Ἢν αἱ μῆτραι προέλθωσιν ἔξω τῆς φύσιος, πῦρ ἔχει, μάλιστα μὲν τὰ αἰδοῖα καὶ τὴν ἕδρην, καὶ τὸ οὖρον [123] ζύζει κατ' ὀλίγον, καὶ δάκνεται τὰ αἰδοῖα. Ταῦτα πάσχει [124] εἰς τὸ αὐτὸ πάθος, ἣν δὲ ἐκ τόκου ἐοῦσα τῷ ἀνδρὶ μὴ παρακοιμᾶται. Ὅταν οὕτως ἔχῃ, μύρτα καὶ λωτοῦ πρίσματα ἑψήσας ἐν ὕδατι, καταθεὶς τὸ ὕδωρ [125] ἐς τὴν αἰθρίην, προχείσθω ὡς ψυχρότατον ἐς τὰ αἰδοῖα, καὶ τρίβων λεῖα, προσπλάσσειν. ἔπειτα ὕδωρ πίνουσα [126] φακῶν, μέλι καὶ ὄξος ξυμμίσγουσα, ἐμείτω, ἕως ἂν αἱ μῆτραι

D ἀνασπασθῶσιν, καὶ τὴν κλίνην ὑψηλοτέρην πρὸς ποδῶν κεῖσθαι. ὑποθυμιῆν δὲ ὑπὸ τὰ αἰδοῖα, κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας εὐώδεα. σιτίοισι δὲ χρήσθω ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι, καὶ τὸν οἶνον ὑδαρέα λευκὸν πινέτω, καὶ μὴ λουέσθω [127] καὶ τῷ ἀνδρὶ ξυγκοιμάσθω.

CAPVT XXIII.

De vteri prorsùs extra pudenda excidentis ac propendentis causis, signis, & curatione.

AT si prorsùs extra pudenda exciderint, velut scrotum propendent, & dolor inuadit. Hoc autem cótingit, *quum recenter à partu adeò laborarit, vt vteros concusserit, & in lochiorum purgatione cum viro dormierit. Quum sic habuerit, refrigerantia pudendis apponito, & quæ foris sunt, vino nigro in quo mali punici putamen coctum sit, repurgata, sicque eluta intrò retrudito. Deinde mel & resinam æquis vtraque partibus eliquata, in pudenda infundito, & supina cruribus sursùm reductis iaceat, posteà admotam spongiam ex lumbis deligato. Quandiù sic habuerit, cibis abstinendum; potu verò quam paucissimo, quoad dies septem præterierint, vtendum. Quòd si hac curatione intrò eant, satis est. Sin minùs, extremos vteros deradito, & pini decocto eluito. Deinde pedibus ad scalam religatis, iuxta caput concutito, manúque intrò propulsato. Posteà alternatis cruribus religatam, quiescere per diem & noctem sinito, paucum ptisanæ succum exhibeto, frigidi*

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Περὶ τῆς ὑστέρας παντάπασιν ἐκ τῶν αἰδοίων ἐκπεσούσης καὶ ἐκκρεμαμένης αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

E

Ἢν δὲ παντάπασιν ἐκ τῶν αἰδοίων ἐκπέσωσιν, ἐκκρέμανται οἷον ὄσχη, καὶ ὀδύνη λαμβάνει. τοῦτο δὲ, ὅταν ἐκ τόκου ταλαιπωρήσῃ, ὥστε σεῖσαι τὰς ὑστέρας, καὶ τῷ ἀνδρὶ ξυγκοιμᾶται ἐν τῷ λοχείῳ. Ὅταν οὕτως ἔχῃ, ψύγματα προστιθέναι πρὸς τὰ αἰδοῖα, καὶ τὰ ἔξωθεν ὑποκαθήρας, [128] σίδια ἐν οἴνῳ μέλανι οἰνώδει ἑψήσας, οὕτω διαπλύνας, εἴσω ἀπωθέειν· ἔπειτα μέλι καὶ ῥητίνην, συντήξας ἴσον ἑκατέρου, ἐγχεῖν ἐς τὰ αἰδοῖα, καὶ κεῖσθαι ὑπτίην ἄνω [129] τὰ σκέλη ἔχουσαν ἐκτεταμένην,

F κἄπειτα σπόγγον προσθεὶς, ἀναδῆσαι ἐκ τῶν ἰξύων. ἐς ἂν δὲ οὕτως ἔχῃ, σιτίων δέον ἀπέχεσθαι, ποτῷ δὲ ὡς ἐλαχίστῳ χρέεσθαι, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. καὶ ἣν μὲν οὕτως ἐθέλωσιν [130] ἱέναι· εἰ δὲ μὴ, ἄκρας περιξέσαι τὰς μήτρας, [131] καὶ ἀποπλῦναι τῇ πίτυϊ ἑφθῇ· ἔπειτα πρὸς κλίμακα δήσας τοὺς πόδας, κρούειν κατὰ τὴν κεφαλὴν, καὶ τῇ χειρὶ ἐσωθέειν· ἔπειτα [132] ξυνδήσας τὰ σκέλεα ἐπαλλὰξ, ἐᾶν ἡμέρην καὶ νύκτα ἀτρέμα, διδόναι δὲ ὀλίγον χυλὸν πτισάνης, [133] ψυχρὸν δὲ διδόναι μηδέν. τῇ

δὲ ἐπαύριον ἐς ἰσχίον κατακλίνας ἐπὶ τὸ ἰσχίον, σικύην προσβάλλειν ὡς μεγίστην, καὶ ἀνέλκειν πουλὺν χρόνον· καὶ ὅταν ἀφέλης, κατακλίνας ἐᾶν κεῖσθαι, καὶ προσφέρειν ἄλλο μηδὲν, ἢ τὸν χυλὸν, ἔς τ' ἂν ἑπτὰ ἡμέραι παρέλθωσι· σιτίοισι δὲ ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρήσθω. ἢν δὲ ἀποπατεῖν ἐθέλη, ἀποπατείτω ἀνακειμένη, ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν· ἔπειτα ἀνίστασθαι, καὶ περιέρχεσθαι ὡς ἐλάχιστα, καὶ μὴ λουέσθω. σιτίοισιν ὀλίγοισι χρήσθω, τὰ αἰδοῖα τοῖσι κακώδεσι θυμιήσθω, καὶ ἐπὴν ἄρχηται περιχωρέειν, τὴν σφενδόνην φορείτω. Ἐξαίρεσις τοῦ ἐμβρύου. Ἢν δὲ ἔμβρυον ἐναποθάνη ἐν τῇσι γαστῆσιν ἐς τελεογονίην, χρὴ ἀεὶ κατ' ὀλίγον τὸ φαινόμενον κατὰ λόγον θραύοντα, τὸ δέρεον καταλιπόντα προβολὴν τῷ σιδήρῳ.

A autem nihil. *Postero die in coxam reclinatæ cucurbitulam maximam admoueto, & multo tempore trahito; quumque detraxeris, reclinatam iacere sinito, nihilque aliud quàm ptisanæ succum exhibeto, quoad dies septem præterierint. Cibis autem quàm mollissimis & paucissimis vtatur. Quòd si aluum exonerare velit, decumbens id faciat, quoad dies quatuordecim elapsi sint; deinde surgat, & quàm minimùm obambulet, neque lauet; cibis paucis vtatur, pudendis suffitum ex graueolentibus adhibeat, quumque circumferri poterit, femorale gestet.* Extractio fœtûs. *Quòd si fœtus in vteris interierit, quum ad perfectionem vitalem peruenisset, quæ pars huius sub aspectum venit, ea paulatim ratione duce in partes secanda, & quæ excoriata relicta est, ea ferro extirpanda.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΠΙΚΥΗΣΙΟΣ, ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS DE SVPERFOETATIONE, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Περὶ τῆς ἐπικυήσεως, τῆς τοῦ παιδίου κινήσεώς τε, καὶ σημείων, καὶ διαφόρου θέσεως, καὶ ἐξελκυσμοῦ· περὶ τῶν βοηθημάτων τῶν τὴν κύησιν, καὶ τεκνοφορίαν, καὶ τόκον, καὶ τὰ καταμήνια, καὶ τὰ δεύτερα, καὶ τὰ λόχια, καὶ τὴν μήτραν ὠφελούντων.

ARGVMENTVM LIBRI.

De superfœtatione, fœtûs motu, signis, vario situ, & extractione; de remediis conceptionem, gestationem, partum, menstrua, secundas, lochia, & vterum iuuantibus.

B

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τοῦ τοῦ ἐπικυήματος προσπίπτοντος, καὶ μὴ γονίμου ἐξερχομένου· καὶ μὴ οἰδοῦντος· καὶ μὴ αὐτίκα ἀποχωροῦντος, καὶ διαφθειρομένου· ἔτι καὶ γυναικὸς τῆς ἐπικυϊσκούσης, καὶ τῆς εὐτοκούσης ἢ δυστοκούσης αἰτίων, καὶ σημείων, καὶ συμπτωμάτων.

CAPVT I.

De superfœtati prolabentis, & minimè vitalis prodeuntis, miniméque tumentis, & non statim excidentis, & pereuntis, etiam mulieris superfœtantis, & fœtum facilè aut difficilè parientis causis, signis, symptomatis.

ΟΚΟΤΑΝ ἐπικυΐσκηται γυνὴ, ἢν μὲν ἐν τῷ μέσῳ τῆς μήτρης τὸ πρότερον ἔχη παιδίον, C καὶ τὸ ἐπικύημα προσπίπτει, ὑπὸ τοῦ ἀρχαίου ἐξωθεύμενον· ἢν δὲ ἐν τῷ κέρατι τῷ ἑτέρῳ τὸ ἐπικύημα ἔχη, ἐπιτίκτει ὕστερον οὐ γόνιμον, ἐπὴν χαλάση ἡ μήτρη καὶ ὑγρανθῇ, τοῦ γονίμου ἀπολυθεῖσα. Ἢν δὲ μὴ αὐτίκα ἀποχωρέῃ [1] τὸ ἀποκύημα, ὀδύνας τε παρέχει, καὶ ῥεῦμα δυσῶδες, καὶ πυρετόν· καὶ οἰδεῖ τὸ πρόσωπον, καὶ τὰς κνήμας, καὶ τοὺς πόδας· [2] καὶ ἢν διαλύηται,

QVVM superfœtarit mulier, si primum fœtum in vteri medio contineat, superfœtatum à priore expulsum prolabitur. Si verò in altero cornu superfœtatum habeat, posterum parit minimè vitalem, vitali fœtu, vbi vterus laxatus & humectus fuerit, exoluta. Nisi verò superfœtatum quamprimùm secedat, dolores excitat, fluxum graueolentem, & febrem; facies, tibiæ, ac pedes tument; quod si intereat, cibum auersatur,

ſatur, quoad exciderit. Superfœtant autem mulieres, quarum vteri ſtomachus poſt primum conceptum, non ita valdè clauditur, euidentibus ſignis. Clauditur autem, ſuperfœtato poſterius in lucem edito. Quod ſi nondum partium diſtinctionem habeat, ſed caro ſit, non intumeſcit quidem, verùm putreſcit, donec vtero exeat. Sicui ſecundæ pueri in vtero exeant, priuſquàm puer foras prodire incipiat, difficilè parit; magiſque periclitatur, niſi caput præcedat. At ſi cui puellus cum ſecundis foras prodierit, & ad oſculum progreſſus rupto inuolucro exierit, faciliùs parit. Et fœtus quidem foras procedit, ſed ſecundæ retinentur, & ſe contrahunt, illicque manent.

A ἀσιτέῃ ἕως ἂν ἐκπέσῃ. Ἐπικυΐσκονται δὲ τῶν γυναικῶν, ὧν ἂν ὁ στόμαχος μετὰ τὸ πρῶτον κύημα ξυμμεμύκῃ οὐ κάρτα, ἐπιφαινομένων τῶν σημείων· συμμέμυκε δὲ τάδε ἐπικυήματα τὰ ἐπιτικτόμενα ὕστερον. Ἢν μήπω διάκρισιν ἔχῃ, ἀλλὰ σὰρξ ᾖ, οἰδεῖ μὲν οὔ, ἀλλὰ κατασήπεται, μέχρι ἂν ἐξέλθῃ τῆς μήτρης. Ἢν τινι ἂν ἐκδύῃ τὸ χορίον τοῦ παιδίου ἐν τῇσι μήτρῃσι, πρὶν ἔξω[4] ἄρχεσθαι χωρέειν τὸ παιδίον, δυστοκέει μᾶλλον[5] καὶ ἐπικίνδυνος, ἢν μὴ ἡ κεφαλὴ ἡγέηται. Ἢν τινι δὲ ἡ ἔξω σὺν τῷ χορίῳ τὸ παιδίον, καὶ προσχωρήσῃ πρὸς B τὸ στόμαχον ἐκδύῃ τοῦ χορίου ῥαγέντος,[6] εὐτοκέει μᾶλλον.[7] καὶ τὸ μὲν παιδίον θύραζε χωρέει, τὸ δὲ χορίον ἴσχεται, καὶ ἀνασπᾷ ἑωυτὸ, καὶ μένει αὐτοῦ.

CAPVT II.

De fœtûs editi minimè vitalis ſignis; ac de vitalis fœtûs partu difficili, manu, aut crure, aut capite, aut aliâ parte prominente, eiuſque curatione.

QVum fœtus minimè vitalis natus fuerit, huius vngues caro ſupereminet, vngues verò tum in manibus, tum pedibus deficiunt. Quum vitali edito fœtu manus promineat, ea retrò impellenda, quoad ſupra repuleris; & ſi ambæ prominéant, *ambas retrudito. Quòd ſi crus promineat, hoc quoque retrò propellendum. Quum verò vtráque crura conſpicua manſerint, neque aliò proceſſerint, fotu vtendum, à quo humidiſſimus reddatur vterus. Odorem autem hic fotus habeat. Et quum caput priùs apparuerit, reliquum verò corpus intùs fuerit, hoc quoque fotu vtêris. Quumque pars quidem corporis in vtero, pars verò in pudendis, pars quoque extra pudenda intumuerit ac manſerit, ſic etiam fotu vtitor. Et ſi quidem per fomentum diſceſſerit,* bene habet; *ſin minùs, os vteri elaterio craſſo aquâ diluto illinito, quò partûs dolores adferat. Quin & cibis ac potibus dolores partûs promouendi, & pudenda ipſa, ſi ſicciora quàm conueniat, tibi eſſe videantur, cerato inungenda.*

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν τοῦ παιδίου μὴ γονίμου τικτομένου σημείων· καὶ τοῦ παιδίου γονίμου δυστοκίας διὰ τὸ τὴν χεῖρα ὑπερέχειν, ἢ τὸ σκέλος, ἢ τὴν κεφαλὴν, ἢ ἄλλο μόριον, καὶ τῆς ταύτης θεραπείας.

C ΟΚότ' ἂν οὐ γόνιμον γένηται τὸ παιδίον, τουτέου ἡ σὰρξ ὑπερέχει τῶν ὀνύχων, οἱ δὲ ὄνυχες ἐλλείπουσι τῶν χειρῶν καὶ τῶν ποδῶν. Ὅταν γονίμου γινομένου τοῦ παιδίου χεὶρ ὑπερέχῃ πρῶτον, ἀπωθέειν ὀπίσω, μέχρις ἂν ἀπώσῃς· καὶ ἢν ἀμφότεραι, ἀμφοτέρας ἀνῶσαι. Καὶ ἢν τὸ σκέλος ὑπερέχῃ, ἀπωθεῖν καὶ τοῦτο. Ὁκότ' ἂν δὲ ἀμφότερα τὰ σκέλεα προφαινόμενα μείνῃ, καὶ μὴθ' ἑτέρωσε προχωρέῃ, πυριῇν μάλιστα δέον χρῆσθαι, ἀπ' ὅτευ ὑγροτάτη ἔσται ἡ ὑστέρη, ὀδμὴν δὲ ἐχέτω τὸ πυρίημα. Καὶ D ὁκότ' ἂν ἡ μὲν κεφαλὴ προφανῇ, τὸ δ' ἄλλο σῶμα ἔσω, καὶ ὧδε πυριῇν.[9] καὶ ὁκότ' ἂν τὸ μὲν ἐν τῇσι μήτρῃσι τοῦ σώματος, τὸ δὲ ἐν τοῖσι αἰδοίοισιν, τὸ δὲ ἔξω τῶν αἰδοίων οἰδέῃ καὶ μένῃ, καὶ οὕτως πυριῇν. Καὶ ἢν μὲν ἀπὸ τοῦ πυριήσιος ἀποχωρήσῃ· εἰ δὲ μὴ,[10] περιαλείψας τὸ στόμα τῆς μήτρης ἐλατηρίῳ παχεῖ, διεὶς ὕδατι, ὅκως ὠδῖνα ἐμποιήσῃ· καὶ ἀπὸ τῶν ποτῶν καὶ ἐδεστῶν, ὠδῖνα ἐμποιέειν, καὶ τὰ αἰδοῖα αὐτὰ ἀλείφειν κηρωτῇ, ἢν σοι δοκέῃ[11] ξηρότερη εἶναι τοῦ καιροῦ.

E

CAPVT III.

De pueri in vtero capite prominente mortui per vnguem extractione; & ſecundarum non facilè excidentium, vmbilicique abrupti, aut ante tempus reciſi curatione.

QVum pueri capite extra vteri oſculum apparente, corpus reliquum non ampliùs progredi queat, puer verò mortuus fuerit, digitis aquâ madefactis inter vteri oſculum & caput inſertis, digitum in orbem circumducito; deinde digito mento ſubdito, in os traiecto, foras extrahito. Quum verò reliquum corpus extra pudenda, caput autem intùs fuerit (in pedes videlicet fœtu prodeunte) circumductis in orbem digitis, manus ambas aquâ madefactas inter vteri oſculum & caput immittito, & extrahito. Quòd ſi extra

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς ἐμβρυουλκίας τοῦ παιδίου τοῦ τῆς κεφαλῆς προφανείσης ἐν τῇ ὑστέρᾳ τεθνηκότος, τῷ ὄνυχι ἐμβρυοθλάστῃ· καὶ τοῦ τοῦ χορίου μὴ ῥᾳδίως ἐκπίπτοντος, καὶ τοῦ ὀμφαλοῦ ἀπορραγέντος, ἢ πρὸ τοῦ καιροῦ ἀποταμηθέντος θεραπείας.

ΟΚότ' ἂν τοῦ[12] παιδίου τῆς κεφαλῆς προφανείσης ἐκ τοῦ στομάχου, μηκέτι ἐθέλῃ τὸ ἄλλο σῶμα προχωρέειν, τὸ δὲ παιδίον τεθνήκῃ, τοὺς δακτύλους βρέξας ὕδατι, μεταξὺ τοῦ στομάχου καὶ τῆς κεφαλῆς παραδύσας, τὸν δάκτυλον ἐν κύκλῳ περιάγειν. Εἶθ' ὑποβάλλων τὸν δάκτυλον ὑπὸ τὸ γένειον,[13] διαβύσας ἐς τὸ στόμα, ἔξω ἕλκειν. Ὁκότ' ἂν δὲ τὸ μὲν ἄλλο σῶμα θύρηφι ᾖ τῶν αἰδοίων, ἡ δὲ κεφαλὴ εἴσω (ἐπὶ πόδας φερομένου τοῦ ἐμβρύου) ἐπὴν περιαγάγῃς τὸν δάκτυλον ἐν κύκλῳ, ἀμφοτέρας τὰς χεῖρας παρεὶς μεταξὺ τοῦ στομάχου καὶ τῆς κεφαλῆς, βρέξας ὕδατι, ἐξελκύσαι. Ἢν δὲ

στομάχου ἔξω ᾖ, τῶν δὲ αἰδοίων εἴσω, παρεὶς τὰς χεῖρας, περιλαβὼν τὴν κεφαλὴν ἐξέλκειν. Ἢν δὲ τὸ ἔμβρυον ἔνδον μὲν ᾖ τετελευτηκός, καὶ μὴ δύνηται μήτε αὐτόματον, μήτε διὰ φαρμάκων ἐκπεσεῖν κατὰ φύσιν, χρίσας τὴν χεῖρα κηρωτῇ, ἥτις ὀλισθηρὴ μάλιστα, ἔπειτα ἐνείρξας ἐς τὴν μήτρην, διελεῖν τοὺς ὤμους ἀπὸ τοῦ τραχήλου, ἐπερείσαντα τῷ μεγάλῳ δακτύλῳ (ἔχειν δὲ χρὴ πρὸς τὰ τοιαῦτα καὶ ὄνυχα ἐπὶ τῷ δακτύλῳ τῷ μεγάλῳ) καὶ διελόντα ἐξενεγκεῖν τὰς χεῖρας, ἔπειτα πάλιν [14] ἐγείραντα, τὴν κοιλίην ἀναχίσαι, καὶ ἀναχίσαντα, ἡσυχῇ ἐξελεῖν τὰ ἐντόσθια· ἔπειτα ἐξελόντα συνθλίψαι τὰ πλευρεῖα ὅκως συμπεσὸν τὸ σωμάτιον, εὐσταλέστερον γένηται, καὶ ῥᾷον ἐξίῃ, μὴ ὀγκῶδες ἐόν. Τὸ δὲ χορίον ἢν μὴ ῥηϊδίως ἐκπίπτῃ, μάλιστα μὲν ἐᾶν πρὸς τὸ ἔμβρυον προσκρεμᾶσθαι, [15] καὶ τὴν λεχὼ προσίζεσθαι ὥσπερ ἐπὶ λασάνου· ἔστω δὲ κατεσκευασμένον ὑψηλόν τι, ἵνα τὸ ἔμβρυον ἐκκρεμάμενον, συνεπισπᾶται τῷ βάρει ἔξω· ἡσυχῇ δὲ τοῦτο ποιέειν μὴ πρὸς βίην, ὅκως μὴ [16] ἀποσπασθὲν παρὰ φύσιν, φλεγμονὴν ἐμποιήσῃ. Ὑποκεῖσθαι οὖν δεῖ τῷ ἐμβρύῳ εἴρια ὡς ὀγκωδέστατα, νεόξαντα, ἵνα κατὰ μικρὸν ἐνδιδοῖ· ἢ ἀσκία δύο ἐζευγμένα, ὕδατος μεστά, ἐπάνω δὲ τῶν ἀσκίων εἴρια, ἐπάνω δὲ τούτων τὸ ἔμβρυον· ἔπειτα τρυπῆσαι ἑκάτερον τῶν ἀσκίων γραφίῳ, ὅκως ῥυῇ κατὰ μικρὸν τὸ ὕδωρ· ἐκρέοντος δὲ τοῦ ὕδατος, ἐνδιδόασιν οἱ ἀσκοί· ἐνδιδόντων δὲ, ἐπισπᾶται τὸ ἔμβρυον τὸν ὀμφαλόν, ὁ δὲ ὀμφαλὸς ἐφέλκει τὸ χορίον. Ἢν δὲ μὴ δύνηται καθῆσθαι ἐπὶ τοῦ λασάνου, [17] ἐπ' ἀνακλιντοῦ δίφρου τετρυπημένου καθήσθω. Ἢν δὲ ἀσθενέῃ τὸ σύνολον καθῆσθαι, τὴν κλίνην ὡς ὀρθοτάτην ἀπὸ τῶν πρὸς τῆς κεφαλῆς μερῶν ἄραντες, ἵνα κάτω ῥέπῃ, [18] ὡς μάλιστα ξυνεπισπᾶται τὸ κάτω βάρος· ὑπὸ δὲ τὰς μασχάλας δῆσαι [19] τὴν λεχὼ ἔξωθεν τῶν ἱματίων πρὸς τῇ κλίνῃ, τῇ ταινίῃ ἢ ἱμάντι πλατεῖ καὶ μαλθακῷ, ὅκως μή, ὀρθῆς ἐούσης τῆς κλίνης, κάτω τὸ σῶμα φέρηται. Ταὐτὸν δὲ τρόπον, κἢν ἀπορραγῇ ὁ ὀμφαλός, κἢν ἀποτάμῃ τι πρὸ τοῦ καιροῦ, βάρεα σύμμετρα ἐκκρεμαννῦντα, τὴν ἐξαγωγὴν τοῦ χορίου ποιέεσθαι. Βελτίστη γὰρ αὕτη θεραπείη τῶν τοιῶνδε ἐστί, καὶ ἥκιστα βλάπτει.

vteri osculum, verùm intra pudenda fuerit, manibus immissis caput apprehensum extrahito. At si fœtus intùs maneat mortuus, neque sponte, neque per medicamenta secundum naturam excidere queat, manu cerato maximè lubrico vnctâ, deinde in vterum intrusâ, humeros à ceruice magno digito excutiens diuidito; quas ad res vnguem etiam oportet in magno digito habere, eâque diuisione factâ manus educere; deinde rursùs excitato opere, *ventrem discindere, eóque discisso interanea sensim eximere; his deinde exemptis, molles costas conterere, quo concidens corpusculum expeditius reddatur, & minimè tumidum existens, faciliùs exeat. At verò si secundæ non facilè excidant, ad fœtum quidem maximè propendere sinendæ sunt, puerperáque quemadmodùm super lasano collocanda. Sit autem in altum sella comparata aut quid simile, vt fœtus propendens, suo pondere eat vnà secum foras extrahat. Id sensim, non vi, faciendum, ne præter naturam distractæ* secundæ *inflammmationem excitent. Supponendæ igitur fœtui lanæ quàm maximè sublatæ, recens carptæ, quò paulatim cedant; aut vtriculi duo copulati aquâ pleni, supra quos lanæ imponendæ, & supra lanas fœtus collocandus; deinde vterque vtriculus stilo pungendus, quò sensim aqua defluat; effluente verò aquâ, vtres demittantur ac considant; his autem demissis, fœtus vmbilicum attrahit, vmbilicus verò secundas extrahit. Quòd si supra lasanum sedere nequeat, in sellâ recubitoriâ perforatâ locetur. Si verò præ imbecillitate prorsùs sedere nequeat, lectum à capite quàm erectissimum extruito, vt deorsum declinet, sicque* fœtus *suo pondere quàm maximè deorsum simul trahat. Verùm puerpera ipsa sub alis supra stragula fasciâ aut loro lato & molli ad lectum alliganda, vt ne lectulo erecto, corpus eius subterlabatur. Ad eundem quoque modum, abrupto aut ante tempus abscisso vmbilico, conuenientibus appensis ponderibus, secundarum eductio molienda. Hæc enim istorum optima est curatio, miniméque lædit.*

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν τοῦ ἐναποθανόντος παιδίου συμπτωμάτων καὶ σημείων.

ΗΝ δέ τινι ἐναποθάνῃ τὸ παιδίον ἐν τῇ μήτρῃ, καὶ μὴ ἐξέλθῃ, ὑγρῆς ἐούσης τῆς μήτρης, καὶ μὴ ἐχούσης ἔτι τὸ ὑγρόν, ἀλλὰ ξηρανθῇ ἡ μήτρη· πρῶτον μὲν οἰδίσκεται αὐτό, ἔπειτα τήκεται καὶ σήπεται τὰς σάρκας, καὶ ῥέει θύρηφι, ὕστατα δὲ τὰ ὀστέα χωρέει· καὶ ῥόος ἐνίοτε λαμβάνει, ἢν μὴ πρότερον ἀποθάνῃ. ὁκόταν τὸ παιδίον ἐντεθνήκῃ, καὶ τοῖς ἄλλοις ἐντεκμαίρεσθαι σημείοις, καὶ κελεύειν τοτὲ μὲν ἐπὶ δεξιὰ κεῖσθαι, τοτὲ δὲ ἐπ' ἀριστερὰ μεταβάλλειν· μεταπίπτει γὰρ ἐν τῇ μήτρῃ τὸ παιδίον, ὁποτέρωθι ἂν καὶ γυνή, ὥσπερ λίθος ἢ ἄλλο τι, ἢν τεθνήκῃ· καὶ τὸ ἦτρον ψυχρὸν ἔχει. Ἢν δὲ ζώῃ, τό, τε

CAPVT IV.

De fœtûs in vtero mortui symptomatis, ac signis.

AT verò sicui puer immortuus fuerit in vtero, neque exierit, humido existente vtero, nullum etiam ampliùs humorem continente, imò quum siccatus fuerit vterus; primũ quidem puer intumescit; deinde colliquescunt & putrescunt carnes, ac foras effluunt, postremò verò ossa prodeunt; fluorque eam aliquando prehendit, nisi priùs moriatur. Quum mortuus fœtus fuerit, tum alijs signis conijcere licet, tum etiam iubere oportet, vt modò quidem dextrum in latus iaceat, modò etiam in sinistrum conuertatur. Dilabitur enim fœtus in vtero, quocunq; se vertat mulier velut saxum, aut aliud quidpiã, si mortuus fuerit; & pectinem frigidũ mulier habet. Quòd si viuat, pecten

pectus calidus est, & totus quidem venter vnà cum reliquo corpore concidit, nihilque in eo absque reliquo corpore dilabitur.

A ἦτρον θερμὸν ἔχει, καὶ ἡ μὲν γαστὴρ ὅλη μεταπίπτει τεταμένη μετὰ τοῦ ἄλλου σώματος, ἐν αὐτῇ δὲ οὐδὲν μεταπίπτει χωρὶς τοῦ ἄλλου σώματος.

CAPVT V.

Fœtui hæmorrhagiã ante partum periculosam esse, & vteri osculum propè extare; partûs difficultatem ob venerem; mulierem gemellos eodem die concipere, ac parere, eosque vno in chorio degere; in partu difficili quando vmbilicus abscindendus.

Sicui parturienti ante fœtum multus sanguinolentus citra dolorem fluxus prodeat, periculum est, ne fœtus mortuus exeat, aut minimè vitalis edatur. Prægnantibus plerisque mulieribus os vteri ante partum propè extat. Mulier prægnans, si venerem non exerceat, à partu faciliùs liberabitur. Quæ gemellos gestat, eodem die, velut concepit, parit; vno autem inuolucro vtrunque fœtum continet. Muliere ægrè pariente, si fœtus in naturalibus locis contineatur, neque facilè exeat, sed cum labore ac Medici machinamentis, huiusmodi fœtus quum pauci sint temporis, his non antè abscindendus vmbilicus, quàm vrinam reddiderint, aut sternutarint, aut vocem ediderint, sed sinendi sunt. Mulier verò quàm proximè ad fœtum accedat, & si sitiat, aquam mulsam bibat. Quòd si vmbilicus infletur, velut vteri osculum, & fœtus moueatur, aut sternutet, aut vocem edat, tunc etiam spirante puero, vmbilicum secato. Si verò non infletur vmbilicus, neque moueatur, temporis successu vitalis futurus est.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τῷ παιδίῳ ῥοῦν αἱματώδη πρὸ τόκου ἐπικίνδυνον εἶναι, καὶ τὸν στόμαχον τῆς μήτρας ἐγγὺς τυγχάνειν· δυστοκείαν διὰ τὴν λαγνείαν· τὴν γυναῖκα τὰ δίδυμα τῇ αὐτῇ ἡμέρᾳ τίκτειν, ὥσπερ καὶ συλλαβεῖν, καὶ ταῦτα ἐν ἑνὶ χορίῳ μένειν· ἐν τῇ δυστοκίᾳ πότε τὸν ὀμφαλὸν ἀποτάμνειν δεῖ.

B

ΗΝ τινι ἂν ὠδινούσῃ πρὸ τοῦ παιδίου ῥόος πολλὸς αἱματώδης γένηται ἀνώδυνος, κίνδυνος τὸ παιδίον τεθνηκὸς ἀπολυθῆναι, ἢ οὐ βιώσιμον γενέσθαι. Κυουσέων τῶν γυναικῶν, ὁ στόμαχος τῶν πλείστων ἐγγὺς τυγχάνει ἐὼν πρὸ τοῦ τόκου. Κυέουσα ἡ γυνὴ ἢν μὴ λαγνεύηται, ῥηΐτερον ἀπολυθήσεται τοῦ τόκου. Ἡ τὰ δίδυμα κύουσα [20] τίκτει τῇ αὐτῇ, ὥσπερ συνέλαβεν, ἔχει δὲ ἐνὶ χορίῳ τὰ παιδία ἀμφότερα. C Γυναικὶ δυστοκεούσῃ ἢν τὸ παιδίον ἐν τῇσι χώρῃσιν ἔχηται, καὶ μὴ εὐπόρως ἐξέλθῃ, ἀλλὰ σὺν πόνῳ καὶ μηχανήσιν ἰητροῦ, ταῦτα τὰ παιδία ἀρτίζωα· τουτέων οὐ χρὴ τὸν ὀμφαλὸν ἀποτάμνειν πρὶν ἂν οὐρήσῃ, ἢ πτάρῃ, ἢ φωνήσῃ, ἀλλὰ ἐᾶν. προσχωρῆσαι δὲ τὴν γυναῖκα ὡς ἐγγυτάτω τοῦ παιδίου, καὶ ἢν διψῇ, πινέτω μελίκρητον. καὶ ἢν ὁ ὀμφαλὸς ἐμφυσῆται, ὥσπερ στόμαχος, καὶ κινηθήσηται ἢ πτάρηται τὸ παιδίον, ἢ φωνὴν ῥήξῃ, καὶ τότε ἀποτάμνειν, D διαπνέοντος τοῦ παιδίου· ἢν δὲ μὴ φυσῆται ὁ ὀμφαλὸς, μηδὲ κινῆται χρόνου ἐγγινομένου [22] βιώσεται.

CAPVT VI.

De prægnantis factæ, ac fœtum mortuum aut valetudinarium aut interiturum gestantis causis, signis, & curatione; caput pueri terræ à matre grauida expetitæ aut carbonis signum gerere.

Prægnantem mulierem si aliter non cognoscas, oculi retracti & cauiores fiunt, & oculorum candidum albedinis naturam non habet, sed liuidius existit. Siqua partui vicina sit, & cauos habeat oculos, faciesque intumescat, ac ipsa tota, pedesque tumeant, tanquam ab albâ pituitâ detenta appareat, & aures albas, & summum nasum album habeat, & labra liuida ipsi fuerint; fœtus, quos gestat, mortuos parit, aut viuos malè habentes, neque vitales, & exangues tanquam ægrotos; aut priùs minimè vitales peperit. Huic sanguis aquosus euasit. Post partum igitur tali odorata supponenda sunt, odorata comedenda ac bibenda, ipsáque cibis reficienda. Primúmque in facie summus nasus simus euadit, & colorem recipit. Siqua prægnantes terram aut carbones edere concupiscant, ac edant, in fœtûs capite, vbi editus fuerit, ab his signum apparet.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῆς γυναικὸς κυούσης, καὶ τεθνηκὸς παιδίον, ἢ νοσηλεῦον, ἢ θανούμενον φερούσης αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν· καὶ ὅτι ἡ κεφαλὴ τοῦ παιδίου φέρει τὸ σημεῖον τῆς ὑπὸ τῆς μητρὸς κυϊσκούσης ἐπιθυμουμένης γῆς ἢ ἄνθρακος.

E

ΚΥέουσαν γυναῖκα ἢν μὴ ἄλλως γινώσκῃς, ἀλλ' οἱ ὀφθαλμοὶ ἑλκυσμένοι καὶ κοιλότεροι γίνονται, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν οὐκ ἔχει τὴν φύσιν τῆς λευκότητος, ἀλλὰ πελιδνότερα. Ἤν τις ἐπίτοκος ἐοῦσα, κοίλη δὲ τοὺς ὀφθαλμοὺς, καὶ ὑποιδέῃ τὸ πρόσωπον, καὶ ὅλη αὐτὴ, καὶ οἱ πόδες οἰδέωσιν, ὥσπερ ὑπὸ φλέγματος λευκοῦ ἐχομένη φαίνεται, καὶ τὰ ὦτα λευκὰ, καὶ τὴν ῥῖνα ἄκρην λευκὴν, [23] καὶ τὰ χείλεα πελιδνὰ αὐτῇ, τεθνηκότα φέρει [24] ἃ τίκτει, ἢ ζῶντα πονηρὰ, καὶ οὐ βιώσιμα καὶ ἄναιμα, ὡς F νοσηλεύοντα ἢ [25] προέτεκεν οὐ γόνιμα. [26] Ταύτῃσι τὸ αἷμα ὀξυδατῶδες. δεῖ οὖν τῇ τοιαύτῃ μετὰ τὸν τόκον, τὰ εὐώδεα προσθεῖναι, καὶ ἐσθίειν καὶ πίνειν [27] εὐώδεα, καὶ σιτίοισιν ἀναθρέψειν. καὶ πρῶτον τοῦ προσώπου, ἡ ῥὶς ἔνσιμος γίνεται ἄκρη, καὶ χρῶμα λαμβάνει. [28] Ἤν τισι κυϊσκούσῃσι γῆν ἐπιθυμῆται ἐσθίειν, ἢ ἄνθρακας, καὶ ἐσθίωσιν, ἐπὶ τῆς κεφαλῆς τοῦ παιδίου φαίνεται, ὁκόταν τεχθῇ, σημεῖον ἀπὸ τῶν τοιούτων.

A

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν τοῦ ἐμβρύου ὁποτέρωσε ἐπικειμένου, ἐκ μαζῶν καὶ ὀφθαλμῶν σημείων, καὶ τῆς κυήσεως ἐκ τῶν προσθέτων· καὶ περὶ τῶν τῆς κυήσεως κωλυομένης αἰτίων· καὶ τίνι χρόνῳ ὁ τῆς ὑστέρας στόμαχος ἑαυτὸν μᾶλλον ἀνέσπασε.

Γυναικὶ χρὴ εἰδέναι τὸν μαζὸν, ὁκότερός ἐστιν αὐτῇ μέζων· καὶ κεῖθι γὰρ τὸ ἔμβρυον. ὁμοίως δὲ καὶ τὸν ὀφθαλμόν· ἔσται γὰρ μέζων καὶ λαμπρότερος τὸ πολὺ εἴσω τοῦ βλεφάρου, ὁκότερος ἢ ὁ μαζὸς μέζων. [29] Ην τινὶ καὶ ἀπὸ προσθέτων μὴ λίην ἰσχυραὶ ὀδύναι ἐς τὰ ἄρθρα ἀφικέωνται, [30] καὶ βρυγμὸς ἔχῃ, καὶ σκορδινᾶται, καὶ χασμᾶται, ἐλπὶς ταύτην κυῆσαι μᾶλλον, ἢ εἴτις ἂν τουτέων μηδὲν πάσχῃ. Γυνὴ ἥτις παχεῖα παρὰ φύσιν ἐγένετο καὶ πίειρα, καὶ [31] φλέγματος ἐπλήσθη, οὐ κυΐσκεται τούτῳ τῷ χρόνῳ· ἥτις δὲ φύσει τοιαύτη ἐστὶ, κυΐσκεται τουτέων ἕνεκεν, ἢν μή τι ἄλλο κωλύῃ αὐτήν. Τῶν γυναικῶν τῇσι πλείστῃσιν, ὅταν τὰ ἐπιμήνια μέλλῃ φαίνεσθαι, ὁ στόμαχος [32] αὐτὸς ἑωυτὸν ἀνέσπασκε μᾶλλον ἢ ἄλλοτε.

CAPVT VII.

De fœtûs in hoc aut illud latus decumbentis, ex mammis & oculis; vt & conceptionis, ex subdititiis, signis; & de prohibitæ conceptionis caussis; & quo tempore vteri osculum magis contrahatur.

B *Mulierem nosse oportet, vtra ei mamma maior sit; illic enim fœtus existit. Similiter autem & oculum; maior enim & lucidior prorsus erit intra palpebram, quâ parte maior mamma existit. Sicui ex subdititijs non admodùm vehementibus, dolores ad articulos obueniant, & dentium stridor occupet, pandiculatioque & oscitatio detineat, eam magis concepisse spes est, quàm quæ nihil tale patitur. Mulier quæ præter* C *naturam crassa & pinguis euasit, & pituitâ repleta, eo tempore non concipit. Quæ verò naturâ talis est, horum gratiâ concipit, nisi aliud quid ipsam prohibeat. Mulieribus plerisque, quum menses apparituri sunt, vteri osculum sese magis, quàm aliàs, contrahit.*

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς γυναικὸς μηκέτι κυϊσκομένης προφυλακτικῆς· περὶ τῆς τῶν ὀδυνῶν τῶν μετὰ τὴν κύησιν παυομένων, καὶ μετὰ τόκον ἐπανερχομένων θεραπείας· καὶ περὶ τῆς γυναικός τε καὶ ἀνδρὸς εἰς τὴν κύησιν προπαρασκευῆς· καὶ τῆς κυησομένης δοκιμασίας.

Γυνὴ ἥτις θαμὰ κυϊσκομένη ἐοῦσα, πέπαυται κυϊσκομένη, φλεβοτομείσθω δὶς τοῦ ἐνιαυτοῦ ἀπὸ τῶν χειρῶν καὶ τῶν σκελέων. [33] Ην τινι ὀδύναι ἐν τῷ ἰσχίῳ, ἢ ἐν τῇ κεφαλῇ, ἢ ἐν χερσὶν, ἢ ἄλλοθί που τοῦ σώματος, ὅταν δὲ κύῃ ἐκλείπωσιν, ὁκόταν δ' ἀπολυθῇ ἀπὸ τῶν μητρέων, ἐνέωσι· ξυμφέρει [34] τὰ εὐώδεα καὶ πίνειν καὶ προστίθεσθαι πρὸς τὸ στόμα τῶν μητρέων. Οταν τινὰ ἰητρεύῃς γυναῖκα κυήσιος ἕνεκεν, ὁκόταν δοκέῃ κεκαθάρθαι καὶ τὸ στόμα καλῶς [35] ἔχειν τῶν μητρέων, λουσάσθω καὶ σμηξάσθω τὴν κεφαλὴν, [36] μὴ ἀλειψάσθω δὲ μηδενί· ἔπειτα ὀθόνιον ἄοδμον περιθεῖσα περὶ αὐτὰς τὰς τρίχας πεπλυμένον, κεκρυφάλῳ πεπλυμένῳ ἢ μηδενὸς ὄζοντι καταδησάσθω, τὸ ὀθόνιον [37] ἐπιθεῖσα πρῶτον, ἔπειτα ἀναπαυέσθω προσθεμένη χαλβάνην πρὸς τὸν στόμαχον, ἑψήσασα καὶ μαλθάξασα ἐς πῦρ, καὶ μὴ εἰς τὸν ἥλιον. ἔπειτα πρωῒ ἀποδυσαμένη [38] τὸν κεκρύφαλον μετὰ τοῦ ὀθονίου, ὀσφραίνεσθαι παρεχέτω τινὶ τὴν αὐτῆς κορυφήν· καὶ ἢν μὲν ὀζέσῃ, καλῶς ἔχει τῆς καθάρσιος· [39] ἢν δὲ μὴ, κακῶς· ἄσιτος δὲ ταῦτα ποιείτω. καὶ ἢν μὴ τεκοῦσα ᾖ, οὐδέποτε ὀζέσει, οὔτε καθαιρομένη, οὔτ' ἄλλως, οὐδ' ἢν κυεούσῃ προσθῇ, οὐδ' οὕτως καλῶς ὀζέσει· ἥτις δὲ κυΐσκεται θαμέως, καὶ ἀεικύμων ἐστὶ, καὶ ὑγιαίνει, [40] ἢν μὴ προσθῇς μηδὲ καθήρῃς, ὀζέσει αὐτῆς ἡ κορυφὴ, ἄλλο δὲ οὐδέν. ὅταν δὲ δοκέῃ καλῶς ἔχειν πάντα, καὶ δέῃ παρὰ τὸν ἄνδρα ἐλθεῖν, ἡ μὲν γυνὴ ἄσιτος ἔστω, ὁ δὲ ἀνὴρ ἀθώρηκτος, ψυχρῷ λελουμένος, καὶ σιτηθεὶς τὰ ξύμφορα. καὶ ἢν γνῷ ξυλλαβοῦσα τὴν γονὴν, μὴ ἔλθῃ τοῦ χρόνου πρὸς τὸν ἄνδρα, ἀλλ' ἡσυχαζέτω. γνώσεται δέ· ἢν μὲν ὁ

CAPVT VIII.

De mulieris non ampliùs concipientis præseruatione; de dolorum post conceptionem desinentium, & post partum redeuntium curatione; de mulieris & viri ad conceptionem præparatione; ac concepturæ exploratione.

D *Quæ crebrò mulier concipiebat, si concipere desierit, bis in anno manuum & crurum venam sibi secari iubeat. Sicui in coxendicibus dolores, aut capite, aut manibus, aut alterâ quadam corporis parte fuerint, & vbi concepit, desinant, quum verò liberatus est vterus, rursus insint; conducit odorata tum bibere, tum ad vteri os apponere. Quum mulieri alicui conceptûs gratiâ medeberis, vbi perpurgata esse, osque vteri benè habere videbitur, lauetur & caput detergeatur, nullo autem vnguento illinatur. Deinde linteo in-* E *odoro loto circumdatos ipsos capillos, reticulo lauto aut nihil olenti obliget, primum imposito capiti linteo; posteà galbano cocto & ad ignem, non solem, emollito, ad os vteri apposito, quiescat. Deinde manè exuto reticulo cum linteo, verticem suum alicui olfaciendum exhibeat; ac si quidem oluerit, probè purgata est; sin minùs, malè. Hæc autem ieiuna faciat. Quæ si conceptura non sit, nec purgata, nec aliàs vnquàm olebit, neque si prægnanti subdatur, sic probè olebit. Quæ verò* F *crebrò prægnans futura est, facilè concipit, ac sana est; etiamsi subdititium non apposueris, neque purgaueris, eius vertex olebit, aliud verò nihil. Quum verò probè omnia habere apparuerint, & ad virum accedere oportuerit, mulier quidem ieiuna sit, vir autẽ minimè ebrius, frigidâ lotus, & commodis alimentis nutritus. Quòd si nouerit se genituram concepisse, tunc temporis virum non adeat, sed quiescat. Cognoscet autem; si quidem vir se semen*

se semen emisisse dicat, mulier verò præ siccitate ignoret. Si verò uterus rursùm geniturum ad pudenda reddiderit, & ipsa humecta fuerint, rursus cum viro coeat, quoad concipiat.

CAPVT IX.

De mulieris bimestres aut vetustiores fœtus perdentis causis, & curatione.

Quæ mulier concipit quidem, fœtus autem bimestres perdit, exactè eodem tempore, neque priùs, neque posteriùs, idque bis terue perpessa fuerit; imò si trimestres, aut quadrimestres, aut etiam maiores ad eundem istum modum perdiderit; his uteri in maiorem amplitudinem non ampliùs increscunt, si fœtus augeatur, & bimestre aut trimestre spatium, aut quantulumcúnque tempus superet, vel si quando aliàs augeatur, uteri non ampliùs capiendo fœtui esse possunt, sed hac de causâ eodem tempore perditur. Huic cucurbitula ad uterum apponenda, quâ summotâ, eum per huiusmodi subdititia medicamenta quàm maximè inflare oportet. Cucumeris agrestis medullam tusam & cribratam, deinde paucam melle copiosiore cocto subigito, parúmque laseris adiicito. *Mel autem coctum esto. Hoc* medicamento *specillum obductum, & eâ crassitudine redditum, quam uteri osculum suscipiat, subdatur ad os uteri, introque quò ad eius interiora penetret, impellatur. Liquefacto verò medicamento, specillum educatur; &* elaterium eodem modo præparatum, *similiterque colocynthis syluestris apponatur. Atque per hoc tempus edat allia quamplurima, & laseris caulem, & quicquid in ventre flatum creat. Tertio verò quoque die subdititium subdat, quoad probè habere videatur, eâ copiâ quam recipiet. Intermedijs* diebus, *mollientibus utendum. Postquàm verò uteri os emollientibus præparatum fuerit, quum* menses *apparuerint, quiescat; ubi verò sicca fuerit,* viro *commisceatur.*

CAPVT X.

De uteri velut à tuberculo post partum, aut ex abortu, aut aliâ causâ, suppurati curatione.

Si cui uterus suppuratus fuerit, aut à partu, aut ex abortu, aut quomodocunque aliàs, neque aliter in alueo & tunicâ, velut in tuberculo assolet, *pus fuerit; huic specillum linitorium in uteri os demittere confert. Minùs enim ustione opus erit, si specillo cesserit. Posteà erucas ex tithymalide collectas, velut aculeos habentes, quos sensim excindito, ne pabulum effluat; deinde sole siccatos terito. Quinetiam vermes stercorarios eodem modo in sole siccato, deinde terito. Et erucæ quidem duorum obolorum Æginensium pondus, vermium autem duplum, & anisi pusillum, aut aliquid id genus permisceto. Mali enim odoris medicamentum euadit. Ista autem lauiter trita, vino albo odorato diluito; &*

A ὁ μὲν ἀνὴρ φῇ ἀφιέναι, ἡ δὲ γυνὴ ἀγνοῇ ὑπὸ ξηρότητος. Ἢν δὲ ἀποδιδοῖ πάλιν ἡ μήτρη τὴν γονὴν ἐς τὰ αἰδοῖα, [42] καὶ γένηται ὑγρή, πάλιν ξυμμισγέσθω, μέχρις ἂν συλλάβῃ.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν τῆς γυναικὸς δίμηνα ἢ πλέονα χρόνον γεγονότα φθειρούσης αἰτίων, καὶ τῆς θεραπείας.

B [43] Γυνὴ ἥτις κύσκεται μὲν, διαφθείρει δὲ δίμηνα τὰ παιδία, ἀκριβῶς ἐς τὸν αὐτὸν χρόνον, καὶ μήτε πρότερον, μήθ' ὕστερον, καὶ τοῦτο πάθῃ δὶς [44] ἢ τρὶς· ἀλλὰ [45] καὶ ἢν τρίμηνα, ἢ τετράμηνα, ἤν τε πλέονα χρόνον γεγονότα διαφθείρῃ κατὰ τὸν αὐτὸν τοῦτον τρόπον, [46] ταύτῃσιν αἱ μῆτραι οὐκέτι διδόασιν ἐπὶ μεῖζον, τοῦ παιδίου αὐξανομένου, καὶ ὑπερβάλλοντος τοῦ ἐκ τοῦ διμήνου, ἢ τριμήνου, ἢ ὁπηλίκου [47] ἤν ποτε, ἂν ἄλλοτε μὲν αὔξηται, αἱ δὲ μῆτραι οὐκέτι εἰσὶν ἱκαναὶ, ἀλλὰ κατὰ τοῦτο διαφθείρεται ἐς τὸν αὐτὸν χρόνον. C [48] Ταύτῃ χρὴ σικύην ἐμπλῆσαι ἐς τὴν μήτρην· δεῖ οὖν [49] ἀποποιῆσαι, καὶ φυσῆσαι ὡς μάλιστα προσθέτοισι φαρμάκοισι τοῖσδε. τῆς σικύης τὴν ἐντεριώνην κόψαντα διασῆσαι, ἔπειτα ἐν μέλιτι ἑφθῷ μίξαι ὀλίγῳ πλείονι ὄντι τῷ μέλιτι, καὶ σιλφίου ὀλίγον· τὸ δὲ μέλι κάθεφθον ἔστω. τοῦτο περιπλάσαι περὶ μήλην, τὸ πάχος ποιέοντα ὁκόσον παραδέχεται ὁ στόμαχος· προστιθέναι δὲ καὶ πρὸς τὸ στόμα τῆς μήτρης, καὶ ὦσαι ὅκως ἂν περήσῃ ἐς τὸ εἴσω τῆς μήτρης. ὅταν δὲ D ἀποτακῇ τὸ φάρμακον, ἐξελεῖν τὴν μήλην, καὶ τὸ ἐλατήριον ὧδε ποιέων, προστιθέναι, καὶ τῆς κολοκυνθίδος τῆς ἀγρίης ὡσαύτως. καὶ ἐσθιέτω τοῦτον τὸν χρόνον, σκόροδα ὡς πλεῖστα καὶ καυλὸν σιλφίου, καὶ ὅ, τι φῦσαν ἐμποιεῖ ἐν τῇ κοιλίῃ. προστιθέσθω δὲ τὸ πρόσθετον διὰ τρίτης τῆς ἡμέρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν, τὸ πλῆθος [50] ὁκόσον προσίεται· τὰς δὲ μεταξὺ, μαλθακτηρίοισι χρῆσθαι. ἐπειδὰν δὲ καταστῇ τοῖσι μαλθακτηρίοισι τὸ στόμα τῆς μήτρης, [51] μετὰ τὸ ἐπιφανῆναι ἐπιμείνασαν, [52] ὁκόταν δὲ ξηρὴ, μίγνυσθαι.

E

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ μήτρας ὥσπερ ἐκ φύματος μετὰ τόκον, ἢ ἐκ διαφθορῆς, ἢ ἑτέρας αἰτίας, ἐμπύου, θεραπείας.

[53] Ἢν τινι ἂν ἡ μήτρη ἔμπυος γένηται, ἢ [54] μετὰ τόκον, ἢ ἐκ διαφθορῆς, ἢ ἄλλως πως, [55] καὶ μὴ ἐν τεύχει ἑτέρως καὶ χιτῶνι τὸ πύον, ὥσπερ ἐπὶ φύματος, ἢ ξυμφέρει [56] ταύτην μήλην ὑπαλειπτρίδα καθιέναι ἐς τὸ στόμα τῆς μήτρης· [57] ἧσσον γὰρ δεήσεται καύσιος, F εἰ χωρήσειε πρὸς τὴν μήλην. ἔπειτα κάμπας τὰς ἀπὸ τῆς τιθυμαλίδος ξυλλέξας, [58] ὥσπερ δὲ κέντρα ἔχουσιν, αὐτὰς ἀποτάμνειν ἡσυχῇ, ὅκως ἂν ἡ φορβὴ μὴ ἐκρυῇ· ἔπειτα ξηραίνειν αὐτὰς ἐν ἡλίῳ, καὶ τρίβειν· καὶ τοὺς σκώληκας δὲ τοὺς κοπριῶνας ὡσαύτως ξηραίνειν ἐν τῷ ἡλίῳ, ἔπειτα [59] τρίβειν. καὶ τῆς μὲν κάμπης δύο ὀβολοὺς σταθμῷ Αἰγιναίους, τῶν δὲ σκωλήκων διπλάσιον, καὶ ἀννήσου ὀλίγον παραμίξαι, ἢ τῶν τοιουτοτρόπων τινός· κακῶδες γάρ ἐστι. ταῦτα δὲ τρίψας λεῖα, διεὶς [60] οἴνῳ λευκῷ εὐώδει·

καὶ ἐπὴν πίῃ, βάρος ἐπιγίνεται, καὶ νάρκη ἐμπίπτει ἐν τῇ γαστρί. ἢν οὖν ἐπιγένηται, μελίκρητον ἐπιπινέτω ὀλίγον.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν τῆς γυναικὸς ὑπὸ τῆς ἀτεκνίας κακοπαθούσης, ἤδη δὲ κυησάσης καὶ τετοκυίας, αἰτίων ἀπὸ τῶν τῆς ὑστέρας παθημάτων, καὶ τῆς θεραπείας.

[61] Κυήσιος δὲ καὶ παιδοποιΐης ἥτις δεῖται, καὶ [62] ἄτεκνος ἐοῦσα, καὶ ἤδη κυήσασα, ἐοῦσα δὲ τεκνοῦσα, ἢ ὅταν ὁ στόμαχος ξηρὸς ᾖ [63] ἀκρόπαθος, ἢ ξυμμεμύκῃ, καὶ μὴ ὀρθῶς ᾖ, ἀλλὰ πρὸς τὸ ἰσχίον ἀπεστραμμένος τὸ ἕτερον, ἢ ἐς τὸν ἀρχὸν [64] κεκρύφῃ, ἢ ἀνεσπάκῃ ἑωυτὸν, [65] ἢ τὸ χεῖλος ἐπιβάλῃ τοῦ στομάχου ὁκόθεν οὖν ἐφ' ἑωυτὸν, ἢ τρηχὺς, καὶ πεπωρωμένος ᾖ (σκληρὸς δὲ γίνεται καὶ ἀπὸ συμμύσιος, καὶ ἀπὸ πωρώσιος) ταύτῃσι τὰ ἐπιμήνια οὐ φαίνεται, [66] ἢ ἐλάσσονα τοῦ δέοντος, καὶ διὰ πλέονος χρόνου ἐπιφαίνεται. ἔστι δὲ ἐν ᾗσι τὰ ἐπιμήνια, καὶ κατὰ ὑγείην [67] τοῦ σώματος καὶ τῶν μητρέων τὴν ἔξοδον, εὑρίσκεται, καὶ κατά γε τὸ ξύμφυτον καὶ δίκαιον, καὶ ὑπὸ θερμότητος καὶ ὑγρότητος τῶν ἐπιμηνίων καὶ τοῦ στομάχου μὴ κάρτα βεβλαμμένου. τὴν δὲ γονὴν διὰ τοῦτο οὐ δέχεται [68] κατὰ τὴν βλάβην, ἤν τις ἢν κωλύῃ ἀπὸ τοῦ στομάχου μὴ καλῶς ἔχοντος τοῦ δέχεσθαι. Ταύτην χρὴ πυριήσαντα τὸ σῶμα ὅλον, διδόναι πίνειν φάρμακον, καὶ κάθαρσιν ποιήσασθαι τοῦ σώματος πρῶτον, ἤν τε ἄνω καὶ κάτω δέηται, ἤν τε ἄνω μοῦνον· καὶ ἤν τε ἄνω διδοῖς τὸ φάρμακον, μὴ πυριῆν [69] πρότερον τῆς καθάρσιος, πυριήσας δὲ [70] μεταπίσαι κάτω· ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνωτερικοῦ, προπυριήσας, κάτω πίσαι. ὅταν δὲ δοκέῃ καλῶς ἔχειν καθάρσιος τὸ σῶμα, μετὰ τοῦτο πυριῆν τὰς μήτρας, ἐγκαθίζοντα αὐτὰς πυκνὰ, [71] ἂν δοκέῃ ξυμφέρειν· ἐπιβάλλειν δὲ ἐς τὸ πυρίημα, κυπαρίσσου ῥινήματα, καὶ δάφνης φύλλα κόψας, καὶ λούειν πολλῷ καὶ θερμῷ. ὅταν δὲ νεόλουτος ᾖ καὶ νεοπυρίητος, διευρύνειν τὸ στόμα τῆς μήτρης τῇ μήλῃ τῇ κασσιτερίνῃ, καὶ ἀνορθοῦν ὅπῃ ἂν δέηται· ἢ μολιβδαίνῃ, ἀρξάμενος ἐκ λεπτῆς, εἶτα [74] παχυτέρης εἰ παραδέχηται, ἕως ἂν δοκέῃ καλῶς ἔχειν. βάπτειν δὲ τὰς μήλας ἐν ἑνὶ τῶν μαλθακτηρίων διειμένῳ, ὅταν δὲ δοκέῃ ξυμφέρειν, ὑγρὸν ποιήσας. τὰς δὲ μήλας ποιέειν ὄπισθεν κοίλας, εἶτα περὶ ξύλοισι μακροτέροισιν ἁρμόσαι, καὶ οὕτως χρῆσθαι. τὸν δὲ χρόνον τοῦτον πινέτω, καθεψοῦσα ἐν οἴνῳ εὐώδει λευκῷ καὶ ὡς ἡδίστῳ γλυκεῖ, δᾷδα ὡς πιοτάτην καταξύσασα λεπτὰ, καὶ σελίνου καρπὸν κόψασα, καὶ κυμίνου Αἰθιοπικοῦ καρπὸν, καὶ λιβανωτὸν ὡς κάλλιστον. τούτου πινέτω νῆστις, ὁκόσον ἂν δοκέῃ μέτριον εἶναι πλῆθος, ἡμέρας ὁκόσας ἂν δοκέῃ ἅλις ἔχειν· καὶ ἐσθιέτω [73] σκυλάκια ἑφθὰ, καὶ πολύποδα ἐν οἴνῳ [74] ἑφθὸν γλυκεῖ, καὶ τοῦ ζωμοῦ πινέτω· καὶ κράμβην ἑφθὴν, καὶ οἶνον λευκὸν ἐπιπινέτω, καὶ μὴ διψήτω, καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης· σιτίων δὲ ἀπεχέσθω τοῦτον τὸν χρόνον. μετὰ δὲ τοῦτον, ἢν μὲν χωρέῃ κατὰ τὸν στόμαχον, καὶ φαίνηταί τι ἔξω καθάρσιος, πίνειν τε ἔτι τοῦ πόματος ἡμέρην μίαν καὶ δύο, καὶ τῇσι μήλῃσι παύεσθαι χρεομένους, καὶ πειρῆσθαι καθαίρειν τὰς μήτρας προσθετοῖσι φαρμάκοισι.

ubi epota fuerint, succedit grauitas, & ventri torpor irruit. Quæ si adfuerint, aquam mulsam paucam insuper potui dato.

CAPVT XI.

De mulieris conceptum & partum iam expertæ, liberorum penuriâ laborantis, causis ab vteri affectibus, & curatione.

Quæ conceptione ac procreatione liberorum indiget, orba liberis, & quæ iam prægnans fuit ac peperit, id ipsi oboritur, quum vteri os siccũ aut summâ parte affectum, aut occlusum fuerit, neque rectè se habuerit, sed in alteram coxendicem, aut ad anum obuersum latuerit, aut sese contraxerit, aut oris labrum in se incubuerit vndecunque, aut asperum & callosum fuerit (durum autem fit tum ab occlusione, tum à callositate) ijs menses non apparent, aut pauciores quàm oporteat, & per longius tempus apparent. Sunt autem in quibus menses, pro corporis sanitate, & vterorum exitum assequuntur, imò naturali & iusto modo vteri etiam osculo non admodùm ex mensium caliditate & humiditate oblæso. Verùm genituram ideò non suscipit ob eam læsionem, si qua prohibeat genituram ab vtero malè affecto suscipi. Huic fomento per totum corpus admoto, medicamentum purgans propinare oportet, primúmque corpore purgatam reddere, siue suprà & infrà opus fuerit, siue suprà tantùm. Quòd si per superiora medicamentum purgans dederis, antè purgationem ne foueto; fouebis verò, posteà deorsùm purgaturus. Si verò sursùm purgante medicamento non opus esse videatur, fomento præmisso; deorsùm purgans propinato. Quum autem probè purgatum corpus esse videbitur, posteà vteros, si conferre videatur, crebris insessionibus foueto. Ad fomentum verò cupressi ramenta, lauriq; folia contusa immittito, & calidâ multâ lauato. Quum verò recens lota fuerit, & fomentum admiserit, specillo stanneo os vteri dilatandum, & vbi opus esse videbitur, dirigendum. Aut plumbeo vtitor, initio à tenui ducto, deinde crassius adhibeto, si suscipere queat, donec probè habere videatur. Specilla autem aliquo emolliente diluto, & si conferre videatur, liquido reddito, intingito. Specilla ipsa postremâ parte caua facienda sunt, deinde circum longiora ligna adaptanda, sicque ipsis vtendum. Hoc autem tempore potet tedam quampinguissimam tenuiter concisam, in vino albo, odorato, dulci, quàm gratissimo decoctam, & apij semen contusum, & cumini Æthiopici semen, thusque quàm optimum. Ex hoc, quæ moderata copia esse videbitur, quotque diebus satis habere videbitur, ieiuna bibat; & catellos coctos edat, & polypum vino dulci coctum, iusculumq; ipsum bibat, & brassicam coctam, superpoto vino albo, neq; sitiat, & bis die calidâ lauet. Hoc autẽ tempore à cibis abstineat. Ab eo verò tempore, siquidem per os vteri decesserit, & quid purgationis foris apparuerit, vnum atq; alterum diem adhuc potione vtendum, & à specillorum vsu desistendum, tentandáque subdititijs medicamentis vterorum purgatio.

CAPVT

CAPVT XII.

Si mulier ſano vteri oſculo, menſtruorum ſuppreſſione, aut paucitate, aut diuturnitate, aut vitio, non concipiat, vteri morbos, & cauſas prohibitæ conceptionis ſcrutari oportet; ac de eius curatione; medicamentis vehementioribus vteri oſculum vlcerari.

CVicunque verò, vteri oſculo recto, magno, ſano, benéque habente, & in loco decenti ſito, menſtrua nequaquam apparuerint, vel pauciora, & per longius tempus, miniméque ſana, morbo quo vteri laborant inueſtigato, & ſiquid corpus etiam conferat, perueſtigatâ cauſâ ob quam non concipiat, atque hæc ſic ſe habeant, ſi adhibitam curationem ſuſcipiat, medelam facito, initio à valentibus ducto, prout opportunum viſum fuerit. In molliora autem deſinendum, donec vterus ex purgatione benè habere, eiuſque os rectè conſtitutum, & in idoneo ſitu poſitum eſſe videatur. Quod ſi à potu ac medicamento menſtrua *non proceſſerint, etiamſi moderato tempore id biberit, non tamen ab hac potione ceſſandum. Quum verò ex ſpecillorum vſu rectè habuerit, os ſtomachi molliendum, faciendúmque vt dehiſcat, ad viam medicamento ſubdititio faciendam, ex medicamentis ad ſuffitum aptis & emollientibus comparato. Quum verò ex emollitione & ſuffitu bene habuerit, vteri purgationem per ſubdititium medicamentum facito, donec benè habere videatur, exordio ab emollientibus ad vehementiora ducto, ita vt rurſus in emollientibus, & odoratis deſinas. Vehementium enim medicamentorum plurima os* vteri *vlcerant ac mordent. Deinde tum os rectum & ſanum conſtituito, quò ad ſuſcipiendam genituram bene ſeſe habeat; tum vterum ſiccum reddito, flatúmque inducito.*

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ην ἡ γυνὴ τοῦ στομάχου τῆς μήτρας ὑγιοῦς ὄντος, ἐκ τῆς τῶν καταμηνίων ἀποκρύψιος, ἢ ὀλιγότητος, ἢ χρονιότητος, ἢ κακότητος μὴ συλλάβηται, τὰ τῆς μήτρας νοσήματα καὶ τὰς αἰτίας κωλυθείσης τῆς συλλήψιος ἐξευρεῖν χρή· καὶ περὶ τῆς αὐτῆς θεραπείας· καὶ τὸν τῆς μήτρας στόμαχον τοῖς ἰσχυροῖς φαρμάκοις ἑλκοῦσθαι.

Η Τινι δὲ τοῦ στομάχου ὀρθοῦ [75] καὶ μεγάλου, καὶ ὑγιέος ἐόντος καὶ καλῶς ἔχοντος, καὶ ἐν τῷ δέοντι κειμένου, τὰ ἐπιμήνια μὴ φαίνηται πάμπαν ἢ ἐλάσσονα, καὶ διὰ πλείονος χρόνου, καὶ μὴ ὑγιηρά, τὴν νοῦσον [76] ἀνευρὼν, ἣν τινα ἔχουσιν αἱ μῆτραι, ἥν τε καὶ τὸ σῶμα ξυμβάλληταί τι, ἐξευρὼν τὸ αἴτιον, ἀφ' ὅτου οὐ κυΐσκεται καὶ ταῦτα οὕτως ἔχῃ, τὴν ἴησιν ποιέεσθαι προσφέρων, ἣν δέχηται θεραπείην, ἀρξάμενος ἐξ ἰσχυρῶν, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι· τελευτᾶν δὲ ἐς μαλθακώτερα, ἕως ἂν δοκέῃ καλῶς ἔχειν καθάρσιος ἡ μήτρη, καὶ ὁ στόμαχος καθεστηκέναι ὀρθῶς ἔχων, καὶ ἐν τῷ ἐξαρκέοντι κείμενος. Ην δὲ ἀπὸ τοῦ ποτοῦ καὶ τοῦ φαρμάκου μὴ προσχωρήσῃ, μηδὲ πινούσης χρόνον τὸν μέτριον, τουτέου [77] δὲ οὐ παύεσθαι τοῦ πόματος. ὅταν δὲ καλῶς ἔχῃ τοῦ ἀπὸ τῶν μηλέων ἔργου, μαλθάξαι τὸ στόμα τοῦ στομάχου, καὶ ποιῆσαι ὅκως ἀναχάνηται ἐς ὁδὸν τῷ προσθέτῳ, ἀπό τε θυμιημάτων καὶ φαρμάκων καὶ μαλθακτηρίων. ὅταν δὲ δοκέῃ καλῶς ἔχειν μαλθάξιος καὶ θυμιήσιος, προστιθεὶς φάρμακον, κάθαρσιν ποιέεσθαι τῆς μήτρης, ὡς ἂν δοκέῃ καλῶς ἔχειν, ἀρξάμενος ἐκ μαλθακῶν ἐπὶ ἰσχυρότερα, τελευτῶν δὲ αὖθις εἰς μαλθακὰ καὶ εὐώδεα· τῶν γὰρ ἰσχυρῶν φαρμάκων τὰ πλεῖστα ἑλκοῖ τὸν στόμαχον καὶ δάκνει. ἔπειτα τόν τε στόμαχον καθιστᾶν ἐς ὀρθὸν, καὶ ὑγιέα, καὶ καλῶς ἔχοντα πρὸς τὴν δέξιν τῆς γονῆς· καὶ τὴν μήτρην ξηρὴν ποιέειν, καὶ φῦσαν ἐμποιέειν.

CAPVT XIII.

De mulieris ob pinguedinem non concipientis curatione; ver ad conceptionem aptum; de viri ac fœminæ ad conceptionem, & ad maſculi & ac fœminæ procreationem præparatione.

SI mulier vteros præ pinguedine ad conceptum læſos habere videatur, eam quàm maximè extenuato, & ſupra cætera gracilem reddito. Vernum autem tempus ad conceptum maximè accommodatum. Vir autem non inebrietur, neque vinum album bibat, ſed quod valentiſſimum & meraciſſimum ſit, cibiſque veſcatur valentiſſimis; calidâ ne lauet; robuſtus ſit & ſanus, & cibis abſtineat ad rem non conferentibus. Quum marem procreare voluerit, menſibus deſinentibus, aut ceſſantibus miſceatur, & quàm maximè impellat, dum ſemen excernat. At quum fœminam generare voluerit, quum plurimi menſes mulieri prodierint, & adhuc prodeant, coeat; *ac dextrum teſtem, prout maximè tolerare potuerit, obliget; ſiniſter verò, ſi marem procreare expetat, obligandus.*

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ θεραπείας γυναικὸς ὑπὸ πιμελῆς μὴ κυούσης· τὸ ἔαρ τῇ κυήσει ἐπιτήδειον· περὶ τῆς τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐς τὴν κύησιν, καὶ ἀρρενογονίαν καὶ θηλυγονίαν παρασκευῆς.

ΗΝ γυνὴ δοκέῃ ὑπὸ πιμελῆς τὰς μήτρας βεβλάφθαι ἐς τὴν κύησιν, λεπτύνειν ὡς μάλιστα καὶ ἰσχναίνειν πρὸς τοῖσιν ἄλλοισιν. Ωρη δὲ ἐαρινὴ [79] ἀρίστη κυήσιος. Ο δὲ ἀνὴρ μὴ [80] μεθυσκέσθω, μηδὲ οἶνον λευκὸν πινέτω, ἀλλ' ὅστις ἰσχυρότατος καὶ ἀκρητέστατος, [81] καὶ σιτία ὡς ἰσχυρότατα· καὶ μὴ θερμολουτείτω· ἰσχυέτω δὲ καὶ ὑγιαινέτω, καὶ σιτίων ἀπεχέσθω τῶν μὴ ξυμφερόντων τῷ πρήγματι. Οταν βούληται ἄρσεν φυτεύειν, τῶν ἐπιμηνίων ἀποληγόντων ἢ ἐκλελοιπότων μίγνυσθαι, καὶ ὠθέειν ὡς μάλιστα, ἕως ἂν [82] ἐκμαίνηται. ὅταν δὲ θῆλυ βούληται γίνεσθαι, ὅταν πλεῖστα ἐπιμήνια εἴη τῇ γυναικὶ [83] καὶ ἔτι δὲ ὄντων· τὸν δὲ ὄρχιν τὸν δεξιὸν ἀποδῆσαι, ὡς ἂν μάλιστα καὶ ἀνέχεσθαι δύνηται· ἐπὴν δὲ ἄρσεν βούληται φυτεύειν, τὸν ἀριστερὸν ἀποδῆσαι.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῶν φαρμάκων τὸν τῆς μήτρας στόμαχον συμμεμυκότα ἀνοιγνυόντων, καὶ σκληρὸν μαλθασσόντων, καὶ ἀπεστραμμένον ἀνορθούντων.

ΣΤόμαχος μήτρης, ἀπὸ μὲν θυμιημάτων, [84] ξυμμεμυκὼς ἀναχάσκει· ἀπὸ δὲ τῶν μαλθακτηρίων, μαλθάσσεται. θυμιῆν δὲ λωτοῦ φλοιὸν, σπέρμα δάφνης, καὶ φύλλα [85] τῆς αὐτῆς χλωρὰ κεκομμένα, λιβανωτὸν, σμύρναν, ἀρτεμισίης καρπὸν ἢ φύλλα, καὶ ἄννησον κόψας, ἢ στέαρ καὶ κηρὸν, καὶ θεῖον, καὶ κυπαρίσσου σπέρμα, πευκεδάνου ῥίζαν, μυρσίνης φύλλα χλωρὰ κεκομμένα, κάστορος ὄρχιν, ὀνίδας ἄρσενος ὄνου, σκόροδα, στύρακα, ὑὸς στέαρ. κἂν ἀπεστραμμένον ᾖ τὸ στόμα, τουτέοισι θυμιῆν· ἀναχάσκει μὲν οὖν οὕτως καὶ στρέφεται. Μαλθάσσειν δὲ ἀπὸ τουτέων τὸ στόμα τῆς μήτρης. σανδαράκην, στέαρ αἰγὸς, [86] ὀπὸν συκῆς, ὀπὸν σιλφίου, κυκλαμίνου χυλὸν, θαψίην, ὀπὸν τιθυμάλου, [87] καρδαμώμου καρπὸν, ποίην ἣ καλεῖται πέπλος, [88] κάστορος ὄρχιν, λίνου καρπὸν, λίτρον, ἄρου ῥίζαν, σταφίδα ἀγρίην, καλαμίνθης φύλλα χλωρὰ, στρουθίου καρπὸν, σκίλλης τὸ ἐκ τοῦ μέσου.

CAPVT XIV.

De medicamentis occlusum vteri osculum aperientibus, durum emollientibus, ac distortum erigentibus.

VTeri stomachus occlusus, à suffimentis quidem dehiscit, ab emollientibus verò emollitur. Suffire autem oportet loti corticem, lauri semen, eiusque B *folia viridia contusa, thus, myrrham, artemisiæ semen aut folia; anisum etiam contusum, aut adipem, & ceram, sulphur, cupressi semen, peucedani radicem, myrti folia viridia contusa, castoris testem, asini masculi stercus, allia, styracem, adipem suillum. Si distortum os fuerit, id ex his suffire oportet. Sic quidem dehiscit ac conuertitur. Emollire autem os vteri per hæc oportet, sandaracham, adipem caprinum, fici succum, laseris succum, cyclamini succum, thapsiam, tithymali succum, cardamomi semen, herbam peplum nominatam, castoris testem, lini semen,* C *nitrum, ari radicem, staphin agriam, calaminthæ folia viridia, struthij semen, scillæ interiorem partem.*

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Φάρμακα μαλθακτήρια, καὶ πρὸς τὴν ἰσχυρὴν κάθαρσιν ἐπιτήδεια ἀνακινῆσαι.

ΘΑψίης ῥίζαν, μυελὸν βοὸς, χήνειον στέαρ, ῥόδινον, ταῦτα τρίψασα καὶ ἀναζέσασα προστιθέσθω ἡμέρας τέσσαρας, καὶ πινέτω [89] πράσου χυλὸν, καὶ οἶνον γλυκὺν λευκὸν, καὶ ῥητίνην· καὶ ἔλαιον χλιαρὸν, καὶ κύμινον, λίτρον, [90] ῥητίνην, μέλι, ἐν ῥυπαρῷ ἐρείῳ χρήσθω ἡμέρας τέσσαρας, πίνουσα σελίνου καρπὸν, καὶ λιβανωτοῦ πυρῆνας πέντε, καὶ κύμινον Αἰθιοπικὸν ἐν οἴνῳ λευκῷ ἀκρήτῳ γλυκεῖ· καὶ λουέσθω δὶς τῆς ἡμέρης. Σμύρνα, λιβανὸς, βοὸς χολὴ, ῥητίνη τερεβινθίνη, ἢ νέτωπον, τουτέων ἴσον ἑκάστου μίξασα, προστιθέσθω ἐν ἐρείῳ καθαρῷ ἢ ῥάκει λεπτῷ· βάψασα δὲ τὸ ῥάκος ἐν μύρῳ λευκῷ [91] Αἰγυπτίῳ εὐώδει, καὶ ἀποδήσασα λίνῳ, λουσαμένη προστιθέσθω, καὶ πώλυπον φλάσασα ἐσθιέτω, καὶ πινέτω σελίνου καρπὸν καὶ ἀσπαράγου καὶ οἶνον λευκὸν τρὶς τῆς ἡμέρης νῆστις ἐοῦσα. Σμύρνα, κασίη, λιβανωτὸς, κιννάμωμον, νέτωπον, τουτέων ἑκάστου τὸ ἴσον ἐν ἐρείῳ, ἢ βαλάνους ποιεῦσα, προστιθέσθω. Ἄλλο. [92] Κολοκύνθης ἀγρίης, κύμινον πεφρυγμένον, ἀνήθου καρπὸν, κυπαρίσσου ῥίζαν, ταῦτα τρίψας λεῖα, μέλιτι ἑφθῷ φυρήσας, βαλάνους ποιέων, δίδου προστιθέναι, καὶ πινέτω γλυκυσίδης ῥίζαν, σελίνου καρπὸν, σιλφίου χυλὸν σὺν οἴνῳ. Ἀλλὰ [93] τὸ βόλβιον καὶ αὐτὸ καθαίρει προστιθέμενον. Καὶ σμύρναν πρωτίην, ἄνθος ὀλίγον ἐν οἴνῳ λευκῷ εὐώδει προστίθει.

CAPVT XV.

Medicamenta emollientia, & vehementem purgationem facientia & cientia.

D *THapsiæ radicem, medullam bouis, anserinum adipem, rosaceum, hæc trita & simul feruefacta, per quatriduum apponat, & porri succum, vinúmque dulce album bibat, & resinam. Item oleum tepidum, cuminum, nitrum, resinam & mel, lanâ sordidâ excipiat, & per quatriduum vtatur; & apij semen, thuris granula quinque, & cuminum Æthiopicum in vino albo mero dulci bibat; bisque die lauet. Myrrha, thus, fel bubulum, resina terebin-* E *thina, aut netopum, horum singula æquali pondere mixta, in lanâ purâ aut tenui linteo subdititio apponantur. Linteum autem vnguento albo Ægyptio odorato intinctum, & filo obligatum, lota subdat, & polypum contusum edat, apij & asparagi semen ex vino albo ter die ieiuna bibat. Myrrha, casia, thus, cinnamomum, netopum, singula æquali portione lanâ excepta, aut in glandes efformata, apponantur.* Aliud. *Cucurbitæ agrestis* interiorem partem, *cuminum tostum, anethi semen, cupressi radicem, hæc læ-* F *uissimè trita, & melle cocto subacta, in glandulas efformata, subdito, & pæoniæ radicem, apij semen, & laseris succum in vino bibat. Quin & bulbulus ipse subditus purgat. Et myrrham primariam, & floris æris modicum cum vino albo odorato subdito.*

A

CAPVT XVI.

Medicamenta subdititia ad vterum purgandum maximè idonea.

Recipe æris florem, & nitri tertiam partem, melle cocto subacta, in glandulas quæ tũ magnitudine tum crassitudine mediocres esse videantur, efformato, sicq; ad os vteri apponito. Quod si valentius esse medicamentum velis, elaterium & solum æris florem admisceto, & ita efformatas glandulas subdendas præbeto. Et ficulnei rami corticem derasum ac leuissimè tritum admisceto, quum os vteri siccius esse videbitur, dimidiâ portione eodem modo. Aliud. *Elaterium & æris florem leuiter trita, duas nimirùm æris partes & vnam elaterij, hæc diluito; cyclaminum tritum, prout opportunum esse videbitur, huic admisceto; & subdititia efformata, in lana apponito.* Subdititia albos fluores purgantia. *Artemisiam herbam, nitrum, cyclaminum semiaridum, cuminum* subdito. Aliud. *Artemisiam herbam viridem tritam, & myrrhæ tertiam partem, vino odorato admixto, lanâ albâ obuolutam, vinoque madefactam, subdendam exhibeto. Quum verò laxati fuerint vteri, nitrum, cucumeris agrestis medullam, cyclaminum semiaridum in lanâ apponito.* Subdititia omnis generis purgare valentia. *Staphidem agriam viridem tritam, in glandulas efformatam, artemisiæ herbæ folia trita, melle cocto obducta, & in vmbra siccata, in subdititia redacta, mulieri vt subdat exhibeto.* Aliud. *Æris florem mixtum, aut alumen Ægyptium cyclamino dilutum, velut priora melle cocto obducito, vel in ficum siccam, etiam myrrhæ modicum indito.* Aliud. *Cyclaminum tritum vino albo odorato admixto, in linteo tenuissimo, filo puro obligatum, subdendum exhibeto.* Aliud. *Cyclaminum semiaridum, nitrum, cantharidas, adipem, sandaracham* subdito.

ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

Φάρμακα πρόσθετα, εἰς τὸ τὴν μήτραν καθῆραι ἐπιτηδειότατα.

Λαβὼν ἄνθος χαλκοῦ, καὶ λίτρου τρίτον μέρος, μέλιτι ἑφθῷ φυρήσας, βαλάνους ποιῆσαι, ὁκόσαι ἂν δοκέωσι μέτριαι εἶναι μέγεθος καὶ [95] πάχος, οὕτως προστίθει πρὸς τὸ στόμα τῆς μήτρης. ἢν δὲ βούλῃ ἰσχυρότερον εἶναι, ἐλατήριον παραμίξαι, καὶ τὸ ἄνθος μοῦνον, καὶ οὕτως ποιέων δίδου προστίθεσθαι· καὶ κράδης [95] παραμιγνύναι φλοιὸν, ξύων καὶ τρίβων λεῖον, ὅταν τὸ στόμα δοκέῃ ξηρότερον εἶναι τῆς μήτρης, τὸ ἥμισυ ὡσαύτως. Ἄλλο. Τρίψας ἐλατήριον, καὶ ἄνθος χαλκοῦ λεῖα, δύο μοίρας ἄνθους, ἐλατηρίου δὲ μίαν, ταῦτα διεῖναι· κυκλαμίνου τρίψας, ταύτῃ ἀναμίξαι, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι· καὶ ποιησαμένην πρόσθετα, προστίθεσθαι ἐν εἰρίῳ. [96] Πρόσθετα λευκὰ καθαρτικά. Ἀρτεμισίην τὴν ποίην, λίτρον, κυκλάμινον ἡμίξηρον, κύμινον. Ἕτερον. Ἀρτεμισίην ποίην χλωρὴν τρίψας, καὶ σμύρνης τρίτον μέρος, οἴνου ἀναμίξας εὐώδεος, εἰρίῳ λευκῷ περιελίξας αὐτὸ, ἐν οἴνῳ τε βρέξας, δὸς προστίθεσθαι. Ὅταν δὲ [97] χαλῶσιν αἱ μῆτραι, λίτρον, σικύης ἐντεριώνην, κυκλάμινον ἡμίξηρον ἐν εἰρίῳ προστίθει. Πρόσθετα παντοῖα καθαίρειν [98] δυνάμενα. Σταφίδα ἀγρίην τρίψας χλωρὴν, περιπλάσας, ἀρτεμισίης ποίης τρίψας τὰ φύλλα, [99] φλοιῷ τε πλάσας, καὶ ξηρήνας ἐν σκιῇ· ἀπὸ τουτέου ποίει πρόσθετα, καὶ δίδου τῇ γυναικὶ προστίθεσθαι. Ἄλλο. Ἄνθος μιγνὺς χαλκοῦ, ἢ στυπτηρίην Αἰγυπτίην διεὶς τῇ κυκλαμίνῳ, ὥσπερ τὰ πρότερα ἐν ἑφθῷ μέλιτι πλάσας, ἢ ἐν ἰσχάδι ποιήσας, καὶ σμύρνην ὀλίγην. Ἄλλο. Τὴν κυκλάμινον τρίψας [100] τὴν λευκὴν, οἴνῳ εὐώδει παραμίξας, ἐν ῥάκει δήσας ὡς λεπτοτάτῳ, λίνῳ καθαρῷ, δίδου προστίθεσθαι. Ἄλλο. Κυκλάμινον ἡμίξηρον, λίτρον, κανθαρίδας, στέαρ, σανδαράχην.

B C D E

CAPVT XVII.

De virginis menstruis maturis non prodeuntibus laborantis, indéque epialâ febricitantis, symptomatis, & curatione.

De virgine. *Virgini quum menses maturi non prodeant, multùm & febricitat & dolet, sitit, esurit, vomit, insanit, ac rursùs ad mentem redit. Vteri mouentur, & quum ad viscera vertuntur, vomitus, & febris, ac delirium ipsi accedunt. At vbi cessant, esurit & sitit, & febris epialos detinet. Huic pelles agninas cum villis calidas ad ventrem apponere oportet, ipsique super amphoræ collo desidenti, suffitu in ipsa pudenda quàm penitissimè fumum immittere; myrrham fabæ magnitudine, & thus duplâ portione, hæc mixta & feruefacta, simul confracta ad suffitum adhibeto, & in ignem inijcito, maximè quum ieiuna est, multâque calidâ lauato.* Sub-

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

Περὶ τῆς παρθένου διὰ τὰ ὡραῖα καταμήνια μὴ γενόμενα νοσούσης, καὶ ἐντεῦθεν τῷ ἠπιάλῳ πυρεταινούσης συμπτωμάτων καὶ θεραπείας.

Περὶ παρθένου. Παρθένῳ ὁκόταν τὰ ὡραῖα μὴ γίνηται, [101] πολλὰ καὶ πυρεταίνει καὶ ὀδυνᾶται, διψῇ, καὶ πεινῇ, καὶ ἐξεμεῖ, καὶ μαίνεται, καὶ πάλιν σωφρονεῖ. κινέονται αἱ μῆτραι, καὶ ὁκόταν πρὸς τὰ σπλάγχνα τράπωνται, ἐξεμεῖν, καὶ πυρέσσειν, καὶ παραφρονεῖν αὐτῇ ἔρχεται· ὅταν δὲ ἀπολίπωσι, πεινῇ καὶ διψῇ, καὶ [102] ἠπίαλος πυρετὸς ἔχει. Χρὴ ταύτῃ γε ἀρνακίδας προστιθέναι θερμὰς πρὸς γαστέρα, καὶ ὑποκαπνίζειν ἐς αὐτὰ τὰ αἰδοῖα ὅτι μάλιστα, ἐπ' ἀμφορέως αὐχένι καθίσας· σμύρνης ὅσον κύαμον, λιβανωτόν τε δὶς ὅσον, [103] τοῦτο μίξας καὶ ζέσας, ἐρηρεισμένας ὁμοῦ θυμιῆν, καὶ ἐπὶ τὸ πῦρ ἐπιβάλλων, νῆστις ὡς μάλιστα, καὶ λούειν πολλῷ θερ-

F

μῷ. Προσθετόν. Αἰγυπτίην στυπτηρίην[104] μαλθακὴν εἰρίῳ περιελήσασα, προστιθέσθω. Ἄλλο. Ἀρτεμισίην τρίψας, ἐν οἴνῳ τε λευκῷ διεὶς, δίδου προστιθέναι.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῶν φαρμάκων τῶν ἐν νεοτόκῳ γυναικὶ κινητικῶν λοχείων, περιαπίπτουσαν τὴν μήτραν ἀνορθούντων, καὶ ἀλγοῦσαν καταπραϋνόντων, μαλακτικῶν καὶ καθαρτικῶν.

ΝΕοτόκῳ γυναικί. Ῥόδινον, σμύρνην, κηρὸν, μίξαντα, ἐν εἰρίῳ διδόναι προστίθεσθαι. Ὅταν δὲ οἱ προσπέσωσιν αἱ μῆτραι, τὰ ξηρὰ καὶ στρυφνὰ προσφέρειν, καὶ πίνειν, καὶ προσέχειν·[105] σῦκον μέλαν, σκόροδον, λίτρον, κύμινον, ταῦτα πάντα τρίψας λεῖα, ἐν εἰρίῳ διδόναι προστίθεσθαι.[106] Ἕτερον. Σηπίης ὄστρακον κόψας λεῖον, ἐς οἶνόν τε διεὶς, σὺν λαγωοῦ θριξὶ καὶ εἰρίῳ προστίθεσθαι. Ἢν δὲ μετὰ τόκον τὰς ὑστέρας ἀλγέῃ, πτισσάνην καὶ πράσα, καὶ στέαρ αἴγειον ἑψήσασα, ῥοφείτω τούτου ὡς ὀλίγιστον.[107] Προσθετόν. λίτρον, κύμινον, σύκου τὸ ἴσον. Καθαρτήριον προσθετὸν καὶ μαλθακτήριον. Νέτωπον, ῥόδινον μύρον, χηνὸς ἄλειφαρ, ἐς ὀθόνια λεπτά. Ἢν τὰ ἐπιμήνια πολλὰ[108] χωρῆται, γλυκυσίδης κόκκους τοὺς μέλανας δὶς ἑπτὰ πίνειν ἐν οἴνῳ δυσὶ κυάθοις. Ἢν δὲ ἐξέρχονται αἱ μῆτραι πυκναὶ, βρέξας ὕδατι χλιαρῷ τὰς μήτρας, ὑπτίην ἀνακλίνας· μίξας σίδιον, κηκίδα, ῥοῦν τὴν ἐρυθρὴν, ἐν οἴνῳ λευκῷ διατρίψας, τούτῳ χρίσας ἐντιθέναι· ἔπειτα πίσαι δάφνης φύλλα ἐν οἴνῳ αὐστηρῷ. Ὅταν γυνὴ κύουσα προσρέηται, ὀνίδα ξηρὴν, καὶ μίλτον, καὶ ὄστρακον σηπίης, ταῦτα τρίψασα λεῖα, ἐν ῥάκει ἀποδήσασα προστιθέναι. Ἢν δὲ μὴ καθαρθῇ τὸ ὕστερον, λεαίνειν ἐν οἴνῳ λευκῷ ὅσον κυάθου, καὶ τρίψας ὀβολὸν Ἀττικὸν διδόναι πίνειν, καὶ καθαίρεται.

A Subditium. *Alumen Ægytium liquidum, lanâ inuolutum subdat.* Aliud. *Artemisiam tritam, & vino albo maceratam, subdendam exhibeto.*

CAPVT XVIII.

De medicamentis puerperæ recens enixæ lochia cientibus, procidentem vterum erigentibus, ac dolentem mitigantibus, emollientibus, & purgantibus.

B PVerperæ recens enixæ. *Rosaceum, myrrham, ceram, mixta, in lana subdenda præbeto. Quum verò ipsi vteri prociderint, sicca & acerba, tum bibenda, tum admouenda offerenda sunt; ficum nigram, allium, nitrum, cuminum, hæc omnia læuiter trita, in lana subdenda dato.* Aliud. *Sepiæ testam læuissimè tusam & vino maceratam, cum leporinis pilis in lana subdito.* C *Quòd si à partu vteri doleant, ptisanam, porrum, & adipem caprinum coquat, ex eo modicum sorbeat.* Subdititium. *Nitrum, cuminum, fici tantúndem.* Purgans subdititium & emolliens. *Netopum, rosaceum vnguentum, anserinus adeps, tenuibus linteis excepta. Si menses multi prodeant, pæoniæ grana nigra bis septem ex vini cyathis duobus propinato. Si verò vteri crebrò elabantur, muliere supinâ reclinatâ, vteros tepidâ perluito; admixto mali punici putamine, gallâ, rhoe rubrâ in vino contritâ, eo illitum vte*D*rum intrò reponito. Deinde lauri folia ex vino austero propinato. Quum autem mulier grauida menses habet profluos, stercus asininum siccum, minium, sepiæ testam, læuiter trita, linteo obligata apponito. Si verò secundæ non purgentur,* elaterium *oboli Attici pondere tritum in vini* albi *cyathi mensura potui dato, & purgabitur.*

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΟΔΟΝΤΟΦΥΙΑΣ, ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS DE DENTITIONE, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἐκ τῆς τῶν παιδίων καταστάσεως, καὶ τῆς θρέψεως, καὶ διαχωρήσεως, καὶ ἐξουρήσεως, καὶ τοῦ γάλακτος ἐμέτου, καὶ τῆς ὀδοντοφυΐας, καὶ τῶν αὐτῆς συμπτωμάτων, κριτικά τινα καὶ προγνωστικά.

ARGVMENTVM LIBRI.

Ex puerorum statu, nutritione, tum alui tum vrinæ excretione, & lactis vomitu, ac dentitione, dentitionisque symptomatis, indicia ac prognostica.

1. PVERI *naturâ corpulenti, non pro corpulentiæ ratione lac sugunt.*

2. *Voraces, quique copiosum lac trahunt, non pro ratione corpulenti euadunt.*

3. *Lactentium puerorum, qui copiosè mejunt, annui minimè viuunt.*

4. *Quibus copiosè profluit aluus, & bellè concoquunt, ij magis sanitate fruuntur.*

5. *Quibus modicè* fertur aluus, *& sunt voraces, neque pro ratione enutriuntur, morbis sunt obnoxij.*

6. *Quibus multum lacteum vomitione refunditur, ijs aluus sistitur.*

7. *Quibus in dentitione aluus multoties subducitur, ij minùs conuelluntur, quàm quibus ita paucies.*

8. *Quibus in dentitione febris acuta oboritur, ij rarò conuelluntur.*

9. *Quicunque dentientes bene habiti manent, & altiori somno premuntur, periculum est ne conuulsione corripiantur.*

10. *Qui per hyemem dentiunt, cæteris similibus existentibus, meliùs defunguntur.*

11. *Non omnes in dentibus conuulsi intereunt, sed & multi sospites euadunt.*

12. *Qui cum tussi dentiunt, ijs tardiùs dentes erumpunt; verùm in punctione magis extenuantur.*

13. *Quicunque dentientes hyemem assequuntur, hi etiam decenter curati dentitionem faciliùs ferunt.*

14. *Qui copiosiùs mejunt, quàm deijciunt, pro ratione, uberiùs nutriuntur.*

A α'. Τὰ φύσει εὔτροφα τῶν παιδίων, οὐκ ἀνάλογον τῆς σαρκώσιος καὶ τὸ γάλα θηλάζει.

β'. Τὰ βορὰ καὶ πολὺ ἕλκοντα γάλα, οὐ πρὸς λόγον σαρκοῦται.

γ'. Τὰ πουλὺ διουρέοντα τῶν θηλαζόντων, ἥκιστα ἐνιαύσια.

δ'. Ὁκόσοισι πολλὴ φέρεται ἡ κοιλίη, καὶ εὐπεπτοῦσιν, ὑγιεινότερα.

ε'. Ὁκόσοισιν ὀλίγη, βορεοῖσιν ἐοῦσι, καὶ μὴ ἀνάλογον τρεφομένοισιν, ἐπίνοσα.

B ς'. Ὁκόσοισιν δὲ πουλὺ γαλακτῶδες ἀπεμεῖται, κοιλίη ξυνίσταται.

ζ'. Ὁκόσοισιν ἐν ὀδοντοφυΐῃ ἡ κοιλίη πλείω ὑπάγει, ἧσσον σπῶνται, ἢ οὕτως ὀλιγάκις.

η'. Ὁκόσοισιν ἐπὶ ὀδοντοφυΐῃ πυρετὸς ὀξὺς ἐπιγίνεται, ὀλιγάκις σπῶνται.

θ'. Ὁκόσα ὀδοντοφυοῦντα εὔτροφα μένει, καταφορικὰ ἐόντα, κίνδυνος σπασμὸν ἐπιλαβεῖν.

ι'. Τὰ ἐν χειμῶνι ὀδοντοφυοῦντα, τῶν ἄλλων ὁμοίων ἐόντων, βέλτιον ἀπαλλάσσει.

C ια'. Οὐ πάντα τὰ ἐπὶ ὀδοῦσι σπασθέντα, τελευτᾷ· πολλὰ δὲ καὶ διασώζεται.

ιβ'. Τὰ μετὰ βηχὸς ὀδοντοφυοῦντα, χρονίζει· ἐν δὲ τῇ διακεντήσει, ἰσχναίνεται μᾶλλον.

ιγ'. Ὁκόσα ἐν τῷ ὀδοντοφυεῖν χειμῶνας ἔχει, ταῦτα καὶ προσεχόντως ἠγμένα, ῥᾷον φέρει ὀδοντοφυΐην.

ιδ'. Τὰ διουροῦντα πλέον ἢ διαχωροῦντα πρὸς λόγον, εὐτροφώτερα.

ιε'. Ὁκόσοισιν οὐρέεται μὴ πρὸς λόγον, κοιλίη δὲ πυκνῶς ὠμὸν ἐκ παιδίων διαχωρεῖ, ἐπίνοσα.

ιϛ'. Τὰ εὔυπνα καὶ εὔτροφα πουλὺ ἀναλαμβάνειν καὶ παράκειται οὐχ ἱκανῶς [2] διωκειμένον.

ιζ'. Τὰ προεσθίοντα ἐν τῷ θηλάζειν, ῥᾷον φέρει ἀπογαλακτισμόν.

ιη'. Τὰ πολλάκις [3] προϊέντα δίαιμον καὶ ἄπεπτον κατὰ κοιλίην, πλεῖστα τῶν ἐν πυρετῷ ὑπνώδεα.

ιθ'. Τὰ ἐν παρισθμίοις ἕλκεα ἄνευ πυρετῶν γιγνόμενα, ἀσφαλέστερα.

κ'. Ὁκόσοισιν ἐν τῷ θηλάζειν τῶν νηπίων βὴξ παρεσίσαται, σταφυλὴν εἴωθεν μείζονα ἔχειν.

κα'. Ὁκόσοισιν ταχέως ἐν παρισθμίοις νομαὶ [4] ἐφίστανται, τῶν πυρετῶν μενόντων καὶ βηχίων, κίνδυνος πάλιν γενέσθαι ἕλκεα [5] τὰ παλινδρομήσαντα.

κβ'. Ἐν ἰσθμίοις ἕλκεα τοῖσιν [6] ὁμοίοισι κινδυνώδη.

κγ'. Τοῖσι παιδίοισιν ἀξιολόγοις ἕλκεσιν ἐν παρισθμίοισι, καταπινομένων, σωτηρίας ἐστίν.

κδ'. Ὁκόσα δὴ μᾶλλον τῶν πρότερον μὴ δυναμένων καταπίνειν ἐν παρισθμίοισιν ἕλκεσι, πολὺ τὸ χολώδες ἀνεμεῖσθαι, ἢ κατὰ κοιλίην ἔρχεσθαι, κινδυνώδες.

κε'. Ἐν τοῖσιν ἐν παρισθμίοισιν ἕλκεσιν ἀραχνιῶδές τι ἐὸν, οὐ ἀγαθόν.

κϛ'. Ἐν τοῖσι παρισθμίοισιν ἕλκεσιν μετὰ τοὺς πρώτους χρόνους, διαῤῥεῖν φλέγμα διὰ τοῦ στόματος, πρότερον οὐκ ὂν, χρήσιμον· ὅμως ἀνακτέον. ἢν δὲ ἄρξηται ξυνδιδῶ πάντως, ἀσμενιστέον· τὸ δὲ μὴ οὕτως διαῤῥέον, εὐλαβητέον.

κζ'. Ῥευματιζομένοις παρίσθμια, κοιλίη κατενεχθεῖσα πλείω λύει τὰς ξηρὰς βῆχας.

κη'. Παιδίοισιν ἀνενεχθέν τι πεπεμμένον, πλείω λύει.

κθ'. Τὰ πολλῷ χρόνον ἐν παρισθμίοις ἕλκεα ἀναυξῆ μένοντα, ἀκίνδυνα πρὸ τῶν πέντε ἢ ἓξ ἡμερέων.

λ'. Τὰ πουλὺ γάλα τῶν θηλαζόντων ἀναλαμβάνοντα, ὡς τὸ πολὺ ὑπνώδη.

λα'. Τὰ μὴ εὐτροφέα τῶν θηλαζόντων, ἄτροφα καὶ δυσανάληπτα.

λβ'. Ἕλκεα ἐν θέρει γιγνόμενα ἐν παρισθμίοις, χείρονα τῶν ἐν τῇσιν ἄλλῃσιν ὥρῃσιν· τάχιον γὰρ νέμεται.

λγ'. Τὰ περὶ σταφυλὴν νεμόμενα ἕλκεα ἐν παρισθμίοισιν, σωζομένοισι τὴν φωνὴν ἀλλοιοῖ.

λδ'. Τὰ περὶ φάρυγγα νεμόμενα ἕλκεα, χαλεπώτερα καὶ ὀξύτερα, ὡς ἐπιπολὺ δύσπνοιαν ἐπιφέρει.

15. *Qui non pro ratione mejunt, sed à pueris aluus cruda crebrò deijcit, ij morbis sunt obnoxij.*

16. *Qui benè dormiunt, & benè habiti sunt, ij copiosum alimentum assumunt, quod apponitur non sufficienter distributum.*

17. *Qui dum lac sugunt, intereà cibum capiunt, ij faciliùs ablactationem ferunt.*

18. *Qui sæpè cruentum ac crudum per aluum demittunt, plerique in febre somnolenti sunt.*

19. *Quæ in tonsillis citra febrem oriuntur vlcera, securiora sunt.*

20. *Quos infantes, dum lac sugunt, tussis obsidet, ij vuam maiorem habere consueuerunt.*

21. *Quibus celeriter in tonsillis nomæ superueniunt, febribus ac tussi perseuerantibus, periculum est ne vlcera recurrentia suboriantur.*

22. *In faucium angustijs vlcera in similibus in*fantibus *periculosa.*

23. *Quibus pueris insignia sunt in tonsillis vlcera, si deglutiant, salutis signum est.*

24. *Qui verò in tonsillarum vlceribus magis quàm priores deuorare nequeunt, his copiosam bilem reuomere, aut per aluum prodire, periculosum.*

25. *In tonsillarum vlceribus siquid araneosum insit, non bonum.*

26. *In tonsillarum vlceribus post prima tempora, pituitam per os effluere; quod priùs non fuit, utile; reducenda tamen est. Quod si quum inceperit, omninò remiserit, lubenter amplectendum; si autem non sic effluat, verendum.*

27. *Quibus tonsillæ destillationibus vexantur, aluus vberiùs subducta aridas tusses soluit.*

28. *Pueris quid concoctum supernè eductum, ampliùs soluit.*

29. *Tonsillarum vlcera multo tempore citra incrementum manentia, ante quinque aut sex dies periculo vacant.*

30. *Qui mammam sugentes copiosum lac assumunt, vt plurimùm somniculosi sunt.*

31. *Qui mammam sugentes non probè aluntur, macilenti sunt, ac ægrè reficiuntur.*

32. *Quæ æstate tonsillarum vlcera generantur, quàm quæ alijs tempestatibus oriuntur, deteriora sunt; celeriùs enim serpunt.*

33. *Serpentia circa vuam tonsillarum vlcera, sospitibus vocem alterant.*

34. *Serpentia circa fauces vlcera, molestiora, & acutiora, vt plurimùm spirandi difficultatem adferunt.*

DE PICA

DE PICA VITIOSO APPETITV, EX GALENO PER AETIVM.

VITIOSAM ciborum qualitatem concupiscunt, qui in tuniculis ventris superfluum vitiosum recrementum imbibitum habent. Id autem maximè mulierculis vitioso humore repletis euenire solet, quum vterum ferunt, & vocatur hic affectus pica. Concupiscunt autem in ea maximè quidem acida & acerba, aliquando etiam acria, quandoque etiam terram, aut testas, aut extinctos carbones, aut alios quosdam absurdos cibos; atque hoc affectu plures ex ipsis infestantur vsque ad secundum aut tertium mensem completum; in quarto verò quiescere incipit malum, partim quidem vitioso humore per vomitum euacuato, partim verò concocto & per tempus consumpto, vtpote quum mulier modico cibo vsa sit, propter appetitûs A ab edulijs nutrientibus auersionem. Quin & fœtus in vtero auctus plurimùm alimenti ad se trahit, adducto simul cum sanguine & vitiato humore. Porrò idem affectus viros quoque infestat, quum & ipsis vitiatus humor quispiam ad os ventris fuerit delapsus. Conueniens autem eis remedium, Amazonum pastillus potatus existit; post verò etiam ex aloe confectio, picra appellata. Euacuato autem plurimo vitioso humore, exhibendus est eis mali punici dulcis succus, menthâ siccâ inspersâ, aut aliud quippiam eius generis, quod est ad stomachi subuersiones ac nauseas præscriptum. Conueniunt etiam muriâ conditæ oliuæ albæ, & quæ colymbades appellantur; item amygdalæ amaræ à ieiunis acceptæ, & antidoti ad lethalia pharmaca aptæ. Quomodo verò à pica appellato morbo mulieres infestatas curare oporteat, in muliebribus remedijs dicetur.

GALENO ASCRIPTVS LIBER DE GYNÆCEIS, ID EST DE PASSIONIBVS MVLIERVM.

CENSVRA.

Ieiuna prorsus & angusta tractatio.

DE passionibus mulierum & matricum vtile prouidi vobis scribere. Superuenientium enim diuersarum & plurium passionum in matrice, aliquæ periculosæ & insanabiles fiunt: ob quam rem turpitudinem non proferendam censeo, quoniam abscondere periculosum est. Fit igitur in ore matricis dolor & symptoma forte: & si cito non occurratur, vulnera in ipsa fiunt. Et quandoque ad hypochondria supposita suffocationem facit: & ad cor dolor superuenit fortissimus: & nominata consequitur amara saliua, velut si aceto & aquâ os adimpleatur: & tibiæ frigidę fiunt: & caput & lingua formicitant: & vox deficit. *Cura.* Sub matrice ponenda est lana inuoluta balsamo, aut oleo amaracino, aut alio qualicunque benè redolenti. Naribus verò offer asphaltum molle: & vomica cum capillis nigrientibus, aut pennis coruinis in acetum immissis pro vomica, offer naribus sternutamenta: & soluto ore & linguâ ad loquendum, bibendum est castorium cum vino: & digitum tinctum in oleo naribus offer. Lana autem supposita sit, donec sanetur: quia si tolletur, reuertetur passio. Si autem matricis descensio in vesica dolores magnificet, & fiat formicatio tibiarum, vrina concludatur: dum vis sanare, huic offer bene olentem myrrham, & omne suauissimi odoris quod inueneris: ad matrices verò appone inolentes suffumigationes, vsque dum restituatur. *Fumigatio.* Ad matricum suffocationes, si vox deficiat, & ad periculum mortis B deuenerit, vt per os potiones recipere non possit, suffumigatione succurritur. Rutam viridem frica, & confert. Item sulfur cum aceto naribus impone. Item asphaltum in carbones pone, & nares suffumiga. *Potio ad idem.* Succus vrticæ colatus, datus in vino aut melicrato, mox iuuat. Item in periculo castorium in vino bibat. Aut castorium, & anisum in oxymelite. *Sternutatio ad idem.* Elleborum album, asphaltum, castorium tere, & offer naribus. *Pessarium ad idem.* Ruta cum melle bono linias os matricis. *Ad idem.* Lenticulas infunde in vino, & posteà tere, vellere calefacto collige, & appone: C mirificum est. *Item quæ in pectine habent dolores, quasi vespam incidentem.* Apium tere cum castorio & adipe anseris, & pessarium impone. *Item ad eas, quibus facta est Aphonia de Suffocatione matricis.* Picem in lanam mollem inuolue, & pessarium impone. *Ad dolorem Matricis propter Abstinentiam viri, vt contingit sæpè viduis, & virginibus, & quarum viri diutiùs absunt.* Fit autem illis dolor, nausea, saliua, tibiæ frigent, & quæ in matricum suffocationem contingunt, patiuntur (ad eius curam adhibenda sunt, quæ in genesia Cleopatræ leguntur capitulo deci- D mo) item febris acuta, eleuatio ventris & duritia, dolor renum & stomachi, anaptæ, nausea phlegmatica aut quasi acetosa aut cholerica, vrinæ detentio, strictio ventris, fastidium, sitis aspera, lingua nigra quasi atramento tincta, dolor ceruicis & in genis, tempora saliunt & oculi, dolent extremitates digitorum & vngulæ: & si in natura deponent digitum, sentiunt magnum calorem, & siccitatem, & duritiam, & strictum os matricum. Axungiam porci virginis cum melle aduna, & post balneum suppone: hoc etiam ad omnem passio-

nem matricis prodest. *Item ad Illas quae Tumorem habent, nec faciunt aliquid sanguinis.* Adipem anseris misce in lana, & suppone. *Item ad eas quae antè & retrò patiuntur in coxa, & per totum ventrem, neque surgere neque dormire possunt.* Butyrum medullæ ceruinæ misce, & vtere. *At Dolorem Matricis.* Ceræ citrinæ, ceruinæ medullæ, terebinthinæ, adipis anatis, opii obolos duos: cum oleo cyprino vtere in pessario: facit ad ignem sacrum, & febrem, in fistulis apostasim, atque caliginem, & punctionem, & vlcera; & alia multa. *Item ad pectinis dolorem, dorsi, & ventris, & frontis, & quandiù stare non potest.* Adipem anserinum & myrrham cum mero vino teres, & in linteo pones. *Ad eas, quæ Dolorem Matricis patiuntur.* Si cum viro dormiunt, si hæc passio perseuerat, colicæ fiunt. Vniuersaliter autem hæ latas venas habent, penitùs libidinosæ, natura tumescit plus intus quàm foris, patent palpebræ oculorum, quando concumbunt. Curabis sic: Lac mulieris quæ masculum lactat, & cerusam misce, & calefac, & pone pessarium in ore matricis. Item galbano cum rosis simul vtere. Item oui assi inure modicum & rosaceum impone pessario. *Ad Inflationem & Apostemata Matricis.* Butyrum cum opio & rosis aduna, & in melle pessario appone. Suffumiga sic: ceram, terebinthinam, vel sagapenum carbonibus appone, superposito emmoto. *Si Lumborum dolor, & circa Matrices Prurigo, in natura & in ventre humidior, tunc nanque iam patet se rheumaticam factam. Cura.* Ireos radicem succo mali granati misce: & ecligma facies postquam vrinam fecerit. *Ad Cancrum Matricis, cuius hæc sunt signa, dolor in ventre & sexu, vt putet se spinam vel lignum in corpore habere: aliquando effusio sanguinis cum vrina.* Betam syluaticam, & alumen scissum, & nitrum in ligno tere, & cataplasma impone. Item succum solatri cum adipe anserino in pessario. Item raphanum tempera cum eo, & vtere. *Ad vlcera Matricis.* Ceram, myrrham, & adipem porcinum, cum melle in lana suppone. Item oui testam assam, siselon, cum rosis misce & impone. *Ad Matricem frigidam.* Si frigida fuerit, dolet, & sanguinem profert, frigidus sudor superuenit. *Cura.* Terebinthinæ, mellis, adipis anserini, ana: misce & vtere. Item artemisiam, adipem anserinum, oleo rosarum misce & impone. *Signa ventositatis matricis.* Renum amotis & intestinorum, conducit ei ventrem & clausa dolorem concitant. *Cura.* Myrrham in nigro vino bibat, scilicet temperatè. Item medullam ceruinam tere, & misce rosis ad crassitudinem mellis, & fac pessarium. *Matricis Hydropicæ signa.* Nares muscusæ, oculi nigri, torpet per loca calida. *Cura.* Cyminum, vuam passam, sal modicum pinse, & misce, & pessarium appone. Item rubi radicem coque, & bibat ieiuna. *Ad Matricem clausam.* Bdellium tempera, & appone, ac suffumiga. *Si matrix exiuerit, & tardauerit, & foris vulnerata fuerit.* Terebinthinæ, medullæ vitulinæ, opii, croci, rosarum, cicutæ pessarium impone. *Ad Hæmorrhoidas in ore matricis.* Coronam spinæ tere, & superasperge. *Ad Rheumatismum album, vel aquosum, vel rubrum, vel sanguineum, aut nigrum, sine dolore, aut cum dolore.* Sanabis sic: Papauer cum vino nigro bibant: & testam oui contere, & appone in capite funium ceræ cum olibano, & impone. Item acaciam tere cum aceto, & appone in lana. *Signa Matricis plenæ humoribus.* Vlceribus nimis impletur: extrema oculorum fiunt sanguinea, febres assiduæ, & acutæ. *Cura.* Cyperum & rutam cum vino albo temperata ieiuna bibat ad cotylam vnam, & non plus. *Ad Effusionem sanguinis matricis.* Grana vuæ siccæ tere, & cum vino da: aut folia viridis maluæ. *Si ex Partu contingit sanguinis fluxus.* Corion basilicon incende, & tere, cum aceto inuolue, & impone in pessarium. Item lapathii succo intinctum pessarium appone. *Si ex partu natura plagata fuerit.* Testiculos tauri etiam solue cum aqua frigida, & cum rosis liquefactis lineo in panno cum modico croci impone. *Si verò consuetudine super menstrua venerit.* Cineres vitis teras, & in linteo imponas: vel calcem teras, & similiter apponas. *Potio ad idem.* Radicem myricæ & corticem tere, & cum vino bibat. *Si Matrix ex partu vlcerata fuerit.* Helenium butyro veteri misce, & fac pessarium, & suppone. *Ad Consuetudinem prouocandam.* Piperis grana commisce staphidi agriæ, da post balneum cum vino, & citò subueniet. Item centauream tere cum foliis in aqua, & fac pilulas, & impone ori matricis. Item rubiam, nigellam, & myrrham, ana, cum vino bibat. *Ad Rhagadias in ore matricis.* Coronam spinæ, gallas omphacinas tere, & vnge adipe anserino, vt adhæreat puluis, & super sparge: facit & ad condylomata. *Ad eas quæ non pregnantur.* Castorii, piperis grana xii, vino communi simul temperata cum pulegio bibat. *Vt non conceperit.* Nitrum in ore matricis in modum ciceris post concubitum mittat. *Vt cognoscat, si sua culpa, aut culpa viri est, quòd non concipiat.* Vasa fictilia duo signa, intus posito hordeo, & ibi fac eam & eum vrinare, & pone in loco frigido per xii dies: cuius hordeum ingerminauerit, eius culpa est. *Vt cognoscat, an prægnans masculum vel fœminam in vtero habeat, & Cognoscat, si suà culpà aut culpà viri non concipiat.* Apium cum radice sua capiti eius appone, ipsâ ignorante: & si primò nominauerit dum loquetur, masculum, masculum: si fœminam, fœminam pariet. *Vt fœmina concipiat.* Vuluam leporis siccam tere, & ambo bibant & edant. *Vt cognoscat, si conceperit.* Si collum calidum habet, dorsum frigidum, concepit: si verò æquale corpus, non. *Ad eam quæ priùs fœcunda fuerit, posteà sterilis facta est.* Folia mali grani sicca tere, & cum melle fac pessarium digitorum quatuor: & post purgationem impone diebus tribus, vt non tollatur. Et vuam passam cum granulis suis tere, & fac pessarium vt dictum est: & quando coagulata stillauerit, cognoscat virum. *Ad violatam, vt non cognoscatur.* Alumen scissum, gallas omphacinas cum vino aminæo tere, & fac encathisma. Item cum succo pastinacæ collige, & fac magnitudinem orobi, & apponatur per vnam horam antequàm coeat. *Ad Tumorem vberum.* Betam oleo coque, donec soluatur, & sic tere, & simul ceram solue, & cataplasma impone. *Item ad Vbera vlcerata.* Portulacam tere cum oleo rosæ, & linteo impone. *Ad duritiem vberum & inflationem, & vlcera, & crassitiem, & omnem passionem.* Caulem viridem tere, & cataplasma fac. Succum autem eius spissum line. *Item ad Vlcera, & Cancrum, & Diatasin.* Folia hederæ coque fortiter, & cataplasma, & ex apozemate fomenta. *Ad Lac augendum.* Lumbricorum viuorum 31 tere, & cum melle bibat, vt non cognoscat. Item lac vaccinum, aqua calida salsa, vel marina fomenta, & posteà cum vino calido bibat.

RENATI

RENATI CHARTERII,

IN SINGVLOS TOMI SEPTIMI LIBROS ΤΩΝ ΠΑΘΟΛΟΓΙΚΩΝ

HIPPOCRATIS ET GALENI, CONCISÆ NOTÆ, AC VARIÆ LECTIONES.

ΠΑΘΟΛΟΓΙΑ *propriè dicitur* ὁ τῶν παθῶν παρὰ φύσιν λόγος, *idem ac apud authorem definitionum* τὸ παθογνωμονικὸν, *quod definitur* τὸ περὶ τὴν διάγνωσιν τοῦ παρὰ φύσιν ὄντος, pars medicinæ, quæ in rei præter naturam dignotione versatur. *Quod autem præter naturam est, triplex traditur, morbus, causa morbi, & symptoma; quæ tria* τοῦ πάθους καὶ διαθέσεως παρὰ φύσιν *vocabulis comprehenduntur. Morbus,* ἐκτροπὴ τοῦ σώματος ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν, *affectus est præter naturam actionem primò per se lædens corporis. Triplex genus morbi, similare, organicum, & commune; multiplices verò morbi species. Causa morbi, affectus est præter naturam morbum parturiens; cuius tria genera quoque constituuntur,* τὸ προκαταρκτικόν, τὸ προηγούμενον, καὶ τὸ συνεκτικὸν, causa euidens, causa antecedens, & causa continens seu coniuncta. *Vt autem causarum explicatio* ἡ αἰτιολογία, *sic morborum doctrina propriè* παθολογία *à Medicis appellatur. Symptoma* ἐστὶ τοῦ πάθους ἐπιγέννημα, morbi consectarium, *definiturque affectus præter naturam, qui morbum, velut vmbra corpus, sequitur. Id quoque genere triplex; actionis læsio, simplex corporis affectio, & excretorum retentorúmque vitium. At morborum, causarum morbi, & symptomatum scientia ac theoria,* παθολογία *est, quod hæc morbos, causas morbi, & symptomata scrutetur, doceat, contineat. Et quæ* τὰ παθολογικὰ *nominantur tum Hippocratis, tum Galeni opera, hocce tomo conclusa, pathologiam vniuersam ac particularem edocent, quemadmodùm concisis cuiusque libri notis subsequentibus luculenter innotescit. Sed licet hic tomus* τῶν παθολογικῶν *inscribatur, tamen multa* θεραπευτικὰ *complectitur opera, præsertim quæ sunt Hippocratis.*

---

1. IN GALENI LIBRVM DE MORBORVM DIFFERENTIJS, Pathologiæ I.

1. HOc primum Galeni opus pathologicum, liber est περὶ διαφορᾶς νοσημάτων, *de Morborum differentijs*, inscriptus, in quo quid, & quotuplex morbus, explicatur. Imò quid sanitati & morbo commune sit; quot morborum genera ac differentiæ; quid morbus similaris, organicus, & comunis; quid morbus simplex & compositus, hic docetur. Itaque morbi definitio, ac diuisio traditur. An hic genuinus Galeni fœtus? Genuinum equidem docet consueta authori dictio, licet longiori oratione Asiaticus Galenus non deprehendatur. Hinc quibusdam sapientissimis Medicis, vt Ioanni Dureto, iudicium fuit, huncce & alios subsequentes de causis & symptomatis morborum inscriptos libros Aristotelem condidisse. Versionem seu interpretationem duplicem legimus, alteram Gullelmi Copi, alteram Nicolai Leoniceni. Prior equidem dictioni Græcæ collata, minùs respondet; posterior Græco textui magis consona dictiones quasdam exoticas inserit, vtriusque tamen ope nostram versionem conditam edidimus, quam cum tribus Regiis codicibus manuscriptis contulimus.

3. συνθέσει. M. R. Interp. & doctores] θέσει Cod. Bas. p. 2. l. θων.

6. In M. R hic tit. reperitur. πόσα τὲ πρῶτα καὶ σύμπαντα νοσήματα κατὰ τοὺς ὑποθεμένους ἀπαθῆ τὰ πρῶτα στοιχεῖα. p. 3. l. Επι-

7. Titulus sic reperitur in MSR. πόσα τῶν ὁμοιομερῶν νοσήματα κατὰ τοὺς πάσχειν ὑποθεμένους ἀλλήλοις τὰ πρῶτα στοιχεῖα. p. 4. l. τῶν.

8. μόνους. Bas.] μᾶλλον. MS. p. 6. l. ψυχ'.

9. εἰς τα. Bas.] εἰς αὐτά τα. MS. p. 6.

10. Tit. in MS. talis, περὶ τῶν χωρὶς ὕλης ἐπιρρύτου ὑγρᾶς νοσημάτων p. 6.

11. Quidam codd. antiq. habent, non αὐξανομένων, sed αὐξανομένων, i. inauctis, quæ lectio melior. Riccus. Bas. contra, & interp. p. 8.

12. ἀλλά. Bas.] ἄλλη. Interp. p. 8.

13. αὐτῆς. Bas.] οὐ τῆς Ald. sed malè. p. 9.

14. πρῶτως i. primò, vel primùm, in antiq. cod. vt Riccus censet. p. 9.

15. In MSR. hic tit. scribitur κεφ. περὶ τῶν ὑπὸ τὴν διάπλασιν νοσημάτων λειότητος καὶ τραχύτητος p. 9.

16. θλίβονται] ἔσονται MS. Int. p. 10.

17. τρυθέντες) βρωθέντες MSR. p. 10.

18. ἑτέρων Bas.) ἕτερα MS. p. 10.

19. κατὰ τὸν ἑαυτῶν λόγον, *sui ipsorum ratione.* sic Nicolaus Calaber.] κατὰ τὸν ἑαυτὸν λόγον, *simili ratione*, Leonicenus; *eadem ratione*, Copus. p. 10.

20. βλαβέντος Inter.] βλαπτόντος, Cod. Bas. p. 11.

21. κεκολοβωμένοις) καλουμένοις, vetus Cod. p. 11.

22. Ἀσκληπιός, *Æsculapius.* Leonicenus.] *Asclepiades.* Copus. p. 12.

23. ῥυαί. sic scribunt ferè omnes, sicque scribit Gorrh.] ῥοιαὶ Bas. p. 12.

24. χέφεται Bas.] τρέφεται MS. p. 14.

---

2. IN GALENI LIBRVM DE MORBORVM CAVSIS, pathologiæ II.

HIc secundus pathologiæ Galenicæ liber est, quo morborum tum similarium, organicorum, & communium; tum simplicium & compositorum, causæ omnes tyronibus explicantur, quemadmodùm paucis caput primum edocet. Hoc itaque opus αἰτιολογικὸν est, quum id morborum causas duntaxat explicet. Aduerte librum hunc inscribi τὸ βιβλίον β'. quod sit secundus pathologiæ liber. Sed quum vnicum sit αἰτιολογικὸν βιβλίον, propterea non δεύτερον, sed simpliciter vnum, cum codicibus Medicæ doctrinæ magis consonis inscripsimus. Interpretes huius libri, primi duo à nobis cōmemorati sunt, Copus, & Leonicenus,

sed propter enarratas iam prius rationes, nostram versionem Græco textui, & arti medicæ planè consentaneam, & cum tribus manuscriptis Regijs codicibus collatam edidimus.

1. Πόσα Bas.] ὁπόσα M. S. p. 16.
2. Hæc prisci interpretes, quòd irrita sint, omiserunt, non Græci codices.
3. φάρυγγος, Bas.] λάρυγγος Copus. Idem ferè apud authores; sed λάρυγγος propriè. p. 20
4. ἐς ἀεὶ, *quandiu, quoad,* sic Int.] ὅσης ἀεὶ, Bas. p. 23. τὸ αὐτό.
5. ἀπελπιζουσῶν. Bas. ven.] fortè ἀπειλουσῶν. p. 24. l. οὐκ.
6. λυγιζουσῶν. Bas. ven.] κλονουσῶν M. S. p. 25.
7. ἀπεξυσμένα. Bas. ven.] ἀποξυμμένα. M. S. R. p. 25. l. καὶ.
8. θέσεως, *situs.* Bas. interp.] συνθέσεως, compositionis. Copus.
9. διαβρωθέντες, *erosa.* Bas.) τρωθέντες, vet. cod.
10. εἴκειν cod. Bas. ven.) ἥκειν.

3. IN GALENI LIBRVM DE SYMPTOMATVM DIFFErentijs, pathologiæ. III.

TErtius hic liber est τῆς παθολογικῆς Galeni, quò tertius præter naturam affectus explicatur, symptoma nimirum morbi, *consectarium,* ἐπιγέννημα. symptomatum autem tum genera, tum species hîc traduntur. Genera tria, actionis læsio, excretorum & retentorum ἀμετρία, & affectus simplices. Species læsionis actionum tres sunt, imminutio, deprauatio, deperditio seu abolitio. Species quoque ἀμετρίας retentorum & excretorum tres numerantur, substantiæ, quantitatis, & qualitatis. Species affectuum simplicium quinque pro numero sensuum, sub quos hi cadunt, aut quibus qualitates præter naturam immutatæ corporis percipiuntur, aspectabiles visu, audibiles auditu, gustatiles gustu, olfactiles odoratu, & tractabiles tactu. Interpretes duos agnouimus sapientissimos, Guillelmũ copum Basiliensem Doctorẽ Medicum Parisiensem, & Thomam linacrum Anglum, quorum versiones cum textu Græco Basiliensi, & duobus codicibus Regijs contulimus, tertiamque inde versionem Græco textui & & menti Galeni prorsus analogam condidimus.

1. κατορθοῦν. Bas.] κατορθούμενον emendat.
2. ὀνομάσαιμεν, *nominauimus.* Linacer] ὀνομάζομεν, Copus, *nominamus.*
3. διαθέσεις. Interpretes] διαφορᾶς. Ald. malè.
4. θᾶττον, celeriter. Copus, Bas.] μᾶλλον, magis. Linacer.
5. δύσφρασις. Bas. Linacer] δύσφορος. Copus.
6. εἴρηται γὰρ ὅτι Bas. Ven.] in antiq. cod. εἴτ' legitur, *siue.* Cop. Linac.
7. τὰ ὑπ' ἀκουστὰ, *quæ sub auditum cadunt.* hæc dictio in margine cod. Basil non in textûs serie, quod Galenus symptomata ad auditum spectantia non doceat.
8. ἀτμὸν, odorem Copus, halitum Linacer interpretatur.
9. ὑπάρχουσι] ὑπάρχουσα.

4. IN GALENI LIBRVM PRIMVM DE SYMPTOMATVM causis, pathologiæ IV.

QVartus τῆς παθολογικῆς operum Galeni liber symptomatum sentiendi actionibus oborientium causas complectitur, visui, auditui, odoratui, gustui, tactui, orificio ventriculi, primo denique sensui communi. Sed tum libri argumentum, & procemium, tum cuiusque capitis tituli quid doceat liber, dilucidius produnt. Græcum contextum Basiliensem cum vno codice Regio manuscripto, & cum emendato Casauboni codice contulimus, exemplarque perfectius inde redditum, & versionem emendatiorem factam typis mandauimus, sed adiuti sapientissimorum medicorum Copi & Linacri interpretationibus.

1. τῶτο μόνου Bas. Ven.] quidam legunt τούτου μόνου, alij τούτῳ μόνῳ.
2. ὁρμηθεῖσα] πληρωθεῖσα MS.
3. ἐμφαίνοιτο, *appareant.* Copus) ἐμφέροιτο quidam) ἐμφαίνοιτο Bas.
4. ποσότητος legi volunt Copus & Riccus) ποιότητος cod. Bas. & linacer.
5. ἀλαμπρῶν sic interp.) ἀλαμπρῶν cod. Bas.
6. αἰσθήσεως) δυνάμεως. interp.
7. ἤτοι τὰς ἔξωθεν μάντεις Bas. cod. & copus) ἤτοι καὶ αὐτὰς τὰς μάντεις Linacer.
8. καθ' ὁρμὴν, *facultatis* motricis *impetu,* sic versio nostra est & Copi] *voluntariè* vertit Linacer.
9. τοσήματα. MS. Copus & alij) σώματα cod. Bas.
10. ἐναργῶς Bas. Linacer.) ἐνεργῶς Copus.
11. αὐγῆς. sic quidam legunt interpretes, nec malè) αὐτῆς in cod. Bas.
12. ὁ μὲν &c. In manuscripto Regio quædam eduntur & præponuntur hoc titulo inscripta, Διὰ τί ὁ μὲν λευκὸς ὀφθαλμὸς ἐν νυκτὶ μᾶλλον ὁρᾷ, ὁ δὲ μέλας νυστάσιον. *Cur albus oculus noctu magis videt, niger verò è contrario.*

Ο μὲν γὰρ λευκὸς ὀφθαλμὸς ἐν νυκτὶ μᾶλλον ἀκριβῶς ὁρᾷ ἤπερ ἐν ἡμέρᾳ, ὑπὸ γὰρ τοῦ φωτὸς τῆς ἡμέρας μᾶλλον διακρίνεται· ὁ δὲ μέλας ὀφθαλμὸς μᾶλλον ὁρᾷ ἐν ἡμέρᾳ ἤπερ ἐν νυκτὶ, ὑπὸ γὰρ τοῦ σκότους τῆς νυκτὸς ὑπὲρ τὸ δέον συγκρίνεται, ὁ γὰρ &c. *Albus nanque oculus noctu acutiùs, quàm interdiu videt, quòd à diurna luce magis segregetur, niger verò oculus interdiu magis quàm noctu videt, quòd à noctis tenebris supra modum congregetur.* Hic textus videtur addi à docto viro, non (meâ quidem sententiâ) à Galeno, quod scribendi stilus Galeni non sit.

13. ἢ ταύτης ἔτι μᾶλλον ἢ θόρυβος, ἢ γὰρ καὶ &c. sic editi Græci codd. vt Linacer & Leonicenus transtulerunt. Prisci tamen nonnulli & Codd. Manuscr. ita habent. καὶ ταύτης ἔτι μᾶλλον ἡ παντελὴς ἡσυχία, ἀνάλογον γὰρ &c. i. *Atque hac etiam magis absolutum silentium; quippe hoc simile,* &c. sic Copus & Calaber.
14. πνίξεις, *suffocationes.* Copus & alij] δήξεις. Cod. Bas. Linacer *demorsus* vertit, verùm hoc vocabulum hîc irritum est.
15. συνεκτικὸν αἴτιον. Cod. Bas. sed vetusti cæteri codices legunt συναίτιον. i. concausas.
16. καταληφθεῖσι. Bas.] al. καταληφθέντης, marg.
17. λειποθυμήσαντες] λειποψυχήσαντες Bas.
18. πνίξεις, *strangulationes.* sic cod. vet. Interp. Copus & Calaber.] ψύξεις, perfrigerationes. Cod. Bas. & Linacer.
19. φθεγγόμενοι. Bas. } φθεγγόμενοι. MS.
20. ἱκάσοιτο. MS. Interp.] ἱκάσου B.

5. IN GALENI LIBRVM SECVNDVM DE SYMPtomatum causis Pathologiæ V.

QVintus τῆς παθολογικῆς Galeni liber sequitur, qui secundus est de symptomatum causis; in quo totus est Galenus in quærendis causis symptomatum tum motus deprauati, tum functionis animalis principis deprauatæ; ac proinde causæ hîc explicantur paralyseos, stuporis, conuulsionis, tremoris, palpitationis, tussis, pandiculationis, oscitationis, triplicis lassitudinis, horroris, rigoris, sternutamenti, pruritûs, apoplexiæ, epilepsiæ, cari, comatis, lethargi, delirij, torporis, & obliuionis. Libri interpretes celebriores fuere Copus & Linacer, quorum ope & floribus versio nostra concinnata in lucem prodijt, menti Galeni & Græco textui maximè analoga, cum codice manuscripto regio, præclarissimorum medicorum Dureti, Sarraceni & Monaci emendationibus collata & emendata.

1. ἀμφοῖν] ἅμα MS.
2. δυνάμεως. Bas.] φύσεως. MS.
3. αἱ. Bas.] οὐκ εἰσι. MS. Copus.
4. ἔκκρισις, excretio, deiectio. Bas. Copus & rectè) ἔκρυσις, effluxus. Linacer.
5. δέδεικται] λέλεκται. Copus.
6. ἐν τῇ ἔξω φορᾷ, inter exeundum. Linacer] ἐν τῇ ἄνω φορᾷ Gal. in comm. & alij cod. Græci] *in ea quæ sursum fit latione.* Foes.
7. ἄδηλος. cod. Bas.] ἀδηλός. Copus, sic ἀπολείπεται Cod. Bas. Linacer, ἀπολείπεται Copus legit, sed malè.
8. ἐπιφαινόμενόν τις in impress. cod. pro ἰδών τις ἐπιφερόμενον. cod. antiq. & Copus.
9. ἐπιφορήσωσιν MS.] ἐπιφέρουσιν εἰς. cod. Bas. fortè φορηθεῖσαι.
10. πολλῷ Bas.] παμπόλλῳ MS R.
11. διαστέλλεται cod. Bas. Interp.] συστέλλεται M. S.
12. ταχεῖα cod. Bas. & rectè) παχεῖα Aldus, sed malè.
13. ἐπὶ ταύτης Cod. Bas.) ἐπὶ ταύταις MS. R. nec præter rationem.
14. ὑφηγηνται) ὑφηγήσαιτο MS.
15. ἑαυτῆς) ἐν αὐτῆς MS.
16. ἑτέρας Bas) ἑτέρως. MS. Linacer.
17. ἑαυτῶν. Sic cod. Bas. & Venet. sic & Linacer interpretatur, verùm placet mihi Copi versio, αὐτῶν ipsarum.
18. πλῷ σκόλῳ Bas. Cod. Linacer) ἐκπνοῷ Copus ex antiquis codd. verùm in MSR. minimè.
19. δυσαπολύτως) δυσαποσπάστως Cod. antiq.
20. τὸ κέρχειν. i. ὁ κέρχνος, cerchnos, stridulus impetus qui tussim præcedit; proprio vocabulo carent latini, quod κέρχον explicet. Linacer sic explicat, *cerchnos non tussis est, sed exiguus quidam ad tussiendum impetus.* Copus screationem vertit κέρχον, sed malè. Alii raucedinem; alii streperum sonum.
21. δυσκρασία) δυσκρασίαις MS.
22. προσπίπτει) προσπίπτειν MS.
23. μορίων Bas.] ὀργάνων MS. Linacer) Copus, veritas. Sed sæpe pars pro organo scribitur.

24. σφιγγομένων

24. φρυγομένων MS. Interp.] φρυξόντων. B.
25. κινεῖται hæc priùs adduntur in antiq. interpr. ὥσπερ ἐν θυμῷ ὁ λόγος.
26. ἐκπλαγεῖσι] *similiter ijs qui perterrentur*, Linacer. Copus verò sic; *tandem veluti siderati, attonitique.*
27. κινεῖσθαι Linacer, Scopus) Riccus. κινεῖσθαι Cod. Baſ. nec immeritò.
28. Tertius, ſcilicet in ordine librorum de cauſis ſymptomatum.
29. Aph. 23. l. 6.

---

6. IN GALENI LIBRVM TERTIVM DE SYMPTOmatum cauſis, pathologices ſextum.

SExtus τῆς παθολογικῆς Galeni liber eſt, qui tertiùs de ſyptomatum cauſis à pleriſque inſcribitur. In eo nanque ſymptomatū ad naturales functiones, preſertimque nutritionem, ſpectantium, cauſæ explicantur; quemadmodum etiam ſymptomatum, tum excretionis, tum qualitatum ſimplicium. Nam primùm cauſæ ſymptomatum coctionis hîc perquiruntur; deinde diſtributionis; tertiò nutritionis; quartò excretionis per vomitum, per deiectiones, per vrinas, & per poros cutis, excrementorū alui, flatuum, vrinarū, ſudorum, fluxionum à capite. Quintò ſymptomatum vtero oborientium, vt & priapiſmi, gonorrhϾ; denique ſymptomatum qualitatis ſimplicis quę vulgo affectus ſimplices vocantur corporis, & quæ ſub viſum, auditum, guſtum, odoratum, & tactum cadunt. Interpretes legimus Copum & Linacrū, ex quorum doctiſſimis verſionibus, noſtra cum codicibus tum editis, tum manu ſcriptis collata, compoſita eſt.

In manuſcripto codice Regio hi tituli reperti ſunt, qui librum paucis explicant.

Αἰτία βλάβης φυσικῶν ἐνεργειῶν ἢ δυνάμεων.
Αἰτία βεβλαμμένης τῆς πέψεως τῆς ἐν γαστρὶ, ἢ τῆς κατὰ φλέβας καὶ καθ' ἕκαστον μόριον.
Αἰτία τῶν ἄλλων τῶν κατὰ τὴν γαστέρα, ἢ τὰ ἕτερα δυνάμεων βεβλαμμένων.
Αἰτία τῆς κατὰ τὴν ἀνάδοσιν βλάβης.
Αἰτία διακρίσεως τῶν περιττωμάτων βλάβης.
Αἰτία θρέψεως βεβλαμμένης.
Αἰτία τῶν κατὰ φύσιν ἐκκρίσεων τῶν κατὰ τὰς αἱμορραγίας, καὶ κατ' ἐμέτους διαχωρήματα.
Αἰτία συστῶν.
Αἰτία τῶν ἐξ ἥπατος εἰς κοιλίας συρρεόντων.
Αἰτία τῶν ἐν οὔροις συμπτωμάτων.
Αἰτία τῶν παρὰ φύσιν ἱδρώτων.
Περὶ τῆς τῶν φυσικῶν δυνάμεων διαφορᾶς.
Αἰτία τῶν ἀπ' ἐγκεφάλου ῥευμάτων.
Αἰτία τῶν κατὰ μήτραν συμπτωμάτων.
Αἰτία τῶν πριαπισμοῦ καὶ γονορροίας.
Αἰτία τῶν παρὰ φύσεως χρωμάτων ἢ σχημάτων ἢ ὀσμῶν.
Περὶ τῶν ἑπομένων ἀλλήλοις συμπτωμάτων.

1. σημαινούσῃ τῶν φωνῶν. Sic reſtituimus ex Linacro Interp.] σημαινούσης Cod. Baſ. σημαίνοντος ex quodam MS.
2. κακώσεως interpretes & MS.] δυνάμεως, Codd. impreſſi, ſed mendosè.
3. πόμα τῆς γαστρὸς, Cod. Baſ. στόμα τῆς γαστρὸς, ori ipſius ventriculi in antiq. Cod. *ventriculo*, cum Copo poſuimus.
4. πρὸς ἔκκρισιν, eſt in impreſſis, ſed in antiquis codd. πρὸς ἔμετον.
5. κατὰ φύσιν.] παρὰ φύσιν.
7. Hic autem defectus in atrophiis non propriè ad cibum qui aſſumitur, ſed ad materiam in membro nutritioni paratam referendus eſt.
8. τί δεῖ λέγειν ἔτι περὶ τῶν κεραννυμένων. Iam quid de iis quæ miſcentur dicendum ſit B. Cop.] τί δὴ γίγνεται περὶ τῶν κεραννυμένων .i. iam quid fiat in his quæ inter ſeſe miſcentur. Lin. & cod. quidam.
9. ἐκκρίσεως ex cod. Ven. & Linacro Interp. in Cod. Baſ. ita legitur, οὐχ αἵματος ἔκκρισις, ἀλλ' ἑτέρου εἶδος, num meliùs οὐχ αἵματος εἰλικρινοῦς, ἀλλ' ὀρρώδους ἔκκρισις, non ſanguinis ſinceri, ſed ſeroſi excretio.
10. οὐκ ἔθ' ὅτι μένειν *non amplius manere poſſunt*, οὐκ ἔθ' ὅτι βαίνειν *deorſum ferri non poſſunt* Linacer, ſed Cod. omnes priorem textum ſcripſerunt. *Vltra aſcendere nequaquam poſſunt.* Copus vertit.
11. διαφθοραὶ *corruptelæ*, ſic interpretes.] διαφοραὶ, *differentiæ*, aliis, *qualitates.*
12. δυνάται Baſ. δύναιτο MS.
13. διὸ περὶ ἐπιπνευσθὲν γίγνεται τῇ φύσει Linacer, Cod. Baſ.] fortè legendum ἐπὶ κινηθέντι γίγνεται τῇ φύσει, *vtique quod flatui moto ſuperueniat.*
14. ἄτονος imbecillum, Interpr.] ἄπονον Ald. ſed mendosè.
15. ὄγκον, Cod. Baſ. Copus] ὅρον Linacer.
16. ἀτροφίαν, Linacer ſic Interpretatus ex Codd. Antiq. ſed διατροφίαν impreſſi codices continent & *copioſiorem nutritionem* vertunt interp. quidam. Verùm medicè ſcribendum eſt δι' ἀτροφίαν, quòd meatuum conniuentia fiat ob atrophiam, quam inediam Copus vertit.
17. ἀτμοειδῶς, *in vaporis ſpeciem*, Linacer, Codd. impreſſi.] Verùm Copus & cæteri legendum putant, δροσοειδῶς, i. *in roris ſpeciem.* Sic enim aliàs conſueuit loqui Gal. vt 7. meth. c. 6. quando alimentum appoſitum vocat rorem, præterea quod reprobata eſt Heracliti & Aſclepiadis opinio, qui & nutritionem & alia multa per vapores fieri contendebant.
18. ἀποκρίνουσι *excernunt.* Sic habent impreſſi codices, ſic Copus, ſic ratio. Verùm in antiquo Cod. ἀπολήγουσι, i. *ab opere deſiſtunt*, legitur.
19. βραδεῖα tarda] in antiq. βραχεῖα. i. breuis & pauca.
20. ξηρὸν eſt in Ald. i. *ſiccum*] σκληρότερον, i. *durius* MS.
21. Sic hunc textum deficientem reſtituimus ex Aetio & Paulo; ὠχρὸν δὲ ἄλλο τὸ πικρόχολον, ἄλλο δὲ ὑδατῶδες, ἢ ὀρρῶδες. Aliud pallidum, quod eſt bilioſum, aliud aquoſum, & seroſum.
22. οὐδὲ ναυτίας *neque nauſeam*, Copus ac rectè] οὐδ' ἐναντίας *neque contrariam*, Linacer malè.

---

7. IN GALENI LIBROS DVOS DE FEBRIVM differentijs.

ΠΑθολογικῶν operum ſex Galeni, comites duo libri de febrium differentiis eduntur, quòd febris, ſit τὸ πάθος τῆς ὅλης μελέης. Hinc præclarè Philo καθόλου πυρετὸς νόσος ἐστὶν οὐ μέρους, ἀλλ' ὅλου σώματος, *Acceſſio febris, morbus eſt non partis, ſed totius corporis.* His in libris febrium differentiæ traduntur tum eſſentiales, tum accidentales, itaque explicantur febres ſimplices, compoſitæ; imputres, & putridæ; intermittentes, continuæ, & erraticæ; εὐήθεις, κακοήθεις, λοιμώδεις; bilioſæ, pituitoſæ, ſanguineæ, & melancholicæ; quarum aliæ in ſpiritibus, aliæ in humoribus, aliæ in ſolidis partibus accenduntur. Variæ, imò omnes febrium ſpecies, earumque cauſæ, ſymptomata, ac ſigna diagnoſtica & pathognomonica hîc edocentur, ac propriis capitibus continentur. Interea ſtatim ab initio inuehitur Galenus in quoſdam medicos Logicæ diuiſionis imperitos, quòd ſine arte, & methodo logicâ febrem diuidant, atque ita rudes commentarios tradant, ſine arte, œconomia, & ordine; quos ad Philoſophica præcepta proſcribit, quoad rurſum didicerint, quid πλεονασμὸς, ἔλλειψις, ἀφαίρεσις, πρόληψις, πρόσθεσις, ὑπέρβασις, quæ denique vitia & virtutes ſint diuiſionis. Iam verò ex Hippocrate plenam febrium diuiſionem tranſcribit. Ex quo in compendium & certas differentias contrahit. Atque hîc ad aliud methodi genus ſe conuertit, διακριτικὸν. Plato, Hippocrates διαίρεσιν & διακρίσιν appellauit. Ars eſt, quæ iam diſtinctas ſpecies inter ſe comparat, quid in iis commune & proprium, quid idem & diuerſum, quid denique ſimile ac diſſimile, diiudicat. Atque ita partim cōmunibus, partim propriis, ſingularū eſſentiam conſtituit, & difinitione explicat. Rurſus cōſtitutas ſpecies ſubalternans καθ' ὑποδιαίρεσιν appellatā ſecat, atq; iterū ad διορισμὸν redit, eaſq; perſequitur, dum ad poſtremam ventum ſit. Cæterùm horum librorum contextum Gręcum interpretati ſunt duo potiſſimùm authores, alter Nicolaus Leonicenus Vincentinus, alter Laurentius Laurentianus Florentinus. Poſterioris verſionem cum Baſilienſi codice & ſeptem manuſcriptis codicibus Regijs priùs à nobis collatam ac emendatam edidimus.

1. in M.S. reg. cod. hæc comperiuntur. Αἱ διαφοραὶ τῶν πυρετῶν τρεῖς αἱ μὲν κατὰ τὸ μᾶλλον ἢ ἧττον τῆς παρὰ φύσιν θερμότητος· αἱ δὲ παρὰ τὴν ὅλην· αἱ δὲ παρὰ τὴν κίνησιν κυκλικῶς διαφορὰ ἐστιν, ἢ διεστῶσαν ἢ ἐπὶ τρόπον ἐπέχει.
2. ἐπινέμεται occupat] depaſcitur & quaſi ſerpit tranſilitque è ſpiritibus ad humores, & contra, atque hinc etiam ſolidum corpus peruadit.
3. Ex Interpret. dicendum potius ὁρμώμενον.
4. ἀπηλογηκὸν, idem ac ἀπολογικὸν, nec immutanda eſt iam comprobata prior dictio.
5. ἐμφραχθῇ ταῖς ἐν τῷ βάθει διόδοις, Sic codex Baſ. ac rectè, quibuſdam placet ex Interpretibus legi, ἐμφραχθῇ ἡ ἐν τῷ βάθει διόδος.
6. τὰ δ', ſic Baſ. ſic Copus] quidem τὸ δ', ſed ineptè.
7. ὡς τοῖς περιττωματικοῖς συμβαίνει σώμασιν hæc adduntur in quodam cod. verùm inutilia ſunt verba, alibi relata.
8. διάδοσις γίνεται, additur in cod. Græco διὰ τὴν εὐρύτητα τῶν ἀγγείων.
9. ἐφ' ἑαυτῆς, Copus] ἀφ' ἑαυτῆς, Cod. Baſ.
10. ἐφημέρων πυρετῶν.
11. Θεμίσων ὁ τῆς αἱρέσεως μεθοδικῆς ἀρχηγὸς, themiſon ſectæ methodicæ author. MS.R.
12. φαινόμενοι. Baſ. γινόμενοι, M.S.R.
13. ξηρότητα, Baſ.] σκληρότητι. Marg.
14. θρύπτεται, comminuitur, Baſ.] θραύεται conteritur, Laurentianus; θραύεται, Leonicenus.

Eeee

15. διασπείρεται, aliàs διασπειρέται, dispergitur.
16. ξηρότητα) σκληρότητα.
17. τῷ λιμῷ τῷ μεγάλῳ *in magna penuria*, sic Laurentianus.) τῷ λοιμῷ τῷ μεγάλῳ, *in magna pestilentia* Leonicenus.
18. πρὸς τό, Sic Cod. Baſ.) πρὸς τῷ alij.
19. οὐδ' ἱδρῶσι neque sudant Baſ. Laurentianus) οἷς ἐξ ἱδρῶσι in quibuſ. Codd.
20. πρὸ τοῦ ψυχρῶν, B.) πρῶτον τὸ, quid.C.
21. ἐπιμένοντας) fortaſſis, ἐπιμένοντας, emend.
22. ἀκραίων) ἄκρων.
23. ἔνια πυρέττοντα] πνιᾶ πυρετώς.
24. ἀπόθυμος, Intepr.] ἀναπεμπομένης, B.
25. ὥσπερ] fortaſſis ὥσπερ ſi Interp.q.
26. ἢ ὁμοίως τὸν πυρετὸν αὐξάνει. hæc in cod. deſumpta & ab interp probata ſunt.
27. λελύσθ,] λύσθ, MS. πρότεροι, reſtituimus ex interp.
28. δύναμις ex cod. MS.] διάθεσις, Baſ.
29. ἕδρα *focus, ſedes* Interp.] αἰτία causa, B.
30. τὸ ζῶον ὁμαλῶς ἐπιπταίσῃ, rectè ex cod. Baſ] τὸ ζῶον τὸ σῶμα ὁμαλῶς ἐκπιπταίσῃ, quidam ita emendant, ſed irrita hæc emendatio.
31. γυιωδέστερον ἀθροιζομένη, Cod. & interp. ἀθροιζομένη γυιώδης, emendat. Cod.
32. στένωσις, anguſtia) σφίγξις, aſtrictio.

γυιωδέστερον

---

8. IN GALENI LIBRVM DE TYPIS.

Libellum hunc περὶ τύπων Medico dignum eſſe auguramur, etiamſi legitimum Galeni fœtum non eſſe pleriſque placeat; quòd quæ in eo traduntur, eorum nonulla quibuſdam præceptis, alijs in commentarijs Galeni expoſitis repugnent. Nihilominùs quos euoluimus codices, ac interpretes, præter Gadaldinum, ipſum libellum Galeno non vt ſpurium, ſed legitimum aſcribere comperias. In eo de typis agitur, quid typus, & quæ typorum differentiæ, traduntur, ſed contractiùs quam orationem deceat Galenicam. Interpretum quatuor verſiones euoluimus, Calabri, Gadaldini, Ricci, & Andernaci; vltimi verſionē præcipuam cum cæteris, & cum codice manuſcripto Regio collatam ſtudio noſtro emendatam ac redintegratam edidimus.

1. καρώδης) aliàs κωματώδης.
2. μέγας, fortè ὁ μέγας vel μικρός.
3. ὑποπίμελον) ὑποιδον, *ſubtumida.*
4. τρεῖς, ex cod. vet. & emendatione Ricci & interpret. Calabri] δύο. cod. Baſ. Andern.
5. μικρὸς, ſic interp. & C. Baſ.] fortè μέγας, *magnus.*
6. δυσπέπτερος, *minus infeſtat*, Cod Baſ. Andern.] εὐλυτώτερος, *ſolutu facilior: facilius ſoluitur.* Sic Riccus ex vet. Cod. nec temerè.
7. Quidam Codd. antiquiſſimi addunt, *quòdque pulſus ſint imbecillimi.*
8. κινῶν, *mouens* κενῶν *euacuans.*
9. οὐ πάντοτε σύνεχής, *non ſemper continua eſt*; vide tamen in libro de totius morbi temporibus, c. 1. & l. 2. de diff. febr. & alibi, vbi affirmat hanc febrem ſemitertianam ſemper eſſe continuam.
10. *Ac diminutio maior ſit tribus circuitu repetentibus typis, quotidiano, tertiano, & quartano, vt horarum ſit ipſe viginti quatuor*) ex vetuſto cod. Gadaldinus hunc textum refert pro eo à me allato, textui Græco conſentaneo. *Theſſalus autem ſemitertianam eam nominat, quæ dimidio ſit maior, quàm tertiana extenſa in modum quotidiani circuitus, vt ſit horarum viginti quatuor.* Sed Græcè non datur.
11. τῆς ἕξεως, ex Græc. cod. vetuſto *habitus*, ac rectè vt annotat Riccus, & ſequens oratio prodit] ὀρέξεως, appetentiæ Cod. Baſ.
12. Vetus tranſlatio habet. *Pulſus autem quartanarijs non ita frequens, ſicut tertianarijs, neque vſque adeo*, &c. Tu tamen conſidera an alterum, an neutrum Galeni ſententiæ in libris de criſibus & ad Glauconem, & alibi traditæ conſentiat.
13. ἀραιότερος *rarior*, vetuſt. Cod. Riccus, Calaber, ac rectiùs, σφοδρότερος, *vehementior*, Cod. Baſ.
14. Antiqua tranſlatio habet; quarum quædam habent typos, quædam non, & quæ habent typos, quædam typicos dierum motus ſeruant, quædam non: *Et quædam anticipant, quædam autem poſtponunt: inordinatæ ſunt ex eo quòd aliquando ſtant, aliquando autem mouentur, nunquam verò ordinatè.*
15. *Quintus, vnam: ſextus, nullam prorſus: ſeptimus, duas:* Hęc Riccus addidit ex vet. cod.

---

9. IN GALENI LIBRVM ADVERSVS EOS QVI DE typis, aut circuitibus ſcripſerunt.

Hunc librum πρὸς τοὺς περὶ τύπων, ἢ τύπους γράψαντας, ἢ περιόδων. Ad eos, *Qui de typo ſeu de typis ſcripſerunt, vel de circuitibus* inſcriptum Galeni legitimum omnes agnoſcunt, in quo quid typus, typorum differentiæ, ſpecies & implicationes docentur; & quos errores in typis conſtituendis priſci commiſerint, ipſi explicantur. Quidam hunc librum ſuperiori de typis præpoſuerunt, quòd genuinum Galeni fœtum eſſe crediderint. Verſiones duas legimus præclaras, alteram victoris Trincauelli, alteram Guinterij Andernaci. Verùm poſteriorem vt præſtantiorem & græco textui & Galenicæ menti magis conſentaneam cum manuſcripto codice Regio priùs collatam ac emendatiorem redditam typis mandauimus.

1. ἢ τὸ μεῖον ἔχει, marg.] κατὰ τὸ μεῖον, Cod. Baſ.

---

10. IN GALENI LIBELLVM de inæquali intemperie.

Qvum intemperies æqualis vel inæqualis affectus ſit præter naturam, propriuſque partium ſimilarium morbus, propterea hunc legitimum Galeni libellum περὶ ἀνωμάλου δυσκρασίας inter opera παθολογικὰ, libris de febrium differentiis ſuccedentem in ſeruimus; quòd pręſertim nulla ſit febris citra intemperiem, & ipſa febris ſit intemperies cordis ac vniuerſi corporis calida ſicca. Quidam tamen hoc opuſculum inter φυσιολογικὰ poſt libros de temperamentis ediderunt, quòd temperamentorum cognitio intemperiei inæqualis doctrinam aperiat. Libri interpretes duos legimus, Georgium Vallam Placentinum, & Thomam Linacrum Anglum, noſtram vero verſionem Galeni menti, & arti medicæ prorſus cōſentaneā edidimus.

1. ἀκυρωτάτην, maxime ignobilem Baſ. ac rectè] ἀκαιροτάτην, minimè momentaneam, Linacer.
2. ἐπάνοδος, reditus, aſcenſus Baſ. Linacer vertit ἄνω ὁδός.
3. τὴν θερμασίαν ἐπιπινόντων, ſic interpr. legunt, ſed omiſit hæc verba codex Baſ.
4. διψῶσι, *ſitiunt* B.] πυρέττουσι, *febricitant*, Linacer.

---

11. IN GALENI LIBRVM DE MARCORE.

Præclarum ac legitimū Galeni librum περὶ μαρασμοῦ, de marcore, ſiue de tabe inter τὰ παθολογικὰ opera poſuimus, quòd ſit non vnius partis, ſed vniuerſi corporis morbus, viuentis nimirum corporis corruptio, qui cor obſideat priùs neceſſe eſt. Hîc itaque marcoris datur definitio, diſtinctio, differentiæ, cauſæ, ſigna: doceturque marcorem alterum curationem non ſortiri, alterum eſſe ſanabilem. Hîc de certo hominis interitu decreta legūtur, quod vitæ non detur prorogatio, neque humidi primigenij inſtauratio ob penuriā arboris vitæ in Edem ab Altiſſimo procreatæ, cuius fructus aderat homini, ne eſuriret, potus ne ſitiret; & lignum vitæ, ne ſenectus eū deprimeret. Huius libri tum gręcè, tum Latinè à nobis emendati ac illuſtrati verſionem ab Auguſtino Gadaldino conditam, vt aliarum quas vidimus optimam, edidimus.

1. ὅτι Interp) ὡς, Baſ. ſed praue.
2. Poſt ἐπιτήδειαν, quidam ἔχειν, alij εἶναι, volunt addi.
3. ὧν Interp. οἱ Baſ. vtrumque irritum.
4. εἰ, Sic Interp.] ἔπειτα deinde, Baſ.
5. γενέσεως, *generationis*, ſic αἰώνιμος interpres & codex Baſ. ita fert, verùm Auguſtinum Gadaldinum ſequuti ſumus, cuius verſione mens Galeni magis patet: ille legit ac vertit γηράσεως, ἢ γήρως, ſenectutis, ac rectè. Sic ἰάσεως *ſanationis*, vertūt omnes interpretes; fortaſſis ἰάσεως *ſanationis*, licèt τάσεως *prorogationis*, ſeu *extenſionis* ſignificet, ac rectè. Hæc tamen verba γενέσεως & ἰάσεως comperta in textu reliqui, quamuis magis probem γηράσεως & τάσεως.
6. μέχρι τινός, quouſque ſic reſtituimus. δ' αἱ erat in Baſ. cod.
7. ἐπιπέψοι τι ἢ αἰσχύνοιντο) al. ἐπιπέψαι τι ἢ αἰσχυνθῶμεν.
8. τόπου loci. Hęc dictio in antiq. cod. non comperitur.

---

12. IN GALENI LIBELLVM DE COMATE EX HIPpocratis ſententia.

Exploratum eſt Galenum de comate librum compoſuiſſe, quemadmodum ipſe prodidit multis in commentariis: maximè verò com. in l. 3. Epid. hiſce verbis eloquutus, Ἐν ὅλον γέγονε βιβλίον ἐξηγουμένοις τὸ σημαινόμενον ἐκ τῆς κώμα φωνῆς, ἐν ᾧ δείκνυται τὴν εἰς ὕπνον καταφορὰν οὕτως ὀνομάζων ὁ Ἱπποκράτης &c. *Integrum vnum libellum ſcripſimus, exponentes quid per vocem κῶμα ſignificetur, in quo oſtenditur in ſomnum delationem ita vocare Hippocratem, &c.* At libellum de comate à me iam editum Caius Britannicus ſe ex variis Hippoc. & Galeni cōtextibus collegiſſe, collectumq; primum typis Græcis mādaſſe profitetur. Riccus verò ſe omnino hunc libellum reſtituiſſe

stituisse gloriatur, in quem libellum commentarium contexuit, vbi textus varios refert tum Hippocratis, tum Galeni. Verùm hic Latinam Nicolai Regij Calabri versionem priorem edidit. Quicunque verò Græcum libellum de comate nobis tradidit eum non integrum, sed mediam duntaxat partem; alteram verò ex monumētis Hippocratis & Galeni à nobis collectam nunc primùm typis mandauimus. Versionem quoque Leoniceni non integram animaduertimus. Quare Latinam versionem partim Leonicenus, & partim Calaber condidit, quam donec Galeni textus Græcus alter venerit, emendatiorem factam edidimus. Iure verò de comate libellum inter τὰ παθολογικὰ reposuimus, quòd symptoma sit grauissimum quòd hic explicatur.

1. ἐν συνθέτῳ προσηγορίᾳ, *in composi. a appellatione*] ἐν παρωνύμῳ προσηγορίᾳ, *in compari nuncupatione* Riccus.
2. Homerus Odyss. ι. & Iliad. ξ. versus Latinos condidimus Græcorum interpretes.
3. Hippocr. prædictione 1. prorrhetici, vide tom. 8. pag. 693. nostræ Edit.
4. Tertij Epid. ægrotus est secundus.
5. Comment. 3. in 3. Epidem. textu 84.
6. Hic error est, quem plerique obliterare conantur, sed non euertunt. Riccus ita explicat. *Verùm hi non ita læti degunt, sicut qui comazant, quod præsertim ex oculis est deprehendere; humidi enim*, &c.
7. Coment. 2. Gal. in lib. 3. Epidem. t. 8.
8. Gal. Comm. 3. in l. 3. Epid. t. 10.
9. Ibidem t. 6. 63.
10. Ibidem t. 72.
11. Comment. 2. in l. 3. Hipp. text. 8. ægr. 11.
12. Ibidem ægrotus 12. t. 9.
13. ἀπιότ ... ἄκαιρον Leonicenus omittit) Calaber vertit *siccas & aridas*.
14. Gal. Comm. 3. in 3. Epid t. 71. τὸν παῖδα) in Cod. Græc. Hipp. legitur, τὸν τοῦ παρίωνος, *Parij filium*.
15. ὅτι πυρετὸς ἐπέτεινε *febris intendebatur*. Sic scribi voluit Leonicenus & alij Interpr & Caius) οὔτε πυρετὸς ἐπέτεινε, *neque febris intendebatur*. Cod. Hipp.
16. ἄγρυπνος: *vigil, insomnis*, Cod. Caij ita fert, & Cod. Hipp. Foes.] ἄπυρος, *à febre liber*. Sic enim Leonicenus vult, quòd posteà textus ferat hæc; *vigesimo quarto reuertit*.
17. κοιλίη οὐ ξυνέστη, *aluus constitit*) fortassis abundat particula negatiua οὐ.
18. χρόνιοι πολλῷ) χρόνιοι οὐ συχνοὶ in cod. Foes. Idem.
19. Comm. Gal. 3. in 3. Epid. t. 73.
20. ἄπυρος) al. ἄγρυπνος.
21. Gal. comm. 3. in 3. Epid. t. 39.
22. Quæ his signis [ ] interclusa sunt, in Cod. græco Caij desiderantur, nos verò versionem Latinam Calabri sequuti, græcum contextum ex varijs locis collectum, quoad genuinus Galeni Foetus accesserit, condidimus.
23. οὐχ ὑπνώδης cum Leoniceno οὐ addidimus; nequaquam enim coma somnolentum phreniticis accidit, sed coma insomne.
24. textus est Hip. 71. comm. 2. in 1. epid.
25. Vide comm. 3. in 6. epid. text. 25.
26. Vide text. 13. & 24. Comment. 1. in prorrheticum.

13. IN GALENI LIBRUM DE TREMORE, PALPITAtione, conuulsione, & rigore.

QVæ symptomata ad motum deprauatum spectant, tremor, rigor, palpitatio, & conuulsio, hoc in legitimo Galeni libro docentur, singulorum nimirū causæ & signa. Quare hunc librum pathologicum inter παθολογικὰ opera reposuimus. Libri interpretes consuluimus Guinterium Andernacum, Dominicum Montesaurum Veronensem, & Petrum de Chano Vetustum, quorum præclarissimum Andernacum iudicauimus, eiusq; versionem cum tribus manuscriptis codicibus Regiis collatam emendatiorem edidimus.

1. Ant. translatio. Ostenditur igitur ex hoc, quod corpus auis permanens in vna parte aëris, non potest ibidem permanere, quum sit naturaliter graue, nisi ad illum locum moueatur virtute aliqua erigente & adiuuante ad permanentiam; quâ non mittente in contrarium grauitate corpus secundum exigentiam suæ grauitatis velocissimè ad inferius mouetur; quum motus grauis necessariò ad inferius tendat.
2. In veteri est τοσούτῳ τάχει τῆς κινήσεως, *tanta motus celeritate*.
3. κινήσεως] τῆς κινούσης, motricis facultatis imbecillis symptoma. Vetus Interp.
4. διάστασιν: *distensionem*, siue dilatationem sic legit Andern. sic vet. cod.) διάπηδησιν dissultationem legit & interpretatur Montesaurus, vt & codex Bas.
5. διὰ τὸ τάχος τῆς κινήσεως *ob motus celeritatem* Sic Cod Bas. Sic Montesaurus.] διὰ τάχος τῆς φύσεως, καὶ τῆς λύσεως ob celeritatem tum ortus, tum solutionis. Ex vet. cod Sic Andern. vtraque lectio probatur, propterea vtraque coniunctim admittitur.
6. καὶ τὸ ἱκανῶς κινεῖσθαι, *& integrè moueri*. interpr. Montesaurus. Sic cod. Bas. verùm videtur ita legi, vt interp Andern. καὶ τὸ κακῶς κινεῖσθαι, & prauè moueri, vt ex sequentibus patet; vel saltem τὸ μὴ ἱκανῶς κινεῖσθαι, non satis moueri.
7. Quidam legunt πολλοὶ γὰρ ῥιγοῦντες, οὐ μὴν καταψυχομένων, πολλοὶ δὲ ἰσχυρῶς καταψυχομένων, &c. sed in Cod. MS. non inueni.
8. Post συμβέβηκε, add. quidam hæc τὸ ῥῖγος εἶναι πρόσφορον τὸ γινόμενον πάθος τὸ ὅμοιον τῷ. &c.
9. ὀλίγοντες, in MS. non habetur, & ab interpr. deletur. Verùm qui hanc dictionem admittunt ita vertunt, *aliter rigorem dicimus, eum ad omnem perfrigerationem producentes*.
10. αἰσθητὴν legunt interpr. ac rectè] αἰσθάνεται, vero Cod. Bas.
11. θερμὸν) al. θερμότης, al. θερμότητα.
12. καταψύξεως, hanc dictionem restituimus ex Interpr. & ex 2. c. prorrhet. textu 31 sed in 1. prorrhet. vt & in cod. Bas. ἀφωνία legitur.
13. μετὰ, Cod. Bas. κατὰ, MS.
14. ἰσοδύνως) quædam manuscripta legunt πάντας δὲ, ὅπου ἰσοδύνως ἐφ' ἑκάτερα, nec citra rationem, & sic interpretati sumus.

14. IN GALENI TRES LIBROS DE RESPIRAtionis difficultate.

QVid respiratio, & quis respirationis sit vsus, duobus libris Galenus docuit, inter τὰ φυσιολογικὰ opera, quæ tomus quintus nostræ editionis complectitur, repositis. Nunc verò tres insignes libri de respirationis læsione, siue difficultate respirationis, symptomate grauissimo, sequuntur, inter τὰ παθολογικὰ opera locati, nemini sapienti artis Medicæ professori negligentiâ prætermittendi. In primo siquidem causæ tum simplices, tum cōpositæ dyspnœæ certis quibusdā principiis innixæ docentur. In secundo verò & tertio de spiritu agitur læso multiplici, & quæ in primo libro à Galeno proposita sunt, ea ex Hippocratis operibus vera esse comprobantur, maximè verò epidemiorum. Librorum trium περὶ δυσπνοίας interpretes duos nostris oculis lustrauimus, alterum Ianum Cornarium, alterum Ioannem Vassæum, quorum prioris versionem elegimus, quam cum Regio codice manuscripto collatam emendatiorem edidimus.

1. In MS. Cod. hæc reperta sunt margine. μύωπα ἔοικε λέγειν τὴν τοὺς βοῦς διακεντοῦσαν καὶ πλήσσουσαν διὰ τοῦ ἑαυτῆς κέντρου μυῖαν. ὁ βοῦς γε δακνόμενος ὑπ' αὐτῆς μύει τοὺς ὀφθαλμούς. œstrum hic dicit muscam, quæ suo aculeo boues lancinat, stimulátque; & bos lancinatus ab eo, claudendo oculos nictat.
2. ἅπασιν omnibus, Cod. Bas. Vassæus] ἅπασα omnis, Cornarius.
3. μὴ, doctè Cornarius μὴ Interpretatus est] Vassæus verò Cod. Bas. sequutus negatiuam non posuit.
4. ἐν εἴδει γάρ τινι τῆς ἀνωμαλίας εἰσὶν, sic Cod. Bas.] sic vertit Cornarius, *sunt enim species quædam inæqualitatum*, Vassæus verò sic; *nempe & in quodam consistunt inæqualitatum genere*.
5. 1. Epid. t. 18. comm. 3.
6. 1. Epid. comm. 3. t. 19.
7. 1 Epid. comm. 3. t. 28.
8. Interpretes legunt δεκατέσσαρας, quatuordecim ægrotos; ac reuera 14. duntaxat reperiuntur. In codice Bas. legitur ἑκκαίδεκα sexdecim, vnde constat duos ægrotos prætermissos esse, & sic librum nobis integrum non adesse.
9. Θηλαμεναίου, sic in Cod. Bas. sed interpretes Θηλαμεναιοδίκης legunt.
10. t. 24. Comm. 1. in prognostic.
11. t. 74 comm. 3. l. 3. epid. Ibidem & subsequens textus.
12. comm. 1. sententia 24.
13. 3. epid. comm. 3 t. 1. ibidem t. 6. ibidem t. 44.
14. Calaber ita vertit; *Et intitulari propter hoc alios sub nomine Hippocratis, quia Thessalus omnia quæ pater suus scripserat in paruis tabulis, studuit aceruare in idem, vt nihil periret*. Vide epid. c. 1. l. 3. Et 6. epid. sect. 8. vbi de parua tabella mentio fit.
15. νόσημα legit Calaber, ac meliùs, neque enim pleuritis necessariò est morbus cum delirio.] σύμπτωμα Cornarius, cod. Bas.
16. comm. 3. 4. epid. t. 84.
17. 1. Epid. comm. 3. t. 28.

18. ἀειζώνος, in textibus operum Hipp. reperitur ac in comm. Gal. Verùm legitur ἀειζώνος, etiam sæpe in codicibus ἑξείτωνος, vt etiam legit Cornarius.
19. ἀναπνοῆς, *respirationis*, sic legit Cornarius, ac rectè; Vassæus verò τῆς κινήσεως *motus* scribit; codex Bas. fert, τῆς ...
20. συστροφὰς *collectiones* Cornarius: *convolutiones* Vassæus: *contortiones* alij verterunt.
21. στερεῖαις *sterilibus* Vassæus] χηρείαις viduis Cornar.
22. ὁπότε δ' ἔοικε) ὁπότ' ἔοικεν.

15. IN GALENI LIBRVM DE MORBORVM temporibus.

HIc legitimus Galeni liber, de morborum tẽporibus inscriptus, inter τὰ παθολογικὰ positus est, quòd τῶν παθῶν ἢ νοσημάτων τοὺς καιροὺς doceat; liber certè cunctis artem medicam profitentibus tum ad prognosin, tum ad therapeiam vtilis. Hic ergo agit περὶ τῶν ἐν τοῖς νοσήμασι καιρῶν, *de morborum temporibus*. Καιροὺς autem vocitant Medici, spatia temporis; anni quidem quadras & tempestates; vitæ verò hominum, ætates: & morbi, & paroxysmorum tempora, in quibus insignes fiunt mutationes. Quum autem quatuor in morbis oboriantur mutationes, totidem à Medicis morborum tempora statuuntur, hisce mutationibus distincta, ἀρχὴ *principium*; αὔξησις *incrementum*, quod & ἀνάβασις, *ascensus*, & ἐπίδοσις *augmentum* vocatur; ἀκμὴ *vigor*, seu status: & παρακμὴ declinatio. Hæc autem quatuor tempora non tantummodò in vniuerso morbo, sed & in singulis totius morbi accessionibus spectantur; illa vniuersalia, hæc particularia appellatur: quæ hocce in libro amplissimè docentur, vnde Gorrhæus de temporibus suam synopsin collegit. Aduertas velim sex hîc tempora paroxysmi distingui, principij, inæqualitatis, incrementi, vigoris, declinationis, & intermissionis; quorum diorismus, eruditum ac gnauum Medicum desiderat Libri huius interpretes duos euoluimus, priorem Calabrum, posteriorem Andernacum Posterioris versionẽ à Ricco emendatam, & à me cum duobus Regiis manuscriptis codicibus collatam emendatioremque redditam edidimus.

1. μετὰ MS. R & interp.] κατὰ Cod. Bas.
2. πῶς] σαφῶς *manifestè* MS. R nec incongruè.
3. θερμὸν] θερμότης, MS. R. idem
4. ἥτις ἡμῖν καλείσθω διάλειμμα, sic cod. Bas.) ἥτις καλεῖται διάλειμμα, MS R. idem ferè.
5. ὡς) καὶ, MS. R.
6. πυκνότητος, additur in antiq. cod. καὶ σκληρότητος *duritie*.
7. ἀκραίαν ἐπιπίνεσθαι τὰς φλέβας ἀναλύσθαι, cod. Bas. ἄκρων ἐπιτείνεσθαι τε καὶ φλέβας ἀναλύεσθαι, MS. R.
8. ψύξιν, cod. Bas.] ἔμψυξιν, MS. R.
9. κοινωνικοί, cod Bas. ac rectè) μερικοί particulares MS. R. κοινικοί alij.
10. καθάπερ τις, cod. Bas.) καθάπερ γάρ τις, MS. R. & Calaber, sed malè.
11. παρακμάζωσι *declinent*, MS. R. Sic interpr. ac rectè; mendosè autem legitur in impressis παρακμάζουσι.
12. ἀλλὰ καὶ τὸ πρῶτον, *sed & primam partem*. Sic vetus Cod. sic emendat Riccus; sic interpretatur Andernacus; sic vera versio) ἄλλο δὲ τρίτον μέρος, *aliam verò tertiam partem*, mendosè sic cod. Bas. sic quoque Calaber.
13. κατάστασις, interp omnes & MS. R.] μετάστασις, cod. Bas. sed mendosè.
14. οὐ γὰρ, *non enim*. Sic vet. interp. & recentior. καὶ γὰρ *etenim*, Bas.
15. δυνατὸν *potest*, cod. Bas.) δυνατόν *possibile est*, MS. R.
16. εἰδότας, *scientes*, qui cognoscunt, in vetusto cod. & interp.) ἰδιώτας *idiotas*, cod. Bas.
17. παρειδέναι] μὴ præponitur in cod Bas. sed mendosè, vt quisque Medicus notauerit, MS. R. μὴ non habent.
18. Hunc textum ex MS. R. cod. restituimus: κατὰ τοὺς σφυγμοὺς ἐπὶ τῶν συνεχῶν εἰ δὲ μετὰ τὰς συστολὰς εἰσβάλλουσι, πάντα ἔχουσι τοὺς μειουμένους. εἰ δὲ χωρὶς αἰσθητῆς συστολῆς, τρεῖς, αὔξησιν, ἀκμὴν, μείωσιν. τούτῳ γὰρ ἕπεται καὶ τοὺς σφυγμοὺς εἴσω μᾶλλον.
19. εἴσω μᾶλλον, *quòd pulsus intus magis moueantur*, ita vertit Calaber, ita Andernacus, sed cod. Græc. Bas. ita habet, εἰς ὁμαλόν.
20. ἀσκοπον, cod. Bas.) ἀσκεπτον vet. cod. neutrum mendosum.
21. ὑστέραν, cod. Bas. Andern.) ἑτέραν, MS R. Calaber, Riccus.
22. ἀποτελευτῶσιν, Bas.) ἀπολυθῶσι, interpr. & marg. Bas. meliùs.
23. εἰς, Bas.) τις, MS. Andern.
24. πυρέττουσι φυσῶνται) παῖδες ἐν πᾶσι φέρονται, MR.
25. ποικίλοι] ἐπίδηλοι, insignes MSR.
26. σὺν ταύτῃ) σὺν φλέβι, MS. R.
27. πολλὴν *multam*, sic vet. cod. sic Calaber, sic veritas] ὁμαλὴν æqualem cod. Bas.
28. χολώδη, MS. R. vet. cod.) χυλώδη, cod. Bas.

16. IN GALENI LIBRVM DE TOTIVS MORBI temporibus.

QVemadmodùm in superiore libro de particularibus morborum temporibus; sic in præsenti de vniuersalibus disserit Galenus. Et vt prior in quibusdam codicibus, περὶ τῶν ἐν παροξυσμοῖς καιρῶν, sic posterior, περὶ τῶν ὅλου τοῦ νοσήματος καιρῶν, inscribitur. Ille itaque vt paroxysmi alicuius febris vt tertianæ exquisitæ tempora disquirit, docetq; ἀρχὴν, ἀνωμαλίαν, αὔξησιν, ἀκμὴν, παρακμὴν, καὶ διάλειμμα seu ἀπυρεξίαν: sic hic totius morbi veluti febris tertianæ quatuor tẽpora vniuersalia, principium, incrementum, vigorem, & declinationem edocet. Libri interpretes Andernacum & Calabrum legimus: prioris versionem cum manuscriptis duobus Regiis codicibus collatam, & à Ricco emendatam multò emendatiorem lucubrauimus.

1. αὐτὸ ex mente veterum interpretum, ac rectè] αὐτῷ, Cod. Bas.
2. Delendam esse hanc negationem μὴ plerisque placet: ac μὲν, aut μὴν legendum. Vide 3. de cris. c. 5. quidam μὴ admittunt, ac sic interpretantur: *Vigorem vt in synochum non esse omnino*) in MS. R. μὴ non reperitur.
3. δέξαι] ἐπιδεῖξαι, MS.
4. οὐ ex vet. interp. ponitur.
5. σὺν τούτῳ) σὺν τούτοις, MS.
6. τῷ μεγέθει in cod. impressis non legitur, sed τῇ φύσει. Riccus.

7. τῷ δ' ἐπὶ χυμοῦ) τοῖς δ' ἐπὶ χυμοῖς, MS R.
8. ὁμολογεῖν] fortè legendum ὁμολογητέον εἶναι τινῶν.
9. φανερώτερα, *manifestior*, sic interpr. legunt: sed in cod. Bas. legitur φαυλότερα *deterior*, hæcque lectio mihi probatur melior, licet MS. codex contrà.
10. εὔχροοι, *boni coloris*) ἀχροὶ vertit Calaber.

17. IN GALENI LIBRVM DE TVMORIBVS PRÆTER naturam.

LIbrum hunc περὶ τῶν παρὰ φύσιν ὄγκων legitimum esse Galeni sapientissimus Medicorum chorus sanciuit; in quo tumores præter naturam propè omnes proprijs nominibus ac definitionibus distincti paucis describuntur. Quare hunc libellum inter τὰ παθολογικὰ iure locauimus. Libri interpretes quatuor legimus, Nicolaum Regium Calabrum, Horatium Limanum, Augustinum Riccum, & Ioannem Quinterium Andernacum, quorum versiones diuersæ nostram versionem emendatiorem reddiderunt cum codice vnico Græco collatam.

1. ἀμφοῖν διάκειται] ἀμφοτέραι.
2. ἡμῖν ἐπιδιορισθεῖσι ὄγκοις, sic restituimus ex manuscripto codice & interpretibus] Basiliensis codex legit τοῦ ἐπιδιορισθέντος ὄγκοις.
3. ὁδοποιουμένων, vijs patefactis, rectè cod. Bas.] quidam sic emendare volunt, ὀδοντοφυομένων, sed ineptè.
4. φλεγμονὰς *inflammationes*, sic Riccus, sic Horatius Limanus, & rectè, legunt] φλέβας *venas* codex Græc. Morelli, & Bas. sic Andernacus & Regius Calaber verterunt.
5. εἰ καὶ τῷ, *non est toto genere præter naturam*; Sic Cod. Bas. scribit: Andernacus verò scribit ita, *Encanthis tumor est toto genere præter naturam*: Riccus verò vertit, *encanthis tumor non est toto genere præter naturam, sed solâ magnitudine*. Sed scias velim encanthidem tumorem esse præter naturam.

18. IN GALENI LIBRVM DE PLENITVDINE.

HVnc librum περὶ πλήθους, hoc est, de plenitudine inscriptum, legitimum esse Galeni Foetum Medici omnes agnoscunt, quem inter τὰ παθολογικὰ reposuimus, quòd τὸ πλῆθος inter causas interiores eorum qui ab humoribus procreantur morborum, præcipua vna sit, quæque κένωσιν indicat remedium celebrandum esse, vt ratione duce tuta ducatur θεραπεία. Hinc libri de plenitudine, cuique tum medenti, tum ægrotanti patet necessitas ac celebritas. Πλῆθος duobus modis dicitur: primò propriè de cuiusque humoris in corpore consistentis, sanguinis nimirum, aut pituitæ, aut vtriusque bilis exuperantia: secundò impropriè, vel communiter, vt hoc in libro, & vbique frequentiùs ἀντὶ τῆς πληθώρας, quæ æquabilis est omnium humorum in toto animalis corpore redundantia, quam Galenum, πλεονεξίαν χυμῶν ἐν ὅλῳ τῷ τῆς

τὸ τῆς ζωῆς σῶμα συνισαμένω definit Plenitudo itaque duplex, vna simpliciter dicta, omnium scilicet humorum per vniuersum corpus æquabilis redundantia: altera cum adiectione exuberantis humoris: sanguinea (quam πολυαιμίαν vocitant) si sanguis: biliosa, si bilis (quæ in cacochymiam biliosam degenerat) pituitosa, si pituita: Et melancholica, si humor melancholicus exuperet. Vtraque verò duplex: prior πρὸς ἀγγεῖα *ad vasa*, quam Erasistratus τὸ κατὰ τὰς φλέβας πλῆθος *ad venas plenitudinem* definit: Galenus verò πρὸς τὰς εὐρυχωρείας τῶν περιεχόντων τοὺς χυμοὺς ἀγγείων, *ad vasorum humores continentium capacitatem* vocat: Et πρὸς τὴν ὑποδεχομένην χώραν, *ad vasorum capacitatem*, τῇ περιεχούσῃ χώρᾳ μετρεῖται, *quæ pro loci eam capientis capacitate definitur.* Vocatur quoque plenitudo, κατὰ τὸ ἔγχυμα, *ad infusionem*, quoniam κατὰ τοὺς ἐγκεχυμένους τοῖς ἀγγείοις χυμοὺς συνίσταται καὶ νοεῖται, hoc est, *infusis per vasa humoribus consistit atque intelligitur.* Illa verò simpliciter & absolutè plenitudo censetur, quòd venæ tam copioso sanguine redundent, vt non modo intumescant, sed etiam distendantur penéque rumpantur. Procreatur autem ex cibis euchymis, copiosis, polytrophis, otio, somno, consuetarum vacuationum suppressione: quæ potissimum vere, aut hyeme, temperatis & carnosis hominibus facultate coctrice prepollentibus oboritur, & nisi soluatur, mortis repentinæ metum adfert. Altera plenitudo non simpliciter dicitur, sed πρὸς τὴν δύναμιν, καὶ τὴν ἰσχὺν *ad vires*, seu *virium robur*, quòd ad vires referatur. Licet enim ea vasa copiâ sanguinis non distendat, vires tamen imbecillas opprimit, humores corrumpit, & fluxiones variosque morbos excitat. Hîc itaque plenitudinem amplissimè docet Galenus, productis in medium eius causis, & signis: ac dilutis empiricorum, Stoicorum, Herophilæorum, Erasistrati, & aliorum opinionibus in germanam de plenitudine doctrinam proditis. Duos autem huius libri interpretes legimus, Guinterium Andernacum, & Victorē Trincauelium, quorum ope nostram versionem cum duobus Græcis manuscriptis codicibus Regiis collatam ac emendatam edidimus.

1. καταπιθομένης, rectè ex sequenti contextu restituimus. καταπεθειμένης, ex interpr. καταπιθομένης, cod. Bas.
2. κωλύεσθαι καθ' αὑτὸ, sic ex Trincauelio restituimus. κατ' αὐτὰς ἀποδιδοῦσιν, cod. Bas.
3. ξηροτέρων, fortassis ξηροτέρης.
4. ἡ δυνάμεως ὕπαρξιν καταπκευάζει, hæc restituimus: hæc enim malè in textu Basiliens. ὕπαρξιν, ἀλ. ἀνασκευάζειν τὴν δύναμιν.
5. ὡς cod. Bas. quidam delent.
6. τοῦ δ' ἀπαντᾶν, τοῦ ὅτι, hęc ex interpretibus restituimus. Notarunt hîc doctissimi viri nonnulla in Gręcis exemplaribus ad sententiæ integritatem deesse.

19. IN GALENI LIBRVM DE CAVSIS PROCATARCTICIS.

Προκαταρκτικὰς ἢ προκαταρχούσας αἰτίας vocant Medici, quæ extrinsecus obortæ corpus ipsum malè efficit, causámque internam concitat. Illam φανερὰν interdum, euidentem verò Celsus, externam vulgus appellitat. Causarum externarum aliæ sunt necessariæ, res nimirum naturales, aër: cibus, potus: motus, quies: somnus, vigilia: excreta, retenta: & animi pathemata. Non necessariæ, vt somnus à cibo, & res fortuitò contingentes. De his autem procarcticis causis luculenter agit Galenus hoc in libello, vbi in sophistas primùm inuehitur, qui causas dari procatarcticas negabant; deinde aduersus Erasistratum, qui causas procarcticas in causarum numero habendas esse negabat, & repletionem nullius morbi causam esse demonstrare conabatur. Iure itaque inter τὰ παθολογικὰ opera hunc librū libri de plenitudine comitem inseruimus, qui legitimi græci contextûs penuriâ Latinè duntaxat editur, prout nostris oculis fuit obuius.

1. Nominis mutatione, significati transpositione.

20. IN HIPPOCRATIS LIBRVM DE LOCIS in homine.

Librum hunc περὶ τόπων τῶν κατ' ἄνθρωπον, *de locis in homine* inscriptum, docti omnes inter Hippocratis Fœtus connumerant. Hic quòd proprias, in genere licet, corporis humani partes, prout secundum naturam se habent explicet, inter τὰ φυσιολογικὰ: quòd verò partium affectus præter naturam contineat, τὰ παθολογικά; quod denique remediorum administrandorum methodum edoceat, inter τὰ θεραπευτικὰ collocatur. Quòd autem de locis in homine benè vel malè affectis agat, propterea libris Galeni de locis affectis huic succedentibus ipsum præposuimus. Quæ plura liber hic doceat, ea paucis argumentum librique capita luculenter produnt. Tres autem versiones libri accuratè legimus, Foesij, Zuingeri, & Cornarij: quarum nobilioribus dictionibus nostram versionem locupletatam, & emendatiorem redditā typis mandauimus.

1. ἐπὶ; ἐπί.
2. νόσους] νόσοις, Foes.
3. ἀποπεφρασμένον *intersepta*, Foes.) *obstructa*, Cornarius] *expulsa* zuingerus, nec rectè.
4. ἐμοίως δὲ καὶ ἔχοντες] sic exempl singula. Cornarius tamen καὶ delere videtur.
5. συγγένειαν *gentilitatem, cognitionem*, mutuámque partium corporis *consensionem* intellige. Oeconom. Foes.) συγγένειαν ex Scholio cod. Reg. explicatur ἡ τοῦ σώματος συμμετρία καὶ ὁμοιότης.
6. διαφανέως apertè, explanatè, explicatè, significâter. Erotianus legit διαφραδέως quod σαφῶς exposuit.
7. ἢν κεφαλὴ) sic cod. omnes. Sed Erotianus explicuit κλασθῇ, παραποδισθῇ. i. si *læsa*, aut *impedita* fuerit. Cornarius *si mutila fuerit* interpretatur,
8. ἀποσυμβαλεῖ *occurrere* vertunt interpretes, quod est contrario motu ferri; vnde quidam pro ἀποχωρέειν, ἀω χωρέειν legunt, cui κάτω χωρέειν opponitur Seru.
9. αἷμα] αἰεὶ pro αἰεὶ valdè admodùm, in cod. Mercur.
10. αὐτὸς] ἐς τὰς marg. Mercur. cod.
11. κάτω τῶ, &c. aliter legit Caluus contra fidem exemplarium.
12. ἀπὸ τῆς κοιλίης: Sic exemplaria omnia scriptis continent, sed ἀπὸ τῆς κοίλης cum interpretibus legimus. Fortassis Hippocrates κοίλην venam cauam vocitat, aut error est codicum.
13. αἱ δὲ νεῦρα κοῖλοι *nerui concaui*, istud omittunt Caluus & Cornarius, quod in codicibus omnibus legitur, idque propter neruos opticos.
14. Ante hęc verba in quibusdam codicibus hęc dictio ἄρθρα adscribitur, qua monet senex, se deinceps de ossium coniunctionibus ac commissuris acturum.
15. καὶ οἱ μὲν πλείονας ἔχοντες, *quibus plures sunt*] codices omnes sequuti sumus, licèt Cornarius, ac Foesius & alij quidam ἐλάσσονας contra fidem codicum legerint. Vaticani codices legunt οἱ μὲν αἰεὶ πρὸς τῇ ἕδρῃ τῆς κεφαλῆς, οἱ δὲ κάτω πρὸς τῇ ἕδρῃ, hanc lectionem Caluus sequutus videtur. Exemplaria Aldina, οἱ μὲν legunt.
16. πρὸς τὰς πλάτας *ad scapulas*] ὠμοπλάτας exponit Erotianus Quòd verò scribitur, αἱ ἐπὶ τοὺς ὤμους ἀεὶ πεφύκασι, hoc dici videtur ob σύζευξιν, aut firmissimam connexionem, quam facit ἀκρώμιον clauiculæ cum scapulis, ideóque ad clauiculas refertur, etsi ad articulos referunt interpretes qui ἀεὶ non ἀεὶ legerunt.
17. ἐπιβάλλουσι) cod. Mercurialis in marg. hęc preponit. τὰ δὲ πρὸς τοὺς ὤμους ἐπιβάλλουσι Foes. ex cod Vatic. notat hæc τὰ πρὸς τοὺς ὤμους ἐπιβάλλουσι, quam lectionem Caluus sequutus est. γυῖα hîc pro brachio accipiuntur.
18. φλέβες δύο περήκουσι] παρήκουσι exponit Erotianus διατείνουσι. φρένα hîc διάφραγμα τὸ ὅσον sumunt interpretes.
19. κάτω πεφυκυῖαι] exemplaria Vaticana pro his verbis, κατὰ τὸ πεφυκὸς κυλινδοειδές legunt, quæ sequitur Foesius, Cornarius, &c.
20. ἄρθρον ἐν τῷ κυβίτῳ πιέζουσι] ἄρθρον ἐν τῷ κυβίτῳ τῷ ἀγκῶνι πιέζουσι. Sic interpretes.
21. πεφυκυῖα] πεφυκότι, marg.
22. ἀπαλαὶ ἐοῦσαι] ἁπαλῇ ἐούσῃ.
23. ὅσα] ὅσαι, sed malè.
24. τῶν δικρίων] δικραιῶν Erotianus.
25. ῥόοι δὲ διὰ ὧδε τὸ ψῦχος γίνονται] quædam exemplaria hæc addunt, ὁκόταν παθὲ τῶν τόπων, quæ superuacanea verba iudicantur.
26. ἐς sic Cornarius ac rectè] καὶ cod. Bas. Foes.
27. ὅταν τὸ σῶμα ξηρανθῇ quum corpus exiccatum fuerit] ὅταν δὲ τὸ σῶμα Cornarius & Caluus legisse videntur.
28. ὅσα] ὡς γε quædam exemplaria, & Cornarius.
29. ὅταν ὀχλμένη ᾖ) sic exemplaria singula legunt vt significent humorem copiâ magis, quàm qualitate, molestum esse] Cornarius ὅταν χολὴ ᾖ, aut legisse videtur] Caluus legit ὅταν ὀχλουμένη ᾖ] Vaticanus codex ὅταν ὀχλουμένη ᾖ) Mercurialis sic censet; ὅταν μὴ ὀχλουμένη, vel ὅταν κακοχυμένη ᾖ.

30. φθίσις ἄλλη γίνεται, sic exemplaria singula legunt *tabes occulta & ceca*, fortassis legendum ex Gal. ἀλαία φθίσις quæ exponitur ἡ οἷον τυφλὴ καὶ ἀόρατος, *velut ceca & inconspicua*. Zuingerus φθίσις ἄλλη, vertit *tabes alterius generis*.

31. ῥῖνα] ῥάχιν Zuingerus notat, nec temerè.

32. ἀποσυεληϑῇ) συσχεϑῇ, Merc.

33. μετωπίῳ] sic cum Mercuriali, Foesio & aliis codd. tum manuscriptis, tum impressis legimus, non autem μετώπῳ, aut netopo, vt Cornarius & Caluus vertunt. Est autem Metopium Ægyptium vnguentum calidum, cuius apud Hippocratem creber vsus in similibus habetur. Huius meminit Gal. in exegesi. μετώπιον, νέτωπον idem esse docent omnes; sumitur μετώπιον pro oleo amygdalino. Vide Foesium in œconomia Hipp.

34. τῷτο) τούτῳ, Caluus, contra cæteri.

35. ἀλλ᾽ ἢ καύσῃ κατωτάτω, ἰσχυροτάτω, sed aut fortissimo in infimis partibus vrito.) Mercurialis arbitratur hîc subesse errorem, quem his verbis se restituere putat. ἀλλ᾽ ἢ καθαίρειν κάτω τῷ ἰσχυροτάτῳ, quòd in oculorum inflammationibus purgationes per inferiora imperet Hippocrates. Verum Foesius, Zuingerus, Cornarius & alij interpretes, prout interpretati sumus ediderunt, quòd pyrotica partibus oculorum inferioribus admoueri soleant.

36. εὐήϑως] sic Cornar. sic Foesius quos sequuti sumus.] αὐτίως, hoc ipso Zuing, & Cod. Bas.

37. ἐκκεκλυσμένοι] λελεπτυσμένοι, legisse videtur Caluus.

38. ἐκ κνισότητα παρέχει] κνισότητα κνισμὸν exponit Gal. in exegesi. Erotianus κνισότητα ξηροφθαλμίαν exponit.

39. τὸ ῥεῦμα) sic exemplaria plurima ferunt; quædam tamen addunt καὶ τὸ ῥεῦμα τὸ ἐπὶ κεφαλῇ θλιβόμενον. Alia quoque τὸ δέομαι τὸ ἐπὶ, &c. legunt sic Cornarius, sic Zuingerus. Sed eæ diuersæ lectiones eodem recidunt.

40. ἐκ κατὰ τοὺς ὀφθαλμοὺς ἐκρεύσει, sic vulgaria legunt exemplaria. Negationem tamen addidit Caluus vt fluxio ad oculos non feratur; ideóque paulò pòst oculis nullum medicamentum adhiberi vult.

41. ἐκτρεφϑῇ) ἀποτρεφϑῇ.

42. προσέσαντι veluti προσιζάνει, & contactum ossis à carne intelligi vult Foesius, quò vacuato mucoso humore incisionibus caro ossi adhærescat. Vide œcon. Foesij.

42. *Oculus* à Foesio, & Zuingero ponitur: à Cornario verò *fluxus*, sed neutrum græcè scribitur.

43. αἰεὶ] quidam præponunt ἀλλὰ, vt sit ἀλλὰ αἰεὶ, nec præter rationem.

44. πούτε χρὴ τὰς φλέβας) ex hoc loco, & Aristot. probl. 5. S. 13. colligitur Medicos consueuisse in oculorum fluxionibus venas temporum ferro candente exurere, vt humorum meatus occluderentur, nec non cutem capitis incidere; in quorum auxiliorum loco nunc cauteria cum fructu tum commissuræ coronali, tum posteriori capitis parti inusta vsurpantur.

45. ὅταν δ᾽ ἀργεμον) Foesij lectionem, vt omnium optimã, sequuti sumus, Erotiani authoritate confirmatam. In cod. Bas. legitur ὅταν δ᾽ ἐφ᾽ ἐπηγέμον] in cod. Zuingeri ὅταν ἐφ᾽ ἐπήμη] in aliis cod. ἐπηέμον, hinc collige textũ incertum esse.

46. ἐκ ἐς τὴν εἰς τὴν λαπάρην] πρὸς τὴν λαπάρην legit Foes. aut τὴν εἰς τὴν λαπάρην, vt in Ald. cod.

47. ὁπότε αἱμορροέη τὰ πλευρά] præcedunt hęc verba ἄλλη χολὴ ex Cornar. quibus indicat aliam à Bile fluxionem contra aliorum sententiam, quum Hipp. peripneumoniam alterâ pulmonis parte inflammatâ faciat.

48. ἀρτηρίαν] ἀορτίων Corn. & per aortas, asperas arterias pulmonem constituentes intelligit Foesius. ἀορτέων, Cornar. ἀορτέω, ἀορτίων, Foes.

49. ἢν) καὶ ἢν ἀποθνήσκουσι, ὑγιέες γίνονται Caluus, & quidam cod. MS sed ἀλλὰ add.

50. καὶ τῶν ἀορτίων) ἀορτέων, MS. cod. quidam.

51. μὴ ποιῇ] ἴσως ὡ ποιῇ, quidã codices MS.

52. καὶ ἀνεχόμενον) ἐκ ἐπιχεόμενον legunt MS. quidam codices.

53. ἀορτίων) ἀορτέων, MS. quædam & Aldina] quædam ἀορτρέων.

54. ἐκ τῶν] ἐκεῖθεν legit Corn. & quidam alij codices.

55. θερσεῖν] θερμαίνειν, cod. quidam.

56. τῶν) ὅτω, Cornarius legit.

57. λύγξ] λόξ.] ἀποχρέμματος autem ἀποπτύσματος Hesychius exponit. Quædam exemplaria vitiosè legunt ἀποχρέματος.

58. κενεαγγὸς exinanitio, vacuatio, depletio, sic cod. Foes.] ἰνθμὸς vitiosè legitur in codd. plerisque) νηγμὸς Vaticanus cod.) λυγμὸς legit Caluus.

59. καὶ ἐλχύσιοι) ἐλχύλοιοι.

60. νόσος] νόσος Caluus) νοδοσὸς Cornar. νόσος malè.] νόσος morbus est ex humorũ accumulatione in ventre per fluxionem ortus. Foes. in œcon. Hesychius.

61. ἰσχυροτέρῳ] ἰσχυτείᾳ, Ald.

62. τῶν συμφερόντων τοῖ) post hæc verba quidam cod. hæc addunt, ὕστερον πάντα κλυσθῇ, aut κλύσαι.

63. καὶ ἀσθενὲς αὖθις ἄλλο, sic restituimus ἄλλο omissum ex Corn. & reliquis] MS. ἀσθενὲς ὕστερον habent.

64. φλεγματωδέστατα) omnes interpretes reddunt maximè nutrientes cibos προσωδέστατα σιτία, & multum replentes. Vide œcon. Foes.

65. ὁ ὅπισθεν φθίσις] sic Foes. sic Zuingg. sic exemplaria legunt. vt ex fluxione in articulo, aut in posteriora, tabes oriatur, aut ischias. [ἡ ὅπισθεν φθίσις legit Cornarius.

66. ἐπιπλέω] quidam addunt, ἐπὶ.

67. καὶ ταῦτα κενὰ) ταῦτα τὰ κενὰ, legunt exempl. quædam: vt pro ταῦτα, τεύχεα legisse videtur Cornarius.

68. ἐπὶ κινδύνῳ) ἐπικίνδυνον, cod. MS ita habẽt.

69. καὶ σιτία τὰ φλεγματωδέστατα, *cibi maximè nutrientes*. Sic cum Zuingero explicuimus, idque Medicè, licet cibos intelligat pituitosissimos, hydropicis conducere arbitretur Mercurialis, ac lac asininũ pituitosum hydropicis conferre prodant Arabes.

70. μίαν] μέγαν Zuinggerus nec ad rem, quum hîc sermo non sit de cucurbitula magna aut parua affigenda.

71. ἐξοίγεται & ἐξοίγει) ἐξάγεται & ἐξάγει legunt interpretes.

72. κλισθεὶς] κλιθεὶς, MS.

73. ὡς ἡ θερμωλὴ] θέρμωλη, *calor*] θερμωλὴ, πυρετὸς, febris, apud Ionas & Caluum.

74. ὡς) ἕως Cornarius, aut ὡς pro ἕως. idem κεῖνται pro κρίνονται, nec hîc malè.

75. μὴ omisit Caluus.

76. καμμάρῳ) καμμόρῳ) κωνάου. id verbum esse medicamentum quod iam refrigerãs annotant omnes, sed an sit cicuta, an balneum refrigerans, an gammarus piscis, aut aliud, ignorant.

77. κατὰ ποτὸν δίδου] ἀπιτῶν Vatic. MS exẽpl. vt ex Caluo patet: cui fauet Mercurialis, quoniam, inquit, vt potus maxime ad alimenti distributionem facit, sic vbi eo careas, nutritio magis impeditur.

78. οἶνῳ αἰνώδη, C. Bas. & cæteri] οἴνῳ, ὑδατώδει Caluus. ἰσχυρῷ intelligit Galenus vinum.

79. καὶ ὅσ᾽ ἂν ἀφίκηται] hæc verba adducit Gal. in exegesi in dictione θηλεῖον, sed legit ὁπόταν ἀφίκηται ὁ ἰχὼρ ἀπορρέων.

80. κεφαλῆς καταγματα) hæc desunt verba in Cod Ald.

81. καὶ λούειν) de medicamentis detergentibus & saniem à meninge abluentibus intelligendum, vt pro humectantibus de anodynis ac dolores mitigantibus: & inflammationem sedantibus.

82. ὧν] ᾧ quidam codd.

83. πρῶμα) κῶμα legit Caluus, idemque ἰνηθμὸς, νυγμοί.

84. ἰνηθμὸν] alij ἰνώδμον) alij οἰνωδμὸν. Sed Foesij Interpretationẽ sequuti sumus, vt optimã. Cor. sic interpretatur: quum vinosũ & vomentẽ curandũ susceperis.

85. ἐγκελευμμένον) ἐγκελασμμένον legunt exemplaria quædam. idque Ionicè magis. Pro ἀθρόοι] ἄρθροι Cal. Vat.

86. ἐπισείσις] ἐπισείσις.

87. ἐὼν ἐφ᾽ μὴ, sic exempl. omnia legunt] ἐὼν καὶ μὴ Zuinggerus legit.

88. ἐπλὼ ἐκκλυσθῇ] quędam sic habent exẽplaria, quod ad alui lubricitatem, ablutionem, & humectationem refertur, qua quod morbum facit, eluitur: sed Foes. ἐκλυθῇ legit, ἐκλυθῇ verò Caluus.

89. ἐκ ἀχέος) ἐκ ἄχεος, Cornarius.

90. ἐὼν μὴ τι ἰσχνὸν] Sic exemp. omnia legunt, & Foes.] ἐὼν ἰσχνὸν, legunt quidam interpretes.

91. γίνεται] Sic Galenus legit, sic interpretes) ψύχεται, Cod. Foes. & Mercur.

92. ἐκ τε γὰρ ποιῶν ἐψυγμένον φύσει) Sic legit Gal. ἐκ τε γὰρ ποιῶν ἐψυγμένον τὸ σώματος, διὰ τὸ θερμὸν μὴ, ἐκ τὸ ποιὸν πεπειρασμένον διὰ τὸ ψυχεῖν. Cor. ἐκ τοῦ σώματος, pro ἐκ τοῦ σώματος.

93. θερμαίνονται, Sic ferè omnes codices] θερμαίνονται quidam habent, quos Foesius non improbat.

94. ὧ, sic legit Foes. ac meritò] ἂν cod. omnes propè codices ita habent.

95. δὲ] π.

96. κεατέεται, κρατέεται καὶ τὰ σιτία, &c. sic Zuinggerus, κρατέεται τὸ σῶμα ὑπὸ τῶν θερμοσωμάτων κρατέεται ἢ ἐκ τὰ σιτία καὶ ὁπόταν κρατέηται, θάλλειν ποιέεται ταῦτα.

97. ὧ, sic Zuinggerus, sic Foesius] ὡ exemplaria fere omnia.

98. πλεῖον] πλεῖονα interpretes.

99. τὰ εἴδεα, καὶ τὰ μὴ εἴδεα] rerum species & res ipsæ naturâ subsistentes indicantur, quæ per se & secundum naturam aliquid efficiunt; contrà verò, quæ non per se, sed per accidens, τὰ μὴ εἴδεα Cornarius τὰ ἤθεα & τὰ μὴ ἤθεα legit. Caluus quæ bona sunt & cõtra dixit: Zuinggerus verò similia & dissimilia explicuit.

100 ἐκεῖνο) ἐκεῖνῳ Corn. Zuing

101. ἃ μὴ ἐπὶ) ἃ δὴ ἐπὶ Zuing.

102. ὑποχωρήματα) sic omnes codd) τὰ ὑποχωρέοντα Interp.) ὑποχωρητικὰ quidã codd.

103. καὶ οἱ πρὶν ὑπερπέσσειν) sic codices publicati, *antequam eo deueniant, se incalescere existimant*. Quidam MS codd. ὑπερπέσσειν legũt, quod est *supra modum coquere*] καὶ οἱ πρὶν ὑπερπέσσειν οἷοί τ᾽ ὦσι, ἐκεῖ θερμαίνεσθαι. zuingg.

104. ἐπλὼ legunt MS. aut ἐπὶ] codd. publicati ἐπὶ.

105. ἰσχυρόν, præponitur ἐπὶ in quibusdam codicibus.
106. ταθέντα) καταταθέντα, legit Foesius, dicitque, *Neque Medicamētum transmutatum est.* Cornarius verò, *neque partiendum est medicamentum.* Quidam *conficiendum* vertunt.
107. ὃ) ὅ, legunt Cornarius & Foesius; sed codices ὅ continent.
108. ἐ τάχει) ἢ ταχὺ διαχώρησιν ποιέουσι legit Corn. nec malè.
109. βέβηκε) ἔσηκε.
110. ἀνελήλυθεν) ἀπελήλυθεν legit. Foes. *ascenderunt* vertit Cornarius, vt ἀποχωρήσωσι *descenderint*.
111. συνισάμενοι, Codd. omnes) ὑ συνιστάμενον, Ald. retentum vertit Caluus.
112. ἐ ὑπὸ διὰ τὴν ξηρότητα) sic codices omnes. Interpretes verò addiderunt συνόχης aut πυκνότης, & *angustiā ac coarctationem* dixerunt, compressionem quam facit vterus, sese velut sursum recipiens, intelligentes. Cornarius πόνοι pro τόνοι legisse videtur.
113. φαίνονται δὲ τῶν ἰσχίων) post hęc verba quidam ex codicibus Vaticanis hęc addunt, ἐπὴν δὲ πλανηθῶσι αἱ μῆτραι ὑψόθεν, ἢ διεθρυμμέναι ἢ χωρέονται, φαίνονται δὲ τῶν ἰσχίων; hæc non necessaria commemorauit Caluus, Cornarius tacuit.
114. ἐ ὥσπερ σφαῖραι) istud omisit Caluus. pro ποιέουσα, legit tum Foesius, tum Cornarius ποιέουσι, quos sequuti sumus, ex cod. Germ.
115. ὁ μυσσωτῷ] sic legendum. μυσσωτῷ impressi codices: μυττωτῷ quidam, ac rectè: μυττωτῷ pro μυσσωτῷ Caluus legisse videtur. Lege quid de myttoto scripsit in œconomia Foes.
116. ὑποσροφῇ) ὑποσραφῇ.
117. βόλβιτον *stercus bubulum*) βόλβιον i. *bulbum* quidam reponunt, vt Mercurialis.
118. ἐ ἀκηδίῃ) sic legunt codices omnes: quem locum suspectum esse declarat Foesius in œconomia sua, qui ἐν ῥάκει δέον ἢ ἄλλῳ τινὶ, legendum exstimat, quem sequuti sumus.
119. ἐ ἀρρόιαν ἀφέψουσι) ἀρροίαν & ἀρροίης legunt exemplaria. Hîc ἀρροίαν. ἐποχὴν ἐμμηνίων, suppressam mensium fluxionem ex Gal. intelligimus.
120. ἢ) κατὰ legit Foesius nec temerè, vt ipse interpretatur.
121. ὥσπερ, &c.) supra commemoratam vteri auersionem, & sursum progressionem intellige.
122. ὑποθερμαίνει, sic legendum) ὑπὸ malè, pro ὑπὸ legendum potiùs ὑπό.

21. IN GALENI DE LOCIS AFFECTIS LIBROS sex; in primum.

HOc opus Galeni παθολογικὸν ex libris sex conditum, genuinam esse Pergameni Medici structuram sapientum omnium suffragium est, cui ex manuscriptis Regijs codicibus hunc titulum impositum comprobauimus. ἄρχεται ἀρχὴ τοῦ Γαληνοῦ περὶ τῶν πεπονθότων βιβλία ς΄. Præsentium affectuum præter naturam per signa cognitionem, διάγνωσιν Medici appellant. Quod Galenus ipse testatur comm. 1. in prognost. τὴν τῶν ἐνεστώτων γνῶσιν ἰδία προσηγορία καλεῖν εἰώθαμεν διάγνωσιν, i. *præsentium cognitionem proprio nomine consueuimus appellare* διάγνωσιν. Hæc διάγνωσις, quæ affectuum præsentium cognitio est, τῇ προγνώσει quæ futurorum est prænotio opponitur. Quid igitur his in libris diagnosticis doceatur, intelligunt omnes qui ipsorum titulum legerunt περὶ τῶν πεπονθότων τόπων *de locis affectis*, i. de partium morbis dignoscendis per signa propria, ac pathognomonica. Quid verò sex hi libri complectantur, id declarat eorum primus; ac maximè primi libri caput primum. In primo itaque libro Galenus vniuersalem diagnostices locorum affectorum, qui sensum effugiunt, methodum docet, quam adductis in medium quarundam partium affectarum exemplis astruit. Vnicum autem horum librorum interpretem Guillelmum Copum legimus, sed sub Copi nomine varias & sibi pugnantes versiones euoluimus, qualem Riccus Colinæus, & Ioannes Nebriensis Riuirius edidit. At nostram versionem tum ex fragrantioribus Copi Medici Parisiensis floribus, tum ex Ricci & Gadaldini emendationibus constructam cum quatuor Regijs manuscriptis studiosè collatam edidimus. Dicam lubenter medicum fore neminem, qui horum doctrinam non legerit, didiceritque.

1. διαύτης] τοσαύτης, MS.
2. πιεσαμένης) κασαμένης, MS.
3. κατὰ τὴν τοῦ πνεύμονος τραχεῖαν ἀρτηρίαν. Sic habet MS. sic Cop. Int.
4. φάρυγγος) λάρυγγος, MS.
5. αἱμορραγοῦσαι) αἱμάχθῆναι, MS.
6. ἐμπείροις) ἐμπειροτέροις, MS.
7. τὴν τετάρτην) ἐν τῇ τετάρτῃ, MS.
8. σωστικῶς ἔσεσθαι) σωστικὴν ἔσεσθαι, MSR.
9. ὁ πεπονθὼς τόπος) τὸ πεπονθὸς, MS.
10 ἐπισκεψάμενος) ἐπισαχθεὶς, MS.
11. ποτὲ in MS. ἐπὶ.
12. ἐπιδίδοται) ἐπιδώσει, MS.
13. ἰσχυέτωσαν) ἰσχυρῆσαι, MS.
14. σχηματίσαι, Cod. Bas.) σχηματίσῃς, MS.
15. ἐπιτηρηκέναι. Cod. Bas.) εὐπειθεῖν, MS.
16. προσηγόρευσε, Cod. Bas.] προσηγορῆσθαι, MS.
17. ἐπέχεσθαι, MR.) ἐπισχεθῆναι, Cod. B.
18. κατ᾽ αὐτὸ) κατ᾽ αὐτὴν, MS.
19. ἔτι) ἤδη, MS.
20. βαδίζομεν) βαδιούμεθα, MS.R.
21. τῶν νεφρῶν addidimus ex MSR.
22. ἢ τῆς ἀφαιρεθείσης αἰτίας, hæc ex interpretum versione restituimus.
23. οὐδὲ] οὐδ᾽ ἂν, MSR.
24. βεβλαμμένης] συμβεβλαμμένης, MS.
25. τοῦ μορίου) τὸ μορίῳ γίνεται, MSR.
26. ἢ τὸ πάθος ἴδιον] τοῖς πάθεσιν ἄλλος ἴδιον, MSR. nec præter rationem.
27. διάθεσις) ὁμοίωσις, MS.
28. πάσχει) πάσχῃ, MS. Idem, &c. πάσχει λεγόμενον.
29. θερμαινόντων, ψυχόντων, ὑγραινόντων) in MS. sic legitur θερμαῖνον, ψύχον, ὑγρόν, idem.
30. ξηρὸν) ξηρῶν, MS.
31. εἰργάσασθαι) εἰργάσθαι, MS.
32. εἶπεν) ὅσα, MS.
33. ἔπαθε) πάθῃ, MS.
34. πεπονθέναι) πεπονθότων, MS.
35. ἢ φρενὸς) φρενὸς, MS. nec temerè.
36. περὶ τοῦ ex MS.) θεὸς τι, Cod. B.
37. ἰσχίου) ἰσχίων, MS. ac interp. idem, alij habent ἰσχίων ἢ τῶν ἰσοσπει.
38. διαχωρήσει) διαθέσεσι, MS. sed non rectè.
39. πυρώδη) πυρετώδη, MS.
40. δόσιν) χρῆσιν, MS.
41. διορίσασθαι) διορίζεσθαι, MS.
42. ἐδιδόμεθα) δίδομεν, MS.
43. γνωρίσματα) διαγνωρίσματα, MS.
44. ὅτι μηδεὶς πάθος ἐστὶ περὶ τὰ τῆς φωνῆς αὐτῆς ἴδια μόρια γεγενημένης συμβαίνει βλάπτεσθαι τὴν φωνὴν ὑποτεία τῆς ὕλης ἐξ ἧς ἐγένετο. Hæc verba notatu digna ex MSR. cod. deprompsimus.
45. σοχλείσης) σοχλεῖν, MS.
46. τῆς βλάβης] addunt MS. τῆς φωνῆς.
47. παρέσεις] παραλύσεις, MS.
48. κακοφωνίαν, MS.] κακοφωνίας Bas.
49. εἰπὼ δὲ ἐν τῷ τεμεῖν, Sic emendauimus ex interpr. & MS. εἰπὼ δὲ εἰς τὸ τεμεῖν, Cod. Bas. εἶπε δεῖ δὲ quidam sic habent.
50. μήλη) σμίλη, MS. prius specillum Chirurgicum est, posterius scalpellum.
51. καλέσαις) προσκαλεσάμενος, MS.
52. φαίνεις) φύσαντες, MS.
53. τὸ ἐπάγειν) τὸ πλήττειν, MS.
54. θαυμάσιον, MS.) θαυμασὸν, B.
55. ἐλεγε] ἔφασκε, MS.) παρέζειν, MS. παρίζεσθαι, Cod. B.

22. IN GALENI DE LOCIS AFFECTIS LIBRVM secundum.

QVid in secundo diagnostices galeni libro doceatur, libri tum argumentum, tum capita satis declarant. Nam hîc varios dolores in medium refert galenus, quibus suam astruit methodum dignoscendi tum partes affectas, tum partium morbos. Insurgit verò rationibus in Archigenem, qui in dolorum dignotione multum aberrauit, quum putaret ex dolorum specie sedes affectas posse discerni.

1. τὸ ἄλγος) τὸ μέρος, MS.
2. οἷς sic emendauimus ex MS.) οἴοις Cod. Bas. οἷοι.
3. θλασθεῖσι] λιφθεῖσι, MS. θλιβεῖσι quidam legunt.
4. σφριγῶντες tumentes, sic emendauimus ac rectè] σφίγγοντες constringentes, Cod. Bas.
5. ἐν ἐκείνοις] οἰκείοις. MS.
6. διασκέψασθαι] adde πλέως, MS.
7. ταύτης) ταύτην.
8. ὁ τὸν ἁλυκὸν salsum ex MS. & Interp. reposuimus.] ἀγκύλον, aduncum & curuum dolorem possumus appellare, qui curuari hominem cogit.
9. ἀτηρὸν, ἀτειρὸν, idem, durum rigidum) ἀτηρῶ & ἀτηρῶ frequentius græci dicunt αὐστηρὸν, MS.
10 ὀδύνων] ὀδόντων, MS.
11. ἐπισκεψόμεθα) ἐπισκεψαίμεθα, MS
12. αὐτὸ μαλακίας) addunt MS ψυχῆς.
13. τὸ τι) τόπος.
14. τραχώμασι) τραχύμασι, MS
15. ὑπολαμβάνειν] ὑπολαβεῖν, MS.
16. λόγοις] λογισμοῖς, MS.
17. ὡσαύτως] præponunt οὐχ MSS.
18. ὑποτεθῆναι] ὑποτεθεῖσθαι quidam.
19. ὁ δ᾽] ἀκούσας αὐτῆς, MS
20. ἐπὶ ὁμαλὲς, MS.
21. οὐσίαι) addunt ὄντος, MS.
22. καθεξουσαι ex MS.) κατὰ φύσιν ex B. Cod. sed malè.
23 βάρος) βάθος, quidam emendator.
24. τῆς αἴρης] τῆς αἰσθήσεως, MS.
25. τῆς ἑλκώσεως) τῆς ἑλκώσεως, MSR.
26. νοσοῦμεν) νόσημα, MS.
27. ἄλλο τι MS) ἀλλ᾽ ὅτι, Bas.
28. ἀτηρότερον] αὐστηρότερον, MS.
29. ἐπιχειρήσω] ἐπιχειρῶ, MS.
30. περὶ φωνίας σαφῶς τῆς ἰδίας λέγει] περὶ φωνίας σαφοῦς οἰκείας τῆς ἰδίας τῷ λόγῳ, MS.

31. πρὸς Ἀρχιγένοις, Sic cod. Bas. sic interp.] πρὸ Ἀρχιγένους, emendatores, & sic interpretandum esset. *Multi ante Archigenem Medici.* Sic infra.
32. πίνεσθαι) διαπίνεσθαι, MS.
33. ὑποκειμένων) ὑποκειμένων, subiectarum, interpr.
34. συνετὰ sunt, quæ possunt intelligi; ἀσύνετα quę intelligi, aut percipi nequeunt ac stulta; hæc verba retinuimus; in marg. cod. Bas. pro συνετὰ, συνηθη, & pro ἀσυνέτων, ἀσυνήθων, legimus.
35. σαφῶς δῆλον] καταδήλον, MS.
36. νοεῖ] ὁμονοεῖ, MS.
37. γυμνασθῆναι, γυμνάσασθαι) γυμνασθεῖσαι, γυμνάσασθαι, MS.
38. ἀφικόμενος] ἀφικνούμενος, MS.
39. αἰσθήσει βιβλίων] αἰσθῆσθαι, MS.
40. εἶτα) ἔσω, MS.
41. εὑρεῖν] εἰπεῖν, MS.
42. κατὰ τὸ συμπαθὲς] κατὰ συμπάθειαν, MS.
43. προσῆκεν] προσήκει, emendatur.
44. παραφρονοῦντα τόπον, *loci praue affecti* vertimus. Quidam vertunt, *loco mentis impote.* Copus videtur legisse φρονοῦντα, veterémque interpretem imitatus, qui habet; alienatio est accidens sequens læsionem loci rationis.

30. ἑαυτοὺς) σφᾶς αὐτοὺς, MS.
31. πεῖσαι) πιστεῦσαι, MS.
32. οὐ μόνον) οὐ μὴν, emendator.
33. ὡς additur in MS.
34. ταῖς διεξόδοις, rectè Cod. B.) ταῖς διεξόδοις MS. non malè.
35. καὶ ἁλμυρᾶς, addunt MS. ἢ γλυκέος.
36. τὴν γνῶσιν) ὡς πρὸς γνῶσιν, MS.
37. πάσχοντα) συμπάσχοντα, MS.
38. τῆς ἐγκεφάλου) τῆς ἐν ἐγκεφάλῳ, MS.
39. ῥέψη) ῥέπῃ, MS. alij leg. ῥέπει.
40. θεωρήματι) quidam θεώρημα τι legi volunt.
41. χηρὸν) πρῶτον, MS.
42. ἴσχει) ἔχουσα, MS.
43. παραθεῖναι, ex MS. addidimus.
44. θερμαίνονται) παύονται, MS.
45. μαραίνειν) θερμαίνειν, MS.
46. κατὰ τὰς πύλας, quæ ad portam, sic interpretes, sic MS.) verùm in Cod. Bas. κατὰ τὸν πυλωρὸν scribitur. aduerte differentiam inter venam portam, & inferius ventriculi orificium, quod πυλωρὸν vocitant.
47. ἀκολουθεῖ) συνακολουθήσει, MS.
48. τῆς γαστρὸς, &c. hæc verba Galeni ex MS. restituimus, quæ in Cod. Bas. deficiebant.
49. οἷον αἰθαλώδεις πρὸς, ἢ καπνώδεις) οἷον αἰθάλης πρὸς ἢ καπνοῦ, MS.
50. προσκρύων] προσφέρων, MS.
51. θανατᾶν] κακοθανατᾶν, marg. c. Bas.
52. ταῖς κάτω φύσεις, sic emendauimus ex Gadaldino, & Medica lectione) ταῖς ἀπεψίαις, Cod. Bas. sed prauè } ἀπεψίαις legit Copus.
52. τις add. MS. ὕστερος.
53. ἀναπρέοιντο, MS.) ἀπερείσηται, Cod. Bas.
54. ἐκκινεῖσθαι) ἐκκινέεσθαι, MS.
55. ἐπικείμενοι) ἐπόμενοι, MS.
56. ὧν) οἷς, MS.
57. γινομένω, rectè Bas.) γινομένων, MS.
58. ἐμεθέντος τῆς τῷ) ὡς ἐμεθέντος τε, MS.
59. ἐνεργούντων τῶν θεραπευτικῶν) ἐνεργούντων θεραπευτικὴν, rectè, quia ad ἐνέργειαν refertur, MS.
60. κλίνης, addunt MSs. αὐτῶν.
61. τίθησι, MS.) ποιοῦσι, Cod. Bas.
62. κατὰ τὴν κεφαλαίαν, Cod. Bas.) κατὰ τὴν κεφαλὴν, MS. nec temerè.
63. βάρους) βάθους, MS.
64. εἰς τὰ οἰκεῖα ἔργα τὴν ἀρχὴν τῶν νεύρων πεπονθέναι δηλοῖ, sic continent, MS.
65. μέχρι τὸ γόνυ) κατὰ τὸ γόνυ, MS.
66. τούτων MS.) τε, C. B.
67. ὅλως) ὅλας, al.
68. τῶν ex MS.) τὸ Bas.
69. ἀριστερᾶς) ἑτέρας, MS.
70. πρότερον) πρῶτοι, MS.
71. θεραπευσάμενος) θεραπευόμενος, MS.
72. εἰδ' ὅτι) λέλεκται ὅτι εἰδὲ, MS.

23. IN GALENI DE LOCIS AFFECTIS LIBRVM tertium.

HIc tertius τῆς διαγνωστικῆς Galeni liber est, in quo conuictis ac reiectis veterum erroribus, omnium propè cerebri affectuum præter naturam διάγνωσις docetur.
1. βλάπτεσθαι] πεπονθέναι, MS.
2. ἐπηρημένον, ex MS. R.) ἐπηρμένον, ex Cod. Bas.
3. οὐ δήπου, Cod. Bas.] οὐδέπω. MS.
4. ἄλλῳ μὲν τρόπῳ] ἄλλως μὲν γὰρ τρόπος, MS.
5. ἐξ] ἀφ', MS ac rectè.
6. χρησίμως, quædam MSs. addunt μόνον.
7. δ' αὐτῶν] δ' ὡσαύτως, MS.
8. ἄλλα) ἄλλα, MS.
9. ἐν ἅπασι τοῖς ἄλλοις, Sic ex MS. R. ac interpretibus restituimus.] ἐν ἅπασι τῶν ἄλλων, God Bas.
10. μανθάνοντες] μαθόντες, MS.
11. ἐσπούδασα) ἔπεισα, MS.
12. ἢ διὰ τοῦτ' ἡμελημένας] καὶ διὰ τοῦτο ἐν μιμήσει πλημμελείας, MS.
13. εὑρημένα) εὑρημένα, MS.
14. ἡγεῖται] ἡγητέον, MS.
15. συνειδέναι] συνειδυίας.
16. κεχρῆσθαι, ex MS.) χρῆσθαι, Cod. Bas.
17. καρδάμου) καρδαμώμου, MS.
18. τήνδε τὴν λέξιν) MSs præponunt κατὰ; dicuntque, κατὰ τήνδε τὴν λέξιν.
19. πυνθανόμενος) πυθόμενος, MS.
20. ἐπ' αὐτῇ) ὑπ' αὐτῆς, MS.
21. διασημαίνει) διασημαίνει, MS.
22. ὁδηγοῦντος) πεδηγητὸς, MS.
23. αὐτὴν) αὐτὸν δῆλον, MS.
24. ἀλγήματα) ἀλγήσεις, MS.
25. ἄκρατος) al. ἄκρατος, Cod. B.
26. ἐν χωρίᾳ καθημένοις) ἐν ἀργίᾳ καθεζομένοις MS. & Cod. Bas. in marg.
27. πάντων ἀρρώστων, sic ex MS. restituimus.
28. ἀποπληκτικοῖς, ἐπιληπτικοῖς) ἀποπληκτικοῖς, ἐπιληπτικοῖς, MS.
29. τὸ κῦρος) τὸ κῦδος, MS.

2. ποιησαμένῳ] ποιησαμένων, C. Ba. ποιησάμενος, emendat.
3. ἐκφυσωμένου] addunt MS. λεχθέντων.
4. ἐνεῖξαι] ἐνεῖξαι, MS.
5. φυλάττει] διαφυλάττει, MS.
6. ὁποῖα] ὁποῖα, MS.
7. κατὰ τὸν ὀφθαλμὸν] κατὰ τοὺς ὀφθαλμούς, MS. idem.
8. ἐμφαινόμενον] ἐμφερόμενον, MS.
9. μεταξὺ] ἐν τῷ μεταξὺ, MS.
10. τὸ μὲν γὰρ διηνεκὲς] εἰ μὲν γὰρ διηνεκῶς, MS.
11. ἀπειληκότος] εὖ πεπονθότος, MS.
12. στομαχικὸν] στομαχικὸν, MS.
13. ὑπὸ, ex MS.] ἐπὶ Cod. Bas.
14. ἐμεσάντων] ἐμούντων, MS.
15. ὑπέχει addunt M. ἐδόκουν, sed quum paulò post sequatur, νομίζων, inutile est ἐδόκουν hîc ponere.
16. βοηθῆσαι] βοηθῆσαι, MS.
17. τῶν αἰσθητῶν, ex MS. & Interp.] αἰσθητηρίων, ex Cod. Bas.
18. βλάπτεται] βέβλαπται, MS.
19. προσιὼν] καθεὶς, MS.
20. κάτω μέρη] κατωτέρω, clariùs.
21. παραπληγία] al. παράλυσις.
22. οὖν] addunt MS. ἐπὶ.
23. θλιφθῇ] ληφθῇ, MS.
24. μαλακωτέρων] μαλακωτέρων, MS.
25. εὑρεθησόμενα] εὑρεθήσεσθαι, MS.
26. λογιζόμεθα] λογιζόμενοι, MS.
27. τῆς διαθέσεως] τὴν διάθεσιν, MS.
28. ἐπισπᾶται] ἀποσπᾶται, MS.
29. τὰ ἐναντία, addunt MSs. τῷ παραλελυμένῳ.
30. αὐτοῖς] αὐτὸς, MS. πόσον] πόσον, MS.
31. ἐπὶ MS.] ὑπὸ, Cod. Bas.
32. ἐπιδημιῶν] addunt MSs. ἔχει δὲ ὧδε ἡ ῥῆσις.
33. Hic textus Hippocratis est libri 2. τῶν ἐπιδημιῶν sect. 2. τάδε] τάδε, Cod. Foes.
34. ἐπ' ἐλάττω] πλὰς, Foes. c.] ἢ ἔξωθεν ἔκδηλος ἦν κοίλον ἔχων ὁ τράχηλος] ἢ ἔσωθεν ἔνδηλος ἔγκοιλον ἔχων ὁ τράχηλος. Foes. Cod. Notandum est, hunc textum multas habere dictiones à dictionibus codicum Hippocratis diuersas, vt animaduertes, si hunc textum cum textu secundi epidem. conferas.
35. διαφανὴς] διαφερὴς, MS. ex Cod. Foes.
36. ἐγκεκλιμένη, Cod. Bas.] κειμένη, C. Foes. ἐγκεκλιμένη, MS. ὑπὸ γνάθων, ὑπὸ γνάθους, ὑπορρήγματα, MS. & Cod. Foes.
37. ἀλλὰ τῇ φύσει μᾶλλον] ἀλλὰ φύσει μὲν καὶ, Cod. Foes.

A. In Codice venetorum annotata quædam inuenimus, quæ hunc Hippocratis textum explicant, à Galeno prodita, minimè prætermittenda. Hæc autem ex commentariis Galeni in secundum epidemiorum excerpta sunt. De hac etiam Angina traditur in l. de difficultate respirationis, c. 11. & l. 1. prorrh. comm. 11 & l. 2. prorrhet. comm. 55. & aphor. 35 l. 1.

B. Dentem nominant veteres processum dentiformem secundæ vertebræ, qui caluariæ dearticulatur. Factus autem à natura est, vt caput antrorsum, retrorsúmque deducat, nam primæ vertebræ ad caluariam dearticulatio, caput in dextra & sinistra circunfert

C. Bubonas vocat nunc Hippocrates phlegmonas in glandulis tonsillarum ortas.

D. Nam quum fauces impellerentur, continuum etiam lingua impellebatur, & extra os perueniebat, grandisque erat; vnde nec facilè ipsam vertebant ob humoris

24. IN GALENI DE LOCIS AFFECTIS librum quartum.

QVartus hic liber τῆς διαγνωστικῆς Galeni, partium faciem constituentium, & motui, visui, auditui, voci; & respirationi inseruientium affectus prçter naturam complectitur, eorúmque διάγνωσιν docet, quemadmodum & libri argumentum, & cuiusque capitis titulus paucissimis declarat.
1. ἔστω] ἴσαι, MS.

moris

moris crassitiem, cuius sanè & illud erat indicium, quòd sub ipsam venæ essent conspicuæ.

E. Sublimis quidem erat spiritus, ob angustiam; non autem admodùm, propterea quod affectus non erat proprius partium respirationi deseruientium.

F. παλίγκοτα πάθη, *recrudescentes* affectus dicit, qui nullam habent firmitudinem, qui instabiles, ac infidi sunt. In his igitur ait, aliqua erat capitis caliditas, etiamsi alioqui non febricitarent.

G. Quum enim vertebræ transpositio, vel maior, vel minor fiat, de minori disserens, ait eos qui habebant transportationem in rectum. i. ad anteriora, nusquam scilicet vergentem, ita vt nec ad dextra nec ad sinistra vergeret, nullam sustinuisse resolutionem; hoc enim significant paraplectici. cur? quia neruorum processus non comprimebant. Non ergo deficiebat facultatis influxio; vnde nec priuatio, aut sensus, aut motus contingit.

H. In quibus crudus & frigidus humor erat, qui tumorem faceret, ij multo tempore extumescentiam habuerunt, horum autem indicia (quanuis ægrotantes nihil mali se habere arbitrarentur) erant tum deglutitionis angustia, tum non benè loqui.

I. Hæc particula secundum naturam se habens, γαργαρεὼν, i. *gurgulio* vocatur; morbo autem affecta, quando eius extremitas phlegmone laborans, similis acino vuæ redditur, σταφυλὴ i. *vua* vocatur; quando tota, κίων, i. *columna*; quando verò exilis fit, ἱμὰς, i. *lorum* appellatur: liquescit autem actibus succis, & excrementis in ipsam currentibus.

K. *Hæc autem maximè cōspicua erant.* i. paraplegia & in palato, quod ipse os vocauit, & in gurgulione; afficiebantur autem hæ partes, quòd pars neruorum tertiæ coniugationis dorsalis medullæ misceatur cum parte eorum, qui à tertia cerebri coniugatione in hæc loca feruntur, ac distribuuntur; consequenter igitur, quum tertia coniugatio neruorum dorsalis medullæ afficitur, partes etiam hæ necessariò afficiuntur.

L. *Paraplegiæ* inquit, *non per totum corpus fiebant*, sicut ex illis causis, quando ad dimidium dorsalis medullæ obstructio, verbi gratiâ, vel sectio fit, sed vsque ad manum in ea parte, in qua angina erat. Scimus enim manum ab extrema ceruicis vertebra, dorsique principio neruos suscipere.

M. *Hi verò expuebant concocta, & parum vix.* Expuebant quidem, quòd humiditas à tumore transsudabat; concocta verò, quòd tempore deinceps natura regebat ipsa, ac ornabat; parum vix autem (Græcè βραχὺ μόγις) hoc est cum violentia, ac conamine, vel quòd ceruix angustabatur, quia facultas ipsius motiua imbecilla reddita erat.

N. Quibus verò æqualiter vergens erat transpiratio, ij sine labore expuebant; quum enim nulla ipsis euenisset resolutio, facultatem imbecillam non habebant.

O Febre nimirùm fundente impactum humorem. At primò quidem difficulter spirabant propter febrem: postea verò, quia refrigerari volebant, infestante febre: humiditas autem confusionem suscipiebat, circa os colligebatur, saliuam fundebant. Nam quum natura infirma esset, ornatus quoque corporis, gubernatióque negligebatur. Venæ autem elatæ erant, ob febrem multis subortis vaporibus.

P. Et pedes omnium quidem frigidiores, maximè verò horum. Omnium quidem, propterea quòd, vt ostensum est & ratione & experimento, infirmorum pedes semper sunt frigidi: horum verò præcipuè, quum calidum innatum febre diriperetur, & præ imbecillitate non posset ad extrema vsque peruenire. Ob id rectè stare non poterant. i. ambulare, ac consueta munera peragere. Et quia omnes quidem obierunt, sed alij statim, alij posteriùs, inquit; qui non statim moriebantur, rectè stare non poterant.

38. ἐκφανέες, Cod. Bas.] ἐμφανέες, Cod. Foes.
39 ξίφυφυ) ἐφάλω, Hipp. Cod.
40. ἐξιόντα] ἐξίαζον, Hipp. Cod.
41. παλιγκοτωδέστεροι) παλιγκοτέστεροι, Cod. Hipp.
42. ἀπόρεται, Cod. Bas.] ἄπορα, Cod. Hipp.
43. εἶχον) ἐχόντες, MS. & Cod. Hipp.
44. ὄγκοι] ἕλκεα, Cod. Hipp.
45. βραχὺ μόγις ἦσαν] καὶ βραγχώδεες ἦσαν, & rauci euadebant.
46. ἀπέπτυον) ἀπέπτυον, Cod. Hipp.
47. πολὺ] πολλῷ, Cod. Hipp.
48. καὶ διαλεγόμενοι σαλοχόοι) καὶ διαλεγόμενοι ἀλλοχόοι) Cod. Hipp.
49. μόνον) μόνοις, MS.
50. πόνους) MS. legunt quæ sequuntur, σπόνδυλα καὶ σκολιὸν εἶναι τὴν ῥάχιν, non autem πόνους. Sed constat MS. erroris aliquid continere.
51. ἐν μὲν τῷ φάρυγι) τὸ μὲν ἐν τῷ φάρυγι, alij φάρει, MS.
52. ἐν δὲ τῷ] τὸ δὲ ἐν τῷ, MS.) ἔχοντες) πάσχοντες, MS.
53. γωνίαις) τόνου, MS.
54. ὄγκοι) ὄγκον, MS. πῶς recent.
55. καὶ πνεύσας) καταπνεύσας, MS.
56. σωφρονῆ) φλεγμονῇ, MS. ac rectè.
57. παραχειθείς) παρεγχεόμενον, MS.
58. ἐπιδιδαιτήσεις) ἐπιδιαιτήσεις, MS.
59. παρασκευάζων) παρεγχεόμενον, Cod. Bas. & marg.
60. μὲν δ' ἐν μυοῖ) μυδῶσαι tantùm, vel μυδῶσι δὲ, sic emendant.
61. πληρῦν) πληρῶσαι, MS.
62. Copus, παρεσκευασμένα καὶ διασημαίνοντα, ὑπὸ τῆς ... [illegible]
63 ὅσον οἱ ex MS.) ὅσαι, Cod. B.
64. δυνάμεως) σώματος, MS.
65. ὡς ἐκ MS.) ὡς δ' C. B.
66 *Ob virium imbecillitatem*) antiqua translatio addit, *omnium musculorum pectoris.*
67. γυμναστὴς Gymnastes non athleta erat, sed magister omnes exercitationes docens ex Gal. 2. de sanit. tuen. & Plat 11, de legibus.
68. δὲ) μὲν, MS.
69. τοῖς ἀπεληλυθόσι σκέλεσι] τοῖς ἀπεληλυθόσι μέρεσι, MS.
70. αὐτὸ sic interpr.] αὐτοῖς Bas. fortè αὐτοῦ.
71. ὀξέως) παχέως, MS.
72. πλαδῶντα νεῦρα) πιεσθέντα μόρια, MS.
73. ἀρχῇ] ἐν ἀρχῇ, MS.
74. ἀπαντῶσιν] ἁμαρτανόντων ἀπαντώντες, MS.
75. τὸ τόνου, Copus legit) τόνον, C. Bas.
76. θαυμάσαι] θαυμάζειν, MS.
77. ἀφασίαι, addunt MS. ὅλον δὲ ἀμφότερα.
78. δυνάμενος, MS.) δυνάμεως, Cod. Bas.
79. ἀγῶσι] ῥιγῶσι, C. Bas.
80. αἰτίαις) ἐκλύεται, MS.
81. ἐκ τῆς διαθέσεως) ἐκ τοῦ σώματος τῆς κατὰ τὸν θώρακα, MS.
82. αἰσθάνεται) αἰσθάνεται, MS.
83. εἰρήσεται) addunt MS. πῶς ἐπὶ πάντων αἰσθάνεται πάντων, MS.
84. παρακείμενον] μυϊώδων, MS.
85. ἐλκῶν) ἑλκώσεων, MS.
86. εὐκρασίας] θερμασίας, MS. Idem.
87. διερχόμενον) διϊκνούμενον, MS.
88. ἐκτονήσαντες) ἐκτονήσαντα, MS.
89. δυναμένων, &c.] δυναμένων δηλονότι καὶ δύο τὰς διὰ τῶν αὐτῶν ἅμα γίνεσθαι, MS.
90. βραδέως *sensim*, Cop. sic legit) βραχέως leniter, leuiter Cod. Bas.
91. μελαίνης, Cod. Bas. *nigræ* vel obscuræ vertit Copus] μεγάλης quidam Codices.
92. ὅτι αἱ, &c.] ὅτι αὐτὴ δυνάμεως ἀρρωστούσης συμπίπτει τὰ τῆς θέρμης, MS.
93. ἴσθι) ἴστε, MS.
94. θερμασίας, addunt MS. δεῖ.
95. καθὰ] καθ' ἃ) ἐρρήθησαν] ἐρρέθησαν, MS. idem.
96. ὅσα addunt MS. διακεκριμένους τι καὶ
97. ὠθεῖσθαι) ὠθεῖσθαι, MS.
98. ἀνέπνευσεν) ἀνέπνευσεν, MS.
99. νοσηλευθέντα) νόσῳ ληφθέντα, MS.
100. πάντες Copus, & emendatores) πάντα Cod. Bas. πάντως alij.
101. χαλαζίῳ μικρῷ MS. ex quibus restituimus, etiam ex interpr. Copo. χαλαζίων μικρῶν, Cod. Bas.
102. ὑπολαβών] ὑπολαβών, MS.
103. διὰ παιδείαν αἰτίας) διὰ παιδείας αἰτίας, MS.

25. IN GALENI DE LOCIS AFFECTIS, LIBRUM QUINTUM.

QVintus est τῆς διαγνωστικῆς Galeni liber de locis affectis; in quo affectus cordis, thoracis, diaphragmatis, stomachi, orificij ventriculi, hepatis, & icterus explicantur.

1. ἀναβαλλόμενος] ἐπαγγειλάμενος, MS.
2. τὸ ζῷον) τὸ σῶμα, MS.
3. πρὸς τῇ) πρὸς τῷ τοι, MS.
4. σώματι) σώματα, MS.
5. αἴτιον, C. B. ac rectè] αἴτιον, MS. Idem.
6. καθ' ἕτερον τρόπον) addit Æginata l. 3. hunc locum transferens, ἀποπληκτικῶς, *apoplexiæ modo.*
7. ἀλλ' οὐδ' ὄντων τῶν κατ' αὐτὴν μυῶν, sic Cod. Bas. & rectè ex interpret. sed quidam sic emendant, ὄντων τῶν κατ' αὐτὴν μυῶν.
8. ἡμῖν, ex interpretum mente] ὑμῖν, Cod Bas. καὶ τι] καί τοι.
9. ὑπάρχοντος, sic emendarunt interpretes, sic legit Casabonus] ὑπαρχούσης, Cod. Bas.
10. ὁ καὶ] ὁ δι' ἀπ. MS.
11. διαφορὰν, addunt MS. πάλιν δὲ ἐκ αὐτῆς ἐπὶ, &c.] προσφυέσι rectè) προσφύσεις, MS.
12. δὲ τῇ ῥάχει) τὴν ῥάχιν, MS.
13. ἐν τῷ] ἐν τῷ πρώτῳ τῷ, &c MS.
14. γίνονται] γίνεται, MS. nec temerè fortassis.
15. ἐνθλίψει] ἐκθλίψει, MS.
16. οὐδὲ ex antiq. cod ac rectè) οὐδὲ ex quibusdam interpr. videbis interpretationem huius periodi cæteris meliorem.
17. συγχωροῦμεν] συγχωροῦντων, MS.

18. ὁ συνειδὼς] οὐκ εἴδεν, MS.
19. πολλοὺ) πολλῇ, MS.
20 διαχείλωμα] ἀναχείλωμα, MS.
21. ἀναγωγὴ, eductio) ἀναγωγὴ, delatio, Cod. Baf.
22. τραχείας ἀρτηρίας) χώρας, MS.
23. διακείμενον) quidam legi volunt διακείμενον.
24. ἡ μετάληψις) ἡ μετάχυσις, MS.
25. ἀναπνοὴν fic interpretes, quos fequuti fumus, verterunt) ἀναπνοὴν, Cod. Baf. nec temerè.
26. σφοδρῶς rectè] θερμῶς, MS.
27. αἱ ἀπλύσεις & ἀπλύσεις, vtrunque appofuimus, vt tum prifcis tum recentibus interpretibus fatisfaceremus.
28. αὐτῶν, MS. addunt ἕκαστον.
29. ὑπόζωμα feptum tranfuerfum, Cod. Baf. & alij; ὑπόζωσμα, MS. fubcingulum vertit Plautus.
30 στηριγματώδεις, Cod. Baf. ac rectè] στηριγμώδεις, MS.
31. μικρὰ addunt MS. διερχομένου, fed repetitio effe videtur.
32. εὐθὺς ἐξ ἀρχῆς, addunt margines πάθημα.
33. ὠνόμαζον) ὀνομάζουσι, MS.
34. οὐκ addidimus ex cod. venet. alias falleret Galenus, quod Ariftoteles tum nouo, tum prifco vocabulo fit vfus.
35. φλεγμαίνοντι, rectè ex cod. Baf.] πεπονθότι, i. affecta, ex antiquis.
36. τὰς ὁδοὺς] τὰς διόδους, MS.
37. τὸ σομάχου) τὸν σόμαχον, MS.
38. εἰργάζετο, ex MS. reftituimus) ἐργάσαιτο, Cod. Baf. nec temerè.
39. μορίων] τόπων, MS.
40. μοχθηρῶν fic emendatores) μοχθηρῶς, Baf. cod.) μοχθηρὰ λιγνυώδεσι, MS. Quidam legunt μοχθηρᾶς.
41. μοχθηρῶν ἐδεσμάτων ὀρεγομέναις γίγνεται) πονηρῶν ἐδεσμάτων ὀρέξεις γίνονται, MS.
42. ἐν αὐτῇ) ἐνταῦθα, MS.
43. ἀμφοτέροις αὐτοῖς, ex MS. reftituimus] ἀμφοτέραις αὐταῖς, Cod. Baf. fed error.
44. ἐπὶ μὲν οὖν σπληνὶ] εἰ μὲν οὖν ἐπὶ σπληνὶ, MS.
45. στερόμενον) μὴ στερόμενον, MS.
46. ἐκπεπλασθῆναι] ἐκπυρωθῆναι, MS. fed non rectè.
47. τούτῳ) καὶ τῷ αὐτῷ, MS.
48. θερμῶς) θερμῶς, ex cod. Baf.
49. κράσεσι) κρίσεσι, MS.
50. τῇ κοιλίᾳ, MS. addunt μορίῳ.
51. λεπτομερεστέρας) λεπτοτέρας, MS.
52. Χαιμαινοῦ, Cod. Baf.) Χαιμαινούσης, MS. nec temerè.
53. τῶν ἰατρῶν, Cod. Baf.] τῶν ἀμαθεστέρων ἰατρῶν, MS.
54. συγκαταπίνεσθαι] καταπίνεσθαι, MS.
55. θεραπευομένοις, MS. θεραπευόμενα, Marg. Baf.) θεραπευόμενος, Cod. Baf.
56. ἐκ φανερωτέρου) ἐκφανεστέρως, MS.
57. εἴη, ita emendant docti, vel εἰ ῇ pro εἰ, quod Cod. Baf. pofuit.
58. ὧν, rectè ex Cod. Baf ac Interpr.] καμνόντων, MS.
59. ἐπινόησαι) ἐπινόησαι, MS.
60. θεραπεύεσθαι] θεραπεύεσθαι, MS.
61. μεγάλως θαυμάσαντα, ex MS. ac rectè] μεγάλως θαυμάσαντι, Cod. Baf.
62. ὑποχόνδριον, addunt MS. ἔφησα, ἐπὶ τούτοις οὐδ᾽ αὐτοὺς ἔχειν.
63. ὁ δή που) ἤδη, MS. [κάμνοντα] γλαυκώματα.
64. ἔχειν) ἔχει, MS.
65. ἀναφέρουσι, ex MS.] διαφέρουσι, Cod. Baf.
66. ἐγκεχυλωμένοις) κεχυλωμένοις, MS.
67. ἀναρρωννυμένης, ex Cod. Baf. ac rectè] διαρρωννυμένης, Cod. Baf. malè.
68. γίνεται, Cod Baf. nec temerè] ἐκκρίνεται, MS. fic Interpretes, vtrumque idem.
69. σφάλαι, Cod. Baf. quidam emendauerunt, pofueruntque grammaticè σφῆλαι) σφαλῆναι MS. ac rectè) μοχθηρότατα ex MS.] μοχθηρότερα, ex Cod. Baf.
70. ἀπείρους ἰατροὺς, imperitos medicos, Cod. Baf.) τοὺς ἀπὸ πείρας, *Empiricis*, ita Codices vetufti, & quidam Interpretes.
71. κράσεως) δυνάμεως, MS.
72. κελεύετε) κελεύει, MS. fic & θάσσονας] θάσσονας, Cod. Baf.
73. ἐκκρίναι) ἐκκριθῆναι, MS.

26. IN GALENI DE LOCIS AFFECTIS, LIbrum fextum.

Sextum & vltimum τῆς διαγνωστικῆς Galeni librum efficiunt affectus præter naturam in eo defcripti, lienis, ventriculi, inteftinorum, renum, veficæ, vteri, colis.

1. θαυμάζειν, citra negandi particulam fimpliciter habent MS. verùm οὐ præfigurat, Cod. Baf.
2. λέλεκται) λέγεται, MS.
3. ἄγνωστοι] ἄδηλον, MS.
4. λόγῳ] βιβλίῳ, MS.
5. δυσώδεις) addunt MS. ἱκανῶς.
6. παχέων] παχυτέρων, MS.
7. διάλειμμα] διαλείμματα, MS.
8. συμπεριφερόμενον] αὐληλόμενον, MS.
9. νομίζειν χρὴ) addunt MS. χρήσιμον οὐδὲν οὐδὲ βλάβην, &c.
10. ἐπὶ, addunt MS. ἐν τοῖς νεφροῖς, &c.
11. ἔπειτα] ἀλλὰ, MS.
12. γνωρίσματα) γνωρίζομεν, MS.
13. οὐδετέρως) οὐδαμῶς, MS.
14. διεγνωσμένης, Cod. Baf.) διεγνωσμένου, MS.
15. ἀπορρυπτόμενα] ἀπορρυπτόμενα, MS.
16. σμικρὰ] μακρὰ, MS.
17. τόπῳ) χώρα, MS.
18. ἂν ὀνομάζειν ἐθέλῃς) ἅπερ ὀνομάζειν ἐθέλῃς, MS.
19. ἴσως) ἴσως οὕτως, MS.
20. καθόσον δὲ τῇ περὶ τῶν νεφρῶν ἔργον) καθόσον τὸ περὶ τῶν νεφρῶν ἔργον, MS.
21. ταῖς εἰς οὖρα διαρροίαις) τὰς εἰς οὖρα διαρροίας, MS.
22. ἰδιώτης) κακοήθης, MS.
23. τὴν οἰκείαν) κατὰ τὴν ἰδίαν, MS.
24. ἐνέργειαν ἔχει) MS. addunt θεραπευτικὴν, nec temerè.
25. ἐξιέναι] εἰσιέναι, MS.
26. καὶ τὴν διὰ τῶν χειρῶν θλίψιν] & τῇ διὰ τῶν χειρῶν θλίψει, MS.
27. οὐρήσεως) ἐκκρίσεως τῶν οὔρων, MS.
28. τὴν ἐκκριτικὴν δύναμιν] τὴν αἴσθησιν τῆς ἐκκριτικῆς δυνάμεως, MS.
29. ἱστάμενοι) ἀνιστάμενον, MS.
30. τῆς ῥάχεως) τῆς κύστεως, MS.
31. ἐφ᾽ οὗ) ὑφ᾽ οὗ MS. ἐφ᾽ ᾧ quidam.
32. ἔτ᾽ ἄλλων δὲ, addunt MS. ἐθεασάμην.
33. ληποψυχεῖν τε] & ὀκνεῖν, addunt MS.
34. διαλύεσθαι] ἐκλύεσθαι, MS.
35. φαίνεται) φέρεται, MS.
36. ἰδιότης) ὁμοιότης.
37. ὅτι, &c. vfque ad ἀλλ᾽, delenda effe quidam putant, verum MS. ita legunt quare eadem hîc reliquimus.
38. πεθύμενος] πεθύμενος MS. quæ ἀγγεῖα non legunt.
39. τοῖς πεπιστευκόσι] πεπισμένοις, MS.
40. δέχεται, MS.) δέξεται, B. Cod.
41. τὸ μὲν) τοῦτο μὲν οὖν ἀπαιτίως συμβαῖνον ἴσμεν, ἀλλ᾽ ἔπεται, MS.
42. κάτω) ἄνω, MS.
43. αἰσχύνης, Interpr. omnes] ἀσκήσεως, Cod. Baf.
44. ἀπεχόμενον] ἀπεχόμενον, MS.
45. ὡς περὶ αὐτὸν, MS.] ὅπως αὐτὸν, Cod. Baf.
46. ἐφαίνη) ὤφθη, MS.
47. διαπάσων in marg. Baf.) διαθέσεων, in textu Baf.
48. ὁμιλοῦσι] ὁμοίως, MS.
49. Hanc lectionem ac verfionem cæteris præpofuimus vt omnium optimam. Philoftratus in Iconibus auctor eft palmam fœminam atque marem ita fe amare, vt nifi prope ferantur, atque fe contingant, emacientur, exiccenturque. Idem Theophraftus 3. de caufis plantar. c. 20. Plin. l. 13. c. 4. & Bafilius homilia 5 in hexameron.
50. ἐκ παλαιῶν, fic emendauimus ex Interpretibus] ἐκ παλαιστῶν, Cod. B.
51. ἐρεῖ] λέγει, MS.
52. ἄλλοτ᾽ ἄλλο] ἄλλο κατ᾽ ἄλλο, MS.
53. φύονται MS.) ἔπονται hîc non rectè Cod. Baf.
54. συνεχῶς) ἐναργῶς, MS.
55. & ἐν σκοπεῖν, fic habent MS.
56. ἐπὶ) περὶ, MS.
57. ὁποία αὐτῆς συμβαίνῃ ὅτι ἡ κατὰ φύσιν ἔπαυσις ἐγένετο) fic autem habent MS. ὁποίας αὐτῆς συμβαινούσης ἡ κατὰ φύσιν ἔπαυσις ἐγένετο.
58. ἀποφαγὼν) ἀποτρώγων, MS.
59. ἐκκλίνει] ἐκτακῇ, MS.
60. φαίνονται] φαίνεται, MS.
61. ὥστε) ὥσπερ MS.] ἐπὶ B.
62. θερμαίνουσι] θερμήναντο, MS.
63. συμβεβήκει) συνεβεβήκει, MS.
64. κινούμενον, Cod. Baf. & MS.) κενούμενον Copus ita vertit, fed eum emendarunt alij Interpretes, & rectè, κενουμένου.
65. ὅτ᾽ αὖ, &c. hunc textum ex MS. reftituimus.
66. τὴν μὲν ἡσυχίαν ἐκλύειν λέγων] τὴν μὲν ἡσυχίαν αὐτῶν ἐκλύειν κελεύων, MS.

27. IN PRIMVM HIPPOCRATIS LIBRVM de Morbis.

Qvi quatuor fequuntur libri, περὶ νούσων infcribuntur, quòd hi plurimorum morborum dignotiones doceat; hinc Galenus comm. 2. in l. 3. Epid. eos διαγνώσεις vocitat; quos propterea inter τὰ παθολογικὰ & τὰ διαγνωστικὰ opera collocauimus, licet plurima θεραπευτικὰ complectantur, & inter θεραπευτικὰ διαιτητικὰ Erotianus repofuerit. Vtrùm hi de morbis libri quatuor germani fint Hippocratis fœtus? Galenus commentario in aphorifmum 1 l. 6. an Hippocratis, an Polybi eius difcipuli fint, addubitat; Diofcorides ad Hippocratem Theffali filium hofce libros pertinere prodit; Erotianus duorum de morbis librorum Hippocratis meminit; Galenus ipfe multis in operibus ipfos Hippocratis titulo infcriptos recitat, quorum duos μείζονας vocat, & duos μικροτέρους. Sic medici penè omnes Claffici, ac medicinæ princi-

pes

pes Hippocraticos esse censent. Quare quanquam eos Hippocratis libros haud germanos esse plerique arbitrantur, Hippocraticam tamen doctrinam complecti ac docere melioribus auspiciis ducti concludimus. Quid liber de morbis primus edocet? docet libri argumentum, docent & cuiusque capitis tituli à nobis primùm conditi ac positi. Docet siquidem liber quæ in morbis curandis, ac sanitate restituenda Medico medenti animaduertenda sint; Quæ causæ morborum; qui morbi breues ac diuturni; Agit & de vulneribus, tenesmo, sideratione, claudicatione, mutilatione oculi & auditûs, cerebri concussione; de medendi occasione; de suppuratis & tuberculis; de febribus, peripneumonia, pleuritide, phrenitide, insania. Quòd autem magnum huius libri segmentum de suppuratis agat, propterea à quibusdam περὶ ἐμπύων inscribitur. Interpretum duorum Ioannis Cornarij, & Anutij Foesij versiones legimus; sed Hippocratis mentem Cornarij versione nobis enucleatiorem reddi iudicauimus, quam propterea, vt potuimus, nostris lucubrationibus emendatiorem edidimus, excerptis tamen ac insertis magis Atticis Foesij vocabulis. Textum denique Græcum cum triplici codice, duobus editis, & manuscripto vno Regio contulimus.

1. περὶ νούσων βιβλίον] βιβλίον γνήσιον, MS R. legunt, ac si legitimum Hippocratis librum esse probent.
2. ἀκαιρίη ; εἰκαίη, MS. R. & Vat. & Caluus, & Faber.
3. καὶ ὑπερθερμαίνοντος, &c. καὶ non legitur in quibusdam codicibus, vnde Foesius ita vertit. *Quin & à calido supra modum calefaciente, ac frigido supra modum refrigerante, ac sicco plus æquo resiccante, ac humido etiam plùs æquo humectante.*
4. φλέβα αἱμορρόον) alibi φλέβα παχεῖαν vocat Hipp. vide Prorrhet. 2. aph. 18. l. 6. & sent. 509. l. Coac.
5. τὰ τοιαῦτα) τὰ τοιάδε, Fear.
6. κέδματα cedmata, hoc est diuturni defluxionum decubitus in articulos. In MS. R. comperi quæ sequuntur à Foesio iam edita, κέδμα ἡ χρονία περὶ τὰ ἄρθρα νοσώδης διάθεσις. τινὲς δέ φασι καὶ τὴν περὶ τὰ γυναικεῖα μόρια, *Cedma diuturna est circa articulos affectio morbosa: Quidam verò dicunt & eam esse quæ partes genitales occupat.*
7. ἐκ πλευρίτιδος) ἐκ φρενίτιδος, mauult legi Foes. licet aliàs codices omnes habeant.
8. ὅσοις ἢ ἐκψυχοῦσι) ἐκψύχουσι legit Foes. ex Hesychio, qui λειποθυμοῦσι exponit, etsi ἐκψυχοῦσι legunt exemplaria omnia, quod tolerari potest.
9. ὠφεληθῇ] ὠφελήσῃ, legunt Aldina exempl. & Vatic. & MS. R. [τοῦτο ἐπὰν ἐν καιρῷ ὠφελεῖται] Cornarius legisse videtur, τοῦτο παῦ ἐν καιρῷ ὠφελεῖται. Foesius ὠφελεῖσθαι mauult legere. μεθιέναι ὠφεληθῇ] μεθιέναι λαβὼν ὠφεληθῇ, Fen.
10. ἀεὶ γὰρ ἐν ᾧ ἂν τις ὠφελήσῃ] ἐν ᾧ εἴ τις ὠφελήσῃ, Aldina exempl.
11. ῥοπὴν] ῥώμην, MS. S. & F.
12. ἐπίρῥω φανέεν) καὶ ἐπίρῥω legunt Vatic. exemplaria: fortè φωνέειν vel φαίνω, S.
13. τὸ δεῖ] τὸ οὐ δεῖ, Vatic. & MS R.
14. ἐξιώσεσθαι) ἐξιῆσθαι, MS. S.
15. διότι) ὅτι, ex MS.
16. ὑπὸ) καὶ ὑπὸ, F.
17. κάτω ῥαγεῖσα) καταῤῥαγεῖσα, S.
18. ὀδύνης) ὀδύνη, S.
19. τοῦτο δὲ οὐχ ὁμαλῶς ἐπαινέουσι, id tamen non æqualiter laudant: in exegesi Galenus pro ὁμαλῶς, ἀμαλῶς legisse videtur, & μετρίως explicasse. Aldinum exemplar χρὴ pro χρῆν legit.
20. ὕδωρ διακοπεὶ, &c.] ὕδωρ ἢν διακοπῇ, μὴ συμφῦναι, μηδὲ κύστιν, μηδὲ ἔντερον, ἢν μὴ τῶν λεπτῶν, φλέβα, αἱμόρῥοον μηδὲ, F. ex MS. & S. nisi quod hic οὐ συμφύεται legit, & οὐδὲ φλὲψ αἱμόῤῥους.
21. τέμνη] τάμη, MS. S.
22. καὶ ὅσα) ἃ καὶ ὅσα, Vatic. ἃ καὶ ὅσα, S.
23. Ἐν τῇσι κυρίῃσι ἡμέρῃσι) κυρίῃσι ἡμέραις τὰ τοιαῦτα κρίνειν πεπιστευμέναις, principibus diebus iudicatoriis, qui talia decernere creduntur. Vide aph. 8. & 15. l. 5.
24. δυσπνοεῖ legunt omnes codd. an verò δυσπνεῖ? quidam ita augurantur.
25. πικρότερον sic S. ac rectè) πυκνότερον, alij codd.
25. ἀπὸ] ἐκ, F.
26. μὴ στηριχθῇ] στηριχθῇ, S.
27. ὑπὸ] ἀπὸ F. ἐστὶ desideratur in MS.
28. ἐπὶ πλεῖον] ἐς πλεῖόν τε, S.
29. ὥστε αἵτε φλέβες ἐξιέμεναι ἐκ τῶν χειρῶν. Foesius hic errorem subesse putat, atque vt Caluus legit, ita legendum esse consulit, ὥστε τὰς φλέβας ἐξιέναι τῶν χειρῶν. sensus hic est, *Si ægrum inter initia curandum susceperis, ex venis manuum sanguis emittatur*, quo venæ plenitudine distentæ relaxentur.) ἐκ τῶν χειρῶν) post hæc verba τέμνεσθαι addunt, MS. S. & F.
30. εἰσὶν] ἐστὶν, F.
31. μετέωρα) μετεωρότερα, F.
32. εἰς τὸ πλευρὸν] πρὸς τὸ πλευρὸν, F.
33. ὁκόταν] ὡς ὁκόταν, F.
34. κυρίῃσιν] κρισίμῃσιν, MS.
35. περίζωμα) φῦμα, S. nùm potius πλῆγμα.
36. ὅταν) ὁκόταν, S.
37. τοῦτο πῦος) πᾶν πῦον, S.
38. ὑπερκειμένη] ἐπικειμένη, F.
39. ἢ τὰ] καὶ τὰ S.) ἢ καὶ τὰ, F.
40. περὶ αὐτῶν] αὐτίκα, F.
41. γνώσονται] καὶ γνώσεται, F. & ὧδε] ὅδε, S.
42. τῇ κεραμίτιδι) γῇ κεραμίτιδι, legit Galen. quod τῇ ἀργίλῳ explicat. Verùm Cornarius & alij hoc nomine terram figulinam explicant. ἄλλῳ τῳ) ἄλλῳ τῳ.
43. καὶ λάβηται) καταλάβηται, F. τούτου) τούτῳ, S.
44. εἰρύσῃ] ῥύσῃ, Cod. Mercurialis.
45. προσεσπέσῃ τι, ex Seruini codice, Foesij sententia, & interpretum mente restituimus] προσεσπίονται, Cod. Bas. τὰ προσεσπηκότα dicuntur, quæ quum intumuerunt, postea considunt, ac contrahuntur. Ergò προσεσπέσῃ τι ad ventrem in quem pus decubuit, refertur.
46. ὀλέθριον τοῦτο, hæc præter Foesium ac Mercurialem non legerunt Interpretes.
47. ῥάων) ῥᾷον, S. MS ac rectè.
48. ῥάων) ῥᾷον, S. M. rectè.
49. τι desideratur in MS. S. M. & postea πλέον τι.
50. ἐκπύει) ἐμπύει, Ald.
51. μεθιστάναι) μεταστῆναι, F.
52. ὑπὸ πόνου] πόνου, Cornarius legit.
53. ἀφ' ἑωυτοῦ) ἐφ' ἑωυτοῦ, Ald.
54. δὴ ἢν, *sanè si ita* Foes. ita Cornar. interpretatur, sed aut Δια, aut δὴ intellige.
55. τοῦ ἔσω) τῷ, MS. S.
56. χολαιότερον) χολαίτερον, S. ὑγιάζεται) ὑγιάζεται, F.
57. καὶ ἢν περιφυσήκῃ] καὶ ἢν μὲν, F.
58. ἔκδηλα] εὔδηλα, F.
59. ἐπὶ τῷ αὐτῷ αἵματι] ἐν τούτῳ τῷ αἵματι, F.
60. ψυχρότατον γὰρ φύσει) τοῦ ἀνθρώπου φύσει, F.
61. καλέεται καλέουσι, S.
62. ὁκόσῃ) ὁκόσοις, F.
63. πολλῷ) πολλά, S.
64. σαπέντος] συσσαπέντος, S.
65. καὶ δὴ τούτων] ὁκόταν οὖν τούτων, F.
66. κοιλίης) κοίλου, F. κοιλίης κοίλου, Corn.
67. ἐς τὸν πλεύμονα] ἐν τῷ πλεύμονι, F.
68. ἀποθνήσκουσιν, præponit F. οὐχ.
69. διαγίνονται) διαπίονται, Ald.
70. πλύσκεται) πλύνεται, Ald. an verò πλύεται.
71. διὰ τοῦτο) καὶ διὰ τοῦτο, F. rectè.
72. τὸ αἷμα τὸ ἐν τῷ ἀνθρώπῳ] τὸ αἷμα τοῦ ἀνθρώπου, S. & F.
73. καὶ καθαίρονται) καὶ desideratur in MS. S. καὶ καθαίρονται μάλιστα τότε] πίνειν καὶ καθαίρεσθαι, Aldin.
74. ἀπὸ διαπτύσιος) ὑπὸ F. & διαπτύσιος, S.
75. καὶ αὐτόθι] αὐτόθι αὖθις, addunt codd. F. & S.
76. πρὸ τοῦ) γὰρ, S.
77. ἄλλο) ἄλλη, S. & Ald.

---

28. IN SECVNDVM HIPPOCRATIS LIBRVM de Morbis.

Liber sequitur Hippocratis περὶ νούσων secundus quo varij morbi variis partibus, capiti, cerebro, ori, palato, gutturi, thoraci, pulmoni, hepati, dorso, cordi ac vniuerso corpori insidentes docentur, vt paucissimis verbis libri huius argumentum, ac tituli luculenter significant.

1. ἑτέρη νοῦσος, hanc morbi διάγνωσιν non agnoscit Caluus.
2. τοῦ αἵματος, addit Caluus, καὶ τοῦ φλέγματος contra codd. omnium fidem; verumtamen si superioris textus habeatur ratio, delebitur sanguis, & pituita ponetur.
3. ὑπερθερμανθῇ) ὑποθερμανθῇ, MS.
4. αὐτῆς) τῆς χολῆς αὐτῆς, F.
5. ὑπερέμετον) ὑπεμέειν, S.
6. ἢ φλέγμα) ἢ αἷμα, S.
7. θολερωτέρου] χολωδεστέρου, F.
8. ἢ ἔσωθεν] ἔξωθεν Caluus, qui σφακελισμὸς ἐγκεφάλου prætermittit.
9. ἐν αὐτῇ συζέσῃ) ἐν αὐτῇ ζέσῃ, legendum videtur Foesio.
10. καὶ τὸ σῶμα] *& ados* ex Cornario restituimus, à cæteris omissa.
11. ὑγιαίνει) ὑγιὴς γίνεται, F.
12. ᾧ τινι) ὅταν ἐν τῇ διπλόῃ τοῦ ὀστέου φλέγμα ἐπιγινόμενον ὑποξηρανθῇ, F.
13. ἀπ' αὐτοῦ] ὑπ' αὐτοῦ, F.
14. οὐχ ὁμαλῶς] non peræquè, non æqualiter, hoc est, non facilè, Foes.
14. κεκωμῶσθαι, sic explicant omnes interpretes ac rectè, κεκωφῶσθαι exemplaria fere singula.
15. παντελῶς) πάντη, S.
16. κυνάγχη) περὶ κυνάγχης, S.
17. ἅλες) ἅλις, S.
18. σταφυλὴ) περὶ σταφυλῆς.
19. καὶ παχὺ, sic legunt interpretes, quos sequutus sum: παχέης exempl. ferè singula: περὶ παχέης, S. pro ἐστὶν, πέφυκεν, F.
20. ἀποσπαρθάζουσιν, *spiritum efflant*, ex Gal. in exeg. inflammantur Corna-

rius ἀποπαρεάονιον, S. ex Hesychio.
21. ἢ ὄλίου, addunt Ald. Vatic. Calu. & Cornarius, ἢ ψύχεος.
22. βλάνια) non error est, imò vocabulum Hippocrati familiare ita scriptum pro βλένια.
23. ἀπαλλάσσεται) καταλλάσσεται MS. R. ἀπαλλάσσεται l. de victu salubri.
24. ὤχρος) ἄχρεος exempl. multa.
25. αὐτὸν] αὐτό, F.
26. ῥοφανέτω] ῥυμφανέτω legunt exempl. Ald. & ῥυμφαίνει pro ῥομφαίνει.
27. τῷ χολῷ ex Vat. & aliis emendauimus. τῷ χολοῦ quidam codd. ἴσως πείνῃ marg. Mercurialis.
28. μελιχρὸν) μελιχροῦ legi videtur ex Galeno, Foesius.
29. δίδου) δοῦναι, F.
30. πίσης ex MS. S. & Ald. restituimus. πίσης in textibus vulgar.
31. τρὶς) δὶς, legit Corn. non cæteri.
32. ἢν δὲ τὴν ἑβδόμην δίῃ) ἢν δὲ ταύτην δίῃ quædam exempl.
33. ἢ ἐνδεκαταῖος) ἢ ἐνδεκαταῖος ἦ, MS. S.
34. κατὰ τὰ ὦτα) ex MS. S. adducitur hæc ἢ οὕτω θνήσκει.
35. τὸ ἀπὸ τῶν κριμνῶν) τὸ ἀπὸ τοῦ κριμνοῦ, Foes. quædam MS. κρυμνοῦ, quædam vt Calui κρίμνου.
36. ῥοφανέτω) ῥυμφανέτω, MS R. & Ald.
37. κατὰ τὰ ὦτα legit Caluus, vt paulò antè κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα) πυρετὸς] ὁ πυρετὸς, S.
38. αὐτὸν) αὐτό, S.
39. ποιήσειε] ποιήσαι, S.
40. ἀνακομίσας] ἀνακομίσαι, MS. S.
41. ὀδύνη] ἢ ὀδύνη, F.
42. ἢ ἠρέει) εἰ ἢ ἠρέει, S.
43. ἐκ λιπεῖς, sic legunt codd. omnes: asteriscum apponunt Aldini] λιπαρεῖς pro λιπαρίας, Ionicè: ἢ τρεῖς quædam MS.
44. διαχωρητικοῖσι) διαφορητικοῖσι, S.
45. τὰ αἵματα] ἔναιμα, F.
46. φύγῃ] ἐκφύγῃ, F.
47. ἐς τὴν κεφαλὴν) ἐν τῇ κεφαλῇ, F.
48. βραχέη) βραχέα, quædam MS. Cornarius βαρέη legit.
49. χέηται, &c. hæc frontis sectio quædam hypospathismi species esse videtur, de qua Paul. c. 6. l. 6 & Gal. in Isagoge.
50. ἡμερῶν) ἡμερέων, S.
51. ἐσφοιτᾷ] φοιτᾷ, F.
52. ῥεῦμα, ex interpretatione communi ita restituimus: πνεῦμα Cod. multi & MS.
53. ἢ μὴ λουέτω] ἀλουτείτω, F.
54. ἀκτῆς, interpretes omnes, & MS. S. & F.
55. ὄροβος, ex interpr. restituimus: ὄσπριος Codd. τήκηται] ἐγχέηται, F.
56. ὑγιὴς δείξῃ) ὑγιὴς γίνεται, F.
57. ἢν σφα-] ἢν δὲ, F.
58. αἱ πολλοὶ) αἱ πολλαὶ οὕτοι, F. ἢν οὖν) ἢν μὲν οὖν, F.
59. αἱ ῥέη) αἱ ῥέειν, S. idem.
60. ἐπάγῃ) ἐπάγει, Foes. F. verùm aliter cæteri codices, nec temerè.
61. πολλῷ ἢ θερμῷ, ἢ deest in MS.
62. χλιαίνων) χλιαρὸν, S.
63. ἐπὰν) ἐπὴν, S. idem.
64. ἢν δὲ μὴ οὕτως] ἢν δὲ οὖν, S. ἢν δὲ μὴ legimus ac rectè ex interpr.
65. ἢ ἢν κοιμᾶται) τοῦτο ποιήσει, S.
66. ἢν ἐξοιδέη, sic codd. omnes habent; sed ἢ αὖ ἐξοιδέει, aut ἐξοιδέη legunt interpr. Cornar. Foes. ἐξοιδέει, S.
67. εἰς τὴν] πρὸς τὴν, F. & ἔπειτα pro εἶτα.
68. τὸ ὀστέον] τοῦ ὀστέου, S. τῷ δὲ χροΐῳ) τῷ δὲ.
69. πεπρωμένον) βεβρωμένον, Cornarius legisse videtur ex arbitrio Foesij.
70. μέχρι τῆς διπλόος) ἐς τὴν διπλοΐδα, codd. F.
71. οὐ δύνηται) οὐ δύναται, S.
72. χέηται, hæc sincipitis sectio periscythismum Chirurgorum penè refert.
73. κυνάγχη] περὶ κυνάγχης, S.
74. κατ' ὀλίγα) ἢ κατ' ὀλίγον, S.
75. χεῖσθαι) κείμενος, F.
76. προσβάλλει] προσβαλέτω, Aldina exemplaria.
77. ἀποσμίγξης] ἀποσκίμψης, Foesius ac rectè mea quidem sententia ex Gal. sententia, ἀποσφύξης, F.
78. διεῖναι τοῦτο] τοῦτο, S. & Vatic.
79. αἰεὶ) αἰὲν, S.
80. τοῦτο] τοῦτο, Foes.
71. τὸ φλέγμα) τὸ φλέγμα τὴν φλόγωσιν indicat, vide exegesin Gal. & œconomiam Foesij, ob id inflammationem vertunt Interpretes.
72. ἢν δὲ οἱ ἢ τοιαῦτα ποιέοντι τὸ πάλιν μὴ ἐξίῃ] ἢ τοιαῦτα ποιέοντι μὴ ἐξίῃ, legunt Ald. exempl.
73. ἐμβαλὼν ἐς ὕδωρ χλιαρὸν, Cornarius ex Foesio ita legisse videtur, ἐμβάλλων ἐς ὕδωρ ψυχρὸν ἐπιτιθέναι, aut ἐπιτιθέτω, pro ἐπιρροφανέτω.
74. γραφῇ] τροφῇ, F.
75. ἐγχεῖσθαι) δεῖ χεῖσθαι, S.
76. γνώσκει] γνώσκεις, F. & Foes.
77. τῷ βρόγχῳ) τὸν βρόγχον, S.
78. οἱ ῥέει) οἰδέει, Ald. Vatic.
79. ἢ τῆς ῥόου τοῦ ἐρυθροῦ, Caluus vnicus rosas rubras addit, ac τοῦ ῥόδου τοῦ ἐρυθροῦ legisse videtur.
80. σαφυλὴ] περὶ σαφυλῆς, S. σαφυλὶς) σαφυλὴ, S.
81. ὑφ' ἑωυτῷ) ἐφ' ἑωυτοῦ, S.
82. φλεγμαινόντων) φλεγμαινόντων, F.
83. τὸ ἀπὸ τῶν φύλλων, foliorum lactucæ decoctum interpretamur, quod post præcisionem curgulionis refrigerans gargarismus requiratur; quare τῶν φυλλῶν fortassis legendum est, τὸ) τῷ, S.
84. ψυχρὸν] ἑφθὸν, Caluus.
85. εἰληθερὲς, sic emendari volunt interpretes] εἰληθερεῖ, codd.
86. τῶν χόνδρων) τοῦ χόνδρου, F. κατακρέμαται) κρεμᾶται, S. MS.
87. καπνίξαι) καπνίξας, Ald. codd.
88. ἐσαρτίζειν) ἐπαρτίζειν, S.
89. κασσιτερίνῳ) κασσιτερείνῳ.
90. ἐς ἐξέρυσις) ἐς αὖ ἐξερύσῃς, S. MS. & Ald.
91. ἐπὴν δὲ σοι τῷ αἰθῇ) ἢ τῷ αἰθῇ ἐπιτίθηται, F.
92. τοὺς μολίβδεις] τὸν μόλιβδον, S.
93. διεῖναι) διεῖναι, S.
94. ἐπιτμηθεῖσα) ἐπισχισθεῖσα, vitiosè legunt Ald. codd.
95. προσκέηται διαίρειν, Foesius sic legit; sic S. MS.) προσκαίηται διαίρειν, codd. impressi.
96. ἐξελαύσῃς] ἐξελκύσῃς, MS. Seru. & Vatic & interpretes plerique.
97. χρίσμασι, oleo vel vnguento melino illitum, τῷ μελίνῳ Cornarius legisse videtur.
98. ἀμὸς] ἀμῶς, codd. impressi.
99. ἐπιπάσαι) ἐμπάσαι, F.
100. κατὰ τὸ πρόσωπον) κατὰ πρόσωπον, S. ἢ τὸ πρόσωπον, impress. codd. sed interpretes sequuti sumus.
101. ἐν ἑπτὰ ἡμέρησι) ἑπτὰ ἡμέρας, F.
102. μὴ, quidam legunt μὲν, hîc aduerte quæ Mercurialis scripsit, in medendo magni momenti ἢ μὴν σπληνώδης, &c. ita legunt codices Mercurialis verò, ἢ ἢν μὴ σπληνώδης, I. *Et si non fuerit lienosus*, legit, tum ratione, quòd spleniticis neque lac ob dulcedinem, neque serum propter aqueam substantiam conueniat; Tum quia 2. de morbis mulierum, ita scribit Hipp. ἢν δὲ φύσει σπληνώδης, ἢ πνευματώδης, λείφαιμος, μήτε ὀρρὸν, μήτε γάλα πινέτω, I. *Si verò natura sit spleniticus, vel flatulentus, exanguis, neque serum, neque lac bibat.* Imò verò ibidem, vbi de eo Erysipelate pulmonis agit, lac asininum dat, nisi sit lienosus; tum enim ipsi neque lac, neque serum præscribit.
102. ἢ ἀσθενέα] ἀσθενέα, S.
103. πυρετοὶ ἀπὸ χολῆς] περὶ τῶν ἀπὸ χολῆς γινομένων πυρετῶν, S.
104. ὀσφῦν lumbos) ὀφρὺν supercilium, Caluus & MS S.
104. τοῦτο, ita restituimus ex Foesio, ac interpr. τοῦτο in codd. impressis, τοῦτο etiam potest legi.
105. τεταρταίην] τετάρτην, S.
106. ἐφ' ἣν) ἐπὴν, S.
107. ἔμπορος) ἐμπύρετος, F.
108. ὀσμώδεα *odoratum*, sic restituimus authoritate Cornarij, & ratione quæ docet in febre si vinum propinandum sit, aquosum, non vinosum exhiberi.) οἰνώδεα *vinosum*, codd. impressi.
109. χολώδης *biliosum*) θολώδης obturbatam, fæculentam, S.
110. ὑποστρέφει] ὑποστρέφει, sed vitiosè, legunt quidam codd.
111. ἕτερος πυρετὸς, hæc restituimus ex Interpret. Cornario, Foesio, ac MS. S. ἢ codd. impressi. ἢν μὲν οὖν) ἢν μὲν οὖν, impressi codd.
112. ἱμάτια) πολλὰ addidimus, vt Ald. & Vat. Foes. ἕως ἱδρώσῃ) ἕως ἂν, S. MS.
113. δίδου] διδόναι, F.
114. ἑσπέρης δὲ) ἐς ἑσπέρην, F.
115. δραχμὴν) δραχμῆς, F. ac rectè.
116. μαλθακωτάτοισιν ἢ δριμυτάτοισιν) μαλθακωτάτοισι δὴ, F.
117. πλευρίτις) περὶ πλευρίτιδος, S.
118. δέοντος) δέοντα, S.
119. ὄρνιθα) ὄρνιθας, S.
120. εἴχετο) ἔχεται, F.
121. ἀριστιζέσθω sic restituimus) ἀριστιζέσθω codd. impressi) ἀεισιζέτω, F.
122. ἡμέρας] ἡμέρῃσι, S.
123. τοῦτο] consueuit Hipp. ita loqui vt iam annotatum est, pro τοῦτο.
124. μεταπίνειν, in MS. desideratur] μεταμίσγειν, Cordæi MS. S F.
125. ἀναυπὴν] ἀναπαύην, F.
126. τὸ σὺν τῷ ἐλελισφάκῳ, vinum saluiatum interpretatur Cornarius, quod peripneumoniæ curãdæ, nec expectorationi moliendæ idoneum esse non arbitramur. Quare Foesij mentem sequimur, qui legi vult σὺν τῷ φακῷ, vt lenticulæ decoctum propinandum ieiuno imperet Hippocrates, quod φάκιον appellitat, deinde eius fresum aut pulmentum, quod φακιον ἔτνος dicitur l. de diæta acutorum. Lentis autem decoctum sæpe in purulentis exhibet, ad detergendum & resiccandum sputum.
127. τῶν μικρῶν ἑκατέρων ἔστω] μικρῶν μερέων ἑκατέρου ἴσον ἔστω MS. S.
128. χεῖσθαι) χεῖσθω, S.
129. ἴσον) ἴσων.
130. κνίδης, *Vrticæ* sic interpretes, sic S.

νικας codd. impressi.
131. ῥητίνην] ῥητίνας, Ald.
132. ῥάων) ῥᾶον, S.
133. ἐς ὀκότερον) ἕως, S.
134. καταμαθεῖν) ὀκμαθεῖν, F.
135. ὀξυβελέες) ὀξυβελεῖς, S.
136. πλεῦμα) πλεύμονι, S. Idem.
137. τὰ κοῖλα, *cauitates* vertunt, cauitates oculorum Cornarius; nos verò inferiores vertebras, aliàs τὰ κῶλα cauas sub oculis partes, aut τὰ κύκλα seu τοὺς κύκλους τοῦ προσώπου malas, & genas quæ in pulmonum vitiis rubent, & pulmonum affectiones aut inflammationes testantur, vt præclarè Foesius notat.
138. ῥεῖ) ῥαγῇ, S. ἢ κινεῖ) ἢ κοιεῖ, codd. impressi, ἢ ἴσως margines.
139. ἢν μὴ] ἢν μὲν Caluus legit, quem arguit Foesius. Vbi febris acuta adest cibis solidis non vtendum: quare non temerè Caluus legit ἢν μὲν.
140. ἐκφυγάσῃ] πλεῖσοι ἐκφυγγάνουσι, F.
141. χρῆσθαι] χρῆσθω, S.
142. εἰ αἰωρεῖν] αἰωρεῖν αὐτὸν, S. MS.
143. κατέρχεσθαι) ὁδοιπορέειν *incedere*, Vat. codd. Idem.
144. καὶ ὀνειρώσσει) ὀνειρώσσει, & ὀνειρεῖ, F. MS. sed vitiosè.
145. πρὸς αἶπος, ex Foesio sic restituimus & Cornario) πρὸς ἦπος codd. impressi.
146. λαμβάνει) ἐπιλαμβάνει, F.
147. ὑπὸ λιπαρίης] ὑπὸ λύπης, Caluus legere videtur.
148. παχύνει) παχῦναι, F.
149. λιγνώδεις] λιγνυώδεις, S. Vaticana MS. ac rectè.
150. καὶ δυσανεκτέες] καὶ δύσπνοοι, Caluus.
151. χρῆσθω] χρῆσθαι, S.
152. πρὸς αἶπος, sic interpretes Cornarius, Foes. quos sequuti sumus. MS. verò Reg. & Vatic. πρὸς ἑσπέραν legunt, vt mane ad Vesperam vsque ieiunus iter faciat, quam lectionem Caluus sequitur.
153. καὶ κέρχεται] κέρχεται, Ald. Vat. S.
154. κρότωνες] κρότωνας legimus.
155. καὶ) κτ.
156. ἀορτέα, pulmonis lobos seu fibras explicat Laurentius, S. Galenus partes pulmonis separatas.) ἀόρτια Bacchius arterias explicat, Lycus & Neapolitanus, bronchia pulmonis & asperæ arteriæ.) ἄρθρα vulgus scripsit.
157. ἐπὴν) ἐὰν marg. Mercurial.
158. αἱματώδεις] αἱματώδεα, MS R.
159. βλέπεται) πίνεται, S.
160. φωδῶν] φωίδων, S. φώδας vocat rubentes velut ex igne pustulas ex Erotiano Foesius, rubicundos in tibiis circulos Cornarius.
161. δυσθνήσκει] δυσθανατέει anxiè moritur, S F. & MS. R.
162. πείζῃ] τρύζῃ, S. Ald. Vatic.
163. πειῇ) τῇσι legunt exempl. alia, sed interpretes πειῇ ac rectè, vt sit veluti δαγμὸς explicatio, quemadmodum scribitur lib. περὶ τῶν ἐντὸς παθῶν, πλῆθος ὁκόσον πεισὶ δακτύλοισι περιλαβεῖν τὴν δραχμὴν ἐμβάλλειν. Sic quoque Caluus hìc σκορόδων κεφαλὰς τρεῖς legisse videtur.
164. γυμνάσας] γυμνάσας, S. ac rectè ex interpr. mente.
165. φακίοισι] φαρμακίοισι, S.
166. νεώτεροι ἐόντες, sic cum Foesio & Cornario legimus, νεώτεροι ἐόντας exempl. fere singula.
167. ἐκφυγῆ) ὑποφυγῆ, MS. R.
168. ἢ αὖ] ἢν αὖ, S.
169. ἢ ἐρίζῃ] ἢ ὀρειδὴς, S.
170. κεφαλὴν ἢ ἀλγέει] κεφαλὴν διαλγέει, F. ac rectè.
171. ὑπόπυρρον) ὑπόπυρον, Caluus legit MS. R.
172. καὶ φωδῶν ex Foes. sic emendauimus ac rectè, καὶ φλεβῶν sic codd. propè omnes, nec temerè propter inflammationem corpus ἐπίφλεβον redditur.
173. κινέεται) κινῆσαι, MS. R.
174. καίει) καθεῖται, F.
175. ὑπερκυφύγῃ) ὑπεκφύγῃ, S.
176. οἶνον] ὑδαρέα legit Caluus, non cæteri.
177. καὶ τρίζει τὸ αἷμα ὥσπερ μάσθλης, *sanguis velut corium stridet*] καὶ τρίζει τὰ στήθεα ὥσπερ μάσθλης, *pectus velut corium stridet* Sic emendauit Foes. vide eius œconomiam.
178. ἦν ποτε) τῇ, S. MS. R.
179. ἀφρώδης γίνεται] ἀφρώδης γίνεται, S.
180. ξηρῷ] ξηρῷ, S.
181. καὶ ὀλίγον ἐν τῇ χειὶ φαινόμενον ἢ] Foesius reijcit ἐν & ἢ) pro ἢ, legit MS. ἢ.
182. ἐσωθεῖ] ἔξωθεῖ, S. Caluus. ζέῃ codd. omnes, ζέῃ Cornarius *ebullit.*
183. πρὸς] ἐς, F.
184. τοῖ] τί, S.
185. ὕδατος, legunt sic codd. omnes, αἵματος, Cornarius, sed malè.
186. ἐξεράσῃς *eieceris*, *extruseris*, sic codd. impressi] ἐξερύσῃς *extraxeris*, *eduxetis*, Foes. ἐξαρύσῃς *exhauseris*, Cornarius ac rectè.
187. ἢν τὸ στῆθος, ante hæc verba scribitur ἄλλη νοῦσος, S.
188. μοιρίσαι ἑκάτερον] ἐν μέρει, ἢ ἑκάτερον ex Hipp. sic censet legendum esse Foes. Vide eius œconomiam] μοιρῆσαι) μήρῃ ὅσῃ, MS.
189. καὶ] ἤ, S.
190. μὲν] δὲ, S.
191. ὧδε, αὐδῇ, S. αὖθις, F.
192. αὐαντὴ) αὐαντὴ, Ald. sed αὐαντὴ legendum. αὐαντή, ῆς ξηραντικὴ νόσος *exiccatorius morbus*, tabis species: αὐαντικὴ νόσος morbus exiccans corpus, vt tabes, phthisis.
193. ῥαφὶς καιτέει, rectè sic habetur) ῥαφίῳ κατεῖσθαι, legit Foesius.
194. χώραι) χῶραι, Caluus.
195. διψητὴ] διψητὴ, S. *malè affectus est.*
196. κάχρυς hordea torrefacta interpretantur Foes. & Cornar. Caluus rorismarini folia siue potius fructus κάγχρυ, vel τοὺς κάγχρυς. Sed κάγχρυς hordeum & hordei farina. κάχρυς potius lege: pro ἐρρύξαντα legit Foesius ἐρέξαντα aut ἐρείξαντα, ab ἐρείκειν, aut ἐρείκειν
196. ἀποβρέχοντα] antè Vaticana legunt φύλλα βρύχοντα.
197. ἀνεξεῖν, Foes. Cornar. ἀνεξεῖν, S. Vatic. Gal. Caluus
198. σκληρὴ] ξηρὴ, Gal. ex Euryphonte.
199. ἐληθερέει) ἐληθερέη.
100. ἀποκινέει (ἀποκινέοντα, Foes.
101. πεμφὰν] πολφὸν, MS R. S.
102. ἐπ' ἢν) ἐπὴν, F. ἐς αὖ, Cornarius legisse videtur.
103 ἐληθερείτω] ἐλιθερείτω, legisse Galenum suspicatur Foesius, quod exponit κλιέσθω.
104. ὅτι μὲν, ὅτι δὲ) ἔτι μὲν, ὅτι δὲ, F
105 τοῦτο Interpp. omnes, S. τοῦτον Codices omnes, vbi ἐστι subauditur.
106. καὶ τὴν ὄσχην ἀποτύπτειν, ἐπ' ἢν πίμπρηται, sic legunt exempl. singula, sed non citra errorem: καὶ τὴν ὄσχην ἀποτέμνειν ἐπὴν πίμπληται, *Et scrotum vbi impletum fuerit, secato*, hanc Cornarij interpretationem retinuimus, & Foesij vt non medicam omisimus. Vidimus enim scrotum aquis plenum aperiri bonis ægrotantium rebus, non autem inflatum pertundi.
106. τοῦτοις, S. F. τοῦτον, Codd.
107. γλυκέα] ἀλυκέα, S. & MS R.
108. ὑπὸ τοῦ φαρμάκου] ὑπὸ τῶν φαρμάκων, F.
109. φροντὶς cura grauis est sollicitudo, quæ causa est melancholiæ hìc descriptæ: φροντὶς itaque melancholia est ex cura & sollicitudine contracta.
110. θερμολοῦσθαι] λοῦσθαι θερμῷ, F. idem.
111. μέλαιναι] μέλαινα, interp.
112. ἐκ ἀχθεται] ἐκ ἀσέχεται, vult legi Foes.
113. ὅτι πλέον βεβρωκὼς) ὅτι ὁκόταν πλέον βεβρωκὼς ἦ, F.
114. ὑπόπυρος) ὑπόπυρρος sub flauus, subrufus idem apud Hipp.

---

29. IN TERTIVM HIPPOCRATIS LIBRVM de Morbis.

HIc liber de morbis tertius, secundus de morbis minor dicitur tum à Galeno, tum à Cælio Aureliano. Hieronymus Mercurialis arbitratur auctorem huius libri, non eum esse qui superiorem condidit; duplici fultus ratione, priore quidem quòd statim in huiusce libri exordio scripserit author, se in superiori libro περὶ πυρετῶν ἁπάντων egisse, quum tamen paucissimas febres literis prodiderit. Posteriori verò quòd tertij huius libri φράσις à superiorum librorum phrasi ac stylo non pauxillum discrepet. Doctrina nihilominus tertij huius libri duorum superiorum doctrinam superat. Hoc itaque in tertio de morbis libro agit Hippocrates de cerebri tumoribus, & repletione, apoplexia, sideratione, lethargo, causo, pulmone tumente, capitis dolore, phrenitide, angina, ictero, tetano, opisthotono, ileo, peripneumonia pleuritide, ac de potionibus ardentem febrem expugnantibus.

1. μὲν οὖν, desideratur in MS. S.
2. ψυχητικὸν τι) ψυκτικόν τι, F.
3. πλήρωμα ὀδυνῶδες ἐγκεφάλου) περὶ πληρώματος ὀδυνώδεος κεφαλῆς, F.
4. μὲν τὰ] τὰ μὲν, F.
5. χρέμβος) χρέμβος, Ald.
6. κεκαγχίων] κεκαγχεῖων, Foesius.
7. ἐς δὲ τὰ ἑπτὰ ἐκ ἀφικνέεται) ἐς δὲ τὰς ἑπτὰ ἐκ ἀπαινέεται, S.
8. ὀδύνη) ὀδύνην, S.
9. τάχα τάχέως, F.
10. τὸν μὲν πρῶτον χρόνον) lib. περὶ κρισίμων, vbi ista repetuntur, longè melius legitur καὶ τὸ χεῖλος αὐτῆς, τὸ μὲν πρῶτον ὠχρὸν ἐστι, vt in febre ardente lingua sit aspera & sicca, primúmque pallida & flauescens, deinde fuliginosa & nigra.
11. ἢν μὴ] δὲ additur ex S. οὖν verò ex MS. R.
12. μεθίσταται) καθίσταται, S.
13. ἀείδειν sonum edere vertit Foes. modulari diximus) ἀεὶ δεῖν, & pectus ipsi *semper ligari videtur*, Cornarius.
14. καταδέηται, MS. S. & Interpretes omnes) καταδείηται, Codd. omnes impressi: δοκέει] δοκέοι, S.

15. ἐπισχεῖν] ἀποσχεῖν, F. ἀσιεῖν) ἀπιέναι, S.
16. φλέβα) αἷμα, S.
17. καὶ λύζει, *& singultit*, sed interpr. *se iactat, & anxius est*, explicant.
18. ὑπὸ) περὶ, S.
19. ἕλκηται) ἑλκύηται. Idem.
20. ἐξίη) ἐξέλῃ, S.
21. ῥοφεῖν] ῥοφῶ, S.
22. λεπτυνθέντων, addit χυλοῦ, S.
23. τέταρος) περὶ πταίων, S.
24. τὰ οἰδηματώδεα] οἰδηματώδεα, F. & MS. R.
25. ἐπισώτηνος) περὶ ἐπισώτου, S. MS.
26. ξυγκεκαμμένοι) ξυγκεκαυμένοι, S. γίνονται) πίνονται, S.
27. εἰ δὲ φθάσωσι φυγεῖν τὰς τεσσαρεσκαίδεκα) καὶ ὅτι τεσσαρεσκαίδεκα φυγόντες, F.
28. σκάφῃ, ex MS. S. & R. restituimus. σκάφει, Codd. impressi.
29. περὶ τὸν ἀρχὸν) περὶ τῶν ἀρχῶν, Ald.
30. αὐγίτην *dilucidum*, cum Cornario legimus: αὐγίτην hornum siue hornotinum vult verti Foes. quòd Galenus in exegesi, αὐγίτην οἶνον exponat τὸν αὐτοετίτην, τὸν ἐκ τοῦ αὐτοῦ ἔτους. Erotianus verò ἀθάλασσον, cui aqua marina immixta non est. Constantinus vernaculum vertit, sed vitiosè.
31. ἔγχωρον] ἐγχώριον. Idem.
32. περιφροσύνη] περιφρονεῖ, S. & F.
33. λεπτὸν] λευκὸν. F. nec temerè.
34. αἱ ἀπαλλαγαὶ) αἱ κρίσεις, MS R.
35. περιοδικοὺς ex S. restituimus, περιοδικοῖς, Codd. impr.
36. παχύτεροι] παχύτερον, S. F. nec temerè
37. δεουσῶν) δεύσας, F.
38. ἀρχου) antè additur à S. ξηρασία.
39. φαρμάκων] φάρμακον, F. ac rectè.
40. κεκρημένῳ) κεκρημένῳ S. ἐπικεκρημένῳ, Foes.
41. ἐκπυίσκεται) ἐμπυίσκεται, S.
42. καὶ) ἢ, S.
43. ζώει) ζώει, codd. impressi.
44. ὑγιαίνουσι] ὑγιέες, F.
45. ἑνδεκάτῃ ex MS. R. S. Foes. restituimus, δεκάτῃ in codd. impressis legitur.
46. ἐπὶ sic in Coacis impressis, ὑπὸ, Vat.
47. φρενίτιν] πλευρῖτιν, F.
48. πλευρῆσι] τῷ ὤτησι, S.
49. ὦσι] εἰσὶ, Ald.
50. ἐπίωσιν) ἐπιᾶσι, F.
51. αἰτώδεος] ἢ οἰνώδεος, S.
52. οὕτως] ὧδε, F.
53. ὀπὸν, deest in MS. S.
54. κόγχῳ χαραμίδα, sic legimus cum Foesio & Cornario, post κόγχῳ additur in impressis ἢ, sed vitiosè.
55. αἰνέψεξε, sic interpret. sic M. R. & F. αἰνέψυχε impressi Codd.
56. εἰς) πρὸς, S. F.
57. ἀριστερὰ] τὰς ἀριστεράς, S.
58. ἢ ἔμμενει] καὶ ἔμμενει, F.
59. τοῦτο] τούτῳ, vbique τοῦτο ponitur in quibusdam Codd. vbi τοῦτο hic competitur in principio cuiusque potionis.
60. τοῦτο, hæc sequentia huic dictioni præposita leguntur. τοῦτο μὲν πόματα διδόναι ἁρμόζοντα τοῖς ἐν καύσοις τοῖς πυρετοῖς, textus Mercurial. in marg. irrita verba, Vatic.
61. ἄζεσον] ἄζεσθον *ferue factum*, vtrumque idem: ἄζεσον scribendum] ἐὰν ζέῃ Cornarius legisse videtur; Foesius ἐζέσθω.
62. ὑδαρέος) ὕδατος, quædam MS. ὕμισυ] πεῖν, Caluus & τοῦτο pro τοῦτο.
63. λευκὸν sic codd. impressi, λεπτὸν legunt omnes Interpretes.
64. τοῦτο οὐκ ἄγει, *hoc non mouet*. τοῦτο οὔρει ἄγει, Cornar. *vtinam hoc ducit*.
65. τοῦτο γὰρ. sic restituimus ex MS. S R. τοῦτο δὲ in impress.
66. γλήχων legit Foesius pro γλήχωνος ex MS. R. quæ etiam habent τοῦτο δὲ οὐρέεται.] γλήχων legunt exempl. publicata. γύχεις quædam, sed vitiosè legunt.

30. IN QVARTVM HIPPOCRATIS LIBRVM de Morbis.

Qvartus hic περὶ νούσων liber quatuor humorum corporis humani generationem, species, fontes, causas. & effectus subijcit oculis. Verùm paulò aliter docet, quàm genuini Hippocratis libri. Vnde hunc librum non Hippocratis, sed Polybi legitimum esse fœtum plerique autumant. Præterea verò hoc in libro agitur de morborum principiis, de lumbricis, ac hydrope.

1. πέσσαρας ἰδέας) πέσσαρα εἴδεα, S.
2. ὑπὸ βίης τουτέστι γίνονται] quid intelligat per violentiam, paulò post docetur hisce verbis, βίαιον δὲ λέγω εἶναι, ὅσα τρῶμα, καὶ τραῦμα, καὶ πληγὴ, καὶ ἐλάσσων, ὅσα εἴ τι ἄλλο ἐπὶ τούτοις. Itaque qui morbi vi & iniuria aliqua fiunt, sunt vulnera & similia.
3. ὑπὸ τοῦ sic interpretes omnes] ὑπὸ τὸ impressi codd.
4. σωμάτων] πνεῦ, F.
5. ἐπὶ] ἐν, F.
6. ὅσῃ sic habent omnes impressi codd. εἴλῃ videtur legisse Cornar.
7. οἰόντερ] οἰλιόπερ, F.
8. ὡρέων] χωρέων, Caluus.
9. πολλὸν sic interpretes Cornar. Foes. πολλοὶ impressi quidam codd. sed vitiosè.
10. φύσαι] φῦσαι, Vatic. φλῶαι Mercurial. cod. margines.
11. τούτῳ sic interpretes omnes legunt] τούτοισι, exemplaria ferè omnia.
12. εἰς αὐτὰς πηγὰς sic interpretes, vel κατ' αὐτὰς πηγὰς, Cornarius) καὶ τὰς πηγὰς ὠνόμασα, F. S.
13. τὸ ξυναγόμενον] ἐγγινόμενον ἀπὸ τοῦ βρώματος, F.
14. φλέγμα] ὁ ἄνθρωπος, F.
15. καὶ] ἢ. F.
16. ἐσιάσει ἐς τὸ σῶμα, corpus grauarit, vel læserit, sic codd. ἐσιάσειεν αὖ τὸ σῶμα, sic Foesius, sic interpretes ac rectè.
17. σήπεται sic codd. Germanici. φθίνεται, Aldina & Regij codd. Cornarius autem hîc textum ita legit, ἐὰν μὲν ἐπέρῃ χολὴ ἐπιγένηται πλείων.
18. δὲ] τὶ nec temerè, S.
19. καὶ σπέεται τοῦτο, Foesius desiderat antè præponi περισπᾶται.
20. ἐπισήμῳ] δισήμῳ, MS. R. & F.
21. διηθεῖν] διθεῖν, F
22. καίτοι] εἰσιδὼν, Caluus.
23. ἐὰν πλεῖον] ἐὰν οἱ πλεῖον, S. εἴτου πλεῖον, F. sed mendosè.
24. σημεῖον] σημεῖον, F.
25. διαθεῖν) ἐπιδιαθεῖν, F
26. ἀπαρύσῃ] ἀπορρύσῃ legit Caluus, sed vitiosè.
27. καὶ ἐς τὸ σῶμα μὴ ἐδίδοσαν) sic exemplaria singula legunt; sed ἐς τὸ σῶμα ἀνδίδοσαν legisse videntur Interpretes, vt prior notauit Foesius.
28. ἀεὶ καὶ περὶ τῆς ἰσάσαι, sic codices omnes. Pro ἰσάσαι) ἐλκύσαι, Cornarius legisse videtur.
29. καὶ διὰ τοῦτο sic ex interpretibus, MS. S. & cod. Ald. restituimus) καὶ τοῦτο codd. German.
30. ἐν αὐτῇσιν) αὐτοῖσιν, S. Ald.
31. τέσσαρας δὲ σφι πηγὰς) τέσσαρας δὲ σφι πηγὰς] hunc textum sic restituimus ex Cornario, & aliis; sequitur autem λέγω εἶναι, οἶον) ἦσαν alij legunt.
32. ἐρῶ] ἐρέω, S.
33. τῇ δὲ ὑστεραίῃ] ἐς τὴν ὑστεραίην, F.
34. ὑστεραίη postridianus) ὑστέρη posterior, sic Foes. Idem. ἔφει αὐτὸ ἐν τῷ σώματι, sic ex F. restituimus.
35. ἐξέρχεται) addunt S. & F. ἔξω.
36. καὶ ἐὰν) κἂν legit Cornar. & ὅκως pro ὅμως, sic cod. Vatic.
37. ἐπιλαμπὴς restituimus, non enim ἐπιλαμπὴς dicitur, sed ἐπίλαμπος, aut ἐπιλαμπής.) ἑτέρως] διτέρως, Cornarius legit, sed idem.
38. συνέρχεται confluit] συνεξέρχεται legit Cornarius.
39. ὑστεραίην] ὑστέρην, Ald.
40. ἀπὸ ὀκτωδέκατο, sic interpr. & Foes. & F. αἰεκκαίδεκα, S. ἀπεκκαιδέκατο, Codd. impressi.
41. κατὰ τὸ ὑποπάτῳ πλῆθος εἰ ἔμελλεν ἰσχύειν, sic ex Cornario restituimus. κατὰ δὲ τὸν ὑπόπατον, Vaticana exempl. κατὰ δὲ τὸ ὑποπάτῳ πλῆθος, legit Foes.
42. οὐδ' ἂν) οὐκ ἂν, F.
43. θύρωσθαι sic ex interpretibus vniuersis restituimus. θύρεσθαι sic legunt cod. omnes.
44. ἢ ἄλλη] ἢ ἄλλη, S.
45. τὸ σῶμα) τὸ πνεῦμα, F. ἑωυτὸν) ἑωυτό. S.
46. παρέλθωσι) παρελθεῖν, F.
47. σίτου] σιτίου. Mercurial. Vatic. MS.
48. ἤδε) ἤδη, S.
49. ἀγγεῖος) ἄγγεος, Caluus.
50. διαθεῖ) διωθεῖ, Cornar.
51. δὴ ex interpret. & Foes. διὰ vulgò.
52. περιεργάζεται) περιεξεργάζεται, F.
53. μὴ ἔτι) μὴ desideratur in MS. S. nec temerè. Videretur enim lectio hæc rationi consona. *At si & parcior fuerit humor, quàm qui priùs exiuit, neque alius adhuc à potibus ac cibis accedat, attenuatur propterea homo.*
54. περιγινομένη τι) περιγίνεται, F.
55. γίνεται] γίνεται, S. ἄλλοισιν ἄλλα ἐλάσσω γίνεται, alij aliis pauciores fiunt. ἐλάσσω legit Foesius.
56. ἐπιγίνεται) ἐπιγένηται, Foesius.
57. ἐξέλθῃ) εἰσέλθῃ, Foesius.
58. πληθώρης) πληθώρη, Foes.
59. πλείω] πλεῖον, S. Corn. Foes.
60. τι, non legunt Aldin.
61. Hic textus variè explicatur. Primò à me ita vertitur. *Quum enim exuperante copiosiore humore homo solutus fuerit; imparibus diebus illam ob causam febris dimittit*, &c. sic Cornarius. *Vbi enim humor copiosior præualuerit, homo liberatur à febre. Dimittit autem febris in diebus imparibus ea de causa.* Foesius autem sic vertit. *Exuperantem enim copiosiorem humorem, homo sustinere non potest, imparibus autem diebus illam ob causam febris dimittit.*] αἰέχη ὁ ἄνθρωπος, ἢν αἰέχῃ aut αἰέχηται ὁ ἄνθρωπος, Caluus. Cornarius ad febris liberationem retulit.

62. ἀρτίοισι

62. λῆψιν] αἴτησιν, Caluus vitiosè.
63. πυρέξας) πυρετώδης, F.
64. καὶ) deest in MS. S.) πυρετώσει) πυρετώδει, F.
65. ἀποκρίνεται, sic Foes. sic Seru. sic Ald) ἀποκρίνεται, Mercur. codex.
66. νικώμενον) γινόμενον, Ald. vitiosè.
67. γίνεται) κεῖται, F.
68. ἀναφέρει) ἀναφέρειν, S. Cornar.
69. ἐπινεμηθέντος] περιεπινεμηθέντος, F.
70. ἐγένετο) γίνεται, S.
71. ἐπικρατοῦντος) ἐπικρατούμενος, mauult Foes. vt ad humorem morbosum referatur, qui supra humorem salubrem eleuatus, eũ suâ copiâ superat ac suppeditat. Alioqui ἐπικρατούμενος dicitur humor salubris superatus, aut valdè à morboso attenuatus, quemadmodum aliàs ἑτεροιοῦσθαι de humoribus alteratis, aut alterationem subeuntibus Hippocrati dicitur.
72. ἐκκαθαίρονται, singuli codices sic habent] ἀποκαθαίρονται legit Cornarius.
73. μὴ deest in MS. Seruini.
74. ἡ νόσος) hanc dictionem νόσος non legit Cornarius, sed humorem refert, qui ad vlcus peruenit, sic medicè interpretatus est Cornarius. Verùm negatiuam μὴ his verbis ἐὰν μὴ μὴ μελεδαίνηται addit ac legit contra omnium Codicum fidem.
75. ἐὰν δὲ μὴ) μὴ prætermittitur in impressis codd. quæ negatio hûc conducit, licet omittat Cornarius.
76. ὡς κλῶ, impressi codd.
77. ἀρχῆς, sic Foes. & Mercur.) ἀρχῇ, Cornarius legit τεσσαρεσκαιδεκάτη, rectè impressi codd.) τεσσαρεσκαιδεκάτης, Vatic. vitiosè.
78. ἰσορέει) ὑποχωρέει, Vatic.
79. ἐκ τούτου ἐκ τούτων, S.
80. κάλλιον] πολλῷ κάλλιον, F.
81. ἀποστάσιος, consistente & abscedente humore, ex codd. singulis ita vertendum, & meritò, qui nanque consistit humor vitiosus, abscessum facit] ἀποστάσιος, vertit Cornarius; quem sequitur Foesius. Verum mentem authoris non exprimunt, vt aduertet textûs lector sequentis, sic S.
82. τοῦ αἵματος, sic impressi codd. legunt; sic Cornarius interpretatus est) τοῦ σώματος legit Foesius, & Caluus.
83. ὑποχωρέει) ὑποχωρέοι, S.
84. περιθεῖν) ἐμπεριθεῖν, S.
85. ἐὰν deest in quibusdam codd.
86. μικρὰ) μακρή, F.
87. φλάσμα, contusio ionicè) θλάσμα, F. quod exponitur σύνθλιμμα.
88. ποσότης) πρωθύτης, F.
89. καὶ πόνος) ὁ πόνος F.
90. κρατηθῇ] κρατήσῃ, Cornar. legit.
91. ἐλαπανώτης) ἐκ ἐλαπανώτης, aut ἐν τῷ ἐλαπανώτη, Caluus.
92. ἐκ τούτου) ἐκεῖνη, Mercur. in marg.
93. ἐὰν μὴ) ἐὰν μὴ, Caluus.
94. ἀφελεῖ] ἀφελεῖ, F.
95. μὴν) μὴ, Ald.
96. εἴλεται] ἕλκεται, Cornar. legit.
97. ἡ σήψεξιν ἔχον πη τοῦ σώματος) ἡ σήψεξιν ἔχοιτο, ἡ τοῦ σώματος, Ald. vitiosè.
98. συνιστῇ) συνεστεῶτι, F.
99. οὐ) οὗ, S. nec temerè.
100. ἐὰν δὲ) ἐὰν δὲ, F.
101. ὥσπερ οὖν χρὴ) deest χρὴ, in MS. S.
102. κατὰ χωρίον) τὸ χωρίον, F.
103. ἢ ῥύσεται) καὶ ῥύσεται, F.
104. τὸ πλεῖστον) τὸ πλεῖον, S.
105. *Nunc verò dicturus sum.* Quum auctor tria morborum principia statuisset, vnum internum, duo externa, quorum alterum à cælo, alterum violentum appellauit. Accuratissimè primum explicauit; de violenta quædam etiam protulit. Sed cæleste se dicturum quidem hic est pollicitus, verùm pollicitis non stetit. Quare suspicamur eam partem deesse; & hanc potius ad eam pertinere, vbi internum morborum principium diffusè satis tractauit.
106. περὶ δὲ αὐτὸν τὸν ὕδρωπα ἐστι καὶ τὸ ἄλλο ὑγρόν. Sic exemplaria legunt singula.] περὶ δὲ αὐτὸν ὁ ὕδρωψ ἐστι, ἢ τὸ ἄλλο ὑγρόν, Caluus ita legisse videtur. Cornarius, ἐπὶ pro ἐστι legisse videtur. Sic autem legendum esse auguror. περὶ δὲ αὐτὴν τὴν ἰκμάδα ἐστι καὶ τὸ ἄλλο ὑγρόν. *At circum ipsum humorem alia est humiditas.*
107. ἐλκύσμα] ἐλκύσμον, Foes. Corn.
108. ἢ δηλονότι) καὶ δηλον ὅτι, Interpretes ferè omnes legunt.
109. ἐὰν μὴ] ἐὰν μὴ, legisse videtur Cornarius, aut negationem addidisse, propter textum subsequentem de aluo plena existente.
110. ἀσηρὲς], ἀσθενὲς, MS. R.
111. ὁκόσοι νεανικώτεροι, Cornarius] ὁκόσοις νεανικώτερον, Codd. omnes. περὶ Seruini, & MS. R. cod. & Ald.) περὶ cæteri codices.
112. ὑπὸ) ὑπὸ, S.
113. σπεῖξη) σπείξη, F.
114. μὴ] hanc negationem sustulit Cornarius contra Codicum omnium fidem.
115. ἀπεδέχετο] ἀπεδέξατο, S. ἐπεδέξατο, MS. R.
116. ἀποπατήσει) ἀποπατήσειε, Vatic.
117. τῷ δὲ παιδίῳ αὐξανομένῳ) τῷ δὲ παιδίῳ ἐκ τῶν μητρέων αὐξανομένῳ, MS. R. & Caluus.
118. ἔρχεται) ἄρχεται, Ald.
119. τὸ πεφυκὸς] πεφυκὸς, S. Caluus quoque legit, & pro ἀποπορίεται legit ἀποκρίνεται.
120. ἔρχεται) ἔχεται, Cornarius. καὶ ἰδίῃ) ἢ deest in MS. S. & F.
121. ἀΐσσεται] ἵσταται legunt Interpretes, aut καθίσταται. Sic Corn. sic Foes. quos sequutus sum. *Sedantur, sistuntur*, ἀΐσσεται *discedunt* idem.
122. δῆλον τι] τείνοντι, codd. omnes.
123. μελαινῆ) μελεδαινῆ, Foes.
124. τροφῶ, sic Interpretes) τραφῇ, codd. impressi, Corn. Foes.
125. αὐτῇ, sic ex Cornario restituimus) αὐτὴν, Vatican.) αὐτὴ, codd. impressi.
126. αὐτῇ, ex Cornario restituimus (& postea ἐν ἑαυτῇ) vt ad τὴν τροφὴν referamus) αὐτὴ & ἑωυτὴ, codd. impressi, sed vitiosè; restituimus quoque, αὐτῇ pro αὐτῇ.
127. ὁκοῖον, ex interpretum consensu restituimus] ὁκοίων, codd. impressi.
128. οὕτω, *sic.* Vaticana exempl. & Interpretes S. MS R. Ald.] τοῦτο, codd. impressi.
129. ἐκ] ὑπὸ, S.
130. ὑπὸ] ἀπὸ, F.
131. ὥς τι, sic ex MS. R. & S. restituimus.
132. ἡ ἄση, *molestia, anxietas*, sic ex Cornar. & Foesio restituimus.] ἡ ἄλλη] εἰ δὲ γὰρ] ἐὰν τι, S.
133. ἐπὴν οὐρήσῃ] ἐπὴν οὐρῆσαι, Vat. & Ald. Caluus hic legit, ἡ ἄλλο τι.
134. γεωτραγίης, *terræ esu*, sic omnes habent impressi codices: τραγεῖν quidam proferunt pro φαγεῖν] γεωφαγίης, Foesius scribi vult, cuius nomine quæcunque è terra orta ablactato puero offeruntur. Mercurialis autem scribi vult κρεωτραγίης.
135. φθεγξόμεθα) φθεγξόμεθα, legunt Vatic. exempl. & Aldina. περὶ σίτου] περὶ σιτίων, Cornar. S. & διαρθροῖ, S.
136. χωρέει] χωρέειν, codd impressi: κοιλίης) κοιλίη.
137. ὅ, τι ἂν ἀλείφῃ, *quodcunque blandè exercuerint; quancunque partem leniter attigerint.* Sic omnes codd. impressi.] ὅτι ἂν λάφθῃ, *quancunque partem occuparint*, Cornar.) ἐπιλειφθῇ, S.
138. γὰρ, impressi codd.] γὰρ deest in MS. R. & S.) κ pro γὰρ legit Foes.
139. ὥς τε, &c. *ac si probè aluum purgaret, aut ad pulmonem veniret.* Sic verbum verbo ad mentem auctoris reddidimus, neque Cornarium sequuti sumus, qui pro εἰ ἀποπατοίη) ἀποπατοίη legisse videtur. Neque etiam Foesium, cui ita legendum videtur, ὥς τε ἂν ἀποπατέειν (aut οὐκ ἂν ἀποπατέῃ) καὶ ἐπιπολῆς εἰ ἐς τὸν πλεύμονα ἔλθοι.
140. αὐτῷ, *ipsi, pulmoni* hanc dictionem referri vult Foes.) αὐτῇ, *ipsi ventriculo*, Caluus κοιλίῃ.
141. ἄλλων] ἄλλως, S. MS. R.
142. ἡ δὲ κύστις) ἐὰν δὲ ἡ κύστις, S.
143. γὰρ δὲ, S.
144. οὐ) καὶ οὐ, Ald.
145. πλεῖον) πλεῖστον, S.
146. αὐτοῖσι) αὐτῇσι, Seru.
147. ὅπω ἀνηθῆσι) ὅπω διαπῶσι, aut ἐνωθῶσι, Caluus legisse videtur. ὅπως ἰνηθῶσι, legi posse vult Foesius; aut ὅπω οἰνηθῶσι.
148. ἀπολειφθῇ] ἀπολειφθῇ, legisse videtur Cornarius.
149. ἀπολαβών) ἀναλαβών, S.
150. οὐκ ἂν ῥαΐσειεν ἔξω) οὐκ ἐκρύσεται ἔξω. Ald. exempl.
151. ταῦτα, sic codd. impressi) ταῦτα legit Foes. cum Interpretibus multis.
152. τῆς νόσου) τῆς ἑτέρης νόσου, sic Cornarius legit, quem sequuti sumus, non Foesium, licet rectè quoque vertat.

---

31. IN LIBRVM HIPPOCRATIS DE AFFECTIONIBUS.

HVnc librum περὶ παθῶν inscriptum inter τὰ παθολογικὰ ac διαγνωστικὰ Hippocratis & Galeni opera reposuimus, quòd in eo maximè doceantur plurimi affectus præter naturam, morbi, causæ, & symptomata; imò etiam curationes, vnde hic à quibusdam inter τὰ θεραπευτικὰ collocatur. At quis huius libri author sit, multi concertant. Sed propè omnes Polybi, non Hippocratis, genuinum esse fœtum tradunt, Hippocraticam tamen parturire doctrinam. Ex Regio codice manuscripto ad marginem hæc verba deprompsimus: τοῦτο βιβλίον ὁ Γαληνὸς τοῦ Πολύβου λέγει εἶναι. Sed commentario in aphorismum libri 6. cui hunc librum ascribat ancipitis esse sententiæ his verbis proditur Galenus: ἐν μὲν γὰρ τῷ περὶ παθῶν Ἱπποκράτους (εἴτ' οὖν αὐτοῦ τοῦ Ἱπποκράτους ἐστὶ τὸ βιβλίον, εἴτε Πολύβου τοῦ μαθητοῦ αὐτοῦ, adducit Galenus sententiam ex libro Hippocratis de affectionibus, quum dicit, *nam in libro Hippocratis de affectionibus.* Sed nè hallucinari

videatur, quamprimum sequentia conscribit; *siue hic liber sit Hippocratis, siue Polybi eius discipuli.* At tanti liber hic ducitur à Galeno, vt is ex eo multas ac integras tanquàm Hippocraticas deprompserit sententias. Cæterum Græcam huius libri texturam cum π anuscriptis Regiis codicibus contulimus. Et ex nobilioribus versionum tum Cornarij, tum Foesij floribus nostram versionem illustrauimus, ac librum vniuersum in capita titulis coronata dissecuimus.

1. ἐπίσαπη] ἐπίσαπη, MS R.
2. πιαίνεται) φραίνεσθαι, S. φραίνεται fortassis, aut σφαύνεται.
3. ἰσχυρὸν) ἰσχύει, Vatic. Mercur.
4. διαμασσήμασι] διαμασήμασι *mansorijs*, vertimus potius quàm *masticatorijs*, seu apophlegmatismis quæ medicamenta ore mansa pituitam à capite in os educere norunt sapientes Medici.
5. ἐξαγαγεῖν] ἐξιέναι, F. sed videtur explicatio esse.
6. φῦμα rem vertit Cornarius; etiam caput polypi est) φρυσμα, *inflatio, flatulentus tumor*, ex Foesio vertimus. πνέεται) τείνεται, Foes. πήγνυται, Caluus.
7. πόσιος] ποσίων, F.
8. εἰσήνεται] εἰσδύνεται, Marg.
9. κατ'] ἢ κατ', F.
10. τὰ αὐτὰ] ἐπεὶ αὐτοῖσι, F.
11. ἐν ἑωυτῇ) ἐν αὐτῇ τῇ νόσῳ τῶν πυρετῶν, F. MS.R. Vatic. Ald. Caluus legisse videtur, ὥς ἐν ἑτέροις ἄλλοις πυρετοῖ.
12. τὰ πόαλα] τὰ ὑπιόντα, H. meminit Codex.
13. ὅταν αὖ] ἢ αὖ, F.
14. ἐνδεκαταῖος, sic ex Cornario & Foesio restituimus] δεκαταῖος, Codd. impressi.
15. ἃ) ὅπα, F.
16. ἢ ἐς ὅ μέρος) ὅ, τι μέρος, F.
17. θεραπεύῃ] θεραπευθῇ, F.
18. ποτήμασι) ποτοῖσι, F.
19. τοῦτο] τοῦτον, Aldina exemplar.
20. ἴσον) ἴσον, Aldina exemplar.
21. ὁκόσοι μὲν φλεγματώδεες] ὁκόσοι μὲν φλεγματώδεες, F.
22. μαλθάσσειν) μαλθάσσοντα, F.
23. οὐδὲν ἰσχυρότερος γίνεται) ἰσχυρότερος οὐδὲ γίνεται, Ald. exemplar.
24. πίπτεται] ἐκπίπτεται F.
25. σκληρός τε] σκληρότερος, F.
26. σφῶ τε) σφίσι τε, F.
27. χολῶν δὲ μὴ κινέειν, sic ex interpretibus & margine codicis Mercurialis restituimus.] χολῶν δὲ κινέειν, Codd. impressi.
28. τὸ δὴ) τὸ δὲ, Ald.
29. ἢν ἔτι) οὐ κινέει, S.
30. τοῦτον θεραπεύειν] δὲ θεραπεύειν, F & MS.R. τοῖς ἐχεθμοῖς] τῇ ἐχεθμῷ, MS.R. & F.
31. θερμαρόδμοι) θερμαιρουδμῶν, Caluus.
32. ἀποξηραίνειν) ἐπιξηραίνειν, margines Mercurialis cod.
33. λεαίνειν *detergere, mitigare, delinire*, hæc mentem medentis decent. ἀλεαίνειν *tepefacere*, legunt Vatic. & Aldin.
34. οἱ) ὅταν, Mercur. cod.
35. εὐπετέστερος, *facilior*) εὐπρεπέστερος, *opportunior, paratior, procliuior*, S. F. Cornarius.
36. κενὸς ἢ] κενεῶν, Cornar. Foes.
37. ὅταν) ἢ ὅταν, F.
38. διαχεῖται) διεται, F. sed videtur interpretatio quædam.
39. ῥοφῆν διδόναι) ἐπιδιδόναι.
40. ἐπὶ) ἀπὸ, F.
41. ἢ ὄνου γάλα, sic ex F restituimus ac medicè, lac enim asininum & serum lactis simul non dantur] ἢ ὄνου, Codd. impressi.
42. βιαιότατον ex MS. R. & F. restituimus) βιαιότερον, Codd. impressi.
43. ἢ ἐν ἀνάγκῃ] τοιοῦτω ἢ ἀνάγκη, F. & MS.R. & πεφύκασι pro πεφυκέσι.
44. ὅταν δὲ] ὅταν δὴ legit Cornar. & superioribus adiungit.
45. καθαίρει sic interpretes] καθαίρειν codd. impressi.
46. διδόντα) διδόναι, F.
47. ῥάμνς) ῥαφανὶς, MS R.
48. αἰγείδεα] εὐώδεα, F.
49. μελιχρὸν) μελίχρουν legisse Galenum apparet, vt 2. de morbis, & τὸν μέλιτι μεμιγμένον accepisse.
50. ἢ λάγνα) ἢ λάγανα, Aldin. sed vitiosè.
51. ἐς τὸ σῶμα] ἐς τὴν κοιλίην, Vaticana MS.
52. κατὰ λόγον] κατ' λόγον, F.
53. τε] τὸ, Ald.
54. ἐπιτήδειον) ἐπιτήδειον ὄν, F. ἀπ' αὐτοῦ) ἀπ' αὐτῶν, Cornarius.
55. σῶμα] στόμα impressi legunt codices; sed cum Cornario & Foesio σῶμα restituimus.
56. γινόμενον) ἐοῦσα, MS. R & F.
57. ξυμφορώτερος) ξυμφορώτατος, F. ἀπύρεκτος] ἀπύρεκτος, aut ἀπύρεκτος legit Foes. cuius œconomia legenda est.
58. παλαιοτάτων) παλαιοτέρων, F.
58. ἀποβρέχων] ἀποβρέχων legendum, etsi codices aliter ferunt.
59. ἐλαφρότερα] κουφότερα, vt & in linea seq. F.
60. ἰσχυροτέρη] ἰσχυρὴ, F.
61. ἐ τὸ αὐτὸ) ταὐτὸ, F.
62. ἀπὸ τούτων) ἢ τούτων, F.
63. μελιειδὴς οἶνος, vinum melleo colore donatum, cum Cornario & Foesio vertimus.) μελιηδὴς ex Gal. in exegesi, οὐ μόνον ἡδὺς, ἀλλὰ ἢ μέλιτι μεμιγμένος.
64. ἢ αὐστηρὸν) τῶν αὐστηρῶν, F.
65. τούτων) αὐτῶν, F.
66. διὰ τοῦτο] τὸ τοῦτο, F.
67. μή πως) ὅπως μὴ, F.
68. τὴν πρὸς φύσιν] ἢ πρὸς τὴν φύσιν, F.
69. ἢ δεῖ αὐτῶν) ἢ δὴ, Corn.
70. τοιούτοισι) ἐν τοῖσι τοιούτοισι, MS.R.

32. IN LIBRVM HIPPOCRATIS DE INTERnis affectibus.

HIc Hippocratis liber περὶ τῶν ἐντὸς παθῶν, *de internis affectibus* inscribitur, quod in eo interiorum partium morbi doceantur, quos nonnunquam & πάθη affectus & affectiones medici appellitant. Consimili titulo Asclepiadis libri περὶ τῶν ἐντὸς παθῶν, vt & Tarentini, & Apollonij Glauci donantur. Hunc autem librum τὸν μείζονα περὶ παθῶν Galenus plerisque in commentariis vocitat; quem à plurimis περὶ ἐμπύων *de suppuratis* inscriptum fuisse testatur. Verùm angustiorem esse hanc inscriptionem sapientissimus Martinus (qui celeberrimis hunc librum commentariis locupletatus est paucis prodidit, quum multi morbi puris expertes hoc libro explicentur. Galenus tamen in exegesi τὸ δεύτερον περὶ νόσων τὸ μείζονα vocat. An ad differentiam libri superioris περὶ παθῶν inscripti hunc ita voluit appellari? Multi certè ipsum περὶ παθῶν librum de morbis minorem ab Erotiano inscribi contendunt, quanuis ab Erotiano hic liber prætermittatur. Quum autem de internis morbis seu affectibus inscribatur, constat hunc relationem habere ad alterum de morbis externis librum. Quos verò morbos hic liber complectatur, quinquaginta nouem numerantur, qui potissimum partes internas afficiunt, vt pulmonem, lienem, iecur, & alias, quorum morborum differentiæ, causæ, signa, & curationes explicantur. An verò hic liber de internis affectibus genuinus Hippocratis fœtus? Quidam enim eum filiis Hippocratis ascribunt; alij autem cuidam Gnidio. Verùm omnes Medici legitimum Hippocratis esse monumentum profitentur, quòd Galenus multis in commentariis vt in aph. 27. l. 6 & ad partic. 8. sect. 3. l. de articulis ipsum agnouerit. Huius libri interpretes tres insignes legimus, Cornarium, Foesium, & Ioannem Martinum, quorum trium versionibus quarta hæc Charteriana versio decorata est. Cuius Græca lectio manuscripto Regio collata, accuratissimè emendata est.

1. κατακρεμαμένων] κρεμαμένων, F.
2. πάχῃ) πάχεσι, F. & MS R.
3. οὕτως) ὧδε, Cornarius legit.
4. παρέλθοιεν] παρέλθωσι, MS R. & F.
5. ἐς] ἐπὶ, MS. R.
6. γαλεοῦ sic habent omnes) γαλεοῦ, Aristot. Athenæus Plinius, Iulius Pollux, interpretes omnes mustellus piscis est.
7. ὁκοίων] τοιούτων F. τοιούτων MS. R. deinde πῖσι δὲ, F.
8. λευκοῦ] γλαυκοῦ Martinus, quòd hic piscis sit dorso glauco.
9. αἰγὸς) αἶγα, F.
10. φαρμάκου] φαρμάκῳ, Martinus ac rectè si χέεσθαι sequatur] vel φαρμάκου δέεσθαι legendum vt habent MS Regia.
11. ἐπιπλάζηται) ἐπιπλάζη, MS R.
12. σῶμα] σῶμα, MS. R. & Caluus.
13. διὸ ἢ] ἐνθάδε δὲ MS. R. & F.
14. φώσας] φῶζας, MS R.
15. διασῆσαι] διασεῖσαι, Aldina exemplar.
16. γάλακτι ex MS R. & Aldinis exemplaribus restituimus.
17. διδόναι δὲ ἢ τῆς τε βηχὸς, sic Vatic. & Regia MS.) διδόναι δὲ ἢ τῆς βηχὸς, *dato verò & tussis gratia dracontium cum melle delingendum*, sic Ald. sic Cornarius, ante λείχειν MS. R. habent διδόναι.
18. ἢν γὰρ θεραπευθῇς) ἢν δὲ θεραπευθῇς MS. R.
19. ἡμέρῃ δὲ πεντεκαιδεκάτῃ, sic ex Cornario, Foesio, Martino, & aliis interpretibus restituimus.] ἡμέρῃ δὲ, impressi codices duntaxat legunt. Quidam ἡμέρῃ ιδ'. vt notauit sapientissimus Motæus.
20. τούτων ἐ ποιέῃ] ἀπὸ τούτων μὴ ποιέῃ, F. & MS. R.
21. ἢν δὲ μὴ προσέχῃ, sic codd. impressi habent quod est, *nisi animum æger curationi adhibuerit*, legit Foesius ἢν δὲ μὴ προσέχῃ, *sin minus perseuerat hic affectus*: προσέχῃ enim hic παραμένῃ exponit Gal. in exegesi Martinus verò sic vertit, *Si verò æger animum ad curam non aduertat*, &c. & arguit Cornarium, quod sic hunc

textum

textum vertat, *si verò non adhæret*. Nos verò ex mẽte Galeni ita legimus. *Nisi verò permaneat morbus, annum detinet*.

22. ῥοφήτω] ῥοφεέτω, F.

23. σεσεισμένον, *excolatum*, sic Foesius, sic Cornarius] σεσεισμένον, agitatum codd. impressi habent: sic & Martinus qui licet locupletissimè textum Hippocratis explicet, hanc tamen dictionem prætermittit enucleandam.

24. ῥαίση, codices omnes & interpretes) ἴησι *curetur*, error in textu.

25. ἢ ἐν τῇ κεφαλῇ ἐνέστηκε, sic codices impressi habent omnes] ὀδύνη ἐνέστηκε, Cornarius legit. τὸ οἴδημα ἐνέστηκε, Foesius. τὴν αἰτίαν ἐνέστηκε, Martinus. Caluus ad capitis grauitatem refert.

26. ἐς] ἐπὶ, F. ἀθρόη, codd. omnes] ἀθρόη, Martinus, prior lectio Hipp.

27. ὕδατι) ὕδατα, S.

28. πυοῦται] πυρρόοῦται, MS. R.

29. ὁκόταν] hæc antè scribuntur, ἄλλη νοῦσος. MS. R. F.

30. ξυρρήξηται] συρρήξηται, F. sed potius lege ξυρρήξηται.

31. ἀπὸ βρόγχου) ἀπὸ βρόχου, Caluus.

32. ὀψίτερον] ὀψιαίτερον, F. idem.

33. τοῦτο) τούτῳ, vel τούτου, legi volunt quidam, quòd interpretes *huic* verterunt; sed isti sciant nullum hîc errorem esse, sed Hippocraticam loquendi consuetudinem.

34. μαλθακὴν] μαλθακήν, legit Martinus, verùm errorem non patitur textus.

35. συμπλησθέντα, sic ex Martino restituimus) συμπλησθέντα, impressi codices.

36. καταμαλθασσόμενος] καταμαλθάσσεσθαι, Martinus, sed lectio prior probatur.

37. καθήρῃ) καθῆραι, MS. R. & F.

38. παρεγχέας] παρεγχέας, F.

39. ἐξαίρῃ] ἐξαίρῃ, F.

40. φθέγγεται βραχέως, *paucis loquitur*, sic cum cæteris interpretibus] φλέγεται βραχέως, *totusque breui peruritur*, Aldinus, quem probat rectè scripsisse Martinus ex Hipp.

41. θνήσκει] addit F. μάλιστα. ἢν δὲ ζῶντας ἐκφύγῃ, οὐ μάλα θνήσκει, τοῦτο πάλιν, &c. sic quoque habent, MS. R.

42. ἐν τῷ σώματι ἐπιπλεῖς) περιφέρεται μάλιστα περὶ τὸ πόνον νέον τῷ σώματι. F.

43. αὖ μαλθασσόμενος) αὖ μάλιστα μαλθασσόμενος, MS. R. & Ald.] μαλθαχθησόμενος legendum vel μαλθασσόμενος.

44. ἐν τούτῳ] ἔτι δὲ οὐδ. F. MS. R.

45. κατίσταται) καθίστασθαι, Ald. & Vatic.

46. γάλακτι) φακῷ, Caluus) πτισάνῃ) πίσσῃ, aut πῖναι, Cornarius.

47. δέκα) ἕνδεκα, Caluus.]

48. διαζωννύσθαι) ἐκδιαζωννύσθαι. F.

49. ἀποπλύνεται] πλύνεται, F.

50. ἢν τε οἶνον) ἢ οἶνον. F.

51. τοιούτοις) τοιούτοις, F.] τὸν ἥλιον] ἢ τὸ θάλπος τοῦ ἡλίου, MS. R. F.

52. ποιέων) ἢν ποιῇ F.] θέρμα) θερμασία, legisse videtur Caluus, vitiosè tamen.

53. καταλαμπάσθη) ἐᾶν, F. sed videtur explicatio.

54. φαῦλος) φαύλως, legit Martinus, sed idem ferè.

55. ξυμμίσγων] συμμίσγων, F.

56. δεῖ) χρὴ, F.

57. ἡσυχαζέτω) ἡσυχίην χρὴ ἔχειν, F. sed explicatio videtur.

58. νουσήματι) σώματι, Vatic. Caluus.

59. αἰτίη) αἰτίᾳ, legisse videtur Caluus.

60. λίθοι, MSR. Martinus) λίθος. Codd. impressi.

61. πταρμοί) πτύαλα, legit Cornar.

62. ἀποπτύει) πτύει. Vatic.

63. καταμαλθασσόμενος] καταμαλθασσόμενος, per simplex τ Martinus.

64. ἄχρις αὖ) ἕως.

65. τὸ στέαρ οἷος ex Vaticano exemplari restituimus in impressis οἷος omittitur] συνεψῆν τε ὀστέα οἱ, Ald. cod. & MS. R.

66. ὄξος] ὄξυ. MSR.

67. ἀνθηρὸν, Floridum sic codd. impressi.) ἀνθηρὸν quidam legi volunt, & odoratum interpretatur Martinus.

68. ἄνθεα) σπέρματα semina vult intelligi Foesius, non autem Flores. διῆναι infundere Martinus interpretatur ac meritò) Cornarius & Foesius diluere.

69. ὡς πλεῖστον, sic habent impressi codices; οὐ πλεῖστον *non plurimum* legit Martinus, ac medicè, quem sequuti sumus.

69. τυροῖσι] *caseis* sic Cornarius, sic Foesius, sic impressi codices.] verùm Martinus πυροῖσι tritico elixo legit, & in suis commentariis rationes reddit cur ita legat. sed quum legerimus apud Gal. l. 1. de alim. fac. c. 7. & 17. Martini sententiam reliquimus vt minùs consonam.

70. περὶ τὸ δείπνου πεντήκοντα restituimus hæc verba ex Cornario, Foesio, Martino.) Caluus verò, μετὰ τὸ δεῖπνον πεντήκοντα, ὄρθρου πεντήκοντα, legit.

71. ἤδη] μέλλη, F.

72. περὶ τὸ δείπνου πεντήκοντα, sic ex Corn. Foesio, & aliis interpretibus restituimus) in codicibus impressis hæc verba desunt] Caluus legit, μετὰ τὸ δεῖπνον πεντήκοντα, ὄρθρου δὲ ἑκατόν.

73. Αὐαίνεται μυελὸς ὁ κατὰ τὴν ῥάχιν] ἢν μυελὸς ὁ κατὰ τὴν ῥάχιν αὐαίνηται. MS. R.

74. ἡσυχέστερον) ἡσυχαίτερον, F. idem.

75. ἐκφλυνδάνει *erumpunt*, sic Hipp. & rectè] ἐκφλυνδάνει Galenus, Martinus idem] ἐκφλυνδαίνει, S. MS. R. error.

76. φύεται) παραφύεται, F.

77. τῆς ἰσχυρᾶς ὀσφύος] τῆς ἰσχίου ὀσφύος, Ald. MS. R. sed vitiosè.

78. ἐν ὀροβίῳ, hoc est eruino grano parato) ἐν ὀροβίνῳ putat legendum esse Martinus, nec temerè) ἐν ὀρρῷ, legit Cornarius, quem medicè arguit Martinus.

79. περιέρχεται] περιέρχεται, Ald. & Vatic.

80. ὁ νεφρός) ἢν ὁ νεφρὸς, F.

81. πόνον) πόνος, Ald. πόνος Vatic. Caluus.

82. ἀπὸ τῆς παρὰ τὴν ῥάχιν) παρὰ τὴν ῥάχιν. Vatic.

83. καταφαρμάσαι] καταφαρμάξαι.) κινδυνεύσει, sic codices] κινδυνεύει, mauult legi Foesius, ac rectè.

84. μάλιστα) μαλθάσσει, F.

85. ἐκ ita legunt omnes interpretes & codices) Martinus hanc negatiuam reijcit. Quisque suas habet rationes; verùm priorem sententiam fide digniorem amplector.

86. φλεγμασίης. ὑπὸ τῆς φλεγμασίης *ob pituitæ copiam* Foesius) *præ pituitositate) præ ardore*, Martinus. Certissimum est τὴν φλεγμασίην, ab Hippocrate inflammationem aut ardorem intelligi. Sed hic agitur de nephritide ab obstructione facta renis. vidi ægrum laborantem nephritide simili, cui tum ob dolorem, tum febrem frequens phlebotomia celebrata fuerat; huc accersitus licet graui febre detineretur, ex vrinæ inspectione iudicaui renis obstructionem à copiosâ pituita esse, quare derepentè præscripsi semunciam tabellæ diacarthami in aqua parietariæ solutam, quâ potione sumptâ paulò post pituitæ copiam cum vrina excreuit, & febre liberatus citò conualuit.

89. πίσσα] sic Cornarius, Foesius, Martinus.] πίσσαν codices omnes.

90. περισσῶς) ὑπερβάλλον. Foesius hæc explicatio est haud prætermittenda.

91. δέκα) δώδεκα, Vatic. & Ald. sed vitiosè.

92. βαδιζέτω) hanc particulam βαδιζέτω tollendam esse censet Martinus, & ἢ, sed codices omnes sic habent, & rectè.

93. περιπατείς] περιπατείτω. F.

94. κοτυληδόνος) κοτυλίδος legit Gal. in exegesi.

95. ὃ πλείω] ὃ δὲ αὖ πλείω. F.

96. ἐς αὐτὴν) ἐν τῇ κεφαλῇ, F.

97. πληρωθῶσι) πίμπλανται, F.

98. μύκητες) κυκίνοι legunt Aldina & Vatic. exempl.] κνίκοι fortassis, quos fungulos vocat Caluus.

99. ὅκως] ὅκω, Ald.

100. πλῆθος φλεβός) χλιρός, F. sic codices & interpretes] παῦσαι Martinus sic legendum putat.

101. ἀλλ' ὁ sic habent codices] sed Martinus vult legi ἄλλη, aut ἀλλ' ἢν. nec temerè.]

102. δυσκραδίης ἔτι] δυσκραδίη ἔτι. Foes.

103. πυκνόμενος] φθινόμενος) F.

104. φάρον,) φαρὸν, Foesius & plerique; vide Foesium in œconomia.

105. χλιαρῷ] ἐν χλιαρῷ, MS. Reg. & Ald.

106. ἄρτον αὐτὸν ποιεῖν] ἄρτον τὸν αὐτὸν ποιεῖν, Ald. MSR.

107. τὸ δὲ ὄψον ἔστω) ὄψον δὲ ἐχέτω, F.

108. παλαιότερον] παλαίτερον, Foesius, ferè idem.

109. πάσχει) addunt οὐδ, MS. R.

110. ἔστω] περιβαίνει, F. MS. R. αὐτομάτως) αὐτόματον. Ald.] pro ἔστω) ἔσται MS. R. [ἢν δὲ) ἢν οὐδ, Foes.

111. λιπαρόν) καταθεῖν quidam legunt.

112. πεντήκοντα) πίνοντα δισσῶς, Foesius.

113. ἐπικεκεῖσθαι) κεκραμένη, Martinus.] ἐπικεκεῖσθαι, MS. R.] κεχηνυῖα Foesius.

114. ἵνα γυνὴ εἰργασμένον) ἵνα ἀπεργασμένον, Foes. ἤγουν τι πεπληγμένον ex sch. exponitur] ἐργασμένον ἴσως, Vaticana) ἀπειργασμένον, quod διαμεμαλαγμένον.

115. ἀφελεῖν] ἀφελέσθαι, F.

116. δυνατὸν ex Martini sapientissimi consilio restituimus vel ἐκ ἀδύνατον] ἀδύνατον codices habent omnes, sicque legunt interpretes, sed error grauissimus ob causas à Martino commemoratas. γνῶσις pro γνώσεις quoque restituimus.

117. hæc verba ex MS. R. & Vaticano restituimus. Qui verò hæc verba emiserunt & aliam interpretationem dederunt, mentem Hippocratis non assequuti sunt.

118. ἴσωλον] ἴσωλον. cum Cornario, Foesio, & Martino legimus.

119. ὄψιος] ὄψιος F.
120. τοὺς ὀπούς.] τὸν ὀπόν. F.
121 ἔχουσι) ἔχῃ F.) διαταμὼν γὰρ] διαταμὼν νῦν δὲ F.
122. ἐπειδὰν δὲ] ὁκόταν F.
123. προγλωττείῳ sic codices omnes) προτηνείῳ Martinus legit in textu Hippocratis, vultque reponi προγλωττείῳ ex Gal.) προτηνείῳ Cornarius legisse videtur] nos & Martinum & Foesium & Galenum sequuti admittimus.
124. ἐλάφου) ἐλάφοιο, F.
125. ξυμφυρῆσαι ταῦτα] εἶτα ταῦτα ξυμφυρῆσαι, F.
126. ὑγιὴ ποιήσεις] ὑγιὴς ἔσται. MSR. idem. F.
127. ὅλον ἐχέτω] hæc verba desunt in Ald. Cod.
128. τῆς τοιαύτης] τῆς δὲ τῆς F.
129. ὁκόταν φάγῃ] ὁκόταν ὀπώρην, καὶ αὐτὸς φάγῃ F.
130. Πολλοὶ δὲ ἤδη καὶ ἀπὸ τροφῆς βοτρύων πολλῶν] βότρυας πολλοὺς καταφαγόντες.
131. κατεστῶσι) κατεστῶσι Ald.
132. μᾶλλον) μάλιστα F.
133. δοκῶσι] διδούς, F.
134. πυρίνῳ) κριθίνῳ Caluus) κιρρίνῳ Vatic. vitiosè.
135. καὶ δοκέονται) δοκοῦσι δὲ ἢ. F.
136. πολλοῖς] πολλῆς Vatic.
137. ἃ πρὶν εἴρηται] ἃ προείρηται μάλιστα. F.
138. ἐπισπάσῃ auidè attrahendo & exhauriendo ἐπισπούσῃ, quidam ita legi volunt.
139. δύνανται] μὴ δύνανται, vbique codicum editorum μὴ legitur. Verùm ex Martini, Foesij, Cornarii & Manuscripti regii consilio deleuimus.
140. ἀδυνάτως ἔχῃ] ἀδύνατος ᾖ. MSR.
141. δίυδρος) δίαιδρος Gal. in exegesi) δίεδρος Caluus) διεδροι Vatic.
142. λαμπτὴρ sic restituimus ex interpretibus omnibus) λαπτὴρ, Codices impressi.
143. τέταρτον *quartam heminæ partem*, cum Martino & Foesio interpretamur) τέσσαρας κοτύλας legit Cornarius.
144. οὕτω] τοῦτο F.
145. αἱ ὑπακούῃ] ἢν ὑπακούειν legunt Aldina exemplaria.
146. ὀποῦ ἐσβεβρωκέναι] ἐβέβρωκε vbique legitur, sed quid ὀπὸς Αἰγύπτιος ignoratur] ῥοδόπου legit Martinus] ὀποῦ νίτρου ἐρυθροῦ Cornarius, quem sequutus est Foesius.
147. ἐν δὲ] καὶ ἐν F.
148. ἤσσω) ἥσσων Martinus.
149. τὸ ὑγρὸν] τὸ ὠχρὸν MSR.
150. ἡμικοτύλιον) ἡμικοτυλίου MSR.
151. προσίσταται] προσίσταται. F.
152. γίνεται] additur μάλιστα. F.
153. ἐν hanc præpositionem obliterat Martinus, idque rectè.
154. ἢ βοείῳ) βοείου γάλακτος ὠμοῦ, legunt Vaticani & Ald. codices quos Foesius, & Cornarius sequuti sunt; minimè verò Martinus, qui rectè vertit.
155. καῦσαι) κεκαῦσθαι S.
156. διαρρηχθῇ) διαρραγῇ F.
157. προσίεται *abijcit* potius quàm *admittit* significat; sed quia omnes interpretes *admittit* verterunt; ex Foesio προσίεται legendum. Id satis explicat Galenus in exegesi in dictione ἁμαλῶς; vbi hæc scribit, οὐχ ἁμαλῶς προσίεται τὰ σιτία *& cibos non facilè recipit.*
158. κάτω] ἄνω per superiora quidam, legi volunt.
159. τρύβλιον] τρία τρύβλια Caluus legisse videtur. λιπαρὸν] ῥυπαρὸν vitiosè legunt Ald. exempl.) λαπαρὸν .i. tenerum & molle Martinus.
160. ἢ αἰγὸς κέρας) αἰγόκερας Cornarius, Foes. & Martinus, & rectè πῖλις est.] κρέας legit F. sed vitiosè.
161. ἐν οἴνῳ αὐστηρῷ) ἐν οἴνου κοτύλῃ αὐστηροῦ MSR.
162. σιδηροειδὴς] σιδηροειδὴς Caluus legisse videtur.
163. καὶ κλύζειν] ὑποκλύζειν, F.
164. τῷ προσώπῳ sic Codices, sic Cornarius) τῷ κόπρῳ *cum fæcibus* sic legit Martinus, sic censet Mercurialis, paululum annuit Foesius, verùm προσώπῳ maneat.
165. καὶ ὑπερέχεται] ὑπερέχεται substituendum esse fortassis proponit Foesius.
166. οἴνου] ἐν οἴνῳ MSR.
167. καὶ οἰνοφλυγίης] καὶ λαχανοφαγίης Vatic.
168. ξηρειδύος] ξηρτημένος F.
169. ἄσσει] ἄσσηται Ald. ἀσσεῖται Galenus in exegesi) ἄσσεται & ἀσσᾶται legi posse notat Foesius.
170. ἀσθενὴς) ἀσινὴς si sine vlla graui offensa est. Martinus.
171. καὶ ἐκπιέτω] ἐκπιέτω δὲ F.
172. ἀφ' ἑκάστης] ἑκάστης, F.
173. κρήσας) κεράσας, F.
174. κυρνάς) κυρναί. MSR.
175. τοῦτο ἐπιλαμβάνει] ἐπιλαμβάνει μὲν, F.
176. δείκνυται] δηλοῖ, F.
177. τάμνη] τάμῃ MSR. ac rectè.
178. ῥεῦσαι ἐξελεύσεται) ῥεύσεται F. MSR.
179. ὕπω in cod. F. non est. Caluus quoque non legit, & morbum hunc priore minùs lethalem affirmat.
180. ἔπειτα ex Martino restituimus) ἔπειτα codices omnes, quod vt inutile omisit Cornarius.
181. συμπίπτει εἰς νοῦσον, καὶ ἡ νοῦσος] συμπίπτει νοῦσος. F.
182. παραγένηται) ἢν παραγένῃ *si adfueris, aut accesseris.* ita legendum ac restituendum esse censet Martinus.
183. χαλαείου) χαραδρίου, S. χυλαείου Cornarius] χλιαροῦ Caluus) χλιαείου *à fotu* legit Martinus, quem cæteris præferendum arbitror sequorque.
184. καὶ γὰρ ἐν ταύτῃσι) ἐν δὲ ταύτῃσι F. δηλοῦται] διαδηλοῖ. F.] διαδηλοῦται MSR.) εἰ] ἢν MSR.
185. καὶ) Vatic. & Ald. & interpretes omittunt.
186. ὑδαρὸν] ὑδαρέα, F. ὑδαρέστερον MSR.
187. καταληπτὸν pro καταληπτὸν ἀπιέναι. F. καταληπτῶν MSR.
188. διαφθείρουσιν] διαφυγγάνουσιν; Foes. MSR.
189. χόας] κόας Caluus, non alii.
190. ξορῆται sic legit Foesius, & Cornarius] ἐσορῆται legit Martinus ac *intueri* interpretatur] ξοείσαι Codices impressi, sed vitiosè.
191. τοῦτο interpretes omnes) τοῦτον Vatic. & Ald.) τοῦτο Codices impressi.
192. ἔστιν ὅτε] ἔστι δ' ὅτε, F pro ἀπὸ τοῦ.
193. ἕως τῶν εἴκοσι τεσσάρων ἡμερέων) εἰς τὰς εἴκοσι τέσσαρας ἡμέρας, F.
194. δύο] τρία Caluus ex Vatic.
195. μάζαν δὲ ψαιστὴν exponit Galenus τὴν μέλιτι καὶ ἐλαίῳ πεφυραμένην) ψαιστὴν legunt Ald. exemplaria.
196. ἴσον) αὐτόν, F.
197. χωρῷ] addit F. μάλιστα.
198. στρυφνὸν] αὐστηρὸν, F.
199. ποιέειν) ποιεῖν vitiosè legunt Ald. exempl.] ἐγχύσαι exemplaria impressa omnia; iubet ita Hippocrates ramenta foliorum thapsiæ detasa cum melicrato pro clystere vsurpari.] ἐψῆσαι legit Cornarius, cuius lectio quoque probatur.) ἐγκαθίσαι MSR.
200. ἐκχωρέειν] μὴ ἐκχωρέειν Caluus legisse videtur.] ξυγκάμπτεσθαι, sic interpretes omnes legunt] ξυγκλείεσθαι in plurimis codicibus.
201. ἀθλάσιες] pro ἀθλάσει ex Foes.
202. ποιεῖν, restituit sic Foesius, sicque Martinus & vera lectio est] πόνοισι legit Cornarius, habent & Codices.
203. πρὸς αἶπος *ad arduum*, aut *altum*; sic restituunt optimi Medici) πρὸς ὕψος *ad sublimem locum* Martinus) πρὸς ἐπάντης *ad accliuem locum*, Cornarius. ἴσως αἶπος.
204. χόεα) διχόεα Caluus.
205. συνέψειν) addit χεῖ F.
206. ἑψαλέσθω *elixato*) ψυχέσθω *refrigerato* Cornarius, sed vitiosè vt notauit Martinus doctissimè.
206. πολλοὶ δὲ ἤδη τῷ τοιούτῳ συνεσχέθησαν) πολλοὶ δὲ ἤδη καὶ πρὸς τὸν ἥλιον εἰληθέντες, τὸ τοιοῦτον νόσημα ἔλαβον, F. MSR.
207. τῷ τετραγώνῳ, hoc est, stibio, vt Gal. in exegesi docet.
208. πρόθυμος] ὑπρόθυμος legere quidam malunt, vt notat Foesius, quorum sententiam sequimur, quod vlceribus crura & tibiæ officiantur.
209. καὶ μεταξὺ) παραμίσγονται δὲ μεταξὺ, Foes.
210. Εἰλεὸς αἱματίτης *Conuolulus sanguineus* vel potius cum hæmorrhagia coniunctus, vt explicat Martinus; huic conuoluulo similem morbum stomacem plinio dictum esse quidam autumant; & eum quem Germani scorbutum vocant.
211. ἐρυθήματα] ἐρυθήματι. F.
212. ὁκοῖον παρ' ἕλκος] ὁκοῖον παρ' ἕλκος Ald. Martinus, Cornarius, ac rectè.
213. καὶ οἱ πόδες) καὶ τὰ σκέλεα, καὶ οἱ πόδες, F. MSR.
214. οἷόν τι) οἷόν τε MSR.
215. καὶ ὀστρείοισι) καὶ ἐπὶ τῷ ὕπτιῳ ὀστρείοισι Foes.
216. μετὰ τὴν κάθαρσιν τὰ αὐτὰ προσφέρειν ἃ καὶ πρόσθεν δηλοῖσι. τῇ δὲ ὑστεραίῃ δίδου πίνειν καὶ γάλα ὄνειον ἑψήσας ὀκτὼ κοτύλας μέλι παραχέων, sic ex Martini consilio restituimus.
217. εἴη) ἔσται MSR. ex Foes.
218 ἄλλοῖα) ἄλλα, F.
219. τῷ δὲ Codices impressi, Caluus, Vatic. τὰ δὲ γινώσκομεν Ald.] τόδε liber ἐπὶ κεχρισμένον & Cornar.
220. ἐν ἀποδημίῃ] ἐν ἀποδημίῃ legit Foes. sed idem.
221. ξαιθριάσας] ξυστελέσας i. *per subtile linteum percolas*; quidam ita legere possunt ex Gal. ἐν γλώσσαις.
222. ἡ τοιαύτη νοῦσος πεπαυμένη) τοῦ νοσήματος πεπαυμένου F.
223. Ἕτερον ταχύ.] Ἄλλο ταχὺ Martinus vel alter in eius commentarii margine imposuit hac ratione ductus, quòd ἕτερον de duobus tantùm dicatur, quod falsum esse prodit Aristot. de mundó his verbis, στοιχεῖον ἕτερον τῶν τεσσάρων. [δὲ] μὲν F.
224. τρίβεται ἀπὸ τοῦ τοιοῦδε] ξύεται γὰρ ἀπὸ τοῦ αὐτοῦ, F.
225. ἰσατρείῳ) ἰσατοφαιῷ Mercurial.
226. ἐκ τοῦ προσώπου γίνεσθαι, καὶ οἴδεῖ τὸ πρόσωπον) ἐκ τοῦ προσώπου γινόμενον, καὶ οἴδημα ἑαυτῷ ἐπιχέεται. F.

227. διαπαύουσα) ἢ διαπαύουσα, F. ἢ præcedit.
228. τοῖς δακτύλοις) τοῖς σπονδύλοις l. περὶ κρισίμων legitur, quam lectionem sequutus est Cornarius, ac medicè.
229. πήγνυται articuli rigidi manent, hoc est fixi, immobiles, quòd hi consumpto humore oleoso moueri nequeant. Sic Martinus ac doctè.] ἢ πήγνυται, addit hanc coniunctionem ἢ Foësius & interpretatur concrescit πήγνυται, sic MSR.
230. φασὶ] αἰεὶ, F.
231. ζώειν τὴν νοῦσον λαβόντα) pro his verbis νοσέοντα, F.
232. ἀδύνατος, sic exemplaria singula] δυνατὸς vult legi Martinus ac doctè & medicè.
233. κλύσαι) καῦσαι F. Ald. sed vitiosè.
234. ἔστι ἐὰν χρὴ) ἢν χρὴ Caluus.
235. πουλλοὶ χωλοὶ) πουλλοὶ ἤδη χωλοὶ MSR.
236. ἐμφαγέτω] ὀκροφέειν. F.
237. ἐμβάτῃ solio, perfusione] ἐν βάτῃ MS. quædam.
238. λόγκα] λεπὰ fortè.
239. ἢ ὑπὸ τῆς ὀδύνης τὸ μετάφρενον ἢ τὰ στήθεα ἔχεται, ἢ οἰμώζει. *Et præ dolore quo circa dorsum & pectus detinetur, lamentatur.* hæc Foësii est versio, quæ mihi cæteris præferenda videtur, vt integer textus maneat.] Cornarius κατὰ μετάφρενον legere videtur.] Martinus verò hunc græcum textum corruptum publicat, sicque restituendum esse censet, ὑπὸ τῆς ὀδύνης τὸ μετάφρενον, ἢ τὰ στῆθεα ἐξέχεται ἢ οἰμώζει. *Et præ dolore dorso immotus est, & pectore protuberat, & eiulat.*

---

22. IN LIBELLVM HIPPOCRATIS DE VIRGINVM affectibus.

QVum τὰ παρθένια, virginum affectus aut morbos significent, hunc libellum, περὶ παρθενίων, hoc est, de virginum morbis seu affectibus inscriptum esse constat. In eo nanque varii præter naturam affectus paucis describuntur, quibus virgines vexari consueuerunt, præsertim viro maturæ. At hic libellus haud integer est, sed fragmentum aliquod, aut, vt loquitur Foësius, præludium cuiusdam operis περὶ παρθενίων inscripti; aut præuium operis de morbis muliebribus. An hic libellus, aut libelli fragmentum sit Hippocratis? sub iudice lis dirimenda manet. Verùm hunc libellum vt Hippocraticum referunt Medicorum sapientissimi, quicquid opposuerit Mercurialis.

1. ξυνθέσιος) tractationis cum Foesio vertimus Tractatus seu opus aliquod scientiæ, quod ex pluribus sententiis, rationibus, ac præceptis componatur, iure ξύνθεσις appellabitur. Nec ignoramus τὴν ξύνθεσιν medicamentorum compositionem interdum, sed non hîc prodere.
2. ὀλιγοτέρη] λυπηροτέρη, Vatic.
3. ὥρη γάμου) ὥραι γάμου, MS. R. & Foesius nec temerè.
4. ξυλλείβεται Cornarius, Mercurialis, & alii] ξυλλάβεται, Foes.
5. παχέη] παχὺ vitiosè legunt MS R.
6. ἐξόντα] παχύντα, Vatic. MS R.
7. ἀλύσσει] ἀλύσσοντα, interpr.

23. IN HIPPOCRATIS LIBRVM DE NATVRA muliebri.

HIc Hippocratis liber περὶ γυναικείης φύσιος l. *de muliebri natura* inscriptus singulos vteri propè morbos complectitur, quorum nomina, causas, signa, ac remedia præceptor docet, quemadmodum tum libri, tum cuiusque capitis titulus paucis diuulgat. Quanquam verò maior pars huius libri ex librorum περὶ γυναικείων textibus concinnata est, hunc tamen legitimum Hippocratis fœtum esse nemo negat. Cæterum totius huius operis contextum Græcum cum codice manuscripto Regio studiosè collatum, Cornarii & Foesii versionibus adiuti Latinè dedimus, aut potius emendatum edidimus.

1. σκληρότεραι) ξηρότεραι, S. sic & 2. περὶ γυναικ. vtrunque valeat.
2. οἰσυπηρὰ sic vbique) οἴσυπος & οἰσυπηρὸς, ita quoque fuluæ explicantur, Gaza.
3. φαύουσι, &c. ἢ πῦρ ἢ ὕδωρ Foesius putat melius scribi in lib. περὶ γυναικ. φαυούσι, &c. ἢ ῥίγος ἢ πῦρ λαμβάνει.
4. μαλθακοῖσι] μαλακίοισι, Vatic.
5. μέλαινα) πελιδνὴ, Vatic.
6. προσώσασα sic restituimus) προσωσαι sic codd. impressi sed vitiosè.) ὠσάσα, S. ὑπὸ] ἀπὸ F.
7. ἡ ὑπὸ τὰ ὑποχόνδρια] ἡ vacat, S. textus, vt arbitror, melior, si ita restituatur ex F. τῇ χειρὶ προσώσασα κάτω ἀπὸ τοῦ ἥπατος, ἀποδῆσαι ταινίῃ ὑπὸ τὰ ὑποχόνδρια, *manu propulsione deorsum facta ab hepate sub hypochondria, fascia deligato.*
8. ἢ τὸ σῶμα διάγων) ἢ τὸ σῶμα διάγων, S.
9. κατωφρονέει sic ex interpretibus & Cod. Vatic. & MSR.] κακοφρονέει Codd. impressi fortassis μὴ κακοφρονέῃ.] καταφρονέει alii] κάτω φορέει, S.
10. κλύσαι) καῦσαι. Ald. MSR.
11. τὴν χρόην] post hanc dictionem cod. Vaticanus hæc addit, ἀρίστη δὲ ἐν γαστρὶ ἔχειν ex l. 2. περὶ γυναικ.
12. ἔχουσα] ἔχουσα MSR.) μὴ vbique legitur, & à singulis interpretibus tollitur ac meritò.
13. ὕδωρ, φακὸν) ὕδωρ φακοῦ, interpretes propè omnes, pro μεταπῖσαι) καταπῖσαι Caluus legit.
14. ἐκ πίνου ἐοῦσα) ἐκπινοῦσα Vatic. ac rectè.
15. ἄκραι restituimus ex interpretibus & aliis Hippocratis textibus.] μακραὶ codices impressi.) μακροὶ Vatic. vel ἄκρα.
16. μηδὲ ὑποθυμιῆσθαι τοῖσι κακώδεσι, *ac suffitum ex graueolentibus adhibeat*, ἢ pro μηδὲ restituatur ex Cornario, & ex 2. περὶ γυναικ. περὶ ἀφόρων vbi affirmatiuè legitur, ac medicè, quòd hoc suffitu non deorsum, sed sursum fertur.
17. παραφαίνονται ex interpretibus restituimus) παραφαίνονται, Codd. impressi sic habent.
18. ὀκέλλει ὀκελίων Vatic.] ὀκελλειῶν alii sed ineptè.
19. ἅπαξ ἰούσης) ἅπαξ ἰούσης Cornarius legere videtur) ἅπαξ εἰς ὅτι τὸ ὑγιὲς ἰσχει legi vult Foesius.
20. παρελκόμενα) προσελκόμενα MS.
21. οὐκ ἐγγίνεται) οὐκ ἔτι ἐγγίνεται, F.
22. τῷ δακτύλῳ, ἢ σκέπτηται, hæc restituimus ex Vatic. & MSR. & Foesio) τοῖς δακτύλοις, ἢ σκέπτηται codd. impressi.
23. οὐ δῆλοι) οὐ desideratur in MS. S.
24. ὅτι) πρὸς Vatic.
25. σπέρμα λίνου rectè impressi Codices) σπέρμα λίνου Cornarius vitiosè] σπέρμα λίνου ὀλίγον Vatic.
26. ἔλαιον] σίαρ Vatic. sed ferè idem apud Hippocratem.
27. φλεγμήναντας πλαδῶσα) φλέγμηνας πλαδῶσα. Vatic.
28. ἀφέρχεται) ἐσέρχεται Cornarius legit, & Ald.
29. δάκνει τι] δάκνεται, F.
30. φαῦλα] φαύλην, F.
31. εἰ δὲ οὐ] ἢν δὲ δάκνῃ, Vatic. & interpretes omnes.
32. ἢν μὴ] ἢν δὲ μὴ Vatic.
33. ἢ] εἴη, F.
34. πλὴν] ἢ πλὴν Vatic.] μὴ θερμῷ] μὴ ἐν θερμῷ, F.
35. γίνεται) φαίνεται S.
36. ἀφάσσηται] ἐσφάσσηται, Vatic.
37. ὅσον περ] ὥσπερ F.
38. τὸν δάκτυλον] τῷ δακτύλῳ, F.
39. ὑπὸ] ἐπὶ Vatic. & interpretes.
40. ἢ πελιὸς γίνεται ἢ omittunt Ald. Codd. & pro πελιὸς vaticana πηλίας legunt.
41. ἐσθιέτω] ἐσθίειν, F.
42. ἢ ὁκόταν ἡ πνεύμη) ἢ ὁκόταν αὐτὴ legisse videtur Cornarius.
43. διαιτα] διαιτᾶν, Vatic. ac rectè.
44. ὕστεροι] ὕστατα Ald.) ἐρύαται Cornar.
45. προσέρχεται) προσέρχεται, S] προσέρχεται ὑπὸ βίης Cornarius legit ex lib. 2. περὶ γυναικ. quem sequitur Foesius.
46. ποταμεια) ποτάμια legunt interpretes.
47. οἴνου) ὄξεος Cornarius legit.
48. προσθέσθαι) προσθέσθω MSR. Ald.
49. μὴ. ex Interpretibus restituimus] οὐ vbique legitur.
50. ἐπὴν διαβάνῃ] exemplaria MSR. inscribunt, ἕτερος ῥόος & Vatic. quæ Caluus sequitur. MSR. hîc apponunt πεντεκαιδέκατον, vt numerum capitum indicent.] διαβάζῃ aut συμβάζῃ, aut διαφέρῃ Cornarius legit vt & Caluus. hic textus obscurus est, qui de natura sterili albo fluore laboranti, neque maturum fœtum perferenti agit.) διαζάσει, F.
51. ἐγένετο) ἐγγένετο Vatic.
52. πεπωιδὴ] πεπληρωμένη, F. MSR.
53. καλῶς) οὐ καλῶς Foesius l. ἢ ἐν γαστρὶ) ἢ ἢν ἐν γαστρὶ] Foesius sic legi putat.
54. συμβλάζεσθαι) συμβλάσθαι MSR. duo.
55. ὁκόταν) ὅταν MSR. quædam.
56. ἢ διμηνιαῖοι] id non habent MSR. quædam, nec Vaticana, quæ sequutus est Caluus.
57. τὸ σῶμα παχύνειν, sic restituimus ex interpretum mente] πρὸς τὸ σῶμα impressi quidam codices; pro σῶμα quidam legunt στόμα, vt Cornarius, nec temerè.
58. εἰσδέχεται) ἐνδέχεται, Ald. exempl. & F.) εἰσδέχονται, aut ἐνδέχονται mauult Foesius ex lib. περὶ ἀφόρων.
59. ἢ φύσαι ἐκ ἐμπνεῖ) sic Codd. omnes, sicque legimus] ἐκ tollunt quidam Interpretes, Foesius & Cornarius.) ἢ φύσας ἐκ ἐμπνεῖ, *Et flatus non excitet*, hoc est, flatus potius discutiat.
60. προσάγειν] παρεσάγειν Vatic.
61. γνῶσι δὲ τοῖσιν ὁκότερον] γνῶσι δὲ ὁκότερον αὐτῇ μᾶλλον, Vatic.

62. μύξα] μύξαι, MS.R.

63. καθίερας κάτω) καθίερας τὴν κοιλίην κάτω πρὸς τὰς ὑστέρας, Vatic.

64. ὑφ' οὗ αἷμα καθαίρεται προσθεῖναι] προσθεῖναι ὑφ' οὗ αἷμα καθαίρεται, MS. R.

65. ἰχῶρα] σκίρρον, S. ac rectè.

66. κάστορος] καστόρειον Vatic.

67. πίμπραται] πίμπλαται, S. ex l. 2. de morbis mulier.

68. ἣν δὲ πνίγωσι] ἣν πνίγωσι 1. περὶ γυναικ.] hinc Foesius legendum censet πνίγωσι, aut πνιγῶσι. φακοῦ] φακοὺς, Foesius vt illic: sequuti tamen sumus interpretes.

69. ὅτ' αὖ τάχιστα) ὅταν τάχιστα τέκει, Vatic. κάκιστα τέξῃ, Caluus.

70. καὶ αὐτῆς, hoc est, cucurbitæ interiora in longitudinem derasa in pudenda immittenda esse] ἀκτῆς τὸ μέσον καὶ ἁπαλὸν legitur 1. περὶ γυναικ. quod Sambuci mediam medullam indicat, MS. R. ἐν μέσῳ) τὸ ἐμμέσῳ, Vatic. μακρὸν] μικρὸν, MS. R. σχίνου] χοίνου Caluus aut σελίνου. μακρὸν de tempore accepisse videtur vt diutius detineatur.

71. ψιμμίθιον) ἢ ἀψινθίου, legitur 1. de morb. mulier.

72. καὶ τῆς ὀδύνης) καὶ τὴν ὀδύνην, F. παύσασθαι] παῦσαι, Vatic.

73. βραχέας] τραχέας, Vatic.

74. ὄζωσι] ὄζωσι, S.

75. σικύης) σικύου 2. de morb. mulier. sic Cornar. Non ignorant docti σικύην sæpe de cucumere agresti dici apud Hipp. quare Cornarij interpretationem admisimus, cui reluctantem Foesium reliquimus.

76. τὸ ξηρὸν partem *aridam*, sic Cornar. sic impressi codd. καὶ κηρὸν Vatic. & Aldin. καὶ κηρίον legit Foes.

77. ἐᾶ καθαίρεσθαι) ἐκκαθαίρεσθαι, MS. R. duo.

78. δῷς] δίδως, MS. R. duo, δὸς etiam aliud, MS.

79. τοῦ χλωροῦ] χλωρὸν, Vatic. τὸ εἴσω] τὸ ἴσον, Vatic.

80. σηπίης) ἐπιπὶς, Vatic.

81. βατραχίου) ἄλλο præponit F.

82. διδόναι πιεῖν] κοτύλην διδόναι πιεῖν, Caluus legisse videtur.

83. ἐφθῷ: λευκῷ legit Cornarius, ac rectè mea quidem sententia.

84. οἴνῳ ἴσῳ) οἴνῳ ἴσως Cornarius. τριώβολον] τρία ἡμιώβολα, F.

85. ἐλαίης λευκῆς) ἐλαίας λευκὰς, aut ἐλαίης λευκῆς καρπὸν interpretes omnes legunt.

86. πυριήσας τῆς ἀκτῆς] προπυριήσας τῇ ἀκτῇ πυρίην ἐμβαλὼν, Vatic. deinde postea ἐς ῥόδινον μύρον ἐμβάπτουσα.

87. ἐς αὖ) ὅταν, F

88. ὅσον χεῖρα λείης) ὅσον χεὶ λάβης, aut χεῖρα πλείην legit Foesius ex l. περὶ γυναικ. Cornarius ὅσον χηραμίδα legisse videtur.

89. καὶ παίανες) καὶ παίανος, Vatic.

90. περμίνθου) περμίνθης, MS. R. quædam, πρεμίνθης etiam quædam.

91. φοινικικοὺς κόκκους) φοινικικοὺς γλυκυσίδης κόκκους, rubra pæoniæ grana interpreter.

92. λοχεῖα καθαίρειν] λόχια ἀπάσαι, F.

93. δαΐδα) δᾶδα, MS. R. quædam.

94. εἰς) ὅταν εἰς, Vatic. & pro ἢ legunt ἤ, & pro σκαμμωνίην legunt καλονίην.

95. καὶ Αἰγυπτίῳ) καὶ αἰγυπιῷ aut αἰγυπιοῦ, legisse videtur Caluus; quo nomine vulturis adipem intelligit.

96. κείμινον) κάμινον, F. MS. quædam: κάμινον quædam MS. sed nullo sensu: κριθὴν Caluus legit: κείμινον polentam crassiorem Cornarius, siue polentam crassius fresam interpretatur.

97. καθῆραι) καθαίρει, F. MS. R.

98. ἀκτῆς) αὐτῆς codices impressi, non autem interpretes: ἀκτῆς Vatic. Ald. Cornar. Foes.

99. στείξωσι) στείξωσι codd. impressi, στείζωσι, MS. R.

100. ἐπαλῶν] ἐπιβαλὼν, Vatic.

101. πυροὺς καὶ κάχρυας) πυῤῥοὺς καὶ κέγχρυας, MS. R. quædam MS. R. πυῤῥοὺς κέγχρυας, & πυροὺς καὶ χρύας, vitiosè omnia.

102. κάχρυος) κάγχρυος, MS. R. idem.

103. κεγχρίδας) ἑδρίδας, Vatic. κάχρυας Caluus legit.

104. ἐχινίδας, paruos echinos marinos significari vult Foes. χοινίδας, Cornarius lentisci fructum vertit] ἐχινίδας, quernos herinaceos vertit Caluus.

105. ἐν ὕδατι] σὺν ὕδατι, MS. R.

106. ὑστέρας *vteros*) ὕστερα *secundas*, Cornar. τοῦ κροτωνοειδέος] τοῦ κρότωνος, legunt interpret. Corn. & Foes.

107. προσθεὶς εἰρίῳ) προστιθέτω θεὶς εἰρίῳ, Vatic.

108. ἔσται) ἐπὶ, legunt interpretes.

109. ὀξύβαφον ἐλαιηρὸν, olei acetabulum admisceri volunt, sed videtur intelligi vinum admiscendum esse acetabuli olearij mensura. l enim 2. περὶ γυναικ. nulla fit olei mentio, vbi medicamentum ex buprestide repetitur, quum pastillos drachmæ pondere formari velit, Foesius.

110. μίξαι] μίξας, MS. R.

111. δραχμίδα) δραχμίδας, Aldina vitiosè legunt: προσθεῖναι] προσθεῖ, F.

112. τοῦ μελανθίου, in hoc pessario quod 1. & 2. περὶ γυναικ. reperitur; nulla vini fitmentio, sed melanthium tritum melle subactum esse vult. Quam lectionem sequitur Caluus. Cæterum quod postea scribitur, πρὸς τῷ προτέρῳ προσθέτω] πρὸς τῷ πτερῷ, fortè legi putat Foesius, etsi hæc lectio ferri potest.

113. χεῖσθαι) χείσθω, MS R.

114. λεῖον] αὖον, Vatic.

115. καὶ ἡμισυβάλανον ποιέον) καὶ μέσον βάλανον ποιέον, Vatic. & interpretes, non autem Foesius ac rectè.

116. θαλπίην) θλάσαν λείην, legunt interpretes ac rectè.

117. τοῦ κρομμύου) κυκλαμίνου, legit Cornarius ex 1. περὶ γυναικ. κομίου vitiosè legunt Aldina exempl.] istud Caluus omisit: τοῦ κονδρίου, Vatic.

118. κόκκους ἐκλέξας, &c. corruptum textum esse prodit Foesius, sicque restituendum putat: κόκκους ἐκλέψας ὅσον τρεῖς Ἰνδικοῦ φαρμάκου, τοῦ πρὸς ὀφθαλμοὺς, ὃ καλεῖται πέπερι, καὶ τὸν στρογγύλον ἕτερα τρία, vide œconomiam Foesij in indico medicamento. Cornarius verò alio modo interpretatus est. Nos verò de verbo ad verbum versionem condidimus. Ἰνδικοῦ) μηδικοῦ, impressi codd.

119. μαλθακτικὰ] μαλθακτήρια, F.

120. καταπλας, MS. R. καταπλας, codd. impressi.

121. Σχίνου, Ald. interpretes, Cornar. Foesius) χοίνου l. 1. περὶ γυναικ. Σχίλλου, impressi codices.

122. ἐπιπάσσειν χρὴ κλύζειν, post hæc addunt Aldina exempl. ἑψῶν ἐν ὕδατι, ἀποχέων δὲ τὸ ὕδωρ, οἴνῳ μίξας κλύσαι, vt hæc in aqua decocta sint, deinde percolato vinum admisceatur, quod posteà infundatur. Sic Caluus.

123. πεσσὸν] πεσσόν, Caluus.

124. τὸ Αἰγύπτιον, vnguentum Ægyptium Foesius intelligit; Cornarius verò vinum Ægyptium.

125. ἕψε] ἕψαι, Vatic.

126. αἰγινοῦ) αἰγινήτου, F.

127. ἐδώδεος) ὀδώδεος, legunt interpretes, quos sequimur.

128. ἐκλελεγμένους] ἐκλελεμμένους, Caluus legisse videtur, *grana deglubita aut decorticata.*

129. ὑποθυμιήσεις δὲ ἐπὶ κεκομμένα] ὑποθυμιήσεσι διακεκομμένα γλυκέα, Vatic. Aldina, & quædam MS. R. legunt hoc sensu, hæc contusa suauem suffitibus materiam suppeditare: quædam etiam MS. R. exemplaria, ὑποθυμιήματα κεκομμένα γλυκέα.

130. ἄνθρακας, præcedit hoc verbum καπνίσματα, F. incensa.

131. ἀπ' ἀμφορέως ἐλαιηροῦ) ἐπ' ἀμφορέως ἐλαιηροῦ τῷ ἐπιθέματι στιβὴν ὑποκαίων, legit Foes. deinde θρίσματα κυπαρίσσου ὑποβάλλων.

132. μίξας) μίξαι, F.

133. κέδρου) κέρατος vel κέρατος, Vatic. Aldina exempl. pro πολύμορον legit S. τὸν πολύμορα, ac rectè.

134. καὶ ἀπημίειν δοῦναι] ἀπημίειν καὶ δοῦναι, S.

135. πίνειν] πτίσσειν, F.

136 ἐς κρατῆρα θερμὸν] ἐς κρατῆρα καὶ θερμὸν, F.

137. ἐπικαθίσαι] καθίσαι; Ald. vt καθίζεσθαι l. 2. περὶ γυναικ.] τὴν γυναῖκα καθίσαι, F ac rectè.

138. θερμότατα) θερμοτάτῳ, MS. quædam R.

139. χλιαρὸν) ξηρὸν, MS. R. quædam: διαιρῶν quædam MS. & Aldina vitiosè.

140. ἐμβάλλων] ἐς ὕδωρ legunt interpretes post ἐμβάλλων.

141. στρύχνον] στρύχνου, F.

142. καὶ κυΐσκεται ἑκάστοτε] Corruptum hunc textum esse proferunt interpretes, neque quid hæc verba prodant satis norunt, ἔτι δὴ μὴν οὐ μικρῷ πλέον. Itaque cum Foesio legimus καὶ κυΐσκεται ἑκάστοτε δίμηνον ἢ μικρῷ πλέον. Caluus legisse videtur, καὶ κυΐσκεται ἀεὶ διὰ μηνῶν οὐ μικρῷ πλέον. Cornarius verò δίμηνον.

143. μὴ Codd. impressi scriptum habent] μὴ non legunt vel omittunt interpretes Corn. & Foesius, quos sequuti sumus, ac rectè.

144. καὶ πυριήσας) κλύσας καὶ πυριήσας, legit Corn. ex l. 1. περὶ γυναικ.

145. ὑπ' αὐτοῦ] ἐπ' αὐτῇ, aut ὑπ' αὐτῇ, mauult Foes. sic & Corn. aliàs ὑπ' αὐτοῦ, quæ sub ipso puerperii purgamento ineunt, significare potest.

146. ου γίνεται) συμμίσγεται Vatic.

147. ἁλὸς) ἅλας S. & pro σύκου σύκον legit S.

148. στιῤῥωθέωσι] σκιῤῥωθῶσι cod. Mercurialis.

149. νεοπήρωτος) νεοποίητος, S.

150. φυσὴ) κωφὴ interpretes Cornar. Foes. Martinus ex l. 2. περὶ γυναικ.

151. πίσας] λύσαι, S. καὶ θερμῷ] τῷ θερμῷ.

152. τὴν δὲ) καὶ S.

153. κυκεῶνα παχὺ) παχὺν S. ac rectè; aliàs παχὺ μέλι.

154. πυρίην) πιεῖν, Vatic.

155. καὶ ὀλίγαι μεθεδαιρόμεναι) καὶ ὀλίγα μεθεδαιρόμενα, Vatic.

156. καὶ αἰωρίην] καταιωρίην. Vatic.

157. ἐφέλκει) ἐφέλκεται, S. & F.

158. ἐσαφάσσουσα ἐσαφάσσει, mauult. Foesius, si ferri possit.

159. δυσαπάλλακτος) δυσαπάλλακτον. Vatic.
160. ψριαθῶσι) ψριαθῶσι, cum Foesio, & Cornario legimus] ἀχριαθῶσι, l. 2. γυναικ.] ἐμφριαθῶσι Caluus, vel ἐμφριαθῶσι.
161. ἀσθμαίνει] ἀσθμαίνει, S. anhelat Cornarius, Vatic.
162. καὶ δυσεμεῖ ægrè vomit. rectè hîc ponitur.] δυσθυμεῖ, legit. Foes. Vatic.) ἀθυμέει 2. περὶ γυναικ.
163. διχήσεται) οὐ διχήσεται, legit Cornarius ex 2. περὶ γυναικ.
164. addunt Vatic. ἐλαύνει, ac rectè.
165. χροιὴν] οὐ χροιὴν, legit Cornar. ex 2. περὶ γυναικ.
166. τὸ ἐσθίει) κατεσθίει S.
167. καὶ περιξύσας, &c.) hîc vt Foesius vulgarem lectionem sequimur. Vaticana MS sic legunt, καὶ περὶ ξύστραν ταῦτα, καὶ περιελίξας γυπὸς δέρμα, &c. quibus verbis vulturis pellicula aut cute, circum radulam aut scalprum obuoluta sanguinis grumos concretos, & os vterorum decidi volunt. Sed mauult Foesius, περὶ ξύστραν περιελίξας γυπὸς δέρμα, legere; interpretes autem, καὶ δακτύλῳ περιελίξας, legisse videntur, quos sequutus est Foesius.
168. σῶμα) σῶμα Vatic. & vetus interpres.
169. ἔνθα δὲ περιπίπτουσαι ὀδύνας παρέχουσι) ἔνθα δὲ τὸ ἔνθα περιπίπτωσιν ὡς ὀδύνας παρέχῃ, S.
170. ἐξίωσαι) ἐξίωσι, S.
171. κατὰ χόριον μήτρεων) ὅσου κατὰ χόριον μήτρεων. Vatic.
172. καὶ ῥοιὸν) καὶ τὴν ῥοιὴν, Vatic.) πλέζον) πλέον, Vatic.
173. δοκέον] δέον, Vatic.
174. πυρῷ, sic Vatic.) πυρῷ expressi codd.
175. καὶ τῷ θερμῷ λούειν] τῷ ψυχρῷ λοῦ. 2. περὶ γυναικ.
176. καὶ διαλιπὼν) τὸ μὴ διαλιπὼν, Vatic.
177. κατὰ γαστέρα) κατὰ τὰ ἀριστερὰ, S.
178. πουλύ.] μικρὰ MS. R.] καταπλύσαι σμικρὰ 2. περὶ γυναικ.
179. ἐν χύτρῃ] ἐν χύτρῃ καινῇ, Vatic. Caluus, l. 2. περὶ γυναικ.
180. δοκεῖ) φασὶ. Vatic. Caluus ex 2. περὶ γυναικ.
181. ἐπιθυμιᾶσθω] ὑποθυμιάσθω, Corn. ex 2. γυναικ.
182. καὶ πυελίῳ) addunt Vatic. πουλὺ quæ sequitur Caluus.
183. κνιδίου sic impressi codd.] κνίδης MS. R. Vat. Caluus, Cornar. Foesius, sic & lib. περὶ γυναικ.
184. τὸ ἥπατος ἡ σύριγξ, vbique ita legitur) ἕλιξ, Foesius videtur intelligere, quæ aliàs θρὶξ dicitur, aut saltem per fistulam hepatis venam aliquam.] τὸ ἥπατος adducit Vatic. τῷ τῆς.
185. ἀσιτέουσαν, à cibis abstinentem, & citra cibum degentem, *interpretes.*] Ieiunam interpretatur Foesius, sed priorem lectionem vt Medicam præfero. Pro περιπλὸν, περίψαντα Vatic. legunt.
186. τῇ δὲ ἑτέρῃ) τῇ δὲ ἑτέρῃ κελεύσθω, καὶ τῷ ἀνδρὶ ξυνευδέτω, Vatic. legunt ex 1. περὶ γυναικ.
187. τὸ δὲ κεῖθιον sic impressi codd.] κεῖθιον legendum autumat Foes.] κεῖθιον MS. quædam regia.
188. μήκωνα ὀπίῳ] λευκὴν papauer album intelligimus & explicamus huic affectui idoneum remedium] μήκωνα λευκὴν 2. περὶ γυναικ.
189. κυρηβίων) κηρυβίων & καρυβίων, vitiosè leguntur.
190. δὶς] τρὶς, Caluus.
191. πιοῦσαι) διηθήσαι Conarius) χλιήνας Caluus.
192. μύρτα Corn. Foes. μύρα, codd. imp. ex 2. περὶ γυναικ. Caluus hîc rosaceum vino tepefactum ponit.
193. τῆς σμύρνης ἐπὶ τὸ πῦρ) τῆς σμύρνης ξυνέσας κεκομμένης ἐπὶ τὸ πῦρ, Vatic. Caluus. Vaticana quoque περὶ τὴν σπάθην, pro ἐπὶ legunt.
194. προϊσχόμεναι *prætendentes, progressi*; sic codd. impressi.) προϊσχόμεναι, mauult Foesius ex 2. περὶ γυναικ.) γλήχωνα, Cornarius) μήκωνα 2. περὶ γυναικ.
195 αἱμωθῶσι] ἀσεμήνωσι, impressi codices sed vitiosè.
196. ὅσον κύαθον omnes ita legunt codices) ὅσον κύαμον interpretes omnes excepto Foesio.
197. κίων vel κιὼν caruncula quædam est pudendis muliebribus innata, vel interseptum carnosum quod columella ob similitudinem vocatur, quàm præcidi vult Hippocrates & Paulus c. 7. l. 6.
198. ξυσμὸς] κνησμὸς, MS. R. idem.
199. σάρκα carnem bubulam recentem intelligi volunt interpretes, qua sæpè in pessis vtitur Hipp.
200. ζῶντι χρὴ) ζῶντι δὲ, F.
201. ἐξάγηται] ἐξαγάγηται, Vatic.
202. ἀπόθερμον πινέτω, *à balneo bibat*, sic vertit Foesius quem sequimur.] *apothermon potionis genus* vertit Cornarius, sed quæ sit ignoratur.] *medicamentum subcalidum bibat*, vertunt alii.
203. γίνηται] μὴ γίνηται interpretes omnes negandi particulam hanc μὴ addunt; contrà codd. si ostracum solum hîc poneretur, putarem negationem hanc delendam esse, sed quia origanum menstrua prouocat & hic additur, propterea negandi hanc particulam cum cæteris addimus.
204. νέβρου hinnuli adipem esse arbitramur.] νεφρόδιον legit Foes. ex l. 1. περὶ γυναικ. cum Cornario, vel νεφρείδιον.] fortè νέβρου νεφρεῖδιον, aut νέβρειον νεφρεῖδιον scribendum.) νέβρου narcissum vertit Caluus.] ἀπὸ νέβρου Vatic.
205. προσβάλλε τὸ προσθέμα, Vatic. sed vitiosam esse lectionem docet Foesius.
206. ἢν τὰ ὕστερα, sic restituimus ex interpretibus, & 1. περὶ γυναικ. ἀποφύγῃ τὰ ἀποφυσᾶν, Vatic.
207. ἐσθίειν] πίειν, vetus cod.
208. προσέχωσι) ἔχωσι, aut προσέχωσι Vatic.) ἐξίσχωσι, l. 2. περὶ γυναικ.
209. ἀναδεύσας) ἀναδήσας, Foesius legere mauult.
210. ἴγκων exemplaria impressa ita habent sed vitiosè] ἴγγη legit Cornarius, sed quid sit ἴγγη herba ignoratur, ἴγγη quidam esse putant quę ἴσατις ἀγρία dicitur, sed hęc non est huius facultatis) ἴγγου & ἴγδιν legit Caluus & ἰχθύων.) ἴγδιν, legit Foesius ac rectè.
211. ἡμιονίδα mulistercus interpretes vertunt] ἡμιόνου ὀνίδα legit Foesius, idem.
212. ὄνιον] σπόγγον Cornarius interpretatur & Foesius] ὄνειον τὴν ὀνίδα, stercus asininum Caluus, Vatic.
213. ὑπόθερμον Germanica exemplaria sic habent] ἀπόθερμον. Ald. Vatic. sed idem apud Hipp.
214. ῥίζας ἐπιμεθύσας, sic impressa exemplaria.) ἐπισιθύσας legit Cornarius, & Foesius] τὰς κεῖθας ἐπισμύρας, legendum putat Foes. ex 1. περὶ γυναικ. in lactis enim optimi remediis hordeum decorticatum, cum butyro decoctum & & refrigeratum potui exhibet Hipp.
215. ὄνηθον] ἄνηθον, legit Cornar. ex 1. περὶ γυναικ.
216. ξυναλνούτω] ξυναλθέτω, quidam emendatur.] ξυναλαίτω, MS. R. quædam) ξυναιαίνθω, quędam MS. in ex l. 1. περὶ γυναικ.] ξυναλνούτω, codex impressus.
217. προσθήται] προσθῆ, MS. R. deinde pro αἱ σημαῖαι, αἱ αἰασμαῖαι legunt Vatic. vt l. 1. περὶ γυναικ.
218. καὶ μαζέων] μητρέων Cor. Foes. aut τὸ ὕστερα ex 1. περὶ γυναικ.
219. ἐμπάσασαν, conspersam puluere, vel inspersam, Cornarius & interpretes) ἐμπλάσασαν efformatam vel subactam 1. περὶ γυναικ.
220. ἀποξέσας) ἀποξέσαι, vel ἀποξύσας, legit Cornarius.
221. κανθαρίδας] ρ̃έ addit Caluus.
222. ἐν οἴνῳ λευκῷ] ἐν οἴνῳ simpliciter legunt Vatic. & Ald. ex 1. περὶ γυναικ.
223. Νεοπόκῳ) πυρηνῖνος, addit F.) l. περὶ ἐπικυήσιος post ῥόδινον μύρον, σμύρναν addit, ac rectè.
224. βόλβιτον vel βόλιτον, stercus boum est, vel fimus bubulus, quem hîc interpretes non intelligunt) βόλβιον, Cornarius, Foesius ac interpretes ex 1. γυναικ. sic & Vatic. quod in tritico Ægyptio cernitur, acre, cumino Æthiopico simile. βόλβιον aut βολβάριον, exiguus est bulbus) An verò βούνιον, quod mouet menses & secundas pellit?
225. καταδεύσας, sic in impressis codicibus ac rectè] κατασβέσας *extinctum* Cornarius & Foes. ex 1. περὶ γυναικ. ἐν ἐλαίῳ] ἐν ὀθονίῳ, Vatic.
226. ἐν κνίσεται) ἐν κνίσητοι, legit Cornarius ex l. 1. περὶ γυναικ.
227. παιδίου, sic Cornarius, sic Foesius sic cæteri interpretes.) παιδίου, cod. Germanici.) ἀφθαὶ) ἄφθαι, Vatic.
228. λευκὴ) addunt Vatic. σπέρμα.
229. τερμίνθου] τερμινθίνης, F.
230. συκαμίνου φύλλα] addunt Vatic. ῥοδ φύλλα. Sic Caluus.] ῥόδου φύλλα, l. 2. περὶ γυναικ.
231. Οἰὸς στέαρ *ouis pinguedinem* sic vulgaris lectio.] οἰὸς ἢ αἰγὸς κέρας κόψας *ouiculæ aut capræ cornu* legit vertitque Cornarius.
232. πεφυσημένας) πεφωγμένας, mauult Foes.) ἐρηριγμένας] ἐρεγμένας, quidam MS. cod. Regii, alii verò ἐρηρεισμένας, sic Vatic. & Ald.
233. καὶ ἐλαίας τὰς μέλανας ἐχούσας ἔλαιον] ἐλαίας ὀμφακίνδας, l. 2. περὶ γυναικ. vocat.
234. Ἄλφιτον *polentam*, sic habent impressi codices) ἀσφόδελον, Vatic.) ἀσφόδελον & ἄρφιτον, Caluus. ἄχυρα, l. 2. περὶ γυναικ. legit, additque κριθῶν.
235. μύρῳ] οἴνῳ, Vatic. ex 2. περὶ γυναικ. vtramque lectionem amplectitur Caluus.
236. στέαρ ὑὸς] οἰὸς Caluus legisse videtur) pro στέαρ legunt Vaticana exemplaria στέατα τὸ κεδρίον, κεδρία, κέδριον, & κέδρος, idem proferunt.
236. ῥοιῆς] ῥοιῆς γλυκείης, Vatic. Caluus.
237. καὶ τῆς ἐχίνου *erinis seu echini*, sic codd. impressi vide c. 29 l. 4. Dioscoridis] καὶ σχίνου, Cornar. & Foes. ex 2. περὶ γυναικ. *lentisci* sic quoque legimus. Ἀπαλὰς, addunt Vatic. ἔλαιον ἐπιχέων.
238. μάλαγμα μὴ sic codd. impressi, quos sequitur Foesius.) μαλάγματα, μαλάξαι ἐν ὕδατι ζέσας, ἀκήρατον ἐπιχέας, ἀπροχλιηρὸν κλύζειν. Caluus ita legit. Cornar.

verò, μαλάγματα· μαλάχην καὶ τῆλιν ἐν ὕδατι ζέσας, ἀποχέας τὸ ὕδωρ, videntur autem indicari collutiones lenientes & emollientes.

239. τὸ ἀμάραντον) μαράκινον, Vatic. & Ald. ὕδατι) ὑδαρεῖ, Vatic.

240. πυελίοις admouentur fotus in fluore muliebri l. 2. περὶ γυναικ. & πυελίοισι ῥόον dicuntur.

241. καταλέσας) καταδεύσας, F.

242. περιπλήσας) περιπλίσας cum Foesio legimus ex 2. περὶ γυναικ.) περιπάσας Vaticana legunt.

243. ἑψήσας ἐς ὀθόνιον) ἐνδήσας ὀθονίῳ. Vatic.

244. κριθῶν) πυρῶν Vatic.

245. ἐς ῥάκος ἐνδήσας] ἐς εἰρίον ἐνελίξας Vatic.

246. πυρῶν) κριθῶν MS. R. Vatic. πυρώσας] ὀπτήσας F. MS. R.

247. σκληραὶ,) κλύρεις, F.

248. ἡμίχοα) ἡμιχοέα, S.

249. ἐγχέας ἐς ἐχῖνον κενόν. Sic legunt exempl. Germanica sed καινὸν legunt Cornarius, Erotianus, Foesius ex 2. περὶ γυναικ.

250. ἀφαιρέης] ἀφαιρῆται, F.

251. γυναικεῖα) ἡ præcedit. Vatic. ἐνθεὶς τὸ ψιλὸν] τὸ λοιπὸν τῆς σαρκὸς nudant carnem, hoc est reliquum totum carnis frustulum. Vatic. legunt οὗ ἂν τὸ ἕλκος ᾖ.

252. περιθεὶς &c. ἅπαξ Vatic. πεντάκις] πεντακοντάκις MS. R. pro ποιεῖν, πιεῖν.

253. ἐν τῷ &c. ἐν τῷ αὐτῷ ῥοδίνῳ μύρῳ δίεις, καὶ μέλιτι ἐνελίξας ἐν εἰρίῳ, Vatic. ex 2. περὶ γυναικεί. F.

254. κόψον λεῖα ὁμοῦ) λεῖα ἐν ὅλμῳ, Vatic.] εἰς ὅλμον, F.

255. τοῦτο ἀποπιέσας ὡς λειότατον] τοῦτο ἀποπιέσας, τεῖψας ὡς λειότατον, Vatic. quę sequuti sunt interpretes.

256. ὅσον κάρυον) ὅσον κύαμον, l. 1. περὶ γυναικ.

257. τὴν κοιλίην vulgaris est lectio] τὴν πάλην, MS. R. & Vatic. & confectum pollinem i. apparatam & confectam polentam, bibendam dato] aut πεπασμένην πάλην, *conspersum pollinem.*

258. δάκτυλον sic vulgò] δακτύλιον, legit Foesius, & de pastillo formando intelligit) δακτύλῳ, interpretes & de glandula digitis formanda sumunt.

259. πρυβίον ποιήσας, sic codices] πεσσὸν reponunt quidam, improbant alii qui πρυβίον, glandulam esse dicunt,] τρίψας λεῖον ποιήσας, Foesius medicamentum læuiter tritum pesso supponendum.) ἴσως πρυβίον, Vatic. ἴσως τρίβων legimus.

260. κυπαίριον] κύπειρον, Vatic.

261. ξυμμίξας ἅπαντα) addit Vatic. cod. τρίψας.

34. IN HIPPOCRATIS LIBRVM PRIMVM DE mulierum morbis.

HOs duos περὶ γυναικείων libros legitima Hippocratis esse monumenta Galenus, Erotianus, & omnes artis Medicæ professores agnouerunt. At περὶ γυναικείων hęc opera inscribuntur, quod in his res mulierum amplissimè contineantur, τὰ nimirum γυναικεῖα νοσήματα, ἢ γυναικεῖαι νόσοι. In hoc nanque libro primo purgationum muliebrium, grauiditatis, conceptionis, partus, gestationis fœtus, Embryonis, lochiorum, generationis lactis, & vteri varij præter naturam affectus concluduntur, eorúmque dignotio docetur, & curatio demonstratur. Vnde hæc opera inter τὰ θεραπευτικὰ multi collocant; etiamsi Erotianus εἰς τὰ διαιτητικὰ referat. Nos verò inter τὰ παθολογικὰ κατὰ μέρη, καὶ θεραπευτικὰ reposuimus. Interpretes Cornarium & Foesium legimus, ex quorum lucubrationibus versionem nostram construximus.

1. πιέσει) addunt Vatic. γίνεσθαι.

2. καταρραγῇ) καταρραγῇ, Vatic.

3. καθαίρεται) ἀποκαθαίρεται, Vatic.

4. καὶ τῷ αἵματι) ἐν τῷ αἵματι, MS. R.

5. τὸ σῶμα) τὸ αἷμα, Vatic. propter id quod præcessit, vt sit merus hellenismus & repetitio Græcis familiaris, Ionibus præcipuè. vtranque lectionem amplectitur Caluus.

6. καὶ ἰσχυροτέρη τε καὶ στερεωτέρη, sic exemplaria omnia legunt, & interpretes, vt corpus validius, durius, solidius, ac densius sit eius mulieris, quæ non peperit] ἰσχνοτέρη τε καὶ στενοτέρη, legit Cordęus nec pręter rationem. Sic quoque S. MS. gracilius & angustius.

7. ἐπὶ λοῦ) ἢ εἰ Vatic.) ἔμπειρος] ἄπειρος, Cordæus, Foesius, ego quoque.

8. αἱμασομαστέρων) ἀσαφεστέρων, Cord. & interpretes omnes ac rectè.

9. ὥς μοι καὶ περὶ εἴρηται] ὥς μοι καὶ προείρηται, Cordæus, S.] ὡς] ὥσπερ, Vatic.

10. βεβυσμένον) βεβυθισμένον, F.

11. ἀσινέως, sic exemplaria, sic Cornar) συνεχέως, Cordæus, Foesius.

12. ἕλκωσι) ἑλκῶσι, S Foesius nec temerè.

13. χρὴ ἔσεσθαι) γίνεσθαι, Vatic.

14. αἵματος) σώματος, Vatic. sed vitiosè.

15. στενοχώροις] στενοστόμοις, Vatic.

16. κατὰ σφέας] τὰς φλέβας, Vatic.

17. περιστρέφεται) περιστρέφεται ἅμα, F.

18. ἀπὸ) ὑπὸ, Vatic. sic ἡ κοιλίη.

19. καὶ δοκεῖ) τὸ δόξῃ, vel δόξοι, Vatic.

20. ἔπειτα) ἐπίσχῃ ἔπειτα, Vatic. Caluus.

21. καὶ διαχωρέοντος) τὸ ἢ διαχωρέοντος, Vatic.

22. ἐπεὶ, & Foesii versionem hic sequimur, non Cordæi neque Cornarii. προσανέσωσι) προσβάλωσι, Vatic.] ἐμβάλλωσιν) ἐμβάλλωνται, MS. R.] τὸ ἐς τὴν κοιλίην] καὶ ἐς τὴν κοιλίην, S.

23. προσθέτω] προσθετοῖς. S. Cord.

24. καὶ πρὸς μὴ) addunt Vatic. κατὰ τὸ ἄλλο σῶμα.

25. ἐπὶ λοῦ) τὸ ἐπὶ λοῦ, S.

26. ἀπολήφθῃ rectè) ἐπαναληφθῇ Vatic.] interpr. omnes ita legere videntur, καὶ ἐπὶ λοῦ ἀπολήφθῃ ταχὺ πάντα, &c. καὶ ταχὺ] καὶ vacat. S.

27. σφυξὴς] ψύξις, Vatic.

28. ὀζόμενον] ὄζει, Vatic.

29. διαρραγῶσι) φανῶσι, MS. R. Caluus.

30. καὶ πιμπλάται) ἐμπίπλαται, F. MS. R.

31. χωρέουσι) χωρῆσαι, Vatic.

32. μὴ ῥαφῇ] μεταγραφῇ, F. MS. R.

33. ἧσσον] κρέσσον, Vatic.

34. προσθέτω] desideratur in MS. S. ἀπὸ τοῦ] ὑφ᾽ οὗ, Vatic. διαλείπει) διαλείψει, Seru.

35. ἐγκύεσθαι) ἐγκυεῖσθαι, F.

36. ἐγγίνεται] γίνεσθαι, Vatic. quæ sequuti sumus ac rectè.

37. ἰμείρεται ἠδελφισμένως] ἐπαίρεται ἐδελφισμένως, ex MS. S.

38. πεντήκοντα] τεσσαράκοντα, legit Caluus, qui videtur esse accuratior grauiditatis terminus, vt notat Foesius.

39. τὸ κατὰ) τὸ κάτω, Vatic. quæ sequutus est Caluus.

40. σάρκα) σάρκια, Vetus] σάρκια, Vatic. & MS. R.

41. ὀλίγω) addunt] τινὶ Vatic.

42. διαπίονται] διαπίνοντα, Vatic. antè quoque μὴ præscribunt. διαπίνοντα, F.

43. ζῶντι ἐπινόσαι) ζῶντι ποιήσαι, Vatic. & MS. R.

44. καὶ κάτω] τὸ κατὰ τὸ, Vatic.] τὸ βουβῶνος) τὸν βουβῶνα, F. MS. R.

45. διαρρήσσει) ὀδύνησι, vel ὠδίνησι, Vatic.

46 χωρέοντα] χωρὶς ἐόντα, Vatic. χωρέοντας, Ser.

47. παρεγκεκλιμένου) παρεγκεκλιμένου, F. MS. R.

48. ἢ δρομῷ) τὸ vel ἢ ἀρμῷ, Vatic.

49. ἀποφράσσεται] ἀποφράσσεται, F.

50. τὰ μήτρια] præponunt ἀπὸ Vatic.

51. δὴ) ἤδη, Vatic. καὶ ἐπὴν] τὸ ἐπειδὰν δὲ Vatic.

52. ἐπικαταπίνοντα] ἐπικαταπίνοντα, Vatic. vt alios illabentes periodicè menses significent.

53. Ἀλλ᾽ αἰεὶ βαρυθεὶς κατ᾽ ὀλίγον, hanc sequuntur lectionem interpretes.) ἀλλ᾽ αἰεὶ βαρυνθεὶ κατ᾽ ὀλίγον, ἐὰν τῇ γυναικὶ πλεῖ προσθεῖς μίσας, &c. Vatic. ἐὰν] ἐσὶ Cornar. & Caluus legunt) ἐὰν ᾖ Vatic.

54. ἐν τῇσι] ἐν ἧσι, Vatic.

55. τὸ ἀλγέει] καὶ ἀλγεῖ, Vatic. πάσαις ἡμέραις] πάσας ἡμέρας, Vatic.

56. ποδῶν) σκελέων. Vatic.

57. ἵσ) ἴσας, Vatic.

58. θανατώδης) θανατωδέστερον δὲ, Vatic. vt χαλεπώτερον. vide Foes. in œconomia & Gal. in exegesi.

59. ἡ ἀκρατία τινὰ τῶν μελέων) ἡ ἄκρεα πρὸς τῶν μελέων ἀκρατία ποιέει, quod de extremi alicuius membri ad motionem impotentia intelligitur. Vatic.

60. λοῦ δὲ) εἰσὶ vet. cod. (ἐμπειροτέρης) ἐμπειροτέρου Vatic.] μὴ ἐμπειροτέρης, lego cum codicibus omnibus & Cornario] μὴ tamen reijcitur à Caluo, Cordæo, & Foesio contra Hippocratis mentem.

61. ἀπὸ) προστακτικῶς, Vatic.

62. μέλλει) μέλλῃ, Vatic.

63. αὐτῇ) αὐτῇ, S.

63. σώματος, rectè quidam] στομάχου, Vatic.

64. πολλὰ) ἀγαθὰ, addunt Vatic.

65. καὶ ἐπὶ) καὶ λοῦ ἐπὶ, Vatic.

66. ἢν ἀγαθὰ] ἐὰν ἀγαθὰ, Vatic.

67. τὸ ἀλέα, *tepida seu calida* verti possunt, ac modicè; dum enim calida cumulatè excernũtur, fit decolor ægra.) ἀλέα, calor, Cornarius vertit) ἀγαθὰ Vatic. & Caluus. ἀλέα Foesius cum Cordæo menstrua copiosè prodeuntia intelligit.

68. καὶ ἀλυεῖ *iactatur, anxia est*) ἀλυκτεῖ *tristatur, mæret*, Vatic.) ἀλεκτεῖ quod exponitur ἄϋπνος ἐστὶ, sed ἀλεκτεῖ habent exemplaria quædam. Verùm ἀλυκτεῖ legi videtur, vt apud Galenum in exeg. pro ἀλύζει, aut ἀλυκτεῖ velut legit Erotianus.

69. μὲν] δὲ F.] δὴ μὲν, Vatic.

70. παχύτερα) παχύτατα, Vatic.

71. πρὸς τὸ] πρὸς τὰ Vatic.

72. αἰεὶ) εἴη, Vatic.

73. τὸ σαπέντος) τὸ μάθεος, MS. R. Ald. Vatic.

74. ταχὺ) βραχὺ, MS. R.

75. τότε] διὰ τὸ, Vatic.

76. πλείονα] πλεῖον, Vatic.

77. τὸ) τὸ Vatic. ac rectè.

78. τὸν στόμαχον) τὸ σῶμα, Vatic.

79. τὰ καταμήνια] συχνὰ addunt Vaticana.

80. καὶ] τὸ ἢ Vatic. nec temerè. παχύτατα) παχύτερα, F. MS. R.

81. πλανῶνται) πλάνης, vatic.

82. περιθεῖ] περιθέει, vatic. & Caluus, vt

vt per ea quæ subduntur, paulò melius habeat.

83. αἷα σεληνοειδέος] αἱ ἀσεληνοειδέος F.
84. ἴω) καὶ Vatic.] κτ) τὰ F.
85. ὁκα] κτ MSR.
86. ὑγιαίνῃ) ὑγιαίνεται Vatic.
87. πρεσὸν) addunt Vatic. ἰχὼρ, ſic Caluus nec temerè.
88. ὑφέρπει] ὑπείκει Aldina exemplaria, alia notione, à verbo ὑείκω quod eſt inſector & inceſſo.] ὑφέρπει Vatic.
89. ἔχῃ) addunt Vatic. καὶ ἡ φλεγματώδη εἰ τὰ ἐπιμήνια. Sic quoque Caluus.
90. νοσῶν δὲ ἐστι] præcedit φλεγματώδεα Vatic.] νοσῶν ὧδε ἐστι, S.] ibidem ἴω χωρέη] ἴω γὰρ χωρέη, S.
91. ἥκει) ἴω Vatic.
92. πλαίος) πλαιάδας Vatic.
93. ἐπὴν) addunt Vatic. αἱ.
94. ῥηΐα ἀπὸ ὀλίγου χρόνου] ῥηΐζει ἐπ' ὀλίγον χρόνον ὡς τὰ πολλὰ, Vatic. Caluus.
95. εἴχετο] εἴρχθῃ quædam MS.
96. ἐπιπέσῃ δὲ] καὶ addunt Vatic.
97. ὡς) ὥσπερ Vatic. εἰ αἶ) ἤ αἶ, S. Vaticana.
98. πάγχυ ταύτῃ] πάγχυ τὰ αὐτὰ Vaticana, S. Caluus.
99. δυσπέα) δυσίατα Vatic. & Caluus.
100. ἔχουσα.] Vaticana exemplaria hunc textum addunt. ἴω δὲ οἱ ῥόος μὴ ψύχηται, συμβήσεται οἱ ὥστε δοκέῃ ἐν γαστρὶ ἔχειν, καὶ ταῦτα πίσεται ἄχρι τόκου τὰ καταμήνια ὁδὸν ἐκ ἐάσαντο εὑρεῖν, ἢ παχέα καὶ γλίσχρα, καὶ χολώδεα ἴῃ.
101. ἐπιξύνηται) ἐπαφαίρεται Vatic. MSR.
102. ἐπὶ σποδίῳ λεπτῷ) ἐπὶ πεδίον λεπτὸν, aut πεδίον λεπτὸν legit Cordæus. Sed ea notione quam adhibet, ἐκ πεδίου λεπτοῦ mauult Foëſius.
103. ὅλον τι) ἐς ὅλον Vatic. legunt.
104. ἰητρεύειν δὲ, τὸ στόματος παντὸς προσεῖναι) ἰητρεύειν δὲ τοῦ στόματος παντὸς, καὶ τὰς ὑστέρας, καὶ σῶμα ἰᾶσθαι Vatic. Caluus, Cornarius.
105. καὶ ἴω) μὴ addunt Vatic.
106. τὰ ἐμμήνια) ἐπιμήνια, F.
107. ἀγεό, τι) ἄγεο τι Vatic.] ἐν πῖσι) ἐν οἴσι Vatic.
108. ἰχωροειδέα) χολώδεα Vatic.
109. τὸ σῶμα) τὸ σῶμα Vatic.
110. πλαδωδέστερόν τι] πλαδαρωδέστερον fortaſsis melius.
111. πεπονήσεται] ὑπεκπονήσεται, Vatic.
112. χρῆσθαι] χρέεσθαι F.] χρῆσθαι, S.
113. ἐφ' ὕδατι) ἐν ὕδατι Vatic.
114. ταῦτα) ταύτῃ Vatic.
115. ἀλλ') ἢ præponunt Vatic.
116. κλύζειν τοῖσδε ἄσσα) τοῖς ὄδεσιν ἄσσα &c. Vatic. vt collutiones ex odoratis & ſuauibus fieri velint, quæ ſuo calore & grato odore cauſam frigidam oppugnant, diſſoluunt, & attenuant, vterorúmque oſculum conniuens leniter diducunt.
117. περιφλασμένῳ] Sic Cornar. ac cæteri περιφλασμένῳ aut περιψαμένῳ legi mauult Foëſ.
118. λόγον] ἔπος, F.
119. νίτρον] νίτρον ξὺν σμύρνῃ Vatic. & Caluus.
120. hæc ex Vaticanis reſtituimus καὶ ἡμέρας πέσσερας πινέτω; ſic quoque Caluus.
121. φυσῶν] φυσῶν Vatic.
122. σῶμα ποιέει] σῶμα πιαίνει Vatic.
123. κυλινδούμενον] κυλινδόμενον Vatic.
124. παῦν] πάντα Vatic Caluus.
125. ἀδελφίζειν) ὁμοιοῦν, aut ὁμαλοῦν exponitur à Galeno, in exeg.
126. πληρωθῆναι) πληρωθῆναι Vatic. F. ſed vitioſè.) σκιῤῥωθῆναι Erotianus. ἀρίσον] ἄριστον Vatic.
127. λεπτὰ Vatic. Cornar. Foëſius.) λεῖα Codices impreſſ.
128. παλαιοῦ] παλαιοῦ Vatic.
129. ἐγχεόμενον) μὴ ἐγχεόμενον ex Caluo quidam codices.
130. τῷ δακτύλῳ) ἴω τῷ δακτύλῳ legi vult Foëſius.] ἀφῇ) ἀφῇ legit Cordæus) ἀφῇ S.) εἰ ἀφῇ Cornar.
131. ἐν μέλιτι ἐς ὀθόνιον ἀρδαλώσας] melius emendat Foëſius ἐν μέλιτι διεὶς, ὀθόνιον ἀρδαλώσας) (ἀρδαλώσας) μολύνας χρίσας MS.
132. περιελεῖν δὲ τὸν χιτῶνα ἄμεινον) ἢ περιελεῖν τὸν χιτῶνα πάλιν ἄμεινον. ex Caluo quædam exempl.
133. καὶ τοῦτο ἐστιν αἴτιον) καὶ ταύτῃσιν ἐστι αἴτιον ἐν τῇ εἰρημένῳ Vatic. Caluus ;) τὸ εἰρημένον Cordæus.
134. ὅτι) ὅτι Vatic.
135. ἢ τῆς μαλθέων ἀλέων ἐουσέων *vteris nimirum humore tepentibus aut diffuſis*, ſic legimus, ſic vertimus ac medicè.) Foëſius ſic vertit, *condenſatis nimirum vteris*.) τῇσι μεγάλῃσι οὐλέων ἐουσέων *magnis cicatricibus exiſtentibus* Cordæus. Hic textus certè Hippocrate ipſo indiget, vt eum reſtituat. Aldina exemplaria ſic legunt ἴω γὰρ λεῖαι ἔωσι, ἐστι ὅτι περιέχοντες αὐτὰ ἀπὸ νόσου ὡς ἐχόμενοι τῶν μαλθέων ὡς δεῖ οἱ ἀλέων ἐουσέων) Vaticana verò ita legunt. ἴω γὰρ λεῖαι ἔωσι, ἐστι ὅτι οἱ ὑμένες ἀπ' αὐτέων ἀφίστανται, ἐπὴν τὸ παιδίον ἀρχηται κινέεσθαι, οἱ περιέχοντες ἀπὸ νόσου ὡς πάχει.
136. περὶ δὲ τῆς λειότητος) Vaticana exemplaria hîc legunt, περὶ δὲ τῆς ἢ ὡς δὲ, ἀπαλέως nullo ſenſu.
137. ξηρανθῆναι) αὐανθῆναι Vaticana.
138. ἢ τῆς φύλλων) vel folia ἢ τὰ φύλλα ſic Cornarius, ſic quoque vertimus, *vel folia*) foliorum hederæ ſuccum cum caluo vertit Foëſius.) τὸ φύλλου Cordæus legit, & de ſemine ſilphii intelligit. Qui legerit caput de hedera apud Dioſcoridem, vix ad conceptionem hederam præſcribet.
139. σίδιον *malicorium*) κνίδιον Ald. Vatic. Caluus, qui & κνίδιον legiſſe videtur.
140. ἀφελκοειδὴς) ἀφελκοειδὴς, F.
141. καὶ ἴω ἐπικρατέῃ τόδε] καὶ ἴω ἐπικρατέῃ τόδε Cordæus de ſeminis vtriuſque, inter ſe commoderatione & attemperatione ſumpſit.
142. καὶ πέπλος] πέπλον Cordæus.
143. διεπής] addunt Vaticana καὶ μὴ λάχῃ, ſequutus eſt Caluus. Sic autem Vaticanus textus ; ἴω δὲ γόνος ἀπορρέῃ διεπὴς, μὴ λάχῃ, καὶ ἡ γυνὴ ἡ ξυμμίσγεται ἀσαισίως τῷ ἀνδρὶ, καὶ ἰξύες ἐπιδῶσι.
144 Sic cum Foëſio emendauimus interpretes omnes ſequuti, Καὶ ὁ σφιγξ καὶ τὰ ἰσχία πόνοις παρέχωσι, καὶ μὴ πῦρ &c.
145. αὐτίκα] αὐτῇ κτ μίαν ἕκαστον legit Cordæus.
146. περιμεθῆσαι τοῦ αἵματος) καὶ περιμεθῆσαι τῆς αὔξης τοῦ ἐμβρύου καὶ τοῦ αἵματος. ſic Caluus.
147. ὑπολελαπτοειδὴς δὲ τῆς γασερὸς] hæc omittit Caluus. καὶ αὐτὴ ἡ γυνὴ ὑγιαίνει. Vatic.
148. καταβαίνει] καὶ καταβαίνει Ald. Vatic. Cornar. & Caluus.
149. ἀπεμεμένη] ἀπεσχῆναι Vatic.
150. καὶ ἄχθος βίνεται) ἢ ἄχθος βὶν ἀείρῃ, Vatic.
151. πόρνηται] πόνηται Caluus legiſſe videtur ex MSR. F.
152. καὶ ἔφη] Vatic. addit δὲ] ἢ ἔφη, S.
153. ἢ πίνη) addunt Vatic. ἢ γυνή. paulò poſt ὥστε οἱ addunt ἰχωρὸς.
154. καὶ οἱ ἡ κοιλίη) καὶ εἰ ἡ κοιλίη S.
155. θερμαινεῖν] διαθερμαινεῖν, S.
156. ἀκούουσι ſcribitur vbique, *audientes, ſentientes*.) ἀκούσαι *inuitæ, coactæ, nolentes* interpretes omnes, ἀκουσα) *grauidatæ*, πληρωθεῖσα *grauidæ*, vel *prægnantes*, Cordæus & Foëſius.
157. αυτὸ) αὐτὸ S.] αὐτὸ Cornar Cordæus, Foëſ.
158. κάρτα δὲ γίνεται) εἰ γίνεται, S. & F. MSR. ac rectè.
159. καὶ ἐπιπολὺ) καὶ ἐπιπολὺς S. & F.
160 καὶ ἴω etiamſi Cornar.) ἐς τὰ καταμήνια S.) ἢ pro ἴω cum Cordæo legit Foëſius.] χωρέηται) χωρέη S.
161. ἄξῃ) ἄξῃ Vatic.
162. εἰ γὰρ] ἢ γὰρ cum interpretibus omnibus Cornario, Foëſio, & cæteris legimus] εἰ μὴ γὰρ &c. ſic explicari poteſt, *Niſi enim iis vomitus bilioſus, aut per aluum purgatio hoc in morbo contingat, vteri etiam exulcerantur.* ἢ) ἢ Vatic.) ἐπὶ ταύτῃ γίνεται) ἐπιγίνεται S.
163. γίνεται) γίνεται αὐτῇ F. MSR.] αὐτῇ ὄκως μὴ θάνῃ Cordæus & S.
164. ἤσι ἐν γαστρὶ) ἤσι δὲ S.
165. καὶ] ἢ Vatic. quæ hîc ſequimur.
166. κοινῆ] κοινῆ, F. MSR. ac rectè.
167. ὑδρώδης) ὑδρώδης Vatic.
168. ξυμβήσεται γὰρ αὐτῇ) ξυμβήσεται δὲ αὐτῇ S.
169. χωρήσαντα) χωρήσαντα. Vatic. Caluus.
170. ῥεῖ) ῥεῖ Vatic. Caluus.
171. καὶ ἢν οἱ φλεγματώδης ἡ λοχίη κάθαρσις χωρέοι) ἴω οἱ φλεγματώδης ἡ λοχίη κάθαρσις χωρέῃ ἐλάσσονα τῆς ὑγιεινῆς. Vatic. Caluus.
172. ἴω] μέχρις αἱ Vatic.
173. ἢ τὸ ἀπὸ ἄλλων] ἢ τὸ ἀπὸ πολλῶν ἄλλων Vatic.
174. καὶ εἰ] καὶ ἢ Vatic. & interpretes omnes, quos ſequimur.
175. τὴν κοιλίην] καὶ τὴν κοιλίην Cornar. & alii interpretes, ſed Foëſium & Cordæum mentem authoris aſſequutos ſequuti ſumus.
176. ποιέει) ποιέῃ Vatic. Cornar. Caluus.
177. ἐπιλαμβάνεσθαι) ἐπιλαμβάνει Vatic. ἐπιλαμβάνεται interpretes quidam. Caluus pro τὴν διάνοιαν, ἐπίνοον legit.
178. ὅσα περὶ εἴρηται] ὅσα περιείρηται S.
179. ἴω πιν ἐφεῖσα τὰς μήτρας πνιγῆ) ἴω τις ἡ κύουσα τὰς μήτρας πνιγῇ Cornar. Cordæus, Foëſius.] ἐφεῖσα τὰς μήτρας πνίγῃ quædam MSR. ἴω τινι mauult Foëſius] ἴω τινα ἡ φῦσα τὰς μήτρας πνιγῇ Caluus, qui etiam ἐφεῖσα retinuit) ἴσως, ἴω τινα ἡ φῦσα τὰς μήτρας πνίγῃ Vatic.] legi quoque putat Foëſius, ἴω τινι ἡ φῦσα τὰς μήτρας πνιγῇ, aut πνίγῃ hoc ſenſu, eadem huic accidere omnia commemorata, vbi mulier ex flatu ſtrangulatum vteri perpetiatur, aut perpeſſa ſit.
180. ὅλῳ) οἷα legiſſe videntur Cornarius & Caluus.) ὅσα pro ὅλῳ legunt MSR. quod ex οἷα corruptum exiſtimat Foëſius.) κατισχεῖν] κατισχεῖν S.
181. λιπόντος] λαβόντος videtur legiſſe Cornarius, ſed malè.
182. ἐπιμένον) ἐπιγινόμενον S.
183. ὑγιαίνῃς) καὶ μὴν Vatic.
184. ἀποφυγὴ] ἀποφύγῃ interpretes.
185. ἴῃ) ἔῃ S.
186. χαλεπὸν) χαλεπώτερα Vatic.
187. ἢ διαπλόον) ἢ διάπλοον ἢ Vatic.
188. ἰέναι] εἰέναι pro εἰσιέναι legunt Aldina.] ἠσσᾶται Vatic. vel ἰσσᾶται.
189. φημὶ δὲ] φημι δὲ S.
190, ἐπιπτύξη *vbi pariet*,) ἐπιτέξῃ vel ἐπιτέξῃ, vel ἐπιπτύξῃ S.
191. ἴῃ) ἔῃ) [ξυνέχεται] ξυνελκόνται legit Caluus.
192. ὑν) σὺν ῥόῳ Vatic. Caluus.
193. καταμαίνει) καταμαίνει, F.

194. ὠῷ ὅπως) ὠοῦ λεπτοῦ, S.
195. ἢν παιδίον) δίχα παιδὶν, Cordæus.] παιδιούσης, puerperæ, Cornarius, Foësius, quos sequuti sumus.) παιδίου Caluus ac malè.
196. τόκοι) τοκετὸν S.
197. κάτορες) κασσείου Vatic.
198. μὴ ἦ τὸ ὑγρὸν ὡς χρὴ] hîc ὑγρὸν vocat quem ὕδρωπα αἱματώδεα dixit, & simpliciter ἰχῶρα, aut ἰχῶρα αἱματώδη l. de nat. hum. τὰ ὑδατώδεα in prænotionibus, aquas vulgus appellat.] μὴ ἦ] μεῖον ἢ Caluus.] vel pro ἀλλὰ μὴν) ἀλλὰ μεῖον Vatic.
199. πολλά) πολλὸν, S.
200. ἐκ τούτου) ἐκ τόκου, Cornar.
201. μεγεθαίνῃ) μεγεθαίνῃ. S.
202. ἢ οἰδέῃ *tumet* vniuersum corpus à fluxione sparsa.] ἰδίῃ Cordæus) ἰδίῃ S., βρύχοισι) ἀψυχῇ addunt Vatic. vel ἀψυχῇ.
203. ἢν) ἢ Cod. Basi.
204. καὶ γυναικὸς ἐπείτα) ἢ γυναικὸς ἐπείτα, &c. Cordæus ad præcedentia retulit.
205. κρύψεται) κεκρύψεται, MSR. ἐπιπεσούσης, ἐπιασσεούσης. S.
206. καὶ ἐπὶ, &c.) μᾶλλον ἢ ἐπὶ, Vatic.
207. ἢ βιασθῶσι) μὴ βιασθῶσι Vat. quæ non improbat Foesius.
208. ἀκανθα) ἀκάνθα Vatic. Caluus.
209. μάλιστα τὴν κοιλίην ἐπιλαμβάνῃ] μάλιστα δὲ τὴν κοιλίην φιλέει ταῦτα ἐπιλαμβάνειν, Vatic.) καὶ μάλιστα τὴν κοιλίην ἐπιλαμβάνει, cum interpretib. legit Foesius.
210. ὑπὸ κακοήθεα] ὑπακοήθεα S. vel ὑποκακοήθεα.
211. ταύτῃ] αὐτῇ, Vatic.
212. μεταπείσεται) μεταπεσεῖται. Vatic.
213. ἀρχαὶ] δρόμῳ, Vatic.
214. ἢ ἀποψύχεται] λιποψυχέῃ, l. de nat. muliebri, & Vatic.
215. πνεῖσθαι] πνεῖσθαι, S. μαλθακτήριον) μαλθακτήρια, S. & F. ibidem. pro στερρὴ) στερρὴ S. vel στερεή.
216. ἅπασαι] ἅπαν, S.
217. καὶ ὑθεῖται) προσθεῖται MSR.
218. καταλιπεῖν] διαλιπεῖν Vatic.
219. καὶ κόκκους) καὶ δύο κόκκους, Vatic.
220. ἐκλείψας] ἐψήσας, S.
221. περὶ πτερὸν circum pennam] περίπτερον pinnatum pessarium dicit Cordæus.
222. ἀμφιπυθόμενα) ἀμφὶ πυθόμενα, S.
223. ταῖς μὲν, &c.) τρεῖς μὲν Vatic. Caluus. πείθουσα legit Foesius vt & ἐπιχέουσα] ἐπιχέασα legit Cordæus] in codicibus impressis ferè vbique πείθουσα & ἐπιχέασα legimus, & MSS.) μιγαῖσιν τὸ Κύπριον] μίξαι τὸ Κύπρειον legit Cornarius.
224. στόματι) σώματι Caluus, nec temerè] ἐν τῷ στόματι ἐχέτω ἐπ' ὀλίγον] ἐν τῷ σώματι ἐχέτω ἐπόμενον, Vatic.
225. ἢ πρὸς τὸν αἴδρα] ὡς τὸν αἴδρα MSR. F.S.
226. πρὸς τούτοις ἀρήγῃ] πρὸς τὰ ῥίγῃ, ex Caluo, sed vitiosè] ἀρήγῃ desideratur in manuscripto Seruini.
227. τοῖς δακτύλοισι) τελεῖ δακτύλοισι Cordæus, Foesius, quos sequimur] πῶς οἱ ἄλλοισι ὄφεσι, legunt Interpretes.
228. σῖτον δὲ] Σῖτον δὲ Vatic.
229. τὰ ἄκρα] ἄκρα, S. F.
230. ἠρεμαῖον) addunt Vatic. γίνεσθαι.
231. μεγεθαίνηται) μεγεθαίνωσι Vatic.
232. χολὴν) χολὴν legit Caluus contra codicum omnium fidem.
233. ἄφορος δὲ ἡ νοῦσος, sterilem morbum vertit Cornarius, qui sterilem ac infœcundam mulierem reddit) ἄφορον intolerabilem sumit Cordæus.
233. αὔξεται] αὔξεται, MSR. Vatic.
234. ἢ ἰδίῃ) ἱδροῖ ex hoc loco videntur exponere Erotianus & Hesychius. sic Cornarius, Foesius, & meliores Interpretes.
234. δέοι, S.F. MSR. vbi δέοι exponitur χρεία εἴη, sicque Vatic. Foes. Cornar. & reliqui interpretes] δὲ οἱ Codd. impressi.
235. μεμύκει) μεμυκότως ἔχῃ, Vat.
236. ξυνδήσασα τὸ τῆς καθάρσιος ἀπολελαμμένης] ξυνδήσαντα legit Foesius, vt ad τὰ χίλεα referat. Sic & Cornarius] ξυνδήσασα τι Vatic.] ἀπολελαμμένης legit Cordæus, interceptam & retentam purgationem.
237. τὰ ἔλκεα) τὰ χείλεα, S.
238. ὁμόχροοι, ὁμόχροοι F. æqualem Foesius.
239. φλαφώσα) φλαφωῦσα, F.) ὅτι ξυνεπέφερεν) ὅτι οἱ ξυνεπέφερεν, Vatic.
239. φορὸς. φορέῃ, Vatic.
240. ῥῖνα) ῥῖνας, S.
241. ἢ τὰ ἐπισπώμενα] ἢ pro ἢ vitiosè legunt Ald.] ἢ τὰ ἐπιμήνια Seruini exemplar.
242. φύεται) ἔσται Vatic. ἢν δὲ Vatic. ac rectè] ἂν ἢ Codd. impressi.
243. πράσσεται) πράττηται, legit Foesius) πράττηται Vatic. πράττηται, S.
244. φύεται] φύσεται S.
245. πολλὸν] πλέον legunt interpretes omnes quos sequuti sumus, vt & αὐτὰ pro αὐτὴ, ad τὰ σῖτα referentes. Sic exempl. Seruini.
246. τὸ ἀκούειν] τὸ ἀκοῦσαι Vatic.
247. μὴ δὲ] ἢ δὲ S. nec temerè.
248. μεγεθαινομένη δὲ) μεγεθαινομένη μὲν ἡ Vatic.
249. πλαδᾷ) πλαδᾷ, S.) πλαδᾷ Cordæus.
250. ἡ μέν] ἡ in codicibus impressis non legitur, l. de natura muliebri sic legitur μὴ ἐμμένη, quam lectionem omnes sequuntur Interpretes.
251. οἶνῳ δὶς ἐν μήκει χρῶ] οἴνῳ δὶς μηκρῷ, Vatic.] οἴνῳ δὶς μίξας, l. de natura muliebri, vbi πτισάνην ἑψημένην additur.
252. ἐπίπασαι] ἐπίπασε, S.
253. ὕπαπς in MS. S. desideratur.
254. φύσεις) φύσις S. ac præclarè.
255. αὖξις] αἶξ Vatic. & S. & pro Σκυθείας αἶγες, Σκυθαῖγες.
256. ὅταν χωνὴ] ὅταν γενῇ, S.F.
257. ἐπὶ) ἔτι Vatic.
258. ἐληφθῇ) ληφθεὶν vel ληφθῇ Vatic.
259. αἰσθανῶσιν ὕστερον) τὸ ὕστερον, Seru. exempl.] κατεσχοδοσι) κατεσχεθῶσι. S. Foesius cum Interpr.
260. ἢν μὴ] καὶ legit Caluus, qui vult etiam amplo vteri osculo existente, pauciorem procedere purgationem.
261. ἕως Ionicè positum est pro ὡς] ὡς Seru.
262. χοῖρον] χοίρειον Vatic. vtrumque admittit Caluus.) αἴθη) αἴθῃ S.
263. ἐσθίειν εἰσφέρειν, S.
264. λίνου] σελίνου, Cornarius legit.
265. ἢν δὲ μὴ ἀλγέῃ) ἢν μηδὲ ἀλγέῃ, S.] ποτὸν) σῦν μητρέων τινῶν legit Foesius cum interpretibus.
266. μητρέων) ὑστερέων, Vatic.
267. ἐπιχεῖ ἐπιχεῖν, S.) φθοΐσκοις] ὀχίσκοις, F. videtur explicatio quædam.
268. κρίμνου Interpretes] κρηθμοῦ MSR. Vatic. Aldina, Caluus S.
269. ἄρτον) ἄρτου Interp. MSR. Aldina, Vatic. Cornar.] ἄρτον ἄζυμον Caluus, qui panem non solitum vertit.
270. λεκίθῳ, φακὸν) λεκίθοι φακῷ, Vatic.
271. καὶ πόσῳ) ἢ τῶ S. Foesius probat.
272. ἢ ἐπιπίνειν) πίνειν legunt Vatic. & διδόναι pro οἰνώδεα.) οἶνος πράμνιος μέλας καὶ αὐστηρὸς ὀνομάζεται à Pramnia vite vel rupe in Icaro insula, ἀπὸ ἀμπέλου πραμνίας.
273. τὰ ἄλφιτα] πάλιν ἀλφίτων Vatic.
274. ἰνήσεται vacuet] εἰνήσεται Codd. impressi.) ἀφίσεται MSR.) σινέεται Caluus aut σινέεται] ἰνέεται pro κενοῦται Caluus.
275. πιμπλαται] πιμπρᾶται, Foesius, Cornar. S. l. ex natura humana.) λεχοῖ] λεχοῖς Caluus.
276. ὄξει καὶ ἐλαίῳ) ὄξει ἢ οἴνῳ καὶ ἐλαίῳ, Caluus.
277. ἐγκαθίζεσθαι] ἐγκαθίζεσθαι, sic interpretes omnes.
278. γίνονται δὲ) γίνεται Caluus, Foesius, Cordæus) πίνονται δὲ Cornar.
279. φλεφλεγέες) πνευμοφλεγέες Vatic.
280. τὸ σῶμα) σῶμα S.
281. ἐσθιέτω] ἐσθιέτω F. S. MSR. Vatic. Interpretes.
282. καὶ ἀλὶ] ἄλικα, Vatic.
283. λεπτὸν *tenuem* farinam Cornar. impressi codd. ἑφθὸν coctam Foes. ex l. de natura muliebri. ἐστ' ἂν] ὅτι Foes.
284. φλεγμαίνηται] ἑρμαίνηται, Vatic.
285. τὰ ἀμφίδεα) τὸ ἀμφιλήϊμα, S. Vatic. Ald.
286. λίνου] σελίνου, apij; Cornarius, [illegible] ctè.
287. ἀπὸ σῦ] τῷ ἀπὸ σῦ Vatic.] ἀφ' ὧν] ὑφ' ὧν Vatic.
288. εἰρινικαί] ῥινικαί, Gal.
289. στρέφοι] ξηρὰ Foesius præfert.) καὶ τὸ γάλα πονηρὸν) καὶ πάλιν πονηρῶς ἔχῃ, Cordæus, Foesius.
290. πλείω γίνηται) πλείω φύηται legit Foesius ex l. de natura muliebri. γίνηται) φύηται S.
291. βολίτω] βολβίτῳ, Vatic.
292. πολυπόσι ex l. de natur. muliebri. Foesius] πολυπόσιν exemplaria propè omnia, sed vitiosè.
293. οἷα ἦν] εἴη, S.
294. ἐπὶ δὲ πρὸς τούτῳ) πρὸ τούτου legit Foesius cum Cornario ex l. de nat. muliebri.
295. αὐτὸ) αὖ σοι Cornar. ex l. de nat. mulieb.
296. ξαίνῃ] ξηραίνῃ, MSR. F. sed hîc ξαίνῃ *lacerat, pungit, vellicat* melius, pro quo ἑλκοῖ legitur l. de nat. mul.
297. κυάνῃ] καὶ πίνῃ, Cornar. addit.
298. οἱ αὐτοὶ) οἷα τοῦ Vatic.
299. λαμβάνῃ] ἕλκει Vatic.
300. τούτου) τόπου S.
301. ἀπὸ τοῦ ὕδρωψ] ἀπὸ τοῦ τόπου, S. Cordæus.
302. αἷς) ἐστὶ ὅταν Vatic.] [αὐτὴ) αὐτῆς S.) ἄπερ) ἄπτη Vatic.
303. φλέγματος] ὕδατος S. Cordæus.) καπνόντες] καπνώδεις, Vatic.
304. ἐστὶν] ἔστω Vatic.
305. ἔστι δὲ) εἰσὶ δὲ S.
306. ἔτι.
307. δοῖηται] στόμα MSR.
308. σῦ ἀνδρῶν) σῦ αἴδρῶν, S.
309. τοῖα] τοῖον S. [ἢ ὀδύνη) ἢν ὀδύνη, Vatic.
310. διαφθαρεῖσα) διαφθείρασα Vatic.
311. ἐγκαθαρθῇ] ἐκκαθαρθῇ S. Foes.
312. ἢ) ἐν MSR. Foes. Cordæus.
313. πίνει) πίνει S.
314. ὕδασι) ὕδατι s. fortè ἡδύσμασι.
315. ἀλγοῦσι) ἀλγέουσιν s.
316. ἁρμόσει) ἁρμόζει s.

317. κιαὸν] κιοῦν MSR. Cornar. ac rectè mea quidem sententia.
318. χρόνσεται) χρόνσεται Interpretes. Foes. S.
319. πάντη] πάντοι S.
320. βρυγμὸς) βελόνες Caluus.
321. διακνισθῇ) ὰ διακναίομαι) διακνισθεὶ legit Aristot. c. 3. l. 7. de hist. an.
322. διαλείφειν πολλάκις] διαλείφειν τῷ δακτύλῳ πολλάκις, Vatic. Caluus.
323. πικρὸν) πικρότερον Caluus, Cornar. πάλιν omittit Foes.
324. καὶ τὸ γυναικεῖον] καὶ τῶν γυναικείων, Vatic. & muliebrium potionum ad Cyceonem crassum diluendum idonearum.
325. ἑλκώματα] ἑλκώσματα S. Vatic.
326. ὁκοίης) ὁκόσα Vatic.
327. θεραπεύειν ἐν φαρμάκῳ] φαρμακεύειν πρόσθεν. Vatic.
328. χεῖλος] χρὴ Vatic.
329. ἀκρήτῳ] αὐστηρῷ Caluus ex vatic. addere videtur.
330. καὶ ἢν μὴ ἑλκώμενα) καὶ ἢν ᾖ ἑλκούμενον aut ἑλκώμενον legit Foesius cum Cornario, vt de vteri osculo vlcerato ista intelligantur.] Caluus μὴ ἑλκώμενον aut ἑλκώμενα legisse videtur.
331. λιπαρῶς) λιπαρὰ Vatic.
332. οἴνῳ Σιραίῳ addunt Vatic. ταῦτα. vino Siraio sapam intelligunt Interpretes.
333. πελασσάτω χῶρον διακναίῃ] πελασάτω χῶρον διακναίῃ, legit Foes.
334. ἀναχαλάσαι] ἀναχαλάσαι Foesius ex Gal. legi vult; quod explicat Galenus ἀναξαίνεσθαι.
335. λαμβάνῃ] λάβῃ Vatic.
336. ἐντιθέοισι] ἐντιθέονται, Vatic.
337. ὡς ἐγὼ). ἀφ᾽ ὧν F. S.] προλουόντες] προλούοντες F.) [χρὴ] καὶ ἢν. S.
338. προκαταλαμβάνειν) προσκαταλαμβάνειν S. & ζώνην pro ζωννύειν.
339. ὥστε ψαύσαι] ὥστε μὴ ψαύσαι Cornar. legisse videtur.
340. ὅκως δὲ οἱ πόδες μὴ ψαύωσι] ὅκως οἱ πόδες ψαύωσι legunt Cornar. Foesius.) γῆς) κλίνης Vatic.
341. καὶ ὅσα) καὶ ὅσα Vatic.
342. ὥστε ὀλίγῳ] ἐστὶ ὀλκῷ, videtur legisse Cornarius & Caluus, qui vollellam dixerunt, sic & Foesius.
343. τοῦ ἐμβρύου) τοῦ ἐντέρου Cornar.) τοῦ ἐπιδιδίου aut τῶν ἐπιδιδίων, Cordæus.
344. ἐσμαπευσάμενον MSR.] ἐσμαπευόμενον mauult Foesius pro ἐσμαπευόμενον, quod ζητοῦντα, ἐρευνῶντα exponit Hesychius.
345. σφριγᾷ δὲ τὸ στῆθος) σφριγᾷ legit Foes. Cornarius autem σφριγᾷ δὲ τοῖς τιτθοῖς legisse videtur ex l. περὶ ἀφόρων. Sic & Vatic. Αὕτη) αὐτήν. S.
346. χυλός. χυλὸν S.
347. κινήσιας] κινήσι, Foes.
348. 313. φθαρείσῃ) φθαρείσῃ Vatic. & Aldin.
349. προστιθέναι) προστιθέναι S.
350. καὶ ψάμμος] καὶ ἄμμιον fortè, Seruini exempl.] καὶ ἀρχὴ ἐπιμελείας desideratur in MS. S.
351. ναρκισσον] ναρκίσσινον vult Foesius, vt μύρον ναρκίσσινον intelligatur, vt alibi legitur.
352. κύπρον] κύπριον S.
353. ὅσον κύαμον) ὑοσκύαμον Ald. Vatican. Caluus Seru. vitiosè tamen.
354. προσθετὸν] ἕτερον προσθετὸν καθαρτικὸν καὶ μαλθακτικὸν S.
355. καθαρτικὸν) προσθετὸν καθαρτικὸν μαλθακτικὸν S.
356. μύρον ῥόδινον] μύρῳ ῥοδίνῳ ex MS. S.
357. ἕτερον προσθετὸν μαλθακὸν] προσθετὸν καθαρτικὸν μαλθακὸν F. καθαρτικὸν S.
358. τοῦ σύκου) συκῆς Vatic.

359. ἀπαυδήσεις) ἀπαυδήσάσαις legit Foesius.
360. καὶ κατάποτα) καὶ κατὰ πρόσω τὰ Cordæus, quem probat Foesius rectè emendasse.
361. ὑποφέρῃ] addunt Vatic. αἷμα.
362. αἷμα] ῥεύματα F.
363. ἢν δὲ μεγάλη ᾖ, μὴ συμμίσγειν) sic exemplaria omnia.] ἢν δὲ μεγάλη, ἥμισυ μίσγειν ταῦτα Caluus sic legit.) ἢν δὲ μεγάλη ᾖ, μὴ συμμίσγειν, ἀλλὰ μόνον πιεῖν ταῦτα ἃ καὶ πόσι κανθαρίσι, καὶ προσθέτοισι ὁμοίως Aldina.) pro ταῦτα τοιαῦτα F.
364 πλάσαι) πλάσας F.
365. ξυλλαβεῖν ἔχειν Vatic.
366. τοῦ ὕδρῳ] χ. ὄρρῳ F. MSR. quæ sequimur.
367. καὶ πλεύμονα πάλιν θερμήνας. μετὰ δὲ ταῦτα, sic cum Foesio & interpretibus.] θερμήνας δὲ μετὰ ταῦτα sic exemplaria impressa.
368. πλεῖον) πλεῖστα, Vatic. κατὰ κεφαλῆς) κατὰ τῆς κεφαλῆς. Vatic. (ἕψων) ἕστω δὲ F.
369. πλατέων) πλαταιῶν legit Foesius, qui oleum ex platæis vrbæ Bœotiæ aduectum accipi tradit.
370. πυρῶν σιταρίων] πυρῶν σιταρίων, Vatic. Caluus. ὠὰ λεπτὰ) ὡς λεπτὰ, Vatic. ὠὰ λεπτὰ, oua liquida & cruda interpretatur Foesius.
371. ἢν δὲ γυνὴ] ante hæc verba κυητήριον ἕτερον addit F.) τίκτουσα] τετοκυῖα, Vatic.
372 ἄτερ δέχοιτο) ἄτερ δέοι ἐσθίειν καὶ πίνειν, F.
373. ὁμοίως ἔγγυον κυητήριον] ὅταν γυνὴ μὴ κυΐσκηται F.
374. λεπτὸν.) λεπτῷ Caluus. λεπτὴν tenuem, hoc est, tritum pulegium.
375. δὶς) τρεῖς Caluus.
376. τὸ στόμα] τὸν στόμαχον Vatic.
377. ἢ συλλαμβάνῃ δὲ) καὶ μὴ συλλάμβανῃ, Vatic. Idem.
378. ἐς ὀθόνιον λίνων, sic exemplaria, quæ lanam linteo lineo exceptam & illigatam significant.) λίνῳ Interpretes vt lanam filo in linteo religatam accipiant.] ἕως ἔσω) ὡς ἔσω Vatic.
379. ἀναστομῶσαι) ἀναστομοῦν F. ἐκκαθῆραι] ἐκκαθαῖρον F.
380. ἐγκυλίδωτον) ἐγκυλινδώτον aut ἐγκυλίωτον melius legi censet Foesius ab ἐγκυλινδέω, aut ἐγκυλίω, quod est in orbem voluto aut conuoluto.
381. αὐταὶ] ἴσαι Vatic. Caluus.
382. Ὠκυτόκια δυστοκούσῃ) περὶ δυστοκουσῶν. F.
383. καὶ κεδρίδας] καὶ δαφνίδας Cornarius.) καὶ ἄννησον] ἢ ἄννησον F.
384. καὶ ὕδατος θερμοῦ κυάθους δύο) Caluus aquæ calidæ cyathum legit, & vini duos.) Exemplaria verò MSR. legunt καὶ ὕδατος κύαθον παραχέας δύο.
385. καταστῆσαι) καταστήσει δὲ καὶ τὰς μήτρας. Vatic. vt hoc medicamentum ab inflammatione recreet ac restituat. Caluus.
386. ὅτις αὖ ἢ λευκὸς) ὅτις ἤδη λευκὸς ᾖ Vatic.
387. ἢν δὲ κύουσα) ἡ προσθεῖσα κύουσα, legit Cordæus.
388. τέκῃ δὲ ἢ) ἡ κύουσα addit F. MSR.
389. χαλβάνην] βδελλίου χαλβάνην F.
390. ἔλαιον] post ἔλαιον, ταῦτα ἐν εἰρίῳ ἀναμίξας προσθεῖς F.
391. ἐν οἴνῳ ἀκρήτῳ) καὶ ἐν οἴνῳ ἀκρήτῳ πιεῖν, sic quidam interpretes ac rectè, ac in vino meraco bibendum dato. Cornarius.
392. ἐκ πόνου καθαρτήριον] ἄλλο ante hæc verba addit F.
393. ἄλφιτ᾽ ἀπαλύνων] ἄλφιτα πλυνῶν, legendum censet Foesius.
394. ἢ μίσυ ex natura muliebri sic legendum colligimus cum Interpretibus.] ἥμισυ sic codices.] φρύξας] φυρήσας aut φορύξας legi vult F. etsi φρύξας retineri potest, vt torrefactum aut frictum misy significet.
394. καὶ ψύχειν] καὶ πιεῖν Cornar. qui deinde ὑποθυμιῆν ad sequentia refert.
395. χρῆσθαι) χρέεσθαι F.
396. ἐπιπάσας) ἐπιπλάσας Vatic. MSR.
397. ἢ γλυκυρρίζης] l. de nat. mulieb. ἢ γλυκυσίδης legitur.
398. ἢ ἄλητον πλυτὸν) ἄλητον ἄπλυτον legitur l. de nat. mulieb.
399. ἀπολελεγμένον) ἀπολελυμένον. F. MSR.
400. καὶ τὸ διὰ θέμον] ἄνθεμον legit liber de natura muliebri.
401. προσθεῖναι] δίδου πιεῖν Cornar. ex l. de nat. mul. contra codicum omniũ fidẽ.
402. ὀπὸν, silphium hic dixit Cornar. sed ἢ ὀπὸν legit cum Caluo & Cordæo Foesius, & de rutæ succo accipit; aut certè ὀπὸν ἑκάστου legendum.
403. προσθετὸν δυνάμενον) καὶ ποτὰ δυνάμενα Cornarius.
404. καὶ τοῦ πεπεισμένου) eiusdem medicamenti contriti staterem Æginæum potui exhibendum significat] βατραχίου τῶν φύλλων καὶ τοῦ ἄνθεος πεπεισμένου, huc Corn. ex l. de nat. mulieb. hæc verba attulit) τετμημένου Caluus.
405. ὡς μάζιον ἐμπλάσουσα) ἐς μάζιον ἐμπάσουσα legit Foes.) ἐμπάσασα legit Corn.
406. σκορόδου) σκόροδον Foes.
407. κατακλύσας ablutam testam) κατακαύσας Cornarius, Foesius. fortè sepiæ testam vino elutam κατακλύσας explicat.
408. προσθεῖναι) ἐν εἰρίῳ προσθεῖναι l. de nat. hum.
409. προσθεῖναι] ἐν εἰρίῳ præponunt Vat.
410. ἐν ὀθονίῳ προστιθέναι) ἐν ὀθονίῳ προσθεῖναι l. de nat. muliebri.
411. ποτὰ δυνάμενα) pro his verbis ἄλλο adscribit F. deinde ante ἐπὶ τοῦ αὐτοῦ hæc verba apponit.) In Vat. pro titulo hæc sunt ποτὰ δυνάμενα χορίον τι κρατηθὲν ἐν τῇ μήτρῃ ἐξαγαγεῖν Vatic.
412. Σίλφιον) ὀπὸν σιλφίου Vatic.
413. ὅσον χήμην ἁδρὸν) ὅσον χηραμίδα, dixit l. de nat. mulieb.
414. πράσου) πρασίου vt & paulo ante Cal.
415. Ἄλλο] ἐκβόλιον addit F.
416. σμύρνης] σμύρνης ὀλίγον Caluus.
417. ἐκβόλια) ἄλλο adscribit F.
418. τοῦ ἰσοσώματος) τοῦ σώματος, Corn.
419. τὸ ἰσχελὲς secundas remorantes.) τὸ νωχελὲς tardum, quod remoratur.) ἢν ἰσχελὲς Vatic.
420. κόνυζαν τὴν εὐώδεα] ῥητίνην καὶ ῥητίνην τρίψας Ald. Vatic. MSR. Interpretes.
421. καὶ ἐξέρχεται] ἢν ἐξέρχηται Vatic.
422. ἐκβόλιον] ποτὸν addunt Vatic.
423. ἐκβολῆς] ἐκβόλιον F. παιδίου desideratur in MS. F.
424. γλυκεῖ) λευκῷ καὶ γλυκεῖ, F.
425. καταλίμπανε) ἐὰν καταλίμπανε, Vat.
426. μὴ πλέω) μὴ πλεῖον, Vatic.
427. τρίξας) μίξας. Vatic.
428. τὸ πρὸς τοῦτο] ἐς τὸ αὐτὸ Vatic.
429. Ἄλλο) Ἄλλος κλυσμὸς F.
430. ἢ βάλλειν] ἢ λαβεῖν (aut λαβὼν) μόνον tantùm legisse videntur Interpretes.
431. σεσέλιος) σέσελι melius vt vertit Foes.
432. ἢ ἐλατήριον, ἢ κέστρον] ἢ ἐλατηρίου ὅσον δύο πόσιας, Vat. Cal. κέστρον autem vetonica dicitur Plinio, quæ betonica.] κνῆστρον, Cornarius, hoc est, carduus quo confricantur panni.
432. λεῖα] addunt Vat. ἴσον ἑκάστου.
432. καὶ ἴρεν, βρύον) σισύμβριον ἐν οἴνῳ ἑψῶν κλύζειν l. de natur. muliebri.
433. καὶ κλύζειν ἐν ὕδατι] ἐν οἴνῳ, ἢ ὕδατι ἕψειν καὶ κλύζειν legisse videntur Interpretes.

434. εἰ ἐχῇ τρώσῃ] εἰς ἐχέτρωσιν, Vatic. albam Bryoniam Interpretatur Gal.
435. ἐνεργεῖν) κλύσαι, l. de nat. mul.
436. πόσιας) addunt Vat. ἢ μέλι ἢ ἔλαιον.
437. ἢ σιδία) ἢ σιδίου, legendum esse auguratur Foesius.
438. ἐπιπλάσσειν] ἐπιπάσσειν, legit Foes. cum interpretibus) ἐπιπάσσειν legisse videtur Caluus.
439. εἰ δυμάκες] μυάγης, Cornar.
440. λίνου) σελίνου Cornar.
441. ὑοσκυάμου] σικυάμου, ex Galeno Dioscorides.
442. σελίνου] ζίου l. de nat. mul.
443. αὐτήν.] ἔγχει, Vatic.
444. ἢ ἀκτῆς τὸ μέσον] ἢ αὐτῆς τὸ ἐν μέσῳ l. de nat. mulieb.
445. δίδου] δίδου ἐσθίειν l. de nat. mulieb.
446. χολῆς καθαρτικοῦ) καθαρτήριον F.
447. βόλβιον δυμακετήριον προσθεῖναι) βάλανον δυμακετήριον ποιέειν ἢ προσθεῖναι. Vat. Cal.
448. θαλάσσης) θαλάσσης Ald.
449. ἐν οἰνογάλακτι ἑφθῷ) ἐν ὀνείῳ γάλακτι Vat. Caluus, Seruin. sic & Cornarius.
450. Ἄλλος κλυσμὸς χολώδης ἢ φλεγματώδης] Ἄλλος κλυσμὸς, ἢν χολώδης, ἢ φλεγματώδης ᾖ Cordæ.
451. σχοίνου] ζίου legit Foesius cum Interpr. σικύου vitiosè legitur l. de nat. mulieb.
452. ἀποβρέξαντα] ἀποθήσαντα Vatic. ac Interpretes.
453. ἢ μὴν ἐπιχέας] μᾶλλον Foes.
454. κυκλαμίνου] κρομμύου l. de nat. mulieb.
455. ἐκλείψας] sic Cordæus, sic Foesius, sic Interpretes, ac rectè] ἐκλείψας Codices impressi quidam.] τρεῖς sic Foes. Cordæus.) τριάκοντα Cornarius.
456. ἢ σμικρὸν] ἢ νίτρου σμικρὸν nitri paucum legit Cornarius.
457. δέρματα) φλέγματα Vatic.
458. κύπρον Interpretes, S. Foes.) κύπριον Codd. impressi, nec rectè.
459. προσθεῖναι] addunt Vatic. λευσομένην ἀφαιρεομένην τῷ δυώδει ὕδατι διαχλίζεσθαι.
460. ἀποζέσας) ἀποζέσαντα Ald. Vatic.] ἀφελεῖν) ἀφελομένην Vatic.
461. ἢ ἐλατηρίῳ] ἢ ἢ ἐλατηρίῳ omnes ferè Interpretes.
462. Ἄλλο ὁμοίως] ὕδωρ ἄγει ἢ μύξας ἢ δέρματα Vatic.
463. ἀφαιρεοῦνται] ἀφαιρέομενα Ald.) ἀιρεόμενα Vatic.
464. ὕδωρ ἄγει δυνάμενα, ὕδωρ ἄγει, ἢ αἱματώδεα δυνάμενα, Vatic.
465. τὰ ποτὰ potiones, sic Cornarius ac rectè, eum sequimur.] πιεθέντα Codices impressi.
466. καθηγύσθω] καθιέσθω reponit Cordæus.
467. ἢ τοῦ πεσσιμμένου) hîc Cornarius lectionem libri de nat. muliebri ascribit.
467. καθαρτικὸν] καθαρτήριον Foes.
468. ὀρθῶς ἔχῃ] μὴ ὀρθῶς ἔχῃ Caluus, Cornarius, Foesius. κόψας) κόψαι Interpr. & Aldina exemp.
469. βληχροῖσι) βληχρὸς legit Foes.
470. δύο χοίνικας) ἀφ' ἑνὸς χοίνικος, addunt exempl. Ald. & Vaticana quæ etiam scribunt, τῷ ἐρεβίνθων χοίνικα τῷ ἀσταφίδων.
471. ὅσον) ὅσῳ Foesius cum Interpr.
472. ἴῃ) μὴ ἴῃ Interpretes.
473. ποιῆσαι) πίσαι aut πεσσὸν legit Foes.
474. ἄλητοι) τὸ ἄλητοι l. de nat. mulieb.
475. μεμύκῃ) ἀνεστομῶσθῃ & μέχρις ἂν μεμύκῃ Caluus. longè aliter l. de natura muliebri.
476. ἴρηκος) ἱέρακος F.
477. ἢ ὀκότερ] ἕτερον κωνήειον, F.
478. κόκκον] κρόκον, legit Cornarius aut prætermisit κόκκον, sic & Caluus.
479. ὀδαξᾶται) σμύζεται, Vatic.] ἀνακμάζεται, F.
480. συκῆς fici cum Corn. vertimus) μορέας mori Foes. pro rationibus ab eo allatis.
481. ἥτω] ἴτω eligit Foes.
482. πῶς δεῖ ἰᾶσθαι quomodò curare oportet? vel quomodo medendum?) ὧδε δεῖ ἰᾶσθαι hoc modo curare oportet, interpretes, Vatic.
483. ἑλκωθῶσι) ἑλκωθέωσι. F.
484. μυελὸν) μυελὸν) ἢ ἔλαιον, legit Caluus.
485. μήτρῃσι Sic ex interpretibus restituimus) μέλιτι impressi codd. ἄλλο addit F.
486. ἐψῶν] ἐψῆν Vatic.
487. συμμίξας] συμμίξας Ald.
488. ὧν πάλιν] ὅπλον legisse videtur Cornarius.] σιὸ ὡς Caluus (εἰ πάλιν Cordæus.
489. ἐκ τρίπου] ἐκ τόπου Cordæus.) ἐκ τοῦ τὸ καὶ ὀλίγον F.
490. ἴσον] ἔσω Foes. cum interpret.
491. Notha huc remedia apponuntur ex veteribus membranis, maximéque vaticanis, quæ licet mendis plurimis scateant, ea tamen vt vtilia hîc descripsimus, Foesium sequuti.
492. κρομμύων τὰ ἔξωθεν *ceparum exteriores partes*, sic codices omnes legunt, ac rectè τὰ ἔσωθεν *partes interiores* Cornarius ac Foes.
493. κλύσαι) ῥοφῆσαι, interpr. quos sequimur.
494. τῷ χηνείῳ μαλακῷ] τῷ χηνείῳ, ἢ τῷ οἴῳ Corn. & εἰρίῳ δὲ χρῆσθαι μαλακῷ.
495. ὀπὸν) συπικὸν Corn.) An verò ὀπικόν?
496. ὕδατι φύροντα) νίτρῳ ὕδατι φύροντα λείον, Foes.
497. ταῦτα legit Foes.] ταῦτα alii.
498. ἀσαφέσταται τὸ κρυσὸν, hæc vitiosâ sunt, ab interpretibus omissa] ταύτας ἀλλήλαις) ταύτας ἀλλήλαις διαπείσειν, legit Foes.
499. χελῶνῃ] χελώνης Cornar.
500. σποδὸν τῆς κυπέλης τῆς, &c.] σποδὸν κυπέλλου λεῖον.
501. μὴ ξυστρέφεσθαι, Foes. ne coeat.] ξυστρέφεσθαι, MS.) μὴ ξυνέχεσθαι Cornar.
502. ἐξωθῆσαι] ἐξωθῆσαι, legit Foes. ac interpretes quidam, non Caluus.
503. σκῖνα vbique sic legitur.] σκωλεῖς μολίβδου, Cornar. legit.
504. διαπεφωγμένη interpretes eam dictionem omiserunt, licet vbique sit, sed ὡς διαπεφωγμένοι legi videtur Foes.
505. ὅτι δ' ἂν sic legunt codices impressi) ὅ, τι δ' ἂν, legit Foes. vt intelligatur id quod à luteo discedet) ὅπως δ' ἂν, aut ὅτι interpretes, *vt* Cornarius, quem sequuti sumus.
506. σολύμης) ἁλὸς aut ἅλμης legunt Cornar. & Foesius.
507. ἑκατέρῃ τῶν ὅπεω *vtriusque altera* vertimus, hæc autē vt vitiosa aut corrupta prætermittunt interpret.] τῆς ἐπελαύνης πίπερι legit Caluus.
508. ἐς χόεα) ἡμιχόεα legit Caluus.
509. ψύξας siccata) ξηράνας Cornar. idem] ἑψήσας legit Foes. cum caluo nec temerè, sed Cornarium sequimur. addit Coriandrum cum apij folijs Caluus.

35. IN HIPPOCRATIS LIBRVM SECVNDVM de mulierum morbis.

HVius libri secundi de morbis mulierum inscripti idem planè est argumentum ac superioris; verùm propriè quodammodo de profluuiis muliebribus & variis vteri erroribus agit Hippocrates. Legitimus est Hippocr. foetus, cuius versionem ex Cornar. ac Foes. excerptam tradidimus.

1. ποῦ δὲ πόνος) ποῦ δὲ πόνος, Vatic.
2. ἢ κνησμώδεες) κλυσμώδεες S. Vatic.
3. ξυντείνῃ legit Foes. & plerique, vt cum suris femora contendantur, ac veluti contrahantur. πτώσσει enim pro τείνει sæpe efferunt Homerus & Hippocrates) ξυντείνῃ MSR.) ξυμπτήσῃ vitiosè legunt, Ald.
4. σφαγὰς iugula) σφαγίας dies sacrificii. F. non rectè.
5. ξύσματα *ramenta* Corn.) κλύσματα codices impressi omnes, sed vitiosè.) κλάσματα, Foes. nec temerè.
6. συγκρίματα] συγκρίνια, Ald. vitiosè legunt, & S. & Vatic.
7. λευκὸν) λευκοὶ S. & F.] ἴσως λευκὸν, Vatic. λευκὸν Cornar. Mercur.
8. παχύν laqueum aut crassiorem vinculi partem vertunt] παγκὸν, S.
9. ἢ σικύαις ἀείρῃ, sic codices impressi.) σικύας ἀείρῃ, mauult F. quod συστρέφει Erotianus interpretatur.] ἀείρῃ, F.
10. ἐσόμενται) ἐσόμεναι, S. ac rectè.
11. καθεστῶσιν) καθεστῶσαι, MS. S.
12. ὁμοίως) ὡς S. ac rectè.
13. ἴσαι τὴν ἔδοσιν) ἰσπνύσαι, F. ex Galeno restituit, ἰσπνύσαι, ἰσάζουσι, μεσῆλικες οὖσαι. Gal. explanat.
14. ἐγγίνηται] γίνηται, MS. S.
15. ἢ θέρμη) ἢ θέρμῃ. MS. S.
16. ξηρὸν ex MS. S. restituimus] ξηρὸν codices impressi.
17. ὀξυτάτῳ, Vat] ἐν ὕδατι ὡς ὀξυτάτῳ, MS. S. sic exempl. vaticana & Ald. quæ etiam pro διαπίπτῳ, ἀλείφεσθω habent.
18. ἢ ῥοιὰν χρόα legunt interpr. omnes.
19. ξηράνας) ξηρῆναι, S.
20. σιπύης ἀλήτου, sic interpretes omnes, ac meritò) πτυὸς impressi codices.
21. ἐπιδεῖν] ἐπιπλασσεῖν, MS. S.
22. οἰνώδη) δυώδη, Vatic.
23. κάτω) αἰῶ, Vatic.
24. πεδοῦσα) ποιοῦσα, Corn. legit.
25. διαλείποντα *grumi intercidentes*] διαλάμποντα, *pellucentes* Corn. MS. S. & F. ibid. pro ῥόον, ῥέον, MS. S.
26. ἐκβρώσει) ἐκβρήσει hîc legisse videtur Galenus, quod ἐκβολῆς, ἐκβράσει exponit in exegesi.) ἐκφλύει in quibusdam exempl.
27. λεπτύνεται] λεπτὴ γίνεται, MS. S. & R.
28. πνευματοῦται) ἀνεμοῖ, aut ἀνεμοῦται, aut ἀνεμοῦται [velut ἄνεμος pro ἀνέμοῦται] lubentius legit F. vt sit, inflatur. ἀσθενεῖ, Corn. legisse videtur. & aut τοπικὴ quod al. ἀδυνατεῖ exponit] ἐμέει Caluus legit.
29. ἐπίσσιον) ἐπισχόμενον. S. Ald. sed vitiosè.
30. ἢ τένοντα] τένοντας, mauult Foes. sic colli neruos sæpe vocat Hippocrates.
31. ὀλιγοψυχίη) λιποψυχίη, MS. F. & S. (ἢ ὧς χρὼς τρέφεται] ἀχρὸς τρέπεται, S.
32. ἢ τρηχυσμὸν] τρηχυσμὸν, MS. S.
33. καταξέων] καταξύων, legunt Cornar. & Foes.) καταψῶν. S.
34. ἀν μᾶλλον] ἀν ἄλλο μᾶλλον, Vatic.
35. διαλείπων] ἀδιάλειπτον, Vaticana.
36. ἐκείνοις] ἠείνοις, MS. S.
37. γυναικὶ] ἐν γυναικὶ, MSR. F.
38. καταῤῥήξαντα] καταρρήξαντα, MS. S. ac R. Foesius) καταῤῥήξαντα, legendum ex Cornario.
39. κατὰ πᾶν] καταπᾶν S.
40. ποῦ δὲ) ποῦ δὲ, S.
41. ἢ κῆίειν) ἢ μὴ κηίειν, legisse videtur Cornarius.

42. ἀλλ' εἰ) ἀλλὰ MS. S.
43. ἐ λεῖον] λεῖα legiſſe videtur Cornarius) pro ἴσαι Seruini exemplaria ἐπὶ legunt.
44. ὧδε) ὧδε χρὴ MS. S.
45. ἀρτῆ) ἀρτὸς S. & F.] ἀλεκτρυόνες Cal.
46. ὀψίδια) addunt Vatic. codd. ὀρθίδια.
47. γλαμυροί) γλαφυροὶ S.
48. ὑρέν] ὑ ῥεῖ MS. S. quē ſequuti ſumus.
49. σικύης) σικῆς Caluus, qui mori ramenta dixit.
50. πνίγει) πλάσσει Vatic. Erotian.
51. ἢ, cum interpretibus reſtituimus) ἢ, codices impreſſi ſic habent.
52. ξηροτέρη) σκληροτέρη Caluus.
53. ξηρίδας) ξηρὸν F. MS. R.
54. διασείσας δὲ ἄκρης αἰρῆς, hæc in codicibus impreſſis leguntur, ſed vitioſè, vt notat Foëſius) διασείσας δὲ κρίβρης. ſic Foeſ.) διὰ κνισέρης Erotianus) διὰ κρισσάρης, Mercurialis.
55. ὁκόσαι γεραιτέρας) ὁκόσαι γὰρ ἑτέρας Vatic.] ὁκόσαι γεραιτέρας Caluus legiſſe videtur] ὁκόσαι γὰρ ἑτέρας MS. S. & F.
56. γλαμυροὶ) λαμυροὶ, Vatic.
57. κλύζειν δὲ τοῖσιν αὐτοῖσιν) οὕτω διεὶς χλιαρῷ κλύζειν, Caluus legit.
58. διαχυθῇ) διαχυθῇ S.
59. ἐξαραθεῖν.
60. ἐξαραθεῖν *vitioſus*, vbique ita legitur.) ἐξαραχθεῖν legit Foeſius. *exturbatus*) ἐξαρθεῖν *ſublatus* vel *exhauſtus*, Cornarius) ἐξηθεῖν S. MS.
61. λινοσπέρμα) σελίνου σπέρμα Cornar.
62. διαχυθῇ) διαχυθῇ. S.
63. βληχρὸς] βληχρῶς F. quod ἀσθενῶς exponitur.
64. ὁκόταν ἐς τὴν κεφαλὴν τράπωσιν αἱ ὑστέραι) ἐὰν ἀναβῇ ἐς κεφαλὴν ἡ μήτρα MS. S.
65. χεῖσθαι) χεῖσθαι, MS. S. ac Interpretes quos ſequuti ſumus.
66. ἀνάσυτος ex Erotiano, ἀνόρμητος ex Foeſio *ſurſum impulſus* vertitur] ἀνάσιτος vitioſè F.] ἀνάσυρτος alii, ſed vitioſè.
67. τὸ στερεὸν firmum affectum, ſeu morbum explicat, qui non cedit, ſed permanet. ſic legunt codices omnes, ac rectè.) πέρθον legi vult Foeſius, ac morbi ſummum & extremum explicat; interpretes quoque ita volunt.
68. ἰσῶνται conſiſtant) ἀφισῶνται Cornar. aut ἰσῶνται pro ἀφισῶνται legit.
69. ἀειδελίη turpia, deformia ; *abominanda* Cornarius vertit, graueolentia intellige.] ἰδελίη ex MS. S. *inuiſa* Foeſius vertit.
70. ἀμβλυώσσουσι] ἀμβλύσσουσι Caluus.
71. ἢ λεύκῳ, ἢ αἰγυπτίῳ) ἢ λευκῷ, αἰγυπτίῳ MS. S.] ἢ μυρσίνῳ id omiſit Cornarius, quòd ad eiuſmodi affectus myrteum vnguentum non admoueat Hippocrates.
72. ἢ καθῆραι ſic Codd. impreſſi, ſic Foeſ.] καθιέναι Interpretes.
73. κλυσθῇ ſic codd. omnes habent, quod ex ſuperioribus collegimus præclarè poſitum, *quum autem ablutum & expurgatum fuerit oſculum.*) κλεισθῇ legit Foeſ. Cornariū ſequutus. *Quum autem occluſum fuerit oſculum.*
74. ἡ σκαυλὶν] ἐ ἢ σκαυλὶν Ald. κασσεὺς] κάσορος MS. S.
75. ξυνερείσῃ in omnibus codicibus legitur, hoc eſt dentes colliſos habet, à ξυνερείζομαι) ξυνερίσῃ legunt Interpretes à ξυνερείδομαι.
76. ὅτι] ὅταν. πρὸς δὲ ταῖς) πρὸς ταῖς S. MS.
77. ἀείρειν exponunt docti προσφέρειν & ſic l. de nat muliebri ſcribitur) ἀείρειν μὴ δεῖν legunt Interpretes.) hîc πρὸς δὲ ταῖς μήτρας ἀείρειν legimus cum Interpretibus) πρὸς δὲ ταῖς ὑστέρας legendum eſſe cum Foeſio multi volunt.
78. διαδεσάτω) διαδέσαντι, S. Vatic.
79. αἱμωδέειν) αἱμωδιᾶν, Foeſius vult ita legi, ſed idem.
80. ὑποχωρητικοῖσι) ὑποχωρητικοῖσι, S.
81. μίαν μοῖραν πυρὸς, ſic exemplaria omnia) ſed Cornarius lectionem lib. de nat. mul. ſequutus, duas caſei partes facit, reliquorum vnam] ἀπὸ χόσαι) προσξύσας.
82. ἐ τὸ πεμπτημόριον, ὁ δ' ἄν δέηται παρέχειν] ἢ τὸ πεμπτημόριον, ὅ, τι ἂν μάλιστα προσδέχηται, ex l. de natura muliebri Cornar. legit.
83. κυρωτὴ) χέει, Vatic.
84. τῷ πλάδῳ) τὸ πλαδαρὸν Vatic. S.
85. τρύζει ſtridet Foeſ. quod vrina diſtillando ſtrepitum edat, hoc eſt ſtrideat] στάζει legit Cornar. *deſtillat.*
86. διδόναι) πίσαι Vatic.
87. τὸ] τῷ S. & Foeſ. ex l. de nat. mul.
88. παραπασσομένην legendum] παραπασσομένην legit F. & τῷ σκεπάσαι ἀποσβέσαι ἀπὸ τοῦ ἰσχίου.] παραπασσομένη exēplaria omnia.
89. βινεῖσθαι] βινεῖται S.] βινεῖσθαι MS.
90. ἰσχάδαι) οἰχάδαι MS. S.
91. τοῖσιδεος] τοῖς πτόοις Vatic.
92. πολέμιον) πόλεμον] πολεμίων πολεμίων Interpretes propè omnes.
93. σκληρότεραι) σκληρότερα Interpretes.
94. τὰ σώματα] χρὴ σῶμα S.
95. ἐς πόσον] ποσόν τι F. MSR. idem.
96. διάσθε] διαίτης MS. S.
97. ἐφ' ἑωυτῆς] ἀφ' ἑωυτῆς Vatic.
98. ἐκπιέιας] κτίας MS. S.
99. μηδαμῶς) μηδαμοῦ S.
100. χωρέειν χωρέει MS. S.
101. ἵνα] ὅκως Vatic.
102. κατακεκαυμένων, omnia exemplaria ita legunt *aduſta, exuſta*] κατακεκομμένων Cornar. Foeſ. quos ſequimur.
103. φύσῃ] φύσησιν. S.
104. φλάσαι] θλάσαι MS. S.
105. βολβίδια) βολβίνα Corn. legit, quæ Galenus in exegeſi ſcribit eſſe γῆς ἔρος τῶν μικρῶν πολυπόδων. Sed ſic βολβίδια τὰ μικρὰ βόλβια cum Galeno intelligimus.
106. ἢ πνεῖν (αὐτὴ ἢ πνεῖν Vatic. Cal.
107. ποιοτάτης] ποιοτάτης MS. S.
108. βραχύτερον) Vatic. Caluus παχύτερον.
109. ἀγόμενον δὲ) ἴσως ἐχόμενον. Vatic.
110. ἔσται) ἔσω MS. S.
111. ὀπτήσαι) ὀπτῆσαι MS. S.
112. προσδέξηται) προσδέξηται Cod. Merc.
113. ξυμπεσεῖν) ξυμμυσεῖν Cornar.
114. κλάσμα) κνῆσμα explicant Corn. & F. nos verò moleſtiā interpretamur , an verò κνῦμα ;
115. ὀπτηθῇ) ὀπτηθεῖσα Vatic.
116. ἅψαι) βάψαι legit Foeſ. cum interpret.
117. σκληρύνονται cū interpret. legimus σκιρρόονται cod. impreſſi. ſic σώματι pro σώματι.
118. σῶμα] σῶμα Vatic. vtrumque Cal.
119. αἰαφυσεῖν) αἰαφυσιῶν MS. S. vtrobiq. ſed pro αἰαφυσᾷν δεῖ αἰαφυσᾷν δὲ ex MSS.
120. μίαν] μίην. Corn. legit, μίαν, καὶ πρὸς μίαν ἅπαξ προσθεῖν ἀρκεῖ ὡς δοκεῖν εἶ), & *ſi quidem in menſe ſemel, appoſitum ſatis videbitur*, pro ἀρκέοντος legit ἀρκεόντως. Sic verò F. *quod ſi ſemel ſubditum maneat , abundè vteros inflaſſe videatur*, &c.
121. καρδάμου] καρδαμώμου ſic Interpretes.
122. χεῖσθαι] χεῖσθαι F.
123. ὀξυγλυκεῖ] ὀξυγλυκεῖ F.
124. βολβιδίοισι] βολβιδίοισι Ald.) βολβίοισι, bulbulis, Caluus.
125. ἀποπεπειμμένον) ἀποπεπειμμένον. Vat. hîc τὸ φύλλον, τὸ τοῦ σιλφίου σπέρμα Galen. explicat in exeg.
126. ἴτω) ἥτω MS. S.
127. ἄγλιθας allij nucleos, aut ſegmenta] ἄγλιθας, F.
128. διαλῖπον] διαλίπῃσιν aut διαλίπωσι mauult Foeſ.
129. ἐδεῖτο) ἐπεδεῖτο Caluus legit.
130. ἐπὶ δὲ τῷ δείπνῳ) ἐπὶ δὲ τὸ δεῖπνον F. & pro ἄρτῳ, ἄρτα.
131. ταῖς ὑστέρας] ἐς ταῖς ὑστέρας MS. S.
132. ἐν τῷ ὕδατι ex aqua confecto Foeſ.) ἐκ τοῦ δᾳδὸς Cornar.) πρὸ) πρὸς. S.
133. ἢν δοκέωσι] ἢν δοκῇ σοι legunt interpretes , nec ſatis ad mentem Hippocr. προσπονηθῶσι) προσπνεῖσθαι S.
134. στερρὸν) σκληρὸν ſcribitur l. de nat mulliebri: vtranque lectionem admittit Cornar. pro ἐπὶ, ὑπὸ legunt Vatic.
135. ἐ ὄλλυνται] αἱ δὲ ἀφρεόμεναι ὄλλυνται Vatic.
136. ἀπηκαθίζεσθαι] ἀμφικαθίζεσθαι, Vatic. & MSR.
137. ἀάγηται) ἄγηται S.
138. ἢν μὴ) πρὸς ταῦτα] μὴ πρὸς ταῦτα S.
139. φλεγματώδης) αἱματώδης S.] αἱματώδης ἢ φλεγματώδης Caluus.
140. παρηγορικῶς deeſt in MS. S.) τὰ σώματα, ſic legunt Codices] τὸ σῶμα legit Cornarius, hoc eſt τὰ τοῦ σώματος σῶμα.
141. ἔπι) ἔτι Foeſius.
142. πόσαι) πέντε legunt interp. cū Vat.
143. ἐγχέηται irruerint, acceſſerint, appulerint] ἐγχέηται F.
144. μάλιστα) μᾶλλον Vatic.
145. κωλύονται] κωλύουσι S. F.] ἴσχονται] ἴσχουσι V.
146. μεθῆναι] μεθῆσι S.
147. κεάσαι) κεάσαι Erotian. legit, quod exponit χίσαι] κεῖσαι pro κεάσαι Caluus.
148. λυθῇ ſoluta fuerint] κλασθῇ Corn.
149. μετάρσιοι) μετάρσιοι Foeſ. cum Cornar. & καταχέειν pro καταχεῖν.]
150. πεπαμμένη *inclinata* Foeſ. ac rectè] ὑπεράμει aut πεπραμένη legiſſe videtur Cor.
151. ἢ τὸ πεμπτημόριον] hîc deſideratur aut intelligitur δίδου, quod aſcribitur l. de nat mulieb.
152. ἐφ' ὧν) αὐτίων interpretes.
153. ἴχονται] ἴχονται S.
154. ἐ ἢ) ἢ ἢν F. MSR.
155. φάρμακον ſimpliciter dictum, deorſum purgans intelligit Cornarius.
156. παραφράξασα hanc dictionem arguit, vt vitioſam Foeſ.) παραφάσσουσα aut παραφάσσουσα Foeſ.] ἐπαφάσσουσα l. de nat. mul.
157. ἐ δάκνεται] δάκνει S.
158. αἰελκυσθῶσι] αἰελκυσθῶσι MS. S. αἰελκυσθῶσι legendū eſſe ſcribit F. aut αἰγλιωθῶσι hoc eſt, εἰς τὸ ἄνω εἰλκυσθῶσι συσπασθῶσι.
159. λέγνα) λάγνα S. Vat & Ald. ſed vitioſè.
160. μὴ ἀποχάσης] μὴ ἀποχάσας MSR.
161. φορεέτω ἀφηρείτω Ald. ἀφαιρείτω quæ deponendum ſubligar monent MSR.
162. ὕδει δὴ Vat. διαπυρεῖσθαι) διαπυρεῖσθαι Caluus.
163. ἀλεψάσθαι] ἀλείψασθαι MS. F. & S.) ψαύειν MS. R.
164. δῆλον ψηλαφήσει *manifeſtè tanget, contrectabit*, ſic vertendum putauimus.] ὁ δῆλον, aut ἄδηλον legit Foeſ cum interp.
165. ἐ τῇ ὑστεραίῃ ὑγιὴ γίνεσθαι) ἢ ἐς ὑστέρην ὑγιὴς ἔσῃ) Vatic.
166. ἢν) ἐὰν S.
167. τοῖσι ſic reſtituimus ex MS. S.] τοῖσι Codices impreſſi, ſed vitioſè.
168. μηδαυθῇ] μηδαυθῶσι F. ac rectè.
169. ἔξουσα *anguſta, conniuentia*) ἔξοχα *exulantia , eliminata.* Caluus, ἐξόρους *exiliunt , proſiliunt*, Vaticana) ἐξόρου MSS. Ald.
170. ταῖνιν κινηθῇ, Vatic.
171. χρὴ δὲ] χρὴ δὲ S.
172. μέσην) μέσον S. vitioſè.

173. οἰκτέν] οἴη τι ἦ, Ald.] οἱ ἰτέν, MS.R.) αἰ ἶν, aut κτ' χώρlω ἶν, Foesius.

174. περιχρῶσας) περικωσίας l. de nat. muliebri. (λεπτὸν] λευκὸν, Foes.

175. ἐφ' ἑκάτερον] ἐφ' ἑκατέρου.

176. τῷ ποδὶ) ἢ τοὺς πόδας, legit Foes. Cornarius, & l. de nat. mul.] τὼ πόδε in duali, Vatic.

177. ἢ τῷ μύρῳ) τῷ μύρῳ, l. de natura mul. & Vatic.

178. πλύσῃ) πλήσῃ, timuerit, consternata fuerit, interpretes Foes. Corn. Charterius.] πηδήσῃ saltauerit, Caluus.

179. ἐπὶ τῷδε sic exemplaria] ποῦ δὲ, Cornar. Foesius.

180. ἀχρηθῶσιν) περιθέωσιν Vat.] ἀχλυθῶσιν Erotianus] ἀχηθῶσιν Hesychius, qui exponit συνεληλυθῶσιν) ὀρχηθῶσιν, Foes. quod est φυσηθῶσιν, aut ἐμφυσηθῶσιν.) Cornarium haud sequuti sumus, sed Foesium tum propter causas ab eo commemoratas, tum propter symptomata ab Hippocrate prodita.

181. ἀηδὴς iniucundus color, ingratus, molestus] ἀειδὴς χροιὴ deformis ac turpis Foes. Corn. l. de nat. mul.

182. ἐπιλυγίζονται, rectè, *occultantur. supprimuntur.*] ἐπιλυγίζονται, aut ἐπιλυγάζονται, legit F.] desinunt vertit Corn.

183. εἰδῆν.) ἰδῶν, MS. S. (ἰοῖν) ἰαίνει, Vatic. ex l. de nat. mul.

184. ἢ νίτρου ὅσον ἐπαλείφονται) ἢ νίτρου ὅσον ἀστράγαλον, Corn.] ἢ νέτωσιν ἐπαλείφονται, Caluus.

185. περιστῆναι πέως τὸν ξυὸν τῇ βουπρήστει] περιστῆναι ὡς τὸ ξυὸν τῇ βουπρήστει, mauult Foes. aut περιστῆναι τὸ ξυὸν τῇ βουπρήστει.

186. δίζεσθαι sic legimus) ἵζεσθαι, aut δ' ἵζεσθαι *insideat*, legunt interpretes.

187. στρε... sterile] στρεῶδες, aut στερεὸν, aut στερρὸν, Cornar.

188. ἵζεσθαι, cum interpretibus lego] νίζεσθαι, codices impressi

189. περὶ] περὶς, MS. S. & F.

190. ἱστάναι) ἐς ἀπὸ ἦ, legit Foes.

191. ἢ] ἢ, MS. S.

192. ἔσω ἢ) ἔσω δὲ ἢ, Vatic.

193. ἔλαιον ἢ περιχλιαίνειν] ἐντιθέναι διαφυρῆν ἄλητον, ἢ περιχλιαίνειν περὶ τὸ πῦρ. Corn. legisse videtur.] διαφυρῆν: διαφορεῖν MS. S. vtrunque admittitur.

194. ἐρυθρὸν rectè] ἐρυθροῦν. S. ἐρυθρὸν i. ἕναιμον.

195. ἢ καρκινοῦται πάντα] καρκινοῦσθαι ὀφείλει, Vatic.

196. ἢ] ἐπὴν MS. R.

197. ἀλγέοισι] ἀλγέωσι, MS. S.

198. ἐπιδέχονται) ἐπιδέχονται, F. (ξυνδυνεῖται] ξυνδυνᾶσθαι, F. MS R.

199. ἤτω) ἔστω, Vatic.

200. πλεῖστον) πουλὺ, Vatic.

201. αἰθίνῳ] αἰεθίνω, Vatic.] ἀνανθίνῳ, Corn.

202. ξυναλεόμενον] ξυνειλημμένον, legimus cum Cornario, & Foesio, aut ξυνεστραμμένον, vt l. de nat. mul.

203. ὑπάλειπτον vitiosè hîc legi notauit Foesius, pro quo ὑπάλειπτρον reponit. pro quo l. de nat. mul. τιὼ μήλην.

204. τὸν τε δάκτυλον, ἢ ὡσαύτως λειοῦ] ἢ τὸν δάκτυλον, ὡσαύτως ἢ αἰωρῶ. S. MS. R. Vat.

205. ἢ φύλλον, addit Cornarius, qui *& silphii semen* exponit, ex l. de nat mul. Huic in MS. S. vacuum spatium relictum est.

206. νεφρίδιον *nephridium* legit Cornarius) νεφρόδιον, Foesius, renum pinguenem, nec probè νέφρον legisse videtur Caluus, qui vertit *narcissum*.

207. πίνειν ὧδε ἔχ, ad superiora hæc referuntur) ὁκόταν ὧδε ἔχῃ legunt plures interpretes.

208. θρομβωθῶσι] θρομβωθέωσι, MS. S.

209. εἰρύεσθαι] εἰρύεσθαι, MS. S.

210. λάζηται] λάζυται, aut λάζεται, mauult Foes. & γίνεται, pro γίνονται, sic S. MS.

211. ἐλαίων sic interpretes] ἐλάων, codices impressi] ἐλαίου, S. MS.

212. γίνονται] γίνεται, legunt interpretes.

213. διαπεπληχὸς *diductum* Foesius vertit, *disparatum os* Cornarius.]

214. τῷ ψυχρῷ) τῷ θερμῷ, l. de nat. mul.

215. δέωνται) δέονται, MS. S sic interpretes.

216. ἀνθῶσι) λειανθῶσι, ex l. de nat. mulieb.] ἐανθῶσι ex MS. S. & F.

217. ἐπιλυγίζονται] ἐπιλυγίζονται, aut ἐπιλυγάζονται, legit Foes. *occultantur*] *desinunt* vertit Cornarius.

218. ξυναραχεοῦται) ξυναραχεοῦται, Cornar.) ξυναρθμοῦται, Vatic) ξυναρμοῦται, SM. S.

219. ἢ] ἢ Vatic.]

220. σκληρὴ, sic l. de nat. mul.] σκληροτέρη, Vatic.

221. ὕδατος] μέλιτος, Vatic. Caluus, qui post ἐλαίου ταριχηροῦ ὀλίγον, legit.

222. πνεῖσθαι] πνεῖσαι, MS. R. S.

223. ἐν ὄξει) ἐν οἴνῳ, legit Cornarius contra codicum fidem.

224. ἔχει] ἴσχει, Mercurialis cod.

225. τρύζοντα *stridentia, cum stridore* vertunt interpretes] στάζονται, *stillant*, MS. S. ac rectè.

226. μὴ] μὴ MS. S.

227. φλεγμαίνηται] φλεγμαίνουσα, Caluus.

228. ἢ φρίκη σκληρὴ, sic Cornar.) σκληρὰ τὰ ἀμφὶ τὰ αἰδοῖα, legit Foes.

229. ἀδάξεται) αὐδάζεται, MS. S. & F.

230. οὐδὲ ἡ ὑστέρη ἐνεργεῖ] οὐδ' ἑτέρη ἐνεργεῖ, legit Cornarius, vt ἡ ἑτέρη αἴσθησις intelligatur.

231. εἰρύαται] εἰρύεται, F.

232. ἢ ὀδυνᾶται) πᾶσα additur à Vatic.

233. ἢ παραφυσίας *& adnatas* vel *agnatas partes*] παραφάσιας occultas pudendi partes, sequimur interpretes; verùm παραφύσιας, *agnatas & vicinas partes* ad rem dices.

234. ἀχλὺς caligo] αἶγις procella Caluus.

235. τεταρτημόριον) πεμπτημόριον, Caluus] πεμπτήν μοίρην, l. de nat mul.

236. ἢ φορμιῶδες *ad concipiendum aptum*] φαρκιδῶδες *corrugatum*, ῥυπιδῶδες) φοργανῶδες, apertum, laxum, & rarum] Foes. ἢ φαρμακιῶδες, Vatic.

237. ἢ πτισείῳ χηνείῳ) ἢ πτισείῳ ἢ χηνείῳ, aut butyro, aut adipe, Foes. ac rectè; pro ἢ πτισείῳ, ἐπιχειείῳ, MS. S.

238. τινὰ σάρκα) addit Foes. χείσας.

239. τὰς ἰξύας] τὰς χεῖρας, l. de nat. mul. & hîc paulo suprà.

240. Ην ἢ μὴ] πῶς, addunt Vatic. & Caluus, vt & l. de nat. mul. ἢν ἢ μὴ ἐν γαστί.) ἰντεικὸν] ἰντεῖλω, Ald. pro ἰντρεῖλω, aut vt arbitratur Foes. ἰντηεῖλω.

241. πλὴν οὐ, ἀλλὰ παῦραι θεραπεύονται] ἰντρεύονται πλὴν οὐ ἀλλὰ, &c. Vatic. vt licet medela adhibeatur, paucæ tamen curentur.

242. ὕδερος ἢ γίνεται) ὕδερος ἢ ὅταν γίνε) interpr.

243. ἀσώδεα *fastidiosi*) ψαμμώδεα *arenosi* interpr.] βορβορώδεα, ἢ πλείονα, Caluus addidit.

244. δὴ) δε. legunt interpretes. Sic MS. S.

245. περιστῆναι) περιστῆσαι, M. S. & F.

246. περὶ ἐκτὸς ὅσον χόλον in manuscriptis est vacuum spatium, & sequitur, σὺν χόλον ἄσταφις λευκὴ κνίδης καρπὸς, &c. S.

247. Αλλο) ἄλλο ἐς ὕδερον. F.

248. Αλλο ὁμοίας ὑδέρε) Αλλος ὅμοιος ὕδερος, aut ὁμοίως legunt Cornar. & Foes. ac rectè.

249. ἰκτερώδης] ἰκτερώδης, MS. S.

250. ἢν ἢ ἐξέλθωσιν) ἢν ἐξελκωθῶσιν, Vatic. quam lectionē probat Foesius: vtrunque Caluus.

251. ἑλικὰ) ἐλκτικὰ, Vatic. Caluus, & pro λείχειν, τρίβειν, aut λειοῦ legit, & περιστῆναι addit.

252. οἰδέει πᾶσα) οἰδέει πουλὺ πᾶσα, Vatic. pro καδμα, κάματος.

253. ἐπίσιον *pubem*) ἐπίχειον, Vatic. vtrunque Caluus.

254. δάκνεται μέγα, Vatic.

255. ἢ ἐμέει ὀξέα) χολὴν ὀξέα, Vatic. Caluus & pro ὀξέα δριμέα legit.

256. ἀπόπατον) στέαρ Cornarius) πίτυν, Ald.

257. καθίγνυσθαι) καθίστασθαι, legit Foesius.

258. ὡς νηπίῳ) ὡς νηπίως, F. Caluus.

259. γεραίτερον) ἐρηπικώτερον, Caluus legit vitiosè.

260. χόνια) πύρια, Corn Foes.

261. Εἰ] ἢ Vatic. Ald.

262. πινέτω] περιστῆσθω, legit aut explicat Cornarius, nec temerè.

263. ἀνέλιξαι] ἀνείλιξον ἢ πρὸς τὸ στόμα τῆς μήτρης πρόσθες. F.

264. εἰ ἢ μὴ, ἐνεργεῖ χρῆσθαι *sin minus, efficaciore vtere*. Sic Cor ac rectè.] Εἰ ἢ μὴ ἐνεργεῖ, *Quod si non satis efficax fuerit*, χρίεσθαι illinito irinum &c. Foes. nec temerè.

265. ἢ] δὴ Vatic.

266. ἀποφύονται) ὑποφύονται, Vatic.

267. φοβεῖται *timet*, terretur] φοβεῖται, MS. S.

268. ὁκόταν] antè hæc scripta sunt ἄλλη νοῦσος. F. & MS. R. ἡ ὑστέρη S.

269. χωρεῖ] τρίβειν addit MS. F.

270. ἀναστραγαλίζεσθαι] ἀναστραγαλίζειν. Faber.

271. τειχὸς γίνεται) τειχίασιν hinc τειχίασις mammarum abscessus. Erotianus ex Foesio.

272. συβῆς) σεύβῆς legit Gal.] συβῆς καρπὸν] τὸ ἱπποφέως σπέρμα Foes.

273. ἐψῆν] ἔχειν, MS. S.

274. ἐπιρρίπτειν) ἐπιτίθεσθαι, Vatic.] ἐπιτίθεται, MS. S. & F. & R.

275. ἢ δὲ ἢν ἢ, S.

276. διερωτάτω) δι' ἐρωτάτω, Foes.

277. χολὴ ἢ χλωρὸς, *fel viridis aut flaui coloris*, χολὴ ἢ χλωρὴ fel recēs, fel subuiride, *luteum* Caluus, Mercurialis, Foësius) ἄχωρας Cornarius *fel flauum* ac rectè.

278. μηνιαῖον ὕδωρ, menstruam aquam pluuiam intelligit, vitiosa Calui versio.

279. ἢ ἀνθίνῳ μύρῳ, αἴγειον μύρον Vatic. anthininum oleum) *anethinum* intelligit Caluus) οἰνανθίνῳ μύρῳ, Mercurialis.

280. ἢ κρομύῳ τετρίφθω) ἢ κρομύῳ τριβέντω Cornar. Foes.

281. ἢ ὀμφακίνῳ) ὀμφακίῳ, MS. S.

282. περιστῆναι) περιστῆναι. S.

283. λέκιθον, lenrium farinam] ὠοῦ λέκιθος oui luteum, sed malè.

284. ἢ τῷ ῥόδου τὰς ῥίζας) ἢ τὰς ῥίζας legit Cornar. ἢ τῷ ῥόδου τὰς ῥίζας Caluus.

285. οἴνῳ λευκῷ) κεκρημένῳ addit F. & MSR.

286. περίσσου) περισσὸς Caluus vt vbique.

287. ῥόου ἢ ὀδύνης) περὶ ῥόου ἢ ὀδύνης, MSR.

288. οἴνῳ μέλανι] addit MS. S. δίδου πιεῖν.

289. ἢν δὲ ἢ φέρηται) ἢν ἢ ἐπιφέρηται Foes.) ἢν δ' ἔξω φέρηται Cornarius.

290. περίμαλον, myricam vertit Cornarius.) περιχείμαλον aut velut μᾶλλον Caluus.) περίμαλλον MS. S.

291. συνεψῆν] συναφεψῆν. F.

292. ἢ χοίνυ) ἢ χίνυ Corn. Foes. ex l. de nat. mul.) ἐχίνυ quidam vitiosè legunt.

293. ἀκροχλιηρῷ) βληχροχλιηρῷ aut βληχρῶς χλιηρῷ Cornarius.

294. ἢ χοίνυ) σχίνυ interpretes.

295. δεῦσαι] δεῦσαι Mercurialis.

296. ἀπόθης) ἀπόθες, S. & F. MS

297. ἢ ἄθραπας) ἢ ἐς ἄνθρακας legunt Interpretes.

298. πλεῖον κριθέων] πάλιν κελεύων, Foes.

299. ἢ κώνειον) μανδρόγειον, Caluus ex l. de nat. mul.

300. ἢ κυπαρίσσου κυπέρου l. de nat. muliet. fortè pro κυπέρω.

301. σελαχίας) θυμίη Vatic.

302. ἢ ἡδυόσμοις *aut mentha* interpretes legunt, nec temerè Cornar.) ἡδυόσμοις *suaueolentibus* rosarum foliis, Foes. ex l. de nat. mul. ob id obliterat ἢ.

303. βολβίτου) βολίτου, MS. S.

304. βάψαι) εἰρία βάψαι, Vatic. Caluus. vt lanâ exceptæ penitissimè ad os vteri indantur.

305. βρέξαντα] δέξαντα, vult legere Foesius) ἑλίξαντα Caluus. & Cornarius *inuolutam.*

306. ὡσαύτως similiter) Caluus ad superiora refert, nec temerè. Cornarius & Foesius ad sequentia.

307. χίου) σχοίνου, MS. S.

308. ἐὰν δὲ μὴ λήγῃ] ἐὰν δὲ λαγόσωσιν ὑγιάζεται τῷ βολβῷ, MS. S. C. Vatic.) pro λήγῃ, λήξωσιν, quædam MS.

309. ὕδατος) ὑδατώδεος, Vatic. Caluus.

310. ἀμόλιον) ἀμόλεων, MS. R.) ἀμύελον vitiosè) ἀμύλιον, οἴνῳ ἢ ῥοδίνῳ δεύων, Caluus ex Vatic. addidit.

311. λιβανωτοῦ καρπὸν, thus explicat Gal.) ἐρείπεται) προσθεῖναι, Vatic.) ἐν ὕδατι ρυοδ, ante hæc verba faber addidit θεραπεία τῆς ἰνδοῦ.

312. ἢ μανδραγόρου τὸ ἄκρητον) ἢ μανδραγόρας ἐν ἀκρήτῳ πεῖσαι, Cornarius, Foesius sic legunt.

313. ἀλφίτοισι] ἀχύροισι, legunt Cornar. & Foesius, quod sæpiùs hordeũ cum repurgamẽtis adhibeatur his in morbis.

314. ἢ ὀπὸν σιλφίου πίσαι) σιῶ οἴνῳ πίσαι, legit Caluus.

315. πνεῦμα δὲ σέβηται) σύνηται, sic restituimus] σίσηται, Foes. συσεύεται, MS. S.

316. ὄμματα ἀμαλδύνεται] ἀφανίζεται ἢ ἀμαυροῦται, exponunt Erotianus & Galenus.

317. τάχιστα) τάχος, Mercur.

318. κόχλου testæ, cochleæ κόκκου interpretes vt ex l. de nat. mul. quam versionem sequuti sumus.

319. ἥν] ἣ δάκνηται, quæ mordeat Cornar.

320. ἀσφαλτον) ἢ ἄσφαλτον, MS. S.

321. ἀναθλίβεται) ἢ θλίβεται, F.

322. τεύχιον sic legunt ac ferunt codices, quibus τρύχιον ὀθόνιον intelligi videtur) τρύχιον legunt interpretes pro quo ἐς ῥάκος liber de nat. mulieb.] τεύχιον, MS. S. hîc προσθεῖναι addere videntur interpretes.

323. ἢ οἶνον Αἰθιοπικὸν, *&* *vinum Æthiopicum*, sic vertit legitq; Cornarius, eũmque sequuti sumus. ἢ κύμινον Αἰθιοπικὸν, legit Foes. ex l. de nat. mul. nec temerè.

324. ἢ πρόσμαλον] πρὸς γε μᾶλλον, MS. S.] προσήμαλον, MS. R. Caluus) πρόσμαλον myricam, Cornarius) προσθέσθαι, aut προσθεῖναι, sic legendum esse censet Foes. ex l. de nat. mul.

324. ἰείνῳ sic Cornar.] εἰρίῳ Foes. ex l. de nat. mul. quòd satis sit διὰς μύρου.

325. ἢ κέδρον) κέδρινον vt sæpe legitur, ac κέδρινον ἔλαιον, intelligitur.

325. ἐὰν δὲ μὴ βόσῃ) ἢ pro μὴ, aut ὅμοδ legunt interpretes. ἀμύγδαλα πεῖα ἢ πίεσμα ex interpretibus restituimus.

326. τῇσι χερσὶ) τῇ σῇ χειὶ MS S.

327. ἐγχέωνται *incumbant*] ἐγχέωνται infundantur MS. S.

328. ἢ τοῦ κυπρου] κυπρου interpretes Cornar. & Foes.

329. αὐαίρει] αἰαίρει MS. S.

330. ἢ κεδρίας *&* *cedriam*) ἢ κεδρίδας *cedri baccas* Cornarius.

331. κεκαυμένου sic codices omnes) κεκομμένου ἢ σεσησμένου legendum ex l. de nat mul. & ex l. 1. de morb. mulier.

332. ἡμικοτύλιον] τεία ἡμικοτύλια legit Cornarius ex l. de nat. mul.

333. εἴχει) ὄχει ligamenta MS. S. Ald. ἢ οἷον ὄσχη χαλώνται, *velut scrotum*, Cornarius.) ὄσχη scrotum Foes. qui putat hîc Galenum ὀσχεα legisse vel ὄχεα, nec temerè.

334. θερμὸν) ποιεῦ. F.

335. ἀναμὶξ) ἀναμίξαι MS. S. ac rectè.

336. ἐγκαπινίσαι) ἐγκαπνίσαι, MS. F. & R. ac rectè.

337. ἢ στέαρ] στέαρ χλόεον Corn.

338. ἀγὴ] ἄγυια, F. & MS R.

339. τὸ ἰνδικὸν] τὸ ἰνδικὸν l. de natu. mul. & l. 1. de morb. mulier.) ἰνδικὸν μυρτίδιον exponit Gal.

340. ἡμίρυπον, MS R. MS. S. ac interpretes omnes *semisuccidam*, aut *semisordidam*) ἢ μίρυπον codices impressi) fortè inquit Foesius ἢ μὴ ῥυπηρὸν legi potest.

341. νάρκισσος) ναρκίσσινον, ex l. de nat. mul. vt μύρον ναρκίσσινον, l. 1. de morb. mul.

342. ἢ λευκῷ, ἢ Αἰγυπτίῳ) ἢ λευκῷ Αἰγυπτίῳ, Vatic. Caluus, Cornarius, ac rectè vt ex l. 1. de morb. mul. susinum oleum Aegyptium intelligit.

343. δῆσαι vel δεῖσαι aut δῆσαι, idem.

344. συκῆς] συκέας hoc est συκαμίνου.

345. μίσγων δὲ) μίσγε ἢ, MS S.

346. ὕσσωπον ἐρυθρὸν) ὕσσωπον ἐρυθρόν. S. & ὄσσου, pro ὄσον.

347. Εὐπορον) αἱμαγωγὸν, F. addit.

348. τελευτῆς antè Vaticana hæc continent, σμύρναν μέλι προσθεῖναι ἢ ἀνασαμένη ἔλαιον ῥόδινον ἢ χολιὸν ἄφυρον, Vatic.

349. ἐς λευκὸν ἔλαιον] ἐς λευκὸν ἔλαιον, codices] ἐς λευκὸν Αἰγύπτιον, Caluus.

350. Αγὴ πάντα) αἱμαγωγὸν, legit F.

351. τὸ μέλιτι ποσὸν] μέλιτος ποσόν.

352. ἀιαφορέξαι) ἀναφορέξαι, S.

353. σελαχέα) σελαχίας, S.

354. μέλι κηρὸν λευκὸν] μέλι, κηρὸν λευκὸν, mel, ceram albam, Cornar. Foes. ac rectè.

355. εἴριον) εἰρίῳ S. MS.

356. ἀμφορέως) ἀμφοτερέως, S. Ald.

357. ὅσον ἐμβάψαι) ἐμβάψαι, aut ἐμβάψαι, lubentius legit Foes.

358. βόλβιτον) βολίτου, S. idem.

359. ἢ κυπέρου) κυπέρεος, S.) κυπαρίσσου, Foes. putat hic legendum.

360. κεάμοισι) κελεύουσι, Vatic.

361. νεοτόκου] νεοτόκου, Vatic.

362. ἢ ἐλαίης λευκῆς] ἢ ἐλαίας λευκάς, legunt interpretes Corn. & Foes. ἢ ἢ Vatic. Caluus. &c.

363. γίγνεται) γίγνεται, MS. S.] ὡς) τε ὡς Ald.

364. ἐμβάψαι) ἐπιβάψαι, MS. R.

365. ἢ θύρὺ,) ἢ φαρμακῶδες, addunt Vatic.] φαρμακῶδες, legerunt scriptores.

366. χωνεὶν) χοιεὶν, S.

367. ἢ κρίθης ἄλευρα) Caluus farinâ hordeaceam ad decoquendam sorbitionem addit.] ἄλευρον ἑψεῖν, ἢ ἢ θυμία Cornar.

368. ἔλαιον] σελαχίας addunt Vatic. & Caluus.

369. κυνὸς) κυνὸς, S.) ξανθὸν, aut ξανθῆς, interpretes.) Caluus addit hyacinthi & asphodeli radicem.) ξανθῆς ῥίζης, legi posse putat Foes.

370 πτελέαδε) θυμιᾶσθαι, Vatic.

371. δύο μοῖραι) chœnices duæ Cornar.

372 ἀπόθερμον] ἀπόθερμον, MS. S.) ἀπόθερμον, MS. R.

373. μέλιτι θύων) ὡς ἐπίδυσιν, addit F. MS. R.

374. ἢ θερμὸν) ἀπόθερμον, legit Corn. ex l. de nat. mul.

375. ἐν εἰείῳ] ἐν χοτελίδι, Cornar. legit ex l. de nat. mul.

376. λευκὸν τι καθαρὸν] εἴελον λευκὸν τι ἢ καθαρὸν, legit cum interpretibus Foes.

377. μυρσίνης myrti) μύρσινης, legunt interpretes ex l. de nat. & l. 1. de morb. mul.

378. λίνον) σελίνου σπέρμα Cornar. l. 1. de morb. mul. sed λίνου σπέρμα, legitur l. de nat. mul.

379. ὄξος λευκὸν ὡσὶ λευκὸν, legit Cornarius) ὄξος placet Foes. sed legit λευκὸν τὸ μύρον Αἰγύπτιον ac rectè.

380. μίαμα τῆς τὸ κυπαρισ] μίαμα, κυπέρου, legit Foes. Cornar.

381. ὄξος λευκὸν) ὄξος, ὡσὶ λευκὸν, Corn.

382. σμύρνης) μυρσίνης. F. ἰατρικὸν] ἢ ἰατρικόν. F.

383. ἢ λίνου καρπὸν) σελίνου καρπὸν, legit Corn. ex l. 1. de morb. mul.

384. ἢ θυμιᾶται) θυμιώματα. S. & pro ἐμβάψοντα, ἐμβάψεται, F.

385. μύρον θερμὸν) μύρου θερμὸν, legit Foesius ex l. de nat. mul. cum Cornario.

386. χρῖε) σίαπ, Vatic.

387. ὡς κύαθον) ὡς κύαμον, Cornarius. ἐς κρίμμα) ἐς κρίμνα.

36. IN LIBRVM HIPPOCRATIS DE INFOECVNDIS mulieribus.

PRoœmium libri, quid docturus sit præceptor, satis explicat. Eo nanque in libro de mulierum affectibus præter naturam, ac potissimùm de infœcundis agit mulieribus. Hinc merito liber περὶ ἀφόρων inscribitur in omnibus exemplaribus. Quam inscriptionem tum Galenus, tum Erotianus, imò cæteri doctrinæ Medicæ proceres agnoscunt. Dicuntur autem ἄφοροι Hippocrati mulieres, quæ aliquo vteri vitio aut morbo laborantes, non concipiunt; aut si concipiant, fœtum maturum ad vsque legitimũ partum non gerunt, ac proinde steriles aut infœcundæ vocantur existúntque. Itaque hunc libellum legitimum esse Hippocratis fœtum concedunt omnes, nemóque reclamat. Hippocraticum textum eum manuscripto regio contulimus, & versionem nostram ex Cornarii & Foesii versionibus conditam edidimus.

1. περὶ ἀφόρων] Αἰτίαι δι' ἃς οὐ παιδοποιοῦνται αἱ γυναῖκες, inscriptionis loco hæc scribuntur in MS. S.

2. ἀρχῇ] ὁρμῶ, ex MS. S vt paulò post.) ἢ] δεῖ pro ἢ, S.

3. τὰς μήτρας] τῆς μήτρης, MS. S. ἤθεα] εἴθεα, S.

4. εἰρομένη) ἐρευμένη, S. MS.

5. ὑγιαίνῃ] ἰνῇ, F.) ἀνὰ μολυνθῇ, de sordido ac impuro vlcere dicitur. sic Foes. sic Cornar.) καταμαρανθῇ Galenus exponit, ac de marcescente muliere accipit Caluus.

6. ζωὴ) ζωῇ, F.

7. ψαλαφᾷ) ἐν ψηλαφήσει. R.

8. παίτων) πτήματων, Vatic.

9. ἴσω] γίνεται, Vatic.

10. ἢ ξυναμβαίνει] κακῶς ξυμβαίνουσι, Vat.

11. δέον] δὲ ὃ, τε, legit Cornarius.

12. εἴη) ἐν Cornar. & Caluus.] ὁρμῇ) ὁρμῆσαι.

13. ὅτι εἰσὶ μὲν, οὐ τίκτουσι δὲ πολλάκις) MS. R. ὅτι εἰσὶν αἱ, οὐ τίκτουσι δὲ πολλάκις, Vatic. ὅτι ξυνίουσι μὲν, Cornar. ὅτι εἰσὶν αἱ. Vatic.

14. περὶ τὸς] εἰ κινέοιτο ἢ ἔγκυοι ποιῆσαι, sic restituendum esse textum censet Foesius. σκύλω ποιῆσαι] Σικυώνιον ἔλαιον, sicyonium oleum hic intelligere arbitramur.

15. Αλλο. Νέτωπον, sic ex MS. R. restituimus.

16. πίνειν) νῆστι, addunt Vatic.

17. μῆλον) ἄλλο, addit F.) μὴν legit Cornarius, nec temerè.

18. Ὅσα) Ascribunt Vaticana pro indicatura antè, εἰδέναι εἰ ἄρρεν ἢ θῆλυ κύει ὑποκύσαι. F. & ante hæc verba ἄλλο addit F.] quæ hic menda erant, obliterauimus ex aph. 42. l. 5.

19. λαβὼν] ἄλλο addit F.

20. ἐπιπολίξας) πτυλίξας Foesius. vide quid πτυλίζειν significet.) pro ὀπίσω Cornarius & Foesius ὀρθῶς legunt.

21. ἀπικνοῦσα) πίκνουσα, περὶ ἐπικυήσιος.

22. & κάτω) δεῖν Vatic. addunt.

23. ὁμοῦ, ἐὰν] ὅπη, vel ὅπου ἄν, Vatic.

24. ἢ μολυβδίνης) ἢ μολυβδίνη, mauult. Foes. ac rectè.

25. περὶ ξυλινείοισι μακροῖσι περιαρμόσαι) περὶ ξύλοισι μακροτέροισιν ἁρμόσαι legit liber de superfœtat.] εἶτα περιξυλινείοισι Aldina] περιελίξ εἰρίοις μακροτέροισι Vatic. & MS. R. & Caluus, vt lana oblongiore specilla obuoluta intingantur & immittantur. F.

26. χαρτὴν interpretes omnes, MS. R. F. l. de superfœtat. Vatic.] κάλαμον impressi codices.

27. μαλθακώτερα) εἰς μαλθακώτερα, legunt Corn. & Foes. (ὡς) ἕως l. de superf. & Vatic.

28. πύον) πύου Mercur. codex.

29. & ἐρυγὴ] ante hæc scribunt Vatican. ἐλκοῖ τὸν στόμαχον & δάκνῃ, ἔπειτα τε τὸν στόμαχον ἐρυγῇ τὰ καθιστάναι ὀρθόν. ex lib. περὶ ἐπικυήσ.

30. κρατίστη) ἀρίστη S. MS.

31. μεθυσκέτω] μεθυσκέσθω, Vatic.

32. ἀλλ' ὡς ἰσχυρότεροι & ἀκρητέστεροι] ἀλλ' ὅπως ἰσχυροτάτας, & ἀκρητεστάτας. S. MS.

33. ὅτω) ὅταν Cornar. ex l. de superfœt.

34. ἀλειφέσθω μηδέν) ἀλειφέσθω μηδενί. S.

35. μεθυσὸς ὄζοντος) ἢ μεθυσὸς ὄζοντι. S. pro ὑποθεῖσα θεῖσα, S. & παυέσθω.

36. τὸ) τὸν legit Foes. S. ac rectè.

37. τὰ ὀθόνια) τὸ ὀθόνιον, Foes. ex Vatic.

38. πολλά) θαμέως. S. & μὴ ἀριστήσαι.

39. ὄζέσει αὐτὴ τῆς κορυφῆς] ὄζέσει αὐτῆς ἡ κορυφὴ, aut αὐτὴ ἡ κορυφὴ, legit Foes. & Cornar. [δὲ] τε Vatic.

40. ἐσται] ἔσω. S. idem Vatic.

41. ἀφιέναι) ἀνιέναι S. Vatic.

42. ἢ αὐτῇ) ἢ πέσσεται ὑστέρα, ἢ ὕφαιμα, Vatic.

43. μήλη codd. impressi Foes.) μήτη quidam interpretes.

44. πάγχυ omnino) παχὺ *crassam vrinam reddere* παχὺ οὐρέει sic Caluus, Vatic &, Mercur. sed πάγχυ οὐρέει pro πάγχυ διουρέει Foes.

45. πῆξις mortificat Cornar.) πηγῇ Vatican. humectat, diluit.

46. δελφοῖ] δελφῷ, codex Mercur.

47. περιστρέφεσθαι] περιστρέφεσθαι, Vatic.

48. κλύσαι) ante hoc verbum F. addit ἕτερος κλυσμὸς τῶν μητρέων.

49. κρίνει] κρίσσους legunt ferè omnes, ac rectè MSR. Vatic. Erotian. κινοῖεις.

50. & παρ' αὐτοῖ] & παρ' αὐτῇ, Vatic. θερμαίνεται Cornar.

51. ἡ κορυφὴ) ἡ μὲν κορυφὴ F. MSR.

52. ἐψήσαι] ξύσαι Corn. Caluus.

53. μήτρας] πρήσιας interpr. & Vatic.

54. πλύσιος] κλείσιος interpretes Foes. & Cornar.

55. τὸ κλύσμα] τὸ κλῆσμα aut βύσμα cum Vatic. legunt interpretes.

56. αὐτὴ δὲ εἰ δεῖ ὡς) αὐτὴ δὲ εἰδυῖα, legit Foes. & Vatic. vt ipsa mulier noueri vbi fistulam indere oporteat.

57. σὺν ψυχῇ] ἀναψυχῇ, Cornar. Foes. & interpretes cæteri.

58. τὸ ἄλλο) τὸ ἄλλο, Vatic.

59. ἐς πόχος] ἐς αἰδοῖον, Vatic. quod Foesio placet.

60. ἢ ξηρότατος] ἰσχυρότατος, Foes. vult legi.

61. ἔωρου] & ὕδωρ, addunt Vatic.

62. πόματος) πίη, Caluus.

63. περιβρέξαντας] περιβρέξαντα aut περιβρίξασα, Foes. mauult.

64. κωνείου) κονίης Vatic.

65. περὶ χεῖ) χεῖ, Cornar. legit) χέουσι Vatic.

66. ὅπως δὲ μὴ ἢ ἤδη, sic ex Corn. & Foes. restituimus.

67. λεπτότατα] λευκότατα, Vatic. Caluus.

68. ἐρυκὰς) τρεῖς, Cornar.) ὀλίγας l. de nat. mulieb.

69 ἢ ἔσω) & ὄνοι legunt interpretes.

70. ἐὰν αἱ μῆτραι) Αλλο præponit MS. F. & R.

71. γνῶσαι, sic interpretes) γνώσεται, codd. impressi.

72. ἡ πάμπαν) τὸ πάμπαν, l. de nat. mul. & & l. 2 de morb. mul. ἐλκώσιος legit Cornar. ex l. de nat. mul.

73. ὅταν] Αλλη ἐπ' αὐτῇ præponit F.) ἅψηται) μὴ ἅψηται, legit Cornar.

74. θαλάσσης] θαλάσσῃ, Vatic. & interpretes] θαλασσίῳ. F.

75. τὸ πῖνε funis) τόμου, Cornar. sectionem ad fistulam trāsmittendam sumit.) θώκου sedis, sellæ, loci, probat Foesius.

76. ἐλεπωεία) ταλεπωεία, Vatic.

77. δὲ) τε Vatic.

78. βέλτιον) βελτιώτερον. F.)

79. δακτύλιον) δακτύλιον, mauult Foesius, qui κυκλίσκον explicat.

80. ξυλοφία) ξυλάεια S.

81. κατάλιξον λεπτῷ] κατάλιξον & ξυλάεια λεπτῷ.

82. περισκελέσθω] περιθέσθω.. F.

83. ἐς τὴν κοίλην] κοίτην, Vatic. vt in lecto inungi cerato vterum velint.

84. τὸ λεπτὸν tenues ellebori radices intelligit Foesius, fibras verò Caluus. ἐὰν πλέον, Foesius) μὴ πλέον Cornar. idem propè.

85. ὃ ὑπόχῃ) ὑπόχῃ, Vatic & Ald.] ὑποχεῖσθαι, MS. R. quædam legunt.

86. ὑποθυμιῶν) ὑποθυμιῆν, Vatic.

87. τὰς αἶγας ἐκ τῶν χειλέων] τὰς αἶγας ἐκ τῶν πυρῶν, interpretes Foes. & Cornar.) τὰς χειλάδας ἐκ τῶν πυρῶν. Vatic. & MS. R. F.

88. ἡμίεκτον sumit Foesius pro olla dimidiatum sextarium aut quatuor chœnices capiente; Cornarius verò pro sella, cui mulier insideat ad suffitum excipiendum.

89. ἐάσθω δὲ αὐτῇ] ἐάσθω δὲ τὸ αὐτῆς, S.

90. τὸ χρῶμα) τὸ σῶμα, legit Foes. cum interpretibus, qui ad mulierem referunt; Caluus ad partum retulit.

91. τὰς πηθοὺς] τὸ στῆθος, legit Foes. ex 1. de morb. mul.

92. αἷμα sic interpretes, sic S. MS. sic l. 1. morb. mul. ἄμα codices impressi.

93. πολλαί, interpretes) πολλὰ codd. impres.

94. πολλοὶ γὰρ ἴσως κλύσαιτο) πολλὰ γὰρ ἴσως αἱ κλύσεις. Foes. legit, quem sequuti sumus; Cornarius verò lectionem l. 1. de morb. mul. sequutus est.

95. ἀγάγη] ἀγάγῃς, legunt interpretes ex 1. de morb. mul.

96. πλεῖστον] αἷμα additur 1. l. de morb. mul. ac Cornar.

97. τὴν ὑγρὴν] τὴν γραῦν. F. quod lacti supernatat, crassamentum; χραῦν legit Foes. χλῶν Vatic. Cur non ὑγρὴν pinguedinem vt legit Cornarius? nonne pars lactis summa humidior ac pinguior?

98. διαθεῖσα] ἢ διαθεῖσα, Foes.

99 πρὸς μακρὸν] Vatic. ποιῆσαι præponunt adduntque.

100. σπήλην legunt interpretes) σπήλην exemplaria singula.) ἀπαρέδα quidam.

101. ἄκρῳ, omisit Cornar. minimè Foes.

102. ἔκμαγμα] ἔκβαμνα, S.) κροκόμαγμα Cornarius.

103 ἐς σπλῆνας) ἐν πλήνσι, Vatic.

104. φαρμακεύσει) φαρμακεύσαντα, F.

105. ἴσχοντι) ἰσχύσαντι, Foes. & interpretes.

106. πόδε) ποδὸς, l. de superfœt. & meliùs sic leguntur, ἀλλὰ ἢ τὴν τριμηνιαῖα ἢ πεντάμηνα, ἤπερ πλείονα χρόνον γεγονότα διαφθείρει, Vatic.

107. συμμίξαι] ταῦτα μὲν ἐφθῷ μίξαι, Vatic.

108. μύλους διαπύρους) μύδρους διαπύρους, l. 2. de morb. mul. silices candentes Caluus.

109. ἢ ῥόδινον) ῥόδον, Cornarius.

110. φλαύρως) ἢ φλαύρως, interpretes Foes. & Cornar. ἢ πρὸς) delent.

111. πίσι) πρὸς πίσι, Vatic.

112. λούων) ἢ λούων, Vatic.

113. ἐσθιέτω) πινέτω, bibat, Cornar.) ῥοφεέτω, Caluus sorbeat.

114. Αλλο ex Vatic. restituimus interpretum consilio. & MS. R. F.

115. κινῆσαι] addunt Vatic. οὐδὲ μὴ κινῆσαι ἕως ἂν ὁ πῶρος. ἐνὶ δὲ τῇσι μήτρῃσι. πῶρον in vteris thymum vocant Paul. & Aetius, Thymium Celsus.] κινῆσαι οὐδὲ μινῆσαι, ἕως ὁ πῶρος, Vatic. & Mercur..

116. ἅμματι vinculo, fasciæ, nodo.) ῥάμματι filo, Vatic.

117. τὰ ἄκρα] ἐπὶ addunt Vatic.

118. ὑποθεῖναι] προσθεῖναι, Vatic.

119. διασπῶσαι] διασπῶσι. F.

120. ἀνδέχεται) ἐνέχεται, legi mauult Foes. sicque Cornarium legisse auguratur.

121. καρποῖς] κόκκοις, Vatic. idem.

122. οἴνῳ λευκῷ ὑδαρεῖ] ἐλαίῳ μαλθακῷ δεῦσαι ἐπιθεῖναι, Cornarius ex molli lana imponi vult ac legit.

123. τρύζει stridet, σταζει stillat] κλύζει Vatic.] σταζει S. MS. omnes dictiones Caluus admittit. & κατ' ὀλίγον. F.

124. εἰς τὸ αὐτὸ πάθος hæc vitiosa esse produnt interpretes ac sic legendum esse volunt ταῦτα πάσχει ἢν ἐκ τόκου ἐοῦσα τῷ ἀνδρὶ προσκοιμᾶται.] ταῦτα πάσχει, hæc desiderantur in MS F. & R.

125. ἐς τὴν αἰθρίην sic ex Corn. Foesio Ser. & l. 2. de morb. mul restituimus) ἐς τὴν ἕδρην in sedem, Caluus.

126. φακόν) φακῶν legunt interpretes ex l. 2. de morb. mul. & Vatic.

127. ἢ τῷ ἀνδρὶ ξυγκοιμᾶται) ἢ τῷ ἀνδρὶ μὴ ξυγκοιμᾶται, vitiosè, Vatic.

128 σιδίον] σιδίῳ l. de nat. mul. & l. 2. de morb. mul.

129. τὰ σκέλη] τοὺς πόδας legisse Cornar. vult Foesius. sed idem.

130 ἰέναι] εἰσιέναι l. de nat. mul.

131. ἢ ὑποπλῦναι τῇ πτισάνῃ ἑφθῇ] τῷ πιτυρῶ χεῖσαι legit Cornar. ex l. 2. de morb. mul.

132. ξυνδήσας] ξυμμίξας, Vatic.

133. ψυχρὸν δὲ] ψυχρὸν ἄλλο δὲ. S-

134. περιστρέφει) μὴ περιστρέφει, Vatic.

135. ἐν] ἐπὶν Vatic. Quæ sequuntur de fœtus extractione, omiserūt interpretes, quòd hic textus sit deprauatus, vnde in libellum ἐγκατατομῆς ἐμβρύου textum hunc relegarunt.

136. ἢν] ἐπὴν (πελευγοίην) ὀστοῖ οἴη [δέρεον] δέρμα, Vatic.

38. IN HIPPOCRATIS DE SVPERFŒTATIONE Librum.

HIc legitimus Hippocratis libellus περὶ ἐπικυήσιος *de superfœtatione* in omnibus exemplaribus inscribitur, licet hic ab Erotiano prætermittatur. Mercurialis hunc librum, περὶ κυήσιος καὶ ἐπικυήσιος *de fœtatione & superfœtatione* inscribi posse scriptis prodidit, quòd in eo de vtraque copiosè agatur, et ea quę tum puerperis, tum grauidis accidūt, tractentur. At licet hoc opus inter τὰ φυσιολογικὰ multi posuerint, quòd de primis hominis principijs, et conceptione, & prægnantibus disserat, id tamen quòd in superfœtatione parturienti multa pathemata ac symptomata oboriantur, idoneàque remedia pręscribantur ad τὰ παθολογικὰ καὶ θεραπευτικὰ retulimus. Huius libri contextum, cum manuscripto Regio et aliis contulimus, & ex versionum nobilium floribus, præsertímque Cornarij & Foesij nostram versionem illustrauimus.

1. ἐπικύημα) ἐπικύημα, Foes. κύημα, MS.S.
2. διαλύηται, rectè, *intereat, pereat*, sic Cornar.] διάλυται, *dissoluatur*, sic Foes. non probè) ἀπόλυται, Cornarium legisse vult Foes.
3. οὐ κάρτα sic interpretes & medica ratio) ξυμμεμυκυῖα κάρτα, Codices propè omnes) ἡ μὴ ἐπιφαινομένη legunt Vatic.
4. ἀρχεσθαι] ἔρχεσθαι. S. MS.
5. ἐπικινδύνως) ἐπικινδυνῶς. Cornar.
6. ἀποκτεῖ S. & interpretes ἀποκτείνει, Codd. impressi.
7. καὶ τὸ μὲν παιδίον [καὶ ἢν τὸ παιδίον Cornarius & pro θύρηφι, οὐ ῥίμφα MS. quædam & Vatic. ῥίμφα significat δυσχερῶς & ῥαδίως, vnde Caluus vertit, nec partus facilè prodit.
8. οὐ γόνιμον, sic Cornar. sic Foesius) γόνιμον codices impressi, sed vitiosè.
9. Καὶ ὁκόταν τὸ μὲν) τὸ μὲν ἐν τῇσι μήτρῃσι τὸ σώματος ἡ MS. R. & Vatic.
10. φλαλείφας] φλάσας MS. S. & F.
11. ξηροτέρη ἔῃ)] ξηρότερα legit Foes. & ad τὰ αἰδοῖα refert.
12. παιδίου) παιδίον. F.
13. διαβῆναι] διαβῆναι legit Foesius.
14. ἐγγέερατα] ἐνέρξαντα, aut ἐρξαντα legisse videtur Cornarius, vt notat Foesius.
15. περισῆσθαι) περιχρῖσθαι MS. Vatic.
16. ἀποσπασθῆ) ἀποσπασθῇ τι quædam Vat. MS. legunt, nec temerè.
17. ἐπ' ἀνακλινθῇ δίφρῳ] ἀνακλιθῇ legit Foes.
18. ὡς) καὶ MS. quædam Vatic.
19. τὴν λέγω] τὴν δὲ λέγω Vatic.
20. ἡ τίκτει sic Interpretes, ac rectè, licèt vt plurimum οὐ τίκτει Codd. impressi.
21. ἔχηται] ἀνέχηται Vatic.
22. βιώσεται) οὐ βιώσεται Caluus.
23. καὶ τὰ χείλεα πελιδνὰ αὐτῆς sic distinguunt omnia exemplaria] αὐτὴν τεθνηκότα φέρῃ Caluus, Cornarius] αὐτὴ ἡ Vatic.
24. ἃ τίκτει) ἃ τέξῃ Cornar.
25. προέπεκεν) περιέπεκεν Foes. Cornar.
26. ἐώτησι) τότε legit Cornar.
27. θώδεα] addunt Vaticana, καὶ οἰσπίσιον ἀναπρέφῃ, quæ verba ex Mercuriali restituimus.
28. ἢν πιεκνίσκουσι) ἢν τις κυΐσκομένη γλῶ ἐπιθυμέῃ ἐσθίειν Vatic. quæ sequutus est Cornarius.
29. ἐπλῆσι) ἢ ὅτι MS. legunt & σκοπεδίνῃ] ἡ pro ἢν Vatic.] ἡ ἐπὶ αἱ πυτίων μιᾶν Caluus. Hic notanda sunt picæ grauidarum prodigia & rerum præter naturam expetitarum, & deuoratarum signa capiti puelli impressa.
30. καὶ βρυγμὸς ἔχῃ καὶ σκορδινῆται) βρυγμὸς ἔχῃ καὶ σκοτοδινῇ S.] σκοτοδινῇ F.
31. φλέγματος) πνεύματος legit Caluus.
32. αὐτῆς) αὐτῷ Vatic. Caluus.
33. ἢν ὅτι ὀδύναι] ἢ ὅτι ὀδύναι Vatic.
34. τὰ θώδεα] addit Caluus ἐσθίῃ καὶ πίνῃ.
35. ἔχῃ) ἔχει S & Foes.
36. μὴ] καὶ μὴ Vatic.
37. ἐπιθεῖσα] ὑποθεῖσα S. MS.
38. τὸν νεκρὸ φθορον) τὸ νεκρὸν φθόρον. S.
39. καιρῷ) ἐκ ὀξέος Vatic. & l. de sterilibus.
40. ἢν μὴ περιθῇς) κἢν μὴ περιθῇς legisse videtur Cornarius ex versione,) ἢν περιθῇς, μηδὲ καθῇεας l. περὶ ἀφόρων) μὴ delent quidam.
41. τὸ χρόνῳ) τὸ πρώτου χρόνου Vatic.
42. καὶ ὕστερα ὑγρὴ sic exemplar. omnia, quæ ad mulierem referunt.) ὑγρὰ verò Cornar. & Caluus, quos medicè loquutos sequuti sumus.
43. Γυνὴ) antè MS. R. legunt pro titulo, περὶ γυναικὸς φθαρούσης ἔμβρυα.
44. ἡ τρὶς.] καὶ ἐπὶ τὰ πλεῖστα addunt Vat.
45. καὶ ἢν] καὶ ἢν δὲ Vatic.
46. ἐώτησι] ἐώτης l. περὶ ἀφόρων ac melius.
47. ἢν ποτε αἱ ἄλλοτε] ἢν ποτε ἢν Vatic. verùm longè melius l. περὶ ἀφόρων.
48. ἐώτη σικύην ἐμπιθῆναι, *huic cucurbitula ad vterum apponenda*, sic Foes. *huic medicamentum cucumerarium in vterum dare oportet*, Cornarius.) ἐώτη χρὴ ἐφθῆναι σικύην ἐμπιθῆναι Vatic. locus hic perobscurus, ac suspectus. Foesium tamen sequimur.
49. ἀποποιῆσαι) πυῆσαι legitur lib. περὶ ἀφόρων] διατείνῃ Cornar.) aliquando arbitrabatur Foesius legendum esse ἐμπυῆσαι aut πυριῆσαι vt de fotu per cucurbitulam, emolliendo & dilatando vtero accommodato accipiatur. Etiam ἐμφυσῆσαι idem quod ἐμφυσῆσαι.
50. ὁκόσον περισίηται) ὁκόσοι αἱ περισίηται Vat.) ὅκως δὲ περισίηται l. περὶ ἀφόρων.
51. ὁκόταν δὲ ξηρὴν] ὁκόταν δὲ ξηρὴ ἢ mauult Foesius.
52. μετὰ τὸ ἐπιφαίνεσθαι ἐπιμείνασαι) μετὰ τὸ ἐπιφαίνεσθαι ἐπιμήνια, Cornarius legisse videtur, & omisisse ἐπιμείνασαι) καὶ φαίνηται τὰ ἐπιμήνια in l. περὶ ἀφόρων. ἐπιμείνασαι melius.
53. ἢν ὅτι) ὅτι Vatic.
54. μετὰ τόκον) μετὰ τὸν τόκον Vatic.
55. καὶ μὴ ἐντύχῃ ἑτέρως) καὶ μὴ ἐντεῦθεν ἑτέρῳ καὶ χιτῶνι, &c. Vatic.) ἑτέρῳ legit Cornar.] καὶ μὴ ἐντύχῃ ἑτέρως Caluus.
56. ἐώτην) ἐώτη, omnes Interpretes.
57. δοκέουσι καύσιος] δοκέει καύσιος, Ald. Caluus] κλόσιος ἴσως Vatic.
58. ὥσπερ δὲ] ἐὰν δὲ ἴσως Vatic.
59. πείσῃ) λιποπείσῃ Vatic.
60. οἴνῳ) ἐν οἴνῳ Vatic.
61. κυΐσιος &c. repetuntur hæc in l. περὶ ἀφόρων, sed pro τεκοῦσα, ἀπέκυσα illic legitur; & σκληρὸς pro ξηρὸς.
62 ἀπέκυε ἐοῦσα) ἀπέκυσα S. Ibidem ἐοῦσα δὲ τέκνισα) ἀπέκυσα Foes.
63. ἀκρόπαθος) ἀκρόπαθος Vatic.
64. κεκρύφη rectè) κενώσῃ Seruin.
65. ἡ τὸ χεῖλος ἐπιδέῃς) ἐπιδέῃς τὸ σομάχου ἐφ' ἑωυτὸ legit Foesius, deinde ὁκόθεν οὐ ἡ τεῖχος ex l. περὶ ἀφόρων.] τὸ σομάχου ὁκόθεν οὐ ἑωυτοῦ. Cornar.
66. ἡ ἐλάσσονα) addit F. πλεῖστος.] ἡ πλέονα Caluus addit) καὶ πλεῖστα Vatic. πλὴν ἐλάσσονα legitur l. περὶ ἀφόρων.
67. τὸ σώματος) ἐώτην addit F. MS. R.
68. κατὰ τὴν βλάβην ἤν τις ἢν κωλύῃ) διὰ τὴν βλάβην, ἤ τις αἱ κωλύῃ legit Cornar ex l. περὶ ἀφόρων. aliter Caluus. Cornarium sequutus est Foes.) Ego verò sequor textum vulgarem, quem non immutandum esse censeo. Nam κατὰ interdum διὰ significat.
69. τῆς καθάρσιος) πρότερον τῆς καθάρσιος Vatic. & lib. περὶ ἀφόρων sic Interpretes, ac rectè.
70. μεταπίσας) ἴσως μετὰ πίσας Vatic.
71. αἱ δοκέει] ἢν οὕτω δοκέει Cornar. legisse videtur.] ἢν ὅτω l. περὶ ἀφόρων.
72. παχυτέρης) παχυτέρη legi vult Foes.
73. σκυλάκια ἑφθὰ] σκυλάκια γαλαθηνὰ ἑφθὰ l. περὶ ἀφόρων, quæ κύνεα κρέα νεαρὰ exponit Erotianus.
74. ἑφθὸ] ἑφθὸν vult Foes. & MS.
75. καὶ μεγάλα) καὶ μαλθακοῦ Vatic. & l. περὶ ἀφόρων.
76. ἀθύρων] αἰθύρων quidam emendator non imperitus.
77. δὲ) δὴ Vatic.
78. θυμιήματα] ἐμμήνων Vatic.
79. ἀείσῃ κυήσιος] ἀείσῃ μὴ κυεούσῃ κυήσιος Vatic. Caluus] κραπέσῃ pro ἀείσῃ l. περὶ ἀφόρων.
80. μεθυσκέσθω,) μασσκέτω. S.
81. καὶ σπία] σπιέσθω. S.
82. ὀκμαίνηται) ὀκμαίνηται quod ἀποκρίνῃ τὸ σπέρμα explicat Gal. Ita verò Vatic. & Interpretes, *quoad semen excreuerit, quoad impetus desæuierit*, Idem propè.
83. καὶ ἐπὶ διόντων) καὶ ἐπὶ δὲ ὄντων, aut ἰόντων Vatic. Interpretes ac rectè. aut διιόντων. S.
84. ξυμμεμυκὸς] καὶ ξυμμεμυκὸς Vatic.
85. τῆς αὐτῆς) τῆς ἀκτῆς, Sambuci folia MS. quædam.
86. ὁπὸν σικύης] ὁ πὸν συκῆς. Interpretes omnes, *fici succum, cucumeris agrestis succum*.
87. καρδαμώμου] καρδάμου, Vatic.
88. κάστορες ὄρχιν] κράδην ὄξος addunt Vatic.
89. πεσσοῦ sic omnes] πεσσὸν Caluus.
90. ῥητίνην delent Interpretes.
91. Αἰγυπτίῳ) καὶ Αἰγυπτίῳ, Vatic.
92. κολοκύνθης ἀγρίης) τὴν ἐντεριώνην, aut τὸ ἔνδον addunt Interpretes, Ἄλλο addunt MSR. & F.
93. τὸ βόλβιον) τὸ βολβίον legit F.
94. πάχος) πλάτος MS. quædam.
95. συμμιγνύναι) ἕτερον addunt Aldina.
96. θεραπείη λευκαὶ] θεραπείῃ λευκαὶ καθαίρονται legerunt Interpretes.
97. χαλᾶσι] χάσωσι Cornarius legisse videtur.
98. θυμάβρα] addit S. Ἀρτεμισίην πόην ἢ σαφίδα.
99. φλοιῷ περιπλάσας cortice obducta) ἐσθίειν μέλιτι Interpretes legunt, aut vertunt.
100. τὴν λευκὴν] λευκῷ οἴνῳ Cornarius legit.
101. πολλὰ] χολὰ Vatic.
102. ἠπίαλος] ἠπιαλὴς Vatic.
103. τῶν μίξας καὶ ζέσας, ἐρειγμῶδας ὁμοῦ θυμιῶ sic publicati codices) τοῖσι μίξας καὶ ζέσας ἐρειγμῶδα, sic legit Foes. ζείας ἐρειγμώδας legit Cornarius, *ammixta etiam zea fresa*.
104. μαλθακτικὴ vel μαλθακὴν) μαλθακτικὴν F. ac melius.
105. οὔκων) Ἄλλο καθαρτήριον addit Foes. & Vatic.
106. ἕτερον) ἰσοτήκῳ γυναικὶ καθαρτήριον MSR.

107. περιστὰς) ἄλλο δὲ ἴσον, ante addit F. & MS. R.

108. ξύνεται] ἢ ξύνεται legit Caluus.

109. λεαίαι ἐν οἴνῳ) ἐλατηρίου ἐν οἴνῳ, sic legunt Interpretes, quod Hippocrates elaterio vsus fuerit in eiusmodi affectibus.

38. IN HIPPOCRATIS LIBRVM DE DENTITIONE.

HOcce libello (περὶ ὀδοντοφυΐης seu de puerorum *dentitione* inscripto) puerorum exordia, incrementa, status, & quidam affectus præter naturam, qualia tonsillarum vlcera, continentur. Quare ipsum libellum genuinum Hippocratis fœtum inter τὰ παθολογικὰ opera iure recensuimus, cuius Græcum contextum publicatum cum Regio manu scripto codice collatum, & fideli versione conditum edidimus. Notabit φιλίατρος quot hîc leguntur periodi, totidem esse aphoristicas sententias ad puerorum sanitatem tum tuendam, tum restituendam cuique medenti perutiles.

1. ἢ οὕτως ὀλιγάκις) ἢ οἷον ὀλιγάκις, interpretes legisse videntur. οὕτως ad dentitionem refertur.
2. διωκειμένον] διακείμενον, aut διακείμενα Caluus legisse videtur.
3. παρηκοῦντα) παρηκοῦντα, legit Foesius.
4. ἐφίστανται) ὑφίστανται, Cornarius.
5. τὰ παλινδρομήσαντα ἐνιαυσίοις] sic distinguunt exemplaria) ἐνιαυσίοις, Cornarius sic distinguit, & pro ὁμοίοισι, νηπίοισι legit.
6. ὁμοίοισι) ὠμοῖσι, Caluus.

39. *In fragmentum de pica ex Aetio.*

QVòd Aëtius hoc caput ex Galeno inscripsit, propterea, vt nihil prætermittatur eorum quæ Galenus scripsit, illud hîc inseruimus.

40. *In fragmentum spurium de mulierum passionibus.*

HOc fragmentum doctis videbitur spurium esse, ieiunum, barbarum. Sed quia in editione Iuntarum editum est, & prescriptiones quasdam ad picam vtiles continet, propterea hîc posuimus prout compertum est, cuius versio Nicolao Rhegio ascripta est.

FINIS.

TOMI VII. MENDA EMENDATA.

PAgina [illegible] πει- l. ξύν 4. v. γαζ- l. ἐργάζεται. 5. v. vnus, l. & *quæ* v. mag. *quum* magna 8. v. Δια. l. βλαισοὶ, 9. v. part. *duo* ita. 10. v. cul- l. *quopiam.* morb. l. *earum.* v. -rias l. *omnes.* 11. v. cui morbus l. *nunc.* v. id. l. curgulionem. v. de mor. l. eorúmque differentia. 12. duc- l. pudenda. 13. v. prius *morbus.* 16. v. tib- l. *mox etiam* ad. 19. v. ἐ l. ἢ μη. 20. v. -vetur l. *ipsam.* 21. v. μέρει l. τὸ ἤ. 23. v. χρή- l. pro μὴ καί. v. [illegible] l. ὅκ [illegible]. 24. v. sed l. sed *magis.* 25. v. λαγ- l. κατ' τοί. v. ἢ ἀπ- l. ὅμοιοι. 27. v. sunt. l. exasperantes causas *singulas.* v. natur. l. *non* adsunt, v. est. *siquid.* 29. v. DIFFER. l. *liber.* v. ing- l. *diuisi* 30. v. ὥσπ- l. αὐτ. v. -[illegible] l. ἔχει. v. min- l. ipsum. 31. v. ig- l. rationibus. 36. v. ἀφ' l. [illegible]. v. mat- l. -matum sunt quæ appetentiæ accidunt inappetentia, difficilis appetentia, & immoder-. 53. v. ὀδύ- l. γίνεται. 61. v. Itaq- l. Atque de. 65. v. tis l. perficiebantur. 73. v. -γιον- l. [illegible]. 92. v. καὶ l. τὰ πολλά. 93. v. μέ l. μαλακότητος. 94. v. ἐλκ- l. δύναται. 105. v. ἢ l. αἱορεξίαι, ἤ. 107. v. ἐπ' αὐταῖς l. ἀπ' αὐτῆς. 119. v. τὸν ὁμιλήσαντα. 123. v. βωλ- αἰσθάνεται. 128. v. φερόντων adde ἕτερον. 129. v. κάμν- l. ὥρα τὰ χέρσα. v. παρ- l. παροξυσμός. 151. v. [illegible]- l. παρόντα. v. -ται l. παροξ-. 158. v. γνοξ- l. ὁμολογοῦντος. 163. v. tem- l. numerus ab. v. [illegible]) l. ρκ'. 209. v. rig- l. etiamsi. v. affectu l. enunciatur. v. τὸ pro οὐ l. ἐπί. v. εἰσβ. l. παροξυ- 233. vt quid- l. desip-. 239. v. te, l. & in *ipsis.* 276. v. Ex l. δύνανται. 278 v. πῶς l. ἀπαντ- 281. v. -λιώ l. [illegible]- 299. v. ἐκ- l. ἐκεῖνο. 330. v. [illegible] τὰ νῦν. 361. v. 22 l. 23. 367. v. Pleur- l. medendum. 381. v. τραχ- τῷ. v. τὸ l. [illegible]. 389. v. τὴν l. μοχθ- 419. v. mus l. valemus. v. gidum l. concupiscunt. 421. v. τὸ l. ἐζητήσα- 438. v. 37. l. ἰδιοπάθειαι. 445. v. μακ- l. [illegible]. 449. v. est l. *totum.* 450. v. min- l. permitte. 499. v. ἀμ- l. τὰ οὕτως. 512. v. bus l. integram valetudinem deg- 523. v. busd- l. sequax. 526. v. ram l. secundum. 531. v. ὅσα l. ἀθυμ-. 532. [illegible] l. ὑποψυχραίνοιτος. 539. v. λῆ l. 38. 540. v. exc. l. maturuerit. 549. v. πὸς pro 25. l. 75. 553. v. ὅταν l. [illegible]. 555. v. DE l. cruribus. 560. v. ad l. Gargar- 589. v. δυω- l. [illegible] ἡμέρησι. 614. v. περὶ l. ἀπό. 644. v. τὰ l. [illegible]. 669. v. priùs l. vniuerso. 673. v. pitu- l. pituitæ. 722. v. κατ- l. κατάπλασμα, & cataplasma. v. loti l. & cupr. 727. v. sang- l. expellet. v. sang- eod- l. expellit. v. τῆς l. [illegible]. 728. v. [illegible]- l. λοχείη. v. -tion l. docentur. v. quum l. in libro de. 733. v. μα l. ἐπιφερ- 734. v. τος l. 69. 736. v. egr- l. iam egr- 737. v. ἢ ὧν l. αἵματος. 738. v. μὴ l. ἢ μή. 740. v. πλω- l. καθίστησι. 743. v. περὶ l. καταμηνίων. 757. v. & l. deiecti v. erit l. aluum. 762. v. τὸ l. κυπ- 763. v. πρὶν l. ἤ. 767. v. ὕδωρ- l. ἰλυώ. 774. v. σμίκ- l. [illegible]. v. cibum l. & rursus 776. v. tem. l. eos dies. 787. v. [illegible]- l. πεπέρεως. 791. v. πα l. κοιλίαν. 800. v. quúmque l. anhelatio non spiratio. 802. v. μὴ l. τὸ πῦρ. v. κλυσ- l. ἔπειτα. 803. v. ὁ l. ἀληθινὴ, vel ἀληθὲς *errat.* 808. v. τὰ l. φύματα. v. ὀκ- l. 95. v. τα l. ἐς δέ. v. cid- l. His verò. 809. v. χό- l. χόνδρον. v. δάκτυ- l. εἶδος δέ. 812. v. μὴ l. τὰ σκόρ- 813. v. [illegible] l. δάκτυλ- 820. v. ἐσὶ l. [illegible]. 821. v. -cum l. & cum melle. 823. v. dur- l. subdititia. 825. v. χορ- l. τὰ ἤ. 826. v. rus l. attollitur. 831. v. τῇ l. [illegible]. 841. v. σμύρ- l. 168. 842. v. myrrh- l. in vinum. 84[illegible]. v. ἣν l. γίνεται. v. inf- l. immoderatio, *hæmorrhagia.* 851. v. med- l. deinde med- 854. v. -ξας, l. κλημιάτινον. 855. v. 60. l. 90. 856. [illegible]- l. ἔκμαγμα. 861. v. ποιεῖ l. ὀκόταν. 863. v. τὸν l. τυγχάνει. 864. v. ὀφθ- l. ὡς [illegible]. v. vter- l. huic condu- 853. v. τὰ l. [illegible]. 865. v. εἰ χωρ- l. κάμπας. 866. v. σπάκ- l. ἐμβάλλη. v. ἢ μοι- l. 72. 869. v. do- apponito. v. febris ad del- v. τὰ l. 95. 870. v. κη- l. [illegible].

Ex Typis REMIGII SOVBRET.